Digitized by Google

10
4 F

Digitized by Google

6.8.0.7

ΦΙΛΩΝΟΣ

ΙΟΥΔΑΙΟΥ ΣΥΓΓΡΑΜΜΑΤΑ.

PHILONIS IVDÆI,

OMNIA QVÆ EXTANT OPERA.

Ex accuratissima SIGISMVNDI GELENII, & aliorum interpretatione,

Partim ab ADRIANO TVRNEBO, Professore Regio, è Christianissimi Regis Bibliotheca, partim à DAVIDE HOESCHELIO ex Augustana, edita & illustrata.

Huic nouissimæ editioni accessere Variæ lectiones & elegantissimus eiusdem Philonis, DE SEPTENARIO libellus, & DE PROVIDENTIA DEI fragmenta,

Cum rerum Indice locupletissimo.

80H.650



BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

LVTETIÆ PARISIORVM.

M. DC. XL.

CVM REGIS PRIVILEGIO.

Digitized by Google

Digitized by Google

AMPLISSIMIS
ET
VIGILANTISSIMIS
DOMINIS D.
H. BIGNONIO, M. MOLÆO, ET A. TALÆO
COGNITIONVM REGIARVM
IN SVPREMO SENATV PARISIENSI
TRIVMVIRIS.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ETSI à noſtra conditione & veſtra eruditione abhorreat, VIRI AMPLISSIMI, Philonis laudes, quem ſumma totius antiquitatis lumina celebrarunt, longiori oratione perſequi; quia tamen non pauci ſunt, qui Veterum Annalium non ſatis gnari, perlectis tanti viri operibus pleniorem eiuſdem notitiam deſiderabunt; vt iuſto eorum deſiderio faciamus ſatis, quæ ex antiquis monumentis decerpſimus, ſelecta breuiter proferemus. Philo gente & profeſſione Iudæus, patria Ægyptius & quidem Alexandrinus, nobiliſſimo Sacerdotum genere oriundus, & Alexandri, qui tum apud Alexandrinos principem locum tenebat frater, Tyberio imperante natus eſt: quo tempore literæ atque in primis Philoſophicæ & Theologicæ diſciplinæ toto Imperio Romano, ac præſertim Alexandriæ vigebant: quæ propterea Athenis ſu-

Digitized by Google

perior, Augustissimi optimarum artium domicilij, annitentibus Ptolomæis Regibus, qui celeberrimam ibi Bibliothecam excitarant, famam sibi nomẽnque comparat. In eo ergo literarum sacrario Philo, eximii sane ingenii ac iudicii adolescens, ita omni doctrinæ genere excelluit, vt eum omnes veluti nouum quoddam è cœlo delapsum sydus intuerentur: per quem Ciceronis eloquentiam, Pytagoræ, Platonis & Aristotelis non ieiunam illam quidem & incomptam, sed stylo limatam, perspicuitate facilem ac iucundam philosophiam reuiuiscere, & sacrarum literarum tenebras magna ex parte discussas esse conspicerent. Neque vero hunc tantum Alexandrini, verumetiam doctissimi Regionum aliarum viri, maximéque D. Gregorius Nazianzenus, D. Hieronymus, D. Ambrosius, Iosephus, Eusebius, Photius, Suidas coluerunt, & illorum plurimi eius vestigia in multis studiosissimè secuti sunt. Romani ipsi, Claudio imperante, Iudæis licet infensi, librum quem de Caij impietate & sceleribus conscriptum facetè eiusdem virtutes inscripserat, tanta attentione memoriter in Senatu recitantem Philonem audiuerunt, vt cætera eius opera tanquam prætiosissima quædam monumenta in Bibliothecis suis reposuerint. Cùm igitur tanta sit apud eruditos omnes Philonis existimatio, non modo id Dignitati vestræ, VIRI CLARISSIMI, sed etiam communi omnium vtilitati nos debere putauimus, vt nouis characteribus pulchriora quodammodo doctissimi viri opera existerent: & quamuis nonnullæ illius obseruationes & lectiones vnà cum libro qui Septenarius inscriptus est, multáque pulcherrima de Prouidentia Dei fragmenta separata à cæteris operibus ad hoc vsque tempus fuerint, eadem per nos opera in hac vltima editione coniunctim typis mandata se se excitabunt, quæ eo maiori ab omnibus ardore & admiratione peruoluentur, quò recentiora, sentẽtiis, verbis

Digitized by Google

& eruditione singulari illustriora existent. Atque hæc quidem insignia tanti viri monimenta in nullius, quàm in vestræ purpuræ sinu, iucundius atque honorificentius conquiescere possunt. Præ cæteris enim omnibus, quantum vtilitatis ex iisdem colligatur, quantumque omnium studium suo iure sibi deposcant proprio docti vsu comperistis. Et cùm ad nostram ætatem eruditorum omnium præsidio propagata sint, nulla re magis quàm vestra authoritate firmata, aduersus temporum iniuriam & obtrectatorum inuidiam, suam perpetuò dignitatem & splendorem retinebunt. Quòd si hic noster labor vobis, vt speramus, fuerit acceptus, fructum ex eo amplissimum erimus consecuti: & dum vita suppetet, VIRI ORNATISSIMI, vestro deuincti ornatique beneficio, quiqui sumus, fidam semper obsequendi voluntatem profiteri non desinemus.

Vestri amplissimi Ordinis,

Deditissimi humillimique Clientes.
SEBASTIANVS CRAMOISY.
DIONYSIVS MOREAV.
CLAVDIVS SONNIVS.
IOANNES BRANCHV.
GABRIEL CRAMOISY.
DIONYSIVS THIERRY.
DIONYSIVS BECHET.

Digitized by Google

ILLVSTRIVM ET PRÆCELLENTIVM SCRIPTORVM de Philone testimonia.

Iosephus Antiquitat. Iudaïcarum lib. 18. cap. 10.

CVmque inter Iudæos & Græcos Alexandriam habitantes exorta esset seditio, terni ab vtraque parte legati delecti ad Caïum missi sunt. Apion verò Alexandrinorum legationis princeps multa in Iudæos iactauit crimina, intérque cætera quòd Cæsarem non prosequerentur debitis honoribus. Nam cùm quàm latè patet orbis Romanus Caïo extruantur templa & altaria, & pari honore colatur cum cæteris numinibus, solos istos turpe putare dedicare illi statuas, aut iurare per nomen Cæsaris. Hic acerbè inuecto Apione, multísque aliis quæ ad exasperandum Caium facerent, Philo è Iudæorum legatis potior, vir per omnia clarissimus, Alexandri Alabarchæ frater, & non imperitus Philosophiæ, parabat causam suæ gentis agere. Sed repulsus est à Cæsare, iubente illum abire, & per iracundiam vix temperante ab iniuria: quapropter eiectus conuitio, versus ad Iudæos assectatores: Nunc, inquit, oportet bono esse animo, quãdo Caïus iratus est, nunc enim Deus nobis contra illum aderit.

ΚΑὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γινομένης, Ἰουδαίων τε οἳ ἐνοικοῦσι καὶ Ἑλλήνων, τρεῖς ἀφ' ἑκατέρας στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν εἰς τὸν Γάϊον. καὶ ἦν γὰρ τῶν Ἀλεξανδρέων πρεσβέων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν, ἄλλα τε λέγων, καὶ ὡς τῆς Καίσαρος τιμῆς περιορῷεν. πάντων γοῦν ὁπόσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ Γαΐῳ καὶ ναοὺς ἱδρυμένων, τά τε ἄλλα πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριᾶσι τιμᾶν, καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι. πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθήσεσθαι ἤλπιζε τὸν Γάϊον καὶ εἰκὸς ἦν, Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας ἀνὴρ τὰ πάντα ἔνδοξος, Ἀλεξάνδρου δὲ τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν, καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. διακλείει δ' αὐτὸν Γάϊος κελεύσας ἐκποδὼν ἀπελθεῖν, περὶ ὀργῆς τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ Φίλων ἔξεισι περιυβρισμένος, καί φησι πρὸς τοὺς Ἰουδαίους, οἱ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν θεὸν ἀντιπαρεξάγοντος.

EVSEBIVS HISTORIÆ ECCLESIASTICÆ Libro secundo.

ISte Philo verbis copiosus, sententiis locuples, & in diuinis Scripturis explicãdis altus, inque sublime se tollens variã & multiplicem sacri eloquii interpretationẽ pertexuit. Primũ opus composuit in Genesim, quod res in ea contentas serie quadã & ordine complectitur: quod quidẽ inscripsit, Sanctarũ legũ allegoria. Deinde distinctiones sigillatim, eorũ potissimum, quæ in Scripturis aliquid videtur habere cõtrouersiæ, cõtexuit: in quibus tũ obiicit, tum obiecta dissoluit, quos libros, Quæstiones & solutiones eorũ, quæ tum in Genesi tũ in Exodo quæri solent, aptè sibi ipsis mutuò respondentes, inscripsit. Sunt etiam præter istos libros, aliarum quarundam materiarum lucubrationes ab eo separatim confectæ: vtpote de Agricultura libri

ΠΟλύς τι μὴν τῷ λόγῳ, καὶ πλατὺς ταῖς διανοίαις, ὑψηλός τε καὶ μετέωρος ἐν ταῖς εἰς τὰς θείας γραφὰς θεωρίαις γεγενημένος, ποικίλην καὶ πολύτροπον τῶν ἱερῶν λόγων πεποίηται τὴν ὑφήγησιν. τοῦτο μὲν εἱρμῷ καὶ ἀκολουθίᾳ τὴν τῶν εἰς τὴν γένεσιν διελθὼν πραγματείαν, ἐν οἷς ἐπέγραψε νόμων ἱερῶν ἀλληγορίας. τοῦτο δὲ κατὰ μέρος διαστολὰς κεφαλαίων τῶν ἐν τῇ γραφῇ ζητουμένων, ἐπιστάσεις τε καὶ διαλύσεις πεποιημένος. ἐν οἷς καὶ αὐτοῖς καταλλήλως τὰς ἐν γενέσει καὶ τὰς ἐν ἐξαγωγῇ ζητημάτων καὶ λύσεων τίθεται τὴν ἐπιγραφήν. ἔστι δ' αὐτῷ παρὰ ταῦτα, προβλημάτων τινῶν ἰδίως πεπονημένα σπουδάσματα. οἷά ἐστι τὰ

Digitized by Google

περὶ γεωργίας δύο. καὶ τὰ περὶ μέθης τοσαῦτα. καὶ ἄλλα ἄττα διαφόρου καὶ οἰκείας ἐπιγραφῆς ἠξιωμένα, εἰς ὃ περὶ ὧν νήψας ὁ νοῦς εὔχεται καὶ καταρᾶται. καὶ ὁ περὶ συγχύσεως τῶν διαλέκτων. καὶ ὁ περὶ φυγῆς καὶ εὑρέσεως. καὶ ὁ περὶ τῆς πρὸς τὰ παιδεύματα συνόδου. περί τε τοῦ, τίς ὁ τῶν θείων ἐστὶ κληρονόμος. ἢ περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς. καὶ ἔτι τὸ περὶ τῶν τριῶν ἀρετῶν, ἃς σὺν ἄλλαις ἀνέγραψε Μωϋσῆς. πρὸς τούτοις, ὁ περὶ τῶν μετονομαζομένων, καὶ ὧν ἕνεκα μετονομάζονται. ἐν ᾧ φησι συντεταχέναι καὶ περὶ διαθηκῶν πρῶτον καὶ δεύτερον. ἔστι δ' αὐτοῦ καὶ περὶ ἀποικίας. καὶ βίος σοφοῦ τοῦ κατὰ δικαιοσύνην τελειωθέντος, ἢ περὶ νόμων ἀγράφων, καὶ ἔτι περὶ Γιγάντων. ἢ περὶ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον. περὶ τὸ τοῦ κατὰ Μωϋσέα θεοπέμπτους εἶναι τοὺς ὀνείρους. α. β. γ. δ. ε. καὶ ταῦτα μὲν τὰ εἰς ἡμᾶς ἐλθόντα τῶν εἰς τὴν γένεσιν. Εἰς δὲ τὴν ἔξοδον, ἔγνωμεν αὐτοῦ ζητημάτων, α. β. γ. δ. ε. καὶ τὸ περὶ τῆς σκηνῆς. τό, τε περὶ τῶν δέκα λογίων. καὶ τὰ περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τὰ συντείνοντα κεφάλαια τῶν δέκα λόγων. α. β. γ. δ. καὶ τὸ περὶ τῶν εἰς τὰς ἱερουργίας ζώων. καὶ τίνα τῶν θυσιῶν εἴδη. καὶ τὸ περὶ τῶν προκειμένων ἐν τῷ νόμῳ τοῖς μὲν ἀγαθοῖς ἄθλων, τοῖς δὲ πονηροῖς ἐπιτιμίων καὶ ἀρῶν. πρὸς τούτοις ἅπασι καὶ μονόβιβλα αὐτοῦ φέρεται, ὡς τὰ περὶ προνοίας καὶ ὁ περὶ Ἰουδαίων συνταχθεὶς αὐτῷ λόγος καὶ ὁ πολιτικός. ἔτι τε Ἀλέξανδρος, ἢ περὶ τοῦ λόγον ἔχειν τὰ ἄλογα ζῶα. ἐπὶ τούτοις ὁ περὶ τοῦ δοῦλον εἶναι πάντα φαῦλον. ᾧ ἑξῆς ἐστιν ὁ περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι. μεθ' οὓς συντέτακται αὐτῷ, ὁ περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν. ἐξ οὗ τὰ περὶ τοῦ βίου τῶν ἀποστολικῶν ἀνδρῶν διεληλύθαμεν. καὶ τῶν ἐν νόμῳ δὲ καὶ προφήταις ἑβραϊκῶν ὀνομάτων ἑρμηνεῖαι, τοῦ αὐτοῦ σπουδὴ εἶναι λέγονται. Οὗτος μὲν οὖν κατὰ Γάιον ἐπὶ τῆς Ῥώμης ἀφικόμενος, τὰ περὶ τῆς θεοστυγίας Γαΐου γραφέντα αὐτῷ, ἃ μετ' ἤθους καὶ Εἰρωνείας ἐπέγραψεν περὶ ἀρετῶν, ἐπὶ πάσης λέγεται τῆς Ῥωμαίων συγκλήτου κατὰ Κλαύδιον διελθεῖν. ὡς καὶ τῆς ἐν βιβλιοθήκαις ἀναθέσεως θαυμασθέντας αὐτοῦ καταξιωθῆναι τοὺς λόγους.

duo: de Ebrietate totidem. alii etiam separato quodam & proprio titulo insigniti: vt ille, Quas res mens sobria & modesta optat, quásq; execratur. Alter de linguarum confusione. Est & alius, de Natura & inuentione. Item alius: De earum rerum cognitione, quæ antequam ad Sacras literas veniamus, discẽdæ sunt. Alius de eo argumento perscriptus, Quisnam sit, qui rerum diuinarum hæreditatem sit consequuturus. Alius, de partitione æqualium, & inæqualiũ. Quintiã alius, De tribus virtutibus, quas vnà cum aliis descripsit Moyses. Præterea est liber, De his quorum nomina cõmutata sunt, & qua gratia etiam sint cõmutata: in quo ait, se duos libros de Pactis cõtexuisse. Est etiam liber illius, De demigratione Abrahami siue de colonia. Adde his libros de Sapiẽtis vita ex iustitiæ regula perfecta & absoluta, siue de Legibus non scriptis: de Gigãtibus: de Numine diuino, quòd mutari nequeat. Accedunt his quinq; libri, De eo quòd (vt est apud Moysen) somnia diuinitus cuique immissa sunt. Atque isti sunt libri ab eo in Genesin editi, qui ad nos peruenerunt. In Exodũ quinque libros illius, De quæstionibus & solutionibus, cognouimus. Alterum item, De tabernaculo: alterum, De decem præceptis. Sunt & quatuor eius libri de Legibus separatim scriptis, quæ summatim ad capita decem præceptorum referuntur. Alius præterea, De animalium sacrificiis & victimis. Alius, Quænam & quot sint sacrificiorum genera. Alius de præmiis quæ bonis viris in lege proposita sunt, déque supplicio & execratione improbis infligẽda. Præter hos vniuersos, singuli illius libri feruntur: sicut de prouidentia, De homine ciuilem vitam degente, siue de Ioseph. De Iudęis: porrò Alexãder, siue de eo, quòd bruta ratione prædita sint. Adiũge his eũ libellum, qui De eo quòd improbus quisque sit seruus inscribitur. Ad quẽ sequitur alius, De eo quod quisq; studiosus sit liber. Quibus adiũctus est liber de vita in contemplatione posita, siue de supplicibus. Ex quo sunt ea quæ de virorũ Apostolicorũ vita persecuti sumus, deprompta, Nominũ etiã Hebræorũ in lege & prophetis interpretationes ab illo lucubratæ dicũtur. Istum autẽ Caio regnãte Romã profectum esse, & librum quem de Caii impietate & scelere composuerat, quémque facetè & dissimulanter de virtutibus inscripserat, postea Claudio imperium gerẽte coram vniuerso senatu Rom. recitasse memoriæ proditũ est: vnde non illud opus solũ, verùmetiam alia ab eo edita, tãtoperè admirabãtur Romani, vt digna existimarent quæ in Bibliotheca, tanquã monumenta quædam reponerentur.

Digitized by Google

HIERONYMVS IN CATALOGO SCRIPTORVM ECCLESIASTICORVM.

PHILO IVDÆVS, natione Alexandrinus, de genere ſacerdotum: idcirco à nobis inter ſcriptores Eccleſiaſticos ponitur, quia librum de prima Marci Euangeliſtæ apud Alexandriam ſcribens Eccleſia, in noſtrorum laude verſatus eſt: Aiunt hunc ſub Caïo Caligula Romæ periclitatum, quò legatus gentis ſuæ miſſus fuerat. Cùm ſecunda vice veniſſet ad Claudium, in eadem vrbe locutum eſſe cum Apoſtolo Petro, eiúſque habuiſſe amicitias, & ob hanc cauſam etiam eccleſiam Marci, diſcipuli Petri, apud Alexandriam ſectatores ornaſſe laudibus. Extant huius pręclara & innumerabilia opera, In quinque libros Moyſis: De confuſione linguarum liber vnus: De natura & inuentione liber vnus: De eruditione liber vnus: De hærede diuinarũ rerum liber vnus: De diuiſione æqualium & contrariorum liber vnus: De tribus virtutibus liber vnus: Quare quorundam in ſcripturis mutata ſint nomina liber vnus: De pactis libri duo: De vita ſapientis liber vnus: De gigantibus liber vnus; Quòd ſomnia mittantur à Deo libri quinque: Quæſtionum & ſolutionum in Exodo libri quinque: De tabernaculo & decalogo libri quatuor: Necnon de victimis & repromiſſionibus, ſiue maledictis: De prouidentia: De Iudæis: De conuerſatione vitæ: De Alexandro, dicente quòd propriam rationem muta animalia habeant, & quod omnis inſipiens ſeruus ſit. Et de vita noſtrorum librum, de quo ſupra diximus, id eſt de Apoſtolicis viris, quem & inſcripſit περὶ βίου θεωρητικοῦ ἱκετῶν, quòd videlicet cæleſtia contemplentur, & ſemper Deum orent. & ſub aliis indicibus: De agricultura duo: De ebrietate duo. Sunt & alia eius monumenta ingenii, quæ in noſtras manus non peruenerunt. De hoc vulgo apud Græcos dicitur, ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει id eſt, aut Plato Philonem ſequitur, aut Platonem Philo: tanta eſt ſimilitudo ſenſuum & eloquii.

PHOTIVS IN BIBLIOTH. COD. CIII. CIV. CV.

Lecta eſt Philonis Iudæi ſacrarum legum Allegoria, & de vita viri ciuilis.

Lecta & eorum viuendi ratio, qui philoſophicum vitæ genus apud Iudæos ſiue contemplando, ſiue agendo ſectati ſunt. Hi Eſſeni, illi Therapeutæ appellabãtur: Ac proximi quidem non monaſteria tantùm, atque σεμνεῖα (has ipſas ille voces adhibet) ædificarunt, ſed etiam viuendi normam iis, qui nunc ſolitariam degunt vitam præſcripſerunt.

Legitur eiuſdẽ liber, cui titulus, CAIVS *reprehenſus*, aliúſque FLACCVS *reprehẽſus*. Quibus in libris magis, quàm in aliis, dicendi vis eius, ac venuſtas apparet. Peccat tamen non rarò ideis tranſmutandis, ceteriſque à Iudaïca ſecta alienis deſcribendis.

Floruit Caij Cæſaris temporibus, ad quem & pro ſua gente (Hebræa) legationem ſe ſuſcepiſſe ſcribit, regnante in Iudæa Agrippa.

Circumferuntur eiuſdem alia quoque varia opuſcula, quibus diſputationes ferè de moribus continentur, veteriſque Teſtamenti explanationes, ad allegoriam vt plurimum ipſa litera aptata. Et verò ab hoc arbitror, omnem allegoricum ſacræ ſcripturæ ſermonem in Eccleſiam pro-

Ἀνεγνώσθη Φίλωνος τοῦ Ἰουδαίου νόμων ἱερῶν ἀλληγορία, καὶ περὶ βίου πολιτικοῦ.

Ἀνεγνώσθησαν δὲ τῶν παρὰ Ἰουδαίοις φιλοσοφησάντων τήν τε θεωρητικὴν καὶ τὴν πρακτικὴν φιλοσοφίαν βίοι· ὧν οἱ μὲν Ἐσσηνοί, οἱ δὲ θεραπευταὶ ἐκαλοῦντο. οἳ καὶ μοναστήρια καὶ σεμνεῖα, ὡς αὐταῖς λέξεσι λέγει, ἐπήγνυντο, καὶ τὴν νῦν μοναζόντων τῆς πολιτείας προϋπέγραφον.

Ἀνεγνώσθη δὲ αὐτοῦ καὶ λόγος, οὗ ἡ ἐπιγραφή· Γάϊος ψεγόμενος, καὶ Φλάκκος ἢ Φλάκκων ψεγόμενος. ἐν οἷς λόγοις μᾶλλον τῶν ἄλλων, ἥ τε κατὰ τὴν ῥητορείαν Ῥώμη, καὶ τὸ κάλλος ἐπιφαίνεται αὐτοῦ τῶν λόγων. ἁμαρτάνει δὲ ἐν πολλοῖς, ἰδέας τε ὑποτιθέμενος, καὶ ἄλλα ἅττα τῆς Ἰουδαϊκῆς φιλοσοφίας ἀλλότρια συγγραφόμενος. ἐν δὲ τοῖς χρόνοις ἤκμασε Γαΐου τοῦ Καίσαρος, πρὸς ὃν καὶ ὑπὲρ τοῦ ἰδίου ἔθνους γράφει πρεσβεῦσαι, Ἀγρίππα τῆς Ἰουδαίας βασιλεύοντος. φέρεται δὲ αὐτοῦ πολλὰ καὶ ποικίλα συντάγματα, ἠθικοὺς λόγους περιέχοντα καὶ τῆς παλαιᾶς ὑπομνήματα, τὰ πλεῖστα πρὸς ἀλληγορίαν τοῦ γράμματος ἐκβιαζόμενα. ἐξ οὗ οἶμαι καὶ πᾶς ὁ ἀλληγορικὸς τῆς γραφῆς ἐν τῇ ἐκκλησίᾳ λόγος

ἔχειν ὀργὴν εἰσρυῆναι. λέγεται δὲ, αὐτὸν καὶ τὰ χριστιανῶν μυηθέντα, ὕστερον τούτων διά τινα λύπην καὶ ὀργὴν ἐκπεσεῖν, ἀλλὰ πρότερόν γε αὐτόν, φασιν, ἐπὶ Κλαυδίου τὴν Ῥώμην καταλαβόντα, Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων ἐντυχεῖν, καὶ φιλίως διατεθεῖσθαι· διὸ καὶ τῶν μαθητῶν Μάρκου τοῦ εὐαγγελιστοῦ (ἀκροατὴς δὴ ὁ Μάρκος Πέτρου) μνήμης καὶ εὐφημίας ἀξιῶσαι. ἐκείνους γὰρ λέγει φησὶ παρὰ Ἰουδαίοις πεφιλοσοφηκέναι. ὧν καὶ τὰς διατριβὰς μοναστήριά τε καλεῖ, καὶ τὸν ἀσκητικὸν διανύειν αὐτοὺς ἀνακηρύττει βίον, νηστείᾳ τε προσευχῇ καὶ ἀκτησίᾳ προσμένοντας. ἔστι δὲ τὸ γένος ἐξ ἱερέων καταγόμενος, Ἀλεξανδρεὺς δὲ τὴν πατρίδα. τοσοῦτον δὴ αὐτὸν τοῖς ἑλληνισταῖς παρασχεῖν θαῦμα τῆς ἐν τοῖς λόγοις δυνάμεως, ὡς καὶ λέγειν αὐτούς. ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει.

ΠΕΡΙ ΦΙΛΩΝΟΣ
Ἐκ τοῦ Σουίδα.

Φίλων Ἰουδαῖος, τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, γένους ἱερέων, φιλοσοφήσας δὲ τὰ ἑλλήνων εἰς μέγα προὔβη παιδείας, ὡς μετελθεῖν πᾶσαν ἑλληνικὴν παίδευσιν, τήν τε τῶν ἐγκυκλίων καλουμένων, καὶ τὰς λοιπὰς ἐπιστήμας, συνακριβῶς καταλήψει. ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ' ἕλλησι τοῦτο χωρῆσαι, ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει· τοσαύτη ἐστὶν ὁμοιότης τῆς τε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς τὸν Πλάτωνος. καὶ τοίνυν γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα. περὶ συγχύσεως γλωσσῶν βιβλίον α'. περὶ φυγῆς καὶ εὑρήματος α'. περὶ ὧν κατὰ νοῦν τις εὔχεται α'. περὶ παιδεύσεως ἕν. περὶ κληρονόμου τῶν θείων πραγμάτων α'. περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων α'. περὶ τῶν τριῶν δυνάμεων. περὶ ἐναλλαγέντων γραφῶν παρά τισιν. περὶ συνθηκῶν λόγους β'. περὶ βίου φιλοσόφου. περὶ Γιγάντων α'. περὶ ὀνείρων ε'. περὶ ζητημάτων καὶ ἑρμηνευμάτων τῆς ἐξόδου ε'. περὶ τῆς σκηνῆς καὶ δεκαλόγου δ'. περὶ θυσιῶν. περὶ ὑποσχέσεων, ἤτοι καταρῶν. περὶ προνοίας. περὶ Ἰουδαίων α'. περὶ ἀναγωγῆς βίου. περὶ Ἀλεξάνδρου, καὶ περὶ τοῦ ἴδιον λογισμὸν ἔχειν τὰ ἄλογα. περὶ τοῦ ὅτι πᾶς ἄφρων δοῦλός ἐστι. περὶ τῆς διαγωγῆς τῶν χριστιανῶν. περὶ βίου θεωρητικοῦ, περὶ ἱκετῶν. περὶ γεωργίας λόγους β'. περὶ μέθης β'. περὶ τοῦ Μωσέως βίου. εἰς τὰ Χερουβίμ,

manasse. Ferunt eundem Christianis etiã sacris initiatũ, ab his tandem dolore quodam atque iracundia desciuisse. Verùm antea Claudio August. imperante adita Roma, in B. Petrum Apostolorum principem incidisse, eóque vsum familiariter: atque hinc etiam factum esse, vt & discipulorum B. Marci Euangelistæ, S. Petri auditoris, mentionem laudationémque posuerit. Hos enim, aiunt, apud Iudæos philosophicam duxisse vitam, iste commemorat: horum domicilia, monasteriã appellat, eosdémque meditationi deditam vitam ieiunio, atque precatione degere, nihil interim opum possidendo, prædicat.

Duxit autem Philo genus à Sacerdotibus, patria Alexandrinus, tantámque sibi apud Græcos artis dicendi peritia celebritatem peperit, vt vulgo etiam sermone illud vsurparetur: Aut Plato philonizat, aut Philo platonizat.

SVIDAS.

PHilo Iudæus Alexandriæ natus de de genere sacerdotum Græcorum Philosophię operatus adeò excelluit eruditione. vt omnes disciplinas Gentilium, tum quas encyclicas vocant, tum ipsas scientias accuratè percalluerit; polluit facundiâ Platonicæ persimili, vnde apud Græcos abiit in prouerbium, ἢ πλάτων φιλωνίζει, ἢ φίλων πλατωνίζει, id est, aut Plato Philonem æmulatur, aut Philo Platonem; tanta est inter hos & sensuum & elocutionis consonantia. Scripsit innumera volumina, è quibus sunt ista: De confusione linguarum liber vnus: De fugâ & inuentione liber vnus: de his quæ mente quis precatur liber vnus: de eruditione liber vnus: de hærede diuinarum rerum liber vnus: de diuisione æqualium & contrariorum liber vnus: de tribus facultatibus; Quare quorundam in scripturis mutata sint nomina: De pactis libri duo, de vita sapientis: de gigantibus liber vnus; de insomniis libri quinque: Quæstionum & solutionum in Exodum libri quinque: de tabernaculo & decalogo libri quatuor: de sacrificiis: de promissionibus siue maledictis: de prouidentia: de Iudæis liber vnus: de conuersatione vitæ: De Alexandro, & quòd propriam rationem muta animalia habeant: Quòd omnis insipiens seruus sit: de vita Christianorum: de vita contemplatiua, siue de supplicibus: de agricultura libri duo, de ebrietate libri duo: de vita Mosis, De Cherubin,

id est flammeo gladio: in Pentateuchum Mosis & in ipsum Mosem libri quinque. Aiunt hunc sub Caio Caligula Romae periclitatum, quò legatus gentis Iudaicae missus fuerat, cúmque secundò venisset ad Claudium, in eadem vrbe locutum esse cum beato Apostolo Petro, eósque amicitiam contraxisse, & ob hanc caussam sectatores Marci discipuli Petri apud Alexandriam ab eo laudibus ornatos. Sunt igitur sicut diximus praeclara & innumerabilia huius viri volumina eáque vtilissima.

περὶ τῆς φλογίνης ῥομφαίας. εἰς τὴν πεντάτευχον Μωϋσέως, καὶ εἰς αὐτὸν Μωϋσῆν λόγοι ε΄. λέγουσι τοῦτον ἐπὶ Γαΐου Καλιγόλα ἐν τῇ Ῥώμῃ κινδυνεῦσαι, ἐπηνίκα πρεσβευτὴς τοῦ οἰκείου ἔθνους ἀπεστάλη. καὶ ὅτε τὸ δεύτερον ἦλθε πρὸς Κλαύδιον, ἐν τῇ αὐτῇ πόλει διαλεχθῆναι τῷ ἁγίῳ ἀποστόλῳ Πέτρῳ, καὶ τούτους ἐσχηκέναι φιλίαν, καὶ διὰ τοῦτο τοὺς σπουδαστὰς Μάρκου μαθητοῦ Πέτρου ἐν Ἀλεξανδρείᾳ ἔπεσι κεκοσμηκέναι. εἰσὶν οὖν ὡς προεῖπομεν περιφανῆ ἀναρίθμητα συντάγματα, καὶ πᾶσαν ὠφέλειαν ἔχοντα.

CATALOGVS ET ORDO Librorum in hocce Philonis Iudaei Opere contentorum.

DE Mundi opificio. pag. 1
Legis Allegoriarum post sex dierum opus. Lib. 1. 46
Legis Allegoriarum. Lib. 2. 60
De Cherubin, & flammeo gladio & de Caïn, qui primus ex homine procreatus est. 108
De Sacrificijs Abelis & Caïni. 130
Quod deterius potiori insidiari soleat. 155
De Agricultura. 187
De Plantatione Noë. Lib. 2. 214
De Temulentia. 240
De his verbis resipuit Noë. 273
De Gigantibus 284
Quod Deus sit immutabilis. 293
De confusione linguarum. 319

Historici.

Vita Sapientis per doctrinam perfecti, siue de Legibus non scriptis, hoc est de Abrahamo. 349
De Migratione Abrahami. 388
De Congressu quaerendae eruditionis gratia. 424
De Profugis. 450
Quis Rerum Diuinarũ hęres sit. 481
Vita viri Ciuilis, siue De Ioseph. 526
De eo quod à Deo mittantur somnia. 565
De vita Mosis, hoc est, de Theologia & Prophetis, Liber I. 602

ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΤΟΥ Φίλωνος συγγραμμάτων.

ΚΟΣΜΟΠΟΙΗΤΙΚΑ.

ΠΕρὶ τῆς Μωσέως κοσμοποιΐας. Σελίδι 1
Νόμων ἱερῶν ἀλληγορίαι τῶν μετὰ τὴν ἑξαήμερον. 46
Νόμων ἱερῶν ἀλληγορία δευτέρα. 60
Περὶ τῶν Χερουβὶμ καὶ τῆς φλογίνης ῥομφαίας, καὶ τοῦ κτισθέντος πρώτου ἐξ ἀνθρώπου, Κάϊν. 108
Περὶ ὧν ἱερουργοῦσιν Ἄβελ τε καὶ Κάϊν. 130
Περὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι. 155
Περὶ γεωργίας. 187
Περὶ φυτουργίας τὸ δεύτερον Νῶε. 214
Περὶ μέθης. 240
Περὶ τοῦ ἐξένηψε Νῶε. 273
Περὶ Γιγάντων. 284
Ὅτι ἄτρεπτον τὸ θεῖον. 293
Περὶ συγχύσεως διαλέκτων. 319

ΙΣΤΟΡΙΚΑ.

Βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος, ἢ περὶ νόμων ἀγράφων, ὅ ἐστι περὶ Ἀβραάμ. 349
Περὶ ἀποικίας. 388
Περὶ τῆς εἰς τὰ προπαιδεύματα συνόδου. 424
Περὶ φυγάδων. 450
Περὶ τοῦ τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος. 481
Βίος πολιτικοῦ, ὅπερ ἐστὶ περὶ Ἰωσήφ. 526
Περὶ τοῦ θεοπέμπτους εἶναι τοὺς ὀνείρους. 565
Περὶ βίου Μωϋσέως, ὅπερ ἐστὶ περὶ θεολογίας καὶ προφητείας, λόγος α΄. 602

Περὶ βίου Μωϋσέως. λόγος β'.	654	De vita Mosis, Liber II.	654
Περὶ βίου Μωϋσέως, λόγος γ'.	664	De vita Mosis, Lib. III.	664
Περὶ φιλανθρωπίας.	697	De Charitate.	697
Τὰ περὶ Δικαστοῦ.	718	De Iudice.	718
Περὶ καταστάσεως ἀρχόντος.	722	De Creatione principis.	722
Περὶ Ἀνδρίας.	736	De Fortitudine.	736
ΝΟΜΟΘΕΤΙΚΑ.		*Legales.*	
Περὶ τῶν δέκα λογίων, ἃ κεφάλαια νόμων εἰσί.	744	De Decalogo, quod est iuris summarium.	744
Περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τρία γένη τῶν δέκα λόγων, τὸ τρίτον, τὸ τέταρτον, τὸ πέμπτον. τὸ περὶ εὐορκίας, καὶ σεβασμοῦ τῆς ἱερᾶς ἑβδόμης, καὶ γονέων τιμῆς.	769	De specialibus legibus quæ referuntur ad tria Decalogi capita, videlicet 3. 4. quintumq; de iureiurãdo, Religionéque, De sacro Sabbato, de honore habendo parentibus.	769
Περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς δύο γένη τῶν δέκα λογίων, τὸ ἕκτον καὶ τὸ ἕβδομον· τὸ κατὰ μοιχῶν καὶ παντὸς ἀκολάστου, καὶ τὸ κατὰ ἀνδροφόνων καὶ πάσης βίας.	776	De specialibus legibus, quæ referũtur ad duo Decalogi capita, sextũ, septimũq; cõtra Mœchos omnes libidinosos, & contra homicidas omnémque violentiam.	776
Περὶ περιτομῆς.	810	De Circumcisione.	810
Περὶ μοναρχίας.	812	De Monarchia.	812
Περὶ τοῦ τίνα γέρα ἱερέων.	830	De Proemiis Sacerdotũ & hono.	830
Περὶ ζώων τῶν εἰς θυσίας, καὶ τίνα τῶν θυσιῶν εἴδη.	835	De animalib. idoneis Sacrificio déque victimarum generibus.	835
Περὶ θυόντων.	847	De victimas offerentibus.	847
Περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ προσδέχεσθαι.	860	De Mercede Meretricis non accipienda in sacrarium.	860
Περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον.	865	Quod liber sit quisquis virtuti studet.	865
Περὶ βίου θεωρητικοῦ, ἢ ἱκετῶν ἀρετῶν.	889	De vita Contemplatiua, siue supplicum virtutibus.	889
Περὶ εὐγενείας.	903	De Nobilitate.	903
Περὶ ἄθλων καὶ ἐπιτιμίων.	910	De proemiis & pœnis.	910
Περὶ ἀρῶν.	930	De Execrationibus.	930
Περὶ ἀφθαρσίας κόσμου.	938	Quod mũdus sit incorruptibilis.	938
Εἰς Φλάκκον.	965	In Flaccum.	965
Περὶ ἀρετῶν, καὶ πρεσβείας πρὸς Γάϊον.	992	De virtutib. & legat. ad Caïum.	992
Περὶ τῶν μετονομαζομένων, καὶ ὧν ἕνεκα μετονομάζονται.	1044	Quare quorumdam in scripturis mutata sint nomina.	1044
Νόμων ἱερῶν ἀλληγορία κατὰ τὴν ἑξαήμερον τρίτη.	1085	Sacræ Legis allegoriarum post sex dierum opus lib. 3.	1085
Περὶ τοῦ θεοπέμπτους εἶναι τοὺς ὀνείρους.	1108	De eo quod à Deo immittantur.	1108
Περὶ κόσμου.	1050	De Mundo.	1150
Περὶ τῆς Ἑβδόμης καὶ τῶν ἑορτῶν.	1173	De Septenario & festis diebus.	1173
Περὶ προνοίας.	1197	De Prouidentia Dei.	1197

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ
ΠΕΡΙ ΤΗΣ ΜΩΣΕΩΣ
ΚΟΣΜΟΠΟΙΙΑΣ.

PHILONIS IVDÆI
DE EA QVAM MOSES
DESCRIBIT MVNDI CREATIONE LIBER.

Sigiſmundo Gelenio interprete.

ΤΩΝ ἄλλων νομοθετῶν, οἱ μὲν A ἀκαλλώπιστα καὶ γυμνὰ τὰ νομισθέντα παρ᾽ αὐτοῖς εἶναι δίκαια διετάξαντο· οἱ δὲ, πολὺν ὄγκον τοῖς νοήμασι προσπεριλαβόντες, ἐξετύφωσαν τὰ πλήθη, μυθικοῖς πλάσμασι τὴν ἀλήθειαν ἐπικρύψαντες· Μωσῆς δ᾽ ἑκάτερον ὑπερβὰς, τὸ μὲν, ὡς ἄσκεπτον καὶ ἀταλαίπωρον καὶ ἀφιλόσοφον· τὸ δ᾽, ὡς κατεψευσμένον καὶ μεστὸν γοητείας· παγκάλην καὶ σεμνοτάτην ἀρχὴν ἐποιήσατο τῶν νόμων, μήτ᾽ εὐθὺς ἃ χρὴ B πράττειν ἢ τοὐναντίον ὑφηγῶν, μήτ᾽ ἐπεὶ προτυπῶσαι τὰς διανοίας τῶν χρησομένων τοῖς νόμοις ἀναγκαῖον ἦν, μύθους πλασάμενος, ἢ συναινέσας τοῖς ὑφ᾽ ἑτέρων συντεθεῖσιν. ἡ δ᾽ ἀρχὴ, καθάπερ ἔφην, ἐστὶ θαυμασιωτάτη, κοσμοποιίαν περιέχουσα, ὡς καὶ τοῦ κόσμου τῷ νόμῳ, καὶ τοῦ νόμου τῷ κόσμῳ συνᾴδοντος, καὶ τοῦ νομίμου ἀνδρὸς, εὐθὺς ὄντος κοσμοπολίτου, πρὸς τὸ βούλημα C τῆς φύσεως τὰς πράξεις ἀπευθύνοντος, καθ᾽ ἣν καὶ ὁ σύμπας κόσμος διοικεῖται. τὸ μὲν οὖν κάλλος τῶν νοημάτων τῆς κοσμοποιίας οὐδεὶς οὔτε ποιητὴς, οὔτε λογογράφος, ἀξίως ἀνυμνῆσαι δύναιτο. καὶ γὰρ λόγον καὶ ἀκοὴν ὑπερβάλλει, μείζω καὶ σεμνότερα ὄντα, ἢ ὡς θνητοῦ τινὸς ὀργάνῳ ἐναρμοσθῆναι. οὐ μὴν διὰ τοῦθ᾽ ἡσυχαστέον, ἀλλ᾽ ἕνεκα

CÆTERI legiſlatores partim nullo ornatu adhibito nudum ius præſcripſerunt: partim ad exaggerandam apud vulgus rem, fabuloſis figmentis veritatem prætexerunt. Moſes verò vtraque ratione poſthabita, altera vt rudi ac ignaua parúmque decora philoſopho: altera vt mendace plenáque præſtigiis, perpulchrum ac honeſtiſſimum legum ſuarum fecit initium: neque ſtatim quæ facienda quæve non, admonens: neque quoniam formandæ prius erant mentes accepturorũ has leges, affingens fabulas, aut aliorum figmenta recipiens: ſed admirandum (vt dicere cœpi) eſt hoc principium creationem mundi complexum: vtpote cum & mundus legi & lex mundo conueniat, & homo legi obnoxius mox ciuis mundi euadat, dirigens ſua facta ad arbitrium naturæ gubernantis hanc rerum vniuerſitatem. eam ſublimitatem ſenſuũ quibus mundi creatio traditur, nullus poëta, nullus ſcriptor laudare queat pro dignitate. ſuperant enim omnem dicendi audiendive facultatem, vtpote ſublimiores quàm vt mortali quopiam vaſe poſſint conuenienter percipi. non tamen ideo ceſſandum eſt, ſed ſtudio pietatis

vel vltra vires audendũ: non vt priuatim afferamus aliquid proprium, sed è multis pauca quædam, quæ ad humanam mentem penetrare fas est, deductam amore ac desiderio sapientiæ. quemadmodum enim Colossorum similitudines vel in exiguo exprimuntur anulo: ita fortassis etiam scripturæ creationem mundi prodentis pulchritudo eximia splendore quodam percellens lectorum animos, mediocri stilo enarrabitur: si prius admoneantur, quod admoneri operæ pretium fuerit. quidam enim mundum magis admirati quàm eius conditorem, hunc quidem non factum æternúmque asseuerant: Deum verò in alto otio degere mentiuntur impij: cum debuissent contrà, huius vt conditoris ac parentis admirari potentiam, illum non supra modum venerari. at Moses tum philosophiæ fastigiũ assecutus, tum oraculo de præcipuis naturæ arcanis edoctus, animaduertit duo esse in rebus necessaria: alterũ causam agentem, alterum quod ab agente afficitur. præterea agens illud esse huius vniuersi mentem sincerissimam ingentissimámque præstantiorem quàm sit virtus aut scientia, imò quàm ipsum summum bonum & ipsum summum pulchrum. alterum autem illud passioni obnoxium, inanime & suapte natura immobile, motum, formatum animatúmque à mente illa, redditũ esse opus absolutissimum. cæterum qui mundum factum negant, non animaduertunt se tollere quod est in vita vtilissimum & ad pietatem summe necessarium, nempè prouidentiam. nam opificium non negligi ab opifice suo parentéque docet ratio. etenim pater hoc agit vt permaneat sua progenies, conditor item diuturnitati à se conditorum consulit, arcens quicquid noxam damnúmve illaturum videtur, contra quicquid vtile commodúmque, modis omnibus prospiciens. at quod factum non est, nihil commercij habet cum eo qui se non fecit. est autem absurda opinio, atque inutilis, mundum tanquam rempub. sine magistratu inducere, cui non præfectus, non præses, non iudex præsit, quem omnia dispensare gubernaréque deceat. at magnus ille Moses longissimo interuallo distare existimans rem visibilem ab infecta: quandoquidem quicquid sensui subiectum est, generationi mutationíque obnoxiũ nunquam eodem statu manet: inuisibili & mente

A τοῦ θεοφιλοῦς καὶ ὑπὲρ δύναμιν ἐπιτολμητέον λέγειν, οἴκοθεν μὲν οὐδὲν, ὀλίγα δ' ἀντὶ πολλῶν, ἐφ' ἃ τὴν ἀνθρωπίνην διάνοιαν φθάνειν εἰκὸς, ἔρωτι καὶ πόθῳ σοφίας κατεσχημένην. ὡς γὰρ τῶν κολοσσιαίων μεγεθῶν τὰς ἐμφάσεις ἡ βραχυτάτη σφραγὶς τυπωθεῖσα δέχεται, οὕτω τάχα που καὶ τὰ τῆς ἀναγραφείσης ἐν τοῖς νόμοις κοσμοποιίας ὑπερβάλλοντα κάλλη, καὶ ταῖς μαρμαρυγαῖς τὰς τῶν ἐντυγχανόντων ψυχὰς ἐπισκιάζοντα, βρα-
B χυτέροις παραδηλωθήσεται χαρακτῆρσιν, ἐπειδὰν ἐκεῖνο μηνυθῇ πρότερον, ὅπερ οὐκ ἄξιον ἀποσιωπῆσαι. τινὲς γὰρ τὸν κόσμον μᾶλλον ἢ τὸν κοσμοποιὸν θαυμάσαντες, τὸν μὲν ἀγένητόν τε καὶ ἀΐδιον ἀπεφήναντο, τοῦ δὲ θεοῦ πολλὴν ἀπραξίαν ἐναγῶς κατεψεύσαντο· δέον ἔμπαλιν, τοῦ μὲν τὰς δυνάμεις ὡς ποιητοῦ καὶ πατρὸς καταπλαγῆναι, τὸν δὲ μὴ πλέον τοῦ μετρίου ἀποσεμνῦναι. Μωσῆς δὲ καὶ φιλοσοφίας ἐπ' αὐτὴν φθάσας ἀκρότητα, καὶ χρησμοῖς τὰ πολλὰ καὶ
C συνεκτικώτατα τῶν τῆς φύσεως ἀναδιδαχθεὶς, ἔγνω δὴ, ὅτι ἀναγκαιότατόν ἐστιν ἐν τοῖς οὖσι, τὸ μὲν εἶναι δραστήριον αἴτιον, τὸ δὲ παθητόν· καὶ ὅτι τὸ μὲν δραστήριον, ὁ τῶν ὅλων νοῦς ἐστιν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος, κρείττων τε ἢ ἀρετὴ, καὶ κρείττων ἢ ἐπιστήμη, καὶ κρείττων ἢ αὐτὸ τἀγαθὸν καὶ αὐτὸ τὸ καλόν. τὸ δὲ παθητὸν, ἄψυχον καὶ ἀκίνητον ἐξ ἑαυτοῦ, κινηθὲν δὲ καὶ σχηματισθὲν καὶ ψυχωθὲν ὑπὸ τοῦ νοῦ, μετέβαλεν εἰς τὸ τελειότατον ἔργον. τὸν δὲ κόσμον οἱ
D φάσκοντες ὡς ἔστιν ἀγένητος, λελήθασι τὸ ὠφελιμώτατον καὶ ἀναγκαιότατον τῶν εἰς εὐσέβειαν ἡκόντων ὑποτεμνόμενοι, τὴν πρόνοιαν. τοῦ μὲν γὰρ γεγονότος ἐπιμελεῖσθαι τὸν πατέρα καὶ ποιητὴν αἱρεῖ λόγος. καὶ γὰρ πατὴρ ἐκγόνων, καὶ δημιουργὸς τῶν δημιουργηθέντων στοχάζεται τῆς διαμονῆς· καὶ ὅσα μὲν ἐπιζήμια καὶ βλαβερὰ μηχανῇ πάσῃ διωθεῖται· ὅσα δ' ὠφέλιμα καὶ λυσιτελῆ, πάντα τρόπον ἐκπορίζειν
E ἐπιποθεῖ. πρὸς δὲ τὸ μὴ γεγονὸς, οἰκείωσις οὐδεμία τῷ μὴ πεποιηκότι. ἀτέκμαρτον δὲ δόγμα καὶ ἀνωφελὲς ἀναρχίαν ὡς ἐν πόλει κατασκευάζειν τῷδε τῷ κόσμῳ, τὸν ἔφορον, ἢ βραβευτὴν, ἢ δικαστὴν οὐκ ἔχοντι, ὑφ' οὗ τὰ πάντα οἰκονομεῖσθαι καὶ πρυτανεύεσθαι θέμις. ἀλλ' ὅ γε μέγας Μωσῆς ἀλλοτριώτατον τοῦ ὁρατοῦ νομίσας εἶναι τὸ ἀγένητον· πᾶν γὰρ τὸ αἰσθητὸν, ἐν γενέσει καὶ μεταβολαῖς, οὐδέποτε κατὰ

τὰ αὐτὰ ἐν τῷ μὲν ἀοράτῳ καὶ νοητῷ προσένειμεν ὡς ἀδελφὸν καὶ συγγενὲς ἀιδιότητα, τῷ δ' αἰσθητῷ γένεσιν τὸ οἰκεῖον ὄνομα ἐπεφήμισεν. ἐπεὶ οὖν ὁρατός τε καὶ αἰσθητὸς ὅδε ὁ κόσμος, ἀναγκαῖος ἂν εἴη καὶ γενητός. ὅθεν οὐκ ἀπὸ σκοποῦ καὶ τὴν γένεσιν ἀνέγραψεν αὐτοῦ, μάλα σεμνῶς θεολογήσας. ἓξ δὲ ἡμέραις δημιουργηθῆναί φησι τὸν κόσμον, οὐκ ἐπειδὴ προσεδεῖτο χρόνων μήκους ὁ ποιῶν· ἅμα γὰρ δρᾶν εἰκὸς θεόν, οὐ προστάττοντα μόνον, ἀλλὰ καὶ διανοούμενον· ἀλλ' ἐπειδὴ τοῖς γινομένοις ἔδει τάξεως· τάξει δ' ἀριθμὸς οἰκεῖον. ἀριθμῶν δὲ φύσεως νόμοις γεννητικώτατος ὁ ἕξ. τῶν τε γὰρ ἀπὸ μονάδος πρῶτος τέλειός ἐστιν, ἰσούμενος τοῖς ἑαυτοῦ μέρεσι, καὶ συμπληρούμενος ἐξ αὐτῶν· ἥμισυ μὲν τριάδος, τρίτον δὲ δυάδος, ἕκτον δὲ μονάδος, καὶ ὡς ἔπος εἰπεῖν, ἄρρην τε καὶ θῆλυς εἶναι πέφυκε, κἀκ τῆς ἑκατέρου δυνάμεως ἥρμοσται. ἄρρεν μὲν γὰρ ἐν τοῖς οὖσι τὸ περιττόν, τὸ δ' ἄρτιον θῆλυ· περιττῶν μὲν οὖν ἀριθμῶν ἀρχὴ τριάς, δυὰς δ' ἀρτίων· ἡ δ' ἐξ ἀμφοῖν δύναμις, ἑξάς. ἔδει γὰρ τὸν κόσμον τελειότατον μὲν ὄντα τῶν γεγονότων κατ' ἀριθμὸν τέλειον παγῆναι τὸν ἕξ· ἐν ἑαυτῷ δ' ἔχειν μέλλοντα τὰς ἐκ συνδυασμοῦ γενέσεις, πρὸς μικτὸν ἀριθμὸν τὸν πρῶτον ἀρτιοπέριττον τυπωθῆναι, περιέξοντα καὶ τὴν τοῦ σπείροντος ἄρρενος, καὶ τὴν τοῦ ὑποδεχομένου τὰς γονὰς θήλεος ἰδέαν· ἑκάστῃ δὲ τῶν ἡμερῶν ἀπένειμεν ἔνια τῶν τοῦ παντὸς τμημάτων, τὴν πρώτην ὑπεξελόμενος, ἣν αὐτὸς οὐδὲ πρώτην, ἵνα μὴ ταῖς ἄλλαις συγκαταριθμῆται, καλεῖ, μίαν δ' ὀνομάσας, εὐθυβόλως προσαγορεύει, τὴν μονάδος φύσιν καὶ πρόσρησιν ἐνιδὼν καὶ ἐπιφημίσας αὐτῇ. λεκτέον δὲ ὅσα οἷόν τέ ἐστι τῶν ἐμπεριεχομένων· ἐπειδὴ πάντα ἀμήχανον. περιέχει γὰρ τὸν νοητὸν κόσμον ἐξαίρετον, ὡς ὁ περὶ αὐτῆς λόγος μηνύει. προλαβὼν γὰρ ὁ θεὸς ἅτε θεός, ὅτι μίμημα καλὸν οὐκ ἄν ποτε γένοιτο καλοῦ δίχα παραδείγματος, οὐδέ τι τῶν αἰσθητῶν ἀνυπαίτιον, ὃ μὴ πρὸς ἀρχέτυπον καὶ νοητὴν ἰδέαν ἀπεικονίσθη, βουληθεὶς τὸν ὁρατὸν τουτονὶ κόσμον δημιουργῆσαι, προεξετύπου τὸν νοητόν, ἵνα χρώμενος ἀσωμάτῳ καὶ θεοειδεστάτῳ παραδείγματι, τὸν σωματικὸν ἀπεργάσηται, πρεσβυτέρου νεώτερον ἀπεικόνισμα, τοσαῦτα περιέξοντα αἰσθητὰ γένη,

sola prehensibili naturæ æternitatẽ tanquam germanam cognatámq; attribuit: de sensibili vero generationẽ tanquam propriũ vocabulum prædicat. quoniam igitur visibilis sensibilisque hic mundus est, factum esse consequitur necessario. quapropter non alienum fuit ab autoris proposito, generationem eius scripto prodere, idque admodum grauiter ac theologicè. sex autẽ diebus fabricatum ait mundum, non quod temporis spatio opus habuerit cõditor. Deum enim non iussu solum, verum & cogitatu operari creditur. sed quoniã opus erat res creari quodam ordine, ordini autem numerus est proprius, inter numeros vero lege naturæ aptissimus generationi est senarius. nam post vnitatem primus occurrit perfectus paribus constans partibus è quibus conficitur: è ternione scilicet sui dimidio, è binario parte tertia, & ex vnione parte sexta: qui (vt ita loquar) mascula simul ac fœminea natura præditus est, & compositus ex vtriusque viribus. masculus enim in rebus censetur impar numerus, sicut par fœmina. imparium autem principium ternio, parium binarius. ex amborum vero viribus constat senio. oportet enim mundum cum sit creaturarum omnium absolutissimus, iuxta perfectum numerum compingi, nempe senarium: & quia in seipso complexurus erat generationes è binaria copula, formari ad numerum mixtũ, cum qui primus pariter impar est, vt in se contineret tum proseminantis masculi, tum fœminæ genituram suscepturę speciem. singulis autem diebus attribuit aliquam vniuersi portionẽ, excepto primo die, quem ne nominat quidem primum, ne connumeretur cæteris: sed vnum nominans, apto vtitur vocabulo, considerata vnionis natura, appellationẽque eius hic conuenientissima. Differemus igitur quę his verbis continentur quantum fieri potest, quando impossibile est dici omnia. inest enim huic eximius ille mũdus intellectu solo conspicuus, sicut procedente sermone patebit in enarratione huius diei. Deus enim vbi pro sua deitate præuidit, imitamentum pulchrum non posse absque exẽplari pulchro existere, nec sensibile quicquam reprehensionis expers fore, quod non archetypo intelligibilis ideæ respondeat, postquam decreuit visibilem huncce mundum cõdere, prius formauit simulacrum eius intelligibile, vt ad exemplar incorporei Deóque simillimi, corporeum ab-

soluerct mundum recentiorem hunc antiquioris effigiem, totidē complexurum sensibilia genera, quot in illo intelligibilia. mundum autem illum qui ex ideis constat, nefas est loco vllo dicendo cogitandóve circumscribere: sciemus tamen quo pacto consistat, si considerauerimus aliquā rerum nostratiū similitudinem. quoties condenda est vrbs cura regis alicui⁹ aut imperatoris pro fortuna magnifici, præsto est quispiam peritus architectonicæ, qui contēplatus loci opportunitatē, primū intra seipsū partes futuræ vrbis propemodū omnes delineat, templa, gymnasia, curias, fora, portus, naualia, vias angiportúsque, mœniorū situm, & ędificiorū tam priuatorū quàm publicorum. deinde impressis velut in ceram in suum animū singularum rerū imaginibus, effingit vrbē intelligibilē: cuius effigiē innata retractans memoria, atque ita impressis sibi magis etiā simulacris, vt bonus artifex, ad semel propositū exemplar respiciēs, aggreditur designatam suam structurā è saxis & materie, repræsentans incorporeas illas ideas singulis operis partibus. eodem fermè modo de Deo sentiendum est, qui vbi decreuit ingentē hanc vrbem condere, prius formas eius concepit: ex quibus postquam intelligibilē mundū constituit, ad illius exēplar sensibilē hunc condidit. Quemadmodum igitur illa in architecto præsignata vrbs locum extra nullum habuit, tantum impressa artificis animo: eodem modo ne ille quidem ex ideis constans mundus alibi locū habere poterat, quàm in Dei verbo quod adornauit hæc omnia. quis enim alius possit esse locus virtutū Dei, idoneus ad concipiendas non dico omnes ideas, sed vel vnam quampiam earū simplicissimā? est autē virtus etiam mundi effectrix, à vero bono ceu à fonte oriūda. nam si quis vellet causam huius vniuersalis opificij perscrutari, non aberraret opinor à scopo si diceret quod quidam priscus sapiens: bonū esse patrem conditorémque, ideóq; suapte naturę bonitate non inuidisse substātię, nihil boni ex seipsa habenti, quæ tamen quiduis fieri poterat. erat enim ex seipsa expers omnis qualitatis, indigesta, inanimis, plena ruditate, confusione, atque discordia: sed capax alterationis mutationisq; in contrarium statū optimum, videlicet ordinem, qualitatē, animationem, similitudinem, identitatem, coaptationem atque consonantiam, cæteráque quæ ad potiorem ideam attinent.

A ὅπερ ἐν ἐκείνῳ νοητά. τὸν δὲ ἐκ τῶν ἰδεῶν συνεστῶτα κόσμον, ἐν τόπῳ τινὶ λέγειν ἢ ὑπονοεῖν, οὐ θεμιτόν. ᾗ δὲ ὑφέστηκεν εἰσόμεθα παρακολουθήσαντες εἰκόνι τινὶ τῶν παρ' ἡμῖν. ἐπειδὰν πόλις κτίζηται κατὰ πολλὴν φιλοτιμίαν βασιλέως, ἤ τινος ἡγεμόνος αὐτοκρατοῦς ἐξουσίας μεταποιουμένου, καὶ ἅμα τὸ φρόνημα λαμπροτέρου τὴν εὐτυχίαν συνεπικοσμοῦντος, παρελθὼν ἔστιν ὅτε τις τῶν ἀπὸ παιδείας ἀνὴρ ἀρχιτεκτονικὸς, καὶ τὴν εὐκαιρίαν τοῦ τόπου θεασάμενος, B διαγράφει πρῶτον ἐν ἑαυτῷ τὰ τῆς μελλούσης πόλεως ἀποτελεῖσθαι μέρη σχεδὸν ἅπαντα, ἱερά, γυμνάσια, πρυτανεῖα, ἀγοράς, λιμένας, νεωσοίκους, στενωπούς, τειχῶν κατασκευάς, ἱδρύσεις οἰκιῶν καὶ δημοσίων ἄλλων οἰκοδομημάτων· εἶθ' ὥσπερ ἐν κηρῷ τῇ ἑαυτοῦ ψυχῇ τοὺς ἑκάστων δεξάμενος τύπους, ἀγαλματοφορεῖ νοητὴν πόλιν, ἧς ἀνακινήσας τὰ εἴδωλα μνήμῃ τῇ συμφύτῳ, καὶ τοὺς χαρακτῆρας ἔτι μᾶλλον ἐνσφραγισάμενος, οἷα δημιουργὸς ἀγαθὸς, ἀποβλέπων εἰς C τὸ παράδειγμα, τὴν ἐκ λίθων καὶ ξύλων ἄρχεται κατασκευάζειν ὁμοίαν, ἑκάστῃ τῶν ἀσωμάτων ἰδεῶν τὰς σωματικὰς ἐξομοιῶν οὐσίας. τὰ παραπλήσια δὴ καὶ περὶ θεοῦ δοξαστέον, ὃς ἄρα τὴν μεγαλόπολιν κτίζειν διανοηθεὶς, ἐνενόησε πρότερον τοὺς τύπους αὐτῆς, ἐξ ὧν κόσμον νοητὸν συστησάμενος ἀποτελεῖ τὸν αἰσθητὸν, παραδείγματι χρώμενος ἐκείνῳ. καθάπερ οὖν ἡ ἐν τῷ ἀρχιτεκτονικῷ προδιατυπωθεῖσα πόλις, χώραν ἐκτὸς D οὐκ εἶχεν, ἀλλ' ἐνεσφράγιστο τῇ τοῦ τεχνίτου ψυχῇ, τὸν αὐτὸν τρόπον οὐδ' ὁ ἐκ τῶν ἰδεῶν κόσμος ἄλλον ἂν ἔχοι τόπον, ἢ τὸν θεῖον λόγον τὸν ταῦτα διακοσμήσαντα. ἐπεὶ τίς ἂν εἴη τῶν δυνάμεων αὐτοῦ τόπος ἕτερος, ὃς γένοιτ' ἂν ἱκανὸς, οὐ λέγω πάσας, ἀλλὰ μίαν ἄκρατον ἡντινοῦν δέξασθαί τε καὶ χωρῆσαι. δύναμις δὲ καὶ ἡ κοσμοποιητικὴ, πηγὴν ἔχουσα τὸ πρὸς ἀλήθειαν ἀγαθόν. εἰ γάρ τις ἐθελήσειε τὴν αἰτίαν ἧς ἕνεκα τόδε τὸ πᾶν ἐδημιουργεῖτο, διερευνᾶσθαι, δοκεῖ μοι μὴ διαμαρτεῖν τοῦ σκοποῦ φάμενος ὅπερ καὶ τῶν ἀρ- E χαίων εἶπέ τις, ἀγαθὸν εἶναι τὸν πατέρα καὶ ποιητήν, οὗ χάριν τῆς ἀρίστης αὐτοῦ φύσεως οὐκ ἐφθόνησεν οὐσίᾳ, μηδὲν ἐξ ἑαυτῆς ἐχούσῃ καλὸν, δυναμένῃ δὲ γίνεσθαι πάντα. ἦν μὲν γὰρ ἐξ ἑαυτῆς ἄτακτος, ἄποιος, ἄψυχος, ἑτεροιότητος, ἀναρμοστίας, ἀσυμφωνίας μεστή. τροπὴν δὲ καὶ μεταβολὴν ἐδέχετο τὴν εἰς τἀναντία καὶ τὰ βέλτιστα, τάξιν, ποιότητα, ἐμψυχίαν, ὁμοιότητα, ταυτότητα, τὸ εὐάρμοστον, τὸ σύμφωνον, πᾶν ὅσον τῆς κρείττονος ἰδέας. οὐδενὶ δὲ παρακλήτῳ· τίς γὰρ ἦν ἕτερος;

μόνῳ δὲ ἑαυτῷ χρησάμενος ὁ θεὸς, ἔγνω δεῖν εὐεργετεῖν ἀταμιεύτοις καὶ πλουσίαις χάρισι τὴν ἄνευ δωρεᾶς θείας φύσιν, οὐδενὸς ἀγαθοῦ δυναμένην ἐπιλαβέσθαι ἐξ αὐτῆς. ἀλλ' οὐ πρὸς τὸ μέγεθος εὐεργετεῖ τῶν αὐτοῦ χαρίτων. ἀπερίγραφοι γὰρ αὗταί γε καὶ ἀτελεύτητοι· πρὸς δὲ τὰς τῶν εὐεργετουμένων δυνάμεις. οὐ γὰρ ὡς πέφυκεν ὁ θεὸς εὖ ποιεῖν, οὕτω καὶ τὸ γινόμενον εὖ πάσχειν· ἐπεὶ τῷ μὲν αἱ δυνάμεις ὑπερβάλλουσι, τὸ δ' ἀσθενέστερον ὂν, ἢ ὥστε δέξασθαι τὸ μέγεθος αὐτῶν, ἀπεῖπεν ἂν, εἰ μὴ διεμετρήσατο σταθμησάμενος εὐαρμόστως τὸ ἑκάστῳ ἐπιβάλλον. εἰ δέ τις ἐθελήσειε γυμνοτέροις χρήσασθαι τοῖς ὀνόμασιν, οὐδὲν ἂν ἕτερον εἴποι τὸν νοητὸν εἶναι κόσμον, ἢ θεοῦ λόγον ἤδη κοσμοποιοῦντος. οὐδὲ γὰρ ἡ νοητὴ πόλις ἕτερόν τι ἐστὶν, ἢ ὁ τοῦ ἀρχιτέκτονος λογισμὸς ἤδη τὴν νοητὴν πόλιν κτίζειν διανοουμένου. Μωσέως γάρ ἐστι τὸ δόγμα τοῦτο, οὐκ ἐμόν. τὴν γοῦν ἀνθρώπου γένεσιν ἀναγράφων, ἐν τοῖς ἔπειτα ὁμολογεῖ διαρρήδην ὡς ἄρα κατ' εἰκόνα θεοῦ διετυπώθη. εἰ δὲ τὸ μέρος εἰκὼν εἰκόνος, δῆλον ὅτι καὶ τὸ ὅλον εἶδος ὁ σύμπας αἰσθητὸς οὑτοσὶ κόσμος. ὃ μεῖζόν ἐστι τῆς ἀνθρωπίνης μίμημα θείας εἰκόνος. δῆλον δ' ὅτι καὶ ἡ ἀρχέτυπος σφραγὶς, ὅν φαμεν εἶναι κόσμον νοητὸν, αὐτὸς ἂν εἴη τὸ ἀρχέτυπον παράδειγμα, ἰδέα τῶν ἰδεῶν, ὁ θεοῦ λόγος. Φησὶ δ' ὡς ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀρχὴν παραλαμβάνων οὐχ ὡς οἴονταί τινες, τὴν κατὰ χρόνον· χρόνος γὰρ οὐκ ἦν πρὸ κόσμου, ἀλλ' ἢ σὺν αὐτῷ γέγονεν, ἢ μετ' αὐτόν. ἐπεὶ γὰρ διάστημα τῆς τοῦ οὐρανοῦ κινήσεώς ἐστιν ὁ χρόνος, προτέρα δὲ τοῦ κινουμένου κίνησις οὐκ ἂν γένοιτο, ἀλλ' ἀναγκαῖον αὐτὴν ἢ ὕστερον, ἢ ἅμα συνίστασθαι· ἀναγκαῖον ἄρα τὸν χρόνον ἰσήλικα κόσμου γεγονέναι, ἢ νεώτερον ἐκείνου· πρεσβύτερον δὲ ἀποφαίνεσθαι τολμᾶν, ἀφιλόσοφον τῷ ὄντι. εἰ δὲ ἀρχὴ μὴ παραλαμβάνεται τανῦν ἡ κατὰ χρόνον, εἰκὸς ἂν εἴη μηνύεσθαι τὴν κατ' ἀριθμὸν, ὡς τὸ ἐν ἀρχῇ ἐποίησεν, ἴσον εἶναι τῷ πρῶτον ἐποίησε τὸν οὐρανόν. καὶ γὰρ εὔλογον τῷ ὄντι πρῶτον εἰς γένεσιν αὐτὸν ἐλθεῖν, ἄριστόν τε ὄντα τῶν γεγονότων, καὶ ἐκ τοῦ καθαρωτάτου τῆς οὐσίας παγέντα, διότι θεῶν ἀφανῶν τε καὶ αἰσθητῶν ἔμελλεν οἶκος ἔσεσθαι ἱερώτατος.

A Tum Deus nemine monente (quis enim erat alius?) suopte consilio decreuit diuitias gratiæ suæ copiose largiterq; profundere in naturam nullius bonæ rei per se capacem sine diuina munificentia. attamen non pro magnitudine gratiæ suæ beneficus est, nimirũ infinitæ ac incomprehensibilis: sed attemperat se ad vires eorum quos dignatur sua beneficentia. nec enim sicut Deus ad benefaciendum natura propensus est, ita creatura ad accipienda beneficia. illius enim potentia longe superat, at huius infirmitas impar B est eorum magnitudini, succumberétq; nisi Deus pro cuiusque portione moderaretur suam gratiam. quòd si cui libeat apertioribus vti vocabulis, nil aliud dixerit esse mundũ intelligibilẽ, quã verbum Dei iam mundum condentis. nec enim intelligibilis vrbs est aliud quid, quàm illa architecti ratiocinatio, cogitantis iam vrbem mente conceptã condere. Mosis enim est opinio hæc, non mea. ergo hominis generationẽ aggressus scribere, procedente sermone diserte C fatetur, formatum eum vtique ad Dei imaginem. quod si pars imago est imaginis, patet quod etiam tota hæc species, videlicet vniuersus hic mundus, qui magis quàm homo refert diuinã imaginẽ. liquet autẽ quod archetypum sigillum, quem dicimus esse mundũ intelligibilẽ, ipse sit archetypum illud exemplar, idea idearum, verbum Dei. narrat enim quomodo in principio fecit Deus cœlum & terram, principium vsurpans non D vt quidam putant, iuxta significationem temporis. tempus enim ante mundum non erat, sed aut vnà factum est, aut post eum. Cum enim tempus sit spatium motus cœli, fieri non potest, vt motus rem motam præcesserit: sed necesse est hunc aut pòst, aut simul existere. necessario igitur colligitur, tempus aut æquæuum esse mundo, aut recentius. affirmare autem illud esse antiquius, reuera alienum est à philosophia. quod si principium non accipitur nunc iuxta significatum temporis, conueniens fuerit id E significari iuxta numerum, vt hæ voces, IN PRINCIPIO FECIT, idem valeant quod PRIMVM fecit cælum. Est enim reuera consentaneum rationi, primum in generatione illud prouenisse, cum sit præstantissimum ex his quæ facta sunt, & è purissima constet essentia: quamobrem deorum tam non apparentium, quàm sensui patentium, destinatum est domicilium sacratissimum.

Nam si omnia simul & semel fecisset condita, minus ordinis fuisset in rebus tam pulchrè conditis. nec enim est quicquam pulchri in confuso ordine. Ordo vero est consequentia seriésque rerum præcedentium & sequentiũ, si non ipso opere, certe consiliis opificum, si modo caueatur vt ea certa inconfusáque sint. itaq; ante omnia conditor fecit in mundo intelligibili cælum incorporeum & terram inuisibilem, & aëris ideam & vacui. hunc vocauit tenebras, vtpote atrum naturaliter. vacuum vero abyssum. profundissimum enim est, & dehiscit patentissimè. deinceps fecit aquæ incorporeã essentiam, itémq; spiritus, denique postremam lucis septimam æquè incorpoream, & exẽplar solis intelligibile, omniúmque stellarũ quæ cælo lucem erant illaturæ, dignatus priuilegio lucẽ & spiritum. Hunc enim nominauit Dei, quia spiritus plurimũ ad vitam conferat, quæ ab autore Deo proficiscitur. lucem vero appellauit valde bonam: hæc enim intelligibilis visibili tanto est lucidior ac splendidior, vt existimo, quanto sol antecellit tenebras, dies noctem, quantóque mens totius animi imperatrix sensus quibus res discernimus, & oculi reliquas partes corporis. cæterum inuisibile illud & intelligibile diuinum verbum & Dei verbum, imaginem dicit Dei: & huius imaginem lucem illam intelligibilem, quæ facta est imago diuini verbi, suæ generationis interpretis: quę est supercælestis stella, fons stellarum sensibilium: quam non temere appellare possemus vniuersalem lucem, à qua sol, luna, cæteræq; stellæ tam fixæ, quàm erraticæ hauriunt singulæ pro viribus conuenientes sibi splendores sinceræ illius & puræ lucis, quæ obscuratur quàm primũ vergit ab intelligibili ad sensibilem. Sincerum enim nihil sensu percipitur. Rectè autem se habet illud quoque dictum, quod Tenebræ erant super abyssum. Aër enim quodammodo existit supra vacuum, quandoquidem omnem illam immensam regionem vacuã desertámque expleuit, quæ ad nos vsque à lunari orbe pertinet. cæterum postquam effulxit lux illa intelligibilis sole antiquior, cesserunt aduersę tenebrę, dispescente Deo dirimentéque, cui perspicuæ sunt contrarietates rerum, & natiua quædam certamina. ne igitur perpetuis laborarent seditionibus, néve bellum pulsa pace præualeret confuso in mundo ordine, non solum separauit lucem à te-

A καὶ γὰρ εἰ πάνθ' ἅμα ὁ ποιῶν ἐποίει, τάξιν οὐδὲν ἧττον εἶχε τὰ καλῶς γινόμενα. καλὸν γὰρ οὐδὲν ἐν ἀταξίᾳ. τάξις δ' ἀκολουθία καὶ εἱρμός· ἐστι προηγουμένων τινῶν καὶ ἑπομένων, εἰ καὶ μὴ τοῖς ἀποτελέσμασιν, ἀλλά τοι ταῖς τῶν τεκταινομένων ἐπινοίαις· οὕτως γὰρ ἔμελλεν ἠκριβῶσθαί τε καὶ ἀπλανὴς εἶναι καὶ ἀσύγχυτος. πρῶτον οὖν ὁ ποιῶν ἐποίει οὐρανὸν ἀσώματον, καὶ γῆν ἀόρατον, καὶ ἀέρος ἰδέαν καὶ κενοῦ· ὧν τὸ μὲν ἐφήμισε σκότος, ἐπειδὴ μέλας ὁ ἀὴρ τῇ φύσει· τὸ B δὲ ἄβυσσον· πολύβυθον γὰρ τό γε κενὸν καὶ ἀχανές· εἶθ' ὕδατος ἀσώματον οὐσίαν καὶ πνεύματος, καὶ ἐπὶ πᾶσιν ἑβδόμου φωτός, ὃ πάλιν ἀσώματον ἦν, καὶ νοητὸν ἡλίου παράδειγμα, καὶ πάντων ὅσα φωσφόρα ἄστρα κατὰ τὸν οὐρανὸν ἔμελλε συνίστασθαι· προνομίας δὲ τὸ πνεῦμα καὶ τὸ φῶς ἠξίου· τὸ μὲν γὰρ ὠνόμασε θεοῦ, διότι ζωτικώτατον τὸ πνεῦμα· ζωῆς δὲ θεὸς αἴτιος· τὸ δὲ φῶς, ὅτι ὑπερβαλλόντως καλόν. τοσούτῳ C γὰρ τὸ νοητὸν τοῦ ὁρατοῦ λαμπρότερόν τε καὶ αὐγοειδέστερον, ὅσῳ περ ἥλιος οἶμαι σκότους, καὶ ἡμέρα νυκτός, καὶ τῶν αἰσθητικῶν κριτηρίων ὁ νοῦς ὁ τῆς ὅλης ψυχῆς ἡγεμών, καὶ ὀφθαλμοὶ σώματος· τὸν δ' ἀόρατον καὶ νοητὸν θεῖον λόγον καὶ θεοῦ λόγον, εἰκόνα λέγει θεοῦ· καὶ ταύτης εἰκόνα τὸ νοητὸν φῶς ἐκεῖνο, ὃ θείου λόγου γέγονεν εἰκὼν τοῦ διερμηνεύσαντος τὴν γένεσιν αὐτοῦ. καὶ ἔστιν ὑπερουράνιος ἀστήρ, πηγὴ τῶν αἰσθητῶν ἀστέρων· ἣν οὐκ ἀπὸ σκοποῦ καλέσειεν ἄν τις D παναύγειαν, ἀφ' ἧς ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἄλλοι πλανῆταί τε καὶ ἀπλανεῖς, ἀρύονται καθ' ὅσον ἑκάστῳ δύναμις, τὰ πρέποντα φέγγη, τῆς ἀμιγοῦς καὶ καθαρᾶς ἐκείνης αὐγῆς ἀμαυρουμένης, ὅταν ἄρξηται τρέπεσθαι κατὰ τὴν ἐκ νοητοῦ πρὸς αἰσθητὸν μεταβολήν· εἰλικρινὲς γὰρ οὐδὲν τῶν ἐν αἰσθητῷ. εὖ μέντοι καὶ τὸ φάναι ὅτι σκότος ἦν ἐπάνω τῆς ἀβύσσου. τρόπον γάρ τινα ὁ ἀὴρ ὑπὲρ τὸ κενόν ἐστιν, ἐπειδὴ E πᾶσαν τὴν ἀχανῆ καὶ ἐρήμην καὶ κενὴν χώραν ἐπιβὰς ἐκπεπλήρωκεν, ὅση πρὸς ἡμᾶς ἀπὸ τῶν κατὰ σελήνην καθήκει. μετὰ δὲ τὴν τοῦ νοητοῦ φωτὸς ἀνάλαμψιν, ὃ πρὸ ἡλίου γέγονεν, ὑπεχώρει τὸ ἀντίπαλον σκότος, διατειχίζοντος ἀπ' ἀλλήλων αὐτὰ καὶ διιστάντος τοῦ θεοῦ, τοῦ τὰς ἐναντιότητας εὖ εἰδότος, καὶ τὴν ἐκ φύσεως αὐτῶν διαμάχην. ἵν' οὖν μὴ ἀεὶ συμφερόμενα στασιάζωσι, καὶ πόλεμος ἀντ' εἰρήνης ἐπικρατῇ, τὴν ἀκοσμίαν ἐν κόσμῳ τιθείς, οὐ μόνον ἐχώρισε φῶς καὶ σκό-

τος, ἀλλὰ καὶ ὅρους ἐν μέσοις ἔθηκε διαστήμασιν, οἷς
ἀνεῖρξε τῶν ἄκρων ἑκάτερον. ἔμελλε γὰρ γειτνιῶν-
τα σύγχυσιν ἀπεργάζεσθαι τῷ περὶ δυναστείας
ἀγῶνι, κατὰ πολλὴν καὶ ἄπαυστον φιλονεικίαν ἐπα-
ποδυόμενα, εἰ μὴ μέσοι παγέντες ὅροι διέλυσαν
τὴν ἀντεπίθεσιν· οὗτοι δέ εἰσιν ἑσπέρα τε καὶ
πρωΐα· ὧν ἡ μὲν προευαγγελίζεται μέλλοντα
ἥλιον ἀνίσχειν, ἠρέμα τὸ σκότος ἀνείργουσα· ἡ δὲ
ἑσπέρα καταδυομένῳ ἐπιγίνεται ἡλίῳ, τὴν ἀθρόαν
τοῦ σκότους φορὰν πράως ἐκδεχομένη. καὶ ταῦτα
μέντοι, πρωΐαν λέγω καὶ ἑσπέραν, ἐν τῇ τάξει
τῶν ἀσωμάτων καὶ νοητῶν θετέον· ὅλως γὰρ
οὐδὲν αἰσθητὸν ἐν τούτοις, ἀλλὰ πάντα ἰδέαι καὶ
μέτρα καὶ τύποι καὶ σφραγῖδες, εἰς γένεσιν ἄλλων
ἀσώματα σωμάτων. ἐπειδὴ δὲ φῶς μὲν ἐγένετο,
σκότος δὲ ὑπεξέστη καὶ ὑπεχώρησεν, ὅροι δὲ ἐν
τοῖς μεταξὺ διαστήμασιν ἐπάγησαν, ἑσπέρα τε
καὶ πρωΐα, κατὰ τὸ ἀναγκαῖον τοῦ χρόνου μέτρον,
ἀπετελεῖτο εὐθύς, ὃ καὶ ἡμέραν ὁ ποιῶν ἐκάλεσε.
καὶ ἡμέραν οὐχὶ πρώτην, ἀλλὰ μίαν, ἣ λέγε-
ται διὰ τὴν τοῦ νοητοῦ κόσμου μόνωσιν, μοναδικὴν
ἔχοντος φύσιν. ὁ μὲν οὖν ἀσώματος κόσμος ἤδη
πέρας εἶχεν, ἱδρυθεὶς ἐν τῷ θείῳ λόγῳ· ὁ δ᾽ αἰσθη-
τός, πρὸς παράδειγμα τούτου ἐτελειογονεῖτο. καὶ
πρῶτον αὐτοῦ τῶν μερῶν, ὃ δὴ καὶ πάντων ἄριστον,
ἐποίει τὸν οὐρανὸν ὁ δημιουργός, ὃν ἐτύμως στερέωμα
προσωνόμασεν, ἅτε σωματικὸν ὄντα. τὸ γὰρ σῶμα
φύσει στερεόν, ὅτι περ καὶ τριχῇ διαστατόν. στερεοῦ
δὲ καὶ σώματος ἔννοια τίς ἑτέρα, πλὴν τὸ πάντῃ
διεστηκός; εἰκότως οὖν ἀντιθεὶς τῷ νοητῷ καὶ
ἀσωμάτῳ τὸν αἰσθητὸν καὶ σωματοειδῆ, τοῦτον στε-
ρέωμα ἐκάλεσεν. εἶτ᾽ αὐτὸν εὐθέως οὐρανὸν εὐ-
θυβόλως καὶ πάνυ κυρίως προσεῖπεν· ἤτοι διότι
πάντων ὅρος, ἢ ὅτι πρῶτος τῶν ὁρατῶν ἐγένετο.
ὀνομάζει δὲ καὶ ἡμέραν μετὰ τὴν γένεσιν αὐτοῦ
δευτέραν, ὅλον ἡμέρας διάστημα καὶ μέτρον
ἀνατιθεὶς οὐρανῷ, διὰ τὴν ἐν αἰσθητοῖς ἀξίω-
σίν τε καὶ τιμήν. μετὰ δὲ ταῦτ᾽, ἐπειδὴ τὸ σύμ-
παν ὕδωρ εἰς ἅπασαν τὴν γῆν ἀνακέχυτο, καὶ
διὰ πάντων αὐτῆς ἐπεφοιτήκει τῶν μερῶν, οἷα
σπογγιᾶς ἀναπεπωκυίας ἰκμάδα, ὡς εἶναι
τέλμα καὶ βαθὺν πηλὸν ἀμφοτέρων τῶν στοι-
χείων ἀναδεδευμένων καὶ συγκεχυμένων τρό-
πον φυράματος εἰς μίαν ἀδιάκριτον καὶ ἄμορ-
φον φύσιν, προστάττει ὁ θεός, τὸ μὲν ὕδωρ ὅσον
ἁλμυρὸν καὶ ἀγονίας αἴτιον ἔμελλεν ἔσεσθαι
σπαρτοῖς καὶ δένδρεσιν, ἐπισυναχθῆναι συρ-
ρυὲν ἐκ τῶν τῆς ἁπάσης γῆς ἀραιωμάτων·

A nebris, verum & terminos in mediis
spatiis posuit, quibus vtrumque arcea-
tur ab extremitatibus alterius. Alioqui
propter vicinitatē inductura erant con-
fusionem contentionibus de principatu
mutuis, pertinaci ambitione luctam ap-
petentia, nisi præfixi in medio termini
ad pugnā gestientia dirimerent. hi sunt
vesper & mane, quorum alterum præ-
nunciat lætum aduentum solis orituri,
sensim tenebras submouens. vesper au-
tem occidentem solem subsequitur, in-
B gruentes tenebras leniter excipiens. at-
que hæc ipsa, mane inquam & vesper, in
ordine incorporearum intelligibiliúm-
que rerum ponenda sunt. nam nihil om-
nino sensibile est in his, sed omnia ideæ
mensuræque ac loci & sigilla incorpo-
rea, ad generationem aliarū rerum cor-
porearum. Facta autem luce & succe-
dentibus tenebris, fixísque in medio
terminis vespera ac mane, necessariò
temporis mēsura mox effecta est, quem
diem nominauit opifex, cúmque non
C primum, sed vnum: qui sic dicitur pro-
pter singularitatem intelligibilis mundi
habentis naturam vnitatis. Iámque per-
fectus erat mundus ille incorporeus, si-
tus in diuino verbo, cum sensibilis hic
ad exemplar alterius absoluebatur: &
ante alias eius partes, potissimā omnium
faciebat conditor, cælū videlicet, quod
apte firmamentū appellauit vt rem cor-
poreā. corpus enim naturaliter firmum
est solidúmq; tres dimensiones habens.
solidi autem & corporis, quæ potest esse
alia cogitatio, quàm quaqua versum di-
D mensio? Merito igitur supposito pro in-
corporeo sensibili hoc corporeóque fir-
mamentum id vocauit: quod mox οὐρανὸν
id est cælum, apte valdéque proprie ap-
pellauit: siue quia omnium ὅρος, id est ter-
minus, siue quia primum ὁρατὸν, id est vi-
sibilium factum sit. post cuius genera-
tionem nominat diem secundum, inte-
grum diei spacium mensurámq; ad cæ-
lum referens, ob eius inter sensibilia di-
gnitatem honorémque. Post hæc quo-
niam vniuersa aqua in totam terram dif-
E fusa erat, omnésque eius partes penetra-
uerat, quemadmodū spongia humorem
combibit, vt ceu palus quædam cœnosa
ex vtroque elemento macerato confun-
deretur, & quodammodo fermentare-
tur in vnam indiscretam informémque
naturam: iubet Deus quidquid aquarum
salsum erat ac proinde offecturum ferti-
litati satorum & arborum, collectum in
vnum confluere ex omnibus terræ fora-

minibus: tum aridam emergere, dulci humore in ea relicto ad eius perpetuitatem. humor enim hic moderatus pro glutine eſt iungendis partibus diſtantibus. quo fit etiam, ne omnino exſiccata terra infrugifera & ſterilis reddatur: vtque tanquam mater, non ſolum alterum alimenti genus, cibum, ſed vtrumque ceu natis ſuis cibum ac potum præbeat. quapropter venis mammarum ſimilibus exundauit, quæ per cauernas editæ fluuios fontéſque profunderent. nihilo ſecius tamen latentes quoque humores indidit omnibus aruis & latifundiis, ad fertilitatem fructuum copioſiſſimam. his ita diſpoſitis autor nomina impoſuit, aridæ terram, aquæ vero inde ſecretæ mare. atque ita ornare terram aggreſſus, iubet eam proferre herbas & ſpicas, omnigenáque olera producere, tum prata fœno virentia, & quicquid ceſſurum erat pecuariis in pabulum, aut in cibum hominibus. Eodem iuſſu & arborum ſpecies omnes ſunt editæ, nulla omiſſa vel mitium vel ſylueſtrium, eáque omnia fructibus ſuis abundabant in ipſo ſtatim ortu, ſecus quàm hodie. Nunc enim ſingula gignuntur ſuis vicibus, non ſimul omnia. Quis enim neſcit primam eſſe ſementem & plantationem, tum ſequi incrementa ſatorum plantarúmq; deorſum radices ceu fundamenta demittentium, ſurſum item altas ſtirpes attollentium. Deinde frondes foliáque germinant, poſtremo fructus profertur, ac ne is quidem perfectus, ſed varias ſubinde facies recipiens, & nunc formam mutans, nunc magnitudinem. Nam primo tam minutus eſt, vt penè viſum fugiat, ſimilis atomis corpuſculis, quæ non temere vocari poſſunt prima ſenſibilia. Poſt hæc paulatim accedente alimento quod rigat arborem, & afflatibus temperatis ac tepidis aurîſque mollibus nutricantibus augeſcit & ad iuſtam magnitudinem peruenit. cum qua etiam qualitates variat, ceu picturæ artificio iam his iam illis tinctus coloribus. At in prima huius vniuerſitatis generatione (vt dixi) Deus omnem ſtirpium ſyluam è terra produxit perfectam, fructibus non inchoatis, ſed maturis refertam, ſine dilatione inuitantem ad fruendum affutura mox animalia. Terra vero ad illius iuſſum tanquam dudum prægnans & parturiens, parit omnes ſatorum, arborum atque fructuum

A τὴν δὲ ξηρὰν ἀναφανῆναι, τῆς τοῦ γλυκέος νοτίδος ἐναπολειφθείσης εἰς διαμονήν. κόλλα γάρ τις ἐστὶν ἡ μεμετρημένη γλυκεῖα νοτὶς τῶν διεστηκότων. καὶ ὑπὲρ τοῦ μὴ παντάπασιν ἀπαυανθεῖσαν αὐτὴν ἄγονον καὶ στεῖραν γενέσθαι, καὶ ὅπως οἷα μήτηρ, μὴ μόνον θάτερον εἶδος τροφῆς βρῶσιν, ἀλλ' ἑκάτερον ὡς τοῖς ἐκγόνοις βρῶσίν τε καὶ πόσιν παρέχῃ, διὸ φλέβας μαστοῖς ἐοικυίας ἐπλημμύρει, αἳ στομωθεῖσαι, ποταμοὺς καὶ πηγὰς ἔμελλον ἀναχεῖν. οὐ-
B δὲν δὲ ἧττον τὰς ἀφανεῖς ἐν ἰκμάσι διαφύσεις εἰς ἅπασαν τὴν ἀρόσιμον καὶ βαθύγειον ἀπέτεινε πρὸς εὐφορίαν ἀφθονωτάτην καρπῶν. ταῦτα διαταξάμενος, ὀνόματα αὐτοῖς ἐπέθηκε, τὴν μὲν ξηρὰν καλῶν γῆν, τὸ δὲ ἀποκριθὲν ὕδωρ, θάλασσαν. εἶτα διακοσμεῖν ἄρχεται τὴν γῆν. κελεύει γὰρ αὐτὴν χλοηφορεῖν, καὶ σταχυοφορεῖν, παντοίας βοτάνας ἀνιεῖσαν, καὶ πεδία εὔχορτα, καὶ πάνθ' ὅσα χιλὸς μὲν κτήνεσιν, ἀνθρώποις δὲ ἔμελλεν ἔσεσθαι τροφή. προσέτι μέντοι καὶ τὰς δέν-
C δρων ἁπάσας ἰδέας ἀνέφυεν, οὐδὲν οὔτε τῆς ἀγρίας, οὔτε τῆς ἡμέρου λεγομένης ὕλης παρείς. ἐπεβρίθετο δὲ πάντα καρποῖς εὐθὺς ἅμα τῇ πρώτῃ γενέσει, κατὰ τὸ ἐναντίον ἔχοντα, ἢ τὸ νῦν καθεστῶτα. νυνὶ μὲν γὰρ ἐν μέρει γίνεται τὰ γινόμενα χρόνοις διαφέρουσιν, ἀλλ' οὐκ ἀθρόα καιρῷ ἑνί. τίς γὰρ οὐκ οἶδεν ὅτι πρότερον μὲν ἐστὶ σπορὰ καὶ φυτεία· δεύτερον δὲ, τῶν σπαρέντων καὶ φυτευθέντων αὔξησις· ἡ μὲν εἰς τὸ κάτω ῥίζας ἀποτείνουσα οἱονεὶ θεμελίους. ἡ δ' εἰς τὸ ἄνω, πρὸς ὕψος αἰρομένων καὶ στελεχουμένων· ἔπειτα
D βλαστοὶ καὶ πετάλων ἐκφύσεις· εἶτ' ἐπὶ πᾶσι καρποῦ φορά· καὶ πάλιν καρπὸς οὐ τέλειος, ἀλλ' ἔχων παντοίας μεταβολάς, κατά τε τὴν ἐν μεγέθει ποσότητα, καὶ τὰς ἐν πολυμόρφοις ἰδέαις ποιότητας. ἀποτίκτεται μὲν γὰρ ὁ καρπὸς, ἐοικὼς ἀμερέσι ψήγμασιν, ὑπὸ βραχύτητος μόλις ὁρατός, ἅπερ οὐκ ἀπὸ σκοποῦ φαίη τις εἶναι πρῶτα αἰσθητά. μετὰ δὲ ταῦτ', ἐκ τοῦ κατ' ὀλίγον, ἔκ τε τῆς ἐποχετευομένης τροφῆς, ἣ ἄρδει τὸ δένδρον, κἀκ τῆς εὐκρασίας τῶν
E πνευμάτων, ἃ ψυχραῖς ἅμα καὶ μαλακωτέραις αὔραις ζωπυρεῖται καὶ τιθηνεῖται καὶ συναύξεται), πρὸς ὄγκον ἐπιδιδοὺς τελειότατον. σὺν δὲ τῷ μεγέθει, καὶ τὰς ποιότητας ἀλλάττει, καθάπερ ὑπὸ γραφικῆς ἐπιστήμης χρώμασι διαφόροις ποικιλλόμενος. ἐν δὲ τῇ πρώτῃ γενέσει τῶν ὅλων, καθάπερ ἔφην, ὁ θεὸς ἅπασαν τὴν τῶν φυτῶν ὕλην ἐκ γῆς ἀνεδίδου τελείαν, καρποὺς ἔχουσαν οὐκ ἀτελεῖς, ἀλλ' ἀκμάζοντας, εἰς ἑτοιμοτάτην καὶ ἀνυπέρθετον χρῆσιν καὶ ἀπόλαυσιν ζῴων τῶν αὐτίκα γενησομένων. ὁ μὲν δὴ προστάττει τῇ γῇ ταῦτα γεννῆσαι· ἡ δ' ὥσπερ ἐκ

πολλοῦ κυοφοροῦσα καὶ ὠδίνουσα, τίκτει πάσας μὲν τὰς σπαρτῶν, πάσας δὲ τὰς δένδρων, ἔτι δὲ καρπῶν ἀμυθήτων ἰδέας. ἀλλ' οὐ μόνον ἦσαν οἱ καρποὶ τροφαὶ ζώοις, ἀλλὰ καὶ παρασκευαὶ πρὸς τὴν τῶν ὁμοίων ἀεὶ γένεσιν, τὰς σπερματικὰς οὐσίας περιέχουσαι, ἐν αἷς ἄδηλοι καὶ ἀφανεῖς οἱ λόγοι τῶν ὅλων εἰσί, δῆλοι καὶ φανεροὶ γινόμενοι καιρῶν περιόδοις. ἐβουλήθη γὰρ ὁ θεὸς δολιχεύειν τὴν φύσιν, ἀθανατίζων τὰ γένη, καὶ μεταδιδοὺς αὐτοῖς ἀιδιότητος. οὗ χάριν, καὶ τὴν ἀρχὴν πρὸς τὸ τέλος ἦγε καὶ ἐπέσπευδε, καὶ τέλος ἐπ' ἀρχὴν ἀνακάμπτειν ἐποίει. ἔκ τε γὰρ φυτῶν ὁ καρπός, ὡς ἂν ἐξ ἀρχῆς τὸ τέλος, καὶ ἐκ καρπῶν τὸ σπέρμα, περιέχοντος ἐν ἑαυτῷ πάλιν τὸ φυτόν, ὡς ἂν ἐκ τέλους ἀρχή. τῇ δὲ τετάρτῃ ἡμέρᾳ μετὰ τὴν γῆν τὸν οὐρανὸν ἐποίκιλλε διακοσμῶν, οὐκ ἐπειδὴ τοῦτον ἐν ὑστέρᾳ γῆς ἔταττε, τῇ μὲν ἐλάττονι φύσει προνομίας διδούς, τὴν δὲ κρείττονα καὶ θειοτέραν δευτερείων ἀξιῶν, ἀλλ' εἰς ἔνδειξιν ἐναργεστάτην κράτους ἀρχῆς· προλαβὼν γὰρ περὶ τῶν οὔπω γεγονότων ἀνθρώπων οἷοι τὰς γνώμας ἔσονται, στοχασταὶ τῶν εἰκότων καὶ πιθανῶν, ἐν οἷς τὸ πολὺ τὸ εὔλογον, ἀλλ' οὐχὶ τῆς ἀκραιφνοῦς ἀληθείας, καὶ ὅτι πιστεύουσι τοῖς φαινομένοις μᾶλλον ἢ θεῷ, σοφιστείαν πρὸ σοφίας θαυμάσαντες. κατιδόντες τε αὖθις τὰς ἡλίου καὶ σελήνης περιόδους, δι' ὧν θέρη, χειμῶνες, ἔαρος, μετοπώρου τροπαί, τῶν ἐκ γῆς ἀνὰ πᾶν ἔτος φυομένων καὶ γινομένων ἁπάντων αἰτίας ὑπολήψονται τὰς τῶν κατ' οὐρανὸν ἀστέρων περιπολήσεις, ἵνα μηδενὶ γενητῷ τὰς πρώτας ἀνατιθέναι τινὲς τολμῶσιν αἰτίας, ἢ διὰ θράσος ἀναίσχυντον, ἢ δι' ἀμαθίαν ὑπερβάλλουσαν, ἀναδραμέτωσαν, φησί, ταῖς διανοίαις ἐπὶ τὴν πρώτην τῶν ὅλων γένεσιν, ὅτι πρὸ ἡλίου καὶ σελήνης, παντοῖα μὲν φυτά, παντοίους δὲ καρποὺς ἤνεγκεν ἡ γῆ· καὶ θεασάμενοι ταῖς διανοίαις, ἐλπιζέτωσαν ὅτι καὶ αὖθις οἴσει, κατὰ πρόσταξιν τοῦ πατρός, ὅταν αὐτῷ δοκῇ μηδὲν προσδεηθεῖσα τῶν κατ' οὐρανὸν ἐκγόνων, οἷς δυνάμεις μὲν ἔδωκεν, οὐ μὴν αὐτοκρατεῖς· οἷα γὰρ ἡνίοχος ἡνιῶν ἢ κυβερνήτης οἰάκων ἐνειλημμένος, ἄγει ᾗ ἂν ἐθέλῃ κατὰ νόμον καὶ δίκην ἕκαστα, μηδενὸς προσδεόμενος ἄλλου· πάντα γὰρ θεῷ δυνατά. ἥδ' ἐστὶν αἰτία, δι' ἣν πρότερα μὲν ἐβλάστησε καὶ ἐχλοηφόρησεν ἡ γῆ, ὁ δ' οὐρανὸς διεκοσμεῖτο αὖθις ἐν ἀριθμῷ τελείῳ, τετράδι· ἣν δεκάδος τῆς παντελοῦς οὐκ ἂν διαμάρτοι τις εἰπεῖν λέγων ἀφορμήν τε καὶ πηγήν. ὃ γὰρ ἐντελεχείᾳ δεκάς, τοῦτο τετράς, ὡς

A inenarrabiles species. qui quidē fructus non solum in alimoniam facti sunt animantibus, verum etiam in hoc præparati, vt in perpetuum propagaretur similium generatio, quippe qui continebant vim seminariam, obscuris & incertis rationibus insitam, quæ se tandem proferret statis temporum circuitibus. Voluit enim Deus naturam certis horarum spatiis decurrere, consulens immortalitati specierum, & reddens eas æternitatis participes. Quapropter inchoata perduxit ad finem propere, rur-
B súmque à fine reflexit ad initium. è plantis enim fit fructus tanquam è principio finis: & è fructu semen, intra se denuo plantam continens, tanquam è fine principium. Quarto autem die cœlum picturis exornauit, non quòd terræ id posthaberet, dans inferiori naturæ priuilegium, potiorem vero ac diuiniorem secundo loco ponens, sed vt euidentissime imperij sui potentiam ostenderet. Quippe qui præuidens opinio-
C nes nondum creatorum hominum, coniecturas verisimiles & credibiles libenter sequentium, quæ multam quidem rationis speciem habent, non item synceram veritatem: & quod suis oculis magis credituri essent quàm Deo, admiratores sophisticæ potius quàm sapientię: quódque solis ac lunæ cursibus, tum æstiuis, hybernis, vernis autumnalibúsque mutationibus, annuorum terræ prouentuum omniúmque nascentium causas acceptum laturi essent siderum cælestium ambitibus: ne cui creaturæ
D ascribere primas causas auderent, siue per impudentiam siue per ignorantiam nimiam: recurrant, inquit, mentibus ad primam huius vniuersitatis generationem, meminerintque ante solem & lunam omnigenas stirpes, omnigenósque fructus è terra proditos. Atque ita sibi persuadeant, & in posterum eam prolaturam eos ex cœlestis patris arbitratu, quoties ei placuerit non expectato cœli fauore, cui dedit quidem potentiam, sed non liberam. Nam ipse quemadmodum
E auriga habenas, aut gubernator clauum tenens, dirigit quà vult recto more ac lege singula, nullius ope indigens. omnia enim Deo possibilia. Atque hæc est causa cur terra prior germinarit, & herbam protulerit: cœlum vero pòst sit ornatum in numero perfecto quaternario, quem denarij omnium absolutissimi causam fontémque non falso dicere licet. Quod enim actu est denarius, hoc quaternarius

potentia esse videtur. Si igitur ab vnitate vsque quaternionē deinceps componantur numeri, denarium conficient: qui est immensitatis numerorum terminus, ad quem ceu metam circumaguntur & se reflectunt. Quin & musicas symphoniarum rationes idem quaternio continet, videlicet diatessaron, diapente, diapason, disdiapason, è quibus concentus fit absolutissimus. Nam diatessaron proportionem habet supertertiam, diapente sesquialteram, diapason duplam. Eas proportiones omnes quaternio in se continet. supertertiam in quatuor ad tria. sesquialteram in tria ad duo, duplam in duo ad vnum, aut quatuor ad duo. Quadruplam vero in quatuor ad vnum. est & alia vis quaternarij, dictu cogitatúque miranda. Primus enim hic solidi naturam ostendit, cum præcedentes numeri incorporeis rebus dicati sint. Nam in vnitate censetur punctum quod vocant geometræ, in binario linea. Ea est longitudo sine latitudine. quæ vbi accessit, fit superficies, ad ternarium pertinens. Hæc quo minus sit corpus natura solidum, vna destituitur altitudine: qua iuncta ad ternarium, fit quaternarius. Vnde multum existimationis contigit huic numero qui ab incorporea intelligibilíque essentia duxit nos ad considerationē corporis trifariam patentis, quod suapte natura primum sensu percipitur. Id qui parum intelligit, è lusu quodam vulgato cognoscet. Qui nucibus ludunt, solent positis prius in plano tribus quartam super imponere, in formam pyramidis. Triangulus igitur ille in plano consistit intra ternarium: cui superimposita quaternarium in numero facit, in figura vero pyramidem, solidum iam corpus. Præterea nec illud ignorandum, quod primus numerorum quatuor, quadrangulus est pariter par, mensura ęquabilitatis ac iustitiæ: quódque solus ex eisdem & compositione & innata potentia consistit. Compositione ex duobus & duobus. Rursum potentia ex bis duo, pulcherrimam quandam consonantiæ speciem præ se ferens, quæ nulli inest ex aliis numeris, Mox enim senarius compositus è duobus ternariis, non amplius gignitur his per se multiplicatis sed alius, nempe nouenarius. Aliis quoque multis viribus præditus est quaternio, quæ accuratius & copiosius in proprio tractatu indicandæ sunt. Nunc illud addidisse sat erit,

A ἔοικε, δυνάμει. εἰ γοῦν οἱ ἀπὸ μονάδος ἄχρι τετράδος ἑξῆς συντεθεῖεν ἀριθμοί, δεκάδα γεννήσουσιν, ἥτις ὅρος τῆς ἀπειρίας τῶν ἀριθμῶν ἐστί, περὶ ὃν ὡς καμπτῆρα εἱλοῦνται καὶ ἀνακάμπτουσι. περιέχει δὴ ἡ τετρὰς καὶ τοὺς λόγους τῶν κατὰ μουσικὴν συμφωνιῶν, τῆς τε διὰ τεττάρων καὶ διὰ πέντε καὶ διὰ πασῶν, καὶ προσέτι δὶς διὰ πασῶν, ἐξ ὧν σύστημα τὸ τελειότατον ἀπογεννᾶται. τῆς μὲν γὰρ διὰ τεττάρων ὁ λόγος ἐπίτριτος· τῆς δὲ διὰ πέντε, ἡμιόλιος· διπλάσιος δὲ τῆς διὰ πασῶν. οὓς ἁπάντας ἡ τετρὰς
B ἔχει περιλαβοῦσα. τὸν μὲν ἐπίτριτον ἐν τῷ τέσσαρα πρὸς τρία· τὸν δὴ ἡμιόλιον ἐν τῷ τρία πρὸς δύο· τὸν δὲ διπλάσιον ἐν τῷ δύο πρὸς ἕν, ἢ τέσσαρα πρὸς δύο· τὸν δὲ τετραπλάσιον ἐν τῷ τέσσαρα πρὸς ἕν. ἔστι δὲ καὶ δύναμις ἄλλη τετράδος, λεχθῆναί τε καὶ νοηθῆναι θαυμασιωτάτη· πρώτη γὰρ αὕτη τὴν τοῦ στερεοῦ φύσιν ἔδειξε, τῶν πρὸ αὐτῆς ἀριθμῶν τοῖς ἀσωμάτοις ἀνακειμένων. κατὰ μὲν γὰρ τὸ ἓν τάττεται τὸ λε-
C γόμενον ἐν γεωμετρίᾳ εἶναι σημεῖον· κατὰ δὲ τὰ δύο, γραμμή· γραμμὴ δέ ἐστι μῆκος ἀπλατές. ἀπλάτους δὲ προσγινομένου, γίνεται ἐπιφάνεια, ἣ τέτακται κατὰ τριάδα. ἐπιφανεία δὲ πρὸς τὴν τοῦ στερεοῦ φύσιν, ἑνὸς δεῖται τοῦ βάθους· ὃ προστεθὲν τριάδι, γίνεται τετράς. ὅθεν καὶ μέγα χρῆμα συμβέβηκεν εἶναι τὸν ἀριθμὸν τοῦτον, ὃς ἐκ τῆς ἀσωμάτου καὶ νοητῆς οὐσίας ἤγαγεν ἡμᾶς εἰς ἔννοιαν τριχῆ διαστατοῦ σώματος, τῇ φύσει πρώτου αἰσθητοῦ. ὁ δὲ μὴ συνιεὶς τὸ λεγόμενον, ἔκ τινος παι-
D διᾶς εἴσεται πάνυ συνήθους. οἱ καρυατίζοντες εἰώθασι τρία ἐν ἐπιπέδῳ προθέντες κάρυα, ἐπιφέρειν ἕν, σχῆμα πυραμοειδὲς ἀπογεννῶντες. τὸ μὲν οὖν ἐν ἐπιπέδῳ τρίγωνον ἵσταται μέχρι τριάδος· τὸ δὲ ἐπιτεθὲν, τετράδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήματι πυραμίδα γεννᾷ, στερεὸν ἤδη σῶμα. πρὸς δὲ τούτοις, οὐδ᾽ ἐκεῖνο ἀγνοητέον, ὅτι πρῶτος ἀριθμῶν ὁ τέτταρα, τετράγωνός ἐστιν ἰσάκις ἴσος, μέτρον δικαιοσύνης καὶ ἰσότητος· καὶ ὅτι μόνος ἐκ τῶν
E αὐτῶν καὶ συνθέσει καὶ δυνάμει πέφυκε γεννᾶσθαι· συνθέσει μὲν, ἐκ δυοῖν καὶ δυοῖν· δυνάμει δὲ πάλιν, ἐκ τοῦ δὶς δύο, πάγκαλόν τι συμφωνίας εἶδος ἐπιδεικνύμενος, ὃ μηδενὶ τῶν ἄλλων ἀριθμῶν συμβέβηκεν. αὐτίκα γοῦν ὁ ἓξ συντιθέμενος ἐκ δυοῖν τριάδων, οὐκ ἔτι γεννᾶται πολυπλασιασθεισῶν, ἀλλ᾽ ἕτερος ὁ ἐννέα. πολλαῖς δὲ καὶ ἄλλαις κέχρηται δυνάμεσι τετράς, ἃς ἀκριβέστερον καὶ ἐν τῷ περὶ αὐτῆς ἰδίῳ λόγῳ προσυποδεικτέον. ἀπόχρη δὲ κἀκεῖνο προσθεῖναι,

ὅτι τῆς τοῦ παντὸς οὐρανοῦ τε καὶ κόσμου γενέσεως γέγονεν ἀρχή· τὰ γὰρ τέτταρα στοιχεῖα ἐξ ὧν τόδε τὸ πᾶν ἐδημιουργήθη, καθάπερ ἀπὸ πηγῆς, ἐρρύη τῆς ἐν ἀριθμοῖς τετράδος· καὶ πρὸς τούτοις, αἱ ἐτήσιαι ὧραι τέτταρες αἱ ζῴων καὶ φυτῶν αἴτιαι γενέσεως, τετραχῆ τοῦ ἐνιαυτοῦ διανεμηθέντος, εἰς χειμῶνα καὶ ἔαρ καὶ θέρος καὶ μετόπωρον. τοσαύτης οὖν ἀξιωθέντος ἐν τῇ φύσει προνομίας τοῦ λεχθέντος ἀριθμοῦ, κατ' ἀνάγκην ὁ ποιητὴς διεκόσμει τὸν οὐρανὸν, ἐν τετράδι, παγκάλῳ καὶ θεοειδεστάτῳ κόσμῳ, τοῖς φωσφόροις ἄστροις· εἰδώς τε ὅτι τῶν ὄντων ἄριστον φῶς ἐστιν, ὄργανον αὐτὸ τῆς ἀρίστης τῶν αἰσθήσεων ὁράσεως, ἀπέφαινεν. ὅπερ γὰρ νοῦς ἐν ψυχῇ, τοῦτ' ὀφθαλμὸς ἐν σώματι· βλέπει γὰρ ἑκάτερος· ὁ μὲν τὰ νοητά, ὁ δ' αὖ τὰ αἰσθητά· χρῄζει δ' ὁ μὲν νοῦς, ἐπιστήμης, εἰς τὸ γνωρίσαι τὰ ἀσώματα· ὀφθαλμοὶ δὲ, φωτός, εἰς τὴν τῶν σωμάτων ἀντίληψιν· ὃ πολλῶν μὲν καὶ ἄλλων ἀγαθῶν αἴτιον ἀνθρώποις, διαφερόντως δὲ τοῦ μεγίστου, φιλοσοφίας. ὑπὸ γὰρ φωτὸς ἄνω παραπεμφθεῖσα ἡ ὅρασις, καὶ κατιδοῦσα φύσιν ἀστέρων, καὶ κίνησιν αὐτῶν ἐναρμόνιον, ἀπλανῶν τε καὶ πλανήτων τὰς διατεταγμένας περιφοράς, τῶν μὲν κατὰ ταὐτὰ καὶ ὡσαύτως περιπολούντων, τῶν δ' ἀνομοίως τε καὶ ὑπεναντίως διτταῖς περιόδοις χρωμένων, χορείας τε πάντων ἐμμελεῖς, νόμοις τῆς μουσικῆς τελείας διακεκοσμημένας, ἄλεκτον ἐμπαρέχει τῇ ψυχῇ τέρψιν τε καὶ ἡδονήν. ἡ δ' ἑστιωμένη θεαμάτων ἐπαλλήλων· ἄλλα ἑτέρων γὰρ ἦν ἐπέκεινα· πολλὴν ἀπληστίαν εἶχε τοῦ θεωρεῖν. εἶθ', οἷα φιλεῖ, προσπεριειργάζετο, τίς ἡ τῶν ὁρατῶν δὲ τούτων οὐσία, καὶ εἰ ἀγένητοι πεφύκασιν, ἢ γενέσεως ἔλαβον ἀρχήν, καὶ τίς ὁ τρόπος τῆς κινήσεως, καὶ τίνες αἰτίαι δι' ὧν ἕκαστα οἰκονομεῖται. ἐκ δὲ τῆς τούτων συζητήσεως τὸ φιλοσοφίας συνέστη γένος, οὗ τελειότερον ἀγαθὸν οὐκ ἦλθεν εἰς τὸν ἀνθρώπινον βίον. πρὸς δὴ τὴν τοῦ νοητοῦ φωτὸς ἰδέαν ἐκείνην ἀπιδών, ἣ λέλεκται κατὰ τὸν ἀσώματον κόσμον, ἐδημιούργει τοὺς αἰσθητοὺς ἀστέρας, ἀγάλματα θεῖα καὶ περικαλλέστατα, οὓς ὥσπερ ἐν ἱερῷ καθαρωτάτῳ τῆς σωματικῆς οὐσίας ἵδρυε, τῷ οὐρανῷ, πολλῶν χάριν· ἑνὸς μὲν, τοῦ φωσφορεῖν· ἑτέρου δὲ, σημείων· εἶτα καιρῶν τῶν περὶ τὰς ἐτησίους ὥρας· καὶ ἐπὶ πᾶσιν, ἡμερῶν, μηνῶν, ἐνιαυτῶν, ἃ δὴ καὶ μέτρα γέγονε χρόνου, καὶ τὴν ἀριθμοῦ φύσιν ἐγέννησεν. οἵαν δ' ἕκαστον τῶν εἰρημένων χρείαν τε καὶ ὠφέλειαν παρέχεται, δῆλον μὲν ἐκ τῆς ἐνερ-

A cum totius cœli mundíque generationi dedisse initium. Nam quatuor elementa ex quibus vniuersum hoc conditũ est, tanquam à fonte manauerunt à numero quaternario: atque adeo hæc quatuor, quibus annus distinguitur, tempora, vnde animantes plantæque proueniũt, scilicet hiems, ver, æstas & autumnus. Cum igitur tot priuilegiis à natura honoratus sit modo dictus numerus, necessario cõditor rerum ornabat cælum, quarto die, adhibitis ornamentis pulcherrimis ac diuinissimis, hòc est stellis luciferis: &
B gnarus lucem esse omnium rerum præstantissimã, fecit eam instrumentũ visus, sensuum excellentissimi. Quod enim mens in animo est, id oculus in corpore. Videt enim vterque: altera intelligibiles res, alter sensibiles. Visus autem mentis in scientia ad noscenda incorporea, cæterum oculi in luce ad contemplationem corporum. quæ res & ad alia multa bona prodest hominibus, & in primis ad id quod maximum est, scilicet philoso-
C phiam. visus enim à luce subductus in superna, consideratáque natura stellarũ & motu earũ tam concinno, tum fixarũ ac erraticarũ statis circuitibus, dum illæ eodem semper modo circumferuntur, hæc vero dissimiliter & in contrarium duplici cursu vtuntur: ad hæc chorea vniuersarum modulata, & ad musicæ leges pulchre conueniente, ineffabilem delectationem voluptatémq; in animo excitat. atque ita inescatus aliis atque aliis spectaculis (nam vnum ex alio nas-
D citur) nullam contemplãdi satietatem consequitur. Post hæc, vt fieri solet, vlterius procedẽte curiositate scrutatur quęnam sit rerũ harum visibiliũ essentia: & vtrum generatę sint, an nullũ habuerint principiũ: quisve modus sit motus earũ, quęve causę quibus dispensantur singula. Ex huiusmodi vero disquisitionibus philosophia nata est, qua nullum perfectius bonum introiuit vitam hominum. Cęterum opifex respiciens ad intelligibilis lucis ideã, de qua dictum est in mẽ-
E tione mundi incorporei, condidit has sensibiles stellas, simulachra diuina & pulcherrima, quas tanquã in tẽplo inter corporeas essentias pulcherrimo collocãuit in cęlo multis de causis. Primum lucis inferendę, deinde signorum, tum temporũ quibus annus distinguitur, postremo dierum, mensium, annorum, quę sunt mensurę temporis, ex quibus nata est natura numeri. quem autem singula hęc vsum, quámve vtilitatem præbeant,

liquet ex eorum effectibus. Sed quo diligentius animaduertantur, non alienũ fortasse fuerit etiã differendo veritatẽ vestigare. Cum vniuersum tempus distributum sit in duas partes, diem & noctem, diei præfecit pater ille solem tanquã magnum regem: nocti vero lunam cum cęterarum stellarum multitudine. magnitudini autem virtutis ac potestatis solaris præclare attestantur quę modo dicta sunt. Vnus enim cum sit & solus, priuatim & peculiariter dimidium totius temporis sortitus est, scilicet diẽ: reliquæ vero omnes stellæ vnà cum luna alterum dimidium, quod vocatum est nox. & illo exorto tot stellæ quæ apparebant, non obscurantur solum, sed euanescunt etiam præ splendore diffuso. post occasũ vero eius, vno momento incipiunt ostentare suas species. Factæ sunt autem, vt ipse ait, non solum ad lucem emittendam in terras, sed etiam vt futura pręsignificent. aut enim exortu earum & occasu deliquióve, aut emersione occultationéve, aut aliis motuum differentiis, homines de futuris coniiciunt, & præsagiunt copiam inopiámve fructuum, prouentum vel pestem animantium, serenum & nubilum, tranquillitatem aëris & procellas ventorum, inundationes & exilitates fluminum, molliciem maris & tempestatem, horarum anni vices præposteras, dum aut æstas hybernat, aut hyems æstuat, aut ver autumnũ refert, aut contrà autumnus vernam temperiem. Nec desuerunt qui concussionem terræ motúmque ex cæli obseruatione prædicerent, aliáque multa euentu certissimo: ita vt verissime dictum sit, in signa esse factas stellas, atque etiam in tempora. tempora porrò de quatuor annuis vicibus horarum intelligenda sunt. Et quidni? tempus enim quod aliud esse potest, quàm tempus rei bene gerendæ? at horæ anni omnia perficiunt & ad bonum euentum perducunt, sationes, plantationes, genituras & incrementa animalium. Factæ sunt etiam stellæ ad mensuras temporum. nam solis lunæque & aliorum siderum recursus, dies & menses annósque conficiunt. móxque res vtilissima, numeri natura exstitit, tempore illam proferente. Ex vna enim die fit vnum, è duabus duo, è tribus tria, è mense triginta, ex anno tantus numerus, quantum dierum continetur duodecim mensibus: & ex infinito

A γαίας· πρὸς δ' ἀκριβεστέραν κατάληψιν, οὐκ
ἄτοπον ἴσως καὶ λόγῳ τἀληθὲς ἰχνηλατῆσαι.
τοῦ δὴ σύμπαντος χρόνου διανεμηθέντος εἰς δύο
τμήματα, ἡμέραν τε καὶ νύκτα, τῆς μὲν ἡ-
μέρας τὸ κράτος ὁ πατὴρ ἀνεδίδου ἡλίῳ, οἷα
μεγάλῳ βασιλεῖ· τῆς δὲ νυκτὸς, σελήνῃ καὶ τῷ
πλήθει τῶν ἄλλων ἀστέρων. τὸ δὲ μέγεθος τῆς
περὶ τὸν ἥλιον δυνάμεως καὶ ἀρχῆς, ἐμ-
φανεστάτην πίστιν ἔχει τὴν λεχθεῖσαν ἤδη. εἷς
B γὰρ ὢν καὶ μόνος, ἰδίᾳ καὶ καθ' αὑτὸν ἥμισυ τμῆ-
μα τοῦ σύμπαντος χρόνου κεκλήρωται, τὴν ἡ-
μέραν· οἱ δ' ἄλλοι πάντες μετὰ σελήνης, θά-
τερον, ὃ κέκληται νύξ. καὶ τοῦ μὲν ἀνατείλαντος,
αἱ φαντασίαι τῶν τοσούτων ἀστέρων οὐκ ἀμαυ-
ροῦνται μόνον, ἀλλὰ καὶ ἀφανίζονται τῇ τοῦ φέ-
γγους ἀναχύσει· καταδύντος δὲ, τὰς ἰδίας ἄρ-
χονται διαφαίνειν ἀθρόοι ποιότητας. γεγόνασι
δ' ὥσπερ αὐτὸς εἶπεν, οὐ μόνον ἵνα φῶς ἐκπέμ-
πωσιν ἐπὶ τὴν γῆν, ἀλλὰ καὶ ὅπως σημεῖα
C μελλόντων προφαίνωσιν. ἢ γὰρ ἀνατολαῖς αὐτῶν,
ἢ δύσεσι καὶ ἐκλείψεσιν, ἢ πάλιν ἐπιτολαῖς
καὶ ἐπικρύψεσιν, ἢ ταῖς ἄλλαις περὶ τὰς κινήσεις
διαφοραῖς ἄνθρωποι τὰ ἀποβησόμενα στοχά-
ζονται, καρπῶν φορὰς καὶ ἀφορίας, ζῴων γενέ-
σεις καὶ φθοράς, αἰθρίας καὶ νεφώσεις, νηνεμίας
καὶ βίας πνευμάτων, ποταμῶν πλημμύρας
καὶ κενώσεις, θαλάττης ἠρεμίαν καὶ κλύδωνα,
ὡρῶν τῶν ἐτησίων ὑπαλλαγάς, ἢ θέρους χει-
μάζοντος, ἢ χειμῶνος φλέγοντος, ἢ ἔαρος με-
D τοπωρίζοντος, ἢ μετοπώρου ἐαρίζοντος. ἤδη
δὲ καὶ κλόνον καὶ σεισμὸν γῆς, ἐκ τῶν κατ' οὐρα-
νὸν κινήσεων στοχασμῷ προεσήμηνάν τινες, καὶ
μυρία ἄλλα τῶν ἀληθεστέρων· ὡς ἀψευδέστατα
λελέχθαι, ὅτι εἰς σημεῖα γεγόνασιν οἱ ἀστέρες,
προσέτι μέντοι καὶ εἰς καιρούς. καιροὺς δὲ, τὰς
ἐτησίους ὥρας ὑπείληφεν εἶναι. καὶ μήποτε εἰκό-
τως; ἔννοια γὰρ καιροῦ τίς ἂν εἴη, πλὴν χρόνος
κατορθώσεως. αἱ δ' ὧραι, πάντα τελεσφοροῦσι
E καὶ κατορθοῦσι, σποράς, καὶ φυτείας καρπῶν,
καὶ ζῴων γενέσεις τε καὶ αὐξήσεις. γεγόνασι δὲ
καὶ πρὸς μέτρα χρόνων. ἡλίου γὰρ καὶ σελήνης
καὶ τῶν ἄλλων τεταγμέναις περιόδοις, ἡμέραι, καὶ
μῆνες, καὶ ἐνιαυτοὶ συνέστησαν· εὐθύς τε τὸ
χρησιμώτατον ἡ ἀριθμοῦ φύσις ἐδείχθη, χρό-
νου παραφήναντος αὐτήν. ἐκ γὰρ μιᾶς ἡμέρας,
τὸ ἕν· καὶ ἐκ δυοῖν, τὰ δύο· καὶ ἐκ τριῶν, τὰ τρία.
καὶ ἐκ μηνὸς, τὰ τριάκοντα· καὶ ἐξ ἐνιαυτοῦ, τὸ
ἰσάριθμον ταῖς ἐκ δώδεκα μηνῶν ἡμέραις πλῆ-
θος·

θησ· καὶ διὰ ἀπείρου χρόνου, ὁ ἄπειρος ἀριθμός. εἰς τοσαύτας καὶ οὕτως ἀναγκαίας διατείνουσιν ὠφελείας αἱ τῆς κατ' οὐρανὸν φύσεώς τε καὶ κινήσεως ἀστέρων. Εἰς πόσα δ' ἄλλα φαίην ἂν ἔγωγε τῶν ἡμῖν μὲν ἀδηλουμένων· οὐ γὰρ πάντα τῷ θνητῷ γένει γνώριμα· πρὸς δὲ τὴν τοῦ ὅλου συνεργούντων διαμονήν, ἃ θεσμοῖς καὶ νόμοις, οὓς ὥρισεν ὁ θεὸς ἀκινήτους ἐν τῷ παντί, συμβαίνει πάντη τε καὶ πάντως ἐπιτελεῖσθαι. Γῆς δὲ καὶ οὐρανοῦ διακοσμηθέντων τοῖς προσήκουσι κόσμοις, τῆς μὲν τριάδι, τοῦ δ', ὡς ἐλέχθη, τετράδι, τὰ θνητὰ γένη ζωοπλαστεῖν ἐνεχείρει, τὴν ἀρχὴν ἀπὸ τῶν ἐνύδρων ποιούμενος, ἡμέρᾳ πέμπτῃ, νομίσας οὐδὲν οὕτως ἕτερον ἑτέρῳ συγγενές, ὡς ζῴοις πεντάδα. διαφέρει γὰρ ἔμψυχα ἀψύχων οὐδενὶ μᾶλλον ἢ αἰσθήσει· πενταχῆ δὲ τέμνεται αἴσθησις, εἰς ὅρασιν, ἀκοήν, γεῦσιν, ὄσφρησιν, καὶ ἁφήν. ἑκάστῃ μέντοι προσένειμεν ὁ ποιῶν καὶ ἐξαιρέτους ὕλας, καὶ κριτήριον ἴδιον, ᾧ δικάσει τὰ ὑποπίπτοντα· χρώματα μὲν ὅρασις, φωνὰς δ' ἀκοή, χυλοὺς δὲ γεῦσις, ἀτμοὺς δὲ ὄσφρησις, μαλακότητας δὲ καὶ σκληρότητας, καὶ ὅσα θερμὰ καὶ ψυχρά, λειότητάς τε καὶ τραχύτητας ἁφή. παντοῖα οὖν ἰχθύων γένη καὶ κητῶν ἐκέλευσε συνίστασθαι κατὰ τόπους, διαφερόντων καὶ τοῖς μεγέθεσι, καὶ ταῖς ποιότησιν. ἄλλα γὰρ ἐν ἄλλοις πελάγεσιν, ἔστι δ' ὅτε καὶ ταυτά. πλὴν οὐ πανταχοῦ πάντα διεπλάττετο· καὶ μήποτε εἰκότως· χαίρει γὰρ τὰ μὲν τεναγώδει καὶ οὐ πάνυ βαθείᾳ θαλάττῃ, τὰ δ' ὑποδρόμοις καὶ λιμέσι, μήτ' ἐπὶ γῆν ἀνέρπειν, μήτε πόρρω γῆς ἐπινήχεσθαι δυνάμενα. τὰ δὲ κατὰ μέσον καὶ βαθὺ πέλαγος διαιτώμενα, τὰς προκεχυμένας ἄκρας, ἢ νήσους, ἢ πέτρας ἐκτρέπεται· καὶ τὰ μὲν εὐδίᾳ καὶ γαλήνῃ σφριγᾷ, τὰ δὲ κλύδωνι καὶ κυματώσει. ταῖς γὰρ συνεχέσι πληγαῖς γυμναζόμενα, καὶ βίᾳ τὴν φορὰν ἀνωθοῦντα, κραταιότερά ἐστι, καὶ πιαίνεται μᾶλλον. εὐθὺς δὲ καὶ τὰ γένη τῶν πτηνῶν ἐδημιούργει, ὡς ἀδελφὰ τῶν καθ' ὕδατος· ἑκάτερα γὰρ νηκτά· μηδεμίαν ἰδέαν τῶν ἀεροπόρων ὡς ἀτελῆ καταλιπών. ἤδη δ' ὕδατος καὶ ἀέρος τὰ προσήκοντα τῶν ζῴων γένη καθάπερ τινὰ κλῆρον οἰκεῖον ἀπειληφότων, πάλιν ἐκάλει τὴν γῆν, εἰς τὴν τοῦ ὑπολειφθέντος μέρους γένεσιν. ὑπελέλειπτο δὲ μετὰ τὰ φυτά, ζῴων τὰ χερσαῖα. καί φησιν, Ἐξαγαγέτω ἡ γῆ κτήνη καὶ θηρία καὶ ἑρπετὰ καθ' ἕκαστον γένος. ἡ δέ, τὸ προσταχθέν, αὐτίκα ἀνίησι τῇ τε κατασκευῇ διαφέροντα, καὶ ταῖς ῥώμαις, καὶ ταῖς ἐνυπαρχούσαις βλαπτικαῖς ἢ ὠφελητικαῖς δυνάμεσιν. ἐπὶ δὲ πᾶσιν ἐποίει τὸν ἄνθρωπον. ὃν δὲ τρόπον, μικρὸν ὕστερον ἐρῶ, πρότερον ἐκεῖνο δηλώσας,

A tempore infinitus numerus. Tantas & tam necessarias vtilitates afferunt naturę motúsque stellarum cælestium: ne quid dicam de rebus nobis incognitis (nec enim mortalibus nota sunt omnia) attamen ad perpetuitatem mundi conferentibus, quas legibus à Deo præfinitis haudquaquam violabilibus oportet semper & vbique administrari. Postquam autem terra & cælum suis ornamentis exculta sunt, altera tertio die, alterum (vt dictum est) quarto, mortalia genera

B animalium fingere aggressus est rerum opifex, exorsus ab aquatilibus die quinto, existimans nullam esse inter duo quæpiam tantam cognationem, quantam inter animalia & quinarium. Differunt enim animata ab inanimis non alia re magis quã sensu. is vero in quinq; diuiditur, in visum, auditum, gustum, odoratum & tactum: quorum singulis Deus attribuit certas materias, & instrumenta propria ad subiecta iudicanda: colores visui, voces auditui, sapores gustui, va-

C pores odoratui, tactui vero mollicies & duricies, tum quidquid calidum est & frigidum, leue & asperum. iussit igitur omnifaria piscium genera, cetorúmque suis locis existere, tum quantitate tum qualitate inter se differentia. Sunt enim in alio mari alia, interdum etiam eadem. Nec tamen vbiq; omnia fingebantur, & fortasse merito. quædam enim amant palustre ac vadosum mare, quędam cloacas & portus, quæ nec in terram prorepere, nec longè à terra natare valent.

D quædam in alto mari degentia, vitant promontoria in id procurrentia & insulas & scopulos. & alia serenitate tranquillitatéque delectantur, alia fluctibus & tempestate. Nam continuis iactationibus exercita, & vi contra impetum reluctantia, firmiora euadunt, pinguescúntque amplius. mox autem etiam genera volucrium creauit, tanquam germana aquatiliũ. Vtraque enim natatilia: nec vlla species per aërẽ meantiũ, vt im-

E perfecta omissa est. Iámque aqua & aëre conuenientiũ sibi animantium ceu sortẽ adeptis, rursum prouocatur terra ad generationis partem reliquam. reliqua autem erãt post stirpes animalia terrestria, & dixit: Producat terra pecudes & feras & reptilia in suo quæq; genere.] Illa vero continuo emisit quæcunque iussa est, eáq; ornata eximie, tum robore, tũ innatis nocendi iuuandíve viribus. Vltimus autem omnium homo creatus est. modum vero creationis eius paulo post dicam, vbi prius ostendero pulcherrimã

consequentiam in creationis animaliũ ordine. anima enim inertissima & rudissima generi piscium obuenit : absolutissima autem & longe optima generi hominum : cæterum inter vtrasque media generi terrestrium ac volucrium. Hæc enim acutiores sensus habet, quàm illa piscibus indita, hebetiores tamen quàm humana. ideóque primi creati sunt pisces, corporeæ plus quàm animalis essentiæ participes, quodam modo animalia & non animalia, mobilia inanima, ad solam corporis conseruationem vi animali eis addita, sicut vulgo salem inspergunt carnibus, ne facile putrefiant, post pisces vero secuta sunt volucria & terrestria, videlicet acrioribus iam sensibus prædita, & animales proprietates habitu ipso præ se ferentia. postremus (vt dixi) homo creatus est. cui conditor mentem eximiam donauit, quæ sit ceu animæ anima, quemadmodum pupilla in oculo. nã hanc quoque scrutatores naturæ dicunt esse oculi oculum. tum igitur omnia simul sunt condita. in quo quidem vniuersali opificio necesse erat seruari ordinem, propter futuram generationem aliarum rerum ex alijs. in his autem quæ successiue generantur, ordo hic est, vt natura incipiens à vilissimis, desinat in præstantissima omnium. id vero quid sit, dicendum apertius. semen genitale est principium animalium. hoc esse vilissimum videmus, spumæ simile, cæterum vbi in vuluam iniectum hæserit, motus mox particeps, in vesicam quandam mutatur. ea semine est melior, & quoniam motus placidus inest fœtibus tanquam artifex, vel vt magis proprie dicam, irreprehensibilis ars, fingit animal ex humida essentia, in corporis mẽbra partésque eam distribuens: sicut spiritualem essentiã in virtutes animæ, nutritiuam & sensitiuam. nam de rationali nunc supersedendum est dicere, propter eos qui aiunt eam externe aduenire diuinam sempiternámque. atque ita generatio quam natura cœpit à vili semine, in res præstantissimas desiit, animal & hominẽ. idẽ hoc & in vniuersi huius creatione contigit. quando enim res effingere placuit opifici, in ordine primi fuerunt, qui & vilissimi, pisces: postremi vero, qui & optimi, homines. reliqua vero inter extremitates media, potiora prioribus, deteriora posterioribus, terrestria & volucria. Cæterum post alia omnia (vt dixi) hominẽ ait iuxta imaginẽ factũ & similitudinẽ, valde pulchre.

A ὅτι παγκάλως τῷ τῆς ἀκολουθίας εἱρμῷ κέχρηται, καθ᾽ ἣν ὑφηγήσατο ζῳογονίαν. ψυχῆς γὰρ ἡ μὲν ἀργοτάτη καὶ ἥκιστα τετυπωμένη, τῷ γένει τῶν ἰχθύων προσκεκλήρωται· ἡ δ᾽ ἀκριβεστάτη καὶ κατὰ πάντα ἀρίστη, τῷ τῶν ἀνθρώπων· ἡ δ᾽ ἀμφοῖν μεθόριος, τῷ τῶν χερσαίων καὶ ἀεροπόρων. αὕτη γὰρ αἰσθητικωτέρα μέν ἐστι τῆς ἐν ἰχθύσιν, ἀμυδροτέρα δὲ τῆς ἐν ἀνθρώποις. διὸ τῶν ἐμψύχων πρώτους ἐγέννησεν ἰχθῦς, πλέον μετέχοντας σωματικῆς ἢ ψυχικῆς οὐσίας, τρόπον
B τινὰ ζῷα, καὶ οὐ ζῷα, κινητὰ ἄψυχα, πρὸς αὐτὸ μόνον τὴν τῶν σωμάτων διαμονὴν παρασπαρέντος αὐτοῖς τοῦ ψυχοειδοῦς, καθάπερ φασὶ τοὺς ἅλας τοῖς κρέασιν, ἵνα μὴ ῥᾳδίως φθείροιντο. μετὰ δὲ τοὺς ἰχθῦς, τὰ πτηνὰ καὶ χερσαῖα. ἤδη γὰρ ταῦτά γε αἰσθητικώτερα, καὶ διὰ τῆς κατασκευῆς ἐμφαίνοντα τὰς τῆς ψυχώσεως ἰδιότητας. ἐπὶ δὲ πᾶσιν, ὡς ἐλέχθη, τὸν ἄνθρωπον, ᾧ νοῦν ἐξαίρετον ἐδωρεῖτο, ψυχὴν τινα ψυχῆς, καθάπερ κόρην ἐν ὀφθαλμῷ. καὶ γὰρ ταύτην οἱ τὰς φύσεις τῶν πραγμάτων ἀκριβέστερον ἐρευ-
C νῶντες, ὀφθαλμοῦ λέγουσιν ὀφθαλμὸν εἶναι. τότε μὲν οὖν ἅμα πάντα συνίστατο. συνισταμένων δ᾽ ὁμοῦ πάντων, ἡ τάξις ἀναγκαίως λόγῳ ὑπεγράφετο, διὰ τὴν ἐσομένην αὖθις ἐξ ἀλλήλων γένεσιν. ἐν δὲ τοῖς κατὰ μέρος γινομένοις, τάξις ἥδε γ᾽ ἐστὶν, ἄρχεσθαι μὲν ἀπὸ τοῦ φαυλοτάτου τὴν φύσιν, λήγειν δ᾽ εἰς τὸ πάντων ἄριστον. τί δὲ τοῦτ᾽ ἐστὶ, δηλωτέον. τὸ σπέρμα τῆς τῶν ζῴων γενέσεως ἀρχὴν εἶναι συμβέβηκε. τοῦθ᾽ ὡς ἔστι φαυλότατον, ἐοικὸς ἀφρῷ θεωρεῖται· ἀλλ᾽ ὅταν εἰς τὴν μήτραν καταβληθὲν ἐνστηρείσῃ, κίνησιν
D εὐθὺς λαβὸν, εἰς φύσιν τρέπεται. φύσις δὲ βελτίων σπέρματος· ἐπεὶ καὶ κίνησις ἠρεμίας ἐν γενητοῖς. ἡ δ᾽ οἷα τεχνίτης, ἢ κυριώτερον εἰπεῖν, ἀνεπίληπτος τέχνη, ζῳοπλαστεῖ, τὴν μὲν ὑγρὰν οὐσίαν, εἰς τὰ τοῦ σώματος μέλη καὶ μέρη διανέμουσα· τὴν δὲ πνευματικὴν, εἰς τὰς τῆς ψυχῆς δυνάμεις, τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν. τὴν γὰρ τοῦ λογισμοῦ τανῦν ὑπερθετέον, διὰ τοὺς φάσκοντας θύραθεν αὐτὸν ἐπεισιέναι, θεῖον καὶ ἀΐδιον ὄντα. οὐκοῦν ἤρξατο μὲν ἀπὸ σπέρματος εὐτελοῦς ἡ φύσις· ἔληξε δ᾽ εἰς τὸ
E τιμιώτατον τὴν τοῦ ζῴου καὶ ἀνθρώπου κατασκευήν. ταυτὸ δὴ τοῦτο καὶ ἐπὶ τῆς τοῦ παντὸς γενέσεως συμβέβηκεν· ἡνίκα γὰρ διαπλάττειν ἔδοξε τῷ δημιουργῷ, τὰ μὲν πρῶτα τῇ τάξει, φαυλότερά πως ἦν, ἰχθύες· τὰ δ᾽ ὕστατα, ἄριστα, ἄνθρωποι· τὰ δ᾽ ἄλλα μέσα τῶν ἄκρων, ἀμείνω μὲν τῶν προτέρων, χείρω δὲ τῶν ὑστέρων, χερσαῖα καὶ πτηνά. μετὰ δὴ τἆλλα πάντα, καθάπερ ἐλέχθη, τὸν ἄνθρωπόν φησι κατ᾽ εἰκόνα γενέσθαι καὶ καθ᾽ ὁμοίωσιν, πάνυ καλῶς·

ἐμφερέστερον γὰρ οὐδὲν γηγενὲς ἀνθρώπου θεῷ. τὴν δ' ἐμφέρειαν μηδεὶς εἰκαζέτω σώματος χαρακτῆρι. οὔτε γὰρ ἀνθρωπόμορφος ὁ θεὸς, οὔτε θεοειδὲς τὸ ἀνθρώπινον σῶμα. ἡ δὲ εἰκὼν λέλεκται κατὰ τὸν τῆς ψυχῆς ἡγεμόνα νοῦν. πρὸς γὰρ ἕνα τὸν τῶν ὅλων ἐκεῖνον, ὡς ἂν ἀρχέτυπον, ὁ ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἀπεικονίσθη, τρόπον τινὰ θεὸς ὢν τοῦ φέροντος καὶ ἀγαλματοφοροῦντος αὐτόν. ὃν γὰρ ἔχει λόγον ὁ μέγας ἡγεμὼν ἐν ἅπαντι τῷ κόσμῳ, τοῦτον ὡς ἔοικε καὶ ὁ ἀνθρώπινος νοῦς ἐν ἀνθρώπῳ. ἀόρατός τε γάρ ἐστιν, αὐτὸς πάντα ὁρῶν, καὶ ἄδηλον ἔχει τὴν οὐσίαν, τὰς τῶν ἄλλων καταλαμβανόμενος, καὶ τέχναις καὶ ἐπιστήμαις πολυσχιδεῖς ἀνατέμνων ὁδοὺς λεωφόρους ἁπάσας, διὰ γῆς ἔρχεται καὶ θαλάττης, τὰ ἐν ἑκατέρᾳ φύσει διερευνώμενος. καὶ πάλιν πτηνὸς ἀρθεὶς, καὶ τὸν ἀέρα καὶ τὰ τούτου παθήματα κατασκεψάμενος, ἀνωτέρω φέρεται πρὸς αἰθέρα, καὶ τὰς οὐρανίους περιόδους πλανήτων τε καὶ ἀπλανῶν χορείαις συμπεριπολήσας κατὰ τοὺς μουσικῆς τελείους νόμους, ἑπόμενος ἔρωτι σοφίας ποδηγετοῦντι, πᾶσαν τὴν αἰσθητὴν οὐσίαν ὑπερκύψας, ἐνταῦθα ἐφίεται τῆς νοητῆς, καὶ ὧν εἶδεν ἐνταῦθα αἰσθητῶν, ἐν ἐκείνῃ παραδείγματα καὶ τὰς ἰδέας θεασάμενος, ὑπερβάλλοντα κάλλη, μέθῃ νηφαλίῳ κατασχεθεὶς, ὥσπερ οἱ κορυβαντιῶντες ἐνθουσιᾷ, ἑτέρου γεμισθεὶς ἱμέρου καὶ πόθου βελτίονος, ὑφ' οὗ πρὸς τὴν ἄκραν ἁψῖδα παραπεμφθεὶς τῶν νοητῶν, ἐπ' αὐτὸν ἰέναι δοκεῖ τὸν μέγαν βασιλέα. γλιχομένου δὲ ἰδεῖν, θείου φωτὸς ἄκρατοι καὶ ἀμιγεῖς αὐγαὶ χειμάρρου τρόπον ἐκχέονται, ὡς ταῖς μαρμαρυγαῖς τὸ τῆς διανοίας ὄμμα σκοτοδινιᾶν. ἐπεὶ δ' οὐ σύμπασα εἰκὼν ἀρχετύπῳ παραδείγματι ἐμφερὴς, πολλαὶ δ' εἰσὶν ἀνόμοιοι, προσεπεσημήνατ' εἰπὼν, τῷ κατ' εἰκόνα, τὸ καθ' ὁμοίωσιν, εἰς ἔμφασιν ἀκριβοῦς ἐκμαγείου τρανὸν τύπον ἔχοντος. ἀπορήσειε δ' ἄν τις οὐκ ἀπὸ σκοποῦ, τί δήποτε τὴν ἀνθρώπου μόνου γένεσιν, οὐχ ἑνὶ δημιουργῷ καθάπερ τἆλλα ἀνέθηκεν, ἀλλ' ὡσανεὶ πλείοσιν. εἰσάγει γὰρ τὸν πατέρα τῶν ὅλων ταυτὶ λέγοντα, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. μὴ γὰρ χρεῖός ἐστιν, εἴποιμ' ἂν, οὑτινοσοῦν, ᾧ πάντα ὑπήκοα; ἢ τὸν μὲν οὐρανὸν ἡνίκα ἐποίει καὶ τὴν γῆν καὶ τὴν θάλατταν, οὐδενὸς ἐδεήθη τοῦ συνεργήσοντος, ἄνθρωπον δὲ βραχὺ ζῷον οὕτω καὶ ἐπίκηρον, οὐχ οἷός τε ἦν δίχα συμπράξεως ἑτέρων, αὐτὸς ὑφ' ἑαυτοῦ κατασκευάσασθαι; τὴν μὲν οὖν ἀληθεστάτην αἰτίαν, θεὸν ἀνάγκη μόνον εἰδέναι.

A nihil enim è terra genitum Deo similius
quàm homo. hanc porrò similitudinem
nemo æstimet figura corporis. nam neque
Deus humana forma est conspicuus,
neque humanum corpus refert
Dei speciem. sed dicitur imago iuxta
mentem rectricē animæ. ad illud enim
singulare ceu archetypum, in vno quoque
mens effigiata est, quodammodo
Deus eius qui ipsam circumfert vt statuam.
sicut enim se habet magnus ille
B imperator ad vniuersum mundum, ita
se habere videtur humana mens ad hominem.
inuisibilis enim est, videns ipsa
omnes res: & ignotam habet essentiam
suam, cum alienas intelligat: & instructa
artibus, scientiisque multifarijs,
aperit sibi vias omnes terra marique,
vtrumque elemētum perscrutans. móxque
sublimis euolans, & aërem eiúsque
mutationes contemplata, profert se ad
summum æthera: vagatáque circa stellarum
tum fixarum tum erraticarum
C cursus ac choreas iuxta musicæ præcepta
absolutissimas, trahitur amore sapientiæ
se deducentis: atque ita emergens
supra omnem sensibilem essentiam, demum
intelligibilis desiderio corripitur.
illic conspicata exemplaria ideásque rerum
quas hic vidit sensibilium, eximias
illas pulchritudines, ebrietate quadam
sobria capta, tanquam corybantes lymphatur,
alio plena amore longe meliore,
à quo ad summum fastigium adducta
rerum intelligibilium, ad ipsum magnum
regem videtur tendere. tum vero
D in videndi cupidam purissimus ac merissimus
diuinæ lucis radius more torrentis
effunditur, ita vt ad eum splendorem
calliget mentis oculus. Sed quoniam
non quæuis imago refert exemplar
archetypum, súntque multæ dissimiles,
post hæc verba IVXTA IMAGINEM,
additum est significantius
ET SIMILITVDINEM, vt intelligatur
exactum sigillum, formam habens
euidentissimam. introducit enim
E propheta patrem huius vniuersitatis dicentem
hæc: Faciamus hominem iuxta
imaginem nostram & iuxta similitudinem.)
Dicat aliquis: nunquid
opus est quopiam ei, cui obediunt
omnia? an cum cælum faceret, terram
& maria, nullo egebat cooperatore:
hominem vero tam paruum animal
ac fragile facturus, non poterat absque
alieno adiutorio suismet ipse viribus
effingere? Huius rei causam verissimam
necesse est Deum solum scire:

cæterum quæ per coniecturas credibiles videtur rationi consentanea, non est cælanda. est autem hæc. Rerum quæ sunt in natura, aliæ nec virtutis participes censentur nec vitij, vt stirpes & bruta: illæ quia inanimæ, & suapte natura imaginationis expertes: hæc quia carent mente ac ratione. vitij vero ac virtutis tanquam domicilium videtur mens & ratio, in quibus commode inhabitent. aliæ item sola virtute præditæ, nihil omnino habent vitij, vt stellæ. nam hæ animalia esse dicuntur, & quidem intelligentia: vel potius mentes singulares, totæ quantæ probæ, nec vllius capaces vitij. rursum aliæ mixtæ ex vtraque natura, vt homo, qui contrariorum est capax, prudentiæ & imprudentiæ, temperantię & incontinentiæ, fortitudinis & timiditatis, iustitiæ & iniustitiæ: & vt compendio dicam, boni & mali, turpis & honesti, virtutis & vitij. ergo conueniebat vt vniuersalis ille pater Deus bona quidem per seipsum solum faceret, quippe sibi cognata: sicut nec indifferentium creatio fuit aliena ab eo, quandoquidem hæc quoque expertia sunt vitij Deo inimici. cæterum mixtorum creatio, partim erat ei propria, partim impropria. propria propter admixtam eis meliorem ideam: impropria vero, propter contrariam & deteriorem. quamobrem de sola hominis generatione scriptum est: Dixit Deus, Faciamus hominem: quod indicat assumptos alios tanquam cooperatores: vt irreprehensibiles tam voluntates quàm actiones hominis recte se gerentis acceptum ferantur Deo rectori omnium: contrariæ vero aliis ipsi subditis. oportebat enim patrem non esse causam malorum suis filiis. malum autem est vitium, vitiosæque actiones. Pulchre autem cum dixisset in genere hominem, mox discreuit species, dicens Marem & fœminã conditos, licet nondum sua cuique forma contigerat, quandoquidem extremæ species continentur in genere, & tanquam in speculo apparent cernentibus acutius. Quærat hic aliquis causam, cur vltimum operum sit homo in mundi creatione. nam post omnia alia eum conditor ac pater fecit, vt docent sacræ literæ. Qui legẽ rimantur profundius, eámque quàm maxime fieri potest excutiũt summa diligentia, dicunt quod postquam Deus hominẽ in suam cognationem admisit, ratione donatũ dono longe optimo, ne cętera quidem ei inuidit:

A τὴν δ' εἰκότι στοχασμοῦ πιθανὴν καὶ εὔλογον εἶναι δοκοῦσαν, οὐκ ἀποκρυπτέον. ἔστι δὲ ἥδε· τῶν ὄντων, τὰ μὲν οὔτε ἀρετῆς οὔτε κακίας μετέχει· ὥσπερ φυτὰ καὶ ζῷα ἄλογα· τὰ μέν, ὅτι ἄψυχά ἐστι καὶ ἀφαντάστῳ φύσει διοικεῖται· τὰ δ', ὅτι νοῦν καὶ λόγον ἐκτέτμηται· κακίας δὲ καὶ ἀρετῆς ὡς ἂν οἶκος, νοῦς καὶ λόγος, οἷς πεφύκασιν ἐνδιαιτᾶσθαι. τὰ δ' αὖ μόνης κεκοινώνηκεν ἀρετῆς, ἀμέτοχα πάσης ὄντα κακίας, ὥσπερ
B οἱ ἀστέρες. οὗτοι γὰρ ζῷά τε εἶναι λέγονται, καὶ ζῷα νοερά. μᾶλλον δὲ νοῦς αὐτὸς ἕκαστος, ὅλος δι' ὅλου σπουδαῖος, καὶ παντὸς ἀνεπίδεκτος κακοῦ. τὰ δὲ τῆς μικτῆς ἐστι φύσεως, ὥσπερ ἄνθρωπος, ὃς ἐπιδέχεται τἀναντία, φρόνησιν καὶ ἀφροσύνην, σωφροσύνην καὶ ἀκολασίαν, ἀνδρείαν καὶ δειλίαν, δικαιοσύνην καὶ ἀδικίαν, καὶ συνελόντι φράσαι, ἀγαθὰ καὶ κακά, καλὰ καὶ αἰσχρά, ἀρετὴν καὶ κακίαν. τῷ δὴ πάντων πατρὶ θεῷ, τὰ μὲν σπουδαῖα δι' αὑτοῦ μόνου
C ποιεῖν οἰκειότατον ἦν, ἕνεκα τῆς πρὸς αὐτὸν συγγενείας. τὰ δὲ ἀδιάφορα, οὐκ ἀλλότριον, ἐπεὶ καὶ ταῦτα τῆς ἐχθρᾶς αὐτῷ κακίας ἀμοιρεῖ. τὰ δὲ μικτά, πῇ μὲν οἰκεῖον, πῇ δ' ἀνοίκειον· οἰκεῖον μέν, ἕνεκα τῆς ἀναμεμιγμένης βελτίονος ἰδέας· ἀνοίκειον δέ, ἕνεκα τῆς ἐναντίας καὶ χείρονος. διὰ τοῦτο ἐπὶ μόνης τῆς ἀνθρώπου γενέσεώς φησιν ὅτι εἶπεν ὁ θεός, ποιήσωμεν ἄνθρωπον· ὅπερ ἐμφαίνει συμπαράληψιν ἑτέρων, ὡς
D ἂν συνεργῶν, ἵνα ταῖς μὲν ἀνεπιλήπτοις βουλαῖς τε καὶ πράξεσιν ἀνθρώπου κατορθοῦντος, ἐπιγράφηται θεὸς ὁ πάντων ἡγεμών· ταῖς δ' ἐναντίαις, ἕτεροι τῶν ὑπηκόων. ἔδει γὰρ ἀναίτιον εἶναι κακοῦ τὸν πατέρα τοῖς ἐκγόνοις· κακὸν δὲ ἡ κακία καὶ αἱ κατὰ κακίαν ἐνέργειαι. πάνυ δὲ καλῶς τὸ γένος ἄνθρωπον εἰπών, διέκρινε τὰ εἴδη, φήσας ἄρρεν τε καὶ θῆλυ δεδημιουργῆσθαι, μήπω τῶν ἐν μέρει μορφὴν λαβόντων· ἐπειδὴ τὰ ἔσχατα τῶν εἰδῶν ἐνυπάρχει τῷ γένει, καὶ ὥσπερ ἐν κα-
E τόπτρῳ διαφαίνεται τοῖς ὀξὺ καθορᾶν δυναμένοις. ἐπιζητήσειε δ' ἄν τις τὴν αἰτίαν, δι' ἣν ὕστατον ἔργον ἐστὶν ἄνθρωπος τῆς τοῦ κόσμου γενέσεως· ἐφ' ἅπασι γὰρ τοῖς ἄλλοις αὐτὸν ὁ ποιητὴς καὶ πατήρ, ὡς ἱεραὶ γραφαὶ μηνύουσιν, εἰργάσατο. λέγουσι δὴ οἱ τοῖς νόμοις ἐμβαθύναντες ἐπὶ πλέον, καὶ τὰ κατ' αὐτοὺς ὡς ἔνι μάλιστα μετὰ πάσης ἐξετάσεως ἀκριβοῦντες, ὅτι τῆς αὑτοῦ συγγενείας μεταδοὺς ὁ θεὸς ἀνθρώπῳ τῆς λογικῆς, ἥτις ἀρίστη δωρεῶν ἦν, οὐδὲ τῶν ἄλλων ἐφθόνησεν,

ἀλλ' ὡς οἰκειοτάτῳ καὶ φιλτάτῳ ζώῳ, τὰ ἐν κόσμῳ πάντα προευτρέπισε, βουληθεὶς γενόμενον αὐτὸν μηδενὸς ἀπορῆσαι τῶν πρός τε τὸ ζῆν καὶ τὸ εὖ ζῆν· ὧν τὸ μὲν παρασκευάζουσιν αἱ χορηγίαι καὶ ἀφθονίαι τῶν πρὸς ἀπόλαυσιν· τὸ δὲ ἡ θεωρία τῶν κατ' οὐρανὸν, ἀφ' ἧς πληχθεὶς ὁ νοῦς, ἔρωτα καὶ πόθον ἔσχε τῆς τούτων ἐπιστήμης· ὅθεν τὸ φιλοσοφίας ἀνεβλάστησε γένος, ὑφ' οὗ καίτοι θνητὸς ὢν ἄνθρωπος, ἀπαθανατίζεται· καθάπερ οὖν οἱ ἑστιάτορες οὐ πρότερον ἐπὶ δεῖπνον καλοῦσιν, ἢ τὰ πρὸς εὐωχίαν πάντα εὐτρεπίσαι· καὶ οἱ τοὺς γυμνικοὺς καὶ σκηνικοὺς ἀγῶνας διατιθέντες, πρὶν συναγαγεῖν τοὺς θεατάς, εἰς τὰ θέατρα καὶ τὰ στάδια εὐτρεπίζονται ἀγωνιστῶν καὶ θεαμάτων καὶ ἀκουσμάτων πλῆθος· τὸν αὐτὸν τρόπον καὶ ὁ τῶν ὅλων ἡγεμών, οἷά τις ἀθλοθέτης καὶ ἑστιάτωρ, ἄνθρωπον καλεῖν μέλλων ἐπί τε εὐωχίαν καὶ θεωρίαν, τὰ εἰς ἑκάτερον εἶδος προευτρεπίσατο, ἵν' εἰς τὸν κόσμον εἰσελθὼν, εὐθὺς εὕρῃ καὶ συμπόσιον καὶ θέατρον ἱερώτατον· τὸ μὲν, ἁπάντων πλῆρες ὅσα γῆ καὶ ποταμοὶ καὶ θάλαττα καὶ ἀὴρ φέρουσιν εἰς χρῆσίν τε καὶ ἀπόλαυσιν· τὸ δὲ, παντοίων θεαμάτων, ἃ καταπληκτικωτάτας μὲν ἔχει τὰς οὐσίας, καταπληκτικωτάτας δὲ τὰς ποιότητας, θαυμασιωτάτας δὲ τὰς κινήσεις καὶ χορείας, ἐν τάξεσιν ἡρμοσμένας, καὶ ἀριθμῶν ἀναλογίαις, καὶ περιόδων συμφωνίαις, ἐν οἷς ἁπάσαις τὴν ἀρχέτυπον καὶ ἀληθῆ καὶ παραδειγματικὴν μουσικὴν οὐκ ἂν ἁμάρτοι τις εἶναι λέγων· ἀφ' ἧς οἱ μετὰ ταῦτα ἄνθρωποι γράψαντες ταῖς ἑαυτῶν ψυχαῖς, ἀναγκαιοτάτην καὶ ὠφελιμωτάτην τέχνην τῷ βίῳ παρέδοσαν. ἡ μὲν αἰτία πρώτη, δι' ἣν ἄνθρωπος ἐφ' ἅπασιν γεγενῆσθαι δοκεῖ. δευτέρα δ' οὐκ ἀπὸ σκοποῦ λεκτέα. ἅμα τῷ πρῶτα γενέσθαι εἰς τὸ ζῆν τὰς παρασκευὰς ἁπάσας εὗρεν ἄνθρωπος, εἰς διδασκαλίαν τῶν ἔπειτα, μόνον οὐκ αὐτόχρημα βοώσης τῆς φύσεως, ὅτι μιμούμενοι τὸν ἀρχηγέτην τοῦ γένους, ἀπόνως καὶ ἀταλαιπώρως ἐν ἀφθονωτάτῃ διαίτῃ καὶ εὐπορίᾳ τῶν ἀναγκαίων διάξουσι. τοῦτο δὲ συμβήσεται, ἐὰν μήτε αἱ ἄλογοι ἡδοναὶ ψυχῆς δυναστεύσωσι, γαστριμαργίας καὶ λαγνείας ἐπιτειχίσασαι, μήτε αἱ δόξης ἢ ἀρχῆς ἢ χρημάτων ἐπιθυμίαι τὸ τοῦ βίου κράτος ἀναδήσωνται, μήτε στέλλωσι καὶ κάμπτωσι διάνοιαν αἱ λῦπαι, μηθ' ὁ κακὸς σύμβουλος φόβος τὰς ἐπὶ τὰ σπουδαῖα τῶν ἔργων ὁρμὰς ἀναχαιτίσῃ, μήτ' ἀφροσύνη καὶ δειλία καὶ ἀδικία καὶ τὸ τῶν ἄλλων κακῶν ἀμήχανον πλῆθος ἐπιθῆται.

A sed vt animali familiarissimo amicissimóque, omnia quæ mundo continentur præparauit, volens vt recens creatus nulla re careret, quæ ad vitam, atque adeò benè viuendum conferat. quorum alterum præstat copia vbertásque rerum ad fruendum paratarum: alterum contemplatio cœlestium, qua quidem percussa mens, amorem ac desiderium scientiæ rerum huiusmodi concipit: vnde prognata est philosophia, per quam homo quamuis mortalis, immortalitatem adi-
B piscitur. quemadmodum igitur conuiuatores non prius ad cœnam vocant quam instructo benè conuiuio: & qui edunt ludos aut athletarum spectacula, priúsquã spectatores vocati conueniant in theatra vel stadia, parant copiam concertatorum, earúmque rerum quæ ad oculos auréisve oblectandas pertinent: ita etiam mundi totius imperator, tanquam conuiuator ludorúmve præfectus, vocaturus hominem ad conuiuium simul & spectaculum, quicq ad
C ad verúmque pertinebat præparauit: vt ille in mundum ingressus mox inueniret & conuiuium & theatrum sacratissimum: alterum refertum copiis, quas terra, fluuij, mare, aër suppeditant ad vsum simul & voluptatem: alterum spectaculis, quorum tum essentia tum qualitates stupendæ sint, nec non motus choreæque admiratione dignissimæ, propter ordinem conuenientissimum, numerum proportione aptissimum, cursus recursúsque mire concinnos: in quibus omnibus veram illam
D & exemplarem musicam inesse non falso quis dixerit: quam postea homines animis suis impressam prodiderunt, artem vtilissimam vitæ summéque necessariam. Hæc quidem prima causa est, ob quam homo rebus omnibus præpositus esse videtur. altera quoque non absurda dicenda est. Mox vt natus est homo, paratum inuenit quicquid ad vitam opus erat, vt futura disceret: tantum non diserte clamante natura, fore
E vt si autorem sui generis imitarentur, vitam sine dolore & sine labore in vberrimis copiis degerent. id ita futurum, si nec voluptates rationi contrariæ dominationem in anima occupauerint, ventris venerísque studio ceu arcibus communitis in ea: nec gloriæ, honorum, pecuniarum, cupiditates in vita sibi potentiam vsurpauerint: nec mœrores mentem depressam curuatámque sibi subdiderint: nec timor malus

consultor præclaros ad virtutem impetus repressrerit: nec imprudentia, timiditas, iniustitia, cæterorúmque vitiorum turba ingruerit. nam in hæc omnia mala, quæ modo dixi, abutentium felicitate hominum & affectibus prauis deditorum, effusorúmque in cupidines, quas ne nominare quidem fas est, animaduertit iustum iudicium, de impiis studiis pœnas exigens. Itaque criminum reos necessario sequitur inopia. ægrè enim proscindentes arua, & fontanos fluuialésque riuos inducentes, adhæc seminantes plantantésque, & agriculturæ laborem noctu atque interdiu obeuntes, quotannis comportant necessaria, eáque interdum tenuia, nec admodum suffectura, vtpote læsa ex causis variis. aut enim perpetuis imbribus abripuit inundatio, aut grando vno impetu delata perfregit, aut nix adussit frigore, aut procellæ subuerterunt radicitus, multæ enim aëris & aquarũ inexpectatæ mutationes inopiam fructuum afferunt. quòd si per temperantiam lenirentur affectus immodici, & iustitiæ subderetur honorum iniustique lucri studium, vtque compendio dicam, actionibus ad virtutem compositis vitiosæ ac proinde inanes decederent, sublato ex anima bello vere omnium difficillimo grauissimóque, & pace præualente constituentéque dotes nostras cum lenitate ac modestia: sperare liceret, Deum vtpote boni honestique amantem, & insuper humani generis, affluentiam bonorum vltro largiturum hominibus. Liquet enim facilius esse prouentum rerum absque agricultura largiter suggerere, quàm res ipsas ex nihilo producere. atque hæc altera causa dicta sit: tertia verò est hæc. Principium & finem Deus volens inter se coaptare, vt res necessitudine coniunctas & amicitia, principium quidem fecit cælum, finem verò hominem: illud inter sensibilia & incorruptibilia perfectissimum, hunc inter ex terra genita & corruptibilia optimum, paruum (si vera dicenda sunt) cęlum, multarum naturarum stellis similium simulacra intra se gestantem, in quibusdam artibus & scientiis, singulisque celebrium virtutum contemplationibus. nam cum contrarias naturas habeant, id quod est corruptibile, & id quod incorruptibile, vtriusque speciei quod pulcherrimũ est, principio, finique attribuit: principio cælũ, vt dixi, fini hominem. Præter has

A νικῶν μὲν γὰρ πάντα ὅσα λέλεκται, προδιαμαρτη-
σάντων, καὶ τῶν ἀνθρώπων ἀνέδην ἐκκεχυμέ-
νων, εἰς τέ τὰ πάθη καὶ τὰς ἀκρατείας καὶ ὑπαι-
τίους, ἃς οὐδ᾽ εἰπεῖν θέμις, ὀρέξεις, ἀπαντᾷ τε
δίκη προσήκουσα, τιμωρὸς ἀσεβῶν ἐπιτηδευ-
μάτων· ἔστι δ᾽ ἠδικηκότων ἀναγκαῖον δυσπόριστον.
μόλις γὰρ ἀνατέμνοντες τὰ πεδία, καὶ πηγῶν
ῥεῖθρα καὶ ποταμῶν ἐποχετεύοντες, σπείροντές
τε καὶ φυτεύοντες καὶ τὸν γεωπόνον κάματον μεθ᾽
ἡμέραν καὶ νύκτωρ ἀπαύστως ἐνδεχόμενοι, δι᾽
B ἔτους συγκομίζουσι τὰ ἐπιτήδεια. καὶ ταῦτ᾽ ἔστιν
ὅτε λυπρὰ καὶ οὐ πάνυ διαρκῆ, διὰ πολλὰς
βλαβέντα αἰτίας· ἢ γὰρ ὄμβρων ἐπαλλήλων φορὰ
κατέσυρεν, ἢ χαλάζης βάρος κατενεχθείσης ἀ-
θρόως κατέκλασεν, ἢ χιὼν περιέψυξεν, ἢ βία
πνευμάτων ῥίζαις αὐταῖς ἀνέτρεψε· πολλὰ γὰρ
ὕδωρ καὶ ἀὴρ εἰς ἀγονίαν καρπῶν νεωτερίζουσι.
εἰ δὲ σωφροσύνῃ μὲν ἐξευμαρισθείεν αἱ ἀμετρή-
των παθῶν ὁρμαί, δικαιοσύνῃ δὲ αἱ περὶ τὸ ἀδι-
C κεῖν σπουδαί τε καὶ φιλοτιμίαι· καὶ συνελόντι
φράσαι, ταῖς ἀρεταῖς κατ᾽ ἀρετὰς ἐνεργείαις αἱ
κακίαι καὶ αἱ κατ᾽ αὐτὰς ἀνήνυτοι πράξεις, ἀνη-
ρημένου μὲν πολέμου τοῦ κατὰ ψυχήν, ὃς ἀψευδῶς
ἐστὶ πολέμων ἀργαλεώτατος καὶ βαρύτατος, εἰ-
ρήνης δὲ ἐπικρατούσης καὶ ταῖς ἐν ἡμῖν δυνάμεσιν
εὐνομίαν παρασκευαζούσης ἡσυχῇ τε καὶ πράως,
ἐλπὶς ἦν τὸν θεὸν, ἅτε φιλάρετον καὶ φιλόκα-
λον καὶ προσέτι φιλάνθρωπον, τὰ ἀγαθὰ
αὐτόματα παρασχεῖν ἐξ ἑτοίμου τῷ γένει. δῆ-
D λον γὰρ ὡς εὐμαρέστερον τοῦ τὰ μὴ ὄντα εἰς τὸ
εἶναι παραγαγεῖν, τὸ τὴν ἐκ τῶν ὄντων φορὰν ἄνευ
τέχνης γεωργικῆς ἐπιδαψιλεύσασθαι. δευτέ-
ρα μὲν αἰτία ἤδη λέλεκται· τρίτη δ᾽ ἐστὶ τοιά-
δε· ἀρχὴν καὶ τέλος τῶν γεγονότων ὁ θεὸς ἁρ-
μόσασθαι διανοηθεὶς ὡς ἀναγκαῖα καὶ φίλτα-
τα, ἀρχὴν μὲν οὐρανὸν ἐποίει, τέλος δὲ ἄνθρω-
πον· τὸν μὲν, τῶν ἐν αἰσθητοῖς ἀφθάρτων τε-
λεώτατον· τὸν δὲ, τῶν γηγενῶν καὶ φθαρτῶν ἄ-
E ριστον, βραχὺν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὐρα-
νὸν, πολλὰς ἐν αὑτῷ φύσεις ἀστεροειδεῖς ἀγαλ-
ματοφοροῦντα, τέχναις καὶ ταῖς ἐπιστήμαις,
καὶ τοῖς καθ᾽ ἑκάστην ἀρετὴν ἀοιδίμοις θεωρή-
μασιν· ἐπειδὴ γὰρ ἐναντία φύσει τό, τε φθαρ-
τὸν καὶ τὸ ἄφθαρτον, εἴδους ἑκατέρου τὸ κάλ-
λιστον, ἀρχῇ καὶ τέλει προσένειμεν· ἀρχῇ μὲν,
οὐρανὸν, ὡς ἐλέχθη· τέλει δὲ, ἄνθρωπον·
ἐπὶ πᾶσι μέντοι κἀκεῖνο λέγεται πρὸς ἀπό-
δοσιν αἰτίας· ἀναγκαίως ἔδει πάντων γεγονό-

τῶν ὕστατον φῦναι τὸν ἄνθρωπον, ἵνα τοῖς ἄλλοις ἐξαπιναίως ζῴοις ἐπιφανεὶς, ἐμποιήσῃ κατάπληξιν. ἔμελλε γὰρ ἰδόντα πρῶτον τεθηπέναι καὶ προσκυνεῖν, ὡς ἂν ἡγεμόνα φύσει καὶ δεσπότην· διὸ καὶ θεασάμενα πάντα διὰ πάντων ἡμερώθη, καὶ ὅσα τὴν φύσιν ἀγριώτατα, κατὰ τὴν πρώτην εὐθὺς πρόσοψιν ἐγίνετο χειροηθέστατα, τὰς μὲν ἀπηγριωμένας λύττας ἐπιδεικνύμενα κατ᾽ ἀλλήλων, εἰς δὲ μόνον τὸν ἄνθρωπον τιθασευόμενα. παρὸ καὶ τῆς αἰτίας καὶ γεννήσας αὐτὸν ὁ πατὴρ, ἡγεμονικὸν φύσει ζῷον, οὐκ ἔργῳ μόνον, ἀλλὰ καὶ τῇ διὰ λόγου χειροτονίᾳ καθίστη τῶν ὑπὸ σελήνην ἁπάντων βασιλέα, χερσαίων καὶ ἐνύδρων καὶ ἀεροπόρων. ὅσα γὰρ θνητὰ ἐν τοῖς τρισὶ στοιχείοις, γῇ, ὕδατι, ἀέρι, πάντα ὑπέταττεν αὐτῷ, τὰ κατ᾽ οὐρανὸν ὑπεξελόμενος, ἅτε θειοτέρας μοίρας ἐπιλαχόντα. πίστις δὲ τῆς ἀρχῆς ἐναργεστάτη τὰ φαινόμενα. θρεμμάτων ἔστιν ὅτε πλήθη μυρία πρὸς ἑνὸς ἀνδρὸς ἄγεται τοῦ τυχόντος, οὔθ᾽ ὁπλοφοροῦντος, οὔτε σίδηρον, οὔτε τὴν ἀμυντήριον ἐπιφερομένου, διφθέραν δ᾽ αὐτὸ μόνον ἔχοντος σκεπαστήριον, καὶ βακτηρίαν, ἕνεκα τοῦ διασημῆναί τι, καὶ ἐν ταῖς ὁδοιπορίαις εἰ κάμνοι ἐπερείσασθαι. τὰς γοῦν πολυζώους ἀγέλας τῶν προβάτων, αἰγῶν, βοῶν, ἄγει ποιμὴν, αἰπόλος, βουκόλος, ἄνθρωποι μηδὲ τοῖς σώμασιν ἐρρωμένοι καὶ σφριγῶντες, ὡς ἕνεκα γοῦν εὐεξίας ἐμποιῆσαι τοῖς ἰδοῦσι κατάπληξιν, καὶ αἱ τοσαῦται τῶν τοσούτων ἀλκαί τε καὶ δυνάμεις ἐνωπλισμένων· ἔχουσι γὰρ τὰς ἐκ φύσεως παρασκευὰς αἷς ἀμύνονται· καθάπερ δοῦλοι δεσπότην κατεπτήχασι, καὶ τὰ προσταττόμενα δρῶσι· ταῦροι μὲν κατα(ζευχθέντες) πρὸς ἄροτον γῆς, καὶ βαθείας αὔλακας ἀνατέμνοντες δι᾽ ἡμέρας, ἔστι δ᾽ ὅτε μακρὸν δόλιχον ἀποτείνουσι, γεωπόνου τινὸς ἐφεστῶτος· κριοὶ δὲ βρίθοντες βαθέσι μαλλοῖς ὑποπόκοι, κατὰ τὴν ἔαρος ὥραν ὑπὸ ποιμένος κελευσθέντες, ἵστανται μεθ᾽ ἠρεμίας, καὶ ἡσυχῇ κατακλίνοντες, ἐμπαρέχουσιν ἀποκείρεσθαι τὸ ἔριον, ἐθιζόμενοι καθάπερ αἱ πόλεις τὸν ἐτήσιον ἀποδιδόναι δασμὸν τῷ βασιλεῖ φύσει. καὶ μὴν τό γε θυμικώτατον ζῷον ἵππος, ῥᾳδίως ἄγεται χαλινωθεὶς, ἵνα μὴ σκιρτῶν ἀφηνιάζῃ, καὶ τὰ νῶτα κοιλάνας εὖ μάλα πρὸς τὸ εὔεδρον δέχεται τὸν ἐποχούμενον, καὶ μετέωρον ἀναβαστάσας, ὀξύτατα θεῖ, σπουδάζων, εἰς οὓς ἂν ἐπείγηται χρείας τόπους ἐκεῖνος, ἀφικνεῖσθαι καὶ διακομίζειν. ὁ δ᾽ ἐφιδρυμένος, ἄνευ καμάτων, κατὰ πολλὴν ἡσυχίαν, ἑτέρου σώματι καὶ ποσὶν, ὀξέως τὸν δρόμον.

A illa etiam causa reddi solet à quibusdam. necesse erat omnium rerum creatarum postremũ produci hominẽ, vt nouissimus repente inter alias animantes existens, terrorem eis incuteret. sic enim futurũ erat vt ad primum eius conspectum obstupefactæ, adorarent tanquam rectorem à natura datum & dominum. quapropter hoc viso omnes ad vnam cicuratæ sunt, & vel ferocissimæ primo statim intuitu mansuescebant, rabiem B qua in se inuicem efferebantur, erga solum mitigantes hominem. quamobrem opifex eius & pater animal hoc naturaliter ratione præditum, non re solum sed & verborum autoritate regem constituit omnium sub luna terrestrium, aquatilium, volucrium. quicquid enim est mortale in his tribus elementis, terra, aqua, aëre, totum ei subiecit, cælestia tantum excipiens, vt diuiniorem partem sortita. huius autem regni fides apparet euidentissimè, C dum pecorum multitudo maxima ducatur à vulgari quopiam homine, nec armis instructo, nec ferro accincto, nec vllum telum gestante, sed mastrucam tantum habente pro velamine, & baculum quo ea dirigat, & inter viam lassitudine tentatus subnitatur. itaque frequentissimos greges ouium, caprarum, boum, præ se agit opilio, caprarius, bubulcus, homines ne corporibus quidem robusti & vigentes, vt saltem habitudine bona stupendi sint suis pecudibus: sed tanta illa robora D viréſque armis instructæ (plerisque enim instrumenta quibus se defendant à natura sunt addita) tanquam serui dominum reuerentur, & imperata faciunt. tauri sub iugum missi ad terræ culturam, profundos sulcos proscindunt tota die, nonnunquam etiam per longum spatium, subsequente quopiam agricola. arietes ægrè sustinentes onus vellerum, verno tempore iussu pastoris stant quieti, & libenter se præbent E tondendos, assuefacti velut populi annuum tributũ pendere suo regi à natura imposito. quid equus animal animosissimũ? hic quoque facile recepto freno regitur, quominus lasciuiat, vtque habenis pareat: simúlque tergum apte sessori accommodat, móxque sublimem fert cursu concitatissimo, quocunque ille peruenire cupit cum rectore suo properans. isque insidens absque labore, admodum quietus, alieno corpore, pedibúsque alienis cursum conficit,

Liceret & alia multa dicere, si liberet es-
se prolixum, quibus euidens fieret, nul-
lum animal sibi libertatem vsurpare de-
trectando obsequium homini debitum.
quare iam dictis exemplis contenti eri-
mus. nec illud tamen ignorare oportet,
non statim quia postremus homo factus
est, esse inferiorem ordine, id quod
testantur aurigæ gubernatorésque. nam
alteri post quadrigas locati à tergo cur-
sum earum moderantur habenis, vtcun-
que visum fuerit, nunc laxando eas ad
celeritatem, nunc reducendo, si videa-
tur iusto maior impetus. gubernatores
item in nauis postrema parte puppi con-
sistentes, omnibus omnino præstantio-
res habentur vectoribus. quippe quo-
rum in manu nauis ipsius sarcinarúm-
que salus sit posita. sic & hominem ceu
aurigam quendam & gubernatorē con-
ditor rebus præfecit omnibus, vt regat
& gubernet quicquid terra continetur,
curam gerendo stirpium animaliúm-
que, tanquam quidam subpræfectus il-
lius primarij summíque regis. Postquā
autem vniuersus hic mundus perfectus
est iuxta perfectam naturam numeri se-
narij, sequenti diei septimo pater ho-
norem addidit, quem vbi laudauit, mox
sanctum appellare dignatus est. est enim
festus non vnius populi regionísve, sed
in vniuersum omnium: quæ sola digna
est vt dicatur popularis festiuitas & mū-
di natalis. Cæterum septenarij naturam
nescio an quis satis laudare queat, cum
ea sit præstantior, quàm vt vlla facundia
possit exprimi. nec tamen quia miranda
quædam de eo prædicantur, ideo silere
debemus. imò audendum potius, si non
omnia aut magis propria possumus, cer-
te ea prodere, quæ mente valemus as-
sequi. Dupliciter septenarius dicitur.
alter intra denarium, quem vnitate
sola septies metimur, constantem ex se-
ptem vnitatibus. alter extra denarium,
cuius omnino principium est vnitas
iuxta duplices aut triplices aut vtique
proportionales numeros, vt se habet
LXIIII. & DCCXXIX. prior ab vni-
tate duplicando crescens, posterior tri-
plicando. vtraque autem species non
obiter consideranda est. secunda certe
manifestissimum habet priuilegiū. sem-
per enim qui ab vnitate componitur in
duplis aut triplis aut vtique proportio-
nalibus septimus numerus, cubitus est
simul & quadrangulus, vtramque spec-
iem continēs, tum incorporeæ, tum cor-
poralis essentiæ. incorporeæ quidem

A πολλὰ δ' ἂν ἔχοι τις λέγειν ἕτερα κυκλούμενος ἀπο-
μηκύνειν, εἰς ἔνδειξιν τοῦ μηδὲν ἀπηλευθεριάζειν
ἀπεξηρημένον τῆς ἀνθρώπου ἡγεμονίας. δείγμα-
τος δ' ἕνεκα καὶ τὰ ῥηθέντα ἀρκεῖ. χρὴ μέντοι μηδ'
ἐκεῖνο ἀγνοεῖν ὅτι οὐ παρ' ὅσον ὕστατον γέγονεν ἄνθρω-
πος, διὰ τὴν τάξιν ἠλάττωται. μάρτυρες δ' ἡνίοχοι καὶ
κυβερνῆται· οἱ μὲν γὰρ ὑστερίζοντες τῶν ὑποζυγίων, καὶ
κατόπιν αὐτῶν ἐξεταζόμενοι, ᾗ ἂν ἐθέλωσιν αὐτὰ
ἄγουσι τῶν ἡνιῶν εἰλημμένοι, καὶ τοτὲ μὲν ἐφιέντες
πρὸς ὀξὺν δρόμον, τοτὲ δ' ἀναχαιτίζοντες, εἰ φορᾷ
B τοῦ δέοντος πλείονι χρῷτο· οἱ δ' αὖ κυβερνῆται πρὸς τὸ
τῆς νεὼς ἔσχατον χωρίον τὴν πρύμναν παρελθόντες, πάν-
των ὡς ἔπος εἰπεῖν εἰσὶν ἄριστοι τῶν ἐμπλεόντων,
ἅτε τῆς νεὼς καὶ τῶν ἐν αὐτῇ τὴν σωτηρίαν ἐν
ταῖς χερσὶ ταῖς αὐτῶν ἔχοντες. ἡνίοχον δέ τινα καὶ
κυβερνήτην ἐφ' ἅπασιν ὁ ποιητὴς ἐδημιούργει τὸν
ἄνθρωπον, ἵνα ἡνιοχῇ καὶ κυβερνᾷ τὰ περίγεια,
ζῴων καὶ φυτῶν λαβὼν τὴν ἐπιμέλειαν, οἷά τις
ὕπαρχος τοῦ πρώτου καὶ μεγάλου βασιλέως. ἐπεὶ
C δ' ὁ σύμπας κόσμος ἐτελειώθη κατὰ τὴν ἑξάδος ἀ-
ριθμοῦ τελείαν φύσιν, τὴν ἐπιοῦσαν ἡμέραν ἑβ-
δόμην, ἐσέμνυνεν ὁ πατὴρ, ἐπαινέσας καὶ ἁγίαν
προσειπών. ἑορτὴ γὰρ οὐ μιᾶς πόλεως, ἢ χώ-
ρας ἐστὶν, ἀλλὰ τοῦ παντὸς, ἣν κυρίως ἄξιον,
καὶ μόνην πάνδημον ὀνομάζειν, καὶ τοῦ κόσμου
γενέσιον. τὴν δὲ ἑβδομάδος φύσιν οὐκ οἶδ' εἴ
τις ἱκανῶς ἂν ὑμνῆσαι δύναιτο, παντὸς οὖσαν
λόγου κρείττονα. οὐ μὴν ἐπεὶ θαυμασιωτέρα τῶν
περὶ αὐτῆς λεγομένων ἐστὶ, διὰ τοῦθ' ἡσυ-
D χαστέον, ἀλλ' ἐπιτολμητέον, εἰ καὶ μὴ πάντα,
μηδὲ τὰ κυριώτατα οἷόν τε, τά γοῦν ταῖς ἡμε-
τέραις διανοίαις ἐφικτὰ, δηλῶσαι. διχῶς ἑβ-
δομὰς λέγεται· ἡ μὲν ἐντὸς δεκάδος, ἥτις ἑπ-
τάκις μονάδι μόνῃ μετρεῖται, συνεστῶσα ἐκ
μονάδων ἑπτά· ἡ δὲ, τῆς ἑβδομάδος ἐκτὸς ἀριθ-
μὸς, οὗ πάντως ἀρχὴ μονὰς κατὰ τοὺς διπλα-
σίους, ἢ τριπλασίους, ἢ συνόλως ἀναλογοῦν-
τας ἀριθμοὺς, ὡς ἔχει ὁ ἑξηκοντατέσσαρα καὶ
E ὁ ἑπτακόσια εἰκοσιεννέα· ὁ μὲν κατὰ τὸν ἀπὸ
μονάδος διπλάσιον παραυξηθεὶς· ὁ δ' αὖ κατὰ
τὸν τριπλάσιον. ἑκάτερον δὲ εἶδος οὐ παρέρ-
γως ἐπισκεπτέον. τὸ μὲν δὴ δεύτερον ἐμφανε-
στάτην ἔχει προνομίαν. ἀεὶ γὰρ ὁ ἀπὸ μονάδος
συντιθέμενος ἐν διπλασίοις, ἢ τριπλασίοις, ἢ
συνόλως ἀναλογοῦσιν ἕβδομος ἀριθμὸς, κύβος
τέ καὶ τετράγωνός ἐστιν, ἀμφότερα τὰ εἴδη
περιέχων, τῆς τε ἀσωμάτου καὶ σωματικῆς οὐ-
σίας. τῆς μὲν ἀσωμάτου, κατὰ τὴν ἐπίπε-

δον ἣν ἀποτελοῦσι τετράγωνοι. τῆς δὲ σωματικῆς, κατὰ τὴν ἑτέραν ἣν ἀποτελοῦσι κύβοι. σαφεστάτη δ' οἱ λεχθέντες ἀριθμοὶ, πίστις. αὐτίκα ἀπὸ μονάδος ἐν διπλασίονι λόγῳ προαυξηθεὶς ἕβδομος ὁ τέσσαρα καὶ ἑξήκοντα, τετράγωνος μέν ἐστιν, ὀκτάκις ὀκτὼ πολυπλασιασθέντων· κύβος δὲ, τεσσάρων ἐπὶ τέσσαρα τετράκις. καὶ πάλιν ὁ ἐν τριπλασίονι λόγῳ προαυξηθεὶς ἀπὸ μονάδος ἕβδομος, ὁ ἑπτακόσια εἰκοσιεννέα, τετράγωνος μὲν πολυπλασιασθέντος ἐπ' αὐτὸν τοῦ ἑπτὰ καὶ εἴκοσι· κύβος δὲ τοῦ ἐννέα ἐνάκις· καὶ ἀεὶ τὸν ἕβδομον ποιησάμενός τις ἀπὸ μονάδος ἀρχὴν, καὶ παραύξων κατὰ τὴν αὐτὴν ἀναλογίαν ἄχρις ἑβδομάδος, εὑρήσει πάντως τὸν προαυξηθέντα κύβον τε καὶ τετράγωνον. ἀπὸ γοῦν τοῦ ἑξήκοντα τέσσαρα ὁ συντεθεὶς ἐν διπλασίονι λόγῳ γίνεται ἕβδομος τὸν τετρακισχίλια καὶ ἐνενήκοντα ἕξ, τετράγωνον ὁμοῦ καὶ κύβον· τετράγωνον μὲν αὐτὸν πλευρὰν ἔχοντα τὸν ἑξήκοντα τέσσαρα· κύβον δὲ τὸν ἑκκαίδεκα. μεταβατέον δὲ καὶ ἐπὶ θάτερον ἑβδομάδος εἶδος τὸ περιεχόμενον ἐν δεκάδι, θαυμαστὴν ἐπιδεικνύμενον καὶ οὐκ ἐλάττονα τοῦ προτέρου φύσιν. αὐτίκα συνέστηκε τὰ ἑπτὰ ἐξ ἑνὸς καὶ δυοῖν καὶ τεττάρων ἐχόντων δύο λόγους ἁρμονικωτάτους, τόν τε διπλάσιον, καὶ τετραπλάσιον· τὸν μὲν τὴν διὰ πασῶν συμφωνίαν, τὸν δὲ τετραπλάσιον, τὴν δὶς διὰ πασῶν ἀποτελοῦντα. περιέχει δὲ καὶ διαιρέσεις ἄλλας, ζυγάδην τρόπον τινὰ συνεστῶσα ἑβδομάς. διαιρεῖται γὰρ πρῶτον μὲν εἰς μονάδα καὶ ἑξάδα, ἔπειτα εἰς δυάδα καὶ πεντάδα, καὶ τελευταῖον εἰς τριάδα καὶ τετράδα. μουσικωτάτη δὲ καὶ ἡ τούτων ἀναλογία τῶν ἀριθμῶν. τὰ μὲν γὰρ ἓξ πρὸς ἓν ἔχει λόγον ἑξαπλάσιον· ὁ δὲ ἑξαπλάσιος λόγος τὸ μέγιστον ἐν τοῖς οὖσι διάστημα ποιεῖ, ᾧ διέστηκε τὸ ὀξύτατον ἀπὸ τοῦ βαρυτάτου, καθάπερ ἀποδείξομεν, ὅταν ἀπὸ τῶν ἀριθμῶν μετέλθωμεν εἰς τὸν ἐναρμονίας λόγον. τὰ δὲ πέντε πρὸς δύο πλείστην ἐν ἁρμονίᾳ δύναμιν ἐπιδείκνυται, σχεδὸν ἐνάμιλλον τῇ διὰ πασῶν, ὅπερ ἐν τῇ κανονικῇ θεωρίᾳ ἐναργέστατα παρίσταται· τὰ δὲ τέσσαρα πρὸς τρία τὴν πρώτην ἐναρμονίαν ἀποτελεῖ τὴν ἐπίτριτον, ἥτις ἐστὶ διὰ τεσσάρων. ἐπιδείκνυται δὲ καὶ ἕτερον κάλλος αὐτῆς ἑβδομὰς ἱεροπρεπέστατον νοηθῆναι. συνεστῶσα γὰρ ἐκ τριάδος καὶ τετράδος, τὸ ἐν τοῖς οὖσιν ἀκλινὲς καὶ ὀρθὸν φύσει παρέχεται· ὃν δὲ τρόπον δηλωτέον.

A planiciem, quam conficiunt quadranguli, corporalis vero iuxta aliam dimensionem, quam conficiunt cubi. id euidentissime patet in modo dictis numeris. mox etiam ab vnitate dupla ratione crescens septimus, scilicet LXIIII. quadrangulus quidem est, octies octo multiplicatis: cubus autem quater quatuor quater. rursum tripla ratione crescens ab vnitate septimus, videlicet DCCXXIX. quadrangulus quidem est multiplicato per seipsum XXVII. cubus autem multiplicato nouies nouem nouies, sempérque à septimo incipiens vt prius ab vnitate, & eadem proportione augens vsque septimum, inuenies omnino eum crescere in cubum simul & quadrangulum. Ergo à LXIIII. compositus dupla ratione faciet septimum MMMMXCVI. quadrangulum simul & cubum, quadrangulum quidem latus habentem ipsum LXIIII. cubicum vero numerum XVI. Transeundum iam & ad alteram septenarij speciem quæ continetur in denario, mirificam præ se ferentem naturam non minus quàm prior. Septem ipsa conficiuntur ex vno & duobus & quatuor habentibus duas rationes concinnissimas, duplam videlicet & quadruplam. alteram diapason consonantiæ: alteram vero scilicet quadruplam, consonantiam disdiapason conficientem. continet & alias diuisiones septenarius, constans ex quibusdam coniugationibus, diuiditur enim primum in vnitatem & senionem, deinde in binarium & quinarium, postremo in ternionem & quaternionem. Est autem hæc quoque proportio numerorum admodum musica. sex enim ad vnum habent rationem sexcuplam. sexcupla autem ratio maximum inter tonos interstitium facit, quo distat grauissimus ab acutissimo, sicut demonstrabimus, cum à numeris ad harmonias sermonem traduxerimus. cæterũ quinque ad duo maximam in harmonia vim ostendunt, fermè æquipollentem harmoniæ diapason, quod in regulis eius artis apparet liquidissime. quatuor autem ad tria primam harmoniam efficiunt supertertiam, quæ est diatessaron. Præterea aliam quoque pulchritudinem suam profert septenarius, eámque sacræ considerationis. Cum enim cõstet è ternione & quaternione, rectã in rebus & nusquam vergentẽ figuram naturaliter exhibet. id quomodo fiat declarãdum est.

rectangula forma, quandoquidem est A principium qualitatum, constat ex numeris his: III. & IIII. & V. tria autem & quatuor, quæ quidem est essentia septenarij, rectum angulum efficiunt. nam obtusus & acutus inæqualitatem, confusionem & imparitatem præ se ferunt, cum sint iusto acutiores obtusioresve. at rectus collationẽ non admittit, nec fit recto rectior, semper sui similis, nec vnquã propriam naturam varians. Iam si rectangulus triangulus figurarum & qualitatum est principiũ: in hoc autẽ B rem maxime necessariam rectum angulum essentia septenarij præbet, ternio simul & quaternio, merito cẽsendus est hic fons omnis figuræ & omnis qualitatis. Huc accedit & illud, quòd III. planæ figuræ est numerus, quandoquidem iuxta vnionem est punctum, linea iuxta duernionem, superficies vero iuxta ternionem ordinatur. quaternio porrò ad solidum corpus pertinet, per accessionem vnitatis accedente ad superficiem C altitudine. vnde liquet essentiam septenarij geometriæ & solida metiendi esse principium, & vt compendio dicam, incorporeorum simul corporeorumque. tanta in septenario sanctitas est sita, vt præeminentiam habeat præ omnibus numeris non excedentibus denarium. nam ex illis alij gignunt non gignuntur, alij gignuntur quidem, non gignunt tamen. alij tum gignunt tum gignuntur. solus septenarius in nulla harum parte consideratur. id ita esse demonstratione D confirmandum est. Vnum quidem gignit omnes deinceps sequentes numeros, ipsum à nullo omnino genitũ. octo autem gignuntur quidem à bis quatuor, sed nullum gignunt, ex his qui sunt intra denarium. item IIII. eundem locum inter genitores & prognatos obtinet. repetitus enim VIII. gignit, ipse gignitur à repetito II. soli vt dixi VII. nec gignere natura dedit, nec gigni. quam ob causam cæteri quidem philosophi numerum hunc assimilant natæ sine E matre Virgini Victoriæ, quam ex Iouis capite exortam narrant fabulæ: Pythagorici verò vniuersitatis huius imperatori. nam quidquid nec gignit nec gignitur, immotum manet. in motu enim generatio, quandoquidem & id quod gignitur, non caret motu. mouetur enim alterum vt gignat, alterum vt gignatur. solus autem nec mouet nec mouetur antiquus ille princeps & autor, cuius imago merito dici potest

τὸ ὀρθογώνιον, ὅπερ ἐστὶν ἀρχὴ ποιοτήτων, ἐξ ἀριθμῶν συνέστηκε τοῦ τρία καὶ τέτταρα καὶ πέντε· τὰ δὲ τρία καὶ τέτταρα, ἅπερ ἐστὶν ἑβδομάδος οὐσία, τὴν ὀρθὴν γωνίαν ἀποτελεῖ. ἡ μὲν γὰρ ἀμβλεῖα καὶ ὀξεῖα τὸ ἀνώμαλον καὶ ἄτακτον καὶ ἄνισον ἐμφαίνουσιν. ἀμβλυτέρα γὰρ καὶ ὀξυτέρα γίνεται ἑτέρας· ὀρθὴ δὲ οὐκ ἐπιδέχεται σύγκρισιν, οὐδ' ὀρθοτέρα γίνεται ἑτέρα τῆς ἑτέρας, ἀλλὰ καὶ ἐν ὁμοίῳ μένει, τὴν ἰδίαν φύσιν οὔποτε ἀλλάττουσα. εἰ δὴ τὸ ὀρθογώνιον τρίγωνον σχημάτων καὶ ποιοτήτων ἐστὶν ἀρχή, τούτου δὲ τὸ ἀναγκαιότατον, τὴν ὀρθὴν γωνίαν, ἡ οὐσία τῆς ἑβδομάδος παρέχεται, τριὰς ὁμοῦ καὶ τετράς, νομίζοιτ' ἂν εἰκότως ἡ δε πηγὴ παντὸς σχήματος καὶ πάσης ποιότητος. πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο λέγοιτ' ἂν δεόντως, ὅτι τὰ μὲν τρία ἐπιπέδου σχήματός ἐστιν ἀριθμός, ἐπειδὴ σημεῖον μὲν ἐστὶ κατὰ μονάδα, γραμμὴ δὲ κατὰ δυάδα, ἐπίπεδον δὲ κατὰ τριάδα τέτακται· τὰ δὲ τέτταρα στερεοῦ, κατὰ τὴν τοῦ ἑνὸς πρόσθεσιν βάθους ἐπιπέδῳ προστεθέντος· ἐξ οὗ δῆλόν ἐστιν, ὅτι ἡ τῆς ἑβδομάδος οὐσία γεωμετρίας καὶ στερεομετρίας ἀρχή· καὶ συνελόντι φράσαι ἀσωμάτων ὁμοῦ καὶ σωμάτων. τοσοῦτο δ' ἐν ἑβδομάδι πέφυκεν εἶναι τὸ ἱεροπρεπές, ὥστ' ἐξαίρετον ἔχει λόγον παρὰ τοὺς ἐν δεκάδι πάντας ἀριθμούς. ἐκείνων γὰρ οἱ μὲν γεννῶσιν οὐ γεννώμενοι, οἱ δὲ γεννῶνται μέν, οὐ γεννῶσι δέ. οἱ δὲ ἀμφότερα, καὶ γεννῶσι καὶ γεννῶνται. μόνη δ' ἑβδομὰς ἐν οὐδενὶ μέρει θεωρεῖται· τὴν δὲ ὑπόσχεσιν ἀποδείξει βεβαιωτέον. τὸ μὲν οὖν ἓν γεννᾷ τοὺς ἑξῆς ἅπαντας ἀριθμούς, ὑπ' οὐδενὸς γεννώμενον τὸ παράπαν· τὰ δὲ ὀκτὼ γεννᾶται μὲν ἀπὸ τοῦ δὶς τέτταρα, γεννᾷ δὲ οὐδένα τῶν ἐν δεκάδι. ὁ δ' αὖ τέτταρα αὐτὴν καὶ γονέων καὶ ἐκγόνων ἔχει τάξιν. γεννᾷ μὲν γὰρ ὀκτὼ δὶς γεννώμενος· γεννᾶται δὲ ὑπὸ τοῦ δὶς δύο· μόνος δὲ, ὡς ἔφην, ὁ ἑπτὰ, οὔτε γεννᾶν πέφυκεν, οὔτε γεννᾶσθαι· διὰ ταύτην αἰτίαν οἱ μὲν ἄλλοι φιλόσοφοι τὸν ἀριθμὸν τοῦτον ἐξομοιοῦσι τῇ ἀμήτορι Νίκῃ καὶ παρθένῳ, ἣν ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναφανῆναι λόγος ἔχει. οἱ δὲ Πυθαγόρειοι τῷ ἡγεμόνι τῶν συμπάντων. τὸ γὰρ μήτε γεννῶν, μήτε γεννώμενον, ἀκίνητον μένει· ἐν κινήσει γὰρ ἡ γένεσις, ἐπεὶ καὶ τὸ γεννώμενον οὐκ ἄνευ κινήσεως· τὸ μὲν, ἵνα γεννήσῃ· τὸ δὲ, ἵνα γεννηθῇ· μόνον δ' οὔτε κινοῦν, οὔτε κινούμενον ὁ πρεσβύτερος ἄρχων καὶ ἡγεμών, οὗ λέγοιτ' ἂν προσηκόντως εἰκὼν ἑβδομάς.

μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Φιλόλαος ἐν τούτοις,
Ἔστι γάρ, φησίν, ἡγεμὼν καὶ ἄρχων ἁπάντων θεός,
εἷς ἀεὶ ὤν, μόνιμος, ἀκίνητος, αὐτὸς αὑτῷ ὅμοιος,
ἕτερος τῶν ἄλλων. ἐν μὲν οὖν τοῖς νοητοῖς τὸ ἀκίνητον
καὶ ἀπαθὲς ἐπιδείκνυται ἑβδομάς· ἐν δὲ τοῖς αἰ-
σθητοῖς μεγάλην καὶ συνεκτικωτάτην δύναμιν,
ᾗ τὰ ἐπίγεια πάντα πέφυκε βελτιοῦσθαι· σε-
λήνης τε περιόδοις. ὃν δὲ τρόπον, ἐπισκεπτέον.
ἀπὸ μονάδος συντεθεὶς ἑξῆς ὁ ἑπτὰ ἀριθμὸς, γεν-
νᾷ τὸν ὀκτὼ καὶ εἴκοσι τέλειον, καὶ τοῖς αὑτοῦ μέρεσιν
ἰσούμενον· ὁ δὲ γεννηθεὶς ἀριθμὸς ἀποκαταστατικός
ἐστι σελήνης, ἀφ᾽ οὗ ἤρξατο σχήματος λαμβάνειν
αὔξησιν αἰσθητῶς, εἰς ἐκεῖνο κατὰ μείωσιν ἀνακαμ-
πτούσης· αὔξεται μὲν ἀπὸ τῆς πρώτης μηνοει-
δοῦς ἐπιλάμψεως, ἄχρι διχοτόμου ἡμέραις ἑπτά,
εἶθ᾽ ἑτέραις τοσαύταις πλησιφαὴς γίνεται, καὶ πά-
λιν ὑποστρέφει διαυλοδρομοῦσα τὴν αὐτὴν ὁδόν,
ἀπὸ μὲν τῆς πλησιφαοῦς ἐπὶ τὴν διχότομον ἑπτὰ
πάλιν ἡμέραις, εἶτ᾽ ἀπὸ ταύτης ἐπὶ τὴν μηνοει-
δῆ, ταῖς ἴσαις ἑξῆς ὁ λεχθεὶς ἀριθμὸς συμπεπλή-
ρωται. καλεῖται δὲ ἡ ἑβδομὰς ὑπὸ τῶν κυρίως
τοῖς εἰωθόσιν ὀνόμασι χρωμένων καὶ τελεσφόρος·
ἐπειδὴ ταύτῃ τελεσφορεῖται τὰ σύμπαντα. τεκ-
μηριώσαιτο δ᾽ ἄν τις ἐκ τοῦ, πᾶν σῶμα ὀργανι-
κὸν τρισὶ μὲν κεχρῆσθαι διαστάσεσι, μήκει βάθει
καὶ πλάτει· τέτρασι δὲ πέρασι, σημείῳ καὶ γραμ-
μῇ καὶ ἐπιφανείᾳ καὶ στερεῷ. δι᾽ ὧν συντεθέντων
ἀποτελεῖται ἑβδομάς· ἀμήχανον δ᾽ ἦν τὰ σώ-
ματα ἑβδομάδι μετρεῖσθαι, κατὰ τὴν ἐκ διαστά-
σεων τριῶν καὶ περάτων σύνθεσιν, εἰ μὴ συνέβαι-
νε τὰς τῶν πρώτων ἀριθμῶν ἰδέας ἑνὸς καὶ δυοῖν
καὶ τριῶν καὶ τεττάρων, οἷς θεμελιοῦται δεκάς,
ἑβδομάδος φύσιν περιέχειν. οἱ γὰρ λεχθέντες ἀριθ-
μοὶ, τέσσαρας μὲν ἔχουσιν ὅρους, τὸν πρῶτον, τὸν δεύτε-
ρον, τὸν τρίτον, τὸν τέταρτον· διαστάσεις δὲ τρεῖς·
πρώτη μὲν διάστασις ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὰ δύο·
δευτέρα, ἡ ἀπὸ τῶν δυοῖν ἐπὶ τὰ τρία· τρίτη
ἀπὸ τῶν τριῶν ἐπὶ τὰ τέσσαρα. δίχα δὲ τῶν εἰ-
ρημένων ἐναργέστατα παρίστασι τὴν τελεσφόρον
δύναμιν ἑβδομάδος καὶ αἱ ἐκ βρέφους ἄχρι γή-
ρως ἡλικίαι, μετρούμεναι ταύτῃ· κατὰ μὲν οὖν τὴν
πρώτην ἑπταετίαν, ἔκφυσις ὀδόντων ἐστί. κατὰ δὲ
τὴν δευτέραν καιρὸς τοῦ δύνασθαι προΐεσθαι
σπέρμα γόνιμον· τρίτῃ δὲ γενείων αὔξησις· καὶ
τετάρτῃ, πρὸς ἰσχὺν ἐπίδοσις. πέμπτη τὲ ὦ
γάμων ὥρα· ἕκτη δὲ συνέσεως ἀκμή. τῇ δὲ
ἑβδόμῃ βελτίωσις ἀμφοῖν καὶ συναύξησις νοῦ
καὶ λόγου· ὀγδόῃ δὲ ἡ ἐν ἑκατέρῳ τελείωσις.

A septenarius. Attestatur meis dictis Philo-
laus verbis his: Est, inquit, autor & prin-
ceps rerum omnium Deus, semper vnus,
stabilis, immobilis, ipse sui similis, alio-
rum dissimilis. Ergo in rebus intelligi-
bilibus immobilis & impassibilis appa-
ret septenarius. in sensibilibus quoque
declarat suam magnam latissiméque pa-
tentem vim, natam ad profectum omniũ
terrestrium, vel lunæ certis recursibus.
Quo autem modo considerandum est.
Septenarius ex vnitate & reliquis dein-
ceps numeris cõpositus, gignit XXVIII.
B perfectum numerum æquatum suis par-
tibus. is ita natus numerus aptus est ad
restituendam lunam in id momentum
ex quo primum cœpit crescere sensibi-
liter, & ad quod decrescendo solet re-
currere: ea crescit à prima lunata facie
vsque dimidiatã diebus septenis, móx-
que totidem aliis ad plenum orbem pro-
ficit: deinde rursum à meta per eandem
viam à pleno orbe ad dimidiatum aliis
septenis diebus recurrit, totidémque
C ad lunatam faciem, quibus deinceps ad-
ditis conficitur modo dictus numerus.
Vocatur autem septenarius à proprie-
tatis vocabulorum studiosis etiam ab-
solutorius: quia hoc absoluuntur vni-
uersa & perficiuntur. Id inde coniecta-
re licet, quia omne corpus actiuum tres
habet dimensiones, longitudinem, al-
titudinem & latitudinem, quatuor au-
tem fines, punctum, lineam, superfi-
ciem, solidum, ex quibus compositus
conficitur septenarius. Impossibile au-
D tem erat corpora septenario metiri, iux-
ta illam è tribus dimensionibus suísque
finibus compositionem, ni contigisset
primorum numerorum ideas, videlicet
vnius, duorum, trium, quatuor, in qui-
bus fundatur denarius, in se complecti
naturam septenarij. nam modo dicti nu-
meri quatuor quidem habent terminos,
primum, secundum, tertium, quartum:
dimensiones vero tres, primam ab vno
ad duo, secundam à duobus ad tria, ter-
tiã à tribus ad quatuor. Præterea claris-
E sime demonstrãt vim perfectiuam rerũ
insitam septenario vel ætates ab infantia
senectutem vsque, quas septimanis an-
norum metimur. namque primo septen-
nio dentes proueniunt, secundo tempe-
stiui ad genitură emittẽdam reddimur,
tertio barbam promittimus, quarto aug-
mentũ roboris consequimur, tum quin-
to tempus nuptias postulat, sexto vis
intelligendi maturatur, septimo tum
mens seipsa melior auctiórque euadit
tum ratio, octauo vtraq; plene perficitur,

nono verò æquitas ac mansuetudo, affectibus maiore ex parte perdomitis. porrò decimo finis vitæ optimus, integris etiam tum instrumentis sensuum. solet enim longa senectus vnumquemque supplantare & affligere, quas ætates etiam Solon Atheniensium legislator descripsit his elegiacis:

Impubes pueri septem voluentibus annis
Claudunt enatis dentibus eloquium.
Post alios totidem, diuerum numine dextro,
Occultum pubis nascitur indicium.
Annis ter septem prima lanugine malas
Vestiet, ætatis robore conspicuus.
Quartus id augebit iam septenarius, isque
Optima virtutis proferet indicia.
Adde alios totidem, festinans ocyus ætas
Coniugio monuit quærere progeniem.
Sexta ætas animo si quid deest addet, eàque
Disces quid deceat, quid quoque dedeceat.
At quæ succedunt per proxima ter duo lustra,
Ornabunt linguam dulcibus eloquiis.
Nona ætas languet, tum frigida membra retardant
Virtutem non vnquã interitura animi.
At quisquis decimam poterit contingere metam,
Iam tempestiuo funere conciderit.

Ita quidem Solon modo dictis decem septimanis humanam vitam dinumerat. Hippocrates verò medicus ait septem esse ætates, infantis, pueri, adolescentis, iuuenis, viri, senioris, senis. Harum mensuram septimanas annorum, non tamen deinceps. Sic autem dicit: In hominis natura septem sunt tempora, quas ætates vocant, infans, puer, adolescens, & reliquæ. Infans est donec intra septennium dentes amittat. Puer vsque geniture excretionem, ad geminatum septennium. Adolescens vsque barbæ hirsutiem, ad annum ter septimum. Iuuenis vsque dum crescit totum corpus, ad quater septimum. Vir vsque vndequinquagesimum, ad septies septimum. Senior vsque sextum supra quinquagesimum, ad octies septimum. Quicquid vero deinceps sequitur, ad senium pertinet. Illud quoque ad peculiarem septenarij commendationem affertur, quòd mirum habeat in natura ordinem, constans ex tribus & quatuor. Tertium quidem ab vnitate si quis duplicet, inueniet quadrangulum. quartum vero cubum. ex vtroque autem compositum, cubum simul & quadran-

A κατὰ δὲ τὴν ἐνάτην ἐπιείκεια καὶ πραότης, τῶν παθῶν ἐπὶ πλέον ἡμερωθέντων· κατὰ δὲ τὴν δεκάτην, τοῦ βίου τὸ εὐκταῖον τέλος, ἔτι τῶν ὀργανικῶν μελῶν συνεστηκότων· φιλεῖ γὰρ τὸ μακρὸν γῆρας ἕκαστον ὑποσκελίζειν καὶ παραιρεῖσθαι. ταύτας ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης, ἐλεγεῖα ποιήσας τάδε·

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος, ἕρκος ὀδόντων
Φύσας ἐκβάλλει πρῶτον ἐν ἑπτ᾽ ἔτεσιν.
B Τοὺς δ᾽ ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἑπτ᾽ ἐνιαυτούς,
Ἥβης ἐκφαίνει σήματα γεινομένης.
Τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων
Λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
Τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι ἔστιν ἄριστος
Ἰσχύν, οἵ τ᾽ ἄνδρες σήματ᾽ ἔχουσ᾽ ἀρετῆς.
Πέμπτῃ δ᾽ ὥριον ἄνδρα μεμνημένον αὖ γάμου εἶναι,
Καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν.
C Τῇ δ᾽ ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
Οὐδ᾽ ἔρδειν ἔθ᾽ ὅμως ἔργ᾽ ἀπάλαμνα θέλει.
Ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσι μέγ᾽ ἄριστος.
Ὀκτὼ δ᾽ ἀμφότερα, τέσσαρα καὶ δέκ᾽ ἔτη.
Τῇ δ᾽ ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ᾽ αὐτοῦ,
Πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη.
Τῇ δεκάτῃ δ᾽ εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
Οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

ὁ μὲν οὖν Σόλων ἑβδομάσι δέκα ταῖς εἰρημέναις καταριθμεῖ τὸν ἀνθρώπινον βίον. ὁ δ᾽ ἰατρὸς
D Ἱπποκράτης ἡλικίας ἑπτὰ εἶναί φησι, παιδίου, παιδός, μειρακίου, νεανίσκου, ἀνδρός, πρεσβύτου, γέροντος. ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. λέγει δ᾽ οὕτως· Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλοῦσι, παιδίον, παῖς, μειράκιον, καὶ αἱ λοιπαί. καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν ὀδόντων ἐκβολῆς· παῖς δ᾽ ἄχρι γονῆς ἐκφύσεως, ἑπτά, δὶς ἑπτά. μειράκιον δ᾽ ἄχρι γενείου λαχνώσεως, ἐς
E τὰ τρὶς ἑπτά. νεανίσκος δ᾽ ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά· ἀνὴρ δ᾽ ἄχρις ἑνὸς δέοντος πεντήκοντα, εἰς τὰ, ἑπτάκις ἑπτά. πρεσβύτης δ᾽ ἄχρι πεντήκοντα ἕξ, ἐς τὰ ἑπτάκις ὀκτώ. τὸ δ᾽ ἐντεῦθεν, γέρων. λέγεται δὲ πρὸς ἰδίαν σύστασιν ἑβδομάδος, ὡς θαυμαστὴν ἐχούσης ἐν τῇ φύσει τάξιν, ἐπεὶ συνέστηκεν ἐκ τριῶν καὶ τεττάρων· τὸν μὲν τρίτον ἀπὸ μονάδος εἰ διπλασιάζει τις, εὑρήσει τετράγωνον· τὸν δὲ τέταρτον, κύβον· τὸν δ᾽ ἐξ ἀμφοῖν ἕβδομον, κύβον ὁμοῦ

καὶ

καὶ τετράγωνον· ὁ μὲν οὖν ἀπὸ μονάδος τρίτος, ἐν διπλασίονι λόγῳ τετράγωνός ἐστιν. ὁ δὲ τέταρτος ὀκτώ, κύβος. ὁ δὲ ἕβδομος τέσσαρα πρὸς τοῖς ἑξήκοντα, κύβος ὁμοῦ καὶ τετράγωνος, ὡς τῷ τελεσφόρον ὄντως τὸν ἕβδομον ἀριθμόν, ἀμφοτέρας τὰς ἰσότητας καταγγέλλοντα, τήν τε ἐπίπεδον διὰ τετραγώνου, κατὰ τὴν πρὸς τριάδα συγγένειαν, καὶ τὴν στερεὰν διὰ κύβου, κατὰ τὴν πρὸς τετράδα οἰκειότητα. ἐκ τριάδος δὲ καὶ τετράδος, ἑβδομάς. ἔστι δὲ οὐ τελεσφόρος μόνον, ἀλλὰ καί, ὡς ἔπος εἰπεῖν, ἁρμονικωτάτη, καὶ τρόπον τινὰ πηγὴ τοῦ καλλίστου διαγράμματος, ὃ πάσας μὲν τὰς ἁρμονίας, τὴν διὰ τεττάρων, τὴν διὰ πέντε, τὴν διὰ πασῶν· πάσας δὲ τὰς ἀναλογίας, τὴν ἀριθμητικήν, τὴν γεωμετρικήν, ἔτι δὲ τὴν ἁρμονικὴν περιέχει. τὸ δὲ πλινθίον συνέστηκεν ἐκ τῶνδε τῶν ἀριθμῶν. ἕξ, ὀκτώ, ἐννέα, δώδεκα. ὁ μὲν ὀκτὼ πρὸς ἓξ ἐν ἐπιτρίτῳ λόγῳ, καθ' ὃν ἡ διὰ τεττάρων ἁρμονία ἐστίν· ὁ δὲ ἐννέα πρὸς ἓξ ἐν ἡμιολίῳ, καθ' ὃν ἡ διὰ πέντε· ὁ δὲ δώδεκα πρὸς ἓξ ἐν διπλασίονι, καθ' ὃν ἡ διὰ πασῶν. ἔχει δέ, ὡς ἔλεγον, καὶ τὰς ἀναλογίας ἁπάσας· ἀριθμητικὴν μέν, ἐκ τῶν ἓξ καὶ ἐννέα καὶ δώδεκα. ὡς γὰρ ὑπερέχει ὁ μέσος τοῦ πρώτου τρισίν, ὑπερέχεται ὑπὸ τοῦ τελευταίου. γεωμετρικὴν δέ, ἡ τῶν διὰ τεττάρων. ὃν γὰρ λόγον ἔχει τὰ ὀκτὼ πρὸς τὰ ἕξ, τοῦτον τὰ δώδεκα πρὸς τὸν ἐννέα· ὁ δὲ λόγος ἐπίτριτος. ἁρμονικὴν δὲ ἐκ τριῶν τῶν ἓξ καὶ ὀκτὼ καὶ δώδεκα. ἁρμονικῆς δ' ἀναλογίας διττὴ κρίσις· μία μέν, ὅταν ὃν λόγον ἔχει ὁ ἔσχατος τοῦ μέσου πρὸς τὸν πρῶτον, τοῦτον ἔχῃ ἡ ὑπεροχὴ ᾗ ὑπερέχει ὁ ἔσχατος τοῦ μέσου πρὸς τὴν ὑπεροχήν, ᾗ ὑπερέχεται ὑπὸ τοῦ μέσου ὁ πρῶτος. ἐναργεστάτην δὲ πίστιν λάβοι τις ἂν ἐκ τῶν προκειμένων ἀριθμῶν, τῶν ἓξ καὶ ὀκτὼ καὶ δώδεκα. ὁ μὲν γὰρ τελευταῖος τοῦ πρώτου διπλάσιος, ἡ δ' ὑπεροχὴ πάλιν διπλασία. τὰ μὲν γὰρ δώδεκα τῶν ὀκτὼ τέτταρσιν ὑπερέχεται· τὰ δὲ ὀκτὼ τῶν ἓξ δυσί. τὰ δὲ τέσσαρα τῶν δυοῖν διπλάσια. ἑτέρα δὲ βάσανος τῆς ἁρμονικῆς ἀναλογίας, ὅταν ὁ μέσος τῶν ἄκρων ἴσῳ μορίῳ ὑπερέχῃ καὶ ὑπερέχηται. ὁ γὰρ ὀκτὼ μέσος ὤν, ὑπερέχει μὲν τοῦ πρώτου τρίτῳ μορίῳ· ὑφαιρεθέντων γὰρ τῶν ἕξ, τὰ λοιπὰ δύο τρίτον ἐστὶ τοῦ πρώτου. ὑπερέχεται δ' ὑπὸ τοῦ τελευταίου τῷ ἴσῳ, εἰ γὰρ ὑφαιρεθείη τῶν δώδεκα τὰ ὀκτώ, τὰ λοιπὰ τέσσαρα γίνεται τοῦ τελευταίου τρίτον.

A gulum. Itaque ab vnitate tertius, in dupla ratione quadrangulus est. Quartus vero, scilicet octo, cubus, septimus autem quatuor ad septem, cubus simul & quadrangulus, ita vt omnino perfectus sit septimus numerus, ambas æqualitates promittens, & superficialem per triangulum, iuxta ternionis cognationem: & solidam per cubum iuxta familiaritatem quam habet cum quaternione. Ex ternione autem & quaternione fit septenarius. Est autem non B solum perfectiuus, sed vt verbo dicam, maximè harmonicus, & quodammodo fons pulcherrimi diagrammatis, quod omnes harmonias, scilicet diatessaron, diapente, diapason: omnes item proportiones, scilicet arithmeticam, geometricam & insuper harmonicam continet. Is laterculus constat ex his numeris, sex, octo, nouem, duodecim. octo quidem ad sex ratione supertertia, quæ est harmoniæ diatessaron. Nouem vero ad sex sesquialte- C ra, quæ est diapente. At duodecim ad sex ratione dupla, quæ est diapason. Continet autem (vt dixi) etiam proportiones omnes: arithmeticam quidem in his numeris, sex, nouem, duodecim. sicut enim medius primum tribus superat, ita totidem superatur ab vltimo. Geometricam vero ex his quatuor numeris, scilicet sex, octo, nouem, duodecim. Qua enim ratione se habent octo ad sex, eadem duodecim ad nouem. Est autem ratio supertertia. D Harmonicam porrò ex his tribus, sex, octo, duodecim. éstque harmonicæ proportionis duplex iudiciũ. Vnum, quãdo quam rationem habet vltimus ad primũ, eandẽ habet id quo superat vltimus medium, ad id quo primus superatur à medio. Id euidentissimũ fiet ex modo propositis numeris, qui sunt sex, octo, duodecim. Vltimus enim primi duplus est, & partes quibus se inuicem hi numeri superant, item duplæ. Nam duodenarius octonarium superat quatuor, & octona- E rius senarium duobus. Quatuor autem duorum duplum est. Alterum autem iudiciũ harmonicæ proportionis, quando medius æqua portione & superat & superatur ab extremis. octo enim consistens in medio, superat primum portione tertia. subtractis enim sex, reliqua duo sunt primi tertia portio. superatur quoque ab vltimo æqua portione. Subtractis enim octo à duodecim, reliqua quatuor fient vltimi portio tertia.

Hæc necessario dicenda habuimus de pulchritudine quam habet hoc diagramma siue laterculus, siue quocunq; alio libet appellare nomine. tot ideas atq; etiã plures septenarius ostendit in rebus incorporeis & intelligibilibus. extẽdit autem se eius natura & in omnẽ visibilem essentiam, quæ cælum ac terram, id est, huius vniuersi fines occupat. quæ enim mundi pars erga septenarium non afficitur, amore & desiderio eius domita? Primo cælum ipsum aiunt septem cinctum circulis, quorum nomina sunt hæc, arcticus, antarcticus, tropicus solstitialis, tropicus brumalis, æquinoctialis, signifer, & insuper lacteus. nam horizon nostrum est accidens, quatenus quisque aut acute cernit, aut contra, sensu circumquaque protendente se vlterius aut citerius. certe erraticarum cohors aduersum fixis cursum tenens, septem distinguitur ordinibus, maximum præ se ferens affectum erga terram & aëra. nam hunc quidem quaternis quotannis temporibus variat, per singula infinitas mutationes afferens, tranquillitatibus, serenitatibus, nubilationibus, procellarum violentia. Fluuios quoque inundant & minuunt, campósque stagnare aut contra squalere faciunt. Quin & in mari easdem vices inducũt, accedente recedentéque. Licet enim videre sinus marinos vbi refugiente æstu amplum repente littus existit: & paulo post reuertente, mare se reddit altissimum, non paruis onerariis, sed centies centenas amphoras vehentibus nauigabile. Nec minus terrenis omnibus tum animantibus tum stirpibus largiuntur incrementa maturitatémque fructuum, singulorũ naturam fouendo ad cursus recursúsque indefatigabiles, vt noui flores succedant, móxque maturescant ad præbendam indigentibus copiam. Vrsa quidem quam vocant nautarum deductrix, è septem stellis constat: quam spectando gubernatores mille viis sulcant maria, tentantes rem arduã & maiorem quam pro humana sapientia. hoc enim scopo vsi, scrutando inuenerunt regiones ignotas maioribus, continentis quidem incolæ insulas, insulani vero in continente sitas. oportebat enim à purissima cæli essentia animali Deo charo terræ simul marisque recessus abditos ostendi, videlicet humano generi. Huc accedit etiam pleiadum chorus ex septem stellis absolutus, quarũ emersus & occultationes magnorum commodorũ causa fiunt omnibus.

A ταῦτα μὲν ἀναγκαίως περὶ σεμνότητος, ἣν ἔχει τὸ διάγραμμα ἢ πλινθίον, ἢ ὅ, τι χρὴ καλεῖν, προσυφηράνθω. τοσαύτας ἰδέας καὶ ἔτι πλείους ἡ ἑβδομὰς ἐν ἀσωμάτοις καὶ νοητοῖς ἐπιδείκνυται. διατείνει δ᾽ αὐτῆς ἡ φύσις καὶ ἐπὶ τὴν ὁρατὴν ἅπασαν οὐσίαν, οὐρανὸν καὶ γῆν, τὰ πέρατα τοῦ παντὸς φθάσασα· τί γὰρ οὐ φιλέβδομον τῶν ἐν τῷ κόσμῳ μερῶν, ἔρωτι καὶ πόθῳ δαμασθὲν ἑβδομάδος. αὐτίκα τὸν οὐρανόν φασιν ἑπτὰ διεζῶσθαι
B κύκλοις, ὧν ὀνόματα ἐστὶ τάδε, ἀρκτικόν, ἀνταρκτικόν, θερινὸν τροπικόν, χειμερινὸν τροπικόν, ἰσημερινόν, ζῳδιακόν, καὶ προσέτι γαλαξίαν· ὁ γὰρ ὁρίζων, πάθος ἐστὶν ἡμέτερον· ὡς ἂν ὀξυωπίας ἔχῃ τις, ἢ τοὐναντίον, ἀποτεμνομένης τῆς αἰσθήσεως, ὃ μὲν ἐλάττω, ὃ δὲ μείζω περιγραφήν. οἱ γε μὴν πλάνητες, ἡ τῶν ἀντιρρόπως στρατιὰ τῆς τῶν ἀπλανῶν, ἑπτὰ διακοσμοῦνται τάξεσι, πλείστην ἐπιδεικνύμενοι συμπάθειαν πρὸς ἀέρα καὶ γῆν. τὸν μὲν γὰρ εἰς τὰς ἐτησίους ἐπικαλουμένας ὥρας τρέπουσι,
C καθ᾽ ἑκάστην μυρίας ὅσας ἐμποιοῦντες μεταβολάς, νηνεμίαις, αἰθρίαις, νεφώσεσι, βίαις ἐξαισίαις πνευμάτων· ποταμούς τε πλημμυροῦσι καὶ μειοῦσι, καὶ πεδία λιμνάζουσι, καὶ τοὐναντίον ἀφαναίνουσι· καὶ πελαγῶν ἐργάζονται τροπάς, ἐξαναχωρούντων, ἢ παλιρροίαις χρωμένων. εὑρεῖν γάρ ἐστιν ὅτε κόλποι θαλάττης ὑποσυρείσης ἀμπώτεσι, βαθὺς ἐξαίφνης αἰγιαλὸς ἔστι· καὶ μικρὸν ὕστερον ἀναχυθείσης, πελάγη βαθύτατα οὐ βραχείαις ὁλκάσιν, ἀλλὰ μυριοφόροις ναυσὶν
D ἐμπλεόμενα. καὶ μὴν δὴ τὰ ἐπίγεια πάντα ζῷά τε αὖ καὶ φυτὰ καρποὺς γεννῶντα, αὔξουσι καὶ τελεσφοροῦσι, τὴν ἐν ἑκάστοις φύσιν δολιχεύειν παρασκευάζοντες, ὡς νέα παλαιοῖς ἐπανθεῖν, καὶ ἐπακμάζειν πρὸς χορηγίας ἀφθόνους τῶν δεομένων. ἄρκτος τε μὴν ἣν φασι πλωτήρων εἶναι προπομπόν, ἐξ ἑπτὰ ἀστέρων συνέστηκεν· εἰς ἣν ἀφορῶντες κυβερνῆται τὰς ἐν θαλάττῃ μυρίας ὁδοὺς ἀνέτεμον, πράγματι ἀπίστῳ καὶ μείζονι ἢ κατὰ γνώμην ἀνθρωπίνην ἐπιθέμενοι.
E στοχασμῷ γὰρ τῶν εἰρημένων ἀστέρων, τὰς πρὶν ἀδηλουμένας χώρας ἀνεῦρον, νήσους μὲν οἱ τὴν ἤπειρον οἰκοῦντες, νησιῶται δὲ ἠπείρους. ἔδει γὰρ ὑπὸ τοῦ καθαρωτάτου τῆς οὐσίας οὐρανοῦ, ζώῳ τῷ θεοφιλεστάτῳ γῆς ὁμοῦ καὶ θαλάττης ἀναδειχθῆναι τοὺς μυχοὺς ἀνθρώπων γένει. πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὁ τῶν πλειάδων χορός, ἀστέρων ἑβδομάδι συμπεπλήρωται, ὧν αἱ ἐπιτολαὶ καὶ αἱ ἀποκρύψεις μεγάλων ἀγαθῶν αἴτιαι πᾶσι γίνονται.

δυομένων μὲν γὰρ, αὔλακες ἀνατέμνονται πρὸς σπόρον· ἡνίκα δ' ἄρξωνται ἐπιτέλλειν, ἀμητὸν εὐαγγελίζονται· καὶ ἐπιτείλασαι χαίροντας γεωπόνους πρὸς συγκομιδὴν τῶν ἀναγκαίων ἐγείρουσιν· οἱ δ' ἄσμενοι τὰς τροφὰς ἀποτίθενται πρὸς τὴν καθ' ἑκάστην ἡμέραν χρῆσιν. ὁ δ' ἡγεμὼν ἡμέρας ἥλιος, διττὰς καθ' ἕκαστον ἐνιαυτὸν ἀποτελῶν ἰσημερίας, ἔαρι καὶ μετοπώρῳ· τὴν μὲν ἐαρινὴν, ἐν κριῷ, τὴν δὲ μετοπωρινὴν, ἐν ζυγῷ, ἐναργεστάτην παρέχεται πίστιν τοῦ περὶ τὴν ἑβδόμην θεοπρεποῦς. ἑκατέρα γὰρ τῶν ἰσημεριῶν ἑβδόμῳ γίνεται μηνὶ, καθ' ἃς καὶ ἑορτάζειν διείρηται νόμῳ τὰς μεγίστας καὶ δημοτελεστάτας ἑορτάς· ἐπειδήπερ ἀμφοτέραις ὅσα ἐκ γῆς πελαγοφορεῖται, ἔαρι μὲν ὁ τοῦ σίτου καρπὸς, καὶ τῶν ἄλλων ὅσα σπαρτά· μετοπώρῳ δὲ ὁ τῆς ἀμπέλου καὶ τῶν ἄλλων πλείστων ἀκροδρύων. ἐπεὶ δ' ἐκ τῶν οὐρανίων τὰ ἐπίγεια ἤρτηται κατά τινα φυσικὴν συμπάθειαν, ὁ τῆς ἑβδομάδος λόγος ἄνωθεν ἀρξάμενος, κατέβη καὶ πρὸς ἡμᾶς, τοῖς θνητοῖς γένεσιν ἐπιφοιτήσας· αὐτίκα τῆς ἡμετέρας ψυχῆς τὸ δίχα τοῦ ἡγεμονικοῦ μέρος ἑπταχῇ σχίζεται, πρὸς πέντε αἰσθήσεις, καὶ τὸ φωνητήριον ὄργανον, καὶ ἐπὶ πᾶσι τὸ γόνιμον. ἃ δὴ πάντα, καθάπερ ἐν τοῖς θαύμασιν ὑπὸ τοῦ ἡγεμονικοῦ νευροσπαστούμενα, τοτὲ μὲν ἠρεμεῖ, τοτὲ δὲ κινεῖται, τὰς ἁρμοττούσας σχέσεις καὶ κινήσεις ἕκαστον. ὁμοίως δὲ καὶ τοῦ σώματος εἴ τις ἐξετάζειν ἐπιχειρήσειε, τά τε ἐντὸς καὶ ἐκτὸς μέρη, καθ' ἑκάτερον ἑπτὰ εὑρήσει. τὰ μὲν οὖν ἐμφανῆ ταῦτ' ἐστὶ, κεφαλὴ, στέρνα, γαστὴρ, διτταὶ χεῖρες, διτταὶ βάσεις· τὰ δ' ἐντὸς λεγόμενα σπλάγχνα, στόμαχος, καρδία, πνεύμων, σπλὴν, ἧπαρ, νεφροὶ δύο. πάλιν τε αὖ τὸ ἡγεμονικώτατον ἐν ζῴῳ, κεφαλὴ, τοῖς ἀναγκαιοτάτοις ἑπτὰ χρῆται, δυσὶν ὀφθαλμοῖς, ἀκοαῖς ἴσαις, αὐλοῖς μυκτῆρσι δυσὶν, ἑβδόμῳ στόματι, δι' οὗ γὰρ θνητῶν μὲν, ὡς ἔφη Πλάτων, εἴσοδος, ἔξοδος δ' ἀφθάρτων. ἐπεισέρχεται μὲν γὰρ εἰς αὐτὸ σιτία καὶ ποτὰ, φθαρτοῦ σώματος φθαρταὶ τροφαί. λόγοι δ' ἐξίασιν, ἀθανάτου ψυχῆς ἀθάνατοι νόμοι, δι' ὧν ὁ λογικὸς βίος κυβερνᾶται. τὰ δ' ὑπὸ τῆς ἀρίστης τῶν αἰσθήσεων ὄψεως κρινόμενα μετέχει τοῦ ἀριθμοῦ κατὰ γένος· ἑπτὰ γάρ ἐστι τὰ ὁρώμενα, σῶμα, διάστασις, σχῆμα, μέγεθος, χρῶμα, κίνησις, στάσις, καὶ παρὰ ταῦτα οὐδὲν ἕτερον. συμβέβηκε μέντοι καὶ τὰς τῆς φωνῆς μεταβολὰς ἁπάσας ἑπτὰ εἶναι, τὴν ὀξεῖαν, τὴν βαρεῖαν, τὴν περισπωμένην, καὶ τέταρτον δασὺν φθόγγον, καὶ ψιλὸν πέμπτον, καὶ μακρὸν ἕκτον, καὶ βραχὺν ἕβδομον. ἀλλὰ γὰρ καὶ κινήσεις ἑπτὰ εἶναι συμβέβηκε, τὴν ἄνω,

[A] his enim occidentibus sulci proscinduntur ad sementem. ortu vero earum instante, lætum futuræ messis nuncium afferunt, exortæ item agricolas gestientes ad comportationem rerum necessariarum excitant. illi vero libenter recondunt cibaria, quæ mox in quotidianos vsus depromant. Sol ipse diei dux, bina quotannis æquinoctia faciens, vere atque autumno, vernum in ariete, autumnale in libra, euidentissimam probationem exhibet diuinæ maiestatis in [B] septenario. vtrunq; enim æquinoctium fit mense septimo: quibus temporibus etiam festa indixit lex duo maxima & celeberrima, quandoquidem vtroque quicquid terra fert perficitur, vere quidem frumentum, & quæcunque seminamus alia: autumno verò vitis fructus, & plerarúmque aliarum arborum. & quoniam à cælestibus terrena dependent iuxta quendam naturalem consensum, septenarij ratio superne orta, des[C]cendit & ad nos, vt mortales inuiseret. Iamprimum nostræ animæ, excepta mente rectrice, partes septem sunt, accedente ad quinque sensus organo vocis, & postrema vi genitali. quę sane omnia, sicut fit in miraculosis machinis, à mente tanquam occultis quibusdā neruis trahente, nunc mouentur, nunc sinuntur quiescere, vtcunque motus aut quies competit. Similiter & corporis si quis internas externásve partes examinet, septenas inueniet. in propatulo [D] quidem hasce: caput, pectus, ventrem, manus geminas & pedes: intestinas vero, stomachum, cor, pulmonem, lienem, iecur, renes duos. item quod regnum obtinet in animante caput, maxime necessariis instrumentis septem vtitur, geminis oculis auribúsque & totidem naribus, septimóque ore, per quod mortalia (vt ait Plato) intrant, exeunt immortalia. Intrāt enim id cibi & potus, corruptibilis corporis alimenta corruptibilia: [E] prodeunt autem à ratione immortalis animæ immortales leges, per quas rationalis vita regitur. Item quæ per visum præstantissimum omnium sensuum iudicantur, ad eundem numerum pertinent in genere. Septem enim sunt quæ conspiciuntur, corpus, distantia, figura, magnitudo, color, motus, status, præterea nihil. Vocis quoque mutationes vniuersæ cadunt in septenarium, acuta, grauis, circumflexa, quarto loco vox aspera, quinto lenis, sexto longa, breuis septimo. Quin & motus

ſeptem eſſe animaduertuntur, ſurſum, deorſum, dextrorſum, ſiniſtrorſumque, prorſum, retrorſúmque, & in orbem, ſicut clariſſime liquere poteſt ex ſaltationibus. Aiunt inſuper excrementa quoque corporis ſubiici modo dicto numero. namque ex oculis promanant lachrymæ, ſicut per ambas nares purgationes capitis, per os item ſaliuæ quas exſpuimus. Inſunt etiam geminæ cloacæ, per quas deriuantur ſuperfluitates corporum, altera antica, poſtica altera. Sextum eſt per totum corpus ſudoris proſluuium, adhæc naturaliſſima ſeminis effuſio per membra genitalia. Rurſum mulierum fluxus menſtruus ad diem vt plurimum ſeptimum durat: & fœtus intra vterum menſibus ſeptem animantur naturaliter, vt quiddam valde mirandum accidat. Fiunt enim ſeptimeſtres partus vitales, cum octimeſtres omnino impoſſibile ſit viuere. Acuti quoque morbi corporum, præſertim cum ex mala temperatura virium in febres continuas incidimus, ſeptimo fermè die iudicantur. Hic enim in tali de vita certamine, aliis ſalutem, aliis mortem decernit. Eiuſdem numeri vis non ſolum in iam dictis, verum etiam in optima quaque ſcientiarum verſatur, vt grammatica & muſica. Lyra enim ſeptem tenta fidibus, proportione reſpondens ſeptem erraticarum choreæ, memorabiles harmonias perficit, princeps inter omnia propemodum inſtrumenta muſica. inter elementa quoque grammaticæ, vocales quæ verè ſic dicuntur, ſeptem ſunt, quandoquidem & per ſe videntur ſonare, & aliis coniunctæ, voces articulatas efficiunt. nam in ſemiuocalibus ſupplent quod deeſt, reddendo ſonos integros, mutarum verò vertunt & mutant naturas, afflando eis virtutes proprias, vt ineffabiles antea, iam fiant effabiles. Quamobrem mihi videntur primi nominum impoſitores, quippe ſapientes, vocaſſe hunc numerum ἀπὸ σεβασμοῦ, id eſt ab inſita maieſtate honeſtatéque. Romani certe addito ſigma quod deeſt in Græco vocabulo, clarius etiam exprimunt vim etymologicam, SEPTEM cum appellando, à maieſtate (vt dictum eſt) honeſtatéque ipſius. Hæc aliáque plura à philoſophiæ ſtudioſis dicuntur de ſeptenario, propter quæ ſummo honore in natura ſuperna dignatus eſt. nec minus honoratur apud præcipuos vel

A τὴν κάτω, τὴν ἐπὶ δεξιά, τὴν ἐπ' εὐώνυμα, τὴν πρόσω, τὴν κατόπιν, τὴν ἐν κύκλῳ, ἃς ἐν τοῖς μάλιστα τρανοῦσιν οἱ τὴν ὄρχησιν ἐπιδεικνύμενοι. φασὶ δὲ καὶ τὰς διὰ τοῦ σώματος ἐκκρίσεις ὑπεστάλθαι τῷ λεχθέντι ἀριθμῷ. διὰ μὲν γὰρ ὀφθαλμῶν δάκρυα προχεῖται, διὰ δὲ μυκτήρων αἱ ἐκ κεφαλῆς καθάρσεις, διὰ δὲ στόματος οἱ ἀποπτυόμενοι σίαλοι. εἰσὶ δὲ καὶ διτταὶ δεξαμεναὶ πρὸς τὰς τῶν περιττωμάτων ἀποχετεύσεις, ἡ μὲν ἔμπροσθεν, ἡ δὲ κατόπιν· ἕκτη δ' ἐστὶν, B ἡ δι' ὅλου τοῦ σώματος ἐν ἱδρῶτι πρόχυσις, καὶ ἡ φυσικωτάτη τοῦ σπέρματος πρόεσις διὰ τῶν γεννητικῶν. πάλιν τε αὖ γυναιξὶν ἡ καταφορὰ τῶν καταμηνίων εἰς ἑπτὰ τὰς πλείστας ἡμέρας χορηγεῖται. καὶ τὰ κατὰ γαστρὸς βρέφη μησὶν ἑπτὰ ζωογονεῖσθαι πέφυκεν, ὡς παραδοξότατόν τι συμβαίνειν. τὰ γὰρ ἑπτάμηνα γόνιμα, τῶν ὀκταμηναίων ὡς ἐπίπαν ζωογονεῖσθαι μὴ δυναμένων· αἵ τε βαρεῖαι νόσοι σωμάτων, καὶ μάλισθ' C ὅταν ἐκ δυσκρασίας τῶν ἐν ἡμῖν δυνάμεων πυρετοὶ συνεχεῖς ἐπισκήψωσιν, ἑβδόμῃ μάλιστά πως ἡμέρᾳ διακρίνονται. δικάζει γὰρ ἀγῶνα τὸν περὶ ψυχῆς, τοῖς μὲν σωτηρίαν ψηφιζομένη, τοῖς δὲ θάνατον. ἡ δὲ δύναμις αὐτῆς οὐ μόνον τοῖς εἰρημένοις, ἀλλὰ καὶ ταῖς ἀρίσταις τῶν ἐπιστημῶν ἐπιπεφοίτηκε, γραμματικῇ καὶ μουσικῇ. λύρα μὲν γὰρ ἡ ἑπτάχορδος, ἀναλογοῦσα τῇ τῶν ἑπτὰ πλανήτων χορείᾳ, τὰς ἐλλογίμους ἁρμονίας ἀποτελεῖ, σχεδόν τι τῆς κατὰ μουσικὴν D ὀργανοποιίας ἁπάσης ἡγεμονὶς οὖσα· στοιχείων δὲ τῶν ἐν γραμματικῇ τὰ λεγόμενα φωνήεντα ἐτύμως, ἑπτά ἐστιν, ἐπειδὴ καὶ δι' ἑαυτῶν ἔοικε φθέγγεσθαι, καὶ τοῖς ἄλλοις συνταττόμενα, φωνὰς ἐνάρθρους ἀποτελεῖ. τῶν μὲν γὰρ ἡμιφώνων ἀναπληροῖ τὸ ἐνδέον, ὁλοκλήρους κατασκευάζοντα τοὺς φθόγγους· τῶν δ' ἀφώνων τρέπει καὶ μεταβάλλει τὰς φύσεις, ἐμπνέοντα τῆς ἰδίας δυνάμεως, ἵνα γένηται τὰ ἄρρητα ῥητά. διό μοι δοκοῦσιν οἱ E τὰ ὀνόματα τοῖς πράγμασιν ἐξ ἀρχῆς ἐπιφημίσαντες, ἅτε σοφοὶ καλέσαι τὸν ἀριθμὸν ἑπτὰ ἀπὸ τοῦ περὶ αὐτὸν σεβασμοῦ, καὶ τῆς προσούσης σεμνότητος. ῥωμαῖοι δὲ καὶ προσθέντες τὸ ἐλλειφθὲν ὑφ' ἑλλήνων στοιχεῖον τὸ σ, τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν ἐτυμωτέραν, σέπτεμ προσαγορεύοντες, ἀπὸ τοῦ σεμνοῦ, καθάπερ ἐλέχθη, καὶ σεβασμοῦ. ταῦτα καὶ πλείω λέγεται καὶ φιλοσοφεῖται περὶ ἑβδομάδος· ὧν ἕνεκα τιμῆς μὲν ἔλαχεν ἐν τῇ φύσει τῇ αἰσθητῇ·

τιμᾶται δὲ καὶ παρὰ τοῖς δοκιμωτάτοις ἑλλήνων καὶ βαρβάρων, οἳ τὴν μαθηματικὴν ἐπιστήμην διαπονοῦσιν· ἐκτετίμηται δ' ὑπὸ τοῦ φιλαρέτου Μωσέως, ὃς τὸ κάλλος αὐτῆς ἀνέγραψεν ἐν ταῖς ἱερωτάταις τοῦ νόμου στήλαις· ταῖς δὲ διανοίαις τῶν ὑφ' αὐτὸν ἁπάντων ἐχάραξε δι' ἓξ ἡμερῶν, κελεύσας ἄγειν ἱερὰν ἑβδόμην, ἀπὸ τῶν ἄλλων ἀνέχοντας ἔργων ὅσα κατὰ ζήτησιν βίου καὶ πορισμόν, ἐνὶ μόνῳ σχολάζοντας τῷ φιλοσοφεῖν εἰς βελτίωσιν ἠθῶν, καὶ τὸν τοῦ συνειδότος ἔλεγχον· ὃς ἐνιδρυμένος τῇ ψυχῇ, καθάπερ δικαστὴς ἐπιπλήττων οὐ δυσωπεῖται, τὰ μὲν σφοδροτέραις ἀπειλαῖς, τὰ δὲ καὶ μετριωτέραις νουθεσίαις χρώμενος· περὶ μὲν ὧν ἔδοξεν ἀπειθεῖν ἐκ προνοίας, ἀπειλαῖς· περὶ δὲ ὧν ἀκούσια, διὰ τὸ ἀπερισκέπτως ἔχειν, νουθεσίαις, ὑπὲρ τοῦ μηκέθ' ὁμοίως ὀλισθεῖν. ἐπιλογιζόμενος δὲ τὴν κοσμοποιΐαν, κεφαλαιώδει τύπῳ φησίν· Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. ἆρ' οὐκ ἐμφανῶς τὰς ἀσωμάτους καὶ νοητὰς ἰδέας παρίστησιν, ἃς τῶν αἰσθητῶν ἀποτελεσμάτων σφραγῖδας εἶναι συμβέβηκε; πρὶν γὰρ χλοῆσαι τὴν γῆν, αὐτὸ τοῦτο ἐν τῇ φύσει τῶν πραγμάτων, χλόη φησὶν ἦν· καὶ πρὶν ἀνατεῖλαι χόρτον ἐν ἀγρῷ, χόρτος ἦν οὐχ ὁρατός. ὑπονοητέον δ' ὅτι καὶ ἑκάστου τῶν ἄλλων ἃ δικάζουσιν αἰσθήσεις, τὰ πρεσβύτερα εἴδη καὶ μέτρα, οἷς εἰδοποιεῖται καὶ μετρεῖται τὰ γινόμενα, προϋπῆρχε. καὶ γὰρ εἰ τὰ κατὰ μέρος, ἀθρόα πάντα διεξελήλυθε, φροντίζων εἰ καί τις ἄλλος βραχυλογίας, οὐδὲν ἧττον τὰ ῥηθέντα ὀλίγα δείγματα τῆς τῶν συμπάντων ἐστὶ φύσεως, ἥτις ἄνευ ἀσωμάτου παραδείγματος, οὐδὲν τελεσιουργεῖ τῶν ἐν αἰσθήσει. τῆς δ' ἀκολουθίας ἐχόμενος, καὶ τὸν εἱρμὸν τῶν ἑπομένων πρὸς τὰ ἡγούμενα διατηρῶν, λέγει ἑξῆς, Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον αὐτῆς· οἱ μὲν γὰρ ἄλλοι φιλόσοφοι τὸ σύμπαν ὕδωρ ἓν στοιχεῖον εἶναί φασι τῶν τεττάρων, ἐξ ὧν ὁ κόσμος ἐδημιουργήθη· Μωσῆς δ' ὀξυωπεστέροις ὄμμασι καὶ τὰ μακρὰν εἰωθὼς εὖ μάλα θεωρεῖν καὶ καταλαμβάνειν, στοιχεῖον μὲν οἴεται εἶναι τὴν μεγάλην θάλατταν, μοῖραν τετάρτην τῶν συμπάντων, ἣν οἱ μετ' αὐτὸν ὠκεανὸν προσαγορεύοντες, τὰ παρ' ἡμῖν πλωτὰ πελάγη λιμένων ἔχειν μεγέθη νομίζουσι· τὸ δὲ γλυκὺ καὶ πότιμον ὕδωρ διέκρινεν ἀπὸ τοῦ θαλαττίου, πρὸς κατατάξας αὐτὸ γῇ·

A Græcos vel Barbaros, qui exercent diſciplinam mathematicam. in honore eſt etiam apud virtutum amantiſſimum Moſen, qui eius pulchritudinem inſcripſit ſacratiſſimis legis tabulis, candémque animis poſterorũ cunctorũ cunctis inſculpſit, poſt ſex dies iubens feſtũ agi ſeptimo, ab aliis abſtinendo operibus, quæcunq; ad quærendũ parandũmq; victum attinent, interim vacando vni philoſophiæ ſtudio corrigendiſque morib. & examini conſcientiæ: quod inſitũ in
B anima, tanquam iudex obiurgare nõ veretur, aliis intentando minas vehementius, alios admonendo modeſtius: eos quidem qui ſponte ſua cõtumaces ſunt, minis territans, eos vero qui peccant inuiti per imprudentiam, ciuiliter admonens, ne poſthac labantur ſimiliter. Deinde per epilogum creationem mundi ſummatim memorans, inquit propheta: Hic eſt liber generationis cæli & terræ, quando creata ſunt, die quo fecit Deus cælum & terram, & omne virgul-
C tum agri, antequam oriretur in terra, omnémq; herbã agri priuſquàm germinaret.] An non manifeſte incorporeas & intelligibiles ideas memorat, quibus tãquam annulis ſignatoriis exprimi res ſenſibiles cõtigit. prius enim quàm terra virgultum proderet, ait in rerum natura virgultũ ipſum fuiſſe, & priuſquam herba in agro exiſteret, herbam fuiſſe inuiſibilem: ſubintelligendum autem quod & ante ſingulas res alias, quas ſen-
D ſus indicant, antiquiores effigies, menſuræque quibus effigiuntur & metiuntur, iam fuerant. nam etiamſi particulariter percenſuiſſet omnia, vir alioqui breuitatis ſtudioſus ſiquis alius, nihilominus iam dicta pauca hæc eſſent exempla naturæ vniuerſorũ, quæ abſq; incorporeo exemplari nihil in rebus ſenſibilib. perficit. deinde ordinẽ ſequendo, & obſeruando rerũ conſequentiã dicit: Fons autẽ aſcendebat è terra, & irrigabat omnem ſuperficiẽ eius.] Nã alij philoſophi vniuerſam aquam aiunt eſſe elementum
E vnum ex quatuor, ex quibus mundus creatus eſt. ſed Moſes acrioribus oculis etiã longinquã diligenter cõtemplari & comprehendere ſolitus, elementũ quidem opinatur eſſe magnum hoc mare, partem quartam vniuerſi, quam poſteriores oceanum nominantes, maria quæ nos permeamus ad illum collata habere portuum magnitudinẽ exiſtimant. dulcem autem aquam & potabilem ſecreuit à marina, quam terræ attribuit, ratus

huius partē non illius, vel ob causam dictum superius, vt tanquam vinculo contineatur dulci qualitate pro glutine insita. arida enim relicta nullo subintrante humore, qui foramina ipsius varia permearet, fortasse fatisceret. nunc continetur & permanet, partim vi vnientis spiritus, partim humore qui non finit arefactam abire in fragmenta maiora minoraque. & hæc quidem vna est causa. iam dicenda & altera, à veritate tanquam scopo non aberrans. Nihil è terra genitū absque humida essentia cōsistere natura patitur. id semina iacta indicant: quæ quidem aut humida sunt vt animalium, aut sine humiditate non germinãt, qualia sunt stirpium. Vnde liquet necessario dictam humidam essentiam partem esse terrę omnia parientis, sicut mulieres opus habēt menstruis. Aiunt enim naturæ perquisitores hanc esse fœtuum essentiam in vtero, nec dissentaneum est ab his quæ diximus, quod mox dicetur. Cuilibet matri tanquam partem summe necessariā natura scaturientes mammas addidit, præparans alimenta nasci turis infantibus. Mater autem etiam terra esse videtur, quapropter & priscis illis placuit vt vocaretur δημήτηρ composito è matre & terra nomine. non enim terra mulierem (vt dixit Plato) sed mulier terrā imitatur: quam vere poëtica gens omniparentem, frugiferam, Pandorámque nominare solita est: quippe causam generationis & perpetuitatis tam stirpium quàm animalium. Merito igitur terræ quoque antiquissimæ matrum ac fœcundissimæ natura tanquam mammas dedit, amnium fluenta fontiumque, vt stirpes rigentur, & omnia animalia potum copiosum habeant. Post hæc autem inquit: Formauit Deus hominem, humo sumpta de terra: & inspirauit in faciem eius spiritum vitæ.] Hic quoque manifestissime docet, plurimum differre inter eum qui nunc formatus est hominē, & eum qui ad imaginem Dei factus est antea. Qui enim nunc formatur, sensibilis est, particeps qualitatis, ex corpore constans & anima, vir & mulier, natura mortalis. Ille vero ad imaginem factus, idea quædam aut genus aut signaculum, intelligibilis, incorporeus, nec mas, nec fœmina, naturaliter incorruptibilis: sensibilis autem & specialis hominis structuram compositam esse ait ex terrena essentia, & diuino spiritu. Factum enim corpus quidem ex humo quam sumpsit artifex, & for-

A καὶ μέρος ταύτης ὑπολαβών, οὐκ ἐκείνου, διὰ τὴν λεχθεῖσαν αἰτίαν προτέρην, ἵν᾽ ὡς ἂν ὑπὸ δεσμοῦ συνέχηται γλυκείᾳ ποιότητι, κόλλης τρόπον ἐνούσης. ξηρὰ γὰρ ἀπολειφθεῖσα, μὴ παρενδυομένης νοτίδος, διὰ τῶν ἀραιωμάτων τῶν πολυσχιδῶν ἐπιφοιτώσης, κἂν διεῖλεν αὐτό. συνέχεται δὲ καὶ διαμένει, τὰ μὲν πνεύματος ἑνωτικοῦ δυνάμει· τὰ δὲ νοτίδος οὐκ ἐώσης ἀφαυαινομένην κατὰ τρύφη μικρὰ καὶ μεγάλα θρύπτεσθαι. μία μὲν αἰτία ἥδε. λεκτέον δὲ καὶ ἑτέραν στοχαζομένην
B ὥσπερ σκοποῦ τῆς ἀληθείας. οὐδὲν τῶν γηγενῶν ἄνευ ὑγρᾶς οὐσίας συνίστασθαι πέφυκε. μηνύουσι δ᾽ αἱ καταβολαὶ τῶν σπερμάτων, ἅπερ ἢ ὑγρά ἐστιν, ὡς τὰ τῶν ζῴων, ἢ οὐκ ἄνευ ὑγρότητος βλαστάνει, τοιαῦτα δὲ τὰ τῶν φυτῶν ἐστιν. ἐξ οὗ δῆλον ὅτι ἀναγκαῖον τὴν λεχθεῖσαν ὑγρὰν οὐσίαν μέρος εἶναι γῆς τῆς πάντα τικτούσης, καθάπερ ταῖς γυναιξὶ τὴν φορὰν τῶν καταμηνίων. λέγεται γὰρ οὖν καὶ ταῦτα πρὸς ἀνδρῶν φυσικῶν, οὐσία σωματικὴ βρεφῶν εἶναι. τῷ δὲ εἰρημένῳ, οὐκ ἀπᾴδει καὶ
C τὸ μέλλον λέγεσθαι. πάσῃ μητρὶ καθάπερ ἀναγκαιότατον μέρος ἡ φύσις πηγάζοντας ἀνέδωκε μαστούς, προευτρεπισαμένη τροφὰς τῷ γεννησομένῳ. μήτηρ δ᾽ ὡς ἔοικε καὶ ἡ γῆ, παρὸ καὶ τοῖς πρώτοις ἔδοξεν αὐτὴν δήμητραν καλέσαι, τὸ μητρὸς καὶ γῆς ὄνομα συνθεῖσιν. οὐ γὰρ γῆ γυναῖκα, ὡς εἶπε Πλάτων, ἀλλὰ γυνὴ γῆν μεμίμηται· ἣν ἐτύμως τὸ ποιητικὸν γένος παμμήτορα, καὶ καρποφόρον, καὶ πανδώραν εἴωθεν ὀνομάζειν,
D ἐπειδὴ πάντων αἰτία γενέσεως καὶ διαμονῆς ζῴων ὁμοῦ καὶ φυτῶν ἐστιν. εἰκότως οὖν καὶ γῇ τῇ πρεσβυτάτῃ καὶ γονιμωτάτῃ μητέρων ἀνέδωκεν ἡ φύσις οἷα μαστούς, ποταμῶν ῥεῖθρα καὶ πηγῶν, ἵνα τά τε φυτὰ ἄρδοιτο, καὶ ποτὸν ἄφθονον ἔχοι πάντα τὰ ζῷα. μετὰ δὲ ταῦτά φησιν ὅτι ἔπλασεν ὁ θεὸς ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ἐναργέστατα καὶ διὰ τούτου παρίστησιν ὅτι διαφορὰ παμμεγέθης ἐστὶ τοῦ τε νῦν πλασθέντος ἀνθρώπου, καὶ τοῦ
E κατὰ τὴν εἰκόνα θεοῦ γεγονότος πρότερον. ὁ μὲν γὰρ διαπλασθεὶς ἤδη αἰσθητός, μετέχων ποιότητος, ἐκ σώματος καὶ ψυχῆς συνεστώς, ἀνὴρ ἢ γυνή, φύσει θνητὸς ὤν· ὁ δὲ κατὰ τὴν εἰκόνα, ἰδέα τις, ἢ γένος, ἢ σφραγίς, νοητός, ἀσώματος, οὔτ᾽ ἄρρεν οὔτε θῆλυ, ἄφθαρτος φύσει· τοῦ δὲ αἰσθητοῦ καὶ ἐπὶ μέρους ἀνθρώπου τὴν κατασκευὴν σύνθετον εἶναί φησιν ἐκ γεώδους οὐσίας καὶ πνεύματος θείου· γεγενῆσθαι γὰρ τὸ μὲν σῶμα, χοῦν τοῦ τεχνίτου λα-

ἐόντος, καὶ μορφὴν ἀνθρωπίνην ἐξ αὐτοῦ διαπλάσαντος· τὴν δὲ ψυχὴν ἀπ' οὐδενὸς γενητοῦ τὸ παράπαν, ἀλλ' ἐκ τοῦ πατρὸς καὶ ἡγεμόνος τῶν πάντων, ὃ γὰρ ἐνεφύσησεν, οὐδὲν ἦν ἕτερον, ἢ πνεῦμα θεῖον ἀπὸ τῆς μακαρίας καὶ εὐδαίμονος ἐκείνης φύσεως, ἀποικίαν τὴν ἐνθάδε στειλάμενον, ἐπ' ὠφελείᾳ τοῦ γένους ἡμῶν, ἵν' εἰ καὶ θνητόν ἐστι κατὰ τὴν ὁρατὴν μερίδα, κατὰ γοῦν τὴν ἀόρατον ἀθανατίζηται· διὸ καὶ κυρίως ἄν τις εἴποι τὸν ἄνθρωπον θνητῆς καὶ ἀθανάτου φύσεως εἶναι μεθόριον, ἑκατέρας ὅσον ἀναγκαῖόν ἐστι μετέχοντα, καὶ γεγενῆσθαι θνητὸν ὁμοῦ καὶ ἀθάνατον· θνητὸν μὲν, κατὰ τὸ σῶμα· κατὰ δὲ τὴν διάνοιαν, ἀθάνατον. ἐκεῖνος δὲ ὁ πρῶτος ἄνθρωπος ὁ γηγενὴς, ὁ παντὸς τοῦ γένους ἡμῶν ἀρχηγέτης, ἑκάτερα ἄριστος ψυχήν τε καὶ σῶμα γεγενῆσθαί μοι δοκεῖ, καὶ μακρῷ τινὶ τοὺς ἔπειτα διενεγκεῖν, κατὰ τὰς ἐν ἀμφοτέροις ὑπερβολάς· ὁ γὰρ ἐν ἀληθείᾳ καλὸς καὶ ἀγαθὸς ὄντως οὗτος ἦν. τεκμηριώσαιτο δ' ἄν τις τὴν μὲν τοῦ σώματος εὐμορφίαν ἐκ τριῶν· ὧν ἐστι πρῶτον τόδε· ἄρτι τῆς γῆς νεοκτίστου φανείσης κατὰ τὴν τοῦ πολλοῦ ὕδατος διάκρισιν, ὃ προσερρήθη θάλασσα, τὴν ὕλην συνέβαινε τῶν γινομένων ἀμιγῆ καὶ ἄδολον καὶ καθαρὰν εἶναι, ἐξ ἧς τὰ ἐπιτελούμενα εἰκότως ἦν ἀνυπαίτια. δεύτερον δὲ, οὐδὲ ἐκ τοῦ τυχόντος μέρους τῆς γῆς ἔοικεν ὁ θεὸς χοῦν λαβὼν τὸ ἀνθρωποειδὲς τοῦτον ἀνδριάντα πλάττειν ἐθελῆσαι μετὰ τῆς ἀνωτάτω σπουδῆς, ἀλλὰ διακρίνας ἐξ ἁπάσης τὸ βέλτιστον, ἐκ καθαρᾶς ὕλης τὸ καθαρώτατον καὶ διηθημένον ἄκρως, ὃ πρὸς τὴν κατασκευὴν μάλιστα ἥρμοζεν· οἶκος γάρ τις ἢ νεὼς ἱερὸς ἐτεκταίνετο ψυχῆς λογικῆς, ἣν ἔμελλεν ἀγαλματοφορήσειν ἀγαλμάτων τὸ θεοειδέστατον. τρίτον, ὃ μηδὲ σύγκρισιν ἔχει πρὸς τὰ λεχθέντα· ὁ δημιουργὸς ἀγαθὸς ἦν, τά τε ἄλλα καὶ τὴν ἐπιστήμην, ὡς ἕκαστον τῶν τοῦ σώματος μερῶν καὶ ἰδίᾳ καθ' αὑτὸ τοὺς ἐπιβάλλοντας ἔχειν ἀριθμοὺς, καὶ πρὸς τὴν τοῦ ὅλου κοινωνίαν εὐαρμόστως ἀπηκριβῶσθαι· μετὰ δὲ τῆς συμμετρίας καὶ εὐσαρκίαν προσανέπλαττε, καὶ εὐχροίαις ὑπογράφει, βουλόμενος ὡς ἔνι μάλιστα κάλλιστον ὀφθῆναι τὸν πρῶτον ἄνθρωπον. ὅτι δὲ καὶ τὴν ψυχὴν ἄριστος ἦν, φανερόν. οὐδενὶ γὰρ ἑτέρῳ παραδείγματι τῶν ἐν γενέσει πρὸς τὴν κατασκευὴν αὐτῆς ἔοικε χρήσασθαι· μόνῳ δὲ, ὡς εἶπον, τῷ ἑαυτοῦ λόγῳ· διό φησιν ἀπεικό-

A mam humanam inde effinxit. anima vero ex nulla omnino re creata, sed ex patre atque rectore rerũ omnium. Nam quod dicit Inspirauit, nihil erat aliud quàm spiritus diuinus è beata illa & felice natura in coloniam hanc missus ad vtilitatem nostri generis: vt quamuis mortalis sit iuxta partem conspicuam, saltem iuxta inuisibilem immortalis reddatur. Quamobrem proprie dicere licet, hominem mortalis & immortalis naturæ esse confinium, vtriusque B quantum necesse est participem, factúmque mortalem simul & immortalem: mortalem iuxta corpus, iuxta mentem immortalem. Ille autem primus homo terrigena, princeps totius nostri generis, vtraque parte præstantissimus & anima & corpore factus mihi videtur, longéq; posteros suos antecellere vtraque præstantia. hic ipse enim erat re vera pulcher atque bonus. Coniecturam autem formositatis eius cor- C poris vel ex tribus causis licet capere, quarum prima est hæc. Cum terra tum recens extitisset secreta ab aquarum mole, quod mare appellatum est, sequebatur vt materia rerum sincera & infucata puráque esset, ex qua quicquid conficiebatur, merito erat inculpabile. Altera vero, quia non ex quauis terræ parte humo sumpta videtur Deus hanc humana specie statuam formare voluisse summa cum diligentia: sed selecta vndequaque optima, ex pura materia ad id quod inerat purissimum D excolasse accurate, quod maxime ad hoc opus aptum erat. Domus enim quædam aut templum sacratum fabricabatur rationali animæ, quam illa diuina imago circumferre debebat. Tertia ne conferenda quidem cum iam dictis. Opifex bonus erat arte quoque inter cætera, vt singulæ corporis partes & priuatim conuenientibus absoluerentur numeris, & aptè in E vniuersum cohærerent. Ad eam per omnia quadrantem commensionem accessit & habitudo bona & color appositissimus, vt quàm maximè fieri potest pulcherrimus idem qui primus homo aspiceretur. Quod autem in anima quoque par inerat præstantia, manifestum est. nullo enim creato exemplari in ea facienda vsus videtur, sed solo (vt diximus) suo ipsius verbo. ideóque narratur effigiem & imitamentum fuisse hunc hominem inspiratum in faciem, vbi sensus locantur,

quibus corpus animauit Opifex. deinde ratione in partem principalem imposita circundedit ei satellitium, vt colores & sonos, itidémque sapores atque vapores & cætera similia tractaret, quæ sine ope sensuum per seipsam percipere non poterat. sequitur autem necessariò, omnibus modis pulchri exemplaris pulcherrimam esse imaginem. nam Dei verbum etiam eam quæ in natura est pulchritudinem superat, quippe non ornatum pulchritudine, sed ipsum ornamentum illius (si vera fatenda sunt) decentissimum. Talis mihi videtur factus primus homo tum corpore tum anima, omnium quotquot sunt fuerúntve præstantissimus. Nos enim ex hominib. gignimur, illum verò Deus condidit. quanto autem melior autor, tanto etiam opus melius: quemadmodum sane quicquid viget senescente melius est, siue animal, siue planta, siue fructus, siue aliud quid ex his quæ natura continet. itaque par est illum recens creatum hominem robur fuisse vniuersi nostri generis, posteros verò eius non ita viguisse, degenerantibus vsque formarum & virium successionibus: quod quidem & in plastarum & in pictorum arte vidi fieri. deteriora enim sunt quæ exprimuntur ad exemplar propositum. quod si hæc ipsa imitetur plastes pictórve, multo magis degenerant: quippe longè remota à principio. simile quiddam in magnete spectatur. nam qui è ferreis annulis ipsum tangit, hæret tenacissimè: qui verò hunc deinceps, minus. pendent tamen & tertius à secundo & quartus à tertio & quintus à quarto, & alij ab aliis per longam seriem vna vi trahente continentéque, sed non eodem modo. Semper enim quo longius absunt à principio laxantur, eo quod remittatur vis attractoria, nec iam pariter astringere valeat. Tale quiddam & humano generi accidisse videtur, per singula sæcula succedentibus exilioribus & corporis & animæ viribus ac qualitatibus. Quod si principem illum nostrum, non tantum primũ hominem, sed & solum mundi ciuem dicamus, dicemus verissimè. erat enim domus ei mundus & ciuitas. haudquaquam manufacta ex modo creata saxorum lignorúmque materia, in qua tanquam in patria securissimè habitabat, alienus ab omni metu, vtpote dignatus dominatione rerum terrestrium & formidandus cæteris

A νισμα καὶ μίμημα γεγενῆσθαι, τοῦτον τὸν ἄνθρω-
πον ἐμπνευσθέντα εἰς τὸ πρόσωπον, ἔνθα τῶν αἰ-
σθήσεων ὁ τόπος, αἷς τὸ μὲν σῶμα ἐψύχωσεν ὁ δη-
μιουργός. τὸν βασιλέα δὲ λογισμὸν ἐνιδρυσά-
μενος τῷ ἡγεμονικῷ, παρέδωκε δορυφορεῖσθαι
πρὸς τῶν χρωμάτων καὶ φωνῶν χυλῶν τε αὖ καὶ
ἀτμῶν καὶ τῶν παραπλησίων ἀντιλήψεις, ἃς ἄνευ
αἰσθήσεως δι' αὐτοῦ μόνου καταλαβεῖν οὐχ οἷός τε
ἦν. ἀνάγκη δὲ παγκάλου παραδείγματος πάγ-
B καλον εἶναι μίμημα· θεοῦ δὲ λόγος, καὶ αὐτοῦ
κάλλους, ὅπερ ἐστὶν ἐν τῇ φύσει κάλλος, ἀμεί-
νων, οὐ κοσμούμενος κάλλει· κόσμος δ' αὐτὸς ὤν,
εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐκπρεπέστατος ἐκείνου. τοι-
οῦτος μὲν ὁ πρῶτος ἄνθρωπος κατά τε σῶμα
καὶ ψυχὴν γεγενῆσθαί μοι δοκεῖ, τούς τε νῦν ὄν-
τας καὶ τοὺς πρὸ ἡμῶν διενεγκὼν ἅπαντας. ἡ μὲν
γὰρ ἡμετέρα γένεσις ἐξ ἀνθρώπων· ἐκεῖνον δὲ θεὸς
ἐδημιούργησεν. ἐφ' ὅσον δὲ κρείττων ὁ ποιῶν, ἐπὶ
τοσοῦτο καὶ τὸ γινόμενον ἄμεινον. ὥσπερ γὰρ τὸ ἀκ-
C μάζον ἀεὶ τοῦ παρηκμακότος βέλτιόν ἐστιν, εἴτε ζῷον,
εἴτε φυτὸν, εἴτε καρπὸς, εἴτ' ἄλλο τι τῶν ἐν τῇ φύ-
σει τυγχάνει· οὕτως ἔοικεν, ὁ μὲν πρῶτος διαπλα-
σθεὶς ἄνθρωπος ἀκμὴ τοῦ ἡμετέρου παντὸς
ὑπάρξαι γένους· οἱ δ' ἔπειτα μηκέτι ὁμοίως
ἐπακμάσαι, τῶν κατὰ γενεὰν ἀμυδροτέρας ἀεὶ τάς
τε μορφὰς καὶ τὰς δυνάμεις λαμβανόντων· ὅπερ
ἐπί τε τῆς πλαστικῆς καὶ ζωγραφίας γινόμενον εἶ-
δον· ἀποδεῖ γὰρ τὰ μιμητὰ τῶν ἀρχετύπων· τὰ δ'
ἀπὸ τῶν μιμημάτων γραφόμενα καὶ πλαττό-
D μενα, πολὺ μᾶλλον, ἅτε μακρὰν ἀφεστῶτα τῆς
ἀρχῆς. παραπλήσιον δὲ πάθος καὶ ἡ μαγνῆτις
ἐπιδείκνυται λίθος· τῶν γὰρ σιδηρῶν δακτυλίων,
ὁ μὲν αὐτῆς ψαύσας, βιαιότατα κρατεῖται· ὁ δὲ τοῦ
ψαύσαντος, ἧττον· ἐκκρέμαται δὲ καὶ τρίτος δευ-
τέρου, καὶ τέταρτος τρίτου, καὶ πέμπτος τετάρ-
του, καὶ ἕτεροι ἑτέρων κατὰ μακρὸν στοῖχον ὑπὸ
μιᾶς ὁλκοῦ δυνάμεως συνεχόμενοι, πλὴν οὐ τὸν
αὐτὸν τρόπον· ἀεὶ γὰρ οἱ πόρρω τῆς ἀρχῆς ἐπηρτη-
E μένοι χαλῶνται. διὰ τὸ τὴν ὁλκὴν ἀνίεσθαι, μη-
κέθ' ὁμοίως σφίγγειν δυναμένην· ὅμοιον δέ τι πε-
πονθέναι καὶ τὸ γένος τῶν ἀνθρώπων φαίνεται, καθ'
ἑκάστην γενεὰν ἀμυδροτέρας λαμβανόντων τάς τε
τοῦ σώματος καὶ τὰς τῆς ψυχῆς δυνάμεις καὶ ποιό-
τητας. τὸν δ' ἀρχηγέτην ἐκεῖνον, οὐ μόνον πρῶτον
ἄνθρωπον, ἀλλὰ καὶ μόνον κοσμοπολίτην λέγον-
τες, ἀψευδέστατα ἐροῦμεν. ἦν γὰρ οἶκος ὁ κόσμος
αὐτῷ καὶ πόλις, μηδεμιᾶς χειροποιήτου κατασ-
κευῆς δεδημιουργημένης ἐκ λίθων καὶ ξύλων ὕλης.

ἐν καθαρῷ ἐν παντελεῖ μετὰ πάσης ἀσφαλείας ἐνδιητᾶτο, φόβον μὲν ἐκ τοῦ ὤν, ἅτε τῆς τῶν περιγείων ἡγεμονίας ἀξιωθείς, καὶ πάντων ὅσα θνητὰ καταπεπληχότων, καὶ ὡς δεσπότῃ ὑπακούειν δεδιδαγμένων, ἢ βιασθέντων· ἐν εὐπαθείαις δὲ ταῖς ἐν εἰρήνῃ ἀπολέμοις ζῶν ἀνεπίληπτος. ἐπεὶ δὲ πᾶσα πόλις εὔνομος ἔχει πολιτείαν, ἀναγκαίως συνέβαινε τῷ κοσμοπολίτῃ χρῆσθαι πολιτείᾳ ᾗ καὶ σύμπας ὁ κόσμος· αὕτη δέ ἐστιν ὁ τῆς φύσεως ὀρθὸς λόγος, ὃς κυριωτέρᾳ κλήσει προσονομάζεται θεσμός, νόμος θεῖος ὤν, καθ' ὃν τὰ προσήκοντα καὶ ἐπιβάλλοντα ἑκάστοις ἀπενεμήθη. ταύτης τῆς πόλεως καὶ πολιτείας ἔδει τινὰς εἶναι πρὸ ἀνθρώπου πολίτας, οἳ λέγοιντ' ἂν ἐνδίκως μεγαλοπολῖται, τὸν μέγιστον περίβολον οἰκεῖν λαχόντες, καὶ τῷ μεγίστῳ καὶ τελειοτάτῳ πολιτεύματι ἐγγραφέντες. οὗτοι δὲ τίνες ἂν εἶεν, ὅτι μὴ λογικαὶ θεῖαι φύσεις, αἱ μὲν ἀσώματοι καὶ νοηταί, αἱ δὲ οὐκ ἄνευ σωμάτων, ὁποίους συμβέβηκεν εἶναι τοὺς ἀστέρας· οἷς προσομιλῶν καὶ συνδιαιτώμενος, εἰκότως ἐν ἀκράτῳ διετέλει εὐδαιμονίᾳ, συγγενής τε καὶ ἀγχίσπορος ὢν τοῦ ἡγεμόνος· ἅτε δὴ πολλοῦ ῥυέντος εἰς αὐτὸν τοῦ θείου πνεύματος, πάντα καὶ λέγειν καὶ πράττειν ἐσπούδαζεν εἰς ἀρέσκειαν τοῦ πατρὸς καὶ βασιλέως, ἑπόμενος αὐτῷ κατ' ἴχνος ταῖς ὁδοῖς, ἃς λεωφόρους ἀνατέμνουσιν ἀρεταί· δι' ὧν μόναις ψυχαῖς θέμις προσέρχεσθαι, τέλος ἡγουμέναις τὴν πρὸς τὸν γεννήσαντα θεὸν ἐξομοίωσιν. τοῦ μὲν οὖν πρώτου φύντος ἀνθρώπου καθ' ἑκάτερον καὶ ψυχὴν καὶ σῶμα κάλλος, εἰ καὶ πολλῷ τῆς ἀληθείας ἔλαττον, ἀλλ' οὖν κατὰ τὴν ἡμετέραν δύναμιν, ὡς οἷόν τε ἦν, εἴρηται· τοὺς δ' ἀπογόνους τοὺς ἐκείνου μετέχοντας ἰδέας, ἀναγκαῖον εἰ καὶ ἀμυδρούς, ἀλλ' οὖν ἔτι σώζειν τοὺς τύπους τῆς πρὸς τὸν πατέρα συγγενείας. ἡ δὲ συγγένεια τίς; πᾶς ἄνθρωπος, κατὰ μὲν τὴν διάνοιαν ᾠκείωται θείῳ λόγῳ, τῆς μακαρίας φύσεως ἐκμαγεῖον, ἢ ἀπόσπασμα ἢ ἀπαύγασμα γεγονώς. κατὰ δὲ τὴν τοῦ σώματος κατασκευὴν, ἅπαντι τῷ κόσμῳ. συγκέκριται γὰρ ἐκ τῶν αὐτῶν, γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός, ἑκάστου τῶν στοιχείων εἰσενεγκόντος τὸ ἐπιβάλλον μέρος, πρὸς ἐκπλήρωσιν αὐταρκεστάτης ὕλης· ἣν ἔδει λαβεῖν τὸν δημιουργόν, ἵνα τεχνιτεύσηται τὴν ὁρατὴν ταύτην εἰκόνα. καὶ προσέτι, πᾶσι τοῖς λεχθεῖσιν ὡς οἰκειοτάτοις καὶ συγγενεστάτοις χωρίοις ἐνδιαιτᾶται, τόπους ἀμείβων καὶ ἄλλοτε ἄλλοις ἐπιφοιτῶν· ὡς κυριώτατα φάσκειν τὸν ἄνθρωπον πάντα εἶναι, χερσαῖον, ἔνυδρον, πτηνόν, οὐράνιον. ᾗ μὲν γὰρ οἰκεῖ καὶ βέβηκεν ἐπὶ γῆς, χερσαῖον ζῷόν ἐστιν·

A mortalibus animantibus, vt domino doctis obedire aut coactis; pacatéque viuebat in iucunditatibus innocens. quoniam autem omnis legitima ciuitas habet instituta sua, necesse erat mundi ciues vti institutis cum toto mundo communibus. Ea sunt recta ratio naturæ, quæ ratio magis propriè cognominatur ius, lex diuina, suum cuique ita vt debetur & conuenit tribuens. huius ciuitatis ac reipublicæ oportebat esse quosdam ante hominem ciues, qui merito
B dici possent magnæ vrbis ciues, amplissima pomœria sortiti ad habitandum, & ascripti in ius ciuitatis maximæ perfectissimæque. hi verò quinam alij possint esse, quàm rationales diuinæ naturæ, partim intelligibiles incorporæque, partim non sine corporibus, quales stellæ sunt. cum his conuiuendo & colloquendo, verisimiliter in felicitate sincerissima degebat ille cognatus summi regis recens in lucem proditus: qui plenus largissimo spiritu diuino om-
C nia tum dicere tum facere studebat ad placitum patris regisque sui, sequens eius vias eisdem vestigiis, quâ virtutes viam publicam muniunt per quas vias solis animabus fas est incedere, eum finem affectantibus, vt tandem reddantur genitori Deo similes. Atque ita primi hominis vtraque pulchritudo tam corporis quàm animæ, & si multo infra veritatem, certe pro nostra virili, quantum fieri poterat, dicta est. Posteritas autem eiusdem ideæ parti-
D ceps, necessario tametsi obscuras, seruat tamen adhuc formas cognationis quæ sibi cum patre illo intercedit. cuiusnam cognationis? omnis homo iuxta mentem diuino verbo est cognatus, beatæ illius naturæ sigillum siue particula quædam, siue splendor & quasi radius: item mundo vniuerso iuxta structuram corporis. est enim contemperatus ex eisdem elementis, terra, aqua, aëre, igne, singulis portionem suam
E conferentibus ad supplementum materiæ sufficientissimæ: eam oportebat sumere opificem, vt fabricaret hanc visibilem imaginem. præterea in omnibus modo dictis regionibus tanquam in domesticis, cognatisque versatur, locum loco mutans, & aliàs aliò se conferens, vt propriè dicere liceat hominem esse omnia, terrenum, aquaticum, volucrem, cælestem. quatenus enim habitat & ingreditur in terra, terrestre est animal: quatenus vrinatur,

natat, & sæpè nauigat, aquaticum. cuius A
rei testes sunt naucleri, negociatores,
purpurarum captatores, cæterorúmque
conchyliorum atque piscium. quatenus
autem sublime in pensilibus degit cœ-
naculis, merito dici potest aëricola. atq;
insuper cœleste, propter principem in-
ter sensus visum, quo solem adusque &
lunam cæterarúmque stellarum tum er-
raticarum tum fixarum singulas euadit.
Perpulchrè autem & impositio nominũ
assignatur primo homini. ad sapientiam
enim & regnum pertinet. at ille sapiens B
est suimetipse discipulus & doctor per
Dei gratiam, & insuper rex quoque.
Decet autem rectorem vt appellet vnũ-
quemque subditorum. eximiam verò
oportet fuisse imperandi vim in primo
illo homine, quem accurate formatum
Deus secundo pòst honore dignatus,
subpræfectum sibi, rectorem aliarum re-
rum omnium constituit. quandoquidem
etiam tot seculorum posteritas eius, eua-
nescente iam per tam longum spatium C
genere, nihilominus adhuc brutis domi-
natur, seruans tanquam scintillam prin-
cipatus & potentię hęreditariæ. Ait igi-
tur scriptura: Omnes animantes à Deo
adductas ad hominem, vt videret quas
hic appellationes singulis inderet.] non
quòd dubitaret: ignotum enim Deo ni-
hil, sed sibi conscius quòd rationalem in
mortali naturam fecerit suapte vi mobi-
lem, ne ipse esset vitij particeps. itaque
periculum faciebat iam noti tanquam
præceptor, insitum ei habitum excitans,
& ad contemplationem operum suorum D
prouocans, vt eis ex tempore nomina
imponeret, nec impropria, nec inconue-
nientia, sed diserte rerum proprietates
exprimentia. cum enim rationalis natu-
ra etiamtum pura maneret in anima, nul-
lo turbante languore, aut morbo, aut af-
fectu, purisque vteretur tam corporum
quàm rerum imaginationibus, nõ aber-
rabat à vero dum nomina eis inderet, ap-
posite significatis applicando, vt ad pri-
mum vocabuli sonum mox natura cuius-
que intelligeretur. tantũ omnigenarum E
virtutum inerat homini, contendenti ad
ipsum finem humanæ felicitatis. Verum
quia nihil est in rebus genitis firmum,
sed omnia mortalia necessarias mutatio-
nes admittunt, oportebat & primum ho-
minem experiri aliquam infelicitatem.
vt autem obnoxius viueret, occasio fuit
mulier. donec enim solus erat, simili-
tudine referebat creatum mundum &
Deum, gestans vtriusque naturæ for-

ἢ γὰρ δύεται καὶ νήχεται καὶ πλεῖ πολλάκις, ἔνυδρον· ἔμποροι καὶ ναύκληροι καὶ πορφυρεῖς, καὶ ὅσοι τὴν ἐπ' ὀστρέοις καὶ ἰχθύσιν ἄγραν μετίασι, τοῦ λεχθέντος εἰσὶ σαφεστάτη πίστις. ἢ γὰρ μετέωρον ἀπὸ γῆς ἀνωφοιτοῦν ἐξήρτηται τὸ σῶμα, λέγοιτ' ἂν ἐνδίκως ἀεροπόρον εἶναι· πρὸς δὲ καὶ οὐράνιον, διὰ τῆς ἡγεμονικωτάτης τῶν αἰσθήσεων, ὄψεως, ἡλίῳ καὶ σελήνῃ καὶ ἑκάστῳ τῶν ἄλλων ἀστέρων πλανήτων τε καὶ ἀπλανῶν συνεγγίζον. παγκάλως δὲ καὶ τὴν θέσιν τῶν ὀνομάτων ἀνῆψε τῷ πρώτῳ· σοφίας γὰρ καὶ βασιλείας τὸ ἔργον· σοφὸς δ' ἐκεῖνος αὐτομαθὴς καὶ αὐτοδίδακτος χάρισι θείαις γενόμενος, καὶ προσέτι βασιλεύς. ἐμπρεπὲς δ' ἡγεμόνι προσαγορεύειν ἕκαστον τῶν ὑπηκόων. ὑπερβάλλουσα δ' ὡς εἰκὸς δύναμις ἀρχῆς ἦν περὶ τὸν πρῶτον ἐκεῖνον ἄνθρωπον, ὃν σπουδῇ διαπλάσας ὁ θεός, ἠξίου δευτερείων, ὕπαρχον μὲν αὐτοῦ, τῶν δ' ἄλλων ἡγεμόνα πάντων τιθείς, ὁπότε καὶ οἱ τοσαύταις γενεαῖς ὕστερον φύντες, ἤδη τοῦ γένους διὰ μακρῶν χρόνων ἐπὶ ταῖς περιόδοις ἐξιτήλου ὄντος, οὐδὲν ἧττον ἔτι δεσπόζουσι τῶν ἀλόγων, καθάπερ λαμπάδιον ἀρχῆς καὶ δυναστείας ἀπὸ τοῦ πρώτου διαδοθέν, φυλάττοντες. φησὶ γοῦν ὅτι πάντα τὰ ζῷα ἤγαγεν ὁ θεὸς πρὸς τὸν ἄνθρωπον, ἰδεῖν βουλόμενος τίνας θήσεται προσρήσεις ἑκάστοις· οὐχ ὅτι ἐνεδοίαζεν· ἀγνοεῖ γὰρ οὐδὲν θεῷ· ἀλλ' ὅτι ᾔδει τὴν λογικὴν ἐν θνητῷ φύσει κατασκευάσας αὐτοκίνητον, ὅπως αὐτὸς ἀμέτοχος ᾖ κακίας. ἀπεπειρᾶτο δ' ὡς ὑφηγητὴς γνωρίμου, τὴν ἐνδιάθετον ἕξιν ἀνακινῶν, καὶ προσέτι τῶν οἰκείων ἀνακαλῶν ἔργων, ἵνα ἀπαυτοματίσῃ τὰς θέσεις, μήτ' ἀνοικείους, μήτ' ἀναρμόστους, ἀλλ' ἐμφαινούσας εὖ μάλα τὰς τῶν ὑποκειμένων ἰδιότητας. ἀκεραίου γὰρ ἔτι τῆς λογικῆς φύσεως ὑπαρχούσης ἐν ψυχῇ, καὶ μηδενὸς ἀρρωστήματος ἢ νοσήματος ἢ πάθους παρεισεληλυθότος, τὰς φαντασίας τῶν σωμάτων ἢ πραγμάτων ἀκραιφνεστάτας λαμβάνων, εὐθυβόλους ἐποιεῖτο τὰς κλήσεις, εὖ μάλα στοχαζόμενος τῶν δηλουμένων, ὡς ἅμα λεχθῆναί τε καὶ νοηθῆναι τὰς φύσεις αὐτῶν. οὕτω μὲν ἐν ἅπασι τοῖς καλοῖς διέφερεν, ἐπ' αὐτὸ τὸ πέρας φθάνων τῆς ἀνθρωπίνης εὐδαιμονίας. ἐπεὶ δ' οὐδὲν τῶν ἐν γενέσει βέβαιον, τροπὰς δὲ καὶ μεταβολὰς ἀναγκαίας τὰ θνητὰ δέχεται, ἐχρῆν καὶ τὸν πρῶτον ἄνθρωπον ἀπολαῦσαί τινος κακοπραγίας. ἀρχὴ δὲ τῆς ὑπαιτίου ζωῆς αὐτῷ γίνεται γυνή. μέχρι μὲν γὰρ εἷς ἦν, ὡμοιοῦτο κατὰ τὴν γένεσιν κόσμῳ, καὶ θεῷ, καὶ τῆς ἑκατέρου

φύσεως ἀπεμάττετο τῇ ψυχῇ τοὺς χαρακτῆρας, οὐ πάντας, ἀλλ' ὅσους χωρῆσαι δυνατὸν θνητὴν οὖσαν. ἐπεὶ δ' ἐπλάσθη καὶ γυνή, θεασάμενος ἀδελφὸν εἶδος, καὶ συγγενῆ μορφήν, ἠσμένισε τῇ θέᾳ, καὶ προσιὼν ἠσπάζετο. ἡ δ' οὐδὲν ἐκείνου προσβλέπουσα ζῷον ἐμφερέστερον ἑαυτῇ, γάνυταί τε καὶ ἀντιπροσφθέγγεται μετ' αἰδοῦς. ἔρως δ' ἐπιγενόμενος, καθάπερ ἑνὸς ζῴου διττὰ τμήματα διεστηκότα συναγαγὼν εἰς ταὐτὸν ἁρμόττεται, πόθον ἐνιδρυσάμενος ἑκατέρῳ τῆς πρὸς θάτερον κοινωνίας εἰς τὴν τοῦ ὁμοίου γένεσιν. ὁ δὲ πόθος οὗτος καὶ τὴν τῶν σωμάτων ἡδονὴν ἐγέννησεν, ἥτις ἐστὶν ἀδικημάτων καὶ παρανομημάτων ἀρχή, δι' ὃ ὑπαλλάττονται τὸν θνητὸν καὶ κακοδαίμονα βίον ἀντ' ἀθανάτου καὶ εὐδαίμονος. ἔτι δὲ τοῦ ἀνδρὸς μονήρη βίον ζῶντος, μήπω διαπλασθείσης γυναικός, φυτευθῆναι λόγος ἔχει παράδεισον ὑπὸ θεοῦ, τοῖς παρ' ἡμῖν οὐδὲν προσεοικότα. τῶν μὲν γάρ ἐστιν ἄψυχος ἡ ὕλη, παντοίων δένδρων καταπλέως, τῶν μὲν ἀειθαλῶν πρὸς τὴν ὄψεως ἀδιάστατον ἡδονήν· τῶν δὲ ταῖς ἐαριναῖς ὥραις ἡβώντων καὶ βλαστανόντων· καὶ τῶν μὲν ἥμερον καρπὸν ἀνθρώποις φερόντων, οὐ πρὸς ἀναγκαίαν μόνον χρῆσιν τροφῆς, ἀλλὰ καὶ πρὸς περιττὴν ἀπόλαυσιν ἁβροδιαίτου βίου· τῶν δ' οὐχ ὅμοιον, ὃς δι' ἀναγκαίας θηρίοις ἀπονενέμηται. κατὰ δὲ τὸν θεῖον παράδεισον ἔμψυχα καὶ λογικὰ τὰ φυτὰ πάντα εἶναι συμβέβηκε, καρπὸν φέροντα τὰς ἀρετάς, καὶ προσέτι τὴν ἀδιάφθορον σύνεσιν καὶ ἀγχίνοιαν, ᾗ γνωρίζεται τὰ αἰσχρὰ καὶ καλά· ζωήν τε ἄνοσον καὶ ἀφθαρσίαν, καὶ πάνθ' εἴ τι τούτων ὁμοιότροπον. ταῦτα δέ μοι δοκεῖ συμβολικῶς μᾶλλον ἢ κυρίως φιλοσοφεῖσθαι· δένδρα γὰρ ἐπὶ γῆς οὔτε πέφηνέ πω πρότερον, οὔτ' αὖθις εἰκὸς φανήσεσθαι ζωῆς ἢ συνέσεως· ἀλλ' ὡς ἔοικεν αἰνίττεται, διὰ μὲν τοῦ παραδείσου τὸ τῆς ψυχῆς ἡγεμονικόν, ὅπερ ἐστὶ καταπλέων, οἷα φυτῶν, μυρίων ὅσων δοξῶν· διὰ δὲ τοῦ δένδρου τῆς ζωῆς τὴν μεγίστην τῶν ἀρετῶν θεοσέβειαν, δι' ἧς ἀθανατίζεται ἡ ψυχή· διὰ δὲ τοῦ καλοῦ καὶ πονηροῦ γνωστικοῦ, φρόνησιν τὴν μέσην, ᾗ διαγνωρίζεται τἀναντία φύσει. θέμενος δὲ τοὺς ὅρους τούτους ἐν ψυχῇ καθάπερ δικαστὴς ἐσκόπει πρὸς πότερον ἐπικλινῶς ἕξει. ὡς δὲ εἶδε ῥέπουσαν μὲν πρὸς πανουργίαν, ὁσιότητος δὲ καὶ εὐσεβείας ὀλιγωροῦσαν, ἐξ ὧν ἡ ἀθάνατος ζωὴ περιγίνεται, προσέβαλετο κατὰ τὸ εἰκὸς καὶ ἐφυγάδευσεν ἐκ τοῦ παραδείσου, μηδ' ἐλπίδα τῆς εἰσαῦθις ἐπανόδου, δυσίατα καὶ ἀθεράπευτα πλημμελούσῃ ψυχῇ παρασχών

A mas expressas in anima, non omnes, sed quotquot earum mortalis ipsa capere poterat. vbi verò formata est & mulier, conspicatus germanam speciem, & cognatam formam, gauisus eo spectaculo, & accedens eam complexus est. at illa cum nullum animal videret sibi similius, libenter eum resalutauit, & reuerenter. deinde superueniens amor, tanquam vnius animalis duo dimidia prius distantia collecta tunc in vnum coaptauit, indita vtrique cupidine gignendi simi-

B lem prolem per mutuam consuetudinem. ea cupido etiam corporum voluptatem peperit. Vnde est origo iniquitatum præuaricationúmque omnium: quando talis voluptas mutauit mortalem & infelicem vitam beata immortalíque. Viro autem adhuc solitariam vitam degente, necdum formata muliere, paradisus à Deo plantatus dicitur, nostris his nequaquam similis. nostrorum enim inanimata sylua est, arboribus plena

C omnigenis, aliis semper virentibus ad amœnitatem perpetuam, aliis primo vere pubescentibus ac germinantibus: rursum aliis mites fructus in vsum humanum ferentibus, non modo ad necessitatem, sed & ad superfluas voluptates vitæ delicatioris: aliis dissimilem, qui necessario feris relinquitur. at Dei paradisus animatas omnes arbores habet rationéque præditas, quarũ fructus virtutes sunt & incorruptus intellectus atque sagacitas, quid turpe sit, quid hone-

D stum, diiudicans, adhæc vita sana & incorruptibilitas, & quicquid est simile. hæc autem philosophia per similitudines magis quam propriè loqui videtur. arbores enim in terra nec vnquam prius natæ sunt, nec nascituras est credibile, vitæ aut intellectus feraces. sed vt puto subindicatur, per paradisum quidẽ principalis vis animæ, quę est plena ceu plantis, innumeris opinionibus: per arborem autem vitæ, pietas inter omnes virtutes eminentissima, per quam immortalis redditur anima: sicut per dignotio-

E nem boni malíque arbitra prudentia, quæ discernit res naturaliter contrarias. his ceu terminis in anima positis, Deus tanquam iudex considerabat vtrò esset propensior: & postquam vidit eam vergere ad calliditatem, sanctitate pietatéque posthabita, ex quibus immortalis vita prouenit, merito eiecit pulsam è paradiso in exilium, præcisa omni spe reditus, propter eius erratum difficile sanatu & incurabile: quando-

quidem etiam deceptionis occasio non mediocriter fuit culpabilis, non dissimulanda hoc loco per silentium. Fertur antiquũ illum veneficum & terrigenam serpentem humana voce vsum esse. is olim conditi ante omnes viri vxorem aggressus, opprobrauit ei stupiditatem & numinis reuerentiam nimiam, quòd cunctando procrastinaret carpere fructum aspectu speciosissimũ omnium, gustu verò suauissimum: adhæc vtilissimum, quippe cui vis insit dignoscendi bona & mala. ibi mulier propter mentis inconstantiam inconsideratè assentiens, gustatum pomum viro communicauit. itaque ambo repente ex innocentia simplicitatéque morum, in calliditatem mutati sunt. Id indignè ferens ille pater (merebatur enim iram facinus, quandoquidem neglecta vitæ immortalis arbore, hoc est virtute absolutissima, vnde longæuam ac beatam vitam carpere poterant, breuem mortalémque, non dico vitam, sed tempus ærumnosum prætulerant) pœnæ meritæ sententiam eis intulit. Sunt autem hæc non figmenta fabulosa, qualibus poëtæ ludunt & sophistæ, sed figurata documenta, ad allegoriæ scrutationem inuitantia per latentes coniecturas. quas si quis sequatur vt decet, serpentem haud absurde voluptatem subindicare interpretabitur: primum quia pedibus carens pronus ventre nititur: deinde quia terræ glebis pro cibo vtitur: tertiò, quia venenum gestat in dentibus, quo solet morsos tollere. Quibus omnibus malis obnoxius est homo voluptati deditus: quippe qui ægrè caput attollit, grauatus depressúsque subuertente supplantantéque ipsum intemperantia. Vescitur quoque non cibis cælestibus, quos sapientia viris contemplatiuis per sermones & opiniones porrigit: sed his qui quotannis è terra proueniunt: vnde ortæ ebrietates & cupedinarij gulosique appetitus ventris, postquam auctæ totum hominem dediderunt huiusmodi studio, ea quoque quæ sub ventre sunt excitant, & in furores quosdam erumpere faciunt. qui enim coquorum & popinariorum laborem abliguriunt, attacti caput nidoribus ex condimentis exhalantibus, participes huius turpitudinis fieri cupiunt. & vbi quis sumptuosam mensam viderit, toto corpore in apposita irruit, dátque operam vt expleatur omnibus, hoc solum spectans, vt nihil è tanto apparatu sinat

A ἐπεὶ δὲ καὶ ἡ τῆς ἀπάτης πρόφασις ἐπίληπτος ἦν οὐ μετρίως, οὐκ ἄξιον παρασιωπῆσαι. λέγεται δή τι τὸ παλαιὸν τὸ ἰοβόλον καὶ γηγενὲς ἑρπετὸν ὄφις, ἀνθρώπου φωνὴν προΐεσθαι· καί ποτε προσελθὸν τῇ τοῦ πρώτου φύντος ἀνδρὸς γυναικί, τῆς βραδυτῆτος καὶ τῆς ἄγαν εὐλαβείας ὀνειδίσαι, διότι μέλλει καὶ ὑπερτίθεται παγκάλου ὀφθῆναι καὶ ἥδιστον ἀπολαυσθῆναι καρποῦ δρέπεσθαι, πρὸς δὲ καὶ ὠφελιμωτάτου, ᾧ δυνήσεται γνωρίζειν ἀγαθά τε καὶ κακά. τὴν δὲ ἀνεξετάστως ἀπὸ γνώμης ἀβεβαίου καὶ
B ἀνιδρύτου συναινέσασαν, ἐμφαγεῖν τοῦ καρποῦ, καὶ τῷ ἀνδρὶ μεταδοῦναι· καὶ τοῦτ᾽ ἐξαπιναίως ἀμφοτέρους ἐξ ἀκακίας καὶ ἁπλότητος ἠθῶν, εἰς πανουργίαν μεταβαλεῖν· ἐφ᾽ ᾧ τὸν πατέρα χαλεπήναντα. ἡ γὰρ πρᾶξις ὀργῆς ἀξία, ἐπεὶ παρελθόντες τὸ ζωῆς ἀθανάτου φυτὸν τῆς ἀρετῆς παντελείας, ὑφ᾽ ἧς μακραίωνα καὶ εὐδαίμονα βίον ἐδύναντο καρποῦσθαι, τὸν ἐφήμερον καὶ θνητόν, οὐ βίον, ἀλλὰ χρόνον κακοδαιμονίας μεστὸν εἵλοντο· κολάσεις ὁρίσαι κατ᾽ αὐτῶν τὰς προσηκούσας.
C ἔστι δὲ ταῦτα οὐ πλάσματα μύθου, οἷς τὸ ποιητικὸν καὶ σοφιστικὸν χαίρει γένος, ἀλλὰ δείγματα τύπων, ἐπ᾽ ἀλληγορίαν παρακαλοῦντα, κατὰ τὰς δι᾽ ὑπονοιῶν ἀποδόσεις. ἑπόμενος δέ τις εἰκότι στοχασμῷ, φήσει προσηκόντως τὸν εἰρημένον ὄφιν, ἡδονῆς εἶναι σύμβολον· ὅτι πρῶτον μὲν ἄπους ἐστί, πρηνὴς πεπτωκὼς ἐπὶ γαστέρα· δεύτερον δέ, ὅτι γῆς βώλοις σιτίοις χρῆται· τρίτον δέ, ὅτι τὸν ἰὸν ἐπιφέρει τοῖς ὀδοῦσιν, ᾧ τοὺς δηχθέντας διαφθείρειν πέφυκεν.
D οὐδενὸς δὲ τῶν λεχθέντων ὁ φιλήδονος ἀμοιρεῖ· μόλις τε γὰρ τὴν κεφαλὴν ἐπαίρει, βαρυνόμενος καὶ καθελκόμενος, ἐκτραχηλιζούσης καὶ ὑποσκελιζούσης τῆς ἀκρασίας· σιτεῖταί τε οὐκ οὐράνιον τροφήν, ἣν ὀρέγει τοῖς φιλοθεάμοσι διὰ λόγων καὶ δογμάτων σοφία· τὴν δ᾽ ἀναδιδομένην ἐκ γῆς κατὰ τὰς ἐτησίους ὥρας, ἐξ ἧς οἰνοφλυγίαι καὶ ὀψοφαγίαι καὶ λαιμαργίαι τὰς γαστρὸς ἐπιθυμίας προσαναρρηγνῦσαι, καὶ ἀναρριπίζουσαι
E καὶ ἀνδραποδίζουσαι πρὸς γαστριμαργίαν, συναύξουσι, καὶ ἀναρρηγνύουσι, καὶ τὰς ὑπογαστρίους ὀρέξεις. σιτοπόνων τε γὰρ καὶ ὀψαρτυτῶν κάματον περιλιχνεύουσι, καὶ τῆς ἀπὸ τῶν ἡδυσμάτων κνίσσης ἐν κύκλῳ τὴν κεφαλὴν περιάγων, μεταλαμβάνειν τῆς εὐωδείας ὀρέγεται· καὶ ὁπότε πολυτελῆ τράπεζαν θεάσαιτο, ἐπιβαλὼν αὑτὸν ὅλον, ἐπὶ τὰ εὐτρεπισθέντα ἐκχεῖται, πάντων ἀθρόων σπουδάζων ἐμφορεῖσθαι, τέλος οὐχ ἕτερον ἄλλο, ἢ τὸ μηδὲν ὑπολείπεσθαι

τῶν

τὴν εὐτρεπισθέντων ποιούμενος· ὅθεν οὐχ ἧττον
ὄφεως αὐτοῖς ὀδοῦσιν ἐπιφέρεται τὸν ἰόν· οἱ τοι γὰρ
εἰσιν ἀπληστίας ὑπηρέται καὶ ὑπουργοί, πάνθ'
ὅσα πρὸς ἐδωδὴν τέμνοντές τε καὶ λεαίνοντες· καὶ
γρ. χυλὸς. τὸ μὲν πρῶτον γλώττῃ παραδιδόντες τῇ * χυλοὺς
δικαζούσῃ πρὸς ἐπίκρισιν· ἔπειτα δὲ φάρυγγι.
σιτίων δ' ἀμετρία θανατῶδες φύσει καὶ ἰοβόλον,
ἅτε πέψιν οὐκ ἐνδεχομένων διὰ τὴν τῶν ἐπεισιόν-
των ἐπιφοράν, ἣ γίνεται πρὶν ἐξικμασθῆναι καὶ
τὰ πρότερα· φωνὴν δ' ἀνθρώπειον ὄφις λέγε-
ται προΐεσθαι, διότι μυρίοις ὑπερμάχοις καὶ
προαγωνισταῖς ἡδονὴ χρῆται, τὴν ἐπιμέλειαν αὐ-
τῆς ἀνειληφόσιν, οἳ τολμῶσιν ἀναδιδάσκειν, ὅτι τὸ
πάντων κράτος αὕτη μικρῶν τε καὶ μεγάλων
οὐδενὸς ὑπεξῃρημένου τὸ παράπαν· ἀλλ' αἵ τε
πρῶται τοῦ ἄρρενος πρὸς τὸ θῆλυ συνόδοι ξεναγὸν
ἔχουσιν ἡδονήν, αἵ τε σποραὶ καὶ γενέσεις διὰ ταύτης
συνίστανται· τά τε γεννώμενα οὐδενὶ πρότερον οἰκειοῦ-
σθαι πέφυκεν, ἢ ταύτῃ· χαίροντα μὲν ἡδονῇ, τὴν
δ' ἐναντίαν ἀλγηδόνα δυσχεραίνοντα· παρὸ καὶ ἀπο-
κλαίεται τὸ βρέφος ἀποκυηθέν, ἀλγῆσαν ὡς ἔοικε,
τῇ περιψύξει· ἐκ γὰρ θερμοτάτου καὶ πυρωδεστάτου
χωρίου τοῦ κατὰ μήτραν, ᾧ πολὺν χρόνον ἐνδιέτριψε,
προελθὸν ἐξαπιναίως εἰς ἀέρα ψυχρὸν καὶ ἀσυνή-
θη τόπον, ἐπλήγη· καὶ τῆς ὀδύνης καὶ τοῦ δυσχεραίνειν
ἀλγηδόνι, τὰ κλαύματα δεῖγμα προέχει ἐναργέ-
στατον. ἐπειδὴ γάρ, φασί, πᾶν ζῷον ὡς ἐπὶ ἀναγ-
καιότατον καὶ συνεκτικώτατον τέλος, ἡδονήν, καὶ μά-
λιστα ἄνθρωπος. τὰ μὲν γὰρ διὰ γεύσεως μόνον καὶ
τῶν γεννητικῶν ἐφίεται ταύτης· ἄνθρωπος καὶ διὰ τῶν
ἄλλων αἰσθήσεων, ὅσα θεάματα ἢ ἀκούσματα τέρ-
ψιν δύναται παρασχεῖν ὠσὶ καὶ ὀφθαλμοῖς, μετα-
διώκων. λέγεται δὲ καὶ ἄλλα πρὸς ἔπαινον τοῦ πά-
θους παμπληθῆ, καὶ ὡς ἐστὶν οἰκειότατον καὶ συγγενέ-
στατον ζῴοις. ἀπόχρη δὲ δείγματος ἕνεκα καὶ τὰ νῦν
εἰρημένα, ὧν χάριν ἀνθρωπίνην φωνὴν ἔδοξεν ὁ
ὄφις προΐεσθαι. διό μοι δοκεῖ κἀν τοῖς κατὰ μέρος
γρ. ὗς ὀφι. νόμοις, * οὐ περὶ ζῴων ἔγραψεν, ἅ τε χρὴ προσφέ-
ρεσθαι, καὶ τοὐναντίον, ἐπαινέσαι μάλιστα τὸν ὀφιομά-
χην ἐπικαλούμενον· ἑρπετὸν δ' ἐστὶν ἔχον ἀνωτέρω
σκέλη τῶν ποδῶν, οἷς ἀπὸ γῆς πέφυκε πηδᾶν καὶ
μετέωρον αἴρεσθαι, καθάπερ τὸ τῶν ἀκρίδων γένος·
ὁ γὰρ ὀφιομάχης οὐδὲν ἄλλ' ἢ συμβολικῶς ἐγκρά-
τεια εἶναί μοι δοκεῖ, μάχην ἀκαθαίρετον καὶ πό-
λεμον ἄσπονδον ἐκφέρουσα πρὸς ἀκρασίαν καὶ
ἡδονήν· ἡ μὲν γὰρ εὐτέλειαν καὶ ὀλιγοδείαν,
καὶ ὅσον ἀναγκαῖον, φιλαυστηρον καὶ σεμνὸν βίον,
διαφερόντως ἀσπάζεται· ἡ δὲ πολυτέλειαν καὶ

A reliquum. Quamobrē non minus quàm
serpens in suis dentibus venenum cir-
cumfert. hi sunt enim insatiabilitatis
ministri & operarij, nihil non ad cibum
secantes conterentésque: qui primò
linguæ diiudicandos sapores offerant,
deinde gulæ. Est autem immoderata
ciborum coniestio lethifera naturaliter
& venefica, vtpote concoctionem præ
multitudine non admittentibus quæ in-
gesta sunt, quando adduntur alia super
alia priusquam priora digesta sint. Vo-
B cem autem humanam serpens emisisse
dicitur, quia plurimos sui studiosos
propugnatorésque voluptas habet: qui
defensione huius suscepta, nouam au-
dent afferre doctrinam, tribuentes ei
potentiam in rebus omnibus magnis ac
paruis absque vlla exceptione. quandò
& primi maris fœminæque congressus
sequestram habent voluptatem, & ge-
nituræ absque hac non perficiuntur.
tum quæ genita sunt nullius prius con-
C suetudinem affectant quàm huius, quip-
pe gaudentia voluptate, contrarium ve-
rò huic dolorem ægreferentia. quapro-
pter plorat infans recens editus, nimi-
rum dolens propter frigus. nam è cali-
dissimo loco vuluæ, in qua longo tem-
pore habitauerat, progressus repente
in aërem frigidum & inassuetum sibi,
velut ictus eo sentit, doloris ac vexatio-
nis manifestissimum fletu præbens in-
dicium. festinat enim, vt aiunt, ad vo-
luptatem, tamquam ad maximè neces-
D sarium & cuncta complectentem finem
omne animal, præcipuè homo. Nam
reliqua per solum gustum & genitalia
frui hac expetunt, homo per alios quoq;
sensus, quidquid spectatu auditúque de-
lectare potest consectans auribus atque
oculis. Quin & alia dicuntur in laudem
huius affectus plurima, & quòd sit ani-
malibus familiarissimus atque cognatis-
simus. Verùm satis sint exempli causa
iam dicta, propter quę humanam vocem
serpens emisisse visus est. ideo, vt puto,
Moses etiam in legibus quas priuatim
E scripsit de animalibus quæ sint cibis ap-
ta, quę non maxime laudat cum qui vo-
catur ophiomachus. Est autē reptile sub-
nixū longis cruribus, quibus à terra pro
ingenio suo prosilit & sublime fertur,
quemadmodū cætera locustarū genera.
nā hic ophiomachus nihil aliud mihi esse
videtur, quā temperantię symbolū, quæ
implacabile absq; vllis induciis bellū ge-
rit cū voluptate atq; intēperantia. altera
enim frugalitatē, parsimoniā, sola neces-

faria, subrigidam honestámque vitam eximie complectitur: altera operositatem sumptuositatémque, quæ lauticias deliciásque afferunt animæ atque corpori & vitam reddunt obnoxiam, morte molestiorẽ his qui rectè sapiunt. Cæterũ voluptas suas præstigias ac fraudes viro non audet admoliri, sed fœminæ, & per hanc illi, ídque admodum apposite efficacitérque. in nobis enim quasi vir est mens, sensus quasi fœmina. Voluptas verò prius appellat pertentátque sensus, per quos id quod principale est mentem illicit. Postquam enim singuli sensus eius veneficiis subiecti fuerint, adlubescentes his quæ offeruntur, coloribus figurísque variis visus, vocum concentibus auditus, saporum suauitatibus gustus, exhalantium vaporum fragrātiæ odoratus, acceptis his donis tanquam famuli afferunt ea veluti dominæ ratiocinationi, aduocatam adhibendo suadelem, ne repulsam vlla in re patiantur. Ratio porrò inescata, iámque ex regina facta subdita, & serua ex domina, & exul ex ciue, mortalis fit quæ immortalis antea fuerat. Omnino enim scire oportet, quod voluptas tanquam lasciua meretricula amatorem appetit, quærens stupri conciliatores, per quos illum ceu hamo capiat. sunt autem huius cupidinis sequestri sensus, quos postquam inescarit, facile mentem subiugat: quæ res externas intrò admittat, illis internunciis & ostentantibus singularum formas, & ei suum affectum imprimentibus. nam ceræ similis, recipit per sensus imaginationes, quibus apprehendit corpora, quod per seipsam non valet, vt ante dixi. Continuò autem mercedem voluptatis habuerunt, qui primi sese in seruitutem dediderunt molesto huic morbo & insanabili: mulier quidem vehementes dolores parturitionis, & in reliqua vita continuas tristitias, præsertim in gignendis educandísque liberis, ægrotis sanísque, in prosperitate & aduersitate degentibus, quominus libertate frueretur, vitæ socium agnoscens pro domino, cuius mandata exequi necesse habeat. viro item pro parte sua labores exantlandi sunt propositi, sudorésque continui, vt acquireret necessaria victui. præterea mulctatur vbertate terrę spontanea, quæ prius absque agricolæ opera artéque fertilitatem didicerat. iam verò inexhaustis laboribus succurrendum est inopiæ, ne fames internecionem afferat.

A πολυτέλειαν, ἃ χλιδῆς καὶ θρύψεως αἴτια γίνε-
ται ψυχῇ καὶ σώματι· δι' ὧν τὴν ὑπαίτιον καὶ θα-
νάτου χαλεπωτέραν ζωὴν παρὰ τοῖς εὖ φρονοῦσι
συμβέβηκε γίνεσθαι· τὰς δὲ γοητείας καὶ ἀπά-
τας αὐτῆς ἡ ἡδονὴ παρὰ μὲν ἀνδρὶ οὐ τολμᾷ προσ-
φέρειν· τῇ δὲ γυναικὶ, καὶ διὰ ταύτης ἐκεί-
νῳ, πάνυ προσφυῶς καὶ εὐθυβόλως. ἐν ἡμῖν
γὰρ ἀνδρὸς μὲν ἔχει λόγον ὁ νοῦς· γυναικὸς δ'
αἴσθησις. ἡδονὴ δὲ προτέραις ἐντυγχάνει καὶ
B ἐνομιλεῖ ταῖς αἰσθήσεσι, δι' ὧν καὶ τὸν ἡγεμό-
να νοῦν φενακίζει· ἐπειδὴ γὰρ ἑκάστη τῶν αἰ-
σθήσεων τοῖς φίλτροις αὐτῆς ὑπαχθῇ, χαίρουσα
τοῖς προτεινομένοις, ἐπὶ χρωμάτων μὲν καὶ
σχημάτων ποικιλίαις ὄψις, ἐπὶ δὲ φωνῶν ἐμμε-
λείαις, ἀκοή· ἐν δὲ χυλῶν ἡδύτησι, γεῦσις· καὶ τῆς
τῶν ἀναδιδομένων ἀτμῶν εὐωδίας, ὄσφρησις, δεξά-
μεναι τὰ δῶρα, θεραπαινίδων τρόπον, προσφέ-
ρουσιν οἷα δεσπότῃ, τῷ λογισμῷ, παράκλητον ἐπα-
C γόμεναι πειθὼ, περὶ τοῦ μηδὲν ἀπώσασθαι τὸ παρά-
παν. ὁ δ' αὐτίκα δελεασθεὶς, ὑπήκοος ἀνθ' ἡγεμό-
νος, καὶ δοῦλος ἀντὶ δεσπότου, καὶ ἀντὶ πολίτου φυ-
γὰς, καὶ θνητὸς ἀντ' ἀθανάτου γίνεται· συνόλως γὰρ
οὐκ ἀγνοητέον ὅτι οἷα ἑταιρὶς καὶ μάχλος οὖσα
ἡδονὴ, γλίχεται τυχεῖν ἐραστοῦ· καὶ μαστροπεῖς
ἀναζητεῖ, δι' ὧν τοῦτον ἀγκιστρεύσεται. μαστρο-
πεύουσι δ' αὐτῇ καὶ προξενοῦσι τὸν ἐρῶντα αἰσθή-
σεις, ἃς δελεάσασα, ῥαδίως ὑπηγάγετο τὸν
νοῦν, ᾧ τὰ φανέντα ἐκτὸς εἴσω κομίζουσαι,
D διαγγέλλουσι καὶ ἐπιδείκνυνται τοὺς τύπους ἑκά-
στων, ἐνσφραγιζόμεναι τὸ ὅμοιον πάθος. κηρῷ
γὰρ ἐοικὼς, δέχεται τὰς διὰ τῶν αἰσθήσεων φαν-
τασίας, αἷς τὰ σώματα καταλαμβάνει, δι' αὑτοῦ
μὴ δυνάμενος, καθάπερ ἤδη εἶπον. τὰ δ' ἐπί-
χειρα τῆς ἡδονῆς εὐθὺς ηὕραντο οἱ πρότερον γενό-
μενοι δοῦλοι χαλεποῦ καὶ δυσιάτου πάθους· ἡ μὲν
γυνὴ σφοδρὰς ἀνίας ἐνδεξαμένη, τὰς ἐν ὠδῖσι,
καὶ τὰς παρὰ τὸν ἄλλον βίον ἐπαλλήλους λύπας,
E καὶ μάλιστα τὰς ἐπὶ τέκνοις γεννωμένοις καὶ τρεφο-
μένοις, καὶ νοσοῦσι καὶ ὑγιαίνουσι, καὶ εὐτυχοῦσι καὶ
ἀτυχοῦσιν, εἰς ἀφαίρεσιν ἐλευθερίας, καὶ τὴν
ἀπὸ τοῦ συνόντος ἀνδρὸς δεσποτείαν, οὗ τοῖς ἐπι-
τάγμασι πειθαρχεῖν ἀναγκαῖον· ὁ δ' ἀνὴρ ἐν
μέρει πόνους καὶ ταλαιπωρίας καὶ συνεχεῖς ἱδρῶ-
τας, ἕνεκα πορισμοῦ τῶν ἀναγκαίων· καὶ στέρησιν
μὲν τῶν αὐτομάτων ἀγαθῶν, ἅπερ ἐδιδάχθη
φέρειν ἡ γῆ δίχα γεωργικῆς ἐπιστήμης· ἀδύ-
των δὲ μετουσίαν καμάτων, εἰς ζήτησιν βίου
καὶ τροφῆς, ὑπὲρ τοῦ μὴ λιμῷ διαπολέσθαι.

οἶμαι γὰρ ὡς ἥλιον καὶ σελήνην ἀεὶ φωσφορεῖν, ἅπαξ κελευσθέντας ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντός, καὶ τὸ θεῖον πρόσταγμα διατηρεῖν οὐδενὸς ἑτέρου χάριν, ἢ ὅτι τῶν ὅρων οὐρανοῦ μακρὰν κακία πεφυγάδευται· τὸν αὐτὸν τρόπον καὶ τῆς γῆς τὴν βαθεῖαν καὶ καρποφόρον, ἄνευ τέχνης καὶ συμπράξεως γεωπόνων ἀνδρῶν, φέρειν ἂν πολλὴν ἀφθονίαν κατὰ τὰς ἐτησίους ὥρας· νυνὶ δὲ, ἀέναοι πηγαὶ τῶν τοῦ θεοῦ χαρίτων ἐπεσχέθησαν, ὅτε ἤρξατο κακία τὰς ἀρετὰς παρευημερεῖν, ἵνα μὴ ὡς ἀναξίοις χορηγῶσιν. ἔδει μὲν οὖν τὸ ἀνθρώπων γένος, εἰ τὴν ἁρμόττουσαν ἔμελλε δίκην ὑπομένειν, ἠφανίσθαι διὰ τὴν πρὸς τὸν εὐεργέτην καὶ σωτῆρα θεὸν ἀχαριστίαν· ὁ δὲ ἅτε τὴν φύσιν ἵλεως, οἶκτον λαβὼν, ἐμετρίασε τὴν τιμωρίαν, τὸ μὲν γένος ἐάσας διαμένειν, τὰς δὲ τροφὰς οὐκέθ᾽ ὁμοίως προσάγων, ἵνα μὴ δυσὶ κακοῖς ἀργίᾳ καὶ κόρῳ χρώμενοι, πλημμελῶσι καὶ ἐξυβρίζωσι. τοιοῦτος μὲν ὁ βίος τῶν ἐν ἀρχῇ μὲν ἀκακίᾳ καὶ ἁπλότητι χρωμένων, αὖθις δὲ κακίαν ἀντ᾽ ἀρετῆς προτιμώντων, ὧν ἄξιον ἀπέχεσθαι. διὰ δὲ τῆς λεχθείσης κοσμοποιίας, πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἀναδιδάσκει· πέντε δὲ τὰ κάλλιστα καὶ πάντων ἄριστα. πρῶτον μὲν, ὅτι ἔστι καὶ ὑπάρχει τὸ θεῖον, διὰ τοὺς ἀθέους· ὧν οἱ μὲν ἐνεδοίασαν, ἐπαμφοτερίσαντες περὶ τῆς ὑπάρξεως αὐτοῦ· οἱ δὲ πλημμελέστεροι καὶ καταθρασυνάμενοι φάμενοι μηδ᾽ ὅλως εἶναι· λέγεσθαι δὲ αὐτὸν μόνον πρὸς ἀνθρώπων πλάσμασι μυθικοῖς ἐπισκιασάντων τὴν ἀλήθειαν. δεύτερον δὲ, ὅτι θεὸς εἷς ἐστι, διὰ τοὺς εἰσηγητὰς τῆς πολυθέου δόξης· οἳ οὐκ ἐρυθριῶσι τὴν φαυλοτάτην τῶν κακοπολιτειῶν * ὀχλοκρασίαν ἀπὸ γῆς εἰς οὐρανὸν μετοικίζοντες. τρίτον δὲ, ὡς ἤδη λέλεκται, ὅτι γενητὸς ὁ κόσμος, διὰ τοὺς οἰομένους αὐτὸν ἀγένητον καὶ ἀΐδιον εἶναι, οἳ πλεῖον οὐδὲν ἀπονέμουσι θεῷ. τέταρτον δὲ, ὅτι καὶ εἷς ἐστιν ὁ γενητὸς κόσμος, ἐπειδὴ καὶ εἷς ὁ δημιουργὸς, ἐξομοιώσας αὐτῷ κατὰ τὴν μόνωσιν τὸ ἔργον, ὃ πάσῃ κατεχρήσατο τῇ οὐσίᾳ εἰς τὴν τοῦ ὅλου γένεσιν. ὅλον γὰρ οὐκ ἂν ἦν, εἰ μὴ ἐξ ὅλων ἐπάγη καὶ συνέστη τῶν μερῶν. εἰσὶ γὰρ οἳ πλείους ὑπολαμβάνοντες κόσμους εἶναι, οἱ δὲ καὶ ἀπείρους, ἄπειροι καὶ ἀνεπιστήμονες αὐτοὶ πρὸς ἀλήθειαν ὄντες, ὧν καλὸν ἐπιστήμην ἔχειν. πέμπτον δὲ, ὅτι καὶ προνοεῖ τοῦ κόσμου ὁ θεός. ἐπιμελεῖσθαι γὰρ ἀεὶ τὸ πεποιηκὸς τοῦ πεποιημένου,

* ὀχλοκρατίαν.

A Opinor enim quemadmodum ſol & luna perpetuo lucem miniſtrant ſemel iuſſi in rerum primordio, & diuinum mandatum indeſinenter faciunt, non ob aliam cauſam quam quia malitia procul terminis cæli exulat, eodem modo terræ quoque latifundia frugifera ſine arte curáque agricolarum latura fuiſſe ingentes rerum copias annuis prouentibus. nunc autem perennes illi fontes Dei gratiarum retenti ſunt, poſtquam cœperunt vitia maiores quàm virtus B profectus facere, ne in indignos profunderetur beneficentia. Itaque debuerat humanum genus, ſi pœna par culpæ luenda eſſet, omninò deleri propter tantam erga benefactorem ſeruatorémque Deũ ingratitudinem. at ille ſuopte ingenio clemens, miſeratione vindictam moderatus eſt, genus quidem manere ſinens, victum autem non æquè vt antea præbens, ne duobus malis accedentibus, ocio ſaturitatéque proni ad vim & peccatum fierent. Talis erat vi- C ta innocenter ab initio ſimpliciterque viuentium: talis item poſtquam virtutem poſthabuerunt vitiis, à quibus abſtinendum eſt. Licet porrò ex ſuperiore de mundo condito narratione alia quoque multa nos diſcere, præcipuè quinque res omnium pulcherrimas & optimas. primùm, eſſe & præeſſe numen, ne nos fallant impij: quorum alij dubitarunt ambigendo an ſit: alij verò his audaciores perfricta fronte negauerunt eſſe, ſed verbis tantummodo celebrari ab hominibus per figmenta fabu- D larum veritatem adumbrantibus. Secundò, Deum vnum eſſe, ne fallamur à multorum deorum aſſertoribus: quos non pudet deterrimam reip. ſpeciem ex terra in cælum transferre vulgi potentiam. Tertio (ſicut iam dictum eſt) mundum eſſe factũ, aduerſus eorum opinionem qui eum infectum ſempiternũque eſſe contendunt, nihil Deo tribuentes amplius. Quartò, hunc ipſum creatũ mundum eſſe vnum, quando & vnus eius E opifex eſt, qui hac vnitate opus ſuum ſimile ſibi reddidit, ad cuius vniuerſi perfectionem vſus eſt omni eſſentia. integrum enim non eſſet, niſi compactum & conſtitutum fuiſſet ex omnibus partibus. nam non deſunt qui credant plures mũdos eſſe, quidam etiam infinitos, ipſi carentes fine modóque ignorantię, & ad veritatem indociles: quos noſſe cauerẽque bonum eſt. Quintò, præeſſe mundo Dei prouidentiam. ſemper enim autor curam gerit operis ſui, communi

necessariáque lege naturæ: quemadmodum & parentes curant suam progeniem. Hæc quicunque non tam auribus quàm cogitatione maturè perceperit, & in animum suum mirandas, omnique studio petendas species impresserit: Esse Deum præesséque rebus, & hunc vnum esse qui verè sit, & ab ipso mundum conditum credi oportere, cúmque (vt dictum est) vnicum, hac vnitate autori suo similem: postremo B nunquam non gubernari eum ab opifice suo: is beatam felicémque vitam acturus est, decretis pietatis diuinis formatus.

A φύσεως νόμοις καὶ θεσμοῖς ἀνενδότοις, καθὰ καὶ γονεῖς τέκνων προμηθοῦνται. ὁ δὴ ταῦτα μὴ ἀκοῇ μᾶλλον ἢ διανοίᾳ προμαθὼν, καὶ ἐν τῇ αὑτοῦ ψυχῇ σφραγισάμενος θαυμάσια καὶ περιμάχητα εἴδη, ὅτι τέ ἐστι καὶ ὑπάρχει θεὸς, καὶ ὅτι εἷς ὁ ὢν ὄντως ἐστὶ, καὶ ὅτι πεποίηκε τὸν κόσμον, καὶ πεποίηκεν ἕνα, ὡς ἐλέχθη, κατὰ τὴν μόνωσιν ἐξομοιώσας ἑαυτῷ· καὶ ὅτι ἀεὶ προνοεῖ τοῦ γεγονότος, B μακαρίαν καὶ εὐδαίμονα ζωὴν βιώσεται, δόγμασιν εὐσεβείας καὶ ὁσιότητος χαραχθείς.

ΝΟΜΩΝ ΙΕΡΩΝ

ΑΛΛΗΓΟΡΙΑΙ ΠΡΩΤΑΙ ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΕΞΑΗΜΕΡΟΝ.

Νόμ. ἀλληγορ. μετ᾽ ἑξαήμερον τὸ δεύτερον.

PHILONIS IVDÆI

E ibi esse iuxta essentiam, potentia vero non potest. Fluuius autem exit ex Edem, vt irriget paradisum, qui inde disterminatur in quatuor capita. nomen vni Physon, ipse est qui circuit omnem terram Euilat, vbi est aurum: & aurum terræ illius bonum est. Ibi carbunculus inuenitur & lapis prasinus. Et nomen fluuio secundo Geon. is circuit terram Æthiopiæ. Tertius fluuius est Tigr: ipse vadit contra Assyrios.

Quartus fluuius ipse est Euphrates.] Per hos vult particulares virtutes designare. hæ sunt numero quatuor, prudentia, temperantia, fortitudo, iustitia. Cæterum maximus ille fluuius, à quo deriuantur alij quatuor, generalis est virtus, quam quidam bonitatem nominant. Quatuor autem eius deriuationes, virtutes totidem. Sumit igitur initia generalis virtus ab Edem, nempe à Dei sapientia: ab ea inquam quæ gaudet deliciatúrque solius Dei patris maiestate sese oblectando. Ab hac vniuersali quatuor hæ deriuantur, quæ quidem fluminis in morem rigat benefacta singularum, inundans, ea largis fluentis honestarum actionum. Inspiciamus etiam vocabula. Fluuius, inquit, exit ex Edem ad irrigandum paradisum.] Fluuius est illa generalis bonitas. exit hæc ex Dei sapientia: hoc est ex verbo Dei. iuxta hoc enim virtus vniuersalis facta est: Rigat autem paradisum hæc vniuersalis virtus, id est, particulares virtutes irrigat. Capita verò accipiuntur non localiter, sed principaliter. nam vnaquæque virtus princeps reuera & regina est. hæc autem vox Disterminatur, idem valet quod finitur terminis. Prudentia quid agendum determinans, fortitudo quid sustinendum, temperantia quid eligendum, iustitia quid cuique tribuendum. Nomen vni Physon. ipse circuit omnem terram Euilat, vbi est aurum: & aurum terræ illius optimum est. ibi carbunculus inuenitur, & lapis prasinus.] E quatuor virtutibus vna species est prudentia, quæ Physon hic nominatur, ἀπὸ τοῦ φείδεσθαι, i. quod parcat animæ seruans eam à peccatis. circuit autẽ choreæ modo terram Euilat, i. placidam mitem propitiámque constitutionem conseruat. sicut autem metallorum optimum probatissimúmque est aurum, ita inter animæ virtutes prudentia habetur probatissima. hæc autem verba, Vbi est aurum, significant: vbi est res aureo fulgore ignéoque prædita illa preciosa prudentia, inter opes diuinas citra controuersiam pulcherrima. huic virtuti attribuuntur duæ qualitates, eius qui habet prudentiam, & eius qui vtitur ea, quas carbunculo prasinóque comparat. Et fluuio secundo nomen Geon. is circuit omnem terram Æthiopiæ.] Figurate hic fluuius est fortitudo. interpretatur enim Geon pectus aut cornupeta. vtrumque fortitudinem significat. nam circa pectus, vbi & cor, habet domiciliũ, & ad

A κατέναντι ἀσσυρίων. καὶ ὁ ποταμὸς ὁ τέταρτος, οὗτος ὁ Εὐφράτης. διὰ τούτων βούλεται τὰς κατὰ μέρος ἀρετὰς ὑπογράφειν. εἰσὶ δὲ τὸν ἀριθμὸν τέσσαρες, φρόνησις, σωφροσύνη, ἀνδρία, δικαιοσύνη. ὁ μὲν δὴ μέγιστος ποταμός, οὗ αἱ τέσσαρες ἀπόρροιαι γεγόνασιν, ἡ γενική ἐστιν ἀρετή, ἣν τινες ἀγαθότητα ὠνομάκασιν· αἱ δὲ τέσσαρες ἀπόρροιαι, ἰσάριθμοι ἀρεταί. λαμβάνει μὲν οὖν τὰς ἀρχὰς ἡ γενικὴ ἀρετὴ ἀπὸ τῆς Ἐδέμ, τῆς τοῦ θεοῦ σοφίας ἣ χαίρει καὶ γάνυται καὶ τρυφᾷ, ἐπὶ μόνῳ

B τῷ πατρὶ αὐτῆς ἀγαλλομένη καὶ σεμνυνομένη θεῷ. αἱ δὲ εἰδικαὶ τέσσαρες ἀπὸ τῆς γενικῆς, ἥτις ποταμοῦ δίκην ἄρδει τὰ κατορθώματα ἑκάστης πολλῷ ῥεύματι καλῶν πράξεων. ἴδωμεν δὲ καὶ τὰς λέξεις. Ποταμός, φησίν, ἐκπορεύεται ἐξ Ἐδέμ, τοῦ ποτίζειν τὸν παράδεισον. ποταμὸς ἡ γενική ἐστιν ἀγαθότης· αὕτη ἐκπορεύεται ἐκ τῆς τοῦ θεοῦ σοφίας· ἡ δέ ἐστιν ὁ θεοῦ λόγος· κατὰ γὰρ τοῦτον πεποίηται ἡ γενικὴ ἀρετή. τὸν δὲ παράδεισον ποτίζει ἡ

C γενικὴ ἀρετή, τουτέστι τὰς κατὰ μέρος ἀρετὰς ἄρδει. ἀρχὰς δὲ τὰς τοπικὰς λαμβάνει, ἀλλὰ τὰς ἡγεμονικάς· ἑκάστη γὰρ τῶν ἀρετῶν ἡγεμονὶς καὶ βασιλὶς ὡς ἀληθῶς ἐστί. τὸ δὲ ἀφορίζεται, ἴσον ἐστὶ τῷ ὅροις περιγράφεται. ἡ μὲν φρόνησις περὶ τὰ ποιητέα ὅρους αὐτοῖς τίθησιν· ἡ δὲ ἀνδρία, τοῖς ὑπομενετέοις· ἡ δὲ σωφροσύνη, τοῖς αἱρετέοις· ἡ δὲ δικαιοσύνη, τοῖς ἀπονεμητέοις. Ονομα τῷ ἑνὶ Φισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ. ἐκεῖ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης,

D καλόν. ἐκεῖ ἐστιν ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος. τῶν τεττάρων ἀρετῶν ἓν εἶδός ἐστιν, ἡ φρόνησις, ἣν Φισὼν ὠνόμασε, παρὰ τὸ φείδεσθαι καὶ φυλάττειν τὴν ψυχὴν ἀπὸ ἀδικημάτων. χορεύει δὲ κύκλῳ, περιέπει τὴν γῆν Εὐιλάτ, τουτέστι τὴν εὐμενῆ καὶ πραεῖαν καὶ ἵλεων κατάστασιν περιέπει. καθάπερ δὲ τῶν χυτῶν ὑλῶν ἡ καθαρωτάτη καὶ δοκιμωτάτη χρυσός ἐστιν, οὕτω καὶ ψυχῆς ἡ δοκιμωτάτη ἀρετὴ φρόνησις γένοιτ᾽ ἄν. τὸ δὲ, Ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· ἀλλ᾽ ἐκεῖ οὗ

E κτῆμά ἐστιν ἡ χρυσαυγὴς καὶ πεπυρωμένη καὶ τιμία φρόνησις, κτῆμα δὲ θεοῦ κάλλιστον ἤδη ἀναμφιλόγητον. κατὰ δὲ τὸν τόπον τῆς φρονήσεως, δύο εἰσὶ τὸ ποιότητες, ὅ, τε φρόνιμος καὶ ὁ φρονῶν, οὓς ἄνθρακι καὶ πρασίνῳ παραβέβληκε. Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ, Γεὼν οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας. συμβολικῶς ἐστιν ὁ ποταμὸς οὗτος ἡ ἀνδρία. ἑρμηνεύεται γὰρ τὸ Γεὼν ὄνομα, ἢ στῆθος ἢ κερατίζων. ἑκάτερον δὲ ἀνδρίας παραστατικόν. περί που γὰρ τὰ στήθη, ὅπου καὶ ἡ καρδία,

διατείνει καὶ πρὸς ἄμυναν ηὐτρέπισται. ἐπιστήμη γάρ ἐστιν ὑπομενετέων, καὶ οὐχ ὑπομενετέων καὶ οὐδετέρων. περικυκλοῖ δὲ καὶ περικάθηται πολεμοῦσα τὴν Αἰθιοπίαν, ἧς ἐστιν ἑρμηνευθὲν τὸ ὄνομα, ταπείνωσις. ταπεινὸν δὲ ἡ δειλία· ἡ δὲ ἀνδρεία ταπεινώσει καὶ δειλίᾳ πολέμιον. Καὶ ὁ ποταμὸς ὁ τρίτος, Τίγρις. οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων. τρίτη ἐστὶν ἀρετή, σωφροσύνη, ἀντιστατοῦσα τῇ κατευθύνειν δοκούσῃ τὴν ἀνθρωπίνην ἀσθένειαν ἡδονῇ. Ἀσσύριοι γὰρ εὐθύνοντες ἑλλάδι γλώττῃ καλοῦνται. τίγρει δὲ τῷ ἀτιθασσοτάτῳ ζώῳ ἡ ἐπιθυμία εἴκασται, περὶ ἣν σωφροσύνη πραγματεύεται. ἄξιόν γε μὴν ἀπορῆσαι, διὰ τί δευτέρα μὲν ἀνδρεία, τρίτη δὲ σωφροσύνη, πρώτη δὲ φρόνησις εἴρηται, καὶ οὐχ ἑτέρως τὴν ἀρετῶν τάξιν δεδήλωκε. νοητέον οὖν, ὅτι ἐστὶν ἡμῶν ἡ ψυχὴ τριμερής, καὶ ἔχει μέρος, τὸ μὲν λογικόν, τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητικόν· καὶ συμβέβηκε τοῦ μὲν λογικοῦ χωρίον εἶναι καὶ ἐνδιαίτημα, κεφαλήν. τοῦ δὲ θυμικοῦ, τὰ στέρνα· τοῦ δὲ ἐπιθυμητικοῦ, τὸ ἦτρον. ἀρετὴν δὲ ἑκάστῳ τῶν μερῶν οἰκείαν προσηρμόσθαι. τοῦ μὲν γὰρ λογικοῦ, φρόνησιν. λογισμοῦ γάρ ἐστιν, ἐπιστήμην ἔχειν ὧν τε δεῖ ποιεῖν, καὶ ὧν μή· τοῦ δὲ θυμικοῦ, ἀνδρείαν· τοῦ δὲ ἐπιθυμητικοῦ, σωφροσύνην. σωφροσύνῃ γὰρ τὰς ἐπιθυμίας ἀκούμεθα καὶ ἰώμεθα. ὥσπερ οὖν κεφαλὴ μὲν πρῶτον τοῦ ζώου καὶ ἀνωτάτω μέρος ἐστί, δεύτερον δὲ στέρνα, τρίτον δὲ ἦτρον· καὶ πάλιν ψυχῆς, πρῶτον μὲν τὸ λογικόν, δεύτερον δὲ τὸ θυμικόν, τρίτον δὲ τὸ ἐπιθυμητικόν. οὕτω καὶ τῶν ἀρετῶν, πρώτη μὲν ἡ περὶ τὸ πρῶτον τῆς ψυχῆς, ὃ δὴ λογικόν ἐστι, καὶ τοῦ σώματος διατρίβουσα κεφαλήν, φρόνησις. δευτέρα δὲ ἀνδρεία, ὅτι περὶ τὸ δεύτερον μέρος, ψυχῆς μὲν θυμόν, σώματος δὲ τὰ στέρνα φωλεύει. τρίτη δὲ σωφροσύνη, ὅτι περὶ τὸ ἦτρον, ὃ δὴ τρίτον ἐστὶ τοῦ σώματος, καὶ περὶ τὸ ἐπιθυμητικόν, ὃ τρίτην εἴληχε χώραν ἐν ψυχῇ, πραγματεύεται. Ὁ δὲ ποταμός, φησίν, ὁ τέταρτος, οὗτος Εὐφράτης. ἔστι δὲ συμβολικῶς, ἡ τετάρτη δικαιοσύνη, καρποφόρος τῷ ὄντι, καὶ εὐφραίνουσα τὴν διάνοιαν. πότε οὖν γίνεται; ὅταν τὰ τρία μέρη τῆς ψυχῆς συμφωνίαν ἔχῃ. συμφωνία δὲ αὐτῆς ἐστιν, ἡ τοῦ κρείττονος ἡγεμονία· οἷον, ὅταν τὰ δύο, τό, τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν ἡνιοχῆται ὑπὸ τοῦ λογικοῦ, τότε γίνεται δικαιοσύνη. δίκαιον γάρ, τὸ μὲν κρεῖττον ἄρχειν ἀεὶ καὶ πανταχοῦ, τὸ δὲ χεῖρον ἄρχεσθαι· κρεῖττον μὲν δὲ τὸ λογικόν, χεῖρον δὲ τὸ ἐπιθυμητικὸν καὶ θυμικόν. ὅταν δὲ ἔμπαλιν ἀφηνιάσῃ

A defensionem sui parata est. est enim scientia sustinendorum non sustinendorúmque & neutrorum. circuit autem & obsidet hostiliter Æthiopiam, cuius nomen si interpreteris, idem est quod humilitas. humilis autem & abiecta timiditas, cui fortitudo semper aduersatur. Tertius fluuius Tigris, qui vadit contra Assyrios.] Tertia virtus est têperantia, resistens voluptatibus istis quæ sibi videntur imbecillitatem humanam corrigere. nam Assyrios in corrigentes
B licet vertere. confert autem concupiscêtiam cum immanissimo animali tigride, cum qua perpetuo negotium habet temperantia. Oritur hic dubitatio cur secunda fortitudo, tertia temperantia, prima prudentia recenseatur, omissa mentione virtutum cæterarum. animaduertendum igitur tripartitam esse nostram animam, haberéque partes, rationalem, irascibilem, & concupiscibilem: quarũ rationalis regionem capitis inhabitat, irascibilis verò pectus, sicut concupisci-
C bilis inguina. harum cuique appositam esse virtutem propriam. rationali prudêtiam. ratiocinationis enim est scientiam habere faciendorũ & non faciendorum. Irascibili fortitudinem, concupiscibili temperantiam. hac enim medicamus & sanamus concupiscentias. Quemadmodum igitur caput prima summáque pars est in animali, secunda pectus, inguen tertia: rursúmque in anima, prima pars rationalis, secunda irascibilis, tertia concupiscibilis: ita & virtutum prima est, quæ circa præcipuũ animæ quod est ra-
D tionale versatur, & circa summum caput habitat, prudentia. secunda fortitudo, quia circa secundam partem, animę quidem iram, corporis verò pectus stabulatur. tertia temperantia, quia circa inguẽ, tertiam regionem corporis, & circa vim concupiscibilem, quę tertium locum habet in anima, occupatur. Quartus, inquit, fluuius ipse est Euphrates.] Figurate verò quarta virtus est iustitia, reuera fructifera & mentem exhilarans.
E hæc ergo quando exoritur? cum tres partes animæ inter se consonant. hæc consonantia fit, dum penes præstantiorem est imperium: vt quando ambæ irascibilis concupiscibilisque parent habenis partis rationalis, tunc sequitur iustitia. iustum enim est vt quod præstat, semper & vbique imperet: quod deterius est, imperata faciat. atqui rationale præcellentius est, viliora concupiscibile & irascibile, sed vbi hæ duæ partes,

retrogradæ contumacésque aurigam, id est, rationē impetu vehemēti abstractū superauerint, & vtrauis earum momorderit frenum, ibi summa est iniustitia. necessū est enim vt ignauo auriga regẽte ferantur in voragines & præcipitia: sicut cōtra vt virtute huius peritiáq; seruentur. Præterea sic quoque consideremus rem propositam. Phison interpretatur oris mutatio. Euilat parturiens, per quæ significatur prudentia. nam vulgus prudentem existimat eum qui more sophistarum inuentione ac elocutione pollet plurimum. Moses vero talem agnoscit pro studioso eloquentiæ, pro prudente nequaquam. nam in mutatione oris, hoc est eloquendi facultatis, consideratur prudētia: quod quidem est non verbis sapere, sed opere spectatum esse actionibusque ad virtutem compositis. Euilat verò quasi circumscribit imprudentiam, ne parturiat exitium prudentiæ. est enim proprium imprudentię nomen parturiens, quoniā imprudens mēs interdum res inconcessas parturit. itidē cum pecunias amat parturit, aut cum gloriam, voluptatem, & id genus alia concupiscit. cæterum cum parturit, nondum parit. ideo non est apta ad gignendum quicquam perfectū ignaua anima. Quod si quando videtur fœtus gignere, abortiui deprehenduntur deuorantes dimidiū eius carnium, pares morti animæ. Quapropter in sacra scriptura Mosen amicū Dei rogat Aaron, vt sanet leprā Mariæ, ne fiat in parturitione malorū eius anima. & ideo dicit: Ne fiat hæc quasi mortua, & vt abortiuū quod proiicitur de vulua matris suæ, & deuorat dimidium eius carniū. Vbi est aurū, inquit. In mentione auri dicit, Vbi est. nam prudentia quā assimilauit auro, metallo sincero, puro, pretioso, examinato igne probatóque, illic quidem est in Dei sapientia: & cum illic sit, non possidetur à sapientia: sed vbi sapientia, ibi & ipsa est, possessio Dei conditoris & opificis. Et aurum terræ illius bonum est. Ergo est aliud aurum non bonum? certè est. Nam duo sunt genera prudentiæ, alterum vniuersale, alterum particulare. Itaque prudentia mea cum sit particularis, non est bona. nam me pereunte simul interit. Vniuersalis autem illa quæ Dei sapientiam inhabitat ceu domicilium, bona est. Incorruptibilis enim in domo incorruptibili permanet. Ibi est carbunculus & lapis prasinus. Differunt hi duo, prudens, & prudenter agens. alter ornatus prudentia, alter

A καὶ ἀναχαιτίσῃ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, καὶ τὸν ἡνίοχον, λέγω δὲ τὸν λογισμὸν, τῇ βίᾳ τῆς ὁρμῆς κατασύρῃ καὶ ἀποζεύξῃ, ἑκάτερον δὲ πάθος λάβηται τῆς ἡνίας, ἀδικία ἄκρα. ἀνάγκη γὰρ καὶ ἀπειρίᾳ καὶ κακίᾳ ἡνιόχου ἀποζευχθέντα κατὰ κρημνῶν φέρεσθαι, καὶ βαράθρων· ὥσπερ ἐμπειρίᾳ καὶ ἀρετῇ διασώζεσθαι. ἔτι καὶ οὕτως ἴδωμεν τὸ προκείμενον. Φισὼν ἑρμηνεύεται στόματος ἀλλοίωσις, Εὐιλὰτ δὲ ὠδίνουσα· καὶ διὰ τούτων ἡ φρόνησις ἐμφαίνεται. οἱ μὲν γὰρ πολλοὶ φρόνιμον νομίζουσι τὸν εὑρετικὸν λό-

B γων σοφιστικῶν, καὶ δεινὸν ἑρμηνεῦσαι τὸ νοηθέν. Μωϋσῆς δὲ, λογόφιλον μὲν αὐτὸν οἶδε, φρόνιμον δὲ οὐδαμῶς. ἐν ἀλλοιώσει γὰρ τοῦ στόματος, τουτέστι τοῦ ἑρμηνευτικοῦ λόγου, ἡ φρόνησις θεωρεῖται. ὅπερ ἦν μὴ ἐν λόγῳ τὸ φρονεῖν, ἀλλ' ἐν ἔργῳ θεωρεῖσθαι καὶ σπουδαίαις πράξεσι. κύκλον δὲ περιτίθησι, καὶ ὥσπερ τεῖχος τὴν Εὐιλὰτ τῇ ὠδινούσῃ ἀφροσύνῃ πρὸς πολιορκίαν αὐτῆς καὶ καθαίρεσιν. ἀφροσύνη δὲ ἐστὶ κύριον ὄνομα ὠδίνουσα, ὅτι ὁ

C ἄφρων νοῦς ἀνεπιτεύκτων ἔργων ἑκάστοτε ἐν ὠδῖσίν ἐστιν· ὅταν χρημάτων ἐρᾷ, ὠδίνει· ὅτε δόξης, ὅτε ἡδονῆς, ὅτε ἄλλου τινός. ἐν ὠδῖσι δὲ ὤν, οὐδέποτε τίκτει. οὐ γὰρ πέφυκε γόνιμον οὐδὲν τελεσφορεῖν ἡ τοῦ φαύλου ψυχή. ἂν δὲ καὶ δοκῇ προσφέρειν, ἀμβλωθρίδια εὑρίσκεται καὶ ἐκτρώματα κατεσθίοντα τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς, ἴσα θανάτῳ ψυχικῷ· διὸ καὶ δεῖται ὁ ἱερὸς λόγος Ἀαρὼν τοῦ θεοφιλοῦς Μωϋσέως ἰάσασθαι τὴν λέπραν τῆς Μαριάμ, ἵνα μὴ γένηται ἐν ὠδῖσι κακῶν ἡ ψυ-

D χή. διὸ καί φησι, Μὴ γένηται ὡς ἴσον θανάτῳ, ὡς ἔκτρωμα ἐκπορευόμενον μήτρας μητρὸς, καὶ κατεσθίει τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς. Ἐκεῖ οὗ, φησὶν, οὗ ἐστι τὸ χρυσίον· οὐ λέγει εἶναι τὸ χρυσίον μόνον, ἀλλ' ἐκεῖ οὗ ἐστιν. ἡ γὰρ φρόνησις ἣν εἴκασε χρυσίῳ, ἀδόλῳ καὶ καθαρᾷ καὶ πεπυρωμένῃ καὶ δεδοκιμασμένῃ καὶ τιμίᾳ φύσει, ἐκεῖ μὲν ἐστιν ἐν τῇ τοῦ θεοῦ σοφίᾳ· ἐκεῖ δὲ οὖσα, οὐκ ἔστι τῆς σοφίας κτῆμα, ἀλλὰ οὗ καὶ ἡ σοφία ἐστὶν αὐτὴ τοῦ δη-

E μιουργοῦ καὶ κεκτημένου θεοῦ. Τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν. οὐκ οὖν ἐστιν ἕτερον χρυσίον οὐχὶ καλόν; πάνυ γε. διττὸν γὰρ φρονήσεως γένος, τὸ μὲν καθόλου, τὸ δὲ ἐπὶ μέρους. ἡ μὲν οὖν ἐν ἐμοὶ φρόνησις ἐπὶ μέρους οὖσα, οὐ καλή· φθαρέντος γάρ μου φθείρεται· ἡ δὲ καθόλου φρόνησις ἡ οἰκοῦσα τὴν θεοῦ σοφίαν καὶ τὸν οἶκον αὐτοῦ, καλή· ἄφθαρτος γὰρ ἐν ἀφθάρτῳ οἴκῳ διαμένει. Καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. οἱ δύο ποιοί, ὅ, τε φρόνιμος καὶ ὁ φρονῶν. ὁ μὲν συνιστάμενος κατὰ

τὴν φρόνησιν, ὁ δὲ φρονῶν κατὰ τὸ φρονεῖν. τούτων γὰρ ἕνεκα τὴν ποιότητα ἐσπείρεν ὁ θεὸς ἐν γηΐνῳ, φρονήσεώς τε καὶ ἀρετῆς. τί γὰρ ὄφελος ἦν αὐτῆς, εἰ μὴ οἱ δεξάμενοι λογισμοὶ ὑπῆρχον, καὶ τοὺς τύπους αὐτῆς ἐναπομαξάμενοι. ὥστ' εἰκότως ἐκεῖ ἐστὶν ὅπου ἡ φρόνησις, ὅ, τι φρόνιμος καὶ ὁ φρονῶν, οἱ δύο λίθοι. μήποτε δὲ Ἰούδας καὶ ὁ Ἰσσάχαρ ἐστίν. ὁ μὲν γὰρ τοῦ τῆς θεοῦ φρονήσεως ἀσκητὴς ἐξομολογεῖται εὐχαριστικῶς παρὰ τοῦ τὸ ἀγαθὸν ἀφθόνως δωρησαμένου· ὁ δὲ, καὶ καλὰ καὶ σπουδαῖα ἐργάζεται. τοῦ μὲν οὖν ἐξομολογουμένου ὁ Ἰούδας σύμβολον ἐφ' οὗ καὶ ἵσταται τίκτουσα ἡ Λεία· τοῦ δὲ ἐργαζομένου τὰ καλὰ, ὁ Ἰσσάχαρ. ὑπέθηκε γὰρ τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργός· ἐφ' οὗ φησὶ Μωϋσῆς σπαρέντος καὶ φυτευθέντος ἐν ψυχῇ ἐστὶ μισθὸς, ὅπερ ἦν οὐκ ἀτελὴς πόνος, ἀλλὰ στεφανούμενος ὑπὸ θεοῦ καὶ μισθοδοτούμενος. ὅτι δὲ τούτων ποιεῖται μνήμην, δι' ἑτέρων δηλοῖ, ὅταν ἐπὶ τοῦ ποδήρους φῇ, καὶ συνυφανεῖς ἐν αὐτῷ λίθον τετράστιχον· λίθων στίχος ἔσται, σάρδιον, τοπάζιον, καὶ σμάραγδος. ὁ στίχος ὁ εἷς, Ῥουβὶμ, Συμεὼν, Λευΐ. Καὶ ὁ στίχος, φησὶν, ὁ δεύτερος, ἄνθραξ, καὶ σάπφειρος. ὁ δὲ σάπφειρος πράσινος λίθος ἐστίν· ἐγγέγλυπται περὶ μὲν ἄνθρακι ὁ Ἰούδας· τέταρτος γάρ. ἐν δὲ σαπφείρῳ ὁ Ἰσσάχαρ. διὰ τί οὖν οὐχ ὥσπερ λίθον πράσινον εἴρηκεν, οὕτω καὶ λίθον ἀνθράκινον. ὅτι μὲν Ἰούδας ἐξομολογητικὸς τρόπος, ἄϋλός ἐστι καὶ ἀσώματος. καὶ γὰρ αὐτὸ τοὔνομα τῆς ἐξομολογήσεως, ἐμφαίνει τὴν ἐκτὸς ἑαυτοῦ ὁμολογίαν. ὅταν γὰρ ἐκβῇ ὁ νοῦς ἑαυτοῦ, καὶ ἑαυτὸν ἀνενέγκῃ θεῷ, ὥσπερ ὁ γέλως Ἰσαὰκ, τηνικαῦτα ὁμολογίαν τὴν πρὸς τὸν ὄντα ποιεῖται· ἕως δὲ αὐτὸν ὑποτίθεται ὡς αἴτιόν τινος, μακρὰν ἀφέστηκε τοῦ παραχωρεῖν θεῷ καὶ ὁμολογεῖν αὐτῷ. καὶ γὰρ αὐτὸ τοῦτο ἐξομολογεῖσθαι νοητέον, ὅτι ἔργον ἐστὶν οὐχὶ τῆς ψυχῆς, ἀλλὰ τοῦ φαίνοντος αὐτῇ θεοῦ τὸ εὐχάριστον. ἄϋλος μὲν δὴ ὁ ἐξομολογούμενος Ἰούδας. περὶ δὲ ἐκ πόνου προσεληλυθότι Ἰσσάχαρ, δεῖ καὶ ὕλης σωματικῆς· ἐπεὶ πῶς ἀναγνώσεται, χωρὶς ὀμμάτων ὁ ἀσκητής· πῶς δὲ ἀκούσεται τῶν προτρεπτικῶν λόγων, χωρὶς ἀκοῆς· πῶς δὲ σιτίων καὶ ποτῶν ἐφίξεται, δίχα γαστρὸς καὶ τῆς περὶ αὐτὴν περιεργίας. διὰ τοῦτο λίθῳ ἀπεικάσθη. καὶ τὰ χρώματα μέντοι διάφορα· τῷ μὲν γὰρ ἐξομολογητικῷ οἰκεία χροιὰ ἡ τοῦ ἄνθρακος· πεπύρωται γὰρ ἐν εὐχαριστίᾳ θεῷ, καὶ μεθύει τὴν νήφουσαν μέθην. τῷ δὲ ἔτι πονοῦντι, ἡ τοῦ πρασίνου λίθου· ὠχροὶ γὰρ οἱ ἐν

A exercens eam. Ob hæc enim duo prudentia terrigenæ homini à Deo est insita, vt sapiat & bonus sit. Quæ enim eius est vtilitas, nisi à ratione recipiatur, & ei formas imprimat? itaque rectè virtus iungitur prudentiæ, & prudens cum exercente prudentiam, duo preciosi lapides. Et fortè hi sunt Iudas atque Issachar. alter enim diuinæ prudentiæ cultorem se confitetur, gratias agens ei à quo bonum hoc accepit largiter. B alter exercet se in virtute honestisque actionibus. Itaque Iudas confitentem significat, in quo Lia parere desiit: Issachar verò bona operantem. supposuit enim suos humeros ad laborandum, & factus est vir agricola: cuius merces est (vt ait Moses) anima seminibus plantisque consita, hoc est, non labor inutilis, sed coronatus à Deo & mercedem accipiens. Hæc autem sic intelligi oportere indicatur per alia, quando de talari veste scribitur. Et intexes in ea C gemmarum ordines quatuor. Vnus ordo erit, sardius, topazius, smaragdus, in quo Rubim, Simeon, Leui. Et ordo secundus, inquit, carbunculus sapphirúsque. Sapphirus autem est lapis prasinus. carbunculo Iudas insculpitur, quia quartus sapphiro Issachar. Cur igitur non dixit lapidem carbunculum, sicut lapidem prasinum? quia Iudas confessionis figura caret materia & corpore. Nam ipsum confessionis nomen declarat eam esse rem externam. Cum enim D mens extra seipsam constituta, Deo seipsam obtulerit, sicut ille risus Isaac, tunc confitetur ei qui solus verè est. quàm diu verò se causam rei cuiuspiam existimat, multum abest quin confiteatur cedátque Deo. nam & ipsa confessio debet intelligi non animæ opus, sed Dei, qui ostendit ei hanc ingratitudinem. Caret igitur materia Iudas confitens. laboriosus autem Issachar opus habet materia corporea. alioqui quomodo lectioni dabit operam studiosus virtutis absque oculis? aut quo- E modo audiet sermones exhortatorios absque auribus? aut quomodo cibum potúmque desiderabit absque ventre & huius curiositate? ideóque similatur lapidi. Quin & colores eorum differunt. nam illi confessiorio viro conuenit color carbunculi. is enim Deo gratias agens, igne quodam accenditur, & inebriatur ebrietate quadam sobria. alteri verò etiamnum laboranti, color prasini lapidis. pallent enim qui se

exercent præ labore, & præ timore ne forte ad optatum finem non perueniant. Quærendum etiam, cur duo fluuij, Physon Geónque, regiones quasdam circumeunt, alter Euilat, alter Æthiopiam, è reliquis verò neuter: sed Tigris dicitur meare contra Assyrios, de Euphratis meatu siletur. atqui re ipsa Euphrates & circumfluit quasdam regiones, & ex aduerso sitas habet multas. verum non fit hic sermo de fluuio, sed de morum correctione. Dicendum igitur prudentiã fortitudinémque posse murum & vallum aduersus contraria vitia ducere, imprudentiam timiditatémque, expugnaréque sic ea. infirmæ enim ambo capiuntur facilè. nam imprudens non ægrè in potestatem prudentis redigitur, timidus itidem in fortis. at temperantia non valet concupiscentiam voluptatémque circumuallare. graues enim sunt aduersariæ nec facilè expugnantur. non vides vel temperatissimos necessitate mortalis corporis ad cibos ac potus adigi? vnde ventris voluptates procedunt. satius igitur est resistere ac repugnare concupiscentiarum generi. Quapropter contra Assyrios vadit Tigris fluuius, id est contra voluptates temperantia. porrò iustitia quam nobis refert Euphrates flumen, nec oppugnat quemquam nec circumuallat nec habet aduersarium. quare? quia huius est suum cuique reddere, & est loco non accusatoris, sed iudicis. Quemadmodum igitur iudex, nec vincere vult quemquam nec habere aduersarium, sed lata sententia pondus addit parti iustiori: ad eundem modum iustitia quoque cum nemini aduersetur, cuique rei quod suum est tribuit. Apprehendit dominus Deus hominem quem fecit, & posuit eum in paradiso ad colendum operando custodiendúmque.] Is qui fictus est homo differt ab eo quem Deus fecit, vt dixi. ille mens est terrena magis: hic verò factus, expertior materiæ, & alienus ab huius corruptibili genere, constitutione puriore sincerioréque præditus. hanc igitur puram mentem Deus apprehendit, non sinens extra seipsam excedere: apprehensámque collocat inter radicatas germinantésque virtutes, vt operetur eas & custodiat. Multi qui se applicarunt ad virtutis studium, circa finem defecerunt. sed cui Deus largitur firmam scientiam, ei dat vtrumque: operari virtutes indesinenter, & asseruare has tamquam in

A ἀσκήσει, διά τε τὸν περιέχοντα πόνον, καὶ διὰ δέος τοῦ μὴ τυχεῖν ἂν ἴσως τοῦ κατ' εὐχὴν τέλους. ἄξιον δὲ διαπορῆσαι, διὰ τί οἱ μὲν δύο ποταμοί, ὁ Φυσὼν καὶ ὁ Γεὼν κυκλοῦσι χώρας τινάς, ὁ μὲν τὴν Εὐιλὰτ, ὁ δὲ τὴν Αἰθιοπίαν, τῶν δὲ λοιπῶν οὐδέτερος· ἀλλ' ὁ μὲν Τίγρις κατέναντι Ἀσσυρίων λέγεται εἶναι· ὁ δὲ Εὐφράτης, οὐδενός. καίτοιγε πρὸς τὸ ἀληθὲς ὁ Εὐφράτης καὶ περιρρεῖ τινὰς χώρας, καὶ ἀντιπέρας ἔχει πολλάς. ἀλλ' οὐκ ἔστι περὶ ποταμοῦ ὁ λόγος, ἀλλὰ περὶ ἐπανορθώσεως ἠθῶν. B λεκτέον οὖν ὅτι ἡ μὲν φρόνησις καὶ ἀνδρία δύναται τεῖχος καὶ κύκλον βάλλεσθαι κατὰ τῶν ἐναντίων κακιῶν, ἀφροσύνης τε καὶ δειλίας, καὶ ἑλεῖν αὐτάς· ἀσθενεῖς γὰρ καὶ εὐάλωτοι ἀμφότεραι. καὶ γὰρ ὁ ἄφρων εὔληπτος τῷ φρονίμῳ, καὶ δειλὸς ὑποπέπτωκε τῇ ἀνδρείᾳ. ἡ δὲ σωφροσύνη ἀδυνατεῖ κυκλώσασθαι τὴν ἐπιθυμίαν καὶ ἡδονήν· χαλεπαὶ γὰρ καὶ ἀντίπαλοι καὶ δυσκαθαίρετοι. οὐχ ὁρᾷς ὅτι καὶ οἱ ἐγκρατέστατοι ἀνάγκῃ τῆς θνητῆς C παραγίνονται ἐπὶ σιτία καὶ ποτά, ἐξ ὧν αἱ γαστρὸς ἡδοναὶ περιεστᾶσιν. ἀγαπητὸν οὖν ἐστιν ἀντιτάξασθαι καὶ μάχεσθαι τῷ γένει τῆς ἐπιθυμίας· διὸ κατέναντι Ἀσσυρίων ἐστὶν ὁ Τίγρις ποταμός, ἡ σωφροσύνη τῆς ἡδονῆς. ἡ δὲ δικαιοσύνη καθ' ἣν ὁ Εὐφράτης ποταμὸς συνίσταται, οὔτε πολιορκεῖ καὶ περιτειχίζει τινά, οὔτε ἀντιστατεῖ. διὰ τί; ὅτι ἀπονεμητική τῶν κατ' ἀξίαν ἐστί, καὶ τέτακται οὔτε κατὰ τὸν κατήγορον, ἀλλὰ κατὰ τὸν δικαστήν· ὥσπερ οὖν ὁ δικαστὴς οὔτε νικῆσαί τινας προῄρηται, οὔτε πολε- D μῆσαί τισι καὶ ἐναντιωθῆναι, γνώμην δὲ ἀποφηνάμενος, βαρύνει τὸ δίκαιον· οὕτω καὶ ἡ δικαιοσύνη οὐδενὸς οὖσα ἀντίδικος, ἀπονέμει τὰ κατ' ἀξίαν ἑκάστῳ πράγματι. Ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἐποίησε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ, ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν. τοῦ πλασθέντος διαφέρει ὃν ἐποίησεν ὁ θεὸς ἄνθρωπον, ὡς εἶπον. ὁ μὲν γὰρ πλασθείς, νοῦς ἐστι γεωδέστερος· ὁ δὲ ποιηθείς, ἀϋλώτερος, φθαρτῆς ὕλης ἀμέτο- E χος, καθαρωτέρας καὶ εἰλικρινεστέρας τετυχηκὼς συστάσεως. τοῦτον οὖν τὸν καθαρὸν νοῦν λαμβάνει ὁ θεός, οὐκ ἐῶν ἐκτὸς ἑαυτοῦ βαίνειν. καὶ λαβὼν τίθησιν ἐν ταῖς ἐρριζωμέναις καὶ βλαστανούσαις ἀρεταῖς, ἵνα ἐργάζηται αὐτὰς καὶ φυλάττῃ. πολλοὶ ἀσκηταὶ γενόμενοι τῆς ἀρετῆς, ἐπὶ τοῦ τέλους μετέβαλον· ᾧ δὲ παρέχει ὁ θεὸς ἐπιστήμην βεβαίαν, τούτῳ δίδωσιν ἀμφότερα, τό ἐργάζεσθαι τὰς ἀρετὰς καὶ μηδέποτε αὐτῶν ἀφίστασθαι, ἀλλ' αἰεὶ ταμιεύειν καὶ φυλάττειν ἑκάστην.

τὸ μὲν οὖν ἐργάζεσθαι, ἀντὶ τοῦ πράττειν· τὸ δὲ φυλάττειν, ἀντὶ τοῦ μνημονεύειν. Καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδὰμ, λέγων, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φάγεσαι· ἀπὸ δὲ τοῦ ξύλου τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ, οὐ φάγεσθε· ὅτι ἐν ἡμέρᾳ ἂν φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. ποίῳ Ἀδὰμ ἐντέλλεται, καὶ τίς ἐστιν οὗτος; διαπορητέον· οὐ γὰρ μέμνηται πρότερον αὐτοῦ· νυνὶ δὲ πρῶτον ὠνόμασεν αὐτόν. μήποτ' οὖν βούλεταί σοι τοῦ πλασθέντος ἀνθρώπου παραστῆσαι τοὔνομα; καλεῖ δέ φησιν αὐτὸν γῆν· τοῦτο γὰρ Ἀδὰμ ἑρμηνεύεται. ὥστε * ποῦ εἴ τι ἀκούσῃς Ἀδὰμ, γήϊνον καὶ φθαρτὸν εἶναι νόμιζε. ὁ γὰρ κατ' εἰκόνα, οὐ γήϊνος, ἀλλ' οὐράνιος. ζητητέον δὲ διὰ τί πᾶσιν ἐπιθεὶς τοῖς ἄλλοις τὰ ὀνόματα, οὐκ ἐπέθηκε καὶ ἑαυτῷ. τί οὖν λεκτέον; ὁ νοῦς ὁ ἐν ἑκάστῳ ἡμῶν, τὰ μὲν ἄλλα δύναται καταλαβεῖν, ἑαυτὸν δὲ γνωρίσαι ἀδυνάτως ἔχει. ὥσπερ γὰρ ὀφθαλμὸς τὰ μὲν ἄλλα ὁρᾷ, ἑαυτὸν δὲ οὐ βλέπει· οὕτω καὶ ὁ νοῦς τὰ μὲν ἄλλα νοεῖ, ἑαυτὸν δὲ οὐ καταλαμβάνει. εἰπάτω γὰρ ὅστις τί ἐστι καὶ ποδαπὸς, πνεῦμα, ἢ αἷμα, ἢ πῦρ, ἢ ἀὴρ, ἢ ἕτερόν τι σῶμα, ἢ τοσοῦτόν γε, ἢ ὅτι σῶμά ἐστι πάλιν, ἢ ἀσώματον. εἶτα οὐκ εὐήθεις οἱ περὶ θεοῦ σκεπτόμενοι οὐσίας; οἱ γὰρ τῆς ἰδίας ψυχῆς τὴν οὐσίαν οὐκ ἴσασι, πῶς ἂν περὶ τῆς τῶν ὅλων ψυχῆς ἀκριβώσαιεν; ἡ γὰρ τῶν ὅλων ψυχὴ θεός ἐστι κατὰ τὴν ἔννοιαν. εἰκότως οὖν Ἀδὰμ τουτέστιν ὁ νοῦς, τὰ * ἄλλα νομίζων καὶ καταλαμβάνων, ἑαυτῷ ὄνομα οὐκ ἐπιτίθησιν, ὅτι ἑαυτὸν ἀγνοεῖ καὶ τὴν ἰδίαν φύσιν. ἐντέλλεται δὲ τούτῳ, ἀλλ' οὐχὶ τῷ κατ' εἰκόνα καὶ τὴν ἰδέαν γεγονότι. ἐκεῖνος μὲν γὰρ καὶ δίχα προτροπῆς τὴν ἀρετὴν ἔχει αὐτομαθῶς· οὗτος δ' ἄνευ διδασκαλίας οὐκ ἂν φρονήσεως ἐπιλάχοι. διαφέρει δὲ τρία ταῦτα, πρόσταξις, ἀπαγόρευσις, ἐντολὴ καὶ παραίνεσις. ἡ μὲν γὰρ ἀπαγόρευσις, ἁμαρτημάτων, ἣ γίνεται καὶ πρὸς φαῦλον. ἡ δὲ πρόσταξις, κατορθωμάτων· ἡ δὲ παραίνεσις, πρὸς τὸν μέσον, τὸν μήτε φαῦλον μήτε σπουδαῖον. οὔτε γὰρ ἁμαρτάνει ὡς ἀπαγορεύειν αὐτῷ τινα αὐτοῦ, οὔτε κατορθοῖ κατὰ τὴν τοῦ ὀρθοῦ λόγου πρόσταξιν· ἀλλὰ χρείαν ἔχει παραινέσεως, τῆς ἀπέχειν μὲν τῶν φαύλων διδασκούσης, προτρεπούσης δὲ ἐφικέσθαι τῶν ἀστείων. τῷ μὲν οὖν τελείῳ καὶ κατ' εἰκόνα προστάττειν ἢ ἀπαγορεύειν οὐχὶ δεῖ· οὐδενὸς γὰρ ὁ τέλειος δεῖται· τῷ δὲ φαύλῳ προστάξεως ἐστι καὶ ἀπαγορεύσεως χρεία.

γρ. ὥστε οὖν εἴ τι ἀκούσαις. ἴσως, ὁ ποτὲ οὖν ἀκούσῃς.

γρ. ἴσως, ἄλλα ὀνομάζων.

A promptuario. itaque operari ponitur pro facere, custodire autem pro meminisse. Et præceptũ dedit dominus Deus Adamo, dicens: Ex omni ligno paradisi comedens comede: de ligno autem scientiæ boni & mali ne comedatis: quocũque enim die comederetis ex eo, morte moriemini.] Quali Adamo præcipitur? quærendum quisnam sit hic. Nulla enim priùs eius mentione facta, nunc primùm eum nominat. num fortè vult tibi

B illius facti hominis nomen tradere? Appellat, inquit, eum terram: sic enim vox hæc Adam interpretatur. Itaque nunc cum audis nomen hoc Adam, terrenum corruptibilémque intellige. nam ille ad imaginem factus non terrenus est, sed cælestis. Quærendum item, cur qui omnibus reliquis imposuit nomina, sibi nullum imposuit. Quid igitur dicendum? mens quæ inest nostrum vnicuique, cætera potest comprehendere, seipsam nosse non potest. Quem-

C admodum enim oculus alia videt seipsum non videns: sic & mens intelligit alia, seipsam non comprehendit. aut dicat quæ & vnde sit, spiritúsne, an sanguis, an ignis, an aër, corpúsve aliud: vel hoc saltem, corporeáne sit an incorporea. & postea non sunt habendi stulti qui de essentia Dei disserunt? Qui enim animæ suæ nesciunt essentiam, quomodo huius vniuersitatis animam exactè pernoscere poterunt? Deus enim anima huius vniuersitatis intelligitur.

D Merito igitur Adam, id est mens, alia nominans & comprehendens, sibiipse nomen non imponit, quando seipsum ignorat naturámque propriã. huic præceptum datur, non illi facto ad ideam & imaginem. nam ille vel absque hortatu virtutem per se ipse didicit: hic citra operam præceptoris nunquam potest prudens euadere. interest autem inter hæc tria, præceptum, interdictum, mandatum siue monitum. interdictum ad peccata pertinet, & fit vel apud nequam

E hominem: præceptum ad rectè facta: mandatum ad medium hominem pertinet, qui neque nequam sit neque virtute præditus. Nec enim peccat vt interdicto habeat opus, neque rectè facit, ita vt recta ratio postulat: sed indiget admonitione, quæ abstinere à prauis doceat, exhortans ad desiderium virtutum ciuilium. Ergo homini ad imaginem perfecto nec iussis nec interdictis opus est. Perfectus enim homo nullius indiget, vilis autem homo tum præcepto

tum interdicto indiget. stulto verò admonitione doctrináque opus est. Quēadmodum perfecto grammatico musicóve nullis harum artium præceptis opus est: ei verò qui aberrauit in harum consideratione, leges præceptáque adhibenda sunt: institutio verò recens in disciplinam tradito. Merito igitur menti terrenæ, nec inter vitiosas nec inter virtute præditas censendæ, sed mediæ, dantur præcepta hæc & monita. sed tam præceptum quam monitum vtriusque nomine adhibetur, domini Deíque. Præcepit enim dominus Deus, vt siquidem paruerint præceptis, dignarentur diuina beneficentia: quòd si contumaces fuerint, à domino tanquam hero potestatem habente pellerentur in malam rem. ideóque dum è paradiso eiicitur, eadem repetuntur vocabula. dicit enim: Et emisit eum dominus Deus è delicato paradiso, vt operaretur terram ex qua assumptus fuerat.] Vt quoniam & pro potestate dominus, & pro merito Deus præceperat, rursum vtroque modo in contumacem animaduerteret, per quas enim potestates eum deduxit, per easdem inobedientem ablegauit. Præcepta autem sunt hæc: Ex omni arbore paradisi comedens comedes.] Hortatur animam vt fruatur non vna quapiam arbore, nec vna quapiam virtute, sed omnibus virtutibus. Nam istud comesse alimoniam animæ significat. Alitur autem anima tractatione rerum honestarum, & actione bonorum operum. Conduplicauit autem rem, dicens, Comedens comede, hoc est commanducatum contritúmque cibum, non vt quiuis è vulgo, sed more athletarum ad parandam fortitudinem. Etenim athletis pædotribæ precipiunt, ne cibos concidāt dentibus, sed per otium commoliant, quo ad vires proficiant. nam aliter ego aliter athleta nutrimur. ego, tantum vt viuam: athleta vt etiam crassescat, & robur acquirat: ideóque vnum est ex preceptis ad virtutem se exercentiū, cibum subtrahere. tale quiddam est comedendo comesse. repræsentemus tamē id etiam diligentius. Honorare parentes, cibus & alimentum est. hos tamen aliter boni aliter mali honorant. alteri propter vulgarē consuetudinem, qui non comedendo comedunt, sed tantum comedunt. Quando igitur etiam comedendo? cum explicatis perscrutatísque causis, sic vltro iudicant, esse hoc officium honestissimū. causæ autē sunt he: genuerunt nos illi, aluerunt, eru-

A τῷ δὲ νηπίῳ, παραινέσεως καὶ διδασκαλίας, ὥσπερ τῷ τελείῳ γραμματικῷ ἢ μουσικῷ οὐδενὸς δεῖ παραγγέλματος τῶν εἰς τὰς τέχνας· τῷ δὲ ἐσφαλμένῳ περὶ τὰ θεωρήματα ὡσανεί τινων νόμων προστάξεις καὶ ἀπαγορεύσεις ἐχόντων· τῷ δὲ ἄρτι μανθάνοντι, διδασκαλίας. Εἰκότως οὖν τῷ γηΐνῳ νοΐ, μήτε φαύλῳ ὄντι, μήτε σπουδαίῳ, ἀλλὰ μέσῳ, ταῦτα ἐντέλλεται καὶ παραινεῖ. ἡ δὲ παραίνεσις γίνεται δι' ἀμφοτέρων τῶν κλήσεων, καὶ τοῦ κυ-
B ρίου καὶ τοῦ θεοῦ. ἐνετείλατο γὰρ κύριος ὁ θεός, ἵνα εἰ μὲν πείθοιτο ταῖς παραινέσεσιν, ὑπὸ τοῦ θεοῦ εὐεργεσιῶν ἀξιωθείη· εἰ δὲ ἀφηνιάζοι, ὑπὸ τοῦ κυρίου ὡς δεσπότου καὶ ἐξουσίαν ἔχοντος, σκορακίζοιτο. διόπερ καὶ ὅτε ἐκβάλλεται τοῦ παραδείσου, τὰς αὐτὰς κλήσεις παρείληφε. λέγει γάρ, Καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη. ἵνα ἐπεὶ καὶ ὡς δεσπότης ὁ κύριος, καὶ ὡς εὐεργέτης ὁ θεὸς ἐνετέλλετο, πάλιν ὡς ἀμφότερα ὢν τὸν πα-
C ρακούσαντα τιμωρῆται. δι' ὧν γὰρ προὔπεμπε δυνάμεων, διὰ τούτων τὸν ἀπειθοῦντα ἀποπέμπεται· ἃ δὲ παραινεῖ, ταῦτά ἐστιν, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. προτρέπει τὴν ψυχὴν μὲν μὴ ἀφ' ἑνὸς ξύλου, μηδὲ ἀπὸ μιᾶς ἀρετῆς, ἀλλ' ἀπὸ πασῶν τῶν ἀρετῶν ὠφελεῖσθαι. τὸ γὰρ φαγεῖν σύμβολόν ἐστι τροφῆς ψυχικῆς. τρέφεται δὲ ἡ ψυχὴ ἀναλήψει τῶν καλῶν, καὶ πράξει τῶν κατορθωμάτων. μὴ μόνον δέ φησι φαγῇ, ἀλλὰ
D καὶ βρώσει, τουτέστι καταλέσας καὶ ἐπιλεάνας, μὴ ἰδιώτου, ἀλλ' ἀθλητοῦ τρόπον τὴν τροφήν, ἰσχὺν καὶ δύναμιν περιποιήσῃ. καὶ γὰρ τοῖς ἀθληταῖς οἱ ἀλεῖπται παραγγέλλουσι μὴ κόπτειν, ἀλλὰ κατὰ σχολὴν λεαίνειν, ἵνα πρὸς ἰσχὺν * ἐπιδιδῶσιν. γρ. ἐπιδῶσι.
ἑτέρως γὰρ ἐγὼ καὶ ὁ ἀθλητὴς τρεφόμεθα· ἐγὼ μὲν γάρ, ἕνεκα τοῦ ζῆν μόνον· ὁ δὲ ἀθλητὴς καὶ ἕνεκα τοῦ πιαίνεσθαι καὶ ῥώννυσθαι, παρ' ὃ καὶ ἓν τῶν ἀσκητικῶν ἐστι τὸ ἀφελέσθαι τροφήν. τὸ βρώσει φαγεῖν ἐστὶ τοιοῦτον. ἔτι δὲ ἀκριβέστερον διατυ-
E πώσωμεν αὐτό· τὸ τιμᾶν τοὺς γονεῖς, ἐδώδιμον καὶ τρόφιμόν ἐστι. ἀλλ' ἑτέρως οἱ ἀγαθοὶ καὶ οἱ φαῦλοι τιμῶσιν. οἱ μὲν γὰρ διὰ τὸ ἔθος, οἵτινες οὐ βρώσει ἐσθίουσιν, ἀλλὰ μόνον ἐσθίουσι. πότε οὖν καὶ βρώσει. ὅτε ἀναπτύξαντες, καὶ τὰς αἰτίας ἐρευνήσαντες, κρίνωσιν ἑκουσίως ὅτι καλὸν τοῦτ' ἐστίν· αἱ δὲ αἰτίαι τοιαῦται, ἐγέννησαν ἡμᾶς, ἔθρεψαν, ἐπαίδευσαν, πάντων αἴτιοι γεγόνασιν ἀγαθῶν. πάλιν ἐδώδιμον τὸ ὄντα τιμᾶσθαι. τὸ δὲ βρώσει, ὅταν καὶ μετὰ τῆς τοῦ κεφαλαίου ἀναπ-

τεύξεως, καὶ τῆς τῶν αἰτίων ἀποδόσεως. Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. οὐκοῦν οὐκ ἔστιν ἐν τῷ παραδείσῳ τὸ ξύλον τοῦτο, εἴ γε ἀπὸ παντὸς ἐσθίειν παραγγέλλει τῶν ἐν τῷ παραδείσῳ. καὶ φυσικῶς· ἔστι γὰρ οὐσίᾳ, ὡς ἔφην, καὶ οὐκ ἔστι δυνάμει· ὥσπερ γὰρ ἐν τῷ κηρῷ δυνάμει μὲν εἰσὶ πᾶσαι αἱ σφραγῖδες, ἐντελεχείᾳ δὲ μόνη τετυπωμένη, οὕτω καὶ ἐν τῇ ψυχῇ κηροειδεῖ ὑπαρχούσῃ, πάντες οἱ τύποι περιέχονται δυνάμει· ἀποτελέσματι δὲ κρατεῖ ὁ εἷς χαραχθεὶς ἐν αὐτῇ, ἕως μὴ ἀπαλείφηται ὑφ' ἑτέρου ἐνεργέστερον καὶ ἐκδήλως μᾶλλον ἐπιχαράξαντος. ἑξῆς κἀκεῖνο διαπορητέον· ὅτε μὲν παραινεῖ ἀπὸ παντὸς ξύλου ἐν τῷ παραδείσῳ ἐσθίειν, ἑνὶ προστάττει· ὅτε δὲ ἀπαγορεύει χρῆσθαι τῷ πονηροῦ καὶ καλοῦ αἰτίῳ, ὡς πλείοσι διαλέγεται. ἐκεῖ μὲν γάρ φησιν, Ἀπὸ παντὸς φάγῃς· ἐνταῦθα δέ, οὐ φάγεσθε· καὶ ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, οὐχὶ φάγῃς, καὶ ἀποθανεῖσθε, οὐχὶ * ἀποθάνῃς. λεκτέον οὖν τάδε· ὅτι πρῶτον μὲν σπάνιόν ἐστι τὸ ἀγαθόν, τὸ δὲ κακὸν πολύχουν. διὰ τοῦτο σοφὸν μὲν εὑρεῖν ἕνα μόνον, φαύλων δὲ πλῆθος ἀναρίθμητον. εἰκότως οὖν ἑνὶ παραγγέλλει τὰς ἀρετὰς ἐντρέφεσθαι, πολλοῖς δὲ, περὶ πανουργίας ἀπέχεσθαι· ταύτῃ γὰρ μυρίοι χρῶνται. ἔπειτα δὲ εἰς ἀρετῆς ἀνάληψίν τε καὶ χρῆσιν, ἑνὸς μόνου δεῖται τοῦ λογισμοῦ· τὸ δὲ σῶμα, οὐχ ὅτι οὐ συνεργεῖ πρὸς τοῦτο, ἀλλὰ καὶ κωλυσιεργεῖ. σχεδὸν γὰρ σοφίας ἔργον τοῦτ' ἐστίν, ἀλλοτριοῦσθαι πρὸς τὸ σῶμα καὶ τὰς ἐπιθυμίας αὐτοῦ· εἰς δὲ ἀπόλαυσιν κακίας, οὐ μόνον δεῖ πως ἔχειν τὸν νοῦν, ἀλλὰ καὶ τὴν αἴσθησιν καὶ τὸν λόγον ὡς καὶ τὸ σῶμα. ὁ γὰρ φαῦλος δεῖται τούτων ἁπάντων πρὸς ἐκπλήρωσιν τῆς ἰδίας κακίας· ἐπεί, πῶς ἐκλαλήσει μυστήρια, φωνητήριον οὐκ ἔχων ὄργανον; πῶς δὲ ταῖς ἡδοναῖς χρήσεται, γαστρὸς καὶ τῶν αἰσθήσεων στερούμενος; δεόντως οὖν * ἐν μόνῳ τῷ λογισμῷ διαλέγεται περὶ κτήσεως ἀρετῆς. μόνου γάρ, ὡς ἔφην, ἐστὶν αὐτοῦ χρεία πρὸς τὴν ἀνάληψιν αὐτῆς. περὶ δὲ κακίας πλείοσι, ψυχῇ, λόγῳ, αἰσθήσεσι σώματος· διὰ πάντων γὰρ τούτων ἐμφαίνεται. λέγει μέντοι, Ἡ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. καὶ φαγόντες οὐχ ὅτι οὐκ ἀποθνήσκουσιν, ἀλλὰ καὶ παιδοποιοῦνται, καὶ ἑτέροις τοῦ ζῆν αἴτιοι καθίστανται. τί οὖν λεκτέον; ὅτι διττός ἐστι θάνατος, ὁ μὲν ἀνθρώ-

γρ. [illegible]

γρ. ὡς μόνῳ.

A diuerunt, omnium bonorum nobis causa fuerunt. Item comesse est summum illud ens colere: comedendo verò comesse, quando ad caput nostrum causámque respicimus, & ad referendam gratiam. Ex arbore autem scientiæ boni malíque nõ comedetis.] Ergo non est in paradiso arbor hæc: quandoquidem hortatur vt edant ex omni paradisi arbore: ídque naturaliter. est enim in eo per essentiam, vt dixi, non est per potentiã. sicut enim in cera per potentiam insunt sigilla omnia, actu verò solum id quod impressum est: ita & in anima quæ est ceræ similis, omnes formæ continentur potentia: reuera autem vnicus character præsens eam occupat, donec aboleatur ab alio efficacius impresso atque manifestius. Deinceps illud quoque perquirendum esse videtur. Dum hortatur vt ex omni arbore paradisi comedat, vnicum hortatur. dum vero interdicit vsum arboris eius quæ boni malíque causa dicitur, vt

C plures alloquitur. Illic enim inquit: Ex omni comedes: hic, ne comedatis: & quocunque die comederitis, non comederis: & moriemini nõ morieris. Dicendum igitur: primò rarum esse quod bonum est, malum contra multiplex. ideo sapiente vno inuento reperitur fatuorum multitudo innumera. itaque meritò vnum hortatur innutriri virtutibus: multos verò vt à nimia calliditate abstineant. hac enim vtuntur innumeri. pręterea ad virtutem percipiendam tra-

D ctandámque vna solum re, videlicet ratione opus est: corpus verò etiam impedit hanc, tantùm abest vt adiuuet. hæc enim ferè summa est sapientię, alienare se à corpore, atque eius concupiscentiis. vt autem quis fruatur vitio, non solum mente, sed & sensu & ratione & corpore opus est. his enim omnibus malus opus habet ad explendam suam maliciam. alioquin quonam modo proditurus est arcana, si instrumento loquendi careat? quomodo autem voluptatibus fruetur

E absque ventre cęterísque sensibus? Rectè igitur vnam solam rationem de quęrenda virtute alloquitur. sola enim hac, vt dixi, ad eius acquisitionem opus est. contrà de vitio ad plures verba facit, animam, rationem, sensus corporis. nam hoc apparet in his omnibus, addit tamẽ: Quocũque die comederitis ex ea, morte moriemini.] Atqui post esum non solum non moriuntur, verum etiam progignũt liberos, & aliis viuẽdi autores fiunt. quid ergo dicendum? duplicem esse mortem,

alteram hominis, alteram animæ propriam. hominis mors est animę à corpore separatio: animę verò mors, corruptio virtutis, & assumptio vitij. ideóque non contentus moriturum dicere, morte, inquit, moriemini, indicans non communem hanc, sed illam ęternam, quę per excellentiam mors dicitur: quę est quoties anima insepelitur affectibus vitiisque omnibus. atque hæ mortes sunt inter se ferè contrarię. nam B illa corpus animámque, quæ prius concreta fuerant, separat. hæc contrà, vtrisque conuenientibus fit, sed pręppollente deteriore, videlicet corpore: subiecta verò anima, quæ est pars potior hominis. Quoties autem dicit, morte mori, obseruandum pœnalem mortem, non naturalem significari. naturalis porrò est per quam anima separatur à corpore: pœnalis vero cum anima è virtutis vita C emoritur, & viuit in vita vitij. quam opinionem Mosis secutus propemodum Heraclitus ait: Viuimus illorum mortem, mortui sumus illorum vitam. ac si dicat, nunc cum viuimus, mortuam esse animam, & tanquam monumento insepultam corpori. quod si mortui fuerimus, tum demum animam viuere vita propria, liberatam à malo, mortuo vinctóque corpore.

A που, ὁ δὲ ψυχῆς ἴδιος. ὁ μὲν οὖν ἀνθρώπου, χωρισμός ἐστι ψυχῆς ἀπὸ σώματος· ὁ δὲ ψυχῆς θάνατος, ἀρετῆς μὲν φθορά ἐστι, κακίας δὲ ἀνάληψις. παρὸ καὶ φησὶν οὐκ ἀποθανεῖν αὐτὸ μόνον, ἀλλὰ θανάτῳ ἀποθανεῖν, δηλῶν οὐ τὸν κοινὸν, ἀλλὰ τὸν ἴδιον καὶ κατ' ἐξοχὴν θάνατον, ὅς ἐστι ψυχῆς ἐντυμβευομένης πάθεσι καὶ κακίαις ἁπάσαις. καὶ σχεδὸν οὗτος ὁ θάνατος μάχεται ἐκείνῳ· B ἐκεῖνος μὲν γὰρ διάκρισίς ἐστι τῶν συγκριθέντων σώματός τε καὶ ψυχῆς· οὗτος δὲ τοὐναντίον, σύνοδος ἀμφοῖν, κρατοῦντος μὲν τοῦ χείρονος, σώματος· κρατουμένης δὲ τῆς ψυχῆς, τοῦ κρείττονος. ὅπου δ' ἂν οὖν λέγῃ θανάτῳ ἀποθανεῖν, παρατήρει ὅτι θάνατον τὸν ἐπὶ τιμωρίᾳ λαμβάνει, οὐ τὸν φύσει γινόμενον. φύσει μὲν οὖν ἐστι καθ' ὃν χωρίζεται ψυχὴ ἀπὸ σώματος· ὁ δ' ἐπὶ τιμωρίᾳ C συνίσταται, ὅταν ἡ ψυχὴ τὸν ἀρετῆς βίον θνήσκῃ, τὸν δὲ κακίας ζῇ μόνον. εὖ καὶ ὁ Ἡράκλειτος κατὰ τοῦτο Μωϋσέως ἀκολουθήσας τῷ δόγματι. φησὶ γὰρ, Ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον· ὡς νῦν μὲν ὅτε ζῶμεν, τεθνηκυίας τῆς ψυχῆς, καὶ ὡς ἂν ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης· εἰ δὲ ἀποθάνοιμεν, τῆς ψυχῆς ζώσης τὸν ἴδιον βίον, καὶ ἀπηλλαγμένης κακοῦ καὶ νεκροῦ τοῦ συνδέτου σώματος.

ΝΟΜΩΝ ΙΕΡΩΝ ΑΛΛΗΓΟΡΙΑ

ΔΕΥΤΕΡΑ.

PHILONIS IVDÆI SACRÆ LEGIS

ALLEGORIARVM LIBER SECVNDVS.

ET abscondit se Adam, D & vxor eius à facie domini Dei in medio arboris paradisi.] Hic introducitur dogma, quo docemur, omnem malum esse exulem. ciuitas enim sapientum propria, virtus ipsa est, in hanc quisquis admitti nequit exulat. & nemo malus vnquam in eam admitti potest. ergo solus malus hinc pellitur & exulat. Virtutis autem exul statim abscondit se à

KAI ἐκρύβη ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ, ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. Δόγμα εἰσηγεῖται διδάσκον ὅτι ὁ φαῦλος φυγάς ἐστιν. ἡ γὰρ πόλις οἰκεία τῶν σοφῶν, ἡ ἀρετή· ταύτης ὁ μὴ δυνάμενος μετέχειν, ἀπελήλαται πόλεως, ἧς ἀδυνατεῖ μετέχειν ὁ φαῦλος. ἀπελήλαται ἄρα καὶ πεφυγάδευται μόνος ὁ φαῦλος. ὁ δ' ἀρετῆς φυγὰς, εὐθὺς ἀποκέκρυπται

τεται θεοῦ. εἰ γὰρ ἐμφανεῖς οἱ σοφοὶ θεῷ, ἅτε ὄντες αὐτοῦ φίλοι, δῆλον ὡς ἀποκρύπτονται καὶ καταδύονται πάντες οἱ φαῦλοι, ὡς ἂν ἐχθροὶ καὶ δυσμενεῖς ὄντες ὀρθῷ λόγῳ. ὅτι μὲν οὖν ἄπολις καὶ ἄοικος ὁ φαῦλός ἐστι, μαρτυρεῖ ἐπὶ τοῦ δασέος καὶ ποικίλου τὴν κακίαν Ἠσαῦ· ὅτι φησίν, Ἦν δὲ Ἠσαῦ, εἰδὼς κυνηγεῖν, ἄγροικος. οὐ γὰρ πέφυκεν ἡ τῶν ἠθῶν θηρευτικὴ κακία τὴν ἀρετῆς πόλιν οἰκεῖν, ἀγροικίαν καὶ ἀπαιδευσίαν μετὰ πολλῆς ἀγνωμοσύνης διώκουσα. ὁ δέ γε σοφίας μεστὸς Ἰακὼβ, καὶ πολίτης ἐστὶ, καὶ οἰκίαν τὴν ἀρετὴν κατοικεῖ· φησὶν οὖν περὶ αὐτοῦ, Ἰακὼβ δὲ ἄπλαστος ἄνθρωπος οἰκῶν οἰκίαν. παρὸ καὶ αἱ μαῖαι ἐπειδὴ ἐφοβοῦντο τὸν θεὸν, ἐποίησαν * ἑαυταῖς οἰκίας. αἱ γὰρ ζητητικαὶ τῶν ἀφανῶν θεοῦ μυστηρίων, ὅπερ ἐστὶ ζωογονεῖν τὰ ἄρσενα, οἰκοδομοῦσι τὰ ἀρετῆς πράγματα, οἷς καὶ ἐνοικεῖν προῄρηνται. διὰ μὲν δὴ τούτων ἐπιδέδεικται ὅτι πᾶς ὁ μὲν φαῦλος ἄπολίς τέ ἐστι, καὶ ἄοικος, φυγὰς ἀρετῆς ὤν· ὁ δὲ σπουδαῖος καὶ πόλιν ἔλαχε καὶ οἶκον σοφίαν κεκλήρωται. ἴδωμεν δὲ ἑξῆς, πῶς καὶ ἀποκρύπτεσθαί τις θεοῦ λέγεται. εἰ δὲ μὴ ἀλληγορήσειέ τις, ἀδύνατον παραδέξασθαι τὸ προκείμενον. πάντα γὰρ πεπλήρωκεν ὁ θεὸς, καὶ διὰ πάντων * διελήλυθε, καὶ κενὸν οὐδὲν οὐδὲ ἔρημον ἀπολέλοιπεν ἑαυτοῦ. ποῖον δή τις τόπον ἐφέξει, ἐν ᾧ οὐχὶ θεός ἐστι. μαρτυρεῖ δὲ καὶ ἐν ἑτέροις λέγων, Ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. καὶ πάλιν φησὶν, Ἕστηκα πρὸ τοῦ σε. πρὸ γὰρ τοῦ παντὸς γενητοῦ ὁ θεός ἐστι, καὶ ἔστι πανταχοῦ· ὥστε οὐκ ἂν δύναιτό τις ἀποκρύπτεσθαι. καὶ τί θαυμάζομεν· τῶν γὰρ γινομένων τὰ συνεκτικώτατα, οὐδ' ἂν εἴ τι γένοιτο, ἐκφεύγειν καὶ ἀποκρύπτεσθαι δυνηθείημεν· οἷον, γῆν φυγέτω τις, ἢ ὕδωρ, ἢ ἀέρα, ἢ οὐρανὸν, ἢ τὸν σύμπαντα κόσμον. ἀνάγκη γὰρ ἐν τούτοις περιέχεσθαι· οὐ γὰρ ἔξω γέ τις τοῦ κόσμου φεύγειν δυνήσεται. εἶτα τὰ μέρη τοῦ κόσμου, μηδὲ τὸν κόσμον αὐτὸν δυνάμενός τις ἀποκρύπτεσθαι, τὸν θεὸν ἂν ἰσχύσειε λανθάνειν; οὐδαμῶς. τί οὖν τὸ ἐκρίβησαν. ὁ φαῦλος δοκεῖ εἶναι τὸν θεὸν ἐν τόπῳ, μὴ περιέχοντα, ἀλλὰ περιεχόμενον· οὗ χάριν καὶ οἴεται ἀποκρύπτεσθαι· ὡς κατ' ἐκεῖνο τὸ μέρος οὐκ ὄντος τοῦ αἰτίου, καθ' ὃ φωλεύειν διέγνωκεν. ἔστι δὲ οὕτως ἐκδέξασθαι. ἐν τῷ φαύλῳ ἡ ἀληθὴς περὶ θεοῦ δόξα ἐπεσκίασται καὶ ἀποκέκρυπται· σκότους γὰρ πλήρης ἐστὶ, μηδὲν ἔχων

γρ. ἰσοθεῖς

γρ. διελή-λυθε

A Deo. nam si sapientes conspiciuntur à Deo, vtpote amici eius: liquet abscondi malos & cælare se tanquam inimicos hostésque rectæ rationis. esse autem quemque malum exulem careréque domicilio testatur scriptura, dum de illo hirsuto & vitijs vario Esau loquitur: Erat autem Esau gnarus venandi, & ruri degebat. non est enim apta malicia morum populatrix vt virtutis ciuitatem inhabitet, ex qua inclementer fugatur rusticitas, ac ruditas. at ille B sapientia plenus Iacob & ciuis est, & propriam virtutem inhabitat: de quo mox subijcitur: Iacob autem vir simplex domum habitabat. ideo & obstetrices quoniam timebant Deum, fecerunt sibi domos. nam quæ scrutantur occulta Dei mysteria, quod est conseruare viuos masculos, ædificant virtutis opera, in quibus habitare statuerunt. atque ita iam demonstratum est, omnem malum ciuitate carere domóque, cùm à virtute exulet. C Qui vero virtute ornatur, ei pro ciuitate & domo obtigisse sapientiam. Nunc videamus deinceps, quomodo dicatur aliquis absconditus à Deo. Quod nisi per allegoriam accipiamus, nequaquam potest intelligi. Nam Deus implet omnia, penetrat omnia, nihil omnino relinquens seipso vacuum. & quem locum occupabis, in quo non sit Deus? attestante nobis alibi propheta his verbis: Deus in cælo supra, & in terra infra, nec est alius præter ipsum. & rursum sic: Ego D iam ante constitui te. Deus enim omni creatura est antiquior, & vbique est. itaque nemo potest se ab eo abscondere. & quid mirum? quando etiam creaturarum capacissimas, quicquid nobis contigerit, effugere lateréque non possumus. aut effugiat quispiam terram, aquam, aerem, cælum, vel mundum hunc vniuersum. in his enim contineamur necesse est. certè extra mundum nemo exulare potest. & poterit aliquis abscondi à Deo, cum nec mun- E dum nec partes eius effugere valeat? minimè gentium. Quid est igitur illud, Absconderunt se? Malus quiuis putat esse Deum in loco, nec continere, sed contineri: ideóque putat se abscondi: tanquam illa summa causa absit ab ea parte, in quam ipse illatebrare se decreuit. id ita potest intelligi. in malo homine opinio de Deo vera obscuratur cælatúrque. est enim plena tenebris, nullam habens

Gen. 25.

F

A illustrationem diuinitus, per quam res circumspiciat. talis autem à diuino choro exulat, tanquam leprosus & laborans profluuio seminis: alter, Deum & creaturam contrarias naturas diuersi coloris in idem cogens vt causas, cum vnica sit causa efficiens: alter gonorroicus, ex mundo ducens, & in mundum omnia, adeo nihil factum existimans, Heracliti opinionis socius, satietatem indigentiámque introducens, & vnum vniuersum, vicésque ferum omnium. Quapropter diuina lex ait: Eijciant è castris animæ omnem leprosum, & omnem qui semine fluit, & omnem pollutum in anima tam masculum quam fœminam, eósque quibus fracta exectáque sunt animæ genitalia, scorta quoque vnius dominationem fugientia, quibus diserte interdictum est ne concionem Dei frequentent. at sapientes cogitationes tantum abest vt abscondantur, vt manifestæ esse cupiant. Non vides quòd Abraham stabat adhuc in loco domini, & accedens ait, Ne perdas iustum cum impio, manifestum tibi notúmque vnà cum fugitiuo proripiente se abs te. hic enim est impius: iustus autem qui stat in conspectu tuo non fugiens. te enim solum domine honorari iustum est. non sic autem impius vt pius eripitur, sed satis est solum iustum seruari: quapropter dicit: Ne perdas iustum cum impio. satis digne enim nemo Deum colit, sed iuste tantum. cum enim ne parentibus quidem dignam referre valeamus gratiam, quandoquidem non possumus eis gignendi vicem reddere, an non impossibile est Deo vicem reponere mutuam, aut laudem illo dignam, qui omnia ex nihilo condidit? omnem enim virtutem largitur. tribus igitur temporibus ô anima, id est tripartito tempore, tota coram Deo semper compareas, non fœmineum vllũ affectum tecum trahens, sed virilem, fortem exercitatámque rationem ceu suffitum offerens. tribus enim anni temporibus comparere omne masculinũ coram domino Deo Israelis, sacra lex præcipit. Quamobrem Moses quoque quando manifestus Deo consistit, fugit morem Pharaonis disperditorium, qui iactat se quòd nesciat Dominum. Secessit, inquit, Moses à facie Pharaonis, & habitauit in terra Madiam, id est iudicio naturæ operum, seditque super puteum.] expectans quidnam boni Deus ad potum ceu pluuiam immissurus esset sitienti, desiderantique

Gen. 23. v. 2.

Gen. 18. v. 23.

Exod. 23.

Exod. 2. v. 15.

ἐναύγασμα θεῖον, ᾧ τὰ ὅλα περισκέψεται. ὁ δὲ τοιοῦτος πεφυγάδευται θείου χοροῦ, καθάπερ ὁ λεπρὸς καὶ γονορρυής. ὁ μὲν, θεὸν καὶ γένεσιν ἀντιπάλους φύσεις δύο χρωμάτων ὄντων ἀγαγὼν εἰς ταὐτὸ ὡς αἴτια, ἑνὸς ὄντος αἰτίου τοῦ δρῶντος. ὁ δὲ γονορρυὴς, ἐκ κόσμου πάντα καὶ εἰς κόσμον ἀνάγων, ὑπὸ θεοῦ δὲ μηδὲν οἰόμενος γεγονέναι, Ἡρακλειτείου δόξης ἑταῖρος, κόρον καὶ χρησμοσύνην, καὶ ἓν τὸ πᾶν καὶ πάντα ἀμοιβῇ εἰσάγων. διὸ φησὶ καὶ ὁ θεῖος λόγος, Ἐξαποστειλάτωσαν ἐκ τῆς ἁγίας ψυχῆς, πάντα λεπρὸν, καὶ πάντα γονορρυῆ, καὶ πάντα ἀκάθαρτον ἐν ψυχῇ, ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ· καὶ τοὺς θλαδίας καὶ ἀποκεκομμένους τὰ γεννητικὰ τῆς ψυχῆς, καὶ πόρνους, τὴν ἑνὸς ἀρχὴν ἀποδιδράσκοντας, οἷς ἄντικρυς ἀπείρηται εἰς ἐκκλησίαν θεοῦ φοιτᾶν. οἱ δέ γε σοφοὶ λογισμοὶ, οὐχ οἷον ἀποκρύπτονται, ἀλλ' ἐμφανεῖς εἶναι γλίχονται. οὐχ ὁρᾷς ὅτι Ἀβραὰμ ἦν ἑστηκὼς ἐν τόπῳ κυρίου· καὶ ἐγγίσας εἶπε, Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, τὸν ἐμφανῆ σοι καὶ γνώριμον, μετὰ τοῦ φεύγοντός σε καὶ ἀποδιδράσκοντος. οὗτος μὲν γὰρ ἀσεβής· δίκαιος δὲ ὁ ἑστηκὼς ἐναντίον σου καὶ μὴ φυγών. σὲ γὰρ ὦ δέσποτα τιμᾶν μετὰ δίκαιον μόνον. οὐχ ὥσπερ δὲ ἀσεβὴς, οὕτω καὶ εὐσεβὴς διεξαιρεῖται. ἀλλ' ἀγαπητὸν τὸ δίκαιον, οὗ χάριν φησὶ, Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς. ἄξιος γὰρ οὐδεὶς εἰς τὸν θεὸν τιμᾶν, ἀλλὰ δικαίως μόνον. ἐπεὶ τε γὰρ οὐδὲ τοῖς γεννήσασιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται· ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε τούτους· πῶς οὐκ ἀδύνατον θεὸν ἀμείψασθαι ἢ ἐπαινέσαι κατὰ τὴν ἀξίαν τὸν τὰ ὅλα συστησάμενον ἐκ μὴ ὄντων. πᾶσαν γὰρ ἀρετὴν παρέχει. τρὶς οὖν καιροῖς ὦ ψυχὴ, τουτέστι τὸν τριμερῆ χρόνον, σύμπασα ἐμφανὴς ἀεὶ γίνου θεῷ, μὴ τὸ θῆλυ ἐφελκομένη πάθος ἐφελκομένη, ἀλλὰ τὸν ἀνδρεῖον καὶ καρτερίας ἀσκητὴν λογισμὸν ἐνθυμιῶσα. τρὶς γὰρ καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικὸν ἐναντίον κυρίου τοῦ θεοῦ Ἰσραὴλ ὁ ἱερὸς λόγος προστάττει. διὰ τοῦτο καὶ Μωσῆς ὅταν ἐμφανὴς καθίσταται θεῷ, φεύγει τὸν διασκεδαστὴν τρόπον Φαραὼ, ὃς αὐχεῖ * λέγων μὴ εἰδέναι τὸν κύριον. γρ. λέγει Ἀνεχώρησε γὰρ, φησὶ, Μωσῆς ἀπὸ προσώπου Φαραὼ, καὶ κατῴκησεν ἐν γῇ Μαδιὰμ, τῇ κρίσει τῶν φύσεως πραγμάτων· καὶ ἐκάθισεν ἐπὶ τοῦ φρέατος, ἐκδεχόμενος τί ὁ θεὸς ἀνομβρήσει ποτὸν τῇ διψώσῃ καὶ ποθούσῃ ψυχῇ τὸ ἀγαθόν. ἀναχωρεῖ μὲν δὴ ἀπὸ τῆς ἀθλίου καὶ ἡγεμο-

τὸν κηδεμόνα τῶν παθῶν δόξης Φαραώ: ἀναχωρεῖ δὲ εἰς Μαδιὰμ, τὴν κρίσιν, ἐξετάζων πότερον ἠρεμητέον αὐτῷ ἐστὶν, ἢ δικαστέον πάλιν πρὸς τὸν φαῦλον ἐπ' ὀλέθρῳ αὐτοῦ. σκέπτεται δὲ εἰ ἐπιθέμενος ἰσχύσει νικηφορῆσαι· παρ' ὃ καὶ κατέχεται ὑπομένων, ὡς ἔφην, εἰ ἀναδώσει ὁ θεὸς τῷ βαθεῖ καὶ μὴ κούφῳ λογισμῷ πηγὴν ἱκανὴν ἐπικλύσαι τὴν φορὰν τοῦ αἰγυπτίων βασιλέως, τῶν παθῶν αὐτοῦ. ἀξιοῦται μέντοι τῆς χάριτος· στρατευσάμενος γὰρ στρατείαν τὴν ὑπὲρ ἀρετῆς, οὐ παύεται πολεμῶν, πρὶν ἐπιδεῖν πρηνεῖς καὶ ἀπράκτους τὰς ἡδονάς. οὗ χάριν οὐ φεύγει Μωσῆς ἀπὸ τοῦ Φαραώ. ἀνεπιστρεπτὶ γὰρ ἂν ἀπεδίδρασκεν. ἀλλὰ ἀναχωρεῖ, τουτέστιν ἀνακωχὴν ποιεῖται τοῦ πολέμου, ἀθλητοῦ τρόπον διαπνέοντος καὶ συλλεγομένου τὸ πνεῦμα, μέχρις ἂν ἐγείρας τὴν φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς συμμαχίαν, διὰ λόγων θείων μετὰ δυνάμεως ἐρρωμενεστάτης ἐπίθηται. ὁ δὲ Ἰακώβ. πτερνιστὴς γάρ ἐστι· μεθόδοις καὶ τέχναις τὴν ἀρετὴν οὐκ ἀκονιτὶ κτώμενος· οὐ γὰρ μετωνόμαστό πω εἰς τὸν Ἰσραήλ· ἀποδιδράσκει τῶν κατὰ Λάβαν πραγμάτων, τουτέστι χρωμάτων καὶ σχημάτων, καὶ συνόλως σωμάτων. ἃ τὸν νοῦν διὰ τῶν αἰσθητῶν τιτρώσκειν πέφυκεν. ἐπεὶ γὰρ αὐτὰ νικῆσαι* παρὸν, κατὰ τὸ παντελὲς οὐκ ἠδυνάτο, φυγεῖν, δεδιὼς τὴν πρὸς αὐτῶν ἧτταν· καὶ σφόδρα ἐπαίνων ἄξιος. εὐλαβεῖς γὰρ, φησὶ Μωσῆς, ποιήσεται τοὺς υἱοὺς τοῦ ὁρῶντος, ἀλλ' οὐ θρασεῖς, καὶ τῶν μὴ καθ' αὐτοὺς ἐρῶντας. Καὶ ἔκρυψεν Ἰακὼβ Λάβαν τὸν σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ ὅτι ἀποδιδράσκει. καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα, καὶ διέβη τὸν ποταμὸν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ. φυσικώτατόν ἐστι τὸ κρύπτειν, ὅτι ἀποδιδράσκει, καὶ μὴ ἀναγγέλλειν τῷ ἠρτημένῳ τῶν αἰσθητῶν λογισμῶν Λάβαν. οἷον ἐὰν κάλλος ἰδὼν αἱρεθῇς* αὐτῷ καὶ μέλλῃς πταίειν περὶ αὐτὸ, φύγε λαθὼν ἀπὸ τῆς φαντασίας αὐτοῦ, καὶ μηκέτι ἀναγγείλῃς τῷ νῷ, τουτέστι μὴ ἐπιλογίσῃ πάλιν, μηδὲ μελετήσῃς. αἱ γὰρ συνεχεῖς ὑπομνήσεις τύπους ἐγχαράττουσαι τρανοὺς, βλάπτουσι τὴν διάνοιαν, καὶ ἄκουσαν αὐτὴν προτρέπουσι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν καθ' ἑκάστην αἴσθησιν ὁλκῶν. ἐν γὰρ τούτοις σωτήριος ἡ λαθραία φυγή. τὸ δ' ὑπομιμνήσκεσθαι καὶ ἀναγγέλλειν καὶ ἀναπολεῖν, κρατεῖ καὶ δουλοῦται βιαίως τὸν λογισμόν. μηδέποτ' οὖν ὦ διάνοια, τὸ φανὲν αἰσθητὸν εἰ μέλλεις ἁλίσκεσθαι πρὸς αὐτοῦ, ἀναγγείλῃς ἑαυτῇ, μηδὲ ἀναπολήσῃς αὐτό,

* γρ. παρών
* γρ. αὐτό

A animæ. ſecedit ſanè à Pharaone, hoc eſt, ab opinione impia qua reguntur affectus, & ſecedit in Madiam, id eſt iudicium, deliberans vtrum quieſcere ſatius ſit, an cum illo malo aduerſario ſubire iudicium capitis. diſpicit autem an non aggreſſus valeat euincere. & ideo cunctatur, expectans vt dixi, daturúſne ſit Deus profundæ nec leui cogitationi fontem idoneum ad inundandum impetum regis Ægyptij, hoc eſt ipſius affectuum. impetrat tamen gratiam. quippe virtuti militans non ceſſat à bello, B priuſquam videat proſtratas voluptates & defectas viribus. quapropter non fugit Moſes à Pharaone: alioqui nunquam reuerteretur: ſed ſecedit, hoc eſt inducias facit athletæ more paulum reſpirantis & recolligentis ſpiritum, donec accitis prudentiæ cæterarúmque virtutum auxilijs, per ſermones Dei cum validiſſima potentia rem aggrediatur. Iacob autem, vt ſupplantator, compendiarijs artibus virtutem adeC ptus ſine puluere, alioqui non vocandus Iſrael mutato nomine, fugit Labanis negotia, id eſt colores, figuras, & in vniuerſum corpora, quorum natura eſt vt mentem per ſenſibilia vulnerent. nam quia conflictando non poterat ea deuincere, modo vincat mauult fugere, laudandus ſanè hoc nomine. Cautos enim, vt inquit Moſes, faciet filios prophetæ, non audaces, & rerum ad ſe minus pertinentium cupidos. Noluit, inquit, aperire Iacob Labani Sy-D ro quòd fugeret. & fugit tam ipſe quàm omnia quæ iuris ſui erant, transmiſſóque amne perrexit contra montem Galaad.] Naturaliter enim montes ad cælandos fugitiuos ſunt appoſitiſſimi, & ad non prodendos Labani pendenti à cogitationibus ſenſibilibus. quale eſt, ſi pulchritudine conſpecta captus periclitaris ne offendas ad eam, fuge clam ab eius imaginatione, nihil amplius menti renuncians, hoc eſt, caue mediteris eam & cogitatione repetas. Nam E continuæ reminiſcentiæ veras formas imprimendo lædunt mentem & inuitam concitant. Atque eadem eſt ratio ſenſuum omnium quicunque nos attrahunt ad aliquid. in his enim clancularia fuga ſaluti eſſe ſolet. cunctatio vero, enunciatio, dilatióque, ſuperat rationem & in ſeruitutem redigit. Quapropter caue anime ne vnquam rem ſenſibilem à qua periculum imminet, tibi ipſe renuncies, néve retractes eam,

Gen. 31.
Gen. ibi.

ne forte succumbens ei reddaris infelicissimus: fuge potius manumittens te ipse, libertatem ferocem seruituti mansuetæ præferens. Sed cur nunc quasi Iacob nesciret Labanem Syrum esse loquitur sic: Noluit Iacob aperire Labani Syro. habet id quoque rationem non prætereundam obiter. Syria sublimis interpretatur. Itaque Iacob mens exercita cùm videt affectum humilem, non cedit, reputans fore vt vincat egregie. Quando verò videt sublimem & erecta ceruice tumidum, aufugit primùm ipse, mox singula eius exercitia, lectiones, meditationes, curationes, rerum honestarum memoria, continentia, officia, atque ita traijcit rerum sensibilium fluuium, qui inũdat & mergit vi affectuum animam, quo traiecto pergit ad altam ac sublimem rationem perfectæ virtutis. Perrexit enim ad montem Galaad, qui interpretatur migratio testimonij, postquam Deus migrare fecit animam ab affectibus Labanicis, & autoritate sua confirmauit eam migrationem, vt conferentem ipsi ac perutilem, vt quæ eam ab humilibus vitijs & à terra se attollere non sinentibus adducat ad celsitudinem virtutis & præeminentiam. Ideo qui sensus amat Laban, eósque magis quàm mentem in actionibus suis sequitur, indignatur, persequitur, & increpat: Cur inscio me fugam moliris,] ac non potius manes in delicijs corporis, opinionibúsque quæ ad corpus pertinent, & res externas dijudicant? tu verò non contentus ab eis fugere, prædatus es meam quoque prudentiam, Liam vnà cum Rachele. Nam hæ quamdiu manserunt in anima, prudentiam gignebant in ea: nunc postquam migrarunt, reliquerunt ibi ruditatem & ignorantiam. Ideo addit, Cur furatus es res meas? id est furto subtraxisti. Quam autem dicat, ipse indicabit addens: & abegisti filias meas tanquam captiuas: quod si indicasses mihi, prosecutus fuissem te.] Imò non fuisses prosecutus cum rebus tam aduersis & pugnantibus. Nam si prosecutus fuisses reuera & liberasses animam, amouisses ab ea sonos omnes corporeos & sensibiles. Sic enim intellectus liberatur à vitijs & sensibus. Nunc ais quidem te liberam eam emittere. Re autem ipsa fateris, quòd detinueris eam in carcere. Nam si eam cum instrumentis musicis, tympanis citharisque, aliisque singulorum sensuum voluptatibus prosecutus fuisses,

Gen. 31.

A ἵνα μὴ κρατηθεῖσα κακοδαιμονῇς· ἀλλ' ἀφέτις ὁρμήσασα ἀπόδραθι, ἐλευθερίαν ἀτίθασον δουλείας χειροήθους προκρίνουσα. διὰ τί δὲ νῦν ὡς ἀγνοοῦντος τοῦ Ἰακὼβ ὅτι Σύρος ὁ Λάβαν ἐστί, φησίν, Ἔκρυψε δὲ Ἰακὼβ Λάβαν τὸν Σύρον. ἔχει δὲ καὶ τοῦτο οὐ πάρεργον λόγον. Συρία γὰρ ἑρμηνεύεται μετέωρος. ὁ ἀσκητὴς οὖν Ἰακὼβ νοῦς, ὅτε μὲν ὁρᾷ ταπεινὸν τὸ πάθος, περιμένει, λογιζόμενος αὐτὸ νικήσειν κατὰ κράτος. ὅτε δὲ μετέωρον καὶ ἐπαυχενοῦν καὶ ὑπέρογκον, ἀπο- B διδράσκει τε ὁ νοῦς ὁ ἀσκητὴς πρῶτος, εἶτα καὶ τὰ αὐτοῦ πάντα μέρη τῆς ἀσκήσεως, ἀναγνώσεις, μελέται, θεραπεῖαι, τῶν καλῶν μνῆμαι, ἐγκράτεια, τῶν καθηκόντων ἐνέργειαι. καὶ διαβαίνει τὸν τῶν αἰσθητῶν ποταμὸν τὸν ἐπικλύζοντα καὶ βαπτίζοντα τῇ φορᾷ τῶν παθῶν τὴν ψυχήν, καὶ ὁρμᾷ διαβὰς εἰς τὸν ὑψηλὸν καὶ μετέωρον λόγον τῆς τελείας ἀρετῆς. ὥρμησε γὰρ εἰς τὸ ὄρος Γαλαάδ. ἑρ- C μηνεύεται δὲ μετοικία μαρτυρίας, τοῦ θεοῦ μετοικίσαντος τὴν ψυχὴν ἀπὸ τῶν κατὰ Λάβαν παθῶν, καὶ μαρτυρήσαντος αὐτῇ μετανάστασιν, ὅτι λυσιτελὴς καὶ συμφέρουσα, καὶ ἀπὸ τῶν ταπεινῶν καὶ χαμαιζήλων ἀπεργαζομένων τὴν ψυχὴν κακῶν, εἰς ὕψος καὶ μέγεθος ἀρετῆς παράγοντος. διὰ τοῦτο ὁ φίλος τῶν αἰσθήσεων, καὶ κατ' αὐτάς, ἀλλὰ μὴ κατὰ νοῦν ἐνεργῶν Λάβαν ἀγανακτεῖ, καὶ διώκει, καὶ φησίν, D Ἵνα τί κρυφῇ ἀπέδρας, ἀλλ' οὐ παρέμεινας τῇ τοῦ σώματος ἀπολαύσει, καὶ τῷ δόγματι τῷ τὸ σῶμα καὶ τὰ ἐκτὸς ἀγαθὰ κρίνοντι· ἀλλὰ καὶ φθάνων ἀπὸ τῆσδε τῆς δόξης, ἐσύλησάς μου καὶ τὸ φρονεῖν, Λείαν τε καὶ Ῥαχήλ· αὗται γὰρ ἡνίκα παρέμενον τῇ ψυχῇ, φρόνησιν ἐνεποίουν ταύτῃ· μεταναστᾶσαι δέ, ἀμαθίαν καὶ ἀπαιδευσίαν αὐτῇ κατέλιπον. διὸ καὶ ἐπιφέρει, ὅτι ἐκλοποφόρησάς με, τουτέστι τὸ φρονεῖν ἔκλεψας. τίνα δὲ τὸ φρονεῖν, ἐξηγήσεται. ἐπιφέρει γάρ, Καὶ E ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας. καὶ εἰ ἀνήγγειλάς μοι, * ἐξαπέστειλα ἄν σε. οὐκ ἂν ἐξαπέστειλα τὰ μαχόμενα ἀλλήλοις. εἰ γὰρ ἐξαπέστειλας ὄντως καὶ ἠλευθέρωσας τὴν ψυχήν, ἐξέβαλες ἂν αὐτῆς τοὺς σωματικοὺς καὶ αἰσθητικοὺς ἅπαντας ἤχους. οὕτω γὰρ ἀπολύεται κακῶν καὶ παθῶν διάνοια. νυνὶ δὲ λέγεις μέν, ὡς ἐξαπέστελλες ἐλευθέραν· διὰ δὲ τῶν ἔργων ὁμολογεῖς, ὅτι κατεῖχες ἂν ἐν δεσμωτηρίῳ. εἰ γὰρ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας,

γρ. ἐξαπέστειλας

A καὶ τὴν καθ' ἑκάστην αἴσθησιν ἡδονὴν προσεύπεμπες, οὐκ ἂν οὕτως ἐξαπίνης ἔλαθες. οὐ γὰρ μόνον σε ὦ σωμάτων καὶ χρωμάτων ἑταῖρε Λάβαν ἀποδιδράσκομεν, ἀλλὰ καὶ πάντα τὰ σά, ἐν οἷς καὶ αἱ τῶν αἰσθήσεων φωναὶ ταῖς τῶν παθῶν ἐνεργείαις συνηχοῦσι. μεμελετήκαμεν γὰρ, εἴ γε ἀρετῆς ἐσμὲν ἀσκηταί, μελέτην ἀναγκαίαν, ἣν καὶ Ἰακὼβ ἐμελέτησεν, ἀπολλύναι καὶ διαφθείρειν τοὺς ἀλλοτρίους τῆς ψυχῆς θεοὺς τοὺς χωνευτούς, θεοὺς οὓς* οὐκ ἀπηγόρευκε Μωσῆς δημιουργεῖν. οὗτοι δ' εἰσὶν (ἴσως, ὃς ἀπηγόρευκε.)

B ἀρετῆς μὲν καὶ ἀπαθείας διάλυσις· κακίας δὲ καὶ παθῶν σύστασίς τε καὶ πῆξις. τὸ γὰρ χωνευόμενον διαλυθὲν, αὖθις πήγνυται. λέγει δὲ οὕτως, Καὶ ἔδωκαν Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν. καὶ κατέκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τερέβινθον τὴν ἐν Σικίμοις· οὗτοι δ' εἰσὶ τῶν φαύλων θεοί. ὁ δὲ Ἰακὼβ οὐ λέγεται λαμβάνειν, ἀλλὰ κρύπτειν καὶ ἀπολλύναι πάντη διηκριβωμένος. ὁ γὰρ ἀστεῖος οὐδὲν λήψεται πρὸς περιουσίαν, τὴν ἀπὸ κακίας, ἀλλὰ κρύ-

C ψει καὶ ἀφανεῖ λάθρα· καθάπερ καὶ Ἀβραὰμ τοῦ Σοδόμων βασιλέως πειράζοντι ἀλόγου φύσεως πεποιῆσθαι ἀντίδοσιν πρὸς λογικήν, ἵππους πρὸς ἄνδρας, φησὶ* μηδὲν λήψεσθαι τῶν ἐκείνου, ἀλλ' ἐκτενεῖν τὴν ψυχικὴν πρᾶξιν, ἥνπερ διὰ συμβόλου χεῖρα ὠνόμασε, πρὸς τὸν θεὸν τὸν ὕψιστον. μὴ γὰρ λήψεσθαι ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος, ἀπὸ πάντων τῶν ἐκείνου, ἵνα μὴ εἴπῃ πλούσιον πεποιηκέναι τὸν ὁρῶντα, πενίαν ἀρετῆς (ἴσ. μηδὲν.)

D τῆς πλουσίας ἀντιδιδούς. κρύπτεται μὲν ἀεὶ καὶ φυλάττεται τὰ πάθη ἐν Σικίμοις· ὠμίασις δὲ ἑρμηνεύεται. ὁ γὰρ πονούμενος περὶ τὰς ἡδονάς, φυλακτικὸς τῶν ἡδονῶν ἐστιν. ἀπόλλυται δὲ καὶ διαφθείρεται παρὰ τῷ σοφῷ, οὐ πρὸς βραχύν τινα χρόνον, ἀλλ' ἕως τῆς σήμερον ἡμέρας· τουτέστιν ἀεί. ὁ γὰρ αἰὼν ἅπας τῷ σήμερον παραμετρεῖται. μέτρον γὰρ τοῦ παντὸς χρόνου, ὁ* ἡμέριος κύκλος. διὸ καὶ ἐξαίρετον δίδωσι τῷ (Ἴσως, ὁ ἡμέριος.)

E Ἰωσὴφ τὰ Σίκιμα ὁ Ἰακὼβ, τὰ σωματικὰ καὶ αἰσθητικά, μετιόντι τὸν ἐν τούτοις πόνον. τῷ δ' ἐξομολογουμένῳ Ἰούδᾳ, οὐχὶ δόσεις, ἀλλὰ αἴνεσιν καὶ ὕμνους καὶ θεοπρεπεῖς ᾠδὰς πρὸς τῶν ἀδελφῶν. τὰ δὲ Σίκιμα ὁ Ἰακὼβ λαμβάνει, οὐ παρὰ θεοῦ, ἀλλ' ἐν μαχαίρᾳ καὶ τόξοις, λόγοις τμητικοῖς καὶ ἀμυντηρίοις. ὑποτάττει γὰρ καὶ τὰ δεύτερα ἑαυτῷ ὁ σοφός· ὑποτάξας δὲ οὐ φυλάττει, ἀλλὰ χαρίζεται τῷ πεφυκότι πρὸς αὐτά. οὐχ ὁρᾷς ὅτι καὶ τοὺς θεοὺς

A non verè deduxisses. Nec enim te solum ô Laban corporum colorúmque socie fugimus, sed etiam tua omnia, inter quæ sensibiles quoque voces actionibus affectuum consonant. meditati sumus enim, siquidem virtutem exercemus, meditationem necessariam, quam & Iacob ante nos, perdere corrumperéque deos alienos animæ, istos inquam deos fusiles, quos Moses ne faciamus vetuit. Hi sunt virtutes ac bono- Exod. 20.

B rum affectuum interitus, vitij verò malorúmque affectuum confirmatio. quod enim liquatur, semel dissolutum consistit denuo. nam sic legimus: Et dede- Gen. 35.
runt ei omnes deos alienos quos habebant in suis manibus & inaures quæ erant in auribus suis: & defodit eas Iacob subter terebinthum, quæ est in Sicimis.] hi sunt dij malorum hominum. at Iacob non dicitur hos accipere, sed defodere & abolere penitus. nam homo ciuilis nihil superfluum accipiet à malicia, sed è medio tollet clam & defo-

C diet. Sicut Abraham cùm rex Sodomo- Gen. 14.
rum conaretur ei bruta reddere pro rationalibus, equos pro viris, negat se quicquam accepturum ex rebus illius: sed extensurum animæ actionem, quam figuratè manum nominat, ad Deum altissimum. nec enim accepturum se quicquam suum à funiculo vsque ad corrigiam caligæ, ne ille diceret prophetam à se ditatum: & ne ipse videretur paupertatem cum virtute coniunctam posthabuisse diuitijs. cælantur au-

D tem & asseruantur semper affectus in Sicimis: quæ vox interpretatur succolatio. nam qui laborat ob volupta- Gen. 35.
tes, libenter asseruator earum est. apud sapientem verò corrumpuntur & pereunt, non intra breue tempus, sed hodie, hoc est semper. nam æuum omne hodierno metimur. est enim totius temporis mensura diurnus ambitus. & ideo Iacob dat Iosepho Sicima tanquam portionem eximiam res corpo-

E reas sensibilésque, exercenti se in talibus, Iudæ autem confessori, non dona, sed laudes hymnósque & cantiones quibus celebretur à suis fratribus. Cepit autem Iacob Sicima non à Deo, sed arcu gladióque suo, verbis vim secandi repugnandíque habentibus. nam etiam secundarias res sapiens sibi subiicit: sed eas non asseruat, malens largiri natis ad talia. non vides quòd nec deos acceperit, quamuis visus accipere, sed defodit occultauítque, &

A aboleuit in omnia secula? Cuinam igitur animæ contigit defodere aboleréque vitium, nisi cui Deus apparuit, & quam ineffabilibus arcanis dignatus est? ait enim: Num cælare potero Abraham seruum meum, quæ gesturus sum? Euge seruator, quia tua facta ostendis desideranti res honestas animæ, & nihil clam operaris in ea. ideo valet fugere maliciam, & cælare atque tegere, & interimere semper cupiditates noxias. B Postquam declarauimus quomodo malus omnis exul sit, & abscondat se à Deo, consideremus iam, vbinam abscondatur. In medio, inquit, arboris paradisi.] Hoc est in medio intellectu, qui & ipse est tanquam medius paradisi, videlicet totius animæ. Nam quisquis à Deo fugit, confugit ad seipsum. Cùm enim duo sint intellectus, alter vniuersalis, qui est Deus, alter suus cuiusque, quisquis à proprio fugit, confugit ad vniuersalem. C Talis autem relicto intellectu proprio, fatetur, nihil esse intellectum humanum, ad Deum omnia referens. contrà quisquis fugit à Deo, negat eum causam vllius rei, sibiipse quid facit tribuens. Multi enim multa loquuntur, quòd totus mundus suopte impetu feratur sine prouidentia: artes autem, studia, mores, leges, instituta priuata publicáque, ius commune hominum quo erga se inuicem, & erga bruta vtuntur, humanæ tantum mentis esse inuenta. D Sed vides ô anima harum opinionum diuersitatem. altera relicto particulari intellectu vt generationi ac morti obnoxio, vere ascribit illi vniuersali tam ingenito quàm incorruptibili omnia. econtra altera Deũ reiiciens, eum qui ne seipsum quidem iuuare potest intellectum, per errorem trahit in auxilium. Ideóque Moses pronunciat: Si fur parietis perfossor in ipso facto ictus moriatur, non imputatur cædes. quòd si exorto sole fur occisus sit, percussor quoque E morietur reus homicidij. nam si quis incolumem sanam rectámque rationem pertundat dirumpátque, quæ attestatur Dei omnipotentiæ, & in hoc facto deprehendatur, scilicet perfregisse concidisséque propriæ menti plus autoritatis quàm Deo tribuendo, is fur est res alienas furtim subtrahens. Deus enim omnia possidet. itaque quisquis sibi aliquid tribuit, aliena vsurpat: simúlque vulnus accipit, grauissimum & insana-

δοκῶν λαμβάνειν οὐκ εἴληφεν, ἀλλ᾽ ἀπέκρυψε καὶ ἠφάνισε, καὶ διέφθειρε τὸν αἰεὶ χρόνον ἀφ᾽ ἑαυτοῦ; τίνι οὖν ψυχῇ ἀποκρύψαι καὶ ἀφανίσαι κακίαν ἐγένετο εἰ μὴ ᾗ ὁ θεὸς ἐνεφανίσθη, ἣν καὶ τῶν ἀπορρήτων μυστηρίων ἠξίωσε. φησὶ γάρ, Μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ. εὖ σῶτερ, ὅτι τὰ σεαυτοῦ ἔργα ἐπιδείκνυσαι τῇ ποθούσῃ τὰ καλὰ ψυχῇ, καὶ οὐδὲν αὐτὴν τῶν σῶν ἔργων ἐπικέκρυψαι. τούτου χάριν ἰσχύει φεύγειν κακίαν, καὶ ἐπικρύπτειν καὶ συσκιάζειν, καὶ ἀπολλύναι ἀεὶ τὸ βλαβερὸν πάθος. ὃν μὲν οὖν τρόπον φυγάς τε ἐστὶν ὁ φαῦλος καὶ ἀποκρύπτεται θεόν, δεδηλώκαμεν. νυνὶ δὲ σκεψώμεθα ὅπου ἀποκρύπτεται. Ἐν μέσῳ, φησί, τοῦ ξύλου τοῦ παραδείσου, τουτέστι κατὰ μέσον τὸν νοῦν, ὃς καὶ αὐτὸς μέσος ἐστὶν ὡσανεὶ παραδείσου, τῆς ὅλης ψυχῆς. ὁ γὰρ ἀποδιδράσκων θεόν, καταφεύγει εἰς ἑαυτόν. δυοῖν γὰρ ὄντοιν, τοῦ τε τῶν ὅλων νοῦ, ὅς ἐστι θεός, καὶ τοῦ ἰδίου, ὁ μὲν φεύγων ἀπὸ τοῦ καθ᾽ αὑτόν, καταφεύγει ἐπὶ τὸν τῶν συμπάντων. ὁ δὲ νοῦν τὸν ἴδιον ἀπολείπων, ὁμολογεῖ μηδὲν εἶναι τὰ κατὰ τὸν ἀνθρώπινον νοῦν, ἅπαντα δὲ προσάπτει θεῷ. ὁ δὲ πάλιν ἀποδιδράσκων θεόν, τὸν μὲν οὐδενός αἴτιόν φησιν εἶναι, τὸν δὲ γινομένων ἁπάντων, ἑαυτόν. λέγεται γοῦν παρὰ πολλοῖς, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα φέρεται χωρὶς ἡγεμόνος αὐτοματίζοντα, τέχνας δὲ καὶ ἐπιτηδεύματα καὶ νόμους καὶ ἔθη, καὶ πολιτικὰ καὶ ἴδια καὶ κοινὰ δίκαια πρός τε ἀνθρώπους καὶ πρὸς τὰ ἄλογα ζῷα, ἔθετο μόνος ὁ ἀνθρώπινος νοῦς. ἀλλ᾽ ὁρᾷς ὦ ψυχή, τὴν δοξῶν τὸ παράλογον. ἡ μὲν γὰρ τὸν ἐπὶ μέρους, τὸν γενητὸν καὶ θνητὸν ἀπολιποῦσα, τὸν τῶν ὅλων καὶ ἀγένητον καὶ ἄφθαρτον ἐπιγράφεται ὄντως. ἡ δὲ πάλιν θεὸν ἀποδοκιμάζουσα, τὸν μηδὲ αὑτῷ βοηθῆσαι ἱκανὸν νοῦν σύμμαχον ἐπισπᾶται πλημμελῶς. τούτου χάριν καὶ Μωϋσῆς φησιν, ὅτι ἐὰν ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος· ἐὰν δὲ καὶ ὁ ἥλιος ἀνατείλῃ ἐπ᾽ αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθανεῖται. ἐὰν γάρ τις τὸν ἑστῶτα καὶ ὑγιῆ καὶ ὀρθὸν διακόψῃ καὶ διέλῃ λόγον, ὃς θεῷ μόνῳ τὰ πάντα δύνασθαι μαρτυρεῖ, καὶ εὑρεθῇ ἐν τῷ διορύγματι, τουτέστιν ἐν τῷ πεπτωκότι καὶ διῃρημένῳ, ὃς τὸν ἴδιον νοῦν ἐνεργεῖν οἴεται, ἀλλ᾽ οὐ θεόν, κλέπτης ἐστί, τὰ ἀλλότρια ἀφαιρούμενος. θεοῦ γὰρ τὰ πάντα κτήματα· ὥστε ὁ ἑαυτῷ τι προσνέμων, τὰ ἑτέρου νοσφίζεται. καὶ πληγὴν ἔχει πάνυ χαλεπὴν καὶ δυσίατον, οἴησιν, πρᾶγμα

ἀμαθίας καὶ ἀπαιδευσίας συγγενές. τὸν δὲ πλήττοντα, πεφρονήκασιν· οὐ γάρ ἐστιν ἕτερος τοῦ πληττομένου. ἀλλ' ὥσπερ ὁ τρίβων ἑαυτὸν, καὶ τρίβεται, καὶ ὁ ἐκτείνων ἑαυτὸν, καὶ ἐκτείνεται. πλεῖστε γὰρ τοῦ δρῶντος δύναμιν, καὶ τὸ τοῦ πασχομένοντος πάθος αὐτὸς ἐκδέχεται. οὕτως ὁ κλέπτων τὰ θεοῦ καὶ ἑαυτῷ ἐπιγράφων, ὑπὸ τῆς αὐτοῦ ἀθεότητός τε καὶ οἰήσεως αἰκίζεται. Εἴθε μέντοι πληγεὶς ἀποθάνοι, τουτέστιν ἄπρακτος διατελέσειεν. ἧττον γὰρ ἁμαρτάνειν δόξει. τῆς γὰρ κακίας, ἡ μὲν ἐν σχέσει θεωρεῖται, ἡ δὲ ἐν κινήσει θεωρεῖται. ὅταν δὲ πρὸς τὰς τῶν ἀποτελεσμάτων ἐκπληρώσεις ἡ ἐν τῷ κινεῖσθαι. διὸ καὶ χείρων τῆς κατὰ σχέσιν ἐστίν. ἐὰν οὖν ἡ διάνοια ἀποθάνῃ ἡ δοξάζουσα αὑτὴν αἰτίαν τῶν γινομένων, ἀλλὰ μὴ θεὸν, τουτέστιν ἠρεμήσῃ καὶ συσταλῇ, οὐκ ἔστιν αὐτῇ φόνος. οὐκ ἀνῄρηκε τελέως τὸ ἔμψυχον δόγμα, τὸ θεῷ τὰς ἁπάσας δυνάμεις ἐπιγράφειν. ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος, τουτέστιν ὁ φαινόμενος λαμπρὸς νοῦς ἐν ἡμῖν, καὶ δόξῃ πάντα διορᾷν καὶ πάντα βραβεύειν, καὶ μηδὲ ἐκφεύγειν ἑαυτὸν, ἔνοχός ἐστιν, ἀνταποθανεῖται τοῦ ἐμψύχου δόγματος ὃ ἀνεῖλε· καθ' ὃ μόνος αἴτιός ἐστιν ὁ θεὸς διελεγχόμενος ἄπρακτος καὶ νεκρὸς ὄντως αὐτὸς, ἀψύχου καὶ θνητοῦ καὶ πλημμελοῦς δόγματος εἰσηγητὴς γεγενημένος. διὰ τοῦτο καὶ καταρᾶται ὁ ἱερὸς λόγος τιθέντι ἐν ἀποκρύφῳ γλυπτὸν, ἢ χωνευτὸν ἔργον χειρῶν τεχνίτου. τί γὰρ τὰς φαύλας δόξας, ὅτι ποιός ἐστιν ὁ θεὸς, ὡς καὶ τὰ γλυπτὰ, ὁ ἄποιος. ὅτι φθαρτὸς, ὡς τὰ χωνευτὰ, ὁ ἄφθαρτος, ταμιεύεις καὶ θησαυρίζεις ὦ διάνοια ἐν σαυτῇ, ἀλλ' οὐκ εἰς μέσον προφέρεις, * ἃς ὑπὸ τῶν ἀσκητῶν τῆς ἀληθείας ἀμούσους πιθανότητας μεμελέτηκας· ἀτέχνως δὲ ἁλίσκῃ, νόσον χαλεπὴν ψυχῆς, ἀμαθίαν, οὐκ ἐθέλουσα θεραπεύεσθαι. ὅτι δὲ ὁ φαῦλος εἰς τὸν σποράδα νοῦν ἑαυτοῦ καταδύεται, φεύγων τὸν ὄντα, μαρτυρήσει Μωσῆς ὁ πατάξας τὸν αἰγύπτιον, καὶ κρύψας ἐν τῇ ἄμμῳ· ὅπερ ἦν, συλλογισάμενος τὸν προεστάναι λέγοντα τοῦ σώματος, καὶ μηδὲν τὰ ψυχῆς νομίζοντα, καὶ τέλος ἡγούμενον τὰς ἡδονάς. Καταγνοὺς γὰρ τὸν πόνον τοῦ τὸν θεὸν ὁρῶντος, ὃν ἐπιτίθησιν αὐτῷ ὁ βασιλεὺς τῆς Αἰγύπτου, ἡ τῶν παθῶν ἡγεμονὶς κακία, ὁρᾷ τὸν αἰγύπτιον ἄνθρωπον, τὸ ἀνθρώπειον καὶ ἐπίκηρον πάθος, τύπτον καὶ αἰκιζόμενον τὸν ὁρῶντα. περιβλεψάμενος δὲ τὴν ὅλην ψυχὴν ὧδε κἀκεῖσε, καὶ μηδένα ἰδὼν ἑστῶτα, ὅτι μὴ τὸν ὄντα θεὸν, τὰ δ' ἄλλα κλονούμενα καὶ σαλευόμενα, πατάξας καὶ

κ. αἱ ὑπὸ

A bile, arrogantiam, cognatam ruditati & ignorantiæ. percussor autem securus fit. nec enim est alius quàm ipse percussus. sed sicut is qui seipse fricat, fricatur quoque: & qui seipse extẽdit, extẽditur quoque: quippe qui tum agentis vim, tum patientis affectionem obtinet: sic is qui furatur res Dei sibi ascribẽs, ab impietate simul atque arrogantia discruciatur. talis vtinam percussus moriatur, hoc est inefficax perpetuo maneat. minus enim peccare videbitur. Nam vitiũ

B partim in habitu, partim in motu consideratur. Quod autem mouetur, iam ad effectum vergit, ideo peius quàm id, quod tantum est in habitu. ergo si talis cogitatio moriatur, quæ existimat se causam rerũ, non Deum, id est quiescat seque compescat, nulla est cædis actio. nec enim sustulit viuam opinionẽ illam quæ omnipotentiam Deo tribuit. Quod si sol oriatur, id est clarus intellectus qui nobis inest, videatur omnia dispicere præesséque rebus omnibus, ita vt nihil

C ipsum lateat, reus erit, & talionẽ mortis feret ob viuam opinionẽ quam sustulit, asserentem Deum causam rerũ omniũ: cum ipse deprehẽdatur inefficax veréque mortuus, & mortuæ inanimis erroneæque opinionis inuẽtor. Ideóque sacra lex execratur eum, qui ponit sculptile in abscondito, aut fusile opus manuũ artificis: nimirũ prauas opiniones: quòd in Deũ qualitatis expertem cadat qualitas sicut in sculptilia: & quòd corruptibilis sit, sicut fusilia, ille incorruptibilis.

D Reponis ô cogitatio thesaurizásque intra te, sed grauaris in medium proferre indoctas persuasiones, quas didicisti apud veritatis aduersarios. deprehẽderis tamen procul dubio in graui morbo animæ, videlicet ignorantia, cuius curationem non admittis. Quod autẽ homo malus in illum vulgarẽ suum intellectũ abscondatur, veritatẽ fugiens, testis erit Moses, qui percussum Ægyptiũ defodit in sabulo. i. conuicit eum qui se putabat regimẽ habere corporis, animam nihili

E faciens, & voluptatem finem expetendum iudicãs. Cum enim animaduertisset laborẽ videntis Deum, impositũ ei à rege Ægypti, hoc est ab affectuũ duce malicia, vidit hominẽ Ægyptium, humanam fragilémque affectionem, quæ pulsabat cædebátque vidẽtem. cúmque circumspexisset totã animam hac & illac, nec vidisset quenquã ibi stare præter verum Deum, cætera verò in agitatione iactationéque, percussum conuictúmque voluptatis amatorem defodit

Ex. 2.

in intellectu vulgari & collecticio, nullam habente cognationem familiaritatémve cum honestate. hic in seipsum abditur. at huic contrarius à se ipso fugiens confugit ad Deum rerum omnium. ideo dicit scriptura: Eduxit eum foras & dixit: Suspice in cælum, & dinumera stellas eius] quas vellemus quidem comprehēdere numero & circumspicere, quippe cum simus amatores virtutis insatiabiles: sed impossibile est nobis permetiri Dei diuitias. Nihilominus gratias agimus largitori, qui sic immisit in animam semina præclara splendida perpetuóque vigentia, sicut stellas in cælum. non temere autem addit, Eduxit eum foras. quis enim intrò educitur? sed fortasse quod dicit tale est. eduxit eum in extimam regionem, non in aliquem externum locum, qui potest contineri ab alio. sicut enim in ædibus intimo conclaui matronali exterior est ea pars in qua viri versantur, item hac exterius atrium, inde vestibulum mox ianua: sic & in anima aliud alio potest esse exterius. itaque intelligere debemus, mentem eductam esse in extima. Quid enim proderat, reliquisse corpus, & ad sensum confugere; quid sensui valedicere, & rationi sese submittere? oportet enim vt qui mentem educturus est relinquat eam liberam, immunem ab omnibus corporeis necessitatibus, instrumentis sensitiuis, ratiocinationibus sophisticis persuasionibúsque, denique à seipsa. quapropter alibi gloriatur, dicens: Dominus Deus cæli & Deus terræ, qui desumpsit me de patre meo. impossibile est enim habitantem in corpore & mortali genere, cum Deo colloqui, sed eum solum quem Deus eruit ex hoc carcere. quamobrem & Isaac ille gaudium animæ, meditaturus & priuatim acturus cum Deo, egreditur relicto seipso mentéque propria. Egressus est, inquit, Isaac in campum vt meditaretur sub vesperam. Moses quoque propheta dicit: cum egressus fuero ciuitatē idest animam (nam hæc quoque est animantis ciuitas, mores legésque præscribens) extendam manus] extendam & explicabo meas actiones Deo, testem inspectorémque singularum inuocando, cum malitia suopte ingenio quærat latebras. est autem explicari, videri manifeste. cum igitur anima in omnibus sermonibus ac operibus explicata fuerit & spectandam se præbuerit, cessant voces sensuum, omnésque infausti soni atque turbulenti. in-

A συλλογισάμενος τὴν φιλήδονον, κρύπτει ἐν τῷ συγκρίματι καὶ πεφορημένῳ νῷ, ὃς συμφυΐας καὶ γνώσεως τῆς πρὸς τὸ καλὸν ἐστέρηται. οὗτος μὲν ἀποκέκρυπται εἰς αὑτόν. ὁ δ᾽ ἐναντίος τούτῳ, φεύγει μὲν ἀφ᾽ ἑαυτοῦ, καταφεύγει δ᾽ ἐπὶ τὸν τῶν ὄντων θεόν. διὸ καὶ φησίν. Ἐξήγαγεν αὐτὸν ἔξω καὶ εἶπεν, ἀνάβλεψον εἰς τὸν οὐρανόν, καὶ ἀρίθμησον τοὺς ἀστέρας, οὓς ἐβουλόμεθα μὲν περιλαβεῖν καὶ * περιαθρῆσαι, ἄπληστοι τῆς ἀρετῆς ὄντες ἐρῶντες· γρ. ἀκο-ρέστως ἀδυνατοῦμεν δὲ πλοῦτον ἀναμετρῆσαι θεοῦ. ἀλλ᾽ ὅμως χάριν τῷ φιλοδώρῳ, ὅτι οὕτω σπέρματα ἐν ψυχῇ βαλέσθαι φησὶ τηλαυγῆ καὶ λαμπρὰ καὶ δι᾽ ὅλων νεαρά, ὡς τοὺς ἀστέρας ἐν οὐρανῷ. οὐ παρέργως δὲ προσέκειται τῷ ἐξήγαγεν αὐτὸν τὸ ἔξω. τίς γὰρ ἔνδον ἐξάγεται. ἀλλὰ μήποτε ὃ λέγει τοιοῦτόν ἐστιν. ἐξήγαγεν αὐτὸν εἰς τὸ ἐξωτάτω χωρίον, οὐκ εἰς τι τῶν ἐκτὸς ὃ δυνατὸν ὑπ᾽ ἄλλων περιέχεσθαι. ὥσπερ γὰρ ἐν ταῖς οἰκίαις τοῦ θαλάμου,
C ἐκτὸς μέν ἐστιν ὁ ἀνδρών, ἐκτὸς δὲ ὁ αὐλών. καὶ ἡ αὔλειος ἐκτὸς μὲν τῆς αὐλῆς, εἴσω δὲ τοῦ πυλῶνος. οὕτω καὶ ἐπὶ ψυχῆς δύναται τὸ ἐκτός τινος ἐντὸς εἶναι τοῦ ἑτέρου. οὕτως οὖν ἀκουστέον, τὸν νοῦν εἰς τὸ ἐξώτατον ἐξήγαγε. τί γὰρ ὄφελος ἦν καταλιπεῖν αὐτὸν τὸ σῶμα, καταφυγεῖν δὲ ἐπ᾽ αἴσθησιν. τί δὲ αἰσθήσει μὲν ἀποτάξασθαι, λόγῳ δὲ ὑποστεῖλαι τὸ γεγωνός. χρὴ γὰρ τὸν μέλλοντα νοῦν ἐξάγεσθαι καὶ ἐν ἐλευθερίᾳ ἀφίεσθαι, πάντων ὑπεκστῆναι σωματικῶν ἀναγκῶν, αἰσθητικῶν
D ὀργάνων, κατὰ λόγων σοφιστικῶν, πιθανοτήτων, τὰ τελευταῖα καὶ ἑαυτοῦ. διὸ καὶ ἐν ἑτέροις αὐχεῖ λέγων, Κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ θεὸς τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ πατρός μου. οὐ γάρ ἐστι κατῳκηκότα ἐν σώματι καὶ τῷ θνητῷ γένει, δυνατὸν θεῷ συγγενέσθαι, ἀλλὰ τὸν ἐκ τοῦ δεσμωτηρίου, θεὸς διαρρύεται. οὗ ἕνεκα καὶ ἡ τῆς ψυχῆς χαρά, Ἰσαάκ, ὅταν ἀδολεσχῇ καὶ * ἰάζῃ γρ. ἰδιάζῃ. θεῷ, ἐξέρχεται, ἀπολείπων ἑαυτὸν καὶ τὸν ἴδιον νοῦν. Ἐξῆλθε γάρ, φησίν, Ἰσαὰκ ἀδολεσχῆσαι
E εἰς τὸ πεδίον τὸ πρὸς δείλης. καὶ Μωσῆς δὲ ὁ προφητικὸς λόγος φησίν, Ὅταν ἐξέλθω τὴν πόλιν, τὴν ψυχήν. πόλις γάρ ἐστι καὶ αὕτη τοῦ ζώου, νόμους διδοῦσα καὶ ἔθη. Ἐκπετάσω τὰς χεῖρας, καὶ ἀναπετάσω καὶ ἐξαπλώσω πάσας τὰς πράξεις θεῷ, μάρτυρα καλῶν καὶ ἐπίσκοπον ἑκάστης. ἡ κακία κρύπτεσθαι ἐκπέφυκεν, ἐξαπλοῦσθαι δὲ καὶ φανερῶς ὁρᾶσθαι. ὅταν μέν τοι διὰ πάντων ἡ ψυχὴ καὶ λόγων καὶ ἔργων ἐξαπλωθῇ καὶ ἐκθεαθῇ, παύονται τὴν

αἰσθητῶν αἱ φωναί, καὶ πάντες οἱ ὀχληροὶ καὶ δυσώνυμοι ἦχοι. φωνὴ γὰρ καὶ καλεῖ τὸ μὲν ὁρατὸν, τὴν ὅρασιν ἐφ' ἑαυτό. ἡ δὲ φωνὴ, τὴν ἀκοήν. ὁ δὲ ἀτμὸς, τὴν ὄσφρησιν· καὶ συνόλως τὸ αἰσθητὸν, τὴν αἴσθησιν ἐφ' ἑαυτὸ προσκαλεῖται. ταῦτα δὲ πάντα παύεται, ὅταν ἐξέλθῃ τὴν ψυχῆς πόλιν ἡ διάνοια, καὶ τὰς ἑαυτῆς πράξεις καὶ διανοήσεις ἀναφέρῃ. καὶ γὰρ εἰσὶν αἱ χεῖρες Μωσῆ βαρεῖαι. ἐπεὶ γὰρ αἱ τοῦ φαύλου πράξεις* ἀνεμιαῖαί τε καὶ κοῦφοι, γίνονται αἱ τοῦ σοφοῦ βαρεῖαι καὶ ἀκίνητοι, ὅθεν ἀσάλευτοι, διὸ καὶ στηρίζονται ὑπό τε Ἀαρὼν τοῦ λόγου, καὶ Ὢρ, ὅ ἐστι φῶς. οὐδὲν τῶν πραγμάτων φῶς ἐναργέστερόν ἐστιν ἀληθείας. βούλεται οὖν διὰ συμβόλων παραστῆσαι, ὅτι αἱ τοῦ σοφοῦ πράξεις στηρίζονται ὑπὸ τῶν ἀναγκαιοτάτων, λόγου τε καὶ ἀληθείας· διὸ καὶ Ἀαρὼν ὅταν τελευτᾷ, τουτέστιν ὅταν τελειωθῇ, εἰς Ὢρ, ὅ ἐστι φῶς, ἀνέρχεται. τὸ γὰρ τέλος τοῦ λόγου, ἀλήθειά ἐστιν ἡ φωτὸς τηλαυγεστέρα, εἰς ἣν σπουδάζει ὁ λόγος ἐλθεῖν. οὐχ ὁρᾷς ὅτι καὶ τὴν παρὰ τοῦ θεοῦ σκηνὴν λαβὼν, τουτέστι σοφίας, ἐν ᾗ κατασκηνοῖ καὶ ἐνοικεῖ ὁ σοφὸς, ἔπηξε καὶ ἐβεβαιώσατο καὶ κραταιῶς ἱδρύσατο, οὐκ ἐν τῷ σώματι, ἀλλ' ἔξω τούτου; παρεμβολῇ γὰρ αὐτὸ ἀπεικάζει, στρατοπέδῳ πολέμων καὶ κακῶν ὅσα πόλεμος ἐργάζεται, πλήρη μετουσίαν εἰρήνης οὐκ ἔχοντι. Καὶ ἐκλήθη ἡ σκηνὴ μαρτυρίου, σοφία μαρτυρουμένη ὑπὸ θεοῦ. καὶ γὰρ πᾶς ὁ ζητῶν κύριον, ἐξεπορεύετο παγκάλως. εἰ γὰρ ζητεῖς θεὸν, ἐξελθοῦσα ἀπὸ σαυτῆς ἀναζήτει· μένουσα δ' ἐν τοῖς σωματικοῖς ὄγκοις, ἢ ταῖς κατὰ νοῦν οἰήσεσιν,* ἀζήτως ἔχεις τῶν θείων, κἂν ἐπιμορφάζῃς ὅτι ζητεῖς. εἰ δὲ ζητῶν εὑρήσεις θεὸν, ἄδηλον. πολλοῖς γὰρ οὐκ ἐνεφάνισεν ἑαυτόν. ἀλλ' ἀτελῆ σπουδὴν ἄχρι παντὸς ἔσχον. ἐξαρκεῖ μέντοι πρὸς μετουσίαν ἀγαθῶν καὶ ψιλὸν τὸ ζητεῖν μόνον. ἀεὶ γὰρ αἱ ἐπὶ τὰ καλὰ ὁρμαὶ κἂν τοῦ τέλους ἀτυχῶσι, τοὺς χρωμένους προευφραίνουσιν. οὕτως ὁ μὲν φαῦλος ἀρετὴν φεύγων, καὶ θεὸν ἀποκρυπτόμενος, ἐπ' ἀσθενῆ βοηθὸν καταφεύγει τὸν ἴδιον νοῦν. ὁ δὲ σπουδαῖος ἔμπαλιν ἑαυτὸν ἀποδιδράσκων, ἀναστρέφει πρὸς τὴν τοῦ ἑνὸς ἐπίγνωσιν, καλὸν δρόμον καὶ πάντων ἄριστον ἀγώνισμα τοῦτο νικῶν. Καὶ ἐκάλεσε κύριος ὁ θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ, ποῦ εἶ; διὰ τί μόνος καλεῖται ὁ Ἀδὰμ συγκεκρυμμένης αὐτῷ καὶ τῆς γυναικός; λεκτέον οὖν πρῶτον ὅτι καλεῖται ὁ νοῦς ὅπου ἐστὶν, ὅταν ἐλέγχων

* ἴσως ἀνεμιαῖαι.

* γρ. ἀζητήτως.

ἰδεῖν.

A clamat enim & ad seipsum vocat, visibile quidem visum, vox autem auditum, & vapor odoratum, & in vniuersum sensibile quodque suũ sensum inuitat. hæc autem omnia quiescunt, cum egressa animæ ciuitatem cogitatio, meditationes actionésque suas refert ad Deum. Sunt enim manus Mosis graues. nam cum hominis mali actiones subuentaneæ leuésque sint, merito sapientis graues habentur, immobiles inconcussæque: ideoque fulciuntur ab Aarone ra-
B tione, & ab Or lumine, quod nulla lux in rebus sit clarior quàm veritas. Vult igitur scriptura figurate docere te, sapientis actiones necessariò fulciri veritate rationéque. & hæc est causa cur Aaron ad finem, hoc est perfectionem tendens, montem Or, id est lucem, ascendit. finis enim rationis veritas est, quæ longius quam vllum lumen splendorem suum emittit, in quam ratio conatur ingredi. non vides quòd
C etiam acceptum à Deo tabernaculum, id est sapientiam, sub cuius vmbra sapiens habitat, fixit, firmauit, consolidauitque, non in corpore, sed extra corpus? castris enim id facit simile, exercitui occupato armis & molestijs, quas secum bellum trahit, cui non sit integrum pacem admittere. Et vocatum est tabernaculum testimonij] sapientia testimonium habens à Deo. etenim omnis quærens dominum egrediebatur. Egregie. nam si quæris Deum Gen. 3.
D anima, à teipsa egressa illum quære. donec enim manes in molibus corporeis aut mentis opinationibus, non es apta ad quærendas res diuinas, etiamsi præ te feras quærendi studium. an autem quærendo inuenturus sis Deum, incertum est. multis enim non manifestat seipsum. Dices te simpliciter sedulóque dare operam vt eum cognoscas. conducit sanè ad fruendum rebus bonis vel solum quærendi studium. semper enim appetitio rerum honestarum etiamsi ad metam non perueniat, tamen homines
E studiosos alacritate præoccupat. eodem modo malus fugiens virtutem, & abscõdens se à Deo, ad infirmum auxilium confugit mentem propriam. probus contra fugiens à seipso, vertit se ad cognitionem illius vnius, vincens cursu certaminéque omnium longe præstantissimo. Et vocauit dominus Deus Adamum, & dixit ei, Vbi es?] Cur solus Adam vocatur, quamuis vxor vnà lateat? dicendum igitur primum quid sibi velit illa Gen. 3.

vox, Vbi es? quando mens redarguitur & ad mutationem trahitur, non solum ipsa vocatur, verùm etiam omnes eius potentiæ. nam absque suis potentijs mens ipsa nuda nihil esse inuenitur. ex ijs potentijs & sensus est, nimirum mulier. Vocatur ergo cum Adamo mente vxor quoque, sensus scilicet: seorsum autem non vocatur. Quid ita? quia cum sit brutus per seipsum redargui non potest. nam nec visus nec auditus, nec vllus alius sensus est docilis. proinde non potest res percipere: eo quod ei sola corpora discernendi facultatem opifex indidit. mens autem ipsa est quæ doctrinam admittit. qua de causa hanc, non sensum, Deus vocat. quod autem dicit, vbi es? plures interpretationes recipit. vnam, vt non interrogatio sit, sed affirmatio, ac si dicat in eo loco es, accentu graui. Vbi proferens. putabas Deum in paradiso deambulare, contineríque ab eo, disce hoc esse tuum accidens, & audi sententiam verissimam ab eo cui cuncta sunt cognita, Deum esse nusquam. nam ipse non continetur, sed vniuersa continet. quicquid autem in loco est, id contineri, non continere, necessariò sequitur. secundo modo dictum id perinde valet ac si dicat, quò deuenisti ô anima, pro qualibus bonis qualia elegisti mala? à Deo vocata vt fieres virtutis particeps, vertis te ad vitium? & cum frui datum sit arbore vitæ idest sapientia, saturata es ignorantia corruptionéque: quia maluisti mortis animæ infelicitatem, quam veræ vitæ felicitatem. tertius modus est per interrogationem, ad quam responderi potest dupliciter. primum si quærenti vbi es, respondeatur nusquam. nullum enim locum habet mali hominis anima, cui vel insistat vel insidat. ideo malus Græcis dicitur ἄτοπος. sic enim appellant malum cuius nusquam vsus est. talis autem est homo inciuilis, fluctuans semper & agitatus, vagúsque in morem incerti flatus, nullius omnino amicus constantis sententiæ? altera autem responsio talis esse potest, qua etiam Adam vtitur. Vbi sim audi: vbi hi qui Deum videre non possunt, vbi qui Deum non audiunt, vbi qui ab autore omnium rerum volunt se abscondere, vbi qui virtutem fugiunt, vbi qui exuti sunt sapientia, vbi qui metuunt tremúntque præ infirmitate timiditatéque animæ. cum enim dicit: Vocem tuam audiui in paradiso:

A λαμβάνη καὶ ἐπίστασιν τῆς ζητήσεως, οὐ μόνος αὐτὸς καλεῖται, ἀλλὰ καὶ αἱ δυνάμεις αὐτοῦ πᾶσαι. ἄνευ γὰρ τῶν δυνάμεων ὁ νοῦς καθ' ἑαυτὸν γυμνὸς καὶ οὐδὲν ὢν εὑρίσκεται. μία δὲ τῶν δυνάμεων καὶ ἡ αἴσθησις, ἥτις ἐστὶ γυνή. συγκέκληται οὖν τῷ Ἀδὰμ τῷ νῷ, καὶ ἡ γυνὴ αἴσθησις. ἰδίᾳ δὲ αὐτὴν οὐ καλεῖ. διὰ τί; ὅτι ἄλογος οὖσα ἔλεγχον ἐξ ἑαυτῆς λαμβάνειν οὐ δύναται. οὔτε γὰρ ἡ ὅρασις, οὔθ' ἡ ἀκοή, οὔτε τις τῶν ἄλλων αἰσθήσεων διδακτή. ὥστε οὐ δύναται κατάληψιν

B πραγμάτων ποιήσασθαι. μόνων γὰρ σωμάτων διακριτικὴν εἰργάσατο αὐτὴν ὁ ἐργασάμενος. ὁ δὲ νοῦς, ὁ διδασκόμενός ἐστιν· διὸ καλεῖν αὐτόν, ἀλλ' οὐ τὴν αἴσθησιν * προσκέκληται. τὸ δὲ ποῦ εἶ, πολλαχῶς ἐστὶν ἀποδοῦναι. ἅπαξ μὲν, οὐ τὸ πευστικόν, ἀλλὰ τὸ ἀποφαντικόν, τὸ ἴσον τῷ ἐν τόπῳ ὑπάρχεις, βαρυτονουμένου τοῦ που εἶ. ἐπεὶ γὰρ ᾤηθης τὸν θεὸν ἐν τῷ παραδείσῳ περιπατεῖν, καὶ ὑπὸ τούτου περιέχεσθαι, μάθε ὅτι τοῦτο σὺ πέ- (κ. προσκέκληκα.)

C πονθας, καὶ ἄκουσον παρὰ τοῦ ἐπισταμένου θεοῦ ῥῆσιν ἀληθεστάτην, ὅτι ὁ μὲν θεὸς οὐχὶ που. οὐ γὰρ περιέχεται, ἀλλὰ περιέχει τὸ πᾶν. τὸ δὲ γενόμενον ἐν * τόπῳ· περιέχεσθαι γὰρ αὐτό, ἀλλ' οὐ περιέχειν ἀναγκαῖον. δεύτερον δέ, τὸ λεγόμενον ἴσον ἐστὶ τούτῳ, ποῦ γέγονας ὦ ψυχή. ἀνθ' οἵων ἀγαθῶν οἷα ᾕρησαι κακά. καλέσαντός σε τοῦ θεοῦ πρὸς μετουσίαν ἀρετῆς, κακίαν μετέρχῃ· καὶ τὸ τῆς ζωῆς ξύλον, τουτέστι σοφίας, ἣ δύναιτο παρέχειν εἰς ἀπόλαυσιν, ἀμαθίας καὶ φθορᾶς ἐνεφορήθης, κακοδαιμονίαν τὸν ψυχῆς θάνατον, εὐδαιμονίας τῆς ἀληθινῆς ζωῆς προκρίνασα. τρίτον (ἴσως, ὁ τόπῳ περιέχεσθαι αὐτῷ δεῖ.)

D ἐστὶ τὸ πευστικόν, πρὸς ὃ δύο γένοιντ' ἂν ἀποκρίσεις. μία μὲν, πυνθανομένῳ ποῦ εἶ, ἡ οὐδαμοῦ· τόπον γὰρ οὐδένα ἔχει ἡ τοῦ φαύλου ψυχή, ᾧ ἐπιβήσεται, ἢ ἐφ' οὗ ἱδρυνθήσεται. παρὸ καὶ ἄτοπος λέγεται εἶναι ὁ φαῦλος. ἄτοπον δέ ἐστι, κακὸν δύσθετον· τοιοῦτος δὲ ὁ μὴ ἀστεῖος, σαλεύων καὶ κλονούμενος ἀεί, καὶ πνεύματος τρόπον ἀστάτου διαφερόμενος, βεβαίας ποτε δ' ἀπὸ

E οὐδεμιᾶς γνώμης * ἑτέρας ὤν. ἑτέρα δὲ γένοιτ' ἂν ἀπόκρισις τοιάδε, ᾗ κέχρηται καὶ ὁ Ἀδάμ. ποῦ εἰμὶ ἄκουε, ὅπου οἱ τὸν θεὸν ἰδεῖν ἀδυνατοῦντες· ὅπου οἱ θεοῦ οὐκ ἀκούοντες· ὅπου οἱ τὸν αἴτιον ἐπικρυπτόμενοι· ὅπου οἱ φεύγοντες ἀρετήν. ὅπου οἱ γυμνοὶ σοφίας· ὅπου οἱ φοβούμενοι καὶ τρέμοντες ὑπ' ἀνανδρίας καὶ δειλίας ψυχικῆς. ὅταν γὰρ λέγῃ, Τῆς φωνῆς σου ἤκουσα ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην (γρ. ἑταίρας.)

ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην, πάντα τὰ εἰρημένα παρίησιν, ὡς καὶ ἐν τοῖς προτέροις διὰ μακροτέρων λόγων ἀπεδείξαμεν. καίτοι γυμνὸς οὐκ ἔστι νῦν ὁ Ἀδάμ· ἐποίησαν ἑαυτοῖς περιζώματα, ὀλίγῳ πρότερον εἴρηται. ἀλλὰ καὶ διὰ τούτου βούλεταί σε διδάξαι, ὅτι γυμνότητα οὐ τὴν τοῦ σώματος παραλαμβάνει, ἀλλὰ καθ' ἣν ὁ νοῦς ἄμοιρος καὶ γυμνὸς ἀρετῆς εὑρίσκεται. Ἡ γυνή, φησίν, ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. εὖ τὸ μὴ φάναι, ἡ γυνὴ ἣν ἔδωκας ἐμοί, ἀλλὰ μετ' ἐμοῦ. οὐ γὰρ ἐμοὶ ὡς κτῆμα τὴν αἴσθησιν ἔδωκας, ἀλλὰ καὶ αὐτὴν ἀφῆκας ἄνετον καὶ ἐλεύθερον, καὶ τινὰ τρόπον οὐχ ὑπήκοον τοῖς τῆς ἐμῆς διανοίας ἐπιτάγμασιν. ἐὰν γοῦν βουληθῇ ὁ νοῦς προστάξαι τῇ ὁράσει μὴ ἰδεῖν, οὐδὲν ἧττον αὕτη τὸ ὑποκείμενον ὄψεται· καὶ ἡ ἀκοὴ μέντοι προσπεσούσης φωνῆς ἀντιλήψεται πάντως, κἂν ὁ νοῦς φιλονεικῶν διακελεύηται αὐτῇ μὴ ἀκοῦσαι. καὶ μὴν ἥγε ὄσφρησις ἀτμῶν χωρησάντων εἰς αὐτὴν ὀσφρήσεται, κἂν ὁ νοῦς ἀπαγορεύῃ μὴ ἀντιλαβέσθαι. διὰ τοῦτο ὁ θεὸς οὐκ ἔδωκεν αἴσθησιν τῷ ζώῳ, ἀλλὰ μετὰ ζώου. τὸ δέ, τοῦτ' ἔστιν ἅπαντα, αἴσθησις μετὰ τοῦ ἡμετέρου νοῦ γνωρίζει καὶ ἅμα αὐτῷ. ὅθεν ἡ ὅρασις ἅμα τῷ νῷ ἐπιβάλλει τῷ ὁρατῷ. εἶδέ τε γὰρ ὁ ὀφθαλμὸς τὸ σῶμα, καὶ εὐθὺς ὁ νοῦς ἀντέλαβε τὸ ὁραθέν, ὅτι μέλαν ἢ λευκόν, ἢ ὠχρόν, ἢ φοινικοῦν, ἢ τρίγωνον, ἢ τετράγωνον, ἢ στρογγύλον, ἢ τὰ ἄλλα χρώματά τε καὶ σχήματα. καὶ πάλιν ἡ ἀκοὴ ἐπλήχθη ὑπὸ τῆς φωνῆς, καὶ μετ' αὐτῆς ὁ νοῦς. τεκμήριον δέ, ἐκεῖνος εὐθὺς τὴν φωνήν, ὅτι λεπτὴ ἢ μέγεθος ἔχουσα, ἢ ἐμμελὴς καὶ ἔρρυθμος, καὶ πάλιν εἰ ἐκμελής τε καὶ οὐκ ἐναρμόνιος. καὶ ταυτὸν ἐπὶ τῶν ἄλλων αἰσθήσεων εὑρίσκεσθαι πάρεστι. καλῶς καὶ τὸ προσθεῖναι τό, Αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου. τὸ γὰρ ξύλινον καὶ αἰσθητὸν σῶμα τῷ νῷ οὐδεὶς δίδωσιν, ὅτι μὴ αἴσθησις. τίς γὰρ ἔδωκε τῇ διανοίᾳ γνωρίσαι τὸ σῶμα, ἢ τὸ λευκόν· οὐχ ἡ ὄψις; τίς δὲ τὴν φωνήν· οὐχ ἡ ἀκοή; τίς δὲ τὸν ἀτμόν· οὐχ ἡ ὄσφρησις; τίς δὲ τὸν χυλόν· οὐχ ἡ γεῦσις; τίς δὲ τραχὺ καὶ μαλακόν· οὐχ ἡ ἁφή; ὀρθῶς οὖν καὶ πάνυ ἀληθῶς εἴρηται ὑπὸ τοῦ νοῦ, ὅτι τὰς τῶν σωμάτων ἀντιλήψεις δίδωσί μοι μόνη ἡ αἴσθησις. Καὶ εἶπεν ὁ θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας. καὶ εἶπεν, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. ἄλλο μὲν πυνθάνεται τῆς αἰσθήσεως ὁ θεός, ἄλλο δὲ καὶ αὐτὴ ἀποκρίνεται. πυνθάνε-

A & timui eo quod nudus essem, & abscondi me.] omnia quæ modo memoraui dicit, sicut supra declarauimus prolixius. quamuis nudus non sit nunc Adam fecerunt sibi perizomata, paulo antedictum est: sed vult scriptura sic quoque te docere, nuditatem nequaquam corporis hic intelligendam, sed iuxta quam mens nuda & virtutis expers deprehenditur. Mulier, inquit, quam dedisti mecum, ipsa dedit mihi de arbore, & comedi.] Bene quòd non dixit, mulier quam dedisti mihi, sed mecum. non enim mihi vt possessionem sensum dedisti, sed & ipsam siuisti solutam ac liberam, & quodammodo non subiectam decretis meis mandatisque. Quod si voluerit mens imperare visui ne videat, nihilominus is subiectum suum videbit. itidem auditus quotiescunque vox illabetur eam omnino percipiet, etiamsi mens contentiose interdicat ne audiat. odoratus quoque, vapores ad se
C venientes olfaciet, etiamsi mens velit obsistere. propterea Deus non dedit sensum animali, sed cum animali. cunctas autem res mens nostra cum sensu cognoscit, simúlque cum eo iudicat. Quale est quod visus vnà cum mente percipit rem visibilem: & quam primum oculus vidit corpus aliquod, mox mens rem visam percipit esse nigram albámve, aut giluam vel puniceam, aut triangulam, quadrangulam, rotundámve, aut quouis alio colore figuráve præditam. item
D mox vt auditus à voce ictus est, mens etiam presto fit vel hoc argumento, quod continuò vocem eam iudicat, exilisne an grandis sit, modulatáne concinnáque, an contra inconcinna, & aliena ab harmonicis legibus. idem licet obseruare in alijs sensibus. Quin & illud quam apposite dictum: ipsa mihi dedit de ligno. id enim quod ligneum sensibiléque inest in mente, nemo nisi sensus ei dat. Quis enim ei dedit cognoscere corpus aut albedinem, nisi visus? quis
E vt voces dignoscat, nisi auditus? quis vt vapores, nisi odoratus? quis vt sapores, nisi gustus? quis vt asperum à molli, nisi tactus? Recte igitur & verissime dicit mens, vt corpora percipiam solus sensus mihi dedit. Et dixit Deus mulieri, Quare hoc fecisti? quæ respondit: Serpens decepit me & comedi.] Aliud à sensu scitatur Deus, aliud sensus respondet. De viro enim interrogatus, non de hoc respondet, sed de seipso, fatendo se comesse, non come-

dendum præbuisse. Quid si per allegoriam soluamus quæstionem, & ostendamus mulierem recte ad interrogationem respondisse? consequitur enim necessario, vt postquam ipsa comedit, edat vir quoque. Quoties enim sensus subiectum suum appetens, satiatus imaginatione fuerit, confestim & mens accedit simúlque fruitur, quodammodo explens se cibo accepto ab eo. hoc est quod ait, Inuita marito dedi. nam ille, me contrectante subiectum meum, pro ingenio suo concitabili, imaginationem impressit sibi. Obserua autem quòd vir quidem ait mulierem sibi dedisse: mulier vero serpentem non dedisse, sed decepisse. Sensus enim proprium est dare, voluptatis autem variæ serpentinæque fraudare ac decipere. Verbi gratia, album naturaliter nigrúmque, calidum & frigidum dat sensus menti, non decipiendo, sed veraciter. Nam talia sunt hæc subiecta, qualis & inde procedens imaginatio, sicut plerique aiunt, qui minus accurate scrutantur physiologiam. At voluptas non quale est subiectum, tale id agnoscit cogitatione: sed addit arte mendacium, rem inutilem transferens in ordinem vtilium: sicut meretrices deformes videre licet fucantes pingentésque faciem, vt tegant suam deformitatem: & intemperantem pronum ad ventris voluptates. hic meri copiam & ciborum apparatum amplectitur, tanquam rem bonam, lædens interim horum abusu tam corpus quam animam. Rursum amatores videre licet sæpe insanire in mulierculas aspectu turpissimas, voluptate decipiente & tantum non percensente, quòd bona forma, bonus color, bona habitudo & membrorum proportio his insit quæ habent omnia contraria. itaque vere pulchras in quarum forma nihil desideres contemnunt, illas vero quas dixi depereunt. ergo omni voluptati decipere est proprium: dare autem sensui. Nam illa circumuenit mentem seducitque, non qualia sunt subiecta ostendens, sed qualia non sunt. at sensus planè sic offert corpora, vt sunt à natura facta, semotis technis fucisque. Et dixit dominus
Gen 3. Deus serpenti: Quia hoc fecisti, maledictus es inter omnes pecudes & omnes bestias terræ. super pectus & ventrem tuum gradieris, & terram comedes cunctis diebus vitæ tuæ. Inimi-

A τῇ μὲν γὰρ περὶ τοῦ ἀνδρός. ἡ δ' οὐ περὶ τούτου φησὶν, ἀλλὰ περὶ ἑαυτῆς, λέγουσα ὅτι ἔφαγεν, οὐχ ὅτι ἔδωκε. μήποτ' οὖν ἀλληγοροῦντες, λύσομεν τὸ ἀπορηθὲν, καὶ δείξομεν τὴν γυναῖκα εὐθυβόλως πρὸς τὸ πύσμα ἀποκεκριμένην; ἀνάγκη γάρ ἐστιν ἐκ τῆς φαγούσης, καὶ τὸν ἄνδρα φαγεῖν. ὅταν μὲν γὰρ ἡ αἴσθησις ἐπιβάλλουσα τῷ αἰσθητῷ, πληρωθῇ τῆς αὐτοῦ φαντασίας, εὐθὺς καὶ ὁ νοῦς συμβέβηκε καὶ ἀντιλαμβάνεται, καὶ τρόπον τινὰ τροφῆς τῆς ἀπ' ἐκείνου πεπλήρωται. τοῦτ' οὖν
B φησὶν, ἄκουσα δέδωκα τῷ ἀνδρί· προσβαλλούσης γάρ μου τῷ ὑποκειμένῳ, ὀξυκίνητος ὢν αὐτὸς, ἐφαντασιώθη καὶ ἐτυπώθη. παρατήρει δὲ, ὅτι ὁ μὲν ἀνὴρ λέγει τὴν γυναῖκα δεδωκέναι· ἡ δὲ γυνὴ οὐχὶ τὸν ὄφιν δεδωκέναι, ἀλλὰ ἠπατηκέναι. ἴδιον γὰρ αἰσθήσεως μὲν τὸ διδόναι, ἡδονῆς δὲ τῆς ποικίλης καὶ ὀφιώδους, τὸ ἀπατᾷν καὶ παρακρούεσθαι· οἷον τὸ λευκὸν τῇ φύσει καὶ τὸ μέλαν, καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν δίδωσιν ἡ αἴσθησις τῷ νῷ,
C οὐχὶ ἀπατῶσα, ἀλλὰ πρὸς ἀλήθειαν. τοιαῦτα γάρ ἐστι τὰ ὑποκείμενα, οἵα καὶ ἡ ἀπ' αὐτῶν προσεκπίπτουσα φαντασία, κατὰ τοὺς πλείστους τῶν μὴ φυσικώτερον φυσιολογούντων. ἡ δὲ ἡδονὴ, οὐχ οἷον ἐστι τὸ ὑποκείμενον, τοιοῦτον αὐτὸ γνωρίζει τῇ διανοίᾳ, ἀλλ' ἐπιψεύδεται τέχνῃ τὸ ἀλυσιτελὲς εἰς συμφέροντος τάξιν ἐκβιβάζουσα· ὥσπερ καὶ τῶν ἑταιρῶν ταῖς εἰδεχθέσιν ἰδεῖν ἐστι φαρμακτούσας καὶ ὑπογραφομένας τὴν ὄψιν, ἵνα τὸ
D περὶ αὐτὰς αἶσχος ἐπικρύψωσι· καὶ τὸν ἀκρατῆ ἐπὶ τῆς γαστρὸς νενευκότα ἡδονήν· ἔστι τὸν πολὺν ἄκρατον καὶ τὴν σιτίων τὴν παρασκευὴν ἀποδέχεται ὡς ἀγαθὸν, βλαπτόμενος καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀπ' αὐτῶν. πάλιν τοὺς ἐραστὰς ἰδεῖν ἐστι πολλάκις ἐπὶ γυναίων αἰσχίστων ὀφθέντας ἐπιμεμηνότας, τῆς ἡδονῆς ἀπατώσης καὶ μονονουχὶ διεξιούσης, ὅτι εὐμορφία καὶ εὔχροια καὶ εὐεξία, καὶ τῶν μερῶν ἀναλογία περὶ ταύτας πάντα τὰ ἐναντία
E τούτοις ἐχούσας ἐστί. τὰς γοῦν πρὸς ἀλήθειαν ἀμέμπτῳ κεχρημένας κάλλει, παρορῶσι· ἐκείνων δὲ ὧν εἶπον, κατατήκονται. πάσῃ οὖν ἀπάτη οἰκειοτάτη ἡδονή. δόσις δὲ, αἰσθήσει. ἡ μὲν γὰρ σοφίζεται καὶ παράγει τὸν νοῦν, οὐχ ὁποῖα τὰ ὑποκείμενά ἐστι δηλοῦσα, ἀλλ' ὁποῖα οὐκ ἔστιν· ἡ δ' αἴσθησις ἀκραιφνῶς δίδωσι τὰ σώματα οὕτως, ὡς ἔχει φύσεως ἐκεῖνα, πλάσματος καὶ τέχνης ἐκτός. Καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς.

ἐπὶ τῷ

ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγεσαι πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς. αὐτός σου τηρήσει τὴν κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. Διὰ τίνα αἰτίαν χωρὶς ἀπολογίας καταρᾶται τὸν ὄφιν, κελεύων ἐν ἑτέροις, * ἀκουσθῆναι τοὺς δύο οἷς ἐστιν ἡ ἀντιλογία, καὶ μὴ τῷ ἑτέρῳ προπιστεύειν. καὶ μὴν ὁρᾷς ὅτι τῷ Ἀδὰμ οὐ προπεπίστευκε κατὰ τῆς γυναικός, ἀλλὰ δίδωσιν αὐτῇ ἀπολογίας ἀφορμήν, ὅταν πυνθάνηται, Τί τοῦτο ἐποίησας. ἡ δέ γε ὁμολογεῖ πλαγῆναι παρὰ τὴν τῆς ὀφιώδους καὶ ποικίλης ἡδονῆς ἀπάτην. τί οὖν ἐκώλυε καὶ τῆς γυναικὸς εἰπούσης, ὅτι ὁ ὄφις ἠπάτησέ με, πυθέσθαι τοῦ ὄφεως εἰ τοῦτ' ἠπάτησεν, ἀλλὰ μὴ ἀκρίτως χωρὶς ἀπολογίας καταρᾶσθαι; λεκτέον οὖν, ὅτι ἡ αἴσθησις οὔτε τῶν φαύλων, οὔτε τῶν σπουδαίων ἐστίν, ἀλλὰ μέσον τι αὕτη καὶ κοινὸν σοφοῦ τε καὶ ἄφρονος· καὶ γινομένη μὲν ἐν ἄφρονι, γίνεται φαύλη· ἐν ἀστείῳ δέ, σπουδαία. εἰκότως οὖν, ἐπεὶ φύσιν ἐξ ἑαυτῆς μοχθηρὰν οὐκ ἔχει, ἀλλ' ἐπαμφοτερίζουσα νεύει πρὸς ἑκάτερα, τό, τε εὖ καὶ χεῖρον, οὐ καταδικάζεται πρὶν ὁμολογῆσαι ὅτι ἠκολούθησε τῷ χείρονι· ὁ δὲ ὄφις ἡ ἡδονή, ἐξ ἑαυτῆς ἐστι μοχθηρά. διὰ τοῦτο ἐν μὲν σπουδαίῳ οὐχ εὑρίσκεται τὸ παράπαν· μόνος δὲ αὐτῆς ὁ φαῦλος ἀπολαύει. κατὰ τὸ οἰκεῖον οὖν μὴ διδοὺς ἀπολογίας αὐτῇ καταρᾶται ὁ θεός, σπέρμα ἀρετῆς οὐκ ἐχούσῃ, ἀλλ' ἀεὶ καὶ πανταχοῦ ἐπιλήπτῳ καὶ μιαρᾷ καθεστώσῃ. διὰ τοῦτο καὶ τὸν Εἰρ χωρὶς αἰτίας ἐμφανοῦς, πονηρὸν οἶδεν ὁ θεὸς καὶ ἀποκτείνει. τὸν γὰρ δερμάτινον ὄγκον ἡμῶν, τὸ σῶμα· Εἰρ γὰρ δερμάτινος ἑρμηνεύεται· πονηρόν τε καὶ ἐπίβουλον τῆς ψυχῆς οὐκ ἀγνοεῖ, καὶ νεκρὸν καὶ τεθνηκὸς ἀεί. μὴ γὰρ ἄλλο τι νομίσῃς ἕκαστον ἡμῶν ποιεῖν, ἢ νεκροφορεῖν, τὸ νεκρὸν ἐξ ἑαυτοῦ σῶμα, ἐγειρούσης καὶ ἀμοχθὶ φερούσης τῆς ψυχῆς. καὶ τὴν εὐτονίαν αὐτῆς εἰ βούλει, κατανόησον. ὁ μὲν ἐρρωμενέστατος ἀθλητὴς οὐκ ἂν ἰσχύσαι τὸν ἑαυτοῦ πρὸς βραχὺν χρόνον ἀνδριάντα κομίσαι· ἡ δὲ ψυχὴ μέχρις ἑκατονταετίας ἐστὶν ὅτε τὸν τοῦ ἀνθρώπου φέρει κούφως ἀνδριάντα μὴ κάμνουσα. οὐ γὰρ νῦν αὐτὸν ἀποκτείνει, ἀλλ' ἐξ ἀρχῆς νεκρὸν τὸ σῶμα ἀπειργάσατο. πονηρὸν δὲ φύσει μέν, εἶπον, ἐστὶ καὶ ψυχῆς ἐπίβουλον, ἀλλὰ μόνῳ θεῷ, καὶ εἴ τις θεῷ φίλος· Ἐναντίον γάρ, φησί, κυρίου πονηρὸς Εἰρ.

γρ. εἰκὸς στῆ- ται τοὺς

A citias ponam inter te & mulierem, & inter semen tuum & semen illius. Ipse seruabit caput tuum, tu eius calcaneum.] Quam ob causam non expectata defensione execratur serpentem, cum iubeat alibi, audiri ambos inter quos res controuertitur, non præmature alteri credere? atqui vides quòd Adamo non credidit prius quàm mulieri, sed inuitat eam ad defensionem percontando, quare hoc fecisti? at illa errasse se fatetur, deceptam à voluptate serpentina & varia.

B Quid igitur vetabat etiam muliere dicente, serpens me decepit, percontari ipsum deceperitne, potius quàm indicta inauditáque causa execrari? Dicendum igitur quòd sensus nec inter bona nec inter mala censetur: cum sit medium quiddam sapienti stultóque commune, & in stulto fiat malus, sicut contrà in sapiente bonus. Merito igitur quandoquidem naturam per se malam non habet, sed vtrique parti fauens & ad bonum & ad deterius propendet, non prius

C damnatur quàm confessus secutum se deteriora. at serpens voluptas suopte ingenio mala est. eam ob rem in bono ne inuenitur quidem omnino, sed solus malus est eius particeps. itaque iure optimo non permissam respondere execratur Deus, vtpote nullum semen virtutis in se habentem, sed semper & vbique scelestam atque reprehensibilem. Quapropter etiam illum Ir absque

D causa manifesta malum nouit Deus & interficit, videlicet corpus molem nostram coriaceam. Ir enim coriaceus interpretatur. quem malum esse & insidiatorem animæ non ignorat, & insuper cadauer semper mortuum. Quid enim aliud vnusquisque nostrum facit, quam quòd corpus suapte natura cadauerosum circumfert, excitante id & sine labore gestante anima: cuius robur si libet considera. vel robustissimus athleta non valet breui tempore suam baiulare sta-

E tuam: anima vero interdum vsque centesimum annum indefessa fert statuam hominis leuiter. non enim nunc eum interemit, sed iam inde à principio mortuum corpus factum est. Est autem suapte natura malum, vt dixi, & insidians animæ, sed coram solo Deo, & si quis amicus Deo. ait enim: coram Domino malus Ir.] nam mens quando in sublimibus versando initiatur Domini mysterijs, malum & inimicum corpus iudicat. Quando autem ab-

sistit à scrutandis rebus diuinis, amicum sibi cognatum germanúmque existimat. confugit igitur ad ea quæ huic cara sunt. Quapropter athletæ anima differt ab anima philosophi. nam athleta omnia refert ad bonam corporis habitudinem, cui vel animam ipsam impenderet, vtpote amator corporis. at philosophus cum sit honestatis amator, curam gerit eius quæ in se viuit animæ, neglecto mortuo corpore, non aliud spectans quam nequid optima anima patiatur à colligato sibi malo cadauere. Vides quòd hunc Ir interficit non Dominus, sed Deus? non enim quatenus imperat & regnat liberam exercens potentiam, interficit corpus: sed quatenus bonitate humanitatéque vtitur. Nam Deus bonitatis nomen est, vt scias quod etiam res inanimas non potentia, sed bonitate condidit, eadem qua animatas. oportebat enim quo magis elucerent meliora, etiam deteriora produci à potentia huius ipsius bonitatis summæ causæ, quæ Deus est. Et quando ô anima videberis tibi maxime cadauer baiulare? num quando initiaberis & præmijs coronísque dignaberis? tum certe amatrix eris Dei non corporis. consequeris autem præmia, quando vxor tibi contigerit illa Iudæ sponsa Thamar, quæ interpretatur palma victoriæ symbolum. argumento est, quòd quando eam ducit Ir, mox & malus inuenitur & interficitur. ait enim, Dedit Iudas vxorem primogenito suo Ir, nomine Thamar. & subdit: fuitque Ir malus coram Domino, & interfecit eum Deus.] Mens enim quando præmia virtutis accipit, mulctatur morte istius cadauerosi corporis. Viden vt & serpentem inauditum execratur? voluptas enim est. & Ir absque causa manifesta interficit? est enim corpus. quod si consideres ô bone, inuenies Deum fecisse in anima quasdam naturas reprehensibiles ex se obnoxiásque, quasdam vsquequaque bonas & laudabiles, itidem sicut in stirpibus animalibúsque. an non vides quòd stirpium alias mites, vtiles, salutiferas, creauit opifex? alias siluestres, noxias, morbiferas simul & mortiferas? & animalia similiter? vt hunc ipsum serpentem de quo nunc loquimur, animal suapte natura letiferum & factum ad perniciem. hoc sic afficit hominem, vt voluptas animam. ideóque serpenti voluptas assimi-

Paralip. 1. 2.

A ὅταν γὰρ ὁ νοῦς μετεωροπολῇ καὶ τὰ τοῦ κυρίου μυστήρια μυῆται, πονηρὸν καὶ δυσμενὲς κρίνει τὸ σῶμα· ὅταν δὲ ἀποστῇ τῆς τῶν θείων ἐρεύνης, φίλον αὐτῷ καὶ συγγενὲς καὶ ἀδελφὸν ἡγεῖται. καταφεύγει γοῦν ἐπὶ τὰ φίλα τούτῳ. διὰ τοῦτο ἀθλητοῦ ψυχὴ καὶ φιλοσόφου διαφέρει. ὁ μὲν γὰρ ἀθλητὴς πάντα ἐπὶ τὴν τοῦ σώματος εὐεξίαν ἀναφέρει, καὶ τὴν ψυχὴν αὐτὴν προοῖτ' ἂν ὑπὲρ αὐτοῦ, ἅτε φιλοσώματος ὑπάρχων· ὁ δὲ B φιλόσοφος ἐραστὴς ὢν τοῦ καλοῦ, τοῦ ζῶντος ἐν ἑαυτῷ κήδεται ψυχῆς, τοῦ δὲ νεκροῦ ὄντος σώματος ὀλιγωρεῖ, μόνον στοχαζόμενος ἵνα μὴ ὑπὸ κακοῦ καὶ νεκροῦ συνδέτου * πλημμεληθήσηται τὸ ἄριστον ἡ ψυχή. ὁρᾷς ὅτι τὸν Εἰρ ἀποκτείνει οὐχ ὁ κύριος ἀλλ' ὁ θεός; οὐ γὰρ καθ' ὃ ἄρχει καὶ ἡγεμονεύει δυναστείᾳ κράτους αὐτεξουσίῳ χρώμενος, ἀναιρεῖ τὸ σῶμα, ἀλλὰ καθ' ὃ ἀγαθότητι καὶ χρηστότητι χρῆται. ὁ θεὸς γὰρ ἀγαθότητός ἐστι τοῦ αἰτίου ὄνομα, ἵνα εἰδῇς ὅτι καὶ τὰ ἄψυχα οὐκ ἐξουσίᾳ C πεποίηκεν, ἀλλ' ἀγαθότητι, ᾗ καὶ τὰ ἔμψυχα. ἔδει γὰρ εἰς τὴν τῶν βελτιόνων δήλωσιν, γένεσιν ὑποστῆναι καὶ τῶν χειρόνων, ὑπὸ δυνάμεως τῆς αὐτῆς ἀγαθότητος τοῦ αἰτίου, ἥτις ἐστὶν ὁ θεός. πότε οὖν ὦ ψυχὴ μάλιστα νεκροφορεῖν σαυτὴν ὑπολήψῃ; ἆρά γε οὐχ ὅταν τελειωθῇς καὶ βραβείων καὶ στεφάνων ἀξιωθῇς; ἔσῃ γὰρ τότε φιλόθεος, οὐ φιλοσώματος. τεύξῃ δὲ τῶν ἄθλων, ἐὰν γυνή σοι γένηται ἡ τοῦ Ἰούδα νύμφη Θάμαρ, ἥτις ἑρμηνεύεται φοῖνιξ, σύμβολον νίκης. τεκμήριον δέ, ὅταν αὐτὴν D ἀγάγηται ὁ Εἰρ, εὐθὺς πονηρός τε εὑρίσκεται, καὶ κτείνεται. λέγει γάρ, Καὶ ἔλαβεν Ἰούδας γυναῖκα Εἰρ, τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ. καὶ εὐθὺς λέγει, Καὶ ἐγένετο Εἰρ πονηρὸς ἐναντίον κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός. ὅταν γὰρ ὁ νοῦς τὰ ἀρετῆς ἀπενέγκηται νικητήρια, θάνατον καταψηφίζεται τοῦ νεκροῦ σώματος. ὁρᾷς ὅτι καὶ τὸν ὄφιν ἄνευ ἀπολογίας καταρᾶται, ἡδονὴ γάρ ἐστι. καὶ τὸν Εἰρ χωρὶς αἰτίας περιφανοῦς ἀποκτείνει; ἔστι γὰρ σῶμα. καὶ σκοπῶν ὦ E γενναῖε, εὑρήσεις τὸν θεὸν πεποιηκότα φύσεις ἐξ ἑαυτῶν ἐπιλήπτους τε καὶ ὑπαιτίους ἐν ψυχῇ, καὶ ἐν πᾶσι σπουδαίας καὶ ἐπαινετάς· ὥσπερ ἔχει καὶ ἐπὶ φυτῶν καὶ ζώων. οὐχ ὁρᾷς ὅτι καὶ τῶν φυτῶν τὰ μὲν ἥμερα καὶ ὠφέλιμα καὶ σωτήρια κατεσκεύασεν ὁ δημιουργός, τὰ δὲ ἄγρια καὶ βλαβερὰ καὶ νόσου καὶ φθορᾶς αἴτια, καὶ ζῷα ὁμοίως· καθάπερ ἀμέλει καὶ τὸν ὄφιν περὶ οὗ νῦν ἐστιν ὁ λόγος; φθοροποιὸν γὰρ τὸ ζῷον καὶ ἀναιρετικὸν ἐξ αὑτοῦ. ὃ δὴ διατίθησιν ἄνθρωπον ὄφις, τοῦτο καὶ ψυχὴν ἡδονή· παρ' ὃ καὶ ἀπεικάσθη ὄφις ἡδονῇ.

* πλημμελῶς λύηται τὸ ἄριστον

ὥσπερ οὖν ἡδονὴν καὶ σῶμα ἄνευ μεμίσηκεν αἰτιῶν ὁ θεός, οὕτω καὶ φύσεις ἀστείας χωρὶς προφανοῦς αἰτίας προαγήοχεν, ἔργον οὐδὲν πρὸ τῶν ἐπαίνων αὐτῶν ὁμολογήσας. εἰ γάρ τις ἔροιτο, διὰ τί φησι τὸν Νῶε χάριν εὑρεῖν ἐναντίον κυρίου τοῦ θεοῦ μηδὲν πρότερον ἐργασάμενον, ὅσα γε εἰς τὴν ἡμετέραν ἐπίγνωσιν, ἀστεῖον, ἀποκρινόμεθα δεόντως, ὅτι ἐπαινετῆς ἐλέγχεται συστάσεως καὶ γενέσεως· ἑρμηνεύεται γὰρ Νῶε ἀνάπαυσις ἢ δίκαιος. ἀνάγκη δὲ τὸν παυόμενον ἀδικημάτων καὶ ἁμαρτημάτων, ἀναπαυόμενον ἐπὶ τῷ καλῷ καὶ δικαιοσύνῃ συζῶντα, χάριν εὑρεῖν παρὰ θεῷ. τὸ δὲ χάριν εὑρεῖν οὐκ ἔστι μόνον ὡς ὀνομάζουσί τινες, ἴσον τῷ εὐαρεστῆσαι, ἀλλὰ καὶ τοιοῦτον, ζητῶν* ὁ κύριος ὁ δίκαιος τὴν τῶν ὄντων φύσιν ἐν τούτῳ εὑρίσκει ἄριστον εὕρεμα, χάριν ὄντα τὰ τοῦ θεοῦ τὰ σύμπαντα. γενέσεως δὲ οὐδὲν χάρισμα, ἐπεί γε οὐδὲ κτῆμα· διὸ καὶ μόνον τὴν χάριν οἰκεῖον. τοῖς γοῦν ζητοῦσι τίς ἀρχὴ γενέσεως, ὀρθότατα ἂν τις ἀποκρίναιτο, ὅτι ἀγαθότης καὶ χάρις τοῦ θεοῦ, ἣν ἐχαρίσατο τῷ μετ᾽ αὐτὸν γένει. δωρεὰ γὰρ καὶ εὐεργεσία, χάρις θεοῦ, τὰ πάντα ὅσα ἐν κόσμῳ καὶ αὐτὸς ὁ κόσμος ἐστί. καὶ Μελχισεδὲκ βασιλέα τε τῆς εἰρήνης, Σαλήμ. τοῦτο γὰρ ἑρμηνεύεται· ἱερέα ἑαυτοῦ πεποίηκεν ὁ θεός, οὐδὲν ἔργον αὐτοῦ προδιατυπώσας, ἀλλὰ τοιοῦτον ἐργασάμενος βασιλέα καὶ εἰρηναῖον, καὶ ἱερωσύνης ἄξιον τῆς ἑαυτοῦ πρῶτον. καλεῖται γὰρ βασιλεύς· βασιλεὺς δὲ ἐχθρὸν τυράννῳ, ὅτι ὁ μὲν νόμων, ὁ δὲ ἀνομίας ἐστὶν εἰσηγητής. ὁ μὲν οὖν τύραννος νοῦς ἐπιτάγματα ἐπιτάττει τῇ τε ψυχῇ καὶ τῷ σώματι βίαια καὶ βλαβερά, καὶ σφοδρὰς λύπας ἐργαζόμενα, τὰς κατὰ κακίαν πράξεις, καὶ τὰς τῶν παθῶν ἀπολαύσεις. ὁ δὲ δεύτερος, βασιλεύς· πρῶτον μὲν οὖν οὐκ ἐπιτάττει μόνον, ἀλλὰ πείθει· ἔπειτα τοιαῦτα παραγγέλλει, δι᾽ ὧν ὥσπερ σκάφος τὸ ζῷον εὐπλοίᾳ τῇ τοῦ βίου χρήσεται, κυβερνώμενον ὑπὸ τοῦ ἀγαθοῦ καὶ τεχνίτου κυβερνήτου. οὗτος δέ ἐστιν ὁ ἀληθὴς λόγος. καλείσθω οὖν ὁ μὲν τύραννος, ἄρχων πολέμου· ὁ δὲ βασιλεύς, ἡγεμὼν εἰρήνης Σαλήμ· καὶ προσφερέτω τῇ ψυχῇ τροφὰς εὐφροσύνης καὶ χαρᾶς πλήρεις. ἄρτους γὰρ καὶ οἶνον προσφέρει, ἅπερ Ἀμμανῖται καὶ Μωαβῖται τῷ βλέποντι παρασχεῖν οὐκ ἠθέλησαν· οὗ χάριν, ἐκκλησίας εἴργονται καὶ συλλόγου θείου· Ἀμμανῖται γὰρ οἱ ἐκ τῆς μητρὸς αἰσθήσεως, καὶ Μωαβῖται οἱ ἐκ τοῦ πατρὸς νοῦ φύντες,

γρ. ὁ δίκαιος

A latur. ergo ſicut voluptatem & corpus Deus nulla certa de cauſa odit: ita etiam naturas bonas abſque manifeſta cauſa extulit, nihil potius aut prius habens quam vt eas laudaret. Nam ſi quis roget, cur Noe dicatur inueniſſe gratiam coram Domino Deo, priuſquam aliquid boni feciſſet, quantum quidem nos ſcire poſſumus, recte reſpondebimus, liquere quòd laudator ſit creationis & generationis. Nam Noe interpretatur requies aut iuſtus. neceſſe eſt
B autem eum qui ceſſans à peccatis & iniquitatibus, requieſcit in honeſtate & viuit cum iuſtitia, gratiam inuenire apud Deum. porrò inuenire gratiam, non id tantum ſignificatum habet quod quidam vſurpant, pro placere: ſed & tale quid: Iuſtus quærens rerum naturam in hoc inuenit inuentum optimum, quòd gratia Dei ſint quæ ſunt omnia. ſibi enim creando gratificatus eſt nihil, quando illi nihil inde acceſſit. ideóque tantum gratiam profundere pro-
C prium eſt ei. Quærentibus igitur principium creaturæ recte reſpondebitur. bonitas & gratia Dei, quam largitus eſt humano generi. nam munus, beneficium, gratia Dei ſunt omnia quæ mundo continentur, & mundus ipſe inſuper. Melchiſedec quoque regem pacis, hoc eſt Salem (ſic enim interpretatur) ſacerdotem ſibi conſtituit Deus, non expreſſo eius aliquo merito, ſed quia talem ipſe fecerat, regem, pacatum, primum dignum ſuo ſacerdotio. nominatur enim
D rex. rex autē aduerſatur tyranno, quòd ille ius & æquum, hic iniquitatem introducat in rempublicam. ergo tyrannica mens mandat mandata infeſta tum animæ tum corpori ac noxia, magnáſque moleſtias inferentia, vitioſas actiones, & voluptates quæ naſcuntur ex affectibus. altera vero mens eſt rex: quæ non imperat tantum, ſed paret etiam: quando præcepta eius talia ſunt, vt anima his adiuta ceu nauis per totam vitam proſpere nauiget, gubernante illo
E bono peritóque gubernatore: qui non alius eſt quam vera ratio. vocetur igitur tyrannus quidem, princeps belli: rex vero, dux pacis Salem: offerátque animæ alimenta plena lętitiæ gaudiique. panes enim & vinum offert, quæ Ammanitæ Moabitæque illi videnti præbere noluerant. quam ob cauſam arcentur à contione cœtúque diuino. Ammanitæ enim è genitrice ſenſualitate nati, & Moabitæ ex intellectu genitore,

figuræ duæ sunt: per quas significantur qui res istas ab vniuersitate contentas pensitant, scilicet intellectum sensumque, Deum autem non cogitant. Non ingredientur, inquit Moses, concionem Domini, quia non occurrerunt nobis cum panibus & aqua, exeuntibus ex afflictionibus Ægypti.] cæterum Melchisedec pro aqua vinum offerat, potétque ac confirmet animas, vt occupentur diuina ebrietate, quæ est omni sobrietate magis sobria. sacerdos enim est ratio, sortem habens Entem ipsum, de quo sublimiter sentit & admodum magnifice: est enim sacerdos altissimi. non quod alius sit non altissimus. nam Deus cum sit vnus, tum in cælo est supra, tum in terra infra, nec est vllus præter ipsum. sed vt non submisse humiliterque, verùm celsius sublimiusque quam de quauis materia sentiamus de Deo, adhibet appellationem altissimi. Quid porrò boni fecerat Abraham, quando iussus est migrare procul patria cognationéque & habitare terram quam Deus ipse dederit? ea vero est ciuitas bona, ampla, felicissima. nam dona Dei magna pretiosáque sunt. verumtamen hæc quoque figura fuit non contemnenda. interpretatur enim Abraham, pater sublimis, laudandus vtroque nomine. Mens enim quando non herili more animam territat, sed paterno imperat, non indulgens ei suauia, sed vel inuitæ obtrudens vtilia: omissisque omnibus rebus humilibus & ad mortalia ducentibus sublimis immoratur contemplationi mundi eiusque partium: atque etiam altius ascendens numen ipsum scrutatur eiusque naturam propter immensum amorem sciētiæ: non potest manere in decretis pristinis, sed cupit migrare ad meliora. nonnullos autem Deus vel ante natiuitatem pulchre fingit disponitque, destinans ad sortem optimam. an non vides quid de Isaac loquatur Abrahamo, ne speranti quidem ex se patre talem progeniem, atque adeo ridenti promissionem dicentique: Itáne gignet homo centum annos natus, & Sarra nonagenaria pariet? sed annuit asseuerátque qui dicit: profectò Sarra vxor pariet tibi filium, & vocabis nomen eius Isaac: & statuam testamentum meum cum eo testamentum sempiternum.] Quid igitur est cur hic antequā nasceretur laudatus sit? Quædam bona repræsentata iuuant, vt sanitas sensuum integritas, opes si contingant, gloria.

Gen. 12.

Gen. 18. 11.

A τύποι δύο, ταῦτα τῶν ὄντων συνεκτικὰ νομίζοντες, νοῦν καὶ αἴσθησιν, θεοῦ δὲ μὴ λαμβάνοντες ἔννοιαν, Οὐκ εἰσελεύσονται, φησὶ Μωσῆς, εἰς ἐκκλησίαν κυρίου· παρὰ τὸ μὴ συναντῆσαι αὐτοὺς ἡμῖν μετ᾽ ἄρτων καὶ ὕδατος, ἐξιοῦσιν ἐκ τῶν παθῶν Αἰγύπτου. ἀλλ᾽ ὁ μὲν Μελχισεδὲκ ἀντὶ ὕδατος οἶνον προσφερέτω, καὶ ποτιζέτω καὶ ἀκρατιζέτω ψυχάς, ἵνα κατάσχετοι γένωνται θείᾳ μέθῃ νηφαλεωτέρᾳ νήψεως αὐτῆς. ἱερεὺς γάρ ἐστι λόγος, κλῆρον ἔχων τὸν ὄντα, καὶ ὑψηλῶς περὶ αὐτοῦ καὶ ὑπερόγκως καὶ
B μεγαλοπρεπῶς λογιζόμενος. τοῦ γὰρ ὑψίστου ἐστὶν ἱερεύς. οὐχ ὅτι ἐστί τις ἄλλος οὐχ ὕψιστος. ὁ γὰρ θεὸς εἷς ὤν, ἐν οὐρανῷ ἄνω ἐστὶ καὶ ἐπὶ γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ· ἀλλὰ τὸ μὴ ταπεινῶς καὶ χαμαιζήλως, ὑπερμεγέθως δὲ καὶ ὑπεραύλως καὶ ὑψηλῶς νοεῖν περὶ θεοῦ, ἔμφασιν τοῦ ὑψίστου κινεῖ. τί δὲ εἰργάσατο ἤδη καλὸν ὁ Ἀβραάμ, ὅτι κελεύει αὐτῷ πατρίδος καὶ τῆς συγγενείας ταύτης ξενοῦσθαι, καὶ γῆν οἰκεῖν, ἣν αὐτὸς * δῷ ὁ θεός· πόλις δὲ
C ἐστιν ἀγαθὴ καὶ πολλὴ καὶ σφόδρα εὐδαίμων. τὰ γὰρ δῶρα τοῦ θεοῦ, μεγάλα καὶ τίμια. ἀλλὰ καὶ τοῦτον τὸν τρόπον ἐγέννησε τύπον ἔχοντα σπουδῆς ἄξιον. ἑρμηνεύεται γὰρ Ἀβραάμ, πατὴρ μετέωρος, δι᾽ ἀμφοτέρων τῶν ὀνομάτων ἐπαινετός. ὁ γὰρ νοῦς ὅταν μὴ δεσπότου τρόπον ἀπειλῇ τῇ ψυχῇ, ἀλλ᾽ ὡς πατὴρ ἄρχῃ, μὴ τὰ ἡδέα χαριζόμενος αὐτῇ, τὰ δὲ συμφέροντα καὶ ἀκούσῃ διδούς, καὶ ἔτι πάντων τῶν ταπεινῶν καὶ ἀγόντων ἐπὶ τὰ θνητὰ ἀποστάς, μετεωροπολῇ καὶ συνδιατρίβῃ θεωρήμασι τοῖς περὶ κό-
D σμου καὶ τῶν μερῶν αὐτοῦ, καὶ ἔτι μᾶλλον ἐπαναβαίνων ἐρευνᾷ τὸ θεῖον καὶ τὴν τούτου φύσιν, δι᾽ ἔρωτα ἐπιστήμης ἄσχετον, μένειν ἐπὶ τῶν ἐξ ἀρχῆς δογμάτων οὐ δύναται, ἀλλὰ μετοικίαν ζητεῖ βελτιούμενος ἀμείνω. ἐνίους δὲ ὁ θεὸς καὶ πρὸ τῆς γενέσεως καλῶς διαπλάττει καὶ διατίθεται, καὶ κλῆρον ἔχειν ἄριστον προῄρηται. οὐχ ὁρᾷς τί περὶ τοῦ Ἰσαάκ φησι τῷ Ἀβραὰμ οὐκ ἐλπίσαντι ὅτι γενήσεται τοιούτου γεννήματος πατήρ, ἀλλὰ καὶ γελάσαντι ἐπὶ τῇ
E ὑποσχέσει, καὶ εἰπόντι, Εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ Σάρρα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται; καταφάσκει καὶ ἐπινεύει λέγων, Ναί, ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ· καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον. τί οὖν ἐστι τὸ καὶ τοῦτον πρὸ τῆς γενέσεως ἐπαινεῖσθαι πεποιηκός; ἔνια τῶν ἀγαθῶν γενόμενα καὶ παρόντα ὠφελεῖ, οἷον, ὑγεία, εὐαισθησία, πλοῦτος εἰ τύχοι, δόξα·

* χ. δώσει ὁ· ἢ, ἣν αὐτὸς δῷ

λεγέσθω γὰρ καὶ ταῦτα καταχρηστικώτερον ἀ-
γαθά· ἔνια δὲ οὐ γινόμενα μόνον, ἀλλὰ καὶ προσ-
δοκηθέντα ὅτι γενήσεται, ὥσπερ ἡ χαρὰ εὐπάθεια
ψυχῆς ἐστιν. ἤδη γὰρ οὐχ ὅταν παροῦσα δραστηρίως
ἐνεργῇ, μόνον εὐφραίνει, ἀλλὰ καὶ ὅταν ἐλπίζηται,
προγανοῖ. ἐξαίρετον γὰρ καὶ τοῦτ' ἔχει· τὰ μὲν ἄλλα
ἀγαθὰ ἴδια ἐνεργεῖ. ἡ δὲ χαρὰ καὶ ἴδιον καὶ κοινὸν
γαυρόν ἐστιν. ἐπιγίνεται γοῦν ἅπασι. χαίρομεν γὰρ
καὶ ἐπὶ ὑγείᾳ, καὶ ἐπ' ἐλευθερίᾳ, καὶ ἐπὶ τιμῇ, καὶ
ἐπὶ τοῖς ἄλλοις, ὥστε κυρίως εἰπεῖν μηδὲν εἶναι ἀ-
γαθὸν, ᾧ μὴ πρόσεστι χαρά. ἀλλ' οὐ μόνον ἐπὶ
προγεγενημένοις ἤδη τοῖς ἄλλοις ἀγαθοῖς καὶ παροῦσι
χαίρομεν, ἀλλὰ καὶ ἐπὶ μέλλουσι καὶ προσδοκω-
μένοις· οἷον ὅτε ἐλπίζομεν πλουτήσειν, ἢ ἄρξειν,
ἢ ἐπαινεθήσεσθαι, ἢ νόσων ἀπαλλαγὴν εὑρήσεσθαι,
ἢ εὐτονίας καὶ ῥώμης κοινωνήσειν, ἢ ἐπιστήμονες
ἀντ' ἀνεπιστημόνων ἔσεσθαι, γεγήθαμεν οὐ με-
τρίως. ἐπεὶ τοίνυν ἡ χαρὰ οὐ παροῦσα μόνον,
ἀλλὰ καὶ ἐλπιζομένη ἀναχεῖ τε καὶ εὐφραίνει
τὴν ψυχὴν, εἰκότως τὸν Ἰσαὰκ, πρὶν γεννηθῆναι,
ὀνόματός τε καὶ δωρεᾶς μεγάλης ἠξίωσε· γέλως γὰρ
ψυχῆς καὶ χαρὰ καὶ εὐφροσύνη διερμηνευόμενος
ἐστί. πάλιν τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ, τὸν μὲν ἄρ-
χοντα καὶ ἡγεμόνα καὶ δεσπότην, τὸν δὲ Ἡσαῦ
ὑπήκοον καὶ δοῦλον, ἔτι κατὰ γαστρὸς ὄντας, φησὶν
εἶναι. ὁ γὰρ ζωοπλάστης θεὸς ἐπίσταται τὰ ἑαυτοῦ κα-
λῶς δημιουργήματα, καὶ πρὶν αὐτὰ εἰς ἄκρον διατο-
ρευθῆναι, τάς τε δυνάμεις, αἷς αὖθις χρήσονται,
καὶ συνόλως τὰ ἔργα τούτων καὶ πάθη. ἐπειδὰν γὰρ
πορεύεται ἡ ὑπομονητικὴ ψυχὴ Ῥεβέκκα πυθέσθαι
παρὰ θεῷ, ἀποκρίνεται αὐτῇ, ὅτι δύο ἔθνη ἐν τῇ
γαστρί σου ἐστὶ, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου
διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ
μείζων δουλεύσει τῷ ἐλάσσονι. φύσει γὰρ δοῦλον
παρὰ θεῷ, τὸ φαῦλον καὶ ἄλογον. ἡγεμονικὸν δὲ καὶ
ἐλεύθερον, τὸ ἀστεῖον καὶ λογικὸν καὶ ἄμεινον· καὶ οὐχ
ὅταν ἤδη γένηται ἐν τῇ ψυχῇ τέλειον ἑκάτερον,
ἀλλὰ κἂν ἐνδοιάζηται. ὅλως γὰρ καὶ μικρά τις
αὔρα τῆς ἀρετῆς, ἀρχὴν καὶ ἡγεμονίαν, οὐκ ἐ-
λευθερίαν μόνον ἐμφαίνει· καὶ ἔμπαλιν ἡ τυχοῦ-
σα κακίας γένεσις, δουλοῖ τὸν λογισμὸν, κἂν μή-
πω τέλειον αὐτῆς ἐμφοιτήσῃ τὸ γέννημα. τί δὲ
παθὼν ὁ αὐτὸς ἐστὶ Ἰακὼβ, τοῦ Ἰωσὴφ τοὺς δύο υἱοὺς
προσαγαγόντος τὸν πρεσβύτερον Μανασσῆν, καὶ τὸν
νεώτερον Ἐφραῒμ, ἐνδιαλλάττει τὰς χεῖρας, καὶ τὴν μὲν
δεξιὰν ἐπιτίθησι τῷ νεωτέρῳ Ἐφραῒμ, τὴν δ' εὐώ-
νυμον τῷ πρεσβυτέρῳ Μανασσῇ· καὶ βαρὺ τὸ πρᾶγ-
μα ἡγησαμένου τοῦ Ἰωσὴφ καὶ οἰηθέντος τὸν πατέρα

A liceat enim hæc quoque abusiue bona
dicere. quædam non solum cum adsunt,
sed etiam promissa oraculo, qualis est
lætitia, bonus affectus animæ. hæc enim
non præsens tantum lætificando vim
suam exerit, sed etiam sperata homi-
nem præoccupat. habet enim hanc præ-
rogatiuam. alia bona priuatam vim ha-
bent. lætitia tum priuatim exultat, tum
publice. lætamur sanitate, libertate, ho-
nore, cæterísque bonis: vt proprie di-
catur, nullum esse bonum non coniun-
ctum cum lætitia. lætamur autem non
præteritis solum bonis & præsentibus,
sed & futuris quæ expectamus. vt quan-
do speramus diuitias, imperium, lau-
dem, morborum finem, virium robo-
rísque accessionem, scientiam succes-
suram in locum ignorantiæ, gaudemus
non mediocriter. ergo quoniam læti-
tia non præsens solum, sed & sperata
laxat exhilarátque animam, merito Gen. 18.
Isaac prius quam nasceretur, nomine
C donóque magno donatus est. per hunc
enim significatur animæ risus & gau-
dium atque lætitia. Rursum Iacob &
Esau, illum principem, ducem & do-
minum, hunc obsequentem & seruum,
priusquam vterum exirent pronuncia-
uit. Deus enim animatorum operum
figulus egregie nouit quæ ipse facit,
etiam antequam perficiat, vires quo-
que quibus vtentur in posterum, & in
vniuersum quicquid actura passuráve
sunt. Cum enim anima de futuro sol-
licita Rebecca petit oraculum, respon-
D det Deus: Duæ gentes sunt in vtero
tuo, & duo populi ex eo discedent:
superabítque alter alterum, & maior
minori seruiet.] sic enim Deus com-
parauit, vt id quod brutum est dete-
riúsque potiori seruiat: quod vero ci-
uilitate ratione que præstat, libertate
fruatur atque principatu. nec solum
cum vtrunque absolutum est in anima,
verumetiam cum res adhuc est ambi-
gua. prorsus enim vel leuis quæpiam
E aura virtutis principatum & impe-
rium, ne dum libertatem præ se fert.
econtra qualiscunque indoles mali-
tiæ, rationem vel nondum adulta in
seruitutem redigit. Præterea quid sibi Gen. 48.
voluit Iacob, cum Iosepho admouen-
te duos filios suos, natu grandiorem
Manassem, minorem Ephraim: de-
cussatis brachijs iuniori dextram im-
posuit, sinistram vero grandiori. móx-
que Iosepho grauiter id factum feren-
te, & putante patrem errasse impo-

nendis manibus, dicit: Non erraui fili, sed sciens prudénsque facio quod facio. fiet hic quoque in populum, extollendus est hic quoq; sed frater eius iunior, maior futurus est.] Quid igitur dicendũ? nisi quod duæ naturæ diuinitus in anima cõditæ sunt, valde necessariæ, memoria, reminiscentiáque. Quarum altera quicquid sensibus recens impressum est retinet, ne falli possit per ignorantiã. reminiscentiã vero vtique præcedit obliuio, res surda cæcáque. hic quod antiquius est apparet deterius, id est memoria quã reminiscentia: vtcunque cohærent nec separantur facile. nam qui primùm in artes introducimur, comprehendere speculationes earũ statim non possumus. itaque quicquid obliuiscimur initio, rursum reminiscimur: donec iterum atque iterum reminiscendo, atque obliuiscendo, denuo confirmetur memoria. atque ita iunior hæc, vtpote serius nata, conficitur ex reminiscentia. Figurate igitur Ephraim dicitur memoria. fertilitas enim interpretatur: quia tunc animæ discendi cupidæ contingit sua portio, quãdo in memoria confirmantur eius contẽplationes. at Manasses reminiscentia dicitur, quasi translatus ex obliuione. qui autẽ obliuionẽ effugit, certe reminiscitur. itaque rectissime ille supplãtator affectuũ & meditator virtutũ Iacob dextrã porrigit Ephraimo, id est fertili memoriæ. secundas vero partes reminiscẽtiæ tribuit, scilicet ipsi Manassæ. Sic & Moses ex his qui pascha sacrificant priores laudat maximè, quòd traiectis fluminibus Ægypti perrexerunt, nec amplius ad ea reuersi sunt: posteriores vero habet pro deterioribus. nam hi cursum suũ retrorsum flexerunt, & quasi obliti rerum agendarũ, rursum se accinxerunt, vt eas aggrederentur. at illi priores cursum tenuerunt perpetuum. itaque sacrificantibus pascha posterius assimilatur Manasses obliuionis filius: prioribus autem Ephraim fertilis. ideo & Beseleelem nominatim Deus euocat, promittitque daturum se illi sapientiam & scientiam, & cõstituturum se illum opificem architectúmque omnium quæ sunt in tabernaculo, hoc est animæ operum: quamuis nullum eius opus hactenus extaret laudabile. Dicendum igitur quod hanc quoque

Gen. 2. figuram Deus impressit animæ, ceu probato nomismati. eam figuram quænam sit cognoscemus, si nominis interpretationem diligenter excusserimus. Beselcel interpretatur, in vmbra Deus.

A ἄκοντα σφαλῆναι περὶ τὴν τῶν χειρῶν ἐπίθεσιν. φησίν, Οὐ διήμαρτον, ἀλλ' οἶδα τέκνον, οἶδα· καὶ οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος, μείζων αὐτοῦ ἔσται. τί οὖν χρὴ λέγειν, ἢ τοῦτο; ὅτι δύο φύσεις ἐδημιουργήθησαν ἐν ψυχῇ ὑπὸ θεοῦ, σφόδρα ἀναγκαῖα, μνήμη τε καὶ ἀνάμνησις· ἡ μὲν γὰρ ἀπολύτους ἔχει καὶ ἐναργεῖς τὰς καταλήψεις, ὡς μηδὲ ἀγνοίᾳ διαμαρτεῖν· ἀναμνήσεως δὲ λήθη πάντως προηγεῖται,

B πηρὸν καὶ τυφλὸν πρᾶγμα· πρεσβύτερον δὲ τὸ χεῖρον ἡ ἀνάμνησις εὑρίσκεται μνήμης τοῦ κρείττονος, συνεχὲς καὶ ἀδιάστατον. οἱ γὰρ πρῶτον εἰς τὰς τέχνας εἰσαγόμενοι, περικρατῆσαι τῶν εἰς αὐτὰς θεωρημάτων ἀδυνατοῦμεν εὐθύς. λήθῃ οὖν κατ' ἀρχὰς χρώμενοι, πάλιν ἀναμιμνησκόμεθα, ἕως ἐκ τοῦ πολλάκις μὲν ἐκλαθέσθαι, πολλάκις δὲ ἀναμνησθῆναι, βέβαιον αὖθις μνήμη * κρατήσει. πρὸ δὲ τῆς νεωτέρας· ὀψίγονος γὰρ ἐστί. (γρ. κρατύ-) συνίσταται τῆς ἀναμνήσεως. συμβολικῶς

C οὖν ὁ μὲν Ἐφραὶμ λέγεται μνήμη. καρποφορία γὰρ ἑρμηνεύεται τῆς τοῦ φιλομαθοῦς ψυχῆς * τὴν (γρ. τὸ) οἰκεῖον ἐντυχίας, ὁπότε διὰ μνήμης ἔχοι βεβαιοῦν τὰ θεωρήματα. ὁ δὲ Μανασσῆς, ἀνάμνησις. μεταληφθεὶς γὰρ ἐκ λήθης εἶναι λέγεται. ὁ δὲ λήθην ἐκφυγὼν ἀναμιμνήσκεται πάντως. ὀρθότατα οὖν ὁ πτερνιστὴς τῶν παθῶν καὶ ἀσκητὴς ἀρετῆς Ἰακώβ, δεξιοῦται τὴν καρποφόρον μνήμην Ἐφραίμ. δευτερείων δὲ ἀξιοῖ τὴν ἀνάμνησιν, Μανασσῆν. καὶ Μωυσῆς μὲν τῶν θυόντων * τὰ ὅσια, (τὸ φασὶ)

D Φασέκ, τοὺς μὲν προτέρους θύσαντας μάλιστα ἐπαινεῖ, ὅτι διαβάντες ἀπὸ τῶν ποταμῶν Αἰγύπτου, ἐπέμειναν τῇ διαβάσει, καὶ οὐχ ὥρμησαν ἔτ' ἐπ' αὐτά. τοὺς δὲ τὸ δεύτερον, δευτερείων ἀξιοῖ. τραπέντες γὰρ ἀνέδραμον τὴν ὀπίσω, καὶ ὡς ἂν ἐπιλαθόμενοι τῶν πρακτέων, πάλιν ἐπὶ τὸ πρότερον ὥρμησαν αὐτά. οἱ δὲ πρότεροι, ἄτρεπτοι διετέλεσαν. ἔοικεν οὖν τοῖς μὲν τὸ δεύτερον πάσχα θύουσι, ὁ ἐκ λήθης Μανασσῆς. τοῖς δὲ τὸ

E πρότερον, ὁ καρποφόρος Ἐφραίμ. ὅθεν καὶ Βεσελεὴλ ἀνακαλεῖ ὁ θεὸς ἐξ ὀνόματος, καί φησιν αὐτῷ δωρήσεσθαι σοφίαν καὶ ἐπιστήμην, καὶ δημιουργὸν αὐτὸν καὶ ἀρχιτέκτονα πάντων τῶν τῆς σκηνῆς, τουτέστι τῶν τῆς ψυχῆς ἔργων, ἀποδείξειν, μηδὲν ἔργον ὃ κἂν ἐπαινέσειέ τις, προϋποδείξαντος αὐτοῦ. λεκτέον οὖν ὅτι καὶ τοῦτο τὸ σχῆμα τῇ ψυχῇ ἐκτετύπωκεν ὁ θεός, νομίσματος δοκίμου τρόπον. τίς οὖν ὁ χαρακτήρ, εἰσόμεθα, ἐὰν τὴν ἑρμηνείαν περὶ τοῦ ὀνόματος ἀκριβώσωμεν. ἑρμηνεύεται

οὖν Βεσελεὴλ, ἐν σκιᾷ ὁ θεός. σκιὰ θεοῦ δὲ ὁ λόγος αὐτοῦ ἐστιν, ᾧ καθάπερ ὀργάνῳ προσχρησάμενος, ἐκοσμοποίει. αὕτη δὲ ἡ σκιὰ καὶ τὸ ὡσανεὶ ἀπεικόνισμα * ἑτέρων ἐστὶν ἀρχέτυπον. ὥσπερ γὰρ ὁ θεὸς παράδειγμα τῆς εἰκόνος, ἣν σκιὰν νυνὶ κέκληκεν, οὕτως ἡ εἰκὼν ἄλλων γίνεται παράδειγμα, ὡς καὶ ἐναρχόμενος τῆς νομοθεσίας ἐδήλωσεν εἰπών, Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ, ὡς τῆς μὲν εἰκόνος κατὰ τὸν θεὸν ἀπεικονισθείσης, τοῦ δὲ ἀνθρώπου κατὰ τὴν εἰκόνα λαβοῦσαν δύναμιν παραδείγματος. Τίς οὖν ὁ ἐπιγενόμενος χαρακτήρ, θεασώμεθα. ἐζήτησαν οἱ πρῶτοι, πῶς ἐνοήσαμεν τὸ θεῖον. εἶθ' οἱ δοκοῦντες ἄριστα φιλοσοφεῖν, ἔφασαν ὅτι ἀπὸ τοῦ κόσμου καὶ τῶν μερῶν αὐτοῦ καὶ τῶν ἐνυπαρχουσῶν τούτοις δυνάμεων, ἀντίληψιν ἐποιησάμεθα τοῦ αἰτίου. ὥσπερ γὰρ εἴ τις ἴδοι δεδημιουργημένην οἰκίαν ἐπιμελῶς, καὶ πυλαίοις, στοαῖς, ἀνδρῶσι, γυναικωνίτισι, τοῖς ἄλλοις οἰκοδομήμασιν ἔννοιαν ἀντιλήψεται τοῦ τεχνίτου· οὐ γὰρ ἄνευ τέχνης καὶ δημιουργοῦ νομιεῖ τὴν οἰκίαν ἀποτελεσθῆναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ πόλεως, καὶ νεώς, καὶ παντὸς ἐλάττονος ἢ μείζονος κατασκευάσματος· οὕτω δὴ καὶ εἰσελθών τις ὥσπερ εἰς μεγίστην οἰκίαν ἢ πόλιν τόνδε τὸν κόσμον, θεασάμενος οὐρανὸν ἐν κύκλῳ περιπολοῦντα, καὶ πάντα ἐντὸς συνειληφότα· πλανήτας δὲ καὶ ἀπλανεῖς ἀστέρας κατὰ ταὐτὰ καὶ ὡσαύτως κινουμένους, ἐμμελῶς τε καὶ ἐναρμονίως, καὶ τῷ παντὶ ὠφελίμως· γῆν δὲ τὸν μεσαίτατον χῶρον λαχοῦσαν, ὕδατός τε καὶ ἀέρος χύσεις ἐν μεθορίῳ τεταγμένας· ἔτι δὲ ζῷα θνητά τε αὖ καὶ ἀθάνατα, καὶ φυτῶν καὶ καρπῶν διαφοράς, λογιεῖται δήπου, ὅτι οὐκ ἄνευ τέχνης παντελοῦς δεδημιούργηται, ἀλλὰ καὶ ἦν καὶ ἔστιν ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς ὁ θεός. οἱ δὴ οὕτως ἐπιλογιζόμενοι, διὰ σκιᾶς τὸν θεὸν καταλαμβάνουσι, διὰ τῶν ἔργων τὸν τεχνίτην κατανοοῦντες. ἔστι δέ τις τελεώτερος καὶ μᾶλλον κεκαθαρμένος νοῦς, τὰ μεγάλα μυστήρια μυηθείς, ὅστις οὐκ ἀπὸ τῶν γεγονότων τὸ αἴτιον γνωρίζει, ὡς ἂν ἀπὸ σκιᾶς τὸ μένον, ἀλλ' ὑπερκύψας τὸ γενητόν, ἔμφασιν ἐναργῆ τοῦ ἀγενήτου λαμβάνει, ὡς ἀπ' αὐτοῦ αὐτὸν καταλαμβάνειν καὶ τὴν σκιὰν αὐτοῦ, ὅπερ ἦν, τόν τε λόγον, καὶ τόνδε τὸν κόσμον. οὗτός ἐστι Μωσῆς ὁ λέγων, Ἐμφάνισόν μοι σαυτόν· γνωστῶς ἴδω σε. μὴ γὰρ ἐμφανισθείης μοι δι' οὐρανοῦ ἢ γῆς, ἢ ὕδατος ἢ ἀέρος, ἢ τινος ἁπλῶς τῶν ἐν γενέσει, μηδὲ κατοπτρισαίμην ἐν ἄλλῳ τινὶ τὴν σὴν ἰδέαν, ἢ ἐν σοὶ τῷ θεῷ. αἱ γὰρ ἐν γενητοῖς ἐμφάσεις διαλύονται· αἱ δὲ ἐν τῷ

* κοινῶν

A umbra vero Dei verbum eius est, quo tanquam instrumento assumpto mundum creabat. hæc vmbra & quasi effigies exemplar est alterum. sicut enim Deus exemplum imaginis, quam vmbram nunc vocauit, sic hæc imago fit aliorum exemplum: quemadmodum in principio legis significauit propheta, dicens: Et fecit Deus hominem ad imaginem Dei, quasi imago ipsa ad effigiem Dei facta sit, homo vero ad eam imaginem quæ iam vicem exemplaris acceperat. B Quis igitur accesserit character consideremus. Quæsiuerunt prisci, quomodo numen intelleximus. ex his qui optime philosophari visi sunt, dixerunt, quod ex mundo partibúsque eius & harum innatis viribus, Deum vt causam animaduertimus. nam sicut si quis videat domum affabre factam instructámque vestibulis, porticibus, aulis virorum, mulierum conclauibus & id genus cæteris, cogitatione percipiet artificem: nec enim sine arte opificéque putabit do- C mum esse absolutam: quod & de ciuitate aut nauigio, & de quouis minore maioréve opere sentiendum est: ita sanè etiam quiuis ingressus ceu in maximam domum aut ciuitatem hunc mundum, conspicatus cælum in orbem volui contineréque omnia: erraticas vero fixásque stellas pariter moueri modulate summáque cum harmonia, ad vtilitatem rerum vniuersarum: terram deinde meditullium sortitam, aquam aerémque late vtrumque fusum suisque con- D tentum terminis: ad hæc animalia tam mortalia quam immortalia, stirpium fructuúmque varias species: certe ratiocinabitur hæc non sine perfectissima arte condita, sed fuisse esséque Deum huius vniuersitatis opificem. Qui ita colligũt, per vmbram Deum percipiunt, animaduertentes artificem per ipsius opera. Sed est & alius perfectior puriórque intellectus, magnis mysterijs initiatus, qui non ex operibus causam cognoscit, quasi ex vmbra solidum corpus: sed emergens su- E pra creata omnia, manifeste increatum cõtemplatur, vt & ipsum per se comprehendat, & vmbram eius: hoc est & verbũ eius, & mũdum hunc vniuersum. hic est Moses ille, qui sic loquitur: Ostẽde mihi teipsum. manifeste te videam. nolo mihi te ostendas per cælum, terram, aquam, aerem, aut quidquam creatum: nec in vlla re alia tanquam in speculo contempler tuã ideam, præter quam in te Deo. nã quæ in creaturis apparentiæ sunt dis-

ſipantur: quæ autem in increato, ſtabiles, firmæ ſempiternęque permanẽt. Quamobrem Moſem vocauit, & loquutus eſt ei Deus: Beſeleelem item vocauit, ſed non ſimiliter: verùm illum cognitionem Dei percipientem ex ipſa ſumma cauſa: hunc autem tanquam ex vmbra ex creaturis opificem ratiocinatione colligentem. Quapropter inuenies tabernaculum & vaſa eius omnia prius à Moſe, deinde à
Exod. 36. Beſeleele deliniata paratáque. Moſes enim exemplariorum eſt artifex, cæterum Beſeleel imagines eorum exprimit. Nam Moſes Deo monitore vtitur, qui dicit: Iuxta exemplar quod oſtendi tibi in monte omnia facies: Beſeleel autem Moſe: & merito. Quia & Aaron, id eſt ratio, & Maria, hoc eſt ſenſus, inſurgentes contra eum diſerte audiunt: Si quis fuerit inter vos propheta Domini, in viſione & in vmbra apparebit ei Deus, nõ manifeſte. Moſi vero qui fidelis eſt in tota domo mea, ore ad os loquetur, non
Num. 12. per ænigmata. Quoniam igitur duas naturas inuenimus creatas factas & elaboratas à Deo, alteram ex ſeipſa noxiam, reprehenſibilem, execrabilem, alteram vtilem laudabilémque: illam notatam falſo charactere, hanc vero probato: pulchram conuenientémque precationem vnà cũ Moſe precabimur: vt nobis Deus aperiat ſuum theſaurum, ſublime illud refertumque diuina luce verbum, quod ſupra vocauit cælum. in quibus autem mala reconduntur occludat. ſunt enim vt bonorum ita etiam malorum theſauri apud Deum: ſicut habetur in magno cã-
Deut. 23. tico: Nónne ecce collecta ſunt hæc apud me, & obſignata in theſauris meis, in die vltionis, quando lapſus fuerit pes eorum. vides theſauros eſſe malorum? Et bonorũ quidem vnicus. Quoniam enim Deus vnus, etiam theſaurus bonorum vnus. multi vero malorum, quia & peccatores immenſo numero. Sed hic quoque conſidera eius qui eſt bonitatem. bonorum quidem theſaurum aperit: contrà malorum claudit adſtringítque. eſt enim Dei proprium bona offerre & præuenire nos liberalitate: mala vero non facile immittere. Moſes vero exaggerans etiam Dei liberalitatem & gratificandi ſtudium, non ſolum reliquo tempore ait theſauros malorum obſignatos, ſed & cum anima lapſa fuerit in via rectæ rationis, quãdo meritò pœna digna videri poterat. ait enim in die vltionis obſignatos malorum theſauros: docente diuino eloquio, quod ne in peccantes quidem

A ἀγενήτῳ, μόνιμοι καὶ βέβαιοι καὶ ἀΐδιοι διατελοῖεν. διὰ τοῦτο Μωσῆν ἀνακέκληκεν, καὶ ἐλάλησεν αὐτῷ ὁ θεός. καὶ Βεσελεὴλ ἀνακέκληκεν, ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τὸν μὲν, τὴν ἔμφασιν τοῦ θεοῦ λαμβάνοντα ἀπ' αὐτοῦ τοῦ αἰτίου· τὸν δὲ, ὥσπερ ἀπὸ σκιᾶς τῶν γενομένων, τὸν τεχνίτην ἐξ ἐπιλογισμοῦ καταννοοῦντα. διὰ τοῦθ' εὑρήσεις τὴν σκηνὴν καὶ τὰ σκεύη πάντα αὐτῆς, πρότερον μὲν ὑπὸ Μωσέως, αὖθις δὲ ὑπὸ Βεσελεὴλ κατασκευαζόμενα. Μωσῆς μὲν γὰρ τὰ
B ἀρχέτυπα τεχνιτεύει, Βεσελεὴλ δὲ, τὰ τούτων μιμήματα· χρῆται μὲν γὰρ Μωσῆς ὑφηγητῇ τῷ θεῷ, ὅς φησι, Κατὰ τὸ παράδειγμα τὸ δεδειγμένον σοὶ ἐν τῷ ὄρει πάντα ποιήσεις. Βεσελεὴλ δὲ, Μωσεῖ. καὶ εἰκότως. καὶ γὰρ ὅτε Ἀαρὼν ὁ λόγος, καὶ Μαριὰμ ἡ αἴσθησις ἐπανίσταται ῥητῶς τοῖς ἀκούουσιν, ὅτι ἐὰν γένηται προφήτης κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσεται καὶ ἐν σκιᾷ ὁ θεός, οὐκ ἐναργῶς· Μωσεῖ δὲ, ὅστις πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ, στόμα κατὰ στόμα λαλήσει ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων. ἐπεὶ τοί-
C νυν δύο φύσεις εὕρομεν γεγονυίας καὶ πεπλασμένας, καὶ ἄκρως τετορνευμένας ὑπὸ θεοῦ, τὴν μὲν ἐξ ἑαυτῆς βλαβερὰν καὶ ἐπίληπτον καὶ κατάρατον, τὴν δὲ ὠφέλιμον καὶ ἐπαινετὴν, καὶ ἔχουσαν τὴν μὲν κίβδηλον, τὴν δὲ δόκιμον χαρακτῆρα, καλὴν καὶ ἁρμόττουσαν εὐχὴν εὐξόμεθα, ἣν καὶ Μωσῆς, ἵν' ἡμῖν ὁ θεὸς ἀνοίξῃ τὸν ἑαυτοῦ θησαυρὸν, καὶ τὸν μετάρσιον καὶ ἐγκύμονα θείων φώτων λόγον, ὃν δὴ κέκληκεν οὐρανόν· τοὺς δὲ τῶν κακῶν, ἐπισφίγξῃ. εἰσὶ γὰρ ὥσπερ ἀγαθῶν, οὕτω καὶ κακῶν παρὰ τῷ θεῷ
D θησαυροὶ, ὡς ἐν μεγάλῃ φησὶν ᾠδῇ, Οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου, ἐν ἡμέρᾳ ἐκδικήσεως, ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν; ὁρᾷς ὅτι κακῶν εἰσὶ θησαυροὶ, καὶ ὁ μὲν τῶν ἀγαθῶν εἷς· ἐπειδὴ γὰρ ὁ θεὸς εἷς, καὶ ἀγαθῶν θησαυρός· πολλοὶ δὲ τῶν κακῶν· ὅτι καὶ οἱ ἁμαρτάνοντες ἄπειροι τὸ πλῆθος. ἀλλὰ καὶ ἐν τούτῳ σκόπει τὴν τοῦ ὄντος ἀγαθότητα· τὸν μὲν τῶν ἀγαθῶν θησαυρὸν ἀνοί-
E γει· τοὺς δὲ τῶν κακῶν, ἐπισφίγγει· θεοῦ γὰρ ἴδιον, τὰ μὲν ἀγαθὰ προτείνειν καὶ φθάνειν δωρούμενον· τὰ δὲ κακὰ μὴ ῥᾳδίως ἐπάγειν. Μωσῆς δὲ καὶ ἐπιτείνων τὸ τοῦ θεοῦ φιλόδωρον καὶ χαριστικὸν, οὐ μόνον ἐν τῷ ἄλλῳ χρόνῳ φησὶ τοὺς θησαυροὺς τῶν κακῶν ἐσφραγίσθαι, ἀλλὰ καὶ ὅταν ἡ ψυχὴ σφαλῇ κατὰ τὴν βάσιν τοῦ ὀρθοῦ λόγου, ὁπότε καὶ ἄξιον αὐτὴν δίκης ἀξιοῦσθαι· ἐν ἡμέρᾳ γάρ φησιν ἐκδικήσεως ἐσφραγίσθαι τοὺς τῶν κακῶν θησαυροὺς, δεικνύντος τοῦ ἱεροῦ λόγου, ὅτι οὐδὲ

τοῖς ἁμαρτάνουσιν εὐθὺς ἐπέξεισιν ὁ θεός, ἀλλὰ A δίδωσι χρόνον εἰς μετάνοιαν, καὶ τὴν τοῦ σφάλματος ἴασιν. Καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. ὥσπερ ἡ χαρὰ εὐπάθεια οὖσα, εὐχῆς ἐστιν ἐπαξία, οὕτω κατάρας ἡδονὴ δὲ πάθος, ἡ μεταθεῖσα τοὺς ὅρους τῆς ψυχῆς, καὶ κατασκευάσασα αὐτὴν ἀντὶ φιλαρέτου, φιλοπαθῆ. φησὶ δὲ Μωϋσῆς ἐν ταῖς ἀραῖς, ἐπικατάρατον εἶναι τὸν μετατιθέντα τὰ ὅρια τοῦ πλησίον· ὅρον γὰρ ἔθηκε καὶ νόμον ὁ θεὸς τὴν ἀρετὴν τῇ ψυχῇ, τὸ τῆς ζωῆς ξύλον· B τοῦτον δὲ μετατέθεικεν, πήξας ὅρον κακίαν, ξύλον θανάτου. ἐπικατάρατος μέντοι καὶ ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ. καὶ τοῦτο δὴ ἐργάζεται ἡ ἀθεωτάτη ἡδονή. τυφλὸν γὰρ φύσει ἡ αἴσθησις, ἅτε ἄλογος οὖσα, ἐπεὶ δὲ λογικὸν ἐξωμμάτωται, παρ' ὃ καὶ μόνῳ τούτῳ τὰ πράγματα καταλαμβανόμενα· αἰσθήσει δὲ οὐκέτι· μόνα γὰρ τὰ σώματα φαντασιούμεθα δι' αἰσθήσεως. ταύτην οὖν τὴν αἴσθησιν τῆς τῶν πραγμάτων ἀντιλήψεως ἐξηπάτηκεν, C εἴγε δυναμένην ἐπὶ νοῦν τρέπεσθαι καὶ ἡνιοχεῖσθαι ὑπ' αὐτοῦ κεκώλυκεν, ἐπὶ δὲ ἐκτὸς αἰσθητὸν ἀγαγοῦσα, καὶ λίχνον αὐτὴν ἀπεργασαμένη τοῦ ἑαυτῆς ποιητοῦ, ἵνα ἡ μὲν αἴσθησις πηρὸς οὖσα, ἀκολουθῇ τυφλῷ ποδηγῷ τῷ αἰσθητῷ· ὁ δὲ νοῦς ὑπ' ἀμφοτέρων ποδηγούμενος οὐ βλεπόντων, ἐκτραχηλίζηται καὶ ἀκρατὴς ἑαυτοῦ γίνηται· εἰ γὰρ τις ἦν τοῦ κατὰ φύσιν ἀκολουθία, τῷ βλέποντι λογισμῷ τὰ πηρὰ ἐχρῆν ἕπεσθαι· οὕτω γὰρ ἂν D τὰ βλαβερὰ ἐπεκουφίζετο. νυνὶ δὲ τοσοῦτον ἔσχε μηχάνημα κατὰ τῆς ψυχῆς, ὥστε ἡγεμόσιν αὐτὴν χρῆσθαι τυφλοῖς ἠνάγκασε, παραχρυσαμένη καὶ ἀναπείσασα κακῷ ἀρετὴν ἀλλάξαι, καὶ ἀντιδοῦναι πονηρὰν κακίαν. ἀπείρηκε δὲ καὶ τὴν τοιαύτην ἀντίδοσιν ὁ ἱερὸς λόγος, ὅταν φησίν, Οὐκ ἀλλάξεις καλὸν πονηρῷ. ἐπικατάρατος δὴ διὰ ταῦτα ἡ ἡδονή. τί δὲ καταρᾶται αὐτῇ, ἴδωμεν ὡς προσφυῶς. ἀπὸ πάντων φησὶ τῶν κτηνῶν ἐπάρατον εἶναι. οὐκοῦν E κτηνῶδες μέν ἐστι τὸ ἄλογον καὶ αἰσθητικόν. ἑκάστη δὲ αἴσθησις ἡδονὴν καταρᾶται, ὡς πολεμιωτάτην καὶ ἐχθίστην. καὶ γάρ ἐστι τῷ ὄντι πολέμιος αἰσθήσει. τεκμήριον δέ, ὅταν ἡδονῆς ἀμέτρου κορεσθῶμεν, οὔθ' ὁρᾶν, οὔτ' ἀκούειν, οὔτ' ὀσφραίνεσθαι, οὔτε γεύεσθαι, οὔθ' ἅπτεσθαι εἰλικρινῶς δυνάμεθα· ἀλλ' ἀμυδρὰς καὶ ἀσθενεῖς ποιούμεθα τὰς προσβολάς· καὶ τοῦτο μέν, ὅταν ἐπίσχωμεν τὴν χρῆσιν αὐτῆς,* πάσχωμεν· ἐν αὐταῖς δὲ ὄντες ταῖς τῆς ἡδονῆς ἀπολαύσεσι, κατὰ δὲ παντελὲς καὶ τὴν διὰ τῶν ἐνερ-

*πάσχομεν

confestim Deus animaduertit, sed indulget tempus ad pœnitentiam & errati curationem. Et dixit Dominus Deus serpenti: Execratus tu inter omnes pecudes & omnes bestias terræ] sicut lætitia iucunde nos afficiens, fausta ominatione digna est. ita execratione voluptas malus affectus, quæ turbat terminos animæ, pro virtutis studio amorem affectionum in ea generans. ait autem Moses in execrationibus, execratum esse qui transmouet terminos proximi. terminum enim & legem Deus animæ præscripsit virtutem, scilicet arborem vitæ. hunc transmouit, qui fixit terminum maliciæ, scilicet arborem mortis. Execrabilis ille quoque qui cæcum errare facit in via. Facit & hoc voluptas impia. est enim sensus naturaliter cæcus, quia brutus, quoniam quicquid rationale est, habet oculos, ideo ratione sola res comprehenduntur, sensu non item. per sensum enim sola imaginamur corpora. hunc cæcum sensum voluptas fallit, quo minus res percipiat: siquidem vetat ne se ad mentem, à qua regi poterat, recipiat regatúrque ab ea, seducens illum ad sensibilia, illiciensque suis operibus: vt cæcus sensus sequatur cæcum ducem, rem sensibilem. ibi mens cum ambos cæcos duces sequitur, impotens sui abit in præcipitium. alioqui consentaneum erat ordini naturali, vt rationem compotem visus sequerentur ea quæ cæca sunt. sic enim leuius ferentur noxiæ res. nunc in eam fraudem inducitur anima, vt cogatur vti cæcis ducibus, decepta persuasáque mutare virtutem vitio, & suo labore malum sibi quærere. prohibet autem & hanc permutationem sacra lex his verbis: Non mutabis bonum malo. his de causis voluptas fit execrabilis. nunc non alienum à proposito fuerit considerare quæ sit hæc maledictio. execratum esse ait inter omnes pecudes. ergo pecuinum quiddam brutúmque sensus est. certe vnusquisque sensus voluptatem execratur, vt inimicissimam & infensissimam. est enim re vera hostis sensui. id inde colligitur, quòd saturati voluptate immodica, nec videre, nec audire, nec olfacere, nec gustare, nec tangere sincere possumus, sed his omnibus obscure atque debiliter afficimur. id quod patimur ea iam cessante: alioquin inter ipsum vsum voluptatis, omnino priuamur vi sensuum, vt non magis agant in res sensibiles,

quam si eis mulctati essemus. Et qui fieri potest, vt non merito sensus execretur voluptatem à qua sic mulctatur? quæ præ omnibus quoque bestijs est execrabilis, præ omnibus inquam, affectibus animæ. His enim mens sauciatur & perditur. Cur igitur etiam alijs affectibus videtur deterior? Quia propemodum omnibus est obnoxia, tanquam principium eorum fundamentumque. Nam & concupiscentia nascitur ex amore voluptatis, & dolor existit per eius priuationem. timor quoque tum fit cum veremur istius absentiam. itaque liquet omnes affectus apud voluptatem habere suum receptaculum: & fortasse nulliusquam essent, ni voluptate ceu fundamento niterentur. Super pectus & ventrem tuum gradieris] circa has enim partes stabulatur affectus hic, pectus ventremque. quando præsto est copia materiáque voluptatis, circa ventrem & quæ sub ventre sita sunt. quando autem his caret, circa pectus, vbi sedes iræ est. amatores enim voluptatum si his destituantur, irascuntur & exacerbantur. Inspiciamus rem diligentius. Tripartitam esse animam nostram, habereque partes, vnam ratione præditam, alteram ad iram natam, tertiam ad concupiscentiam. has partes nonnulli philosophi potentijs tantummodo differre existimant, quidam locis etiam. hi rationali parti caput sedem attribuunt, reddentes causam, quod ibi sit rex, vbi satellitium. satellites autem mentis sensus collocatos in capite. proinde rex habitare ibi tanquam in arce probabiliter creditur. ijdem iram locant in pectore: aiuntque hac de causa à natura munitam hanc partem densis ac validis ossibus, non secus ac strenuum militem instructum thorace ac clypeo, ad repellendos aduersarios. postremus locus assignatur concupiscentiæ, circa iecur & ventrem. hic enim vis hæc habitat, appetitus ratione carens. Quando igitur quæres ô anime, quam regionem voluptas sortita sit, ne spectes capitis locum, qui rationis est. non inuenies enim. resistit enim huic affectui ratio, nec potest vnà cohabitare: quod hac vincente voluptas pessum eat: sicut è diuerso, dum voluptas vincit, exulat ratio. proinde illam quære in pectore ventréque, vbi partes brutæ domicilium habent, ira concupiscentiáque. nam in his locis inuenitur & iudicium nostrum, & affectus ipsi. non vetatur tamen mens relictis suis septis dare se deteriori. id fit

A χρυσοῦν αἰσθήσεων ἀντίληψιν ἀφαιρούμεθα, ὡς δοκεῖν πεπηρῶσθαι. πῶς οὖν οὐκ ἂν εἰκότως ἀρὰς δέοιτο αἴσθησις τῇ πηρούσῃ αὐτὴν ἡδονῇ. ἐπικατάρατος δέ ἐστι καὶ παρὰ πάντα τὰ θηρία, λέγω δὲ τὰ πάθη τῆς ψυχῆς. τούτοις γὰρ ὁ νοῦς τιτρώσκεται καὶ διαφθείρεται. διὰ τί οὖν καὶ τῶν ἄλλων παθῶν χείρων εἶναι δοκεῖ· ὅτι σχεδὸν ὑποβέβληται πᾶσιν, ὥσπερ τις ἀρχὴ καὶ θεμέλιος· ἥτε γὰρ ἐπιθυμία γέγονε δι' ἔρωτος ἡδονῆς, ἥτε λύπη συνίσταται κατὰ τὴν ταύτης ἀφαίρεσιν· φόβος τε αὖ γεννᾶται B δι' εὐλάβειαν ἀπουσίας αὐτῆς· ὥστε δῆλον εἶναι ὅτι πάντα ἐφορμεῖ τὰ πάθη ἡδονῇ· καὶ οὐδ' ἂν συνέστη τὸ παράπαν ἴσως ἐκεῖνα, εἰ μὴ προκατεβλήθη τὸ οἰστικὸν αὐτῶν ἡδονή. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ· περὶ γὰρ ταῦτα φωλεύει τὰ μέρη τὸ πάθος, τὰ στέρνα καὶ τὴν γαστέρα. ὅταν μὲν ἔχῃ τὰ ποιητικὰ καὶ τὰς ὕλας ἡ ἡδονή, περὶ τὴν γαστέρα καὶ * τὴν μετ' αὐτήν. ὅταν δ' ἀπορῇ, περὶ τὰ στήθη, ὅπου ὁ θυμός. οἱ γὰρ φιλήδονοι στερόμενοι τῶν ἡδονῶν, ὀργίζονται καὶ παραπικραίνονται. ἔτι C δὲ ἀκριβέστερον ἴδωμεν τὸ δηλούμενον. τριμερῆ συμβέβηκε τὴν ψυχὴν ἡμῶν εἶναι, καὶ ἔχειν μέρος μὲν ἓν λογιστικόν, δεύτερον δὲ θυμικόν, τρίτον δὲ ἐπιθυμητικόν. ἔνιοι μὲν οὖν τῶν φιλοσόφων τὰ μέρη ταῦτα δυνάμει μόνον διέκριναν ἀλλήλων· τινὲς δὲ καὶ τόποις· εἶτα ἔνειμαν, τῷ μὲν λογικῷ, τὸν περὶ κεφαλὴν χῶρον, εἰπόντες, ὅπου ὁ βασιλεύς, ἐκεῖ καὶ οἱ δορυφόροι· δορυφόροι δὲ αἱ αἰσθήσεις τοῦ νοῦ, περὶ κεφαλὴν οὖσαι· ὥστε καὶ ὁ βασιλεὺς εἴη ἂν ἐκεῖ, D ὥσπερ ἄκραν ἐν πόλει λαχὼν οἰκεῖν· τῷ δὲ θυμικῷ, τὰ στέρνα· παρὸ καὶ τὴν φύσιν ὀχυρῶσαι τὸ μέρος πυκνότητι καὶ καρτερότητι συνεχῶν ὀστέων, ὥσπερ στρατιώτην ἀγαθὸν καθοπλίσασαν θώρακι καὶ ἀσπίδι, πρὸς τὴν τῶν ἐναντιουμένων ἄμυναν· τῷ δὲ ἐπιθυμητικῷ, τὸν περὶ τὸ ἧπαρ καὶ τὴν κοιλίαν τόπον· ἐνταῦθα γὰρ κατοικεῖ ἐπιθυμία, ὄρεξις ἄλογος. ἐὰν οὖν ποτε ζητῇς ὦ διάνοια, τίνα χῶρον ἡδονὴ κεκλήρωται, E μὴ σκέπτου τὸν περὶ κεφαλὴν τόπον, ὅπου τὸ λογιστικόν· μὴ γὰρ εὑρήσεις· ἐπεὶ μάχεται ὁ λόγος τῷ πάθει. καὶ ἐν ταὐτῷ μένειν οὐ δύναται. κρατοῦντος μὲν γὰρ λόγου, φροῦδος ἡ ἡδονή· νικώσης δὲ ἡδονῆς, φυγὰς ὁ λόγος· ζήτει δ' ἐν στήθει καὶ κοιλίᾳ, ὅπου ὁ θυμὸς καὶ ἡ ἐπιθυμία μέρη τοῦ ἀλόγου. ἐν αὐτῷ γὰρ εὑρίσκεται καὶ ἡ κρίσις ἡ ἡμετέρα καὶ τὰ πάθη. οὐ κεκώλυται οὖν νοῦς, ἐκβὰς τῶν νοητῶν καὶ οἰκείων ἐπιβολῶν, ἐνδῦναι τῷ χείρονι. τοῦτο δὲ οὐ συμβαίνει, ὅταν ὁ ψυχῆς κρατῇ πόλε-

* τὸ μετ'

μος. ἀνάγκη γὰρ δοριάλωτον γίνεσθαι τὸν μὴ μάχιμον, ἀλλ' εἰρηναῖον τὸν ἐν ἡμῖν λογισμόν. εἰδὼς γοῦν ὁ ἱερὸς λόγος ὅσον ἑκατέρου δύναται ὁρμὴ πάθους, θυμοῦ τε καὶ ἐπιθυμίας, ἑκατέρῳ ἐπιστομίζει, ἡνίοχον καὶ κυβερνήτην ἐπιστήσας τὸν λόγον. καὶ πρότερον περὶ τοῦ θυμοῦ, θεραπεύων αὐτὸν καὶ ἰώμενος, διαλέγεται οὕτως, Καὶ ἐπιθήσεις ἐπὶ τὸ λόγιον τῆς κρίσεως, τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν· καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρών, ὅταν εἰσπορεύηται εἰς τὸ ἅγιον ἐναντίον κυρίου. λόγιον μὲν οὖν ἐστιν ἐν ἡμῖν τὸ φωνητήριον ὄργανον, ὅπερ ἐστὶν ὁ γεγωνὸς λόγος· οὗτος δὲ ἢ ἀκριτόμυθός ἐστι καὶ ἀδόκιμος, ἢ κεκριμένος καὶ δόκιμος. εἰς ἔννοιαν δὲ ἡμᾶς ἄγει λόγου τοῦ κατὰ διάκρισιν. τὸ γὰρ λόγιόν φησιν, οὐ τὸ ἄκριτον ἢ κίβδηλον, ἀλλὰ τὸ τῆς κρίσεως, ἴσον τῷ διακεκριμένον καὶ ἐξητασμένον. τούτου δὲ τοῦ δοκίμου λόγου, δύο ἀρετάς φησιν εἶναι τὰς ἀνωτάτω, σαφήνειαν καὶ ἀλήθειαν· καὶ πάνυ ὀρθῶς. ὁ γὰρ λόγος τὸ μὲν πρῶτον πέφυκε τὰ σαφῆ ποιῆσαι καὶ δῆλα τὰ πράγματα τῷ πλησίον, μὴ δυναμένων ἡμῶν τὸ συμβαῖνον τῇ ψυχῇ πάθος ἀπὸ τοῦ ἐκτὸς ἐπιδείξασθαι, οὐδ' οἷον ἦν παραστῆσαι. διόπερ ἠναγκάσθημεν καταφυγεῖν ἐπὶ τὰ διὰ φωνῆς σύμβολα, ὀνόματα καὶ ῥήματα, ἃ δεῖ πάντως εἶναι γνώριμα, ἵνα σαφῶς καὶ ἐκδήλως ὁ πλησίον ἐκλαμβάνηται· ἔπειτα, τοῦ ἀληθῶς αὐτὰ ἀπαγγεῖλαι· τί γὰρ ὄφελος, τρανῆ μὲν καὶ σαφῆ τὴν ἑρμηνείαν ποιεῖσθαι, ψευδῆ δὲ ὅμως. ἀνάγκη γὰρ οὕτως ἐχόντων, ἀπατᾶσθαι τὸν ἀκροατήν, καὶ μεγίστην καρποῦσθαι συμφοράν, μετ' ἀγνοίας καὶ ἀπαιδευσίας. τί γάρ, ἂν λέγω τῷ παιδὶ τρανῶς καὶ σαφῶς δείξας τὸ ἄλφα στοιχεῖον, ὅτι ἐστὶ γάμμα ἢ τὸ ἦτα, ὅτι ἐστὶν ὦ· εἰ ὁ μουσικὸς λέγει τῷ πρῶτα εἰσαγομένῳ δεικνὺς τὸ ἐναρμόνιον, ὅτι χρῶμά ἐστιν· ἢ χρῶμα τονιαῖον, ὅτι διατονικόν· ἢ τὴν* ὑπάτην, ὅτι μέση· ἢ τὸ συνημμένον, ὅτι τὸ διεζευγμένον· ἢ τὴν ὑπερβολαίαν, ὅτι προσλαμβανόμενος, τρανῶς μὲν ἴσως καὶ σαφῶς ἐρεῖ, οὐκ ἀληθῶς δέ· ἀλλὰ ταύτῃ κακίαν ἐργάσεται τὴν ἐν λόγῳ. ὅταν δὲ ἀμφότερα καὶ σαφήνειαν καὶ ἀλήθειαν ποιῆται, ὠφέλιμον παρέξει τῷ μανθάνοντι τὸν λόγον, χρησάμενος ταῖς δυσὶν ἀρεταῖς αὐτοῦ, αἳ καὶ μόναι σχεδὸν εἶναι συμβέβηκέ που. φησὶν οὖν ἱδρῦσθαι τὸν κεκριμένον λόγον, ἔχοντα τὰς ἰδίας ἀρετάς, ἐπὶ τοῦ στήθους δηλονότι Ἀαρών, τουτέστιν ἐπὶ τοῦ θυμοῦ, ἵν' οὕτως ἡνιοχῆται λόγῳ τὸ πρῶτον, καὶ μὴ ὑπὸ τῆς ἑαυτοῦ ἀλογίας βλάπτηται. εἶτα δὲ σαφηνείᾳ, οὐ πέφυκε γὰρ ὁ θυμὸς σαφηνείας εἶναι φίλος. τὴν

ἴσως, τὴν ὑπάτην

A quando in anima bellum exoritur, tunc neceſſe eſt in poteſtatem aduerſæ partis deuenire rationem paci non bello natam. itaque ſacra lex gnara quantum poſſit vtriuſque affectionis impetus, vel iræ, vel concupiſcentiæ, compeſcit vtrumque, aurigam gubernatoremque rationem his præficiens. ac primùm de ira, curaturus eam & ſanaturus legiſlator, loquitur ſic: Et impones ſuper rationale iudiciorū, doctrinam & veritatem: quæ erunt in pectore Aaron, quando ingre-
B dietur ſacrarium coram Domino. id rationale eſt in nobis inſtrumentum vocis, hoc eſt ſermo quo vtimur. qui aut inconſiderate & improbatus emittitur, aut cū iudicio probatúſque. hic ſcriptura vult nos cogitare de ſermone diſcreto. ait enim rationale, non inexaminatum falſatúmque, ſed rationale iudiciorum, ac ſi dicas iudicatum examinatúmque. huius probati ſermonis duas ait eſſe virtutes ſummas, doctrinam & veritatem. recte ſanè. nam præcipuus ſermonis vſus
C eſt, docere, & manifeſtare aliquid, cum non poſſimus alioquin affectus animi exprimere, & quales ſint oſtendere. quæ res coegit nos ad ſigna vocalia confugere, nomina verbáque, quæ vtique nota eſſe oportet, vt manifeſte claréque percipiantur à proximo. ſecunda cura eſt vt vere enuncientur. quid enim prodeſt planam manifeſtámque elocutionem facere, ſi alioqui falſa ſit. nam hoc modo fieri non poteſt quin auditor decipiatur cum ſuo magno incommodo, ruditate
D ignorantiáque. quid enim ſi monſtrans puero A elementum, diſerte claréque dicam id eſſe G, aut E, monſtrans dicam O? aut muſicus rudimenta eius artis diſcenti harmoniam monſtrans colorem dicat, aut colorem toniſticum dicat diatonicum: aut quæ ſumma eſt chorda dicat mediam, aut quæ coniuncta ſunt dicat diſiuncta. aut hyperbolæan dicat proſlambanomenon? dicet fortaſſe dilucide apertéque at non vere: ſed hac parte vitium admittet in ſermone.
E quando autem vtrumque, doctrinam ſimul & veritatem adhibebit, ſermonem faciet diſcenti vtilem, vſus ipſe duabus eius virtutibus quæ forſitan ſolæ ſufficiunt. itaque propheta dicit ſermonem iudicatum, habentem ſuas virtutes, ſitum ſupra pectus, nimirum Aaronis, id eſt ſupra iram, vt ſic regatur primum à ratione, ne lædatur per ſuam imprudentiam. deinde à doctrina, à cuius conſuetudine furor libenter abſtinet. ideóque

iratorum non solum cogitationes, sed & verba, perturbatione confusionéque plena sunt. æquum igitur erat iræ confusionem per doctrinam corrigi, & per veritatem insuper, nam & hoc iræ proprium est, quod facile fallitur fallitque. itaque iracundorum fermè nemo verax est, vtpote deuictus ebrietate animæ, non corporis. Hæc remedia Deus huic parti parauit, sermonem cum doctrina veritatéque. nam hæc tria vim vnam obtinent, si sermoni iungatur doctrina & veritas, præsentanea medicina iræ, morbi animæ grauissimi. Sed cuiúsnam est gestamen istud rationale? non meum nec vulgaris alicuius mentis, sed sacerdotalis pure sacrificantis, qualis Aaronis erat. ac ne huius quidem semper: nam sæpe mutatur: sed quando sine mutatione degit, quando ingreditur sacrarium, quando ratio simul intrat sanctæque sententiæ, quando his comitibus non destituitur. accidit tum plerumque vt mens penetret in sacras sanctas purásque opiniones, sed humanas, quales sunt de officijs, de benefactis, de legibus publice receptis, de virtute quatenus homo potest eam assequi. atqui ne sic quidem dispositus aliquis idoneus est ad Rationale gestandum in pectore cum suis virtutibus: sed solus qui ingreditur coram Domino: hoc est, qui propter Deum facit omnia, nec ei præfert quicquam ipso inferius, inferioribus quoque rebus tribuens quod æquum est, non tamen in eis immorans, sed recurrens ad cognitionem scientiam cultúmque illius vnius. nam hominis sic dispositi vis irascibilis regetur & à ratione purgata puráque à brutis affectibus, & à doctrina sanante obscuritatem confusionémque, & à veritate retegente mendacium. Ergo Aaron, vt alter Moses, exciso pectore, hoc est ira, non sinit eam efferri impetu absque iudicio, veritus nequando sibiipsi permissa, in equi morem exultans, totam proculcet animam: sed curat refrenátque primum ratione, vt sub auriga optimo discat non admodum habenas contemnere: deinde & rationis virtutibus, doctrina veritatéque. si enim sic erudiatur ira, vt & rationi cedat ac doctrinæ, & non mentiri assuescat, tum seipsam liberabit ab efferuescentia nimia, tum animam totam reddet placidam. Verùm hic, vt dixi, non carens hoc affectu, conatur eum sanare iam dictis salutaribus remedijs. At Moses totam

A γὰρ τῶν ὀργιζομένων οὐ μόνον ἡ διάνοια, ἀλλὰ καὶ
τὰ ῥήματα ταραχῆς καὶ συγχύσεως γέμει. οἰκεῖον
οὖν ἦν τὴν τοῦ θυμοῦ σύγχυσιν ἐπανορθωθῆναι
σαφηνείᾳ. ἐπὶ τούτοις, ἀληθότητι· μετὰ γὰρ τῶν ἄλ-
λων καὶ τοῦτο ἔχει ὁ θυμὸς ἴδιον, τὸ ψεύδεσθαι. τῶν
γοῦν χρωμένων τῷ πάθει τούτῳ, σχεδὸν οὐδεὶς
ἀληθεύει, ἅτε μέθῃ κεκρατημένος ψυχῆς, οὐ σώμα-
τος. ταῦτα γὰρ ἀλεξιφάρμακα τοῦ θεοῦ, μικροῦ
μέρους ἐστὶ, λόγος, σαφήνεια λόγου, ἀλήθεια αὐτοῦ.
ἓν γάρ ἐστι δυνάμει τὰ τρία, λόγος σὺν ἀρεταῖς,
B ἀληθότητι καὶ σαφηνείᾳ, θυμὸν νόσημα χαλεπὸν
ψυχῆς ἰώμενος. τίνος οὖν ἐστὶ φέρειν ταῦτα· οὐχὶ τῆς
ἐμῆς ἢ τῆς τοῦ τυχόντος διανοίας, ἀλλὰ τῆς ἱερω-
μένης καὶ θυούσης καθαρῶς, τοῦ Ἀαρών. καὶ οὐδὲ ταύ-
της ἀεί· πολλάκις γὰρ τρέπεται· ἀλλ' ὅταν ἀτρέ-
πτως διάγῃ, ὅταν εἰς πορεύηται εἰς τὸ ἅγιον, ὅταν
συνεισπορεύηται ὁ λογισμὸς τῆς ἁγίας γνώμης, καὶ
μὴ τούτων ἀποδιδράσκῃ. ἀλλὰ πολλάκις συνεισ-
έρχεται μὲν ὁ νοῦς εἰς ἱερὰς καὶ ὁσίας καὶ κεκαθαρ-
C μένας δόξας, ἀλλὰ ἀνθρωπίνους ταύτας· οἷον τὰς
περὶ τῶν καθηκόντων, τὰς περὶ τῶν κατορθωμά-
των, τὰς περὶ τῶν κατὰ νόμιμον, τὰς περὶ τῆς κατ'
ἀνθρώπους ἀρετῆς. οὐδὲ ὁ τοῦτον διακείμενος
τὸν τρόπον, ἱκανός ἐστι τὸ λόγιον φέρειν ἐπὶ τοῦ στήθους
μετὰ τῶν ἀρετῶν· ἀλλὰ μόνος ὁ ἐναντίον κυρίου
εἰσιών, τουτέστιν ὁ ἕνεκα θεοῦ πάντα πράττων,
καὶ μηδὲν τῶν μετὰ θεὸν προτιμώμενος, ἀλλὰ νέμων
μὲν καὶ τούτοις τὰ κατ' ἀξίαν, μὴ ἱστάμενος μέντοι
ἐπ' αὐτῶν, ἀλλ' ἀνατρέχων ἐπὶ τὴν γνῶσιν καὶ
D ἐπιστήμην καὶ τιμὴν τοῦ ἑνός. τῷ γὰρ οὕτως δια-
κειμένῳ ἡνιοχηθήσεται ὁ θυμὸς ὑπὸ τοῦ λόγου κα-
καθαρμένου τὸ ἄλογον αὐτοῦ περιαιροῦντος, καὶ
ὑπὸ σαφηνείας τὸ ἀσαφὲς καὶ συγκεχυμένον θε-
ραπευούσης, καὶ ὑπὸ ἀληθότητος τὸ ψεῦδος
ἀποκρυπτούσης. ὁ μὲν οὖν Ἀαρών· δεύτερος γάρ
ἐστι Μωσῆς· ἐκτέμνων τὸ στῆθος, ὅπερ ἐστὶ τὸν θυ-
μὸν, οὐκ ἐᾷ αὐτὸν ἀκρίτοις ὁρμαῖς ἐκφέρεσθαι, δε-
διὼς μή ποτε ἀφεθεὶς, ἵππου τρόπον ἀνασκιρτή-
E σας, ὅλην πατήσῃ τὴν ψυχήν· ἀλλὰ θεραπεύει
καὶ ἐπιστομίζει τὸ μὲν πρῶτον λόγῳ, ἵνα ἡνιόχῳ
χρώμενος ἀρίστῳ, μὴ σφόδρα ἀφηνιάζῃ· ἔπει-
τα δὲ, ταῖς ἀρεταῖς τοῦ λόγου, σαφηνείᾳ καὶ ἀλη-
θείᾳ. εἰ γὰρ παιδευθείη ὁ θυμὸς οὕτως, ὥστε καὶ
λόγῳ εἴκειν καὶ σαφηνείᾳ, καὶ τὸ ἀψευδὲς ἀσκεῖν,
ἑαυτόν τε τῆς πολλῆς ζέσεως ἀπαλλάξει, τήν τε
ὅλην ψυχὴν ἵλεων κατασκευάσει. ἀλλ' οὗτος μὲν,
ὡς ἔφην, ἔχων τὸ πάθος, ἰᾶσθαι αὐτὸ πειρᾶται τοῖς
λεχθεῖσι σωτηρίοις φαρμάκοις. Μωσῆς δὲ ὅλον τὸν
θυμὸν

θυμὸν ἐκτέμνειν καὶ ἀποκόπτειν οἴεται δεῖν τῆς ψυχῆς, οὐ μετριοπαθεῖν, ἀλλὰ συνόλως ἀπάθειαν ἀγαπῶν. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ἱερώτατος χρησμός. λαβὼν γάρ, * φησὶ Μωσῆς, τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἐναντίον κυρίου, ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως. καὶ ἐγένετο Μωσεῖ * ἐν μερίδι πάνυ καλῶς. τὸν γὰρ φιλάρετον καὶ θεοφιλῆ ἔπρεπεν, τὴν ὅλην ψυχὴν θεασάμενον λαβέσθαι τοῦ στήθους, ὅπερ ἐστὶ τοῦ θυμοῦ, καὶ ἀφελεῖν αὐτὸ καὶ ἀποκόψαι, ἵνα τοῦ πολεμικοῦ μέρους ἐκτμηθέντος, εἰρήνην τὸ λοιπὸν ἄγῃ. ἀφαιρεῖ δὲ οὐκ ἀπὸ τοῦ τυχόντος ζῴου, ἀλλ' ἀπὸ κριοῦ τῆς τελειώσεως. καίτοι καὶ μόσχος ἱερουργήθη, ἀλλὰ τοῦτον παρελθών, ἐπὶ τὸν κριὸν ἦλθε· διότι κερατιστικὸν φύσει ζῷόν ἐστι, καὶ θυμικὸν καὶ ὁρμητικόν· παρὸ καὶ οἱ μηχανοποιοὶ τὰ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων, κριοὺς κατασκευάζουσι. τὸ κριῶδες οὖν καὶ ὁρμητικὸν καὶ ἄκρατον ἐν ἡμῖν ἐστι τὸ ἐριστικὸν εἶδος. ἔρις δὲ μήτηρ ἐστὶ θυμοῦ· παρὸ καὶ οἱ φιλονεικότεροι, ἔν τε ταῖς συζητήσεσι, καὶ ταῖς ἄλλαις ὁμιλίαις ῥᾷστα ὀργίζονται. τῆς οὖν ἐριστικῆς καὶ φιλονείκου ψυχῆς πλημμελὲς γέννημα θυμικὸν * ἐκτέμνει δεόντως, ἵνα στειρωθεῖσα παύσηται βλαβερὰ τίκτουσα, καὶ γένηται μέρις τοῦτο ἁρμόζουσα τῷ φιλαρέτῳ, οὐ τὸ στῆθος, οὐδ' ὁ θυμός, ἀλλὰ τὸ ἀφελεῖν αὐτά. μοῖραν γὰρ ὁ θεὸς ἔνειμεν ἀρίστην τῷ σοφῷ, τὸ ἐκτέμνειν τὰ πάθη δύνασθαι. ὁρᾷς πῶς ὁ τέλειος τελείαν ἀπάθειαν ἀεὶ μελετᾷ. ἀλλ' ὅ γε προκόπτων δεύτερος ὢν Ἀαρών, μετριοπαθῶς, ὡς ἔφην, ἀσκεῖ. ἐκτέμνειν γὰρ ἔτι τὸ στῆθος καὶ τὸν θυμὸν ἀδυνατεῖ· φέρει δ' ἐπ' αὐτὸν τὸν ἡνίοχον, σὺν ταῖς προσφυέσιν ἀρεταῖς λόγον, τὸ λόγιον, ἐφ' οὗ δήλωσίς ἐστι καὶ ἀλήθεια. παραστήσει δὲ σαφέστερον τὴν διαφορὰν καὶ διὰ τούτων, Τὸ γὰρ στηθύνιον, φησί, τοῦ ἐπιθέματος, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος εἴληφα παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν· καὶ ἔδωκα αὐτὰ Ἀαρών, καὶ τοῖς υἱοῖς αὐτοῦ. ὁρᾷς ὅτι οὐκ εἰσὶν οὗτοι ἱκανοὶ τὸ στῆθος μόνον λαβεῖν, ἀλλὰ σὺν τῷ βραχίονι· Μωσῆς δὲ χωρὶς τοῦ βραχίονος. διὰ τί; ὅτι ὁ μὲν τέλειος ὤν, βραχὺ καὶ ταπεινὸν οὐδὲν φρονεῖ, οὐδὲ μετριοπαθεῖν βούλεται· ἀλλ' ἐκ περιουσίας ὅλα τὰ πάθη δι' ὅλων ἀπέκοψεν· οἱ δέ, βραχέως καὶ οὐ μεγάλως ὁρμῶσιν ἐπὶ τὸν τῶν παθῶν πόλεμον, ἀλλὰ καταλλάττονται καὶ σπονδὰς πρὸς αὐτὰ τίθενται, τοὺς συμβατηρίους λόγους προτείνοντες, ἵν' οὕτως ἡνιοχῶν ἐπιστομίζῃ τὴν ἐπὶ πλέον αὐτῶν φοράν. ἔστι δὲ καὶ σύμβολον ὁ βραχίων πόνου καὶ κακοπαθείας·

φησί, Μωσῆς τὸ στηθύνιον *ἐν μερίδι πάνυ*

ἐκτέμνει

A iram excidendam & resecandam censet ex anima, non moderationẽ affectuum, sed prorsus priuationem amans. attestatur his meis verbis sanctissimum oraculum. Sumptum, inquit, Moses pectusculum separauit vt offerret coram Domino, de ariete consecrationis: & obtigit Mosi in portionem suam. valde pulchre. illum enim virtutis Deique amatorem decebat considerata tota anima pectus desumere ex ea quod ad iracũdiam pertinet, adimereque id & abscidere, vt B exacta parte bellaturiente, de cętero anima in pace degeret. aufertur autem non à quouis animali, sed ab ariete consecrationis. atqui & vitulus immolatus fuerat, sed hoc præterito, venit ad arietem. est enim animal natura cornupetum, iracundum & assultorium. quapropter & fabri machinarij plerumque inter instrumenta oppugnationis vtuntur arietibus. sic & in nobis arietinum, assultorium, indomitum quiddam est, id quod contẽtionem C appetit. contentio vero materia est iracundiæ. & ideo contentiosiores quique in dissertationibus cęterisque colloquijs ad iram mouentur. hoc igitur litigatricis contẽtiosæque animæ superfluũ germen iracundũ merito propheta execat: vt sterilis facta desinat noxias res parere, fiátque inde portio cõueniens amatori virtutis, non pectus aut ira, sed horũ priuatio. hanc enim optimã portionem Deus sapienti tribuit, posse affectiones excidere. viden quomodo perfectus perfectam immunitatem ab affectibus semper D meditatur? qui autẽ adhuc proficit Aaron, secũdus ab illo, mediocriter, vt dixi, in eis se habet. nondũ enim potest pectus & iram excidere. gestat tamen supra id aurigam cum agnatis rationis virtutibus rationale, in quo doctrina est & veritas. hanc differẽtiam manifestius etiam docebit nos his verbis, dum ait: pectusculũ enim superpositionis, & brachium ablationis accepi à filijs Israel, de victimis quæ offeruntur pro salute vestra: & dedi hæc Aaroni eiúsque filijs. Vides quod hi E non sunt contenti solo pectore, sed assumunt etiam brachiũ? Moses vero accipit id sine brachio. cur ita? quia hic cum sit perfectus, paruum & humile nihil sapit, ac ne mediocriter quidẽ vult indulgere affectibus, sed eos egregie omnes omnino excidit. at illi non admodũ vehementer ruunt ad repugnandum eis, sed fœdus & inducias cum eis faciũt, conditiones offerendo, quatenus cohiberi per aurigã debeant ab impetu nimio. est autem

brachium etiam signum laboris & afflictionis. talis vero debet esse curator ministerque sanctorum, exercitijs ac labore occupatus. cæterum cui Deus perfecta bona abundanter largitus est, sine labore agit. hoc autem minor reperitur atque imperfectior, qui labore parat virtutem, quam sine labore & negotio Moses accepit à Deo. Nam & labor ipse minor & vilior est quàm quies: sicut & imperfectum quam perfectum, & à doctore quęsitum, quam id quod per nos ipsi discimus. hæc causa est cur pectus accipiat
Leuit. 10. Aaron cum brachio, Moses sine brachio. vocat autem pectusculum superpositionis ideo, quia super vim iræ debet imponi & ei presidere ratio, quæ aurigæ more duri ceruicem contumacémque equum dirigat. brachium autem non itidem superpositionis vocatur, sed ablationis, ob hanc causam: quia debet virtutis studiū non sibiipsi tribuere anima, sed auferre à se, & ad Deum auctorem referre: confitendo non suis viribus nec potentia honestatem acquisitam, sed illius munere, qui amorem eius indidit. nec pectusculum autem nec brachium sumitur, nisi de victima pro salute, & merito id quidem. tunc enim anima seruatur, quando iram domat ratio, & ex labore non prouenit arrogantia, sed totum imputatur Dei beneficentiæ. Quod autem non solū supra pectus, sed & supra ventrem ingrediatur voluptas, iam dixi, declarauique maxime propriū eius locum esse ventrem. hic est enim voluptatum fermè omniū receptaculum. nam hoc repleto vehementes appetitus excitātur aliarū quoque voluptatum. rursum vacuato, quietiores illæ reddūtur compositioresque. ideóque dicit alibi: Quisquis super vētrem quadrupes graditur, & multos habet pedes, impurus est. talis autē est amator voluptatis, semper super ventrem gradiens, & eas quæ inde nascuntur voluptates. cum repente autem supra ventrem coniunxit quadrupedem, nō immerito. quatuor enim sunt affectus voluptariorū, sicut egregius quidam liber docet. impurus igitur, tum qui vna voluptate fruitur, tum qui se volutat in omnibus quatuor. his dictis vide iterum quo differat perfectus ab eo qui adhuc proficit. certe vt iam ante compertū est, perfectus excidit totam iram è contentiosa anima, reddens eam cicurē māsuetāque, pacatam mitéque per omnia tū verbo tū opere. qui autē proficit, non valet quidē hunc affectum excidere: gestat enim pectus: sed erudit eū rationis iudi-

A τοιοῦτος δὲ ὁ θεραπευτὴς καὶ λειτουργὸς τῶν ἁγίων, ἀσκήσει καὶ πόνῳ χρώμενος· ἄπονος δή ἐστιν ᾧ ὁ θεὸς χαρίζεται κατὰ πολλὴν περιουσίαν τὰ ἀγαθὰ τέλεια· βραχύτερος δὴ εὑρίσκεται καὶ ἀτελέστερος, ὁ πόνῳ κτώμενος τὴν ἀρετήν, τοῦ ἀπόνως καὶ εὐμαρῶς αὐτὴν παρὰ θεοῦ λαβόντος Μωσέως· καὶ γὰρ αὐτὸ τὸ πονεῖν βραχύτερον καὶ ἔλαττόν ἐστι τοῦ ἀπονεῖν· οὕτω καὶ τὸ ἀτελὲς τοῦ τελείου, καὶ τὸ μανθάνον τοῦ αὐτομαθοῦς. διὰ τοῦτο
B σὺν μὲν βραχίονι λαμβάνει τὸ στῆθος Ααρών, δίχα δὲ βραχίονος Μωσῆς. τὸ στηθύνιον δὲ ἐπιθέματος καλεῖ διὰ τοῦτο, ὅτι ἐπικεῖσθαι δεῖ τῷ θυμῷ καὶ ἐφιδρύσθαι τὸν λόγον, ὡσπερεί τινα ἡνίοχον εὐθύνοντα σκληραύχενα καὶ ἀφηνιαστὴν ἵππον· τὸν δὲ βραχίονα, οὐκέτι ἐπιθέματος, ἀλλ' ἀφαιρέματος, διὰ τόδε· ὅτι δεῖ τὸν ὑπὲρ ἀρετῆς πόνον μὴ ἑαυτῇ προσάπτειν τὴν ψυχήν, ἀλλ' ἀφελεῖν ἀφ' ἑαυτῆς καὶ θεῷ ἀνενεγκεῖν, ὁμολογοῦσαν ὅτι οὐχ ἡ ἰσχὺς αὐτῆς οὐδὲ ἡ δύναμις περιε-
C ποίησε τὸ καλόν, ἀλλὰ καὶ ὁ τὸν ἔρωτα χαρισάμενος. οὔτε δὲ στηθύνιον, οὔτε ὁ βραχίων λαμβάνεται, πλὴν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου, κατὰ τὸ εἰκός. τότε γὰρ ἡ ψυχὴ σώζεται, ὅταν καὶ ὁ θυμὸς ἡνιοχηθῇ ὑπὸ λόγου, καὶ ὁ πόνος μὴ οἴησιν ἐγκατασκευάσῃ, ἀλλὰ παραχωρήσῃ τῷ εὐεργέτῃ θεῷ. τὸ δὲ μὴ μόνον ἐπὶ τῷ στήθει, ἀλλὰ καὶ τῇ κοιλίᾳ πορεύεσθαι τὴν ἡδονήν, εἴπομεν ἤδη, οἰκειότατον δηλοῦντες ἡδονῆς χωρίον, τὴν γαστέρα. σχεδὸν γὰρ ἀγγεῖον τῶν ἡδονῶν ἁπασῶν αὕτη
D ἐστί. πληρωθείσης γὰρ τῆς γαστρός, ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν γίνονται σύντονοι· κενωθείσης δέ, ἠρεμοῦσαι καὶ σταθερώτεραι· διὸ καὶ φησὶν ἑτέρωθι, Πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίᾳ, ἐπὶ τεσσάρων διαπαντός, ὅς πολυπληθεῖ ποσίν, ἀκάθαρτός ἐστι· τοιοῦτος δὴ ὁ φιλήδονος, ἀεὶ χωρῶν ἐπὶ γαστέρα καὶ τὰς μετὰ ταῦτα ἡδονάς. τῷ δὲ ἕρποντι ἐπὶ κοιλίαν τὸν ἐπὶ τεσσάρων βαδίζοντα ἥνωκεν, εἰκότως. τέτταρα γάρ ἐστι τὰ πάθη τῶν ἐν ἡδονῇ, ὥς
E τις καὶ ἐξαίρετος λόγος μέμνηται· ἀκάθαρτος οὖν ὅ καὶ τῷ ἑνὶ χρώμενος τῇ ἡδονῇ, καὶ ὁ πᾶσιν ἐφορμῶν τοῖς τέτταρσι. τούτων εἰρημένων, ἴδε διαφορὰν πάλιν τελείου προκόπτοντος. ὥσπερ οὖν πρότερον εὑρίσκετο, ὁ μὲν τέλειος ὅλον ἐκτέμνων τὸν θυμὸν τῆς ἐριστικῆς ψυχῆς, καὶ ποιῶν αὐτὴν τιθασὸν καὶ πραεῖαν, καὶ εἰρηναίαν, καὶ ἵλεων πρὸς πάντα ἔργα τε καὶ λόγον· ὁ δὲ προκόπτων, οὐ δυνάμενος μὲν ἀποκόψαι τὸ πάθος· φέρει γὰρ τὸ στῆθος· παιδεύων δὲ αὐτὸ λόγῳ κεκριμένῳ, ἔχοντι δύο ἀρετὰς, σαφήνειαν

καὶ ἀλήθειαν. οὕτω καὶ νῦν εὑρεθήσεται, ὁ μὲν σοφὸς, τελείως ἡδονὰς ἀπορριπτόμενος καὶ ἀποσειόμενος Μωσῆς· ὁ δὲ προκόπτων, οὐχ ἁπάσας, ἀλλὰ τὰς μὲν ἀναγκαίας καὶ ἁπλᾶς προσιέμενος, τὰς δὲ περιέργους καὶ περιττὰς κατὰ τὰς ἐπιτρώσεις παραιτούμενος· ἐπὶ γὰρ Μωσέως φησὶν οὕτως· Καὶ τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι τοῦ ὁλοκαυτώματος. πάνυ καλῶς· ὅλην γὰρ τὴν ψυχὴν ἀξίαν οὖσαν θεῷ προσάγεσθαι, διὰ τὸ μηδένα ἔχειν μήθ᾽ ἑκούσιον μήτ᾽ ἀκούσιον μῶμον ὁ σοφὸς καθαγιάζει. B οὕτω δὲ διακείμενος, ὅλην τὴν γαστέρα καὶ τὰς αὐτῆς καὶ μετ᾽ αὐτὴν ἡδονὰς ἐκπλύνει καὶ ἀπολύεται καὶ ἀπορρύπτεται, οὐχὶ μέρος τι, ἀλλ᾽ οὕτω καταφρονητικῶς ἔσχηκεν αὐτῆς, ὥστε οὐδὲ τὰ ἀναγκαῖα σιτία ἢ ποτὰ προσίεται, θεωρίᾳ τῶν θείων τρεφόμενος· διὸ καὶ ἐν ἑτέροις μαρτυρεῖται αὐτῷ· Τεσσαράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγε, καὶ ὕδωρ οὐκ ἔπιεν, ὅτε ἐν τῷ θείῳ ὄρει γενόμενος, χρησμῶν θεοῦ νομοθετοῦντος ἤκουεν. ἀλλ᾽ οὐ μόνον ὅλῃ τῇ γαστρὶ ἀποτάττεται, ἀλλὰ καὶ τοὺς πόδας C αὐτῇ *συναπορρίπτεται, τουτέστι τὰς ἐπιβάσεις τῆς ἡδονῆς. ἐπιβάσεις δὲ ἡδονῆς εἰσὶ τὰ ποιητικὰ αὐτῆς. ὁ γὰρ προκόπτων λέγεται τὰ ἐγκοίλια καὶ τοὺς πόδας λούειν, οὐ τὴν ὅλην κοιλίαν· ἰσχυρὸς γὰρ οὐκ ἔστι πᾶσαν ἡδονὴν διώσασθαι· ἀγαπητὸν δὲ, ἐὰν τὰ ἐγκοίλια αὐτῆς, τουτέστι τὰ ἐπιτρώγματα, ἅ φασιν οἱ φιλήδονοι ἐπιδόσεις εἶναι τινὰς τῶν προηγουμένων ἡδονῶν, ἃ γὰρ ὀψαρτυτῶν καὶ σιτοπόνων λίχνων περιεργία, καὶ προσεπιτείνει τὴν τοῦ προκόπτοντος μετριοπάθειαν, D τὸν μὲν ἄνευ προστάξεως παραιτεῖσθαι ὅλην τὴν γαστρὸς ἡδονήν· τὸν δὲ προκόπτοντα, μετὰ προστάξεως. ἐπὶ μὲν γὰρ τοῦ σοφοῦ λέγεται οὕτως, τὴν κοιλίαν καὶ τοὺς πόδας ὕδατι πλύνει, ἀνεπικελεύστως κατὰ τὴν ἑκούσιον γνώμην· ἐπὶ δὲ τῶν ἱερέων οὕτως. τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας οὐχὶ ἔπλυναν, ἀλλὰ πλυνοῦσι, σφόδρα παρατετηρημένως. δεῖ γὰρ τὸν μὲν τέλειον ἐξ ἑαυτοῦ κινεῖσθαι πρὸς τὰς κατ᾽ ἀρετὴν ἐνεργείας· τὸν δὲ ἀσκητὴν, μετὰ τοῦ ὑφηγουμένου τὰ E πρακτέα λόγου, ᾧ προστάττοντι πείθεσθαι καλόν. οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι Μωσῆς ὅλην τὴν κοιλίαν, τουτέστι τὴν γαστρὸς ἐκπλήρωσιν, παραιτούμενος, σχεδὸν καὶ τοῖς ἄλλοις πάθεσιν ἀποτάττεται, τοῦ νομοθέτου ἀπὸ μέρους ἑνὸς τὸ σύμπαν ἐναργῶς παριστῶντος, καὶ ἀπὸ συνεκτικωτάτου περὶ τῶν ἄλλων ἐν οἷς ἡσύχαζε, δυνάμει διεξιόντος. συνεκτικώτατον ἡ γαστρὸς ἐκπλήρωσις, καὶ ὡσανεὶ θεμέλιός τις τῶν ἄλλων παθῶν.

* ἴσως, συναπορρύπτεται.

A cio, habentis duas virtutes, doctrinam & veritatem. ita nunc quoque inuenietur, sapiēs quidem perfecte voluptates abijciens & excutiens Moses. qui autem proficit, non vniuersas: vt qui necessarias simplicésque admittit, curiosas & superfluas cauēs tanquam additamenta inutilia. nam de Mose sic scriptura loquitur: Et ventrem atque pedes holocautomatis aqua abluit. Valde pulchre. Totam enim animā dignam quæ offeratur Deo, quia nihil reprehensibile nec inuita nec vltro admisit, sapiens sacrificat. qui autem ita B est dispositus, totum vētrem eiúsque voluptates, cum alijs quæ inde nascuntur, eluit & repurgat à sordibus, non vnam aliquam partem, sed in tantum ista contemnit, vt vel necessarios cibos potúsque aspernetur, rerum diuinarum contemplatione se sustinens: Quapropter alibi de illo fertur testimonium: per quadraginta dies panem non comedit, nec aquā bibit, quando in monte Dei oracula Dei legislatoris audiebat. Nec cōtentus ven- C tri valedixisse, pedes quoque purgat à sordibus, hoc est fulcra voluptatis. sunt autem fulcra voluptatis, res quæ gignunt eam. de proficiente enim dicitur, quòd intestina ventris & pedes abluat, non totum ventrem. non sufficit enim ad repellendam totam voluptatem: satis est si auersetur eius interanea, id est auctaria: quæ voluptarij dicunt esse quædam additamenta præcedentium voluptatum, inuenta curiosa ministrorum gulæ popinariorúmque, & affectuum irritamenta D modum excedentium: quia ille vltro totam ventris voluptatem ablegat, hic vero qui adhuc proficit, non nisi monitus. nam de sapiente sic scriptum est: Ventrem & pedes aqua lauat, iniussus & sua sponte. de sacrificijs vero sic: intestina autem & pedes, non lauerunt sed lauant: quod valde caute dictum est. Oportet enim perfectum quidem sua sponte moueri ad virtutis opera: cum verò qui etiamnum meditatur, rationem monitricem sequi, cuius præce- E ptis parere bonum est. Nec illud ignorandum, quod Moses totum ventrem, hoc est ventris repletionem reijciens, cæteros quoque affectus propemodum ablegat: dum legislator per vnam partem de vniuerso manifeste docet: & de eo quod cætera continet docens, eadem opera subindicat de his quæ silentio præterit: quandoquidem ventris repletione comprehenduntur reliqua, ceu fundamēto aliorum affectuum.

nullus enim eorum potest consistere, nisi ventre subnixus, quem basim omnium natura posuit. quapropter post præcedētem Liç bonam progeniem, quando fœtus ad animam pertinētes in Iuda, id est confessione desiuerant, Deus vt in posterum corporis etiam profectibus prospiceret, Ballam Rachelis ancillam voluit vel ante heram suā parere. est autē Balla irrigatio. sciebat enim, quod nihil corporeum subsistere possit absque vētris rigatione: sed hic esse principatum regiménque totius corporis, curæque tantū hoc agentis, vt vita sit incolumis. sed cōsiderare oportet omnia verba subtilius, quando nihil hic non accurate dictū esse inuenies. Moses pectusculum aufert, vētrem vero non aufert, sed tantum lauat. cur ita? quia perfectus sapiens irascendi vim totam potest excidere, alienatus ab ira: ventrem execare nequaquam potest. Nam necessario cibo potúque vti natura cogitur, etiam si quis paucissimo contētus necessarium quoque contemnat & meditetur inediam. lauet igitur ventrem & repurget à condimentis impuris & superuacaneis. Hoc enim donum diuinitus oblatū virtutis auido satis est. & ideo de animæ adulteratæ suspecta dicitur: quòd si relicto recto rationalique sermone, qui maritus legitimus eius est, deprehensa fuerit consuetudinem habere cum affectu polluente animam, disrumpetur eius venter, id est inexplebilis & insatiabilis erit ventris voluptatibus ac concupiscentijs, nec vnquā eis expleri poterit propter suam imprudentiā & institutionem pessimā: sed alijs super alias affluentibus, eodem affectu laborabit perpetuò. nam non paucos noui adeò ventris cupiditatibus deditos, vt, quāuis imminente aliquo negotio, reuocentur ad meracas cōpotationes aliáque similia. male enim conuenit corporeis molibus cum ingenuis animæ desiderijs. sed corpora tanquam vasa ad mensuram facta, nihil admittūt immodicum, quicquid superfluit eijcientia. at concupiscentia nunquā expletur, semper indiga, nunquā non siticulosa. Et ideo vt consequens post diruptū ventrem additur femoris luxatio. nā affecta hoc pacto anima simul excidit recta ratio, cui est insita vis seminalis gignendi bonum aliquid. Quòd si, inquit,
Deut 12. polluta non fuerit, nō lædetur, & habebit liberorum liberos: videlicet si ab affectibus impolluta pudicitiam seruauerit legitimo marito, qui sanā rectáque rationē significat: fœcundā habebit animam

A οὐδὲν γοῦν ἐκείνων δύναται συστῆναι, μὴ ἐπερειδόμενον γαστρὶ, ἐφ' ᾗ πάντα ἐφίδρυκεν ἡ φύσις. διὰ τοῦτο γεννηθέντων τῶν ἐκ τῆς Λείας προτέρων τῶν ἀγαθῶν, καὶ ψυχικῶν στάντων ἐπὶ τῆς ἐξομολογήσεως Ἰούδα, μέλλων ὁ θεὸς δημιουργεῖν καὶ τὰς σώματος προκοπὰς, Βάλλαν τὴν Ῥαχὴλ παιδίσκην καὶ πρὸ τῆς δεσποίνης ὠδίνειν παρασκευάζει. Βάλλα δ' ἐστὶν ἐγκατάποσις. ᾔδει γὰρ ὅτι οὐδὲν τῶν σωματικῶν ἄνευ καταπόσεως καὶ γαστρὸς ὑποστῆναι δύναται, ἀλλὰ αὕτη κρατεῖ καὶ
B ἡγεμονεύει παντὸς τοῦ σώματος, καὶ τοῦ κατὰ τὸ ζῆν ψιλοῦ οἴκου. παρατήρει δὲ πάνυ τὴν λεπτολογίαν. οὐδὲν γὰρ λεχθὲν περιέργως εὑρήσεις· Μωσῆς μὲν τὸ στηθύνιον ἀφαιρεῖται· τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖ μὲν, πλύνει δέ. διὰ τί; ὅτι ὁ τέλειος σοφὸς, ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι καὶ ἀποκόψαι, ὀργῆς κατεξανιστάς· τὴν δὲ κοιλίαν ἐκτεμεῖν ἀδυνατεῖ. τοῖς γὰρ ἀναγκαίοις σιτίοις καὶ ποτοῖς ἡ φύσις βιάζεται χρῆσθαι, κἂν τὸ ὀλιγοδεέστατον καὶ
C καταφρονητικὸν αὐτῶν τῶν ἀναγκαίων, καὶ ἀσιτίαν αὐτὴν μελετῶντα. πλυνέτω δὴ αὐτὴν καὶ καθαιρέτω ἀπὸ τῶν περιττῶν καὶ ἀκαθάρτων παρασκευῶν· ἱκανὴ γὰρ καὶ αὕτη παρὰ θεοῦ τῷ φιλαρέτῳ δωρεά. διὰ τοῦτο ἐπὶ τῆς διαγονθείσης διεφθάρθαι ψυχῆς φησιν, ὅτι ἐὰν μὲν ἀπολελειπυῖα τὸν ὀρθὸν λόγον, ὅς ἐστιν ἀνὴρ νόμιμος, εὑρεθῇ προσκεχωρηκυῖα τῷ μιαίνοντι τὴν ψυχὴν πάθει, πρησθήσεται τὴν γαστέρα, ὅπερ ἦν ἀπληρώτους καὶ * ἀκορέστους. ἕξει γὰρ γαστρὸς ἡδονὰς καὶ ἐπιθυμίας, καὶ οὐδέποτε παύσεται ἴσως ἀκορέστους ἕξει τῆς γα
D ἄπληστος εἶναι δι' ἀπαιδευσίαν· ἀλλ' ἀμυθήτων ἐπιρρεόντων, ἀΐδιον ἕξει τὸ πάθος. οἶδα οὖν πολλοὺς οὕτω πλαίοντας περὶ τὴν τῆς γαστρὸς ἐπιθυμίαν, * ὥστ' ἔτι αὐτοῖς χρησόμενοι, πάλιν ἐπὶ τὸν ἄκρατον καὶ τἄλλα ὥρμηντο· οὐ γὰρ * ἀλογεῖ τοῖς σωματικοῖς ὄγκοις ἡ τῆς ἀκρατεστέρας ψυχῆς ἐπιθυμία. ἀλλ' οἱ μὲν, ἅτε ἀγγεῖα ὄντες μεμετρημένα, ἄμετρον οὐδὲν προσίενται, ἀλλὰ τὸ περιττὸν ἐκβάλλουσιν· ἡ δὲ ἐπιθυμία πληροῦται μὲν οὐδέποτε, μένει δὲ ἐνδεὴς καὶ διψαλέα ἀεί· παρ' ὃ καὶ τὸ ἀκό-
E λουθον προστίθεται τῷ πρησθῆναι τὴν γαστέρα τὸ διαπεσεῖν τὸν μηρόν. διαπίπτει γὰρ τότε τῇ ψυχῇ καὶ ὁ σπερματικὸς καὶ γεννητικὸς τῶν καλῶν λόγος ὀρθός. Ἐὰν γοῦν, φησὶ, μὴ μιανθῇ, καὶ καθαρὰ ᾖ, καὶ ἀθῷος ἔσται ἐκ σπερμάτων εἰς σπέρμα, ἐὰν ὑπὸ πάθους μὴ μιανθῇ, καθαρεύσῃ δὲ πρὸς τὸν νόμιμον ἄνδρα τὸν ὑγιῆ καὶ ἡγεμόνα λόγον, γόνιμον ἕξει ψυχὴν καὶ καρποφόρον, φέρουσαν γέννημα φρονήσεως καὶ δικαιοσύνης καὶ τῆς συμπάσης ἀρετῆς.

ἴσως ἐπ' αὐτοῖς χρησάμενοι

ἴσως, οὐ γὰρ ἀναλογεῖ

ἆρ' οὖν ἡμᾶς ἐνδεδεμένους σώματι οἷόν τε σωματικαῖς ἀνάγκαις μὴ χρῆσθαι; καὶ πῶς ἔνεστιν; ἀλλ' ὅρα. ὁ ἱεροφάντης ὃν τρόπον, παρηγγύα τῷ ἀγομένῳ ὑπὸ σωματικῆς χρείας, αὐτῷ μόνῳ χρῆσθαι τῷ ἀναγκαίῳ. Πρῶτον μέν, φησί, τόπος ἔστω σοι ἔξω τῆς παρεμβολῆς, παρεμβολὴν καλῶν τὴν ἀρετήν, ἐν ᾗ ἐστρατοπέδευκεν ἡ ψυχή. οὐ γὰρ δύναται ἐν αὐτῇ κρατεῖν χώραν φρόνησις, καὶ σωματικῆς ἀνάγκης * ἀπόλαυσις. Εἶτα ἐξελεύσῃ, φησίν, ἐκεῖ ἔξω. διὰ τί; ὅτι οὐ δύναται ἡ ψυχὴ καταμένουσα μετὰ φρονήσεως, καὶ ἐν τῷ οἴκῳ διατρίβουσα τῆς σοφίας, χρῆσθαι τινὶ τῶν φίλων σώματος. τρέφεται γὰρ τότε θειοτέραις τροφαῖς ἐν ταῖς ἐπιστήμαις, δι' ἃς καὶ τῆς σαρκὸς ἀμελεῖ. ἐπειδὰν γὰρ ἐξέλθῃ τῶν ἱερῶν ἀρετῆς ὀστῶν, τηνικαῦτα ἐπὶ τὰς τὸ σῶμα πλημμελούσας καὶ πιεζούσας ὕλας τρέπεται. πῶς οὖν αὐταῖς χρήσομαι; Πάσσαλος ἔστω σοι, φησίν, ἐπὶ τῆς ζώνης σου, καὶ ὀρύξεις ἐν αὐτῷ. τουτέστι λόγος ἐπὶ τοῦ πάθους ἐξορύττων καὶ ἀναστέλλων καὶ ἀπαμφιεννὺς αὐτό. ἀνεζῶσθαι γὰρ βούλεται ἡμᾶς τὰ πάθη· ἀλλὰ μὴ ἀνειμένα καὶ κεχαλασμένα φορεῖν· διὸ καὶ ἐπὶ τῆς διαβάσεως αὐτῶν, ἣ καλεῖται πάσχα, προστάττει τὰς ὀσφῦς περιεζῶσθαι, ἤτοι συνεστάλθαι τὰς ἐπιθυμίας. πάσσαλος οὖν, τουτέστι λόγος, ἑπέσθω τῷ πάθει, κωλύων αὐτὸ χεῖσθαι. οὕτω γὰρ αὐτοῖς μόνοις χρησόμεθα τοῖς ἀναγκαίοις, τῶν δὲ περιττῶν ἀφεξόμεθα· κἂν ἐν συνουσίαις ὄντες καὶ μέλλοντες εἰς ἀπόλαυσιν καὶ χρῆσιν τῶν παρεσκευασμένων ἥκειν, σὺν λόγῳ παραγενώμεθα, ὥσπερ ὅπλῳ τινὶ ἀμυντηρίῳ, οὔτε πέραν τοῦ μετρίου σιτίων ἐμφορηθησόμεθα αἰθυιῶν τρόπον, οὔτ' ἀκράτῳ ἀμέτρῳ κορεσθέντες, μέθῃ ληρεῖν ἀναγκαζούσῃ χρησόμεθα· ἐπιστομιεῖ γὰρ ὁ λόγος καὶ ἐγχαλινώσει τὴν ῥύμην καὶ φορὰν τοῦ πάθους. ἐγὼ γοῦν αὐτὸ πολλάκις παθὼν οἶδα. εἰς γὰρ ἀδιαγώγους συνουσίας ἐλθών, καὶ πολυτελῆ δεῖπνα, ὁπότε μὴ ἀφικοίμην σὺν λόγῳ, δοῦλος ἐγινόμην τῶν παρεσκευασμένων, ἀγόμενος ὑπὸ δεσποτῶν ἀτιθάσων, θεαμάτων καὶ ἀκουσμάτων, καὶ τῶν ὅσα διὰ μυκτῆρος καὶ γεύσεως ἡδονὰς ἀπεργάζεται· ὁπότε δὲ μετὰ τοῦ αἱροῦντος λόγου, δεσπότης ἀντὶ δούλου γίνομαι, καὶ ἀνακηρυκτος νικῶ καλὴν νίκην καρτερίας καὶ σωφροσύνης, ἀντιβαίνων καὶ ἀντιφιλονεικῶν πᾶσι τοῖς ἀναρρηγνῦσι τὰς ἀκράτορας ἐπιθυμίας. Ὀρύξεις, φησὶ γοῦν τῷ πασσάλῳ, τουτέστιν ἓν ἕκαστον ἔχει φύσιν, τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τοῖς μετὰ γαστέρα χρῆσθαι, τῷ λόγῳ γυμνώσεις, καὶ διαστελεῖς, ἵνα διακρίνας,

γρ. ἴσως ἀπλαύσεως

A & fructiferam, progenitiuam prudentiæ, iustitię & cuiuscunque virtutis. ergo possumus deuincti corpore non vti necessarijs corporis? Est aliquis modus, vide quis. Is qui nos sacris initiat, præcipit cuiuis à quo suum debitum exigit corpus, vt contentus sit necessarijs. Ante omnia locus, inquit, sit tibi extra castra, castra vocans virtutem, in quibus militat anima. nec enim in vna sede morantur, prudentia, & corporis curandi necessitas. mox addit: Egredieris inde foras. Deut.23. Deut.23.

B quamobrem? quia non potest anima cohabitans cum prudentia, & contubernium habens cum sapientia, frui delicijs corporis. tunc enim diuinioribus alimentis nutritur, scilicet scientijs, propter quas carnem negligit. egressa enim sacratis virtuti ossibus, tum demum vertitur ad hoc corpus grauãtes prementésque materias. quomodo igitur his vtendum? Paxillus, inquit, in zona tibi pendeat, quo cauum fodias. hoc est, præsto sit tibi ratio quæ affectũ effodiat, astrin- Deut.23.

C gens. affectus enim postulant nos accinctos esse, nõ vti cinctura laxiore. quapropter etiam de transitu per eos, qui pascha nominatur, pręceptum extat, quo monemur lumbos accingere, siue astringere concupiscentias. hic igitur paxillus, hoc est ratio, comitetur affectum, obstaturus ne se effundat. Sic enim fiet, vt solis contẽti necessarijs, abstineamus à superfluis: & vel in cõuiuijs atque parata rerum copia, quæ ad vsum simul & luxum satis sit, rationem adhibeamus quæ nos tanquam

D scutum protegat: vt neque vltra modum cibos lari more ingurgitemus, neque nimio mero expleti, per ebrietatem in delirationem prolabamur. Nam ratio compescet refrenabítque procliuiorem talis affectionis impetum. ipse quidem sæpe hoc mihi vsu venisse memini. accedens enim ad indisciplinata conuiuia, cœnásque sumptuosas, nisi rationẽ mecum adduxissem, mãcipabar rebus apparatis, abstractus à Dominis immansue-

E tis, videlicet qui spectatu, auditu, odoratu gustúque voluptatem pariunt. Sed quoties accedo cum rationis delectu, iam non seruus fio sed Dominus, & egregie vinco victoriam honestissimam in certamine constantiæ temperantiæque, resistens opponénsque me omnibus cupiditatibus quæ solent immoderatos pessundare. Fodies, inquit, paxillo, Deut.23. v.13.
id est provt tibi est ingenium procliue ad cibum, potum, aut ea quæ sub ventre sunt, ratione aperies & distingues, vt vbi

discreueris, verum cognoscas. tunc
enim scies in horum nullo inesse bo-
num, sed necessarium tantum & vti-
le. Mox addit: Operies turpitudinem
tuam. admodum recte. Adduc enim ô
anima rationem ad omnia, qua operi-
tur, & obumbratur, occultatúrque omnis
turpitudo carnis & affectuum. quicquid
enim ratione caret turpe est, sicut de-
corum quicquid cum ratione coniun-
ctum. itaque voluptatis amicus supra
ventrem graditur: perfectus autem ven-
trem totum eluit: qui vero proficit, in-
testina. at qui adhuc in rudimentis hæ-
ret, foras exit, quando ad requisita ven-
tris afferens rationem, cohibiturus est
affectum: quod figurate paxillus signi-
ficat. Recte quoque additur: Gradie-
ris supra pectus & supra ventrem.] Vo-
luptas enim non est quiescentium &
stantium, sed commotorum & pertur-
batione plenorum: & sicut flamma con-
tinue mouetur, ita cuiusdam flammæ
more affectus hic in anima excitus, non
sinit eam quiescere. ideo reclamat his
qui aiunt sedandi vim inesse in eo.
quies enim ligno & cuiuis inanimato est
propria, voluptas vero aliena ab hoc
genere. titillationem enim & conuul-
sionem quandam appetit: & interdum
non quietem sed continuum vehemens-
que exercitium postulat. Illud autem:
Gen. 2. Terram comedes omnibus diebus vitæ
tuæ] apposite dictum est. nam corpora-
lis voluptatis alimenta terrena sunt. nec
immeritò. Duo sunt ex quibus consta-
mus, anima & corpus. hoc è terra fa-
Gen. 2. ctum, illa Dei figmentum æthereum. In-
spirauit enim in faciem eius spiritum vi-
tæ, & factus est homo in animam viuen-
tem. pulchre igitur conuenit vt factum è
terra corpus cognatis alatur cibis quos
terra producit: at illa ethereæ naturæ
portio, scilicet anima, habeat alimenta
diuina æthereáque, nam scientijs nutri-
tur, non cibo aut potu, quibus corpus in-
diget. Ali porrò animam non rebus ter-
restribus, sed cælestibus, testabitur am-
Exod. 16. plius sacra scriptura: Ecce ego pluo vobis
panes de cælo: egrediatur populus & col-
ligat quæ sufficiunt in diem: vt tentem
eum vtrum ambulet in lege mea, an
non.] Viden alimenta animæ non terre-
na & corruptibilia, sed verba quæ Deus
pluit de sublimi puráque natura, quam
nunc cælum nominauit? Egrediatur sanè
populus & omnis cœtus animę, incipiát-
que colligere scientiam, non aceruatim,
sed quantū sufficit in diem. sic enim fiet.

A γνώσῃ τἀληθές. τό τε γὰρ εἴσῃ ὅτι ἐν οὐδενὶ τούτων
ἐστὶ τὸ ἀγαθόν, ἀλλὰ τὸ ἀναγκαῖον μόνον καὶ χρήσι-
μον. καὶ ἐπαγαγών, Καλύψεις τὴν ἀσχημοσύνην
σου. πάνυ καλῶς. ἄναγε γὰρ ὦ ψυχὴ τὸν λόγον
ἐπὶ πάντα, ᾧ καλύπτεται καὶ συσκιάζεται καὶ
συγκρύπτεται πᾶσα ἀσχημοσύνη σαρκὸς καὶ πάθους·
τὰ γὰρ μὴ σὺν λόγῳ πάντα αἰσχρά, ὥσπερ τὰ σὺν
λόγῳ κόσμια. οὐκοῦν ὁ μὲν φιλήδονος ἐπὶ κοιλίαν
βαδίζει, ὁ δὲ τέλειος τὴν κοιλίαν ὅλην ἐκπλύνει· ὁ δὲ
προκόπτων, τὰ ἐν κοιλίᾳ· ὁ δὲ ἄρτι ἀρχόμενος
B παιδεύεσθαι, ἔξω προελεύσεται, ὅταν μέλλῃ τῆς γα-
στρὸς τοῖς ἀναγκαίοις ἐπιφερόμενος λόγον, ἐπιστο-
μιεῖν τὸ πάθος, ὃς εἴρηται συμβολικῶς πάσσα-
λος. εὖ μέντοι καὶ τὸ προσθεῖναι, Πορεύσῃ ἐπὶ
τῷ στήθει καὶ τῇ κοιλίᾳ. ἡ γὰρ ἡδονὴ οὐκ ἔστι τῶν ἠρε-
μούντων καὶ ἱσταμένων, ἀλλὰ τῶν κινουμένων καὶ
ταραχῆς γεμόντων· ὥσπερ ἡ φλὸξ ἐν κινήσει, οὕτω
φλογμοῦ τινὰ τρόπον τὸ πάθος ἐν ψυχῇ κινούμενον,
ἠρεμεῖν αὐτὴν οὐκ ἐᾷ· διὸ καὶ τοῖς λέγουσι κα-
C ταστηματικὴν εἶναι τὴν ἡδονήν, οὐ συμφέρεται.
ἠρεμία γὰρ λίθῳ μὲν καὶ ξύλῳ καὶ παντὶ ἀψύχῳ
οἰκεῖον, ἀλλότριον δὲ ἡδονή. γαργαλισμοῦ γὰρ καὶ
σπασμώδους ἐφίεται, καὶ ἐπ' ἐνίων, οὐκ ἠρεμίας,
ἀλλὰ συντόνου καὶ σφοδρᾶς κινήσεώς ἐστι χρεία.
τὸ δὲ γῆν φάγεσαι πάσας τὰς ἡμέρας τῆς ζωῆς
σου, τοῦτο προσφυῶς εἴρηται. τῆς γὰρ σώματος τρο-
φῆς, ἡδοναὶ γήιναι. καὶ μήποτ' εἰκότως; δύο ἐστὶν
ἐξ ὧν συνέσταμεν, ψυχή τε καὶ σῶμα· τὸ μὲν οὖν
σῶμα ἐκ γῆς δεδημιούργηται· ἡ δὲ ψυχή, αἰθέρος
D ἐστὶν ἀπόσπασμα θεῖον. Ἐνεφύσησε γὰρ εἰς τὸ
πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς ὁ θεός· καὶ ἐγένετο
ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. εὐλόγως οὖν τὸ
μὲν ἐκ γῆς διαπλασθὲν σῶμα συγγενεῖς ἔχει τρο-
φὰς ἃς ἀναδίδωσιν ἡ γῆ· ἡ δὲ αἰθερίου φύσεως μοῖ-
ρα οὖσα ψυχή, πάλιν αἰθερίους καὶ θείας. ἐπιστή-
μαις γὰρ τρέφεται, καὶ οὐ σιτίοις ἢ ποτοῖς, ὧν ἐπι-
δεές ἐστι τὸ σῶμα. ὅτι δὲ οὐ γήινοι, ἀλλ' οὐράνιοι
αἱ ψυχῆς τροφαί, μαρτυρήσει διὰ πλειόνων ὁ
E ἱερὸς λόγος. Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους τοῦ οὐρα-
νοῦ, καὶ ἐξελεύσεται ὁ λαός, καὶ συνάξουσι τὸ
τῆς ἡμέρας εἰς ἡμέραν· ὅπως πειράσω αὐτούς,
εἰ πορεύσονται τῷ νόμῳ μου. ἢ οὐχ ὁρᾷς ὅτι
οὐ γηίνοις καὶ φθαρτοῖς τρέφεται ἡ ψυχή, ἀλλ'
οἷς ἂν ὁ θεὸς ὀμβρήσῃ λόγοις ἐκ τῆς μεταρσίου
καὶ καθαρᾶς φύσεως, ἣν οὐρανὸν κέκληκεν; ἐξί-
τω μέν τοι ὁ λεώς, καὶ πᾶν τὸ τῆς ψυχῆς σύστημα,
καὶ συναγαγέτω καὶ ἀρχέσθω τῆς ἐπιστήμης,
μὴ ἀθρόως, ἀλλὰ τὸ τῆς ἡμέρας εἰς ἡμέραν.

πρῶτον μὲν γάρ, ἀθρόον οὐ χωρήσει τὸν πολὺν πλοῦτον τῶν τοῦ θεοῦ χαρίτων, ἀλλὰ τῇ φορᾷ χειμάρρου τρόπον ἐπικλυσθήσεται. ἔπειτ', ἔστιν αὐτάρκη λαβόντας ἀγαθὰ καὶ μεμετρημένα, τὴν λοιπῶν ταμιείαν οἰκειῶσαι θεόν. ὁ δὲ πάντα μετρεῖν ἀθρόον, δυσελπιστίαν μετὰ πολλῆς ἀηδίας κτᾶται. δύσελπις γάρ, εἰ νῦν μόνον, ἀλλὰ καὶ μὴ αὖθις ἐλπίζει τὸν θεὸν ὀμβρήσειν αὐτῷ ἀγαθά· ἄπιστος δέ, εἰ μὴ πεπίστευκε καὶ νῦν καὶ ἀεὶ τὰς τοῦ θεοῦ χάριτας ἀφθόνως τοῖς ἀξίοις προσνέμεσθαι. ἄνους δέ, εἰ οἴεται τῶν συναχθέντων ἱκανὸς ἔσεσθαι φύλαξ, ἄκοντος θεοῦ. μικρᾷ γὰρ ῥοπῇ τὸν ἀσφαλῆ καὶ βεβαιότατον παρεισπλοῦντα νοῦν ὑπὸ μεγαλαυχίας ἑαυτῷ, ἄκυρον καὶ ἀβέβαιον ὧν ἐδόκει φύλαξ εἶναι πάντων, ἐποίησε· συνάγαγε οὖν ὦ ψυχὴ τὰ αὐτάρκη καὶ καθήκοντα, καὶ μήτε πλείω τοῦ ἱκανοῦ ὡς ὑπερβάλλειν, μήτε ἐλάττω πάλιν ὡς ἐνδεῖν, ἵνα μέτροις δικαίοις χρώμενος, μὴ ἀδικῇς. καὶ γὰρ διαβατήρια μελετῶντα ἀπὸ τῶν παθῶν καὶ τὸ πάσχα θύοντα δεῖ τὴν προκοπὴν τὸ πρόβατον λαμβάνειν μὴ ἀμέτρως· Ἕκαστος γάρ, φησί, τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται τὸ πρόβατον * καὶ ἐπὶ τοῦ μάννα οὖν καὶ ἐπὶ πάσης δωρεᾶς ἣν ὁ θεὸς δωρεῖται τῷ γένει ἡμῶν, καλὸν τὸ ἐνάριθμον, καὶ μεμετρημένον, καὶ μὴ τὸ ὑπὲρ ἡμᾶς λαμβάνειν πλεονεξίᾳ. τοῦτό γε τὸ τῆς ἡμέρας οὖν εἰς ἡμέραν συναγαγέτω ἡ ψυχή, ἵνα μὴ ἑαυτὴν φύλακα τῶν ἀγαθῶν, ἀλλὰ τὸν φιλόδωρον θεὸν ἀποφήνῃ. καὶ διὰ τοῦτό μοι δοκεῖ τὸ προκείμενον λέγεσθαι. σύμβολον φωτός ἐστιν ἡ ἡμέρα. φῶς δὲ ψυχῆς ἐστι παιδεία. πολλοὶ οὖν τὰ ἐν ψυχῇ φῶτα ἐκτήσαντο εἰς νύκτα καὶ σκότος, ἀλλ' οὐκ εἰς ἡμέραν καὶ φῶς· οἷον τὰ προπαιδεύματα πάντα, καὶ τὰ ἐγκύκλια λεγόμενα, καὶ φιλοσοφίαν αὐτὴν τρυφῆς ἕνεκεν ἢ ἀρχῆς τῆς πρὸς τοὺς ἡγεμόνας· ὁ δέ γε ἀστεῖος τὴν ἡμέραν ἕνεκα ἡμέρας, καὶ τὸ φῶς ἕνεκα φωτός, καὶ τὸ καλὸν ἕνεκα τοῦ καλοῦ κτᾶται μόνου, οὐχ ἕνεκα ἄλλου τινός· διὸ καὶ ἐπιφέρει, Ὅπως πειράσω αὐτοὺς εἰ πορεύσονται τῷ νόμῳ μου, ἢ οὔ. νόμος γὰρ θεῖος οὗτος, τὴν ἀρετὴν δι' ἑαυτὴν τιμᾶν. τοὺς οὖν ἀσκητὰς ὥσπερ νόμισμα δοκιμάζει ὁ ὀρθὸς λόγος, πότερα κεκηλίδωνται, ἐπί τι τῶν ἐκτὸς διαφέροντες τὸ τῆς ψυχῆς ἀγαθόν, ἢ ὡς δόκιμον διαστέλλουσιν, ἐν διανοίᾳ μόνῃ διαφυλάττοντες τοῦτο. τούτοις συμβέβηκε μὴ τοῖς γηίνοις, ἀλλὰ τοῖς ἐπουρανίοις ἐπιστήμαις τρέφεσθαι. δηλοῖ δὲ καὶ δι' ἑτέρων, ὅταν φησί, Τὸ πρωῒ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ

* συναριθμήσεται εἰς πρόβατον

primùm vt ne simul & semel exhauriantur immensæ opes gratiarum Dei, sed exundent torrentis in morem. deinde vt quisque sumpta mensura quæ sufficiat, reliquorum dispensationem permittat Deo. qui vero vult omnia colligere, desperationem sibi parat & molestiã maximam. desperat enim, si nunc tantũ, non etiam in posterũ, sperat Deum sibi pluiturum commoda: & infidelis est si non credit & nunc & semper gratiã copiose dandam his qui digni sunt: & demens est, si putat se posse inuito Deo seruare quæ collegerit. paruo enim momẽto eum qui securitatem constantiámque mentis sibi arrogat per iactantiam, infirmum reddit incertũque custodem rerũ quas seruare sibi videbatur. collige igitur ô anima quæ sufficiunt & conueniũt, vt neque plus satis exuberent, neque infra modum collecta inopiam afferant: vt iusta mensura vtẽdo, nihil iniquè facias. meditãtem enim te migrationem ab affectibus, & pascha immolantem oportet modicos profectus, non nimios facere. Colligat, inquit, vnusquisque ex eo quãtum sufficit ad vescendum. Ergo & in manna & in quolibet dono quod Deus largitur nostro generi, decet contentum esse certa mẽsura certóque numero, nec plura quã pro capacitate sumere per auaritiam. colligat potius anima quantum quotidie sufficit, & custodiam bonorum suorũ munificentissimo Deo credat magis quàm sibi. id cur ita censeam, dicere nunc non alienum à proposito fuerit. Per diem lux intelligitur. Lux autẽ animæ est eruditio. multi igitur animæ lumina parauerunt sibi in noctem & tenebras, non in diem & lucem: qualia sunt prima rudimenta disciplinarum omnia, & encyclopædia quam vocant, ipsáque philosophia propter delicias expetita & autoritatem apud principes. at homo ciuilis diurnum parat in diem, & lucem in lucem, & honestatem propter ipsam solam non propter quicquam aliud. ideóque additur: vt tentem eos vtrum ambulent in lege mea, an non.] hoc enim Dei lex iubet, virtutem propter ipsam colere. itaque studiosos virtutis tanquam nummos examinat recta ratio, vtrum vitium habeant, animæ bona referendo ad res exteras: an probæ monetæ sint, conseruando ea in sola anima. hi non terrenis cibis aluntur, sed scientijs cælestibus: quod alijs etiam verbis docet sacra scriptura, cum dicit: Mane quoque ros iacuit per circuitum castrorum:

Exod. 12.

& ecce in superficie terræ in solitudine tanquam corianum album in similitudinem pruinæ super terram. quod cum vidissent, dicebant alius ad alium, quid est hoc? ignorabant enim quid esset. quibus ait Moses: hic est panis quem Dominus dedit ad vescẽdum: hic est sermo quem præcepit Dominus.] Viden cibum animæ qualis sit? verbum Dei continuum, rori simile, per circuitum totam complectens, & nullam partem eius expertem sui relinquens. hic sermo non vbique apparet. sed vbi desertum est vacuum vitijs & affectibus estque tenuis qui percipiatur & intelligatur, pellucidúsque valde ac purus aspectu, & coriano similis. aiunt autem rei rusticæ periti, etiamsi semen hoc concidatur minutissime, singulas portiunculas & micas satas germinare, non secus quam corianum solidum. Huiusmodi est etiam sermo Dei: qui vel integer iuuare potest, vel quacunque sui particula. Quid si κόρῃ, id est pupillæ oculi, similis dicitur? sicut enim hæc quamuis minima particula, videt hos cælestes orbes, & immensum mare, & aeris amplitudinem, præterea solis tam occidentis quam orientis terminos: pari modo sermo quoque diuinus cernit acutissime, qui sufficit inspiciendis rebus omnibus, per quem videbuntur quæcumque digna spectatu. ideóque album est manna. Quid enim fulgidius Dei sermone aut radiantius? cuius participatione & aliæ res caliginem ac tenebras excutiunt, quę appetunt lucem animarum. huic sermoni quiddam peculiare accidit. nam quando animam ad se aduocat, gelu excitat in omnibus rebus terrenis, corporeis, ac sensibilibus. ideo dicitur, tanquã pruina super terram. Quoties enim homo Deum vidẽs fugam meditatur ab affectibus, congelãtur vndæ, hoc est impetus ac moles eorum & iactantia. concreuerunt enim vndæ in medio mari, vt transiret affectum Israel videns Deum. Itaque percontantur se inuicem animæ, quæ admiserũt quidem iam sermonem, sed non possunt dicere quidnam sit. Nam sæpe perfusi dulcedine, saporem nescimus vnde illa proficiscitur: & suaues odores olfaciẽdo, quinam sint ignoramus. Sic & anima sæpe gaudens non potest indicare causam suæ lætitiæ: sed docetur ab initiatore vatéque Mose dicente: Hic est panis, cibus quem dedit Deus animabus: vt se pascant verbo ipsius atque sermone. Nam hic est panis datus nobis ad vescendum, vide-

A ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου ὡσεὶ κόριον λευκὸν, ὡσεὶ πάγος ἐπὶ τῆς γῆς. ἰδόντες δὲ αὐτὸ εἶπον ἕτερος τῷ ἑτέρῳ, τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν τί ἦν. εἶπε δὲ αὐτοῖς Μωσῆς, οὗτος ὁ ἄρτος ὃν δέδωκεν ἡμῖν κύριος τοῦ φαγεῖν. τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος. ὁρᾷς τῆς ψυχῆς τὴν τροφὴν οἷα ἐστί; λόγος θεοῦ συνεχὴς, ἐοικὼς δρόσῳ, κύκλῳ πᾶσαν περιειληφὼς, καὶ μηδὲν μέρος ἀμέτοχον αὐτοῦ ἐῶν· φαίνεται δὲ οὐ πανταχοῦ ὁ λόγος οὗτος,
B ἀλλ' ἐπ' ἐρήμου παθῶν καὶ κακιῶν, καὶ ἐστὶ λεπτὸς νοῆσαί τε καὶ νοηθῆναι, καὶ σφόδρα διαυγὴς καὶ καθαρὸς ὁραθῆναι, καὶ ἔστιν ὡσεὶ κόριον· φασὶ δὲ οἱ γεωπόνοι τὸ σπέρμα τοῦ κορίου διαιρεθὲν εἰς ἄπειρα καὶ τμηθὲν, καθ' ἕκαστον τῶν μερῶν καὶ τμημάτων σπαρὲν βλαστάνειν οὕτως ὡς καὶ τὸ ὅλον ἠδύνατο. τοιοῦτος καὶ ὁ θεοῦ λόγος, καὶ δι' ὅλων ὠφελητικὸς, καὶ διὰ παντὸς μέρους καὶ τοῦ τυχόντος· μήποτε δὲ ὁμοιοῦται καὶ τῇ κατὰ τὸν ὀφθαλμὸν κόρῃ; ὡς γὰρ αὕτη βραχύτατον οὖσα μέ-
C ρος, τὰς τῶν ὄντων ὁρᾷ ζώνας ὅλας, καὶ θάλατταν ἄπειρον, καὶ ἀέρος μέγεθος, καὶ τοῦ παντὸς οὐρανοῦ ὅσον ἀνατέλλων καὶ δυόμενος ὁ ἥλιος ὁρίζει· οὕτω καὶ ὁ θεῖος λόγος ὀξυδερκέστατός ἐστιν, ὡς πάντα ἐφορᾶν εἶναι ἱκανὸς, ᾧ τὰ θέας ἄξια κατόψονται· παρ' ὃ καὶ λευκόν ἐστι. τί γὰρ ἂν εἴη λαμπρότερον ἢ τηλαυγέστερον θείου λόγου, οὗ κατὰ μετουσίαν καὶ τὰ ἄλλα τὴν ἀχλὺν καὶ τὸν ζόφον ἀπελαύνει φωτὸς κοινωνῆσαι ψυχικοῦ γλιχόμενα. ἴδιον δὲ περὶ τοῦτον τὸν λόγον συμβαίνει πάθος.
D ὅταν γὰρ καλέσῃ πρὸς ἑαυτὸν τὴν ψυχὴν, πῆξιν ἀνεγείρει τῶν γεωδῶν καὶ σωματικῶν καὶ αἰσθητικῶν πάντη· διὸ λέγεται τὸ ὡσεὶ πάγος ἐπὶ τῆς γῆς. καὶ γὰρ ἡνίκα ὁ τὸν θεὸν ὁρῶν φυγὴν τὴν ἀπὸ τῶν παθῶν μελετᾷ, πήγνυνται τὰ κύματα, τουτέστιν ἡ φορὰ καὶ αὔξησις καὶ τὸ μεγάλαυχον αὐτῶν. ἐπάγη γὰρ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης, ἵνα διαβῇ τὸ πάθος ὁ βλέπων τὸν ὄντα. πυνθάνονται οὖν ἀλλήλων αἱ ψυχαὶ αἱ πεπονθυῖαι μὲν ἤδη τὸν
E λόγον, οὐκ ἔχουσαι δὲ εἰπεῖν τὸ τί ἐστι. καὶ γὰρ γλυκανθέντες πολλάκις, τὸν κεκινηκότα χυμὸν ἀγνοοῦμεν· καὶ ἡδέων ἀτμῶν ὀσφραινόμενοι, τίνες εἰσὶν οὐκ ἴσμεν. οὕτως οὖν ἡ ψυχὴ γανωθεῖσα πολλάκις, εἰπεῖν οὐκ ἔχει, τί τὸ γανῶσαν αὐτήν ἐστι. διδάσκεται δὲ ὑπὸ τοῦ ἱεροφάντου καὶ προφήτου Μωϋσέως, ὃς ἐρεῖ, Οὗτός ἐστιν ὁ ἄρτος, ἡ τροφὴ ἣν ἔδωκεν ὁ θεὸς τῇ ψυχῇ, προσενεῖκαθαι τὸ ἑαυτοῦ ῥῆμα, καὶ τὸν ἑαυτοῦ λόγον. οὗτος γὰρ ὁ ἄρτος ὃν δέδωκεν ἡμῖν φαγεῖν, τοῦτο τὸ ῥῆμα. λέ-

γει δὲ καὶ ἐν Δευτερονομίῳ, Καὶ ἐκάκωσέ σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώμισέ σε τὸ μάννα, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου, ἵνα ἀναγγείλωσί σοι, ὅτι οὐκ ἐπὶ ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. ἡ κάκωσις αὕτη ἱλασμός ἐστι. καὶ γὰρ τῇ δεκάτῃ κακοῦν ἡμῶν τὰς ψυχὰς ἱλάσκεται· ὅταν γὰρ τὰ ἡδέα περιαιρώμεθα, δοκοῦμεν κακοῦσθαι· τὸ δ' ἐστὶ πρὸς ἀλήθειαν, ἵλεω τὸν θεὸν ἔχει. πειρᾷ δὲ ἡμῖν καὶ λιμὸν, οὐκ ἀρετῆς, ἀλλὰ τῆς ἐκ πάθους καὶ κακίας συνισταμένου. τεκμήριον δέ, διατρέφει γὰρ ἡμᾶς τῷ γενικωτάτῳ αὐτοῦ λόγῳ. τὸ γὰρ μάννα ἑρμηνεύεται τί τοῦτ' ἐστι, τὸ γενικώτατον τῶν ὄντων. καὶ ὁ λόγος δὲ τοῦ θεοῦ ὑπεράνω παντός ἐστι τοῦ κόσμου, καὶ πρεσβύτατος καὶ γενικώτατος τῶν ὅσα γέγονε· τοῦτον δὲ λόγον οὐκ ᾔδεισαν οἱ πατέρες, οὐχ οἱ πρὸς ἀλήθειαν, ἀλλ' οἱ χρόνῳ πολιοί, οἱ λέγοντες, δῶμεν ἀρχηγὸν, καὶ ἀποστρέψωμεν εἰς τὸ πάθος Αἰγύπτου. ἀναγγελέτω οὖν ὁ θεὸς τῇ ψυχῇ, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, κατ' εἰκόνα, ἀλλ' ἐπὶ παντὶ ῥήματι τῷ ἐκπορευομένῳ διὰ στόματος θεοῦ, τουτέστι καὶ διὰ παντὸς τοῦ λόγου τραφήσεται, καὶ διὰ μέρους αὐτοῦ. τὸ μὲν γὰρ στόμα, σύμβολον τοῦ λόγου. τὸ δὲ ῥῆμα μέρος αὐτοῦ. τρέφεται δὲ τῶν μὲν τελειοτέρων ἡ ψυχὴ, ὅλῳ τῷ λόγῳ. ἀγαπήσαιμεν δ' ἂν ἡμεῖς, εἰ καὶ μέρει τραφείημεν αὐτοῦ. ἀλλ' οὗτοι μὲν εὔχονται θεοῦ λόγῳ τραφῆναι· ὁ δὲ Ἰακὼβ καὶ τὸν λόγον ὑπερκύψας, ὑπ' αὐτοῦ φησὶ τρέφεσθαι τοῦ θεοῦ. λέγει δὲ οὕτως, Ὁ θεὸς, ᾧ εὐηρέστησαν οἱ πατέρες μου, Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία ταῦτα. ὡραῖος ὁ τρόπος. τροφέα τὸν θεὸν, οὐχὶ λόγον ἡγεῖται· τὸν δὲ ἄγγελον, ὅς ἐστι λόγος, ὥσπερ ἰατρὸν κακῶν. φυσικώτατα. ἀρέσκει γὰρ αὐτῷ τὰ μὲν προηγούμενα ἀγαθὰ, αὐτοπροσώπως αὐτὸν τὸν ὄντα διδόναι· τὰ δεύτερα δὲ τοὺς ἀγγέλους καὶ λόγους αὐτοῦ. δεύτερα δ' ἐστὶν, ὅσα περιέχει κακῶν ἀπαλλαγήν. διὰ τοῦτ' οἶμαι καὶ ὑγείαν μὲν τὴν ἁπλῆν, ἧς οὐ προηγεῖται νόσος ἐν τοῖς σώμασιν, ὁ θεὸς χαρίζεται δι' ἑαυτοῦ μόνου· τὴν δὲ γινομένην κατὰ νόσου φυγὴν, καὶ διὰ τέχνης καὶ διὰ ἰατρικῆς ἐπιγράφων καὶ ἐπιστήμῃ καὶ τεχνίτῃ, τῷ δοκεῖν ἰᾶσθαι πρὸς ἀλήθειαν, αὐτὸς καὶ διὰ τούτων καὶ ἄνευ τούτων ἰώμενος. τὸν δὲ αὐτὸν τρόπον καὶ ἐπὶ ψυχῆς ἔχει, τὰ μὲν ἀγαθὰ τὰς τροφὰς, αὐτὸς χαρίζεται δι' ἑαυτοῦ· διὰ

A licet verbum hoc. Dicitur autem etiam in Deuteronomio: Et afflixit te pressitque fame, & cibauit te manna, quod tui patres ignorauerant, vt annunciem tibi, quod non solo pane viuet homo, sed omni verbo quod procedit ex ore Dei.] afflictio ista propitiatio est. Nam per tales afflictiones nostris animabus ceu decimatis propitius redditur. Quoties enim spoliamur iucundis rebus, affligi videmur: reuera autem sentimus Deum propitium. Infligit nobis etiam esu-
B riem, non virtutis, sed vitiosam illam & affectibus obnoxiam. Argumento est, quòd nutrit nos verbo suo generalissimo. Interpretatur enim manna, quid hoc est, scilicet rerum generalissimum. Verbum quoque Dei superius est vniuerso mundo, antiquius generalisque creaturis omnibus. Eum sermonem patres ignorauerant, non illi veri progenitores nostri, sed longæuitate cani, qui solent dicere, Da nobis ducem, & reuer-
C tamur ad Ægypti vitia. Audiat igitur anima vocem Dei: quòd non solo pane viuet homo factus ad imaginem, sed omni verbo quod procedit ex ore Dei. hoc est, & toto verbo nutrietur, & eius partibus. per os enim sermo significatur. Porrò verbum pars sermonis est. Nutritur autem perfectiorum quidem anima toto sermone: cæterum nos contenti essemus nutriri vel parte eius quapiam. Et illi quidem optant nutriri à sermone Dei: Iacob vero supra ipsum sermonem
D exerens suum caput, ait se nutriri ab ipso Deo. Sic autem loquitur: Deus qui nutrit me ab adolescentia mea vsque in præsentem diem, angelus qui eruit me è cunctis malis, benedicat his pueris. Pulcherrimus loquendi modus. nutritorem Deum, non sermonem eius, existimat. Cæterum angelum eius, qui est sermo, tanquam morborum medicum: idque admodum naturaliter. Pronunciat enim propheta, primaria quidem
E bona ex persona ipsius. Qui est dari: secundaria vero per angelos & sermones eius. secundaria vero sunt, quæ ad morborum sanationem pertinent. Proinde sic opinor: sanitatem meram quam nullus morbus præcessit in corpore, Deum per semet solum largiri: liberationẽ autem à morbo etiam per artem & medicinam: dum sinit & à scientia & ab artifice nos iuuari in speciem, ipse sanans vel per hæc, vel citra horum operam. Ad eũdem quoque modum se habet anima. bona & alimenta largitur ei per seipsum:

per angelos vero & sermones, quicquid ad sanandos morbos pertinet. Has autem preces fudit patriarcha, reprehendens Ioseph illum administratorem reipublicæ ausum dicere: Enutriam te ibi. Dixerat enim, Properantes ascendite ad patrem meum, & nunciate ei, Hæc dicit, & reliqua. Descende ad me, & nequaquam maneas, & enutriam te ibi. Durabit enim fames per quinquennium. Reprehendens igitur admonénsque eum qui sibi sapiens videbatur, inquit: O tu scito animæ cibum esse scientiam, quam non sermo sensibilis, sed Deus largitur, qui nutrit à iuuentute primóque flore vsque lucem extremam, ipse me replebit. Sed Iosepho idem accidit quod matri eius Racheli. nam & ipsa existimabat creaturam posse aliquid. quapropter dicit: Da mihi liberos. Sed supplantator similis sui dicet: Erras errore maximo. Nec enim ego pro Deo tibi sum, qui solus potest aperire vuluas animarum, & eis inseminare virtutes, vt grauidæ factæ res honestas pariant. Saltem sororem tuam Liam considera, & comperies à nulla creatura semen eam excepisse aut genituram, sed ab ipso Deo. Cum enim vidisset Dominus Liam haberi odio, aperuit vuluam eius. Rachel autem erat sterilis. Ac rursum vide hic virtutis exilitatem in opere. Deus vuluas aperit, benefacta in eis seminans. Vulua autem quæ virtutem excepit à Deo, non parit Deo: nullius enim indiget Qui est: sed mihi Iacobo parit filios. nam propter me seminauit Deus in virtute forsitan, non propter seipsum. Igitur alius quidem maritus Liæ quiescens inuenitur, alius pater natorum ex Lia liberorum. maritus qui vuluam aperit: pater liberorum, qui hos gignere dicitur. Et inimicitias ponam inter te & inter mulierem.] Reuera voluptas inimica est sensui, quamuis sunt qui putent amicissimam. Sed sicut adulatorem nemo amicum dixerit: est enim adulatio vitium amicitiæ: sic & voluptatem si examines, inuenies adulterinam familiaritatem insinuantem se sensui. certe saturatis voluptate omnes sensus luxantur. an non consideras istos vini amatores ebrios, quomodo videntes non videant, audientes non audiant, impotes etiam reliquorum sensuum. Fathiscit enim tunc instrumentum sensitiuum, quemadmodum in-

A διʼ ἀγγέλων καὶ λόγων, ὅσα ἀπαλλαγὴν περιέ-
χει κακῶν. ταῦτα δʼ ηὔξατο, αἰτιώμενος τὸν πο-
λιτικὸν Ἰωσήφ, ὃς ἐτόλμησεν εἰπεῖν ὅτι ἐκθρέ-
ψω σε ἐκεῖ. σπεύσαντες γάρ, φησίν, ἀνάβητε
πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ, τάδε
λέγει, καὶ τὰ ἑξῆς. εἶτα κατάβηθι πρός με καὶ
μὴ μείνῃς ἐπὶ πᾶσι, καὶ ἐκθρέψω σε ἐκεῖ. ἔτι
γὰρ πέντε λιμός. ἐπιμεμφόμενος οὖν ἅμα, καὶ
διδάσκων τὸν δοκησίσοφον λέγει, ὦ οὗτος, ἴσθι
B τὰς ψυχῆς τροφὰς ἐπιστήμας ὑπαρχούσας, ἃς
οὐχ ὁ αἰσθητὸς λόγος, ἀλλʼ ὁ θεὸς δωρεῖται, ὁ τρέ-
φων ἐκ νεότητος καὶ πρώτης ἀκμῆς μέχρι τε-
λείου φωτός, αὐτὸς ἐμπλήσει. ἔπαθεν οὖν ταὐτὸν
ὁ Ἰωσὴφ τῇ μητρὶ αὐτοῦ Ῥαχήλ. καὶ γὰρ αὐτὴ
ἐνόμισε δύνασθαί τι τὸ γενητόν. διὸ λέγει, Δός
μοι τέκνα. ἀλλʼ ὅγε πτερνιστὴς ἑαυτὸν μιμησά-
μενος, ἐρεῖ, πλάνον πεπλάνησαι πολλήν. οὐ γὰρ
ἀντὶ θεοῦ ἐγώ εἰμι, τοῦ μόνου δυναμένου τὰς ψυ-
χῶν μήτρας ἀνοιγνύναι, καὶ σπείρειν ἐν αὐταῖς
C ἀρετάς, καὶ ποιεῖν ἐγκύμονας καὶ τικτούσας τὰ κα-
λά. κατάμαθε γέ τοι τὴν ἀδελφήν σου Λείαν, καὶ
εὑρήσεις ἐξ οὐδενὸς γενητοῦ λαμβάνουσαν τὴν
σπορὰν καὶ τὴν γονήν, ἀλλʼ ὑπʼ αὐτοῦ τοῦ θεοῦ.
ἰδὼν γὰρ κύριος ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μή-
τραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. ἀλλʼ ὅρα πά-
λιν τὴν ἐν τούτῳ λεπτουργίαν τῆς ἀρετῆς. ὁ θεὸς
τὰς μήτρας ἀνοίγει, σπείρων ἐν αὐταῖς τὰς καλὰς
πράξεις· ἡ δὲ μήτρα παραδεξαμένη τὴν ἀρε-
D τὴν ὑπὸ θεοῦ, οὐ τίκτει τῷ θεῷ· χρεῖος γὰρ οὐδε-
νός ἐστιν ὁ ὤν· ἀλλʼ ἐμοὶ τῷ Ἰακὼβ υἱούς. ἐμοῦ γὰρ
ἕνεκα ἔσπειρεν ὁ θεὸς ἐν τῇ ἀρετῇ, τάχα οὐχ ἑαυ-
τοῦ. οὐκοῦν ἄλλος μὲν ἀνὴρ τῆς Λείας ὁ ἡσυχαζό-
μενος εὑρίσκεται. ἄλλος δὲ πατὴρ τῶν ἐκ Λείας
τέκνων. ἀνὴρ μὲν γὰρ ὁ τὴν μήτραν ἀνοίγων· πα-
τὴρ δὲ τῶν τέκνων, ᾧ ταῦτα τίκτειν λέγεται. Καὶ
ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυ-
ναικός. ὄντως ἐστὶν ἡδονὴ ἐχθρὸν αἰσθήσει, καίτοι
δοκοῦν ἐνίοις μάλιστα εἶναι φίλον· ἀλλʼ ὥσπερ τὸν
E κόλακα οὐκ ἄν τις ἑταῖρον εἴποι. νόσος γὰρ φιλίας
ἡ κολακεία· οὐδὲ τὴν ἑταίραν εὔνουν ἐραστῇ· τοῖς
γὰρ διδομένοις, οὐκ αὐτῷ προσπέπονθεν· οὕτω καὶ
τὴν ἡδονὴν ἐξετάζων, εὑρήσεις νόθον οἰκειότητα ὑπο-
δυομένην πρὸς αἴσθησιν. ὅταν γέ τοι κορεσθῶμεν
ἡδονῆς, ἐκπίπτει τῶν τόνων ἡμῶν τὰ αἰσθητήρια. ἢ
τοὺς οἴνων ἔρωτι μεθύοντας οὐ καταμανθάνεις, ὅτι
ὁρῶντες οὐχ ὁρῶσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι, καὶ τῶν
ἄλλων αἰσθήσεων ἀφῄρηνται τὰς ἀκριβεῖς ἐνεργείας;
ἔστι δʼ ὅτε καὶ διὰ πλῆθος ἀμέτρου τροφῆς, ἅπαντες

οἱ τόνοι τῆς αἰσθήσεως ὑφεῖσθαι, ὕπνῳ καταλαμβανόμενος, ὃς καὶ πτῶμα ἔχει ἀπὸ τῆς ὑφέσεως αὐτῆς. χαλᾶται γὰρ τότε τὸ αἰσθητικὸν ὄργανον, ὥσπερ ἐν τῇ ἐγρηγόρσει ἐπιτείνεται, μηκέτι κωφὰς καὶ ἀπὸ τοῦ ἐκτὸς πληγὰς δεχόμενον, ἀλλὰ γεγωνυίας καὶ ἐναργεῖς τὴν ἠχὴν ἄχρι τοῦ νοῦ διαδιδούσας. δεῖ γὰρ αὐτὸν πληχθέντα γνωρίσαι τὸ ἐκτός, καὶ λαβεῖν αὐτοῦ τύπον ἐναργῆ. τήρει δὲ ὅτι οὐκ εἶπεν, ἔχθραν θήσω σοι καὶ τῇ γυναικί, ἀλλὰ ἀνὰ μέσον σοῦ καὶ τῆς γυναικός. διὰ τί δέ· ὅτι περὶ τὸ μέσον καὶ ὡς ἂν ἐν μεθορίῳ κείμενον ἡδονῆς καὶ αἰσθήσεως, γίνεται τούτων ὁ πόλεμος. τὸ δὲ μέσον ἀμφοῖν ἐστι τὸ πότιμον, τὸ ἐδώδιμον, τὸ εὐπρεπὲς πρὸς τὰ τοιαῦτα πάντα, ὧν ἕκαστον αἰσθητόν τέ ἐστι καὶ ποιητικὸν ἡδονῆς. ὅταν οὖν ἀπλήστως ἐμφορηθῇ τούτων ἡ ἡδονή, βλάβην εὐθὺς ἐργάζεται αἰσθήσει. τὸ δὲ, ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς, εἴρηται πάλιν φυσικῶς. σπέρμα γὰρ παντὸς ἐστι γενέσεως ἀρχή. ἀρχὴ δὲ ἡδονῆς μὲν οὐ τὸ πάθος, ἀλλ' ἄλογος ὁρμὴ αἰσθήσεως διὰ νοῦ. ἀπὸ γὰρ τούτου καθάπερ τινὸς πηγῆς, αἱ αἰσθητικαὶ τείνονται δυνάμεις, μάλιστα κατὰ τὸν ἱερώτατον Μωσῆν, ὃς ἐκ τοῦ Ἀδὰμ πεπλάσθαι φησὶ τὴν γυναῖκα, τὴν αἴσθησιν τοῦ νοῦ. ὅπερ οὖν ἡδονὴ πρὸς αἴσθησιν, τοῦτο πάθος πρὸς νοῦν· ὥστ' ἐπεὶ ἐκεῖνα ἐχθρά, καὶ ταῦτ' ἂν εἴη πολέμια. καὶ περιφανής ἐστιν ὁ τῶνδε πόλεμος· κατὰ γοῦν τὰς ἐπικρατείας τοῦ νοῦ, ὅτε τοῖς νοητοῖς καὶ ἀσωμάτοις προσβάλλει, φυγαδεύεται τὸ πάθος· καὶ ἔμπαλιν ὅταν τοῦτο νικήσῃ νίκην κακήν, εἴκει ὁ νοῦς κωλυόμενος προσέχειν ἑαυτῷ καὶ τοῖς ἑαυτοῦ πᾶσιν ἔργοις. φησὶ γοῦν ἐν ἑτέροις, ὅτι ὅταν μὲν ἐπῆρε τὰς χεῖρας Μωϋσῆς, κατίσχυεν Ισραήλ. ὅταν δὲ καθῆκε, κατίσχυεν Ἀμαλήκ. τοῦτο παριστάς, ὅτι ὁ νοῦς ἐπειδὰν μὲν ἐξάρῃ αὑτὸν ἀπὸ τῶν θνητῶν, καὶ μετεωρισθῇ, ῥώννυται τὸ ὁρᾶν τὸν θεόν, ὅπερ ἐστὶν Ισραήλ· ἐπειδὰν δὲ καθῇ τοὺς ἰδίους τόνους, καὶ ἐξασθενήσῃ, αὐτίκα τὸ πάθος ἰσχύσει ὁ Ἀμαλήκ, ὃς ἑρμηνεύεται λαὸς ἐκλείχων. ὄντως γὰρ διεσθίει τὴν ὅλην ψυχὴν καὶ ἐκλιχμᾶται, μηδὲν ἐν αὐτῇ σπέρμα ἢ ζώπυρον ἀρετῆς ὑπολείπων. παρ' ὃ καὶ λέγεται, Ἀρχὴ ἐθνῶν Ἀμαλήκ· ὅτι τῶν μιγάδων καὶ συγκλύδων καὶ πεφυρμένων ἀβούλως τὸ πάθος ἄρχει καὶ κυριεύει. διὰ τούτου πᾶς ὁ ψυχῆς ἀναρριπίζεται πόλεμος. αἷς γοῦν χαρίζεται διανοίαις ὁ θεὸς εἰρήνην, ταύταις ὁμολογεῖ ἀπολεῖψαι τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπ' οὐρανόν. τὸ δέ, Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν, τῇ μὲν φωνῇ βαρβαρισμός ἐστι, τῷ δὲ σημαινο-

A tēditur in ſobrijs, non iam ſurdos externe ictus excipiēs, ſed ſonoros claróſque, & ad mentem vſque penetrantes cum ſonitu. Oportet enim vt hæc extremum ictum agnoſcat, & characterem eius manifeſtum excipiat. Et obſeruandum non dixiſſe Inimicitias ponam tibi & mulieri: ſed inter te & mulierem. Cur? Quoniā in medio & tāquam confinio voluptatis ſenſúſque hoc bellum naſcitur. id amborum medium, cibus & potus eſt, aptū ad quæcunque ſenſibilia huiuſmodi, facul-

B tatem voluptatis inducēdæ habentia: his quoties ſe voluptas ingurgitat, præſentaneam ſenſui noxam afferunt. Cæterum illud, inter te & inter ſemen eius, ipſum quoque ratione phyſica dictū eſt. Nam omne ſemen eſt generationis principiū. principium autem voluptatis, non affectus, ſed bruta concitatio ſenſus quæ per mentē fit. nam à mente velut fonte quodam manant ſenſitiuæ potentiæ, præſertim iuxta doctrinā Moſis ſanctiſſimi: qui ex Adamo factam narrat mulierem, ex

C mente ſenſum videlicet. ergo ſicut voluptas ſe habet ad ſenſum, ſic affectus ad mentem. vnde ſequitur vt quoniam illa duo inimica ſunt inuicem, hæc quoque ſint hoſtilia. quod bellū nulli non liquet. itaque ſuperante mente, affectus non ſuſtinens intelligibiles & incorporeas res, profligatur. cōtrà quoties hic vincit malam victoriā, cedit mēs, impos ſui ſuarūque actionū omnium. Proinde alibi dicitur, quod attollente manus Moſe, præualebat Iſrael: demittente autē, præuale-

D bat Amalec. quibus verbis hoc docemur, quod mens quādo attollit ſeipſam ſupra mortalia, & ſublimis fertur, vim cōcipit vt Deum videat, quod eſt Iſrael. quando vero neruos ſuos hæc remittit relaxátque, mox affectus præualet, ſcilicet Amalec, qui interpretatur populus elingens. reuera enim abſumit totā animā & abligurit, ne ſemen quidem aut ſcintillā virtutis reliquam in ea faciens. quamobrem ſcriptum eſt: Principiū gentiū Amalec. Deut. 25.

E quoniā in miſcellaneā gentiū conuenarum colluuiē conſilio carentem affectus exercet dominationē atque imperiū. per hunc omne bellum excitatur in anima. Ergo quibus mentibus Deus pacem largiri dignatur, in his pollicetur deleturū ſe ſub cælo memoriam Amalecitarum. Quod autem dicitur: Ipſe ſeruabit caput tuū, tu ſeruabis eius calcaneū.] In verbis barbariſmum habet, in ſenſu bene dictū eſt. quomodo? reliquum reddendum eſt de muliere. mulier autem ipſe non eſt,

sed ipsa. Quid igitur dicendũ? à sermone de muliere transitionẽ fecit ad semẽ eius & principiũ. principium autẽ sensus, intellectus, isque masculus, de quo debet dici ipse, flectẽdo de cætero vocem hanc similiter. Recte igitur ad voluptatẽ, inquit, Ipse intellectus seruabit tuũ caput, & principale decretum: tu vero gressus eius & vestigia placitáque quibus insistit, quæ calcanei vocãtur per similitudinẽ. Vox autẽ seruare duo significat: vnũ, quasi custodire & reponere: alterũ, ac si dicas obseruare vt per dolum interimas. necesse est autẽ mẽtem vel bonã vel malam esse. mala dici potest custos promáque voluptatis: nam hac delectatur. bona vero inimica, expectans occasionem tollendæ è medio per insidias. econtra voluptas, insipientis plantam seruat: sapientis autem basim destruere conatur & subtrahere, existimans hunc sibi moliri perniciem: insipientem vero modis omnibus ipsius saluti consultum cupere. nihilominus quamuis videatur supplantare decipereque probum virum, ipsa supplantabitur à Iacob exercitato luctis talibus. lucta, inquam, non corporis, sed qua luctatur anima cum aduersarijs moribus, ipsam per affectus vitiáque oppugnantibus. nec prius dimittet plantam affectus aduersarij, quam ille det manus, séque supplantatum ac bis victum fateatur, & in iure primogenituræ & in benedictione. Iuste, inquit, inditum est ei nomen Iacob. iam enim iterum me supplantauit. olim ius primogenituræ mihi ademit, nunc intercepit meam benedictionem. antiquius autem ius malus quidem putat corporis, bonus vero animæ. sicut reuera est, non tempore sed potentia dignitatéque potius, & vere prius, sicut & princeps in republica. principatum autem anima habet in hac copula. ergo primatum obtinuit is qui altero virtute potior fuerat, qui honor ipsi debebatur. nam & benedictionem accepit cum perfectis precibus. vanus autem est & suamet existimatione sapiens qui dicit: meas benedictiones & ius meæ primogenituræ accepit. non enim tua ô tu accipit, sed tuis contraria. nam quæ tua, seruitio digna sunt, at quæ illius, dominio. tibi vero etiam optanda apud sapientem seruitus, à quo monitus castigatúsque ignorantiam ac ruditatem pestes animæ exuas. nam inter faustas apprecationes pater sic tibi dicit: Fratri tuo seruies. sed non nunc. nec enim ferret te habenas detrectantem.

Gen. 27.

Gen. 27.

A μὲν ὡς κατόρθωμα. Τί γάρ; ὀφείλεται παρὰ τῆς γυναικός· ἡ δὲ γυνὴ αὐτὸς οὐκ ἔστιν, ἀλλ' αὐτή. τί οὖν λεκτέον; ἀπὸ τοῦ περὶ τῆς γυναικὸς λόγου μεταλήλυθεν ἐπὶ τὸ σπέρμα καὶ τὴν ἀρχὴν αὐτῆς. ἀρχὴ δὲ τῆς αἰσθήσεως, ὁ νοῦς· οὗτος δὲ ἄρρην, ἐφ' οὗ χρὴ λέγειν, αὐτὸς καὶ αὐτοῦ, καὶ τὰ τοιαῦτα. ὀρθῶς οὖν τῇ ἡδονῇ λέγεται, ὅτι ὁ νοῦς σου τηρήσει τὸ κεφάλαιον, καὶ ἡγεμονικὸν δόγμα· καὶ σὺ τηρήσεις αὐτοῦ τὰς ἐπιβάσεις καὶ ἐφιδρύσεις τῶν ἀρεσκόντων, αἷς αἱ πτέρναι κατὰ λόγον εἰκάζονται. τὸ δὲ τηρήσει
B δύο δηλοῖ· ἓν μὲν τὸ οἷον διαφυλάξει καὶ διασώσει. ἕτερον δὲ τὸ ἴσον τῷ ἐπιτηρήσει πρὸς ἀναίρεσιν. ἀνάγκη δὲ τὸν νοῦν ἢ φαῦλον ἢ σπουδαῖον εἶναι. ὁ μὲν οὖν ἄφρων φύλαξ καὶ ταμίας ἂν γένοιτο τῆς ἡδονῆς· χαίρει γὰρ αὐτῇ· ὁ δὲ σπουδαῖος ἐχθρός, καραδοκῶν ὅτι ἐπιθέμενος ἰσχύσει καθελεῖν αὐτὴν εἰσαῦθις. καὶ μὴν ἔμπαλιν, ἡ ἡδονὴ τοῦ μὲν ἄφρονος διατηρεῖ τὴν ἐπίβασιν, τοῦ δὲ σοφοῦ λύειν καὶ ἀναιρεῖν ἐπιχειρεῖ τὴν ἔνστασιν, ἡγουμένη τὸν μὲν κατάλυσιν αὐτῆς μηχανᾶσθαι,
C τὸν δ' ἄφρονα δι' ὧν μάλιστα σωθήσεται. ἀλλ' ὅμως πτερνίζειν δοκοῦσα καὶ ἀπατᾶν τὸν ἀστεῖον, αὐτὴ πτερνισθήσεται πρὸς τοῦ πάλην ἠσκηκότος Ἰακώβ. πάλην δ' οὐ τὴν τοῦ σώματος, ἀλλ' ἣν παλαίει ψυχὴ πρὸς τοὺς ἀνταγωνιστὰς τρόπους αὐτῆς πάθεσι καὶ κακίαις μαχομένους. καὶ οὐ πρότερον αὐτῆς τὴν πτέρναν τοῦ ἀνταγωνιστοῦ πάθους, πρὶν ἀπειπεῖν αὐτό, καὶ ὁμολογῆσαι ὅτι ἐπτέρνισται καὶ νενίκηται δίς, ἔν τε τοῖς πρωτοτόκοις, καὶ ἐν τῷ εὐλογιστεῖν.
D Δικαίως γὰρ φησίν, ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικέ με γὰρ ἤδη δεύτερον. τότε τὰ πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου. πρεσβύτερα δὲ ὁ μὲν φαῦλος ἡγεῖται τὰ σώματος, ὁ δ' ἀστεῖος τὰ ψυχῆς, ἃ καὶ πρὸς ἀλήθειάν ἐστιν, οὐ χρόνῳ, ἀλλὰ δυνάμει καὶ ἀξιώματι πρεσβύτερα καὶ πρῶτα ὄντως, ὡς καὶ ἄρχων ἐν πόλει· ἡγεμονὶς δὲ τοῦ συγκρίματος ἡ ψυχή. εἴληφεν οὖν τὰ πρῶτα ὁ πρῶτος κατ' ἀρετήν, ἃ
E καὶ ἐπέβαλεν αὐτῷ. εἴληφε γὰρ καὶ εὐλογιστεῖν σὺν εὐχαῖς τελείαις. μάταιος δὲ καὶ οἰησίσοφος ὁ λέγων, τὰς ἐμὰς εὐλογίας καὶ τὰ ἐμὰ * πρωτοτόκια εἴληφεν. οὐ γὰρ τὰ σὰ ὦ οὗτος λαμβάνει, ἀλλὰ τοῖς σοῖς τὰ ἐναντία. τὰ μὲν γὰρ σὰ δουλείας, τὰ δ' ἐκείνου δεσποτείας ἠξίωται· καὶ εἰ ἀγαπήσεις δοῦλος γενέσθαι τοῦ σοφοῦ, νουθεσίας καὶ σωφρονισμοῦ κοινωνήσας, ἀμαθίαν καὶ ἀπαιδευσίαν κῆρας ψυχῆς ἀποβαλεῖν. εὐχόμενος γὰρ ὁ πατήρ σοι φησίν, ὅτι τῷ ἀδελφῷ σου δουλεύσεις· ἀλλ' οὐχὶ νῦν. οὐ γὰρ ἀνέξεταί σε ἀφηνιάζοντα· ἀλλ' ὅταν ἐκλύ-

* Ἴσως, ἐμὰ πρωτοτόκια

ἐκλύσῃς τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου σου, τὸ αὔχημα καὶ φρύαγμα ἀποβαλὼν ὃ ἐκτήσω ὑποζεύξας ἑαυτὸν ὀχήματι παθῶν, ἡνιοχούσης ἀφροσύνης. νυνὶ μὲν δοῦλος εἶ χαλεπῶν καὶ ἀφορήτων τῶν ἐν ἑαυτῷ δεσποτῶν, οἷς νόμος ἐστὶ, μηδένα ἐλευθεροῦν· ἐὰν δὲ τούτους δρασμῷ χρησάμενος καταλίπῃς, ὑποδέξεταί σε φιλόδουλος δεσπότης, ἐπ' ἐλπίσι χρησταῖς ἐλευθερίας, καὶ οὐκ ἐκδώσει ἐπὶ τοῖς προτέροις δεσπόταις, μαθὼν παρὰ Μωσέως δίδαγμα καὶ δόγμα ἀναγκαῖον, B μὴ παραδιδόναι παῖδα τῷ κυρίῳ ὃς προστίθεται αὐτῷ παρὰ τοῦ κυρίου. μετὰ γὰρ αὐτοῦ κατοικήσει ἐν παντὶ τόπῳ οὗ ἐὰν ἀρέσκῃ αὐτῷ· ἀλλ' ἕως οὐκ ἀποδέδρακας, ἔτι δὲ ἐγκεχαλίνωσαι ταῖς ἐκείνων τῶν δεσποτῶν ἡνίαις ἀναξίαις δουλεύειν σοφῷ, τεκμήριον μέγιστον ἤθους ἀνελευθέρου καὶ δουλοπρεποῦς παρέχεις, ὅταν λέγῃς τὰ ἐμὰ πρωτοτόκια καὶ τὰς ἐμὰς εὐλογίας. εἰς ἄμικτον γὰρ ἀμαθίαν κεχωρηκότων αἱ δὲ αἱ φωναί, ἐπεὶ μόνῳ ἁρμόττει θεῷ λέγειν τὸ ἐμόν· αὐτοῦ γὰρ ὄντως κτήματα μόνου C τὰ πάντα. διὸ καὶ μαρτυρεῖ ὅταν φῇ, Τὰ δῶρά μου, δόματά σου. διατηρήσεις ὅτι δῶρα δομάτων διαφέρουσι. τὰ μὲν γὰρ ἔμφασιν μεγέθους τελείων ἀγαθῶν δηλοῦσιν, ἃ τοῖς τελείοις χαρίζεται ὁ θεός· τὰ δὲ εἰς βραχύτατον ἔσταλται, ὧν μετέχουσιν οἱ εὐφυεῖς ἀσκηταὶ οἱ προκόπτοντες. οὗ χάριν καὶ Ἀβραὰμ ἀκολουθῶν τῷ θεοῦ θελήματι, τὰ μὲν ὑπάρχοντα ἅπερ ἦν αὐτῷ ἐκ θεοῦ, κατέχει· ἀποπέμπεται δὲ τοὺς ἵππους τοῦ βασιλέως Σοδόμων, ὡς D καὶ τὰ ὑπαρκτὰ τῶν παλλακῶν. καὶ Μωσῆς μέντοι τὰ μέγιστα δικαιονομεῖν ἀξιοῖ, καὶ περὶ τῶν μεγίστων· τὰ δὲ βραχέα τῶν κριμάτων ἐπιτρέπει τοῖς δευτερεύουσι σκοπεῖν. ὅστις δὲ τολμᾷ λέγειν ἑαυτοῦ τι εἶναι, δοῦλος τὸν πάντα αἰῶνα γεγράψεται, ὥσπερ ὁ λέγων, Ἠγάπηκα τὸν κύριόν μου, καὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία μου. οὐκ ἀποτρέχω ἐλεύθερος. εὖ γε τὸ ἑαυτῷ ὁμολογῆσαι δουλείαν. πῶς γὰρ ὁ λέγων οὐ δοῦλος, ἐμὸς ὁ κύριος νοῦς ἐστι κύριος ἑαυτοῦ καὶ αὐτοκράτωρ, ἐμὴ καὶ ἡ αἴσθησις E αὐτάρκες τῶν σωμάτων κριτήριον, ἐμὰ καὶ τὰ τούτων ἔκγονα, τοῦ μὲν νοῦ τὰ νοητά, τῆς δὲ αἰσθήσεως τὰ αἰσθητά. ἐπ' ἐμοὶ γὰρ τὸ νοεῖν, τὸ αἰσθάνεσθαι. ἀλλὰ μὴ μόνον ἑαυτοῦ καταμαρτυρείτω, ἀλλὰ καὶ ὑπὸ τοῦ θεοῦ καταδικασθεὶς, αἰωνίαν καὶ βεβαιοτάτην ὑπομενέτω δουλείαν κελεύοντος, τό, τε οὖς τρυπάσθω, ἵνα μὴ παραδέξηται λόγους ἀρετῆς, καὶ δουλεύῃ τὸν αἰῶνα τῷ νῷ καὶ τῇ αἰσθήσει, χαλεποῖς καὶ ἀνηλεέσι δεσπόταις. Καὶ τῇ γυναικὶ εἶπε, πληθύνων

A sed vbi solueris iugũ à ceruice tua: nimirũ abiectis illis elatis spiritibus quos sũpsisti postquã teipsũ subiugasti affectuũ vehiculo, aurigante insipiẽtia. nunc quidem seruus es molestorũ herorũ & intolerabiliũ, qui non solent quenquã manumittere. quod si fugitiuus eos deserueris, excipiet te amator seruorũ dominus cũ certa spe futuræ libertatis, nec vnquã exhibebit heris prioribus: vtpote qui didicit apud Mosem præceptũ decretũmque necessariũ: Non trades Domino suo seruum qui ad te confugerit: habitabit tecũ in loco quicũque ei placuerit. Sed tantisper dũ tibi non libet aufugere, & mauis talium dominorũ habenas perferẽdo indignũ te seruitute sapientis facere, satis declaras mores tuos illiberales seruilésque, cũ dicis, ius meæ primogenituræ & meas benedictiones. sunt enim hæ voces delapsorũ in summam ignorantiam: quia soli Deo competit hæc vox Meum. eius enim solius possessio est hæc rerum vniuersitas, attestante vel ipso cum dicit: Dona mea, munera mea. Obserua dona differre à muneribus. illa enim magnitudinem perfectorũ bonorum præ se ferunt, quæ Deus perfectis donat gratuita. hęc intra paruum modum contrahuntur, quorũ participes fiunt generosi exercitatores proficientes adhuc. ideo Abraham quoque secutus Dei voluntatem, res suas à Deo sibi concessas retinet: recusat autem equos regis Sodomorum, tanquam mercedes meretricũ. Moses quoque res maximas & controuersias tractare dignatur, minores causas demandat cognoscendas iudicibus secundarijs. cæterũ qui audet dicere suum esse aliquid, sempiterna seruitute notabitur, sicut ille qui dicit: Contẽtus sum hero meo, vxore mea, meisque pueris. non cupio liber euadere. Recte quod seipse in seruitutẽ asserit. Qui enim potest esse non seruus dicendo: meus herus intellectus est Dominus sui & in potestate propria: meus sensus sufficit ad discernenda corpora: mea sunt quæ ex his progignuntur, ex intellectu intelligibilia, è sensu sensibilia, in me sitũ est vel sentire vel intelligere. Sed non satis est ipsum suopte damnari testimonio, quin & Dei percellitur sententia, iussus certam æternámque seruitutem sustinere, aure perforata insuper, ne sermones virtutis percipiat, vtque in perpetuum intellectui sensibúsque seruiat, malis dominis & inclementibus. Mulieri quoque dixit: Multiplicans multiplicabo dolores tuos & gemitus tuos.]

Gen. 38.

Exod. 18.

Exod. 21.

Gen. 2.

Mulieris, hoc est sensus, proprius affectus est mœstitia, quam dolorem nominat. circa idem enim subiectum versantur delectatio & tristitia. delectamur autem per sensus, proinde necessario per eosdem contristamur. sed bona purgatáque mens minimũ tristatur: quia talem sensus non admodum impetunt. in insipiente autem affectus superfluunt, quod nõ habeat in anima remediũ, quo pestes à sensibus rebúsque sensibilibus prouenientes arceat. sicut enim aliter pulsatur athleta quam seruus: hic non reluctãs sed præbẽs se flagris submittẽnsque: athleta verò resistens, repugnans, & illatos ictus repellens: & aliter raditur homo, aliter pellis: hæc enim nihil aliud quam pati cernitur: homo verò & ipse vicissim agit nonnihil, eo gestu se præbendo quo radatur facilius: ita irrationalis quidem homo mancipiorum more cedit alteri, & perfert tristitias tanquam heras intolerabiles, nec obtueri quidem in aduersas sustinens, vt qui nequit masculas ingenuásque cogitationes sibi contrahere. quo fit vt multitudo immensa dolorum ei per sensus ingeratur. contrà vir scientia præditus in modum athletæ potenter, robuste, fortitérque gradum inferens contra cuncta tristia magnos fert spiritus, ne vulneretur ab eis, sed repellat singula. Et vt puto posset iuueniliter exclamare contra dolorem illud ex tragœdia: Combure carnem hanc, concrema, repleto te Meo cruore. nam prius vel sidera Terram subibunt, terra vel scandet polum, quam mollis à me extorqueatur vox tibi. Sicut enim sensibus Deus omnia tristia cumulate apposuit: ita probæ animæ vberrimam bonarum rerum copiam elargitus est. Quapropter de perfecto illo Abraham ad hunc modum lo-

Gen. 22. quitur: Per memetipsum iuraui, dicit Dominus: quia fecisti verbũ hoc, & non pepercisti filio tuo dilecto propter me, omnino benedicens benedicã te, & multiplicans multiplicabo semen tuum, sicut stellas cæli, & sicut arenã quæ est in maris littore.] Recte iureiurãdo confirmauit pollicita, idque tali quale Deũ decebat. vides enim quod non per aliũ Deus iurat: nihil enim illo præstantius: sed per seipsum qui est omnium optimus. Non defuerunt tamen qui negarent conuenire Deo iusiurandum. id enim ad confirmandam fidẽ assumitur. at Deus solus fidelis est, & siquis amicus Dei, sicut Mo-

Exod. 35. ses dicitur fidelis in tota domo fuisse. & alioquin ipsa Dei verba iuramenta sunt

A πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου. τῆς γυναικός, ἥτις αἴσθησίς ἐστιν, ἴδιον ἐστὶν ἀλγηδὼν πάθος, ἡ λύπη καλεῖται. περὶ ὃ γὰρ γίνεται τὸ ἥδεσθαι, περὶ τοῦτο καὶ τὸ ἀλγεῖν. ἡδόμεθα δὲ διὰ τῶν αἰσθήσεων, ὥστε καὶ δι' ἀνάγκης καὶ ἀλγοῦμεν δι' αὐτῶν. ἀλλ' ὁ μὲν σπουδαῖος καὶ κεκαθαρμένος νοῦς ἥκιστα ἀλγεῖ· ἥκιστα γὰρ ἐπιτίθενται αὐτῷ αἱ αἰσθήσεις· τῷ δὲ ἄφρονι περιττεύει τὸ πάθος, οὐδὲν ἔχοντι ἀλεξιφάρμακον ἐν τῇ ψυχῇ, ᾧ τὰς ἀπὸ τῶν αἰσθήσεων καὶ αἰσθητικῶν κῆρας ἀμυνεῖται. ὥσπερ γὰρ ἑτέρως τύπτεται ὁ

B ἀθλητής, καὶ ὁ δοῦλος, ὁ μὲν καθ' ὑπόπτωσιν ἐνδιδοὺς πρὸς τὰς αἰκίας καὶ ὑπείκων, ὁ δὲ ἀθλητὴς ἀντέχων καὶ ἀντιστατῶν, καὶ τὰς ἐπιφερομένας ἀποστρεφόμενος· καὶ κείρεται ἑτέρως μὲν ἄνθρωπος, ἑτέρως δὲ τὸ κώδιον. τὸ μὲν γὰρ ἐν τῷ πάσχειν μόνον ἐξετάζεται· ὁ δὲ ἄνθρωπος καὶ ἀντιδρᾷ, καὶ ὥσπερ ἀντιπέπονθε σχηματίζων ἑαυτὸν πρὸς τὸ κείρεσθαι· οὕτως ὁ μὲν ἀλόγιστος ἀνδραπόδων δίκην ἑτέρῳ ὑπείκει καὶ ὑποπίπτει ταῖς ἀλγηδόσιν ὡς ἀφορήτοις δεσποίναις,

C ἀντιβλέψαι πρὸς αὐτὰς ἀδυνατῶν, ἄρρενας καὶ ἐλευθέρους σπάσαι μὴ δυνάμενος λογισμούς. παρὸ ὁ καὶ πλῆθος ἄπειρον διὰ τῶν αἰσθήσεων αὐτῷ τῶν ὀδυνηρῶν ἐπαντλεῖται. ὁ δὲ ἐπιστήμων, ἀθλητοῦ τρόπον μετὰ δυνάμεως καὶ ῥώμης καρτερᾶς ἀντιβάς, πρὸς τὰ ἀλγεινὰ πάντα ἀντιπνεῖ, ὡς μὴ τιτρώσκεσθαι πρὸς αὐτῶν, ἀλλ' ἔξω διαφορεῖν ἕκαστον καί μοι δοκεῖ νεανιευσάμενος ἂν ἐπιφωνῆσαι τὸ τραγικὸν πρὸς τὴν ἀλγηδόνα οὕτως, * κάτπιμπρα σάρκας, ἐμπλήσθητί μου πίνουσα κελαινὸν αἷμα. * πρόσθεν Πίμπρα, κάτπιμπρα. Γίνου.

D γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δὲ ἄνω εἰς αἰθέρα, πρὶν ἐξ ἐμοῦ σοι θῶπα ἀπαντήσαι λόγον. ὥσπερ δὲ τῇ αἰσθήσει τὰ ἀλγεινὰ πάντα πρὸς αὐξήσας τέθεικεν ὁ θεός, οὕτω τῇ σπουδαίᾳ ψυχῇ πλῆθος ἄφθονον ἀγαθῶν δεδώρηται. φησὶ γοῦν ἐπὶ τοῦ τελείου Αβραὰμ τὸν τρόπον τοῦτον, Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ ἕνεκα ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρ-

πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνω εἰς αἰθέρα, πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντήσαι λόγον.

E μα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· εὖ καὶ τῷ ὅρκῳ βεβαιώσας τὴν ὑπόσχεσιν, καὶ ὅρκῳ θεοπρεπεῖ. ὁρᾷς γὰρ ὅτι οὐ καθ' ἑτέρου ὀμνύει θεός. οὐδὲν γὰρ αὐτοῦ κρεῖττον· ἀλλὰ καθ' ἑαυτοῦ, ὅς ἐστι πάντων ἄριστος. ἔφασαν δέ τινες, ὡς ἀνοίκειον ἦν ὀμνύναι· ὁ ὅρκος γὰρ πίστεως ἕνεκα παραλαμβάνεται. πιστὸς δὲ μόνος ὁ θεός, καὶ εἴ τις φίλος θεῷ, καθάπερ Μωσῆς λέγεται πιστὸς ἐν παντὶ τῷ οἴκῳ γεγενῆσθαι. ἄλλως τε καὶ οἱ λόγοι τοῦ θεοῦ εἰσιν ὅρκοι

καὶ νόμοι τοῦ θεοῦ καὶ θεσμοὶ ἱεροπρεπέστατοι. τεκμήριον δὲ τῆς ἰσχύος αὐτοῦ, ὃ ἂν εἴπῃ γίνεσθαι, ὅπερ ἦν οἰκειότατον ὅρκῳ, ὥστ' ἀκόλουθον ἂν εἴη λέγειν, ὅτι πάντες οἱ τοῦ θεοῦ λόγοι εἰσὶν ὅρκοι βεβαιούμενοι ἔργων ἀποτελέσμασι. φασί γε μὴν ὅρκον εἶναι μαρτυρίαν θεοῦ περὶ πράγματος ἀμφισβητουμένου. εἰ δὲ ὀμνύει ὁ θεός, ἑαυτῷ μαρτυρεῖ, ὅπερ ἐστὶν ἄτοπον· ἕτερον γὰρ δεῖ εἶναι τὸν ποιούμενον τὴν μαρτυρίαν, καὶ τὸν ὑπὲρ οὗ γίνεται. τί οὖν λεκτέον; πρῶτον μὲν, ὡς οὐκ ἔστιν ὑπαίτιον ἑαυτῷ μαρτυρεῖν τὸν θεόν. τίς γὰρ ἂν ἄλλος γένοιτο ἱκανὸς αὐτῷ μαρτυρῆσαι. ἔπειτα, πάντ' ἐστὶν αὐτὸς ἑαυτῷ τὰ τιμιώτατα, συγγενὴς, οἰκεῖος, φίλος, ἀρετὴ, εὐδαιμονία, μακαριότης, ἐπιστήμη, σύνεσις, ἀρχὴ, τέλος, ὅλον, πᾶν, δικαστὴς, γνώμη, βουλὴ, νόμος, πρᾶξις, ἡγεμονία· ἄλλως τε κἂν τὸ Κατ' ἐμαυτοῦ ὤμοσα, ὃν χρὴ τρόπον ἐκδεξώμεθα, παυσόμεθα τῆς ἄγαν σοφιστείας. μήποτ' οὖν ἐστι τοιοῦτον; οὐδὲν τὴν δυνάμεων πιστεύει διαβεβαίως παγίως περὶ θεοῦ. οὐδενὶ γὰρ ἔδειξεν αὐτοῦ τὴν φύσιν, ἀλλ' ἀόρατον αὐτὴν παντὶ τῷ γένει παρεσκεύασεν. τίς ἂν ἰσχύσῃ ἢ ὅτι ἀσώματον, ἢ ὅτι ποιὸν, ἢ ὅτι ἄποιον, τὸ αἴτιον εἰπεῖν, ἢ συνόλως περὶ οὐσίας, ἢ ποιότητος, ἢ σχέσεως, ἢ κινήσεως αὐτοῦ βεβαίως ἀποφήνασθαι· ἀλλὰ περί γε ἑαυτοῦ μόνος ἰσχυριεῖται, ἐπεὶ καὶ μόνος ἀψευδῶς τὴν ἑαυτοῦ φύσιν ἠκρίβωσε. βεβαιωτὴς οὖν ἰσχυρότατος ἑαυτοῦ τὸ πρῶτον, ἔπειτα καὶ τῶν ἔργων αὐτοῦ μόνος ὁ θεός. ὥστ' εἰκότως ὤμνυε καθ' ἑαυτοῦ, πιστούμενος ἑαυτὸν, ὃ μὴ δυνατὸν ἦν ἄλλῳ· διὸ καὶ ἀσεβεῖς ἂν νομισθεῖεν οἱ φάσκοντες ὀμνύναι κατὰ τοῦ θεοῦ· εἰκότως γὰρ οὐδεὶς ὄμνυσι καθ' ἑαυτοῦ. ὅτι γε οὐ περὶ τῆς φύσεως αὐτοῦ διαγνῶναι δύναται, ἀλλ' ἀγαπητὸν ἐὰν τοῦ ὀνόματος αὐτοῦ δυνηθῶμεν, ὅπερ ἦν τοῦ ἑρμηνέως λόγου. οὗτος γὰρ ἡμῶν τῶν ἀτελῶν ἂν εἴη θεὸς, τῶν δὲ σοφῶν καὶ τελείων, ὁ πρῶτος. καὶ Μωσῆς μέντοι τὴν ὑπερβολὴν θαυμάσας τοῦ ἀγενήτου, φησὶν, Καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ, οὐχὶ αὐτῷ. ἱκανὸν γὰρ τῷ γενητῷ πιστοῦσθαι, καὶ μαρτυρεῖσθαι λόγῳ θείῳ. ὁ δὲ θεὸς αὐτοῦ πίστις ἔστω καὶ μαρτυρία βεβαιοτάτη. τὸ δὲ Οὗ εἵνεκα ἐποίησας τὸ ῥῆμα τοῦτο, σύμβολόν ἐστιν εὐσεβείας. τὸ γὰρ ἕνεκα θεοῦ μόνου πάντα *παρὰ τὴν αὐτῆς· παρ' ὃ καὶ ἀφειδοῦμεν τοῦ ἀγαπητοῦ τέκνου, τῆς ἀρετῆς, τῆς εὐδαιμονήσαι, παραχωροῦντες αὐτῷ τῷ δημιουργῷ, ἄξιον τὸ γέννημα κρίνοντες κτῆμα θεοῦ νομίζεσθαι, ἀλλὰ μὴ γενητοῦ τινός.

* παρὰ τὴν αὐτῆς. ἢ τὴν αὐτῆς αὐτῷ τῷ θεῷ

A legésq; diuinæ & iura sacratissima. quod autem vim maximã habeant argumento est, quod effectu non caret quicquid ille dixerit: id quod iurisiurãdi est propriũ. vnde consequitur, omnes Dei sermones esse iuramẽta per effectus suos confirmata. Aiunt sane iusiurandum testimonium esse Dei de re de qua ambigitur. quod si Deus iurat, sibiipse fert testimoniũ, quæ res absurda videtur. alium enim oportet esse qui testis est, alium cui perhibetur testimonium. Quid igitur dicendũ? Primo non pugnare cũ æquitate quod Deus B sibiipse testis est. Quis enim alius potest ei testis esse idoneus? deinde, quod ipse sibi est quicquid habetur in pretio, cognatus, familiaris, amicus, virtus, felicitas, beatitudo, sciẽtia, intelligentia, principiũ, finis, totũ, vniuersus, iudex, sentẽtia, cõsiliũ, lex, actio, principatus. & alioquin etiã, modo hæc verba Per meipsum iuraui, accipiamus vt debemus, nullũ erit à nugacitate sophistica periculũ. videndũ ergo nũ dicat tale aliquid. nulla quan- C tũuis sublimis creatura potest firme constantérque de Deo credere. nulli enim ostẽdit suã naturam, sed voluit omnibus generibus esse inuisibilẽ. Quis enim potest de vniuersorũ causa certò definire, sit ne incorporea, careátne qualitate, an non careat: aut certe de essẽtia, qualitate, motu eius, atque habitudine? sed solus de seipso asseuerabit, quandoquidem solus vere suam naturam pernouit. solus igitur Deus idoneus est qui primum de seipso certo pronunciet, deinde de suis etiam D operibus. itaque merito iurauit per seipsum, fidem sibiipse astruens, quod nullus alius poterat. ideo cẽsendi sunt impij qui se aiunt per Deũ iurare. nemo enim per eũ iurat vt oportet, quia nemo potest naturã eius cognoscere: imò bonũ est si vel nomen eius noscimus, hoc est verbũ quo interpretante innotuit. Hoc enim nobis imperfectis Deus est, sapientibus autem perfectisque ille primus. Certe Moses admiratus illius ingeniti summam excellentiã, dicit: Et per nomen eius iurabis, E non per illũ ipsum. satis enim est per genitũ fidem astrui, & testimoniũ habere à verbo Dei. Ceterum Deus ipse sibi fides sit, testimoniũque certissimũ. Quod autem legitur, quia fecisti verbũ hoc, pietatem significat. Rectum est enim omnia propter Deũ facere: quem propter nec dilecto filio parcimus, virtuti videlicet, felicitatem hanc cedentes ipsi autori, dignũ existimãtes vt progenies nostra Dei possessio fiat potius quã vllius creaturæ.

Exod. 28. Pulchre & illud dictum: Benedicens benedicam.] Multa enim benedicenda quidam faciunt, sed non in hoc vt benedicantur. nam & malus officia quædam facit, sed non officiose. & ebriosus furénsque interdum sobria loquitur facítque, sed non mente sobria. & pueri admodum infantuli non ex rationali habitudine (nondum enim rationem à natura didicerunt) multa tamen tum dicunt tum faciunt quæ ratione præditi. Vult autem legislator sapientem non per occasionem & facile fortuitóque rationalem videri, sed ex habitudine dispositionéque rationali. ergo quasi non satis sit infortunato sensui abundare multis doloribus, additur, & gemitibus. Est autem gemitus dolor intensus atque vehemēs. nam sæpe tristamur non gementes: sed quoties ingemiscimus, valde moleste inundamur obruimúrque doloribus. Est autem duplex gemitus: alter eorum qui cupientes appetentésque iniquitatē non fiunt eius compotes: & hic malus est. alter pœnitentium & grauiter ferentium anteactam vitam dicentiúmque: ô nos miseros, quantum temporis exegimus laborantes morbo insipientiæ, & occupati studijs iniustitiæ. Qui gemitus nunquam accidit nisi defuncto in anima rege Ægypti, hoc est impia voluptariáque consuetudine. Nam post multos dies illos mortuus est rex Ægyptiorum. móxque post mortuam malitiam ingemiscit vicem suam videns Deum. Ingemuerunt enim filij Israel à corporeis & Ægyptiacis operibus. Quandoquidem quam diu viuit & regnat in nobis consuetudo amica voluptatum, persuadet animæ vt peccatis suis delectetur ac gaudeat: quæ mox mortuo rege tali gemit: & exclamat ad Dominum supplicans ne mutetur iterum, néve ad absolutam perfectionem non perueniat. Multis enim animabus pœnitentiam expetentibus non concessit Deus, sed tanquam æstu refluo abreptæ sunt retrorsum: quemadmodum & Lot vxor in saxum versa est propter adamata Sodoma, & quia ad ingenium, in qualia Deus animaduerterat, reuersa fuit. Cæterum in præsenti contextu subiungitur: Ascendisse clamorem populi ad Deum: quod gratiæ diuinæ testimoniū est. nisi enim ille potentia sua supplicationem ad se attraxisset, nūquam hæc ascendisset: hoc est non extulisset se incipiendo in altum crescere, fugiendóque humilitatem rerū terrenarum. Ideo dicit in sequentibus:

Exod. 3.

A Εὖ δὲ τὸ φάναι, Εὐλογῶν εὐλογήσω. πολλὰ γὰρ εὐλόγιστα δρῶσί τινες, ἀλλ' οὐκ ἐπ' εὐλογίαις· ἐπεὶ καὶ ὁ φαῦλος ἐνίοτε δρᾷ τὰ καθήκοντα, οὐκ ἀφ' ἕξεως καθηκούσης. καὶ ὁ μεθύων μέντοι καὶ μεμηνὼς ἔστιν ὅτε νηφάλια φθέγγεταί τε καὶ ποιεῖ, ἀλλ' οὐκ ἀπὸ νηφούσης διανοίας· καὶ οἱ ἔτι κομιδῇ νήπιοι παῖδες οὐκ ἀπὸ λογικῆς ἕξεως· οὔπω γὰρ αὐτοὺς ἡ φύσις λογικοὺς πεπαίδευκε· πολλὰ πράττουσι καὶ λέγουσιν ὧν οἱ λογικοί. βούλεται δὲ ὁ νομοθέτης τὸν

B σοφὸν μὴ σχετικῶς, καὶ εὐαλώτως καὶ ὡς ἀπὸ τύχης, εὐλόγιστον δοκεῖν εἶναι, ἀλλ' ἀπὸ ἕξεως καὶ διαθέσεως εὐλογίστου. οὐκ ἐξήρκεσεν οὖν τῇ βαρυδαίμονι αἰσθήσει χρῆσθαι πλουσίως ταῖς λύπαις, ἀλλὰ καὶ τῷ στεναγμῷ· ἔστι δὲ στεναγμὸς, σφοδρὰ καὶ ἐπιτεταμένη λύπη. πολλάκις γὰρ ἀλγοῦμεν, οὐχὶ στένοντες· ὅταν δὲ ἐπιστένωμεν, δριμείαις καὶ πάνυ ἐμβριθέσι χρώμεθα ταῖς λύπαις. ὁ δὲ στεναγμὸς διττός ἐστιν· εἷς μὲν ὁ τῶν περὶ τοὺς ἐπιθυμοῦντας καὶ ὀρεγομένους τῆς ἀδικίας καὶ μὴ τυγ-

C χάνοντας, ὃ δὴ καὶ φαῦλόν ἐστιν· ἕτερος δὲ ὁ τῶν περὶ τοὺς μετανοοῦντας καὶ ἀχθομένους ἐπὶ τῇ πάλαι τροπῇ, καὶ λέγοντας, κακοδαίμονες ἡμεῖς, ὅσον ἄρα χρόνον ἠσθενήσαμεν τοσοῦτον τῆς ἀφροσύνης νόσον καὶ ἀνοίας καὶ ἀδικίας ἐπιτηδεύματα. τοῦτο δ' οὐ γὰρ ἐὰν μὴ τελευτήσῃ καὶ ἀποθάνῃ ἐκ τῆς ψυχῆς ὁ βασιλεὺς τῆς αἰγύπτου, ὁ ἄθεος καὶ φιλήδονος τρόπος. Μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας, ἐτελεύτησεν ὁ βασιλεὺς τῆς

D αἰγύπτου. εἶτ' εὐθὺς ἀποθανούσης κακίας, στενάζει ὁ ὁρῶν τὸν θεὸν, καὶ τὴν ἑαυτοῦ τροπήν. κατεστέναξαν γὰρ οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν σωματικῶν καὶ αἰγυπτιακῶν ἔργων· ἐπεὶ ζῶν γε ὁ βασιλεὺς καὶ φιλήδονος τρόπος ἐν ἡμῖν, γεγηθέναι τὴν ψυχὴν ἀναπείθει, ἐφ' οἷς ἁμαρτάνει· ὅταν δὲ τελευτήσῃ, στένει. διὸ καὶ ἐκβοᾷ πρὸς τὸν δεσπότην ἱκετεύουσα μηκέτι τραπῆναι, μηδὲ ἀτελῆ τὴν τελείωσιν λαβεῖν. πολλαῖς γὰρ ψυχαῖς

E μετανοίᾳ χρῆσθαι βουληθείσαις οὐκ ἐπέτρεψεν ὁ θεὸς, ἀλλ' ὥσπερ ὑπὸ παλιρροίας εἰς τοὔμπαλιν ἀνεχώρησαν· τρόπον τινὰ καὶ Λὼτ γυναικὸς τῆς λιθουμένης διὰ τὸ Σοδόμων ἐρᾶν, καὶ εἰς τὰς κατεστραμμένας ὑπὸ τοῦ θεοῦ φύσεις ἀναβλέπειν. ἀλλὰ νυνί γε φησὶν, ὅτι ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεὸν, μαρτυρῶν τῇ τοῦ ὄντος χάριτι. εἰ γὰρ μὴ δυνατῶς πρὸς ἑαυτὸν εἵλκυσε τὸν ἱκέτην λόγον, οὐκ ἂν ἀνέβη, τουτέστιν οὐκ ἂν ἀνεβιβάσθη καὶ ηὐξήθη καὶ μετεωρίζειν ἤρξατο, φυγὼν τὴν ταπεινότητα τῶν γηΐνων· διὸ καὶ ἐν τοῖς ἑξῆς φησὶν,

Ἰδοὺ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἥκει πρός με. πάνυ καλῶς τὸ φθάσαι μέχρι θεοῦ τὴν ἱκεσίαν· οὐκ ἂν δὲ ἔφθασεν, εἰ μὴ ὁ καλῶν χρηστὸς ἦν. ἐνίαις δὲ ψυχαῖς προσαπαντᾷ. Ἥξω πρὸς σὲ καὶ εὐλογήσω σε. ὁρᾷς ὅση τοῦ αἰτίου ἡ χάρις φθάνοντος τὴν ἡμετέραν μέλλησιν καὶ προσαπαντῶντος εἰς εὐεργεσίαν παντελῆ τῆς ψυχῆς; καὶ χρησμός ἐστι δογματικὸς τὸ λεγόμενον. ἐὰν γὰρ ἔλθῃ εἰς τὴν διάνοιαν ἔννοια θεοῦ, * εὐλογιστεῖται εὐθύς, καὶ πάσας τὰς νόσους αὐτῆς ἰᾶται· ἡ δέ γε αἴσθησις ἀεὶ λυπεῖται καὶ στένει καὶ τίκτει μετ' ὀδύνης καὶ ἀλγηδόνων ἀμηχάνων τὸ αἰσθάνεσθαι, ὡς καὶ αὐτός φησιν, Ἐν λύπαις τέξῃ τέκνα. τίκτει δὲ ἡ μὲν ὅρασις τὸ ὁρᾶν, ἡ δὲ ἀκοὴ τὸ ἀκούειν, ἡ δὲ γεῦσις τὸ γεύεσθαι, καὶ συνόλως ἡ αἴσθησις τὸ αἰσθάνεσθαι, ἀλλ' οὐκ ἄνευ χαλεπῆς * ἀνοίας τῷ ἄφρονι ἕκαστον τούτων ποιεῖται. ἐπιλύπως γὰρ ἐστὶ καὶ ὁρᾷ καὶ ἀκούει, καὶ γεύεται καὶ ὀσφραίνεται, καὶ κοινῶς αἰσθάνεται. ἔμπαλιν δὲ τὴν ἀρετὴν εὑρήσεις μετὰ χαρᾶς ὑπερβαλλούσης καὶ κυοφοροῦσαν, καὶ τὸ σπουδαῖον σὺν γέλωτι καὶ εὐθυμίᾳ γεννῶσαν, καὶ τὸ γέννημα ἀμφοῖν αὐτὸ γέλως ἦν. ὡς μὲν οὖν ὁ σοφὸς χαίρων, ἀλλ' οὐ λυπούμενος γεννᾷ, μαρτυρήσει λέγων οὕτως ὁ θεῖος λόγος, Καὶ εἶπεν ὁ θεὸς πρὸς Ἀβραάμ, Σάρα ἡ γυνή σου οὐ κληθήσεται Σάρα, ἀλλὰ Σάρρα αὐτῆς ἔσται τὸ ὄνομα. εὐλογήσω αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον. εἶτ' ἐπιλέγει, Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον καὶ ἐγέλασε καὶ εἶπεν, εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱός, καὶ ἡ Σάρρα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται; οὗτος μὲν δὴ φαίνεται γεγηθὼς καὶ γελῶν, ὅτι μέλλει γεννᾶν τὸν εὐδαίμονα Ἰσαάκ. γεννᾷ δὲ καὶ ἡ ἀρετὴ Σάρρα. μαρτυρήσει δὲ ὁ αὐτὸς λέγων ὧδε· Ἐξέλιπε Σάρρα γίνεσθαι τὰ γυναικεῖα, καὶ ἐγέλασε τῇ διανοίᾳ, καὶ εἶπεν, οὔπω μοι γέγονε τὸ εὐδαιμονεῖν, ἕως τοῦ νῦν. ὁ δὲ κύριός μου, θεῖος λόγος, πρεσβύτερός ἐστιν, ᾧ προσθεῖναι τοῦτο ἀνάγκη, καὶ πιστεύειν καλὸν ὑπισχνουμένῳ. καὶ τὸ γέννημα δ' ἐστὶ γέλως καὶ χαρά. τοῦτο γὰρ καὶ Ἰσαὰκ ἑρμηνεύεται. λυπείσθω τοιγαροῦν αἴσθησις, ἀρετὴ δ' ἀεὶ χαιρέτω· καὶ γὰρ γεννηθέντος τοῦ εὐδαιμονεῖν, φησὶ σεμνυνομένη, Γέλωτά ἐποίησέ μοι ὁ κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. ἀναπετάσαντες οὖν ὦτα οἱ μύσται παραδέξασθε τελετὰς ἱερωτάτας. ὁ γέλως ἐστὶν ἡ χαρά. τὸ δὲ ἐποίησεν, ἴσον τῷ ἐγέννησεν· ὥστ' εἶναι τὸ λεγόμενον τοιοῦτον. Ἰσαὰκ ἐγέννησεν ὁ κύριος· αὐτὸς γὰρ πατήρ ἐστι τῆς τελείας φύσεως, σπείρων ἐν ταῖς ψυχαῖς καὶ γεννῶν τὸ εὐδαιμονεῖν.

* γρ. εὐλογεῖται

* γρ. ἀνίας

Ecce clamor filiorum Israel venit ad me.] Egregie significat peruenisse ad Deum preces supplicum: quæ non peruenissent, nisi bonus esset qui eas euocat. atque etiam vltro inuitat quasdam animas. Veniam ad te & benedicam te. Videte quanta sit summæ illius causæ gratia non expectantis nostram procrastinationem, sed insigni beneficio præoccupantis animam. nam hæc Dei vox oraculum est. nam si mentem subierit cogitatio de Deo, confestim accepta benedictione sanatur ab omnibus infirmitatibus. at sentiendi vis semper dolet gemitque, & cum doloribus tristitiisque parit sensum: sicut ipsa scriptura dicit: In doloribus paries filios. ex visu enim visio nascitur, ex auditu auditio, ex gustu gustatio, & in vniuersum ex vi sentiendi ipsa sensus actio: sed non sine magna molestia in insipiéte vnumquodque horum fit. nam hic moleste videt, audit, gustat, olfacit, & quocunque sensu vtitur. Econtra virtutem inuenies cum ingenti gaudio gestare vterum: & bonum partum cum risu ac animi tranquillitate parere, & fœtum hinc vtrique parenti hilaritaté afferre. nam quod sapiens gaudens & non dolens gignat, his verbis testatur diuinum eloquium: Et dixit Deus ad Abraham: Sara vxor tua non vocabitur posthac Sara, sed Sarra nomé eius erit. Benedicam ei, & dabo tibi ex ea filium. mox addit: Et procidit Abraham in faciem suam, & risit sic cogitans: Num cétenario nascetur filius? & Sarra exactis annis nonaginta num pariet? Hic certe apparet quàm gaudeat rideátque, quia geniturus est fortunatum illum Isaac, testante inibi propheta: Desierant Sarræ fieri muliebria, risitque intra se cogitans: Nunquam hactenus contigit mihi tanta felicitas. Sed Dominus meus, Dei verbum, senior est: quem posse hoc necesse est, & decet nos pollicenti credere. Quin & partus ipse risus est ac gaudium. sic enim Isaac interpretatur. Doleat igitur sensus, virtus contra perpetuo gaudeat. Postquam enim nata est felicitas, mater sibi placens dicit: Risum fecit mihi Dominus. nam quicumque rem audierit, mihi gratulabitur. Itaque quotquot estis initiati, expansis auribus accipite mysteria sacratissima. Risus est gaudium. Fecit perinde valet ac genuit. ex quibus verbis colligitur hæc sententia, Isaacum genuit Dominus. nam ipse est perfectæ naturæ genitor, semen iaciens in animas, & felicitatem generans.

Gen. 3.

Gen. 14.

Et ad virum tuum, inquit, conuersio tua.] Duo sunt viri sensuum, alter legitimus, alter adulter. nam viri more visibile mouet visum, vox auditum, sapor gustum: idem de cæteris quoque intelligitur. per hæc brutus sensus conuersus attractúsque venit in potestatem alienam. sic pulchritudo visum in seruitutem suam redigit, sic suauis sapor gustum, sic reliqua sensibilia suum quodque sensum. Considera liguritorem quomodo seruit condimentis coquorum atque cupediariorum: eum qui propensus est ad cantum, quomodo deuinciatur à cithara tibiáque, vel à docto cantore. at sensus qui se vertit ad intellectum virum suum legitimum, ingentem vtilitatem ex eo percipit. Videamus igitur deinceps quid & de ipso intellectu narretur, moto præter rectam rationem. Ad Adam autem dixit Deus: Quia audisti vocem vxoris tuæ, & comedisti de arbore de qua præceperam tibi ne comederes, maledicta terra in operibus tuis.] Nihil inutilius quàm audiri sensum ab intellectu, & non contrà potius. Debet enim semper præesse melior, subesse deterior. At intellectus sensu est melior. Ergo sicut auriga regente, & iumenta habenis qua placet flectente currus procedit: illis vero contumaciter frenum mordentibus, & auriga transuersus fertur, & iumenta interdum impetu suo rapiuntur in cœnum, cursu prorsus aberrante: & sicut nauis recte nauigat, donec gubernator clauum tenens eam dirigit: periclitatur vero quando vento reflante mare totum occupatur à fluctibus: ad eundem modum quando animæ auriga gubernatórque intellectus imperium totius animalis tenet, tanquam magistratus in ciuitate, vita prosperatur: quando vero brutus sensus primatum occupat, confusio vehemens sequitur, haud secus quàm dominis oppressis à suis seruitijs. tunc enim, si vera fatenda sunt, intellectus accensus deflagrat, sensibus flammam nutrientibus, & sensibilia in eam congerentibus. Quale incendium per sensus excitatum Moses quoque indicat verbis his: Et mulieres amplius etiam accenderunt ignẽ in Moab.] Hæc vox interpretatur Ex patre. Pater noster intellectus est. Tunc, inquit, dicent ænigmatistæ: venite in Esebon, vt ædificetur & exornetur ciuitas Seon. Quoniam ignis exiuit ex Esebon, flamma è ciuitate Seon:

Gen. 3.

Num. 22.

A Καὶ πρὸς τὸν ἄνδρα σου, φησίν, ἡ ἀποστροφή σου. δύο αἰσθήσεων ἄνδρες εἰσίν. ὁ μὲν νόμιμος, ὁ δὲ φθορεύς. ἀνδρὸς μὲν γὰρ τρόπον τὸ μὲν ὁρατὸν κινεῖ τὴν ὅρασιν, ἡ δὲ φωνὴ τὴν ἀκοὴν, ὁ δὲ χυλὸς τὴν γεῦσιν, καὶ τῶν ἄλλων ἕκαστον. ταῦτα δὴ ἀποστρέφει καὶ ἕλκει τὴν ἄλογον αἴσθησιν πρὸς ἑαυτὴν, καὶ καταχειροῦται καὶ κυριεύει. τό, τε γὰρ κάλλος τὴν ὅρασιν ἐδουλώσατο, ὅ, τε ἡδὺς χυλὸς τὴν γεῦσιν, καὶ τῶν ἄλλων ἕκαστον αἰσθητὸν τὴν καθ' αὑτὸ αἴσθησιν. ἴδε δή τοι τὸν λίχνον ὡς δουλεύει ταῖς παρασκευαῖς ὅσας ὀψαρτυταὶ καὶ σιτοπόνοι τεχνιτεύουσι· καὶ τὸν
B ἐσπουδακότα περὶ μέλος, πῶς ἐπικεκράτηται ὑπὸ κιθάρας, ἢ αὐλοῦ, ἢ καὶ ᾠδῆς ἐπιστήμονος. τῇ δέ γε πρὸς τὸν νόμιμον ἄνδρα τὸν νοῦν ἀποστραφείσῃ μεγίστη ἐστὶν ὠφέλεια αἰσθήσει. ἴδωμεν οὖν ἑξῆς τίνα καὶ περὶ αὐτοῦ τοῦ νοῦ διεξέρχεται παρὰ τὸν ὀρθὸν λόγον κινουμένου. Τῷ δὲ Ἀδὰμ εἶπεν ὁ θεός, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. ἀλυ-
C σιτελέστατόν ἐστιν ἀκούειν αἰσθήσεως νοῦν, ἀλλὰ μὴ αἴσθησιν νοῦ. ἀεὶ γὰρ τὸ κρεῖττον ἄρχειν, τὸ δὲ χεῖρον ἄρχεσθαι δεῖ· νοῦς δὲ κρείττων αἰσθήσεως. ὥσπερ οὖν ἀρχόντος μὲν ἡνιόχου, καὶ ταῖς ἡνίαις τὰ ζῶα ἄγοντος ᾗ βούλεται, ἄγεται τὸ ἅρμα· ἀφηνιασάντων δὲ ἐκείνων, καὶ κρατησάντων, ὅ, τε ἡνίοχος κατεσύρη πολλάκις, τά τε ζῶα ἔστιν ὅτε τῇ ῥύμῃ τῆς φορᾶς εἰς βόρβορον κατεκρημνίσθη, πλημμελῶς τε πάντα
D φέρεται· καὶ ναῦς εὐθυδρομεῖ μὲν, ἡνίκα τῶν οἰάκων λαβόμενος ὁ κυβερνήτης, ἀκολούθως πηδαλιουχεῖ· περιτρέπεται δὲ, ὅτε πνεύματος ἐναντίου περιπνεύσαντος τῇ θαλάττῃ ὁ κλύδων ἐνῴκησεν· οὕτως ἐπειδὰν μὲν ὁ τῆς ψυχῆς ἡνίοχος ἢ κυβερνήτης ὁ νοῦς ἄρχῃ τοῦ ζώου ὅλου, καθάπερ ἡγεμὼν πόλεως, εὐθύνεται ὁ βίος· ὅταν δὲ ἡ ἄλογος αἴσθησις φέρηται τὰ πρωτεῖα, σύγχυσις καταλαμβάνει δεινὴ, οἷα δούλων δεσπόταις ἐπιτεθειμένων. τό τε γὰρ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐμπίπραται
E φλεγόμενος ὁ νοῦς, τῶν αἰσθήσεων τὴν φλόγα ἐγειρουσῶν, τὰ αἰσθητὰ ὑποβεβλημένων. καὶ Μωυσῆς μέντοι δηλοῖ περὶ τῆς τοιαύτης ἐμπρήσεως, ἣ γίνεται διὰ τῶν αἰσθήσεων, τοῦ νοῦ, ὅταν λέγῃ, Καὶ αἱ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐν Μωάβ. ἑρμηνεύεται γὰρ ἐκ πατρός. ὁ πατὴρ ἡμῶν ὁ νοῦς ἐστί. τότε γὰρ, φησὶν, ἐροῦσιν οἱ αἰνιγματισταί, ἔλθετε εἰς Ἐσεβὼν, ἵν' οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις Σηών· ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἐσεβὼν, φλὸξ ἐκ πόλεως Σηών· καὶ κατέ-

A φαγεν ἕως Μωάβ, καὶ κατέπιε στήλας Ἀρνῶν. οὐαί σοι Μωάβ, ἀπώλου λαὸς Χαμώς· ἀπεδόθησαν οἱ υἱοὶ αὐτῶν σώζεσθαι, καὶ αἱ θυγατέρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ Ἀμορραίων Σηών. καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται Ἐσεβὼν ἕως Δεβών. καὶ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ. Ἐσεβὼν ἑρμηνεύεται λογισμοί· οὗτοι δέ εἰσιν αἰνίγματα, ἀσαφείας γέμοντες. ἰδὲ λογισμὸν ἰατροῦ, κενώσω τὸν κάμνοντα, θρέψω, φαρμάκοις ἰάσομαι, διαίτῃ, τεμῶ, καύσω· ἀλλὰ πολλάκις ἡ φύσις καὶ ἄνευ τούτων ἰάσατο, καὶ μετὰ τούτων ἀπώλεσεν, ὡς τοὺς ἰατροῦ πάντας ἐπιλογισμοὺς ἐνύπνια εὑρεθῆναι, ἀσαφείας καὶ αἰνιγμάτων πλήρη. πάλιν ὁ γεωπόνος φησί, σπέρματα βαλοῦμαι, φυτεύσω, αὐξήσεται τὰ φυτά, καρποὺς ταῦτα οἴσει, οἱ οὐ μόνον εἰς ἀπόλαυσιν ἔσονται χρήσιμοι τὴν ἀναγκαίαν, ἀλλὰ καὶ πρὸς περιουσίαν ἀρκέσουσιν· εἶτ' ἐξαίφνης φλόξ, ἢ ζάλη, ἢ *ἐπομβρεῖαι συνεχεῖς, διέφθειρε πάντα. ἔστι δ' ὅτε τὰ μὲν ἐπελογιστούργησεν, ὁ δὲ ταῦτα λογισάμενος οὐκ ὤνατο, ἀλλὰ προαπέθανε, καὶ ἐπὶ τοῖς τῶν πονηθέντων καρποῖς μάτην ἀπόλαυσιν ἐμαντεύσατο. ἄμεινον οὖν τῷ θεῷ πεπιστευκέναι, καὶ μὴ τοῖς ἀσαφέσι λογισμοῖς, καὶ ταῖς ἀβεβαίοις εἰκασίαις. Ἀβραὰμ γέ τοι ἐπίστευσε τῷ θεῷ, καὶ δίκαιος ἐνομίσθη. καὶ Μωσῆς ἄρχει μαρτυρούμενος ὅτι ἐστὶ πιστὸς ὅλῳ τῷ οἴκῳ. ἐὰν δὲ ἀπιστεύσωμεν τοῖς ἰδίοις λογισμοῖς, κατασκευάσομεν καὶ οἰκοδομήσομεν τὴν πόλιν τοῦ διαφθείροντος τὴν ἀλήθειαν νοῦ. Σηὼν γὰρ ἑρμηνεύεται διαφθείρων. πρὸ ὃ καὶ διαναστάς, πρὸς ὃν ἦν ἐνύπνια, εὗρεν ὅτι αἱ κινήσεις ἅπασαι καὶ αἱ διαστάσεις τοῦ ἄφρονος εἰσὶν ἐνύπνια ἀληθείας ἀμέτοχα. αὐτὸς γὰρ ὁ νοῦς ἐνύπνιον εὑρέθη, ὅτι ἀληθὲς μὲν ἐστι δόγμα τὸ πιστεύειν θεῷ, ψεῦδος δὲ τὸ πιστεύειν τοῖς κενοῖς λογισμοῖς· ἄλογος δὲ ὁρμὴ ἐξέρχεται καὶ φοιτᾷ ἐφ' ἑκάτερα, τόν τε λογισμὸν, καὶ τὸν νοῦν τὸν διαφθείροντα τὴν ἀλήθειαν. διὸ καί φησιν, ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἐσεβών, φλὸξ ἐκ πόλεως Σηών. οὕτω γὰρ ἄλογον τὸ πιστεύειν, ἢ λογισμοῖς πιθανοῖς, ἢ νῷ διαφθείροντι τἀληθές. καταφλέγει τοι καὶ ἕως Μωάβ, τουτέστιν ἕως τοῦ νοῦ. τίνα γὰρ ἄλλον ἢ τὸν ἄθλιον νοῦν ἡ ψευδὴς δόξα ἀπατᾷ; καταφλέγει καὶ βιβρώσκει, καὶ μέντοι καὶ καταπίνει τὰς ἐν αὐτῷ στήλας, τουτέστι τὰ κατὰ μέρος ἐνθυμήματα, ἃ καθάπερ ἐν στήλῃ τετύπωται καὶ ἐγκεχάρακται. Ἀρνῶν δ' εἰσὶν αἱ στῆλαι, ὃ ἑρμηνεύεται φῶς αὐτῶν, ἐπεὶ τῶν πραγμάτων ἕκαστον ἐν λογισμῷ σαφηνίζεται. ἄρχεται μὲν οὖν [illegible]

*ἴσως, ἐπομβρεία συνεχές

& deuorauit vſque Moab, & deleuit columnas Arnon. Væ tibi Moab, perijt Chamos. Venditi ſunt filij eorum vt ſeruirent: & filiæ eorum captiuę adductę ſunt regi Amorræorum Seon, & ſemen eorum peribit ab Eſebon vſque Debon, & mulieres amplius etiam accéderunt ignẽ in Moab.] Eſebon interpretatur cogitationes. Hæ autem ſunt ænigmata, plenæ obſcuritate. Conſidera cogitationẽ medici: vacuabo ægrotum, nutriam, remedijs curabo diætáque, ſecabo, vram cauteribus. ſed ſæpe natura & abſque his ſanauit, & cum his interemit, vt medici cogitationes nihil aliud quã ſomnia ſint inuentæ, plena obſcuritatis & ænigmatum. Rurſum agricola dicit: Semina iaciam, plantabo, creſcent plantæ, ferent fructus, qui non ſolum ad vſum proficiẽt neceſſarium, ſed ad copiam etiam ſufficient. Poſt has cogitationes aut flamma repentina, aut procella, aut imber continuus, corrupit omnia. Interdum fructus reſponderunt operæ, ſed nihil iuuerunt eum qui ſic cogitauerat, morte præuentum, & fruſtra ſibi fructus laboris pollicitum. Proinde optimũ fuerit Deo credere, non incertis cogitationibus coniecturiſque fallacibus. Abraham ille Deo credidit, & iuſtus reputatus eſt. Moſes itẽ præeſt populo, cum teſtimonio quod ſit fidelis in tota domo. Quod ſi credemus proprijs cogitationibus, ædificabimus exornabimúſque ciuitatem corrũpentis veritatem intellectus. Seon enim interpretatur corrumpens. Quamobrem experrectus qui ſomniauerat, inuenit quod omnes motus proceſſúſque inſipientis ſint mera inſomnia nihil veritatis habentia. nam ipſe intellectus ſomnium eſſe conuincitur: quia certiſſimum eſt Deo credere, & fallitur qui credit vanis cogitationibus. irrationalis autem impetus exiens proficiſcitur vtróq; & ad cogitationes, & ad intellectũ, qui corrũpit veritatem. Ideo dicit ſcriptura: Ignis exiuit ex Eſebõ, flãma è ciuitate Seon.] alienũ enim à ratione credere vel cogitationibus probabilibus, vel intellectui corrũpenti veritatem. deuorat tamẽ etiã vſque Moab, id eſt vſque intellectũ. quẽ enim aliũ quam miſerũ intellectum falſa opinio decipit? Deuorat, depaſcítque atque etiã deglutit colũnas quæ ſunt in eo, hoc eſt, particulares concupiſcẽtias, quæ tanquã in colũna impreſſæ inſculptęque ſunt. Arnon autẽ ſunt hæ colũnæ, quod interpretatur lux eorũ, quoniã vnaquæque res in cogitatione illuſtratur. mox

B C D E

Num.12.

Num.21.

incipit deplorare arrogantē suique amātem intellectum: Væ tibi Moab ciuitas.] Si enim attendis ænigmata, quæ tibi insidiantur verisimili specie, amisisti veritatem. populus Chamos, hoc est populus tuus & potētia, inuētus est cęcus & orbatus luminibus. Chamos enim interpretatur, quasi palpatio: quod visu carētis est propriū. horum filij quidē sunt particulares cogitationes exules: sententiæ vero tanquā filiæ, quæ captiuę adducūtur regi Amorræorū, hoc est doctori loquētium: quia Amorræi interpretātur loquentes, qui garrulum populū significant. horum imperator sophista est, callidus ad inueniendū sermonum artificiū: cuius loquacitate decipiuntur qui transcendunt veritatis terminum. Scon igitur corrūpens rectā veritatis regulā interiturus est vnà cū suo semine: & Esebon ænigmata illa sophistica vsque Debon, quod intelligitūr iudicatio. valde accōmodate. nā verisimilia probabiliáque nō habēt veritatis scientiā, sed iudicium & controuersiam, cōtentionēque litigiosam ac peruicacē, & reliqua his similia. nec satis erāt intellectui suæ propriæ pestes intelligibiles, sed & mulieres amplius etiā accenderūt ignē, scilicet sensus, excitato in eum incendio maximo. animaduerte quale sit quod dicitur. plerūque noctu cessātibus omnibus sensibus, de multis variisq; rebus cogitationes incōsistentes nobis incidunt, dū anima haud quiescens à motu perpetuo infinitas mutationes recipit. ad eam corrūpendam sufficiebāt vel quæ ex ipsa gignūtur: nunc etiā sensuū turba inuexit in eam morborū ingentē multitudinē, ex rebus visibilibus, ex vocibus, ex saporibus, ex vaporibus qui odoratu percipiūtur: quæ flāma ab his rebus excitata magis animā populatur, quam ea quæ in ipsa innascitur absque ministerio instrumentorū sensitiuorū. Ex his mulieribus vna est vxor Petephræ qui culinæ Pharaonis pręerat. is quomodo vxorē habeat cū sit eunuchus dispiciēdū. nam si verba legis tractentur allegorice, offeret se hic dubitationis species. Eunuchus enim iste & coquorū præfectus, videlicet mēs quæ non simplicibus tantum, sed etiam superfluis vtitur voluptatibus, eunuchus vocatur sterilis sapientiæ, cum sit eunuchus non alterius quā dissipatoris bonorum Pharaonis. quandoquidē diuersa ratione optanda res videri potest eunuchū fieri, si queat anima nostra euitato vitio affectus dediscere. Quapropter & Ioseph figura tēperantiæ, voluptati dicēti,

Gen. 39.

A τὸ αὐθάδη καὶ φίλαυτον νοῦν, οὕτως, Οὐαί σοι Μωὰβ πόλις. εἰ γὰρ αἰνίγμασι προσέχεις τοῖς κατὰ τὴν τῶν εἰκότων ἐπιβουλήν, ἀπολώλεκας ἀλήθειαν. λαὸς Χαμώς, τουτέστιν ὁ λαός σου καὶ ἡ δύναμις, εὕρηται πηρὸς καὶ τετυφλωμένος. Χαμὼς γὰρ ἑρμηνεύεται, ὡς ψηλάφημα. ἴδιον δὲ τοῦ μὴ ὁρῶντος τὸ ἔργον τοῦτο. τούτοις οἱ μὲν υἱοὶ κατὰ μέρος λογισμοὶ φυγάδες, αἱ δὲ γνῶμαι θυγατέρων ἔχουσαι δύναμιν, αἰχμάλωτοι τῷ βασιλεῖ τῶν Ἀμορραίων, τουτέστι τῷ σοφιστῇ λαλούντων.
B οἱ μὲν Ἀμορραῖοι ἑρμηνεύονται λαλοῦντες, τοῦ γεγωνότος λαοῦ σύμβολον ὄντες· ὁ δὲ τούτων ἡγεμών, ὁ σοφιστής ἐστι καὶ δεινὸς λόγων ἀνευρεῖν τέχνας ὑφ᾽ οὗ κατασοφίζονται οἱ τὸν ὅρον τῆς ἀληθείας ὑπερβαίνοντες. Σηὼν οὖν ὁ διαφθείρων τὸν ὑγιῆ κανόνα τῆς ἀληθείας καὶ τὸ σπέρμα αὐτοῦ ἀπολεῖται, καὶ Ἐσεβὼν τὰ αἰνίγματα τὰ σοφιστικὰ ἕως Δεβών, ὃ καλεῖται δικασμός, πάνυ προσφυῶς. τὰ γὰρ εἰκότα καὶ πιθανὰ οὐκ ἔχει περὶ ἀληθείας ἐπιστήμην, ἀλλὰ δίκην καὶ ἀμ-
C φισβήτησιν, καὶ ἐριστικὴν ἅμιλλαν καὶ φιλονεικίαν, καὶ πάντα τὰ τοιαῦτα. ἀλλ᾽ οὐκ ἐξήρκεσε τῷ νῷ τὰς ἰδίας καὶ νοητὰς ἔχειν κῆρας, ἀλλ᾽ ἔτι καὶ αἱ γυναῖκες προσεξέκαυσαν πῦρ, αἱ αἰσθήσεις, πυρκαϊὰν πολλὴν ἐπ᾽ αὐτόν. ἴδε μέντοι τὸ λεγόμενον, οἷόν ἐστι. πολλάκις νύκτωρ οὐδεμιᾶς τῶν αἰσθήσεων ἐνεργούσης, ἀτόπους περὶ πολλῶν καὶ διαφερόντων λαμβανόμεθα ἐννοίας, τῆς ψυχῆς ἀκινήτου ὑπαρχούσης, καὶ μυρίας τροπὰς ἐνδεχομένης. ἦν οὖν ἱκανὰ πρὸς διαφθορὰν αὐτῇ, ὅσα αὐτὴ ἐξ ἑαυτῆς ἐγέννησε·
D νυνὶ δὲ καὶ ὁ τῶν αἰσθήσεων ὄχλος ἐπεισωδίασεν αὐτῇ κηρῶν ἀμήχανον πλῆθος, τοῦτο μὲν ἐκ τῶν ὁρατῶν, τοῦτο δὲ ἐκ τῶν φωνῶν, εἶτα χυλῶν, καὶ ἀτμῶν τῶν κατὰ τὴν *ὀσμήν, καὶ μᾶλλον ἡ ἀπ᾽ αὐτῶν φλὸξ χαλεπώτερον τὴν ψυχὴν διατίθησι τῆς ἐγγινομένης ὑπ᾽ αὐτῆς τῆς ψυχῆς ἄνευ συμπαραλήψεως αἰσθητηρίων. τούτων μία τῶν γυναικῶν ἐστιν ἡ Πετεφρῆ τοῦ Φαραὼ ἀρχιμαγείρου. ὅπως ἔχει γυναῖκα εὐνοῦχος ὤν ἐπισκεπτέον. τοῖς γὰρ τὰ ῥήματα τοῦ νόμου πραγματευομένοις πρὸς ἀλληγορίαν, γρ. φωνῶν
E ἀκολουθήσει τὸ δοκοῦν ἀπορεῖσθαι. ὁ γὰρ εὐνοῦχος καὶ ἀρχιμάγειρος ὄντως νοῦς μὴ τῶν ἁπλαῖς μόνον, ἀλλὰ καὶ ταῖς περιτταῖς χρώμενος ἡδοναῖς, εὐνοῦχος κέκληται, καὶ ἄγονος σοφίας ὢν εὐνοῦχος οὐκ ἄλλου τινὸς ἢ τοῦ σκεδαστοῦ τῶν καλῶν Φαραώ. ἐπεί τοι κατ᾽ ἄλλον τὸν λόγον, ἄριστον ἂν εἴη τὸ εὐνοῦχον γενέσθαι, εἰ δυνήσεται ἡμῶν ἡ ψυχὴ κακίαν ἐκφυγοῦσα, ἀπομαθεῖν τὸ πάθος. διὸ καὶ Ἰωσὴφ ὁ ἐγκρατὴς τρόπος, τῇ λεγούσῃ ἡδονῇ, κοιμήθητι μετ᾽ ἐμοῦ, καὶ

A ἄνθρωπος ὤν, ἀνθρωποπάθησον καὶ ἀπόλαυσον τῶν κατὰ τὸν βίον τερπνῶν, ἐναντιοῦται φάσκων, ἁμαρτήσομαι εἰς τὸν φιλάρετον, εἰ γενοίμην φιλήδονος· πονηρὸν τοῦτ' ἔργον. καὶ νῦν μὲν ἀκροβολίζεται, ἤδη δὲ καὶ καρτερῶς ἀπομάχεται, ὅταν εἰς τὸν ἑαυτῆς εἰσέλθῃ οἶκον ἡ ψυχή, καὶ ἀναδραμοῦσα ἐπὶ τοὺς ἑαυτῆς τόνους ἀποτάξηται τοῖς κατὰ τὸ σῶμα, καὶ τὰ ἴδια ὡς ψυχῆς ἔργα ἐργάσηται, οὔτ' εἰς τὸν οἶκον Ἰωσήφ, οὔτε Πεντεφρῆ, ἀλλ' εἰς τὴν οἰκίαν· ἧς οὐ προστίθησι τὴν τίνος, ἵνα σκεπτικῶς ἀλ-
B ληγορῆς ποιεῖν τὰ ἔργα αὐτοῦ. ἡ μὲν οὖν οἰκία ἐστὶν ἡ ψυχή, εἰς ἣν ἀνατρέχει καταλιπὼν τὰ ἐκτός, ἵνα τὸ λεγόμενον ἔνδον αὐτὸ γίνηται. τὰ δὲ τοῦ ἐγκρατοῦς ἔργα μήποτε θεοῦ βουλήματι ἐστί; καὶ γὰρ οὐδεὶς ἦν ἀλλότριος λογισμὸς τῶν εἰωθότων ἐν τῇ ψυχῇ κατοικεῖν εἴσω· πλὴν οὐκ ἀφίσταται ζυγομαχοῦσα ἡ ἡδονή, ἀλλὰ τῶν ἱματίων λαβομένη, φησί, κοιμήθητι μετ' ἐμοῦ. σκεπάσματα δὲ ὥσπερ σώματος τὰ ἐσθήματά ἐστιν, οὕτω τοῦ ζῆν σιτία καὶ ποτά· τοῦτο δέ φησι, τί παραιτῇ τὴν ἡδονήν, ἧς ἄνευ
C οὐ δυνάσαι ζῆν. ἰδοὺ ἐκλαμβάνομαι τὴν ποιητικὴν αὐτῆς, καί φημί σε μὴ ἂν δυνηθῆναι ὑποστῆναι, εἰ μή τινι τῶν ποιητικῶν χρήσαιο. τί οὖν ὁ ἐγκρατής, εἰ μέλλω, φησί, δουλεύειν πάθει διὰ τὴν ποιητικὴν ὕλην, καὶ ἐξελεύσομαι ἀπὸ τοῦ πάθους ἔξω. Καταλιπὼν γὰρ τὰ ἱμάτια ἐν ταῖς χερσὶν αὐτῆς, ἔφυγε καὶ ἐξῆλθεν ἔξω. τίς δ' ἔνδον, φαίη τις ἄν, ἐξέρχεται; οὐ πολλοί; ἢ οὐ φυγόντες τινὲς τὸ ἱεροσυλεῖν, ἐξ ἰδιωτικῆς ἔκλεψαν οἰκίας, καὶ οὐκ ὄντες
D πατροτύπται, ἀλλοτρίους ὕβρισαν; οὗτοι ἐξέρχονται μὲν ἀπὸ τῶν ἁμαρτημάτων, εἰς ἕτερα δὲ εἰσέρχονται· τὸν δὲ τελείως ἐγκρατῆ δεῖ πάντα φεύγειν τὰ ἁμαρτήματα, καὶ τὰ μείζω καὶ τὰ ἥττω, καὶ ἐν μηδενὶ ἐξετάζεσθαι τὸ παράπαν. ἀλλ' ὁ μὲν Ἰωσήφ· νέος τε γάρ ἐστι· καὶ τῷ αἰγυπτίῳ σώματι οὐκ ἰσχύσει ἀγωνίσασθαι καὶ νικῆσαι τὴν ἡδονήν· ἀποδιδράσκει. Φινεὲς δὲ ὁ ἱερεὺς ὁ ζηλώσας τὸν ὑπὲρ θεοῦ ζῆλον, οὐ φυγῇ τὴν ἰδίαν σωτηρίαν πεπόρισται, ἀλλὰ τὸν *Συρομάστην τουτέστι τὸν ζη-
E λωτικὸν λόγον λαβών, οὐκ ἀποστήσεται, πρὶν ἢ ἐκκεντῆσαι τὴν Μαδιανῖτιν, τὴν ἐγκεκρυμμένην θείῳ χορῷ φύσιν, διὰ τῆς μήτρας αὐτῆς, ἵνα μηδέποτε ἰσχύσῃ φυτὸν ἢ σπέρμα κακίας ἀνατεῖλαι· οὗ χάριν ἐκκοπείσης ἀφροσύνης, ἆθλον καὶ κλῆρον ἡ ψυχὴ λαμβάνει διττόν, εἰρήνην τε ἱερωσύνην, συγγενῆ καὶ ἀδελφὰς ἀρετάς. τοιαύτης μὲν οὖν γυναικὸς οὐκ ἀκουστέον, αἰσθήσεως μοχθηρᾶς λέγω· ἐπεὶ καὶ τὰς μαίας εὖ ἐποίει ὁ θεός, ὅτι τὰς

* γρ. σειρομάστην

Dormi mecum, & cum sis homo, humano more fruere vitæ delicijs, contradicit his verbis: Peccarem in Deum amatorẽ virtutis, si voluptatis amator fierem. Malum est hoc opus. Et hactenus quidẽ velitatur, mox strenue repugnat, quando in domũ suam ingressa anima, viribus collectis indicit bellum rebus corporeis, & sua propria vt ad animam attinentia operatur opera, non in ædibus Iosephi, nec in Petephræ, sed domi. Nec additur cuius domi, vt allegoriam perspicias, eam agere sua negotia. hæc domus est anima, ad quam ille recurrit relictis rebus externis, vt quæ internæ dicuntur ibi fiant. continentis autem opera an non per Dei voluntatem existunt? nulla enim aderat alia cogitatio ex his quæ solent versari in anima. nec tamen desinit voluptas iugum quassare, sed apprehenso pallio iterat illud suum Dormi mecum. Protegitur autem vita cibo potúque, sicut corpus vestimentis. Sic igitur illa loquitur: Cur recusas voluptatem, sine qua non potes viuere? ecce teneo quæ illam faciunt, & pernego te posse subsistere, nisi vtaris rebus talibus. sed quid ad hæc respondet vir temperans? Si seruiendum est, inquit, affectui propter eius causam materiam, extra affectum me proripiam. Relicto enim in manu eius pallio fugit, & egressus est foras.] Dicat aliquis, & quis intrò egreditur? Nónne multi? an non sunt quidam qui fugiendo sacrilegium furati sunt ex priuatis ædibus? qui temperantes manibus à patre, pulsarunt alios? hi egrediuntur quidem vnum peccatum, sed ingrediuntur aliud. atqui oportet vt perfecte temperans peccata fugiat omnia, maiora minoráque, & in nullo prorsus deprehendatur. Sed Ioseph vt homo iuuenis, qui non posset cum Ægyptio corpore, scilicet voluptate, contendendo sperare victoriam, mauult fugere. Phinees autem sacerdos zelo Dei correptus, non fuga sibi salutem quæsiuit, sed arrepto siromaste, hoc est ratione cum zelo coniuncta, non desistit prius quàm transfigat Madianitidem, scilicet naturam occultantem se in diuino choro: idque per vuluam ipsius, ne vnquam possit inde oriri stirps aut semen maliciæ. Quapropter excisa insipientia, duplex accipit anima præmium, pacem atque sacerdotium, cognata germanáque bona. Talis igitur mulier audienda non est: loquor de sensu illo scelerato. quoniam & obstetricibus bene fecit Deus, quòd mãdato

Num. 25.

dissipatoris Pharaonis neglecto, masculos in vita conseruabant: quos ille interemptos volebat, amator totius sexus fœminei: summã autẽ illã causam nesciens, dicendo, Non noui eum. Sed alia mulier est audiẽda, qualis Sarra fuit, id est princeps virtus: cui sapiens ille Abrahã paret monẽti quæ monere debebat. nam antea cum is nondũ perfectus, necdum mutato nomine astrologiæ daret operam: sciens eũ non posse gignere ex virtute perfecta, consulit vt quærat sobolẽ ex ancilla, hoc est ex encyclopędia, videlicet Agar, quę vox inquilinam significat. Qui enim meditatur in virtute perfecta domiciliũ habere, prius quàm inter ciues eius ascribatur, inquilinum agit in disciplinis encyclicis, vt his adiutus ad perfectam virtutem sinatur euadere. deinde cũ vxor viderit eum perfectum iámque ad gignendum idoneum, quamuis ille gratus erga disciplinas per quas virtuti cõmendatus fuerat, graue putat eis remittere nunciũ, oraculo diuino mitigabitur dicẽte: Om-
Gen.21. nia quæcunque monuerit Sarra, audi vocem eius.] Vnicuique nostrum lex esto, quicquid virtuti placet. nam si omnia quæcunque monet virtus audire voluęrimus, felices erimus. Illud autem: Et
Gen.3. comedisti de arbore de qua præceperam tibi ne comederes:] perinde est ac si diceret: consensisti malitiæ quam debueras totis viribus repellere, propterea maledicta, non tu, sed terra in operibus tuis. Quæ causa? Serpens ille voluptas, elatio bruta animæ. hæc ex seipsa maledicta, soli vtique malo accidit, cæterum bono nemini. At Adam intellectus est constitutus in medio, qui iam melior inuenitur, iam deterior: quatenus enim intellectus est, nec boni nec mali naturam habet: sed virtute vitióque in melius deteriúsve mutari solet. merito igitur non ipse maledictus suopte ingenio: vt qui nec vitium est, nec vitiosa actio: sed terra maledicta est in eius operibus. nam actiones totius animæ, quam terram vocauit, reprehẽsibiles culpabilésque sunt, vt quisque agit singulas. & ideo adiungit: In doloribus comedes ex ea.] hoc est frueris anima cum molestia. Laboriose enim quiuis malus per omnẽ vitam anima sua vtitur, nullam habens causam lætitiæ, ad quam gignendam nata est iustitia prudentiáque, cæteræque sodales
Gen.3. harum virtutes. Ergo spinas & tribulos producet tibi.] Quid enim aliud nascitur in anima insipientis, nisi affectus pungentes eam vulnerantésque? quos

A παρεπιτάξεων τοῦ σκεδαστοῦ Φαραὼ ἀλόγων, τὰ ἄρρενα τῆς ζωῆς ζωογονοῦσαι, ἃ ἐκεῖνος ἤθελε διαφθείρειν, τῆς θηλείας ὅλης ἐραστὴς ὤν, τὸ δ᾽ αἴτιον ἀγνοῶν, καὶ λέγων ὅτι οὐκ οἶδα αὐτόν· ἑτέρα δὲ πιστέον γυναικὶ, οἵαν συμβέβηκε Σάρραν εἶναι, τὴν ἄρχουσαν ἀρετήν. καὶ πείθεταί γε ὁ σοφὸς Ἀβραὰμ αὐτῇ παραινούσῃ ἃ δεῖ· πρότερον μὲν γὰρ ὅτε οὔπω τέλειος ἐγεγένητο, ἀλλ᾽ ἔτι πρὶν μετονομασθῆναι τὰ μετέωρα ἐφιλοσόφει, ἐπισταμένη B ὅτι οὐκ ἂν δύναιτο γεννᾶν ἐξ ἀρετῆς τελείας, συμβουλεύει ἐκ τῆς παιδίσκης, τουτέστι παιδείας τῆς ἐγκυκλίου, παιδοποιεῖσθαι τὴν Ἄγαρ, ὃ λέγεται παροίκησις. ὁ γὰρ μέλλων ἐν ἀρετῇ τελείᾳ κατοικεῖν, πρὶν ἐγγραφῆναι τῇ πόλει αὐτῆς, τοῖς ἐγκυκλίοις μαθήμασι παροικεῖ, ἵνα διὰ τούτων πρὸς τελείαν ἀρετὴν ἀφέτως ὁρμήσῃ· ἔπειτα, ὅταν ἴδῃ τετελειωμένον αὐτὸν, καὶ ἤδη δυνάμενον σπείρειν, κἂν ἐκεῖνος εὐχάριστος ὢν πρὸς τὰ παιδεύματα δι᾽ ὧν ἀρετῇ συνεστάθη, χαλεπὸν ἡγῆται παραι- C τήσασθαι αὐτὰ, χρησμῷ [illegible] θείῳ τῷ* κελεύοντι, Πάντα ἂν ὅσα* εἴπῃ Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς. νόμος ἡμῖν ἔστω ἑκάστῳ, τὸ δοκοῦν ἀρετῇ. εἰ γὰρ πάντων ὅσα παραινεῖ ἡ ἀρετὴ βουλόμεθα ἀκούειν, εὐδαιμονήσομεν. τὸ δὲ, Καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἴσον ἐστὶ τῷ συγκατέθου κακίᾳ, ἣν χρὴ ἀνὰ κράτος ἀπείργειν. διὰ τοῦτο ἐπικατάρατος σὺ, οὐχὶ ἡ γῆ, ἐν τοῖς ἔργοις σου. τίς οὖν ἡ αἰτία τούτων; ὁ ὄφις ἡ ἡδονὴ ἔκστασις ἄλογος ψυχῆς. D αὕτη κατάρατος ἐξ ἑαυτῆς, μόνῳ γέ τοι τῷ φαύλῳ προσγίνεται, σπουδαίῳ δ᾽ οὐδενί. ὁ Ἀδὰμ δὲ ὁ μέσος ἐστὶ νοῦς, ὃς τοτὲ μὲν ἀμείνων, τοτὲ δὲ χείρων ἐξετάζεται. ᾗ γὰρ νοῦς ἐστιν, οὔτε φαῦλος οὔτε σπουδαῖος εἶναι πέφυκεν· ἀρετῇ δὲ καὶ κακίᾳ πρός τε τὸ εὖ καὶ πρὸς τὸ χεῖρον εἴωθε μεταβάλλειν. εἰκότως οὖν οὐκ ἔστιν ἐπικατάρατος ἐξ ἑαυτοῦ· ὡς οὔτε κακία ὤν, οὔτε κατὰ κακίαν πρᾶξις· ἀλλ᾽ ἐν τοῖς ἔργοις αὐτοῦ ἡ γῆ κατάρατος. αἱ γὰρ πράξεις αἱ διὰ τῆς ὅλης E ψυχῆς, ἣν κέκληκε γῆν, ἐπίληπτοι καὶ ὑπαίτιοι κατὰ κακίαν ἕκαστα δρῶντός εἰσι· παρὸ καὶ ἐπιφέρει ὅτι ἐν λύπῃ φάγεσαι αὐτήν, ὅπερ ἐστὶν ἴσον τῷ ἀπολαύσῃ τῆς ψυχῆς ἐπιλύπως. ἐπωδύνως γὰρ ὁ φαῦλος πάντα τὸν βίον χρῆται τῇ ἑαυτοῦ ψυχῇ, μηδὲν ἔχων χαρᾶς αἴτιον, ὃ πέφυκε γεννᾶν δικαιοσύνη καὶ φρόνησις, καὶ αἱ σύνεδροι ταύτης ἀρεταί. Ἀκάνθας οὖν καὶ τριβόλους ἀνατελεῖ σοι. ἀλλὰ τί φύεται καὶ βλαστάνει ἐν ἄφρονος ψυχῇ, πλὴν τὰ κεντοῦντα καὶ τιτρώσκοντα αὐτὴν πάθη; ἃ διὰ

γρ. [illegible]
γρ. αὐτῆ

συμβόλων, ἀκάνθας κέκληκεν, οἷς ἡ ἄλογος ὁρμὴ πρὸς τὸν τρόπον πρώτοις ἐντυγχάνει, μεθ᾽ ὧν ταραχθεῖσα, πάντα τὰ αὐτῆς καταφλέγει καὶ διαφθείρει. λέγει γὰρ οὕτως· Ἐὰν δὲ ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας, καὶ προσεμπρήσῃ ἅλωνα ἢ στάχυας ἢ πεδίον,, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας. ὁρᾷς ὅτι τὸ πῦρ ἐξελθὸν ἡ ἄλογος ὁρμὴ, οὐκ ἐμπίμπρησι τὰς ἀκάνθας, ἀλλὰ εὑρίσκει· ζητητικὴ γὰρ τῶν παθῶν οὖσα, ἃ ἐπόθει λαβεῖν εὗρεν· ὅταν δὲ εὕρῃ, καταφλέγει τρία ταῦτα, ἀρετὴν τελείαν, προκοπὴν, εὐφυΐαν. ἀρετὴν μὲν οὖν παραβέβληκε τῇ ἅλῳ· συγκεκόμισται γὰρ ὡς ἐνταῦθα ὁ καρπὸς, οὕτω καὶ ἐν τῇ τοῦ σοφοῦ ψυχῇ τὰ καλά. στάχυσι δὲ τὴν προκοπὴν, ἐπεὶ καὶ ἑκάτερον ἀτελὲς, ἐφιέμενον τοῦ τέλους· πεδίῳ δὲ τὴν εὐφυΐαν, ὅτι εὐπαράδεκτος σπερμάτων ἀρετῆς ἐστίν. ἕκαστον δὲ τῶν παθῶν, τριβόλια εἴρηκεν· ἐπειδὴ τριττά ἐστιν, αὐτό τε καὶ τὸ ποιητικὸν καὶ τὸ ἐκ τούτων ἀποτέλεσμα, οἷον ἡδονὴ ἡδὺ ἥδεσθαι, ἐπιθυμία ἐπιθυμητικὸν ἐπιθυμεῖν, λύπη λυπηρὸν λυπεῖσθαι, φόβος φοβερὸν φοβεῖσθαι. Καὶ φάγεσαι τὸν χόρτον τοῦ ἀγροῦ ἐν ἱδρῶτι τοῦ προσώπου σου. χόρτον καὶ ἄρτον καλεῖ συνωνύμως, πρᾶγμα ταὐτόν. χόρτος ἀλόγου τροφή ἐστιν. ἄλογος δὲ φαῦλος ἐκπεπτωκὼς τὸν ὀρθὸν λόγον. ἄλογοι δὲ καὶ αἰσθήσεις τῆς ψυχῆς οὖσαι μέρος· ὁ δὲ νοῦς ἐφιέμενος τῶν αἰσθητῶν, διὰ τῶν ἀλόγων αἰσθήσεων, οὐκ ἄνευ πόνου καὶ ἱδρῶτος ἐφίεται. σφόδρα γὰρ ὀδυνηρὸς καὶ ἐπαχθὴς ὁ τοῦ ἄφρονος βίος, μετιόντος καὶ ἐπιλιχνεύοντος τὰ ποιητικὰ τῶν ἡδονῶν, καὶ τῶν ὅσα κακία ἀπεργάζεσθαι φιλεῖ καὶ μέχρι τίνος· Μέχρι, φησὶν, ἀποστρέψεις εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης. νῦν γὰρ οὐκ ἐν τοῖς γεώδεσι καὶ ἀσυστάτοις ἐξετάζεται τὴν οὐράνιον σοφίαν καταλιπών. πῇ οὖν ἔτι ἀποστρέφεσθαι, σκεπτέον. ἀλλὰ μή ποτε ὃ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὁ ἄφρων νοῦς, ἀπέστραπται μὲν ἀεὶ τὸν ὀρθὸν λόγον· εἴληπται δὲ οὐκ ἀπὸ τῆς μεταρσίου φύσεως, ἀλλ᾽ ἀπὸ τῆς γεωδεστέρας ὕλης. καὶ μένων δὲ καὶ κινούμενος, ὁ αὐτός ἐστιν, ἐφιέμενός τε τῶν αὐτῶν. διὸ καὶ ἐπιφέρει ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ ὅπερ ἴσον ἐστὶ τῷ προειρημένῳ. δηλοῖ δὲ καὶ τοῦτο· ἡ ἀρχή σου καὶ τὸ τέλος. ἓν καὶ ταὐτόν ἐστιν. ἤρξω τε γὰρ ἀπὸ τῶν φθειρομένων * γῆς σωμάτων τελευτήσεις δὲ πάλιν εἰς ἐκεῖνα, τὴν μεταξὺ τοῦ βίου πεῖρας ὁδὸν, οὐ λεωφόρον, ἀλλὰ τραχεῖαν, βάτων καὶ τριβόλων κεντεῖν τε καὶ τιτρώσκειν πεφυκότων, μεστήν.

* γῆς σωμάτων τελευτήσεις

A figurate spinas vocauit, in quos brutus impetus primos incurrit, & in eorum ordinem receptus, res animæ populatur ac corrumpit incendio. Sic enim loquitur scriptura: Quod si egressus ignis inuenerit spinas, & latius vagatus exusserit aream, aut spicas, aut campum, luet is qui ignem accendit.] Viden quod ignis egressus, scilicet brutus impetus, non accendit spinas, sed inuenit? Cum enim pronus sit ad quærendos affectus, quæ desiderabat inuenit. & his inuentis exurit ista tria: virtutem perfectam, profectum, & bonam indolem. B Virtutem comparauit areæ. sicut enim huc fructus comportatur, sic res honestæ in sapientis animam. spicis autem profectum: quia vtrumque imperfectum, tendens ad finem suum. denique campo bonam indolem, quod hæc capax sit virtutis seminum. singulares autem vocauit tribulos: quia terni sunt, annumeratis caussis eorum & effectibus, vt voluptas, volupe, delectari: concupiscentia, concupiscitiuum, C ipsum concupiscere: molestia, molestum, ipsum molestari: timor, terribile, ipsum timere. Et comedes herbam agri in sudore vultus tui.] Herbam vocat panem per synonymiam, rem eandem. herba bruti cibus est. brutus vero malus, cui execta est recta ratio. bruti quoque sensus sunt, quamuis partes animæ. at mens cupida sensibilium, per brutos sensus ea non sine labore ac sudore appetit. Est enim perquam erumnosa molestáque insipientis vita, consectantis abligurientísque D quicquid voluptatem parit, & effectus quoscunque maliciæ. Et quousque tandem? Donec reuertaris in terram ex qua sumptus es.] Nunc vero an non in terrenis inconsistentibúsque censetur, ex quo reliquit cælestem sapientiam? Considerandum est igitur quonam reuertatur. fortasse quod dicit, tale quiddam est: quòd insipiens mens auersatur quidem semper rectam rationem: desumpta est autem non è sublimi natura, sed de humiliore terrenáque materia. E Est autem eadem siue maneat siue moueatur, & eadem appetit. Ideo addit: Terra es, & in terram reuerteris] Quod idem est cum antedictis. Præterea significat hoc quoque: Principium tuum & finis vnum idémque est. Inchoatus es ex corruptibilibus terræ corporibus, finies rursum in illa, peracta interim vitæ via, non publica, sed aspera, sentibus tribulísque ad pungendum lacerandúmque natis obsita.

Exod. 22.

Gen. 3.

Gen. 38.

ΠΕΡΙ ΤΩΝ ΧΕΡΟΥΒΙΜ ΚΑΙ ΤΗΣ ΦΛΟΓΙΝΗΣ ΡΟΜΦΑΙΑΣ, ΚΑΙ ΤΟΥ ΚΤΙΣΘΕΝΤΟΣ ΠΡΩΤΟΥ ΕΞ ΑΝΘΡΩΠΟΥ, ΚΑΙΝ.

PHILONIS IVDÆI DE CHERVBIM ET FLAMMEO GLADIO, ET DE CAIN, QVI PRIMVS EX HOMINE PROCREATVS EST.

ET expulit Adamum, & collocauit ante paradiſum voluptatis: & conſtituit Cherubim & flammeum gladium verſatilem ad cuſtodiendam viam ligni vitæ.] Nunc dicit expulſum, quem modo emiſſum dixerat, non temerè ponens hæc vocabula, ſed ſciens quàm appoſite ad res propriéque diſponat ea. Qui emittitur, redire non vetatur: quem autem Deus expellit, is æterno damnatur exilio. Nam ei qui nondum valde tenetur à malicia, datur reditus tanquam in patriam, ad virtutem vnde exciderat. cum vero qui vehementer obnoxius morbo inſanabili premitur, neceſſe eſt ferre ſua mala, in omne æuum ſine fine damnatum in loca impiorum, vt ſuſtineat merum continuúmque infortunium. Quandoquidem & Agar, per quam indifferens diſciplina encyclicas ducens choreas intelligitur, videmus bis quidem exiſſe à principe virtute Sarra, ſed ſemel tantum reuerſam per eandem viam. quæ primum quidem vltro profuga, non expulſa, reducitur, occurrente angelo, id eſt Dei verbo, in domum herilem. Iterum autem omnino expellitur, reditura nunquam. Cauſa autem & prioris fugæ, & poſterioris æterni exilij reddenda eſt. Priuſquam nomina mutarentur, hoc eſt priuſquam heriles animæ in meliorem figuram transformarentur, dum Abram erat adhuc pater ſublimis, circa cæleſtes orbes occupatus ſideralémque ſcientiam, quæ eſt præſtantiſſima pars mathematicæ ad naturæ contemplationem pertinens: Sarra vero

A Καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ κατῴκισεν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς· καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. νῦν μὲν ἐξέβαλέ φησι, πρότερον δ' εἶπεν ἐξαπέστειλεν, οὐ παρέργως τὰ ὀνόματα τιθείς, ἀλλ' εἰδὼς ἐφ' ὧν κυρίως καὶ εὐθυβόλως πραγμάτων αὐτὰ τάττει. ὁ μὲν οὖν B ἀποστελλόμενος, ἐπανόδου τυχεῖν οὐ κεκώλυται· ὁ δὲ ἐκβληθεὶς ὑπὸ θεοῦ, τὴν ἀΐδιον φυγὴν ὑπομένει. τῷ μὲν γὰρ μήπω κραταιῶς ὑπὸ κακίας καταληφθέντι δέδοται μετανοήσαντι, καθάπερ εἰς πατρίδα τὴν ἀρετήν, ἀφ' ἧς ἐξέπεσεν, ἀνελθεῖν· τῷ δὲ πιεσθέντι καὶ ὑποβεβλημένον σφοδρᾷ καὶ ἀνιάτῳ νόσῳ, φέρειν ἀνάγκη τὰ δεινά, μέχρι τοῦ παντὸς αἰῶνος ἀθάνατα σκορακισθέντα εἰς ἀσεβῶν χῶρον, ἵνα ἄκρατον καὶ συνεχῆ βαρυδαιμονίαν C ὑπομένῃ· ἐπεὶ καὶ τὴν μέσην παιδείαν τὴν τοῖς ἐγκυκλίοις χορεύουσαν ὁρῶμεν Ἄγαρ, δὶς μὲν ἐξιοῦσαν ἀπὸ τῆς ἀρχούσης ἀρετῆς Σάρρας· ἅπαξ δὲ τὴν αὐτὴν ὁδὸν ὑποστρέφουσαν, ἣ τότε μὲν ἀποδρᾶσα, οὐ φυγαδευθεῖσα, κατάγεται, ὑπαντήσαντος ἀγγέλου, ὅς ἐστι θεῖος λόγος, εἰς τὸν δεσποτικὸν οἶκον. αὖθις δὲ κατὰ τὸ παντελὲς ἀνεπάκτος ἐκβάλλεται· τὰς δὲ αἰτίας καὶ τοῦ προτέρου δρασμοῦ, καὶ τῆς αὖθις ἀϊδίου φυγῆς, λεκτέον. μέχρι D μὲν οὔπω μετωνομάσθησαν, ὅπερ ἦν μετεχαράχθησαν οἱ τῆς ψυχῆς πρὸς τὸ ἄμεινον βελτιούμενοι χαρακτῆρες· ἀλλ' ἔτι ἦν ὁ μὲν Ἀβρὰμ πατὴρ μετέωρος, τὴν μεταρσίων τῶν κατὰ τὸν ἀέρα συμβαινόντων, καὶ τὴν μετεώρων τῶν κατὰ τὸν οὐρανὸν ὑπαρχόντων φιλοσοφίαν μετιών, ἣν φυσιολογίας τὸ κράτιστον εἶδος ἀποτέτμηται μαθηματική· Σάρρα δὲ σύμβολον

σύμβολον ἀρχῆς ἐμῆς καλεῖται· γὰρ ἀρχή μου. γενικὴ δὲ οὐκ ἔφθη μεταβαλοῦσα ἀρετὴ γενέσθαι. γένος δὲ πᾶν ἄφθαρτον· τοῖς δὲ ἐν μέρει καὶ κατ' εἶδος ἐξητάζετο αἱ δ' αὗται, φρόνησις θ' ἡ ἐν ἐμοί, καὶ σωφροσύνη καὶ ἀνδρεία καὶ δικαιοσύνη ἡ ἐν αὐτῷ. φθαρταὶ δὲ αὗται, ὅτι καὶ ὁ δεξάμενος αὐτὰς χωρίον ἐγὼ φθαρτός. Ἄγαρ ἡ μέση καὶ ἐγκύκλιος παιδεία, κἂν τὸ αὐστηρὸν καὶ σκυθρωπὸν τὸν φιλαρέτων ἀποδρᾶναι βίον σπουδάσῃ, πάλιν ὑποστρέψει πρὸς τὸ αὐτὸ μήπω τὰς γενικὰς καὶ ἀφθάρτους ἀκρότητας ἔχειν δυναμένων, ἀλλ' ἔτι τῶν ἐν μέρει καὶ κατ' εἶδος ἐφιεμένων, ὧν οἱ πρὸς τῶν ἄκρων αἱ μέσαι ἀρεταί. ὅταν δὲ ἤδη ὁ μὲν Ἀβραὰμ ἀντὶ φυσιολογικοῦ γένηται σοφὸς καὶ φιλόθεος, μετονομασθεὶς Ἀβραάμ, ὃ ἑρμηνεύεται πατὴρ ἐκλεκτὸς ἠχοῦς· ἠχεῖ μὲν γὰρ ὁ * γεγωνὸς λόγος, πατὴρ δὲ τούτου ὁ νοῦς, ἐπειλημμένος τῶν σπουδαίων· Σάρα δὲ ἀντὶ τοῦ ἀρχῆς μου γίνηται Σάρρα, ἧς ἐστιν ἡ κλῆσις ἄρχουσα, ὅπερ ἐστὶν ἴσον τῷ ἀντὶ ἰδικῆς καὶ φθαρτῆς ἀρετῆς γενικὴν καὶ ἄφθαρτον γενέσθαι· ἐπιλάμψῃ δὲ καὶ τὸ εὐδαιμονίας γένος ὁ Ἰσαάκ, ἐκλιπόντων τῶν γυναικείων, καὶ ἀποθανόντων τῶν παθῶν χαρᾶς καὶ εὐφροσύνης, καὶ παιδιᾶς οὐ τῆς παίδων, ἀλλὰ τῆς θείας, οὐκ ἄνευ σπουδῆς μεταδιώκων· ἐκβληθήσεται μὲν τὰ ἐπώνυμα τῆς Ἄγαρ προπαιδεύματα· ἐκβληθήσεται δὲ καὶ ὁ σοφιστὴς αὐτῶν υἱὸς ἐπίκλησιν Ἰσμαήλ· ἐνδύσονται δὲ τὴν φυγὴν ἀΐδιον, βεβαιοῦντος τοῦ θεοῦ τὴν ἔλασιν αὐτοῖς, ὅταν κελεύῃ τὸν σοφὸν ὑπακούειν τῶν λεγομένων ὑπὸ Σάρρας. λέγει δὲ διαρρήδην· ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱόν. ἀρετῇ δὲ πείθεσθαι καλόν, καὶ μάλιστα τοιοῦτον εἰσηγουμένῃ δόγμα, ὅτι αἱ τελειόταται φύσεις τῶν μέσων ἕξεων πάμπολυ διεστᾶσι· καὶ ὅτι σοφία σοφιστείας ἀλλοτριώτατον· ἡ μὲν γὰρ τὰ πιθανὰ ἐπὶ κατασκευῇ ψευδοῦς δόξης, ᾗ τις λυμαίνεται ψυχήν, ἐκπεπόνηκε· σοφία δὲ διὰ μελέτης τῶν ἀληθῶν, τὸ μὲν διανοίας ὄφελος, ἐπιστήμην ὀρθοῦ λόγου πεπόρισται. τί οὖν θαυμάζομεν, εἰ καὶ τὸν Ἀδὰμ τὸν νοῦν, ἀφροσύνην δυσίατον νόσον κτησάμενον, ἐκβέβληκεν εἰσάπαν ὁ θεὸς ἐκ τοῦ τῶν ἀρετῶν χωρίου, μὴ ἐπιτρέψας ἔτι κατελθεῖν αὐτῷ, ὁπότε καὶ πάντα σοφιστὴν καὶ μητέρα αὐτοῦ, τὴν τῶν προπαιδευμάτων διδασκαλίαν ἐλαύνει καὶ φυγαδεύει ἀπὸ σοφίας καὶ σοφοῦ, ὧν ὀνόματα Ἀβραάμ τε καὶ Σάρρας καλεῖ· τότε καὶ ἡ φλογίνη ῥομφαία καὶ τὰ Χερουβὶμ ἀντικρὺ τοῦ παραδείσου τὴν οἴκησιν ἴσχει. λέγεται δὲ ἀντικρύ, ὃ μὲν ὡς ἐχθρὸν ἀντιστατοῦν.

ὁ γεγωνὼς

A principatus meus (sic enim hoc nomẽ interpretatur) nondũ generalis virtus euaserat: genus autem omne est incorruptibile: sed iuxta particulares specialésque istas censebatur, vt prudentiã quæ in me est, item fortitudinem, temperantiã, iustitiam: quæ sunt corruptibiles sicut ego ipse qui sum earũ domiciliũ: tunc Agar, illa inquam indifferens disciplina encyclica, etiam si tetricum istud vitæ genus, quã virtutis sectatores degunt, conetur effugere, reuertitur tamẽ ad relictos dominos, nondũ valentes ad generale illud B incorruptibiléque fastigiũ virtutis pertingere: cuius vel mediũ tenere satis est, priusquam ad summũ euaditur. At cum Abraham ex naturæ scrutatore factus sapiens & amator Dei, nomine quoque mutato præ se fert patrem electum soni: sic enim interpretatur: nam clare sonat sermo, cuius pater est intellectus compos virtutis: Sara vero pro principatu meo fit Sarra, quæ vox significat principem: quod perinde est atque fieri è speciali C corruptibilique virtutẽ generalem & incorruptibilem: exoritur vero & Isaac ille felicitatis filius: desinentibúsque muliebribus, & emortuis affectibus, succedit gaudium: puer quoque non pueriles sed diuinos lusus sectatur non absque virtute: tunc expelluntur illa rudimenta disciplinarum, quę nomine Agaris signantur, expellitur simul sophista filius, cui nomẽ Ismael. exulabunt autem in æternum, ipso Deo confirmante exilij sententiam, D dum iubet sapientem obedire dictis Sarræ. Diserte enim dicit: Eijce ancillam cum filio. Virtuti autem parere decet, præsertim autori talis sententiæ: quia perfectissimæ naturæ à mediocribus habitibus plurimum differunt: & sapientia alienissima est à sophistica. nam hæc circa paraturam credibilium versatur, quibus falsas opiniones & perniciosas astruat. Sapientia vero per meditationem veritatis, cum vtilibus cogitationibus adfert rectæ rationis scientiam. Quid igitur mirum si Adami quo- E que intellectum occupatum imprudentia morbo insanabili, omnino Deus expulit è virtutum regione nunquam rediturum? quando & omnem sophistam, & matrem eius disciplinam istorum rudimentorum profligat & expellit à sapiente & sapientia, quibus Abraham & Sarram facit nomina. Tunc & flammeus gladius & Cherubim contra paradisum collocantur. Dicitur autem contra esse, vel quod inimicum & infestum est,

vel quod iudicandum, vt reus coram iudice: vel quod cognatum, quando collationis causa & diligentioris considerationis aliud ponitur contra aliud, sicut pictores fictorésque tabulas statuásque ad exemplaria conferunt. exemplũ contrariorum infestorum est in Cain, quando dicitur: Exiuit à facie Dei, & habitauit in terra Naid contra Edem. Interpretatur autem Naid commotio, Edem deliciæ. illud maliciæ concutientis animam signum, hoc virtutis priuationem affectuum afferentis & delicias, non illum pruritum voluptatis affectionis brutissimæ, sed magna cum facilitate gaudium tranquillum expérsque laborum. Necesse est autem vt ab imaginatione Dei digressa cogitatio, cui bonum commodúmque erat fulciri, nauis in salo iactatæ more, ventis inter se confligentibus, vltro citróque feratur, patriam domúmque nacta agitationem: quod quidem maxime pugnat cum firmitate animæ, quam conciliat gaudium, Edem nominatum. Oppositionis autem quæ fit propter iudicium, exemplum habetur de muliere suspecta adulterij. Statuet, inquit, sacerdos mulierem contra dominum, & reteget caput eius.] Hæc quid sibi velint explicabimus. Quod fieri debet, sæpe fit non vt debet: & quod non est officium, interdum fit officiose. Quale est cum depositum redditur, non bono animo, sed aut in detrimentum accipientis, aut insidiose: vt comparata semel fide occasio captetur abnegandi maius depositum: tunc officium non officiose fit. E diuerso quoties ægroto non dicit vera medicus, purgaturus eum aut secturus aut vsturus propter ipsius vtilitatem, ne forte metu doloris fugiat medicinam, aut ob imbecillitatem linquatur animo: item quoties sapiens mendacio fallit hostem propter salutem suæ patriæ: veritus ne si vera prodat, vires addat aduersarijs, inofficiosam rem facit officiose. Ideóque præcipit Moses: Iuste iusta exequere.] Quasi etiam iniuste proferatur iusta sententia, si bonus animus non adsit iudici. Ergo quoniam quicquid dicimus aut facimus liquet omnibus, animus autem quo dicimus quæ dicimus & facimus quæ facimus ignotus est, nec compertum habetur sitne sanus purúsque, an pollutus morbis varijs: quòd nemo natus queat occultas cogitationes perspicere, sed solus Deus, attestante Mose dicentéque, Occulta Domino Deo, aperta creaturis,

A τὸ δὲ ἁρμόττον εἰς ἐπίκρισιν, ὡς ὁ κρινόμενος τῷ δικαστῇ· τὸ δὲ ὡς φίλον, τοῦ κατανοηθῆναι χάριν, καὶ ἐκ τῆς ἀκριβεστέρας προσόψεως μᾶλλον οἰκειωθῆναι, ὡς γραφαί τε καὶ ἀνδριάντες ἀρχέτυποι γραφεῦσι καὶ πλάσταις. τοῦ μὲν ἀντιτεταγμένου παράδειγμα τὸ ἐπὶ τοῦ Κάιν εἰρημένον, ὅτι ἐξῆλθεν ἀπὸ προσώπου τοῦ θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναΐδ κατέναντι Ἐδέμ. ἑρμηνεύεται δὲ Ναΐδ μὲν σάλος, Ἐδὲμ δὲ τρυφή· τὸ μὲν κακίας κλονούσης ψυχὴν σύμβολον, τὸ δὲ ἀρετῆς ἀπά-
B θειαν αὐτῇ περιποιούσης καὶ τρυφήν, οὐχὶ τὴν δι' ἀλόγου πάθους ἡδονῆς θρύψιν, ἀλλὰ τὴν μετὰ πολλῆς εὐμαρείας ἄπονον χαρὰν καὶ ἀταλαιπωρίαν. ἀνάγκη δὲ ὅταν ἀπὸ τῆς τοῦ θεοῦ φαντασίας ἐξέλθῃ διάνοια, ᾗ καλὸν καὶ συμφέρον ἦν ἐρηρεῖσθαι, νεὼς αὐτίκα θαλαττευούσης τρόπον, ἀντιστατούντων βιαίως πνευμάτων, ὧδε κἀκεῖσε φέρεσθαι πατρίδα καὶ οἰκίαν λαχοῦσαν κλόνον, ὅπερ ἐναντιώτατόν ἐστι βεβαιότητι ψυχῆς, ἣν περιποιεῖ χαρὰ
C συνώνυμος Ἐδέμ. τοῦ δὲ εἰς ἐπίκρισιν ἐναντίου παράδειγμα, τὸ τῆς ζηλοτυπουμένης μεμοιχεῦσθαι. Στήσει γάρ, φησίν, ὁ ἱερεὺς τὴν γυναῖκα ἐναντίον κυρίου, καὶ ἀποκαλύψει τὴν κεφαλὴν αὐτῆς. τί δὲ βούλεται διὰ τούτων παριστᾶν, ἐρευνήσωμεν. τὸ δέον πολλάκις δεόντως οὐκ ἐνεργεῖται, καὶ τὸ μὴ καθῆκον ἔστιν ὅτε δρᾶται καθηκόντως· οἷον, ἡ μὲν τῆς παρακαταθήκης ἀπόδοσις ὅταν μὴ ἀπὸ γνώμης ὑγιοῦς γίνηται, ἀλλ' ἢ ἐπὶ βλάβῃ
D τοῦ λαμβάνοντος, ἢ ἐπ' ἐνέδρᾳ τῆς περὶ μείζονα πίστιν ἀρνήσεως, καθῆκον ἔργον οὐ δεόντως ἐπιτελεῖται· τὸ δὲ τῷ κάμνοντι μὴ ἀληθεῦσαι τὸν ἰατρὸν κενοῦν ἢ τέμνειν ἢ καίειν διεγνωκότα ἐπ' ὠφελείᾳ τοῦ νοσοῦντος, ἵνα μὴ προλαβὼν τὰ δεινὰ φύγῃ τὴν θεραπείαν, ἢ ἐξασθενήσας ἀπείπῃ πρὸς αὐτήν· ἢ πρὸς τοὺς πολεμίους τὸν σοφὸν ψεύσασθαι ἐπὶ τῇ τῆς πατρίδος σωτηρίᾳ, δείσαντα μὴ ἐκ τοῦ ἀληθεῦσαι ῥωσθῇ τὰ τῶν ἀντιπάλων, οὐ καθῆκον
E ἔργον δεόντως ἐνεργεῖται· παρὸ καί φησι Μωϋσῆς, δικαίως τὸ δίκαιον διώξῃ, ὡς δεῖν καὶ ἀδίκως ἀδικεῖσθαι ὅταν μὴ ἀπὸ γνώμης ὑγιοῦς ὁ δικάζων προσέχῃ. ἐπεὶ τοίνυν τὸ λεγόμενον ἢ πραττόμενον, φανερῶς γνώριμον πᾶσιν· ἡ δὲ διάνοια οὐ γνώριμος, ἀφ' ἧς καὶ τὰ λεγόμενα λέγεται, καὶ τὰ πραττόμενα πράττεται, ἀλλ' ἄδηλον εἴτε ὑγιαίνει καὶ καθαρεύει, εἴτε νόσοις μιάσμασι κεχρωσμένη πολλοῖς, θνητὸς δὲ οὐδεὶς ἱκανὸς γνώμης ἀφανοῦς κατιδεῖν ἐνθύμημα, μόνος δὲ ὁ θεός· παρὸ καὶ λέγει Μωϋσῆς ὅτι τὰ κρυπτὰ κυρίῳ τῷ θεῷ, τὰ δὲ φανερὰ γενέσει γνώ-

προφήτῃ βεβαίῳ λόγῳ εμα· προστέτακται τῷ ἱερῷ καὶ * προφήτῃ λόγῳ, A τὴν ψυχὴν ἐναντίον τοῦ θεοῦ στῆσαι, ἀποκαλύψῳ τῇ κεφαλῇ, τουτέστι τὸ κεφάλαιον δόγμα γυμνωθεῖσαν, καὶ τὴν γνώμην ᾗ κέχρηται ἀπαμφιασθεῖσαν, ἵνα ὄψεσι ταῖς ἀκριβεστάταις ἐπικριθεῖσα τοῦ ἀδεκάστου θεοῦ, ἢ τὴν ὑποτυφομένην εἰρωνείαν κίβδηλον νόμισμα διελεγχθῇ, ἢ πάσης οὖσα κακίας ἀμέτοχος ἐκνίψηται τὰς κατ᾽ αὐτῆς διαβολάς, μάρτυρι χρησαμένη τῷ μόνῳ γυμνὴν ψυχὴν ἰδεῖν δυναμένῳ. τὸ μὲν οὖν εἰς ἐπίκρισιν ἐναντίον, τοιοῦτόν ἐστι· τὸ δὲ εἰς οἰκείωσιν, ὃ ἐπὶ τοῦ πανσόφου λέλεκται Ἀβραάμ. B Ἔτι γάρ, φησίν, ἦν ἑστηκὼς ἐναντίον κυρίου. καὶ τεκμήριον τῆς οἰκειώσεως τὸ ἐπιλεγόμενον, ὅτι ἐγγίσας εἶπεν. ἀλλοτριουμένῳ * ἀλλοτριουμένῳ γάρ, ἀφίστασθαι καὶ διαζεύγνυσθαι· οἰκειουμένῳ δέ, συνεγγίζειν ἁρμόττει. τὸ δὲ στῆναι καὶ ἄτρεπτον κτήσασθαι διάνοιαν, ἐγγὺς ἐπιβαίνει θεοῦ δυνάμεως· ἐπεὶ τὸ μὲν θεῖον ἄτρεπτον, τὸ δὲ γινόμενον φύσει μεταβλητόν. εἴ τις οὖν τὴν γενέσεως οἰκείαν φορὰν ἔρωτι ἐπιστήμης ἐγχαλινωσάμενος, C ἐβιάσατο στῆναι ποιῆσαι, μὴ λανθανέτω θείας εὐδαιμονίας ἐγγὺς ὤν. τοῖς δὲ Χερουβὶμ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τὴν ἄντικρυ τοῦ παραδείσου πόλιν οἰκείως δίδωσιν, οὐχ ὡς ἐχθροῖς μέλλουσιν ἀντιστατεῖν καὶ διαμάχεσθαι, ἀλλ᾽ ὡς οἰκειοτάτοις καὶ φιλτάτοις· ἵνα ἐκ τῆς προσόψεως καὶ συνεχοῦς περιαθρήσεως, πόθον αἱ δυνάμεις ἴσχωσιν ἀλλήλων, καταπνέοντος εἰς αὐτὰς τὸν πτηνὸν ἔρωτα καὶ οὐράνιον τοῦ φιλοδώρου θεοῦ. τίνα δέ ἐστιν ἃ διὰ τῶν Χερουβὶμ καὶ τῆς στρεφομένης ῥομφαίας D φλογίνης αἰνίττεται, νῦν ἐπισκεπτέον. μήποτε οὖν τὴν τοῦ παντὸς οὐρανοῦ περιφορὰν δι᾽ ὑπονοιῶν εἰσάγει; κίνησιν γὰρ αἱ κατ᾽ οὐρανὸν σφαῖραι τὴν ἐναντίαν ἔλαχον ἀλλήλαις· ἡ μὲν τὴν ἀπλανῆ αὐτοῦ κατὰ δεξιά, ἡ δὲ τὴν πεπλανημένην θατέρου κατὰ εὐώνυμα. ἡ μὲν οὖν ἐξωτάτω τῶν λεγομένων ἀπλανῶν, μία, καὶ ἡ τὴν ἀπὸ τῶν ἑῴων ἐπὶ τὰ ἑσπέρια εἵλιξιν περίοδον. αἱ δὲ ἐντὸς ἑπτά, τὴν πλανήτων ἐθελούσιόν τε καὶ βεβιασμένην, ὑπεναντίους ἅμα καὶ διττὰς ἴσχουσι E κινήσεις· καὶ ἔστιν αὐταῖς ἡ μὲν ἀκούσιος, ὁμοία τῇ τῶν ἀπλανῶν· φαίνονται γὰρ καθ᾽ ἑκάστην ἡμέραν ἀπ᾽ ἀνατολῆς ἐπὶ δύσιν ἰοῦσαι· ἡ δὲ οἰκεία ἀπὸ τῶν ἑσπερίων ἐπὶ τὰ ἑῷα, καθ᾽ ἣν συμβέβηκε τὰς περιόδους τῶν ἑπτὰ ἀστέρων, καὶ μήκη χρόνων περιειληφέναι, τὰς μὲν ἰσοδρόμους ἴσα, ἡλίου καὶ ἑωσφόρου καὶ στίλβοντος ἐπίκλησιν. πρὸς γὰρ τῶν πλανήτων ἀνισοδρόμους ἰσοταχεῖς οὗτοι· τὰς δὲ * μεσοδρόμους, ἄνισα μέν,

A nota esse: præcipitur sacræ diuinæque rationi, vt animam contra Deum statuat reuelato capite, hoc est retecto præcipuo decreto animi, quod quasi caput cæterorum sit, nudatáque sententia cum qua consueuimus, vt in conspectu acerrimo Dei iudicis incorrupti examinata, aut coarguatur fastuosæ simulationis tanquã nummus improbus: aut immunis ab omni malicia diluat obiectas calumnias, freta teste qui solus potest nudam animam inspicere. Contrarium igitur quod iudiciale diximus, tale est. B Illud verò quod attinet ad similia & quodammodo familiaria, de sapientissimo illo Abraham dicitur: Adhuc, inquit, stabat contra Dominum. móxque argumentum familiaritatis subiungitur: quòd accedens alloquitur eum. Nam alieno abscedere semouerique, familiari verò propius accedere conuenit. stare autem immutabilémque obtinere mẽtem, prope ad diuinam potentiã accedit. quia in Deum immutabilitas, in creaturã mutabilitas natu- C raliter competit. Si quis igitur natiuam suam procliuitatem amore sciẽtiæ refrenans, cogit eam stare, Deo iam propinquus agnoscat felicitatẽ suam. Cæterum Cherubim & igneo gladio contra paradisum habitatio conuenienter assignatur, non tanquam hostibus locum oppugnaturis, sed tanquam familiarissimis amicissimísque: vt ex aspectu contemplationéque mutua nunquam intermissa, innascatur vtrisque potentijs desiderium mutuum, aspirante his volucrem cælestémque cupidinem Deo benignis- D simo. Quid autem per illa Cherubim & versatilem gladium igneum subindicetur, iam consideremus. Quid si hic totius cæli circumferentiam cogitari vult? nam cælestes orbes habent motus inter se cõtrarios: quorũ alter dextrorsum fert fixa sidera, alter sinistrorsum erratica. sed extimus ille orbis fixarum stellarum vnus est, qui ab oriente ad occidentem voluitur: interiores autem septem, erraticarum videlicet, quorum cursus simul E coactus & voluntarius, duos motus habet inter se contrarios. coactus quidem qualis fixorum siderum, quæ quotidie videmus ab oriente in occidentem tendere: proprius autem à vespertinis cæli partibus ad matutinas: qui variat tempora circuitus, & ad idem signum reditus septem siderum, quòd quædam ex his decurrant pariter, sol, lucifer, & quẽ stilbontem nominant. Tres enim hi pari celeritate sunt. Quædam vero impariter,

sic tamen vt certam proportionẽ respectũque seruent & inter se inuicem, & ad illa tria reliqua. atque ita intelligitur alterum è duobus Cherubim extima illa vniuersi cæli circũferentia, in qua eodẽ sẽper modo diuinas reuera choreas fixæ stellæ agitãt, nunquã deserentes ordinẽ, quẽ pater cõditórque tenere eas in mũdo voluit. Alterum vero interior orbis, quem ab initio septifidum fecit opifex, distinctũ in septem certis proportionibus inter se respondentes circulos, quibus suus cuique planeta insertus est: quibus tamen opifex non cõmisit habenas, veritus ne male regerẽt, sed vniuersas à seipso pendere voluit, ratus sic maxime concinnũ motum fore. Quicquid enim cum Deo fit, merito laudandum est: sicut quicquid sine Deo, vituperandum. Hic vnus modus est quo Cherubim intelligũtur allegorice. Cæterũ de gladio versatili & igneo sic intelligendũ, ita significari motũ eorum & vniuersi cæli perpetuum. Quid autẽ si & aliter hæc accipiãtur? vt duo Cherubim significent vtrumque hemisphærium. aiũt enim ea habere obuersas in se inuicem facies, arcam propitiatoriã vtrinque spectantia: quandoquidem & hemisphæria ex aduerso spectant se inuicem, prona in terrã sitam in vniuersi meditullio, per quod etiam dipescũtur. at illa sola omniũ mundi partiũ firmiter stans, appositissime à priscis ἑστία, seu vesta nominata est: vt circum aliquid stabiliter fixum vtriusque semiorbis cõcinnissima fieret circumuolutio. igneus vero gladius solẽ significet. nam cum sit gladius flãmeus, nihil est eo currente velocius, adeò vt vna die circum totũ mundum rotetur. Quin & doctius quiddam audisse memini à mea anima, quæ nonnunquã diuino spiritu correpta, solet ne sibi quidem nota prodere oracula: quod, si reminisci potero, dicam. Dicebat autem mihi: secundũ vnicum illum verum Deum esse duas supremas primariásque potestates, bonitatem & potentiam, & bonitate quidem vniuersa esse condita: potentia vero, creaturas omnes gubernari. Tertium vero conciliatorem amborum medium esse sermonem siue rationem. Hoc enim sermone Deum & bonum esse & principem. itaque harum duarũ potestatũ, principatus bonitatísq; hæc Cherubim esse symbola: sermonis autem flammeum gladium. velocissimus enim & calidus sermo est, præsertim Causæ illius summæ: quia & tẽpore præuenit omnia, & ante omnia intelligitur,

A ἀναλογίας δ' ἔχοντα πρός τε ἀλλήλους καὶ τὰς πρὸς ἐκείνας. τὸ γὰρ οὖν ἕτερον μὲν τῶν Χερουβὶμ ὁ ἐξωτάτω τοῦ παντὸς οὐρανοῦ ἔσχατος ἀψίς, ἐν ᾗ τὴν κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν οἱ ἀπλανεῖς θείαν ὡς ἀληθῶς χορείαν χορεύουσι, τάξιν οὐ λείποντες ἣν ὁ γεννήσας αὐτοὺς πατὴρ ἔταξεν ἐν κόσμῳ. θάτερον δὲ ἡ ἐντὸς περιεχομένη σφαῖρα, ἣν ἐξ ἀρχῆς σχίσας ἑπτὰ κύκλους ἀναλογοῦντας ἐφ' αὐτοῖς εἰργάζετο, τῶν πλανήτων ἕκαστον εἰς αὐτοὺς ἁρμοσάμενος, καὶ καθά-
B περ ἐποχὸν ἐν ὀχήματι ἀστέρα ἐν οἰκείῳ κύκλῳ θείς, τὰς ἡνίας ἐπίστευσε τῶν ἐποχῶν οὐδενί, πλημμελῆ δείσας ἐπίστασιν, ἀπάσας δ' ἐξήρτησεν ἑαυτοῦ, νομίσας ἐναρμόνιον τῆς κινήσεως μάλιστα οὕτω τάξιν γενήσεσθαι. τὸ γὰρ σὺν θεῷ πᾶν, ἐπαινετὸν· τὸ δ' ἄνευ θεοῦ, ψεκτόν. τὰ μὲν δὴ Χερουβὶμ καθ' ἕνα τρόπον οὕτως ἀλληγορεῖσθαι. ῥομφαίαν δὲ φλογίνην καὶ στρεφομένην, τὴν κίνησιν αὐτῶν καὶ τοῦ παντὸς οὐρανοῦ τὴν ἀΐδιον
C φορὰν ὑποτοπητέον λέγεσθαι. μήποτε δὲ καθ' ἑτέραν ἐκδοχήν, τὰ μὲν Χερουβὶμ δηλοῖ τῶν ἡμισφαιρίων ἑκάτερον· καὶ γὰρ ἀντιπρόσωπά φησιν εἶναι, νεύοντα πρὸς τὸ ἱλαστήριον ἑτέροις. ἐπεὶ καὶ ταῦτα ἀντικρὺ μὲν ἐστὶν ἀλλήλων· νένευκε δ' ἐπὶ γῆν τὸ μέσον τοῦ παντός, ᾧ καὶ διακρίνεται. ἡ δὲ μόνη τῶν τοῦ κόσμου μερῶν ἑστῶσα παγίως, ἑστία πρὸς τῶν παλαιῶν εὐθυβόλως ὠνόμασται, ἵνα περὶ τὸ βεβαίως ἱδρυμένον ἡ ἑκατέρων τῶν ἡμισφαιρίων ἐμμελεστάτη γίνηται πε-
D ριπόλησις· ἡ δὲ φλογίνη ῥομφαία, σύμβολον ἡλίου. φλογὸς γὰρ ὢν πλῆρωμα πολλῆς, ὠκυδρομώτατος γέγονε τῶν ὄντων, ὡς ἡμέρᾳ μιᾷ τὸν σύμπαντα περιελεύσεσθαι κόσμον. ἤκουσα δέ ποτε καὶ σπουδαιοτέρου λόγου παρὰ ψυχῆς ἐμῆς εἰωθυίας τὰ πολλὰ θεοληπτεῖσθαι, καὶ περὶ ὧν οὐκ οἶδε μαντεύεσθαι, ὃν ἐὰν δυνώμαι ἀπομνημονεύσας ἐρῶ. ἔλεγε δέ μοι, κατὰ τὸν ἕνα ὄντως ὄντα θεὸν δύο τὰς ἀνωτάτω εἶναι καὶ
E πρώτας δυνάμεις, ἀγαθότητα καὶ ἐξουσίαν· καὶ ἀγαθότητι μὲν τὸ πᾶν γεγεννηκέναι, ἐξουσίᾳ δὲ τοῦ γεννηθέντος ἄρχειν· τρίτον δὲ συναγωγὸν ἀμφοῖν μέσον εἶναι λόγον. λόγῳ γὰρ καὶ ἄρχοντα καὶ ἀγαθὸν εἶναι τὸν θεόν. ἀρχῆς μὲν οὖν καὶ ἀγαθότητος τῶν δυεῖν δυνάμεων τὰ Χερουβὶμ εἶναι σύμβολα· λόγου δὲ τὴν φλογίνην ῥομφαίαν. ὀξυκινητότατον γὰρ καὶ θερμὸν λόγος, καὶ μάλιστα ὁ τοῦ αἰτίου, ὅτι καὶ αὐτὸς πάντα φθάσας παρημείψατο, καὶ πρὸ πάντων νοούμενος,

καὶ ἐπὶ πᾶσι φαινόμενον. ἑκατέρου δὴ τῶν Χερουβὶμ, ὦ διάνοια, δέξαι τύπον ἀκιβδήλευτον, ἵνα περί τε ἀρχῆς τοῦ αἰτίου καὶ ἀγαθότητος ἐναργῶς ἀναδιδαχθεῖσα, καρπώσῃ κλῆρον εὐδαίμονα. γνώσῃ γὰρ εὐθὺς καὶ τὴν τῶν ἀκεράτων δυνάμεων σύνοδόν τε καὶ κρᾶσιν, ἐν οἷς ἀγαθὸς μὲν ὁ θεός, ἐμφαινομένου τοῦ ἀπὸ τῆς ἀρχῆς ἀξιώματος· ἐν ᾧ δὲ ἄρχων, ἐμφαινομένης τῆς ἀγαθότητος, ἵνα τὰς ἐκ τούτων ἀπογεννωμένας ἀρετὰς, φιλοφροσύνην καὶ εὐλάβειαν θεοῦ κτήσῃ· μήτε ἐν οἷς εὖ πάσχεις ὑψηγοροῦσα, διὰ τὸ τῆς ἡγεμονίας τοῦ βασιλέως μέγεθος· μήτε ἐν οἷς ὑπομένεις τι τῶν ἀβουλήτων ἀπογινώσκουσα τὰς ἀμείνους ἐλπίδας, διὰ τὴν μεγαλοῦ καὶ φιλοδώρου θεοῦ. φλογίνη δὲ ῥομφαία, διότι χρὴ τούτοις παρακολουθεῖν τὸν μετὰ τῶν πραγμάτων ἔνθερμον καὶ πυρώδη λόγον, ὃς οὐδέποτε λήγει κινούμενος σπουδῇ πάσῃ πρὸς αἵρεσιν μὲν τῶν καλῶν, φυγὴν δὲ τῶν ἐναντίων. οὐχ ὁρᾷς ὅτι καὶ Ἀβραὰμ ὁ σοφὸς ἡνίκα ἤρξατο κατὰ θεὸν μετρεῖν πάντα, καὶ μηδὲν ἀπολείπειν τῷ γενητῷ, λαμβάνει τῆς φλογίνης ῥομφαίας μίμημα πῦρ καὶ μάχαιραν, διελεῖν καὶ καταφλέξαι τὸ θνητὸν ἀφ᾽ ἑαυτοῦ γλιχόμενος, ἵνα γυμνῇ τῇ διανοίᾳ μετάρσιος πρὸς τὸν θεὸν ἀναπτῇ; τὸν δέ γε Βαλαὰμ, μάταιον λαὸν ὄντα, ἐξωπλισμένον, εἰσάγει Μωὰβ ἀστράτευτον καὶ λιποτάκτην, εἰδὼς πόλεμον ὃν ἁρμόζει ψυχῇ περὶ ἐπιστήμης ποιεῖσθαι. λέγει γὰρ ὄνῳ τῇ ἀλόγῳ προαιρέσει τοῦ βίου, ᾗ πᾶς ἄφρων ἐπιβέβηκεν, ὅτι εἰ μάχαιραν εἶχον, ἤδη ἂν ἐξεκέντησά σε. καὶ μεγίστη χάρις τῷ τεχνίτῃ, ὅτι τὴν ἀφροσύνης λύτταν εἰδὼς οὐκ ἐνδέδωκεν αὐτῇ, καθάπερ ξίφος μεμηνότι, δύναμιν λόγων, ἵνα μὴ πολλὴν καὶ ἄδικον ἅπασι τοῖς ἐντυγχάνουσιν ἐργάσηται φθοράν. ἃ δὲ Βαλαὰμ, ταῦτ᾽ ἕκαστος τῶν μὴ κεκαθαρμένων ἀλ ματαιάζων αἰτιᾶταί πως, ἐμπορικὸν, ἢ γεωργικὸν, ἢ τὸν ἄλλον τῶν ποριστικῶν ἐπιτηδεύσεως βίον, ἕως μὲν αἴσια πάντα τὰ ἀφ᾽ ἑκάστου, γεγηθὼς ἐπιβέβηκε καὶ ἐποχεῖται, καὶ ἐνειλημμένος ἀπρὶξ ἔχεται, μεθίεσθαι τὸ παράπαν οὐ δικαιῶν, ἀλλὰ καὶ τοῖς ἀφίστασθαι λέγουσι, καὶ μέτρα τῆς ἐπιθυμίας προσθεῖναι, διὰ τὸ τοῦ μέλλοντος ἀτέκμαρτον, βασκανίας ἐνδείξει καὶ φθόνον, οὐκ ἀπ᾽ εὐνοίας εἰσηγεῖσθαι τὰς φάσεις. ἐπειδὰν δὲ ἀβούλητος κακοπραγία συμβῇ, τοὺς μὲν ἀγαθοὺς μάντεις ἀποδέχεται καὶ προσφυλάξασθαι δυνατωτάτους τὰ μέλλοντα· τὰ δὲ οὐδενὸς αἴτια κακοῦ τὸ παράπαν αἰτιᾶται, τὴν γεωργίαν, τὴν ἐμπορίαν, τὰς ἄλλας ἐπιτηδεύσεις, αἷς πρὸς πορισμὸν ἠξίου χρῆσθαι. αἱ δὲ, καί τι φωνητηρίων ὀργάνων ἀμοιροῦσαι,

γ. ἀεὶ

A & elucet in rebus omnibus. Proinde vtriusque Cherubim ô mens formam excipe non adulterinam, vt de Causæ summæ bonitate ac principatu euidenter edocta, fructum felicem capias. mox enim cognosces immortalium illarum potentiarum coniunctionem contemperationémque: quatenus Deus bonus est, elucente nihilominus maiestate: quatenus princeps, eminente hic quoque bonitate: vt virtutes quæ inde nascuntur acquiras, humanitatem pietatémque: B neque prosperitate insolescens, memor illius maiestatis regiæ: neque in aduersitatibus desperans, affulgente spe meliorum, per bonitatem magni benigníque Dei. Igneus autem ideo gladius dicitur, quia requiritur hic vnà cum actionibus sermo feruens & igneus, qui nunquam moueri desinit, properans semper expetendo bona, fugiendóque contraria. Annon vides quod & sapiens ille Abraham quando incepit iuxta Deum metiri omnia, nihil creaturæ C tribuens, accipit ad ignei gladij similitudinem ignem & gladium, resecare ac exurere quicquid mortale habebat cupiens, vt expedita cogitatione sublimis ad Deum euolaret? At Balaam ille, id est vanus populus, inducitur inermis desertórque militiæ, imperitus belli quo anima sibi parat scientiam. sic enim alloquitur asinam, hoc est brutum vitæ propositum, cui omnis insipiens insidet: Si gladium haberem, iam te transfixissem. Gratia maxima conditori, qui D sciens imprudentiæ rabiem, non dedit tanquam furenti gladium, verborum facultatem, ne quoscunque obuios magna clade conficeret. Sed qualis Balaam, talis vnusquisque non perpurgatus, semper inaniter culpat, negociatoriam puta, aut rusticam, aut aliam quamuis facultatem victus parandi: donec fausta omnia contingunt, gaudens vectatione hærénsque iumento, nec putans bonum commodúmque interquiescere: quin & monentes vt desistat & imponat mo- E dum suis cupiditatibus, propter futuri temporis incertitudinem, inuidos appellat, negans eos monere bono animo. Vbi vero accidit inconsulta infelicitas, eosdem ipsos vt bonos vates miratur, quibus nemo melius futura coniiciat: culpam autem calamitatis auertit in artes innoxias, agriculturam, negociationem, aliáve studia, in quibus lucri causa versatus fuerat. Ille vero quamuis vocis instrumentis careant,

re ipsa erumpunt in clamorem longe clariorem quàm qui per linguam fit, dicentes: Annon, ô sycophanta nos sumus illæ, quibus tanquam iumentis insidebas elata ceruice? nósne contumacia nostra in præsentem calamitatem te coniecimus? Vide resistentem ex aduerso Dei sermonem armatum, qui solet bonum malúmque definire. non vides? quid igitur nunc nos culpas, quas prius dum res ex sententia succedebant, non accusasti? eramus enim eædem, ac ne tantillum quidem mutatæ sumus. tu verò corrupto iudicio sine ratione turbaris atque trepidas. si enim ab initio persuasum habuisses, quod non studia quæcunque bonorum malorúmque causa sint, sed qui est ad clauum gubernator rerum omnium sermo Dei, facilius hos casus ferres, nósque calumniari desineres, nec ascriberes nobis quæ non sunt in nostra potestate. Ille si inimicitijs depositis, & tristibus tuis cogitationibus dispulsis, pacatam vitam tibi promiserit, hilaris gaudénsque manum nobis inijciet quæ semper nostri sumus similes. Cæterum nos neque fauore tuo inflamur, neque iram tuam magnifacimus. Sumus enim nobis consciæ, quod nec bonorum nec malorum causa, sicut tu suspicaris, sumus. nisi forte mari quoque vel prosperas nauigationes imputas vel fortuita naufragia, & non potius ventorum diuersitatibus, nunc molliter, nunc vehementissimo impetu spirantium. Cum enim omnis aqua suapte natura quieta sit, quoties secundus ventus à puppi aspirat, omni rudente moto, plenis velis naues in portum inferuntur: quoties autem repente aduersus à prora incubuit, multam iactationem ac strepitum excitat, interdum etiam subuertit nauigium: & tamen innoxio mari crimen hoc ingeritur, cum satis appareat remissione vehementiáque ventorum aut fluctus aut trãquillitatem fieri. Atque ita iam satis declaratum existimo, quod natura quæ rationem auxiliatricem validissimam homini addidit, eum qui hac potest vti, felicé merito reddidit, vt vere rationalẽ: eum vero qui non potest, brutum atque miserrimum. Adam verò cognouit vxorem suam, quæ concepit & peperit Cain illum, dicens: Possedi hominem per Deum. & apposuit parere Abel fratrem eius.] Quorum virtuti legislator testimonium reddidit, eos non inducit vxores suas cognoscere, vt Abraham, Isaac,

A τὴν δι' αὐτῶν τῶν πραγμάτων ῥήξουσι φωνὴν ἐναργεστέραν οὖσαν τῆς διὰ γλώττης, ἆρά γε ὦ συκοφάντα, οὐχ ἡμεῖς ἐσμὲν ἐκεῖναι λέγουσαι, αἷς καθάπερ ὑποζυγίοις ὑψαυχενῶν ἐπιβεβήκεις; μὴ καθ' ὑπόνοιαν δίχως εἰργασάμεθά σοι κακοπραγίαν; ἴδε τὸν ἀνθεστῶτα ἐξ ἐναντίας θεοῦ λόγον ἐνωπλισμένον, παρ' ὃν τό, τε εὖ καὶ τὸ μὴ συμβέβηκε τελεσφορεῖσθαι. οὐχ ὁρᾷς; τί οὖν νῦν αἰτιᾷ ἡμᾶς, πρότερον ὅτε εὐώδει σοι τὰ πράγματα, οὐχὶ μεμψάμενος; ἦμεν γὰρ αἱ αὐταὶ μηδὲν B τῆς ἑαυτῶν φύσεως μεταβαλοῦσαι, τὸ παράπαν μή· σὺ δὲ κριτηρίοις χρώμενος οὐχ ὑγιέσιν, ἀλόγως σφαδάζεις. εἰ γὰρ ἐξ ἀρχῆς ἔμαθες ὅτι οὐχ ἅττ' ἂν ἐπιτηδεύσης ἀγαθῶν μετουσίας ἢ κακῶν ἐστὶν αἰτία, ἀλλ' ὁ πηδαλιοῦχος καὶ κυβερνήτης τοῦ παντὸς λόγος θεῖος, ῥᾷον ἂν ἔφερες τὰ συμπίπτοντα, παυσάμενος τοῦ συκοφαντεῖν καὶ ἐπιγράφειν ἡμῖν ἃ μὴ δυνάμεθα. ἐὰν οὖν πάλιν καθελὼν ἐκεῖνος τὸν πόλεμον, καὶ τὰς ἐπ' αὐτοῦ ἐννοίας κατηφείας σκεδάσας, εἰρήνην ἐπικηρυκεύσηται βίου, C φαιδρὸς καὶ γεγηθὼς τὴν δεξιὰν* ἐμβάλλει γ' ἡμῖν ταῖς ἐν ὁμοίῳ μενούσαις. ἡμεῖς δ' οὔτ' εὐμενείᾳ τῇ σῇ φυσώμεθα, οὔτ' ἐὰν δυσμεναίνῃς, ἐπιστρεφόμεθα. ἴσμεν γὰρ ἑαυτὰς, μήτ' ἀγαθῶν μήτε κακῶν αἰτίας οὔσας, κἂν σὺ περὶ ἡμῶν τοιαῦτα δοξάζῃς· εἰ μὴ καὶ τὴν θάλασσαν εὐπλοίας, ἢ τῶν συμβαινόντων ναυαγίων, ἀλλ' οὐχὶ τὰς τῶν πνευμάτων διαφορὰς, τοτὲ μὲν ἐπιεικῶς, τοτὲ δὲ μετὰ βιαιοτάτου συρμοῦ καταπνεόντων, αἰτιατέον· φύσει γὰρ παντὸς ὕδατος ἠρεμίαν ἐξ αὑτοῦ λαχόντος, ὅταν μὲν πνεῦμα οὔριον κατ' οἰάκων ἐπιγένηται, παντὸς καὶ διαστηθέντος κάλω, πλησίστιοι μέχρι λιμένων αἱ ναῦς καταίρουσιν· ὅταν δὲ αἰφνίδιον κατὰ πρώρας ἐξ ἐναντίας κατασκήψῃ, πολὺν σάλον καὶ κλόνον ἐγείρει, καὶ ἀνατρέπει, καὶ τοῦ συμβαίνοντος ἡ μηδὲν αἰτία θάλασσα, τὴν πρόφασιν ἴσχει, φανερῶς ταῖς ἀνέσεσι καὶ σφοδρότησι τῶν ἀνέμων, ἢ γαληνιάζουσα, ἢ κυμαίνουσα. διὰ E τούτων οὖν ἁπάντων ἱκανῶς οἶμαι δεδηλῶσθαι, ὅτι λόγον ἡ φύσις δυνατώτατον σύμμαχον ἀνθρώπῳ δημιουργήσασα, τὸν μὲν αὐτῷ χρῆσθαι δυνάμενον, ὀρθῶς ἀπέδειξεν εὐδαίμονα καὶ λογικὸν ὄντως· τὸν δὲ μὴ δυνάμενον, ἄλογόν τι καὶ κακοδαίμονα. Ἀδὰμ δὲ ἔγνω τὴν γυναῖκα αὐτοῦ· καὶ συνέλαβε καὶ ἔτικτε τὸν Κάϊν· καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. καὶ προσέθηκε τεκεῖν τὸν Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ. οἷς ἀρετὴν μεμαρτύρηκεν ὁ νομοθέτης, τούτους γνωρίζοντας γυναῖκας οὐκ εἰσάγει, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ,

ἴσως, ἐμβαλεῖ

ἢ παντὸς ἀνασπασθέντος κάλω, τοῦ ἱστίου ἐμπλέχει (?)

αἰτίας

γνωρίζοντας

τὸν Ἰακώβ, τὸν Μωυσῆν, καὶ εἴ τις αὐτοῖς ὁμόζηλος. ἐπεὶ γὰρ φαμὲν εἶναι γυναῖκα τροπικῶς αἴσθησιν, ἀλλοτριώσει δὲ αἰσθήσεως καὶ σώματος ἐπιστήμη συνίσταται, τοὺς σοφίας ἐραστὰς* ἔσησιν ἀποδοκιμάζοντας μᾶλλον ἢ αἱρουμένους ἐπιδείξεται. καὶ μήποτ' εἰκότως; αἱ γὰρ τούτοις συνοικοῦσαι, λόγῳ μὲν εἰσὶ γυναῖκες, ἔργῳ δὲ ἀρεταί. Σάρρα μὲν ἄρχουσα καὶ ἡγεμονίς· Ῥεβέκκα δὲ ἐπιμονὴ τῶν καλῶν· Λεία δὲ αἰνουμένη καὶ κοπιῶσα ἐπὶ τῇ συνεχείᾳ τῆς ἀσκήσεως, ἣν ἐκνεύει καὶ ἀποστρέφεται πᾶς ἄφρων ἀρνούμενος· Σεπφώρα δὲ ἡ Μωυσέως, ἀπὸ γῆς εἰς οὐρανὸν ἀνατρέχουσα, καὶ τὰς ἐκεῖ θείας καὶ εὐδαίμονας φύσεις καταμανθάνουσα· καλεῖται δὲ ὀρνίθιον. ἵνα δὲ τὴν ἀρετῶν κύησιν καὶ ὠδῖνα εἴπωμεν, ἀκοὰς ἐπιφραξάμενοι δεισιδαίμονες τὰς ἑαυτῶν μεταστήτωσαν· τελετὰς γὰρ ἀναδιδάσκομεν θείας τοὺς τελετῶν ἀξίους τῶν ἱερωτάτων μύστας· οὗτοι δ' εἰσὶν, οἱ τὴν ἀληθῆ καὶ οὖσαν ὄντως ἀκαλλώπιστον εὐσέβειαν μετ' ἀτυφίας ἀσκοῦντες. ἐκείνοις δ' οὐχ ἱεροφαντήσομεν κατεσχημένοις ἀνιάτῳ κακῷ, τύφῳ ῥημάτων, καὶ ὀνομάτων γλισχρότητι, καὶ τερθρείαις ἐθνῶν, ἄλλῳ δ' οὐδενὶ τὸ εὐαγὲς καὶ ὅσιον παραμετροῦσιν ἢ ταύτῃ. ἀρκτέον οὖν τῆς τελετῆς ὧδε. ἀνὴρ μὲν γυναικί, ἄνθρωπος δ' ἄρρην ἀνθρώπῳ* θηλείᾳ εἰς τὰς ἐπὶ γενέσει παίδων ὁμιλίας, ἐπακολουθῶν τῇ φύσει, (συνέρχε)* ποιησόμενον. ἀρεταῖς δὲ πολλὰ καὶ τέλεια τικτούσαις θέμις οὐκ ἔστιν ἀνδρὸς ἐπιλαχεῖν θνητοῦ· μὴ δεξάμεναι δὲ παρά τινος ἑτέρου ἐπιγονὴν, ἐξ ἑαυτῶν μὲν μόνων οὐδέποτε κυήσουσι. τίς οὖν ὁ σπείρων ἐν αὐταῖς τὰ καλά, πλὴν ὁ τῶν ὅλων πατὴρ, ὁ ἀγένητος θεός, καὶ τὰ σύμπαντα γεννῶν; σπείρει μὲν οὖν οὗτος, τὸ δὲ γέννημα τὸ ἴδιον ὃ ἔσπειρε, δωρεῖται. γεννᾷ γὰρ ὁ θεὸς οὐδὲν αὑτῷ, χρῄζων ἅτε οὐδενός· πάντα δὲ τῷ λαβεῖν δεομένῳ. παρέξω δὲ τῶν λεγομένων ἐγγυητὴν ἀξιόχρεων τὸν ἱερώτατον Μωυσῆν. τὴν γὰρ Σάρραν εἰσάγει τότε κύουσαν, ὅτε ὁ θεὸς αὐτὴν μονωθεῖσαν ἐπισκοπεῖ. τίκτουσαν δ' οὐκέτι τῷ τὴν ἐπίσκεψιν πεποιημένῳ, ἀλλὰ τῷ σοφίας τυχεῖν γλιχομένῳ· οὗτος δὲ Ἀβραὰμ ὀνομάζεται. γνωριμώτερον δ' ἐπὶ τῆς Λείας ἐκδιδάσκει, λέγων, ὅτι τὴν μὲν μήτραν ἀνέῳξεν αὐτῆς ὁ θεός. ἀνοιγνύναι δὲ μήτραν, ἀνδρὸς ἴδιον. ἡ δὲ συλλαβοῦσα ἔτεκεν, οὐ θεῷ· ἱκανὸς γὰρ μόνος καὶ αὐταρκέστατος ἑαυτῷ· ἀλλὰ τῷ κάματον ἀναδεχομένῳ ὑπὲρ τοῦ καλοῦ Ἰακώβ. ὥστε τὴν ἀρετὴν δέχεσθαι μὲν παρὰ τοῦ αἰτίου τὰ θεῖα σπέρματα, τίκτειν δέ τινι τῶν αὐτῆς ἐραστῶν, ὃς ἂν τῶν

ἴσως αἴσθησιν

θηλείᾳ ταῖς ἐπὶ

ποιησόμενος.

A Iacob, Mosem, & siquis eorum similis. Quoniam enim diximus per mulierem figurate sensum intelligi, alienatione autem à sensu & à corpore comparatur scientia, à sapientiæ amatoribus sensum potius improbari quam eligi ostendetur. & fortasse non immerito. quæ enim cum his conuenerunt in matrimonium, verbo sunt vxores, re autem virtutes. Sarra princeps & dux. Rebeca constantia in honestis. Lia fatigata propter continuatam exercitationem, quam de-B uitat auersatúrque omnis insipiens. Sephora verò Mosis coniunx, à terra sursum in cælum currens, & diuinas illic felicésque naturas considerans. vocatur autem auicula. Cæterum vt virtutum conceptus partúsque edisseramus, superstitiosi discedant obturatis auribus. diuina enim mysteria tradimus his qui talibus sacris digne initiati sunt: hoc est, qui veram & minime fucatam pietatem colunt cum modestia. illos autem haudquaquam ad hæc sacra admittimus qui C tenentur morbo insanabili, fastu verborum, & nominum copia, & præstigijs ethnicis, his tantum rebus sanctitatem metientes non alijs. Exordiemur autem hæc mysteria sic. Vir cum muliere, homo masculus cum homine fœmina liberorum procreandorum causa iunguntur naturaliter. cum virtutibus verò quæ multa perfecta pariunt, non est fas mortalem virum congredi: quæ tamen nisi à quopiam alio genituram excipiant, ex seipsis nunquam erunt grauidæ. D Quis igitur his honesta indit semina, nisi omnium pater, ingenitus Deus, ipse gignens vniuersa? hic igitur seminat, móxque genimen suum proprium quod seminauit, elargitur. nihil enim sibiipsi gignit, cum nulla re opus habeat: sed omnia in vsum accipientium. nunc adducam horum testem idoneum Mosem illum sanctissimum. Sarram enim inducit tunc prægnantem, quando Deus eam solitariam inspicit. parere autem hanc non ei qui ipsam inspexit, sed studioso sa-E pientiæ, qui nominatur Abraham. id apertius docet in Lia, dicens vuluam eius apertam à Deo: quod viri est proprium. at illa post conceptionem peperit, non Deo qui solus ipse sibi sufficit: sed Iacob illi qui laborem propter honestatem suscipit. atque ita fit vt virtus à summa illa Causa concipiat semina, pariat autem vnicuipiam è suis amatoribus, quem sibi ex omni procorum nu-

mero selegerit. Rursum sapientissimo Isaac Deum rogante, ex rogato perseuerantia quæ vocatur Rebeca concipit. at absque supplicatione & precibus volucrem illam sublimémque virtutem Sepphoram Moses assumẽs, inuenit ex nullo mortali grauidam. hæc ô mystæ purgati aures, tanquã vere sacramẽta animis vestris percipite, non effutienda apud quẽquam profanum: recondite hæc intra vos & tanquã thesaurum seruate, in quo non aurũ argentumque res corruptibiles sitæ sunt, sed verarũ possessionum pulcherrima, nimirũ de Causa illa summa, de virtute, déque fœtu ex ambobus nato sciẽtia. quod si in aliquẽ initiatũ incideritis, vrgete eum precibus, ne forte vos cælet aliquod recẽtius mysterium, donec illud extorqueatis. Ego enim quamuis apud amicũ Dei Mosen magnis initiatus mysterijs, tamẽ quia rursũ Ieremia propheta conspecto, cognoui eũ non solũ tenere mysteria, sed posse docere quoque, non grauatus sum scholã eius frequẽtare. ille verò vtpote diuino plenus spiritu, oraculum quoddã edidit ex persona Dei sic ad placidissimã virtutẽ loquẽtis: Nónne tãquam Domũ me nominasti, & patrẽ, & virũ virginitatis tuæ? manifestissime docens, quod Deus & domus sit, incorporearũ idearum incorporeus locus: & vniuersorũ pater, vt qui ea genuit: & sapientiæ vir, semen felicitatis in vsũ mortaliũ iaciens in bonã terram virginem. Decet enim impollutã, intactã purãque & vere virginẽ naturam cũ Deo colloqui, longe diuerso modo quam apud nos fit. homo enim quãdo liberos sibi quærit, ex virginibus reddit mulieres. at Deus quãdo incipit cũ anima habere cõsuetudinẽ, eam quæ modo mulier fuerat, restituit in virginitatem pristinã: quãdoquidẽ sublatis degeneribus & minime virilibus cupiditatibus quibus effœminata fuerat, generosas & integras virtutes in earũ locũ substituit. Sarræ igitur non antè cõsuescet, quã illi desinãt omnia muliebria, ita vt reuertatur in pristinũ castarũ virginũ ordinẽ. fieri tamen potest vt & virginis animal lasciuis affectibus polluta deturpetur, ideo firmũ certũque manet oraculũ, quod dicit Deum virũ non virginis, hæc enim mutabilis & mortalis est, sed virginitatis, scilicet ideæ, quæ sẽper est sui similis. cum enim generatio & corruptio naturæ ordine cadat in res mortales, illæ archetypæ potentiæ istarum rerũ fictrices particulariũ, immortalitatem sua sorte adeptę sunt. Et nõ decebit Deũ qui

A μονήρους ἀπὸ τούτων προκριθῇ. πάλιν Ἰσαὰκ τοῦ πανσόφου τὸν θεὸν ἱκετεύσαντος, ἐκ τοῦ ἱκετευθέντος ἔγκυος ἡ ἐπιμονὴ Ῥεβέκκα γίνεται. χωρὶς δὲ ἱκετείας καὶ δεήσεως, τὴν πτηνὴν καὶ μετάρσιον ἀρετὴν Σεπφώραν Μωσῆς λαβὼν, εὑρίσκει κύουσαν ἐξ οὐδενὸς θνητοῦ. ταῦτα ὦ μύσται κεκαθαρμένοι τὰ ὦτα, ὡς ἱερὰ ὄντως μυστήρια ψυχαῖς ταῖς ἑαυτῶν παραδέχεσθε, καὶ μηδενὶ τῶν ἀμυήτων ἐκλαλήσητε, ταμιευσάμενοι δὲ παρ᾽ ἑαυτοῖς φυλάττετε θησαυρὸν.
B οὐκ ἐν ᾧ χρυσὸς καὶ ἄργυρος οὐσίαι φθαρταὶ κατάκεινται, ἀλλὰ τῶν ὄντων κτημάτων τὸ κάλλιστον, ἡ περὶ τοῦ αἰτίου, καὶ ἀρετῆς, καὶ τρίτον, τοῦ γεννήματος ἀμφοῖν, ἐπιστήμη· ἐὰν δέ τινες τῶν τετελεσμένων ἐντυγχάνητε, λιπαρῶς ἐγκείμενοι περιέχεσθε, μή τινα ἄρα καινοτέραν ἰδόντες τελετὴν, ἐπικρύψητε, μέχρις ἂν αὐτὴν σαφῶς ἀναδιδαχθῆτε. καὶ γὰρ ἐγὼ παρὰ Μωσεῖ τῷ θεοφιλεῖ μυηθεὶς τὰ μεγάλα μυστήρια, ὅμως αὖθις Ἱερεμίαν τὸν προφήτην ἰδὼν, καὶ γνοὺς ὅτι οὐ μόνον
C μύστης ἐστὶν, ἀλλὰ καὶ ἱεροφάντης ἱκανὸς, οὐκ ὤκνησα φοιτῆσαι πρὸς αὐτόν· ὁ δὲ, ἅτε τὰ πολλὰ ἐνθουσιῶν, χρησμόν τινα ἐξεῖπεν ἐκ προσώπου τοῦ θεοῦ λέγοντα πρὸς τὴν εἰρηνικωτάτην ἀρετὴν ταῦτα, Οὐχ ὡς οἶκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἄνδρα τῆς παρθενίας σου; ἐμφαντικώτατα παριστὰς, ὅτι ὁ θεὸς καὶ οἶκός ἐστιν, ἀσωμάτων ἰδεῶν ἀσώματος χώρα, καὶ τῶν συμπάντων πατὴρ, ἅτε γεννήσας αὐτὰ, καὶ σοφίας ἀνὴρ, σπέρμα τῷ θνητῷ
D γένει καταβαλλόμενος εὐδαιμονίας εἰς ἀγαθὴν καὶ παρθένον γῆν· ἁρμόττει γὰρ καὶ ἀψαύστῳ καὶ καθαρᾷ φύσει, τῇ πρὸς ἀλήθειαν παρθένῳ, διαλέγεσθαι πρεπωδέστερον θεὸν, ἐναντίως ἡμῖν· ἀνθρώπων μὲν γὰρ ἡ ἐπὶ γενέσει τέκνων σύνοδος τὰς παρθένους γυναῖκας ἀποφαίνει· ὅταν δὲ ὁμιλεῖν ἄρξηται ψυχῇ θεὸς, πρότερον οὖσαν γυναῖκα παρθένον αὖθις ἀποδείκνυσιν. ἐπειδὴ τὰς ἀγεννεῖς καὶ ἀνάνδρους ἐπιθυμίας αἷς ἐθηλύνετο, ἐκποδὼν ἀνελὼν, τὰς αὐθιγενεῖς καὶ ἀκηράτους ἀρετὰς ἀντει-
E σάγει. Σάῤῥα γοῦν οὐ διαλέξεται, πρὶν ἐκλιπεῖν ἐκείνην τὰ γυναικεῖα πάντα, καὶ ἀναδραμεῖν εἰς ἁγνευούσης παρθένου τάξιν. ἀλλ᾽ ἐνδέχεται τάχα καὶ παρθένον ψυχὴν πάθεσιν ἀκολάστοις μιανθεῖσαν βεβηλωθῆναι. διόπερ ὁ χρησμὸς πεφύλακται θεὸν ἄνδρα εἰπὼν, οὐ παρθένου· τρεπτὴ γὰρ ἥδε καὶ θνητή· ἀλλὰ παρθενίας, τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης ἰδέας. γένεσιν γὰρ καὶ φθορὰν ἐνδεχομένων φύσει τῶν θνητῶν, ἄφθαρτον αἱ τυποῦσαι δυνάμεις* τῶν ἐν μέρει κλῆρον εἰλήφασι. τὸν οὖν ἀγένητον καὶ ἀ-

* ἴσως, ἀμέρου κλῆρον.

πρέπει θεῷ, ἀθανάτων καὶ παρθένων ἀρετῶν σπεί-
ρειν ἰδέας, μή ποτε εἰς γυναικὸς * μεταβαλλούσης
σχῆμα παρθένια τρεπούσης; τί οὖν ὦ ψυχή, δέον
ἐν οἴκῳ θεοῦ παρθενεύεσθαι, καὶ ἐπιστήμης περιέχε-
σθαι, τούτων μὲν ἀποστατεῖς, αἴσθησιν δὲ ἀσπάζῃ τὴν
ἐκθηλύνουσάν σε καὶ μιαίνουσαν. τοιγαροῦν γέννη-
μα πάμφυρτον καὶ πολυώλεθρον * ἀποτεύξῃ τὸν ἀ-
δελφοκτόνον καὶ ἐπάρατον Κάϊν, κτῆσιν οὐ κτητήν.
λέγεται γὰρ ὁ Κάϊν κτῆσις. θαυμάσαι δ' ἄν τις τὸν
τῆς ἑρμηνείας τρόπον, ᾧ πολλάκις ἐπὶ πολλῶν ὁ
νομοθέτης χρῆται, τὸ σύνηθες ἐξαλλάττων. μετὰ
γὰρ τοὺς φύντας ἐκ γῆς ἀρχόμενος δηλοῦν τὸν
γεννηθέντα πρῶτον ἐξ ἀνθρώπων, περὶ οὗ πρόσθε-
θεν οὐδὲν εἴρηκεν, ὡς ἤδη πολλάκις τοὔνομα αὐτοῦ
προειπὼν, ἀλλὰ μὴ νῦν αὐτὸ κατατάττων εἰς τὴν
ἐν λόγῳ χρῆσιν, φησὶν ὅτι ἔτεκε τὸν Κάϊν. ποῖον ὦ
τεχνῖτα; περὶ οὗ τι μικρὸν, οὐ μέγα πάλαι δεδή-
λωκας· καὶ μὴν οὐκ ἀγνοεῖς τὴν οἰκείαν θέσιν τῶν ὀνο-
μάτων. ἤδη γοῦν προελθὼν, ἐπὶ τοῦ αὐτοῦ δηλώ-
σεως προσώπου φάσκων, ὅτι ἔγνω Ἀδὰμ Εὔαν τὴν
γυναῖκα αὐτοῦ· καὶ συλλαβοῦσα ἔτεκεν υἱόν· καὶ
ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ. οὐκοῦν πολὺ
μᾶλλον ἐχρῆν ἐπὶ τοῦ πρωτοτόκου, ὃς ἦν ἀρχὴ τῆς
ἐξ ἀλλήλων γενέσεως ἀνθρώποις, τήν τε φύσιν
τοῦ ἀποκυηθέντος δηλῶσαι πρῶτον ὅτι ἄρρεν, εἶτα
τὸ οἰκεῖον ὄνομα θέσθαι, Κάϊν εἰ τύχοι. ἐπεὶ τοίνυν
οὐκ ἀπειρίᾳ τρόπου, καθ' ὃν ὀνόματα δεῖ τίθε-
σθαι, φαίνεται τὴν συνήθη χρῆσιν ἐπὶ τοῦ περὶ Κάϊν
δηλῶν, (σκεπτέον ἂν εἴη τίνος αἰτίας ἕνεκα οὕτως
ἐκάλεσε τοὺς ἐκ τῶν πρώτων, παραδιηγήσεως
μᾶλλον ἢ θέσεως ὀνομάτων τύπῳ χρησάμενος.
ἔστι δ' ὡς ἔμοιγε στοχαζομένῳ, ἡ αἰτία ἥδε· ὁ μὲν
δῆμος ἅπας ἀνθρώπων ὅμιλος ὀνόματα τίθεται
πράγμασι διαφέροντα τῶν πραγμάτων· ὡς ἕ-
τερα μὲν εἶναι τὰ τυγχάνοντα, ἑτέρας δὲ κλήσεις τὰς
ἐπ' αὐτοῖς· παρὰ Μωσεῖ δὲ αἱ τῶν ὀνομάτων θέσεις
* ἐνέργειαι πραγμάτων εἰσὶν ἐμφαντικώταται), ὡς
αὐτὸ τὸ πρᾶγμα ἐξ ἀνάγκης εἶναι τοὔνομα, καὶ καθ'
οὗ τίθεται διαφέρειν μηδέν. μάθοις δ' ἂν σαφέστερον
καὶ ἐκ τοῦ προστιθέντος ὃ λέγω, ὅταν ὁ ἐν ἡμῖν νοῦς·
κεκλήσθω δὲ Ἀδάμ· ἐντυχὼν αἰσθήσει, παρ' ἣν
ζῆν δοκεῖ τὰ ἔμψυχα· καλεῖται δὲ Εὔα· συνουσία-
σις· ἧς ὀρεχθεὶς πλησιάσῃ, ἣ δὲ συλλαμβάνει κα-
θάπερ δικτύῳ καὶ θηρεύει φυσικῶς τὸ ἐκτὸς αἰ-
σθητὸν διὰ μὲν ὀφθαλμῶν τὸ χρῶμα, διὰ δὲ ὤτων
φωνήν, διὰ δὲ μυκτήρων ἀτμόν, χυμὸν γε μὴν
διὰ τῆς γεύσεως ὀργάνων, καὶ διὰ τῆς ἁφῆς ἅπαν σῶμα
συλλαβοῦσα, ἐγκύμων τε γίνεται, καὶ αὐτίκα ὠδίνει, καὶ τίκτει

[margin: μεταβαλλούσας] [margin: τέξῃ.] [margin: ὑφήγη.]

A est ingenitus & immutabilis, virtutum immortalium semper virginum ideas seminare in virginem transformatam ex muliere? Cur igitur ô anima cum debeas in Dei domo virginitatem seruare, & scientiam complecti, his neglectis sensum complecteris effœminantem te & polluentem? itaque paries partum totum vitiosum ac perniciosum, illum fratricidam execratum Cain, possessionem non possidendã. vocatur enim Cain possessio. Cæterũ mirari posset aliquis narrationis modum, quo sæpe in multis le-
B gislator vtitur præter vulgatam consuetudinem. Postquam enim dixit de terrigenis, narraturus de primo nato ex hominibus, de quo hactenus nihil omnino dixerat: quasi iam sæpe eum nominasset, ac non nunc primum insereret eius nomen suis verbis, peperit Cain illum, inquit. Quemnam ô scriptor, de quo antea nihil vel paruum vel magnũ significasti? atqui non ignoras conuenientem dispositionem nominum, certe procedẽte ser-
C mone, de eadem persona dicturus es: cognouit Adam Euam vxorem suam, & peperit filiũ, vocauitque nomen eius Seth. An non igitur multo magis oportebat loquẽdo de primogenito, qui erat principium successiuę generationis hominum, primo sexum recẽs nati declarasse quod erat mas. deinde proprium nomen adiũgere, puta Cain, aut quodcunque. quoniam igitur non quasi nesciẽs quomodo nomina ponenda sint, in mentione Cain videtur discessisse à consuetudine, con-
C ἅμα μέντοι καὶ δόγμα εἰσηγεῖται πάνσοφον, ὅτι μόνος * κύριος ὁ θεὸς πολίτης ἐστί. πάροικον δὲ καὶ ἐπήλυτον τὸ γενητὸν ἅπαν. οἱ δὲ λεγόμενοι πολῖται, καταχρήσει μᾶλλον ὀνόματος, ἢ ἀληθείᾳ προσαγορεύονται· δωρεὰ δὲ ἀποχρῶσα σοφοῖς ἀνδράσι πρὸς τὸν μόνον πολίτην θεὸν ἀντεξετασθεῖσιν, ἐπηλύτων καὶ παροίκων λαχεῖν τάξιν. ἐπεὶ δὲ τῶν ἀφρόνων ἔπηλυς μὲν ἢ πάροικος ἁπλῶς οὐδεὶς ἐν τῇ τοῦ θεοῦ πόλει γέγονε, φυγὰς δὲ πάντως ἀνευρίσκεται· ἔτι δὴ καὶ προσαπεφθέγξατο
D ὡς δογματικώτατον· Πράσει φησὶν, οὐ πραθήσεται ἡ γῆ, καὶ ὑπὸ τίνος ἡσύχασεν, ἵν᾽ ἐκ τοῦ παρασιωπηθέντος ὁ μὴ φυσιολογήσας ἀμύητος εἰς ἐπιστήμην ὠφελῆται. εὑρήσεις τοίνυν σκοπῶν ἅπαντας καὶ τοὺς λεγομένους χαρίζεσθαι, πιπράσκοντας μᾶλλον ἢ δωρουμένους, καὶ οὓς οἰόμεθα λαμβάνειν χάριτας, πρὸς ἀλήθειαν ὠνουμένους. οἱ μὲν γὰρ διδόντες, ἀμοιβὴν, ἔπαινον ἢ τιμὴν θηρώμενοι, ζητοῦντες χάριτος ἀντίδοσιν,
E εὐπρεπεῖ δωρεᾶς ὀνόματι κυρίως πρᾶσιν ἐργάζονται. ἐπεὶ καὶ τοῖς πωλοῦσιν ἀνθ᾽ ὧν ἂν παρέχωσιν ἔθος λαμβάνειν ἐστίν· οἱ δὲ προσιέμενοι τὰς δωρεὰς, μελετῶντες ἀποδοῦναι, καὶ ἐπὶ καιροῦ ἀποδιδόντες, ἔργον ὠνουμένων δρῶσι· καὶ γὰρ ἐκεῖνοι ὥσπερ λαβεῖν ἴσασι καὶ ἀποδοῦναι· ὁ δὲ θεὸς, οὐ πωλητὴρ ἐπευωνίζων τὰ ἑαυτοῦ κτήματα, δωρητικὸς δὲ τῶν ἁπάντων, ἀενάους χαρίτων πηγὰς ἀναχέων, ἀμοιβῆς οὐκ ἐφιέμενος. οὔτε γὰρ ἐπιδεὴς αὐτὸς, οὔτε τις τῶν γεγονότων ἱκανὸς ἀντι-

* ἴσως κυρίως ὁ

δοῦναι δωρεάς, πάντων τῶν ἀνωμολογημένων θεοῦ κτημάτων λόγοις τε ἀληθέσι καὶ μαρτυρίαις, ἃς οὐ θέμις ψευδομαρτυριῶν ἁλῶναι. χρησμοὶ γὰρ εἰσὶν οὓς ἐν ἱεραῖς βίβλοις Μωϋσῆς ἀνέγραψεν οἱ μαρτυροῦντές εἰσι. παραιτητέον τοίνυν τὸν νοῦν, ὃς τὸ γέννημα κατὰ τὴν πρὸς αἴσθησιν σύνοδον, κτῆμα ἴδιον ᾠήθη τε, καὶ ἐκάλεσε τὸν Κάϊν, καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ· καὶ κατὰ τοῦτο διαμαρτών. τί δήποτε; ὅτι ὁ θεὸς αἴτιον, οὐκ ὄργανον· τὸ δὲ γινόμενον, δι' ὀργάνου μέν, ὑπὸ δὲ αἰτίου πάντως γίνεται. πρὸς γὰρ τὴν τινος γένεσιν πολλὰ δεῖ συνελθεῖν, τὸ ὑφ' οὗ, τὸ ἐξ οὗ, τὸ δι' οὗ, τὸ δι' ὅ. καὶ ἔστι τὸ μὲν ὑφ' οὗ, τὸ αἴτιον· ἐξ οὗ δέ, ἡ ὕλη· δι' οὗ δέ, τὸ ἐργαλεῖον· δι' ὃ δέ, ἡ αἰτία. φέρε γάρ, εἴ τις ἀνέροιτο, οἰκία καὶ πόλις πᾶσα ἵνα κατασκευασθῇ, τίνα συνελθεῖν δεῖ; ἆρ' οὐ δημιουργόν, καὶ λίθους, καὶ ξύλα, καὶ ὄργανα; τί οὖν ἐστι δημιουργός, πλὴν τὸ αἴτιον ὑφ' οὗ; τί δὲ λίθοι καὶ ξύλα, πλὴν ἡ ὕλη, ἐξ ἧς ἡ κατασκευή; τί δὲ τὰ ὄργανα, πλὴν τὰ δι' ὧν; τίνος δὲ ἕνεκα, πλὴν σκέπης καὶ ἀσφαλείας, δι' ὅ τοῦτό ἐστι. μετελθὼν οὖν ἀπὸ τῶν ἐν μέρει κατασκευῶν, ἴδε τὴν μεγίστην οἰκίαν, ἢ πόλιν, τόνδε τὸν κόσμον. εὑρήσεις γὰρ αἴτιον μὲν αὐτοῦ τὸν θεόν, ὑφ' οὗ γέγονεν· ὕλην δέ, τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν συνεκράθη· ὄργανον δὲ λόγον θεοῦ, δι' οὗ κατεσκευάσθη· τῆς δὲ κατασκευῆς αἰτίαν τὴν ἀγαθότητα τοῦ δημιουργοῦ. φιλαλήθων ἥδε διάκρισις, ἐπιστήμης ἀληθοῦς καὶ ὑγιοῦς ἐφιεμένων· οἱ δὲ φάσκοντες διὰ τοῦ θεοῦ κεκτῆσθαί τι, τὸ μὲν αἴτιον, ὄργανον τὸν δημιουργόν· τὸ δὲ ὄργανον, αἴτιον τὸν ἀνθρώπινον νοῦν ὑπολαμβάνουσιν. αἰτιάσαιτο δ' ἂν ἅπας ὀρθὸς λόγος, καὶ Ἰωσὴφ εἰπόντα διὰ τοῦ θεοῦ τὴν σαφήνειαν εὑρεθήσεσθαι τῶν ἐνυπνίων· ἔδει γὰρ εἰπεῖν ὑπ' αὐτοῦ ὡς αἰτίου, τὴν τῶν ἀφανῶν ἀνάπτυξίν τε καὶ ἀκρίβειαν δεόντως ἔσεσθαι. ὄργανα γὰρ ἡμεῖς, δι' ὧν αἱ κατὰ μέρος ἐνέργειαι, ἐπιτεινόμενα καὶ ἀνιέμενα· τεχνίτης δὲ ὁ τὴν πλῆξιν ἐργαζόμενος τῆς σώματός τε καὶ ψυχῆς δυνάμεως, ὑφ' οὗ πάντα κινεῖται. τοὺς μὲν οὖν τῶν πραγμάτων διαφορὰς ἀδυνατοῦντας διαστέλλειν, ὡς ἀμαθεῖς, ἀναδιδακτέον· τοὺς δὲ ὑπὸ φιλονεικίας τὰς τῶν σημαινομένων τάξεις ἐναλλάττοντας, ὡς ἐριστικούς, φευκτέον· τοὺς δὲ μετὰ τῆς τῶν ἐμφερομένων ἀκριβείας ὀρθότητος ἑκάστῳ τῶν ῥηθέντων τὴν οἰκείαν χώραν προσνέμοντας, ὡς ἀψευδῆ φιλοσοφίαν μετιόντας, ἐπαινετέον. Μωϋσῆς γοῦν τοῖς δεδιόσι μήποτε πρὸς τοῦ φαύλου πληθὺ στρατιᾶς διώκοντος ἀπο-

A accepta rependere. Ergo quãdoquidem omnium confessione omnia Dei possessio sunt, quod tum rationibus verissimis tum testimonijs certissimis euincitur: attestantur enim oracula quæ Moses in sacras literas retulit: improbãdus est intellectus, qui quod ex coitu cum sensu natum est, suam peculiarem possessionẽ ratus, vocauit Cain, dixitque: Possedi hominem per Deum.] Hic quoque falsus. at quamobrem falsus? Quia Deus causa est non instrumentũ. At quod nascitur, B per instrumentũ quidem, sed vtique ex causa producitur. Nam vt gignatur aliquid, multa oportet cõcurrere: à quo, ex quo, per quod, propter quod. à quo, causa est: ex quo, materia: per quod, instrumentum: propter quod, finis. Agedum enim, si quis roget, domus & vrbs quæuis vt cõdatur, quótnã res oportet præsto esse: nónne opificẽ, lapides lignáque, & instrumenta? quid igitur aliud est opifex quã causa à quo? quid lapides lignáque, quã materia ex qua fit ædificiũ? quid instrumẽta, nisi per quæ? iam propter quid C nisi tectum & securitatẽ, quæ causa finalis est. transi nunc à priuatis ædificijs ad illam domũ siue vrbem maximam, id est mundũ, & hanc quoque similiter considera, inuenies autorẽ eius Deũ, à quo factus est: materiã vero quatuor elementa ex quibus tẽperatus est: instrumentũ porrò verbũ Dei per quod est conditus: cæterũ finalem causam cur conderetur, benignitatem ipsius opificis. sic decernunt amatores veritatis, & studiosi veræ sanæque scientiæ. illi vero qui aiunt se per D Deũ acquisiuisse aliquid, eum qui autor est, instrumentũ esse putãt, id vero quod instrumentũ est, putant esse autorẽ, scilicet intellectum humanũ. eadem sanè ratione rectè Ioseph quoque coarguitur, dicens per Deũ cõtingere somniorũ intelligentiã. debuerat enim dixisse à Deo vt autore, explicationem obscurorũ discussionẽque conuenientẽ fieri. nos enim instrumẽta sumus operationũ particulariũ, qui iam intẽdimur, iam remittimur. E artifex vero qui pulsat vires tũ corporis tum animæ, à quo mouentur omnia. eos igitur qui rerũ differentias non possunt discernere, vt indoctos, debemus denuo docere: eos vero qui contẽtiose confundunt significatorũ ordinẽ, tanquam litiũ cupidos fugere. cæterũ eos qui singulas voces examinando suum cuique locum conuenientem sciunt attribuere, laudare decet vt exercẽtes se in vera sincerá que philosophia. perinde Moses populum ti-

mentē ne forte ab illo pessimo persecutore deleretur ad internecionem sic alloquitur: State & videte salutē à Domino, quā faciet vobis: docēs quod nō per Deū, sed à Deo vt autore salutē consequimur.

λῶνται, φησί, Στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ κυρίου, ἣν ποιήσει ὑμῖν, ἐκδιδάσκων ὅτι οὐ διὰ τοῦ θεοῦ, ἀλλὰ παρ' αὐτοῦ ὡς αἰτίου τὸ σῴζεσθαι.

ΠΕΡΙ ΩΝ ΙΕΡΟΥΡΓΟΥΣΙΝ ΑΒΕΛ ΤΕ ΚΑΙ ΚΑΙΝ.

PHILONIS IVDÆI DE SACRIFICIIS ABELIS ET CAINI.

ET apposuit parere fratrem eius.] Appositio vnius, subtractio est alterius, sicut particularum in arithmetica, sic ratiocinationū in anima. proinde si Abel apponi dicitur, Cain subtrahi censendus est. Ne autem verborum nouitas multis obscuritatem afferat, philosophiam quæ hic subest diligenter quantum potero conabor excutere. Duas opiniones esse constat contrarias inter se pugnantésque. altera menti nos permittit ascribere omnia, vt autori cogitandi, sentiendi, mouendi, sistendi. altera Deum sequitur, cuius sumus opificium. prioris illius figura est Cain, qui interpretatur possessio, eo quod sibi videatur possidere omnia: posterioris vero Abel. refertur enim ad Deum. ambas igitur opiniones parturit vna anima: quas mox natas discerni separarique necessum est: quandoquidem tam infensas inter se habitare vnà non est possibile. Ergo quamdiu anima pium illud dogma, scilicet Abelem non peperit, amator sui Cain cohabitabat cum ea. postquam autem illa confessionem summæ illius causæ peperit, mentem quæ sibi sapiens videtur non magni faciebat amplius. id euidentius apparebit in eo quod tolerantiæ Rebeccæ redditum est oraculo. hæc enim vbi duas inter se pugnantes naturas boni malique concepit, & de vtraque multum diúque cogitauit monitu prudentiæ, tandem subsultantes animaduertens, & iam ceu velitantes præludentésque futuro præ-

A ΚΑΙ προσέθηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ. ἡ ἑνὸς πρόσθεσις, ἀφαίρεσίς ἐστιν ἑτέρου, ὡς ἀριθμητικῆς μορίων, καὶ ψυχῆς λογισμῶν. εἰ δὲ τὸν Ἀβὴλ προστίθεσθαί φασι, τὸν Καὶν ἀφαιρεῖσθαι νομιστέον. ἵνα δὲ μηδὲ τὸ τῶν ὀνομάτων ἀσύνηθες ἐπισχῇ τοῖς πολλοῖς, τὴν ἐμφαινομένην φιλοσοφίαν ἀκριβοῦν ὡς ἂν οἷόν τε ᾖ πειρασόμεθα. δύο τοίνυν δόξας εἶναι συμβέβηκεν ἐναντίας καὶ μαχομένας ἀλλήλαις. τὴν μὲν τῷ νῷ
B πάντα ἐπιγράφεσθαι ἐπιτρέπουσαν, ὡς ἡγεμόνι τοῦ ἐν ἡμῖν λογίζεσθαι, ἢ αἰσθάνεσθαι ἢ κινεῖσθαι, ἢ ἵστασθαι· τὴν δὲ τῷ θεῷ ἑπομένην δημιουργίαν ὄντων αὐτοῦ. τῆς μὲν οὖν προτέρας ἐκτύπωσίς ἐστι Καὶν ἐπικαλούμενος κτῆσις, παρὰ τὸ τὰ πάντα κεκτῆσθαι δοκεῖν· τῆς δὲ ἑτέρας, ὁ Ἀβήλ· ἀναφέρεται γὰρ ἐπὶ θεόν. ἀμφοτέρας οὖν τὰς δόξας ὠδίνει μία ψυχή. ἀνάγκη δὲ αὐτὰς ὅταν ἀποκυηθῶσι διακριθῆναι· συνοικεῖν γὰρ πολεμίοις ἄχρι παντὸς ἀμήχανον. ἕως μὲν οὖν οὐκ ἔτεκεν ἡ ψυχὴ τὸ φιλό-
C θεον δόγμα τὸν Ἀβήλ, διῃτᾶτο ὁ φίλαυτος Καὶν αὐτῇ· ὁπότε δὲ τὴν πρὸς τὸ αἴτιον ὁμολογίαν ἐγέννησε, τὴν πρὸς τὸν δοκησίσοφον νοῦν ἐξέλιπε. δηλώσει δὲ ἐναργέστερον ταῦτα καὶ τὸ τῇ ὑπομονῇ χρησμῳδηθὲν Ῥεβέκκᾳ. καὶ γὰρ τὰς μαχομένας δύο φύσεις ἀγαθοῦ καὶ κακοῦ συλλαβοῦσα, καὶ ἑκατέραν ἄκρως φαντασιωθεῖσα κατὰ τὴν τῆς φρονήσεως ἐπικέλευσιν, ἀνασκιρτώσας αὐτὰς ἰδοῦσα, καὶ ἵνα τοῦ μέλλοντος πολέμου δι' ἀκροβολισμῶν προαγῶνα ποιουμένας, ἱκετεύει τὸν θεὸν ἵνα τί ἐστι τὸ πάθος αὐτῇ παραστήσῃ, καὶ τίς ἂν ἴασις αὐτοῦ γέ-

γοιτο. ὁ δὲ πυνθανομένῃ φησί, Δύο ἔθνη ἐν τῇ γαστρί σου ἐστί· τὸ μὲν πάθος τοῦτο ἀγαθοῦ καὶ κακοῦ γένεσις. Ἀλλὰ καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διαστελοῦνται· ἴασις ἥδε, διαστελῆναι καὶ χωρισθῆναι ἀπ' ἀλλήλων, καὶ μηκέτι τὸν αὐτὸν χῶρον οἰκῆσαι. προσθεὶς οὖν ὁ θεὸς τῇ ψυχῇ καλὸν δόγμα τὸν Ἄβελ, ἀφαιρεῖ αὐτῆς δόξαν ἄτοπον τὸν Κάϊν. καὶ γὰρ Ἀβραὰμ ἐκλιπὼν τὰ θνητὰ, προστίθεται τῷ θεοῦ λαῷ, καρπούμενος ἀφθαρσίαν, ἴσος ἀγγέλοις γεγονώς· ἄγγελοι γὰρ στρατός εἰσι θεοῦ, ἀσώματοι καὶ εὐδαίμονες ψυχαί. ὅ, τε ἀσκητὴς τὸν αὐτὸν τρόπον Ἰακὼβ προστίθεται τῷ βελτίονι, ἐπειδὰν ἐκλίπῃ τὸ χεῖρον. ὁ δὲ αὐτομαθοῦς ἐπιστήμης ἀξιωθεὶς Ἰσαὰκ ἐκλείπει μὲν καὶ αὐτὸς ὅσον σωματοειδὲς αὐτοῦ τῇ ψυχῇ συνύφαστο, προστίθεται δὲ καὶ προσκληροῦται, οὐχ ὡς οἱ πρότεροι * λαοί, γένει δὲ, καθάπερ φησὶ Μωϋσῆς. [ἴσως, λαῷ] γένος μὲν γὰρ ἓν τὸ ἀνωτάτω, λαὸς δὲ ὄνομα πλειόνων. ὅσοι μὲν οὖν μαθήσει καὶ διδασκαλίᾳ προκόψαντες ἐτελειώθησαν, προσκληροῦνται πλείοσι. οὐδὲ γὰρ ὀλίγος ἐστὶν ἀριθμὸς τῶν ἐξ ἀκοῆς καὶ ὑφηγήσεως μανθανόντων, οὓς λαὸν ὠνόμασεν. οἱ δὲ ἀνθρώπων μὲν ὑφηγήσεις ἀπολελοιπότες, μαθηταὶ δὲ θεοῦ εὐφυεῖς γεγονότες, τὴν ἄπονον ἐπιστήμην ἀνειληφότες, εἰς τὸ ἄφθαρτον καὶ τελεώτατον γένος μετανίστανται, κλῆρον ἀμείνω τῶν ἐν γενέσει βίων ἐνδεδεγμένοι, ὧν Ἰσαὰκ θιασώτης ὡμολόγηται. δηλοῖ δὲ καὶ ἕτερον τοιοῦτον νοῦν ἀθάνατον. Εἰσὶ δὲ οὓς ἀνωτέρω προαγαγὼν, εἴδη μὲν καὶ γένη πάντα ὑπερπτῆναι παρεσκεύασεν, ἱδρύσας πλησίον ἑαυτοῦ, καθὰ καὶ Μωϋσῆς φησί, Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ. ἡνίκα γοῦν τελευτᾶν ἔμελλεν, οὐκ ἐκλείπων προστίθεται ὥσπερ οἱ πρότεροι, μήτε πρόσθεσιν, μήτε ἀφαίρεσιν κεχωρηκὼς, ἀλλὰ διὰ ῥήματος τοῦ αἰτίου μετανίσταται, δι' οὗ καὶ ὁ σύμπας κόσμος ἐδημιουργεῖτο· ἵνα μάθῃς ὅτι τὸν σοφὸν ἰσότιμον κόσμῳ ὁ θεὸς ἡγεῖται, τῷ αὐτῷ λόγῳ καὶ τὸ πᾶν ἐργαζόμενος, καὶ τὸν τέλειον ἀπὸ τῶν περιγείων ἀνάγων ὡς ἑαυτόν. ἀμέλει δὲ ὅτε τοῖς περιγείοις χρήσας αὐτὸν εἴασεν ἐνομιλεῖν, ἄρχοντος ἢ βασιλέως κοινήν τινα ἀρετὴν ἀνῆπτεν αὐτῷ, καθ' ἣν ἅμα κράτος ἡγεμονεύσει τῶν τῆς ψυχῆς παθῶν, ἀλλ' εἰς θεὸν αὐτὸν ἐχειροτόνει, πᾶσαν τὴν περὶ τὸ σῶμα χώραν καὶ τὸν ἡγεμόνα αὐτῆς νοῦν, ὑπηκόους καὶ δούλους ἀποφήνας, Δίδωμι γάρ σε, φησὶ, θεὸν Φαραώ. θεὸς δὲ ἔλλειψιν ἢ πρόσθεσιν οὐκ ἐνδέχεται, πλήρης καὶ ἰσαίτατος ὢν ἑαυτῷ. παρὸ καὶ τὴν ταφὴν λέγεται μηδεὶς εἰδέναι τούτου. τίς γὰρ ἂν γένοιτο

A lio, supplex Deum rogabat: dignaretur docere quid hoc mali esset, quódve huius remediũ. Qui sic respõdit: Duæ gentes in vtero tuo sunt. nã accidens hoc natiuitatẽ boni malique significat. Verùm & duo populi è ventre tuo discedẽt. Hoc remedium est, vt discedant separentúrque ab inuicẽ, nec amplius simul habitẽt. ergo postquã Deus bonũ dogma Abelẽ apposuit animæ, subtraxit ei opinionem absurdã, scilicet Cain. nam & Abraham relictis mortalibus apponitur ad Dei populũ, fruens immortalitate, & factus

B similis angelis. nam angeli exercitus Dei sunt, incorporeæ felicésque animæ. Iacob quoque ille virtutis meditator eodẽ modo apponitur ad melius, quando reliquit deterius. at Isaac seipso præceptore scientiã adeptus relinquit quidẽ & ipse quicquid corporale attextũ fuerat eius animæ: apponitur autẽ & cõsors fit non, vt priores, quos dixi, populo, sed generi, sicut Moses ait. genus enim vnũ est illud summũ, populus autẽ multitudo nomina-

C tur. quotquot igitur per cognitionẽ disciplinarũ proficiendo perfecti sunt, apponũtur ad sortẽ pluriũ. nec enim paruus numerus est eorum qui ex auditu & doctrina discunt, quos nominauit populũ. qui vero humana doctrina relicta, ingeniũ Deo doctori excolendum commiserunt, sine labore scientiã assecuti, migrãt ad incorruptibile genus & perfectissimum, accipientes sortem meliorem quam in natiuitate, in quorum Isaac censetur sodalitio. significat autem & alium

D talem intellectũ immortalem. Sunt etiã aliqui quos Deus altius promouet, & euolãtes super omnes species omniáque genera prope seipsũ collocat, sicut Mosi quoque dicit: Tu vero hic sta mecũ. itaque moriturus non deficit nec apponitur sicut priores, vtpote nec appositionem nec subtractionẽ admittens, sed ex verbi illius causalis autoritate migrat, per quod vniuersus mundus est conditus: vt discas quod sapientem illum eodem quo mundum honore Deus dignatus est, per ver-

E bum quo condidit omnia, perfectum virum ad se traducendo à terrestribus. Quin & cum in terrenis eo vtebatur negotijs, non principis aut regis cõmunem aliquam virtutem indidit ei, per quam is exercet potestatem in affectus animæ: sed Deum eum constituit, totã corporis regionem ducémque eius intellectũ subijciẽs ei iubẽsque seruire. inquit enim: Do te Deũ Pharaoni. in Deũ autem nec subtractio cadit nec appositio, cũ sit ple-

nus & semper sibiipsi par. ideóque nemo sepulchrum eius scire dicitur. quis enim est idoneus vt cogitatione comprehendat migrationem perfectę animę ad eũ qui est? equidẽ opinor ne ipsam quidẽ, cui migrare contigit, scisse quanto meliora sortiretur, quippe quę tum correpta erat numine. nã Deus cum alicui benefacit, non vtitur eius cõsilio: sed inexpectata beneficia solet porrigere liberaliter. Tale quiddã est apponere Deũ natiuitatẽ boni ad perfectã mentẽ. id bonũ sanctitas est, cuius nomẽ Abel. Et factus est Abel pastor pecorum, Cain autẽ operabatur terrã.] Cur quamuis maiorẽ natu Cain dixerat, nunc transponit ordinẽ, iunioris prius mentionem faciens in ostendendo vitæ proposito? erat enim probabile, grandiorem prius aggressum agriculturam, ac tum demum iuniorem suscepisse curam pecorum. at Moses non verisimilia credibiliáque, sed merã veritatem consectatur: & quãdo cum Deo colloquens libere negat se verbis pollere, hoc fortasse dicit, non esse sibi studiũ verborũ probabiliũ: idque accidisse sibi heri & nudiustertius, ex quo Deus incepit cum ipso colloqui tanquã cũ famulo. Nam qui in huius vitę tempestatẽ iactationẽque inciderunt, necesse habent rapi huc illuc, nullã firmã tenentes scientiã, sed pendẽtes à verisimilibus ac probabilibus. Dei vero cultorẽ decet adhęrere veritati, & verborũ coniecturalium fabulositatibus extremum vale dicere. Quæ igitur est in pręsenti quęstione veritas? virtutẽ à vitio antiquitate quidem superari, viribus autẽ ac dignitate prępollere. ergo quando de amborũ natiuitate agitur, Cain procurrat prior: quãdo vero conferuntur & examinãtur vtriusque studia, Abel pręcedat. nam à prima statim natiuitate & ab ipsis fasciis, vsque dum iuuenilis ętatis affectuũ flamma deferueat extinguatúrque, anima collactaneas habet, imprudentiam, intemperantiam, iniustitiam, metum, ignauiã, aliásque cognatas pestes, quarũ singulę educantur augentúrq; à nutrice & victus ratione, per mores atq; leges pietati quidẽ infestas, superstitionem vero impietatis germanam adstruentes inducentésque. vbi vero quis pubertatẽ ingressus est, & affectuũ concutientiũ morbus se remisit, tanquã ventis cessantibus incipit in trãquillitate degere, vix tandẽ cõstabilitus in virtutis firmitudine, quę cõtinuò sibi succedentẽ quassationem, grauissimum animę morbũ mitigauit. atque ita vitiũ

A ἱκανὸς τὴν πρὸς τὸ ὂν μετανάστασιν ψυχῆς τελείας κατανοῆσαι. οὐδὲ αὐτὴν οἶμαι τὴν τοῦτο πάσχουσαν εἰδέναι τὴν βελτίωσιν αὐτῆς, ἅτε καὶ ἐκεῖνον τὸν χρόνον ἐπιθειάζουσαν. ᾧ γὰρ οὐ παρόντι, συμβούλῳ ὁ θεὸς περὶ ὧν μέλλει χαρίζεσθαι οὐ χρῆται· μὴ προσλαβόντι δέ, τὰς εὐεργεσίας εἴωθεν ἀφθόνως ὀρέγειν. τοιοῦτόν ἐστι τὸ προσθεῖναι θεὸν γένεσιν ἀγαθοῦ τελείᾳ διανοίᾳ. τὸ δὲ ἀγαθὸν ὁσιότης ἐστίν, ἧς ὄνομα Ἄβελ. Καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάιν δὲ ἦν ἐργαζόμενος τὴν γῆν. τί δή
B ποτε πρεσβύτερον εἰσαγαγὼν τοῦ Ἄβελ τὸν Κάιν, νῦν τῇ τάξει μετατέθεικεν, ὡς τοῦ νεωτέρου διαμεμνῆσθαι πρότερον κατὰ τὴν τῶν βίων αἵρεσιν; εἰκὸς γὰρ ἦν τὸν μὲν πρεσβύτερον πρότερον εἰς γεωργίαν ἐλθεῖν, τὸν δὲ νεώτερον αὖθις ἐπὶ τὴν τῶν θρεμμάτων ἐπιμέλειαν. ἀλλὰ γὰρ οὐ τὰ εἰκότα καὶ πιθανὰ Μωϋσῆς ἀσπάζεται, τὴν δὲ ἀλήθειαν ἀκραιφνῆ μεταδιώκει· καὶ ὅταν γέ μόνος ἰδίᾳ θεῷ μετὰ παρρησίας φησὶ μὴ εἶναι εὔλογος, ἴσον τῷ μὴ
C τῶν εὐλόγων καὶ πιθανῶν ἐφίεσθαι, πεπονθέναι δὲ τοῦτο πρὸ τῆς χθὲς ἢ τρίτης, ἀφ' οὗ τὸν θεὸν ἄρξασθαι διαλέγεσθαι ὡς θεράποντι αὐτοῦ. τοῖς μὲν γὰρ εἰς τὸν τοῦ βίου σάλον καὶ κλύδωνα παρεληλυθόσιν, ὅπη τυχομένοις ἀνάγκη φορεῖσθαι, μηδενὸς ὀχυροῦ τῆς ἐντὸς ἐπιστήμης ἐνειλημμένοις, εἰκότων δὲ καὶ πιθανῶν ἠρτημένοις· τῷ δὲ θεοῦ θεραπευτῇ πρεπῶδες, ἀληθείας περιέχεσθαι, τὴν ἐκ λόγων εἰκαστικὴν καὶ ἀβέβαιον μυθοποιΐαν χαί-
D ρειν εἰπόντι. τί οὖν καὶ τὸ ἐν τούτοις ἀληθές; κακίαν ἀρετῆς χρόνῳ μὲν εἶναι πρεσβυτέραν, δυνάμει δὲ καὶ ἀξιώματι νεωτέραν. ὅταν μὲν οὖν ἡ γένεσις ἀμφοῖν εἰσάγηται, προεκτρεχέτω ὁ Κάιν· ὅταν δὲ ἐπιτηδεύσεων σύγκρισις ἐξετάζηται, φθανέτω ὁ Ἄβελ· γινομένῳ γὰρ τῷ ζώῳ συμβέβηκεν εὐθὺς ἐκ σπαργάνων ἄχρις αὖ ἡ νεωτεροποιὸς ἀκμῆς ἡλικία τὸν ζέοντα φλογμὸν τῶν παθῶν σβέσῃ, συντρόφους ἔχειν ἀφροσύνην, ἀκο-
E λασίαν, ἀδικίαν, φόβον, δειλίαν, τὰς ἄλλας συγγενεῖς κῆρας, ὧν ἑκάστην ἀνατρέφουσι καὶ συναύξουσι τίτθαι καὶ διαγωγή, διὰ ἐθῶν καὶ νομίμων εὐσέβειαν μὲν ἐλαυνόντων, δεισιδαιμονίας δὲ πρᾶγμα ἀδελφὸν ἀσεβείᾳ κατασκευαζόντων, εἰσηγήσεις. ὅταν δὲ ἤδη παρηβήσῃ, καὶ ἡ τῶν παθῶν παλμώδης νόσος χαλάσῃ, καθάπερ νηνεμίας ἐπιγινομένης, ἄρχεταί τις γαλήνην ἄγειν, ὀψὲ καὶ μόλις βεβαιότητι ἀρετῆς ἱδρυνθείς, ἣ τὸν ἐπάλληλον καὶ συνεχῆ σεισμὸν βαρύτατον κακὸν ψυχῆς ἐπράϋνεν. οὕτω μὲν δὴ τὰ χρόνου πρεσβεῖα

οἴσεται

οἴσεται κακία· τὰ δὲ ἀξιώματα καὶ τιμὰς καὶ εὐκλείας, ἡ ἀρετή. πιστὸς δὲ τούτου μάρτυς ὁ νομοθέτης αὐτός. τὸν γὰρ ἀφροσύνης ἐπώνυμον Ἡσαῦ εἰσαγαγὼν χρόνῳ πρεσβύτερον, τῷ γενέσει μὲν νεωτέρῳ, ἐπωνύμῳ δὲ ἀσκήσεως τῆς καλῆς Ἰακὼβ χαρίζεται τὰ πρεσβεῖα. ὁ δὲ οὐ πρότερον αὐτὰ φέρεσθαι διέγνωσεν, ἢ καθάπερ ἐν ἀγῶνι τὸν ἀντίπαλον ἀπειπεῖν χεῖρας ὑπ᾽ ἀσθενείας καταθέντα, καὶ τὰ βραβεῖα καὶ τὸν στέφανον παραχωρῆσαι τῷ πόλεμον ἄσπονδον καὶ ἀκήρυκτον πρὸς τὰ πάθη πεποιημένῳ. Ἀπέδοτο γάρ, φησί, τὰ πρωτοτόκια τῷ Ἰακώβ, ὁμολογήσας ἄντικρυς, ὅτι τὰ δυνάμει πρωτεῖα, καὶ τὰ ἀρετῆς τίμια, φαύλου μὲν οὐδενός, μόνου δὲ τοῦ σοφίας ἐραστοῦ, καθάπερ αὐλὸς καὶ λύρα καὶ τὰ ἄλλα μουσικῆς ὄργανα, μόνου τοῦ μουσικοῦ. περὶ δὲ τοῦ δόγματος τούτου καὶ νόμον ἀναγράφει πάνυ καλῶς καὶ συμφερόντως τεθειμένον. Ἐὰν δὲ γένωνται τῷ ἀνθρώπῳ δύο γυναῖκες, ἡ μία αὐτῶν ἠγαπημένη, καὶ ἡ μία μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται ὁ υἱὸς τῆς μισουμένης πρωτότοκος, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἣ ἂν κληροδοτῇ τὰ ὑπάρχοντα τοῖς υἱοῖς αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον, ἀλλὰ τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια. ἐπίγνωθι ὦ ψυχή, καὶ γνώρισον τίς ἐστιν ἡ μισουμένη, καὶ τίς ὁ τῆς μισουμένης, καὶ εὐθὺς αἰσθήσῃ ὅτι ἄλλῳ μὲν οὐδενί, μόνῳ δὲ τούτῳ καθήκει τὰ πρεσβεῖα. δύο γὰρ ἡμῶν ἑκάστῳ συνοικοῦσι γυναῖκες ἐχθραὶ καὶ δυσμενεῖς ἀλλήλαις, τὸν ζηλοτυπίας τὸν ψυχικὸν οἶκον ἀναπιμπλᾶσαι φιλονεικιῶν· τούτων τὴν μὲν ἑτέραν ἀγαπῶμεν, χειροήθη καὶ τιθασὸν καὶ φιλτάτην καὶ οἰκειοτάτην αὐτοῖς νομίζοντες· καλεῖται δὲ ἡδονή. τὴν δὲ ἑτέραν ἐχθραίνομεν, ἀτίθασον, ἀνήμερον, ἐξηγριωμένην, πολεμιωτάτην ἡγούμενοι· ὄνομα δὲ καὶ ταύτῃ ἐστὶν ἀρετή. τῆς μὲν οὖν περικαλλοῦς καὶ περιμαχήτου ἡδονῆς τὰ μεγάλα μυστήρια τίς ἀγνοεῖ τῶν βροτῶν; τῶν δὲ παρὰ τῇ ἀρετῇ θησαυριζομένων ἀγαθῶν τὸ πλῆθος ἢ μέγεθος, τίς ἂν ἀξίως εἰπεῖν δυνηθείη. ἴσασιν οἱ κεκοινωνηκότες ἤδη, καὶ οἷς ἡ φύσις ἵλεως πάλιν γνώσονται, κληθέντες εἰς μετουσίαν θοίνης, οὐκ ἐξ ἧς αἱ γαστρὸς ἡδοναὶ πιμπλαμένης τὸ σῶμα πιαίνουσιν, ἀλλ᾽ ἀφ᾽ ἧς διάνοια ἀνατρεφομένη καὶ ἐγχορεύουσα ἀρεταῖς, γήθει τε καὶ εὐφραίνεται.

A iuxta temporis prærogatiuam sit antiquius. iuxta dignitatem vero, honorem atque gloriam, virtus est potior: cuius rei legislator ipse testis fide dignus est. cum enim induxisset Esau illum cui nomē est ab imprudentia, antiquiorem, natu minori, nomen habenti ab honesto exercitio tribuit prærogatiuam generis. at ille non prius eam statuit accipere, quam sicut in certamine, aduersarius deuictus manus porrigat, præmia coronámque cedens ei qui bellum sine inducijs caduceatoribúsque gerit cū affectibus.

B Concessit enim, inquit, ius primogenituræ Iacobo, nimirum fassus, quod quæ vim habēt primatus & virtutis sunt præmia, nullius mali sunt, sed amatoris sapientiæ: sicut tybia lyráque & cætera instrumenta musica solius sunt musici. de hoc autem dogmate extat etiam lex scripta admodum pulchre atque vtiliter. Si habuerit homo vxores duas, vnam dilectam, & alteram exosam, genuerintque ei liberos tam exosa quàm dilecta: & fuerit filius

C exosæ primogenitus: quacunque die voluerit substantiam inter filios diuidere, non poterit filium dilectæ facere primogenitum, & præterire filio exosæ: sed filium exosæ agnoscet primogenitum: dabítque ei de his quæ habuerit cuncta duplicia. iste est enim principium liberorum eius, & huic ius primogenitorum debetur.] Cognosce ô anima, & disce quænam sit ista exosa, & quisnam iste filius exosæ, móxque scies quòd alteri nemini, sed huic soli debetur ius primo-

D genitorum. Nam duæ cum singulis nobis cohabitant vxores, inimicæ infestæque sibi inuicem, animalem domum replentes æmulationis contentionibus. Harum alteram diligimus, quam putamus mansuetam, mitem, amicissimam nobis & familiarissimam. hæc vocatur voluptas. Alteram vero odimus, rati efferam, immitem immansuetámque, & nobis infensissimam. hæc virtus nominatur. sed illius formosæ & modis omnibus expetitæ voluptatis magna my-

E steria quis ignorat mortalium? eorum vero thesaurorum qui penes virtutem sunt bonitatem magnitudinémque, quis eloqui pro dignitate valeat? norunt qui sunt eorum iam participes, discent etiam quibus natura est propitia, vocati ad conuiuium, in quo non venter expletur voluptatibus corpus incrassantibus: sed in quo mens pasta & choreas ducīans cum virtutibus, gaudens libénsque hilaritate perfruitur.

propterea quod dudum dixi, vera bona ex seipsis naturaliter vocem mittere etiamsi sileant, nunc omitto, nec loquar de eis prolixius. nam nec sol nec luna opus habent interprete, qui nos doceat, ab altero interdiu, ab altera noctu mundum vniuersum illustrari: sed ipso splendore fidem vel absque teste faciunt oculis, certioribus quam sunt aures rerum iudicibus. Quid autem in virtute nos maxime offendat difficultatis specie, nunc libere proloquar. nam hoc imaginationem quandam primo congressu nobis incutit, cum metu difficultatis coniunctam: sed assuetudo rem ostendit esse iucundam, cuius vtilitatem ratio mox indicat. cæterum labor, inter præcipua bona numerandus, bellum cum voluptate gerit perpetuum. hunc enim, si verum dicendum est, omnis felicitatis omnisque virtutis principium hominibus Deus declarauit, sine quo nihil honestum apud mortales esse inuenies. nam sicut sine luce videre non possumus, quia nec colores nec oculi ad videndum sufficiunt: hanc enim ceu vinculum natura præparauit, quo coaptaretur colori oculus: nam in tenebris neuter suam vim exerit: Eodem modo animæ oculus, nullam virtutis actionem potest attrectare, nisi à labore ceu luce adiutus. hic enim inter mentem & bonum quod mens desiderat medius, illud vna ex parte, hanc ex altera trahens ad se, vtraque manu amicitiam concordiámque conciliat, atque ita bona perfecta efficit. opta tibi bonum quodlibet, inuenies eius possessionem labore parari confirmarique. pietas quoque & sanctitas bona sunt, sed nisi Deum colamus non possunt nobis contingere. cultus autem hic cum pertinaci labore coniunctus est. prudentia, fortitudo, iustitia, pulchræ omnes & inter perfecta bona censendæ, non facile obueniunt. Atque vtinam vel assidua cura parari possint. Non possunt instrumenta animæ ferre familiaritatem cum virtute & Deo, ceu quandam intensam vehementémque harmoniam: proinde remissa laxatáque sæpius, tanquam à summis artibus descendunt ad medias. Superest tamen magnus labor vel in medijs, considera studiosos omnes artium quas alij encyclias, alij liberales nominant: considera agricolas & qui victum quacunque ratione quæritant: hi nec interdiu nec noctu curis sunt vacui:

A διὰ μὲν δὴ ταῦτα, καὶ τὸ πάλαι λεχθὲν, ὅτι πέφυκεν ἐξ αὑτῶν φωνὴν ἀφιέναι, κἂν ἡσυχάζῃ, τὰ ὅσια καὶ ὄντως ἀγαθὰ, τὸν περὶ αὐτῶν λόγον ἐῶ. οὔτε γὰρ ἥλιος, οὔτε σελήνη χρῄζουσιν ἑρμηνέως, ὅτι τὸν σύμπαντα κόσμον ὁ μὲν ἡμέρας, ἡ δὲ νυκτὸς ἀνίσχοντες, φωτὸς ἐμπιπλᾶσιν· ἀλλ᾽ ἔστιν αὐτοῖς ἡ ἐπίλαμψις ἀμάρτυρος πίστις ὀφθαλμοῖς ὤτων ἐναργεστέρῳ κριτηρίῳ βεβαιουμένη. ὃ δὲ δοκοῦν τὸ περὶ αὐτὴν μάλιστα δυσκολίαν ἔχειν καὶ *χαλεπότητα, μετὰ παρρησίας λέξω. καὶ γὰρ τοῦτό που
B φαντασία μὲν, κατὰ τὴν πρώτην ἔντευξιν, ἀργαλέον εἶναι δοκεῖ· μελέτη δὲ, ἥδιστον καὶ ἐξ ἐπιλογισμοῦ συμφέρον. ἔστι δὲ ὁ ῥᾳστώνης ἐχθρὸς πόνος, πρῶτον καὶ μέγιστον ἀγαθὸν, προσφερόμενος τὸν ἀκήρυκτον πρὸς ἡδονὴν πόλεμον. ἀρχὴν γὰρ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, παντὸς ἀγαθοῦ καὶ ἀρετῆς πάσης ὁ θεὸς ἀνέδειξεν ἀνθρώποις πόνον, οὗ χωρὶς τῶν καλῶν παρὰ τῷ θνητῷ γένει συνιστάμενον οὐδὲν εὑρήσεις. καθάπερ γὰρ φωτὸς ἄνευ ἀμήχανον ἰδεῖν,
C μήτε χρωμάτων, μήτε ὀμμάτων ἱκανῶν ὄντων πρὸς τὴν δι᾽ ὄψεως ἀντίληψιν· δεσμὸν γὰρ ἀμφοῖν προειργάσατο τὸ φῶς ἡ φύσις, ᾧ συνάγεται καὶ ἁρμόζεται πρὸς χρῶμα ὀφθαλμός· ἐπὶ σκότους γὰρ ἡ δύναμις ἀνωφελὴς ἑκατέρου· τὸν αὐτὸν τρόπον καὶ τὸ τῆς ψυχῆς ὄμμα τῶν κατ᾽ ἀρετὴν πράξεων ὁτιοῦν ἀντιλαμβάνεσθαι ἀδυνατεῖ, μὴ προσχρησάμενον ὥσπερ φωτὶ συνεργῷ τῷ πόνῳ· μέσος γὰρ διανοίας ἱδρυνθεὶς, καὶ οὗ διάνοια
D ὀρέγεται καλοῦ, τὸ μὲν ἔνθεν, τὴν δὲ ἔνθεν ἐπισπασάμενος, ἑκατέρᾳ χειρὶ φιλίας καὶ συμφωνίας αὐτὸς ἀγαθὰ τέλεια ἐργά(ζε). ὁποῖον γὰρ ἂν ἐθέλῃς ἑλοῦ τῶν ἀγαθῶν, καὶ τοῦθ᾽ εὑρήσεις πόνῳ περιγινόμενόν τε καὶ βεβαιούμενον. εὐσέβεια δὲ καὶ ὁσιότης ἀγαθὰ, ἀλλ᾽ οὐκ ἄνευ θεραπείας θεοῦ τυχεῖν αὐτῶν δυνάμεθα· θεραπεία δὲ ταῖς ἐν πόνοις φιλοτιμίαις συνέζευκται· φρόνησις καὶ ἀνδρία καὶ δικαιοσύνη, καλαὶ πᾶσαι καὶ τέλεια ἀγαθὰ, ἀλλ᾽ οὐχ ἁπλῶς ληπταὶ, ἀγαπητὸν δὲ εἰ συνεχέσι
E ταῖς ἐπιμελείαις ἐξευμενισθήσονται· τὴν πρὸς θεὸν καὶ ἀρετὴν ἀρέσκειν, ὥσπερ τινὰ σύντονον καὶ σφοδρὰν ἁρμονίαν, οὐ δυνηθὲν τὸ πάσης ὄργανον ἐνεγκεῖν, ἀνείθη καὶ ἐχαλάσθη πολλάκις, ὡς ἀπὸ τῶν ἄκρων ἐπὶ τὰς μέσας καταβῆναι τέχνας· ἀλλ᾽ ὅμως κἂν ταῖς μέσαις πολὺς ὁ κάματος. ἴδε τοὺς τῶν ἐγκυκλίων καὶ τῶν λεγομένων προπαιδευμάτων ἀσκητὰς ἅπαντας· ἴδε τοὺς γεηπόνους, καὶ ὅσοι τὸν βίον ἔκ τινων ἐπιτηδευμάτων πορίζουσιν· οὗτοι τῶν φροντίδων οὐ μεθ᾽ ἡμέραν,

* χαλεπότητα ἔδει ὑποστιλαμβάνειν, μετ.

οὐ νύκτωρ ἀφίστανται, ἀλλ' ἀεὶ καὶ πανταχοῦ τὸ
λεγόμενον δὴ τοῦτο χερσὶ καὶ ποσὶ καὶ πάσῃ δυνά-
μει κακοπαθοῦντες οὐ παύονται, ὡς καὶ θάνατον
ἀντικαταλλάττεσθαι πολλάκις. ἀλλ' ὥσπερ τοῖς
ψυχὴν τὴν ἑαυτῶν ἵλεων σπουδάζουσι λαβεῖν,
θεραπευτέον ἐξ ἀνάγκης τὰς τῆς ψυχῆς ἀρετάς,
οὕτω καὶ τοῖς ἵλεων τὸ σῶμα ἔχειν προαιρουμένοις,
θεραπευτέον ὑγείαν καὶ τὰς συγγενεῖς αὐτῇ δυνά-
μεις, ἃς δὴ τὰ θεραπεύουσι μετ' ἀνηνύτων καὶ ἀ-
παύστων πόνων, οἷς φροντὶς εἰσέρχεται τῶν ἐν
αὐτοῖς δυνάμεων ἐξ ὧν συνεκράθησαν. πάντα
οὖν ὁρᾷς τὰ ἀγαθὰ ἐκ πόνου καθάπερ ἐκ μιᾶς
ῥίζης ἐκπεφυκότα καὶ βλαστάνοντα, ὃν μή ποτε
ὑπομείνῃς μεθίεσθαι. λήσῃ γὰρ ἅμ' αὐτῷ καὶ σω-
ρὸν ἀθρόον ἀγαθῶν μεθέμενος. ὁ μὲν γὰρ τοῦ σύμ-
παντος ἡγεμὼν οὐρανοῦ τε καὶ κόσμου, καὶ ἔχει καὶ
παρέχει οἷς ἐὰν ἐθέλῃ τὰ ἀγαθὰ μετὰ πάσης εὐ-
μαρείας· ἐπεὶ καὶ τὸν τοσοῦτον κόσμον ἄνευ πόνων
πάλαι μὲν εἰργάζετο, νυνὶ δὲ καὶ εἰσαεὶ συνέ-
χων οὐδέποτε λήγει· θεῷ γὰρ τὸ ἀκάματον ἁρμοδιώ-
τατον· θνητῷ δὲ οὐδενὶ κτῆσιν ἀγαθῶν δίχα πό-
νων ἡ φύσις δεδώρηται· ἵνα καὶ ταύτῃ τὸ μακά-
ριον ἐν τοῖς οὖσι μόνος ὁ θεὸς εὐδαιμονίζηται. δοκεῖ
γάρ μοι πόνος τὴν αὐτὴν προσφέρεσθαι δύνα-
μιν τροφῇ. καθάπερ οὖν αὕτη τὸ ζῆν ἐξήρτηκεν
ἑαυτῆς, συναρτήσασα καὶ τὰ ἐν τῷ ζῆν ἅπαν-
τα ἔργα καὶ πάθη, οὕτω καὶ πόνος ἐκκεκρέμακεν
ἑαυτοῦ τὰ ἀγαθά. ὥσπερ οὖν τοῖς γλιχομένοις τοῦ
ζῆν τροφῆς οὐκ ἀμελητέον, οὕτω τοῖς ἀγαθῶν
κτήσεως ἐφιεμένοις πόνου προνοητέον· ὃ γὰρ πρὸς
τὸ ζῆν τροφή, τοῦτο πρὸς τὸ καλὸν ὁ πόνος. ἑνὸς
οὖν ὄντος αὐτοῦ, μηδέποτε ὀλιγωρήσῃς, ἵνα πάν-
τα τὰ ἀγαθὰ ἀθρόα καρπώσῃ. οὕτω καὶ γενέσει
δυνηθήσῃ νεώτερος ὤν, πρεσβύτερος * νομισθήσῃ, καὶ τῶν
πρεσβείων ἀξιωθήσῃ· ἐὰν δὲ βελτιούμενος ἀεὶ
πρὸς τὸ τέλος ἀφίκῃ, οὐ μόνον σοὶ τὰ πρεσβεῖα ὁ
πατήρ, ἀλλὰ καὶ τὰ πατρῷα χαριεῖται πάντα,
καθάπερ καὶ τῷ τὰς ἕδρας τῶν παθῶν καὶ βάσεις πτερ-
νίζοντι Ἰακώβ, ὃς ὡμολόγησεν ὃ ἔπαθεν εἰπών, ὅτι
ἠλέησέ με ὁ θεός, καὶ ἔστι μοι πάντα, δογματικῶς
ἅμα καὶ παιδευτικῶς. ἐν γὰρ τῷ τοῦ θεοῦ ἐλέῳ τὰ πάν-
τα ὁρμεῖ. μεμάθηκε δὲ ταῦτα παρὰ τοῦ πάππου τῆς
ἑαυτοῦ παιδείας Ἀβραάμ, ὃς τῷ πανσόφῳ Ἰσαὰκ
δίδωσι τὰ ὑπάρχοντα πάντα, οὐδὲν ὑπολει-
πόμενος τῶν ὑπαρχόντων τοῖς νόθοις καὶ πλα-
γίοις τῶν παλλακῶν λογισμοῖς· ἀλλὰ μικρὰ χα-
ρίζεται καὶ μικροῖς ἐκείνοις. τὰ μὲν γὰρ ὑπαρκτὰ αἱ
τέλειοι ἀρεταί, μόνου τοῦ τελείου καὶ γνησίου κτήματα·

A sed semper & vbique, vt vulgus loqui-
tur, manibus pedibúsque & omnibus
viribus laborare non desinunt, adeo vt
immoriantur plerunque suis negotijs.
Sed sicut qui animam conantur red-
dere sibi propitiam, necessariò colunt
virtutes animæ: ita qui cupiunt frui
prospera valetudine corporis, curare
debent sanitatem & id genus vires eius
cæteras: quas certe curant irrequie-
tis laboribus, qui solliciti sunt de po-
tentijs ex quibus contemperati sunt.
B Vides igitur omnia bona è labore tan-
quam radice pullulare, quæ neglige-
re haud vnquam sustineas: alioqui
non senties te cum eo cumulum bo-
norum negligere. Nam rector cæli
mundíque & habet & præbet bona
quibuscunque vult magna cum facili-
tate: & qui tantam mundi molem
sine labore iam olim absoluit, ne nunc
quidem in eodem statu eam continere
desinit: quippe cui non defatigari ma-
xime conuenit. Mortali autem nemi-
C ni adipisci bona sine labore datum est:
vt sic quoque eminentem Dei felici-
tatem prædicemus. equidem existimo
laboris cibique eandem esse vim. Nam
sicut à cibo tota vita pendet vnà cum suis
actionibus & affectionibus, ita etiam à
labore pendet quicquid in rebus bonum
est. ergo quemadmodum qui vitam sibi
prorogare cupiunt, alimenta non negli-
gunt: ita quotquot quæ bona sunt con-
cupiscunt, laborem magnifaciant. sicut
enim cibus se habet ad vitam, sic labor
D ad honestatem: qui cum sit vnicus, caue
illum posthabeas, vt per eum potiaris bo-
nis simul omnibus. atque ita quamuis
ætate iunior, habeberis grandior, &
iure primogenitorum dignior. quod si
vsque proficiens ad finem perueneris,
non solum quæ primogenito debentur,
sed vniuersam suam substantiam pater
tibi largietur, sicut Iacob illi supplan-
tanti bases affectuum, qui accepta bene-
ficia confitendo dicit: Misertus est mei
Deus, & adsunt mihi omnia, dogma
E nobis erudiẽdis proferens. omnia enim
in Dei miseratione sita sunt. id quod
ex institutione Abraham aui sui didi-
cit, qui sapientissimo Isaac dedit sua
bona omnia, nihil ex his reliquum fa-
ciens spurijs nec recta stirpe prognatis,
sed ex vna alteráque concubina cogita-
tionibus: quibus vt paruis parua dona
dat. nam bona eius, scilicet perfectæ vir-
tutes, solius legitimi perfectíque filij
possessio sunt. medij vero generis officia

vel imperfectis conueniunt, qui vsque ad liberales disciplinas progressi sunt, quæ ad Agar & Cheturam pertinent: quarum illa inquilinam, hæc suffitum significat. nam qui soli encyclopædiæ dat operam, inquilinus non ciuis est sapientiæ, tanquam suaueolentiam quandam aspirans animæ per hanc contemplationem. atqui cibis non odoribus ei ad sanitatem opus est. odoratus vero minister gustui, tanquam rei prægustator, à natura datus dicitur rerum architecta omnium. atqui præpositorum maior quam subiectorum semper ratio habenda est, & indigenarum scientiarum potius quam inquilinarum. His auditis intellectus auersatus voluptatem adiungit se virtuti, vbi pulchritudinem eius non fucatam, sed genuinam & quæ sanctitatem deceat animaduertit: ac tum demum fit pastor pecorum, videlicet brutarum virium animæ, atque etiam auriga gubernatórque, non sinens eas ferri errabundas nullo ordine, carentes duce ac præposito: ne quasi in orbitate quadam destitutæ tutoribus & auxilio priuatæ, non aberrent solum, sed & pereant. ergo exercitator ille sui, conueniens virtuti opus aggressus est, cum sustinuit pascere Labanis pecora, intenti in colores formásque & inanima vtique corpora, ac ne hæc quidem omnia, sed residua. id autem quid est? duplex brutorum genus est. alterum destitutum ratione iudicandi, quales dementes vocamus. alterum in totum ratione priuatum: quales brutæ animantes sunt. illos igitur irrationales impetus, vires, inquam, rationis expertes, filij Labanis iter trium dierum secedendo curant: quæ figura est virtutis per omnem vitam derelictæ. Tripartitum enim tempus est, diuisum in præteritum, præsens atque futurum. Alio modo dicuntur irrationalia, quæ non recta modo, sed omni prorsus ratione carent, quo in numero sunt pecora: quæ exercitator ille cura sua dignabitur, sic cogitans, ea peccare non malicioso animo, sed per ignorantiam ex praua institutione contractam. Ergo ignorantia leue malum quod inuitis obrepit, facile habet remedium, disciplinam videlicet. Calliditas autem morbus animæ voluntarius, ægre vel potius nunquam sanatur & repellitur. itaque à sapientissimo patre docti filij, etiamsi in dissipatorem bonorum Pharaonem inciderint,

A τὰ δὲ μέσα τῶν καθηκόντων ἐφαρμόττει καὶ τοῖς ἀτελέσι τοῖς μέχρι τῶν ἐγκυκλίων προπαιδευμάτων ἐλθοῦσιν, ὧν Ἄγαρ καὶ Χεττούρα μετέχουσιν, ἡ μὲν Ἄγαρ παροίκησις, ἡ δὲ Χεττούρα θυμιῶσα. ὁ γὰρ τοῖς ἐγκυκλίοις μόνοις ἐπιμένων, παροικεῖ σοφίᾳ, οὐ κατοικεῖ, καθάπερ τινὰ ὀδμὴν ἡδεῖαν ἐκ τῆς περὶ τὴν θεωρίαν γλαφυρότητος ἐπιπέμπων τῇ ψυχῇ. ἐδωδῆς δ' οὗτος, οὐκ ὀσμῆς δεῖται πρὸς τὸ ὑγιαίνειν· ὄσφρησιν δὲ ὑπηρέτιν γεύσεως, καθάπερ βασιλίδος προγευστρίδα B ὑπήκοον λέγεται ἡ φύσις εὐμηχάνως δημιουργῆσαι. τὰς δ' ἡγεμονίδας πρὸ τῶν ἀρχομένων ἀεὶ θεραπευτέον, καὶ τὰς αὐτόχθονας πρὸ τῶν παροίκων ἐπιστήμας. ταῦτα ἀκούσας ὁ νοῦς, ἀποστρέφεται μὲν ἡδονήν, ἁρμόζεται δὲ ἀρετῇ, τὸ κάλλος ἄπλαστον καὶ γνήσιον καὶ ἱεροπρεπέστατον αὐτῆς κατανοήσας· ὅτε καὶ γίνεται ποιμὴν προβάτων, τῶν κατὰ ψυχὴν ἀλόγων δυνάμεων, ἡνίοχός τε καὶ κυβερνήτης, οὐκ ἐῶν αὐτὰς ἀτάκτως φέρεσθαι καὶ πλημμελῶς, δίχα ἐπιστάτου C καὶ ἡγεμόνος, ἵνα μὴ καθάπερ τινὰ ἀπροστασίαν καὶ ἀνεπιτρόπευτον ὀρφανίαν ὑποστάντες ἐρημίᾳ συμμάχων οἱ ἀφηνιασταὶ τρόποι, προσαπόλωνται. οἰκειότατον γοῦν ὁ ἀσκητὴς ὑπολαβὼν ἀρετῇ τὸ ἔργον, ὑπομένει ποιμαίνειν τὰ πρόβατα Λάβαν, τοῖς χρώμασι καὶ σχήμασι καὶ συνόλως ἀψύχοις σώμασιν ἐγκειμένου, καὶ οὐχ ἅπαντα, ἀλλὰ τὰ ὑπολειφθέντα. τί δὲ τοῦτ' ἐστί; διττὸν εἶδος πέφυκε τὸ ἄλογον, τὸ μὲν παρὰ τὸν αἱροῦντα λόγον, D ὃν ἄφρονα φασί τινες· τὸ δὲ καὶ κατ' ἐκτομὴν λόγου, ὡς τῶν ζώων τὰ μὴ λογικά. (ὡς ἄλογον) τὰς μὲν οὖν ἀλόγους αὐτοῦ φοράς, λέγω δὲ τὰς παρὰ τὸν αἱροῦντα λόγον δυνάμεις, οἱ υἱοὶ Λάβαν τελείαν ἡμερῶν ὁδὸν ἀποστάντες, τημελοῦσι, συμβολικῶς ἅπαντα χωρισθέντες τὸν αἰῶνα τοῦ σπουδαίου. τριμερὴς γὰρ ὁ χρόνος, ἐκ παρεληλυθότος καὶ ἐνεστῶτος καὶ μέλλοντος. τὰς δὲ καθ' ἑτέραν ἐκδοχὴν ἀλόγους, οὐχ αἳ παρὰ τὸν ὀρθὸν λόγον εἰσίν, ἀλλ' ὅσαι μὴ λογικαί, ὧν καὶ τὰ ἄλογα ζῷα κοινωνεῖ, ὁ ἀσκητὴς ἐπιμελείας E ἀξιώσει, τὰ σφάλματα αὐταῖς οὐκ ἀπὸ κακίας πανούργου μᾶλλον, ἢ ἀπὸ ἀμαθίας ἀναγώγου προσγεγενῆσθαι νομίζων. ἀμαθία μὲν οὖν ἀκούσιον ὂν καὶ κοῦφον πάθος, θεραπείαν οὐ δύσεργον ἔχει διδασκαλίαν· πανουργία δ' ἑκούσιον ψυχῆς ἀρρώστημα, χαλεπὴν δὴ καὶ παντελῶς ἀνίατον ἐργάζεται τὴν ἀποτροπήν. ἅτε οὖν παρὰ πανσόφῳ πατρὶ παιδευθέντες οἱ τοῦδε υἱοί, κἂν εἰς τὸν αἰγύπτιον φιλοπαθῆ σῶμα καταβῶσι, καὶ τῷ διασκεδαστῇ τῶν καλῶν ἐντύχωσι (διασκεδαστῇ)

A Φαραώ, ὃς βασιλεὺς εἶναι δοκεῖ τοῦ συγκριτικοῦ ζώου, μηδὲν καταπλαγέντες τὴν ἄφθονον παρασκευήν, ὁμολογοῦσιν ὅτι ποιμένες προβάτων εἰσίν, οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν. καίτοιγε οὐκ ἄν τις ἐπ' ἀρχῇ καὶ δυναστείᾳ τοσοῦτον αὔχημα αὐχήσαι ποτέ, ὅσον ἐπὶ τῷ ποιμένες εἶναι οἱ ἄνδρες οὗτοι. τοῖς μέν τοι δυναμένοις λογίζεσθαι, σεμνότερον βασιλείας ἐστὶ τὸ ἔργον, ἰσχύειν καθάπερ πόλεως ἢ χώρας, σώματός τε καὶ αἰσθήσεων καὶ γαστρός, καὶ ἡδονῶν τῶν μετὰ γαστέρα, καὶ παθῶν τῶν B ἄλλων, καὶ γλώττης, καὶ συνόλως ἁπάντος τοῦ συγκρίματος, εὐτόνως καὶ σφόδρα ἐρρωμένως, καὶ πάλιν ἐπιεικῶς* ἀφηγήσασθαι. πῇ μὲν γὰρ ὑπανιέναι δεῖ καθάπερ ἡνίοχον τοῖς ὑπεζευγμένοις τὰς ἡνίας· πῇ δὲ ἀνασπᾶν καὶ ἀναχαιτίζειν ὁπότε πλείων ἢ πρὸς τὸ δέον ἡ ἐκτὸς ὁρμὴ καὶ φορὰ σὺν ἀφηνιασμῷ γίγνοιτο. ἄγαμαι δὲ καὶ τὸν νομοφύλακα Μωσέως, ὃς μέγα καὶ λαμπρὸν ἡγούμενος τὸ ποιμαίνειν, προσένειμεν ἑαυτῷ τὸ ἔργον. τῶν γὰρ C περὶ τὸν Ἰοθὸρ ἐπιστατεῖ καὶ ἀφηγεῖται δογμάτων, ἄγων αὐτὰ ἀπὸ τῶν ὀχλικῶν τῆς πολιτείας σπουδασμάτων εἰς* ἐρημίαν τοῦ μὴ ἀδικεῖν. ἦγε γὰρ τὰ πρόβατα ὑπὸ τὴν ἔρημον· παρ' ὃ καὶ ἀκολουθεῖ βδέλυγμα αἰγυπτίων εἶναι πάντα προβάτων ποιμένα. τὸν γὰρ κυβερνήτην καὶ ὑφηγητὴν τῶν καλῶν ὀρθὸν λόγον βδελύττεται πᾶς φιλοπαθής, καθάπερ οἱ τῶν παίδων ἀφρονέστατοι τοὺς διδασκάλους καὶ παιδαγωγούς, καὶ πάντα νουθετητὴν καὶ σωφρονιστὴν* ἀγαθόν. Μωσῆς δὲ τὰ βδελύγματα Αἰγύπτου θύσειν τῷ D θεῷ φησὶ τὰς ἀρετὰς ἄμωμα καὶ πρεπωδέστατα ἱερεῖα, ἃ βδελύσσεται πᾶς ἄφρων· ὥστ' εἰκότως ὁ τὰ ἄριστα ἐπὶ τὸν θεὸν ἀναφέρων Ἄβελ ποιμὴν κέκληται· ὁ δὲ ἐφ' ἑαυτὸν καὶ τὸν ἴδιον νοῦν, γῆς ἐργάτης ὁ Καΐν. τί δέ ἐστι τὸ τὴν γῆν ἐργάζεσθαι, διὰ τῶν προτέρων βίβλων ἐδηλώσαμεν. Καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Καΐν ἀπὸ τοῦ καρποῦ τῆς γῆς δῶρον τῷ κυρίῳ. δύο ἐγκλήματα τοῦ φιλαύτου· ἓν μὲν τὸ μεθ' ἡμέρας, ἀλλ' οὐκ εὐθὺς εὐχαριστῆσαι τῷ θεῷ. ἕτερον δέ, τὸ ἀπὸ τῶν καρ- E πῶν, ἀλλὰ μὴ ἀπὸ τῶν πρώτων καρπῶν ὧν σύνθετον ὄνομα πρωτογεννήματα. ἑκατέρου δὲ τὴν αἰτίαν ἐρευνήσωμεν, καὶ πρότερόν γε τὴν προτέραν τῇ τάξει· φθάνοντας καὶ προεκτρέχοντας δεῖ πράττειν τὰ καλὰ τῶν ἔργων, βραδυτῆτα καὶ μέλλησιν ἐκποδὼν ποιουμένους. ἔργον δὲ ἄριστον ἡ πρὸς τὸ πρῶτον καλὸν ἀνυπέρθετος ἀρέσκεια. διὸ καὶ προστέτακται, Ἐὰν εὔξῃ εὐχήν, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν.

[illegible]

[illegible]

[illegible]

qui videtur rex animalis noscentis discrimina, nihil perculsi apparatu regio, fatentur se pastores pecorum: nec tantum se, verùm patres quoque suos. atqui alius vix principatum potentiámque ita iactaret, vt hi viri vitam pastoriciam. Si quis tamen rem pro dignitate valeat expendere, maius regno est hoc negotium, posse tanquam ciuitatem aut regionem, corpus sensúsque & ventris ventrique subiectarum partium voluptates, cæterósque affectus, & linguam aliáque ex quibus constamus, nunc moderari constanter atque fortiter, nunc æquanimiter in viam ducere. oportet enim sicut aurigam subiugalibus nunc remittere habenas, nunc in terga retrahere, quoties plus satis efferuntur impetu & rectorem parum audiunt. proinde admiror Mosem legiferum, qui præclaram existimans artem pastorum, ipse tractauit hoc negotium. Præfuit enim Iothoris gregibus dicam an dogmatibus, abducens ea à vulgaribus reipublicæ studijs in solitudinem in qua nulla fit iniuria. ducebat enim pecora in desertum. vnde sequitur vt omnis pastor pecorum abominatio sit Ægyptijs. Rectam enim rationem gubernare solitam ac præcipere odit omnis amator affectuum: sicut deterrimus quisque puer odit præceptores ac pædadogos, & omnem bonum monitorem castigatorémque. At Moses ait se abominationes Ægypti sacrificaturum Deo, scilicet virtutes immaculatas decentissimásque hostias, quas abominatur omnis insipiens. Itaque merito Abel qui quicquid optimum est refert ad Deum, pastor vocatur: Cain autem qui ad seipsum & intellectum proprium, terræ operarius. Quid vero sit terram operari, in præcedentibus libris declarauimus. Et factum est post aliquot dies, obtulit Cain de fructu terræ donum Domino.] Duplex seipsum amantis crimen. Vnum quod post aliquot dies, non continuo gratias egit Deo: alterum quod de fructu obtulit, non de primo fructu, quas vocamus primitias deriuatiuo nomine. vtriusque rei causam scrutemur, prius eam quæ præcedit ordine. oportet eos qui boni aliquid faciunt prouolare ante alios, & incunctanter amoliri impedimenta omnia. Est autem optimum opus summi illius primariique boni placatio sine cessatione dilationéque. ideo præceptum extat: Si voueris votum, non cunctaberis id reddere.

A Votum igitur est petitio boni alicuius à Deo: mandatum autem, vt voti compos coronam offerat Deo, non sibi, idque sine mora si fieri potest. in hac re qui peccant, alij per beneficiorum obliuionem gratiarum actione se priuant qua nihil pretiosius. alij vero per nimiam arrogantiam seipsos autores bonorum suorum existimant, non illum verum autorem rerum omnium. Tertij leuius peccant quàm proximi, grauius tamen quàm primi. hi sua bona referunt quidem ad autorem Deum, sed B aiunt se suo merito ea consequi. esse enim se prudentes, fortes, temperantes, iustos, & ideo dignos censendos diuina gratia. Horum singulis resistit sacra scriptura, ac primò illum qui abolita memoria indulget obliuioni his verbis alloquitur: Heus tu, caue ne edendo saturatus, & extructas pulchras ædes inhabitans, auctúsque gregibus pecorum & armentis boum, argentóque & auro ac cæteris bonis tibi affluentibus, exal- C teris corde obliuiscarísque Domini Dei tui. Quando igitur non obliuisceris tu? Quando non obliuisceris tui ipsius. memor enim propriæ conditionis quàm sis prorsus nihili, memineris & immensæ Dei præcellentiæ qua vniuersa supereminet. Illum vero qui seipsum causam suorum bonorum putat, sic castigat scriptura: Caue dicas, inquit, robur meum, aut fortitudo manus meæ parauit mihi hanc potentiam: sed memor memineris Domini Dei tui, qui D dedit tibi vires ad parandam potentiam. at ille seipsum dignum credens accepto beneficio, patiatur se admoneri hoc oraculo: Non propter iustitiam tuam, nec propter sanctitatem cordis tui, intras in terram hanc vt eam sorte possideas: sed primùm propter iniquitatem harum gentium inferente ijs Deo perniciem: deinde vt confirmetur testamentum illud quod iurauit nostris patribus. testamentum autem Dei figurate dicuntur eius gratiæ. nec est fas vt ille E quicquam imperfectum largiatur. itaque integra absolutáque sunt dona Ingeniti omnia. integra autem in rebus virtus est, & huius actiones. ergo si de medio sustulerimus obliuionem, ingratitudinem, amorem sui, & horum matrem arrogantiam, non amplius cunctando amittemus germanum cultum Dei, sed præcurremus creaturas cæteras, & priusquam salutemus vllam rem mortalem, compellabimus Dominum, parati eius

εὐχὴ μὲν οὖν ἐστιν αἴτησις ἀγαθῶν παρὰ τοῦ θεοῦ· ἡ δὲ * πρόσταξις, ἐπιτυχόντα τῶν ἐλπισθέντων στεφανῶσαι θεόν, μὴ ἑαυτόν, καὶ εἰ οἷόν τε, ἀχρόνως καὶ ἀμελλητὶ στεφανῶσαι. τῶν δὲ μὴ κατορθούντων ἐν τούτῳ, οἱ μὲν διὰ λήθην ὧν εὖ πεπόνθασι, μεγάλου καλοῦ κτήματος εὐχαριστίας ἐσφάλησαν· οἱ δὲ ὑπὸ σφοδρᾶς οἰήσεως ἑαυτοὺς τῶν συμβεβηκότων ἀγαθῶν αἰτίους ἐνόμισαν, ἀλλ᾽ οὐ τὸν ὄντως αἴτιον. τρίτοι δὲ εἰσιν, οἳ τούτων μὲν κουφότερον ἁμάρτημα, τῶν δὲ προτέρων βαρύτερον δρῶσιν. ἀναγράφοντες γὰρ αἴτιον τῶν καλῶν τὸν ἡγεμόνα, φασὶν εἰκότως τυχεῖν αὐτῶν· εἶναι γὰρ φρόνιμοι καὶ ἀνδρεῖοι, καὶ σώφρονες καὶ δίκαιοι, ὥστε ἄξιοι διὰ ταῦτα καὶ παρὰ θεῷ χαρίτων νομισθῆναι. πρὸς ἕκαστον οὖν ὁ ἱερὸς λόγος ἀπαντήσεις. φησὶ τῷ * πρότῳ μνήμην μὲν ἀνῃρηκότι, λήθην δὲ ζωπυροῦντι, Μὴ φαγὼν ἐν οὗτος καὶ ἐμπλησθείς, καὶ οἰκίας καλὰς οἰκοδομήσας καὶ κατοικήσας, καὶ τῶν προβάτων σου καὶ βοῶν αὐξηθέντων, καὶ ἀργυρίου καὶ χρυσίου, καὶ πάντων ὅσα σοί ἐστι πληθυνθέντων, ὑψωθῇς τῇ καρδίᾳ, καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου. πότε οὖν οὐκ ἐπιλήσῃ σύ; ὅταν μὴ ἐπιλάθῃ σεαυτοῦ. μεμνημένος γὰρ τῆς ἰδίας παρὰ πάντα οὐδενείας, μεμνήσῃ καὶ τῆς τοῦ θεοῦ παρὰ πάντα ὑπερβολῆς. τὸν δὲ ἑαυτὸν νομίζοντα τῶν συμβαινόντων ἀγαθῶν αἴτιον σωφρονίζει τὸν τρόπον τοῦτον· Μὴ εἴπῃς, φησίν, ἡ ἰσχύς μου ἢ τὸ κράτος τῆς χειρός μου ἐποίησέ μοι πᾶσαν τὴν δύναμιν ταύτην, ἀλλὰ μνείᾳ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου τοῦ διδόντος σοὶ ἰσχὺν ποιῆσαι δύναμιν. ὁ δὲ ἀξιόχρεων ἑαυτὸν ὑπολαμβάνων κτήσεως καὶ ἀπολαύσεως ἀγαθῶν, χρησμῷ μεταδιδαχθήτω λέγοντι, Οὐχὶ διὰ τὴν δικαιοσύνην σου, οὐδὲ τὴν ὁσιότητα τῆς καρδίας σου, εἰσέρχῃ εἰς τὴν γῆν κληρονομῆσαι αὐτήν· ἀλλὰ πρῶτον μὲν διὰ τὴν ἀνομίαν τῶν ἐθνῶν τούτων ὄλεθρον κακίας ἐπάγοντος τοῦ θεοῦ· ἔπειτα ἵνα στήσῃ τὴν διαθήκην ἣν ὤμοσε τοῖς πατράσιν ἡμῶν. διαθήκη δὲ ἐστι θεοῦ συμβολικῶς αἱ χάριτες αὐτοῦ. θέμις δὲ οὐδὲν ἀτελὲς αὐτῷ χαρίζεσθαι· ὥστε ὁλόκληροι καὶ παντελεῖς αἱ τοῦ ἀγενήτου δωρεαὶ πᾶσαι· ὁλόκληρον δὲ ἐν τοῖς οὖσιν ἀρετή, καὶ ἡ κατ᾽ αὐτὴν πρᾶξις. ἐὰν οὖν λήθην καὶ ἀχαριστίαν καὶ φιλαυτίαν καὶ τὴν γεννητικὴν τούτων κακίαν ἀνέλωμεν οἴησιν, οὐκέτι διαμέλλοντες ὑστεροῦμεν γνησίας θεραπείας, ἀλλ᾽ ὑπεραίροντες καὶ ὑπερπηδῶντες τὰ ἐν μέσῳ, πρὶν ἀσπάσασθαί τι τῶν θνητῶν, ἐντευξόμεθα τῷ δεσπότῃ, προεσκευακότες ἑαυτοὺς ἑτοίμους

* πρόταξις

* πρώτῳ

τὰ κελευόμενα ποιεῖν. καὶ γὰρ Ἀβραὰμ μετὰ σπουδῆς καὶ τάχους καὶ προθυμίας πάσης ἐπειχθεὶς, παρακελεύεται τῇ ἀρετῇ Σάρρᾳ σπεῦσαι καὶ φυρᾶσαι τρία μέτρα σεμιδάλεως, καὶ ποιῆσαι ἐγκρυφίας, ἡνίκα ὁ θεὸς δορυφορούμενος ὑπὸ δυεῖν τῶν ἀνωτάτω δυνάμεων, ἀρχῆς τε αὖ καὶ ἀγαθότητος, εἷς ὢν ὁ μέσος τριττὰς φαντασίας ἐνειργάζετο τῇ ὁρατικῇ ψυχῇ, ὧν ἑκάστη μεμέτρηται μὲν οὐδαμῶς· ἀπερίγραφοι γὰρ αἱ δυνάμεις αὐτοῦ, μεμέτρηκε δὲ τὰ ὅλα. ἡ μὲν γὰρ ἀγαθότης αὐτοῦ μέτρον ἀγαθῶν ἐστιν, ἡ δὲ ἐξουσία μέτρον ὑπηκόων. ὁ δὲ ἡγεμὼν αὐτὸς ἁπάντων καὶ σωμάτων καὶ ἀσωμάτων· διὸ καὶ αἱ δυνάμεις κανόνων καὶ παραγγελμάτων λαβοῦσαι λόγον, τὰ μὲν ταύτας ἐσταθμήσαντο. τὰ μὲν δὴ τρία μέτρα ταῦτα καλὸν ἐν ψυχῇ ὥσπερ φυραθῆναί τε καὶ συγκερασθῆναι, ἵνα πεισθεῖσα ὅτι ἀνωτάτω θεὸς, ὃς ὑπερέχει τὰς δυνάμεις αὐτοῦ, καὶ χωρὶς αὐτῶν ὁρώμενος καὶ ἐν ταύταις ἐμφαινόμενος, δέξηται χαρακτῆρας ἐξουσίας τε καὶ εὐεργεσίας αὐτοῦ, καὶ τὴν τελείαν μύστις γενομένη τελετὴν, μηδενὶ προχείρως ἐκλαλῇ τὰ θεῖα μυστήρια, ταμιευομένη δὲ αὐτὰ καὶ ἐχεμυθοῦσα ἐν ἀπορρήτῳ φυλάττῃ. γέγραπται γὰρ ἐγκρυφίας ποιεῖν, ὅτι κεκρύφθαι δεῖ τὸν ἱερὸν περὶ τοῦ ἀγενήτου καὶ τῶν δυνάμεων αὐτοῦ μύστην λόγον· ἐπεὶ θείων παρακαταθήκην ὀργίων οὐ παντός ἐστι φυλάξαι. ὁ γὰρ τῆς ἀκρατοῦς ψυχῆς νᾶμα ἔξω ῥέον διά τε στόματός τε καὶ γλώττης, πάσας ἀκοὰς ἐπιπλήσι· ὧν αἱ μὲν εὐρυχώρεις δεξαμενὰς ἔχουσαι, τὸ ἐπιχεόμενον φυλάττουσιν ἀσφαλεία· αἱ δὲ διὰ στενότητα πόρων, ἀδυνατοῦσιν ἀρδεύεσθαι. τὸ δὲ ὑπερβλύζον ἀκρατῶς ἐκχεόμενον, σκίδναται πάντη ὡς ἐπιπολάζειν καὶ ἐπιτρέχεσθαι τὰ κεκρυμμένα, καὶ φορυτοῦ τρόπον εἰκαίου, τὰ πάσης ἀξίας σπουδῆς μετὰ συρμοῦ καταφέρεσθαι. παρὸ μοι δοκοῦσιν ὀρθῶς βεβουλεῦσθαι οἱ πρὸ τῶν μεγάλων τούτων τὰ μικρὰ μυστήρια μυοῦντες. Ἔπεψαν γὰρ τὸ σταῖς αὐτῶν ὃ ἐξενήνεγκαν ἀπ' Αἰγύπτου, ἐγκρυφίας ἀζύμους, τουτέστι τὸ ἀπηνὲς καὶ ὠμὸν πάθος κατειργάσαντο, ὥσπερ ἐφθῷ λόγῳ πεπαίνοντες, καὶ τὸν τρόπον τῆς πεπάνσεως καὶ βελτιώσεως ἐκ τινὸς θείας καταμονῆς γενόμενον, οὐκ ἐξελάλησαν, ἀλλ' ἐν ἀποκρύφοις αὐτὸν ἐθησαύρισαν, οὐκ ἐπαρθέντες τῇ τελετῇ, συνειδόντες δὲ καὶ ταπεινωθέντες τὸ αὔχημα. πρὸς δὲ τὸ εὐχαριστεῖν καὶ τιμᾶν τὸν παντοκράτορα εὔζωνοι καὶ εὐτρεπεῖς γινώμεθα, μέλλησιν παραιτούμενοι. καὶ γὰρ τὸ πάσχα τοῖς ἐκ παθῶν

ἀπερίγραφος γὰρ ὁ θεὸς, ἀπερίγραφοι δὲ αἱ

ἀγαθῶν

μέτρον

πεισθεῖσα

A imperata exequi. nam & Abraham properans celeriter & cum magna alacritate accurrens iubet virtutem Sarram festinare & fermentare tres mensuras similæ, facereque subcinericios, quādo Deus ipse comitatus duabus supremis potentijs, principatu bonitatéque, ipse vnus ille medius triplicem imaginationē operabatur in visiua anima, quarum singulas metiri haud licet (incircūscriptus enim Deus & incircumscriptæ eius potentiæ) sed ipsæ metiuntur omnia. bonitas eius
B mensura bonorum est: potentia, mensura subditorum. ipse vero imperator mensura est omnium rerum corporearum incorporearúmque. ideo hæ potentiæ, regulæ præceptique rationem obtinentes erga cæteras, metiuntur & appendunt reliqua omnia. has tres mensuras bonū est fermentari quodammodo commisceríque in animā, vt persuasa esse summum Deum, qui super potentias suas eminet, & vel sine illis vel in illis apparet, reci-
C piat characteres potentiæ eius beneficentiæque, & initietur perfectissimis mysterijs, quæ vt diuina nemini proloquatur facile: sed seruans ea recondita, & tenens silentium, fruatur eis in abscondito. scriptura enim subcinericiorum quos encryphias vocant meminit, quia cælari debet sacer ac mysticus sermo de Ingenito eiúsque potentijs: quandoquidem diuinorum orgiorum depositum seruare non cuiusuis est. nam incontinentis animæ fluenta per os linguāque emanantia, inundant aures omniū.
D harum quæ capaciores lacunas habent, libenter seruant quod infunditur. aliæ vero propter angustias foraminum rigari nequeunt. quod autem superebullit effusum in parum capacia, passim diffluit: vt quæ prius cælabantur fluitent in superficie, & in modum vilis cœni res pretiosissimæ pessum abeant. quamobrem placet mihi consilium eorum qui ante magna mysteria initiant minoribus. Coxerunt enim pastam suam quā extulerāt ex Ægypto, vt fierent azymi subcineri-
E cij, id est ferū crudūque affectū subegerunt, tanquā cibum coquendo maturandóque. modū autem coquendi & mutandi in melius, qui per diuinā quandā moram fit, non prodiderunt sermone, sed in occultis suis reposuerunt, non elati initiatione, sed sine iactatione submittētes se humiliātésque. Accingamus igitur & expediamus nos ad agendas omnipotēti gratias, reddendúmque illi sine mora honorem debitum. præceptū est enim tran-

A scentibus ab affectu ad virtutum meditationem, vt accincti lumbos pascha celebrent, expediti ad ministrandum: & induti calceaméta, quibus carneam molem ratione contineant, stentque recti firmatis pedibus: & disciplinam habentes virgam in manibus, ad dirigenda citra errorem omnia vitæ negotia: postremo iubentur properando cibum edere, quia pascha, creaturæ mortalis transitus ad Deum dicitur: & valde conuenienter. nullum enim bonum est, quod non Dei B sit & diuinum. id igitur celeriter quære ô anima, quemadmodum ille meditator Iacob: qui rogatus à patre, Quid hoc est quod cito inuenisti fili? quasi dogma respondet: Quod dedit Dominus Deus coram me: quippe qui longa experientia doctus norat, quod quicquid innatum est animæ, longo vsu confirmatur: sicut fit cum artes earúmque præcepta tradũtur discentibus. Non possunt enim præceptores, quemadmodum qui in vas infundunt, implere mentem eorum qui C introducuntur. Sed quando fons sapientiæ Deus scientias tradit humano generi, sine mora hoc facit & ex tempore. tum vero homines discipuli facti eius qui solus est sapiens, summa celeritate quod quærebant inueniunt. est autem præcipua virtus discipulorum, dare operam vt perfectum doctorem ipsi quoque perfecte imitentur. atqui præceptor ille omni tempore celerior est, quia ne tum quidem ab eo auditus est cum creabat omnia, & ipsum etiam simul cum mun- D do extitit. adhuc enim loquente Deo facta sunt omnia, nec intercessit vlla mora temporis. imò si licet verius dogma attingere, dictum & factum idem est. verbo certe etiam apud mortales nihil est mobilius: præcedentem enim mentis conceptum celeritate assequitur nominũ verborúmque volubilitas. ergo sicut riuorum perennium fluenta cursu irrequieto feruntur, sequentibus aquis præcedentes impellentibus: ita sermonis semel cœpti exundantia, mentem E omnium quæ nobis insunt mobilissimam, & volucribus naturis parem, currendo assequitur. igitur sicut ingenitus ille præuenit omnia genita: ita ingeniti sermo sermonem creaturæ præcurrit, nubila etiam præteruolans. sicut ipse libere loquitur dicens: Ecce videbis quod apprehendet te sermo meus: quasi nihil sit quod Dei sermonem possit effugere. quod si sermo præuenit, multo magis ipse qui loquitur, sicut alibi testatur, di-

A εἰς ἄσκησιν ἀρετῆς διαβᾶσιν προστέτακται ποιεῖσθαι τὰς ὀσφῦς περιεζωσμένους, ἑτοίμως πρὸς ὑπηρεσίαν ἔχοντας, καὶ τὸν σάρκινον ὄγκον τὰ ὑποδήματα λόγῳ περιειληφότας, ἀκλινῶς καὶ παγίως ἑστῶτα τοῖς ποσί, καὶ τὴν παιδείαν διὰ χειρὸς ἔχοντας ῥάβδον, πρὸς τὴν ἐν τῷ βίῳ πραγμάτων πάντων ἄπταιστον κατόρθωσιν, καὶ τὸ τελευταῖον μετὰ σπουδῆς ἐσπαφλῶαι. διάβασις γὰρ* ἐπὶ θεὸν τοῦ γενητοῦ καὶ φθαρτοῦ τὸ πάσχα εἴρηται· καὶ σφόδρα προσηκόντως· οὐδὲν γάρ ἐστι τῶν καλῶν, ὃ B μὴ θεοῦ τε καὶ θεῖον. ταχέως οὖν αὐτὸ ἀναζήτησον ὦ ψυχή, καθάπερ καὶ ὁ ἀσκητὴς Ἰακώβ, ὃς πυθομένου τοῦ πατρὸς, Τί τοῦτο ὃ ταχὺ εὗρες ὦ τέκνον, δογματικῶς ἀπεκρίνατο, Ὃ παρέδωκε κύριος ὁ θεὸς ἐναντίον μου. πολλῶν γὰρ ἔμπειρος πραγμάτων γεγονὼς ἠπίστατο, ὅτι ἃ μὲν αὖ διδῷ γένεσις ψυχῇ, χρόνῳ μακρῷ βεβαιοῦται, ὥσπερ οἱ τὰς τέχνας καὶ τὰ τῶν τεχνῶν παραγγέλματα τοῖς μανθάνουσι παραδιδόντες. οὐ γὰρ εὐθὺς ὥσπερ οἱ C προσχέοντες εἰς ἄγγος, ἰσχύουσιν ἀποπληρῶσαι τὴν τῶν εἰσαγομένων διάνοιαν· ἐπειδὰν δὲ ἡ πηγὴ τῆς σοφίας ὁ θεὸς παραδιδῷ τὰς ἐπιστήμας τῷ θνητῷ γένει, παραδίδωσιν ἀχρόνως· οἱ δ' ἅτε τοῦ μόνου σοφοῦ γεγονότες μαθηταί, εὐθὺς ταχέως τὰς εὑρέσεις ὧν ἐζήτησαν ἔλαβον. πρόσεστι δὲ τῶν εἰσαγομένων ἀρετή, τὸ διδάσκαλον τέλειον καὶ τελείως μιμεῖσθαι γλίχεσθαι· ὁ δὲ διδάσκαλος φθάνει καὶ τὸν χρόνον, ὃς οὐδ' ὅτε τὸ πᾶν ἐγέννα συνειργάσατο, ἐπεὶ καὶ αὐτὸς γενόμενος τῷ κόσμῳ συνυ- D φίστατο. ὁ γὰρ θεὸς λέγων ἅμα ἐποίει, μηδὲν μεταξὺ ἀμφοῖν τιθείς. εἰ δὲ χρὴ δόγμα κινεῖν ἀληθέστερον, ὁ λόγος ἔργον αὐτοῦ· λόγου δὲ εὐκινητότερον οὐδὲν καὶ παρὰ τῷ θνητῷ γένει. παραμείβεται γὰρ τῇ ῥύμῃ τῶν ὀνομάτων καὶ ῥημάτων τὴν ἐπ' αὐτοῖς φθάνουσαν κατάληψιν. ὥσπερ οὖν τὰ διὰ χειμάρρων ἐκρεόμενα ἀέναα νάματα ἄπαυστον ἔχει τὴν φορὰν, ἐπικαταλαμβάνοντος ἀεὶ τὴν λῆξιν τοῦ ἐπιόντος ῥεύματος· οὕτως ἡ τοῦ λόγου E πλημμύρα ὅταν ἄρξηται φέρεσθαι, τὴν ἐν ἡμῖν τῇ ὀξυκινητοτάτῃ διανοίᾳ, ὃ καὶ τὰς πτηνὰς παραμείβεται φύσεις, συντρέχει. καθάπερ οὖν ὁ* ἀγένητος φθάνει πᾶσαν γένεσιν, οὕτω καὶ ὁ τοῦ ἀγενήτου λόγος παρὰ θεοῦ τὸν γενέσεως, καὶ ὀξύτατος ἐπὶ νεφελῶν παραφέρεται, οἷς καὶ παρρησιάζεται φάσκων, Ἤδη ὄψει, εἰ καταλήψεταί σε ὁ λόγος μου, ὡς πάντα ἐφθακότος καὶ κατειληφότος τοῦ θείου λόγου. εἰ δὲ ὁ λόγος ἔφθακε, πολλῷ μᾶλλον ὁ λέγων αὐτὸς, καθάπερ ἐν ἑτέροις μαρτυρεῖ

ἀπὸ τοῦ θνητοῦ ἐπὶ τὸ

ὁ θνητὸς φύσιν πάσαν οὖσαν, οὕτω ὁ τοῦ ἀγενήτου λόγος παρὰ τῶν θνητῶν, καὶ ὀξύτατα ἐπινεφῶν παραφέρεται

λέγων, Ὧδε ἐγὼ ἕστηκα ἐκεῖ, πρὸ τοῦ σε. δηλοῖ γὰρ
ὅτι πρὸ παντὸς ὑφέστηκε τοῦ γενομένου, καὶ ὁ ἐν-
θάδε ὢν κἀκεῖ, καὶ ἀλλαχόθι καὶ πανταχοῦ, πε-
πληρωκὼς πάντα διὰ πάντων, καὶ οὐδὲν ἔρη-
μον ἑαυτοῦ καταλελοιπὼς ὑπάρχει. Οὐ γάρ, φη-
σίν, ὧδε ἐγὼ ἕστηκα κἀκεῖθι; ἀλλὰ καὶ νῦν ὅτε
πάρειμι, ἕστηκα κἀκεῖ κατὰ τὸν αὐτὸν χρόνον οὐ μετα-
βατικῶς κινούμενος, ὡς τὸν μὲν ἐπιλαμβάνειν, τὸν δὲ
ἀπολείπειν τόπον, ἀλλὰ τονικῇ χρώμενος τῇ κινή-
σει. δεόντως οὖν μιμούμενοι τὴν τοῦ πατρὸς φύσιν
οἱ ἐπήκοοι παῖδες ἀμελλητὶ μετὰ πάσης σπουδῆς τὰ
καλὰ δρῶσιν, ὧν ἔργον ἐστὶ κάλλιστον ἡ ἀνυπέρθε-
τος θεοῦ τιμή. Φαραὼ δὲ σκεδαστής, τὴν ἀχρόνων
δυνάμεων φαντασίαν οὐχ οἷός τε ὢν δέξασθαι, τὰ
τῆς ψυχῆς ὄμματα πεπηρωμένος, οἷς μόνοις αἱ
ἀσώματοι καταλαμβάνονται φύσεις, οὐδὲ ὠφελη-
θῆναι διὰ χρόνων ὑπέμεινεν, ἀλλὰ ταῖς ἀψύχοις
δόξαις, λέγω δὲ βατράχοις πιεσθείς, ἦχον καὶ ψό-
φον ἔρημον καὶ κενὸν πραγμάτων ἀποτελοῦσιν,
εἰπόντος Μωϋσέως, Τάξαι πρός με πότε ἵνα
εὔξωμαι περὶ σοῦ καὶ τῶν θεραπόντων σου ἀφανί-
σαι τοὺς βατράχους, δέον ἐν ἀνάγκαις σφοδραῖς
ὄντα εἰπεῖν, εὐθὺς εὔχου, ὁ δὲ ὑπερτίθεται λέ-
γων, Εἰς αὔριον, ἵνα διὰ παντὸς τὴν ἀπαλότη-
τα τῆς ἀθεότητος διαφυλάξῃ. τοῦτο σχεδὸν ἅπασι
παρακολουθεῖ τοῖς ἐπαμφοτέροις, κἂν μὴ διὰ τῶν
ὀνομάτων καὶ ῥημάτων ὁμολογῶσιν. ἐπειδὰν γὰρ
συμβῇ τι τῶν ἀβουλήτων, ἅτε μὴ πεπιστευκό-
τες παγίως τῷ σωτῆρι θεῷ καὶ πρότερον, κα-
ταφεύγουσιν ἐπὶ τὰς ἐν γενέσει βοηθείας, ἰατρούς,
βοτάνας, φαρμάκων συνθέσεις, δίαιταν ἠκρι-
βωμένην, πάνθ᾽ ὅσα παρὰ τῷ θνητῷ γένει βοη-
θήματα. κἂν ἄρα εἴπῃ τις, καταφύγετε ὦ
μωροὶ ἐπὶ τὸν μόνον ἰατρὸν ψυχῆς ἀρρωστημά-
των μεθέμενοι τὴν ἀπὸ γενέσεως τῆς παθητῆς ψευ-
δώνυμον ὠφέλειαν, γελῶσι καὶ χλευάζουσιν ἐπι-
φωνοῦντες, ταῦτα εἰς αὔριον, ὡς οὐδ᾽ ἂν εἴ τι γένοι-
το περὶ τὴν τῶν προσόντων κακῶν ἀποτροπὴν ἱκετεύ-
σοντες τὸ θεῖον. ἀλλ᾽ ὅταν γε τῶν ἀνθρώπων μη-
δὲν ἀρκῇ, πάντα δὲ εὑρίσκηται καὶ τὰ παιώνια
βλαβερά, τηνικαῦτα ἐξ ἀμηχανίας πολλῆς τῆς
ἀπὸ τῶν ἄλλων ὠφελείας ἀπογνόντες, ἄκοντες οἱ
δείλαιοι καταφεύγουσιν ὀψὲ καὶ μόλις ἐπὶ τὸν μό-
νον σωτῆρα θεόν· ὁ δ᾽ ἅτε εἰδὼς τὰ ἐν ἀνάγκαις
ἄκυρα, οὐκ ἐπὶ πάντων χρῆται τῷ νόμῳ, ἀλλ᾽
ἐφ᾽ ὧν καλὸν καὶ συμφέρον χρῆσθαι. πᾶς οὖν
λογισμὸς κτήματα αὐτοῦ τὰ πάντα ἡγούμενος, καὶ
αὑτὸν προτιμῶν θεοῦ. τὸ γὰρ μεθ᾽ ἡμέρας θύειν

A cens sic: Ego steti ibi prius quam tu. quo
significat se substitisse ante omne quod
factum est: qui & hic & illic est, & alibi
& vbique, implens quam late patent om-
nia, & nihil relinquens ipso vacuũ. non
enim dicit, Ego steti & illic, sed nũc quo-
que tibi præsens sto illic eodẽ tempore,
non motu ambulatorio, vt alterũ locum
occupans relinquam alterũ, sed mouẽdo
me tenore eodem. faciunt igitur suũ offi-
cium obedientes filij, qui naturã patris
imitando, incunctanter cum omni festi-
B natione quod bonũ est agunt, qui nihil
pulchrius facere possunt, quam quòd ho-
norant Deũ sine dilatione, at dissipator
Pharao, non valens imaginatione perci-
pere virtutes carentes tempore, nimirũ
orbatus animæ oculis, quibus solis natu-
ræ comprehenduntur incorporeæ, ne iu-
uari quidẽ ex tempore sustinuit: sed cum
inanimatis opinionibus, ranis inquam
premeretur, sonum strepitúmque ina-
nem & omni re vacuum emittentibus,
C dicente Mose: Præscribe tempus quo
pro te tuísque famulis precer vt ranæ
tollantur è medio, cum debuisset in tan-
ta necessitate constitutus dicere: iam
nunc precare: maluit differre dicens.
Cras: vt per omnia retineret impietatis
teneritudinem. Idem accidit omnibus
fermè dubitatoribus, etiamsi non expri-
matur eis confessio. nam quotiescun-
que aliquid eis accidit præter animi sen-
tentiam, homines qui ne antea quidem
firmiter seruatori crediderant, ad crea-
turas auxilij gratia confugiunt, medi-
D cos, herbas, pharmacorum compositio-
nes, diætam accuratam, cæteráque om-
nia mortalium auxilia. Quibus si quis di-
cat: confugite ô miseri ad illum vnicum
medicum morborum animæ, omissis
istis quæ à corruptibili creatura petitis
falsi nominis auxilijs: rident & cauil-
lantur reclamantes: In crastinum ista:
quasi ne præsentaneam quidem malo-
rum depulsionem petituri à Deo suppli-
ces. sed quando nihil humanæ opis pro-
ficit, & vel Pæonia remedia officiunt:
E tum demum penitus destituti consilio,
nullum aliunde sperantes auxilium, in-
felices volentes nolentes, vix sero ad
Deum qui solus seruare potest se reci-
piunt. ille non ignarus parum valere
quæ extorta sunt, non omnibus pari-
ter est facilis, sed his in quos bene col-
locatur beneficium. Ergo omnis cogi-
tatio quæ sua putat esse omnia, Deo se
præferens (hoc enim ex his verbis
POST ALIQVOT DIES intelligitur)

sciat se impietatis ream apud sacras literas. Hactenus satis dictum sit de primo Caini crimine. secundum tale fuit. Cur de fructibus, & non de primis fructibus offert primitias? fortasse hanc ob causam, vt primatum creaturæ det, secundarium honorẽ reddat numini. Sicut enim sunt quidam qui animæ præferunt corpus, seruum dominæ: eodem modo sunt qui creaturam magis honorant quàm creatorem, contra mandatum legislatoris, iubentis primitias de primis fructibus terræ inferri in domum Dei, & non conuerti in vsum propriũ. iustum enim est, motus animæ primos vel sua vi vel ordine, Deo dedicari autorem cum confitendo. Qui primi sunt ordine, sunt illi qui statim à natiuitate nobis obuenerunt, cibus, incrementum, visus, auditus, gustus, odoratus, tactus, sermo, intellectus, partes animæ, partes corporis, vires harum, in vniuersum motus & habitus qui secundum naturam sunt. quos autem sua dignitate vsque primos dixi, sunt benefacta, virtutes, virtutum actiones. ex his igitur iustum est offerri primitias. primitiæ vero sunt, sermo ex sincero animo emissus cum gratiarum actione. is diuiditur in suas sectiones, sicut lyra diuiditur, & cætera instrumenta musica. in his enim soni & singuli per se apti sunt, & ad alium concentum maxime accommodi: sicut & in grammatica ex elementis ea quæ vocantur vocalia, quæ tum per se sonant, tum alijs coniuncta integram vocem efficiunt. cæterum natura quæ multas potentias in nobis vel sensitiuas vel intellectiuas fabricauit, & cuique peculiare aliquod opus assignauit: ac rursum omnes eas coaptauit per proportiones concinnitate qua respondent inter se inuicem, iure felix prædicari potest & ob vniuersas & ob singulas. quapropter cum offeres sacrificium de primis fructibus, ita diuide sicut docet sacra scriptura: primum vt sint virentes, inde tosti, deinde concisi, postremo comminuti. virentes recentésque ideo: quia homines illos antiquum fabulosúmque tempus amantes, celerem autem & nulli tempori obnoxiã Dei potentiam non intelligentes, docet: admonẽs vt noua, recentia pubentiáque sumant bono animo, ne priscis innutriti fabulositatibus quæ multis ætatibus ad decipiendos mortales sunt ceu per manus traditæ, imbuantur falsis opinionibus: sed à Deo nunquam senescente sempérque iuuene noua recentiáque

A τοῦτον ὑποβάλλει νόμῳ· ἔνοχος ὢν ἀσεβείας ἴστω γραφῇ. καὶ τὸ μὲν πρότερον ἔγκλημα τοῦ Κάϊν ἀποχρώντως ἐπεξήλθομεν· τὸ δὲ δεύτερον τοιοῦτον ἦν. τί δήποτε ἀπὸ τῶν καρπῶν, ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων καρπῶν φέρει τὴν ἀπαρχήν; μήποτε διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα τὰ μὲν πρεσβεῖα γενέσει δῷ, τοῖς δὲ δευτερείοις ἀμείψηται τὸν θεόν; ὥσπερ γάρ εἰσί τινες οἱ ψυχῆς προκρίνουσι σῶμα τῆς δεσποίνης τὸ δοῦλον, οὕτως εἰσὶν οἱ γένεσιν μᾶλλον θεοῦ B προτετιμήκασι, πρόσταγμα τεθεικότος τοῦ νομοθέτου, ἵνα τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς γῆς εἰσφέρωμεν εἰς τὸν οἶκον τοῦ θεοῦ, ἀλλὰ μὴ ἑαυτοῖς ἐπιγράφωμεν. καὶ γὰρ δίκαιον τῶν τῆς ψυχῆς κινημάτων ὅσα πρῶτα ἢ τάξει ἢ δυνάμει, θεῷ ὁμολογεῖν. τὰ μὲν οὖν τῇ τάξει πρῶτα τοιαῦτά ἐστιν, ὧν κατὰ τὴν πρώτην γένεσιν εὐθὺς ἐκοινωνήσαμεν, τροφή, αὔξησις, ὅρασις, ἀκοή, γεῦσις, ὄσφρησις, ἁφή, λόγος, νοῦς, μέρη ψυχῆς, μέρη σώματος, αἱ τούτων ἐνέργειαι, συνόλως κινήσεις C αὐτοῦ καὶ σχέσεις αἱ κατὰ φύσιν· τὰ δ' ἀξιώματι καὶ δυνάμει, τὰ κατορθώματα, αἱ ἀρεταί, αἱ κατ' ἀρετὰς πράξεις. δίκαιον οὖν αὐτοῦ τούτων ἀπάρχεσθαι· αἱ δὲ ἀπαρχαὶ λόγος ἐστὶν ἐκ διανοίας ἀληθοῦς ἀναπεμπόμενος εὐχαριστικός. τέμνεται δὲ αὐτὸς κατὰ τὰς οἰκείας τομάς, ὥσπερ ζῷον ἡ λύρα καὶ τὰ ἄλλα μουσικῆς ὄργανα τέτμηται. τῶν γὰρ ἐν αὐτοῖς φθόγγων καὶ καθ' ἑαυτὸν ἕκαστος ἥρμοσται, καὶ πρὸς τὴν ἑτέρων συμφωνίαν μάλιστα ᾠκείωται, καθάπερ καὶ τῶν ἐν γραμματικῇ στοιχείων τὰ λε- D γόμενα φωνήεντα, ἃ καὶ καθ' ἑαυτὰ ἐκφωνεῖται, καὶ σὺν ἑτέροις ὁλόκληρον ἀποτελεῖ φωνήν. πολλὰς δὲ δυνάμεις αἰσθητικὰς καὶ νοητικὰς ἐν ἡμῖν αὐτοῖς ἡ φύσις δημιουργήσασα, καὶ πρὸς τι τῶν οἰκείων ἑκάστην τείνασα ἔργων, καὶ πάλιν πάσας ἁρμοσαμένη δι' ἀναλογίας κοινωνίᾳ συμφωνίας τῇ πρὸς ἀλλήλας, ὀρθότατα ἂν καὶ ἐφ' ἑκάστῃ καὶ ἐπὶ πάσαις εὐδαιμονίζοιτο. διόπερ ἐὰν προσφέρῃς θυσίαν πρωτογεννημάτων, οὕτω διαίρει, ὡς E ὑφηγεῖται ὁ ἱερὸς λόγος, νέα τὸ πρῶτον, εἶτα πεφρυγμένα, ἔπειτα * χλιαρά, καὶ ἐπὶ πᾶσιν ἐρικτά. *χίδρα* νέα μὲν οὖν, διὰ τόδε· τοὺς τὸν παλαιὸν καὶ γηραιὸν καὶ μυθώδη χρόνον ἀσπαζομένους, ταχὺν δὲ καὶ ἄχρονον θεοῦ δύναμιν μὴ συνεωρακότας ἐκδιδάσκει, νέα καὶ ἐπακμάζοντα καὶ ἡβῶντα προσφέροντα εὔθυμα λαμβάνειν, ἵνα μὴ παλαιαῖς ἐντραφέντες μυθοποιΐαις, ἃς ὁ μακρὸς αἰὼν ἐπὶ ἀπάτῃ τῶν θνητῶν παραδίδωκε, ψευδοδοξῶσιν, ἀλλὰ παρὰ τοῦ ἀεὶ ἀγήρω καὶ νέου θεοῦ τὰ νέα καὶ καινὰ ἀγαθὰ μετ'

πάσης ἀφθονίας λαμβάνοντες, ἐκδιδάσκωνται μηδὲν ἡγεῖσθαι παρ' αὐτῷ παλαιὸν, ἢ συνόλως παρεληλυθὸς, ἀλλὰ γινόμενον ἀχρόνως καὶ ὑφεστηκὸς, ὃ χαίρω καὶ δι' ἑτέρων φησὶν, Ἀπὸ προσώπου πολιοῦ ἀναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου, ὡς παμμεγέθους διαφορᾶς οὔσης. πολιὸς μὲν γὰρ, ὁ μηδὲν ἐνεργῶν ἐστι χρόνος, ἀφ' οὗ μετανίστασθαι καὶ ἀποδιδράσκειν δεῖ τὴν μυρίους ἀπατῶσαν ἐγκύκλιον ὑπόληψιν, ὡς ἄρα τι *ποιεῖν αὐτὸ πέφυκε· πρεσβύτερος δὲ, ὁ τιμῆς καὶ γέρως καὶ πρεσβείων ἐπάξιος ὢν, ὃν Μωσεῖ τῷ θεοφιλεῖ δοκιμάζειν ἐπιτέτραπται. Οὓς γὰρ σὺ οἶδας, φησὶν, ὅτι * εἰσὶν, ὡς μηδεμίαν ἀποδεχομένους νεωτεροποιίαν, ἀλλὰ πρεσβυτέρων καὶ τῆς ἀνωτάτω τιμῆς ἀξίων δογμάτων εἰωθότας ἐρᾶν. ὠφελεῖ μὲν οὖν εἰ καὶ μὴ πρὸς ἀρετῆς κτῆσιν τελείας, ἀλλά τοι πρὸς πολιτείας, καὶ τὸ παλαιαῖς καὶ ὠγυγίοις ἐντρέφεσθαι δόξαις, καὶ ἀρχαίαν ἀκοὴν ἔργων καλῶν μεταδιώκειν, ἅπερ ἱστορικοὶ καὶ σύμπαν τὸ ποιητικὸν γένος, τοῖς τε καθ' ἑαυτοὺς καὶ τοῖς ἔπειτα μνήμῃ παραδεδώκασιν. ἀλλ' ὅταν γε μὴ προσδοκωμένοις μηδὲ ἐλπίσασι φέγγος ἀφνίδιον ἐπιλάμψηται αὐτομαθοῦς σοφίας, ἣ δὴ τὸ μεμυκὸς ὄμμα ψυχῆς διοίξασα, ἀντ' ἀκροατῶν θεατὰς ἐπιστήμης ἐργάζεται, τὴν ὠκυδρομωτάτην αἰσθήσεως ὄψιν πρὸ τῆς βραδυτέρας ἀκοῆς ἐν διανοίᾳ θεῖσα· μάταιόν ἐστι διὰ λόγων ὦτα γυμνάζειν· διὸ καὶ λέγεται, Φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν· ἀλλὰ καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε, ὡς δέον πολιὸν μὲν μάθημα χρόνῳ μηδὲν ἀρνεῖσθαι, πειρωμένους καὶ γράμμασι σοφῶν ἀνδρῶν ἐντυγχάνειν, καὶ γνώμαις καὶ διηγήσεσιν ἀρχαιολογούντων προσέχειν, καὶ φιλοπευστεῖν ἀεὶ περὶ τῶν προτέρων καὶ ἀνθρώπων καὶ πραγμάτων, τὸ μηδὲν ἀγνοεῖν ὄντος ἡδίστου· νέας δ' ὅταν ἀνατείλῃ βλάστας αὐτοδιδάκτου σοφίας ὁ θεὸς ἐν ψυχῇ, τὰ ἐκ διδασκαλίας εὐθὺς περιγράφειν καὶ περισύρειν ὑπονοστοῦντα καὶ ὑπορρέοντα ἐξ ἑαυτῶν. τὸν γὰρ θεοῦ φοιτητὴν, ἢ γνώριμον, ἢ μαθητὴν, ἢ ὅ, τι ποτὲ χρὴ θέμενος ὄνομα καλεῖν αὐτὸν, ἀμήχανόν ἐστι θνητῶν ὑφηγήσεων ἀνασχέσθαι. ἔστω δὲ ἡ νέας ψυχῆς ἀκμὴ πεφρυγμένη, τουτέστιν ὡς πυρὶ χρυσὸς λόγῳ δυνατῷ βεβασανισμένη. τὸ δὲ βεβασανίσθαι καὶ δεδοκιμάσθαι σημεῖον τὸ πεπῆχθαι. καθάπερ γὰρ ὁ τῶν τεθηλότων ἀσταχύων καρπὸς, ἵνα μηκέτι πλαδᾷ, φρύγεται, τοῦτο δ' οὐκ ἄνευ πυρὸς πέφυκε συμβαίνειν· οὕτω τὰ νέαν πρὸς ἀρετὴν

γρ. ποιοῦν

ὅτι οὗτοί εἰσι πρεσβύτεροι, ὡς

A bona copiose accipiendo, discant credere non esse quicquam vetus apud eum, aut omnino præteritum, sed subsistens absque tempore nascénsque: quapropter etiam alio in loco scriptura inquit: A faciē cani surges, & honorabis faciem senioris: quasi plurimum intersit inter vtrumque. Canum enim dicit tempus illud otiosum, à quo surgere migraréque oportet eos qui declinant opinionem istam innumeros fallentem, quod tempus habeat naturam faciendi aliquid. Seniorem autem eum qui honore, præmio
B dignitatéque præfertur cæteris, cuius probatio amico Dei Mosi committitur. Quos tu nosti, inquit, hi sunt. nempe quod hic nihil iuuenile admitteret, seniora & summo honore digna dogmata amare solitus. Prodest tamen si non ad parandam perfectam virtutem, certe ad curā reipublicæ nosse opiniones priscas & Ogygias, audiréque antiquitatis pulcherrima facinora, quæ historici, & omne genus poetarū prodiderunt ætati suæ
C ad posteritatis memoriam. Sed quando ex improuiso nil tale sperantibus, repentina lux affulserat sapientiæ quam per se quisque discit, quæ patentem animæ oculum penetrans ex auditoribus reddit spectatores scientiæ, celerrimum sensum, visum præ tardissimo auditu in mentem inserens: tunc frustra fuerit sermonibus aures exercere. ideo dicitur: Comedetis vetera & vetera veterum: sed & vetera ex persona iuuenum efferetis: quasi canæ propter tempus di-
D sciplinæ recusandæ non sint, dum & scriptis sapientum damus operam, & narrationibus priscarū rerum sententiarūmque libenter intersumus, & scitari non grauamur de superioribus ætatibus, quādo nihil ignorare est res iucundissima. Cum autem Deus in animam indit noua germina per se docilis sapientiæ, quæ ex præceptoribus didicimus contrahenda circumscribendáque sunt, subducentia se vltro & effluentia. scholarem enim Dei, siue familiarem, siue discipulum,
E seu quocunque alio libet hunc appellare nomine, impossibile est tolerare præceptiunculas mortalium. Sit præterea nouæ animæ maturitas tosta, hoc est tanquam aurum sermone efficaci examinata. examinatæ autem probatæque signū est soliditas. sicut enim virentium spicarum fructus torretur vt deponat mollicíem, quod fieri non potest absque ignis ministerio: eodem modo nouum conatum tendentium ad maturitatem virtutis

oportet potente irrefragibilíque sermone duratum solidúmque reddere. solet enim sermo in anima speculationes non solum ad maturitatem coquere ne sint fluidæ, sed & irrationalium affectionum impetum labefacere. saltem meditatorem Iacob coquentem aspice, quando Esau mox deficere inuenitur: fundamentum enim seipsos amantium, vitium & affectus est: quo fulti si id sibi subduci viderint, non immerito neruos robúrque amittunt. Sit autem is sermo non confusus, sed in sua frusta diuisus. nam sic concisa χίδρα vocantur. in omnibus enim rebus ordo melior est quam perturbatio, præsertim in sermone currente velocissime. diuidẽdus est igitur in præcipua capita vt vocant, & addendus suus apparatus singulis, exemplum bonorum sagittariorum imitando, qui scopo aliquo sibi proposito, conantur omnia tela in eum defigere. scopo enim summariũ illud capitulum, telis eius apparatus assimilatur. atque ita sermo, quo nihil præstantius discimus, apte concinnéque contexitur. etenim bracteas auri concidit legislator in fila, ad contexenda quædam sua opera firmius. Ad eundem modum sermo quouis auro pretiosior, ex variegationibus innumerisque ideis laudabiliter absoluitur, quando vsque ad exigua capitula concisus formam alicuius inuenti accipit, additis demonstrationibus, tanquam apte contextis staminibus. siquidem pari modo præcipitur vt holocautoma detracto tergore membratim concidatur, vt primùm anima absque tegminibus quæ ei vanæ falsæque opiniones circũdant, nuda appareat: deinde diuisiones conueniẽtes recipiat. integrum enim quiddam & vnum virtus est, quæ in species suas diuiditur, prudẽtiam, temperantiam, iustitiam, fortitudinem: vt cognitis singularum differentijs vltro eam colamus, & per partes & integram. Consideremus autem quomodo animam assuefaciamus, ne solidis & indigestis imaginationibus turbata decipiatur: sed vt diuisiones rerum faciendo singulas introspiciat & scrutetur cum omni diligentia. assumemus etiam sermonẽ qui non inordinato impetu ruendo obscuritatem faciat, sed partitus in sua capita, singulorúmque horum demonstrationes, tanquam animal ex perfectis membris compactũ pulchre congruat. oportet autem, si volumus vsum harum rerum in nobis confirmari, exercere has meditarique assidue: quia non

A ἀκμὴν ἀνάληψιν δυνατῷ καὶ ἀκινήτῳ λόγῳ χρὴ παγίαν καὶ σταθερωτάτην ἀπεργάζεσθαι. πέφυκε γὰρ ὁ λόγος οὐ μόνον πεπαίνειν ἐν ψυχῇ τὰ θεωρήματα, διαρρεῖν αὐτὰ κωλύων, ἀλλὰ καὶ τὴν τῶν ἀλόγων παθῶν ὁρμὴν εὐτόνως ἐκλύειν. ἰδὲ γοῦν τὸν ἀσκητὴν Ἰακὼβ ἕψοντα αὐτήν, ὁπότε καὶ Ἡσαῦ ἐκλείποντα εὐθὺς εὑρίσκεται. θεμέλιος γὰρ τῶν φιλαύτων κακία καὶ πάθος, οἷς ἐπηρεισμένος, ὅταν ἐξυπτιασμένα καὶ περιῃρημένα ὑπὸ τοῦ αἱροῦντος αὐτὰ λόγου θεάσηται, κατὰ τὸ εἰκὸς καὶ ἐκλύεται τοὺς
B ἰσχύος δεσμούς. ἔστω δὲ ὁ λόγος μὴ συγκεχυμένος, ἀλλ' εἰς οἰκείας τεμνέσθω τομάς. τὸ χίδρα ποιῆσαι, τοῦτό ἐστιν. ἐν ἅπασι μὲν γὰρ ἀταξίας ἀμείνων ἡ τάξις, μάλιστα δ' ἐν ὀξυτάτῃ ῥεύσει φύσει τῇ λόγου. διαιρετέον οὖν αὐτὸν εἰς κεφάλαια προηγούμενα, τὰ λεγόμενα ἐμπίπτοντα, καὶ ἐφαρμοστέον ἑκάστῳ τὰς οἰκείας κατασκευάς, μιμουμένους τοὺς ἀγαθοὺς τῶν τοξοτῶν, οἳ σκοπόν τινα προθέμενοι τὰ βέλη πάντα ἐπ' αὐτὸν ἀφιέναι
C πειρῶνται. σκοπῷ μὲν γὰρ τὸ κεφάλαιον, βέλεσι δὲ ἔοικεν ἡ κατασκευή. οὕτω τὸ πάντων ἄριστον μαθημάτων ὁ λόγος ἁρμονίως συνυφαίνεται. καὶ γὰρ πέταλα χρυσοῦ κατατεμὼν ὁ νομοθέτης εἰς τρίχας, ὥστε συνυφᾶναι τὰ οἰκεῖα ἐπιμόνως. οὕτως ὁ τιμιώτερος χρυσοῦ λόγος ἐκ ποικιλμάτων καὶ μυρίων ἰδεῶν ἐπαινετῶς τελεσιουργεῖται, ὅταν ἄχρι τῶν λεπτοτάτων κεφαλαίων τμηθεὶς τὸ εἶδος τινὰ νοήματος δέξηται, καθάπερ κρόκην ἀποδείξεις ἐναρμονίους.
D προστέτακται μέντοι καὶ τὸ ὁλοκαύτωμα δείραντας, εἰς μέλη διανέμειν, ὑπὲρ τοῦ πρῶτον μὲν γυμνὴν αὐτὴν σκεπασμάτων ὅσα περιποιοῦσιν αἱ κεναὶ καὶ ψευδεῖς ὑπολήψεις, τὴν ψυχὴν φανῆναι· εἶτα δέξασθαι διαιρέσεις ἐμμελεῖς. τὸ γὰρ ὅλον καὶ ἕν ἐστιν ἡ ἀρετή, ἣ κατὰ εἴδη τὰ προσεχῆ τέμνεται, φρόνησιν καὶ σωφροσύνην, δικαιοσύνην καὶ ἀνδρίαν, ἵνα τὰς καθ' ἕκαστον εἰδότες διαφορὰς ἑκούσιον ὑπομένωμεν λατρείαν καὶ καθ' ὅλα καὶ κατὰ μέρη. σκοπῶμεν δὲ ὅπως τὴν ψυχὴν γυμνά-
E σωμεν, μὴ ὁλοσχερέσι καὶ ἀτυπώτοις φαντασίαις ὑπὸ συγχύσεως ἀπατᾶσθαι· τομὰς δὲ καὶ διαιρέσεις ποιουμένην τῶν πραγμάτων διακύπτειν εἰς ἕκαστον, καὶ ἐρευνᾶν μετὰ πάσης ἀκριβείας. ληψόμεθά τε λόγον, ὃς οὐκ ἀτάκτῳ ῥύμῃ φερόμενος, ἀσάφειαν ἐργάσηται· τμηθεὶς δὲ εἰς τὰ οἰκεῖα κεφάλαια, καὶ τὰς εἰς ἕκαστον ἀποδείξεις, ὥσπερ ζῷον ἐκ τελείων μερῶν συμπαγές, ἁρμοσθήσεται. χρὴ δὲ εἰ μέλλει ταῦτα παρ' ἡμῖν αὐτοῖς βεβαιοῦσθαι, μελέτην καὶ ἄσκησιν αὐτῶν ποιεῖσθαι συνεχῆ· ὡς

τὸ γὰρ

A τόγε ἀρξαμένοις ἐπιστήμης μὴ ἐπιμεῖναι, ὅμοιόν ἐστι τῷ γεύσασθαι σιτίων καὶ ποτῶν, εἰς κόρον δὲ κωλυθῆναι ἐμφορῆσαι. μετὰ τὰ χίδρα οὖν ἁρμόττει ποιεῖν ἐρικτά, τουτέστι μετὰ τὴν διαίρεσιν, ἐνδιατρίβειν καὶ ἐνσχολάζειν τοῖς ἐπινοηθεῖσι. συνεχὴς γὰρ ἄσκησις ἐπιστήμην πάγιον ἐργάζεται, ὡς ἀμαθίαν ἀμελετησία. μυρίοι οὖν ἀθλήσεως ὄκνῳ καὶ τὴν ἐκ φύσεως ἰσχὺν ἐξέλυσαν, οὓς οὐκ ἐμιμήσαντο οἱ προφητείᾳ τὴν ψυχὴν τραφέντες τῷ λεγομένῳ μάννα. οὗτοι γὰρ ἤλουν καὶ ἔτειβον αὐτὸ ποιοῦντες ἐγκρυφίας, τὸν οὐράνιον ἀρετῆς λόγον ἀνατρίβειν καὶ ἐπιλεαίνειν ἕκαστος ἕνεκα τοῦ τυπῶσαι βεβαιοτέρᾳ διανοίᾳ, ἐγνωκότες. ὅταν οὖν νέα τὴν ἀκμήν, καὶ πεφρυγμένα τῷ πεπυρωμένῳ καὶ ἀνικήτῳ λόγῳ καὶ χίδρα τὴν τομὴν καὶ διαίρεσιν τῶν πραγμάτων, καὶ ἐρικτὰ τὴν τελείαν καὶ μελέτην τῶν ἐπινοηθέντων ὁμολογῇς, κατὰ θεὸν πρωτογεννημάτων οἴσεις θυσίαν, ὧν πρῶτον καὶ ἄριστον ἐγέννησεν ἡ ψυχή. κἂν ἡμεῖς μέντοι βραδύνωμεν, αὐτὸς οὐ βραδύνει τοὺς ἐπιτηδείους πρὸς θεραπείας λαβεῖν ἑαυτῷ. Λήψομαι γάρ, φησίν, ὑμᾶς ἐμαυτῷ λαόν, καὶ ἔσομαι ὑμῶν θεός, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός· ἐγώ εἰμι κύριος. τὰ μὲν δὴ τοῦ Κάιν μεθ' ἡμέρας φέροντος τὴν θυσίαν ἐγκλήματα, τοιαῦτα ἦν. Ἄβελ δὲ οὐκ εἶχεν αὐτῷ οὔτε αὐτά, οὐδὲ τὸν αὐτὸν τρόπον, ἀλλὰ ἀντὶ ἀψύχων ἔμψυχα, ἀντὶ δὲ νεωτέρων καὶ δευτερείων πρεσβύτερα καὶ πρῶτα, ἀντὶ δὲ ἠσθενηκότων ἐρρωμένα καὶ πιότερα. ἀπὸ γὰρ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν φησὶ τὴν θυσίαν ποιήσασθαι κατὰ τὸ ἱερώτατον διάταγμα· ἔσται δὲ τοιόνδε· Καὶ ἔσται, φησίν, ὡς ἂν εἰσαγάγῃ σε ὁ θεὸς τῶν Χαναναίων εἰς τὴν γῆν αὐτῶν ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δώσει σοι αὐτήν, καὶ ἀφελεῖς πᾶν διανοῖγον μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι, τὰ ἀρσενικὰ τῷ κυρίῳ. πᾶν διανοῖγον μήτραν ὄνου, διαλλάξεις προβάτου· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό. τὸ γὰρ διανοῖγον μήτραν, τὸ Ἄβελ δῶρόν ἐστι τὸ πρωτότοκον, ὃ πότε καὶ πῶς δεῖ φέρειν ἐρευνητέον. καιρὸς μὲν δὴ ἐπιτηδειότατος, ὅταν εἰσαγάγῃ σε ὁ θεὸς εἰς τὸν σαλεύοντα λόγον, τὴν τῶν Χαναναίων γῆν, οὐχ ὃν τύχοι τρόπον, ἀλλ' ὃν ὤμοσεν αὐτός, οὐχ ἵνα σάλον καὶ τροπὴν καὶ κλύδωνα ὧδε κἀκεῖσε φορούμενος ἀστάτως ὑπομένῃς, ἀλλ' ἵνα τοῦ σάλου παυσάμενος αἰθρίαν καὶ γαλήνην ἄγῃς, καὶ ὥσπερ εἰς ἐπίδρομον ἢ ὕφορμον ἢ νεολοχώτατον λιμένα τὴν ἀρετὴν ἀφικόμενος βεβαίως ἱδρυνθῇς. ὅταν δὲ λέγῃ

perseuerare in cœptis scientijs, perinde est ac si gustato cibo potúque, non detur ad satietatem edere. ergo post concisa pulchre cõuenit comminuta facere, hoc est post diuisionẽ immorari in inuentis terendo tempus diutius. nam exercitatio continua scientiam cõfirmat, sicut ignorantiam inexercitatio. innumeri igitur dum grauantur in certamen descẽdere, genuinam vim perdiderunt: quos non sunt imitati qui animam alebãt prophetia, significata mannæ nomine. Nam hi B molebant, conterebantque eam faciendo subcinericios, volentes singuli cælestem illũ virtutis sermonẽ comminuere quo firmius hæreret in animo. ergo vbi virentia ad maturitatẽ, tosta ignito irrefragibilique sermone, concisa diuisáq; in rerũ partes, denique comminuta per tractationem meditationemque inuentorũ approbaueris, ex sententia Dei sacrificiũ primi fructus offeres, optimi & ante alios prognati ex anima. attamen etiamsi ipsi tardemus, ille non cunctatur C idoneos vel ante oblationẽ sibi assumere. Assumã, inquit, vos mihi populum, & ero Deus vester, & vos eritis mihi populus. ego sum Dominus. Hæc sunt Caini crimina, post aliquot dies offerentis sacrificium. cæterum Abel obtulit ei nec eadem, nec eodem modo, sed pro inanimis animata, pro iunioribus & secundarijs grandiora & primaria, pro deterioribus integra atque pinguiora. nam de primogenitis gregis sui, & de adipibus eorum sacrificasse dicitur, iuxta præ D ceptum sacratissimum. est autem tale. Et erit, inquit, cum introduxerit te Deus Chananæorum in terram eorum, sicut iurauit patribus tuis: dabo tibi eam, & sumes omne quod aperit vuluam generis masculini de armentis & gregibus tuis, vt offeras Domino. omne aperiens vuluam asini, permutabis oue. sin autem non permutaueris, redimes ipsum.] Quod aperit vuluam, donum Abelis est primogenitum, E quod quando & quomodo offerendum sit quære. certe aptissimum tempus est, quando inducit te Deus in fluctuantem sermonem, terram Chananæorum, non quomodocunque, sed quemadmodum iurauit ipse: non vt fluctuationem huc illuc iactatus, & nusquam consistens sustineas, sed vt ab ea desistens in serenitate ac tranquillitate degas, & ad virtutem tanquam in stationem tutissimam, aut portum delatus stabiliaris firmiter. Dum autẽ dicit,

A Deum iurare, diſpiciendum an vere hoc ei conueniēs pronuncietur: quoniã plurimis videtur non eſſe propriũ. Iuſiurãdum enim intelligitur teſtimonium Dei de re ambigua. Deo autem nihil eſt incertum aut dubium, qui etiã alios in cognitionem veritatis dignatur introducere. ipſi certe nullo teſte opus eſt. nec enim eſt alius Deus huic honore par. ne quid dicam de teſte, quod in quantum teſtimonium exhibet, maior eſt eo cui datur teſtimonium. alter enim opis indiget, B alter opem fert. at quod opem fert, fide dignius eſt eo quod hac indiget. ſed nihil eſt præſtantius ſummo illo rerum autore, quia ne conferendum quidem quicquã, imo neque paulo deterius, ſed toto genere demiſſum infra Deum inuenitur quicquid eſt. & homines vt fides ipſis habeatur ad iuſiurandum cõfugiũt. Deus vel ſimpliciter loquēs fide dignus eſt. itaque verba eius, quantum ad certitudinē, nil à iuramento differũt. ita fit vt C ſententiæ noſtræ fides ex iureiurãdo accedat, ipſi vero iuramento ex Deo. non enim propter hoc Deo creditur, ſed hoc per Deũ confirmatur. cur igitur vati noſtro viſum eſt iurantē eum introducere? vt infirmitatem creaturæ coargueret, & conuictã conſolaretur. non poteſt enim anima noſtra ſemper in promptu habere præcipuã illã de Deo ſententiã, non eſſe eũ homini ſimilem, vt tranſcendamus quicquid prædicatur de homine: ſed quia maxima ex parte affines ſumus rerũ mortaliũ, & præter eas nil cogitare poſ- D ſumus, neque proprios morbos egredi: ſed induti rebus mortalibus tãquã cochleæ, eiſque harum in morem inuoluti, eaſdem de illo beato immortali que quas de nobis opiniones habemus, verbis quidem negantes Deum humana forma præditum, re autem ab impietate quorundam, qui affectus ei tribuunt non alieni, vtcunque tergiuerſamur: ideo manus, pedes, introitum, exitum, odiũ, alienationem, auerſationem, iram ei affingimus, affectus nihil ad autorē illum ſum- E mum pertinentes: in quibus & iuſiurandum eſt, quo ſubleuatur noſtra infirmitas. Si dederit tibi Deus quæ vis, ait Moſes ponēs terminos. illo enim nõ dãte nõ habebis: quoniã omnia in eius poteſtate ſunt, externa bona, corpus, ſenſus, ratio, intellectus, & omniũ actiones atq; eſſentiæ: nec tu ſolus, ſed & mũdus hic: à quo quicquid auelles & ſeparabis, hoc alienũ inuenies. etenim terrã, aquã, aerem, cælum, ſtellas animaliũ ſtirpiũque

ὃν θεὸν ὀμνύναι, σκεπτέον εἰ πρὸς ἀλήθειαν ὡς ἐπιβάλλον αὐτῷ τοῦτο ἀποφαίνεται· ἐπεὶ μυρίοις ἔδοξεν ἀνοίκειον εἶναι. ὅρκου γὰρ ἔννοιά ἐστι, μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου. θεῷ δὲ οὐδὲν ἄδηλον, οὐδὲ ἀμφισβητούμενον, ὃς καὶ τοῖς ἄλλοις τὰ γνωρίσματα τῆς ἀληθείας ἐναργῶς ἐπιδέδειχε· μάρτυρος γε μὴν οὐδενὸς δεῖται. οὐδὲ γὰρ ἐστιν ἄλλος θεὸς ἰσότιμος αὐτῷ. ἐῶ λέγειν ὅτι μαρτυρῶν, ὁ πρόσον μαρτυρεῖ, κρείττων ἐστὶ τοῦ μαρτυρουμένου. ὁ μὲν γὰρ δεῖται, ὁ δὲ ὠφελεῖ· τὸ δὲ ὠφελοῦν ἀξιοπιστότερόν ἐστι τοῦ δεομένου. ἄμεινον δὲ οὐδὲν ἐπινοηθῆναι τοῦ αἰτίου, ὁ πάντα οὐδὲ ἴσον, ἀλλ' οὐδὲ ὀλίγῳ καταδεέστερον, ἀλλ' ὅλῳ γένει καταβεβηκὸς ἅπαν τὸ μετὰ θεὸν εὑρίσκεται. τοῦ τε πιστευθῆναι χάριν, ἀπιστούμενοι καταφεύγουσιν ἐφ' ὅρκον ἄνθρωποι· ὁ δὲ θεὸς καὶ λέγων πιστός ἐστιν· ὥστε καὶ τοὺς λόγους αὐτοῦ βεβαιότητος ἕνεκα μηδὲν ὅρκων διαφέρειν. καὶ συμβέβηκε τὴν μὲν ἡμετέραν γνώμην ὅρκῳ, τὸν δὲ ὅρκον αὐτὸν θεῷ πιστοῦσθαι. οὐ γὰρ διὰ τὸν ὅρκον πιστὸς ὁ θεός, ἀλλὰ δι' αὐτὸν καὶ ὁ ὅρκος βέβαιος. τί οὖν ἔδοξε τῷ ἱεροφάντῃ προσαγαγεῖν αὐτὸν ὀμνύντα, ἵνα τὴν ἀσθένειαν διελέγξῃ τοῦ γενητοῦ, καὶ διελέγξας ἅμα παρηγορήσῃ. οὐ γὰρ δυνάμεθα διηνεκῶς τὸ ἄξιον τοῦ αἰτίου κεφάλαιον ἐν ψυχῇ ταμιεύσασθαι τῇ ἑαυτῶν, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεός, ἵνα ἀπάσας τὰς ἀνθρωπολογουμένας ὑπερκύψωμεν, ἀλλὰ πλεῖστον μετέχοντες τοῦ θνητοῦ, καὶ χωρὶς αὐτοῦ ἐπινοῆσαι μηδὲν δυνάμενοι, μήτε ἐκδῦναι τὰς ἰδίας κῆρας ἰσχύοντες, ἀλλ' εἰς τὸ θνητὸν εἰσδυόμενοι καθάπερ οἱ κοχλίαι, καὶ περὶ αὐτοὺς ὥσπερ ἐκεῖνοι σφαιρηδὸν εἰλούμενοι, καὶ περὶ τοῦ μακαρίου καὶ ἀφθάρτου καὶ περὶ αὑτῶν δοξάζομεν, τὴν μὲν ἀτοπίαν τοῦ λόγου ὅτι ἀνθρωπόμορφον τὸ θεῖον, ἀποδιδράσκοντες, τὴν δὲ ἐν τοῖς ἔργοις ἀσέβειαν, ὅτι ἀνθρωποπαθές, ἐπιμορφούμενοι. διὰ τοῦτο χεῖρας, πόδας, εἰσόδους, ἐξόδους, ἔχθρας, ἀποστροφάς, ἀλλοτριώσεις, ὀργὰς προσαναπλάττομεν, ἀνοίκεια μέρη καὶ πάθη τοῦ αἰτίου, ὧν ἐστι καὶ ὅρκος τῆς ἡμετέρας ἀσθενείας ἐπικουρία. Ἐὰν δῷ σοι ὁ θεὸς ἃ θέλεις, λέγει Μωσῆς ὁριζόμενος. μὴ δόντος γὰρ οὐχ ἕξεις, ἐπεὶ πάντα αὐτοῦ κτήματα καὶ τὰ ἐκτός, καὶ τὸ σῶμα καὶ ἡ αἴσθησις, καὶ ὁ λόγος καὶ ὁ νοῦς, καὶ αἱ πάντων ἐνέργειαι καὶ οὐσίαι, καὶ οὐ σὺ μόνος, ἀλλὰ καὶ ὅδε ὁ κόσμος, καὶ ὅ, τι ἂν ἀποτέμῃς καὶ διαιρῇς, τοῦτο ἀλλότριον εὑρήσεις. καὶ γὰρ γῆν καὶ ὕδωρ καὶ πνεῦμα, καὶ οὐρανὸν καὶ ἀστέρας, καὶ ζώων καὶ φυτῶν ἀφθάρτων τε

καὶ φθαρτῶν ἰδέας ἁπάσας οὐκ ἴδια κέκτηται· ὥσθ' ὅ,τι ἂν αὐτῶν ἱερεῖον εὑρὼν προσάγῃς, τὸ ἐκείνου προσάξῃς κτῆμα, οὐ τὸ ἑαυτοῦ. παρατήρει δὲ, ὡς πάνυ εὐαγῶς ἀπὸ τῶν δοθέντων ἀφελεῖν διείρηται, οὐχ ὅλα προσάγειν τὰ δοθέντα· μυρία γὰρ ἡμῖν ἡ φύσις ἐπιβάλλοντα ἀνθρώπων γένει δεδώρηται, ὧν ἀμέτοχος ἀπολύτως ἐστὶν αὕτη, γένεσιν ἀγένητος οὖσα, τροφὴν τροφῆς οὐ δεομένη, αὔξησιν ἐν ὁμοίῳ μένουσα, τὰς κατὰ χρόνον ἡλικίας ἀφαίρεσιν ἢ πρόσθεσιν οὐκ ἐπιδεχομένη, σῶμα ὀργανικὸν ἀναλαβεῖν οὐ δυναμένη, προελθεῖν, ἰδεῖν, ἀκοῦσαι, προσενέγκασθαι τροφὴν, τὴν ἐξικμασθεῖσαν ἀποπέμψασθαι πάλιν, ἀτμῶν ἐπικρῖναι διαφορὰς, λόγῳ χρήσασθαι, γέλωτι· πολλὰ καὶ ἄλλα τῶν εἰς χρείαν ἅμα καὶ ὠφελίμους ὑπηρεσίας ἔνεστιν. ἀλλὰ ταῦτα μὲν ἀδιάφορα ἄν τις εἴποι, τὰ δὲ ὁμολογούμενα ἀγαθὰ δεῖν ἀνῆφθαι τῇ φύσει. φέρε δὴ οὖν ἐξετάσωμεν καὶ τῶν πρὸς ἀλήθειαν ἀγαθῶν τὰ μάλιστα παρ' ἡμῖν θαυμαζόμενα, ὧν ἀπολύτως μὴ τυχεῖν κατὰ καιροὺς τοὺς ἁρμόζοντας εὐχόμεθα, τυχόντες δὲ εὐδαιμονέστατοι νομιζόμεθα. τίς οὖν ἀγνοεῖ ὅτι ἀγηρασία καὶ ἀθανασία μέγιστα τῶν ἀνθρωπίνων ἀγαθῶν ἐστιν, ὧν οὐδετέρου κοινωνὸς ἡ φύσις ἀγήρως τε καὶ ἀθάνατος οὖσα. καὶ τί παράδοξον, εἰ τὸ ἀγένητον ἀγαθοῖς οὐκ ἀξιοῖ προσχρῆσθαι, ὁπότε καὶ τὸ γινόμενον αὐτὸ κατὰ τὰς τῶν ἰδεῶν εἰς ἃς τέμνεται διαφορὰς, ἀνομοίων μεταποιεῖται ἀρετῶν· ἄνδρες γοῦν οὐ γυναιξὶν, οὐδὲ γυναῖκες ἀνδράσιν ἁμιλλήσαιντ' ἂν περὶ ὧν μόνοις τοῖς ἑτέροις ἁρμόττει προσεῖναι· ἀλλὰ γυναῖκες γυναιξὶ, πρὸς ἀνδρῶν εἰ ζηλώσαιεν τὰ ἀνδρῶν· οἱ δὲ ἀνδρογύνων εἰ τοῖς γυναικῶν ἐπίθοιντο ἐπιτηδεύμασι, δύσκλειαν οἴσονται. ἐνίας δὲ ἀρετὰς οὕτως ἡ φύσις διακέκρικεν, ὡς μηδὲ ἐξ ἐπιτηδεύσεως εἰς κοινωνίαν ἀχθῆναι δύνασθαι· τὸ γοῦν σπείρειν καὶ γεννᾶν κατ' ἀρετὴν ἀνδρῶν ἴδιον, οὐκ ἂν ὑπάρχοι τοῦτό γε γυνῇ· καὶ μὴν ἀγαθὸν ὑπάρχον γυναικῶν εὐτοκίαν ἀνδρῶν οὐ δέχεται φύσις· ὥστε οὐδὲ τὰ ὅσα ἀνθρώποις, ἐπὶ θεοῦ κυριολογεῖται, κατάχρησις δὲ ὀνομάτων ἐστὶ παρηγοροῦσα τὴν ἡμετέραν ἀσθένειαν. ἄφελε οὖν ὦ ψυχὴ πᾶν γενητὸν, θνητὸν, μεταβλητὸν, βέβηλον ἀπὸ ἐννοίας τῆς περὶ θεοῦ τοῦ ἀγενήτου, καὶ ἀφθάρτου, καὶ ἀτρέπτου, καὶ ἁγίου, καὶ μόνου μακαρίου. τὸ δὲ πᾶν διανοίγοντος μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ φυσικώτατον θύειν. ὥσπερ γὰρ τῇ γυναικὶ πρὸς ζώων γένεσιν οἰκειότατον μέρος ἡ φύσις ἔδωκε μήτραν· οὕτω πρὸς γένεσιν πραγμάτων ὥρισεν ἐν ψυχῇ δύναμιν

A tum mortalium tum immortalium ideas omnes vt res suas possidet. itaque quicquid ex his adduxeris pro victima, Deo suas res offeres non tuas. Et vide quam pius, qui de his, quæ acceperat sumpsit. non totum offert quantum sibi donatum est. plurimas enim res nobis natura conuenientes humano generi donauit, quarum expers est ipsa omnium: vt generationem ipsa ingenita, alimentum quo ipsa non indiget, corpus instrumentale quod ipsa non potest assu- B mere, incessum, visum, auditum, cibos nunc ingerere, nunc digestos egerere, vaporum discernere diuersitates, verba promere, ridere. insunt nobis & alia permulta ad vsus quotidianos necessaria. Verum hæc aliquis indifferentia dixerit, quæ vero ex confesso bona sunt, inesse naturæ. age igitur examinemus ea quoque quæ vt vera bona admiramur, quæ omnia optamus nobis obuenire suo tempore, & adepti vi- C demur felicissimi. Quis ignorat quod carere senio morteque habetur inter humana bona præstantissimum, quæ neutra ad naturam pertinent, quamuis expertem mortis & senij. Et quid mirum si ingenitum illud bonis vti non dignatur, quando & creatura ipsa, secundum idearum in quas diuiditur differentias, dissimiles virtutes expetit. itaque nulla inter viros & mulieres æmulatio est de his quæ sunt alterutris propria: sed mulieres non ab- D stinentes studijs virilibus, viraginum subibunt infamiam: viri vero androgynorum, si tractent exercitia muliebria. Quid quod nonnullas virtutes natura ita discreuit, vt nulla cura possint communicari? & ideo seminare gignereque, quæ propria viri virtus est, non adest mulieri. sicut fœcunditas pariendi, muliebre bonum, non cadit in virorum naturam. itaque ne illa quidem quæ insunt hominibus, de Deo dicun- E tur proprie, sed per quendam abusum nominum quo infirmitati nostræ succurritur. quamobrem aufer ô anima, quicquid est genitum, mortale, mutabile, profanum, quando de Deo ingenito, incorruptibili, immutabili, sancto, solóque beato cogitas. cæterum omne masculinum aperiens vuluam sacrificari Domino, valde naturæ est consentaneum. sicut enim mulieribus ad pariendos fœtus peculiarem partem natura dedit vuluam: ita ad generationem actionum assignauit in anima vim,

A per quam intellectus multa concipiat, parturiat, denique pariat etiam. commenta autem quæ pariuntur, partim mascula partim fœminea sunt, sicut animalia. fœmineus fœtus animæ malicia est & affectio, quibus effœminamur in omnibus studijs: masculus autem, virtus & immunitas ab affectibus, quæ duo nos confirmant & excitant. ex his quicquid ad virile contubernium pertinet Deo consecrandum: quicquid ad conclaue muliebre, nobis attribuendum. & ideo B præcipitur, Omne aperiens vuluam masculinum Domino. addit etiam: Omne aperiens vuluam de armentis & gregibus tuis. Postquam dixit de principalis animæ partis fœtibus, incipit docere de brutæ partis progenie. hæc ad sensus pertinet, quos confert propheta cum armentis & gregibus, cicuribus mansuetisque, vt qui sub pastorum cura degunt. quæ enim libera sinuntur, destituta cicuratore efferantur. at quæ præfectos habent caprarios, bubulcos, pastores, iuxta C quodque genus animantium, ea mansuescunt necessariò. proinde & sensuum genus suapte natura vel mansuetum vel immansuetum est. immansuetum quidem quando contempto regimine intellectus ceu bubulci, fertur sine ratione ad sensibilia. mansuetum vero, quando obsequenter cedens præstantiori animæ parti rationi, ab ea gubernatur & regitur. quicquid igitur videt, audit, & in vniuersum sentit, iuxta intellectus monita, totum masculum atque perfe-D ctum est, quia bene se habent singula. Quicquid autem sine præfecto: corpus nostrum, tanquam ciuitatem magistratu carentem perducit ad interitum. Rursum ex sensibus aliquos intellectum sequentes, qui necessariò potiores sunt, ad Deum referre oportet: contumaces vero imputandi nobis sunt, qui temere impetu eorum rapimur. Nec tantum à iam dictis, sed & à fermento toto præceptum est particulam desumere. Et E erit quando comedetis de fructibus terræ, auferetis particulam separatam Domino. De primitijs fermenti panum vestrorum, particulam auferetis ei. sicut partem de area, sic separabitis id. Fermentum istud proprie, si verum fatendum est, nos ipsi sumus, congestis & commixtis plurimis essentijs, vt ex his absolueremur. frigidum enim cum calido, & aridum cum humido, potestates contrarias commixtas & contemperatas animalium opifex in vnū redigens,

A δι᾽ ἧς κυοφορεῖ καὶ ὠδίνει καὶ ἀποτίκτει πολλὰ διάνοια· τῶν δὲ ἀποκυομένων νοημάτων, τὰ μὲν ἄρρενα, τὰ δὲ θήλεα, καθάπερ ἐπὶ ζώων εἶναι συμβέβηκε. θῆλυ μὲν οὖν ἔγγονον ψυχῆς ἐστι κακία καὶ πάθος, οἷς καθ᾽ ἕκαστον τῶν ἐπιτηδευμάτων ἐκθηλυνόμεθα· ἄρρεν δὲ ἀπάθεια καὶ ἀρετή, ὑφ᾽ ὧν ἐγειρόμεθα καὶ ῥωννύμεθα. τούτων δὲ τὰ μὲν ἀνδρωνίτιν* ἅπαντα ἀνιερωτέον θεῷ, τὰ δὲ γυναικωνίτιν ἀπονεμητέον ἑαυτοῖς· διὸ καὶ προστέτα-B κται, Πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικὰ τῷ κυρίῳ. ἀλλὰ καὶ πάντα, φησί, διανοίγοντα μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι. εἰπὼν περὶ τῶν τοῦ ἡγεμονικοῦ γεννημάτων, ἄρχεται διδάσκειν καὶ περὶ τῶν τοῦ ἀλόγου. ὅπερ αἱ αἰσθήσεις κεκλήρωνται, ἃς κτήνεσιν ἀπεικάζει θρεμμάτων, ὅσα ἐν βουκολίοις ἀνατρέφεται, τιθασὰ καὶ χειροήθη, ἅτε ὑπὸ ἐπιστάτου φροντίδος ἀγόμενα βουκόλου. τὰ μὲν γὰρ ἄφετα καὶ ἠλευθεριάζοντα ἐρημίᾳ τοῦ προστάτου C ἐξαγριαίνεται· ὧν δὲ ἡγεμόνες, αἰπόλοι, βουκόλοι, νομεῖς, τῶν καθ᾽ ἕκαστον εἶδος ἐπιστάται ζώων, ταῦτ᾽ ἐξ ἀνάγκης ἡμεροῦται. πέφυκεν οὖν καὶ τὸ αἰσθήσεων γένος, τῇ μὲν ἀτίθασον, τῇ δὲ εἶναι χειροήθες. ἀτίθασον μὲν οὖν, ὅταν ἀφηνιάσαν ὥσπερ βουκόλου τοῦ νοῦ, φέρηται πρὸς τὰ ἐκτὸς ἀλόγως αἰσθητά· ἥμερον δέ, ὅταν ὑπείξαν πειθηνίως τῷ τοῦ συγκρίματος ἡγεμόνι λογισμῷ κυβερνᾶταί τε καὶ ἡνιοχῆται πρὸς αὐτοῦ. ὅσα μὲν οὖν ἂν ἴδῃ ἢ D ἀκούσῃ, ἢ συνόλως αἰσθάνηται, κατὰ τὴν ἐπικέλευσιν τοῦ νοῦ, πάντα ἐστὶν ἄρρενα, καὶ τέλεια· προσήκεται γὰρ ἑκάστῳ τὸ εὖ· ὅσα δὲ χωρὶς ἡγεμόνος, ὑπὸ ἀναρχίας ὥσπερ πόλιν τὸ σῶμα ἡμῶν διόλλυσι. πάλιν οὖν καὶ τῶν αἰσθήσεων, τὰς μὲν ἑπομένας τῷ νῷ κινήσεις, αἵπερ ἐξ ἀνάγκης ἀμείνους εἰσί, λογιστέον κατὰ θεὸν συμβαίνειν· τὰς δὲ ἀφηνιαζούσας ἀναθετέον αὐτοῖς ἀλόγους ὑπό τε τῶν ἐκτὸς αἰσθήσεων φορᾶς ἀγομένοις. ἀλλ᾽ οὐ μόνον ἀπὸ τούτων, ἀλλὰ καὶ ἀπὸ τοῦ φυράματος ὅλου προστέτακται ἀ-E φαιρεῖν. ἡ δὲ πρόσταξίς ἐστι τοιάδε, Καὶ ἔσται ὅταν ἐσθίητε ἀπὸ τῶν καρπῶν τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα, ἀφόρισμα κυρίῳ· ἀπαρχὴν φυράματος ὑμῶν ἄρτον, ἀφαίρεμα ἀφελεῖτε αὐτοῦ ὡς ἀφαίρεμα ἅλωνος, οὕτως ἀφελεῖτε αὐτό. τὸ τοίνυν φύραμα κυρίως, εἰ χρὴ τἀληθὲς λέγειν, ἡμεῖς ἐσμὲν αὐτοί, συμπεφορημένων καὶ συγκεκραμένων πλείστων οὐσιῶν, ἵνα ἀποτελεσθῶμεν. ψυχρὸν γὰρ θερμῷ, καὶ ξηρὸν ὑγρῷ δυνάμεις ἐναντίας μίξας καὶ ἀνακερασάμενος ὁ ζωοπλάστης, ἓν ἐκ πασῶν

*ἱερὰ ἅπ.

ἕκαστον ἡμῶν ἀπειργάσατο συμφόρημα, ἀφ' οὗ τὸ φύραμα εἴρηται, τούτου τοῦ συμφορήματος, ὁ ψυχὴ καὶ σῶμα δύο τὰ ἀνωτάτω τμήματα κεκλήρωται, ὧν τὰς ἀπαρχὰς ἀνιερωτέον. ἀπαρχαὶ δέ εἰσιν, ἅγιαι κινήσεις αἱ κατ' ἀρετὴν ἑκατέρου· διὸ καὶ ἅλῳ παραβέβληνται. καθάπερ οὖν ἐν τῇ ἅλῳ εἰσὶ πυροὶ καὶ κριθαὶ, καὶ ὅσα τοιαῦτα καθ' ἑαυτὰ χωρίζεται, ἀθέρες δὲ καὶ ἄχυρα καὶ εἴ τις ἄλλος φορυτὸς ἑτέρωσε σκίδναται· οὕτω καὶ παρ' ἡμῖν, τὰ μέν ἐστιν ἄριστα καὶ ὠφέλιμα καὶ τὰς ἀληθεῖς τροφὰς περιέχοντα, δι' ὧν ὁ ὀρθὸς ἀποτελεῖται βίος, ἅπερ ἀναθετέον θεῷ· τὰ δ' ἄλλα ὅσα μὴ θεῖα ἀπολειπτέον ὥσπερ σκύβαλα γένει τῷ θνητῷ. ἀπὸ μέντοι τούτων ἀφαιρετέον. εἰσὶ δὲ δυνάμεις ἀμιγεῖς κακίας ὅλαι δι' ὅλων, ἃς οὐ θέμις ἀκρωτηριάζειν διαιροῦντας, ἐοίκασι δὲ ἀμερίστοις θυσίαις ὁλοκαυτώμασιν, ὧν ἐναργὲς παράδειγμα Ἰσαάκ, ὃν ἱερείου τρόπον ἀνάγειν προστέτακται, μηδενὸς πάθους φθοροποιοῦ λελωβημένον. λέγεται δὲ καὶ δι' ἑτέρων, Τὰ δόματά μου, δῶρά μου, καρπώματά μου διατηρήσετε προσφέρειν ἐμοὶ ἐν ταῖς ἑορταῖς, οὐκ ἀφαιροῦντας, οὐδὲ διανέμοντας, ἀλλ' ἔμπλεα καὶ ὁλόκληρα καὶ τέλεια προσάγοντας. ἑορτὴ γὰρ ψυχῆς ἡ ἐν ἀρεταῖς εὐφροσύνη τελεία· τέλειαι δὲ αἱ κηρῶν ἀμέτοχοι ὅσας τὸ ἀνθρώπινον γένος χωρεῖ. μόνος δὲ ἑορτάζει τὴν τοιαύτην ἑορτὴν ὁ σοφὸς, τῶν δ' ἄλλων οὐδείς. ἄγευστον γὰρ παθῶν ἢ κακιῶν ψυχὴν εὑρεῖν σπανιώτατον. ἀποδοὺς οὖν τὸν περὶ τῶν μερῶν τῆς ψυχῆς ἡγεμονικοῦ τε καὶ ὑπηκόου λόγον, καὶ τί ἐστιν ἐν ἑκατέρῳ ἄρρεν ἢ θῆλυ, μετὰ ταῦτα περὶ σώματος ἀκολούθως ἐκδιδάσκει. σαφῶς γὰρ εἰδὼς ὅτι δίχα πόνου καὶ ἐπιμελείας οὐχ οἷόν τε γενεᾶς τῆς ἄρρενος ἐπιλαχεῖν, φησὶν ἑξῆς, Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτῳ, ἴσον τῷ, πάντα πόνον ἀντικαταλλάξῃ τῆς προκοπῆς. πόνου μὲν γὰρ ὄνος· πληκτικὸν γὰρ τὸ ζῷον· προκοπῆς δὲ, πρόβατον, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα, σύμβολόν τι ὂν ἐπὶ τῆς τῶν τεχνῶν καὶ ἐπιτηδευμάτων καὶ τῶν ἄλλων ὅσα διδακτὰ μελέτης, μὴ ὀλιγώρως μηδὲ ῥαθύμως, ἀλλὰ μετὰ φροντίδος τῆς πάσης παρεσκευακότα τὴν σαυτοῦ διάνοιαν ὑποστῆναι καρτερῶς πάντα κάματον, καὶ σπουδάσαι μὴ ὑπὸ ἀμελείας καταρρεῦσαι πόνου· προκοπὴν δὲ καὶ βελτίωσιν ἐπὶ τὸ εὐκλεέστατον ἄγοντα τέλος εὑρέσθαι. προκοπῆς γὰρ χάριν οἰστὸς ὁ πόνος. ἐὰν δὲ ἄρα σὺ μὲν ἀναδέχῃ τὸν ἐκ τοῦ πόνου κάματον, ἡ δὲ φύσις μηδὲν ἐπιδιδῷ πρὸς τὸ ἄμεινον,

A vnumquemque nostrum fecit ex ea congerie, quæ intelligitur fermenti nomine: cuius primariæ duæ partes anima & corpus, primitiæ Deo consecrandæ sunt. sunt autem primitiæ, sancti & ad virtutem pertinentes motus partis vtriusque, ideo conferuntur cum area. ergo sicut in area triticum hordeúmque & id genus alia seorsum separantur, aristæ vero & paleæ & huiusmodi quisquiliæ dissipantur aliò: ita etiam apud nos alia sunt optima, vtilia, veros cibos præbentia, B per quæ recta vita perficitur, quæ quidem offerenda Deo sunt: alia vero parum diuina relinquenda velut reiectamenta mortali generi. ab his tamen auferendæ particulæ. sunt item potentiæ totæ puræ à malicia, quas diuidendo mutilare nefas est, similes non diuidendis victimis, scilicet holocautomatis: quarum manifestū exemplum Isaac, qui more victimæ duci iussus est, nulla corruptibili affectione oblæsus. alibi quoque dicitur: C Munera mea, dona mea, sacrificia mea seruabitis offerenda mihi in diebus festis, nihil adimendo neque diuidendo, sed plena integra perfectáque adducendo. Festum enim animæ est perfecte lætari virtutibus. est autem perfecta lætitia expers morborum humano generi accidentium. tali festo solus sapiens fruitur, prætерea nemo. nam anima quæ nullum affectum aut vitium gustarit inuenitur rarissime. Reddita igitur ratione de partibus animæ, D tum rectrice tum subdita, quidve sit in vtraque masculinum aut fœmininum, consequenter docet de corpore. Sciens enim certo quod absque labore & cura non est possibile adipisci progeniem masculam, dicit deinceps: Omne aperiens vuluam asini, permutabis oue: ac si dicat: omnem laborem permutabis profectu. Laborem enim asinus significat animal patiens: profectum vero ouis, sicut vox Græca προβάτον indicat. submonemur autem his, E ne segnes simus in studijs artium cæterorúmque quæ meditatione discimus, sed accuratissime præparata mente subsistamus fortiter aduersus omnem lassitudinem, demúsque operam ne labor coniunctus sit cum negligentia: & vt vsque proficiendo ad gloriosum finem perueniamus. propter profectum enim labor sustinendus est. quod si te tolerante laboris difficultatem, ingenium tuum nihilo reddatur melius,

repugnétque profectui, desiste & quiesce. Durum enim est aduersari naturæ. ideo additur: Quod si non permutaueris, redimes id. hoc est, si non poteris profectu mutare laborem, noli laborare. hoc enim redemptio significat, liberare animam ab inani cura & inutili. hæc autem non de virtutibus dico, sed de his artibus quæ medij sunt generis, déque alijs necessarijs ad curam corporis, & ad externa bona quærenda. nam labor qui propter vera bona & perfectam honestatem suscipitur, etiamsi ad scopum non perueniat, per seipsum ad sectatores suos iuuandos sufficit. virtute autem excepta quicquid non absoluitur, nullam affert vtilitatem. quemadmodum in animalibus si caput adimas pereunt cætera omnia. Caput autem negotiorum est finis eorum: quo adhibito viuunt quodammodo: moriuntur autem mutilata si illud præcidere volueris. itaque & athletæ qui non possunt reportare victoriam semper succumbentes, ab incepto desistant: & si quis negotiator aut nauclerus maria sulcans infortunatus est, mutata vitæ ratione quiescat: & quotquot medijs artibus studendo, propter ingenium durius non valent eas assequi, laudem merebuntur si desinant. non enim propter exercitium exercemus talia, sed propter scopum ad quem ea referuntur. ergo si forte ingenium in eodem vestigio hærens nolit se promouere ad meliora, ne frustra contendamus. quod si ab eo iuuabimur, primitijs honoribúsque Deum colamus, quibus anima redimitur, & exempta immitium herorum dominio in libertatem asseritur. Moses enim fatetur, Leuitas qui pro primogenitis cultores facti sunt eius qui solus colendus est, redemptionem esse cæterorum omnium. Ego, inquit, tuli Leuitas de medio filiorum Israel, vt redimerentur eis: erúntque mihi Leuitæ. meum est enim omne primogenitum, ex quo percussi primogenita in terra Ægypti: sanctificaui mihi quicquid primum nascitur in Israel. ratio quæ ad Deum confugit suppliciter, nominatur Leuita. Hunc è meditullio & principali animæ parte desumptum, electum & in sortem suam receptum, portione quæ maiori natu debetur dignatus est: vt inde satis liqueat, Rubim quidem Iacobi, Leui autem Israelis esse primogenitum: quorum ille tempore, hic dignitate ac

A ἐναντιουμένην τὴν ἐκ προκοπῆς ἐπίδοσιν, μεταπεσόμενος ἠρέμει. χαλεπὸν γὰρ ἐναντιοῦσθαι φύσει· διὸ καὶ προστίθησιν, Ἐὰν δὲ, φησὶ, μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό. ὅπερ ἐστὶν, ἐὰν δὲ μὴ δυνῃ προκοπὴν ἀλλάξασθαι τοῦ πόνου, μέθες καὶ τὸν πόνον. τὸ γὰρ λυτρώσασθαι τοιοῦτον ὑποβάλλει νοῦν, ἐλευθερῶσαι τὴν ψυχὴν ματαίου καὶ ἀτελοῦς φροντίδος. λέγω δὲ ταῦτα οὐ περὶ τὴν ἀρετὴν, ἀλλὰ περὶ τῶν μέσων τεχνῶν καὶ τῶν ἄλλων ἀναγκαίων περί τε σώματος ἐπιμέλειαν καὶ τὴν τῶν ἐκτὸς περιουσίαν ὅσα πραγματεύονται. ἐπεὶ δή γε περὶ ἀγαθῶν καὶ καλῶν τελείων πόνος κἂν ὑστερίζῃ τοῦ τέλους, ἱκανὸς ἐξ αὐτοῦ προσωφελῆσαι τοὺς χρωμένους, τὰ δὲ ὅσα ἐκτὸς ἀρετῆς, εἰ μὴ προσγένηται τὸ πέρας, ἀνωφελῆ πάντα· ὥσπερ ἐπὶ ζώων ἐὰν ἀφέλῃς κεφαλὴν, οἴχεται τὰ ἄλλα. κεφαλὴ δὲ πραγμάτων ἐστὶ, τὸ τέλος αὐτῶν, ᾧ ζῇ μέν ἔστιν πῇ ἐφαρμοζόμενα, ἀποθνήσκει δὲ, ἐὰν ἐκτεμεῖν καὶ ἀκρωτηριάζειν ἐθελήσῃς· ὥστε καὶ ἀθληταὶ μὴ δυνάμενοι νικηφορεῖν, ἀεὶ δὲ ἡττώμενοι, καταλυέτωσαν· καὶ εἴ τις ἔμπορος ἢ ναύκληρος θαλαττεύων ἐπαλλήλοις κακοπραγίαις χρῆται, μεταβαλόμενος * ἠρημείτω· ὅσοι τε τὰς μέσας ἐπιτηδεύσαντες τέχνας, μηδὲν ἠδυνήθησαν διὰ σκληρότητα φύσεως μάθημα παραδέξασθαι, ἐπαινετοὶ καταλύοντες. οὐ γὰρ ἕνεκα ἀσκήσεως ἀσκεῖται τὰ τοιαῦτα, ἀλλὰ τοῦ πρὸς ὃν ἀναφέρεται σκοποῦ. ἐὰν μὲν οὖν ἐμποδοστατῇ πρὸς ἀμείνους ἐπιδόσεις ἡ φύσις, μὴ * ἀνόητα ἀντιτείνωμεν, συμπραττούσης δὲ, ἀπαρχαῖς καὶ τιμαῖς γεραίρωμεν τὸ θεῖον, αἳ λύτρα τῆς ψυχῆς εἰσὶ, δεσποτῶν ἀνημέρων αὐτὴν ἀπαλλάττουσαι, καὶ εἰς ἐλευθερίαν ἐξαιρούμεναι. καὶ γὰρ τοὺς Λευίτας ὁμολογεῖ Μωσῆς τοὺς ἀντὶ τῶν πρωτοτόκων γενομένους θεραπευτὰς τοῦ μόνου ἀξίου θεραπεύεσθαι, λύτρα τῶν ἄλλων ἁπάντων εἶναι. Κἀγὼ γὰρ, φησὶν, ἰδοὺ εἴληφα τοὺς Λευίτας ἐκ μέσου υἱῶν Ἰσραήλ. λύτρα αὐτῶν ἔσονται, καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται. ἐμοὶ γὰρ πᾶν πρωτότοκον, ἐν ἡμέρᾳ ᾗ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασα ἐμοὶ πᾶν πρωτότοκον Ἰσραήλ. ὁ καταφυγὼν ἐπὶ τὸν θεὸν καὶ ἱκέτης αὐτοῦ γεγονὼς λόγος, ὀνομάζεται Λευίτης, τοῦτον ἐκ τοῦ μεσαιτάτου καὶ ἡγεμονικωτάτου τῆς ψυχῆς λαβὼν, τουτέστιν προσλαβόμενος καὶ προσκληρώσας ἑαυτῷ, τῆς τῶν πρεσβείων ἠξίωσε μερίδος· ὥστε ἐνθένδε δῆλον εἶναι, ὅτι ὁ μὲν Ῥουβὶμ τοῦ Ἰακὼβ, ὁ δὲ Λευὶ τοῦ Ἰσραὴλ πρωτοτοκός ἐστιν, ὁ μὲν τῷ χρόνῳ, ὁ δὲ τῷ ἀξιώματος καὶ

ἠρεμείτω

ἀνόνητα

δυνάμεως φερόμενος πρεσβεῖα. πόνου μὲν γὰρ καὶ προκοπῆς ὢν Ἰακὼβ σύμβολον, τῆς εὐφυοῦς ἀρχῆς, καθ' ἣν ὁ Ῥουβὶμ νοεῖται· θεωρίας δὲ τῆς τοῦ μόνου σοφοῦ, καθ' ἣν Ἰσραὴλ τέτακται, πηγὴ, τὸ θεραπευτικῶς ἔχειν αὐτοῦ· θεραπείας δὲ ὁ Λευίτης ἐστὶ σημεῖον. καθάπερ οὖν τὴν Ἡσαῦ πρωτοτοκίων κληρονόμος Ἰακὼβ εὑρίσκεται, τῆς περὶ κακίας σπουδῆς ἡττωμένης πρὸς τὸν καλοῦ πόνον· οὕτω καὶ τὰ Ῥουβὶμ πρεσβεῖα τῆς εὐφυοῦς ὁ κεχρημένος ἀρετῇ τελείᾳ Λευὶ οἴσεται, τὸ δὲ τελειότητος δεῖγμα ἐναργέστερον, πρόσφυγα γενέσθαι θεοῦ, καταλιπόντα τὰ τῆς ἐν γενέσει πραγματείας. ταῦτά ἐστι τὰ, κυρίως εἰπεῖν, ψυχῆς ἐλευθερίας ἐφιεμένης σῶστρα καὶ λύτρα. μή ποτε δὲ καὶ δόγμα εἰσηγεῖται σφόδρα ἀναγκαῖον, ὅτι πᾶς σοφὸς λύτρον ἐστὶ τοῦ φαύλου, μηδ' ἂν πρὸς ὀλίγον χρόνον ἐξαρκέσοντος, εἰ μὴ ἐλέῳ καὶ προμηθείᾳ χρώμενος ἐκεῖνος, προὐνόει τῆς διαμονῆς αὐτοῦ· καθάπερ ἰατρὸς τοῦ νοσοῦντος ἀντιτεταγμένος τοῖς ἀρρωστήμασι, καὶ ἢ πρᾳότερα κατασκευάζων αὐτὰ, ἢ συνόλως ἀναιρῶν, εἰ μή που μετὰ φορᾶς ἀνεπισχέτου βιασαμένης, καὶ τὴν τῆς θεραπείας ὑπερβάλλοι φροντίδα. οὕτω γὰρ ἂν καὶ σῶμα φθείροιτο, μηδενὸς οἷα ἐπὶ πλάστιγγος ἀμυθήτω πλήθει κακῶν ἀντιρρέψαι δυνηθέντος ἀγαθοῦ· ὡς εἴ γε ὁ πεντηκοστὸς λόγος εὑρέθη, καθ' ὃν ἄφεσις ψυχῇ δουλείας καὶ παντελὴς ἐλευθερία προκηρύττεται, ἤ τις τῶν μετ' αὐτὸν ἀριθμῶν, οὓς ὁ σοφὸς Ἀβραὰμ καταλέγει, μέχρι τῆς κατὰ παιδείαν ὁρίζων δεκάδος τὴν ὕφεσιν, οὐκ ἂν οὕτως ἀκλεῶς ὁ νοῦς ἐφθάρη. πειρατέον μέντοιγε δεῖ καὶ τοὺς μὴ πάντως ὑπὸ τῆς ἐν αὑτοῖς διαφθαρησομένους κακίας, ὡς οἷόν τε διασώζειν. μιμουμένους τοὺς ἀγαθοὺς τῶν ἰατρῶν, οἳ κἂν ὁρῶσιν ἀδύνατον τοῖς κάμνουσι τὸ σώζεσθαι, προσφέρουσι τὴν θεραπείαν ὅμως ἄσμενοι, τὸ μὴ τῇ περὶ αὐτοὺς ὀλιγωρίᾳ δοκεῖν συμβῆναί τι τῶν παρὰ γνώμην. εἰ δέ τι καὶ μικρὸν ὅσον ὑγείας σπέρμα ἐμφαίνοιτο, τοῦτο ὥσπερ ἐμπύρευμα πάσαις ἐπιμελείαις ζωπυρητέον. ἐλπὶς γὰρ, μηκυνθέντος καὶ αὐξηθέντος, ἀμείνονι καὶ ἀπλαστοτέρῳ χρήσασθαι βίῳ. ἔγωγ' οὖν ὅταν τινὰ τῶν σπουδαίων διατρίβοντα κατ' οἰκίαν, ἢ κατὰ πόλιν θεάσωμαι, τὴν οἰκίαν καὶ τὴν πόλιν ἐκείνην εὐδαιμονίζω, καὶ οἴομαι τήν τε τῶν παρόντων ἀγαθῶν ἀπόλαυσιν βέβαιον, καὶ τὴν *ἀπόντων προσδοκίαν τελεσφορουμένην χρήσειν, τοῦ θεοῦ τὸν ἀπερίοριστον καὶ ἀπερίγραφον πλοῦτον αὐτοῦ διὰ τοὺς ἀξίους καὶ τοῖς ἀναξίοις δωρουμένου. καὶ

*ἐπιόντων

A potentia ius primogenitorum sibi vindicat. Iacob enim cum laborem & profectum significet, principium est bonæ indolis, quæ in Rubim intelligitur. contemplationis autem quæ solum sapientẽ Deũ intuetur, iuxta nomen Israelis, fons est illum colere propenso animo: quem cultum Leuita significat. ergo sicut Esau iuris primogenitorum hæres Iacob inuenitur, studio vitiorum victo à labore honesto: ita & bono ingenio præditi Rubim primatum ætatis Leui perfectæ virtuti deditus auferet. cuius perfectionis
B signum manifestius, quod ad Deum confugit relictis ad quæ natus fuerat negotijs. hæ sunt illæ propriæ mercedes quibus anima libertatis auida redimitur. quid autem si hic quoque dogma introducitur valde necessarium? quod omnis sapiens stulti est redemptio mercésque, ne minimo quidem tempore duraturi, nisi ille misericordia sua prouidẽtiáque impulsus incolumitati eius prospiceret: sicut medicus ægroto, morbis eius resistens, & aut mitiores reddens, aut omni-
C no tollens, nisi tanta sit morbi vis & contumacia, vt longe curationem superet. tunc enim pereundum est corpori, quando in ea bilance immensum prægrauantibus malis, bonorum è diuerso nullum pondus est. vbi si inuenta esset quinquagenaria ratio, iuxta quam anima seruituti exempta in totum libera pronunciatur, aut aliquis sequentium numerorum quos ille sapiens Abraham enumerat, descendens vsque denarium eruditioni
D peculiarem numerũ, non perisset mens tam ignobiliter. conandum tamen est vt etiam certo perdendos à suis vitijs seruemus quantum possumus, imitando bonos medicos: qui quamuis videãt haud posse ægrum à se seruari, tamen libẽter omnem curationem admouent, ne per ipsorum negligentiam videatur res non successisse ex sententia. quod si vel minima sanitatis scintilla se ostenderit, ea diligentissime sicut in foco accendenda est. sperandum enim fore vt vita prorogata
E mutetur in melius, magísque sibi in posterum à lapsu caueat. Equidem quando aliquem bonũ virum habitantem in aliqua domo aut vrbe video, & domum & vrbem illam beatam prædico, ratus tum præsentem felicitatem ei mansuram perpetuo, tum absentẽ expectandam cumulatiorem, Deo vltra modum mensuráque diuitias suas in gratiam dignorum etiam in indignos profundere solito. quibus quia ne senescant precari mihi non licet,

precor vitam longissimam, existimans tam diuturnam felicitatem fore hominibus, quam longum illis vitæ tempus contigerit. proinde audita morte alicuius eorum, magna tristitia magnóque dolore afficior, non tam ipsorum vicem dolens quam superstitum. illos enim naturæ ordine necessario manet is exitus, vt post vitam feliciter exactam gloriosa mors eos excipiat. istis vero destitutis magna potentique manu qua protecti antea fuerant, suorum malorum sensus imminet: nisi natura tanquam in arbore de qua maturi fructus defluunt, alios recentes substituat, quibus alantur fruantúrque quibuscunque datum est. quemadmodum igitur ciuitatum certissimum munimentum viri fortes sunt: ita in vniuscuiusque nostrum ciuitate, quæ constat ex anima & corpore, pro firmissimo propugnaculo sunt cogitationes amicæ prudentiæ: quas legislator per translationem vocat mercedem redemptorum & primogenitos, ex causis iam ante dictis. propterea ciuitates quoque Leuitarum immunes semper fore ait: quia Dei cultor libertate sempiterna fruitur, iuxta continuas mutationes animæ nunquam non mobilis, sanationes recipiens alias super alias. quod enim ait immunes non semel, sed in perpetuum, ita intelligere debemus, semper eas mutari, verùm semper in integrum restitui: quando mutatio à natura mortali est eis indita: libertas vero Deo curante superuenit. Illud quoque non obiter considerandum videtur, cur nam ciuitates Leuitarum concessæ sint profugis, vt cum sacratis viris profani omnium existimatione cohabitarent. hi sunt qui non sponte cædem fecerunt. primum igitur dicendum quod consentit cum modo dicto, bonum virum mali esse redemptionem. itaque merito peccatores ad sacerdotes veniunt, vt purificentur. deinde, à leuitis ideo admitti profugos, quia & ipsi potentia sunt profugi. quemadmodum enim illi pelluntur procul patria: sic & isti reliquerunt liberos, parentes, germanos, quicquid familiarissimum est & charissimum, vt pro mortali sorte immortalem inuenirent. hoc tantum interest, quod illi nolentes exulant ob facinus quod nolentes admisere: isti volentes profugiunt rerum optimarum amore: & quod illis Leuitæ sunt refugium, Leuitis autem præses rerum om-

A εὔχομαί γε ὡς πολυχρονιωτάτοις αὐτοῖς, ἐπεὶ ἀγήρως οὐκ ἔστι, γενέσθαι, νομίζων ἐπὶ τοσοῦτον παραμένειν ἀνθρώποις τἀγαθά, ἐφ᾽ ὅσον ἂν οὗτοι χρόνον ζῆν δυνηθῶσιν. ὅταν οὖν ἴδω ἢ ἀκούσω τινὰ αὐτῶν τεθνεῶτα, σφόδρα κατηφῶ καὶ ἄχθομαι, καὶ οὐ μᾶλλον αὐτούς, ἢ τοὺς ζῶντας ὀλοφύρομαι. τοῖς μὲν γὰρ ἀκολουθίᾳ φύσεως τὸ ἀναγκαῖον ἀποβεβήκει τέλος, βίον μὲν εὐδαίμονα, εὐκλεᾶ δὲ θάνατον ἐνδεξαμένοις. οἱ δ᾽ ἔρημοι μεγάλης καὶ
B δυνατῆς χειρὸς δι᾽ ἣν ἐσῴζοντο ἀπολειφθέντες, ταχὺ δὴ μάλα τῶν ἰδίων αἰσθήσονται κακῶν, εἰ μὴ πάλιν ἀντὶ τῶν προτέρων ἡ φύσις ὥσπερ δένδρῳ τοὺς ἤδη πεπανθέντας καρποὺς ἀποβαλόντι, νέους ἑτέρους ἀναβλαστῆσαι παρασκευάσῃ πρὸς τροφὴν καὶ ἀπόλαυσιν τῶν χρῆσθαι δυναμένων. ὥσπερ οὖν τῶν πόλεων τὸ ὀχυρώτατον εἰς διαμονὴν ἄνδρες εἰσὶν ἀγαθοί, οὕτω καὶ τῆς περὶ ἕκαστον ἡμῶν πόλεως, ἣ συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, τὸ βεβαιότατον εἰς ἵδρυσιν ἔλαχον οἱ φρονήσεως
C ἐρασταὶ λόγοι, οὓς ὁ νομοθέτης μεταφορᾷ χρώμενος λύτρα καὶ πρωτότοκα καλεῖ, δι᾽ ἃς εἶπον αἰτίας ἤδη. ταύτῃ καὶ τὰς πόλεις τῶν λευιτῶν λυτρωτὰς διὰ παντὸς εἶναί φησιν, ὅτι ὁ θεοῦ θεραπευτὴς αἰώνιον ἐλευθερίαν κεκάρπωται, κατὰ τὰς συνεχεῖς τροπὰς τῆς ἀεικινήτου ψυχῆς ἰάσεις δεχόμενος ἐπαλλήλους. τὸ γὰρ λυτρωτὰς μὴ ἅπαξ, ἀλλὰ διὰ παντὸς ὥς φησι γενέσθαι, τοιοῦτον ὑποβάλλει νοεῖν, ἀεὶ μὲν τρέπεσθαι, ἀεὶ δὲ ἐλευθεροῦσθαι, τῆς μὲν τροπῆς
D διὰ τὸ φύσει θνητὸν ἐγγινομένης, τῆς δὲ ἐλευθερίας διὰ τὴν τοῦ θεοῦ θεραπείαν ἐπιγινομένης. ἄξιον δὲ μὴ παρέργως σκέψασθαι, τί δήποτε τὰς πόλεις τῶν λευιτῶν ἀνῆκε τοῖς φυγάσι, τοῖς ἱερωτάτοις τοὺς ἀνιέρους εἶναι δοκοῦντας συνοικεῖν ἀξιώσας· οὗτοι δ᾽ εἰσὶν οἱ τὸν ἀκούσιον φόνον δράσαντες. λεκτέον οὖν πρῶτον μὲν τἀκόλουθον τῷ πρότερον ῥηθέντι, ὅτι σπουδαῖος τοῦ φαύλου λύτρον· ὥστε εἰκότως πρὸς τοὺς ἱερωμένους οἱ διαμαρτόντες
E ἀφίξονται, τοῦ καθαρθῆναι χάριν. ἔπειθ᾽ ὅτι φυγάδας οἱ λευῖται προσίενται, καὶ αὐτοὶ δυνάμει φυγάδες ὄντες. ὡς γὰρ ἐκεῖνοι τὴν πατρίδων ἐλαύνονται, οὕτω καὶ οὗτοι καταλελοίπασι τέκνα, γονεῖς, ἀδελφούς, τὰ οἰκειότατα καὶ φίλτατα, ἵν᾽ ἀντὶ θνητοῦ τὸν ἀθάνατον κλῆρον εὕρωνται. διαφέρουσι δέ, ὅτι ἐκείνοις μὲν ἀβούλητος ἡ φυγὴ δι᾽ ἔργον ἀκούσιον, τούτοις δ᾽ ὁ δρασμὸς ἑκούσιος δι᾽ ἔρωτα τῶν ἀρίστων· καὶ ὅτι τοῖς μὲν οἱ λευῖται καταφυγή, τοῖς δὲ λευίταις ὁ πάντων ἡγε-

μόνον ἐστὶν, ἵν' οἱ μὲν ἀτελεῖς νόμιμον ἔχωσι τὸν ἱερὸν λόγον, οὗτοι δὲ τὸν ᾧ ἱερῶνται θεόν. ἔτι γε μὴν οἱ τὸν ἀκούσιον φόνον δράσαντες, τὰς αὐτὰς τοῖς λευίταις πόλεις ἔλαχον οἰκεῖν, ὅτι καὶ οὗτοι διὰ φόνον ὁσίου προνομίας ἠξιώθησαν. ὅτε γοῦν ἡ ψυχὴ τραπεῖσα τὸν αἰγύπτιον θεὸν τὸ σῶμα ὡς χρυσὸν ἐξετίμησε, τότε οἱ ἱεροὶ λόγοι πάντες αὐτοκέλευστοι μεθ' ὅπλων ὁρμήσαντες ἀμυντηρίων, τῶν κατ' ἐπιστήμην ἀποδείξεων, ἡγεμόνα προστησάμενοι καὶ στρατηγὸν τὸν ἀρχιερέα καὶ προφήτην καὶ φίλον τοῦ θεοῦ Μωϋσῆν, πόλεμον ἀκήρυκτον ὑπὲρ εὐσεβείας πολεμοῦσι, καὶ οὐ πρότερον ἀπηλλάγησαν, ἢ πάντα τὰ τῶν ἐναντιουμένων δόγματα καταλῦσαι· ὥστ' εἰκότως σύνοικοι γεγόνασιν οἱ τὰς ὁμοίας καὶ μὴ τὰς αὐτὰς πράξεις ἐργασάμενοι. ᾄδεται δέ τις καὶ τοιοῦτος ὡς ἐν ἀπορρήτοις λόγος, ὃν ἀκοαῖς πρεσβυτέρων παρακαταθέσθαι χρὴ, νεωτέρων ὦτα ἐπιφράξαντας. τῶν γὰρ περὶ τὸν θεὸν δυνάμεων ἀρίστων πασῶν μία οὖσα ταῖς ἄλλαις ὁμότιμος ἡ νομοθετική· νομοθέτης γὰρ καὶ πηγὴ νόμων αὐτὸς, ὑφ' οὗ πάντες οἱ κατὰ μέρος νομοθέται· διχῆ πέφυκε τέμνεσθαι. τοῦ μὲν οὖν προτέρου τμήματος ὑπηρέτης ὁ λευίτης ἐστί. τὰς γὰρ λειτουργίας ἁπάσας ἀναδέχεται, ὅσαι πρὸς ἱερωσύνην ἀναφέρονται τελείαν, καθ' ἣν διανίσταται καὶ γνωρίζεται τὸ θνητὸν θεῷ, ἢ δι' ὁλοκαυτωμάτων, ἢ διὰ σωτηρίων, ἢ διὰ μετανοίας ἁμαρτημάτων. τοῦ δὲ ἑτέρου καὶ κολαστηρίου τμήματος, οἱ τὸν ἀκούσιον φόνον δρῶντες, ὑπηρέται γεγόνασι· καὶ μαρτυρεῖ Μωϋσῆς φάσκων, Ὁ δὲ οὐχ ἑκὼν, ἀλλ' ὁ θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ· ὥστε τὰς μὲν τούτου χεῖρας ὀργάνου τρόπον παραλαμβάνεσθαι· τὸν δὲ διὰ τούτων ἀοράτως ἐνεργοῦντα, ἕτερον εἶναι τὸν ἀόρατον. συνοικείτωσαν οὖν δύο θεράποντες τῆς νομοθετικῆς ὑπηρέται δύο εἰδῶν· τοῦ μὲν πρὸς εὐεργεσίαν λευίτης· τοῦ δὲ πρὸς κόλασιν, ὁ ἀκουσίως ἀνελών. Ἐν ᾗ δὲ, φησὶν, ἡμέρα ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἡγίασά μοι πᾶν πρωτότοκον Ἰσραήλ· οὐχ ἵνα τοῦθ' ὑποτοπήσωμεν ὅτι κατ' ἐκεῖνον μόνον τὸν χρόνον καθ' ὃν ἐπλήγη τὴν μεγάλην πληγὴν φθορᾷ τῶν πρωτοτόκων Αἴγυπτος, οἱ Ἰσραὴλ πρωτότοκοι ἐγένοντο ἅγιοι· ἀλλ' ὅτι καὶ πάλαι καὶ νῦν καὶ αὖθις καὶ ἀεὶ τοῦτο συμβαίνειν ἐπὶ ψυχῆς πέφυκεν, ὅταν τὰ τοῦ τυφλοῦ πάθους ἡγεμονικώτατα διαφθαρῇ, τηνικαῦτα τὰ τοῦ θεοῦ ὀξυδερκῶς ὁρῶντος πρεσβύτερα καὶ τίμια ἔκγονα γὰρ ἅγια· κακίας γὰρ ἔξοδος ἀρετῆς εἴσοδον ἐργάζεται, ὡς καὶ

A nium: vt imperfecti quidem legem habeant sacram scripturam, isti vero Deum cui consecrati sunt. Præterea qui non sponte cædem fecerunt, ideo easdem cum Leuitis ciuitates ad incolendum sortiti sunt, quia & isti propter cædem factam priuilegium consecuti sunt. cum enim anima parum sibi constans ad illum Ægyptium Deum corpus tanquam ad aurum honorandum se conuertit: tunc sacri sermones omnes sua sponte correptis telis, id est eruditis demonstrationibus, ductu imperióque summi pontificis ac vatis amici Deo Mosis, quem sibi præfecerant, bellum acerrimum pro pietate susceperunt, nec prius destiterunt, quam debellatis omnium aduersariorum dogmatibus, itaque merito idem acceperunt domicilium, qui eadem quamuis non eodem modo fecerant. Est & alia non incelebris vt inter secreta ratio, deponenda penes aures seniorum, obturatis interim iuniorum auribus. Ex Dei potentiis optimis omnibus vna cæteris honore par, quæ ad legum lationem pertinet (nam ipse summus legislator est, fons legum, cæterorúmque legislatorum particularium) bifariam potest diuidi. prioris partis minister Leuita est: omnibus enim ritibus fungitur, qui referuntur ad perfectum sacerdotium, per quod assurgit ad Deum genus humanũ, eique familiare redditur, siue per holocautomata, siue per sacrificia quæ pro salute fiunt, aut pro peccatis quorum pœnitet. Alterius autem partis quæ ad pœnas noxiis infligendas spectat, ministri fiunt, qui cædem committũt absque animi proposito, attestante Mose: Nolẽs, inquit, fecit, sed Deus tradidit eum in manus eius. Itaque huius manibus pro instrumento vsus est: & qui inuisibiliter per eas operatus est, alter est ipse quoque inuisibilis. Cohabitent igitur duo famuli, executores duarum legislatoriæ potentiæ partium: eius quæ ad beneficia pertinet, Leuita: eius quæ ad pœnarum exactionẽ, is qui nolens interfecit. quod autem ait: die qua percussi omne primogenitum Ægypti, sanctificaui mihi omne primogenitum Israelis: non debemus suspicari, illo tantummodo tempore, quo magna illa plaga Ægyptii percussi sunt, primogenitorum interitu, sanctificata esse Israelis primogenita: sed & olim & nunc & posthac & semper hoc cõtingere potest in anima, quando quod in cæco affectu præcipuum est extinguitur, Deo tunc acute discernente antiquiorem ho-

A noratiorémque sobolem quam sibi sanctificet. exitus enim è vitio introitum in virtutem efficit: sicut econtra, decedente hac vitium succedit velut ex insidijs. certe vix exiuerat Iacob, cum in mentem omnium capacem Esau ingressus est, pro virtutis formulis impressurus, si valeat, characteres maliciæ. verùm non potuit hoc efficere: supplantabitur enim & hæreditate fraudabitur à sapiente illo nesciens, propellente iniuriam prius quam eam accipiat. Offert
B autem hic noster primitias non solum de primogenitis, sed & de eorum adipibus, ostendens quod quicquid in anima hilare, pingue, salubre, gratiosum, totum debeamus Deo cedere. Equidem tria video in sacrificiorum ordinatione præcipi, vt offerantur præ cæteris victimæ partibus adeps, renes, fibra iecoris, de quibus suo loco dicemus: nusquam cerebrum, nusquam cor, quæ ante alia consecrari oportebat, si legislator principatum agnouisset in horum altero. Quid si
C admodum pie consideratéque hæc in fidelem Dei aram non intulit? quia principalis illa vis singulis temporis momentis vel ad melius vel ad deterius mutabilis non manet eodem loco, quandoquidem & ipsa nunc probatæ nunc damnatæ monetæ censetur. quamobrem locum rerum adeò inter se pugnantium capacem, honestatis & turpitudinis, neutram excludentem & parem honorē tribuentem vtrique, non minus impurum quam purum legislator iudicans, ab altari Dei
D amouit. quod enim turpe idem profanū est: profanum vero, omnino inconsecrabile. & hoc est cur principalis vis à sacris arcetur, cui si accedat certum iudicium, tum demum perpurgatis omnibus partibus, immaculata, impollutáque tota adolebitur. hæc enim est lex holocautomatum, vt præter recrementa ciborum & tergus, quæ corporalis infirmitatis non maliciæ sunt indicia, nihil residuum relinquatur ex creatura. cætera quæ animam reddunt omnibus membris inte-
E gram, integra super altare numinis exurantur.

A τοὐναντίον, ὑπεκστάντος ἀγαθοῦ τὸ ἔφεδρον κακὸν ἐπεισέρχεται. ὅσον γ' οὐδέπω γοῦν ἐξῆλθεν Ἰακὼβ, καὶ πάρεστιν ἐπὶ τὴν πανδεχῆ διάνοιαν Ἡσαῦ, ἀντὶ τῶν ἀρετῆς τύπων ἐνσφραγισάμενος κακίας τοὺς δυνατοὺς χαρακτῆρας, ἀλλ' οὐκ ἂν ἴσχυσε τοῦτ' ἐργάσασθαι· πτερνισθεὶς γὰρ καὶ κληρωθεὶς ὑπὸ τοῦ σοφοῦ λήσεται, φθάσαντος πρὶν ἢ παθεῖν ἀμύνασθαι. προσάγει δὲ οὐ μόνον ἀπὸ τῶν πρωτοτόκων τὰς ἀπαρχάς, ἀλλὰ καὶ ἀπὸ τῶν στεάτων, ἐμφαίνων ὅτι τὰ τῆς ψυχῆς γεγηθότα καὶ
B πίονα καὶ φιλοχρῆστα καὶ χάριτα πάντα τῷ θεῷ παραχωρητέον. ὁρῶ δ' ἔγωγε καὶ ἐν ταῖς τῶν θυσιῶν διατάξεσι τρία προστεταγμένα ἀναφέρειν ἀπὸ τῶν ἱερείων τὰ πρῶτα, στέαρ, καὶ νεφρούς, καὶ λοβὸν ἥπατος, περὶ ὧν κατ' ἰδίαν λέξομεν· οὐδαμοῦ δὲ ἐγκέφαλον ἢ καρδίαν, ἅπερ εἰκὸς ἦν πρὸ τῶν ἄλλων καθαγιάζεσθαι, εἴγε καὶ κατὰ τὸν νομοθέτην ἐν τῷ ἑτέρῳ τούτων τὸ ἡγεμονικὸν ἀνωμολόγηται. ἀλλὰ μήποτε ὁσίως πάνυ καὶ
C περισκέπτως ἀκριβῶς εἰς τὸν πιστὸν τοῦ θεοῦ βωμὸν οὐκ ἀνήνεγκεν; ὅτι τὸ ἡγεμονικὸν κατὰ ἀμερὲς χρόνου διάστημα πρὸς ἑκάτερον τό, τε εὖ καὶ χεῖρον τροπὰς λαμβάνον ἀλλάττοντας ἀεὶ τόπους δέχεται. ποτὲ μὲν καθαροῦ καὶ δοκίμου, ποτὲ δὲ παρακεκομμένου καὶ κιβδήλου νομίσματος. τὴν δεδειγμένην οὖν χώραν ἄμφω τὰ μαχόμενα, καλόν τε καὶ αἰσχρόν, καὶ πρὸς ἑκάτερον ᾠκειωμένην καὶ τὴν ἴσην τιμὴν ἀμφοτέροις ἀπονέμουσαν, οὐχ ἧττον ἄναγνον ἢ εὐαγῆ κρίνας ὁ νομοθέτης, ἀπὸ τοῦ θείου
D βωμοῦ κατεβίβασε. τὸ γὰρ αἰσχρὸν βέβηλον· τὸ δὲ βέβηλον, πάντως ἀνίερον. τοῦτο δὲ τὸ ἡγεμονικὸν διακεχάρακται. εἰ δ' ἐπίκρισιν παράσχοι, τηνικαῦτα πάντων τῶν μερῶν κεκαθαρμένων, ἀκηλίδωτον ἄχραντον ὁλοκαυτωθήσεται. νόμος γὰρ ὁλοκαυτωμάτων οὗτος, μηδὲν ἔξω τροφῆς σκυβάλων καὶ δέρματος ἃ σωματικῆς ἀσθενείας δείγματα οὐ κακίας ἐστὶν, ὑπολείπεσθαι τοῦ γεννητοῦ· τὰ δ' ἄλλα ὅσα ψυχὴν ὁλόκληρον
E κατὰ πάντα τὰ μέλη παρέχεται, ὁλοκαυτοῦν θεῷ.

ΠΕΡΙ ΤΟΥ ΤΟ ΧΕΙΡΟΝ ΤΩ ΚΡΕΙΤΤΟΝΙ ΦΙΛΕΙΝ ΕΠΙΤΙΘΕΣΘΑΙ.

PHILONIS IVDÆI DE EO, QVOD DETERIVS POTIORI INSIDIARI SOLEAT.

ΚΑΙ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, διέλθωμεν ἐπὶ τὸ πεδίον. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν. ὃ βούλεται Κάϊν τοιοῦτόν ἐστιν, ἐκ προκλήσεως τὸν Ἄβελ εἰς συζήτησιν ἀγαγών, εἰκόσι καὶ πιθανοῖς σοφίσμασιν ἑλεῖν ἀνὰ κράτος. τὸ γὰρ πεδίον εἰς ὃ προτρέπεται παραγενέσθαι, σημεῖον ἁμίλλης καὶ διαμάχης εἶναί φαμεν, ἀπὸ τῶν προφανῶν τεκμηριούμενοι περὶ τῶν ἀδήλων. ὁρῶμεν γὰρ τοὺς πλείστους τῶν ἀγώνων κατά τε πόλεμον καὶ κατ' εἰρήνην ἐν πεδίοις B συνισταμένους. ἐν εἰρήνῃ μὲν οὖν ὅσοι τοὺς γυμνικοὺς ἄθλους διαθλοῦσι, στάδια καὶ λεωφόρα πεδία μεταδιώκουσι· κατὰ δὲ τὸν πόλεμον τὰς πεζομαχίας καὶ ἱππομαχίας οὐκ ἐν γεωλόφοις ἔθος ἐστὶ ποιῆσαι· πλείους γὰρ ἐκ τῆς δυσεπιτηδειότητος τῶν χωρίων αἱ βλάβαι, ὧν δυσεπιφέρουσιν ἀλλήλοις οἱ ἐχθροὶ γένοιντ' ἄν. σημεῖον δὲ μέγιστον, ὁ ἀσκητὴς τῆς ἐπιστήμης τὴν ἐναντίαν διαθλῶν πολεμίαν ἀμαθίαν, ὅταν τὰς ἐν ψυχῇ δυνάμεις ἀλόγους τρόπον τινὰ ποιμαίνῃ νουθετῶν καὶ σωφρονίζων, ἐν πεδίῳ θεωρεῖται. Ἀποστείλας γὰρ Ἰακώβ, ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον οὗ τὰ ποί- C μνια, παριστὰς ἐναργῶς ὅτι φιλονεικίας σημεῖον τὸ πεδίον ἐστί. καλέσας δ' αὐτάς, Ὁρῶ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ἔφη, ὅτι οὐκ ἔστι πρὸς ἐμὲ ὡς χθὲς, καὶ ὡς τρίτην ἡμέραν. ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ. διὰ τοῦτο γὰρ εἴποιμ' ἄν, ὁ Λάβαν οὐκ ἔστι πρὸς σοῦ, ὅτι μετὰ σοῦ ὁ θεός. ἐν ᾗ μὲν γὰρ ψυχῇ τὸ ἐκτὸς αἰσθητὸν ὡς μέγιστον ἀγαθὸν τετίμηται, ἐν ταύτῃ λόγος ἀστεῖος οὐχ εὑρίσκεται· ᾗ δ' ἐμπεριπατεῖ ὁ θεός, τὸ ἐκτὸς αἰσθητὸν ἀγαθὸν οὐχ ὑπείληπται, καθ' ὃ νενόηται καὶ προσηγόρευται Λάβαν.

ET dixit Cain ad Abel fratrem suum: Transeamus in campum. Et factum est cum essent in campo, insurrexit Cain contra Abel fratrem suum, & occidit eum.] Quod Cain sibi voluit, tale est. prouocatum Abelem ad disputationem induxit, vt verisimilibus probabilibúsque sophismatibus eum expugnatum caperet. campum enim in quem vocatur, signum certaminis ac pugnæ dicimus, ex manifestis coniecturam de incertis sumendo. videmus enim pleraque certamina tam belli quam pacis tempore in campis peragi. in pace gymnici athletæ stadia & campos quærunt adiacentes vijs publicis: nec in bello mos est pedestria equestriáque prælia in tumulis committere: sic enim propter loca impedita vtrinque maiora detrimenta hostes acciperent inferréntque sibi inuicem. Huius rei argumentum est maximum meditator ille scientiæ contrariam ei debellans ignorantiam, quando irrationales animæ potentias quodammodo compescens castigánsque in campo cernitur. Accersiuit enim Iacob Rachelem Liámque in campum vbi greges erant: manifeste docens per campum contentionem significari. accitis autem dixit, Video vultum patris vestri non esse erga me sicut heri & nudiustertius. Deus autem patris mei erat mecum.] Atque ideo (dixerit aliquis) Laban erga te male affectus est, quia Deus tibi fauet. nam in quacunque anima externum istud sensibile honoratur tanquam bonum maximum: in ea ratio ciuilis non inuenitur: in qua autem Deus obambulat, in ea bonum externum sensibile non relinquitur, quod in nomine Labā intelligimus.

A & quotquot rationis profectu sicut patriarcha ornantur, irrationales animæ impetus per doctrinam traducunt in melius, campum ad hoc eligendo vt locum idoneum. Dicitur enim Iosepho, Nónne fratres tui pascunt oues in Sichem? veni, mittam te ad eos. quo respondente, Præsto sum, ait. Vade & vide si sani sunt fratres tui & pecora, & renuncia mihi. Et misit eum de valle Chebron, & venit in Sichem, inuenitque eum homo errantem in
B campo, & interrogauit quid quæreret. at ille respondit: Fratres meos quæro, indica mihi vbi pascant greges. Dixitque ei homo, Recesserunt de loco hoc. audiui enim eos dicentes, Eamus in Dothaim.] Ergo quòd in campo irrationales suas potentias compescant, satis liquet ex his quæ diximus. Ioseph autem mittitur ad eos, quia patris disciplinam austeriorem ferre non potest, vt discat apud indulgentiores præceptores, quid vtile,
C quidve faciendum sit. Vtitur enim dogmate è diuersis contexto admodum multiplici atque vario. ideóque tunicam variegatam ei factam, dicit legislator, quæ significat labyrinthosi & inexplicabilis dogmatis introductorem: qui rerumpub. instituta magis quam veritatem respiciens inter philosophandum, tria genera bonorum, externa, corporis, animæ, totis naturis inter se disiuncta, in vnum contrahit: cum debuisset suum cuique pretium reddere, & quantum vniuersa valeant ostende-
D re, & illud integrum verum plenariúmque bonum ex omnibus his compositum. ista vero ex quibus hoc compingitur, partes aut elementa bonorum esse, non autem perfecta bona. Et sicut nec ignis, nec terra, nec vnum aliquod ex quatuor, ex quibus constat hæc rerum vniuersitas, mundus est, sed elementorum in vnum congressus & contemperatio: pari modo felicitatem nec in externis bonis proprie, nec in corporis,
E nec in animæ seorsum examinari: hæc enim singula velut partes quædam & elementa sunt: sed in omnium simul cógerie. pro hac igitur opinione, vt meliorem discat mittitur ad viros qui solum honestum esse bonum existimant, quod animæ, in quãtũ animæ, est propriũ: corporis vero bona quæ vocãtur, lucra tãtũ esse, non etiam vera bona persuasum habent. Ecce quid dicat: Fratres tui pascunt, & imperant omnibus brutis sui

A καὶ ὅσοι δὲ ἐν μέρει λόγου τοῦ προκόπτοντος κατὰ τὸν πατέρα κοσμοῦνται, τὰς ψυχῆς ἀλόγους φορὰς μεταδιδάσκουσιν, ἐκλεξάμενοι ἐπιτήδειον τόπον τὸ πεδίον· λέγεται γὰρ τῷ Ἰωσήφ, Οὐχ οἱ ἀδελφοί σου ποιμαίνουσιν ἐν Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. εἶπε δὲ αὐτῷ, πορευθεὶς ἰδὲ εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι· καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρών, καὶ ἦλθεν
B εἰς Συχέμ· καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ. ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, τί ζητεῖς; ὁ δὲ εἶπε, τοὺς ἀδελφούς μου ζητῶ· ἀνάγγειλόν μοι ποῦ βόσκουσιν· εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος, ἀπήρκασιν ἐντεῦθεν. ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαείμ. ὅτι μὲν οὖν ἐν πεδίῳ τὴν ἐν αὑτοῖς ἀλόγων δυνάμεων ποιοῦνται τὴν ἐπιστασίαν, δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων. ὁ δὲ Ἰωσὴφ πέμπεται πρὸς αὐτούς, ἐπεὶ τὴν τοῦ πατρὸς ἐπιστήμην αὐστηροτέραν οὖσαν ἀδυνατεῖ
C φέρειν, ἵνα μάθῃ παρὰ ἠπιωτέροις ὑφηγηταῖς τὰ πρακτέα καὶ συνοίσοντα. κέχρηται γὰρ δόγματι ἐκ διαφερόντων συνυφασμένῳ πάνυ ποικίλῳ καὶ πολυπλόκῳ· παρὸ καὶ χιτῶνα περιενδύεσθαι ποικίλον φησὶν ὁ νομοθέτης, αὐτὸν δηλῶν τι λαβυρινθώδους καὶ δυσεκλύτου δόξης ὄντα εἰσηγητήν. πρὸς γὰρ πολιτείαν μᾶλλον ἢ πρὸς ἀλήθειαν φιλοσοφῶν, τὰ τρία γένη τῶν ἀγαθῶν, τά τε ἐκτὸς, καὶ περὶ σῶμα, καὶ ψυχήν, ὅλαις φύσεσιν ἀλλήλων διηρτημένα, εἰς τὸ αὐτὸ ἄγει καὶ
D συνείρει, χρῆν ἕκαστον ἑκάστου καὶ πάντα πάντων ἀποφαίνειν ἀξίαν, καὶ τὸ ἐξ ἀθρόων συντεθὲν ἄρτιον καὶ πλῆρες ὄντως ἀγαθόν· τὰ δὲ ἐξ ὧν τοῦτο ἐπάγη, μέρη μὲν ἢ στοιχεῖα ἀγαθῶν, ἀγαθὰ δὲ οὐκ εἶναι τέλεια. καθάπερ γὰρ μήτε πῦρ, μήτε γῆν, μήτε τι τῶν τεττάρων ἐξ ὧν ἐδημιουργήθη τὸ πᾶν, κόσμον εἶναι, τὴν δὲ τῶν στοιχείων εἰς ταυτὸν σύνοδόν τε καὶ κρᾶσιν· τὸν αὐτὸν τρόπον καὶ τὸ εὐδαιμονεῖν, μήτε ἐν τοῖς ἐκτὸς ἰδίᾳ, μήτε ἐν τοῖς
E περὶ σῶμα, μήτε ἐν τοῖς περὶ ψυχὴν καθ᾽ αὑτὰ ἐξετάζεσθαι· τῶν γὰρ εἰρημένων ἕκαστον μερῶν τινα καὶ στοιχείων λόγον ἔχει· ἀλλὰ κατὰ τὸ ἐκ πάντων ἄθροισμα. ταύτην οὖν τὴν δόξαν πέμπεται μεταδιδαχθησόμενος πρὸς ἄνδρας μόνον τὸ καλὸν ἀγαθὸν νομίζοντας, ὃ ψυχῆς καὶ ὡς ψυχῆς ἐστιν ἴδιον· τὰ δὲ ἐκτὸς περὶ σῶμα λεγόμενα πλεονεκτήματα μόνον, οὐ πρὸς ἀλήθειαν εἶναι ἀγαθὰ πεπιστευκότας. Ἰδοὺ γάρ, φησίν, οἱ ἀδελφοί σου ποιμαίνουσι, καὶ ἄρχουσι παντὸς ἀλόγου μέρους

τῆς

τὴν ἐν αὐτοῖς, ἐν Σιχὲμ, ὅμως δὴ ἑρμηνεύεται, τλητικοῦ σημεῖον πόνου. βαστάζουσι γὰρ ἄχθος μέγιστον οἱ φιλάρετοι τὴν πρὸς σῶμα καὶ τὴν σώματος ἡδονὴν, καὶ πάλιν αὖ τὴν πρὸς τὰ ἐκτὸς καὶ τὰς ἀπ' αὐτῶν γινομένας τέρψεις ἀντιπαράταξιν. δεῦρο οὖν ἀποστείλω σε πρὸς αὐτοὺς, τουτέστι μετακλήθητι καὶ πρόσελθε τῇ διανοίᾳ λαβὼν ὁρμὴν ἑκούσιον εἰς τὸ τὰ ἀμείνω μαθεῖν. ἀλλ' ἄχρι γε τοῦ παρόντος ἐπιμορφάζεις ὡς παιδείαν δεξάμενος τὴν ἀληθῆ. μήπω γὰρ παρὰ σαυτῷ τοῦτο ὡμολογηκὼς, ἕτοιμος εἶναι λέγεις ἀναδιδάσκεσθαι ὅταν φῇς, ἰδοὺ ἐγώ. δι' οὗ μοι δοκεῖς εὐχερότητα καὶ εὐχέρειαν ἀπελέγχειν σαυτοῦ μᾶλλον, ἢ πρὸς τὸ μαθεῖν ἑτοιμότητα μηνύειν. τεκμήριον δὲ, εὑρήσει σε μικρὸν ὕστερον ὁ ἀληθὴς ἄνθρωπος πλανώμενον ἐν τῇ ὁδῷ, οὐκ ἂν πλανηθέντα εἰ ἀπὸ γνώμης ὑγιοῦς ἐπὶ τὴν ἄσκησιν ἦλθες. καὶ μὴν, ὅ γε προτρεπτικὸς λόγος τοῦ πατρὸς ἀνάγκην ἐπιτίθησιν οὐδεμίαν ἵνα ἐθελουργὸς καὶ αὐτοκέλευστος ἐπιτηδεύῃς τὰ βελτίω. φησὶ γὰρ, Πορευθεὶς ἴδε, σκέψαι, κατανόησον· καὶ πάνυ ἀκριβῶς περισκέψαι τὸ πρᾶγμα. εἰδέναι γάρ σε δεῖ περὶ ὃ μέλλεις πονεῖσθαι πρότερον. εἶτ' αὖθις ἐπὶ τὴν ἐπιμέλειαν αὐτοῦ χώρησον· ὅταν μέντοιγε διακύψῃς καὶ περιαγαγὼν ὄμμα ὅλον δι' ὅλων καταθεάσῃ, προσεξέτασον καὶ τοὺς ἐπιθυμητὰς ἤδη καὶ ἀσκητὰς αὐτοῦ γεγονότας, εἰ τοῦτο δρῶντες ὑγιαίνουσιν, ἀλλὰ μὴ μεμήνασι, καθάπερ οἱ φιλήδονοι διασύροντες καὶ ἐπιχλευάζοντες νομίζουσι· μήτε δὴ τὴν θέαν τοῦ πράγματος, μήτε τὴν περὶ τοῦ ὑγιαίνειν τοὺς ἀσκητὰς διάγνωσιν βεβαίωσον παρὰ σαυτῷ, πρὶν ἀναγγεῖλαι καὶ ἀνενεγκεῖν τῷ πατρί. γνῶμαι γὰρ αἱ μὲν τῶν ἄρτι μανθανόντων ἀρχόμεναι ἀνάστατοι καὶ ἀνίδρυτοι· πάγιοι δὲ τῶν προκεκοφότων, ἐφ' ὧν τὸ ἀκλινὲς ἐκείνοις λαμβάνειν ἀναγκαῖον. τούτων ὦ διάνοια ὃν τρόπον ἐὰν ἐρευνᾷς τοὺς ἱεροφαντηθέντας λογισμοὺς ὑπὸ θεοῦ, νόμους δ' ἀνθρώπων θεοφιλῶν, οὐδὲν ταπεινὸν οὐδ' ἀνάξιον τοῦ μεγέθους αὐτῶν ἀναγκασθήσῃ παραδέχεσθαι. αὐτὸ γὰρ τοῦτο περὶ οὗ νῦν ὁ λόγος ἐστὶ, πῶς ἄν τις τῶν εὖ φρονούντων παραδέξαιτο. ἆρα τοσαύτην σπάνιν οἰκετῶν ἢ ὑπηρετῶν εἰκὸς εἶναι τῷ βασιλέως ἔχοντι περιουσίαν Ἰακὼβ, ὡς υἱὸν ἐπὶ τὴν ξένην ἐκπέμπειν, διαγγελοῦντα περὶ τῶν ἄλλων παίδων εἰ ὑγιαίνουσι, καὶ προσέτι τῶν θρεμμάτων· ὁ πάππος αὐτοῦ χωρὶς τοῦ πλήθους τῶν αἰχμαλώτων, οὓς ἐννέα βασιλεῖς καθελὼν ἀπήγαγεν, ὑπὲρ τριακοσίους ἔσχεν οἰκότριβας·

A partibus, in Sichem: quod interpretatur humerus, laborem tolerantiæ significans. nam virtutis amatores baiulant sarcinas maximas. affectum erga corpus & voluptatem corporis, præterea certamen aduersus externa bona delectationésque quæ inde proueniunt. Ades dum igitur, mittam te ad eos. hoc est, accitus accede ad mentem, sponte facto impetu ad meliora discenda. hactenus certe tibi places quasi veram illam disciplinam adeptus. quamuis enim non-
B dum hoc apud te statueris, paratum te ais denuo discere, dicens, Præsto sum. quo verbo mihi videris temeritatem facilitatémque tuam aperire potius quam ad disciplinas capessendas animi promptitudinem. argumento est, quod inueniet te paulo post verus homo errantem in via, non erraturum si sano proposito iuisses ad exercendum te. atqui adhortatio parentis nullam necessitatem tibi imponit, vt voluntarius & tuopte iussu transeas ad meliora studia. ait enim,
C Profectus vide, dispice, considera, & accuratissime speculare totum negotium. oportet enim te prius scire quid sit illud cui laborem impensurus es, atque ita ad eius studium accedere. certe postquam prospexeris, & totum intuitum per omnia circumtuleris, insuper examina illos quoque qui versantur iam in eo exercitio, sani ne sint dum hoc agunt an insaniant, quemadmodum voluptatis amatores arbitrantur, cauillis eos incessentes subsannantésque.
D Et caue ne putans te satis animaduertisse, sanos hos meditatores pronuncies prius quam patri renunciaueris omnia. nam sententiæ nuper incipientium discere, sunt inconstantes & infirmæ: sicut eorum qui iam profecerunt, firmæ: quorum imitari oportet constantiam. hoc modo ô anime si scrutaberis cogitationes sacras immissas diuinitus, itémque leges Deo charorum hominum, nunquam cogeris aliquid indignum earum celsitudine admittere. nam
E hoc ipsum de quo nunc verba facimus, quomodo posset admittere quisquam recte sapiens? Tantámne fuisse ministrorum seruulorúmve inopiam in familia Iacob possidentis opes regias, vt filium in agrum longinquum mitteret, renunciaturum de cæterorum liberorum valetudine, atque etiam pecorum? auus eius, præter captiuorum turbam quos abduxit oppressis nouem regibus, supra trecentos vernas habuerat. ex

his facultatibus eius nihil procedente tempore diminutum est: imò continuis prosperitatibus auctiora facta sunt omnia. & in tanta famulicij copia, filium charissimum mittendum duxit propter negotium quod vel vilissimum mancipium expedisset facile? sed vides quod & locus vnde missus fuit curiose proditur in sacris literis, tantum non retrahens nos certissimis notis à iam dicto intellectu. è valle Chebron, inquit quæ figurate corpus nostrum significat: quia comparatum, & quasi amicitia societatéque coniunctum est cum anima. hoc cauas valles habet sensuum, magnas lacunas capaces omnium quæ sunt extra nos sensibilium. hæc certe qualitates affatim ingerunt, & per istas lacunas infundendo in mentem, inundant eam atque demergunt. quamobrem in lege de lepra, quoties in domo cauitates ad luridum rufúmve colorem tendentes apparuerint, decretum est: vt exemptis lapidibus in quibus tale quid extiterit, reponantur in eorum locum alij, id est quando diuersæ qualitates, quas effecerunt voluptates harúmque germanæ cõcupiscentiæ, degrauatam depressámque animam seipsa humiliorem cauiorémque reddiderint, tollantur sermones qui causa fuere infirmitatis, & loco eorum salubres substituantur, per educationem eruditionémve rectam ac legitimam. pater igitur videns Iosephum totum demersum in conualles cauas sensuum corporis, euocat eum vt ex his cauernis progressus attrahat liberiorẽ auram fortitudinis, eorum frequentans sodalitiũ, qui hanc olim meditati, nunc docere possunt etiam. at ille profectum se putãs errare deprehenditur. Inuenit, inquit, homo eum errantem in campo: declarans quod non labor per se, verùm cõiunctus cum arte res bona sit. sicut enim nec musicam iratis musis, nec grammaticam illiterate, nec (vt compendio dicã) artẽ quamuis ruditer aut peruerse, sed artificiose vnamquãque tractare conuenit: ita nec prudentiã callide, nec temperantiam sordide illiberalitérque, nec fortitudinẽ temerarie, nec superstitiose pietatem, nec inscienter vllã aliam virtutis scientiam. deuia enim hæc cuncta sunt confessione omnium. & ideo lex iubet iuste iusta exequi: vt iustitiam & quamuis virtutẽ tractemus cognatis eius, non aduersis, operibus. Ergo si videris aliquem cibos potúsque serius accipientẽ, aut lauacrum vnctionémve recusantem,

A μεμείωται δὲ τῆς οἰκίας οὐδέν, ἀλλὰ χρόνου προϊόντος πάντα διὰ πλοῦτον ἔλαβεν αὔξησιν. οὐκ ἂν οὖν ἀφθόνου θεραπείας ὑπαρχούσης, υἱὸν ἠξίου πέμπειν, οὗ μάλιστα ἐκήδετο, ἐπὶ πρᾶξιν ἣν καὶ τῶν εὐτελεστάτων ἄν τις ῥᾳδίως κατώρθωσεν· ἀλλ' ὁρᾷς ὅτι καὶ τὸ χωρίον ὅθεν αὐτὸν ἐκπέμπει, περιττῶς ἀναγράφει, μονονουκ ἐναργῶς προτρέπων ἀφίστασθαι τοῦ ῥητοῦ. ἐκ γὰρ τῆς κοιλάδος τῆς Χεβρών, συμβολικῶς ἡμῶν τὸ σῶμα,
B ὅτι συνέζευκται, καὶ ὥσπερ ἑταιρείαν καὶ φιλίαν πρὸς ψυχὴν τέθειται· κοιλάδας δὲ ἔχει τὰς αἰσθήσεις, μεγάλας δεξαμενὰς ἁπάντων ὅσα ἐκτὸς αἰσθητά, ἃ τὰς παμπληθεῖς ποιότητας ἐπαντλοῦντα, καὶ διὰ τῆς δεξαμενῆς ἐπιχέοντα τῇ διανοίᾳ, κατακλύζει καὶ βύθιον αὐτὴν ἀπεργάζεται. διὰ τοῦτο ἐν τῷ νόμῳ τῆς λέπρας, ὅταν ἐν οἰκίᾳ κοιλάδες χλωρίζουσαι ἢ πυρρίζουσαι φανῶσι, διείρηται τοὺς λίθους ἐν οἷς γεγόνασιν ἐξελόντας ἑτέρους ἀντιθεῖναι, τουτέστιν ὅταν δια-
C φέρουσαι ποιότητες, ἃς ἐδημιούργησαν ἡδοναὶ καὶ ἐπιθυμίαι καὶ τὰ ἀδελφὰ τούτων πάθη, βαρύνασαι καὶ πιέσασαι τὴν ὅλην ψυχὴν κοιλοτέραν καὶ ταπεινοτέραν αὐτὴν ἑαυτῆς ἐργάσωνται, τοὺς τῆς ἀσθενείας αἰτίους λόγους ἀνελεῖν, ὑγιεινοὺς δὲ διὰ ἀγωγῆς νομίμου, ἢ καὶ παιδεύσεως ὀρθῆς ἀντεισαγαγεῖν. τὸν Ἰωσὴφ οὖν ὅλον εἰς τὰς τοῦ σώματος καὶ τῶν αἰσθήσεων κοιλότητας εἰσδεδυκότα ὁρῶν, προσκαλεῖται τῶν φωλεῶν ἔξω προελθόντα ἐλευθέρου ἀνασπάσαι τοῦ καρτερίας πνεύματος φοι-
D τήσαντα πρὸς αὐτούς, πάλαι μὲν ἀσκητάς, νυνὶ δὲ διδασκάλους αὐτῆς. ὁ δὲ προεληλυθέναι δόξας, πλανώμενος εὑρίσκεται. Εὗρε γάρ, φησίν, ἄνθρωπος αὐτὸν πλανώμενον ἐν τῷ πεδίῳ, δηλῶν ὅτι οὐχ ὁ πόνος καθ' αὑτόν, ἀλλ' ὁ μετὰ τέχνης ἀγαθόν. ὥσπερ γὰρ οὔτε μουσικὴν ἀμούσως, οὔτε γραμματικὴν ἀγραμμάτως, οὐδὲ συνόλως φέρεται τέχνην ἀτέχνως, ἢ κακοτέχνως, ἀλλὰ τεχνικῶς ἑκάστην ἐπιτηδεύειν προσῆκεν· οὕτως οὐδὲ φρό-
E νησιν πανούργως, οὐδὲ σωφροσύνην φειδωλῶς καὶ ἀνελευθέρως, οὐδὲ θρασέως ἀνδρείαν, οὐδὲ δεισιδαιμόνως εὐσέβειαν, οὐδ' ἄλλην τινὰ καθ' ἀρετὴν ἐπιστήμην ἀνεπιστημόνως. ἀνόδια γὰρ ὁμολογουμένως πάντα ταῦτα· παρ' ὃ καὶ νόμος κεῖται, δικαίως τὸ δίκαιον διώκειν, ἵνα δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν τοῖς συγγενέσιν ἔργοις αὐτῆς, ἀλλὰ μὴ τοῖς ἐναντίοις μετερχώμεθα. ἐὰν οὖν τινὰ θεάσῃ σιτία καὶ ποτὰ μὴ ἐν καιρῷ προσιέμενον, ἢ λουτρὰ καὶ ἀλείμματα παραιτούμενον,

A ἢ τὴν περὶ σῶμα σκεπασμάτων ἀμελοῦντα, ἢ χαμευνίαις καὶ δυσαυλίαις χρώμενον, εἶτ' ἐκ τούτων ἐπιμορφάζοντα ἐγκράτειαν, οἶκτον λαβὼν τῆς περὶ αὐτὸν πλάνης, τὴν ἀληθῆ τῆς ἐγκρατείας ὁδὸν δεῖξον. ἃ γὰρ ἐπιτηδεύουσιν, ἀνήνυτοι καὶ ἄπρακτοι πόνοι, λιμῷ καὶ ταῖς ἄλλαις κακώσεσι ψυχὴν καὶ σῶμα ἐκτραχηλίζοντες· μηδ' εἴ τις περιρραντηρίοις ἢ καθαρσίοις χρώμενος, διάνοιαν μὲν ῥυπαίνει τὴν ἑαυτοῦ, τὸ δὲ σῶμα φαιδρύνει. μηδ' εἰ πάλιν ἀπὸ περιουσίας νεὼν B ἱδρύεται λαμπροτάταις χορηγίαις καὶ δαπάναις χρώμενος, ἢ ἑκατόμβας ἀνάγει καὶ βουθυτῶν οὐ παύεται, ἢ πολυτελέσιν ἀναθήμασι κοσμεῖ τὸ ἱερόν, ἀφθόνοις μὲν ὕλαις, τέχναις δὲ πάντως ἀργύρου καὶ χρυσοῦ τιμιωτέραις εἰσάγων, μετ' εὐσεβῶν ἀναγεγράφθω· πεπλάνηται γὰρ καὶ οὗτος τῆς πρὸς εὐσέβειαν ὁδοῦ, θρησκείαν ἀντὶ ὁσιότητος ἡγούμενος, καὶ δῶρα τῷ ἀδεκάστῳ διδούς, οὐδέποτε ληψομένῳ τὰ τοιαῦτα, καὶ κολακεύων τὸν ἀκολάκευτον· ὃς γνησίους μὲν θεραπείας ἀσπάζεται· C γνήσιοι δ' εἰσὶν αἱ ψυχῆς ψιλὴν καὶ μόνην θυσίαν φερούσης ἀλήθειαν· τὰς δὲ νόθους ἀποστρέφεται. νόθοι δ' ὅσαι διὰ τὴν ἐκτὸς ἀφθονίαν ἐπιδείξεις. τοῦ δ' εὑρόντος ἐν τῷ πεδίῳ πλανώμενον αὐτὸν ἀνθρώπου τὸ κύριον ὄνομα οὔ φασί τινες δεδηλῶσθαι, καὶ αὐτοὶ τρόπον τινὰ πεπλανημένοι, διὰ τὸ μὴ δύνασθαι τὴν ὀρθὴν ὁδὸν τῶν πραγμάτων ἐναργῶς ὁρᾶν. εἰ γὰρ μὴ τὸ ψυχῆς ὄμμα ἐπεπήρωντο, ἔγνωσαν ἂν ὅτι τοῦ πρὸς ἀλήθειαν ἀνθρώπου τὸ ἰδιαίτατον καὶ εὐθυβολώτατον ὄνομά ἐστιν αὐτὸ τοῦτο, ἄνθρωπος, D ἠρθρωμένης καὶ λογικῆς διανοίας οἰκειοτάτη πρόσρησις. οὗτος ὁ ἄνθρωπος ἐν ἑκάστου τῇ ψυχῇ κατοικῶν, τοτὲ μὲν ἄρχων καὶ βασιλεὺς εὑρίσκεται, τοτὲ δὲ δικαστὴς καὶ βραβευτὴς τῶν κατὰ τὸν βίον ἀγώνων, ἔστι δ' ὅτε μάρτυρος καὶ κατηγόρου λαβὼν τάξιν, ἀφανῶς ἡμᾶς ἔνδοθεν ἐλέγχει, μηδὲ διᾶραι τὸ στόμα ἐῶν, ἀναλαμβανόμενος δὲ καὶ ἐπιστομίζων ταῖς τοῦ συνειδότος ἡνίαις τὸν αὐθάδη καὶ μετ' ἀφηνιασμοῦ δρόμον γλώττης ἐπέσχεν. οὗτος ὁ ἔλεγχος ἐπύθετο τῆς ψυχῆς, ἡνίκα τὴν πλάνην E εἶδεν αὐτῆς, Τί ζητεῖς. ἆρά γε φρόνησιν; τί οὖν ἐπὶ πανουργίας βαίνεις. ἀλλὰ σωφροσύνην; ἀλλ' ἐπὶ φειδωλίαν ἡ τρίβος ἄγει. ἀλλὰ ἀνδρείαν; θρασύτης προσέρχεται ταύτῃ. ἀλλ' εὐσέβειαν μετέρχῃ; δεισιδαιμονίας ἡ ὁδός. ἐὰν δὲ φάσκῃ ζητεῖν τοὺς ἐπιστήμης λόγους, καὶ ποθεῖν ὡς τοὺς ἐγγυτάτω γένους ἀδελφούς, μὴ πάνυ πιστεύωμεν αὐτῇ. οὐ γὰρ ἀνεπυνθάνετο ποῦ βόσκουσιν,

A aut negligentem operimenta corporis, aut humi cubantem malóve tecto vtentem, & postea sibi placentem ob hanc temperantiam, miseratus eius errorem, ostende veram viam temperantiæ: nam quæ hactenus exercuit, inutiles vexationes sunt, fame alijsque afflictionibus & corpus opprimentes & animam. Item si quis aspersionibus purificationibúsque vtens, mentem quidem suam sordidat, corpus vero facit nitidius: aut si quis abundans diuitijs extruit templum B sumptu magnifico, & indesinenter hecatombas immolat, ædémque à se dedicatam ornat pretiosis donarijs, non parcens auro argentóque nec artibus has materias superãtibus. ne is quidem piorum ascribitur numero. aberrauit enim à via pietatis, in ceremonijs sanctitatem collocans, & dona dans ei qui his non capitur, nec vnquam talia accipit, & adulans ei cui palpari non potest: quia cultu vero delectatur, cum anima solum & vnicum sacrificium offert, nempe veritatem: adulterinum autem aueisatur, C qualos sunt ostentationes opum externarum. Cæterum hominis qui hunc in campo errantem inuenit, negant quidam indicatum nomen proprium, ipsi quodammodo errantes, quia non possunt rectam viam negotiorum videre dilucide. nam nisi haberent excæcatos animæ oculos, non ignorassent, quod eius qui re vera est homo conuenientissimum & maxime proprium nomen hoc ipsum est Homo, diserta & rationalis mentis familiarissima ap- D pellatio. is homo in cuiusque anima habitans, aliquando princeps & rex inuenitur, aliquando iudex & remunerator huius vitæ certaminum: interdum vero testis accusatorísque persona assumpta, occulte nos intus redarguit, ne hiscere quidem sinens, sed cohibens refrenánsque conscientiæ habenis cursum linguæ impotentem contumacémque. Is redargutor percontabatur hanc animam, dum eam errare videret: Quid quæris? num pru- E dentiam? cur igitur vadis ad vafriciem? Num temperantiam? atqui ad parcitatem ducit hæc semita. num fortitudinem? hac ad audaciam iter est. sed forsan pietatem adire cupis. hæc via ducit ad superstitionem. quod si dicat se scientiæ sermones quærere, & desiderare vt germanos huius generis, non statim ei credẽdũ est. non enim simpliciter rogat vbi pascũt, sed vbi ποιμαίνουσι.

i. regunt. nam qui pascunt, alimenta ista
sensibilia omnia, præbent bruto & in-
satiabili sensuum pecori, per quæ fit vt
impotes nostri & infortunati fiamus. at
qui regunt, principum & moderatorum
vtendo potentia, quicquid efferatum
est mansuefaciunt, sedantes cupidi-
tatum magnitudinem. proinde si quæ-
sisset veros meditatores virtutis, quæ-
sisset apud reges, non inter pincernas
aut obsonatores coquósque. nam hi vo-
luptates instruunt, quas moderantur re-
gúntque illi alteri. ideo recte respondet
qui errorem animaduertit homo, Re-
cesserunt hinc: ostendens molem istam
corpoream: docénsque quod omnes
qui propter virtutem parandam labo-
rem perferunt, relicto terrestri loco ad
sublimia consideranda se contulerunt,
nullum secum trahentes morbum cor-
poreum. ait enim se audisse dicentes:
Eamus in Dothaim: quod interpre-
tatur derelictio sufficiens: docétque
summopere, non mediocriter relin-
quenda quæ non prosunt virtutem affe-
ctantibus: sicut & Sarram deseruerunt
muliebria. sunt autem affectiones natu-
raliter fœmininæ: quæ vt nos derelin-
quant, debemus operam dare masculinæ
formæ delectationibus. Ergo in campo.
i. in contentione verborũ inuenitur Io-
seph errabundus, & dogmatis introdu-
ctor ad rerumpub. instituta respicientis
magis quã ad veritatẽ. sunt autem qui-
dã certatores, qui propter eximiã corpo-
ris habitudinẽ tergiuersantibus aduer-
sarijs, potiti sunt coronis sine certamine
& citra iactum pulueris, cedentib. illis
primatum ob robur incomparabile. ta-
lẽ vim assecutus Isaac parte sui diuinis-
sima, mẽte scilicet, egreditur quidem in
campum, sed nullum inuenturus æmulũ,
omnibus athletis ei se submittentibus
propter ingentem naturæ eius præstan-
tiam. vult tamen aliquantum secedere,
& solitarius colloqui cum Deo comite,
in rectã viam inducẽte ipsius animam.
est autem manifestissimũ argumentum,
quod nemo mortalis colloquatur cũ Is-
rael. Rebeca, hoc est patientia, vnum vi-
dens & solius imaginationẽ concipiens,
scitatur ex puero: Quis est hic homo qui
venit in occursum nobis? anima enim in
honestate perseuerans potest quidem sa-
pientiam per se docilem comprehende-
re, cognominatum Isaac: nõdum tamen
potest videre Deũ autorem eius sapiẽ-
tiæ. ideo puer cõfirmans nõ posse eũ cõ-
prehendi sine forma visibili colloquẽtẽ

A ἀλλὰ ποιμαίνουσιν. οἱ μὲν γὰρ βόσκοντες, τρο-
φάς, τὰ αἰσθητὰ πάντα, παρέχουσι τῷ τῶν αἰ-
σθήσεων ἀλόγῳ καὶ ἀπλήστῳ θρέμματι, δι' ἃς
ἀκρατόρες ἑαυτῶν γινόμενοι καὶ κακοδαιμονοῦ-
μεν· οἱ δὲ ποιμαίνοντες, ἀρχόντων καὶ ἡγεμόνων
ἔχοντες δύναμιν, τὰ ἐξηγριωμένα ἡμεροῦσι,
στέλλοντες τὸ τῶν ἐπιθυμιῶν μέγεθος. Εἰ τοίνυν
ἐζήτει τοὺς ἀρετῆς πρὸς ἀλήθειαν ἀσκητάς, ἐσκέ-
πτετ' ἂν αὐτοὺς ἐν βασιλεῦσιν, οὐκ ἐν οἰνοχόοις,
ἢ σιτοποιοῖς, ἢ μαγείροις. οἱ μὲν γὰρ τὰς ἡδονὰς εὐ-
B τρεπίζουσιν, ἐκεῖνοι δὲ ἡδονῶν ἄρχουσι· διὸ καὶ ἀπο-
κρίνεται ὀρθῶς ὁ τὴν ἀπάτην ἰδὼν ἄνθρωπος,
Ἀπήρκασιν ἐντεῦθεν. δείκνυσι δὲ τὸν σωματικὸν
ὄγκον, δηλῶν ὅτι πάντες οἷς ὑπὲρ κτήσεως ἀρε-
τῆς πόνος διαθλεῖται, τὸν περίγειον καταλελοιπό-
τες χῶρον, μετεωροπολεῖν ἐγνώκασιν, οὐδεμίαν τῶν
σωματικῶν ἐφελκόμενοι κηρῶν. καὶ γὰρ λεγόντων ἀ-
κηκοέναι φησὶν αὐτῶν, Εἰς Δωθαεὶμ πορευθῶμεν·
ἑρμηνεύεται δὲ ἔκλειψις ἱκανή· παριστάντων, ὅτι οὐ
C μέσως, ἀλλ' ἄκρως ἀπόλειψιν καὶ ἔκλειψιν τῶν ἃ μὴ
πρὸς ἀρετὴν συνεργεῖ μεμελετήκασι, καθὼς καὶ
Σάρρᾳ ἐπιλέγεται τὰ γυναικεῖα ἐκλελοιπέναι· θή-
λεα δὲ φύσει τὰ πάθη, ὧν ἔκλειψιν ἐπιτηδευτέον,
παρὰ τοὺς ἄρρενας τῆς εὐπαθείας χαρακτῆρας.
οὐκοῦν ἐν πεδίῳ, τουτέστιν ἐν ἁμίλλῃ λόγων, εὑ-
ρίσκεται ὁ ποικίλου δόγματος εἰσηγητὴς πρὸς
πολιτείας μᾶλλον, ἢ πρὸς ἀληθείας τύπον χρη-
σίμου πλανώμενος Ἰωσήφ. εἰσὶ δέ τινες τῶν ἀνταγω-
νιστῶν, οἳ διὰ σώματος εὐεξίαν ἀπειπόντων τῶν ἀν-
D τιπάλων, ἐστεφανώθησαν ἀμαχεί, μηδὲ αὐτὸ μό-
νον κονισάμενοι, ἀσυγκρίτου ῥώμης ἀράμενοι τὰ
πρωτεῖα. τοιαύτῃ δυνάμει χρησάμενος περὶ τὸ
θειότατον τῶν ἐν ἡμῖν τὴν διάνοιαν Ἰσαάκ, ἐξέρ-
χεται μὲν εἰς τὸ πεδίον, ἁμιλλησόμενος δὲ οὐδενί,
πάντων καταπεπληχότων τῶν ἀγωνιστῶν τὸ μεγα-
λεῖον καὶ ὑπερβάλλον ἐν ἅπασι φύσεως αὐτοῦ·
μόνον δὲ ἰδιάσαι βουλόμενος καὶ ἰδιολογήσασθαι
τῷ συνοδοιπόρῳ καὶ ἡγεμόνι τῆς τε ὁδοῦ καὶ τῆς
E ψυχῆς θεῷ· τεκμήριον δὲ ἐναργέστατον τὸ μηδένα
προσομιλοῦντα τῷ Ἰσαὰκ θνητὸν εἶναι. Ῥεβέκκα
δὲ ἡ ὑπομονὴ πυνθάνεται τοῦ παιδὸς ἕνα ὁρῶσα καὶ
ἑνὸς μόνου λαμβάνουσα φαντασίαν, Τίς ὁ ἄνθρω-
πος οὗτος ὁ πορευόμενος εἰς συνάντησιν ἡμῖν. ἡ
γὰρ ἐπιμένουσα τοῖς καλοῖς ψυχή, ἱκανὴ μὲν ἐπὶ
τὴν αὐτομαθῆ σοφίαν καταλαμβάνειν, ἐπί-
κλησιν Ἰσαάκ· οὔπω δὲ δυνατὴ τὸν τῆς σοφίας
ἡγεμόνα θεὸν ἰδεῖν· παρ' ὃ καὶ ὁ παῖς ἐπισφραγιζό-
μενος τὸ μὴ δύνασθαι καταλαβεῖν τὸν ἀειδῆ καὶ

προσομιλοῦντα ἀοράτως, φησίν, Οὗτος ὁ κύριός μου, τὴν δεῖξιν φέρων ἐπὶ τὸν Ἰσαὰκ μόνον· οὐ γὰρ εἰκὸς προσφανέντων δυοῖν ἕνα δεικνύναι, ἀλλὰ τὸν ἄδεικτον οὐκ εἶδε πᾶσι τοῖς μέσοις ἀόρατον ὄντα. ὡς μὲν τοίνυν τὸ πεδίον εἰς ὃ προκαλεῖται τὸν Ἄβελ ὁ Κάϊν ζητεῖν, σύμβολον ἁμίλλης καὶ διαμάχης ἐστὶν, ἱκανῶς δεδηλῶσθαι νομίζω. διαπορητέον δὲ ἑξῆς, περὶ τίνων ποιοῦνται τὰς ζητήσεις, προελθόντες. ἢ δῆλον ὅτι περὶ ἐναντίων καὶ μαχομένων δοξῶν; ὁ μὲν γὰρ Ἄβελ ἀναφέρων ἐπὶ θεὸν πάντα, φιλόθεον δόγμα· ὁ δὲ Κάϊν ἐφ' ἑαυτόν (κτῆσις γὰρ ἑρμηνεύεται) φίλαυτον. φίλαυτοι δὲ, ὅταν τοῖς ἀρετὴν τιμῶσιν ἐπαποδυσάμενοι κονίσωνται, καὶ παγκρατιάζοντες οὐ παύονται, πρὶν ἢ ἀπειπεῖν βιάσασθαι, ἢ παντελῶς διαφθεῖραι. πάντα γὰρ, τὸ τοῦ λόγου δὴ τοῦτο, κινοῦσι λίθον, φάσκοντες, οὐκ οἰκία ψυχῆς τὸ σῶμα; διὰ τί οὖν οἰκίας, ὡς μὴ γένοιτο ἐρείπιος, οὐκ ἐπιμελησόμεθα· οὐκ ὀφθαλμοὶ καὶ ὦτα καὶ ὁ τῶν ἄλλων χορὸς, αἰσθήσεων ψυχῆς ὥσπερ τινὲς δορυφόροι καὶ φίλοι; συμμάχους οὖν καὶ φίλους οὐκ ἐν ἴσῳ τιμητέον ἑαυτοῖς; ἡδονὰς δὲ καὶ ἀπολαύσεις καὶ τὰς παρὰ πάντα τὸν βίον τέρψεις, τοῖς τεθνεῶσιν ἢ τοῖς μηδὲ γενομένοις τὸ παράπαν, ἀλλ' οὐχὶ τοῖς ζῶσιν ἡ φύσις ἐδημιούργει; πλοῦτον δὲ καὶ δόξαν, καὶ τιμὰς καὶ ἀρχὰς, καὶ τἄλλα ὅσα τοιαῦτα τί παθόντες, οὐ ποριούμεθα, δι' ὧν οὐ μόνον τὸ ἀσφαλῶς, ἀλλὰ καὶ εὐδαιμόνως ζῆν περιγίνεται; μάρτυς δὲ ὁ βίος τούτων· οἱ μὲν γὰρ λεγόμενοι φιλάρετοι ἄδοξοι σχεδὸν ἅπαντες, εὐκαταφρόνητοι, ταπεινοὶ, τῶν ἀναγκαίων ἐνδεεῖς, ὑπηκόων, μᾶλλον δὲ καὶ δούλων ἀτιμότεροι, ῥυπῶντες, ὠχροὶ, κατεσκελετευμένοι, λιμὸν ὑπ' ἀσιτίας ἐμβλέποντες, νοσερώτατοι, μελετῶντες ἀποθνήσκειν· οἱ δ' αὐτῶν ἐπιμελούμενοι, ἔνδοξοι, πλούσιοι, ἡγεμόνες, ἐπαινούμενοι, τιμώμενοι πάλιν, ὑγιεινοὶ, πίονες, ἐρρωμένοι, ἁβροδίαιτοι, θρυπτόμενοι, πόνον οὐκ εἰδότες, ἡδοναῖς συζῶντες διὰ πασῶν τῶν αἰσθήσεων ἐπὶ τὴν πανταχῆ ψυχὴν τὰ ἡδέα φερούσαις. τοιουτονί τινα δόλιχον ἀπομηκύναντες λόγον, νικᾶν τοὺς οὐκ εἰωθότας σοφιστεύειν ἔδοξαν. αἰτία δὲ τῆς νίκης, οὐχ ἡ τῶν προεληλυθότων ἰσχὺς, ἀλλ' ἡ περὶ ταῦτα τῶν ἀντιπάλων ἀσθένεια. τῶν γὰρ ἐπιτηδευόντων ἀρετὴν, οἱ μὲν ἐν ψυχῇ μόνῃ τὸ καλὸν ἐθησαυρίσαντο, πράξεων ἐπαινετῶν ἀσκηταὶ γενόμενοι, τερθρείας λόγων δ' οὐδ' ὄναρ ἐπῃσθημένοι· τοῖς δὲ ἀμφότερα ἐξεγένετο, τὴν μὲν διάνοιαν εὐβουλίᾳ καὶ ἀγαθοῖς ἔργοις

A inuisibiliter, ait, Ipse est Dominus meus: solum Isaac ostendens. nec enim decuisset si duo apparuissent vnum ostendere: sed nesciebat eum qui monstrari non poterat, vt omnibus mediocribus inuisibilem. Atque ita satis declaratum arbitror, campum in quem Cain Abelem inuitat, contentionem atque dimicationem significare. restat quærendum, qua de re disceptatum sit, postquam foras progressi sunt: an satis apparet quod de contrarijs & inter se pugnantibus opinionibus? B Abelis enim ad Deum referētis omnia, pium dogma: Cain vero sibi attribuentis (interpretatur enim possessio) arrogans. cæterū qui seipsos amant, quando cū virtutis amatoribus nudati vnctique in certamen descendunt, non prius desinunt eos vrgere pancratio, quā aut herbam porrigere cogant aut in totum opprimant. omnem enim (vt est in prouerbio) mouent lapidem, dicentes: annon domus animæ corpus est? quin igitur hāc domum, ne collabatur, curamus? annon C oculus & aures & reliquus iste chorus, sensuum animæ tanquam satellites & amici sunt? ergo socios atque amicos non æque ac nosipsos honorabimus? Quid voluptates, delicias, totiúsque vitæ oblectamenta, mortuísne aut nondum natis, an potius viuentibus natura condidit? diuitias quoque, præclaram existimationem, honores, magistratus, & id genus alia cur non quæramus, per quæ non solum securam, sed & felicem vitam acquirimus? cuius rei vita testis est: nam D qui amatores virtutis vocantur, inglorij propemodum omnes, contemptibiles, humiles, egeni, subditis vel potius seruis viliores, sordidati, luridi, cadauerosi, inediam famémque ipso vultu præ se ferentes, morbidi, mortem meditantur. è diuerso qui sui curam gerunt, celebrati, diuites, principes, laudati. honorati, sani, pingues, validi, delicato victui voluptatique assueti, laboris nescij, delicijs tota vita fruuntur, per omnes sensus in animam illabentibus. atque ita prolixo isto verborum cursu vincere viden- E tur non detritos in sophisticis sermonibus. in causa autem est, non fortitudo istorúm qui superiores euadunt, sed aduersariorum hac parte imbecillitas. nam virtutis cultores, partim in anima sola honestum thesaurum sibi reposuerunt, in actionibus laudandis versati, ne in somnis quidem operati verborū præstigijs: partim vtroque pollere visi sunt, tum animi cōsilijs rectis, factísque similibus,

tum artificiosis sermonibus. Hos po- A
steriores decet contentiosis istis se op-
ponere , quibus facile est eorum pe-
tulantem loquacitatem retundere. prio-
res autem illi nequaquam tuto idem
tentauerint. qui enim possent nudi ar-
matis ex æquo resistere, quando etiam
instructi cum eis male comparantur?
Noster igitur Abel artes eloquentiæ
non didicit, contentus mente pernos-
se quæ bona sunt : ideo debuerat re-
cusare in campum descendere, & pro-
uocationem inimici contemnere. ter- B
giuersari enim præstat quàm vinci.
quam cunctationem inimici appellant
timiditatem, amici vero securitatem.
satius autem est neglectis aduersarijs,
fidem amicis habere vt veridicis. Ideo
vides quòd Moses illos in Ægypto, id
est corpore , veneficos : liceat enim
mihi eos sic vocare, sicut mulieres di-
cimus veneficas , & sexui vocem ac-
commodare : illos, inquam, in Ægypto
sophistas veneficos , recusat concerta-
tores sibi dari & aduersarios : quia so- C
phismatum artibus decipulisque mo-
res boni inficiuntur atque corrumpun-
tur : negans se eloquentem : ac si di-
cat , non esse sibi ingenium docile ad
orationum verisimilium , coniectura-
liúmque rhetoricam. deinde asseuerans
se non tantum infacundum, sed pror-
sus mutum : non quemadmodum bru-
tas animantes mutas vocare solemus,
sed quia dedignatus per instrumenta vo-
cis vti sonoro sermone, contentus est
impressas animo habere imagines veræ
sapientiæ , quæ est fallacis sophisticæ D
aduersaria. Nec prius in Ægyptum
proficiscitur, conflicturus cum eius re-
gionis sophistis , quàm egregie medi-
tatus disserendi facultatem, omnes elo-
cutionis ideas commonstrante absol-
uentéque Deo, per impositionem ma-
nuum Aaronis , quem Mosis fratrem,
solet os & interpretem & prophetam
appellare. Omnia enim hæc sermoni
accidunt, qui frater mentis est. Nam E
fons sermonum mens est, vnde ceu ex
ore fontis verba promanant : quia om-
nes sermones ex hoc, sicut fluenta ri-
uorum è terra , profunduntur in pro-
patulum. idem & interpres est conce-
ptorum in mente consiliorum : idem
& vates diuinatórque, ex inuisibilibus
adytis oracula prodere non desinens.
Sic igitur resistendum est contra con-
tentiosos assertores dogmatum. exerci-
tati enim per varias sermonum species,

A τοὺς δὲ λόγους τῶν περὶ αὐτὴν τέχναις μάλιστα ὀχυρώ-
σασθαι. τούτοις μὲν οὖν πρὸς τοὺς ἐριστικοὺς ἐνίων ἁ-
μίλλας ἀπαντᾶν ἐμπρεπές, οἷς τοὺς ἐναντίους ἀ-
μύνεσθαι πεπειρασμένοις ἐξ ἑτοίμου· τοῖς δὲ προ-
τέροις οὐδεμία ἀσφάλεια· γυμνοὶ γὰρ πρὸς ὡ-
πλισμένους τίνες ἂν ἰσοχειρῶς ἀπομάχεσθαι δυ-
νηθεῖεν, ὁπότε καὶ παρεσκευασμένοις ἀγὼν ἄνισος. ὁ
τοίνυν Ἄβελ τέχνας μὲν λόγων οὐκ ἔμαθε, δια-
νοίᾳ δὲ μόνῃ τὸ καλὸν οἶδεν, οὗ χάριν τὴν εἰς τὸ
πεδίον ἄφιξιν ἐχρῆν παραιτήσασθαι, καὶ τῆς τοῦ
B δυσμενοῦς προκλήσεως ἀλογῆσαι. ἥττης γὰρ πᾶς
ὄκνος ἀμείνων. ὃν δὲ ὄκνον τοῦτον οἱ μὲν ἐχθροὶ δει-
λίαν, ἀσφάλειαν δὲ οἱ φίλοι προσαγορεύουσι.
φίλοις δὲ παρὰ δυσμενῶν ἅτε ἀψευδοῦσι, πιστευ-
τέον· οὗ χάριν ὁρᾷς ὅτι Μωϋσῆς τοὺς Αἰγύπτῳ τῷ
σώματι σοφιστὰς φαρμακέας ὡς βασιλέα· ἐπεὶ καὶ
φαρμακίδες ὡς βασιλίδες· καὶ φαρμακεῖς τοίνυν
ὡς βασιλεῖς, ὅτι καὶ φαρμακὶς ὡς βασιλίς, κατὰ
ἀκολουθίαν τοῦτο κεῖται· τοὺς ἐν Αἰγύπτῳ τῷ σώ-
C ματι σοφιστάς, οὓς φαρμακέας ὀνομάζει, παραι-
τεῖται· σοφισμάτων γὰρ τέχναις καὶ ἀπάταις ἤθη
χρηστὰ τρόπον φαρμακεύεται καὶ διαφθείρεται·
φάσκων ποτὲ μὴ εἶναι εὔλογος, ἴσον τῷ μήτε πεφυ-
κέναι πρὸς τὴν τῶν λόγων καὶ πιθανῶν εἰκαστικὴν
ῥητορείαν· ἔπειθ' ἑξῆς διαβεβαιούμενος, ὅτι οὐ μό-
νον οὐκ εὔλογος, ἀλλὰ καὶ παντελῶς ἄλογός ἐστιν·
ἄλογος δὲ οὐχ ὡς φαμὲν τὰ μὴ λογικὰ τῶν ζώων,
ἀλλ' ὁ μὴ δικαιῶν τῷ διὰ τοῦ φωνητηρίου ὀργάνου
γεγωνῷ λόγῳ χρῆσθαι, μόνῃ δὲ σημειούμενος καὶ
D ἐνσφραγιζόμενος διανοίᾳ τὰ τῆς ἀληθοῦς σο-
φίας, ἥτις ἀντίθετός ἐστι ψευδεῖ σοφιστείᾳ, θεωρή-
ματα, καὶ οὐ βαδιεῖται πρότερον εἰς Αἴγυπτον,
οὐδ' εἰς ἁμίλλαν ἀφίξεται τοῖς αὐτῆς σοφισταῖς,
πρὶν ἢ τὸν προφορικὸν ἄκρως ἀσκηθῆναι λόγον,
τὰς πρὸς ἑρμηνείαν ἁπάσας ἰδέας ἀναδείξαν-
τος καὶ τελειώσαντος θεοῦ, διὰ τῆς Ἀαρὼν χειρο-
τονίας, ὃν ἀδελφὸν Μωϋσέως ὄντα, στόμα καὶ ἑρμη-
νέα καὶ προφήτην εἴωθε καλεῖν. πάντα γὰρ ταῦτα
E τῷ λόγῳ συμβέβηκεν, ὃς ἀδελφός ἐστι διανοίας.
πηγὴ γὰρ λόγων διάνοια, καὶ στόμιον αὐτῆς λόγος,
ὅτι τὰ ἐνθυμήματα πάντα διὰ τούτου καθάπερ
νάματα ἀπὸ γῆς εἰς τοὐμφανὲς ἐπιρρέοντα ἀνα-
χεῖται· καὶ ἑρμηνεύς ἐστιν, ὧν ἐν τῷ ἑαυτῆς βουλευ-
τηρίῳ βεβούλευκεν· ἔτι μέντοι καὶ προφήτης καὶ
θεοπρόπος, ὧν ἐξ ἀδύτων καὶ ἀοράτων χρησμῳ-
δοῦσα οὐ παύεται. τοῦτον μὲν οὖν τὸν τρόπον ἐνδυνα-
μοῦσθαι τοῖς περὶ τὰ δόγματα ἐριστικοῖς χρήσι-
μον. γεγυμνασμένοι γὰρ περὶ τὰς τῶν λόγων ἰδέας,

οὐκ ἔτ' ἐπ' ἀπειρίᾳ σοφιστικῶν παλαισμάτων ὀκλάσομεν· ἐξαναστάντες δὲ καὶ διερεισάμενοι, τὰς ἐντέχνους αὐτῶν περιπλοκὰς εὐμαρῶς ἐκδυσόμεθα. οἱ δ' ἅπαξ εὑρεθέντες, σκιαμάχων, ἀλλ' οὐκ ἀγωνιστῶν, ἐπιδείκνυσθαι δόξουσι δύναμιν. καὶ γὰρ ἐκεῖνοι καθ' ἑαυτοὺς μὲν χειρονομοῦντες εὐδοκιμοῦσι, πρὸς δ' ἁμίλλας ἥκοντες οὐ μετρίως ἀδοξοῦσιν. εἰ δέ τις τὴν μὲν ψυχὴν ἀρεταῖς ἁπάσαις κεκόσμηκε, τέχνας δὲ λόγων οὐκ ἐμελέτησεν, ἡσυχίᾳ χρώμενος, ἀσφαλέστατον γέρας ἀκίνδυνον εὑρήσεται. προελθὼν δ' ὡς Ἄβελ εἰς σοφιστικὸν ἀγῶνα πρὶν διερείσασθαι, πεσεῖται. καθάπερ γὰρ ἐν ἰατρικῇ τινὲς μὲν θεραπείαν εἰδότες πάντα σχεδὸν πάθη καὶ νοσήματα καὶ ἀρρωστήματα, λόγον οὐδένα αὐτῶν οὔτ' ἀληθῆ, οὔτ' εἰκότα ἀποδοῦναι δύνανται· οἱ δ' ἔμπαλιν, τὰ μὲν περὶ λόγους εἰσὶ δεινοί, σημείων καὶ αἰτίων καὶ θεραπείας, ἐξ ὧν ἡ τέχνη συνέστηκεν, ἑρμηνεῖς ἄριστοι· τὰ δὲ πρὸς καμνόντων ἐπιμέλειαν σωμάτων, φαυλότατοι, τὸ εἰς ἴασιν ἀλλ' οὐδὲ τὸ μικρότατον παρασχεῖν ἱκανοί· τὸν αὐτὸν τρόπον, οἱ μὲν τὰ δι' ἔργων ἀσκηταὶ σοφίας πολλάκις λόγων ἠμέλησαν, οἱ δὲ τὰς ἐν λόγῳ τέχνας ἀναδιδαχθέντες, οὐδὲν ἐν ψυχῇ καλὸν παίδευμα ἐθησαυρίσαντο. τούτους μὲν οὖν ἀχαλίνῳ κεχρημένους γλώττῃ μετ' αὐθαδείας θρασύνεσθαι, παράδοξον οὐδέν, ἀπόνοιαν ἣν ἐξ ἀρχῆς ἐμελέτησαν ἐπιδεικνυμένους· ἐκείνοις δ' ὡς ἂν ἰατροῖς τὸ ὑγιάζειν τὰς ψυχῆς νόσους τε καὶ κῆρας ἀναδιδαχθεῖσι μέρος, ἐπέχειν ἀναγκαῖον, μέχρις ἂν ὁ θεὸς καὶ τὸν ἑρμηνέα ἄριστον κατασκευάσῃ τὰς τοῦ λέγειν πηγὰς ἀρδομένας καὶ ἀναδείξας αὐτοῦ. συμφορώτερον οὖν ἦν εὐλαβείᾳ σωτηρίῳ ἀρετῇ χρησάμενον τὸν Ἄβελ, οἴκοι καταμεῖναι, τὸν δὲ εἰς τὸν ἐριστικὸν καὶ φιλόνεικον ἀγῶνα προκλήσεως ὀλιγωρῆσαι, μιμησάμενον Ῥεβέκκας τὴν ὑπομονήν, ἥτις ἀπειλοῦντος Ἡσαῦ τοῦ κακίας θιασώτου, τὸν ἀρετῆς ἀσκητὴν Ἰακὼβ ἀναχωρῆσαι τῷ μέλλοντι ἐπιβουλεύεσθαι παραγγέλλει, μέχρις ἂν ἐκεῖνος τὸν ἐπ' αὐτοῦ σχετλίου λύπης ἀνῇ. καὶ γὰρ ἀφόρητόν τινα ἀπειλὴν ἐπανατείνεται φάσκων, Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου. εὔχεται γὰρ μόνον τὸ ἀπαθὲς εἶδος ἐν γενέσει, τὸν Ἰσαάκ, ᾧ χρησμός ἐστι μὴ καταβῆναι εἰς Αἴγυπτον, ἀλόγῳ πάθει χρῆσθαι, ἵνα, δοκῶ, ἡδονῆς ἢ λύπης ἢ τινος ἄλλου πάθους κέντροις τρωθῇ· δηλῶν ὡς ὁ ἀτελέστερος καὶ ἐπιπόνῳ προκοπῇ χρώμενος, οὐ τραῦμα μόνον, ἀλλὰ καὶ παντελῆ φθορὰν δέξεται. ὁ μέντοι χρηστὸς θεός, οὔτ' ἄτρωτον

A non succumbemus per imperitiam sophisticorum luctaminum: sed insurgendo in aduersos obfirmatis passibus, facile artificiosas eorum petitiones cluctabimur. illi vero semel deprehensi, videbuntur ludicram digladiationem ostentare, non concertandi vim. nam & illi vulgo dicti sciamachi, laudantur ob gesticulationem solitariam & agilitatem manuum, sed valde improbantur in serio certamine. quòd si quis exornatus animam virtutibus omnibus artes eloquentiæ non exercuit, quiescat, securi-
B tatem habiturus silentij præmium. alioqui si vt Abel descendet in certamen sophisticum, priusquam se obfirmarit concidet. sicut enim medicorum quidam gnari curationis omnium ferme vitiorum, morborum languorúmque, nullius eorum rationem veram aut verisimilem possunt reddere: alij contrà vehementer facundi, signorum & causarũ remediorúmque ex quibus ars constat
C interpretes optimi, in tractandis ægrotorum corporibus sunt ignauissimi, ne minimum quidem remedium adhibere idonei: ita qui se exercent in operibus sapientiæ plerumque verba negligunt: qui vero dicendi artes callent, nullam bonam disciplinam habent reconditam. hos igitur infreni lingua fretos insolenter efferri mirandum non est, ostentantes quam semper exercuerunt insolentiam. Sed illos spectandos suaserim, qui tanquã medici callent rationem sanandi morbos pestésque animæ: donec Deus
D etiam interpretem optimum instruxerit, imbre suo perfusis fontibus & illi sapiẽti indicatis. conuenientius igitur fuisset, Abelem pietate salutari virtute præditũ domi se continere, & litigiosam contentiosámque pugnaturientis prouocationẽ contemnere, imitatum Rebeccæ patientiam: quæ auditis minis Esau maliciæ sodalis, suasit virtutis meditatori Iacob vt secederet, cauerétque insidias, donec miser ille suam rabiem remiserit: est enim intolerabilis comminatio, quam
E intentat fratri, dicens: Appropinquet dies luctus patris mei. Optat enim tantùm vt illa creatura expers affectuum, videlicet Isaac, qui oraculum accepit, non descensurum se in Ægyptum, in irrationalem affectum incidat, voluptatis puta aut doloris aut cuiuscunque perturbationis mucrone vulnerata: significans quod alter imperfectior & laboriose proficiẽs, non vulnus solũ, sed & interitũ accipiat. attamen bonus Deus nec inuulnerabile

A genus expugnari ab affectione sinet: nec virtutis exercitium in potestatem furẽtis cædémque spirantis tradet. & ideo quod sequitur: Insurrexit Cain in Abelem fratrem suum, & interfecit ipsum, prima quidem specie Abelem occisum subindicat: sin autem diligentius rẽ expendas, ipsum Cain à seipso. proinde sic legendum: Insurrexit Cain & occidit seipsum, nõ alterum. & merito quidem. anima enim quæ ex seipsa tollit dogma pium & virtutis amicũ, virtuti est mortua. itaque Abel, quod vix credas, inter-B emptus viuit. exemptus enim ex insipiẽtis mente, viuit in Deo vitam felicissimam. attestatur nobis diuinum oraculum, quod vociferari eum ait diserte, & clamore prodere quæ à malo socio passus est. alioquin si non amplius erat, quomodo loqui poterat? ita est profecto, sapiens qui videtur vita mortali defunctus, immortalem viuit. malus autem viuens in vitiis, quantum ad felicem illam vitam est mortuus. nam disiũcta anima-C lia & in vniuersum corpora, alia pati, alia agere, possibile est ac facile. quãdo enim pater pulsat castigans filium, aut magister familiarem, alius est qui pulsat, quam qui pulsatur. quæ vero coniuncta repe-riuntur ea parte quæ tum agit tum patitur, his ipsis vtrunque accidit eodem tẽpore. certe quando athlota seipsum fricat exercendi gratia, vtique fricatur: sicut qui semetipsum sauciat, mutilatur atque interficitur. Sed quorsum hæc? quod anima cum sit vna non ex disiun-D ctis rebus, sed ex coniunctis, necessariò patitur quod videtur agere, sicut nunc quoque planum est. Putans enim se sustulisse dogma Deo charissimum, seipsam interemit. Testis est Lamech impij Cain progenies, qui sic suas vxores alloquitur, duas inconsultas sententias: Virum occidi in vulnus mihi, & iuuenem in cicatricem mihi. Liquet enim quod si quis fortitudinis rationem occidit, seipsum contrario morbo timiditatis vulne-E rat: & si quis pubescentem vim in ipsa honestorum meditatione tollit, plagas & magna flagra cum non mediocri dedecore sibijpse infert. Dicit tamen patientia, quod sublato profectu meditationéque, non vnam solam prolem amittet, sed & alias, orbitatem in vniuersum denuncians. Sicut autem qui bonũ virũ lædit, declaratus est seipsum mulctare: ita qui cedit præstantioribus, quamuis dicatur illis prę stare beneficiũ,

πάθη τὸ ἀνθρώπου γένος εἶδος ἐργάσηται), οὔτε τὴν ἀρετῆς ἄσκησιν ἐπ' ὀλέθρῳ φονῶντι καὶ δαιμονῶντι ἐκδώσει. διὸ καὶ τὸ ἐπιφερόμενον, Ἀνέστη Κάιν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν, κατὰ μὲν τὴν πρόχειρον φαντασίαν ὑποβάλλει ὅτι Ἄβελ ἀνῄρηται· κατὰ δὲ τὴν ἀκριβεστέραν ἐξέτασιν, ὅτι αὐτὸς ὁ Κάιν ὑφ' ἑαυτοῦ. ὥστε οὕτως ἀναγνωστέον, Ἀνέστη Κάιν καὶ ἀπέκτεινεν ἑαυτόν, ἀλλ' οὐχ ἕτερον. εἰκότως δὲ τοῦτο ἔπαθεν. ἡ γὰρ ἐξ αὐτῆς ἀνελοῦσα ψυχὴ τὸ φιλάρετον καὶ φιλόθεον δόγμα, τὸν τῆς ἀρετῆς τέθνηκε βίον· ὥστε ὁ Ἄβελ, τὸ παραδοξότατον, ἀνῄρηταί τε καὶ ζῇ· ἀνῄρηται μὲν ἐκ τῆς τοῦ ἄφρονος διανοίας, ζῇ δὲ τὴν ἐν θεῷ ζωὴν εὐδαίμονα. μαρτυρήσει δὲ τὸ χρησθὲν λόγιον, ἐν ᾧ φωνῇ χρώμενος, καὶ βοῶν ἃ πέπονθεν ὑπὸ κακοῦ συνόντος τηλαυγῶς εὑρίσκεται. πῶς γὰρ ὁ μηκέτ' ὢν διαλέγεσθαι δυνατός; ὁ μὲν δὴ σοφὸς τεθνηκέναι δοκῶν τὸν φθαρτὸν βίον, ζῇ τὸν ἄφθαρτον· ὁ δὲ φαῦλος ζῶν τὸν ἐν κακίᾳ, τέθνηκε τὸν εὐδαίμονα. ἐπὶ μὲν γὰρ τῶν διεστηκότων ζῴων τε καὶ κοινῶν σωμάτων ἕτερα μὲν τὰ ποιοῦντα, ἕτερα δ' εἶναι τὰ πάσχοντα δυνατὸν καὶ ῥᾴδιον. ὁπότε γὰρ πατὴρ υἱὸν τύπτει σωφρονίζων, ἢ διδάσκαλος γνώριμον, ἕτερος ὁ τύπτων καὶ ὁ τυπτόμενός ἐστιν· ἐπὶ δὲ τῶν ἡνωμένων περὶ ὃ τὸ ποιεῖν καὶ τὸ πάσχειν εὑρίσκεται, καὶ οὔτε ἐν ἑτέρῳ χρόνῳ, οὔτε ἕτερον, ἀλλὰ κατὰ τὸν αὐτὸν, καὶ τὸ αὐτό. ἐπειδὰν γοῦν ἀθλητὴς ἑαυτὸν τοῦ γυμνάσασθαι χάριν διατρίβῃ, πάντως τρίβεται, καὶ εἴ τις μέντοι παίει ἑαυτὸν, πηροῦται καὶ κτείνεται. πρὸς τί δὴ ταῦτ' εἶπον, ὅτι τὴν ψυχὴν οὐ τῶν διεστηκότων, ἀλλὰ τῶν ἡνωμένων οὖσαν, ἀνάγκη πάσχειν ὃ ποιεῖν δοκεῖ, καθάπερ ἀμέλει καὶ νῦν. δόξασα γὰρ ἀνελεῖν τὸ θεοφιλέστατον δόγμα, ἑαυτὴν ἀνῄρηκε. μάρτυς δὲ Λάμεχ, ὁ τῆς Κάιν ἀσεβείας ἔκγονος, ὅς φησι γυναιξὶ τῆς ἑαυτοῦ δυσὶ γνώμαις ἀγνώμοσιν, Ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. δῆλον γὰρ ὅτι εἴ τις τὸν ἀνδρείας λόγον κτείνει, ἑαυτὸν ἐναντίᾳ νόσῳ τιτρώσκει δειλίας, καὶ εἴ τις τὴν ἡβῶσαν ἰσχὺν ἐν ἀσκήσει τῶν καλῶν ἀναιρεῖ, πληγὰς καὶ μεγάλας αἰκίας μετ' οὐ μετρίας αἰσχύνης ἐπιφέρει ἑαυτῷ. λέγει μέντοι καὶ ἡ ὑπομονὴ, ὅτι ἐὰν ἄσκησις ἀναιρεθῇ καὶ προκοπὴ, οὐχ ἓν μόνον ἔκγονον, ἀλλὰ καὶ τὰ ἄλλα ἀποβάλλει, ἀτεκνίαν ἐνδείξασα ἤδη παντελῆ. ὥσπερ δ' ὁ βλάπτων τὸν ἀστεῖον, ἐπιδέδεικται ζημιῶν ἑαυτὸν, οὕτω καὶ ὁ προνομίας τοῖς ἀμείνοσιν ἀξιῶν, λόγῳ μὲν ἐκείνοις, ἔργῳ

δὲ αὐτοῦ περιποιήσεται ἀγαθόν. μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ φύσις, καὶ τὰ ἀκολούθως αὐτῇ νομοθετηθέντα· διείρηται γὰρ ἀντικρυς καὶ σαφῶς οὕτω, Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται, οὐχὶ τοῖς τιμωμένοις φησίν, ἀλλὰ σοί. ἐάν τε γὰρ τὸν νοῦν ὡς πατέρα τοῦ συγκρίματος, ἐάν τε τὴν αἴσθησιν ὡς μητέρα διὰ τιμῆς ἔχωμεν, εὖ πρὸς ἐκείνων αὐτοὶ πεισόμεθα. τιμᾷ δὲ τὸν μὲν νοῦν, διὰ τῶν συμφερόντων, ἀλλὰ μὴ διὰ τῶν ἡδέων θεραπεύεσθαι· πάντα δὲ τὰ ἀπ᾽ ἀρετῆς συμφέροντα· τῆς δὲ αἰσθήσεως, τὸ μὴ ἀφεθῆναι ῥύμῃ μιᾷ φέρεσθαι πρὸς τὰ ἐκτὸς αἰσθητά· ἐγχαλινωθῆναι δ᾽ ὑπὸ νοῦ, κυβερνᾶν καὶ ἡνιοχεῖν τὰς ἀλόγους ἐν ἡμῖν δυνάμεις ἐπισταμένου. ἐὰν μὲν οὖν ἧς εἶπον ἑκάτερον λάχῃ τιμῆς αἴσθησίς τε καὶ νοῦς, ἀνάγκη τὸν κεχρημένον ἀμφοτέροις ἐμὲ εὐεργετεῖσθαι. ἐὰν δὲ πόρρω τὸν λόγον ἀπὸ νοῦ καὶ αἰσθήσεως ἀπαγαγών, πατέρα μὲν τὸν γεννήσαντα τὸν κόσμον, μητέρα δὲ τὴν σοφίαν, δι᾽ ἧς ἀπετελέσθη τὸ πᾶν, τιμῆς ἀξιώσῃς, αὐτὸς εὖ πείσῃ. δεῖται γὰρ οὐδενός, οὔτε ὁ πλήρης θεός, οὔτε ἡ ἄκρα καὶ παντελὴς ἐπιστήμη· ὥστε τὸν θεραπευτὴν τούτων, μὴ τοὺς θεραπευομένους ἀνενδεεῖς ὄντας, ἀλλ᾽ ἑαυτὸν μάλιστα ὠφελεῖν. ἱππικὴ μὲν γὰρ καὶ σκυλακευτικὴ ἐπιστήμη θεραπείας, ἡ μὲν ἵππων, ἡ δὲ σκυλάκων οὖσα, πορίζει τοῖς ζώοις τὰ ὠφέλιμα, ὧν ἐκεῖνα δεῖται, μὴ πορίζουσα δὲ ἀμελεῖν ἂν δοκοίη. τὴν δὲ ὁσιότητα θεραπείαν θεοῦ περιέχουσαν οὐ θέμις εἰπεῖν τὴν ὠφελήσουσαν τὸ θεῖον· ὠφελεῖται μὲν γὰρ ὑπ᾽ οὐδενός, ἅτε μήτε ἐνδεὴς ὢν, μήτε τινὸς τὸ ἐν ἅπασιν αὐτοῦ κρεῖττον πεφυκότος ὠφελεῖν· τοὐναντίον δὲ τὰ σύμπαντα συνεχῶς καὶ ἀπαύστως ὠφελεῖ. ὥστε ὅταν τὴν ὁσιότητα λέγωμεν εἶναι θεοῦ θεραπείαν, ὑπηρεσίαν τινὰ τοιαύτην εἶναι φαμέν, ὁποίαν δοῦλοι δεσπόταις τὸ κελευόμενον ἀόκνως ποιεῖν ἐγνωκότες ὑπηρετοῦσι. διαφέρει δὲ πάλιν, ὅτι οἱ μὲν δεσπόται ὑπηρεσίας ἐνδεεῖς· ὁ δὲ θεὸς οὐ χρεῖος· ὥστε ἐκείνοις μὲν τὰ ὠφελήσοντα αὐτοὺς ὑπηρετοῦσι, τῷ δὲ οὐδὲν ἔξω φιλοδεσπότου γνώμης παρέξουσι. βελτιώσουσι μὲν γὰρ οὐδὲν εὑρήσουσι, τῶν δεσποτικῶν πάντων ἐξ ἀρχῆς ὄντων ἀρίστων· μεγάλα δὲ αὐτοὺς ὀνήσουσι, γνωρισθῆναι θεῷ προθυμούμενοι. ταῦτα μὲν οὖν ἱκανῶς εἰρῆσθαι νομίζω πρὸς τοὺς εὖ ἢ κακῶς ἑτέρους ποιεῖν δοκοῦντας. εὑρέθησαν γὰρ ἑαυτοὺς ἑκάτερον δρῶντες. τὰ δὲ ἑξῆς ἐρευνήσωμεν. ἔστι δὲ πεῦσις τοιαύτη, Ποῦ Ἄβελ ὁ ἀδελφός σου.

A re vera de seipso bene meretur. testis est his meis dictis ipsa natura, & leges huic consentaneæ. Diserte enim præcipiunt sic: Honora patrem & matrem, vt bene tibi fiat. Non his qui honorantur inquit, sed tibi. nam siue intellectum vt patrem huius concreti, siue sensum vt matrem honorauerimus, ipsi ab eis recipiemus beneficium. honoramus autem intellectum, non iucunda ei præbendo sed vtilia. ea sunt quæcunque à virtute proueniunt. cæterum sensui honorem habe- B mus, quando cohibemus eius impetum ad res sensibiles, & refrenamus per intellectum, gubernatorem aurigámque potentiarum quæ nobis insunt irrationalium. Ergo si honor quem dixi, vtrique habeatur, sensui ac intellectui, necessum est me qui vtroque vtor, affici beneficijs. Pari modo si rationem longe ab intellectu sensúque abducens, patrem creatorem mundi, matrémque sapientiam eius per quam condita sunt C omnia, honore dignaberis, ipse beneficium accipies. nullius enim indiget, nec plenus ille Deus, nec illa summa perfectissimáque scientia. quo fit vt qui hos colunt, non eis quippe nulla re indigentibus, sed sibi prosint maxime. nam scientia equos canesve curandi, ipsis animalibus vtilis, parat eis necessaria: ni faciat, discessura ab officio. at pietas ad cuius curam pertinet Deum colere, nefas est vt dicatur aliquid conferre quo iuuetur Deus. nihil enim est quod eum D adiuuet rei nullius indigum: nec in rebus quicquam est quod se potiorem iuuare queat, sed è diuerso cuncta indesinenter iuuantur ab ipso. Itaque dum pietatem dicimus esse erga Deum obsequium, intelligendum est tale quoddam ministerium, quale serui præstant dominis, impigre iussa peragendo. sed hoc interest, quòd Domini quidem indigent ministerio, Deus autem non indiget. itaque illis quidem prodest ministerium, ad hunc nihil inde redit, præ- E ter voluntatem pietatis indicem. nihil enim in hoc Domino inuenitur quod profectũ accessionémque recipiat, cum omnia iam inde ab initio sint optima. verùm ipsis maxima prouenit vtilitas, qui in eius familiaritatem se insinuant. hactenus dictum sit de his, qui se putant alijs bene aut male facere. compertum enim est eos vtrunque sibi ipsos facere. pergamus scrutari sequentia, videlicet scitationem hanc: Vbi est Abel frater tuus? ad quam respondet,

A Nescio. num custos fratris mei sum ego?] Quærendum igitur an proprie de Deo dici possit, cum scitari. nam qui percontatur, de his quæ ignorat interrogat, quærens responsum vt cognoscat quæ nesciuerat. at huic percõtatori nota sunt omnia, non præsentia tantum & præterita, sed futura etiam. Quid igitur opus habet responso nihil profuturo ad ampliorem scientiam? Proinde dicendum, quæ istiusmodi sunt non habere talem naturam vt de summo autore prædicari possint proprie: B sed sicut qui non mentitur potest mendacium dicere, ita qui non interrogat, potest interrogationem proloqui. Cur igitur, dixerit fortasse aliquis, produntur talia? vt anima responsura, apud seipsam pensitet, quid recte secusve pronunciet, absque vllo alio vel suffragatore vel aduersario. nam & cum sapientem illum rogat: vbi habes virtutem? Abrahamum inquam de Sarra: non ignarus rogat, sed vt respon- C sum eliciat, per quod ille auferat cum laude coniunctũ testimonium. Sic enim respondisse dicitur: Eccam in tabernaculo, hoc est in anima. Quam igitur laudem hoc responsum continet? Ecce, inquit, apud me ipsum virtutem habeo repositam ceu rem preciosissimam, & ideo iam nunc felix sum. Quod enim ex virtute percipimus, felicitas est, vt non frustra eam possideamus. Vti autem ea non possum, ni tu demisso cælitus semine facias eam grauidam: atque illa Isaac pariat, felicitatis progeniem. Intelligo au- D tem felicitaté, virtutis perfectæ in vita perfecta vsum. Ideo propositum hoc eius approbans, promittit implenda mature quæ postulat. Huic igitur sua responsio laudem attulit, fasso ne virtutem quidem absque diuino fauore idoneam per se ad aliquem iuuandum. At Caino merito affert vituperium, neganti se scire vbi sit qui dolo ipsius occisus fuit. Videtur enim responso hoc velle fallere, quasi non perspicientem omnia, ac non iam ante præuidentem decipiendi volunta- E tem in eo. Nefarius autem & alienus à populo Dei est, quisquis putat aliquid latere eius oculum. At iste addit etiam iuuenilem vocem: Nunquid custos fratris mei sum ego? Miseram profecto vitam acturus erat, si te custodem tanti boni natura constituisset. An non vides quòd sanctorum asseruationem ac custodiam non quibusuis legislator, sed sacratas mentes habentibus Leuitis committit? quibus non satis digna sors terra,

πρὸς ὃν ἀποκρίνεται), Οὐ γινώσκω, μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; οὐκοῦν ἄξιον διαπορῆσαι εἰ κυρίως ἐνδέχεται πυνθάνεσθαι θεόν. ὁ γὰρ ἐρωτῶν ἢ πυνθανόμενος, περὶ ὧν ἀγνοεῖ ἐρωτᾷ τε καὶ πυνθάνεται, ζητῶν ἀπόκρισιν ἐξ ἧς ὃ μὴ εἶδεν εἴσεται. πάντα δὲ γνώριμα οὐ τὰ παρόντα μόνον καὶ παρεληλυθότα, ἀλλὰ καὶ τὰ μέλλοντα· τί οὖν καὶ ἀποκρίσεως ὄφελος μὴ μελλούσης τινὰ περιποιεῖν τῷ πυνθανομένῳ κατάληψιν. ἀλλὰ ῥητέον, ὅτι τοιαῦτα οὐ πέφυκεν ἀπὸ τοῦ αἰτίου κυριολογεῖσθαι, ἀλλ' ὥσπερ ψευδῆ λέγειν ἐστὶ μὴ ψευδόμενον, οὕτω καὶ ἐρώτημα καὶ πύσμα προφέρεσθαι, μήτε ἐρωτῶντα, μήτε πυνθανόμενον. τίνος οὖν ἕνεκα, φήσει τις ἴσως, λέγεται τοιαῦτα· ἵν' ἡ μέλλουσα τὰς ἀποκρίσεις ποιεῖσθαι ψυχὴ, δι' ἑαυτῆς ἐξετάζῃ περὶ ὧν εὖ ἢ κακῶς ἀποφαίνεται, μήτε κατηγόρῳ, μήτε συναγωνιστῇ χρωμένη ἑτέρῳ· ἐπεὶ καὶ τὸν σοφὸν ὁπότε ἀνερωτᾷ, ποῦ ἐστί σοι ἡ ἀρετὴ, τὸν Ἀβραὰμ λέγω περὶ Σάρρας, οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ δεῖν οἰόμενος αὐτὸν ἀποκρίνεσθαι, ἕνεκα τοῦ τὸν ἔπαινον τὸν ἐξ αὐτοῦ τοῦ λέγοντος φησὶ παραστῆναι. φησὶ γοῦν ὅτι εἶπεν, Ἰδοὺ ἐν τῇ σκηνῇ, τουτέστι τῇ ψυχῇ. τί οὖν τὸ ἐκ τῆς ἀποκρίσεως ἐπαινετόν. ἰδοὺ τὴν ἀρετὴν, φησὶν, ἔχω παρ' ἐμαυτῷ, καθάπερ τι κειμήλιον, καὶ διὰ τοῦτ' εὐθὺς εὐδαιμονῶ. χρῆσις γὰρ καὶ ἀπόλαυσις ἀρετῆς, τὸ εὐδαιμονεῖν, οὐ ψιλὴ μόνον κτῆσις· χρῆσθαι δὲ οὐκ ἂν δυναίμην, εἰ μὴ σὺ καθεὶς ἐξ οὐρανοῦ τὰ σπέρματα ἀπεργάσαιο αὐτὴν ἐγκύμονα· ἡ δὲ τὸ εὐδαιμονίας γένος ἀποτέκοι τὸν Ἰσαάκ. εὐδαιμονίαν δὲ χρῆσιν ἀρετῆς τελείας ἐν βίῳ τελείῳ νενόηκα· παρ' ὃ καὶ τὴν προαιρέσεως ἀγάμενος αὐτὸν, ὁμολογεῖ τελεσφορήσειν κυρίως ἃ ᾐτήσατο. τούτῳ μὲν οὖν ἡ ἀπόκρισις ἔπαινον ἤνεγκεν, ὁμολογοῦντι μηδὲ τὴν ἀρετὴν ἄνευ θείας ἐπιφροσύνης, ἱκανὴν ἐξ ἑαυτῆς ὠφελεῖν εἶναι. τῷ δὲ Κάϊν ἀκόλουθος ψόγος, φάσκοντι μὴ εἰδέναι ποῦ ὁ δολοφονηθεὶς ἔστι παρ' αὐτοῦ. δόξει γὰρ τὸν ἀκούοντα ἀπατήσειν, ὡς οὐ πάντα ἐφορῶντα, ἐπὶ τὴν ἀπάτην ἣ μέλλει χρῆσθαι οὐ προκατειληφότα· ἔκθεσμος δὲ καὶ ἔκφυλος πᾶς ὁ τὸν τοῦ θεοῦ ὀφθαλμὸν οἰόμενος τι παρελθεῖν. ὁ δέ γε καὶ ἐπινεανιεύεται φάσκων, Μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; πάνυ γὰρ εἰ ποιμὴν, ἀθλίως ἔμελλε βιώσεσθαι, εἰ σὲ φρουρὸν καὶ φύλακα ἡ φύσις ἀγαθοῦ τοσούτου κατέστησεν. ἢ οὐχ ὁρᾷς ὅτι τὴν τῶν ἁγίων διατήρησίν τε καὶ φυλακὴν οὐ τοῖς ἐπιτυχοῦσιν ὁ νομοθέτης, ἀλλὰ τοῖς τὰς γνώμας ἱερωτάτοις Λευίταις ἐπιτρέπει, ὧν

ἀνάξιος κλῆρος γῆ καὶ ὕδωρ καὶ ἀὴρ, ἔτι δὲ οὐρανὸς καὶ πᾶς ὁ κόσμος ἐνομίσθη· μόνος δ' ἀξιόχρεως ὁ δημιουργὸς, ᾧ προσπεφεύγασιν ἱκέται γνήσιοι καὶ θεράποντες ἑαυτοῦ γενόμενοι, τὸ φιλοδέσποτον διά τε τῆς συνεχοῦς ὑπηρεσίας καὶ τῆς τῶν ἐπιτραπέντων ἀοκνοτάτης ἐπιδεικνύμενοι φυλακῆς. καὶ οὐδ' ἅπασιν ἐξεγένετο τοῖς ἱκέταις γενέσθαι φύλαξιν ἱερῶν, ἀλλ' οἵτινες ἀριθμὸν πεντηκοστὸν ἔλαχον, ἄφεσιν καὶ ἐλευθερίαν παντελῆ καὶ ἐπάνοδον εἰς τὰς ἀρχαίας λήξεις προκηρύττοντα· Τοῦτο γὰρ, φησὶν, ἐστὶ τὸ περὶ τῶν Λευιτῶν, ἀπὸ πέντε καὶ εἴκοσιν ἐτῶν εἰσελεύσεται ἐνεργεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἀπὸ πεντήκοντα ἐτῶν ἀποστήσεται τῆς λειτουργίας, καὶ οὐκ ἐργάσεται ἔτι. λειτουργήσει δὲ ὁ ἀδελφὸς αὐτοῦ· ὁ δὲ φυλάξει φυλακὰς, ἔργα δὲ οὐκ ἐργάσεται. ἐν κοινῷ μὲν ἡμίσει τῆς τελειότητα. τέλειος γὰρ ὁ πεντηκοστὸς λόγος· ὁ δὲ τῶν πέντε καὶ εἴκοσιν ἥμισυ μέρος· ἐνεργεῖν ἐπιτρέπει, καὶ δρᾶν τὰ ἅγια τὸν δι' ἔργων ἀρέσκειν ἐπιτηδεύοντα· ἀρχὴ δὲ, ὡς ἔφη τις τῶν πάλαι, τοῦ παντὸς ἥμισυ μέρος· τῷ δὲ τελείῳ, μηκέτι πονεῖν, τὰ δὴ ὅσα ἐκ μελέτης καὶ πόνου περιεποιήσατο, φυλάττειν. μὴ γὰρ γενοίμην ἀσκητὴς ὧν μὴ φύλαξ αὖθις. ἡ μὲν οὖν ἄσκησις μέσον, οὐ τέλειον. γίνεται γὰρ ἐν οὐ τελείαις μὲν, ἀκροτάτου δὲ ἐφιεμέναις ψυχαῖς· ἡ δὲ φυλακὴ παντελὲς, μνήμῃ τὰ ἀσκητὰ παραδοῦσα θεωρήματα τῶν ἁγίων, ἐπιστήμης καλὴν παρακαταθήκην φύλακι πιστῷ, ἣ μόνη τῶν λήθης πολυμηχάνων δικτύων ἀγρεῖ· ὥστε τὸν μνήμονα ὧν ἔμαθεν εἰκότως καὶ ἀψευδῶς καλεῖ φύλακα. ὃς δὲ πρότερον ἢ ἐγυμνάζετο, μαθητὴς ἦν διδάσκοντος ἑτέρου· ὁπότε δὲ ἱκανὸς φυλάττειν ἐγένετο, διδασκάλου δύναμιν καὶ τάξιν ἔλαχε, τὸν ἀδελφὸν εἰς τὰς ὑπηρεσίας τῆς διδασκαλίας χειροτονήσας τὸν ἑαυτοῦ προφορικὸν λόγον. λέγεται γὰρ, ὅτι λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ· ὥστε ὁ μὲν τοῦ ἀστείου νοῦς, φύλαξ καὶ ταμίας τῶν ἀρετῆς ἐστι δογμάτων· ὁ δ' ἀδελφὸς αὐτοῦ λόγος λειτουργήσει, τοῖς παιδείας μετιοῦσι διεξιὼν τῆς σοφίας δόγματά τε καὶ θεωρήματα. διὸ καὶ ὁ Μωϋσῆς ἐν ταῖς εὐλογίαις Λευὶ πολλὰ καὶ θαυμάσια προειπὼν, ἐπιφέρει, Ἐφύλαξε τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησεν· εἶτ' ἑξῆς, Δηλώσουσι τὰ δικαιώματά σου Ἰακὼβ, καὶ τὸν νόμον σου Ἰσραήλ. οὐκοῦν ὅτι καὶ λόγων καὶ διαθήκης θεοῦ φύλαξ ὁ ἀστεῖός ἐστιν, ἐναργῶς παρίστησι· καὶ μὴν ὅτι δικαιωμάτων καὶ νόμων ἑρμηνεὺς καὶ ὑφηγητὴς ἄριστος πάλιν δεδήλωκε, τῆς μὲν ἑρμηνείας διὰ συγγενικοῦ ὀργάνου, τοῦ

A aqua, aer, cęlum insuper & totus mundus vilia est, sed solus horum opifex: ad quem confugerunt supplices, facti eius veri famuli, amorem erga suum Dominum declarantes per continuum ministerium, & per impigram rerum sibi creditarum custodiam. ac ne his quidem supplicibus licuit omnibus esse custodes rerum sacrarum, sed tantum sortitis numerum quinquagenarium, annunciantem remissionem libertatémque, & restitutionem in possessiones pristinas. Hęc est, inquit, lex

B Leuitarum. A vigintiquinque annis ingredietur vt ministret in tabernaculo testimonij: & à quinquagesimo anno ministrare cessabit, succędēte fratre in ministerium. Ipse autem custodiet custodias, opera vero non operabitur.] Ergo dimidium perfectionis habentem (perfecta enim ratio quinquagenaria, cuius dimidium vigintiquinque) operari permittit, & sancta facere, approbantem se operibus: est autem principium, teste an-

C tiquo prouerbio, totius dimidium: cæterum perfectum, non iam laborare, sed quæ per exercitationem laborémque acquisiuit, custodire. Absit enim vt eorum sim meditator, quæ mox seruare non liceat. Ergo exercitatio mediocritas est, non perfectio. Fit enim non in perfectis quidem animis, sed tamen ad fastigium tendentibus. At custodiæ perfectum officium, memoriæ mandare contemplatiua exercitia sanctorum, scilicet fideli custodi pulchrum scientiæ depositum: quæ sola contemnit obliuionis casses

D multiplices. Itaque memorem eorum quæ didicit, recte custodem appellat. Hic autem prius quàm exerceretur, alterius docentis erat discipulus. Factus autem ad custodiam idoneus, ascitus iam in docentium dignitatem ac ordinem, fratrem ad ministeria suæ doctrinæ substituit, hoc est sermonem suum enunciatiuum. Dicitur enim quòd ministrabit frater eius. Itaque probi viri mēs, custos ac proma conda est virtutis dogmatum. frater vero eius sermo ministrabit, eru-

E ditionis cupidis enarrans sapientiæ contemplationes & dogmata. Ideóque Moses benedicens Leui, post alia miranda infert hoc quoque: Custodiuit eloquia tua, & testamentum tuum seruauit. Ac mox: Manifestabunt iustificationes tuas Iacob, & legem tuam Israel. Ergo satis docet, & eloquiorum & testamenti Dei probum virum custodem esse. quin & iustificationum legúmque interpretem ac doctorem optimum eundem indicat:

quando interpretatio per cognatum instrumentum, vocale videlicet, peragitur: custodia vero circa mentē examinatur, quæ est magnū conditorium à natura fabricatum, facile capax cogitationū omnium quibus vel corpora vel res comprehendimus. Profuisset sane amatori sui Caino, si Abelem custodisset. Si enim seruasset eum, consideratā & mediocrē vitā sibi acquisisset, non explens se mera malicia. Et dixit Deus: Quid fecisti? vox sanguinis fratris tui clamat ad me de terra.] Illud quid fecisti, & indignationem præ se fert ob sceleratum facinus, & irrisionem putantis dolo patratū homicidium. Indignatio propter malefici propositum oritur, quòd bonum tollere voluit: irrisio verò, quia putans se insidiari potiori, sibi magis quàm illi struxit insidias. Viuit enim, vt iam ante dixi, qui mortuus existimatur, quādoquidem comperitur etiam Deum supplex alloqui. At is qui superstes videtur, animæ morte perijt, exclusus à virtute, propter quam solam vita dignus esse potuerat. Itaque dicere, Quid fecisti? idem valet quod, Nihil effecisti. Nam neque ille sophista Balaam, id est, vanum vulgus contrariarum opinionum & inter se pugnantium, volens execrari probos & lædere, quicquam valuit, Deo maledictionem vertente in benedictionem, vt & vafriciem iniusti redargueret, & se virtutis amicum ostenderet. Solent autem plerique omnes sophistæ aduersarias habere suasmetipsorum facultates, dum verba eorum cogitationibus, & consilia verbis resistunt, haud vllo consensu intercedente. Deliniunt enim nostras aures disserendo quàm socialis res sit iustitia, quantum omnibus conferat temperantia, quantopere probetur fortitudo, quàm ingens capiatur ex pietate vtilitas, quā salubres virtutes cæteræ: econtra iniustitiā esse rem impacatam, intemperātiam morbiferā, impietatem nefariam, reliquā maliciam perniciosam: & tamen contraria dictis suis sapere non desinūt. sed post decantatas laudes prudentiæ, tēperantiæ, iustitiæ, pietatisque, tum maxime desipiunt, lasciuiūt, iniuste impiéque se gerunt: & vt verbo dicam, deprehenduntur omne fas iúsque confundere ac subuertere. Quos merito verbis quibus ad Cain Deus vtitur, appellet quispiam: Quid fecistis? quid vobisipsis profuistis? quam vtilitatē anima vestra percepit ex tot istis de virtute sermonibus? quid in vestra vita magnum paruúmve

A φωνητηρίου δήπου, συνισταμένης, τῆς δὲ φυλακῆς περὶ διάνοιαν ἐξεταζομένης, ὃς μέγα ταμεῖον ὑπὸ φύσεως δημιουργηθεὶς, τὰς ἁπάντων καὶ σωμάτων καὶ πραγμάτων ἐννοίας, ἀθρόας κεχώρηκεν. Συνετέλει δὴ τῷ φιλαύτῳ Κάϊν φυλάξαι τὸν Ἄβελ. Εἰ γὰρ διετήρησεν αὐτὸν, κεκριμένον καὶ μέσον βίον μεταπεποίητ᾽ ἂν, ἀλλ᾽ οὐκ ἀμιγοῦς καὶ ἀκράτου κακίας ἐνεφορήθη. Καὶ εἶπεν ὁ θεὸς, τί ἐποίησας· φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ γῆς. B Τὸ, τί ἐποίησας, καὶ ἀγανάκτησιν ἐμφαίνει ἐπὶ οὐκ εὐαγεῖ πράξει. καὶ χλευασμὸν ἐπὶ τῷ δολοφονῆσαι δοκοῦντι. ἡ μὲν οὖν ἀγανάκτησις ἐπὶ τῇ τοῦ δεδρακότος γνώμῃ γέγονεν, ὅτι τὸ καλὸν ἀνελεῖν ἐβούλευσεν· ἡ δὲ χλεύη διὰ τὸ οἴεσθαι μὲν ἐπιβεβουλευκέναι τῷ κρείττονι, ἐπιβεβουλευκέναι δ᾽ οὐκ ἐκείνῳ μᾶλλον ἢ ἑαυτῷ. ζῇ μὲν γὰρ ὡς καὶ πρότερον ἔφην, ὁ τεθνάναι δοκῶν, εἴγε καὶ ἱκέτης ὢν θεοῦ καὶ φωνῇ χρώμενος εὑρίσκεται· τέθνηκε δὲ C ὁ περιεῖναι νομιζόμενος τὸν ψυχικὸν θάνατον, ἀρετῆς, καθ᾽ ἣν ἄξιος μόνην ἦν ζῆν, ἀποσχοινισθείς· ὥστε καὶ τὸ, Τί ἐποίησας, ἴσον εἶναι τῷ οὐδὲν ἐποίησας, οὐδὲν ὤνησας. οὐδὲ γὰρ ὁ σοφιστὴς Βαλαὰμ μάταιος ὢν ὄχλος ἐναντίων καὶ μαχομένων δοξῶν, βουληθεὶς ἀρὰς τίθεσθαι καὶ βλάπτειν τὸν ἀστεῖον, ἴσχυσε, τοῦ θεοῦ τὰς κατάρας εἰς εὐλογίαν τρέποντος, ἵνα καὶ τῆς πανουργίας ἀπελέγξῃ τὸν ἄδικον, καὶ ἑαυτοῦ τὸ φιλάρετον παραστήσῃ. πεφύκασι δὲ οἱ σοφισταὶ πολεμίοις χρῆσθαι, ταῖς ἐν αὐτοῖς D δυνάμεσι, καὶ λόγων ἐνθυμήμασι, καὶ βουλημάτων λόγοις ἀντιστατούντων καὶ μηδαμῇ μηδαμῶς συναδόντων. ἀποκναίουσι γοῦν ἡμῶν τὰ ὦτα, τὴν δικαιοσύνην κοινωνικὸν, τὴν σωφροσύνην συμφέρον, τὴν ἐγκράτειαν ἀστεῖον, τὴν εὐσέβειαν ὠφελιμώτατον, τὴν δ᾽ ἄλλην ἀρετὴν ὑγιεινότατόν τε καὶ σωτήριον ἀποφαίνοντες· καὶ πάλιν τὴν ἀδικίαν ἄσπονδον, τὴν ἀκολασίαν νοσερὸν, τὴν ἀσέβειαν ἔκθεσμον, τὴν δ᾽ ἄλλην κακίαν βλαβερώτατον διεξιόντες, E καὶ ὅμως τὰ ἐναντία τοῖς λεγομένοις φρονοῦντες οὐ παύονται. ἀλλ᾽ ὅταν φρόνησιν καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ εὐσέβειαν ὑμνῶσι, τότε μάλιστα ἀφραίνοντες, ἀκολασταίνοντες, ἀδικοῦντες, ἀσεβοῦντες, πάνθ᾽ ὡς ἔπος εἰπεῖν, τὰ θεσπεῖα καὶ θεῖα συγχέοντές τε καὶ ἀνατρέποντες εὑρίσκονται· πρὸς οὓς ἂν εἴποι τις ὀρθῶς, ὅπερ καὶ ὁ χρησμὸς ἔφη τῷ Κάϊν· τί ἐποιήσατε, τί εἰργάσασθε αὐτοῖς ἀγαθὸν, τί οἱ τοσοῦτοι περὶ ἀρετῆς λόγοι τὴν ὑμετέραν ψυχὴν ὠφέλησαν, τί τοῦ βίου μικρὸν ἢ μέγα μέρος

μέρος ἐπηνορθώσασθε. τί δ' οὐχὶ τἀναντία διαβολὰς καὶ ἑαυτῶν ἀληθεῖς ἠρανίσατε, ὅτι συνθέντες τὰ καλὰ καὶ τῷ λόγῳ φιλοσοφοῦντες, ἑρμηνεῖς μὲν ἄριστοι γεγόνατε, τὰ δ' αἴσχιστα καὶ φρονοῦντες καὶ ἐπιτηδεύοντες ἀεὶ ἁλίσκεσθε· οὐ μὴν ἔτι γε ἐν ταῖς ὑμετέραις ψυχαῖς τέθνηκε τὰ καλά, ζωπυρηθέντων κακῶν· διὰ τοῦτο ἕκαστος ὑμῶν οὐ περίεστιν· ὥσπερ γὰρ μουσικοῦ τινὸς ἢ γραμματικοῦ τελευτήσαντος, ἡ μὲν ἐν τοῖς ἀνδράσι μουσικὴ καὶ γραμματικὴ συνέφθαρται, αἱ δὲ τούτων ἰδέαι μένουσι καὶ τρόπον τινὰ βιοῦσιν ἰσοχρόνιοι τῷ κόσμῳ, καθ' ἃς οἵ τε ὄντες καὶ οἱ μέλλοντες διαδοχαῖς ταῖς ἐσαεὶ μουσικοί τε καὶ γραμματικοὶ γενήσονται· οὕτω καὶ τὸ ἔν τινι φρόνιμον ἢ σῶφρον ἢ ἀνδρεῖον ἢ δίκαιον ἢ συνόλως σοφὸν ἐὰν ἀναιρεθῇ, οὐδὲν ἧττον ἐν τῇ τοῦ παντὸς ἀθανάτου φύσει φρόνησις ἀθάνατος, καὶ ἀρετὴ σύμπασα ἄφθαρτος ἐστηλίτευται, καθ' ἣν καὶ νῦν εἰσιν ἀστεῖοί τινες, καὶ αὖθις γενήσονται. εἰ μὴ καὶ ἀνθρώπου τινὸς τῶν ἐν μέρει θάνατον φθορὰν ἐργάσασθαι φήσομεν ἀνθρωπότητι, ἣν εἴτε γένος, εἴτε ἰδέαν, εἴτε ἐννόημα, εἴθ' ὅ, τι ποτὲ χρὴ καλεῖν, οἱ ζητητικοὶ τῶν κυρίων ὀνομάτων εἴσονται. μία σφραγὶς πολλάκις μυρίας ὅσας ἀπείρους οὐσίας τυπώσασα, πάντων ἔστιν ὅτε τῶν τύπων ἐξιτήλων αὐταῖς οὐσίαις γενομένων, ἐν τῇ ἑαυτῆς φύσει μηδὲν βλαβεῖσα κατὰ χώραν ἔμεινεν· εἶτ' οὐκ οἰόμεθα τὰς ἀρετάς, κἂν πάντες οἱ χαρακτῆρες οὓς ἐσημήναντο ταῖς τῶν προσεληλυθότων ψυχαῖς, ὑπὸ μοχθηρᾶς διαίτης ἢ τινος ἑτέρας ἐξ αἰτίας ἐξίτηλοι γένωνται, τὴν ἀκήρατον ἑαυτῶν καὶ ἄφθαρτον φύσιν εἰσαεὶ φυλάξειν; οὐκ εἰδότες οὖν οἱ παιδείας ἀμύητοι διαφοράς, οὔθ' ὅλων πρὸς μέρη, οὔτε γενῶν πρὸς εἴδη, οὔτε τὰς ἐν τούτοις ὁμωνυμίας, πάντα διὰ πάντων συγχέουσι καὶ φύρουσι· διὸ πᾶς φίλαυτος ἐπίκλησιν Κάϊν, διδαχθήτω ὅτι τὸ ὁμώνυμον τοῦ Ἄβελ ἀνῄρηκε, τὸ εἶδος, τὸ μέρος, τὸν ἀπεικονισθέντα τύπον, οὐ τὸ ἀρχέτυπον, οὐ τὸ γένος, οὐ τὴν ἰδέαν, ἅπερ οἴεται μετὰ ζώων ἄφθαρτα ὄντα συνεφθαρκέναι· λεγέτω δή τις κατακερτομῶν αὐτοῦ καὶ ἐπιχλευάζων, τί πεποίηκας ὦ κακόδαιμον, οὐχ ἣν μὲν δοκεῖς ἀνῃρηκέναι φιλόθεον δόξαν, ζῇ παρὰ θεῷ· σαυτοῦ δὲ γέγονας αὐθέντης, ᾧ μόνῳ βιοῦν ἀνυπαιτίως ἐδύνασο, ἐξ ἐνέδρας ἀνελών. πάνυ δὲ πεφώνηται, καὶ πρὸς κάλλος ἑρμηνείας καὶ πρὸς νοημάτων εὕρεσιν τὰ ἐπιλεγόμενα τούτων, Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. ἡ μὲν οὖν κατὰ τὴν φράσιν ὑψηγορία πᾶσι τοῖς μὴ λόγων ἀμυήτοις γνώριμος

A correxistis? an non potius veras criminationes cōtra vosipsos protulistis, qui probando bona & verbis philosophando, interpretes quidē fuistis facundissimi, & tamen conuincimini turpissime tum sapere tū viuere? annō in animabus vestris omne bonū emortuū est, incandescentibus vitijs? quamobrē nemo vestrū superstes est. Sicut enim post obitū musici cuiuspiā aut grāmatici musica grāmaticáque horū cum ipsis perijt, sed ideæ manent harū artiū, duraturæ vnà cū mundo B in perpetuū, iuxta quas præsentes posterique fient musici ac grāmatici: ita etiam singulorū prudentia, temperantia, fortitudo, iustitia, aut in vniuersum sapiētia si tollatur, nihilominus in huius vniuersi natura immortali prudentia immortalis & virtus omnis incorruptibilis insculpta est, iuxta quā & nunc probi censentur, & erunt in posterū. nisi forte etiam homine aliquo particulari mortuo sequi dicemus mortem humanitatis, quam genúsne an ideam, an conceptum, an aliud C quid vocare oporteat, viderint quibus studium est proprietates nominum perquirere. Vnus signatorius annulus sæpe post expressas innumeras formas, eásque interdū vnà cum suis subiectis abolitas, tamen in sua natura illæsus perseuerat. Et non putamus virtutes, etiamsi omnes characteres ab eis impressi in studiosorum animas, per prauam vitæ rationem aut aliam quamuis causam euanuerint, in perpetuum conseruaturas naturam suam incorruptibilem nullique vnquam fato D obnoxiam? ideo rudes disciplinarum, qui nesciunt differentias inter totum & partes, inter genera & species, inter ea quæ communi censentur nomine, omnia confundunt commiscéntque cum omnibus. Proinde omnis sui amans cognominatus Cain, discat cognominem Abelis à se occisum esse, speciem, indiuiduum, delineatam ad exemplar effigiem, non ipsum achetypum, non genus, non ideam, quæ cum sint incorruptibilia, putat cōmori cum animalibus. In hunc aliquis iure cauilletur: Quid fecisti infelix? E nónne opinio pia, quam tibi videris sustulisse, viuit apud Deum: tu vero tui homicida factus es, occiso per insidias eo, qui solus bene viuendi tibi autor esse poterat. Cæterum quæ sequuntur multum habent vel venustatis in elocutione, vel grauitatis reconditæ in sentētia. Vox sanguinis fratris tui clamat ad me de terra. Quorum verborum magniloquentia nota est omnibus initiatis eloquentiæ,

A intellectum vero eorum, quantũ poterimus considerabimus. ac primum de sanguine. Multis enim in locis lex essentiã animæ pronunciat sanguinem, loquens diserte: Nã anima omnis carnis sanguis est. Sed quando primum absoluta cæli terræque ac mediorum elementorum fabrica hominem fingebat conditor animalium, dicitur inspirasse in faciẽ eius spiritum vitæ, eúmque factum animam vitæ: iam tum docente nos scriptura, spiritum esse animæ essentiam. Solet autem B illa mox ab initio argumentorũ diligenter memorare singula, æquũ censens vt sequentia concinant cum præcedentibus. proinde qui iam spiritum essentiam animæ dixerat, non diceret nunc eam sanguinem eximiũ in corpore, ni respexisset generale quiddam valde necessarium. Quid igitur dicendũ? singuli nostrum, sicut ratio numerorũ postulat, duo sumus per accidens, animal simul & homo. horum vtrunque cognatam vim sortitum est in anima. altera vitalis est qua C viuimus: altera rationalis, per quam sumus rationis participes. vitalem habent & bruta, rationali carent. reguntur autẽ à Deo, qui rationis fons est antiquissimus. ergo vis illa quæ nobis communis cum brutis est, essentiam accepit sanguinem. at illa quæ à rationali fonte demanat, spiritus est, non aer motus, sed character quidam & effigies diuinæ potentiæ, quam nomine proprio Moses vocat imaginem: significans quod archetypũ rationalis naturæ Deus est, homo vero D imago seu effigies: non illud geminæ naturæ animal, sed quod est in anima præstantissimum, quod vocatur mens & ratio. ideo carnis quidem animam dicit sanguinem, sciens carnium naturam à mente diuersam, sed vitæ sicut totum reliquum nostrũ corpus participem. hominis autem animam nominat hominem, non hoc ex vtroque concretum, vt dixi, sed illud diuinũ opificium, quo ratiocinamur, cuius radices conditor in cælum vsque protendit, & ad extremam illã fi- E xarum quas vocant stellarũ religauit circumferentiam. solã enim in terris cælestem plantam fecit hominem, cæterarũ in terra defixit capita: omnes enim humi caput habent: soli homini sublime dedit, vt alimenta cælitus incorruptibilia quærat, non terrena ista corruptioni obnoxia. quapropter corporis nostri partem insensatissimam, longe à ratione secretam, pedes ceu radices ad terram applicuit. sensus autem mentis satellites,

A τὰ δ' ἐμφαινόμενα νοήματα, ὡς αἂν οἷοί τε ὦμεν ἐπισκεψώμεθα· καὶ προτέρου γε περὶ τοῦ αἵματος. πολλαχοῦ μὲν γὰρ τῆς νομοθεσίας οὐσίαν τῆς ψυχῆς ἀποφαίνεται τὸ αἷμα, λέγων διαρρήδην, Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμά ἐστιν. ὁπότε δὲ πρῶτον μετὰ τὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ γένεσιν ἐδημιούργει ἄνθρωπον ὁ ζωοπλάστης, φησὶν, ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς, καὶ ἐγένετο εἰς ψυχὴν ζῶσαν. πάλαι διὰ τούτου παριστὰς, ὅτι πνεῦμά ἐστιν ἡ ψυχῆς οὐσία. B καὶ μὴν τὸ ἐξ ἀρχῆς ὑποθέσεων ἄκρως εἴωθε διαμεμνῆσθαι, τὰ ἀκόλουθα καὶ ὁμολογούμενα τοῖς προτέροις δικαιοῖ ἐφαρμόττειν. οὐκ ἂν οὖν πνεῦμα ψυχῆς οὐσίαν προειπὼν, αἷμα διαφέρον σώματι αὖθις ἔλεγεν, εἰ μὴ πρός τι τῶν ἀναγκαιοτάτων καὶ συνεκτικωτάτων διαφορὰν ἐποιεῖτο. τί οὖν λεκτέον; ἕκαστον ἡμῶν κατὰ τὰς προσεχεῖς τιμὰς ἀριθμῶν, δύο εἶναι συμβέβηκε, ζῷόν τι καὶ ἄνθρωπον· ἑκατέρῳ δὲ τούτων συγγενὴς δύναμις τῶν κατὰ C ψυχὴν ἀποκεκλήρωται· τῷ μὲν ἡ ζωτική, καθ' ἣν ζῶμεν· τῷ δ' ἡ λογική, καθ' ἣν λογικοὶ γεγόναμεν. τῆς μὲν οὖν ζωτικῆς μετέχει καὶ τὰ ἄλογα, τῆς δὲ λογικῆς οὐ μετέχει μὲν, ἀρχὴ δὲ ὁ θεὸς, ἡ τοῦ πρεσβυτάτου λόγου πηγή. ἡ μὲν οὖν κοινὴ πρὸς τὰ ἄλογα δύναμις οὐσίαν ἔλαχεν αἷμα· ἡ δὲ ἐκ τῆς λογικῆς ἀπορρυεῖσα πηγῆς, τὸ πνεῦμα, οὐκ ἀέρα κινούμενον, ἀλλὰ τύπον τινὰ καὶ χαρακτῆρα θείας δυνάμεως, ἣν ὀνόματι κυρίῳ D Μωϋσῆς εἰκόνα καλεῖ, δηλῶν ὅτι ἀρχέτυπον μὲν φύσεως λογικῆς ὁ θεός ἐστι, μίμημα δὲ καὶ ἀπεικόνισμα ἄνθρωπος, οὐ τὸ διφυὲς ζῷον, ἀλλὰ τὸ τῆς ψυχῆς ἄριστον εἶδος, ὃ νοῦς καὶ λόγος κέκληται. διὰ τοῦτο σαρκὸς μὲν ψυχὴν φησὶ τὸ αἷμα, εἰδὼς ὅτι ἡ σαρκῶν φύσις νοῦ μὲν οὐ μεμοίραται, ζωῆς δὲ καθάπερ καὶ ὅλον ἡμῶν τὸ σῶμα μετέχει· ἀνθρώπου δὲ ψυχὴν ὀνομάζει ἄνθρωπον, οὐ τὸ σύγκριμα καλῶν, ὡς ἔφην, ἀλλὰ τὸ θεοειδὲς ἐκεῖνο δημιούργημα, ᾧ λογιζόμεθα, οὗ τὰς ῥίζας εἰς E οὐρανὸν ἔτεινε, καὶ τῆς ἐσχάτης τῶν λεγομένων ἀπλανῶν ἁψῖδος ἐξῆψε· μόνον γὰρ δὴ τῶν ἐπὶ γῆς φυτὸν οὐράνιον ὁ θεὸς ἄνθρωπον εἰργάσατο, τῶν μὲν ἄλλων τὰς κεφαλὰς πηξάμενος ἐν χέρσῳ· κατωκάρα γὰρ πάντα· ἀνθρώπῳ δὲ εἰς τὸν αἰθέρα προαγαγὼν, ἵνα τὰς τροφὰς ὀλυμπίους καὶ ἀφθάρτους, ἀλλὰ μὴ γεώδεις καὶ φθαρτὰς ἔχῃ. πόρρω δὲ καὶ τοῦ σώματος ἡμῶν τὸ μὲν ὅσον ἀναισθητότατον, πλεῖστον ἀποστήσας λογισμοῦ, τὰς βάσεις γῇ προσερρίζωσε· τὰς δὲ νοῦ δορυφόρους αἰσθήσεις, καὶ αὐτὸν ἐκεῖνον

πορρωτάτω μὲν τῆν περὶ γῆν ἐξῴκισε, τὸ δ' ἀέρος καὶ οὐρανοῦ περιόδοις ἀφθάρτοις ὥσπερ ἐνεδήσατο. μηκέτ' οὖν ἀπορῶμεν πῶς ἔννοιαν ἔλαβεν ἄνθρωπος θεοῦ τοῦ ἀειδοῦς οἱ Μωσέως γνώριμοι. τὴν γὰρ αἰτίαν χρησμῷ μαθὼν αὐτὸς ἡμῖν ὑφηγήσατο. ἔλεγε δὲ ὧδε, ψυχὴν ἐν οὐδεμίαν τῷ σώματι ὁ ποιῶν εἰργάζετο ἱκανὴν ἐξ ἑαυτῆς τὸν ποιητὴν ἰδεῖν· λογισάμενος δὲ μεγάλα ὀνήσειν τὸ δημιούργημα, εἰ λάβοι τοῦ δημιουργήσαντος ἔννοιαν, εὐδαιμονίας γὰρ καὶ μακαριότητος ὅρος οὗτος· ἄνωθεν ἐνέπνει τῆς ἰδίας θειότητος.* ἡ δὲ ἀόρατος ἀοράτῳ ψυχῇ τοὺς ἑαυτῆς τύπους ἐνεσφραγίζετο, ἵνα μηδ' ὁ περίγειος χῶρος, εἰκόνος ἀμοιρήσῃ θεοῦ. τὸ δ' ἀρχέτυπον οὕτως ἦν ἄρα ἀειδές, ὥστε καὶ ἡ εἰκὼν οὐχ ὁρατή· τυπωθεῖσα μέντοι κατὰ τὸ παράδειγμα, οὐκέτι θνητάς, ἀλλ' ἀθανάτους ἐννοίας ἐδέχετο. πῶς γὰρ ἡ θνητὴ φύσις μένειν ἅμα καὶ ἀποδημεῖν ἐδύνατο, ἢ τὰ ἐνταῦθα καὶ τὰ ἑτέρωθι καθορᾶν, ἢ θάλατταν μὲν περιπλεῖν ἅπασαν, γῆν δὲ ἄχρι περάτων ἐπέρχεσθαι, νόμους καὶ* ἔθη, ἢ συνόλως πραγμάτων καὶ σωμάτων ἐφάπτεσθαι ἢ δίχα τῶν ἐπιγείων καὶ τὰ μετάρσια καταλαμβάνειν, ἀέρα καὶ τροπὰς αὐτοῦ, καὶ τροπῶν ἰδιότητας, καὶ ὅσα τοῖς ἐτησίοις ὥραις συνεργούμενά τε κατ' ἔθος ἀποτελεῖται; ἢ πάλιν δι' ἀέρος εἰς οὐρανὸν ἀπὸ γῆς αἰθερίζεσθαι, καὶ τὰς ἐν οὐρανῷ φύσεις ἐξετάζειν ὡς ἔχουσιν, ὡς κινοῦνται, τίνες ὅροι τῆς κινήσεως ἀρχῆς καὶ τέλους αὐτῆς, πῶς ἀλλήλοις τε καὶ τῷ παντὶ κατὰ τὴν συγγενείας δίκαιον ἁρμόζονται; τέχνας τε καὶ ἐπιστήμας ἐπινοῆσαι, ὅσαι τά τε ἐκτὸς δημιουργοῦσι, καὶ τὰ περὶ σῶμα καὶ ψυχὴν ὡς ἑκάτερον βελτιωθῇ, πραγματεύονται, καὶ μυρία ἄλλα ἃ οὔτε ἀριθμὸν, οὔτε φύσιν λόγῳ περιλαβεῖν εὔπορον· μόνος γὰρ αὐτὸς ὁ παρ' ἡμῖν νοῦς, ἅτε πάντων ὠκυδρομώτατος, καὶ τὸν χρόνον ἐν ᾧ γίνεσθαι δοκεῖ, φθάνει καὶ παραμείβεται, κατὰ τὰς ἀοράτους δυνάμεις ἀχρόνως τοῦ τε παντὸς καὶ μερῶν, καὶ τῶν τούτων αἰτίων ἐπιψαύων. ἤδη δ' οὐ μόνον ἄχρι τῆς γῆς καὶ θαλάττης, ἀλλὰ καὶ ἀέρος καὶ οὐρανοῦ περάτων ἐλθὼν, οὐδ' ἐνταῦθα ἔστη, βραχὺν ὅρον τῆς συνεχοῦς καὶ ἀπαύστου δρόμου νομίσας τὸν κόσμον εἶναι· προσωτέρω δ' ἐχώρησε, γλιχόμενος καὶ τὴν ἀκατάληπτον θεοῦ φύσιν, ὅτι μὴ πρὸς τὸ εἶναι μόνον, καταλαβεῖν, εἰ δύναιτο. πῶς οὖν εἰκὸς βραχὺν οὕτως ὄντα τὸν ἀνθρώπινον νοῦν μήνιγξιν ἢ καρδίᾳ βραχέσιν ὄγκοις ἐγκαταλημμένον μέγεθος οὐρανοῦ καὶ κόσμου χωρῆσαι τοσοῦτον

*ἀοράτῳ ψυχῇ ἡ ἀόρατος τὰς

*ἢ ἰδιῶν

A & hanc ipsā, longissime à terra iussit habitare, & ad ætheris cælique nunquā interituros alligauit ambitus. non est igitur cur nos Mosi familiares dubitemus, quomodo homo cognitionē inuisibilis Dei adeptus sit. causam enim oraculo doctus ipse nobis exposuit. loquitur enim in hanc sententiā. Creator nullam animā in corpore fecit idoneā per seipsam videre suum opificem. cæterū cum animaduerteret vtilissimā creaturę fore hanc cognitionē, si modo ei contingeret (hic enim
B felicitatis finis est) superne inspirauit nonnihil de suo numine. quod inuisibile in inuisibilē animam suū characterē impressit, vt ne terrestris quidē regio sine Dei esset imagine. Cæterum archetypū illud in tantū carebat omni specie, vt ne imago quidē eius esset visibilis: expressa tamen ad suū exemplar, non mortales, sed immortales cogitationes concipiebat. Qui enim poterat mortalis natura manere simul & peregrinari, aut huc illúcque inspicere, aut mare quidem totū
C nauibus, terram vero vsque extremos fines perlustrare itineribus, aut mores legésque aut in vniuersum res & corpora pernoscere? aut præter ista terrena sublimia quoque comprehendere, aerē cum suis mutationibus, proprietates temporum, & quæ quotannis statæ nouationes accidunt? aut quomodo à terra in cælū subuolare per aerem, atque ibi scrutari cælestes naturas quomodo se habeant, quomodo moueantur, quis motus eorū finis quódve initium, qua cognatione si-
D bi inuicem aut vniuerso coniunctæ sunt. adhæc artes scientiásque inuenire, quæ vel ad res externas, vel ad animæ corporísque profectū attinent, aliáque infinita tractare quorū nec naturam nec numerū comprehēdere fuerit facile. sola enim ex his quæ nobis insunt mens, vt omnium ocyssima, etiā tempus ipsum quo ista fieri videntur, præcurrit & præoccupat, inuisibilibus viribus sine tempore & vniuersum hoc & partes eius harúque causas contrectando. iam vero non solū ter-
E ræ marísque, verum & aeris cælique terminos attingens, ne hic quidem consistit, mundum rata indesinentis sui cursus modicum esse terminum. vlterius etiam prouolans, incomprehensibilem Dei naturam appetit, cupiens hanc quoque, si queat, comprehendere. & quomodo credibile videtur, tam exiguam mentem humanam, membranula cerebri aut corde, haud amplis spacijs inclusam, tantam cæli mūdíque magnitudinē capere,

nisi illius diuinæ felicisque animæ portiuncula esset indiuisibilis? nihil enim quod diuinũ est abscinditur, sed tantum protenditur. quamobrem consors eius quæ in hoc vniuerso est perfectionis, quando mundum cogitat, extendit se quam late patet vsque eius terminos, nec tamen abrumpitur. Est enim vis ipsius extensilis & ductilis. Hæc igitur compẽdio de animæ essentia dicta sint: nunc consequens est vt subdamus quid sit clamare vocẽ sanguinis. Animæ nostræ pars quædã muta, quædam vocalis est. bruta quidẽ muta, vocalis vero quatenus ratione prædita, qua sola Deus noscitur. reliquis enim partibus nec Deũ nec intelligibile quicquã comprehendere possumus. Vitalis igitur facultatis in sanguine constitutæ, præcipua quædã portio voce sermonéque honoris causa donata est, non hoc qui per os linguámque profluit, sed fonte ipso, ex quo per prolationem seu lacunæ quædam sermonum repleri possunt. Fons autẽ hic mens est, per quã ad illum Qui est, interpellationes & occlamationes iam sponte, iam inuiti eiaculamur. ille vero vt bonus ac propicius non auersatur supplices, præsertim quãdo ingemiscentes ob Ægyptios affectus & opera, sincere ac sine fuco exclamant. tunc enim Moses ait verba eorũ ad Deũ ascendere: illum vero exaudientẽ liberare à malis instantibus. hæc autem omnia fieri, quando rex Ægypti moritur, quod certe mirandũ videtur: probabile enim erat, defuncto tyranno lætari gaudeŕeque quotquot premebantur tyrannide: qui tamen tunc dicuntur gemere. nam post multos dies mortuus est rex Ægypti, & ingemuerunt filij Israel. Verba hæc vt sonant rationem non habent: quod si insitas in animabus facultates introspicias, pulchre hæc cohærere inuenies. quando enim dissipator ille honestarum opinionũ Pharao in nobis vigescit, & sanus videtur, si tamen quisquam malus sanus esse recte dicitur, voluptatem amplectimur eliminata temperãtia. quando vero amissa potestate quodammodo moritur qui stulte petulantérque viuendi causa fuerat, à sobria vita illustrati ingemiscimus & deploramus ætatem anteactam, quod virtute voluptati posthabita mortalem vitam immortali anteposuimus. tum vero lex miserata lamentationes continuas, clementer admittit animas supplices, & calamitatem depellit, incussam eis ab Ægyptijs affectibus. Cæterum Caino pœnitentiã non

εἰ μὴ τῆς θείας καὶ εὐδαίμονος ψυχῆς ἐκείνης ἀπόσπασμα ἦν οὐ διαιρετόν. τέμνεται γὰρ οὐδὲν τοῦ θείου κατ᾽ ἀπάρτησιν, ἀλλὰ μόνον ἐκτείνεται. διὸ μεμοιραμένος τῆς ἐν τῷ παντὶ τελειότητος, ὅταν ἐννοῇ κόσμον, τοῖς πέρασι τοῦ παντὸς συνευρύνεται, ῥῆξιν οὐ λαμβάνων· * ὁλκὰς γὰρ ἡ δύναμις αὐτοῦ. ταῦτα μὲν οὖν ὡς ἐν βραχέσιν εἰρήσθω περὶ οὐσίας ψυχῆς. τὸ δὲ φωνὴν αἵματος βοᾶν, καὶ ἀκόλουθον οὕτως ἀποδώσομεν. τῆς ἡμετέρας ψυχῆς, τὸ μὲν ἄφωνόν ἐστι, τὸ δὲ φωνῆεν. τὸ μὲν ἄλογον, ἄφωνον, φωνῆεν δὲ ὅσον λογικόν, ὃ δὴ μόνον ἔννοιαν εἴληφε θεοῦ. τοῖς γὰρ ἄλλοις μέρεσιν οὔτε θεόν, οὔτε τὸ νοητὸν καταλαβεῖν δυνάμεθα. τῆς οὖν ζωτικῆς δυνάμεως, ἧς τὸ οὐσιῶδες αἷμα, μοῖρά τις ἐξαίρετον ἔχει γέρας φωνὴν καὶ λόγον, οὐ τὸν διὰ στόματος καὶ γλώττης ῥέοντα μόνον, ἀλλὰ τὴν πηγήν, ἀφ᾽ ἧς αἱ τοῦ προφορικοῦ δεξαμεναὶ πληροῦσθαι πεφύκασιν. ἡ δὲ πηγὴ νοῦς ἐστι, δι᾽ οὗ τὰς πρὸς τὸν ὄντα ἐντεύξεις καὶ ἐκβοήσεις, τὰς μὲν ἑκόντες, τὰς δὲ ἄκοντες ἀναφθεγγόμεθα. ὁ δὲ ἅτε ἀγαθὸς ὢν καὶ ἵλεως, τοὺς ἱκέτας οὐκ ἀποστρέφεται, καὶ μάλιστα ὅταν ἐπὶ τοῖς αἰγυπτίοις ἔργοις καὶ πάθεσι στενάζοντες, ἀψευδῶς καὶ ἀπλάστως ἐκβοῶσι. τότε γὰρ ἀναβαίνειν φησὶ Μωϋσῆς τοὺς λόγους αὐτῶν πρὸς τὸν θεόν· τὸν δὲ ἐπακούσαντα ῥύεσθαι τῶν προσεστώτων κακῶν. ταῦτα δὲ πάντα γίνεται, ὅταν ὁ βασιλεὺς αἰγύπτου τελευτήσῃ, τὸ παραδοξότατον. εἰκὸς γὰρ ἦν ἀποθανόντος τυράννου, χαίρειν καὶ γεγηθέναι τοὺς τυραννουμένους· ἀλλὰ τότε λέγονται στενάζειν. Μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας, ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραήλ. πρὸς μὲν τὸ ῥητὸν ἡ λέξις τὸ εὔλογον οὐ περιέχει. πρὸς δὲ τὰς ἐν ψυχαῖς δυνάμεις, τὸ κατ᾽ αὐτὴν ἀκόλουθον εὑρίσκεται. ὁ γὰρ ἀνασκευαστὴς καὶ ἀπορρίπτων τὰς περὶ τῶν καλῶν δόξας, ὅταν ἐν ἡμῖν ζωπυρῆται Φαραώ, καὶ ὑγιαίνειν δοκῇ, εἰ δή τινα τῶν φαύλων ὑγιαίνειν λεκτέον, τὴν ἡδονὴν ἀποδεχόμεθα, ἐγκράτειαν πέραν ὅρων φυγαδεύοντες. ὅταν δὲ ἀπὸ κράτους λήγῃ καὶ τρόπον τινὰ τελευτήσῃ ὁ τοῦ βδελυροῦ καὶ ἀσελγοῦς ζῆν αἴτιος, τὸν σώφρονα ἐναυγασθέντες βίον μεταγινώσκομεν καὶ μετεστένομεν τῆς παλαιᾶς διαίτης ἑαυτούς, ὅτι ἡδονὴν ἀρετῆς προκρίναντες, θνητὸν βίον ἀθανάτου προεξελέξαμεν. λαβὼν δὲ οἶκτον τῶν συνεχῶν ἡμῶν ὀλοφύρσεων ὁ νόμος εὐμενῶς προσίεται ψυχὰς ἱκέτιδας· τὸ δὲ ἐπισκηφθὲν τῶν παθῶν αἰγύπτιον σκηπτὸν ῥᾳδίως ἀπωθεῖται. ἔτι δὲ μὴ δεχομένῳ μετάνοιαν Κάϊν διὰ ὑπερβολὴν

ἄγους ἀδελφοκτονίας, οἰκειοτάτας ἀρὰς τίθεται. πρῶτον μὲν γάρ φησιν αὐτῷ, Καὶ νῦν ἐπικατάρατος σὺ ἐπὶ τῆς γῆς, δηλῶν ὅτι πρότερον οὐχὶ νῦν ὅτε ἐδελφοκτόνησεν, ἐναγὴς καὶ ἐπάρατός ἐστιν, ἀλλὰ καὶ πρότερον ὅτε ἐβουλεύσατο τὸν φόνον, τῆς γνώμης ἴσον τῷ τελείῳ δυναμένης. ἕως μὲν γὰρ τὰ αἰσχρὰ μόνον ἐννοοῦμεν κατὰ ψιλὴν τὴν τῆς φαντασίας, τότε τῆς διανοίας ἐσμὲν ὑπόχοι· δύναται γὰρ καὶ ἀκουσίως ἡ ψυχὴ τρέπεσθαι· ὅταν δὲ προσγένωνται τοῖς βουλευθεῖσιν αἱ πράξεις, ὑπαίτιον γίνεται καὶ τὸ βουλεύσασθαι. τὸ γὰρ ἑκουσίως διαμαρτάνειν, ταύτῃ μάλιστα διαγνωρίζεται. κατάρατον δέ φησι τὸν νοῦν, οὐκ ἀπ᾽ ἄλλου τινὸς, ἢ ἀπὸ τῆς γῆς ἔσεσθαι. τῶν γὰρ χαλεπωτάτων αὐτῷ συμφορῶν τὸ περὶ ἕκαστον ἡμῶν γεῶδες αἴτιον εὑρίσκεται. τὸ γοῦν σῶμα ἢ νόσῳ χρησάμενον τὰς ἀφ᾽ ἑαυτοῦ προσβολὰς κῆρας, ἄσης καὶ ἀδημονίας αὐτὸν ἐνέπλησεν, ἢ πανθ᾽ ἀμέτρως ἀπολαῦσαν ἡδονῶν ἀμβλυτέρας τὰς εἰς τὸ καταλαμβάνειν ἀκμὰς ἀπειργάσατο. καὶ μὴν ἑκάστη τῶν αἰσθήσεων δεκτικὴ βλάβης ἐστίν. ἢ γὰρ κάλλος ἰδὼν, ἔρωτος ἑάλω δεινοῦ πάθους βέλεσιν· ἢ θάνατον ἀκούσας οἰκείου προσήκοντός τινος ὑπὸ λύπης ἐκάμφθη· πολλάκις δὲ καὶ γεῦσις αὐτὸν κατέβαλεν, ἀηδέσι χυλοῖς αἰκισαμένη, ἢ πλήθει ἡδέων βαρύνασα. τὴν μὲν γὰρ πρὸς συνουσίας οἶστρον τί δεῖ μεμνῆσθαι, πόλεις ὅλας καὶ χώρας καὶ κλίματα μεγάλα ἄρδην διέφθειρεν. ὧν μάρτυς ἡ ποιητῶν καὶ συγγραφέων πληθὺς σχεδὸν ἅπασα. τὸν δὲ τρόπον καθ᾽ ὃν ἐπὶ τῆς γῆς κατάρατος ὁ νοῦς γίνεται, προσυπογράφει λέγων, Ἣ ἔχανε τὸ στόμα αὐτῆς, δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου. χαλεπὸν γὰρ διοιχθῆναί τε καὶ ἀναχανεῖν τὰ τῶν αἰσθήσεων στόματα, ὡς ἀχανέσιν αὐτοῖς τὴν τῶν αἰσθητῶν φορὰν ποταμοῦ πλημμυροῦντος δίκην ἐπιχεῖσθαι, μηδενὸς τὴν βίαιον ὁρμὴν ἀνωθοῦντος. τότε γὰρ ἐγκαταποθεὶς ὁ νοῦς τοσούτῳ κλύδωνι βύθιος εὑρίσκεται, μηδ᾽ ὅσον ἀνανήξασθαι καὶ ὑπερκύψαι δυνάμενος· ἀλλὰ χρὴ πάντων ἑκάστῳ καταχρῆσθαι, μὴ πρὸς ἃ δύναται μᾶλλον, ἢ πρὸς τὰ βέλτιστα. δύναται μὲν γὰρ πάνθ᾽ ὁρᾶν χρώματα καὶ σχήματα ἡ ὄψις· ἀλλ᾽ ὁράτω τὰ φωτὸς, μὴ σκότους ἄξια· δύναται δὲ καὶ τὸ οὖς πασῶν ἀντιλαμβάνεσθαι φωνῶν, ἀλλ᾽ ἐνίων παρακουέτω· μυρία γὰρ τῶν λεγομένων αἰσχρά· μηδ᾽ ὅτι γεύσεώς σοι μετέδωκεν ἡ φύσις ὦ τετυφωμένε, τρόπον αἰθυίης πάντων ἀπλήστως ἐμφοροῦ. πολλὰ γὰρ τῶν οὐ τροφίμων μόνον, ἀλλὰ καὶ περιττῶν νόσους μετὰ χαλεπῆς ὠ-

A recipienti propter immanitatem sceleris fratricidij, execrationes infliguntur conuenientissimæ. primum Nunc, inquit, maledictus es tu super terram.] declarans quod dudum, non nunc quando cædem patrauit, scelestus & maledictus est, iam inde ex quo cepit cædis consilium, voluntate pro facto æstimata. dum enim turpia cogitamus vel sola mentis imaginatione, iam rei sumus cogitationis. potest enim etiam inuita anima mutari. dum
B vero ad consilium accedit facinus, reum fit & consilium. nam peccatum à nolente admissum, hac maxime ratione dignoscitur. Maledictam autem fore mentem non ab alio quàm à terra pronunciat. Grauissimæ enim eius calamitates in vnoquoque à terrestribus caussis proueniunt. Corpus certe aut morbo correptum, accedentibus ex ipso malis alijs, languore iactationéque occupatur: aut nimio vsu voluptatis impinguatum vires hebetiores reddidit.
C & sunt sua cuique sensui detrimenta, in quæ potest incidere. Aut enim forma conspecta telis Cupidinis aliquis sauciatur affectus permolesti: aut morte propinqui audita succumbit mœstitiæ. Gustus quoque nonnunquam deijcit, aut insuauibus excruciatum saporibus, aut grauatum suauium multitudine. Nam libidinis œstrum memorare quid attinet? quæ ciuitates integras regionésque & magnos terræ tractus dedit exitio, sicut testantur omnes
D propemodum poetæ atque historici. Modum autem quo mens in terra maledicitur, addit dicens: Quæ aperuit os suum, vt susciperet sanguinem fratris sui.] Graue est enim aperiri dilatarique ora sensuum, vt sensibilia more fluminis exundantis infundantur, obice nullo repellente violentum impetum. Tunc enim mens tantis vndis obruta in profundum mergitur, vt ne innatare quidem possit, aut saltem caput exerere. Verum oportet singulis
E istis vti non quomodocunque, sed ad optima quæque. Potest visus omnes colores formásque videre, sed videat quæ luce non tenebris digna sunt. Potest & auris omnes voces recipere, sed nonnullas sinat præteruehi. Plurima enim homines loquuntur coniuncta cum turpitudine. Nec quia gustum natura dedit tibi, ô inflate, ideo lari more quæuis insatiabiliter ingere. Nam plerunque non solum è prauis alimentis,

sed & è nimijs, grauis morbus & cruciabilis nascitur. Nec quia membra accepisti genitalia conseruandæ vniuersitatis causa, ideo stupra & adulteria cæterique incesti coitus sectandi sunt: sed hi tantummodo qui legitime humanum genus proseminant. Nec quia linguam & os & instrumenta vocis sortitus es, statim effare vel secretissima. Prodest enim nonnunquam silentium. Mea certe sententia qui didicerunt loqui, etiam silere didicerunt, cum vtrumque eiusdem facultatis sit. at qui narrant quæ non decet, non eloquentiam ostentant, sed silendi impotentiam. Ideo studemus vnumquodque os de quibus diximus, obligare non rumpendis temperantiæ vinculis. Quotquot enim nullis cohibentur vinculis, vt alibi Moses ait, impura sunt: quasi causa infelicitatis sit, laxari & hiare soluíque partes animæ. Contrà constringi easdem & in vnum conduci, ad rectam vitæ rationem conferat. Merito igitur ille impius numinis contemptor Cain maledicitur: qui apertis cauernis huius concreti rebus externis inhiauit omnibus, præ insatiabilitate petens eas accipere in perniciem Abel, id est amici Deo dogmatis. Ideo terram operabitur, non agricola erit. Omnis enim agricola est artifex, quoniam ars & agricultura. multi autem è vulgo terræ operarij, sine peritia tractantes victus causa hæc ministeria. hi operando sæpe damnum dant, ni præfectum habeant: & si quid recte operantur, fortuito non ratione bene faciunt. at quæ aguntur ex agriculturæ scientia, omnia necessario sunt vtilia. Quamobrem legislator Noe iusto artem agriculturæ tribuit, docens quòd in morem agricolæ boni vir bonus è siluestri genere stirpes, quæcunque noxiæ sunt ab affectibus aut vitijs plantatæ, excidit: quæ vero infrugiferæ quidem, possunt tamen vice maceriæ sepem animæ præstare munitissimam, eas sinit. rursum omnes quæ mites sunt, diuerso modo non eodem curat, alias deputans, alijs inserens, aliarum incrementum ad proceritatem adiuuans, alias in breuitatem contrahens. iam vero vitem luxuriantem conspicatus deflectit in terram propagines, scrobes faciens, ac mox terrā aggerens denuo. at illæ quæ modo partes fuerant, iam integræ, & è filiabus matres factæ, naturalem etiam matrem senectute exuunt. postquam enim

A δῖνος ἔτικε· μηδ' ὅτι μερῶν τῶν πρὸς γονὰς ἠξιώθης ἕνεκα τῆς διαμονῆς τοῦ παντός, φθορὰς καὶ μοιχείας καὶ τὰς ἄλλας οὐκ ἐννόμους μίξεις μετέρχου· ἀλλ' ὅσαι μετὰ νόμου τὸ ἀνθρώπων ἀπείρουσί τε καὶ φυτεύουσι γένος. μηδ' ὅτι γλώττης καὶ στόματος καὶ φωνητηρίων ὀργάνων μεμοίρασαι, πάντ' ἐκλάλει καὶ τὰ ἄρρητα. τὸ γὰρ ἐχεμυθεῖν, ἔστιν ὅπου χρήσιμον. καί μοι δοκοῦσιν οἱ μαθόντες λέγειν, μεμαθηκέναι καὶ ἡσυχάζειν τῆς αὐτῆς δυνάμεως περιποιούσης ἑκάτερον· οἱ δ'
B ὅσα μὴ προσῆκε διεξιόντες, οὐ δύναμιν λόγων, ἀλλ' ἡσυχίαν ἀσθενῆ ἐπιδείκνυνται· διὸ σπουδάζομεν ἕκαστον τῶν εἰρημένων σημείων καταδεῖν τοῖς ἀρρήκτοις ἐγκρατείας δεσμοῖς. ὅσα γὰρ οὐχὶ δεσμῷ καταδεῖται, φησὶ Μωϋσῆς ἐν ἑτέροις ἀκάθαρτα εἶναι, ὡς αὖ τὸ κεχαλάσθαι καὶ κεχηνέναι καὶ λελύσθαι τὰ τῆς ψυχῆς μέρη κακοδαιμονίας αἴτιον. τὸ δὲ συνῆχθαι καὶ συνεσφίγχθαι, τὸν ὀρθὸν βίον καὶ λόγον ἐργαζόμενον. τὸ αὐτὸν οὖν καὶ
C ἀσεβῆ Κάϊν δεόντως καταρᾶται; ὅτι τοὺς φωλεοὺς τοῦ συγκρίματος διοίξας ἐπικέχηνε πᾶσι τοῖς ἐκτὸς, ὀρεγόμενος δι' ἀπληστίας δέξασθαί τε αὐτὰ καὶ χωρῆσαι ἐπ' ὀλέθρῳ τοῦ φιλοθέου δόγματος Ἄβελ. ἐργάσεται διὰ τοῦτο τὴν γῆν, οὐ γεωργήσει. γεωργὸς μὲν γὰρ πᾶς τεχνίτης ὅτι τέχνη καὶ ἡ γεωργική· πολλοὶ δὲ τῶν ἰδιωτῶν γεωπόνοι, τὴν ἄνευ ἐμπειρίας ἕνεκα τῶν ἀναγκαίων μετιόντες ὑπηρεσίαν. οὗτοι μὲν οὖν ἐν οἷς δρῶσι, πολλὰ βλάπτουσιν, ἐπιστάτου μὴ τυχόντες· ἃ δ' αὖ καὶ εὖ ἐργά-
D σωνται, κατὰ τύχην οὐ σὺν λόγῳ κατορθοῦσι. τῶν δὲ γεωργῶν τὰ μετ' ἐπιστήμης ἐνεργούμενα, πάντ' ἐστὶν ἐξ ἀνάγκης ὠφέλιμα. τούτου χάριν ὁ νομοθέτης τῷ δικαίῳ Νῶε τὴν γεωργικὴν ἀνῆψε τέχνην, ἐκδιδάσκων ὅτι καθάπερ γεωργὸς ἀγαθὸς ὁ σπουδαῖος, τῆς τε ἀγρίας ὕλης, τὰ μὲν ὅσα βλαβερὰ ἔρνη πρὸς παθῶν ἢ κακιῶν φυτευθέντα, ἐκκόπτει· τὰ δ' ὅσα μὴ καρποτόκα μὲν, δύναται δὲ αὐτῇ τείχους φραγμὸς εἶναι ψυχῆς ὀχυ-
E ρώτατος, ἐᾷ· καὶ πάλιν αὖ τῆς ἡμέρου πάσης κατὰ διαφέροντας καὶ οὐχὶ τοὺς αὐτοὺς τρόπους ἐπιμελεῖται, τῶν μὲν ἀφαιρῶν, τοῖς δὲ προστιθεὶς, καὶ τὰ μὲν εἰς μέγεθος αὔξων, τὰ δὲ εἰς βραχύτητα συντέμνων· ἤδη δὲ καὶ ἄμπελον ἰδὼν εὐθηνοῦσαν τὰς κληματίδας ἐγκλίνει κατὰ γῆς, τάφρους ὀρυξάμενος, καὶ τὸν χοῦν αὖθις ἐπενεγκών· αἱ δ' ἀντὶ μερῶν ὅλαι, καὶ ἀντὶ θυγατέρων μητέρες οὐκ εἰς μακρὰν ἐγένοντο, ἔτι καὶ τῆς φύσεως μητρὸς ἀποδύσασαι τὸ γῆρας. πανσπερμίας γὰρ που

διανέμειν καὶ καταχερματίζειν τὴν τροφὴν πολλοῖς ἐγγόνοις ἱκανοῖς γεγονόσιν ἐξ ἑαυτῶν τρέφεσθαι, παρὰ τὴν αἰτίαν λιμώττουσα ἡ ἀεί, μόλις διακορὴς ἐγένετο, ὡς πιανθεῖσαν πάλιν ἀνηβῆσαι. ἕτερον δὲ ἐθεασάμην, ὃς τοῦ ἡμέρου δένδρου οὐκ εὐγενοῦς ὁ μὲν ὑπερεῖχε τῆς γῆς ἔρνος ἔτεμε· μικρὸν δὲ ὅσον πρὸς αὐταῖς ῥίζαις ἀφῆκεν, εἶτα λαβὼν δὲ ἀπ' εὐγενοῦς ἑτέρου κλάδον εὐφυᾶ, τὸν μὲν ἄχρι τῆς ἐντεριώνης καθ' ἓν μέρος ἀπέξεσε· τὸ δὲ πρὸς ταῖς ῥίζαις οὐ κατὰ πολλοῦ βάθους ἐντεμὼν, ἀλλ' ὥστε διαστῆναι μόνον τὴν ἕνωσιν, τὸ ἀπεξεσμένον ὑπενεγκὼν ἐνηρμόσατο τῷ διαστήματι· ἐξ ὧν ἀμφοτέρων μία δένδρου φύσις ἡνωμένη γέγονεν, ἑκατέρου μέρους ἀντίδοσιν τῆς ὠφελείας θατέρῳ ποιουμένου. αἱ μὲν γὰρ ῥίζαι τὸν ἐφαρμοσθέντα τρέφουσι καὶ κωλύουσιν ἀφαναίνεσθαι κλάδον· ὁ δὲ εὐκαρπίας ἀμοιβὴν τροφῆς ἀντιχαρίζεται ταύταις. ἔστι καὶ ἄλλα μυρία ἔργα τεχνικὰ τῆς κατὰ γεωργίαν, ὧν περιττὸν ἐν τῷ παρόντι μεμνῆσθαι. τὴν γὰρ διαφορὰν ἐνδείξασθαι μόνον ἐργάτου γῆς καὶ γεωργοῦ χάριν, ταῦτ' ἐμηκύναμεν. ὁ μὲν δὴ φαῦλος τὸ γεῶδες σῶμα καὶ τὰς συγγενεῖς αἰσθήσεις αὐτοῦ, καὶ ὅσα ἐκτὸς αἰσθητὰ ἐργαζόμενος ἀτέχνως οὐ παύεται· καὶ βλάπτει μὲν τὴν πανάθλιαν ψυχὴν ἑαυτοῦ, βλάπτει δὲ καὶ ὃ δοκεῖ μάλιστα ὠφελεῖν τὸ ἴδιον σῶμα. τῷ δὲ σπουδαίῳ· τέχνης γὰρ ἔμπειρος γεωργικῆς ἐστιν. ἡ ὕλη πᾶσα τεχνικῶς καὶ σὺν λόγῳ μεθοδεύεται. ὅταν μέν γε αἱ αἰσθήσεις ἐξυβρίσωσι πρὸς τὰ ἐκτὸς αἰσθητὰ μετ' ἀκατασχέτου ῥύμης ἐκφερόμεναι, μηχανῇ τινι ὧν ἡ τέχνη κατεσκευάσατο, ῥᾳδίως συστέλλονται· ὅταν δὲ παλμῶδες ἐν ψυχῇ πάθος ὠμὸν γένηται, κνησμοὺς ἢ γαργαλισμοὺς ἐξ ἡδονῆς ἢ ἐπιθυμίας, ἢ πάλιν δηγμούς τε καὶ πτοίας ἐκ φόβου καὶ λύπης ἐμποιοῦν, προσυπεκτεθέντι σωτηρίῳ πεπαίνεται φαρμάκῳ. καὶ μὴν εἴ τις ἐπινεμομένη κακία μηκύνεται τῆς ἐν σώματι ἑρπηνώδους ἀδελφὴ νόσου, λόγῳ τομεῖ τῷ κατ' ἐπιστήμην τέμνεται. τὸν μὲν δὴ τρόπον τοῦτον τὰ τῆς ἀγρίας ὕλης θεραπεύεται· τὴν δὲ ἡμέρου καὶ καρποτόκου ἀρετῶν τὰ φυτὰ πάντα, βλαστὰ μὲν ἔχει τὰ ἐπιτηδεύματα, καρπὸν δὲ τὰς καλὰς πράξεις· ὧν ἕκαστον ἡ γεωργικὴ ψυχῆς τέχνη συναύξει, καὶ τό γε ἐφ' ἑαυτὴν ἧκον μέρος ἀπαθανατίζεσθαι ταῖς ἐπιμελείαις. ἐναργῶς οὖν ἐπιδέδεικται, γεωργὸς μὲν ὁ ἀστεῖος, γεωπόνος δὲ ὁ φαῦλος, καὶ εἴθε μέντοι γεωπονοῦντι αὐτῷ προσετίθη τῆς ἰσχύος τὸ περὶ αὐτὴν γεῶδες, ἀλλὰ μὴ

A desiit nutrimentum in plures fœtus, quippe iam ad sibijpsis quærendum maturos, minutatim distribuere, quæ prius hanc ob causam famelica vix saturabatur, iam vt pinguefacta repubescit. alium quendam videre memini, qui mitis arboris, sed parum generosæ, quod supra terram extabat præsecuit, vt à radice promineret modicum: desumptóque ab alia generosa bono surculo, ad medullam eam parte vna derasit. extantem autem illam à radice non B profunde incidit: sed rima tantum facta, derasum surculum in eam inseruit: ex quibus ambobus vnitis arboris vnius natura prouenit, vtraque parem vtilitatem reddente alteri. nam radices nutriunt insitum ramum nec sinunt arescere. at ille vberes fructus reponit pro nutricationis gratia. Sunt & alia innumera opera artis agriculturæ, quæ nunc memorare superuacaneum fuerit. hæc enim in hoc tantum prolixius diximus, C vt appareat discrimen inter operarium terræ & agricolam. Certe quiuis malus terrenum corpus eiúsque cognatos sensus & ista externa sensibilia operari sine arte non desinit, lædens interim animam suam miseram: quam tum lædit, cum videtur maxime prodesse corpori suo. At bonus, vt peritus rei rusticæ, omnem materiam certa ratione tractat ex artis præscripto. & quoties indomiti sensus ad externa sensibilia contumaci feruntur impetu, adhibita D machina quapiam in hoc artificiose parata, cohibentur facile. Cum vero in anima crudus affectus eam concutiens exoritur, pruritus aut titillationes voluptarias aut concupiscentias, aut ediuerso morsus tædiúmque mœstitiæ vel pauoris afferens, præparato remedio salutari mitigatur. atque etiam si quod serpiginosum vitium longius producitur, cancro depascenti corpora simile, id quoque sermone scite adhibito resecatur. & in hunc modum quicquid siluestre est ad mitiorem E cultum reducitur. Cæterum frugiferæ virtutum plantæ primum progerminant studia, quæ mox fructus honestarum actionum sequitur. his animæ agricultura incrementum addit, & quantum in se est, immortales facit sua industria. Liquet igitur agricolam esse bonum, terræ vero operarium malum: cui terram exercenti vtinam ex illo terreno roboris aliquid accederet, ac non deperiret aliquid ex eo quod habuerat.

dicitur enim de ea, Non apponet vires A
suas tibi tradere. Et qualis esset homo,
qui edens semper bibénsque nunquam
expleretur? aut eas quæ sub ventre sunt
voluptates alias super alias cumulans, ta-
men recentem semper libidinem affer-
ret ad coitum? nam indigentia solet
imbecillitatem inducere, sicut firmita-
tem satietas. Verum quando in copia
rerum coniungitur insatiabilitas cum
magna intemperantia, id demum fa-
mes est. miseri vero qui mole referti,
quantum ad cupiditates sunt adhuc in- B
anes & sitiunt. Sed de amatoribus scien-
tiæ in cantico magno vates ait: quòd
eos ascendere fecit super vim terræ, &
cibauit agrorum germina. Scilicet im-
pius finem non assequitur, vt magis do-
leat, dum vires decedunt magis quàm
accedunt eius actionibus. Qui autē vir-
tuti dant operam, superiores omnibus
rebus terrenis ac mortalibus, è sublimi
despiciunt earum potentiam, quippe in
ascensu ducem secuti Deum, qui etiam
pubertatem agrorum ad vsum fructum
eis porrigit, virtutes agris, & illarum C
fructus horum fructibus assimilans. Nas-
citur enim ex prudentia sapere, ex tem-
perantia sobrium esse, è pietate Deum
colere, & ex vnaquaque cæterarum vir-
tutum sua cuiusque actio. Hæ sunt ci-
bi animæ proprie, quæ idonea est adsu-
gendum, sicut legislator loquitur, Mel è
petra, & oleum è solido saxo: petram so-
lidam & infrangibilem indicans sapien-
tiam Dei, nutricem baiulam educatri-
cémque desiderantium vitam incorru-
ptibilem. Hæc enim tanquam mater eo- D
rum quæ mundo continentur, ex seipsa
cibos præbet suis fœtibus. sed non om-
nia diuino alimento digna habentur: ve-
rum ea modo quæ non degenerem præ
se ferunt indolem. nam pleraque pe-
reunt inedia virtutis, grauiore morbo
ac miseriore quàm cibi potúsque ino-
pia. Labitur autem diuinæ sapientiæ
fons nunc leniore fluxu placidioréque,
nunc vehementiore cursu maioréque
impetu. Quando igitur sensim descen-
dit, dulcescit mellis in morem: quando E
vero celeriter confertimque labitur, fit
tanquam oleum illustrandæ animæ. Hāc
petrā propheta vocat alibi māna per sy-
nonymiā, antiquissimū illud Dei verbū:
qua appellatione intelligitur quiddam
generalissimum: vnde fiunt duæ placen-
tulæ, cōdita melle altera, altera oleo, i.
educationes duæ valde similes, & stu-
dio dignæ, initio dulcedinē instillantes

καὶ τῆς οὔσης ὑφῄρει δυνάμεως. λέγεται γὰρ ὅτι οὐ
προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι. ὁποῖος τις
δ' ἂν γένοιτο ἄνθρωπος, ἐσθίων μὲν ἢ πίνων ἀεί,
ἐμπιμπλάμενος δὲ μηδέποτε, ἢ ταῖς μετὰ γαστέρα
χρώμενος ἐπαλλήλοις ἡδοναῖς, καὶ ἐπὶ ταῖς πρὸς
συνουσίαν ὀρέξεσιν ἀκμάζων; ἡ μὲν γὰρ ἔνδεια ἀ-
σθένειαν, ἰσχὺν δὲ ἡ πλήρωσις ἀπεργάζεται. τὸ δὲ
ἀκόρεστον ὅταν μετ' ἀφθονίας τῶν ἐπιτηδείων σὺν ἀ-
κρασίᾳ δέῃ, λιμός ἐστιν· ἄθλιοι δὲ ὧν μεστοὶ μὲν
οἱ οἶκοι, κεναὶ δὲ ἐπιθυμίαι καὶ ἔτι διψῶσαι. ἀλλὰ
τοὺς ἐραστὰς ἐπιστήμης ἐν ᾠδῇ μεγάλῃ φησίν, ὅτι
ἀνεβίβασεν ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, καὶ ἐψώμισε
γεννήματα ἀγρῶν· δηλονότι ὁ μὲν ἄθεος ἀτυχεῖ τοῦ
τέλους, ἵνα μᾶλλον ὀδυνᾶται, μὴ προστιθεμένης
ἰσχύος οἷς ἐνεργεῖ, τοὐναντίον δὲ ὑφαιρουμένης·
οἱ δὲ μετιόντες ἀρετήν, ὑπεράνω τῶν ὅσα γεώδη
καὶ θνητὰ ἱστάμενοι, τὰ κράτη αὐτῶν κατὰ πολλὴν
περιουσίαν ἀλογοῦσιν, ἅτε ἡγεμόνι χρησάμενοι τῆς
ἀνόδου θεῷ, ὃς καὶ τὰ γεννήματα τῶν ἀγρῶν εἰς ἀπό-
λαυσιν καὶ χρῆσιν ὠφελιμωτάτην αὐτοῖς ὀρέγει,
τὰς μὲν ἀρετὰς ἀγροῖς, ἃ δὲ ἀποκυοῦσι γεννήμασι
τοῖς δὲ τῆς γενέσεως ἀπεικάζων. τῆς μὲν γὰρ ἐκ φρο-
νήσεως τὸ φρονεῖν, ἐκ δὲ σωφροσύνης τὸ σωφρονεῖν,
ἐκ δὲ εὐσεβείας τὸ εὐσεβεῖν, καὶ ἀφ' ἑκάστης τῶν ἄλ-
λων τὸ κατ' αὐτὴν ἐνέργημα. ταῦτα δὲ ψυχῆς
τροφαὶ κυρίως εἰσί, τὸ θηλάζειν ἱκανῆς, ὡς ὁ νομο-
θέτης φησί, Μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς
πέτρας, πέτραν τὴν στερρὰν καὶ ἀδιάκοπτον ἐμφαίνων
σοφίαν θεοῦ, τὴν τροφὸν καὶ τιθηνοκόμον καὶ κουρο-
τρόφον τῶν ἀφθάρτου διαίτης ἐφιεμένων. αὕτη γὰρ
οἷα μήτηρ τῶν ἐν κόσμῳ γενομένων, τὰς τροφὰς ἐξ
ἑαυτῆς εὐθὺς ἤνεγκε τοῖς ἀποκυηθεῖσιν· ἀλλ' οὐχ ἅ-
παντα τροφῆς θείας ἠξιώθη, τὰ δὲ ὅσα τῶν ἐκγό-
νων, ἐπάξια τῶν γεννησάντων εὑρίσκετο. πολλὰ
γάρ ἐστιν ἃ λιμὸς ἀρετῆς, ὁ τοῦ περὶ τὰ σιτία
καὶ ποτὰ σχετλιώτερος, διέφθειρε. φέρεται δὲ ἡ τῆς
θείας σοφίας πηγή, τοτὲ μὲν ἠρεμαιοτέρῳ καὶ
πραοτέρῳ ῥεύματι, τοτὲ δὲ αὖ μετ' ὀξυτέρου τοῦ
τάχους καὶ πλείονος φορᾶς τε καὶ ῥύμης. ὅταν
μὲν οὖν ἠρέμα κατέρχηται, μέλιτος γλυκαίνει τὸν
τρόπον· ὅταν δὲ μετ' ὠκύτητος ἀθρόα ὕλη κα-
θάπερ ἐλαίου ψυχικοῦ γὰρ φωτός. τὴν πέτραν
ταύτην ἑτέρωθι συνωνυμίᾳ χρώμενος, καλεῖ
μάννα, τὸν πρεσβύτατον τῶν ὄντων λόγον θεῖον,
ὃς ὀνομάζεται τὸ γενικώτατόν τι, ἀφ' οὗ δύο ἐγκρί-
δες, ἡ μὲν ἐκ μέλιτος, ἡ δὲ ἐξ ἐλαίου, γίνονται,
τουτέστιν ἀγωγαὶ δύο σφόδρα ἀδιάκριτοι, καὶ σπου-
δῆς ἄξιαι, κατ' ἀρχὰς μὲν γλυκύτητα ἐμποιοῦσαι

A τῶν ἐπιστήμης θεωρημάτων, αὖθις δὲ καὶ φῶς τηλαυγέστατον ἀπαστράπτουσι τοῖς μὴ ἀψικόρως, κραταιῶς δὲ καὶ παγίως ἐξ ἀδιαστάτου καὶ συνεχοῦς ἐπιμονῆς ἐπιλαβομένοις ὧν ἐρῶσιν. οὗτοι μὲν οὖν, ὡς ἔφην, ἐπὶ τὴν ἰσχὺν τῆς γῆς ἀναβιβάζονται· τῷ δὲ ἀθέῳ Καῒν οὐδὲ ἡ γῆ τὴν εἰς εὐτονίαν προστίθησι, καίτοι μηδὲν ἔξω τῶν περὶ αὐτῆς πραγματευομένῳ. διὸ καὶ κατ' ἀκόλουθον στένων καὶ τρέμων ἐπὶ τῆς γῆς εὑρίσκεται, τουτέστι λύπῃ καὶ φόβῳ χρώμενος. τοιοῦτος δὴ ὁ φαύλου

B κακοδαίμονος βίος, τῶν τεττάρων παθῶν τὰ ὀδυνηρότερα ἀποκεκληρωμένος, φόβον τε καὶ λύπην, τὴν μὲν τοῦ στένειν, τὸν δὲ τοῦ τρέμειν συνώνυμον· ἀνάγκη γὰρ ἢ παρεῖναί τι κακὸν, ἢ μέλλειν γε τῷ τοιούτῳ. τοῦ μὲν οὖν μέλλοντος ἡ προσδοκία φόβον, τοῦ δὲ παρόντος ἡ χρῆσις λύπην ἐγέννησεν. ἀλλ' ὅγε μετιὼν ἀρετὴν ἐν εὐπαθείαις ἀναλογούσαις ἐξετάζεται. ἢ γὰρ περιπεποίηται τἀγαθὸν, ἢ περιποιήσεται. τὸ μὲν οὖν ἔχειν, ἀποτελεῖ χαρὰν, κτημάτων τὸ κάλλιστον· τὸ δὲ χρήσεσθαι προσδοκᾶν, τὴν

C τροφὴν φιλαρέτων ψυχῶν, ἐλπίδα· δι' ἣν ὄκνον μεθίεμεν, οἳ σὺν αὐτοκελεύστῳ ἑτοιμότητι πρὸς τὰ καλὰ τῶν ἔργων ἀπαντῶμεν. ἧ μὲν οὖν ἀποκεκύηται δικαιοσύνη ψυχῇ γένεσιν ἄρρενα τὸν δίκαιον λογισμὸν, ταύτῃ τὰ λυπηρὰ πάντα ἐξῴκισται· μαρτυρήσει δὲ ἡ Νῶε γένεσις, ὃ ἑρμηνεύεται δίκαιος, ἐφ' οὗ λέγεται, Οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῶν λυπῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος ὁ θεός.

D πέφυκε γὰρ ἡ δικαιοσύνη πρῶτον μὲν ἀνάπαυλαν ποιεῖν ἀντὶ καμάτου, τὰ μεθόρια κακίας καὶ ἀρετῆς ἐξαδιαφοροῦσα, πλοῦτον καὶ δόξαν, καὶ ἀρχὰς καὶ τιμὰς, καὶ ὅσα τούτων ἀδελφὰ, περὶ ἃ πραγματεύεται τὸ πλεῖστον ἀνθρώπων γένος· ἔπειτα λύπας ἀναιρεῖν, αἳ συνίστανται κατὰ τὰς ἐξ ἡμῶν αὐτῶν ἐνεργείας. οὐ γὰρ ὡς ἔνιοι τῶν ἀσεβῶν, τὸν θεὸν αἴτιον κακῶν φησὶ Μωϋσῆς, ἀλλὰ τὰς ἡμετέρας χεῖρας συμβολικῶς τὰ ἡμέτερα παριστὰς ἐγχειρήματα, καὶ τὰς ἑκουσίους τῆς διανοίας

E πρὸς τὸ χεῖρον τροπάς. ἐπὶ πᾶσι μέντοι ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος ὁ θεὸς διαναπαύειν· αὕτη δέ ἐστι κακία, ἡ ταῖς τῶν ἀφρόνων ἐνίδρυται ψυχαῖς, ἧς καθάπερ νόσου βαρείας ἀποτομὴν, ὁ δίκαιος εὑρίσκεται, * πανοικείας τυχὼν δικαιοσύνης. ὅταν μέντοι διώσωνται τὰ κακὰ, χαρᾶς ἀναπίμπλαται, ὥσπερ ἡ Σάρρα. φησὶ γὰρ, Γέλωτά μοι ἐποίησε κύριος, καὶ προστίθησιν· ὃς γὰρ ἂν ἀκούσῃ συγχαρεῖταί μοι. δημιουργὸς γὰρ ὁ θεὸς σπουδαίου

* ἴσως, πανοικίᾳ

contemplationum quæ insunt scientijs: mox & lucem fulgidissimã accendentes in his qui non fastidiose degustant, sed firmiter constanterque retinent ea quorum tenentur desiderio. Hi sunt, vt dixi, qui ascendunt super vim terræ. Cæterũ impio Caino ne terra quidẽ quicquam confert ad agilitatẽ, quamuis nihil præter eam tractanti aliud. Proinde consequenter gemens treménsque super terrã inuenitur, id est mœrore timoréque confectus. Talis est infelicis vita, cui è quatuor affectibus contigerunt qui molestiores sunt, timor & dolor, quorum synonyma sunt tremor & gemitus. Huiusmodi enim homini necessum est aut adesse aut imminere mali aliquid. Itaque futuri expectatio timorem gignit, præsentis vsus mœstitiam. Sed qui virtutem sectatur, delicijs huic conuenientibus fruitur. Aut enim acquirit bonũ, aut acquiret postea. & habere quidẽ, affert gaudium, rem preciosissimam: expectatio vero habendi, spem quæ est alimentum animarum virtutem amantium: propter quam semouemus pigritiam, quotquot suapte promptitudine properamus ad honesta opera. Certe quæcunque anima concipit prolem masculam, scilicet iustum propositum, ab hac excluduntur omnia tristia. Testis erit natiuitas Noe, qui interpretatur solidus, de quo dicitur: Hic cessare faciet nos ab operibus nostris, & à laboribus manuum nostrarum, & à terra cui maledixit Dominus Deus. Sic enim natura comparatum est, vt iustitia primum quietem pro labore inducat, quicquid est in confinio virtutis & vitij susque déque faciens; diuitias, principatum, gloriam, honores, & quæcunque horum germana sunt circa quæ plurimum humanum genus satagit. Deinde mœrores tollat, quos nobis nostræ actiones conciliant. Moses enim non, vt impij quidam, Deum autorem malorum ait, sed nostras manus, figurate nostros conatus subindicans, & spontaneas cogitationes procliues ad deterius. Postremum est cessare à terra cui maledixit Dominus Deus. Hæc autem est malicia, insipientium animabus insita, cuius tanquam morbi grauissimi aberuncationem iustus inuenit, iustitiam adeptus cum tota sua familia. vtique quando id genus mala depelluntur, homo repletur gaudio sicut Sarra. ait enim: Risum mihi fecit Dominus. & addit: nã quicunque audierit, gratulabitur mihi. Opifex est enim Deus boni risus & gau-

dij: itaque Isaac non vulgariter genitus, sed operante Deo credendus est. Nam ‖ risus Isaac intelligitur, risus autem factor est Deus iuxta verax Sarræ testimonium, etiam pater Isaac potest dici rectissime. Huius appellationis etiam sapiens ille Abraham fit particeps, cui gaudium proles sapientiæ, tristitiam excidens donatum est. Ergo si quis idoneus est audire poeticam, id est faciendi rationem qua Deus vtitur, & ipse gaudet necessario, & gratulatur his qui habuerant audiendi desiderium. In hac nullum figmentum fabulosum inuenies, sed veritatis formas omnes expressas integre: imò ne metra quidem ac rhythmos & carmina aures per musicam oblectantia: sed opera naturæ absolutissima, propriam quandam concinnitatem habentia. Sicut autem mens ad audiendum apta gaudet his Dei poematis: sic & sermo concinens mentis cogitationibus & quodammodo adhærens necessario gaudet. id docebit manifeste oraculum Mosi sapientissimo redditum in hanc sententiam: Ecce Aaron frater tuus leuita. scio quod loquetur ipse tibi. ecce ipse egredietur in occursum tibi: vidénsque te lætabitur intra seipsum. Opifex ait se scire, quod sermo, qui mentis est frater, loquetur. Fecit enim eum tanquam instrumentum totius huius ex quo concreti sumus, vocem articulatam. Hic sermo mihi, tibi, omnibus hominibus, sonat, profert, interpretatur cogitata, & prior exit occursus his quæ mens ratiocinatur. Nam quando mens excita in aliquid sibi familiare sumit impetum, aut intus commota à seipsa, aut receptis à rebus externis formis aliquibus eximijs, concipit & parturit cogitationes: quas volens parere non potest, donec per linguam cæteráque instrumenta sua, vox eas excipiens, obstetricis more producat in lucem. hæc vox cogitationes elucidat. nam sicut ea quæ in tenebris abdita sunt cælantur, donec lux affulgens ea indicet: ad eundem modum cogitationes mens recondit in loco inuisibili, donec vox lucis more cunctas retegat. quapropter valde pulchre dictum est, quod egreditur sermo in occursum cogitationibus, & accurrit eas complecti cupiens, indicandi desiderio. Nam quisque sui operis est cupidissimus. Sermonis autem proprium est dicere, ad quod suapte natura properat. Gaudet autem & læta-

A γέλωτος καὶ χαρᾶς ἐστιν, ὥστε οὐ γενέσεως πλάσμα τὸν Ἰσαάκ, ἔργον δὲ τοῦ ἀγενήτου νομιστέον. εἰ γὰρ γέλως μὲν Ἰσαὰκ ἑρμηνεύεται, γέλωτος δὲ ποιητὴς ὁ θεὸς κατὰ τὴν Σάρρας ἀψευδῆ μαρτυρίαν, καὶ τοῦ Ἰσαὰκ ὀρθότατα λέγοιτ' ἂν εἶναι πατήρ. μεταδίδωσι δὲ καὶ τῷ σοφῷ τῆς ἰδίου κλήσεως Ἀβραάμ, ᾧ καὶ τὸ χαίρειν ἐπιγέννημα σοφίας ἐκτεμὼν λύπην δεδώρηται. εἴ τις οὖν ἱκανός ἐστιν ἀκοῦσαι τῆς θεοῦ ποιητικῆς, γέγηθε μὲν ἐξ ἀνάγκης αὐτός, συγχαίρει δὲ καὶ τοῖς ἀκροατικῶς πρότερον ἐσχηκόσιν.
B ἐν δὲ τῇ τοῦ θεοῦ ποιητικῇ, μύθου μὲν πλάσμα οὐδὲν εὑρήσεις, τοὺς δὲ ἀληθείας ἀστειφεῖς κανόνας ἅπαντας ἐστηλιτευμένους· οὐδ' αὐτὰ φωνῆς μέτρα καὶ ῥυθμούς, καὶ μέλη ἀκοὰς διὰ μουσικῆς ψυχαγωγοῦντα· τὰ δὲ φύσεως αὐτῆς τελεώτατα ἔργα, τὴν ἰδίαν ἁρμονίαν κεκληρωμένα. καθάπερ δὲ ὁ νοῦς ἀκροατικῶς ἔχων τῶν τοῦ θεοῦ ποιημάτων χαίρει, οὕτω καὶ ὁ λόγος συνῳδὸς ὢν τοῖς διανοίας ἐνθυμήμασι καὶ τρόπον τινὰ προσεχὼν αὐτοῖς, ἐξ ἀνάγ-
C κης γέγηθε. δηλώσει δ' ὁ τῷ πανσόφῳ Μωσεῖ δοθεὶς χρησμός, ἐν ᾧ περιέχεται ταῦτα, Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου ὁ Λευίτης· ἐπίσταμαι ὅτι λαλήσει αὐτός σοι· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ. τὸν γὰρ προφορικὸν λόγον διανοίας ἀδελφὸν ὄντα ἐπίστασθαί φησιν ὁ δημιουργὸς ὅτι λαλεῖ. πεποίηκε γὰρ αὐτὸν ὥσπερ ὄργανον τοῦ συγκρίματος ἡμῶν παντός, ἔναρθρον ἠχήν. οὗτος ὁ λόγος ἐμοί τε καὶ σοὶ καὶ πᾶσιν ἀνθρώποις φωνεῖ τε καὶ λαλεῖ καὶ ἑρ-
D μηνεύει τὰ ἐνθυμήματα, καὶ προσεξέρχεταί γε συναντησόμενος, οἷς ἡ διάνοια λελόγισται. ἐπειδὰν γὰρ ὁ νοῦς ἐξαναστὰς πρὸς τὴν τῶν οἰκείων ὁρμὴν λάβῃ, ἢ κινηθεὶς ἔνδοθεν ἐξ ἑαυτοῦ, ἢ δεξάμενος ἀπὸ τῶν ἐκτὸς τύπους διαφέροντας, κυοφορεῖ τε καὶ ὠδίνει τὰ νοήματα, καὶ βουλόμενος ἀποτεκεῖν ἀδυνατεῖ, μέχρις ἂν ἡ διὰ γλώττης καὶ τῶν ἄλλων φωνητηρίων ὀργάνων ἠχὴ δεξαμένη μαίας τρόπον εἰς φῶς προαγάγῃ τὰ νοήματα. φωνὴ δὲ τηλαυγεστάτη νοημάτων ἐστὶν αὐτή· καθάπερ γὰρ τὰ ἀποκεί-
E μενα ἐν σκότῳ κέκρυπται, ἕως ἂν ἐπιλάμψαν φῶς αὐτὰ δείξῃ· τὸν αὐτὸν τρόπον τὰ ἐνθυμήματα ἐν ἀοράτῳ χωρίῳ διανοίᾳ ταμιεύεται, μέχρις ἂν οἷα φῶς ἐναυγάσασα ἡ φωνὴ πάντα ἐκκαλύψῃ. παγκάλως οὖν εἴρηται, ὅτι ἐξέρχεται ὁ λόγος τοῖς νοήμασιν συναντησόμενος, καὶ ἐπιτρέχει σπουδάζων καταλαβεῖν αὐτά, διὰ τὸν τοῦ μηνῦσαι πόθον· ἑκάστῳ γὰρ τὸ ἴδιον ἔργον ποθεινότατον. ἴδιον δὲ λόγου τὸ λέγειν, πρὸς ὃ οἰκειοῦται φυσικῇ τινὶ

σπουδῇ. γέγηθε δὲ καὶ χαίρει, ὅταν ὥσπερ ἐναυγασθεὶς ἴδῃ καὶ καταλάβῃ τὸ νόημα τοῦ δηλωθησομένου πράγματος ἄκρως. (A) τότε γὰρ περιδραξάμενος, ἄριστος ἑρμηνεὺς γίνεται. τοὺς γοῦν μὴ πάνυ τῶν νοημάτων ἐν ταῖς τοῦ λέγειν διεξόδοις περικρατοῦντας ἀδολέσχους καὶ ἀπεραντολόγους ὄντας παραιτούμεθα, κενὰς καὶ μακρὰς, ἔτι δὲ ἀψύχους κυρίως εἰπεῖν ῥήσεις συνείροντας. ἀσχημονῶν οὖν ὁ τῶν τοιούτων λόγος δικαίως ἂν στένοι· ὥσπερ ἔμπαλιν χαίρειν ἀναγκαῖον τὸν ἐκ περισκέψεως τῶν ἐνθυμημάτων, ἱκανῶς ἐπὶ τὴν ὧν εἶδε καὶ ὧν δυνατῶς κα- (B) τέλαβε, μήνυσιν ἐλθόντα. γνωρίζεται δὲ τοῦτο σχεδὸν ἅπασιν ἐκ τῆς καθ᾽ ἑκάστην ἡμέραν πείρας. ὅταν μὲν γὰρ ἄκρως εἰδῶμεν ὃ λέγομεν, χαίρων καὶ γεγηθὼς ὁ λόγος ἐμφαντικωτάτων καὶ κυρίων ὀνομάτων πλουτεῖ, οἷς κατὰ πολλὴν περιουσίαν εὐτρόχως καὶ ἀπταίστως, ἔτι δὲ ἐναργῶς καὶ δυνάμεως τὸ δηλούμενον περιέστησιν· ὅταν δὲ τοῦ νοήματος ἐπαμφοτερίζῃ κατάληψις, ὑπὸ δεινῆς ἀπορίας προσεχῶν καὶ εὐθυβόλων ὀνομάτων παραπαίων ἀκυρολογεῖ· διόπερ αὐτός τε ἐν ἀηδίᾳ καὶ ἄσῃ πε- (C) ριρρέων τε καὶ πλανώμενος γίνεται, τούς τε ἀκούοντας ἀντὶ τοῦ πείθειν τὰ ὦτα ἀλγεῖν ἀναγκάζει. μήτε δὴ ὁ πᾶς λόγος ὑπαντάτω, μήτε πᾶσι τοῖς ἐνθυμήμασιν, ἀλλ᾽ ὁ τέλειος Ἀαρὼν τοῖς τοῦ τελειοτάτου Μωϋσέως. ἐπεὶ τίνος ἕνεκα τῷ Ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου, προσέθηκεν ὁ Λευίτης, εἰ μὴ τοῦ διδάξαι χάριν, ὅτι μόνῳ τῷ Λευίτῃ καὶ ἱερεῖ καὶ σπουδαίῳ λόγῳ προσήκει μηνύειν τὰ ἐνθυμήματα ψυχῆς τελείας ὄντα βλαστήματα. (D) μὴ γάρ ποτε φαύλου λόγος ἑρμηνεὺς γένοιτο δογμάτων θείων. τὸ γὰρ κάλλος αὐτῶν οἰκείοις μιάσμασιν αἰσχυνεῖ· μηδ᾽ ἔμπαλιν σπουδαίου προφορᾷ τὰ ἀκόλαστα καὶ αἰσχρὰ μηνύοιτο, ἀλλ᾽ ἀεὶ τὴν τῶν ἁγίων διήγησιν ἱεροὶ καὶ ἅγιοι ποιείσθωσαν λόγοι. ἔν τισι τῶν εὐνομωτάτων πόλεων ἔθος εἶναί φασι τοιοῦτον, ἐπειδάν τις ἢ βουλῇ, ἢ δήμῳ τῶν μὴ βεβιωκότων ὀρθῶς ἐπιχειρῇ γνώμην εἰσηγεῖσθαι, κωλύεται μὲν αὐτὸς δι᾽ ἑαυτοῦ τοῦτο πράττειν, ἀναγκάζεται δὲ πρὸς τῶν (E) ἀρχόντων ἀνενεγκεῖν τὴν γνώμην ἑνὶ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν· εἶτ᾽ ἐκεῖνος ἀναστὰς ἃ ἤκουσε διηγεῖται, ἀφῃρημένου τὸ στόμα τοῦ διδάξαντος, ὁ ἐξ ὑπογύου μαθητὴς ἀναφανεὶς, καὶ ἀλλοτρίας εὑρέσεις ἐπιδείκνυται, οὐδ᾽ ἀκροατοῦ τάξιν ἢ θεατοῦ τὸν ἐπινενοηκότα λαχεῖν ἀξιώσας· οὕτως οὐδ᾽ ὠφεληθῆναί τινες πρὸς ἀδίκων ἀξιοῦσι, ἀλλὰ τῆς γινομένης ὠφελείας,

tur quando ceu illustratus peruidet & comprehendit intellectum rei quæ declaratur. Tunc enim complexus eam interpretatur optime. Proinde quicunque inter dicendum non recte tenent cogitata, vt verbosos ac loquaces auersamur, quia longas sed inanes atque adeò inanimes vt proprie dicam orationes consartiunt. Horum igitur sermo vt indecorus merito gemit: econtra necessario gaudet qui re bene considerata sufficienter instructus ad conceptus animi proloquendos accedit: id quod omnibus fermè notum puto per quotidianam experientiam. quando enim probe cognitum tenemus de quo disserimus, lætus gaudénsque sermo abundat dilucidis & proprijs vocabulis, quibus copiose, expedite, inoffense, atque etiam diserte ac efficaciter repræsentat quicquid docere vult. quando autem diuersis cogitationibus distracti nil certi comprehendimus, sermo quoque delirat, & improprie loquitur, destitutus aptis verbis & conuenientibus. Quapropter tum ipse tædio laborat errabundus & subinde impingens: tum auditoribus adeò non persuadet, vt molestus etiam sit auribus. Attamen nec omnis sermo, nec cogitatis occurrat omnibus: sed perfectus Aaron perfectissimi Mosis cogitationibus. Alioquin quid opus erat postquam dixit Ecce Aaron frater tuus, addere Leuita, nisi vt doceret quod soli leuitæ & sacerdoti & bono sermoni conuenit proferre cogitata quæ sint perfectæ animæ germina. Nam mali viri sermo nunquam interpretari potest diuina dogmata. pulchritudinem enim eorum suis deturparet contaminationibus. econtra neque bonus impudica turpiáve proferet: sed semper sanctas narrationes sacri sanctíque sermones facient. Fertur in quadam optime instituta ciuitate morem esse hunc, vt quoties aliquis impuræ vitæ ciuis sententiam vult proferre ad senatum aut populum, non sinatur per seipsum hoc facere, sed à magistratu cogatur eam apud aliquem honestum virum deponere. Qui mox assurgens promit quod audiuit, silente interim altero: & quæ tum primum didicit quamuis aliena profert, autorem commenti vix in auditorum spectatorúmve habens numero. adeò ne beneficium quidem ab iniustis quidam dignantur accipere, quod existiment hanc vtilita-

A tem corrumpi admixto dedecore. quod & Moses sacratissimus docere videtur. nam tale quiddam est quòd Aaron Leuita occurrit fratri suo Mosi, quo viso gaudet in seipso. Illa autem verba In seipso gaudere, præter iam dictum dogma indicant & aliud magis ad rempublicā pertinens, ostendente legislatore germanū & maxime proprium hominis gaudium. proprium enim nec è pecuniarum possessionúmve copia, nec è splendore gloriæ, nec ex vllo omnino inanimato infirmóque opere, quod per seipsum est corruptibile, potest contingere. B imò nec è roborc agilitatéque corporis aut cæteris id genus dotibus, quæ vel cum pessimo quoque communes sunt, & habentibus se nonnunquam perniciem attulerunt ineuitabilem. quoniam igitur in solis animæ bonis pura & minime adulterina inuenitur lætitia, in seipso vtique gaudet omnis sapiens, non in his quæ circa se habet. in seipso enim habet mentis virtutes, quas nobis placere æquum est: C circa se vero bonam habitudinem corporis & externarum rerum copiam, propter quas non est quod nobis placeamus. Ergo quoniam quantum potuimus declarauimus veracissimi Mosis testimonio, sapientis proprium esse gaudium, ostendemus spem quoque in hunc maxime competere, teste eodem. sic enim loquitur de Seth filio cui nomen Enos, quod interpretatur spes: hic primus sperauit inuocare nomen Domini Dei. Rectè. vero enim homini quid magis potest esse proprium quam spes & expe- D ctatio possessionis bonorū accipiendorū à solo munificentissimo Deo: quod genus solum, si vera fateri volumus, proprie hominū est: tanquam hi qui non sperant in Deum, extra naturā rationalē censeātur. Ideo cum dixisset de Enos, hic sperauit inuocare nomen Domini Dei, diserte infert, Hic est liber generationis hominum proborū. scriptum est enim in Dei libro, solum bene sperantē esse hominem. E itaque per contrariū qui desperat non est homo. ergo concretū hoc nostrū definitur, animal rationale, mortale. sed eius quem Moses censet hominē affectiones animæ sperant in eum Qui est, verū Deum. Proinde boni viri felicem sortē nacti spem atque gaudium, aut habeāt aut certe expectent bona. mali vero, quorum Cain est sodalis, in mœrore timoréque degentes, præsentia imminentiáve mala miserrimam portionē possideant, gemētes ob molestias quas habēt

μεῖζον τὸ ἐκ τῆς παρακολουθούσης βλάβης ἐξ αἰσχύνης νομίζουσι. τοῦτο δίδαγμα Μωϋσῆς ὁ ἱερώτατος ἔοικεν ἀναδιδάξαι· τοιοῦτον γάρ ἐστι τὸ Ἀαρὼν τὸν λευίτην ὑπαντᾶν τῷ ἀδελφῷ Μωσῇ, καὶ ἰδόντα χαίρειν ἐν ἑαυτῷ. τὸ δὲ ἐν ἑαυτῷ χαίρειν, ἐμφαίνει δίχα τοῦ λεχθέντος ἤδη καὶ πολιτικώτερον δόγμα, δηλοῦντος τοῦ νομοθέτου τὴν γνήσιον καὶ οἰκειοτάτην ἀνθρώπων χαράν. κυρίως γὰρ οὔτε ἐπὶ χρημάτων ἢ κτημάτων περιουσίᾳ, ἢ δόξης λαμπρότητι, οὐδὲ συνόλως ἐπὶ τινὶ τῶν ἐκτὸς ἀψύχων τε ἔργων καὶ ἀβεβαίων, καὶ τὰς αὐτῶν τὰς φθορὰς δεχομένων ἔνεστι· καὶ μὴν οὐδὲ ἐπὶ ῥώμῃ καὶ εὐτονίᾳ καὶ τοῖς ἄλλοις σώματος πλεονεκτήμασιν, ἃ τῶν φαυλοτάτων ἐστὶ κοινά, καὶ τοῖς ἔχουσι πολλάκις ὄλεθρον ἀπαραίτητον ἤνεγκεν. ἐπεὶ οὖν ἐν τοῖς τῆς ψυχῆς μόνοις ἀγαθοῖς ἡ ἀνόθευτος χαρὰ καὶ ἀκιβδήλευτος εὑρίσκεται, ἐν ἑαυτῷ δὴ πᾶς σοφὸς χαίρει, οὐκ ἐν τοῖς περὶ αὐτόν. τὰ μὲν γὰρ ἐν ἑαυτῷ διανοίας εἰσὶν ἀρεταί, ἐφ᾽ αἷς ἄξιον σεμνύνεσθαι· τὰ δὲ περὶ αὐτόν, ἢ ἡ εὐπάθεια σώματος, ἢ ἡ τῶν ἐκτὸς εὐθηνία, ἐφ᾽ οἷς οὐ μεγαλαυχητέον. ἐπιδεδειχότες οὖν, ὡς ἐνῆν, διὰ μαρτύρων ἀψευδεστάτου Μωϋσέως, ὅτι σοφοῦ τὸ χαίρειν ἴδιον, αὖθις ἐπιδείξομεν ὅτι καὶ τὸ ἐλπίζειν, οὐχ ἑτέρῳ χρώμενοι μάρτυρι. ὁ γὰρ τοῦ Σὴθ υἱὸς ὄνομα Ἐνώς· ἑρμηνεύεται δὲ ἐλπίς· Οὗτος ἤλπισε πρῶτον, φησίν, ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ, λέγων ὑγιῶς. ἀνθρώπῳ γὰρ τῷ γε πρὸς ἀλήθειαν, τί ἂν γένοιτο οἰκειότερον ἐλπίδος καὶ προσδοκίας κτήσεως ἀγαθῶν παρὰ τοῦ μόνου φιλοδώρου θεοῦ, τοῦτ᾽ ἔστιν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἡ μόνη κυρίως γένεσις ἀνθρώπων, ὡς τῶν μὴ ἐλπιζόντων ἐπὶ θεόν, λογικῆς φύσεως οὐ μεμοιραμένων. διὸ καὶ προειπὼν ἐπὶ τοῦ Ἐνώς, ὅτι οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ, ῥητῶς ἐπιφέρει, Αὕτη βίβλος γενέσεως ἀνθρώπων σπουδαιολόγων. ἐγγέγραπται γὰρ τῇ θεοῦ βίβλῳ, ὅτι μόνος εὔελπις ἄνθρωπος· ὥστε κατὰ τὰ ἐναντία ὁ δύσελπις οὐκ ἄνθρωπος. ὅρος οὖν τοῦ μὲν συγκρίματος ἡμῶν, ζῷον λογικὸν θνητόν ἐστι· τοῦ δὲ κατὰ Μωϋσῆν ἀνθρώπου διαθέσεις ψυχῆς ἐπὶ τὸν ὄντως ὄντα θεὸν ἐλπίζουσιν. ἀστεῖοι μὲν οὖν χαρὰν καὶ ἐλπίδα κλῆρον λαχόντες εὐδαίμονα, ἢ ἔχουσιν, ἢ προσδοκῶσι τὰ πάντως ἀγαθά· φαῦλοι δέ, ὧν Κάιν ἐστὶ θιασώτης, ἐν λύπαις καὶ φόβοις ὄντες, ἢ μετουσίαν, ἢ προσδοκίαν κακῶν ἀργαλεωτάτην μερίδα καρποῦνται, ἐπὶ μὲν τοῖς ἐν χερσὶν ὀδυνηροῖς στένοντες, ἐπὶ

τοῖς προσδοκωμένοις φοβεροῖς τρέμοντες τε καὶ φρίττοντες. ἀλλὰ τούτων μὲν ἀρκούντως λελέχθω· τὰ δ' ἑξῆς διερευνήσωμεν. Καὶ εἶπε, φησὶ, Κάϊν πρὸς κύριον, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι. τὸ δ' οἷόν ἐστιν ἀπὸ τῶν ὁμοίων φανήσεται. εἰ θαλαττεύουσαν ναῦν ἀπολείποι κυβερνήτης, ἆρ' οὐκ ἀνάγκη τὰ περὶ πλοῦν τῇ νηὶ διαμαρτάνεσθαι; τί δ' εἰ τεθρίππου ἡνίοχος ἐν ἱπποδρομίας ἀγῶνι, οὐκ ἀναγκαῖον ἄτακτον καὶ πλημμελῆ τὸν δρόμον γίνεσθαι τῶν τεθρίππων; τί δ' ὅταν ἀπολειφθῇ πόλις πρὸς ἀρχόντων ἢ νόμων (ἐν ἄρχουσι δὲ γράφονται δήπου καὶ νόμοι) οὐκ ἀναρχίᾳ καὶ ἀνομίᾳ κακοῖς μεγίστοις ἡ πόλις ἐκείνη διαφθείρεται; καὶ μὴν σώματα μὲν ἀπουσίᾳ ψυχῆς, ψυχὴ δ' ἀπουσίᾳ λογισμοῦ, λογισμὸς δ' ἐνδείᾳ ἀρετῆς πέφυκε παραπόλλυσθαι. εἰ δὴ ἕκαστον ὧν εἶπον ζημία τοῖς ἀπολειφθεῖσι γίνεται πρὸς αὐτῶν, πόσην τινὰ χρὴ νομίζειν κακοπραγίαν τοὺς ὑπὸ θεοῦ καταλειφθέντας γνωρίζομεν. οὓς ἀποστραφεὶς καθάπερ λιποτάκτας ἱερωτάτων θεσμῶν ἐξώρισεν, ἀναξίους ἐπισκοπίας καὶ ἀρχῆς ἑαυτοῦ δοκιμάσας. συνόλως γὰρ εἰδέναι χρὴ ὅτι ὁ πρὸς τοῦ κρείττονος καὶ ὠφελοῦντος ἀφεθεὶς, ἐν αἰτίαις καὶ ἐγκλήμασι μεγίστοις γίνεται. πότε γὰρ εἴποις ἂν τὸν ἄτεχνον μάλιστα βλάπτεσθαι; ἆρ' οὐχ ὅταν πρὸς ἐπιστήμης χωρισθῇ τὸ παντελὲς ἐαθῇ; πότε δὲ τὸν ἀμαθῆ καὶ λίαν ἀπαίδευτον; οὐχ ὅταν ἀπολείψῃ ἡ ἐπ' αὐτοῦ χρηματίσῃ διδασκαλία καὶ μάθησις; πότε δὲ τοὺς ἄφρονας κακοδαιμονίζομεν μᾶλλον οὐχ ὅταν φρόνησις αὐτοὺς εἰς ἅπαν ἀπώσηται; πότε δὲ τοὺς ἀκολάστους ἢ ἀδίκους· οὐκ ἐπειδὰν σωφροσύνη καὶ δικαιοσύνη φυγὴν ἀΐδιον κατ' αὐτῶν ψηφίσωνται; πότε δὲ τοὺς ἀσεβεῖς· οὐχ ὅταν εὐσέβεια τῶν ἰδίων ὀργίων ἀποκρίνῃ; διό μοι δοκοῦσιν οἱ μὴ τελείως δυσκάθαρτοι εὔξασθαι ἂν κολασθῆναι μᾶλλον ἢ ἀφεθῆναι. ἡ μὲν γὰρ ἄφεσις αὐτοὺς, ὥσπερ ἀνερμάτιστα καὶ ἀκυβέρνητα πλοῖα, ῥᾷστα ἀνατρέψει· ἡ δὲ κόλασις ἐπανορθώσεται. ἢ οὐκ ἀμείνους μὲν τῶν ἀπαιδαγωγήτων οἱ ὑπὸ παιδαγωγῶν ἐν οἷς ἁμαρτάνουσιν ἐπιπληττόμενοι; ἀμείνους δὲ τῶν ἀνεπιτιμήτων οἱ ὑπὸ διδασκάλων ἐν οἷς περὶ τὰς τέχνας οὐ κατορθοῦσιν ὀνειδιζόμενοι; εὐτυχέστεροι δὲ καὶ κρείττους τῶν ἀνεπιτροπεύτων νέων, οἱ μάλιστα μὲν ἐπισκοπίας καὶ ἀρχῆς ἀξιωθέντες φυσικῆς, ἣν οἱ γεννήσαντες ἐπὶ τέκνοις κεκληρῶνται; εἰ δὲ μὴ, δευτέρων γοῦν ἡγεμόνων ἐπιλαχόντες, οὓς ὀρφανίας ἔλεος ἐπιτρόπους εἴωθε χειροτονεῖν, τὴν γονέων ἐν ἅπασι τοῖς συμφέρουσι τάξιν ἀναπληρώσοντας. ἱκετεύωμεν οὖν τὸν θεὸν

A prae manibus, prae metu autem ingruentiũ trementes horrentésque. verũ de his hactenus dictũ sit, scrutemur iam sequẽtia. Dixitque Cain ad Dominum· Maior est culpa mea quam vt remittatur.] hoc quale sit per similia declarabitur. Si nauẽ mari iactatã gubernator deserat, an non necessum est eam nauigationẽ aberrare? item si quadrigas auriga in Circensibus, annõ necessũ est eas turbatas ferri cursu deuio? Quid ciuitas si destituatur magistratibus aut legibus? sunt autem & leges

B dubio procul pro magistratibus. nónne carens magistratibus legibúsque ciuitas illa malis opprimetur maximis? Atqui natura comparatum est, corpus absente anima, animã absente ratione, rationem destitutam virtute, interire funditus. Quod si hæc singula rebus destitutis nocent tantopere, quantam miseriam in à Deo destitutis agnoscimus? quos ille auersatus tanquã desertores ordinis, exterminauit procul à sanctissimis suis legibus, indignos sua prouidẽtia habitos.

C In vniuersum enim scire oportet, quod qui præstantioris ope destituitur, fit obnoxius maximis culpis & criminibus. quando enim dices imperitũ artis lædi maxime? nónne quãdo à sciẽtia omnino deseritur? quando vero indoctũ & valde ineruditũ? nónne quando à doctrina & disciplina derelinquitur? quid insipientes quando infelices pronunciamus potissime? nónne quando omnino repelluntur à prudentia? quando vero intemperantes & iniustos? nónne cum à temperantia

D iustitiáque damnantur exilio perpetuo? quando vero impios? nónne quando pietas eos à sacris suis excludit? ideo arbitror eos qui non omnino sunt inexpiabiles, optare puniri potius quam dimitti. nam hæc missio facile subuertet eos, ceu male saburatas naues carentes gubernatoris prouidentia, animaduersio vero ad correctionem profuerit. Aut non sunt potiores qui sub pædadogis educantur, quam qui peccantes à nullis cohibentur castigatoribus? non meliores

E iridem qui sub magistris discunt artes, quam qui quoties aberrant obiurgantur à nemine? vel felicius proficiunt qui sine curatore degunt, quam qui parentes à natura institutores sibi additos Deo fortunante nacti sunt? sin minus, saltem secundarios præfectos adepti, quos orbitatis miseratio conciliare solet, in omnibus cõmoditatibus genitores minus desiderant? Ergo quicunque peccatorum sumus nobis conscij, precemur Deum

vt puniat nos potius quam incastigatos prætereat. præteritos enim non ipse propicius in seruitutem suam vindicabit, sed inclementis genituræ seruos faciet. quod si vt benignus clementer leniterque puniat, errata nostra corriget, sermonem suum castigatorem immittens in nostram animam, per quem pudore admissorum incusso, ipsam in sanitatem restituat. Propterea legislator ait, quicquid in animo suo precata fuerit vidua & expulsa, manere ipsam. Deum enim virum & patrem vniuersorum semen genituràmque omnibus præbentem iuste dicemus. mentem vero eiectam Deo viduam, quæ aut genituram diuinam non excepit, aut exceptam data opera abortum fecit. Quamobrem quicquid statuerit, contra seipsam statuet, idque omnino immedicabile. Quomodo enim euitari potest malum, quod contra seipsam pronunciat creatura inconstans & ad omnem occasionem mobilis, ascribens sibi virtutes creatoris? quarum vna est qua citra controuersiam rigidéque definit singula. Quapropter non solum viduabitur à scientia, sed expelletur etiam. quod sic intelligitur. Anima vidua, nondum tamen expulsa ex honestate, potest per quandam tolerantiam cum recta legitimáque ratione redire in gratiam. quæ autem semel seiuncta fecit diuortium, vt irreconciliabilis in omne æuum reiecta est, amissa potestate reuertendi ad pristinum domicilium. Hactenus de his verbis, Maior est culpa mea quam vt remittatur: dispiciamus sequentia. Ecce eijcies me, inquit, hodie à facie terræ, & à facie tua abscondar.] Quid ais bone vir? itáne etiam eiectus è tota terra absconderis? at quomodo? poterisne viuere? an ignoras quod animalibus natura, non eadem sed diuersa loca incolenda distribuit? mare piscibus & omni aquatico generi, terram terrestribus omnibus. homo autem vtique iuxta corporis temperamentum animal terrenum est. propterea quicquid migrat è suis regionibus, & velut in alienas transfertur, exanimatur facile: terrestria si mergantur in aquam, aquatica si in terram expellantur. proinde si eijciaris è terra cum sis homo, quò te vertes? natabísne in aqua more aquatilium? atqui mersus mox exanimaberis. sed forte sumptis alis sublimis euolans per aerē vagari conaberis,

A οἱ συνειδότες τὰ οἰκεῖα ἀδικήματα ἱκετεύομεν, κολάσαι μᾶλλον ἡμᾶς, ἢ παρεῖναι. παρεὶς μὲν γὰρ οὐκέτι τοῦ ἵλεω δούλους ἑαυτοῦ, γενέσεως δὲ τῆς ἀνηλεοῦς ἀπεργάσεται· κολάζων δὲ ἐπιεικῶς τε καὶ πράως ἅτε χρηστὸς ὤν, ἐπανορθώσεται τὰ ἁμαρτήματα, τὸν σωφρονιστὴν ἔλεγχον τὸν ἑαυτοῦ λόγον εἰς τὴν διάνοιαν ἐκπέμψας, δι' οὗ δυσωπήσας καὶ ὀνειδίσας περὶ ὧν ἐπλημμέλησεν, αὐτὴν ἰάσεται. διὰ τοῦτο πάνθ' ὅσα ἂν εὔξηται χήρα καὶ ἐκβεβλημένη κατὰ τῆς ψυχῆς αὐτῆς, φησὶν ὁ νομο- B θέτης μενεῖ αὐτῇ. τὸν μὲν γὰρ θεὸν ἄνδρα καὶ πατέρα τῶν ὅλων σπορέα τε καὶ γένεσιν ἁπάντων παρεχόμενον ἐνδίκως φήσομεν· διάνοιαν δὲ ἐκβεβλῆσθαι τὴν χήραν θεοῦ, ἥτις ἢ γονὰς θείας οὐ προσεδέξατο, ἢ προσδεξαμένη ἑκουσίως αὐτὰς ἐξήμβλωσε. τοιγαροῦν ὅσα ἂν ὁρίσηται, καθ' ἑαυτῆς ὁρίζεται, καὶ ταῦτα μέντοι πάντως ἀνίατα. πῶς γὰρ οὐ κακὸν ἄφυκτον, ὁρίζεσθαί τι καὶ παγίως ἀποφαίνεσθαι περὶ αὐτῆς, γένεσιν τὴν ἄστατον πάντῃ C καὶ φορητήν, ἐπιγραφούσης αὐτῇ τὰς τοῦ ποιοῦντος ἀρετάς· ὧν μία ἐστὶ καθ' ἣν ἀνενδοιάστως καὶ ἀκλινῶς ἕκαστα ὁρίζεται. τοιγαροῦν οὐ χηρεύσει μόνον ἐπιστήμης, ἀλλὰ καὶ ἐκβεβλήσεται. τοῦτο δ' ἐστὶ τοιοῦτον· ἡ χηρεύουσα μέν, μήπω δὲ ἐκβεβλημένη τοῦ καλοῦ ψυχή, δύναταί πως ἐγκαρτερήσασα τὰς πρὸς τὸν ὀρθὸν λόγον τὸν νόμιμον συμβάσεις καὶ καταλλαγὰς εὑρεῖν· ἡ δ' ἅπαξ διαζευχθεῖσα καὶ διοικισθεῖσα, ὡς ἄσπονδος μέ- D χρι τοῦ παντὸς αἰῶνος ἐκπεπτωκέναι, εἰς τὸν ἀρχαῖον οἶκον ἐπανελθεῖν ἀδυνατοῦσα. περὶ μὲν οὖν τοῦ, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι, τοσαῦτα εἰρήσθω· τὰ δ' ἀκόλουθα σκεψώμεθα, Εἰ ἐκβάλλεις με, φησί, σήμερον ἀπὸ τοῦ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου, κρυβήσομαι. τί λέγεις ὦ γενναῖε. ἐὰν ἐκβληθῇς δὲ ἁπάσης τῆς γῆς ἔτι κρυβήσῃ; τίνα τρόπον· ζῆν γὰρ δύναιο ἄν; ἢ τοῦτ' ἠγνόησας ὅτι τοῖς ζῴοις ἡ φύσις διαφέροντας καὶ οὐχὶ τοὺς αὐτοὺς τόπους πρὸς διαμονὴν ἐδωρήσατο; θάλατταν μὲν E ἰχθύσι καὶ πάντι τῷ ἐνύδρῳ γένει, γῆν δὲ ἅπασι τοῖς χερσαίοις; χερσαῖον δὲ κατὰ γένεσιν τῆς σώματος συγκρίσεως, ζῷον καὶ ἄνθρωπός ἐστι. διὰ τοῦτο ἀμείψαντα τὰς οἰκείας χώρας ἕκαστα, καὶ ὥσπερ εἰς ἀλλοδαπὴν ἐλθόντα, ῥᾳδίως τελευτᾷ, τὰ μὲν χερσαῖα καθ' ὕδατος δύντα, τὰ δὲ ἔνυδρα, ἐπὶ χέρσον ἀναπλεύσαντα. εἶτ' ἄρ' οὖν ἐκβληθεὶς ἀπὸ γῆς ἄνθρωπος ὤν, ποῖ τετράψῃ; νήξῃ καθ' ὕδατος τὴν τῶν ἐνύδρων ἀπομιμούμενος φύσιν; ἀλλ' ὑποβρύχιος αὐτίκα τεθνήξῃ. ἀλλὰ πτερώσας καὶ μετεωρίσας

σαυτὸν ἀεροβατεῖν ἐθελήσῃς, τὸ χερσαῖον εἰς πτηνοῦ γένος μεταβαλών, ἀλλ' εἰ δύνασαι μετάπλαττε καὶ μεταχάραττε τὸ θεῖον νόμισμα. ἀλλ' οὐ δυνήσῃ. ὅσον γὰρ ἂν μετεωρότερον σαυτὸν ἐξάρῃς, τοσούτῳ θᾶττον ἀφ' ὑψηλοτέρου μετὰ πλείονος φορᾶς ἐπὶ γῆν τὸν οἰκεῖον χωρίον ἐνεχθήσῃ. ἄνθρωπος δ' ἂν ἤ τι τῶν γενομένων κρύπτεσθαι δυνηθείη θεόν; πόθεν, τὸν ἐφθακότα πάντη, τὸν ἄχρι περάτων ἀποβλέποντα, τὸν πεπληρωκότα τὸ πᾶν, οὗ τῶν ὄντων οὐδὲ τὸ βραχύτατον ἔρημον· καὶ τί παράδοξον, εἰ μηδενὶ τῶν γενομένων ἐφικτὸν κρύπτεσθαι τὸν ὄν, ὁπότε οὐδὲ τὰς ὑλικὰς ἀρχὰς ἔνεστι διεκδῦναι, ἀλλ' ἀνάγκη τὴν μίαν διαφυγόντι εἰς ἑτέραν μεταβῆναι. εἴτ' οὖν καθ' ἣν τεχνίτην ἐποίει τὰ ἀμφίβια, κατὰ ταύτην καὶ ζῶον πανταχοῦ βιωσόμενον ἐβουλήθη δημιουργῆσαι, τοῦτο τὸ ζῶον, εἰ μὲν τὰ βάρος ἔχοντα ἀπεδίδρασκε γῆν καὶ ὕδωρ, πρὸς τὰ τῇ φύσει κοῦφα ἀέρα καὶ πῦρ ἧκεν ἄν. ἔμπαλιν δ' ἐνομιλῆσαν τοῖς μεταρσίοις, εἰ μετανάστασιν ἐζήτει τὴν ἀπ' αὐτῶν, τὸν ἐναντίον ἠμείψεν ἂν χῶρον. ἔδει γὰρ αὐτὸ πάντως καθ' ἕν τι τοῦ κόσμου μέρος περιφαίνεσθαι, ἐπεὶ πάντος ἔξω δραμεῖν ἦν ἀδύνατον, πρὸς τὸ μηδὲν ἐκτὸς ὑπολειφθῆναί τι, τοῦ δημιουργοῦ ὅλας δι' ὅλου τὰς τέτταρας ἀρχὰς εἰς τὴν τοῦ κόσμου σύστασιν ἀναλώσαντος, ἵνα ἐκ μερῶν τελείων τελειότατον ἀπεργάσηται τὸ πᾶν. ὁπότ' οὖν ὅλον ἐκφυγεῖν τὸ τοῦ θεοῦ ἔργον ἀμήχανον, πῶς οὐκ ἀδυνατώτερον μᾶλλον ἀποδρᾶναι τὸν ποιητὴν καὶ ἡγεμόνα τούτου. μηδεὶς οὖν τὴν πρόχειρον ἐκδοχὴν τοῦ λόγου παραδεχόμενος ἀνεξετάστως, τῷ νόμῳ τὴν ἰδίαν εὐήθειαν προσαπτέτω· διασκεψάμενος δ' ὅπερ αἰνίττεται δι' ὑπονοιῶν, τὸ σαφὲς διαγνώτω. μήποτ' οὖν ὅπερ ἐμφαίνεται διὰ τοῦ· Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ τοῦ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου, κρυβήσομαι, τουτέστιν, εἰ μὴ παρέχεις μοι τὰ τῆς γῆς ἀγαθά, οὐδὲ τὰ οὐρανοῦ δέχομαι; καὶ εἰ μή τις ἐστὶ χρῆσις καὶ ἀπόλαυσις ἡδονῆς, καὶ ἀρετῆς παραιτοῦμαι; καὶ εἰ τῶν ἀνθρωπίνων μὴ μεταδίδως ἀγαθῶν, ἔχε καὶ τὰ θεῖα; τὰ γὰρ παρ' ἡμῖν ἀναγκαῖα καὶ τίμια καὶ γνήσια ὡς ἀληθῶς ἀγαθά, ταῦτα, φαγεῖν, πιεῖν, περιβαλέσθαι, ποικιλίαις χρωμάτων δι' ὄψεως ἡδέως παθεῖν, μελῳδίαις παντοδαπῶν ἤχων δι' ἀκοῆς τερφθῆναι, ἀτμῶν ἀποφοραῖς εὐώδεσι διὰ μυκτήρων γανωθῆναι. ταῖς γαστρὸς καὶ μετὰ γαστέρα ἡδοναῖς ἁπάσαις εἰς κόρον χρήσασθαι, τῆς ἀργύρου καὶ χρυσοῦ κτήσεως μὴ ἀμελῆσαι, τιμὰς καὶ ἀρχὰς καὶ ὅσα ἄλλα συντείνοντα

A è terrestri factus volucris? fac si po-
tes, muta characterem quem tibi se-
mel impressit Deus. sed haudquaquam
poteris. Quanto enim sublimius teip-
sum extuleris, tanto citius grauioré-
que casu ad terram proprium tibi lo-
cum relaberis. Itáne homo aut vlla
creatura potest se à Deo abscondere?
quónam ab eo qui nusquam non est,
qui prospicit vsque omnes terminos,
qui vniuersa replet sua præsentia, à
quo nihil vel minutissimum deseri-
B tur? Et quid mirum si nulla creatu-
ra latere potest eum Qui est, quando
ne materialia quidem principia cui-
quam licet effugere, sed necessum est
vt euitato vno incidat in aliud. Vti-
nam igitur opifex arte qua fecit in
vtroque elemento degentia, huius quo-
que animalis vbiubi victuri fecisset
miraculum, vt à natiua grauitate ter-
reni aquaticique ponderis in aerem
ignémque se posset attollere: ac rursum
post consuetudinem cum sublimibus,
C si migrationem inde requireret, lo-
cum loco mutaret contrario. Sed de-
buit vtique in vna aliqua mundi parte
consistere, quandoquidem in omnes
excurrere non poterat: & alioquin
etiam opifex nihil ei præterea reli-
quum fecerat, assumptis in mundum
quatuor elementis, vt ex perfectis par-
tibus absolutissimum opus hoc vniuer-
sum redderet. Ergo cum totum opus
Dei nemini liceat effugere, an non
multo minus autorem eius & rectorem
D effugere poterit? nemo igitur hæc ver-
ba non examinata facile admittens, è
sua simplicitate legem æstimet: sed
introspectis latentibus significationi-
bus, discernat id quod manifestum
est. Quid si verba ista, Si eijcis me
hodie a facie terræ, & à facie tua, ab-
scondar, sic intelligantur: si non præ-
bes mihi bona terræ, ne cælestia qui-
dem accipio. si non datur frui volupta-
tibus, ne virtutem quidem desidero. si
E non impartiris humana bona, diuina
quoque tibi habeto. nam apud nos ne-
cessaria, cara, & vere germana bona sunt
hæc: edere, bibere, vestiri, per visum
frui colorũ varietatibus, per aures oble-
ctari omnigenis sonorum concentibus,
per nares exhilarari suauibus vaporũ fra-
grantijs, ventris & eorum quæ sub ven-
tre sunt ad satietatem expleri volupta-
tibus, aurum argentúmque non negli-
gere, honores principatúsque & quic-
quid ad gloriam facit conquirere.

prudentiam vero, fortitudinem, iustitiam, res tetricas, & vitæ molestiam afferentes, missas faciamus. quod si libet eis vti, non vt bonis perfectis vtendum est, sed vt causis bonorum. ô ridiculum caput. Ergo priuatus his lucris corporeis in conspectum Dei non venies? at ego tibi dico, venies omnino, etiamsi priuatus fueris. solutus enim duris tum corporis tum rerum corporearum vinculis, imaginaberis illum sapientem Abraham. Viden vt relinquens terram, cognationem, ædes paternas, sensum, rationem, incipit occurrere eius Qui est potentijs? postquam enim totam domum egressus est, ait lex visum ei Deum: docens quod manifeste apparet extricato rebus mortalibus, & recurrenti ad incorpoream huius corporis animam. Ideo Moses accepto suo tabernaculo, extra castra id figit, longe semotum à corporali exercitu. hoc enim solo modo sperat se fore supplicem cultorémque perfectum cælestis numinis. & ait id vocatum tabernaculum testimonij, valde caute, vt tabernaculum eius Qui est sit, non vocetur tantummodo. ex virtutibus enim ea quæ Dei est vere est, constans ex essentia. quoniam & Deus solus stat in essentia: quam ob causam necessario de seipso dicit: Ego sum Qui sum: ac si quicquid post eum est, non per essentiam sit, sed sola opinione hominum. Mosis autem tabernaculum figurate humanam virtutem significans, appellatione non ipsa re dignabitur, cum sit imago diuini illius tabernaculi. huc accedit quod & Moses quando in Deum Pharaonis constituitur, non reuera factus est Deus, sed tantum existimatione creditus. Deum enim dantem quidem scio & largientem, dari vero non intelligo. Dicitur autem in sacris libris, Do te Deum Pharaoni, patiente qui datur non agente. Is autem Qui vere est, actiuus necessario non passiuus intelligitur. Quid igitur ex his colligimus? quod sapiens dicitur quidem Deus insipientis, reuera autem non est Deus, sicut nec adulterinus stater est stater. idem collatus cum eo Qui vere est, homo Dei reperietur: cum insipiente vero si conferatur, Deus imaginatione existimationéque videbitur, non veritate ac essentia. quid igitur nugaris dicens, Si me eijcies à terra & te, abscondar. imò si te à terreno arcuero, manifeste ostendã meam imaginem. argumẽto est, quod à facie Dei migrabis:

A πρὸς δόξαν περιβάλλεσθαι, φρόνησιν δ' ἢ καρτερίαν, ἢ δικαιοσύνης αὐστηρὰς διαθέσεις ἐπιπόνους παρασκευαζούσας βίον ἐᾶσθαι. εἰ δ' ἄρα καὶ χρηστέον αὐταῖς, οὐχ ὡς ἀγαθοῖς τελείοις χρηστέον, ἀλλ' ὡς ποιητικοῖς ἀγαθοῦ. σὺ μὲν οὖν ὦ κατάπληκτε φῂς ὅτι τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ἀφαιρεθεὶς πλεονεκτημάτων, εἰς ὄψιν οὐκ ἀφίξῃ θεοῦ; ἐγὼ δέ σοι λέγω, ὅτι ἐὰν ἀφαιρεθῇς, πάντως ἀφίξῃ. λυθεὶς γὰρ τῶν ἀρρήτων σώματος καὶ περὶ σῶμα δεσμῶν, * φαντασιώσῃ τὸν ἀλύπητον Ἀβραάμ, φαντασιωθήσῃ.
B οὐχ ὁρᾷς ὅτι γῆν καὶ συγγένειαν καὶ πατρὸς οἶκον, τὸ σῶμα, τὴν αἴσθησιν, τὸν λόγον καταλιπών, ἄρχεται ταῖς τοῦ ὄντος ἐντυγχάνειν δυνάμεσιν; ὅταν γὰρ ὑπεξέλθῃ πᾶσαν τὴν οἰκίαν, λέγει ὁ νόμος ὅτι ὤφθη ὁ θεὸς αὐτῷ, δηλῶν ὅτι ἐναργῶς φαίνεται τῷ τὰ θνητὰ ὑπεκδυόντι, καὶ εἰς ἀσώματον τὴν δὲ τοῦ σώματος ψυχὴν ἀναδραμόντι. διὸ καὶ Μωϋσῆς λαβὼν τὴν αὐτοῦ σκηνὴν, ἔξω πήγνυσι τῆς παρεμβολῆς, καὶ μακρὰν διοικίζει τοῦ σωματικοῦ
C στρατοπέδου· μόνως γὰρ ἂν οὕτως ἤλπισεν ἱκέτης καὶ θεραπευτὴς ἔσεσθαι τέλειος θεοῦ. τὴν δὲ σκηνὴν ταύτην κεκλῆσθαί φησι μαρτυρίου, σφόδρα παρατετηρημένως, ἵν' ἡ τοῦ ὄντος ὑπάρχῃ, μὴ καλῆται μόνον· τῶν γὰρ ἀρετῶν ἡ μὲν θεοῦ πρὸς ἀλήθειάν ἐστι, κατὰ τὸ εἶναι συνεστῶσα· ἐπεὶ καὶ ὁ θεὸς μόνος ἐν τῷ εἶναι ἐφέστηκεν, οὗ χάριν ἀναγκαίως ἐρεῖ περὶ αὐτοῦ, Ἐγώ εἰμι ὁ ὤν, ὡς τῶν μετ' αὐτὸν οὐκ ὄντων κατὰ τὸ εἶναι, δόξῃ δὲ μόνον ὑφεστάναι νο-
D μιζομένων. ἡ δὲ Μωϋσέως σκηνὴ συμβολικῶς οὖσα ἀνθρώπου ἀρετὴ, κλήσεως, οὐχ ὑπάρξεως ἀξιωθήσεται, μίμημα καὶ ἀπεικόνισμα τῆς θείας ἐκείνης ὑπάρχουσα. τούτοις ἕπεται καὶ τὸ, Μωϋσῆν, ὁπότε χειροτονεῖται θεὸς τοῦ Φαραώ, μὴ πρὸς ἀλήθειαν γεγενῆσθαι, δόξῃ δὲ μόνον ὑπολαμβάνεσθαι. θεὸν γὰρ διδόντα μὲν οἶδα καὶ χαριζόμενον· διδόμενον δὲ οὐ δύναμαι νοῆσαι. λέγεται δὲ ἐν ἱεραῖς βίβλοις, Δίδωμί σε θεὸν Φαραώ, τοῦ
D plicia. rursum è non simplicibus quædam coniuncta, quædam adiuncta maius minúsve, & insuper quædam disiuncta, aliáque huiusmodi. quædam vera, & falsa, & incerta, possibilia & impossibilia: quædam corruptibilia & incorruptibilia, necessaria & non necessaria, expedita & impedita, & his cognata cætera. Rursum imperfectorum aliæ sunt diuisiones in prædicabilia, quæ vocantur, & contingentia, & alia quædam his minutiora. Sed quam-
E uis intellectus seipso acutior factus, tanquam medicus corporum, sic ipse naturarum anatomiam exerceat, nihil inde ad virtutem lucrabitur: diuidet ille quidem vngulam, distinguere discernerèque valens singula: non ruminabit tamen, vt iuuetur hoc cibo per reminiscentiam, deposita per commanducationem eius asperitate quam ex animæ peccatis contraxerat, conciliatáque esurie ad facilius deglutienda quæ

iterum contrita sunt. proinde plurimi A sophistæ quos vocant magnam admirationem consecuti apud populos, qui totum ferme orbem peragrarunt, gratiosi hospites facundiam diligentiámque suam ostentantes, deuicti affectibus consenuerunt & vitam in his contriuerunt, nihilo hac parte potiores vilissimis è vulgo hominibus. ideo rectissime sophistas sic viuentes legislator noster confert cum suibus, qui nulla re pura, sed turbida, cœnosa turpique vita se oblectant ad saturitatẽ vsque. B ait enim suem esse impurum animal, quia diuidit quidem vngulam, non ruminat tamen: sicut camelum propter causam contrariam, ruminantem non bifidum vngula. Cæterum quæcunque animalia vtrumque hoc habent, pura pronunciantur merito, quando vtramque iam dictam absurditatem effugerunt. propositum enim sine memoria, meditatione, iugíque tractatione rerum bonarum, bonum imperfectum est. quod si alterum accedat ad alterum, ita demum absoluitur. C hanc perfectionem formidant hostes animæ, quibus non amplius insurgere contra eam valentibus vera pax obtinetur. at quibus semiperfecta inabsolutáque sapientia contigit, infirmiores sunt quàm vt possint se peccatorum longo tempore confirmatorũ opponere cohortibus. Quamobrem quando instante bello delectus habetur, non omnis iuuentus vocatur, etiamsi vltroneam contra hostes operam alacriter offerat: sed iubentur plerique domum redire, D vt exercitatione continua tantum sibi roboris militaris peritiæque comparent, quantum olim satis futurum sit ad extorquendam hostibus victoriam. ideo quando bellum est pro foribus, in hanc formam per cornicularios edicitur: Quis est homo qui ædificauit domum nouam & non dedicauit eam? vadat & reuertatur in domum suam, ne forte moriatur in bello, & alius homo dedicet eam.

Deut.20. Quis est homo qui plantauit vineam, E & nondum exhilaratus est ex ea? vadat & reuertatur in domum suam, ne forte moriatur in bello, & alius homo exhilaretur ex ea. Quis despondit vxorem, & non accepit eam, vadat & reuertatur in domum suam, ne forte moriatur in bello, & alius homo accipiat eam. Atqui dixerit aliquis: Cur, ô mirande vir, non potius hos præ cæteris in bellum emittis & aciem, qui vxores, domos, vineas habent,

Leuit.19.

καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν ἐπὶ * τιμῇ ἐπιστρέψαντες ἕνεκα ἀκριβολογίας καὶ τῆς περὶ τὰς εὑρέσεις δεινότητος, διὰ παντὸς τοῖς πάθεσι κατεγήρασαν, καὶ κατέτριψαν τὸν βίον, οὐδὲν ἰδιωτῶν ἠμελημένων καὶ φαυλοτάτων διενεγκόντες ἀνθρώπων. διὸ καὶ παγκάλως τοὺς οὕτω βιοῦντας τῶν σοφιστῶν ὁ νομοθέτης τῷ συῒ παραβάλλει, διαιτωμένῳ μὲν οὐδενὶ καὶ καθαρῷ, θολερῷ δὲ καὶ βαραθρώδει βίῳ, καὶ τοῖς αἰσχίστοις ἐμφερομένοις. τὸ γὰρ σῦν ἀκάθαρτον εἶναί φησιν, ὅτι διχηλεῖ μὲν, οὐ μηρυκᾶται δὲ, ὡς τὴν κάμηλον διὰ τὴν ἐναντίαν πρόφασιν, ὅτι μηρυκώμενος οὐ διχηλεῖ. ὅσα δὲ τῶν ζώων ἀμφοτέρων μετέχει, καθαρὰ εἰκότως ἀναγράφεται, ὅτι παρ' ἑκατέραν τῶν λεχθέντων αἰτίαν ἐκπέφευγε. καὶ γὰρ αἵρεσις ἄνευ μνήμης καὶ μελέτης καὶ διεξόδου τῶν ἀρίστων, ἀγαθὸν ἀτελές. ἡ δ' ἀμφοῖν εἰς ταὐτὸ σύνοδός τε καὶ κοινωνία, τελειότατον. τελειότητα δὲ καὶ οἱ δυσμενεῖς τῆς ψυχῆς καταπλήσσουσιν, ὧν μηκέτι ἐπανίστασθαι δυναμένων, ἡ ἀψευδὴς εἰρήνη κρατεῖ. ἡμίεργοι δ' ὅσοι σοφίας ἢ πάλιν ἡμιπαγοῦς ἔλαχον, ἀσθενέστεροι ἢ ὥστε ἁμαρτημάτων ἐκ πολλοῦ συγκεκροτημένων καὶ πρὸς ἀλκὴν ἐπιδεδωκότων, ἐνδυπῆναι ξίφεσι. διὸ καί ποτ' ὅταν ἐν τῷ τοῦ πολέμου καιρῷ ποιῆται τὸν στρατιᾶς κατάλογον, οὐχ ἅπασαν καλεῖ τὴν νεότητα, κἂν μετὰ προθυμίας ἁπάσης αὐτοκελεύστῳ χρῆται πρὸς ἐχθρῶν ἄμυναν ἑτοιμότητι· προστάττει δὲ ἀπιόντας οἴκοι καταμεῖναι, ὡς ἂν ἐκ συνεχοῦς μελέτης τὴν τοῦ ποτὲ δύνασθαι νικᾶν διὰ παντὸς ἰσχύν τε καὶ ἐμπειρίαν εὕρωνται κραταιοτάτην. ἡ δὲ πρόσταξις, διὰ τῶν τῆς στρατιᾶς γραμματέων γίνεται, ὅταν ὁ πόλεμος ἐγγὺς καὶ ἐπὶ θύραις ὢν ἤδη τυγχάνῃ. ταυτὶ δὲ φήσουσι, Τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν, καὶ οὐκ ἐνεκαίνισεν αὐτήν· πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. καὶ τίς ὃς ἐφύτευσεν ἀμπελῶνα, καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ· πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. καὶ τίς ἐμνηστεύσατο γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν· πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρωπος ἕτερος λήψεται αὐτήν. διὰ τί γὰρ εἴποιμ' ἂν ὦ θαυμασιώτατε, οὐχὶ τούτους μᾶλλον ἑτέρων εἰς τὸν ἀγῶνα τοῦ πολέμου καταπέμπειν ἀξιοῖς, οἳ γύναια καὶ οἰκίας καὶ ἀμπελῶνας καὶ τὴν ἄλλην

κτῆσιν ἀφθονωτάτην περιπεποίηνται. τοὺς γὰρ περὶ τῆς τούτων ἀσφαλείας κινδύνους, καὶ εἰ πάντως εἶεν βαρύτατοι, κουφότατα οἴσουσιν· ἐπεὶ οἷς γε τῶν λεχθέντων οὐδὲν πρόσεστιν, ἅτε μηδὲν ἔχοντες ἀναγκαῖον ἐνέχυρον, ὄκνῳ καὶ ῥαθυμίᾳ τὰ πολλὰ χρήσονται. ἢ περ ὅσον οὐδενὸς τῶν κτηθέντων ἀπολελαύκασιν, εἶτα μηδ' ὕστερον δυνηθῶσιν ἀπολαῦσαι; τοῖς γὰρ κρατηθεῖσι τῷ πολέμῳ τίς ἀπολείπεται τῶν κτηθέντων ὄνησις. ἀλλ' οὐχ ἁλώσονται. εὐθὺς μὲν οὖν τό γε ἐπὶ τοῖς ἀστρατεύτοις πείσονται. οἴκοι γὰρ καθεζομένων καὶ τρυφώντων, ἀνάγκη τοὺς τὰ τοῦ πολέμου σπουδαίως δρῶντας, οὐκ ἀναιμωτὶ μόνον, ἀλλὰ καὶ ἀκονιτὶ κρατεῖν. ἀλλὰ τὸ τῶν ἄλλων συμμάχων πλῆθος, καὶ τὸν ὑπὲρ τούτων ἀγῶνα προθύμως ἀναδέξεται. πρῶτον μὲν, ἄτοπον ἐπὶ ταῖς ἑτέρων σπουδαῖς ἢ τύχαις ὁρμεῖν, καὶ μάλιστα ὅτι περὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ πορθήσεως ἰδίᾳ τε καὶ κοινὸς ἐπικρέμαται κίνδυνος, δυναμένοις συνδιαφέρεσθαι τὰ τοῦ πολέμου, καὶ μήθ' ὑπὸ νόσου, μήθ' ὑπὸ γήρως, μήθ' ὑπ' ἄλλης κακοπραγίας μηδεμιᾶς κωλυομένοις. ἁρπάσαντας γὰρ δεῖ τὰ ὅπλα ἐν ταῖς προτέραις φάλαγξι τούτους, καὶ ὑπερέχειν τῶν συμμάχων τὰς ἀσπίδας ἐνθύμως καὶ φιλοκινδύνως μαχομένους· ἐπεὶ οὐ προδοσίας μόνον, ἀλλὰ καὶ πολλῆς ἀναλγησίας ἐξενηνοχότες εἶεν δείγματα, εἰ οἱ μὲν ἄλλοι προπολεμοῦσιν, αὐτοὶ δὲ πρὸς τοῖς οἰκείοις πράγμασιν ἔσονται· καὶ οἱ μὲν τοὺς ὑπὲρ τῆς ἐκείνων σωτηρίας ἀγῶνας ἀναρρίπτειν θελήσουσιν, οἱ δὲ οὐδὲ τοὺς ὑπὲρ ἑαυτῶν ἀναδέξονται· καὶ οἱ μὲν ἀσιτίας καὶ χαμευνίας καὶ τὰς ἄλλας σώματός τε καὶ ψυχῆς κακώσεις ἀσμένως διὰ τὸν τοῦ νικῆσαι πόθον καρτερήσουσιν, οἱ δὲ κονιάματα καὶ λήρους κόσμον ἀψύχοις οἰκίαις περιτιθέντες, ἢ τὴν κατ' ἀγροὺς ὀπώραν δρεπόμενοι, καὶ τὰ ἐπιλήνια ἄγοντες, ἢ ταῖς ὁμολογηθείσαις ἐκ παλαιοῦ παρθένοις νῦν πρῶτον εἰς ὁμιλίαν ἐρχόμενοι καὶ συνευναζόμενοι, ὡς ἐν ἐπιτηδειοτάτῳ τοῦ γαμεῖν καιρῷ, διατελοῦσι. καλὸν γε τοίχων ἐπιμελεῖσθαι, προσόδους ἐκλέγειν, ἑστιᾶσθαι, μεθύειν, θαλαμεύεσθαι, νυμφοστολεῖσθαι τὰς γεγηρακυίας καὶ σαπράς, τὸ λεγόμενον, ἀλλ' εἰρήνης ἔργα. ἐν δὴ ἔτι ἡβῶντός τε καὶ ἀνθοῦντος ἀκμῇ πολέμου, πάντως ἂν τούτων οὐχ ὁ πατήρ, οὐκ ἀδελφός, οὐ τῶν ἀφ' αἵματος οὐδεὶς ἐκ γένους ἐστράτευται, ἀλλὰ πανοίκιος αὐτοῖς ἐμπεφώλευκεν ἡ δειλία. ἀλλὰ πάντως εἰσὶ μυρίοι τὴν συγγένειαν ἀγωνιζόμενοι, τούτων οὖν τὸν ὑπὲρ

A aliisque possessionibus sunt locupletes: pro quibus tuto retinendis pericula vel grauissima tolerabunt facile? nam isti quibus nihil tale est, cum nullum habeant pignus virtutis necessarium, non eadem vtentur industria. An hoc te mouet, ne forte qui nondum perceperunt fructum è suis possessionibus ne in posterum quidem percipiant? at quæ potest esse bello victis è suis prædijs vtilitas? Sed non vincentur. mulctabuntur igitur B ob desertam militiam. Nam his delicatis domi manentibus, necesse est hostes fortes bellatores, non solum sine sanguine, sed & sine puluere vincere. Sed non deerit aliorum sociorum multitudo, qui pro his quoque depugnent fortiter. Atqui primo absurdum est aliena industria fortunáque niti, præsertim vbi de vastitate patriæ, déque libertate populi priuatim publicéque periculum imminet, cum possint in laboris partem C illi quoque recipi, non valetudine aduersa, nec ætate parum integra impediti, nec vllo infortunio. Proinde nihil æquius aut magis decorum, quàm vt sumptis armis progrediantur in primam aciem, obiectísque ante alios socios clypeis, fortiter pugnando propulsent periculum. Alioquin nónne proditionis atque inhumanitatis reos se declarabunt, si reliquis pugnantibus pro republica, ipsi D tractabunt domestica negotia? & illis pro aliena salute decertantibus, isti ne pro se quidem arma capient? illi inediam, dura humi cubilia, cæteráque tum animi tum corporis incommoda libenter perferent cupidine victoriæ: isti dealbando & nugis ornando surdos parietes, aut agri fructus decerpentes, canentésque ad torcular, aut desponsas virgines nunc primum deducentes in thalamum, quasi E hoc tempus nuptias postulet, viuent suauiter? bonum sanè est curare domesticos parietes, reditus colligere, conuiuari, potare, indulgere genio, nouam nuptam anum (vt vulgaris iocus est) ducere: verùm hæc pacis sunt negotia. Nunc integro bello & feruente vt cum maxime, itáne non pater, non frater, non gentilis vllus aut cognatus in militiam profectus est, sed vna totam familiam occupauit timiditas? dices decertare cognatos innumeros. His igitur de vita

A periclitantibus, delicati isti ac molliculi quas non efferatissimas feras immanitate superant? dicent: durum est pati alios in nostra bona sine labore succedere. An non durius viuos etiamnum ab hoste pelli possessionibus, quàm defunctos eas amicis cognatisque legitimis successoribus cedere? tantum inter vtrumque interest, vt stulta sit collatio. Atqui potest fieri, vt isti detrectatores militiæ, non solum bona hæc amittant, sed ipsi quoque veniant B in potestatem hostium. illis vero pro salute reipublicæ defunctis, etiamsi nullum adhuc fructum perceperunt è suis prædijs, solatium contingat ex reputatione hæredum successorúmque quos non alios cuperent. In verbis quidem legis hæc & alia multa controuersa sunt: sed ne quis peruerse callidus plura in eam inquirere audeat, recurramus ad allegoriam & dicamus: primùm iubere legem, vt quisquis bonorum possessionem sibi comparat, C curet fructus etiam inde percipere, quando virtutis felicitas in perfecto vsu consistit, per quam contingit vitæ incolumitas. deinde non de domo hic, aut vinea, aut sponsa verba fieri, vt eam procus abducat, aut plantator vindemiet, expressísque vuis mustum degustans se exhilaret, aut alius exstructam à se domum inhabitet: sed de animæ potentijs, per quas initia, profectus, perfectionésque contingunt in actionibus laudabilibus. Harum prin- D cipia fermè ad procos attinent. sicut enim procus nondum est vir, erit tamen: eodem modo quicunque bona indole præditus, generosam castámque virginem ducturum se sperat eruditionem, móxque procum eius agit. profectus autem ad plantatorem possunt referri. sicut enim huius cura est incrementum stirpium: ita discendi studiosus dat operam vt prudentiæ contemplationes augeantur plurimum. postremo perfectiones ad ædificium domus absolutæ, sed nondum consolida- E tæ. omnibus autem his tam perfectis quam incipientibus & proficientibus conducit vitam sine contentione agere, & abstinere à sophistarum dimicationibus, turbulentam litem ad subuertendam adulterandámque veritatem semper meditantibus. quia veritas pacem amat, quam isti prosequuntur odio. quòd si descenderint in hoc certamen homines simplices cum pe-

A τῆς ψυχῆς κίνδυνον αἱρουμένων, οἱ χλιδῶντες καὶ ἁβροδιαίτως ζῶντες, τίνας οὐκ ἂν ἀτιθάσους θῆρας δι' ὑπερβολὴν ὠμότητος παραδράμοιεν. ἀλλὰ χαλεπὸν τὸ ἑτέρους ἀπονητὶ τῶν ἡμετέρων ἀπολαῦσαι πόνων; καὶ πότερον χαλεπώτερον, ἐχθροὺς ἔτι ζώντων, ἢ φίλους καὶ συγγενεῖς τετελευτηκότων, ἐπὶ τὸν κλῆρον ἐλθεῖν; ἢ καὶ τὸ συγκρίνειν τοὺς οὕτω μακρὰν ἀφεστῶτας εὔηθες. καὶ μὴν εὔλογον, μὴ μόνον ὅσα τοῖς ἀστρατεύτοις πρόσεστιν, ἀλλὰ καὶ αὐτοὺς ἐκείνους ἐχθρῶν κεκρατηκότων ζημιοῦσθαι κτή- B ματα· τοῖς δέ γε ἀποθνήσκουσιν ὑπὲρ τῆς κοινῆς σωτηρίας, καὶ εἰ μηδενὸς ἀπήλαυσαν ἀφ' ὧν ἂν τὸ πρότερον εἶχον τὴν κατὰ τὴν οὐσίαν, ἡδίστη τελευτὴ γίνεται, λογιζομένοις ὅτι πρὸς οὓς ηὔξαντο διαδόχους τὴν οὐσίαν ἐλθεῖν ἔτυχε. τὸ μὲν οὖν τοῦ νόμου ῥητὸν ταύταις τε ἔτι πλείοσιν ἐπισκέψεσιν ἴσως ἔχει. ὡς δὲ μηδεὶς εὑρεσιλογῶν θρασύνηται τῶν κακοτεχνούντων ἀλληγοροῦντες φήσομεν ὅτι πρῶτον μὲν οὐ μόνον οἴεται δεῖν ὁ νόμος περὶ C τὴν τῶν ἀγαθῶν ποιεῖσθαι κτῆσιν, ἀλλὰ καὶ περὶ τὴν τῶν κτηθέντων ἀπόλαυσιν, καὶ τότε εὐδαιμονεῖν ἀρετῆς χρήσει τελείας περιγενέσθαι νομίζει, σωτηρίας καὶ παντελῆ περιποιούσης βίον· ἔπειτα ὅτι οὐ περὶ οἰκίας, ἢ ἀμπελῶνος, ἢ τῆς καθ' ὁμολογίαν ἐγγυηθείσης γυναικός ἐστιν ὁ λόγος αὐτῷ, ὅπως τὴν μὲν ὡς μνηστὴρ ἀγάγηται, τὸν δ' ἀμπελῶνος τὸν καρπὸν ὁ φυτουργὸς ἀποδρεψάμενος καὶ ἀποθλίψας, εἶτ' ἐμπιὼν μεθύσματος ἀκράτου γανωθῇ, τὴν δ' οἰκίαν ὁ ἀνοικοδομησά- D μενος οἰκήσῃ, ἀλλὰ περὶ τῶν κατὰ ψυχὴν δυνάμεων, δι' ὧν συμβέβηκεν ἀρχάς τε λαμβάνειν καὶ προκοπὰς καὶ τελειότητας ἐν πράξεσιν ἐπαινεταῖς. αἱ μὲν τοίνυν ἀρχαὶ περὶ μνηστῆρα φιλοῦσι γίνεσθαι· καθάπερ γὰρ ὁ μνώμενος γυναῖκα μέλλει, ἐπεὶ ἀνὴρ οὐ γέγονεν ἤδη, τὸν αὐτὸν τρόπον ὁ εὐφυὴς εὐγενῆ μὲν καὶ καθαρὰν ἄξεσθαι παρθένον παιδείαν ἐλπίζει, μνᾶται δ' αὐτίκα· αἱ δὲ προκοπαί, περὶ γεωργόν. ὡς γὰρ ἐπιμελὲς τῷ φυτουργῷ τὰ δένδρα αὔξεσθαι, καὶ τῷ φιλομαθεῖ τὰ φρο- E νήσεως θεωρήματα ποιῆσαι μεγίστην λαβεῖν ἐπίδοσιν. αἱ δὲ τελειότητες περὶ δημιουργίαν, οἰκίας τετελειωμένης μέν, οὔπω δὲ πῆξιν λαβούσης. ἁρμόττει δὲ τούτοις πᾶσιν, ἀρχομένοις, προκόπτουσι, τετελειωμένοις, βιοῦν ἀφιλονείκως, καὶ μὴ τὸν τῶν σοφιστῶν ἐπαποδύεσθαι πόλεμον, δύσερω ταραχὴν ἐπὶ νοθείᾳ τἀληθοῦς ἀεὶ μελετώντων· ἐπεὶ τἀληθὲς εἰρήνῃ φίλον, ᾗ δυσμενεῖς αὐτοί. εἰ γὰρ εἰς τοῦτον ἀφίξονται τὸν ἀγῶνα, πρὸς ἐμπειροπολέμους

ἰδιῶται, παντελῶς ἁλώσονται, ὁ μὲν ἀρχόμενος, ὅτι ἄπειρος· ὁ δὲ προκόπτων, ὅτι ἀτελής· ὁ δὲ τέλειος, ὅτι οὔπω ἀθλητὴς ἀρετῆς. δεῖ δὴ ὥσπερ τὰ κονιάματα ἐπεξηρᾶναι βεβαίως καὶ λαβεῖν πῆξιν, οὕτω τὰς τῶν τελειωθέντων ψυχὰς κραταιωθείσας, παγιώτερον ἱδρυνθῆναι μελέτῃ συνεχεῖ καὶ γυμνάσμασιν ἐπαλλήλοις. οἱ δὲ μὴ τούτων τυχόντες, παρὰ τοῖς φιλοσόφοις διαλεληθότες εἶναι λέγονται σοφοί. τοὺς γὰρ ἄχρι σοφίας ἄκρας ἐληλακότας, καὶ τὸν ὅρον αὐτῆς ἄρτι πρῶτον ἁψαμένους, ἀμήχανον εἰδέναι φασὶ τὴν ἑαυτῶν τελείωσιν. μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἄμφω συνίστασθαι, τήν τε πρὸς τὸ πέρας ἄφιξιν, καὶ τὴν τῆς ἀφίξεως κατάληψιν, ἀλλ' εἶναι μεθόριον ἄγνοιαν, οὐ τὴν μακρὰν ἀπεληλαμένην ἐπιστήμης, ἀλλὰ τὴν ἐγγὺς καὶ ἀγχίθυρον αὐτῆς. τοῦτον μὲν καταλαμβάνοντος καὶ συνιέντος, καὶ τὰς αὑτοῦ δυνάμεις ἐπισταμένου ἄκρως, ἠδύνατ' ἂν ἔργῳ πολεμῆσαι τοῖς φιλέρισι καὶ σοφιστικοῖς ξίφεσι· νικηφόρον γὰρ τὸ τοιοῦτον ἐλπίς· ᾧ δὲ ἔτι τὸ ἀγνοίας ἐπιπροσθεῖ, εἰκότως μήπω τὸ τῆς ἐπιστήμης ἀναλάμψαι φέγγος ἰσχύοντι ἀσφαλὲς οἴκοι καταμεῖναι, τουτέστιν εἰς τὴν περὶ ὧν ἄκρως οὐ κατείληφε, μὴ προελθεῖν ἅμιλλαν, ἀλλ' ἠρεμῆσαί τε καὶ ἡσυχάσαι· ὁ δὴ ὑπ' αὐθαδείας ἐξενεχθεὶς, τὰ παλαίσματα τῶν ἀντιπάλων οὐκ εἰδὼς, πρὶν δρᾶσαι, παθὼν φθήσεται, καὶ τὸν ἐπιστήμης θάνατον ἐνδέξεται, ὅς ἐστιν ἀργαλεώτερος τοῦ ψυχὴν καὶ σῶμα διακρίνοντος. ὀφείλει δὲ τοῦτο συμβαίνειν τοῖς πρὸς τῶν σοφισμάτων ἀπατωμένοις. ὅταν γὰρ τὰς λύσεις αὐτῶν εὑρεῖν μὴ δυνηθῶσιν, ὡς ἀληθέσι τοῖς κατεψευσμένοις πεπιστευκότες, ἀποθνήσκουσι βίον τὸν τῆς ἐπιστήμης, ταὐτὸν πεπονθότες τοῖς ὑπὸ κολάκων φενακιζομένοις. καὶ γὰρ τούτων ἡ τῆς ψυχῆς ὑγιαίνουσα καὶ ἀληθὴς ὑπὸ τῆς φύσει νοσερᾶς ἐξωθεῖται καὶ ἀνατρέπεται φιλίας. συμβουλευτέον οὖν εἰς τοὺς τοιούτους ἀγῶνας μὴ προτρέχεσθαι τοῖς τε ἀρχομένοις τοῦ μανθάνειν· ἀνεπιστήμονες γάρ· καὶ τοῖς προκόπτουσι, διότι οὐ τέλειοι. καὶ τοῖς ἄρτι τελειωθεῖσι, διότι λελήθασιν αὑτοὺς ἄχρι πη τελειότητος. τῶν δὲ ἀπειθησάντων, ἄλλος, φησὶν, ἄνθρωπος τὴν μὲν οἰκίαν οἰκήσει, τὸν δὲ ἀμπελῶνα κτήσεται, τὴν δὲ γυναῖκα ἄξεται. τὸ δ' ἐστὶν ἴσον τῷ, αἱ λεχθεῖσαι δυνάμεις, σπουδῆς, βελτιώσεως, τελειώσεως ἐπιλείψουσι μὲν οὐδέποτε, ἄλλοτε δὲ ἄλλοις ἐνομιλήσουσιν ἀνθρώποις ἐπιφοιτῶσαι, καὶ τὰς ψυχὰς οὐ τὰς αὐτὰς ἀμείψασαι, σφραγῖσιν ὁμοιούμεναι.

A ritissimis, omnino succumbent: incipiens, quia imperitus: proficiens, quia imperfectus, perfectus autem, quia nondum exercitatus in virtute. oportet autem sicut incrustationes paulatim hærescunt & consolidantur: ita perfectorum animas confirmatas, alijs super alias meditationibus assuescere ne gradu dimoueantur. Quibus autem id non contigit, apud philosophos in sapientum nomen subrepsisse dicuntur. aiunt enim esse impossibile, vt qui in sapien-
B tia plurimum promouerunt, & ad eius euaserunt fastigium, suam perfectionem nouerint. negant enim fieri posse vt qui ad finem peruenit, statim se peruenisse intelligat: sed confinium tenere ignorantiam, non illam procul remotam à scientia, verùm aliam propinquam, parum distantem à ianua. quò postquam aliquis se peruenisse intelligit, simúlque vires aduersariorum, potest contra contentiosam sophistarum aciem subsistere. sperandum enim est
C de talis viri victoria. quisquis autem nondum præteruectus ignorantiam euasit ad lucem scientiæ, cum domi se continere consultius fuerit: hoc est non descendere in certamen de rebus nondum sibi satis cognitis: sed quiescere potius. qui vero per arrogantiam in luctam prosilit, petitiones aduersariorum cauere nesciens, ab eis præoccupabitur, & mulctabitur morte scientiæ, grauiore quam est vulgaris hæc animam à corpore dirimens. sed hic exitus meritò manet de-
D cepto à sophismatibus. cum enim non possunt solutiones inuenire, mendacijs tanquam veritati credendo amittunt vitam scientiæ: quod accidit & his qui se sinunt decipi ab adulatoribus. nam horum anima sana & verax, per morbidam subuertitur & expellitur amicitiā. proinde consultum est, ne huiusmodi certaminibus se committant qui discere incipiunt, cum imperiti sint: similiter & proficientes, cum imperfecti sint. nec non qui tum primum perficiuntur, quia per-
E fectionem suam adhuc ignorant. quod si non pareant huic consilio, alius, inquit, homo domū eius habitabit, vineam possidebit, vxorem ducet. quod perinde est ac si diceret, hæ iam dictæ potentiæ, studij, profectus, perfectionis deficient nunquam, sed aliâs alios homines accedendo versabuntur cum eis, migrantes ex anima in animam, similes signaculis (nam & hæc post impressam ceræ formā nihilo deteriora permanent) etiamsi

contingat impressos characteres vobiscum interire. cum enim sint immortales, innumeris ante vos familiaritate sua pepercerunt gloriam: quos expertæ sunt, non sicut vos propter periculorum contemptum auersari suam consuetudinem, sed vltro ad se accedere, & securitati suæ prospicere. proinde si quis virtutis amicus est, optet in se plantari bona omnia, & existere in sua anima, quemadmodum in statua tabuláque perfectissima, quicquid ad decentem proportionem attinet: id secum reputans, esse innumerabiles qui captent eadem: quibus natura ipso præterito donabit omnia, felicitatem discendi, profectum perfectionémque. sed satius fuerit ipsum ante illos elucere, & concessas sibi diuinitus gratias in tuto reponere, potius quàm obijcere hostibus auidis ceu prædam paratissimam. ergo parua vtilitas est principij quod iusto fine non obsignatur. sæpe tamen etiam perfecti quidam pro imperfectis sunt habiti, eo quod suapte alacritate, non Dei benignitate profecisse sibi visi sunt. qua opinione iuueniliter inflati, & in immensum elati, è sublimi delati ad infimum baratrum interierunt. Si domum, inquit, nouam ædificaueris, & feceris in tecto coronulam, caue habearis autor necis in domo tua, si quis inde prolapsus deciderit. grauissimum est enim ab honore Dei prolapsum decidere, sibimetipsi coronam vsurpando, & ciuilem necem patrando. suam enim animam interficit, quisquis honorat quod nihil est, struens sibi stultæ eruditionis ædificium. nam eruditio non senescit. quapropter nouam vocat eius domum. nam alias res tempus absumit. hæc autem etiamsi procedat in tempus longissimum, florem ætatis non amittit, virenti semper specie hilaris, & agilis assidua consuetudine. Aliubi quoque inter præcepta extat hortatio, vt affluente rerum copia, non nobis eam ascribamus, sed memores simus Dei qui largitur vim & robur ad agendum. hic igitur finis felicitatis est, illa vero principia. itaque si quis obliuiscitur huius finis, ne partis quidem rebus bene frui poterit. Verùm isti sponte per amorem sui labuntur, dum grauantur Deum, qui solus amari à seipso meretur, vt perfectissimus, fateri autorem bonorum omnium. Sunt etiam qui omnem pietatis rudentem mouean-

Deut. 21.

A καὶ γὰρ αὗται τὸν χηρὸν ἐπειδὰν τυπώσωσι, παθοῦσαι, μηδὲν ἀπ' αὐτῶν εἶδος ἐγχαράξασαι, πλήσονται ἐν ἐμοί, κἂν ὁ τυπωθεὶς συγχωρήσῃ τοῖς συμφθειρομένοις συμφθαρεῖσθαι ταῖς δυνάμεις ὑμῶν. ἀθάνατοι γὰρ οὖσαι μυρίοις ἄλλοις πρὸ ὑμῶν ἀσπάζονται τῆς ἀπ' αὐτῶν εὐκλείας, οἷς αἱ αἰσθάνονται, μὴ ὥσπερ ὑμᾶς διὰ τὸ ῥιψοκίνδυνον ἀποδεδρακότας τὴν ὁμιλίαν αὐτῶν, ἀλλὰ προσιόντας, καὶ θεραπευτικῶς ἀσφαλείας ἔχοντας. B εἰ δέ τις ἀρετῆς φίλος, εὐχέσθω τὰ καλὰ πάντα ἐμφυτευθῆναι αὐτῷ, καὶ ἐπὶ τῆς ἑαυτοῦ ψυχῆς φανῆναι, καθάπερ ἐν ἀνδριάντι καὶ γραφῇ τελείᾳ τὰς εἰς εὐμορφίαν συμμετρίας, λογιζόμενος ὅτι εἰσὶν ἔφεδροι μυρίοι, οἷς ἡ φύσις αὐτ' αὐτοῦ δωρήσεται ταῦτα πάντα, εὐμαθείας, προκοπάς, τελειότητας. ἄμεινον δὲ πρὸ ἐκείνων αὐτὸν ἐκλάμψαι, ταμιευόμενον τὰς ὑπὸ τοῦ θεοῦ δοθείσας ἀσφαλῶς χάριτας, καὶ μὴ προσενεγκόντα πόρθησιν, ἐχθροῖς ἀφειδοῦσιν ἑτοιμοτάτην λείαν C παρασχεῖν. οὐκοῦν βραχὺ ὄφελος ἀρχῆς ἧς τὸ τέλος αἴσιον οὐκ ἐσφραγίσθη. πολλάκις μὲν γάρ τοι καὶ τελειωθέντες τινὲς ἀτελεῖς ἐνομίσθησαν τῷ παρὰ τὴν ἰδίαν προθυμίαν, ἀλλὰ μὴ κατ' εὐφροσύνην θεοῦ βελτιωθῆναι δόξαι. καὶ διὰ τοῦτο μέντοι τὸ δόξαι νεωτερισθέντες καὶ ἐξαρθέντες ἐπὶ μήκιστον, ἀφ' ὑψηλοτέρων χωρίων εἰς ἔσχατον κατενεχθέντες βυθόν, ἠφανίσθησαν. Ἐὰν γάρ, φησίν, οἰκοδομήσῃς οἰκίαν καινήν, καὶ ποιήσῃς στεφάνην τῷ δώματι, καὶ οὐ ποιήσεις D φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἀπ' αὐτοῦ. πτῶμα γὰρ ἀργαλεώτατον θεοῦ τιμῆς ἀποπεσεῖν ὀλισθόντα, στεφανώσαντα πρὸ ἐκείνου ἑαυτόν, καὶ φόνον ἐμφύλιον ἀρέσαντα. κτείνει γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὁ μὴ τὸ ὂν τιμῶν ὡς αἴτιον αὐτοῦ ἡγεῖσθαι παιδείας τὸ οἰκοδόμημα. παιδεία δὲ φύσιν ἔλαχε τὴν ἀγήρων· διόπερ καινὴν εἶπε τὴν οἰκίαν αὐτῆς. τὰ μὲν γὰρ ἄλλα χρόνῳ φθείρεται· ἡ δ' ἐφ' ὅσον πρόεισιν ἐπὶ μήκιστον ἡβᾷ καὶ ἐπακμάζει, τὸ ἀειθαλὲς εἶδος φαιδρυνομένη, καὶ τῇ συνεχέσιν ἐπιμελείαις E κινουμένη· κἂν τοῖς προτρεπτικοῖς μέντοι γέγραπται, τοὺς κτήσει ἀγαθῶν λαχόντας πλείστων, μὴ ἑαυτοὺς ἀναγράψαι τῆς κτήσεως αἰτίους, ἀλλὰ καὶ μνησθῆναι θεοῦ τοῦ διδόντος ἰσχὺν ποιῆσαι δύναμιν. τοῦτο μὲν οὖν τὸ εὐπραγίας τὸ πέρας, ἀρχαὶ δ' ἐκεῖναι· ὥστε τοὺς ἐκλανθανομένους τοῦ τέλους, μηδὲ τῆς τῶν κτηθέντων εὖ ἂν ἐπαπονάσθαι δυνηθῆναι. τούτοις μὲν οὖν ἑκούσια γὰρ διὰ φιλαυτίαν τὰ σφάλματα, οὐχ ὑπομένουσι τὸν θεόφιλον καὶ τελεσφόρον θεὸν αἴτιον ἀποφῆναι τῶν ἀγαθῶν,

εἰσὶ δ' οἳ πάντα κάλων εὐσεβείας διασείσαντες ἐνορμίσασθαι τοῖς λιμέσιν αὐτῆς ταχυναυτοῦντες ἐσπούδασαν, κἄπειτ' οὐ μακρὰν ἀφεστηκότων, ἀλλ' ἤδη μελλόντων προσσχεῖν, αἰφνίδιον ἐξ ἐναντίας καταρραγὲν πνεῦμα, πλησίον εὐθυδρομοῦν τὸ σκάφος ἀνέωσεν, ὡς ἀποκεῖραι πολλὰ τῶν πρὸς εὔπλοιαν συνεργούντων· τούτοις οὐκ ἄν τις θαλαττεύουσι τὰς εὐχὰς ἐπαράσαιτο. ἀκούσιος γὰρ αὐτοῖς ἐπιγενόμενος γέγονεν ἡ βραδυτής. τίς οὖν ἀπεικάζεται τούτοις, ἢ ὁ τὴν μεγάλην λεγομένην εὐξάμενος εὐχήν· Ἐὰν γάρ τις, φησίν, ἀποθάνῃ ἐπ' αὐτῷ, αἰφνιδίως παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται. εἶτα ὀλίγα προσθεὶς ἐπιφέρει, Αἱ δ' ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ. δι' ἀμφοτέρων, τοῦ τε αἰφνίδιον καὶ τοῦ παραχρῆμα εἰπεῖν, ἡ ἀκούσιος παρίσταται τῆς ψυχῆς τροπή. πρὸς μὲν γὰρ τὰ ἑκούσια τῶν ἁμαρτημάτων εἰς τὸ βουλεύσασθαι ποῦ καὶ πότε καὶ πῶς πρακτέον χρόνου δεῖ· τὰ δὲ ἀκούσια ἐξαίφνης ἀπερισκέπτως, καὶ εἰ οἷόν τε τοῦτ' εἰπεῖν, ἀχρόνως, κατασκήπτει. χαλεπὸν γὰρ ὥσπερ τοῖς δρομεῦσιν ἀρξαμένοις ὁδοῦ τῆς πρὸς εὐσέβειαν ἀπταίστως καὶ ἀπνευστὶ διευθῦναι τὸν δρόμον· ἐπεὶ μυρία ἐμποδὼν παντὶ τῷ γινομένῳ· πρότερον μὲν, ὃ ἓν καὶ μόνον εὐεργεσία, μηδενὸς τῶν κατὰ γνώμην ἀδικημάτων ἐφάψασθαι, πᾶσαν τὴν ἀμήχανον τῶν ἑκουσίων πληθὺν ἴσχυσε διώσασθαι· δεύτερον δὲ, τὸ μήτε πολλοῖς ἀκουσίοις, μήτ' ἐπὶ μήκιστον χρόνον διατρῖψαι. παγκάλως δὲ τὰς τῆς ἀκουσίου τροπῆς ἡμέρας εἶπεν ἀλόγους, οὐ μόνον ἐπεὶ τὸ ἁμαρτάνειν ἄλογον, ἀλλ' ὅτι καὶ τῶν ἀκουσίων λόγον οὐκ ἔστιν ἀποδοῦναι· παρ' ὃ καὶ πυνθανομένων πολλάκις τὰς τῶν πραγμάτων αἰτίας φαμὲν, μήτ' εἰδέναι, μήτ' εἰπεῖν δύνασθαι· μήτε γὰρ γινομένων συμπαραληφθῆναι, ἀλλὰ καὶ τὴν ἄφιξιν αὐτῶν ἀγνοῆσαι. σπάνιον οὖν εἴ τῳ δωρήσεται ὁ θεὸς ἀπ' ἀρχῆς ἄχρι τέλους σταδιεῦσαι τὸν βίον, μήτ' ὀκλάσαντι, μήτ' ὀλισθήσαντι, ἀλλ' ἑκατέραν φύσιν ἀδικημάτων ἑκουσίων τε καὶ ἀκουσίων, ῥύμῃ καὶ φορᾷ ταχεῖς ὠκυδρομωτάτους ὑπερπτῆναι. Ταῦτα μὲν οὖν ἀρχῆς τε πέρι καὶ τέλους εἴρηται διὰ Νῶε τὸν δίκαιον, ὃς τὰ πρῶτα καὶ στοιχειώδη τῆς γεωργικῆς κτησάμενος τέχνης, ἄχρι τῶν περάτων αὐτῆς ἐλθεῖν ἠσθένησε· λέγεται γὰρ ὅτι ἤρξατο γῆς εἶναι γεωργὸς, οὐ τῶν ὅρων τὰς ἄκρας ἐπιστήμης ἐλάβετο· τὰ δὲ περὶ τῆς φυτουργίας εἰρημένα αὐτοῦ λέγωμεν αὖθις.

A do celeri nauigatione conati sunt in portum eius appellere, & iam proximi, iamque sperantes inuehi, repente ex aduerso procella coorta, tum demum à recto cursu repulsi sunt, frustrati tot nauigationis commodis. Horum iactationi quis male precaretur? quando inuitis quod remoraretur accidit. Quis igitur assimilabitur his, nisi qui magnum, vt vocant, votum vouit? Si quis, inquit, subito coram eo mortuus fuerit, confestim polluetur caput voti eius, & radetur.
B Deinde post pauca subinfert: Dies autem priores irriti fient, quoniam pollutum est caput voti eius. vtraque vox, subito & confestim, indicat non voluntariam mutationem animæ. Nam in peccatis voluntarijs opus est tempore consultandi, vbi, quando, quomodo aggredienda sint. Quæ autem inuiti admittimus. repente, ex improuiso, momento (vt ita loquar) temporis ingruunt. Est enim perdifficile, ceu cursoribus, post institutum semel ad pietatem cursum
C inoffense & sine respiratione ad metam recta decurrere, quandoquidem innumera sunt quæ obiacent pedibus mortalium. Cæterum ante omnia, quod sola præstat beneficentia, abstinere à voluntarijs peccatis, prodest ad repellendam etiam inuoluntariorum multitudinem. Deinde si & inuoluntaria nec multa admittantur, nec diu adhæreant. Pulchre autem inuitæ mutationes dies dixit irritos, non solum quia ratione caret peccatum, sed quia horum quæ fiunt ab im-
D prudentibus non potest reddi ratio. ideo sæpe cum talium factorum causam reposcimur, negamus nos scire, aut posse dicere: quia nec intercedere potuerimus, nec præscire. Rarum igitur Dei donum est, à carceribus ad metam vsque stadium vitæ percurrere absque offensa lapsúque, ita vt naturam vtramque peccatorum voluntariorum inuoluntariorúmque liceat celerrimo cursu præteruolare. Hactenus de principio fineque dictum sit per occasionem Noe iusti,
E qui agriculturæ prima rudimenta consecutus, ad finem eius peruenire non valuit. ait enim scriptura, Cœpit esse agricola, non extremos eius scientiæ terminos adeptus est. quæ autem de plantatione eius dicta sunt, repetamus denuo.

ΠΕΡΙ ΦΥΤΟΥΡΓΙΑΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΝΩΕ.

PHILONIS IVDÆI DE PLANTATIONE NOE LIBER SECVNDVS.

A IN primo libro de agriculturæ arte in genere quantum tempestiuum erat, diximus: in hoc de eius specie vinitoria pro viribus dicemus quod reliquum est. Nam iustus hic, non solum agricola, sed & proprie vinitor introducitur, dicente sacra scriptura, Cœpit Noe homo agricola esse, & plantauit vineam.] Decet autem vt qui de singularibus stirpibus & agri-
B culturis dicturus est, consideret primum stirpes in hoc vniuerso perfectissimas, magnúmque illum plantatorem harum præsidem. Scilicet plantator ille maximus, & arte perfectissimus, hujus rerum vniuersitatis rector est: planta vero mundus hic, non vnicum stirpis genus in se continens, sed infinitos ceu palmites ex vna radice progerminans. Postquam enim essentiam inordinatam suapte natura con-
C fusámque in ordinem ex perturbatione & ex confusione in discretionem reducens mundi opifex formare cœpit, terram quidem & aquam radicauit in medio, aeris vero ignisque arbores in sublime subduxit à medio. hæc autem circumquaque muniuit æthere, extimum hunc terminum pro munimento custodiáque statuens, vnde cælum Græcis nominatum videtur. interius terram cum sit arida inuehi
D aquis, nec ab eis dilui, igni porrò natura calido iungi aerem suopte ingenio frigidissimum non sine ingenti miraculo iussit. nónne enim prodigiosum videtur, id quod dissolubile est contineri à dissolutiuo, videlicet terram ab aqua? & frigidissimæ rei superpositam calidissimam, non extingui tamen ignem ab aere? hæ sunt illæ perfectis-

ΕΝ μὲν τῷ προτέρῳ βιβλίῳ τὰ περὶ γεωργικῆς τέχνης γενικῶς ὅσα καιρὸς ἦν, εἴπομεν· ἐν δὲ τούτῳ περὶ τῆς κατ᾽ εἶδος ἀμπελουργικῆς, ὡς ἂν οἷόν τε ᾖ, ἀποδώσομεν. τὸν γὰρ δίκαιον, οὐ γεωργὸν μόνον, ἀλλὰ καὶ ἰδίως ἀμπελουργὸν εἰσάγει, φάσκων, Ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργὸς γῆς· καὶ ἐφύτευσεν ἀμπελῶνα. προσήκει δὲ τὸν μέλλοντα περὶ τῶν κατὰ μέρος φυτῶν τε καὶ γεωργικῶν διεξιέναι, κατανοῆσαι πρότερον τὰ τελειότατα τοῦ παντὸς φυτὰ, καὶ τὸν μέγαν φυτουργὸν καὶ ἐπιστάτην αὐτῶν. ὁ μὲν τοίνυν τῶν φυτουργῶν μέγιστος καὶ τὴν τέχνην τελειότατος, ὁ τῶν ὅλων ἡγεμών ἐστι· φυτὸν δὲ οὐ περιέχον ἐν ἑαυτῷ ἐν μέρει φυτὰ, ἀλλὰ παμμυρία, καθάπερ κληματίδας ἐκ μιᾶς ἀναβλαστάνοντα ῥίζης, ὅδε ὁ κόσμος. ἐπεὶ γὰρ τὴν * οὐσίαν ἄτακτον καὶ συγκεχυμένην οὖσαν ἐξ αὑτῆς, εἰς τάξιν ἐξ ἀταξίας, καὶ ἐκ συγχύσεως εἰς διάκρισιν ἄγων ὁ κοσμοπλάστης μορφοῦν * ἤρξατο, γῆν μὲν καὶ ὕδωρ ἐπὶ τὸ μέσον ἐρρίζου, τὰ δ᾽ ἀέρος καὶ πυρὸς δένδρα πρὸς τὴν μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν· τὸν δ᾽ αἰθέριον ἐν κύκλῳ τόπον ὠχυροῦτο, τῶν ἐντὸς ὅρον τε καὶ φυλακτήριον αὐτὸν τιθεὶς, ἀφ᾽ οὗ καὶ ὁ οὐρανὸς ὠνομάσθαι δοκεῖ· ὀχεῖσθαι μὲν γῆν ὕδατι ξηρὰν οὖσαν, ἣν δέον ἦν ὕδατι διαλύεσθαι, πυρὶ δὲ ἀέρα θερμῷ φύσει τὸν ἐξ ἑαυτοῦ ψυχρότατον, θαῦμα ἔκτοπον ὁ θαυματοποιὸς εἰργάζετο. πῶς γὰρ οὐ τεράστιον, ὑπὸ μὲν τοῦ λυομένου συνέχεσθαι τὸ λῦον, πρὸς γῆς ὕδωρ· ἐπὶ δὲ τῷ ψυχροτάτῳ τὸ θερμότατον ἄσβεστον ἱδρύσασθαι, πῦρ ἐπὶ ἀέρι. καὶ ταῦτα μὲν τὰ τέλεια τοῦ παντὸς ἦν μηχανήματα· τὸ δὲ παμ-

ὕλην. ὑπῆρχε δὲ συγκεχυμένη εἰς τὸ περὶ κόσμου.

κοσμεῖν ἤρξατο

μέγεθος καὶ παμφορώτατον ἔρνος, ὁ κόσμος οὗτος, οὗ παραφυάδες οἱ εἰρημένοι βλαστοί. ὅπου δὴ οὖν ἄρα τὰς ῥίζας καθῆκε, καὶ τίς ἐστιν αὐτῷ βάσις, ἐφ' ἧς ὥσπερ ἀνδριὰς ἐρήρεισται, σκεπτέον. σῶμα μὲν οὖν οὐδὲν ἀπολειφθὲν εἰκὸς ἔξω πλανᾶσθαι, πᾶσαν τὴν δι' ὅλων ὕλην ἐργασαμένου καὶ * οἰκονομήσαντος θεοῦ. τελειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων τῷ μεγίστῳ δημιουργῷ διαπλάσασθαι· τελειότατον δὲ οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν· ὥστε ἐκ γῆς ἁπάσης καὶ παντὸς ὕδατος καὶ ἀέρος καὶ πυρός. μηδενὸς ἔξω μηδὲ τοῦ βραχυτάτου καταλειφθέντος συνέστη ὅδε ὁ κόσμος. ἀνάγκη τοίνυν ἐκτὸς, ἢ κενὸν, ἢ μηδὲν εἶναι· εἰ μὲν δὴ κενὸν, πῶς τὸ πλῆρες καὶ ναστὸν καὶ τῶν ὄντων βαρύτατον * οὐ βρίθει ταλαντεῦον, στερεοῦ μηδενὸς ὑπερείδοντος, ὥστ' οὐ φάσματι ἂν ἐοικέναι δόξαι, ζητούσης ἀεὶ τῆς διανοίας βάσιν σωματικὴν * ποίαν ἔχει εἰκὸς, ἐάν τι κινούμενον τυγχάνῃ. τὸν δὲ δὴ κόσμον καὶ διαφερόντως, ὅτι τὸ μέγιστον σωμάτων ἐστὶ, καὶ πλῆθος ἄλλων σωμάτων, ὡς οἰκεῖα ἐγκεκόλπισται μέρη. τὰς δυσωπίας οὖν εἴ τις ἀποδιδράσκειν βούλοιτο τὰς ἐν τοῖς διαπορηθεῖσι, λεγέτω μετὰ παρρησίας, ὅτι οὐδὲν τῶν ἐν ὕλαις κραταιὸν οὕτως, ὡς τὸν κόσμον ἀχθοφορεῖν ἰσχύσαι. νόμος δὲ ὁ ἀΐδιος θεοῦ τοῦ αἰωνίου, τὸ ὀχυρώτατον καὶ βεβαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν. οὗτος ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα, καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα ταθεὶς, δολιχεύει τὸν τῆς φύσεως δρόμον ἀήττητον, συνάγων τὰ μέρη πάντα καὶ σφίγγων. δεσμὸν γὰρ αὐτὸν ἄρρηκτον τοῦ παντὸς ὁ γεννήσας ἐποίει πατήρ. εἰκότως οὖν οὐδὲ γῆ πᾶσα διαλυθήσεται πρὸς παντὸς ὕδατος, ὅσπερ αὐτῆς οἱ κόλποι κεχωρήκασιν, οὐδὲ ὑπὸ ἀέρος σβεσθήσεται πῦρ· οὐδὲ ἔμπαλιν ὑπὸ πυρὸς ἀὴρ ἀναφλεχθήσεται, τοῦ θείου νόμου μεθόριον τάττοντος αὐτὸν, καθάπερ φωνήεντα στοιχείων ἀφώνων, ἵνα τὸ ὅλον ὥσπερ ἐπὶ τῆς ἐγγραμμάτου μούσης συνηχήσῃ, τὰς τῶν ἐναντίων ἀπειλὰς πειθοῖ τῇ συνῳδῷ μεσιτεύοντός τε καὶ διαιτῶντος· οὕτω μὲν δὴ τὸ παμφορώτατον φυτὸν ἐρριζοῦτο, καὶ ῥιζωθὲν ἐκρατεῖτο· τῶν δὲ ἐν μέρει καὶ βραχυτέρων φυτῶν, τὰ μὲν μεταβατικῶς κινητὰ, τὰ δὲ ἄνευ μεταβάσεως ὡς ἂν ἑστῶτα κατὰ τὸν αὐτὸν τόπον ἐδημιουργεῖτο. τὰ μὲν οὖν μεταβατικῇ κινήσει χρώμενα, ἃ δὴ φαμὲν ἡμεῖς ζῶα εἶναι, ταῖς τοῦ παντὸς ὁλοσχερεστέραις προσενεμέτο μοίραις· γῇ μὲν τὰ

Margin notes: ἢ διανεμήσαντος. — βρίθει. — ἐν τῷ ἔχειν

A fimæ plantationes huius vniuerfi operis: maxima autem & omnium rerum feraciffima ftirps, mundus hic, cuius ceu rami funt modo dicta germina. Nunc confiderandum vbi fint eius radices, & quæ bafis, in qua confiftit more ftatuæ. corpus certe nullum credere debemus extra relictum errare, abfumpta in vnum Dei opus omni materia. perfectiffimum enim oportuit effingi maximum opus ab opifice maximo. Non fuiffet autem perfectiffimum, B ni ex perfectis completum effet partibus. itaque ex tota terra & ex tota aqua aeréque ignéque, ne minima quidem exterius relicta eorum particula, mundus hic confectus eft. Vnde neceffario fequitur, extra aut vacuum effe aut nihil. Si vacuum, quomodo id quod plenum eft & folidum & omnium grauiffimum non degrauatur mole fua, fuftentatum à nihilo? vt fomnio quiddam fimile videatur, dum cogitatio C femper quærit bafim corpoream, quam requirit quicquid mouetur, præfertim mundus, quippe maximus omnium corporum, & multitudinem aliorum corporum, vt fuarum partium in finu continens. Si quis igitur pudorem huius difficultatis non explicatæ velit effugere, ingenue dicat, nihil effe tam forte in omni materia, vt mundum baiulare valeat. fed æterni Dei lex æterna firmiffimum ac munitiffimum fulcrum eft rerum omnium. hæc à medijs ad fines, & ab extremis ad me- D dia fe extendens, decurrit per longum naturæ ftadium curfu inuictiffimo, in vnum conducens partes omnes conftringénfque. hanc enim pater qui ipfam genuit, vinculum fecit non rumpendum in perpetuum. merito igitur neque tota terra diluitur à tota aqua, quod in finibus eius accidit, neque ab aere ignis extinguitur, neque contrà igne inflammatur aer, Dei lege fe interponente: ficut elementa vocalia mutis diftinguuntur. vt vniuerfum hoc E tanquam in literata mufa concinat, minaces contrariarum naturarum concurfus fuadela dirimente interpofito fuo arbitrio. ita profecto radicatur arbor feraciffima, & radicata ftat firmiter. particulares autem & minores ftirpes, partim mouentur & migrant, partim mouendo fe nihilominus femel affignatum fibi locum obtinent. quæ ambulatoriæ funt, animantes vt nos vocamus, huius vniuerfi grandioribus in-

A ditæ sunt partibus: terræ terrestres, aquæ natatiles, volucres aeri, ignigenæ igni, quarum prouentus manifeste videri fertur in Macedonia, sicut stellæ in cælo cernuntur. sunt enim & hæ animantes intellectu præditæ, consensu philosophantium: aliæ per se vagæ, aliæ fixæ, quæ tamen eadem cum mundo rotatæ circumactæque vertigine locum mutare putantur. at quæ naturam imaginatione carentem habent insitam, quas proprie plantas dicimus, migratiuo quoque motu carent. duo autem

B genera in terra & aere fecit opifex. in aere quidem volucres sensibiles, & potestates alias sensu haudquaquam perceptibiles. animarum sodalitium istud est incorporearum, non in eosdem digestarum ordines. alias enim assignari ferunt mortalibus corporibus, & post certos temporum circuitus liberari denuo. alias diuiniorem habitum sortitas totam terrenam regionem contemnere. in summo autem prope ipsum

C ætherem esse purissimas, quas Græcorum philosophi heroas vocant & genios, Moses ex re nomen facit eis angelis: quòd bonarum rerum internunciæ sint à summo rege ad subditos, ac rursum pro horum necessitatibus legatione ad illum fungantur. terræ vero animalia terrestria stirpésque, alia duo genera attribuit, iussæ vt eorum matrem simul ac nutricem ageret. sicut enim mulieri & omni fœmellæ fontes lactis sub partum scatu-

D riunt, vt recentes fœtus rigentur alimentis necessarijs & conuenientibus: ita & terrestrium animalium matri terræ omnes stirpium attribuit species, vt cognatis non alienis cibis partus eius vterentur. stirpes tamen deorsum merso fecit capite, infixas fertilissimis eius partibus. Brutorum autem capita retraxit à terra, & summæ ceruici oblongæ aptauit, & pro fulcro pedes anteriores ei supposuit. solus

E homo eximium ornatum sortitus est. Cæterorum enim animalium ora deorsum flexit: quapropter ad terram prona sunt. hominem contrà erexit, vt cælum spectet, cum sit non terrestris planta, sed cælestis, sicut à priscis accipimus. Quorum alij particulam æthereæ naturæ hanc asserentes, cognatione iunguntætheri hominem. At magnus ille Moses, nullæ creaturæ rationalis animæ speciem facit similem, quam inuisibilis Dei pro-

A χερσαῖα, πλωτὰ δὲ ὕδατι, τὰ δὲ πτηνὰ ἀέρι, καὶ τὰ πυρίγονα πυρί, ὧν τὴν γένεσιν ἀριδηλοτέραν κατὰ Μακεδονίαν λόγος ἔχει προφαίνεσθαι. * καὶ τῶν ἀστέρων ἐν οὐρανῷ· ζῷα γὰρ καὶ τούτους νοερὰ δι' ὅλων φασὶν οἱ φιλοσοφήσαντες· οἱ μὲν πλανῆτες ἐξ ἑαυτῶν, οἱ δ' ἀπλανεῖς τῇ τοῦ παντὸς συμπεριαγόμενοι φορᾷ, τόπους ἐναλλάττειν δοκοῦσι· τὰ δὲ ἀφαντάστῳ φύσει διοικούμενα, ἅπερ ἰδίως λέγεται φυτὰ, μεταβατικῆς κινήσεως ἀμέτοχα. διττὰ δὴ * ἔν τε γῇ καὶ ἀέρι γένη ὁ [κ. οἱ ἀστέρες δὲ ὡς] [ἐπὶ γῇ καὶ ὕδατι καὶ ἀέρι]

B ποιῶν ἐποίει. ἀέρι μὲν, τὰ πτηνὰ αἰσθητὰ, καὶ δυνάμεις ἄλλας αἰσθήσει οὐδαμῇ οὐδαμῶς καταλαμβανομένας. ψυχῶν ὁ θίασος οὗτος ἀσωμάτων ἐστὶ διακεκοσμημένων, οὐ ταῖς αὐταῖς ἐν τάξεσι. τὰς μὲν γὰρ εἰσκρίνεσθαι λόγος ἔχει σώμασι θνητοῖς, καὶ κατὰ τινὰς ὡρισμένας περιόδους ἀπαλλάττεσθαι πάλιν· τὰς δὲ θειοτέρας κατασκευῆς λαχούσας, ἁπάντων ἀλογεῖν τῶν γῆς χωρίων· ἀνωτάτω δὲ εἶναι πρὸς αὐτῷ τῷ αἰθέρι τὰς καθα-

C ρωτάτας, ἃς οἱ μὲν παρ' Ἕλλησι φιλοσοφήσαντες ἥρωας καλοῦσι· * Μωϋσῆς δὲ ὀνόματι εὐθυβόλῳ χρώμενος, ἀγγέλους προσαγορεύει, πρεσβευομένας καὶ διαγγελλούσας τά τε παρὰ τοῦ ἡγεμόνος τοῖς ὑπηκόοις ἀγαθὰ, καὶ τῷ βασιλεῖ ὧν εἰσὶν ὑπήκοοι χρεῖοι. γῇ δὲ ζῶά τε χερσαῖα, καὶ φυτὰ, δύο πάλιν προσένειμε, τὴν αὐτὴν τε μητέρα βουληθεὶς εἶναι καὶ τροφόν· καθάπερ γὰρ γυναικὶ καὶ παντὶ τῷ θήλει πηγαὶ πρὸς τὸν μέλλοντα ἀποκυΐσκεσθαι [ἢ δαίμονας]

D ἀποχέονται γάλακτος, ἵνα τοῖς γεννωμένοις ἀρδεύωσι τὰς ἀναγκαίας καὶ ἁρμοττούσας τροφάς· τὸν αὐτὸν τρόπον καὶ τῇ χερσαίων ζῴων μητρὶ γῇ, πάσας φυτῶν προσένειμεν ἰδέας, ἵνα συγγενέσι καὶ μὴ ὀθνείαις τροφαῖς τὰ γεννώμενα χρῆσθαι. καὶ μὴν τὰ μὲν φυτὰ κατωκάρα ἀπειργάζετο, τὰς κεφαλὰς αὐτῶν ἐν τοῖς βαθυγειοτάτοις μέρεσι πήξας· ζῴων δὲ τῶν ἀλόγων τὰς κεφαλὰς ἀνελκύσας ἀπὸ γῆς, ἐπὶ προμήκους αὐχένος ἄκρας ἡρμόζε-

E το τῷ αὐχένι, ὥσπερ ἐπίβασιν τοὺς ἐμπροσθίους πόδας θείς. ἐξαιρέτου δὲ τῆς κατασκευῆς ἔλαχεν ἄνθρωπος. τῶν μὲν γὰρ ἄλλων τὰς ὄψεις περιήγαγε, κάτω κάμψας, διὸ νένευκε πρὸς χέρσον· ἀνθρώπου δὲ ἔμπαλιν ἀνώρθωσεν, ἵνα τὸν οὐρανὸν καταθεᾶται, φυτὸν οὐκ ἐπίγειον, ἀλλ' οὐράνιον, ὡς ὁ παλαιὸς λόγος, ὑπάρχων. ἀλλ' οἱ μὲν ἄλλοι τῆς αἰθερίου φύσεως τὸν ἡμέτερον νοῦν μοῖραν εἰπόντες εἶναι, συγγένειαν ἀνθρώπῳ πρὸς αἰθέρα ἀνῆψαν· ὁ δὲ μέγας Μωϋσῆς οὐδενὶ τῶν γεγονότων τῆς λογικῆς ψυχῆς τὸ εἶδος ὁμοίως ὠνόμασεν, ἀλλ' εἶπεν αὐτὴν τοῦ θείου

καὶ

A καὶ ἀοράτου εἰκόνα, δόκιμον εἶναι νομίσας, οὐσιωθεῖσαν καὶ τυπωθεῖσαν σφραγῖδι θεοῦ, ἧς ὁ χαρακτήρ ἐστιν ἀΐδιος λόγος. Ἐνέπνευσε γάρ, φησίν, ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· ὥστε ἀνάγκη πρὸς τὸν ἐκπέμποντα τὸν δεχόμενον ἀπεικονίζεσθαι· διὸ καὶ λέγεται κατ᾽ εἰκόνα θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι, οὐ μὴν κατ᾽ εἰκόνα τινὸς τῶν γεγονότων. ἀκόλουθον οὖν ἦν τῆς ἀνθρώπου ψυχῆς κατὰ τὸν ἀρχέτυπον τοῦ αἰτίου λόγον ἀπεικονισθείσης, καὶ τὸ σῶ-
B μα ἀνεγερθὲν πρὸς τὴν καθαρωτάτην τοῦ παντὸς μοῖραν, οὐρανόν, τὰς ὄψεις ἀνατεῖναι, ἵνα τῷ φανερῷ τὸ ἀφανὲς ἀδήλως καταλαμβάνηται. ἐπεὶ τοίνυν τὴν πρὸς τὸ ὂν διανοίας ὁλκὴν ἀμήχανον ἦν ἰδεῖν, ὅτι μὴ τοῖς ἀγομένοις πρὸς αὐτὸ μόνοις· ὃ γὰρ πέπονθεν ἕκαστος, αὐτὸς ἐξαιρέτως οἶδεν· εἴδωλον ἐναργὲς ἀφανοῦς ὄμματος, τὰ τοῦ σώματος, δυνάμενα πρὸς αἰθέρα ἀποβλέψειν. ὁπότε γὰρ οἱ ἐκ φθαρτῆς ὕλης παγέντες ὀφθαλμοὶ τοσοῦτον ἐπέβησαν, ὡς ἀπὸ τοῦ τῆς γῆς χωρίου πρὸς τὸν μακρὰν
C οὕτως ἀφεστῶτα ἀνατρέχειν οὐρανόν, καὶ ψαύειν τῶν περάτων αὐτοῦ, πόσον τινὰ χρὴ νομίσαι τὸν πάντη δρόμον τῶν ψυχῆς ὀμμάτων, ἅπερ ὑπὸ πολλοῦ τοῦ τὸ ὂν κατιδεῖν τηλαυγῶς ἱμέρου πτερωθέντα, οὐ μόνον πρὸς τὸν ἔσχατον αἰθέρα τείνεται, παραπεμψάμενα δὲ καὶ παντὸς τοῦ κόσμου τοὺς ὅρους, ἐπείγεται πρὸς τὸ ἀγένητον. διὰ τοῦτ᾽ ἐν τοῖς χρησμοῖς οἱ σοφίας καὶ ἐπιστήμης ἄπληστοι διατελοῦντες ἀνακεκλῆσθαι λέγονται. πρὸς γὰρ τὸ θεῖον ἄνω καλεῖσθαι θέμις τοὺς ὑπ᾽ αὐτοῦ καταπνευ-
D σθέντας· δεινὸν γὰρ εἰ τυφῶσι μὲν καὶ ἁρπυίαις αὐτόπρεμνα δένδρα πρὸς ἀέρα ἀνασπᾶται, καὶ μυριάγωγα σκάφη βρίθοντα φόρτῳ, καθάπερ τινὰ τῶν κουφοτάτων ἐκ μέσων τῶν πελαγῶν ἀναρπάζεται, καὶ λίμναι καὶ ποταμοὶ μετάρσιοι φέρονται, τοὺς γῆς κόλπους ἐκλιπόντος τοῦ ῥεύματος, ἅπερ ἀνιμήσαντο αἱ τῶν ἀνέμων κραταιόταται καὶ πολυπλοκώταται δῖναι· τῇ δὲ τοῦ θείου πνεύματος, ὃ πάντα δυνατοῦ καὶ τὰ κάτω νικῶντος φύσει κοῦφος ὁ νοῦς
E ὤν, οὐκ ἐπελαφρίζεται, καὶ πρὸς μήκιστον ὕψος ἐξαίρεται, καὶ μάλιστα ὁ τοῦ φιλοσοφήσαντος ἀνόθως. οὗτος γὰρ κάτω μὲν οὐ βρίθει πρὸς τὰ σώματος καὶ γῆς φίλα ταλαντεύων, ὧν διάζευξιν καὶ ἀλλοτρίωσιν ἀεὶ διεπόνησεν· ἄνω δὲ φέρεται, τῶν μεταρσίων καὶ ἱεροπρεπεστάτων καὶ εὐδαιμόνων φύσεων ἀκορέστως ἐρασθείς. τοιγαροῦν Μωϋσῆς ὁ ταμίας καὶ φύλαξ τῶν τοῦ ὄντος ὀργίων, ἀνακεκλήσεται. λέγεται γὰρ ἐν Λευιτικῇ βίβλῳ, Ἀνεκάλεσε Μωϋσῆν· ἀνακεκλήσεται δὲ καὶ ὁ τῶν δευτερείων ἀξιωθεὶς

nunciauit imaginem: hoc ipso probam existimans, quod essentiam formámque diuinitus impressã habeat, cuius character æternus sermo est. Inspirauit enim (vt inquit) Deus in faciem eius spiritum vitæ. itaque necessum est, vt qui eum recipit, emittentis imaginem referat. ideo dicitur, ad imaginẽ Dei factum hominem, non ad creaturæ alicuius. Consequens erat igitur, vt quoniam humana anima exemplar suũ autoris summi sermonem referebat, corpus etiam erectum ad purissimam partem mundi cælum os attolleret, vt per hæc quæ in propatulo sunt intelligantur illa inuisibilia. ergo quoniam erat impossibile vt cogitatio perueniret ad aspectum eius Qui est, nisi mentis ab ipso attractæ, sicut sua cuique manifeste testatur conscientia: euidens simulacrum occulti oculi còrpus hoc habemus, quod potest ad æthera suspicere. Cum enim hi ex corruptibili materia compacti oculi eovsque ascendant, vt à terrena hac regione prouolent ad cælum remotissimum, pertingántque ad eius terminos, quales existimandi sunt per omnia discurrentes animæ oculi: qui multo desiderio conspiciendi eius Qui est volucres facti, non solum ad extremum æthera pertinent, sed à tergo relictis totius mundi terminis, ad ingenitum illum properant. Quapropter in oraculis dicuntur sursum vocati, qui sapientia scientiáque nunquam satiantur. Fas est enim ad Deum sursum vocari eos, qui ab ipso inspirati sunt. mirum enim si turbines procellæque arbores stirpitus rapiunt in aerem, & nauigia decem millium amphorarum capacia, mercibus onusta, quasi leuissimum aliquid ex alto mari auferunt, & stagna fluminàque in sublime abeunt, in gremio terræ fluentis deficientibus, quæ exhauserunt ventorum vehementes multiplicésque vortices: omnipotentis vero Dei spiritu inferna hæc omnia superante, mens suapte natura leuis non fit leuior, & ad summam altitudinem attollitur, præsertim hominis germanæ philosophiæ dediti. Hæc enim non vergit deorsum ad res terræ gratas & corpori, à quibus quam longissime conatur discedere: sed sursum fertur, vt insatiabilis amatrix sacrarum feliciúmque naturarum sublimium. Quamobrem Moses præfectus custósque orgiorum eius Qui est, sursum vocabitur. Legitur enim in libro Leuitico, Sursum vocauit Mosem.

Beseleel quoque secundo honore dignatus sursum vocabitur. Nam & hunc sursum Deus euocat, ad fabricam & curam sacrorum operum. Verùm hic secundas huius euocationis partes, Moses vero sapientissimus primas feret. Nam ille vmbras fingit, sicut pictores, quibus non est fas animatum quicquam condere. Beseleel enim in vmbris faciens interpretatur. At Moses non vmbras, sed naturas archetypas earum rerum quas fingendas sortitus est. & alioquin etiam summus ille autor, alijs clarius manifestiúsque tanquam in sole puro: alijs obscurius, tanquam in vmbra solet res suas ostendere. Nunc postquam disseruimus de grandioribus mundi plantis, videamus quomodo & in homine minore mundo sapientissimus opifex Deus arbores quasdam condidit. Primùm in corpore nostro quasi bono agro, sensuum scrobes præparauit: in quas vnumquemque tanquam mitem vtilémque arborem indidit, auditum in aures, visum in oculos, in nares odoratum, & suis quosque locis cæteros. Attestatur autem huic meæ sententiæ fatidicus vates, qui in suis hymnis sic loquitur. Qui plantat aurem non audit? qui fingit oculos non inspiciet? quin & aliæ, quæ vsque crura manúsque ac cæteras corporis partes externas internásque pertinent, facultates omnes sunt generosæ plantulæ. sed quæ præstantissimos perfectissimósque fructus afferunt, penitius insitæ sunt in vim qua homo regitur. Sunt autem hæ: cogitatio, perceptio, coniectura, meditatio, memoria, habitus, dispositio, artium species multifariæ, scientiæ confirmatæ, virtutis totius contemplationum conceptus indelebilis. Horum nihil vllus homo plantare scit: sed vniuersorum vnus ingenitus est artifex, qui non solum creauit ea semel, sed & singula plantat quotidie. huic nostro sermoni adstipulatur etiam paradisi illius plantatio, de quo dicitur: Plantauit Deus paradisum in Edem contra orientem, & collocauit ibi hominem quem finxerat. id si accipiatur de vitibus, & olearum, malorum, punicarum, similiúmque arboribus, magna & incurabilis stultitia fuerit. quæri enim posset in quem vsum factus sit. an propter amœnam habitationem? ergo totus mundus non est aptius Deo summo regi habitaculum? annon & aliæ multæ res sunt ad excipiendum

A Βεσελεήλ. καὶ γὰρ τοῦτον ἀνακαλεῖ ὁ θεὸς πρὸς τὴν τῶν ἱερῶν κατασκευήν τε καὶ ἐπιμέλειαν ἔργων· ἀλλ' ὁ μὲν τὰ δευτερεῖα τῆς ἀνακλήσεως, Μωϋσῆς δὲ ὁ πάνσοφος οἴσεται τὰ πρωτεῖα. ἐκεῖνος γὰρ τὰς σκιὰς πλάττει, καθάπερ οἱ ζωγραφοῦντες, οἷς οὐ θέμις οὐδὲν ἔμψυχον δημιουργῆσαι· Βεσελεὴλ γὰρ ἐν σκιαῖς ποιῶν ἑρμηνεύεται· Μωϋσῆς δὲ οὐ σκιάς, ἀλλὰ τὰς ἀρχετύπους φύσεις αὐτὰς τῶν πραγμάτων ἔλαχεν ἀνατυποῦν· ἄλλως τε καὶ τὸ αἴτιον,
B οἷς μὲν τηλαυγέστερον καὶ ἀριδηλότερον, ὡς ἂν ἐν ἡλίῳ καθαρῷ. οἷς δὲ ἀμυδρότερον, ὡς ἂν ἐν σκιᾷ τὰ οἰκεῖα εἴωθεν ἐπιδείκνυσθαι. διεξεληλυθότες οὖν περὶ τῶν ὁλοσχερεστέρων ἐν κόσμῳ φυτῶν, ἴδωμεν ὃν τρόπον καὶ τὰ ἐν τῷ ἀνθρώπῳ τῷ βραχεῖ κόσμῳ δένδρα ὁ πάνσοφος ἐδημιούργει θεός. αὐτίκα τοίνυν ὥσπερ βαθύγειον χωρίον σῶμα τὸ ἡμέτερον λαβών, δεξαμενὰς αὐτῷ τὰς αἰσθήσεις κατειργάζετο· κᾆτ' ἐπειθ' οἷα φυτὸν ἥμερον
C καὶ ὠφελιμώτατον ἑκάστῃ αὐτῶν ἐνέπηξε, ἀκοὴν μὲν εἰς τὸ οὖς, ὄψιν δὲ εἰς ὄμματα, καὶ εἰς μυκτῆρας ὄσφρησιν, καὶ τὰς ἄλλας εἰς τὰ οἰκεῖα καὶ συγγενῆ χωρία. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνήρ, ἐν ὕμνοις λέγων ὧδε, Ὁ φυτεύων οὖς οὐκ ἀκούει; ὁ πλάσσων ὀφθαλμοὺς οὐκ ἐπιβλέψει; καὶ τὰς διηκούσας μέχρι σκελῶν τε καὶ χειρῶν καὶ τῶν ἄλλων τῶν τοῦ σώματος μερῶν, ὅσα ἐντός τε καὶ ἐκτός, δυνάμεις ἁπάσας, εὐγενῆ μοσχεύματα εἶναι συμβέβηκε·
D τὰ δὲ ἀμείνω καὶ τελειότερα τῷ μεσαιτάτῳ καὶ καρποφόρῳ δυνάμεων διαφερόντως ἡγεμονικῷ προσερρίζου. ταῦτα δέ εἰσι, νόησις, κατάληψις, εὐστοχία, μελέτη, μνήμη, ἕξις, διάθεσις, τεχνῶν ἰδέαι πολύτροποι, βεβαιότης ἐπιστημῶν, τῶν ἀρετῆς ἁπάσης θεωρημάτων ἄληστος ἀνάληψις. τούτων οὐδὲν οὐδεὶς θνητὸς ἱκανὸς φυτουργῆσαι· πάντων δὲ ἀθρόων εἷς ὁ ἀγένητος τεχνίτης, οὐ πεποιηκὼς μόνον, ἀλλὰ καὶ ποιῶν καθ' ἕκαστον τῶν γινομένων τὰ φυτὰ ταῦτα. τοῖς εἰρημέ-
E νοις ἐστὶν ἀκόλουθος καὶ ἡ τοῦ παραδείσου φυτουργία. λέγεται γάρ, Ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. τὸ μὲν οὖν ἀμπέλους, καὶ ἐλαιῶν, ἢ μηλεῶν, ἢ ῥοιῶν, ἢ τῶν παραπλησίων δένδρα οἴεσθαι, πολλὴ καὶ δυσθεράπευτος εὐήθεια. τίνος γὰρ ἕνεκα, εἴποι τις ἄν· ἵνα ἐνδιαιτήσεις εὐαγώγους ἔχῃ; ὁ γὰρ κόσμος ἅπας αὐταρκέστατον ἐνδιαίτημα ἂν νομισθείη θεῷ τῷ πανηγεμόνι; ἢ οὐχὶ μυρίων καὶ ἄλλων δόξαι ἂν ὑστερίζειν, ὡς πρὸς ὑποδοχὴν

τοῦ μεγάλου βασιλέως ἀξιόχρεων ὑποληφθῆναι χωρίον; ὃ μηδὲ εὐαγὲς εἶναι οἴεσθαι, τὸ αἴτιον ἔν τινι περιέχεσθαι· παρὰ τὸ μηδὲ τὰ δένδρα τοῖς ἐτησίοις δήπου φέρειν καρπούς. πρὸς τὴν τίνος οὖν ἀπόλαυσίν τε καὶ χρῆσιν καρποφορήσει ὁ παράδεισος. ἀνθρώπου μὲν οὐδενός· οὐδεὶς γὰρ εἰσάγεται τὸ παράπαν τὸν παράδεισον οἰκῶν· ἐπεὶ καὶ τὸν πρῶτον διαπλασθέντα ἐκ γῆς, μετανάστην φησὶν ἐνθένδε ὄνομα Ἀδάμ. καὶ μὴν οὐδὲ θεός, ὅστις τῶν ἄλλων, καὶ τροφῆς ἀνεπιδεής ἐστιν. ἀνάγκη γὰρ τὸν τροφῇ χρώμενον, δεῖσθαι μὲν πρῶτον, ἔπειτα δὲ ὄργανα ηὐτρεπίσθαι, δι' ὧν καὶ τὴν εἴσοδον παραδέξεται, καὶ τὴν ἐκμασηθεῖσαν θύραζε ἀποπέμψει. ταῦτα δὲ μακαριότητος καὶ εὐδαιμονίας τῆς περὶ τὸ αἴτιον ἀπᾴδει, τὴν ἀνθρωπόμορφον, ἔτι δὲ καὶ ἀνθρωποπαθὲς αὐτὸ εἰσαγόντων ἐπ' εὐσεβείας καὶ ὁσιότητος καθαιρέσει, μεγάλων ἀρετῶν, ἐκθεσμότατα ὄντα εὑρέματα. ἰτέον οὖν ἐπ' ἀλληγορίαν τὴν ὁρατικοῖς φίλην ἀνδράσι. καὶ γὰρ οἱ χρησμοὶ τὰς εἰς αὐτὸν ἡμῖν ἀφορμὰς ἐναργέστατα προτείνουσι. λέγουσι γὰρ ἐν τῷ παραδείσῳ φυτὰ εἶναι μηδὲν ἐοικότα τοῖς παρ' ἡμῖν, ἀλλὰ ζωῆς, ἀθανασίας, εἰδήσεως, καταλήψεως, συνέσεως καλοῦ, καὶ πονηροῦ φαντασίας· ταῦτα δὲ χέρσου μὲν οὐκ ἂν εἴη, λογικῆς δὲ ψυχῆς ἀναγκαίως φυτά, ἡ μὲν πρὸς ἀρετὴν ὁδὸς αὐτῇ, ζωὴν καὶ ἀθανασίαν ἔχουσα τὸ τέλος· ἡ δὲ πρὸς κακίαν, φυγήν τε τούτων, καὶ θάνατον. τὸν οὖν φιλόδωρον θεὸν ὑποληπτέον ἐν τῇ ψυχῇ καθάπερ παράδεισον ἀρετῶν, καὶ τῶν κατ' αὐτὰς πράξεων ἐμφυτεύειν, πρὸς τελείαν εὐδαιμονίαν αὐτὴν ἄγοντα· διὸ τοῦτο καὶ τόπον οἰκειότατον προσένειμε τῷ παραδείσῳ καλούμενον Ἐδέμ, ἑρμηνεύεται δὲ τρυφή, σύμβολον ψυχῆς τὰ ὀρθὰ βλεπούσης, ἀρεταῖς ἐγχορευούσης, καὶ ὑπὸ πλήθους καὶ μεγέθους χαρᾶς ἀνασκιρτώσης, ἀπόλαυσμα ἓν ἀντὶ μυρίων τῶν παρ' ἀνθρώποις ἡδίστων προτετιμηκυίας, τὴν τοῦ μόνου θεραπείαν σοφοῦ. τούτου τοῦ γανώματος ἀκράτου τις ἀπολαύσας, ὁ τοῦ Μωσέως δὲ θιασώτης, ὃς οὐχὶ τῶν ἠμελημένων ἦν, ἐν ὑμνῳδίαις ἀνεφθέγξατο πρὸς τὸν ἴδιον νοῦν φάσκων, Κατατρύφησον τοῦ κυρίου, παρακεκινημένος πρὸς τὸν οὐράνιον καὶ θεῖον ἔρωτα τῇ φωνῇ, τὰς μὲν τοῖς λεγομένοις καὶ φαινομένοις ἀνθρωπίνοις ἀγαθοῖς χλιδὰς καὶ θρύψεις δυσχεράνας, ὅλον δὲ τὸν νοῦν ὑπὸ θείας κατοχῆς συναρπασθεὶς οἴστρῳ, καὶ εὐφραινόμενος μόνῳ θεῷ. καὶ τὸ, πρὸς ἀνατολαῖς μέντοι τὸν παράδεισον εἶναι, δεῖγμα τοῦ λεχθέντος ἐστί. σκοταῖον μὲν γὰρ καὶ δυόμενον καὶ νυκτιφόρον ἀφροσύνη,

A tantum regem magis idoneæ? imò nefas est illi summo autori assignari locum aliquem, præsertim cum non singulis annis fructum ferant arbores. ad cuius igitur vsum fructum paradisus hic erit fertilis? hominis certe nullius. nam paradisi nemo prorsus inducitur incola: quando & is qui primus è terra fictus fuerat Adam, translatus inde dicitur. Deus certe sicut alijs rebus, ita & cibis non indiget. nam quisquis cibo vtitur, necesse est vt primùm indigeat eo, deinde instru-
B menta parata habeat, per quæ & ingestũ recipiat, & digestum foras egerat. hæc autem in summi autoris felicitatem non competunt impia commenta hominum, ad tollendam pietatem sanctitatémque, virtutes maximas, inducentium Deum humana forma & affectibus humanis præditum. Eundum igitur ad allegoriam viris amicam perspicacibus, quando & oracula sacra occasionem nobis manifestissime porrigunt. narrant enim in paradiso stirpes esse nostris nequa-
C quam similes, sed vitæ, immortalitatis, scientiæ, cognitionis, intellectus bonarum rerum, & malarum imaginationis. hæ vero cum terrenæ non sint, necessariò rationalis animæ plantæ sunt existimandæ: cuius iter ad virtutem habet finem vitam immortalitatémque: diuersa vero via ducens ad vitium, his amissis in mortem desinit. Credendum est igitur benignissimum Deum in anima, tanquam paradisum virtutum, & actionum quæ ex harum præscripto fiunt, planta-
D re, qui ad eius perfectam felicitatem conducat: quamobrem locum conuenientissimum assignauit paradiso nominatum Edem, quod interpretatur delicię, qui significat animam recte cernentem, choreas agentem cum virtutibus, exultantem præ nimio gaudio, vnam delectationem innumeris hominum voluptatibus præferentem, quales solus consectatur sapiens. Hoc mero gaudio exhilaratus vnus è Mosis præcipuis sodali-
E bus, in hymno exclamat suam mentem alloquens, Deliciare in Domino: hac voce seipsum ad cœlestem diuinúmque amorem excitans, & ista quæ vulgus hominum pro delicijs iactat ostentátque fastidiens, totam mentem afflatu diuini furoris correptus, & in Deo solo hilaritatem suam totam collocans. Illud quoque quòd contra orientem paradisus esse narratur declarat ea quæ modo dicta sunt. Tenebricosa enim vespertina nocturnáque res est insipientia;

A splendida vero, fulgida, & vere orientalis prudentia: & sicut oriens sol totum cælum radijs illustrat, eodem modo etiam virtutes habent suos radios, quibus in mentem penetrando totam eam reddunt lucidissimam. Et homines quidem ad custodiam rerum suarum adhibent feroces bestias quæ insidiatores & raptores arceant: Deus autem suis rebus rationales naturas præficit. Posuit, inquit, ibi hominem quem finxerat: hoc est in solis rationalibus virtutibus. harum enim exercitationem
B vsúmque Deus in eximias animas confert ceu munus honorarium. ideóque aperte dicitur, quod eum qui in nobis est verum hominem, id est mentem, posuit in honestatis hortis arboribúsque sacratissimis. Qui autem mente carent, hos nemo possit excolere, cum non sint ingenio capaci præditi. Non est igitur dubitandum, cur in arcam illam ingentem diluuio præparatam omnes animantium species intro-
C ducantur, nulla in paradisum. Nam arca hæc corpus significabat, quod necessario capit affectionum vitiorúmque immanes pestes & indomitas: paradisus autem solarum virtutum est: quæ nihil immansuetum admittunt aut quod ratione careat. Caute etiam non hominem ad imaginem expressum, sed hominem fictum inductum ait in paradisum. nam ille ad imaginem deliniatus Dei spiritu, nihil differt, vt mihi videtur, ab arbore quæ fructum fert vitæ immortalitatem. nam vtrumque
D incorruptibile, portione honoratissima in medio sita dignatum est. dicitur enim lignum vitæ esse in paradisi medio. at ille alter constans è miscellaneo terrenóque corpore, naturæ simplicis & non fictæ expers est: cuius exercitator solus scit habitare atrium & domum Domini. Iacob enim simplex habitans domum inducitur, non eius frater versutus & varijs figmentis instructus animum. Conueniebat igitur, vt in paradiso, id est vniuerso hoc mun-
E do medius radicaretur intellectus, insitas habens vires trahentes se in contraria, in discernendis eis ambiguus vtrum expetenda an fugienda sequatur: vt si meliora capesseret, immortalitate frueretur ac gloria: sin deteriora, in turpem mortem incideret. Tales sunt arbores quas ille solus sapiens radicauit in animabus rationalibus. Moses autem miseratus è paradiso vir-

λαμπροτάτην δὲ καὶ περιαυγεστάτην καὶ ἀνατέλλουσαν ὡς ἀληθῶς, φρόνησιν· καὶ καθάπερ ἀνίσχων ἥλιος ὅλον τὸν οὐρανοῦ κύκλον φέγγους ἀναπληροῖ, τὸν αὐτὸν τρόπον αἱ ἀρετῆς ἀκτῖνες ἀναλάμψασαι, τὸ διανοίας ὅλον χωρίον μεστὸν αὐγῆς καθαρᾶς ἀπεργάζονται. τὰ μὲν οὖν ἀνθρώπου κτήματα φρουροὺς ἔχει καὶ φύλακας, ἀγριωτάτους θῆρας εἰς τὴν τῶν ἐπιόντων καὶ κατατρεχόντων ἄμυναν· τὰ δὲ τοῦ θεοῦ κτήματα, λογικαὶ φύσεις. Ἔθετο γάρ, φησίν, ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν, ὃ ἐπὶ λογικῶν μόνων τῶν ἀρετῶν ἐστίν. αἱ οὖν ἀσκήσεις τε καὶ χρήσεις ἐξαίρετον γέρας παρὰ τὰς τῶν ἄλλων ψυχαὶ ταύτῃ παρὰ τοῦ θεοῦ ἔλαβον· διὸ καὶ ἐμφαντικώτατα εἴρηται, ὅτι τὸν ἐν ἡμῖν πρὸς ἀλήθειαν ἄνθρωπον, τουτέστι τὸν νοῦν, ἔθηκεν ἐν ἱερωτάτοις καλοκαγαθίας βλαστήμασι καὶ φυτοῖς· ἐπεὶ δὲ τῶν διανοίας ἀμετόχων, ἱκανὸς οὐδεὶς ἄρα τις ἐγεώργησεν, ὧν τὸ παράπαν λαμβάνειν οὐ πέφυκε κατάληψιν. οὐκ ἔστι δ' οὖν ἀπορητέον, τί δήποτε εἰς μὲν τὴν κιβωτὸν τὴν ἐν τῷ μεγίστῳ κατακλυσμῷ κατασκευασθῆναι συνέβη, πάσας τῶν θηρίων αἱ ἰδέαι εἰσάγονται, εἰς δὲ τὸν παράδεισον οὐδεμία. ἡ μὲν γὰρ κιβωτὸς σύμβολον τοῦ σώματος, ὅπερ ἐξ ἀνάγκης κεχώρηκε τὰς παθῶν καὶ κακιῶν ἀτιθάσους καὶ ἐξηγριωμένας κῆρας· ὁ δὲ παράδεισος ἀρετῶν· ἀρεταὶ δὲ οὐδὲν ἀνήμερον, ἢ συνόλως ἄλογον παραδέχονται. παρατετηρημένως δὲ οὐ τὸν κατὰ τὴν εἰκόνα τυπωθέντα ἄνθρωπον, ἀλλὰ τὸν πεπλασμένον εἰσαχθῆναί φησιν εἰς τὸν παράδεισον. ὁ μὲν γὰρ κατὰ τὴν εἰκόνα θεοῦ χαραχθεὶς πνεύματι, οὐδὲν διαφέρει τοῦ τὴν ἀθάνατον ζωὴν καρποφοροῦντος, ὡς ἔμοιγε φαίνεται, δένδρου. ἄμφω γὰρ ἄφθαρτα, καὶ μοίρας τῆς μεσαιτάτης καὶ ἡγεμονικωτάτης ἠξίωται. λέγεται γάρ, ὅτι τὸ ξύλον τῆς ζωῆς ἐστιν ἐν μέσῳ τοῦ παραδείσου· ὁ δὲ τοῦ πολυμιγοῦς καὶ γεωδεστέρου σώματος, ἀπλάστου καὶ ἁπλῆς φύσεως ἀμέτοχος· ἣν ὁ ἀσκητὴς ἐπίσταται, τὸν οἶκον καὶ τὰς αὐλὰς τοῦ κυρίου, οἰκεῖν μόνος. Ἰακὼβ γὰρ ἄπλαστος οἰκῶν οἰκίαν εἰσάγεται, ὁ πολύτροπός τε καὶ ἐκ παντοίων συνηρμοσμένῃ καὶ πεπλασμένῃ διανοίᾳ χρώμενος. πρέπει οὖν ἐν τῷ παραδείσῳ, τῷ παντὶ κόσμῳ ῥιζωθῆναι εἰκὸς ἦν τὸν μέσον νοῦν, ὁλκαῖς πρὸς τἀναντία κεχρημένον δυνάμεσιν, ἐπὶ τὴν διάκρισίν τε αὐτῶν μετακληθῆναι, ἵνα πρὸς αἵρεσιν καὶ φυγὴν ὁρμήσας, εἰ μὲν τὰ ἀμείνω δεξιώσαιτο, ἀθανασίας καὶ εὐκλείας ἀπόναιτο· εἰ δ' αὖ τὰ χείρω, ψεκτὸν θάνατον εὕρηται. τοιαῦτα μὲν δὴ δένδρα ὁ μόνος σοφὸς ἐν ψυχαῖς λογικαῖς ἐρρίζου. Μωϋσῆς δὲ οἰκτιζόμενος.

τοὺς μετανάστας ἐκ τοῦ τῶν ἀρετῶν παραδείσου γεγονότας κατὰ τὸ αὐτεξούσιον, τὸ θεοῦ κράτος αὐτοῦ, καὶ τὰς ἵλεως καὶ ἡμέρους δυνάμεις εὔχεται, ὅθεν ὁ γήϊνος νοῦς Ἀδὰμ πεφυγάδευται, κεῖθι τοὺς ὁρατικοὺς ἐμφυτευθῆναι. λέγει γάρ, Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, ἕδρασμα εἰς καθέδραν σου κατειργάσω κύριε· ἁγίασμα κύριε, ὃ ἡτοίμασαν χεῖρές σου· κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι. οὐκοῦν σαφέστατα εἰ καί τις ἄλλος ἔμαθεν, ὅτι τὰ σπέρματα καὶ τὰς ῥίζας ἁπάντων καθεὶς ὁ θεός, αἴτιος ἦν τοῦ τὸ μέγιστον ἀναβλαστῆσαι φυτὸν τόνδε τὸν κόσμον, ὃν καὶ νῦν ἔοικεν αἰνίττεσθαι δι' αὐτοῦ τοῦ λεχθέντος ᾄσματος, ὄρος αὐτὸν κληρονομίας εἰπών. ἐπειδὴ τοῦ πεποιηκότος οἰκειότατον τὸ γενόμενον κτῆμα καὶ κλῆρος. εὔχεται οὖν ἡμᾶς ἐν τούτῳ φυτευθῆναι, οὐχ ἵνα ἄλογοι καὶ ἀφηνιασταὶ γενώμεθα τῆς φύσεως, ἀλλ' ἵνα ἑπόμενοι τῇ τοῦ τελεωτάτου διοικήσει, τὴν κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν αὐτοῦ διέξοδον ἀπομιμούμενοι, σώφρονι καὶ ἀπταίστῳ βίῳ χρώμεθα. τὸ γὰρ ἀκολουθίᾳ φύσεως ἰσχύσαι ζῆν, εὐδαιμονίας τέλος εἶπον οἱ πρῶτοι. καὶ μὴν τά γε αὖθις λεγόμενα συνᾴδει τοῖς προτεθεῖσι τοῖς τὸν κόσμον εὐπρεπῆ καὶ ἔντιμον αἰσθητὸν οἶκον εἶναι θεοῦ, τὸ κατειργάσθαι καὶ μὴ ἀγένητον εἶναι, ὡς ᾠήθησάν τινες. τὸ δὲ ἁγίασμα, οἷον ἁγίων ἀπαύγασμα, μίμημα ἀρχετύπου. ἐπεὶ τὰ αἰσθήσει καλά, καὶ νοήσει καλῶν εἰκόνες. τὸ δὲ ἡτοιμάσθαι ὑπὸ χειρῶν θεοῦ, τὰς κοσμοποιοὺς αὐτοῦ δυνάμεις. ἀλλ' ὅπως μηδεὶς ὑπολάβῃ τὸν ποιητὴν χρεῖον εἶναί τινος τῶν γεγονότων, τὸ ἀναγκαιότατον ἐπιφωνεῖ, Βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι. βασιλεὺς δὲ οὐδενὸς δεῖται· τὰ δὲ ὑπήκοα βασιλέως θέμις πάντα. τινὲς δὲ ἔφασαν κλῆρον εἶναι καὶ λέγεσθαι θεοῦ τὸ ἀγαθόν, οὗ τὴν χρῆσιν καὶ ἀπόλαυσιν εὔχεσθαι νυνὶ Μωϋσῆν προσηγεῖσθαι. εἰσαγαγὼν γάρ, φησίν, ἡμᾶς οἷα παῖδας ἄρτι μανθάνειν ἀρχομένους διὰ τῶν σοφίας δογμάτων καὶ θεωρημάτων, καὶ μὴ ἀστοιχειώτους ἐάσας, ἐν ὑψηλῷ καὶ οὐρανίῳ λόγῳ κατεφύτευσον. κλῆρος γὰρ ἐστὶν ἑτοιμότατος καὶ προχειρότατος οἶκος, ἐπιτηδειότατον ἐνδιαίτημα, ὃ κατειργάσω ἅγιον. ἀγαθῶν γὰρ καὶ ἁγίων ὦ δέσποτα ποιητὴς ὢν τυγχάνεις, ὡς ἔμπαλιν κακῶν καὶ βεβήλων γένεσις ἡ φθαρτή. βασίλευε δὴ τὸν ἄπειρον αἰῶνα ψυχῆς τῆς ἱκέτιδος, μηδὲ ἀκαρὲς ἐῶν αὐτὴν ἀνηγεμόνευτον. ἡ γὰρ ἀδιάστατος παρὰ σοὶ δουλεία, τῆς μεγίστης ἀρχῆς, οὐκ ἐλευθερίας

A tutum pulsos suopte arbitrio, potentiam Dei clementésque ac mites eius virtutes precatur, vt vnde terrenus intellectus Adam exulat, illuc plantetur ille acute cernens populus. dicit enim, Inductos eos plantabis in montem hæreditatis tuæ, sessionem in cathedram tuam perfecisti Domine: sanctuarium Domine, quod collocauerunt manus tuæ. Dominus regnabit in sæcula, in æternum & vltra. Clare igitur, si quis alius, didicit, quod Deus demissis om-B nium rerum seminibus ac radicibus, autor fuit vt arbor maxima germinaret mũdus hic: qui & nunc videtur subindicari in modo dicto carmine, dum nominatur mons hæreditatis: quia factoris nulla hæreditas magis est propria quam opus ipsius. In hoc igitur nos plantari precatur, non vt irrationales fiamus, & contumaces ingenio, sed vt sequendo dispensationem illius perfectissimi, & imitando eius perpetuam constantiam, inoffense viuamus ac sobrie. nam iuxta na-C turam viuere, felicitatis finem esse prisci asseuerant. idem carmen consonat cum his quæ dudum de mundo dicta sunt, eum esse instructissimam Dei domum sensibilem, eámque factam, non increatam vt quidam existimant. sanctuarium autem, quasi splendorem è sanctis redditum, exemplaris imaginem. Nam quæ sensui pulchra sunt, intellectui pulchrorum imagines sunt. quod autem ait paratum Dei manibus, opifices mundi potentias eius significat. Et D ne quis suspicetur eum indigere creatura quacunque, accinit necessariò, Dominus regnabit in secula, in æternum & vltra. Rex autem nullo habet opus, sed sub eius iure sunt omnia. Quidam autem aiunt hæreditatem Dei dici esséque, bonum ipsum, cuius vsumfructum Moses nunc in votis nuncupet. quasi dicat: quia nos, tanquam pueros recens ad discendum admotos, introduxisti per sapientiæ decreta & contemplationes, nec sine rudimentis esse passus es, E planta nos in sublimi sermone cœlesti. hæc enim est hæreditas paratissima & domus cõmodissima habitationi, quam fecisti sanctuarium. es enim Domine factor bonorum sanctorúmque: sicut è diuerso malorum profanorúmque creatura hæc corruptibilis. Regna per infinita secula in anima supplice, ne momentum quidem eam præsidio tuo destituens. Nam tibi continue seruire, non solum libertati præferendum est,

sed & regno vel maximo. Sed fortasse multis in mentem venit quærere, quam rationem habeat illud, In montem hæreditatis tuæ. hæreditatem dare conuenit Deo, accipere autem eam, fortasse non fuerit rationi consentaneum, cum omnia iam ante sint ipsius possessio. Quid si hoc dicitur de illis qui per excellentiam ad eius dominium pertinent? quemadmodum reges imperant quidem omnibus subditis, sed maxime domesticis, quorum ad corporis curam & reliquum victum quotidianis vtuntur ministerijs. Ijdem quamuis totius regionis possessionum sunt Domini, etiam earum quæ priuati iuris sunt, tamen sola habere putantur quæ commiserunt suis procuratoribus, à quibus annuos reditus exigunt. in eos secessus sæpe animi gratia se conferunt, grauissimis regni ac reipublicæ curis aliquantisper sepositis, & hi censentur possessionum regiarum nomine. item argentum aurúmque & cætera pretiosa quæ reconduntur apud subditos, regum magis sunt quam eorum à quibus habentur: attamen sunt qui proprie dicantur regij thesauri, in quibus ordinarij tributorum exactores totius regionis prouentus solent reponere. Ne mireris igitur, si & omnipotentis rerum omnium præsidis eximia hæreditas esse dicitur sapientum animarum sodalitium, quod acutissime cernente, inculpabili, recentique semper mentis oculo præditum est, nunquam conniuente, sed aperto continue, directéque intuente. propterea sic & in maiore cantico dicitur: Interroga patrem tuum, & annunciabit tibi: maiores tuos, & dicent tibi. Quando diuidebat altissimus gentes, quando separabat filios Adami, constituit terminos gentium iuxta numerum angelorum Dei. Et facta est portio Domini populus eius Israel. Ecce iterum portionem & hæreditatem Dei dixit eos à quibus germane colitur & aspicitur. terræ autem filios, quos Adami nominat filios, dispersos dispalatósque cateruatim, cum non possent rectæ rationis ductum sequi. ita est profecto, societatis coniunctionisque causa est virtus, dissolutionis vero & separationis affectus contrarius. id satis declarat solenne sacrum, quod in diem propitiationis, vt vocant, incidit. tunc enim ex præcepto super duos hircos sors mittitur, altera Domino, altera hirco emissario: scilicet super duas rationes, quorum altera Domini sit, creaturæ altera. ergo qui

A μόνον ἀμείνων. πολλοῖς δὲ αὖ τάχα που ζήτησιν παρέχοι, τίνα ἔχει λόγον τὸ, Εἰς ὄρος κληρονομίας σου. κληροδοτεῖν μὲν θεὸν ἀναγκαῖον, κληρονομεῖν δὲ ἴσως οὐκ εὔλογον, πάντων αὐτοῦ κτημάτων ὄντων. ἀλλὰ μήποτε τοῦτο λέγεται ἐπὶ τῶν κατὰ τὸν ἐξαίρετον οἰκειώσεως λόγον, διαπονουμένων πρὸς αὐτοῦ; καθάπερ οἱ βασιλεῖς ἁπάντων μὲν ἄρχουσι τῶν ὑπηκόων, διαφερόντως δὲ τῶν οἰκετῶν, οἷς πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν καὶ τὴν ἄλλην δίαιταν ὑπηρέταις εἰώθασι χρῆσθαι. οἱ δὲ
B αὐτοὶ καὶ τῶν κατὰ τὴν χώραν ἁπάντων ὄντες κτημάτων δεσπόται, καὶ ὅσων ἐπικρατεῖν οἱ ἰδιῶται δοκοῦσι, μόνα ταῦτα ἔχειν νομίζονται, ἅπερ ἐπιτρόποις καὶ ἐπιμεληταῖς ἐγχειρίσαιεν, ἀφ᾽ ὧν καὶ τὰς ἐτησίους προσόδους ἐκλέγουσιν· εἰς ἃ πολλάκις ἀνέσεως καὶ εὐθυμίας ἕνεκα προσέρχονται, τὸ βαρύτατον τῶν ἐν πολιτείᾳ καὶ βασιλείᾳ φροντίδων ἄχθος ἀποτιθέμενοι. καὶ καλεῖται μέντοι ταῦτα τὰ κτήματα αὐτοῖς βασιλικά· καὶ μὴν ἄργυρός τε καὶ χρυσὸς καὶ ὅσα ἄλλα κειμήλια πα-
C ρὰ τοῖς ἀρχομένοις θησαυροφυλακεῖται, τῶν ἡγουμένων μᾶλλον ἢ τῶν ἐχόντων ἐστὶν, ἀλλ᾽ ὅμως ἴδιοι τῶν βασιλέων θησαυροὶ λέγονται, ἐν οἷς οἱ ταχθέντες τῶν φόρων ἐκλογισταὶ ἀπὸ τῆς χώρας προσόδους κατατίθενται. μηδὲν οὖν θαυμάσῃς, εἰ καὶ τοῦ πανηγεμόνος θεοῦ τὸ ἐφ᾽ ἅπασι κράτος εἰληχότος, ἐξαίρετος κλῆρος εἶναι λέγεται ψυχῶν σοφῶν ὁ θίασος, ὡς ὀξυωπέστατα ὁρῶν ἀμέμπτῳ καὶ ἀκραιφνεῖ κεχρημένος τῷ διανοίας ὄμματι,
D μύοντι μὲν οὐδέποτε, ἀεὶ δὲ ἀναπεπταμένῳ καὶ εὐθυτενῶς βλέποντι. καὶ διὰ τοῦτο μέντοι καὶ ἐν ᾠδῇ τῇ μείζονι λέγεται, Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι· ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ. ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰσραήλ. ἰδοὺ γὰρ πάλιν μερίδα καὶ κλῆρον εἴρηκε θεοῦ, τὸν ὁρατικὸν αὐτοῦ καὶ γνήσιον θεραπευτὴν τρόπον· τοὺς δὲ γῆς παῖδας, οὓς Ἀδὰμ ὠνό-
E μασεν υἱοὺς, ἐσπάρθαι καὶ ἀνασκεδασθῆναι, καὶ ἐπισυναχθῆναι, σῖφος τε ἐγγυᾶσθαι, ἡγεμόνι χρῆσθαι ὀρθῷ λόγῳ μὴ δυναμένους· τῷ γὰρ ὄντι ἁρμονίας μὲν καὶ ἑνώσεως αἴτιον ἀρετὴ, διαλύσεως δὲ καὶ διαρτήσεως ἡ ἐναντία διάθεσις. δεῖγμα μέντοι τῶν εἰρημένων ἐστὶ, τὸ γινόμενον ἀνὰ πᾶν ἔτος ἡμέρᾳ τῇ λεγομένῃ τοῦ ἱλασμοῦ. τότε γὰρ διείρηται δύο τράγοις διακληροῦν, τὸν μὲν τῷ κυρίῳ, τὸν δὲ τῷ ἀποπομπαίῳ· διττὸν λόγον, ὃν μὲν θεῷ, ὃν δὲ γενέσει.

ὁ ἀποσεμνύνων μὲν τὸ αἴτιον, τιμὴν αὐτῷ προσκληρώσεται· ὁ δὲ γένεσιν, φυγαδευθήσεται, τῶν μὲν ἱερωτάτων ἐλαυνόμενος χωρίων, εἰς δὲ ἄβατα καὶ βέβηλα καὶ βάραθρα ἐμπίπτων. τοσαύτῃ μέντοι τῇ θεοφιλεῖ παρρησίᾳ χρῆται Μωϋσῆς, ὥστε αὐτῇ τούτῳ μάλιστα πεπιστευκώς, ἁρμοττούσαις καὶ μείζοσιν ἢ κατὰ τὰς ἑτέρων ἡμῶν ἀκοὰς λόγοις τε καὶ δόγμασιν εἴωθε χρῆσθαι. οὐ γὰρ μόνον ἀξιοῖ κληρονομεῖν θεόν, ἀλλὰ καὶ αὐτὸν παραδοξότατον κλῆρον ἑτέρων εἶναι. φυλὴν γὰρ ὅλην πρόσφυγα καὶ ἱκέτιν αὐτοῦ, λῆξιν μὲν τῆς χώρας καθάπερ τὰς ἄλλας ἕνδεκα οὐκ ἠξίωσε νείμασθαι, γέρας δὲ ἐξαίρετον λαβεῖν ἱερωσύνην, οὐκ ἐπίγειον, ἀλλ' ὀλύμπιον κτῆμα. Οὐ γάρ ἐσται, φησί, τῇ Λευὶ φυλῇ μερίς, οὔτε κλῆρος ἐν υἱοῖς Ἰσραήλ, ὅτι κύριος αὐτὸς κλῆρος αὐτῶν. καὶ ἐκ προσώπου μέντοι τοῦ θεοῦ ᾄδεται διὰ τῶν χρησμῶν τὸν τρόπον τοῦτον, Ἐγὼ μερίς σου καὶ κληροδοσία. τῷ γὰρ ὄντι ὁ τελείως κεκαθαρμένος νοῦς, ὁ πάντα τὰ γενέσεως ἀπογινώσκων, ἓν μόνον οἶδε καὶ γνωρίζει τὸ ἀγένητον, ᾧ προσελήλυθεν, ὑφ' οὗ καὶ προσείληπται. τίνι γὰρ ἔξεστιν εἰπεῖν, Αὐτός μοι μόνος ἐστὶν ὁ θεός, ἢ τῷ μηδὲν τῶν μετ' αὐτὸν ἀσπαζομένῳ. αὐτὸς δέ ἐστιν ὁ λευίτης τρόπος. ἑρμηνεύεται γὰρ αὐτός μοι, διὰ τὸ ἄλλα ἄλλοις τετιμῆσθαι, μόνῳ δὲ αὐτῷ τὸ ἀνωτάτω καὶ πάντων ἄριστον αἴτιον. ἤδη τινὰ τῶν παλαιῶν φασὶ καθάπερ ἐκπρεπεστάτης γυναικὸς τῆς σοφίας ἐπιμανέντα κάλλει, πολυτελεστάτης πομπῆς θεασάμενον παρασκευὴν ἄφθονον, ἀπιδόντα πρός τινας τῶν συνήθων εἰπεῖν, ἴδετε ὦ ἑταῖροι ὅσων χρείαν οὐκ ἔχω· καίτοι γε ἔξω τῶν ἀναγκαίων οὐδὲν ἁπλῶς περιβεβλημένον, ὡς μηδὲ ὑποφυσηθέντα πλούτου μεγέθει, ὃ μυρίοις συνέβη, δόξαι τῷ λόγῳ καταλαζονεύεσθαι τοῦ θεοῦ. ὁ νομοθέτης ἐκδιδάσκει φρονεῖν δεῖν τοὺς μηδὲν χρημάτων ἐν γενέσει πορίζοντας, ἀπογινώσκοντας δὲ ὅσα γενητὰ διὰ τὴν πρὸς τὸ ἀγένητον οἰκειότητα, ὃν μόνον πλοῦτον καὶ εὐδαιμονίας ὅρον τελεώτατον ἐνόμισαν. μηκέτι νῦν οἱ τὰς βασιλείας καὶ ἡγεμονίας ἀναψάμενοι μεγαλαυχείτωσαν, οἱ μέν, ὅτι μίαν πόλιν ἢ χώραν ἢ ἔθνος ἓν ὑπηγάγοντο· οἱ δέ, ὅτι πάντα μὲν γῆς κλίματα μέχρι τῶν περάτων αὐτῆς, πάντα δὲ ἑλληνικὰ καὶ βαρβαρικὰ ἔθνη, πάντας δὲ ποταμοὺς καὶ τὰ ἄπειρα πλήθει καὶ μεγέθει πελάγη προσεκτήσαντο. καὶ γὰρ εἰ μετὰ τούτων τῆς μεταρσίου φύσεως, ὃ μηδὲ εἰπεῖν εὐαγές, τὴν μόνην ἐκ πάντων ἀδούλωτον καὶ ἐλευθέραν ὁ ποιητὴς εἰργάσατο, ἐπεκράτησαν, ἰδιῶται

A summum autorem veneratur, sibi ipsi honoris hæreditatem parabit: qui creaturam, exulabit, pulsus è regione sacratissima in profana deuiáque baratra. tanta est Mosis cum Deo familiaritas, vt hac maxime fretus, vehementiora & maiora quam pro aurium nostrarum captu proferre soleat dogmata: qui non modo hæredem facit Deum, sed quod incredibilius est, hæreditatem. integram enim tribum quæ ad illum supplex confugit, non agro donauit sicut cæteras vndecim: B sed vt eximiam honorauit sacerdotio, cælesti non terrena possessione. Non erit, inquit, tribui Leui portio nec hæreditas inter filios Israel: quia Dominus ipse hæreditas eorum est. ex persona quoque Dei canitur in eius oraculis in hunc modum, Ego portio tua & hæreditas. nam perfecte purificata mens, quæ se abdicauit creaturis omnibus, proculdubio nihil nouit præter illum ingenitum, ad quem accessit, & à quo recepta est. Quis enim potest dicere, Ipse mihi C solus est Deus, nisi qui nullam istarum inferiorum rerum amplectitur, quod institutum est leuiticum. interpretatur enim hæc vox, Ipse mihi, quod apud alios alia sint in pretio, apud hunc solum ille optimus maximus autor rerum omnium. Fertur quendam è priscis correptum insano amore sapientiæ quasi mulieris formosissimæ, cum sumptuosæ pompæ spectaret apparatum copiosissimum, versum ad quosdam familiares dixisse: videte amici quam multis rebus D opus non habeo. & tamen nihil habebat præter amictum necessarium: ne quis putet eum inflatum diuitijs, vt plerique solent, arroganter contra Deum locutum esse. eadem legislator sapere docet eos qui non cupiunt creatis rebus ditescere, fastidientes quicquid genitum est præ ingeniti familiaritate, quem solum habent pro diuitiarum felicitatísque fine perfectissimo. Eant nunc & glorientur qui condiderunt regna imperiáque maxima: alij quia ciuitatem aut regionem aut gentē vnam subiugauerunt: alij quia E tractus omnes terræ adúsque eius terminos: græcas barbarásque gentes, flumina omnia mariáque, quàm multa quam magna sunt, in potestatem suam redegerunt. etiamsi præter ista sublimem illam naturam, quod vel dictu nefas est, quam solam seruituti non obnoxiam opifex condidit, sibi subiecissent: tamen è plebeiorum numero censendi essent, collati cum magnis regibus quorum hæredi-

tas Deus est. Quanto enim possessor possessa re habetur potior, & opifex opere suo, tanto magis illi accedunt ad maiestatem regiam. certe quod quidam aiunt bonorum virorum esse omnia, inter paradoxa refertur ab alijs, intuentibus externam copiam & inopiam, & neminem pecunijs possessionibúsque carentem inter diuites numerantibus. at Moses adeo suspiciendā expetendámque omni studio ducit sapientiam, vt sortem eius non solum vniuerso mundo, sed & rerum omnium regi æquiparet. Quod dogma non disputatorum est pro vel contra differentium, sed hominum firma fide constabilitorum. quandoquidem nunc quoque sunt quidam pietatis simulatores, qui hæc dictu quàm factu procliuiora calumniantur, negantes vel pium vel tutum dicere Deum hæreditatem hominis. quibus libenter dicerem: non miror, cum non germano affectu, sed suppositio adulterinóque ad has res contemplandas veniatis. nihil enim interesse putatis inter possessiones vinetorum, oliuetorum, similiúmque, & Deum qui sapientum dicitur hæreditas. nec reputatis quòd & pictori ars pingendi, & sua cuique artifici ars hæreditas sorsve censetur, non vt terrena possessio, sed vt olympicum præmium. nam huiusmodi res quamuis non sint dominij, prosunt tamen habentibus. ergo & eum Qui est, sortem non vulgaribus istis similem intelligite sycophantæ, sed maximum autorem bonorum cultoribus suis vtilissimum. Nunc postquam de primo plantatore primáque planta quod dicendum erat diximus, transeamus deinceps ad disciplinas instar huius factas. in quarum mentione primus succurrit sapiens ille Abraham, qui dicitur plantasse agrum ad puteum iuramenti, & inuocasse nomen æterni Dei Domini. nec indicatur plantarum proprietas, sed tantummodo regionis eius spatium. aiunt autem quibus mos est scrutari talia, quicquid in possessionem Dei cessit, diligenter descriptū, arborem, locum, fructum arboris. Arborem ipsum esse agrum, non germinibus terræ similem, sed in cari Deo viri mente radicatam: locum, ipsum iuramenti puteum: fructum vero nomen Domini, pro quo æternus Deus sumitur. singulis autem horū sua debetur ratio. ager centum cubitorum in longitudinem, totidē in latitudinem, si iuxta quadranguli naturam multiplicetur, decem millium solidorum cubitorum confici et numerum:

A νομισθεῖεν ἂν κατὰ σύγκρισιν μεγάλην βασιλέων, οἳ τὸν θεὸν κλῆρον ἔλαχον. ὅσῳ γὰρ ὁ κτησάμενος τοῦ κτήματος τοῦ κτήματος ἀμείνων, καὶ τὸ πεποιηκὸς τοῦ γεγονότος, τοσούτῳ βασιλικώτεροι ἐκεῖνοι. περὶ μὲν οὖν τὸ πάντα τοῦ σπουδαίου φάσκειν εἶναι παραδοξολογεῖν φήσουσί τινες, ἀφορῶντες εἰς τὴν ἐκτὸς εὐδαιμονίαν τε καὶ περιουσίαν, καὶ μηδένα τῶν ἀχρημάτων ἢ ἀκτημόνων πλούσιον νομίζοντες. Μωσῆς δὲ οὕτω περίβλεπτον καὶ περιμάχητον ἡγεῖται σοφίαν, ὥστε B οὐ μόνον τὸν σύμπαντα κόσμον ἀξιόχρεων κλῆρον αὐτῆς, ἀλλὰ καὶ τὸν τῶν ὅλων ἡγεμόνα νομίζειν. τὰ δὲ δόγματα οὐκ ἐπαμφοτεριζόντων ταῦτ' ἐστίν, ἀλλὰ τῇ βεβαίᾳ πίστει κατεσχημένων. ἐπεὶ καὶ νῦν εἰσί τινες τῶν ἐπιμορφαζόντων εὐσέβειαν, οἳ τὸ πρόχειρον τοῦ λόγου παρασυκοφαντοῦσι, φάσκοντες οὐδ' ὅσιον οὔτ' ἀσφαλὲς λέγειν ἀνθρώπου θεὸν κλῆρον. οὐ γὰρ ἀπὸ γνησίου τοῦ πάθους, ἀλλ' ὑποβολιμαίου καὶ νόθου, πρὸς τὴν θεωρίαν τῶν πραγμάτων, εἴποιμ' ἂν αὐτοῖς, ἥκετε. ἐν ἴσῳ γὰρ ὑπελάβετε τὰ ἀμ- C πέλων, ἢ ἀγρῶν, ἢ τῶν ὁμοιοτρόπων κτήματα τῶν ἐχόντων, καὶ σοφὸν τὸν θεὸν κλῆρον λέγεσθαι· καὶ οὐκ ἐνενοήσατε ὅτι καὶ ζωγράφοις ζωγραφία, καὶ συνόλως τέχνη τῷ τεχνίτῃ λέγεται κλῆρος, οὐχ ὡς γήϊνον κτῆμα, ἀλλ' ὡς ὀλύμπιον ἀγώνισμα. διαφέρει γὰρ τὴν τούτων οὐσίαν, ἀλλ' ὠφελεῖ τοὺς ἔχοντας. ὥστε καὶ τὸ ὂν, κλῆρον, μὴ ὡς κτῆμα τούτοις ἐμφερὲς ἀκούετε τοῖς λεχθεῖσιν ὦ συκοφάνται, ἀλλ' ὡς ὠφελιμώτατον καὶ μέγιστον τοῖς θεραπεύειν ἀξιοῦσιν ἀγαθῶν αἴτιον. εἰρηκότες οὖν περὶ τοῦ πρώτου φυ- D τουργοῦ καὶ φυτοῦ τὰ ἁρμόζοντα, μέτιμεν ἑξῆς ἐπὶ τὰς τῶν κατὰ μίμησιν ἅμα καὶ μιμημάτων ἐπιμελείας. ὧδέ πως τοίνυν ὁ σοφὸς Ἀβραὰμ λέγεται φυτεῦσαι ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου, καὶ ἐπικαλέσαι τὸ ὄνομα κυρίου θεοῦ αἰωνίου· καὶ οὐ δεδήλωται τῶν φυτῶν ἡ ἰδιότης, ἀλλ' αὐτὸ μόνον τοῦ χωρίου τὸ μέγεθος. φασὶ δὲ οἷς ἔθος ἐρευνᾶν τὰ τοιαῦτα, πάντα θεοῦ ὅσα ἐν κτήμασιν ἠκριβῶσθαι διαφερόντως, καὶ τὸ δένδρον, καὶ τὸ χωρίον, καὶ τὸν τοῦ δένδρου καρπόν. E τὸ μὲν οὖν δένδρον, αὐτὴν εἶναι τὴν ἄρουραν, ἀλλ' οὐχ ὁμοίαν ταῖς βλαστανούσαις ἀπὸ γῆς, ἀλλὰ κατὰ τὴν τοῦ θεοφιλοῦς ῥιζωθεῖσαν διάνοιαν· τὸ δὲ χωρίον τὸ φρέαρ τοῦ ὅρκου, τὸν δὲ καρπὸν τὴν τοῦ κυρίου ὀνόματος μετάληψιν εἰς θεὸν αἰώνιον. τὸν δὲ περὶ ἑκάστου τῶν προστεθέντων εἰκότα λόγον, ἀναγκαῖον προσαποδοῦναι. ἡ μὲν τοίνυν ἄρουρα μήκους πηχῶν οὖσα ἑκατὸν, καὶ πλάτους τὴν ἴσον, κατὰ τὴν τοῦ τετραγώνου φύσιν πολυπλασιασθέντων, εἰς μυρίων ἀριθμὸν ἐπιπέδων συνίσταται πηχῶν.

A ἔστι δὲ ὅρος ἐστὶ τῶν ἀπὸ μονάδος παραυξηθέντων ὁ μέγιστος καὶ τελειότατος· ὥστε ἀρχὴν μὲν ἀριθμοῦ εἶναι μονάδα, τέλος δὲ ἐν τοῖς κατὰ τὴν πρώτην σύνθεσιν, μυριάδα· παρ' ὃ καί τινες οὐκ ἀπὸ σκοποῦ βαλβῖδι μὲν μονάδα, καμπτῆρι δὲ εἰκάζουσι μυριάδα, τοὺς δὲ μεθορίους πάντας ἀριθμούς, τοῖς δρόμον ἀγωνιζομένοις. ἀρχόμενοι γὰρ ὥσπερ ἀπὸ βαλβῖδος φέρεσθαι μονάδος, περὶ μυριάδα τὸ τέλος ἵστανται. μετιόντες οὖν ἀπὸ τούτων τινές, ὡς σημεῖ' σύμβολον ἔφασαν τὸν θεὸν ἀρχὴν B καὶ πέρας εἶναι τῶν ἁπάντων, δόγμα κατασκευαστικὸν εὐσεβείας. τοῦτο τὸ δόγμα φυτευθὲν ἐν ψυχῇ, κάλλιστον καὶ τροφιμώτατον καρπὸν ὁσιότητα τίκτει. τόπος δ' ἐστὶν οἰκειότατος τῷ φυτῷ τὸ φρέαρ, ὃ κέκληται ὅρκος, ἐν ᾧ κατέχει λόγος μὴ ἀνευρεθῆναι ὕδωρ. Παραγενόμενοι γάρ, φησίν, οἱ παῖδες Ἰσαάκ, ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ ὤρυξαν καὶ εἶπον, οὐχ εὕρομεν ὕδωρ, καὶ ἐκάλεσεν αὐτὸ ὅρκος. τοῦτο δὲ ἣν ἔχει δύναμιν σκεψώμεθα. οἱ τὴν τῶν ὄντων φύσιν διερευνῶντες, καὶ τὰς περὶ C ἑκάστου ζητήσεις μὴ ὀλιγώρως ποιούμενοι, παραπλήσια ποιοῦσι τοῖς τὰ φρέατα ὀρύττουσι. καὶ γὰρ ἐκεῖνοι τὰς ἐν ἀφανεῖ πηγὰς ἀναζητοῦσι· καὶ κοινὸς μὲν πόθος ἀμφοῖν ἐστι, ποτὸν ἀνευρεῖν. ἀλλὰ τοῖς μὲν δι' οὗ σῶμα, τοῖς δὲ δι' οὗ ψυχὴ πέφυκε τρέφεσθαι. ὥσπερ οὖν ἔνιοι τῶν ἀνατεμνόντων τὰ φρέατα τὸ ζητούμενον ὕδωρ πολλάκις οὐχ εὗρον, οὕτως οἱ προσωτέρω χωροῦντες τῆς ἐπιστήμης καὶ ἐπὶ πλέον ἐμβατεύοντες αὐτῆς, ἀδυνατοῦσι τοῦ τέλους ἐπιψαῦσαι. τοὺς γοῦν πολυμαθεῖς φασὶν D ἀμαθίαν πολλὴν ἑαυτῶν κατηγορεῖν· μόνοι γὰρ ὅσον τοῦ ἀληθοῦς ὑστερίζουσιν, ᾔσθοντο· καί τινα τῶν παλαιῶν λόγος ἔχει θαυμαζόμενον ἐπὶ σοφίᾳ, εἰκότως φάναι θαυμάζεσθαι· μόνον γὰρ εἰδέναι ὅτι οὐδὲν οἶδεν. ἑλοῦ δὴ εἰ θέλεις ἣν ἂν προαιρῇ μικρὰν ἢ μείζονα τέχνην, καὶ τὸν κατὰ ταύτην γενόμενον ἄριστόν τε καὶ δοκιμώτατον· εἶτα κατανόησον εἰ τὰ ἐπαγγέλματα τῆς τέχνης ἰσάζει τοῖς ἔργοις τοῦ τεχνίτου. σκοπῶν γὰρ εὑρήσεις ταῦτα ἐκείνων οὐ βραχέσιν, ἀλλὰ μεγάλοις διαστήμασιν ἀποδέοντα, σχεδὸν E ἀδυνάτου καθεστῶτος πρὸς ἑκάστην τελειωθῆναι τέχνην, πηγῆς τρόπον ἀεὶ κινουμένην, καὶ θεωρημάτων παντοίων ἰδέας ἀναβλύζουσαν. διὰ τοῦτο ὅρκος ὠνομάσθη τὸ φρέαρ, πίστεως βεβαιότατον σύμβολον, μαρτυρίαν θεοῦ περιεχούσης. ὡς γὰρ ὁ ὀμνὺς τῶν ἀμφισβητουμένων καλεῖ θεὸν μάρτυρα, ἐπ' οὐδενὶ οὕτως ἐστὶν εὐορκῆσαι, ὡς ἐπὶ τῷ μηδεμιᾶς ἐπιστήμης εὑρίσκεσθαι πέρας ἀλλὰ τῷ τεχνίτῃ τε-

qui est crescentium ab vnitate maximus & perfectissimus: vt principium numerorum sit vnitas, quæ per primam compositionem in decem millia desinat. quapropter nonnulli haud temere vnitatem conferunt cum carceribus, cum meta vero decem millia: cæteros omnes numeros qui sunt in medio spatio, cum cursu certantibus, incipientes enim ab vnitate tanquam à carceribus, in decem millibus finem statuunt. hinc arrepta occasione quidam aiunt per hæc significari, Deum esse principium & finem rerum omnium, quæ opinio facit ad pietatem. hoc dogma plantatum in anima, pulcherrimum & cibo aptissimum fructum parit sanctitatem. cui plantæ locus commodissimus est puteus, qui vocatur iuramentum, in quo ferunt aquam non inuentam. Accesserunt, inquit, pueri ad Isaac, nunciantes ei de puteo quem foderant, & dicentes, Non inuenimus aquam. & vocauit eum iuramentum. hoc quid significet consideremus. Qui rerum naturas scrutantur, & singulas in disquisitionem vocant magna cum diligentia, similes sunt puteos fodientibus. nam & illi fontes latentes inquirunt. vtrisque commune desiderium est potus inueniendi, sed alteris quo corpus, alteris quo recreatur anima. Quemadmodum igitur quidam fossores puteorum quæsitam aquam sæpe non inueniunt: ita qui vlterius progrediuntur in scientijs, & diutius in eis inambulant, non possunt finem attingere. certe admodum doctos aiunt accusare suam magnam ignorantiam. Hoc enim tantum sentiunt, quàm longe absint à veritate. ex his vnus olim vsque ad miraculum sapiens dicere solebat, homines meritò ipsum mirari, qui hoc tantum sciret, scire se nihil. elige si libet quamcunque artem maiorem minorémve, & aliquem in ea laudatissimum: deinde examina an præceptis artis respondeant artificis opera: videbis hæc ab illis non exiguo, sed magno interuallo abesse, quandoquidem fermè impossibile est in quacunque absolutum esse, quod hæc fontis in morem vndabundæ varias contemplationum species ebulliant. ideo iuramentum nominatur aptissime, quod est fidei signum firmissimum, coniunctum cum Dei testimonio. Nam cum iurantes in re dubia testem Deum inuocent, nihil licet iurate certius, quam quòd nullius scientiæ finis inueniatur apud vllum artificem. idem dicere pos-

A sumus & de alijs nostris potentijs pene omnibus. Sicut enim in dicto puteo negant aquam inueniri, sic nec in oculis quicquam visum, nec auditum in auribus, nec in naribus odoratum esse contendunt, in summa nullum sensum in vllo instrumento sensitiuo. similiter nec in mente intelligentiam. Alioquin quomodo visus auditus mens falleretur, si in his essent firmæ vires comprehensiuæ, & non à Deo qui eas indidit confirmarentur? Iam & de loco, in quo arbor ista floret B satis locuti, tandem & de fructu eius differamus: qui cuiusmodi sit, ex ipsis verbis scripturæ patebit. inuocauit enim nomen hoc, Dominus Deus æternus: quæ appellationes eius Qui est indicant potentias, Dominus eam qua imperat, Deus eam qua est beneficus. Quamobrem & sacer Moses in toto mundi opificio nomen Dei assumit: hoc enim conueniebat potentiæ, qua factor suas creaturas produxit ornauitque. Ergo quatenus imperat C vtrumque potest, tum bene tum male facere, ad retributionem factorum se attemperans. Quatenus autem beneficus est, alterum solum vult, videlicet benefacere. Est autem maximum animæ bonum, non dubitare de vtrauis regis potentia, sed constanter metu ab imperij potentia dependente se exoluere, & spem fouere de propensa benignissimi numinis erga nos voluntate, fore vt aliquando ea vti frui contingat. iam hæ voces Deus D æternus, idem valent ac si dicat, non qui aliquando largitur, aliquando non, sed semper & continue: qui sine intermissione benefacit, qui dona donis cumulando continuat, cuius gratiæ inter se coniunctæ ac vnitæ, semper in orbem redeunt: qui nullam occasionem benefaciendi sinit præterfluere, cum sit Dominus, & lædendi quoque potestatem habeat. Hoc idem & meditator ille Iacob postulauit in fine precum sacratissimarum, E dicens, Et erit Dominus mihi in Deum: ac si dicat: iam non herili potestate libera erga me vtetur, sed benefica propitia & vsque quaque salutari potentia, sublato dominationis metu, & anima deuincta beneficijs mutuam gratiam conciliantibus. Quis hoc animo concipere valeat, quòd Dominus & dux rerum omnium, nihil de natura sua demutans, semper sui similis,

A λος. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τὰς ἄλλας ὅσαι περὶ ἡμᾶς δυνάμεις, ὀλίγου δεῖν κεχώρηκεν. ὥσπερ γὰρ ἐν τῷ λεχθέντι φρέατι ὕδωρ φασὶ μὴ εὑρεθῆναι, οὕτως οὐδὲ ἐν ὀφθαλμοῖς τὸ ὁρατικόν, οὐδ᾽ ἐν ὠσὶ τὸ ἀκούειν, οὐδ᾽ ἐν μυκτῆρσι τὸ ὀσφραίνεσθαι, οὐδὲ συνόλως ἐν αἰσθήσεως ὀργάνοις τὸ αἰσθάνεσθαι· κατὰ τὸ παραπλήσιον δέ, οὐδ᾽ ἐν νῷ τὸ καταλαμβάνειν. πῶς γὰρ ἂν παρεώρα, ἢ παρήκουε, ἢ παρενόει συνέβαινεν, εἴπερ ἐν τούτοις πάγιαι ἦσαν αἱ ἀντιλήψεις ἑκάστου, ἀλλὰ μὴ ἐπ᾽ αὐτὸν θεὸν ἀνι- B εροῦντος τὸ βέβαιον ἐπεφύκεσαν. ἱκανῶς οὖν καὶ περὶ τοῦ χωρίου διειλεγμένοι ἐν ᾧ τὸ δένδρον ἀνθεῖ, καὶ περὶ τοῦ καρποῦ τελευταῖον ἐξεργασόμεθα. τίς οὖν ὁ καρπὸς αὐτοῦ, αὐτὸς ὑφηγήσεται. ἐπικαλέσει γὰρ ὄνομα, κύριος ὁ θεὸς αἰώνιος. αἱ τοίνυν λεχθεῖσαι προσρήσεις τὰς περὶ τὸ ὂν ἐμφαίνουσι δυνάμεις. ἡ μὲν γὰρ κύριος, καθ᾽ ἣν ἄρχει· ἡ δὲ θεός, καθ᾽ ἣν εὐεργετεῖ· οὗ χάριν καὶ τῇ κατὰ τὸν ἱερώτατον Μωυσῆν κοσμοποιίᾳ πάσῃ τὸ τοῦ θεοῦ ὄνομα ἀναλαμβάνεται. ἥρμοττε γὰρ τὴν δύναμιν καθ᾽ ἣν ὁ ποιῶν C εἰς γένεσιν ἄγων ἐτίθετο καὶ διεκοσμεῖτο, διὰ ταύτης καὶ κατακληθῆναι. καθ᾽ ὃ μὲν οὖν ἄρχων ἐστίν, ἄμφω δύναται, καὶ εὖ καὶ κακῶς ποιεῖν, συμμεταβαλλόμενος πρὸς τὴν τοῦ δράσαντος ἀπόδοσιν· καθ᾽ ὃ δὲ εὐεργέτης, θάτερον μόνον βούλεται τὸ εὐεργετεῖν. μέγιστον δὴ ἂν ψυχῇ γένοιτο ἀγαθόν, μηκέτι ἐνδοιάζειν περὶ τὴν πρὸς ἑκάτερα τοῦ βασιλέως ἰσχύος, ἀλλ᾽ ἀνενδοιάστως τὸν μὲν ἕνεκα τοῦ κράτους τῆς ἀρχῆς αὐτοῦ φόβον ἐπικρεμάμενον καταλύειν. D τὴν δὲ ἐκ τοῦ προαιρετικῶς εἶναι φιλόδωρον, ἀγαθῶν κτήσεως καὶ χρήσεως ἐλπίδα βεβαιοτάτην ζωπυρεῖν. τὸ δὲ θεὸς αἰώνιος, ἴσον ἐστὶ τῷ, ὁ χαριζόμενος οὐ ποτὲ μέν, ποτὲ δὲ οὔ, ἀεὶ δὲ καὶ συνεχῶς· ὁ ἀδιαστάτως εὐεργετῶν, ὁ τὴν τῶν δωρεῶν ἐπάλληλον φορὰν ἀπαύστως συνείρων, ὁ τὰς χάριτας ἐχομένας ἀλλήλων ἀνακυκλῶν, καὶ δυνάμεσιν ἑνωτικαῖς καθαρμοσάμενος· ὁ δὲ μηδένα καιρὸν τοῦ ποιεῖν εὖ παραλείπων, ὁ κύριος ὤν, ὡς καὶ βλάπτειν δύνασθαι. τοῦτο δὲ ὁ ἀσκητὴς Ἰακὼβ ᾐτήσατο ἐπὶ E τέλει τῶν ἱεροπρεπεστάτων εὐχῶν. εἶπε γάρ που, Καὶ ἔσται κύριος ἐμοὶ εἰς θεόν, ἴσον τῷ, οὐκέτι μοι τὸ δεσποτικὸν ἐπιδείξεται τῆς αὐτοκράτορος ἀρχῆς, ἀλλὰ εὐεργετικὸν τῆς ἵλεω περὶ πάντα καὶ σωτηρίου δυνάμεως, τὸν μὲν οἷα ἐπὶ δεσπότῃ φόβον ἀναιρῶν, τὴν δὲ ὡς ἐπ᾽ εὐεργέτῃ φιλίαν καὶ εὔνοιαν τῇ ψυχῇ παρέχων. τίς ἂν τοῦθ᾽ ὑπολάβοι ψυχή, ὅτι ὁ δεσπότης καὶ ἡγεμὼν τῶν ὅλων οὐδὲν τῆς ἑαυτοῦ φύσεως μεταβάλλων, μένων δὲ ἐν ὁμοίῳ,

ἀγαθός ἐστι συνεχῶς, καὶ φιλόδωρος ἀνελλιπῶς· ἀεὶ ὄντων ἀγαθῶν ἀφθόνων καὶ ἀενάων αἴτιος πλούτου τοῖς εὐδαιμονοῦσι· βασιλεῖ δὲ πιστεῦσαι, μὴ τῷ μεγέθει τῆς ἀρχῆς ἐπαιρομένῳ πρὸς βλάβας τῶν ὑπηκόων, ἀλλὰ φιλανθρωπίᾳ τὸ ἀμειδὲς ἑκάστῳ ἐπανορθοῦσθαι προαιρουμένῳ, μέγιστόν ἐστι πρὸς εὐθυμίαν καὶ ἀσφάλειαν ἔρυμα. ἃ τοίνυν ὑπεσχόμεθα, ἤδη σχεδὸν ἀποδέδεικται, τὸ φυτὸν μὲν, τὸ ἀρχικόν τινα κάλλιστον λαμβάνεσθαι τὴν ἁπάντων αἴτιον θεόν, χωρίον δὲ τὸ ἀκόλουθον, τὸ ἐν μηδενὶ τῶν ἐν γενέσει τέλειον εὑρίσκεσθαι· ἐπ' αὐτῶν δ' ἐᾶσθαι ὅτι χάρισι τοῦ αἰτίου προσφαίνεσθαι· καρπὸν δὲ, τὸ τὰς τοῦ θεοῦ διαιωνίζειν χάριτας, καὶ ὀμβρήσας ἀπαύστως μηδέποτε λήγειν. οὕτω μὲν δὴ καὶ ὁ σοφὸς ἑπόμενος τῇ τοῦ πρώτου καὶ μεγίστου φυτουργοῦ τέχνῃ, τὴν γεωργικὴν ἐπιδείκνυται. βούλεται δὲ ὁ ἱερὸς λόγος καὶ τοῖς μήπω τελειωθεῖσιν ἡμῖν, ἔτι δὲ ἐν μέσοις ἀριθμοῖς τῶν λεγομένων καθηκόντων ἐξεταζομένοις, διαπονηθῆναι τὰ γεωργικά. φησὶ γὰρ, Ὅταν εἰσέλθητε εἰς τὴν γῆν, ἣν κύριος ὁ θεὸς δίδωσιν ὑμῖν, καὶ καταφυτεύσητε πᾶν ξύλον βρώσιμον, περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ τὸν καρπὸν αὐτοῦ, τρία ἔτη ἔσται ἀπερικάθαρτος, οὐ βρωθήσεται· τῷ δὲ ἔτει τῷ τετάρτῳ, ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυρίῳ. τῷ δὲ ἔτει τῷ πέμπτῳ, φάγεσθε τὸν καρπὸν, πρόσθεμα ὑμῖν τὰ γενήματα αὐτοῦ. ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. οὐκοῦν τῶν ξύλων τὰ ἐδώδιμα, πρὶν εἰς τὴν ὑπὸ θεοῦ δοθεῖσαν χώραν μεταναστῆναι, φυτεύειν ἀδύνατον. Ὅταν γὰρ εἰσέλθητε πρὸς τὴν γῆν, καὶ φυτεύσητε πᾶν ξύλον βρώσιμον, φησίν· ὥστε ἔξω διατρίβοντες οὐκ ἂν δυναίμεθα τὰ τοιαῦτα τῶν δένδρων γεωργεῖν. καὶ μήποτ' εἰκότως· ἕως μὲν γὰρ εἰς τὴν σοφίας ὁδὸν οὐ προσελήλυθεν ὁ νοῦς, τετραμμένος δὲ πόρρω πλανᾶται, τῆς ἀγρίας ὕλης ἐπιμελεῖται φυτῶν, ἅπερ ἤτοι ἄγονα ὄντα ἐστείρωται, ἢ γεννῶντα ἐδωδίμων ἐστὶν ἄφορα· ὅταν δὲ εἰς τὴν φρονήσεως ἐμβὰς ὁδὸν, ἀνέρχηται τοῖς δόγμασι, καὶ συντρέχειν πᾶσιν ἄρξηται, τὴν ἡμέρων καὶ καρπῶν ἡμέρων οἰστικὴν ἀντὶ τῆς ἀγρίας ἐκείνης γεωργεῖ, ἀπάθειαν ἀντὶ παθῶν, καὶ ἀντὶ ἀγνοίας ἐπιστήμην, καὶ ἀντὶ κακῶν τὰ ἀγαθά. ἐπεὶ οὖν ἀρετῆς ὁ εἰσαγόμενος μακρὰν τοῦ τέλους ἀφέστηκεν, εἰκότως φυτεύσαντι αὐτῷ προστέτακται περιελεῖν τὴν ἀκαθαρσίαν τοῦ φυτευθέντος. τί δὲ τοῦτ' ἐστὶ συνεπισκεψώμεθα. τὰ μέσα τῶν καθηκόντων ἡμέρων φυτῶν, τὸν αὐτὸν ἔχειν μοι δοκεῖ λόγον,

A continue bonus est, & indesinenter munificus? à quo perennis bonarum rerum copia promanat, autore perfectionis omnium felicium. huic regi fidere, qui non imperio suo superbe ad lædendos subditos abutitur, sed comiter eis succurrit suis opibus, plurimum confert ad securitatem atque tranquillitatem animi. atque ita quod promisimus iam fermè repræsentauimus, arborem accipi pro Deo rerum omnium autore optimo, & eius locum in nulla creatura B perfectum inueniri, interdum tamen in eis apparere per autoris summi gratiam. fructum porrò esse Dei perpetuam beneficentiam, imbris more nunquam non depluentem. Sic & vir sapiens imitatus primi maximíque plantatoris artem, suam agriculturam ostentat. Iubet autem sacra scriptura etiam nos nondum perfectos, qui adhuc in medijs officijs censemur, exerceri sic in re rustica. ait enim, Quando ingressi C fueritis terram, quam Dominus Deus dabit vobis, & plantaueritis in ea omne lignum pomiferum, auferetis impuritatem eius fructum eius. per triennium erit impurus, nec edetis ex eo. Quarto autem anno omnis fructus eorum sanctificabitur, laudabilis Domino. Quinto autem anno edite fructum, vobis proficiet quicquid prouenerit. Ego sum Dominus Deus vester. igitur arbores pomiferas, prius quàm in regionem à Deo datam migretur, plantare non est possibile, dicente vate: D Quando ingressi fueritis terram, & plantaueritis omne lignum pomiferum. itaque donec extra eam moramur non possumus tales arbores colere, & merito. donec enim in sapientiæ viam mens non progreditur, sed errabunda vagatur, siluestres tantummodo curat arbores, quæ vel in totum steriles sunt, vel fructum ferunt ad cibos incommodum. sed quando ingressa viam prudentiæ, per decreta eius ascendit, & incipit in his omnibus decurrere, tum E mites & mitium fructuum feraces colit pro illis siluestribus, tranquillitatem pro perturbationibus, pro ignorantia scientiam, pro malis bona. Quoniam igitur is qui in virtutem introducitur longe à fine abest, merito postquam plantauit iubetur auferre à planta impuritatem. hoc quid sit simul consideremus. ex officijs quæcunque sunt media, videntur mihi eandem rationem habere cum mitibus arboribus.

A Nam vtraque vtilissimos ferunt fructus, altera corporibus, animabus altera. sed in medijs multa adnascuntur noxia, quæ necessariò sunt auferenda, ne officiant melioribus. Annon dicemus mitem arborem animæ, redditionem depositi? verùm hæc putatione opus habet, & curiosiore diligentia. Quænam igitur est ista putatio? nimirum hæc: depositum quod accepisti à sobrio, nec ebrio, nec prodigo, nec furenti reddideris. Nam qui sic sua recipit, ab eorum vsu excluditur iniquitate
B temporis. neque debitoribus aut seruis reddendum est, quibus fœneratores insidiantur & Domini. Proditio enim est hæc, non redditio. Neque ideo in paruis fidem serues, vt per occasionem maiora capias. Piscatores quidem cum paruis escis demissis, magnos pisces hamo capiunt, nemo criminatur, quia se aiunt hoc modo macelli annonæ prospicere, & quotidie mensas instruere talibus copijs. At vilis depositi red-
C ditione, fas non est inescare quemquam, vt ab eo maius auferas, manibus pauca porrigens, multis vero magnisque rebus defraudans eum animo. Ergo si vt ab arbore, ita à deposito quicquid impurum est auferas, damna, insidias, intempestiuitates, & huiusmodi omnia, mite facies quod alioquin abiturum erat in naturam siluestrium. in amicitiæ quoque planta similes stolones amputandi sunt, vt potiores eius partes conseruentur. Sunt
D autem hi: meretricum præstigiæ, quibus in amatores vtuntur, & fraudes adulatorum. Videmus enim istas quæ faciunt quæstum è flore corporis, magnam erga suos amatores præ se ferre beneuolentiam: quæ tamen non illos amant, sed seipsas, & quotidianis prædis inhiant. Adulatores quoque nonnunquam ineffabile odium cælantes apud eos, quibus obsequun-
E tur, tamen amare lautas cœnas & gulosum otium, qua cupiditate inducuntur, vt colant eos, qui talia suppeditant. At illa sinceræ & non fucatæ amicitiæ planta, excussis & dimissis huiusmodi rebus, fructum feret suis cultoribus vtilissimum, nempe fidem nullis corrumpendam muneribus. Propositum enim eius est, amico bene velle propter ipsum. At scorta & adulatores suum agunt negotium, dum amatoribus, & quibus adulantur aliquid boni conciliant.

ἑκάτερα γὰρ ὠφελιμωτάτους φέρει καρπούς, τὰ μὲν σώμασι, τὰ δὲ ψυχαῖς· πολλὰ δὲ ἐν τοῖς μέσοις συναναβλαστάνοντα καὶ ἐπιφυόμενα τῶν βλαβερῶν, ἀναγκαίως ἂν γένοιτο, τοῦ μὴ ζημιοῦσθαι τὰ ἀμείνω χάριν. ἢ οὐκ ἂν εἴποιμεν φυτὸν ἥμερον ψυχῆς παρακαταθήκης ἀπόδοσιν; ἀλλὰ τοῦτό γε τὸ φυτὸν, καθάρσεως δεῖται καὶ περιττοτέρας ἐπιμελείας. τίς οὖν ἡ κάθαρσις. ἥδε· παρὰ νήφοντος λαβὼν παρακαταθήκην, μήτε μεθύοντι, μήτ' ἀσώτῳ, μήτε μεμηνότι ἀποδῷς. ὁ γὰρ λαβὼν ὄνησιν ἐκ τοῦ κομίσασθαι, οὐχ ἕξει καιρὸν ὠφεληθῆναι. μηδὲ χρεώσταις ἢ δούλοις ἀποδῷς, δανειστῶν καὶ δεσποτῶν ἐφεδρευόντων. προδοσία γὰρ τοῦτ' ἐστὶν, οὐκ ἀπόδοσις. μηδὲ τὴν ἐν ὀλίγοις πίστιν φυλάττε, θήρας τῆς ἐν πλείονι πίστεως· δελεάστε γε οἱ μὲν ἁλιευόμενοι μικρὰ καθέντες ἐπὶ τῷ τοὺς μείζους ἀγρεύεσθαι τῶν ἰχθύων, οὐ σφόδρα ἂν ἐπαίτιοι, τὴν κατ' ἀγορὰν εὐετηρίαν πορίζεσθαι φάσκοντες, καὶ ὡς ἂν ἄφθονοι αἱ θοίναις τὴν καθ' ἑκάστην ἡμέραν ποιήσονται δίαιταν. δέλεαρ δὲ μηδεὶς ὀλιγοχρηματίου παρακαταθήκης ἀπόδοσιν, ἐπ' ἄγρα μείζονος προφερέτω, χερσὶ μὲν τὰ ἑνὸς καὶ ὀλίγα προτείνων, διανοίᾳ δὲ τὰ πολυτελῆ καὶ ἀμύθητα νοσφιζόμενος. ἐὰν οὖν ὡς δένδρου τῆς παρακαταθήκης περιέλῃς τὰ ἀκάθαρτα, τὰς ἀπὸ τῶν ἐφεδρευόντων βλάβας, τὰς ἀκαιρίας, τὰς ἐνέδρας, τὰ ὁμοιότροπα πάντα, ἡμερώσεις τὸ μέλλον ἀγριαίνεσθαι. κἂν τῷ φιλίας μέντοι φυτῷ, ταῦτα δὴ τὰ παραβλαστάνοντα τεμεῖν καὶ ἀποκόψαι φυλακῆς ἕνεκα τοῦ βελτίονος ἀναγκαῖον· τὰ δὲ παραβλαστάνοντα ταῦτ' ἐστὶν, ἑταιρῶν πρὸς ἐραστὰς γοητεῖαι, πρὸς τοὺς κολακευομένους οἰκοσίτων ἀπάται. τὰς γὰρ μισθαρνούσας ἐπὶ τῇ ὥρᾳ τοῦ σώματος, ἰδεῖν ἐστὶ περιεχομένας τῶν ἐραστῶν, ὡς δὴ σφόδρα φιλούσας. φιλοῦσι δὲ οὐκ ἐκείνους, ἀλλ' ἑαυτὰς, καὶ τοῖς καθ' ἑκάστην ἡμέραν λήμμασιν ἐπικεχήνασι· τούς τε κόλακας, ἄλεκτον μὲν ἐστὶν ὅτε μῖσος πρὸς τοὺς θεραπευομένους φυλάττοντας, ὀψοφαγίαν δὲ καὶ λαιμαργίαν ἀγαπῶντας, ἐφ' ὧν ἀναπείθονται τοὺς χορηγοὺς τῶν ἀμέτρων ἐπιθυμιῶν περιέπειν. τὸ δὲ τῆς ἀκιβδηλεύτου σοφίας δένδρον ἀποσεισάμενον καὶ μεθέμενον ταῦτα, καρπὸν τοῖς χρησομένοις ὠφελιμώτατον οἴσει, τὸ ἀδέκαστον. εὔνοια γάρ ἐστι βούλησις τοῦ τῷ πλησίον εἶναι τὰ ἀγαθὰ αὐτὰ χάριν ἐκείνου. αἱ δέ γε χαμαιτύποι καὶ οἱ κόλακες αὐτῶν ἕνεκα σπουδάζουσιν, αἱ μὲν τοῖς ἐρασταῖς, οἱ δὲ τοῖς κολακευομένοις τὰ ἀγαθὰ προσάγειν.

Τὰς

τὰς οὖν εἰρωνείας καὶ γοητείας, καθάπερ ἐπιφυομένας κῆρας τῷ φιλίας φυτῷ, περικοπτέον. ἱερουργίαι γεμὴν καὶ ἡ περὶ τὰς θυσίας πίστις, βλάστημα κάλλιστον, ἀλλὰ παραναπέφυκεν αὐτῷ κακὸν, δεισιδαιμονία· ἣν πρὶν χλοῆσαι, λυσιτελὲς ἐκτεμεῖν. ἔνιοι γὰρ ὑπέλαβον τὸ βουθυτεῖν εὐσέβειαν εἶναι, καὶ ἐξ ὧν ἂν κλέψωσιν, ἢ ἀρνήσωνται, ἢ χρεωκοπήσωσιν, ἢ ἁρπάσωσιν, ἢ λῃστεύσωσι, μοίρας ἀπονέμουσι τοῖς βωμοῖς οἱ δυσκάθαρτοι, τὸ μὴ δοῦναι δίκην ἐφ᾽ οἷς ἐξήμαρτον, ὤνιον εἶναι νομίζοντες. ἀλλὰ γὰρ εἴποιμ᾽ ἂν αὐτοῖς, ἀδέκαστόν ἐστιν ὦ οὗτοι τὸ τοῦ θεοῦ δικαστήριον, ὡς τοὺς μὲν γνώμῃ κεχρημένους ἐπαιτίῳ, κἂν ἑκατὸν ἡμέρας ἑκάστης βόας ἀνάγωσιν, ἀποστρέφεσθαι, τοὺς δ᾽ ἀνυπαιτίους, κἂν μηδὲν θύωσι τὸ παράπαν, ἀποδέχεσθαι· βωμοῖς γὰρ ἀπύροις περὶ οὓς ἀρεταὶ χορεύουσι, γέγηθεν ὁ θεὸς, ἀλλ᾽ οὐ πολλῷ πυρὶ φλέγουσιν, ὅπερ αἱ τῶν ἀνιέρων ἄθυτοι θυσίαι συνανέφλεξαν, ὑπομιμνήσκουσαι τὰς ἑκάστων ἀγνοίας τε καὶ διαμαρτίας. καὶ γὰρ εἶπέ που Μωϋσῆς θυσίαν ἀναμιμνήσκουσαν ἁμαρτίαν. πάντ᾽ οὖν τὰ τοιαῦτα μεγάλης ἡγούμενα ζημίας αἴτια, χρὴ περιαιρεῖν καὶ ἀποκόπτειν, ἑπομένους τῷ χρησμῷ ἐν ᾧ διείρηται περιαιρεῖν τὴν ἀκαθαρσίαν ξύλου τοῦ φυτευθέντος ἐδωδίμου. ἀλλ᾽ ἡμεῖς μὲν οὐδὲ διδασκόμενοι πρὸς εὐμάθειαν ἐπιδιδόαμεν· ἔνιοι δὲ αὐτοδίδακτοι τῇ φύσει χρησάμενοι, τἀγαθὸν ἐξέδυσαν τῶν ἐμπλημμελούντων βλαβερῶν, καθάπερ ὁ ἀσκητὴς ἐπίκλην Ἰακώβ. οὗτος γὰρ ῥάβδους ἐξελέπισε λεπίσματα λεπτὰ, περισύρων τὸ χλωρὸν, ἵνα τῆς ἐν μέσοις ποικιλίας σκοτίας καὶ ζοφερᾶς πολυτρόπου ἀναιρεθείσης, καὶ μὴ τέχνῃ ποικιλλομένῃ, φύσει δὲ ἡνωμένον ἀδελφὸν αὐτῆς λευκὸν εἶδος διαδειχθῇ. παρὸ καὶ ἐν τῷ περὶ τῆς λέπρας τεθέντι νόμῳ διείρηται, τὸν μηκέτι ἀλλοιούμενον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκανθέντα δι᾽ ὅλων ἀπὸ κεφαλῆς ἕως ποδῶν ἄκρων καθαρὸν εἶναι· ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν, τὸ ποικίλον καὶ πολύτροπον καὶ ἀντίρρεπον καὶ ἐπαμφοτερίζον τῆς διανοίας μεθέμενοι πάθος, τὸ ποικίλον καὶ ἀνενδοίαστον ἀληθείας ἁπλοῦν χρῶμα δεξώμεθα. τὸ μὲν οὖν τὸ ξύλον φάσκειν περικαθαίρεσθαι, λόγον ἔχει βεβαιούμενον ἀληθείᾳ· τὸ δὲ τὸν καρπὸν, οὐ πάνυ τῇ ἐναργείᾳ πεπίστευται. σῦκα γὰρ ἢ σταφυλὴν, ἢ συνόλως καρπὸν οὐδεὶς γεωργῶν περικαθαίρει. καὶ μὴν φησί γε, ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀκάθαρτος, οὐ βρωθήσεται· ὡς εἰωθότος τρόπου περικαθαίρεσθαι ἀεί. λεκτέον οὖν ὅτι καὶ τοῦτο ἕν ἐστι τῶν ἐν

A Resecandæ sunt igitur hæ præstigiæ simulationésque ab amicitiæ planta, vt agnatæ pestes noxiæ. itidem sacrificia fœderáque stirpes sunt pulcherrimæ, sed quibus adnasci solet malum superstitionis, excidendum prius quàm coalescat firmius. Sunt enim qui putant pietatem in mactandis bubus consistere, qui ex furto, abnegato deposito, creditore fraudato, raptóque partis prædis portiones altaribus tribuunt homines vix expiabiles putantes se pœnas peccatorum sic redimere. B Hos sic appellare libet: non corrumpitur istis, ô vos quicunque tandem estis, Dei tribunal, sed omnes male sibi conscios, etiamsi quotidie centum boues immolent, auersatur: insontes vero, etiamsi nihil omnino sacrificent, amplectitur. Gaudet enim Deus aris nullo igne calentibus, quas cingit virtutum chorus, non istis flagrantibus flamma quam profanorum C accenderunt profanæ victimæ, in memoriam reuocantes singulorum errata & ignorantias. Sic enim alicubi Moses dicit, peccati admonere sacrificium. Ergo oportet talia cuncta magnum damnum afferentia resecare ac tollere, sicut oraculum diserte iubet: aufer impuritatem plantæ pomiferæ. At nos ne post disciplinam quidem sumus dociles. Alij vero suopte ingenio docti quicquid bonum est repurgant ab inuolucris noxijs, sicut D Iacob ille meditator cognomine. Hic enim virgas spoliauit tenuissimis corticibus, quod virebat detrahens, vt interraso quod atrum erat, varietate non tam artificiosa, quàm naturali, cognatus color albus eluceret. Quamobrem & in lege de lepra decretum est, eum in quo nondum varietas colorum extitit, sed alba vitiligine à capite ad pedes occupatur, purum esse: vt iuxta corporis similitudinem, vafriciem variam & ambiguæ mentis incertum affectum omittentes, cer- E tæ veritatis sumamus colorem simplicem. Et arboris quidem purgandæ ratio cum veritate congruit: de fructu vero non satis constat. Nam ficus, vuas, & in vniuersum fructus agricola purgat nemo. Lex tamen dicit: Fructus eius per triennium erit incircumpurgatus, non comedetis ex eo. Quasi mos fuerit, eum semper circumpurgari. Dicendum igitur, hoc quoque vnum esse eorum quæ latentem

habent intelligentiam, cum verba ipsa non quadrent admodum. Anceps enim est hæc oratio. Nam potest vno modo sic intelligi: fructus eius per triennium erit, vt distincta vox à præcedentibus sequatur, incircumpurgatus, ac mox, non comedetur. Altero sic, fructus eius per triennium erit incircumpurgatus, ac mox per se, non comedetur. Prior ille sensus talis esse potest, vt trienniũ accipiatur pro tripartito tempore, cuius ea natura est, vt diuidatur in præteritum, præsens, atque futurum. Proinde eruditio fructum proferet, qui durabit & saluus permanebit per omnes partes temporis, hoc est non corrumpetur in perpetuum. Nam natura boni non corrumpitur. Fructus autem incircumpurgatus non comedetur, quia purgati sanique ciuiles sermones animam nutriunt, & menti afferunt incrementum: contrarij vero non nutriunt, sed morbum creant & interitum. Altero modo, sicut in disputationibus dialecticorum hæc vox indemonstratus dicitur dupliciter, vel qui propter difficultatem ægre demonstratur, vel qui propter euidentiam non habet opus demonstratione: ita incircumpurgatus fructus est vel impurus egens purgatione, vel per se purissimus. talis est eruditionis fructus, per triennium, id est tripartitum tempus, videlicet per omnia secula purissimus nitidissimúsque, à nulla obscuratus re noxia, non lauacris aspersionibúsque aut in totum alijs vllis purificationibus vnquam indigens. Anno autem, inquit, quarto omnis fructus eius sanctificabitur, laudabilis Domino. Quaternarium numerum præter alios legis locos maxime in narratione de mundi creatione magnificare videtur sermo propheticus. Nam pretiosam illam lucem sensibilem, quæ & seipsam & cætera manifestissime indicat, parentésque huius solem ac lunam, & stellarum chorum sacratissimum, quæ noctem diémque, menses annósque, tum oriendo tum occidendo terminant, & numeri naturam demonstrant, in quibus rebus maximum animæ bonum situm est, ait creata quarto die. Nunc quoque hunc honorauit eximie, non alio tempore fructum arborum dedicans Deo, quàm anno quarto à plantatione: id quod rationem habet naturæ moribúsque valde consentaneam. Quoniam totius

A ὑπονοίαις ἀποδιδομένων, τοῦ ῥητοῦ μὴ σφόδρα συνᾴδοντος· ἡ δὲ λέξις ἐστὶν ἀμφίβολος. δηλοῖ γὰρ ἓν μὲν τὸ τοιοῦτον, ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται, εἶτα ἰδίᾳ τὸ ἀπερικάθαρτος, κἄπειθ' οὕτω βρωθήσεται. ἕτερον δὲ, ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ἀπερικάθαρτος, κἄπειθ' οὕτω βρωθήσεται· κατὰ μὲν οὖν τὸ πρότερον σημαινόμενον, ταῦτα ἄν τις ἐκδέξαιτο, τὴν τριάδα ἐτῶν ἀντὶ τοῦ τριμεροῦς χρόνου παραλαμβανομένων, ὃς εἰς τὸν παρεληλυ-

B θότα καὶ ἐνεστῶτα καὶ μέλλοντα τέμνεσθαι πέφυκεν. ὁ τῆς παιδείας οὖν καρπὸς ἔσται, καὶ ὑποστήσεται καὶ μενεῖ σῶος κατὰ πάντα τὰ χρόνου τμήματα, ἴσον δὲ, δι' αἰῶνος φθορὰν μὴ δεχόμενος. ἄφθαρτος γὰρ ἡ τοῦ ἀγαθοῦ φύσις· ἀπερικάθαρτος δὲ καρπὸς, οὐ βρωθήσεται, παρ' ὅσον οἱ μὲν κεκαθαρμένοι καὶ ὑγιαίνοντες ἀστεῖοι λόγοι ψυχὴν τρέφουσι καὶ νοῦν αὔξουσιν· οὐ τρόφιμοι δέ εἰσιν οἱ ἐναντίοι, νόσον καὶ φθορὰν ἐπιλάμποντες αὐτῇ. κατὰ δὲ τὸ ἕτερον σημαινόμενον, ὥσπερ ἀναπόδεικτος λέγεσθαι διχῶς,

C ὅ, τε δυσκόλως ἀργαλεότητος ἕνεκα ἐπιδεικνύμενος, καὶ ὁ ἐνθένδε γνώριμος, ἐξ αὐτοῦ τὸ σαφὲς, οὐκ ἐκ τῆς ἑτέρου μαρτυρίας, ἀλλ' ἐκ τῆς ἐμφαινομένης ἐναργείας αὐτῷ πιστούμενος· καὶ πρὸς τοὺς συλλογιστικοὺς εἴωθεν ἡ διαλεκτικὴ λόγους χρῆσθαι. οὕτως ἀπερικάθαρτος καρπὸς, ὅ, τε δεόμενος καθάρσεως καὶ μὴ καθαρμένος, καὶ ὁ τηλαυγέστατος· τοιοῦτός ἐστιν ὁ τῆς παιδείας καρπὸς, τρία ἔτη, τουτέστι τὸν τριμερῆ χρόνον, τὸν σύμπαντα αἰῶνα καθαρώτατος καὶ διαυγέστατος, ὑπ' οὐδενὸς βλα-

D βεροῦ συσκιαζόμενος, λουτρῶν καὶ περιρραντηρίων, ἢ συνόλως ἑτέρου τινὸς τῶν εἰς κάθαρσιν τεινόντων, οὐδαμῶς χρεῖος ὤν. Τῷ δ' ἔτει, φησὶ, τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος· αἰνετὸς τῷ κυρίῳ. τὸν τέσσαρα ἀριθμὸν, πολλαχοῦ μὲν τῆς νομοθεσίας, μάλιστα δὲ ἐν τῷ καταλόγῳ τῆς τοῦ παντὸς γενέσεως ἀποσεμνύνειν ἔοικεν ὁ προφητικὸς λόγος. τὸ γὰρ αἰσθητὸν καὶ τίμιον φῶς, τὸ καὶ ἑαυτοῦ καὶ τῶν ἄλλων σαφέστατον γνώρισμα,

E καὶ τοὺς τοκέας αὐτοῦ ἥλιον καὶ σελήνην, καὶ τὸν ἱερώτατον χορὸν τῶν ἀστέρων, οἳ νύκτα τε καὶ ἡμέραν, ἔτι τε μῆνας καὶ ἐνιαυτοὺς, ἀνατολαῖς καὶ δύσεσιν ἐπεράτωσαν, ἀριθμοῦ τε φύσιν ἀνέδειξαν, οἷς τὸ μέγιστον ψυχῆς ἀγαθὸν ἀνάκειται, ἡμέρᾳ τετάρτῃ φησὶ δημιουργηθῆναι. διαφερόντως δὲ καὶ νῦν αὐτὴν ἐκτετίμηκεν, οὐκ ἐν ἑτέρῳ χρόνῳ τὸν τῶν δένδρων καρπὸν ἀναθεὶς τῷ θεῷ, ἢ ἐνιαυτῷ τῆς φυτείας τετάρτῳ· καὶ γὰρ λόγον φυσικώτατον καὶ ἠθικώτατον ἔχει. τάς τε γοῦν τοῦ παντὸς

ῥίζας ἐξ ὧν ὁ κόσμος, τέτταρας εἶναι συμβέβηκε, **A** γῆν, ὕδωρ, ἀέρα, πῦρ, καὶ τὰς ἐτησίους ὥρας ἰσαρίθμους, χειμῶνα καὶ θέρος, καὶ τὰς μεθορίους, ἔαρ τε καὶ μετόπωρον· πρεσβύτατός τε αὖ τετραγώνων ὁ ἀριθμός ὤν, ἐν ὀρθαῖς γωνίαις, ὡς δηλοῖ τὸ κατὰ γεωμετρίαν σχῆμα, ἐξετάζεται. αἱ δὲ εἰσὶν ὀρθότητος λόγου σύμβολα· πηγὴ δὲ ἀέναος ἀρετῶν, ὁ ὀρθὸς λόγος. ἀνάγκη μέντοι τὰς τοῦ τετραγώνου πλευρὰς ἴσας εἶναι· δικαιοσύνην δὲ ἰσότης τὴν ἔξαρχον καὶ ἡγεμονίδα τῶν ἀρετῶν ἔτεκεν· ὥστε ἰσότητος καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς, **B** χωρὶς τῶν ἄλλων, ἐπιδείκνυται τὸν ἀριθμὸν εἶναι σύμβολον. καλεῖται δὲ τετρὰς καὶ πᾶς, ὅτι τὰ ἄχρι δεκάδος καὶ αὐτὴν δεκάδα περιέχει δυνάμει. ὅτι μὲν οὖν τὴν πρὸ αὐτῆς μονάδα, πρόδηλον· ὅτι δὲ καὶ τοὺς μετ' αὐτήν, ἐξ ἐπιλογισμοῦ ῥᾳδίως ἰδεῖν ἐν ἀριθμῷ. ἓν δύο τρία τέτταρα συντιθέντες, ὃ ἡγούμενοι εὑρήσομεν. ἐκ μὲν γὰρ ἑνὸς καὶ τεττάρων πεντὰς ἔσται· ἐκ δὲ δυοῖν καὶ τεττάρων, ἑξάς· ἑβδομὰς δέ, ἐκ τριῶν καὶ τεττάρων· καὶ κατὰ τὴν **C** τριπλῆν σύνθεσιν, ἐξ ἑνὸς καὶ τριῶν καὶ τεττάρων, ὀγδοάς· καὶ πάλιν ἐκ δυοῖν καὶ τριῶν καὶ τεττάρων, ὁ ἐννέα ἀριθμός· δεκὰς δέ, ἐκ πάντων· ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέτταρα δέκα γίνεται. διὰ τοῦτο καὶ Μωσῆς εἶπεν, ὅτι ἐπὶ τοῦ τετάρτου ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος. ἄρτιον γὰρ καὶ ὁλόκληρον, καὶ πλήρη, ὡς καὶ σύμπαντα, ὡς τύπῳ φάναι, λόγον ἔχει, διὰ τὸ δεκάδα, ἣν τετρὰς ἐγέννησε, πρῶτον καμπτῆρα τὴν ἀπὸ μονάδος συντιθεμένων ἀριθμῶν ἑστάναι· δεκὰς δὲ καὶ τε- **D** τρὰς, πᾶς μὲν ἀριθμὸς εἶναι λέγεται, ἀλλὰ δεκὰς μὲν ἀποτελέσματι, τετρὰς δὲ δυνάμει. τόν τε παιδείας καρπὸν οὐ μόνον ἅγιον, ἀλλὰ καὶ αἰνετὸν εἶναί φησι προσηκόντως. ἑκάστη μὲν γε τῶν ἀρετῶν ἐστι χρῆμα ἅγιον, εὐχαριστία δὲ ὑπερβαλλόντως. θεῷ δὲ οὐκ ἔστι γνησίως εὐχαριστῆσαι, δι' ὧν νομίζουσιν οἱ πολλοὶ κατασκευῶν, ἀναθημάτων, θυσιῶν· οὐδὲ γὰρ σύμπας ὁ κόσμος ἱερὸν ἀξιόχρεων ἂν γένοιτο πρὸς τὴν τούτου τιμήν· ἀλλὰ δι' ἐπαίνων καὶ ὕμνων, οὐχ οὓς ἡ γεγωνὸς ᾄσεται φωνή, ἀλλ' οὓς **E** ὁ ἀειδὴς καὶ καθαρώτατος νοῦς ἐπηχήσει, καὶ ἀναμέλψει. παλαιὸς γοῦν ᾄδεται λόγος, ὑπὸ μὲν σοφῶν εὑρεθείς, μνήμῃ δέ, οἷα φιλεῖ, κατὰ διαδοχὰς παραδοθεὶς τοῖς μετέπειτα, οὐδὲ τὰς ἀφιληκόους παιδείας ἡμετέρας παρῆλθεν ἀκοάς. ἔστι δὲ τοιόσδε· ἡνίκα, φασί, τὸν σύμπαντα κόσμον ὁ ποιητὴς ἐτελεσφόρησεν, ἑνός τῶν προφητῶν ἐπύθετο, εἴ τι ποθεῖ μὴ γενόμενον τῶν ὅσα κατὰ γῆν καὶ καθ' ὕδατος,

A mundi radices quatuor numerãtur, terra, aqua, aer, ignis, & annuæ temporum vices sunt totidem, hiems, æstas, eorúmque cõfines ver & autumnus. Antiquissimus etiam quadrangulorũ est hic numerus, constans rectis angulis, vt liquet è figura geometrica. Hi rectæ rationis sunt significatini. Recta autem ratio perennis virtutũ fons est. Oportet tamen quadranguli latera esse æqualia. Æqualitas porrò mater est iustitiæ virtutum reliquarum ducis ac principis. Itaque **B** patet æqualitatis iustitiæ omnísque virtutis, præter alia, signum esse hunc numerum. Is vocatur etiam omnis, quia reliquos vsque denarium & ipsum denarium potentia complectitur. de vnitate quidem cuiuis est perspicuũ. Quòd vero & cæteros deinceps contineat, ex numerorum supputatione facile colligitur. Vnum duo tria quatuor si componamus, eximetur omnis dubitatio. Ex vno enim & quatuor constat quinarius, ex duobus & quatuor senarius, septe- **C** narius è tribus & quatuor, & triplici compositione ex vno tribus quatuor octonarius, rursum è duobus tribus quatuor nouenarius. denarius autẽ ex iam dictis omnibus. nam vnum duo tria quatuor conficiũt decẽ. propterea Moses dixit, quod anno quarto erit omnis fructus eius sanctus. parem enim integram plenam, sicut & vniuersa, vt ita loquar, habet rationem, propter denariũ è quaternario natum, qui est prima meta numerorum compositorum ex vnitatibus. Numerus autem denarius ac qua- **D** ternarius dicitur omnis, sed denarius actu, quaternarius potentia. Cæterum eruditionis fructum non modo sanctũ, sed & laudabilem ait, non immerito, siquidem omnis virtus sancta est, gratitudo vero sanctissima: quam non legitime Deo exhibent, quotquot putant eum placari ædificijs, donarijs, sacrificijs. Nam ne totus quidem mundus ad templum in honorem eius suffecerit. sed præstat eum laudibus hymnísque colere, non decantatis voce so- **E** nora & tinnula, verùm modulatis in animo puro, quem solus Deus aspicit. Fertur certe antiqua fabula, à sapientibus viris ad posteros per manus tradita, quæ ad nostras quoque auidissimas discendi aures peruenit. Est autem talis. olim cum totum mundum opifex absolueret, quendam è prophetis rogauit nunquid desideraret nondum creatum, siue in terra & aqua,

siue in sublimi aere, siue in cœli extremo ambitu. Respondit ille, esse quidem perfecta & plena vbique omnia, vnum tamen se requirere, laudatorem horum sermonem, qui in rebus omnibus, vel quod minimum obscurissimúmque videtur, non tam laudet quàm enarret. Ipsam enim enarrationem operum Dei, laudem esse sufficientissimam, nullo egentem auctario, quando ipsa infucata veritas sit pro laude cumulatissima. Hoc responsum patri vniuersorum placuisse fertur, nec multo post exortum genus canorum & musicum ex vna diuinarum potentiarum virgine memoria, quam Mnemosynen quidam vocant detorto nomine. Hæc est priscorum fabula, ex cuius autoritate dicimus, nihil esse Deo magis proprium quàm benefacere, nihil item creaturæ quàm gratias agere, cum præterea nihil rependere valeat. Nam si quid aliud retribuere voluerit, id inueniet iam ante non ad creaturæ offerentis, sed ad ipsius omnium creatoris possessionem pertinere. Ergo quia didicimus vnum solum opus nobis competere ad honorem Dei faciens, videlicet gratiarum actionem, eam semper & vbique meditemur, tum voce tum bonis literis, nec vnquam desinamus vel orationes laudatorias, vel poemata componere, vt & per carmen & sine carmine, vtraque tam prorsa, quàm vorsa oratione, & mundi opificem & mundum veneremur, illum, vt quidam ait, autorem optimum, hunc creaturam perfectissimam. Cæterum post consecratum anno & numero quarto omnem fructum animæ, quinto iam nos vtemur eo fruemúrque. Ait enim, Anno quinto fructum eius edite. Quandoquidem naturæ lege sancitum est, vt post creatorem demum ratio creaturæ habeatur in rebus omnibus, vt pro magno æstimandum sit, si potiamur vel secundis partibus. Quin & ideo nobis anni quinti fructum assignat, quia numerus quinarius est sensui proprius, &, si verum fatendum est, sensus alit nostrum intellectum, aut per oculos colorum figurarúmque qualitates attrectans, aut per aures sonorum proprietates omnigenas, aut per nares odores, aut sapores per os, aut mollicies cedentes, duritiésque resistentes, & lenitates, asperitatésque, frigiditates caliditatésque per toto corpore sparsam

A ἢ ὅσα κατὰ τὴν μετάρσιον ἀέρος, ἢ τὴν ἐσχάτην τοῦ παντὸς φύσιν οὐρανοῦ γέγονεν. ὁ δὲ ἀπεκρίνατο, τέλεια μὲν καὶ πλήρη πάντα διὰ πάντων εἶναι· ἓν δὲ μόνον ζητεῖν, τὸν ἐπαινέτην αὐτῶν λόγον, ὃς τὰς ἐν πᾶσι καὶ βραχυτάτοις καὶ ἀφανεστάτοις δοκοῦσιν εἶναι περιβολὰς οὐκ ἐπαινέσει μόνον, ἢ διαγγελεῖ. τὰς γὰρ διηγήσεις τῶν τοῦ θεοῦ ἔργων, αὐταρκεστάτους ἐκείνων ἐπαίνους εἶναι, προσθήκης οὐδεμιᾶς ἔξωθεν εἰς κόσμον δεομένων, ἀλλὰ τὸ ἀψευδὲς
B τῆς ἀληθείας τελειότατον ἐχόντων ἐγκώμιον. ἀκούσαντα δὲ τὸν πατέρα τοῦ παντὸς τὸ λεχθὲν, ἐπαινέσαι καὶ οὐκ εἰς μακρὰν τὸ πάμμουσον καὶ ὑμνῳδὸν ἀναφανῆναι γένος, ἐκ μιᾶς δὲ τῶν περὶ αὐτὸν δυνάμεων, παρθένου μνήμης, ἣν μνημοσύνην παρατρέποντες οἱ πολλοὶ τὸ ὄνομα καλοῦσιν. ὁ μὲν οὖν τῶν παλαιῶν μῦθος ὧδε ἔχει· ἑπόμενοι δὲ ἡμεῖς αὐτῷ λέγομεν, ὅτι οἰκειότατόν ἐστιν ἔργον, θεοῦ μὲν εὐεργετεῖν, γενέσεως δὲ εὐχαριστεῖν, μηδὲ ἔξω τούτου πλέον τὴν εἰς ἀμοιβὴν ἀντιπαρασχεῖν δυ-
C ναμένων. ὃ γὰρ ἂν θελήσῃ τῶν ἄλλων ἀντιχαρίσασθαι, τοῦτ᾽ εὑρήσετε τοῦ πάντα πεποιηκότος, ἀλλ᾽ οὐ τῆς κομιζούσης φύσεως κτῆμα ἴδιον. μαθόντες οὖν ὡς ἓν ἔργον ἡμῖν ἐπιβάλλει μόνον ἐν τοῖς πρὸς τιμὴν θεοῦ τὸ εὐχαριστεῖν, τοῦτο ἀεὶ καὶ πανταχοῦ μελετῶμεν διά τε φωνῆς καὶ διὰ γραμμάτων ἀστείων, καὶ μηδέποτε ἐπιλείπωμεν, μήτε λόγους ἐγκωμιαστικοὺς, μήτε ποιήματα συντιθέντες, ἵνα καὶ ἐμμελῶς καὶ χωρὶς μέλους κατὰ τὴν ἑκατέραν φωνῆς ἰδέαν, ἣ τὸ λέγειν καὶ τὸ ᾄδειν ἀποκεκλήρωται,
D ὅ, τε κοσμοποιὸς, καὶ ὁ κόσμος γεραίρηται, ὁ μὲν, ὥς ἔφη τις, ἄριστος τῶν αἰτίων, ὁ δὲ τελειότατος τῶν γεγονότων. ἐπειδὴ μὲν οὖν ἔτει καὶ ἀριθμῷ τετάρτῳ πᾶς ὁ ψυχῆς ἀφιερώθη καρπὸς, τῷ πέμπτῳ τὴν ἀπόλαυσιν καὶ χρῆσιν ἡμεῖς αὐτοῖς χρησόμεθα. φησὶ γὰρ, Ἐν τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε καρπόν. ἐπεὶ τὸ γνησίως τοῦ πεποιηκότος ὕστερον ἐν ἅπασιν ἐξετάζεσθαι, νόμος φύσεως ἀνεπίληπτος, ὥστε κἂν εἰ τὸ δευτερείων ἀντιλαμβανοίμεθα, καὶ θαυμαστὸν ἡγεῖσθαι.
E καὶ διὰ τοῦτο μέντοι τὸν καρπὸν τοῦ πέμπτου ἡμῖν ἀνατίθησιν, ὅτι αἰσθήσεως πεντὰς ἀριθμὸς οἰκεῖος, καὶ εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ τρέφον τὸν νοῦν ἡμῶν ἐστιν αἴσθησις, ἢ δι᾽ ὀφθαλμῶν τὰς χρωμάτων καὶ σχημάτων ποιότητας εὐτρεπίζουσα, ἢ δι᾽ ὤτων παντοδαπὰς τὰς τῶν φωνῶν ἰδιότητας, ἢ διὰ μυκτήρων ὀσμὰς, ἢ χυλοὺς διὰ στόματος, ἢ μαλακότητας εἰκούσας, καὶ σκληρότητας ἀντιτύπους, ἢ λειότητας καὶ τραχύτητάς τε αὖ καὶ θερμότητας διὰ τῆς ἀνὰ πᾶν τὸ σῶμα σκιδναμένης

δυνάμεως, ἣν ἔθος ὀνομάζειν ἁφήν. τῶν δὲ εἰρημένων παράδειγμα σαφέστατοι οἱ Λείας υἱοὶ τῆς ἀρετῆς, οὐχ ἅπαντες, ἀλλὰ τέταρτός τε καὶ πέμπτος. ἐπὶ μὲν γὰρ τοῦ τετάρτου φησὶ Μωϋσῆς, ὅτι ἔστη τοῦ τίκτειν· καλεῖται δὲ Ἰούδας, ὃς ἑρμηνευθεὶς κυρίῳ ἐξομολόγησις· τὸν δὲ πέμπτον Ἰσσάχαρ προσαγορεύει· μισθὸς δὲ μεταληφθεὶς καλεῖται. καὶ τεκοῦσα τὸν προσῆκον εὐθὺς ἡ ψυχή, ὃ ἔπαθεν εὐθὺς ἐξελάλησεν. Ἐκάλεσε γάρ, φησί, τὸ ὄνομα αὐτοῦ Ἰσσάχαρ, ὅ ἐστι μισθός. συνοικοῦν Ἰούδας ὁ εὐλογῶν τὸν θεὸν νοῦς, καὶ τὰς εἰς αὐτὸν εὐχαρίστους ὑμνῳδίας ἀπαύστως μελετῶν, αὐτὸς ὁ πρὸς ἀλήθειαν ἅγιος καὶ αἰνετὸς καρπὸς ἦν, οὐχ ὑπὸ γῆς δένδρων, ἀλλ' ὑπὸ φύσεως λογικῆς καὶ σπουδαίας ἐνεχθείς· παρὸ καὶ ἡ τεκοῦσα αὐτὸν φύσις στῆναι λέγεται τοῦ τίκτειν· ἐπεὶ καὶ πῇ τραπῇ οὐκ εἶχεν ἔτι πρὸς τὸν τελειότητος ὅρον ἐλθοῦσα. τῶν γὰρ ἀποκυηθέντων κατορθωμάτων ἁπάντων ἄριστον καὶ τελειότατον γέννημα, ὁ εἰς τὸν πατέρα τῶν πάντων ὕμνος. ὁ δὲ πέμπτος υἱὸς τῆς κατὰ τὸν πέμπτον ἐνιαυτὸν τῶν φυτευθέντων διαφορᾶς χρήσεως. ὅ, τε γὰρ γεωπόνος μισθὸν ἔοικεν ὥσπερ τινὰ λαμβάνειν παρὰ τῶν δένδρων ἔτει πέμπτῳ, καὶ τὸ τῆς ψυχῆς γέννημα Ἰσσάχαρ, ὃς μισθὸς ἐκλήθη. καὶ σφόδρα εἰκότως, μετὰ τὸν εὐχάριστον Ἰούδαν ἀποκυηθείς. τῷ γὰρ εὐχαρίστῳ μισθὸς αὐτὸ τὸ εὐχαριστεῖν αὐταρκέστατος. οἱ μὲν οὖν τῶν δένδρων καρποὶ γεννήματα λέγονται τῶν ἐχόντων· ὁ δὲ παιδείας καὶ φρονήσεως, οὐκέτι ἀνθρώπου, μόνου δέ, ὥς φησι Μωϋσῆς, τοῦ πανηγεμόνος. εἰπὼν γὰρ τὰ γεννήματα αὐτοῦ, ἐπιφέρει, Ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν, ἐναργέστατα παριστάς, ὅτι οὗ τὸ γέννημα, καὶ ὁ τῆς ψυχῆς καρπός, εἷς ἐστιν ὁ θεός. τοῦτο καὶ παρά τινι τῶν προφητῶν λεχθὲν συνᾴδει· Ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται. τίς σοφὸς καὶ συνήσει ταῦτα, συνετὸς καὶ γνώσεται αὐτά; οὐ γὰρ παντός, ἀλλὰ μόνου σοφοῦ τὸ γνῶναι τίνος ὁ διανοίας καρπός ἐστι. περὶ μὲν οὖν γεωργίας τῆς πρεσβυτάτης καὶ ἱερωτάτης, ᾗ τὸ αἴτιον πρὸς τὸν κόσμον τὸ παμφορώτατον φυτὸν χρῆται, καὶ περὶ τῆς ἐπιμελείας ἣν ὁ ἀστεῖος ἐπιτηδεύει, καὶ περὶ τῆς φερωνύμου τετράδος τῶν ἄθλων, καὶ ἃ κατὰ προστάξεις καὶ ὑφηγήσεις νόμων συνεκροτεῖτο, ὡς οἷόν τε ἦν εἴπομεν· τὴν δὲ τοῦ δικαίου Νῶε ἀμπελουργικὴν εἶδος γεωργικῆς οὖσαν, ἐπισκεψώμεθα. λέγεται γάρ, ὅτι ἤρξατο Νῶε ἄνθρωπος εἶναι γεωργὸς γῆς· καὶ ἐφύτευσεν ἀμπελῶνα, καὶ ἔπιε τοῦ οἴνου, καὶ ἐμεθύσθη. συνοικοῦν τὸ μέθης φυτὸν ἐξεργάζεται

A potentiā, quam tactum vulgo nominăt. id ita esse, vt dixi, exemplo, manifesto docēt Liæ filij, scilicet virtutis, nō omnes, sed quartus quintúsque. de quarto enim dicit Moses, quòd post eum natū mater interquieuit parere. vocatur autē Iudas, qui interpretatur Domino confessio. Quintum vero appellat Issachar, qui merces interpretatur. hunc quamprimū anima peperit, mox quod sibi accidit elocuta est. Vocauit, inquit, nomē eius Issachar, quod est merces. ergo B Iudas intellectus benedicens Deum, & gratiarum actionis hymnos indesinenter meditans, ipse reuera sanctus & laudabilis fructus erat, non è terrenis enatus arboribus, sed è natura bona rationali. Quamobrem natura quæ eum peperit dicitur destitisse parere, quando non habebat quò se verteret, iam ad perfectionis progressa terminum. Nam inter omnia recte facta nullus partus est præstantior, quàm hymnus in Deum patrem omnium. Quintus autem filius C quinti anni, ex quo fructum percipimus est similis. Nam & agricola mercedem quandam ab arboribus, anno quinto accipit, & animæ partus Issachar est, qui merces vocatur. & merito, quando post gratum Iudam in lucem est editus. grato enim ipsa gratiarum actio, merces est amplissima. Et arboreorum quidem fructuum prouentus dominorum est. Prudentiæ vero eruditionísque fructus non est hominis, sed solius, vt ait Moses, omnipotentis. Nam post D hæc verba, fructus eius, subijcit hæc: Ego sum Dominus Deus vester, euidentissime docens, solum Deum esse fructus ex anima prouenientis Dominum. Cum ea sententia & prophetæ cuiusdam concinit oraculum hoc: Ex me fructus tibi inuentus est. Quis sapiens intelliget hæc? quis intelligens cognoscet ea? non cuiusuis enim, sed solius sapientis est, nosse mentis fructus cuius sit. Hactenus de antiquissima & sacrosancta agricultura, qua summus autor in plantanda hac feracissi- E ma planta, scilicet mundo vsus est, & consequenter de ea quam bonus vir exercet, & de quadruplicibus præmijs, legibúsque ac præceptis eodem tendentibus, pro virili diximus. Nunc huius iusti Noe vinitoriam artem, quæ est agriculturæ species, consideremus. Dicitur enim, quòd cœpit Noe homo agricola esse, & plātauit vineam, & bibit de vino eius, & inebriatus

A est.] Ergo ebrietatis plantam arte scientiáque iustus hic excolit, quàm insipientes sine arte ac modo tractant temere. itaque necesse habemus de ebrietate quæ dicéda sunt, dicere. mox enim cognoscemus & vim plantæ, vnde illa nascitur. Verùm ea quæ de ebrietate narrat legislator, aliàs inspiciemus accuratius: nunc exquiramus & aliorum sententias. Fuerunt autem multi philosophi, qui rem hanc considerarunt non mediocriter. Quæritur enim, vtrũ sapiens inebriabitur. B Est igitur duplex ebrietas, altera vino madere significat, altera vino delirare. Qui autem hanc quæstionem tractant, alij negant vel nimio mero vsurum sapientem, vel deliraturum ob pocula. Alterum enim horum esse peccatum, alterum peccati causam, vtrumque alienum à boni viri officio. Alij concedunt bono viro indulgere poculis, sed delirare præ potu non item. Prudentiam enim eius sufficere ad resistendum si quid nociturum videatur, C ne quid secus quàm oportet accidat animæ: quandoquidem prudentia tantam vim habet ad affectus extinguendos, siue feruenti amoris œstro inflammatos, siue multo vino calentes, vt his euadat superior. quia & in profundo flumine aut alto mari vrinantes, pars pereunt imperiti natandi, pars huius negotij gnari sine mora enatant. Sic & nimium merũ torrẽtis modo inundans animam, nunc oppressam vsque imum ignorantiæ D fundum demergit: nunc à salutari eruditione subleuatam non potest vllo modo lædere. horum alteri non satis, opinor, animaduertentes cum quanto malo suum sapientem componant, è sublimi eum tanquam aucupes in terram detrahunt, vt in calamitates quibus ipsi laborant inducant. alteri diuersam temperantiæ virtutem intuentes fateri coguntur, quòd qui haurit vinum immoderatius, impos sui factus aberrabit facile, nec manus E solum sicut athletæ victi demittet, sed ceruice quoque ac capite defluente, genúque labante, & pessum eunte toto corpore procidet. de hac re præmonitus non temere in bibacitatis certamen vltro descendet, nisi propter magnam vtilitatem aliquam, puta salutem patriæ, aut honorem parentum, aut liberorum vel alioqui coniunctissimorum securitatem, aut in vniuersum ob priuatum aliquod publicúmve negotium.

τεχνικῶς καὶ ἐπιστημόνως ὁ δίκαιος, τὴν ἀφρόνων ἄτεχνον καὶ πλημμελῆ πολυμαθοῦσιν αὐτοῦ τὴν ἐπιστασίαν· ὥστε ἀναγκαῖον τὰ προσήκοντα περὶ μέθης εἰπεῖν. αὐτίκα γὰρ εἰσόμεθα καὶ τὴν δύναμιν τοῦ παρέχοντος αὐτῇ τὰς ἀφορμὰς φυτοῦ. τὰ μὲν οὖν εἰρημένα τῷ νομοθέτῃ περὶ μέθης εἰσόμεθα ἐπ᾽ ἀκριβείας αὖθις· νυνὶ δὲ ἐξερευνήσομεν ὅσα καὶ τοῖς ἄλλοις ἔδοξεν. ἐσπουδάσθη δὲ παρὰ πολλοῖς τῶν φιλοσόφων ἡ σκέψις οὐ μετρίως· προτείνεται δὲ οὕτως, εἰ μεθυσθήσεται ὁ σοφός. ἔστι τοίνυν τὸ μεθύειν διττόν, ἓν μὲν ἴσον τῷ οἰνοῦσθαι· ἕτερον δὲ ἴσον τῷ ληρεῖν ἐν οἴνῳ. τῶν δὲ ἐπιχειρησάντων τῇ προτάσει, οἱ μὲν ἔφασαν μήτε ἀκράτῳ πλείονι χρῆσθαι τὸν σοφόν, μήτε ληρήσειν· τὸ μὲν γὰρ ἁμάρτημα, τὸ δὲ ἁμαρτήματος εἶναι ποιητικόν, ἑκάτερον δὲ ἀλλότριον κατορθοῦντος. οἱ δὲ τὸ μὲν οἰνοῦσθαι καὶ σπουδαίῳ προσῆκον ἀπεφήναντο, τὸ δὲ ληρεῖν ἀνοίκειον. τὸ γὰρ ἐν αὐτῷ φρόνημα ἱκανὸν εἶναι τοῖς βλάπτειν ἐπιχειροῦσιν ἀντιστατῆσαι, καὶ τὸν ἐπὶ τῇ ψυχῇ νεωτερισμὸν αὐτῶν καθελεῖν· δύναμιν δὲ περιβεβλῆσθαι φρόνησιν παθῶν σβεστήριον, εἴτε ὑπὸ φλεγμαίνοντος ἔρωτος οἴστρῳ ἀνερριπισμένων, εἴτε ὑπὸ πολλοῦ καὶ ζέοντος ἐξημμένων οἴνου, δι᾽ ἣν ὑπεράνω στήσεται· ἐπεὶ καὶ τῶν κατὰ ποταμοῦ βαθέος ἢ θαλάττης δυομένων, οἱ μὲν ἄπειροι τοῦ νήχεσθαι διαφθείρονται· οἱ δὲ τοῦ πράγματος ἐπιστήμονες τάχιστα διασῴζονται. καὶ μὴν ὥσπερ χειμάρρους ὁ πολὺς ἄκρατος ἐπικλύζων τὴν ψυχήν, τοτὲ μὲν βαθύνουσαν εἰς ἀμαθίας ἔσχατον βυθὸν κατέρριψε· τοτὲ δὲ ὑπὸ τῆς σωτηρίου παιδείας ἐπικουφιζομένην καὶ ἐπελαφριζομένην οὐδὲν ἴσχυσε βλάψαι. οἱ δὲ τὸ μέγεθος τῆς περὶ τὸ πάθος περιβολῆς οὐ κατανοήσαντες, οἶμαι, τοῦ σοφοῦ, μετεωροπολοῦντα αὐτόν, ὥσπερ οἱ τὰ πτηνὰ θηρεύοντες ἐπὶ τῆς γῆς ἀπ᾽ οὐρανοῦ κατεβίβασαν, ἵν᾽ εἰς τὰς ὁμοίας κῆρας ἀγάγωσιν. οἱ δ᾽ ἐρῶντες ἀρετῆς εἰς ὕψος ἔφασαν, ὅτι χρησάμενος οἴνῳ πλείονι τοῦ μετρίου, πάντως ἀκρατέστερος αὐτὸς ἑαυτοῦ γενόμενος, διαμαρτήσεται, καὶ οὐ χεῖρας μόνον ὑπ᾽ ἀσθενείας, οἷα τῶν ἀθλητῶν οἱ νενικημένοι, καθήσει, ἀλλὰ καὶ αὐχένα καὶ κεφαλὴν παραβαλὼν καὶ ὀκλάσας, καὶ ὅλον τὸ σῶμα παρασυρεὶς πεσεῖται. τοῦτο μέντοι προμαθών, οὐκ ἄν ποτε ἀξιώσειεν ἑκὼν εἰς πολυοινίας ἀγῶνα ἐλθεῖν, εἰ μὴ μεγάλα εἴη τὰ διαφέροντα, σωτηρία πατρίδος, ἢ τιμὴ γονέων, ἢ τέκνων καὶ τῶν οἰκειοτάτων σωμάτων ἀσφάλεια, ἢ συνόλως ἰδίων τε καὶ κοινῶν ἐπανόρθωσις πραγμάτων. οὐ γὰρ

θανάσιμον φάρμακον προσοίσεται αὐτῷ, εἰ μὴ πάνυ βιάζοιντο οἱ καιροὶ, καθάπερ ἐκ πατρίδος μετοικίσασθαι τοῦ βίου. φάρμακον δὲ, εἰ καὶ οὐ θανάτου, μανίας γοῦν ἄκρατον εἶναι αἴτιον συμβέβηκε. διὰ τί δὴ οὐχὶ καὶ μανίαν λεκτέον θάνατον, ὡς τὸ κράτιστον ἀποθνήσκει τῶν ἐν ἡμῖν ὁ νοῦς. ἀλλά μοι δοκεῖ τις ἂν εἰκότως τὸν διακρίνοντα καὶ διαλύοντα ψυχήν τε καὶ σῶμα, ὡς κουφότερον ἀντὶ βαρυτέρου τοῦ κατὰ τὴν ἔκστασιν, εἴ τις ἦν αἵρεσις, ἀνενδοιάστως ἑλέσθαι. διὰ τοῦτο μοι δοκοῦσι καὶ τὴν ἀρετὴν τῆς περὶ τὸν οἶνον ἐργασίας, μαινομένην ἐκάλεσαν οἱ πρῶτοι, καὶ τὰς ἐξ αὐτοῦ κατόχους γινομένας βάκχας, μαινάδας· ἐπεὶ μανίας καὶ παραφροσύνης αἴτιος τοῖς ἀπλήστως ἐμφορουμένοις ὁ οἶνος. τὰ μὲν οὖν ὡσπερεὶ προοίμια τῆς σκέψεως ταῦτά ἐστι· τὸν δὲ περὶ αὐτῆς λόγον ἤδη περαίνωμεν, διπλοῦν ὡς εἰκὸς ὄντα, τὸν μὲν, ὅτι σοφὸς μεθυσθήσεται κατασκευάζοντα· τὸν δὲ ἐναντίον, ὅτι οὐ μεθυσθήσεται βεβαιούμενον. τοῦ δὲ προτέρου τὰς πίστεις ἁρμόττον λέγειν, πρότερον ποιησαμένους ὀλίγην τὴν ἀρχήν. τῶν πραγμάτων τὰ μὲν ὁμώνυμα, τὰ δὲ συνώνυμα εἶναι συμβέβηκεν. ὁμωνυμία δὲ καὶ συνωνυμία τἀναντία ὁμολογεῖται· ὅτι ὁμωνυμία μὲν κατὰ πολλῶν ὑποκειμένων ἓν ὄνομα, συνωνυμία δὲ καθ' ἑνὸς ὑποκειμένου. ἡ κυνὸς φωνὴ πάντως ὁμώνυμος, ἐμφερομένων πλειόνων ἀνομοίων, ἃ δι' αὐτῆς σημαίνεται. τό τε γὰρ χερσαῖον ὑλακτικὸν ζῶον κύων, καὶ θὴρ ὁ θαλάττιος, καὶ ὁ οὐράνιος ἀστὴρ, ὃν ὀπωρινὸν οἱ ποιηταὶ καλοῦσιν, ὡς τῆς ὀπώρας ἀρτι ἡβώσης ἐπιτέλλει, τοῦ τελεσφορηθῆναί τι χάριν αὐτὴν, καὶ πεπανθῆναι· καὶ προσέτι ὁ ἀπὸ τῆς κυνικῆς αἱρέσεως ὁρμηθεὶς φιλόσοφος Ἀρίστιππος καὶ Διογένης, καὶ ἄλλων οἳ τὰ αὐτὰ ἐπιτηδεύειν ἠξίωσαν, ἀπερίληπτος ἀριθμὸς ἀνθρώπων. ἄλλαι δὲ εἰσὶ προσρήσεις διάφοροι κατὰ σημαινομένου ἑνὸς ὡς ἰὸς, οἰστὸς, βέλος. τὸ γὰρ διὰ τῆς τόξου νευρᾶς ἐπὶ τὸν σκοπὸν ἀφιέμενον πάντα ταῦτα λέγεται. καὶ πάλιν εἰρεσία, κώπη, πλάτη, τὸ πρὸς πλοῦν ἰσοδυναμοῦν ἱστίοις. ὁπότε γὰρ μὴ δύναιτο χρῆσθαι ναῦς κατὰ νηνεμίας ἢ ἀντιπνοίας ἱστίοις, προσκωπηλατοῦντες οἷς ἐπιμελὲς καὶ οἷα ταρσοὺς ἑτέρωθεν ἀποτείναντες, ὑπόπτερον αὐτὴν φέρεσθαι βιάζονται. ἡ δ' ἐξαιρομένη πρὸς ὕψος, ἐπιτρέχουσα τοῖς κύμασι μᾶλλον ἢ ἐντέμνουσα ταῦτα, ἐσχάζουσα ταχυναυτεῖ καὶ ναυλοχωτάτοις ὑποδρόμοις ἐνορμίζεται. καὶ μὴν πάλιν σκίπων, βακτηρία, ῥάβδος, ἑνὸς ὑποκειμένου

A nunquam enim sustinebit intra se recipere venenum mortiferum, nisi admodum iniquo tempore, per quod è vita profligetur tanquam ex patria. nam hoc venenum, si non mortem, certe creat insaniam: & quid vetat etiam insaniam mortem dicere, cuius accessu præcipua nostri pars mens interit? quantum equidem intelligo, separatio corporis ab anima vt leuior, præ grauiore malo alienatione mentis, si qua detur optio, eligenda est procul dubio. B Quapropter prisci Græci artem vini parandi μαινομένην vocarunt, & occupatas hac bacchas mænadas: quandoquidem insaniæ desipientiæque causa est vinum immoderate ingurgitantibus. & hæc quidem huius considerationis sunt tanquam procœmia: pergamus nunc ad reliquam, bifariam, vt videtur, diuisam, alteris sapientem admissurum ebrietatem asseuerantibus; alteris è diuerso id constanter pernegantibus. C prior opinio his argumentis niti videtur. ante omnia quasdam res homonymas esse, quasdam synonymas. homonymiam autem & synonymiam constat esse inter se contrarias. quia homonymia dicitur de multis subiectis commune nomen habentibus: synonymia vero de vno subiecto. canis vocabulum omnino est homonymum, complectens multa dissimilia, quæ per id significantur. nam & terrestre latrans animal canis dicitur, & marina bestia, & cæleste sidus, quod autumnale poetæ vocant, D quod ineunte autumno exoriatur, maturandis perficiendísque fructibus. præterea cynicæ sectæ antistites Aristippus & Diogenes, aliorúmque huius vitæ sectatorum ingens numerus. Rursum alia vocabula sunt diuersa quidem, vnam tamen rem significantia, vt sagitta, telum, spiculum. nam id quod arcus neruo ad scopum eiaculatur, his omnibus nominibus dicitur. item vel palmula, vel remus, quo ad nauigationem E pro velis vtuntur. Quoties enim aut nullis ventis aut aduersis impeditur nauigatio, in transtris considentes, quorum est hoc officium, & tanquam alas protendentes, ceu volucrem nauem cogunt iter facere. at illa sublimis volitans percurrit magis, quàm sulcat maria, & magna celeritate in stationes tutas allabitur. item scipio, virga, baculus; vnius subiecti differentia sunt

nomina, quo verberare, vacillantes greſſus confirmare, inniti, aliiſque multis modis vti licet. quæ nequaquam verboſius dicta ſunt, ſed vt clarius pernoſceretur id de quo quæritur. Merum vt vinum, ita & temetum priſci vocabant, quod nomen apud poetas ſæpe eſt obuium, vt hæc quoque inter ſynonyma de vno ſubiecto prædicata cenſeantur. vinum atque temetum, & quæ hinc deriuantur, vt voce non re diſcrepent, vini ſaturitas & temulentia: quæ vtraque nimium vſum ſignificant, multis de cauſis bono viro fugiendum. Qui ſi vino madebit, temulentus erit etiam, nec grauius lædetur temulentia, quàm ſi vino ſimpliciter expletus ſit. hæc eſt vna ſententia de ſapientis ebrietate, altera autem talis eſt. noſtræ tempeſtatis homines, paucis exceptis, nihil cum priſcis habent ſimile, ſed & verbis & factis magnam præ ſe ferunt diſcrepantiam. Nam & ſermonem ſanum validúmque ad morbum pernicioſum reduxerunt, quem exutum viuida athleticáque habitudine ferme in nihilum redegerunt, pro ſolido neruoſóque præter naturam facientes prauis humoribus tumidum inflatúmque inaniter, ſed viribus caſſum; vt cum maxime intenditur tum rumpatur facillime. actiones item ſtudio dignas, ipſas quoque fecerunt è maſculis (vt ita loquar) fœmineas, & turpes ex honeſtis, vt perpauci reperiantur vel dictis vel factis antiquorum æmulatores. Quapropter illorum ſeculo poetæ hiſtoricique ac reliqui muſicæ ſtudioſi florebant, qui non aures deliniebant rythmis oblectabántque, ſed quicquid in mente fractum luxatúmque fuerat excitabant, item quicquid concinnum, adaptabant ad naturæ virtutiſque orgia. Noſtra vero ætas fert coquos & cupediarios, tinctores & vnguentarios, magna curioſitate ſemper nouum aliquem colorem, nouámve formam, aut odorem aut ſaporem comminiſcentes in gratiam ſenſuum, vt imperatorem ſuum oppugnent intellectum. Sed quorſum iſta commemoro? vt oſtendam etiam merum non in eodem nunc quo olim vſu eſſe. Nunc enim vſque ad animi corporiſque languorem potant abſque reſpiratione bibentes, & vltro pincernas vrgentes, indignantéſque illis ceſſantibus,

A διαφόροις χρῆσθαι, ᾧ τύπτειν, καὶ ἀκραδάντως σκηρίπτεσθαι, καὶ ἐπερείδεσθαι, καὶ ἄλλα πλείω ποιεῖν ἔνεστι. ταῦτα δὴ οὐ μακρολογοῦντες ὅλως εἴπομεν, ἀλλ᾽ ὑπὲρ τοῦ σαφέστερον γνῶναι τὸ ζητούμενον. τὸν ἄκρατον ὥσπερ οἶνον, οὕτω καὶ μέθυ οἱ παλαιοὶ ἐκάλουν. πολλαχοῦ γοῦν τῆς ποιήσεώς ἐστι τοὔνομα ἐμφερόμενον, ὥστ᾽ εἰ τὰ συνωνυμοῦντα καθ᾽ ἑνὸς ὑποκειμένου λέγεται, οἶνος, καὶ μέθυσμα, καὶ τὰ ἀπὸ τούτων, οὐδὲν ὅτι
B μὴ φωναῖς διοίσει μόνον, τό, τε οἰνοῦσθαι καὶ τὸ μεθύειν· ἑκάτερον δὲ πλείονος οἴνου χρῆσιν ἐμφαίνει, ἣν πολλῶν ἕνεκα αἰτιῶν οὐκ ἂν ἀποστρέφοιτο ὁ σπουδαῖος. εἰ δὲ οἰνωθήσεται, καὶ μεθυσθήσεται, χεῖρον οὐδὲν ἐκ τῆς μέθης διατεθείς, ἀλλὰ ταὐτόν, ὅπερ καὶ ὁ ἐκ ψιλῆς τῆς γνώσεως παθών. μία μὲν ἀπόδειξις περὶ τοῦ τὸν σοφὸν μεθυσθήσεσθαι λέλεκται. δευτέρα δέ ἐστι τοιαύτη· σχεδὸν οἱ νῦν ἄνθρωποι τοῖς προτέροις ἔξω μέρους βραχέος οὐδὲν ὁμοιότροπον ζηλοῦν ἀξιοῦσιν, ἀλλὰ καὶ ἐν λόγοις καὶ
C ἐν ἔργοις τὸ μὴ συνᾴδειν καὶ διαφωνεῖν ἐπιδείκνυνται. τοὺς μὲν γὰρ λόγους ὑγιαίνοντας καὶ ἐρρωμένους εἰς πάθος ἀνήκεστον καὶ φθοροποιὸν περιήγαγον, ἀντὶ σφριγώσης καὶ ἀθλητικῆς ὄντως εὐεξίας, οὐδὲ ὑπόνοσον κατασκευάσαντες, καὶ τὸν πλήρη καὶ ναστόν, ὡς ἔφη τις, ὑπ᾽ εὐτονίας, οἱ εἰς τὴν παρὰ φύσιν οἰδοῦσαν καχεξίαν ἀγαγόντες, καὶ κενῷ φυσήματι μόνον ἐπαίροντες, ὃ δι᾽ ἔνδειαν τῆς συνεχούσης δυνάμεως, ὅταν μάλιστα περιταθῇ, ῥήγνυται· τὰς δὲ πράξεις γνησίους καὶ σπου-
D δῆς ἀξίας, καὶ αὐτάς, ὡς ἔπος εἰπεῖν, ἄρρενας ἐξεθήλυναν, αἰσχρὰς ἀντὶ καλῶν ἐργαζόμενοι, ὡς ὀλίγους εἶναι παντάπασιν ἑκατέροις ἔργοις τε καὶ λόγοις ἀρχαιοτρόπου ζηλώσεως ἐρῶντας. τοιγαροῦν ἐπ᾽ ἐκείνων ποιηταὶ καὶ λογογράφοι, καὶ ὅσοι περὶ τὰ ἄλλα μουσικῆς ἐσπούδαζον, ἤνθουν οὐ τὰς ἀκοὰς διὰ τῶν ἐν ῥυθμοῖς φωνῆς ἀφηδύνοντές τε καὶ θρύπτοντες, ἀλλ᾽ εἴ τι τῆς διανοίας κατεαγὸς καὶ κεχαλασμένον ἐγείροντες, καὶ ὅσον ἐμ-
E μελὲς αὐτῆς ἁρμοζόμενοι φύσεως καὶ ἀρετῆς ὀργίοις· ἐφ᾽ ἡμῶν δὲ ὀψαρτυταὶ καὶ σιτοπόνοι καὶ ὅσοι τῆς ἐν βαφικῇ καὶ μυρεψικῇ τεχνῖται περιεργίας, ἀεί τι καινὸν χρῶμα ἢ σχῆμα ἢ ἀτμὸν ἢ χυλὸν ἐπιτειχίζοντες ταῖς αἰσθήσεσιν, ὅπως τὸν ἡγεμόνα πορθήσωμεν νοῦν. τίνος δὲ χάριν τούτων ἐμνήσθην; ἵν᾽ ἐπιδείξω, ὅτι καὶ τὸν ἄκρατον οὐχ ὁμοίως οἱ νῦν τοῖς πάλαι προσφέρονται. νῦν μὲν γὰρ ἄχρι τοῦ σῶμα καὶ ψυχὴν παρεθῆναι, πίνουσιν ἀθρόως καὶ ἀπνευστί, χαίροντες ἔτι καὶ προσφέρειν τοῖς

οἰνοχοουμένοις κελεύοντες, κἂν διαμελλήσωσιν ἀγανακτοῦντες, ὅτι τὸ θερμὸν λεγόμενον πρὸς αὐτοῖς ποτὸν περιψύχουσι, καὶ τὸ παράκομμα τὸ Ὁμηρικὸν, τὸν πρόπινον ἀγῶνα πρὸς τοὺς συνόντας ἐπιδείκνυνται, ἐν ᾧ μεγάλα καὶ καλὰ ἀλλήλους ἀποδιδρῶσιν, ὦτα, ῥῖνας, καὶ χειρῶν ἄκρους δακτύλους, καὶ ὁποῖα δ' ἂν τύχῃ μέρη τοῦ σώματος ἀπεσθίοντες. ταῦτ' ἐστὶ τῆς ἡβώσης καὶ νεωτέρας καὶ ἄρτι ἀκμαζούσης ἆθλα, ὡς ἔοικεν, εὐφροσύνης· τῆς δὲ ἀρχαίας καὶ πρεσβυτέρας, τἀναντία. πάσης γὰρ καλῆς πράξεως ἀφ' ἱερῶν τελείων οἱ πρότεροι κατήρχοντο, νομίζοντες μάλιστα οὕτως αἴσιον ἀποβήσεσθαι τὸ τέλος αὐτοῖς, καὶ πρὶν εὔξασθαί τε καὶ θῦσαι, κἂν εἰ σφόδρα τοῦ πράγματος ἐπείγοιντο οἱ καιροί, πάντως ἀνέμενον οὐ μετὰ τὸ βραχὺ τοῦ βραδέος, ἡγούμενοι κρεῖττον. οὐ προμηθὲς μὲν γὰρ τάχος βλαβερόν, βραδυτὴς δὲ μετ' εὐελπιστίας ὠφέλιμον. εἰδότες οὖν ὅτι ἡ τοῦ οἴνου ἀπόλαυσίς τε καὶ χρῆσις δεῖται πολλῆς ἐπιμελείας, οὔτε ἄδην, οὔτε ἀεὶ προσεφέροντο τὸν ἄκρατον, ἀλλ' ἐν τε κόσμῳ καὶ καιρῷ προσήκοντι. πρότερον γὰρ εὐξάμενοι καὶ θυσίας ἀναγαγόντες, καὶ ἱλασάμενοι τὸ θεῖον, σώματα καὶ ψυχὰς καθηράμενοι, τὰ μὲν λουτροῖς, τὰ δὲ νόμων καὶ παιδείας ὀρθῆς ῥεύμασι φαιδροὶ καὶ γεγηθότες πρὸς ἀνειμένην δίαιταν ἐτρέποντο, μηδὲ οἴκαδε πολλάκις ἀφικνούμενοι, ἀλλ' ἐν οἷς ἔθυσαν ἱεροῖς διατρίβοντες, ἵνα καὶ τῶν θυσιῶν μεμνημένοι, καὶ τὸ ἔμπον αἰδούμενοι, ἱεροπρεπεστάτην ὡς ἀληθῶς ἄγωσιν εὐωχίαν, μήτε λόγῳ μήτε ἔργῳ διαμαρτάνοντες. ἀπὸ τούτου γέ τοι φασὶ τὸ μεθύειν ὠνομάσθαι, ὅτι μετὰ τὸ θύειν, ἔθος ἦν τοῖς πρότερον οἰνοῦσθαι. τίσι δὴ μᾶλλον οἰκεῖος ἂν εἴη τῆς τοῦ ἀκράτου χρήσεως ὁ λεχθεὶς τρόπος, ἢ σοφοῖς ἀνδράσιν, οἷς νῦν καὶ τὸ πρὸ τῆς μέθης ἔργον ἁρμόττει τὸ θύειν. σχεδὸν γὰρ οὐδεὶς ἐστὶ τῶν φαύλων πρὸς ἀλήθειαν ἱερουργεῖ, κἂν ἐνδελεχῶς μυρίους βόας ἀνὰ πᾶσαν ἡμέραν ἀνάγῃ. τὸ γὰρ ἀναγκαιότατον ἱερεῖον αὐτῷ λελώβηται, ὁ νοῦς· λώβας δὲ οὐ θέμις βωμοῦ προσψαύσασθαι. δεύτερος μὲν δὴ λόγος οὗτος εἴρηται, δηλῶν ὅτι οὐκ ἀλλότριον σπουδαίου τὸ μεθύειν. τρίτον δ' ἐστὶν ἀπὸ διαφερούσης τῆς πρὸς τὴν ἐτυμολογίαν πιθανότητος ἠρτημένον. τὴν γὰρ μέθην οὐ μόνον, ἐπεὶ μετὰ θυσίας ἐπιτελεῖται, νομίζουσί τινες εἰρῆσθαι, ἀλλ' ὅτι καὶ μεθέσεως ψυχῆς αἰτία γίνεται. μεθίεται δὲ ὁ μὲν τῶν ἀφρόνων λογισμὸς εἰς πλειόνων ἰσχὺν ἁμαρτημάτων· ὁ δὲ τῶν εὐφρόνων, εἰς ἀνέσεως καὶ εὐθυμίας καὶ ἱλαρότητος ἀπόλαυσιν.

A dum caldam, quam vocant, frigefaciunt: & deliramentum illud Homericum, scilicet bibendi certamen conuiuis suis repræsentant, in quo egregie conflictantur, auriculas, nares, manuum extremos digitos, & alias quascunque partes corporis sibi prærodentes inuicem. hæc sunt, vt videmus, huius nouæ, quæ nunc introducta viget, hilaritatis præmia: priscæ autem illius & antiquæ contraria. nam prisci omnis honestæ actio-
B nis à sacris faciebant initium, ita demum finem optatum sperantes: & quamuis rei gerendæ tempus ægre cunctationem pateretur, tamen ante omnia curabant, vt votis rite peractis litaretur, pro lucro moram hanc reputantes. inconsulta enim celeritas nocet, cunctatio speratam affert vtilitatem. scientes igitur, quòd vini vsus magna cautela opus habeat, nec affatim nec semper adhibebant merum, sed decenter & suo tempore. peractis
C enim votis, & sacrificijs placato numine, post purificationem corporum & animarum, aquis abluti & imbuti sacrarum legum cognitione, hilares & læti ad remissiorem victum se vertebant, sæpe ne domum quidem repetentes, sed in templis vbi sacra fecerant permanentes, vt & sacrificij memores, & locum reueriti, sacrosanctum re vera celebrarent conuiuium, nec verbo nec facto vllo peccantes. ex hoc more natam aiunt vo-
D cem μεθύειν, quasi μετὰ τὸ θύειν, quia post sacra demum prisci indulgebant poculis. Talis vsus meri cui magis, quàm viris sapientibus conueniat, quibus nunc quoque debetur ea, quæ potationem præcedit sacrorum operatio. Nam nemo pene malus re vera sacrificat, etiamsi perenni sacrificio x M. boum immolet quotidie. Nam præcipua victima mens ipsa non est integra. læsis vero non est fas aras attingere. hæc est ratio secunda, qua potationem à
E bono viro non esse alienam ostenditur. tertia fit per diuersam etymologiam probabilis. sunt enim quidam qui putant huic rei non ideo tantùm datum istud nomen, quia soleat sequi post sacra, sed ἀπὸ τῆς μεθέσεως, id est à remissione animi. relaxatur autem insipientium quidem ratio ad peccandum licentius: recte sapientium vero ad fruendum tranquillitate hilaritatéque. fit enim vir sapiens vino maceratus

φαῦλοι. ὥστε καὶ τὸ μεθύειν ἑκατέρῳ τῶν εἰδῶν ἐφαρμόττει. μεθυσθήσεται τοιγάρτοι καὶ ὁ ἀστεῖος, μηδὲν τῆς ἀρετῆς ἀποβαλών. εἰ δ' ὥσπερ ἐν δικαστηρίῳ μὴ μόνον ταῖς ἐντέχνοις ἀποδείξεσιν, ἀλλὰ καὶ ταῖς ἀτέχνοις λεγομέναις χρηστέον, ὧν μία ἐστὶν ἡ τῶν μαρτυριῶν, πολλοὺς καὶ εὐδοκίμους μαρτυροῦντας παρεξόμεθα παῖδας ἰατρῶν καὶ φιλοσόφων, οὐ λόγοις μόνον, ἀλλὰ καὶ γράμμασι τὴν μαρτυρίαν σημειωσαμένους. μυρίας γὰρ ἀπολελοίπασι συντάξεις ἐπιγράψαντες περὶ μέθης, ἐν αἷς περὶ ψιλῆς αὐτὸ μόνον σκοποῦσιν οἴνου, οὐδὲν περὶ τῶν ληρεῖν εἰωθότων προσεξετάζοντες, ἀλλ' ὅλον τὸ παροινίας παραπέμψαντες εἶδος· ὥστε καὶ παρὰ τούτοις σαφέστατα ὡμολογῆσθαι, ὅτι τὸ μεθύειν ἦν τὸ οἰνοῦσθαι. οἴνου δὲ ἀπολαῦσαι πλείονος οὐκ ἂν εἴη χεῖρον ἐν καιρῷ σοφόν. οὐ τοίνυν διαμαρτησόμεθα λέγοντες ὅτι μεθυσθήσεται. ἐπεὶ δὲ οὐδεὶς καθ' αὑτὸν ἀγωνιζόμενος ἀναγράφεται νικᾶν, εἰ δ' ἀγωνίζοιτο, σκιαμαχεῖν μᾶλλον ἂν εἰκότως δόξαι, ἀνάγκη καὶ τοὺς τὸ ἐναντίον κατασκευάζοντας λόγους εἰπεῖν, ἵνα δικαιοτάτη γένηται κρίσις, μηδ' ἑτέρου μέρους ἐξ ἐρήμου καταδικασθέντος. ἔστι δὲ πρῶτος καὶ δυνατώτατος οὗτος, εἰ τῷ μεθύοντι οὐκ ἄν τις εὐλόγως λόγον ἀπόρρητον παρακατάθοιτο· οὐκ ἄρα μεθύει ὁ ἀστεῖος. ἀλλὰ πρὶν ἢ τοὺς ἄλλους ἑξῆς συνείρειν, ἄμεινον καθ' ἕκαστον τῶν προτεινομένων ἀντιλέγειν, ἵνα μὴ μακρηγοροῦντες ἐπὶ πλεῖον ἐνοχλεῖν δοκῶμεν. φήσει δή τις ἐναντιούμενος, ὅτι κατὰ τὸν λεχθέντα λόγον ὁ σοφὸς οὔτε μελαγχολήσει ποτέ, οὔτε κοιμηθήσεται, οὔτε συνόλως ἀποθανεῖται· ᾧ δὲ μὴ συμβαίνει τι τοιοῦτον, ἄψυχόν ἐστιν ἢ θεῖον, ἀνθρώπου δὲ οὐκ ἂν εἴη τὸ παράπαν, τὴν παραγωγὴν τοῦ λόγου μιμησάμενος, ἐφαρμόσει τὸν τρόπον τοῦτον τῷ μελαγχολῶντι, ἢ κοιμωμένῳ, ἢ ἀποθνήσκοντι. οὐκ ἄν τις γὰρ εὐλόγως λόγον ἀπόρρητον τῷ τοιούτῳ παρακατάθοιτο, τῷ δὲ σοφῷ εὐλόγως· οὐ γὰρ μελαγχολᾷ, οὔτε κοιμᾶται, οὔτε ἀποθνήσκει ὁ σοφός.

A nus vir absque vllo virtutis detrimento. quod si tanquam pro tribunali non solum artificiosis probationibus, sed etiam inartificiosis quas vocant, vtendum est, ex quibus vna est quæ per testes fit, multos laudatos adducemus medicorum filios & philosophorum, qui non verbis modo, sed etiam scriptis attestantur huic sententiæ. multos enim reliquerunt commentarios intitulatos de ebrietate, in quibus tantum de vino disputant, non B attingentes delirationem, sed prætermittentes quicquid ad debacchationes insanas pertinet. itaque horum etiam confessione temulentia est potatio largior. haurire autem vinum largius non obfuerit sapienti cum tempus est. ergo nihil peccabimus si concedemus ei temulentiam. Quoniam autem nemo sine aduersario certans victor pronunciatur, quòd si certet, cum vmbra pugnare videbitur, necesse est etiam contrariam opinionem de- C fendentium argumenta producere, vt iustum fiat iudicium, ne altera pars indefensa damnetur. est autem primum & efficacissimum, quòd nemo secretum recte committit ebrio. ergo vir bonus non inebriatur. sed præstiterit fortasse prius quàm alia deinceps colligamus, ad singulas obiectiones respondere, ne molesti simus prolixitate nimia. Contradicet aliquis iuxta hanc rationem nec atra bile vnquam laboraturum sapientem, nec D dormiturum, nec moriturum denique. cuicunque autem nihil horum accidit, aut anima caret, aut numen habet, homo certe non est. & quod de ebrio dictum est, pari modo potest accommodari ad atra bili furentem, aut dormientem, aut mortuum. nam nulli horum secretum recte committitur, quod penes sapientem recte deponitur. non furit igitur, nec dormit, nec moritur sapiens.

ΠΕΡΙ ΜΕΘΗΣ.

PHILONIS IVDÆI DE TEMVLENTIA.

QVæ ab alijs philosophis de temulentia dicta sunt, vt potuimus in præcedenti libro memorauimus: nunc consideremus quænam sit maximi sapientissimique legislatoris super ea re sententia. sæpe enim in suis legibus vini & producentis id plantæ vitis meminit. eius potum alijs permittit, alijs nequaquam: imò eisdem aliquando concedit, aliquando non. hi sunt qui magnum votum vouerunt, quibus iam indicitur vini vsus, iam interdicitur, sacerdotibus sacra tractantibus. qui autem vino vtuntur, innumeri sunt, & in his plerique ob virtutem ab ipso propheta laudati. verùm priùs quàm de his incipiamus dicere, quædam ad argumentum hoc spectantia diligentius consideranda sunt opinor, ante omnia quòd Moses non vnam rem, sed plures per merum significat, delirationem, dementiam, stuporem omnium sensuum, auiditatem insatiabilem, non probandam securitatem, & insipientiam quæ cætera huiusmodi complectitur, tum eam quæ in his omnibus extat nuditatem, in quam ebrium Noe deuolutum narrat. hos autem vini effectus dicit esse. Sed innumeri sunt, qui ne gustato quidem mero sobrios se putantes implicantur similiter, quos videre licet alios desipere delirareque, alios prorsus captos sensibus, alios nunquam expleri sitientes semper ea quæ non possunt assequi, eo quòd destituantur scientia: alios contrà gaudentes & hilares, alios re vera nudatos. inter hæc omnia delirationis causa est noxia ruditas, non inscitia, sed scientiæ fastidium: stuporis, insidiatrix cæca ignorantia: insatiabilitatis, molestissima omnium affectionum concupiscentia:

A Τὰ μὲν τοῖς ἄλλοις φιλοσόφοις εἰρημένα περὶ μέθης, ὡς οἷόν τε ἦν, ἐν τῇ πρὸ ταύτης ὑπεμνήσαμεν βίβλῳ· νυνὶ δὲ ἐπισκεψώμεθα τίνα τῷ πάντα μεγάλῳ καὶ σοφῷ νομοθέτῃ περὶ αὐτῆς δοκεῖ. πολλαχοῦ γὰρ τῆς νομοθεσίας οἴνου καὶ τοῦ γεννῶντος φυτοῦ τὸν οἶνον ἀμπέλου διαμέμνηται. καὶ τοῖς μὲν ἐμπίνειν ἐπιτρέπει, τοῖς δ' οὐκ
B ἐφίησι, καὶ τοῖς αὐτοῖς ἔστι καὶ μή. οὗτοι μὲν οὖν εἰσὶν οἱ τὴν μεγάλην εὐχὴν εὐξάμενοι, οἷς ἀκράτῳ ἔστιν ὅτε προστάττει τοὐναντίον οἴνῳ κεχρῆσθαι, καὶ μὴ χρῆσθαι ἀπείρηται, οἱ λειτουργοῦντες ἱερεῖς· οἱ δὲ προσφερόμενοι τὸν οἶνον, μυρίοι μάλιστα τῶν ἐπ' ἀρετῇ καὶ πρὸς αὐτοῦ τεθαυμασμένων. πρὶν δὲ περὶ τούτων ἄρξασθαι λέγειν, τὰ συντείνοντα πρὸς τὰς κατασκευὰς αὐτῶν ἀκριβωτέον. ἔστι δὲ, ὡς οἶμαι, σύμβολον
C τὸν ἄκρατον Μωσῆς οὐχ ἑνὸς, ἀλλὰ πλειόνων εἶναι νομίζει, τοῦ ληρεῖν καὶ παραπαίειν, ἀναισθησίας παντελοῦς, ἀπληστίας ἀκορέστου, καὶ δυσαρέστου ἐπιθυμίας, καὶ εὐφροσύνης τῆς τἆλλα περιεχούσης, καὶ πᾶσι τοῖς εἰρημένοις ἐμφαινομένης γυμνότητος, ἣ τὸν Νῶε μεθυσθέντα φησὶ χρήσασθαι. τὸν μὲν οὖν οἶνον λέγεται ταῦτα ἐργάζεσθαι· μυρίοι δὲ καὶ τοῦ οὐ προσαψάμενοι ἀκράτου νήφειν ὑπολαμ-
D βάνοντες τοῖς ὁμοίοις ἁλίσκονται, καὶ ἔστιν ἰδεῖν τοὺς μὲν αὐτῶν ἀφραίνοντάς τε καὶ ληροῦντας· τοὺς δ' ἀναισθησίᾳ παντελεῖ κατεσχημένους· τοὺς δὲ μηδέποτε πληρουμένους, ἀεὶ δὲ τῶν ἀνηνύτων διψῶντας, διὰ χρείαν ἐπιστήμης· τοὺς δ' ἔμπαλιν γανυμένους καὶ εὐφραινομένους, τοὺς δὲ τῷ ὄντι γυμνουμένους· τοῦ μὲν οὖν ληρεῖν αἴτιον ἡ ἐπιζήμιος ἀπαιδευσία, λέγω δ' οὐ τὴν παιδείας ἀνεπιστημοσύνην, ἀλλὰ τὴν πρὸς αὐτὴν ἀλλοτρίωσιν· τοῦ δ' ἀναισθητεῖν ἡ ἐπίβουλος καὶ πηρὸς ἄγνοια. ἀπληστίας δὲ ἡ ἀργαλεωτάτη παθῶν ψυχῆς ἐπιθυμία.

εὐφροσύνης

A εὐφροσύνης δὲ κτῆσις ὁμοῦ καὶ χρῆσις ἀρετῆς. γυμνότητος μὲν τοι πολλά, ἄγνοια τῶν ἐναντίων, ἡ κακία καὶ ἀφέλεια ἠθῶν, ἀλήθεια ἡ τὰ τῶν ἐσκιασμένων πραγμάτων ἀνακαλύπτουσα ἄγουσα δύναμις, τῇ μὲν ἅπαν πῖσσα ἀρετὴν, τῇ δὲ κακίαν ἐν μέρει. ἅμα μὲν γὰρ ψυχὴν ἀποδύσασθαι, ἀλλ' οὐδ' ἐνδύσασθαι δύναται. ἐπειδὰν δέ τις ἀποῤῥίψῃ τὴν ἑτέραν ἐξ ἀνάγκης τὴν ἐναντίαν αἰεὶ λαμβάνει ἅπαν πίπτει. ὥσπερ γὰρ ἡδονὴν καὶ ἀλγηδόνα φύσει μαχομένας, ὡς ὁ παλαιὸς λόγος, εἰς μίαν κορυ-
B φὴν συνάψας ὁ θεὸς, ἑκατέρας αἴσθησιν οὐκ ἐν ταυτῷ, διαλλάττουσι δὲ χρόνοις ἐνεργάσατο κατὰ τὴν ψυχὴν τῆς ἑτέρας καθόδον τῇ ἐνδυσίᾳ ψηφισάμενος· οὕτως ἀπὸ μιᾶς ῥίζης τοῦ ἡγεμονικοῦ τά τε ἀρετῆς καὶ κακίας διπλᾶ ἀνέδραμεν ἔρνη, μήποτε βλαστάνοντα, μήτε καρποφοροῦντα ἐν ταυτῷ. ὁπότε μὲν γὰρ φυλλορροεῖ καὶ ἀφαυαίνεται θάτερον, ἄρχεται ἀναβλαστάνειν καὶ χλοηφορεῖν τὸ ἐναντίον, ὡς ὑπολαβεῖν ὅτι ἑκάτερον τῇ θατέρου δυσ-
C χεραῖνον εὐπραγίᾳ στέλλεται, δι' ἣν αἰτίαν φυσικωτάτην τὴν Ἰακὼβ ἔξοδον, εἴσοδον Ἠσαῦ παρείσηκεν. Ἐγένετο γὰρ, φησὶν, ὅσον ἐξῆλθεν Ἰακὼβ, ἧκεν Ἠσαῦ ὁ ἀδελφὸς αὐτοῦ. μέχρι μὲν γὰρ ἐνσχολάζει καὶ ἐμπεριπατεῖ τῇ ψυχῇ φρόνησις, ὑπερόριος ὁ ἀφροσύνης ἑταῖρος ἐκτετόξευται· ἐπειδὰν δὲ μετοικίσηται, γεγηθὼς κάτεισιν ἐκ φυγῆς τῆς πολεμίας καὶ δυσμενοῦς, δι' ἣν ἠλαύνετο καὶ ἐφυγαδεύετο, μηκέτι τὸν αὐτὸν χῶρον οἰκούσης. τὰ μὲν οὖν
D ὡσανεὶ προοίμια τῆς γραφῆς ἀρκούντως λέλεκται· τὰς δὲ ἀποδείξεις ἑκάστων προσαποδώσομεν ἀπὸ τοῦ πρώτου πρῶτον ἀρξάμενοι διδάσκειν. τὴν τοίνυν ἀπαιδευσίαν λήρου καὶ ἁμαρτανόντων αἰτίαν ἔφαμεν εἶναι, καθάπερ μυρίοις τῶν ἀφρόνων τὸν πολὺν ἄκρατον. ἀπαιδευσία γὰρ τῶν ψυχῆς ἁμαρτημάτων, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ ἀρχέκακον, ἀφ' ἧς ὥσπερ ἀπὸ πηγῆς ῥέουσιν αἱ τοῦ βίου πράξεις, πότιμον μὲν καὶ σωτήριον οὐδὲν οὐ-
E δενὶ νᾶμα ἐνδιδοῦσαι τὸ παράπαν, ἁλμυρὸν δὲ νόσου καὶ φθορᾶς τοῖς χρησαμένοις αἴτιον. οὕτω γοῦν κατὰ ἀγωγὴν καὶ ἀπαιδεύτων ὁ νομοθέτης φονᾷ, ὡς κατ' οὐδενὸς ἴσως ἑτέρου. τεκμήριον δὲ, τίνες εἰσὶν οἱ μὴ ἐπιτηδεύσει μᾶλλον ἢ φύσει σύμμαχοι παρά τε ἀνθρώποις καὶ ἐν τοῖς ἄλλοις γένεσι τῶν ζῴων. ἀλλ' οὐδὲ μανεὶς ἑτέρους ἂν εἴποι τις, ἢ τοὺς γονέας εἶναι. κήδεται γὰρ ἀδιδάκτῳ τῇ φύσει τὸ πεποιηκὸς ἀεὶ τοῦ γινομένου, καὶ σωτηρίας αὐτοῦ καὶ διαμονῆς τὸ εἰσάπαν πρόνοιαν ἔχει. τοὺς οὖν ἐκ φύσεως συναγωνιστὰς ὑπερασ-

sicut lætitiæ causa est vsus virtutis simul ac possessio. at nuditatis non vna, ignorantia contrariorum, prauitas morum & rusticitas, veritas quæ fucatis rebus detrahit tectoria, discernens & separans à virtute quicquid vitiosum est. hæc enim duo nec vestiri simul possunt, nec exui. sed si quis reiecerit alterutrum, necessario contrarium eius totum exhauriet. sicut enim voluptatem & molestiam natura inter se contrarias pugnantésque, vt est in vetere fabula, in vnum Deus coaptans fastigium, vtriusque sensum nobis non eodem sed diuerso tempore indidit, hac lege vt alteri decedenti succederet altera: ad eundem modum ab eadem radice, videlicet intellectu, duæ stirpes exortæ sunt, virtus atque vitium, nunquam nec germinantes nec fructum ferentes eodem tempore. quoties enim arescenti alteri folia defluunt, contraria germinare virereque incipit, vt credibile sit vtramque alterius felicitate offensam contrahere se: quam ob causam valde naturæ consentaneam, Iacob exitum, introitum Esau legimus, dicente scriptura: Et factum est quando exiuit Iacob, venit Esau frater eius. Quantisper enim inambulat in anima prudentia, exterminatur amicus insipientiæ, sed quamprimum illa migrat, alter reuertitur gaudens ob discessum inimicæ infensissimæ, propter quam exulauerat. Hactenus satis præfati, iam singula quæ proposuimus confirmabimus, & à primo auspicabimur. Ruditatem delirandi peccandique causam esse diximus, sicut è vulgo innumeros præ mero delirare. nam ruditas peccatorum animæ, si vera fatenda sunt, caput est, à qua tanquam à fonte promanant actiones omnes huius vitæ, nullum omnino præbentes liquorem salubrem ac potabilem, sed salsuginosum, qui morbum atque perniciem gustantibus afferat. Quapropter legislator noster in nullos æque sæuit ac in educatos perperam, vel hoc argumento. qui sunt quos non tam studium quàm natura consociat, siue inter homines, siue inter animantes cæteras? nemo etiam insanus alios quàm parentes dixerit. hoc enim natura docet absque præceptore, vt nati curæ sint genitoribus, ipsorum saluti diuturnitatique prospicientibus. hos tamen naturales protectores in hostium

X

traducit ordinem, patrem matrémque accusatores è patronis faciens, vt qui soli seruare debuerant, perdant etiam. Si quis, inquit, habuerit filium contumacem & proteruum, qui non audierit vocem patris ac matris, & coercitus obedire contempserit: apprehendent eum pater & mater eius, ducéntque ad senatum ciuitatis illius, & ad portam iudicij: dicéntque ad viros ciuitatis suæ: Filius iste noster proteruus & contumax est, monita nostra audire contemnit, conuiuijs vacat & compotationibus: & obruet eum lapidibus populus, & auferetis hunc malum de medio vestri. Ergo quatuor crimina hic objiciuntur, contumacia, proteruitas, profusio in conuiuia, & temulentia, grauissimum vero vltimum, natum è primo, videlicet contumacia, atque ita per gradus auctum. nam anima cum primum cœpit rectorem contemnere, per proteruitatem contentionémque ad extremum terminum peruenit temulentiam, dementiæ causam & desipientiæ. sed præstat in singula crimina ordine inquirere. Omnium confessione constat bonum esse parere virtuti, atque etiam vtile: sicut contrà non parere, turpe simul ac inutile. iam si accedat proteruitas, malum fit longe grauissimum. inobediens enim minus malus est quàm contentiosus: quia prior tantum iussa negligit, posterior data opera nititur in contrarium. age inspiciamus rem attentius. Fac legem iubere vt habeatur honor parentibus. qui non honorat, est contumax: qui probro afficit, contentiosus. rursum quia seruare patriam iustum est, qui hoc facere grauatur, contumax: qui eam prodere conatur, proteruus dicendus est. item qui debitam gratiam rependere iussus tergiuersatur, facit contumaciter. qui autem insuper damnum dat, peruicaciter elatus peccatum admittit immedicabile. præterea qui sacrificia & alia officia pietatis negligit, inobediens est præceptis quæ lex super his rebus præcepit: proteruus autem in contrarium ad impietatem declinat, negans esse numen: qualis est ille qui dicit: Quis est cui obediemus? & rursum: Non noui Dominum. prioribus verbis negatur esse vllum numen: posteriora aiunt, etiamsi quod sit, ignotum tamen esse: quibus verbis prouidentia tollitur.

A χοντας εἰς ἐχθρῶν μετελθεῖν τάξιν ἐσπούδασαν, κατηγόρους ἐπιστήσας τοὺς δέοντας ἂν συναγορεύσοντας πατέρα καὶ μητέρα, ἵν᾽ ὑφ᾽ ὧν εἰκὸς ἦν σώζεσθαι μόνων, παραπόλωνται. Ἐὰν γάρ τινι, φησὶν, υἱὸς ᾖ ἀπειθὴς καὶ ἐρεθιστὴς, οὐχ ὑπακούων φωνῆς πατρὸς καὶ μητρὸς, καὶ παιδεύωσιν αὐτὸν, καὶ μὴ εἰσακούῃ αὐτῶν, συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ ἐξάξουσιν εἰς τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ, καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου αὐτοῦ, καὶ B ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν, ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει καὶ οὐκ εἰσακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ· καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. Οὐκοῦν αἱ κατηγορίαι τὸν ἀριθμὸν τέτταρες, ἀπείθεια καὶ ἐρεθισμὸς καὶ συμβολῶν εἰσφορὰ καὶ μέθη. μεγίστη δ᾽ ἡ τελευταία, τὴν αὔξην ἀπὸ τῆς πρώτης ἀπειθείας λαβοῦσα. ἀρξαμένη γὰρ ἀφηνιάζειν ἡ ψυχὴ καὶ προελθοῦσα διὰ ἔριδος καὶ φιλονεικίας, ἐπὶ ὕστατον C ὅρον ἔρχεται, μέθην τὴν ἐκστάσεως καὶ παραφροσύνης αἰτίαν· ἑκάστης δὲ τῶν κατηγοριῶν τὴν δύναμιν ἰδεῖν ἀναγκαῖον, τὴν ἀρχὴν ἀπὸ τῆς προτέρας λαβόντας. ἀνωμολόγηται τοίνυν προφανῶς, ὅτι τὸ εἴκειν καὶ πειθαρχεῖν ἀρετῇ, καλὸν καὶ συμφέρον· ὥστε τὸ ἀπειθεῖν ἔμπαλιν αἰσχρὸν καὶ οὐ μετρίως ἀλυσιτελές· τὸ δὲ δὴ καὶ ἐρεθίζειν, ὑπερβολὴν πᾶσαν κεχώρηκε τοῦ δεινοῦ. ὁ γὰρ ἀπειθὴς τοῦ φιλέριδος ἧττον μοχθηρός ἐστιν, ὁ μὲν αὐτὸ μόνον τῶν προστεταγμένων ἀλογῶν, ὁ δὲ καὶ τοῖς ἐναν- D τίοις ἐγχειρεῖν σπουδὴν πεποιημένος. Φέρε δὴ ὡς ἔχει τοῦτο θεασώμεθα· νόμου κελεύοντος, εἰ τύχοι, τοὺς γονεῖς τιμᾶν, ὁ μὴ τιμῶν, ἀπειθής· ὁ δ᾽ ἀτιμάζων, φιλέρις· καὶ πάλιν τοῦ τὴν πατρίδα σώζειν ὄντος δικαίου, τὸν μὲν πρὸς αὐτὸ τοῦτο ὀκνηρῶς χρώμενον, ἀπειθῆ· τὸν δ᾽ ἔτι καὶ προδιδόναι διεγνωκότα, δύσεριν καὶ φιλόνεικον λεκτέον· ὅ,τε μὴ χαριζόμενός τισιν, ἐναντιούμενος δὲ τῷ φάσκοντι δεῖν ὠφελεῖν, ἀπειθεῖ· ὁ δὲ πρὸς τῷ μὴ χαρίζε- E σθαι, καὶ ὅσα βλάβης ἐστὶν ἐμποιῶν, ἐρίδι ἐπαιρόμενος, ἀνίατα ἐξαμαρτάνει. καὶ μὴν ὅ γε ἱερουργίαις καὶ τοῖς ἄλλοις ὅσα πρὸς εὐσέβειαν διαφέρεται μὴ χρώμενος ἀπειθεῖ προστάξεσιν, ἃς ὁ νόμος εἴωθε περὶ τούτων προστάττειν· ἀνερεθίζει δὲ πρὸς τοὐναντίον ἀσέβειαν ἀποκλίνας καὶ ἀθεότητος εἰσηγητὴς, οἷός ἐστιν ὁ φάσκων, Τίς ἐστιν οὗ ὑπακούσομεν· καὶ πάλιν, Οὐκ οἶδα τὸν κύριον. διὰ μὲν οὖν τῆς προτέρας φωνῆς, παρίστησιν ὅτι οὐκ ἔστι τὸ θεῖον. διὰ δὲ τῆς ἑτέρας, ὅτι εἰ καὶ ἔστιν, ἀλλά τοι ἀγνοεῖται, ὅπερ

A ἐκ τοῦ μὴ προνοεῖν συνάγεται. εἰ γὰρ προενόει, κἂν ἐγνωρίζετο. συμβολὰς γὰρ μὲν καὶ ἐράνους φέρειν, ἐπὶ μὲν τῇ τοῦ ἀρίστου κτήματος μετουσίᾳ φρονήσεως, ἐπαινετὸν καὶ συμφέρον. ἕνεκα δὲ τῆς τοῦ ἀκροτάτου πλούτου ἀφροσύνης, ἀλυσιτελές τε καὶ ψεκτόν. αἱ μὲν οὖν πρὸς τὸ ἄριστον συμβολαί, πόθος ἀρετῆς, τῶν καλῶν ζῆλος, μελέται συνεχεῖς, ἀσκήσεις ἐπίπονοι, ἄτρυτοι καὶ ἀκάματοι πόνοι· αἱ δὲ πρὸς τὸ ἐναντίον, ἄνεσις, ῥαθυμία, τρυφή, θρύψις, παντελὴς ἐκδιαίτησις. ἰδοὺ μέντοι καὶ τοὺς ἐπαποδυομένους πολυοινίᾳ καὶ καθ' ἑκάστην ἡμέραν γυμναζομένους, καὶ ἀθλοῦντας τοὺς ἐπ' ἀπληστίᾳ γαστρὸς ἄθλους ἔτι, συμβολὰς μὲν ὡς ἐπί τινι τῶν λυσιτελῶν εἰσφέροντας, ζημιουμένους δὲ πάντα, χρήματα, σώματα, ψυχάς· τὰ μὲν γὰρ εἰσφέροντες μειοῦσι τὴν οὐσίαν· τῶν δὲ σωμάτων διὰ τὸ ἁβροδίαιτον κατακλῶσι καὶ θρύπτουσι τὰς δυνάμεις· τὰς δὲ ψυχάς, ποταμοῦ χειμάρρου τρόπον ἀμετρίᾳ τρυφῶν ἐπικλύζοντες εἰς βυθὸν ἀναγκάζουσι δύεσθαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσοι φέρουσιν ἐράνους ἐπὶ καθαιρέσει παιδείας, τὸ κυριώτατον τῶν ἐν αὐτοῖς ζημιοῦσι, διάνοιαν, ἀποκόπτοντες αὐτῆς τὰ σωτήρια, φρόνησιν καὶ σωφροσύνην, ἔτι δὲ ἀνδρείαν καὶ δικαιοσύνην. διό μοι δοκεῖ καὶ αὐτὸς ὀνόματι συνθέτῳ χρῆσθαι τῷ συμβολοκοπῶν, πρὸς δήλωσιν ἐναργεστέραν τοῦ σημαινομένου, διότι τὰ κατ' ἀρετῆς ἐπιχειρήματα ὥσπερ τινὰς συμβολὰς καὶ ἐράνους εἰσφέροντες, προσκόπτουσι καὶ διαιροῦσι καὶ συγκόπτουσι μέχρι παντελοῦς φθορᾶς τὰς φιληκόους καὶ φιλομαθεῖς ψυχάς. ὁ μὲν οὖν σοφὸς Ἀβραὰμ ἐπανελθεῖν λέγεται ἀπὸ τῆς κοπῆς τοῦ Χολογομόδορ, καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ· ὁ δὲ Ἀμαλὴκ ἔμπαλιν τοῦ ἀσκητοῦ τὴν οὐραγίαν κόπτειν ἀκολουθίᾳ φύσεως. ἐχθρὰ γὰρ τὰ ἐναντία, καὶ τὸν ἐπ' ἀλλήλοις ὄλεθρον ἀεὶ μελετῶντα. τὸν δὲ κομίζοντα τὰς συμβολάς, καὶ ταύτῃ μάλιστ' ἄν τις αἰτιάσαιτο, ὅτι οὐ μόνον ἀδικεῖν, ἀλλὰ καὶ συναδικεῖν ἑτέρους ἀξιοῖ, τὰ μὲν αὐτὸς εἰσηγεῖσθαι, τὰ δὲ εἰσηγουμένων ἄλλων ἀκροᾶσθαι, ὅπως καὶ φύσει καὶ μαθήσει διαμαρτάνων, μηδεμίαν εἰς σωτηρίαν ὑπολείπηται χρηστὴν ἐλπίδα αὑτῷ, καὶ ταῦτα νόμου διειρηκότος μὴ γίνεσθαι μετὰ πολλῶν ἐπὶ κακίᾳ. τῷ γὰρ ὄντι πολύχουν μὲν καὶ πολυφθορώτατον ἐν ἀνθρώπων ψυχαῖς τὸ κακόν, ὀλίγον δὲ καὶ σπάνιον τἀγαθόν. παραίνεσις αὖθις ὠφελιμωτάτη μὴ τοῖς πολλοῖς πρὸς μόνον τὰ δικαιοπραγεῖν, μεθ' ὧν τὸ δικαιοπραγεῖν, συμφέρεσθαι.

A nam si prouideret rebus, vtique nosceretur. quod autem de collatione in conuiuia dicitur, si intelligatur de participatione prudentiæ rei præstantissimæ, est vtile ac laudabile: sin de imprudentiæ deterrimæ, inutile ac vituperabile. In rem optimam hæc fiunt symbola, desiderium virtutis, honestorum æmulatio, meditationes continuæ, exercitia laboriosa, indefessi labores. in contrariam vero hæc, remissio, negligentia, deliciæ, luxus, lasciuia. Videmus certe
B istos qui quotidie descendunt in certamen temulentiæ, & hoc agunt solum vt vini plurimum in ventrem ingerant, symbola conferre tanquam in aliquid vtile, mulctari tamen rebus omnibus, pecunijs, corpore, anima. nam huiusmodi collationibus & rem familiarem minuunt, & corporis vires per delicatum victum frangunt atque molliunt, & animas hiberni torrentis in morem immodicis delicijs inundatas demergunt
C in baratrum. eodem modo qui collationes faciunt ad tollendam eruditionem, præcipuam sui partem intelligentiam lædunt, resecantes ab ea res salutares, prudentiam, temperantiámque, & fortitudinem atque iustitiam. Proinde videtur non temere lex hic vti vocabulo composito συμβολοκοπῶν, sed admodum significanter: quia qui contra virtutem suos conatus quasi quædam symbola conferunt, sauciant, dissecant, concidunt vsque ad extremam perniciem animas audiendi atque discendi aui-
D das. Abraham quidem redire dicitur à concisione Chologomodor & regum cum eo fœderatorum: è diuerso Amalec meditatoris illius extremum agmen concidere: vtrumque naturæ ordine. infesta sunt enim quæ contraria, & perpetuo sibi inuicem struunt perniciem. cæterum hic symbolorum collator vel ideo maxime culpari meretur, quòd non contentus iniuste facere, socios quoque sibi asciscit, partim ipse docés alios, partim docentes audiens, vt &
E natura & institutione peccans, nullam sibi salutis spem reliquam faciat, quantumuis reclamante lege, & vetante ne quis societatem ineat causa maleficij. ita est profecto, multifariam serpit ac pascitur in hominum animis malum, bonum autem exile rarúmque in his inuenias. Est autem hic quoque admonitio pervtilis, ne sequaris ea quæ vulgo iusta videntur, sed potius eos qui quod iustum est faciunt. Reliquum est

quartum crimen maximũ temulentia, non leuis, sed nimia. nam vino madere idem significat hic quod hausto veneno dementiam creante, scilicet ruditate, tumescere, accendi, ardereque, nec posse restinguere, sed conflagrare, populante totam animã incendio. ideo merito sequitur vltio, purgans mentem ab omnibus improbis moribus. dicitur enim: Tolles illum malum, non è ciuitate, aut regione, aut gente, sed ex vobis ipsis. nam in nobis ipsis insunt & quasi foueas sibi fecerunt cogitationes culpabiles ac reprehendendæ, quas necesse est excidere quando curã respuũt. Hunc igitur contumacem, proteruum, sermones verisimiles ceu symbola conferentem in perniciẽ honestatis, mero ardentem & debacchantem in virtutes, & seipsum quoque lædentem enormiter per temulentiam, æquum erat habere parentes accusatores pro aduocatis: quorum est officium omnem admonitionem castigationémque adhibere sanabilibus. patris autem matrísque vt communis appellatio, sic vires distinctæ sunt. proinde rerum opificem patrem quoque suæ creaturæ iuste possumus dicere. matrem autem, scientiam ipsius, cum qua congressus Deus, non humano more, proseminauit creaturam. illa vero Dei semine concepto, enixa est iusto partu vnicum illum dilectum sensibilem filium mundum hunc. Quapropter à quodam diuino viro inducitur sapientia de seipsa loquens in hunc modum: Deus creauit me primã operum suorum, & ante secula fundauit me. Necesse enim erat vt mater nutríxque omnium rerum creaturas omnes ætate antecederet. horum igitur parentum accusationem quis ferre possit? imò ne mediocrem quidem comminationem, aut leuissimam incusatiunculam. nam ne donorum quidem largitatis quisquam capax est, ac fortasse ne mundus hic quidem, sed quasi parua lacuna influente magno gratiarum Dei fonte celerrime repleta superesfluit. & qui beneficia non possumus excipere, vltrices vires ferre poterimus? Verum hi rerum vniuersarum parentes à præsenti sermone semouendi sunt. satius est vt consideremus discipulos eorum familiarésque, qui curam & præfecturam animarum sortiti sunt, duntaxat non auersarum à musis & docilium. patrem igitur dicimus illum masculum perfectum rectúmque sermonem:

A τέταρτον καὶ μέγιστον τοίνυν ἔγκλημα, τὸ μεθύειν, οὐκ ἀνειμένως, ἀλλὰ σφόδρα συντόνως. τὸ γὰρ οἰνοφλυγεῖν, ἴσον ἐστὶ τῷ τὸ παραίτιον ἀφροσύνης φάρμακον ἀπαιδευσίαν ἐντύφεσθαι, καὶ ἀναχαίνεσθαι, καὶ ἀναφλέγεσθαι, μηδέποτε σβεσθῆναι δυναμένην, ἀλλ' ὅλην δι' ὅλων καίειν τὴν ψυχήν, ἐμπιμπρᾶσάν τε καὶ πυρπολοῦσαν. εἰκότως οὖν ἕψεται δίκη πάντα μεταθηροῦν τρόπον ἐκκαθαίρουσα διανοίας. λέγεται γάρ, Ἐξαρεῖς τὸν πονηρὸν οὐκ ἐκ πόλεως ἢ χώρας, ἢ ἔθνους, ἀλλ' ἐξ ὑμῶν αὐ-
B τῶν. ἡμῖν γὰρ αὐτοῖς ἐνυπάρχουσι καὶ ἐμφωλεύουσιν οἱ ὑπαίτιοι καὶ ἐπίληπτοι λογισμοί, οὓς ὁπότε ἀνιάτως ἔχοιεν, ἀποκόπτειν καὶ διαφθείρειν ἀναγκαῖον. τὸν οὖν ἀπειθῆ καὶ φιλέριν, καὶ λόγων πιθανότητας, ὥσπερ τινὰς συμβολὰς καὶ ἐράνους ἐπὶ καθαιρέσει τοῦ καλοῦ πορίζοντα, καὶ ἀκράτῳ φλεγόμενον καὶ καταμεθύοντα ἀρετῆς, καὶ παροινίας ἐκτόπως εἰς αὑτὸν παροινοῦντα, δίκαιον ἦν κατηγόρους μὲν τοὺς συμμάχους λαβεῖν, πατέρα καὶ μητέρα,
C δέον ἐνδέξασθαι παντελῆ νουθεσίαν καὶ σωφρονισμὸν τῶν οἵων τε σώζεσθαι. πατρὸς δὲ καὶ μητρὸς κοιναὶ μὲν αἱ κλήσεις, διάφοροι δὲ δυνάμεις. τὸν γοῦν τόδε τὸ πᾶν ἐργασάμενον δημιουργὸν ὁμοῦ καὶ πατέρα εἶναι τοῦ γεγονότος εὐθὺς ἐν δίκῃ φήσομεν· μητέρα δὲ τὴν τοῦ πεποιηκότος ἐπιστήμην, ᾗ συνὼν ὁ θεός, οὐχ ὡς ἄνθρωπος, ἔσπειρε γένεσιν· ἡ δὲ παραδεξαμένη τὸ τοῦ θεοῦ σπέρμα, τελεσφόροις ὠδῖσι τὸν μόνον καὶ ἀγαπητὸν αἰσθητὸν υἱὸν ἀπεκύησε τόνδε τὸν κόσμον. εἰσάγεται γοῦν παρά τινι τῶν ἐκ τοῦ θείου
D χοροῦ ἡ σοφία περὶ αὑτῆς λέγουσα τὸν τρόπον τοῦτον, Ὁ θεὸς ἐκτήσατό με πρωτίστην τῶν ἑαυτοῦ ἔργων, καὶ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. ἦν γὰρ ἀναγκαῖον τὴν μητέρα καὶ τιθήνην τῶν ὅλων πάνθ' ὅσα εἰς γένεσιν ἦλθε εἶναι νεώτερα. τούτων οὖν τῶν γονέων τίς ἱκανὸς ὑποστῆναι κατηγορίαν· ἀλλ' οὐδὲ μετρίαν ἀπειλήν, ἢ ἐλαφροτάτην κατάμεμψιν. οὐδὲ γὰρ τῶν δωρεῶν ἱκανὸς οὐδεὶς χωρῆσαι τὸ ἄφθονον πλῆθος· ἴσως δὲ οὐδ' ὁ κόσμος· ἀλλ' οἷα βρα-
E χεῖα δεξαμενή, μεγάλης ἐπιρρεούσης τῆς τοῦ θεοῦ χαρίτων πηγῆς, τάχιστα ἀποπληρωθήσεται, ὡς ἀναβλύζειν τε καὶ ὑπερεκχεῖσθαι· εἰ δὲ τὰς εὐεργεσίας ἀδυνατοῦμεν δέχεσθαι, τὰς κολαστηρίους δυνάμεις πῶς ἐπιφερομένας οἴσομεν. τοὺς μὲν δὴ τοῦ παντὸς γονεῖς ὑπεξαιρετέον τοῦ παρόντος λόγου· τοὺς δὲ φοιτητὰς καὶ γνωρίμους αὐτῶν τὴν ἐπιμέλειαν καὶ προστασίαν εἰληχότας ψυχῶν, ὅσαι μὴ ἀνάγωγοι καὶ ἄμουσοι νῦν ἐπισκεψώμεθα. πατέρα τοίνυν εἶναί φαμεν τὸν ἄρρενα καὶ τέλειον καὶ ὀρθὸν λόγον·

μητέρα δὲ τὴν ἴσην καὶ ἐγκύκλιον χορείαν τε καὶ παιδείαν, εἰς καλὸν καὶ συμφέρον ὡς ἂν ἔκγονοι τοκεῦσι πείθεσθαι. τοῦ μὲν οὖν πατρὸς ὀρθοῦ λόγου παράγγελμα, ἕπεσθαι καὶ ἀκολουθεῖν τῇ φύσει, γυμνὴν καὶ ἀπημφιεσμένην ἀλήθειαν μεταδιώκοντας. παιδείας δὲ τῆς μητρός, θέσει δικαίοις προσέχειν ἃ κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας ἔθεντο οἱ πρῶτοι δόκησιν πρὸ ἀληθείας ἀσπασάμενοι. τοῖς γονεῦσι τούτοις τέτταρες παίδων εἰσὶ τάξεις· ἡ μὲν ἀμφοτέροις κατάπειθής, ἡ δὲ οὐδετέρῳ προσέχουσα, ἐναντία τῇ προτέρᾳ· τῶν δὲ λοιπῶν ἡμιτελὴς ἑκατέρα. ἡ μὲν γὰρ αὐτῶν φιλοπάτωρ σφόδρα γεγενημένη, ᾧ μὲν προσέχει, μητρὸς δὲ καὶ τὴν ἐπίσκεψιν αὐτῆς ὀλιγωρεῖ· ἡ δὲ ἔμπαλιν φιλομήτωρ εἶναι δοκοῦσα, τῇ μὲν πάντα ὑπηρετεῖ, τὴν δὲ τοῦ πατρὸς ἥκιστα φροντίζει. ἡ μὲν οὖν προτέρα τὰ κατὰ πάντων ἆθλα οἴσεται νικητήρια· ἡ δὲ ἀντίπαλος, ἧτταν ὁμοῦ καὶ φθορὰν ἀναδέξεται· τῶν δὲ λοιπῶν ἑκατέρα, ἡ μὲν δευτερείων, ἡ δὲ τρίτων ἄθλων μεταποιήσεται· δευτερείων μὲν ἡ πειθαρχοῦσα πατρί, τρίτων δὲ ἡ τῇ μητρί. τῆς μὲν οὖν φιλομήτορος τὰς τῶν πολλῶν δόξαις ὑπεικούσης, καὶ κατὰ τὰς πολυτρόπους τοῦ βίου ζηλώσεις παντοδαπὰς μεταβαλλούσης ἰδέας Αἰγυπτίου Πρωτέως τρόπον, ὃς τῷ πάνθ' ὅσα ἐν τῷ παντὶ πεφυκέναι γίνεσθαι, τὸ ἀληθὲς ἀδηλούμενον ἔσχεν εἶδος, τύπος ἐναργέστατος Ἰοθόρ, πλάσμα τύφου πρὸς πόλιν καὶ πολιτείαν συγκλύδων καὶ μιγάδων ἀνθρώπων κεναῖς αἰωρουμένων δόξαις, μάλιστα ἁρμόττον. Μωυσέως γὰρ τοῦ σοφοῦ τὸν λεὼν ἅπαντα τῆς ψυχῆς πρὸς εὐσέβειαν καὶ τιμὴν θεοῦ μετακαλοῦντος, καὶ τάς τε προστάξεις καὶ τοὺς ἱεροπρεπεῖς νόμους ἀναδιδάσκοντος· φησὶ γάρ, ὅτι ἐπειδὰν γένηται αὐτοῖς ἀντιλογία, καὶ ἔλθωσι πρός με, διακρινῶ ἕκαστον καὶ συμβιβάσω τὰ προστάγματα τοῦ θεοῦ, καὶ τὸν νόμον αὐτοῦ· παρελθὼν ὁ δοκησίσοφος Ἰοθόρ, τῶν μὲν θείων ἀμύητος ἀγαθῶν, τοῖς δὲ ἀνθρωπίνοις καὶ φθαρτοῖς μάλιστ' ἐνωμιληκὼς δημαγωγεῖ, καὶ νόμους ἐναντίους τοῖς τῆς φύσεως ἀναγράφει, πρὸς τὸ δοκεῖν ἀφορῶν, ἐκείνων ἀναφερομένων πρὸς τὸ εἶναι. καίτοι καὶ τοῦτον ἐλεήσας καὶ οἰκτισάμενος τοῦ πολλοῦ πλάνου, μεταδιδάσκειν οἴεται δεῖν καὶ ἀναπείθειν, ἀποστῆναι μὲν τῶν κενῶν δοξῶν, ἀκολουθῆσαι δὲ παγίως τῷ ἀληθεῖ. Ἐξάραντες γάρ, φησίν, ἡμεῖς καὶ ἀποκόψαντες τῆς διανοίας τὸν κενὸν τῦφον, μετῳκισάμεθα εἰς τὸν ἐπιστήμης τόπον, ὃν χρησμοῖς καὶ ὁμολογίαις θείαις λαμβάνομεν. ἴθι δὴ μεθ' ἡμῶν καὶ εὖ σοι ποιήσομεν. ἀποδύσῃς

A matrem vero disciplinam illam encyclicam, æqualem choreæ more ac rotundam, quibus tanquam parentibus obedire bonum est atque commodum. eius patris præceptum est, sequi ac imitari naturam, nudam apertámque veritatem consectando. eruditio vero mater præcipit, institutis iustis parere, quæ per singulas ciuitates, gentes, regiones, statuerunt qui primi veritatem tenuerunt, non tam re quàm opinione hominum. hi parentes habent ordines quatuor filiorum.
B Vnus vtrique obsequitur, vnus neutri, primo contrarius. ex reliquis vterque imperfectus, alter patrem vehementer amat auditque, matrem & huius monita negligit: alter contrà matris vt videtur amantior, huic ministrat omnia, de rebus patris minime solicitus. primus omnium iudicio palmam auferet, contrarius repulsam patietur & perniciem. è reliquis alter secunda, alter vero tertia sibi vindicabit præmia: se-
C cunda qui patri obsequitur, qui matri, tertia. amatoris autem suæ matris, qui vulgaribus opinionibus ducitur, & per multimoda vitæ studia in omnigenas formas mutatur in morem Ægyptij Protei, qui quòd ingenio esset versatili, nullam veram certámque habebat speciem, figura manifestissima Iothor est, effigies tumiditatis, ciuitatem ac rempublicam conuenarum miscellaneorúmque hominum vanis opinionibus elatorum euidenter exprimens.
D Cum enim ille sapiens Moses vniuersum populum animæ ad pietatem atque cultum Dei reuocaret, & mandata huius legésque sacratissimas promulgaret, dicens: si eis inciderit controuersia, & venerint ad me, dijudicabo singulorum causas, & componam iuxta leges ac præcepta Dei: accedens iste Iothor opinione sua sapiens, diuinis bonis non initiatus, sed assuetus humanis ac corruptibilibus, concionatur, & leges scribit contrarias legibus natura-
E libus, opinionem respiciens. cum illæ ad res veras referantur. attamen propheta & huius errorem miseratus, admonendum ampliúsque docendum putat hominem, vt relictis inanibus opinionibus, constanter sequatur veritatem. Nos, inquit, exempto & exciso è mente inani fastu migramus in regionem scientiæ, quæ nobis certo debetur ex fide diuini oraculi. proficiscere nobiscum, & bene tibi faciemus. reijcies

enim damnosam opinionem, pro qua lucraberis veritatem, qua nihil vtilius. Verum iste hoc quoque carmine nihil proficiente contra obstinationem, haudquaquam sequetur scientiam, propere ad suum inanem fastum recurrens. narratur enim respondisse inuitanti: Non proficiscar, malo in terram meam & gentem reuerti: hoc est, ad cognatam incredulitatem imbutam falsis opinionibus. Quoniam veram fidem, amicam viris fortibus non didicit. cum enim ad ostentationem pietatis dicit, Nunc cognoui magnum esse Dominũ præ dijs omnibus, suam ipse impietatem accusat apud peritos iudices. dicturi sunt enim: itáne homo impie nunc demum cognouisti, quam prius nescieras omnipotentis magnitudinem? inuenisti quicquam quod antiquius sit quàm Deus? possúntne posteri maiorum suorum virtutem nescire? huius autem rerum vniuersitatis nónne princeps est conditor eius & pater? itaque si nunc demum ais à te cognitum, ne nunc quidem nosti, quia non ab initio creationis. nec minus in simulatione deprehenderis, dum confers quæ non admittunt collationem, dicens te cognouisse maiestatem eius Qui est, superiorem dijs omnibus. nam si vere nosses eum Qui est, non crederes vllum alium esse Deum nullius potestati obnoxium. Sicut enim sol exortu suo stellas abscondit, tanto suo splendore perfusis nostris oculis: ita quoties animæ oculi sincero, puro, fulgidissimóque luciferi Dei sensibili splendore irradiantur, nihil aliud possunt inspicere. affulgens enim eius Qui est cognitio nihil non illustrat, vt etiam quæ sunt per se splendidissima, collatione hac obscurentur. proinde cum falso nominatis dijs nunquam certum verúmque comparare sustinuisset, si eum vere cognouisset: sed quia vnum ignorabat, secutum est vt multos quáuis reuera non sint, esse crederet. in qua sentẽtia nemo non est, qui rebus animę derelictis, miratur ista corporea coloribus figurisque variata, vt sensus seduci faciles decipiant. Talis homo à legislatore Laban vocatur, qui veras naturæ leges non cernens, subscribit falsis humanis legibus, dicens, Non est is mos in regione nostra, vt iunior puella prius elocetur quàm grandior. nam iste putat seruandum ordinẽ temporis, æquum censens antiquiora prius, recentiora posterius in vsum adduci.

A μὲν γὰρ τὴν βλαβερωτάτην δόκησιν, κτήσῃ δὲ τὴν ὠφελιμωτάτην ἀλήθειαν. ἀλλὰ γὰρ τοιοῦτα κατεπᾳσθεὶς, ἀλογήσας τῶν εἰρημένων, καὶ ἐπιστήμῃ μὲν οὐδαμῇ οὐδαμῶς ἕψεται, ἀναχωρήσας δὲ καὶ ἀναδραμεῖται πρὸς τὸν ἴδιον καὶ κενὸν τῦφον. λέγεται γὰρ ὅτι εἶπε πρὸς αὐτὸν, Οὐ πορεύσομαι, ἀλλ' εἰς τὴν γῆν μου καὶ τὴν γενεάν μου, τουτέστι τὴν συγγενῆ ψευδοδοξούντων ἀπιστίαν, ἐπεὶ τὴν ἀληθευόντων ἀνδράσι φίλην πίστιν οὐκ ἔμαθε. καὶ γὰρ ὅταν ἐπίδειξιν εὐσεβείας βουλόμενος ποιήσασθαι
B λέγῃ, Νῦν ἔγνων ὅτι μέγας κύριος παρὰ πάντας τοὺς θεοὺς, ἀσεβείας παρὰ δικάζειν ἐπισταμένοις ἀνδράσιν ἑαυτοῦ κατηγορεῖ. φήσουσι γὰρ αὐτῷ, νῦν ἔγνως ἀνόσιε, πρότερον δ' οὐκ ἠπίστασο τὸ μέγεθος τοῦ παντὸς ἡγεμόνος. ἦν γάρ τι πρεσβύτερον θεοῦ ᾧ περιετετυχήκεις, ἢ τοῖς ἐκγόνοις οὐχ αἱ τῶν γονέων ἀρεταὶ παρὰ τῶν ἄλλων ἅπαξ πάντων γνώριμοι; τοῦ δὲ παντὸς οὐκ ἀρχηγέτης ὁ κτίστης καὶ πατὴρ αὐτοῦ; ὥστ' εἰ νῦν
C ἐγνωκέναι φὴς σὺ, οὐδὲ νῦν ἔγνωκας, ὅτι οὐκ ἀπὸ γενέσεως ἀρχῆς. ἐλέγχῃ δ' οὐδὲν ἧττον ἐπιμορφάζων, ὅταν συγκρίνῃς τὰ ἀσύγκριτα, καὶ λέγῃς παρὰ πάντας τοὺς θεοὺς τὸ μεγαλεῖον τοῦ ὄντος ἐγνωκέναι. εἰ γὰρ ἤδεις ἀληθείᾳ τὸ ὂν, οὐδένα ἂν τῶν ἄλλων ὑπέλαβες εἶναι θεὸν αὐτεξούσιον, ὥσπερ γὰρ ἀνατείλας ὁ ἥλιος ἀποκρύπτει τοὺς ἀστέρας τῶν ἡμετέρων ὄψεων ἀθρόον τὸ ἑαυτοῦ καταχέας φέγγος, οὕτως ὅταν τῷ τῆς ψυχῆς ὄμματι ἀμιγεῖς καὶ καθαρώταται καὶ τηλαυγέσταται τοῦ φωσφόρου
D θεοῦ νοηταὶ ἐναστράψωσιν αὐγαὶ, κατιδεῖν οὐδὲν ἕτερον δύναται. ἐπιλάμψασα γὰρ ἡ τοῦ ὄντος ἐπιστήμη πάντα περιαυγάζει, ὡς καὶ τοῖς λαμπροτάτοις ἐξ ἑαυτῶν εἶναι δοκοῦσιν ἐπισκοτεῖν. θεοῖς δὲ τοῖς ψευδωνύμοις οὐκ ἄν ποτε, ἀληθῆ θεὸν συγκρίνειν ὑπέμεινεν, εἴπερ ἀψευδῶς ἐγίνωσκεν αὐτόν, ἀλλ' ἡ ἀνεπιστημοσύνη τοῦ ἑνὸς, τὴν ἐπὶ πολλοῖς ὡς ὑπάρχουσι πρὸς ἀλήθειαν οὐκ οὖσι δόξαν εἰργάσατο. τῆς αὐτῆς προαιρέσεώς ἐστι πᾶς, ὅτῳ τὰ
E μὲν ψυχῆς ἀπέγνωσται, τὰ δὲ περὶ σώματα καὶ ἐκτὸς χρώμασι καὶ σχήμασι πεποικιλμένα πρὸς ἀπάτην αἰσθήσεως εὐπαραγώγου, θαυμάζεται. καλεῖ δὲ τὸν τοιοῦτον ὁ νομοθέτης Λάβαν, ὃς τοὺς ἀληθεῖς τῆς φύσεως νόμους οὐ κατιδὼν, ψευδογραφεῖ τοὺς παρ' ἀνθρώποις, φάσκων, Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέραν. οὗτος μὲν γὰρ τὴν ἐν χρόνοις τάξιν φυλάττειν οἴεται δεῖν, τὰ πρεσβύτερα πρότερα, καὶ τὰ νεώτερα αὖθις εἰς κοινωνίαν ἄγεσθαι δικαιῶν.

ὁ δὲ σοφίας ἀσκητὴς εἰδὼς καὶ φύσεις ἀχρόνοις ὑπαρχούσας, ἐφίεται καὶ νεωτέρων προτέρων, καὶ πρεσβυτέρων ὑστέρων. ἔχει δὲ καὶ τὸν ἠθοποιὸν λόγον ἑαυτῷ συνᾴδοντα. τοῖς γὰρ ἀσκηταῖς ἀνάγκη πρότερον ἐντυχεῖν τῇ νεωτέρᾳ παιδείᾳ, ἵνα τῆς τελειοτέρας αὖθις ἀπόνασθαι βεβαίως δυνηθῶσι. παρ' ὃ καὶ μέχρι νῦν οἱ καλοκαγαθίας ἐρασταὶ οὐ πρότερον ἐπὶ τὰς τῆς πρεσβυτέρας ἀφικνοῦνται θύρας φιλοσοφίας, πρὶν ταῖς νεωτέραις ἐντυχεῖν, γραμματικῇ καὶ γεωμετρίᾳ καὶ τῇ συμπάσῃ τῇ ἐγκυκλίων μουσικῇ. αὗται γὰρ σοφίαν τοῖς ἀδόλως καὶ καθαρῶς μνωμένοις ἀεὶ προξενοῦσιν. ὁ δὲ ἀντισοφίζεται, βουλόμενος τὴν πρεσβυτέραν ἡμᾶς ἀγαγέσθαι πρότερον, οὐχ ἵνα βεβαίως ἔχωμεν, ἀλλ' ἵνα τοῖς τῆς νεωτέρας φίλτροις δελεασθέντες αὖθις τὸν ἐπ' ἐκείνην πόθον ἐκλύσωμεν. καὶ σχεδὸν τοῦτο συνέβη πολλοῖς τῶν ἀνοδίᾳ πρὸς παιδείαν χρησαμένων. ἔτι γὰρ, ὡς ἔπος εἰπεῖν, ἀπ' αὐτῶν σπαργάνων πρὸς τελειότατον ἐπιτήδευμα φιλοσοφίαν ἐλθόντες, ἀμύητοι τῶν ἐγκυκλίων εἰσαῦθις οὐ δικαιώσαντες γεύσασθαι, ὀψὲ καὶ μόλις αὐτῶν ἅψασθαι διενοήθησαν· κἄπειτα ἀπὸ τῆς μείζονος καὶ πρεσβυτέρας ἐπὶ τὴν τῶν ἐλαττόνων καὶ νεωτέρων θέαν καταβάντες ἐνεγήρασαν αὐτοῖς, ὡς μηκέτ' ἀναδραμεῖν ὅθεν ὡρμήσαντο ἰσχῦσαι· διὰ τοῦτ' οἶμαι, φησί, Συντέλεσον τὰ ἕβδομα ταύτης, ἴσον τῷ μὴ ἀτελεύτητον ἔστω σοι τὸ τῆς ψυχῆς ἀγαθόν, ἀλλ' ὅρον ἐχέτω καὶ πέρας, ἵνα καὶ τῇ νεωτέρᾳ τάξει τῶν ἀγαθῶν ἐντύχῃς, ἣν σώματος κάλλος καὶ τὰ ὁμοιότροπα κεκλήρωται. ὁ δὲ συντελέσειν μὲν οὐχ ὑπισχνεῖται, ἀναπληρώσειν δὲ αὐτὴν ὁμολογεῖ, τουτέστι μηδέποτ' ἐπιλείψειν τὰ πρὸς αὔξησιν καὶ συμπλήρωσιν αὐτῆς ἐπιτηδείων, ἀλλὰ καὶ πανταχοῦ περιέσεσθαι, κἂν μυρία τὰ ἀντισπῶντα καὶ ἀνθέλκοντα ᾖ. πάνυ δὲ ἐκδήλως, τὸ τὰ ἔθη γυναιξὶ μᾶλλον ἢ ἀνδράσιν ἐπιτηδεύεσθαι δοκεῖ μοι παρίστασθαι διὰ τῶν Ῥαχὴλ τὰ μόνα τὰ αἰσθητὰ θαυμαζούσης λόγων. φησὶ γὰρ πρὸς τὸν πατέρα ἑαυτῆς, Μὴ βαρέως φέρε κύριε· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ' ἐθισμὸν τῶν γυναικῶν μοί ἐστιν. οὐκοῦν γυναικῶν ἴδιον τὸ ἔθεσι πείθεσθαι. καὶ γὰρ τῷ ὄντι ἀσθενεστέρας καὶ θηλυτέρας ψυχῆς τὸ ἔθος. ἀνδρῶν γάρ τοι ἡ φύσις καὶ ἐρρωμένου καὶ ἄρρενος ὡς ἀληθῶς λογισμοῦ, ἕπεσθαι φύσει. καταπέπληγμαι δὲ τὸ ἀψευδὲς τῆς ψυχῆς τῆς ἐν τοῖς ἑαυτῆς διαλόγοις ὁμολογούσης, ὅτι οὐ δύναται τῶν φαινομένων ἀγαθῶν κατεξαναστῆναι, ἀλλ' ἕνεκεν αὐτῶν τέθηπε καὶ τιμᾷ, καὶ μονονοὺχ ἑαυτῆς

A at ille meditator sapientiæ, quippe gnarus naturarum nullo subiectarum tempori, & recentiora prius, & antiquiora posterius appetit. cui moralis etiam ratio consonat. nam meditatores opus habent primum in iuuenilibus versari studijs, vt mox perfectioribus frui possint firmius. & ideo nunc quoque honestatis amatores non prius ad grandiores philosophiæ fores se conferunt, quam penetratis recentioribus, grammatica, geometriáque, & en-
B cyclopædiæ tota musica. nam artes hæ sequestræ sunt sapientiam sincere ambientibus & ex animo. Verùm alter ille agit callide, volens nobis natu maiorem obtrudere: non vt eam habeamus propriam, sed vt iunioris illecebris inescati denuo, remittamus prioris desiderium: quod plerisque vsu venit, ad eruditionem per deuia tendentibus. qui ab incunabulis (vt vulgus loquitur) admoti ad perfectissimum philoso-
C phiæ studium, indignum rati non degustasse artes liberales, vix tandem ad eas applicuerunt animũ. deinde à grandiore antiquioréque consideratione ad minorem iuniorémque delapsi, apud eam consenuerunt, vt nunquam potuerint ad pristina recurrere. & hoc est opinor quod dicit, Absolue septennium huius: ac si dicat: ne sinas imperfectum bonum animæ: sed cura vt finem assequatur ac terminum, & adipiscaris posteriorem quoque bonorum ordinem,
D pulchritudinem corporis, & id genus cætera. Ille verò absoluturum quidem se non pollicetur, expleturum tamen, hoc est, nunquam omissurum quicquã quod ad incremẽtum complementúmque eius faciat, imò superaturum difficultates omnes, etiamsi se innumera impedimenta in diuersum trahentia obijciant. Videtur autẽ satis manifeste docere scriptura, quòd consuetudines mulieribus magis quàm viris curæ sint, per
E verba Rachel mirantis sola sensibilia. Sic enim patrem suum alloquitur: Ne moleste feras domine, non possum tibi assurgere, quia iuxta consuetudinem mulierum mihi est. Ergo mulierum est sequi vulgares consuetudines. certum est enim, consuetudinẽ pertinere ad infirmiores effœminatiorésque animas: quãdoquidem virilis, robustæ, veréque masculæ rationis officium est, naturam ducem sequi. Miror autem veracitatem animæ, quæ in colloquio fatetur se non posse istis in speciem bonis assurgere,

tamen veneratur singula, tantum non ea sibi ipsi præferens. quis enim nostrum resistit diuitijs? quis reluctatur gloriæ? nemo omnium. sed quamdiu his caremus, magnifice loquimur, vt frugalitatis amici, quæ modico contentis, æquis, liberalibúsque ingenijs competentem vitam conciliet. quòd si alicuius iam dictorum spes, aut saltem spei leuis aura aspirauerit, vanitatis coarguimur. statim enim cedimus non valentes resistere: & proditi ab amicis sensibus, destituimur omnibus auxilijs animæ, iámque non dissimulanter, sed aperte in aduersariorum castra perfugimus. & merito. adhuc enim laboramus muliebribus consuetudinibus, quas nondum potuimus eluere, & ad viriles focos transcurrere, sicut narratur de mente amantissima virtutum, Sarra nominata. huic enim omnia muliebria desisse discimus ex oraculo, cum esset paritura progeniem, sine magistro docilem, appellatam Isaac. fertur etiam non habuisse matrem, marito cognata paterno tantum, non item materno genere. sic enim is de ea dicit: Reuera soror mea est, ex patre non ex matre. Videlicet non ex materia sensibili, quæ iam consistit, iam dissoluitur, quæ mater, nutrix, altrixque creaturarum dicitur apud priscos cultores stirpis sapientiæ: sed ex omnium rerum autore patréque. hæc igitur mulier extra totum corporalem mundum promicans, & exhilarata diuinitus, pro risu habet humana fœdera, siue ad belli, siue ad pacis res pertinentia. nos autem à parum virili effœminatáque consuetudine cum sensibus, affectionibus, rebúsque sensibilibus deuicti, contra nihil eorum quæ apparent, insurgere possumus: verum ab omnibus his quæ occurrunt, vel inuiti vel spōte trahimur. quòd si noster exercitus non valens patris mandata obire succubuerit, nihilominus subleuabitur auxilio matris, scilicet eruditionis mediæ, quæ iura legésque in alijs alias ciuitatibus instituit. sunt item quidam qui maternis rebus contemptis, paternas amplectantur totis viribus, quos maximo honore sacerdotij dignatur recta ratio. horum acta si recenseamus, per quæ adepti sunt hoc præmium, cauillandi fortasse occasionem præbebimus imperitis, qui decepti obuijs rerum imaginibus, latentes in obscuro vires earum non considerant. nam

A προκέκρικεν. ἐπεὶ τίς ἡμῶν ἀντίστατεῖ πλούτῳ· τίς δὲ πρὸς δόξαν κονίεται· τίς δὲ τιμῆς ἢ ἀρχῆς καταπεφρόνηκε, σχεδὸν τῶν ἔτι φυρομένων ἐν κεναῖς δόξαις. οὐδὲ εἷς τὸ παράπαν. ἀλλ' ἕως μὲν οὐδὲν τούτων πάρεστιν, ὑψηγορούμεθα ὡς ὀλιγοδείας ἑταῖροι τῆς αὐταρκεστάτης καὶ δικαιοτάτοις καὶ ἐλευθέροις καὶ εὐγενέσιν ἁρμοττούσης παρασκευῆς βίον· ἐπειδὰν δέ τινος τῶν εἰρημένων ἐλπὶς ἢ ἐλπίδος αὐτὸ μόνον αὔρα βραχεῖα καταπνεύσῃ, διελεγχόμεθα· ὑπείκοντες γὰρ εὐθὺς ἐνδίδομεν, καὶ
B ἀντιβῆναι καὶ ἀντισχεῖν οὐ δυνάμεθα· προδοθέντες δὲ ὑπὸ τῶν φίλων αἰσθήσεων ὅλην τῆς ψυχῆς συμμαχίαν ἐκλείπομεν, καὶ οὐκέτι λανθάνοντες, ἀλλ' ἤδη φανερῶς αὐτομολοῦμεν. καὶ μήποτ' εἰκός; ἔτι γὰρ ἡμῖν ἔθη τὰ γυναικῶν ἐπιπολάζει, ὕπω δυνηθεῖσι τὰ μὲν ἐκνίψασθαι, πρὸς δὲ τὴν ἀνδρωνῖτιν μεταδραμεῖν ἑστίαν, καθάπερ λόγος ἔχει τὴν φιλάρετον διάνοιαν, ὄνομα Σάρραν. αὕτη γὰρ εἰσάγεται διὰ τῶν χρησμῶν τὰ γυναικεῖα πάντ'
C ἐκλιποῦσα, ἡνίκα τὸ αὐτομαθὲς γένος ὠδίνειν καὶ ἀποτίκτειν ἔμελλεν ἐπίκλησιν Ἰσαάκ. λέγεται δὲ καὶ ἀμήτωρ γενεᾶς τῆς ἐκ πατρὸς οὐ πρὸς μητρός, αὐτὸ μόνον κληρωσαμένη συγγένειαν, θήλεος γενεᾶς ἀμέτοχος. εἶπε γάρ πού τις, Καὶ γὰρ ἀληθῶς ἀδελφή μού ἐστιν ἐκ πατρός, ἀλλ' οὐκ ἐκ μητρός. οὐ γὰρ ἐξ ὕλης τῆς αἰσθητῆς συνισταμένης ἀεὶ καὶ λυομένης, ἣν μητέρα καὶ τροφὸν καὶ τιθήνην τῶν ποιητῶν ἔφασαν, οἷς πρώτοις σοφίας ἀνεβλάστησεν ἔρνος, ἀλλ' ἐκ τοῦ πάντων αἰτίου καὶ πατρός. αὕτη μὲν
D οὖν ὑπερκύψασα τὸν σωματοειδῆ πάντα κόσμον ὑπὸ τῆς ἐν θεῷ χαρᾶς γανωθεῖσα, γέλωτα τὰς ἀνθρώπων τίθεται σπουδάς, ὅσαι περὶ τὴν κατὰ πόλεμον ἢ κατ' εἰρήνην πραγμάτων εἰσίν. ἡμεῖς δὲ ἔτι ὑπὸ τῆς ἀνάνδρου καὶ γυναικώδους συνηθείας τῆς περὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη καὶ τὰ αἰσθητὰ νικώμενοι, τῶν φανέντων οὐδενὸς κατεξαναστῆναι δυνάμεθα· πρὸς πάντων δὲ τῶν ἐπιτυχόντων, οἱ μὲν ἄκοντες, οἱ δὲ καὶ ἑκόντες ἑλκόμεθα. κἂν τὸ στῖφος
E ἡμῶν τοῖς τοῦ πατρὸς ἐπιτάγμασιν ἀδυνατοῦν ὑπηρετεῖν ἁλίσκηται, σύμμαχον οὐδὲν ἧττον ἕξει τὴν μητέρα, παιδείαν μέσην. τὰ νομιζόμενα καὶ δοκοῦντα εἶναι δίκαια γράφουσι κατὰ πόλεις καὶ ἄλλα ἄλλοις νομοθετοῦσιν. εἰσὶ δέ τινες οἱ τῶν μητρῴων ὑπερορῶντες, περιέχονται πάνυ τι ἀθρόως τῶν πατρῴων, οὓς καὶ τῆς μεγίστης τιμῆς ἱερωσύνης ὁ ὀρθὸς λόγος ἠξίωσε· κἂν τὰς πράξεις αὐτῶν διηγῶμεν, ἐφ' αἷς τὸ γέρας τοῦτο εὕραντο, χλεύην ἴσως παρὰ πολλοῖς ὀφλήσομεν τοῖς τῆς προχείροις φαντασίαις ἀπατωμένοις,

τὰς δὲ ἀφανεῖς καὶ συνεσκιασμένας δυνάμεις οὐ καταμηνύουσιν. οἱ γὰρ εὐχὰς καὶ θυσίας καὶ πᾶσαν τὴν περὶ τὸ ἱερὸν ἁγιστείαν ἐγχειρισθέντες εἰσί, τὸ παραδοξότατον, ἀνδροφόνοι, ἀδελφοκτόνοι, τῶν οἰκειοτάτων καὶ φιλτάτων σωμάτων αὐτόχειρες, οὓς ἐχρῆν καθαρούς, καὶ ἐκ καθαρῶν, μηδενὸς ἄγους προσαψαμένους, ἑκουσίου μὲν ἅπαξ, ἀλλὰ μηδ' ἀκουσίου, χειροτονεῖσθαι. λέγεται γάρ, Ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν πλησίον, καὶ ἕκαστος τὸν ἔγγιστα· καὶ ἐποίησαν οἱ υἱοὶ Λευί, καθὰ ἐλάλησε Μωϋσῆς· καὶ ἔπεσον ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄνδρας· καὶ τοὺς τοσαύτην ἀνῃρηκότας πληθὺν, ἐπαινεῖ φάσκων, Ἐπληρώσατε τὰς χεῖρας ἕκαστος σήμερον κυρίῳ ἐν τῷ υἱῷ, ἢ τῷ ἀδελφῷ, δοθῆναι ἐφ' ἡμᾶς εὐλογίαν. τί οὖν λεκτέον, ἢ ὅτι οἱ τοιοῦτοι, τοῖς μὲν κοινοῖς ἀνθρώπων ἔθεσιν ἐνίσχονται, κατήγορον ἔχοντες τὴν πολιτευομένην καὶ δημαγωγὸν μητέρα συνήθειαν, τοῖς δὲ τῆς φύσεως διασώζονται, συμμάχῳ χρώμενοι ὀρθῷ λόγῳ τῷ πατρί. καὶ γὰρ οὐχ, ὡς ὑπέρ νομίζουσί τινες, ἀνθρώπους ἀναιροῦσιν οἱ ἱερεῖς, ζῷα λογικὰ ἐκ ψυχῆς καὶ σώματος συνεστῶτα, ἀλλ' ὅσα οἰκεῖα καὶ φίλα τῇ σαρκί, ἀποκόπτουσι τῆς διανοίας ἑαυτῶν, εὐπρεπὲς εἶναι νομίζοντες τοῖς θεραπευταῖς τοῦ νόμου σοφοῦ γενομένοις, πάντων ὅσα γενέσει εἴληχεν ἀλλοτριοῦσθαι, καὶ πᾶσιν ὡς ἐχθροῖς καὶ δυσμενεστάτοις προσφέρεσθαι. διὰ τοῦτο καὶ ἀδελφὸν οὐκ ἄνθρωπον, ἀλλὰ τὸ ψυχῆς ἀδελφὸν σῶμα, ἀποκτενοῦμεν, τουτέστι τοῦ φιλαρέτου καὶ θείου τὸ φιλοπαθὲς καὶ θνητὸν διαζεύξομεν. ἀποκτενοῦμεν καὶ τὸν πλησίον πάλιν, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν χορὸν καὶ θίασον. οὗτος γὰρ ψυχῆς ἐστιν ὁμοῦ οἰκεῖος καὶ δυσμενής, δελέατα καὶ παγίδας ἐπ' αὐτὴν τιθείς, ἵνα τοῖς ἐπιρρέουσιν αἰσθητοῖς κατακλυζομένη, μηδέποτε πρὸς οὐρανὸν ἀνακύψῃ, εἰς τὰς καλὰς καὶ θεοειδεῖς φύσεις ἀσπάσασθαι. ἀποκτενοῦμεν καὶ τὸν ἔγγιστα· ὁ δ' ἐγγυτάτω διανοίας, ὁ κατὰ προφορὰν ἐστὶ λόγος ἐν λόγοις καὶ εἰκόσι καὶ πιθανότησι δόξας ψευδεῖς ἐντιθείς, ἐπ' ὀλεθρίᾳ τοῦ κρατίστου κτήματος ἀληθείας. διὰ τί οὖν, οὐχὶ καὶ τοῦτον σοφιστὴν ὄντα καὶ μιαρὸν ἀμυνούμεθα, τὸν ἁρμόττοντα αὐτῷ καταψηφισάμενοι θάνατον ἡσυχίαν. λόγου γὰρ ἡσυχία θάνατος. ἵνα μηκέτ' ἐνσοφιστεύοντος ὁ νοῦς μεθέλκηται, δύνηται δ' ἀπηλλαγμένος πάντως τῶν κατὰ τὸ ἀδελφὸν σῶμα ἡδονῶν, τῶν κατὰ τὰς πλησίον καὶ ἀγχιτέρμονας αἰσθήσεις γοητειῶν, τῶν κατὰ ἔγγιστα σοφιστειῶν, ἐλεύθερος καὶ ἄφετος ἐαθεὶς καθαρὸς τοῖς νοητοῖς ἅπασιν ἐπιβάλλειν. οὗτός ἐστιν ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρὶ τοῖς

A qui vota, sacra, & omnes templi cere-
monias tractant, sunt quod vix credas,
homicidæ, fratricidæ, familiarissimorũ
ac amicissimorum interfectores, qui de-
buerant esse puri ex puris electi, nullo
ne inscienter quidẽ patrato cõtacti sce-
lere. sic enim dicit scriptura: Interficiat
vnusquisque fratrẽ suum, & vnusquis-
que vicinũ suum, & vnusquisque pro-
ximũ suum. & fecerunt filij Leui, sicut
locutus est Moses. & ceciderunt è popu-
lo in illa die circiter tria virorũ millia.
B Tantæ multitudinis interemptores lau-
dat dicens: Consecrastis hodie manus
vestras Domino, vnusquisque in filio
suo & in fratre suo, vt detur vobis bene-
dictio. quid igitur dicendũ, nisi cõmu-
ni quidem iure hos reos fieri, accusante
matre publica consuetudine: naturali
vero iure absolui, patrocinãte patre ser-
mone recto & rationabili. nec enim, vt
quidã opinantur, viros interficiunt sa-
cerdotes, animalia ratione prædita, quæ
C constant ex animo & corpore: sed quic-
quid est carni amicũ à sua mente rese-
cant: quod existiment decorum esse sa-
pientis legis cultoribus, alienare se ab
omnibus rebus genitis, & habere illas
pro hostibus. proinde fratrẽ non homi-
nem, sed corpus animæ germanum oc-
cidemus: hoc est à diuina parte studio-
sa virtutis mortalẽ & affectibus obno-
xiã separabimus. occidemus item pro-
pinquum, non hominem, sed sodalitiũ.
hoc enim animæ & inimicum est & fa-
D miliare, alliciens eam in laqueos, vt af-
fluxu rerũ sensibiliũ mundata & obruta
nequeat ad cælum caput attollere, salu-
tareque naturas illas diuinas atque pul-
cherrimas. interficiemus & proximum.
proximus autem menti est sermo qui
profertur, probabilibus rationibus in-
termiscens falsas opiniones ad perni-
ciem veritatis rei pretiosissimæ. cur
enim non plecteremus hunc quoque
sophistam sceleratum, & quidem sup-
plicio conuenientissimo, nempe silen-
E tio (nam sermonis mors est silentium)
ne posthac intellectus distrahatur eius
argutijs: possitque omnino alienatus à
voluptatibus germani corporis, & pro-
pinquorũ vicinorúmque sensuum præ-
stigijs, solutus & liber dimissus, pure
vacare his quæ intellectu percipiuntur.
hic est qui dicit patri matríque morta-
libus. parentibus: non vidi vos ex quo
res diuinas contemplatus sum. qui non
agnoscit filios, ex quo innotuit sapien-
tiæ. qui agnoscit fratres quotquot non

sunt abdicati à Deo, sed saluari meruerunt per illius gratiam. hic est qui arrepto siromaste, quasi μαστεύσας & scrutatus naturas corruptibiles, quæ in cibo potúque felicitatem collocant, & ingressus fornacem (vt Moses inquit) accensam ardentémque nimijs iniquitatibus, nunquam extinguibilem, vitam humanam videlicet, potuit mulierem per vuluam transfodere, quòd visa sit esse causa gignendi, vt quæ re vera patiatur magis quàm agat: atque etiam quemuis hominem substantijs affingentem affectus Dei autoris rerum omnium. atqui hic homicida iudicaretur à multis qui libenter fauent mulierculis. sed Deus pater omnipotens dignatur eum laudibus maximis, & nunquam auferendis præmijs. ea fuerunt ingentia, & quidem germanitate quadam cõiuncta, pax & sacerdotium. erat enim egregium facinus, profligatis hominum vulgi more viuentium penè inuictis copijs, & cupiditatibus in animo ciuile bellum excitantibus, pacem constabilire: & ob hoc meritum non diuitias, non gloriam, non honorem, non principatum, non formam, non robur, non vllam dotem corporis, non terram, non cælum, non mundum vniuersum, sed antiquissimi numinis verum cultum honore summo dignum, & mirificum ordinem sacerdotij modis omnibus expetendum accipere. germana autem esse hæc præmia dixi non temere, sed quia scio non posse verum sacerdotem fieri qui adhuc humanam & mortalem militet militiam, in qua vanæ opiniones ducunt ordines: sed requiri ad hoc virum pacatum, à bello tam alienum, vt etiam sit pacificus, perpetuóque pacem colat sincere ac simpliciter. tales sunt qui patrem & eius mandata magnifaciunt, materna vero matrémque ipsam negligunt. Infensus autem vtrique parenti, sic loquens inducitur: Nescio Dominum istum, nec Israelem emitto. Hic videtur aduersari tum contendentibus recta ratione ad Deum, tum indolem eruditione constabilientibus, confunderéque cuncta modis omnibus. & sunt hodiéque (nondum enim humanum genus à mera malicia repurgatum est) qui nec pietati erga Deum, nec societati naturali hominum quicquam tribuunt, vtrique impietatem præferentes, nec Deo grati, nec fidi sui similibus: atque ita oberrant per ciuita-

A θνητοῖς γονεῦσιν, οὐχ ἑώρακα ὑμᾶς ἀφ' οὗ τὰ θεῖα εἶδον· ὁ μὴ γνωρίζων τοὺς υἱοὺς ἀφ' οὗ γνώριμος σοφίας ἐγένετο· ὁ ἀπογινώσκων τοὺς ἀδελφοὺς ἀφ' οὗ μὴ ἀπεγνώσθησαν παρὰ θεῷ, ἀλλὰ σωτηρίας ἠξιώθησαν παντελοῦς. οὗτός ἐστιν ὁ τὸν σειρομάστην λαβών, τουτέστιν ὁ μαστεύσας καὶ ἀναζητήσας τὰ τῆς φθαρτῆς γενέσεως, ἣν ἐν σιτίοις καὶ ποτοῖς τὸ εὐδαιμον τεθησαύρισται, καὶ εἰς τὴν κάμινον, ὥς φησι Μωϋσῆς, εἰσελθὼν τὴν καιομένην καὶ φλεγομένην
B ὑπερβολαῖς ἀδικημάτων καὶ μηδέποτε σβεσθῆναι δυναμένην ἀνθρώπων βίον, κἄπειτα ἰσχύσας καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας ἀνατεμεῖν, ὅτι αἰτία τοῦ γεννᾶν ἔδοξεν εἶναι πάσχουσα πρὸς ἀλήθειαν μᾶλλον ἢ δρῶσα, καὶ πάντα ἄνθρωπον καὶ λογισμὸν τὸν ἐπακολουθήσαντα τῇδε τῇ δόξῃ τῇ τοῦ νόμου τῶν γινομένων αἰτίου θεοῦ περιαπτούσῃ πάθη τὰ οὐσίας. ἆρ' οὐχὶ καὶ οὗτος ἀνδροφόνος παρὰ πολλοῖς ἂν εἶναι νομισθείη τοῖς πρὸς γυναικῶν ἔθεσιν ἁλισκόμενος; ἀλλὰ παρά γε θεῷ τῷ πανηγεμόνι καὶ
C πατρὶ μυρίων ἐπαίνων καὶ ἐγκωμίων καὶ ἀναφαιρέτων ἄθλων ἀξιωθήσεται. τὰ δ' ἆθλα μεγάλα καὶ ἀδελφά, εἰρήνη καὶ ἱερωσύνη. τό, τε γὰρ τὴν ἐν τῷ σπουδαζομένῳ παρὰ πολλοῖς ἀνθρώποις βίῳ δυσαλώτου στρατείαν, καὶ τὸν ἐν ψυχῇ τῶν ἐπιθυμιῶν ἐμφύλιον πόλεμον καταλύσαι δυνηθέντα, εἰρήνην βεβαιώσασθαι, μέγα καὶ λαμπρόν. τό, τε ἔργον μηδὲν ἄλλο, μὴ πλοῦτον, μὴ δόξαν, μὴ τιμήν, μὴ ἀρχήν, μὴ κάλλος, μὴ ἰσχύν, μὴ ὅσα σώματος πλεονεκτήματα, μηδ' αὖ γῆν ἢ οὐρα-
D νόν, ἢ τὸν σύμπαντα κόσμον, ἀλλὰ τὸ πρεσβύτατον τῶν αἰτίων τὸ πρὸς ἀλήθειαν θεραπείας καὶ τῆς ἀνωτάτω τιμῆς ἄξιον ὄντα, μόνον τῆς ἱερωσύνης λαβεῖν τάξιν θαυμαστὸν καὶ περιμάχητον. ἀδελφὰ δ' ἔφην τὰ ἆθλα, οὐκ ἀπὸ σκοποῦ, ἀλλ' εἰδὼς ὅτι οὐκ ἂν ὁ ἱερεὺς γένοιτο πρὸς ἀλήθειαν, ἔτι τὴν ἀνθρωπίνην καὶ θνητὴν στρατευόμενος στρατείαν, ἐν ᾗ ταγματαρχοῦσιν αἱ κεναὶ δόξαι, οὐδ' ἂν εἰρηνικὸς ἀνὴρ μὴ τὸ μόνον ἀμέτοχον πολέμου, καὶ τὴν αἰώνιον εἰρήνην
E ἄγων ἀψευδῶς καὶ ἁπλῶς θεραπεύων. τοιοῦτοι μέν εἰσιν οἱ τὸν πατέρα καὶ τὰ τοῦ πατρὸς τιμῶντες, μητρὸς δὲ καὶ τῶν ἐκείνης ἥκιστα φροντίζοντες· τὸν δ' ἀμφοτέροις πολεμωθέντα τοῖς γονεῦσι, διαστομίζοντα εἰσαγαγὼν λέγοντα, Οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω. οὗτος γὰρ ἔοικε καὶ τοῖς πρὸς θεὸν ὀρθῷ λόγῳ βραβευομένοις, καὶ τοῖς πρὸς γένεσιν παιδεία βεβαιουμένοις ἐναντιοῦσθαι καὶ συγχεῖν πάντα διὰ πάντων. εἰσὶ δὲ καὶ ἔτι νῦν· οὔπω γὰρ τὸ ἀνθρώπων γένος τὴν ἄκρατον κακίαν ἐκκαθη-

ρατο, μήτε τὴν εἰς εὐσέβειαν, μήτε τὴν εἰς κοινωνίαν μηδὲν ἁπλῶς δρᾶν ἐγνωκότες· ἀλλὰ τοὐναντίον, ἀσεβείας μὲν καὶ ἀθεότητος ἑταῖροι. πρὸς δὲ τοὺς ὁμοίους ἄπιστοι, καὶ παρεισρέουσιν αἱ μέγισται τῶν πόλεων κῆρες οὗτοι, τὰ ἴδια καὶ τὰ κοινὰ ὑπὸ φιλοπραγμοσύνης διέποντες, μᾶλλον δ᾽ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἀναστρέποντες, οὓς ἐχρῆν, ὥσπερ μεγάλην νόσον λιμὸν ἢ λοιμὸν, ἤ τι κακὸν ἄλλο θεήλατον, εὐχαῖς καὶ θυσίαις ἀποτρέπεσθαι. φθοραὶ γὰρ οὗτοι μεγάλαι τοῖς ἐντυγχάνουσι· παρ᾽ ὃ καὶ Μωϋσῆς τὸν ὄλεθρον αὐτῶν ᾄδει πρὸ τῆς ἰδίου συμμαχίας ἁλόντων, καὶ ὥσπερ πλημμύραις ταῖς ἰδίαις δόξαις ἐγκαταποθέντων. λέγωμεν τοίνυν ἑξῆς καὶ περὶ τῶν τούτοις μὲν ἐχθρῶν, παιδείαν δὲ καὶ ὀρθὸν λόγον ἐκτετιμηκότων· ὧν ἧττον οἱ τὴν ἑτέρων γονέων προσκείμενοι τῇ ἀρετῇ, ἡμιτελεῖς χορευταί. οὗτοι νῦν καὶ νόμων οὓς ὁ πατὴρ ὁ ὀρθὸς ἔθηκεν ἄριστοι φύλακες, καὶ ἐθῶν πιστοὶ ταμίαι, ἅπερ ἡ παιδεία μήτηρ αὐτῶν εἰσηγήσατο· ἐδιδάχθησαν δὲ ὑπὸ μὲν ὀρθοῦ λόγου πατρὸς τὸν πατέρα τῶν ὅλων τιμᾶν, ὑπὸ δὲ παιδείας τῆς μητρὸς τῶν θέσει καὶ νομιζομένων παρὰ πᾶσιν εἶναι δικαίων μὴ ὀλιγωρεῖν. ἡνίκα γοῦν ὁ ἀσκητὴς Ἰακὼβ καὶ τοὺς ἀρετῆς ἄθλους διαθλῶν, ἔμελλεν ἀκοὰς ὀφθαλμῶν ἀντιδιδόναι, καὶ λόγους ἔργων καὶ προκοπὰς τελειότητος, τοῦ φιλοδώρου θεοῦ βουληθέντος αὐτοῦ τὴν διάνοιαν ἐνομματῶσαι, ἵνα ταῦτ᾽ ἐναργῶς ἴδῃ ἃ πρότερον ἀκοῇ παρειλάμβανε· πιστοτέρα γὰρ ὄψις ὤτων, ἐπήχησαν οἱ χρησμοί, Οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλὰ Ἰσραὴλ ἔσται σου τὸ ὄνομα, ὅτι ἴσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατῶς. Ἰακὼβ μὲν οὖν μαθήσεως καὶ προκοπῆς ὄνομα, ἀκοῆς ἐξηρτημένων δυνάμεων, Ἰσραὴλ δὲ, τελειότητος. ὅρασιν γὰρ θεοῦ μηνύει τοὔνομα· τελειότερον δὲ τί ἂν εἴη τῶν ἐν ἀρεταῖς ἢ τὸ ὄντως ἰδεῖν; ὁ δὴ κατιδὼν τἀγαθὸν τοῦτο, παρ᾽ ἀμφοτέροις ἀνωμολόγηται τοῖς γονεῦσιν εὐδόκιμος· ἰσχὺν μὲν τὴν ἐν θεῷ, δύναμιν δὲ τὴν παρὰ κυρίου καὶ ἀνθρώπων, ἐπειδὴ δι᾽ ἀμφοτέρων παντελὴς ἡ κτῆσις τἀγαθοῦ περιγίνεται. διδαχθεὶς γὰρ φυλάττειν νόμους πατρὸς καὶ μὴ ἀθετεῖσθαι θεσμοὺς μητρὸς, θαρρήσεις ἐπισεμνυνόμενος εἰπεῖν· υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός. ἀλλ᾽ οὐκ ἔμελλες εἴποιμ᾽ ἂν αὐτῷ στέργεσθαι, φυλάττων μὲν τὰ παρὰ γνωστοῖς καθεστῶτα νόμιμα, διὰ πόθον κοινωνίας, φυλάττων δὲ καὶ τοὺς τοῦ ἀγνώστου θεσμοὺς δι᾽ εὐσεβείας ἔρωτα καὶ ζῆλον. τοιγάρτοι καὶ θεοπρόπος Μωϋσῆς, διὰ τῆς κατὰ τὸν νεὼν δημιουρ-

tes pestes earum maximæ, præ curiositate miscentes se tam publicis quam priuatis negotijs, vel potius si vera dicenda sunt, subuertentes vtraque: quos oportebat tanquam diros votis placato numine auertere: sunt enim pernicies omnium in quos incidunt. quapropter & Moses decantat eorum exitium, deletorum prius quam ipsi sibi possent succurrere, & proprijs opinionibus absorptorum tanquam fluctibus. Dicamus igitur deinceps de his contrario genere hominum, eruditionem rectámque rationem colentium. ad quos collati dimidiati erant qui alterius tantum parentis virtutes æmulabantur. hi sunt & legum, quas pater rectus & rationalis sermo tulit, custodes optimi, & morum fideles dispensatores, quos instituit eorum genitrix eruditio. ab illo patre didicerunt honorare patrem vniuersorum: à matre verò, non contemnere iura publice recepta consensu ciuium. Quando igitur meditator ille Iacob exantlans virtutis certamina, permutaturus erat aures pro oculis, verba pro operibus, profectum pro perfectione, benignissimo Deo volente illustrare mentis eius oculos, vt iam manifeste cerneret quæ prius auditu perceperat (oculis enim tutius creditur quàm auribus) insonuit ei hoc oraculum: Non nominaberis posthac Iacob, sed Israel erit nomen tuum, quia cum Deo validus fuisti, & cum hominibus. Est igitur Iacob discentis & proficientis nomen, pendentis ex auditus viribus: perfecti vero Israel. nam visionem Dei nomen id significat. & quæ virtus potest esse perfectior, quàm eum Qui est videre? ergo qui summum illud bonum vidit, laudatur à paterno maternóque genere, fortis in Deo, robustus apud Dominum & homines, quoniam per hæc duo simul integram illius boni possessionem adipiscimur. edoctus enim custodire leges patris, & iura matris non contemnere, audebis ingenue profiteri te obedientem patri filium, & placentem in conspectu genitricis. Annon satis est custodire iura probata genitis hominibus, societatis gratia: simúlque diuinas sanctiones, ob pietatis amorem? Quapropter fatidicus Moses per apparatum sacrorum, vtriusque rei perfectionem designat. non temere enim nobis arcam intus & extra laminis au-

reis induit, non temere summo sacerdoti duas stolas attribuit, & duas aras ponit, exteriorem ad victimas, ad suffitus interiorem: sed volens nos per hæc signa docere virtutes vtriusque speciei. debet enim vir sapiens & intus in anima inuisibili, & in externis actionibus ornatus esse prudentia, omni auro preciosiore: quoties autem ab humanis studijs secedens, cum Qui est solum adorat, vnicolorem veritatis stolam induere, quam nihil mortale attigit. est enim linea: quæ materia non enascitur è mortalibus: rursum quoties transit ad curam reipublicæ deposita interiore alteram pictam & aspectu mirandam sumere. cum enim magna sit in vita varietas, opus est varia sapientia clauum tenentis gubernatoris. hic in ara seu vita conspicua tergoris carnis cruoris & huiusmodi corporeorum videbitur magnam curam gerere, ne vulgarem multitudinem offendat, quæ bona corporis facit animi bonis proxima. in interiore vero omnibus rebus incruentis, incorporeis, non carneis, nec nisi rationalibus vtetur, quæ per thus suffimentáque significantur. nam vt hæc nares, sic illa totam animam explent sua fragrantia. Sciendum tamen quod sapientia cum sit ars artium, videtur quidem variari diuersis materijs, tamen veram suam speciem immutabilem ostendit acuto visu præditis, & his qui non circumfusa ei rerum mole distrahuntur, sed ab arte ipsa impressum ei characterem perspiciunt. Ferunt Phidiam illum statuarium ex ære, ebore, auro, aliisque diuersis materijs confecisse statuas, in quibus omnibus vna eadémque ars emineat: vt non solum eruditi spectatores, verum etiam valde imperiti opificem agnoscant ex ipsis operibus. quemadmodum enim in gemellis natura eodem sæpe vsa charactere penè indiscretas similitudines exprimit: pari modo etiam perfecta ars, cum sit naturæ imago & effigies, quando assumit diuersas materias, format & imprimit eandem cunctis ideam, vt hac maxime ratione fiant cognata germanáque ac gemella eius opera. idem igitur efficiet ea quæ inest sapienti potentia. tractans enim de eo Qui est, pietas nominatur & sanctitas: cum autem de cœlo disserit rebúsque cælestibus,

A γίας ἱερῶν, τὴν ἐν ἀμφοτέροις τελειότητα διαδείξει. οὐ γὰρ ἀπερισκέπτως ἡμῖν τὴν κιβωτὸν ἔνδοθέν τε καὶ ἔξωθεν χρυσῷ περιαμπίσχει, οὐδὲ στολὰς τῷ ἀρχιερεῖ διττὰς ἀναδίδωσιν, οὐδὲ βωμοὺς δύο, τὸν μὲν ἔξω πρὸς τὰ ἱερεῖα, τὸν δὲ πρὸς τὸ ἐπιθυμιᾶν, ἔνδον δημιουργεῖ, ἀλλὰ βουλόμενος διὰ συμβόλων τούτων καθ' ἑκάτερον εἶδος ἀρετὰς παραστῆσαι. τὸν γὰρ σοφὸν κἂν τοῖς κατὰ ψυχὴν ἔνδον ἀοράτοις, κἂν τοῖς ἔξω περιφερομένοις, δεῖ τῇ πάντως τιμιωτέρᾳ χρυσοῦ φρονήσει κεκοσμῆσθαι· καὶ ὁπότε B μὲν τῶν ἀνθρωπίνων σπουδασμάτων ὑποκεχώρηκε, τὸ ὂν θεραπεύων μόνον, τὴν ἀποίκιλον ἀληθείας ἐνδύεσθαι στολήν, ἧς οὐδὲν ἐφάψεται θνητόν. καὶ γάρ ἐστι λινῆς ὕλης ἐξ οὐδενὸς τῶν πεφυκότων ἀποθνήσκειν γινομένης· ὁπότε δὲ μετίοι πρὸς πολιτείας, τὴν μὲν ἔνδον ἀποτίθεσθαι, ποικιλωτάτην δὲ καὶ ὀφθῆναι θαυμασιωτάτην ἑτέραν ἀναλαμβάνειν. πολύτροπος γὰρ ὢν ὁ βίος ποικιλωτάτης δεῖται τῆς σοφίας τοῦ πηδάλιον οἰήσοντος κυβερνήτου. C ἐστὶ κατὰ μὲν τὸν περιφανῆ βωμὸν ὁ βίος, καὶ δορᾶς καὶ σαρκῶν καὶ αἵματος καὶ πάντων ὅσα περὶ σῶμα, δόξει πολλὴν ποιεῖσθαι πρόνοιαν, ὡς μὴ μυρίοις ἀπέχθοιτο κρίνουσιν ἀγαθὰ μετὰ τὰ ψυχῆς δευτερείοις τετιμημένα τὰ περὶ σῶμα· κατὰ δὲ τὸν ἔνδον, πᾶσιν ἀναίμοις, ἀσάρκοις, ἀσωμάτοις, τοῖς ἐκ λογισμοῦ μόνοις χρῆσθαι, ἃ λιβανωτῷ καὶ τοῖς ἐπιθυμιωμένοις ἀπεικάζεται. ὡς γὰρ ταῦτα ῥῖνας, ἐκεῖνα τὸν τῆς ψυχῆς ἅπαντα χῶρον εὐωδίας ἀναπίμπλησι. χρὴ μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι ἡ σοφία D τέχνη τεχνῶν οὖσα, δοκεῖ μὲν ταῖς διαφόροις ὕλαις ἐνσχηματίζεσθαι· τὸ δ' αὐτῆς ἀληθὲς εἶδος ἄτρεπτον ἐμφαίνει τοῖς ὀξυδορκοῦσι, καὶ μὴ τῷ περικεχυμένῳ τῆς οὐσίας ὄγκῳ μεθελκομένοις, ἀλλὰ τὸν ἐνεσφραγισμένον ὑπὸ τῆς τέχνης αὐτῆς χαρακτῆρα διορῶσι. τὸν ἀνδριαντοποιὸν Φειδίαν ἐκεῖνον τε χαλκὸν λαβόντα φασὶ καὶ ἐλέφαντα τε χρυσὸν καὶ ἄλλας διαφόρους ὕλας, ἀνδριάντας ἀπεργάσασθαι, καὶ ἐν ἅπασι τούτοις μίαν καὶ τὴν αὐτὴν ἐνσημήνασθαι E τέχνην, ὡς μὴ μόνον ἐπιστήμονας, ἀλλὰ καὶ λίαν ἰδιώτας τὸν δημιουργὸν ἀπὸ τῶν δημιουργηθέντων γνωρίσαι. καθάπερ γὰρ ἐπὶ τῶν διδύμων ἡ φύσις χρησαμένη τῷ αὐτῷ πολλάκις χαρακτῆρι, παρὰ μικρὸν ἀπαραλλάκτους ὁμοιότητας ἐτύπωσε, τὸν αὐτὸν τρόπον καὶ ἡ τελεία τέχνη μίμημα καὶ ἀπεικόνισμα φύσεως οὖσα, ὅταν διαφόρους ὕλας παραλάβῃ, σχηματίζει καὶ ἐνσφραγίζεται τὴν αὐτὴν ἁπάσαις ἰδέαν, ὡς ταύτῃ μάλιστα συγγενῆ καὶ ἀδελφὰ καὶ δίδυμα τὰ δημιουργηθέντα γενέσθαι. ταυτὸν

οὖν

ἐστὶ καὶ ἡ ἐν τῷ σοφῷ δύναμις ἐπιδείκνυται. πραγματευομένη γὰρ τὰ περὶ τοῦ ὄντος, εὐσέβεια καὶ ὁσιότης ὀνομάζεται· τὰ δὲ περὶ οὐρανοῦ καὶ τὴν καθ᾽ αὑτὸν, φυσιολογία· μετεωρολογικὴ δὲ, τὰ περὶ τὸν ἀέρα καὶ ὅσα κατὰ τὰς τροπὰς αὐτοῦ καὶ μεταβολὰς, ἔν τε ταῖς ὁλοσχερέσιν ἐτησίοις ὥραις, καὶ τοῖς ἐν μέρει κατά τε μηνῶν καὶ ἡμερῶν περιόδους, πέφυκε συνίστασθαι· ἠθικὴ δὲ, τὰ πρὸς ἀνθρώπων ἐπανόρθωσιν ἠθῶν, ἧς ἰδέαι, πολιτική τε ἡ πρὸς πόλιν, καὶ ἡ πρὸς οἰκίαν ἐπιμέλεια, οἰκονομική· συμποτική τε ἡ περὶ τὰ συμπόσια καὶ τὰς εὐωχίας. ἔτι δ᾽ αὖ, ἡ μὲν περὶ ἀνθρώπων ἐπιστασίας, βασιλική· ἡ δὲ περὶ προστάξεις καὶ ἀπαγορεύσεις, νομοθετική. πάντα γὰρ ταῦτα ὁ πολύφημος ὡς ἀληθῶς καὶ πολυώνυμος σοφὸς κεχώρηκεν, εὐσέβειαν, ὁσιότητα, φυσιολογίαν, μετεωρολογίαν, ἠθοποιΐαν, πολιτείαν, οἰκονομίαν, βασιλικὴν, νομοθετικὴν, ἄλλας μυρίας δυνάμεις, καὶ ἐν ἁπάσαις ἓν εἶδος καὶ ταὐτὸν ἔχων ὀφθήσεται. διειλεγμένοι δὲ περὶ τῆς ἐν τοῖς ἐκγόνοις τεττάρων τάξεων, οὐκ ἂν οὐδὲ ἐκεῖνο παρίδοιμεν, ὃ γένοιτ᾽ ἂν τῆς διαιρέσεως καὶ τομῆς τῶν κεφαλαίων ἐναργεστάτη πίστις. τοῦ γὰρ μετεωρισθέντος καὶ φυσηθέντος ὑπ᾽ ἀνοίας παιδὸς οἱ γονεῖς τὸν τρόπον τοῦτον κατηγόρησαν εἰπόντες, οὗτος ὁ υἱὸς ἡμῶν οὗτος, δεικνύοντες τὸν ἀπειθῆ καὶ ἀπαυχενίζοντα, διὰ γὰρ τῆς δείξεως τῆς οὗτος, ἐμφαίνουσιν ὅτι καὶ ἑτέρους ἐγέννησαν, τοὺς μὲν τῷ ἑτέρῳ, τοὺς δ᾽ ἀμφοτέροις καταπειθεῖς λογισμοὺς εὐφυεῖς, ὧν παράδειγμα Ῥουβίμ· φιληκόους καὶ φιλομαθεῖς ἑτέρους, ὧν ἐστι Συμεών· ἀκοὴ γὰρ οὗτος ἑρμηνεύεται· πρόσφυγας καὶ οἰκέτας θεοῦ, λευιτῶν ὁ θίασος οὗτος· τὸν εὐχαριστικὸν ὕμνον ᾄδοντας οὐ γεγωνῷ φωνῇ μᾶλλον ἢ διανοίᾳ, ὧν ἔξαρχος Ἰούδας, διὰ τὴν μετὰ πόνων ἀρετῆς κτῆσιν ἑκούσιον· μισθῶν καὶ δωρεῶν ἀξιωθέντας, ὡσπερεὶ Ἰσσάχαρ· μετανάστας ἀπὸ τῆς χαλδαϊκῆς μετεωρολογικῆς θεωρίας γεγονότας εἰς τὴν περὶ τοῦ ἀγενήτου σκέψιν, ὡς Ἀβραάμ· αὐτηκόους καὶ αὐτομαθῆ κτησαμένους ἀρετὴν, ὥσπερ Ἰσαάκ· λήμματος καὶ ἰσχύος πλήρεις καὶ φίλους τῷ θεῷ, καθάπερ Μωϋσῆν τὸν τελειότατον. εἰκότως οὖν τὸν ἀπειθῆ καὶ ἐρεθιστὴν καὶ συμβολὰς εἰσφέροντα, τουτέστι συμβάλλοντα καὶ συνάπτοντα ἁμαρτήματα ἁμαρτήμασι, μεγάλα μικροῖς, νέα παλαιοῖς, ἀκούσια ἑκουσίοις, καὶ ὥσπερ ὑπ᾽ οἴνου φλεγόμενον, ἄληκτον καὶ ἀνεπίσχετον μέθην τοῦ βίου παντὸς καταμεθύοντα καὶ παροινοῦντα, διὰ τὸ τῆς ἀφροσύνης πόματος ἀκράτου καὶ πολλοῦ σπάσαι, καταλεύειν ὁ ἱερὸς λόγος δικαιοῖ· ἔτι καὶ τὰς

A physiologia: meteorologia vero, cum de aere varietatibúsque huius & mutationibus, siue per integras vices anni quadripartiti quas horas nominant, siue per singulos mensium dierúmque circuitus contingentibus. ethica vero cum de corrigendis moribus hominum: cuius species sunt, politica ad reipublicæ curam, & œconomica ad rei familiaris pertinens: atque etiam sympotica, tractans epulas ac conuiuia. rursum alia facultas est regia, regendis apta homini-
B bus: alia legislatoria, quæ vetat aut præcipit. omnium enim horum sapiens, vere πολύφημος, id est multinominis, capax est, pietatis, sanctitatis, physiologiæ, meteorologiæ, moralis, ciuilis, domesticæ, regiæ, legislatoriæque scientiæ, & innumerarum aliarum facultatum, in quibus omnibus vnam eandémque speciem habere videbitur. in hac autem de quatuor prognatorum ordinibus mentione illud præterire non li-
C bet, quod confirmat hanc diuisionem partitionémque capitum. nam fastuosum hunc & per stultitiam inflatum filium parentes hoc modo accusant, dicendo. hic noster, digito indicantes inobedientẽ contumacémque. vbi demonstratiue dicendo hic, declarant se & alios genuisse, hoc est indoles generosas aut alteri parenti obsequentes aut vtrique, quorum exemplum est Rubim. alios audiendi discendíque cupidos, quorum est Symeon. nam
D hic auditus interpretatur. item alios Dei supplices, quale est leuitarum sodalitium. item nonnullos canentes sonora non tam voce quam mente hymnum gratijs agendis compositum, quorum præcentor Iudas, propter virtutem quæsitam labore voluntario. quosdam item mercedibus dignatos & muneribus, vt Issachar. alios contemplatores cælestis numinis post derelictas sublimes considerationes Chaldaicas, vt Abraham. alios à seipsis virtutem doctos, vt Isaac. item consilio viribús-
E que pollentes amicos Dei, vt Mosem illum perfectissimum. Merito igitur istũ contumacem, proteruum, symbola conferentem, id est peccata peccatis annectentem, magna minoribus, recentia veteribus, voluntaria non voluntarijs, & tanquam vino calentem, per totam vitam ebrium debacchantémque, vt qui stultitiæ merum magnúmque hauserit calicem, lapidari sacra lex iubet: quia & recti sermonis mãdata patris sui,

& disciplinæ matris suæ legitimas ad- A
monitiones sustulit: cúmque haberet fratres probos exemplum honestatis domesticum, ne horum quidem virtutem imitatus est, etiam præuaricari ausus, vt corpus Deum sibi fingeret, & Typhum Ægyptio more coleret, cuius signum erat iuuencus aureus: circa quem choreas ducendo insani, carmen concinunt, non suaue, quale in comessationibus, epulis, festisque compotationibus, sed reuera lugubre funestúmque, tanquam te- B
mulenti, multóque Lyeo laxati neruos animæ. Narratur enim quòd Iesus audito tumultu populi dixit ad Mosem: Clamor pugnantium auditur in castris. qui respondit: clamor iste, quantum ego audio, non ad pugnam aut fugam hortator est, sed ad pocula. móxque propinquior castris, videt vitulum & choreas. Quid autem hoc ænigma significet, docebimus vt poterimus. Res nostræ nunc tranquillæ sunt & quietæ, nunc perstrepunt C
importunis tumultibus. cum silent, habent pacem: è diuerso bellum implacabile cum tumultuantur. testis est qui hoc expertus didicit, tanto magis idoneus. audito enim strepitu populi, sic solicitum eius curatorem ac præsidem alloquitur: clamor pugnantium auditur in castris. nam prius quam in nobis excitarentur ad clamorem irrationales impetus, mens erat stabilior. postquam autem animæ regio strepere cœpit dissonis vocibus, affectiones D
his excitatæ seditionem intestinam commouent. cæterum castra ad bellum nata videntur. vbi enim aliàs rixæ sunt & pugnæ contentionésque, & cætera pertinacis belli facinora, nisi in hac vita quam in corpore agimus, quod allegorice castra nominat. hæc castra solet intellectus relinquere, quando numine correptus ad eum Qui est accedit contemplaturus ideas incorporeas. Tollens, inquit, Moses suum ta- E
bernaculum, tetendit extra castra, non prope, sed procul. qua figura subindicatur, sapientem migrasse à bello ad pacem, & à mortali confusóque exercitu ad pacatam rationalium feliciúmque animarum vitam diuinam. dicit autem & aliubi: cum exiuero ciuitatem, expandam manus meas ad Dominum, & cessabunt clamores. caue autem putes hęc loquentem hominem esse ex anima corporéque contextũ, siue complexũ,

A ὀρθὰς λόγου προστάξεις τοῦ πατρὸς, καὶ τὰς παιδείας τῆς μητρὸς νομίμους ὑφηγήσεις ἀνεῖλε, καὶ παράδειγμα ἔχων τὸ καλοκαγαθίας, τοὺς τοῖς γονεῦσιν εὐδοκίμους ἀδελφοὺς, τὴν τούτων ἀρετὴν οὐκ ἐμιμήσατο, τοὐναντίον δὲ καὶ προσπαρανομεῖν ἠξίωσεν, ὡς θεοπλαστῶν μὲν τὸ σῶμα, θεοπλαστῶν δὲ τὸν παρ' Αἰγυπτίοις μάλιστα τιμώμενον τῦφον, οὗ σύμβολον ἦν τοῦ χρυσοῦ ταύρου κατασκευὴ, περὶ ὃν χορεὺς ἱστάντες οἱ φρενοβλαβεῖς, ᾄδουσι καὶ ἐξάρχουσιν, οὐ παροίνιον καὶ κωμαστικὸν οἷα
B ἐν ἑορταῖς καὶ θαλείαις ἥδιστον μέλος, ἀλλὰ τὸν ὡς ἐπὶ τεθνεῶσιν ἀληθῆ θρῆνον αὐτῶν ὥσπερ ἔξοινοι, καὶ τῆς ψυχῆς τὸν τόνον ἐκλελυμένοι τε καὶ φλέγοντες. λέγεται γὰρ ὅτι ἀκούσας Ἰησοῦς τοῦ λαοῦ κεκραγότων, εἶπε πρὸς Μωϋσῆν, φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ· καὶ λέγει, οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν, οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω· καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ,
C ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς. ἃ δὲ διὰ τούτων αἰνίττεται, παραστήσομεν, ὡς ἂν οἷοί τε ὦμεν. τὰ περὶ ἡμᾶς, τοτὲ μὲν ἠρεμεῖ, τοτὲ δὲ ὁρμαῖς τε καὶ ἐκβοήσεσιν ἀκαίροις ὡσπερεὶ χρῆται. καὶ ἔστι μὲν ἡσυχία τούτων εἰρήνη βαθεῖα, τὰ δὲ ἐναντία πόλεμος ἄσπονδος. μάρτυς δὲ ὁ πεπονθὼς ἀψευδέστατος. ἀκούσας γὰρ τῆς φωνῆς τοῦ λαοῦ κεκραγότων, λέγει πρὸς τὸν σκεπτικὸν καὶ ἐπίσκοπον τῶν πραγμάτων, φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. ἕως μὲν γὰρ οὐκ ἐκινοῦντο καὶ ἐκεκράγεσαν
D ἐν ἡμῖν αἱ ἄλογοι ὁρμαὶ, σταθερώτερος ὁ νοῦς· ἐπεὶ δὲ ἤρξαντο πολύφωνοι καὶ πολύηχοι ἀπεργάζεσθαι τὸ ψυχῆς χωρίον, τὰ πάθη συγκαλοῦσαι καὶ ἀνεγείρουσαι, στάσιν ἐμφύλιον ἐγέννησαν. ἐν δὲ τῷ στρατοπέδῳ ὁ πόλεμος, φυσικώτατα. ποῦ γὰρ ἀλλαχόθι ἔριδες, μάχαι, φιλονεικίαι, πάνθ' ὅσα ἔργα ἀκαθαιρέτου πολέμου, πλὴν ἐν τῷ μετὰ σώματος βίῳ, ὃν ἀλληγορῶν καλεῖ στρατόπεδον. τοῦτο εἴωθεν ἀπολείπειν ὁ νοῦς, ὅταν θεοφορηθεὶς πρὸς
E αὐτῷ τῷ ὄντι γίνηται καταθεώμενος τὰς ἀσωμάτους ἰδέας. Λαβὼν γὰρ Μωϋσῆς, φησὶ, τὴν ἑαυτοῦ σκηνὴν, ἔπηξεν ἔξω τῆς παρεμβολῆς, καὶ οὐ πλησίον, ἀλλὰ πορρωτάτω καὶ μακρὰν ἀπὸ τῆς παρεμβολῆς. αἰνίττεται δὲ διὰ τούτων, ὅτι σοφὸς μέτοικος καὶ μετανάστης ἐστὶν ἀπὸ πολέμου πρὸς εἰρήνην, καὶ ἀπὸ τοῦ θνητοῦ καὶ πεφυρμένου στρατοπέδου πρὸς τὸν ἀπόλεμον καὶ εἰρηναῖον λογικῶν καὶ εὐδαιμόνων ψυχῶν βίον θεῖον· λέγει δὲ καὶ ἑτέρωθι, ὅτι ἐπειδὰν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς

χεῖρας πρὸς τὸν κύριον, καὶ αἱ φωναὶ παύσονται. μὴ νομίσῃς δὲ τὸν διαλεγόμενον ἄνθρωπον εἶναι τὸ ψυχῆς καὶ σώματος ὕφασμα ἢ πλέγμα ἢ κέραμα, ἢ ὅ,τι ποτὲ χρὴ καλεῖν τοῦτο τὸ συνθετὸν ζῷον, ἀλλὰ νοῦν εἰλικρινέστατον καὶ καθαρώτατον, ὃς ἐν μὲν τῇ πόλει τοῦ σώματος καὶ τοῦ θνητοῦ βίου περιεχόμενος ἔσταλται καὶ συνείληπται, καὶ ὥσπερ ἐν δεσμωτηρίῳ καθειργμένος, μηδὲ ἐλευθέρου δύνασθαι σπᾶν ἀέρος αὐτόπτης ὁμολογεῖ· ἐπειδὰν δὲ ἐξέλθῃ τὴν πόλιν ταύτην, καθάπερ πόδας καὶ χεῖρας οἱ δεσμευόμενοι, τὰς ἐννοίας αὐτοῦ καὶ διανοήσεις λυθείς, ἀφέτοις καὶ ἀπολελυμέναις ζεύγλαις χρήσεται ταῖς ἐνεργείαις, ὡς τὰς ἐπικελεύσεις τῶν παθῶν εὐθὺς ἐπισχεθῆναι. ἢ οὐχ ἡδονῆς μὲν ἀνατεταμέναι αἱ ἐκβοήσεις, δι' ὧν τὰ ἑαυτῇ φίλα εἴωθε προστάττειν; ἐπιθυμίας δὲ ἄρρηκτος ἡ φωνὴ χαλεπὰς ἀπειλὰς κατὰ τῶν μὴ ὑπηρετούντων ἀπειλούσης; καὶ τῶν ἄλλων ἑκάστου πολύηχος καὶ μεγαλόφωνός τις ἡ γῆρυς; ἀλλὰ γὰρ οὐδ' εἰ μυρίοις στόμασι καὶ γλώτταις ἕκαστον τῶν παθῶν παρὰ τοὺς ποιητὰς λεγομένοις χρήσαιτο ὁμάδῳ, καὶ τὰς τοῦ τελείου δυνήσεται ἂν ἀκοὰς συγχέαι, μετεληλυθότος ἤδη καὶ τὴν αὐτὴν ἐκείνοις πόλιν μηκέτ' οἰκεῖν ἐγνωκότος. φαμένου δὴ τοῦ πεπονθότος, ὅτι ἐν τῷ σωματικῷ στρατοπέδῳ τὰς τοῦ πολέμου φωνὰς εἶναι πάσας συμβέβηκε, τῆς εἰρήνης φίλης ἡσυχίας μακρὰν ἀπεληλαμένης, ὁ ἱερὸς συναινεῖ λόγος. οὐ γὰρ λέγει μὴ εἶναι πολέμου φωνήν, ἀλλὰ μὴ τοιαύτην ὁποίαν ἔνιοι νομίζουσιν ἢ νενικηκότων ἢ κεκρατημένων, ἀλλ' ἥτις ἂν γένοιτο βεβαρημένων καὶ πεπιεσμένων οἴνῳ. τὸ γὰρ, Οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχύν, ἴσον ἐστὶ τῷ προεγκεχειρηκότων τοῦ πολέμου· ἰσχὺς γὰρ τοῦ κρατεῖν αἴτιον. οὕτως τὸν σοφὸν Ἀβραὰμ μετὰ τὴν τῶν ἐννέα καθαίρεσιν βασιλέων, παθῶν μὲν τεττάρων, πέντε δὲ αἰσθητικῶν δυνάμεων, αἳ παρὰ φύσιν ἐκινοῦντο, εἰσάγει τὸν εὐχαριστικὸν ὕμνον ἐξάρχοντα καὶ φάσκοντα ταυτί, Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν. δείκνυσι δ', ὥς γε μοι δοκεῖ, τὸ γενητὸν πᾶν, οὐρανόν, γῆν, ὕδωρ, πνεῦμα, ζῷα ὁμοῦ καὶ φυτά. ἑκάστῳ γὰρ αὐτῶν ὁ λαὸς τῆς ψυχῆς ἐνεργείας πρὸς θεὸν τείνας, καὶ παρὰ αὐτοῦ μόνου τὰς ὠφελείας ἐλπίζων, δεόντως ἂν εἴποι, οὐδενὸς λήψομαι τῶν σῶν· οὐ παρὰ ἡλίου τὸ μεθημερινόν, οὐ παρὰ σελήνης καὶ τῶν ἄλλων ἀστέρων τὸ νυκτὶ φέγγος, οὐ παρὰ ἀέρος καὶ νεφελῶν ὑετούς, οὐ παρὰ

A siue contemperatum, aut quomodocunque tandem nominandum est hoc compositum animal, sed mentem sincerissimam purissimámque: quæ tantisper dum in ciuitate corporis mortalisque vitæ continetur se contrahit, & tanquam carcere inclusa, fatetur se non posse haurire liberiorem aerem. quod si contingat eam ex hac ciuitate exire, quemadmodum qui manicis pedicisque ferreis soluuntur, sic solutos habens conceptus animi cogitationésque,
B liberis dimissisque vtetur etiam actionibus, vt mox affectuum incitamenta cohibeantur. Annon voluptatis intensi clamores sunt: per quos quicquid libet impetrat? annon & concupiscentiæ ferrea vox, minaciter flagitantis ministeria cessantium? annon & aliorum affectuum multisonus est & clamosus strepitus? Verum etiamsi centum ora centúmque linguas (vt poetæ loquuntur) vnusquisque affectus habeat, ne sic quidem aures viri perfecti per-
C turbare poterit, qui iam migrauit nolens in eadem cum eis ciuitate habitare amplius. cæterum dicente illo cui tale quid accidit, corporeum exercitum perstrepere bellicis clamoribus procul pulso pacis amico silentio, sacer sermo assentit. non negat enim clamorem esse bellicum, alterius tamen generis putat quam nonnulli existimant, scilicet non cedentium aut vrgentium, sed qualem nimio vino grauati solét attollere. quod enim dicit, ad pugnam hortantium, perinde valet ac si diceret, prælio vincen-
D tium. nam valida pugna parit victoriã. sic sapientem illum Abraham post fusos fugatósque nouem reges, videlicet quatuor affectus & quinque sensus, qui præter naturam mouebantur, inducit scriptura hoc hymno confitentem & agentem gratias: Extendo manus meas ad Dominum Deum excelsum, creatorem cæli & terræ, si à funiculo vsque ad corrigiam caligæ accipiam ex omnibus quæ tua sunt. ostendit autem, quantum equidem intelligo, creaturam omnem,
E cælum, terram, aquam, spiritum, animãtes simul & stirpes. quisquis enim ad solum Deum tendit animæ viribus & ab eo iuuari sperat, merito dicit, nihil accipiam ex omnibus rebus quæ tuæ sunt. non à sole diurnam lucem, non à luna cæterisque sideribus nocturnũ lumen, non ab aere nubibúsque pluuias, non ab aqua & terra potum cibúmque, non ab oculis visum, non auditum ab auribus,

A non à naribus odoratum, non ab oris saliua gustum, non à lingua eloquium, non à manibus dandi recipiendique facultatem, non eundi redeundique à pedibus, non respirationem à pulmone, non concoctionem à iecore, non ab alijs visceribus suum cuiusque vsum, non ab arboribus satisque fructus annuos: sed omnia hæc ab illo solo sapiente, qui gratuitam suam benignitatem largissime distendit per omnia, atque ita prodest omnibus. quisquis igitur eum Qui est potest cernere, & hunc
B rerum autorem agnoscit, creaturas eius minus quam ipsum honorabit, absque adulatione dotes earum confitens. est autem confessio iustissima hæc ipsa: nihil à vobis, sed à Deo totum accipiam, cuius possessio sunt omnia: tamen per vos fortassis accipiam. estis enim instrumenta immortalis eius gratiæ. at inconsideratus cæcam habens mentem qua sola Qui est cernitur, hac quidem nihil vsquam videt. sed quæ in mundo
C sunt corpora complectitur suis sensibus, putans hæc esse causas omnium. quamobrem aggressus Deos sibi fingere, simulacris, delubris, & alijs innumeris statuis ex varia fabrefactis materia repleuit orbem terrarum habitabilem, pictores fictorésque, quos legislator noster exterminat è sua republica inuitans propositis ingentibus præmijs tum priuatim tum publice: vnde præter expectationem pro sanctitate inuecta est impietas. multorum enim
D deorum cultus inanimis insipientium fit impietas, & honorem Dei negligunt qui mortalia consecrant: quibus non satis fuit solis lunæque pro libito, atque etiam telluris & aquæ vniuersæ imagines effingere, sed iam brutis quoque ac stirpibus promiscue diuinos honores concedunt. eos quomodo hymni victorialis autor increpet, iam ostendimus. Moses quoque pariter postquam vidit regem Ægypti, iactantissimum illum intellectum,
E cum D c. curribus, id est instrumentalis corporis sex motibus, & cum triumuiris eorum præfectis, qui etiamsi nihil in rebus sit stabile, tamen putant de cunctis sentiendum tanquam certis & immutabilibus: hos inquam vbi vidit meritas impietatis pœnas luisse, & suum exercitum incursationem effugisse hostium, egregie præter opinionem seruatum, hymnum canit Deo iusto veróque remuneratori

ὕδατος καὶ γῆς ποτὰ καὶ σιτία, οὐ παρὰ ὀφθαλμῶν τὸ ὁρᾶν, οὐ τὸ ἀκούειν παρὰ ὤτων, οὐ παρὰ μυκτήρων ὀσμάς, οὐ παρὰ τοῦ ἐν στομίῳ χυλοῦ τὸ γεύεσθαι, οὐ παρὰ γλώττης τὸ λέγειν, οὐ παρὰ χειρῶν τὸ διδόναι καὶ λαμβάνειν, οὐ τὸ προσέρχεσθαι καὶ ἐξαναχωρεῖν παρὰ ποδῶν, οὐκ ἀναπνοὴν παρὰ πνεύμονος, οὐ πέψιν παρὰ ἥπατος, οὐ παρὰ τῶν ἄλλων σπλάγχνων τὰς καθ' ἕκαστον οἰκείους ἐνεργείας, οὐ παρὰ δένδρων καὶ σπαρτῶν τοὺς ἐτησίους καρπούς, ἀλλὰ πάντα παρὰ τοῦ μόνου σοφοῦ, τὰς αὐτοῦ χαριστηρίους δυνάμεις πάντῃ τείναντος, καὶ διὰ τούτων ὠφελοῦντος. ὁ μὲν οὖν τοῦ ὄντος θεραπευτικὸς τὸ αἴτιον ἐπιστάμενος, τὰ ὧν ἐστιν αἴτιος δεύτερα μετ' ἐκεῖνον τετίμηκεν, ὁμολογῶν ἀκολακεύτως τὰ προσόντα αὐτοῖς. ἡ δὲ ὁμολογία δικαιοτάτη, παρ' ὑμῶν μὲν οὐδέν, παρὰ δὲ τοῦ θεοῦ λήψομαι, οὗ τὰ πάντα κτήματα, δι' ὑμῶν δὲ ἴσως. ὄργανα γὰρ ὑπηρετήσοντα ταῖς ἀθανάτοις αὐτοῦ χάρισι γεγόνατε. ὁ δὲ ἀπερίσκεπτος διανοίᾳ τυφλωθεὶς ᾗ τὸ ὂν μόνῃ καταληπτόν ἐστιν, αὐτῇ μὲν οὐδαμῇ οὐδαμῶς εἶδε, τὰ δὲ ἐν κόσμῳ σώματα αἰσθήσεσι ταῖς ἑαυτοῦ, ἃ δὴ πάντων ἐνόμισε γενομένων αἴτια· παρ' ὃ καὶ θεοπλαστεῖν ἀρξάμενος, ἀγαλμάτων καὶ ξοάνων καὶ ἄλλων μυρίων ἀφιδρυμάτων ὕλαις διαφόροις τετεχνιτευμένων κατέπλησε τὴν οἰκουμένην, γραφεῦσι καὶ πλάσταις, οὓς ὑπερορίους ὁ νομοθέτης τῆς καθ' αὐτὸν πολιτείας ἤλασεν, ἆθλά τε μεγάλα καὶ τιμὰς προβαλλούσας ἰδίᾳ τε καὶ κοινῇ ψηφισάμενος, κατειργάσατο τοὐναντίον οὗ προσεδόκησεν, ἀντὶ ὁσιότητος ἀσέβειαν. τὸ γὰρ πολύθεον ἐν ταῖς τῶν ἀφρόνων ψυχαῖς ἀθεότης, καὶ θεοῦ τιμῆς ἀλογοῦσιν οἱ τὰ θνητὰ θειώσαντες, οἷς οὐκ ἐξήρκεσεν ἡλίου καὶ σελήνης, εἰ δὲ ἐβούλοντο, καὶ γῆς ἁπάσης καὶ παντὸς ὕδατος εἰκόνας διαπλάσασθαι, ἀλλ' ἤδη καὶ ἀλόγοις ζώοις καὶ φυτοῖς τῆς τῶν ἀφθάρτων τιμῆς μετέδοσαν. ὁ δὲ τούτοις ἐπιτιμῶν, τὸν ἐπινίκιον ὕμνον ἐξάρχων ἐδείχθη. καὶ Μωϋσῆς μέντοι κατὰ ταῦτα, ἐπειδὴ εἶδε τὸν βασιλέα τῆς Αἰγύπτου, τὸν ὑπέραυχον νοῦν, σὺν τοῖς ἑξακοσίοις ἅρμασι, ταῖς τοῦ ὀργανικοῦ σώματος ἓξ κινήσεσιν ἡρμοσμέναις, τοῖς ἐπιβεβηκόσι τριστάταις, οἳ μηδενὸς τῶν κατὰ γένεσιν πεφυκότος ἑστάναι, περὶ πάντων οἴονται δεῖν ὡς ἂν παγίως ἱδρυμένων καὶ μηδεμίαν δεχομένων μεταβολὴν ἀποφαίνεσθαι, δίκην ἀξίαν τῆς ἀσεβείας ὑποσχόντα, καὶ τὸν ἀσκητικὸν ὅμιλον τὰς ἐπιδρομὰς τῶν πολεμίων ἐκφυγόντα, ἀνὰ κράτος ἀπροσδοκήτως διασωθέντα, τὸν δίκαιον καὶ ἀληθῆ βραβευτὴν ὑμνεῖ θεόν, τὰ περιπεδίσαντα

A καὶ οἰκειότατον ταῖς συντυχίαις ἐξάρχει ᾆσμα-
τα· διότι ἵππον καὶ ἀναβάτην ῥίψας εἰς θά-
λασσαν, τὸν ἐποχούμενον νοῦν τῷ τετράπο-
δι καὶ ἀφηνιαστοῦ πάθους ἀλόγου ὁρμῆς ἀφα-
νίσας, βοηθὸς καὶ ὑπερασπιστὴς ἐγένετο τῆς ὁρα-
τικῆς ψυχῆς, ὡς χαρίσασθαι παντελῆ σωτη-
ρίαν αὐτῇ. ὁ δ' αὐτὸς καὶ ἐπὶ τοῦ φρέατος ἐξάρχει,
οὐκέτι μόνον ἐπὶ καθαιρέσει τῶν παθῶν, ἀλλὰ καὶ
ἐπὶ τῷ τὸ κάλλιστον κτημάτων σοφίαν ἀνανταγώ-
νιστον ἰσχῦσαι λαβεῖν, ὃ ἀπεικάζει φρέατι.
B βαθεῖα γὰρ καὶ οὐκ ἐπιπόλαιος γλυκὺ ἀναδι-
δοῦσα νᾶμα καλοκἀγαθίας διψώσαις ψυχαῖς,
ἀναγκαιότατον ὁμοῦ καὶ ἥδιστον ποτόν. ἰδιώτῃ δὲ
οὐδὲ παιδείας ἐφεῖται τοῦτο τὸ φρέαρ ὀρύττειν,
μόνοις δὲ βασιλεῦσιν, ἤ φησιν, Ἐλατόμησαν αὐτὸ
βασιλεῖς. μεγάλων γὰρ ἡγεμόνων ἀναζητῆσαι καὶ
κατεργάσασθαι σοφίαν, οὐχὶ τῶν ὅπλοις γῆν
καὶ θάλατταν κατεσχημένων, ἀλλὰ τῶν ψυχῆς
δυνάμεσι τὸν πολύτροπον αὐτῆς καὶ μιγάδα καὶ
C πεφορημένον ὄχλον καταγωνισαμένων. τούτων
φοιτητὰς καὶ γνωρίμους εἶναι συμβέβηκε τοὺς λέ-
γοντας. Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀν-
δρῶν τῶν πολεμιστῶν τῶν μεθ' ἡμῶν· οὐ διαπε-
φώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς, προσαγηόχαμεν τὸ
δῶρον κυρίῳ ἀνὴρ ὃ εὗρεν. ἐοίκασι γὰρ καὶ οὗτοι
πάλιν ἐπινίκιον ᾆσμα ἐξάρχειν, τελείων καὶ ἡγε-
μονικῶν δυνάμεων ἐφιέμενοι. τὸ γὰρ συντιθέν-
τα τὸ κεφάλαιον καὶ πλεῖστον ἀριθμὸν τῶν κατ' ἀνδρείαν
λόγων, φασὶ λαβεῖν, οἷς ἐκ φύσεως εἶναι πολε-
D μικοῖς συμβέβηκε δυσὶν ἀντιτεταγμένοις τέλε-
σιν, ἑνὶ μὲν οὗ ἡ δυσθήρατος ἀφηγεῖται δειλία,
ἑτέρου δέ, οὗ ἡ ἐρρωμένη θρασύτης· ἀμφότε-
ραι δὲ γνώμης ἀγαθῆς ἀμέτοχοι. παγκάλως δ'
εἴρηται τὸ μηδένα διαπεφωνηκέναι πρὸς ὁλο-
κλήρου καὶ παντελοῦς μετουσίας ἀνδρείας, κα-
θάπερ λύρα καὶ πᾶν μουσικῆς ὄργανον ἐκμελές,
κἂν εἷς αὐτῷ μόνον ἀπῳδὸς ᾖ φθόγγος· ἡρμοσμένον
δ', ὅταν μιᾷ πλήξει συνηχῶσι τὴν αὐτὴν συμφω-
E νίαν ἀποτελοῦντες· τὸν αὐτὸν τρόπον καὶ τὸ ψυχῆς ὄρ-
γανον, ἀσύμφωνον μέν, ὅταν ἢ θράσει σφόδρα
ἐπιτεινόμενον πρὸς τὸ ὀξύτατον βιάζηται, ἢ δει-
λίᾳ πλέον τοῦ μετρίου ἀνιέμενον πρὸς τὸ βαρύ-
τατον χαλᾶται· σύμφωνον δ', ὅταν οἱ τῆς ἀνδρείας
καὶ πάσης ἀρετῆς τόνοι πάντες ἀνακερασθέντες, ἓν
ἐναρμόνιον ἀπογεννήσωσι μέλος. τῆς δὲ συμφωνίας καὶ
ἐναρμονίας μέγα τεκμήριον, τὸ προσαγηοχέναι
τὸ δῶρον τῷ θεῷ. τοῦτο δ' ἐστὶ τιμῆσαι πρεπόντως
τὸ ὄν, διὰ τοῦ ἐμφανέστατα ὡμολογηκέναι, ὅτι δῶρον

à decentissimo & huic felicitati aptissimo exorsus carmen: quòd equum & insessorem in mare proiecerit, & intellectum vectatum à proteruo quadrupede, id est bruti affectus impetu, deleuerit, succursor & protector factus perspicacis animæ, cui perfectam salutem impertijt. idem vates & ad puteũ carmen occipit, non iam ob solum affectuum interitum, sed & ob acquisitam sapientiam possessionem incomparabilem, quam per puteum significat: quæ non in superficie sed in profundo habet laticem dulcem animabus sitientibus honestatis, necessarium potum ac suauissimum. priuatis autem non licet vel eruditionem haurire ex hoc puteo, sed solis regibus, quapropter dicitur: Saxo struxerunt eum reges. Est enim officiũ magnorum imperatorum ædificare sapientiam, non istorum qui armis terrã & mare subigunt, sed qui animæ potentijs varias in ea confusásque turbas debellant. horum discipulos atque familiares noscimus qui sic loquuntur: Pueri tui ceperunt summam virorum bellatorum qui nobiscum sunt. nemo est occisus, sed adduxit donum Domino quisque vir quod inuenit. videntur hi quoque rursum victoriale carmẽ occinere, perfectarũ & principalium potentiarũ cupidi. summarium enim & maximum numerũ rationũ fortitudinis à se captũ aiunt: quos oportet bellicosos fuisse oppositos duabus legionibus: quarum vnius dux est difficilis venatu timiditas: alterius vero, furens audacia, vtraque bonæ mentis expers. pulcherrime autem dictum est, neminem esse occisum, ad significationem integræ perfectæque fortitudinis: sicut lyra & omne instrumentum musicum deficit, etiamsi vnicus tantum sonus discrepet. concinnum vero est quando ad vnum pulsum consonantes, eandem reddunt symphoniam. eodem modo & animæ instrumentum discrepat quidem quando aut audacia nimis intensum sonare cogitur iusto acutius: aut timiditate supra modum remissum in grauiorem sonum laxatur. tum vero demum consonat, quando fortitudinis omnisque virtutis toni contemperati omnes vnam concinnam melodiam efficiunt: cuius symphoniæ concinnitatísque magnum argumentum est, quòd offertur donum Deo. hoc autem est colere conuenienter eum Qui est, aperte confitendo ipsius donũ esse hoc vniuersum quicquid rerum

natura continet. dicit enim appositissime, Vir quod inuenit, hoc obtulit donum. Vnusquisque nostrum quamprimum natus est inuenit magnum donum Dei totum mundum, quem ille sibi & suis charissimis largitus est. sunt autem etiam particularia dona, quæ & Deum dare decet, & homines accipere, nimirum virtutes, & his conuenientes actiones: quarum inuentionem plusquam extemporalem, propter eximiam largientis celeritatem qua vti solet, nemo non miratur, etiam in eo qui nihil præterea magnum habeat. ideóque rogat, Quid hoc tam cito inuenisti fili, miratus affectus boni celeritatem. ille vero qui accepit beneficium, conuenienter respondet, Quæ Dominus Deus tradidit. traditiones enim & præceptiones hominum tardæ sunt, quas autem Deus facit, celerrimæ, vt etiam temporis motum ocyssimum præueniant. Hi sunt igitur duces qui ad fortitudinem & vim hortantes victorialem ac gratulatorium hymnum auspicantur in choro, de quibus modo diximus. alij vero qui ob fugam & imbelles animos clade accepta lugubre canunt carmen, non tam vituperandi quàm miserandi, haud secus ac qui à natura oblæsum corpus habent: quibus vel mediocris languoris occasio magnum ad incolumitatem affert impedimentum. alij vero non quod molliores animi neruos habeant succumbunt inuiti, oppressi aduersariorum validioribus viribus: sed more voluntariam seruitutem subeuntium, vltro sibi, acerbos Dominos asciscunt quamuis ingenui. & ideo cum vendi non possint, miranda temeritate ipsi emunt Dominos, idem faciendo quod solent isti ebriosi nunquam vino satiabiles. nam & hi volentes non coacti magnam meri vim ingerunt, vt sua sponte sobrietate profligata ex anima sibi consciscant delirium. ait enim, Vocem hortantium ad potationem ego audio: hoc est, non inuitos furore laborantes audio, sed vltro sibi accersentes insaniam. Omnis autem qui castris propinquat, vitulum videt ac choreas, & mox ipse quoque commouetur. in typhum enim eiúsque saltatores incidimus, quotquot prope corporea castra volumus gradum sistere: quandoquidem contemplatiui homines & res incorporeas visere desiderantes, cum sint ab omni fastu alienissimi, longissime

A ἐστὶν αὐτοῦ τόδε τὸ πᾶν. λέγει γὰρ φυσικώτατα, Ἀνὴρ ὃ εὗρε, τοῦτο προσήνεγκε δῶρον. ἕκαστος δὴ ἡμῶν γενόμενος εὐθὺς εὑρίσκει τὸ μέγα δῶρον θεοῦ τὸν παντελῆ κόσμον, αὐτὸν ἑαυτῷ καὶ τοῖς ἀρίστοις μέλεσιν ὄρεσιν ἐχαρίσατο. εἰσὶ δὲ καὶ ἐν μέρει δωρεαί, ἃς θεῷ τε δοῦναι καὶ λαβεῖν ἀνθρώποις ἐμπρεπής. αὗται δ' ἂν εἶεν ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι, ὧν τὴν εὕρεσιν σχεδὸν ἄχρονον οὖσαν, διὰ τὸ ὑπερβάλλον τοῦ χαριζομένου τάχος, ἐν οἷς εἴωθε δωρεῖσθαι, πᾶς καταπέπληκται, κἂν τῷ
B μηδὲν μέγα τῶν ἄλλων ὑπειλήφῃ· διὸ καὶ πυνθάνεται, Τί τοῦτο ὃ ταχὺ εὗρες ὦ τέκνον, τεθαυμακὼς τῆς σπουδαίας διαθέσεως τὴν ὀξύτητα· ὁ δὲ εὖ παθὼν, εὐθυβόλως ἀποκρίνεται, Ἃ παρέδωκε κύριος ὁ θεός. παραδόσεις γὰρ καὶ ὑφηγήσεις βραδεῖαι μὲν αἱ δι' ἀνθρώπων, ὀξύταται δ' αἱ διὰ θεοῦ φθάνουσαι καὶ τὴν ὀξυτάτου χρόνου κίνησιν. οἱ μὲν οὖν κατ' ἰσχὺν καὶ δύναμιν ἔξαρχοι καὶ ἡγεμόνες τὸν ἐπινίκιον καὶ εὐχαριστικὸν ὕμνον ᾄδοντος χοροῦ, οἱ λεχθέντες εἰσίν· οἱ δὲ κατὰ ἧτταν καὶ
C ἀσθένειαν, τὸν ἐφ' ἥτταις θρῆνον σφαδάζοντες, ἕτεροι. οὓς οὐ κακίζειν μᾶλλον ἢ οἰκτίζεσθαι χρή, καθάπερ τοὺς τὰ σώματα ἐκ φύσεως ἐπικήρως ἔχοντας, οἷς καὶ ἡ τυχοῦσα νόσου πρόφασις μέγα ἐμπόδιον πρὸς τὸ σώζεσθαι. ἔνιοι δ' οὐ τῷ μαλθακωτέροις τοῖς ψυχῆς κεχρῆσθαι τόνοις, ἀνέπιστοι ἄκοντες, ὑπ' ἐρρωμενεστέρας τῆς ἀντιπάλων ἰσχύος πιεσθέντες· ἀλλὰ μιμούμενοι τοὺς ἐθελοδούλους ἑκόντες ἑαυτοὺς πικροῖς δεσπόταις ὑπέρριψαν γένος ὄντες ἐλεύθεροι· διὸ μὴ δυνάμενοι
D πιπράσκεσθαι, τὸ παραλογώτατον, αὐτοὶ δεσπότας ὠνούμενοι, προσεκτῶντο, ταὐτὸ δρῶντες τοῖς ἐμφορουμένοις ἀπλήστως πρὸς μέθην οἴνου. καὶ γὰρ ἐκεῖνοι γνώμῃ τὸν ἄκρατον οὐ βιασθέντες, προσφέρονται ὥστε καὶ γνώμῃ τὸ μὲν νηφάλιον ἐκπέμπουσι τῆς ψυχῆς· τὸ δὲ παράληρον αἱροῦνται. Φωνὴν γάρ, φησίν, ἐξαρχόντων ὑπ' οἴνου ἐγὼ ἀκούω, τουτέστιν οὐκ ἀκούσιον ἐνδεδεγμένων μανίαν, ἀλλ' ἑκουσίῳ φρενοβλαβείᾳ, βε-
E βλαμμένων. πᾶς δ' ὁ συνεγγίζων τῇ παρεμβολῇ, τὸν μόσχον ὁρᾷ καὶ τοὺς χορούς, ἢ καὶ αὐτὸς διασυνίσταται. τύφῳ γὰρ καὶ τοῖς τύφου χορευταῖς ἐντυγχάνομεν, ὅσοι πλησίον ἵστασθαι τοῦ σωματικοῦ στρατοπέδου διανοούμεθα γνώμῃ· ἐπεὶ τοῖς φιλοθεάμοσι καὶ τὰ ἀσώματα ὁρᾶν γλιχομένοις, ἅτε ἀτυφίας οὖσιν ἀσκηταῖς, πορρωτάτω τοῦ σώματος ἔθος οἰκίζεσθαι. εὔχου δὲ τῷ θεῷ μηδέποτε ἔξαρχος οἴνου γενέσθαι,

τουτέστι μηδέποτε ἑκὼν ἀφηγήσασθαι τῆς εἰς ἀπαιδευσίαν καὶ ἀφροσύνην ἀγούσης ὁδοῦ. τὰ γὰρ ἀκούσια ἡμίσει κακῶν κουφότερα καθαρῷ τῷ τοῦ συνειδότος ἐλέγχῳ μὴ βαρυνόμενα. τελεσφορηθείσης δὲ σοι τῆς εὐχῆς, ἰδιώτης μὲν ἔτι μένειν οὐκ ἂν δύναιο, τὴν δὲ μεγίστην ἡγεμονίαν ἀρχήν, ἱερωσύνην κτήσῃ· σχεδὸν γὰρ ἱερέων καὶ θεραπευτῶν θεοῦ μόνον τὸ ἔργον νηφάλια θύειν, οἴνου καὶ παντὸς τοῦ λήρου αἰτίου βεβαιότητι διανοίας κατεξανισταμένων. Ἐλάλησε γὰρ, φησί, κύριος τῷ Ἀαρὼν λέγων, οἶνον καὶ σίκερα οὐ πίεσθε σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προσπορεύησθε τῷ θυσιαστηρίῳ, καὶ οὐ μὴ ἀποθάνητε, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν διαστεῖλαι ἀνὰ μέσον ἁγίων καὶ βεβήλων, καὶ ἀνὰ μέσον καθαρῶν καὶ ἀκαθάρτων. Ἀαρὼν δέ ἐστιν ὁ ἱερός, καὶ τοὔνομα ὀρεινὸς ἑρμηνεύεται, μετέωρα καὶ ὑψηλὰ φρονῶν λογισμὸς οὐ διὰ μεγαλαυχίας κενῆς φυσήματος ὑπὸ πλεόνων ὄγκον, ἀλλὰ διὰ μέγεθος ἀρετῆς, ἣ τὸ φρόνημα ἐξαίρουσα πέραν οὐρανοῦ, ταπεινὸν οὐδὲν ἐᾷ λογίζεσθαι. διακείμενος δὴ οὕτως ἄκρατον καὶ πάσης ἀφροσύνης φάρμακον ἑκὼν οὔποτε προσοίσεται. ἀνάγκη γάρ ἐστιν ἢ ἀρρηφοροῦντα αὐτὸν εἰς τὴν σκηνὴν εἰσιέναι τὰς ἀοράτους ἐπιτελέσοντα τελετάς, ἢ τῷ βωμῷ προσιόντα, θυσίας ὑπέρ τε τῶν ἰδίων καὶ κοινῶν χαριστηρίους ἀναγαγεῖν. νήψεως δὲ καὶ τελειοτάτης ἀγχινοίας ταῦτα δεῖται. θαυμάσαι μὲν οὖν εἰκότως ἄν τις καὶ τὸ ῥητὸν τῆς προστάξεως. πῶς γὰρ οὐ σεμνὸν νήφοντας καὶ ἐν ἑαυτοῖς ὄντας, πρὸς εὐχὰς καὶ ἱερουργίας χωρεῖν, ὡς ἔμπαλιν ἀμφότερα σῶμα καὶ ψυχὴν παρειμένους ὑπὸ οἴνου καταγέλαστον. ἢ δεσπόταις μὲν καὶ γονεῦσι καὶ ἄρχουσιν οἰκέται καὶ υἱοὶ καὶ ὑπήκοοι μέλλοντες προσέρχεσθαι, πρόνοιαν ἕξουσι τοῦ νήφειν, ὡς μήτε ἐν τοῖς λεγομένοις καὶ πραττομένοις διαμαρτάνοιεν, μήθ᾽ ὡς καταπεφρονηκότες τῆς ἐκείνων ἀξιώσεως κολάζοιντο· ἢ τὸ γοῦν ἐπιεικέστατον, χλεύην ὀφλοιεν. τὸν δὲ τοῦ παντὸς ἡγεμόνα καὶ πατέρα τις θεραπεύειν ἀξιῶν, οὐ σιτίων καὶ ποτοῦ καὶ ὕπνου καὶ πάντων ὅσα ἀναγκαῖα τῇ φύσει περιέσται; ἀλλὰ πρὸς τὸ ἀβροδίαιτον ἀποκλίνας τὸν τῶν ἀσώτων ζηλώσει βίον, καὶ βεβαρημένος τοὺς ὀφθαλμοὺς ἀπ᾽ οἴνου, καὶ τὴν κεφαλὴν παραβαλλόμενος, καὶ τὸν αὐχένα ἐγκάρσιον πλησιάζων, καὶ ὑπὸ ἀμετρίας ἐρυγγάνων, καὶ ὅλῳ διαρρέων τῷ σώματι χέρνιβος ἢ βωμῶν ἢ θυσιῶν προσάψεται; ἀλλ᾽ οὐδὲ τῆς ἱερᾶς

remoti à corpore solent degere. proinde ora Deum ne vnquam hortator fias ad pocula, hoc est ne vnquam sponte præcedas in via ferente ad ruditatem & insipientiam. mala enim quæ inuitus accidunt, dimidio leuiora sunt, cum non grauentur à sincera conscientia. quod votum tuum si exaudietur, iam non eris priuatus amplius, sed honorem acquires maximum, nempe sacerdotium. solorum enim propemodum sacerdotum & Dei cultorum est officium sine vino sacra facere; quòd vinum & quicquid creat delirationem, sanitati mentis sit contrarium. Locutus est, inquit, Dominus ad Aaron dicens: vinum & sicera non bibetis tu & filij tui tecum, quando ingrediemini in tabernaculum testimonij, aut accedetis ad altare, & non moriemini: legitimum sempiternum in generationes vestras, quo à profanis sancta, & ab impuris pura distinguãtur. Aaron autem est sacerdos, quod nomen interpretatur montanus, sublimia celsáque sapiens ratio, non per iactantiæ molem inani fastu turgidam, sed per magnitudinem virtutis, quæ mentem vltra cælum attollens, non finit cogitare quicquam humile. qui autem sic affectus est, merum & omne venenum insaniam afferens nunquam vltro sibi admouebit. incumbit enim ei necessitas vt aut sacrosancta tabernaculi penetralia ingressus secretis sacris operetur, aut ad altare accedens victimas pro sua populíque salute immolet. quæ negocia sobrietate opus habent atque solertia. me certe subit mandati huius admiratio. Sicut enim veneranda res est, sobrios & sui compotes ire ad vota & sacrificia: sic è diuerso ridicula siquis corpore animóque præ vino labante id faciat. nisi fortasse quoties Domini & parentes & principes adeundi sunt, curare decet seruos & filios & subditos vt sobrij sint, nequid dicto factóve peccent, néve pœnam incurrant, si videantur dignitatem maiorum contemnere, aut, si clementius cum eis agatur, certe irrideantur: omnipotentem vero patrem aliquis adoraturus cibum, potum, somnum, cæteráque quorum vsum natura postulat non moderabitur? malétque ad lautiorem victum declinans imitari luxu perditos? & oculis nimio vino grauatis, vacillante capite, obliquata ceruice, crapulam ructans, totóque corpore languidus, aquã abluendis manibus aut aras attinget

ac victimas? atqui tali non est fas vel procul sacros ignes intueri. quod si hæc intelligantur non de tabernaculo altarique constructo ex visibili & inanima & corruptibili materia, sed de illis inuisibilibus solamente cernendis, quorum ista sunt sensibiles imagines, tanto magis obstupescet ad huius præcepti miraculum. quoniam enim omnium rerum aliud exemplar aliam imaginem fecit opifex, virtutis quoque archetypũ primo fecit, quo mox expressit characterem ei simillimum. quod quidem archetypum signaculum incorporeum idea est: imago autem expressa corpus iam, sensibile quidem suapte natura, nondum tamen expositum sensui: sicut in altissimi oceani gurgitibus enatum lignum diceremus posse quidem vri, nõdum tamen igni obnoxium, quippe marino humore madidum. Ergo tabernaculum & altare intelligamus ideas, alteram virtutis incorporeę significatiuam, alteram sensibilis eius imaginis. altare quidem, & superimposita, videntur facile: vel quia sunt in atrio foris, vel quia noctu ac interdiu perpetuis illustrantur ignibus. tabernaculum vero & quicquid eo continetur, non patet oculis: non ideo tantum, quia situm in penetralibus, verum etiam quia propinquanti, aut curiosius intuenti, sine clementia supplicium lex intentat: nisi quis integer sit & purus ab omni magna paruáque noxa, omnibus naturæ dotibus præditus. nam huic permittitur vt quotannis semel ingressus inspiciat non videnda cæteris, quando in hoc vno incorporeorum incorruptibiliúmque bonorum alatus amor cælestis inhabitat. is quando ab idea perculsus sequitur signaculum illud quod particulares virtutes exprimit, considerando mirandóque pulchritudinem eius diuinissimam, ad quam accedit expressam ab illo archetypo, mox eum subit ruditatis & ineruditionis obliuio, succedente eruditionis ac scientiæ memoria. & ideo dicitur: Vinum & sicera non bibetis, tu & filij tui tecum, quando ingrediemini tabernaculum testimonij, aut ad altare accedetis. quæ verba non tam interdicentis sunt, quam decernentis pro sententia. nam interdicens sic loqueretur: vinum quando sacrificabitis ne bibatis. qui vero sententiam profert, mauult dicere non bibetis. non est enim possibile vt inscitiam causam ebrietatis delirationísque animæ, in se admittat, qui iu-

A δὲ ἀπόπτου φλόγα θεάσασθαι τῷ τοιούτῳ θέμις. εἰ δ' αὐτοὶ μήτε σκηνὴν μήτε θυσιαστήριον ὑπολάβοι τις λέγεσθαι τὰ ὁρώμενα ἐκ τῆς ἀψύχου καὶ φθαρτῆς δημιουργηθέντα ὕλης, ἀλλὰ τὰ ἀόρατα καὶ τὰ νοητὰ θεωρήματα, ὧν αἰσθηταὶ ταῦτα εἰκόνες, καταπλαγήσεται μᾶλλον τὴν ὑφήγησιν. ἐπεὶ γὰρ πάντως τὸ μὲν παράδειγμα, τὸ δὲ μίμημα ὁ ποιῶν ἐποίει, καὶ ἀρετῆς τὴν μὲν ἀρχέτυπον σφραγῖδα εἰργάζετο, τὸν δὲ ἀπὸ ταύτης ἐνσημαινόμενον ἐμφερέστατον χαρακτῆρα· ἡ μὲν οὖν ἀρχέτυπος σφραγὶς ἀσώ-
B ματός ἐστιν ἰδέα· ἡ δὲ χαραχθεῖσα εἰκὼν σῶμα ἤδη, φύσει μὲν αἰσθητόν, οὐ μὴν εἰς αἴσθησιν ἐρχόμενον, καθάπερ καὶ τὸ ἐν τῷ βαθυτάτῳ τοῦ ἀτλαντικοῦ πελάγους ξύλον εἴποι τις ἂν πεφυκέναι μὲν πρὸς τὸ καίεσθαι, μηδέποτε δὲ ὑπὸ πυρὸς ἀναλωθήσεσθαι, διὰ τὴν τῆς θαλάττης ἀνάχυσιν. τὴν οὖν σκηνὴν καὶ τὸν βωμὸν ἐπινοήσωμεν ἰδέας, τὴν μὲν ἀρετῆς ἀσωμάτου, τὴν δὲ αἰσθητῆς εἰκόνος εἶναι σύμβολον. τὸν μὲν δὴ βωμὸν καὶ τὰ ἐπ' αὐτοῦ ῥᾴδιον ἰδεῖν. ἔξω τε ἔχει
C τὴν κατασκευήν, καὶ ἀσβέστῳ πυρὶ ἀναλίσκεται, ὡς μὴ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ περιλάμπεσθαι· ἡ δὲ σκηνὴ καὶ τὰ ἐν αὐτῇ πάντα ἀθέατα, οὐχὶ τῷ μόνον ἐσωτάτω καὶ ἐν ἀδύτοις ἱδρῦσθαι, ἀλλὰ καὶ τῷ περιπεφραγμένον, ἢ διὰ περιεργίαν ὀφθαλμοῖς ἰδόντα, ἀπαραιτήτῳ δίκῃ θανάτου κατὰ πρόσταξιν νόμου κολάζεσθαι, πλὴν εἰ μή τις ὁλόκληρος καὶ παντελὴς εἴη περὶ μηδὲν μὴ μέγα, μὴ μικρὸν ἁπλῶς κηραίνων πάθος, ἀλλ' ἀρτίᾳ καὶ πλήρει καὶ πάντα τελειοτάτῃ κεχρημένος τῇ φύσει. τούτῳ γὰρ
D ἐπιτέτραπται δι' ἔτους ἅπαξ εἰσιόντι, ἐπισκοπεῖν τὰ ἀθέατα ἄλλοις, ἐπεὶ καὶ ἐξ ἁπάντων μόνῳ ὁ τῶν ἀσωμάτων καὶ ἀφθάρτων ἀγαθῶν πτηνὸς καὶ οὐράνιος ἔρως ἐνδιαιτᾶται. ὅταν οὖν ὑπὸ τῆς ἰδέας πληχθεὶς ἕπηται τῇ τὰς κατὰ μέρος ἀρετὰς τυπούσῃ σφραγῖδι, κατανοῶν καὶ καταπληττόμενος αὐτῆς τὸ θεοειδέστατον κάλλος, ᾗ τινι προσέρχεται δεξαμένῃ τὸν ἐκείνης χαρακτῆρα, λήθη μὲν ἀμαθίας καὶ ἀπαιδευσίας, μνήμη δὲ παιδείας καὶ ἐπιστή-
E μης εὐθὺς ἐγγίνεται· διὸ λέγει, Οἶνον καὶ σίκερα οὐ πίεσθε, καὶ οἱ υἱοί σου μετὰ σοῦ, ἡνίκα ἂν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προσπορεύησθε τῷ θυσιαστηρίῳ. ταῦτα δὲ οὐκ ἀπαγορεύων μᾶλλον ἢ γνώμην ἀποφαινόμενος διεξέρχεται. τῷ μέντοι ἀπαγορεύοντι οἰκεῖον ἦν εἰπεῖν, οἶνον ὅταν ἱερουργῆτε μὴ πίνετε, τῷ δὲ γνώμην ἀποφαινομένῳ τὸ οὐ πίεσθε· καὶ γάρ ἐστιν ἀμήχανον τὸ μέθης καὶ παραφρονίας ψυχῆς αἴτιον, ἀπαιδευσίαν προσίεσθαι, τὸν ταῖς τε δίκαις καὶ καθ' εἶδος ἀρεταῖς ἐμμελετῶντα καὶ

ἐξεργαζόμενον. τὴν δὲ σκηνὴν μαρτυρίου καλεῖ πολλάκις, ἤτοι παρ' ὅσον ὁ ἀψευδὴς θεὸς ἀρετῆς ἐστὶ μάρτυς, ᾧ καλὸν καὶ σύμφορον προσέχειν, ἢ παρ' ὅσον ἡ ἀρετὴ βεβαιότητα ταῖς ψυχαῖς ἐντίθησι, τοὺς ἐνδοιάζοντας καὶ ἐπαμφοτερίζοντας λογισμοὺς ἀνὰ κράτος ἐκτέμνουσα, καὶ ὥσπερ ἐν δικαστηρίῳ τῷ βίῳ τἀληθὲς ἀνακαλύπτουσα. λέγει δὲ ὅτι οὐδ' ἀποθανεῖται ὁ νηφάλιος θύων, ὡς ἀπαιδευσίας μὲν θάνατον ἐπιφερούσης, παιδείας δὲ ἀφθαρσίαν. καθάπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν νόσος μὲν διαλύσεως, ὑγεία δὲ σωτηρίας αἰτία, τὸν αὐτὸν τρόπον καὶ ἐν ταῖς ψυχαῖς, τὸ μὲν σῶζόν ἐστι φρόνησις· ὑγεία γὰρ τῆς αὐτῆς διανοίας· τὸ δὲ φθεῖρον ἀφροσύνη νόσον ἀνίατον καταπεσκήψασα. τοῦτο δὲ νόμιμον αἰώνιον εἶναί φησιν ἄντικρυς ἀποφαινόμενος. ὑπολαμβάνει γὰρ νόμον ἀθάνατον ἐν τῇ τοῦ παντὸς ἐστηλιτεῦσθαι φύσει τοιαῦτα περιέχοντα, ὅτι ὑγιεινὸν μὲν καὶ σωτήριον χρῆμα παιδεία, νόσου δὲ καὶ φθορᾶς αἴτιον ἀπαιδευσία. παρεμφαίνει δέ τι καὶ τοιοῦτον, ὃ πρὸς ἀλήθειαν νόμιμον εὐθὺς ἐστὶν αἰώνιον, ἐπεὶ καὶ ὁ ὀρθὸς λόγος, ὃς δὴ νόμος ἐστίν, οὐ φθαρτός. καὶ γὰρ αὖ τοὐναντίον παράνομον, ἐφήμερόν τε καὶ εὐδιάλυτον ἐξ ἑαυτοῦ, παρὰ τοῖς εὖ φρονοῦσιν ἀνωμολόγηται. νόμου δὲ καὶ παιδείας ἴδιον, βέβηλα ἁγίων καὶ ἀκάθαρτα καθαρῶν διαστέλλειν, ὡς ἔμπαλιν ἀνομίας καὶ ἀπαιδευσίας εἰς ταὐτὸν ἄγειν τὰ μαχόμενα βιάζεσθαι, φυρούσας τὰ πάντα καὶ συγχεούσας. διὰ τοῦτο ὁ καὶ βασιλέων καὶ προφητῶν μέγιστος Σαμουήλ, οἶνον καὶ μέθυσμα, ὡς ὁ ἱερὸς λόγος φησίν, ἄχρι τελευτῆς οὐ πίεται. τέτακται γὰρ ἐν τῇ τοῦ θείου στρατοπέδου τάξει, ἣν οὐδέποτε λείψει προμηθεία τοῦ σοφοῦ ταξιάρχου. Σαμουὴλ δὲ γέγονε μὲν ἴσως ἄνθρωπος, παρείληπται δὲ οὐχ ὡς σύνθετον ζῷον, ἀλλ' ὡς νοῦς, λατρείᾳ καὶ θεραπείᾳ θεοῦ μόνῃ χαίρων. ἑρμηνεύεται γὰρ τεταγμένος θεῷ, διὰ τὸ τὰς πράξεις ὅσαι κατὰ κενὰς δόξας συνίστανται, χαλεπὴν ἀταξίαν εἶναι νομίζειν. οὗτος μητρὸς γινόμενος ἀνθρωπίνης, ἧς τοὔνομα μεταληφθέν ἐστι χάρις· ἄνευ γὰρ θείας χάριτος ἀμήχανον ἢ λιποτακτῆσαι τὰ θνητά, ἢ τοῖς ἀφθάρτοις ἀεὶ παραμεῖναι. χάριτος δ' ἥτις ἂν πληρωθῇ ψυχή, γέγηθεν εὐθὺς καὶ μειδιᾷ καὶ ἀνορχεῖται. βεβάκχευται γάρ, ὡς πολλοῖς τῶν ἀνοργιάστων μεθύειν καὶ παρακινεῖν καὶ ἐξεστάναι ἂν δόξαι. διὸ καὶ λέγεται πρὸς αὐτὴν ὑπὸ παιδαρίου τινός, οὐχ ἑνός, ἀλλ' ὑπὸ παντὸς τοῦ νεωτερίζειν καὶ τὰ καλὰ χλευάζειν ἀκμὴν ἔχοντος, Ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου. φιλεῖ γὰρ τοῖς θεοφορήτοις οὐχ ἡ ψυχὴ μόνον

A stitiam meditatur, & oblectat se per singulas virtutum species. solet enim scriptura hoc vocare tabernaculum testimonij: siue quia verax Deus virtutis testis est, cui non sine bono nostro credimus: siue quia virtus confirmat animas, extirpans cogitationes incertas ac dubias: & in vita quasi pro tribunali veritatem reuelans. Ait enim propheta non moriturum qui sobrius sacrificat: quod ruditas mortem, immortalitatem afferat eruditio. nam sicut nostris cor- B poribus interitum morbus, incolumitatem affert sanitas: itidem animas prudentia seruat, cùm ipsa sit mentis sanitas: imprudentia vero interimit, cùm sit morbus earum insanabilis. Addit autem diserte, hoc legitimum æternum: docens nos immortalem hanc legẽ esse inscriptam naturæ tabulis, quæ pronunciat eruditionẽ rem saluberrimam, inscitiam vero causam morbi ac interitus. quin & hoc inde discimus, id quod vere legitimum est, consequenter æternum C esse: quando & recta ratio, quæ legis vicem obtinet, non est corruptibilis. nam è diuerso quicquid iniquum, vix vno die durabile à seipso dissoluitur, confessione omnium qui sapiunt. proprium autem legis & eruditionis est, profana à sacris, ab impuris pura discernere: sicut è diuerso iniquitatis & ineruditionis, inter se pugnantia confundere commiscereque omnia. Quamobrem & Samuel regum prophetarúmque maximus, vinum & quicquid epotum inebriat, sicut sacra eloquia testantur, ad D extremum vsque diem non bibit. ascriptus est enim in diuinum exercitum, qui nunquam imperatoris sapientissimi prouidentia destituitur. is Samuel fuit fortassis homo, accipitur tamen non vt compositum animal, sed vt mens, solo Dei cultu ac ministerio gaudens. interpretatur enim ordinatus Deo, eo quod actiones eas quæ à vana gloria proficiscuntur, grauem turbationem ordinis existimet. hic ex humana matre nascitur, cuius nomen interpretatur gratia. E nam sine diuina gratia non est possibile vel deserere mortalia, vel immortalibus semper adhærere. cæterum quęcumque anima impleta fuerit gratia, gaudet cõfestim & ridet exultátque. bacchatur enim, ita vt vulgo ebria videatur insanire rapta extra se. & idẽ dicitur ad eam à quodam puerulo, non vno, sed à quolibet iuueniliter petulante: Quovsque temulenta es? aufer istam temulentiam

à te. Solet enim correptorum numine non solum anima concitari ceu quodam œstro, sed & corpus erubescere incandescereque, interno gaudio prorumpente in exteriora: quæ res multos insipientes decipit, qui sobrios vino madere autumant. est tamen quædam ebrietas etiam sobriorum, qui bona meraca hauriunt, & propinationes à perfecta virtute accipiunt. cæterum qui temulenti sunt, ne degustant quidem prudentiam, qua abstinendo famem eius sentiunt continuam. merito igitur ad iuuenilem irrisionem venerandæ austeræque vitæ insultantem respondetur: Mulier dura dies ego sum, vinum aut potum inebriantem non bibi, & effundam animam meam coram Domino. Ingentes opes animæ, quæ gratijs Dei plena est. primum duram diem vocat seipsam, respiciens illudentem puerulum. nam huic & cuiuis insipienti aspera, ardua, difficillimáque videtur via ducens ad virtutem, sicut & quidam è priscis testatur dicens:

Omnino vitiū facile est cōtingere cuiuis.
Contrà virtutem sudoribus vndique diui
Præsepsere, & longus ad hanc pérque ardua callis,
Asper & est primum: sed vbi alta cacumina victor
Contigeris, iam fit facilis, licet ardua dudum.

Deinde negat se vino & potu inebriante vsam, & perpetua vitæ sobrietate gloriatur. nam obtinere cogitationem liberam, puram, immunémque ab affectionibus perturbatricibus, res est profecto admiratione dignissima. Vnde fit vt intellectus sobrietate mera saturatus, semper & per omnia cum Deo versari properet. Quid enim aliud sibi volunt illa verba, Effundam animā meam in conspectu Domini, nisi totam meipsam ei consecrabo? id fit quoties quis abruptis quibus prius stringebatur vinculis, quæ mortalis vitæ indiderant vana studia, exolutus omnibus, & in tantū exspatiatus, extentus, effusúsque, vt vel ad extremos mundi pertingat terminos, ad pulcherrimā celeberrimāque illam ingeniti contemplationem penetrat. hic igitur chorus sobriorū est, eruditionem ducē sequentium: alter vero prior ebriorum, cuius princeps inscitia fuerat. Quoniā autem ebrietas non solum delirationē significauit, natam ex ineruditione: sed & in totum sensus priuationē, quam in

A ἐγείρεσθαι καὶ ὥσπερ ἐξοιστρᾶν, ἀλλὰ καὶ τὸ σῶμα
ἐνερευθὲς εἶναι καὶ πεπυρωμένον, τῆς ἔνδον ἀναχε-
ούσης καὶ χλιαινούσης χαρᾶς τὸ πάθος εἰς τὰ ἔξω
διαδιδούσης, ὑφ᾽ ὧν πολλοὶ τῶν ἀφρόνων ἀπατη-
θέντες, τοὺς νήφοντας μεθύειν ὑπετόπασαν. καί-
τοι γε ἐκεῖνοι μὲν τρόπον τινὰ μεθύουσιν οἱ νήφοντες,
τὰ ἀγαθὰ ἄκρατα ἠκρατισμένοι, καὶ τὰς προπό-
σεις παρὰ τελείας ἀρετῆς δεξάμενοι· οἱ δὲ τὴν ἀπ᾽
οἴνου μεθύοντες μέθην, ἄγευστοι φρονήσεως διετέ-
B λεσαν, νηστείαν συνεχῆ καὶ λιμὸν αὐτῆς ἄγοντες.
εἰκότως οὖν ἀποκρίνεται πρὸς τὸν νεωτερισμὸν καὶ
γέλωτα ἐκείνης οἰόμενον, τὸν σεμνὸν καὶ αὐστηρὸν αὐ-
τῆς βίον, ὦ θαυμάσιε, Γυνὴ ἡ σκληρὰ ἡμέρα ἐγώ
εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ
τὴν ψυχήν μου ἐνώπιον κυρίου. παμπόλλη γε παρ-
ρησία τῆς ψυχῆς, ἣ τῶν χαρίτων τοῦ θεοῦ πεπλή-
ρωται. πρῶτον μὲν γε σκληρὰν ἡμέραν εἶπεν ἑαυ-
τήν, πρὸς τὸ χλευάζον ἀπιδοῦσα παιδάριον.
τούτῳ γὰρ καὶ παντὶ ἄφρονι τραχεῖα καὶ δύσβατος καὶ
C ἀργαλεωτάτη νενόμισται ἡ ἐπ᾽ ἀρετὴν ἄγουσα
ὁδός. καθὰ καὶ τῶν παλαιῶν τις ἐμαρτύρησεν εἰπών,

Τὴν μέντοι κακότητα, καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι.
Τῆς δ᾽ ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ᾽ αὐτήν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ᾽ εἰς ἄκρον ἵκηται,
Ῥηιδίη δ᾽ ἤπειτα πέλει χαλεπή περ ἐοῦσα.

Εἶτα οἶνον καὶ μέθυσμα οὔ φησι προσενηνέχθαι,
τῷ συνεχῶς καὶ παρὰ πάντα τὸν βίον νήφειν
ἐπαυχοῦσα. καὶ γὰρ ὄντως ἀφέτῳ καὶ ἐλευθεριά-
D ζοντι, καὶ καθαρῷ χρῆσθαι λογισμῷ πρὸς μη-
δενὸς πάθους πεφρουρημένῳ, μέγα καὶ θαυμαστὸν
ἦν ἔργον. ἐκ τούτου δὲ συμβαίνει, νήψεως ἀκράτου
τὸν νοῦν ἐμφορηθέντα σπουδὴν ὅλον δι᾽ ὅλων γενέ-
σθαι τε καὶ σπένδεσθαι θεῷ. τί γὰρ ἦν τὸ, Ἐκχεῶ
τὴν ψυχήν μου ἐναντίον κυρίου, ἢ σύμπασαν αὐ-
τὴν ἀνιερώσω, δεσμὰ μὲν οἷς πρότερον ἐσφίγ-
γετο, ἃ προσῆψαν αἱ τοῦ θνητοῦ βίου κεναὶ σπου-
δαί, πάντα λύσας, προαγαγὼν δὲ ἔξω καὶ τεί-
E νας καὶ ἀναχέας τοσοῦτον, ὡς καὶ τῶν τοῦ παντὸς
ἅψασθαι περάτων, καὶ πρὸς τὴν τοῦ ἀγενή-
του παγκάλην καὶ ἀοίδιμον θέαν ἐπειχθῆναι. νη-
φόντων μὲν οὖν ὁ χορὸς οὗτος, παιδείαν προστη-
σαμένων ἡγεμονίδα· μεθυόντων δ᾽ ὁ πρότερος,
οὗ περ ἦν ἔξαρχος ἀπαιδευσία. ἐπεὶ δὲ τὸ μεθύειν
οὐ μόνον ἐδήλου τὸ ληρεῖν, ὃ δημιουργὸν ἀπαιδευ-
σίας εἶχεν, ἀλλὰ καὶ τὸ παντελῶς ἀναισθητεῖν·
ἀναισθησίας δὲ τῆς μὲν κατὰ τὸ σῶμα δημιουργὸς ὁ
οἶνος, τῆς δὲ κατὰ ψυχὴν ἄγνοια, τούτων ὧν εἰκὸς

ἣν ἐπιστήμην ἀφεληλυθέναι. λεκτέον καὶ περὶ ἀγνοίας βραχέα, αὐτὰ τὰ καίρια ὑπομιμνήσκοντας. ἣν οὖν ἀπεικάσομεν τῇ ἐν τῷ σώματι τὸ ἐν ψυχαῖς πάθος ὃ κέκληται ἄγνοια; ἢ τῇ τῶν αἰσθητηρίων πηρώσει; οὐκοῦν ὅσοι ὀφθαλμοὺς καὶ ὦτα ἐβλάβησαν, οὐδὲν ἔτι ἰδεῖν οὔτ' ἀκοῦσαι δύνανται, ἡμέραν μὲν καὶ φῶς, ὧν ἕνεκα μόνων, εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὸ ζῆν αἱρετόν, οὐκ εἰδότες, μακρῷ δὲ σκότῳ καὶ νυκτὶ αἰωνίῳ συνοικοῦντες, πρὸς πάντα καὶ μικρὰ καὶ μείζω κεκωφημένοι· οὓς εἰκότως ὁ βίος ἀδυνάτους εἴωθε καλεῖν. καὶ γὰρ αἱ τοῦ ἄλλου σώματος ἅπασαι δυνάμεις ἐπ' αὐτὸ δὴ τὸ πέρας ἰσχύος ἔλθωσι καὶ ῥώμης, ὑποσκελισθεῖσαι πρὸς ὀφθαλμῶν καὶ ὤτων πηρώσεως μέγα πτῶμα πίπτουσιν, ὡς μηκέτι ἀναστῆναι δύνασθαι. τὰ γὰρ ὑπερείδοντα καὶ στηρίζοντα ἄνθρωπον, λόγῳ μὲν αἱ βάσεις εἰσίν, ἔργῳ δὲ ἀκοαί τε καὶ ὄψεις, ἃς ἔχων μὲν τις ὁλοκλήρους ἐγήγερται καὶ διώρθωται, στερόμενος δὲ αὐτῶν, κλίνεται καὶ εἰσάπαν καθαιρεῖται. τὸ δὲ παραπλήσιον οὖν ἐν ψυχῇ πάντως ἄγνοια ἐργάζεται, τὰ βλέποντα καὶ ἀκούοντα αὐτῆς λυμηναμένη, καὶ μήτε φῶς μήτε λόγον προσδέχεσθαι ἐῶσα, τὸ μέν, ἵνα μὴ διδάξῃ, τὸ δ', ἵνα μὴ δείξῃ τὰ ὄντα, βαθὺ δὲ σκότος καὶ πολλὴν ἀλογίαν καταχέασα, καθ' ἣν λίθον τὸ περικαλλέστατον εἶδος ψυχῆς εἰργάσατο. καὶ γὰρ τῇ ἀγνοίᾳ τὸ ἐναντίον ἡ ἐπιστήμη τρόπον τινὰ ψυχῆς καὶ ὀφθαλμοὶ καὶ ὦτά ἐστι. καὶ γὰρ τοῖς λεγομένοις προσέχει τὸν νοῦν καὶ καταθεᾶται τὰ ὄντα, καὶ οὐδὲν οὔτε παρορᾶν, οὔτε παρακούειν ὑπομένει, πάντα δ' ὅσα ἀκοῆς καὶ θέας ἄξια, περισκοπεῖ καὶ περιβλέπεται, κἂν εἰ πεζεύειν ἢ πλεῖν δέοι, γῆς καὶ θαλάττης ἄχρι τῶν περάτων ἀφικνεῖται, ἵνα ἴδῃ τι πλεῖον ἢ ἀκούσῃ καινότερον. ἀοκνότατος γὰρ ὁ ἐπιστήμης ἔρως, ἐχθρὸς μὲν ὕπνου, φίλος δὲ ἐγρηγόρσεως. διανιστὰς οὖν καὶ ἀνεγείρων καὶ παραθήγων αἰεὶ τὴν διάνοιαν, πανταχόσε περιφοιτᾶν ἀναγκάζει, λίχνον ἀκοὴν ἐργαζόμενος, καὶ μαθήσεως δίψαν ἄλληκτον ἐντήκων. οὐκοῦν ἐπιστήμη μὲν τὸ βλέπειν καὶ ἀκούειν περιποιεῖ, δι' ὧν αἱ κατορθώσεις· ὁ γὰρ ἰδὼν καὶ ἀκούσας, γνοὺς τὸ συμφέρον, τὸ μὲν ἑλόμενος, τὸ δ' ἐναντίον ἀποστραφείς, ὠφέληται. ἄγνοια δὲ χαλεπωτέραν τῆς ἐν τῷ σώματι πήρωσιν ἐπιφέρουσα τῇ ψυχῇ, πάντων ἁμαρτημάτων αἰτία γίνεται, μηδὲν μήτ' ἐκ τοῦ προειδέναι, μήτ' ἐκ τοῦ παρακοῦσαι δυναμένη λαβεῖν ἔξωθεν βοήθημα. διὰ γοῦν τὴν πολλὴν ἐρημίαν ἑαυτῆς, ἀφρούρητος καὶ ἀφύλακτος εἴθισται, καὶ πρὸς

A corpore nimiũ vinum producit, in anima vero ignoratio eorum quæ merito sciri deberent: superest vt dicamus paucis de ignorantia, duntaxat ea memorãdo quæ sunt opportunissima. quis igitur est morbus corporis, cum quo conferenda sit ignorantia? aut cum cuius sensus priuatione conferri potest? certe qui oculis auribúsque mulctati sunt, nihil vel videre vel audire valent, diei lucísque, propter quæ sola (si verum fatendũ est) vitam expetimus, nescij: & in per-

B petuis tenebris sempiternáque nocte habitant, surdi ad parua magnáque omnia: quos merito vita communis impotentes solet nominare. nam etiamsi reliquæ corporis vires vniuersæ incolumes sint & absolutissimæ, tamen supplantatæ ab orbitate oculorũ auriúmque, magno casu corruunt, vt non amplius possint resurgere. id enim quod hominem fulcit, verbo quidẽ pedes sunt, reuera autẽ auditus visúsque: quos donec habet integros, erectus incedit, priuatus vero

C his, proclinatur & è medio tollitur. ijdẽ omnino ignorãtiæ sunt effectus in anima, lædentis eius visum auditúmque, nec lucem nec sermonẽ in eam intrare sinentis: hunc ne quid doceat, illam ne res indicet: atque ita offusis irrationalibus tenebris profundissimis, ex formosissima animæ specie surdum saxũ redditur. nam ignorantiæ contraria scientia quodammodo animæ pro oculis est & auribus: quippe quæ & intendit ani-

D mũ in ea quæ dicuntur, & res dispicit: nec vnquam vel videndo vel audiendo falli sustinet: sed quicquid auditu spectatúque dignũ censet considerat contẽplatúrque: & si forte itinere terrestri aut nauigatione opus est, peruadit vsque terræ ac maris terminos, vt plura videat, & aliquid recentius audiat. impigerrimus enim est amor sciẽtiæ, inimicus somno, amicus vigilijs. proinde sẽper excitans & acuens cogitationẽ, cogit eam obambulare omnia, auditum faciens auidum, & ingentem ei discendi

E sitim instillans. ergo scientia visum auditúmque præbet, quibus freta bene se gerit anima. nã qui videt auditque, scit quid sit vtile, & id expetendo, fugiendóque contrarium, proficit. ignorantia verò grauiorem quam corporis mulctationem animæ inferens, omniũ peccatorum causa fit: quando caret omni externa ope, vt quæ nec ipsa sibi prospicere potest, nec præmoneri ab alijs. proinde vsquequaque destituta, & derelicta

A à custodibus ac præsidibus, à quibusuis hominibus rebúsque patitur insidias. cauendum igitur ne vnquã tantam meri vim ingeramus, vt sensus officium non faciant: néve tam longe discedamus à scientia, vt ignorantia suas densissimas tenebras in anima possit spargere. Sunt autem duo genera ignorantiæ, simplex alterum prorsus sensu carens: alterum duplex. cum quis non modo inscientia tenetur, verum etiam putat se scire quæ haudquaquam scit, elatus falsa opinione sapientiæ. prius malum B est leuius, vt quod leuiora peccata gignit, pleraque inuoluntaria. secundum vero maius, vt quod maiora parit, nec solum inuoluntaria, verum etiam iniqua de industria. talibus mihi videtur Lot ille filiarum genitor esse obnoxius maxime, qui masculum & perfectum in anima germen educare non potuit. duas enim filias ex vxore in saxum post mutata suscepit, quam non aberrauerit siquis appellet consuetudinem inimicam veritati suopte ingenio, & C quoties ab aliquo ducit à tergo restitantem, respectantemque antiquas sodales, & in morem inanimæ statuæ remanentem in earum medio. filiarum autem senior quidem vocabitur consilium, iunior verò assensio. nam consilio comes est assensio, post assensionem autem nemo consultat vlterius. mens igitur sedens in suo consistorio, solicitare filias incipit, & cum grandiore quidem consilio considerat atque scrutatur singula, cum iuniore verò assensione facile quibusuis annuit, vt infe- D sta pro amicis complectatur, si modo voluptatis esca inuitet vel minima. hæc autem sobria quidem cogitatio non sustinet, sed occupata à temulentia, & velut vino extra se rapta. ideo dicitur: potauerunt patrem vino: vt omnino impos fieret sensuum intellectûs, qui prius videbatur idoneus per se ad consultandum de rebus vtilibus, facile tamen quibusuis verisimilibus vt veris certisque assentiens: cum natura humana haudquaquam sufficiẽs sit mani- E feste quicquam dispicere, & vel quasi vtile ac verum eligere, vel vt falsum ac inutile fugere. multum enim tenebrarum offusum corporibus rebúsque, non sinit singulorum naturam conspici: imò etiam siquis curiosior aut discendi cupidior conetur introspicere propius, tanquam luminibus orbati offensans, prius quam aliquid apprehendat pro-

A τῶν ἐπιτυχόντων ἀνθρώπων τε ὁμοῦ καὶ πραγμάτων, ἐπιβουλεύεται. μηδέποτ' οὖν μήτ' ἀκράτου προσοισώμεθα τοσοῦτον, ὡς ἀπραξίας ἐμποιῆσαι ταῖς αἰσθήσεσι, μήτε τοσοῦτον ἐπιστήμης ἀλλοτριωθῶμεν ὡς ἄγνοιαν τὸ μέγα καὶ βαθὺ σκότος τῆς ἑαυτῶν ψυχῆς κατασκεδάσαι. διττὸν δὲ τὸ ἀγνοίας γένος, τὸ μὲν ἁπλοῦν, ἡ παντελὴς ἀναισθησία, τὸ δὲ διπλοῦν, ὅταν μὴ μόνον ἀνεπιστημοσύνῃ τις συνέχηται, ἀλλὰ καὶ οἴηται εἰδέναι ἃ μηδαμῶς οἶδε, δόξῃ ψευδεῖ σοφίας ἐπαιρόμενος. τὸ μὲν οὖν B πρότερον κακὸν ἔλαττον· κουφοτέρων γὰρ ἁμαρτημάτων καὶ τάχα ἀκουσίων αἴτιον· τὸ δὲ δεύτερον μεῖζον, μεγάλα ἀποτίκτον, καὶ οὐκ ἀκούσια μόνον, ἀλλ' ἤδη καὶ ἐκ προνοίας ἀδικήματα· περὶ ταῦτά μοι δοκεῖ Λὼτ ὁ θυγατροποιὸς μάλιστα κηραίνειν, ἄρρεν καὶ τέλειον ἐν ψυχῇ φυτὸν ἀναθρέψαι μὴ δυνάμενος. δύο γὰρ θυγατέρας ἐκ τῆς λιθουμένης γυναικὸς ἔσχηκεν, ἣν εὐθυβόλῳ χρησάμενος ὀνόματι, καλέσειεν ἄν τις συνήθειαν ἐχ- C θρὰν φύσει ἀληθείας, ἣ ὁπότε ἄγοι τις αὐτὴν ὑστερίζει καὶ περιβλεπομένη τὰ ἀρχαῖα καὶ σύντροφα, καὶ ἀψύχου τρόπον στήλης ἐν μέσοις αὐτοῖς καταμένουσα. τῶν δὲ θυγατέρων, ἡ μὲν πρεσβυτέρα κεκλήσεται βουλή, συναίνεσις δὲ ἡ νεωτέρα. τὸ μὲν γὰρ βουλεύσασθαι τῷ συναινεῖν ἕπεται, συναινέσας δὲ οὐδεὶς ἔτι βουλεύεται. καθίσας οὖν ὁ νοῦς ἐν τῷ αὐτοῦ συνεδρίῳ, διακινεῖν ἄρχεται τὰς θυγατέρας· καὶ μετὰ μὲν τῆς πρεσβυτέρας βουλῆς σκοπεῖσθαί γε καὶ διερευνᾶν ἕκαστα, μετὰ δὲ τῆς νεωτέρας συναινέ- D σεως ἐπινεύειν ῥᾷστα τοῖς ἐπιτυχοῦσι, καὶ ὡς φίλα τὰ ἐχθρὰ ἀσπάζεσθαι, δέλεαρ εἴ τι μικρὸν ἡδονῆς αὐτὸ μόνον ἀφ' ἑαυτῶν ἐνδιδοίη. ταῦτα δὲ νήφων μὲν λογισμὸς οὐκ ἀνέχεται, μέθῃ δὲ κατεσχημένος καὶ ὥσπερ ἔξοινος ὤν· διὸ λέγεται, Ἐπότισαν τὸν πατέρα οἶνον, ἀναισθησίας παντελοῦς, ἱκανὸν δοκοῦντα βουλεύεσθαι τὸν νοῦν ἀφ' ἑαυτοῦ τὰ συμφέροντα, ἢ τοῖς ὁπωσοῦν φανεῖσιν, ὡς τὸ ἀληθὲς πάγιον ἐν ἑαυτοῖς ἔχουσι συναινέσαι, τῆς ἀνθρωπίνης φύσεως μηδαμῇ μηδαμῶς ἱκανῆς οὔσης, ἢ ἐκ περισκέ- E ψεως τὸ σαφὲς εὑρεῖν, ἢ ὡς ἀληθῆ καὶ συμφέροντα ἑλέσθαι, ἢ ὡς ψευδῆ καὶ βλάβης αἴτια ἀποστραφῆναι. πολὺ γὰρ σκότος τῶν ὄντων καὶ σωμάτων καὶ πραγμάτων κατακεχυμένον οὐκ ἐᾷ τὴν ἑκάστου φύσιν ἰδεῖν, ἀλλὰ κἂν βιασάμενός τις ὑπὸ περιεργίας, ἢ τοῦ φιλομαθοῦς ἐθελήσῃ διακύψαι, καθάπερ οἱ πεπηρωμένοι προσπταίουσι τοῖς ποσί, πρίν τι λαβεῖν ἀναπεσὼν ὑστερίζει, ἢ ταῖς χερσὶν ἐφαπτόμενος τὰ ἄδηλα εἰκάζει, στοχασμὸν

προς

A πρὸς ἀλήθειαν κτώμενος. οὐδὲ γὰρ εἰ δᾳδουχοῖτο παιδείᾳ περιλάμποι τὸν νοῦν, φῶς ἀλαμπὲς τὸ οἰκεῖον ἐπὶ τὴν τῶν ὄντων θέαν ἐναύσασθαι δύναιτ' ἂν μᾶλλον ἢ βλάψαι. τὸ γὰρ βραχὺ φέγγος ὑπὸ πολλοῦ σκότους σβέννυσθαι πέφυκε· σβεσθέντος δὲ ἀνωφελὴς πᾶσα ὄψις. τὸν μέντοι σεμνυνόμενον ἢ ἐπὶ τῷ βουλεύεσθαι, ἢ ἐπὶ τῷ τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ φεύγειν ἱκανῶς δύνασθαι, διὰ τούτων ὑπομνηστέον, εἰ μὲν ἀπὸ τῶν αὐτῶν αὐτὰς ἀεὶ συνέβαινε προσπίπτειν ἀπαραλλάκτους φαντασίας, ἦν ἴσως ἀναγκαῖον, B τά τε ἐν ἡμῖν αὖθις φύσει κατασκευασθέντα διττὰ κριτήρια, αἴσθησίν τε καὶ νοῦν ὡς ἀψευδῆ καὶ ἀδέκαστα θαυμάζειν, καὶ περὶ μηδενὸς ἐνδοιάζοντας ἐπέχειν, ἀλλὰ τοῖς ἅπαξ φανεῖσι πιστεύοντας, τὰ μὲν αἱρεῖσθαι, τὰ δὲ ἔμπαλιν ἀποστρέφεσθαι. ἐπεὶ δὲ διαφόρως ἀπ' αὐτῶν ἀεὶ κινούμεθα, βέβαιον περὶ οὐδενὸς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν, ἅτε μὴ ἑστῶτος τοῦ φανέντος, ἀλλὰ πολυτρόποις καὶ πολυμόρφοις χρωμένου τοῖς μεταβολαῖς. ἀνάγκη γὰρ ἀνι- C δρύτου τῆς φαντασίας οὔσης, ἀνίδρυτον εἶναι καὶ τὴν ἐπ' αὐτῇ κρίσιν. αἴτια δὲ τούτου πολλά, πρῶτον μὲν αἱ ἐν τοῖς ζῴοις οὐ καθ' ἑνὸς μέρος, ἀλλὰ σχεδὸν περὶ πάντα ἀμύθητοι διαφοραὶ αἱ περὶ τὰς γενέσεις καὶ τὰς κατασκευὰς αὐτῶν, αἱ περὶ τὰς τροφὰς καὶ διαίτας, αἱ περὶ τὰς αἱρέσεις καὶ φυγάς, αἱ περὶ τὰς αἰσθητικὰς ἐνεργείας τε καὶ κινήσεις, αἱ περὶ τὰς τὴν κατὰ σῶμα καὶ ψυχὴν ἀμυθήτων παθῶν ἰδιότητας. χωρὶς γὰρ τῶν κρινόντων ἴδε καὶ τῶν κρινομένων ἔνια, οἷα D τὸν χαμαιλέοντα, τὸν πολύποδα. τὸν μὲν γὰρ φασὶ τὰς χρόας ἀλλάττοντα τοῖς ἐδάφεσιν ὁμοιοῦσθαι καθ' ὧν εἴωθεν ἕρπειν, τὸν δὲ τὰς κατὰ θαλάττης πέτραις ὧν ἂν περιδράξηται, τάχα που τῆς σωτηρίου φύσεως ἀλεξίκακον συλλήψεως δωρησαμένης τὴν εἰς τὸ πολύχρωμον αὖθις τροπὴν φάρμακον. τὸν αὐχένα τῆς περιστερᾶς ἐν ἡλιακαῖς αὐγαῖς οὐ κατενόησας μυρίας χρωμάτων ἀλλάττοντα ἰδέας; οὐχὶ φοινικοῦν καὶ κυανοῦν, πυρωπόν τε αὖ καὶ ἀνθρακώδη, E ἔτι δὲ ὠχρὸν καὶ ἐρυθρὸν καὶ ἄλλα παντοδαπὰ ἴσχει χρώματα, ὧν οὐδὲ τὰς κλήσεις ῥᾴδιον ἀπομνημονεῦσαι; φασὶ μέντοι καὶ ἐν Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς, θαυμασιώτατόν τι γίνεσθαι σπάνιον μὲν, γίνεσθαι δ' ὅμως, θηρίον, ὃ καλεῖται τάρανδος, μέγεθος μὲν βοὸς οὐκ ἀποδέον, ἐλάφῳ δὲ τὸν τοῦ προσώπου τύπον ἐμφερέστατον. λόγος ἔχει τοῦτο μεταβάλλειν ἀεὶ τὰς τρίχας πρός τε τὰ χωρία καὶ τὰ δένδρα, καὶ πάνθ' ἁπλῶς οἷς ἂν ἐγγὺς ἵσταται, ὡς διὰ τὴν τῆς χρόας ὁμοιότητα λανθάνειν τοὺς ἐντυγχάνοντας, καὶ ταύτῃ μᾶλλον ἢ τῇ περὶ σῶμα ἀλκῇ

lapsus frustratur. nam ne prælucête quidem eruditione intellectus proprium inde lumen sibi valens accendere, ad res inspiciendas non tam iuuatur quam impeditur. sic enim natura comparatum est, vt paruus splendor extinguatur à magnis tenebris: quo extincto nulla est visus vtilitas. quisquis autem sibi placet vel consilio vel facultate discernendi inter fugienda & sequenda, monendus est: si earundem rerum eædem & indiscretæ semper nobis imaginationes acciderent, fortasse necessario sequuturum vt quas nobis natura dedit iudicandi facultates geminas, sensum & intellectum, tanquam veraces admiraremur, nec decipi faciles, quippe quæ primo aspectu quid expetendum, quid fugiendum videant. sed quoniam compertum est nos aliàs aliter ab eis affici, non possumus quicquam certo asseuerare, cum id quod apparet non maneat firmum, sed in varias subinde transformetur facies. necessum est enim vt instabilis imaginationis instabile sit etiam iudicium, idque multis de causis. quarum prima est animalium non vna tantum parte, sed plures penè quam dici potest differentiæ, in generatione horum & habitudine, in cibo & victu, in his rebus quas expetunt & fugiunt, in sensuum actionibus & commotionibus, in corporū animarúmque innumerabilibus proprietatibus. nam vt omittamus ista quæ iudicant, inspice quædam ex his quæ iudicantur, vt chamæleontem & polypum. illum aiunt mutabilem colore semper loca referre in quibus degit: hunc verò saxa quibuscunque adhæserit, forsan à natura saluti eius prospiciente donatum hoc versatilis coloris remedio contra pericula. Vidistin vnquam columbæ ceruicem solaribus radijs expositam quam multis modis colores variet? puniceum, ceruleum, igneum, & carbunculi speciem referentem, pallentem item, rubentémque, & alios omnigenos, quorum ne vocabula quidem memorare sit facile. apud Scytharum quoque gentē, quam Gelonos vocant, fertur mirandū animal, raro quidem, nasci tamen, tarandum nomine, magnitudine bouis, facie vero ceruo quam simillimū. de hoc narrant, pilum eius omnia propinqua, siue arbores, siue alia, colore imitari, & per eā similitudinē fallere in quēcunq; inciderit, atque ita magis quā viribus periculū à venatoribus imminēs euadere.

hæc & similia certissimum argumentum sunt, nos non posse quicquam certò comprehendere. deinde vt omittamus animalia reliqua, soli homines immane quantum in rebus omnibus inter se differunt: qui non modo aliâs aliter de ijsdem iudicant, sed & alij aliter, dum ijsdem quidem delectantur, quidam offenduntur. nam quæ his probantur, alijs displicent: quæ hi vltro accersunt vt domestica, alij procul in malam rem profligant vt alienissima. equidem forte fortuna theatrum ingressus aliquoties, animaduerti ad vnum carmen tragœdorum citharœdorúmve in scena certantium alios sic demulceri, vt non temperarent sibi quin assurgentes acclamarent & applauderent: alios non magis moueri hoc, quam illos ipsos gradus saxeos quibus insisterent: alios in tantum offendi, vt è theatro se proriperent vtraque manu compressis auriculis, nequid ex eo sono reliquum molestiam crearet fastidiosis animis. quid attinet ista dicere? vnusquisque, si ipsum per se consideres, quod vix est credibile, innumeras mutationes in corpus animámque recipit, quæ modo expetierat fugiens, haudquaquam mutata, sed in eodem statu manentia. eadem enim aliter à sanis accipiuntur quam ab ægrotis, aliter à vigilantibus quam dormientibus, aliter à pubescentibus quam senescentibus. imò qui stat alias quam qui mouetur imaginationes concipit, alias intrepidus quam timidus: item mœrens quam gaudens, infensus quam beneuolus. Quid opus verbis prolixioribus? dicam compendio: quiuis corporis animæque motus, siue iuxta naturam siue contrà factus, causa est vt quæ apparent, mutari videantur, inconsistentibus somnijs simillima. nec minima causa imaginationum inconstantiæ sita est in consideratione, in distantijs, in locis quibus continentur singula. an non videmus in mari pisces extentis natantes pinnulis semper maiore specie quàm qua re vera sunt? itidem remos vel rectissimos, fractos in aqua videri contingit. hæc longe falsissimas imagines objicientia solent mentem decipere. interdum enim cum sint exanimata, putantur viuere, & è diuerso quæ viuunt, esse mortua. item quæ stant, moueri: quæ

A δυσθήρατον εἶναι. ταῦτα δὴ καὶ τὰ τούτοις ὅμοια πίστις ἐναργὴς ἀκαταληψίας ἐστίν. ἔπειτα δὲ αἱ μηκέτι τῶν ζώων ἁπάντων, ἀλλὰ καὶ ἀνθρώπων ἰδίᾳ πρὸς ἀλλήλους περὶ πάντων ποικιλίαι. οὐ γὰρ μόνον ἄλλοτε ἄλλως τὰ αὐτὰ κρίνουσιν, ἀλλὰ καὶ ἑτέρως ἕτεροι, ἡδονάς τε καὶ ἀηδίας ἔμπαλιν τῶν αὐτῶν λαμβάνοντες. οἷς γὰρ δυσηρεστήθησαν ἔνιοι, ἐτέρφθησαν ἄλλοι, καὶ κατὰ τοὐναντίον ἅπερ ὡς φίλα καὶ οἰκεῖα ἐπισπασάμενοί τινες ἐδεξιώσαντο, ταῦθ' ἕτεροι ὡς ἀλλότρια καὶ δυσμενῆ μακρὰν ἀφ' ἑαυτῶν ἐσκορακίσαντο. B ἤδη γοῦν ἐν θεάτρῳ πολλάκις παρατυχὼν, εἶδον ὑφ' ἑνὸς μέλους τῶν ἀγωνιζομένων ἐπὶ τῆς σκηνῆς τραγῳδῶν ἢ κιθαρῳδῶν, τοὺς μὲν οὕτως ἀρθέντας, ὡς ἀνεγειρομένους καὶ συνηχοῦντας, ἄκοντας τὰς πρὸς ἔπαινον ἐκφωνεῖν· τοὺς δὲ οὕτως ἀτρέπτως ἔχοντας, ὡς μηδὲ τῶν ἀψύχων βάθρων ἐφ' οἷς καθέζοιντο, ταύτῃ γοῦν διαφέρειν ἂν νομισθῆναι· ἐνίους δὲ οὕτως ἀλλοτριωθέντας, ὡς καὶ τὸ θέατρον οἴχεσθαι καταλιπόντας ἔτι καὶ προσαποφραττομένους C ἑκατέρᾳ τῶν χειρῶν τὰ ὦτα, μὴ ἄρα τι ἔναυλον ἀπολειφθὲν, ἀηδίαν ὑπηχοῦν δυσκόλοις καὶ δυσαρέστοις ψυχαῖς ἐργάσηται. καίτοι τί ταῦτά φαμεν· αὐτός τις εἷς ὢν ἕκαστος ἐφ' ἑαυτοῦ, ὃ παραδοξότατον, μυρίας μεταβολὰς καὶ τροπὰς δεχόμενος, κατά τε σῶμα καὶ ψυχὴν, τοτὲ μὲν αἱρεῖται, τοτὲ δὲ ἀποστρέφεται, οὐδαμῶς μεταβάλλοντα, μένοντα δὲ ἐπὶ τῆς αὐτῆς πεφυκότα κατασκευῆς. οὐ γὰρ τὰ αὐτὰ ὑγιαίνουσι καὶ νοσοῦσι προσπίπτει φίλα, οὐδὲ ἐγρηγορόσι καὶ κοιμωμένοις, οὐδὲ ἡβῶσι καὶ γεγηρακόσι· καὶ ἑστὼς D μέντοι καὶ κινούμενός τις ἑτέρας ἔλαβε φαντασίας, καὶ θαρρῶν καὶ δεδιὼς ἔμπαλιν· ἔτι μέντοι λυπούμενός τε καὶ χαίρων, καὶ φιλῶν καὶ τοὐναντίον μισῶν. καὶ τί δεῖ μακρηγοροῦντα περὶ τούτων ἐνοχλεῖν· συνελόντι γὰρ φράσαι, πᾶσα ἡ σώματος καὶ ψυχῆς κατὰ φύσιν τε αὖ τὴν καὶ παρὰ φύσιν κίνησις αἰτία τῆς περὶ τὰ φαινόμενα ἀστάτου φορᾶς γίνεται, μαχόμενα καὶ ἀσύμφωνα προσβαλλούσης ὀνείρατα. γίνεται δὲ οὐχ ἥκιστα τὸ περὶ τὰς φαντασίας ἄστατον καὶ παρὰ τὰς θεωρίας καὶ παρὰ τὰ διαστήματα καὶ E παρὰ τοὺς τόπους, οἷς ἕκαστα ἐμπεριέχεται. ἢ τοὺς κατὰ θαλάττης ἰχθῦς οὐχ ὁρῶμεν ὁπότε τὰς πτέρυγας διατείνοντες ἐννήχοιντο, μείζους ἀεὶ τῆς φύσεως προφαινομένους· καὶ τὰς εἰρεσίας μέντοι κἂν σφόδρα ὦσιν εὐθυτενεῖς, κεκλασμένας ὁρᾶσθαι συμβαίνει καθ' ὕδατος· τὰ δὲ μὴν πορρωτάτω ψευδεῖς προσβάλλοντα φαντασίας, τὸν νοῦν εἴωθεν ἀπατᾶν. ἄψυχα γάρ ἐστιν ὅτε ὄντα ὑπετοπήθη ζῷα εἶναι, καὶ τοὐναντίον τὰ ἔμψυχα, ἄψυχα·

ἔτι δὲ τὰ ἑστῶτα κινεῖσθαι, καὶ τὰ κινούμενα ἑστάναι· καὶ τὰ μὲν προσιόντα ἐξαναχωρεῖν, τὰ δὲ ἀπιόντα πάλιν προσέρχεσθαι· καὶ βραχύτατα μὲν τὰ περιμηκέστατα, περιφερῆ δὲ αὖ τὰ πολυγώνια, καὶ μυρία ἄλλα ὑπὸ τῆς φανερᾶς ὄψεως ψευδογραφεῖσθαι, οἷς οὐκ ἄν τις εὖ φρονῶν ὡς βεβαίοις συνεπιγράψαιτο. τί δὲ αἱ ἐν τοῖς κατασκευαζομένοις ποσότητες. παρὰ γὰρ τὸ πλέον ἢ ἔλαττον αἵ τε βλάβαι καὶ ὠφέλειαι συνίστανται, καθάπερ ἐπὶ μυρίων ἄλλων, καὶ μάλιστα τῶν κατὰ τὴν ἰατρικὴν ἐπιστήμην ἐν φαρμάκοις. ἡ γὰρ ἐν ταῖς συνθέσεσι ποσότης ὅροις καὶ κανόσι μεμέτρηται, ὧν οὔτε ἐντὸς κάμψαι, οὔτε περαιτέρω προελθεῖν ἀσφαλές. τὸ μὲν γὰρ ἔλαττον χαλᾷ, τὸ δὲ πλέον ἐπιτείνει τὰς δυνάμεις· βλαβερὸν δὲ ἑκάτερον, τὸ μὲν ἀδυνατοῦν ἐνεργῆσαι δι᾽ ἀσθένειαν, τὸ δὲ βλάψαι βιαζόμενον διὰ καρτερωτάτην ἰσχύν. λειότησί γε αὖθις καὶ τραχύτησι, πυκνώσεσί τε αὖθις καὶ πιλήσεσι, καὶ τοὐναντίον μανότησι καὶ ἐξαπλώσεσι, τὸν εἰς βοήθειαν καὶ βλάβην ἔλεγχον ἐναργῶς διασυνίστησιν· ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνό τις ἀγνοεῖ, ὅτι τῶν ὄντων σχεδὸν οὐδὲν αὐτὸ καθ᾽ αὑτὸ νενόηται τὸ παράπαν οὐδέν, τῇ δὲ πρὸς τὸ ἐναντίον παραθέσει δοκιμάζεται, οἷον τὸ μικρὸν παρὰ τὸ μέγα, τὸ ξηρὸν παρὰ τὸ ὑγρόν, παρὰ τὸ ψυχρὸν τὸ θερμόν, παρὰ τὸ βαρὺ τὸ κοῦφον, τὸ μέλαν παρὰ τὸ λευκόν, τὸ ἀσθενὲς παρὰ τὸ ἰσχυρόν, τὰ ὀλίγα παρὰ τὰ πολλά· κατὰ τὸ παραπλήσιον μέντοι καὶ ὅσα ἐπ᾽ ἀρετὴν ἢ κακίαν ἀναφέρεται, τὰ ὠφέλιμα διὰ τῶν βλαβερῶν γνωρίζεται, τὰ καλὰ τῇ τῶν αἰσχρῶν ἀντιθέσει, τὰ δίκαια καὶ κοινῶς ἀγαθὰ τῇ τῶν ἀδίκων καὶ κακῶν παραθέσει· καὶ πάντα μέντοι τὰ ἄλλα ὅσα ἐν κόσμῳ σκοπῶν ἄν τις εὕροι κατὰ τὸν αὐτὸν τύπον λαμβάνοντα τὴν ἐπίκρισιν. ἐξ ἑαυτοῦ μὲν γὰρ ἕκαστον ἀκατάληπτον, ἐκ δὲ τῆς πρὸς ἕτερον συγκρίσεως, γνωρίζεσθαι δοκεῖ. τὸ δὲ μὴ ἑαυτῷ μαρτυρεῖν ἱκανόν, τῆς δ᾽ ἀφ᾽ ἑτέρου χρῇζον συνηγορίας, ἀβέβαιον εἰς πίστιν· ὥστε καὶ ταύτῃ τοὺς εὐχερῶς ὁμολογοῦντας, ἢ ἀρνουμένους περὶ παντὸς οὗ τινος, ἐλέγχεσθαι. καὶ τί θαυμαστόν; προσωτέρω γάρ τις χωρήσας τῆς πραγματείας, καὶ εἰλικρινέστερον αὐτὰ αὐγασάμενος, εἴσεται τοῦτο, ὅτι ἓν οὐδὲν καθ᾽ ἁπλῆν ἡμῖν τὴν ἑαυτοῦ προσπίπτει φύσιν, ἀλλὰ πάντα μίξεις πολυπλοκωτάτας ἔχοντα καὶ κράσεις. αὐτίκα τὴν χρωμάτων ἀντιλαμβανόμεθα· πῶς; ἆρ᾽ οὐ σὺν ἀέρι καὶ φωτὶ τοῖς ἐκτός, καὶ τῷ καθ᾽ αὐτὴν τὴν ὄψιν ὑγρῷ; γλυκὺ δὲ καὶ πικρὸν τίνα τρόπον δοκιμάζεται, μὴ δίχα τῶν καθ᾽ ἡμᾶς αὐτοὺς ἐνστομίων; χυλῶν δὲ ὅσοι κατὰ

A moventur, stare. quæ accedunt recedere: quæ recedunt, accedere. breuia videntur, quæ prælonga sunt: quæ angulos habent, diceres teretia: aliáque innumera fallunt aspectum, quibus nemo prudens tanquam certis subscriberet. quid qualitates factitiæ, in quibus addidisse detraxisséve aliquid multum profuerit aut obfuerit, præsertim in his quæ tractant medici? namque horum compositiones recipiunt qualitates certis terminis di- B. mensas & regulis, citra quas non licet consistere, sicut nec progredi vlterius tutum est. nam diminutio remittit eorum vim, sicut intendit additio. Vtrumque autem noxam affert: alterum ob virium defectum inefficax, alterum violente lædens præ nimietate earum. leuitates quoque ac asperitates, densitates oppilationésque, & his contrariæ raritates apertionésque, quantum ad auxilium noxámve conferant manifestum est. C Ac ne illud quidem ignotum, quòd penè nulla res, si consideres ipsam per se, intelligitur, sed collatione cum suo contrario examinatur, vt paruum collatum cum magno, aridum cum humido, frigidum cum calido, graue cum leui, nigrum cum albo, infirmum cum valido, parum cum multo. Similiter etiam quæcunque ad virtutem referuntur aut vitium, vtilia noscuntur per noxia, honesta adhibitis è diuerso turpibus, iusta & in ge- D nere bona cum iniustis & malis composita. denique quicquid aliud in vniuerso mundo consideraueris, ad eandem formulam iudicari comperies. Nam per se vnum quodque comprehendi non potest, sed cum altero comparatum venit in notitiam. Quicquid autem de seipso testari non potest, egens alterius patrocinio, infirmam fidem habet. itaque sic quoque coarguuntur qui facile de quauis re vel negant vel asserunt. nec mirum. nam si E quis vlterius in res progrediatur, & collustret eas sincerius, sciet quod ne vna quidem res iuxta simplicem suam naturam nobis occurrit, sed omnes multipliciter temperatæ mixtæque. Colores sine mora comprehendimus. at quomodo? nónne foris cum aere ac lumine, intus in ipso visu cum humido? dulce vero & amarum quomodo probaretur absque oris humoribus? quid sapores grati naturæ vel ingrati?

quid ex suffitu odores, num simplices sincerásque naturas præ se ferunt? an potius mixtas ex ipsis & aere, interdum etiam ex igne liquante horum corpora, & ex facultate quæ inest naribus? Ex his sane colligitur, nec colores à nobis percipi, sed temperaturam constantem ex subiectis & lumine: nec odores, sed mixturam quæ constat è corporum exhalationibus & omnium capace aere: nec sapores, sed id quod conficitur è re gustabili, & humore saliuaceo. Hæc cum ita se habeant, damnanda est stultitia, seu arrogantia, seu temeritas eorum, qui facile vel asserere, vel negare de quauis re sustinent. si enim simplices facultates absunt, mixtæ verò & collatitiæ nos frustrantur, impossibile est vt cernantur inuisibiles, & per mixta intelligatur vniuscuiusque forma, ad eam mixturam conferentis suam portionem. Quid igitur superest, nisi vt necessario suspendamus sententiam? Illa quoque deterrent ne temere credamus incertis, quæ penè per totum orbem diffusa sunt, communem tum Græcis tum barbaris in iudicando lapsum inducentia. quænam? institutiones ab ætate tenera, consuetudines patriæ, leges antiquæ, ex quibus vniuersis in nullo consentiunt omnes, sed per singulas regiones, gentes, ciuitates, vicos denique ac domos, saltem viri discrepant à mulierculis, & pueri à cæteris. Nam quæ nobis turpia videntur, illis honesta: quæ decentia, illis indecora: iniqua iusta, impia sancta, legitima illegitima, vituperanda laudabilia, punienda honore digna, & cætera decernuntur contraria. Sed quid opus est his immorari prolixius, cum reuocent nos magis necessaria? quòd si quis velit omissis alijs recentioribus spectaculis, inquirere in præsens capitulum diligentius, & examinare singillatim, educationes, mores, leges, regionum, gentium, locorum, ciuitatum, subditorum, principum, clarorum, obscurorum, liberorum, seruorum, doctorum, indoctorum, non vnam alterámque diem, nec mensem aut annum, sed totam vitam in hoc conteret vel longissimam: nihilominus pleraque considerationem eius effugient. cum igitur alij ab aliorum iudicio non modicum distent, & adeo discrepent, vt pugnent etiã inuicem, necessario consequitur vt

A φύσιν ἢ παρὰ φύσιν, οὐ δήπου; τί δ᾽ αἱ ἀπὸ τῶν ἐπιθυμιωμένων ὀσμαί, μὴ τὰς ἁπλᾶς εἰλικρινεῖς τῶν σωμάτων φύσεις παρεστῶσιν; ἢ τὰς κεκραμένας ἔκ τε αὐτῶν καὶ ἀέρος, ἔστι δ᾽ ὅτε καὶ τοῦ τήκοντος τὰ σώματα πυρός, καὶ τῆς κατὰ τοὺς μυκτῆρας δυνάμεως. ἐκ δὴ τούτων συνάγεται, ὅτι οὔτε χρωμάτων ἀντιλαμβανόμεθα, ἀλλὰ τοῦ συνισταμένου κράματος ἔκ τε τῶν ὑποκειμένων καὶ φωτός, οὔτε ὀσμῶν, ἀλλὰ μίγματος ὅπερ συνέστη διά τε τοῦ B ῥυέντος ἀπὸ τῶν σωμάτων καὶ τοῦ πανδεχοῦς ἀέρος, οὔτε χυλῶν, ἀλλὰ τοῦ γινομένου διά τε τοῦ προσιόντος γευστοῦ καὶ τῆς κατὰ τὸ στόμα ὑγρᾶς οὐσίας. τούτων ἤδη τοῦτον ἐχόντων τὸν τρόπον, εὐήθειαν ἢ προπέτειαν ἢ ἀλαζονείαν ἄξιον καταγινώσκειν, τῶν ἢ ὁμολογεῖν ἢ ἀρνεῖσθαι περὶ παντὸς οὑτινοσοῦν ῥαδίως ὑπομενόντων. εἰ μὲν γὰρ αἱ ἁπλαῖ δυνάμεις ἐκποδών, αἱ δὲ μικταὶ καὶ ἐκ πλειόνων συνερανισμέναι, ψευδεῖς· ἀμήχανον δὲ καὶ τὰς ἀοράτους ἰδεῖν, καὶ διὰ τῶν κεκραμένων τὸν ἑκάστης C τῶν συνερανισθεισῶν τύπον ἰδίᾳ κατανοῆσαι, τί ἂν εἴη λοιπὸν ἢ τὸ ἐπέχειν ἀναγκαῖον. ἐκεῖ δ᾽ ἡμᾶς οὐ παρακαλεῖ μὴ λίαν τοῖς ἀφανέσι προσπιστεύειν, ἃ σχεδὸν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀναχέχυται, κοινὸν Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις ἐπάγοντα τὸν ἐκ τοῦ κρίνειν ὄλισθον. τίνα οὖν ταῦτ᾽ ἐστίν· ἀγωγαὶ δήπουθεν αἱ ἐκ παίδων, καὶ ἔθη πάτρια, καὶ παλαιοὶ νόμοι, ὧν ἓν οὐδὲν ὁμολογεῖται ταὐτὸν εἶναι παρὰ πᾶσιν, ἀλλὰ κατὰ χώρας καὶ ἔθνη, καὶ πόλεις, D μᾶλλον δὲ καὶ κατὰ κώμην καὶ οἰκίαν ἑκάστην, ἄνδρα μὲν οὖν καὶ γυναῖκα καὶ νήπιον παῖδα, τοῖς ἄλλοις διακέκριται. τὰ γοῦν αἰσχρὰ παρ᾽ ἡμῖν ἑτέροις καλά, καὶ τὰ πρέποντα ἀπρεπῆ, καὶ τὰ δίκαια ἄδικα, καὶ ἀνόσια μὲν τὰ ὅσια, νόμιμα δ᾽ αὖ τὰ παράνομα, ἔτι δὲ ψεκτὰ τὰ ἐπαινετά, καὶ ὑπόδικα τὰ τιμῆς ἄξια, καὶ ὅσα ἄλλα ἐναντία ταῦτα νομίζουσι. καὶ τί δεῖ μακρηγορεῖν τῶν ὑπὸ ἑτέρων ἀναγκαιοτέρων μεθελκόμενον. εἰ μέντοι βουληθείη τις ὑπὸ μηδεμιᾶς ἄλλης καινοτέρας θέας ἀγόμενος ἐνερευνῆσαι τῷ E προτεθέντι κεφαλαίῳ τὰς ἑκάστων ἀγωγὰς καὶ ἔθη καὶ νόμους ἐπιέναι, χωρῶν, ἐθνῶν, τόπων, πόλεων, ὑπηκόων, ἡγεμόνων, ἐνδόξων, ἀδόξων, ἐλευθέρων, οἰκετῶν, ἰδιωτῶν, ἐπιστημόνων οὐχ ἡμέραν μίαν οὐδὲ δύο, ἀλλ᾽ οὐδὲ μῆνα ἢ ἐνιαυτόν, τὸν δὲ ἅπαντα ἑαυτοῦ κατατρίψει βίον, κἂν αἰῶνι χρήσαιτο μακρῷ, καὶ οὐδὲν ἧττον πολλὰ ἀδιερεύνητα καὶ ἀπερίσκεπτα καὶ ἄφωνα λήσει καταλιπών. οὐκοῦν ἄλλων παρ᾽ ἄλλοις οὐ βραχὺ μόνον διεστηκότων, ἀλλὰ καὶ τοῖς ὅλοις ἀπᾳδόντων ὡς ἀντιστατεῖν καὶ διαμάχεσθαι,

ἀνάγκη καὶ τὰς προσπιπτούσας διαφέρειν φαντασίας καὶ τὰς κρίσεις ἀλλήλαις πεπολεμῶσθαι. ὧν ὑπαρχόντων, τίς οὕτως ἔκφρων ἐστὶ καὶ παράληρος ὡς φάναι παγίως, ὅτι τὸ τοιόνδε δίκαιον ἢ φρόνιμον ἢ καλὸν ἢ συμφέρον. ὃ γὰρ ἂν οὗτος ὁρίσῃ, τἀναντία μεμελετηκὼς ἐκ παίδων ἕτερος ἀκυρώσει. ἐγὼ δ' οὐ τεθαύμακα, εἰ συμπεφορημένος καὶ μιγὰς ὄχλος ἐθῶν καὶ νόμων τῶν ὁπωσοῦν εἰσηγμένων ἀκλεὴς δοῦλος, ἀπ' αὐτῶν ἔτι σπαργάνων μὲν ἀκούειν, ὡς ἂν δεσποτῶν ἢ τυράννων, ἐκμαθών, κατακεκονδυλισμένος τὴν ψυχὴν, καὶ μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μὴ δυνάμενος, πιστεύει τοῖς ἅπαξ παραδοθεῖσι, καὶ τὸν νοῦν ἐάσας ἀγύμναστον, ἀδιερευνήτοις καὶ ἀνεξετάστοις συναινέσεσί τε καὶ ἀρνήσεσι χρῆται· ἀλλ' εἰ καὶ τῶν λεγομένων φιλοσόφων ἡ πληθὺς τὸ ἐν τοῖς οὖσι σαφὲς καὶ ἀψευδὲς ἐπιμορφάζουσα θηρᾶν, κατὰ στίφη καὶ λόχους διακέκριται, καὶ δόγματα ἀσύμφωνα, πολλάκις δὲ καὶ ἐναντία οὐ περὶ ἑνὸς τίθεται τοῦ τυχόντος, ἀλλὰ σχεδὸν περὶ πάντων μικρῶν τε καὶ μεγάλων, ἐν οἷς αἱ ζητήσεις συνίστανται. οἱ γὰρ ἄπειρον τὸ πᾶν εἰσηγούμενοι, τοῖς πεπερασμένον εἶναι λέγουσιν, ἢ οἱ τὸν κόσμον ἀγένητον τοῖς γενητὸν ἀποφαινομένοις, ἢ οἱ χωρὶς ἐπιστάτου καὶ ἡγεμόνος, ἀλόγου καὶ αὐτοματιζούσης ἐξάψαντες φορᾶς, τοῖς ἀπολαμβάνουσι πρόνοιαν καὶ ἐπιμέλειαν ὅλου καὶ τῶν μερῶν θαυμασίαν τινὰ εἶναι, ἡνιοχοῦντος καὶ κυβερνῶντος ἀπταίστως καὶ σωτηρίως θεοῦ, πῶς ἂν δύναιντο τὰς αὐτὰς καταλήψεις τῶν ὑποκειμένων ποιήσασθαι περιγραφῆς. αἱ δὲ περὶ τῆς τοῦ ἀγαθοῦ σκέψιν φαντασίαι ἆρ' οὐκ ἐπέχειν μᾶλλον ἢ ὁμολογεῖν βιάζονται; τῶν μὲν ἀγαθὸν εἶναι νομιζόντων μόνον τὸ καλὸν, καὶ θησαυριζομένων αὐτὸ ἐν ψυχῇ· τῶν δὲ πρὸς πλείω κατακερματιζόντων, καὶ ἄχρι σώματος καὶ τῶν ἐκτὸς ἀποτεινόντων. οὗτοι λέγουσι, τὰς μὲν τυχηρὰς εὐπραγίας δορυφόρους εἶναι σώματος, ὑγείας τε καὶ ἰσχύος καὶ τῆς ὁλοκλήρου ἀκριβείας αἰσθητηρίων καὶ ὅσα ὁμοιότροπα, τῆς βασιλίδος ψυχῆς. τρισσοὶ γὰρ τῆς ἀγαθοῦ φύσεως κεχρημένης τάξεσι, τὴν μὲν τρίτην καὶ ἐξωτάτω τῆς δευτέρας καὶ μεσευούσης προμαχεῖν εἶναι, τὴν δὲ δευτέραν τῆς πρώτης μέγα πρόβλημα καὶ φυλακτήριον γεγενῆσθαι. καὶ περὶ αὐτῶν τούτων μέντοι καὶ βίων διαφορᾶς, καὶ τελῶν πρὸς ἃ χρὴ τὰς πράξεις ἁπάσας ἀναφέρεσθαι, καὶ μυρίων ἄλλων ὅσα τε ἡ λογικὴ καὶ ἠθικὴ καὶ φυσικὴ πραγματεία περιέχει, καὶ αἱ σκέψεις ἀμύθητοι, ὧν ἄχρι τοῦ παρόντος οὐδεμία παρὰ πᾶσι τοῖς σκεπτικοῖς συμπεφω-

A etiam allabentes imaginationes rerum differant inter se, & pugnantes sint de his sententiæ. quæ cum ita sint, quis est tam demens & delirus, vt certo affirmare audeat, hoc aut illud esse iustum, prudens, honestum, vtile? quicquid enim hic decreuerit, alius irritabit meditatus à teneris vnguiculis contraria. Equidem non miror si miscellanea confusáque turba, morum legúmque vtcunque inductarum serua, ab incunabulis obedire his haud secus B ac dominis atque tyrannis assueta, & animam contusa colaphis, nihil magnum & virile valens sapere, credit acceptis semel maiorum traditionibus: & mentem sinens inexercitatam, sine scrutatione ac examine vel affirmat vel negat. philosophos quos vocant miror, quorum plerique simulantes se venari manifestam in rebus certitudinem, cateruatim diuisi, decernunt dissona, interdum etiam contraria, non de vna quapiam haud magni C momẽti re, sed propemodum de omnibus magnis paruisque, de quibus solent quærere. cum enim hi mundum infinitum inducant, illi finitum: hi creatum affirment, illi negent: hi sine præside principéque temere arbitratu suo ferri cum contendant, illi credant prouidentia curáque mirifica & vniuersum & partes eius Deum regere ac gubernare ita vt in tuto sint: qui fieri potest vt de subiectis rebus eosdem conceptus habeant? iam quæ in natura boni D consideranda imaginationes obueniũt, nónne suspendere assensionem potius quàm assentiri cogunt? dum alij bonum esse censent solum honestum, idque reponunt in anima: alij diuidunt hoc in quasdam minutias, & vsque ad corpus externáque protendunt. hi dicunt felicitates à fortuna concessas, corporis esse satellites, vt sanitatem, robur, integritatem, omnium sensuum, & huiusmodi cætera stipantia regiam animam. cum enim tres sint bonorum or- E dines, tertium & extremum secundi & medij propugnatorem esse: secundum vero primi munimentũ protectoriúmque factum maximum. De his ipsis, & de diuersis vitæ rationibus, de finibus ad quos actiones omnes dirigendæ sunt, déque alijs innumeris quæ tractantur in rationali morali naturalíque philosophia, disceptationes nascuntur ineffabiles, de quarum nulla in hodiernũ vsque disceptatores isti consentiũt.

merito igitur cum duabus filiabus, conſilio aſſenſioneque, coniunctus & vnà cubans intellectus, ignorantia laborare inducitur. dicitur enim, & neſciuit quando accubuerunt, aut quando ſurrexerunt filiæ. nam nec ſomnum nec vigiliam, nec quietem, nec motum videtur certo comprehendere: ſed etiam cum optime conſuluiſſe putatur, inconſultiſſimus deprehenditur, rebus ad expectatum finem non peruenientibus: & quoties ſubſcribere quibuſdam vt veris placuit, facilitatis incurrit infamiam, quamprimum comperiuntur incerta dubiáque, quibus prius crediderat vt certiſſimis: itaque cum negocia ſoleant contra opinionem cadere, nihil tutius fuerit quam aſſenſum ſuſpendere. Hactenus de his, nunc vertamus ſermonem ad ſequentia. diximus ſuprà temulentiæ nomine ſignificari etiam illud quod multis ſæpe attulit noxas maximas ignaui ventris ſtudium, cui deditos videre licet, etiamſi omnes corporis lacunas expleuerint, adhuc tamen inexpletas ac inanes habere concupiſcentias. iſti quamuis præ ſaturitate diſtenti ad modicum tempus tanquam athletæ laſſi reſpirant, tamen mox ad idem certamen reuertuntur. Proinde rex Ægyptiæ regionis, id eſt corporis, paulo ante infenſus viſus pincernæ miniſtro temulentiæ, mox ei reconciliatus in ſacris libris introducitur, gliſcente concupiſcentia tactus eius deſiderio, idque in die natiuitatis corruptibilis, non in incorruptibili luce illius Ingeniti luminis. dicitur enim fuiſſe dies natalis Pharaonis, quando è carcere principem pincernarum reuocauit ad miniſterium. hoc enim proprium eſt amatori corporis, vt præclaras putet res natas & corruptibiles, eo quod denſiſſimis tenebris præpediatur quominus noſcat incorruptibiles. ideo ſtatim principum voluptatem temulentiam, ciúſque miniſtrum beneuolentia complectitur. Sunt autem luxuriantis animæ tres familiares cubicularij, princeps piſtorum, princeps coquorum, princeps pincernarum, quorum admirandus ille Moſes ſic meminit: Et iratus Pharao duobus eunuchis, piſtorū principi & pincernarum principi, miſit eos in carcerem principis coquorum. eſt autem & coquorum princeps eunuchus. dicit enim alicubi: abductus eſt Ioſeph in Ægyptū, & emit eum eunuchus Pharaonis princeps coquorum. & rurſum:

A νηται. οὐκ εἰκότως οὖν τὴν δύο θυγατέρων βουλῆς
τε καὶ συναινέσεως ἁρμοσθεισῶν καὶ συνευνασθεισῶν,
ὁ νοῦς ἀγνοίᾳ ἐπιστήμης χρώμενος εἰσάγεται. λέ-
γεται γὰρ ὅτι οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὰς καὶ
ἀναστῆναι. οὔτε γὰρ ὕπνον, οὔτε ἐγρήγορσιν, οὔτε στά-
σιν, οὔτε κίνησιν ἔοικε σαφῶς καὶ παγίως καταλαμ-
βάνειν, ἀλλὰ καὶ ὁπότε ἄριστα βεβουλεῦσθαι δοκεῖ,
τότε μάλιστα ἀβουλότατος ὢν εὑρίσκεται, τῶν πραγ-
μάτων μὴ ὅμοιον τοῖς προσδοκηθεῖσι λαβόντων
B τὸ τέλος, καὶ ὁπότε συνεπιγράφεσθαί τισιν ὡς ἀλη-
θέσιν ἔδοξε, τὴν ἐπ' εὐχερείᾳ καρποῦται κατά-
γνωσιν ἀπίστων καὶ ἀβεβαίων, οἷς πρότερον ὡς βε-
βαιοτάτοις ἐπίστευε, φαινομένων· ὥστε εἰς τὰ ἐναν-
τία ὧν ὑπετόπησέ τις, εἰωθότων περιΐστασθαι τῶν
πραγμάτων, ἀσφαλέστατον τὸ ἐπέχειν εἶναι. διει-
λεγμένοι δὴ περὶ τούτων ἱκανῶς, ἐπὶ τὰ ἀκόλου-
θα τοῦ λόγου τρεψώμεθα. ἔφαμεν τοίνυν ἐκ τοῦ
μεθύειν καὶ τὴν πολλοῖς πολλάκις μεγάλα βλά-
ψασαν γαστριμαργίαν δηλοῦσθαι, ἣ τοῖς χρωμένοις
C ἔστιν ἰδεῖν κἂν τὰς τοῦ σώματος δεξαμενὰς ἀπο-
πληρωθῶσι, πάσας ἔτι κενοὺς τὰς ἐπιθυμίας ὄν-
τας. οὗτοι κἂν ὑπὸ πλήθους ὧν ἐνεφορήσαντο
διακορεῖς γενόμενοι πρὸς ὀλίγον χρόνον, καθάπερ
οἱ πεπονηκότες ἀθληταί, τὰ σώματα διαπνεύ-
σωσι, πάλιν ἐπαποδύονται τοῖς αὖθις ἀγωνίσμα-
σιν. ὁ γοῦν βασιλεὺς τῆς αἰγυπτίας χώρας τοῦ σώ-
ματος, τῷ μέθης ὑπηρέτῃ δόξας οἰνοχόῳ δυσχε-
ραίνειν, πάλιν οὐκ εἰς μακρὰν καταλλαττόμενος
ἐν ταῖς ἱεραῖς βίβλοις εἰσάγεται, πρὸς τὰς ἐπι-
D θυμίας ἀναρρηγνύντος πάθους ὑπομνησθεὶς ἐν
ἡμέρᾳ γενέσεως φθαρτῆς, οὐκ ἐν ἀφθάρτῳ τοῦ
ἀγενήτου φωτός. λέγεται γὰρ ὅτι ἡμέρα γενέσεως
ἦν Φαραώ, ἡνίκα ἐκ τοῦ δεσμωτηρίου τὸν ἀρχιοι-
νοχόον ἐπὶ σπουδῆς μετεπέμψατο. τοῦ γὰρ φιλο-
σωμάτου ἴδιον, λαμπρὰ τὰ γενητὰ καὶ φθαρτὰ
ἡγεῖσθαι, διὰ τὸ νυκτὶ καὶ σκότῳ κεχρῆσθαι βαθεῖ
πρὸς τὴν τῶν ἀφθάρτων ἐπιστήμην· οὗ χάριν εὐ-
θὺς τὴν τῶν ἀρχόντων ἡδονὴν μέθην, καὶ τὸν ὑπη-
E ρέτην αὐτῆς δεξιοῦται. τρεῖς δ' εἰσὶν οἱ τῆς ἀκολάστου
καὶ ἀκράτορος ψυχῆς ἑστιοῦχοί τε καὶ θεράπον-
ται, ἀρχισιτοποιός, ἀρχιμάγειρος, ἀρχιοινοχόος,
ὧν ὁ θαυμάσιος μέμνηται Μωϋσῆς διὰ τούτων·
Καὶ ὠργίσθη Φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις, ἐπὶ
τῷ ἀρχιοινοχόῳ, καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ· καὶ ἔθετο
αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ ἀρχιμαγείρῳ. ἔστι δὲ
καὶ ὁ ἀρχιμάγειρος εὐνοῦχος. λέγει γὰρ ἑτέρωθι,
Κατήχθη δὲ Ἰωσὴφ εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐ-
τὸν εὐνοῦχος Φαραὼ ἀρχιμάγειρος, καὶ πάλιν,

Ἀπέδοντο τὸν Ἰωσὴφ τῷ σπάδοντι Φαραὼ ἀρχιμαγείρῳ. τίνος δὲ χάριν, οὔτ' ἀνὴρ οὔτε γυνὴ τῶν λεχθέντων οὐδὲν ἁπλῶς ἐπιτέτραπται· ἢ ὅτι σπείρειν μὲν ἄνδρες, γονὰς δὲ ὑποδέχεσθαι γυναῖκες, ἐκ φύσεως πεπαίδευνται, ὧν τὴν εἰς ταὐτὸ σύνοδον αἰτίαν γενέσεως, καὶ τῆς τοῦ παντὸς διαμονῆς εἶναι συμβέβηκεν· ἀγόνου δὲ καὶ ἐστειρωμένης, μᾶλλον δὲ ἐξευνουχισμένης ψυχῆς, σιτίοις πολυτελέσι καὶ ποτοῖς, καὶ ὄψων περιέργοις παραρτύσεσι χαίρειν, μήτε τὰ ἀρετῆς ἄρρενα ὡς ἀληθῶς σπέρματα καταβάλλεσθαι δυναμένης, μήτε τὰ καταβληθέντα παραδέξασθαι καὶ ἀναθρέψασθαι, ἀλλ' οἷα λυπρὰν ἄρουραν καὶ λιθώδη πρὸς διαφθορὰν μόνον πεφυκέναι τῶν ἀεὶ ζῆν ὀφειλόντων. δόγμα δὴ τίθεται κοινωφελέστατον, ὅτι πᾶς δημιουργὸς ἡδονῆς σοφίας ἐστὶν ἄγονος, οὔτε ἄρρην ὢν οὔτε θῆλυ· διὰ τοῦτο μήτε διδόναι μήτε λαμβάνειν τὰ πρὸς ἀφθαρσίαν ἰσχυρὰ εἶναι σπέρματα, μελετᾶν δὲ αἰσχίστην κατὰ τοῦ βίου μελέτην φθείρειν τὰ ἄφθαρτα, καὶ σβεννύναι τὰ μένοντα τῆς φύσεως λαμπάδια ἄσβεστα. τὸν τοιοῦτον οὐδενὶ ἐπιτρέπει Μωϋσῆς εἰς ἐκκλησίαν ἀφικέσθαι θεοῦ. λέγει γὰρ ἐπὶ θλαδίας καὶ ἀποκεκομμένος οὐκ εἰσελεύσεται εἰς ἐκκλησίαν κυρίου. τί γὰρ τῷ σοφίας ἀγόνῳ λόγων ἀκροάσεως ἱερῶν ὄφελος ἐκτετμημένῳ πίστιν, καὶ παρακαταθήκην βιωφελεστάτων δογμάτων φυλάξαι μὴ δυναμένῳ. τρεῖς δ' ἄρ' εἰσὶν αἱ θεραπόντων γνώσεις ἐπιστάτορες, ἀρχισιτοποιός, οἰνοχόος, ὀψαρτυτής. εἰκότως. ἐπεὶ τελείου χρήσεώς τε καὶ ἀπολαύσεως ἐφιέμεθα, σιτίων, ὄψου, ποτῶν. ἀλλ' οἱ μὲν μόνων τῶν ἀναγκαίων, οἷς πρὸς τὸ ὑγιαίνειν, καὶ μὴ ἀνελευθέρως ζῆν ἐξ ἀνάγκης χρώμεθα. οἱ δὲ ἀμέτρων καὶ σφόδρα περιττῶν, ἃ τὰς ὀρέξεις ἀναρρηγνύντα, καὶ τὰς τοῦ σώματος δεξαμενὰς πλήθει βαρύνοντα καὶ πιέζοντα, μεγάλα καὶ παντοδαπὰ τίκτειν νοσήματα φιλεῖ. οἱ μὲν οὖν ἡδονῆς καὶ ἐπιθυμιῶν καὶ παθῶν ἰδιῶται, καθάπερ οἱ ἐν ταῖς πόλεσι δημοτικοί, ἄμισον καὶ ἀνεπαχθῆ βίον ζῶντες, ἅτε ὀλιγοδεεῖς ὄντες, οὐ ποικίλων καὶ περιέργων τῶν τεχνῶν δέονται ὑπηρετῶν, ἀλλὰ ποικίλῳ χρωμένων ὑπηρεσίᾳ, μαγείρων, οἰνοχόων, σιτοποιῶν. οἱ δὲ ἡγεμονίαν καὶ βασιλείαν εἶναι νομίζοντες τὸ ἡδέως ζῆν, καὶ παρὰ πάντα καὶ μικρὰ καὶ μείζω πρὸς τοῦτ' ἀναφέροντες, ἀρχιμαγείροις καὶ ἀρχιοινοχόοις καὶ ἀρχισιτοποιοῖς ὑπηρέταις ἀξιοῦσι χρῆσθαι, τουτέστιν ἄκρως ἐκπεπονηκόσιν ἕκαστον ὧν ἐπιτηδεύουσι. τὰ μὲν γὰρ ἀμήτων καὶ μελιπήκτων καὶ ἄλλων ἀμυθήτων

A Vendiderunt Iosephum spadoni Pharaonis coquorum principi. sed cur nec viro nec mulieri committuntur dicta officia? An quia seminare viris, semen excipere mulieribus à natura datum est, ex quorum congressu & natiuitas omnium & generis conseruatio prouenit. sterilis autem castratæque animæ officiũ est gaudere pistorijs operibus sumptuosis atque poculis, & curiosis condimentis cupediariorum, vt quæ nec virtutis vere masculum semen emittere valeat, B nec emissum excipere nutriréque, sed tanquam exile saxosúmque aruum, tantummodo apta sit ad corrumpendũ ea quæ semper viuere debuerant. Hic decretum statuitur communiter omnibus vtilissimum, quòd quiuis opifex voluptatis non gignit sapientiam, cum nec mas sit nec fœmina: & cum nec indere nec excipere sit idoneus semina ad immortalitatem facientia, meditatur quod turpissimum est in vita exercitium, vt corrumpat incorruptibilia, & C extinguat insitos naturę igniculos inextinguibiles. talium nulli Moses permittit ingredi ecclesiam Dei. interdicit enim ne spado & exectus ingrediatur in ecclesiam Domini. quid enim non valenti sapientiam gignere profuerint sacræ conciones auditæ, cui fides execta est, nec potest seruare depositum vtilissimorum vitæ dogmatum. proinde tres sunt qui curant conuiuium humani generis, princeps pistorum, pincerna, cupediarius. merito, quia sunt tria quibus D vti & frui cupimus, cibi, cupediæ, potus. sed alij contenti sunt solis necessarijs, quæ ad salubriter liberaliterque viuendum requiruntur: alij quærunt immodica, nimia, superflua, quæ appetitus excitant, & corporis lacunas multitudine onerant ac opprimunt, magnos & varios morbos parere solita. Et vulgus quidem voluptati, concupiscentijs affectibúsque deditorum, sicut in ciuitatibus plebeij, non inuidiosam vitam viuentes, & paucis rebus E opus habentes, non egent varijs curiosisque ministerijs, contenti simplicibus coquis, pincernis atque pistoribus. qui autem putant se imperare ac regnare in viuendo suauiter, & ad hunc scopum omnia minora maioráque referunt, dignos se æstimant ministris principibus coquorum, pincernarum, pistorúmque,, hoc est in vnoquoque horum absolutissimis. nam placentarum, popanorum liborúmque varia

genera, non materijs tantum, ſed & modis conficiendi formiſque diuerſa, non tantum ad guſtum, ſed & ad aſpectum illiciendum curioſe inuenta, exercent piſtores eximios. examen autem vini in lotium abeuntis facile nec lædentis caput, aut contrà augentis ſanguinem & olentis ſuauiter, multum parúmve aquæ ferentis, & ad vehementem intenſámque, aut remiſſam lenémque potationem facientis, cæterorúmque ſimilium, ad pincernarum præfecti officium pertinet, in hac arte abſolutiſſimi. cæterum piſces auéſque & id genus alia parare, & obſonia condire callent inſignes cupediarij, non tantum quæ auribus didicerunt & oculis, verum etiam quotidianis experimentis, dum vitæ delicatæ ac tenellæ, ſed non optandæ, ſemper noui aliquid excogitant. quos omnes eunuchos eſſe ſteriles ſapientiæ docuimus. is autem cui reconciliantur, ventris rex intellectus pincerna eſt. nam ſuapte natura genus humanum eſt ad vinum procliue quo vix vnquam ſaturatur, quando ſomno, cibo, coitu, ſimilibúſque rebus nemo non expletur, mero autem non item, præſertim qui exercent hoc ſtudium. bibendo enim ſitiunt, incipientes à minoribus cyathis: procedente vero potatione iubent pincernas in maiores infundere calices, poſtquam incaluerunt iam parum ſui compotes, infundibula, crateras, amyſtides integras exhaurientes, & merum ingurgitantes, donec profundus ſomnus occupet, iam nec ſeipſos nec quæ ingeſſerunt continere valentes, regurgitante potu nimio. & tamen ſic quoque inſatiabilis appetitus, tanquam famelicus, furere non deſinit. vitis enim Sodomorum vitis eorum eſt, vt inquit Moſes, & palmes eorum è Gomorra. vua eorum vua fellis, & botrus amaritudinis ipſis. furor draconum vinum eorum, & furor aſpidum inſanabilis. Sodoma orbitas ſiue cæcitas interpretatur. vitis autem hæc eiúſque fructus, ſignificat homines vinolentia, gula, turpiſſimíſque voluptatibus perditos. cæterum quod latentius ſubindicatur hoc eſt: veræ lætitiæ nullum germen in anima ſui amante inſitum eſſe, quod talis ſanas radices non habeat, ſed incendio redactas in cinerem, in qua pro aqua fulmineis flam-

A πεμμάτων ποικιλώτατα γένη, οὐ μόνον ταῖς τῆς ὕλης διαφοραῖς, ἀλλὰ καὶ τρόποις τῆς κατασκευῆς καὶ τοῖς σχήμασι, πρὸς οὐ μόνον τὴν γεῦσιν, ἀλλὰ καὶ τὴν ὄψιν ἀπάτην περιειργασμένα, ὡς περὶ σιτοποιίαν ἄκροι μελετῶσι· τὰ δὲ περὶ ἐξέτασιν οἴνου θᾶττον ἀναδιδομένου καὶ μὴ κεφαλαλγοῦς, καὶ τοὐναντίον εὐαίμου καὶ εὐωδεστάτου, πολλὴν ἢ ὀλίγην ἀναδεχομένου τὴν μεθ' ὕδατος κρᾶσιν, καὶ σφοδρὸν καὶ σύντονον ἢ πρᾶον καὶ ἀνειμένον ἐπιτήδειον πότον, καὶ ὅσα τοιουτότροπα, ἀρχιοινοχόων
B ἐπιτηδεύματα, ἐπ' αὐτὸ δὴ τῆς τέχνης ἀφιγμένων τὸ τέλος· ἰχθύας δὲ καὶ ὄρνις καὶ τὰ παραπλήσια ποικίλως ἀρτῦσαι καὶ κατασκευάσαι, καὶ ὅσα ἄλλα ὄψα ἡδῦναι, περιττοὶ τὴν ἐπιστήμην εἰσὶν εὐτρεπεῖς ὀψαρτυταί, μυρία χωρὶς ὧν ἤκουσαν ἢ εἶδον, ἀλλ' ἐκ τῆς συνεχοῦς μελέτης καὶ πείρας τὸ εἰς ἁβροδίαιτον καὶ τεθρυμμένον τὸν ἀβίωτον βίον ἐπινοῆσαι δεινοί. ἀλλὰ γὰρ οὗτοι πάντες ἐδείχθησαν εὐνοῦχοι, σοφίας ἄγονοι· πρὸς ὃν
C δὲ συμβατηρίους τίθενται σπονδάς, ὁ γαστρὸς βασιλεὺς νοῦς οἰνοχόος ἦν. φίλοινον γὰρ ἦν ὑπερφυῶς τὸ ἀνθρώπων γένος καὶ πρὸς μόνον τοῦτο διαφερόντως ἀκόρεστον, εἴ γε ὕπνου μὲν καὶ ἐδωδῆς καὶ συνουσίας καὶ τῶν ὁμοίων ἀπλήρωτος οὐδείς, ἀκράτου δὲ σχεδὸν ἅπαντες, καὶ μάλιστα οἷς τὸ πρᾶγμα ἄσκηται. πιόντες γὰρ ἔτι διψῶσι, καὶ ἄρχονται μὲν ἀπὸ τῶν βραχυτέρων κυάθων· προϊόντες δὲ τοῖς μείζοσιν οἰνοχόοις ἐγχεῖν παραγγέλλουσιν, ἐπειδὰν ἀκροθώρακες γενόμενοι χλια-
D θῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν δυνάμενοι, τάς τε οἰνηρύσεις καὶ τὰς ἀμυστεῖς καὶ τοὺς κρατῆρας ὅλους προσπελκάμενοι, ἀκράτους πίνουσιν ἀθρόως, μέχρις ἂν ἢ βαθεῖ ὕπνῳ δαμασθῶσιν, οὐκέτι κρατεῖν ἑαυτῶν δυνάμενοι, ἢ τοῦ ὄγκου ἀποπληρωθέντος, ὑπερβλύσῃ τὸ ἐπεισχεόμενον· ἀλλὰ καὶ τότε ὅμως ἡ ἄπληστος ἐν αὐτοῖς ὄρεξις, ὥσπερ ἔτι λιμώττουσα, μαιμάζει. ἐκ γὰρ τῆς ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν ἥ φησι, Μωϋσῆς, καὶ ἡ κλη-
E ματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς· ὁ βότρυς πικρίας αὐτοῖς· θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. Σόδομα μέντοι στείρωσις καὶ τύφλωσις ἑρμηνεύεται. ἄμπελος δὲ καὶ τοῖς ἐξ αὐτῆς γινομένοις ἀπεικάζειν τοὺς οἰνοφλυγίας καὶ λαιμαργίας, καὶ τῶν αἰσχίστων ἡδονῶν ἥττους. ἃ δὲ αἰνίττεται, τοιαῦτ' ἐστίν, εὐφροσύνης μὲν ἀληθοῦς οὐδὲν ἐμπέφυκε τῇ τοῦ φιλαύτου ψυχῇ φυτόν, ἅτε οὐχ ὑγιαινούσαις κεχρημένῃ ῥίζαις, ἀλλ' ἐμπεπρησμέναις καὶ τεφρωθει-

σαις, ὁπότε ἀνθ' ὕδατος τὰς κεραυνίους φλόγας, θεοῦ τὴν κατὰ ἀσεβῶν κολάσεως δικάσαντος δίκην, οὐρανὸς ἀσβέστους ἐνίφει· ἀκρότητος δὲ ἐπιθυμίας τῆς ἐρρωμένης τὰ καλὰ, καὶ πεπυρωμένης πρὸς πάντα τὰ θέας ἄξια, ἣν ἄμπελον παραβέβληκεν, οὐχὶ τῇ καρπῶν ἡμέρων μητρὶ, ἀλλ' ἥτις πικρίας καὶ πονηρίας καὶ πανουργίας, ὀργῆς τε καὶ θυμοῦ καὶ ἀκροχολωτάτων ἠθῶν οἰστικὴ γέγονε, δάκνουσα τὴν ψυχὴν ἐχέων καὶ ἀσπίδων τρόπον ἰοβόλων, καὶ παντελῶς ἀνίατα, ὧν ἀποτροπὴν εὐχόμεθα γενέσθαι, τὸν πάντα ἵλεων ποιησάμενοι θεὸν, ἵνα καὶ τὴν ἀγρίαν ταύτην ἄμπελον ἐξέλῃ, καὶ τοῖς εὐνούχοις καὶ πᾶσιν ἀγόνοις ἀρετῆς ἀΐδιον ψηφίσηται φυγὴν, ἀντὶ δὲ τούτων ἥμερα μὲν ταῖς ψυχαῖς ἡμῶν δένδρα τὰ παιδείας ὀρθῆς ἐμφυτεύσῃ, γενναίους δὲ καὶ ἄρρενας ὡς ἀληθῶς καρποὺς καὶ λόγους χαρίσηται, δυναμένους μὲν σπείρειν καλὰς πράξεις, δυναμένους δὲ συναύξειν ἀρετὰς, ἱκανοὺς δὲ τὴν εὐδαιμονίας ἅπασιν συνέχειν καὶ διαφυλάττειν εἰσαεὶ συνήθειαν.

A mis, Deo iuste animaduertente in impios, cælum pluerat inextinguibilibus. non deesse tamen in ea concupiscentiæ plantas maximas, honestatis steriles. quandoquidem is affectus exardescit in omnia spectatu digna, confertúrque cum vite: non ista matre mitium fructuum, sed ea quæ amaritudinem, maliciam, vafriciem, iram, furorem moresque irritabiles proferre solet, mor- B dens animam in morem viperarum & aspidum, venenatos morsus & omnino incurabiles habentium: quos deprecamur votis assiduis, obsecrantes Deum clementissimum, vt siluestrem hanc vitem eradicet, eijciátque omnes eunuchos & virtutis steriles in perpetuum exilium: & pro his in animis nostris mi- C tes plantas inserat per disciplinam rectam, largiatúrque nobis fructus ac rationes vere masculas, à quibus seminari possint actiones honestæ, & virtutes incrementum accipere, vt cum felicitate habeamus conseruemúsque sempiternam consuetudinem.

ΠΕΡΙ ΤΟΥ ΕΞΕΝΗΨΕ ΝΩΕ.

PHILONIS IVDÆI DE HIS, VERBIS, RESIPVIT NOE.

TA περὶ μέθης καὶ τῆς ἑπομένης αὐτῇ γυμνότητος εἰρημένα τῷ νομοθέτῃ διεξεληλυθότες πρότερον, ἀρξόμεθα τοῖς λεχθεῖσι τὸν ἑξῆς προσαρμόττειν λόγον. τέθειται τοίνυν ἐν τοῖς χρησμοῖς ἀκόλουθα τάδε· Ἐξένηψε Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς ὁ νεώτερος. τὸ νήφειν οὐ μόνον ψυχαῖς, ἀλλὰ καὶ σώμασιν ὠφελιμώτατον ὁμολογεῖται. τάς τε γὰρ ἐξ ἀμέτρου πλησμονῆς γινομένας νόσους ἀπωθεῖται, καὶ τὰς αἰσθήσεις πρὸς ἄκρας ὀξύτητας ἀκονᾷ, καὶ ὅλα μέντοι τὰ σώματα οὐκ ἐᾷ βαρυνόμενα πίπτειν, ἀλλ' ἐξαίρει καὶ ἐπικουφίζει, καὶ πρὸς τὰς οἰκείας ἐνεργείας ἀνακαλεῖ, πᾶσι τοῖς μέρεσιν ἑτοιμότατα ἐμπίπτον καὶ συνόλως, ὅσων δημιουργὸς κακῶν ἡ μέθη,

D POSTQVAM ea quæ de ebrietate secutáque hanc nuditate legislator dixit enarrauimus, accedemus ad ea quæ deinceps coniuncta sunt. sic enim in sacris literis scriptum sequitur: Resipuit Noe à vino, & cognouit quicquid fecerat ei filius natu minimus.] Sobrietas non solum anima- E bus, verum etiam corporibus, omnium confessione vtilissima est. nam & infirmitates arcet, è nimia repletione nasci solitas, & sensus mirifice acuit, nec sinit corpora plus iusto grauata corruere: sed attollit ea simul & subleuat, reuocans ad officia propria, omnibus eorum partibus opportunissima. In summa, quantorum malorum autor est ebrietas, tan-

torum è diuerso bonorũ sobrietas. ergo quandoquidem etiam corporibus, quibus peculiariter vini potus prodest, amica est sobrietas, nónne multo magis animabus? à quibus omne mortale alimẽtum alienũ est. quid enim sobria mente præstantius est apud homines? quæ gloria? quæ diuitiæ? quod robur? quæ potentia? denique quid aliud ex his quæ mirantur homines? adsit modo animæ oculus, qui totus collustrare omnia valeat, nulla sui parte suffusus humoribus, aut nictatione impeditus. tunc enim acutissime cernens, ipsúmque intellectum & prudentiam intuens, occurret simulacris intelligibilibus, quorũ spectaculum demulcens animum non sinet posthac flecti ad quicquam sensibile. Et quid mirum si animæ sobriæ cernentique acutissime nulla creatura potest æquari honore? quando corporei quoque oculi, & lux ista sensibilis apud nos omnes habetur in honore maximo? quamobrem multi visu amisso, vitam etiam vltro abiecerunt, existimantes mortem malum esse cæcitate leuius. quãto igitur anima præstantior est corpore, tanto mens præstat oculis, quæ si illæsa sit & expers noxæ, à nulla iniquitate temulentiæ simili oppressa, somnũ quidẽ ablegabit causam obliuionis officiorum atque pigritiæ: vigiliam autem cõplexa cernet acute quicquid spectatu dignum fuerit, excitata à memoria, & occupata actionibus tali cognitioni cõgruentibus. Talis est constitutio sobrij hominis. cæterum iuniorem filium dicens, non ætatis nomen scribit, sed qualibus moribus præditi sint rerum nouarũ amatores indicat. alioqui quomodo non videnda videre cõtra iussásque conatus esset, aut silenda eloqui, aut domi cælanda proferre in propatulũ, & transilire animæ terminos, nisi per curiositatẽ ausus fuisset quod nemo antea, deridens casus alienos, qui debuerat ingemere, nec cauillari in tali re postulante reuerentiã vultúmque serium. hic certe mos est legislatoris, vt & prouectos ætate appellet iuuenes, & eos qui nondum senuerunt, seniores: non respiciens annorũ numerum, aut tempus breue longúmve, sed in potentias animæ, quæ mouetur melius aut deterius. Ismaelem pene vigesimum annum agentem, cum virtutibus perfecto Isaac collatum, nominat puerulum. Sumpsit, inquit, panes & vtrem aquæ, & dedit Agar: imposuítque super humerum eius, & puerulum:

A τοσούτων ἔμπαλιν ἀγαθῶν δὲ τὸ νηφάλιον. ὁπότ' οὖν καὶ σώμασιν, οἷς ἡ οἴνου πόσις οἰκεῖον λυσιτελές, οἰκεῖον δὲ τὸ νήφειν, οὐ πολὺ μᾶλλον ψυχαῖς, ὧν φθαρτὴ τροφὴ πᾶσα ἀλλότριον; νηφούσης γὰρ διανοίας τί τῶν παρ' ἀνθρώποις μεγαλειότερον, τίς δόξα, τίς πλοῦτος, τίς δυναστεία, τίς ἰσχύς, τί τῶν παρόντων ὅσα θαυμάζεται· φέρε μόνον δὲ τὸ τῆς ψυχῆς ὄμμα, ὅλον ἰσχύσαι δι' ὅλων διαχυθῆναι, καὶ μηδὲν οἷα ὑπὸ ῥεύματος συγχυθῆναι μέρος, ἢ καταμύσαι. τότε γὰρ μάλιστα ὀξυωπῆσαν, συνέσει καὶ
B φρονήσει αὐτὴν ἐμβλέπον, τοῖς νοητοῖς ἀγάλμασιν ἐντεύξεται, ὧν ἡ θέα ψυχαγωγοῦσα πρὸς οὐδὲν ἔτι τῶν αἰσθητῶν ἀπονεύειν ἐάσει. καὶ τί θαυμάζομεν, εἰ τῷ νηφαλίῳ τῆς ψυχῆς καὶ βλέποντι ὀξυωπέστατα τῶν γενέσεως λαχόντων μηδέν ἐστιν ἰσότιμον. καὶ γὰρ οἱ τοῦ σώματος ὀφθαλμοί, καὶ τὸ αἰσθητὸν φῶς διαφερόντως πρὸς ἡμῶν πάντων τετίμηται. πολλοὶ γοῦν τῶν τὰς ὄψεις ἀποβαλόντων, καὶ τὸ ζῆν ἑκουσίως προσαπέβαλον, κουφότερον κακὸν πηρώ-
C σεως θάνατον εἶναι δικάσαντες ἑαυτοῖς. ὅσῳ τοίνυν ψυχὴ σώματος κρείττων, τοσούτῳ καὶ ὁ νοῦς ὀφθαλμῶν ἀμείνων, ὃς εἴπερ ἀπήμων εἴη, καὶ ἀζήμιος, πρὸς μηδενὸς τῶν μέθη παραφόρῳ ἐργαζομένων ἀδικημάτων, ἢ παθῶν πιεσθείς, ὕπνον μὲν ἀποτάξεται, λήθην καὶ ὄκνον ἐμποιοῦντα τῶν πρακτέων, ἐγρήγορσιν δὲ ἀσπασάμενος πρὸς τὰ θέας ἄξια πάντα ὀξυδορκήσει, μνήμαις μὲν ὑποβληθείσαις ἐγειρόμενος, πράξεσι δὲ τοῖς γνωσθεῖσιν ἑπομέναις χρώμενος. ὁ μὲν δὴ νήφοντος κατάστασίς ἐστι τοιαύ-
D τη. νεώτερον δὲ ὅταν φῇ υἱόν, οὐχ ἡλικίας ὄνομα ἀναγράφει, νεωτεροποιίαν δὲ ἀγαπῶντος ἐμφαίνει τρόπου διάθεσιν· ἐπεὶ πῶς ἂν ἢ τὰ ἀθέατα κατιδεῖν παρὰ νόμον καὶ δίκην ἐβιάσατο, ἢ ἐκλαλῆσαι τὰ ὀφειλόμενα ἡσυχάζεσθαι, ἢ εἰς τοὐμφανὲς προενεγκεῖν τὰ δυνάμενα οἴκοι συσκιάζεσθαι, καὶ τοὺς ψυχῆς ὅρους μὴ ὑπερβαίνειν, εἰ μὴ νεωτέρων πραγμάτων ἥπτετο, γελῶν τὰ ἑτέροις συμπίπτοντα, δέον ἐπιστένειν, καὶ μὴ χλευάζειν ἐφ' οἷς εἰκὸς ἦν καὶ εὐλα-
E βούμενον δὲ μᾶλλον σκυθρωπάζειν· πολλαχοῦ μέντοι τῆς νομοθεσίας καὶ τοὺς ἡλικίᾳ προήκοντας νέους, καὶ τοὺς μηδέπω γεγηρακότας, ἔμπαλιν ὀνομάζει πρεσβυτέρους, οὐκ εἰς πολυετίαν ἀφορῶν, ἢ βραχὺν καὶ μήκιστον χρόνον, ἀλλ' εἰς ψυχῆς δυνάμεις κινουμένης εὖ τε καὶ χεῖρον. τὸν γὰρ Ἰσμαὴλ εἰκοσαετίαν ἐγγὺς βεβιωκότα σχεδὸν κατὰ τὴν πρὸς τὸν ἐν ἀρεταῖς τέλειον Ἰσαὰκ σύγκρισιν ὀνομάζει παιδίον. Ἔλαβε γάρ, φησίν, ἄρτους, καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τὸν ὦμον καὶ

τὸ παιδίον, ἡνίκα αὐτοὺς οἴκοθεν Ἀβραὰμ ἐξέπεμψε. καὶ πάλιν, Ἔρριψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης· καὶ Οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου. καίτοι πρὸ μὲν τῆς γενέσεως Ἰσαάκ, τρισκαίδεκα γεγονὼς ἐτῶν Ἰσμαὴλ περιτέτμηται· περὶ δὲ τὴν ἑπταέτιν ἡλικίαν, παυσαμένου τῆς ἐν γάλακτι τροφῆς ἐκείνου, ὡς τὴν ἐν παιδιαῖς ἰσότητα φέρειν τὸν νόθον γνησίῳ, φυγαδεύεται σὺν τῇ τεκούσῃ. ἀλλ' ὅμως παιδίον νεανίας ὢν ἤδη καλεῖται, ὁ σοφιστὴς ἀντεξεταζόμενος σοφῷ· σοφίαν μὲν γὰρ Ἰσαάκ, σοφιστείαν δὲ Ἰσμαὴλ κεκλήρωται, ὡς ἐπειδὴ ἑκάτερον χαρακτηρίζομεν ἐν τοῖς διαλόγοις ἐπιδείκνυμεν· ὃν γὰρ ἔχει λόγον κομιδῇ νήπιον παιδίον πρὸς ἄνδρα τέλειον, τοῦτον καὶ σοφιστὴς πρὸς σοφόν, καὶ τὰ ἐγκύκλια τῶν μαθημάτων πρὸς τὰς ἐν ἀρεταῖς ἐπιστήμας. καὶ ἐν ᾠδῇ μέντοι μείζονι τὸν λεὼν ἅπαντα, ὁπότε νεωτερίζοι, τὸ τῆς ἄφρονος καὶ νηπίας ὄνομα ἡλικίας τέκνα καλεῖ. Δίκαιος γάρ, φησί, καὶ ὅσιος ὁ κύριος, ἥμαρτον οὐκ αὐτῷ τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός. ἐκεῖνο ἐναργῶς ὀνομάζει τοὺς μώμους ἔχοντας ἄνδρας ἐν ψυχῇ καὶ μωρίᾳ καὶ ἀνοίᾳ τὰ πολλὰ σφαλλομένους ἐν τῇ κατὰ τὸν ὀρθὸν βίον πράξεσιν, οὐκ εἰς τὴν ἐν παισὶ σώματος ἡλικίαν ἀπιδών, ἀλλ' εἰς τὸ τῆς διανοίας ἄλογον καὶ πρὸς ἀλήθειαν βρεφῶδες. οὕτω μέντοι καὶ Ῥαχὴλ ἡ σώματος εὐμορφία νεωτέρα Λείας τῆς κατὰ ψυχὴν κάλλους ἀναγράφεται. ἡ μὲν γὰρ θνητή, τὸ δὲ ἐστιν ἀθάνατον· καὶ ὅσα μέντοι τίμια πρὸς αἴσθησιν, ἑνὸς μόνου τοῦ κατὰ ψυχὴν καλοῦ ἀτελέστερα, οἷς ἀκολουθεῖ καὶ τὸν Ἰωσὴφ νέον τε καὶ νεώτατον ἀεὶ λέγεσθαι. καὶ γὰρ ὅτε ἐπιστατεῖ τῆς ποίμνης μετὰ τῶν νόθων ἀδελφῶν, νέος προσαγορεύεται. καὶ ὅτε εὔχεται ὁ πατὴρ αὐτῷ, φησίν, Υἱὸς ηὐξημένος νεώτατος πρός με ἀνάστρεψον. οὗτος δέ ἐστιν ὁ τοῦ περὶ τὸ σῶμα ἁπάσης ὑπέρμαχος δυνάμεως, καὶ ὁ τῆς τῶν ἐκτὸς ἀφθονίας ἀκολάκευτος ἑταῖρος, ὁ τῆς πρεσβυτέρας ψυχῆς πρεσβύτερον καὶ τιμιώτερον ἀγαθὸν μήπω τέλειον εὑρημένος. εἰ γὰρ εὕρητο, καὶ ὅλην Αἴγυπτον ἀμεταστρεπτὶ φεύγων ᾤχετο· νυνὶ δὲ ἐπὶ τῷ τρέφειν τε αὐτὴν καὶ πληθυνομένην μάλιστα σεμνύνεται, ἧς τὸ μάχιμον καὶ ἡγεμονεῦον ὅτε ἴδῃ ὁ ὁρῶν καταποντούμενον καὶ διεφθαρμένον, ὕμνον εἰς τὸν θεὸν ᾄδει. νέος μὲν οὖν τρόπος, ὁ μήπω δυνάμενος μετὰ τῶν γνησίων ἀρετῶν ποιμαίνειν, τοῦτο δ' ἐστί, τὴν κατὰ ψυχὴν ἀλόγου φύσεως ἄρχειν τε καὶ ἐπιτροπεύειν· ἀλλ' ἔτι μετὰ τῶν ἀγαθῶν

A quando eos è domo ablegauit Abrahã. ac rursum: Proiecit puerulum sub vna abiete. &: Non videbo mortem puerculi. atqui ante natum Isaac annum tertiumdecimum egressus Ismael circumcisus est: & post alterius iam septennis ablactationem, ne spurius cum legitimo ex æquo luderet, vnà cum matre pulsus est. & tamen quamuis iuuenis vocatur puerulus, sophista ipse collatus cum sapiente. Isaac enim sapientiam, Ismael sophisticam sortitus est, sicut
B vtriusque personam in quibusdam dialogis exprimimus. nam sicut se habet admodum puer ad virum perfectũ, sic se habet sophista ad sapientem, & disciplinæ encyclicæ ad virtutis scientias. In cantico etiam maiore populum vniuersum ad res nouas proclinantem insipientis & infantis ætatis nomine pueros vocat. Iustus, inquit, & sanctus Dominus: peccauerunt ei pueri eius reprehensibiles, generatio praua & peruersa, hæccine redditis Domino? itá-
C ne populus stultus est & non sapiens? Annon apte alloquitur homines probrum habentes in anima, per stultitiam ac dementiam sæpe labentes in rectæ vitæ actionibus, non puerilem ætatem corporis aspiciens, sed ad mentis infantiam expertem rationis ac veritatis. ad eundem modum & Rachel, id est formositas corporis, iunior quam Lia pulchritudine animæ describitur: nam illud mortale, hæc immortalis est. & quicquid preciosum videtur sensibus,
D à sola pulchritudine animæ vt imperfectum vincitur: quapropter & Ioseph iuuenis semper ac natu minimus dicitur. cum enim præficitur gregibus vnà cum germanis fratribus, iuuenis appellatur, & pater vota pro eo faciens ait: Filius accrescens minimus natu, ad me reuertere. Hic est ille qui pugnat pro omnibus corporis potentijs, externarum opum haud fictus amicus, qui senioris animæ antiquius preciosiúsque bonum nondum perfecte in-
E uenit. si enim inuenisset, vel totam Ægyptum perpetuo cursu fugiens abiuisset. nunc vero sibi placet eo quod illam nutriat alátque, cuius bellatores ducésque submersos ac perditos videns Israel hymnum Deo cecinit. iuuenis est igitur moribus, qui nondum potest cum germanis virtutibus pascere, id est brutam animæ naturam curare ac regere, sed adhuc bona quæ videntur præfert his quæ vere sunt. quam-

uis autem incrementis proficiat in melius, tamen iunior ad perfectum collatus censetur, eum qui bonum in sola honestate collocat: quamobrem adhortans ait, Ad me reuertere: ac si dicat, seniorem sententiam expete, non omnia iuueniliter age, iam tandem virtutem propter ipsam dilige, nec tanquam puer insipiens fortunæ bonorum splendore perculsus, decipi te ac falsis opinionibus repleri patere. atque ita satis demonstratum puto, iuuenem in sacris literis sæpe vocari non ætate vigentem, sed eum qui habet animam temerariam & nouarum rerum cupidam: iam ostendemus non ætate sed honore præstantes nominari seniores. Quis enim versatus in sacris libris ignorat, quòd ille sapientissimus Abraham breuioris æui quàm vllus pene omnium maiorum suorum inducitur? illorum tamen qui diutissime vixerunt nemo quod sciam, sed solus hic scribitur senior. dicunt igitur sacra oracula, quòd Abraham erat senior ætatis prouectæ. &, Dominus benedixit Abrahamo rebúsque ipsius omnibus. quod mihi videtur subiunctum tanquam causa præcedentium, cur senior dicatur ille sapiens. Cum enim à benigno Deo bene afficitur animæ pars rationalis, nec vnam modo, sed omnes benedictionis species accipit, seniliter sapit, atque ita fit senior. sic & cari Deo populi consistorium, quod cogitur ex decies septeno numero, seniores solent nominari. Dicitur enim: Conuoca mihi septuaginta viros è senioribus Israel, quos tuipse nosti quod seniores sint. Ergo non eos quos vulgus senes existimat, quippe curandis sacris præpositos, sed quos solus hic sapiens nouit, seniorum appellatione dignatur. quos enim hic reprobauerit tanquam bonus mensarius, falsam virtutis monetam habentes, iuuenili temerarióque sunt omnes animo. quos autem commendare voluerit, probati & iuxta prudentiam seniores censendi sunt. certe vtrumque quod dixi eruditæ aures in vno legis edicto possunt agnoscere clarissime. Si habuerit, inquit, homo vxores duas, vnam dilectam, alteram odiosam, & peperint dilecta odiosáque, & fuerit filius odiosæ primogenitus, volueritque substantiam inter filios suos diuidere: non poterit filium dilectæ facere primoge-

A τὰ δοκήσει περὶ τῶν γνησίων καὶ τὸ εἶναι παραδεδεγμένων τετίμηται. νεώτατος δὲ κἂν ἐπίδοσιν καὶ αὔξησιν πρὸς τὸ ἄμεινον λάβῃ, παρὰ τὸν τέλειον νενόμισται, μόνον ἀγαθὸν ἡγούμενον τὸ καλόν, οὗ χάριν προτρέπων φησί, Πρός με ἀνάστρεψον, ἴσον τῷ πρεσβυτέρας γνώμης ὀρέχθητι, μὴ πάντα νεωτέριζε, ἤδη ποτὲ τὴν ἀρετὴν δι᾽ αὐτὴν μόνην στέρξον, μὴ καθάπερ παῖς ἄφρων τῇ τῶν τυχηρῶν λαμπρότητι περιαυγαζόμενος, ἀπάτης καὶ ψευδοῦς δόξης ἀναπίμπλασο. B ὡς μὲν τοίνυν πολλαχοῦ νέον, οὐκ εἰς τὴν σώματος ἀκμήν, ἀλλ᾽ εἰς τὴν τῆς ψυχῆς νεωτεροποιίας ἀφορῶν εἴωθε καλεῖν, ἐπιδέδεικται· ὡς δὲ καὶ πρεσβύτερον οὐ τὸν γήρᾳ κατεσκληκότα, ἀλλὰ τὸν ἐκ γέρως καὶ τιμῆς ἄξιον ὀνομάζει, δηλώσομεν. τίς οὖν ἀγνοεῖ τῶν ἐντετυχηκότων ταῖς ἱερωτάταις βίβλοις, ὅτι σχεδὸν τῶν προγόνων ἑαυτοῦ πάντων ὁ σοφώτατος Ἀβραὰμ ὀλιγοχρονιώτατος εἰσάγεται· κἀκείνων μέν, οἶμαι, οἱ μακροβιώτατοι γεγόνασιν, οὐδεὶς· οὗτος δὲ ἀναγέγραπται C πρεσβύτερος. φασὶν οὖν οἱ χρησμοί, ὅτι Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκώς, καὶ, Κύριος εὐλόγησε τὸν Ἀβραὰμ, κατὰ πάντα· τοῦτό μοι δοκεῖ τῶν προεκκειμένων αἰτίας ἀπόδοσις εἶναι, δι᾽ ἣν πρεσβύτερος ἐλέχθη ὁ σοφός. ἐπιφροσύνῃ γὰρ θεοῦ τὸ λογικὸν τῆς ψυχῆς μέρος ὅταν εὖ διατεθῇ, καὶ μὴ καθ᾽ ἓν εἶδος, ἀλλὰ κατὰ πάσας τὰς ἐπιβολὰς εὐλογηθῇ, πρεσβυτέρᾳ γνώμῃ χρώμενοι, καὶ αὐτὸ δήπου πρεσβύτερόν ἐστιν· οὕτω καὶ τοὺς συνέδρους τοῦ θεοφιλοῦς λαοῦ ἕνδεκα ἑβδομάδων ἀριθ-D μὸν εἰληφότας πρεσβυτέρους ὀνομάζειν ἔθος. λέγεται γὰρ, Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραὴλ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι. οὐκοῦν οὐ τοὺς ὑπὸ τῶν τυχόντων γέροντας νομιζομένους ὡς ἱεροφάντας, ἀλλ᾽ οὓς ὁ σοφὸς οἶδε μόνος, τῆς τῶν πρεσβυτέρων ἠξίωσε προσρήσεως. οὓς μὲν γὰρ ἂν οὗτος ἀποδοκιμάσῃ, καθάπερ ἀργυραμοιβὸς ἀγαθὸς, ἐκ τοῦ τῆς ἀρετῆς νομίσματος κεκιβδηλευμένους, νεωτερο-E ποιοὶ τὰς ψυχὰς ἅπαντες· οὓς δ᾽ ἂν γνωρίμους ἐθελήσῃ ποιήσασθαι, δόκιμοί τε καὶ φρόνημα πρεσβύτεροι κατὰ τὸ ἀναγκαῖον εἰσι. ἐνὶ μέντοι νόμου διατάγματι τοῖς ἀκούειν ἐπισταμένοις ἑκάτερον ὧν ἂν εἶπον, ἐναργέστερον φανεῖται δεδηλωκώς. Ἐὰν γὰρ γένωνται, φησὶν, ἀνθρώπῳ δύο γυναῖκες, ἡ ἀγαπωμένη καὶ μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης, ᾗ ἂν ἡμέρᾳ κληροδοτῇ τοῖς υἱοῖς τὰ ὑπάρχοντα, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ

τῆς

τῆς ἠγαπημένης, προτερεῖν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον, ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια. παρατετήρηκας ἤδη ὅτι τὸν μὲν τῆς ἠγαπημένης υἱὸν οὐδέποτε πρωτότοκον ἢ πρεσβύτερον καλεῖ, τὸν δὲ τῆς μισουμένης πολλάκις· καίτοι τοῦ μὲν τὴν γένεσιν προτέρου, τοῦ δὲ ἐκ τῆς μισουμένης ὑστάτου, δεδήλωκεν εὐθὺς ἀρξάμενος ἀπὸ τῆς προστάξεως. ἂν γὰρ τέκωσι, φησίν, ἡ ἠγαπημένη καὶ ἡ μισουμένη· ἀλλ' ὅμως τὸ μὲν τῆς προτέρας γέννημα, κἂν πολυχρονιώτερον ᾖ, νεώτερον πρὸς ὀρθῷ λόγῳ δικάζοντι νενόμισται· τὸ δὲ τῆς ὑστέρας, κἂν ἐν τοῖς κατὰ τὴν γένεσιν χρόνοις ὑστερίζῃ, τῆς μείζονος καὶ πρεσβυτέρας μοίρας ἠξίωται. διὰ τί; ὅτι τῶν γυναικῶν τὴν μὲν ἠγαπημένην ἡδονῆς, τὴν δὲ μισουμένην φρονήσεως εἶναί φαμεν σύμβολον. τῆς μὲν γὰρ ὁ πολὺς ὅμιλος ἀνθρώπων τὴν συνουσίαν ὑπερφυῶς ἀγαπᾷ, δελέατα καὶ φίλτρα ἐξ ἑαυτῆς ἐπαιωρούσης ἐνδιδούσης ἀπὸ γενέσεως ἀρχῆς, ἄχρι πανυστάτου γήρως· τῆς δὲ ἐκτόπως τὸ αὐστηρὸν καὶ σεβάσμιον διαμεμίσηκε, καθάπερ οἱ ἄφρονες παῖδες τὰς τῶν γονέων καὶ τρεφόντων ὠφελιμωτάτας μέν, ἀπροσηνεστάτας δὲ ὑφηγήσεις. τίκτουσι δὴ ἀμφότεραι, ἡ μὲν τὸν φιλήδονον, ἡ δὴ αὖ τὸν φιλάρετον ἐν ψυχῇ τρόπον· ἀλλ' ὁ μὲν φιλήδονος ἀτελὴς καὶ ὄντως ἀεὶ παῖς ἐστι, κἂν εἰς πολυετίας αἰῶνα μήκιστον ἀφίκηται· ὁ δὴ αὖ φιλάρετος ἐν γερουσίᾳ τῆς φρονήσεως ἐξ ἔτι σπαργάνων, τὸ τοῦ λόγου δὴ τοῦτο, ἀγήρως ὢν τάττεται. παρ' ὃ καὶ λίαν ἐμφαντικῶς εἴρηκεν, ὑπὸ τοῦ τῆς μισουμένης ὑπὸ τῶν πολλῶν ἀρετῆς γεγονότος, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων, καὶ τάξει καὶ ἡγεμονίᾳ δήπου πρῶτος ὤν, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια νόμῳ φύσεως, οὐκ ἀνομίᾳ τῇ παρ' ἀνθρώποις. ἑπόμενος οὖν αὐτῷ καὶ ὥσπερ ἐπὶ προτεθέντα σκοπὸν ἀφιεὶς εὐστόχως τὰ βέλη, κατὰ ἀκολουθίαν εἰσάγει τὸν Ἰακὼβ γενέσει μὲν τοῦ Ἡσαῦ νεώτερον, ὅτι ἀφροσύνη μὲν ἐκ πρώτης ἡλικίας ἡμῖν ἐστι σύντροφος, ὀψίγονος δὴ ὁ τοῦ καλοῦ ζῆλος· δυνάμει δὲ πρεσβύτερον, παρ' ὃ καὶ τῶν πρωτοτοκείων ὁ μὲν Ἡσαῦ ἐξίσταται, μεταποιεῖται δὴ οὗτος εἰκότως. τούτοις συνᾴδει καὶ τὰ ἐπὶ τῶν υἱῶν Ἰωσὴφ ἐκ πολλῆς περιουσίας ἀνεζητημένα, ἡνίκα ἐνθουσιῶν ὁ σοφὸς ἀντικρὺς προβεβηκότων οὐκ ἐπιτίθησι τῶν κεφαλῶν ἐξ ἐναντίας καὶ κατ' εὐθὺ τὰς χεῖρας ἐπεκτείνων, ἀλλ' ἐναλλάξας

A nitum & præferre filio odiosæ, sed filium odiosæ agnoscet primogenitum, dabitque ei de his quæ habuerit cuncta duplicia. iste est enim principium liberorum eius, & huic debentur primogenita. Obseruasti iam quod dilectæ filium nunquam seniorem vocat aut primogenitum, odiosæ vero filium sæpius. atqui prior ille natus, odiosæ vero filius posterior, apparet in edicti principio: Si pepererint, inquit, dilecta odiosáque. B Attamen prioris partus quanquam antiquior, à recte iudicante iunior decernitur: posterioris vero filius quamuis prærogatiua temporis careat, maiore antiquioréque portione dignus habetur. Quam ob rem? quoniam harum mulierum alteram dilectam voluptatis, alteram odiosam prudentiæ significatiuam dicimus. illius enim consuetudinem vulgus eximiè diligit, escis & veneficijs suis allicientem homines à die natali vsque senectutem vltimam: huius autem C tetricos verendósque mores odit misertime: sicut insipientes pueri parentum altorúmque suorum vtilia quidem, sed parum iucunda monita. ambæ in anima pariunt, altera studium voluptatis, virtutis altera. sed voluptatis studium, partus imperfectus est, & nunquam non puer, modis omnibus, etiamsi ad annosam ætatem perueniat. è diuerso virtutis amor ab incunabulis (iuxta prouerbium) in prudentiæ D senatum allegitur, nunquam sensurus senium. ideo diserte dictum est de virtutis vulgo exosæ filio, quod hic sit filiorum principium, quippe natu simul & principatu primus, cui ius primogenitorum debetur lege naturæ, non iniquitate hominum. hanc igitur legem secutus propheta, quam pro scopo sibi proposuit, consequenter inducit Iacob minorem natu quàm Esau: quoniam imprudentia mox à prima ætate nobiscum coalescit, ho- E nestatis æmulatio sero nobis innascitur, quamuis suapte vi sit quàm illa antiquior. Quapropter Esau fratri cedit iure primogenitorum, quod alter sibi libenter asserit vt debitum. Huc facit & quod filijs Ioseph accidit, si inspiciatur diligentius: quando numine correptus ille sapiens admotis ad se non directe manus imposuit in capita, sed decussatim, vt læua tangeret eum qui videbatur senior, iuniori vero

A dextram imponeret. vocatur autem natu grandior Manasses, iunior vero Ephraim. Quæ nomina si interpreteris, memoriam & reminiscentiam significare inuenies. interpretatur enim Manasses Ex obliuione, quod nomen est alterius, videlicet reminiscentia. Nam qui reminiscitur eorum quæ oblitus est, excedit ex obliuione. Ephraim vero fertilitas memoriæ, appellatio conuenientissima, quia fructus vtilissimus & reuera vescus est animabus, memoria in rebus indifferentibus. B cæterum memoria viris demum & robustis contingit, ideóque iunior censetur, ob natiuitatem serotinam. obliuio vero & reminiscentia pene alternis à prima ætate cum vnoquoque conuersantur. Quamobrem temporis prærogatiuam habent, & ad læuam statuuntur à sapiente ordinum peritissimo. virtutis autem primogenita obuenient memoriæ, quam Deo carus homo dextra dignatur, & portione potiore. C Ergo postquam ad se rediit iustus ille & cognouit quid ei fecisset iunior filius, imprecationes diras exerit. ita est profecto, quando mens ad sobrietatem redit, sentit quid à nouatrice malicia passa sit antea, quando per ebrietatem aduertere non poterat. nunc consideremus cui maledicat. nam & hoc vnum è scrutatione dignis est: quoniam non filio qui peccasse videtur, sed huius filio, suo nepoti maledicit, cuius nullum crimen extat vel magnum vel exiguum. D nam ille qui patrem curiosis oculis spectare sustinuit & spectatum irrisit, atque etiam irridendum prodidit, Cham erat ipsius Noe filius. in quem autem alieni peccati culpa & maledictio confertur, est Chanaan. dicitur enim: Maledictus Chanaan puer verna, seruus seruorum erit suis fratribus.] Quid, inquam, iste commisit? animaduerterunt hoc fortasse legisperiti, quibus promptum est causas huiusmodi reddere. E nos vero sequendo rectam rationem, propositæ quæstionis solutionem scrutabimur, vbi pauca necessario præfati fuerimus. Status & motus inter se differunt. ille quiescit, motus agitatur, cuius duæ sunt species, altera migratiua, altera se voluens eodem in loco. statui germanus est habitus, motui vero actus. id apposito exemplo demonstrabimus euidentius. Fabrum, pictorem, agricolam, musicum, &

A ὅπως τῇ μὲν εὐωνύμῳ τοῦ πρεσβυτέρου δοκοῦντος εἶναι, τοῦ δὲ νεωτέρου τῇ δεξιᾷ ψαύσῃ. καλεῖται δ' ὁ μὲν ἐν γενέσει πρεσβύτερος, Μανασσῆς· ὁ νεώτερος δ', Ἐφραΐμ. ταῦτα δ' εἰ μεταληφθείη τὰ ὀνόματα εἰς ἑλλάδα γλῶτταν, μνήμης καὶ ἀναμνήσεως εὑρεθήσεται σύμβολα· ἑρμηνεύεται γὰρ Μανασσῆς μὲν ἐκ λήθης, τὸ δ' ἐστὶν ὄνομα τῷ ἑτέρῳ καλουμένῳ, ἀνάμνησις. ὁ γὰρ ὧν ἐπελάθετο εἰς ἀνάμνησιν ἐρχόμενος, ἔξω πρόεισι τῆς λήθης. Ἐφραῒμ δὲ καρποφορία μνήμης, πρόσ- B ρησις οἰκειοτάτη, διότι καρπὸς ὠφελιμώτατος καὶ τῷ ὄντι ἐδώδιμος ψυχαῖς, τὸ ἄληστον ἐν τοῖς ἀδιαστάτοις· μνῆμαι μὲν οὖν ἀνδρουμένοις ἤδη καὶ παγίοις τυγχάνουσι, παρ' ὃ καὶ νεώτεραι ἐνομίσθησαν, ὀψὲ φυόμεναι· λήθη δὲ καὶ ἀνάμνησις ἐπαλλήλως σχεδὸν ἐκ πρώτης ἡλικίας ἑκάστῳ σύνεισιν· οὗ ἕνεκα τὰ χρόνῳ πρεσβεῖα εὕρηνται, καὶ εὐωνύμοις παρὰ σοφῷ ταξιαρχοῦντι τέτακται)· τῆς δὲ ἀρετῆς αἱ μνῆμαι κοινωνήσουσι πρεσβείων, ἃς ὁ θεοφιλὴς δεξιωσάμενος, τῆς ἀμείνονος παρ' ἑαυτοῦ μοίρας ἀξιώσει. C νήψας οὖν ὁ δίκαιος καὶ γνοὺς ὅσα ἐποίησεν ὁ νεώτερος αὐτῷ υἱός, ἀρὰς χαλεπωτάτας τίθεται. τῷ γὰρ ὄντι ὅταν ὁ νοῦς νήψῃ, κατὰ τὸ ἀκόλουθον εὐθὺς αἰσθάνεται ὅσα ἡ νεωτεροποιὸς αὐτοῦ κακία πρότερον εἰργάζετο, ἃ μεθύων ἀδυνάτως καταλαβεῖν εἶχε. τίνι μέντοι καταρᾶται, σκεπτέον. ἓν γάρ τι καὶ τοῦτο τῶν ἐρεύνης ἀξίων ἐστίν, ἐπειδήπερ οὐ τῷ δοκοῦντι ἡμαρτηκέναι παιδί, ἀλλὰ τῷ ἐκείνου μὲν υἱῷ, ἑαυτοῦ δὲ υἱωνῷ, οὗ φανερὸν οὐδὲν εἴς τε τὸ παρὸν ἀδίκημα, οὐ D μικρόν, οὐ μέγα δεδήλωκεν. ὁ μὲν γὰρ ἐκ περιεργίας ἰδεῖν τὸν πατέρα γυμνὸν ἐθελήσας, καὶ γελάσας ἃ εἶδε, καὶ ἐκλαλήσας τὰ δεόντως ἡσυχασθέντα, ὁ υἱὸς ἦν τοῦ Νῶε Χάμ· ὁ δὲ ἐφ' εἷς ἕτερος ἠδίκησε τὰς αἰτίας ἔχων, καὶ τὰς ἀρὰς ποιούμενος, Χαναάν ἐστι. λέγεται γάρ, Ἐπικατάρατος Χαναὰν παῖς οἰκέτης, δοῦλος δούλων ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. τί γὰρ ἡμάρτησεν, ὡς ἔφην, οὗτος· ἀλλ' ἐσκέψαντο μὲν ἐφ' ἑαυτῶν ἴσως οἷς ἔθος ἀκριβοῦν E τὰς ῥητὰς καὶ προχείρους ἐν τοῖς νόμοις ἀποδόσεις. ἡμεῖς δὲ πειθόμενοι τῷ ὑποβάλλοντι ὀρθῷ λόγῳ, τὴν ἐσχηματισμένην ἀπόδοσιν διερμηνεύσομεν, ἐκεῖνα ἀναγκαίως προειπόντες. στάσις καὶ κίνησις διαφέρουσιν ἀλλήλων· ἡ μὲν γάρ ἐστιν ἠρεμία, φορὰ δὲ ἡ κίνησις, ἧς εἴδη δύο, τὸ μὲν μεταβατικόν, τὸ δὲ περὶ τὸν αὐτὸν τόπον εἰλούμενον. στάσει μὲν οὖν ἀδελφὸν ἕξις, κινήσει δ' ἐνέργεια· τὸ δὲ λεγόμενον παραδείγματι οἰκείῳ γνωριμώτερον γένοιτ' ἄν· τέκτονα καὶ ζωγράφον καὶ γεωργὸν καὶ μουσικόν,

καὶ τοὺς ἄλλους τεχνίτας κἂν ἡσυχίαν ἄγωσι, μηδὲν τῶν κατὰ τὰς τέχνας ἐνεργοῦντας, οὐδὲν ἧττον εἰρημένοις ἔθος καλεῖν ὀνόμασιν, ἐπεὶ τὴν ἐν ἑκάσταις ἐμπειρίαν καὶ ἐπιστήμην ἀνειληφότες ἔχουσιν· ἐπειδὰν δὲ ὁ τεκτονικὸς ξύλων ὕλην ἐργάζηται λαβών, ὁ δὲ ζωγράφος τὰ οἰκεῖα κερασάμενος χρώματα ἐπὶ τοὺς πίνακας διαγράφῃ τοὺς τύπους ὧν ἂν διανοῆται· ὁ δ' αὖ γεωργὸς ἀνατεμνὼν γῆς αὔλακας καταβάλλῃ τὰ σπέρματα, κληματίδας δὲ καὶ μοσχεύματα δένδρων ἐμφυτεύῃ, ἅμα δὲ ἔτι τὴν ἀναγκαιοτάτην ἄρδῃ καὶ ἐποχετεύῃ τοῖς φυομένοις, καὶ τοῖς ἄλλοις ὅσα γεωργικὰ πᾶσιν ἐγχειρῇ· ὁ δ' αὖ μουσικὸς αὐλοῖς καὶ κιθάραις καὶ τοῖς ἄλλοις ὀργάνοις μέτρα καὶ ῥυθμοὺς καὶ πάσας μελῶν ἰδέας ἁρμόττῃ, δύνηται δὲ καὶ δίχα τῶν χειροκμήτων παρὰ τῆς φύσεως ὀργάνῳ χρῆσθαι διὰ φωνῆς ἡρμοσμένης πᾶσι τοῖς φθόγγοις, καὶ τῶν ἄλλων ἕκαστος τεχνιτῶν, ἧπερ ἐγχειρεῖ· τοῖς κατὰ τὰς ἐπιστήμας ἕτερα ἐξ ἀνάγκης οἰκεῖα τοῖς προτέροις ὀνόματα προσγίνεται, παρὰ μὲν τέκτονι τὸ τεκτονεῖν, παρὰ δὲ ζωγράφῳ τὸ ζωγραφεῖν ἤδη, καὶ τὸ γεωργεῖν μέντοι τῷ γεωργῷ, καὶ τὸ αὐλεῖν ἢ κιθαρίζειν ἢ ᾄδειν, ἤ τι τῶν παραπλησίων ποιεῖν, παρὰ μουσικῷ. ἴσον οὖν οἱ ψόγοι καὶ ἔπαινοι παρακολουθοῦσιν. ἆρ' οὐχὶ τοῖς ἐνεργοῦσι καὶ δρῶσι; κατορθοῦντες μὲν γὰρ ἔπαινον, ψόγον δ' ἔμπαλιν καρποῦνται διαμαρτάνοντες· οἱ δ' ἄνευ τοῦ τι ποιεῖν ἐπιστήμονες, αὐτὸ μόνον ἀκίνδυνον γέρας εἰληφότες ἡσυχίαν, ἠρεμοῦσιν. ὁ αὐτὸς τοίνυν λόγος ἐφαρμόττει καὶ τοῖς κατ' ἀφροσύνην καὶ συνόλως τοῖς κατ' ἀρετήν τε καὶ κακίαν· οἱ φρόνιμοί τε καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ δίκαιοι τὰς ψυχὰς μυρίοι γεγόνασι, φύσεως μὲν εὐμοιρίᾳ, νομίμοις δ' ὑφηγήσεσι, πόνοις δ' ἀπλήστοις, καὶ ἀοκνοτάτοις χρησάμενοι· τὸ δὲ κάλλος τῶν ἐν ταῖς διανοίαις ἀγαλμάτων, οὐκ ἴσχυσαν ἐπιδείξασθαι διὰ πενίαν ἢ ἀδοξίαν, ἢ νόσον σώματος, ἢ ἄλλας κῆρας, ὅσαι τὸν ἀνθρώπινον περιπολοῦσι βίον· οὐκοῦν οὗτοι μὲν ὥσπερ δεδεμένα καὶ καθειργμένα ἐκτήσαντο ἀγαθά· ἕτεροι δ' εἰσὶν οἳ λελυμένοις καὶ ἀφέτοις καὶ ἐλευθέροις ἐχρήσαντο πᾶσι, τὰς εἰς ἐπίδειξιν ὕλας ἀφθονωτάτας προσλαβόντες· ὁ μὲν φρόνιμος ἰδίων τε καὶ κοινῶν περιουσίαν πραγμάτων, εἰς σύνεσιν καὶ εὐβουλίαν ἐνεπιδείξεται· ὁ δὲ σώφρων, τὸν εἰς ἀσωτίαν δεινὸν ἐκτρέψαι καὶ προσκαλέσαι τυφλὸν πλοῦτον, ἵνα βλέποντα ἀποδείξῃ· ὁ δὲ δίκαιος ἀρχήν, δι' ἧς τὸ κατ' ἀξίαν ἀπονέμειν ἑκάστῳ τῶν ὄντων ἀκωλύτως δυνατὸς ἔσται.

A alios artifices etiamsi quiescant, nec in vllo versentur harum artium opere, nihilominus solemus iam dictis vocare nominibus, quando suæ quisque artis peritiam assecutus est atque scientiam. sed vbi faber lignarius tractat materiem: pictor suis coloribus temperatis figuras quas vult deliniat in tabula: agricola in terræ sulcos iactat semina, aut palmites propagat vel plantat arbores, rigando riuósque inducendo plantis alimen-
B tum necessarium suppeditans, aliáque rustica tractans opera: musicus item tibijs, citharis, cæterísque instrumentis ad omnigena metra & rhythmos apte vtitur: aut omissis manufactis per naturalia vocem expedire potest concinnam congruentémque sonis omnibus, aliúsve quicunque artifex artem suam exercet: tum præter dicta scientiarum nomina quiddam aliud de eis prædicatur necessario: de fabro quòd fabricet,
C de pictore quòd iam pingat, de agricola item quod terram colat: de musico quòd pulset citharam, aut tibia vocéque canat, aut simile quippiam faciat. vtros igitur vituperamus aut laudamus? an non eos qui agunt & operantur: si bene, laudem lucrantes: sin contrà, vituperium: qui vero scientia contenti nihil faciunt, auferunt tantum securum præmium silentij. eadem ratio in stultos competit, & in vniuersum in
D virtutem atque vitium. prudentes, temperati, fortes, iusti sunt innumeri animo, qui huc euaserunt naturæ felicitate, institutis legitimis, labore improbo peruicacíque. cæterum pulchritudinem expressam rerum administrationibus non potuerunt ostendere propter paupertatem aut obscuritatem, aut morbum corporis calamitatésque cæteras, quæ humanam vitam obambulant. hi bona sua quasi vincta clausáque possi-
E dent. alij vero his solutis, dimissis, liberísque vtuntur omnibus, habentes ostentandi hæc materiam copiosissimam. prudens quidem curam vel publicæ rei vel domesticæ, vbi consulendi atque intelligendi vim proferet: temperatus cæcas diuitias luxui seruire solitas ad visum & meliorem vsum reuocabit: iustus pro magistratus potestate dabit operam, vt suis cuique rebus frui liceat.

A Virtutis meditator pietatem exercebit, & parato sacerdotio curam locorum sacrorum atque ceremoniarum geret. quę nisi accedant, sunt quidem virtutes, sed immotæ quietæque, quemadmodũ aurum argentúmque in obscuris terræ latebris abditum ad nihil vtile. è diuerso videre licet innumeros timidos, luxuriosos, insipientes, iniustos, impios, esse intus in animo, nec tamen posse vitiorũ singulorũ turpitudinem exerere, quòd opportunitate ad peccandum careant. quod si se offerat qualem cupiunt occasio, terram & mare vsque ad extremos terminos implere cladibus, & nihil vel paruum vel magnum illæsum sinere, sed vno impetu subuertere corrumperéque omnia. Quemadmodum enim vis ignis tantisper dum materia caret quiescit, qua accedente incenditur: sic quæ sunt in anima potentiæ spectantes virtutem aut vitium, extinguuntur destitutæ (vt dixi) opportunitatibus. fortuitis autem excandescunt occasionibus. quorsum autem hæc dicta sunt? nisi vt doceamus, quòd filius Noe Cham quiescentis vitij nomen habet, nepos autem iam mouentis se. Cham enim interpretatur calor, Chanaan commotio. calor autem in corpore febrem indicat, in anima vitiũ. nam sicut qui febre decumbit, non vna quapiam parte, sed toto ægrotat corpore, ita totius animæ infirmitas est vitiũ. Hoc iam quiescit, iam mouetur. motum eius vates Hebraico nomine vocat Chanaan. nullus autem legislator pœnam decernit contra iniustos quiescentes, sed quoties mouentur, & exercent iniusta opera: sicut ne mordaces quidẽ bestias vir moderatus occidet, si absit morsus periculum. tollenda enim est ex animo crudelitas procliuis ad cædem omnium. merito igitur hic iustus videtur seruare maledictionem suo nepoti Chanaan. videtur, inquam, quia si non actu, potentia tamen, filio suo Cham per illũ maledicit. motus enim ad peccandum Cham, ipse fit Chanaan. Vnum enim subiectum est vitium, quod nunc in statu, nunc in motu, consideratur. antiquior autem status quàm motus, vt eius quod stat, id quod mouetur, videatur progenies. ideo iuxta naturæ ordinem Chami filius Chanaan scribitur, scilicet motus quietis, vt & illud alibi dictum confirmetur, Reddens iniquitates patrum in filios in tertiam quartámque generationem. cõtra hos enim effectus cogitationum & quasi partus

ὁ δὲ ἀσκητὴς εὐσέβειαν, ἱερωσύνην, καὶ χρείαν ἱερῶν καὶ τῆς ἐν τούτοις ἁγιστείας ἐπιμέλειαν. ἄνευ δὲ τούτων, ἀρεταὶ μέν εἰσιν, ἀκίνητοι δὲ ἀρεταὶ καὶ ἡσυχίαν ἄγουσαι, καθάπερ ὁ τεθησαυρισμένος ἐν ἀφανέσι γῆς μυχοῖς ἄργυρός τε καὶ χρυσὸς οὐδὲν χρήσιμος. πάλιν τοίνυν κατὰ τἀναντία μυρίους ἔστιν ἰδεῖν ἀνάνδρους, ἀκολάστους, ἄφρονας, ἀδίκους, ἀσεβεῖς ἐν ταῖς διανοίαις ὑπάρχοντας, τὸ δὲ κακίας ἑκάστης αἶσχος ἀδυνατοῦντας ἐπιδείκνυσθαι δι' ἀχρηματίαν τῶν εἰς τὸ ἁμαρτάνειν καιρῶν. ἐπειδὰν δὲ
B τῆς δυνάμεως πολλὴ καὶ μεγάλη κατασκήψῃ φορά, γῆν καὶ θάλατταν μέχρι περάτων ἀμυθήτων ἀναπιμπλάντας κακῶν, καὶ μηδέν, μὴ μικρόν, μὴ μέγα ἀζήμιον ἐῶντας, ἀλλὰ ῥύμῃ μιᾷ ἀνατρέποντας τε καὶ φθείροντας. ὥσπερ γὰρ τοῦ πυρὸς ἡ δύναμις ἀπορίᾳ μὲν ὕλης ἡσυχάζει, προσιούσης δὲ ἀνακαίεται, οὕτω καὶ ὅσαι πρὸς ἀρετὴν ἢ κακίαν ψυχῆς δυνάμεις ἀφορῶσι, σβέννυνται μὲν ἀχρηματίαις, καθάπερ ἔφην, καιρῶν, τυχηραῖς δὲ
C εὐπορίαις ἀναφλέγονται. τίνος δὴ τοῦθ' ἕνεκα εἶπον; ἢ τοῦ διδάξαι χάριν, ὅτι ὁ μὲν υἱὸς τοῦ Νῶε Χὰμ ἠρεμούσης κακίας ἐστὶν ὄνομα, ὁ δὲ υἱωνὸς ἤδη καὶ κινουμένης; ἑρμηνεύεται γὰρ θέρμη μὲν Χάμ, σάλος δὲ Χαναάν· θέρμη δὲ ἐν μὲν σώματι πυρετὸν ἐμφαίνει, κακίαν δὲ ἐν ψυχαῖς. ὡς γάρ, οἶμαι, καταβολὴ πυρετοῦ νόσος ἐστὶν οὐ μέρους, ἀλλ' ὅλου σώματος, οὕτως ὅλης ψυχῆς ἀρρώστημα ἐστὶ κακία. ἀλλ' ὁτὲ μὲν ἠρεμεῖ, ὁτὲ δὲ κινεῖται· τὴν δὲ κίνησιν αὐτῆς ὀνομάζει σάλον, ὃς
D Ἑβραίων γλώττῃ Χαναὰν καλεῖται. νομοθετῶν δὲ οὐδεὶς ἐπιτίμιον ὁρίζει κατὰ ἀδίκων ἠρεμίας, ἀλλὰ δὴ κινουμένων, καὶ τοῖς κατὰ ἀδικίαν ἔργοις χρωμένων, καθάπερ οὐδὲ τῶν δακετῶν οὐδὲν ἀνὴρ μέτριος κτείνειν ἂν ἐθελήσῃ μὴ μέλλον δάκνειν. λόγου γὰρ ὑπεξαιρετέον ψυχῆς ὠμότητα φονῶσαν καὶ κατὰ πάντων φονῶσαν. εἰκότως οὖν ὁ δίκαιος τὰς ἀρὰς τῷ υἱῷ Χαναὰν δόξει τίθεσθαι. δόξει δὲ εἶπον, ὅτι δυνάμει τῷ υἱῷ Χὰμ δι' ἐκείνου καταρᾶται. κινηθεὶς γὰρ πρὸς τὸ ἁμαρτάνειν Χάμ,
E αὐτὸς γίνεται Χαναάν. ἓν γὰρ τὸ ὑποκείμενον κακία, ἧς τὸ μὲν ἐν σχέσει, τὸ δὲ ἐν κινήσει θεωρεῖται· πρεσβύτερον δὲ κινήσεως σχέσις, ὡς ἔγγονον λόγον ἔχειν τὸ κινούμενον πρὸς τὸ ἱδρυμένον. παρὸ καὶ τοῦ Χὰμ υἱὸς ὁ Χαναὰν φυσικῶς ἀναγράφεται, σάλος ἠρεμίας, ἵνα καὶ τὸ ἑτέρωθι λεχθὲν ἐπαληθεύῃ, τὸ, Ἀποδιδοὺς ἀνομίας πατέρων ἐπὶ υἱοὺς ἐπὶ τρίτους καὶ τετάρτους. ἐπεὶ γὰρ τὰ ἀποτελέσματα ὡς ἂν ἔγγονα τῶν λογισμῶν, στείχουσιν αἱ τιμω-

είαι κατ' αὐτούς, ἐκείνων, εἰ μηδεμία προσγένοιτο πρᾶξις ἐπίληπτος, ἀποδιδρασκόντων τὰ ἐγκλήματα. διὰ τοῦτο μέντοι κἀν τῷ νόμῳ τῆς λέπρας ὁ μέγας πάντα Μωϋσῆς τὴν μὲν κίνησιν καὶ ἐπὶ πλέον αὐτῆς φορὰν καὶ χύσιν ἀκάθαρτον, τὴν δὲ ἠρεμίαν καθαρὰν ἀναγράφει. λέγει γάρ, ὅτι ἐὰν διαχέηται ἐν τῷ δέρματι, μιανεῖ ὁ ἱερεύς. ἐὰν δὲ κατὰ χώραν μείνῃ τὸ τηλαύγημα, καὶ μὴ διαχέηται, καθαριεῖ. ὥστε τὴν μὲν ἡσυχίαν ἐκτὸς εἶναι μόνην κακιῶν καὶ παθῶν τῶν κατὰ ψυχήν. τοῦτο γὰρ αἰνίττεται διὰ τῆς λέπρας, οὐχ ὑπαίτιον εἶναι· τὴν δὲ κίνησιν καὶ φορὰν ὑπέχειν δεόντως. τὸ παραπλήσιον καὶ ἐν τοῖς περὶ τῆς τοῦ παντὸς γενέσεως χρησθεῖσι λογίοις περιέχεται σημειωδέστερον. λέγεται γὰρ πρὸς τὸν φαῦλον, ὦ οὗτος, ἥμαρτες, ἡσύχασον, τοῦ μὲν ἁμαρτάνειν ἐν τῷ κινεῖσθαι καὶ ἐνεργεῖν κατὰ κακίας ὄντος ἐνόχου, τοῦ δὲ ἡσυχάζειν ἐν τῷ ἵστασθαι καὶ ἠρεμεῖν ἀνυπαιτίου καὶ σωτηρίου. ταῦτα μὲν οὖν ἱκανῶς γε, οἶμαι, προείρηται. τὰς δὲ ἀρὰς ἔχοντα ὃν ἔχουσι λόγον, ἴδωμεν· Ἐπικατάρατος, φησί, Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εὐλογητὸς ὁ θεὸς Σήμ, καὶ ἔσται Χαναὰν δοῦλος αὐτοῖς. ἔφαμεν πάλαι ὅτι Σὴμ ἐπώνυμός ἐστιν ἀγαθοῦ, καλούμενος οὐκ ὀνόματος εἴδει, ἀλλ' ὅλον τὸ γένος αὐτὸ ὄνομα· παρ' ὅσον καὶ τὸ ἀγαθὸν ὀνομαστὸν μόνον, καὶ εὐφημίας καὶ εὐκλείας ἄξιον, ὡς ἔμπαλιν ἀνώνυμον καὶ δυσώνυμον τὸ κακόν. τίνος οὖν ὁ τῆς φύσεως τἀγαθοῦ μεμοιραμένος εὐχῆς ἀξιοῖ, τίνος καινοτάτης καὶ παρηλλαγμένης, ἣν θνητὸς οὐδεὶς ὑπηρετῆσαι δυνατός, ἀφ' ἧς σχεδὸν ὥσπερ ἀπ' ὠκεανοῦ ῥέουσιν αἱ ἄφθονοι καὶ ἀέναοι πλημμυροῦσαι καὶ ἀναχεόμεναι τῶν καλῶν πηγαί. τὸν γὰρ κύριον καὶ θεὸν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ πάντων, ἰδίᾳ θεὸν κατ' ἐξαίρετον χάριν τοῦ Σὴμ ἀνακαλεῖ· καὶ ὅρα τίνας ὑπερβολὰς οὐχ ὑπερβάλλει. σχεδὸν γὰρ ἰσότιμος ὁ τοῦτο λαχὼν τῷ κόσμῳ. ὅταν γὰρ τὸ ἐπιστατοῦν καὶ κηδόμενον ἀμφοῖν ταὐτόν, καὶ τὰ ἐπιτροπευόμενα κατ' ἀνάγκην εὐθύς ἐστιν ἰσότιμα· μήποτε δὲ καὶ ἐπιδαψιλεύεται τὴν δωρεάν; τοῦ μὲν γὰρ αἰσθητοῦ κόσμου δεσπότης καὶ εὐεργέτης ἀνείρηται διὰ τοῦ κύριος καὶ θεός, τοῦ δὲ νοητοῦ ἀγαθοῦ σωτὴρ καὶ εὐεργέτης αὐτὸ μόνον, οὐχὶ δεσπότης ἢ κύριος. φίλον γὰρ τὸ σοφὸν θεῷ μᾶλλον ἢ δοῦλον· παρ' ὃ καὶ σαφῶς ἐπὶ Ἀβραάμ, φάσκει, Μὴ ἐπικαλύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ φίλου μου. ὁ δὲ ἔχων τὸν κλῆρον τοῦτον, πέραν ὅρων ἀνθρωπίνης εὐδαιμονίας παρελήλυθε.

A poenæ procedunt quæ ipsas manebant, ni accedat factum culpabile, euasuras accusationis periculum. Quamobrem & in lege de lepra ille modis omnibus maximus Moses, motum quidem eius & serpiginem impetiginémque proscribit vt impuram, quietem autem puram pronunciat. dicit enim: Si diffundatur in cute, contaminatum sacerdos pronunciabit: purum vero si lucens candor eodem loco maneat. itaque immunis est quies à vitijs & affe- B ctionibus animæ. id enim per lepram subindicatur, quòd non sit damnationi obnoxia: motum autẽ & impetum eius damnari merito. simile quiddã in sacris Geneseos literis cõtinetur euidentius. dicitur enim ibi ad illũ nequã: heus tu, peccasti, quiesce. quia peccatum propter motum, actionémque vitiosam dãnatur: quies vero propter statum & silẽtium inculpabilis & salutaris est. Hactenus satis, opinor, præfati sumus: nunc C execrationem quomodo se habeat inspiciamus. Maledictus, inquit, Chanaan puer, seruus erit fratrũ suorum: & benedictus Deus Sem, & erit Chanaã seruus eorum.] Diximus aliquando Sem communem nominis rationem habere cum bono, quando non speciale nomen habet, sed generale hoc ipsum nomen: quia & bonum solum nominandum est, vt fausti ominis & celebratione dignũ: sicut è diuerso malum in faustum nec nominandum. quid igitur bona prædi- D to natura precatur? quod est eius votum nouum & eximium, cuius mortalis nemo facit compotem, à quo ceu quodam oceano copiosi perẽnésque fontes bonorum funduntur atque profluunt? nam Dominum deúmque mundi, omniúmque in eo contentorum, priuatim & per excellentiã Deum Sem inuocat. quod vide quã sit omni fastigio sublimius. cui enim hoc contigit, totius mũdi honorẽ æquat. cum enim præses curatórque amborum idem est, necessario sequitur vt & quæ curantur, honore sint E paria. an nõ largissima sunt hęc munera? nã sensibilis mundi herus ac benefactor pronũciatur his verbis, Dominus Deus: intelligibilis vero boni seruator & benefactor tantũmodo, non herus aut Dominus. Quicquid enim est sapiẽtia pręditũ, amicũ Deo non seruũ est. id quod ipse fatetur de Abrahm. Num cælabo ego amicũ meum Abrahã quid facturus sim? quę sors cuicũque cõtigit, is humanæ felicitatis terminos transgreditur.

solus enim hic est patricius, quippe qui patrem ciere Deum potest, solus adoptiuus eius filius, non diues, sed omnia possidens, qui solus deliciatur in copiosis verisque bonis, nunquam senescentibus, perpetuo virentibus: non nobilis, sed bona fama celebratus, laudem habens non adulatione adulteratam, sed veritate stabilem. solus rex, quippe qui à summo rege potentiam & potestatem accepit irrefragabilem. solus liber, manumissus ab hera morosissima vana gloria, quam efferentem se supra modum ex arce superna liberator Deus deiecit. hunc tantis, tam eximijs confertisque bonis dignum habitum quid decet facere, nisi sermonibus, canticis, hymnis benefactori suo gratias agere? & hoc est, vt mihi sit verisimile, quod his verbis subindicatur: benedictus Deus Sem] quoniam qui Deum in sortem accepit, is meritò debet eum solum laudare ac benedicere, quando hoc tantum habet quod reponat, nec valet referre vllam aliam gratiam. hæc sunt vota pro Sem facta: iam quæ pro Iapheth fecit qualia sint videamus. Dilatet, inquit, Deus Iapheth, & habitet in domibus Sem, & fiat Chanaan seruus eorũ.] Eius qui solam honestatem bonum existimat, finis est breuior. in tanta enim rerum nos circumstantium copia, ad solam mentem rectricem se applicat. Eius autem qui tria facit bonorum genera, animi, corporis, externa, rem concidens in multas particulas dissimiles, finis dilatatur. Quapropter proprie huic precatur latitudinem, vt etiam virtutibus animæ, prudentia, temperantia, cæterisque singulis vti valeat, prætérque sanitate corporis, integritate sensuum, viribus & robore, & id genus rebus alijs. adhæc externis quoque lucris, quæ ad diuitias, gloriam, vsumfructum necessariarum voluptatum faciunt. hæc de latitudine. Considerandum cui precetur, vt in domibus Sem habitet. non satis enim id declarauit. Possumus tamen dicere, eum de omnipotente hoc velle intelligi. Quæ enim domus in omni creatura inuenitur dignior quam Deus inhabitet, præter animam perfecte purgatam, quæ solum honestum bonum existimat, cætera censet rationi subdita, & huic debere obsequium. dicitur autem in domo habitare, non vt in loco: continet enim omnia, ipse à nulla re continetur: sed tanquam illius loci curam gerens præcipuam.

A μόνος γὰρ εὐγενής, ἅτε θεὸν ἐπιγεγραμμένος πα-
τέρα, καὶ γεγονὼς εἰσποιητὸς αὐτοῦ μόνος υἱός, οὐ
πλούσιος, ἀλλὰ πάμπλουτος, ἐν ἀφθόνοις καὶ γνη-
σίοις, οὐ χρόνῳ παλαιουμένοις, καινουμένοις δὲ καὶ
ἡβῶσιν ἀεὶ τρυφῶν ἀγαθοῖς μόνος· οὐκ ἔνδοξος,
ἀλλ' εὐκλεής, τὸν μὴ κολακείᾳ νοθευόμενον, ἀλλὰ
βεβαιούμενον ἀληθείᾳ καρπούμενος ἔπαινον· μό-
νος βασιλεύς, παρὰ τοῦ πανηγεμόνος λαβὼν τῆς
ἐφ' ἅπασιν ἀρχῆς τὸ κράτος ἀνανταγώνιστον· μόνος
B ἐλεύθερος ἀφειμένος ἀργαλεωτάτης δεσποίνης
κενῆς δόξης, ἣν ὑπέραυχον οὖσαν ἀπὸ τῆς ἀκρο-
πόλεως ἄνωθεν ὁ ἐλευθεροποιὸς καθεῖλε θεός. τού-
τῳ δὴ τῶν τοσούτων καὶ οὕτως ὑπερβαλλόντων καὶ
ἀθρόων ἀξιωθέντι ἀγαθῶν τί προσήκει ποιεῖν, ἢ
λόγοις καὶ ᾠδαῖς καὶ ὕμνοις τὸν εὐεργέτην ἀμεί-
βεσθαι. τοῦτ' ἔστιν, ὡς εἰκός, ὃ αἰνίττεται αὐτοῦ, Εὐ-
λογημένος κύριος ὁ θεὸς Σήμ, ἐπειδὴ τῷ τὸν θεὸν ἔ-
χοντι κλῆρον εὐλογεῖν καὶ ἐπαινεῖν αὐτὸν ἁρμόττει
μόνον τοῦτ' ἀντιπαρασχεῖν δυναμένῳ, τὰ δ' ἄλ-
C λα διὰ κράτους πενίαν ἁπλῶς ἀδυνατοῦντι. περὶ
μὲν δὴ Σὴμ εὔχεται ταῦτα· περὶ δ' Ἰάφεθ ὁποῖα
θεασώμεθα, Πλατύναι, φησίν, ὁ θεὸς τῷ Ἰάφεθ,
καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σήμ, καὶ γενέ-
σθω Χαναὰν δοῦλος αὐτοῖς. τοῦ μὲν ἀγαθὸν ἡγου-
μένου τὸ καλὸν μόνον, ἔσταλται καὶ συνῆκται τὸ τέ-
λος· ἓν γὰρ μυρίων ὄντων τῶν περὶ ἡμᾶς, τῷ ἡγε-
μόνι νῷ συνέζευκται· τοῦ δὲ τρισὶν ἐφαρμόζοντος
αὐτὸ γένεσι, τῷ περὶ ψυχήν, τῷ περὶ σῶμα, τῷ
περὶ τὰ ἐκτός, ἅτε εἰς πολλὰ καὶ ἀνόμοια κα-
D τακερματιζόμενον, εὐρύνεται· διόπερ οἰκείως εὔ-
χεται τούτῳ πρὸς γενέσθαι πλάτος, ὅπως καὶ ταῖς
περὶ ψυχὴν ἀρεταῖς, φρονήσει καὶ σωφροσύνῃ καὶ
ἑκάστῃ τῶν ἄλλων χρῆσθαι δυνηθῇ, καὶ τοῦ σώματος
ὑγείαις καὶ εὐαισθησίᾳ, δυνάμει τε καὶ ῥώμῃ, καὶ τοῖς
τούτων συγγενέσιν· ἔτι μέντοι καὶ τοῖς ἐκτὸς πλεονεκ-
τήμασιν, ὅσα εἰς πλοῦτον καὶ δόξαν ἀπόλαυσίν
τε καὶ χρῆσιν τῶν ἀναγκαίων ἡδονῶν ἄγεται. περὶ
μὲν τοῦ πλάτους ταῦτα. τίνα δὲ ἐν τοῖς οἴκοις εὔχε-
E ται τοῦ Σὴμ κατοικῆσαι, σκεπτέον. σαφῶς γὰρ οὐ
μεμήνυκεν. ἔνεστι μὲν δὴ φάναι, ὅτι τὸν ἡγεμόνα τοῦ
παντός. τίς γὰρ οἶκος παρὰ γενέσει δύναιτ' ἂν ἀξιο-
πρεπέστερος εὑρεθῆναι θεῷ, πλὴν ψυχῆς τε-
λείως κεκαθαρμένης, καὶ μόνον τὸ καλὸν ἡγουμέ-
νης ἀγαθόν, τὰ δὲ ἄλλα ὅσα νενόμισται, ἐν δορυφό-
ρων καὶ ὑπηκόων λόγῳ ταττούσης. κατοικεῖν δὲ
λέγεται ἐν οἴκῳ ὁ θεός, οὐχ ὡς ἐν τόπῳ· περιέχει
γὰρ τὰ πάντα πρὸς μηδενὸς περιεχόμενος· ἀλλ'
ὡς πρόνοιαν καὶ ἐπιμέλειαν ἐξαιρέτως τοῦ χωρίου δια-

φερόντως ποιούμενος· πολλὴ γὰρ τοῦ δεσπόζοντι οἰκίας ἡ ταύτης κατὰ τὸ ἀναγκαῖον ἀνάπτεται φροντίς. εὐχέσθω δὴ πᾶς τῷ θεῷ, ὅτῳ τὸ θεοφιλὲς ὤμβρησεν ἀγαθὸν, οἰκήτορα λαχεῖν τὸν πανηγεμόνα, ὃς τὸ βραχὺ τοῦτο οἰκοδόμημα, τὸν νοῦν ἐξαίρων εἰς ὕψος ἀπὸ γῆς τοῖς οὐρανοῦ συνάψει πέρασι. καὶ τὸ ῥητὸν μέντοι συνῳδὸν ἔοικεν. ὁ γὰρ Σὴμ ὡσανεὶ ῥίζα καλοκαγαθίας ὑποβέβληται· δένδρον δὲ ἡμεροτοκοῦν ἐκ ταύτης ὁ σοφὸς Ἀβραὰμ ἀνέδραμεν, οὗ τὸ αὐτήκοον καὶ αὐτομαθὲς γένος Ἰσαὰκ, ὁ καρπὸς ἦν· ἀφ᾽ οὗ πάλιν αἱ διὰ πόνων ἀρεταὶ κατασπείρονται, ὧν ἀθλητής ἐστιν ὁ τὴν πρὸς πάθη πάλην γεγυμνασμένος Ἰακὼβ, ἀγγέλοις ἀλείπταις λόγοις χρώμενος· οὗτος τῶν δώδεκα κατάρχει φυλῶν, ἃς οἱ χρησμοὶ βασίλειον καὶ ἱεράτευμα θεοῦ φασιν εἶναι κατὰ τὴν πρὸς τὸν πρῶτον Σὴμ ἀκολουθίαν, οὗ τοῖς οἴκοις ἦν εὐχὴ τὸν θεὸν οἰκῆσαι. βασίλειος γὰρ ὁ βασιλέως δήπουθεν οἶκος, ἱερὸς ὄντως καὶ μόνος ἄσυλος. ἴσως μέντοι τὴν τῆς εὐχῆς καὶ ἐπὶ τὸν Ἰάφεθ ἀναφέρεσθαι, ὅπως ἐν τοῖς οἴκοις τοῦ Σὴμ ποιῆται τὰς διατριβάς. τῷ γὰρ καὶ τὰ σώματος καὶ τὰ ἐκτὸς πλεονεκτήματα ἀγαθὰ ἡγουμένῳ, καλὸν εὔξασθαι πρὸς μόνον τὸ ψυχῆς ἀναδραμεῖν, καὶ μὴ μέχρι τοῦ παντὸς αἰῶνος ἀληθοῦς δόξης διαμαρτεῖν, ἃ κοινὰ καὶ τῶν ἐπαρατοτάτων καὶ κακίστων ἐστὶν, ὑγείαν ἢ πολυχρηματίαν, ἢ ὅσα ὁμοιότροπα νομίζοντα εἶναι ἀγαθὰ, τὸ ἀψευδὲς τῶν ἀγαθῶν μὲν εἶδος οὐδενὶ φαύλῳ συντεταγμένης. ἀκοινώνητον γὰρ φύσει κακῷ τὸ ἀγαθόν· διὰ τοῦτ᾽ εὐχῇ μόνῃ τεθησαύρισται, ἧς τὸ τέλος οὐδενὶ μέτεστι τῶν ἀφρόνων. τοῦτον οὖν ὁ πρόλογος τῶν ἀπογόνων ἔγραψεν εὔχεσθαι τινὶ τῶν ἑαυτοῦ γνωρίμων, λέγοντα, Πρός με ἀνάστρεψον, ἵνα ἐπὶ τὴν αὐτοῦ γνώμην ἐπανελθὼν, τὸ καλὸν ὡς ἀγαθὸν μόνον δεξιωσάμενος, τὰς τῶν ἑτεροδόξων περιδράμῃ περὶ τἀγαθοῦ φήμας. ἐν δὲ τοῖς οἴκοις τῆς ψυχῆς τοῦ λέγοντος μόνον εἶναι τὸ καλὸν ἀγαθὸν, κατοικησάτω, παροικήσας ἐν τοῖς τῶν ἑτέρων, οἷς καὶ τὰ σωματικὰ καὶ τὰ ἐκτὸς τετίμηται. εἰκότως μέντοι καὶ δοῦλον τὸν ἄφρονα τῶν τῆς ἀρετῆς μεταποιουμένων ἀνέγραψεν, ἵν᾽ ἢ κρείττονος ἐπιστασίας ἀξιωθεὶς, ἀμείνονι βίῳ χρήσηται, ἢ ἐπιμένων τῷ ἀδικεῖν, μετ᾽ εὐμαρείας αὐτοκράτορι ἡγεμόνων ἀρχῇ τῶν δεσποτῶν κολάζηται.

A Quisquis enim domum possidet, necesse habet vt ei prouideat. Proinde in quemcunque bonum illud Deo carum impluit, petat vt omnipotens in ipso habitare dignetur: vt paruum hoc ædificium, mentem videlicet, in altum sublatum à terra extremo cœlo inserat. cæterum precationis verba pulchre coaptantur. nam Sem tanquam radix virtutis honestatísque supponitur, ex qua frugifera planta sapiens ille Abraham succreuit, ex quo nata progenies ille à
B se ipso doctus Isaac fructus est, ex quo rursum per labores seminantur virtutes, in quibus decertat Iacob ad luctam cum affectibus exercitatus per angelos, ratione vnctus non oleo. ab hoc principe duodecim tribus descendunt, quas diuina oracula aiunt esse regnum & sacerdotium Dei, à primo Sem egregie procedente serie, iuxta votum Deo domos eius inhabitante. Est enim regis domus regia, reuera sacra soláque ius asyli habens. possumus tamen fortasse
C votum hoc, & ad Iapheth referre, vt in domibus Sem habitet. nam ei qui etiam corporis commoda & externa lucra in bonis numerat, precari conuenit vt ad solum animæ bonum recurrat, ne in tota sua vita aberret à vera opinione, quæ sceleratissimis etiam execratissimísque cõtingunt bona existimans, vt sanitatẽ, pecuniæ copiam, & id genus alia, cum vera bona malo nulli obueniant: nihil enim malo bonóque commune esse natura voluit. Quapropter tantum votis
D felicitas ista expetitur, cuius finem non potest quisquam insipiens assequi. hunc finem ille primus probæ posteritatis autor scribitur optare cuidam è domesticis, dicens: Ad me reuertere: vt reuersus in eius sententiam, & solum honestum tanquam bonum complexus, à tergo relinquat diuersas de vero bono existimationes. habitet igitur in domibus illius animæ quæ solum honestum esse bonum asserit, omissis aliorum domicilijs, qui & corporis bona
E & externa habent in pretio. non immerito tamen insipientem in seruitutem addicit virtutis cultoribus: vt aut sub dominatione potiorum ad meliorem viuendi rationem transeat: aut si pergat esse improbus, facile pro potestate castigetur à suis dominis.

ΠΕΡΙ ΓΙΓΑΝΤΩΝ.

PHILONIS IVDÆI, DE GIGANTIBVS.

ET factum est quando A cœperunt homines multiplicari super terram, & natæ sunt eis filiæ.] Quærendum, opinor, cur post natiuitatem Noe filiorúmque illius, humanum genus multiplicatum sit. Fortassis in promptu causa est. Semper enim collatus cum paucis, magnus numerus contrariorum inuenitur. Ideo generosa vnius indoles, multorum prauum ingenium coarguit. Siquidem pauca quædã quæ fiunt ex arte ac scientia, vel quæ bona & honesta sunt, produnt quàm ingens multitudo inertium, ignarorum, iniustorum, & in vniuersum nequam hominum in suis tenebris latuerit. Viden quòd & in hoc quàm late patet mũdo sol vnus immensas latissiméque terra & mari diffusas tenebras quàm primum affulget, dispellit? Merito igitur etiam huius Noe iusti natiuitas eiúsque filiorum ostendit diuersam iniustorum multitudinem. Natura enim ita comparatum est, vt contraria eluceant per cõtraria. Cæterum nemo iniustus seminat in anima prolem masculã, sed qui sunt ipsi parum viriles, fracti effœminatíque cogitationibus & sententijs, gignunt fœminas, vt expertes virtutis feracis non nisi bonorum fructuum, & plantatores omnium vitiorum affectionúmque, quarum muliebria sunt germina. Qua de causa filias homines hi genuisse dicuntur, nemo ex his filios. Quoniam enim Noe iustus mares gignit, quippe qui rectam masculámque rationem sequitur, hoc ipso vulgus iniustum fœminas gignere ostenditur citra controuersiam. Non est enim possibile vt à contrarijs eadem gignantur, sed contraria. Viderunt angeli Dei filias hominum, quòd essent pulchræ, & acceperunt sibi ex omnibus quas elegerant.] Quos alij philosophi genios,

ΚΑΙ δὴ ἐγένετο, ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς. ἄξιον οἶμαι διαπορῆσαι, διὰ τί μετὰ τὴν Νῶε καὶ τῶν υἱῶν αὐτοῦ γένεσιν, εἰς πολυανθρωπίαν ἐπιδίδωσιν ἡμῶν τὸ γένος. ἀλλ' ἴσως οὐ χαλεπὸν ἀποδοῦναι τὴν αἰτίαν. ἀεὶ γὰρ ἐπειδὰν τὸ σπάνιον φανῇ, πάμπολυ τὸ ἐναντίον
B εὑρίσκεται. ἑνὸς οὖν εὐφυΐα τὴν περὶ μυρίους διαδείκνυσιν ἀφυΐαν· καὶ τὰ τεχνικὰ μέντοι καὶ ἐπιστημονικὰ καὶ ἀγαθὰ καὶ καλὰ ὄντα ὀλίγα, τὴν τῶν ἀτέχνων καὶ ἀνεπιστημόνων καὶ ἀδίκων καὶ συνόλως φαύλων, ἄπειρον οὖσαν πληθὺν ἀποσκιασμένην ἀποφαίνει. οὐχ ὁρᾷς ὅτι καὶ ἐν τῷ κόσμῳ ἥλιος εἷς ὢν τὸ μυρίον καὶ βαθὺ σκότος κατὰ γῆν καὶ κατὰ θάλατταν κεχυμένον ἐπιλάμψας ἀνασκίδνησιν; εἰκότως οὖν καὶ ἡ τοῦ δικαίου
C Νῶε γένεσις καὶ τῶν υἱῶν αὐτοῦ τοὺς ἀδίκους πολλοὺς διαφανίζει. τῷ γὰρ ἐναντίῳ τὰ ἐναντία πέφυκέ πως μάλιστα γνωρίζεσθαι. ἄδικος δὲ οὐδεὶς ἄρρενα γενεὰν ἐν ψυχῇ σπείρει τὸ παράπαν, ἀλλὰ θηλυγονοῦσιν ἐκ φύσεως ἄνανδροι καὶ κατεαγότες, καὶ θηλυδρίαι τὰ νοήματα, ὡς ἄρα οὐδὲν ἀρετῆς, οὐ καλοὺς καὶ γενναίους ἐξ ἀνάγκης ἔδει τοὺς καρποὺς γενέσθαι, πάντα δὲ κακίας καὶ παθῶν, ὧν γυναικώδεις αἱ βλάσται,
D φυτεύσαντες· οὗ χάριν θυγατέρας οἱ ἄνθρωποι οὗτοι γεννῆσαι λέγονται, υἱὸν δὲ οὐδεὶς αὐτῶν. ἐπεὶ γὰρ ὁ δίκαιος ἀρρενογονεῖ Νῶε τέλειον καὶ ὀρθὸν λόγον καὶ ἄρρενα ὄντως μετιών, θηλυτόκος ἡ κατὰ τοὺς πολλοὺς ἀδικία πάντως ἀναφαίνεται. ἀμήχανον γὰρ τὰ αὐτὰ πρὸς τῶν ἐναντίων, ἀλλὰ μὴ τὰ ἐναντία πάλιν γενέσθαι. Ἰδόντες δὲ οἱ ἄγγελοι τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. οὓς ἄλλοι φιλόσοφοι δαίμονας,

ἀγγέλους Μωσῆς εἴωθεν ὀνομάζειν· ψυχαὶ δ' εἰσὶ κατὰ τὸν ἀέρα πετόμεναι. καὶ μηδεὶς ὑπολάβῃ μῦθον εἶναι τὸ εἰρημένον. ἀνάγκη γὰρ ὅλον δι' ὅλων τὸν κόσμον ἐψυχῶσθαι, τῶν πρώτων καὶ στοιχειωδῶν μερῶν ἑκάστου τὰ οἰκεῖα καὶ πρόσφορα ζῷα περιέχοντος, γῆς μὲν τὰ χερσαῖα, θαλάττης δὲ καὶ ποταμῶν τὰ ἔνυδρα, πυρὸς δὲ τὰ πυρίγονα· λόγος δὲ ἔχει ταῦτα κατὰ μακεδονίαν μάλιστα γίνεσθαι· οὐρανοῦ δὲ τοὺς ἀστέρας· καὶ γὰρ οὗτοι ψυχαὶ ὅλαι δι' ὅλων ἀκήρατοί τε καὶ θεῖαι, παρὸ καὶ κύκλῳ κινοῦνται τὴν συγγενεστάτην νῷ κίνησιν· νοῦς γὰρ ἕκαστος αὐτῶν ἀκραιφνέστατος. ἔστιν οὖν ἀναγκαῖον καὶ τὸν ἀέρα ζώων πεπληρῶσθαι. ταῦτα δὲ ἡμῖν εἰσὶν ἀόρατα, ὅτι καὶ αὐτὸς οὐχ ὁρατὸς αἰσθήσει. ἀλλ' οὐ παρ' ὅσον ἀδύνατος ἡ ὄψις ψυχῶν φαντασιωθῆναι τύπους, διὰ τοῦτ' οὐκ εἰσὶν ἐν ἀέρι ψυχαί· καταλαμβάνεσθαι δ' αὐτὰς ἀναγκαῖον ὑπὸ νοῦ, ἵνα πρὸς τοῦ ὁμοίου τὸ ὅμοιον θεωρῆται. ἐπεὶ τί φήσομεν, πάνθ' ὅσα χερσαῖα καὶ ἔνυδρα οὐκ ἀέρι καὶ πνεύματι ζῇ; τί δέ, οὐκ ἀέρος κακωθέντος τὰ λοιμικὰ συνίσταται παθήματα φιλεῖ, ὡς ἂν αἰτίου τῆς ψυχώσεως ἑκάστοις; τί δέ, ὁπότε ἀπήμων καὶ ἀβλαβὴς εἴη, ὁποῖον ἐν ταῖς βορείοις μάλιστα αὔραις εἴωθε γίνεσθαι, οὐ καθαρωτέρου σπῶντα τοῦ πνεύματος πρὸς πλείονα καὶ κραταιοτέραν διαμονὴν ἐπιδίδωσιν; ἆρ' οὖν εἰκὸς δι' οὗ τὰ ἄλλα ἔνυδρά τε καὶ χερσαῖα ἐψύχωται, ψυχῶν ἀμοιρεῖν; τοὐναντίον μὲν οὖν εἰ καὶ τὰ ἄλλα πάντα ζώων ἄγονα ἦν, μόνος ἀὴρ ὤφειλε ζωοτοκῆσαι, τὰ ψυχῆς κατ' ἐξαίρετον χάριν παρὰ τοῦ δημιουργοῦ σπέρματα λαβών. τῶν οὖν ψυχῶν αἱ μὲν πρὸς σώματα κατέβησαν· αἱ δ' οὐδενὶ τῶν γῆς μορίων ἠξίωσάν ποτε συνενεχθῆναι. ταύταις ἀφιερωθείσαις καὶ τῆς τοῦ πατρὸς θεραπείας περιεχομέναις ὑπηρέτισι καὶ διακόνοις ὁ δημιουργὸς εἴωθε χρῆσθαι πρὸς τὴν τῶν θνητῶν ἐπίστασιν· ἐκεῖναι δ' ὥσπερ εἰς ποταμὸν τὸ σῶμα καταβᾶσαι, ποτὲ μὲν ὑπὸ συρμοῦ δίνης βιαιοτάτης ἁρπασθεῖσαι κατεπόθησαν· ποτὲ δὲ πρὸς τὴν φορὰν ἀντισχεῖν δυνηθεῖσαι, τὸ μὲν πρῶτον ἀνενήξαντο, εἶτα ὅθεν ὥρμησαν, ἐκεῖσε πάλιν ἀνέπτησαν. αὗται μὲν οὖν εἰσὶ ψυχαὶ τῶν ἀνόθως πως φιλοσοφησάντων, ἐξ ἀρχῆς ἄχρι τέλους μελετῶσαι τὸν μετὰ σωμάτων ἀποθνήσκειν βίον, ἵνα τῆς ἀσωμάτου καὶ ἀφθάρτου παρὰ τῷ ἀγενήτῳ καὶ ἀφθάρτῳ ζωῆς μεταλάχωσιν. αἱ δὲ καταποντωθεῖσαι, τῶν ἄλλων ἀνθρώπων, ὅσοι σοφίας ὠλιγώρησαν, ἐκδόντες ἀστάτοις καὶ τυχηροῖς πνεύμασιν ἑαυτούς, ὧν οὐδὲν εἰς τὸ κράτιστον τῶν ἐν

A Moses solet vocare angelos. Hi sunt animæ volitãtes per aerẽ. Nec est cur quisquam hoc fabulosum existimet. Necessum est enim vt totus mundus in omnibus sui partibus animata habeat, quãdo primariæ partes eius elementares sibi apta cõtinent animalia, terra terrestria, mare ac amnes aquatilia, ignis ex igne genita: quæ feruntur plurima nasci in Macedonia. Cælum item sidera. Hæc enim in totum sunt animæ immortales diuinæque, & ideo mouẽtur in orbem,
B qui motus menti cognatus est. Horum enim singulorum mẽs est integerrima. Proinde necessario sequitur, vt & aer sit plenus suis animalibus. Hæc autem nobis sunt inuisibilia, cũ & ipse non sit sensui visibilis. Non tamẽ ideo quia nõ possumus animarũ figuras visu assequi, aer eis est vacuus. Comprehendere autem eas intellectu necesse est, vt simile cõtemplemur per simile. Nec enim negabimus omnibus terrestribus, aquatilibúsque vitã per aerem & spiritũ con-
C tingere. Quid pestilentia, nónne aere vitiato solet accidere, qui singulos animat? idẽ quando illæsus est & innocuus, qualis solet esse flantibus auris septentrionalibus, nónne haustus purioris spiritus multũ ad incolumitatem proficit? & credimus eum qui alias aquatiles terrestrésque animãtes animat, carere animabus proprijs? imò contrariũ est credibilius, etiamsi reliqua elementa nihil animalium gignerent, tamen solum aerem animalia parere, quando singula-
D ri opificis gratia indita sunt huic animarũ semina. Harum quædam descenderunt in corpora: quædam semper abhorrẽt ab omnibus terræ partibus. Harum sibi sacratarũ ministerijs summus ille parens & opifex vti solet in administrandis rebus mortalium. At illæ alteræ tanquam in flumen descendentes in corpus, aliquando rapidissimis eius absorbentur gurgitibus: aliquando eluctatæ contra impetum, primùm enatant, deinde reuolant illuc vnde auola-
E uerant. Hæ sunt animæ supernam quãdam doctæ philosophiam, quæ ab initio finem vsque meditantur mortem corporum, vt incorpoream incorruptibilémque vitam apud illum ingenitum incorruptibilémque adipiscantur. At quæ submerguntur, sunt reliquorum hominum, qui neglecta sapientia dediderunt se incertis fortunæ flatibus, quorum nullus fert ad optimam nostri partem mentem videlicet, sed omnes

A ad cognatum nobis corpus cadauerosum, aut ad res magis quàm hoc inanimes, puta gloriam, pecuniam, potestates, honores, & cætera quæ homines nunquam vera bona contemplati, fingunt pingúntque sibi decepti vanis opinionibus. proinde si cogites, animas, genios, angelos, non tam re differre quam nominibus, exoneraberis superstitionis onere grauissimo. Quemadmodum autem vulgus dicit bonos malósque genios, & similiter B animas, sic etiam angelos: alteros qui boni vocantur, legatos quosdam vltro citróque commeantes inter Deum & homines, sacrosanctos propter hoc inculpabile pulcherrimúmque ministerium: alteros è diuerso profanos ac nefarios, quos & ipse abominandos haud falso dixeris. Testis est hymnographus, cuius sunt hæc verba in quodam cantico: Emisit in eos iram furoris sui, furorem, iram, oppressionémque, immissionem per malos C angelos. hi sunt illi mali angelorum nomen vsurpantes, qui rectæ rationis filias scientias & virtutes nesciunt, morti autem obnoxias hominum mortalium progenies consectantur, quæ nullam natiuam secum afferunt pulchritudinem sola mente visibilem, sed fucatam formam qua sensus decipitur. Accipiunt vero non easdem omnes filias, sed alias alij selectas sibi ex innumeris. Quidam per visum, quidam per auditum, quidam D per gustum & ventrem, quidam per ea quæ sub ventre sunt, quidam etiam per remotissimas occasiones intendendo suas concupiscentias varias. in talibus impossibile est manere ac perennare Dei spiritum, sicut ipse legislator indicat. Dixit, inquit, Dominus Deus: Non permanebit spiritus meus in his hominibus in seculum, quia caro sunt.] Manet enim interdum, sed non permanet apud nostrum plerosque. Quis enim est E adeò rationis expers aut animæ, vt nulla vnquam de optimo illo maximóque eum volentem nolentémve subierit cogitatio? imò vel scelestissimis obuersatur nonnunquam repentina honestatis imaginatio, quam tamen apprehendere & apud se retinere nequeunt. Statim enim discedit emigrátque è tali domicilio, non ferens ius & fas inde profligatum esse: quales nunquam accedit, nisi vt coar-

ἡμῖν ψυχῶν ἢ νοῦν ἀναφέρεσθαι, πάντα δὲ ἐπὶ τὸ συμφυὲς νεκρὸν ἡμῶν τὸ σῶμα, ἢ ἐπὶ τὰ ἀψυχότερα τούτου, δόξαν λέγω καὶ χρήματα καὶ ἀρχὰς, καὶ τιμὰς, καὶ ὅσα ἄλλα ἀπὸ τῶν μὴ τεθεαμένων τὰ πρὸς ἀλήθειαν καλὰ, ἀπάτῃ ψευδοῦς δόξης ἀναπλάττεται, ἢ ζωγραφεῖται. ψυχὰς οὖν, δαίμονας καὶ ἀγγέλους, ὀνόματα μὲν διαφέροντα, ἓν δὲ καὶ ταὐτὸν ὑποκείμενον διανοηθεὶς, ἄχθος βαρύτατον ἀποθήσῃ δεισιδαιμονίαν. ὥσπερ δὲ ἀγαθοὺς δαίμονας καὶ κακοὺς λέγουσιν οἱ πολλοὶ, καὶ ψυχὰς ὁμοίως, οὕτω καὶ ἀγγέλους, τοὺς μὲν τῆς ἀγαθῆς προσρήσεως, πρεσβευτάς τινας ἀνθρώπων πρὸς θεὸν, καὶ θεοῦ πρὸς ἀνθρώπους, ἀσύλους καὶ ἱεροὺς, διὰ τὴν ἀνυπαίτιον καὶ παγκάλην ταύτην ὑπηρεσίαν· τοὺς δὲ ἔμπαλιν, ἀνιέρους καὶ ἀναξίους τῆς προσρήσεως καὶ αὐτὸς ὑπολαμβάνων οὐχ ἁμαρτήσῃ. μαρτυρεῖ δέ μου τῷ λόγῳ τὸ παρὰ τῷ ὑμνογράφῳ εἰρημένον ἐν ἄσματι τούτῳ, Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. οὗτοί εἰσιν οἱ πονηροὶ, οἱ τὸ ἀγγέλων ὄνομα ὑποδυόμενοι, τὰς μὲν ὀρθοῦ λόγου θυγατέρας ἐπιστήμας καὶ ἀρετὰς οὐκ εἰδότες, τὰς δὲ θνητὰς τῶν ἀνθρώπων θνητῶν ἀπογόνους ἡδονὰς μετερχόμενοι, γνήσιον μὲν οὐδὲν ἐπιφερομένας κάλλος, ὃ διανοίᾳ μόνῃ θεωρεῖται· νόθοι δὲ εὐμορφίας, δι' ἧς ἡ αἴσθησις ἀπατᾶται. λαμβάνουσι δὲ οὐ πάσας ἁπάντες τὰς θυγατέρας, ἀλλ' ἔνιοι ἐνίας ἐκ μυρίων ὅσων ἐξελέξαντο ἑαυτοῖς, οἱ μὲν τὰς δι' ὄψεως, ἕτεροι δὲ τὰς δι' ἀκοῆς, τὰς δ' αὖ διὰ γεύσεως καὶ γαστρὸς ἄλλοι, τινὲς δὲ τὰς μετὰ γαστέρα, πολλοὶ δὲ καὶ τὰς πορρωτάτω διῳκισμένων ἀνελάβοντο, τὰς ποικίλας ἐν ἑαυτοῖς τείνοντες ἐπιθυμίας. ποικίλαι γὰρ ἐξ ἀνάγκης αἱ ποικίλων ἡδονῶν αἱρέσεις, ἄλλων συνοικειωμένων ἄλλαις. ἐν δὴ τοῖς τοιούτοις ἀμήχανον τὸ τοῦ θεοῦ καταμεῖναι καὶ διαιωνίσαι πνεῦμα, ὡς δηλοῖ καὶ αὐτὸς ὁ νομοθέτης. Εἶπε γὰρ, φησὶ, κύριος ὁ θεὸς, οὐ καταμενεῖ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. μένει μὲν γὰρ ἔστιν ὅτε, καταμένει δ' οὐ διὰ παντὸς παρὰ τοῖς πολλοῖς ἡμῖν. τίς γὰρ οὕτως ἄλογος ἢ ἄψυχός ἐστιν, ὡς μηδέποτε ἔννοιαν τοῦ ἀρίστου μήθ' ἑκὼν μήτ' ἄκων λαβεῖν. ἀλλὰ γὰρ καὶ τοῖς ἐξαγίστοις ἐπιπέταται πολλάκις αἰφνίδιος ἡ τοῦ καλοῦ φαντασία, συλλαβεῖν δ' αὐτὴν καὶ φυλάξαι παρ' ἑαυτοῖς ἀδυνατοῦσιν. οἴχεται γὰρ εὐθέως μετανάσταται, πρὸς προσεληλυθότας οἰκήτορας, νόμον καὶ δίκην ἐκδεδιῃτημένους ἀποστρα-

φθάσαι, πρὸς οὓς οὐδ' ἂν ποτε ἧκεν, εἰ μὴ τὸ διελέγξαι χάριν τοὺς ἀντὶ καλῶν αἰσχρὰ αἱρουμένους. λέγεται δὲ θεοῦ πνεῦμα, καθ' ἕνα μὲν τρόπον, ὁ ῥέων ἀὴρ ἐπὶ γῆς, τρίτον στοιχεῖον ἐποχούμενον ὕδατι, παρ' ὅ φησιν ἐν τῇ κοσμοποιΐᾳ, Πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· ἐπειδήπερ ἐξαιρόμενος ὁ ἀήρ, κοῦφος ὢν ἄνω φέρεται, ὕδατι βάσει χρώμενος. καθ' ἕτερον δὲ τρόπον, ἡ ἀκήρατος ἐπιστήμη, ἧς πᾶς ὁ σοφὸς εἰκότως μετέχει. δηλοῖ δὲ ἐπὶ τοῦ τῶν ἁγίων ἔργων δημιουργοῦ καὶ τεχνίτου φάσκων, ὅτι ἀνεκάλεσεν ὁ θεὸς τὸν Βεσελεήλ, καὶ ἐνέπλησεν αὐτὸν πνεύματος θείου, σοφίας, συνέσεως, ἐπιστήμης, ἐπὶ παντὶ ἔργῳ διανοεῖσθαι· ὥστε τὸ τί ἐστι πνεῦμα θεῖον ὁρικῶς διὰ τῶν λεχθέντων ὑπογράφεσθαι. τοιοῦτόν ἐστι καὶ τὸ Μωϋσέως πνεῦμα, ὃ ἐπιφοιτᾷ τοῖς ἑβδομήκοντα πρεσβυτέροις, τοῦ διενεγκεῖν ἑτέρων, καὶ βελτιωθῆναι χάριν, οἷς οὐδὲ πρεσβυτέροις ἔνεστι γενέσθαι πρὸς ἀλήθειαν, μὴ μεταλαβοῦσι τοῦ πανσόφου πνεύματος ἐκείνου. λέγεται γάρ, ὅτι ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέρους. ἀλλὰ μὴ νομίσῃς οὕτω τὴν ἀφαίρεσιν κατὰ ἀποκοπὴν καὶ διάζευξιν γίνεσθαι, ἀλλ' οἷα γένοιτ' ἂν ἀπὸ πυρός, ὃ κἂν μυρίας δᾷδας ἐξάψῃ, μένει μηδ' ὁτιοῦν ἐλαττωθὲν ἐν ὁμοίῳ. τοιαύτη τίς ἐστι καὶ τῆς ἐπιστήμης ἡ φύσις. τοὺς γὰρ φοιτητὰς καὶ γνωρίμους ἀποφήνασα ἐμπείρους πάντας, κατ' οὐδὲν μέρος ἐλαττοῦται· πολλάκις δὲ καὶ πρὸς τὸ ἄμεινον ἐπιδίδωσιν, ὥσπερ φασὶ τὰς ἀπαντλουμένας πηγάς. καὶ γὰρ ἐκείνας λόγος ἔχει τότε μᾶλλον γλυκαίνεσθαι. αἱ γὰρ συνεχεῖς πρὸς ἑτέρους ὁμιλίαι μελέτην καὶ ἄσκησιν ἐμποιοῦσαι, ὁλόκληρον τελειότητα ἐργάζονται. εἰ μὲν οὖν τὸ ἴδιον αὐτοῦ Μωσέως πνεῦμα, ἤ τινος ἄλλου γενητοῦ τοσούτῳ πλήθει γνωρίμων ἔμελλε διανέμεσθαι, κἂν κατακερματισθὲν εἰς μοίρας τοσαύτας ἐμειοῦτο. νυνὶ δὲ τὸ ἐπ' αὐτῷ πνεῦμά ἐστι τὸ σοφόν, τὸ θεῖον, τὸ ἄτμητον, τὸ ἀδιαίρετον, τὸ ἀστεῖον, τὸ πάντη δι' ὅλων ἐκπεπληρωμένον, ὅπερ ὠφελοῦν, οὐ βλάπτεται μεταδοθὲν ἑτέρῳ, οὐδ' αὖ προστεθὲν ἐλαττοῦται τὴν σύνεσιν, καὶ ἐπιστήμην, καὶ σοφίαν. διὸ δὴ πνεῦμα θεῖον μένειν μὲν δυνατὸν ἐν ψυχῇ, διαμένειν δὲ ἀδύνατον ὡς εἴπομεν. καὶ τί θαυμάζομεν; οὐδὲ γὰρ ἄλλων τῶν ἁπάντων οὐδενὸς ἐχυρὰ καὶ βέβαιος ἐγγίνεται κτῆσις, ἀντιρρεπόντων καὶ πρὸς ἑκάτερα ταλαντευόντων τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἄλλοτε ἀλλοίας ἐνδεχομένων μεταβολάς. αἴτιον

A guat eos honestis prætulisse turpia. Dicitur autem Dei spiritus, vno modo aer fluens supra terram, tertium elementum quod super aquam vehitur: quamobrem in opificio mundi ait: Spiritus Dei ferebatur super aquam. Aer enim cum sit leuis attollitur & sursum fertur, aquam pro basi habens. Altero autem modo, immortalis illa scientia, cuius omnis sapiens merito fit particeps. Id ostenditur in artifice ac opifice sacri operis, his verbis: Ex-
B ciuit Deus Beseleelem, & impleuit eum diuino spiritu, sapientiæ, intellectus, scientiæ, ad omne opus excogitandum. Quibus verbis definitiue quid sit Dei spiritus describitur. Talis est etiam Mosis spiritus, qui visitare solet illos septuaginta seniores, vt fiant præstantiores cæteris, & reddantur meliores, non futuri vere presbyteri, nisi participatione illius sapientissimi spiritus. Sic enim dicitur: Au-
C feram de spiritu qui in te est, & imponam in septuaginta seniores. Sed caue putes hanc ablationem fieri per abscissionem disiunctionémque, imò potius qualis ab igne fit: qui etiamsi faces innumeras accenderit, idem manet ne tantillum quidem diminutus. Talis est natura etiam scientiæ. Postquam enim discipulos & familiares peritos omnes reddidit, nihilo diminuitur: nonnunquam augetur etiam, sicut narrant de fontibus, qui frequentantur ab aquatoribus. Nam &
D hos fertur hoc modo dulciores fieri. Sic continua colloquia, meditationem & exercitium afferentia, perfectionem absoluunt. Quod si proprius ipsius Mosis spiritus, ac cuiusuis creaturæ, tantæ multitudini familiarium distribuendus fuisset, in tot portiones concisus, vtique diminueretur. Nunc autem spiritus ille sapiens, qui inest ei, diuinus est, insecabilis, indiuisibilis, probus, qui vbique implet omnia, qui prodest absque suo
E detrimento impartitus alteri, vt nihil decedat ipsius intellectui, scientiæ, sapientiæ. Quapropter fieri potest, vt spiritus Dei maneat in anima, vt autem permaneat impossibile est, sicut diximus. & quid mirum? quando ne aliarum quidem rerum vlla possessio firma & constans est, in tot mutationibus alijs super alias. Causa autem inscitiæ præcipua caro est, & cum hac intercedens familiaritas: sicut

ipse fatetur, qui dicit, ideo non posse spiritum Dei permanere, quia caro sint. Certe & coniugium, liberorum educatio, parandæ rei familiaris necessitas, obscuritas, egestas, negotia tum priuata tum publica, & cætera innumera sapientiam adhuc florentem arefaciunt. Sed nihil ei tanto impedimento est, quanto natura carnium. Hæc enim tanquam fundamentũ ignorantiæ ineruditionísque primum ac maximum subijcitur, super quod illæ exædificantur. Animæ enim carnis expertes & corporis, desidentes totos dies in hoc amplissimo vniuersitatis theatro, videndo audiendóque res diuinas, quas insatiabiliter expetunt, fruuntur voluptate interpellata à nemine. Quæ vero grauantur carnium sarcinis, depressæ ab his nequeunt os ad cælestes cursus attollere, sed ceruice demissa, more quadrupedum, pronæ ad terram affiguntur. Quapropter legislator sublaturus è medio concubitus incestos & illegitimos, in hunc modum præfatur. Homo homo, ad omnem domesticum carnis suæ non accedet, vt reuelet eius turpitudinem : ego Dominus. Quomodo posset quis magis adhortari ad contemptum carnis & eorum, quæ carni amica sunt, quàm verbis his? atqui non solum dehortatur, sed & certò pronunciat, quòd quisquis vere homo est, non accedet vnquam sponte ad amicas cognatásque corporis voluptates, semper alienare se ab eis meditans. Siquidem hæc vox homo iterata significat, non compositum ex anima & corpore, sed virtutibus præditum hominem. nam hic est ille verus, quem è priscis quidam accensa meridie lucerna, percontantibus obuijs, hominem aiebat se quærere. Quod autem vetitum est, ne quis accedat ad quemcunque carnis domesticum, habet rationem necessariam. Quædam enim admittenda sunt, vt commoda ista, quorum vsu sanitatem tuemur. Superflua vero in malam rem ableganda, à quibus accensæ concupiscentiæ absumunt omnes virtutes vno incendio. Proinde non ad omnia quæ carni amica sunt, appetitus excitetur. voluptates enim ferocientes persæpe canum more adblanditæ, repente mutatæ morsum infigunt insanabilem. itaque virtutis amicam frugalitatem complexi præ caris corpori, turbam ingentem hostium pertinacium profligabimus.

A δὲ τῆς ἀνεπιστημοσύνης μέγιστον ἡ σὰρξ καὶ ἡ πρὸς σάρκα οἰκείωσις. καὶ αὐτὸς δὲ ὁμολογεῖ φάσκων, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, μὴ δύνασθαι τὸ θεῖον πνεῦμα καταμεῖναι. καίτοι καὶ γάμος, καὶ παιδοτροφία, καὶ πορισμὸς τῶν ἀναγκαίων, ἀδοξία τε μετ' ἀχρηματίας, καὶ πραγματεῖαι, ὧν αἱ μὲν ἴδιαι, αἱ δὲ κοιναί, καὶ μυρία ἄλλα, πρὶν σοφίαν ἀνθῆσαι καταμαραίνει· ἀλλ' οὐδὲν οὕτως ἐμπόδιον πρὸς αὔξησιν αὐτῆς, ὡς ἡ σαρκῶν φύσις. αὕτη γάρ, καθάπερ τις θεμέλιος ἀγνοίας καὶ ἀμαθίας πρῶτος καὶ μέγιστος ὑποβέβληται, ᾧ τῶν εἰρημένων B ἕκαστον ἐποικοδομεῖται. ψυχαὶ μὲν γὰρ ἄσαρκοι καὶ ἀσώματοι ἐν τῷ τοῦ παντὸς θεάτρῳ διημερεύουσαι, θεαμάτων καὶ ἀκουσμάτων θείων, ὧν ἄπληστος εἰς τοσοῦτον εἰσελήλυθεν ἔρως, μηδενὸς κωλυσιεργοῦντος ἀπολαύουσιν· ὅσαι δὲ τὸν σαρκῶν φόρτον ἀχθοφοροῦσι, βαρυνόμεναι καὶ πιεζόμεναι, ἄνω μὲν βλέπειν εἰς τὰς οὐρανίους περιόδους ἀδυνατοῦσι, κάτω δὲ ἑλκυσθεῖσαι τὸν αὐχένα βιαίως δίκην τετραπόδων γῇ προσερρίζωνται. παρὸ καὶ τὰς C ἐκνόμους καὶ ἐκθέσμους ὁμιλίας τε καὶ μίξεις ἐγνωκὼς ὁ νομοθέτης ἀναιρεῖν, προοιμιάζεται τὸν τρόπον τοῦτον, Ἄνθρωπος ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐ προσελεύσεται ἀποκαλύψαι ἀσχημοσύνην, ἐγὼ κύριος. πῶς ἄν τις προτρέψαιτο μᾶλλον σαρκὸς καὶ τῶν σαρκὸς οἰκείων καταφρονεῖν, ἢ τοῦτον τὸν τρόπον. καίτοι οὐκ ἀποτρέπει μόνον, ἀλλὰ καὶ παγίως ἀποφαίνεται, ὅτι ὁ πρὸς ἀλήθειαν ἄνθρωπος, οὐ προσελεύσεταί ποτε ἑκὼν ταῖς φίλαις καὶ συγγενέσι σώματος ἡδοναῖς, D ἀλλοτριώσιν δὲ τὴν πρὸς αὐτὰς ἀεὶ μελετήσει. τὸ μὲν οὕτω μὴ ἅπαξ, ἀλλὰ δὶς φάναι, Ἄνθρωπος ἄνθρωπος, σημεῖόν ἐστι τοῦ μὴ τὸν ἐκ σώματος καὶ ψυχῆς, ἀλλὰ τὸν ἀρετῇ κεχρημένον δηλοῦσθαι· ὄντως γὰρ ὁ ἀληθινὸς οὗτός ἐστιν, ὃν καὶ τῶν παλαιῶν τις λύχνον τῆς μεσημβρίας ἀψάμενος, πρὸς τοὺς πυνθανομένους, ἄνθρωπον ἔφη ζητεῖν. τὸ δὲ μὴ πρὸς πάντα οἰκεῖον προσέρχεσθαι τῆς σαρκός, ἔχει λόγον ἀναγκαῖον. ἔνια γὰρ προσοιστέον, οἷον αὐτὰ τὰ ἐπιτήδεια, οἷς χρώμενοι ζῶν ἀνόσως καὶ E ὑγιεινῶς δυνησόμεθα· τὰ δὲ περιττὰ σκορακιστέον, ὑφ' ὧν ἐξαπτόμεναι αἱ ἐπιθυμίαι τὰ σπουδαῖα πάντα ῥύμῃ μιᾷ καταφλέγουσι. μὴ πρὸς πάντα οὖν τὰ τῇ σαρκὶ φίλα αἱ ὀρέξεις ἀνερεθιζέσθωσαν. ἡδοναὶ γὰρ αἱ ἀτίθασοι πολλάκις ὅταν κυνῶν τρόπον προσσαίνωσιν, ἐξ ἐπιστροφῆς ἀνίατα ἔδακον· ὥστε τὴν ἀρετῆς φίλην ὀλιγοδείαν πρὸ τῶν σώματος οἰκείων ἀσπαζόμενοι, τὸν πολὺν καὶ ἀνήνυτον ὄχλον ἀσπόνδων ἐχθρῶν καταλυόμεθα.

ἐὰν

ἐὰν δέ ποτέ τις χρεία βιάζηται πλείω τῶν μετρίων καὶ ἱκανῶν λαμβάνειν, αὐτοὶ μὴ προσερχώμεθα. λέγει γὰρ, Οὐ προσελεύσεται αὐτὸς ἀποκαλύψαι ἀσχημοσύνην. τί δὲ τοῦτό ἐστιν, ἄξιον διαπτύξαι. πολλάκις οὐ γενόμενοί τινες πορισταὶ τῶν χρημάτων, ἄφθονον ἔχουσι περιουσίαν. ἕτεροι δὲ δόξαν οὐκ ἐπιτηδεύσαντες, ἐπαίνων δημοσίᾳ καὶ τιμῶν ἠξιώθησαν· τοῖς δὲ οὐδὲ μικρὰν ἰσχὺν ἐλπίσασι μεγίστη προσεγένετο εὐτονία. μαθέτωσαν δὴ πάντες οὗτοι μηδενὶ προσέρχεσθαι γνώμῃ τῶν εἰρημένων· τοῦτο δ' ἐστὶ, μὴ θαυμάζειν αὐτὰ καὶ ἀποδέχεσθαι πλέον τοῦ μετρίου, κρίνοντας ἕκαστον αὐτῶν οὐκ ἀγαθὸν μόνον, ἀλλὰ καὶ μέγιστον κακὸν, τὰ χρήματα, τὴν δόξαν, τὴν σώματος δύναμιν. φιλαργύροις μὲν γὰρ ἡ πρὸς ἀργύριον, φιλοδόξοις δὲ ἡ πρὸς δόξαν, φιλάθλοις καὶ φιλογυμνασταῖς ἡ πρὸς ἰσχὺν πρόσοδος οἰκεία. τὸ γὰρ ἄμεινον τῆς ψυχῆς τοῖς χείροσιν ἐκδεδώκασιν ἀψύχοις. ὅσοι δὲ ἑαυτῶν εἰσι, τὰς λαμπρὰς καὶ περιμαχήτους εὐπραγίας ὑπηκόους ἀποφαίνουσιν ὡς ἡγεμόνι τῷ νῷ, προσιούσας μὲν δεχόμενοι πρὸς ἐπανόρθωσιν, μακρὰν δὲ ἀφεστηκυίας οὐ προσερχόμενοι, καὶ ὡς δίχα αὐτῶν δυνηθέντες ἂν εὐδαιμονῆσαι. ὁ δὲ μετιὼν καὶ κατ' ἴχνος βαίνων ἐθελοντὴς αἰσχρᾶς ἀναπίμπλησι δόξης φιλοσοφίαν. οὗ χάριν λέγεται ἀποκαλύψαι τὴν ἀσχημοσύνην. πῶς γὰρ οὐκ ἐναργῆ καὶ πρόδηλα τὰ ὀνείδη, τῶν λεγόντων μὲν εἶναι σοφῶν, πωλούντων δὲ σοφίαν καὶ ἐπευωνιζόντων, ὥσπερ φασὶ τοὺς ἐν ἀγορᾷ τὰ ὤνια προκηρύττοντας, τοτὲ μὲν μικροῦ λήμματος, τοτὲ δὲ ἡδέος καὶ εὐπαραγώγου λόγου, τοτὲ δὲ ἀβεβαίου ἐλπίδος, ἀπὸ μηδενὸς ἠρτημένης ἐχυροῦ, ἔστι δ' ὅτε καὶ ὑποσχέσεων, αἳ διαφέρουσιν ὀνειράτων οὐδέν. τὸ δὲ ἐπιφερόμενον, Ἐγὼ κύριος, παγκάλως καὶ σφόδρα παιδευτικῶς εἴρηται. ἀντίθες γάρ φησιν, ὦ γενναῖε, τὸ σαρκὸς ἀγαθὸν τῷ τῆς ψυχῆς καὶ τῷ τοῦ παντὸς ἀγαθῷ. οὐκοῦν τὸ μὲν σαρκός ἐστιν ἄλογος ἡδονή, τὸ δὲ τῆς ψυχῆς καὶ τοῦ παντὸς ὁ νοῦς τῶν ὅλων θεός. ἐφάμιλλός τε καὶ ἀσύγκριτος ἡ σύγκρισις, ὡς διὰ τὴν ἐγγὺς ὁμοιότητα ἀπατηθῆναι, εἰ καὶ ἔμψυχα ἀψύχοις ἐρεῖ τις, καὶ λογικὰ ἀλόγοις, καὶ ἡρμοσμένα ἀναρμόστοις, καὶ περιττοῖς ἄρτια, καὶ φωτὶ σκότος, καὶ ἡμέραν νυκτὶ, καὶ πάντα τἀναντία τοῖς ἐναντίοις, πρὸς ἄλληλα εἶναι τὰ αὐτά. καίτοι εἰ καὶ ταῦτα τῷ γένεσιν ἐνδεδέχθαι κοινωνίαν τινὰ ἔχει καὶ συγγένειαν, ἀλλά γε ὁ θεὸς οὐδὲ τῷ ἀρίστῳ τῶν φύντων ὅμοιος· ὅτι τὸ μὲν γέγονέ τι καὶ πάσχει, ὁ δ' ἐστὶν ἀγένητός τε καὶ ποιῶν ἀεί.

A Quod si quãdo tempus improbe postularit, vt supra sufficientem modum accipiamus aliquid, ipsi tamen non accedamus. Dicit enim: Non accedet ipse reuelare turpitudinem. Hoc explicandũ est quid sit. Sæpenumero quidam qui nullas congesserunt pecunias, tamen in re lauta fuerunt. Alij minime cupidi gloriæ, consensu ciuium laudati honoratique sunt. Quibusdam præter omnem spem magnum robur contigit. Omnes isti discant non esse accedendũ mente
B ad quicquam talium: hoc est, non esse hæc vltra modum suspicienda, sed sic existimandum, hæc singula adeò non esse bona, vt sæpe magnam cladem afferat vel pecunia vel gloria vel robur corporis. sunt enim hi proprij reditus, auarorum pecunia, ambitiosorum gloria, robur vero istorum qui certaminibus delectantur & gymnasijs: qui omnes animam præstantiorem dediderunt in seruitutẽ deterioribus rebus inanimis.
C sed quicunque secum habitant, splendidas istas & multis concupitas felicitates intellectus imperio subijciũt. accipiendo eas quoties vltro veniunt in rectum vsum, sed longe dissitas non accedendo, quippe qui vel sine his possunt felices euadere. Quisquis autem has è propinquo & vestigio sequitur, replet philosophiam opinionibus turpibus, & ideo turpitudinem retegere dicitur. Nónne in propatulo sunt probra istorum qui se vocant sapientes, dum sapientiam vili
D pretio tanquam sub hasta in foro venditant, nunc præsenti lucro exiguo, nunc blanditijs suauiloquis, nunc pollicitationibus quouis somnio vanioribus. Quod autem subiungitur, Ego Dominus, perpulchrè aptéque ad docendum dictum est. Quasi dicat: confer bone vir, bonum carnis cum bono animæ cæterarúmque rerum omnium. illud carnale bruta voluptas est. Hoc vero vniuersale diuina mens numẽque quod
E regit omnia. Bella collatio, quæ possit similitudine fallere: ac si quis animata cum inanimis, bruta cum rationalibus, congrua cum incongruis, paria cum imparibus, lucem cum tenebris, diem cum nocte, denique omnia contraria cum contrarijs conferat, & hæc prorsus eadem esse contendat. Atqui hæc tametsi cognationem quandam vt creata habeant, tamen Deus ne præstantissimæ quidem creaturæ similis est. quoniam quæuis creatura patitur, ille ingenitus est & semper agit.

Bonum sanè fuerit non deserere constitutum diuinitus ordinem, in quo res gerenda est fortiter: nec transfugere ad effœminatam fractámque voluptatem, cuius amicitia nocet, prodest inimicitia. mirificam enim habet naturam: quos suis bonis dignatur, eos mulctat continuò: quos vero his priuat, eos adiuuat maximè. Nocent enim eius munera, quæ mox ablata prosunt. Proinde ô anima, si quod voluptatis amatorium te inuitat poculum, declina ab eo & auersis oculis in genuinam natiuámque virtutis pulchritudinem, perge illam intueri, donec amore huius correpta, traharis tanquam à magnete, vt attracta cum adamata cohæreas. Cæterum hæ voces, Ego Dominus, non sic tantum accipi debent, ac si diceret, ego perfectum incorruptibile verúmque bonũ, quod quisquis complexus fuerit, spernet ista imperfecta carni hærentia: sed perinde quasi diceret, ego princeps, rex & Dominus. Nec subditis in principũ præsentia, nec seruis coram heris, tutum est inique agere. Cum enim præsto sunt castigatores, timor continet in officio, quos non admonet suum ingenium. Prope est enim Deus qui replet omnia: cuius conspectum ac præsentiam si non reueremur, certe inuictam potentiam, & seueritatem ineuitabilem metuendo continebimus nos à maleficio, reputantes quàm grauiter aliquando soleat animaduertere: ne sapientiæ spiritus diuinus à nobis demigret facile, sed quam longissimo apud nos perseueret tempore: quemadmodum apud Mosem illum sapientissimum. Nam hic vtitur pacatissimis habitibus & quietissimis, aut stans aut sedens, haudquaquam natus ad mutationes motúsque varios. Dicit enim: Moses & cista non mouebantur, siue quia vir sapiens nunquam à virtute separari potest, siue quia & virtus est immobilis, & vir probus immutabilis, quòd ambo in recta ratione stabiliantur. & rursum alibi: Tu vero hic sta mecum. oraculum enim hoc prophetæ redditum est, de statione quietéque immota apud Deum nunquam mobilem. Necesse est enim rectum fieri quicquid applicatur ad sanam regulam. Et hoc est cur mihi videtur nimius fastus cognomine Iothor, perculsus indeflexo sempérque sui simili proposito viri sapientissimi exclamare scitando in hunc modum: Cur tu sedes solus? Qui enim conside-

A καλὸν δὴ μὴ λιποτακτῆσαι μὲν τῆς τοῦ θεοῦ τάξεως, ἐν ᾗ τοὺς τεταγμένους πάντας ἀριστεύειν ἀνάγκη, αὐτομολῆσαι δὲ πρὸς τὴν ἄνανδρον καὶ κεκλασμένην ἡδονήν, ἣ βλάπτει μὲν τοὺς φίλους, ὠφελεῖ δὲ τοὺς ἐχθρούς. καινοτάτη γάρ τις αὐτῆς ἡ φύσις, οἷς μὲν ἂν ἐθελήσῃ τῶν οἰκείων ἀγαθῶν μεταδοῦναι, τούτους εὐθὺς ἐζημίωσεν· οἷς δ' ἂν ἀφελέσθαι, τὰ μέγιστα ὤνησε. βλάπτει μὲν γὰρ, ὅταν διδῷ, χαρίζεται δὲ ὅταν ἀφαιρῆται. ἐὰν οὖν

B ὦ ψυχὴ προσκαλῆταί σε τι τῶν τῆς ἡδονῆς φίλτρων, μετάκλινε σεαυτήν, καὶ ἀντιπαρεξάγουσα τὴν ὄψιν κάτιδε τὸ γνήσιον ἀρετῆς κάλλος, καὶ ὁρῶσα ἐπίμενον, ἄχρις ἂν ἵμερος ἐντακῇ σοι, καὶ ὡς σιδηρῖτις λίθος ἐπισπάσηταί σε, καὶ ἐγγὺς ἀγάγῃ καὶ ἐξαρτήσῃ τοῦ ποθουμένου. τὸ δὲ, Ἐγὼ κύριος, ἀκουστέον οὐ μόνον ἐν ἴσῳ τῷ, ἐγὼ τὸ τέλειον καὶ ἄφθαρτον καὶ πρὸς ἀλήθειαν ἀγαθόν, οὗ περιεχόμενός τις τὸ ἀτελὲς καὶ σαρκὶ ἠρτημένον ἀποστραφήσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ, ἐγὼ ὁ ἄρχων καὶ ὁ βασιλεὺς καὶ

C δεσπότης. οὔτε ὑπηκόοις παρόντων ἡγεμόνων, οὔτε δούλοις δεσποτῶν ἀδικεῖν ἀσφαλές. ἐγγὺς γὰρ ὅταν ὦσιν οἱ κολασταί, φόβῳ σωφρονίζονται οἱ ἐξ αὐτῶν μὴ πεφυκότες νουθετεῖσθαι. πάντα γὰρ πεπληρωκὼς ὁ θεός, ἐγγύς ἐστιν, ὥστε ἐφορῶντος καὶ πλησίον ὄντος μάλιστα μὲν αἰδεσθέντες, εἰ δὲ μὴ τοῦτο, εὐλαβηθέντες γοῦν, τὸ ἀκίνητον κράτος τῆς ἀρχῆς αὐτοῦ, καὶ τὸ φοβερὸν καὶ ἀπαραίτητον ἐν τῇ τιμωρίαις, ὁπότε τῇ κολαστηρίῳ χρῆσθαι δυνάμει διαγνωσθείη, ἠρεμήσομεν ἀδικοῦντες, ἵνα καὶ

D τὸ σοφίας πνεῦμα θεῖον μὴ ῥᾳδίως μετανάσταν οἴχηται, πάμπολυν δὲ χρόνον καταμείνῃ παρ' ἡμῖν. ἐπεὶ καὶ παρὰ Μωσεῖ τῷ σοφῷ· χρῆται γὰρ ἐκεῖνος ταῖς εἰρηνικωτάταις στάσεσιν ἢ ἑστὼς ἢ καθεζόμενος, ἥκιστα τροπαῖς τε καὶ μεταβολαῖς χρῆσθαι πεφυκώς. λέγει γὰρ, Ὁ Μωσῆς καὶ ἡ κιβωτὸς οὐκ ἐκινήθησαν· ἤτοι παρ' ὅσον ὁ σοφὸς ἀχώριστος ἀρετῆς, ἢ παρ' ὅσον οὔτε ἀρετὴ κινητόν, οὔτε σπουδαῖος μεταβλητόν, ἀλλ' ἑκάτερον ὀρθοῦ λόγου

E βεβαιότητι ἱδρυμένον· καὶ πάλιν ἐν ἑτέροις, Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ. λόγιον γάρ ἐστι τοῦτο χρησθὲν τῷ προφήτῃ, στάσις τε καὶ ἠρεμία ἀκλινὴς ἡ παρὰ τὸν ἀκλινῶς ἑστῶτα ἀεὶ θεόν. ἀνάγκη γὰρ ὑγιεῖ κανόνι τὰ παρατιθέμενα εὐθύνεσθαι. διὰ τοῦτό μοι δοκεῖ καὶ ὁ περισσὸς τῦφος ἐπίκλησιν Ἰοθὸρ καταπλαγεὶς τὴν ἀρρεπῆ καὶ ἰσοστάσιον καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν προαίρεσιν τοῦ σοφοῦ, σχετλιάζειν καὶ ἀναπυνθάνεσθαι τὸν τρόπον τοῦτον, Διὰ τί σὺ κάθησαι μόνος. ἰδὼν γάρ τις τὸν ἐν εἰρήνῃ

συνεχῆ πόλεμον οὐ κατὰ ἔθνη καὶ χώρας καὶ πόλεις αὐτὸ μόνον συνιστάμενον, ἀλλὰ καὶ κατ' οἰκίας, μᾶλλον δὲ καὶ καθ' ἕνα ἄνδρα ἕκαστον, καὶ τὸν ἐν ταῖς ψυχαῖς ἄλεκτον καὶ βαρὺν χειμῶνα, ὃς ὑπὸ βιαιοτάτης φορᾶς τῶν κατὰ βίον πραγμάτων ἀναρριπίζεται, τεθαύμακας εἰκότως, εἴ τις ἐν χειμῶνι εὐδίαν, καὶ ἐν κλύδωνι κυμαινούσης θαλάσσης γαλήνην ἄγειν δύναται. ὁρᾷς ὅτι οὐδὲ ὁ ἀρχιερεὺς λόγος ἐνδιατρίβειν ἀεὶ καὶ σχολάζειν ἐν τοῖς ἁγίοις δόγμασι δυνάμενος, ἄδειαν ἔσχηκε κατὰ πάντα καιρὸν πρὸς αὐτὰ φοιτᾶν, ἀλλ' ἅπαξ δι' ἐνιαυτοῦ μόλις; τὸ μὲν γὰρ μετὰ λόγου τοῦ κατὰ προφορὰν, οὐ βέβαιον, ὅτι δυάς· τὸ δὲ ἄνευ φωνῆς μόνῃ ψυχῇ τὸ ὂν θεωρεῖν, ἐχυρώτατον, ὅτι κατὰ τὴν ἀδιαίρετον ἵσταται μονάδα. ὥσπερ οὖν ἐν μὲν τοῖς πολλοῖς, τουτέστι τοῖς πολλὰ τοῦ βίου τέλη προτεθειμένοις, οὐ καταμένει τὸ θεῖον πνεῦμα, κἂν πρὸς ὀλίγον χρόνον ἀναστραφῇ, μόνῳ δὲ ἀνθρώπων εἴδει ἑνὶ παραγίνεται, ὃ πάντα ἀπαμφιασάμενον τὰ ἐν γενέσει, καὶ τὰ ἐσώτατα καταπετάσματα καὶ προκαλύμματα τῆς δόξης, ἀνειμένῃ καὶ γυμνῇ τῇ διανοίᾳ πρὸς θεὸν ἀφίξεται· οὕτω καὶ Μωϋσῆς ἔξω τῆς παρεμβολῆς καὶ τοῦ σωματικοῦ παντὸς στρατοπέδου, πήξας τὴν ἑαυτοῦ σκηνήν, τουτέστι τὴν γνώμην ἱδρυσάμενος ἀκλινῆ, προσκυνεῖν τὸν θεὸν ἄρχεται, καὶ εἰς τὸν γνόφον τὸν ἀειδῆ χῶρον εἰσελθών, αὐτοῦ καταμένει, τελούμενος τὰς ἱερωτάτας τελετάς. γίνεται δὲ οὐ μόνον μύστης, ἀλλὰ καὶ ἱεροφάντης ὀργίων, καὶ διδάσκαλος θείων, ἃ τοῖς ὦτα κεκαθαρμένοις ὑφηγήσεται. τούτῳ μὲν οὖν τὸ θεῖον ἀεὶ παρίσταται πνεῦμα, πάσης ὀρθῆς ἀφηγούμενον ὁδοῦ· τῶν δὲ ἄλλων, ὡς ἔφην, τάχιστα ἀναζεύγνυται, ὧν καὶ τὸν βίον ἐν εἴκοσι καὶ ἑκατὸν ἐτῶν ἀριθμῷ πεπλήρωκε. λέγει γάρ, Ἔσονται αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσιν· ἀλλὰ καὶ Μωϋσῆς τὸν ἴσον γενόμενος ἐτῶν, τοῦ θνητοῦ βίου μετανίσταται. πῶς οὖν εἰκὸς ἰσοχρονίους εἶναι τοὺς ὑπαιτίους τῷ πανσόφῳ προφήτῃ. εἰς μὲν οὖν τὸ παρὸν ἀρκέσει τοῦτο εἰπεῖν, ὅτι τὰ ὁμώνυμα οὐ πάντως ἐστὶν ὅμοια· πολλάκις δὲ καὶ γένει ὅλῳ διέζευκται, καὶ τὸ φαῦλον τῷ σπουδαίῳ δύναται μὲν καὶ ἀριθμοὺς καὶ χρόνους ἔχειν τοὺς ἴσους· ἐπεὶ καὶ δίδυμον εἰσάγεται· ἀπηρτημένας δὲ καὶ μακρὰν ἀλλήλων διῳκισμένας τὰς δυνάμεις. τὸν δὲ ἀκριβῆ λόγον τῶν εἴκοσι καὶ ἑκατὸν ἐτῶν ὑπερθησόμεθα εἰς τὴν τοῦ προφητικοῦ βίου παντὸς ἐξέτασιν, ὅταν αὐτὸν ἱκανοὶ γενώμεθα μυεῖσθαι· νυνὶ δὲ τὰ ἑξῆς λέγωμεν· Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις.

A rat in media pace bellum continuum, non inter gentes, regna, ciuitatésque, subinde nascens, sed in singulis domibus, imò singulis hominibus, merito miratur posse aliquem frui serenitate in hieme, & tranquillitate in fluctibus. Vides quòd ne ratio quidem summa sacerdos, quæ semper immoratur & vacat sanctis dogmatibus, omni tempore habet ea visendi licentiam, sed vix semel annis singulis? Quicquid enim effertur sermo-
B ne, non est in tuto, cum ad duos pertineat. Quando autem sine voce anima sola contemplatur eum Qui est, res est securissima, constabilita in vnitate indiuisibili. Quemadmodum igitur in multis, id est multos vitæ fines sibi proponentibus, Dei spiritus non permanet, etiamsi apud eos versetur ad tempus exiguum, sed vni tantum generi præsens est, quod exutum natiuis affectibus, intra velum quo opiniones excluduntur penetrat ad Deum
C expeditis nudísque cogitationibus: sic & Moses extra castra totius corporalis exercitus fixo sibi tentorio, id est mente erecta & in nullam partem proclinante, adorare Deum incipit: ingressúsque caliginem loci non conspicui, manet illic, & initiatur mysterijs sanctissimis. Nec hoc contentus etiam alios his orgijs initiat, doctor rerum diuinarum, quas interpretatur purgatis auribus. huic certe semper adest Dei spiritus, in omnem
D rectam viam deducens. ab alijs, vt iam dixi, discedit ocissime, quibus & vitæ præfiniuit terminum. dicit enim: Erunt dies eorum anni centum viginti. sed Moses quoque post expletum hunc annorum numerum è mortali vita demigrat. & qui potest æquum videri, vt noxij pares fiant ætate vati tam sapienti? In præsentia hoc solum sat erit dicere, quæ nomine communicant non omnino esse si-
E milia. interdum etiam diuersa toto genere, vt vile ac probatum possint esse paria vel numero vel tempore: quando inducuntur & in geminis: cæterum vires habent distantissimas inter se diuersissimásque. diligentiorem autem disputationem de CXX annis differemus quovsque propheticam vitam totam examinabimus, vbi ad eius mysteria fuerimus idonei. nunc sequamur textus ordinem. Gigantes autem erant in terra diebus illis.]

Aliquis forte putat quæ poetæ de gigantibus fabulantur hic legislatorem subindicare, cum hæc immensum distent à fabulis, & ipsis veritatis inhæreant vestigijs. Ideo laudatas elegantésque artes picturam atque statuariam è sua republica reiecit, quòd veritatem mendacijs vitient, illudentes per oculos animabus facilibus & credulis. Nullam igitur de gigantibus affert fabulam: sed illud te docere vult, alios esse terræ, alios cæli, alios Dei homines. Terræ quidem eos qui venantur voluptates corporis, & harum vsumfructum, quærendo vndecunque singularum materiam. Cæli autem eos qui tenent artes ac scientias, aut eas sectantur. Quod enim nostri cæleste est, mens est: quæ & motus cæli considerat, & in reliquis exercet se artibus liberalibus, acumen intelligendis huiusmodi rebus sibi comparans. Dei vero homines sacerdotes & prophetæ sunt, quorum maior est dignitas, quàm vt se misceant humanæ reipublicæ, & mundi ciues sint: sed sublimiores omnibus rebus sensibilibus, migrarunt in mundum intelligibilem, ibi sortiti domicilium, ascripti reipublicæ idearum incorporearum & incorruptibilium. Proinde Abraham quam diu hærebat in Chaldæorum terra opinionéque, & nondum mutato nomine vocabatur Abram, homo cæli erat, sublimis æthereæque naturæ scrutator, in effectibus corúmque causis & id genus alijs philosophando: ex quo studio & appellationem præsentem sibi quæsiuit. Abram enim interpretatur pater sublimis, nomen conueniens consideranti sublimia cælestiáque intellectui, præsertim cum concretæ huius naturæ nostræ pater sit intellectus pertingens ad ætherem & vlterius. Sed quando iam seipso melior nomen mutaturus est, fit homo Dei, iuxta redditum sibi oraculum, Ego sum Deus tuus. da operam vt mihi te approbes, & esto inculpabilis. Quod si vnus totius mundi Deus, ob priuatum affectum dicitur huius viri Deus, necessario ipse quoque Dei est. Interpretatur enim Abraham pater electus soni, id est intellectus probi viri. est enim electus, purgatus, & pater vocis qua consonamus. talis autem vni Deo dedicatur, cuius assecla factus, totius suæ vitæ semitam dirigit,

A ἴσως τις τὰ παρὰ τοῖς ποιηταῖς μεμυθευμένα περὶ τῶν γιγάντων οἴεται τὸν νομοθέτην αἰνίττεσθαι, πλεῖστον ὅσον ἀφεστηκότα τοῦ μυθοπλαστεῖν, καὶ τοῖς τῆς ἀληθείας ἴχνεσιν αὐτῆς ἐπιβαίνειν ἀξιοῦντα. παρ' ὃ καὶ τὰς δοκίμους καὶ γλαφυρὰς τέχνας ζωγραφίαν καὶ ἀνδριαντοποιΐαν ἐκ τῆς καθ' αὑτὸν πολιτείας ἐξήλασεν, ὅτι τὴν τοῦ ἀληθοῦς ψευδόμεναι φύσιν, ἀπάτας καὶ σοφίσματα δι' ὀφθαλμῶν ψυχαῖς εὐπαραγώγοις τεχνιτεύουσι. μῦθον μὲν οὖν οὐδένα περὶ γιγάντων εἰσηγεῖται. παραστῆναι
B βούλεται δὲ ἐκεῖνό σοι παραστῆσαι, ὅτι οἱ μὲν γῆς, οἱ δὲ οὐρανοῦ, οἱ δὲ θεοῦ γεγόνασιν ἄνθρωποι. γῆς μὲν οἱ θηρευτικοὶ τῶν σώματος ἡδονῶν, ἀπολαύειν τε καὶ χρῆσθαι ἐπιτηδεύοντες αὐτῶν, καὶ πορισταὶ τῶν συντεινόντων εἰς ἑκάστην. οὐρανοῦ δὲ, ὅσοι τεχνῖται καὶ ἐπιστήμονες καὶ φιλομαθεῖς. τὸ γὰρ οὐράνιον τῶν ἐν ἡμῖν, ὁ νοῦς. νοῦς δὲ καὶ τῶν κατ' οὐρανὸν ἑκάστων, τὰ ἐγκύκλια καὶ τὰς ἄλλας ἁπαξαπάσας ἐπιτηδεύει τέχνας παραθήγων καὶ ἀκονῶν, ἐπί
C τε γυμνάζων καὶ συγκροτῶν ἐν τοῖς νοητοῖς αὐτόν. θεοῦ δὲ ἄνθρωποι ἱερεῖς καὶ προφῆται, οἵτινες οὐκ ἠξίωσαν πολιτείας τῆς παρὰ τῷ κόσμῳ τυχεῖν, καὶ κοσμοπολῖται γενέσθαι· τὸ δὲ αἰσθητὸν πᾶν ὑπερκύψαντες, εἰς τὸν νοητὸν κόσμον μετανέστησαν, κἀκεῖ τι ᾤκησαν, ἐγγραφέντες ἀφθάρτων ἀσωμάτων ἰδεῶν πολιτείᾳ. ὁ γοῦν Ἀβραὰμ μέχρι μὲν διέτριβεν ἦν ἐν τῇ Χαλδαίων γῇ τε καὶ δόξῃ, πρὶν ἢ μετονομασθῆναι καλούμενος Ἀβρὰμ, ἄνθρωπος οὐρανοῦ, τήν τε μετάρ-
D σιον καὶ τὴν αἰθέριον φύσιν διερευνῶν, καὶ τά τε συμβαίνοντα, καὶ τὰς αἰτίας, καὶ εἴ τι ἄλλο ὁμοιότροπον φιλοσοφῶν, οὗ χάριν καὶ προσρήσεως οἷς ἐπετετήδευκε τετύχηκεν οἰκείας. Ἀβρὰμ γὰρ ἑρμηνευθεὶς πατήρ ἐστι μετέωρος, ὄνομα τοῦ τὰ μετέωρα καὶ ἐπουράνια περισκοπουμένου πάντοθεν νοῦ, πατὴρ δὲ τοῦ συγκρίματος ὁ νοῦς ἐστιν ὁ ἄχρις αἰθέρος καὶ ἔτι προσωτέρω μηκυνόμενος. ὅταν δὲ βελτιωθεὶς μέλλῃ μετονομάζεσθαι, γίνεται ἄν-
E θρωπος θεοῦ, κατὰ τὸ χρησθὲν αὐτῷ λόγιον, Ἐγώ εἰμι ὁ θεός σου· εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος. Εἰ δ' ὁ τοῦ κόσμου θεὸς καὶ μόνος ὢν θεὸς, καὶ αὐτοῦ κατὰ χάριν ἐξαίρετον ἴδιος θεός, ἐξ ἀνάγκης δήπου καὶ αὐτὸς θεοῦ. καλεῖται γὰρ πατὴρ ἐκλεκτὸς ἠχοῦς ἑρμηνευθεὶς Ἀβραὰμ, ὁ τοῦ σπουδαίου λογισμός. ἐπιλελεγμένος τε γὰρ καὶ κεκαθαρμένος, καὶ πατὴρ φωνῆς ᾗ συνηχοῦμεν. ὁ δὲ τοιοῦτος τῷ ἐπὶ μόνῳ προσκεκλήρωται θεῷ, οὗ γενόμενος ὀπαδὸς εὐθύνει τὴν ἀτραπὸν τοῦ παντὸς βίου,

A βασιλικῇ χρώμενος τῇ ὄντι ὁδῷ τῇ τοῦ μόνου βασιλέως καὶ παντοκράτορος, ἐπὶ μηδέτερα ἀποκλίνων καὶ ἐκτρεπόμενος. οἱ δὲ γῆς παῖδες τὸν νοῦν ἐξοκείλαντες τοῦ λογίζεσθαι, καὶ μεταβαλόντες εἰς τὴν ἄψυχον καὶ ἀκίνητον σαρκῶν φύσιν· ἐγένοντο γὰρ οἱ δύο εἰς σάρκα μίαν, ἥ φησιν ὁ νομοθέτης· τὸ ἄριστον ἐκιβδήλευσαν νόμισμα, καὶ τὴν μὲν οἰκείαν καὶ ἀμείνω τάξιν ἔλιπον, πρὸς δὲ τὴν χείρω καὶ ἐναντίαν ηὐτομόλησαν, ἄρξαντος τοῦ ἔργου Νεβρώδ. λέγει γὰρ ὁ νομοθέτης, ὅτι οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς. ἑρμηνεύεται δὲ Νεβρὼδ αὐτομόλησις. οὐ γὰρ ἐξήρκεσε τῇ παναθλίᾳ ψυχῇ μηδετέρων στῆναι, ἀλλὰ προσχωρήσασα τοῖς ἐχθροῖς, ὅπλα κατὰ τῶν φίλων ἤρατο, καὶ φανερῶς ἀντιστᾶσα αὐτοῖς ἐπολέμει· παρὸ καὶ τὴν ἀρχὴν τῷ Νεβρὼδ τῆς βασιλείας ὑπογράφει Βαβυλών, μετάθεσις δὲ καλεῖται Βαβυλών, συγγενὴς αὐτομολίᾳ, καὶ ὄνομα ὀνόματι, καὶ ἔργῳ ἔργον. παντὸς γὰρ αὐτομολοῦντος προοίμια, γνώμης μεταβολὴ καὶ μετάθεσις. ἀκόλουθον ἂν εἴη λέγειν, ὅτι κατὰ τὸν ἱερώτατον Μωσέα ὁ μὲν φαῦλος, ὥσπερ ἄοικος καὶ ἄπολις καὶ ἀνίδρυτος καὶ φυγάς, οὕτω καὶ αὐτόμολος· ὁ δὲ σπουδαιότατος, βεβαιότατος σύμμαχος. τοσαῦτα εἴς γε τὸ παρὸν ἀρκούντως περὶ τῶν γιγάντων εἰρηκότες, ἐπὶ τὰ ἀκόλουθα τοῦ λόγου τρεψόμεθα. ἔστι δὲ ταῦτα.

incedens per viam vere regiam, scilicet omnipotentis regis vnici, in neutrum latus declinans & digrediens. at filij terræ mente sua exorbitantes, & puteos fodientes in inanima immobilique natura carnium (facti sunt duo in carnem vnam, inquit legislator) adulterauerunt nomisma optimum, desertóque meliore ordine suo, ad deteriorem contrariúmque transfugerunt, Nebrod huius facti principe. Dicit enim legis-
B lator, Hic cœpit esse gigas super terram. interpretatur autem Nebrod transfugium. Non enim satis erat miserrimæ animæ neutrarum esse partium, sed accedens ad hostes arma sumpsit contra socios, & apertum his bellum intulit. Ideo Nebrodis regnum fuisse traditur Babylon, id est transpositio, eadem res quæ transfugium, pari cognatione rerum ac no-
C minum. Quisquis enim molitur transfugere, mentem mutat & transponit. Consequens igitur est iuxta Mosem sanctissimum, malum virum esse non modo extorrem & exulem, sed etiam transfugam: bonum vero, constantissimum socium. Hactenus de gigantibus dixisse contenti, transeamus ad sequentia. Sunt autem hæc.

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΑΤΡΕΠΤΟΝ ΤΟ ΘΕΙΟΝ.

PHILONIS IVDÆI, QVOD DEVS SIT IMMVTABILIS.

ΚΑΙ μετ' ἐκεῖνο, φησίν, ὡς ἂν εἰσεπορεύοντο οἱ ἄγγελοι τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν αὑτοῖς. ἐκεῖνο ἄξιον σκέψασθαι τίνα ἔχει λόγον τὸ μετ' ἐκεῖνο. ἔστι τοίνυν ἀναφορὰ δηλοῦσά τι τῶν προειρημένων ἐναργέστερον· προείρηται δὲ περὶ θείου πνεύματος, ὃ καταμεῖναι μέχρι τοῦ παντὸς αἰῶνος ἐν πολυσχιδεῖ καὶ πολυμόρφῳ ψυχῇ, σαρκῶν ὄχλον βαρύτατον ἄχθος ἀνημμένῃ, δυσεργότατον εἰπεῖν ἐστι. μετ' ἐκεῖνο δὴ τὸ πνεῦμα οἱ

D POSTEA, inquit, cum ingressi essent angeli Dei ad filias hominum, illæ genuerunt eis.] Quærendum quid sibi velit illud postea. Est relatio, indicans aliquid ex præcedentibus. Præcessit autem
E mentio de diuino spiritu, quem permanere seculis omnibus in multifaria multiformíque anima, induta ponderosissimis carnibus, dictu est perdifficile. Post illum spiritum angeli ad fi-

lias hominum ingrediuntur. Etenim quantisper anima illustratur purissimis intelligentiæ radijs, per quos Deum & eius potentias videt sapiens, nullus nequam angelus subintrat cogitationem, sed extra locum aspersione lustratum omnes excluduntur. vbi vero hebetatum mentis lumen fit opacius, illi tenebrarum amici arrepta occasione fortuita, cum affectionibus effœminatis, quæ hic vocantur filiæ hominum, congressi gignunt sibi, non Deo. Quod enim proprie Deo gignitur, virtutes sunt integræ: sicut deprauata vitia ad cognationem malorum pertinent. Proinde disce si vis, ô mens, non tibi ipsi gignere, exemplo Abrahami perfectissimi, qui dilectum, vnigenitum, animæ germanum filium, effigiem à seipsa doctæ sapientiæ, nomine Isaac offert Deo, & reddit magna cum alacritate, quasi necessariam debitámque gratiam, vinctum pedibus, vt ait lex, & noui generis victimam: siue quia iam nihil mortale Deo destinatus calcare dignabatur: siue quia vidit creaturam esse instabilem, postquam cognouit firmitatem eius Qui est certissimam, cui credidisse dicitur. Huic successit Anna ipsius discipula, donum diuinæ sapientiæ. interpretatur enim hoc nomen gratia. Hæc enim diuino semine grauida, vbi perfectum pariendi tempus aduenit, enixa est morem Deo sacratum, cui faustum nomen imposuit Samuel, quod interpretatur ordinatus Deo. móxq; acceptũ datori reddidit, nullum suum proprium bonum iudicans, nisi ex diuina gratia. Sic enim in primo Regnorum ipsa loquitur: Do tibi eum donum. ac si dicat eum qui donum est, id est dono gratuito acceptum tibi do: iuxta illud dictum Mosis sanctissimi: Dona mea, munera mea, sacrificia mea seruabitis offerre mihi. Cui enim gratia debetur nisi Deo? aut quomodo ei referetur, nisi per hæc ipsa quæ accepimus? nec enim aliunde licet capere. Qui nullius indigus offerri sibi postulat propter summam suam erga genus nostrum benignitatem: vt per studium cultus diuini & gratiarum actionis puri fiamus ab iniquitatibus, & abstergamus vitæ sordes contractas vel verbis vel operibus. Est enim stultitia, cum templa non subeas nisi corpore à balneis nitido, vota sacráque facere mente impura contaminatáque. atqui templa è saxorum lignorúmque inanima cõstant materia.

A ἄγγελοι πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων εἰσίασιν. ἕως μὲν γὰρ ἐλλάμπουσι τῇ ψυχῇ καθαραὶ φρονήσεως αὐγαί, δι᾽ ὧν τὸν θεὸν καὶ τὰς αὐτοῦ δυνάμεις ὁρᾷ ὁ σοφός, οὐδεὶς τῶν ψευδαγγελούντων ἐπεισέρχεται τῷ λογισμῷ, ἀλλ᾽ ἔξω περιρραντηρίων ἅπαντες εἴργονται· ὅταν δὲ ἀμυδρωθὲν ἐπισκιασθῇ τὸ διανοίας φῶς, οἱ τοῦ σκότους ἑταῖροι παρευημερήσαντες, πάθεσι τοῖς κατεαγόσι καὶ τεθηλυμμένοις, ἃς θυγατέρας εἴρηκεν ἀνθρώπων, συνέρχονται καὶ γεννῶσιν ἑαυτοῖς, οὐ τῷ θεῷ. τὰ μὲν γὰρ οἰ- B κεῖα τῷ θεῷ γεννήματα, αἱ ὁλόκληροι ἀρεταί. τὰ δὲ συγγενῆ τῶν φαύλων αἱ ἀνάρμοστοι κακίαι. μάθε δή, εἰ θέλεις, ὦ διάνοια, τὸ μὴ ἑαυτῇ γεννᾶν, οἷόν ἐστι, παρὰ Ἀβραὰμ τοῦ τελείου, ὃς τὸ ἀγαπητὸν καὶ μόνον τῆς ψυχῆς ἔγγονον γνήσιον, τῆς αὐτομαθοῦς σοφίας εἰκόνα ἐναργεστάτην ἐπίκλησιν Ἰσαὰκ ἀνάγει θεῷ, καὶ ἀποδίδωσι μετὰ πάσης εὐθυμίας ἀναγκαῖον καὶ ἁρμόττον χαριστήριον, συμποδίσας, ὥς φησιν ὁ νόμος, τὸ καινουργηθὲν ἱερεῖον· ἤτοι παρ᾽ ὅσον ἐπ᾽ οὐδενὸς θνητοῦ βαίνειν ἅπαξ ἐπιθειάσας ἠξίου, C ἢ παρ᾽ ὅσον ἀνίδρυτον καὶ ἄστατον κατεῖδε τὴν γένεσιν, ὅτε τὴν περὶ τὸ ὂν ἀνενδοίαστον ἔγνω βεβαιότητα, ᾗ λέγεται πεπιστευκέναι. ταύτου γὰρ μαθητρὶς καὶ διάδοχος Ἄννα ἡ τοῦ θεοῦ δώρημα σοφίας. ἑρμηνεύεται γὰρ χάρις αὐτή. ἐπειδὴ γὰρ ἐγκύμων ἐγένετο παραδεξαμένη θείας γονάς, καὶ τὰς τελεσφόρους ἐγεννήσατο ὠδῖσι, τὸν τεταγμένον ἐν τῇ τοῦ θεοῦ τάξει τρόπον ἀποκυήσασα, ὃν ἐφήμισε Σαμουήλ· καλεῖται δ᾽ ἑρμηνευθεὶς, τεταγμένος θεῷ· λαβοῦσα D ἀνταποδίδωσι τῷ δόντι, μηδὲν ἴδιον ἑαυτῆς κρίνουσα ἀγαθόν, ὃ μὴ χάρις ἐστὶ θεία. λέγει γὰρ ἐν τῇ πρώτῃ τῶν βασιλειῶν αὕτη τὸν τρόπον τοῦτον, Δίδωμί σοι αὐτὸν δοτόν, ἐν ἴσῳ τῷ δοτὸν ὄντα, ὥστ᾽ εἶναι, τὸν δεδομένον δίδωμι, κατὰ τὸ ἱερώτατον Μωσέως γράμμα τοῦτο, Τὰ δῶρά μου, δόματά μου, καρπώματά μου διατηρήσετε προσφέρειν ἐμοί. τίνι γὰρ εὐχαριστητέον ἄλλῳ, πλὴν θεῷ; διὰ τίνων δέ, ἢ διὰ τῶν ὑπ᾽ αὐτοῦ δοθέντων. οὐδὲ γὰρ ἄλλων εὐπορῆσαι δυνατόν. χρεῖος δ᾽ οὐδενὸς ὢν κελεύει προσφέρειν E αὐτῷ δι᾽ ὑπερβολὴν τῆς πρὸς τὸ γένος ἡμῶν εὐεργεσίας. μελετήσαντες γὰρ εὐχαριστικῶς ἔχειν καὶ τιμητικῶς αὐτοῦ, καθαρευσόμεθα, ἀδικημάτων ἐκνιψάμενοι τὰ καταρρυπαίνοντα τὸν βίον, ἔν τε λόγοις καὶ ὀνείδεσι καὶ ἔργοις. καὶ γὰρ εὔηθες, εἰς μὲν τὰ ἱερὰ μὴ ἐξεῖναι βαδίζειν, ὃς ἂν μὴ πρότερον λουσάμενος φαιδρύνηται τὸ σῶμα, εὔχεσθαι δὲ καὶ θύειν ἐπιχειρεῖν ἔτι κεκηλιδωμένῃ καὶ πεφυρμένῃ διανοίᾳ. καίτοι τὰ μὲν ἱερὰ λίθων καὶ ξύλων ἀψύχου τῆς ὕλης πε-

πάλιν)· καθ' αὐτὸ δὲ τὸ σῶμα ἄψυχον ἀψύχων οὐ προσάψεται, μὴ περιρραντηρίοις καὶ καθαρσίοις ἁγνευτικοῖς χρησάμενον· ὑπομενεῖ δέ τις τῷ θεῷ προσελθεῖν ἀκάθαρτος ὢν ψυχὴν ὁ ἑαυτοῦ, τῷ καθαρωτάτῳ, καὶ ταῦτα μὴ μέλλων μετανοήσειν. ὁ μὲν γὰρ πρὸς τῷ μηδὲν ἐπεξεργάσασθαι κακὸν, καὶ τὰ παλαιὰ ἐκνίψασθαι δικαιώσας, γεγηθὼς προσίτω· ὁ δ' ἄνευ τούτων δυσκάθαρτος ὤν, ἀφιστάσθω. λήσεται γὰρ οὐδέποτε τὸν τὰ ἐν μυχοῖς τῆς διανοίας ὁρῶντα, καὶ τοῖς ἀδύτοις αὐτῆς ἐμπεριπατοῦντα. τῆς μέντοι θεοφιλοῦς ψυχῆς δεῖγμα ἐναργέστατόν ἐστι καὶ τὸ ᾆσμα, ἐν ᾧ περιέχεται τό, Στεῖρα ἔτεκεν ἑπτά, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε. καίτοι γε ἑνός ἐστι μήτηρ τοῦ Σαμουὴλ ἡ λέγουσα. πῶς οὖν ἑπτὰ τετοκέναι φησίν, εἰ μή τις μονάδα ἑβδομάδι τὴν αὐτὴν φυσικώτατα νομίζοι, οὐ μόνον ἐν ἀριθμοῖς, ἀλλὰ καὶ ἐν τῇ τοῦ παντὸς ἁρμονίᾳ, καὶ ἐν τοῖς τῆς ἐναρέτου λόγοις ψυχῆς. ὁ γὰρ τεταγμένος θεῷ μόνῳ Σαμουήλ, ἄλλῳ δὲ τὸ παράπαν συνὼν μηδενί, κατὰ τὸ ἓν καὶ τὴν μονάδα τὸ ὄντως ὂν κεκόσμηται. αὕτη δ' ἡ κατάστασίς ἐστιν ἑβδομάδος, ἀναπαυομένης ἐν θεῷ ψυχῆς, καὶ περὶ μηδὲν τῶν θνητῶν ἔργων ἔτι πονουμένης, κατὰ τὴν ἀπόλειψιν ἑξάδος, ἣν ἀπένειμε τοῖς τὰ πρωτεῖα λαβεῖν μὴ δυνηθεῖσι, δευτερείων δ' ἐξ ἀνάγκης μεταποιουμένοις. τὴν μὲν οὖν στεῖραν οὐ τὴν ἄγονον, ἀλλὰ τὴν στερρὰν καὶ ἔτι σφριγῶσαν, τοὺς διὰ καρτερίας καὶ ἀνδρείας καὶ ὑπομονῆς ἐπὶ κτῆσιν τοῦ ἀρίστου διαθλοῦσαν ἄθλους, ἑβδομάδα τὴν ἰσότιμον μονάδι τίκτειν εἰκός, ὧν εὔτοκος καὶ εὔπαις ἡ φύσις· τὴν δὲ πολλὴν ἀσθενεῖν ἐν τέκνοις εἶπεν, ἀψευδῶς τε σφόδρα ἐναργῶς. ὅταν γὰρ μία οὖσα ψυχὴ πολλὰ ὠδίνῃ τοῦ ἑνὸς ἀποστᾶσα, μυρία κατὰ τὸ εἰκὸς γεννᾷ· κάμπτεται πλήθει τέκνων ἐξηρτημένων βαρυνομένη τε πιεζομένη, ἔστι δὲ ἠλιτόμηνα τε ἀμβλωθρίδια τὰ πλεῖστα αὐτῶν, ἐξασθενεῖ. τίκτει μὲν γὰρ τὰ πρὸς σχήματα καὶ χρώματα, δι' ὀφθαλμῶν ἐπιθυμίας· τίκτει δὲ τὰ πρὸς φωνάς, δι' ὤτων· ἐγκύμων δ' ἐστί, καὶ τῶν γαστρὸς καὶ τῶν ὑπ' αὐτήν. ὥστε πολλῶν ἐκκρεμαμένων ἐξ ἀνάγκης βαρύτατον ἄχθος φέρουσα ἀπείρηκε, καὶ χεῖρας ὑπ' ἀσθενείας καθεῖσα ἀπολέγεται. τοῦτο μὲν δὴ τὸ πάθος συμβαίνει πᾶσιν, ὅσοι φθαρτοὶ ἑαυτοῖς φθαρτὰ γεννῶσιν. ἔνιοι δ' οὐχ ἧτταν μόνον, ἀλλὰ καὶ θάνατον ὑπὸ φιλαυτίας ἀνεδέξαντο. ὁ γοῦν Αὐνὰν αἰσθόμενος ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, οὐ πρότερον ἐπαύσατο τὸ λογικὸν ὅπερ ἄριστον τῶν ὄντων γένος ἐστί, διαφθείρων, ἕως καὶ αὐτὸς ἀνεδέξατο φθορὰν παντελῆ.

A Et cum nefas sit corpus suapte natura inanime inanima tangere: ferendum videtur, vt Deum purissimum accedat quis impurã habens animam, nisi mox sequatur pœnitentia? Quisquis enim nullius præteriti peccati sibi conscius, etiam vetera conatur eluere, accedat bono animo. sin minus, absistat cum impurus sit. non poterit enim fallere perspicientem mentis sinus intimos, & inambulantem in eius penetralibus. Cæterum animam Deo caram pulchre des-
B cribit etiam illud canticum: Sterilis peperit septem, fœcunda vero defecit. Atqui vnius Samuelis mater est quæ hæc dicit. & quomodo ait septem se peperisse, nisi quis vnitatis & septenarij naturam eandem existimat, non solum in numeris, sed & in mundi totius harmonia, & in animæ probæ rationibus. Samuel enim in solius Dei ministrorum ordinem ascitus, nemini præterea seruiens, ab vno & ente honestatur. qui
C status est septenarij, animæ in Deo requiescentis, & nullis mortalibus occupatæ negotijs: quando excedit senarium, qui attributus est primatum assequi non valentibus, & in secundo gradu consistere necesse habentibus. sterilem igitur non iam effœtam, sed etiam nũc vigentem, in fortitudinis tolerantiæque studio decertantem ob opimum præmium, credibile est septenarium vnitati honore parem parere, quorum numerorum fœcunda & prolifica natura est. fœcundam vero illam ait desisse
D gignere liberos, idque vere ac euidenter. quando enim anima cum sit vnica multos parit ab vno illo disiuncta, merito fit numerosissima. deinde grauata oppressáque multitudine natorum à se pendentium, quorum plerique immaturi abortiuique sunt, viribus deficit. parit enim quicquid ad formas coloréſque pertinet, per oculorũ concupiscentiam: quicquid ad voces, per aurium. prægnans fit etiam ex ventris & eorum
E quæ sub ventre sunt desiderijs. itaque grauata natorum ex se pendentium tanto numero, manibus præ languore demissis deficit. ad quem modum vinci contingit omnibus, qui corruptibiles ipsi gignunt sibi corruptibilia. nonnulli vero non solum vinci, sed & mori sustinent, nimis amori sui dediti. Vt ille Annan, qui sentiẽs semen sibi non profuturum, non prius desijt rationale genus in rebus præstantissimum corrumpere, quàm ipse totus perijt.

A & merito. Nam si omnes omnia sui causa facturi sunt, nihil parentum honorem, liberorum disciplinam, patriæ salutem, legum incolumitatem, gentium constitutionem, non vllum priuatum publicúmve officium, non sacrorum ceremonias, non pietatem erga Deum curando, erunt infortunatissimi. nam vnumquodque ex his quæ diximus, vel periculo vitæ redimendum est. at isti hæc cuncta expetenda tantopere, facile contemnunt, B si nihil voluptatis afferant. Quapropter Deus iustus iudex hanc immanem opinionem quæ nominatur Onan tollit è medio. nec minus abominandi sunt omnes qui sibijpsis generant, id est qui proprium tantum vtilitatem captant contemptis cæteris, tanquam sibi solis nati, non item innumeris alijs, patri, matri, vxori, liberis, humano generi: & hoc amplius, si dicere fas est, cælo, terræ, vniuerso mundo, scientijs, virtutibus, C patri ac rectori vniuersorum, quorum singulis quantum licet reddendum est debitum officium: & sic cogitandum cuique, non propter ipsum facta esse cætera, sed ipsum esse auctarium rerum omnium. Verùm de his satis, contexamus sequentia. Videns Dominus Deus quòd multa malicia hominum esset in terra, & omnis eorum intentio prona esset ad malum toto vitæ tempore, recogitauit Deus quòd hominem fecisset in terra. dixitque Deus D intra se: Delebo hominem quem creaui à facie terræ.] Non deerunt fortassis nefarij quidam qui suspicabuntur legislatorem subindicare, pœnituisse opificem creati hominis, visa tanta impietate, voluisséque hac de causa vniuersum id genus extinguere. Hi sciant se istiusmodi opinione subleuare ac extenuare peccata priscorum hominum, si conferantur cum ipsorum impietate. Quod enim potest E esse grauius erratum contra Deum, quàm credere mutari eum cum sit immutabilis? quamuis quidam opinantur, ne homines quidem veros ambigere incertis sententijs. nam sinceros philosophos hunc præcipuum ex sua scientia fructum decerpere, quod non mutantur vnà cum negotijs, sed indeflexa constantia se adaptant rebus omnibus. Quin & legislator probat hoc tranquillitatis studium. dictum enim illud ad sapientem ex persona Dei:

σφόδρα ὀρθῶς καὶ προσηκόντως. εἰ γὰρ ἅπαντα πράξουσί τινες αὑτῶν ἕνεκα, μὴ γονέων τιμῆς, μὴ παίδων εὐκοσμίας, μὴ σωτηρίας πατρίδος, μὴ νόμων φυλακῆς, μὴ ἐθνῶν βεβαιότητος, μὴ ἰδίων, μὴ κοινῶν ἐπανορθώσεως, μὴ ἱερῶν ἁγιστείας, μὴ τῆς πρὸς θεὸν εὐσεβείας ἐπιστρεφόμενοι, κακοδαιμονήσουσιν. ἑνὸς γὰρ ὧν εἶπον χάριν, αὐτίκα καταλλάξασθαι καὶ αὐτὸ τὸ ζῆν εὐκλεές. οἱ δ' ἄρα καὶ ἀθρόων τῶν οὕτω περιμαχήτων φασίν, εἰ μή τινα ἡδονὴν μέλλοι περιποιεῖν, καταλιγωρήσειν. τοιγάρτοι, πονηρὰν εἰσηγησάμενον ὁ ἀδέκαστος θεὸς ἐκ φύλου δόγματος ἐπίκλησιν Αυναν, ἐκ ποδῶν ποιεῖ. ἀμήχανον πραγματεύονται δὲ πάντες οἱ γεννῶντες αὑτοῖς. τοῦτ' ἔστιν, ὅσοι τὸ ἴδιον λυσιτελὲς μόνον θηρώμενοι, τῶν ἄλλων ὑπερορῶσιν, ὥσπερ αὑτοῖς μόνοις φύντες, οὐχὶ δὲ μυρίοις ἄλλοις, πατρί, μητρί, γυναικί, τέκνοις, ἀνθρώπων γένει· εἰ δὲ δεῖ προσελθόντας τι τολμηρότερον φάναι, οὐρανῷ, γῇ, τῷ παντὶ κόσμῳ, ἐπιστήμαις, ἀρεταῖς, τῷ πατρὶ καὶ ἡγεμόνι τῶν συμπάντων, ὧν ἑκάστῳ κατὰ δύναμιν ἀπονεμητέον τὸ ἁρμόττον, μὴ τὰ πάντα προσθήκην ἑαυτοῦ, ἑαυτὸν δὲ τῶν πάντων νομίζοντα. τούτων μὲν δὴ ἅλις, τὰ δ' ἀκόλουθα τῷ λόγῳ συνυφαίνωμεν. Ἰδὼν οὖν, φησὶν, κύριος ὁ θεὸς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, ἐνεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη, καὶ εἶπεν ὁ θεὸς, ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς. ἴσως τινὲς τῶν ἀνεξετάστων ὑποτοπήσουσι τὸν νομοθέτην αἰνίττεσθαι, ὅτι ἐπὶ τῇ γενέσει τῶν ἀνθρώπων ὁ δημιουργὸς μετέγνω, κατιδὼν τὴν ἀσέβειαν αὐτῶν, ἧς χάριν αἰτίας ἐβουλήθη σύμπαν διαφθεῖραι τὸ γένος· ἀλλ' ἴστωσαν ὅτι ταῦτα δοξάζοντες ἐπελαφρίζουσι καὶ ἐπικουφίζουσι τὰ τῶν παλαιῶν ἐκείνων ἁμαρτήματα, δι' ὑπερβολὴν τῆς περὶ αὐτοὺς ἀθεότητος. τί γὰρ ἂν ἀσέβημα μεῖζον γένοιτο τοῦ ὑπολαμβάνειν τὸν ἄτρεπτον τρέπεσθαι. καίτοι τινῶν ἀξιούντων μηδὲ ἔνια ἀνθρώπους, ταῖς γνώμαις ἐπαμφοτερίζειν. τοὺς γὰρ ἀδόλως καὶ καθαρῶς φιλοσοφήσαντας, μέγιστον ἐκ τῆς ἐπιστήμης ἀγαθὸν εὕρασθαι, τὸ μὴ τοῖς πράγμασι συμμεταβάλλειν, ἀλλὰ μετὰ στερρότητος ἀκλινοῦς καὶ παγίου βεβαιότητος ἅπασι τοῖς ἁρμόζουσιν ἐγχειρεῖν. ἀρέσκει δὲ καὶ τῷ νομοθέτῃ τὸ τέλειον ἠρεμίας ἐφίεσθαι. τὸ γὰρ εἰρημένον τῷ σοφῷ ἐκ προσώπου τοῦ θεοῦ,

σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ, τὸ ἀκλινὲς καὶ ἀρρεπὲς τῆς γνώμης καὶ ἱδρυμένον πάντων σαφέστατα παρίστησι. τῷ γὰρ ὄντι θαυμάσιον, ὥσπερ τινὰ λύραν τὴν ψυχὴν μουσικῶς ἁρμοσάμενον, οὐκ ὀξέσι καὶ βαρέσι τοῖς φθόγγοις, ἀλλ' ἐπιστήμῃ μὲν τῶν ἐναντίων, χρήσει δὲ τῶν ἀμεινόνων, μήτε ἐπιτῆναι πρὸς ὑπερβάλλοντα, μήτε ἀνῆναι μαλάξαντα τὴν ἀρετῶν καὶ τῶν φύσει καλῶν ἁρμονίαν, δι' ἴσου δὲ αὐτὴν φυλάξαντα, κρούειν καὶ ἐπιψάλλειν ἐμμελῶς. ὄργανον γὰρ τελειότατον ὑπὸ φύσεως δημιουργηθὲν, ἀρχέτυπον τῶν χειροποιήτων. τοῦτο γὰρ ὅταν εἰ καλῶς ἁρμοσθῇ, τὴν πασῶν ἀρίστην συμφωνίαν ἀπεργάζεται, ἥτις οὐκ ἐν κλάσει καὶ τόνοις ἐμμελοῦς φωνῆς, ἀλλ' ἐν ὁμολογίᾳ τῶν κατὰ τὸν βίον πράξεων ἔχει τὸ τέλος. ὁπότ' οὖν ἡ ἀνθρώπου ψυχὴ τὸν πολὺν κλύδωνα καὶ σάλον, ὃν καταρραγὲν σφοδρὸν πνεῦμα τὸ κακίας αἱ φιλέχθροι ἤγειρεν, ἐπιστήμης καὶ σοφίας αὔραις ἀποτίθεται, καὶ τὸ κυμαῖνον καὶ παρῳδηκὸς ὑφεῖσα, νηνέμῳ εὐδίᾳ χρωμένη γαληνιάζει· ἐνδοιάζεις, εἰ ὁ ἄφθαρτος καὶ μακάριος καὶ τῶν ἀρετῶν καὶ αὐτῆς τελειότητος καὶ εὐδαιμονίας ἡνημένος τὸ κράτος, οὐ χρῆται γνώμης μεταβολῇ, μένει δὲ ἐφ' ὧν ἐξ ἀρχῆς ἐβουλεύσατο, οὐδὲν αὐτῶν μετατιθείς; αἱ ἀνθρώποις μὲν οὖν τὸ εὐμετάβολον ἢ διὰ τὴν ἐν αὐτοῖς, ἢ διὰ τὴν ἐκτὸς ἀβεβαιότητα συμβαίνειν ἀνάγκη, οἷον οὕτω, φίλους ἑλόμενοι πολλάκις, καὶ βραχύν τινα αὐτοῖς συνδιατρίψαντες χρόνον, οὐδὲν ἐπεγκαλεῖν ἔχοντες, ἀπεστράφημεν, ὥστ' εἰς ἐχθρῶν ἢ ἀγνοουμένων τάξιν ἐμβιβάσαι. τοῦτο δὲ ἔργον κουφότητι εὐχερείας ἡμῶν αὐτῶν ἐλέγχει, τὰς ἐξ ἀρχῆς ὑποθέσεις ἀδυνατούντων καρτερικῶς διαφυλάττειν· ὁ δὲ θεὸς οὐχ ἀψίκορος. καὶ μὴν ἔστιν ὅτε διαφυλάττειν μὲν ἐπιμελοῦμεν κρίσεις τὰς αὐτάς· οἱ δὲ προσελθόντες οὐκ ἔμειναν ἐν ὁμοίῳ· ὥστ' ἐξ ἀνάγκης καὶ αἱ ἡμέτεραι γνῶμαι συμμετέβαλον. προιδέσθαι γὰρ ἢ μελλόντων πραγμάτων συντυχίας, ἢ γνώμας ἑτέρων, ἀνθρώποις οὖσιν, ἀμήχανον· τῷ δὲ θεῷ, ὡς ἐν αὐγῇ καθαρᾷ πάντα πρόδηλα. καὶ γὰρ ἄχρι τῶν ψυχῆς μυχῶν φθάσας, ἃ τοῖς ἄλλοις ἐστὶν ἀόρατα, τηλαυγῶς πέφυκε καθορᾶν, καὶ προμηθείᾳ καὶ προνοίᾳ χρώμενος οἰκείαις ἀρεταῖς, οὐδὲν ἀπελευθεριάζειν καὶ ἔξω τῆς ἑαυτοῦ καταλήψεως βαίνειν ἐᾷ· ἐπειδήπερ οὐδὲ ἡ τῶν μελλόντων ἀδηλότης αὐτῷ συμβατή. οὔτε γὰρ ἄδηλον, οὔτε μέλλον ἐστὶ θεῷ οὐδέν. δῆλον μὲν οὖν ὅτι καὶ τὴν ἡμιμήτων τῶν φυτευσάντων, καὶ τῶν δημιουργησάντων τὸν

Tu vero hic sta mecum: mentem fixam & à recto nusquam dimotam commendat. est enim profectò mirandum, si quis lyræ in modum animam musica arte coaptatam, non sonis acutis & grauibus, sed rerum inter se contrariarum scientia, & meliorum ex his delectu, neque intendat plus æquo, neque remittat, emollita virtutum rerúmque suapte natura honestarum harmonia, conseruans eam in eodem temperamento concinne pulsandi psallendique. hoc enim instrumentum natura fecit absolutissimum, quod imitantur manufacta organa. id si quis pulchre temperauerit, efficiet symphoniam longe optimam, quæ non in sonoræ vocis fractos tonos desinit, sed in laudata vitæ officia. Ergo cum hominis anima tempestatem, subitis vehementibúsque vitiorum procellis irruentibus excitatam, scientiæ sapientiæque auris componat, sedatísque tumidis vndis ad tranquillitatem reducat: dubitas an ille incorruptibilis, beatus, virtutis, perfectionis, felicitatísque potens, non egeat mutatione sententiæ, sed immaneat primis consilijs, non supponens alia? siquidem humana facile mutantur, vel propter ipsorum hominum, vel propter negotiorum inconstantiam. Verbi gratiâ: amicos eligimus sæpe, quos post non longam consuetudinem ob nullam ipsorum culpam auersamur, & in loco inimicorum aut certe ignotorum habemus. hoc factum leuissimam facilitatem nostram arguit, qui non possumus perseuerare in pristino proposito. at Deus non vertit fauorem in fastidium. interdum tamen statuimus manere in sententia: sed familiares non manent sui similes. itaque necessariò noster quoque animus vnà cum eis mutatur. prævidere enim futuros negotiorum exitus, aut sententias aliorum, nemini mortali est possibile: Deo autem, vt in luce purissima, omnia sunt conspicua. penetrans enim sinus intimos animæ, videt quæ non cernuntur alijs, & pro sua prouidentia præscientiáque, quæ virtutes ei peculiares sunt, nihil abuti libertate sinit, & suæ potestati eximi. quandoquidem etiam futurorum incertitudo non cadit in ipsum: apud quem nec futurum est quicquam nec incertum. Liquet igitur necessariò sequi vt & parenti sua progenies, & opi-

A fici suum opificium, & curatori suo quę ab eo curantur, nota sint. Deus autem reuera pater, artifex, curator est rerum quæ cælo mundóque continentur omnium. Atqui futura obscurantur à venturo tempore, nunc breuiore, nunc longiore. Deus vero & temporis est opifex. est enim pater patris eius: mundus vero pater temporis, quod motu suo progenerat. itaque tempus nepotis Dei seriem obtinet. mundus enim hic iunior Dei filius est, vtpote sensibilis. senior enim
B hoc non traditur, sed intelligitur: qui pro iure primogenituræ apud patrem manet. Cæterum iunior filius sensibilis motu suo naturam temporis fecit existere. itaque apud Deum nihil futurum est, cui subijciuntur etiam termini temporum. Namque non tempus, sed temporis exemplar æuum, vita superorum est. in æuo autem nihil præterijt, nihil futurum est, sed præsens tantummodo. Postquam igitur satis declarauimus, non pœnitere
C eum Qui est, restat vt doceamus quid sit illud Recogitauit Deus quòd fecisset hominem in terra, dixitque intra se.] Cogitationem deliberationémque, alteram intus reconditam, alteram iam certo prolatam, duas potentias opifex rerum cum habeat, eisque vtatur, opera sua considerat: quæ ordinem non deserunt, & in officio manent, comprobat: in ea quæ deficiunt, nec seruant ordinem, animaduertit. Corporibus enim alijs habitum, alijs naturam, alijs animam, alijs
D rationalem animam addidit. Saxa lignáque à cognatis diuulsa, habitu astrinxit ceu vinculo valido. hic autem est spiritus reuertens in seipsum. incipiens enim à medio, pertingit ad extrema, móxque à superficie cursum reflectit, donec in eum locum perueniat, à quo primum profectus est. Hic est ille habitus, cursus recursúsque indefinens, cuius imitationem cursores post tertium quemque annum in
E theatris frequentissimis ostentant, tanquam rem egregiam & contentione dignissimam. Naturam autem attribuit stirpibus, contemperatam è pluribus potentijs, nutritiua, mutatiua, augmentatiua. Nutriuntur enim, cum alimentis opus habeant. id deprehenditur, quia nisi rigentur, arescunt & pereunt, sicut rigatæ manifestum incrementum accipiunt. Nam quæ

A τεχνίτην, καὶ τὸν ἐπίτροπον τῶν ἐπιτροπευομένων, ἐπιστήμονα ἀναγκαῖον εἶναι δεῖ. ὁ δὲ πατὴρ καὶ τεχνίτης καὶ ἐπίτροπος τῶν ἐν οὐρανῷ τε καὶ κόσμῳ πρὸς ἀλήθειάν ἐστι. καὶ μὴν τά γε μέλλοντα συσκιάζεται ὑπὸ τοῦ αὖθις χρόνου, ποτὲ μὲν βραχεῖ, ποτὲ δὲ μακρῷ διαστήματι· δημιουργὸς δὲ καὶ χρόνου θεός. καὶ γὰρ τοῦ πατρὸς αὐτοῦ πατήρ, πατὴρ δὲ χρόνου κόσμος, τὴν κίνησιν αὐτοῦ γένεσιν ἀποφήνας ἐκείνου. ὥστε υἱωνοῦ τάξιν ἔχειν πρὸς θεὸν τὸν χρόνον. ὁ μὲν γὰρ κόσμος οὗτος νεώτερος υἱὸς
B θεοῦ, ἅτε αἰσθητὸς ὤν· τὸν γὰρ πρεσβύτερον τούτου οὐδένα εἶπε, νοητὸς δ' ἐκεῖνος. πρεσβείων δ' ἀξιώσας, παρ' ἑαυτῷ καταμένειν διενοήθη. οὗτος οὖν ὁ νεώτερος υἱὸς ὁ αἰσθητός, κινηθεὶς, τὴν χρόνου φύσιν ἀναλάμψαι καὶ ἀναχεῖν ἐποίησεν· ὥστε οὐδὲν παρὰ θεῷ μέλλον, τῷ καὶ τὰ τῶν χρόνων ὑπηγμένῳ πέρατα. καὶ γὰρ οὐ χρόνος, ἀλλὰ τὸ ἀρχέτυπον τοῦ χρόνου καὶ παράδειγμα αἰὼν ὁ βίος ἐστὶν αὐτοῦ. ἐν αἰῶνι δὲ, οὔτε παρελήλυθεν οὐδὲν, οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν. ἱκανῶς
C οὖν διειλεγμένοι περὶ τοῦ μὴ χρῆσθαι μετανοίᾳ τὸ ὄν, ἀκολούθως ἀποδώσομεν τί ἐστι τό, Ενεθυμήθη ὁ θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον, καὶ διενοήθη. ἔννοιαν καὶ διανόησιν, τὴν μὲν ἐναποκειμένην οὖσαν νόησιν, τὴν δὲ νοήσεως διέξοδον βεβαιοτάτην, τὰς δυνάμεις ὁ ποιητὴς τῶν ὅλων κληρωσάμενος, καὶ χρώμενος ἀεὶ ταύταις, τὰ ἔργα ἑαυτοῦ καταθεᾶται· καὶ τὰ μὲν δὴ μὴ λιπόντα τὴν τάξιν, τῆς πειθαρχίας ἕνεκα ἐπαινεῖ· τὰ δὲ μεθιστάμενα, τῇ
D κατὰ λιποτακτῶν ὡρισμένῃ μετέρχεται δίκῃ. τῶν γὰρ σωμάτων τὰ μὲν ἐνεδύσατο ἕξει, τὰ δὲ φύσει, τὰ δὲ ψυχῇ, τὰ δὲ λογικῇ ψυχῇ. λίθων μὲν οὖν καὶ ξύλων, ἃ δὴ τῆς συμφυΐας ἀπέσπασται, δεσμὸν κραταιότατον ἕξιν εἰργάσατο· ἡ δέ ἐστι, πνεῦμα ἀναστρέφον ἐφ' ἑαυτό. ἄρχεται μὲν γὰρ ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα τείνεσθαι, ψαῦσαν δὲ ἄκρας ἐπιφανείας, ἀνακάμπτει πάλιν, ἄχρις ἂν ἐπὶ τὸν αὐτὸν ἀφίκηται τόπον, ἀφ' οὗ τὸ πρῶτον ὡρμήθη. ἕξεως ὁ συνεχὴς οὗτος δίαυλος
E ἄφθαρτος, ὃν οἱ δρομεῖς ἀπομιμούμενοι τῇ τριετηρίσιν ἐν τοῖς ἀνθρώπων ἁπάντων κοινοῖς θεάτροις, ὡς μέγα δὴ καὶ λαμπρὸν καὶ περιμάχητον ἔργον ἐπιδείκνυνται· τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς, κερασάμενος αὐτὴν ἐκ πλείστων δυνάμεων, θρεπτικῆς τε καὶ μεταβλητικῆς καὶ αὐξητικῆς. καὶ γὰρ τρέφεται τροφῆς ὄντα χρεῖα. τεκμήριον δὲ, ὅτι τὰ μὴ ἀρδόμενα φθίνει καὶ ἀφαναίνεται, ὥσπερ αὐτὰ ποτιζόμενα ἐμφανῶς αὔξεται.

τὰ γὰρ τέως διὰ βραχύτητα χαμαίζηλα, ἐξαίφνης ἀναδραμόντα ἔρνη γίνεται περιμηκέστατα. τί χρὴ λέγειν περὶ μεταβολῆς αὐτῶν; ταῖς μὲν γὰρ χειμεριναῖς τροπαῖς τὰ πέταλα μαρανθέντα εἰς τοὔδαφος κεῖται, οἵ τε ἐν τοῖς κληματίσι λεγόμενοι πρὸς τῶν γεωπόνων ὀφθαλμοί, καθάπερ ἐν τοῖς ζώοις καταμύουσι, τά τε πρὸς τὰς ἐκφύσεις στόμια πάντα ἐσφίγκται, τῆς φύσεως εἴσω τότε συνειληθείσης καὶ ἡσυχαζούσης, ἵνα διαπνεύσασα οἷά τις ἀθλητὴς προηγωνισμένος, καὶ συλλεξαμένη τὴν ἰδίαν ἰσχύν, πρὸς τοὺς ἐθάδας ἄθλους ἐξ ὑπαρχῆς ἀποδυτῇ. γίνεται δὲ τοῦτο ταῖς ἐαριναῖς καὶ κατὰ θέρος ὥραις. ὥσπερ γὰρ ἐκ βαθέος ὕπνου περιαναστᾶσα, τούς τε ὀφθαλμοὺς διοίγνυσι, τά τε μεμυκότα τῶν στομίων ἀναστείλασα διευρύνει. ὧν δή ἐστιν ἐγκύμων, πάντα ἀποτίκτει, πέταλα, καὶ κληματίδας, ἕλικας, οἴναρα, καρπὸν ἐπὶ πᾶσιν. εἶθ' ὅταν τελεωθῇ, παρέχεται τὰς τροφὰς οἷα μήτηρ τῷ γενομένῳ διά τινων ἀφανῶν πόρων, οἳ τοῖς ἐν γυναιξὶ μαστοῖς ἀναλογοῦσι· καὶ οὐ πρότερον παύεται τρέφουσα, ἢ τὸν καρπὸν τελεσφορηθῆναι. τελεσφορεῖται δὲ ὁ πεπανθεὶς ἄκρως, ἡνίκα, κἂν μηδεὶς δρέπηται, τῆς συμφυΐας αὐτὸς ἐπείγεται διαζεύγνυσθαι, ἅτε μηκέτι τροφῶν τῶν ἀπὸ τῆς τεκούσης δεόμενος· ἱκανὸς δὴ ὤν, εἰ χώρας ἀγαθῆς ἐπιλάχοι, σπείρειν καὶ γεννᾶν ὅμοια τοῖς φύσασι. ψυχὴν δὲ φύσεως τρισὶ διαλλάττουσαν ὁ ποιῶν ἐποίει, αἰσθήσει, φαντασίᾳ, ὁρμῇ. τὰ μὲν γὰρ φυτά, ἄορμα, ἀφάντασ(τ)α, αἰσθήσεως ἀμέτοχα· τῶν δὲ ζώων ἕκαστον ἀθρόων μετέχει τῶν εἰρημένων. αἴσθησις μὲν οὖν, ὡς αὐτό που δηλοῖ τοὔνομα, εἴσθεσίς τις οὖσα, τὰ φανέντα ἐπεισφέρει τῷ νῷ. τούτῳ γάρ, ἐπειδὴ μέγιστόν ἐστι ταμεῖον καὶ πανδεχές, πάνθ' ὅσα δι' ὁράσεως καὶ ἀκοῆς, καὶ τῶν ἄλλων αἰσθητικῶν ὀργάνων, ἐκτίθεται καὶ ἐναποθησαυρίζεται. φαντασία δέ ἐστι, τύπωσις ἐν ψυχῇ. ἃ γὰρ εἰσήγαγεν ἑκάστη τῶν αἰσθήσεων, ὥσπερ δακτύλιός τις, ἢ σφραγὶς ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα· κηρῷ δὲ ἐοικὼς ὁ νοῦς, τὸ ἐκμαγεῖον δεξάμενος ἀκριβῶς παρ' ἑαυτῷ φυλάττει, μέχρις ἂν τὸν τύπον λεαίνασα λήθη ἡ ἀντίπαλος μνήμης ἀμυδρὸν εἰργάσηται, ἢ παντελῶς ἀφανίσῃ. τὸ δὲ φανὲν καὶ τυπῶσαν, τότε μὲν οἰκείως, τότε δὲ καὶ ὡς ἑτέρως διέθηκε τὴν ψυχήν. τοῦτο δὲ αὐτῆς τὸ πάθος, ὁρμὴ καλεῖται, ἣν ὁριζόμενοι πρώτην ἔφασαν εἶναι ψυχῆς κίνησιν. τοσούτοις μὲν δὴ ζῷα προὔχει φυτῶν. ἴδωμεν δὲ τίνι τῶν ἄλλων ζῴων ὑπερβέβηκεν ὁ ἄνθρωπος.

A prius paululum ab humo se attollebant, euadunt in arbores procerissimas. de mutatione autem harum, quid attinet dicere? brumali tempore folia siccata humi sternuntur: & in palmitibus oculi, sicut rustici vocant, conniuent, tanquam animalium, & innata ad germinandum ora comprimuntur, natura tunc intus conclusa quiescentéque: vt post respirationem, quasi athleta lassus certamine, recolligat vires, atque ita de integro ad B labores anniuersarios redeat. id fit verno æstiuóque tempore. Tunc enim tanquam expergefacta è somno profundissimo, & oculos aperit. & clausa ora patefacit. Quibus autem grauida est parit omnia, pampinos, palmites, clauiculos, racemos, fructum denique. Quo absoluto, nutrit eum quasi mater liberos, per quosdam latentes meatus, qui respondent mammillis mulierum. Nec prius nutrire C desistit quàm fructus ad perfectam maturitatem perueniat. Est autem maturitatis signum, quando defluit etiam attingente nemine, & diuelli ab adnatis properat, vtpote iam maternis alimentis non indigens, & idoneus si in agrum bonum incidat, ad proseminandas gignendásque stirpes matri suæ similes. Animam autem fecit opifex à natura differentem tribus his, sensu, imaginatione, impetu. Stirpes enim sensus, imaginationis, impetúsque omniho expertes D sunt. Animal autem vnumquodque his cunctis est præditum. Sensus igitur, sicut allusio Græci nominis ad αἴσθησιν indicat, obiecta infert intellectui. in hoc enim capax amplissimúmque penuarium visus, auditus & cæteri sensus reponunt omnia. Imaginatio vero est figurarum in animam impressio. Nam quicquid important sensus singuli, hæc obsignat suo charactere tanquam anulus. intel-E lectus autem refert ceram, impressum sigillum excipiens & seruans apud se, donec id obliuio memoriæ hostis obscuret, aut in totum aboleat. Id autem quod impressit characterem, nunc familiariter, nunc secus afficit animam: is affectus vocatur impetus, quem definiunt primum motum animæ. Tanto præstantiora sunt animalia stirpibus. Videamus qua nam re homo antecellat cætera. Hic eximium munus sortitus

est mentem, quæ cunctas naturas corporum & rerum solet comprehendere. Quemadmodum enim corporis regimen est penes oculos, mundi vero penes lucis naturam: eodem modo imperium in nos mens obtinet. Hæc est enim oculus animæ, illustratus splendore proprio, per quem dispelluntur altissimæ tenebræ, offusæ à rerum ignorantia. Hæc animæ species, non ex eisdem quibus cæteræ elementis facta est, sed puriorem & meliorem est nacta essentiam, ex qua naturæ diuinæ sunt conditæ. Quapropter sola mens in nobis merito immortalis censetur. Solam enim hanc pater iussit esse liberam, exemptam & dimissam è necessitatis vinculis, donatámque munere decentissimo voluntatis spontaneæ, quatenus eius capax erat. Nam brutæ animantes, quarum animabus non inest mens donata libertatis priuilegio, subiugatæ frenatæque traduntur ad ministerium hominum, tanquam heris mancipia. Homo autem liberam facultatem & sui iuris sententiam sortitus, ex destinato pleraque faciens, merito vituperium incurrit, si prudens sciénsque peccat, sicut è diuerso laudem, quando sua sponte bene facit. Nam stirpium animaliúmque nec vbertas laudatur, nec si male proueniant, vituperantur: quòd vterque hic motus, & vtraque mutatio, non est voluntaria: sed sola hominis anima quæ accepit à Deo motum voluntarium, hactenus illi similis, à molestissima grauissimáque hera necessitate, quantum licuit, manumissa, iure accusari posset, si liberatorem suum non coleret, non euasura pœnam quæ animaduertit in libertorum ingratitudinem. itaque recogitauit, & intra se dixit Deus, non nunc primum, sed iam dudum firmiter, quòd fecisset hominem, id est, qualem eum condidisset. Condiderat enim liberum, vt relictus voluntati propriæ quicquid placeret, ageret: idque hanc ob causam, vt sciens quid bonum sit quid malum: & quid intersit inter honesta turpiáque reputans, quid item inter æqua & iniqua, & in vniuersum virtutem inter & vitium, eligeret meliora, deteriora fugeret. In eam sententiam & oraculum extat in Deuteronomio: Ecce posui ante faciem tuam vitam & mortem, bonum & malum:

A ἐξαίρετον ἐστὶ τοίνυν γέρας ἔλαχε διάνοιαν, ἣ τὰς ἁπάντων φύσεις, σωμάτων τε ὁμοῦ καὶ πραγμάτων εἴωθε καταλαμβάνειν. καθάπερ γὰρ ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικὸν ὄψις ἐστὶν, ἐν δὲ τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις, τὸν αὐτὸν τρόπον καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον, ὁ νοῦς. ψυχῆς γὰρ ὄψις οἰκείαις περιλαμπόμενος αὐγαῖς, δι' ὧν ὁ πολὺς καὶ βαθὺς ζόφος, ὃν κατέχεεν ἄγνοια τῶν πραγμάτων, ἀνασκίδναται. τοῦτο τὸ ψυχῆς τὸ εἶδος, οὐκ ἐκ τῶν αὐτῶν

B στοιχείων, ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη· καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς αἱ θεῖαι φύσεις ἐδημιουργοῦντο· παρὸ καὶ μόνον τῶν ἐν ἡμῖν εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσε, καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμὰ, ἄφετον εἴασε, δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου καὶ οἰκείου κτήματος αὐτοῦ τοῦ ἑκουσίου μοῖραν, ἣν ἠδύνατο δέξασθαι. τὰ μὲν γὰρ ἄλογα ζῷα, ὧν ἐν ταῖς ψυχαῖς ὁ ἐξαιρούμενος εἰς ἐλευθερίαν νοῦς οὐκ

C ἔστι, καταζευχθέντα καὶ ἐγχαλινωθέντα πρὸς ὑπηρεσίας ἀνθρώποις παραδέδοται, ὥσπερ οἰκέται δεσπόταις· ὁ δὲ ἄνθρωπος ἐλευθερουργοῦ καὶ αὐτοκελεύστου γνώμης λαχὼν, καὶ προαιρετικαῖς χρώμενος τὰ πολλὰ ταῖς ἐνεργείαις, εἰκότως ψόγον μὲν ἔχει ἐφ' οἷς ἐκ προνοίας ἀδικεῖ, ἔπαινον δὲ, ἐφ' οἷς ἑκὼν κατορθοῖ. τῶν μὲν γὰρ ἄλλων φυτῶν τε καὶ ζώων, οὔτε αἱ εὐφορίαι ἐπαινεταὶ, οὔτε αἱ κακοπραγίαι ψεκταί. τὰς γὰρ ἐφ' ἑκάτερα κινήσεις καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον·

D μόνη δὲ ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ τὴν ἑκούσιον κίνησιν, καὶ κατὰ τοῦτο ὁμοιωθεῖσα αὐτῷ, χαλεπῆς καὶ ἀργαλεωτάτης δεσποίνης τῆς ἀνάγκης ὡς οἷόν τε ἐλευθερωθεῖσα, κατηγορίας ἂν δεόντως τυγχάνοι, ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει. τοιγαροῦν τὴν κατ' ἀπελευθέρων ἀχαρίστων ἀπαραίτητον δίκην ὀρθότατα τίσει· ὥστε ἐνεθυμήθη καὶ ἐνενοήθη ὁ θεὸς, οὐχὶ νῦν πρῶτον, ἀλλ' ἐξέτι πάλαι παγίως καὶ βεβαίως, ὅτι ἐποίησε τὸν ἄν-

E θρωπον, τουτέστιν ὁποῖον αὐτὸν εἰργάσατο. εἰργάσατο μὲν γὰρ αὐτὸν ἄφετον καὶ ἐλεύθερον, ἑκουσίοις καὶ προαιρετικαῖς χρησόμενον ταῖς ἐνεργείαις πρὸς τήνδε τὴν χρείαν, ἵνα ἐπιστάμενος ἀγαθά τε αὖ καὶ κακὰ, καὶ καλῶν τε καὶ αἰσχρῶν λαμβάνων ἔννοιαν, καὶ δικαίοις καὶ ἀδίκοις, καὶ ὅλως τοῖς ἀπ' ἀρετῆς καὶ κακίας καθαρῶς ἐπιβάλλων, αἱρέσει μὲν τῶν ἀμεινόνων, φυγῇ δὲ τῶν ἐναντίων χρῆται· παρὸ καὶ λόγιόν ἐστιν ἀναγεγραμμένον ἐν τῷ Δευτερονομίῳ, Ἰδοὺ δέδωκα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον,

τὸ ἀγαθὸν

τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ἐκλέξαι τὴν ζωήν. ἐκ γοῦν ἀμφότερα δηλοῦται διὰ τούτου παρίστασθαι, ὅτι καὶ ἐπιστήμονες τοῦ ἀγαθοῦ καὶ τοῦ ἐναντίου γεγόνασιν ἄνθρωποι, καὶ ὀφείλουσι περὶ τῶν χειρόνων αἱρεῖσθαι τὰ κρείττω, λογισμὸν ἔχοντες ἐν ἑαυτοῖς ὥσπερ τινὰ δικαστὴν ἀδωροδόκητον, οἷς ἂν ὁ ὀρθὸς λόγος ὑποβάλλῃ πειθησόμενον· οἷς δ' ἂν ὁ ἐναντίος, ἀπειθήσοντα. δεδηλωκότες οὖν ἀποχρώντως περὶ τούτων, τὰ ἑξῆς ἴδωμεν· ἐστὶ δὲ τοιαῦτα, Ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτόν. πάλιν τινὲς τῶν εἰρημένων ἀκούσαντες, ὑπολαμβάνουσι θυμοῖς καὶ ὀργαῖς χρῆσθαι τὸ ὄν· ἔστι δ' οὐδενὶ ληπτὸν πάθει τὸ παράπαν· ἀσθενείας γὰρ ἀνθρωπίνης τὸ ταραχῶδες ἴδιον· θεῷ δὲ, οὔτε τὰ ψυχῆς ἄλογα πάθη, οὔτε τὰ σώματος μέρη καὶ μέλη συνόλως ἐστὶν οἰκεῖα· λέγεται δὲ οὐδὲν ἧττον περὶ τῷ νομοθέτῃ μέχρι τινὸς εἰσαγωγῆς τὰ τοιαῦτα, τοῦ νουθετῆσαι χάριν τοὺς ἑτέρως μὴ δυναμένους σωφρονίζεσθαι. τῶν γὰρ ἐν ταῖς προστάξεσι καὶ ἀπαγορεύσεσι νόμων, οἳ δὴ κυρίως εἰσὶ νόμοι, δύο τὰ ἀνωτάτω πρόκειται κεφάλαια περὶ τοῦ αἰτίου, ἓν μὲν, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεός. ἕτερον δὲ, ὅτι ὡς ἄνθρωπος· ἀλλὰ τὸ μὲν πρότερον ἀληθείᾳ βεβαιοτάτῃ πεπίστωται, τὸ δ' ὕστερον πρὸς τὴν τῶν πολλῶν διδασκαλίαν εἰσάγεται· παρὸ καὶ λέγεται ἐπ' αὐτοῦ ὡς ἄνθρωπος παιδεύσαι τὸν υἱὸν αὐτοῦ· ὥστε παιδείας ἕνεκα καὶ νουθεσίας, ἀλλ' οὐχὶ τῷ πεφυκέναι τοιοῦτον εἶναι λέλεκται. τῶν γὰρ ἀνθρώπων, οἱ μὲν ψυχῆς, οἱ δὲ σώματος γεγόνασι φίλοι. οἱ μὲν οὖν ψυχῆς ἑταῖροι νοηταῖς καὶ ἀσωμάτοις φύσεσιν ἐνομιλεῖν δυνάμενοι, οὐδεμιᾷ τῶν γεγονότων ἰδέᾳ παραβάλλουσι τὸ ὄν· ἀλλ' ἐκβιβάσαντες αὐτὸ πάσης ποιότητος· ἓν γὰρ τῶν εἰς τὴν μακαριότητα αὐτοῦ καὶ τὴν ἄκραν εὐδαιμονίαν ἦν τὸ ψιλὴν ἄνευ χαρακτῆρος τὴν ὕπαρξιν καταλαμβάνεσθαι· τὴν κατὰ τὸ εἶναι φαντασίαν μόνην ἐνεδέξαντο, μὴ μορφώσαντες αὐτό. οἱ δὲ συμβάσεις καὶ σπονδὰς πρὸς σῶμα θέμενοι, ἀδυνατοῦντες ἀπαμφιάσασθαι τὸ σαρκῶν περίβλημα, καὶ μόνην καὶ καθ' ἑαυτὴν ἀπροσδεᾶ, καὶ ἁπλῆν φύσιν ἰδεῖν, ἀμιγῆ καὶ ἀσύγκριτον, ὁποῖα περὶ ἑαυτῶν, τοιαῦτα καὶ περὶ τοῦ πάντων αἰτίου διενοήθησαν, οὐ λογισάμενοι ὅτι τῷ μὲν ἐκ πλειόνων συνόδου δυνάμεων γινομένῳ, πλειόνων ἔδει μερῶν πρὸς τὴν καθ' ἕκαστον χρείαν ὑπηρεσίαν· ὁ δὲ θεὸς ἅτε ἀγένητος ὤν, καὶ τὰ ἄλλα ἀγαγὼν εἰς γένεσιν,

A tu vitam elige. Ergo vtrumque hinc discimus, quòd & insita sit hominibus boni ac mali scientia, & meliora deterioribus anteferre debeant, cum habeant deliberationem tanquam incorruptum iudicem, quæ rectæ rationis monitis pareat, reiectis contrarijs suggestionibus. Quoniam igitur & de his sufficienter disseruimus, videamus sequentia. Sunt autem hæc. Delebo hominem quem feci à facie terræ, ab homine vsque pecudem, à reptilibus vsque volucres cæli: B quia recogitaui quòd fecissem eum.] Hic quoque nonnulli de quibus iam dixi, his auditis credunt eum Qui est irasci & furere. At ille nullo vnquam affectu corripitur. Hæc enim humanæ infirmitatis sunt vitia. Deus autem & à brutis animæ affectionibus abest plurimum, & à partibus membrísque corporis. nihilominus inueniuntur hæc apud legislatorem docendi gratia, vt sic moneantur qui C non possunt castigari aliter. Nam in præceptis & interdictis legum, quæ proprie leges sunt, duo summa capita ab earum autore sunt proposita: alterum non esse Deum sicut hominem: alterum vero, esse eum sicut hominem. Prius confirmatur veritate certissima: alterum adhibetur ad erudiendam vulgarem multitudinem: ad quam dicitur, illum more hominum castigare suos filios. Quod admonendi causa, non quia suapte natura talis sit, dictum est. Nam hominum D pars amici sunt animæ, pars vero magis fauent corpori. Animæ socij habentes cum incorporeis naturis consuetudinem, cum nulla rerum idea comparant eum Qui est: sed extollentes eum super omnem qualitatem (hoc enim vnum ad beatitudinem summámque felicitatem pertinet, nudam eius sine omni figura essentiam comprehendére) sola eius essentiæ imaginatione contenti, nullam formam affingunt. At fœderati corporis, cum non possint E exuere indumentum carneum, quales opiniones de seipsis, tales etiam de omnium rerum autore concipiunt, quippe qui non valent naturam illam solam nullius egentem, simplicem, sinceram, incomparabilem cernere: nec reputant quòd qui constat è potentijs compluribus, eget etiam pluribus partibus ad singularum ministeria. Sed Deus, vtpote ingenitus,

& creator omniū, non opus habet istis creaturarum accidentibus. Quid enim dicemus de vsu instrumentalium partium? pedes ei dabimus progrediendi gratia? at quò ibit, cum impleat omnia? quem accedet, cum neminem honore parem habeat? aut quam tandem ob rem, cum humanis curis careat? quid manus ad accipiendum dandúmque? ipse à nemine quicquam accipit, quippe qui non solum non eget, verumetiam vniuersa possidet. Donat autem verbo suo munificentiam administrante, per quod mundum condidit. Oculis certe non eget, quibus sine luce sensibili nihil comprehenditur. At sensibilis lux creata est. Deus autem propriæ lucis vsu videbat etiam ante mundum conditum. De nutritionis instrumentis, quid attinet dicere? Nam si hæc habet, nutritur etiam, & satiatus egerit, ac rursum ex interuallo esurit, cæteráque facit quæ nemo pius diceret. Nam fabulæ verbis quidem humanā formam, re autē humanos affectus Deo tribuunt. Cur igitur Moses pedes, manus, introitus, exitus, prædicat de illo ingenito? cur ad arcendos hostes eum armat? cur gladio, sagittis, pestifero igne, fulminibúsque instruit? poetica ista videntur, autorem summum armari, licet illic diuersa sint nomina. At hic noster addit etiam zelum, furorem, iras, & cæteros humanos affectus similes. Respondebit tamen scitantibus: heus vos, oportet legis latorem vnicum habere propositum, vt prosit omnibus ad quos peruenit. Quotquot igitur feliciorem naturam sortiti sunt, & educationem inculpabilem, inuenta hac vitæ via publica directáque, veritate comite faciunt iter, cuius verissimis de eo Qui est mysteriis initiati, nihil creatum affingunt ei. His discipulis maxime conuenit capitulum illud sacræ literaturæ, quòd Deus non sit sicut homo, nec sicut cælum, nec sicut mundus. Nam hæ species habent qualitates suas, & percipiuntur sensibus. At ille ne mente quidem comprehenditur, nisi hactenus quòd sit. Est enim essentia quod in eo intelligitur: qua quicquid caret, nihil est. Hebetiores autem tardioresque, & à pueritia perperam educati, nec valentes acute cernere, medicis opus habent legislatoribus, qui ad præsentem morbum debitam curam accommodent. Nam seruis quoque male educatis & insipientibus herus prodest terribilis.

A οὐδενὸς ἐδεήθη τῶν τοῖς γενήμασι προσόντων. ἐπεὶ καὶ τί φῶμεν εἰ κέχρηται τοῖς ὀργανικοῖς μέρεσι. βάσεις μὲν ἔχει τοῦ προέρχεσθαι χάριν; βαδιεῖται δὲ ποῖ πεπληρωκὼς τὰ πάντα; καὶ πρὸς τίνα, μηδενὸς ὄντος ἰσοτίμου; καὶ ἕνεκα του, οὐ φροντίζων ὥσπερ καὶ ἡμεῖς; καὶ χεῖρας μέντοι πρὸς τὸ λαβεῖν τε καὶ δοῦναι; λαμβάνει μὲν δὴ παρ' οὐδενὸς οὐδέν. πρὸς γὰρ τῷ ἀνεπιδεεῖ, καὶ τὰ σύμπαντα ἔχει κτήματα, δίδωσι δὲ λόγῳ δὲ χρώμενος ὑπηρέτῃ δωρεῶν, ᾧ καὶ τὸν κόσμον εἰργάζετο. ὀφθαλμῶν γε B μὴν οὐκ ἐδεῖτο, οἷς ἄνευ φωτὸς αἰσθητοῦ κατάληψις οὐ γίνεται. τὸ δὲ αἰσθητὸν φῶς γενητόν. ἑώρα δὲ ὁ θεὸς φωτὶ χρώμενος ἑαυτῷ καὶ πρὸ γενέσεως. τί δεῖ λέγειν περὶ τῶν τῆς τροφῆς ὀργάνων. εἰ γὰρ ταῦτ' ἔχει, καὶ τρέφεται, καὶ πληρωθεὶς μὲν ἀποπατεῖ, παυσάμενος δὲ δεῖται πάλιν, καὶ τἄλλα ὅσα τούτοις ἀκόλουθα οὐκ ἂν εἴποιμι δυσσεβῶν. αἱ γὰρ μυθοποιίαι λόγῳ μὲν ἀνθρωπόμορφον, ἔργῳ δὲ ἀνθρωποπαθὲς εἰσαγόντων τὸ θεῖον. τίνος οὖν ἕνεκα Μωυσῆς C βάσεις, χεῖρας, εἰσόδους, ἐξόδους φησὶν εἶναι περὶ τὸ ἀγένητον; τίνος δὲ χάριν ὁπλίζει τοῦτον πρὸς ἐχθρῶν ἄμυναν; ξιφηφοροῦντα γὰρ καὶ βέλεσι χρώμενον καὶ φθοροποιῷ πνεύματι καὶ κεραυνῷ ἑτέροις ὀνόμασι ταῦτα ποιηταὶ προσαγορεύοντες, ὅπλα τοῦ αἰτίου φασὶν εἶναι. πρὸς δ' ἔτι ζῆλον, θυμόν, ὀργάς, ὅσα τούτοις ὅμοια, ἀνθρωπολογῶν διεξέρχεται. ἀλλὰ τοῖς πυνθανομένοις ἀποκρίνεται, ὦ οὗτοι, ὡς ἄριστα νομοθέτῃ τέλος ἓν δεῖ παρεσκευάσθαι, D πάντας ὠφελῆσαι τοὺς ἐντυγχάνοντας. οἱ μὲν οὖν εὐμοίρου φύσεως λαχόντες, καὶ ἀγωγῆς ἀνυπαιτίου, τὴν μετὰ ταῦτ' ὁδὸν τοῦ βίου λεωφόρον καὶ εὐθεῖαν εὑρίσκοντες, ἀληθείᾳ συνοδοιπόρῳ χρῶνται, παρ' ἧς μυηθέντες τὰ περὶ τοῦ ὄντος ἀψευδῆ μυστήρια, τῶν γενέσεως οὐδὲν προσαναπλάττουσιν αὐτῷ. τούτοις οἰκειότατον προέκειται κεφάλαιον ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεός, ἀλλ' οὐδὲ ὡς οὐρανός, οὐδὲ ὡς κόσμος. ποῖα γὰρ εἴδη ταῦτά γε καὶ εἰς αἴσθησιν ἐρχόμενα. ὁ E δ' ἄρα οὐδὲ τῷ νῷ καταληπτός, ὅτι μὴ κατὰ τὸ εἶναι μόνον. ὕπαρξις γάρ ἐστιν ὃ καταλαμβάνομεν αὐτοῦ. τῶν δὲ χωρὶς ὑπάρξεως οὐδέν. οἱ δέ γε νωθέστεροι μὲν καὶ ἀμβλείᾳ κεχρημένοι τῇ φύσει, περὶ δὲ τὰς ἐν παισὶ τροφὰς πλημμεληθέντες, ὀξὺ καθορᾶν ἀδυνατοῦντες, ἰατρῶν δέονται νομοθετῶν, οἳ πρὸς τὸ παρὸν πάθος τὴν οἰκείαν ἐπινοήσουσι θεραπείαν. ἐπεὶ καὶ ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς δεσπότης ὠφέλιμος. τὰς γὰρ ἐπανατάσεις καὶ ἀπειλὰς αὐτοῦ δεδιότες,

ἄκοντες φόβῳ νουθετοῦνται. μανθανέτωσαν οὖν πάντες οἱ τοιοῦτοι τὰ ψευδῆ, δι' ὧν ὠφεληθήσονται, εἰ μὴ δύνανται διὰ ἀληθείας σωφρονίζεσθαι. καὶ γὰρ τοῖς τὰ σώματα κάμνουσιν ἐπισφαλῶς, οἱ νομιμώτατοι τῶν ἰατρῶν τἀληθῆ λέγειν οὐχ ὑπομένουσιν, εἰδότες ἀθυμοτέρους μὲν ἐκ τούτου γενησομένους, καὶ ῥωσθησομένην τὴν νόσον· ἐκ δὲ τῆς τῶν ἐναντίων παρηγορίας, πρᾳότερον τὸ ἐν χερσὶν οἴσοντας, καὶ τὸ ἀρρώστημα λωφῆσον. τίς γὰρ ἂν τῶν εὖ φρονούντων εἴποι τῷ θεραπευομένῳ, ὦ οὗτος, τμηθήσῃ, καυθήσῃ, ἀκρωτηριασθήσῃ, κἂν εἰ μέλλοι ταῦτα ἐξ ἀνάγκης ὑπομένειν· οὐδεὶς ἐρεῖ. προαπερεῖ γὰρ τὴν γνώμην ἐκεῖνος, καὶ νόσον ἑτέραν τῇ ψυχῇ χαλεπωτέραν τῆς προϋπαρχούσης τοῦ σώματος προσλαβὼν, ἀπερεῖ πρὸς τὴν θεραπείαν ἀσμένως, ἐκ δὲ τοῦ ἐναντία ἀπάτῃ τοῦ θεραπεύοντος προσδοκῆσαι, τλητικῶς πάνθ' ὑποστήσεται, κἂν ἀλγεινότατα ᾖ τὰ σώζοντα. γενόμενος οὖν τῶν τῆς ψυχῆς παθῶν ἄριστος ἰατρὸς ὁ νομοθέτης, ἓν ἔργον καὶ τέλος προὔθετο, αὐταῖς ῥίζαις τὰς τῆς διανοίας νόσους ἐκτεμεῖν, ἵνα μή τις ὑπολειφθεῖσα, βλάστην ἀρρωστήματος αὐξήσῃ δυσιάτου. τοῦτον δὴ τὸν τρόπον ἤλπισεν ἐκκόψαι δυνήσεσθαι, εἰ χρώμενον ἀπειλαῖς, καὶ ἀγανακτήσεσι, καὶ ἀπαραιτήτοις ὀργαῖς, ἔτι δὲ ἀμυντηρίοις ὅπλοις, πρὸς τὰς κατὰ τῶν ἀδικούντων ἐπεξόδους εἰσαγάγοι τὸ αἴτιον. μόνως γὰρ οὕτως ὁ ἄφρων νουθετεῖται. παρὸ μοι δοκεῖ τοῖς προειρημένοις δυσὶ κεφαλαίοις, τῷ τε ὡς ἄνθρωπος καὶ τῷ οὐχ ὡς ἄνθρωπος ὁ θεός, ἕτερα δύο συνυφῆναι ἀκόλουθα καὶ συγγενῆ, φόβον τε καὶ ἀγάπην. τὰς γὰρ διὰ τῶν νόμων εἰς εὐσέβειαν ὁρῶ παρακελεύσεις ἁπάσας ἀναφερομένας, ἢ πρὸς τὸ ἀγαπᾶν, ἢ πρὸς τὸ φοβεῖσθαι τὸν ὄντα. τοῖς μὲν οὖν μήτε μέρος μήτε πάθος ἀνθρώπου περὶ τὸ ὂν νομίζουσιν, ἀλλὰ θεοπρεπῶς αὐτὸ μόνον τιμῶσι τὸ ἀγαπᾶν οἰκειότατον, φοβεῖσθαι δὲ τοῖς ἑτέροις. ἃ μὲν οὖν προκατασκευάσασθαι τῆς ζητήσεως ἁρμόττον ἦν, τοιαῦτά ἐστιν. ἐπανιτέον δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς σκέψιν, καθ' ἣν ἠπορούμεν τίνα ὑπογράφει νοῦν τὸ, Ἐθυμώθην ὅτι ἐποίησα αὐτούς. ἴσως οὖν τοιοῦτόν τι βούλεται παραστῆσαι, ὅτι οἱ μὲν φαῦλοι θυμῷ γεγόνασι θεοῦ, οἱ δ' ἀγαθοὶ χάριτι. καὶ γὰρ ἑξῆς φησι, Νῶε δὲ εὗρε χάριν. τὸ δὲ κυριολογούμενον ἐπ' ἀνθρώπων πάθος ὁ θυμὸς εἴρηται, τροπικώτερον ἐπὶ τοῦ ὄντος εἰς τὴν ἀναγκαιοτάτην τοῦ πράγματος δήλωσιν,

A Sæuitiem enim eius & minas timendo, vel inuiti continentur in officio. Discant igitur quotquot tales sunt vel falsa, modo vtilia, si per veritatem ad bonam frugem reduci nequeunt. Nam & his qui corporis morbo laborant grauiter, legitime instituti medici non sustinent vera proloqui, cum sciant eos inde fore deiectiore animo, ita vt malum increscat: sed adhibent contrarias consolationes, vt & ægrotus fiat ad tempus sedatior, & ægritudo remissior. B Quis enim sanæ mentis eum sic alloqueretur: heus tu, secaberis, vreris, mutilaberis, etiamsi hæc necessariò ferenda essent. Nemo prorsus. Alioquin ille collabetur animo, accedente noua grauiore molestia ad morbum corporis, & libenter se curationi subtrahet: quod si falsa expectatione decipiatur à curante, patienter sese præbebit ad omnia salubria, quantumuis cruciabilia. C Proinde legislator noster cum sit optimus animarum medicus, vnicum finem habet propositum, vt radicitus mentis infirmitates exsecet, ne ex reliquijs repullulet malum immedicabile. Quod ita se sperauit effecturum, si autorem creaturarum induceret minacem, indignabundum, iniustis seuere intentantem supplicium, nonnunquam arma corripientem in improborum perniciem. Nec enim aliter emendatur insipiens. D Et ideo mihi videtur duobus iam dictis capitibus, quòd Deus sit sicut homo, & non sicut homo, alia duo generis eiusdem contexuisse, timorem atque dilectionem. Omnes enim legum ad pietatem adhortationes video referri vel ad dilectionem vel ad timorem eius Qui est. His igitur qui nec membra, nec affectus humanos Deo tribuunt, sed religiose de illo, piéque sentiunt, dilectio maxime conuenit, timor vero cæteris. E Quæ igitur ante quæstionem præstruenda fuerant, hæc sunt. Redeundum iam ad cœptam considerationem, qua hæsitabamus quid sibi velint hæc verba, Indignatus est, quòd fecisset eos.] Fortasse tale quiddam docere vult, quòd mali apud Deum in indignatione sint, boni vero in gratia. Nam mox dicit, Noe autem inuenit gratiam.] Cæterum ira quæ passio hominis est propria, figurate de eo Qui est intelligitur necessario,

quando quicquid per iram, metum, dolorem, voluptatem, aut quamcunque affectionem agimus, confessione omnium culpabile est ac reprehensibile. Sicut è diuerso laudabile quicquid cum recta ratione coniunctum & scientia. Vides quàm caute loquatur, Indignatus sum, quia feci, non contrà, Quia feci eos indignatus sum? Nam hoc posterius de pœnitente dici poterat, quod non fert natura Dei prouidentissima. Prius autem illud est inducentis dogma generale, iram esse peccatorum fontem, sicut rationem originem bonorum operum. Memor autem perfectissimæ suæ bonitatis Deus, etiamsi omnes homines, aut maxima eorum multitudo suapte culpa ruat in perniciem, tamen salutarem dextram porrigens, sustentat & erigit, non sinens vniuersum genus deleri. Quapropter nunc ait, Noe inuenisse apud eum gratiam, quia cæteri daturi sunt pœnam ingratitudinis, vt salutaris misericordia temperetur peccatorum damnatione, sicut hymnorum cantor dicit alicubi, Misericordiam & iudicium cantabo tibi. Nam si Deus mortalem iudicaret sine misericordia, atrum ferret calculum, cum nemo à natiuitate ad obitum vsque, sine lapsu percurrat vitæ spatium, sed aliquando sponte cadat, aliquando fallente vestigio. Vt igitur genus maneat incolume, etiamsi multæ pessum eant species, admiscet misericordiam, quam interdum etiam indignis exhibet, nunc præuenientem iudicium, nunc sequentem. Antiquior enim apud eum est misericordia quàm iustitia, quippe qui pœna dignum noscit non iudicatum, sed ante iudicium. Quamobrem alibi dicitur: Calix in manu Domini, vini meri plenus temperamento. Atqui temperatum non est merum, habent tamen hæc rationem naturalem, his quæ diximus, consentaneam. Deus enim potentijs suis erga seipsum meris vtitur, temperatis autem erga suas creaturas. Meras enim natura mortalis haudquaquam potest capere. An putas cum non possis meram solis flammam obtueri: extinguetur enim visus fulgore radiorum hebetatus, prius quàm perspiciat: quamuis & sol vnum est ex diuinis operibus, pars cæli, globus æthereus: posse te intueri potentias illas increatas, ita vt meræ circa ipsum sunt eiaculantes fulgorem splendidissimum?

A ὅταν πάνθ' ὅσα δι' ὀργὴν ἢ φόβον ἢ λύπην ἢ ἡδο-
νὴν ἤ τι τῶν ἄλλων παθῶν πράττωμεν, ὑπαίτια
καὶ ἐπίληπτα ὁμολογουμένως ἐστίν· ὅσα δὲ μετ' ὀρ-
θότητος λόγου καὶ ἐπιστήμης, ἐπαινετά. ὅρα γὰρ ὅση
καὶ περὶ τὴν προφορὰν κέχρηται προφυλακῇ,
ὅτι ἐθυμώθην ὅτι ἐποίησα αὐτοὺς εἰπών, ἀλλ' οὐ
κατὰ ἀντιστροφήν, διότι ἐποίησα αὐτοὺς ἐθυμώθην;
τοῦτο μὲν γὰρ μετανοοῦντος ἦν, ὅπερ ἡ τὰ πάντα
προμηθουμένη θεοῦ φύσις οὐκ ἀνέχεται· ἐκεῖνο δὲ
B δόγμα συνεκτικώτατον εἰσηγουμένου, ὅτι πηγὴ
μὲν ἁμαρτημάτων θυμός, λογισμὸς δὲ κατορθω-
μάτων. μεμνημένος δὲ τῆς περὶ πάντα τελείας
ἀγαθότητος ἑαυτοῦ ὁ θεός, κἂν τὸ σύμπαν ἢ τὸ
πλεῖστον ἀνθρώπων πλῆθος ἐξ ἑαυτοῦ δι' ὑπερ-
βολὰς ἁμαρτημάτων περιπίπτῃ, τὴν δεξιὰν καὶ
σωτήριον χεῖρα ὀρέγων, ὑπολαμβάνει καὶ ἐξανί-
στησιν, οὐκ ἐῶν εἰς ἅπαν φθαρῆναι καὶ ἀφανισθῆ-
ναι τὸ γένος· διὸ νῦν φησι τὸν Νῶε χάριν εὑρεῖν παρ'
αὐτῷ, ὅτι οἱ λοιποὶ φανέντες ἀχάριστοι, ὑφέξειν μέλλου-
C σι δίκας, ἵνα τὸν σωτήριον ἔλεον ἀνακεράσηται τῇ
κατὰ ἁμαρτανόντων κρίσει, καθάπερ καὶ ὁ ὑμνῳδὸς
εἶπέ που, Ελεον καὶ κρίσιν ᾄσομαί σοι. εἰ γὰρ βου-
ληθείη ὁ θεὸς δικάσαι τῷ θνητῷ γένει χωρὶς ἐλέου, τὴν
καταδικάζουσαν ψῆφον οἴσει, μηδενὸς ἀνθρώ-
πων τὸν ἀπὸ γενέσεως μέχρι τελευτῆς βίον ἄπται-
στον ἐξ ἑαυτοῦ δραμόντος, ἀλλὰ τοῦ μὲν ἑκου-
σίοις, τοῦ δὲ ἀκουσίοις χρησαμένου τοῖς ἐν ποσὶν
ὀλισθήμασιν. ἵνα οὖν ὑπάρχῃ τὸ γένος, κἂν
πολλὰ τῶν ἰδικῶν βύθια χωρῇ, τὸν ἔλεον ἀνα-
D κίρνησιν, ᾧ πρὸς εὐεργεσίας καὶ τῶν ἀναξίων χρῆ-
ται· καὶ οὐ μόνον δικάσας ἐλεεῖ, ἀλλ' ἐλεήσας δι-
κάζει. πρεσβύτερος γὰρ δίκης ὁ ἔλεος παρ' αὐτῷ
ἐστιν, ἅτε τὸν κολάσεως ἄξιον οὐ μετὰ τὴν δίκην,
ἀλλὰ πρὸ δίκης εἰδότι. διὰ τοῦτο ἐν ἑτέροις
εἴρηται, Ποτήριον ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου
πλῆρες κεράσματος. καίτοι τὸ κεκερασμένον οὐκ
ἄκρατον, ἀλλ' ἔχει λόγον ταῦτα φυσικώτατον, καὶ
τοῖς προειρημένοις ἀκόλουθον. ὁ γὰρ θεὸς ταῖς δυ-
E νάμεσι πρὸς μὲν ἑαυτὸν ἀκράτοις χρῆται, κε-
κραμέναις δὲ πρὸς γένεσιν. τὰς γὰρ ἀμιγεῖς, θνη-
τὴν ἀμήχανον φύσιν χωρῆσαι· ἢ νομίζεις ἄκρα-
τον μὲν τὴν ἡλίου φλόγα μὴ δύνασθαι θεαθῆ-
ναι; σβεσθήσεται γὰρ πρότερον ἡ ὄψις μαρμαρυγαῖς τῶν
ἀκτίνων ἀμυδρωθεῖσα, ἢ προσβάλλουσα καταλή-
ψεται. καίτοι καὶ ἥλιος ἓν ἦν ἔργον θεοῦ, μοῖρα οὐρα-
νοῦ, πίλημα αἰθέριον· τὰς δὲ ἀγενήτους ἄρα δυνά-
μεις ἐκείνας, αἳ περὶ αὐτὸν οὖσαι λαμπρότατον φῶς
ἀπαστράπτουσιν, ἀκράτους περινοῆσαι δύνασθαι;

ὥσπερ οὖν τὰς ἡλιακὰς ἀκτῖνας ἔτεινε μὲν ἀπ᾽ οὐρανοῦ μέχρι γῆς περάτων, τὸ σφοδρὸν τῆς ἐν αὐταῖς θερμότητος ἀνεὶς καὶ χαλάσας ἀέρι ψυχρῷ· τούτῳ γὰρ αὐτὰς ἀνεκεράσατο, ὅπως τὸ αὐγοειδὲς ἀπὸ τοῦ φλογοειδοῦς πυρὸς ἀνασταλέν, τὴν μὲν τοῦ καίειν μεθιέμενον δύναμιν, τὴν δὲ τοῦ φωτίζειν περιέχον, πρὸς ταμιευόμενον ἐν ταῖς ὄψεσι συγγενὲς αὐτοῦ καὶ φίλον ὑπαντιάσαν ἀσπάσηται. ἡ γὰρ τούτων ἐξ ἐναντίας εἰς ταὐτὸ συνοδός τε καὶ δεξίωσις τὴν δι᾽ ὁράσεως ἀντίληψιν ἐργάζεται· οὕτως ἐπιστήμην καὶ σοφίαν θεοῦ καὶ φρόνησιν καὶ δικαιοσύνην καὶ τῶν ἄλλων ἑκάστην ἀρετῶν, τίς ἂν ἀκραιφνῆ δέξασθαι δύναιτο, θνητὸς ὤν, ἀλλ᾽ οὐδ᾽ ὁ σύμπας οὐρανός τε καὶ κόσμος. εἰδὼς τοίνυν ὁ δημιουργὸς τὰς περὶ αὐτὸν ἐν ἅπασι τοῖς ἀρίστοις ὑπερβολάς, καὶ τὴν τῶν γεγονότων, εἰ καὶ σφόδρα μεγαλαυχοῖεν, φυσικὴν ἀσθένειαν, οὔτε εὐεργετεῖν, οὔτε κολάζειν ὡς δύναται βούλεται, ἀλλ᾽ ὡς ἔχοντας ὁρᾷ δυνάμεως τοὺς ἑκατέρου μεθέξοντας. εἰ δὴ τοῦ ἀνειμένου καὶ μεσότητα ἔχοντος τῆς δυνάμεων αὐτοῦ κράματος ἐμπιεῖν καὶ ἀπολαῦσαι δυνηθείημεν, ἀποχρῶσαν εὐφροσύνην καρπωσαίμεθα, ἧς τελειοτέραν μὴ ζητείτω λαβεῖν τὸ ἀνθρώπων γένος. ἐδείχθησαν γὰρ αἱ ἀμιγεῖς καὶ ἄκρατοι καὶ τῷ ὄντι ἀκρότητες περὶ τὸ ὂν μόνον ὑπάρχουσαι. τοῖς δ᾽ εἰρημένοις ὅμοιόν ἐστι καὶ τὸ ἑτέρωθι λεχθέν, Ἅπαξ κύριος ἐλάλησε, δύο ταῦτα ἤκουσα. τὸ μὲν γὰρ ἅπαξ ἔοικε τῷ ἀκράτῳ· καὶ γὰρ τὸ ἄκρατον μονάς, καὶ ἡ μονὰς ἄκρατον. τὸ δὲ δὶς τῷ κεκραμένῳ· ἑκάτερον γὰρ οὐχ ἁπλοῦν, ἅτε καὶ σύγκρισιν καὶ διάκρισιν ἐπιδεχόμενον. μονάδας μὲν οὖν ἀκράτους ὁ θεὸς λαλεῖ. οὐ γάρ ἐστιν ὁ λόγος αὐτοῦ γεγωνὸς ἀέρος πλῆξις, ἀναμιγνύμενος ἄλλῳ τὸ παράπαν οὐδενί, ἀλλὰ καὶ ἀσώματός τε καὶ γυμνός, ἀδιαφορῶν μονάδος· ἀκούομεν δ᾽ ἡμεῖς δυάδι. τὸ γὰρ ἀφ᾽ ἡγεμονικοῦ πνεῦμα διὰ τραχείας ἀναπεμπόμενον ἀρτηρίας, τυποῦται μὲν ἐν στόματι, ὥσπερ ὑπὸ δημιουργοῦ τινὸς γλώττης, φερόμενον δ᾽ ἔξω καὶ ἀναμιχθὲν ἀέρι συγγενεῖ, καὶ πλῆξαν αὐτὸν τὴν δυάδος κρᾶσιν ἁρμονίας ἀποτελεῖ. τὸ γὰρ συνηχοῦν ἐκ φθόγγων διαφερόντων δυάδι μεριστῇ τὸ πρῶτον ἁρμόζεται, ὀξὺν καὶ βαρὺν τόνον ἐχούσῃ. παγκάλως οὖν τῷ πλήθει τῶν ἀδίκων λογισμῶν ἀντέθηκεν ἕνα τὸν δίκαιον, ἀριθμῷ μὲν ἐλάττονα, δυνάμει δὲ πλείονα, ἵνα μὴ ταλαντεύσῃ ὥσπερ ἐπὶ πλάστιγγος βρίσῃ τὸ χεῖρον, ἀλλὰ κρατεῖ τῆς ἐναντίας περὶ τὸ βέλτιον ῥοπῆς ἀνακουφισθὲν ἀσθενήσῃ

A Quemadmodum igitur solis radios extendit opifex à cælo vsque terminos terræ, vt vehementia caloris eius remitteretur, laxaretúrque per aerem frigidum: nam hoc eos temperauit, vt quod inest lucidum seiunctum ab igne flammeo, remissisque vrendi viribus, illustratiuis autem retentis, cognatæ sibi luci repositæ in oculis occurreret suauiter: ex horum enim congressu obuio, & quasi consalutatione quadam, perspiciendi vis efficitur: B ad eundem modum scientiam & sapientiam Dei, item prudentiam, iusticiam, cæterásque virtutes singulas, quis mortalis sinceras posset excipere, quod ne totum quidem cælum totúsque mundus potest? Proinde cum sciret opifex quàm immensa sint sua bona omnia, & creaturæ quantumuis arrogantis naturalem imbecillitatem, nec in beneficijs nec in pœnis vult totam vim suam exerere, sed quantam videt earum capacitati sufficere. Quod si re- C missam mediocrémque potentiarum eius temperaturam haurire & ea frui contingeret, satis hilaritatis perciperemus, qua perfectiorem non est cur requirat humanum genus. Iam enim ostendimus quæ sincera mera veréque summa sunt, circa solum eum Qui est existere. Confirmat hanc sententiam quod alibi dicitur: Semel Dominus locutus est, duo hæc audiui. Nam quod dicit semel, mero est simile: Etenim merum est vnitas, & vnitas merum. Illud autem bis, mixto est si- D mile. Vtrumque enim non simplex est, cum coniunctionem seiunctionémque recipiat. Itaque Dei vox est mera vnitas. Nec enim sermo eius percusso fit aere, cum mixtura omni careat, incorporeus, nudus, nihil ab vnitate differens. Nos autem audimus binario. Spiritus enim è pectore missus per asperam arteriam, formatur quidem in ore à lingua tanquam opifice: prolatus autem foras, & permixtus aeri cognato, eúmque verberans, con- E cinnam binarij temperaturam efficit. Quod enim è diuersis sonis consonat, binario diuisibili primum conuenit, tonum acutum & grauem habenti. Pulchre igitur multitudini cogitationum iniustarum vnum iustum opposuit, numero quidem inferiorem, sed plus valentem, ne tanquam in bilance prægrauaret deterius, sed contraria vi melioris eleuatum, vires amitteret.

A Iam quid sit illud, Inuenit Noe gratiam corã Domino Deo] vnà consideremus. Qui aliquid inueniunt, aut prius amissũ reperiũt denuò: aut non quod prius habuerant, sed nouum lucrum acquirunt. Hanc inuentionẽ, illam redinuentionẽ vocare solent curiosi vocum propriarũ. Prioris exemplũ manifestum est in magna illa precatione. Est autem precatio, bonorũ à Deo postulatio. Porrò magna precatio est, credere Deũ autorem esse bonorũ ex seipso, nec egere ad benefaciendum alieno auxilio, non terræ tan-

B quam frugiferæ, non pluuiæ tanquã adiuuantis satorũ, plantarũque incrementum, non aeris tanquam ad alendũ idonei, non agriculturæ tanquã fertilitatis causæ, non medicinæ tanquã salubris, non nuptiarum tanquam prolificarum. Nam hæc omnia virtute Dei mutantur, vertuntúrque, vt sæpe præter morẽ effectus habeant contrarios. Hunc igitur ait Moses autorẽ esse, qui nutrit comam capillum capitis, id est in mente incre-

C mentũ dantem decretis summarijs iuxta præceptorum capita, quibus illa honestatur ceu compto capillitio. Nonnũquam tamen has comas amittit, irruente in animam repentino quodam turbine, & abripiente honestamenta eius omnia. Est autem is turbo mutatio quædam inuoluntaria, mentem repente contaminans, quæ mors vocatur. Attamen restituta sibi & purificata recipit eas, & reminiscitur quicquid prorsus oblita fuerat, & quæ amiserat inuenit,

D ita vt prioris mutationis dies in ratione non computentur, vel quia non habet rationem ista mutatio, sicut & à prudentia plurimum discrepat: vel quia non est digna cuius habeatur vlla ratio. Talium enim, vt quidam inquit, nec ratio, nec numerus. Sæpe autem incidimus in ea quæ ne in somnis quidem vnquam vidimus: sicut de agricola fertur, qui scrobem parans plantæ frugiferæ, in thesaurũ incidit, auctus insperata felicitate. Certe meditator ille, sci-

E tante patrẽ de tali modo scientiæ, Quid est quod tam citò inuenisti fili, respondens inquit: Quod tradidit Dominus Deus corã me. Quando enim tradit suæ sapientiæ contemplationes sine difficultate ac labore, has repente nacti præter expectationem, thesaurum perfectæ felicitatis inuenimus. Siquidem vsu venit, vt alij magno labore quæsita non inueniant: alij sine cura & negotio, de quibus non cogitarãt, reperiant.

A Τί δέ ἐστι τὸ, Νῶε εὗρε χάριν ἐναντίον κυρίου τοῦ θεοῦ, συνεπισκεψώμεθα. τῶν εὑρισκόντων οἱ μὲν ἃ πρότερον ἔχοντες ἀπέβαλον, αὖθις εὑρίσκουσιν, οἱ δὲ ἃ μὴ πάλαι, νῦν δὲ πρῶτον προσεποιήσαντο. τούτων μὲν οὖν τὸ ἔργον εὕρεσιν, ἐκείνου δὲ ἀνεύρεσιν οἱ ζητητικοὶ τῶν κυρίων ὀνομάτων καλεῖν εἰώθασι. τῶν μὲν οὖν προτέρων παράδειγμα ἐναργέστατον, τὰ περὶ τῆς μεγάλης εὐχῆς διατεταγμένα. ἔστι δὲ εὐχὴ μὲν αἴτησις ἀγαθῶν παρὰ θεοῦ· μεγάλη δὲ εὐχὴ, τὸ τὸν θεὸν αἴτιον ἀγαθῶν ἀφ' ἑαυτοῦ νομίζειν, μηδε-

B νὸς ἑτέρου τῶν εἶναι δοκούντων ὠφελεῖν συνεργοῦντος, μὴ γῆς ὡς καρποτόκου, μὴ ὑετῶν ὡς σπέρμασι καὶ φυτοῖς συναυξόντων, μὴ ἀέρος ὡς τρέφειν ἱκανοῦ, μὴ γεωργίας ὡς φορᾶς αἰτίας, μὴ ἰατρικῆς ὡς ὑγείας, μὴ γάμου ὡς γενέσεως παίδων· πάντα γὰρ ταῦτα δυνάμει θεοῦ μεταβολὰς δέχεται καὶ τροπὰς, ὡς τἀναντία πολλάκις τοῖς ἐξ ἔθους ἀποτελεῖν. τοῦτον οὖν φησι Μωϋσῆς αἴτιον εἶναι, τρέφοντα κόμην τρίχα κεφαλῆς, ὅπερ ἦν τὰς ἐν τῷ ἡ-

C γεμονικῷ τῆς ἀρετῆς δογμάτων κεφαλαιώδεις ἀνατολὰς συναύξοντα, καὶ τρόπον τινὰ κομῶντα καὶ σεμνυνόμενον ἐπ' αὐταῖς· ἀλλ' ἔστιν ὅτε ἀποβάλλει αὐτὰς, αἰφνίδιον καταποσκήψαντος οἷά τινος τυφῶνος εἰς τὴν ψυχὴν, καὶ τὰ καλὰ πάντα αὐτῆς ἐξαρπάσαντος. ὁ δὲ τυφὼν οὗτος τροπή τίς ἐστιν ἀκούσιος, παραχρῆμα τὸν νοῦν μιαίνουσα, ἣν καλεῖ θάνατον· ἀλλ' ὅμως ἀποβαλὼν αὖθις καὶ καθαρθεὶς, ἀναλαμβάνει καὶ ἀναμιμνήσκεται ὧν τελέως ἐπιλέλησται, καὶ ἃ ἀπέβαλεν, εὑρίσκει, ὡς

D τὰς προτέρας τῆς τροπῆς ἡμέρας ἀλόγους ἐξετάζεσθαι, ἢ διότι παράλογον ἡ τροπὴ πρᾶγμα, ἀπᾷδον ὀρθοῦ λόγου καὶ φρονήσεως ἀμέτοχον· ἢ περὶ ὅσον οὐκ ἔστιν ἀξία καταριθμεῖσθαι. τῶν γὰρ τοιούτων, ἔφη τις, οὐ λόγος, οὐδ' ἀριθμός. πολλάκις δὲ ἐντυγχάνομεν τούτοις, ἃ μηδ' ὄναρ πρότερον εἴδομεν, ὥσπερ γεωπόνον φασί τινες ὑπὲρ τοῦ τι τῶν ἡμέρων δένδρων φυτεῦσαι σκάπτοντα χωρίον, θησαυρῷ περιτυχεῖν, ἀνελπίστῳ χρησάμενον

E εὐτυχίᾳ. ὁ γοῦν ἀσκητὴς πυθομένου τοῦ πατρὸς αὐτοῦ τὸν τρόπον τῆς ἐπιστήμης ὃν τρόπον τοῦτον, τί τοῦτο ὃ ταχὺ εὗρες τέκνον, ἀποκρίνεται καὶ φησιν, Ὃ παρέδωκε κύριος ὁ θεὸς ἐναντίον μου: ὅταν γὰρ παραδιδῷ τὰ τῆς ἰδίου σοφίας θεωρήματα καμάτου χωρὶς καὶ πόνου, ταῦτα ἐξαίφνης οὐ προσδοκήσαντες, θησαυρὸν εὐδαιμονίας τελείας εὑρίσκομεν. συμβαίνει δὲ πολλάκις τοῖς μὲν ἐπιπόνως ζητοῦσιν ἀποτυγχάνειν τῶν ζητουμένων, τοῖς δ' ἄνευ φροντίδος ῥᾷστα καὶ ἃ μὴ διενοήθησαν εὑρίσκειν.

οἱ μὲν γὰρ νωθέστεροι καὶ βραδεῖς τὰς ψυχάς, ὥσπερ οἱ τὰ ὄμματα πεπηρωμένοι, ὃν εἰς τὸ θεωρῆσαί τι τῶν κατ᾽ ἐπιστήμην πόνον ἔχουσιν ἀτελῆ· οἱ δὲ φύσεως εὐμοιρίᾳ δίχα ζητήσεως μυρίοις ἐνέτυχον, εὐθυβόλῳ καὶ εὐθίκτῳ χρησάμενοι προσβολῇ, ὡς δοκεῖν αὐτοὺς μὲν μὴ σπουδάσαι τοῖς πράγμασιν ἐντυχεῖν, ἐκεῖνα δὲ μεθ᾽ ὁρμῆς προαπαντήσαντα εἴσω ἐλθεῖν ἐπειχθῆναι, καὶ τὴν ἀπ᾽ αὐτῶν ἀκριβεστάτην ἐμποιῆσαι κατάληψιν· τούτοις ὁ νομοθέτης φησὶ δίδοσθαι πόλεις μεγάλας καὶ καλάς, ἃς οὐκ ᾠκοδόμησαν· οἰκίας πλήρεις τῶν ἀγαθῶν, ἃς οὐκ ἐνέπλησαν· λάκκους λελατομημένους, οὓς οὐκ ἐξελατόμησαν· ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφύτευσαν. πόλεις μὲν οὖν καὶ οἰκίας συμβολικῶς τάς τε γενικὰς καὶ τὰς εἰδικὰς ἀρετὰς ὑπογράφει. πόλει μὲν γὰρ ἔοικε τὸ γένος, ὅτι καὶ μείζοσιν ἐξετάζεται περιγραφαῖς, καὶ πλειόνων κοινόν ἐστιν· εἶδος δὲ οἰκίᾳ, τὸ συνῆχθαί τε μᾶλλον καὶ πεφθονῆσθαι τὴν κοινότητα. προητοιμασμένοι δὲ λάκκοι, τὰ ἑτέροις τῶν πόνων, τούτοις πρόχειρα ἆθλα, οὐρανίου καὶ ποτίμου δεξαμεναὶ νάματος, πρὸς φυλακὴν τῶν προειρημένων ἀρετῶν εὐπρεπεῖς θησαυροί, ἐξ ὧν εὐφροσύνη περιγίνεται ψυχῇ τελείᾳ, φῶς τὸ ἀληθὲς ἀπαστράπτουσα. τοὺς μὲν οὖν ἀμπελῶνας εὐφροσύνης, τοὺς δ᾽ ἐλαιῶνας φωτὸς πεποίηται σύμβολον. εὐδαίμονες μὲν οὖν οὗτοι, παραπλήσιόν τι πάσχοντες τοῖς ἐκ βαθέος ὕπνου διανισταμένοις, καὶ τὸν κόσμον ἐξαίφνης ἀπόνως καὶ χωρὶς πραγματείας ὁρῶσιν· ἄθλιοι δὲ οἱ πρὸς ἃ μὴ πεφύκασιν ἀντιφιλονεικοῦντες συμβαίνειν, δεινῇ ἀργαλεωτάτῃ νόσῳ ἐπαγόμενοι. πρὸς γὰρ τῷ τέλους ἀποτυγχάνειν, ἔτι μεθ᾽ οὐ μικρᾶς βλάβης μεγάλην αἰσχύνην ὑπομένουσιν, ὥσπερ αἱ πρὸς ἐναντία πνεύματα νῆες θαλαττεύουσαι. πρὸς γὰρ τῷ μὴ τυγχάνειν ὑποδρομῶν ἐφ᾽ οὓς ἐπείγονται, πολλάκις αὐτοῖς πλωτῆρσι καὶ φορτίοις ἀνατραπεῖσαι, λύπην φίλοις, ἡδονὴν δ᾽ ἐχθροῖς ἐμπαρέσχον· λέγει οὖν ὁ νόμος, ὅτι παραβιασάμενοί τινες ἀνέβησαν ἐπὶ τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμορραῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐτίτρωσκεν αὐτοὺς ὡς ἂν ποιήσαιαν αἱ μέλισσαι, ἀπὸ Σεὶρ ἕως Ερεμά. ἀνάγκη γὰρ καὶ τοὺς ἀφυεῖς ἔχοντας πρὸς τὰς τῶν τεχνῶν ἀναλήψεις, εἴ τι βιαζόμενοι πονοῖντο περὶ αὐτάς, μὴ μόνον σφάλλεσθαι τοῦ τέλους, ἀλλὰ καὶ αἰσχύνην ὀφλεῖν. καὶ τοὺς ἄλλο τι τῶν δεόντων ἀσυγκαταθέτῳ γνώμῃ πράττοντας ἐθελουσίως, βιαζομένους δὲ τὸ παρ᾽ αὐτοῖς ἑκούσιον, μὴ κατορθοῦν,

A Nam eorum qui hebetiores tardioréſque habent animas, ſicut orbati oculis, labor in contemplandis ſcientijs eſt inutilis: qui vero feliciore ingenio ſunt præditi, abſque inquiſitione multa inueniunt fortuito, dum recte coniecturam faciunt: vt ea videantur acquirere, non ſtudio, ſed rebus ipſis vltro in conſpectum eorum properantibus, & in notitiam ſeſe ingerentibus. De his legiſlator ait, datas eis ciuitates magnas & bo- B nas, quas non ædificarunt: domos plenas opibus, quas non repleuerunt: ciſternas è ſaxo exciſas, quas non exciderunt: vineta olinetáque quæ non plantarunt. Ciuitates domóſque figurate, generales ſpecialéſque virtutes ſubindicat. Nam ciuitati genus eſt ſimile, quia patet amplioribus pomœrijs, & commune fit compluribus: ſpecies vero domui, quippe contractior, & minus communis. Per ciſternas autem paratas intelliguntur C alieno labore parata præmia, conceptacula cæleſtis liquoris potabilis, theſauri ad conſeruandas dictas virtutes commodi, ex quibus animæ perfectæ lætitia naſcitur, vero lumine radians. Proinde per vineta lætitiam, per oliueta lumen ſignificat. Felices quibus hoc contigit, qui quaſi ex alto ſomno experrecti, mundum repente contemplantur ſine labore ac negotio. Miſeri vero qui contra ſuum ingenium contendentes, intabeſcunt mor- D bo contentionis difficillimo. Non ſolum enim fruſtrantur ſuo propoſito, ſed inſuper cum non paruo detrimento incurrunt magnam ignominiam, ſicut naues in mari luctantes cum aduerſis flatibus. Quæ non ſolum aberrant à portu, quem petebant, verùm etiam ſæpe vna cum vectoribus ac ſarcinis merguntur, inimicis gaudium relinquentes, amicis deſiderium. Dicitur enim in lege, E quòd quidam facto impetu in montem aſcenderunt, & egreſſus eſt Amorræus montem illum habitans, & quaſi apes iritatæ percuſſit eos, à Seir vſque Erema. Neceſſum eſt enim, vt qui non ſunt nati percipiendis artibus, ſi luctentur in contrarium, non ſolum fruſtrentur, ſed inſuper dedecus lucrifaciant. Eos item qui aliquod officium præter animi ſui ſententiam aggrediuntur, coacti ab alijs, rem male gerere, accuſante

A ſtimulantéque ipſorum conſcientia. Sicut qui parua depoſita reddunt, captantes occaſionē auferendi maiora, diceres homines bonæ fidei: qui etiā tum cū ea reddunt, magnā vim interūt innatæ ſibi perfidiæ, cuius ſibi cōſcij lancinātur indeſinenter occultis eius morſibus. Pari modo quotquot illum ſolū ſapientē inſincere colunt, tanquam in aliqua ſcena mirificis exornata ceremonijs, hoc vitæ genus haud ſecus ac in theatro aliquantiſper oſtentantes ſpectatoribus impo-
B ſturā non pietatē in anima circūferunt, ſeipſos velut in rota cruciantes torquētéſque, & cogentes falſam veritatis formam ſumere. Proinde ad breue tempus obumbrati ſuperſtitionis inſignijs, quæ eſt ſanctitatis iniuria, magnū malum vel eam habentiū vel cum his cōuerſantiū, mox iſto habitu exuti aſciticio, nudam oſtēdunt hypocriſim. Atque ita deprehenduntur eſſe ciues ſuppoſiticij, qui ſeipſos aſcripſerunt in maximā ciuitatē virtutē, ius eius nunquā aſſecuti. Nam
C quicquid violentū idem non diuturnū eſt: quæ cognatio in rerū harum Græcis nominibus apparet, βίαιον & βαιόν. Sic enim priſci vocabāt rem momentaneā. Quid porro ſit illud, Inuenit Noe gratiam apud Dominum Deum, quæritur. Fortaſſe tale aliquid ſignificat, cum cōſecutū eſſe gratiam, aut gratia dignū habitum. Sed prius non videtur credibile. Quid enim accepit præ cæteris pene omnibus, non concretis ſolū, verùm & elementaribus naturis ſimplicibus, quæ
D Deo charæ ſunt? Poſterius autē habet quidem rationē non incongruam, iudicare autorem ſummū dignos ſuis muneribus, qui diuinū characterem ſacrū in mente non polluerunt ſtudijs turpibus: ſed forte non veram. Ingentem enim eſſe oportebat, virum diuina gratia dignū, idque ipſe Deo iudice. Equidem arbitror, vix totum mundū eſſe parem tanto negotio. qui tamen inter cuncta opera Dei, ſicut primus, ita maximus eſt & perfectiſſimus. Forſan igitur ſa-
E tius fuerit hoc dictū ſic accipere, quòd probus hic vir cum eſſet ſagax & valde doctus, omnia diſquirendo comperit quod eſt veriſſimum, gratiam Dei eſſe omnia, terram, aquam, aerem, ignem, ſolem, ſtellas, cælum, animantes ſtirpéſque vniuerſas. Horum autem nihil Deū ſibi largitum, cum his non egeat. ſed mundum mundo, & partes eius in vſum mutuū, atque etiam vt vniuerſitati commodent. Idque non vt recipiat gratiā,

A ἀλλὰ πρὸς τοῦ συνειδότος τιτρώσκεσθαι καὶ διώκεσθαι· καὶ τοὺς τὰς ὀλιγοχρηματίους παρακαταθήκας ἀποδιδόντας ἐπὶ θήρᾳ στερήσεως μειζόνων, εἴποις ἂν πίστει διαφέρειν, οἳ καὶ ὅταν ἀποδιδῶσι, πολλὰ τὴν ἔμφυτον ἀπιστίαν ἐβιάσαντο, ὑφ᾽ ἧς μήποτε παύσονται κατακεντούμενοι. θεραπείαν δὲ ὅσοι τοῦ μόνου σοφοῦ νόθον ἐπετήδευσαν, ὥσπερ ἐπὶ σκηνῆς ἱεροπρεπεστάτης, ἄχρι τοῦ μόνον ἐπιδείξασθαι τοῖς συνεληλυθόσι θεαταῖς
B προαίρεσιν ἐνδύντες βίον, βωμολοχίαν περὶ εὐσέβειαν ἐν τῇ ψυχῇ φέροντες, οὐχ αὑτοὺς ὥσπερ ἐπὶ τροχοῦ κατατείνουσι καὶ βασανίζουσιν, ἀναγκάζοντες ἐπιμορφάζειν ψευδῶς ἀλήθειαν; τοιγάρτοι βραχὺν χρόνον ἐπισκιασθέντες διὰ τῶν δεισιδαιμονίας συμβόλων, ἣ κόλασις μέν ἐστιν ὁσιότητος, μεγάλη δὲ καὶ τοῖς ἔχουσι καὶ τοῖς συνοῦσι ζημία, εἶτ᾽ αὖθις ἀπαμφιασάμενοι τὰ περίαπτα, γυμνὴν ἐπιδείκνυνται τὴν ὑπόκρισιν· καὶ τότε ὥσπερ οἱ ξενίας ἁλόντες νοθεύονται, τῇ με-
C γίστῃ πόλεων ἀρετῇ μηδὲν προσήκοντας ἑαυτοὺς παρεγγράψαντες. τὸ γὰρ βίαιον ὀλιγοχρόνιον, ὡς καὶ αὐτό που δηλοῖ τοὔνομα, παρὰ τὸ βαιὸν εἰρημένον· βαιὸν δὲ τὸ ὀλιγοχρόνιον ἐκάλουν οἱ παλαιοί. Τί δέ ἐστι τό· Νῶε εὗρε χάριν παρὰ κυρίῳ τῷ θεῷ, διαπορητέον. ἆρ᾽ οὖν τοιοῦτόν ἐστι τὸ δηλούμενον, ὅτι χάριτος ἔτυχεν, ἢ ὅτι χάριτος ἄξιος ἐνομίσθη; ἀλλὰ τὸ μὲν πρότερον οὐκ εἰκὸς ὑπονοεῖν· τί γὰρ αὐτῷ πλέον δεδώρηται πάντων, ὡς ἔπος εἰπεῖν, ὅσα οὐ συγκέκριται μό-
D νον, ἀλλὰ καὶ στοιχειώδεις ἁπλαῖ φύσεις εἰσί, χάριτος ἠξιωμένων θείας; τὸ δ᾽ ὕστερον ἔχει μέν τινα οὐκ ἀνάρμοστον λόγον, κρίνοντος τοῦ αἰτίου δωρεῶν ἀξίους τοὺς τὸ θεῖον ἐν ἑαυτοῖς νόμισμα τὸν ἱερώτατον νοῦν αἰσχροῖς ἐπιτηδεύμασι μὴ διαφθείροντας· ἴσως δὲ οὐκ ἀληθῆ. πηλίκον γάρ τινα εἰκὸς ἡγεῖσθαι τὸν ἄξιον χάριτος κριθησόμενον παρὰ θεῷ. ἐγὼ μὲν γὰρ ἡγοῦμαι, μόλις ἂν καὶ σύμπαντα τὸν κόσμον τούτου λαχεῖν· καίτοι τό γε
E πρῶτον καὶ μέγιστον καὶ τελεώτατον τῶν θείων ἔργων, οὗτός ἐστι· μήποτ᾽ οὖν ἄμεινον ἂν εἴη ἐκδέχεσθαι τοῦτο, ὅτι ζητητικὸς καὶ πολυμαθὴς γενόμενος ὁ ἀστεῖος, ἐν οἷς ἅπασιν ἐζήτησεν, τοῦθ᾽ εὗρεν ἀληθέστατον, χάριν ὄντα θεοῦ τὰ πάντα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἥλιον, ἀστέρας, οὐρανόν, ζῷα, καὶ φυτὰ σύμπαντα; κεχάρισται δὲ ὁ θεὸς αὑτῷ μὲν οὐδέν· οὐδὲ γὰρ δεῖται· κόσμον δὲ κόσμῳ, καὶ τὰ μέρη ἑαυτοῖς τε καὶ ἀλλήλοις, ἔτι δὲ τῷ παντί· οὐδὲν δὲ κρίνας ἄξιον χάριτος· ἀφ-

θεὸν γὰρ τοῖς ὅλοις ἢ τοῖς μέρεσι δεδώρηται τὰ ἀγαθά· ἀλλ' ἀπιδὼν εἰς τὴν ἀΐδιον ἀγαθότητα, καὶ νομίσας ἐπιβάλλον τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει ἑαυτοῦ τὸ εὐεργετεῖν· ὥστε εἴ τίς με ἔροιτο τίς αἰτία γενέσεως κόσμου, μαθὼν παρὰ Μωϋσέως ἀποκρινοῦμαι, ὅτι ἡ τοῦ ὄντος ἀγαθότης ἐστί, πρεσβυτάτη τῶν χαρίτων οὖσα ἑαυτῇ. παρατηρητέον δ' ὅτι τὸν μὲν Νῶέ φησιν εὐαρεστῆσαι ταῖς τοῦ ὄντος δυνάμεσι, κυρίῳ τε καὶ θεῷ, Μωσῆν δὲ τῷ δορυφορουμένῳ πρὸς τῶν δυνάμεων, καὶ δίχα αὐτῶν κατὰ τὸ εἶναι μόνον νοουμένῳ· λέγεται γὰρ ἐκ προσώπου θεοῦ, ὅτι εὕρηκας χάριν παρ' ἐμοί, δηλοῦντος ἑαυτὸν τὸν ἄνευ παντὸς ἑτέρου. οὕτως ἄρα τὴν μὲν κατὰ Μωσῆν ἄκραν σοφίαν ἀξιοῖ χάριτος ὁ ὢν αὐτὸς δι' ἑαυτοῦ μόνου, τὴν δὲ ἀπεικονισθεῖσαν ἐκ ταύτης, δευτέραν καὶ εἰδικωτέραν οὖσαν, διὰ τῶν ὑπηκόων δυνάμεων· καθὸ καὶ ὁ κύριος καὶ θεὸς ἄρχων τε καὶ εὐεργέτης ἐστίν. ἕτερος δέ τις φιλοσώματος καὶ φιλοπαθὴς νοῦς, πραθεὶς τῷ ἀρχιμαγείρῳ τοῦ συγκρίματος ἡμῶν ἡδονῇ, καὶ ἐξευνουχισθεὶς τὰ ἄρρενα καὶ γόνιμα τῆς ψυχῆς μέρη πάντα, σχολὴν ἄγων καλῶν ἐπιτηδευμάτων, ἀκοὴν παραδέξασθαι θείας ἀδυνατῶν, ἐκκλησίας τῆς ἱερᾶς ἀπεσχοινισμένος, ἐν ᾗ σύλλογοι καὶ λόγοι περὶ ἀρετῆς ἀεὶ μελετῶνται, εἰς μὲν τὸ δεσμωτήριον τῶν παθῶν εἰσάγεται, χάριν δὲ εὑρίσκει τὴν ἀτιμίας ἀδοξοτέραν παρὰ τῷ ἀρχιδεσμοφύλακι. δεσμῶται μὲν γὰρ κυρίως εἰσίν, οὐχ οὓς ἐν δικαστηρίοις καταδικασθέντας ὑπὸ κληρωτῶν ἀρχόντων, ἢ καὶ χειροτονητῶν δικαστῶν ἀπάγουσί τινες εἰς ἀποδεδειγμένον χωρίον κακούργων, ἀλλ' οὓς ἡ φύσις κατεδίκασε ψυχῆς τρόπων, οἷά τινος ἀκολασίας καὶ δειλίας καὶ ἀδικίας καὶ ἄλλων ἀμυθήτων κηρῶν γέμουσιν. ὁ δὲ ἐπίτροπος καὶ φύλαξ καὶ ταμίας τούτων ὁ ἡγεμὼν τοῦ δεσμωτηρίου, σύστημα καὶ συμφόρημα κακιῶν ἀθρόων καὶ ποικίλων εἰς ἓν εἶδος συνυφασμένων ἐστίν, ᾧ τὸ εὐαρεστῆσαι μεγίστη ζημία. ἣν οὐχ ὁρῶντες ἔνιοι, ἀπατώμενοι δὲ περὶ τὸ βλαβερὸν ὡς ὠφέλιμον, προσίασί τε αὐτῷ μάλα γεγηθότες καὶ δορυφοροῦσιν, ἵν' ὕπαρχοι καὶ διάδοχοι φυλακῆς ἁμαρτημάτων ἀκουσίων τε καὶ ἑκουσίων πιστοὶ κριθέντες γένωνται. ἀλλὰ καὶ σύ γε ὦ ψυχὴ τὴν δεσποτείας καὶ ἡγεμονίας ταύτην ἀργαλεωτέραν τῆς ἐπαχθοῦς δουλείας νομίσασα, μάλιστα μὲν ἀδέσμῳ καὶ ἐλευθέρᾳ χρῆσαι προαιρέσει τοῦ βίου· ἂν δ' ἄρα ἁλισκηρωθῇς ὑπὸ πάθους, δεσμῶτις μᾶλλον ἢ εἱρκτοφύλαξ ὑπομένουσα γενέσθαι. κακωθεῖσα μὲν γὰρ καὶ στενάξασα, ἔλεον

A quamuis benignissimus & in totum & in partes: sed respectu sempiternæ suæ bonitatis, quòd arbitraretur suæ beatæ felicique naturæ conuenire beneficentiam. Itaque si quis me roget, quænam sit causa mundi creati, à Mose doctus, respondebo, eius Qui est bonitas, antiquissima suarum gratiarum omnium. Vbi obseruandum quod ait, placuisse Noe potentijs eius Qui est, Domino & Deo: Mosen vero ipsi regi potentiarum, cuius etiam absque il-
B lis sola noscitur essentia. Ad hunc enim ex persona Dei dicitur: Inuenisti gratiam apud me: ostendendo seipsum absque omni altero. Adeo Mosis summam sapientiam gratia dignatur is Qui est per seipsum solum: expressam autem ex hac imaginem, iam secundariam, & specialiorem, per potentias subditas. Quapropter Dominus & Deus, princeps est & beneficus. Alius vero quispiam corporis & affectuum fautor intellectus, venditus prin-
C cipi coquorum voluptati huius nostri concreti, exectis masculis & genitalibus partibus animæ omnibus, & à curis honestis otiosus, nec aptus diuino auditorio, eliminatus à sacra concione, quam virtutis studiosi frequentant, in carcerem affectionum introducitur: vbi apud vinctorum custodem inuenit gratiam inhonestiorem, quam ignominiam. Sunt enim proprie vincti, non qui pro tribunali damnati prætorum sententijs & iudicum calcu-
D lis abducuntur ad certum locum destinatum maleficijs: sed quos ipsa natura damnauit ob mores animæ, puta luxuriem, timiditatem, iniustitiam, aliásque ineffabiles pestes, quibus referti sunt. Horum curator, custos & promus est præfectus carceris, conflatus ex omnigenum vitiorum colluuie, cui placuisse damnum est maximum. Quod cum non videant quidam, eligentes pro vtilibus noxia, libenter se adiungunt in eius satellitium, vt approbata sua
E fide fiant subpræfecti & vicarij custodiæ peccatorum voluntariorum ac inuoluntariorum. Tu vero anima, hanc quoque potestatem præfecturámque crede molestiorem seruitute grauissima, & da operam vt libero vtaris vitæ proposito. Quod si capta fueris hamo affectus alicuius, sustine vincta esse potius quàm custos carceris. Nam afflicta geménsque, misericordiam inuenies. Quod

si ambitioni teipsam dedideris, magnum malum, licet suaue, custodiam carceris suscipies, cui eris per totam vitam obnoxia. Proinde missas fac omnes familiaritates præfecti custodiarum, & vide vt summo bono te modis omnibus approbes. id si minus potueris, est enim res valde ardua, rectà contende ad eius potentias, & his supplex esto, donec illæ exoratæ tuo continuo legitimóque cultu, te in ordine probatorum statuant, sicut & illum Noe, cuius miræ nouæque dotes enumerantur scriptura sacra dicente: Hæ sunt generationes Noe. Noe homo iustus, perfectus in generatione sua, Deo placuit Noe.] Quæ ex concretis nascuntur, & ipsa concreta sunt. Nam ex equis equi, è leonibus leones, è tauris boues, homines item ex hominibus gigni necessum est. At bonæ mentis non talis est propria progenies, sed prædictæ virtutes, hominem esse, iustum esse, perfectum esse, Deo placere, quod vt perfectissimum & summæ felicitatis finis, postremum subiungitur. Est autem vna generatio, ex non esse ad esse iter & productio. Huius in stirpibus & animantibus vsus est necessarius. Altera vero est, ex meliore genere in minorem speciem mutatio, cuius mentio fit his verbis: Hæ sunt generationes Iacob. Ioseph cum septemdecim esset annorum, pascebat gregem cum fratribus suis adhuc puer, cum filijs Ballæ, & cum filijs Zelphæ, vxorum patris sui. Quando enim hæc meditatoria cupidáque discendi mens à diuinioribus contemplationibus ad vanas opiniones descendit, corporis & corporearum rerum sodalis Ioseph gignitur, adhuc puer, etiamsi ætate canus fit, quippe qui nullam senilem sententiam aut narrationem audiuit, quam Mosis sodales vt possessionem vtilissimam sibi ac suis discipulis acquisiuerunt. Quamobrem videtur mihi, quo effigiem eius & exactissimam formæ ideam manifestius describeret, pascentem greges introducere, cum legitimo nullo, sed cum spurijs fratribus concubinarum filijs, qui denominantur à deteriore muliebri genere, non à virili præstantiore. Nam filij Ballæ Zelphæque, non Israelis patris nunc vocantur. Occurrit

A εὑρήσεις· σπουδαρχίαις δὲ καὶ λιμοδοξίαις ὑποβαλοῦσα σαυτήν, οὐδὲν κακὸν τὸ εἱρκτοφυλακεῖον καὶ μέγιστον ἀναδέξῃ, ὑφ' οὗ γενήσῃ πάντα ἀγώγιμος τὸν αἰῶνα. τὰς μὲν οὖν παρὰ τοῖς ἀρχιδεσμοφύλαξιν εὐαρεστήσεις ἀνακράτως ἀπόθου, τὴν δὲ παρὰ τῷ ἀστείῳ διαφερόντως μετὰ πάσης σπουδῆς ἐφίεσο· ἐὰν δὴ ἄρα ἀδυνατῇς· ὑπερβάλλον γὰρ τὸ τοῦ ἀξιώματος μέγεθος· ἴθι ἀμεταστρεπτὶ πρὸς τὰς δυνάμεις καὶ τούτων ἱκέτις γενοῦ, μέχρις ἂν ἀποδεξάμεναι τὸ συνεχὲς καὶ γνήσιον τῆς θεραπείας, ἐν τῇ B τῶν εὐαρεστησάντων αὐταῖς κατατάξωσι χώρᾳ, καθάπερ καὶ τὸν Νῶε, οὗ τὸ ἔργον θαυμασιώτατον καὶ καινότατον πεποίηται τὸν κατάλογον· φησὶ γάρ, Αὗται αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησε Νῶε. τὰ μὲν γὰρ συγκριμάτων γεννήματα πέφυκεν εἶναι καὶ αὐτὰ συγκρίματα. ἵπποι γὰρ ἵππους, καὶ λέοντες λέοντας, καὶ βόες ταύρους, ὁμοίως δὲ καὶ ἄνθρωποι ἀνθρώπους ἐξ ἀνάγκης γεννῶσι· διανοίας δὲ ἀγαθῆς, οὐ τὰ C τοιαῦτα οἰκεῖα ἔκγονα, ἀλλ' αἱ προειρημέναι ἀρεταί, τὸ ἄνθρωπον εἶναι, τὸ δίκαιον εἶναι, τὸ τέλειον εἶναι, τὸ θεῷ εὐαρεστεῖν, ὅπερ ὕστατον καὶ τελεώτατον ἦν, καὶ ὅρος τις ἄκρας εὐδαιμονίας, ἐφ' ἅπασιν εἴρηται. γένεσις δέ, ἡ μὲν ἀγωγή καὶ ὁδός τις ἐστὶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. ταύτῃ φυτά τε καὶ ζῷα ἐξ ἀνάγκης ἀεὶ χρῆσθαι πέφυκεν. ἑτέρα δέ ἐστιν ἡ ἐκ βελτίονος γενέσεως εἰς ἔλαττον εἶδος μεταβολή, ἧς μέμνηται ὅταν φῇ, Αὗται δὲ αἱ γενέσεις Ἰακώβ, Ἰωσὴφ δέκα ἑπτὰ ἐτῶν ἦν ποιμαίνων μετὰ τῶν ἀ- D δελφῶν τὰ πρόβατα ὢν νέος μετὰ τῶν υἱῶν Βάλλας, καὶ μετὰ τῶν υἱῶν Ζέλφας τῶν γυναικῶν πατρὸς αὐτοῦ. ὅταν γὰρ ὁ ἀσκητικὸς οὗτος καὶ φιλομαθὴς λόγος ἀπὸ τῶν θειοτέρων ἐνθυμημάτων εἰς ἀνθρωπίνας καὶ κενὰς δόξας καταβιβασθῇ, ὁ τοῦ σώματος καὶ τῶν περὶ αὐτὸ χορευτὴς Ἰωσὴφ ἀπογεννᾶται, νέος ὢν ἔτι, κἂν μήκει χρόνου πολιὸς γένηται, πρεσβυτέρας οὔτε γνώμης, οὔτε ἀκοῆς εἰσάπαν ἐπῃσθημένος, ἣν οἱ Μωσέως θιασῶται κατασταθέν- E τες, κτῆμα καὶ ἀπόλαυσμα ὠφελιμώτατον ἑαυτοῖς τε καὶ τοῖς ἐντυγχάνουσιν εὕραντο. διὰ τοῦτό μοι δοκεῖ τὸν τύπον αὐτοῦ καὶ τὴν ἀκριβεστάτην τοῦ χαρακτῆρος ἰδέαν βουλόμενος ἐκδηλοτέραν ἐγγράψαι, ποιμαίνοντα εἰσάγειν, μετὰ γνησίου μὲν οὐδενός, μετὰ δὲ τῶν νόθων ἀδελφῶν, οἱ παλλακίδων ὄντες, ἀπὸ τοῦ χείρονος γένους τοῦ πρὸς γυναικῶν, ἀλλ' οὐκ ἀπὸ τοῦ κρείττονος τοῦ πρὸς ἀνδρῶν χρηματίζουσιν. υἱοὶ γὰρ τῶν γυναικῶν Βάλλας καὶ Ζέλφας, ἀλλ' οὐκ Ἰσραὴλ τοῦ πατρὸς νυνὶ κα-

A ἀναλοῦται. ζητήσαι δ' ἄν τις προσηκόντως τίνος ἕνεκα μετὰ τὴν ἐν ταῖς ἀρεταῖς τοῦ Νῶε τελείωσιν, εὐθὺς εἴρηται, Ὅταν ἐφθάρη ἡ γῆ ἐναντίον τοῦ θεοῦ, καὶ ἐπλήσθη ἀδικίας. ἀλλ' ἴσως οὐ χαλεπὸν λύσεως εὐπορῆσαι, τῷ μὴ σφόδρα παιδείας ἀπείρῳ. λεκτέον οὖν, ὅτι ἐπειδὰν ἐν ψυχῇ τὸ ἄφθαρτον εἶδος ἀνατείλῃ, τὸ θνητὸν εὐθέως φθείρεται. γένεσις γὰρ τῶν καλῶν, θάνατος αἰσχρῶν ἐπιτηδευμάτων ἐστίν· ἐπεὶ καὶ φωτὸς ἐπιλάμψαντος ἀφανίζεται τὸ σκότος· διὰ τοῦτο ἐν τῷ νόμῳ τῆς λέπρας ἀκριβέστατα B διείρηται, ὅτι ἐὰν ἀνατείλῃ χρὼς ζῶν ἐν τῇ λέπρᾳ, μιανθήσεται· καὶ προσεπισφίγγων αὐτὸ τοῦτο, καὶ ὥσπερ ἐναποσημαινόμενος ἐπιφέρει, Καὶ μιανεῖ ὁ χρὼς ὁ ὑγιής, ἀντιπαρατιθέμενος τῇ εἰκότι καὶ συνήθει. πάντες γὰρ οἱ ἄνθρωποι τὰ νοσοῦντα φθορᾶς τῶν ὑγιαινόντων, καὶ τὰ νεκρὰ τῶν ζώντων, οὐκ ἔμπαλιν τὰ ὑγιαίνοντα καὶ ζῶντα τῶν ἐναντίων, ἀλλὰ σωτήρια νομίζουσι. καινότατος δ' ἐν ἅπασι τῆς σοφίας ὁ νομοθέτης ὤν, καὶ τοῦτ' ἴδιον εἰσηγήσατο, διδάσκων ὅτι τὰ ὑγιαίνοντα καὶ ζῶντα, τῷ μὴ καθαρεύειν, μιασμάτων αἴτια γίνεται. C τὸ γὰρ ὑγιαῖνον καὶ ζῶν ἐν ψυχῇ χρῶμα ὡς ἀληθῶς φαινόμενον ἐπ' αὐτῆς, ἔλεγχός ἐστιν· οὗτος ὅταν ἀνάγῃ κατάλογον ποιεῖσθαι τῶν ἁμαρτημάτων αὐτῆς πάντων, καὶ ὀνειδίζων καὶ δυσωπῶν καὶ ἐπιπλήττων, μόλις παύεται· ἡ δ' ἐλεγχομένη γνωρίζει τὰ καθ' ἕκαστα, ὧν παρὰ τὸν ὀρθὸν λόγον ἐπετήδευε· καὶ τότε ἄφρονα καὶ ἀκόλαστον καὶ ἄδικον καὶ πλήρη μιασμάτων ἑαυτὴν καταλαμβάνει· διὸ καὶ παραδοξότατον νόμον ἀναγράφει, ἐν ᾧ τὸν μὲν ἐκ μέρους ὄντα λεπρὸν καὶ ἀκάθαρτον, D τὸν δὲ ὅλον δι' ὅλων ἀπὸ ἄκρων ποδῶν μέχρι κεφαλῆς ἐσχάτης κατεσχημένον τῇ λέπρᾳ, καθαρὸν φησὶν εἶναι, τάχα ἄν τινος τὸ ἐναντίον, ὅπερ εὔλογον ἦν ὑπολαβεῖν, εἰκάσαντος, τὴν μὲν ἐσταλμένην καὶ περὶ τι βραχὺ τοῦ σώματος λέπραν, ἧττον ἀκάθαρτον· τὴν δὲ κεχυμένην, ὡς ἄπαν περιλαβεῖν αὐτό, μᾶλλον. δηλοῖ δ' ὡς ἔμοιγε φαίνεται, διὰ συμβόλων τούτων ἀληθέστατον ἐκεῖνο, ὅτι τὰ μὲν ἀκούσια τῶν ἀδικημάτων καὶ E ἐπιμήκιστα ὄντα, ἀνυπαίτια καὶ καθαρά, τὸ συνειδὸς βαρὺν κατήγορον οὐκ ἔχοντα· τὰ δὲ ἑκούσια, κἂν μὴ ἐπὶ πλεῖστον ἀναχέηται, πρὸς τοῦ κατὰ ψυχὴν ἐλεγχόμενα δικαστοῦ, ἀνίατα καὶ μιαρὰ καὶ ἀκάθαρτα δοκιμάζεται· ἡ μὲν οὖν διφυὴς καὶ δύο ἐξανθοῦσα χρώματα λέπρα τὴν ἑκούσιον ἐμφαίνει κακίαν. ἔχουσα γὰρ ἡ ψυχὴ τὸν ὑγιαίνοντα καὶ ζωτικὸν καὶ ὀρθὸν ἐν αὐτῇ λόγον, τῷ μὲν οὐ χρῆται ὡς κυβερνήτῃ

hic quæſtio, quam ob cauſam ſtatim poſt perfectas Noe virtutes ſubiungitur: Corrupta eſt autem terra coram Deo, & repleta eſt iniquitate. Fortaſſis tamen non difficile fuerit eam ſoluere, homini præſertim non inerudito. Dicendum igitur, quòd cum in anima incorruptibilis ſpecies exoritur, mortalis ſpecies mox corrumpitur. Generatio enim pulchrorum ſtudiorum, eſt mors turpium: quando & poſt lucis exortum euaneſcunt tenebræ. Quamobrem in lege de lepra diſerte dicitur: Quod ſi caro viuens in leproſo apparuerit, pollutus iudicabitur. Quod mox confirmans & quaſi obſignans, ſubinfert: Caro enim ſana interſparſa immunda eſt. id quod præter communem morem dictum eſt. Omnes enim à morbidis ſana corrumpi exiſtimant, à mortuis viua, non è diuerſo, quòd ſana viuáque putent ſalutaria. Verùm legiſlator miranda in cunctis rebus ſapientia præditus, hoc quoque habet proprium: docens quòd ſana viuáque, cum ſint impura, pollutionem inducunt. interſparſa enim ſana viuáque caro in anima, eſt morbi certum indicium. hanc propheta commemoratione peccatorum arguit, obiurgat, pudorem incutit. illa vero agnoſcit ſingula, quibus à recta ratione exorbitauit: & tum demum ſe imprudentem, luxurioſam, iniquam, plenam inquinamentis deprehendit. quapropter extat lex noua & à vulgo recepta opinione diuerſiſſima, quæ ex parte leproſum pronunciat impurum: cum vero qui à capite ad pedes vſque lepra occupatus eſt, purum eſſe ait. Quilibet enim, opinor, probabiliter coniectans, diceret contrarium, lepram quæ vltra paruam aliquam corporis partem non diffunditur, minus impuram: per totum vero diffuſam impuriorem videri. Equidem puto per iſta ſignificari id quod eſt veriſſimum, quòd iniquitates inuoluntariæ vel maximæ abſoluuntur nec inquinant, cum graui accuſatore careant conſcientia: voluntariæ vero etiamſi non late pateant, tamen pro animæ tribunali conuictæ, inſanabiles pollutæ impuræque iudicantur. Ergo duplex & duobus coloribus variata lepra, voluntarium vitium ſignificat. Cum enim anima in ſe ſanam vitalem rectámque rationem habeat, non vtitur eius gubernatione

ad bonorum suorum conseruationem: A
sed permittens seipsam imperitis nauigandi, totam vitæ nauim quæ in serenitate tranquillitatéque seruari poterat, subuersam demergit pelago. Cum autem vno colore albicat, mutationem præ se fert inuoluntariam, quando mens in totum ratione priuata, ne scintilla quidem intellectus reliqua, tanquam in tenebrosa densáque caligine non cernit quid agendum sit, sed more cæcorum passim offensans, lapsus alios post alios inuita dolénsque sustinet. B
Huic simile est, quod etiam de domo præcipitur, quam aliquando contingit lepra infici. Ait enim: Si domus lepra infecta fuerit, ibit eius Dominus, & nunciabit sacerdoti, dicens, quasi contagium lepræ videtur mihi in domo mea. Móxque subdit: Et præcipiet sacerdos vt efferantur vniuersa è domo, priusquam ingrediatur eam, vt videat, & non erunt immunda quæcunque in domo sunt. Posthæc intrabit sacerdos, vt consideret. Ergo C
priusquam intrat sacerdos, pura sunt quæ domus continet: illo autem introgresso, impura omnia. Atqui contrarium erat verisimilius, post introitum viri purificati, perfecti, soliti pro cunctis ceremonias obire, & vota sacráque facere, res in meliorem statum mutari, & ex impuris puras fieri. At nunc ne in eadem quidem conditione permanent, sed superueniente sacerdote deteriores redduntur. Verùm ista D
vtrum cum dicta facili solutione consonent, viderint qui solent delectari talibus. Equidem incunctanter dico, nihil esse tam conueniens, quàm vt ad introitum sacerdotis contaminentur quæ in domo sunt. Donec énim diuinum verbum in animam nostram, tanquam domum quandam non ingreditur, nihil quod hæc facit culpatur. Nam curator, siue pater, siue præceptor, siue quid aliud sacerdos vocandus est, qui solus admonere castigaréque potest, procul remotus est. Nec E
indigni sunt venia qui peccant per ignorantiam, vt qui peccata sua parum pensitant: interdum etiam grauiter peccando putant se recte facere. quando autem ad nos ingreditur ille sacerdos verus redargutor, tanquam lux clarissima, tunc produntur animæ nostræ scelesta consilia per actiones sontes & culpabiles, quibus occupamur ignari rerum vtilium. hæc

πρὸς τὴν τῶν καλῶν συντηρίαν· ἐκδοῦσα δ' αὐτὴν τοῖς ναυτιλίας ἀπείροις, ὅλον τὸ τοῦ βίου δὲ σκάφος ἐν εὐδίᾳ καὶ γαλήνῃ δυνάμενον σώζεσθαι, περιέτρεψεν. ἡ δ' εἰς ἓν εἶδος λευκὸν μεταβαλοῦσα, τὴν ἀκούσιον διασημαίνει τροπήν, ἐπειδὰν δὲ λογίζεσθαι ὁ νοῦς ἐκλυθεὶς ὅλος δι' ὅλων, μηδενὸς τῶν εἰς τὸ συνιέναι σπέρματος ὑπολειφθέντος, ὥσπερ οἱ ἐν ἀχλύϊ καὶ σκότῳ βαθεῖ μηδὲν ὁρᾷ τῶν πρακτέων, ἀλλ' οἷα τυφλὸς ἀπροοράτως πᾶσιν ἐμπίπτων, συνεχεῖς ὀλίσθους καὶ ἐκπτώματα ἐπάλληλα καὶ ἀκούσια ὑπομένει. τούτῳ ὅμοιόν ἐστι καὶ τὸ περὶ τῆς οἰκίας διάταγμα, ἐν ᾗ γίνεσθαι συμβαίνει λέπραν πολλάκις. φησὶ γάρ, ὅτι ἐὰν γένηται ἀφὴ λέπρας ἐν οἰκίᾳ, ἀφίξεται ὁ κεκτημένος, καὶ ἀναγγελεῖ τῷ ἱερεῖ, λέγων, ὥσπερ ἀφὴ λέπρας ἑώραταί μοι ἐν τῇ οἰκίᾳ. εἶτα ἐπιφέρει, καὶ προστάξει ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν, πρὸ τοῦ εἰσελθόντα τὸν ἱερέα εἰς τὴν οἰκίαν ἰδεῖν, καὶ οὐ γενήσεται ἀκάθαρτα ὅσα ἐν τῇ οἰκίᾳ· καὶ μετὰ ταῦτα εἰσελεύσεται ὁ ἱερεὺς καταμαθεῖν. οὐκοῦν πρὶν εἰσελθεῖν τὸν ἱερέα, καθαρὰ τὰ ἐν τῇ οἰκίᾳ· ἀφ' οὗ δ' ἂν εἰσέλθῃ, πάντα ἀκάθαρτα. καίτοι τοὐναντίον εἰκὸς ἦν, ἀνδρὸς ἐκκεκαθαρμένου καὶ τελείου, ὃς τὰς ὑπὲρ ἁπάντων εὐχάς, ἁγιστείας, ἱερουργίας εἴωθε ποιεῖσθαι, παρελθόντος εἴσω, βελτιοῦσθαι τὰ ὄντα, καὶ ἐξ ἀκαθάρτων καθαρὰ γίνεσθαι. νυνὶ δὲ οὔτε ἐπὶ τῆς αὐτῆς μένει χώρας, τέτραπται δὲ πρὸς μείζω τὴν χείρω κατὰ τὴν εἴσοδον τὴν τοῦ ἱερέως. ἀλλὰ ταῦτα μὲν εἰ συνᾴδει τῇ ῥητῇ καὶ προχείρῳ διατάξει, σκέψονται οἷς ἔθος καὶ φίλον· ἡμῖν δὲ ἄντικρυς λεκτέον, ὅτι συνῳδὸν οὕτως οὐδὲν ἄλλο, ὡς τὸ εἰσελθόντος τοῦ ἱερέως τὰ κατὰ τὴν οἰκίαν μιαίνεσθαι. ἕως μὲν γὰρ ὁ θεῖος λόγος εἰς τὴν ψυχὴν ἡμῶν καθάπερ τινὰ ἑστίαν οὐκ ἀφῖκται, πάντα αὐτῆς τὰ ἔργα ἀνυπαίτια. ὁ γὰρ ἐπίτροπος ἢ πατὴρ ἢ διδάσκαλος, ἢ ὅ, τι ποτὲ χρὴ καλεῖν τὸν ἱερέα, ὑφ' οὗ νουθετηθῆναι καὶ σωφρονισθῆναι μόνου δυνατόν, μακρὰν ἀφέστηκε. συγγνώμη δὲ τοῖς δι' ἀμαθίαν ἀπειρίᾳ τῶν πρακτέων ἁμαρτάνουσιν. οὐδὲ γὰρ ὡς ἁμαρτημάτων αὐτῶν ποιοῦνται κατάληψιν· ἔστι δ' ὅτε κατορθοῦν ἐν οἷς πλημμελοῦσι μεγάλα νομίζουσιν· ὅταν δὲ εἰσέλθῃ ὁ ἱερεὺς ὄντως ἔλεγχος εἰς ἡμᾶς, ὥσπερ φωτός τις αὐγὴ καθαρωτάτη, τηνικαῦτα γνωρίζεται τὰ ἐναποκείμενα ἡμῖν οὐχ ἁγνὰ τῇ ψυχῇ βουλεύματα κατὰ τὰς ἐπιληπτέους καὶ ὑπαιτίους πράξεις, αἷς ἀγνοίᾳ τῶν συμφερόντων ἐνεχόμεθα.

ταῦτα

ταῦτα ἅπαντα ὁ ἱερώμενος ἔλεγχος μιάνας, ἀποσκευασθῆναι καὶ ἀποσυληθῆναι κελεύει, ὅπως αὐτὴν ἴδῃ καθαρὰν τὴν τῆς ψυχῆς οἰκίαν, κἄν τινες ἐν αὐτῇ νόσοι γεγόνασιν, ἰάσηται. μεμίμηται τοῦτο καὶ ἡ ἐν ταῖς βασιλείαις ἐντυγχάνουσα τῷ προφήτῃ γυνή. χήρα δ' ἐστίν, οὐχ ἣν φαμὲν ἡμεῖς ὅταν ἀνδρὸς ἐρήμη γένηται, ἀλλὰ τῷ χηρεύειν τῶν φθειρόντων καὶ λυμαινομένων παθῶν τὴν διάνοιαν, ὥσπερ καὶ ἡ παρὰ Μωσεῖ Θάμαρ. καὶ γὰρ ταύτῃ προστέτακται χηρευούσῃ καθέζεσθαι ἐν τῷ τοῦ μόνου καὶ σωτῆρος οἴκῳ πατρός, δι' ὃν ἀεὶ καταλιποῦσα τὰς τῶν θνητῶν συνουσίας καὶ ὁμιλίας, ἠρήμωται μὲν καὶ κεχήρευκεν ἀνθρωπίνων ἡδονῶν, παραδέχεται δὲ θείαν γονήν, καὶ πληρωθεῖσα τῶν τῆς ἀρετῆς σπερμάτων κυοφορεῖ καὶ ὠδίνει καλὰς πράξεις, ἃς ὅταν ἀποτέκῃ, τὰ κατὰ τῶν ἀντιπάλων ἀριστεῖα βραβεύσει, καὶ νικηφόρος ἀναγράφεται, σύμβολον ἐπιφερομένη φοίνικα τῆς νίκης. Θάμαρ γὰρ ἑρμηνεύεται φοῖνιξ. λέγει δὲ πρὸς τὸν προφήτην, πᾶσα διάνοια χήρα καὶ ἐρήμη κακῶν μέλλουσα γίνεσθαι, Ἄνθρωπε τοῦ θεοῦ, εἰσῆλθες πρός με ἀναμνῆσαι τὸ ἀδίκημά μου καὶ τὸ ἁμάρτημά μου; εἰσελθὼν γὰρ εἰς τὴν ψυχὴν ὁ ἔνθους ἐστὶ καὶ κατεσχημένος ἐξ ἔρωτος ὀλυμπίου, καὶ διηρεθισμένος τοῖς τῆς θεοφορήτου μανίας ἀκαταπαύστοις οἴστροις, μνήμην ἀδικημάτων καὶ ἁμαρτημάτων ἀρχαίων ἐργάζεται, οὐχ ἵνα πάλιν αὖθις χρήσηται, ἀλλ' ἵνα μέγα στενάξασα καὶ μέγα κλαύσασα τὴν παλαιὰν τροπὴν, τὰ μὲν ἐκείνης ἔγγονα μισήσασα ἀποστραφῇ, οἷς δ' ὑφηγεῖται ὁ ἑρμηνεὺς τοῦ θεοῦ λόγος καὶ προφήτης, ἕπηται. τοὺς γὰρ προφήτας ἐκάλουν οἱ πρότερον, τοτὲ μὲν ἀνθρώπους θεοῦ, τοτὲ δὲ ὁρῶντας, κύρια ὀνόματα καὶ ἐμπρεπῆ τῷ ἐνθουσιασμῷ καὶ τῇ περὶ ἀκριβείᾳ τῶν πραγμάτων ἣν ἐκέκτηντο τιθέμενοι. προσηκόντως οὖν ὁ ἱερώτατος Μωσῆς, τότε φθείρεσθαι τὴν γῆν εἶπεν, ὅτε αἱ τοῦ δικαίου Νῶε ἀρεταὶ διεφάνησαν. Ἦν δὲ φησί, κατεφθαρμένη. ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς. δόξει μὲν τισιν ἡ λέξις ἡμαρτῆσθαι, καὶ τὸ ἀκόλουθον τοῦ λόγου καὶ τὸ ἀπλανὲς οὕτως ἔχειν, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς. ἀνοίκειον γάρ ἐστι θηλυκῷ ὀνόματι τῇ σαρκὶ ἀρρενικὴν ἐπιφέρεσθαι πτῶσιν τὴν αὐτοῦ. μήποτε δὲ, οὐ περὶ μόνης σαρκός ἐστιν ὁ λόγος τὴν αὐτῆς φθειρούσης ὁδὸν, ἵνα εἰκότως ἡμαρτῆσθαι τὰ περὶ τὴν λέξιν δοκῇ, ἀλλὰ περὶ δυοῖν, σαρκός τε τῆς φθειρομένης, καὶ ἑτέρου οὗ τὴν ὁδὸν λυμαίνεσθαί τε καὶ φθείρειν ἐπιχειρεῖ.

A omnia sacrata redargutio damnans vt polluta, iubet auferri & detrahi, vt consideret ipsam puram domum animæ, & percuret si quid in ea sit morbidum. Simile quiddam facit & in Regnorum libris mulier quæ prophetam accedit. est autem vidua, non vt vulgo vocamus marito destitutam, sed quæ viduatur affectibus mentem lædentibus & corrumpentibus, qualis Thamar in Mosaicis literis. nam huic orbatæ marito præcipi- B tur, vt maneat in domo patris qui solus seruator est, propter quem relicta mortalium consuetudine, deseritur viduatúrque humanis voluptatibus, sed diuinam genituram excipit, & virtutis seminibus facta grauida in vtero gerit parturitque honestas actiones: quas semel enixa, præmium aufert inuitis aduersarijs, & victrix pronunciatur, præ se ferens palmam insigne victoriæ. Thamar enim palma interpretatur. Omnis au- C tem anima vitijs viduanda sic prophetam alloquitur: Homo Dei, venisti in ædes meas, vt me iniquitatis & peccati mei commonefaceres. Hic enim numine correptus & occupatus cælesti cupidine, diuinique furoris impotenti œstro percitus, quoties subintrat animam, memoriam iniquitatum peccatorúmque veterum ei suggerit, non vt ad ea redeat, sed vt gemens deflénsque mutationem suam pristinam, eius partus auersetur præ D odio: sequatur autem monita Dei verbi, prophetæ & interpretis. nam prophetæ à priscis vocabantur aliquando homines Dei, aliquando videntes, nominibus aptis, & diuinitatem perspicaciámque pulchre significantibus. conuenienter igitur sacratissimus Moses tunc corruptam terram dixit, quando illius iusti Noe virtutes prolatæ sunt in medium. Erat, inquit, corrupta: eo quod omnis caro corruperat viam suam super terram.] Hic E aliquis putabit erratum in vna voce Græci contextus, eúmque postulare vt potius legatur αὐτῆς quàm αὐτοῦ: quod refertur ad præcedentem vocem fœmininam, cum masculinum relatiuum minus conueniat. Quod si non de sola carne viam corrumpente sermo fit, vt merito erratum in verbis videatur: sed de duobus, & de carne quæ corrumpitur, & de altero quodam quod viam conatur corrumpere?

Itaque sic construendum est: Corrupit A
omnis caro illius incorrupti æternique perfectam viam quæ ducit ad Deum. hanc scito esse sapientiam. Hac enim deducente, recta nimirum & publica, intellectus ad destinatum finem peruenit. est autem finis metáque huius viæ, scientia & cognitio Dei. hanc semitam odit, calumniatur, & corrumpere conatur quisquis carnis amicus est. Nam non sunt in rebus duo tam contraria, quam voluptas carnis & scien-
tia. Volenti enim hanc viam regiam in- B
gredi consideratiuo generi, quod vocatur Israel, repugnat terrenus Edom: (sic enim hoc nomen interpretatur) propere occurrens instructis copijs, & minis territans, effecturum se vt ea nunquam teratur à viatoribus. ad quem missi legati sic loquuntur. Transibimus per terram tuam, non faciemus iter per arua, nec per vineta. non bibemus aquam de cisternis tuis. incedemus via regia. non deflectemus ad
dextram, nec ad sinistram, donec tuos C
fines superauerimus. Ad hoc Edom respondet: Non transibis per me. alioquin armatus occurram tibi hostiliter. ad quem filij Israel: Præter montem iter faciemus: quod si de aqua tua bibero ego & pecora mea, persoluam tibi precium. nulla erit difficultas, tantummodo transitum petimus. at ille respondet: Non transibis per me. Fertur de quodam è priscis quòd cum spectasset pompam sumptuosissimam, ad
familiares versus dixit: Videte amici D
quàm multis rebus opus non habeo. Compendio de re maxima veréque cælesti gloriatus est. Quid ais, itáne victor de certaminis Olympici diuitijs coronam adeptus es, in tantum superior, vt nihil inde ad vsum aut delectationem sumeres? miranda verba, sed mirabilior sententia, tantum consecuta roboris, vt vel citra pulueris iactum possit vincere. Verùm apud Mosem, mysterijs sapientiæ initiatum, non
vnius tantum viri hæc est gloriatio, sed E
totius gentis populosissimæ. id hoc argumento liquet, quòd vniuscuiusque anima confirmata est ad audaciam contra regem omnium quæ bona videntur, terrenum Edom. Reuera enim quodlibet in speciem tantùm bonum terrenenum est. Celeriter, inquit, transibo per terram tuam. ô promissionem generosam & magnificam. itáne obsecro superare, transire, transcurrere,

ὥστε οὕτως ἀποδοτέον, κατέφθειρε πᾶσα σὰρξ τὴν τοῦ αἰωνίου καὶ ἀφθάρτου τελείαν ὁδὸν τὴν πρὸς θεὸν ἄγουσαν. ταύτην ἴσθι σοφίαν. διὰ γὰρ ταύτης ὁ νοῦς ποδηγετούμενος, εὐθείας καὶ λεωφόρου ὑπαρχούσης, ἄχρι τῶν τερμάτων ἀφικνεῖται· τὸ δὲ τέρμα τῆς ὁδοῦ, γνῶσίς ἐστι καὶ ἐπιστήμη θεοῦ. ταύτην τὴν ἀτραπὸν μισεῖ καὶ προβέβληται καὶ φθείρειν ἐπιχειρεῖ πᾶς ὁ σαρκῶν ἑταῖρος. οὐδενὶ γὰρ οὕτως οὐδὲν ἀντίπαλον ὡς ἐπιστήμη σαρκὸς ἡδονῇ. βουλομένοις γὰρ ταύτην πορεύεσθαι τὴν ὁδὸν βασιλικὴν οὖσαν τοῖς τοῦ ὁρατικοῦ γένους μετέχουσιν, ὅπερ Ἰσραὴλ κέκληται, διαμάχεται ὁ γήϊνος Ἐδώμ· τοῦτο γὰρ διερμηνευθεὶς ὀνομάζεται· μετὰ σπουδῆς καὶ παρασκευῆς τῆς πάσης εἴρξειν ἀπειλῶν τῆς ὁδοῦ, καὶ ἀτελῆ καὶ ἀπόρευτον αὐτὴν κατασκευάσειν εἰς ἀεί. οἱ μὲν οὖν πεμφθέντες πρέσβεις λέγουσι ταῦτα, Παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι᾽ ἀγρῶν, οὐ δι᾽ ἀμπελώνων· οὐ πιόμεθα ὕδωρ λάκκου σοῦ· ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιά, οὐδ᾽ εὐώνυμα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου. ὁ δὲ Ἐδὼμ ἀποκρίνεται, φάσκων, οὐ παρελεύσῃ δι᾽ ἐμοῦ· εἰ δὲ μή, ἐν πολέμῳ ἐξελεύσομαί σοι εἰς συνάντησιν· καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραήλ, παρὰ τὸ ὄρος παρελευσόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίω ἐγὼ καὶ τὰ κτήνη, δώσω σοὶ τιμήν· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ ὄρος διελευσόμεθα. ὁ δὲ εἶπεν, οὐ διελεύσῃ δι᾽ ἐμοῦ. τῶν παλαιῶν τινὰ λόγος ἔχει θεασάμενον ἐσταλμένην πολυτελῆ πομπήν, πρός τινας τῶν γνωρίμων ἀπιδόντα εἰπεῖν, ὦ ἑταῖροι, ἴδετε ὅσων χρείαν οὐκ ἔχω, διὰ βραχείας φωνῆς μέγιστον καὶ οὐράνιον ὡς ἀληθῶς ἐπιτήδευμα αὐχήσαντα. τί λέγεις, τὸν ὀλυμπικὸν ἀγῶνα κατὰ τοῦ πλούτου πάντως ἐστεφάνωσαι, καὶ τὸν ἐν αὐτῷ κεκράτηκας οὕτως, ὡς μηδὲν εἰς ἀπόλαυσίν τε καὶ χρῆσιν τῶν ἀπ᾽ αὐτοῦ παραδέχεσθαι. θαυμάσιος μὲν ὁ λόγος, πολὺ δ᾽ ἡ γνώμη θαυμασιωτέρα, τοσοῦτον πρὸς ἰσχὺν ἐπιδεδωκυῖα, ὡς ἤδη καὶ ἀκονιτὶ δύνασθαι νικᾶν διὰ κράτος. ἀλλ᾽ οὐχ ἑνὶ ἀνδρὶ ἔξεστι μόνον αὐχῆσαι παρὰ Μωσεῖ τὰ προτέλεια τῆς σοφίας ἀναδιδαχθέντι, ἀλλὰ καὶ ὅλῳ ἔθνει πολυανθρωποτάτῳ. τεκμήριον δέ, τεθάρρηκε καὶ ἐπιτετόλμηκεν ἡ ἑκάστου ψυχὴ τῶν γνωρίμων αὐτοῦ πρὸς τὸν βασιλέα τῶν φαινομένων ἁπάντων ἀγαθῶν τὸν γήϊνον Ἐδώμ· ὄντως γὰρ τὰ περὶ δόκησιν ἀγαθὰ πάντα γήϊνα· λέγειν, ὅτι παρελευσόμεθα διὰ τῆς γῆς σου. ὦ ὑπερφυεστάτης καὶ μεγαλοπρεποῦς ὑποσχέσεως, πάντα, εἴπατέ μοι, ὑπερβῆναι, παρελθεῖν, παραδραμεῖν,

τὰ φαινόμενα καὶ νομιζόμενα γῆς ὄντα ἀγαθὰ δυνήσεσθε; καὶ οὐδὲν ἄρα τὴν εἰς τὸ πρόσω ὑμῶν ὁρμὴν ἀντιβιασάμενον ἐφέξει καὶ στήσει; ἀλλὰ τοὺς μὲν πλούτου θησαυροὺς ἀπαξάπαντας ἑξῆς πλήρεις ἰδόντες, ἀποστραφήσεσθε, καὶ ἀποκλινεῖτε τὰς ὄψεις; τὰ δὲ τῶν προγόνων ἀξιώματα, τῶν πρὸς πατρὸς καὶ μητρὸς, καὶ τὰς ᾀδομένας παρὰ τοῖς πολλοῖς εὐγενείας ὑπερκύψετε; δόξαν δὲ ἧς ἀντικαταλλάττονται πάντα ἄνθρωποι, καθάπερ ὥσπερ τι τῶν ἀτιμοτάτων ἀπολείψετε; τί δὲ, ὑγείαν σώματος, καὶ αἰσθήσεων ἀκρίβειαν, καὶ κάλλος περιμάχητον, καὶ ῥώμην ἀνανταγώνιστον, καὶ τἄλλα ὅσοις ὁ τῆς ψυχῆς οἶκος ἢ τύμβος ἢ ὅπως ποτὲ χρὴ καλεῖν κεκόσμηται, παραδραμεῖσθε, ὡς μηδὲν αὐτῶν κατατάξαι ἐν τῇ τῶν ἀγαθῶν μερίδι; ὀλυμπίου καὶ οὐρανίου ταῦτα ψυχῆς τὰ μεγάλα τολμήματα, τὸν μὲν περίγειον χῶρον ἀπολελοιπυίας, ἀνελκυσμένης δὲ καὶ μετὰ τῶν θείων φύσεων διαιτωμένης. θέας γὰρ ἐμπιπλαμένη τῶν γνησίων καὶ ἀφθάρτων ἀγαθῶν, εἰκότως τοῖς ἐφημέροις καὶ νόθοις ἀποτάττεται. τί οὖν ὄφελος παρελθεῖν πάντα τὰ θνητῶν θνητὰ ἀγαθὰ, παρελθεῖν δὲ μὴ σὺν ὀρθῷ λόγῳ, ἀλλ᾽ ὡς ἔνιοι δι᾽ ὄκνον ἢ ῥαθυμίαν ἢ ἀπειρίαν ἐκείνων. οὐ γὰρ πανταχοῦ πάντα, ἀλλὰ δὲ παρ᾽ ἄλλοις τετίμηται. τούτου χάριν βουλόμενος ἔτι μετ᾽ ὀρθότητος λόγου καταφρονητικοὺς τῶν εἰρημένων γενέσθαι παραστῆσαι, τῷ παρελευσόμεθα προστίθησι τὸ διὰ τῆς γῆς σου· τοῦτο γὰρ τὸ ἀναγκαιότατον, γενομένους ἐν ἀφθόνοις τῶν φαινομένων ἀγαθῶν ὕλαις ἁπάσαις, ὑπὸ μηδενὸς τῶν προβληθέντων ὑφ᾽ ἑκάστης δικτύων ἁλῶναι· πυρὸς μέντοι τρόπον ἰσχύσαι ῥύμῃ μιᾷ τὰς ἐπαλλήλους καὶ συνεχεῖς φορὰς διακλάσαι. διὰ μὲν δὴ τούτων φασὶ παρελεύσεσθαι, διὰ δὲ δένδρων καὶ ἀμπελώνων οὐκέτι. τὰ γὰρ ἥμερα ἐν ψυχῇ φυτὰ, ἡμέρους ἀποτίκτοντα καρποὺς, ἀστείους μὲν λόγους, ἐπαινετὰς δὲ πράξεις, ὠγύγιος εὐήθεια παρέρχεσθαι. μένειν γὰρ ἔδει καὶ δρέπεσθαι καὶ ἀπλήστως ἐμφορεῖσθαι. κάλλιστος γὰρ ἡ ἐν ἀρεταῖς τελείαις ἀκόρεστος εὐφροσύνη, ἧς οἱ λεχθέντες ἀμπελῶνες σύμβολα· οἷς δ᾽ ὁ θεὸς ἐπινίφει καὶ ἐπομβρεῖ τὰς τῶν ἀγαθῶν πηγὰς ἄνωθεν, ἐκ λάκκου ἐπίομεν, καὶ βραχείας καὶ κατὰ γῆς λιβάδας ἀνεζητοῦμεν, ὕοντος ἡμῖν ἀνεπισχέτως οὐρανοῦ τοῦ νέκταρος καὶ ἀμβροσίας τῆς μεμυθευμένων ἀμείνω τροφήν. ἔτι δὲ ποτὸν τεθησαυρισμένον ἐξ ἐπιτεχνήσεως ἀνθρώπων ἐξαιμῶντες, ὑπόδρομον καὶ καταφυγὴν δυσελπιστίας ἔργον προσποιέμεθα,

A quicquid in terra bonum censetur, poteritis? nihilne vestram properationem remorari poterit? conspectum diuitiarum cōgestarum auersabimini deflexa facie? quid maiorum dignitates, paterni materníque generis, decantatásque à multis nobilitates despicietis? gloriam quoque quam homines redimunt cæteris bonis omnibus, prætercurretis tanquam rem vilissimam? quid sanitatem corporis, integritatem sensuum, pulchritudinem optabilem, ro-B bur inuincibile, & cætera quibus animæ domus, siue tumulus, siue quid aliud dicendum est, honestatur, transcurretis obiter, vt nihil horum referatis in bonorum ordinem? Olympiæ cælestísque animæ sunt hæc tam ingentia facinora, quæ regione terrestri iam relicta, ad diuinarum naturarum subducta est consuetudinem. repleta enim contemplatione verorum bonorum & incorruptibilium, merito adulterina ista in diem durantia reijcit. C Quæ igitur vtilitas est præterire omnia mortalium bona mortalia, si hoc non cum recta ratione facias, sed vt nonnulli per segniciem, aut pigritiam, aut tractandi imperitiam? non enim vbique omnia, sed apud alios alia sunt in precio. Quapropter volens amplius docere, vt cum recta ratio postulat despiciantur quæ modo diximus: ad hoc verbum transibo, adijcit Per terram tuam. hoc enim est valde necessarium, vt in copia rerum quæ vulgo habentur D pro bonis, euitemus casses laqueósque quos illæ tendunt singulæ: & more ignis perrumpamus subinde repetentes nos earum impetus. Hæc se pertransituros aiunt, arbusta vero & vineta non item. mites enim plantas insitas in anima, feraces dulcium fructuum, hoc est, sermones probos & actiones laudabiles præterire, Ogygiæ simplicitatis fuerit. nam ibi hærendum erat, & auide fruendum præsentibus. nihil enim pulchrius quàm in virtu-E tibus perfectis hilaritas insatiabilis, quæ significatur per modo dictas vineas. nos autem quotquot à Deo niues imbrésque è supernis fontibus accipimus, è cisterna bibimus, terrenos latices non admodum requirendo, cum habeamus cælitus largas pluuias nectaris & ambrosiæ, alimentum multo præstantius quàm poetici nectaris. & adhuc lacunas arte humana factas haurire sustinemus per diffidentiam,

A cum paratos habeamus cælestes thesauros quos omnium seruator aperuit? quemadmodum Moses sacrorum interpres precatur, vt aperiat nobis Dominus thesaurum suum cælestem, détque nobis suam pluuiam. cuius preces Deo gratæ facile exaudiuntur. Quid ille qui nec cælum, nec pluuiam, nec verbum, nec vllam creaturam putans ad se alendum idoneam, sed superscandens hæc omnia, affectum suum exprimit dicens: Deus qui nutrit me à iuuentute: annon videtur tibi omnes quæ sunt in terra
B collectiones aquarũ despicere? is certe nunquam è cisterna biberet, cui Deus præbet potus meracos, nũc angelis pincernas agentibus, nunc ipse infundens, non expectato internunciorum officio. proinde sine dilatione ingrediamur viã regiam, quotquot prætereundas res terrenas ducimus. est autem via regia, cuius potestatem nemo priuatus habet, sed solus ille qui solus est verus rex. hæc est autem, vt paulo ante dixi, sa-
C pientia, per quam solã supplicibus animabus ad illum Ingenitum patet refugium. credibile est enim eum qui per viam regiam sine impedimento iter facit, non sensurum lassitudinem donec ad regem perueniat. quo facto, & illius felicitatem agnoscet, & suam inopiam. nam & Abraham postquam ad Deũ accessit proxime, mox cognouit se esse terram & cinerem, nec ad dextram autem nec ad sinistram à regia via deflectendum est, sed progrediendũ per me-
D diam. nam in vtrumuis latus diuerticula ob nimietatem defectúmve culpantur. hic enim dextrum non minus quam sinistrum vituperatur. siquidem apud petulantes temeritas dextrum, timiditas sinistrum obtinet. sic apud tractãtes pecuniam illiberaliter, dextrum sordida parcitas, sinistrum larga profusio. item apud forensibus causis deditos laudatur vafricies, damnatur simplicitas. sunt qui superstitionem quasi dextram sequuntur, ne in sinistram impietatem
E incidant. ergo ne deflectentes incurramus in vitia pugnantia, votis omnibus omníque conatu hoc agamus vt recta incedamus per mediam viam. est autem in medio temeritatis & timiditatis fortitudo, sordes inter & profusionẽ temperantia, inter vafriciem & stultitiam prudentia memoriáque, inter superstitionem & impietatem pietas. hæ sunt mediæ viæ inter vtraque diuerticula, omnes commeabiles & publicæ,

A οἷς τὸν ὀλύμπιον θησαυρὸν εἰς χρῆσιν καὶ ἀπόλαυσιν ὁ σωτὴρ τοῦ παντὸς ἀνέῳξεν. εὔχεται γὰρ Μωσῆς ὁ ἱεροφάντης, ἵνα ἀνοίξῃ κύριος ἡμῖν τὸν θησαυρὸν αὐτοῦ τὸν οὐράνιον, δοῦναι ἡμῖν τὸν ὑετὸν αὐτοῦ. ἐπήκοοι δὲ αὐτοῦ θεοφιλεῖς εὐχαί. τί δὲ ὁ μηδὲ οὐρανὸν ἢ ὑετὸν ἢ λόγον ἢ συνόλως τι τῶν ἐν γενέσει νομίσας ἱκανὸν εἶναι τρέφειν ἑαυτὸν, ὑπερβὰς δὲ ταῦτα πάντα, καὶ ὃ ἔπαθεν εἰπὼν, Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ἆρα οὐ δοκεῖ σοι πάνθ᾽ ὅσα κατὰ γῆς ὕδατος συστήματα, μηδὲ ἂν ἀξιῶσαι προσιδεῖν;
B οὐδὲ ἂν οὖν ἐκ λάκκου πίοι, ᾧ δίδωσιν ὁ θεὸς τὰς ἀκράτου μεθύσματος πόσεις, ποτὲ μὲν διά τινος ὑπηρετοῦντος τῶν ἀγγέλων ὃν οἰνοχοεῖν ἠξίωσε· ποτὲ δὲ καὶ δι᾽ ἑαυτοῦ, μηδένα τοῦ διδόντος καὶ τοῦ λαμβάνοντος μεταξὺ τιθείς. ἀνυπερθέτως οὖν τῇ βασιλικῇ πειρώμεθα βαδίζειν ὁδῷ, οἱ τὰ γήϊνα παρέρχεσθαι δικαιοῦντες. βασιλικὴ δέ ἐστιν ὁδὸς, ἧς δεσπότης ἰδιώτης μὲν οὐδὲ εἷς, μόνος δὲ ὁ καὶ μόνος βασιλεὺς ἀληθείᾳ. αὕτη δέ ἐστι καθὰ καὶ μικρῷ πρό-
C τερον εἶπον, σοφία, δι᾽ ἧς μόνης ἱκέτισι ψυχαῖς ἡ ἐπὶ τὸν ἀγένητον καταφυγὴ γίνεται. εἰκὸς γὰρ τὸν διὰ ὁδοῦ τῆς βασιλικῆς ἀκωλύτως ἰόντα μὴ πρότερον καμεῖν, ἢ ἐντυχεῖν τῷ βασιλεῖ. τότε δὲ τήν τε ἐκείνου μακαριότητα, καὶ τὴν ἰδίαν εὐτέλειαν γνωρίζουσιν οἱ προσελθόντες. καὶ γὰρ Ἀβραὰμ ἔγγιστα τῷ θεῷ ἑαυτὸν ποιήσας, εὐθὺς ἔγνω γῆν καὶ τέφραν ὄντα. μήτε δὲ ἐπὶ δεξιὰ, μήτε ἐπὶ θάτερα τῆς βασιλικῆς ἀποκλινέτωσαν ὁδοῦ, ἀλλ᾽ αὐτῇ τῇ μέσῃ προϊέτωσαν. αἱ γὰρ ἐφ᾽ ἑκάτερα ἐκτροπαὶ,
D τῇ μὲν ὑπερβολαῖς πρὸς ἐπίτασιν, τῇ δὲ ἐλλείψεις πρὸς ἄνεσιν ἔχουσαι, ὑπαίτιοι. οὐ γὰρ ἧττον τοῦ εὐωνύμου τὸ δεξιὸν ψεκτὸν ἐστίν· παρὰ μέν γε τοῖς προπετέσι ζῶσι, τὸ μὲν θράσος δεξιὸν, ἀριστερὸν δὲ ἡ δειλία· παρὰ δὲ τοῖς ἀνελευθέροις περὶ χρημάτων διοίκησιν, δεξιὸν μὲν φειδωλία, εὐώνυμον δὲ αἱ ἀφειδεῖς δαπάναι· καὶ ἔστι μέντοι περὶ τὸ λογίζεσθαι περιττοὶ, κρίνουσι τὸ μὲν πανοῦργον αἱρετὸν, τὸ δὲ εὔηθες φευκτόν· καὶ δεισι-
E δαιμονίαν μὲν ὡς δεξιὰν ἄλλοι μεταδιώκουσιν, ἀποδιδράσκουσι δὲ ὡς φευκτὸν ἀσέβειαν. ἵνα οὖν μὴ τὰς μαχομένας κακίας ἀναγκασθῶμεν ἐκτρεπόμενοι χρῆσθαι, τὴν μέσην ὁδὸν εὐθυνεῖν βουλώμεθά τε καὶ εὐχώμεθα. μέση δὲ θράσους καὶ δειλίας ἀνδρεία, ῥᾳθυμίας δὲ ἐκκεχυμένης καὶ φειδωλίας ἀνελευθέρου σωφροσύνη· πανουργίας τε αὖ καὶ μωρίας φρόνησις καὶ μνήμη, δεισιδαιμονίας δὲ καὶ ἀσεβείας εὐσέβεια. αὗται μέσαι τῶν παρ᾽ ἑκάτερα ἐκτροπῶν εἰσι βάσιμοι καὶ λεωφόροι ὁδοὶ πᾶσαι,

A ἧς οὐ θέμις ὀργάνοις σωματικοῖς, ἀλλὰ ψυχῆς κινήσεσιν ἐφιεμένης τοῦ ἀρίστου συνεχῶς ἐμπεριπατεῖν. ἐπὶ τούτῳ μάλιστα δυσχεραίνει ὁ γήϊνος Ἐδώμ· δέδιε γὰρ περὶ τῆς τῶν ἑαυτοῦ δογμάτων ἀνατροπῆς τε καὶ συγχύσεως, ἀπειλήσει πόλεμον ἀκήρυκτον, εἰ βιαζοίμεθα διεξέρχεσθαι, τέμνοντες καὶ κείροντες ἀεὶ τὸν τῆς ψυχῆς αὐτοῦ καρπόν, ὃν ἐπ' ὀλέθρῳ φρονήσεως σπείρας, οὐκ ἐθέρισε. φησὶ γάρ, Οὐ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή γε, ἐν πολέμῳ ἐξελεύσομαί σοι εἰς ἀπάντησιν. ἀλλὰ μηδὲν αὐτοῦ τῆς
B ἐπανατάσεως φροντίσαντες, ἀποκρινώμεθα, ὅτι παρὰ τὸ ὄρος πορευσόμεθα, τουτέστιν ὑψηλαῖς καὶ μετεώροις ἔθος ἔχοντες ἐνομιλεῖν δυνάμεσι, καὶ ὡς εἰκὸς ἕκαστα σκοπεῖν, τὸν πάντως ὑπηκόου λόγον ἐρευνῶντες, δι' οὗ τὸ τί ἦν εἶναι γνωρίζεται, καταφρονητικῶς ἔχομεν πάντων ὅσα ἐκτός τε καὶ περὶ σῶμα. ταπεινὰ γὰρ ταῦτά γε καὶ λίαν χαμαίζηλα, σοὶ μὲν φίλα, ἐχθρὰ δὲ ἡμῖν αὐτοῖς, ὧν χάριν οὐδενὸς αὐτῶν προσαψόμεθα. εἰ γὰρ ἄκρῳ
C δακτύλῳ, τὸ τοῦ λόγου δὴ τοῦτο, μόνον ψαύσομεν, γέρας καὶ τιμήν σοι παρέξομεν. φρυαττόμενος γὰρ αὐχήσεις, ὡς καὶ ἡμῶν τῶν φιλαρέτων δελεάσμασιν ἡδονῆς ὑπαχθέντων. Ἐὰν γὰρ τοῦ ὕδατός σου, φησί, πίω ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι, οὐ τὸ λεγόμενον ὦνον παρὰ τοῖς ποιηταῖς, ἀργύρεον ἢ χρύσεον, ἢ ἄλλα ὅσα πρὸς τοὺς παρέχοντας ἔθος τοῖς ὠνουμένοις ἀντικαταλλάττεσθαι, ἀλλὰ τιμὴν τὸ γέρας νῦν παραλαμβάνων.
D τῷ γὰρ ὄντι πᾶς ἀκόλαστος ἢ ἄδικος ἢ δειλός, ὅταν ἴδῃ τινὰ τῶν αὐστηροτέρων, ἢ πόνον φεύγοντα, ἢ λήμματος ἡττώμενον, ἢ πρός τι τῶν ἡδονῆς φίλτρων ἐκνενευκότα, χαίρει καὶ γέγηθε, καὶ τετιμῆσθαι δοκεῖ, καὶ πρὸς τοὺς πολλοὺς ἔτι νεανιευόμενος, καὶ ἐπιχειρονομῶν, ἄρχεται περὶ τῶν ἰδίων κακῶν ὡς σφόδρα ἀναγκαίων καὶ χρησίμων φιλοσοφεῖν· οὐκ ἂν, εἰ μὴ τοιαῦτα ἦν, φάσκων ὑπομεῖναι ἂν τὸν δεῖνα εὐδόκιμον ἄνδρα χρῆσθαι. λέγωμεν οὖν παντὶ μοχθηρῷ, ἐὰν τοῦ ὕδα-
E τός σου πίωμεν, ἐὰν τινός σου τῶν κατὰ τὴν ἄκριτον φορὰν ψαύσωμεν· τιμὴν καὶ ἀποδοχὴν ἀντὶ δυσκλείας καὶ ἀτιμίας· τούτων γὰρ ἄξιος ὢν τυγχάνεις· παρεξόμεθα. καὶ γὰρ ἀμαθὴς τὸ πρᾶγμα ὃ ἐσπούδακας, συνόλως οὐδέν ἐστιν· ἢ νομίζεις τι τῶν θνητῶν πραγμάτων ὄντως πρὸς ἀλήθειαν εἶναι καὶ ὑφεστάναι, ἀλλ' οὐχ ὥσπερ ἐπ' αἰώρας τινὸς ψευδοῦς καὶ ἀβεβαίου δόξης φορεῖσθαι κατὰ κενοῦ βαίνοντα, μηδὲν ψευδῶν ὀνειράτων διαφέροντα. εἰ δὲ μὴ θέλεις τὰς τῶν κατὰ μέρος ἀνθρώπων ἐξετάζειν τύχας,

A per quas non est fas vectari corporeis instrumentis, sed motibus animæ cupientis inambulare in rebus optimis. id molestissime terrenus Edom fert. timet enim suis dogmatibus ne subuertantur confundantúrque: & ideo bellum interneciuum minatur, si conemur viam vi perrumpere, excidendo arbusta eius animæ frugifera, ex quibus in perniciem prudentiæ plantatis fructum non percepit. Non transibis, inquit, per me.
B alioquin armatus occurram tibi hostiliter. at nos securi de eius tumultuatione respondeamus quod præter montem transibimus, hoc est assueti cum sublimibus versari potentijs, & è specula res considerare, scrutaríque rationes singularum, per quas earum essentia noscitur, contemnimus omnia externa & corporea. abiecta sunt enim & humi repentia, tibi quidem grata, nobis vero exo-
C sa: quapropter nihil ex eis attingemus. quòd si vel summo digito, vt vulgus loquitur, tetigerimus, persoluemus tibi precium: poterísque gloriari, quod nos virtutis studiosi à voluptate inescati fuerimus. Si, inquit, de aqua tua bibero ego & iumenta mea, dabo tibi precium. non mercedem, aurum argentúmve, qualis inter ementes vendentésque fit permutatio: sed precium honorarium quod recipias. nam reuera om-
D nis luxuriosus, aut iniustus, aut timidus, cum videt aliquem tetricum, aut laborem fugere, aut victum à lucri cupidine, aut captum voluptatis amatorio, lætatur & gaudet, id honorem suum reputans: & efferens se apud vulgum iuueniliter ac gestiens, incipit philosophari de suis vitijs tanquam necessarijs ac vtilibus: dicens quòd alioquin ille vel ille vir laudatus non sustinuisset his impli-
E cari. Ergo sic alloquamur omnes istos miseros: si aquam tuam bibero, siue tuum aliquid indiscreto impetu attigero, persoluam tibi pro dedecore precium honorificum. dignus enim es. dabimus. nam ista tibi chara omnino nihil sunt. An putas mortalem rem vllam vere esse ac subsistere, & non tanquam in suggesto quodam ab inani & incerta opinione sustineri non aliter quàm somniorum ludicra? quod si non libet singulorum fortunas perquirere,

vide regionum integrarum & gentium mutationes in melius ac deterius. Floruit quondam Græcia, sed Macedones abstulerunt ei potentiam. postea Macedonia viguit opibus, sed diuisa in plures portiones debilitata est, donec omnino interijt. ante res Macedonum inclyta fuerat Persarum felicitas: sed vna dies tam ingenti regno finem attulit: & nunc Persæ penes quos paulo ante fuerat imperium, sunt Parthorum prouincia. Fuit & Ægypti olim perampla magnificáque potentia, sed nobis in more præterijt eius felicitas. Quid Æthiopes, quid Carthago in Africa? quid Pontici reges, quid Europa Asiáque, & vt compendio dicam, totus orbis habitabilis? nónne more nauis súsque déque iactatæ marinis fluctibus, nunc secundis vẽtis, nunc aduersis vtitur? nam verbum diuinum choreas in orbem ducit, quod vulgus hominum fortunam nominat. & cum perpetuo feratur per ciuitates, gentes, regionésque, res aliorum alijs omnium omnibus tribuit, subinde variantibus apud singulos temporibus: vt totus terrarum orbis tanquam vna ciuitas optimo reipublicæ genere administretur, populari regimine. Nihil igitur est in humanis rebus ac negocijs præter vmbram aurámque leuissimam, sine mora præteruolantem. cum enim vltro citróque tanquam æstuaria. nam & marini æstus nunc cum magno impetu sonitúque accedunt, & longe latéque per littora diffundũtur vndis stagnantibus: nunc refluunt retro, magnámque maris partem in formam continentis redigunt. Simile quiddam accidit, quando fortuna postquam populosam aliquam gentem inundauit magnis felicitatibus, fluxu auerso ne guttam quidem sinit reliquam, deletis etiam vestigijs opulentiæ pristinæ. Verum hæc reputatio non omnes tangit, sed solos rectæ constantísque rationis asseclas. Ipsorum enim sunt ambæ hæ sententiæ: Cum rebus creatis commercium est nihili, præter montem iter faciemus. Non est enim possibile nisi sublimi ac montano itinere, vitatis rebus mortalibus euadere ad immortalia. Quapropter Edom terrenus, cælestem regiámque virtutis viam intersepire vult: sicut diuinum verbum viam illius & sectam eandem sequentium, inter quos & Balaam referendus est. nam & hic est terræ progenies, non cæleste germen argumento certissimo, quod au-

A ἴδε χωρῶν ὅλων καὶ ἐθνῶν πρὸς τὸ εὖ καὶ χεῖρον μεταβολάς. ἤκμασέ ποτε ἡ Ἑλλάς, ἀλλὰ Μακεδόνες αὐτῆς τὴν ἰσχὺν ἀφείλοντο. Μακεδονία πάλιν ἐνήνθησεν, ἀλλὰ διαιρεθεῖσα κατὰ μοίρας, ἠσθένησεν, ἕως εἰς τὸ παντελὲς ἀπεσβέσθη. πρὸ Μακεδόνων τὰ Περσῶν ἐν εὐτυχίᾳ ἦν· ἀλλὰ μία ἡμέρα τὴν πολλὴν καὶ μεγάλην βασιλείαν αὐτῶν καθεῖλε. καὶ νῦν Παρθυαῖοι Περσῶν τῶν πρὸ μικροῦ ἡγεμόνων ἐπικρατοῦσιν, οἱ τότε ὑπή-

B κοοι. ἐπηύξησέ ποτε λαμπρῶς καὶ ἐπιμήκιστον Αἴγυπτος, ἀλλ' ὡς νέφος αὐτῆς ἡ μεγάλη παρῆλθεν εὐπραγία. τί δ' Αἰθίοπες, τί δὲ καὶ Καρχηδών, καὶ τὰ πρὸς Λιβύην; τί δὲ οἱ Πόντου βασιλεῖς, τί δ' Εὐρώπη καὶ Ἀσία, καὶ συνελόντι φράσαι, πᾶσα ἡ οἰκουμένη· οὐκ ἄνω καὶ κάτω κλονουμένη καὶ τινασσομένη ὥσπερ ναῦς θαλαττεύουσα, ποτὲ μὲν δεξιοῖς, ποτὲ δὲ καὶ ἐναντίοις πνεύμασι χρῆται. χορεύει γὰρ ἐν κύκλῳ λόγος ὁ θεῖος, ὃν οἱ

C πολλοὶ τῶν ἀνθρώπων ὀνομάζουσι τύχην· εἶτα ἀεὶ ῥέων κατὰ πόλεις καὶ ἔθνη καὶ χώρας, τὰ ἄλλων ἄλλοις, καὶ πᾶσι τὰ πάντων ἐπινέμει, χρόνοις αὐτὸ μόνον ἀλλάττοντα τὰ ἑκάστοις· ἵνα ὡς μία πόλις ἡ οἰκουμένη πᾶσα τὴν ἀρίστην πολιτειῶν ἄγῃ δημοκρατίαν. οὐδὲν οὖν ἐστι τῶν ἀνθρωπίνων σπουδασμάτων ἔργον καὶ πρᾶγμα οὐδέν, ἀλλὰ σκιά τις ἢ αὔρα, πρὶν ὑποστῆναι παραθέουσα. ἔρχεται γὰρ, καὶ πάλιν ἄπεισιν, ὥσπερ ἐν ταῖς παλιρροίαις. τὰ γὰρ ἀμπωτίζοντα πελάγη, ποτὲ

D μὲν μετὰ συρμοῦ καὶ παταγοῦ βίᾳ φερόμενα, καὶ ἀναχεόμενα λιμνάζει τὴν πέλας χέρσον. ποτὲ δὲ ἐξαναχωροῦντα, πολλῆς θαλάττης μοῖραν ἤπειρον. οὕτως οὖν ἔστιν ὅτε μέγα καὶ πολυάνθρωπον ἔθνος ἐπικλύσασα εὐπραγία, ἑτέρωσε τὴν φορὰν τοῦ ῥεύματος περιτρέψασα, οὐδὲ βραχείας εἴασε λιβάδα, ἵνα μή τι ἴχνος ὑπολειφθῇ πιότητος ἀρχαίας. τούτων δ' οὐχ ἅπασιν ἀρετῆς καὶ πλήρεις λαμβάνουσι λογισμοί, ἀλλ' οἷς ἔθος συνομαρτεῖν ὀρθῷ καὶ παγίῳ ὅρῳ καὶ λόγῳ. οἱ γὰρ αὐτοὶ

E ἄμφω ταῦτα λέγουσι, καὶ τὸ γενέσεως πρᾶγμα ὅλον οὐδέν ἐστι, καὶ παρὰ τὸ ὄρος πορευσόμεθα. ἀδύνατον γὰρ τῷ μὴ τῇ ὑψηλῇ καὶ ὀρεινῇ χρωμένῳ ὁδῷ, ἀπογνῶναι μὲν τὰ θνητά, μετακλῖναι δὲ καὶ μεταναστῆναι πρὸς τὰ ἄφθαρτα. ὁ μὲν οὖν γήϊνος Ἐδώμ, τὴν οὐρανίαν καὶ βασιλικὴν ἀρετῆς ὁδὸν ἐπιφράττειν ἀξιοῖ· ὁ δὲ θεῖος λόγος ἐν πᾶσι τὴν ἐκείνου καὶ τῶν ὁμοζήλων, ὧν ἕνα καὶ τὸν Βαλαὰμ ἀναγραπτέον. γῆς γὰρ θρέμμα καὶ οὗτος, οὐκ οὐρανοῦ βλάστημα. ἔλεγχος μὲν ἐκεῖνος δέ, οἰωνοῖς καὶ ψευδέσι μαντείαις ἑπόμενος.

A οὐδ᾽ ὅτε τὸ τῆς ψυχῆς μεμυκὸς ὄμμα ἀναβλέψαν εἶδε τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστῶτα, μετατραπόμενος ἐπέσχετο ἀδικεῖν· ἀλλὰ πολλῷ τῷ τῆς ἀφροσύνης χρησάμενος ῥεύματι, ἐπικλυσθεὶς κατεπόθη. τότε γὰρ ὡς ἀληθῶς οὐ δυσθεράπευτα μόνον, ἀλλὰ καὶ παντελῶς ἀνίατα γίνεται τὰ τῆς ψυχῆς ἀρρωστήματα, ὅταν ἐπιστάντος ἐλέγχου· λόγος δ᾽ ἐστὶ θεῖος ἄγγελος ποδηγετῶν καὶ τὰ ἐν ποσὶν ἀναστέλλων, ἵνα ἄπταιστοι διὰ λεωφόρου βαίνωμεν τῆς ὁδοῦ· τὰς ἀκρίτους ἑαυτῶν γνώμας περὶ τῶν ὑφηγήσεων τάττωμεν τὴν ἐκείνου, ἃς ἐπὶ νουθεσίᾳ καὶ σωφρονισμῷ καὶ τῇ τοῦ παντὸς ἐπανορθώσει βίου, συνεχῶς εἴωθε ποιεῖσθαι. διὰ τοῦθ᾽ ὁ μὴ B πεισθεὶς, μὴ μεταστρεπόμενος τῷ ἀντιβαίνοντι ἐλέγχῳ, φθορὰν τὴν μετὰ τῶν τραυματιῶν αὖθις ἀναδέξεται, οὓς κατεκέντησε καὶ κατέτρωσε τὰ πάθη. γενήσεται δ᾽ ἡ τούτου συμφορὰ τοῖς μὴ τελέως δυσκαθάρτοις δίδαγμα αὐταρκέστατον, τοῦ πειρᾶσθαι τὸν ἔνδον δικαστὴν ἔχειν εὐμενῆ· χρήσονται δὲ, εἰ μηδὲν τῶν ὀρθῶς ὑπ᾽ αὐτοῦ γνωσθέντων ἀναδικάζοιεν.

guria falsásque diuinationes sequens, ne animæ quidem oculo recluso vidit resistentem sibi angelum Dei, vt conuersus retrorsum abstineret ab iniuria: sed ita se commisit imprudentiæ fluctibus inundantibus, vt obrueretur ab eis. tunc enim dubio procul nec curabilibus nec sanabilibus morbis laborat anima, quando accedente redargutione (is est sermo Dei nuncius, præuius & impedimenta submouens, vt inoffensi gradiamur per regiam viam) sine iudicio nostras sententias præterimus illius monitis, quæ ad castigationem correctionémque totius vitæ nostræ adhibere non desinit. quamobrem quisquis non paret, nec reueretur talem redargutorem, cum saucijs interibit, confectis afflictísque per affectionum vulnera. quorum calamitas exemplo esse poterit nondum deploratis quantum ad purificationem attinet, vt conentur placare in suo pectore situm iudicem. & facient, si eius rectissimis decretis non opponent suamet ipsorum iudicia.

ΠΕΡΙ ΣΥΓΧΥΣΕΩΣ ΔΙΑΛΕΚΤΩΝ.

PHILONIS IVDÆI, DE CONFVSIONE LINGVARVM.

ΠΕΡΙ μὲν δὴ τούτων ἀρκέσει τὰ εἰρημένα· σκεπτέον δὲ ἑξῆς οὐ παρέργως ἃ περὶ τῆς τῶν διαλέκτων συγχύσεως φιλοσοφεῖ. λέγει γὰρ ὧδε, Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν, καὶ φωνὴ μία πᾶσι· καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν τῇ γῇ Σενναὰρ, καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον, δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί· καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός· καὶ εἶπον, δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα, πρὸ τοῦ διασπαρῆναι ἐπὶ πρόσωπον πάσης τῆς γῆς,

C HACTENVS de his dixisse sufficiat. deinceps non obiter consideranda sunt quæ de confusione linguarum philosophatur. Sic enim loquitur. Erat autem terra labij vnius, & sermonũ eorundem. Cúmque proficiscerentur de oriente, inuenerũt campum in terra Sennaar, & habitarunt in eo. & dixit quisque ad proximum D suũ: Venite faciamus lateres, & coquamus eos igni. habuerúntque lateres pro saxis, & bitumen pro luto, & dixerunt: Venite ædificemus nobis ciuitatem & turrim, cuius fastigiũ pertingat ad cælum, & celebre faciamus nomen nostrũ antequã diuidamur in vniuersam terrã.

Descendit autem Dominus vt videret ciuitatem & turrim, quam ædificabant filij hominum, & dixit Dominus: Ecce vnus est populus, & vnum est labium omnibus: cœperúntque hoc facere, nec desistent à cogitationibus suis, donec eas opere compleant. Venite igitur & confundamus ibi linguam eorum, vt non audiat vnusquisque vocem proximi sui. Atque ita diuisit eos Dominus in omnes terras, & desiuerunt ædificare ciuitatem & turrim. Idcirco vocatum est nomen eius Babel, id est confusio: quia ibi confusum est labium vniuersæ terræ: & inde dispersit eos Deus super faciem cunctarum regionum.] Quibus maiorum instituta displicent, homines impij, & tantum ad accusandas leges diserti, arreptis impietatis ansis talibus, sic cauillantur: Etiam nunc extollitis præcepta vestra vt veritatis regulas? Ecce sacri quos vocatis libri fabulas continent, quales alijs referentibus irridere soletis. nec opus est eas legibus interspersas per ocium colligere, quasi calumniandi studio, satis erit huius præsentis vos commonefacere. hæc vna certe simillima est illi de Aloadis, quos optimus poetarum Homerus conatos narrat fuisse tres maximos montes alium super alium aggerere, sperantes se hoc modo facile sibi viam munituros, qua ad ætheream sublimitatem euaderent. de quibus extant hi versus:

Ter sunt conati imponere Pelio Ossam,
Scilicet atque Ossæ frondosum inuoluere
Olympum.

Olympus, Ossa, Pelion, montium sunt nomina, pro quibus legislator inducit turrim extructam ab eius seculi hominibus, qui propter dementiam & vastum animum conati sunt cælum attingere, consilio longe stultissimo. nam etiamsi vniuersæ terræ partes superstruerentur fundamento modico, vt in vnius columnæ formam attollerentur, tamen longissimo interuallo abessent à sphæra ætherea, præsertim iuxta opinionem philosophorum qui scrutantur talia, terram centrum esse mundi asseuerantium. Præterea quiddam aliud huic simile de animalium vna lingua proditur à fabularum scriptoribus. narratur enim olim animantium omnium terrestrium, aquatilium, volu-

A καὶ κατέβη κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων, καὶ εἶπε κύριος, ἰδοὺ γένος ἕν, καὶ χεῖλος ἓν πάντων, καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ' αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν· δεῦτε καὶ καταβάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον. καὶ διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐ-
B τῆς σύγχυσις, ὅτι ἐκεῖ συνέχεε κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς. οἱ μὲν δυσχεραίνοντες τῇ πατρίῳ πολιτείᾳ, ψόγον καὶ κατηγορίαν αἰεὶ τῶν νόμων μελετῶντες, τούτοις καὶ τοῖς παραπλησίοις, ὡς ἂν ἐπιβάθραις τῆς ἀθεότητος αὐτῶν οἱ δυσσεβεῖς χρῶνται, φάσκοντες, ἔτι νῦν σεμνηγορεῖτε περὶ τῶν διατεταγμένων, ὡς τοὺς ἀληθείας κανόνας αὐτῆς περιεχόντων; ἰδοὺ γὰρ αἱ ἱεραὶ λεγόμεναι
C βίβλοι παρ' ὑμῖν καὶ μύθους περιέχουσιν, ἐφ' οἷς εἰώθατε γελᾶν, ὅταν ἄλλων διεξιόντων ἀκούητε· καίτοι τί δεῖ τοὺς πολλαχόθι τῆς νομοθεσίας ἐσπαρμένους ἀναλέγεσθαι, ὥσπερ σχολὴν ἄγοντας καὶ ἐθε-κακουργοῦντας διαβολαῖς, ἀλλ' οὐ μόνον τῶν ἐν χερσὶ καὶ παρὰ πόδας ὑπομιμνήσκειν. εἷς μὲν οὖν ἐστιν ὁ ἐοικὼς τῷ συντεθέντι ἐπὶ τῶν Ἀλωαδῶν, οὓς ὁ μέγιστος καὶ δοκιμώτατος τῶν ποιητῶν Ὅμηρος διανοηθῆναί φησι τρία τὰ περιμήκιστα τῶν ὀρῶν ἐπιφορῆσαι καὶ ἐπιχῶσαι, ἐλπίσαντας τὴν εἰς οὐ-
D ρανὸν ὁδὸν τοῖς ἀνέρχεσθαι βουλομένοις, εὐμαρῆ διὰ τούτων ἔσεσθαι πρὸς αἰθέριον ὕψος ἀρθέντων. ἔστι δὲ τὰ περὶ τούτων ἔπη τοιαῦτα·

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Ὄλυμπος δὲ καὶ Ὄσσα καὶ Πήλιον, ὀρῶν ὀνόματα, πύργον δὲ ὁ νομοθέτης ἀντὶ τούτων εἰσάγει πρὸς τῶν τότε ἀνθρώπων κατασκευαζόμενον, θελη-
E σάντων ὑπ' ἀνοίας ἅμα καὶ μεγαλουργίας οὐρανοῦ ψαῦσαι. πᾶσα γὰρ οὖν φρενοβλάβεια δεινή. καὶ γὰρ εἰ τὰ τῆς συμπάσης μέρη γῆς ἐποικοδομηθείη προκαταβληθέντι βραχεῖ θεμελίῳ, καὶ ἀνεγερθείη τρόπον κίονος ἑνός, μυρίοις τῆς αἰθερίου σφαίρας ἀπολειφθήσεται διαστήμασι, καὶ μάλιστα κατὰ τοὺς ζητητικοὺς τῶν φιλοσόφων, οἳ τοῦ παντὸς κέντρον εἶναι τὴν γῆν διωμολόγηνται. ἕτερον δέ τι συγγενὲς τούτῳ περὶ τῆς τῶν ζῴων συμφωνίας πρὸς μυθοπλαστῶν ἀναγράφεται. λέγεται γὰρ

ὡς ἄρα πάνθ᾽ ὅσα ζῷα χερσαῖα καὶ ἔνυδρα καὶ πτηνὰ τὸ παλαιὸν ὁμόφωνα ἦν. καὶ ὅνπερ τρόπον ἀνθρώπων, Ἕλληνες μὲν Ἕλλησι, βαρβάροις δὲ νῦν βάρβαροι ὁμόγλωττοι διαλέγονται. τοῦτον τὸν τρόπον καὶ πάντα πᾶσι περὶ ὧν ἢ δρᾶν ἢ πάσχειν τι συνέβαινεν, ὡμίλει, ὡς καὶ ἐπὶ τῶν κακοπραγιῶν συνάχθεσθαι· κἄν εἴ τι λυσιτελὲς ἁπάντων, συνευφραίνεσθαι. τάς τε γὰρ ἡδονὰς καὶ ἀηδίας ἀλλήλοις ἀναφέροντα, διὰ τὸ ὁμόφωνον συνήδετο καὶ συνανηδίζετο, καὶ τούτων τὸ ὁμοιότροπον καὶ ὁμοιοπαθὲς εὑρίσκετο, μέχρις οὗ κορεσθέντα τῆς τῶν παρόντων ἀγαθῶν ἀφθονίας, ὃ πολλάκις γίνεσθαι φιλεῖ, πρὸς τὸν τῶν ἀνεφίκτων ἔρωτα ἐξώκειλε, καὶ περὶ ἀθανασίας ἐπρεσβεύετο, γήρως ἔκλυσιν καὶ τὴν εἰς αἰεὶ νεότητος ἀκμὴν αἰτούμενα, φάσκοντα δὲ τὴν παρ᾽ αὐτοῖς ἓν ἤδη ζῴων τὸ ἑρπετὸν ὄφιν τετυχηκέναι ταύτης τῆς δωρεᾶς. ἀποδυόμενον γὰρ τὸ γῆρας, πάλιν ἐξ ὑπαρχῆς ἀνηβᾶν· ἄτοπον δ᾽ εἶναι ἢ τὰ κρείττω τοῦ χείρονος, ἢ ἑνὸς τὰ πάντα λείπεσθαι· δίκην μέντοι τοῦ τολμήματος ἔδωκε τὴν προσήκουσαν. ἑτερόγλωττα γὰρ εὐθὺς ἐγένετο, ὡς ἐξ ἐκείνου, μηκέτ᾽ ἀλλήλων ἐπακούσαι δύνασθαι, χάριν τῆς ἐν ταῖς διαλέκτοις, εἰς ἃς ἡ μία καὶ κοινὴ πάντων ἐτμήθη, διαφορᾶς. ὁ δ᾽ ἐγγυτέρω τἀληθοῦς προσάγων τὸν λόγον, τὰ ἄλογα τῶν λογικῶν διέζευξεν, ὡς ἀνθρώποις μόνοις μαρτυρῆσαι τὸ ὁμόφωνον. ἔστι δὲ, ὥς φασι, καὶ τοῦτο μυθῶδες, καὶ μὴν τῆς γε φωνῆς εἰς μυρίας διαλέκτων ἰδέας τομὴν ἣν καλεῖ γλώττης σύγχυσιν, ἐπὶ θεραπείᾳ λέγουσιν ἁμαρτημάτων συμβῆναι, ὡς μηκέτ᾽ ἀλλήλων ἀκροώμενοι κοινῇ συναδικῶσιν· ἀλλὰ τρόπον τινὰ ἄγλωττοι ἀλλήλοις κεκωφωμένοι κατὰ συμπράξεις, ἐγχειρῶσι τοῖς αὐτοῖς. τὸ δὲ οὐκ ἐπ᾽ ὠφελείᾳ φαίνεται συμβῆναι. καὶ γὰρ αὖθις οὐδὲν ἧττον κατὰ ἔθνη διῳκισμένων, καὶ μὴ μιᾷ διαλέκτῳ χρωμένων, γῆ καὶ θάλαττα πολλάκις ἀμυθήτων κακῶν ἐπληρώθη. οὐ γὰρ αἱ φωναὶ, ἀλλ᾽ αἱ ὁμότροποι τῆς ψυχῆς πρὸς τὸ ἁμαρτάνειν ζηλώσεις, τοῦ συναδικεῖν αἴτιαι. καὶ γὰρ ἐκτετμημένοι γλῶτταν νεύμασι καὶ βλέμμασι καὶ ταῖς ἄλλαις τοῦ σώματος σχέσεσι καὶ κινήσεσιν οὐχ ἧττον τῆς διὰ λόγων προφορᾶς, ἃ ἂν θέλωσιν ἀποσημαίνουσι, χωρὶς τοῦ καὶ ἔθνος ἓν πολλάκις οὐχ ὁμόφωνον μόνον, ἀλλὰ καὶ ὁμόνομον καὶ ὁμοδίαιτον, τοσοῦτον ἐπιβῆναι κακίας, ὥστε τοῖς ἀνθρώπων ἁπάντων ἁμαρτήμασιν ἰσοστάσια δύνασθαι πλημμελεῖν, ἀπειρίᾳ τε διαλέκτων

A crium eandem vocem fuisse: & quemadmodum nunc homines Græci cum Græcis, barbari cum suæ linguæ barbaris habent sermonis commercium, ita tum illas omnes cum omnibus collocutas de suis rebus ac negocijs, ita vt & conquererētur inter se, & vicissim condolerent de calamitatibus, è diuersóque rebus lætis gratularentur. nam velut in vna republica putabant ad se pertinere alienas quoque prosperitates ac aduersitates, & eos affectus etiam in ser-
B mone quotidiano non obscure præ se ferebant, donec lasciuientes præ bonorum præsentium copia, vt sæpe fieri solet, vltra decorum proruperunt rerum non concupiscendarum amore, vt per legatos immortalitatem, à senectute immunitatem, perpetuámque iuuentam sibi poscerent, æquum se postulare dicentes, quando hoc munus iam vni ex eorum numero serpenti contigisset. hunc enim exuta senectute denuo repubescere. iniquum autem esse vt præ-
C stantiora deteriori cedant hac parte, & multa vni. quam audaciam mox sua pœna sequuta est. nam confestim variatæ sunt animalium linguæ, vt ex illo tempore non possent se inuicem intelligere, impediente vocum diuersitate, in quas loquela quæ prius communis fuerat, diuisa est postea. Cæterum alia vero propior narratio disiungit à brutis homines, & hos solos ait habuisse vnicam linguam communem omnibus. tamen hæc quoque fabulosa putatur. at-
D qui hæc vocis in plurimas diuersas loquelæ species dissectio, quæ linguæ confusio vocatur, in remedium peccatorum adhibita dicitur, ne communicato consilio crimen fieret publicum: vtque, si conferrent in vnum operas, alteri muti essent alteris. attamen nihil hoc, quantum apparet profuit. Nam etiam post diuisam linguam, deductásque in diuersa loca tot gentiū colonias, nihilominus terræ mariáque repleta sunt malis ineffabilibus. nam non lin-
E gua, sed similis animarum ad peccandū procliuitas, communicatæ iniquitatis causa est. siquidem etiam lingua mutilati, nutibus, aspectibus, aliisque corporis gestibus ac motibus, non minus quā verbis prolatis, voluntatem suam significant. huc accedit, quod sæpe vna gens, non lingua solum eadem, verum etiam eisdem vtens legibus ac moribus, ad tantam peruenit maliciam, vt peccatis conferri possit cum reliquis omnibus.

A hominibus: & ob imperitiam linguarum multi ab insidiatoribus ex improuiso sunt oppressi, è diuerso harum scientia multos exemit imminentibus periculis. itaque prodest magis quam nocet linguæ communicatio: quando nunc quoque per singulas regiones, præsertim indigenarum, nihil æque incolumitati confert ac lingua omnium eadem. tum siquis plures linguas ediscat, mox probatur ab earum peritis, & pro amico agnoscitur, non leue argumentum societatis afferens loquelam
B familiarem, vnde mox accedit securitas à periculis. Cur igitur quasi malorum causa esset lingua communis ex hominibus sublata est, quæ debuerat confirmari vt perutilis. has hominum maliciosorum cauillationes seorsum redarguent quibus promptũ est ad tales quæstiones ex aperta legum scriptura sine contẽtione respondere, qui non sophismatibus repellunt sophismata, sed sequuntur veritatis seriem nusquã sinentem offendere, & impedimenta dimo-
C uentẽ facile, vt sermo ex his possit euadere. Dicimus igitur istis verbis, Erat vniuersæ terræ labium vnũ & vox vna, significari magnorum ineffabiliúmque malorum consonantiam, quibus ciuitates à ciuitatibus, gentes à gentibus, regiones à regionibus impetuntur vicissim, & quibus homines non solum in se inuicem iniusti fiunt, verum etiam in Deum impij. & hæc quidem populorum sunt crimina. consideremus & viritim inenarrabilem vitiorum multitu-
D dinem, præsertim si accedat ille inamœnus, ineptus, & male modulatus concentus. Fortuita quis nescit, cum in paupertatem, obscuritatem, corporis morbos aut mutilationes incidunt, item in infirmitates animæ, desipientis præ atra bile aut longo senio, aut alio quocunque grauiore infortunio. nam vnumquoduis è iam dictis abunde sufficit ad subuertendum & deijciendum hominem, etiam fastu magno tumidũ. quod si plura eum velut ex composito aggre-
E diantur eodem tempore, animæ, corporis, & externa, quid cogitari potest miserius? cadentibus enim stipatoribus, etiam stipatum necesse est cadere. est autem corporis satellitium hoc, diuitiæ, gloriæ, honores, à quibus elatum in sublime se ostentat: sicut è diuerso à contemptu, obscuritate, paupertate oppugnatur tanquam ab hostibus. item satellites animæ sunt,

A μυρίοι πρὸς τῶν ἐπιτιθεμένων οὐ προαισθόμενοι τὸ μέλλον, κατελήφθησαν, ὡς ἔμπαλιν, ἐπιστήμῃ πρὸς ἐπιχειρηθέντας ἴσχυσαν φόβους τε καὶ κινδύνους ἀπώσασθαι· ὥστε λυσιτελὲς μᾶλλον, ἢ βλαβερὸν εἶναι τὴν ἐν τῷ διαλέκτῳ κοινωνίαν· ἐπεὶ καὶ μέχρι νῦν οἱ καθ' ἑκάστην χώραν, καὶ μάλιστα τῶν αὐτοχθόνων, δι' οὐδὲν οὕτως ὡς διὰ τὸ ὁμόγλωσσοι ἀπαθεῖς κακῶν διατελοῦσι. κἂν εἰ μέντοι τις ἀνὴρ πλείους ἀναμάθοι διαλέκτους, εὐδόκιμος εὐθὺς παρὰ τοῖς ἐπισταμένοις ἐστὶν, ὡς ἤδη
B φίλος ὢν, οὐ βραχὺ γνώρισμα κοινωνίας ἐπιφερόμενος τὴν ἐν τοῖς ὀνόμασι συνήθειαν, ἀφ' ἧς τὸ ἀδεὲς εἰς τὸ μηδὲν ἀνήκεστον παθεῖν ἔοικε πεπορίσθαι. τί οὖν ὡς κακῶν αἴτιον τὸ ὁμόγλωττον ἐξ ἀνθρώπων ἠφάνιζε, δέον ὡς ὠφελιμώτατον ἱδρύεσθαι; πρὸς δὴ ταῦτα συντιθέντας τε καὶ κακοτεχνοῦντας, ἰδίᾳ μὲν διελέγξουσιν οἱ τὰς προχείρους ἀποδόσεις τῶν αἰεὶ ζητουμένων ἐκ τῆς φανερᾶς τῶν νόμων γραφῆς ἀφιλονείκως οὐκ ἀντισοφιζόμενοί ποθεν, ἀλλ' ἑπόμενοι τῷ τῆς ἀληθείας εἱρμῷ,
C προσπταίειν οὐκ ἐῶντι, ἀλλὰ κἂν εἴ τινα ἐμπόδιον εἴη, ῥᾳδίως ἀναστέλλοντι, ὅπως αἱ τῶν λόγων διέξοδοι γίνωνται ἄπταιστοι. φαμὲν τοίνυν ἐκ τοῦ τὴν γῆν εἶναι πᾶσαν χεῖλος ἓν καὶ φωνὴν μίαν, κακῶν ἀμυθήτων καὶ μεγάλων συμφωνίαν δηλοῦσθαι· ὅσα τε καὶ πόλεις πόλεσι, καὶ ἔθνεσιν ἔθνη, καὶ χώραις χῶραι ἀντεπιφέρουσι, καὶ ὅσα μὴ μόνον εἰς ἑαυτοὺς, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἀσεβοῦσιν ἄνθρωποι, καίτοι ταῦτα πληθῶν ἐστιν ἀδικήματα· σκε-
D ψώμεθα δ' ἡμεῖς καὶ ἐφ' ἑνὸς ἀνδρὸς τὸ ἀδιεξήγητον τῶν κακῶν πλῆθος, καὶ μάλιστα ὅταν τὴν ἀνάρμοστον καὶ ἐκμελῆ καὶ ἄμουσον χορὸν συμφωνίαν· τὰ μὲν δὴ τυχηρὰ τίς οὐκ οἶδεν, ὅταν πενίᾳ τε ἀδοξίᾳ, σώματος νόσοις ἢ πηρώσεσι συνενεχθῶσι, καὶ πάλιν ταῦτα ψυχῆς ἀρρωστήμασιν, ἔκφρονος ὑπὸ μελαγχολίας, ἢ μακροῦ γήρως, ἢ τινος ἄλλης βαρείας κακοδαιμονίας γεγενημένης, ἀναχεθῶσι. καὶ γὰρ ἓν μόνον τῶν εἰρημένων βιαίως ἀποστατῆσαι ἱκανὸν ἀνατρέψαι καὶ καταβαλεῖν καὶ τὸν
E λίαν ὑπέρογκον ἐστίν· ὅταν δ' ἀθρόα ὥσπερ προστάξει μιᾷ κατὰ τὸν αὐτὸν χρόνον ἐν ᾗ πάντα συρρεῦσαι ἐπιθεῖναι τὰ σώματος, τὰ ψυχῆς, τὰ ἐκτός, τίνα οὐχ ὑπερβολὴν σχετλιότητα; πεσόντων γὰρ δορυφόρων, ἀνάγκη καὶ τὸ δορυφορούμενον πίπτειν. δορυφόροι μὲν οὖν σώματος, πλοῦτος, εὐδοξίαι, τιμαί, ὀρθοῦντες αὐτὸ καὶ εἰς ὕψος αἴροντες καὶ γαῦρον ἀποδεικνύντες, ὡς τἀναντία, ἀτιμία, ἀδοξία, πενία, πολεμίων τρόπον καταρρίπτουσι· πάλιν τε δορυφόροι ψυχῆς,

ἀκοαί, καὶ ὄψεις, ὀσφρήσεις τε καὶ γεύσεις, καὶ τὸ ξύμ- A πᾶν τῆς αἰσθήσεως εἶδος· ἔτι μέντοι ὑγεία καὶ ἰσχὺς δύναμίς τε καὶ ῥώμη. τούτοις γὰρ ὥσπερ ἑστῶσι καὶ κραταιῶς ἐρηρεισμένοις, εὐερκέσιν ὅροις ὁ νοῦς ἐμπεριπατῶν καὶ διαιτώμενος ἀγάλλεται, πρὸς μηδενὸς τῆς ἰδίαις ὁρμαῖς χρῆσθαι κωλυόμενος, ἀλλ' εὐρείας καὶ λεωφόρους ἀναπεπταμένας ἔχων τὰς διὰ πάντων ὁδούς· τὰ δὲ τοῖς δορυφόροις τούτοις ἐχθρὰ ἀντικάθηται, πηρώσεις αἰσθητηρίων καὶ νόσος, ὡς ἔφην, οἷς ἡ διάνοια συγκατακρημνισθῆ- B ναι πολλάκις ἐμέλλησε. καὶ τὰ μὲν τυχηρὰ ταῦτα, ἀργαλέα σφόδρα, καὶ σχέτλια ἐξ ἑαυτῶν. πρὸς δὲ τὴν ἐκ προνοίας σύγκρισιν κουφότερα πολλῷ. τίς οὖν ἡ τῶν ἑκουσίων κακῶν συμφωνία, πάλιν ἐν μέρει σκοπῶμεν. τριμεροῦς ἡμῶν τῆς ψυχῆς ὑπαρχούσης, τὸ μὲν νοῦς καὶ λόγος, τὸ δὲ θυμός, τὸ δὲ ἐπιθυμία κεκληρῶσθαι λέγεται· κηραίνει δὲ καθ' αὑτὸ ἕκαστον ἰδίᾳ, καὶ πρὸς ἄλληλα πάντα κοινῇ, ἐπειδὰν ὁ μὲν νοῦς ὅσα ἀφροσύναι καὶ δειλίαι, ἀκολασίαι τε καὶ ἀδικίαι σπείρωσι, θερίσῃ· ὁ δὲ θυμὸς τὰς ἐκμανεῖς C καὶ παραφόρους λύττας καὶ ὅσα ἄλλα ὠδίνει κακά, τίκτῃ· ἡ δὲ ἐπιθυμία τοὺς ἀπὸ νεότητος ἀεὶ κούφους ἔρωτας, καὶ τοῖς ἐπιτυχοῦσι σώμασί τε καὶ πράγμασι προσπταμένους ἐπιπέμψῃ πανταχόσε. τότε γὰρ ὥσπερ ἐν σκάφει ναυτῶν, ἐπιβατῶν, κυβερνητῶν, κατά τινα φρενοβλάβειαν ἐπ' ἀπωλείᾳ τούτου συμφωνησάντων, καὶ οἱ ἐπιβουλεύσαντες αὐτῷ, οὐχ ἥκιστα συναπώλοντο. βαρύτατον γὰρ κακῶν καὶ σχεδὸν ἀνίατον μόνον ἡ πάντων τῶν ψυ- D χῆς μερῶν πρὸς τὸ ἁμαρτάνειν συνεργία, μηδενὸς οἷα ἐν πανδήμῳ συμφορᾷ δυνηθέντος ὑγιαίνειν, ἵνα τοὺς πάσχοντας ἰάσηται· ἀλλὰ καὶ τῶν ἰατρῶν ἅμα τοῖς ἰδιώταις καμνόντων, οὓς ἡ λοιμώδης νόσος ἐφ' ὁμολογουμένῃ συμφορᾷ πιέσασα κατέσχε. τοῦ παθήματος τούτου ὁ μέγας ἀναγραφεὶς παρὰ τῷ νομοθέτῃ κατακλυσμός ἐστι, τῶν τε ἀπ' οὐρανοῦ καταρρακτῶν τοῦ κακίας αὐτῆς λάβρῳ φορᾷ χειμάρρους ἐπομβρούντων, καὶ τῶν ἀπὸ γῆς, E λέγω δὲ τοῦ σώματος, πηγῶν ἀναχεουσῶν τὰ πάθους ἑκάστου ῥεύματα, πολλὰ ὄντα καὶ μεγάλα, ἅπερ εἰς ταυτὸν τοῖς προτέροις συνιόντα καὶ ἅμα μιγνύμενα κυκᾶταί τε καὶ τὸ δεδεγμένον ἅπαν τῆς ψυχῆς στροβεῖ χωρίον, δίναις ἐπαλλήλοις. Ἰδὼν γάρ, φησί, κύριος ὁ θεὸς ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ ἐπιμελῶς τὰ πονηρὰ πάσας τὰς ἡμέρας, ἔγνω τὸν ἄνθρωπον, λέγω δὲ τὸν νοῦν μετὰ τῶν περὶ αὐτὸν ἑρπετῶν τε καὶ πτηνῶν καὶ τῆς ἄλλης ἀλόγου

auditus, visus, odoratus, gustus, & tota cohors sensuum, adhæc sanitas, integritas, robur, potentia. horum enim valida ope suffultus communitúsque animus incedit exultabundus, & suauiter degens quicquid libet exequitur, omnibus vijs ei nunquam non patentibus. Verum & his satellitibus non desunt aduersarij, sensuum orbationes morbíque, vt dixi; qui aliquando mentem agunt in præcipitia. & hæc quidem à fortuna impendent, vehementer difficilia miseráque, leuiora tamen si conferantur cum malis voluntarijs. quis autem sit horum quoque concentus, rursum per se consideremus. Cum anima nostra tripartita sit, pars eius mens & ratio, pars ira, pars concupiscentia esse dicitur. singulæ suis morbis laborant, atque etiam inter se communibus vniuersæ: quoties mens quidem imprudentiæ, timiditatis, luxuriæ, iniustitiæ segetes demetit: ira vero immanes furiosásque rabies, & cætera quibus grauida est mala parit: concupiscentia quoque amores semper iuueniliter leues, & temere ad quæuis corpora & ad quaslibet res aduolantes, quocunque immittit. tunc enim tanquam in naui nautis, vectoribus, gubernatoribus, per dementiam in eius perniciem consonantibus, etiam qui perdunt vnà pereunt. grauissimum enim malorum est, & pene solum insanabile, omnium animæ partium ad peccandum consensus, cum tanquam in publica pestilentia nihil sani sit reliquum, quod ægrotis mederi possit: sed & medici vnà cum vulgo laborant, eadem quâ cæteri lue correpti. Clades hæc describitur apud legislatorem in mentione diluuij: quando & à catarractis cæli magno impetu imbres inundauerunt: & à terra, à corpore inquam, multi magníque fontes affectionum profusi, fluenta sua coniunxerunt miscuerúntque cum aquis prioribus, vt totam animæ regionem occuparent suorum gurgitum vorticibus. Videns, inquit, Dominus Deus multiplicatam esse maliciam hominum super terram, & vniuscuiusque cogitationes intentas esse ad malum omni tempore, decreuit in hominem, in hunc inquam reptilibus, volucribus, aliisque brutis & immitibus bestijs circumdatum, animaduertere,

cuius iniquitatem iudicaret esse insanabilem. pœna autem fuit diluuium. Tantum sibi libido peccandi permiserat, cohibente nemine, & affluente vnà cum copia rerum fruendi licentia. & merito. non enim vna certa pars animæ corrupta fuit, vt ei succurri posset à sanis cæteris, sed nihil integrum incorruptúmque relinquebatur. Videns, inquit, non vnius, sed vniuscuiusque cogitationes, conuenientem pœnam incorruptus iudex eis inflixit. hi sunt illi confœderati apud vallem salsuginis. est enim cauus, asper, angustisque faucibus strictus locus affectuum, vere salsos amarósque dolores afferens: in quo factum fœdus nullis sacris, nullóve iureiurando dignum sciens ille sapiens Abraham, fœderatos profligat. dicitur enim eos omnes conspirasse in valle salsa: quæ est mare salinarum. Annon vides illos orbatos sapientia, cæcatósque mente quæ acutum cernere debuerat, ex re nomen habentes Sodomitas, iuuenes vnà cum senioribus, totum simul populum, circum ædes animæ cursare, vt diuersantes in eis sacrosanctos sermones, custodes & præsides, probris afficiant, nemine vel opponente se iniurijs eorum, vel alienante à tanto facinore. Non enim pars populi, vt legitur, sed vniuersus domum circumdedit, iuuenes vnà cum senioribus, coniurati contra diuina verba & opera, quæ scriptura suo more vocat angelos. Attamen diuinus vates Moses occurrens, eorum cohibebit impetum, etiamsi ductu sui regis irruant audacissimi & ad dicendum promptissimi, auctísque copijs vndatim affluant. Ecce, inquit, Ægypti rex ad aquam veniet. ibi tu oppones ei te stans in labio fluminis. Ergo malus vir exit ad fluenta peccatorum & affectuum, quæ per aquam significantur. at vir sapiens primum accipit à Deo semper stante nec vnquam mobili munus illi conueniens, vt & ipse firmus consistat. dictum est enim: Tu vero hic sta mecum: vt exuta omni dubitatione ac ambigentia, quæ sunt vitia parum constantis animi, fidem certissimum firmissimúmque habitum induat. Deinde non contentus stare, quod mirandum est, obsistit etiam. dicitur enim ei:

A τῶν ἀπιστάτων θρεμμάτων πλῆθος, ἐφ᾽ οἷς ἀνίατα ἠδίκει, τίσασθαι. ἡ δὲ τιμωρία, κατακλυσμός. ἦν γὰρ ἔφεσις ἁμαρτημάτων, καὶ πολλὴ τοῦ ἀδικεῖν, μηδενὸς κωλύοντος, φορὰ ἄλλη, προσαναρρηγνυμένων ἀδεῶς ἁπάντων εἰς χορηγίας ἀφθόνους τοῖς πρὸς τὰς ἀπολαύσεις ἑτοιμοτάτοις. καὶ μήποτ᾽ εἰκότως; οὐ γὰρ ἕν τι μέρος διέφθαρτο τῆς ψυχῆς, ἵνα τοῖς ἄλλοις ὑγιαίνουσι σώζεσθαι δύναιτο, ἀλλ᾽ οὐδὲν ἄνοσον οὐδὲ ἀδιάφθαρτον αὐτῆς κατελείπετο. Ἰδὼν γὰρ οὐχ ὁ πᾶς τις, φησί, διανοεῖται λογισμός, οὐχὶ μόνος
B εἷς, τὴν ἁρμόττουσαν ὁ ἀδέκαστος δικαστὴς ἐπήγαγε τιμωρίαν. οὗτοί εἰσιν οἱ ἐπὶ τῆς ἁλμυρᾶς φάραγγος ὁμαιχμίαν πρὸς ἀλλήλους θέμενοι. κοῖλον γὰρ καὶ τραχὺ καὶ φαραγγῶδες τὸ κακιῶν παθῶν χωρίον, ἁλμυρὰς τῷ ὄντι καὶ πικρὰς φέρον ὠδῖνας, ὧν ὁ σοφὸς Ἀβραὰμ τὸ ἐνώμοτον καὶ ἔνσπονδον, οὔθ᾽ ὅρκων, οὔτε σπονδῶν ἐπάξιον εἰδὼς καθαιρεῖ. λέγεται γὰρ ὅτι πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ θάλασσα τῶν ἁλῶν. ἢ οὐχ
C ὁρᾷς τοὺς ἐστερημένους σοφίαν καὶ τυφλοὺς διανοίας ἣν ὀξυδερκεῖν εἰκὸς ἦν, Σοδομίτας κατὰ γλῶτταν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πάντα θ᾽ ὁμοῦ τὸν λεὼν ἐν κύκλῳ τὴν οἰκίαν τῆς ψυχῆς περιθέοντας ἵνα τοὺς ξενωθέντας ἱεροὺς καὶ ὁσίους λόγους αὐτῇ φρουροὺς καὶ φύλακας ὄντας, αἰσχύνωσι καὶ διαφθείρωσι, μηδενὸς τὸ παράπαν, μήτε τοῖς ἀδικοῦσιν ἐμποδίσασθαι, μήτε τοῦ τι ποιεῖν ἄδικον ἀποδιδράσκειν ἐγνωκότος; οὐ γὰρ οἱ μέν, οἱ δ᾽ οὔ, πᾶς δέ, ὡς φησιν, ὁ λαὸς περιεκύκλωσεν ἅμα τὴν οἰκίαν.
D νέοι τε καὶ πρεσβύται κατὰ τῶν θείων ἔργων καὶ λόγων συνομοσάμενοι, οὓς καλεῖν ἔθος ἀγγέλους· ἀλλ᾽ ὅ γε θεοπρόπος Μωϋσῆς θράσει πολλῷ ῥέοντας αὐτοὺς ὑπαντιάσας ἐφέξει, κἂν τὸν θρασύτατον καὶ δεινότατον εἰπεῖν ἐν ἑαυτοῖς βασιλέα λόγον προστησάμενοι, μιᾷ ῥύμῃ καταβρέχωσι συναύξοντες τὰ οἰκεῖα, καὶ ποταμοῦ τρόπον πλημμυροῦντες. Ἰδοὺ γάρ, φησίν, ὁ τοῦ Αἰγύπτου βασιλεύς, ἐπὶ τὸ ὕδωρ ἀφικνεῖται. σὺ δὲ στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖ-
E λος τοῦ ποταμοῦ. Ἑκὼν ὁ μὲν φαῦλος ἔξεισιν ἐπὶ τὴν τῶν ἀδικημάτων καὶ παθῶν καὶ ἀθρόων φοράν, ἅπερ ὕδατι ἀπεικάζεται· ὁ δὲ σοφὸς πρῶτον μὲν κτᾶται γέρας παρὰ τοῦ ἑστῶτος ἀεὶ θεοῦ συγγενὲς αὐτοῦ τῇ ἀκλινεῖ καὶ ἀρρεπεῖ πρὸς πάντα δυνάμει λαβών. εἴρηται γάρ, Σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ, ἵνα ἐνδοιασμὸν καὶ ἐπαμφοτερισμὸν ἀβεβαίου ψυχῆς διαθέσεις ἀποδυσάμενος τὴν ὀχυρωτάτην καὶ βεβαιοτάτην διάθεσιν καὶ πίστιν ἐνδύσηται· ἔπειτα δὲ ἑστὼς τὸ παραδοξότατον ὑπαντᾷ.

στήσῃ

στάσει γὰρ ὑπαντιάζων· καὶ τὸ μὲν ὑπαντᾶν ἐν κινήσει, κατὰ δὲ ἠρεμίαν τὸ ἵστασθαι θεωρεῖται. λέγει δὲ οὐ τὰ μαχόμενα, τὰ δὲ τῇ φύσει μάλιστα ἀκολουθοῦντα· ὅτῳ γὰρ ἠρεμεῖν πέφυκεν ἡ γνώμη καὶ ἀρρεπῶς ἱδρῦσθαι, συμβαίνει πᾶσιν ἀνθίστασθαι τοῖς σάλῳ καὶ κλύδωνι χαίρουσι, καὶ τὸν γαληνιάσαι δυνάμενον χειροποιήτῳ χειμῶνι κυμαίνουσιν. εὖ μέντοι γε ἔχει παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ τὴν ἐναντίωσιν συνίστασθαι· χείλη δὲ στόματος μέν ἐστι πέρατα, φραγμὸς δέ τις γλώττης, δι' ὧν φέρεται τὸ τοῦ λόγου ῥεῦμα, ὅταν ἄρξηται κατέρχεσθαι. λόγῳ δὲ καὶ οἱ μισάρετοι καὶ φιλομαθεῖς συμμάχῳ χρῶνται πρὸς τὴν τῶν ἀδοκίμων δογμάτων εἰσήγησιν. καὶ πάλιν οἱ σπουδαῖοι, πρός τε τὴν τῶν ψευδῶν ἀναίρεσιν, καὶ πρὸς τὸ τῶν ἀμεινόνων καὶ ἀψευδῶν ἀγαθῶν κράτος ἀνανταγώνιστον· ὅταν μέντοι πάντα κάλων ἀνασείσαντες, ἐριστικῶν δογμάτων ὑπ' ἐναντίας ῥύμης λόγων ἀνατραπέντες ἀπόλωνται, τὸ ἐπινίκιον δικαίως καὶ προσηκόντως ὁ σοφὸς ᾆσμα χορὸν ἱερώτατον στησάμενος, εὐμελῶς ᾄσεται. ἴδε γάρ, φησίν, Ἰσραὴλ τοὺς Αἰγυπτίους, οὐχ ἑτέρωθι τεθνεῶτας, ἀλλὰ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ· θάνατον λέγων οὐ τὴν ἀπὸ σώματος ψυχῆς διάκρισιν, ἀλλὰ τὴν ἀνοσίων δογμάτων λόγων φθοράν, οἷς ἐχρῶντο διὰ στόματος καὶ γλώττης, καὶ τῶν ἄλλων φωνητηρίων ὀργάνων. λόγου δὲ θάνατός ἐστιν ἡσυχία, οὐχ ἣν οἱ ἐπιεικέστεροι ποιούμενοι, σύμβολον αἰδοῦς, μετέρχονται· δύναμις γὰρ καὶ ἥδε ἐστὶν ἀδελφὴ τῆς ἐν τῷ λέγειν, ταμιευομένη μέχρι καιροῦ τὰ λεκτέα· ἀλλ' ἣν οἱ ἐξησθενηκότες καὶ ἀπειρηκότες, διὰ τὴν τῶν ἐναντίων ἰσχὺν ὑπομένουσιν ἄκοντες, λαβὴν οὐδεμίαν ἔθ' εὑρίσκοντες. ὧν τε γὰρ ἐὰν ἐφάψωνται, διαρρεῖ, καὶ οἷς ἂν ἐπιβῶσιν, οὐχ ὑπομένει, ὡς πρὶν ἢ στῆναι πίπτειν ἀναγκάζεσθαι, ὥσπερ ἡ ἕλιξ τὸ ὑδρηλὸν ὄργανον ἔχει. κατὰ γὰρ μέσον αὐτῆς, γεγόνασι βαθμοί τινες, ὧν ὁ γεωπόνος ὅταν ἐθελήσῃ ποτίσαι τὰς ἀρούρας ἐπιβαίνει μέν, περιολισθαίνει δὲ ἀναγκαίως. ὑπὲρ δὲ τοῦ μὴ πίπτειν συνεχῶς, πλησίον ἐχυροῦ τινος ταῖς χερσὶ περιδράττεται, οὗ ἐνειλημμένος τὸ ὅλον σῶμα ἀπῃώρηκεν αὐτοῦ. ἀντὶ μὲν γὰρ ποδῶν χερσίν, ἀντὶ δὲ χειρῶν ποσὶ χρῆται. ἵσταται μὲν γὰρ ἐπὶ χειρῶν, δι' ὧν εἰσιν αἱ πράξεις· πράττει δὲ ἐν ποσίν, ἐφ' ὧν εἰκὸς ἵστασθαι. πολλοὶ δὲ οὐ δυνάμενοι τὰς πιθανὰς τῶν σοφιστῶν εὑρέσεις ἀνὰ κράτος ἑλεῖν, τῷ μὴ σφόδρα περὶ λόγους διὰ τὴν ἐν τοῖς ἔργοις συνεχῆ μελέτην γεγυμνάσθαι, κατέφυγον ἐπὶ τὴν τοῦ μόνου σοφοῦ συμμαχίαν, καὶ βοηθὸν αὐτὸν ἱκέτευσαν γενέσθαι·

A Sta ex aduerso. Quorum alterum quidem, videlicet occursus, in motu: alterum vero, hoc est, statio, in quiete consideratur. Nulla tamen est in his verbis pugna, sed egregie cum rerum natura congruunt. Nam cuiuscunque sententia suopte ingenio quieta est, nec facile à recto flexilis, hic solet resistere vndabundis rebus omnibus, tranquillitatem tempestate vltro accita turbantibus. Sed bene habet quòd in labio fluminis occursus factus dicitur. B Sunt autem labra oris extremitates & septa linguæ, per quæ sermo profluit, quando proferendus est. Sermone autem etiam hostes virtutis, modo studiosi disciplinarum sint, vtuntur ad defendenda improbata dogmata: sicut è diuerso boni ad mendacia tollenda è medio, & ad verorum bonorum confirmationem inuincibilem. proinde quoties omni rudente moto contentiosorum dogmatum assertores oppressi rationibus aduersarijs pereunt, merito C victoriale carmen ille sapiens cum suo sacrato choro modulabitur. Vidit, inquit, Israel Ægyptios, non alibi mortuos quam ad labium fluminis. Mortem dicens non animæ seiunctionem à corpore, sed impiorum dogmatum prolationem, quæ per os efferebantur & linguam instrumentáque vocis cætera. Porrò sermonis mors est silentium, non quo bene morati præ se ferunt reuerentiam: nam & hoc facultas quædam est ad eloquentiam pertinens, dispensatrix D dicendi temporum: sed quo impotes fandi propter aduersariorum vehementiam inuiti vtuntur, nullam inuenientes dicendi occasionem. quibus quicquid tentant effluit: quocunque insistunt, nequeunt vestigium figere, vt prius quam consistant cadant necessario: qualis est aquaria machina quæ helix vocatur. in cuius medio gradus quidam sunt, quos rusticus quoties agros vult rigare scandit, ac mox necessario dilabitur. & ne continue cadat, proximum fulcrũ vtra- E que manu retinet, quo totum corpus sustentat. interim pedes manuum, manus vero pedum funguntur officio. insistit enim manibus, quarum est agere: operatur pedibus, quorum est stare. Multi autem cum non possint verisimilia sophistarum cõmenta fortiter refellere, quod non sint admodum in dissertationibus exercitati vt distenti actionibus, confugiunt ad illius qui solus est sapiens auxilium, & opem eius supplices inuocãt.

sicut & quidam è Mosis familiaribus in suis hymnis precatur: Muta fiant labia dolosa. Qui autem poterunt hæc silere, nisi ab eo qui solus etiam sermonis est Dominus, obturata fuerint? Ergo conuentus qui peccandi causa confluunt, continuato cursu fugiendi sunt: cum prudentiæ vero scientiæque socijs fœdus pangendum. quapropter eorum qui dicunt: Omnes vnius viri sumus filij, pacati sumus: miror consensum consonum. quibus libenter dicerem: & qui fieri potest ô boni, vt non bellum oderitis, pace delectemini, cum vnum eundémque patrem profiteamini, non mortalem sed immortalem, hominem Dei: qui cum sit illius sempiterni sermo, necessario ipse quoque incorruptibilis est. nam quicunque multa principia suæ animæ genitiua faciunt, multorum deorum superstitioni nefariæ dediti, alij colunt alios, & autores fiunt tam seditionum ciuilium quam externorum tumultuum, ab initio vitæ finem vsque bellis perpetuis implicati. qui verò gaudent vno genere, & vnum parentem rectum sermonem colunt, mirantúrque harmoniam & musicam virtutum concinentium, serenam tranquillámque vitam exigunt: non tamen ociosam ignauámque, vt quidam existimant, sed admodum virilem, & valde acrem contra studiorum suorum interpellatores, & indesinentes turbatores fœderum. nam qui suopte ingenio pacem amant, bellicosi debent esse, in statione collocati contra infestantes quietem animæ. testis est mihi primum cuiusque virtutibus dediti animus ad hunc modum dispositus. deinde vnus è prophetico sodalitio, qui numine, afflatus exclamat: O mater, qualem me peperisti hominem pugnæ, & hominem iniucundũ vniuersæ terræ. nec ipse profui, nec mihi profuerunt: neque vires meæ defecerunt ab execrationibus eorum. An non omnis sapiens omnibus stultis perpetuus hostis est, oppugnans eos non classibus aut machinis aut exercitibus sed rationibus? Cũ enim in media pace continue homines in se inuicem insurgentes priuatim ac publice videt, nec tantũ gẽtes, regiones, ciuitates, castella, sed etiam singulas domos, singulos viros mutuo se bello impetere: quis non præsentes obiurgat, admonet, castigat, interdiu noctúque non cõquiescens, eo quod ipsius anima nullã quietẽ admittere queat ob innatum odium maliciæ.

A καθὰ καὶ τῶν Μωυσέως γνωρίμων τις ἐν ὕμνοις εὐχόμενος εἶπεν, Ἄλαλα γενέσθω τὰ χείλη τὰ δόλια. πῶς δ' ἂν ἡσυχάσαι, εἰ μὴ πρὸς μόνου τοῦ καὶ τὸν λόγον αὐτῶν ἔχοντος ὑπήκοον, ἐπιστομισθείη. τὰς μὲν οὖν εἰς τὸ ἁμαρτάνειν συνόδους ἀμεταστρεπτὶ φευκτέον· τὸ δὲ ἔνσπονδον πρὸς τοὺς φρονήσεως καὶ ἐπιστήμης ἑταίρους, βεβαιωτέον· παρ' ὃ καὶ τοὺς λέγοντας, Πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί ἐσμεν, τεθαύμακα τῆς ἐναρμονίου συμφωνίας· ἐπεὶ καὶ πῶς οὐκ ἐμέλλετε, φήσαιμ' ἄν, ὦ γενναῖοι,
B πόλεμον μὲν δυσχεραίνειν, εἰρήνην δὲ ἀγαπᾶν, ἕνα καὶ τὸν αὐτὸν ἐπιγεγραμμένοι πατέρα οὐ θνητόν, ἀλλ' ἀθάνατον, ἄνθρωπον θεοῦ, ὃς τοῦ ἀιδίου λόγος ὤν, ἐξ ἀνάγκης καὶ αὐτός ἐστιν ἄφθαρτος. οἱ μὲν γὰρ πολλὰς ἀρχὰς τῆς κατὰ ψυχὴν γενέσεως συνιστάμενοι, τῷ πολυθέῳ λεγομένῳ κακῷ προσνείμαντες ἑαυτούς, ἄλλοι πρὸς ἄλλων τιμὰς τραπόμενοι, ταραχὰς καὶ στάσεις ἐμφυλίους τε καὶ ξενικὰς ἐδημιουργήσαντο, ἀπ' ἀρχῆς γενέσεως ἄχρι τελευτῆς βίου πολέ-
C μων ἀκηρύκτων καταπλησθέντες· οἱ δὲ ἐπὶ γένει χαίροντες, καὶ ἕνα πατέρα τὸν ὀρθὸν τιμῶντες λόγον, τὴν ἐναρμόνιον καὶ πάμμουσον συμφωνίαν ἀρετῶν τεθαυμακότες, εὔδιον καὶ γαληνὸν βίον ζῶσιν, οὐ μὴν ἀργὸν καὶ ἄτονον ἵνα, ὥς ἔνιοι νομίζουσιν, ἀλλὰ σφόδρα ἀνδρεῖον, καὶ λίαν ἠκονημένον κατὰ τῶν τὰς σπονδὰς λύειν ἐπιχειρούντων, καὶ σύγχυσιν ὁρκίων αἰεὶ μελετώντων. τοὺς γὰρ εἰρηναίους φύσει, πολεμικοὺς εἶναι συμβέβηκεν, αὐτίκα ἐπιτιθεμένοις καὶ ἀνθεστῶτας τοῖς τὸ εὐσταθὲς τῆς ψυχῆς ἀνατρέπουσι. μαρτυρεῖ δέ μου τῷ
D λόγῳ, πρῶτον μὲν ἡ ἑκάστου τῶν φιλαρέτων διάνοια διακειμένη τὸν τρόπον τοῦτον· ἔπειτα δὲ καὶ ὁ τοῦ προφητικοῦ θιασώτης χοροῦ, ὃς καταπνευσθεὶς ἐνθουσιῶν ἀνεφθέγξατο, Ὦ μῆτερ, ἡλίκον με ἔτεκες ἄνθρωπον μάχης, καὶ ἄνθρωπον ἀηδίας πάσης τῆς γῆς· οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με· οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ καταρῶν αὐτῶν. ἀλλ' οὐ πᾶς σοφὸς πᾶσι φαύλοις ἐχθρός ἐστιν ἄσπονδος, οὐ τριηρῶν ἢ μηχανημάτων ἢ στρατιωτῶν παρα-
E σκευῇ πρὸς ἄμυναν χρώμενος ἐπὶ λογισμοῖς. ὅταν γὰρ τὴν ἐν τῇ ἀπολέμῳ εἰρήνῃ συνεχῶς καὶ ἐπάλληλον ἀνθρώπων ἁπάντων ἰδίαν καὶ κοινὴν μὴ κατὰ ἔθνη καὶ χώρας ἢ πόλεις καὶ κώμας αὐτὸ μόνον, ἀλλὰ καὶ καθ' οἰκίαν καὶ ἕνα ἕκαστον τὴν ἐν μέρει συγκροτούμενον πόλεμον θεάσηται, τίς ἐστιν ὅγε μὴ πᾶσι κακίζων, νουθετῶν, σωφρονίζων, οὐ μεθ' ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ, τῆς ψυχῆς αὐτοῦ ἠρεμεῖν μὴ δυναμένης διὰ τὸ μισοπόνηρον φύσει. πάντα γὰρ ὅσα ἐν πολέμῳ, δρᾶται καὶ εἰρή-

νην, συλῶσιν, ἁρπάζουσιν, ἀνδραποδίζονται, λεηλατοῦσι, πορθοῦσιν, ὑβρίζουσιν, αἰκίζονται, φθείρουσιν, αἰσχύνουσι, δολοφονοῦσιν ἄντικρυς, ἐὰν ὦσι δυνατώτεροι κτείνουσι. πλοῦτον γὰρ ἢ δόξαν ἕκαστος αὐτῶν σκοπὸν προτεθειμένος, ἐπὶ τοῦτον ὥσπερ βέλη τὰς τοῦ βίου πράξεις ἁπάσας ἀφιείς, ἰσότητος ἀλογεῖ, τὸ ἄνισον διώκει, κοινωνίας ἀποστρέφεται, μόνος ἔχειν τὰ πάντων ἀθρόα ἐσπούδακε, μισάνθρωπος καὶ μισάλληλός ἐστιν, ὑποκρινόμενος εὔνοιαν, κολακείας νόθης ἑταῖρος ὤν, φιλίας γνησίου πολέμιος, ἀληθείας ἐχθρός, ὑπέρμαχος ψεύδους, βραδὺς ὠφελῆσαι, ταχὺς βλάψαι, διαβάλλειν προχειρότατος, ὑπερασπίσαι μελλητής, δεινὸς φενακίσαι, ψευδορκότατος, ἀπιστότατος, δοῦλος ὀργῆς, εἴκων ἡδονῇ, φύλαξ κακῶν, φθορεὺς ἀγαθῶν· ταῦτα καὶ τὰ τοιαῦτα τῆς ᾀδομένης καὶ θαυμαζομένης εἰρήνης περιμάχητα κειμήλια, ἅπερ ἡ ἑκάστου τῶν ἀφρόνων ἀγαλματοφοροῦσα διάνοια, τέθηπε καὶ προσκυνεῖ. ἐφ' οἷς εἰκότως καὶ πᾶς σοφὸς ἄχθεται, καὶ πρός γε τὴν μητέρα καὶ τιθήνην ἑαυτοῦ σοφίαν εἴωθε λέγειν, ὦ μῆτερ, ἡλίκον με ἔτεκες, οὐ δυνάμει σώματος, ἀλλὰ τῇ πρὸς μισοπονήρους ἀλκῇ, ἄνθρωπον ἀηδίας καὶ μάχης. φύσει μὲν εἰρηνικόν, διὰ δὲ τοῦτο καὶ πολεμικὸν κατὰ τῶν αἰσχυνόντων τὸ περιμάχητον κάλλος εἰρήνης. οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με, οὔτε αὐτοὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτὲ ἐχρήσαντο, οὔτε ἐγὼ τοῖς ἐκείνων κακοῖς, ἀλλὰ κατὰ τὸ Μωϋσέως γράμμα, ἐπιθύμημα οὐδενὸς αὐτῶν ἔλαβον, συμπάντων τὸ τῆς ἐπιθυμίας αὐτῶν γένος θησαυριζομένων παρ' ἑαυτοῖς ὡς μέγιστον ὄφελος ὑπερβάλλον βλάβος· οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ τῶν καταρῶν ἃς ἐπέθεντό μοι· δυνάμει δὲ κραταιοτάτῃ τῶν θείων ἐνειλημμένος δογμάτων, ὥτε ἐκκακούμενος ἐκάμφθην, ἀλλὰ ἐρρωμένως ὠνείδισα τοῖς ἐξ αὐτῶν μοι καταρωμένοις. Ἔθετο γὰρ ἡμᾶς ὁ θεὸς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, ὡς καὶ ἐν ὕμνοις που λέλεκται, πάντας τοὺς ὀρθῆς γνώμης ἐφιεμένους. ἀλλ' οὐκ ἀντιλογικοὶ φύσει γεγόνασιν ὅσοι τῆς ἐπιστήμης καὶ ἀρετῆς ζῆλον ἔσχον, ἀεὶ τοῖς γείτοσι ψυχῆς ἀντιφιλονεικοῦντες, διελέγχοντες μὲν τὰς συνοίκους ἡδονάς, διελέγχοντες δὲ τὰς ὁμοδιαίτους ἐπιθυμίας, δειλίας τε καὶ φόβους τῶν παθῶν καὶ κακιῶν στῖφος δυσωποῦντες· ἐλέγχοντες μέντοι καὶ πᾶσαν αἴσθησιν, περὶ μὲν ὧν εἶδον ὀφθαλμούς, περὶ ὧν δὲ ἤκουσαν ἀκοάς, ὀσμάς τε περὶ ἀτμῶν, καὶ γεύσεις περὶ χυμῶν, ἔτι δὲ ἁφὰς περὶ τῶν κατὰ τὰς προσπιπτούσας τῶν ἐν τοῖς σώμασι δυνάμεων ἰδιότητας·

A nam eadē quæ in bello, etiā in pace patrantur facinora omnia, ſpoliāt, rapiunt, captiuāt, prædātur, vaſtant: vim, cruciatum, ſtuprū, probrum offerunt: aut dolo clam, aut vi palā, quantū poſſunt interficiunt. nam cum diuitias aut gloriā ſinguli finem propoſitū habeant, ad hunc tanquā tela vitæ actiones omnes dirigunt, æquationem iuris negligunt, inæqualitatē diligunt, ſocietatē auerſantur, vnuſquiſque cupit occupare aliena omnia, oſor hominū & exoſus inuicē, ſimu- B lator beneuolentiæ, adulationis fucatæ amicus, amicitiæ germanæ hoſtis, veritatis inimicus, propugnator mendacij, tardus ad iuuandū, celer ad nocendum, ad calumniā promptus, ad patrocinium cunctator, impoſtor, periurus, infidus, iræ mancipiū, voluptatis ſeruus, malorū colluuies, bonorū corruptor. hæc & huiuſmodi ſunt illius admirādæ pacis bona deſiderabilia, quorum ſimulacra in vniuſcuiuſque anima poſita coluntur & adorantur, id quod merito male habet C omnē ſapientem, vt exclamare cogatur ad matrē nutricēmque ſuam ſapientiā: O mater, qualem me peperiſti, non viribus ſtaturáque magnū, ſed improbis infeſtiſſimū, virum iniucūditatis ac pugnæ, natura pacis amantē, idéoque inſenſum pulchritudinem eius dehoneſtātibus. Nec ipſe profui, nec mihi profuerunt: nec illi bonis meis vnquam vſi ſunt, nec ego malis eorū: ſed vt eſt apud Moſem, rem concupitā accepi ab illo- D rum nemine: quippe qui omnia quę iſti concupiſcunt ac reponunt tanquam vtiliſſima, pro noxijs habeo. neque vires meæ defecerunt ob execrationes quibus me deuouent. Sed forti potētia diuinorum dogmatum protectus, non defecci præ laſſitudine, imò tanto vehemētius obiurgaui meos execratores. Poſuit enim nos Deus in contradictionē vicinis noſtris, ſicut & in ſacris hymnis alicubi dictum eſt de omnibus bonæ mentis cupidis. Annon à natura contradictores fuerūt omnes ſtudioſi virtutis E atque ſcientiæ, ſemper concertando cū vicinis animæ, redarguendóque voluptates finitimas, & vnā degentes concupiſcētias, ignauiæ quoque pauori cæterorúmque affectuum ac vitiorū cohorti reſiſtendo in faciē: adhęc ſenſus omnes redarguendo, de his quæ viderunt oculos, de his quæ audiuerunt aures, nares de exhalationibus, guſtū de ſaporibus, atque etiam tactum de accidentibus ei iuxta corporis potētias proprietatibus.

imò etiam sermonẽ mentis interpretẽ, de his quæ libenter proloquitur. Scrutandũ est enim non obiter, quid, quóve modo, & quã ob rem vel sensus sentiat, vel sermo interpretetur, vel affectus afficiat, & erratũ suũ cuiusque redarguendum. Qui autẽ nulli horum contradicit, sed omnibus deinceps annuit, ignorat quam seipsum decipiat, potẽtes vicinos sinens munitiones cõtra animã struere, quos debuerat subditos potius habere quàm Dominos. qui si imperent, multa magnáque damna dabũt, regnante apud ipsos amẽtia. cum verò sunt subditi, faciunt imperata, nec iugum excutiũt. atque ita dũ pars obedire discit, pars non scientiam tantum, sed & facultatẽ imperandi obtinet, totum animæ satellitium consentiet. accedentésque ad eum qui inter ipsos est senior, dicent: Pueri tui redegerunt in potestatem summarium virorũ bellatorum, qui nobiscum sunt, ne vnus quidem ex eis occisus est. sed quemadmodũ instrumenta musica adaptata egregie sonis omnibus, ita nos omnibus præceptis consoni, nec verbũ vllum inconcinnum & absonum diximus, nec factum fecimus, vt cum nobis collatus chorus ineruditorũ videri possit omnino mutus & exanimis, qualis ridendus ille corporis nutritor Madiã, & progenies huius, nomine coriaceã molẽ significãs, somnolentus Beelphegor. sumus enim genus electũ Israelis vidẽtis Deũ, inter quos ne vnus quidem discrepat, vt vniuersitatis instrumentũ totus mũdus harmonijs musicis consonet. quapropter etiã Moses bellicoso sermoni, qui vocatur Phinees, honorem pacis ait se tradere, quòd virtutis æmulus, & vitij hostis, totam eius generationẽ excidit in posterum, modo quis velit perspicere & scrutari diligenter, & oculis auribúsque suis testibus, credere, quod nihil sit certi in rebus mortalibus, sed omnia pendeãt ab opinionibus. Mirãda igitur consonantia de qua modo diximus, sed magis etiam mirifica & omnes harmonias superans, communis totius populi, qui introducitur vno ore dicere: Omnia quæcunque dixit Deus faciemus & audiemus. nam hi iam non rationis ductum sequuntur, sed ipsum Deum ducẽ omnium, ideóque ad facta magis quam ad verba properant. Cum enim alij audita faciant, isti quod mirandum est, præ diuino quodã impetu aiunt facturos se prius, deinde audituros: vt nõ propter doctrinam & admonitionem,

A καὶ μὴν διὰ τὸν προφορικὸν λόγον, περὶ ὧν διεξελθεῖν ἔδοξε. ἵνα γὰρ, ἢ πῶς, ἢ διὰ τί ἡ αἴσθησις ᾔσθετο, ἢ ὁ λόγος διηρμήνευσεν, ἢ τὸ πάθος διέθηκεν, ἄξιον ἐρευνᾶν μὴ παρέργως, καὶ τῶν σφαλμάτων διελέγχειν ἕκαστον· ὁ δὲ μηδενὶ τούτων ἀντιλέγων, ἅπασι δὲ ἑξῆς συνεπινεύων, ἑαυτὸν λέληθεν ἀπατῶν, καὶ ἐπιτειχίζων ψυχῇ βαρεῖς γείτονας, οἷς ἄμεινον ὑπηκόοις ἢ ἄρχουσι χρῆσθαι. ἡγεμονεύοντες γὰρ, πολλὰ πημαίνουσι καὶ μεγάλα, B βασιλευούσης παρ' αὐτοῖς ἀνοίας· ὑπακούοντες δὲ τὰ δίκαια ὑπηρετοῦσι πειθηνίως, καὶ οὐκέθ' ὁμοίως ἀπαυχενίζοντες· οὕτω μέντοι τῶν μὲν ὑπακούειν μαθόντων, τῶν δὲ οὐκ ἐπιστήμην μόνον, ἀλλὰ καὶ δυνάμει τὴν ἀρχὴν λαβόντων, πάντες οἱ δορυφόροι καὶ ὑπέρμαχοι ψυχῆς συμφρονήσουσι λογισμοί· καὶ τῷ πρεσβυτάτῳ τῶν ἐν αὐτοῖς προσελθόντες, ἐροῦσιν, Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν. τῶν μεθ' ἡμῶν, οὐ διαπεφώνηκεν αὐτῶν οὐδὲ εἷς. ἀλλ' ὥσπερ τὰ μουσι- C κῆς ὄργανα ἄκρως ἡρμοσμένα πᾶσι τοῖς φθόγγοις, οὕτως ἡμεῖς πάσαις ταῖς ὑφηγήσεσι συνηχήσαμεν, ἐκμελὲς ἢ ἀπῳδὸν οὐδὲ ῥῆμα εἰπόντες, οὐδὲ ἔργον διαπραξάμενοι, ὡς τὸν ἕτερον τῶν ἀμούσων χορὸν πάντη ἄφωνον καὶ νεκρὸν ἀποδεῖξαι γελασθέντα τὸν τῶν σωματικῶν τροφέα Μαδιὰμ, καὶ τὸν ἔγγονον αὐτῆς δερμάτινον ὄγκον Βεελφεγὼρ ὀνομασθέντα, ὑπνοῦντα. γένος γὰρ ἐσμὲν τὸ ἐπίλεκτον τοῦ τὸν θεὸν ὁρῶντος Ἰσραὴλ, ὧν διεφώνησεν οὐδὲ εἷς, ἵνα τὸ τοῦ παντὸς ὄργανον ὁ κόσμος πᾶς, ταῖς ἁρμονίαις μου- D σικῶς μελῳδῆται· διὰ τοῦτο καὶ Μωϋσῆς τῷ πολεμικωτάτῳ λόγῳ, ὃς καλεῖται Φινεὲς, γέρας εἰρήνης φησὶ δεδόσθαι, ὅτι ζῆλον τὸν ἀρετῆς λαβὼν, καὶ πόλεμον πρὸς κακίαν ἀράμενος, ὅλην διέτεμε γένεσιν ἑξῆς τοῖς βουλομένοις διακύψασι καὶ διερευνησαμένοις ἀκριβῶς, ὄψει πρὸ ἀκοῆς σαφεστέρῳ χρησαμένοις μάρτυρι, πιστεῦσαι ὅτι γέμει τὸ θνητὸν ἀπιστίας, ἐκ μόνου τοῦ δοκεῖν ἠρτημένον. θαυμάσιος μὲν οὖν ἡ λεχθεῖσα συμφωνία, θαυμασιω- E τάτη δὲ καὶ πάσας τὰς ἁρμονίας ὑπερβάλλουσα ἡ κοινὴ πάντων, καθ' ἣν ὁ λαὸς ἅπας ὁμοθυμαδὸν εἰσάγεται λέγων, Πάντα ὅσα εἶπεν ὁ θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα. οὗτοι γὰρ οὐκέτι ἐξάρχοντι πείθονται λόγῳ, ἀλλὰ τῷ τοῦ παντὸς ἡγεμόνι θεῷ, δι' ὧν πρὸς τὰ ἔργα φθάνουσι μᾶλλον ἢ τοὺς λόγους ἀπαντῶντες. τῶν γὰρ ἄλλων ἐπειδὰν ἀκούσωσι πραχθέντων, οὗτοι δὲ παραδοξότατον ὑπὸ κατακωχῆς ἐνθέου πράξειν φασὶ πρότερον, εἶτα ἀκούσεσθαι, ἵνα μὴ διδασκαλίᾳ καὶ ὑφηγήσει δοκῶσιν,

ἀλλ' ἐθελουργῷ καὶ αὐτοκελεύστῳ διανοίᾳ πρὸς τὸ καλὸν τῶν ἔργων ἰόντας. ἐργασάμενοι δὲ ἀκούσεσθαί φασιν ὅπως ἐπικρίνωσι τὰ πεπραγμένα, εἰ λογίοις καὶ ἱεραῖς προστάξεσι συνᾴδει. τοὺς δὲ συνομοσαμένους ἐπ' ἀδικήμασιν ἀπὸ ἀνατολῶν φησὶ κινήσαντας εὑρεῖν πεδίον ἐν τῇ γῇ Σενααρ, κἀκεῖ κατοικῆσαι φυσικώτατα. διττὸν γὰρ εἶδος τῆς κατὰ τὴν ψυχὴν ἀνατολῆς, τὸ μὲν ἄμεινον, τὸ δὲ χεῖρον· ἄμεινον μὲν, ὅταν ἡλιακῶν ἀκτίνων τρόπον ἀνάσχῃ τὸ ἀρετῶν φέγγος· χεῖρον δὲ, ὅταν αἱ μὲν ἐπισκιασθῶσι, κακίαι δὲ ἀνάσχωσι. παράδειγμα τοῦ μὲν προτέρου τόδε, Καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, οὐ χερσαίων φυτῶν, ἀλλ' οὐρανίων ἀρετῶν, ἃς ἐξ ἀσωμάτου τοῦ παρ' ἑαυτῷ φωτὸς, ἀσβέστους εἰσαεὶ γενησομένας ὁ φυτουργὸς ἀνέτειλεν. ἠκούσαμεν τε καὶ τῶν Μωϋσέως ἑταίρων τινὸς ἀποφθεγξαμένου τοιόνδε λόγον, Ἰδοὺ ἄνθρωπος ᾧ ὄνομα ἀνατολή. καινοτάτη γε πρόσρησις, ἐάν γε τὸν ἐκ σώματος καὶ ψυχῆς συνεστῶτα λέγεσθαι νομίσῃς· ἐὰν δὲ τὸν ἀσώματον ἐκεῖνον θείας ἀδιαφοροῦντα εἰκόνος, ὁμολογήσεις ὅτι εὐθυβολώτατον ὄνομα ἐπεφημίσθη τὸ ἀνατολῆς αὐτῷ. τοῦτον μὲν γὰρ πρεσβύτατον υἱὸν ὁ τῶν ὄντων ἀνέτειλε πατὴρ, ὃν ἑτέρωθι πρωτόγονον ὠνόμασε, καὶ ὁ γεννηθεὶς μέντοι μιμούμενος τὰς τοῦ πατρὸς ὁδοὺς, πρὸς παραδείγματα ἀρχέτυπα ἐκείνου βλέπων, ἐμόρφου εἴδη. τοῦ δὲ χείρονος ἀνατολῆς εἴδους ὑπόδειγμα τὸ λεχθὲν ὑπὸ τοῦ βουλομένου ἐπαινούμενον ὑπὸ τοῦ θεοῦ καταρᾶσθαι. πρὸς γὰρ ἀνατολαῖς εἰσάγεται κἀκεῖνος οἰκῶν· αἵτινες ὁμωνυμοῦσαι τῇ προτέρᾳ, ἐναντιότητα καὶ μάχην πρὸς αὐτὰς ἔχουσιν. Ἐκ Μεσοποταμίας γὰρ, φησὶ, μετεπέμψατό με Βαλὰκ, ἐξ ὀρέων ἀπὸ ἀνατολῶν, λέγων, δεῦρο ἄρασαί μοι ὃν μὴ ἀρᾶται ὁ θεός. ἑρμηνεύεται δὲ Βαλὰκ ὁ ἄνους, εὐθυβολώτατα. πῶς γὰρ οἷόν τε ἦν τὸ ὂν ἐλπίσαι ἀπατᾶσθαι, καὶ γνώμην αὐτοῦ τὴν βεβαιοτάτην ἀνθρώπων σοφίσμασι παρατρέπεσθαι. διὰ τοῦτο καὶ Μεσοποταμίαν οἰκεῖ, καταπεποντωμένος ὥσπερ ἐν μεσαιτάτῳ ποταμοῦ βυθῷ τῆς διανοίας αὐτοῦ, καὶ μὴ δυνάμενος ἀνανήξασθαι καὶ ἀνακύψαι. τοῦτο δὲ τὸ πάθος ἀνατολὴ μὲν ἀφροσύνης, κατάδυσις δὲ εὐλογιστίας ἐστίν. οἱ τὴν ἀσύμφωνον οὖν ἁρμοζόμενοι συμφωνίαν, ἀπὸ ἀνατολῶν κινῆσθαι λέγονται. πότερον ἄρα γε τῶν κατὰ κακίαν; ἀλλ' ἡ μὲν τῶν κατ' ἀρετὴν παντελὴς ἀπογράφεται διάζευξις, ἡ δὲ τῶν κατὰ κακίαν ἑνουμένη τις κίνησις, καθάπερ ἐπὶ χειρῶν ἔχει, οὐκ ἰδίᾳ κατ' ἀπάρτησιν,

A sed vltro & suapte sponte videantur ad bona opera occurrere. Post factum autem audituros se aiunt, vt quæ fecerunt dijudicent, an cum sacris præceptis consonent. Cæterum coniuratos illos ab oriente profectos ait inuenisse campum in terra Sennaar, & ibi sedes posuisse.] Id iuxta naturam dictum est. Sunt enim in anima duæ species orientis, altera melior, altera deterior. melior, quando solarium radiorum more splen- B dor virtutum exoritur. deterior, quando his obscuratis lucent alia. Prioris exemplum est hoc: Et plantauit Deus paradisum in Edem contra orientem, non stirpium terrestrium, sed cælestium virtutum, quas è suo incorporeo lumine nunquam extinguendas plantator ille accendit. Ex Mosis quoque socio quodam audiuimus dictum hoc, Ecce homo cui nomen Oriens. Noua appellatio si intelligatur de homine qui constat ex C anima & corpore. sin autem de illa incorporea Deum referente imagine, fateberis ei nomen hoc inditum aptissime. Hunc enim antiquissimum filium rerum pater exoriri voluit, quem alibi primogenitum nominat: qui genitus mox patrem imitatus est, & qualia vidit apud eum exemplaria, tales formauit species. Deterioris autem orientis exemplum extat de illo, qui volebat à Deo benedictum execrari. nam & ille ad orientem habi- D tare dicitur. sed hic oriens quamuis commune cum priore nomen habet, re tamen est diuersissimus. E Mesopotamia, inquit, acciuit me Balac, è montibus orientalibus, dicens: Veni, vt execreris quem Deus non execratur. Interpretatur autem Balac amens: nec immerito, qui sperabat se posse decipere illum Qui est, & certam eius sententiam humanis argutationibus irritam facere. Ideo Mesopotamiam habitat, mentem habens quasi submer- E sam in medijs fluminibus, nec enatare valentem, nec emergere. Talis autem affectus vt exortus insipientiæ, sic occasus bonæ mentis est. proinde isti quorum narratur dissona consonantia, profecti ab oriente dicuntur. Vtrum ab oriente vitiorum? Nam eos qui à virtutis oriente proficiscuntur, disiungi legimus, vitijs pariter obnoxiorum vnitus motus est: sicut cum manus non seorsum suis artubus,

sed qua cum toto corpore cohærent, vnà mouentur. Nam insipientia malis dux est ad opera non naturalia, quæ vitiorum est regio. Quicunque autem à virtute demigrantes sequuntur insipientiam, conuenientem sibi nacti locum inhabitant, qui Hebraica lingua Sennaar, Græca verò excussio vocatur. Conuellitur enim & concutitur quassatúrque tota malorum hominum vita, semper confusa turbatáque, ne vestigium quidem germani boni in se retinens. nam sicut ea quæ excutiuntur nihil nisi concretum retinent, sic & cuiusque cum iniquis confœderati anima mihi videtur excuti. omnes enim virtutis species abijcit, vt nec vmbra nec imago eius vlla fiat reliqua. certe gens Ægyptiorum amantissima corporis, non ab aqua, sed sub aquam fugere inducitur: quæ vbi semel subiecit se affectibus, quassatur ac miscetur, in locum bene constitutæ pacatæque virtutis tumultibus vitiorum succedétibus. Legimus enim excussos Ægyptios dum per medias marinas vndas fugiunt. Hi sunt qui ne Iosephum quidem norunt, fastum vitæ varium, sed propalam peccantes, ne vestigium quidem, aut vmbram, aut simulacrum vllum honestatis sibi reseruant. Exortus est, inquit, rex alius super Ægyptum, qui ne infimum quidem & nouissimum bonorum Iosephum nouerat: qui non modo perfectiones, sed & profectus ignorabat: & tantum à visione perfecta aberat, vt ne auditu quidem quicquam perceperit, dicens: Adesdum, execrare mihi posteritatem Iacob, & maledic nepotibus Israel. ac si diceret: Veni, extingue visum auditúmque animæ, nequid vere bonum honestúmque vel videat vel audiat. visum enim Israel, auditum Iacob significat. Talium mens omnem boni naturam abijcit, excussa quodammodo: sicut proborum è diuerso meras sincerásque ideas bonorum consectans, excutit reijcitque cætera tanquam folia. Contemplare illum meditatorem quid loquatur: Tollite Deos alienos quos habetis è medio vestrum, & purificamini mutatéque vestes, & facto agmine ascendamus in Bæthel: vt etiamsi Laban postulauerit potestatem inquirendi in totam familiam, non inueniat simulacra, essentias veras insculptas in mente sapientis, quæ ad Isaac familiam à

A ἀλλ' ἐν ἁρμονίᾳ τινὶ τῷ ὅλῳ σώματι συγκινουμένων. ἀρχὴ γὰρ ἡ ἀφροσύνη φαύλῳ πρὸς τὰς παρὰ φύσιν ἐνεργείας, τὸ κακίας χωρεῖον· ὅσοι δὲ μετανάσται μὲν ἀρετῆς ἐγένοντο, ταῖς δὲ ἀφροσύνης ἐχρήσαντο ἀφορμαῖς, οἰκειότατον εὑρόντες οἰκοῦσι τόπον, ὃς ἑβραίων μὲν γλώττῃ Σεναάρ, ἑλλήνων δὲ ἐκτιναγμὸς καλεῖται. συναράττεται γὰρ καὶ κλονεῖται καὶ ἐκτινάττεται πᾶς ὁ τῶν φαύλων βίος, κυκώμενος ἀεὶ καὶ ταραττόμενος, καὶ μηδὲν ἴχνος ἀγαθοῦ γνησίου θησαυριζόμενος ἐν ἑαυτῷ. καθάπερ γὰρ ἐκ
B τῶν ἀποτιναττομένων ὅσα μὴ ἡνωμένα διακρατεῖται, πάντα ἐκπίπτει, τὸν αὐτόν μοι δοκεῖ καὶ ἡ τοῦ συμπεπνευκότος ἐπὶ τῷ ἀδικεῖν ἐκτετινάχθαι τρόπον ψυχή. πᾶσαν γὰρ ἰδέαν ἀρετῆς ἀπορρίπτει, ὡς μήτε σκιὰν μήτε εἴδωλον αὐτῇ ἐμφαίνεσθαι τὸ παράπαν. τὸ γοῦν φιλοσώματον γένος τῶν αἰγυπτίων οὐκ ἀπὸ τοῦ ὕδατος, ἀλλ' ὑπὸ τὸ ὕδωρ φεύγειν, τουτέστιν ὑπὸ τὴν τῶν παθῶν φορὰν εἰσάγεται, καὶ ἐπειδὰν ὑποδράμῃ τὰ πάθη, ἐκτινάττεται καὶ κυ-
C κᾶται, τὸ μὲν εὐσταθὲς καὶ εἰρηναῖον ἀποβαλὸν ἀρετῆς, τὸ δὲ ταραχῶδες ἐπικαρπούμενοι κακίας. λέγεται γάρ, ὅτι ἐξετίναξε τοὺς αἰγυπτίους, κατὰ μέσον τῆς θαλάσσης φεύγοντας ὑπὸ τὸ ὕδωρ. οὗτοί εἰσιν οἱ μηδὲ τὸν Ἰωσὴφ εἰδότες τὸν ποικίλον τοῦ βίου τῦφον, ἀλλ' ἀποκεκαλυμμένοις χρώμενοι τοῖς ἁμαρτήμασιν, οὐδὲ ἴχνος ἢ σκιὰν καὶ εἴδωλον καλοκαγαθίας ταμιευσάμενοι. Ἀνέστη γάρ, φησί, βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον, ὃς οὐδὲ τὸν πανύστατον καὶ νεώτατον αἰσθητὸν ἀγαθὸν ᾔδει τὸν Ἰωσήφ, ὅστις
D οὐ μόνον τελειότητας, ἀλλὰ καὶ προκοπάς, οὐδὲ ἐνέργειαν τὴν οἶδεν διὰ ὁράσεως, ἀλλὰ καὶ διδασκαλίαν τὴν δι' ἀκοῆς ἐγινομένην ἀπηρνεῖτο λέγων· Δεῦρο ἄρασαί μοι τὸν Ἰακώβ, καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ, ἴσον τῷ ἧκε, ἀμφότερα κατάλυσον ὅρασίν τε καὶ ἀκοὴν ψυχῆς, ἵνα μηδὲν ἀληθὲς καὶ γνήσιον καλὸν μήτε ἴδῃ μήτε ἀκούσῃ. ὁράσεως μὲν γὰρ Ἰσραήλ, Ἰακὼβ δὲ ἀκοῆς σύμβολον. ὁ μὲν δὴ τῶν τοιούτων νοῦς ἀπορρίπτει πᾶσαν τὴν ἀγαθοῦ φύσιν,
E τρόπον τινὰ ἐκτιναττόμενος· ἔμπαλιν δὲ ὁ τῶν ἀστείων ἀμιγεῖς καὶ ἀκράτους μεταποιούμενος τῶν ἀγαθῶν ἰδέας ἀποτινάττει καὶ ἀποβάλλει τὰ φύλλα. θέασαι οὖν τὸν ἀσκητὴν οἷά φησιν, Ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ' ὑμῶν ἐκ μέσου ὑμῶν, καὶ καθαρίσασθε καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ, ἵνα κἂν Λάβαν ἐρευνᾶν αἰτῆται ἐν ὅλῳ τῷ οἴκῳ μὴ εὑρεθῆναι τὰ εἴδωλα, πράγματα ὑφεστηκότα καὶ ὄντως ὑπαρκτά, ἐστηλιτευμένα ἐν τῇ τοῦ σοφοῦ διανοίᾳ,

ὧν καὶ ὁ αὐτομαθὴς γένος Ἰσαὰκ κληρονομεῖ. τὰ γὰρ ὑπάρχοντα μόνος οὗτος παρὰ τοῦ πατρὸς λαμβάνει. παρατηρητέον δ᾽ ὅτι, οὔ φησιν ἐλθεῖν αὐτοὺς εἰς τὸ πεδίον ἐν ᾧ κατέμειναν, ἀλλὰ εὑρεῖν ἀναζητήσαντας πάντως καὶ σκεψαμένους τὸ ἐπιτηδειότατον ἀφροσύνης χωρίον. τῷ γὰρ ὄντι πᾶς ἄφρων, οὐ παρ᾽ ἑτέρου λαμβάνει ἑαυτῷ, τὰ δὲ κακὰ ζητῶν ἀνευρίσκει, μὴ μόνον ἀρκούμενος τούτοις ἐφ᾽ ἅπερ ἡ μοχθηρὰ φύσις δι᾽ ἑαυτῆς βαδίζει, ἀλλὰ καὶ προστιθεὶς τὰ ἐκ τῆς κακοτεχνίας τέλεια γυμνάσματα· καὶ εἴθε μέντοι πρὸς ὀλίγον ἐνδιατρίψας αὖθις, χρόνον μετῳκίσατο, νυνὶ δὲ καὶ καταμένειν ἀξιοῖ. λέγεται γὰρ ὅτι εὑρόντες τὸ πεδίον, κατῴκησαν ὡς ἐν πατρίδι, οὐχ ὡς ἐπὶ ξένης παρῴκησαν. ἧττον γὰρ ἦν δεινὸν συντυχόντας ἁμαρτήμασιν, ὀθνεῖα αὐτὰ καὶ ὡς ἂν ἀλλοδαπὰ νομίσαι, ἀλλὰ μὴ οἰκεῖα καὶ συγγενῆ ὑπολαβεῖν εἶναι. παρεπιδημήσαντες γὰρ κἂν ἀπέστησαν αὖθις, κατοικήσαντες δὲ βεβαίως καταμένειν εἰσάπαν ἔμελλον. διὰ τοῦτο οἱ κατὰ Μωϋσῆν σοφοὶ πάντες εἰσάγονται παροικοῦντες. αἱ γὰρ τούτων ψυχαὶ στέλλονται μὲν ἀποικίαν δή ποτε τὴν ἐξ οὐρανοῦ· εἰώθασι δὲ ἕνεκα τοῦ φιλοθεάμονος καὶ φιλομαθοῦς εἰς τὴν περίγειον φύσιν ἀποδημεῖν. ἐπειδὰν οὖν ἐνδιατρίψασαι σώματι τὰ αἰσθητὰ καὶ θνητὰ δι᾽ αὐτῶν πάντα κατίδωσιν, ἐπανέρχονται ἐκεῖσε πάλιν ὅθεν ὡρμήθησαν τὸ πρῶτον, πατρίδα μὲν τὸν οὐράνιον χῶρον ἐν ᾧ πολιτεύονται, ξένον δὲ τὸν περίγειον ἐν ᾧ παρῴκησαν νομίζουσαι. τοῖς μὲν γὰρ ἀποικίαν στειλαμένοις ἀντί τε μητροπόλεως ἡ ὑποδεξαμένη δή που πατρίς, ἡ δ᾽ ἐκπέμψασα μένει τοῖς ἀποδεδημηκόσιν, εἰς ἣν καὶ ποθοῦσιν ἐπανέρχεσθαι. τοιγαροῦν εἰκότως Ἀβραὰμ ἐρεῖ τοῖς νεκροφύλαξι καὶ ταμίαις τῶν θνητῶν, ἀναστὰς ἀπὸ τοῦ νεκροῦ βίου καὶ τάφου, Πάροικος καὶ παρεπίδημός εἰμι ἐγὼ μεθ᾽ ὑμῶν· αὐτόχθονες δὲ ὑμεῖς, κόνιν καὶ χοῦν ψυχῆς προτιμήσαντες, προεδρίας ἀξιώσαντες, ὄνομα Ἐφρών, ὃ ἑρμηνεύεται χοῦς. Εἰκότως δὲ καὶ ὁ ἀσκητὴς Ἰακὼβ τὴν ἐν σώματι παροικίαν ὀλοφύρεται λέγων, Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου ἃς παροικῶ, μικραὶ καὶ πονηραὶ γεγόνασιν· οὐκ ἐξίκοντο εἰς ἡμέρας τῶν πατέρων μου ἃς παρῴκησαν. τῷ δ᾽ αὐτοδιδάκτῳ καὶ λόγιον ἐχρήσθη τοιόνδε, Μὴ καταβῇς εἰς τὸ πάθος Αἴγυπτον, κατοίκησον δ᾽ ἐν τῇ γῇ ἣν ἄν σοι εἴπω, τῇ ἀδείκτῳ καὶ ἀσωμάτῳ χερσῷ, καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ τῇ δεικνυμένῃ καὶ αἰσθητῇ οὐσίᾳ· πρὸς τὸ δεῖξαι ὅτι παροικεῖ μὲν ὁ σοφὸς ὡς ἐν ξένῃ σώματι αἰσθητῷ, κα-

A seipsa doctam pertinent iure hæreditario. nam hic solus accipit paternam substantiam. Hic obserua quod non ait eos venisse in campum in quo manserunt, sed quæsitum inuenisse, vtique postquam dispexerunt vbinam esset locus ad insaniam commodissimus. Ita est profecto, insipiens non aliunde accipit, sed ipse sibi quærendo mala inuenit, non contentus his per quæ misera natura vltro incedit, sed cumulans ea malis artibus & exercitijs. atque
B vtinam paulum ibi commoratus migraret aliò: nunc habitare ibi postulat. dicit enim scriptura, quòd inuento campo habitarunt ibi tanquam in patria; non tanquam inquilini regionis exteræ. Leuius enim malum fuisset, si postquam in peccata inciderant, pro alienis ea peregrinisque habuissent, non pro cognatis ac domesticis. inquilini enim potuissent discedere, sedibus vero semel electis immanendum erat postea. quapropter apud Mosem sapientes om-
C nes inducuntur inquilini. nam horum animæ in coloniam è cælo missæ sunt. solent enim visendi ac discendi gratia peregrinationem in terrenam naturam suscipere. ibi hospitio corporis vsæ, & contemplatæ sensibilia mortaliáque omnia, retro vnde venerant redeunt, memores cælum sibi ciuitatem esse ac patriam, in his vero terræ finitimis vti se tantum hospitio. cæteris enim colonis nouæ sedes eximunt desiderium veteris patriæ: sed hæc reditum suorum
D expectat, & ipsi redire desiderant. Itaque merito Abraham qui mortuam vitam sepulchrúmque reliquit, mortuorum custodes & mortalium rerum dispensatores sic alloquitur: Aduena & inquilinus sum ego inter vos. vos autem indigenæ, qui cinerem & puluerem pluris facitis quàm animam, dùm vobis profecistis Ephron, quod nomen significat puluerem. Merito autem & meditator ille Iacob inquilinum se in corpore quæritur dicens: Dies annorum
E vitæ meæ quibus inquilinus sum, pauci malique fuerunt: non peruenerunt ad dies patrum meorum quibus inquilini fuerunt. At illi à seipso docto etiam oraculum redditum est hoc: Ne descendas in affectionem Ægyptum, sed habita in terra quam tibi indicabo, in mansione incorporea inuisibilique, interim inquilinum age in hac visibili & sensibili essentia. vt ostenderet, sapientem in sensibili corpore peregre agere,

cum patriam habeat verúmque domicilium in virtutibus intelligibilibus, quæ ex ore Dei procedunt nihil differentes ab eius sermonibus. Moses autem, Aduena, inquit, sum in externa regione. Egregie, ne hoc quidem honore corpus dignatus, vt inquilinum eius se profiteretur, sed alienum se ab hoc existimans. Cæterum malus vir ostendere volens, vnam linguam vnúmque labium non in vocabulis situm, sed in societate facinorum, rursum aggreditur negocium, & turrim tanquam arcem tyranno vitio struit, sodales omnes ad hoc opus conuocans, vt paratam materiem suggerant. Venite, inquit, faciamus lateres, & coquamus eos igni.] Ac si dicat: Nunc permiscuimus & confudimus omnes partes animæ, vt speciei nullius vlla forma iam appareat: consentaneum igitur his cœptis fuerit, vt quando essentiam specie qualitatéque carentem, affectum & vitium assumpsimus, diuidamus eam vsque in extremas qualitates & species, quo magis eas percipiamus, earúmque vsumfructum, qui cognitus maiorem voluptatem pariturus videtur. Adeste igitur cogitationes omnes & ratiocinationes, tanquam vocatæ in senatū animæ, quotquot iustitiæ virtutúmque omnium curatis perniciem, vt collatis consilijs dispiciamus, quomodo assequi possimus optatum exitum. assequemur certe si rem gerendam auspicabimur à fundamento hoc: vt informia formemus figuris additis, circumscribamúsque singula, ne vacillent & claudicent, sed fixa firmáque maneant, assumpta quadratæ formæ natura. hæc enim cum sit inconcussa indeflexáque laterculi more, etiam quæ superædificabuntur sustinebit firmiter. talis structuræ quælibet aduersa Deo mens, quem Ægypti, id est, corporis regem dicimus, inuenitur opifex. hunc enim Moses inducit delectari latericijs ædificijs. postquam enim aliquis aquam terrámque, illam humidam, hanc solidam essentiam, ne dilaberentur corrumperentúrque miscuit, & ex his duobus tertium quiddam vtrique cognatum effecit, quod lutum vocatur, in portiones hoc secare non desinit, suam cuique segmento formam affingens, vt firma fiant & ad structuram commoda. sic enim opus absoluitur non magno negocio. hoc imitati homines prauo ingenio, post-

A παροικεῖ δ' ὡς ἐν πατρίδι νοηταῖς ἀρεταῖς, ἃς λαλεῖ ὁ θεὸς διαφερούσας λόγων οὐδέν. Μωϋσῆς δὲ γειώρας, φησὶν, εἰμὶ ἐν τῇ ἀλλοτρίᾳ, διαφερόντως, οὐ μόνον ξένην τὴν ἐν σώματι μονὴν, ὡς οἱ μέτοικοι νομίζων, ἀλλὰ καὶ ἀλλοτριώσεως ἀξίαν, οὐκ ἔμπαλιν οἰκειώσεως ὑπολαμβάνων. τὸ δὲ ὁμόφωνον καὶ ὁμόγλωττον οὐκ ἐν τοῖς ὀνόμασι καὶ ῥήμασι μᾶλλον, ἢ ἐν τῇ τῶν ἀδίκων πράξεων κοινωνίᾳ βουλόμενος ὁ φαῦλος ἐπιδείξασθαι, πάλιν ἄρχεται, καὶ πύργον ὡς ἀκρόπολιν τυράννῳ κακίᾳ B κατασκευάζει, καὶ τοὺς θιασώτας πάντας παρακαλεῖ τοῦ ἔργου μεταλαχεῖν, τὴν ἁρμόττουσαν προσυπηρετησομένους ὕλην. Ἴτε γὰρ, φησὶ, πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί· ἴσον τῷ, νῦν ἐστὶν ἡμῖν συμπεφυρμένα καὶ συγκεχυμένα τὰ πάντα τῆς ψυχῆς, ὡς ἐναργῆ τύπον μηδένα μηδενὸς εἴδους προφαίνεσθαι, ἁρμόττει δὲ ὥσπερ ἀνείδεόν τινα καὶ ἄποιον οὐσίαν, τό, τε πάθος καὶ τὴν κακίαν παραλαβόντας, εἰς τὰς ἁρ- C μοττούσας ποιότητας καὶ τὰ προσεχέστατα μέχρι τῶν ἐσχάτων ἀεὶ τεμεῖν εἴδη, πρός τε ἐναργεστέραν κατάληψιν αὐτῶν, καὶ τὴν σὺν ἐμπειρίᾳ χρῆσίν τε καὶ ἀπόλαυσιν, ἣ πλείους ἡδονὰς καὶ τέρψεις ἔοικεν ἐντίκτειν. πάρεστε οὖν οἱ λογισμοὶ πάντες βουλευτῶν τρόπον εἰς τὸ ψυχῆς συνέδριον, ὅσοι τὸν δικαιοσύνης καὶ πάσης ἀρετῆς συγκατατέτλεσθε ὄλεθρον, καὶ πεφροντισμένως διασκεψώμεθα, ὡς ἐπιθέμενοι κατορθώσωμεν. τῆς μέντοι κατορθώσεως ἔσονται θεμέλιοι χρησιμώτατοι D οἵδε, ἄμορφα μορφῶσαι τύποις καὶ σχήμασι, καὶ περιγραφαῖς ἕκαστον ἰδίᾳ διακρῖναι, μὴ κραδαίνοντα, καὶ χωλαίνοντα, ἀλλὰ πεπηγότα βεβαίως τῇ τοῦ τετραγώνου σχήματος οἰκειούμενα φύσει. ἀκράδαντον γὰρ τοῦτό γε, ἵνα πλίνθου τρόπον ἀκλινῶς ἐρηρεισμένα, βεβαίως καὶ τὰ ἐποικοδομούμενα δέχηται. τούτων πᾶς ὁ ἄθεος νοῦς, ὃν φαμὲν Αἰγύπτου τοῦ σώματος εἶναι βασιλέα, δημιουργὸς ἀνευρίσκεται. καὶ γὰρ τοῦτον εἰσάγει Μωϋ- E σῆς τοῖς ἐκ πλίνθου κατεσκευασμένοις χαίροντα οἰκοδομήμασιν. ἐπειδὰν γάρ τις τὸ ὕδατος καὶ γῆς, τὴν μὲν ὑγρὰν, τὴν δὲ αὖ στερεὰν οὐσίαν, διαλυομένας καὶ φθειρομένας ἀνακερασάμενος, τρίτον μεθόριον ἀμφοῖν ἀπεργάσηται, ὃ καλεῖται πηλὸς, τέμνων κατὰ μοίρας τοῦτον οὐ παύεται, σχήματα περιθεὶς ἑκάστῳ τῶν τμημάτων τὰ οἰκεῖα, ὅπως εὐπαγέστατά τε καὶ εὐφορώτατα γένηται. ῥᾳδίως γὰρ οὕτως ἔμελλε τὰ κατασκευαζόμενα τελειοῦσθαι. τοῦτ' ἀπομιμούμενοι τὸ ἔργον οἱ μοχθηροὶ τὰς φύσεις,

A ὅταν τὰς ὀργὰς καὶ πλεοναζούσας τῶν παθῶν ὁρμὰς ταῖς ἀργαλεωτάταις κακίαις ἀνακεράσωνται, τέμνουσι δὲ κραθὲν εἰς εἴδη, καὶ διαπλάττουσι καὶ σχηματίζουσιν οἱ βαρυδαίμονες, δι' ὧν ὁ τῆς ψυχῆς ἐπιτειχισμὸς μετέωρος ἀρθήσεται, τὴν μὲν αἴσθησιν εἰς ὅρασιν καὶ ἀκοὴν, ἔτι δὲ γεῦσιν καὶ ὄσφρησίν τε καὶ ἁφήν. τὸ δὲ πάθος εἰς ἡδονὴν καὶ ἐπιθυμίαν, φόβον τε καὶ λύπην· τὸ δὲ κακίας γένος, εἰς ἀφροσύνην, ἀκολασίαν, δειλίαν, ἀδικίαν, καὶ ὅσα ἄλλα ἀδελφὰ καὶ συγγενῆ τούτοις. ἤδη δὲ καὶ προσυπερβάλλοντές τινες, οὐ μόνον τὰς αὐτῶν ψυχὰς
B ἐπὶ ταῦτα ἤλασαν, ἀλλὰ καὶ ἀμείνους καὶ γένος ὄντας ὁρατικοῦ βιαζόμενοι, κατηνάγκαζον πλινθουργεῖν, καὶ πόλεις οἰκοδομεῖν ὀχυρὰς τῷ βασιλεῖ δοκοῦντι νῷ, βουλόμενοι τοῦτο ἐνδείξασθαι, ὅτι δοῦλον μὲν τὸ ἀγαθὸν κακοῦ, πάθος τ' εὐπαθείας δυνατώτερον, φρόνησις δὲ καὶ πᾶσα ἀρετὴ ἀφροσύνης καὶ κακίας ἁπάσης ὑπήκοον, ὡς ὑπηρετεῖν ἐξ ἀνάγκης ἅττ' ἂν προστάττῃ τὸ δεσπόζον. ἰδοὺ γὰρ, φησί, καὶ ὁ ψυχῆς ὀφθαλμὸς ὁ δια-
C υγέστατος καὶ καθαρώτατος καὶ πάντων ὀξυωπέστατος, ᾧ μόνῳ τὸν θεὸν ἔξεστι καθορᾶν, ὄνομα Ἰσραὴλ, ἐνδεθείς ποτε τοῖς σωματικοῖς Αἰγύπτου δικτύοις ἐπιταγμάτων βαρυτάτων ἀνέχεται, ὡς πλίνθον καὶ πᾶν τὸ γεῶδες ἐργάζεσθαι μετ' ἀργαλεωτάτων καὶ ἀτερπεστάτων πόνων, ἐφ' οἷς εἰκότως ὀδυνᾶται καὶ στένει, τοῦτο μόνον ὡς ἐν κακοῖς τεθησαυρισμένος κειμήλιον ἐνδακρύσαι τὰ παρόντα. λέγεται γὰρ ὑγιῶς, ὅτι κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔρ-
D γων. τίς δ' οὐκ ἂν τῶν εὖ φρονούντων τὰ τῶν πολλῶν ἀνθρώπων ἰδὼν ἔργα καὶ τὰς ὑπερβαλλούσας σπουδὰς, ἃς ἢ πρὸς ἀργυρισμὸν, ἢ δόξαν, ἢ τὴν ἐν ἡδοναῖς ἀπόλαυσιν εἰώθασι χρῆσθαι, μὴ σφόδρα κατηφήσῃ, καὶ πρὸς τὸν μόνον σωτῆρα θεὸν ἐκβοήσῃ, ἵνα τὰ μὲν ἐπικουφίσῃ, λύτρα δὲ καὶ σῶστρα καταθεὶς τῆς ψυχῆς, εἰς ἐλευθερίαν αὐτὴν ἐξέληται. τίς οὖν ἐλευθερία βεβαιοτάτη ἢ τοῦ μόνου θεραπεία σοφοῦ, καθάπερ μαρτυροῦσιν οἱ χρησμοὶ, ἐν οἷς εἴρηται, Ἐξαπόστειλον τὸν λαὸν, ἵνα με
E θεραπεύῃ. ἴδιον δὲ τῷ τὸ ὂν θεραπευόντων οἰνοχόων μὲν ἢ σιτοποιῶν, ἢ μαγείρων ἔργα, ἢ ὅσα ἄλλα γεώδη, μήτε διαπλάττειν, μήτε σωματοῦσθαι σώματα πλίνθου τρόπον. ἀναβαίνειν δὲ τοῖς λογισμοῖς πρὸς αἰθέριον ὕψος, Μωυσῆν τὸ θεοφιλὲς γένος προστησαμένους ἡγεμόνα τῆς ὁδοῦ. τότε γὰρ τὸν μὲν τόπον ὃς δῆλός ἐστι, θεάσονται, ᾧ ὁ ἀκλινὴς καὶ ἄτρεπτος θεὸς ἐφέστηκε· τὰ δ' ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ ἔργον λίθου σαπφείρου, καὶ ὡς ἂν

A quam brutos & nimios affectionum impetus miscuerunt cum grauissimis vitijs, secant eam temperaturam in species, quas fingunt formántque miseri, ex quibus contra animam arx celsa erigitur: dum sensus diuiduntur in visum, auditum, gustum, odoratum, tactum: affectus in gaudium, concupiscentiam, timorem atque dolorem: vitiorum genus in imprudentiam, luxuriam, timiditatem, iniustitiam, & his cognata cætera.
B Nec desunt his etiam nequiores, qui non contenti hunc conatum suscepisse, etiam alios ipsis meliores, ad contemplatiuum genus pertinentes, cogunt lateres facere, & ciuitates munitas ædificare, suo regi, vt videri vult, intellectui: & hoc agunt, vt declarent bonum seruire malo, affectus plus posse quàm tranquillitatem animi, prudentiam cum virtutibus subditam esse imprudentiæ cæterisque vitijs, vt necesse habeant domi-
C norum imperata facere. Ecce, aiunt, etiam animæ oculus lucidissimus, purissimus, omnia cernens acutissime, cui soli Deum videre licet, nomine Israel, implicitus aliquando corporeis Ægypti cassibus perfert iussa grauissima, vt lateres faciat & alia terrena opera cum ingenti labore ac vexatione: quapropter merito dolet ac gemit, quippe cui hoc vnum suppetit, vberes in tantis malis lacrymæ.
D Nam recte dicitur, quod ingemuerunt filij Israel præ grauitate operum. Et quis sanæ mentis videns vulgi opera, nimiáque studia, pecuniæ, gloriæ, voluptatum, non vehementer doleat, & ad solum seruatorem Deum exclamet, vt ille mala subleuet, persolutóque pro anima precio, in libertatem eam vindicet? Sed quæ tandem est hæc libertas? Illi soli sapienti seruire, sicut testantur oracula in quibus dictum est:
E Emitte populum, vt mihi seruiat. Est autem proprium seruientium ei Qui est, vt nec pincernarum, nec pistorum, nec coquorum opera, nec alia terrena vlla fingant componántque corpora in modum laterum: sed ascendant cogitationibus ad æthercam celsitudinem, præeunte Mose amico Dei carissimo. tunc enim manifeste contemplabuntur locum in quo Deus insistit rectus & immutabilis: & scabellum pedum eius lapidi sapphiro simile

& firmamento cæli, videlicet mundum hunc sensibilem, qui per hæc significatur. decet enim vt fœderati scientiæ talium spectaculorum sint cupidi: & si non amplius, saltem illam imaginem videant, verbum sacratissimum, deinde hunc mundum etiam inter opera sensibilia perfectissimum. nam philosophari nihil est aliud, quàm his perspiciendis diligenter studere. sensibilis autem mundus scabellum Dei dicitur has ob causas. Primùm vt liqueat, quod creaturis non insit causa efficiens. deinde vt discamus, quod totus mundus non suo libero motu mouetur, sed gubernatur à Deo rerum dispensatore, qui salutariter clauum moderatur vniuersitatis, idque sine manibus ac pedibus aliisque creatis partibus iuxta doctrinam verissimam. non est enim Deus similis homini, quamuis nonnunquam docendi causa dicantur de eo talia, dum non possumus vltra nosipsos sapere, sed ex nostris accidentibus de Ingenito illo coniecturas quasdam facimus. Illud quoque perpulchre se habet, quod mundus assimilatur figuræ laterculi. videtur enim & ipse stare hærereque quantum visu percipitur, quamuis vtatur motu ocyssimo, nullam non præuolante creaturam. nam interdiu solem, noctu lunam, stare imaginantur oculi corporis: cum tamen nemo nesciat, horum siderum cursum esse concitatissimum, quæ totum cælum intra vnam diem obeunt. sic & vniuersum cælum quod stare videtur in orbem circumuoluitur, qui motus inuisibili diuinóque mentis oculo comprehenditur. Inducuntur autem hos lateres igni coquere: quod significat, affectus ac vitia calido motiuóque sermone confirmari, ne à sapientiæ satellitibus deleri possint, qui semper moliuntur eis perniciem. quapropter additum est, Fuerunt eis lateres pro saxis.] Quod enim rarum ac fluidum est in bruto impetu, in naturam solidam resistentémque constipatum & densatum, mutatum est rationibus validis & demonstrationibus certissimis, postquam contemplationes perceptæ virilem quandam maturitatem assumpserunt, quæ in tenera ætate diffluunt propter humiditatem animæ, nondum valentis impressas formas durare conseruaréque. Et bitumen fuit eis pro luto.] non contrà lutum pro bitumine.

A εἶδος στερεώματος τοῦ οὐρανοῦ, τὸν αἰσθητὸν κόσμον, ὃν αἰνίττεται διὰ τούτων. ἐμπρεπὲς γὰρ τοῖς ἑταιρείαν πρὸς ἐπιστήμην τεθειμένοις, ἐφίεσθαι μὲν τοῦ τὸ ὂν ἰδεῖν· εἰ δὲ μὴ δύναιντο, τὴν γοῦν εἰκόνα αὐτοῦ, τὸν ἱερώτατον λόγον, μεθ' ὃν καὶ τὸ ἐν αἰσθητοῖς τελειότατον ἔργον τόνδε τὸν κόσμον. τὸ γὰρ φιλοσοφεῖν οὐδὲν ἦν ἄλλο, ἢ ταῦτα σπουδάζειν ἀκριβῶς ἰδεῖν. τὸν δὲ αἰσθητὸν κόσμον ὡς ἂν ὑποπόδιον θεοῦ φησιν εἶναι διὰ τάδε· πρῶτον μὲν, ἵν' ἐπιδείξῃ, ὅτι οὐκ ἐν τῷ γεγονότι τὸ ποιητικὸν αἴτιον· ἔπειτα δὲ, ὑπὲρ
B τοῦ παραστῆσαι, ὅτι οὐδὲ ὁ κόσμος ἅπας ἀφέτῳ καὶ ἀπελευθεριαζούσῃ κινήσει κέχρηται, ἀλλ' ἐπιβέβηκεν ὁ κυβερνήτης θεὸς τῶν ὅλων οἰκονομικῶς, καὶ πηδαλιουχῶν σωτηρίως τὰ σύμπαντα, οὔτε ποσὶν, οὔτε χερσὶν, οὔτε ἄλλῳ τῶν ἐν γενέσει κεχρημένος μέρει τὸ παράπαν οὐδενὶ κατὰ τὸν ἀληθῆ λόγον. οὐ γὰρ ὡς ἄνθρωπος ὁ θεὸς, ἀλλὰ τοῦ ἕνεκα αὐτὸ μόνον διδασκαλίας εἰσαγομένων ἡμῶν, τὸ ἑαυτοὺς ἐκβιῶσαι μὴ δυναμένων, ἀλλ' ἀπὸ τῶν ἡμῖν αὐτοῖς συμβεβη-
C κότων τὰς περὶ τοῦ ἀγενήτου καταλήψεις λαμβανόντων. παγκάλως δ' ἔχει τὸ ἐν παραβολῆς εἴδει φάναι τὸν κόσμον ὡς εἶδος πλίνθου. δοκεῖ μὲν γὰρ ἑστάναι καὶ βεβηκέναι ὡς ἐκείνη, κατὰ τὰς αἰσθητὰς ὄψεως προσβολὰς, κέχρηται δὲ ὠκυτάτῃ κινήσει, καὶ τὰς ἐν μέρει πάσας παραθεούσῃ. καὶ γὰρ μεθ' ἡμέραν ἡλίου καὶ νύκτωρ σελήνης φαντασίαν ὡς ἑστώτων οἱ σώματος ὀφθαλμοὶ λαμβάνουσι· καίτοι τίς οὐκ οἶδεν, ὅτι τὸ περὶ αὐτοὺς φορᾶς τάχος ἀνανταγώνιστόν ἐστιν, εἴγε τὸν σύμπαντα οὐρανὸν μιᾷ
D περιπολεύουσιν ἡμέρᾳ, οὕτω μέντοι καὶ αὐτὸς ὁ σύμπας οὐρανὸς ἑστάναι δοκῶν περιδινεῖται κύκλῳ, τῆς κινήσεως τῷ ἀειδεῖ καὶ θειοτέρῳ καταλαμβανομένης τῷ κατὰ διάνοιαν ὀφθαλμῷ. πυρῶντες δὲ τὰς πλίνθους εἰσάγονται, συμβολικῶς τὰ πάθη καὶ τὰς κακίας θερμῷ καὶ κινητικωτάτῳ λόγῳ κραταιούμενοι, ὡς μὴ πρὸς τῶν σοφίας δορυφόρων ποτὲ καθαιρεθεῖεν, οἷς τὰ πρὸς ἀναστροφὴν αὐτῶν ἀεὶ μηχανήματα συγκροτεῖται· διὸ
E καὶ ἐπιλέγεται, Ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον. τὸ γὰρ μανὸν καὶ κεχυμένον τῆς μὴ σὺν λόγῳ φορᾶς, εἰς ἀντιτύπου καὶ στερεᾶς φύσιν πιληθὲν καὶ πυκνωθὲν, λόγοις δυνατοῖς καὶ ἀποδείξεσιν ἐχυρωτάταις μετέβαλεν, ἀνδρωθείσης τρόπον τινὰ τῆς τῶν θεωρημάτων καταλήψεως, ἥτις ἐν ἡλικίᾳ διερρεῖ παιδικῇ, διὰ τὴν τῆς ψυχῆς ὑγρότητα, μήπω δυναμένης τοὺς ἐνσφραγιζομένους τύπους καὶ διαφυλάττειν χαρακτῆρας. Καὶ ἡ ἄσφαλτος ἦν αὐτοῖς πηλὸς, οὐκ ἔμπαλιν, ὁ πηλὸς ἄσφαλτος.

δοκοῦσι μὲν γὰρ οἱ φαῦλοι τὰ ἀσθενῆ κρατύνειν κατὰ τῶν ἀμεινόνων, καὶ τὰ διαλυόμενα καὶ ῥέοντα ἐξ αὐτῶν πηγνύειν, ἵν' ἐπ' ἐχυροῦ βάλωσι καὶ τοξεύσωσιν ἀρετήν. ὁ δὲ ἵλεως καὶ πατὴρ τῶν καλῶν οὐκ ἐφήσει τὸ δεδημιουργημένον ἐκείνων εἰς ἀδιάλυτον ἀσφάλειαν, ῥεούσης σπουδῆς μὴ ὑφεστὼς ἔργον, ὡς πλαδῶντα πηλὸν, ἀναδεῖξαι. εἰ μὲν γὰρ ὁ πηλὸς ἐγίνετο ἄσφαλτος, μέχρι παντὸς ἂν ἴσως τὸ ἐν συνεχεῖ ῥύσει γεῶδες αἰσθητὸν ἀσφαλῆ καὶ ἀμετάβλητον δύναμιν ἐξενίκησεν· ἐπεὶ δὲ τοὐναντίον ἡ ἄσφαλτος εἰς πηλὸν μετέβαλεν, οὐκ ἀθυμητέον· ἐλπὶς γὰρ ἐλπὶς τὰ βέβαια τῆς κακίας ἐρείσματα κράτει θεοῦ διακοπῆναι. τοιγαροῦν ὁ δίκαιος καὶ ἐν τῷ μεγάλῳ καὶ ἐπαλλήλῳ τοῦ βίου κατακλυσμῷ, μήπω δυνάμενος δίχα αἰσθήσεως ψυχῇ μόνῃ τὰ ὄντα ὄντως ὁρᾶν, τὴν κιβωτὸν λέγω δὲ τὸ σῶμα ἔνδοθέν τε καὶ ἔξωθεν ἀσφάλτῳ καταχρίει βεβαιούμενος· τὰς δὲ αὐτοῦ φαντασίας καὶ ἐνεργείας λωφήσαντος τοῦ κακοῦ, καὶ τῆς φορᾶς ἐπισχούσης, ἐξελεύσεται χρησάμενος ἀσωμάτῳ διακονίᾳ πρὸς τὴν ἀληθείας ἀντίληψιν. ὁ μὲν γὰρ ἀστεῖος ἀπὸ γενέσεως ἀρχῆς φυτευθεὶς καὶ προσαγορευθεὶς τρόπος, ὄνομα Μωϋσῆς, ὁ τὸν κόσμον ὡς ἄστυ καὶ πατρίδα οἰκήσας, ἅτε κοσμοπολίτης γενόμενος, ἐνδεθείς τε τόπῳ τῷ ἐπαληλιμμένῳ ὡς ἐν ἀσφάλτῳ πίσσῃ σώματι, καὶ δοκῶν τὰς πάντων ὑποκειμένων ἐν αἰσθήσει φαντασίας ἀσφαλῶς ἐνδέχεσθαί τε καὶ κεχωρηκέναι, κατακλαίει μὲν τὴν ἔνδεσιν ἀσωμάτου φύσεως ποθήσεις ἔρωτι· κατακλαίει δὲ καὶ τὸν πλάνητα καὶ τετυφωμένον τὸν πολλῶν ἄθλιον νοῦν, ὃς ψευδέσι δόξης ἐκκρεμασθεὶς, ᾠήθη τι παρ' ἑαυτῷ βέβαιον καὶ ἀσφαλὲς, ἢ συνόλως παρὰ πᾶσι τῶν γινομένων ἀπερίτρεπτον ἱδρῦσθαι, τοῦ παγίως καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος ἐστηλιτευμένου παρὰ μόνῳ τῷ θεῷ. τὸ δὲ, Δεῦτε καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ, τοιοῦτον ὑποβάλλει νοῦν· πόλεις ὁ νομοθέτης οὐχὶ ταύτας μόνον, ἀλλὰ καὶ ἃς αὐτοὶ περιφέρουσι ταῖς ψυχαῖς ἑαυτῶν ἐνιδρυμένας. εἰσὶ δὲ αὗται μὲν ὡς εἰκὸς ἀρχέτυποι, ἅτε θειοτέρας κατασκευῆς λαχοῦσαι· ἐκεῖναι δὲ μιμήματα, ὡς ἐκ φθαρτῆς οὐσίας συνεστῶσαι. διττὸν δὲ πόλεως εἶδος, τὸ μὲν ἄμεινον, τὸ δὲ χεῖρον· ἄμεινον μὲν τὸ δημοκρατίᾳ χρώμενον, ἰσότητα τιμώσῃ πολιτείᾳ, ἧς ἄρχοντές εἰσι νόμος καὶ δίκη· θεοῦ δὲ ὕμνος ἡ τοιάδε. χεῖρον δὲ τὸ κιβδηλεῦον αὐτὴν, ὡς τὸ παράσημον καὶ παρακεκομμένον ἐν νομίσμασιν, ὀχλοκρατία, ᾗ τὸ θαυμάζει τὸ ἄνισον, ἐν ᾗ ἀδικία καὶ ἀνομία καταδυναστεύουσιν. ἐγγε-

A videntur enim mali quæ infirma sunt communire contra meliores, & fluxa dissolutáque compingere, vt ex tuto in virtutem iaculentur. Sed propicius pater bonorum non sinet illorum substructiones constabiliri, & non subsistente vano studio reddet eas labiles, tanquam molle lutum & fluidum. quod si lutum factum esset in bitumen, fortasse terrenum istud sensibile quod est in fluxu continuo, sodalitatem accepisset perpetuam & durabilem. Sed
B quoniam versa vice bitumen in lutum mutatum est, bono simus animo. est enim certa spes fore, vt firmæ vitiorum munitiones excidantur per Dei potentiam. Itaque iustus ille in magno continuóque vitæ diluuio, nondum valens absque sensibus animo solo res vere cernere, arcam, corpus inquam, intus & extra bitumine perungit firmitatis gratia. cessante vero & terrore & periculo tempestatis illius iam se remittentis, exibit adiutus intellectu in-
C corporeo ad percipiendam veritatem. nam illud elegans ab ipsa natiuitate ingenium quod appellatur Moses, pro patria mundum habens in cuius ciuitatem ascriptum est, astrictum vni loco bitumine piceque oblito corpori, putanti se omnes rerum sensibus subiectarum imaginationes capere seruaréque, deplorat se vinctum, incorpoream naturã desiderans: deplorat etiam inflatam & erranté mentem vulgi miseri, quæ pendens à falsa opinione, putat inesse sibi
D aliquid certum firmúmque, aut in vniuersum creaturam vllam esse immutabilem, cum perpetuæ stabilitatis exemplum in vno Deo sit propositum. Cæterum illa verba, Venite ædificemus nobis ipsis ciuitatem & turrim, cuius fastigiũ vsque ad cælũ pertingat, tale quiddam subindicát. Ciuitates apud legislatorem non tantum vulgares istæ intelliguntur, verum etiam quas homines in animabus suis circumferunt. hæ videntur exemplares, vt diuiniorem paraturã
E sortitæ. illæ vero harum imagines, cùm constent ex essentia corruptibili. sunt autem duæ ciuitatis species, altera melior, altera deterior. melior, in qua sub populari administratione reipublicę ciues æquo iure viuunt, legibus principatum obtinentibus. hæc ad laudem Dei pertinet. deterior autem, adulterina, falsæque monetæ, in qua penes vulgum est regimen, & inæqualitas est in precio, præsidente iniquitate atque iniustitia.

in prioris ius probi aſcribuntur, in poſterioris ignauorum multitudo, perturbationem magis quam ordinem, & confuſionem magis quam bonam conſtitutionem diligens. Inſipiens autem ſocios poſtulat, non contentus peccatis proprijs: hortatúrque ad nauandam ſibi operã nunc viſum, nunc auditum, nunc ſenſus cæteros vt incunctanter præſto ſint, & pro viribus ſuum quiſque miniſterium accommodet. accerſit etiam & cõcitat cæteras cateruas affectuũ ſuapte natura indomitorum, vt prælia meditando inuictus euadat. Hos igitur ſocios mens his verbis concitat: Ædificemus nobis ciuitatem, ac ſi dicat, partes noſtras communiamus, circumdemus nobis firma mœnia, ne ſimus expoſiti hoſtilibus incurſationibus, diſtribuamur in tribus & curias, in quas adſcribantur inſitæ in anima potentiæ, & pars brutis contribuatur, pars rationalibus. magiſtratus autẽ eligamus nobis commodos, opulentiam, gloriam, honores, voluptates, per quos adipiſcamur potentiam, excluſa iuſtitia paupertatem obſcuritatémque afferre ſecum ſolita. Scribamus leges quæ faueant potentioribus, quorum vt reipublicæ vtiliorum, præcipua habenda eſt ratio. in primis turris extruatur, quæ vitio tyranno ſit pro arce regiáque munitiſſima. cuius pedes in terra nitantur, caput ad cælum pertingat, magnanimitate ad tantam celſitudinem penetrans. nam certum eſt eam non in ſolis humanis iniquitatibus conſiſtere, ſed properare ad cæleſtia per impios & Deo infeſtos ſermones, dum aut cæli numen negat, aut prouidentiã eius, aut mundi conditi principium: vel ſi hunc creatum concedit, tamen & cauſas eius incertas putat, & motum ei moderatum adimit, affirmans eum nunc perperam, nunc contumaciter agitari, ſicut naues aut quadrigas circenſium: quæ nunquam ſine gubernatore aurigáque feruntur curſu proſpero. at prouidentia non interdum, ſed humana ſæpe, diuina ſemper, bonum habet euentum. nam error confeſſione omnium abeſt à diuina potentia. Proinde hac figura ſignificatur, inſanos homines maliciæ rationem tanquam turrim ædificare, nihil aliud quærentes niſi vt nomen ſuum magnum magis quam bonũ tranſmittant ad poſteros. dicunt enim, Faciamus nobis nomen.] ô inſignem impudentiam. quid aitis? cum debeatis tenebris veſtras iniquitates abdere,

A φιν) δὴ οἱ μὲν ἀστεῖοι, τῷ τῆς προτέρας πολιτεύματι· τῷ δὲ φαύλων ἡ πληθύς, τῆς ἑτέρας καὶ χείρω διέζωσται, πρὸ εὐκοσμίας ἀκοσμίαν, καὶ σύγχυσιν πρὸ εὐσταθοῦς καταστάσεως ἀγαπῶσα. συνεργοὺς δὲ ὁ ἄφρων ἀξιοῖ, πρὸς τὸ ἁμαρτάνειν οὐκ ἀρκούμενος αὐτῷ μόνῳ, χρῆσθαι, καὶ προτρέπει μὲν ὅρασιν, προτρέπει δὲ ἀκοήν, παρακαλεῖ δὲ πᾶσαν αἴσθησιν ἀνυπερθέτως αὐτῷ συντετάχθαι, φερούσης ἑκάστης τὰ πρὸς ὑπηρεσίαν ἐπιτήδεια πάντα· ἐπαίρει
B μέντοι καὶ παραθήγει καὶ τὸ ἄλλο ἀτίθασον ἐκ φύσεως τῶν παθῶν στῖφος, ἵνα ἄσκησιν καὶ μελέτην προσλαβὸν, ἀνυπόστατον γένηται. τούτους οὖν καλέσας τοὺς συμμάχους ὁ νοῦς, φησίν, Οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν, ἴσον τῷ, ὀχυρωσώμεθα τὰ οἰκεῖα· καταφραξώμεθα δυνατῶς ὡς μὴ πρὸς τῶν κατατρεχόντων εὐμαρῶς ἁλισκοίμεθα· διέλωμεν καὶ διανείμωμεν ὥσπερ κατὰ φυλὰς καὶ δήμους, ἑκάστας τῶν ἐν ψυχῇ δυνάμεων προσκληρώσαντες τὰς μὲν λογικῇ, τὰς δὲ ἀλόγῳ μερίδι· ἄρχοντας ἑλώμεθα
C τοὺς ἱκανούς, πλοῦτον, δόξαν, τιμάς, ἡδονάς, ἀφ' ὧν ἂν δύνωνται περιποιεῖν ἀπολύτων, μὴ τὴν πενίαν καὶ ἀδοξίας αἰτίαν δικαιοσύνην ἐθελούσης ἐμποδών· γραφώμεθα νόμους, οἳ δὲ τοῦ κρείττονος συμφέρον βεβαιώσουσι τοῖς πλέον ἑτέρων ἀεὶ φέρεσθαι δυναμένοις· πύργος δὴ ὡς ἂν ἀκρόπολις κατεσκευάσθω τῇ τυράννῳ κακίᾳ βασίλειον ὀχυρώτατον, ἧς οἱ μὲν πόδες ἐπὶ γῆς βαινέτωσαν, ἡ δὲ κεφαλὴ πρὸς οὐρανὸν φθανέτω, τοσοῦτον ὑπὸ μεγαλοψυχίας ὕψος ἐπιβᾶσα. τῷ γὰρ ὄντι οὐ μόνον ἐπὶ τῶν ἀνθρω-
D πίνων ἀδικημάτων ἵσταται, μεταπέτεται δὲ καὶ τὰ ὀλύμπια, τοὺς ἀσεβείας καὶ ἀθεότητος λόγους προτείνουσα, ἐπειδὰν ἢ ὡς οὐκ ἔστι τὸ θεῖον διεξίῃ, ἢ ὡς ὂν οὐ προνοεῖ, ἢ ὡς ὁ κόσμος οὔποτε γενέσεως ἔλαβεν ἀρχήν, ἢ ὡς γενόμενος ἀστάτοις αἰτίαις ὡς ἂν τύχῃ φέρηται, ποτὲ μὲν πλημμελῶς, ποτὲ δὲ οὐχ ὑπαιτίως, καθάπερ ἐπὶ πλοίων καὶ τεθρίππων εἴωθε γίνεσθαι. φιλεῖ γὰρ ἔστιν ὅτε χωρὶς ἡνιόχων τε καὶ κυβερνητῶν, ὅτε ὁ πλοῦς καὶ ὁ δρόμος
E εὐθύνεσθαι· προνοίας δὴ οὐ τὸ ὀλιγάκις, ἀλλὰ τῆς μὲν ἀνθρωπίνης πολλάκις, τῆς δὲ θείας ἀδιαστάτως ἀεὶ κατορθοῦν. ἐπεὶ τὸ διαμαρτάνειν ἀλλότριον ἀνωμολόγηται θείας δυνάμεως. κατασκευάζουσι μέντοι συμβολικῶς ὡσανεὶ πύργον τὸν κακίας λόγον οἱ φρενοβλαβεῖς, τῷ βουλόμενοι τὸ ὄνομα αὐτῶν ὑπολείπεσθαι τὸ δυσώνυμον. λέγουσι γάρ, Ποιήσωμεν ἑαυτῶν ὄνομα. ὢ περιττῆς καὶ κεχυμένης ἀναισχυντίας· τί φατε; νυκτὶ καὶ βαθεῖ σκότῳ τὰ ἑαυτῶν ἀδικήματα συγκρύπτειν ὀφείλοντες,

καὶ προκάλυμμα ἑαυτοῖς εἰ καὶ μὴ τὴν ἀλήθειαν, τὴν γοῦν προσποιητὸν αἰδῶ πεποιῆσθαι, ἢ χάριτος ἕνεκα τῆς πρὸς τοὺς ἐπιεικεστέρους, ἢ διαδύσεως τῆς ἐφ᾽ ὁμολογουμένοις ἁμαρτήμασι τιμωριῶν· τοσοῦτον τῆς τόλμης ἐπιβαίνετε, ὥστε μονονοὺ πρὸς φῶς καὶ λαμπρότατον ἥλιον ἐναγάζεσθε, μήτε τὰς ἀνθρώπων τῶν ἀμεινόνων ἀπειλάς, μήτε τὰς ἀπαραιτήτους ἐκ θεοῦ δίκας, τοῖς οὕτως δυσουργοῖς ἀπηωρημένας καταδείσαντες, ἀλλὰ καὶ πανταχόσε φήμας ἀγγέλους τῶν οἰκείων ἀδικημάτων περιπέμπειν ἀξιοῦτε, ὡς μηδεὶς ἀμύητος, μηδ᾽ ἀνήκοος γένοιτο τῶν ὑμετέρων, ὦ σχέτλιοι καὶ παμμίαροι, τολμημάτων; ὀνόματος οὖν ποίου γλίχεσθε· ἢ τοῦ τοῖς πεπραγμένοις οἰκειοτάτου; ἆρ᾽ οὖν ἓν ἐστὶ μόνον; γένει μὲν ἴσως ἕν, μυρία δὲ τοῖς εἴδεσιν, ἃ κἂν ἡσυχάζητε, ἑτέρων λεγόντων ἀκούσεσθε. προπέτεια τοίνυν ἐστὶ μετὰ ἀναισχυντίας, ὕβρεις μετὰ βίας, βία μετὰ ἀνδροφονίας, σὺν μοιχείαις φθοραί, σὺν ἀμέτροις ἡδοναῖς ἀόριστος ἐπιθυμία, μετὰ θράσους ἀπόνοια, μετὰ πανουργίας ἀδικία, κλοπαὶ μετὰ ἁρπαγῆς, σὺν ψευδολογίαις ψευδορκίαι, μετὰ παρανομιῶν ἀσέβειαι. ταῦτα καὶ τὰ παραπλήσια τῶν τοιούτων ἐστὶν ὀνόματα· καλὸν δὴ ἐναποχῆσαι κἀπισεμνύνεσθαι δόξαν θηρωμένους τὴν ἀπ᾽ αὐτῶν, ἐφ᾽ οἷς εἰκὸς ἦν ἐγκαλύπτεσθαι. καὶ μὴν ἔνιοι μέγα φρονοῦσιν ἐπὶ τούτοις, ὡς ἄμαχόν τινα ἰσχὺν ἐκ τοῦ τοιούτου νομισθῆναι παρὰ πᾶσι καρπωσάμενοι, οἷς τοῦ πολλοῦ θράσους ἡ ὀπαδὸς τοῦ θεοῦ δίκη ἵσταται· καίτοι τάχα τὸν οἰκεῖον οὐ μαντευόμενοι μόνον, ἀλλὰ καὶ προορώμενοι ὄλεθρον. φασὶ γὰρ πρὶν διασπαρῆναι φροντίσωμεν ὀνόματός τε καὶ δόξης. οὐκοῦν εἴποιμ᾽ ἂν αὐτοῖς, ὅτι σκεδασθήσεσθε γινώσκετε. τί οὖν ἁμαρτάνετε. ἀλλὰ μήποτε τὸν τρόπον τῶν ἀφρόνων διασυνίστησιν, οἳ καίτοι μεγίστων ἐπικρεμαμένων οὐκ ἀδήλως, ἀλλ᾽ ἐκ τοῦ φανεροῦ πολλάκις τιμωριῶν, ἀδικεῖν ὅμως οὐκ ὀκνοῦσι. γνωριμώταται δ᾽ εἰσὶν αἱ τέχναι ἀδικεῖσθαι νομισθεῖσαι, αἷς ἐκ θεοῦ κατασκήπτειν συμβέβηκε. πάντες γὰρ οἱ φαυλότατοι λαμβάνουσιν ἐννοίας περὶ τοῦ μὴ λήσειν τὸν θεὸν ἀδικοῦντες, μήτε τὸ δίκην ὑφέξειν εἰσάπαν ἰσχύσαι διακρούσασθαι· ἐπεὶ πόθεν ἴσασιν ὅτι σκεδασθήσονται)· καὶ μὴν λέγουσι, πρὶν ἡμᾶς διασπαρῆναι. ἀλλὰ τὸ συνειδὸς ἔνδοθεν ἐλέγχει, καὶ σφόδρα ἐπιτηδεύοντας ἀθεότητα κεντεῖ, ὡς ἄκοντας εἰς σύνεσιν ἐπισπᾶσθαι περὶ τοῦ τὰ κατὰ ἀνθρώπους πάντα πρὸς ἀμείνονος φύσεως ἐφορᾶσθαι, καὶ δίκην ἐφεστάναι τιμωρὸν ἀδέκαστον, ἀσεβῶν πράξεις ἐχθαίρουσαν ἀδίκους,

A & prætextum eis si non verum certe verisimilem quærere, vel ad ineundam apud honestiores gratiam, vel vt effugiatis pœnas confessorum criminum: audetis tantum non in clarissima luce vos ostentare, contemptis & minis hominum, & supplicijs diuinitus infligendis sine clementia? & insuper circumquaque rumores nunciósque iniquitatum vestrarum dimittendos censetis, vt nemo nesciat, nemo non audiat vestra ô miseri ac scelesti facinora? At
B quale tandem nomen cupitis? certe quale factis vestris conuenit. id vero estne vnum solum? genere fortassis vnum, sed in species distinctum innumeras, quas vel silentibus vobis opprobrabunt alij. inest enim vobis petulantia cum impudentia, contemptus cum violentia, vis cum cæde, stupra cum adulterijs, cum immoderatis voluptatibus immensa concupiscentia, cum temeritate insolen-
C tia, cum calliditate iniustitia, cum furacitate rapacitas, cum mendacijs periuria, cum iniquitatibus impietas. hæc sunt ista nomina, & his similia. bella verò gloriatio, captare celebritatem nominis ex his quæ cælari debuerant. Sunt tamen qui valde sibi rebus talibus placent, putantes inde se lucrifacere præclaram existimationem apud homines, qui vltrices tam immanis audaciæ diras non effugient, non solum præsagientes, sed & præuidentes suum in-
D teritum. quos libenter sic alloquerer: Scitis fore vt dissipemini. Cur igitur peccatis? Sed fortasse morem insipientium proponit, qui etiam maximis pœnis non obscure sed manifeste impendentibus, ab iniurijs non temperant. sunt autem notissimæ artes malæ, quas solet ferire diuina vltio. & pessimi quoque cogitant Deum non ignorare ipsorum maleficia, nec se posse illius animaduersionem depellere. alio-
E quin vnde sciunt se dissipandos? attamen dicunt. Priusquam dispergamur.] Profecto conscientia redarguit in pectore, & quanquam contemptores Dei stimulat, vt vel inuiti cogantur intelligere, humanas res administrari à natura præstantiore, & esse iustitiam quæ implacabiliter scelera vindicet, infensam iniustis impiorum facinoribus,

& eis etiam qui his patrocinantur. Verum isti omnes sunt semper morientis, & nunquam emortuæ miseriæ posteritas, illius quæ Cain nominatur. Annon & Cain post natum sibi filium, quem nomine idem quod ipsius significante appellarat Enoch, inducitur ciuitatem condere, & quodammodo creaturas mortales ædificare, ad subuersionem rerum diuiniorem apparatum sortitarum? Nam Enoch interpretatur gratia tua. At impius quisque opinatur quod cogitat & intelligit esse intellectus sui gratiam: quod videt, oculorum: quod audit, aurium: quod olfacit, narium: itidémque cætera officia fert accepta suis sensibus, sicut & sermonem vocis instrumentis. Deum autem causam esse negat, aut contendit non esse primariam. ideo primitias agriculturæ suæ sibi reponit, contentus obtulisse Deo de fructibus, quamuis exemplum salubre haberet in proximo. nam frater eius primogenita, non secundarios gregis partus sacrificat, confitens antiquissimas causas esse penes autorem antiquissimum. at impius opinionem tuetur cõtrariam: intellectum habere suæ voluntatis potestatem liberam, & sensum sentire quicquid vult. iudicare enim vere liberéque, hunc de corporibus, illum de omnibus. atqui adeo sunt reprehensibiles, & à veritate conuincibiles, vt nihil supra. nónne intellectus sæpe in rebus innumeris delirij coargutus est? nónne sensus omnes deprehensi in falso testimonio? non pro tribunali rationis, quæ & ipsa falli potest, sed ipsa natura iudice, cuius incorruptissimum est iudicium. proinde cum & intellectus noster & sensus sit in lubrico, necessario fatendum est Deum nobis impluere & cogitationem & vim percipiendi. & hanc gratiam nobis conferri non à nostris partibus, sed ab illo cui totum debemus quicquid sumus. At arrogantes filij hæreditatem à patre acceptam cupiunt ad cælum exstruere, donec iustitia virtutis amica, vitiorum hostis, aggressa ciuitates communitas contra miseram animam, & has demolitur & turrim, cuius nomen in Iudicum libro scriptum extat. id Hebraice dicitur Phanuel, interpretatur autem Auersio Dei. nam quæuis munitio quæ per ratiocinationes probabiles adstruitur, ad nihil aliud ædificatur, quam vt mentem diuertat & deflectat à cultu Dei, quo conatu quid esse possit iniquius?

A καὶ λόγοις τοὺς συνηγόρους αὐταῖς. ἀλλ' εἰσὶν ἀπόγονοι πάντες οὗτοι τῆς ἀεὶ μὲν ἀποθνησκούσης, μηδέποτε δὲ τεθνηκυίας μοχθηρίας, ἧς Κάϊν ἐστὶν ὄνομα. ἢ οὐχὶ καὶ ὁ Κάϊν υἱὸν γεννήσας ὃν Ἐνὼχ ἐκάλεσεν ὁμώνυμον αὐτοῦ, καὶ κτίζων εἰσάγεται πόλιν, καὶ τρόπον τινὰ τὰ γεννητὰ καὶ θνητὰ οἰκοδομῶν ἐπὶ τῇ τῶν θειοτέρας κατασκευῆς λαχόντων ἀνατροπῇ; ὁ γὰρ Ἐνὼχ ἑρμηνεύεται χάρις σοῦ. τῆς δ' ἀνοσίων ἕκαστος διανοίας μὲν ἡγεῖται χαρίζεσθαι ἑαυτῷ τάς τε καταλήψεις καὶ διανοήσεις· B ὀφθαλμοῖς δὲ τὸ βλέπειν, καὶ ἀκούειν ὦτα, καὶ μυκτῆρας ὀσφραίνεσθαι, καὶ τὰς ἄλλας αἰσθήσεις τὰ οἰκεῖα ἑαυταῖς· ἔτι μέντοι καὶ τὰ φωνῆς ὄργανα τὸ λέγειν· θεὸν δὲ ἢ μὴ συνόλως, ἢ μὴ ὡς πρῶτον αἴτιον ὄν· διὰ τοῦτο καὶ ὧν ἐγεωπόνησε τὰς ἀπαρχὰς ἑαυτῷ ταμιεύεται· καρποὺς δὲ αὐτὸ μόνον αὖθις προσενεγκεῖν θεῷ λέγεται, καίτοι παραδείγματος ὑγιοῦς ἐγγὺς ἑστῶτος. ὁ γὰρ ἀδελφὸς αὐτοῦ τὰ πρωτότοκα, οὐ τὰ δεύτερα τῆς ποίμνης ἔκγονα ἱερουργεῖ, C τὰς τῶν γινομένων πρεσβυτέρας αἰτίας κατὰ τὸ πρεσβύτατον τῶν αἰτίων ὁμολογῶν συνίστασθαι. τοῦ δ' ἀσεβοῦς τοὐναντίον δοκεῖ· αὐτοκράτορα μὲν εἶναι τὸν νοῦν ὧν βούλεται, αὐτοκράτορα δὲ καὶ τὴν αἴσθησιν ὧν αἰσθάνεται· δικάζειν γὰρ ἀνυπαιτίως καὶ ἀψευδῶς, τὴν μὲν τὰ σώματα, τὸν δὲ πάντα. τούτων δὲ τί ἂν γένοιτο ἐπιληπτότερον, ἢ μᾶλλον ὑπὸ τῆς ἀληθείας ἐλεγχόμενον. ἢ οὐχὶ καὶ ὁ νοῦς πολλάκις ἐπὶ μυρίων ὅσων ἠλέγχθη παρανοιῶν, καὶ αἱ αἰσθήσεις ἅπασαι ψευδομαρτυριῶν ἑάλωσαν; οὐ παρὰ λόγοις δικασταῖς, οὓς D εἰκὸς ἀπατᾶσθαι, ἀλλ' ἐν τῷ τῆς φύσεως αὐτῆς δικαστηρίῳ, ἣν οὐ θέμις δεκάζεσθαι. καὶ μὴν σφαλλομένων γε τῶν καθ' ἡμᾶς αὐτοὺς περί τε νοῦν καὶ αἴσθησιν κριτηρίων, ἀνάγκη τὸ ἀκόλουθον ὁμολογεῖν, ὅτι ὁ θεὸς τῷ μὲν τὰς ἐννοίας, τῇ δὲ τὰς ἀντιλήψεις ἐπομβρεῖ, καὶ ἔστιν οὐ τῶν καθ' ἡμᾶς μερῶν χάρις τὰ γινόμενα, ἀλλὰ τοῦ δι' ὃν καὶ ἡμεῖς γεγόναμεν, δωρεαὶ πᾶσαι. τὸν φιλαυτίας κλῆρον παραλαβόντες παῖδες παρὰ πατρὸς, συναυξῆσαι γλίχονται E μέχρις οὐρανοῦ, ἕως ἂν ἡ φιλάρετός τε καὶ μισοπόνηρος δίκη προελθοῦσα καθέλῃ τὰς πόλεις ἃς ἐπιτειχίζουσι ψυχῇ τῇ ταλαίνῃ, καὶ τὸν πύργον, οὗ τοὔνομα ἐν τῇ τῶν κριμάτων ἀναγραφομένῃ βίβλῳ δεδήλωται. ἔστι δὲ ὡς μὲν Ἑβραῖοι λέγουσι, Φανουήλ, ὡς δὲ ἡμεῖς, ἀποστροφὴ θεοῦ. τὸ γὰρ κατασκευασμένον ὀχύρωμα διὰ τῆς τῶν λόγων πιθανότητος, οὐδενὸς ἕνεκα ἑτέρου κατεσκευάζετο, ἢ τοῦ μετατρέψαι καὶ μετακλῖναι διάνοιαν ἀπὸ τῆς τοῦ θεοῦ τιμῆς· οὗ τί ἂν γένοιτο ἀδικώτερον.

ἀλλὰ πρός γε τὴν τοῦ ὀχυρώματος τούτου καθαίρεσιν ὁ πειρατὴς τῆς ἀδικίας καὶ φρονῶν αἰεὶ κατ' αὐτῆς εὐτρέπισται, ὃν Ἑβραῖοι καλοῦσι Γεδεών, ὃς ἑρμηνεύεται πειρατήριον. Ὤμοσε γὰρ, φησὶ, Γεδεὼν τοῖς ἀνδράσι Φανουὴλ, λέγων, ἐν τῷ με ἐπιστρέφειν μετ' εἰρήνης τὸν πύργον τοῦτον κατασκάψαι, πάγκαλον καὶ πρεπωδέστατον αὔχημα μισοπονήρῳ ψυχῇ κατὰ ἀσεβῶν ηὐτρεπισμένῃ, τὸ βεβαιοῦσθαι καθαιρέσει πάντα λόγον ἀποστρέφειν, διανοίας ἀνοσιότητος ἀναπείθοντα, καὶ πέφυκεν οὕτως ἔχειν. ὅταν γὰρ ὁ νοῦς ἐπιστρέψῃ, τὸ ἀποκλῖνον καὶ ἀποστρεφόμενον αὐτὸν πάλιν λύεται· τούτου δὲ καιρός ἐστι τῆς καθαιρέσεως, τὸ παραδοξότατον, ἥ φησιν, οὐ πόλεμος, ἀλλ' εἰρήνη. διανοίας γὰρ εὐσταθείᾳ καὶ ἠρεμίᾳ ἣν εὐσέβεια γεννᾶν πέφυκεν, ἀνατρέπεται πᾶς λόγος ὃν ἐδημιούργησεν ἀσέβεια. πολλοὶ καὶ τὰς αἰσθήσεις πύργου τρόπον ἐπὶ τοσοῦτον ἤγειραν, ὡς ἅψασθαι τῶν οὐρανοῦ περάτων. οὐρανὸς δὲ συμβολικῶς ὁ νοῦς ἡμῶν ἐστι, καθ' ὃν αἱ ἄρισται καὶ θεῖαι φύσεις περιπολοῦσιν. οἱ δὲ ταῦτα τολμῶντες, αἴσθησιν μὲν διανοίας προκρίνουσιν, ἀξιοῦσι δὲ καὶ διὰ τῶν αἰσθητῶν τὰ νοητὰ πάντα ἑλεῖν κατὰ κράτος, εἰς μὲν δούλων τάξιν τὰ δεσπόζοντα, εἰς δὲ ἡγεμόνων τὰ φύσει δοῦλα μεθαρμόσασθαι βιαζόμενοι. τὸ δὲ, Κατέβη κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, τροπικώτερον πάντως ἀκουστέον. προσιέναι γὰρ, ἢ ἀπιέναι, ἢ κατιέναι, ἢ τοὐναντίον ἀνιέναι, ἢ συνόλως ταῖς αὐταῖς τοῖς κατὰ μέρος ζῴοις σχέσεσι καὶ κινήσεσιν ἵστασθαι καὶ κινεῖσθαι τὸ θεῖον ὑπολαμβάνειν, ὑπερωκεάνιος καὶ μετακόσμιος, ὡς ἔπος εἰπεῖν, ἐστὶν ἀσέβεια. ταῦτα δὲ ἀνθρωπολογεῖται παρὰ τῷ νομοθέτῃ περὶ τοῦ μὴ ἀνθρωπομόρφου θεοῦ, διὰ τὰς τῶν παιδευομένων ἡμῶν, ὡς πολλάκις ἐν ἑτέροις εἶπον, ὠφελείας. ἐπεὶ τίς οὐκ οἶδεν ὅτι τῷ κατιόντι, τὸν μὲν ἀπολείπειν, τὸν δὲ ἐπιλαμβάνειν τόπον ἀναγκαῖον· ὑπὸ δὲ τοῦ θεοῦ πεπλήρωται τὰ πάντα, περιέχοντος, οὐ περιεχομένου, ᾧ πανταχοῦ τε καὶ οὐδαμοῦ συμβέβηκεν εἶναι μόνῳ· οὐδαμοῦ μὲν, ὅτι καὶ χώραν καὶ τόπον αὐτὸς τοῖς σώμασι συγγεγέννηκε. τὸ δὲ πεποιηκὸς ἐν οὐδενὶ τῶν γεγονότων θέμις εἰπεῖν περιέχεσθαι. πανταχοῦ δὲ, ὅτι τὰς δυνάμεις αὐτοῦ διὰ γῆς καὶ ὕδατος ἀέρος τε καὶ οὐρανοῦ τείνας, μέρος οὐδὲν ἔρημον ἀπολέλοιπε τοῦ κόσμου, πάντα δὲ συναγαγὼν διὰ πάντων ἀοράτοις ἔσφιγξε δεσμοῖς, ἵνα μήποτε λυθείη, οὗ χάριν ὑμνήσας ἄπειμι. τὸ μὲν γὰρ ὑπεράνω τῶν δυνάμεων ὂν, ἐπινοεῖται περιέχον, οὐ κατὰ τὸ εἶναι μόνον· τούτου δύναμις δὲ ἢ ἔθηκε καὶ διέταξε τὰ πάντα, κέκληται μὲν ἐτύμως θεὸς, ἐγκεκόλπισται δὲ τὰ ὅλα,

A verum contra hanc turrim deprædator & hostis iniustitiæ suscipit expeditionem, qui Hebraice vocatur Gedeon, & interpretatur prædonum receptaculum. Iurauit, inquit, Gedeon Phanuelitis dicens: Cum victor in pace reuertar diruam turrim istam. Egregia comminatio, decens animam hostiliter affectam erga malos & impios, fore vt subruantur omnes rationes quæ ducunt ad impietatem, & solet ita fieri. Cum
B enim mens conuertitur, destruitur quod auersum fuerat. & quod iure mireris, huius demolitionis tempus ait esse non bellum sed pacem. mentis enim stabilitate quietéque quam pietas solet parere, subuertitur omnis ratiocinatio quam struxit impietas. Sunt etiam multi qui sensus in modum turris extollunt tantopere, vt ad cæli fines pertingant. per cælum autem noster intellectus significatur,
C in quo præstantes diuinæque naturæ versantur. Hæc qui audent, sensum intellectui præferunt, volentes expugnare intelligibilia per sensibilia, facerque seruos è Dominis, & vice versa è seruis Dominos. Cæterum illa verba: Descendit Dominus vt videret ciuitatem & turrim,] figurate accipienda sunt. nam credere quòd Deus accedat aut recedat, aut descendat ascendátque, vel in totum sicut animalia mouentur stet moueatúrve, impietatis est deportandæ in extremas, vt vulgus loquitur,
D insulas oceani. Sed ista humano more legislator de Deo dicit, quamuis haudquaquam humana forma prædito, ad vtilitatem discentium, vt iam ante non semel admonuimus. Quis enim ignorat quòd descendens alio loco relicto alium occupat? Deus autem implet omnia, non contentus sed continens, qui solus vbique simul & nusquam est. nusquam, quia ipse locum & regionem creauit vnà cum corporibus, nec fas est autorem intra vllam suam creaturam in-
E cludi. Vbique autem, quia potentijs suis per terram, aquam, aerem, cælum extensis, nullam partem mundi destituit, sed omnia inter se inuicem astringit inuisibilibus vinculis, ne vnquam soluantur, plurimum laudandus hoc nomine. quod enim celsius est omnibus potentijs, intelligitur eas excedere, cum eas in potestate habeat, virtus autem illa omnipotens quæ condidit & gubernat omnia,

vere Deus dicitur, omnia continens A in gremio, & omnia penetrans vel minima, id inuisibile incomprehensibiléque numen cum sit vbique, nusquam tamen vere cernitur aut percipitur. & cum dicit: Sto ante te, videtur quidem se ostendere, sed maior est quam vt vel indicari possit vel videri ab vlla creatura. Ergo migratorij motus nomina nequaquam Deo conueniunt, sursum, deorsum, dextrorsum, sinistrorsum, prorsum, retrorsum: nec tale quicquam intelligitur de illo qui locum non mutat. B nihilominus dicitur descendens visere, qui omnia prius etiam quam fiant præuidet manifestissime: vt doceamur moneamúrque, nequis homo de absentibus rebus & incertis putet se posse certam coniecturam facere, sed propius introspecto negotio diligenter cuncta perlustret. visus enim certus potius quam fallax auditus, testis adhibendus est. quapropter in optime constituta republica lege cautum C est, nequis audita dicat pro testimonio, quia iudicium auditus naturaliter facile est corruptoribus. Apud Mosem quoque inter vetita legitur: Non admittes auditionem vanam. vbi non tantum interdicit, nequis falsum sermonem aut stultum accipiat auribus: sed docet quod ad manifestam veritatis perceptionem longe minus quam visus idoneus habeatur auditus, cum sit refertus vanitatibus. Hanc censemus esse causam cur descendisse D dicatur. Deus vt ciuitatem ac turrim viseret. nec temere additum est, Quam ædificarant filij hominum.] Fortassis enim profanus aliquis cauillabitur: Nouam verò rem nos docet legislator, turres atque ciuitates non ab alijs ædificari quàm filijs hominum. quis adeò demens est, vt hæc tam manifesta nesciat? Verum non ista obuia protritáque consideranda sunt in sacris oraculis, sed vestiganda quæ teguntur E sub his apertis vocabulis. Quid igitur hoc est? Qui rebus multos quasi patres tribuunt, & multorum deorum cateruam introducunt, negocia confundentes per imperitiam, & animæ finem voluptati assignantes, opifices dictæ vrbis eiúsque arcis, si verum fatendum est, facti sunt: quas ad finem illum deducunt extruendo tanquam ædificia, ipsi non absimiles opinor natis è scorto, qui à diuina concione arcentur lege dicēte,

καὶ διὰ τῶν τοῦ παντὸς μερῶν διελήλυθε. τὸ δὲ θεῖον καὶ ἀόρατον καὶ ἀκατάληπτον πανταχοῦ ὄν, ὁρατὸν καὶ καταληπτὸν οὐδαμοῦ πρὸς ἀλήθειαν ἐστιν. ὁ δὲ, Ἕστηκα ἐγὼ πρὸ τοῦ σέ, δείκνυσθαι καὶ καταλαμβάνεσθαι δοκῶν, πρὸ πάσης δείξεως καὶ φαντασίας ὑπερβαλὼν τὰ γεγονότα. τῶν οὖν μεταβατικῆς κινήσεως ὀνομάτων οὐδὲν ἐφαρμόττει τῷ καθὸ εἶναι θεῷ, τὸ ἄνω, τὸ κάτω, τὸ ἐπὶ δεξιά, τὸ ἐπ' εὐώνυμα, τὸ πρόσω, τὸ κατόπιν. ἐν οὐδενὶ γὰρ τῶν λεχθέντων ἐπινοεῖται, ὡς οὐδ' ἂν μετατρεπόμενος ἐναλλάττοι χωρία. λέγεται δ' οὐδὲν ἧττον κατελθεῖν ἰδεῖν, ὁ προειληφὼς πάντα, οὐ γινόμενα μόνον, ἀλλὰ καὶ πρὶν γενέσθαι σαφῶς κατειληφώς, προτροπῆς ἕνεκα καὶ διδασκαλίας, ἵνα μηδεὶς ἀνθρώπων οἷς οὐ πάρεστιν, ἀβεβαίῳ χρώμενος εἰκασίᾳ, μακρὰν ἀφεστὼς προπιστεύῃ, ἀλλ' ἄχρι τῶν πραγμάτων ἐλθὼν, καὶ διακύψας εἰς ἕκαστα, καὶ ἐπιμελῶς αὐτὰ αὐγασάμενος. ὄψιν γὰρ ἀπλανῆ πρὸ ἀκοῆς ἀπατεῶνος ἄξιον μάρτυρα τίθεσθαι. οὗ χάριν καὶ παρὰ τοῖς ἄριστα πολιτευομένοις ἀναγέγραπται νόμος, ἀκοὴν μὴ μαρτυρεῖν, ὅτι φύσει τὸ δικαστήριον αὐτῆς πρὸς τὸ δεκάζεσθαι ταλαντεύει. καὶ Μωϋσῆς μέντοι φησὶν ἐν τοῖς ἀπαγορευτικοῖς, Οὐ παραδέξῃ ἀκοὴν ματαίαν. οὐχὶ μόνον τοῦτο λέγων μὴ παραδέχεσθαι ψευδῆ λόγον, ἢ εὐήθη δι' ἀκοῆς, ἀλλὰ καὶ ὅτι πρὸς τὴν σαφῆ τῆς ἀληθείας κατάληψιν μακρὸν ὅσον ὄψεως ὑστερίζουσα διαλέγεται, γέμουσα ματαιότητος ἀκοή. ταύτην φαμὲν αἰτίαν εἶναι τοῦ λέγεσθαι τὸν θεὸν καταβεβηκέναι τὴν πόλιν, καὶ πύργον θεάσασθαι. οὐ παρέργως δὲ πρόσκειται, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. ἴσως γὰρ ἄν τις εἴποι τῶν ἐκ θιάσων, ἐπιχλευάζων ἅμα, καινὸν ἡμᾶς ἀναδιδάσκει μάθημα ὁ νομοθέτης, ὅτι πύργους καὶ πόλεις, οὐχ ἕτεροί τινες, ἀλλὰ παῖδες ἀνθρώπων ἀνοικοδομοῦσι. τίς γὰρ τὰ οὕτως ἐμφανῆ καὶ περιληπτὰ καὶ τῶν λίαν ἐξεστηκότων ἀγνοεῖ. ἀλλὰ μὴ τὸ πρόχειρον τοῦτο καὶ τετριμμένον ἐν τοῖς ἱερωτάτοις χρησμοῖς ἀναγέγραπται, ἀλλ' ὅπερ ἀποκεκρυμμένον, ἰχνηλατεῖται διὰ τῶν ἐμφανῶν ὀνομάτων. τί οὖν ἐστι τοῦτο. οἱ πολλοὺς ἐπιγραφόμενοι τῶν ὄντων ὡσεὶ πατέρας, καὶ τὸ πολύθεον εἰσηγούμενοι σῖφος, ἀπειρίαν ὁμοῦ καὶ πολυμιγίαν τῶν πραγμάτων καταχέαντες, καὶ τὸ τῆς ψυχῆς τέλος ἡδονῇ παραδόντες, δημιουργοὶ τῆς εἰρημένης πόλεως καὶ τῆς κατ' αὐτὴν ἀκροπόλεως, εἰ δεῖ τἀληθὲς εἰπεῖν, γεγόνασι, τὰ ποιητικὰ τοῦ τέλους ὥσπερ οἰκοδομημάτων συνοικίζοντες, τῶν ἐκ πόρνης ἀποκυηθέντων, οὐδὲν ὥς γ' οἶμαι, διαφέροντες, οὓς ὁ νόμος ἐκκλησίας ἀπελήλακε θείας, εἰπών,

Οὐκ εἰσελεύσεται ἐκ πόρνης, εἰς ἐκκλησίαν κυρίου· ὅτι καθάπερ ἐπὶ πολλὰ τέλη πλανώμενοι τοξόται, καὶ μηδενὸς εὐστόχως ἐφιέμενοι σκοποῦ, μυρίας ἀρχὰς καὶ αἰτίας τῆς τῶν ὄντων ὑποτιθέμενοι γενέσεως, ψευδωνύμους πάσας, τὸν ἕνα ποιητὴν καὶ πατέρα τῶν ὅλων ἠγνόησαν. οἱ δ' ἐπιστήμῃ κεχρημένοι, τοῦ ἑνὸς υἱοὶ θεοῦ προσαγορεύονται δεόντως, καθὰ καὶ Μωϋσῆς ὁμολογεῖ φάσκων, Υἱοί ἐστε κυρίου τοῦ θεοῦ· καὶ, Θεὸν τὸν γεννήσαντά σε· καὶ, Οὐκ αὐτὸς οὗτός σου πατήρ; ἕπεται μέντοι τοῖς οὕτω τὴν ψυχὴν διατεθεῖσι, μόνον τὸ καλὸν ἀγαθὸν εἶναι νομίζειν, ὅπερ ἐπὶ τέλει τῆς ἡδονῆς πρὸς ἐμπειροπολέμων ἀνδρῶν ἀντιτειχίζεται, καὶ πρὸς ἀνατροπὴν καὶ καθαίρεσιν ἐκείνου· κἂν μηδέπω μέντοι τυγχάνῃ τις ἀξιόχρεως ὢν υἱὸς θεοῦ προσαγορεύεσθαι, σπουδαζέτω κοσμεῖσθαι κατὰ τὸν πρωτόγονον αὐτοῦ λόγον, τὸν ἄγγελον πρεσβύτατον, ὡς ἀρχάγγελον πολυώνυμον ὑπάρχοντα. καὶ γὰρ ἀρχὴ, καὶ ὄνομα θεοῦ, καὶ λόγος, καὶ ὁ κατ' εἰκόνα ἄνθρωπος, καὶ ὁρῶν Ἰσραὴλ προσαγορεύεται. διὸ προήχθην ὀλίγῳ πρότερον ἐπαινέσαι τὰς ἀρχὰς τῶν φασκόντων ὅτι πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου. καὶ γὰρ εἰ μήπω ἱκανοὶ θεοῦ παῖδες νομίζεσθαι γεγόναμεν, ἀλλά τοι τῆς ἀϊδίου εἰκόνος αὐτοῦ λόγου τοῦ ἱερωτάτου. θεοῦ γὰρ εἰκὼν, λόγος ὁ πρεσβύτατος. καὶ πολλαχοῦ μέντοι τῆς νομοθεσίας υἱοὶ πάλιν Ἰσραὴλ καλοῦνται, τοῦ ὁρῶντος οἱ ἀκούοντες, ἐπειδὴ μεθ' ὅρασιν ἀκοὴ δευτερείοις τετίμηται, καὶ τὸ διδασκόμενον τοῦ χωρὶς ὑφηγήσεως ἐναργεῖς τύπους τῶν ὑποκειμένων λαμβάνοντος ἀεὶ δεύτερον. ἄγαμαι καὶ τῶν ἐν βασιλικαῖς βίβλοις ἱεροφαντηθέντων, καθ' ἃς οἱ πολλαῖς γενεαῖς ὕστερον ἀνομήσαντες καὶ βιώσαντες ὑπαιτίως, υἱοὶ τοῦ τὸν θεὸν ὑμνήσαντος Δαβὶδ ἀναγράφονται, οὗ περιόντος, οὐδ' οἱ πρόπαπποι τούτων ἔσχον πιστῶς γεγεννημένοι. ψυχῶν γὰρ ἀπαθανατιζομένων ἀρεταῖς, οὐ φθαρτῶν σωμάτων ἐστὶ γένεσις, ἣν ἐπὶ τοὺς καλοκἀγαθίας ἡγεμόνας ὡσπερεὶ γονεῖς καὶ πατέρας ἀναφέρεσθαι συμβαίνει· κατὰ δὲ τῶν ἐπ' ἀδικίαις σεμνυνομένων, εἶπε κύριος, Ἰδοὺ γένος ἓν, καὶ χεῖλος ἓν πάντων, ἴσον τῷ, ἰδοὺ μία οἰκειότης καὶ συγγένεια, καὶ πάλιν ἁρμονία καὶ συμφωνία, ἡ αὐτὴ πάντων ὁμοῦ, μηδενὸς ἠλλοτριωμένου τὴν γνώμην, μηδ' ἀπᾴδοντος, καθάπερ ἔχει καὶ ἐπ' ἀνθρώπων ἀμούσων. τὸ γὰρ φωνητήριον αὐτοῖς ὄργανον πᾶσι τοῖς φθόγγοις ἐστὶν ὅτε δι' ὅλων ἐκμελὲς καὶ ἀπῳδὸν, οὐ μετρίως καθέστηκε, πρὸς ἀναρμοστίαν ἄκρως ἡρμοσμένον, καὶ πρὸς τὸ ἀσύμφωνον συμφωνίαν μόνον ἄγον·

A Non intrabit natus è meretrice in Ecclesiam Domini. Isti enim quasi passim iaculantes sagittarij, qui in nullum scopum præstitutum tela dirigunt, innumera principia causásque rerum creatarum supponunt, falsas omnes, cum vnũ factorem patrémque vniuersitatis nesciant. sed qui scientiam habent, vnius Dei filij appellantur merito, sicut & Moses fatetur dicens, Filij estis Domini Dei.& alibi, Deum qui te genuit.&, Nónne hic ipse pater tuus est? Qui sic B affecti sunt, solum honestum bonum existimant, quæ est arx ab huius belli peritis contra finem voluptatem sectantium opposita, vt illum expugnatum tollant è medio. quod si nondum quisquam est dignus vt Dei filius appelletur, tu tamen da operam vt ornatus sis sicut verbum eius primogenitum, angelus antiquissimus, & quidam variarũ appellationum archangelus: videlicet principium, nomen Dei verbúmque C dictus, & homo factus ad imaginem, & videns ille Israel. Quamobrem superius adductus sum vt laudarem eos qui sui generis initia referunt ad vnum virum communem parentem. nam si nondum idonei sumus vt nominemur Dei filij, simus saltem sermonis illius sacratissimi, qui eius sempiterna imago est. imago enim Dei est verbum illud antiquissimum. hoc genus multis in locis lex filios Israel etiam nominat, videntis illius auditores, quandoquidem post D visum auditus secundum honorem meretur, & qui discunt, posthabendi sunt eis qui absque præceptore manifestas subiectorum formas percipiunt. Proinde veneror in Regum libris sacras literas, vbi qui post multas ætates flagitiose vixerunt, tamen ad stirpis autorem Dauid hymnorum diuinorum poetam referuntur, qui viuus vidénsque ne proauos quidem eorum agnouisset pro suis posteris. animarũ enim quas virtus im- E mortalitati consecrat, non corruptibilium corporum soboles, in posteritate bonorũ virorum censetur. cæterum de his qui se iactant ob iniusta facinora, dicit Dominus: Ecce genus vnum & labium vnũ omnium: ac si dicat, Ecce vna familia cognatióque pariter omniũ, nemine mutante sententiã, nec discrepante, quemadmodum & musicæ imperiti consonant. nam & horum vocis instrumenta interdum modis omnibus incõcinna sunt & dissona, vt nihil inter eos conueniat, nisi quod pariter discrepant.

Idem & in febribus vſu venit vt videmus. nam & quotidiani & tertiani & quartani vt medicorum filij vocant circuitus, ſtatas horas habent nocturnas diurnáſque, & eundem ſemper ſeruant ordinem. Porrò illud: Cœperúntque hoc facere, non ſine indignatione dictum eſt: quod malefici non contenti humanæ ſocietatis iura violaſſe, ad cælum ſint auſi ſcandere, iniquitatem ſeminantes, & metentes impietatem. ſed nihil proficient miſeri. nam qui ſe mutuis iniurijs afficiunt, ſæpe conſilia quamuis ab ipſis damnata, perducunt tamen ad effectum, impij vero non item. Numen quod impetunt, illæſum manet, ipſi maculam contrahunt ineluibilem, & ordiuntur quidem iniuriam, ſed nihil efficiunt. Propterea ſic dictum eſt: Cœperunt facere. Homines inexplebiliter peccandi auidi, non contenti facinoribus terra marique patratis & in aere, quæ ſunt elementa corruptibilia, decreuerunt naturæ cæleſti ac diuinæ inferre manus impias: quæ cum inter creaturas non cenſeatur, eſt extra omnem aleam iniuriæ. quæ etiamſi maledictis appetatur, nihilo habet deterius, nec à ſempiterna ſua natura dimouetur, ſed maledicis calamitates infert haud vnquam medicabiles. ſiquidem etiamſi cœptis fruſtratis non potuerunt ad deſtinatum impietatis ſuæ finem peruenire, nihilominus ac ſi cogitatum facinus perpetraſſent, damnandi ſunt. & hoc eſt quod ait abſolutam turrim ab eis, quamuis penderet adhuc, dicens: Dominus deſcendit vt viſeret ciuitatē ac turrim, non quam ædificaturi erant, ſed quam ædificauerant. & quod argumentum eſt imperfectæ ſtructuræ? Primum ipſa res ſatis liquet. nulla enim terrę pars valet cęlum attingere, ob cauſam ſupradictam, quia nullum centrum tangit ſuam circumferentiam. deinde, quoniam æther ſacratus ignis, flamma eſt inextinguibilis, iuxta Græcam nominis etymologiam, παρὰ τὸ αἴθειν, quod vrere ſignificat. teſtis eſt ſol ignium pars cæleſtium, qui ex tanto interuallo intima terræ penetrat ſuis radijs: nec tantum hanc, ſed & aerem, qui ad cæleſtem vſque orbem ab ea pertinet, licet ſuapte natura frigidū, partim tepefacit partim exurit. nam quæcunque aut multum diſtant ab eius orbita, aut ad latus alterutrum declinant, tepefacit tantummodo. quæ vero aut propinqua ſunt aut directe oppoſita, maiore vi caloris exurit.

A καὶ ἐπὶ τῆς πολίτιδος τὸ κατασκευάσειν παραπλήσιον ἰδεῖν ἐστιν. ἔτι γὰρ ἀμφημεριναὶ καὶ διάτριτοι καὶ τεταρταΐζουσαι παρὰ παισὶν ἰατρῶν λεγόμεναι περίοδοι, μεθ' ἡμέραν τε καὶ νύκτωρ περὶ τὰς αὐτὰς ὥρας κατεσκευάκασι, τὴν εἰς αὐτὰ τάξιν φυλάττουσαι. τὸ δέ, Καὶ τοῦτο ἤρξαντο ποιῆσαι, μετ' οὐ μετρίου σχετλιασμοῦ λέλεκται, διότι τοῖς ῥᾳδιουργοῖς οὐ τὰ πρὸς τοὺς ὁμοφύλους μόνον συγχεῖν δίκαια ἐξήρκεσεν, ἀλλ' ἤδη καὶ τῶν ὀλυμπίων
B ἐπιβαίνειν ἐτόλμησαν, ἀδικίαν μὲν σπείροντες, ἀσέβειαν δὲ θερίσοντες. ὄφελος δὲ τοῖς ἀθλίοις οὐδέν. οὐ γὰρ ὥσπερ ἀδικοῦντες ἀλλήλους, πολλὰ ὧν ἂν ἀθετήσωσι δύνονται ἔργοις βεβαιούμενοι τὰ βουλαῖς ἀγνώμοσιν ἐπιλογισθέντα, οὕτω καὶ ἀσεβοῦντες. ἀζήμια γὰρ καὶ ἀπήμονα τὰ θεῖα, τοῦ δὲ πλημμελεῖν εἰς αὐτὰ οἱ δυσκάθαρτοι τὰς ἀρχὰς εὑρίσκονται μόνον, πρὸς δὲ τὸ τέλος φθάνουσιν οὐδέποτε, διὸ καὶ λέγεται τοῦτο, Ἤρξαντο ποιῆσαι· κορεσθέντες οἱ τοῦ παρανομεῖν ἄπληστοι, τῆς ἐν γῇ καὶ
C θαλάττῃ, καὶ ἀέρι, ἃ φθαρτῆς φύσεως ἔλαχε, κακῶν, ἐπὶ τὰς ἐν οὐρανῷ θείας φύσεις μεταταξάσθαι διενοήθησαν. ἃ ἐστὶ τῶν ὄντων ἔξω τοῦ κατηγορεῖν, ἔθος ἐστὶ διαθεῖναι τὸ παράπαν οὐδέν· καὶ αὐτὸ μέντοι τὸ βλασφημεῖν οὐ τοῖς κακηγορουμένοις ἐπιφέρει τινὰ ζημίαν· ἃ τῆς ἀϊδίου φύσεως οὐ ποτ' ἐξίσταται, ἀλλὰ τοῖς καταιτιωμένοις συμφορὰς ἀνηκέστους. οὐκ ἐπειδὴ μέντοι μόνον ἤρξαντο, πρὸς δὲ τὸ τέλος ἐλθεῖν ἀδυνατήσαντες ἀσεβείας, διὰ τοῦτ' αὐτοὺς οὐχ ὡς διαπεπραγμένους ἕκαστα ὧν δια-
D νοήθησαν αἰτιατέον· τούτου χάριν καὶ τετελειωκέναι φησὶ τὸν πύργον αὐτούς, οὐ τελειώσαντας, ἐπειδὰν λέγῃ, Κύριος κατέβη ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, οὐχ ὃν οἰκοδομήσειν μέλλουσιν, ἀλλ' ὃν ᾠκοδόμησαν ἤδη. τίς οὖν πίστις τοῦ μὴ τετελεσιουργῆσθαι τὴν κατασκευήν; ἡ ἐνάργεια πρώτη. γῆς γὰρ ὁποιονοῦν μέρος ἀμήχανον οὐρανοῦ ψαῦσαι, διὰ τὴν ἔμπροσθεν αἰτίαν, ὅτι περ οὐδὲν κέντρον περιφερείας ἅπτεται· δεύτερον δ', ὅτι ὁ αἰθὴρ ἱερὸν πῦρ,
E φλόξ ἐστιν ἄσβεστος, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα, παρὰ τὸ αἴθειν, ὃ δὴ καίειν ἐστὶ κατὰ γλῶτταν εἰρημένον· μάρτυς δὲ μία μοῖρα τοῦ οὐρανίου πυρὸς ἥλιος, ὃς τοσοῦτον γῆς ἀφεστὼς ἄχρι μυχῶν τὰς ἀκτῖνας ἐπιπέμπων, αὐτήν τε καὶ τὸν ἀπ' αὐτῆς ἀνατείνοντα μέχρι τῆς οὐρανίου σφαίρας ἀέρα φύσει ψυχρὸν ὄντα, τῇ μὲν ἀλεαίνει, τῇ δὲ καταφλέγει. τὰ μὲν γὰρ ὅσα ἢ μακρὰν ἀφέστηκεν αὐτοῦ τῆς φορᾶς, ἢ ἐγκάρσια παρακέκλιται, ἀλεαίνει μόνον, τὰ δ' ἐγγὺς ἢ ἐπ' εὐθείας ὄντα, καὶ προσεπικαίει βίᾳ.

Εἰ δὲ ταῦθ' οὕτως ἔχει, τοὺς ἀναβαίνειν τολμῶντας ἀνθρώπους, οὐκ ἀναγκαῖον ἦν ἐμπεπρῆσθαι κεραυνωθέντας, ἀτελοῦς αὖθις τῆς μεγαλουργηθείσης ἐπινοίας γενομένης. τοῦτ' ἔοικεν αἰνίττεσθαι διὰ τῶν αὖθις λεγομένων, Ἐπαύσαντο γὰρ, φησὶν, οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον· οὐ δήπου τελειώσαντες, ἀλλὰ τελεσιουργῆσαι κωλυθέντες διὰ τὴν ἐπιγενομένην σύγχυσιν. οὐ μὴν ἐκπεφεύγασι τὴν τῆς διὰ πράξεων αἰτίας, οἱ πρὸς τὸ βουλεύσασθαι καὶ ἐγκεχειρηκότες. τὸν οὖν οἰωνομάντιν καὶ τερατοσκόπον περὶ τὰς ἀβεβαίους εἰκασίας ματαιάζοντα· καὶ μάταιος ἑρμηνεύεται Βαλαάμ. φησὶν ὁ νόμος, τὸν ὁρῶντα καταρᾶσθαι, καίτοι διὰ τῶν λόγων εὐφήμους ποιησάμενον εὐχάς, σκοπῶν οὐ τὰ λεχθέντα, ἃ προμηθείᾳ θεοῦ μετεχαράττετο οἷα δόκιμον ἀντὶ κιβδήλου νόμισμα, τὴν δὲ διάνοιαν ἐν ᾗ τὰ βλάψοντα πρὸ τῶν ὠφελησόντων ἀνεπολεῖτο. ἔστι δὲ φύσει πολέμια ταῦτα, στοχασμὸς ἀληθείᾳ, καὶ ματαιότης ἐπιστήμῃ, καὶ ἡ δίχα ἐνθουσιασμοῦ μαντεία νηφούσῃ σοφίᾳ, καὶ ἂν ἐξ ἐνέδρας μέντοι τὶς ἐπιχειρήσας ἀνελεῖν τινὰ, μὴ δυνηθῇ κτεῖναι, τῇ τῶν ἀνδροφόνων οὐδὲν ἧττον ὑπαίτιος δίκῃ καθέστηκεν, ὡς ὁ γραφεὶς περὶ τούτων δηλοῖ νόμος. Ἐὰν γὰρ, φησὶ, τὶς ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καὶ καταφύγῃ ἐπὶ τοῦ θυσιαστηρίου, λήψῃ αὐτὸν θανατῶσαι· καίτοι ἐπιτίθεται μόνον, οὐκ ἀνῄρηκεν, ἀλλ' ἴσον ἡγήσατο ἀδίκημα τῷ κτεῖναι, τὸ βουλεύσασθαι τὸν φόνον· οὐ χάριν οὐδ' ἱκέτῃ γενομένῳ δίδωκεν ἀμνηστίαν, ἀλλὰ καὶ ἐξ ἱεροῦ ἐκέλευσεν ἀπάγειν τὸν ἀνίερον γνώμῃ χρησάμενον. ἀνίερος δὲ, οὐ ταύτῃ μόνον, ὅτι κατὰ ψυχῆς τῆς ἀεὶ ζῆν δυναμένης ἀρετῶν κτήσει τὸ ἐκ χρήσεως τῆς διὰ προσβολῆς κακίας φόνον ἐβούλευσεν, ἀλλ' ὅτι θεὸν τῆς ἀνοσιουργοῦ τόλμης αἰτιᾶται. τὸ γὰρ καταφυγεῖν, τοιοῦτον ὑποβάλλει νοῦν, διότι πολλοὶ τὰ καθ' ἑαυτοὺς ἀποδιδράσκειν ἐθέλοντες ἐγκλήματα, καὶ ῥύεσθαι τῶν ἐφ' οἷς ἠδίκησαν ἀξιοῦντες ἑαυτοὺς τιμωριῶν, τὸ οἰκεῖον ἄγος, ὃ κακοῦ μὲν μηδενὸς, ἀγαθῶν δὲ ἁπάντων αἴτιος, προσβάλλουσι θεῷ· διὸ καὶ ἀπ' αὐτοῦ βωμοῦ τοὺς τοιούτους ἀπάγειν ὅσιον εἶναι ἐνομίσθη. δίκην δὲ ὑπερβάλλουσαν κατὰ τῶν ἐπ' ἀθεότητι λόγων οἰκοδομουμένων καὶ συγκροτουμένων ὁρίζει, ἣν ἴσως τινὲς τῶν ἀφρόνων οὐ βλάβην, ἀλλ' ὠφέλειαν ὑποτοπήσουσιν. Οὐ γὰρ ἐκλείψει, φησὶν, ἀπ' αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν. ὢ τῆς ἀπεριγράπτου καὶ ἀμέτρου κακοδαιμονίας, πάνθ' οἷς ἂν ὁ φρενοβλαβέστατος ἐπιθῆ νοῦς, ὑποχείρια εἶναι καὶ

A quæ cum ita se habeant, non erat opus vllis fulminibus contra conantes ascendere, cum alioquin ausus illi magnifici euanescerent. Quod subindicatur per ea quæ mox sequuntur: Desiuerunt, inquit, ædificare ciuitatem & turrim.] Dubio procul non quia perfecerant eam, sed quia confusio secuta prohibuit quominus perficerent. nec tamen effugerunt crimen perpetrati facinoris, qui consilium tam immane non dubitarunt aggredi. certe augu-
B rem illum & prodigiorum procuratorem, vanis coniecturis studentem (vanus enim interpretatur Balaam) lex ait populo videnti maledixisse, quamuis in verbis eius erat fausta precatio: mirum ni non respectu dictorum eius quæ diuina prouidentia recudebat in quandam meliorem monetam, sed mentis ipsius; cui noxia magis obuersabantur quam vtilia. pugnant autem hæc inter se suopte in-
C genio, coniectura cum veritate, vanitas cum scientia, diuino furore carens diuinatio cum sapientia: & quamuis aliquis conatus per insidias alterum interimere frustratus est, nihilominus homicidij reus est, sicut decernit super hoc casu scripta lex. Siquis, inquit, conatus fuerit proximum suum dolo perdere, & ad altare confugerit, abstractum afficies supplicio. Atqui conatus tantum, non interemit. at par est maleficium, patrasse cædem, & decreuisse. quamobrē
D ne supplici quidem venia datur, sed è sacrario duci iubetur qui concepit tam nefarium consilium. profanus est autem & nefastus non solum quoniam animæ per virtutis vsumfructum valenti perpetuo viuere, per vitiorum assultum cædem molitus est: verum etiam quia Deum facit fautorem ausus impij. nam refugium id significat: quoniam multi volentes euadere propria crimina, & debitis pœnis eripi, facinus suum referunt in Deum, nullius mali auto-
E rem, sed bonorum omnium. proinde pium habetur tales vel ab ipsis delubris abstrahere. Extat autem insignis pœna contra impietatis assertores, quam fortasse quidam insipientes non damnum sed lucrum arbitrabuntur. Non deficient, inquit, ab eis omnia quæcunque aggressi fuerint facere. ô infinitam & immensam miseriam: omnia quæcunque aggredietur mens dementissima, succedunt ex sen-

A tentia: nec magnus nec paruus conatus frustrabitur vllus, vltro negocijs animæ occurrentibus & sese præbentibus. hæc sunt animæ viduatæ indicia, peccantis absque impedimentis omnibus. nam quisquis est non prorsum insanabilis, optarit se consilio mentis destitui, vt cum furtum aut adulterium aut homicidium aut sacrilegium aut aliquid simile tentat committere, successu careat, & innumera inueniat obstacula. nam cohibitio maximum morbum arcet iniustitiam: quod si ad- B sit licentia, ille vitari non poterit. Et adhuc tyrannorum fortunas ô beati suspicitis, quibus procliue est quiduis efficere, quod rabido efferatóque animo concipiunt? imò gemenda est illorum conditio. siquidem inopia & infirmitas malis prodest, bonis vero potentia cum opibus. Certe quidam ex insipientum numero postquam sensit ad quantam infelicitatem perducit libertas peccandi, ait, Maior est culpa mea quam vt remittatur. Est C enim valde graue animam sine freno sinere per se indomitam, quæ habenis ægre coercetur & scutica. quamobrem oraculum propicij Dei plenum bonitate spem egregiam ostentat disciplinæ amatoribus, quod sic est redditum: Non dimittam te neque deseram. nam laxatis animæ vinculis, quibus continebatur, maxima sequitur calamitas, à Deo deseri, qui suas ipsius potentias circundedit rebus omnibus tanquam fortissima vincula, & his eas indissolu- D biliter adstrictas esse voluit. quin & aliubi dicit, quicquid ligatur vinculo purum esse, quando impuritatis causa est dissolutio. Caue igitur quoties vides aliquem quidlibet expedite facere, mireris tanquam fortunatum: sed potius vt infelicem miserare, cui virtutum sterilitas, vitiorum vbertas perpetua contigit. Nec illud in transcursu & leuiter expendendum est, quid sibi velit quod ibidem ex persona Dei dicitur: Venite descendamus & con- E fundamus linguam eorum.] videtur enim quosdam alloqui tanquam operationis socios. idem & antea de hominis creatione dictum legitur. Dixit, inquit, Dominus Deus: faciamus hominem ad imaginem & similitudinem nostram: vbi vox Faciamus pluralitatem significat. & rursum dixit Deus: Ecce Adam factus est sicut vnus è nobis, vt noscat bonum & malum.

ὑπήκοα, καὶ μηδὲν μέγα, μὴ μικρὸν ὑστερίζειν τὸ παράπαν, ἀλλ' ὡσπερεὶ τὰ πράγματα ἀπαντᾶν πρὸς τὰς χρείας ἑκάστης ψυχῆς. Ταῦτα φρενήσεως χηρευούσης ἐστὶν ἐπίδειξις, μηδὲν τῶν εἰς τὸ ἁμαρτάνειν ἐχούσης ἐμποδών. εὔξαιτο γὰρ ἂν ὁ μὴ σφόδρα ἀνίατος ἔχων, τὰ ἐξ ἀποθέσεως τοῦ νοῦ πάντ' ἐπιλιπεῖν αὐτῷ, ἵνα μὴ ὧν κλέπτειν ἢ μοιχεύειν ἢ ἀνδροφονεῖν ἢ ἱεροσυλεῖν, ἤ τινι τῶν ὁμοιοτρόπων ἐπιθέμενος, εὐοδῇ, μυρία δ' εὑρίσκῃ τὰ κωλυσιεργήσοντα. κώλυσις μὲν γὰρ τὴν μεγίστην νόσον ἀδικίαν ἀποβάλλει, συνὼν ἀδεία δ' ἐπεξελθὼν, ταύτην ἀναδέξεται. τί οὖν ἔτι τὰς τῶν τυράννων τύχας ὦ μακάριοι ζηλοῦτε καὶ θαυμάζετε, δι' ἃς εὐπετῶς ἕκαστα ἐπεξίασιν, ὧν ἂν ὁ ἐκλελυττηκὼς κἀκτεθηριωμένος τίκτῃ νοῦς καὶ ἐν αὑτοῖς δέον ἐπιστένειν, εἴγε ἀπορία καὶ ἡ ἀσθένεια κακοῖς λυσιτελὲς, ὡς περιουσία καὶ ἰσχὺς ἀγαθοῖς ὠφελιμώτατον. εἷς δέ τις τῶν ἀφρόνων ᾐσθημένος εἰς ὅσην κακοδαιμονίας ὑπερβολὴν ἄγει ἡ τοῦ διαμαρτάνειν ἐκεχειρία μετὰ παρρησίας εἶπε, Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι. περιχάλεπον γὰρ ἀχαλίνωτον ἐᾶσθαι ψυχὴν, ἀπίθασον οὖσαν ἐξ ἑαυτῆς, ἣν μόλις ἡνίαις μετ' ἐπανατάσεως μαστίγων ἔστι κατασχόντα παραμῦναι· διόπερ λόγιον τοῦ ἵλεω θεοῦ μεστὸν ἡμερότητος ἐλπίδας χρηστὰς ὑπογράφον τοῖς παιδείας ἐρασταῖς, ἀνῄρηται τοιόνδε, Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. τῶν γὰρ τῆς ψυχῆς δεσμῶν χαλασθέντων, οἷς διεκρατεῖτο, ἡ μεγίστη παρέπεται συμφορὰ, καταλειφθῆναι ἀπὸ θεοῦ, ὃς τοῖς ὅλοις δεσμοὺς τὰς ἑαυτοῦ δυνάμεις περιέθηκεν ἀρρήκτους, αἷς τὰ πάντα σφίγξας ἄλυτα εἶναι βούλεται· λέγει μέντοι καὶ ἑτέρωθι, ὅτι πάνθ' ὅσα δεσμῷ καταδέδεται, καθαρά ἐστιν, ἐπεὶ τῆς ἀκαθάρτου φθορᾶς αἴτιον διάλυσις. μηδέποτ' οὖν ἰδών τινα οἷς ἂν ἐπιθῆται, πᾶσιν εὐμαρῶς ἐπεξιόντα, θαυμάσῃς ὡς κατορθοῦντα, ἀλλὰ τοὐναντίον ὡς ἀποτυγχάνοντα οἰκτίζε, ὅτι ἀφορίᾳ μὲν ἀρετῆς, κακίας δ' εὐφορίᾳ χρώμενος διατελεῖ. σκέψασθαι δ' οὐ παρέργως ἄξιον, τίν' ἔχει λόγον τὸ εἰρημένον ἐκ προσώπου τοῦ θεοῦ, Δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν τὴν γλῶτταν. φαίνεται γὰρ διαλεγόμενός τισιν, ὡς ἂν συνεργοῖς αὐτοῦ· τὸ δ' αὐτὸ καὶ πρότερον ἐπὶ τῆς ἀνθρώπου κατασκευῆς ἀναγέγραπται. Εἶπε γὰρ, φησὶ, κύριος ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, τοῦ ποιήσωμεν πλῆθος ἐμφαίνοντος. καὶ πάλιν εἶπεν ὁ θεὸς, Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. τὸ γὰρ

ὡς εἷς ἡμῶν, οὐκ ἐφ' ἑνός, ἀλλ' ἐπὶ πλειόνων τίθεται. λεκτέον οὖν ἐκεῖνο πρῶτον, ὅτι οὐδὲν τῶν ὄντων ἰσότιμον ὑφέστηκε θεῷ, ἀλλ' ἔστιν εἷς ἄρχων καὶ ἡγεμὼν καὶ βασιλεύς, ᾧ πρυτανεύειν καὶ διοικεῖν μόνῳ θέμις τὰ σύμπαντα· τὸ γὰρ Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, Εἷς βασιλεύς, οὐκ ἐπὶ πόλεων καὶ ἀνθρώπων λέγοιτ' ἂν ἐν δίκῃ μᾶλλον, ἢ ἐπὶ κόσμου καὶ θεοῦ. ἑνὸς γὰρ ἕνα ποιητήν τε καὶ πατέρα πάλιν, καὶ δεσπότην ἀναγκαῖον εἶναι. τούτου δὴ προωμολογημένου, ἀκόλουθον ἂν εἴη συνυφαίνειν τὰ ἁρμόζοντα. τίν' οὖν ἐστι σκοπῶμεν. εἷς ὢν ὁ θεὸς ἀμυθήτους περὶ αὑτὸν ἔχει δυνάμεις ἀρωγοὺς καὶ σωτηρίους τοῦ γενομένου πάσας, αἷς ἐμφέρονται καὶ αἱ κολαστήριοι. ἔστι δὲ καὶ κόλασις οὐκ ἐπιζήμιον, ἁμαρτημάτων οὖσα κώλυσις καὶ ἐπανόρθωσις· δι' αὖ τούτων τῶν δυνάμεων ὁ ἀσώματος καὶ νοητὸς ἐπάγη κόσμος, τὸ τοῦ φαινομένου τοῦδε ἀρχέτυπον, ἰδέαις ἀοράτοις συσταθείς, ὥσπερ οὗτος σώμασιν ὁρατοῖς. καταπλαγέντες οὖν τινες τὴν ἑκατέρου τῶν κόσμων φύσιν, οὐ μόνον ὅλους ἐξεθείωσαν, ἀλλὰ καὶ τὰ κάλλιστα τῶν ἐν αὐτοῖς μερῶν, ἥλιον, καὶ σελήνην, καὶ τὸν σύμπαντα οὐρανόν, ἅπερ οὐδὲν αἰδεσθέντες, θεοὺς ἐκάλεσαν, ὧν τὴν ἐπίνοιαν κατιδὼν Μωϋσῆς φησί, Κύριε κύριε βασιλεῦ τῶν θεῶν, ἔνδειξιν τῆς πρὸς ὑπηκόους ἄρχοντος διαφορᾶς. ἔστι δὲ καὶ κατὰ τὸν ἀέρα ψυχῶν ἀσωμάτων ἱερώτατος χορός, ὀπαδὸς τῶν οὐρανίων. ἀγγέλους γὰρ τὰς ψυχὰς ταύτας εἴωθε καλεῖν ὁ θεσπιῳδὸς λόγος. πάντ' οὖν τὸν στρατὸν ἑκάστων ἐν ταῖς ἁρμοζούσαις διακεκοσμημένον τάξεσιν, ὑπηρέτην καὶ θεραπευτὴν εἶναι συμβέβηκε τοῦ διακοσμήσαντος ἡγεμόνος, ᾧ ταξιαρχοῦντι κατὰ δίκην καὶ θεσμὸν ἕπεται. λιποταξία γὰρ οὐ θέμις ἁλῶναί ποτε τὸ θεῖον στράτευμα. βασιλεῖ δὲ ταῖς ἑαυτοῦ δυνάμεσιν ἐμπρεπὲς ὁμιλεῖν τε καὶ χρῆσθαι πρὸς τὰς τῶν τοιούτων πραγμάτων ὑπηρεσίας, οἷσπερ ἁρμόττει μὴ ὑπὸ μόνου πήγνυσθαι θεοῦ. χρεῖος μὲν γὰρ οὐδενός ἐστιν ὁ τοῦ παντὸς πατήρ, ὡς δεῖσθαι τοῦ ἀφ' ἑτέρων εἰ ἐθέλοι δημιουργῆσαι. τὸ δὲ πρέπον ὁρῶν ἑαυτῷ τε καὶ τοῖς γινομένοις, τοῖς ὑπηκόοις δυνάμεσιν ἔστιν ἃ διαπλάττειν ἐφῆκεν, οὐδὲ ταύταις εἰσάπαν αὐτοκρατόρα δοὺς τὴν τελεσιουργὸν ἐπιστήμην, ἵνα μή τι πλημμεληθείη τῶν ἀφικνουμένων εἰς γένεσιν. ταῦτα μὲν οὖν ἀναγκαῖον ἦν προτυπῶσαι· ὧν δὲ χάριν, ἤδη λεκτέον. ἡ μὲν φύσις τῶν ζώων, εἰς τὸ ἄλογον καὶ λογικὴν μοῖραν ἐναντίας ἀλλήλαις ἐτμήθη τὸ πρῶτον· ἡ δ' αὖ λογικὴ πάλιν, εἰς τὸ φθαρτὸν καὶ ἀθάνατον εἶδος,

A nam illud, vnus è nobis, non de vno, sed de pluribus ponitur. Dicendum igitur illud primùm, nihil in rebus æquiparari Deo, sed hunc esse vnum regem ducem principem, à quo solo fas est administrari ac dispensari vniuersa. nam illud,

Multos imperitare malum est, rex vnicus esto,

non ad ciuitates & homines magis pertinet, quam ad mundum & Deum. Vnum enim vnius factorem, patrem,
B Dominum esse, necessum est. quo concesso, attexenda sunt quæ inde consequenter dependent. quænam illa? Deus cum sit vnus, dici non potest quam multas habeat socias potentias, quæ salutem rerum procurant, quædam etiam plectunt noxios. ea vero pœna non est damnosa, cum peccata castiget ac coherceat. per has item potentias ille incorporeus intelligibilisque mundus compactus est, exemplar huius mundi visibilis: quod constat
C ex ideis inuisibilibus, sicut hic noster ex corporibus visibilibus. Vtriusque pulchritudinem admirati quidam, non solum ipsos totos consecrauerunt, verum & partes eorum præcipuas, solem, lunam, cælum, non veriti eas Deos appellare. quorum cogitationem Moses intelligens, inquit, Domine Domine, rex deorum: vt indicaret eum esse præstantiorem quam subditos. Est & in aere animarum incorporearum sacratus chorus, assecla illarum
D cælestium. nam has solent angelos nominare diuina oracula. hic vniuersus exercitus in suos digestus ordines, imperatoris summi iussa exequitur, & huic vni moderatori suo sicut fas est obsequitur: in quibus copijs non licet reperire desertorem ordinis. Rex ipse his ministerijs stipatus, vtitur eis duntaxat ad ea negocia, quæ decet non à solo Deo tractari. quamuis enim nullius ope indigeat pater omnium, qua subleuetur quoties vult aliquid facere:
E tamen videt quid se, quid creaturas deceat, & quædam potentijs subditis efficienda permittit, ne his quidem concessa facultate in totum libera, vt ne quod erratum in generatione admittatur. Hæc igitur necessario primum dicenda habui, nunc dicam quid inde colligitur: Animaliũ naturæ prima diuisio fit in partes brutam rationalémque. rationalis pars subdiuiditur in mortalem speciem & immortalem alteram,

mortalem hominum, immortalem animarum incorporearum, quæ versantur in cælo & in aere. hæ vitiorum expertes sunt, sortem adeptæ felicem nullisque calamitatibus obnoxiã, quippe quæ non alligantur corpori miseriarum domicilio. bruta quoque carent vitijs, sicut & mente, proinde non fiunt rea peccati voluntarij, quando nulla præcedit deliberatio. solus propemodum ex omnibus homo habens bonorum malorúmque scientiam, sæpenumero eligit contemnenda, fugit sectanda magno studio, quapropter merito peccati sponte admissi reus peragitur. conuenienter igitur huius creationem Deus cum subpræfectis suis communicat dicens: Faciamus hominem: vt & benefacta eius ad ipsum autorem solum referantur, & peccata ad cæteros socios. nam ipsi omnipotenti non erat conueniens, in rationali anima viam ad vitia sternere. quam ob rem ministris eam partem faciendam commisit. nam complementum totius operis postulabat vt voluntario contrarium iungeretur inuoluntarium. & hæc quidem hactenus dicta sint. superest & illud considerandum, Deum bonorum tantummodo causam esse, mali autem prorsus nullius: quandoquidem ipse bonum omnium antiquissimum est & perfectissimum. Decet autem suæ naturæ propria operari optimum optima: improborum autem pœnas per eius ministros sanciri. attestantur meis dictis illa verba perfecti meditatoris: Deus qui nutrit me à iuuentute mea, angelus qui eripit me ex malis omnibus. hic quoque nunc fatetur, germana bona, quæ studiosas virtutis animas nutriunt, ad solum Deum autorem referenda: malorum autem portionem commissam angelis, ac ne his quidem liberam puniendi facultatem habentibus, ne cui ad perniciem tendenti salutaris illa natura occasionem præbeat. quapropter dicit: Venite descendamus & confundamus. hanc enim censuram merentur impij, vt beneficæ alioquin, benignæ propitiæque potentiæ pœnas ab eis exigant: quas Deus sciens humano generi vtiles, per alios statuit. oportebat enim castigationem adhiberi, sic tamen vt perennes gratiarum fontes nullis malis miscerentur, non solum his quæ vere mala sunt, sed etiam quæ esse videntur. Nunc quærendum quæ sit illa confusio.

A φθαρτὸν μὲν τὸ ἀνθρώπων, ἄφθαρτον δὲ τὸ ψυχῶν ἀσωμάτων, αἳ κατὰ τὸν ἀέρα καὶ οὐρανὸν περιπολοῦσι. κακίας δὲ ἀμέτοχοι μέν εἰσιν αὗται, τὸν ἀκήρατον καὶ εὐδαίμονα κλῆρον ἐξ ἀρχῆς λαχοῦσαι, καὶ τῷ συμφορῶν ἀλιώτων οὐκ ἐνδεθεῖσαι χωρίῳ σώματι. ἀμέτοχοι δὲ καὶ τὰ ἄλογα, παρ' ὅσον ἀμοιροῦσι διανοίας, οὐδὲ τῶν ἐκ λογισμοῦ συμβαινόντων ἑκουσίων ἀδικημάτων ἁλίσκονται. μόνος δὲ σχεδὸν ἐκ πάντων ὁ ἄνθρωπος ἀγαθῶν καὶ κακῶν ἔχων ἐπιστήμην, αἱρεῖται μὲν πολλάκις τὰ φαυλότατα, φεύγει δὲ τὰ σπουδῆς ἄξια, ὥστε αὖ τὰ μάλιστα ἐπὶ τοῖς ἐκ προνοίας ἁμαρτήμασι καταγινώσκεσθαι. προσηκόντως οὖν τὴν τούτου κατασκευὴν ὁ θεὸς προσένειμε καὶ τοῖς ὑπάρχοις αὐτοῦ λέγων, Ποιήσωμεν ἄνθρωπον, ἵνα αἱ μὲν τοῦ νοῦ κατορθώσεις ἐπ' αὐτὸν ἀναφέρωνται μόνον, ἐπ' ἄλλους δὲ αἱ ἁμαρτίαι. θεῷ γὰρ τῷ πανηγεμόνι ἐμπρεπὲς οὐκ ἔδοξεν εἶναι τὴν ἐπὶ κακίαν ὁδὸν ἐν ψυχῇ λογικῇ δι' ἑαυτοῦ δημιουργῆσαι· οὗ χάριν τοῖς μετ' αὐτὸν ἐπέτρεψε τὴν τούτου τοῦ μέρους κατασκευήν. ἔδει γὰρ καὶ τὸ ἀντίπαλον τῷ ἀκουσίῳ τὸ ἑκούσιον εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν κατασκευασθὲν ἀναδειχθῆναι. τοῦτο μὲν δὴ ταύτῃ λελέχθω. προσήκει δὲ κἀκεῖνο λελογίσθαι, ὅτι μόνων ἀγαθῶν ἐστιν ὁ θεὸς αἴτιος, κακοῦ δὲ οὐδενὸς τὸ παράπαν. ἐπεὶ καὶ τὸ πρεσβύτατον τῶν ὄντων καὶ τελειότατον ἀγαθὸν αὐτὸς ἦν. ἐμπρεπέστατα δὲ τὰ οἰκεῖα τῇ ἑαυτοῦ φύσει δημιουργεῖν, ἄριστα τῷ ἀρίστῳ, τὰς μέντοι κατὰ πονηρῶν κολάσεις διὰ τῶν ὑπ' αὐτὸν βεβαιοῦσθαι. μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ τὸ εἰρημένον ὑπὸ τοῦ τελειωθέντος ἐξ ἀσκήσεως, τόδε, Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. ὁμολογεῖ γὰρ καὶ οὗτος ἤδη, ὅτι τὰ μὲν γνήσια τῶν ἀγαθῶν, ἃ φιλαρέτους τρέφει ψυχάς, ἐπὶ θεὸν ἀναφέρεται μόνον αἴτιον· ἡ δὲ τῶν κακῶν μοῖρα, ἀγγέλοις ἐπιτέτραπται, πάλιν, οὐδὲ ἐκείνοις ἔχουσι τὴν τοῦ κολάζειν αὐτοκρατῆ ἐξουσίαν, ἵνα μηδενὸς τὴν εἰς φθορὰν τεινόντων ἡ σωτήριος αὐτοῦ κατάρχῃ φύσις. διὸ λέγει, Δεῦτε καταβάντες συγχέωμεν. οἱ μὲν γὰρ ἀσεβεῖς τοιαύτης ἐπάξιοι δίκης τυγχανέτωσαν, ἵλεως καὶ εὐεργέτιδας καὶ φιλοδώρους αὐτοῦ δυνάμεις οἰκειοῦσθαι τιμωρίαις. εἰδὼς μέντοι τὴν διὰ τῶν ἀνθρώπων ὠφελίμους ὑπαρχούσας, δι' ἑτέρων αὐτὰς ὥρισεν. ἔδει γὰρ τὸ μὲν ἐπανορθώσεως ἀξιοῦσθαι, τὰς δὲ πηγὰς τῶν ἀενάων αὐτοῦ χαρίτων, ἀμιγεῖς κακῶν οὐκ ὄντων μόνον, ἀλλὰ καὶ νομιζομένων φυλαχθῆναι. τίς δέ ἐστιν ἡ σύγχυσις, ἐρευνητέον.

πῶς οὖν, ἐρευνήσομεν. οὕτως, ὥς γε μοι φαίνεται· A
πολλάκις οὓς πρότερον οὐκ ᾔδειμεν, ἀπὸ τῶν συγ-
γενῶν καί τινα πρὸς αὐτοὺς ἐχόντων ἐμφέρειαν,
ἐγνωρίσαμεν. ἐοικότως καὶ πράγματα τὸν αὐτὸν
τρόπον ἃ μὴ ῥᾴδιον ἐξ ἑαυτῶν καταλαμβάνεσθαι,
δῆλα γένοιτ' ἂν κατὰ τὴν τῶν οἰκείων αὐτοῖς ὁμοιό-
τητα. τίνα οὖν ἐστὶ συγχύσει πράγματα ὅμοια·
ἡ μίξις, ὥσπερ ὁ παλαιὸς λόγος, καὶ κρᾶσις. ἀλλ'
ἡ μὲν μίξις ἐν ξηραῖς, ἡ δὲ κρᾶσις ἐν ὑγραῖς οὐσίαις
δοκιμάζεται. μίξις μὲν οὖν σωμάτων διαφερόντων B
ἐστὶν, οὐκ ἐν κόσμῳ παράθεσις· ὥσπερ ἂν εἴ τις
σωρὸν ποιήσειε κριθὰς καὶ πυροὺς καὶ ὀρόβους, καὶ
ἄλλα τὰ εἴδη τῶν σπαρτῶν εἰς ταὐτὸν εἰσενεγκών.
κρᾶσις δ' οὐ παράθεσις, ἀλλὰ τῶν ἀνομοίων μερῶν
εἰς ἄλληλα εἰσδυομένων δι' ὅλων ἀντιπαρέκτασις,
ἔτι δυναμένων ἐπιτεχνήσει τινὶ διακρίνεσθαι τῶν
ποιοτήτων, ὡς ἐπὶ οἴνου καὶ ὕδατός φασι γίνεσθαι·
συνελθούσας μὲν γὰρ τὰς οὐσίας ἀποτελεῖν κρᾶσιν· τὸ
δὲ κραθὲν, οὐδὲν ἧττον ἀποπληρεσθαι πάλιν εἰς
τὰς ἐξ ὧν ἀπετελέσθη ποιότητας. σπόγγῳ γὰρ C
ἠλαιωμένῳ, τὸ μὲν ὕδωρ ἀναλαμβάνεσθαι, τὸν δ'
οἶνον ἀπολείπεσθαι. μήποτε ἐπειδήπερ ἐξ ὕδατος
ἡ σπογγιᾶς γένεσίς ἐστι, τὸ μὲν οἰκεῖον ὕδωρ πέφυκεν
ἀναλαμβάνεσθαι πρὸς αὐτῆς ἐκ τοῦ κράματος,
τὸ δ' ἀλλότριον ὑπολείπεσθαι ὁ οἶνος. σύγχυσις
δέ ἐστι φθορὰ τῶν ἐξ ἀρχῆς ποιοτήτων πᾶσι τοῖς
μέρεσιν ἀντιπαρεκτεινομένων εἰς διαφερούσης μιᾶς
γένεσιν, ὡς ἐπὶ τῆς ἐν ἰατρικῇ τετραφαρμάκου
συντέτευχε. κηρὸς γὰρ, καὶ στέαρ, καὶ πίττα, ῥητίνη D
τε, οἶμαι, συνελθόντα, ταύτην ἀποτελεῖ· συντε-
θείσης δὲ, ἀμήχανον ἐπὶ τὰς ἐξ ὧν συνετέθη δια-
κριθῆναι δυνάμεις, ἀλλ' ἑκάστη μὲν, αὐτῶν ἠφά-
νισται, πασῶν δὲ φθορὰ μίαν ἐξαίρετον ἄλλην ἐγέν-
νησε δύναμιν. ὅταν δ' ἀπειλῇ σύγχυσιν τοῖς ἀσε-
βέσι λογισμοῖς ὁ θεὸς, οὐ μόνον ἑκάστης κακίας, τό,
τε εἶδος καὶ τὴν δύναμιν ἀφανισθῆναι κελεύει,
ἀλλὰ καὶ τὸ συνερανισθὲν ἐξ αὐτῶν, ἵνα μήτε τὰ
μέρη καθ' ἑαυτὰ, μήθ' ἡ πάντων σύνοδός τε καὶ E
συμφωνία, περιβάληταί τινα ἰσχὺν ἐπὶ καθαι-
ρέσει τῆς ἀμείνονος μοίρας· οὗ χάριν φησὶ, Συγχέω-
μεν ἐκεῖ αὐτῶν τὴν γλῶτταν, ἵνα μὴ ἀκούσωσιν
ἕκαστος τὴν φωνὴν τοῦ πλησίον, ὅπερ ἴσον ἐστὶ τού-
τῳ, κωφὸν ἕκαστον ἐργασώμεθα τῶν κακίας με-
ρῶν, ὡς μήτε ἰδίαν ἀφιέναι, μήτε συνηχοῦν ἑ-
τέρῳ, βλάβης αἴτιον γένηται. Ταῦτα μὲν ἡμεῖς·
οἱ δὲ τοῖς ἐμφανέσι καὶ προχείροις μόνον ἐπακο-
λουθοῦντες, οἴονται γένεσιν διαλέκτων, Ἑλλη-
νικῶν τε καὶ βαρβάρων ὑπογράφεσθαι, οὓς οὐκ

A at quomodo quærendum? sic opinor.
Sæpe ignotos ex similium & eiusdem
generis collatione cognoscimus. ad
eundem modum etiam res quæ per se
non facile noscuntur, manifeste ap-
parebunt per cognatarum similitudi-
nem. Quid est igitur confusioni simi-
le? mixtura, sicut à maioribus tradi-
tur, & temperatura. mixtura in ari-
dis rebus, temperatura in humidis.
est igitur mixtura, corporum diuer-
sorum perturbata coniunctio: quasi
B quis hordeum, triticum, pisum, cæ-
teráſque frugum species in vnum acer-
uum congerat. temperatura vero non
est coniunctio, sed dissimilium par-
tium mutua penetratio, quarum se-
mel temperatarum qualitates arte qua-
dam secerni queunt, quod dicunt in
vino & aqua contingere. nam hæc
duo si vniantur, temperaturam confi-
cere, quæ nihilominus redire possit
ad qualitates pristinas. si enim spon-
C giam imbuas oleo, aquam ea colligi,
vinum relinqui. fortasse quia spongia
ex aquis genita cognatum liquorem
ex temperamento attrahit, vinum
vero vt alienum respuit. at confusio
fit cum penetrantibus se inuicem par-
tibus qualitates earum pereunt, vt
corruptis rebus quæ prius fuerant:
vnius nouæ, & à prioribus diuersæ,
existat generatio: quod accidit in
medicorum compositione quam vo-
cant tetrapharmacum: quæ constat
D opinor è cera, pice, resina, & adi-
pe: quæ semel composita non pos-
sunt arte vlla separari, vt redeant ad
qualitates pristinas. sed cum singulæ
nusquam appareant, ex omnibus cor-
ruptis vna egregia facultas conficitur.
Quoties autem Deus minatur confu-
sionem cogitationibus impijs, ea non
singulis tantum vitiorum speciebus ea-
rúmque viribus intentatur, sed &
operibus eorum quæ fiunt de com-
E muni sententia: ne vel singula, vel
communicatis consilijs, vires colli-
gant ad delendam partem præstantio-
rem. quapropter ait: Confundamus
ibi linguam eorum, ne audiant vo-
cem quisque sui proximi.] ac si di-
ceret, muta surdáque faciamus vitia
singula, vt nec loquendo nec assen-
tiendo damnum dent. Hæc est nostra
super hoc textu sententia. Qui vero
aperta solum & obuia sectantur, pu-
tant hic describi ortum linguarum
Græcarum ac barbararum. quos equi-

dem non accuso: fortassis enim & ipsi A recte sentiunt: attamen admonitos cupio, ne hactenus processisse contenti sint, sed transcant ad tropologiam, sic existimando, diuina oracula esse vmbras quasdam corporum: cæterum quæ per has significantur, esse res verissimas. id siquis animo cæcutiens parum intelligit, occasionem ab ipso legislatore porrectam non negligat, vel hoc ipso in loco. Confusionem enim rem hanc appellat: qui si voluisset solum ortum B linguarum indicare, aptius diuisionem appellasset quàm confusionem. non confunduntur enim quæ in partes distribuuntur, sed discernuntur potius: vt non minor pugna sit inter hæc vocabula, quàm inter res ipsas. est enim confusio, sicut iam dixi, facultatum simplicium corruptio, quæ simul congestæ vnam quampiam generant. separatio vero est vnius in plura sectio: sicut cum genus aliquod in plures diuiditur species. Itaque si ille solus sapiens C voluisset vnam loquelam in plures partes diuidi, alijs aptioribus & magis proprijs vsus fuisset appellationibus: puta diuisionem dicendo, aut distributionem, aut separationem, aut aliquid huiusmodi, non confusionem, quæ plane contrarium significat. Verùm hoc nunc est propositum, disijcere vitiorum constipatum cuneum, irritare horum fœdera, societatem conuellere, copias fundere fugaréque, imperium vi euertere, quod erat communitum D iniquitatibus maximis. Viden vt opifex ille noluit conspirare partes animæ? non oculi possunt audire, non aures cernere, non olfacere labia, non gustare nares, non ratio fungi officio sensuum, sicut nec sensus valent in vocem erumpere. norat enim ille artifex, non expedire vt hæc se inuicem exaudiant: satius esse, vt singulæ animæ partes intra suas functiones consistant, & inconfusæ maneant: idque non minus conferre animantium generi, quàm priuatim ipsis potentijs. è diuerso vitia de- E ducta sunt in confusionem & extremam perniciem: vt nec collatis viribus, nec priuatis conatibus, detrimentum afferant partibus melioribus. & hoc est quod dicit: Dispersit eos Dominus illinc: ac si diceret, dissipauit, eiecit, profligauit. nam spargere aliquando ad incrementum & augmentum pertinet, aliquando ad interitum & perniciem. Vult autem ille rerum plantator Deus,

A αὐ αἰτιασάμενος· ἴσως γὰρ ἀληθεῖ καὶ αὐτοὶ χρῶνται λόγῳ· παρακαλέσαιμι δ' ἂν μὴ ἐπὶ τούτων στῆναι, μετελθεῖν δὲ ἐπὶ τὰς τροπικὰς ἀποδόσεις, νομίσαντας τὰ μὲν ῥητὰ τῶν χρησμῶν σκιάς τινας ὡσανεὶ σωμάτων εἶναι, τὰς δ' ἐμφαινομένας δυνάμεις, τὰ ὑφεστῶτα ἀληθείᾳ πράγματα. δίδωσι μέντοι πρὸς τοῦτ' ἀφορμὰς τὸ εἰδὸς τοῖς τυφλοῖς τὴν διάνοιαν ὁ νομοθέτης αὐτός, ὥσπερ ἀμέλει καὶ ἐφ' ὧν νῦν ἐστιν ὁ λόγος. τὸ γὰρ γινόμενον σύγχυσιν προσεῖπεν, καίτοιγε εἰ δια- B λέκτων γένεσιν αὐτὸ μόνον ἐδήλου, κἂν ὄνομα εὐθυβολώτατον ἐπεφήμισεν ἀντὶ συγχύσεως διάκρισιν. οὐ γὰρ συγχεῖται τὰ τεμνόμενα, διακρίνεται δὲ ἔμπαλιν, καί ἐστιν οὐ μόνον ἐναντίον ὄνομα ὀνόματι, ἀλλ' ἔργον ἔργῳ. σύγχυσις μὲν γάρ, ὡς ἔφην, ἐστὶ, φθορὰ τῶν ἁπλῶν δυνάμεων εἰς συμπεφορημένης μιᾶς γένεσιν· διάκρισις δὲ ἑνὸς εἰς πλείω τομή, καθάπερ ἐπὶ γένους τῶν καθ' αὑτὸ εἰδῶν ἔχειν συντέταχεν· ὥστε εἰ μίαν C οὖσαν φωνὴν ἐκέλευσε τέμνειν ὁ σοφὸς εἰς πλειόνων διαλέκτων τμήματα, προσφυεστέροις ἂν καὶ κυριωτέροις ἐχρήσατο τοῖς ὀνόμασι, τομήν, ἢ διανέμησιν, ἢ διάκρισιν, ἤ τι ὁμοιότροπον εἰπών, οὐ τὸ μαχόμενον αὐτοῖς σύγχυσιν. ἀλλ' ἔστιν ἡ σπουδὴ διαλῦσαι τὸ κακίας στῖφος, τὰς ὁμολογίας αὐτῆς ἀκυρῶσαι, τὴν κοινωνίαν ἀνελεῖν, τὰς δυνάμεις ἀφανίσαι καὶ διαφθεῖραι, τὸ τῆς ἀρχῆς κράτος, ὃ δειναῖς ὠχυρώσατο παρανομίαις, καθελεῖν. οὐχ ὁρᾷς ὅτι καὶ τῆς ψυχῆς ὁ πλάστης με- D ρῶν οὐδὲν οὐδενὶ εἰς τὴν τοῦ ἑτέρου κοινωνίαν ἤγαγεν; ἀλλ' ὀφθαλμοὶ μὲν οὐκ ἂν ἀκούσαιεν, ὦτα δὲ οὐκ ἂν θεάσαιντο, χεῖλος δὲ ἐν στόματι οὐκ ἂν ὀσφραίνοιτο, οὐδ' ἂν γεύσαιντο ῥῖνες, οὔτ' αὖ λόγος οὐδὲν ἂν τῶν κατὰ τὰς αἰσθήσεις πάθοι, οὐδ' ἔμπαλιν ῥῆξαι φωνὴν δύναιντ' ἂν αἰσθήσεις. ἔγνω γὰρ ὁ τεχνίτης ὅτι τὸ μὴ ἀκούειν ἕκαστον τούτων τῆς τοῦ πλησίον φωνῆς, λυσιτελές ἐστιν. ἀλλὰ τὰ μὲν τῆς ψυχῆς μέρη ταῖς οἰκείαις δυνάμεσιν ἀσυγχύτοις χρῆσθαι, πρὸς τὴν τῶν ζώων E ὠφέλειαν, καὶ εἰς τὴν πρὸς ἄλληλα κοινωνίαν ἀφῄρηται· τὰ δὲ τῆς κακίας εἰς σύγχυσιν καὶ φθορὰν ἐλθεῖν παντελῆ, ἵνα μήτε συμφωνήσαντα, μήτε καθ' ἑαυτὰ ὄντα, ζημία τοῖς ἀμείνοσι γένηται· παρ' ὃ καὶ λέγει, Διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν, ἐν ἴσῳ τῷ ἐσκέδασεν, ἐφυγάδευσεν, ἀφανεῖς ἐποίησεν. τὸ γὰρ σπείρειν, τὸ μὲν ἐπιδόσεως καὶ αὐξήσεως γενέσεως ἑτέρων ἕνεκα συμβαίνει, τὸ δὲ ἀπωλείας καὶ φθορᾶς. βούλεται δὲ ὁ φυτουργὸς θεός,

σπείρειν

ἀνεγείρεσθαι μὲν ἐν τῷ παντὶ καλοκἀγαθίαν, διασπείρεσθαι δὲ καὶ ἠφανίσθαι ἐκ τῆς τοῦ κόσμου πολιτείας τὴν ἐπάρατον ἀσέβειαν, ἵν᾿ ἤδη ποτὲ παύσωνται τὴν κακίας πόλιν, καὶ τὸν ἀθεότητος πύργον οἰκοδομοῦντες μισάρετοι τρόποι. τούτων γὰρ σκεδασθέντων οἱ πάλαι πεφυγαδευκότες τὴν τυραννίδα τῆς ἀφροσύνης ἑνὶ κηρύγματι κάθοδον εὑρήσουσι, γράψαντός τε καὶ βεβαιώσαντος τὸ κήρυγμα, ὡς δηλοῦσιν οἱ χρησμοί, ἐν οἷς διείρηται, ὅτι ἐὰν ᾖ ἡ διασπορά σου ἀπ᾿ (B) ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε· ὥστε τὴν μὲν τῶν ἀρετῶν συμφωνίαν ἐμπρεπὲς ἁρμόζεσθαι θεῷ, τὴν δὲ κακιῶν διαλύειν τε καὶ φθείρειν. οἰκειότατον δὲ κακίας ὄνομα σύγχυσις· οὗ πίστις ἐναργὴς πᾶς ἄφρων, λόγοις καὶ βουλαῖς καὶ πράξεσιν ἀδοκίμοις καὶ πεφυρμέναις χρώμενος.

A honestatem esse omnibus insitam, dispergi vero & exulare extra mundi terminos impietatem execrabilem, vt tandem tollatur è medio ciuitas vitiorum, cum infensis virtuti moribus, impietatis turrim substruentibus. his enim dissipatis, quotquot per insipientiæ tyrannidem coacti sunt solum vertere, vno edicto reuocantur in patriam: quod ipse Deus promulgat, diserte dicente oraculo: (B) Etiamsi dispersus fueris à summo cælo ad extremitatem eius aduersam, sic quoque te colligam. Itaque concentum virtutum à Deo foueri decet, vitia vero dispergi & profligari. nec est aliud nomen quod vitio magis conueniat quam confusio. id quod euidens est in quouis insipiente, qui verbis, consilijs, factis improbatis confusisque vtitur.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ

ΒΙΟΣ ΣΟΦΟΥ ΤΟΥ ΚΑΤΑ ΔΙΔΑΣΚΑΛΙΑΝ ΤΕΛΕΙΩΘΕΝΤΟΣ, ἢ περὶ νόμων ἀγράφων, ὅ ἐστι περὶ Ἀβραάμ.

PHILONIS IVDÆI, VITA

SAPIENTIS PER DOCTRINAM PERFECTI, SIVE DE LEGIBVS NON SCRIPTIS, HOC EST, DE ABRAHAMO.

ΤΩΝ ἱερῶν νομῶν ἐν πέντε βίβλοις ἀναγραφέντων, ἡ πρώτη καλεῖται καὶ ἐπιγράφεται Γένεσις, ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, ἣν ἐν ἀρχῇ περιέχει, λαβοῦσα τὴν πρόσρησιν· καίτοι μυρίων ἄλλων ἐμφερομένων πραγμάτων, ὅσα κατ᾿ εἰρήνην ἢ πόλεμον, ἢ φορὰς ἢ ἀφορίας, ἢ λιμὸν καὶ εὐθηνίαν, ἢ τὰς μεγίστας τῶν ἐπὶ γῆς φθορὰς (D) διὰ πυρὸς καὶ ὕδατος, ἢ τοὐναντίον γενέσεις καὶ εὐτροφίας ζώων καὶ φυτῶν, κατὰ τὴν ἀέρος καὶ τῶν ἐτησίων ὡρῶν εὐκρασίαν, καὶ τῶν ἀνδρῶν τῶν μὲν ἀρετῇ, τῶν δὲ κακίᾳ συμβιωσάντων. ἀλλ᾿

C SACRÆ legis quinque voluminum primum vocatur & intitulatur Genesis, ob mundi generationē sic nominatum, quā in principio continet: quamuis in eius reliquo res innumeræ insertæ sunt bello pacéque gestæ, item sterilitates fertilitatésque, penuriæ copiæque, adhæc (D) maximę clades terrarum, incendium & diluuium, & è diuerso reparatio felixque prouentus animalium pariteratque stirpium: provt ferebant vel aeris temporúmque quotannis alternantiū tem-

ἡγεῖται θεῖον, τὸ οἰκειότατον ἀνθρωπίνης ψυχῆς ἐλπίδα ἀφῃρημένον· ὅθεν καὶ παγκάλως ὁ Μωσῆς βουλόμενος τὸν εὔελπιν, προειπὼν ὅτι οὗτος ἤλπισεν ἐπὶ τὸν τῶν ὅλων πατέρα καὶ ποιητήν, ἐπιλέγει, Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων, καίτοι πατέρων καὶ πάππων ἤδη γεγονότων· ἀλλὰ τοὺς μὲν ἀρχηγέτας τοῦ μικτοῦ γένους ὑπελάμβανεν εἶναι, τουτονὶ δὲ τοῦ καθαρωτάτου καὶ διηθημένου, ὅπερ ὄντως ἐστὶ λογικόν. καθάπερ γὰρ ὁ ποιητὴς Ὅμηρος μυρίων ὄντων ποιητῶν, κατ' ἐξοχὴν λέγεται, καὶ τὸ μέλαν ᾧ γράφομεν, καίτοι παντός, ὃ μὴ λευκόν ἐστι, μέλανος ὄντος· καὶ ἄρχων Ἀθήνησιν ὁ ἐπώνυμος, καὶ τῶν ἐννέα ἀρχόντων ἄριστος, ἀφ' οὗ οἱ χρόνοι καταριθμοῦνται· τὸν αὐτὸν τρόπον καὶ τὸν ἐλπίδι χρώμενον, ἄνθρωπον κατ' ἐξοχὴν ὠνόμασε, τὰ πλήθη τῶν ἄλλων ἀφησυχάσας, ὡς οὐκ ἀξίων τῆς αὐτῆς προσρήσεως ἐπιλαχεῖν. εὖ μέντοι καὶ τὴν βίβλον γενέσεως τοῦ πρὸς ἀλήθειαν ἀνθρώπου προσεῖπεν, οὐκ ἀπὸ σκοποῦ, διότι γραφῆς καὶ μνήμης ἄξιος ὁ εὔελπις, οὐ τῆς ἐν χαρτιδίοις τοῖς ὑπὸ σητῶν διαφθαρησομένοις, ἀλλὰ τῆς ἐν ἀθανάτῳ τῇ φύσει, παρ' ᾗ τὰς σπουδαίας πράξεις ἀναγράπτους εἶναι συμβέβηκεν. Ἐὰν μέντοι καταριθμήσηταί τις ἀπὸ τοῦ πρώτου καὶ γηγενοῦς, τὸν μὲν ὑπὸ Χαλδαίων Ἐνώς, Ἑλλάδι δὲ διαλέκτῳ προσαγορευόμενον ἄνθρωπον, εὑρήσει τέταρτον. ἐν ἀριθμοῖς δὲ ἡ τετρὰς τετίμηται παρά τε τοῖς ἄλλοις φιλοσόφοις, ὅσοι τὰς ἀσωμάτους οὐσίας καὶ νοητὰς ἠσπάσαντο, καὶ μάλιστα παρὰ Μωσεῖ τῷ πανσόφῳ, ὃς σεμνύνων τὸν τέταρτον ἀριθμόν φησιν, ὅτι ἅγιός ἐστι καὶ αἰνετός. δι' ἃς δ' αἰτίας ἐλέχθη, διὰ τῆς προτέρας συντάξεως εἴρηται. ἅγιος δὲ καὶ ἐπαινετὸς ὁ εὔελπις, ὡς τοὐναντίον ἐναγὴς καὶ ψεκτὸς ὁ δύσελπις, φόβῳ πρὸς ἅπαντα συμβούλῳ κακῷ χρώμενος. οὐδὲν γὰρ οὕτως ἐχθρὸν ἄλλο ἄλλῳ φασίν, ὡς ἐλπίδα φόβῳ, καὶ φόβον ἐλπίδι. καὶ μήποτ' εἰκότως· προσδοκία μὲν γὰρ ἑκάτερον, ἀλλ' ἡ μὲν ἀγαθῶν, ἡ δ' ἔμπαλιν κακῶν· ἀκατάλλακτοι δ' αἱ φύσεις τούτων αἱ ἀσύμβατοι. τοσαῦτα μὲν ἀπόχρη περὶ ἐλπίδος εἰπεῖν, ἣν ἐπὶ θύραις οἷα πυλωρὸν ἡ φύσις ἱδρύσατο, βασιλίδων τῶν ἔνδον ἀρετῶν, αἷς οὐκ ἔστιν ἐντυχεῖν, μὴ ταύτην προθεραπεύσαντας. πολλὰ μὲν οὖν οἱ νομοθέται· πολλὰ δὲ οἱ πανταχοῦ νόμοι πραγματεύονται περὶ τοῦ τὰς ψυχὰς τῶν ἐλευθέρων, ἐλπίδων χρηστῶν ἀναπλῆσαι. ὁ δ' ἄνευ παραινέσεως δίχα τοῦ κελευσθῆναι γενόμενος εὔελπις, ἀγράφῳ μέν, νόμῳ δὲ πάλιν αὐτομαθεῖ τὴν ἀρετὴν ταύτην πεπαίδευται),

A præditam, cui desit spes proprium ornamentum humanæ animæ. Quamobrem cum vellet egregie laudare hunc bene sperantem, postquam dixit: hic sperauit in patrem & in factorem omnium: subiecit, Hic est liber generationis hominum, quamuis iam & patres & aui quidam erant. Sed illos mixti generis autores censebat, hunc autem puri putique, quod rationale vere dicitur. nam sicut Homerus inter cæteros innumeros poeta per excellen-
B tiam vocatur, & atramentum quo scribimus, quamuis atrum sit quicquid albo opponitur, & ἄρχων Athenis è nouem magistratibus præcipuus, cuius nomen in fastis distinguit tempora: eodem modo bene sperantem hominem per excellentiam nominat, secretum à vulgo ignobili, & indigno tali appellatione. Nec minus recte librum generationis veri hominis dixit, non extra propositum, quandoquidem hic bene sperans celebratione memoriá-
C que dignus est, non in chartulis corrumpendis à tineis, sed in immortali natura, penes quam sunt commentarij virtutum omnium. quod si quis initium numerandi faciat à primo illo terrigena, hunc à Chaldæis Enos, à Latinis nominatum hominem, quartum inueniet. Quaternarius autem inter numeros honoratur apud alios quoque philosophos, qui incorporeis & intelligibilibus essentijs delectantur, sed præcipue apud Mosen illum sa-
D pientissimum, qui extollens quartum numerum ait eum sanctum & laudabilem, sicut in præcedente opere dictum est. Sanctus autem & laudabilis est qui bene sperat, sicut è diuerso profanus & vituperabilis qui non sperat, timore semper vtens malo consiliario. negant enim vllas duas res tam infestas esse inuicem, quam spem & timorem & merito. nam vtraque est expectatio, altera bonarum rerum, altera contrà malarum, inter quas naturas nulla possunt
E intercedere fœdera. Hactenus de spe dixisse sufficiat, quam in foribus ceu ianitricem natura collocauit, intus vero cæteras virtutes regias, quas adire licet nemini qui non prius hanc vnam demeruit. proinde legislatores & leges passim promulgatæ pro magno negocio habent replere bona spe animos ingenuos. qui vero absque alieno hortatu bene sperat, non à scripta, sed ab innata sibi lege discit hanc virtutem,

cuius ipsa natura autor est. post spem secundum ordinem tenet pœnitentia peccatorum & correctio. ideo deinceps memorat in melius mutatum hominem Enoch dictum Hebræis, id est, gratiosum, de quo sic legimus, quòd placuit Enoch Deo, & non est inuentus, quoniam transtulit eum Deus.] nam hæc translatio versionem & mutationem significat. fit autem in melius, quandoquidem fit per Dei prouidentiam. quicquid enim Deo fauente agitur, omnino bonum est ac vtile: sicut inutile quicquid citra opem numinis. Recte vero & illud dicitur, Non est inuentus, de translato: eo quòd prior vita culpabilis euanuerat, vt non inueniretur amplius, ac si ne fuisset quidem vnquam antea. vel quòd non facile inueniatur qui ad potiorem ordinem transeat: quia vitium suapte natura late patet, ideo vulgo notissimum: virtus rara est, vt vix paucis contingat. & alioquin etiam vir improbus per fora, theatra, tribunalia, curias, conciones, omnésque cœtus atque sodalitates hominum cursitat, quippe curiositati assuetus, linguam habens sine vllo fine modóque & iudicio volubilem, commiscens confundénsque omnia, veris mendacia, dicendis cælanda, priuatis publica, sacris profana, serijs ridicula, ignorans silentium rem esse pro tempore ac loco pulcherrimam. proinde arrectis auribus, quo satisfaciat suæ curiositati, bonos malos rumores captat, vt mox aut gaudeat, aut inuideat. est enim quiuis malus ingenio malicioso, inuido, honestati aduerso: è diuerso probus quietæ vitæ amator secessum & solitudinem diligit, latere ignotus cupiens, non societatis humanæ odio. est enim cum primis amans hominum: sed quia fugitat vitia quibus vulgus delectatur, lætum rebus dolendis, gaudio dignas ægre ferre solitum. Quapropter inclusus domi se plerunque continet, vix vnquam limen transcendens: aut quo salutatores crebros deuitet, abdens se in aliquod rusculum solitarium, suauius victurus cum viris præstantissimis, quorum tempus aboleuit corpora, solis virtutibus eorum superstitibus, quæ in literis prorsa vorsáque oratione proditæ ad posteritatis memoriam, in meliorem

A ἣν ἡ φύσις ἔθηκε· δευτέραν δ᾽ ἔχει τάξιν μετὰ τὴν ἐλπίδα ἡ ἐπὶ τοῖς ἁμαρτανομένοις μετάνοια καὶ βελτίωσις· ὅθεν ἑξῆς ἀναγράφει τὸν ἀπὸ χείρονος βίου πρὸς τὸν ἀμείνονα μεταβαλόντα, ὃς καλεῖται παρὰ μὲν Ἑβραίοις Ἐνώχ, ὡς δ᾽ ἂν Ἕλληνες εἴποιεν, κεχαρισμένος, ἀφ᾽ οὗ καὶ ταυτὶ λέλεκται, ὡς ἄρα εὐηρέστησεν Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ θεός. ἡ γὰρ μετάθεσις τροπὴν ἐμφαίνει καὶ μεταβολήν· πρὸς δὲ τὸ βέλτιον ἡ μεταβολή, διότι προμηθείᾳ γίνεται θεοῦ. πᾶν γὰρ τὸ B σὺν θεῷ, καλὸν καὶ συμφέρον πάντως, ἐπεὶ καὶ τὸ ἄνευ θείας ἐπιφροσύνης, ἀλυσιτελές. εὖ δ᾽ εἴρηται, τό, Οὐχ ηὑρίσκετο, ἐπὶ τοῦ μετατεθειμένου, ἢ τῷ τὸν ἀρχαῖον ἐπίληπτον ἀπαλειφθῆναι καὶ ἠφανίσθαι βίον, καὶ μηκέτι εὑρίσκεσθαι, καθάπερ εἰ μηδὲ τὴν ἀρχὴν ἐγένετο· ἢ τῷ τὸν μετατεθειμένον καὶ ἐν τῇ βελτίονι ταχθέντα τάξει, δυσεύρετον εἶναι φύσει. πολύχουν μὲν γὰρ ἡ κακία, διὸ καὶ πολλοῖς γνώριμον· σπάνιον δ᾽ ἡ ἀρετή, ὡς μηδ᾽ ὑπ᾽ ὀλίγων C καταλαμβάνεσθαι. καὶ ἄλλως, ὁ μὲν φαῦλος ἀγοράν, καὶ θέατρα, καὶ δικαστήρια, βουλευτήριά τε καὶ ἐκκλησίας καὶ πάντα σύλλογον καὶ θίασον ἀνθρώπων, ἅτε φιλοπραγμοσύνῃ συζῶν, μετατρέχει, τὴν μὲν γλῶτταν ἀνιεὶς πρὸς ἀμέτρους καὶ ἀπεράντους διηγήσεις καὶ ἀκρίτους, συγχέων πάντα καὶ φύρων, ἀληθέσι ψευδῆ, καὶ ῥητοῖς ἄρρητα, καὶ ἴδια κοινοῖς, καὶ ἱεροῖς βέβηλα, καὶ σπουδαίοις γελοῖα ἀναμιγνύς, διὰ τὸ μὴ πεπαιδεῦσθαι τὸ ἐν καιρῷ κάλλιστον ἡσυχίαν· τὰ δὲ ὦτα ἐπορθιά- D σας, εὐπορίας ἕνεκα καὶ πολυπράγμονος περιεργασίας, τὰ ἑτέρων εἴτε ἀγαθά, εἴτε κακὰ γλίχεται μανθάνειν, ὡς αὐτίκα τοῖς μὲν φθονεῖν, ἐφ᾽ οἷς δὲ ἥδεσθαι· βάσκανον γὰρ καὶ μισόκαλον καὶ φιλοπόνηρον ὁ φαῦλος φύσει. ὁ δ᾽ ἀστεῖος ἔμπαλιν, ἀπράγμονος ζηλωτὴς βίου γεγονώς, ὑποχωρεῖ, καὶ μόνωσιν ἀγαπᾷ, λανθάνειν τοὺς πολλοὺς ἀξιῶν, οὐ διὰ μισανθρωπίαν· φιλάνθρωπος γάρ, εἰ καί τις ἄλλος· ἀλλὰ διὰ τὸ προβεβλῆσθαι κακίαν, E ἣν ὁ πολὺς ὄχλος ἀσπάζεται, χαίρων μὲν ἐφ᾽ οἷς στένειν ἄξιον, λυπούμενος δὲ ἐφ᾽ οἷς γεγηθέναι καλόν. ὧν ἕνεκα συγκλεισάμενος οἴκοι τὰ πολλὰ καταμένει, μόλις τὰς κλισιάδας ὑπερβαίνων, ἢ διὰ τοὺς ἐπιφοιτῶντας συνεχέστερον, ἔξω πόλεως προελθών, ἐν μοναγρίῳ ποιεῖται τὰς διατριβάς, ἥδιον συμβιωταῖς χρώμενος τοῖς ἀπάντων τῶν πώποτε ἀνθρώπων ἀρίστοις, ὧν τὰ μὲν σώματα διέλυσεν ὁ χρόνος, τὰς δ᾽ ἀρετὰς αἱ ἀπολειφθεῖσαι γραφαὶ ζωπυροῦσι διά τε ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων,

οἷς ἡ ψυχὴ πέφυκε βελτιοῦσθαι. διὰ τοῦτ' εἶπεν, ὅτι ὁ μετατεθεὶς οὐχ εὑρίσκετο, δυσεύρετος καὶ δυσθήρατος ὤν. μεθορμίζεται δὲ εἰς παιδείαν ἐξ ἀμαθίας, καὶ ἐξ ἀφροσύνης εἰς φρόνησιν, ἔκ τε δειλίας εἰς ἀνδρείαν, καὶ ἐξ ἀσεβείας εἰς εὐσέβειαν, καὶ πάλιν ἐκ μὲν φιληδονίας εἰς ἐγκράτειαν, ἐκ δὲ φιλοδοξίας εἰς ἀτυφίαν, ὧν τίς ἢ πλοῦτος ἐπάξιος, ἢ βασιλείας καὶ δυναστείας κτῆσις ὠφελιμωτέρα. εἰ γὰρ χρὴ τἀληθὲς εἰπεῖν, ὁ μὴ τυφλὸς, ἀλλ' ὀξὺ βλέπων πλοῦτος, ἡ τῶν ἀρετῶν ἐστι περιουσία, ἣν εὐθὺς γνήσιον καὶ ἔννομον παρὰ τὰς νόθους καὶ ψευδωνύμους ἀρχὰς ὑποληπτέον ἡγεμονίαν ἐνδίκως ἀπόλυτα παρυτομένουσαν. οὐ δεῖ δὲ ἀγνοεῖν ὅτι τὰ δευτερεῖα φέρεται μετάνοια τελειότητος, ὥσπερ καὶ ἀνόσου σώματος ἡ πρὸς ὑγείαν ἐξ ἀσθενείας μεταβολή. τὸ μὲν οὖν συνεχὲς καὶ τέλειον ἐν ἀρεταῖς ἐγγυτάτω θείας ἵσταται δυνάμεως, ἡ δ' ἀπὸ τινὸς χρόνου βελτίωσις, ἴδιον ἀγαθὸν εὐφυοῦς ψυχῆς ἐστι, μὴ τοῖς παιδικοῖς ἐπιμενούσης, ἀλλ' ἁδροτέροις καὶ ἀνδρὸς ὄντως φρονήμασιν ἐπιζητούσης εὐδίαν κατάστασιν ψυχῆς, καὶ τῇ φαντασίᾳ τῶν καλῶν ἐπιτρεχούσης· ὅθεν εἰκότως τῷ μετανενοηκότι τάττει κατὰ τὸ ἑξῆς τὸν θεοφιλῆ καὶ φιλάρετον, ὃς Ἑβραίων μὲν γλώττῃ καλεῖται Νῶε, τῇ δὲ Ἑλλήνων ἀνάπαυσις, ἢ δίκαιος, οἰκειόταται προσρήσεις σοφῷ· ἐμφανὲς μὲν ὁ δίκαιος· ἄμεινον γὰρ οὐδὲν δικαιοσύνης, τῆς ἐν ἀρεταῖς ἡγεμονίδος, ἣ καθάπερ ἐν χορῷ καλλιστεύουσα πρεσβεύει. ἡ δ' ἀνάπαυσις, ἐπεὶ καὶ τοὐναντίον τὴν παρὰ φύσιν κίνησιν, ταραχῶν καὶ θορύβων στάσεών τε καὶ πολέμων αἰτίαν εἶναι συμβέβηκεν, ἣν μετίασιν οἱ φαῦλοι· ἠρεμαῖον δὲ καὶ ἡσυχάζοντα καὶ σταθερόν, ἔτι δ' εἰρηνικὸν βίον οἱ καλοκἀγαθίαν τετιμηκότες. ἑπόμενος δ' αὐτὸς αὑτῷ, καὶ τὴν ἑβδόμην ἣν Ἑβραῖοι σάββατα καλοῦσιν, ἀνάπαυσιν ὀνομάζει· οὐχ ὡς οἴονταί τινες, ὅτι δι' ἓξ ἡμερῶν τῶν συνήθων ἔργων ἀπείχετο τὸ πλῆθος, ἀλλ' ὅτι τῷ ὄντι ὁ ἕβδομος ἀριθμὸς ἐν τῷ κόσμῳ καὶ ἐν ἡμῖν αὖθις ἀστασίαστος καὶ ἀπόλεμος, ἀφιλονεικότατός τε καὶ εἰρηνικώτατος ἁπάντων ἀριθμῶν ἐστι. μάρτυρες δὲ τοῦ λεχθέντος αἱ ἐν ἡμῖν δυνάμεις. αἱ μὲν γὰρ ἓξ τὸν ἄπαυστον καὶ συνεχῆ πόλεμον ἐν γῇ καὶ θαλάσσῃ συγκροτοῦσιν, αἵ τε πέντε αἰσθήσεις, καὶ ὁ προφορικὸς λόγος, αἱ μὲν πόθῳ τῶν αἰσθητῶν, ὧν ἐὰν μὴ τυγχάνωσιν, ἀνιῶνται, ὁ δ' ἀχαλίνῳ στόματι μυρία τῶν ἡσυχαστέων ἐκλαλῶν. ἡ δ' ἑβδόμη δύναμις, ἡ περὶ τὸν ἡγεμόνα νοῦν, ὃς ὅταν ἐπικυδέστερος γένηται τῶν ἕξ,

A frugem reducunt animas. Quamobrem dictum est, quòd translatus non inueniebatur, videlicet vestigatu & inuentu haud facilis. Traijcit igitur in eruditionem ex ignorantia, in prudentiam ex imprudentia, in fortitudinem è timiditate, in pietatem ex impietate, ex voluptatum amore in temperantiam, ex ambitione in modestiam, cui mutationi non opes, non regnum, non imperium conferendum est. Nam si verum fateri volumus, diuitiæ, non illæ cæcæ, sed B acute cernentes, sunt virtutũ possessio: quæ cum sit vera & legitima, longe præstantior censenda est, quàm isti adulterini & falso nominati principatus. Sed meminisse debemus pœnitentiam secundo post integritatem gradu consistere, sicut post sanitatem corporis reualescẽtiam. Ergo perpetua perfectio stat proxima diuinæ potẽtiæ: cæterum processu temporis ad meliora transitus, est propria dos bene natæ animæ, quæ C contemptis puerilibus studijs, per solidiora & magis virilia contendit ad trãquillam constitutionem, discurrentem per cogitationes honestissimas. ideo merito post pœnitentem subsequitur Deo charus virtutis amator, qui Hebraice Noe, Latine quies, siue iustus, vocatur, nominibus sapienti conueniẽtissimis. id quod de iusto manifestum est. Nihil enim iustitia melius, quæ principatum inter virtutes tenens, ornat earum chorum maxime. Nec minus quies, cum è diuerso præter naturam D motus excitare tumultus, turbas, seditiones, atque bella soleat, quæ improborum sunt negotia. At honestatis amatores quietam, immotam pacatámque vitam præferunt. & hoc est quod à seipso non dissentiens vates sabbatum Hebræorum septimũ quemque diem, quietem nominat: non, vt quidam putant, quia post sex dierum spatium populus abstinebat à consuetis operibus, sed quia septenarius numerus, tam in mundo quàm in nobis confessione om- E nium habetur pacatissimus, & à seditione, bello, contentione alienissimus. Attestantur mihi quæ nobis insunt potentiæ. Harum enim sex indesinenter bella terra marique concitant, quinque sensus & sermo qui profertur: illi desiderio sensibilium, quibus se non potiri ægre ferunt: hic per os infrene, multa silenda effutiens. At septima potentia, nempe mens cæterarum dux, quando in potestate illas sex retinet,

A & perdomitis eis in secessum se recipit, amans solitudinis & contenta secum ipsa colloqui, nullius externi confabulatoris indiga: tum demum à curis ac negotijs mortalibus liberata, vitam serenam tranquillámque complectitur. In tantum autem scriptura magnificat hunc virtutis amatorem, vt in stemmate eius non more aliorum auos, proauos, maiorésque cæteros, recenseat, siue paternos siue maternos, sed virtutes quasdam, tantum non diserte

B clamitans, nullam aliam familiam, cognationem, patriam, sapientis esse præter virtutes & harum actiones. Hæ sunt, inquit, generationes Noe. Noe homo iustus, perfectus in generatione sua, Deo placuit. Vbi sciendum, quòd hominem non vulgari loquendi forma, rationale mortale animal vocat, sed per excellentiam eum qui vere suo respondet nomini, eiectis ex animo immansuetis, rabidis ferinísque vitiorum affectibus. Argumento

C est, quòd post hominem addit iustum, dicens, homo iustus: quia nemo iniustus est homo, sed potius bestia humana forma prædita: in solum autem iustitiæ sectatorem nomen hoc competit. Hunc etiam perfectum fuisse ait, per hoc docens, non vnam eum virtutem, sed omnes habuisse, singulis vsum pro tempore. Posthæc tanquam in sacro certamine victorem ornat amplissimo præconio, cum Deo placuisse pronuncians: quo quid esse potest in rerum natura potius? cum sit

D manifestissimum honestatis ac probitatis indicium. Si enim qui Deo displicent sunt miseri, quibus placere contigit, proculdubio felices erunt. Nec alienum videtur à proposito, quòd post laudatas tantas virtutes in homine, adiecit perfectum fuisse in sua generatione: indicans eum non absolute, sed collatum ad eius ætatis cæteros bonum fuisse. Nam non multo post memorabit sapientes alios, vir-

E tute incomparabiles, qui non cum malis collati meliores & illis anteferendi iudicati sunt: sed quia felicem naturam adepti, seruarunt eam incorruptam: nec effugerunt scelerata studia, sed ab initio manserunt ab eis integri: cúmque potissimum bene dicendi faciendique haberent studium, vitam exegerunt ornatissimam. Admirandi sanè homines, qui liberales ingenuósque appetitus secuti, nec

A καὶ δυνατωτάτῃ ῥώμῃ κατακρατήσας ἀναχωρήσῃ, μονώσει ἀσπαζόμενος, καὶ ταῖς ἑαυτοῦ πρὸς ἑαυτὸν ὁμιλίαις, ὡς ἀπροσδεὴς ὢν ἑτέρου καὶ αὐταρκέστατος ἑαυτῷ, τηνικαῦτα φροντίδων καὶ πραγμάτων ἀπαλλαγεὶς τῶν ἐν τῷ θνητῷ γένει, βίον εὔδιον καὶ γαλήνιον ἀσπάζεται. οὕτω δὴ ἀποσεμνύνει τὸν φιλάρετον, ὥστε καὶ γενεαλογῶν αὐτὸν, οὐ καθάπερ ἔθος ἐπὶ τῶν ἄλλων, πάππων ἢ προπάππων ἢ προγόνων ποιεῖται κατάλογον, ὅσοι πρὸς

B ἀνδρῶν ἢ πρὸς γυναικῶν εἰσιν· ἀλλὰ τινῶν ἀρετῶν μονονουχὶ βοῶν ἄντικρυς, ὅτι οἰκία καὶ συγγένεια καὶ πατρὶς οὐδεμία ἐστὶν ἑτέρα σοφῷ, ὅτι μὴ ἀρεταὶ, καὶ αἱ κατ᾽ ἀρετὰς πράξεις. Αὗται γὰρ, φησὶν, αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ θεῷ εὐηρέστησεν. οὐ δεῖ δ᾽ ἀγνοεῖν, ὅτι νῦν ἄνθρωπον, οὐ κοινῷ τύπῳ τὸ λογικὸν θνητὸν ζῷον καλεῖ· τὸν μέντοι κατ᾽ ἐξοχὴν, ὃς ἐπαληθεύει τοὔνομα, τὰ ἀτίθασα καὶ λελυττηκότα πάθη καὶ τὰς θηριωδεστάτας κακίας, τῆς

C ψυχῆς ἀπεληλακώς. σημεῖον δὲ, μετὰ τὸν ἄνθρωπον ἐπιλέγει τὸν δίκαιον, εἰπὼν, Ἄνθρωπος δίκαιος, ὡς ἀδίκου μὲν οὐδενὸς ὄντος ἀνθρώπου, κυριώτερον δ᾽ εἰπεῖν ἀνθρωπομόρφου θηρίου· μόνου δὲ, ὃς ἂν ζηλωτὴς ᾖ δικαιοσύνης. φησὶ δ᾽ αὐτὸν καὶ τέλειον γεγονέναι, διὰ τούτου παριστὰς, ὡς οὐ μίαν ἀρετὴν, ἀλλὰ πάσας ἐκτήσατο, καὶ κτησάμενος ἑκάστῃ κατὰ τὸ ἐπιβάλλον χρώμενος διετέλεσεν· ἐπιστεφανοῖ δ᾽ αὐτὸν ὡς ἀγωνιστὴν εὖ νενικηκότα, κηρύγματι λαμπροτάτῳ προσεπικοσμεῖ, φά-

D σκων ὅτι τῷ θεῷ εὐηρέστησεν· οὗ τί γένοιτ᾽ ἂν ἐν τῇ φύσει κρεῖττον· τῆς καλοκαγαθίας ἐναργέστατος ἔλεγχος. Εἰ γὰρ οἱ δυσαρεστήσαντες θεῷ κακοδαίμονες, οἷς εὐαρεστῆσαι συμβέβηκε, πάντως εὐδαίμονες. οὐκ ἀπὸ σκοποῦ μέντοι ταῖς τοσαύταις ἀρεταῖς ὑμνήσας τὸν ἄνθρωπον, ἐπεῖπεν ὅτι τέλειος ἦν ἐν τῇ γενεᾷ αὐτοῦ, δηλῶν ὅτι οὐ καθάπαξ, ἀλλὰ κατὰ σύγκρισιν τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον γεγονότων ἀγαθὸς ἦν. ἤδη γὰρ οὐκ εἰς μακρὰν ἐπι-

E μνησθήσεται σοφῶν ἑτέρων, οἳ τὴν ἀρετὴν ἀνανταγώνιστον ἔσχον, οὐ πονηροῖς ἀντεξετασθέντες, οὐδ᾽ ὅτι βελτίους ἐγένοντο τῶν καθ᾽ αὑτοὺς ἀποδοχῆς καὶ προνομίας ἀξιωθέντες, ἀλλ᾽ ὅτι φύσιν εὔμοιρον κτησάμενοι, διετήρησαν αὐτὴν ἀδιάστροφον, οὐ φυγόντες ἐπιτηδεύματα μοχθηρὰ, ἀλλ᾽ οὐδὲ τὴν ἀρχὴν αὐτοῖς περιπεσόντες· προηγουμένως δὲ καλῶν ἔργων καὶ λόγων ἀσκηταὶ γενόμενοι, τὸν βίον ἐπεκόσμουν. θαυμασιώτατοι μὲν οὖν ἄνθρωποι ἐκεῖνοι γεγόνασιν, οἳ τῆς ὁρμῆς ἐλευθέρας καὶ εὐγενε-

σιν ἐζηλώσαντο, μὴ κατὰ μίμησιν, ἢ φιλονεικίαν ἑτέρων, ἀλλ' αὐτὸ τὸ καλὸν καὶ τὸ δίκαιον ἀποδεξάμενοι· θαυμαστὸς δὲ καὶ ὁ τῆς καθ' αὐτὸν γενεᾶς ἀριστεύσας, καὶ μηδενὶ συνενεχθεὶς, ὧν ἐζήλωσαν οἱ πολλοί. δευτερείων μὲν οὗτος ἐφίξεται, τὰ δὲ πρωτεῖα τῶν ἄθλων ἐκείνοις ἀποδίδωσιν ἡ φύσις· τὰ μέντοι δευτερεῖα, καὶ ταῦτα μεγάλα. τί δ' οὐχὶ μέγα καὶ περιμάχητον ὧν ὀρέγει καὶ δωρεῖται θεός. σαφεστάτη δὲ πίστις, αἱ τῶν χαρίτων ὑπερβολαὶ, ὧν οὗτος ἔτυχεν. ἐπεὶ γὰρ ἀδικημάτων καὶ ἀσεβημάτων φορὰν ἤνεγκεν ἐκεῖνος ὁ χρόνος, καὶ πᾶσα χώρα, καὶ ἔθνος, καὶ πόλις, καὶ οἰκία, καὶ ἕκαστος ἰδίᾳ, πονηρῶν ἐπιτηδευμάτων ἐπέπληστο, πάντων ἑκουσίως, καὶ ἐν περιουσίας ὡς ἐν ἀγῶνι περὶ τῶν ἐν τῷ διαμαρτάνειν πρωτείων ἁμιλλωμένων, μετὰ σπουδῆς ἁπάσης ἐφιλονείκουν ἕκαστος τὸ τοῦ πλησίον κακίας μέγεθος ὑπερβαλεῖν ἐπειγομένου, καὶ μηδὲν παραλείποντες τῶν πρὸς ἐπίληπτον καὶ ἐπάρατον βίον. ἐφ' οἷς ὁ θεὸς εἰκότως δυσχεράνας, εἰ τὸ ζῷον τὸ ἄριστον εἶναι δοκοῦν, καὶ συγγενείας ἀξιωθὲν τῆς πρὸς αὐτὸν, ἕνεκα τῆς ἐν τῷ λόγῳ κοινωνίας, δέον ἀρετὴν ἐπιτηδεύειν, ἐζήλωσε κακίαν, καὶ τὰ εἴδη πάντα κακίας, δίκην ἔκρινε τὴν προσήκουσαν, ἀφανίζειν τοὺς τότε ὄντας κατακλυσμῷ διανοηθείς. οὐ μόνον δὲ τοὺς ἐν τῇ πεδιάδι, καὶ τοὺς χθαμαλωτέροις, ἀλλὰ καὶ τοὺς ἐν τοῖς ὑψηλοτάτοις ὄρεσι κατοικοῦντας. ἡ μὲν γὰρ μεγάλη θάλαττα, μετέωρος ὡς οὐδέποτε πρότερον ἀρθεῖσα, διὰ τῶν στομάτων ἀθρόᾳ ῥύμῃ τοῖς καθ' ἡμᾶς εἰσρρύη πελάγεσι· ταῦτα δὲ πλημμυρήσαντα, νήσους καὶ ἠπείρους ἐπέκλυσεν. ἀπὸ πηγῶν τ' ἀενάων καὶ αὐθιγενῶν ποταμῶν καὶ χειμάρρων ἐπάλληλοι φοραὶ, σωρηδὸν ἀλλήλαις ἀναχεόμεναι, καὶ πρὸς ὕψος ἐπαιρόμεναι ἐπέβαινον. οὐ μὴν οὐδὲ ὁ ἀὴρ ἠρέμει. πάντα γὰρ τὸν οὐρανὸν βαθὺ καὶ συνεχὲς νέφος ἐπεῖχε, καὶ πνεύματα ἦν ἐξαίσια· πάταγοι δὲ βροντῶν καὶ ἐπιλάμψεις ἀστραπῶν, καὶ κεραυνῶν φοραὶ καταρρηγνυμένων ὄμβρων ἀπαύστων, ὡς νομίσαι τὰ μέρη τοῦ παντὸς εἰς μίαν φύσιν τὴν ὕδατος ἀναχυθησόμενα σπεύδειν, ἕως τοῦ μὲν ἄνωθεν καταρράττοντος, τοῦ δὲ κάτωθεν ἐπανιόντος, μετάρσια ἤρθη τὰ ῥεῖθρα, οἷς οὐ μόνον ἡ πεδιὰς καὶ ὅση χθαμαλὴ κατακλυσθεῖσα ἠφανίσθη, ἀλλὰ καὶ τῶν ὑψηλοτάτων ὀρῶν αἱ κορυφαί. πάντα γὰρ τὰ μέρη τῆς γῆς ἔδυ καθ' ὕδατος, ὡς πάσης καθηρπάσθαι, καὶ τὸν κόσμον ἀκρωτηριασθέντα μεγάλῳ τμήματι, τὸ παντελὲς καὶ ὁλόκληρον, ὃ μήτε εἰπεῖν μήτε νοῆσαι θέμις, λελωβῆσθαι δοκεῖν. ἀλλὰ γὰρ καὶ ὁ ἀὴρ ἔξω μέρους

A imitabantur cæteros, nec per contentionem quicquam agebant, nihil nisi iustum ac honestum sibi optando. Mirandus tamen & ille qui ætatis suæ præstantissimus, nullis rebus est implicitus, quas vulgus diligebat tantopere. huic secundę partes laudis debentur, illorum vero primam palmam natura esse voluit. Magnum tamen fuerit vel in secundo loco consistere: quid enim nisi magnum & ambiendum vel dat Deus vel accipit? argumento est gratiarum

B excellentia, quas hic vir consecutus est. Quoniam enim vberrimus prouentus iniquitatum ac impietatum fuerat illo tempore, adeò vt omnis regio, gens, ciuitas, domus, & vnusquisque priuatim repleretur malis studijs, certatimque de primatu in vitijs contenderent, dum quisque proximum conatur præcurrere, nihil sibi ad extremam maliciam reliquum faciens: ea propter Deus merito indignatus, quòd animal omnium, vt videbatur, optimum, & cognatione cæ-

C lesti dignatum propter communicatam rationem, pro virtute quam exercere debuerat, complexum esset maliciam, nec vllam eius omisisset speciem, pœnam decreuit conuenientem, vt omnes eius seculi homines deleret vno diluuio: nec tantum incolentes campestria loca & humilia, verum etiam in celsissimis sitos montibus. Nam oceanus elatus æstu quanto nunquam antea, per fauces valido impetu irrupit in nostra maria: quæ mox insulas ac continen-

D tem subitis inundarunt fluctibus. Accesserunt & fontium perennium, & amnium indigenarum torrentiúmque alij super alios affluxus, qui coniuncti & diffusi etiam in altum creuerunt. Nec aer cessabat interim, obtecto cælo toto continuis nubibus, procellis quoque furentibus: simul tonitruum crepitus, micationes fulgurum, ictúsque fulminum intermixti largissimis imbribus faciebant vt videretur totus mundus abire in naturam aquarum: do-

E nec è supernis cataractis infernisque fluentis tanta moles vndarum succreuit, vt non campi tantum & depressa loca operirentur, sed & altissimorum montium cacumina. Omnes enim terræ partes submersæ sunt, vt illa oppressa mundus magna sui portione mutilaretur, & qui prius integer fuerat, mancus, quod cogitatu dictúque nefas est, esse videretur. Quin & aer, nisi qua lunari circulo vicinus est,

penè totus absumptus erat, pulsus aquarum violentia, quæ regionem eius inuaserant. Secuta est satorum arbustorúmque pernicies, quæ sicut ariditatem, ita nimiam humiditatem non ferunt. Interibant & innumeri greges animalium mansuetorum simul & ferorum. Nec mirum si præstantissimo genere humano pereunte, nullum superesse sinebatur è deterioribus, quæ in vsum Dominorum seruituti addicta fuerant. In hoc tot tantorum malorum confluxu, quæ tempus illud afferebat (omnium enim mundi partium præter cælestes natura luxata fuerat, quasi morbo quodam correpta grauissimo ac pestifero) vnica familia iam dicti viri iusti deóque chari seruata est, qui accepit summa duo munera. Alterum quod dixi, non interisse cum cæteris omnibus. Alterum, vt nouus autor haberetur instaurati humani generis. Concessit enim ei Deus, vt & finis & initium generis nostri fieret: finis ante diluuium, post diluuium verò principium. Talis fuit vir ætatis suæ optimus, & tale præmium sortitus est, sicut docet sacra scriptura. Dictarum porrò trium animarum, siue vitæ rationum, ordo miram habet harmoniam. perfecta enim, ab initio est integra. mutata vero, semiperfecta, cuius priora tempora vitijs dicata, posteriora virtutibus, ad quas translato domicilio migratum est. Illa autem sperabunda, sicut nomen ipsum indicat, defectum habet, semper quidem boni cupida, nondum tamen eius compos, sed nauigantibus similis, qui properantes in portum appellere, adhuc marina iactatione distinentur. Hic est prior ternio virtutem desiderantium, nunc superest, vt de potiore altero dicamus. Nam ille videtur similis disciplinis puerilibus, hic vero virorum athletarum exercitijs, parantium se ad sacra certamina, qui neglecta corporis habitudine animæ prospiciunt, cupientes victoriam de aduersarijs affectibus. Cæterum qua in re quisque præcellat, omnibus ad vnum eundémque finem contendentibus, aliâs dicemus diligentius: nunc quæ simul de tribus dicenda sunt non silebimus. Eiusdem omnes sunt generis, eiusdémque familiæ. Nam vltimus filius est medij, nepos vero primi, omnes amici chariquе Deo, amantes verum Deum, & redamati ab eo:

A βραχέος τοῦ κατὰ σελήνην, ἅπας ἀνήλωτο, νικηθεὶς ὑπὸ τῆς τοῦ ὕδατος βίας καὶ φορᾶς, ὅπερ ἀναχεόμενος τὴν ἐκείνου χώραν ἐπέσχε. τότε δὴ εὐθὺς ἐφθείρετο ὅσα σπαρτὰ καὶ δένδρα· φθείρει γὰρ ὡς ἔνδεια, καὶ πλῆθος ἄμετρον· ἔθνησκον δὲ αἱ μυρίαι τῶν ζώων ἀγέλαι, ἡμέρων ὁμοῦ καὶ ἀγρίων. ἦν γὰρ εἰκὸς τοῦ κρατίστου γένους ἀνθρώπων ἀφανιζομένου, μηδὲν ὑπολειφθῆναι τῶν χειρόνων ἐπεὶ καὶ πρὸς τὰς ἐκείνου χρείας ἐγίνετο δοῦλα τρόπον τινὰ δεσποτικαῖς
B προστάξεσιν ὑπηρετήσοντα, τοσούτων δὴ καὶ τηλικούτων ἐπιῤῥαξάντων κακῶν, ἅπερ ἐκεῖνος ὁ χρόνος ὤμβρησε· πάντα γὰρ τὰ τοῦ κόσμου μέρη δίχα τοῦ κατ' οὐρανὸν ἐκινήθη παρὰ φύσιν, ὡς ἂν βαρεῖαν καὶ θανατηφόρον νόσον νοσήσαντα, μόνος δὲ εἷς οἶκος ὁ τοῦ λεχθέντος ἀνδρὸς δικαίου καὶ θεοφιλοῦς διασώζεται, δύο λαβόντος τὰς ἀνωτάτω δωρεάς· μίαν μὲν, ἣν εἶπον, τὸ μὴ πᾶσι τούτοις συναπολέσθαι· ἑτέραν δὲ, τὸ πάλιν αὐτὸν ἀρχηγέτην ὑπάρξαι νέας ἀνθρώπων σπορᾶς. ἠξίωσε γὰρ αὐτὸν ὁ θεὸς καὶ
C τέλος ἡμῶν τοῦ γένους, καὶ ἀρχὴν γενέσθαι· τέλος μὲν τῶν πρὸ τοῦ κατακλυσμοῦ, τῶν δὲ μετὰ τὸν κατακλυσμὸν, ἀρχήν. τοιοῦτος μὲν ὁ τῶν καθ' αὑτὸν ἄριστος· τοιαῦτα δὲ καὶ τὰ τετευχημένα ἆθλα αὐτῷ, ὁποῖα δεδήλωκεν ὁ ἱερὸς λόγος· τῶν δὲ εἰρημένων τριῶν εἴτε ψυχῶν εἴτε τρόπων, ἐναρμόνιος ἡ τάξις. ὁ μὲν γὰρ τέλειος, ὁλόκληρος ἐξ ἀρχῆς· ὁ δὲ μετατιθέμενος, ἡμίεργος, τοῦ βίου τὸν μὲν πρότερον χρόνον ἀναθεὶς κακίᾳ, τὸν δὲ ὕστερον ἀρετῇ, πρὸς ἣν μετέβη καὶ μετῳκίσατο· ὁ δὲ ἐλπίζων, ὡς αὐτὸ
D δηλοῖ τοὔνομα, ἐλλιπής, ἐφιέμενος μὲν ἀεὶ τοῦ καλοῦ, οὔπω δὲ ἐφικέσθαι τούτου δεδυνημένος, ἀλλ' ἐοικὼς τοῖς πλέουσιν, οἳ σπεύδοντες εἰς λιμένα καταίρειν, ἔτι ἐνθαλαττεύουσιν ἐνορμίσασθαι μὴ δυνάμενοι. ἡ μὲν οὖν προτέρα τριὰς τῶν ἀρετῆς ἐπιποθησάντων, δεδήλωται· μείζων δέ ἐστιν ἑτέρα, περὶ ἧς νυνὶ λεκτέον. ἐκείνη μὲν γὰρ τοῖς ἐν ἡλικίᾳ παιδικῇ μαθήμασιν ἔοικεν· αὕτη δὲ τοῖς ἀνδρῶν ἀθλητικῶν γυμνάσμασιν, ἐπὶ τοὺς ἱεροὺς ὄντως ἀλειφομένων ἀγῶνας, οἳ σωμασκίας
E καταφρονοῦντες, τὴν ἐν τῇ ψυχῇ κατασκευάζουσιν εὐεξίαν, ἐφιέμενοι τῆς κατὰ τῶν ἀντιπάλων παθῶν νίκης. οἷς μὲν οὖν διενήνοχεν ἕκαστος ἐφ' ἓν καὶ τὸ αὐτὸ τέλος ἐπειγόμενος, αὖθις ἀκριβέστερον ἐροῦμεν. ἃ δὲ χρὴ περὶ τῶν τριῶν συλλήβδην προειπεῖν, ἀναγκαῖον μὴ παρασιωπῆσαι. τούτοις τοίνυν συμβέβηκε μιᾶς οἰκίας καὶ ἑνὸς γένους εἶναι. ὁ γὰρ τελευταῖος, υἱὸς μέν ἐστι τοῦ μέσου· υἱωνὸς δὲ τοῦ πρώτου, καὶ πάντας φιλοθέους ὁμοῦ καὶ θεοφιλεῖς, ἀγαπήσαντας τὸν

ἀληθῆ θεόν, καὶ ἀνταγαπηθέντας πρὸς αὐτοῦ, ὃς ἠξίωσε καθάπερ δηλοῦσιν οἱ χρησμοί, διὰ τὰς ὑπερβολὰς τῶν ἀρετῶν, αἷς συνεβίουν, κοινωνῆσαι τῆς προσρήσεως αὐτοῖς. τὸ γὰρ ἴδιον ὄνομα τοῖς ἐκείνων ἐναρμοσάμενος ἥνωσε, τὴν ἐκ τῶν τριῶν συνώνυμον κλῆσιν ἐπιφημίσας ἑαυτῷ. Τοῦτο γάρ μου, φησίν, ὄνομά ἐστιν αἰώνιον, θεὸς Ἀβραάμ, καὶ θεὸς Ἰσαάκ, καὶ θεὸς Ἰακώβ, ἀντὶ τοῦ καθάπαξ τὸ πρός τι· καὶ μή ποτε εἰκότως; ὀνόματος γὰρ ὁ θεὸς οὐ δεῖται· μὴ δεόμενος δ' ὅμως ἐχαρίζετο τῷ γένει τῶν ἀνθρώπων κλῆσιν οἰκείαν, ἵνα ἔχοντες καταφυγὴν πρὸς ἱκεσίας καὶ λιτάς, μὴ ἀμοιρῶσιν ἐλπίδος χρηστῆς. ταῦτα μὲν οὖν ἐπ' ἀνδρῶν ὁσίων εἰρῆσθαι δοκεῖ· μηνύματα δ' ἐστὶ φύσεως ἀδηλοτέρας καὶ πολὺ βελτίονος τῆς ἐν αἰσθητοῖς. τρόπους γὰρ ψυχῆς ἔοικεν ὁ ἱερὸς διερευνᾶσθαι λόγος ἀστείους ἅπαντας, τὸν μὲν ἐκ διδασκαλίας, τὸν δ' ἐκ φύσεως, τὸν δ' ἐξ ἀσκήσεως ἐφιέμενον τοῦ καλοῦ. ὁ μὲν γὰρ πρῶτος ἐπίκλησιν Ἀβραάμ, σύμβολον διδασκαλικῆς ἀρετῆς ἐστίν· ὁ δὲ μέσος Ἰσαάκ, φυσικῆς· ὁ δὲ τρίτος Ἰακώβ, ἀσκητικῆς· ἀλλὰ γὰρ οὐκ ἀγνοητέον ὅτι μεταποιεῖται τῶν τριῶν ἕκαστος δυνάμεων, ὠνομάσθη δὲ ἀπὸ τῆς πλεοναζούσης κατ' ἐπικράτειαν. οὔτε γὰρ διδασκαλίαν ἄνευ φύσεως ἢ ἀσκήσεως τελειωθῆναι δυνατόν· οὔτε φύσις ἐπὶ πέρας ἐστὶν ἐλθεῖν ἱκανή, δίχα τοῦ μαθεῖν καὶ ἀσκῆσαι· οὔτε ἄσκησις, εἰ μὴ προθεμελιωθείη φύσει τε καὶ διδασκαλίᾳ. προσηκόντως οὖν καὶ τὴν τῶν τριῶν, λόγῳ μὲν ἀνδρῶν, ἔργῳ δ', ὡς εἶπον, ἀρετῶν οἰκειότητα συνῆψε φύσις, μάθησις, ἄσκησις, ἃς ἑτέρῳ ὀνόματι χάριτας ἰσαρίθμους ἄνθρωποι καλοῦσιν, ἢ τῷ κεχαρίσθαι τὸν θεὸν τῷ ἡμετέρῳ γένει τὰς τρεῖς δυνάμεις πρὸς τελειότητα βίου, ἢ παρ' ὅσον αὗται δεδώρηνται ψυχῇ λογικῇ ἑαυτὰς δώρημα κάλλιστον, ἵνα καὶ τὸ αἰώνιον ὄνομα τὸ δηλούμενον ἐν τοῖς χρησμοῖς μὴ ἐπὶ τριῶν ἀνθρώπων μᾶλλον, ἢ τῶν εἰρημένων λέγηται δυνάμεων. ἀνθρώπων μὲν γὰρ φθαρτὴ φύσις, ἄφθαρτος δ' ἡ τῶν ἀρετῶν. εὐλογώτερον δὲ ἐπιφημίζεσθαι τὸ ἀΐδιον ἀφθάρτοις παρὰ θνητῶν, ἐπεὶ συγγενὲς μὲν ἀϊδιότης ἀφθαρσία, ἐχθρὸν δὲ θάνατος. χρὴ μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι τὸν μὲν πρῶτον ἀνδρῶν τὸν γηγενῆ, πατέρα τῶν ἄχρι τοῦ κατακλυσμοῦ φύντων εἰσήγαγε· τὸν δὲ μόνον ἐκ τῆς τοσαύτης φθορᾶς ὑπολειφθέντα πανοικεί, ὃν ἕνεκα δικαιοσύνης καὶ τῆς ἄλλης καλοκαγαθίας, τοῦ νεάσοντος αὖθις καινοῦ γένους ἀνθρώπων, τὴν δὲ ἀριστίνδην τριάδα καὶ περιμάχητον ἑνὸς εἴδους ἐπιλεγομένου βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον, οἱ χρησμοί

A qui dignatus est, sicut indicant oracula, propter vitã ipsorũ probatissimã, communẽ cum eis appellationẽ habere. Suũ enim coaptauit cum illorũ nominibus, è tribus compositũ vocabulũ sibi vindicans. Hoc, inquit, meũ nomen est æternum, Deus Abraham, & Deus Isaac, & Deus Iacob, relatiuum pro absoluto. & merito. Deus enim non habet opus nomine. Attamen humano generi suũ nomen elargitus est, vt habentes refugium ad preces & supplicationes, à spe bona B non excluderẽtur. Hæc videntur quidẽ de sanctis viris dicta: significãt tamẽ naturã à nostra notitia remotiorẽ, & præstantiorẽ quàm sunt ista sensibilia. Est enim probabile sacro eloquio describi modos animæ bonos omnes: quarũ alia per doctrinã, alia per naturam, alia per meditationẽ ad virtutẽ aspirat. Nã primus nomine Abrahã, virtutẽ doctrina quęsitã significat: medius Isaac genuinã natiuãque: tertius Iacob vsu ac meditatione paratã. non ignorandũ tamen, ho- C rũ singulos prędiτos fuisse tribus his potentijs, sed nominatos ab ea qua magis quisque pollebat. Nã nec doctrina sine natura meditationéque potest perfici: nec natura ad optatã metam peruenire absque disciplina & exercitatione: nec meditatio, nisi fundata in natura doctrináque. Conuenienter igitur triũ, verbo quidẽ virorum, re autem virtutũ, nomina iuncta sunt, Natura, Disciplina, Meditatio. quas alio nomine totidẽ Gratias homines vocant: vel quòd gratuito lar- D gitus sit Deus nostro generi has tres potentias ad vitæ perfectionẽm: vel quia seipsæ donant rationali animæ munus elegantissimũ. vt etiã sempiternũ illud nomen indicatũ in oraculis, non magis de tribus viris intelligi queat, quàm de tribus dictis modo potentijs. Nam hominũ natura mortalis, virtutũ immortalis est. Videtur autem rationi consentaneũ, vt æternus ab æternis rebus denominetur potius quã à mortalibus, quando æternitati cognata est immortalitas, E mors vero inimicissima. Illud quoque non ignorandũ, quòd primus ille homo terrigena, pater ante diluuiũ natorum inducitur: instaurati vero humani generis iustus hic, qui solus ex vniuersali clade fuerat ereptus cũ sua familia, propter iustitiã virtutésque cæteras. Hunc autem venerandum ternionem & probatissimum sub vno genere comprehendunt diuina oracula, dum gentem sanctam vocant, & regale sacerdotium.

gentis autem vim nomen indicat. nominatur enim Hebraice Israel, quod interpretatur videns Deum. at visus, oculorum quidem inter omnes sensus est præcipuus, quo solo percipimus res pulcherrimas, solem, lunam, cælum, mundum vniuersum. mentis autem, excellit inter omnes potentias animæ. visus enim mentis nihil aliud est quàm prudentia. quod si cui contigit non solum rerum naturæ notitia, verum etiam patris factorisque omnium, is se sciat summum felicitatis attigisse fastigium. nihil enim est Deo superius, ad quem si quis peruenit obtutu animæ, precandum est ei vt possit ibi consistere. Nam arduæ viæ laboriosæ tardæque sunt: descensus autem per procliuia, qui tractim magis fit quàm gradatim, & velox est & facilis. & sunt multa quæ deorsum deprimunt, quæ nihil possunt efficere, quando Deus animam temperatam suis potentijs, vehementiore momento ad seipsum attrahit. Hæc in commune de tribus necessario præfati, deinceps dicendum habemus, quibus in rebus excellentiores fuerint singuli, & à primo exordiemur. qui pietatis & summæ virtutis sectator factus, Deum sequi studuit, & præceptis eius obedire: ratus non ea tantum præcipi, quæ ipsi soli vel verbo aliquo vel facto indicabantur: sed & illa quæ natura multo clarius docet per visum inter cæteros sensus veracissimum, multo certiorem quàm auditus est. Quisquis enim naturæ ordinem contemplatur, & eximiam quandam huius mundi rempublicam, vel silentibus præceptoribus discit sub legibus & in pace viuere, componens se ad exemplar pulcherrimum. Sunt autem manifestissima pietatis argumenta, quæ scripturis continentur. Quarum ordinem sequendo, à primo incipiemus. Oraculo perculsus, quo iubebatur migrare deserta patria, cognatione, paternáque familia, haud secus quàm si è peregrinatione domum redire iussus esset, iter accelerauit in regionem exteram, rem factam se habere putans, si mandatum exequeretur celeriter. Quis alius putas tam constans fuisset ac pertinax, vt non flecteretur affectu cognationis & patriæ, quarum innatum & coalitum est cuique desiderium, magis, aut certe non minus,

A καλοῦσι. μηνύει δὲ τοὔνομα τὴν δύναμιν αὐτοῦ.
προσονομάζεται γὰρ Ἑβραίων γλώττῃ τὸ ἔθνος
Ἰσραήλ, ὅπερ ἑρμηνεύεται ὁρῶν θεόν, ὅρασις δ' ἡ
μὲν δι' ὀφθαλμῶν, ἐν ἁπάσαις καλλιστεύει ταῖς αἰ-
σθήσεσιν· ἐπεὶ καὶ διὰ μόνης καταλαμβάνεται τὰ
κάλλιστα τῶν ὄντων, ἥλιος καὶ σελήνη, καὶ ὁ σύμπας οὐ-
ρανός τε καὶ κόσμος. ἡ δὲ διὰ τοῦ τῆς ψυχῆς ἡγεμονι-
κοῦ προφέρει τὰς ἄλλας, ὅσαι αἱ περὶ αὐτὴν δυνά-
μεις· αὕτη δὲ ἐστι φρόνησις, ὄψις οὖσα διανοίας. ὅτῳ
B δ' ἐξεγένετο, μὴ μόνον τὰ ἄλλα, ὅσα ἐν τῇ φύσει, δι'
ἐπιστήμης καταλαμβάνειν, ἀλλὰ καὶ τὸν πατέρα καὶ
ποιητὴν τῶν συμπάντων ὁρᾶν, ἐπ' ἄκρον εὐδαι-
μονίας ἴστω προεληλυθώς. οὐδὲν γὰρ ἀνώτερω
θεοῦ, πρὸς ὃν εἴ τις τὸ τῆς ψυχῆς τείνας ὄμμα ἔφ-
θακε, μονὴν εὐχέσθω καὶ στάσιν. αἱ μὲν γὰρ ἀνάντεις
ὁδοὶ, καματηραὶ καὶ βραδεῖαι· ἡ δὲ κατὰ πρανοῦς
φορὰ, συρμὸν ἔχουσα τὸ πλέον ἢ κάθοδον, ταχεῖα
καὶ ῥάστη. πολλὰ δὲ τὰ κάτω βιαζόμενα, ὧν οὐδὲν
ὄφελος, ὅταν ἐκ τῶν αὐτοῦ δυνάμεων ἀνακρεμάσας
C τὴν ψυχὴν ὁ θεὸς, ὁλκῇ δυνατωτέρᾳ πρὸς αὑτὸν
ἐπισπάσηται. ταῦτα μὲν κοινῇ περὶ τῶν τριῶν ἀναγ-
καίως προσφράσθω· λεκτέον δ' ἑξῆς ἐν οἷς ἕκαστος
ἴδια προενήνοχεν, ἀπὸ τοῦ προτέρου τὴν ἀρχὴν λα-
βόντας. ἐκεῖνος τοίνυν εὐσεβείας καὶ ἀρετῆς τῆς ἀνω-
τάτω καὶ μεγίστης ζηλωτὴς γενόμενος, ἐσπούδασεν
ἕπεσθαι θεῷ, καὶ κατηπειθὴς εἶναι τοῖς προσταττομέ-
νοις ὑπ' αὐτοῦ, προστάξεις ὑπολαμβάνων, οὐ
τὰς διὰ φωνῆς καὶ γραμμάτων μηνυομένας αὐ-
τῷ μόνον, ἀλλὰ καὶ τὰς διὰ τῆς φύσεως τρανοτέροις
D σημείοις δηλουμένας, ἃς ἡ ἀληθεστάτη τῶν αἰσθήσεων
πρὸ ἀκοῆς τῆς ἀπίστου καὶ ἀβεβαίου καταλαμβάνει.
θεώμενος γάρ τις τὴν ἐν τῇ φύσει τάξιν, καὶ τὴν
παντὸς λόγου κρείττονα πολιτείαν ᾗ χρῆται ὁ κόσ-
μος, ἅμα διδάσκεται φθεγγομένου μηδενὸς, εὔνο-
μον καὶ εἰρηνικὸν βίον ἐπιτηδεύειν, εἰς τὴν τῶν καλῶν
ἐξομοίωσιν ἀποβλέποντα. ἐναργέσταται δὲ τῆς εὐσε-
βείας ἀποδείξεις εἰσὶν, ἃς περιέχουσιν αἱ γραφαί.
προτέραν δὲ λεκτέον, ἣ καὶ πρώτη τέτακται· λογίῳ
E πληχθεὶς περὶ τοῦ πατρίδα καὶ συγγένειαν καὶ πα-
τρῷον οἶκον καταλιπεῖν καὶ μεταναστῆναι, καθάπερ
ἀπὸ τῆς ξένης εἰς τὴν οἰκείαν ἐπανιὼν, ἀλλ' οὐκ ἀπὸ
τῆς οἰκείας εἰς τὴν ξένην μέλλων ἀπαίρειν, ἔσπευδε
συντείνων, νομίζων ἰσότιμον εἶναι τῷ τελειῶσαι, τὸ
ταχέως τὸ προσταχθὲν ἀνύσαι. καίτοι τίνα ἕτερον
εἰκὸς οὕτως ἀκλινῆ καὶ ἄτρεπτον γενέσθαι, ὡς μὴ
φίλτροις ὑπαχθῆναι καὶ ὑπενδοῦναι συγγενῶν καὶ
πατρίδος, ὧν ὁ πόθος ἑκάστῳ τρόπον τινὰ συγγεγέννη-
ται καὶ συνηύξηται, καὶ μᾶλλον ἢ οὐχ ἧττον τῶν ἡνωμένων

μερῶν συμπέφυκε. μάρτυρες δ' οἱ νομοθέται τὴν δευτερεύουσαν θανάτου τιμωρίαν κατὰ τῶν ἐπὶ τοῖς μεγίστοις ἑαλωκότων ὁρίσαντες, φυγήν, οὐ δευτερεύουσαν, ὥς γ' ἐμοὶ δοκεῖ, παρ' ἀλήθειαν δικαζούσῃ, πολὺ δὲ ἀργαλεωτέραν, εἴ γε πέρας μὲν κακοδαιμονιῶν ὁ θάνατος, ἀρχὴ δ', οὐ πέρας ἡ φυγὴ καινοτέρων συμφορῶν, ἀνθ' ἑνὸς τοῦ χωρὶς ἀλγηδόνων, μυρίους ἐπάγουσα θανάτους σὺν αἰσθήσει. καὶ ἐμπορίας ἔνιοι πόθῳ χρηματισμοῦ πλέοντες, ἢ κατὰ πρεσβείαν, ἢ κατὰ θέαν τῶν ἐπὶ τῆς ἀλλοδαπῆς, ἢ δι' ἔρωτα παιδείας, ὁλκοὺς ἔχοντες δυνάμεις τῆς ἔξω μονῆς, οἱ μὲν τὰς ἐπικερδείας, οἱ δὲ τὴν πόλιν ἐπὶ καιρῶν ἐν τοῖς ἀναγκαιοτάτοις καὶ μεγίστοις ὀνῆσαι, οἱ δὲ ἱστορῆσαι ὧν πρότερον ἠγνόουν, τέρψιν ἅμα καὶ ὠφέλειαν τῇ ψυχῇ παρασκευάζουσι· τυφλοὶ γὰρ πρὸς ὀξὺ βλέποντας, ἀναποδήμητοι πρὸς ἐκδεδημηκότας· ὅμως ἐπείγονται τὸ πατρῷον ἔδαφος ἰδεῖν καὶ προσκυνῆσαι, καὶ συνήθεις ἀσπάσασθαι, συγγενῶν τε καὶ φίλων ἡδίστης καὶ ποθεινοτάτης ὄψεως ἀπολαῦσαι, καὶ πολλάκις τὰς πράξεις ὧν ἕνεκα ἐξεδήμησαν μηκυνομένας ὁρῶντες, κατέλιπον, ἱμέρῳ τῶν οἰκείων ἑλχθέντες βεβαιοτάτῳ. μεθ' ὀλίγων δ' οὗτος, ἢ καὶ μόνος, ἅμα τῷ κελευσθῆναι μετανίστατο, καὶ τῇ ψυχῇ πρὸ τοῦ σώματος τὴν ἀποικίαν ἐστέλλετο, τὸν ἐπὶ τοῖς θνητοῖς ἵμερον παρευημεροῦντος ἔρωτος οὐρανίου. οὐδενὸς οὖν φροντίσας, οὐ φυλετῶν, οὐ δημοτῶν, οὐ συμφοιτητῶν, οὐχ ἑταίρων, οὐ τῶν ἀφ' αἵματος ὅσοι πρὸς πατρὸς ἢ μητρὸς ἦσαν, οὐ πατρίδος, οὐκ ἀρχαίων ἐθῶν, οὐ συντροφίας, οὐ συνδιαιτήσεως, ὧν ἕκαστον ἀγωγόν τι καὶ δυσαπόσπαστον ὁλκὸν ἔχει δύναμιν, ἐλευθέροις καὶ ἀφέτοις ὁρμαῖς, ᾗ τάχιστα μετανίσταται, τὸ μὲν πρῶτον ἀπὸ τῆς Χαλδαίων γῆς, εὐδαίμονος χώρας, καὶ κατ' ἐκεῖνον ἀκμαζούσης τὸν χρόνον, εἰς τὴν Χαρραίων γῆν· ἔπειτα οὐ μακρῷ ὕστερον, καὶ ἀπὸ ταύτης εἰς ἕτερον τόπον, περὶ οὗ λέξομεν, ἐκεῖνο προειπόντες. αἱ δηλωθεῖσαι ἀποικίαι, τῷ μὲν ῥήματι τῆς γραφῆς ὑπ' ἀνδρὸς σοφοῦ γεγόνασι· κατὰ δὲ τοὺς ἀλληγορίας νόμους, ὑπὸ φιλαρέτου ψυχῆς τὸν ἀληθῆ ζητούσης θεόν. Χαλδαῖοι γὰρ ἐν τοῖς μάλιστα διαπονήσαντες ἀστρονομίαν, καὶ πάντα ταῖς κινήσεσι τῶν ἀστέρων ἀνατιθέντες, ὑπέλαβον οἰκονομεῖσθαι τὰ ἐν κόσμῳ δυνάμεσιν, ἃς περιέχουσιν ἀριθμοὶ καὶ ἀριθμῶν ἀναλογίαι, τὴν ὁρατὴν οὐσίαν ἐσέμνυνον, τὴν ἀοράτου καὶ νοητῆς οὐ λαβόντες ἔννοιαν, ἀλλὰ τὴν ἐν ἐκείνοις τάξιν διερευνώμενοι,

A quàm membra corporis. testes sunt legislatores, qui secundam ab extrema capitali pœna atrocissimorum criminum conuictis statuerunt exilium: profecto non secundam, quantum equidem vere iudicare possum, sed aliquanto grauiorem: siquidem mors calamitatum finis est, exilium vero non finis, sed nouorũ malorum initium, dum euitata vna sensu carente, innumeræ mortes sentiuntur. Alij negotiationis augendæque rei familiaris causa nauigant, alij legationis: B nonnulli amore visendi regiones exteras, aut eruditionis parandæ, ad peregrinationem tracti lucri cupidine, aut iuuãdæ patriæ temporibus difficilibus, aut cognoscendi quæ prius nesciuerant, delectandi & adiuuandi animi gratia. Quantum enim cæci cedunt videntibus, tantum præstant peregrinati nunquam egressis patriam. Omnes tamen ad patrium solum properabundi, videre id & salutare gestiunt, complecti familiares, frui gentilium & amicorum mutuo C conspectu longe iucũdissimo: adeò vt aliquoties remorantibus se negotijs, propter quæ reliquerunt domesticos, abrumpant ea non ferentes gratissimarum necessitudinum desiderium. At hic noster cum exiguo, vel penè nullo comitatu, quàm primum iussus est, demigrauit, animo prius in nouam coloniam profectus quàm corpore, mortalium rerum desiderio cedente amori cælestiũ. Seposita igitur cura popularium, tribulium, familiarium, amicorum, cogna- D torum paterno maternóque sanguine, ad hæc patriæ, morum consuetorum, simul educatorum & vitæ sociorum, quæ singula magnam vim habent ad retrahendum à proposito, libero expeditóque conatu quamprimum potest demigrat, primum è Chaldæa, regione illo tempore admodum fortunata, in Carrensem agrum: deinde non multo post hinc quoque in locum alium, de quo dicturi sumus, sed prius lectore præmonito: quòd dictæ mi- E grationes, iuxta seriem scripturæ, viri sapientis fuerunt: sed iuxta leges allegoriæ, animæ virtutis studiosæ, verum Deum quærentis. Nam Chaldæi cum primis exercitati siderali scientia, omnia tribuentes stellarum motibus, à quibus credebant dispensari mundi potentias, quæ constant ex numeris eorumque proportionibus, venerabantur istas res visibiles, non percipientes inuisibilia & intelligibilia,

A scrutantes illarum tantum ordinem: atque ita è solis, lunæ, stellarum erraticarum fixarúmque circuitibus, & anni in quatuor tempora distincti vicibus, consensúque rerum cælestium ac terrestrium, mundum ipsum existimabant esse Deum, profana opinione creaturam facientes creatori similem. huic innutritus dogmati, & per tempus longum Chaldaico imbutus delirio, tanquam post altum somnum aperto mentis oculo, postquam puram lucem pro densis tenebris cœpit B intueri, secutus eius splendorem, animaduertit quod prius non viderat: præesse mundo quendam aurigam gubernatorémque, qui operis sui saluti prouideat, curator tutórque partium eius etiam, quæ diuina cura dignæ sunt. Ergo vt confirmaretur mentis eius visio, sic admonetur diuinitus. Heus tu, magna plerunque cognoscuntur signis exiguis, quæ intuitus aliquis, imaginationum infinitarum mole premitur. proinde vale dicto Chal- C dæis quorum professio est scrutari cælestia, demigra è magna mundi ciuitate aliquantisper in minorem aliam. sic enim facilius videbis mundi præsidem. & hoc est cur prima migratio fit in agrum Carrensem, quia Charran specus dicuntur: per quos significantur regiones nostrorum sensuum, per quas tanquam cauernas vnusquisque illorum solet prospicere ad subiecta sua percipienda. sed dicat aliquis, nullum esse horum vsum, nisi D mens inuisibilis, ceu latens quidam histrio suas vires intus exerceat, modo contractis modo remissis neruis, mouens sisténsque sua ludicra. Hoc igitur exemplum cum habeas domesticum, facile quod scire cupis, poteris discere. Nisi forte putas, in te quidem mentis imperata totum corpus omnésque sensus vnanimiter facere: mundum autem opus omnium maximum atque pulcherrimum, à quo ceu partes dependent reliqua cuncta, desti- E tutum esse sui regis prouidentia, per quam sit incolumis, & administretur legitime. Nec mirandum est, si eum non conspicis, quandoquidem nec tuum cernis animum. Hæc si quis secum ipse reputet, non è longinquo, sed è proximo documenta capiens, videlicet ex seipso rebúsque ad se pertinentibus, cognoscet manifeste, quòd mundus non sit ille primus Deus,

καὶ τὰς ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν περιόδους, ἢ κατὰ τὰς τῶν ἐτησίων ὡρῶν μεταβολάς, καὶ κατὰ τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια συμπάθειαν, τὸν κόσμον αὐτὸν ὑπέλαβον εἶναι θεόν, οὐκ εὐαγῶς τὸ γενόμενον ἐξομοιώσαντες τῷ πεποιηκότι. ταύτῃ τῇ δόξῃ συντραφείς, καὶ χαλδαΐσας μακρὸν ἤδη χρόνον, ὥσπερ ἐκ βαθέος ὕπνου διανοίξας τὸ τῆς ψυχῆς ὄμμα, καὶ καθαρὰν αὐγὴν ἀντὶ σκότους βαθέος βλέπειν ἀρξάμενος, ἠκολούθησε τῷ φέγγει, καὶ κατεῖδεν ὃ μὴ πρότερον ἐθεάσατο, τοῦ κόσμου τινὰ ἡνίοχον καὶ κυβερνήτην ἐφεστῶτα, καὶ σωτηρίως ἀπευθύνοντα τὸ οἰκεῖον ἔργον, ἐπιμέλειάν τε καὶ προστασίαν καὶ τῶν ἐν αὐτῷ μερῶν, ὅσα θείας ἐπάξια φροντίδος, ποιούμενον. ὅπως δ᾽ οὖν βεβαιώσῃ τὴν φανεῖσαν ὄψιν ἐν διανοίᾳ παγιώτερον, φησὶν αὐτῷ ὁ ἱερὸς λόγος, τὰ μεγάλα ὦ οὗτος, ὑποτυπώσει βραχυτέρων πολλάκις γνωρίζεται, πρὸς ἅ τις ἀπιδὼν ἧξε τὴν φαντασίαν ἀπεριγράφοις μεγέθεσι. παραπεμψάμενος οὖν τοὺς τὸν οὐρανὸν περιπολοῦντας, καὶ τὴν χαλδαϊκὴν ἐπιστήμην, μετανάστηθι πρὸς ὀλίγον ἀπὸ τῆς μεγίστης πόλεως τοῦδε τοῦ κόσμου πρὸς βραχυτέραν. οὕτως γὰρ μᾶλλον καταλαβεῖν τὸν ἔφορον τοῦ παντός. διὰ τοῦτο τὴν προτέραν ἀποικίαν ἀπὸ τῆς χαλδαίων γῆς εἰς τὴν χαρρὰν λέγεται ποιήσασθαι. χαρρὰν δὲ ἑλληνιστὶ τρῶγλαι λέγονται, κατὰ σύμβολον, αἱ τῶν ἡμετέρων αἰσθήσεων χῶραι, δι᾽ ὧν ὥσπερ ὀπῶν, ἑκάστη πέφυκε διακύπτειν πρὸς τὴν τῶν οἰκείων ἀντίληψιν. ἀλλὰ τί τούτων, εἴποι τις ἄν, ὄφελος, εἰ μὴ νοῦς ἀόρατος καθάπερ θαυματοποιὸς ἔνδοθεν ὑπηχεῖ ταῖς ἑαυτοῦ δυνάμεσιν, ἃς τοτὲ μὲν ἀνιεὶς καὶ ἐπιχαλῶν, τοτὲ δὲ ἀντισπῶν καὶ ἀνθέλκων βίᾳ, κίνησιν ἐμμελῆ καὶ πολλὴν ἡσυχίαν ἐμπαρείχετο τοῖς θαύμασι. τοῦτο ἔχων παρὰ σαυτῷ τὸ παράδειγμα, ῥᾳδίως, οὗ σφόδρα ποθεῖς λαβεῖν τὴν ἐπιστήμην, κατανοήσεις. οὐ γὰρ ἐν σοὶ μὲν νοῦς ἐστιν ἡγεμὼν ἐπιτεταγμένος, ᾧ καὶ τοῦ σώματος ἅπασα κοινωνία πειθαρχεῖ, καὶ ἑκάστη τῶν αἰσθήσεων ἕπεται· ὁ δὲ κόσμος τὸ κάλλιστον καὶ μέγιστον καὶ τελειότατον ἔργον, οὗ πάντα τὰ ἄλλα συμβέβηκεν εἶναι μέρη, βασιλέως ἀμοιρεῖ τοῦ συνέχοντος, καὶ ἐνδίκως ἐπιτροπεύοντος. εἰ δ᾽ ἀόρατος, μὴ θαυμάσῃς. οὐδὲ γὰρ ὁ ἐν σοὶ νοῦς ὁρατός. ταῦτά τις ἐπιλογιζόμενος καὶ οὐ πόρρωθεν, ἀλλ᾽ ἐγγύθεν ἀναδιδασκόμενος, ἔκ τε αὐτοῦ καὶ τῶν περὶ αὐτὸν εἴσεται σαφῶς, ὅτι ὁ κόσμος οὐκ ἔστιν ὁ πρῶτος θεός, ἀλλ᾽

A ἀλλ' ἔργον τοῦ πρώτου θεοῦ καὶ τοῦ συμπάντων πατρὸς, ὃς ἀειδὴς ὤν, πάντα φαίνει, μικρῶν τε αὖ καὶ μεγάλων διαδεικνὺς τὰς φύσεις. σώματος γὰρ ὀφθαλμοῖς οὐκ ἠξίωσε καταλαμβάνεσθαι· τάχα μὲν, ἐπεὶ θνητὸν ἀϊδίου ψαύειν οὐχ ὅσιον ἦν. τάχα δὲ καὶ δι' ἀσθένειαν τῆς ἡμετέρας ὄψεως. οὐ γὰρ ἂν ἐχώρησε τὰς ἀπὸ τοῦ ὄντος χεομένας αὐγάς, ὁπότε οὐδὲ ταῖς ἀφ' ἡλίου προσβλέπειν ἀκτῖσιν οἷά τέ ἐστι. τεκμήριον δὲ τῆς ἀποικίας ἐναργέστατον, ἣν ἀπ' ἀστρονομίας καὶ τῆς χαλδαϊζούσης δόξης ἡ διάνοια ἐστείλατο. B λέγεται γὰρ ἅμα τῇ μεταναστάσει εὐθὺς τοῦ σοφοῦ, Ὤφθη δὲ ὁ θεὸς τῷ Ἀβραάμ, ᾧ δηλονότι πρότερον οὐκ ἦν ἐμφανὴς, ὅτε χαλδαΐζων τῇ τῶν ἀστέρων πορείᾳ προσεῖχεν, ἔξω τοῦ κόσμου καὶ τῆς αἰσθητῆς οὐσίας, εὐάρμοστον καὶ νοητὴν φύσιν οὐδεμίαν ἁπλῶς καταλαμβάνων· ἐπεὶ δὲ μεθωρμίσατο καὶ μετεχώρησε, κατ' ἀναγκαῖον ἔγνω τὸν κόσμον ὑπήκοον, ἀλλ' οὐκ αὐτοκράτορα, οὐ πρυτανεύοντα, ἀλλὰ πρυτανευόμενον C ὑπ' αἰτίου τοῦ πεποιηκότος· ὅπερ ἡ διάνοια τότε πρῶτον ἀναβλέψασα εἶδε. πολλὴ γὰρ αὐτῆς πρότερον ἀχλὺς ὑπὸ τῶν αἰσθητῶν κατεκέχυτο, ἣν ἐν θερμοῖς καὶ διαπύροις δόγμασιν ἀνασκεδάσασα, μόλις ἴσχυσεν, ὡς ἐν αἰθρίᾳ καθαρᾷ, τοῦ πάλαι κρυπτομένου καὶ ἀειδοῦς φαντασίαν λαβεῖν· ὃς ἕνεκεν φιλανθρωπίας ἀφικνουμένην τὴν ψυχὴν ὡς αὐτὸν οὐκ ἀπεστράφη, προϋπαντήσας δὲ τὴν ἑαυτοῦ φύσιν ἔδειξε, καθ' ὅσον οἷόν τε ἦν ἰδεῖν τὸν βλέποντα. D διὸ λέγεται, οὐχ ὅτι ὁ σοφὸς εἶδε θεὸν, ἀλλ' ὅτι ὁ θεὸς ὤφθη τῷ σοφῷ. καὶ γὰρ ἦν ἀδύνατον καταλαβεῖν τινὰ δι' αὑτοῦ τὸ πρὸς ἀλήθειαν ὂν, μὴ προεμφήναντος ἐκείνου ἑαυτὸ καὶ παραδείξαντος· μαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ ἡ τοῦ ὀνόματος ἐναλλαγὴ καὶ μετάθεσις. ἐκαλεῖτο γὰρ Ἀβραμ τὸ ἀρχαῖον ὄνομα, προσερρήθη δ' ὕστερον Ἀβραάμ, φωνῇ μὲν ἑνὸς στοιχείου τοῦ α' διπλασιασθέντος, δυνάμει δὲ μεγάλου πράγματος καὶ δόγματος ἐνδειξαμένου τὴν μεταβολήν. E Ἀβραμ μὲν γὰρ ἑρμηνευθέν ἐστι πατὴρ μετέωρος· Ἀβραάμ δὲ πατὴρ ἐκλεκτὸς ἠχοῦς· τὸ μὲν πρότερον ἐμφαῖνον τὸν ἀστρολογικὸν καὶ μετεωρολογικὸν ἐπικαλούμενον, οὕτω τῶν χαλδαϊκῶν δογμάτων ἐπιμελόμενον, ὡς ἂν τις πατὴρ ἐγγόνων ἐπιμεληθείη· τὸ δ' ὕστερον, τὸν σοφόν. διὰ μὲν γὰρ τῆς ἠχοῦς τὸν προφορικὸν λόγον αἰνίττεται, διὰ δὲ τοῦ πατρὸς, τὸν ἡγεμόνα νοῦν.

A sed opus primi dei patris vniuersorum: qui cum ipse sit inuisibilis, ostendit omnia, paruorum ac magnorum naturas indicans. corporeis enim oculis non dignatur aspici: vel quia sempiternum à mortali contrectari nefas est, vel propter nostri visus infirmitatem. Nec enim potuisset capere profusos ab eo Qui est radios, quando ne solis quidem splendorem valet aspicere. Habemus autem argumentum euidens huius mi-
B grationis, qua mens astronomiam & Chaldaicam opinionem reliquit. memoratur enim quam primum profectus est ille sapiens, Deum apparuisse Abrahamo: cui videlicet prius non fuerat conspicuus, quando more Chaldæorum intentus erat siderum cursibus, extra mundum & sensibilem essentiam nullam prorsus naturam intelligibilem percipiens. at postquam solum vertit, necessario cognouit mundum esse subditum non
C Dominum, nec regere, sed regi ab autore suo: quod mens tunc primum apertis oculis didicit. nam prius sensibilia magnam ei caliginem offuderant, quam vbi discussit calidis & ignitis dogmatibus, vix tandem potuit velut in serenitate pura eum qui prius latuerat cernere. ille vero pro sua humanitate venientem ad se animam non auersatus, sed obuiam progressus, ostendit suam naturam, quatenus videri poterat: quam ob rem
D non dicitur, vidit sapiens Deum: sed Deus apparuit sapienti. non enim erat possibile, vt aliquis per seipsum comprehenderet eum Qui vere est, ni ille se vltro videndum præbuisset. Testatur hoc etiam mutatio nominis. prius enim Abram vocatus, mox cœpit appellari Abraham, vnius tantum duplicatione literæ, videlicet A, sed quæ magnum quiddam significabat. Abram enim interpretatur pater sublimis:
E Abraham vero pater electus vocis. Prius indicat virum astrologicum & meteorologicum, Chaldæorum placitis tanta cura deditum, quantam solent parentes impendere suis filijs. posterius vero, sapientem. nam per vocem sermo qui profertur subindicatur: per patrem, mens cuius principatus est. nam sermo qui concipitur intus,

A naturaliter pater est, vt antiquior, ferens quæ dicenda videntur. cæterum quod additur electus, bonitatem declarat. Quicquid enim malum, confusum & indigestum est: bonum eligitur, vt præcipuum inter omnia. Itaque meteorologico viro nihil omnino maius mundo videtur, quem etiam rerum autorem existimat. At sapiens certioribus oculis videns illum perfectiorem intelligibilem rectorem & principem, cuius dominium agnoscunt cætera, & B imperata faciunt, sæpe anteactam suam vitam incusat, in qua cæcus tenebras palpans nitebatur rebus sensibilibus suapte natura infirmis & instabilibus. ac rursum in secundam profectionem vir bonus oraculo monitus mittitur, non iam ex altera ciuitate in alteram, sed in regionem desertam, in qua vagus degat, non ægre ferens errorem & sedes incertas ac inconstantes. Quod tamen quis alius tulisset æquo animo, si derelictis proprijs ædibus, insuper C ab omni vrbe prohibitus, protraheretur in loca inaccessa & deuia? quis non verso itinere domum repetisset propere, neglecta spe proposita, cupiens præsentem egestatem effugere, & stultitiam reputans propter incerta bona inuolui malis certissimis? Solus hic afficiebatur aliter, iucundissimam vitam existimans secessum à multitudine. Sic enim natura comparatum est, vt qui Deum inuenire cupiunt, amicam ei solitudinem diligant, hoc pri- D mum modo imitati beatam illam ac felicem essentiam. Atque ita demonstrata vtraque sententia, tum ea quæ tanquam de viro loquitur, tum ea quæ tanquam de anima intelligitur, ostendimus & virum & mentem amabilem: illum quòd oraculis obsequens passus sit se distrahi à rebus charissimis: hanc vero, quia tandem resipiscens valedixerit rebus sensibilibus, iam non credens vt antea, sensibilem hunc mundum esse primum Deum & maximum: E sed cogitatione ascendens altius ad contemplandam alteram naturam intelligibilem, simúlque rectorem ambarum & opificem. Hæc sunt rudimenta Deo chari hominis, sequuntur mox non contemnenda facinora, sed eorum magnitudo non cuiuis apparet, solis his conspicua, qui virtutem degustauerunt, & res vulgo mirabiles fastidiunt libenter præ bonis animæ potioribus. Approbans

πατὴρ γὰρ ὁ ἐνδιάθετος φύσει τοῦ λεγομένου πρεσβύτερός τε ὤν, καὶ τὰ λεκτέα ὑποσπείρων· διὰ δὲ τοῦ ἐπιλεγομένου, τὸ ἀστεῖον. εἰκαῖος μὲν γὰρ καὶ πεφυρμένος ὁ φαῦλος τρόπος, ἐκλεκτὸς δὲ ὁ ἀγαθὸς ἐπικριθεὶς ἐκ πάντων ἀριστίνδην. τῷ μὲν οὖν μετεωρολογικῷ μεῖζον οὐδὲν κόσμου τὸ παράπαν εἶναι δοκεῖ, ᾧ καὶ τὰς τῶν γινομένων αἰτίας ἀνατίθησιν· ὁ δὲ σοφὸς ἀκριβεστέροις ὄμμασιν ἰδὼν τὸ τελειότερον νοητὸν ἄρχοντά τε καὶ ἡγεμόνα, ὑφ᾽ οὗ τὰ ἄλλα δεσπόζεται καὶ κυβερνᾶται, πολλάκις κατεμέμψατο τῆς προτέρας ζωῆς ἑαυτόν, ὡς τυφλὸν βίον διεξεληλυθότα, σκηριπτόμενον ἐπὶ τοῖς αἰσθητοῖς, ἀβεβαίῳ καὶ ἀνιδρύτῳ φύσει πράγματι. δευτέραν δὲ ἀποικίαν πάλιν στέλλεται λογίῳ πάλιν πεισθεὶς ὁ ἀστεῖος, οὐκέτι ἐκ πόλεως εἰς πόλιν, ἀλλ᾽ εἰς χώραν ἐρήμην, ἐν ᾗ πλαζόμενος διετέλει, μὴ δυσαρεστῶν τῇ πλάνῃ, καὶ τῷ δι᾽ αὐτὴν ἀνιδρύτῳ. καίτοι τίς ἕτερος οὐκ ἂν ἠχθέσθη, οὐ μόνον τῆς οἰκείας ἀπῳκισμένος, ἀλλὰ καὶ ἐκ πάσης πόλεως ἐλαυνόμενος εἰς δυσβάτους καὶ δυσπορεύτους ἀνοδίας· τίς δ᾽ οὐκ ἂν μεταστρεφόμενος ἐπαλινδρόμησεν οἴκαδε, βραχέα μὲν φροντίσας τῶν μελλουσῶν ἐλπίδων, τὴν δὲ πρόσοδον ἀπορίαν σπεύδων ἐκφυγεῖν, εὐήθειαν ὑπολαβὼν ἄδηλα χάριν ἀγαθῶν ὁμολογούμενα αἱρεῖσθαι κακά. μόνος δ᾽ οὗτος τοὐναντίον πεπονθέναι φαίνεται, βίον ἥδιστον νομίζων, τὸν ἄνευ τῆς τῶν πολλῶν συνδιαιτήσεως· καὶ πέφυκεν οὕτως ἔχειν. οἱ γὰρ ζητοῦντες καὶ ἐπιποθοῦντες θεὸν ἀνευρεῖν, τὴν φίλην αὐτῷ μόνωσιν ἀγαπῶσι, κατ᾽ αὐτὸ τοῦτο πρῶτον σπεύδοντες ἐξομοιοῦσθαι τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει. ἑκατέραν οὖν ἀπόδοσιν πεποιημένοι τήν τε ῥητὴν ὡς ἐπ᾽ ἀνδρός, καὶ τὴν δι᾽ ὑπονοιῶν ὡς ἐπὶ ψυχῆς, ἀξιέραστον καὶ τὸν ἄνδρα καὶ τὸν νοῦν ἀπεφήναμεν, τὸν μὲν πεισθέντα λογίοις, ἐκ δυσαποσπάστων ἀφελκυσθέντα, τὸν δὲ νοῦν, ὅτι οὐ μέχρι παντὸς ἀπατηθεὶς ἐπὶ τῆς αἰσθητῆς οὐσίας ἔστη, τὸν ὁρατὸν κόσμον ὑπολαβὼν μέγιστον καὶ πρῶτον εἶναι θεόν, ἀλλ᾽ ἀναδραμὼν τῷ λογισμῷ, φύσιν ἑτέραν ἀμείνω τῆς ὁρατῆς νοητὴν ἐθεάσατο, καὶ τὸν ἀμφοῖν ὁμοῦ ποιητὴν καὶ ἡγεμόνα. ταῦτα τοῦ θεοφιλοῦς τὰ προτέλεια, οἷς ἕπονται πράξεις οὐκ εὐκαταφρόνητοι· τὸ δὲ μέγεθος αὐτῶν οὐ παντὶ δῆλον, ἀλλὰ μόνοις τοῖς γευσαμένοις ἀρετῆς, οἳ τὰ θαυμαζόμενα τοῖς πολλοῖς εἰώθασι χλευάζειν, ἕνεκα μεγέθους τῶν τῆς ψυχῆς ἀγαθῶν. ἀποδεξάμενος οὖν ὁ θεὸς τὴν εἰρημένην πρᾶξιν,

αὐτίκα τὸ ἄξιον ἀμείβεται μεγάλῃ δωρεᾷ, τὸν γάμον αὐτοῦ κινδυνεύσαντα πρὸς δυνατοῦ καὶ ἀκράτους ἀνδρὸς ἐπιβουλευθῆναι, διατηρήσας ἄψαυστόν τε καὶ σῶον. ἡ δ᾽ αἰτία τῆς ἐπιθέσεως, ἀρχὴν ἔλαβε τοιάνδε. καρπῶν ἀπορίας ἐπὶ συχνὸν χρόνον γινομένης, ποτὲ μὲν διὰ πολλὴν καὶ ἄμετρον ἐπομβρίαν, ποτὲ δὲ δι᾽ αὐχμὸν καὶ ζάλην, αἱ κατὰ Συρίαν πόλεις συνεχεῖ πιεσθεῖσαι λιμῷ, κεναὶ τῶν οἰκητόρων ἦσαν, ἄλλων ἀλλαχόσε σκιδναμένων κατὰ ζήτησιν τροφῆς καὶ πορισμὸν τῶν ἀναγκαίων. πυθόμενος οὖν Ἀβραὰμ ἄφθονον εὐθηνίαν ἐν Αἰγύπτῳ καὶ εὐετηρίαν, τοῦ μὲν ποταμοῦ ἐν καιρῷ λιμνάσαντος τὰ πεδία ταῖς πλημμύραις, τὸν δὲ τὸν σπόρον εὔσταχυν ἐνεγκόντων καὶ ἀναθρεψαμένων εὐκρασίαις πνευμάτων, ἀπαίρει πᾶσαν τὴν οἰκίαν ἐπαγόμενος. ἦν δ᾽ αὐτῷ γυνή, τήν τε ψυχὴν ἀρίστη, καὶ τὸ σῶμα τῶν καθ᾽ αὑτὴν περικαλλεστάτη. ταύτην ἰδόντες Αἰγυπτίων οἱ ἐν τέλει, καὶ τῆς εὐμορφίας ἀγάμενοι· λανθάνει γὰρ τοὺς ἐν ἐξοχαῖς οὐδέν· μηνύουσι τῷ βασιλεῖ. μεταπεμψάμενος δὲ τὴν ἄνθρωπον, καὶ θεασάμενος ἐκπρεπεστάτην ὄψιν, βραχὺ φροντίσας αἰδοῦς, καὶ νόμων τῶν ἐπὶ τιμῇ ξένων ὁρισθέντων, ἐνδοὺς ἀκρασίᾳ, διενοεῖτο, λόγῳ μὲν αὐτὴν ἀγαγέσθαι πρὸς γάμον, τὸ δ᾽ ἀληθὲς αἰσχῦναι. ἡ δ᾽ ἅτε ἐν ἀλλοτρίᾳ γῇ παρ᾽ ἀκρατεῖ τε καὶ ὠμοθύμῳ δυνάστῃ τοῦ βοηθήσοντος ἀποροῦσα· οὐδὲ γὰρ ὁ ἀνὴρ ἔσθενεν ἀρήγειν τὸ ἐπικρεμάμενον ἐκ τῶν δυνατωτέρων φόβον δεδιώς· ἐπὶ τὴν τελευταίαν ἅμα ἐκείνῳ καταφεύγει συμμαχίαν τὴν ἐκ θεοῦ. λαβὼν δὲ τῶν ξένων οἶκτον ὁ εὐμενὴς καὶ ἵλεως, καὶ ὑπέρμαχος τῶν ἀδικουμένων, ἅμα ἀλγηδόνας δυσκαρτερήτους καὶ χαλεπὰς τιμωρίας ἐπάγει τῷ βασιλεῖ, παντοίων κακῶν δυσιάτων ἀναπλήσας αὐτοῦ τὸ σῶμα καὶ τὴν ψυχὴν, ὡς τὰς μὲν ἐφ᾽ ἡδονὰς ἀγούσας ὀρέξεις ἁπάσας ἐκκεκόφθαι, τὰς δ᾽ ἐναντίας παρεισεληλυθέναι φροντίδας περὶ ἀπαλλαγῆς ἀλύτων βασάνων, ὑφ᾽ ὧν γυμναζόμενος μεθ᾽ ἡμέραν καὶ νύκτωρ ἐξετραχηλίζετο. συναπέλαυσε δὲ τῆς τιμωρίας σύμπας αὐτοῦ ὁ οἶκος, μηδενὸς ἐπὶ τῇ παρανομίᾳ δυσχεράναντος, ἀλλὰ πάντων ἕνεκα τοῦ συναινεῖν, μονονοὺ συνεξειργασμένων τὸ ἀδίκημα. τοῦτον τὸν τρόπον, ἡ μὲν ἁγνεία τῆς γυναικὸς διασώζεται, τοῦ δὲ ἀνδρὸς τὴν καλοκαγαθίαν ὁ θεὸς καὶ εὐσέβειαν ἠξίωσεν ἐπιδείξασθαι, γέρας αὐτῷ μέγιστον παρασχὼν, ἀσινῆ καὶ ἀδύλευτον ἔσον οὐδέπω κινδυνεύσαντα τὸν γάμον διαφθαρῆναι, οὐκ ἔμελλεν ἀριθμὸν υἱῶν ἢ θυγατέρων γεννᾶν,

A igitur Deus factum quod diximus, mox bonum virum egregie remunerat, coniugium eius à potente & immoderato quodam in periculum adductum, intactum seruans & incolume. Cuius periculi hæc fuit occasio. Cum diu laboratum esset frugum penuria, iam propter squalores, iam propter imbres nimios, vrbes Syriæ continua fame pressæ desertæ fuerant ab habitatoribus, alijs aliò dispersis quærendi victus gratia. B Abraham quoque audita Ægypti felicitate abundantiáque, cuius campi solenni stagnatione fluminis rigati, copiosas segetes proferunt, auris tempestiuis nutritas ac maturatas, illuc se cum tota familia contulit. Erat ei vxor animi corporísque dotibus ornatissima. Hac visa quidam Ægyptiorum optimates, admirati pulchritudinem (nihil enim eximium latere potest) rem ad regem suum deferunt. C Is accersit mulierem, & forma eius captus, semota hospitalis iuris reuerentia, morem gesturus suæ cupiditati, voluit ea prætextu nuptiarum potiri. At illa in aliena regione apud impotentem & crudelem principem destituta auxilio, quando ne maritus quidem malum impendens depellere valebat, potentiorem metuens, ad eam quæ supererat opem diuinam confugit. D tum Deus propitius miseratus hospites, & protector factus iniuriam patientium, graues pœnas & cruciatus magnos inflixit regi, ita vt animo corporéque laboraret morbo non simplici, & amorum voluptatúmque oblitus, longe diuersas curas agitaret, quonam modo euadere posset è tormentis præsentibus, quibus continuis interdiu noctúque molestabatur. Quam eius pœnam sensit & E tota regia, eo quòd nemo se tantæ iniquitati opposuerat, sed vno consensu omnium tantum non manus extrema sceleri fuerat imposita. In hunc modum pudicitiæ mulieris consultum est, mariti vero pietatem ac probitatem Deus illustriorem facere dignatus est, exhibens ei maximum virtutis præmium, illæsam intactámque vxorem, quæ minimum à constupratione abfuerat, mater mox futura non filiorum filiarúmque, sed gentis integræ,

& quidem Deo gratissimæ, quippe cui contigerunt vates ac sacerdotes in publicum vsum totius humani generis. Audiui tamen & naturæ interpretes non ineptam afferentes allegoriam, qui hunc maritum aiebant significare bonum intellectum, ex nominis interpretatione conijcientes hæc dici de bona anima. Huius vxorem esse virtutem, quæ Chaldaice nominatur Sarra, Latine princeps, eo quòd nihil æque principes & magistratus deceat. Coniugium vero, corporum quidem, voluptas conciliat: cogitationum autem purificationis cupidarum copulam, qua perfectis virtutibus iunguntur, curat sequestra sapientia. Quæ duo connubia sunt diuersissima & plane contraria. Nam in genere corporeo mas genituram proseminat, quam excipit fœmina. Contrà in congressu pertinente ad animam, virtus quæ censetur fœmina, suapte natura proseminat consilia bona rationésque probatas, & dogmata vitæ vtilissima. Intellectus autem qui mariti tenere ordinem videtur, illa sacra diuináque semina suscipit. nisi forsan error est in nominibus, dum in vocabulis masculinam formam intellectus habet, virtus fœmininam. Quod si quis res exutas nominum amictu nudas purásque inspiciat, sciet virtutem suopte ingenio masculam esse, vt quæ mouet ac afficit, & honestos conceptus honestarum actionum atque orationum suggerit: è diuerso intellectum rem fœmineam, quæ mouetur, eruditur, adiuuatur, & in totum æstimatur ex affectione, quæ quidem ei sola est salutifera. Siquidem etiam pessimus quisque virtutem verbis honorat, & extollit in speciem: sed monita eius nemo nisi probus recipit. Quamobrem Ægypti rex, per quem significatur intellectus amator corporis, mimum agens tanquam in theatro, fingit amorem temperantiæ cum sit ipse intemperans, & sobrietatis ipse luxu perditus, & iniustus iustitiæ, accersens ad se virtutem, vt apud vulgum existimationem præclaram sibi comparet. Quod vbi videt ille supernus spectator omnium Deus, qui solus animi secreta perspicit, pertæsus fucatam improbitatem arguit inclementibus cruciatibus. At quibus ad hoc instrumentis vtitur? nimirum quibusdam virtutis partibus, quæ quoties subintrant, acerbos dolores excitant.

A ἀλλ' ὅλον ἔθνος, καὶ ἔθνος τὸ θεοφιλέστατον· ὅ μοι δοκεῖ τὴν ὑπὲρ ἅπαντος ἀνθρώπων γένους ἱερωσύνην καὶ προφητείαν λαχεῖν. ἤκουσα μὲν τοι καὶ φυσικῶν ἀνδρῶν οὐκ ἀπὸ σκοποῦ τὰ περὶ τὸν τόπον ἀλληγορούντων, οἳ τὸν μὲν ἄνδρα συμβολικῶς ἔφασκον σπουδαῖον εἶναι νοῦν, ἐκ τῆς περὶ τοὔνομα ἑρμηνευθείσης δυνάμεως τεκμηράμενοι τὸν ἀστεῖον ἐν ψυχῇ· τὴν δὲ τούτου γυναῖκα, ἀρετήν, ἧς τοὔνομά ἐστι χαλδαϊστὶ μὲν
B Σάρρα, ἑλληνιστὶ δὲ ἄρχουσα, διὰ τὸ μηδὲν ἀρετῆς ἀρχικώτερον εἶναι καὶ ἡγεμονικώτερον. γάμος δέ, ὃν μὲν ἁρμόζεται ἡδονή, σωμάτων κοινωνίαν ἔλαχεν· ὃν δὲ σοφία, λογισμῶν καθάρσεως ἐφιεμένων, καὶ τελείων ἀρετῶν. ἐναντιώτατοι δὲ ἀλλήλοις εἰσὶν οἱ λεχθέντες γάμοι. κατὰ μὲν γὰρ τὴν τῶν σωμάτων, σπείρει μὲν τὸ ἄρρεν γονήν, ὑποδέχεται δὲ τὸ θῆλυ· κατὰ δὲ τὴν ἐν ψυχαῖς σύνοδον, ἔμπαλιν, ἡ μὲν ἀρετὴ τάξιν ἔχειν γυναικὸς δοκοῦσα, σπείρειν πέφυκε βουλὰς ἀγαθὰς καὶ λόγους
C σπουδαίους, καὶ βιωφελεστάτων εἰσηγήσεις δογμάτων· ὁ δὲ λογισμὸς εἰς τὴν ἀνδρὸς χώραν πεπτωκέναι νομισθείς, τὰς ἱεροπρεπεῖς καὶ θείας ὑποδέχεται σποράς. ἢ μήποτε τὸ λεχθὲν ἔψευσται δι' ἀπάτην ὀνομάτων, ἐπειδὴ ὁ μὲν νοῦς ἄρρενος, ἡ δ' ἀρετὴ θήλεος μετέχει χαρακτῆρος ἐν φωναῖς; εἰ δέ τις τὰς ἐπισκιαζούσας κλήσεις ἀπαμφιάσειε, γυμνὰ τὰ πράγματα βουληθεὶς καθαρῶς ἰδεῖν, εἴσεται, διότι ἄρρεν μέν ἐστιν ἡ ἀρετὴ φύσει, παρόσον κινεῖ καὶ διατίθησι, καὶ καλὰς ἐννοίας καλῶν
D πράξεων καὶ λόγων ὑποτίθεται· θῆλυ δ' ὁ λογισμὸς κινούμενος καὶ παιδευόμενος καὶ ὠφελούμενος, καὶ συνόλως ἐν τῷ πάσχειν ἐξεταζόμενος, καὶ τὸ πάθος ἐστὶν αὐτῷ τοῦτο μόνον σωτήριον. ἅπαντες μὲν οὖν καὶ οἱ φαυλότατοι τῷ λόγῳ τιμῶσι καὶ θαυμάζουσιν ἀρετήν, ὅσα τῷ δοκεῖν· χρῶνται δ' αὐτῆς τοῖς παραγγέλμασιν οἱ ἀστεῖοι μόνοι. διὸ καὶ ὁ τῆς Αἰγύπτου βασιλεύς, ὅπερ ἐστὶ συμβολικῶς ὁ νοῦς ὁ φιλοσώματος, καθυποκρινόμενος ὡς ἐν
E θεάτρῳ, προσποιεῖται ἐπιμορφάζειν κοινωνίαν, πρὸς ἐγκράτειαν ὁ ἀκρατής, καὶ πρὸς σωφροσύνην ὁ ἀκόλαστος, καὶ πρὸς δικαιοσύνην ὁ ἄδικος, καὶ καλεῖ τὴν ἀρετὴν ὡς ἑαυτόν, τὴν παρὰ τοῖς πολλοῖς εὐφημίαν γλιχόμενος· ὅπερ κατιδὼν ὁ ἔφορος· μόνῳ γὰρ ἔξεστι τῷ θεῷ ψυχὴν ἰδεῖν· ἐμίσησέ τε καὶ προβάλετο, καὶ βασάνοις ἤλεγξεν ἀργαλεωτάταις ἦθος κατεψευσμένον. αἱ δὲ βάσανοι διὰ τίνων ὀργάνων; ἢ πάντως διὰ τῶν τῆς ἀρετῆς μερῶν, ἅπερ εἰσιόντα χαλεπῶς αἰκίζεται καὶ πικρῶς,

A βάσανος μὲν γάρ ἐστιν ἀπληστίας ὀλιγοδεΐα, βάσανος δὲ λαγνείας ἐγκράτεια. στρεβλοῦται δὲ καὶ ὁ φιλόδοξος ἀτυφίας εὐημερούσης, καὶ ὁ ἄδικος δικαιοσύνης ἐπαινουμένης. μιᾷ γὰρ ἀμήχανον ψυχῇ κατοικεῖν δύο τὰς ἐχθρὰς φύσεις κακίαν καὶ ἀρετήν. οὗ χάριν, ἐπειδὰν συνενεχθῶσιν, ἄσπονδοι καὶ ἀκατάλλακτοι στάσεις καὶ πόλεμοι συγκροτοῦνται· καίτοι τῆς ἀρετῆς εἰρηνικωτάτην φύσιν ἐχούσης, ἥν φασιν ἐπιμελὲς εἶναι, ἐπειδὰν εἰς χεῖρας ἅμιλλαν ἰέναι μέλλῃ, τῆς ἰδίας δυνάμεως ἀποπειρᾶσθαι πρότερον, ἵν' εἰ μὲν ἱκανὴ καταγωνίσασθαι, συνιστῆται· εἰ B δ' ἀσθενεστέρα χρῷτο τῇ δυνάμει, μηδὲ συγκαταβαίνειν τὴν ἀρχὴν εἰς τὸν ἀγῶνα θαρρήσῃ. κακίᾳ μὲν γὰρ ἡττᾶσθαι οὐκ αἰσχρόν, ᾗ συγγενὲς ἀδοξία· ἀρετῇ δὲ ὄνειδος, ᾗ πάντων οἰκειότατον εὔκλεια, δι' ἣν πέφυκεν, ἢ νικᾶν, ἢ διατηρεῖν αὑτὴν ἀήττητον. τὸ μὲν οὖν Αἰγυπτίων ἄξενον καὶ ἀκόλαστον εἴρηται· τοῦ δὲ τἀναντία πεπονθότος, ἄξιον θαυμάσαι τὴν φιλανθρωπίαν, ὃς μεσημβρίας θεασάμενος τρεῖς ὡς ἄνδρας ὁδοιποροῦντας οἱ δὲ θειοτέρας ὄντες φύσεως ἐλελήθεσαν· C προσδραμὼν ἱκέτευε λιπαρῶς μὴ παρελθεῖν αὐτοῦ τὴν σκηνήν, ἀλλ' ὡς πρέπον, εἰσελθόντας ξενίων μεταλαχεῖν. οἱ δ' οὐκ ἐκ τῶν λεγομένων μᾶλλον ἢ τῆς διανοίας εἰδότες ἀληθεύοντα, μηδὲν ἐνδοιάσαντες ἐπινεύουσι. πληρωθεὶς δὲ τὴν ψυχὴν χαρᾶς, πάντ' ἐσπούδαζεν εἰς τὸ ἀνυπέρθετον τῆς ἀποδοχῆς. καὶ τῇ μὲν γυναικί φησι, Σπεῦσον καὶ τρία μέτρα ποίησον ἐγκρυφίων· αὐτὸς δὲ εἰς τὰ βουκόλια συντείνας ἁπαλὸν καὶ εὔσαρκον ἀγαγὼν μόσχον, οἰκέτῃ παραδίδωσιν· D ὁ δὲ καταθύσας, σκευάζει τάχιστα. βραδὺς γὰρ οὐδεὶς πρὸς φιλανθρωπίαν ἐν οἴκῳ σοφοῦ· ἀλλὰ καὶ γυναῖκες καὶ ἄνδρες, καὶ ἐλεύθεροι καὶ δοῦλοι, προθυμότατοι πρὸς τὰς τῶν ξενιζομένων ὑπηρεσίας. ἑστιαθέντες δ' οὐ τοῖς εὐτρεπισθεῖσι μᾶλλον, ἢ τῇ τοῦ ξενοδόχου γνώμῃ, καὶ πολλῇ τινὶ καὶ ἀπεράντῳ φιλοτιμίᾳ, παρέχουσιν ἆθλον ἐλπίδος μεῖζον αὐτῷ, υἱοῦ τοῦ γνησίου ἥξειν εἰς νέωτα βεβαιωθησομένην ὑποσχόμενοι δι' ἑνὸς τούτων τοῦ ἀρίστου. λέ- E γειν γὰρ ἐν ταὐτῷ πάντας ἀθρόους, οὐκ ἀφιλόσοφον· ἑνὶ δὲ λέγοντι τοὺς ἄλλους συνεπινεύειν, εὐπρεπές. ἀλλὰ γὰρ οὐχ ὑπισχνουμένοις, ἕνεκα τοῦ περὶ τὸ πρᾶγμα ἀπίστου, βεβαίως προσεῖχον. ἤδη γὰρ ὑπερήλικες γεγονότες διὰ μακρὸν γῆρας ἀπεγνώκεσαν παιδὸς σποράν. ἀκούσασαν γοῦν ἐν ἀρχῇ τὴν γυναῖκα φασὶ γελάσαι, καὶ μετὰ ταῦτ' εἰπόντων, Μὴ ἀδυνατεῖ παρὰ τῷ θεῷ ῥῆμα, καταιδεσθεῖσαν ἀρνήσασθαι τὸν γέλωτα.

Tormentum enim est insatiabilis cupiditatis frugalitas, & lasciuiæ continentia. Sic gloriosus cruciatur felicitate modestiæ, & iniustus dum iustitia habetur in pretio. incommode enim in vna anima habitant duæ contrariæ naturæ, virtus & vitium. Quapropter quoties congrediuntur, atroces seditiones & pugnas concient. Quamuis virtus sedatissimo est ingenio: quam aiunt solere quoties imparem se veretur aduersario, prius virium suarum periculum facere, vt confligat si qua se ostendat spes victoriæ: sin minus, ne descendat quidem in certaminis aleam. Vitium enim vinci se turpe non putat, assuetum ignominiæ. At virtus hoc probrum fugitat, cui maxime gloria competit, cuius innato amore aut vincere vult, aut certe inuicta permanere. Hæc est igitur de qua dixi Ægypti libido & inhospitalitas. è diuerso libet admirari hospitalitatem hæc passi, qui meridie conspicatus tres quasi viatores, quorum diuiniorem naturam ignorabat, accurrens suppliciter petijt ne transirent eius tabernaculum, sed introgressi paterentur se tractari ciuiliter. Hi cum non magis ex verbis quàm ex mente intelligerent eum serio agere, incunctanter annuerunt. quo impetrato præ lætitia gestiens, approperauit omnia quæ postulabat extemporalis tractatio. Vxorem appellat, Sine mora fac è tribus mensuris subcinericios. ipse ad armentum contendit, & ablatum inde tenerum opimúmque vitulum tradit famulo. Mactat ille & apparat celeriter. Nemo ad humanitatis officia segnis est in sapientis familia. tam mulieres quàm viri, tam serui quàm ingenui, prompte ministrant hospitibus. Qui recreati magis animo quàm apparatu hospitis, eiúsque insigni honorificentia, maiorem spe referunt ei gratiam, per vnum è tribus præcipuum ei polliciti nasciturum breui germanum filium. Omnes enim simul loqui parum decorum fuisset: ciuilius erat vnius verbis cæteros annuere. Sed ne promittendo quidem rei tam incredibilis fidem faciebant. Iam enim ambo coniuges effœti senio sperare liberos desierant. Ferunt mulierem quàm primum hoc audiuit risisse: móxque admonitam, num putaret quicquam apud Deum impossibile, risum reuerenter negasse.

Norat enim Deum posse omnia, quod penè ab incunabulis didicerat. ac tum demum mihi videtur augustiorem quàm ante agnouisse hospitum imaginem, aut vates quosdam, aut angelicos spiritu humana forma reuelatos visa sibi videre. Hæc viri hospitalitas maioris virtutis fuit auctarium: ipsa vero virtus erat pietas, de qua superius diximus, cuius certissimum indicium est quod de hospitibus nunc memorauimus. Quod si fortunata domus visa est quibusdam, in quam viros sapientes diuertisse contigit, non facturos id, ac ne introspecturos quidem, si vidissent intus aliquod animæ vitium insanabile: equidem dicere non possum quid huic domui defuerit ad summam felicitatem, in qua apud homines hospites excipi sustinuerunt angeli, sacræ diuinæque naturæ, ministri ac subpræfecti Dei optimi maximi, per quos ille ceu legatos & nuncios quicquid libet humanum genus præmonet. Qui poterant enim vel intra primum limen subsistere, ni sciuissent totam domum ad nutum patrisfamiliãs paratam: ceu naualem turmam bene constitutam, ad vnum celeusma sui gubernatoris? qui poterant conuiuarum & hospitum speciem sumere, ni pro cognato conseruóque suum conuiuatorem habuissent? Certe sic existimandum est, ad eorum introitum partes omnes domus profecisse in melius, afflatas aura quadam virtutis absolutissimæ. Conuiuium autem exactum per significationem gratæ voluntatis erga hospitem, & per simplicitatem morum, colloquiáque apta tempori. Sed prodigio simile, non esurientes esurire visos, & non edentes edere. Verùm hæc per consequentiam. illud longe maximum fuit miraculum, hos carentes corpore assumpsisse figuras hominum in boni viri huius gratiam. Alioquin quid opus erat his miraculis, nisi vt exhiberent se viro sapienti videndos clarius, quem summus ille parens talem esse nouerat? Hactenus de textu huius scripturæ, superest vt dicamus de sensu eius latentiore. Signa vocalia conceptum mentis significant. Cum igitur anima illustratur à Deo tanquam in meridie, & tota quanta est repleta luce intelligibili, eiúsque splendore circumfusa ex vm-

A πάντα γὰρ ᾔδει θεῷ δυνατά, σχεδὸν ἐξ ἔτι σπαργάνων τουτὶ τὸ δόγμα προμαθοῦσα. τότε μοι δοκεῖ πρῶτον οὐκ ἔθ᾽ ὁμοίαν τὴν ὁρωμένων λαβεῖν φαντασίαν, ἀλλὰ σεμνοτέραν ἢ προφητῶν τινων ἢ ἀγγέλων μεταβαλόντων ἀπὸ τῆς πνευματικῆς καὶ ψυχοειδοῦς οὐσίας εἰς ἀνθρωπόμορφον ἰδέαν. τὸ μὲν οὖν φιλόξενον τοῦ ἀνδρὸς εἴρηται, πάρεργον ὂν μείζονος ἀρετῆς· ἡ δ᾽ ἀρετὴ θεοσέβεια, περὶ ἧς καὶ πρότερον εἴπομεν, ἧς δεῖγμα σαφέστατον τὰ νῦν λεχθέντα ἐστίν, ὡς ἐπὶ ξένων ἀνδρῶν. εἶτ᾽ εὐδαί-
B μονα καὶ μακάριον ὑπέλαβόν τινες οἶκον, ἐν ᾧ συνέβη καταχθῆναι καὶ ἐνδιαιτηθῆναι σοφούς, οὐκ ἂν ἀξιώσαντας, ἀλλ᾽ οὐδ᾽ ὅσον διακύψαι μόνον, εἴ τι πάθος ἑώρων τῆς ψυχῆς τῶν ἔνδον ἀνίατον· ἐγὼ δ᾽ οὐκ οἶδα τίνα ὑπερβολὴν εὐδαιμονίας καὶ μακαριότητος εἶναι φῶ περὶ τὴν οἰκίαν, ἐν ᾗ καταχθῆναι καὶ ξενίων λαχεῖν ὑπέμειναν ἄγγελοι πρὸς ἀνθρώπους, ἱεραὶ καὶ θεῖαι φύσεις, ὑποδιάκονοι καὶ ὕπαρχοι τοῦ πρώτου θεοῦ, δι᾽ ὧν, οἷα
C πρεσβευτῶν, ὅσα ἂν θελήσῃ τῷ γένει ἡμῶν προθεσπίσαι, διαγγέλλει. πῶς γὰρ ἂν τῆς ἀρχῆς εἰσελθεῖν ὑπέμειναν, εἰ μὴ καθάπερ νεὼς εὖ συγκεκροτημένον πλήρωμα τοὺς ἔνδον πάντας ᾔδεσαν, ἑνὶ πειθαρχοῦντας κελεύσματι τοῦ προεστηκότος, ὡσπερεὶ κυβερνήτου. πῶς δ᾽ ἂν ἑστιωμένων καὶ ξενιζομένων παρέσχον ὑπόληψιν, εἰ μὴ τὸν ἑστιάτορα συγγενῆ καὶ ὁμόδουλον ἡγοῦντο τῷ αὐτῷ προσπεφευγέναι δεσπότῃ. νομιστέον μέντοι καὶ κατὰ τὴν εἴσοδον αὐτῶν ἔτι μᾶλλον ἐπιδοῦναι πάντα τὰ μέ-
D ρη τῆς οἰκίας πρὸς τὸ βέλτιον, αὔρᾳ τινὶ τελειοτάτης ἀρετῆς ἐπιπνευσθέντα. τὸ δὲ συμπόσιον, οἷον εἰκὸς γενέσθαι, τὴν ἐν εὐωχίαις ὠφέλειαν ἐπιδεικνυμένων πρὸς τὸν ἑστιάτορα τῶν ἑστιωμένων, καὶ γυμνοῖς ἤθεσι προσομιλούντων, καὶ ὁμιλίας τὰς ἁρμοττούσας τῷ καιρῷ ποιουμένων. τεράστιον δὲ καὶ τὸ μὴ πεινῶντας πεινώντων, καὶ μὴ ἐσθίοντας ἐσθιόντων παρέχειν φαντασίαν. ἀλλὰ ταῦτα μέν γε ὡς ἀκόλουθα· τὸ δὲ πρῶτον ἐκεῖνο τεραστιώτατον, ἀσωμάτους
E ὄντας τούτους, σώματος εἰς ἰδέαν ἀνθρώπων μεμορφῶσθαι, χάριτι τῇ πρὸς τὸν ἀστεῖον. τίνος γὰρ ἕνεκα ταῦτα ἐθαυματουργεῖτο, ἢ τοῦ παρασχεῖν αἴσθησιν τῷ σοφῷ διὰ φανοτέρας ὄψεως, ὅτι οὐ λέληθε τὸν πατέρα τοιοῦτος ὤν. τὰ μὲν οὖν τῆς ῥητῆς ἀποδόσεως, ὡδὶ λελέχθω· τῆς δὲ δι᾽ ὑπονοιῶν ἀρκτέον. σύμβολα τὰ ἐν φωναῖς τῶν ἐν διανοίᾳ μόνῃ καταλαμβανομένων ἐστίν. ἐπειδὰν οὖν ψυχὴ καθάπερ ἐν μεσημβρίᾳ θεῷ περιλαμφθῇ, καὶ ὅλη δι᾽ ὅλων νοητοῦ φωτὸς ἀναπλησθεῖσα τὰς ἐν κύκλῳ κα-

χυθείσαις αὐγαῖς ἄσκιος γένηται, τριττὴν φαντασίαν ἑνὸς ὑποκειμένου καταλαμβάνει· τοῦ μὲν ὡς ὄντος, τοῖν δὲ δυεῖν ὡς ἂν ἀπαυγαζομένων ἀπὸ τούτου σκιῶν, ὁποῖόν τι συμβαίνει καὶ τοῖς ἐν αἰσθητῷ φωτὶ διατρίβουσιν. ἢ γὰρ ἑστώτων ἢ κινουμένων διτταὶ σκιαὶ πολλάκις συμπίπτουσι. μὴ μέντοι νομισάτω τις ἐπὶ θεοῦ τὰς σκιὰς κυριολογεῖσθαι. κατάχρησις ὀνόματος αὐτὸ μόνον ἐστὶ πρὸς ἐναργεστέραν ἔμφασιν τοῦ δηλουμένου πράγματος· ἐπεὶ τό γε ἀληθὲς οὐχ οὕτως ἔχει· ἀλλ' ἔστιν ὡς ἄν τις τῆς ἀληθείας ἐγγύτατα ἱστάμενος εἴποι, πατὴρ μὲν τῶν ὅλων ὁ μέσος, ὃς ἐν ταῖς ἱεραῖς γραφαῖς κυρίῳ ὀνόματι καλεῖται ὁ ὤν· αἱ δὲ παρ' ἑκάτερα πρεσβύταται καὶ ἐγγύταται τοῦ ὄντος δυνάμεις, ὧν ἡ μὲν ποιητική, ἡ δὲ βασιλικὴ προσαγορεύεται· καὶ ἡ μὲν ποιητικὴ θεός. ταύτῃ γὰρ ἔθηκέ τε καὶ διεκόσμησε τὸ πᾶν· ἡ δὲ βασιλικὴ κύριος. θέμις γὰρ ἄρχειν καὶ κρατεῖν τὸ πεποιηκὸς τοῦ γινομένου. δορυφορούμενος οὖν ὁ μέσος ὑφ' ἑκατέρας τῶν δυνάμεων, παρέχει τῇ ὁρατικῇ διανοίᾳ, ποτὲ μὲν ἑνός, ποτὲ δὲ τριῶν φαντασίαν· ἑνὸς μέν, ὅταν ἄκρως καθαρθεῖσα ἡ ψυχή, καὶ μὴ μόνον τὰ πλήθη τῶν ἀριθμῶν, ἀλλὰ καὶ τὴν γείτονα μονάδος δυάδα ὑπερβᾶσα, πρὸς τὴν ἀμιγῆ καὶ ἀσύμπλοκον καὶ καθ' αὑτὴν οὐδενὸς ἐπιδεᾶ τὸ παράπαν ἰδέαν ἐπείγηται· τριῶν δέ, ὅταν μήπω τὰς μεγάλας τελεσθεῖσα τελετάς, ἔτι ἐν ταῖς βραχυτέραις ὀργιάζηται, καὶ μὴ δύνηται τὸ ὂν ἄνευ ἑτέρου τινὸς ἐξ αὐτοῦ μόνου καταλαβεῖν, ἀλλὰ διὰ τῶν δρωμένων, ἢ κτίζον ἢ ἄρχον. δεύτερος μὲν οὖν, ὥς φασι, πλοῦς οὗτος· μετέχει δ' οὐδὲν ἧττον δόξης θεοφιλοῦς. ὁ δὲ πρότερος τρόπος οὐ μετέχει, ἀλλ' αὐτός ἐστιν ἡ θεοφιλὴς δόξα, μᾶλλον δὲ δόξης πρεσβύτερον, καὶ πάντως τιμιώτερον τοῦ δοκεῖν, ἀλήθεια. γνωριμώτερον δὲ τὸ δηλούμενον παραστατέον. τρεῖς εἰσὶν ἠθῶν αἱ ἀνθρωπίνων τάξεις, ὧν ἑκάστη διακεκλήρωται μίαν τῶν εἰρημένων φαντασιῶν. ἡ μὲν ἀρίστη τὴν μέσην τοῦ ὄντος ὄντως. ἡ δὲ μετ' ἐκείνην, τὴν ἐπὶ δεξιά, τὴν εὐεργέτιν, ᾗ θεὸς ὄνομα· ἡ δὲ τρίτη, τὴν ἐπὶ θάτερα, τὴν ἀρχικήν, ἣ καλεῖται κύριος. τὰ μὲν οὖν ἄριστα τῶν ἠθῶν τὸ καθ' αὑτὸ ἄνευ τινὸς ὂν θεραπεύει, πρὸς μηδενὸς ἑτέρου μεθελκόμενα, τῷ τετάσθαι μοναδικῶς πρὸς τὴν ἑνὸς τιμήν· τῶν δ' ἄλλων τὰ μὲν διὰ τῆς εὐεργέτιδος συνίσταται καὶ γνωρίζεται δυνάμεως τῷ πατρί, τὰ δὲ διὰ τῆς βασιλικῆς. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. ἄνθρωποι μέν, ἐπειδὰν αἰσθάνωνται κατὰ πρόφασιν ἑταιρείας προσιόντας αὐτοῖς τινας ἐπὶ θήρᾳ πλεονεξιῶν, ὑποβλέπονταί τε

A bris eximitur, tres imagines vnius subiecti percipit, vnam ipsius rei, duas reliquas tanquam vmbras ab ea redditas: quale quiddam accidit & in luce ista sensibili versantibus, in qua stantium aut mouentium se duplex aliquando vmbra existit. Caue tamen putes de Deo dici vmbras proprie: abusus est hic nominis, in hoc tantum adhibiti, vt res fiat euidentior. Veritas enim aliter se habet. Sed vt quàm proxime ad veritatem sermo accedat, me-B dius est ille pater omnium, proprie nominatus in sacris literis Qui est: vtrumque latus claudunt antiquissimæ & proximæ eius Qui est potentiæ: quarum altera opifex, altera regia vocatur. illa Deus, per quam condita dispositáque sunt omnia. hæc vero Dominus. Fas est enim vt creatura à creatore suo regatur. Atque ita medius ille vtrinque stipatus suis potentijs, perspicaci menti nunc vnam, nunc tres ima-C gines exhibet. Vnam, quando exactissime purgata anima, nec solum cæteram numerorum multitudinem, sed & vicinum vnitati binarium supergressa, ad illam simplicem, sinceram, nullius omnino indigam ideam properat. tres vero, quando nondum magnis initiata mysterijs, adhuc minoribus operatur, nec potest eum Qui est, sine alio per se solum comprehendere, sed per ipsius acta, aut conditorem aut regem omnium. Est autem D hæc secundaria, iuxta prouerbium, nauigatio, non aliena tamen à pia sententia. At prior ille modus, non tantum affinis est opinioni piæ, sed ipsa opinio, vel magis omni opinione antiquior, omni existimatione potior veritas. Explicabimus rem clarius. Tres sunt in moribus humanis ordines, quorum quisque sortitus est vnam ex dictis imaginationibus. Optimus mediam, scilicet eius Qui vere est. Sequens vero dextram, scilicet beneficam, cui nomen Deus. Tertius in E altero latere sitam, scilicet regiam, quæ vocatur Dominus. Proinde optimi mores ipsum qui per se est, colunt, non distracti à quoquam alio, vt qui ad vnum tendunt vnius honorem. cæteri partim per beneficam potentiam commendantur, & innotescunt summo patri; partim per regiam. Quod dico tale quiddam est. Homines quando sentiunt prætextu amicitiæ quosdam ad se accedere lucri captatores,

A suspectos auersantur, adulationem veriti & fucatam mansuetudinem, vt valde damnosam. At Deus vt tutus ab iniuria, omnes quocunque modo volentes illum colere libenter admittit, neminem omnino repellens, tantum non coram appellans animam aures habentem hoc oraculo. Prima præmia ferent, qui me colunt propter meipsum. secunda, qui sic sperant se consecuturos bona, mala euasuros. quamuis enim istorum mercenaria sit
B religio, & insincera captatrix, tamen intra diuini templi sacra septa versatur, non foris oberrat. Proinde me propter me colentibus propono quæ amicis debentur præmia: cæteris qui propter vsus proprios, nequaquam vt amicis, nec alienis tamen. Nam eos quoque accipio qui potentia mea benefica frui cupiunt, imò & eos qui metu regiæ potestatis placant eam vt pœnas effugiant. noui enim quòd hi nec deteriores fient, & in-
C super in melius proficient, continue in religione pura & sincera pietate sese exercendo. Quamuis enim modis omnibus ea differant, vnde orsi placere cupiunt, non sunt tamen accusandi, cum vnum scopum & finem colendi me propositum habeant. Quòd autem vnius subiecti triplex sit imaginatio, liquet non solum ex contemplatione allegorica, verum etiam ex ipsius scripturæ narratio-
D ne. Cum enim ille sapiens suppliciter orat tres viatoribus similes, vt suo velint vti hospitio, alloquitur non tanquam tres, sed tanquam vnum, dicens: Domine si inueni gratiam coram te, ne prætereas seruum tuum.] Nam hæc verba, Domine, apud te, ne prætereas, similiáque, ad vnum, non ad plures, dici conuenit. Iam vero in hospitio inter cætera comitatis officia, rursum conuiuatori suo
E pollicetur vnus, ac si adesset solus, legitimi filij natiuitatem, dicens: Reuertendo veniam ad te iterum hoc eodem tempore, & habebit filium Sarra vxor tua.] Sed apertissime ac certissime significatur idem in sequentibus. Sodomitarum regio pars Chananeæ terræ, quam nunc Syri Palæstinam nominant, infinitis iniquitatibus referta, præcipue propter ventris, libidinum, cæterarúmque voluptatum studia, iam diuino calculo iudicata fuerat. immodicus au-

A καὶ ἀποστρέφονται τὴν προσποίητον κολακείαν καὶ πιθανοτείαν αὐτῶν δεδιότες, ὡς σφόδρα ἐπιζήμιον· ὁ δὲ θεὸς ἅτε βλάβην οὐκ ἐπιδεχόμενος, ἅπαντας τοὺς καθ' ἡντινοῦν ἰδέαν προαιρουμένους τιμᾶν αὐτὸν ἄσμενος προσκαλεῖται, μηδένα σχετλιάζειν ἀξιῶν παντάπασιν· ἀλλὰ μονονουκὶ ἄντικρυς τὰς ἀκοὰς ἔχουσιν ἐν τῇ ψυχῇ θεσπίζει τάδε. τὰ μὲν πρῶτα τῶν ἄθλων κείσεται τοῖς ἐμὲ θεραπεύουσι δι' ἐμὲ αὐτόν· τὰ δὲ δεύτερα, τοῖς δι' αὑτοὺς τυχεῖν ἀγαθῶν ἐλπίζουσιν, ἢ τιμωριῶν ἀ-
B παλλαγὴν εὑρήσειν προσδοκῶσι. καὶ γὰρ εἰ ἔμμισθος ἡ τῶνδε θεραπεία, καὶ μηδὲν ἀδέκαστον, ἀλλ' οὐδὲν ἧττον ἐντὸς εἰλεῖται θείων περιβόλων, καὶ οὐκ ἔξω πλάζεται· τὰ δὲ ἆθλα τοῖς ἐμὲ τιμῶσι δι' ἐμέ, κείσεται φίλια. τοῖς δὲ διὰ τὰς χρείας, φίλια μὲν οὔ, τὸ δὲ μὴ ἀλλοτρίοις νομίζεσθαι. δέχομαι γὰρ καὶ τὸν τῆς εὐεργέτιδός μου δυνάμεως βουλόμενον μεταλαχεῖν εἰς μετουσίαν ἀγαθῶν, καὶ τὸν φόβῳ τὴν ἡγεμονικὴν καὶ δεσποτικὴν ἱλασκόμενον
C ἐξουσίαν, εἰς ἀποτροπὴν κολάσεως. οὐ γὰρ ἀγνοῶ, διότι πρὸς τῷ χείρους μὴ γίνεσθαι, καὶ βελτίους ἔσονται, τῷ συνεχεῖ τῆς θεραπείας εἰλικρινῆ καὶ καθαρὰν εὐσέβειαν ἀσκήσαντες. εἰ γὰρ καὶ μάλιστα οἱ τρόποι διαφέρουσιν ἀφ' ὧν ποιοῦνται τὰς πρὸς τὸ ἀρέσκειν ὁρμάς, οὐκ αἰτιατέον, ὅτι σκοπὸς εἷς καὶ τέλος ἕν ἐστιν αὐτοῖς, τὸ θεραπεύειν ἐμέ. ὅτι δὲ ἡ τριττὴ φαντασία δυνάμει ἑνός ἐστιν ὑποκειμένου, φανερὸν οὐ μόνον ἐκ τῆς ἐν ἀλληγο-
D ρίᾳ θεωρίας, ἀλλὰ καὶ τῆς ῥητῆς γραφῆς τάδε περιεχούσης. ἡνίκα μὲν γὰρ ὁ σοφὸς ἱκετεύει τοὺς ἐοικότας ὁδοιπόροις τρεῖς ξενωθῆναι παρ' αὐτῷ, διαλέγεται τούτοις, οὐχ ὡς τρισίν, ἀλλ' ὡς ἑνί, καί φησι, Κύριε, εἰ εὗρον χάριν παρὰ σοί, μὴ παρέλθῃς τὸν παῖδά σου. τὸ γὰρ κύριε, καὶ τὸ παρὰ σοί, καὶ τὸ μὴ παρέλθῃς, καὶ ὅσα τοιαῦτα, πρὸς ἕνα πέφυκεν, ἀλλ' οὐ πρὸς πλείους λέγεσθαι· ἡνίκα δὲ ξενιζόμενοι φιλοφρονοῦν-
E ται, τῷ μὲν ξενοδόχῳ πάλιν εἷς ὑπισχνεῖται, ὡς μόνος αὐτὸς παρών, γνησίου παιδὸς σποράν, διὰ τοῦδε, Ἐπανιὼν ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς νέωτα, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου. φανερώτατα μέντοι καὶ διαπονητότατα μηνύεται διὰ τῶν ἑξῆς τὸ δηλούμενον. ἡ σοδομιτῶν χώρα μοῖρα τῆς χαναανίτιδος γῆς, ἣν ὕστερον ὠνόμασαν Σύροι Παλαιστίνην, ἀδικημάτων μυρίων ὅσων γεμισθεῖσα, καὶ μάλιστα τῶν ἐν γαστριμαργίαις, καὶ λαγνείαις, ὅσα τε μεγέθη καὶ πλήθη τῶν ἄλλων ἡδονῶν ἐπιτειχίσασα, ἤδη

παρὰ τῷ δικαστῇ τῶν ὅλων κατηγόρουν. αἴτιον δὲ τῆς περὶ τὸ ἀκολασταίνειν ἀμετρίας ἐγένετο τοῖς οἰκήτορσιν, ἡ τῶν χορηγιῶν ἐπάλληλος ἀφθονία. βαθύγειος γὰρ καὶ εὔυδρος οὖσα ἡ χώρα, παντοίων ἀνὰ πᾶν ἔτος καρπῶν εὐφορίᾳ ἐχρῆτο. μεγίστη δὲ ἀρχὴ κακῶν, ὡς εἶπέ τις οὐκ ἀπὸ σκοποῦ, τὰ λίαν ἀγαθά· ὧν ἀδυνατοῦντες φέρειν τὸν κόρον, ὥσπερ τὰ θρέμματα, σκιρτῶντες ἀπαυχενίζουσι τὸν τῆς φύσεως νόμον, ἄκρατον πολὺν καὶ ὀψοφαγίας καὶ ὀχείας ἐκθέσμους μεταδιώκοντες. οὐ γὰρ μόνον θηλυμανοῦντες ἀλλοτρίους γάμους διέφθειρον, ἀλλὰ καὶ ἄνδρες ὄντες ἄρρεσιν ἐπιβαίνοντες, τὴν κοινὴν πρὸς τοὺς πάσχοντας οἱ δρῶντες φύσιν οὐκ αἰδούμενοι, παιδεραστοῦντες, ἠλέγχοντο μὲν ἀτελῆ γονὴν σπείροντες· ὁ δὲ ἔλεγχος πρὸς οὐδὲν ἦν ὄφελος ὑπὸ βιαιοτέρας νικωμένων ἐπιθυμίας. εἶτ' ἐκ τοῦ κατ' ὀλίγον ἐθίζοντες τὰ γυναικῶν ὑπομένειν τοὺς ἄνδρας γεννηθέντας, θήλειαν κατεσκεύαζον αὐτοῖς νόσον κακὸν δύσμαχον. οὐ μόνον γὰρ τὰ σώματα μαλακότητι καὶ θρύψει γυναικοῦντες, ἀλλὰ καὶ τὰς ψυχὰς ἀγεννεστάτας ἀπεργαζόμενοι, τό γ' ἐπ' αὐτοῖς ἧκον μέρος, τὸ σύμπαν γένος ἀνθρώπων διέφθειρον. εἰ γοῦν Ἕλληνες ὁμοῦ καὶ βάρβαροι συμφωνήσαντες ἐζήλωσαν τὰς τοιαύτας ὁμιλίας, ἠρήμωντο ἂν ἑξῆς αἱ πόλεις, ὥσπερ λοιμώδει νόσῳ κενωθεῖσαι. λαβὼν δὲ ὁ θεὸς οἶκτον, ἅτε σωτὴρ καὶ φιλάνθρωπος, τὰς μὲν κατὰ φύσιν ἀνδρῶν καὶ γυναικῶν συνόδους γινομένας ἕνεκα παίδων σπορᾶς, ηὔξησεν ὡς ἔνι μάλιστα· τὰς δὲ ἐκφύλους καὶ ἐκθέσμους διαμισήσας, ἔσβεσε, καὶ τοὺς ὀργῶντας ἐπὶ ταύτας προβαλόμενος, οὐχὶ τὰς ἐν ἔθει, καινουργίας δὲ ἐκτόπους καὶ παρηλλαγμένας τιμωρίας ἐπετιμωρήσατο. κελεύει γὰρ ἐξαίφνης τὸν ἀέρα νεφωθέντα, πολὺν ὄμβρον οὐχ ὕδατος, ἀλλὰ πυρὸς ὕειν. ἀθρόας δὲ νιφάσης ἀδιαστάτῳ καὶ ἀπαύστῳ ῥύμῃ φλογός, ἐκαίοντο μὲν ἀγροὶ καὶ λειμῶνες, καὶ λάσια ἄλση, καὶ ἕλη δασύτατα, δρυμοί τε βαθεῖς. ἐκαίετο δὲ πεδιὰς, καὶ ὁ τοῦ σίτου καὶ τῆς ἄλλης σπαρτῶν ἅπας καρπός· ἐκαίετο δὲ καὶ ὁ τῆς ὀρεινῆς δενδροφόρος, στελεχῶν ῥίζαις αὐταῖς ἐμπιπραμένων. ἐπαύλεις δὲ καὶ οἰκίαι καὶ τείχη καὶ ὅσα ἐν οἰκοδομαῖς ἰδιωτικὰ καὶ δημόσια πάντα συγκατεπίμπρατο, καὶ ἡμέρᾳ μιᾷ, αἱ μὲν εὐανδροῦσαι πόλεις τάφος τῶν οἰκητόρων ἐγεγένηντο, αἱ δ' ἐκ λίθων καὶ ξύλων κατασκευαὶ τέφρα καὶ λεπτὴ κόνις. ἐπεὶ δὲ τὰ ἐν φανερῷ καὶ ὑπὲρ γῆς ἅπαντα κατανάλωσεν ἡ φλόξ, ἤδη καὶ τὴν γῆν αὐτὴν ἔκαιε,

A tem ciuium luxus è superflua rerum copia habuerat originem. accedente enim ad bonitatem agri, aquarum commoditate, omnis generis fructuum quotannis prouentus erat maximus. est autem ingens malorum initium, vt quidam, non male coniectans, dixit, nimia bonarum rerum copia. quarum satietatẽ quidam non ferentes, tanquam iumenta, lasciuiunt à ceruice excussis naturæ legibus, versi ad meracas potationes, cibos opiparos, & nefarios concubitus. Non solũ
B enim in fœminas insaniendo corrumpebãt alienos thalamos, sed & cum masculis rem habebant masculi, nil reueriti naturam communem patrantibus & patientibus, & irritam genituram serentes nulla secutura progenie. Nec quicquam proficiebat reprehensio, violentis concupiscentijs coacta cedere. Atque ita paulatim assuefacti viri pati muliebria, effœminatum morbum sibi conciliauerunt insanabilem. Recepta enim in corpus fœminea mollicie, animos etiam
C reddiderunt ignauissimos, quantum in ipsis erat totum corrumpentes genus hominum. Nam si Græci vnà cum barbaris hos imitati conspirassent in tales coitus, desertę fuissent omnes deinceps ciuitates, tanquam exhaustæ pestilentia. Tum Deus seruator & amator hominum, miseratione tactus, naturales quidem virorum ac mulierum propter gignendam sobolem conuentus, auxit vt cum maxime. Immanes autem illos, & nefarios coitus exosus, aboleuit, & rabidos eorum patratores aggressus,
D non vulgari aliquo, sed nouo mirandóque affecit supplicio. Inductis enim subito nubibus, iussit eas imbrem, non aquæ, sed ignium pluere. Cúmque in morem niuis densissimæ indesinenter flamma deorsum ferretur magno impetu, ardebant arua cum pratis, & condensa saltuum, palustris quoque materies & intima nemorum. vrebantur eodem incendio campestria, segetes cum suis frugibus: conflagrabant & arbusta montium, trunci vnà cum suis
E radicibus, vrbana quoque & rustica ædificia, mœnia cæteráque opera publica non minus quam priuati parietes: atque ita vnus dies frequentissimas ciuitates vertit in busta suorum ciuium, structuras vero lapideas & ligneas in cinerem & minutissimum puluerem. Vbi vero supra terram flammis absumpta fuerunt omnia, terram ipsam vorabat incendium, ita vt

exustis penitus vitalibus nihil superesset vnde vel fructus vel herba germinaret, in hodiernum vsque malo durante. Nam fulmineus ignis nunquam extinguitur, aut serpit aut vaporat: quod oculis ipsis creditur. extant enim argumenta cladis veteris, fumus exhalans perpetuo, & sulfur quod ibi foditur. Felicitatis autem pristinæ signum euidens reliquum est vna ciuitas cum agro suo, ipsa frequenter habitata, agrum vero colens pabulo frumentóque vberem & valde frugiferum, vt vindictæ diuinæ iudicium maneat. Quæ non ideo dicta sunt, vt magnitudinem eius nouæ mirandæque calamitatis ostenderem, sed vt illud docerem, quod cum illi sapienti oblata sit virorum trium species, duos tantum ad excisam regionem eloquia diuina dicunt venisse, vt delerent eius incolas, cum tertius indignos aduentu suo duceret. is, quantum equidem intelligo, erat ille Qui vere est, æquum iudicans vt bona per se ipsum largiretur, contraria vero exsequenda suis potentijs relinqueret, & sic solorum bonorum autor præcipuus, mali vero nullius existimaretur. id quod mihi videntur & reges ad imitationem naturæ diuinæ facere, dum per seipsos gratias porrigunt, pœnas per alios sanciunt. Quoniam autem è duabus potentijs altera benefica est, vltrix altera, merito vtraque ad regionem Sodomitarum venit, cuius præcipuæ ciuitates quatuor perdendæ erant incendio, vnà vero seruanda illæsa & incolumis. oportebat enim per vltricem administrari perniciem, salutem vero per beneficam. Sed quoniam etiam seruata pars nec integras nec perfectas virtutes habebat, à potentia quidem eius Qui est adiuta fuit, tamen præsentis conspectu nequaquam digna habita. Hæc est aperta & vulgaris narratio. occultior autem & paucis nota, his qui mores animarum perquirunt non formas corporum, mox dicetur. Ista pentapolis figura est quinque nostrorum sensuum, qui vt instrumenta voluptatum, omnes eas tam magnas quam paruas conficiunt. Aut enim ad aspectum rerum formarúmque variarum, tum inanimarum tum animatarum, voluptatem capimus, aut ad auditum vocum modulatarum, aut ad gustum cibi potús-

A κατεπίμπρατο διαδῦσα, καὶ τὴν ἐνυπάρχουσαν ζωτικὴν δύναμιν ἔφθειρεν εἰς ἀγονίαν παντελῆ, ὑπὲρ τοῦ μηδ' αὖθις ποτὲ καρπὸν ἐνεγκεῖν ἢ χλοηφορῆσαι τὸ παράπαν δυνηθῆναι, καὶ μέχρι νῦν καίεται. τὸ γὰρ κεραύνιον πῦρ ἥκιστα σβέννυται, μόνον ἢ νέμεται, ἢ ἐντύφεται. πίστις δὲ σαφεστάτη, τὰ ὁρώμενα. τοῦ γὰρ συμβεβηκότος πάθους σημεῖόν ἐστιν, ὅ,τε ἀναδιδόμενος ἀεὶ καπνὸς, καὶ ὃ μεταλλεύουσι θεῖον. τῆς δὲ περὶ τὴν χώραν παλαιᾶς εὐδαιμονίας ἐναργέστατον ὑπολέλειπται δεῖγμα, B πόλις μία, καὶ ἡ ἐν κύκλῳ γῆ, πολυάνθρωπος μὲν ἡ πόλις, εὔχορτος δὲ καὶ εὔσταχυς, καὶ συνόλως καρποφόρος ἡ γῆ, πρὸς ἔλεγχον δίκης γνώμῃ θείᾳ δικασθείσης. ἀλλὰ γὰρ οὐχ ἕνεκα τοῦ δηλῶσαί με τὰς μεγαλουργηθείσας συμφορὰς καινὰς, ταυτὶ διεξῆλθον, ἀλλ' ἐκεῖνο βουλόμενος παραστῆσαι, ὅτι τῶν τριῶν ὡς ἀνδρῶν ἐπιφανέντων τῷ σοφῷ, δύο μόνοις εἰς τὴν ἀφανισθεῖσαν χώραν τὰ λόγιά φησιν ἐπ' ὀλέθρῳ ἐλθεῖν τῶν οἰκητόρων, τοῦ τρίτου C μὴ δικαιώσαντος ἥκειν· ὅς γε κατὰ τὴν ἐμὴν ἔννοιαν ἦν ὁ πρὸς ἀλήθειαν ὤν, ἁρμόττον ὑπολαβὼν εἶναι, τὰ μὲν ἀγαθὰ δι' αὐτοῦ χαρίζεσθαι, μόναις δ' ἐπιτρέπειν ταῖς δυνάμεσι καθ' ὑπηρεσίαν τῶν δυνάμεων τὰ ἐναντία χειρουργεῖν, ἵνα μόνων ἀγαθῶν αἴτιος, κακοῦ δὲ μηδενὸς προηγουμένως νομίζηται. τοῦτό μοι δοκοῦσι καὶ τῶν βασιλέων οἱ μιμούμενοι τὴν θείαν φύσιν πράττειν, τὰς μὲν χάριτας δι' ἑαυτῶν προτείνοντες, τὰς δὲ τιμωρίας δι' ἑτέρων βεβαιοῦντες· ἀλλ' ἐπειδὴ τῶν δυοῖν δυ- D νάμεων, ἡ μὲν εὐεργέτις ἐστὶν, ἡ δὲ κολαστήριος, ἑκατέρα κατὰ τὸ εἰκὸς ἐπιφαίνεται τῇ σοδομιτῶν γῇ, διότι τῶν ἀρίστων ἐν αὐτῇ πέντε πόλεων τέτταρες μὲν ἔμελλον ἐμπίπρασθαι, μία δὲ ἀπαθὴς καὶ παντὸς κακοῦ σῶος ὑπολείπεσθαι. ἐχρῆν γὰρ διὰ μὲν τῆς κολαστηρίου γίνεσθαι τὴν φθορὰν, σώζεσθαι δὲ διὰ τῆς εὐεργέτιδος· ἀλλ' ἐπειδὴ καὶ τὸ σωζόμενον μέρος οὐχ ὁλοκλήρους καὶ παντελεῖς εἶχεν ἀρετὰς, δυνάμει μὲν τοῦ ὄντος εὐηργετεῖτο· προηγουμένως δὲ τῆς E ἐκείνου φαντασίας ἀνάξιον ἐνομίσθη τυχεῖν. ἡ μὲν οὖν ἐν φανερῷ καὶ πρὸς τοὺς πολλοὺς ἀπόδοσις ἥδ' ἐστίν· ἡ δ' ἐν ἀποκρύφῳ καὶ πρὸς ὀλίγους ὅσοι τρόπους ψυχῶν ἐρευνῶσιν, ἀλλ' οὐ σωμάτων μορφὰς αὐτίκα λεχθήσεται. συμβολικῶς ἡ πεντάπολις αἱ ἐν ἡμῖν πέντε αἰσθήσεις εἰσί, τὰ τῶν ἡδονῶν ὄργανα, δι' ὧν αἱ πᾶσαι μικραί τε καὶ μεγάλαι τελεσιουργοῦνται. ἢ γὰρ ὁρῶντες χρωμάτων καὶ σχημάτων ποικιλίας ἔν τε ἀψύχοις καὶ ψυχὴν ἔχουσιν ἡδόμεθα, ἢ φωνῶν ἐμμελεστάτων ἀκούοντες, ἢ κατὰ γεῦσιν ἐν ταῖς περὶ

ἐδωδὴν καὶ πόσιν, ἢ κατ' ὄσφρησιν ἐν εὐωδίαις ἀτμῶν, ἢ ἐν μαλακοῖς καὶ θερμοῖς ἐν τε λείοις κατὰ τὴν ἀφήν. ζωωδέσταται μὲν οὖν καὶ ἀνδραποδωδέσταται τῶν πέντε τρεῖς εἰσιν αἰσθήσεις, γεῦσις, ὄσφρησις, ἁφή, περὶ ἃς τῶν θρεμμάτων καὶ θηρίων τὰ γαστριμαργότατα καὶ συνουσιαστικώτατα μάλιστα ἐπτόηται. δι' ὅλης γὰρ ἡμέρας καὶ νυκτός, ἢ τροφὰς ἀπλήστως ἐμφορεῖται, ἢ πρὸς ὀχείας ὁρμᾷ. δύο δ' εἰσὶν ἐμφιλόσοφοι καὶ ἡγεμονίδες, ἀκοὴ καὶ ὅρασις. βραδυτέρα δέ πως καὶ θηλυτέρα ὦτα ὀφθαλμῶν, ἐπὶ τὰ ὁρατὰ φθανόντων ἀπὸ εὐτολμίας, καὶ οὐκ ἀναμενόντων μέχρις ἂν ἐκεῖνα κινήσῃ, προϋπαντιαζόντων δὲ καὶ ἀντικινῆσαι γλιχομένων. ἀκοὴ μὲν οὖν διότι βραδεῖα καὶ θηλυτέρα, δευτερεῖον ἐχέτω τάξιν, πρεσβεῖα δ' ἔστω τῆς ἐξαίρετος ὁράσει. ταύτην γὰρ ὁ θεὸς βασιλίδα τῶν ἄλλων ἀπέφηνεν, ἐπάνω θεὶς ἁπασῶν, καὶ ὥσπερ ἐπ' ἀκροπόλεως ἱδρυσάμενος, οἰκειοτάτην ἀπειργάσατο ψυχῇ. τεκμηριώσαιτο δ' ἄν τις ἐκ τοῦ συμμεταβάλλειν τοῖς ἐκείνης τροπαῖς. λύπης μὲν γὰρ ἐγγινομένης, ὀφθαλμοὶ συννοίας γέμουσι καὶ κατηφείας· χαρᾶς δ' ἔμπαλιν, ὑπομειδιῶσι καὶ γεγήθασι· φόβου δὲ κατασχόντος, ταραχώδους γέμουσιν ἀταξίας, κινήσεις καὶ παλμοὺς καὶ περιστροφὰς ἀτάκτους ἐνδεχόμενοι· εἰ δ' ὀργὴ κατάσχοι, τραχύτερά πως καὶ ὕφαιμος ἡ ὄψις· καὶ ἐν μὲν τῷ λογίζεσθαι καὶ φροντίζειν ἠρεμεῖ, καὶ ἐκνένευκε μονονοὺ συνεκτείνουσα τῇ διανοίᾳ ἑαυτήν, ἐν δὲ ταῖς ἀναψύξεσι καὶ ἀνέσεσι συνανίεται καὶ χαλᾶται, καὶ προσιόντι μὲν φίλῳ προευαγγελίζεται τὸ τῆς εὐνοίας πάθος ἱλαρῷ καὶ γαληνῷ βλέμματι. εἰ δ' ἐχθρὸς τύχοι πάλιν, τὸ δυσάρεστον τῆς ψυχῆς πάθος προμηνύει. καὶ θρασύτητι μὲν προπηδῶσι καὶ προεκτρέχουσιν ὀφθαλμοί· αἰδοῖ δὲ πράως ἠρεμοῦσι, καὶ συνελόντι φράσαι, ψυχῆς εἰκόνα δεδημιουργῆσθαι τὴν ὅρασιν ἀκριβεστάτην, τέχνῃ δ' εὖ μεμιμημένης ἐναργὲς ἐμφαινομένην εἴδωλον, εἶτα διὰ κατόπτρου τὴν φύσιν ὁρατὴν ἐξ αὑτῆς οὐκ ἐχούσης. ἀλλὰ γὰρ οὐ ταύτῃ μόνον τὰς ἄλλας αἰσθήσεις ὑπερβάλλει τὸ κάλλος ὀφθαλμῶν, ἀλλὰ καὶ διότι τὴν ἄγρυπνον ἐν τοῖς ἐγρηγορόσι· τὴν γὰρ καθ' ὕπνον ἀπραξίαν οὐ παραληπτέον· ἐπιλείπουσιν αἱ χρήσεις. ὁπότε γὰρ οὐ κινοῖτό τι τῶν ἐκτός, ἡσυχάζουσιν. αἱ δὲ τῶν ὀφθαλμῶν ἀναπεπταμένων ἐνέργειαι συνεχεῖς καὶ ἀδιάστατοι, μηδέποτε πληρουμένων εἰσί, καὶ ταύτῃ παριστάντων ἣν ἔχουσι πρὸς ψυχὴν συγγένειαν· ἀλλ' ἐκείνη μὲν ἀκίνητος οὖσα, μεθ' ἡμέραν καὶ νύκτωρ διανίσταται·

A que, aut ad odoratum vaporum suaueolentium, aut ad tactum rerum mollium, calidarum, & leuium. ex his quinque sensibus tres maxime belluini seruilésque sunt, gustus, odoratus, tactus: quibus pecudes & feræ ventri atque inguini deditæ maxime trahuntur attonitæ. totos enim dies noctésque aut alimenta insatiabiliter in se ingerunt, aut ad coitum rapiuntur. Duo reliqui philosophantur & regunt cæteros, visus & auditus. tardiores
B autem & quodammodo magis fœmineæ sunt aures quam oculi, qui ad visibilia properant fortiter, & non expectato motu illorum, vltro in occursum festinant, vt ea percipiant. At auditus vt tardior & deterioris sexus, secundum teneat ordinem, & prærogatiuam quandam concedat visui. Hunc enim Deus regem cæterorum constituit, omnium editissimum: & tanquam in arce colloca-
C tum, perquam familiarem fecit animæ. id certò potest colligi ex communi vtriusque mutatione. dolorem enim illius mœstitia suffusi oculi non dissimulant: è diuerso gaudente illa subrident hilares. metu inualescente turbantur, agitantúrque indecoris motibus. Quod si occupetur ab ira, exasperatur & rubescit oculus. in cogitatione ac cura quiescit, eodem obtutu hærens, & quasi cum mente simul intentus, sicut in animi deliquio simul & luxatur & remittitur.
D idem accedente amico beneuolum affectum sereno tranquillóque affectu nunciat. Quoties autem in inimicum incidit, statim offensionem præ se fert. in audacia prosiliunt & procurrunt oculi, in reuerentia quieti stant: & vt compendio dicam, ad effigiem animæ factus est visus, ostendens eius imaginem expressissimam; tanquam in speculo naturam eius, aliâs inuisibilem referens. Nec hac solum parte sensus cæteros antecel-
E lunt oculi, sed etiam quia reliquorum inter vigilandum (nam de quiete quæ in somnis fit non dubitandum est) vsus non continuatur. nisi enim externe lacessantur, quieti manent. at oculi quantisper patent, indesinenter agunt aliquid, nec vnquam satiantur, sic quoque ostendentes cognationem quam habent cum anima. nisi quod illa perpetuo mobilis noctu æque ac interdiu vigilat.

hi maxima ex parte carnei, præclare secum agi putant, quod dimidium vitæ in operationibus sibi conuenientibus exigunt. his addo præcipuam oculorum vtilitatem. In vnius ex omnibus sensibus gratiam lucem excitam à deo, rerum pulcherrimam, quæ prima in sacris libris bona nominatur. eius natura duplex est. nam altera ab hoc igne corruptibili effulget ipsa quoque corruptibilis & extinguibilis. altera nec corruptibilis nec extinguibilis superne è cælo ad nos defertur, à sideribus singulis tanquam à perenni fonte defluens. vtraque visui familiaris, qui per vtramque se applicat ad visibilia. & quid opus est oculos amplioribus celebrare laudibus, quorum veras laudes Deus ipse cælestibus signis insculpsit? cur enim solis, lunæ, cæterorum vel erraticorum vel fixorum siderum splendor factus est, nisi in ministerium oculorum, vt videant? quo munere omnium optimo adiuti spectant quicquid mundo continetur, terram, stirpes, animalia, fructus, maria, amnium fluenta perennium & torrentium, fontium varietates aliubi frigidos, aliubi calidos latices profundentium, quorum species nullus sermo valet comprehendere. Quibus omnibus accedit cælum, de quo verissime dici potest, mundum in mundo factum esse ab opifice, & diuina eius ornamenta cælestes illæ imagines. Et quis tandem sensus iactabit se tam lõge progressum esse? Sed præstat opinor, relictis ad sua præsepia cognatis nobis pecudibus concupiscentias suas saginantibus, examinare virtutem rationis participem, cui continuum perfectúmque curriculum assignatum est in isto vicino terris aere: quando procellæ ventorum, & murmura tonitruum pertractum longum cient magnos molestosque strepitus: oculi vero à terra vno momento euadunt ad cælum, mũdique fines ortum atque occasum, septemtriones & meridiem collustrantes, ad contemplationem eorum quæ videntur, mentem attrahunt. At illa tali motu attonita non conquiescit, cum sit perpetuo mobilis & semper vigilans: acceptáque à visu occasione contemplandi res intelligibiles, amplius considerat: num ea quæ cernuntur sint ingenita, an generationis habuerint initium: infinita sint an finita: vnus ne mundus an plures:

A τοῖς δ᾽ ἅτε ἐξ ἀρχῆς πλεῖστον μετέχουσιν, αὐτάρκης ἐδόθη δωρεά, μέρος ἥμισυ τοῦ παντὸς βίου χρόνου διαπλέκειν ἐνεργοῦσι τὰς ἁρμοττούσας ἐνεργείας. ὃ δέ ἐστιν ἀναγκαιότατον τῆς ἀπὸ τῶν ὀμμάτων ὠφελείας, ἤδη λεκτέον. μόνη γὰρ ὁράσει τῶν αἰσθήσεων ὁ θεὸς ἀνέτειλε φῶς, ὃ καὶ τῶν ὄντων ἐστὶ κάλλιστον, καὶ πρῶτον ἐν ἱεραῖς βίβλοις ὠνομάσθη καλόν. διττὴ δὲ φωτὸς φύσις. τὸ μὲν γὰρ ἀπὸ τοῦ χρεώδους πυρὸς φθαρτοῦ φθαρτὸν ἐκλάμπει, σβέσιν ἐνδεχόμενον, τὸ δὲ ἄσβεστόν ἐστι καὶ ἄφθαρ-
B τον, ἄνωθεν ἀπ᾽ οὐρανοῦ πρὸς ἡμᾶς φερόμενον, ὥσπερ ἀπ᾽ ἀενάου πηγῆς ἑκάστου τῶν ἀστέρων αὐγὰς ἐκχέοντος. ἑκατέρῳ δ᾽ ἡ ὄψις ὁμιλεῖ, καὶ δι᾽ ἀμφοτέρων προσβάλλει τοῖς ὁρατοῖς εἰς ἀκριβεστάτην ἀντίληψιν. ἔτι τίνων ἐπιχειρεῖσθαι ὀφθαλμοὺς λόγῳ ἐγκωμιάζειν, τοῦ θεοῦ τοὺς ἀληθεῖς ἐπαίνους αὐτῶν στηλιτεύσαντος ἐν οὐρανῷ τοὺς ἀστέρας. ἡλίου γὰρ αὐγαὶ καὶ σελήνης καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν, τοῦ χάριν γεγόνασιν, ἢ
C μὴ τῆς τῶν ὀφθαλμῶν ἐνεργείας εἰς τὴν τοῦ ὁρᾶν ὑπηρεσίαν; διὸ καὶ προσχρώμενοι τῇ πασῶν ἀρίστῃ δωρεᾷ φωτί, καταθεῶνται τὰ ἐν κόσμῳ, γῆν, φυτά, ζῷα, καρπούς, πελάγη, ἀναχύσεις ποταμῶν ἀενάων τε καὶ χειμάρρων, πηγῶν τε διαφοράς, ὧν αἱ μὲν ψυχρόν, αἱ δὲ θερμὸν νᾶμα προχέουσι, πάντων τῶν κατὰ τὸν ἀέρα συνισταμένων τὰς φύσεις· ἀμύθητοι δέ εἰσιν ἰδέαι καὶ ἀπερίληπτοι λόγῳ· καὶ ἐπὶ πᾶσι τὸν οὐρανόν, ὃς ἀληθείᾳ κόσμος ἐν κόσμῳ δεδημιούργηται, καὶ τὰ κατ᾽ οὐρανὸν κάλ-
D λη καὶ θεῖα ἀγάλματα. τίς οὖν τῶν ἄλλων αἰσθήσεων ἐπαυχήσει διαβεβαιῶσαι ποτὲ τοσοῦτον. ἀλλ᾽ ἐάσαντες ἐπὶ τῆς φάτναις ἀπὸ τῶν συμφύτων ἡμῖν θρεμμάτων πιαινούσας τὴν ἐπιθυμίαν, ἐξετάσωμεν τὴν τοῦ λόγου μεταπεποιημένην ἀρετήν, ᾗ ὁ σύντονος καὶ τελεώτατος δρόμος ἵσταται κατὰ τὸν ἀέρα τὸν περίγειον, ὅταν βίαι πνευμάτων καὶ κτύποι βροντῶν, συρμὸν πολὺν καὶ χαλεπὸν πάταγον ἐξηχῶσιν, ὀφθαλμοὶ δὲ ἀπὸ γῆς ἐν ἀκαρεῖ φθάνουσιν εἰς οὐ-
E ρανόν, καὶ τὰ πέρατα τοῦ παντὸς ἐπ᾽ ἀνατολὰς ὁμοῦ καὶ δύσεις, ἄρκτον τε καὶ μεσημβρίαν ἀφικνούμενοι, πρὸς τὸ θεωρεῖν ἕλκουσιν ἐπὶ τὰ φανέντα τὴν διάνοιαν· ἡ δὲ τὸ παραπλήσιον ἐνδεξαμένη δέος, οὐκ ἠρεμεῖ, ἀλλ᾽ ἅτε ἀείκινητος καὶ ἀκοίμητος οὖσα, παρὰ τῆς ὄψεως τοῦ δύνασθαι τὰ νοητὰ θεωρεῖν λαβοῦσα τὰς ἀφορμάς, εἰς σκέψιν ἦλθεν, πότερον τὰ φανέντα ταῦτ᾽ ἐστὶν ἀγένητα, ἢ γενέσεως ἔλαβεν ἀρχήν, καὶ πότερον ἄπειρα, ἢ πεπερασμένα, καὶ πότερον εἷς ἢ πλείους εἰσὶ κόσμοι,

καὶ

καὶ πότερον τὰ τέτταρα στοιχεῖα τῶν ἁπάντων ἐστὶν, ἢ φύσιν ἐξαίρετον οὐρανὸς καὶ τὰ ἐν αὐτῷ κεκλήρωται, θειοτέρας καὶ οὐχὶ τοῖς ἄλλοις τῆς αὐτῆς οὐσίας ἐπιλαχών· εἰ δὲ δὴ καὶ γέγονεν ὁ κόσμος, ὑπὸ τίνος γέγονε, καὶ τίς ὁ δημιουργὸς, κατὰ τὴν οὐσίαν ἢ ποιότητα, καὶ τί διανοηθεὶς ἐποίει, καὶ τί νῦν πραγματεύεται, καὶ τίς ἐστιν αὐτῷ διαγωγὴ, καὶ βίος, καὶ ὅσα ἄλλα περιττὸς νοῦς φρονήσει συμβιοῦν εἴωθε διερευνᾶσθαι. Ταῦτα δὲ καὶ τὰ τοιαῦτα ἀνάκειται τῷ φιλοσοφεῖν· ἐξ οὗ δῆλόν ἐστιν, ὅτι σοφία καὶ φιλοσοφία τὴν ἀρχὴν ἀπ' οὐδενὸς ἔλαβον ἑτέρου τῶν ἐν ἡμῖν, ἢ τῆς ἡγεμονίδος τῶν αἰσθήσεων ὁράσεως, ἣν καὶ μόνην ἐκ τῆς σωματικῆς χώρας διέσωσεν ὁ θεὸς, τὰς τέσσαρας φθείρας, ὅτι αἱ μὲν σαρκὶ καὶ τοῖς σαρκὸς πάθεσιν ἐδουλεύσαντο, ἡ δὲ ἴσχυσεν ἀνατεῖναι τὸν αὐχένα καὶ βλέψαι, καὶ τέρψεις αἰθερίους πολὺ βελτίους τῶν σωματικῶν ἡδονῶν, ἐκ τῆς περὶ τὸν κόσμον θεωρίας καὶ τῶν ἐν αὐτῷ. μίαν οὖν ὥσπερ ἐκ πενταπόλεως τῶν ἑπτὰ αἰσθήσεων τὴν ὅρασιν ἐξαιρέτου γέρως τυχεῖν, καὶ φθειρομένων τῶν ἄλλων διασωθῆναι, ὅτι οὐ περὶ τὰ θνητὰ εἰλεῖσθαι μόνον ὡς ἐκεῖναι, μετοικίζεσθαι δὲ πρὸς τὰς ἀφθάρτους φύσεις ἀξιοῖ, χαίρουσα τῇ θέᾳ τούτων· διὸ παγκάλως μικράν τε καὶ οὐ μικρὰν τὴν πόλιν ταύτην οἱ χρησμοὶ διαπιστᾶσιν, αἰνιττόμενοι τὴν ὅρασιν. μικρὰ μὲν γὰρ λέγεται εἶναι, διότι βραχὺ μέρος τῶν ἐν ἡμῖν ἐστι. μεγάλη δὲ, ὅτι μεγάλων ἐφίεται, τὸν σύμπαντα οὐρανὸν καὶ κόσμον γλιχομένη θεάσασθαι. περὶ μὲν οὖν τῆς ἐπιφανείσης ὄψεως καὶ τῶν ἀοιδίμων καὶ παγκάλων ξενίων, ἐν οἷς δοκῶν ἑστιᾶν ὁ ξενοδόχος εἱστιᾶτο, καθ' ὅσον ἐφικτὸν ἦν ἀκριβοῦσιν ἡμῖν τὰ περὶ τὸν τόπον, δεδήλωται· μεγίστη δὲ πρᾶξιν ἀξίαν ἀκοῆς οὐχ ἡσυχαστέον. ὀλίγου γὰρ δέω φάναι, πάσας ὅσαι θεοφιλεῖς ὑπερβάλλει, λεκτέον δὲ τὰ καίρια περὶ αὐτῆς. υἱὸς ἐκ τῆς γαμετῆς γίνεται τῷ σοφῷ γνήσιος, ἀγαπητὸς καὶ μόνος, τό, τε σῶμα κάλλιστος, καὶ τὴν ψυχὴν ἄριστος. ἤδη γὰρ τελειοτέρας τῆς ἡλικίας ἐξέφαινεν ἀρετὰς, ὡς τὸν πατέρα μὴ πάθει μόνον εὐνοίας φυσικῆς, ἀλλὰ καὶ γνώμης καθάπερ ἠθῶν δικαστὴν, ἰσχυρᾷ τινι κεχρῆσθαι φιλοστοργίᾳ. διακειμένῳ δὴ οὕτως ἐξαπιναίως θεσπίζεται λόγιον οὔποτε ἐλπισθὲν, σφαγιάσαι τὸν υἱὸν ἐπί τινος ὑψηλοτάτου κολωνοῦ, πορρωτάτω πόλεως ἀποστάντα τριῶν ὁδὸν ἡμερῶν. ὁ δὲ καίτοι πόθῳ ἀλέκτῳ τοῦ παιδὸς ἐκκρεμάμενος, οὔτε τὴν χρόαν μετέβαλεν, οὔτε τὴν ψυχὴν ἐκάμφθη, γνώμῃ δ' ἀνενδότῳ καὶ ἀρρεπεῖ διέμεινεν ἀκλινὴς, οἷος καὶ πρόσθεν ἦν· ἔρωτι δὲ θείῳ δεδαμασμένος, ἀνὰ κράτος ἐνίκα πάνθ' ὅσα συγγενείας ὀνόματα καὶ φίλτρα,

A vtrum quatuor sint elementa rerum omnium, an cælum & quæ hoc continentur eximiam quandam naturam habeant. Quod si factus est mundus, à quo factus sit, quis eius opifex, quam expoliuerit materiam, in quem vsum, quid nunc agat, qualem vitam viuat, & quicquid aliud curiosa mens cogitando solet quærere. Hæc enim & similia exercent philosophos. vnde satis constat sapientiam & philosophiam non aliud
B in nobis habuisse initium quàm ex visu sensuum omnium principe, quem solum ex corporea regione seruauit Deus, deletis quatuor: quòd hi seruiuerint carni eiúsque affectibus: ille vero elata ceruice quæsiuerit sibi delicias meliores corporeis, ex contemplatione mundi & rerum in eo comprehensarum. itaque pereunte hac sensuum ceu pentapoli solum visum honoris causa ere-
C ptum, quòd non tantum volutetur circa mortalia vt reliqui, sed exspatietur etiam in naturas incorruptibiles visendi gratia. ideo recte hanc ciuitatem paruam & non paruam vocant oracula, quod de visu intelligitur. Est enim parua, vtpote nostri pars exigua. magna vero quia res magnas concupiscit, cælum vniuersum ac mundum spectandi auida. Hactenus de illa celebrata visione, relatáque cumulate hospitij gratia, quàm diligenter potuimus, di-
D ximus: superest quiddam haudquaquam silendum, quod mihi videtur inter omnes narrationes penè maximum. id dicetur compendio. Nascitur illi sapienti ex vxore filius legitimus, dilectus, vnicus, elegantissimo corpore, animo optimo. iam enim maturioris ætatis dabat specimen, vt à parente non tam ob naturalem affectum, quàm ob probatos mores vehementer diligeretur. Huic repen-
E te oraculum insperatum redditur, vt mactaret filium in quodam editissimo tumulo, qui trium dierum itinere aberat. Ille quamuis maiore quàm dici potest teneretur filij desiderio, nec colorem mutauit, nec animum flexit, sed constantissime perstitit in eadem sententia: quippe qui amore Dei subactus, fortiter vincebat omnes cognationis affectus, & omnia nomina: & cum nemine domesticorum communicato

oraculo, duos è tam numeroso famulicio natu maximos, sibíque fidissimos assumpsit, quasi sacra ex more facturus, atque ita quartus profectus est cum filio. cúmque locum destinatum procul conspexisset tanquam è specula, famulis ibi manere iussis, ignem simul atque ligna ferenda dedit filio, æquum censens, vt ipsa victima deportaret res quas postulabat sacrificium, leuissimam sarcinam. Nihil enim est pietate grauius, nihil magis industrium. ibi pari gradu, vnóque consensu celeriter peracto qua proximum erat itinere, cuius finis erat sanctitas, ad montem oraculo indicatum perueniunt. pater lapides congerit, vt aram exstruat. tum filius videns cætera parata sacrificio, nullum vero animal, versus ad patrem, Ecce ignis, inquit, & ligna pater. sed vbi victima? Hic alius arcani consilij sibi conscius, offusa menti caligine, ad hæc verba turbatus & lachrymans aperuisset propositum, affectum continere non valens. At ille nihil mutatus vel corpore vel animo, constanti vultu, ratione constantiore, ad interrogationem respondet. Fili, inquit, Deus sibi prouidebit de victima, & si nihil præsto sit, quod te fortasse facit anxium. Sed Deo possibilia sunt omnia, etiam quæ non possunt expediri ab hominibus. Et cum dicto celeriter correptum filium aræ imponit, simul strictum librat gladium. Tum Deus ex aere increpans, facinus impedit, iubens iniuriam abstinere à puero, & bis patrem inclamans nomine, vt auersus & retractus cædem omitteret. Atque ita puer seruatus est, Deo remunerante pietatem, & certante cum amico mutuis officijs. Facinus tamen hoc quamuis effectu caruit, nihilominus pro integro absolutóque, non modo in sacris refertur voluminibus, sed & in lectorum insculptum est mentibus. Verùm maliciosis calumniatoribus nostra damnare potius quàm laudare solitis hoc imperatum non videbitur tam magnum & mirificum quàm nobis videtur. Aiunt enim & alios multos suis affectibus deuinctos, & amantes liberorum, immolandos exhibuisse filios, vel pro incolumitate patriæ, vel vt auerterent bella, siccitates, inundationes, pestilentias. alios item domesticæ

A καὶ μηδενὶ τὴν ἔνδον ἐξειπὼν τὸ λόγιον, ἐκ πολυανθρώπου θεραπείας οἰκετῶν δύο τοὺς πρεσβυτάτους καὶ μάλιστα φιλοδεσπότους παραλαβών, ὡς ἕνεκά τινος ἱερουργίας τῆς ἐν ἔθει, τέταρτος ἐξῄει σὺν τῷ παιδί· τὸν δὲ προσταχθέντα χῶρον ὥσπερ ἀπὸ σκοπιᾶς ἰδὼν ἐκ μακροῦ, τοῖς μὲν θεράπουσι κελεύει καταμένειν, τῷ δὲ παιδὶ πῦρ καὶ ξύλα δίδωσι κομίζειν, αὐτὸ δικαιώσας τὸ ἱερεῖον τὰ πρὸς θυσίαν ἐπαχθίζεσθαι, κουφότατον βάρος. οὐδὲν γὰρ εὐσεβείας ἀπονώτερον. βαδίζοντες δ᾽ ἴσα ταχέως, οὐ τοῖς σώμασι

B μᾶλλον ἢ τῇ διανοίᾳ ὁδὸν τὴν ἐπίτομον, ἧς ὁσιότης τὸ τέλος, ἐπὶ τὸν προσταχθέντα τόπον ἀφικνοῦνται· καὶ ὁ μὲν πατὴρ συνεκόμιζε λίθους, ἵνα δείμαιτο βωμόν· ὁ δὲ υἱὸς τὰ μὲν ἄλλα ὅσα πρὸς ἱερουργίαν, ὁρῶν εὐτρεπῆ. ζῷον δὲ μηδὲν ἀπιδὼν εἰς τὸν πατέρα, Ἰδοὺ τὸ πῦρ, ἔφη, καὶ τὰ ξύλα πάτερ· ποῦ τὸ ἱερεῖον; ἕτερος μὲν οὖν ἃ δρᾶν ἔμελλεν εἰδὼς, καὶ τῇ ψυχῇ συσκιάζων, ὑπὸ τοῦ λεχθέντος κἂν συνεχύθη, καὶ δακρύων πληρωθεὶς, ἔμφασιν τοῦ ἀποσιωπωμένου παρέσχεν,

C ἐκ τοῦ περιπαθοῦς ἡσυχάζων· ὁ δ᾽ οὐδεμίαν ἐνδεξάμενος τροπὴν οὔτε κατὰ τὸ σῶμα, οὔτε κατὰ τὴν διάνοιαν, σταθερῷ μὲν τῷ βλέμματι, σταθερωτέρῳ δὲ τῷ λογισμῷ πρὸς τὴν πεῦσιν ἀποκρινόμενος, Ὦ τέκνον, ἔφη, ὁ θεὸς ὄψεται ἱερεῖον ἑαυτῷ, καὶ εἰ ἐρημία πολλὴ, δι᾽ ἣν ἴσως ἀπογινώσκεις εὑρεθήσεσθαι· πάντα δ᾽ εἰσὶ θεῷ δυνατὰ, καὶ ὅσα ἐν ἀμηχάνῳ καὶ ἀπόρῳ κεῖται παρὰ ἀνθρώποις. καὶ ταῦθ᾽ ἅμα λέγων, ᾗ τάχιστα τὸν υἱὸν ἐξαρπάσας, ἐπιτίθησι τῷ βωμῷ, καὶ ἀνασπασάμενος τῇ δεξιᾷ τὸ ξίφος,

D ἐπέφερεν ὡς ἀναιρήσων· φθάνει δ᾽ ὁ σωτὴρ θεὸς ἐν ἀέρος φωνῇ μεσολαβήσας τὸ ἔργον, ᾗ προσέταττεν ἀνέχειν, καὶ μηδὲ ψαῦσαι τοῦ παιδὸς, ὀνομαστὶ καλέσας δὶς τὸν πατέρα, ἵνα ἐπιστρέψας καὶ ἀναπαύσας, διακωλύσῃ τὴν σφαγὴν ἐργάσασθαι. καὶ ὁ μὲν διασώζεται, τὸ δῶρον ἀντιχαρισαμένου τοῦ θεοῦ, καὶ τὸν φέροντα ἐν οἷς εὐσέβει τὸ ἀντιτιμησαμένου. τοῦ δὴ ἡ πρᾶξις εἰ καὶ μὴ τὸ τέλος ἐπηκολούθησεν, ὁλόκληρος καὶ παντελὴς, οὐ μόνον ἐν ταῖς ἱεραῖς βίβλοις, ἀλλὰ καὶ

E ἐν ταῖς τῶν ἀναγινωσκόντων διανοίαις ἀνάγραπτος ἐστηλίτευται· ἀλλὰ τοῖς φιλαπεχθήμοσι καὶ πάντα διαβάλλουσιν, οἷς ψόγοι πρὸ ἐπαίνων τιμᾶσθαι ἐθίζονται, τὸ προσταχθὲν ἔργον οὐ δόξει μέγα καὶ θαυμαστὸν, ὡς ἡμεῖς ὑπολαμβάνομεν εἶναι. πολλοὺς γὰρ καὶ ἄλλους φασὶ τῶν πάνυ φιλοικείων καὶ φιλοτέκνων ἐπιδεδωκέναι τοὺς αὐτῶν παῖδας, τοὺς μὲν ὑπὲρ πατρίδων σφαγιασθησομένους, λυτήρια ἢ πολέμων ἢ αὐχμῶν, ἢ ἐπομβρίας, ἢ νοσημάτων λοιμικῶν

γεννησαμένους, τοὺς δὲ ὑπὸ νενομισμένης εὐσεβείας, εἰ καὶ μὴ πρὸς ἀλήθειαν οὔσης· Ἑλλήνων μέν γε τοὺς δοκιμωτάτους, οὐκ ἰδιώτας μόνον, ἀλλὰ καὶ βασιλεῖς, ὀλίγα φροντίσαντας ὧν ἐγέννησαν, διὰ τῆς τούτων ἀναιρέσεως, δυνάμεις στρατευμάτων μεγάλας καὶ πολυανθρώπους, ἐν μὲν τῇ συμμαχίᾳ τεταγμένας διασῶσαι, ἐν δὲ τῇ μερίδι τῶν ἐχθρῶν ἀθρόους διαφθεῖραι· βαρβαρικὰ δὲ ἔθνη μέχρι πολλοῦ παιδοκτονίαν ὡς ὅσιον ἔργον καὶ θεοφιλὲς προσίεσθαι, ὧν μεμνῆσθαι καὶ ἄγεις καὶ τὸν ἱερώτατον Μωσέα. αἰτιώμενος γὰρ αὐτοὺς τοῦ μιάσματος, φάσκει, ὅτι τοὺς υἱοὺς καὶ τὰς θυγατέρας κατακαίουσι τοῖς θεοῖς αὐτῶν. Ἰνδῶν δὲ, τοὺς γυμνοσοφιστὰς ἄχρι τοῦ νῦν, ἐπειδὰν ἄρχηται καταλαμβάνειν ἡ μακρὰ καὶ ἀνίατος νόσος τὸ γῆρας, πρὶν βεβαίως κρατηθῆναι, πῦρ ἅψαντας, αὑτοὺς ἐμπιπρᾶναι, δυναμένους ἔτι πρὸς πολὺ ἴσως ἀντέχειν· ἤδη δὲ καὶ γύναια προαποθανόντων ἀνδρῶν, ὁρμῆσαι γεγηθότα πρὸς τὴν αὐτὴν πυράν, καὶ ζῶντα τοῖς ἐκείνων σώμασιν ὑπομεῖναι συναναφλεχθῆναι. ταῦτα μὲν εἰκότως ἄν τις θαυμάσειε τῆς εὐτολμίας, ἐκ πολλοῦ τοῦ περιόντος καταφρονητικῶς ἔχοντα θανάτου, καὶ ὡς ἐπ' ἀθανασίαν αὐτὴν ἱέμενα καὶ ἀπνευστὶ θέοντα· τὸν δὲ τί προσῆκεν ἐπαινεῖν ὡς ἐγχειρητὴν κεκαινουργημένης πράξεως, ἣν καὶ ἰδιῶται καὶ βασιλεῖς καὶ ὅλα ἔθνη δρῶσιν ἐν καιροῖς. ἐγὼ δὲ πρὸς τὴν τούτων βασκανίαν καὶ πικρίαν ἐκεῖνα λέξω. τῶν καταθυόντων παῖδας, οἱ μὲν ἔθει τοῦτο δρῶσιν, ὥσπερ ἐνίους φασὶ βαρβάρων· οἱ δὲ δι' ἀβουλήτους καὶ μεγάλας ὑποθέσεις πόλεών τε καὶ χωρῶν, ἑτέρως κατορθωθῆναι μὴ δυναμένων· ὧν οἱ μὲν ἀνάγκῃ τοὺς αὑτῶν ἐπιδιδόασιν, ὑπὸ δυνατωτέρων βιασθέντες· οἱ δὲ φόβῳ τῷ ἀπ' ἀνθρώπων. οἱ δὲ δόξης καὶ εὐφημίας ἐφιέμενοι, καὶ εὐκλείας μὲν τῆς ἐν τῷ παρόντι, εὐφημίας δὲ τῆς ὕστερον. οἱ μὲν οὖν ἔθει σφαγιάζοντες, οὐδὲν ὡς ἔοικε μέγα δρῶσιν. ἐγχρονίζον γὰρ ἔθος ἐξισοῦται φύσει πολλάκις, ὡς καὶ τὰ δυσυπομόνητα καὶ δυσκαρτέρητα ῥαδίως ἐπελαφρίζειν, τὰς ὑπερβολὰς τῶν φοβερῶν ἐξευμαρίζοντα· τῶν δὴ ἕνεκα δέους ἐπιδιδόντων, ἔπαινος οὐδείς. ὁ γὰρ ἔπαινος ἐν ἑκουσίοις κατορθώμασι γράφεται. τὰ δ' ἀβούλητα ἑτέροις ἀνάκειται πράγμασιν, ἢ καιροῖς, ἢ τύχαις, ἢ τῶν ἀπ' ἀνθρώπων ἀνάγκαις. εἰ δέ τις δόξης ὀρεγόμενος υἱὸν ἢ θυγατέρα προΐεται, ψέγοιτ' ἂν ἐνδίκως μᾶλλον ἢ ἐπαινοῖτο, θανάτῳ τῶν φιλτάτων ὠνούμενος τιμήν, ἣν κεκτημένος ὤφειλεν ὑπὲρ τῆς τῶν τέκνων σωτηρίας ἀπορρίπτειν. ἐρευνητέον οὖν εἰ ὑπό τινος τῶν λεχθέντων ἡττηθεὶς ἐκεῖνος,

A quantumuis falsæ religionis grati. Græcorum certe clarissimos, non solum priuatos ciues, sed & reges, non magna ratione ex se natorum habita, his mactatis maximas deleuisse hostium copias primo impetu, sociorum vero seruasse maximos exercitus. Barbaras quoque gentes per multas ætates litasse mactatis filijs, cuius sceleris etiam sacrosanctum Mosem meminisse, dum accusans eos vt pollutos ait, Filios & filias dijs suis adolent.
B Indorum quoque gymnosophistas & hodie sub initium senectutis morbi longi & incurabilis, prius quàm inualescat, accenso rogo, seipsos exurere, quamuis possent ad tempus fortasse diuturnum resistere. Imò & mulierculas eorum defunctis maritis in rogos eorum cum gaudio se mittere, atque ita viuas concremari cum adamatis cadaueribus. Harum, inquiunt, merito mireris audaciam, quæ mortem contemnunt tantopere, vt ad eam
C tanquam ad immortalitatem cursu contendant. Istum vero laudare quorsum attinet, quasi nouum aliquod facinus aggressum, quod non semel fando auditum est, de priuatis ciuibus, de regibus, de integris gentibus. Ad hanc inuidorum insectationem sic respondeo. Qui liberos mactant, partim ex more id faciunt, vt fertur de nonnullis barbaris, partim quia magna mala & aduersus humanum opem contumacia à suis ciuitatibus aliter ar-
D cere nequeunt. Ex his quidam inuiti suos exhibent, coacti à potentioribus. Alij compulsi metu hominum, alij cupidine gloriæ famæque, in præsens gloriæ, famæ vero ad posteros. Ergo qui ex more mactant, nihil magnum videntur facere. Nam inueterata consuetudo plerunque tantum potest, quantum natura, ita vt grauissima quæque reddat toleratu facilia, omni terrore semoto. Qui vero cedunt timori, laudem nullam merentur. Lau-
E dantur enim facta voluntaria, inuoluntaria referuntur ad necessitatem rerum aut casuum aut temporum. Quod si quis amore gloriæ vel filium prodit vel filiam, vituperio magis quàm laude dignus est, morte charissimorum parans sibi honorem, quem etiamsi antea habuisset, pro incolumitate filiorum abijcere debuerat. Proinde considerandum est, an ille aliqua modo dicta necessitate coactus sit.

mactare filium, vel more, vel honore, vel timore. Mos certe immolandi liberos, nec Babylone, nec in Mesopotamia, nec à Chaldæis receptus est, apud quos educatus magnam vitæ partem cum eis exegit, ne quis putet præ assuetudine leuiorem visam mali eius imaginationem. Sed neque metus vllus imminebat ab hominibus, neque oraculi iussum quisquam norat alius. Nulla publica premebat calamitas, cui morte probatissimi filij remedium quæreret. At laudis apud vulgum parandæ cupidine ad hoc facinus concitatus est. At quæ laus captabatur in solitudine, vbi nemo erat applausurus, data opera longe à tergo relictis etiam duobus famulis, ne se coram testibus ostentare videretur? Quapropter obturato infreni ore moderentur accusatores suam inuidiam, nec lacerent honesta vita defunctos, quos potius prædicare deberent cum alijs. Siquidem apud omnes qui recte sapiunt nihil honestius habetur, nihil optabilius, quam Deo parere, quod hic in primis studuit, ita vt nullum vnquam mandatum negligeret, quantumuis refertum molestijs & ignominijs, atque etiam laboribus ac doloribus. Quamobrem & id quod oraculo iussus est de filio, fortiter constanterque pertulit. Deinde cum nulla consuetudo esset in ea regione, sicut fortasse apud quosdam, immolandi liberos, ipse primus autor futurus erat noui & inusitati exempli, quod mihi videtur nemo laturus fuisse, etiamsi ferreum aut adamantinum haberet animum. Cum natura enim, vt quidam ait, pugnare est difficile. pater erat factus vnici huius legitimi filij, quem mox singulari amore prosequebatur, supra modum vulgaris beneuolentiæ, imò etiam fama celebratæ. aderat & aliud vehemens amoris incitamentum, quòd in senecta ei puer natus fuerat. Nam sero natos impotentius parentes adamant, vel quia diu desideratos, vel quia nullam prolem sperant postea, natura iam effœta, quippe quæ extremum attigit terminum. Siquidem è numerosa sobole vnum quempiam offerre Deo, tanquam liberorum primitias, nihil mirandum fuerit, cum præsto sit è superstitibus haud mediocre solatium, & doloris ob mactatum concepti remedium. Cum vero vnicus dilectus

A ἔμελλε σφαγιάζειν τὸν υἱόν, ἔθους, ἢ τιμῆς, ἢ δέους. ἔθος μὲν οὖν τὸ ἐπὶ παιδοκτονίᾳ, Βαβυλὼν καὶ Μεσοποταμία καὶ τὸ Χαλδαίων ἔθνος οὐ παραδέχεται, ἐν οἷς ἐτράφη καὶ ἐβίωσε τὸν πλείονα χρόνον, ὡς τῇ συνεχείᾳ τῶν δρωμένων, ἀμβλυτέραις τὸ τῶν δεινῶν φαντασίαις κεχρῆσθαι δοκεῖν. καὶ μὴν οὐδὲ φόβος τις ἦν ἀπ' ἀνθρώπων. οὐδὲ γὰρ τὸ χρησθὲν αὐτῷ μόνῳ λόγιον ᾔδει τις. οὐδέ τις συμφορὰ κατεῖχε κοινή, ἧς ἔδει τὴν θεραπείαν ἀναιρέσει γενέσθαι δοκιμωτάτου παιδός. ἀλλὰ θηρώμενος ἔπαινον τὸν παρὰ τῶν B πολλῶν ὥρμησεν ἐπὶ τὴν πρᾶξιν; καὶ τίς ἔπαινος ἐπ' ἐρημίᾳ, μηδενὸς τοῦ μέλλοντος ἐπευφημήσειν παρόντος, ἀλλὰ καὶ τῶν δυοῖν οἰκετῶν μακρὰν ἐπιτηδὲς ὑπολειφθέντων, ἵνα μὴ ἐγκαλλωπίζεσθαι καὶ ἐνεπιδείκνυσθαι δοκῇ, μάρτυρας ἐπαγόμενος τῶν εὐσεβῶν. στόμασιν οὖν ἀχαλίνοις καὶ κακηγόροις θύρας ἐπιθέντες μετριαζέτωσαν τὸν ἐπ' αὐτοῖς μισόκαλον φθόνον, καὶ τὰς ἀρετὰς ἀνδρῶν εὖ βεβιωκότων μὴ συνεάτωσαν, ἃς ἁρμόττον ἦν εὐφημίαις συνεπι-C κοσμεῖν. ὅτι δὲ τῷ ὄντι ἐπαινετὴ καὶ ἀξιέραστος ἡ πρᾶξις, οὐ πολλοῖς εὐμαρὲς ἰδεῖν. πρῶτον μὲν γὰρ τὸ πείθεσθαι θεῷ παρὰ πᾶσι τοῖς εὖ φρονοῦσι σεμνὸν καὶ περιμάχητον εἶναι νομίζομεν, ὃ ἐν τοῖς μάλιστα ἐπετήδευεν, ὡς μηδὲν τῶν πώποτε προστεταγμένων ἀμελῆσαι, κἂν ἀηδίας καὶ δυσκλείας, κἂν πόνων τε καὶ ἀλγηδόνων μεστὸν εἴη. ὅθεν καὶ τὸ χρησθὲν ἐπὶ τῷ υἱῷ γενναιότατα καὶ στερρότατα ἤνεγκεν. ἔπειτα οὐκ ὄντος ἔθους ἐν τῇ χώρᾳ, καθάπερ ἴσως παρ' ἐνίοις ἐστὶν ἀνθρωποθυτεῖν, ὃ τῇ συνε-D χείᾳ τὰς τῶν δεινῶν φαντασίας εἴωθεν ἐκλύειν, αὐτὸς ἔμελλε πρῶτος ἄρξασθαι καινοτάτου καὶ παρηλλαγμένου παραδείγματος, ὃ μοι δοκεῖ μηδεὶς ἂν ὑπομεῖναι, καὶ εἰ σιδήρου τὴν ψυχὴν ἢ ἀδάμαντος κατεσκεύαστο. φύσει γὰρ, ὡς εἶπέ τις, ἔργον μάχεσθαι. γνήσιόν τε υἱὸν πεποιημένος μόνον τοῦτον, εὐθὺς εἶχε καὶ τὸ πάθος ἐπ' αὐτῷ τῆς εὐνοίας γνήσιον, ὑπερβάλλον τοὺς ἐμφρονας ἔρωτας καὶ τὰς φιλίας, ὅσαι διὰ ὀνόματος γεγόνασι. προσῆν δέ τι καὶ βιασι-E κώτατον φίλτρον, τὸ μὴ καθ' ἡλικίαν, ἀλλ' ἐν γήρᾳ γεγεννηκέναι τὸν παῖδα. τοῖς γὰρ ὀψιγόνοις ἐπιμεμήνασί πως οἱ τοκῆες, ἢ διὰ τὸ μακρὸν ἐπιποθῆσαι χρόνον τὴν γένεσιν αὐτῶν, ἢ διὰ τὸ μηκέθ' ἑτέρους ἐλπίζειν ἔσεσθαι, τῆς φύσεως ἐν τούτῳ πεπαυμένης, ὡς ἐπὶ τελευταῖον καὶ ὕστατον ὅρον. ἐκ πολυπαιδίας μὲν οὖν ἕνα προέσθαι θεῷ, καθάπερ ἀπαρχήν τινα τέκνων, παράδοξον οὐδὲν, ἔχοντα τὰς ἐπὶ τοῖς ζῶσιν ἡδονὰς οὐ μικρὰ παραμύθια καὶ μειλίγματα τῆς ἐπὶ τῷ σφαγιασθέντι λύπης·

ἓν δὲ μόνον τις ἔχει ἀγαπητὸν διδοὺς, παντὸς λόγου μεῖζον ἔργον διαπράττεται, μηδὲν οἰκειότητι χαριζόμενος, ἀλλ' ὅλῃ ῥοπῇ πρὸς τὸ θεοφιλὲς ταλαντεύων. ἐκεῖνο μὲν δὴ ἐξαίρετον καὶ μόνῳ χαδόντι τοῦτο πεπραγμένον. οἱ μὲν γὰρ ἄλλοι, κἂν ὑπὲρ σωτηρίας πατρίδων καὶ στρατευμάτων ἐπιδῶσι σφαγιασθησομένους τοὺς αὐτῶν, ἢ οἴκοι καταμένουσιν, ἢ μακρὰν ἀφίστανται τῶν βωμῶν, ἢ κἂν παρατύχωσι, τὰς ὄψεις ἀποστρέφονται θεάσασθαι μὴ ὑπομένοντες, ἄλλων ἀναιρούντων. ὁ δ' ὥσπερ ἱερεὺς αὐτὸς κατήρχετο τῆς ἱερουργίας ἐφ' υἱῷ τῷ πάντα ἀρίστῳ φιλοστοργότατος πατήρ. ἔμελλε δ' ἂν ἴσως καὶ νόμῳ τῶν ὁλοκαυτωμάτων διαιρῶν κατὰ μέλη τὸν υἱὸν ἱερουργεῖν. οὕτως οὐδὲ μέρος ἀπέκλινε πρὸς τὸν παῖδα, τὸ δέ τι πρὸς εὐσέβειαν, ἀλλ' ὅλῃ τῇ ψυχῇ δι' ὅλων ὁσιότητι προσεκλήρωσεν, ὀλίγα φροντίσας συγγενικοῦ αἵματος. τί δὴ τῶν εἰρημένων πρὸς ἑτέρους κοινόν; τί δ' οὐκ ἐξαίρετον καὶ παντὸς λόγου κρεῖττον, ὡς τούς γε μὴ φύσει βασκάνους καὶ φιλοπονήρους καταπλαγῆναι, καὶ θαυμάσαι τῆς περιττῆς ἄγαν εὐσεβείας, οὐχ ἅπαντα ὅσα εἶπον ἀθρόα εἰς νοῦν βαλλομένους, ἀλλὰ καὶ ἕν τι τῶν πάντων· ἱκανὴ γὰρ καὶ ἡ ἑνὸς φαντασία, τύπῳ τινὶ βραχεῖ· βραχὺ δ' οὐδὲν ἔργον σοφοῦ· μέγεθος ψυχῆς καὶ ὕψος ἐμφῆναι. ἀλλὰ γὰρ οὐκ ἐπὶ τῶν ῥητῶν καὶ φανερῶν ὑποθέσεις ἵστανται τὰ λεχθέντα· φύσιν δὲ τοῖς πολλοῖς ἀδηλοτέραν ἔοικε παρεμφαίνειν, ἣν οἱ τὰ νοητὰ πρὸ τῶν αἰσθητῶν ἀποδεχόμενοι, καὶ ὁρᾶν δυνάμενοι, γνωρίζουσιν. ἔστι δὲ τοιάδε· ὁ μελλήσας σφαγιάζεσθαι, καλεῖται Χαλδαϊστὶ μὲν Ἰσαάκ, ἑλληνιστὶ δὲ μεταληφθέντος τοῦ ὀνόματος γέλως. γέλως δὲ οὐχ ὁ κατὰ παιδιὰν ἐγγινόμενος σώματι παραλαμβάνεται νῦν, ἀλλ' ὁ κατὰ διάνοιαν εὐπάθεια καὶ χαρά. ταύτην ὁ σοφὸς ἱερουργεῖν λέγεται δεόντως θεῷ, διὰ συμβόλου παριστάς, ὅτι τὸ χαίρειν μόνῳ θεῷ οἰκειότατόν ἐστιν. ἐπίλυπον μὲν γὰρ τὸ τῶν ἀνθρώπων γένος καὶ περιδεές, ἢ παρόντων κακῶν ἢ προσδοκωμένων, ὡς ἢ ἐπὶ τοῖς ἐν χερσὶν ἀβουλήτοις ἀνιᾶσθαι, ἢ ἐπὶ τοῖς μέλλουσι ταραχῇ καὶ φόβῳ κραδαίνεσθαι· ἄλυπος δὲ καὶ ἄφοβος καὶ ἀμέτοχος παντὸς πάθους ἡ τοῦ θεοῦ φύσις, εὐδαιμονίας καὶ μακαριότητος παντελοῦς μόνη μετέχουσα. τῷ δὲ τὴν ἀληθῆ ταύτην ὁμολογίαν ὡμολογηκότι ἔτι πω, χρηστὸς ὢν καὶ φιλάνθρωπος ὁ θεός, φθόνον ἐλαύνων ἀφ' ἑαυτοῦ, προσηκόντως ἀντιχαρίζεται τὸ δῶρον, καθόσον ἐγχωρεῖ δυνάμεως ὁ λαμβάνων, καὶ μονονουχὶ ταῦτα θεσπίζει λέγων, τὸ μὲν τῆς χαρᾶς γένος καὶ τὸ χαίρειν,

A offertur, res est sermone nullo explicabilis, nullum respectum habens consuetudinis domesticæ, sed tota prona ad pietatis officium, eximia sane, & vix cuiquam alteri tentata. Nam alij tametsi pro salute patriarum aut exercituum concedunt suos mactandos, tamen aut domi manent interea, aut procul absistunt ab altaribus: aut si contingat eos sacris interesse, auertunt oculos ne spectare quidem sustinentes vel alienum necis ministerium. Hic
B vero tanquam sacerdos, ipse pater amantissimus aggreditur mactationem egregij filij, quem fortassis etiam sacrifico ritu membratim concisurus erat adolendum altaris ignibus. adeò cauerat ne pietate erga filium distraheretur à pietate Deo debita, & totum quantus erat animum sanctitati deuouerat, parum curans cognatum sanguinem. Quid horum quæ diximus cum cæteris commune est? quid non
C eximium, quod nulla possit æquari facundia? vt merito quoduis ingenium non malum nec inuidum obstupefaciat immensæ pietatis miraculo, vel vno ex multis, nedum confertis omnibus. satis enim est vel vnius cuiuslibet reputatio ad exprimendam paruam quandam imaginem ingentis animi, quamuis nullum sapientis opus est exiguum. Verum non intra verba textus aperta consistunt quæ modo diximus: mihi certe videntur naturam quandam obscuriorem subindicare, quam agnoscũt
D quotquot intelligibilibus magis delectantur quam sensibilibus, & possunt ea cernere. est autem talis. qui adducitur pro victima, Chaldaice Isaac, Latine risus vocatur. qui risus non intelligitur nunc pro petulanti vultus habitu, sed pro mentis bene affectæ gaudio. hanc lætitiam vir sapiens meritò sacrificare Deo dicitur, per istam figuram docens, quod gaudium soli Deo sit proprium. nam humanũ genus mœrori timoríque est obnoxium, propter mala vel præsentia vel imminentia, vt vel horum pœni-
E teat, vel illa metu terreant ac concutiant. diuina vero natura expers est mœroris, timoris, passionúmque omnium, felicitatis beatitatísque perfectæ sola particeps. hanc confessionẽ quicunque vere confitetur, ei Deus cum sit bonus & amator hominum, alienus ab inuidia, conueniens munus reponit quantũ homo potest capere, tantum non tali alloquens eum oraculo. Gaudium ac lætitia

non esse cuiusquam, præter me omnium patrem, propriam possessionem scio, quam tamen ipsa dignis non inuideo. Quis autem dignus esse potest, nisi qui me meámque voluntatem sequitur? huic enim minimum doloris, minimum timoris obueniet, modo incedat per viam, quæ affectibus ac vitijs inaccessa, per virtutes his contrarias teritur. non est tamen cur aliquis putet meram & nullo dolore mixtam lætitiam cælitus in terram descendere, sed temperata est ex vtroque, ita vt de meliore plus admixtum sit: sicut lux in cælo sincera semper est & pura à tenebris, in sublunari autem aere miscetur caligine. & hoc est opinor, cur & antea virtutis cognomen habens Sarra, cum risisset, roganti risus causam, se risisse negauit, verita ne forte gaudium quod nulli creaturæ conuenit, solius Dei rem vsurpasse videretur. Quapropter confirmans eam diuinum eloquium ait: Ne timeas: risisti vere, & particeps es lætitiæ. non permisit enim pater humanum genus exagitari tristitijs, doloribus, & molestijs insanabilibus, sed admiscuit eis etiam de meliore natura nonnihil, æquum censens serenam interdum ac tranquillam esse animam: præcipue vero sapientum maiore vitæ parte gaudere lætarique mundi huius contemplationibus voluit. Hactenus de pietate huius viri pauca è multis dicta sint, nunc scrutanda est eius etiam erga homines dexteritas. ad eandem enim naturam pertinent pietas & humanitas: & vtrumque in vno spectari solet, sanctitas erga Deum, erga homines iustitia. Longum esset narrare facta eius omnia. Nos contenti duobus vel tribus erimus. Cùm auro argentóque & numerosis pecudum gregibus diues esset adeo, vt cum ditissimo quoque indigena conferri posset opibus, & beatior esset quam pro inquilini conditione, nunquam tamen accusatus est ab his, quorum vtebatur hospitio, sed cum quibuscunque negotium habuit, ab eis perpetuam laudem reportauit. Quod si quando, vt fit, per occasionem famulicij comitatúsque suboriebatur contentionis nonnihil, mox eam sopire conabatur, quippe qui præ grauitate morum nihil turbulentum, seditiosum, litigiosúmque admittebat in suam animam. Nec mirandum si erga alienos ta-

A ὅτι οὐκ ἔστιν ἑτέρου πλὴν ἐμοῦ τοῦ πατρὸς τῶν ὅλων κτῆμα, σαφῶς οἶδα· κεκτημένος δ' ὅμως, οὐ φθονῶ τοῖς ἀξίοις χρῆσθαι· ἄξιος δὲ τίς ἂν εἴη, πλὴν εἴ τις ἐμοὶ καὶ τοῖς ἐμοῖς βουλήμασιν ἕποιτο. τούτῳ γὰρ ἥκιστα μὲν ἀνιᾶσθαι, ἥκιστα δὲ φοβεῖσθαι συμβήσεται, προελομένῳ ταύτην τὴν ὁδόν, ἣ πάθεσι μὲν καὶ κακίαις ἐστὶν ἄβατος, εὐπαθείαις δὲ καὶ ἀρεταῖς ἐμπεριπατεῖται. μηδεὶς δ' ὑπολαβέτω τὴν ἄκρατον καὶ ἀμιγῆ λύπης χαρὰν ἀπ' οὐρανοῦ καταβαίνειν ἐπὶ τὴν γῆν, ἀλλ' ἐκκέκραται ἐξ ἀμφοῖν
B προσεπιβρίθοντος τοῦ κρείττονος, ὥσπερ καὶ τὸ φῶς ἐν οὐρανῷ μὲν ἄκρατον καὶ ἀμιγὲς σκότους ἐστίν, ἐν δὲ τοῖς ὑπὸ σελήνην ἀέρι ζοφερῷ κεκραμένον φαίνεται. ταύτης ἕνεκα τῆς αἰτίας δοκεῖ μοι γελάσασα καὶ πρότερον ἡ ἀρετῆς ἐπώνυμος Σάρρα, πρὸς τὸν πυνθανόμενον, ἀρνήσασθαι τὸν γέλωτα, καταδείσασα μήποτε ἄρα τὸ χαίρειν οὐδενὸς ὂν γενητοῦ, μόνου δὲ τοῦ θεοῦ, σφετερίζηται· διὸ καὶ θαρσύνων αὐτὴν ὁ ἱερὸς λόγος, φησί, Μηδὲν
C εὐλαβηθῇς, ὄντως ἐγέλασας, καὶ μέτεστί σοι χαρᾶς. οὐ γὰρ εἴασεν ὁ πατὴρ τὸ ἀνθρώπων γένος λύπαις καὶ ὀδύναις καὶ ἄχθεσιν ἀνιάτοις ἐμφέρεσθαι, παρέμιξε δὲ καὶ τῆς ἀμείνονος φύσεως, εὐδιάσαι ποτὲ καὶ γαληνιάσαι τὴν ψυχὴν δικαιώσας· τὴν δὲ τῶν σοφῶν καὶ τὸν πλείονα χρόνον τοῦ βίου γηθεῖν καὶ εὐφραίνεσθαι τοῖς τοῦ κόσμου θεωρήμασιν ἐβουλήθη. τοσαῦτα μὲν περὶ τῆς τοῦ ἀνδρὸς εὐσεβείας, εἰ καὶ πολλῶν ἄλλων ἐστὶν ἀφθονία, λελέχθω. διερευνητέον δὲ καὶ τὴν πρὸς ἀνθρώπους αὐτοῦ δεξιότητα.
D τῆς γὰρ αὐτῆς φύσεώς ἐστιν, εὐσεβῆ τε εἶναι, καὶ φιλάνθρωπον, καὶ περὶ τὸ αὐτὸ ἑκάτερον, ὁσιότης μὲν πρὸς θεόν, δικαιοσύνη δὲ πρὸς ἀνθρώπους θεωρεῖται. πάντα μὲν οὖν τὰ πεπραγμένα μακρὸν ἂν εἴη διεξιέναι· δυοῖν δὲ ἢ τριῶν οὐκ ἄτοπον ἐπιμνησθῆναι. πολύχρυσος καὶ πολυάργυρος ἐν τοῖς μάλιστα ὤν, καὶ θρεμμάτων πολυζώοις ἀγέλαις ἔχων, καὶ τῶν ἐγχωρίων καὶ αὐτοχθόνων τοῖς ἰχυρὰ κεκτημένοις ἐν τῷ περιουσιάζειν ἁμιλλώμενος, καὶ
E πλουσιώτερος γεγονὼς ἢ κατὰ μέτοικον, ὑπ' οὐδενὸς ἐμέμφθη τῶν ὑποδεξαμένων, ἀλλ' ὑπὸ πάντων τῶν εἰς πεῖραν ἐλθόντων ἐπαινούμενος διετέλεσεν. εἰ δὲ καί τις οἷα φιλεῖ πολλάκις, ἐκ θεραπόντων καὶ τῶν συνδιατριβόντων ἅμιλλα καὶ διαφορὰ πρὸς ἑτέρους ἐγένετο, ταύτην ἐπειρᾶτο διαλύειν ἡσυχῇ, βαρυτέρῳ ἤθει τὰ φιλόνεικα καὶ ταραχώδη καὶ στασιαστικὰ πάντα ἀποβεβλημένος, καὶ τῆς ψυχῆς ἀπεληλακώς. καὶ θαυμαστὸν οὐδὲν εἰ πρὸς τοὺς ἀλλοτρίους τοιοῦτος ἦν, οἱ

βαρυτέρας καὶ δυνατωτέρας, ἀεὶ συμφωνήσαντες ἠμύναντο τοὺς ἄρχοντας χειρῶν ἀδίκων, ὁπότε δὲ πρὸς τοὺς γένει μὲν οἰκείους, γνώμῃ δ' ἠλλοτριωμένους, ἐρήμους δὲ καὶ μόνους, καὶ πολλῷ καταδεέστερα κεκτημένους, ἐμετρίαζεν, ἐλαττούμενος ἑκὼν ἐν οἷς πλεονεκτεῖν ἠδύνατο. τὸν γὰρ ἀδελφιδοῦν αὐτοῦ, τῆς πατρίδος ὁπότε μετῳκίσατο, συνεξεληλυθώς, ἀβέβαιος, ἐπαμφίβολος, αἰωρούμενος τῇδε κἀκεῖσε· καὶ τοτὲ μὲν προσσαίνων φιλικοῖς ἀσπάσμασι, τοτὲ δὲ ἀφηνιάζων καὶ ἀπαυχενίζων, διὰ τὴν τῶν τρόπων ἀνωμαλίαν· ὅθεν καὶ τὸ οἰκετικὸν αὐτοῦ δύσεριν καὶ ταραχῶδες τὸν σωφρονιστὴν οὐκ ἔχον, καὶ μάλιστα τὸ ποιμενικὸν μακρὰν τοῦ δεσπότου διεζευγμένον. ἀπελευθεριάζοντες γοῦν ὑπ' αὐθαδείας, ἀεὶ διεφέροντο τοῖς προεστηκόσι τῶν θρεμμάτων τοῦ σοφοῦ, οἳ πολλὰ εἴκοντες διὰ τὴν τοῦ δεσπότου πραϋπάθειαν, ὑφ' οὗ πρὸς ἀπόνοιαν ἐπιδιδόντες καὶ θράσος ἀκαίρου ὀργῆς, μηνιῶντες ἤδη, καὶ τὸ ἀκατάλλακτον ἐν αὐτοῖς ζωπυροῦντες, ἕως ἠνάγκασαν τοὺς ἀδικουμένους εἰς ἄμυναν ὁρμῆσαι· μάχης δὲ ἐμβριθεστέρας γινομένης, ἀκούσας ὁ ἀστεῖος τὴν ἀντεφόρμησιν, εἰδὼς τὸ αὐτοῦ μέρος πλήθει τε καὶ δυνάμει ὑπερέχουσαν, τὴν διαφορὰν οὐκ εἴασεν ἄχρι νίκης ἐλθεῖν, ὑπὲρ τοῦ μὴ ἀνιᾶσαι τὸν ἀδελφιδοῦν ἐφ' ἥττῃ τῶν ἰδίων, ἀλλ' ἐν μεθορίῳ στὰς, λόγοις συμβατηρίοις τοὺς διαφερομένους κατήλλαξεν, οὐ πρὸς τὸ παρὸν μόνον, ἀλλὰ καὶ τὸν χρόνον τὸν μέλλοντα. εἰδὼς γὰρ ὅτι συνοικοῦντες μὲν καὶ ἐν ταὐτῷ διαιτώμενοι, γνωσιμαχοῦντες φιλονεικήσουσι, στάσεις ἀεὶ καὶ πολέμους κατ' ἀλλήλων ἐγείροντες, ἵνα μὴ τοῦτο γένοιτο, συμφέρειν ὑπέλαβεν εἶναι παραιτήσασθαι τὸ ὁμοδίαιτον, καὶ τὴν οἴκησιν διαζεῦξαι· καὶ μεταπεμψάμενος τὸν ἀδελφιδοῦν, αἵρεσιν αὐτῷ δίδωσι τῆς ἀμείνονος χώρας, ἄσμενος ὁμολογῶν τὴν ἂν ἐπιλέξηται μερίδα λήψεσθαι· κερδαίνειν γὰρ κέρδος μέγιστον εἰρήνην. καίτοι τίς ἂν ἕτερος ἀσθενεστέρῳ παραχωρήσειεν ὑπὸ σοφίας, ὢν ἰσχυρότερος; τίς δὲ νικᾶν δυνάμενος βούλοιτ' ἂν ἡττᾶσθαι, μὴ συγχρώμενος ᾧ δύναται. μόνος δὲ οὗτος τὸ ἄριστον οὐκ ἐν ῥώμῃ καὶ πλεονεξίᾳ τιθέμενος, ἀλλ' ἐν ἀστασιάστῳ βίῳ, καὶ τὸ ἐφ' αὑτὸν ἧκον μέρος ἡσυχάζοντι, πάντων ἔδοξεν εἶναι θαυμασιώτατος. ἐπεὶ τοίνυν ὡς ἐπ' ἀνθρώπου ἡ λέξις ἐγκωμιαστικὴ λέλεκται, μηνύονται δὲ καὶ τρόποι ψυχῆς κατὰ τοὺς ἀπὸ τῶν ῥητῶν ἐπὶ τὰ νοητὰ μετιόντας, ἁρμόττον ἂν εἴη καὶ τούτους ἀνερευνῆσαι. μυρίοι μὲν οὖν εἰσιν ἀπὸ μυρίων ἀφορμῶν κατὰ παντοδαπὰς

A lis erat, qui potuissent icto inter se fœdere vim maiore vi repellere, quando etiam erga genere coniunctos, sed voluntate disiunctos, desertos & solos, multo inferiores quod ad opes attinet, modestus erat, vltro cedens qui plus iuris vsurpare sibi potuerat. habebat enim fratris filium, cum quo patriam reliquerat, non satis firmum amicum, sed nutantem & suspectæ fidei: à quo interdum salutabatur familiaribus blanditijs, interdum contemnebatur strenue, B propter ipsius iuuenis morum inæqualitatem. Quapropter etiam serui huius contentiosi erant ac morosi, quòd castigatorem non haberent, præsertim pastores longius semoti à suo Domino. itaque seruitutis immemores præ licentia semper rixabantur cum sapientis nostri magistris pecorum, plerunque cedentibus propter sui heri mansuetudinem: qua modestia sic auxerunt insolentiam & impudentem audaciam aduersariorum, vt accensis mu- C tuis odijs necesse habuerint qui lædebantur iniuriam armis repellere. itaque graui rixa coorta, vir bonus postquam partes concitatas cognouit, sciens suos præualere numero ac viribus, non permisit rem ad manus deuenire, ne fratris filium cladem suorum ægre laturum contristaret: sed in medium progressus pacificis verbis finiuit controuersiam, non in præsens tantum, sed & in posterum. Sciens enim discordes fore si cohabitare & vnà de- D gere pergerent, nec vnquam lites ac rixas inter eos defore, ad tollendas harum occasiones admonendum exorandúmque duxit socium, vt posthac seorsum habitaret. accersitóque fratris filio, liberam optionem ei proposuit agri melioris, pollicitus se libenter accepturum partem, quam ille fecerit reliquam. pacem enim sibi quouis lucro chariorem esse. & quis alius potentior infirmiori concessisset vel minimum de iure suo? quis vinci mallet E quam vincere, & vti sua potentia? solus hic non in viribus aut opibus summam felicitatis collocabat, sed in tranquilla vita, & quantum in ipso erat quieta, atque ita existimationem sibi parauit mirificam. His in laudem hominis dictis, non alienum à nostro proposito fuerit, à simplici verborum contextu ad latentem in eis sensum transire quærendi gratia. Varij sunt modi negotiorum, sicut diuersæ horum occasiones.

Nos duos modos seligemus, alterum seniorem, iuniorem alterum. Senior est, qui principalem naturæ partem honorat: iunior, qui res subditas, & in extremis reputandas. Principales enim & seniores sunt, prudentia, temperantia, iustitia, fortitudo, & quicquid ad virtutem attinet, aut ad virtutis actiones. Iuniores autem, diuitiæ, honores, gloria, nobilitas, non illa vera, sed quam vulgus nominat, & quæcunque præterea tertium post animæ res atque corporis ordinem tenent, extremum omnium. Vterque modus seu mos, habet tanquam quosdam greges armentáque. iste qui externa amat, aurum, argentum, & reliquum apparatum diuitiarum: item arma, triremes, machinas, equestres, pedestres naualésque copias, principatus, præsidia, per quæ confirmatur potentia. At ille honestatis amator singularum virtutum placita, & sapientum contemplationes. Vtrisque gregibus præpositi sunt quidam magistri, sicut pastores pecoribus, externis quidem auari, ambitiosi, præfecturarum cupidi, & quicunque gaudent cum potestate præesse multitudini. At animæ bonis studiosi virtutis ac honestatis, qui non adulterina germanis, sed germana bona adulterinis præferunt. Inter hos naturalis quædam intercedit contentio, non discernentes quæ sua sunt, sed digladiantes de pertinentissimo ad vitam negocio. Hoc autem est verorum bonorum iudicium. Anima igitur quamdiu oppugnabatur huiusmodi seditionibus, nondum purificata in totum, sed adhuc affectionibus & morbis præualentibus inferior, perturbabatur. ex quo autem cœpit potentior fieri, & munitiones aduersariorum expugnare maioribus viribus, assumptis alis animosior facta, morem externas materias mirantem in seipsa intersepit, & tanquam hominem cum alloquens, negat ei possibile societatem ac consuetudinem habere cum virtutis amatore & sapientiæ. Abi & transfer longe aliò domicilium, cum nihil commune habeas, nec possis habere. Quicquid enim tu dextrum putas, ille sinistrum existimat: e diuerso quicquid tibi sinistrum, illi dextrum videtur. Nec tan-

A ἰδίας πραγμάτων συνιστάμενοι. δύο τοίνυν μέλλοντες ἐπικρίνεσθαι τρόποι, ὧν ὁ μὲν πρεσβύτερος, ὁ δὲ νεώτερος· πρεσβύτερος μὲν ἐστιν, ὁ τὰ πρῶτα καὶ ἡγεμονικὰ τῇ φύσει τιμῶν· νεώτερος δὲ ὁ τὰ ὑπήκοα καὶ ἐν ἐσχατιαῖς ἐξεταζόμενα. πρεσβύτερα μὲν οὖν καὶ ἡγεμονικώτερα, φρόνησις, καὶ σωφροσύνη, καὶ δικαιοσύνη, καὶ ἀνδρεία, καὶ πᾶν ὅ, τι περὶ ἀρετήν, καὶ αἱ κατ' ἀρετὴν πράξεις· νεώτερα δὲ πλοῦτος, καὶ ἀρχή, καὶ δόξα, καὶ εὐγένεια, οὐχ ἡ ἀληθής, ἀλλ' ἣν οἱ
B πολλοὶ νομίζουσι, καὶ ὅσα ἄλλα τὴν τρίτην μετὰ τὰ ψυχικὰ καὶ σωματικὰ τάξιν εἴληχεν, ἥτις εὐθύς ἐστι καὶ τελευταία. τούτων οὖν τῶν τρόπων ἑκάτερος ἔχει καθάπερ τινὰς ποίμνας καὶ ἀγέλας· ὁ μὲν τῶν ἐκτὸς ὀρεγόμενος, ἄργυρον, καὶ χρυσόν, καὶ πάντα ὅσα τοῦ πλουτεῖν ὕλαι καὶ παρασκευαί, καὶ πάλιν ὅπλα, μηχανήματα, τριήρεις, ἱππικὴν καὶ πεζικὴν καὶ ναυτικὴν δύναμιν, τὰς πρὸς ἡγεμονίαν ἀφορμάς, ἐξ ὧν περιγίνεται τὸ βεβαίως κρατεῖν· ὁ δὲ καλοκαγαθίας ἐραστὴς τὰ καθ' ἑκάστην ἀρετὴν δόγματα, καὶ
C τὰ κατὰ σοφίαν αὐτῆς θεωρήματα. προεστᾶσι δὲ καὶ ἐπιμεληταὶ τούτων ἑκατέρων εἰσί τινες, οἷα θρεμμάτων ποιμένες, τῶν μὲν ἐκτὸς οἱ φιλοχρήματοι καὶ φιλόδοξοι καὶ στρατηγιῶντες, καὶ ὅσοι τὴν ἐπὶ τοῖς πλήθεσι δυναστείαν ἀγαπῶσι· τῶν δὲ περὶ ψυχὴν ὅσοι φιλόκαλοι καὶ φιλάρετοι μὴ τὰ νόθα πρὸ τῶν γνησίων, ἀλλὰ τὰ γνήσια πρὸ τῶν νόθων ἀγαθὰ αἱρούμενοι. τούτοις δὲ οὖν φυσική τις αὐτοῖς ἡ διαμάχη, μὴ διεγνωκόσι τὰ αὐτῶν, ἀλλ' ἀπαύδεσι καὶ διαφερομένοις ἀεὶ περὶ πράγματος συνεκτικωτά-
D του τοῦ ἐν βίῳ. τοῦτο δή ἐστιν, ἡ κρίσις τῶν πρὸς ἀλήθειαν ἀγαθῶν. ἄχρι μὲν οὖν τινὸς ἐπολεμεῖτο ἡ ψυχή, καὶ τὴν στάσιν ταύτην ἐχώρει, μήπω κεκαθαρμένη παντελῶς, ἀλλ' ἔτι τῶν παθῶν καὶ νοσημάτων ἐπικρατούντων τοὺς ὑγιαίνοντας λόγους ἀνετρέπετο· ἀφ' οὗ δὲ ἤρξατο δυνατωτέρα γίνεσθαι, καὶ ῥώμῃ κραταιοτέρᾳ τὸν ἐπιτειχισμὸν τῶν ἐναντίων δοξῶν καθαιρεῖν, πτερυξαμένη καὶ φρονήματος ἀναπλησθεῖσα, τὸν τὰς ἐκτὸς ὕλας τεθαυ-
E μακότα τρόπον ἐν αὐτῇ διατειχίζει καὶ διαζευγνύει, καὶ ὡς ἀνθρώπῳ διαλεγομένη, φησὶν ἀμήχανον ὁμοδίαιτον εἶναί σε, καὶ ὁμόσπονδον ἐραστῇ σοφίας καὶ ἀρετῆς. ἴθι δή, καὶ μετοικισάμενος μακρὰν ἀποζεύχθητι, μηδεμίαν ἔχων κοινωνίαν, ἀλλὰ μηδὲ σχεῖν δυνάμενος. ὅσα γὰρ ὑπολαμβάνεις εἶναι δεξιά, ταῦτα οἴεται ἐκεῖνος εὐώνυμα· καὶ ὅσα τοὐναντίον ἀριστερά, ταῦτα παρ' ἐκείνῳ νενόμισται δεξιά. οὐ τοίνυν εἰρηνικὸς καὶ φιλοδίκαιος αὐτοῦ μόνον ἦν ὁ ἀστεῖος, ἀλλὰ καὶ ἀνδρεῖος καὶ πολεμικός, οὐχ

ἕνεκα τοῦ πολεμεῖν· οὐ γὰρ δύσερις ὢν καὶ φιλόνεικος, ἀλλ᾽ ὑπὲρ βεβαιώσεως τῆς εἰς τὸ μέλλον εἰρήνης, ἣν οἱ ἀντίπαλοι καθῄρουν. σαφεστάτη δὲ πίστις· τὰ παραχθέντα· τὴν πρὸς ἀνατολὰς μοῖραν τῆς οἰκουμένης τέτταρες μεγάλοι βασιλεῖς εἰλήχεσαν, οἷς ὑπήκουεν ἔθνη τά τε ἑῷα, τά τε ἐντὸς καὶ ἐκτὸς Εὐφράτου. τὰ μὲν οὖν ἄλλα διέμενεν ἀστασίαστα, πειθαρχοῦντα τοῖς τῶν βασιλέων ἐπιτάγμασι, καὶ τοὺς ἐτησίους δασμοὺς ἀπροφασίστως εἰσφέροντα, μόνη δὲ ἡ Σοδομιτῶν χώρα, πρὶν καταφλεχθῆναι, παρελύετο ἤρξατο τῆς εἰρήνης, ἀπόστασιν ἐκ πολλοῦ διανοουμένη. πάνυ γὰρ οὔσης εὐδαίμονος, πέντε βασιλεῖς ἐπεκράτουν, τάς τε πόλεις καὶ τὴν γῆν διανειμάμενοι, πολλὴν μὲν οὐκ οὖσαν, εὔγειον δὲ καὶ εὔδενδρον, καρπῶν ἀεὶ πλέων. ὃ γὰρ τῆς ἄλλης τὸ μέγεθος, τοῦθ᾽ ἡ ἀρετὴ Σοδομίταις παρεῖχεν· ὅθεν καὶ πλείους ἐραστὰς εἶχεν ἡγεμόνας, τὸ κάλλος αὐτῆς καταπεπληγμένους. οὗτοι τὸν ἄλλον χρόνον τοὺς ἐπιταχθέντας φόρους ἀπεδίδοσαν τοῖς ἐκλογεῦσι τῶν χρημάτων, τοὺς δυνατωτέρους ὧν ἧσσον ὑπῆρχον, αἰδοῦντες ἅμα καὶ δεδιότες· ἐπεὶ δὲ ἐκορέσθησαν ἀγαθῶν, καὶ ὅπερ φιλεῖ κόρος ὕβριν ἐγέννησε, πλεῖον τῆς δυνάμεως φρονήσαντες, ἀπαυχενίζουσι τὸ πρῶτον· εἶθ᾽ οἷα κακοὶ δοῦλοι δεσπόταις τοῖς ἑαυτῶν ἐπιτίθενται, στάσει πιστεύσαντες, ἢ ῥώμῃ· οἱ δὲ τῆς ἑαυτῶν εὐγενείας ὑπομνησθέντες, καὶ φραξάμενοι δυνατωτέρᾳ χειρί, μάλα καταφρονητικῶς ᾔεσαν, ὡς αὐτόθεν ἀγωνιούμενοι· καὶ συμπλακέντες, τοὺς μὲν εὐθὺς εἰς φυγὴν ἀνεσκέδασαν, τοὺς δὲ ἐπιστραφῆναι κτείναντες, ἔνθεν διαφθείρουσιν· αἰχμαλώτων δὲ πολὺν ὄχλον ἀναγαγόντες μετὰ τῆς ἄλλης λείας διενέμοντο. προσεταίρισαν μὲν τοι καὶ ὁ τοῦ σοφοῦ ἀδελφιδοῦς, ὃς μίαν τῆς πενταπόλεως οὐκ ἐκ πολλοῦ μετῳκηκότα. οὗ μηνυθὲν ὑπό τινος τῶν ἐκ τῆς τροπῆς διασωθέντος, χαλεπῶς αὐτὸν ἠνίασε, καὶ οὐκ ἔτι ἠρέμει, διὰ τοῦτο συγκεχυμένος, καὶ ζῶντα πενθῶν, τὸ ἀργαλεώτερον, ἢ εἰ τεθνεῶτα ἐπύθετο· τέλος μὲν γὰρ ὡς αὐτό που δηλοῖ τοὔνομα, τῶν κατὰ τὸν βίον ἁπάντων, καὶ μάλιστα κακῶν, ἤδη τὴν τελευτήν, μυρία δὲ τῶν ἀβουλήτων ἐφεδρεύοντα τοῖς ζῶσι· διανοεῖ δὲ ὑπεζωννύμενος ἐπὶ τὸ ῥύσασθαι τὸν ἀδελφιδοῦν, ἠπόρει συμμάχων, ἅτε ξένος ὢν καὶ μέτοικος, καὶ μηδενὸς τολμῶντος ἀμάχοις δυνάμεσι τοσούτων βασιλέων καὶ ἄρτι νενικηκότων ἐναντιωθῆναι· καινοτέραν δὲ ἐξεῦρε συμμαχίαν· πόρος γὰρ ἐν ἀπόροις, ὅταν δικαίων καὶ φιλανθρώπων ἔργων ἐφίηταί τις, εὑρίσκεται. συναγαγὼν γὰρ τοὺς οἰκέτας, καὶ τοῖς ἀργυρωνήτοις προστάξας εἴκοι καταμένειν· ἔδεισε γὰρ ἐξ αὐτῶν αὐτομολίαν·

A tum pacificus & æquitatis cultor fuit hic vir bonus, sed fortis etiam ac bellicosus: non quòd bellum appeteret, à rixis alienissimus: sed vt certam pacem sibi pararet in posterum, quam turbabant aduersarij. argumento sunt ipsius præclara facinora. Orientalem tractum quatuor magni reges possidebant, quibus parebant orientis gentes quotquot Euphratem accolunt. hæ omnes in officio manebant, & imperata regum faciebant, pendendo sine omni causatione tributum annuum. B sola Sodomitarum ditio, priusquam conflagraret, cœpit pacem turbare, defectionem dudum meditans. Cum enim esset fortunatissima tenebatur à quinque regibus, qui ciuitates agrósque inter se diuiserant, amplos admodum & frugum arbustorúmque feracissimos. nam Sodomitici agri non magna portio, fertilitate cum aliorum latifundijs certare poterat. ideo complures principes amatores C habuit miratos eius pulchritudinem. hi temporibus superioribus per exactores tributorum optimates suos pendere soliti debitam pecuniam prouinciæ rectoribus, metu simul & reuerentia: vbi bonis satiati sunt, vt solet è saturitate nasci petulantia, sumpto maiore quàm pro viribus animo, primò excusserunt iugum. deinde more nequam seruorum, in Dominos coorti sunt, freti seditione ac robore. at illi suæ nobilitatis memores, stipati valida manu, contemptim eos aggressi sunt, quasi con- D flictu primo profligaturi. ac mox collatis signis alios coegerunt terga vertere, alios in ipsa fuga cædentes magnam stragem ediderunt: abductámque ingentem captiuorum turbam cum cætera præda inter se diuiserunt. in his erat etiam illius sapientis nepos, qui iamdudum ad vnam pentapolis ciuitatem migrauerat. quod vbi quidam fuga seruatus indicauit, ille grauiter ferens non se continuit, mœstus & viuentem magis lugens quam si audiuisset mortuum. E Norat enim vitæ finem, sicut ex ipso liquet nomine, abrumpere omnia, præsertim mala, quæ innumera viuentibus vel inuitis obrepunt. cúmque pararet se ad eripiendum fratris filium, carebat socijs homo inquilinus & hospes, nemine audente fortissimas tot regum copias victoria recenti feroces lacessere. inuenit tamen nouum genus auxilij. expeditur enim aliquando in rebus dubijs consilium, præsertim in causa humanitatis

& iustitiæ. collectis enim seruis vernaculis, empticijs vero domi manere iussis, quorum timebat transfugium, ex familiaribus confecit aliquot centurias, atque ita hostem inuasit tribus agminibus: non his fretus qui multũ cedebant regibus numero, sed Deo propugnatore protectoréque iustitię. itaque magna contentione properauit nunquam remittens celeritatem, donec potitus occasione, noctu superuenit hostibus iam sumpta cœna ad somnum se componẽtibus. in quos irruens alios trucidauit in cubilibus, alios resistere conatos fudit fugauítque. atque ita omnes deuicit, non tam armorum apparatu quam fortitudine animi. Nec prius reuertit quã hostilibus regum copijs deletis, reduxit fratris filium, adeptus egregiam victoriam auctúsque ingenti equorum & iumentorum numero, prædáque opulentissima. eum redeuntem conspicatus ille magnus pontifex Dei maximi, reducẽtémque suos omnes ad vnũ incolumes & victores, attonitus tanti facinoris magnitudine, & id quod verum erat cogitans, præsentem eis opem diuinam adfuisse, manus ad cælum tendens fausta illi precatus est: mactatísque victimis, splendidum epulum socijs omnibus dedit, gratulabundus nec minus lætus quàm victoria propria. nec enim aliena fuit, si rem vere æstimes. amicorũ enim esse omnia communia prouerbio credimus, præsertim bonorum virorum, quibus nihil magis cordi est, quam vt Deo placeant. Hæc sunt quæ in sacra scriptura legimus. cæterum qui possunt res nudas corporibus exutas cernere, animo magis viuentes quam corpore, dicent ex illis nouem regibus quatuor esse nostrarum quatuor affectionum potentias, voluptatis, concupiscentiæ, timoris, doloris. quinque reliquos esse sensus totidem, visum, auditum, gustum, odoratum, tactum. regnant enim quodammodo in nobis & potestatem exercent, sed non similiter. nã quinque subiecti sunt illis quatuor, quibus vectigal pendunt ac tributum necessarium à natura impositum. ex his enim quæ videmus, audimus, olfacimus, gustamus, tangimus, dolores, voluptates, timores, concupiscentiæ nascuntur, cum nullus affectus per se subsistere valeat, ni sensus materiam suggerant. in his enim consistunt vires illorum, in figuris & coloribus, in eloquijs, in saporibus ac vaporibus, in subiectis tactui duris vel mollibus, ca-

A τοὺς οἰκότριβας καταλέγει, καὶ διανείμας εἰς ἑκατονταρχίας, τελεσὶν ἐπῄει τάξεσιν, οὐ τούτοις πεποιθώς· πολλοστὴ γὰρ ἦν μοῖρα τῆς τῶν βασιλέων· ἀλλὰ τῷ ὑπερμάχῳ καὶ προαγωνιστῇ τοῦ δικαίου θεῷ. συντείνων οὖν ἐπέσπευδε μηδὲν τάχους ἀνιεὶς, ἕως καιροφυλακήσας, νυκτὸς ἐπιτίθεται τοῖς πολεμίοις δεδειπνηκόσιν ἤδη καὶ πρὸς ὕπνον μέλλουσι τρέπεσθαι. καὶ τοὺς μὲν ἐν εὐναῖς ἱέρευε, τοὺς δ' ἀντιταχθέντας ἄρδην ἀνῄρει. πάντων δ' ἐρρωμένως ἐπεκράτει τῷ θαρραλέῳ τῆς ψυχῆς μᾶλ-
B λον, ἢ ταῖς παρασκευαῖς· καὶ οὐ πρότερον ἀνῆκεν, ἕως τὴν μὲν ἀντίπαλον στρατιὰν βασιλεῦσιν αὐτοῖς ἡβηδὸν ἀνελὼν περὶ τὸ στρατόπεδον κατεστόρεσε, τὸν δ' ἀδελφιδοῦν ἄγει μετὰ λαμπρᾶς καὶ ἐπιφανεστάτης νίκης, ἅπασάν τε τὴν ἵππον καὶ τὴν τῶν ἄλλων πλῆθος ὑποζυγίων, καὶ λείαν ἀφθονωτάτην παραλαβών. ὃν θεασάμενος ὁ μέγας ἀρχιερεὺς τοῦ μεγίστου θεοῦ ἐπανιόντα, καὶ τροπαιοφοροῦντα σῶον μετὰ σώας τῆς ἰδίας δυνάμεως· οὐδένα γὰρ τῶν συ-
C νιόντων ἀπέβαλε· καταπλαγεὶς τὸ μέγεθος τῆς πράξεως, καὶ ὅπερ εἰκὸς, ἐννοηθεὶς, ὡς οὐκ ἄνευ θείας ἐπιφροσύνης καὶ συμμαχίας κατωρθώθη, τὰς χεῖρας ἀνατείνας εἰς οὐρανὸν, εὐχαῖς αὐτὸν γεραίρει, καὶ τὰ ἐπινίκια ἔθυε, καὶ πάντας τοὺς συναραμένους τῷ ἀγῶνι λαμπρῶς εἱστία, γεγηθὼς καὶ συνηδόμενος, ὡς ἐπ' οἰκείῳ κατορθώματι· καὶ ἦν τῷ ὄντι οἰκεῖον αὐτοῦ. κοινὰ γὰρ κατὰ τὴν παροιμίαν τὰ τῶν φίλων, πολὺ δὲ πλέον τὰ τῶν ἀγαθῶν, οἷς ἓν τέλος εὐαρεστεῖν θεῷ. ταῦτα μὲν οὖν αἱ ῥηταὶ γραφαὶ περιέ-
D χουσιν. ἀσώματα δὲ ἔσω καὶ γυμνὰ τὰ πράγματα θεωρεῖν δυνάμενοι οἱ ψυχῇ μᾶλλον ἢ σώματι ζῶντες, φήσουσι τῶν ἐννέα βασιλέων, τοὺς μὲν τέσσαρας εἶναι τὰς ἐν ἡμῖν τῶν τεττάρων παθῶν δυνάμεις, ἡδονῆς, ἐπιθυμίας, φόβου, λύπης· τοὺς δὲ πέντε, τὰς ἰσαρίθμους αἰσθήσεις, ὅρασιν, ἀκοὴν, ὄσφρησιν, γεῦσιν, καὶ ἁφήν. ἔοικον γάρ τινα βασιλεῦσι καὶ ἄρχουσιν ἡμῶν ἀνημμέναι τὸ κράτος· ἀλλ' οὐχ ὁμοίως. ὑπήκοοι γὰρ αἱ πέντε τῶν τεττάρων εἰσὶ, καὶ φόρους
E αὐταῖς καὶ δασμοὺς ἀναγκαίως φέρουσιν ὑπὸ φύσεως ὁρισθέντας. ἐξ ὧν γὰρ ἂν ἴδωμεν, ἢ ἀκούσωμεν, ἢ ὀσφρανθῶμεν, ἢ ἁψώμεθα, ἢ γευσώμεθα, λῦπαι, καὶ ἡδοναὶ, καὶ φόβοι, καὶ ἐπιθυμίαι συνίστανται, μηδενὸς τῶν παθῶν καθ' αὑτὸ σθένοντος, εἰ μὴ ἐχορηγεῖτο ταῖς διὰ τῶν αἰσθήσεων παρασκευαῖς. αὗται γὰρ ἐκείνων δυνάμεις εἰσὶν, ἢ διὰ χρωμάτων καὶ σχημάτων, ἢ διὰ φωνῆς τῆς ἐν τῷ λέγειν ἢ ἀκούειν, ἢ διὰ χυλῶν, ἢ ἀτμῶν, ἢ τῶν ἐν ἁπτοῖς, ἃ μαλακὰ καὶ σκληρὰ, ἢ τραχέα καὶ λεῖα, ἢ θερμὰ

καὶ ψυχρά. πάντα γὰρ ταῦτα διὰ τῶν αἰσθήσεων ἑκάστῳ τῶν παθῶν χορηγεῖται· καὶ μέχρι μὲν οἱ λεχθέντες ἀποδίδονται φόρον, μένει τοῖς βασιλεῦσιν ἡ ὁμαιχμία· ὅταν δὲ μηκέθ' ὁμοίως συντελῶσι, στάσεις εὐθὺς καὶ πόλεμοι συνίστανται. τοῦτο δὲ συμβαίνειν ἔοικεν, ὅταν ἀφίκηται τὸ ἐπώδυνον γῆρας, ἐν ᾧ τῶν μὲν παθῶν ἀσθενέστερον οὐδὲν γίνεται, τάχα δὲ καὶ τῆς παλαιᾶς δυνάμεως κραταιότερον, ἀμυδραὶ δὲ ὄψεις, καὶ ὦτα δυσήκοα, καὶ ἑκάστη τῶν ἄλλων αἰσθήσεων ἀμβλυτέρα, μηκέθ' ὁμοίως ἀκριβοῦν ἕκαστα καὶ δικάζειν δυναμένη, μηδ' ἴσα τῷ πλήθει ἀποτελεῖν. Εἰκότως οὖν ἐξασθενήσασαι πάντα τρόπον καὶ κλιθεῖσαι δι' αὐτῶν, καὶ ὑπὸ τῶν ἀντιπάλων παθῶν ῥᾳδίως ἀνατρέπονται. Φυσικώτατα δὲ ἐκεῖνο εἴρηται, ὅτι τῶν πέντε βασιλέων δύο μὲν εἰς τὰ φρέατα ἐμπίπτουσι, τρεῖς δὲ πρὸς φυγὴν ὡρμήσαν. ἁφὴ μὲν γὰρ καὶ γεῦσις, ἄχρι τῶν τοῦ σώματος βαθυτάτων ἀφικνοῦνται, σπλάγχνοις παραπέμπουσαι τὰ οἰκεῖα πρὸς διοίκησιν· ὀφθαλμοὶ δὲ καὶ ὦτα καὶ ὄσφρησις, ἔξω τὰ πολλὰ βαίνουσιν, ἀποδιδράσκουσι δὲ τὴν δουλείαν τοῦ σώματος. οἷς ἅπασιν ἐφεδρεύων ὁ ἀστεῖος, ἐπειδὰν κατίδῃ τὰ σύμμαχα καὶ φίλα πρὸ μικροῦ νοσοῦντα, καὶ πόλεμον ἀντὶ εἰρήνης ταῖς ἐννέα βασιλείαις γινόμενον, πρὸς τὰς πέντε τῶν τεττάρων περὶ κράτους ἀρχῆς ἁμιλλωμένων, ἐξαπιναίως καιροφυλακήσας ἐπιτίθεται, φιλοτιμούμενος δημοκρατίαν τὴν ἀρίστην τῶν πολιτειῶν, ἀντὶ τυραννίδων καὶ δυναστειῶν ἐν τῇ ψυχῇ καταστήσασθαι, καὶ τὸ ἔννομον καὶ τὸ δίκαιον ἀντὶ παρανομίας καὶ ἀδικίας, αἳ τέως ἐπεκράτουν. ἔστι δ' οὐ πλάσμα μύθου τὸ λεχθέν, ἀλλὰ πρᾶγμα τῶν ἀψευδεστάτων ἐν ἡμῖν αὐτοῖς θεωρούμενον. πολλάκις μὲν γὰρ ὁμόνοιαν τὴν πρὸς τὰ πάθη διατηροῦσιν αἱ αἰσθήσεις, χορηγοῦσαι τὰ αἰσθητὰ αὐτοῖς· πολλάκις δὲ καὶ στασιάζουσι μηκέτι ἀξιοῦσαι τὰ ἴσα τελεῖν, ἢ μὴ δυνάμεναι, διὰ τὸ παρεῖναι τὸν σωφρονιστὴν λόγον, ὃς ἐπειδὰν ἀναλάβῃ τὴν αὑτοῦ πανοπλίαν, καὶ τὰς ἀρετάς, καὶ τὰ τούτων δόγματα καὶ θεωρήματα δύναμιν ἀνανταγώνιστον, ἐρρωμενέστατα κρατεῖ. φθαρτὰ γὰρ ἀφθάρτοις συνοικεῖν οὐ θέμις. αἱ μὲν οὖν ἐννέα δυναστεῖαι τεττάρων παθῶν καὶ πέντε αἰσθήσεων, φθαρταί τε καὶ διαφθορᾶς αἴτιαι· ὁ δ' ὁρμητηρίῳ χρώμενος τῇ ἀρετῇ ἱερὸς λόγος καὶ θεῖος ὄντως, ἐν ἀριθμῷ τεταγμένος δεκάδι τῇ παντελείᾳ, πρὸς ἅμιλλαν ἐλθών, ἐρρωμενεστέρᾳ δυνάμει τῇ κατὰ θεὸν χρώμενος, ἀνακράτος νικᾷ τὰς εἰρημένας δυναστείας. χρόνῳ δ' ὕστερον, αὐτοῦ τελευτᾷ ἡ

A lidis vel frigidis, asperis vel leuibus. nam hæc omnia sensus exhibent affectibus. quæ tributa quamdiu penduntur, salua manent inter hos reges fœdera. alioquin sublata pensione mox bellum exoritur & defectio. id tum accidit maxime, quando senectus odiosa superuenit, & affectibus non senescentibus, aut etiam propter inueteratam consuetudinem inualescentibus, visus hebetatur, aures ægre audiunt, reliqui etiam sen-B sus seipsis deteriores facti non æque, vt antea pollent iudicio, nec valent debitum reddere. Non mirum igitur, si exhausti modis omnibus, & iam ante defecti viribus, facile ab infestis affectibus subuertuntur. Illud vero valde naturæ consentaneum est, quod dicitur, duos è quinque regibus incidisse in puteos, reliquos tres fuga seruatos. Tactus enim & gustus penetrant intima corporis, quæ sua sunt committentes dispensanda visce-C ribus. Oculi autem, aures & odoratus, plerunque foris obambulant, & sic effugiunt seruitutem corporis. Hæc vir bonus ex insidijs obseruans, vbi videt qui modo fœderati fuerant intestino malo laborare, turbata pace & exorto inter nouem regna bello, quatuor contra quinque de imperio certantibus, repente occasionem arripiens eos aggreditur, studens populari administrationi, quæ est optima reipublicæ species, vt sublatis tyrannidi-D bus & dynastijs ex anima, ius & fas vigeat pro iniquitate ac iniustitia. est autem quod dicimus non figmentum fabulosum, sed res verissima quam in nobis ipsis experimur. nam sæpe sensus cum affectibus concordes ministrant eis sensibilia, sæpe interueniente dissidio nolunt debitum reddere, aut non sunt soluendo, ratione cohibente: quæ si quando arma sua corripit, scilicet virtutes & harum placita, his subnixa vincit egregie. nefas E enim est corruptibilia in eadem cum incorruptibilibus sede considere. atqui nouem illi potentatus quatuor affectuum & quinque sensuum, tum corruptibiles sunt, tum corruptionis autores. at ratio sacra & vere diuina, quæ locum habet in denario perfecto numero, in certamen descendens, & diuino adiuta præsidio, dictos potentatus vincit egregie. Aliquanto post moritur ei coniux dilectissima & optima,

editis pluribus caritatis erga maritum exemplis: quæ relicta sua cognatione, peregrinationis comes indiuidua, continuos errores alios super alios, fames, egestates, expeditiones vnà cum eo pertulerat. nam vbique adfuerat, in omni loco fortunáque, vere consors vitæ ac negotiorum ad victum pertinentium, prosperæ aduersæque fortunæ ex æquo particeps. Nec enim vt quædam erumnas fugiebat seruans se feliciori tempori, sed vtramque sortem, sicut vxorem decet, subibat alacriter. cuius mulieris cum possim multas laudes memorare, vnam non silebo, vt sit cæterarum manifestarum specimen. cum enim prolę careret, quippe sterilis, verita ne tam chara Deo domus ideo deserta fieret, sic maritum allocuta est. Iamdudum vnà viuimus in charitate mutua. sed quæ præcipua coniugij nostri causa fuit, propter quam natura virum copulauit mulieri, desunt nobis liberi. imò ne in posterum quidem spes vlla est reliqua, propter ætatem meam iam vergentem. non est æquum vt te quoque tangant meæ sterilitatis incommoda: licet tibi salua nostra charitate patrem fieri. absit enim à me zelotypia, quando à te abest bruta concupiscentia, necessitati naturæ satisfacturo. Quamobrem non differam nouam nuptam ornare, quæ quod mihi deest suppleat. Quod si res pro voto successerit, tui natiui liberi, mei adoptiui erunt. & vt absit omnis zelotypiæ suspicio, meam, si libet, duc famulam, corpore seruam, sed ingenio liberali ac generoso fœminam, iamdudum mihi expertam examinatámque, ex quo primum ædes meas intrauit, genere quidem Ægyptiam, sed Hebræam religione. Est nobis ampla possessio, & opes maiores quàm pro præsenti sorte: iam enim ne locupletissimis quidem indigenis cedimus. & adhuc hærede caremus, quamuis parare hunc liceat, modo monitis meis pareas. Ille miratus vxoris crescentem vsque charitatem, & de tempore futuro curam ac prouidentiam, dúcit causa liberorum eam quam ipsa commendauerat, vt ferunt qui se aiunt certiora prodere, vsurus eius conditione, donec mulier grauida fieret. Quod vbi non ita multo post contigit, aiunt abstinuisse ab eius complexibus,

A γυνή, θυμηρεστάτη καὶ πάντα ἀρίστη, μυρία δεί-
γματα τῆς φιλανδρίας ἐνδειξαμένη, τὴν σὺν αὐ-
τῷ τῆς συγγενείας ἀπόλειψιν, τὴν ἐκ τῆς οἰκίας
ἀνενδοίαστον μετανάστασιν, τὰς ἐπὶ τῆς ἀλλοδαπῆς
συνεχεῖς καὶ ἐπαλλήλους πλάνας, τὰς κατὰ λιμὸν
ἐνδείας, τὰς ἐν πολέμοις συστρατείας. ἀεὶ γὰρ καὶ
πανταχοῦ παρῆν, οὐδένα τόπον ἢ καιρὸν ἀπολι-
ποῦσα, κοινωνὸς ὄντως βίου καὶ τῶν κατὰ τὸν βίον
πραγμάτων, ἐξ ἴσου δικαιοῦσα μετέχειν ἀγα-
θῶν ὁμοῦ καὶ κακῶν. οὐ γὰρ ὥσπερ ἔνιαι τὰς μὲν
B κακοπραγίας ἀπεδίδρασκε, ταῖς δ' εὐτυχίαις
ἐφήδρευεν, ἀλλὰ τὸν ἐν ἀμφοτέραις κλῆρον ὡς
ἐπιβάλλοντα καὶ ἁρμόττοντα γαμετῇ, μετὰ προ-
θυμίας πάσης ἀνεδέχετο. πολλὰ δ' ἔχων ἐγκώμια
τῆς ἀνθρώπου διεξιέναι, ἑνὸς ἐπιμνησθήσομαι, ὃ
γένοιτ' ἂν τῶν ἄλλων σαφεστάτη πίστις. ἄγονος γὰρ οὖ-
σα καὶ στεῖρα, δείσασα μὴ κατὰ τὸ παντελὲς ἔρη-
μος γενεᾶς ὁ θεοφιλὴς οἶκος ἀπολειφθῇ, προσελ-
θοῦσα τῷ ἀνδρί, φησὶ τάδε, Πολὺν μὲν ἤδη
C χρόνον συμβιοῦμεν εὐαρεστοῦντες ἀλλήλοις. οὗ δὲ
χάριν καὶ αὐτοὶ συνεληλύθαμεν, καὶ ἡ φύσις τὴν
ἀνδρὸς καὶ γυναικὸς ἡρμόσατο κοινωνίαν, τέκνων
γενέσεως οὐκ ἔστι· ἀλλ' οὐδὲ εἰσαῦθις ἐξ ἐμοῦ γε
ὑπερήλικος ἤδη γεγονυίας ἐλπίς ἐστι. μὴ δὴ προσα-
πόλαυε τῆς ἐμῆς ἀγονίας, μηδ' ἕνεκα τῆς πρὸς ἐ-
μὲ εὐνοίας, αὐτὸς δυνάμενος εἶναι πατήρ, κεκώλυ-
σο. ζηλοτυπία γὰρ οὐκ ἂν γένοιτό μοι πρὸς ἑτέραν,
ἣν οὐ δι' ἐπιθυμίαν ἄλογον ἄξῃ· νόμον δὲ φύσεως
ἐκπιμπλὰς ἀναγκαῖον. οὗ χάριν οὐχ ὑπερθήσομαι
D νυμφοστολεῖν, ὡς τὸ ἐνδέον ἐμοὶ μέλλουσαν ἐκπλη-
ροῦν· καὶ εἴγε ἀπαντήσαιεν αἱ περὶ γονῆς τέ-
κνων εὐχαί, τὰ μὲν ἔσται τὰ γεννώμενα γνήσια, θέ-
σει δὲ πάντως ἐμά. πρὸς δὲ τὸ ἀνύποπτον τῆς ζηλο-
τυπίας, ἐμὴν εἰ βούλει θεράπαιναν ἀγάγου, τὸ μὲν
σῶμα δούλην, ἐλευθέραν δὲ καὶ εὐγενῆ τὴν διά-
νοιαν, ἧς πολλῷ χρόνῳ πεῖραν ἔλαβον καὶ βάσανον,
ἀφ' ἧς ἡμέρας τὸ πρῶτον εἰς τὴν ἐμὴν οἰκίαν εἰ-
σήχθη, γένει μὲν αἰγυπτίαν, τὴν δὲ προαίρεσιν ἑ-
βραίαν. ἔστι μὲν ἡμῖν οὐσία πολλὴ καὶ ἄφθονος πλοῦ-
E τος, οὐχ ὡς μετοίκοις· ἤδη γὰρ καὶ τῶν αὐτοχθόνων τοὺς
ἐν εὐτυχίαις λαμπροῖς ὑπερβάλλομεν· κληρονό-
μος δ' οὐδεὶς ἀποδέδεικται καὶ διάδοχος, καίτοι εἶναι
δυνάμενος, ἐὰν ταῖς ἐμαῖς παραινέσεσι πεισθῇς.
ὁ δὲ θαυμάσας τῆς γυναικὸς ἔτι μᾶλλον τὴν ἀεὶ
καινουμένην φιλανδρίαν καὶ νεάζουσαν, καὶ τὸ περὶ
τοῦ μέλλοντος ἐξεταστικόν τε καὶ προμηθές, ἄγεται
τὴν ὑπ' αὐτῆς δοκιμασθεῖσαν ἄχρι τοῦ παιδοποιή-
σασθαι. ὡς δ' οἱ τὰ σαφέστατα διηγούμενοί φασιν,

ἄχρι

ἄχρι τοῦ μόνον ἐγκύμονα γενέσθαι· γενομένης δὲ οὐκ εἰς μακρὰν ἀπογενέσθαι, διά τε φυσικὴν ἐγκράτειαν, καὶ τὴν τιμὴν, ἣν ἀπένειμε τῇ γαμετῇ. γίνεται μὲν οὖν υἱὸς ἐκ τῆς θεραπαίνης εὐθὺς τότε, γίνεται δὲ καὶ μακροῖς χρόνοις ὕστερον γνήσιος, ἀπεγνωκόσι τὴν ἐξ ἀλλήλων γένεσιν, ἆθλον καλοκἀγαθίας ἐλπίδος πάσης τελειότερον τοῦ φιλοδώρου θεοῦ παρασχόντος. τοσαῦτα μὲν ἀπόχρη δείγματα περὶ τῆς γυναικὸς εἰρῆσθαι· πλείω δέ ἐστιν ἐγκώμια τοῦ σοφοῦ, ὧν ὀλίγῳ πρότερον ἔνια διεξῆλθον. λέξω δὲ καὶ τὸ περὶ τὴν τελευτὴν τῆς γυναικὸς οὐκ ἄξιον ἔργον ἡσυχασθῆναι. τοιαύτην γὰρ ἀποβαλὼν κοινωνὸν τοῦ συμπάντος βίου, οἵαν ἔδειξεν ὁ λόγος, καὶ μηνύουσιν οἱ χρησμοὶ, τῆς λύπης ἐπαποδυομένης ἤδη, καὶ κατὰ τῆς ψυχῆς κονιομένης, ὥσπερ ἀθλητὴς ἐπεκράτησε, ῥώσας καὶ θαρσύνας εὖ μάλα τὸν ἀντίπαλον φύσει τῶν παθῶν λογισμὸν, ᾧ συμβούλῳ παρὰ πάντα τὸν βίον χρώμενος, τότε διαφερόντως ἠξίωσε πείθεσθαι τὰ βέλτιστα παραινοῦντι καὶ συμφέροντα. ἦν δὲ ταῦτα, μήτε πλέον τοῦ μετρίου σφαδάζειν, ὡς ἐπὶ καινοτάτῃ καὶ ἀγνώτῳ συμφορᾷ, μήτε ἀπαθείᾳ καθάπερ μηδενὸς ὀδυνηροῦ συμβεβηκότος χρῆσθαι· τὸ δὲ μέσον πρὸ τῶν ἄκρων ἑλόμενον μετριοπαθεῖν πειρᾶσθαι, τῇ μὲν φύσει τὸ οἰκεῖον χρέος ἀπολαβούσῃ μὴ δυσχεραίνοντα, τὸ δὲ συμβεβηκὸς ἡσυχῇ καὶ πράως ἐπελαφρίζοντα. μαρτυρίαι δὲ τούτων ἐν ταῖς ἱεραῖς βίβλοις κατάκεινται, ἃς οὐ θέμις ψευδομαρτυριῶν ἁλῶναι, αἳ μηνύουσιν ὅτι βραχέα τῷ σώματι ἐπιδακρύσας θᾶττον ἀπανέστη τοῦ νεκροῦ, τὸ πενθεῖν ἐπὶ πλέον ὡς ἔοικεν ἀλλότριον ἡγησάμενος σοφίας, ὑφ᾽ ἧς ἀνεδιδάχθη τὸν θάνατον νομίζειν μὴ σβέσιν ψυχῆς, ἀλλὰ χωρισμὸν καὶ διάζευξιν ἀπὸ σώματος ὅθεν ἦλθεν ἀπιούσης. ἦλθε δὲ ὡς ἐν τῇ κοσμοποιίᾳ δεδήλωται, παρὰ θεοῦ. καθάπερ δὲ οὐδεὶς ἂν ἄχθοιτο τῶν μετρίων, ἢ χρέος ἢ παρακαταθήκην ἀποτίνων τῷ προεμένῳ, τὸν αὐτὸν τρόπον οὐδὲ τῆς φύσεως ἀπολαμβανούσης τὰ οἰκεῖα χαλεπαίνειν ᾤετο δεῖν, ἀλλὰ τοῖς ἀναγκαίοις ἀσμενίζειν. ὡς δὲ ἧκον οἱ ἐν τέλει τῶν κατὰ τὴν χώραν συναλγήσοντες, ἰδόντες οὐδὲν τῶν ἐν ἔθει παρ᾽ αὐτοῖς γινομένων ἐπὶ τοῖς πενθοῦσιν, οὐκ ὀλοφυρσμὸν, οὐ θρῆνον, οὐ κοπετὸν, οὐκ ἀνδρῶν, οὐ γυναικῶν, ἀλλὰ τῆς συμπάσης οἰκίας εὐσταθῆ καὶ νηφάλιον κατήφειαν, ἐθαύμαζον οὐ μετρίως, καὶ τὸν ἄλλον προκατεπεπληγμένοι τοῦ ἀνδρὸς βίον·

A vel propter innatam sibi continentiam, vel propter honorem quem vxori habebat mutuum. Itaque mox è famula nascitur filius, & aliquanto post alius legitimus nihil tale iam sperantibus, honestatem ac virtutem eorum benignissimo Deo remunerante, & munus omni spe maius, vltro largiente. Hoc specimen de muliere illa sufficiat. At sapientis illius viri plures laudes sunt, quarum aliquot paulo ante memoraui. Nunc dicam
B & de vxoris obitu, quod silendum non videtur. amissa enim tali vitæ socia, qualem superius ostendimus, & qualem scriptura depingit, dolori contra se insurgenti, & animam petenti, tanquam inuictus athleta non succubuit, recolligens se, & confirmans rationis robur, à natura oppositæ affectionibus: cuius consilijs per totam vitam vsus, tunc quoque paruit egregie, vt bene vtilitérque monentibus. Erant autem hæc,
C ne se plus æquo afflictaret, quasi noua calamitate perculsus, nec tamen quasi nihil molestum passus omnem dolorem pelleret, sed per mediam inter extrema viam incedens, casum hunc moderate ferre conaretur, permittendo naturæ suum ius in exigendo debito, & quod acciderat patiendo æquanimiter. id testantur sacra volumina, quæ nefas est falsitatis argui: vbi narratur eum modicis lacrymis profusis, celeriter se subduxisse à cadauere: quippe qui pro-
D lixiorem luctum alienum putabat à sapientia, à qua didicerat mortem existimare non extinctionem animæ, sed separationem disiunctionémque à corpore, illa redeunte retro vnde venerat. venerat autem à Deo, sicut in opificio mundi declaratum est. Quemadmodum autem nemo sanus ægre fert à se reposci debitum aut depositum, eodem modo natura quod suum est repetente, non arbitrabatur indigne ferendum, sed
E necessitati consentiendum. vbi vero illius regionis optimates conuenerunt ad eum officij gratia, cum nihil viderent eorum quæ apud ipsos ex more fieri solebant in funere luctúque, non complorationes, non lamenta, non planctum virorum ac mulierum, sed totam familiam sobrie moderatéque mœrentem, demirati sunt nō mediocriter, sicut ante tota viri vita

miraculo eis fuerat. móxque attoniti tantæ virtutis excellentia, in qua nihil inerat non eximium, accedentes virum in hanc vocem eruperunt: Rex à Deo tu es inter nos: verissima dicentes. nam alia regna homines sibi parant, armis, expeditionibus, dictu miris vltro citróque illatis cladibus, quas affert potentiæ cupiditas, dum se pedestribus, equestribus, naualibus copijs muniunt. sapientis autem regnum à Deo porrigitur, quo assumpto vir bonus male mulctat neminem, sed omnibus subditis vsum fructum bonarum rerum, & iura pacémque denunciat. Quin & in sacris literis extat huius viri elogium, testatum reddito Mosi oraculo, quo dicitur quòd Deo credidit. id vt dictu est breuissimum, ita factu maximum. cui enim præter eum credendum est? principatibúsne, an glorijs, honoribus, opibus, diuitijs, nobilitati, sanitati, integritati sensuum, robori pulchritudinive corporis? Atqui principatus omnis est lubricus, innumeris insidiatoribus obnoxius. quod si quando confirmatur, id fit non sine multis acceptis & illatis calamitatibus. nihilo stabiliores sunt honores & gloriæ, incertissima possessio, pendens à moribus rumoribúsque leuium & improborum hominum. quæ si quando perseuerat, nihil tamen vere bonum in se continet. at diuitiæ generísque nobilitas, etiam deterrimis obueniunt. sed fac solis bonis hæc contingere, maiorum & fortunæ ista laus est, non ipsorum qui habent. ac ne corporis quidem dotibus efferri æquum est, quibus nos alia animalia superant. Quis enim homo fortior aut robustior tauro inter cicures, inter feras leone? quis præditus acutiore visu quam accipiter aut aquila? quis auditu tam felix, quàm asinus tardissimus animalium? quis odoratu cane sagacior, quem aiunt rei venatoriæ periti, vestigantem longinquos lepusculos improuisum in eos irruere. nam hoc genus canum venaticorum vtitur oculorum vice naribus. Sanitatem quoque plurima bruta tuentur egregie. Quod autem ad pulchritudinis certamen attinet, etiam inanimata quædam mihi videntur vincere posse formositates virorum ac mulierum, simulacra, statuæ, picturæ, & in vniuer-

A εἶτ' οὐ στέγοντες ἐν ἑαυτοῖς τὰ τῆς ἀρετῆς αὐτοῦ μεγέθη καὶ κάλλη· πάντα γὰρ ἦν ἐξαίρετα· προσελθόντες ἐξεφώνησαν, Βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν, ἀληθέστατα λέγοντες. αἱ μὲν γὰρ ἄλλαι βασιλεῖαι πρὸς ἀνθρώπων καθίστανται πολέμοις, καὶ στρατείαις καὶ κακοῖς ἀμυθήτοις, ἅπερ ἀντεπιφέρουσιν ἀλληλοκτονοῦντες οἱ δυναστειῶν ἐφιέμενοι, πεζὰς καὶ ἱππικὰς καὶ ναυτικὰς δυνάμεις ἐπιτειχίζοντες· τὴν δὲ τοῦ σοφοῦ βασιλείαν ὀρέγει θεός, ἣν παραλα- B βὼν ὁ σπουδαῖος, οὐδενὶ μὲν αἴτιος γίνεται κακοῦ, πᾶσι δὲ τοῖς ὑπηκόοις ἀγαθῶν κτήσεως ὁμοῦ καὶ χρήσεως, εἰρήνην καὶ εὐνομίαν καταγγέλλων. ἔστι δὲ καὶ ἀνάγραπτος ἔπαινος αὐτοῦ, χρησμοῖς μαρτυρηθείς, οὓς Μωϋσῆς ἐθεσπίσθη, δι' οὗ μηνύεται ὅτι ἐπίστευσε τῷ θεῷ· ὅπερ λεχθῆναι μὲν βραχύτατον ἐστιν, ἔργῳ δὲ βεβαιωθῆναι μέγιστον. τίνι γὰρ ἄλλῳ πιστευτέον· ἆρά γε ἡγεμονίαις, ἢ δόξαις καὶ τιμαῖς, ἢ περιουσίᾳ πλού- C του καὶ εὐγενείᾳ, ἢ ὑγείᾳ καὶ εὐαισθησίᾳ, ἢ ῥώμῃ καὶ κάλλει σώματος; ἀλλ' ἀρχὴ μὲν πᾶσα σφαλερόν, μυρίους ἔχουσα τοὺς λοχῶντας ἐφέδρους· εἰ δέ που καὶ βεβαιωθείη, μετὰ μυρίων ὅσων κακῶν, ἃ δρῶσι καὶ πάσχουσιν οἱ ἐν ταῖς ἡγεμονίαις βεβαιοῦνται· δόξαι δὲ καὶ τιμαί, κτῆμα σφαλερώτατον ἐν ἀκρίτοις ἤθεσι καὶ πτηνοῖς λόγοις ἀνεξετάστων ἀνθρώπων σαλεῦον· κἂν εἰ παραμένοι, γνήσιον ἀγαθὸν ἔχειν οὐ πέφυκε· πλοῦτοι δὲ καὶ εὐγένειαι προσορμίζονται μὲν καὶ τοῖς D φαυλοτάτοις· εἰ δὲ καὶ μόνοις σπουδαίοις, ἐγκώμια προγόνων καὶ τύχης, ἀλλ' οὐ τῶν ἐχόντων εἰσίν· ἀλλ' οὐδ' ἐπὶ τοῖς περὶ τὸ σῶμα μέγα φρονεῖν ἄξιον, ἐν οἷς τἄλλα ζῷα πλέον ἔχει. τίς γὰρ ἀνθρώπων ἰσχυρότερος, ἢ ῥωμαλεώτερος, ταύρου μὲν ἐν ἡμέροις, ἀγρίοις δὲ λέοντος· τίς δ' ὀξυωπέστερος ἱέρακος, ἢ ἀετοῦ· τίς δὲ περὶ ἀκοὴν εὐτυχὴς οὕτως, ὡς τῶν ζῴων τὸ νωθέστατον ὄνος· τίς δὲ περὶ τὰς ὀσφρήσεις κυνὸς ἀκριβέστερος, ὃν φα- E σιν οἱ κυνηγετικοὶ ῥινηλατοῦντα τοῖς μακρὰν πτώμασιν, εὐσκόπως ἐπιτρέχειν οὐ προειδόμενον. ὅπερ γὰρ ὄψις ἑτέροις, τοῦτο μυκτῆρες κυσὶ κυνηγετικοῖς καὶ θηρευτικοῖς καὶ ἰχνευτικοῖς. ὑγιεινότατα γε μὴν καὶ ὡς ἔνι μάλιστα ἄνοσα πλεῖστα τῶν ἀλόγων ζῴων ἐστίν· ἐν δὲ τῷ περὶ κάλλους ἀγῶνι, καὶ τῶν ἀψύχων ἔνιά μοι δοκεῖ νικᾶν δύνασθαι τὰς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν εὐμορφίας, ἀγάλματα, καὶ ξόανα, καὶ ζωγραφήματα, καὶ συνόλως ὅσα γραφικῆς ἔργα καὶ πλαστικῆς ἐν ἑκατέρᾳ τέχνῃ

κατορθούμενα, ὅσα ἀποδέχονται Ἕλληνες ὁμοῦ καὶ βάρβαροι, πρὸς κόσμον τῶν πόλεων ἐν τοῖς ἐπιφανεστάτοις χωρίοις ἀνατιθέντες. μόνον οὖν ἀψευδὲς καὶ βέβαιον ἀγαθὸν, πίστις ἡ πρὸς τὸν θεὸν πίστις, παρηγόρημα βίου, πλήρωμα χρηστῶν ἐλπίδων, ἀφορία μὲν κακῶν, ἀγαθῶν δὲ φορά, κακοδαιμονίας ἀπόγνωσις, εὐσεβείας γνῶσις, εὐδαιμονίας κλῆρος, ἐν ἅπασι βελτίωσις ἐπερηρεισμένη τῷ πάντων αἰτίῳ, καὶ δυναμένῳ μὲν πάντα, βουλομένῳ δὲ τὰ ἄριστα. καθάπερ γὰρ οἱ μὲν δι' ὀλισθηρᾶς βαδίζοντες ὁδοῦ, ὑποσκελίζονται καὶ πίπτουσιν, οἱ δὲ διὰ ξηρᾶς καὶ λεωφόρου, ἀπταίστῳ χρῶνται πορείᾳ· οὕτως οἱ μὲν διὰ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς τὴν ψυχὴν ἄγοντες, οὐδὲν ἀλλ' ἢ πίπτειν αὐτὴν ἐθίζουσιν· ὀλισθηρὰ γὰρ ταῦτά γε καὶ πάντων ἀβεβαιότατα· οἱ δὲ διὰ τῶν κατὰ τὰς ἀρετὰς θεωρημάτων ἐπὶ θεὸν σπεύδοντες, ἀσφαλῆ καὶ ἀκράδαντον ὁδὸν εὐθύνουσιν, ὡς ἀψευδέστατα φάναι, ὅτι ὁ μὲν ἐκείνοις πεπιστευκὼς ἀπιστεῖ θεῷ· ὁ δ' ἀπιστῶν ἐκείνοις, πεπίστευκε θεῷ. ἀλλ' οὐ μόνον τὴν πρὸς τὸ ὂν πίστιν αὐτοῦ μαρτυροῦσιν οἱ χρησμοί, τὴν βασιλίδα τῶν ἀρετῶν, ἀλλὰ καὶ πρῶτον αὐτὸν ἀποφαίνουσι πρεσβύτερον, τῶν πρὸ αὐτοῦ τριπλασίονα καὶ πολλαπλασίονα ἔτη βιωσάντων, ὧν οὐδένα προσλήψεως ἀξιωθέντα ζηλωτῆς τῆς προσρήσεως. καὶ μήποτε εἰκότως· ὁ γὰρ ἀληθείᾳ πρεσβύτερος, οὐκ ἐν μήκει χρόνου, ἀλλ' ἐν ἐπαινετῷ βίῳ θεωρεῖται· τοὺς μὲν αἰῶνα πολὺν τρίψαντας ἐν τῇ μετὰ σώματος ζωῇ δίχα καλοκαγαθίας, πολυχρονίους παῖδας λεκτέον, μαθήματα πολιᾶς ἄξια μηδέποτε παιδευθέντας· τὸν δὲ φρονήσεως καὶ σοφίας καὶ τῆς πρὸς θεὸν πίστεως ἐραστὴν λέγοι τις ἂν ἐνδίκως εἶναι πρεσβύτερον, παρωνυμοῦντα τῷ πρώτῳ. τῷ γὰρ ὄντι πρῶτος ὁ σοφὸς τοῦ ἀνθρώπων γένους, ὡς κυβερνήτης μὲν ἐν νηΐ, ἄρχων δ' ἐν πόλει, στρατηγὸς δ' ἐν πολέμῳ, καὶ ψυχὴ μὲν ἐν σώματι, νοῦς δ' ἐν ψυχῇ· καὶ πάλιν οὐρανὸς μὲν ἐν κόσμῳ, θεὸς δ' ἐν οὐρανῷ, ὡς τῆς πρὸς αὐτὸν πίστεως ἀγάμενος τὸν ἄνδρα, πίστιν ἀντιδίδωσιν αὐτῷ τὴν δι' ὅρκου βεβαίωσιν ὧν ὑπέσχετο δωρεῶν, οὐκ ἔτι μόνον ὡς ἀνθρώπῳ θεός, ἀλλὰ καὶ ὡς φίλος γνωρίμῳ διαλεγόμενος. φησὶ γάρ, Κατ' ἐμαυτοῦ ὤμοσα, παρ' ᾧ ὁ λόγος ὅρκος ἐστί, ἕνεκα τοῦ τὴν διάνοιαν ἀκλινῶς καὶ παγίως ἔτι μᾶλλον ἢ πρότερον ἐρηρεῖσθαι. πρεσβύτερος μὲν οὖν καὶ πρῶτος ἔστω καὶ λεγέσθω ὁ ἀστεῖος, νεώτερος δὲ καὶ ἔσχατος πᾶς ἄφρων, τὰ νεωτεροποιὰ καὶ ἐν ἐσχάταις

A sum fictorum pictorúmque opera eximia, quæ apud Græcos atque barbaros sunt in pretio, & dedicantur inter præcipuos ornatus vrbium. Solum igitur certum firmúmque bonum est fides, qua Deo creditur, vitæ solatium, bonæ spei supplementum, depulsiuum calamitatum, felicitatum conciliatiuum, superstitionis ablegatio, pietatis assertio, prosperitatis hæreditas, profectus in bonis omnibus fultus vniuersorum autore, qui potest omnia, vult tantum optima. B Quemadmodum enim per lubricum incedentes labuntur fallente vestigio: qui vero per viam siccam gradiuntur, certo gradu iter faciunt: sic qui per corporis externáque bona ducunt animam, nihil aliud quam cadere illam assuefaciunt. hæc enim lubrica & parum firma sunt. Sed qui per virtutum contemplationem ad Deum properant, tutum inconcussúmque iter dirigunt; vt nihil verius dici possit, C quàm quòd quisquis illis rebus credit, Deo non credit: contrà qui Deo credit, illis non credit. Nec hanc tantum erga eum Qui est fiduciam oracula de viro illo prædicant, reginam virtutum cæterarum, verum etiam hunc primum nominant seniorem, quamuis maiores eius triplo & amplius longæuiores fuerint, quorum neminem legimus hac appellatione dignum habitum. & merito. nam reuera senior, non ex longitu- D dine temporis, sed ex laudata vita spectatur. Siquidem qui multum ætatis in corpore vixerunt sine probitate, longæui pueri dicendi sunt, quia nunquam disciplinas attigerunt dignas canicie. Amator autem prudentiæ sapientiæque, hoc est erga Deum fiduciæ, iustè senior siue primas vocari potest. Nam reuera primus est sapiens in humano genere, sicut gubernator in naui, magistratus in ciuitate, imperator in exercitu, anima in corpore, mens in ani- E ma. Rursum cælum in mundo, in cælo Deus: qui delectatus viri fiducia, & ipse iureiurando fidem promissorum confirmat, non vt Deus hominem, sed vt amicus familiarem alloquens. Ait enim: Per memetipsum iuro: cum verbum eius vim iurisiurandi habeat, volens nihilominus persuasionem eius firmiorem stabilioremque facere. itaque senior & primus vir bonus dicendus est, omnis autem malus, extremus & nouissimus, vt nouator &

tractans res extremi ordinis. De his igitur hactenus dictum sit, vnum modo ceu fastigium addam huius sapientis laudibus, sumptum ex diuinis literis, quæ testantur eum Dei legem & mandata fecisse omnia, non scripto vllo edoctum, sed absque scriptura secutum appetitus ingenij sui sanissimos. quæ autem Deus pollicetur, quomodo possunt homines non credere? Hæc est vita primi conditoris suæ gentis, quam aliquis diceret legitimam: ego vero docui quod ipsa lex sit & ius non scriptum.

A παρατιθέμενα μετιών. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω, περὶ δὲ πλήθη καὶ μεγέθη τῶν ἐπαίνων ἐπιθεὶς ὥσπερ τινὰ κεφαλὴν τοῦ σοφοῦ, φησὶν ὅτι τὸν θεῖον νόμον καὶ τὰ θεῖα προστάγματα ἐποίησεν ὁ ἀνὴρ οὗτος πάντα, οὐ γράμμασιν ἀναδιδαχθεὶς, ἀλλ᾽ ἀγράφῳ τῇ φύσει σπουδάσας ὑγιαινούσαις καὶ ἀνόσοις ὁρμαῖς ἐπακολουθῆσαι. περὶ δὲ
B ὧν ὁ θεὸς ὁμολογεῖ, τί προσῆκεν ἀνθρώποις, ἢ βεβαιότατα πιστεύειν. Τοιοῦτος ὁ βίος τοῦ πρώτου καὶ ἀρχηγέτου ἐστὶ τοῦ ἔθνους, ὡς μὲν ἔνιοι φήσουσι, νόμιμος· ὡς δ᾽ ὁ παρ᾽ ἐμοῦ λόγος ἔδειξε, νόμος αὐτὸς ὢν καὶ θεσμὸς ἄγραφος.

ΠΕΡΙ ΑΠΟΙΚΙΑΣ.

PHILONIS IVDÆI, DE MIGRATIONE ABRAHAMI.

ET dixit Dominus ad Abraham: Egredere de terra tua & de cognatione tua, & de domo patris tui, in terram quam tibi monstrauero, & faciam te in gentem magnam. Benedicam tibi, & magnificabo nomen tuum, erisque benedictus. Benedicam benedicentibus tibi, maledicam maledicentibus tibi: & benedicentur in te omnes tribus terræ.] Volens Deus purificare hominis animam, primùm offert ei perfectæ salutis occasionem, migrationem à corpore, sensu, atque ratione. nam terra corpus, cognatio sensum, patris domus rationem significare intelligitur. Quamobrem? Quia corpus & ex terra factum est, & in terram resoluitur, sicut Moses testatur, dicens: Terra es & in terram reuerteris. nam ipse narrat Deo formante factum ex terra hominem. & neces-

C ΚΑΙ εἶπε κύριος πρὸς Ἀβραάμ, ἄπελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου εἰς τὴν γῆν ἣν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα· καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογητός· καὶ εὐλογήσω τοὺς εὐλογοῦν-
D τάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. Βουληθεὶς ὁ θεὸς τὴν ἀνθρώπου ψυχὴν καθῆραι, πρῶτον αὐτῇ δίδωσιν ἀφορμὴν εἰς σωτηρίαν παντελῆ, τὴν ἐκ τριῶν χωρίων μετανάστασιν, σώματος, αἰσθήσεως, καὶ λόγου τοῦ κατὰ προφοράν. τὴν μὲν γὰρ γῆν,
E σώματος· τὴν δὲ συγγένειαν, αἰσθήσεως· τὸν δὲ τοῦ πατρὸς οἶκον, λόγου σύμβολον εἶναι συμβέβηκε. Διὰ τί· ὅτι τὸ μὲν σῶμα καὶ ἐκ γῆς ἔλαβε τὴν σύστασιν, καὶ ἀναλύεται πάλιν εἰς γῆν. μάρτυς δὲ Μωσῆς ὅταν φῇ, Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ γὰρ πεπλάσθαι φησὶ τὸν χοῦν εἰς ἀνθρωπείαν μορφὴν, τοῦ θεοῦ διαπλάσαντος.

ἀνάγκη δὲ τὸ λυόμενον εἰς τὰ δεθέντα λύεσθαι. αἴσθησις δὲ συγγενὲς καὶ ἀδελφὸν ἐστι διανοίας, ἄλογον λογικῆς, ἐπειδὴ μιᾶς ἄμφω μέρη ψυχῆς ταῦτα. πατρὸς δὲ οἶκος ὁ λόγος, ὅτι πατὴρ μὲν ἡμῶν ὁ νοῦς, σπείρων εἰς ἕκαστον τῶν μερῶν τὰς ἑαυτοῦ δυνάμεις, καὶ διανέμων εἰς αὐτὰ τὰς ἐνεργείας, ἐπιμελητής τε καὶ ἐπίτροπος ἀνημμένος ἁπάντων· οἶκος δὲ ἐν ᾧ διαιτᾶται, τῆς ὅλης ὑπεξῃρημένος οἰκίας ὁ λόγος. καθάπερ γὰρ ἀνδρὸς ἑστία, καὶ νοῦ λόγος ἐνδιαίτημα. ἑαυτὸν γοῦν καὶ ὅσα αὖ ἐνθυμήματα τίκτει, ὥσπερ ἐν οἴκῳ τῷ λόγῳ διαθεὶς καὶ διακοσμήσας ἐπιδείκνυται. μὴ θαυμάσῃς δὲ εἰ νοῦ τὸν λόγον ἐν ἀνθρώπῳ κέκληκεν οἶκον. καὶ γὰρ τὸν τῶν ὅλων νοῦν τὸν θεὸν, οἶκον ἔχειν φησὶ τὸν ἑαυτοῦ λόγον, οὗ τὴν φαντασίαν ὁ ἀσκητὴς λαβὼν, ἄντικρυς ὁμολογεῖ, ὅτι οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος θεοῦ, ἴσον τῷ, ὁ τοῦ θεοῦ οἶκος οὐκ ἔστι τοῦτο τῶν εἰς δεῖξιν ἐρχομένων, ἢ συνόλως πιπτόντων ὑπ᾽ αἴσθησιν οὐκ ἔστιν, ἀλλ᾽ ἀόρατος, ἀειδὴς, ψυχῇ μόνῃ ὡς ψυχὴ καταλαμβανόμενος. τίς οὖν ἂν εἴη, πλὴν ὁ λόγος ὁ πρεσβύτερος τῶν γένεσιν εἰληφότων, οὗ καθάπερ οἴακος ἐνειλημμένος ὁ τῶν ὅλων κυβερνήτης πηδαλιουχεῖ τὰ σύμπαντα· καὶ ὅτε ἐκοσμοπλάστει, χρησάμενος ὀργάνῳ τούτῳ πρὸς τὴν ἀνυπαίτιον τῶν ἀποτελουμένων σύστασιν. ὡς μὲν τοίνυν γῆν μὲν τὸ σῶμα καλεῖ, συγγένειαν δὲ τὴν αἴσθησιν, οἶκον δὲ πατρὸς τὸν λόγον, δεδηλώκαμεν. τὸ δὲ, Ἄπελθε ἐκ τούτων, οὐκ ἔσθ᾽ ὅμοιον τῷ, διαζεύχθητι κατὰ τὴν οὐσίαν· ἐπεὶ θάνατον ἦν διαγορεύοντος ἡ πρόσταξις, ἀλλ᾽ ἴσον τῷ, τὴν γνώμην ἀλλοτριώθητι πρὸς μηδενὸς προσεχεθεὶς αὐτῶν· ὑπεράνω στῆθι πάντων· ὑπήκοοί σου εἰσὶ, μηδέποτε ὡς ἡγεμόσι χρῶ, βασιλεὺς ὢν, ἀλλὰ μὴ ἄρχεσθαι πεπαίδευσο, πάντα τὸν αἰῶνα γίνωσκε σεαυτὸν, ὡς καὶ Μωϋσῆς πολλαχοῦ διδάσκει, λέγων, Πρόσεχε σεαυτῷ. οὕτως γὰρ ὧν τε ὑπακούειν καὶ ἐπιτάττειν προσῆκεν, αἰσθήσῃ. ἄπελθε οὖν ἐκ τοῦ περὶ σεαυτὸν γεώδους, τὸ παμμίαρον ὦ οὗτος ἐκφυγὼν δεσμωτήριον τὸ σῶμα, καὶ τὰς ὥσπερ εἱρκτοφύλακας ἡδονὰς καὶ ἐπιθυμίας αὐτοῦ, πάσῃ ῥώμῃ καὶ πάσῃ δυνάμει μηδὲν τῶν εἰς κάκωσιν παρεὶς, ἀλλὰ πάντα ἀθρόα συλλήβδην ἐπανατεινάμενος· ἄπελθε καὶ ἐκ τῆς συγγενοῦς αἰσθήσεως. νυνὶ μὲν γὰρ κέχρηκας ἑκάστῃ σεαυτὸν, καὶ γέγονας ἀλλότριον τῶν δεδανεισμένων ἀγαθὸν, ἀποβεβληκὼς τὸ ἴδιον. οἶδας δὲ κἂν πάντα ἡσυχάζωσιν, ὡς ὀφθαλμοί σε ἄγουσι καὶ ὦτα, καὶ ἡ ἄλλη τῆς συγγενείας πληθὺς ἅπασα, πρὸς τὰ φίλα ἑαυτοῖς.

A sum est vt quod soluitur, in ea soluatur vnde confectum est. Porrò sensus cognatus & germanus mentis est, brutus ratione præditæ, quoniam hæc ambo partes sunt vnius animæ. Cæterum paterna domus est ratio, quia pater noster intellectus potentias suas in singulas partes seminat, suas cuique operationes attribuens, ipse curam & præfecturam gerens omnium. domus autem quam inhabitat, est reliquis celsior ratio. Nam sicut vir ædes, B sic intellectus rationem inhabitat. proinde se suósque conceptus in ratione tanquam in domo propria dispositos ostendit. Nec mirum si rationem in homine vocat intellectus mentísve domicilium. Nam & Deus qui est huius vniuersitatis intellectus, ait sibi suum illum λόγον pro domo esse: quod cernens meditator, propalam fatetur. Nihil aliud est locus hic quam domus Dei: ac si diceret: domus Dei non est in his quæ cernuntur, aut aliquo sensu possunt C percipi, sed inuisibilis, nulla specie circumscripta, anima solum, in quantum est anima, perceptibilis. ergo quæ alia potest esse, nisi sermo ille siue ratio creaturis omnibus antiquior, per quem tanquam clauũ gubernator optimus maximus cuncta dirigit: quo & in mundi creatione instrumento vsus est ad absoluendum opus irreprehensibile. Atque ita per terram corpus, per cognationem sensum, per paternam domum rationẽ intelligi oportere declaratum est. cæterum illud Egredere, non est idem quod D seiunge te ab eorum essentia: hoc enim mandatum mortem imperaret: sed perinde ac si diceret, Aliena tuum animum, vt à nullo ex his detentus emergas super omnia. Tibi subdita sunt, caue habeas ea pro principibus, cùm sis ipse rex: disce tales Dominos contemnere, & in perpetuum nosce teipsum, sicut & Moses non semel docet, dicens: Attende tibiipsi. nam ita senties cui obedire aut imperare debeas. Egredere E igitur, ô bone, è terreno tuo contaminato, & fuge carcerem corporis, simúlque voluptates & concupiscẽtias custodes eius carceris, quãtum potes eas profligans, & minis omnibus absterritans. Egredere cognationem quoque sensuum. nunc enim singulis familiariter vteris, ipsis deditus, de te parum sollicitus. Atqui scis quòd etiam cessantibus alijs rebus, oculi auréſque & huiusmodi cognatio tota in partes suas te pelliciet.

Quod si mauis tuis reditibus possessionibúsque contentus nihil ex his amittere, vitam deges fortunatissimã, vsumfructum non alienorum bonorum, sed propriorũ perpetuo capiens. Sed egrediendum est etiam de sermone rationis indice, quæ paterna domus dicitur: ne deceptus ornatu verborũ ac nominum, missam facias verã pulchritudinẽ, quæ in rerum cognitione sita est. absurdum enim fuerit vmbrã pluris quam corpus facere, aut rebus prẹferre imagines. certe vmbræ imaginique sermo est similis, corporibus autem & exemplaribus ipsæ rerũ naturæ de quibus disseritur: quas consectari debet qui mauult esse quàm videri aliquid, omissis illis alijs. Quamprimum igitur intellectus incipiet seipsum nosse, & in contemplationibus intelligibilibus versari, totam illam partem ad sensibilia procliuem ablegabit, quæ Hebraice Lot vocatur. Quamobrem ille sapiens inducitur dicere aperte: Discede à me. Non est enim possibile, vt incorporearum incorruptibiliúmque rerum amator cohabitet cum prono ad ista sensibilia. Recte igitur sacer vates vnum integrum legis librum Exodum intitulauit, nomine conueniente contentis in hoc oraculis. cum enim sit ad docendum idoneus & ad castigandum monendúmque promptissimus, totum animæ populum qui se admoneri castigarique patitur, Ægyptia regione corporis & eius habitatoribus vult eripere, ratus molestissimum grauissimúmque onus perspectiuã mẽtem opprimi à carnis voluptatibus, & iussa eius exequi, quicquid inclementibus concupiscentijs libuerit. Hos igitur gementes flentésque in rerum corporearum abundantia & externis opibus (dicitur enim ingemuisse filios Israel propter opera) propitio Deo monente de exitu, propheta ipsius eripit. Sunt tamen qui vsque ad suum obitum fœdus fecerunt cum corpore, & tanquam in arca aut tumulo, aut quomodocunque nominandum est, in hoc insepulti sunt, quorum carnales & affectibus obnoxiæ partes obliuioni traditæ defodiuntur. quod si quid virtuti amicum simul progerminauit, literarũ monumentis asseruatur, per quæ maiorum honesta facinora solent vindicari ab interitu. proinde ossa Ioseph, illa inquam quæ sola ex tali anima fuerunt reliqua incorrupta, videlicet memoratu digna gesta, non omittuntur in sacra scriptura,

A ἐὰν δὲ θέλῃς κομίσασθαι τὰ ἑαυτοῦ δάνεια, καὶ τὴν
ἰδίαν κτῆσιν περιβαλέσθαι, μηδὲν αὐτῆς διαζεύ-
ξας ἢ ἀλλοτριώσας μέρος, εὐδαίμονα μεταποιή-
σῃ βίον, χρῆσιν καὶ ἀπόλαυσιν οὐκ ὀθνείων, ἀλλ'
οἰκείων ἀγαθῶν εἰσαεὶ καρπούμενος. ἀλλὰ με-
τανάστηθι κἀκ τοῦ κατὰ προφορὰν λόγου, ὃν πα-
τρὸς οἶκον ἐκάλεσεν, ἵνα μὴ ῥημάτων καὶ ὀνομάτων
ἀπατηθεὶς κάλλεσι, τοῦ πρὸς ἀλήθειαν κάλλους,
ὅπερ ἐστὶν ἐν τοῖς δηλουμένοις πράγμασι, δια-
ζευχθῇς. ἄτοπον γὰρ ἢ σκιὰν σωμάτων, ἢ μίμημα
B ἀρχετύπων, φέρεσθαι πλέον. σκιᾷ μὲν δὴ καὶ μι-
μήματι ἔοικεν ἑρμηνεία, σώμασι δὲ καὶ ἀρχετύ-
ποις αἱ τῶν διερμηνευομένων φύσεις πραγμά-
των, ὧν τὸν ἐφιέμενον τοῦ εἶναι μᾶλλον ἢ τοῦ δοκεῖν,
χρὴ περιέχεσθαι, διοικιζόμενον ἀπ' ἐκείνων.
ἐπειδὰν γοῦν ὁ νοῦς ἄρξηται γνωρίζειν ἑαυτὸν,
καὶ τοῖς νοητοῖς ἐνομιλεῖν θεωρήμασιν, ἅπαν τὸ
κλινόμενον τῆς ψυχῆς πρὸς τὸ αἰσθητὸν εἶδος ἀπώ-
σεται, ὃ κέκληται παρ' Ἑβραίοις Λώτ. οὗ χάριν ὁ
C σοφὸς εἰσάγεται λέγων ἄντικρυς, Διαχωρίσθητι
ἀπ' ἐμοῦ. συνοικεῖν γὰρ ἀμήχανον τὸν ἀσωμάτων καὶ
ἀφθάρτων ἔρωτι κατεσχημένον, τῷ πρὸς τὰ αἰ-
σθητὰ καὶ θνητὰ ῥέοντι. παγκάλως οὖν ὁ ἱεροφάν-
της μίαν τῆς νομοθεσίας ὅλην ἱερὰν βίβλον, ἐξα-
γωγὴν ἀνέγραψεν, οἰκεῖον ὄνομα εὑράμενος τοῖς
περιεχομένοις χρησμοῖς. ἅτε γὰρ παιδευτικὸς ὢν
καὶ πρὸς νουθεσίαν καὶ σωφρονισμὸν ἑτοιμότατος, τὸν
οἷόν τε νουθετεῖσθαι καὶ σωφρονίζεσθαι πάντα τῆς ψυχῆς
λεὼν, ἀπὸ τῆς αἰγυπτίας χώρας τοῦ σώματος, καὶ τῶν
D οἰκητόρων αὐτῆς ἐξελεῖν διανοεῖται, χαλεπώτα-
τον καὶ βαρύτατον ἄχθος ἡγούμενος ὁρατικὴν διά-
νοιαν πρὸς σαρκὸς ἡδονῶν πιεσθῆναι, καὶ ἐπιτάγ-
μασιν ὑπηρετεῖν, ἅττ' ἂν αἱ ἀνηλεεῖς προστάτ-
τωσιν ἐπιθυμίαι. τούτοις μὲν οὖν στενάξαντας καὶ
πολλὰ δακρύσαντας τὴν σωματικὴν εὐθηνίαν,
καὶ τὰς τῶν ἐκτὸς ἀφθόνους περιουσίας· λέγεται γὰρ
ὅτι ἐστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων· ὑφη-
γησαμένου τοῦ ἵλεω θεοῦ τὰ περὶ τὴν ἔξοδον, ὁ
E προφήτης αὐτὸς ῥύεται. εἰσὶ δὲ οἳ μέχρι τῆς τε-
λευτῆς τὰς πρὸς σῶμα σπονδὰς ἔθεντο, καὶ ὥσ-
περ λάρνακι ἢ σορῷ ἢ ὅπως ὀνομάζειν ἑτέρως φί-
λον, τῷδε ἐνετάφησαν. ὧν τὰ μὲν, ὅσα φιλοσώ-
ματα καὶ φιλοπαθῆ μέρη, λήθῃ παραδοθέντα κα-
τορύττεται· εἰ δέ πού τι φιλάρετον παρανέβλαστε,
μνήμαις ἀνασώζεται, δι' ὧν τὰ καλὰ ζωπυρεῖσθαι
πέφυκε. τὰ γοῦν ὀστᾶ Ἰωσὴφ, λέγω δὲ τὰ μόνα
ὑπολειφθέντα τῆς τοιαύτης ψυχῆς ἀδιάφθορα, καὶ
ἀξιομνημόνευτα εἴδη, περιποιεῖται ὁ ἱερὸς λόγος,

ἄτοπον ἡγούμενος καθαρὰ μὴ καθαροῖς συνεζεῦχθαι. τὰ δ' ἀξιομνημόνευτα, ταῦτ' ἐστί, τὸ πιστεῦσαι ὅτι ἐπισκέψεται ὁ θεὸς τὸ ὁρατικὸν γένος, καὶ οὐ παραδώσει μέχρι παντὸς αὐτὸ ἀμαθίᾳ τυφλῇ δεσποίνῃ· τὸ διακρῖναι τά τε θνητὰ τῆς ψυχῆς, καὶ τὰ ἄφθαρτα, καὶ τὰ μὲν ὅσα περὶ τὰς σώματος ἡδονὰς καὶ τὰς ἄλλας παθῶν ἀμετρίας, θνητὰ ὄντα, Αἰγύπτῳ καταλιπεῖν· περὶ δὲ τῶν ἀφθάρτων σπουδὴν ποιήσασθαι, ὅπως μετὰ τῶν ἀναβαινόντων εἰς τὰς ἀρετῆς πόλεις, διακομισθῇ, καὶ ὅρκῳ τὴν σπουδὴν ἐμπεδώσασθαι. τίνα οὖν τὰ ἄφθαρτα· πρὸς ἡδονὴν ἀλλοτρίωσις τὴν λέγουσαν, συνευφρανθῶμεν, καὶ τῶν ἀνθρωπίνων ἀπολαύσωμεν ἀγαθῶν· ἡ μετὰ καρτερίας ἀγχίνοια, δι' ἧς τὰ τῶν κενῶν δοξῶν νομιζόμενα ἀγαθά, ὡς ἂν ἐνύπνιον ὄντα, διακρίνει καὶ διαστέλλει, ὁμολογῶν τὰς μὲν ἀληθεῖς καὶ σαφεῖς τῶν πραγμάτων συγκρίσεις εἶναι κατὰ θεόν· τὰς δὲ ἀδήλους καὶ ἀσαφεῖς φαντασίας, κατὰ τὸν πλάνητα καὶ τύφου μεστὸν μήπω κεκαθαρμένων ἀνθρώπων βίον, τὸν διὰ σιτοποιῶν καὶ μαγείρων καὶ οἰνοχόων τέρψεσι χαίροντα· τὸ μὴ ὑπήκοον, ἀλλ' ἄρχοντα Αἰγύπτου πάσης τῆς σωματικῆς χώρας ἀναγραφῆναι· τὸ αὐχεῖν ἐπὶ τῷ γένος εἶναι Ἑβραίων, οἷς ἔθος ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ μετανίστασθαι· περάτης γὰρ ὁ Ἑβραῖος ἑρμηνεύεται· τὸ σεμνύνεσθαι ὅτι ὧδε οὐκ ἐποίησεν οὐδέν· τὸ γὰρ μηδὲν τῶν ἐν τέλει σπουδαζόντων παρὰ τοῖς φαύλοις ἐργάσασθαι, διαμισῆσαι δὲ καὶ ἀποστραφῆναι πάντα, οὐ μετρίως ἐπαινετόν· τὸ ἐμπαίζειν ἐπιθυμιῶν καὶ πάντων παθῶν ἀμετρίαις· τὸ φοβεῖσθαι τὸν θεόν, εἰ καὶ μηδέπω γέγονεν ἀγαπᾶν ἱκανός· τὸ ζωῆς ἐν Αἰγύπτῳ μεταποιεῖσθαι τῆς ἀληθοῦς. ὃ δὴ θαυμάσας ὁ ὁρῶν· καὶ γὰρ ἄξιον καταπλαγῆναι· φησί, Μέγα μοι ἐστί. εἰ ἔτι ὁ υἱός μου Ἰωσὴφ ζῇ, ἀλλὰ μὴ κεναῖς δόξαις, καὶ τῷ νεκροφορουμένῳ σώματι συντέθνηκε· τὸ ὁμολογεῖν ὅτι τοῦ θεοῦ ἐστί, τὴν δ' εἰς γνῶσιν ἐλθόντος οὐδενός· τὸ γνωρίζομεν τοῖς ἀνθρώποις πάντας τοὺς φιλοσωμάτους κινῆσαι καὶ σαλεῦσαι τρόπους· ἑστάναι παγίως ἐπὶ τῶν ἰδίων οἰομένους δογμάτων, καὶ ἀνακεκράγεται ἀπώσασθαι· τὸ φάναι μὴ πρὸς ἀνθρώπων ἀπεστάλθαι, ὑπὸ δὲ τοῦ θεοῦ κεχειροτονῆσθαι, πρὸς τὴν τοῦ σώματος καὶ τῶν ἐκτὸς ἐννόμως ἐπιστασίαν. πολλὰ δὲ καὶ ἄλλα τούτοις ὁμοιότροπα, τῆς ἀμείνονος καὶ ἱεροτέρας ὄντα τάξεως, Αἴγυπτον τὸν σωματικὸν οἶκον οἰκεῖν οὐκ ἀνέχεται, οὐδ' ἐνθάπτεται σορῷ, τὸ δ' ἔμπαλιν, ἔξω δὲ παντὸς τοῦ θνητοῦ κεχωρηκότα, προφήτῃ νομοθέτῃ λόγῳ, Μωυσῇ

A quòd absurdum videretur pura coniungi cum impuris. Fuit autem memoratu dignum, credidisse illum quòd visitabit Deus genus Israeliticum, non traditurus id in perpetuam seruitutem Ignorantiæ cæcæ dominæ. item discreuisse illum quod mortale est animæ ab immortali eius parte: & quæ ad corporis voluptates cæterósque affectus immoderatos pertinent, vt mortalia reliquisse in Ægypto: de incorruptibilibus vero solicite prouidisse, vt cum
B ascendentibus in virtutis ciuitates deportarentur, obligatis iureiurando posteris. Quæ sunt igitur illa incorruptibilia? Voluptatis auersatio dicentis, Cubemus vnà, & fruamur bonis humanis. tolerantiæ coniuncta solertia, per quam bona falso credita discernit ac distinguit à veris tanquam somnia: dum fatetur veras & manifestas rerum æstimationes ex Deo esse: incertas autem & obscuras imaginationes ex er-
C ronea, fastuosa, necdum purgata vita hominum, quæ delectatur pistorum, coquorum, pincernarúmque ministerijs. item quòd non subditus, sed præfectus & censor totius Ægypti corporeæ regionis fuit: quòd Hebræum se gloriabatur, quorum est à sensibilibus migrare ad intelligibilia. Hebræus enim migrator interpretatur. quòd iactabat se nihil fecisse. nam non miscere se improborum studijs, & constanter ab his abstinere, non mediocris laus est.
D quòd pro ludibrio habebat omnes affectus & concupiscentias immodicas. quòd Deum timebat, etsi nondum ad eum diligendū idoneus. quòd in Ægypto conabatur vere viuere. Quæ miratus ille perspicax Israel, vt reuera mirari debuit, ait: Sufficit mihi si adhuc filius meus Ioseph viuit, nec est cum vanis opinionibus & cadauerоso corpore commortuus. item quòd fatebatur ex Deo, non ex vlla creatura scientiam
E contingere hominibus: & mores corporis studiosos agitari iactaríque perpetuo, vtcunque putant se niti certis decretis animi. quòd aiebat se non ab hominibus missum esse, sed electum à Deo, vt administraret legitimam præfecturam corporis. multa præterea his similia ad meliorē sacratiorémque ordinem pertinentia Ægyptum corporalem domum inhabitare non sustinent, nec vnquam insepeliuntur tumulo: sed egressa regionem mortalium, sequuntur sermonē fatidicum Mose præeunte,

hic est enim altor ac nutritor bonorum operum, dictorum, consiliorum: quæ etiamsi misceantur aliquando contrarijs propter variam confusionem rerum humanarum, nihilominus discernuntur tandem, ne in totum honestatis semina plantæque dispereant. proinde iubet vt fortiter incunctanterque deserant istam appellatam matrem improbitatem omnium, summa celeritate adhibita. ait enim: Cum festinatione immolare pascha, quod interpretatur transitus: quando inhæsitanter cum summa alacritate mens ab affectibus continuato cursu transmigrat ad gratiarum actionem pro salute accepta à Deo, qui nec opinantem vindicauit in libertatem. Et quid mirum si vi subactum ab irrationali affectu hortatur ne succumbat, néve sinat se illius impetu abripi, sed conetur resistere, aut certe aufugere: secundus enim ad salutem aditus est fuga, si repugnare non datur: quando etiam suapte natura luctantem cum affectibus, necdum perdomitum, sed concertantem cum singulis, non sinit cum eis conflictari perpetuo, ne forte inde aliquam pestem sibi affricet. Multi enim ex aduersarijs vitij facti sunt imitatores, quod & in virtute accidit. ideo tale oraculum est redditum: Reuertere in terram patris tui, & in gentile solum, & ero tecum: ac si diceret: Fuisti mihi athleta perfectus, præmia coronásque promeritus, virtute præsidente certamini, & tibi porrigente insignia victoriæ. Desine iam contendere, ne in totum defatigeris, sed possis frui actis laboribus. quod nunquam tibi continget, si hic maneas, cum sensibilibus habitans & tempus terens cum corporeis qualitatibus, quarum Laban princeps est. Est autem qualitatis hoc nomen. Sed migrandum est in terram patris tui, id est sacri sermonis, qui quodammodo pater est virtuti studentium, videlicet sapientiam, probarum animarum optimum domicilium. in hac regione genus quoque tuum est quod seipso præceptore vtitur, expers infantilis cibi lactei, quod oraculo diuino vetatur in Ægyptum descendere & inescari carnis voluptatibus, cognomento Isaac: cuius hæreditatem adeptus non opus habebis laborare amplius,

A ποδηγετοῦντι. τροφεὺς γὰρ ἐστι καὶ τιθηνὸς ἀστείων
ἔργων, λόγων, βουλευμάτων, ἃ κἂν τοῖς ἐναντίοις ἀ-
νακραθῇ ποτε, διὰ τὴν ἀσύγχυτον τοῦ θνητοῦ
πολυμιγίαν, οὐδὲν ἧττον διακρίνεται προελθόντα,
ἵνα μὴ μέχρι παντὸς τὰ καλοκαγαθίας σπέρ-
ματα καὶ φυτὰ ἀφανισθέντα οἴχηται. καὶ προστάττει
μάλα ἐρρωμένως ἀπολιπεῖν τὴν παντὸς ἀτόπου
χρηματίζουσαν μητέρα, μὴ μέλλοντας καὶ βρα-
δύνοντας, ἀλλ' ὑπερβάλλοντας τάχει. φησὶ γάρ, μετὰ
B σπουδῆς θύειν τὸ πάσχα, ὃ δή ἐστιν ἑρμηνευθέν,
διάβασις, ἵν' ἀνενδοιάστῳ γνώμῃ καὶ προθυμίᾳ
συντόνῳ χρώμενος ὁ νοῦς, τήν τε ἀπὸ τῶν παθῶν
ἀμεταστρεπτὶ ποιῆται διάβασιν, καὶ τὴν πρὸς τὸν
σωτῆρα θεὸν εὐχαριστίαν, ὃς εἰς ἐλευθερίαν οὐ προσ-
δοκήσαντα αὐτὸν, ἐξείλετο. καὶ τί θαυμάζομεν, εἰ
τὸν ἡττημένον κράτει πάθους ἀλόγου προστάττει μὴ
ἐνδιδόναι, μηδὲ τῇ ῥύμῃ τῆς ἐκείνου φορᾶς κατα-
συρῆναι, βιάσασθαι δὲ ἀντιστάντα, κἂν εἰ μὴ δύναι-
το ἀποδρᾶναι. δευτέρα γὰρ ἔφοδος εἰς σωτηρίαν τοῖς
C ἀμύνασθαι μὴ δυναμένοις δρασμός ἐστιν, ὁπότε
καὶ τὸν ἀνταγωνιστὴν φύσει καὶ μηδέποτε παθῶν δοῦ-
λον γεγενημένον, ἀεὶ δὲ ἀθλοῦντα τοὺς πρὸς ἕκα-
στον αὐτῶν ἄθλους, οὐκ ἐᾷ μέχρι παντὸς τοῖς πα-
λαίσμασι χρήσασθαι, μήποτε τῇ συνεχείᾳ τῆς εἰς
ταὐτὸ συνόδου χαλεπὴν ἀπ' ἐκείνων κῆρα
ἐναπομάξηται. πολλοὶ γὰρ ἤδη καὶ ἀντιπάλου κα-
κίας ἐγένοντο μιμηταί, ὡς ἀρετῆς ἔμπαλιν ἕτε-
ροι. διὸ λόγιον ἐχρήσθη τοιόνδε, Ἀποστρέφου εἰς
D τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ
ἔσομαι μετὰ σοῦ, ἴσον τῷ, γέγονάς μοι ἀθλητὴς
τέλειος, καὶ βραβείων καὶ στεφάνων ἠξιώθης, ἀ-
γωνοθετούσης ἀρετῆς, καὶ προτεινούσης ἆθλά σοι
τὰ νικητήρια· κατάλυσον δὲ ἤδη τὸ φιλόνεικον, ἵνα
μὴ πάντοτε πονῇς, ἀλλὰ καὶ τῶν πονηθέντων ἀπο-
λαῦσαι δυνηθῇς. τοῦτο δὲ ἐνταυθοῖ καταμένων, οὐ-
δέποτε εὑρήσεις, τοῖς αἰσθητοῖς ἔτι συνοικῶν, καὶ
ταῖς σωματικαῖς ἐνδιατρίβων ποιότησιν, ὧν Λά-
βαν ἐστὶν ἔξαρχος· ὄνομα δὲ ποιότητος τοῦτ' ἐστίν·
E ἀλλὰ μετανάστην χρὴ γενέσθαι εἰς τὴν πα-
τρῴαν γῆν, τοῦ ἱεροῦ λόγου καὶ τρόπον τινὰ τῶν
ἀσκητῶν πατρὸς ἤδη ἐστὶ σοφία, τῶν φιλαρέτων
ψυχῶν ἐνδιαίτημα ἄριστον. ἐν ταύτῃ τῇ χώρᾳ,
καὶ γένος ἐστί σοι τὸ αὐτομαθὲς, τὸ αὐτοδίδακτον,
τὸ νηπίας καὶ γαλακτώδους τροφῆς ἀμέτοχον, τὸ
χρησμῷ θείῳ καταβαίνειν εἰς Αἴγυπτον κεκω-
λυμένον, καὶ τῆς σαρκὸς ἐντυγχάνειν δελεαζού-
σαις ἡδοναῖς, ἐπίκλησιν Ισαάκ, οὗ τὸν κλῆρον
παραλαβὼν, ἐξ ἀνάγκης ἀποθήσῃ τὸν πόνον. αἱ

γὰρ ἀφθονίαν τῶν ἑτοίμων καὶ κατὰ χεῖρας ἀγαθῶν, ἀπονοίας αἴτιαι· πηγὴ δ' ἀφ' ἧς ὀμβρεῖ τἀγαθά, ἡ τοῦ φιλοδώρου θεοῦ συνουσία ἐστίν· οὗ χάριν ἐπισφραγιζόμενος τὰς εὐεργεσίας φησί, Ἔσομαι μετὰ σοῦ. τί ἂν οὖν ἐπιλείποι καλόν, τοῦ τελεσφόρου πάντως παρόντος θεοῦ μετὰ χαρίτων τῶν παρθένων αὐτοῦ θυγατέρων, ἃς ἀδιαφθόρους καὶ ἀμιάντους ὁ γεννήσας πατὴρ κουροτροφεῖ. τότε μὲν μελέται καὶ πόνοι καὶ ἀσκήσεις ἡσυχάζουσιν, ἀναδίδοται δ' ἄνευ τέχνης φύσεως προμηθείᾳ πάντα ἀθρόα πᾶσιν ὠφέλιμα. καλεῖται δ' ἡ φορὰ τῶν αὐτοματιζομένων ἀγαθῶν ἄφεσις, ἐπειδήπερ ὁ νοῦς ἀφεῖται τῶν κατὰ τὰς ἰδίας ἐπιβολὰς ἐνεργειῶν, καὶ ὥσπερ τῶν ἑκουσίων ἠλευθέρωται διὰ τὴν πληθὺν τῶν ὑομένων καὶ ἀδιαστάκτως ἐπομβρούντων. ἔστι δὲ ταῦτα θαυμασιώτατα φύσει καὶ περικαλλέστατα. ὧν μὲν γὰρ ἂν ὠδίνῃ δι' ἑαυτῆς ἡ ψυχή, τὰ πολλὰ ἀμβλωθρίδια, ἠλιτόμηνα· ὅσα δ' ἂν ἐπιψεκάζων ὁ θεὸς ἄρδῃ, τέλεια καὶ ὁλόκληρα καὶ πάντων ἄριστα γεννᾶται. τὸ ἐμαυτοῦ πάθος ὃ μυριάκις παθὼν οἶδα, διηγούμενος οὐκ αἰσχύνομαι. βουληθεὶς ἔστιν ὅτε κατὰ τὴν συνήθη τῶν κατὰ φιλοσοφίαν δογμάτων γραφὴν ἐλθεῖν, καὶ ἃ χρὴ συντεῖναι ἀκριβῶς ἰδών, ἄγονον καὶ στεῖραν εὑρὼν τὴν διάνοιαν, ἄπρακτος ἀπηλλάγην, τὴν μὲν κακίσας τῆς οἰήσεως, τὸ δὲ τοῦ ὄντος κράτος καταπλαγείς, παρ' ὃν τὰς τῆς ψυχῆς ἀνοίγνυσθαί τε καὶ συγκλείεσθαι μήτρας συμβέβηκεν· ἔστι δ' ὅτε κενὸς ἐλθὼν πλήρης ἐξαίφνης ἐγενόμην, ἐπινιφομένων καὶ σπειρομένων ἄνωθεν ἀφανῶς τῶν ἐνθυμημάτων, ὡς ὑπὸ κατοχῆς ἐνθέου κορυβαντιᾶν, καὶ πάντα ἀγνοεῖν τὸν τόπον, τοὺς παρόντας, ἐμαυτόν, τὰ λεγόμενα, τὰ γραφόμενα. σχεδὸν γὰρ ἑρμηνείας εὕρεσιν φωτός, ἀπόλαυσιν, ὀξυδερκεστάτην ὄψιν, ἐνάργειαν τῶν πραγμάτων ἀριδηλοτάτην, οἵα γένοιτ' ἂν δι' ὀφθαλμῶν ἐκ σαφεστάτης δείξεως. τὸ μὲν οὖν δεικνύμενον, τὸ ἀξιέραστον, καὶ ἀξιοθέατον, καὶ ἀξιέπαινόν ἐστι, τὸ τέλειον ἀγαθόν, ὃ καὶ τὰς τῆς ψυχῆς πικρίας πέφυκε μεταβάλλειν γλυκύτητι, ἡδυσμάτων συμπάντων ἄρτυμα κάλλιστον, δι' οὗ καὶ τὰ μὴ τρέφοντα τροφὴ γίνεται σωτήριος. λέγεται γὰρ ὅτι ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, τὸν κεχυμένον καὶ πλαδῶντα καὶ πικρίας γέμοντα νοῦν, ἵνα γλυκανθεὶς ἡμερωθῇ. τὸ δὲ ξύλον τοῦτο οὐ μόνον τροφήν, ἀλλὰ καὶ ἀθανασίαν ἐπαγγέλλεται· τὸ γὰρ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ φησὶ πεφυτεῦσθαι, τὴν ἀγαθότητα δορυφορουμένην ὑπὸ τῶν κατὰ μέρος ἀγαθῶν,

A nam copia parata bonorum affluentium parit otium. fons autem vnde bona promanant, est cum benigno Deo familiaritas. ideo quasi obsignans sua beneficia dicit, Ero tecum. Quid igitur boni defuerit præsente omnipotente Deo cum filiabus suis Gratijs virginibus, quas incorruptas inuiolatásque seruat in castitate genitor. Tunc cessant meditationes, labores, exercitia, & naturæ benignitate sine arte proueniunt aceruatim cuncta commoda. qui prouentus spontaneus rerum bonarum,
B vocatur dimissio: quoniam mens dimittitur à suis operationibus, & quasi vltro manumittitur propter copiam ingentem more imbris depluētem continue. Sunt autem hæc miratu dignissima ob natiuam pulchritudinem. nam siquid anima ex seipsa parturit, plerunque abortiuum & immaturum gignitur: è diuerso integrum absolutúmque quicquid in eam diuinitus impluit. non pudebit me fateri, quod mihi ipsi accidit
C sæpissime. Aggressus scribere de receptis vulgo philosophorum dogmatibus, & exacte sciens quid dicendum esset, reperi mentem nolle quicquam parere, atque ita recessi re infecta, damnatis eius opinationibus, admiratus potentiam eius Qui est, aperientis claudentísque vuluas animæ. Interdum autem vacuus accedens, plenus repente factus sum, niuis imbrísque more superne incidentibus cogitationibus, vt quasi numine correptus, nec locum agnoscerē,
D nec præsentes, nec meipsum & quæ disserebam aut scribebam. Certe nominis illius interpretatio significat inuentionem & vsum lucis, visum acutissimum, euidentiam rerum manifestam, qualis oculis ex clara demonstratione percipitur. cæterum quod ostenditur, est illud visu, spectatu, amore dignum bonum perfectum, quod vim habet animæ quoque amaritudines in dulcedines vertendi, condimentis omnibus & lauticijs melius, quo adhibito etiam quæ nutritiua non sunt, pro salutari
E cibo in vsum veniunt. Dicit enim scriptura, quod ostendit ei Dominus lignum, & iniecit in aquam: videlicet in fluidam, mollem, amarulentámque mentem, vt suauior redderetur ac mitior. id lignum non modo cibum, sed & immortalitatem pollicetur. Nam lignū in medio paradisi plantatum legimus, bonitatem stipatam bonis indiuiduis & particularibus, horúmque actionibus.

nam ipsa medium & potissimum locum in anima sortita est. Per videntem autem sapiens intelligitur, quandoquidē insipiētes aut cæci sunt, aut hebetes habent oculos. ideo prisci prophetas vocabant videntes. & meditator ille qui aures oculis posthabuerat, audita cernere cupiens, visionem consecutus est, quia iam auditum transcenderat. Iacob enim quod nomen disciplinam significat, mutato charactere in videntem Israelem recuditur, atque ita lucem diuinam aspicit, quæ est scientia: per quam aperitur oculus animæ, & ad rerum perspicuas euidentésque comprehensiones deducitur. sicut enim cantus per musicam, & per quamque artem sua subiecta concipiuntur, ita per sapientiam sapiētes contemplationes. quæ non solum sicut lux, instrumentum videndi est, sed seipsam quoque videt. hæc in Deo solaris splendoris exemplar est, sol vero imago eius & effigies: cæterum qui indicat omnia, Deus solus sapiens. homines enim quia sapere videtur, sapientes dicuntur: Deus vero cum sit, minus quā est prædicatur. maiores enim sunt eius Qui est potentiæ, quàm vt vllis eloquijs explicari queant. Commendat autem suam sapientiam non solum per mundi opificiū, sed etiam quia cognitio creaturarum apud ipsum consistit certissime. Legimus enim quod vidit Deus omnia quæ fecerat: quod non sic accipitur quasi oculos coniecerit in singula, sed quod cognouerit cuncta, & sua scientia comprehenderit quæcunque fecerat. Decebat igitur vt ignorantes doceret, commonstrarétque alijs singula, ille solus sapiens, qui nulla iuuatur arte qua homines, sed ipse principium & fons artium scientiarúmque habetur confessione omnium. Illud vero caute dictum apparet, quod in promissione non præsens tempus, sed futurum præ definitur, dum dicit, non quam ostendo, sed quam ostendam tibi, in testimonium fidei qua hæc anima Deo credidit, non propter repræsentata gratias agens, sed expectationi futurorum intenta & à spe bona pendens, dubio procul existimans iam facta se habere quæ nondum aderant, potitam perfecto bono, propter fidem pollicentis certissimam. nam iterum dicitur, Credidit Abraham Deo. Mosi quoque cum vniuersam terrā promissam ostendisset, ait: Ostendi quidem oculis tuis, tu tamen non intrabis in eam. Quod haudqua-

A καὶ τὴν κατ᾽ αὐτὰς προεξῆρον. αὕτη γὰρ τὸν μεσαίτατον καὶ ἄριστον ἐν ψυχῇ κεκλήρωται τόπον. ὁ δὲ ὁρῶν ἐστὶν ὁ σοφός. τυφλοὶ γὰρ ἢ ἀμυδροὶ τὰς ὄψεις, οἵ γε ἄφρονες· διὰ τοῦτο καὶ τοὺς προφήτας ἐκάλουν πρότερον βλέποντας· καὶ ὁ ἀσκητὴς ἐσπούδασεν ὦτα ὀφθαλμῶν ἀντιδοὺς, ἰδεῖν ἃ πρότερον ἤκουσε, καὶ τυγχάνει τοῦ καθ᾽ ὅρασιν κλήρου, τὸ ἐξ ἀκοῆς ὑπερβάς. εἰς γὰρ τὸν ὁρῶντα Ἰσραὴλ μεταχαράττεται τὸ μαθήσεως καὶ διδασκαλίας νόμισμα, οὗ περ ἐπώνυμος ἦν Ἰακὼβ, δι᾽
B οὗ καὶ τὸ ὁρᾶν γίνεται φῶς τὸ θεῖον ἀδιαφοροῦν ἐπιστήμης, ἣ τὸ τῆς ψυχῆς διοίγνυσιν ὄμμα, καὶ πρὸς τὰς ὤπων τηλαυγεστάτας καὶ περιδηλοτάτας ἄγει καταλήψεις. ὡς περ γὰρ διὰ μουσικῆς τὰ κατὰ μουσικὴν, καὶ διὰ πάσης τέχνης τὰ ἐν ἑκάστῃ καταλαμβάνεται. οὕτω καὶ διὰ σοφίας τὸ σοφὸν θεωρεῖται. σοφία δὲ οὐ μόνον φωτὸς τρόπον ὄργανον τοῦ ὁρᾶν ἐστὶν, ἀλλὰ καὶ αὑτὴν ὁρᾷ. αὕτη θεοῦ τὸ ἀρχέτυπον, ἡλίου φέγγος, οὗ μίμημα καὶ εἰκὼν ἥλιος. ὁ δὲ
C δεικνὺς ἕκαστα, ὁ μόνος ἐπιστήμων θεός. ἄνθρωποι μὲν γὰρ, τὸ δοκεῖν ἐπίστασθαι, λέγονται μόνον ἐπιστήμονες· ὁ δὲ θεὸς, παρὰ τὸ εἶναι, ἔλαττον ἢ πέφυκε λέγεται. νικῶνται γὰρ ὑπὸ τῆς τοῦ ὄντος δυνάμεως οἱ περὶ αὐτὸν ἅπαντες ἅπαξ λόγοι· τὴν δὲ σοφίαν αὐτοῦ διαπιστώσασιν οὐ μόνον ἐκ τοῦ τὸν κόσμον δεδημιουργηκέναι, ἀλλὰ καὶ ἐκ τοῦ τὴν ἐπιστήμην τῶν γεγονότων ἱδρυκέναι βεβαιότητα παρ᾽ ἑαυτῷ. λέγεται γὰρ ὅτι εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησεν, οὐκ ἴσον τῷ, ὄψιν ἑκάστοις προσέβαλεν, ἀλλ᾽ εἴδησιν
D καὶ γνῶσιν καὶ κατάληψιν ὧν ἐποίησεν. εἶχε τοίνυν εὐπρεπὲς ὑφηγεῖσθαι καὶ διδάσκειν καὶ δεικνύναι τὰ καθ᾽ ἕκαστα τοῖς ἀγνοοῦσιν, ὅτι μὴ τῷ ἐπιστήμονι, ὅστις οὐχ ὡς ἄνθρωπος ὑπὸ τέχνης ὠφελεῖται, ἀλλ᾽ αὐτὸς ἀρχὴ καὶ πηγὴ τεχνῶν καὶ ἐπιστημῶν ἀνωμολόγηται. παρατετηρημένως δὲ οὐ τὸν ἐνεστῶτα, ἀλλὰ τὸν μέλλοντα τῇ ὑποσχέσει χρόνον προσδιώρισται, εἰπὼν, οὐχ ἣν δείκνυμι, ἀλλ᾽ ἥν σοι δείξω, εἰς μαρτυρίαν πίστεως ἣν ἐπίστευσεν ἡ ψυχὴ
E θεῷ, οὐκ ἐκ τῶν ἀποτελεσμάτων ἐπιδεικνυμένη τὸ εὐχάριστον, ἀλλ᾽ ἐκ προσδοκίας τῶν μελλόντων, ἀρτηθεῖσα καὶ ἐκκρεμασθεῖσα ἐλπίδος χρηστῆς, καὶ ἀνενδοίαστα νομίσασα ἤδη παρεῖναι τὰ μὴ παρόντα, διὰ τὴν τοῦ ὑποσχομένου βεβαιοτάτην πίστιν, καὶ ἀγαθὸν τέλειον ἆθλον εὕρηται. καὶ γὰρ αὖθις λέγεται, ὅτι ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ. καὶ Μωσεῖ δὲ ὁμοίως πᾶσαν ἐπιδειξάμενος τὴν γῆν, φησὶν ὅτι ἔδειξα τοῖς ὀφθαλμοῖς σου, κἀκεῖ οὐκ εἰσελεύσῃ. μὴ μέντοι νομίσῃς ἐπὶ καθαιρέσει

A τοῦ πανσόφου, ὡς ὑπολαμβάνουσιν ἔνιοι τῶν ἀπερισκέπτων, τοῦτο εἴρηται· καὶ γὰρ εὔηθες τοὺς δούλους οἴεσθαι περὶ τῶν φίλων τοῦ θεοῦ τὴν ἀρετῆς χώραν διανέμεσθαι· ἀλλὰ πρότερον ἐκεῖνό σοι βούλεται παραστῆσαι, ὅτι ἕτερος νηπίων καὶ ἕτερος τελείων χῶρός ἐστιν, ὁ μὲν ὀνομαζόμενος ἄσκησις, ὁ δὲ καλούμενος σοφία· ἔπειτα ὅτι τὰ κάλλιστα τῶν ἐν τῇ φύσει ὁρατὰ μᾶλλόν ἐστι, ἢ κτητά. κτήσασθαι μὲν γὰρ τῆς θειοτέρας μοίρας λαχόντα πῶς ἔνεστιν; ἰδεῖν δὲ οὐκ ἀδύνατον, ἀλλ' οὐχ ἅπασιν. εἴη δ' αὖ μόνῳ τῷ καθαρωτάτῳ καὶ ὀξυωπεστάτῳ γένει, ᾧ τὰ B ἴδια ἐπιδεικνύμενος ὁ τῶν ὅλων πατὴρ ἔργα, μεγίστην πασῶν χαρίζεται δωρεάν. θεωρητικοῦ γὰρ τίς ἀμείνων βίος, ἢ μᾶλλον οἰκειούμενος λογικῷ; διὰ τοῦτο καὶ τῆς τῶν θνητῶν ζώων φωνῆς κριτήριον ἐχούσης ἀκοήν, τοὺς τοῦ θεοῦ λόγους οἱ χρησμοὶ φωτὸς τρόπον ὁρωμένους μηνύουσι. λέγεται γάρ, ὅτι πᾶς ὁ λαὸς ἑώρα τὴν φωνήν, οὐκ ἤκουεν· ἐπειδήπερ οὐκ ἀέρος πλῆξις ἦν διὰ τῶν στόματος καὶ γλώττης ὀργάνων γινομένη, ἀλλὰ φέγγος ἀρε- C τῆς τὸ περιαυγέστατον, λογικῆς ἀδιαφορῶν πηγῆς, ὃ καὶ ἑτέρωθι μηνύεται τὸν τρόπον τοῦτον, Ὑμεῖς ἑωράκατε ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς, οὐχὶ ἠκούσατε, διὰ τὴν αὐτὴν αἰτίαν. ἔστι δ' ὅπου τὰ ἀκουστὰ τῶν ὁρατῶν, καὶ ἀκοὴν ὁράσεως διακρίνει λέγων, Φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν, ἄγαν περιττῶς. τὴν μὲν γὰρ εἰς ὄνομα καὶ ῥῆμα καὶ συνόλως τὰ τοῦ λόγου μέρη τεμνομένην, ἀκουστὴν εἰκότως εἶπεν· ὑπὸ γὰρ ἀκοῆς δοκιμάζεται· D τὴν δὲ μὴ ῥημάτων μηδ' ὀνομάτων, ἀλλὰ θεοῦ φωνήν, ὁρωμένην τῷ τῆς ψυχῆς ὄμματι, ὁρατὴν δεόντως εἰσάγει. προειπὼν δὲ τό, ὁμοίωμα οὐκ εἴδετε, ἐπιφέρει, ἀλλ' ἢ φωνὴν ἣν πάντες εἴδετε. τὸ γὰρ προσυπακουόμενον, τοῦτ' ἂν εἴη. ὥστε οἱ μὲν τοῦ θεοῦ λόγοι ὅρασιν ἔχουσι τὴν ἐν ψυχῇ κριτήριον, ἀκοὴν δὲ εἰς ὀνομάτων καὶ ῥημάτων ἰδέας μεριζόμενοι. καινὸς δὴ ὢν ἐν ἅπασι τὴν ἐπιστήμην, καὶ τοῦτ' ἰδίως καὶ ξένως κεκαινούργηκεν, εἰπὼν E ὁρατὴν εἶναι τὴν φωνήν, τὴν μόνην σχεδὸν τῶν ἐν ἡμῖν οὐχ ὁρατὴν, ὑπεξῃρημένης διανοίας. τὰ μὲν γὰρ κατὰ τὰς ἄλλας αἰσθήσεις, πάνθ' ὁρατά, τὰ χρώματα, οἱ χυλοί, οἱ ἀτμοί, τὰ θερμά, τὰ ψυχρά, τὰ λεῖα, τὰ τραχέα, τὰ μαλακὰ καὶ σκληρὰ ᾗ σώματα. τί δέ ἐστι τοῦτο, σαφέστερον ἐρῶ. ὁ χυλὸς ὁρατός ἐστιν, οὐχ ᾗ χυλός, ἀλλ' ᾗ μόνον σῶμα. τὸ γὰρ ᾗ χυλός, εἴσεται ἡ γεῦσις· καὶ ὁ ἀτμός, ᾗ μὲν ἀτμός, ὑπὸ ῥινῶν ἐξετασθήσεται,

quàm intelligendum est de interitu illius sapientissimi, vt quidam inconsiderati suspicantur. Stultũ enim fuerit putare seruis potius quã amicis agros virtutis diuisos. Sed illud in primis docere nos scriptura vult, alium esse locum infantium, alium maturioris ætatis: quorum alteri nomen est meditatio, alteri sapiẽtia. deinde res in omni natura pulcherrimas videri magis quàm teneri. teneri enim cum sint diuinioris sortis qui possunt? cerni vero possunt, sed nõ ab omnibus. à solo autem cernuntur purissimo acerrimique visus genere, cui rerum pater ostendens opera sua, maximum hoc largitur beneficium. nam quæ potest esse vita præstantior, quàm contemplatiua, quæ ratione prædito conuenientior? Quapropter cum etiam mortalium animantium voces auditus sensu iudicentur, Dei verba lucis modo videri ex diuinis oraculis discimus. dicunt enim quòd totus populus videbat vocem, non audiebat. quia non erat hic aer plectro linguæ percussus, sed splendor virtutis lucidissimus, à rationali fõte nihil differens, quod & aliubi significatur hoc modo. Vos vidistis quòd è cælo sum locutus ad vos. non dicit audistis, propter eandem causam. Interdum tamen à visis audita, & aspectum ab auditu discernit dicens: Vocem verborum vos audistis, nec vllam similitudinem vidistis, nisi vocem. satis expresse. Eam enim quæ in nomina, verba, cæterásque orationis partes secatur, auditam dicit merito. hæc enim auditu censetur. Eam vero quæ sine verbis ac nominibus Dei vox est, animæ oculo conspicua, recte visam inducit. Cum enim dixisset, similitudinem non vidistis, subijcit, nisi vocem quam omnes vidistis. hoc enim subauditur. itaque Dei sermones dijudicantur visu animæ, auditu vero isti qui partiuntur in nominũ verborúmque species. cum autem per omnia mirificam scriptor hic præ se ferat scientiam, hoc quoque loco mire nouauit stilum, dicens visam vocem, cum pene nihil sit in nobis aliud quod non videatur, excepta mente. nam quæ ad alios sensus attinent omnia sunt visibilia, colores, sapores, vapores, calida, frigida, aspera, leuia, dura, molliáque inquantum sunt corpora. Dicam apertius. Sapor visibilis est, non inquantũ sapor, sed inquantum corpus. nam inquantum sapor, gustu noscitur. item vapor, inquantum vapor, naribus examinatur:

inquantum corpus, oculis. Idem iudicium est & de cæteris. Vox autem, nec quatenus auditur, nec quatenus corpus est, si tamen est corpus, naturam habet visibilem, sed hæc duo nobis insunt inuisibilia, mens & oratio. verùm non est similis noster sonus diuinæ vocis instrumento. nam noster sermo miscetur aeri, atque ita ad aures locum sibi cognatum refugit. diuinus vero sincerus & impermixtus est, effugiens aures propter subtilitatem, animæ soli repente conspicuus, propter visum ipsius acutissimum. quæ postquam reliquit mortalia, primam hanc, sicut iam diximus, à Deo gratiam accipit, vt res immortales contemplationi suæ subiectas queat aspicere. secundam, incrementum virtutum tam numero quàm magnitudine. Dicit enim: Et faciam te in gentem magnam: per gentem, multitudinem, per magnam, incrementum in melius significans. Hanc quantitatem vtriusque speciei, tam magnitudine quàm multitudine auctam, indicat & Ægyptius ille rex: Ecce, inquit, genus filiorum Israel, magna multitudo. Vtrumque adesse testatur videnti cum Qui est generi, multitudinem & magnitudinem, habenti vitæ rationisque bona opera. non enim sicut ordo verborum poscere videbatur, multam multitudinem, sed magnam dixit, sciens multam per se imperfectam esse magnitudinem, nisi accedat vis intelligentiæ scientiæque. Quid enim prosunt multæ contemplationes, ni singulæ conueniens incrementum accipiant? nam ne ager quidem probatur, in quo innumeræ plantæ sunt humiles, nulla vero stirps satis exculta, quæ iam fructum proferre possit. magnitudinis autem multitudinisque bonorum & initium & finis est indefinens Dei memoria, atque inuocatio superni auxilij contra ciuilem tumultum cum quo semper in hac vita conflictamur. dicit enim: Ecce populus sapiens & sciens, gens & portio hæc. quæ est enim gens aut portio cui Deus sic appropinquat, sicut Dominus Deus noster quotiescunque illum inuocauerimus. Ergo liquet esse apud Deum potentiam quæ ad opem nobis ferendam excubat, & ipsum rerũ principẽ succurrere his qui digni sunt. Sed qui sunt digni hac gratia? quis dubitet quod amatores omnes sapientiæ & scientiæ? Hi sunt enim ille sapiens & sciens populus de quo supra dixit,

A ἢ δὲ σῶμα, καὶ πρὸς ὀφθαλμῶν, τὰ δ᾽ ἄλλα ταύτῃ δοκιμασθήσεται. φωνὴ δ᾽ οὔθ᾽ ὡς ἀκουστόν, οὔθ᾽ ὡς σῶμα, εἰ δὴ καὶ σῶμά ἐστιν, ὁρατὸν εἶναι πέφυκεν, ἀλλὰ δύο ταῦτα τῶν ἐν ἡμῖν ἀόρατα, νοῦς τε καὶ λόγος. ἀλλὰ γὰρ οὐχ ὡμοίωται τὸ ἡμέτερον ἤχημα τῷ θείῳ φωνῆς ὀργάνῳ. τὸ μὲν γὰρ ἡμέτερον ἀέρι κίρναται, καὶ πρὸς τὸν συγγενῆ τόπον καταφεύγει τὰ ὦτα· τὸ δὲ θεῖον ἀκρατὲς καὶ ἀμιγές ἐστι λόγου, φθάνοντος μὲν ἀκοὴν διὰ λεπτότητα, ὁρωμένου δ᾽ B ὑπὸ ψυχῆς ἀκραιφνοῦς, διὰ τὴν ἐν τῷ βλέπειν ὀξύτητα. Οὐκοῦν μετὰ τὴν ἀπόλειψιν τῶν θνητῶν, πρώτην ὁ θεὸς χαρίζεται τῇ ψυχῇ δωρεὰν ὡς ἔφην, ἐπίδειξιν καὶ θεωρίαν τῶν ἀθανάτων· δευτέραν τὴν εἰς τὸ πλῆθος ὁμοῦ καὶ μέγεθος τῶν ἀρετῆς δογμάτων ἐπίδοσιν. λέγει γάρ, Καὶ ποιήσω σε εἰς ἔθνος μέγα, διὰ μὲν τοῦ ἔθνους τὸ πλῆθος, διὰ δὲ τοῦ μεγάλου τὴν πρὸς τὸ ἄμεινον αὔξησιν παραλαμβάνων· τὴν δὲ τοῦ ποσοῦ καθ᾽ ἑκάτερον εἶδος, τό, τε ἐν μεγέθει καὶ τὸ ἐν πλήθει, C παραύξησιν διασυνίστησι καὶ ὁ τῆς Αἰγύπτου βασιλεύς. Ἰδοὺ γάρ, φησί, τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος. ἐπειδή γε ἀμφότερα τῷ ὁρατικῷ τοῦ ὄντος γένει προσμαρτυρεῖ, πλῆθός τε καὶ μέγεθος, κτησαμένῳ τὰ περὶ τὸν βίον καὶ λόγον κατορθώματα. οὐ γὰρ ὅπερ ἄν τις τὸν ἐν τοῖς ὀνόμασιν εἱρμὸν διαφυλάττων, πολὺ πλῆθος, ἀλλὰ μέγα εἶπεν, εἰδὼς τὸ πολὺ καθ᾽ αὑτὸ ἀτελὲς μέγεθος, εἰ μὴ προσλάβοι δύναμιν νοήσεως καὶ ἐπιστήμης. τί γὰρ ὄφελος πολλὰ μὲν θεωρήματα περι- D λαμβάνειν, ἕκαστον δ᾽ αὐτῶν εἰς τὸ ἁρμόττον μέγεθος μὴ συναυξῆσαι. οὐδὲ γὰρ ἀγρὸς τέλειος, ᾧ μυρία μὲν ὅσα ὑπάρχει φυτὰ χαμαίζηλα, τέλειον δ᾽ μηδὲν ἔρνος γεωργικῇ τέχνῃ συνανεβλάστησεν, ἤδη καρποτοκεῖν δυνάμενον. τοῦ δὲ μεγέθους καὶ πλήθους ἀρχὴ τῶν καλῶν καὶ τέλος, ἡ ἀδιάστατος ἀεὶ θεοῦ μνήμη, καὶ ἡ ἐπίκλησις τῆς ἀπ᾽ αὐτοῦ συμμαχίας πρὸς τὸν ἐμφύλιον καὶ συγκεχυμένον καὶ συνεχῆ τοῦ βίου πόλεμον. λέγει E γάρ, Ἰδοὺ λαὸς σοφὸς καὶ ἐπιστήμων, τὸ ἔθνος, τὸ μέγα τοῦτο, ὅτι ποῖον ἔθνος μέγα, ᾧ ἐστι θεὸς ἐγγίζων, ὡς κύριος ὁ θεὸς ἡμῶν ἐν πᾶσιν εἰς ἃ ἂν αὐτὸν ἐπικαλεσώμεθα. Οὐκοῦν ὅτι καὶ πρὸς βοήθειαν δύναμις ἀρωγὸς εὐτρεπὴς ἐφεδρεύει παρὰ θεῷ, καὶ αὐτὸς ὁ ἡγεμὼν ἐγγυτέρω πρόσεισιν ἐπ᾽ ὠφελείᾳ τῶν ἀξίων ὠφελεῖσθαι, δεδήλωται. τίνες δ᾽ οἱ τούτου τυγχάνειν ἄξιοι εἰσίν· ἢ δηλονότι οἱ σοφίας καὶ ἐπιστήμης ἐρασταὶ πάντες; οὗτοι γάρ εἰσιν ὁ σοφὸς καὶ ἐπιστήμων ὃν εἶπε λαός,

ὧν

ὧν ἕκαστος μέγας εἰκότως ἐστὶν, ἐπὶ μεγάλων ὀρέγεσθαι, ἑνὸς δὲ καὶ λίαν περιβαλλόντως, τοῦ μὴ διαζευχθῆναι θεοῦ τοῦ μεγίστου, ἀλλὰ τὴν πρόσοδον αὐτοῦ συνεγγίζοντος ἀθρόως ἄνευ καταπλήξεως ὑπομεῖναι. οὗτος ὅρος ἐστὶ τοῦ μεγάλου ἔθνους, τὸ τῷ θεῷ συνεγγίζειν, ἢ ᾧ θεὸς συνεγγίζει. ὁ μὲν δὴ κόσμος καὶ ὁ κοσμοπολίτης σοφὸς, πολλῶν καὶ μεγάλων ἀγαθῶν διαπεπλήρωται· ὁ δ' ἄλλος ἀνθρώπων ὅμιλος, πλείοσι μὲν κέχρηται κακοῖς, ἀγαθοῖς δ' ἐλάττοσι. σπάνιον γὰρ ἐν πεφορημένῳ καὶ συγκεχυμένῳ βίῳ τὸ καλόν· διὸ καὶ ἐν χρησμοῖς ᾄδεται· οὐχ ὅτι πολυπληθεῖτε παρὰ πάντα τὰ ἔθνη, ἀλλὰ παρὰ τὸ ἀγαπᾶν κύριον ὑμᾶς. εἰ γάρ τις βουληθείη τὸν ὄχλον μιᾶς ψυχῆς ὥσπερ καὶ τὰ ἔθνη διανέμειν, πολλὰς μὲν ἂν εὕροι τάξεις ἀκοσμούσας, ὧν ἡδοναὶ ἢ ἐπιθυμίαι ἢ λῦπαι ἢ φόβοι, ἢ πάλιν ἀφροσύναι καὶ ἀδικίαι, καὶ αἱ τούτων συγγενεῖς καὶ ἀδελφαὶ ταξιαρχοῦσι· μίαν δὲ αὐτὸ μόνον εὖ διακεκοσμημένην, ἧς ὁ ὀρθὸς λόγος ἀφηγεῖται. παρὰ μὲν οὖν ἀνθρώποις, τὸ ἄδικον πλῆθος πρὸ ἑνὸς τοῦ δικαίου προτετίμηται, παρὰ δὲ τῷ θεῷ τὸ σπάνιον ἀγαθὸν πρὸ μυρίων ἀδίκων· ᾧ καὶ παραγγέλλει μηδέποτε τοιούτῳ συναρέσαι πλήθει. Οὐκ ἔσῃ γὰρ, φησὶν, μετὰ πολλῶν ἐπὶ κακίᾳ. ἆρ' οὖν μετ' ὀλίγων χρή; μετ' οὐδενὸς μὲν οὖν φαύλου. εἷς γὰρ ὢν ὁ φαῦλος, πολύς ἐστι κακίαις, ᾧ συντάττεσθαι, μεγίστη ζημία. τοὐναντίον γὰρ ἀνθίστασθαι καὶ πολεμεῖν ἀκαταπλήκτῳ χρωμένους δυνάμει προσήκει. Ἐὰν γὰρ, φησὶν, ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἴδῃς ἵππον, τὸ ὑπέραυχον καὶ σκιρτητικὸν πάθος ἀφηνιάζον, καὶ ἀναβάτην, τὸν ἐποχούμενον αὐτῷ φιλοπαθῆ νοῦν, καὶ λαὸν πλείονά σου, τοὺς ζηλωτὰς τῶν εἰρημένων φαλαγγηδὸν ἐπιόντας, οὐ φοβηθήσῃ ἀπ' αὐτῶν. εἷς γὰρ ὤν, ἑνὶ τῷ πάντων ἡγεμόνι χρήσῃ συμμάχῳ, ὅτι κύριος ὁ θεός σου μετὰ σοῦ. τούτου γὰρ ἡ σύνοδος καθαιρεῖ πολέμους, εἰρήνην ἀνοικοδομεῖ, τὰ πολλὰ καὶ συνήθη κακὰ ἀνατρέπει, τὸ σπάνιον καὶ θεοφιλὲς γένος ἀνασώζει, ᾧ πᾶς ὁ γνώριμος ὑπηκόως μισεῖ καὶ βδελύττεται τὰ τῶν γεωδεστέρων στίφη. ἃ γὰρ, φησὶ, πολυπληθεῖ ποσὶν ἐπὶ πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἐπὶ τῆς γῆς, οὐ φάγεσθε, ὅτι βδελύγματά ἐστιν. ἀλλ' οὐ μισουμένη ἐστὶν ἐπαξία ψυχὴ, ἡ καθ' ἓν μέρος, ἀλλ' ἡ κατὰ πάντα ἢ τὰ πλεῖστα βαίνουσα ἐπὶ τὴν γῆν, καὶ τὰ τοῦ σώματος πολυϊχνεύουσα, καὶ συνόλως εἰς τὰς οὐρανοῦ θείας περιόδους ἀνακύψαι μὴ δυναμένη. καὶ μὴν ὥσπερ τὸ πολύπουν, οὕτως καὶ τὸ ἄπουν

A in quo finguli meritò magni funt, quoniam magna cupiunt, id vnum præcipue, ne vnquam difiungantur à Deo maximo, fed acceffum eius propinquãtis conftanter & fine metu fufcipiant. hæc eft vifio magni Dei, cum quis aut illum accedit, aut aduentum eius excipit. Mundus fane & mundi ciuis fapiens, multis ac magnis bonis plenus eft. cætera verò turba hominum fæpius malis quam bonis vtitur. rarum enim bonum eft in vita confufa & tumultuaria. B quapropter in oraculis canitur: Non quia gentes omnes fuperatis multitudine, fed quia Dominus vos diligit. nam fi cui libeat turbam vnius animæ tanquam gentes diftribuere, multos inueniet turbatos ordines, quibus præfunt voluptates, concupifcentiæ, dolores, timores, item infipientiæ, iniquitates, & harum cognatæ germanæque cæteræ: vnum verò folum bene inftructum, qui à ratione ducitur. Et apud homines quidẽ iniufta multitudo pluC ris quam vnus iuftus æftimatur, apud Deum verò bonitas rara præfertur iniquis innumeris. ideo denunciat ne quis vnquam faueat tali multitudini. Non eris, inquit, focius multorum in malicia. Quid fi paucorum? imò ne vnius quidem mali. nam malus vel vnus, multiplex eft vitijs, cuius focietas damnum affert maximum. præftat refiftere talibus, & fortiter cum eis bellum gerere. Si, inquit, profectus in militiam contra hoftes tuos videris equum, fuper-D bum, petulantem effrenémque affectũ, & afcenforem infidentem ei mentem affectibus deditam: & populum numerofiorem te, fectatores modo dictorum condenfatæ phalangis more in te ruentes: caue timeas tibi ab eis. nam vnus cum fis, auxiliarium habebis vnum illum rectorem vniuerforum, quoniam Dominus Deus tuus tecum eft. huius enim acceffio bella profligat, pacem inftaurat, multa inueterata mala fubuertit, rarum & Deo carum genus conferE uat: quem Dominũ quifquis agnofcit, odit execratúrque cateruas terrenorum hominum. Præceptum eft enim, quæcunque multos pedes habent inter omnia reptilia terræ nolite comedere, quia funt abominanda. Non eft tamen abominabilis anima quæ vna fui parte repit in terra, fed quæ omnibus aut plurimis, hærens veftigijs corporis, nec valens ad diuinos cæli curfus caput attollere. atqui ficut multipedes, ita pedibus carẽtes

reptiles bestiolæ damnantur, illæ propter causam iam dictam, hæ quia totæ humi iacent, & ne minimum quidem attolluntur ab ea. ait enim, omne quod super ventrem graditur impurum esse, subindicans deditos ventris voluptatibus. nonnulli autem his nequiores, non contenti solius concupiscentiæ genere, acquisiuerunt insuper germanum eius affectum iracundiam, vt confirmatis brutis animæ partibus, mentem omnino delerent. quod enim verbis de serpente dictum est, reuera de quouis bruto & affectibus dedito homine diuinum est oraculum: Super pectus & ventrem ingredieris. nam circa pectus ira est, in ventre concupiscentia. cæterum insipiens super vtraque semper ingreditur iram & concupiscentiam, nunquam cessando ex quo aurigam ac præsidem rationem reiecit. alius è diuerso iram & concupiscentiam exstirpat, Dei verbo se gubernãdum committens, sicut & Moses ille Deo carissimus, qui quoties animi holocautomata immolat, ventrem quidem eluit, id est totam concupiscentiæ speciem repurgat: pectusculum autem de ariete consecrationis aufert, omnem iram pacis inimicam, vt reliqua animæ pars potior, videlicet rationalis, nulla re distrahẽte, ingenuis oculis intueri possit omnium rerum bonarum pulchritudinem. sic enim & numero & magnitudine augebitur. Scriptũ est enim: Quovsque exasperabit me iste populus? quovsque non credent mihi incisque prodigijs quæ feci inter eos? percutiam eos morte & perdam eos: & faciam te domũque tui patris in gentẽ maiorem frequentiorẽque hac. deleto enim ex anima vulgo irarum ac concupiscentiarũ, omnino partes eius rationales assurgent & vires recipient. Quẽadmodũ autem multipedũ & pedibus carentiũ reptilium genera cum sint cõtraria inter impura cẽsentur: sic opiniones nullũ Deum aut multos credentiũ, quamuis cõtrariæ, sunt ex æquo profanæ. argumento est, quod vtrãque lex arcet à sacro cœtu, ei qui Deum negat, vt spadoni castrato interdicens concione, multorũ vero Deorum assertorem, vt è scorto natũ vetans pro concione vel audire quicquã vel dicere. Deũ enim negãs sterilis est: multos verò Deos asserẽs, è scorto natus, circa verũ parentẽ cæcutiens, & ideo multos pro vno genitores sibi adoptans. Duo dona Dei iam dixi,

A ἐν ἑρπετοῖς ψεκτόν, τὸ μὲν διὰ τὴν λεχθεῖσαν αἰτίαν, τὸ δὲ ὅτι ὅλον δι᾽ ὅλων πέπτωκεν ἐπὶ τὴν γῆν, καὶ οὐδὲ ἐπὶ τὸ βραχύτατον ἐξαιρόμενον. πάντα γὰρ τὸν πορευόμενον ἐπὶ κοιλίας, ἀκάθαρτον εἶναί φησι, τὸν ταῖς τῆς γαστρὸς ἡδοναῖς μεταδιώκοντα αἰνιττόμενος. ἔνιοι δὲ παραφουσβάλλοντες οὐ μόνον τῷ τῆς ἐπιθυμίας ἐχρήσαντο γένει, ἀλλὰ καὶ τὸ ἀδελφὸν αὐτῇ πάθος, τὸν θυμὸν προσεκτήσαντο, βουληθέντες ὅλον τὸ τῆς ψυχῆς ἄλογον ἐκζωπυρῆσαι μέρος, τὸν δὲ νοῦν
B διαφθεῖραι. τὸ γὰρ εἰρημένον, λόγῳ μὲν ἐπὶ ὄφεως, ἔργῳ δὲ ἐπὶ παντὸς ἀλόγου καὶ φιλοπαθοῦς ἀνθρώπου, χρησμὸς ὡς ἀληθῶς ἐστι θεῖος, Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ. περὶ μὲν γὰρ τὰ στέρνα ὁ θυμός, τὸ δὲ ἐπιθυμίας εἶδος ἐν κοιλίᾳ. πορεύεται δὲ ὁ ἄφρων δι᾽ ἀμφοτέρων θυμοῦ τε καὶ ἐπιθυμίας ἀεί, μηδένα διαλείπων χρόνον, τὸν ἡνίοχον καὶ βραβευτὴν λόγον ἀποβαλών. ὁ δὲ ἐναντίος τούτῳ, θυμὸν μὲν καὶ ἐπιθυμίαν ἐκτέτμηται, κυ-
C βερνήτην δὲ ἐπιγέγραπται θεῖον λόγον, καθὰ καὶ Μωϋσῆς ὁ θεοφιλέστατος, ὃς ὅταν τὰς ὁλοκαύτους τῆς ψυχῆς ἱερουργῇ θυσίας, τὴν μὲν κοιλίαν ἐκπλυνεῖ, τουτέστιν ὅλον τὸ ἐπιθυμίας εἶδος ἐκνίψεται, τὸ δὲ στηθύνιον ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως ἀφελεῖ, σύμπαντα δὴ τὸν πολεμικὸν θυμόν, ἵνα τὸ λοιπὸν μέρος καὶ ἄμεινον τῆς ψυχῆς τὸ λογικόν, μηδενὸς ἀντισπῶντος ἔτι καὶ μεθέλκοντος, ἐλευθέροις καὶ εὐγενέσιν ὀφθαλμοῖς τῷ ὄντι χρήσηται πρὸς τὰ καλὰ πάντα ὁρᾶν. οὕτως γὰρ εἴς τε πλῆθος καὶ
D μέγεθος ἐπιδώσει. λέγεται γάρ, Ἕως τίνος παροξυνοῦσί με ὁ λαὸς οὗτος, καὶ ἕως τίνος οὐ πιστεύουσί μοι ἐν πᾶσι τοῖς σημείοις οἷς ἐποίησα ἐν αὐτοῖς; πατάξω αὐτοὺς θανάτῳ καὶ ἀπολῶ αὐτούς, καὶ ποιήσω σὲ καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα καὶ πολὺ ἢ τοῦτο. ἐπειδὰν γὰρ ὁ θυμῶν καὶ ἐπιθυμιῶν χεόμενος πολὺς ὅμιλος καταλυθῇ τῆς ψυχῆς, πάντως αὐθις ὁ τῆς λογικῆς φύσεως ἐξηρτημένος, ἀνίσχει καὶ ἀνατέλλει. ὥσπερ δὲ τὸ πολύπουν καὶ ἄπουν ἐναντία ὄντα ἐν τῷ γένει τῶν ἑρπετῶν ἀκάθαρτα ἀνα-
E γράφεται, οὕτως καὶ ἡ ἄθεος καὶ πολύθεος ἀντίπαλοι ἐν ψυχῇ δόξαι βέβηλοι. σημεῖον δέ, ἀμφοτέρας ὁ νόμος ἐκκλησίας ἱερᾶς ἀπελήλακε, τὸν μὲν ἄθεον, τὸν θλαδίαν καὶ ἀποκεκομμένον εἴρξας ἐκκλησιάζειν· τὴν δὲ πολύθεον, τὸν ἐκ πόρνης ὁμοίως κωλύσας ἀκούειν ἢ λέγειν. ἄθεος μὲν ὁ ἄγονος, πολύθεος δὲ ὁ ἐκ πόρνης, τυφλώττων περὶ τὸν ἀληθῆ πατέρα, καὶ διὰ τοῦτο πολλοὺς ἀνθ᾽ ἑνὸς γονεῖς αἰνιττόμενος. δύο μὲν αὗται δωρεαὶ προείρηνται,

θεωρητικοῦ τε τῆς τοῦ βίου, καὶ πρὸς πλῆθος καὶ μέγεθος τῶν καλῶν ἐπίδοσις, τρίτη δ' ἐστὶν εὐλογία, ἧς ἄνευ βεβαιώσασθαι τὰς προτέρας χάριτας οὐκ ἔστι. λέγει γάρ, Καὶ εὐλογήσω σέ, τουτέστιν ἐπαινετὸν λόγον δωρήσομαι. τὸ γὰρ εὖ, πάντως ἐπ' ἀρετῆς. λόγος δὲ ὁ μὲν πηγῇ ἔοικεν, ὁ δὲ ἀπορροῇ· πηγῇ μὲν ὁ ἐν διανοίᾳ, προφορὰ δὲ ἡ ἀπὸ στόματος καὶ γλώττης ἀπορροῇ. ἑκάτερον δὲ εἶδος λόγου βελτιωθῆναι πολὺς πλοῦτος. διάνοιαν μὲν εὐλογιστίᾳ πρὸς πάντα μικρὰ καὶ μείζονα χρωμένην, προφορὰν δὲ ὑπὸ παιδείας ὀρθῆς ἡνιοχουμένην. πολλοὶ γὰρ λογίζονται μὲν τὰ βέλτιστα, ὑπὸ δὲ ἑρμηνέως κακοῦ προὐδόθησαν λόγου, μουσικὴν τὴν ἐγκύκλιον οὐκ ἐκπονήσαντες· οἱ δ' ἔμπαλιν, ἑρμηνεῦσαι μὲν ἐγένοντο δυνατώτατοι, βουλεύσασθαι δὲ φαυλότατοι, καθάπερ οἱ λεγόμενοι σοφισταί. τούτων γὰρ ἀχόρευτος μὲν καὶ ἄμουσος ἡ διάνοια, πάμμουσοι δὲ αἱ διὰ τῶν φωνητηρίων ὀργάνων διέξοδοι. χαρίζεται δὲ ὁ θεὸς τοῖς ὑπηκόοις ἀτελὲς οὐδέν, πλήρη δὲ καὶ τέλεια πάντα· διὸ καὶ νῦν τὴν εὐλογίαν, οὐχ ἑνὶ λόγου τμήματι, τοῖς δὲ μέρεσιν ἀμφοτέροις ἐπιπέμπει, δικαιῶν τὸν εὐεργετούμενον καὶ ἐνθυμεῖσθαι τὰ βέλτιστα, καὶ ἐξαγγέλλειν τὰ νοηθέντα δυνατῶς. ἡ γὰρ τελειότης δι' ἀμφοῖν, ὡς ἔοικε, τοῦ γε ὑποβάλλοντος τὰ ἐνθυμήματα καθαρῶς, καὶ τοῦ διερμηνεύοντος αὐτὰ ἀπταίστως. ἢ οὐχ ὁρᾷς τὸν Ἄβελ· ὄνομα δέ ἐστι τοῦ τὰ θνητὰ πενθοῦντος, καὶ τὰ ἀθάνατα εὐδαιμονίζοντος· ὡς ἀνεπιλήπτῳ μὲν κέχρηται διανοίᾳ, τῷ δὲ μὴ γεγυμνάσθαι περὶ λόγους ἥττηται πρὸς δεινοῦ παλαιστοῦ, καὶ τέχνῃ μᾶλλον ἢ ῥώμῃ περιγενέσθαι δυναμένου. διὸ καὶ θαυμάζων αὐτὸν τῆς περὶ τὴν φύσιν εὐμοιρίας, τὸν τρόπον αἰτιῶμαι τοῦτον, ὅτι προκληθεὶς εἰς ἅμιλλαν λόγων ἧκεν ἀγωνιούμενος, δέον ἐπὶ τῆς συνηθείας μένειν, πολλὰ χαίρειν φράσαντα τῷ φιλονείκῳ. εἰ δ' ἄρα ἐβούλετο πάντως διαγωνίσασθαι, μὴ πρότερον κονίσασθαι, ἢ τοῖς τεχνικοῖς παλαίσμασιν ἐνασκηθῆναι. τῶν γὰρ ἀγροικοσόφων οἱ τὰ πολιτικὰ κεκομψευμένοι, μάλιστά πως εἰώθασι περιεῖναι· διὸ καὶ Μωϋσῆς ὁ πάνσοφος, παραιτεῖται μὲν εἰς τὴν τῶν εὐλόγων καὶ πιθανῶν ἐπίσκεψιν ἐλθεῖν, ἀφ' οὗ τὸ ἀληθείας φέγγος ἤρξατο ὁ θεὸς ἐναστράπτειν αὐτῷ, διὰ τῶν ἐπιστήμης καὶ σοφίας ἀθανάτων λόγων· λέγεται δ' οὐδὲν ἧττον πρὸς τὴν θέαν αὐτῶν, οὐχ ἕνεκα τοῦ πλειόνων ἔμπειρος γενέσθαι πραγμάτων· ἀποχρῶσι γὰρ αἱ περὶ θεοῦ καὶ τῶν ἱερωτάτων αὐτοῦ δυνάμεων

A spem vitæ contemplatiuæ, & incrementum multitudinis bonorum ac magnitudinis: tertium autem est benedictio, sine qua non possunt confirmari priores gratiæ. dicit enim: Et benedicam tibi. εὐλογήσω, id est, laudatum sermonem dabo. nam illud Bene omnino virtutem significat. Sermo autem alius fonti, alius riuo est similis: fonti qui mente concipitur, riuo qui per os linguámque profluit. Vtramque hanc speciem in melius B proficere, magnæ sunt diuitiæ: dum mens ratione bona in magnis ac paruis rebus vtitur, sermo verò à recta institutione regitur. multi enim excogitant quidem optima, sed à malo interprete sermone destituuntur, imperiti musicæ vnius ex liberalibus artibus. alij contrà facundia pollentes, nihil valent consilio, vt sophistæ quos vocant. horum enim mens nec concentum habet nec musicam, sed quoties res plectro vocis agenda est, nihil C his eruditius. at Deus nihil suis largitur imperfectum, sed plena & absoluta omnia. quapropter hæc quoque benedictio integrum non dimidiatum sermonem confert, vt qui dignus habetur tam insigni beneficio, & excogitare valeat quæ sunt optima, & excogitata enunciare. nam perfectio videtur ex vtroque consistere, inuentione sincera, & inoffensa elocutione. Annon vides Abelem, quod nomen est mortalia lugentis, laudantis immortalia, quam D bona mente fuerit prædítus: qui tamen quia non satis exercitatus in dicendo fuerat, victus est ab aduersario magis arte quàm viribus. ideo cæteram eius naturæ felicitatem suspicio, hoc vnum in eo reprehendo, quòd prouocatus in certamen verborum descendit cum debuisset perstare in consuetis moribus, contempto prouocatore. quod si omnino concertatio placebat, debuerat tantisper abstinere à puluere, donec artes luctandi perdisceret. nam ru- E sticanam sapientiam vrbana elegantia plerunque solet vincere. quapropter & Moses ille sapientissimus vetatur quidem cum eloquentibus & disertis congredi, postquam ei diuinus splendor affulgere cœperat per immortales sermones sapientiæ scientiæque: permittitur tamen ad visendos eos ire, non vt fieret doctior aut rerum peritior: nam contemplatiuo homini sufficit Dei & sanctarum eius potentiarum inquisitio:

A sed vt palmam referret de sophistis Ægyptiacis, qui pluris faciunt arte confictas ad persuadendum fabulas, quam veritatem euidentissimam. Ergo cum mens versatur in Omnipotentis negotijs, non opus habet externis auxilijs. nam intelligibilia solus intellectus cernit acutissime. quod si quando se confert ad sensum, aut affectum, aut corpus, quæ per Ægyptum significantur, indigebit dicendi quoque arte ac facultate. quamobrem ducere secum Aaronem iubetur, hoc

B est eloquentiam. Nónne, inquit, habes Aaronem fratrem tuum? nam cum rationalis natura vna mater amborum sit, natos ex ea fratres intelligo, quicquid illa proloquitur. mentis enim est concipere, elocutionis verò proferre. Is, inquit, loquetur pro te. cum enim mens suas cogitationes vult depromere, propinquo suo sermone vtitur interprete, ad affectus suos exprimendos. Deinde sequitur: Ecce ipse oc-

C curret tibi obuiam. Siquidem reuera sermo cogitationibus occurrit, & addens ei verba nomináque format eas, quæ nullam antea formam habuerant. Et viso te, inquit, gaudebit in seipso. Gaudet enim sermo & fit alacrior, quãdo conceptus animi non est obscurus: quo prælucente decurrit expedite, proprijs, aptis, egregie significatiuis vocabulis affluens. quod si quando cogitationes non satis certæ sunt, per inane graditur, & sæpenumero collabitur gra-

D uiter, vt nequeat se amplius erigere. Et alloqueris eum, & dabis verba mea in os ipsius. Ac si diceret: Suggeres ei talia cogitata, qualia nihil à verbis & eloquijs Dei differunt. nam absque monitore sermo non sonabit. monitor autem sermonis, mens est, sicut mentem Deus commouet. Et ipse tibi alloquetur populum, & ipse erit pro ore tibi. tu verò apud Deum ages eius negocia. Satis diserte dixit, alloquetur tibi, id est, tuus interpres erit. item illud, Erit

E tibi pro ore. nam per linguam & os sermo profluit, secum cogitata proferens. Verùm sermo interpres mentis est apud homines, sermonis verò mens apud Deum. tunc enim cogitatio legatione fungitur, quam solus Deus introspicit. necesse est igitur vt cui certamen sophisticum imminet, sic eloquentiæ det operam, vt non solum aduersariorum petitiones declinet, sed vicissim in eos coortus tum arte vincat tum viribus.

A ζητήσεις τῷ φιλοθεάμονι· ἀλλ' ὑπὲρ τοῦ περιγενέσθαι τῶν ἐν Αἰγύπτῳ σοφιστῶν, ὅσοι μυθικὰς πιθανότητας περὶ τῆς τῶν ἀληθῶν ἐναργείας τετιμήκασιν. ὅταν μὲν οὖν τοῖς τοῦ πανηγεμόνος ἐμπεριπατῇ πράγμασιν ὁ νοῦς, οὐδενὸς ἑτέρου προσδεῖται πρὸς τὴν χρείαν· ἐπεὶ τῶν νοητῶν μόνη διάνοια ὀφθαλμὸς ὀξυωπέστατος· ὅταν δὲ καὶ τοῖς κατ' αἴσθησιν ἢ πάθος ἢ σῶμα, ὧν ἐστιν ἡ Αἴγυπτος χώρα σύμβολον, δεήσεται καὶ τῆς περὶ λόγους τέχνης ἐμοῦ καὶ δυνάμεως· οὗ χάριν ἐπάγεσθαι τὸν Ἀαρὼν αὐτῷ

B διείρηται, τὸν προφορικὸν λόγον. Οὐκ ἰδού, φησίν, Ἀαρὼν ὁ ἀδελφός σου; μιᾶς γὰρ ἀμφοῖν οὔσης τῆς λογικῆς φύσεως μητρός, ἀδελφὰ δήπου τὰ γεννήματα ἐπίσταμαι, ὅτι λαλεῖ. διανοίας μὲν γὰρ τὸ καταλαμβάνειν, προφορᾶς δὲ τὸ λαλεῖν ἴδιον. Λαλήσει, φησίν, αὐτός σοι. τὰ γὰρ ἐν αὐτῷ ταμιευόμενα μὴ δυνάμενος ὁ νοῦς ἀπαγγεῖλαι, τῷ πλησίον ἑρμηνεῖ χρῆται λόγῳ, πρὸς τὴν ὧν πέπονθε δήλωσιν. εἶτα ἐπιλέγει, Ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς

C συνάντησίν σοι· ἐπεὶ τῷ ὄντι ὁ λόγος τοῖς ἐνθυμήμασιν ὑπαντῶν, ῥήματα καὶ ὀνόματα προστιθεὶς, χαράττει τὰ ἄσημα, ὡς ἐπίσημα ποιεῖν. Καὶ ἰδών σε, φησί, χαρήσεται ἐν αὑτῷ, γηθεῖ γὰρ ὁ λόγος καὶ εὐφραίνεται, ὅταν μὴ ἀμυδρὸν ᾖ τὸ ἐνθύμημα, διότι τηλαυγοῦς ὄντος, ἀπταίστῳ καὶ εὐτρόχῳ διερμηνεύσει χρῆται, κυρίων καὶ εὐθυβόλων καὶ γεμόντων πολλῆς ἐμφάσεως εὐπορῶν ὀνομάτων. ἐπειδὰν γοῦν ἀδηλότερά πως ᾖ τὰ νοήματα, κατὰ κενοῦ βαίνει, καὶ ὀλισθὼν πολλάκις μέγα πτῶμα ἔπεσεν, ὡς μηκέ-

D τι ἀναστῆναι δύνασθαι. Καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ, ἴσον τῷ, ὑπηχήσεις αὐτῷ τὰ ἐνθυμήματα, ἃ ῥημάτων καὶ λόγων ἀδιαφορεῖ θείων. ἄνευ γὰρ τοῦ ὑποβολέως οὐ φθέγξεται ὁ λόγος· ὑποβολεὺς δὲ λόγου νοῦς, ὡς νοῦ θεός. Καὶ αὐτός σοι προσλαλήσει πρὸς τὸν λαόν, καὶ αὐτὸς ἔσται σου στόμα. σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν θεόν. ἐμφαντικώτατα, τὸ, Προσλαλήσει σοὶ φάναι, δηλοῖ διερμηνεύσει τὰ σά, καὶ

E ὅτι ἔσται σου στόμα. διὰ γὰρ γλώττης καὶ στόματος φερόμενον τὸ τοῦ λόγου νᾶμα, συνεκφέρει τὰ νοήματα. ἀλλ' ὁ μὲν λόγος ἑρμηνεὺς διανοίας πρὸς ἀνθρώπους· ἡ δὲ διάνοια τῷ λόγῳ τὰ πρὸς τὸν θεόν. ταῦτα δέ ἐστιν ἐνθυμήματα, ὧν μόνος ὁ θεὸς ἐπίσκοπος. ἀναγκαῖον οὖν ἐστι τῷ μέλλοντι πρὸς ἀγῶνα σοφιστικὸν ἀπαντᾶν, ἐπιμελεῖσθαι λόγων ἐρρωμένως οὕτως, ὡς μὴ μόνον ἐκφεύγειν τὰ παλαίσματα, ἀλλὰ καὶ αὐτεπιτιθέμενον ἀμφοτέροις τέχνῃ τε καὶ δυνάμει, περιεῖναι.

ἢ οὐχ ὁρᾷς τοὺς ἐπαοιδοὺς καὶ φαρμακευτὰς ἀντισοφιστεύοντας τῷ θείῳ λόγῳ, καὶ τοῖς παραπλησίοις τολμῶντας ἐργάζεσθαι, οὐχ οὕτως ἐπὶ τῷ τὴν ἰδίαν ἐπιστήμην ἀποφῆναι σπεύδοντας, ὡς ἐπὶ τῷ διασῦραι καὶ χλευάσαι τὰ γινόμενα. καὶ γὰρ τὰς βακτηρίας εἰς δράκοντας μεταστοιχειοῦσι φύσεις, καὶ τὸ ὕδωρ εἰς αἵματος χρόαν τρέπουσι, καὶ τὴν βατράχων τὸ ὑπόλοιπον ἐπῳδαῖς ἀνέλκουσιν ἐπὶ γῆν, καὶ πάντα οἱ κακοδαίμονες τὰ πρὸς τὸν οἰκεῖον ὄλεθρον συναύξοντες, ἀπατᾶν δοκοῦντες, ἀπατῶνται. πρὸς οὓς πῶς ἐνῆν ἀπαντῆσαι, μὴ τὸν ἑρμηνέα διανοίας λόγον, Ἀαρὼν ἐπίκλησιν, ἑτοιμασάμενον; ὃς νῦν μὲν εἴρηται σόφισμα, αὖθις δὲ καὶ προφήτης κεκλήσεται, ὅταν καὶ ὁ νοῦς ἐπιθειάσας προσρηθῇ θεός. Δίδωμι γάρ σε, φησί, θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης. ὢ ἀκολουθίας ἐναρμονίου. τὸ γὰρ ἑρμηνεῦον τὰ θεοῦ, προφητικόν ἐστι γένος, ἐνθέῳ κατακωχῇ τε καὶ μανίᾳ χρώμενον. τοιγαροῦν ἡ ῥάβδος Ἀαρὼν κατέπιε τὰς ἐκείνων ῥάβδους, ὡς δηλοῖ τὸ λόγιον. ἐκπίνονται γὰρ καὶ ἀφανίζονται πάντες οἱ σοφιστικοὶ λόγοι τῇ τῆς φύσεως ἐντέχνῳ ποικιλίᾳ· ὡς ὁμολογεῖν ὅτι δάκτυλος θεοῦ τὰ γινόμενά ἐστιν, ἴσον τῷ, γράμμα θεῖον διαγορεῦον ἀεὶ σοφιστείαν ὑπὸ σοφίας ἡττᾶσθαι. δακτύλῳ γὰρ θεοῦ καὶ τὰς πλάκας, ἐν αἷς ἐστηλιτεύθησαν οἱ χρησμοί, φησὶν ὁ ἱερὸς λόγος γραφῆναι. διόπερ οὐκέτι δύνανται οἱ φαρμακευταὶ στῆναι ἐναντίον Μωσεῖ· πίπτουσι δὲ ὡς ἐν ἀγῶνι ῥώμῃ τοῦ ἀντιπάλου νικηθέντες καρτερᾷ. Τίς οὖν ἡ τετάρτη δωρεά; τὸ μεγαλώνυμον. φησὶ γάρ, Μεγαλυνῶ τὸ ὄνομά σου. τὸ δέ ἐστιν, ὥς γ' ἐμοὶ φαίνεται, τοιόνδε· ὥσπερ τὸ ἀγαθὸν εἶναι καὶ καλόν, οὕτω καὶ τὸ δοκεῖν εἶναι λυσιτελές· καὶ ἀμείνων μὲν δόξης ἀλήθεια· εὐδαίμων δὲ τὸ ἐξ ἀμφοῖν. μυρίοι γὰρ ἀδόλως καὶ ἀκολακεύτως προσελθόντες ἀρετῇ, καὶ τὸ γνήσιον αὐτῆς ἐναγασάμενοι κάλλος, τῆς παρὰ τοῖς πολλοῖς φήμης οὐ φροντίσαντες, ἐπιβουλευθέντες, κακοὶ νομισθέντες οἱ πρὸς ἀλήθειαν ἀγαθοί. οὐ μὴν οὐδὲ τὸ δοκεῖν ὄφελος, μὴ πολὺ πρότερον τοῦ εἶναι προσόντος, ὥσπερ ἐπὶ σωμάτων πέφυκεν ἔχειν. εἰ γὰρ πάντες ἄνθρωποι τὸν νοσοῦντα ὑγιαίνειν, ἢ τὸν ὑγιαίνοντα νοσεῖν ὑπολάβοιεν, ἡ δόξα καθ' αὑτὴν οὔτε νόσον, οὔτε ὑγείαν ἐργάσεται. ᾧ δ' ἀμφότερα δέδωκεν ὁ θεός, καὶ τὸ εἶναι καλῷ καὶ ἀγαθῷ, καὶ τὸ δοκεῖν εἶναι, οὗτος πρὸς ἀλήθειαν εὐδαίμων, καὶ τῷ ὄντι μεγαλώνυμος. προνοητέον δ' ὡς μεγάλου πράγματος, καὶ πολλὰ τὸν μετὰ σώματος

A Annon vides incantatores & veneficos arte cum Dei verbo pugnare, & conari similia, non tam vt suam scientiam reddant celebrem, quàm vt illudant alijs? nam virgas in dracones transformant, aquas in cruentum colorem vertunt, ranarum reliquias trahunt in terram incantationibus: quæ omnia miseri cumulant in suam perniciem, & decipiuntur dum se putant decipere. Hos putas sustineri potuisse, ni mentis interpres sermo,
B cui nomen Aaron, præparatus fuisset? qui nunc quidem orator dicitur, mox autem vates vocabitur, quando & mens iam augustior Deus appellabitur. Do te, inquit, Deum Pharaoni, & Aaron frater tuus erit tuus propheta. ô consequentiam aptissimam. nam quod voluntatem Dei nobis prædicat, propheticum est genus, quod afflatum diuinitus & agitatur & sedatur. eam ob rem Aaronis virga deglutijt virgas illorum, vt docet scri-
C ptura. Euanescunt enim & absorbentur à vario naturæ artificio sermones omnes sophistici, vt fateri cogantur adesse Dei digitum: ac si dicerent, scripturam diuinam, quæ asseuerat semper sophisticam vinci à sapientia. nam digito Dei tabulas etiam, in quibus insculpta fuerant oracula, scriptas narrant sacra eloquia. ideo non possunt amplius venefici coram Mose subsistere: sed cadunt tanquam in certamine deiecti robore aduersarij. Sed quod est il-
D lud quartum donum? Magnitudo nominis. Ait enim: Magnum faciam nomen tuum. id equidem sic intelligo. Sicut bonum ac honestum esse, ita & videri prodest. est quidem veritas opinione melior: vtramque tamen sua bona fortuna sequitur. multi enim nec fucati nec simulati cultores virtutis, capti eius natiua pulchritudine, neglectis vulgi rumusculis, petiti sunt insidijs, pro malis habiti, cùm reuera
E boni fuerint. cæterum existimatio tum demum prodest, quando ex re nascitur, sicut experimur in corporibus. Nam etiamsi omnes homines ægrotum bene valere, aut sanum ægrotare crederent, sola opinio nec morbum nec sanitatem efficeret. at cui Deus vtrumque concessit, vt bonus ac honestus & sit & videatur, hic vere beatus est, & vere vir magni nominis. Nec est negligenda bona fama, res in omni

vita vtilissima. ea contingit propemodum omnibus, qui præsentibus rebus contenti nihil mouent ex institutis maiorum, sed diligenter conseruare student patriam formam reipublicæ. Sunt enim quidam qui dum putant scriptas leges esse figuras intelligibilium, his diligenter dant operam, illas facile negligunt, quorum mihi non placet facilitas. debuerant enim vtrasque curare, vt & obscura quærerent accurate, & manifesta seruarent diligenter. nunc quasi degerent vitam in solitudine, aut exuti essent corporibus, nec vllam ciuitatem, aut castellum, aut domum, aut sodalitatem hominum scirent, placita multitudinis conuellendo, veritatem ita vt est nudam scrutantur: quos sacra scriptura docet bonam persuasionem non negligere, & à diuinis maiorum institutis nequaquam recedere. Quamuis enim septimus dies potentiam illius Ingeniti, creaturarum autem otium significet, non tamen leges de eo præscriptæ soluendæ sunt, vt ignem accendamus, agros colamus, baiulemus onera, lites exerceamus & iudicia, depositum repetamus, vsuras exigamus, & alia faciamus quæ festis diebus non licet agere. nec ideo quia festum hilaritatem animæ & erga Deum gratitudinem significat, ideo reijciendæ sunt solennes celebritates: nec quia circumcisio docet voluptatum affectuúmque omnium excisionem, & insuper opinionum impiarum, quæ menti persuadent quòd possit ex seipsa gignere, ideo debet antiquari lex lata de circumcisione: alioquin & sacræ ceremoniæ, & alia multa negligenda sunt, si exclusis figuris sola harum significata recipientur. præstat hæc tanquam animam, illa tanquam corpus censeri. itaque sicut corpus curamus vt animæ domicilium, sic scriptæ leges curandæ sunt. nam his seruatis apertius noscentur earum significata, & eadem opera licebit multorum incusationes ac reprehensiones effugere. Viden vt etiam Abraham docet sapienti magna paruáque bona adesse, dum magna vocat substantiam, quorum hæreditatem soli tradit legitimo filio: parua vero munera, quibus natos è concubinis dignatur. illa nobis leges naturales, hæc ciuiles referunt. Proinde virtutem Liæ veneror, quæ post natum sibi Aser,

A βίον ὠφελοῦντος εὐφημίας. περιγίνεται δ' αὕτη σχεδὸν ἅπασιν, ὅσοι χαίροντες σὺν ἀσμενισμῷ μηδὲν κινοῦσι τῶν καθεστηκότων νομίμων, ἀλλὰ τὴν πάτριον πολιτείαν οὐκ ἀμελῶς φυλάττουσιν. Εἰσὶ γάρ τινες οἳ τοὺς ῥητοὺς νόμους σύμβολα νοητῶν πραγμάτων ὑπολαμβάνοντες, τὰ μὲν ἄγαν ἠκρίβωσαν, τῶν δὲ ῥᾳθύμως ὠλιγώρησαν, οἷς μεμψαίμην ἂν ἔγωγε τῆς εὐχερείας· ἔδει γὰρ ἀμφοτέρων ἐπιμεληθῆναι, ζητήσεώς τε τῶν ἀ-
B φανῶν ἀκριβεστέρας, καὶ ταμιείας τῶν φανερῶν ἀνεπιλήπτου. νυνὶ δ' ὥσπερ ἐν ἐρημίᾳ καθ' ἑαυτοὺς μόνοι ζῶντες, ἢ ἀσώματοι ψυχαὶ γεγονότες, καὶ μήτε πόλιν, μήτε κώμην, μήτ' οἰκίαν, μήτε συνόλως θίασον ἀνθρώπων εἰδότες, τὰ δοκοῦντα τοῖς πολλοῖς ὑπερκύψαντες, τὴν ἀλήθειαν γυμνὴν αὐτὴν ἐφ' ἑαυτῆς ἐρευνῶσιν, οὓς ὁ ἱερὸς λόγος διδάσκει χρηστῆς ὑπολήψεως πεφροντικέναι, καὶ μηδὲν τῶν ἐν τοῖς ἔθεσι λύειν, ἃ θεσπέσιοι καὶ μείζους ἄνδρες ἢ καθ' ἡμᾶς ὥρισαν. μὴ γὰρ ὅτι ἡ ἑβδόμη
C δυνάμεως μὲν τῆς περὶ τὸ ἀγένητον, ἀπραξίας δὲ τῆς περὶ τὸ γενητὸν δίδαγμά ἐστι, τὰ ἐπ' αὐτῇ νομοθετηθέντα λύωμεν, ὡς πυρεκκαύειν, ἢ γεωπονεῖν, ἢ ἀχθοφορεῖν, ἢ ἐγκαλεῖν, ἢ δικάζειν, ἢ παρακαταθήκας ἀπαιτεῖν, ἢ δάνεια ἀναπράττειν, ἢ τὰ ἄλλα ποιεῖν, ὅσα καὶ τοῖς μὴ ἑορτώδεσι καιροῖς ἐφεῖται· μηδ' ὅτι ἡ ἑορτὴ σύμβολον ψυχικῆς εὐφροσύνης ἐστὶ καὶ τῆς πρὸς θεὸν εὐχαριστίας, ἀποταξώμεθα τὰς κατὰ τὰς ἐτησίους ὥρας πανηγύρεις, μηδ' ὅτι τὸ περιτέμνεσθαι ἡδονῆς καὶ παθῶν πάντων ἐκτομὴν,
D καὶ δόξης ἀναίρεσιν ἀσεβοῦς ἐμφαίνει, καθ' ἣν ὑπέλαβεν ὁ νοῦς ἱκανὸς εἶναι γεννᾶν δι' ἑαυτοῦ, ἀνέλωμεν τὸν ἐπὶ τῇ περιτομῇ τεθέντα νόμον· ἐπεὶ καὶ τῆς περὶ τὸ ἱερὸν ἁγιστείας, καὶ μυρίων ἄλλων ἀμελήσομεν, εἰ μόνοις προσέξομεν τοῖς δι' ὑπονοιῶν δηλουμένοις· ἀλλὰ χρὴ ταῦτα μὲν σώματι ἐοικέναι νομίζειν, ψυχῇ δὲ ἐκεῖνα. ὥσπερ οὖν σώματος ἐπειδὴ ψυχῆς ἐστιν οἶκος προνοητέον, οὕτω καὶ τῶν ῥητῶν νόμων ἐπιμελητέον. φυλαττομένων γὰρ τούτων, ἀριδη-
E λότερον κἀκεῖνα γνωρισθήσεται, ὧν εἰσιν οὗτοι σύμβολα, πρὸς τῷ καὶ τὰς ἀπὸ τῶν πολλῶν μέμψεις καὶ κατηγορίας ἀποδιδράσκειν. οὐχ ὁρᾷς ὅτι καὶ ὁ Ἀβραὰμ, τῷ σοφῷ καὶ μεγάλα ἀγαθὰ καὶ μικρὰ προσεῖναί φησι, καὶ καλεῖ τὰ μὲν μεγάλα ὑπάρχοντα καὶ ὑπαρκτὰ, ἃ τῷ γνησίῳ κληρονομεῖν ἐφεῖται μόνῳ· τὰ δὲ μικρὰ, δόματα, ὧν οἱ νόθοι καὶ ἐκ παλλακῶν ἀξιοῦνται. ἐκεῖνα μὲν οὖν ἔοικε τοῖς φύσει, ταῦτα δὲ τοῖς θέσει νομίμοις. ἄγαμαι καὶ τῆς παναρέτου Λείας, ἥτις ἐπὶ τῇ Ἀσὴρ γενέσεως, ὅς ἐστι

τοῦ αἰσθητοῦ καὶ νόθου σύμβολον πλούτου φησί, Μακαρία ἐγὼ ὅτι μακαριοῦσί με αἱ γυναῖκες. στοχάζεται γὰρ ὑπολήψεως ἐπιεικοῦς, διχόθεν μὴ μόνον ὑπὸ ἀρρένων καὶ ἀνδρείων ὡς ἀληθῶς λόγων ἐπαινεσθῆναι, παρ᾽ οἷς ἡ ἀλώβητος φύσις καὶ τὸ ἀληθὲς ἀδέκαστον τετίμηται· ἀλλὰ καὶ πρὸς τῶν θηλυτέρων, οἳ τῶν φαινομένων πάντα τρόποι ἥττηνται, μηδὲν ἔξω τούτων θεωρητὸν νοῆσαι δυνάμενοι. τελείας δὲ ψυχῆς ἐστι καὶ τοῦ εἶναι καὶ τοῦ δοκεῖν εἶναι μεταποιεῖσθαι, καὶ σπουδάζειν μὴ μόνον τῇ ἀνδρωνίτιδι εὐδοκιμεῖν, ἀλλὰ καὶ πρὸς τῆς γυναικωνίτιδος ἑστίας ἐπαινεῖσθαι· διὸ καὶ Μωσῆς τὴν τῶν ἱερῶν ἔργων κατασκευήν, οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ γυναιξὶν ἐπιτρέψαι ποιῆσαι. τά τε γὰρ νήματα πάντα τῆς ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου καὶ τριχῶν αἰγείων ἐπιτελοῦσι, καὶ τὸν ἑαυτῶν κόσμον ἀόκνως εἰσφέρουσι σφραγῖδας, ἐνώτια, δακτυλίους, περιδέξια, ἐμπλόκια, πάνθ᾽ ὅσα χρυσοῦ εἶχε τὴν ὕλην, τὸν σώματος κόσμον ἀνταλλαττόμεναι τοῦ τῆς εὐσεβείας, προσφιλοτιμούμεναι μέντοι, καὶ τὰ κάτοπτρα ἑαυτῶν συνεισφέρουσιν εἰς τὴν τοῦ λουτῆρος κατασκευήν, ἵν᾽ οἱ μέλλοντες ἱερουργεῖν, χεῖρας καὶ πόδας ἀπονιπτόμενοι, τὰ ἐγχειρήματα, οἷς ἐφορμεῖ καὶ ἐνίδρυται ὁ νοῦς, ἐνοπτρίζωνται ἑαυτοὺς κατὰ μνήμην τῶν ἐσόπτρων, ἐξ ὧν ὁ λουτὴρ δεδημιούργηται. οὕτω γὰρ οὐδὲν αἶσχος ἐν τῷ τῆς ψυχῆς εἴδει περιόψονται γινόμενον· ἤδη δὲ τὸ νηστείας καὶ καρτερίας ἀνάθημα ἀναθήσουσιν ἱεροπρεπέστατον καὶ τελεώτατον ἀναθημάτων. ἀλλ᾽ αὗται μὲν ἀσταί τε καὶ ἀστεῖαι γυναῖκες, αἰσθήσεις ὡς ἀληθῶς, παρ᾽ αἷς ἡ ἀρετὴ Λεία τετιμῆσθαι βούλεται· αἱ δὲ προσεξέκαυσαν τὸ πῦρ ἐπὶ τὸν ἄθλιον νοῦν, ἀπόλιδες. λέγεται γὰρ ὅτι καὶ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ· ἀλλὰ καὶ ἑκάστη τῶν τοῦ ἄφρονος αἰσθήσεων ἐξαπτομένη πρὸς τῶν αἰσθητῶν, ἐμπίπρησι τὸν νοῦν, πολλὴν καὶ ἀπέραντον φλόγα ἐπεγείρουσα μετὰ ῥύμης ἀνυπότου καὶ φορᾶς. ἄριστον οὖν ἐξευμενίζεσθαι τὸ γυναικῶν τάγμα ἐν ψυχῇ, τὸ αἰσθήσεων, καθάπερ καὶ τὸ ἀνδρῶν, τὸ κατὰ μέρος λογισμῶν. οὕτω γὰρ ἀμείνονι βίου διεξόδῳ χρησόμεθα παντελῶς. διὰ τοῦτο καὶ ὁ αὐτομαθὴς Ἰσαὰκ εὔχεται τῷ σοφίας ἐραστῇ καὶ τὰ νοητὰ καὶ τὰ αἰσθητὰ λαβεῖν ἀγαθά. φησὶ γάρ, Δῴη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς· ἴσον τῷ, πρῶτον συνεχῆ σοι τὸν νοητὸν καὶ οὐράνιον ὑετὸν ἄρδοι, μὴ λάβρως, ὡς ἐπικλύσαι, ἀλλ᾽ ἠρέμα καὶ πράως καθάπερ δρόσον, ὡς ὀνῆσαι· δεύτερον δὲ, τὸν αἰσθητὸν καὶ γήινον πλοῦτον χαρίσαιτο λιπαρὸν καὶ πίονα,

A qui ſenſibiles & adulterinas diuitias ſignificat, dicit: Beata ego, quia mactam me dicent mulieres. Recte enim coniectat, quæ poſtulat non ſolum vere maſculis ac virilibus celebrari laudibus eorum qui integram incorruptámque naturam honorant: ſed etiam fœmineis eorum, qui trahuntur & vincuntur à rebus iſtis viſibilibus, nihil præterea valentes intellectu percipere. eſt enim officium perfectæ animæ, vt & eſſe & videri velit: vtque B ſtudeat ſe approbare non tantum virorum aulis, ſed etiam mulierum conclauibus. quamobrem Moſes ſacrorum operum apparatum non ſolis viris faciendum commiſit, verum & mulieribus. nam hæ telas omnes hyacinthinas, purpureas, coccinas, byſſinas, cilicinas, conficiunt, hæ ſuum mundum conferunt alacriter, ſigilla, inaures, anulos, dextralia, cincinnos, omnem auream materiam, emendo pietatem ornatu corporis. nec hoc C contentæ, ſpecula ſua conſecrant vt inde labrum conflet ur: vt ſacrifici dum manus pedéſque abluunt, id eſt opera quibus inſiſtit animus, ſeipſos ſpeculentur admoniti à ſpeculis ex quibus labrum factum eſt: atque ita nullam turpitudinem relinquant in anima. itaque ſobrietatis ac tolerantiæ donarium dedicant, omnium anathematum ſacratiſſimum & abſolutiſſimum. hæc vrbanæ ciuiléſque mulieres, ſenſus videlicet, à quibus honorari Lia D poſtulat. At illæ quæ accendunt ignem in mente miſera, externæ ſunt. Legitur enim quòd & mulieres inſuper accenderunt ignem in Moab. Sic & inſipientis ſenſus ſinguli accenſi à ſenſibilibus mentem exurunt, ingentem flammam excitando cum impetu vehementiſſimo. Optimum igitur fuerit placare mulierum ordinem in anima, id eſt ſenſuum, ſicut & virorum, id eſt, rationum particularium. ſic enim melius & rectius vitam inſtituemus. Pro-E pterea ille quoque à ſeipſo doctus Iſaac optat amatori ſapientiæ tam ſenſibilia bona quam intelligibilia. dicit enim: Det tibi Deus de rore cæli & de pinguedine terræ. ac ſi dicat: primùm continua te intelligibili cæleſtique irriget pluuia, non larga vt inundet, ſed ſenſim leniterque modo roris deſcendente, vt poſſit. deinde ſenſibiles terrenáſque diuitias largiatur vberes, depulſa contraria paupertate animæ

eiúsque partium. Quod si & summum sacerdotem rationem examines, inuenies eum consentire, & vestitum eius sacrum variegatum intelligibilibus sensibilibúsque potentijs: cuius cætera prolixiore opus habent enarratione quàm vt præsenti tempori conueniant: tantum extrema examinabo circa pedes & caput. Ergo in capite est lamina ex auro puro, & in hac expressum sanctum nomen Domini: ad pedes autem in fimbria tintinnabula & flosculi. sed ille typus laminæ idea est idearum, iuxta quam Deus mundum expressit, ipsa intelligibilis & incorporea. flosculi vero & tintinnabula, signa sunt qualitatum sensibilium, quas visus & auditus iudicant. Valde autem accurate subdit, quod audietur sonus eius intrantis in sancta: vt quando ad intelligibiles, diuinas, vereque sanctas res intrat anima, sensus quoque à virtute adiuti consonent: & omnia ex quibus constamus, tanquam frequens ac modulatus chorus, ex diuersis vocibus temperatus, vnum carmen apte concinant, intelligentijs intus præcinentibus, quando in hoc choro principatum tenent intelligibilia: sensibus autem succinentibus & respondentibus, qui singulis choreas ducentibus sunt similes. in vniuersum enim victus, vestitus, cohabitatio, vt lex ait, tria hæc debentur animæ, quibus non est fraudanda. Victus sunt bona intelligibilia, in quibus ratio naturæ sequenda est. vestitus vero, quæ ad externum ornatum vitæ pertinent. cohabitatio verò, est in vtraque iam dicta specie assidua meditatio: vt qualia sunt occulta intelligibilia, talia sensibilia quoque appareant. Est igitur quintum donum, quo solum & nudum esse conceditur. id memoratur postremũ, non vt vilius quam præcedentia, sed vt eminentissimum inter omnia. quæ enim potest esse maior benedictio, quam si quis non ficte sed vere bonus sit? Eris, inquit, benedictione dignus, non solum benedictus. nam hoc posterius pendet à vulgi opinionibus & rumoribus, illud veræ laudis est. sicut enim laudabilis laudato est melior, & vituperabilis vituperato deterior: quod alterum de re, alterum de opinione dicatur, naturæ autem veritas opinione sit certior: ita benedici ab hominibus, id est laudibus eorum celebrari, minus est quam illam benedictionẽ promereri etiam silentibus omnibus,

A τὴν ἐναντίαν πενίαν ψυχῆς τε καὶ τῶν αὐτῆς μερῶν ἀφανίσας. ἐὰν μέντοι καὶ τὸν ἀρχιερέα λόγον ἐξετάζῃς, εὑρήσεις συνῳδὰ φρονοῦντα, καὶ τὴν ἱερὰν ἐσθῆτα αὐτοῦ πεποικιλμένην ἔκ τε νοητῶν καὶ αἰσθητῶν δυνάμεων, ἧς τὰ μὲν ἄλλα μακροτέρων ἢ κατὰ τὸν παρόντα καιρὸν δεῖται λόγων, καὶ ὑπερθετέον· τὰ δὲ πρὸς τοῖς πέρασιν ἐξετάσω, κεφαλῇ τε καὶ βάσεσιν. οὐκοῦν ἐπὶ μὲν τῆς κεφαλῆς ἐστι πέταλον χρυσοῦν καθαρὸν, ἔχον ἐκτύπωμα σφραγῖδος, ἁγίασμα κυρίῳ· ἐπὶ δὲ τοῖς ποσὶν ἐπὶ τοῦ τέλους τοῦ ὑποδύ-
B του κώδωνες καὶ ἄνθινα. ἀλλ' ἐκείνη μὲν ἡ σφραγὶς, ἰδέα ἐστὶν ἰδεῶν, καθ' ἣν ὁ θεὸς ἐτύπωσε τὸν κόσμον, ἀσώματος δήπου καὶ νοητή· τὰ δ' ἄνθινα καὶ οἱ κώδωνες, αἰσθητῶν ποιοτήτων σύμβολα, ὧν ὅρασις καὶ ἀκοὴ τὰ κριτήρια. ἄγαν δ' ἐξητασμένως ἐπιφέρει, ὅτι ἔσται ἀκουστὴ φωνὴ αὐτοῦ εἰσιόντος εἰς τὰ ἅγια, ἵνα πρὸς τὰ νοητὰ καὶ θεῖα καὶ ὄντως ἅγια εἰσιούσης τῆς ψυχῆς καὶ αἱ αἰσθήσεις ὠφελούμεναι κατ' ἀρετὴν συνηχῶσι, καὶ ὅλον τὸ σύστημα ἡμῶν, ὥσπερ ἐμμελὴς καὶ πολυμιγὴς ἐκ διαφερόντων
C φθόγγων ἀνακεκραμένος χορὸς, ἓν μέλος ἐναρμόνιον συνᾴδῃ, τὰ μὲν ἐνδόσιμα τῶν νοημάτων ἐμπνεόμενα· ἡγεμόνες γὰρ τοῦ χοροῦ τούτου τὰ νοητά· τὰ δ' ἑπόμενα, τῶν αἰσθητῶν συνανα μελπόντων, ἃ τοῖς κατὰ μέρος χορευταῖς ἀπεικάζεται. συνόλως γὰρ ἡ φησὶν ὁ νόμος, τὰ δέοντα, καὶ τὸν ἱματισμὸν, καὶ τὴν ὁμιλίαν, τὰ τρία ταῦτα, ἀφαιρεῖσθαι τὴν ψυχὴν οὐκ ἐδεῖ, ἀλλ' ἕκαστον αὐτῶν βεβαίως προσνέμειν. τὰ μὲν οὖν δέοντα νοητά ἐστιν ἀγαθὰ, ἃ χρὴ καὶ ἃ δεῖ γνωρίζεσθαι λόγῳ
D φύσεως. ὁ δὲ ἱματισμὸς, τὰ περὶ τὸν φαινόμενον τοῦ βίου κόσμον· ἡ δ' ὁμιλία, ἡ καθ' ἑκάτερα τῶν εἰρημένων εἰδῶν συνέχεια καὶ μελέτη, ἵν' οἷα τὰ ἀφανῆ νοητὰ, τοιαῦτα καὶ τὰ αἰσθητὰ φαίνηται. πέμπτη τοίνυν ἐστὶ δωρεὰ, ἡ κατὰ ψιλὸν μόνον τὸ εἶναι συνισταμένη. λέλεκται δὲ ἐπὶ τῶν προτέραις, οὐχ ὡς εὐτελεστέρα ἐκείνων, ἀλλ' ὡς ὑπερκύπτουσα καὶ ὑπερβάλλουσα πάσας. τί γὰρ ἂν εἴη μεῖζον τοῦ πεφυκέναι καὶ ἀψευδῶς καὶ ἀπλάστως ἀγαθὸν εἶναι, καὶ εὐλογίας ἐπάξιον τελεωτέρας. Ἔσῃ γὰρ, φησὶν, εὐλογητὸς, οὐ
E μόνον εὐλογημένος. τὸ μὲν γὰρ, ταῖς τῶν πολλῶν δόξαις τε καὶ φήμαις παραλαμβάνεται, τὸ δὲ τῷ πρὸς ἀλήθειαν εὐλογητῷ. ὥσπερ γὰρ τὸ ἐπαινετὸν εἶναι τοῦ ἐπαινεῖσθαι διαφέρει κατὰ τὸ κρεῖττον, καὶ τὸ ψεκτὸν εἶναι τοῦ ψέγεσθαι κατὰ τὸ χεῖρον· τὰ μὲν γὰρ τῷ πεφυκέναι, τὰ δὲ τῷ νομίζεσθαι λέγεται μόνον· φύσις δὲ ἡ ἀψευδὴς δοκήσεως ὀχυρώτερον· οὕτως καὶ τὸ εὐλογεῖσθαι πρὸς ἀνθρώπων, ὅπερ ἦν εἰς εὐλογίαν ἄγεσθαι διδασκόμενον τῷ πεφυκέναι. εὐλογίας ἄξιον, κἂν πάντες

ἡσυχάζουσι, χρηστόν, ὥσπερ εὐλογητὸν ἐν τοῖς χρησμοῖς ᾄδεται. ταῦτα μὲν τὰ ἆθλα τῷ γενησομένῳ δωρεῖται σοφῷ· ἃ δὲ τοῖς ἄλλοις ἀπονέμει διὰ τὸν σοφόν, ἑξῆς ἴδωμεν. Εὐλογήσω, φησί, τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε, καταράσομαι. τὸ μὲν οὖν ἐπὶ τιμῇ τοῦ σπουδαίου καὶ ταῦτα γίνεσθαι, παντί που δῆλον. λέγεται δὲ οὐδ᾽ ἐκεῖνο μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐν τοῖς πράγμασιν εὐάρμοστον ἀκολουθίαν. τόν τε γὰρ ἀγαθὸν καὶ ὁ ἐπαινῶν ἐγκωμιαστής, καὶ ὁ ψέγων ἔμπαλιν ψεκτής. ἔπαινον δὲ καὶ ψόγον οὐχ οὕτως ἡ τῶν λεγόντων καὶ γραφόντων πιστοῦται δύναμις, ὡς ἡ τῶν γινομένων ἀλήθεια. ὥστε οὔτε ἐπαινεῖν, οὔτε ψέγειν ἂν δοκοῖεν, ὅσοι τι ψεῦδος ἐν ἑκατέρῳ παραλαμβάνουσιν ἴδιον. τοὺς κόλακας οὐχ ὁρᾷς, οἳ μεθ᾽ ἡμέραν καὶ νύκτα ἀποκναίουσι τῶν κολακευομένων τὰ ὦτα θρύπτοντες, οὐκ ἐπινεύοντες ἐφ᾽ ἑκάστῳ τῶν λεγομένων αὐτὸ μόνον, ἀλλὰ καὶ ῥήσεις μακρὰς συνείροντες, καὶ ῥαψῳδοῦντες, καὶ εὐχόμενοι μὲν τῇ φωνῇ πολλάκις, ἀεὶ δὲ τῇ διανοίᾳ καταρώμενοι; τί οὖν ἄν τις εὖ φρονῶν εἴποι; ἆρ᾽ οὐχ ὥσπερ ἐχθροὺς μᾶλλον ἢ φίλους τοὺς λέγοντας ὄντας, καὶ ψέγειν μᾶλλον ἢ ἐπαινεῖν, κἂν δράματα ὅλα συνυφαίνοντες ἐγκωμίων ἐπᾴδωσι; τοιγαροῦν ὁ μάταιος Βαλαάμ, ὕμνους μὲν εἰς τὸν θεὸν ὑπερβάλλοντας ᾄδων, ἐν οἷς καὶ τό, Οὐχ ὡς ἄνθρωπος ὁ θεός, ᾀσμάτων τὸ ἱεροπρεπέστατον, ἐγκώμια δὲ εἰς τὸν ὁρῶντα Ἰσραὴλ μυρία διεξερχόμενος, ἀσεβὴς μὲν καὶ ἐπάρατος καὶ παρὰ τῷ σοφῷ κέκληται νομοθέτῃ, καταρᾶσθαι δ᾽ οὐκ εὐλογεῖν νενόμισται. τοῖς γὰρ πολεμίοις φησὶν αὐτὸν ἐπὶ μισθῷ συναχθέντα μηνυτὴν γίνεσθαι κακῶν, ἀρὰς μὲν ἐν ψυχῇ τίκτοντα χαλεπωτάτας κατὰ τοῦ θεοφιλοῦς, εὐχὰς δὲ διὰ στόματος καὶ γλώττης ὑπερφυεστάτας προφητεῦσαι. τὰ μὲν γὰρ λεγόμενα καλὰ ὄντα ὁ φιλάρετος ὑπηχεῖ θεός, τὰ δ᾽ ἐννοούμενα φαυλότερα γὰρ ἦν· ἔτικτεν ἡ μισάρετος διάνοια. μαρτυρεῖ δὲ ὁ περὶ τούτων χρησμός. Οὐ γὰρ ἔδωκε, φησίν, ὁ θεὸς τῷ Βαλαὰμ καταράσασθαί σοι, ἀλλ᾽ ἔστρεψε τὰς κατάρας εἰς εὐλογίαν· καίτοι πάντων ὅσα εἶπε, πολλῆς γεμόντων εὐφημίας. ἀλλ᾽ ὁ τῶν ἐν ψυχῇ ταμιευομένων ἐπίσκοπος ἰδών, ᾧ καθιδεῖν ἔξεστι μόνῳ τὰ ἀθέατα γενέσει, τὴν καταδικάζουσαν ἀπὸ τούτων ψῆφον ἤνεγκε, μάρτυς ἀψευδέστατος ὁμοῦ καὶ κριτὴς ἀδέκαστος αὐτὸς ὤν· ἐπεὶ καὶ τοὐναντίον ἐπαινετὸν βλασφημεῖν καὶ κατηγορεῖν δοκοῦντα τῇ φωνῇ, κατὰ διάνοιαν εὐλογεῖν τε καὶ εὐφημεῖν. σωφρονιστῶν ὡς ἔοικε, τοῦτό ἐστι τὸ ἔθος,

A quod εὐλογητὸν dicitur in oraculis. Hæc sunt bona quæ futuro sapienti donantur. quid autem & alijs donet Deus propter sapientem, deinceps videamus. Benedicam, inquit, benedicentibus tibi, & maledicam maledicentibus tibi.] Hæc in honorem viri boni fieri liquet omnibus. sed non ideo tantum commemorantur, verum etiam propter aptam rerum consequentiam. nam bonum & qui laudat est laudabilis,
B & qui vituperat est vituperabilis. laudi autem & vituperio non tam loquentes scribentésque fidem astruunt, quam ipsa rei veritas. itaque nec laudare nec vituperare videntur, qui in alterutro aliquid admentiuntur de suo. Annon vides istos adulatores, qui tam noctu quam interdiu permulcent aures suis regibus, nec tantum applaudunt dictis eorum singulis, sed & prolixis eos ornant lau-
C dibus, quos tamen execrantur taciti, quantumuis fausta ominando propalam. Quid igitur aliquis mente sanus diceret? nónne inimicos magis quàm amicos videri hos, & vituperatores magis quàm laudatores, etiamsi dramata integra encomiorum accinant? quapropter vanus ille Balaam, quamuis hymnos egregios in Deum cecinit, & in his illum, Non est sicut homo Deus, canticorum omnium sanctissimum, plurimis item laudibus Israelem ornauit: tamen impius
D & execratus à sapiente legislatore vocatur, & irrita censetur eius maledictio. ait enim eum mercede conductum ab hostibus profectum malo animo, & cum mente concepisset execrationes grauissimas contra carum Deo populum, ore linguáque precatum præclara vaticinia. Hæc enim ei Deus fautor bonorum dictabat, cogitanti pessima, & malicioso proposito consentanea. Sic enim testatur oraculum. Non
E permisit, inquit, Deus Balaamum tibi maledicere, sed vertit execrationes eius in fausta omina. Atqui nihil nisi bonum eis imprecatus est. Sed inspector animæ penetralium, cui soli aperta sunt quæ creaturas latent, contra occulta fert sententiam, testis certissimus & iudex idem incorruptissimus: quandoquidem è diuerso probantur qui accusando & obiurgando in speciem, bene optant & precantur intus in animo. qui mos est castigatorum,

A pædagogorũ, præceptorum, parentum, seniorum, legum, magistratuum. nam id genus omne nunc obiurgando, nunc castigando etiam, emendant pertinentes ad suam disciplinã animas. nemo enim horum suis inimicus est, sed omnes beneuoli. sincerorũ autem & minime fucatorum amicorum officium est, loqui libere sine maleuolentia. Ergo quod ad vota benedictionésque attinet, aut ad maledicta execrationésque, non oratio sed mẽs spectari debet, ex qua ceu fonte vtraque species dictorum æstimatur. B hæc sunt prima quæ alijs propter bonũ virum contingere dicuntur, qui eum vel laude votísque, vel maledictis & execratione prosequuntur. quod autem sequitur est maximum, etiam illis cessantibus, nullam partem rationalis naturæ relinqui expertẽ beneficentiæ: quia benedicentur in te omnes tribus terræ. quod dogma est certissimũ. nam quamdiu mens sana & integra permanet, omnes eius familiares, tribus, potentiæve C sanæ sunt, visus, auditus, sensúsque cæteri, sicut & illæ quæ ad voluptates concupiscentiásque pertinent, & quæ ex perturbationibus in tranquillitatem redactæ meliorem formã accipiunt. compertum enim est ad familias, ciuitates, regiones, nationes, atque etiam tractus terrarũ longe latéque patentes, ex vnius viri probitate nonnunquam magna peruenisse commoda & felicitates amplissimas, præcipue quando quis cum bona mente accepit diuinitus inuictam potentiam: sicut cum musico & cuicunque D artifici musica vel cuiuscunque artis instrumenta suppetunt, aut igni lignorum materia. nam reuera fulcrũ generis humani iustus est, suas dotes communicãs & in publicum vsum conferens. idem quicquid apud seipsum non inuenit, à Deo solo ditissimo postulat. at ille aperto cælesti promptuario, niuis imbrísque in morem bona depluit affatim, vt inde omnes terrenæ lacunæ restagnẽt. Hæc autem supplicationibus sui verbi E permotus largiri solet. Dicitur enim alibi Mose supplicante: Propitius eis sum iuxta preces tuas. quod videtur perinde esse ac si diceret, Benedicentur in te omnes tribus terræ. quamobrem & ille sapiens Abraham expertus per omnia Dei benignitatem, credidit quod etiã si delerentur cætera omnia, si modo paruæ reliquiæ virtutis tanquam scintilla seruatæ fuerint, ob has ipsas etiam illa misericordiam consecutura sint,

παιδαγωγῶν, διδασκάλων, γονέων, πρεσβυτέρων, ἀρχόντων, νόμων. ὀνειδίζοντες γὰρ, ἔστι δ' ὅπου καὶ κολάζοντες ἕκαστοι τούτων, ἀμείνους τὰς ψυχὰς ἀπεργάζονται τῶν παιδευομένων· καὶ ἐχθρὸς μὲν οὐδεὶς οὐδενὶ, φίλοι δὲ πᾶσι πάντες· φίλων δὲ γνησίων καὶ ἀκιβδήλῳ χρωμένων εὐνοίᾳ τοῦτ' ἐστὶν ἔργον, ἐλευθεροστομεῖν, ἄνευ τοῦ κακονοεῖν. μηδὲν οὖν μήτε τῶν εἰς εὐλογίας καὶ εὐχὰς, μήτε τῶν εἰς βλασφημίας καὶ κατάρας, ἐπὶ ταῖς ἐν προφορᾷ διεξόδοις διαφερέσθω μᾶλλον, ἢ διανοίᾳ, ἀφ' ἧς, ὥσπερ ἀπὸ πηγῆς ἑκάτερον εἶδος τῶν λεχθέντων δοκιμάζεται. ταῦτα μὲν δὴ πρῶτον διὰ τὸν ἀστεῖον ἑτέροις συντυγχάνειν φησὶν, ὅταν ἢ ψόγον ἢ ἔπαινον, ἢ εὐχὰς ἢ κατάρας ἐθελήσωσιν αὐτοῦ τίθεσθαι· μέγιστον δ' ἑξῆς, ὅταν ἡσυχάζωσιν ἐκεῖνοι, τὸ μηδὲν μέρος φύσεως λογικῆς ἀμέτοχον εὐεργεσίας ἀπολείπεσθαι. λέγει γὰρ, ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ἔστι δὲ τοῦτο, δογματικώτατον. ἐὰν γὰρ ὁ νοῦς ἄνοσος καὶ ἀπήμων διατελῇ, ταῖς περὶ αὐτὸν ἁπάσαις φυλαῖς τε καὶ δυνάμεσιν ὑγιαινούσαις χρῆται, ταῖς τε καθ' ὅρασιν καὶ ἀκοὴν, καὶ ὅσαι αἰσθητικαὶ, καὶ πάλιν ταῖς κατὰ τὰς ἡδονάς τε καὶ ἐπιθυμίας, καὶ ὅσαι ἀντὶ παθῶν εἰς εὐπάθειαν μεταχαράττονται. ἤδη μέντοι καὶ οἶκος καὶ πόλις, καὶ χώρα καὶ ἔθνη καὶ κλίματα γῆς, ἑνὸς ἀνδρὸς καλοκαγαθίας προμηθουμένου μεγάλης ἀπήλαυσαν εὐδαιμονίας, καὶ μάλισθ' ὅτῳ μετὰ γνώμης ἀγαθῆς ὁ θεὸς καὶ δύναμιν ἔδωκεν ἀνανταγώνιστον, ὡς μουσικῷ καὶ παντὶ τεχνίτῃ τὰ κατὰ μουσικὴν καὶ πᾶσαν τέχνην ὄργανα, ἢ ξύλων ὕλην πυρί. τῷ γὰρ ὄντι ἔρεισμα τοῦ γένους τῶν ἀνθρώπων ἐστὶν ὁ δίκαιος, καὶ ὅσα μὲν αὐτὸς ἔχει, προφέρων εἰς μέσον ἐπ' ὠφελείᾳ τῶν χρησομένων, ἄφθονα δίδωσιν· ὅσα δ' ἂν μὴ εὑρίσκῃ παρ' ἑαυτῷ, τὸν μόνον πάμπλουτον αἰτεῖται θεόν· ὁ δὲ τὸν οὐράνιον ἀνοίξας θησαυρὸν, ὀμβρεῖ καὶ ἐπινίφει τὰ ἀγαθὰ ἀθρόα, ὡς τῶν περιγείων ἁπάντων τὰς δεξαμενὰς πλημμυρούσας ἀναχεῖσθαι· ταῦτα δὲ τὸν ἱκέτην ἑαυτοῦ λόγον οὐκ ἀποστραφεὶς, εἴωθε δωρεῖσθαι. λέγεται γὰρ ἑτέρωθι, Μωϋσέως ἱκετεύσαντος, Ἵλεως αὐτοῖς εἰμὶ κατὰ τὸ ῥῆμά σου. τοῦτο δὲ ὡς ἔοικεν, ἰσοδυναμεῖ τῷ, Ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς· οὗ χάριν καὶ ὁ σοφὸς Ἀβραὰμ πεπειραμένος τῆς ἐν ἅπασι τοῦ θεοῦ χρηστότητος, πεπίστευκεν ὅτι κἂν πάντα τὰ ἄλλα ἀφανισθῇ, μικρὸν δέ τι λείψανον ἀρετῆς ὥσπερ ἐμπύρευμα διασώζηται, διὰ τὸ βραχὺ τοῦτο, κἀκεῖνα οἰκτιρεῖ,

ὡς πεπτωκότα ἐγείρῃ, καὶ τεθνηκότα ζωπυρῇ. καὶ γὰρ ὁ βραχύτατος ἐντυφόμενος σπινθὴρ, ὅταν καταπνευσθεὶς ζωπυρηθῇ, μεγάλην ἐξάπτει πυράν· καὶ τὸ βραχύτατον οὖν ἀρετῆς, ὅταν ἐλπίσι χρησταῖς ὑποθαλπόμενον ἀναλάμψῃ, καὶ τὰ τέως μεμυκότα καὶ τυφλὰ ἐξομματοῖ, καὶ τὰ ἀφαυανθέντα ἀναβλαστεῖν ἐποίησε, καὶ ὅσα ὑπὸ ἀγονίας ἐστείρωτο, εἰς εὐφορίας εὐτοκίας περιήγαγεν. οὕτω τὸ σπάνιον ἀγαθὸν, ἐπ' εὐφροσύνῃ θεοῦ πολὺ γὰρ τὸ χεόμενον, ἐξομοιοῦν τὰ ἄλλα ἑαυτῷ. εὐχώμεθα οὖν τὸν ὡς ἐν οἰκίᾳ στῦλον, νοῦν μὲν ἐν ψυχῇ, ἄνθρωπον δὲ ἐν τῷ γένει τῶν ἀνθρώπων τὸν δίκαιον, διαμένειν εἰς τὴν τῶν νόσων ἄκεσιν. τούτου γὰρ ὑγιαίνοντος τὰς εἰς παντελῆ σωτηρίαν οὐκ ἀπογνωστέον ἐλπίδας, διότι, οἶμαι, ὁ σωτὴρ θεὸς τὸ πανακέστατον φάρμακον, τὴν ἵλεων δύναμιν, τῷ ἱκέτῃ καὶ θεραπευτῇ προτείνας ἑαυτοῦ, χρῆσθαι πρὸς τὴν τῶν καμνόντων σωτηρίαν ἐπιτρέπει, καταπλάττοντι τὰ τῆς ψυχῆς τραύματα, ἅπερ ἀφροσύναι καὶ ἀδικίαι, καὶ ὁ ἄλλος τῶν κακῶν ὅμιλος ἀκονηθεὶς διεῖλεν. ἐναργέστατον δὲ παράδειγμα Νῶε ὁ δίκαιος, ὃς τῷ μεγάλῳ κατακλυσμῷ τῶν τοσούτων μερῶν τῆς ψυχῆς ἐγκαταποθέντων, ἐρρωμένως ἐπικυματίζων καὶ ἐπινηχόμενος, ὑπεράνω μὲν ἔστη τῶν δεινῶν ἁπάντων, διασωθεὶς δὲ, μεγάλας καὶ καλὰς ὑφ' αὑτοῦ ῥίζας ἔβαλλετο, ἐξ ὧν οἷα φυτὸν τὸ σοφίας ἐβλάστησε γένος, ὅπερ ἡμεροτοκῆσαν, τοὺς τοῦ ὁρῶντος Ἰσραὴλ τελείους ἤνεγκε καρποὺς, αἰῶνος μέτρα, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακώβ. καὶ γὰρ ἔστι καὶ ἔσται καὶ γέγονεν ἐν τῷ παντὶ ἀρετὴ, ἣν ἀχρειίαι μὲν ἴσως ἀνθρώπων ἐπισκιάζουσιν, ὁ δὲ ὀπαδὸς θεοῦ καιρὸς ἀποκαλύπτει πάλιν, ἐν ᾧ καὶ ἡ φρόνησις ἀρρενογονεῖ Σάρρα, οὐ κατὰ τὰς χρονικὰς τοῦ ἔτους ὥρας, ἀλλὰ κατὰ τὰς ἀχρόνους ἀκμὰς καὶ εὐχρηστείας ἐπιδιδοῦσα. λέγεται γὰρ, Ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου. περὶ μὲν οὖν τῆς δωρεᾶς, ἃς καὶ τοῖς γενομένοις τελείοις, καὶ δι' αὐτοὺς ὁ θεὸς ἑτέροις εἴωθε χαρίζεσθαι, δεδήλωται. λέγεται δὲ ἑξῆς, ὅτι ἐπορεύθη Ἀβραὰμ, καθάπερ ἐλάλησεν αὐτῷ κύριος· τοῦτο δ' ἐστὶ τὸ παρὰ τοῖς ἄριστα φιλοσοφήσασιν ᾀδόμενον τέλος, τὸ ἀκολούθως τῇ φύσει ζῆν· γίνεται δὲ, ὅταν ὁ νοῦς εἰς τὴν ἀρετῆς ἀτραπὸν ἐλθὼν, κατ' ἴχνος ὀρθοῦ λόγου βαίνῃ, καὶ ἕπηται θεῷ, τῶν προστάξεων αὐτοῦ διαμεμνημένος, καὶ πάσας ὁμοῦ καὶ πανταχοῦ, ἔργοις τε καὶ λόγοις βεβαιούμενος. Ἐπορεύθη γὰρ, καθὰ ἐλάλησεν αὐτῷ κύριος·

A vt collapsa resurgerent & extincta reuiuiscerent. scintilla enim vel exigua fumigans, si afflata fuerit, magnum excitat incendium. sic & minimum quiddam ex virtute reliquum, quando bona spe refotum excandescit, & oculos prius conniuentes cæcósque illustrat, & viriditatem reddit arentibus, & quæ prius per ignorantiam sterilia fuerant, ad fœcunditatem reducit. adeò ratum bonum benignitate Dei diffunditur, dum cætera vertit in sui similitudinem. B Oremus igitur vt ceu columna in domo, mens in anima, in humano verò genere homo iustus, permaneat ad calamitatum remedium. nam hoc incolumi de publica salute desperandum non est: per quem opinor seruator Deus præsentissimam medicinam propitiam suam potentiam supplicibus cultoribus suis porrigit, vtendam ad salutem ægrotantium, qua oblinantur animæ vulnera, inflicta per ignorantiæ, iniu- C stitiæ, & plurimorum aliorum vitiorum aciem. Exemplum extat in Noe iusto, qui ingenti diluuio deuoratis tot partibus animæ, fortiter supernatans fluctibus, euasit omni clade superior: & seruatus amplas pulchrásque radices ex se emisit, ex quibus tanquam planta enatum est genus sapiens, quod mites partus progerminans triplicem Israeliticum fructum attulit, mensuras æui, Abraham, Isaac, & Iacob. Est enim & erit & fuit in rebus virtus, quam temporum difficul- D tas fortassis obscurat interdum in hominibus, emergit tamen illa denuo, Deo dante feliciora secula: quando & Sarra, id est prudentia parit masculum, non annis florens aut ætate, sed vigore illo nullis temporum iniurijs obnoxio. dicitur enim: Reuertens veniam ad te eodem anni tempore, & habebit filium Sarra vxor tua. Hactenus de donis quæ Deus vel perfectis viris largitur, vel propter eos alijs. E deinceps narratur, quòd profectus est Abraham sicut locutus est ei Dominus.] Hic autem est ille finis qui à præstantissimis philosophis celebratur, videlicet iuxta naturam viuere. Id fit quando mens ingressa virtutis semitam, incedit per rectæ rationis vestigia, & Deum sequitur memor eius præceptorum, habens ea rata dictis factísque omnibus. Profectus enim est sicut locutus est ei Dominus.

A id verò idem est quod, sicut loquitur Deus. loquitur autem pulcherrime & laudabiliter. nec aliter vir bonus facit singula, callem vitæ irreprehensibiliter dirigens, adeo vt opera sapientis nihil differant à diuinis eloquijs. proinde alibi ait: Fecit Abraham vniuersam legem meam. Lex porrò nihil aliud est proculdubio, quam diuinum eloquiū, facienda præcipiens, vitanda prohibens: sicut testatur qui dicit quòd desumpsit legem ex verbis ipsius Dei. B Quod si Dei verbum est lex, & vir bonus ex præscripto legis agit, ergo facit quod Dei verbū imperat. vnde sequitur, Dei verba opera esse sapiētis. Finis igitur est iuxta Mosem sacratissimū, sequi Deū, sicut & alibi dicit: Post Dominum Deum tuū ambulabis, sed non motis pedibus. homini enim terra est pro vehiculo: Deo verò ne mūdus quidē vniuersus. Proinde per allegoriā docere videtur animam vt sequatur diuina placita, quæ referuntur ad summi autoris honorem. C nec hoc contentus quo magis accendat honestatis desiderium, hortatur vt ei adglutinetur. ait enim, Dominum Deum tuū timebis, & eum solum coles, & adglutinaberis ad eum. Quo glutine? quo? nimirum pietate ac fiducia. nam his virtutibus mortalis natura cum immortali vnitur & coaptatur. nam & Abraham postquam credidit propinquus Deo dicitur. Sed in hoc itinere siquis nec lassetur genibus, nec per socordiā ad vtrūuis latus aberret, D incedens per viam mediā, & bonos cursores imitās: inoffense decurret per vitæ stadium, móxque ad finem delatus coronas accipiet ac digna præmia, nisi forte non sunt coronæ ac præmia, non laborasse frustra, sed pertigisse ad prudentiæ finem arduum. Quis est igitur finis recte sapiendi? seipsum & omnē creaturā damnare stultitiæ. nam agnoscere suam ignorantiam, finis est scientiæ, cum vnus solus sit sapiens qui solus Deus est. E ideo pulcherrime Moses inducit eum & patrem omnium rerum & iudicem dicens: Vidit Deus omnia quæcunque fecerat, & ecce bona valde. Nemini enim licebat totam creaturam diligenter perspicere, nisi ei qui creauerat. Adeste nunc vos qui fastu, ignorantia, arrogantiáque turgidi sapiētes vobis videmini, aientes vos non solum certo scire singula, sed & causas eorum audere reddere, tanquam mundi creationi interfueritis spectatores,

τοῦτο δ' ἐστὶ τοιοῦτον, ὡς λαλεῖ ὁ θεός· λαλεῖ δὲ παγκάλως καὶ ἐπαινετῶς· οὕτως ὁ σπουδαῖος ἕκαστα δρᾷ, τὴν ἀτραπὸν εὐθύνων ἀμέμπτως τοῦ βίου, ὥστε τὰ ἔργα τοῦ σοφοῦ, λόγων ἀδιαφορεῖν θείων. ἑτέρωθι γοῦν φησιν, ὅτι ἐποίησεν Ἀβραὰμ πάντα τὸν νόμον μου. νόμος δὲ οὐδὲν ἄρα ἢ λόγος θεῖος, προστάττων ἃ δεῖ, καὶ ἀπαγορεύων ἃ μὴ χρή, ὡς μαρτυρεῖ φάσκων, ὅτι ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον. εἰ τοίνυν λόγος μέν ἐστι θεῖος ὁ νόμος, ποιεῖ δὲ ὁ ἀστεῖος τὸν νόμον, ποιεῖ πάντως καὶ τὸν λόγον· ὥσθ', ὅπερ ἔφην, τοὺς τοῦ θεοῦ λόγους πράξεις εἶναι τοῦ σοφοῦ. τέλος οὖν ἐστι κατὰ τὸν ἱερώτατον Μωσῆν, τὸ ἕπεσθαι θεῷ, ὡς καὶ ἐν ἑτέροις φησίν, Ὀπίσω κυρίου τοῦ θεοῦ σου πορεύσῃ, οὐ κίνησιν χρώμενον τῇ διὰ σκελῶν. ἀνθρώπου μὲν γὰρ ὄχημα γῆ, θεοῦ δέ, εἰ καὶ σύμπας ὁ κόσμος, οὐκ οἶδα. ἀλλ' ἔοικεν ἀλληγορεῖν, τὴν τῆς ψυχῆς πρὸς τὰ θεῖα δόγματα περιστὰς ἀκολουθίαν. ὧν ἡ ἀναφορὰ πρὸς τὴν τοῦ πάντων αἰτίου γίνεται τιμήν. ἐπιτείνων δὲ τὸν ἀκάθεκτον πόθον τοῦ καλοῦ, παραινεῖ καὶ κολλᾶσθαι αὐτῷ. Κύριον γάρ, φησί, τὸν θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ. τίς οὖν ἡ κόλλα. τίς. εὐσέβεια δήπου καὶ πίστις. ἁρμόζουσι γὰρ καὶ ἑνοῦσιν αἱ ἀρεταὶ ἀφθάρτῳ φύσει διάνοιαν. καὶ γὰρ Ἀβραὰμ πιστεύσας ἐγγίζειν θεῷ λέγεται. ἐὰν μέντοι πορευόμενος, μήτε κάμῃ ὡς ἀπειδεὶς ὀκλάσαι, μήτε ῥαθυμήσῃ ὡς παρ' ἑκάτερα ἐκτραπόμενος πλανᾶσθαι, τῆς μέσης καὶ εὐθυτενοῦς διαμαρτὼν ὁδοῦ, μιμησάμενος δὲ τοὺς ἀγαθοὺς δρομεῖς, τὸ στάδιον ἀπταίστως ἀνύσῃ τοῦ βίου, στεφάνων καὶ ἄθλων ἐπαξίων τεύξεται πρὸς τὸ τέλος ἐλθών. ἢ οὐ ταῦτ' εἰσὶν οἱ στέφανοι καὶ τὰ ἆθλα, μὴ ἀτυχῆσαι τοῦ τέλους τῶν πονηθέντων, ἀλλ' ἐφικέσθαι τῶν δυσεφίκτων φρονήσεως περάτων; τί οὖν τοῦ φρονεῖν ὀρθῶς ἐστι τέλος· ἀφροσύνην ἑαυτοῦ καὶ παντὸς τοῦ γενητοῦ καταψηφίσασθαι. τὸ γὰρ μηδὲν οἴεσθαι εἰδέναι, πέρας ἐπιστήμης, ἑνὸς ὄντος μόνου σοφοῦ τοῦ καὶ μόνου θεοῦ. διὸ καὶ παγκάλως Μωσῆς καὶ πατέρα τῶν ὅλων, καὶ ἐπίκρισιν τῶν γενομένων αὐτὸν εἰσήγαγεν, εἰπών, Εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. οὐδενὶ γὰρ ἐξῆν τὰ συσταθέντα κατιδεῖν ἄκρως, ὅτι μὴ τῷ πεποιηκότι. πάρεστε νῦν οἱ τύφου καὶ ἀπαιδευσίας καὶ πολλῆς ἀλαζονείας γέμοντες, οἱ δοκησίσοφοι, καὶ μὴ μόνον, ὅ ἐστιν ἕκαστον εἰδέναι σαφῶς ἐπιφάσκοντες, ἀλλὰ καὶ τὰς αἰτίας προσαποδιδόναι διὰ θρασύτητα τολμῶντες, ὥσπερ ἢ τῇ τοῦ κόσμου γενέσει παρατυχόντες,

καὶ ὡς ἕκαστα καὶ ἐξ ὧν ἀπετελέσθη κατιδόντες, οὐ σύμβουλοι περὶ τῶν κατασκευαζομένων τῷ δημιουργῷ γινόμενοι· εἶτα τῶν ἄλλων ἅπαξ ἁπάντων μεθέμενοι, γνωρίσατε ἑαυτούς, καὶ οἵτινές ἐστε σαφῶς εἴπατε, κατὰ τὸ σῶμα, κατὰ τὴν ψυχήν, κατὰ τὴν αἴσθησιν, κατὰ τὸν λόγον, καθ' ἕν τι κἂν τὸ βραχύτατον εἰδῶν· τί ἐστιν ὅρασις ἀποφήνασθε, καὶ πῶς ὁρᾶτε· τί ἀκοή, καὶ πῶς ἀκούετε· τί γεῦσις, τί ἁφή, τί ὄσφρησις, καὶ πῶς καθ' ἑκάστην ἐνεργεῖτε· ἢ τίνες εἰσὶν αἱ τούτων πηγαί, ἀφ' ὧν καὶ τὸ εἶναι ταῦτα συμβέβηκε. μὴ γάρ μοι περὶ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ὅσα κατ' οὐρανὸν καὶ κόσμον, οὕτως μακρὰν διῳκισμένων, καὶ τὰς φύσεις διαφερόντων ἀερομυθεῖτε, ὦ κενοὶ φρενῶν, πρὶν ἑαυτοὺς ἐρευνῆσαι καὶ γνῶναι. τηνικαῦτα γὰρ ἴσως καὶ περὶ ἑτέρων διεξιοῦσι πιστευτέον· πρὶν δὲ οἵτινές ἐστε αὐτοὶ παραστῆσαι, μὴ νομίζετε κριταὶ τῶν ἄλλων ἢ μάρτυρες ἀψευδέστατοί ποτε γενήσεσθαι. τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον, τελεωθεὶς ὁ νοῦς ἀποδώσει τὸ τέλος τῷ τελεσφόρῳ θεῷ, κατὰ τὸ ἱερώτατον γράμμα. νόμος γάρ ἐστι τὸ τέλος εἶναι κυρίου. πότε οὖν ἀποδίδωσιν· ὅταν ἐπὶ τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ παραγένηται, παρελθὼν τὰς πλείους μοίρας τῶν χρονικῶν διαστημάτων, καὶ ἤδη πρὸς τὴν ἄχρονον μεταβαίνων φύσιν. τότε γὰρ καὶ τὸν ἀγαπητὸν υἱὸν ἱερουργήσει, οὐχὶ ἄνθρωπον. οὐ γὰρ τεκνοκτόνος ὁ σοφός, ἀλλὰ τὸ τῆς ἀρετώσης ψυχῆς γέννημα ἄρρεν, τὸν ἐπιδωθήσοντα καρπὸν αὐτῇ, ὃ πῶς ἐκύησεν, οὐκ ἔγνω, βλάστημα θεῖον, οὗ φανέντος δόξασα κυοφορῆσαι, οὗ συμβάντος ἀγαθοῦ τὴν ἄγνοιαν διηγεῖται φάσκουσα, τίς ἀναγγελεῖ Ἀβραάμ, ὡς ἀπιστοῦντι δήπου περὶ τὴν τοῦ αὐτομαθοῦς γένους ἀνατολήν, ὅτι θηλάζει παιδίον Σάρρα, οὐχὶ πρὸς Σάρρας θηλάζεται. τὸ γὰρ αὐτοδίδακτον τρέφεται μὲν ὑπ' οὐδενός, τροφὴ δέ ἐστιν ἄλλων, ἅτε ἱκανὸν διδάσκειν, καὶ μανθάνειν οὐ δεόμενον. ἔτεκον γὰρ υἱόν, οὐχ ὡς γυναῖκες αἰγύπτιαι κατὰ τὴν τοῦ σώματος ἀκμήν· ἀλλ' ὡς αἱ ἑβραῖαι ψυχαί, ἐν τῷ γήρᾳ μου, ὅτε τὰ μὲν ὅσα αἰσθητὰ καὶ θνητὰ μεμάρανται, τὰ δὲ νοητὰ καὶ ἀθάνατα ἀνήβηκεν, ἃ γέρως καὶ τιμῆς ἐστιν ἐπάξια. καὶ ἔτεκον μαιευτικῆς τέχνης οὐ προσδεηθεῖσα. τίκτομεν γὰρ καὶ πρὶν εἰσελθεῖν τινας ἐπινοίας καὶ ἐπιστήμας ἀνθρώπων πρὸς ἡμᾶς, δίχα τῶν ἐξ ἔθους συνεργούντων, σπείροντος καὶ γεννῶντος θεοῦ τὰ ἀστεῖα γεννήματα, ἃ τῷ δόντι προσηκόντως κατὰ τὸν ἐπ' εὐχαριστίᾳ τεθέντα νόμον, ἀποδίδοται. τὰ γὰρ δῶρά μου,

A & opifici res singulas disponenti fueritis à consilijs. omittite cætera simul omnia, vos ipsos potius cognoscite, & quinam sitis certo pronunciate, siue spectetur corpus, siue anima, seu sensus, seu ratio. vnum saltem non magnum declarate, quid sit visus, & quomodo videatis. quid auditus, & quomodo audiatis. quid gustus, tactus, odoratus, & quomodo exerceatis hæc singula. aut quinam sint horum fontes, vnde manat eorum essentia. nolo
B enim vt lunam, solem, cæteráque mundana & cælestia longe remota, de quorum præcellenti natura homines vani sublimes assertis fabulas, prius quàm ipsos discatis & scrutemini. nam hoc facto tum demum fortasse credetur etiam de alijs disserentibus. nisi autem quinam ipsi sitis doceatis, ne putetis vos testes aut iudices certos fore de alijs. Hæc cum ita se habeant, mens initiata pendit vectigal perfecto Deo iuxta sacras literas. lex enim tributum
C est Domini. Quando igitur pendit? quando ad locum quem indicauit ei Dominus die tertia peruenit, prætéritis plerisque partibus spatiorum temporalium, & iam transit ad naturam expertem temporis. tunc enim etiam dilectum filium sacrificabit: non hominem: non est enim puericida vir sapiens: sed animæ virtutibus refertæ fœtum masculum, fructum ex ipsa germinantem, quo ipsa nescit quomodo facta sit grauida, diuinam progeniem, ex visione Dei vt opinatur cōceptam: quod
D quomodo sibi acciderit, ipsa ignorare se fatetur dicens, Quis nunciabit Abrahamo, quasi vix credenti ortum docti sine præceptore generis, quòd Sarræ lactat puer, non à Sarra lactatur. quod enim à seipso docetur, nutritur à nemine, sed nutrimentum est aliorum, vt idoneum ad docendum, nec opus habens discere. Peperi enim filium, non vt Ægyptiæ mulieres vigore corporis, sed vt Hebrææ animæ, in senectute mea. quando quicquid est sensibile ac
E mortale marcescit, repubescunt autem intelligibilia & immortalia, quæ veneratione honoréque digna sunt. & peperi absque obstetricis opera. parimus enim vel prius quam vlla humana industria scientiáque ad nos veniat, absque consuetis adiumentis, quoties Deus probos fœtus seminat gignítque, qui largitori suo meritò iuxta legē de gratitudine redduntur, ait enim: Dona mea,

A munera mea, sacrificia mea, ea curate offerri mihi. Hic est finis viæ sequentium verba & opera legitima, & incedentium qua Deus deducit. quisquis autem in ea deficit, ab esuriente auidóque voluptatum & liguritore affectuum Amalec, qui interpretatur populus elingens, excidetur. Narrant autem oracula, hunc esse insidiatorem. nam quando videt traiecisse robur potentiarum animæ, cooritur ex insidijs, & defessos cædit in vltimo agmine. est autẽ
B lassitudo alia facile succumbens per debilitatem rationis non valentis labores oneráque perferre quæ virtus postulat, quales in extremo agmine deprehensi opprimuntur absque negocio. alia vero honesti laboris patiens, & quæ bona sunt omnia fortiter perferens, quicquid autem vile etiamsi leuissimum baiulare dedignans, & abijciens vt sarcinam grauissimam. ideo virtutem lex apto nomine Liam appellat, quæ inter-
C pretatur fatigatio: quia malorum hominum vitam onerosam ac grauem, suapte natura fatigationem afferre arbitrata, ne aspicere quidem dignatur, deflectens ad illum solum pulchrum oculos. Debet autem curare mens, vt non modo indefessa & intenta sequatur Deum, verum etiam per callem rectum incedat, nec ad dextra declinans, nec ad læua, in quibus terrenus Edom stabulatur, nunc abundans & copiosus, nunc inops & egenus. Satius est enim per viam mediam incedere vere
D dictam regiam, quam ille magnus & solus rex Deus muniuit in vsum animarum virtutis studiosarum. Quapropter quidam qui mansuetam socialémque colunt philosophiam, mediocritates virtutes dicunt esse, quas in confinio locant: quoniam arrogantiæ plena iactantia vitium est, & affectata humilitas contemptui fit obnoxia: medium verò temperamentum meritò habetur perutile. Illud autem, Abijt cum Lot, quid sibi velit considerandum. Lot interpre-
E tatur declinatio. Flectitur autem mens, nunc bonum, nunc malum auersando: quod vtrumque interdum in vno & eodem videre licet. Sunt enim quidam dubitatores ambigui ad vtrumque declinantes parietem, vt nauis ventis iactata contrarijs nutantes, & tanquam in bilance súsque déque vacillantes, nec valentes consistere: quorum ne ad meliora quidem conuersio laudem meretur, vt quæ impetu quodam fit,

A δόματά μου, καρπώματά μου, φησὶν, καὶ τηρήσατε προσφέρειν ἐμοί, τοῦτ' ἔστι τὸ τέλος τῆς ὁδοῦ τῶν ἑπομένων λόγοις καὶ πράξεσι νομίμοις, καὶ ταύτῃ βαδιζόντων, ᾗ δὴ ὁ θεὸς ἀφηγῆται. ὁ δὲ ἀπαυδήσας ὑπὸ τοῦ πεινῶντος ἡδονῆς καὶ λίχνου παθῶν ὀνόματι Ἀμαλήκ· ἑρμηνεύεται γὰρ λαὸς ἐκλείχων· ἐκτετμήσεται. μηνύουσι δὲ οἱ χρησμοὶ, ὅτι λοχῶν ὁ τοιοῦτος ἐστί. ἐπειδὴν γὰρ τὸ ἐρρωμενέστατον τῆς ψυχικῆς δυνάμεως κατίδῃ περαιωθὲν, ὑπανιστάμενος τῆς ἐνέδρας, τὸ κεκμηκὸς μέρος ὡς ὕ-
B ραγίαν κόπτει· κάματος δὲ ὁ μὲν ἐστὶν εὐένδοτος λογισμοῦ ἀσθενείᾳ μὴ δυναμένου τοὺς ὑπὲρ ἀρετῆς ἀχθοφορῆσαι πόνους, ἐν ἐσχατιαῖς ἐστὶ δυσελεγχόμενος εὐάλωτος· ὁ δὲ ἐστὶν ὑπομονῇ τῶν καλῶν, τὰ μὲν καλὰ ἄχθεα ἐρρωμένως ἀναδεχόμενος, μηδὲν δὲ τῶν φαύλων κἂν εἰ κουφότατον εἴη βαστάσαι δικαιῶν, ἀλλ' ὡς βαρύτατον ἄχθος ἀπορρίπτων. διὸ καὶ τὴν ἀρετὴν ὁ νόμος εὐθυβόλως προσεῖπεν ὀνόματι Λείαν, ἥτις ἑρμηνευ-
C θεῖσα λέγεται κοπιῶσα. τὸν γὰρ τῶν φαύλων βίον ἐπαχθῆ καὶ βαρὺν ὄντα, φύσει κοπιᾶν προσηκόντως αὐτῇ νενόμικε, καὶ οὐδὲ προσιδεῖν ἀξιοῖ, τὰς ὄψεις πρὸς μόνον τὸ καλὸν ἀποκλίνουσα. σπουδαζέτω δὲ ὁ νοῦς μὴ μόνον ἀνενδότως καὶ εὐτόνως ἕπεσθαι θεῷ, ἀλλὰ καὶ τὴν εὐθεῖαν ἀτραπὸν ἰέναι, πρὸς μηδ' ἕτερα νεύων, μήτε τὰ δεξιὰ, μήτε τὰ εὐώνυμα, οἷς ὁ γήινος Ἐδὼμ ἐμπεφώλευκε, τοτὲ μὲν ὑπερβολαῖς καὶ περιουσίαις, τοτὲ δὲ ἐλλείψεσι καὶ ἐνδείαις χρώμενος. ἄμεινον γὰρ ὁδῷ
D τῇ μέσῃ βαδίζειν ἐπὶ τῇ πρὸς ἀλήθειαν βασιλικῇ, ἣν ὁ μέγας καὶ μόνος βασιλεὺς θεὸς ταῖς φιλαρέτοις ψυχαῖς εὐρυνεν ἐνδιαίτημα κάλλιστον· διὸ καί τινες τῶν τὴν ἥμερον καὶ κοινωνικὴν μετιόντων φιλοσοφίαν, μεσότητας τὰς ἀρετὰς εἶπον εἶναι, ἐν μεθορίῳ στήσαντες αὐτὰς, ἐπεὶ τό, τε ὑπέραυχον, ἀλαζονείας γέμον πολλῆς κακὸν, καὶ τὸ ταπεινοῦ καὶ ἀφανοῦς μεταποιεῖσθαι σχήματος, εὐεπίβατον· τὸ δὲ μεταξὺ ἀμφοῖν κεκερασμένον, ἐπιεικῶς ὠφέλιμον.
E τὸ δὲ, Ὤχετο μετὰ τοῦ Λώτ, τίνα ἔχει λόγον σκεπτέον. ἔστι μὲν οὖν Λὼτ ἑρμηνευθεὶς ἀπόκλισις, κλίνεται δὲ ὁ νοῦς, τοτὲ μὲν τἀγαθὸν, τοτὲ δὲ αὖ τὸ κακὸν ἀποστρεφόμενος· ἄμφω δὲ ταῦτα πολλάκις περὶ ἕνα καὶ τὸν αὐτὸν θεωρεῖται. εἰσὶ γάρ τινες ἐνδοιασταὶ καὶ ἐπαμφοτερισταὶ πρὸς ἑκάτερον τοῖχον, ὥσπερ σκάφος ὑπ' ἐναντίων πνευμάτων διαφερόμενον, ἀποκλίνοντες, ἢ καθάπερ ἐπὶ πλάστιγγος ἀντιρρέποντες, ἐφ' ἑνὸς στηριχθῆναι βεβαίως ἀδυνατοῦντες, ὧν οὐδὲ τὴν ἐπὶ τὰ ἀμείνω τροπὴν ἐπαινετέον.

φορᾷ γὰρ ἀλλ' οὐ γνώμῃ γίνεται. τούτων καὶ ὁ Λὼτ ἐστι θιασώτης, ὅς φησιν οἴχεσθαι μετὰ τοῦ σοφίας ἐραστοῦ. καλὸν δὲ ἦν ἀρξάμενον ἐκείνῳ παρακολουθεῖν, ἀπομαθεῖν ἀμαθίαν, καὶ μηκέτι παλινδρομῆσαι πρὸς αὐτήν. ἀλλὰ γὰρ οὐχ ἕνεκα τοῦ μιμησάμενον τὸν ἀμείνω βελτιωθῆναι συνέρχεται, ἀλλ' ὑπὲρ τοῦ κἀκείνῳ παραγενέσθαι ἀντισπάσματα καὶ μεθολκάς, καὶ κατάγειν ἔνθεν ὄλισθος. τεκμήριον δὲ, ὁ μὲν ὑπὸ τὴν ἀρχαίαν ὑποτροπιάσας νόσον οἰχήσεται ληφθεὶς αἰχμάλωτος ὑπὸ τῶν ἐν ψυχῇ πολεμίων. ὁ δὲ τὰς ἐνέδρας ἐπιβουλὰς αὐτοῦ φυλαξάμενος, πάσῃ μηχανῇ διοικισθήσεται· τὸν δὲ διοικισμὸν αὐτὸς μὲν, οὔπω δὲ ποιήσεται. νῦν μὲν γὰρ τὰ θεωρήματα αὐτοῦ ὡς ἂν ἄρτι ἀρχομένου τῆς θείας παιδείας, πλαδᾷ καὶ σαλεύει· ὅταν δὲ ἤδη παγιώτερα καὶ βεβαιότερα ἱδρυθῇ, δυνήσεται τὸ δελεάζον καὶ κολακεῦον ὡς ἐχθρὸν ἀκατάλλακτον καὶ δυσφύλακτον φύσει διαζεῦξαι. τοῦτο γὰρ ἐστὶ τὸ δυσαπότριπτον ὂν, προσπεπλέχθαι ψυχῇ, κωλῦον αὐτὴν πρὸς ἀρετὴν ὀξυδρομεῖν. τοῦθ' ἡνίκα καὶ τὴν Αἴγυπτον ἀπολείπομεν, τὴν σωματικὴν χώραν ἅπασαν, ἀπομαθεῖν τὰ πάθη σπουδάσαντες κατὰ τοὺς προφήτου λόγους Μωϋσέως καὶ ὑφηγητῆς, ἠκολούθησεν ἡμῖν ἐλλαμβανόμενον τὸ περὶ τὴν ἔξοδον σπουδῆς, καὶ τῷ τάχει τῆς ἀπολείψεως ὑπὸ φθόνου βραδυτῆτας ἐμποιοῦν. λέγεται γὰρ ὅτι καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα καὶ βόες, καὶ κτήνη πολλὰ σφόδρα. ὁ δὲ ἐπίμικτος οὗτός ἐστιν, τὰ κτηνώδη καὶ ἄλογα τῆς ψυχῆς, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δόγματα. πάνυ καλῶς δὲ καὶ εὐθυβόλως τὴν τοῦ φαύλου ψυχὴν ἐπίμικτον κέκληκε. συνηρημένη γὰρ καὶ συμπεφορημένη καὶ μιγὰς ὄντως ἐκ πλειόνων καὶ μαχομένων δοξῶν, μία μὲν οὖσα ἀριθμῷ, μυρίας δὲ τῇ πολυτροπίᾳ. διὸ καὶ τῷ ἐπίμικτος προσκεῖται πολύς. ὁ μὲν γὰρ πρὸς ἓν μόνον ἀφορῶν, ἁπλοῦς καὶ ἀμιγὴς καὶ λεῖος ὄντως· ὁ δὲ πολλὰ τέλη τοῦ βίου προστησάμενος, πολὺς καὶ μιγὰς καὶ δασὺς ἀληθείᾳ. οὗ χάριν οἱ χρησμοὶ, τὸν μὲν ἀσκητὴν τῶν καλῶν Ἰακὼβ, λεῖον· τὸν δὲ τῶν αἰσχρῶν Ἡσαῦ, δασὺν εἰσάγουσι, διὰ τὸν ἐπίμικτον καὶ δασὺν τοῦτον ὄχλον, ἐκ μιγάδων καὶ συγκλύδων συμπεφυρμένων δοξῶν. ὠκυδρομῆσαι δυνάμενος ὁ νοῦς ὅτε τὴν σωματικὴν χώραν ἀπεδίδρασκεν Αἴγυπτον, καὶ τρισὶν ἡμέραις διαδέξασθαι τὸν ἀρετῆς κλῆρον, φωτὶ τρισσῷ, μνήμῃ τῶν προεληλυθότων, καὶ ἐνεργείᾳ τῶν παρόντων, καὶ τῇ τῶν μελλόντων ἐλπίδι,

A non ex animi sententia. In horum numero Lot quoque censeri debet, spectator quidam, qui nunc narratur peregre profectus cum amatore sapiētiæ. Decebat autē vt sicut cœperat pergeret, ignorantiam dedisceret, nec cursum ad eam denuo reflecteret. Verum non ideo comes fit, vt melioris imitatione proficiat, sed vt & illi sit impedimentū ac remora, vtque deducat eum in lubrica. id argumento hoc colligitur, quòd alter in morbū pristinum recidens captiuus abducetur ab hostibus animæ: alter cauēs
B sibi ab eius insidijs, modis omnibus vt separetur dabit operam. quæ separatio non mox fiet sed postea. nunc enim cōtemplationes eius vt tum primū incipientis res diuinas considerare, debiles sunt & instabiles: vbi verò confirmatæ fuerint, poterit illecebras & assentationes vt rem infestā & suopte ingenio caueri difficilem, à se seiungere. Hoc est enim illud accidens animæ, quod non
C façile excutitur, impediēs eam ne celeri cursu ad virtutē properet. Idem etiam quando Ægyptum reliquimus, id est, vniuersam regionē corporis, & vt affectus dedisceremus, secuti sumus Mosis prophetica monita, à tergo inhærens remorabatur nostrum exitum, properātes retardās præ inuidia. narratur enim quòd promiscua turba multa vnà cum eis ascendebat, oues bouésque & iumētorum ingens numerus.] Hæc promiscua turba, vt verū fateamur, nihil aliud
D erat quàm animę bruta dogmata. & valde apte mali viri anima promiscua vocatur. Cum enim sit colluuies quædam opinionum inter se pugnantium, vna licet in varietates scinditur innumeras. ideo non solum promiscua turba, sed & multa dicitur. nam qui vnum solum spectat, simplex, sincerus, & vere lenis est. qui verò multos fines vitæ habet propositos, multus, promiscuus, & reuera inæqualis ac asper est. Quam-
E obrem oracula meditatorem virtutis Iacob nitida cute introducunt, hispidum autem Esau deditum turpibus studijs, propter istam promiscuam & inæqualem turbam, conflatam è conuenis & miscellaneis opinionibus. Sic factum est vt mens quæ potuerat properato itinere corpoream regionē Ægyptum effugere, & virtutis hæreditatem assequi triduo, adiuta triplici lumine, memoria præteritorū, manifesta vi præsentium, & spe futurorum, per annorum quadraginta spatium longissimum

attereretur, per ambages errans propter morum varietatem, cum debuisset per compendiariam rectámque viam iter facere. Hæc est quæ non solum gaudet paucis aliquot concupiscentijs, sed nullam omnino præterire dignatur, vt vagetur per omnes totius eius generis species. Dicitur enim de istis admixticijs, quod in genere concupiscentia laborabant, non vna quapiam eius specie. Et sedentes flebant. Intelligit enim mens se parũ proficere, & quando non potest quæ cupit assequi, lacrymatur ac gemit. Atqui gaudere debuerat quòd in morbis affectibúsque successum non haberet, & pro magna felicitate ducere in his penuriam egestatémque. attamẽ etiam virtutis sodalibus interdum contingit lacrymari & languere, vel præ compassione in calamitatibus insipientium quibus tanguntur vt eiusdem naturæ participes, vel præ gaudio. id fit quoties confertim bona inexpectata more imbris inundant. Vnde mihi videtur natum illud poeticum, δακρυόεν γελάσασα, id est, subridens oculos lacrymis suffusa nitenteis. Cum enim incidit in animam ob insperatam aliquam felicitatem ingens lætitia, noua quadam mole auget eam, vt vix capiatur à corpore. ex qua compressione manat liquor nominatus lacryma, de quo in hymnis canitur, Cibabis nos pane imbuto lacrymis. &, Versæ sunt mihi lacrymæ in panem interdiu noctúque. Sunt enim mentis cibus lacrymæ natæ ex bene affecto risu & honesto, quando colliquante diuino desiderio lamentũ creaturę in hymnum illius increati vertitur. Sunt tamen qui istam promiscuã & inæqualem turbam excludunt à se ac separãt, quippe qui gaudent solius Deo caræ gentis consuetudine. alij cum illa quoque fœdus ineunt, quærentes vitæ compendium, & humanarum diuinarúmque virtutum facientes confinium, in quo vtrisque affines sint, tum his quæ vere sunt, tum his quæ esse existimantur. In hac opinione etiam reipublicæ administrator est, qui Ioseph nominari solet, quem in paternis exequijs deducunt omnes serui Pharaonis, & seniores aulici, & omnes seniores Ægypti, & vniuersa ipsius Iosephi familia, & fratres eius cum omnibus patris domesticis. Vides vt medium inter Pharaonis paternámque familiam ordinẽ hic vir ciuilis teneat, vt ex æquo potiatur & rebus Ægypti corporeis, & rebus animæ,

A τεσσαράκοντα ἐτῶν ἀριθμὸν μῆκος τοσούτου χρόνου τρίβεσθαι, τὴν ἐν κύκλῳ περιάγων καὶ ἀλώμενος ἕνεκα τοῦ πολυτρόπου, τὴν ἐπ' εὐθείας δυνάμενος συντομωτάτην ὁδὸν ἰέναι. οὗτός ἐστιν ὁ μὴ μόνον ὀλίγοις εἴδεσιν ἐπιθυμίας χαίρων, ἀλλὰ μηδὲν τὸ παράπαν ἀπολιπεῖν δικαιῶν, ἵνα ὅλον δι' ὅλων τὸ γένος, ᾧ πᾶν εἶδος ἐκφέρεται, μετέρχηται. λέγεται γὰρ, ὅτι ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίας αὐτὸ τὸ γένος, οὐχ ἑνός τινος τῶν εἰδῶν. καὶ καθίσαντες, ἔκλαιον. συνίησι γὰρ ὀλιγοδρανοῦσα ἡ διάνοια, καὶ ὁπότε μὴ δύναται τυχεῖν ὧν
B ὀρέγεται, δακρύει καὶ στενάζει. καίτοι ὤφελε χαίρειν, παθῶν καὶ νοσημάτων ἀτυχοῦσα, καὶ μεγάλην εὐπραγίαν νομίζειν τὴν ἔνδειαν καὶ ἀπορίαν αὐτῶν. ἀλλὰ γὰρ καὶ τοῖς χορευταῖς ἀρετῆς σφαδάζειν καὶ δακρύειν ἔθος, ἢ ταῖς τῶν ἀφρόνων ὀδυρομένοις συμφοραῖς, διὰ τὸ φύσει κοινωνικὸν καὶ φιλάνθρωπον, ἢ διὰ περιχάρειαν. γίνεται δὲ αὕτη, ὅταν ἀθρόα ἀγαθὰ μηδὲν προσδοκηθέντα ποτὲ, αἰφνίδιον ὀμβρήσαντα πλημμυρῇ· ἀφ' οὗ καὶ
C τὸ ποιητικὸν εἰρῆσθαί μοι δοκεῖ, δακρυόεν γελάσασα. προσεπισπεῦσα γὰρ ἐκ τοῦ ἀνελπίστου ἡ εὐπαθειῶν ἀρίστη χαρὰ ψυχῇ, μείζονα αὐτὴν ἢ πρότερον ἦν, ἐποίησεν, ὡς διὰ τὸν ὄγκον μηκέτι χωρεῖν τὸ σῶμα· θλιβόμενον δὲ καὶ πιεζόμενον ἀποστάζειν λιβάδας, ἃς καλεῖν ἔθος δάκρυα, περὶ ὧν ἐν ὕμνοις εἴρηται, Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ, Εγένετό μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός. τροφὴ γάρ ἐστι διανοίας τὰ τοῦ ἐνδιαθέ-
D του καὶ σπουδαίου γέλωτος ἐμφανῆ δάκρυα, ἐπειδὰν ὁ θεῖος ἐντακεὶς ἵμερος, τὸ τοῦ γενητοῦ θρῆνον ᾆσμα εἰς τὸν ἀγένητον ὕμνον ποιήσειεν. ἔνιοι μὲν οὖν τὸν μιγάδα καὶ διάσυρον τοῦτον ἀπορρίπτουσι καὶ διατειχίζουσιν ἀφ' ἑαυτῶν, τῷ θεοφιλεῖ μόνῳ γένει χαίροντες· ἔνιοι δὲ καὶ πρὸς αὐτὸν ἐπιμιξίαν τίθενται, μεθοδεύειν τὸν ἑαυτῶν βίον ἀξιοῦντες, καὶ μεθόριον ἀνθρωπίνων τε καὶ θείων ἀρετῶν τιθέντες, ἵν' ἑκατέρων ἐφάπτωνται, καὶ τῶν ἀληθείᾳ καὶ
E τῶν δοκήσει. τούτου τοῦ δόγματος ὁ πολιτευόμενός ἐστι τρόπος, ὃν Ἰωσὴφ ὀνομάζειν ἔθος, ᾧ συναπέρχονται μέλλοντι τὸν πατέρα κηδεύειν, πάντες οἱ παῖδες Φαραὼ, καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ, καὶ πάντες οἱ πρεσβύτεροι τῆς Αἰγύπτου, καὶ πᾶσα ἡ πανοικία αὐτοῦ Ἰωσὴφ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ. ὁρᾷς ὅτι μέσος τοῦ Φαραὼ καὶ τῆς πατρικῆς οἰκίας ὁ πολιτικὸς τάττεται, ἵνα καὶ τὴν κατὰ σῶμα τὴν Αἴγυπτον, καὶ τὴν κατὰ ψυχὴν, ἃ πάντα ἐν τῷ πατρικῷ οἴκῳ

A θησαυροφυλακεῖται, κατ' ἴσον ἐφῆπται; ὅταν μὲν γὰρ λέγῃ τοῦ θεοῦ εἰμι, καὶ τὰ ἄλλα ὅσα συνῳδὰ τούτῳ, τοῖς τῆς πατρῴας οἰκίας ἐμμένει νομίμοις· ὅταν δὲ ἐπὶ τὸ δεύτερον ἅρμα τοῦ βασιλεύειν δοκοῦντος ἀνέρχηται Φαραώ, τὸν Αἰγυπτιακὸν πάλιν ἱδρύεται τῦφον. ἀθλιώτερος δὲ ὁ νομιζόμενος ἐνδοξότερος εἶναι βασιλεύς, ὃς τῷ πρωτευομένῳ τῶν ἁρμάτων ἐποχεῖται. τὸ γὰρ μὴ ἐν καλοῖς διαφέρειν, ἐπιφανέστατον αἶσχος, ὡς τὸ φέρεσθαι τὰ ἐν τούτῳ δευτερεῖα, κουφότερον κακόν. τὸ μέντοι γε ἐπαμφοτερίζον αὐτοῦ καταμάθοις ἂν κἀκ τῶν ὅρκων οὓς πεποίηται, τοτὲ μὲν ὀμνὺς νὴ τὴν ὑγείαν Φαραώ, τοτὲ δὲ ἔμπαλιν, οὐ τὴν ὑγείαν Φαραώ. ἀλλ' ὁ μὲν περιέχων τὴν ἀπόφασιν ὅρκος, τὸ πατρικὸν ἂν εἴη διάταγμα οἰκίας ἀεὶ φονώσης κατὰ τοῦ πάθους, καὶ βουλομένης αὐτὸ τεθνάναι· ὁ δὲ ἕτερος Αἰγύπτιος, ᾗ φίλον ἐστὶ τοῦτο σώζεσθαι. διόπερ καίτοι τοσούτου πλήθους συναναβάντος, ἐπίμικτον ὄχλον οὐκ εἶπεν, ἐπειδὴ τῷ μὲν ἄκρως ὁρατικῷ καὶ φιλαρέτῳ, πᾶν ὃ μὴ ἀρετὴ ἢ ἀρετῆς ἔργον, ἀναμεμῖχθαι καὶ συγκεχύσθαι δοκεῖ· τῷ δὲ ἐπὶ χαμαιζήλῳ, καθ' αὐτὰ τὰ γῆς ἆθλα ἀξιέραστα καὶ ἀξιοτίμητα νενόμισται. τὸ μὲν οὖν ὡς κηφῆνα τοὺς μὲν αὐτοὺς ὠφελίμους πόνους λυμαίνεσθαι διεγνωκότα, καὶ διὰ τοῦτο ἐπακολουθοῦντα διατειχίσει, καθάπερ ἔφην, ὁ φρονήσεως ἐραστής· τοὺς δὲ ἕνεκα μιμήσεως ἐπιτρεπομένους, κατὰ τὸν καλὸν ζῆλον ἀποδέξεται, μοίρας αὐτοῖς ἁρμοττούσας δασάμενος. τῶν γάρ, φησί, συμπορευθέντων ἀνδρῶν μετ' ἐμοῦ Ἐσχώλ, Αὐνάν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα. λέγει δὲ τοὺς εὐφυεῖς τρόπους καὶ φιλοθεάμονας. ὁ μὲν γὰρ Ἐσχώλ, εὐφυΐας σύμβολον, πυρὸς ἔχων ὄνομα· ἐπεὶ καὶ τὸ εὐφυὲς εὔτολμον καὶ ἔνθερμον, καὶ ἐχόμενον ὧν ἂν προσάψηται. ὁ δὲ Αὐνὰν τοῦ φιλοθεάμονος· ὀφθαλμοὶ γὰρ ἑρμηνεύεται, παρ' ὃ καὶ τὰ ψυχῆς ὑπ' εὐθυμίας ὄμματα διοίγνυσθαι. τούτων δὲ ἀμφοτέρων ἐστὶν ὁ θεωρητικὸς βίος κλῆρος, προσαγορευόμενος Μαμβρῆ, ὃ μεταληφθὲν ἀπὸ ὁράσεως καλεῖται· τῷ δὲ θεωρητικῷ τὸ ὁρᾶν συνῳδόν τε καὶ οἰκειότατον. ἐπειδὰν δὲ τούτοις ἀλείπταις χρησάμενος ὁ νοῦς μηδὲν ἐλλείπῃ τῆς περὶ ἄσκησιν, συνοδεύει καὶ συμβαίνει τελείᾳ φρονήσει, μήθ' ὑπερέχων, μήθ' ὑπερεχόμενος, ἀλλ' ἰσάρτια καὶ ἰσοστάσια βαίνων. δηλοῖ δὲ τὸ λόγιον ἐν ᾧ σαφῶς εἴρηται, διότι πορευθέντες ἀμφότεροι ἅμα ἦλθον ἐπὶ τὸν τόπον ὃν εἶπεν ὁ θεός, ὑπερβάλλουσά τε ἰσότης ἀρετῶν, ἁμίλλης ἀμείνων,

quæ omnes in paternis ædibus sunt reconditæ. Cum enim ait, Dei sum: & cætera his similia, ritum paternæ domus retinet. quando autem ascendit currum potestatis secundæ à Pharaone, hoc est mente quæ regnare sibi videtur, fastum Ægyptiacum rursus constabilit. Sed miserior est rex qui putatur illustrior, & primario curru vectatur. Nam in rebus inhonestis excellere, insignis turpitudo est: sicut secundo loco censeri, leuior miseria. Potes tamen ambiguum eius animum B discere vel ex iureiurando, dum modo per sanitatem, modo per non sanitatem Pharaonis iurat. verum hæc posterior formula cum negatione refert disciplinam paternam semper infestam affectibus, & optantem eis exitium: altera vero Ægyptiam, quæ cupit illos incolumes. ideo quamuis tanta multitudo simul ascenderet, promiscua turba non vocatur: quoniam quicquid perspicaci & C amico virtutis populo miscetur, præter virtutem eiúsque opera, promiscuum confusúmque videtur: in humili autem multitudine omnes ex æquo amant ac honorant terrena præmia. Hos igitur ceu fucos insidiantes alienis laboribus, & ideo comites itineris, excludet, vt dixi, amator prudentiæ. cæterum eos qui sequuntur vt imitentur, amplectetur propter honestatis æmulationem, partes conuenientes eis attribuens. ait enim: Ex comitibus meis Eschol, Aunan, Mambre, portiones accipient. D quod dicit de generosis moribus & spectandi cupidis. nam Eschol bonam indolem significat, ab igne ducens nomen: quoniam quod generosum, idem audax est & calidum, inhærens omnibus quæ attingit. Aunan verò spectandi cupidum: interpretatur enim oculi, quod anima oculos aperiat tranquillitatis desiderio. Amborum hæreditas est vita contemplatiua, quæ Mambre appellatur, & à visione denominatur. at contemplationi visus aptisE simus est atque familiarissimus. ab his autem pædotribis vnctus intellectus si non cesset ab exercitationibus, propere consequitur perfectam prudentiam paribus gressibus, nec præcurrens, nec à tergo relinqui sustinens, sed perpetuo hærens eius lateri. Id liquet ex oraculo, in quo aperte dicitur, quòd perfecti ambo ascenderunt in locum quem indicauit Deus: quæ quidem egregia fuit virtutum paritas,

certante laboris industria cum agilitate natiua, & arte cum bene nato felicique ingenio ex seipso discente, ita vt paria virtutis præmia perciperent. ac si pictura fictura've non solum immobilia inanimáque facerent opera, sed & per se mobiles animatásque picturas atque statuas. Tunc enim artes quæ prius imitabantur opera naturæ, in ipsas naturas versæ viderentur. Cæterum quisquis in tantam sublimitatem eleuatus fuerit, nullam animæ suæ partem infra in rebus mortalibus immorari sinet, sed omnes tanquam è cathena pendentes simul attrahet. ideo tale oraculum illi sapienti est redditum: Ascende ad Dominum tuum, tu & Aaron & Nabad & Abiud, & septuaginta seniores Israel. hoc est, ascende ô anima ad eius Qui est contemplationem, composite, rationaliter, sponte, intrepide, amanter, in numeris sanctis perfectísque septenarij decuplicati. nam Aaron propheta dicitur Mosis, in lege sonorus sermo, menti prophetans. Nabad autem voluntarius interpretatur, qui non coactus colit Deum. Abiud vero pater meus. hic non propter imprudentiam Domino, sed propter prudentiam patre opus habet Deo. Sunt autem hæ potentiæ stipatrices mentis illius quæ regnum merito tenet, à quibus eam deduci fas est. Enimvero periculosum est animam incomitatam ad contemplationem eius Qui est ascendere, si viam nesciens tale quid audeat, quod ex ignorantia temeritatéque magni casus proueniant. Quamobrem precatur Moses, vt ipse Deus viam ad seducentem indicet. dicit enim: Nisi tuipse vnà proficiscaris, ne educas me hinc. Quia omnis motus absque fauore diuino damnosus est: & præstat hic manere oberrando inter mortales, sicut magna pars humani generis, quàm ad cælum à seipsis elatos subuerti per arrogantiam, sicut plurimis sophistis contigit, ratis sapientiam inueniri per rationes probabiles, non per fidem in rebus certissimam. Fortassis autem etiam tale aliquid hic significatur: ne me in altum extollas, diuitias, gloriã, honores, principatus, & alia quæ bona dicuntur concedens, nisi me ipse comitaberis. nam ista nunc calamitates, nunc vtilitates ingentes afferunt: vtilitates Deo gubernante sententiam, calamitates alioquin.

A πόνῳ μὲν πρὸς ἀνεξίαν, τέχνης δὲ πρὸς τὴν αὐτοδίδακτον φύσιν, καὶ δυνηθέντων ἴσα τὰ ἆθλα τῆς ἀρετῆς ἐνέγκασθαι. ὥσπερ ἂν εἰ ζωγραφία καὶ πλαστικὴ μὴ μόνον ἀκίνητα καὶ ἄψυχα ἐδημιούργουν, ἴσχυον δὲ κινούμενά τε καὶ ἔμψυχα τὰ γραφόμενα καὶ πλαττόμενα ποιεῖν. ἐδόκουν γὰρ ἂν φύσεως ἔργον ἴσον, ὃ πάλαι μιμητικαὶ τέχναι φύσεις αὗται γεγενῆσθαι τὰ νῦν. ὁ δὲ ἐπὶ τοσοῦτον αἰωρούμενος ἐξαρθεὶς, οὐδὲν ἔτι τῶν τῆς ψυχῆς μερῶν κάτω περὶ τὰ θνητὰ ἐνδιατρίβειν ἐάσει· πάντα

B δὲ ὥσπερ ἐκ σειρᾶς ἐκκρεμασθέντα, συνεπισπάσεται· διὸ καὶ λόγιον ἐχρήσθη τῷ σοφῷ τοιόνδε, Ἀνάβηθι πρὸς κύριόν σου, σὺ καὶ Ἀαρὼν καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ ἑβδομήκοντα τῆς γερουσίας Ἰσραήλ. τοῦτο δ' ἐστὶ τοιοῦτον, ἀνάβηθι ὦ ψυχὴ πρὸς τὴν τοῦ ὄντος θέαν, ἁρμονίως, λογικῶς, ἑκουσίως, ἀφόβως, ἀγαπητικῶς, ἐν ἀριθμοῖς ἁγίοις καὶ τελείοις ἑβδομάδος δεκαπλασιασθείσης. Ἀαρὼν μὲν γὰρ προφήτης λέγεται Μωυσέως ἐν τοῖς

C νόμοις ὁ γεγωνὸς λόγος, προφητεύων διανοίᾳ· Ναδὰβ δὲ ἑκούσιος ἑρμηνεύεται, ὁ μὴ τιμῶν τὸ θεῖον ἀνάγκῃ· καὶ Ἀβιοὺδ πατήρ μου. οὗτος ὁ μὴ δι' ἀφροσύνην δεσπότου μᾶλλον, ἢ πατρὸς διὰ φρόνησιν ἄρχοντος θεοῦ δεόμενος. αὗται εἰσὶν αἱ τοῦ βασιλεύειν ἀξίου νοῦ δορυφόροι δυνάμεις, αἷς συνέρχεσθαι τῷ βασιλεῖ, παραπεμπούσαις αὐτὸν θέμις. ἀλλὰ γὰρ δέος ἐστὶν ἀναβαίνειν πρὸς τὴν τοῦ ὄντος θέαν ψυχῇ δι' ἑαυτῆς, ἀγνοούσῃ τὴν ὁδὸν, ὑπὸ ἀμαθίας ἅμα καὶ τόλμης ἐπιθείσῃ· μεγάλα δὲ

D τὰ ἐξ ἀνεπιστημοσύνης καὶ πολλοῦ θράσους παραπτώματα. διόπερ εὔχεται Μωυσῆς αὐτῷ τῷ θεῷ χρῆσθαι ἡγεμόνι πρὸς τὴν πρὸς αὐτὸν ἄγουσαν ὁδόν. λέγει γὰρ, Εἰ μὴ αὐτὸς σὺ συμπορεύσῃ, μή με ἀναγάγῃς ἐντεῦθεν, διότι πᾶσα κίνησις ἡ ἄνευ θείας ἐπιφροσύνης ἐπιζήμιος, καὶ ἄμεινον ἐνταυθοῖ καταμένειν τὸν θνητὸν βίον ἀλητεύοντας, ὡς τὸ πλεῖστον ἀνθρώπων γένος, ἢ πρὸς τὸν οὐρανὸν ἐξάραντας ἑαυτοὺς ὑπὸ ἀλαζονείας ἀνατετράφθαι, καθάπερ μυρίοις συνέβη τῶν σοφι-

E στῶν, οἵ τινες ᾠήθησαν σοφίαν πιθανῶν εἶναι λόγων εὕρεσιν, ἀλλ' οὐ πραγμάτων ἀληθεστάτην πίστιν. ἴσως δὲ καὶ τοιοῦτόν τι δηλοῦται, μή με ἄνω μετέωρον ἐξάρῃς, πλοῦτον, ἢ δόξαν, ἢ τιμὰς, ἢ ἀρχὰς, ἢ ὅσα ἄλλα τῶν ἐν τοῖς λεγομένοις ἀγαθοῖς δωρησάμενος, εἰ μὴ μέλλοις αὐτὸς συνέρχεσθαι. ταῦτα γὰρ ζημίας καὶ ὠφελείας μεγίστης πολλάκις περιποιητικὰ τοῖς ἔχουσιν. ὠφελείας μὲν, ὅταν ἀφηγῆται τῆς γνώμης ὁ θεός· βλάβης δὲ, ὅταν τοὐναντίον.

μυρίοις γὰρ τὰ λεγόμενα ἀγαθὰ πρὸς ἀλήθειαν A οὐκ ὄντα, κακῶν ἀνηκέστων γέγονεν αἴτια. ὁ δὲ ἑπόμενος θεῷ, κατ᾽ ἀνάγκην συνοδοιπόροις χρῆται τοῖς ἀκολούθοις αὐτοῦ λόγοις, οὓς ὀνομάζειν ἔθος ἀγγέλους. λέγεται γοῦν ὅτι Ἀβραὰμ συνεπορεύετο συμπροπέμπων αὐτούς. ὢ παγκάλης ἐπανισώσεως, καθ᾽ ἣν ὁ προπέμπων προεπέμπετο, διδοὺς ὃ ἐλάμβανεν, οὐκ ἀνθ᾽ ἑτέρου ἕτερον, ἀλλ᾽ ἓν αὐτὸ μόνον ἐκεῖνο τὸ πρὸς τὰς ἀντιδόσεις ἕτοιμον. ἕως μὲν γὰρ οὐ τετελείωται, ἡγεμόνι τῆς ὁδοῦ B χρῆται λόγῳ θείῳ· χρησμὸς γάρ ἐστιν, Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν ἣν ἡτοίμασά σοι. πρόσεχε αὐτῷ, καὶ εἰσάκουε αὐτοῦ, μὴ ἀπείθει αὐτῷ· οὐ γὰρ μὴ ὑποστείληταί σε· τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ᾽ αὐτῷ. ἐπειδὰν δὲ πρὸς ἄκραν ἐπιστήμην ἀφίκηται, συντόνως ἐπιδραμὼν, ἰσοταχήσει τῷ πρόσθεν ἡγουμένῳ τῆς ὁδοῦ. ἀμφότεροι γὰρ οὕτως ὀπαδοὶ γενήσονται τοῦ πανηγεμόνος θεοῦ, μηδενὸς ἔτι τῶν ἑτεροδόξων παρακο- C λουθοῦντος· ἀλλὰ καὶ τοῦ Λώτ, ὃς ἔκλινε τὴν ψυχὴν, ὀρθὴν καὶ ἀκαμπῆ φύεσθαι δυναμένην, διοικισθέντος. Ἀβραὰμ δὲ ἦν, φησὶν, ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν. περὶ μὲν οὖν τοῦ τῶν πέντε καὶ ἑβδομήκοντα ἐτῶν ἀριθμοῦ· λόγον γὰρ ἔχει συνῳδὸν τοῖς προειρημένοις· αὖθις ἀκριβωσόμεθα· τίς δέ ἐστι Χαῤῥὰν, καὶ τίς ἡ ἐκ ταύτης ἀποικία τῆς χώρας, πρότερον ἐρευνήσωμεν. οὐδένα τοίνυν τῶν ἐντετυχηκότων τοῖς D νόμοις ἀγνοεῖν εἰκὸς, ὅτι πρότερον μὲν ἐκ τῆς χαλδαϊκῆς ἀναστὰς γῆς Ἀβραὰμ ᾤκησεν εἰς Χαῤῥάν· τελευτήσαντος δὲ αὐτῷ τοῦ πατρὸς ἐκεῖθι, κἀκ ταύτης μετανίσταται, ὡς δυοῖν ἤδη τόποιν ἀπόλειψιν πεποιῆσθαι. τί οὖν λεκτέον· χαλδαῖοι τῶν ἄλλων ἀνθρώπων ἐκπεπονηκέναι διαφερόντως δοκοῦσιν ἀστρονομίαν καὶ γενεθλιακὴν, τὰ ἐπίγεια τοῖς μετεώροις, καὶ τὰ οὐράνια τοῖς ἐπὶ γῆς ἁρμοζόμενοι, καὶ ὥσπερ διὰ μουσικῆς λόγων τὴν E ἐμμελεστάτην συμφωνίαν τοῦ παντὸς ἐπιδεικνύμενοι, τῇ τῶν μερῶν πρὸς ἄλληλα κοινωνίᾳ καὶ συμπαθείᾳ, τόποις μὲν διεζευγμένων, συγγενείᾳ δὲ οὐ διῳκισμένων, οὗτοι τὸν φαινόμενον τοῦτον κόσμον ἐν τοῖς οὖσιν ὑπετόπησαν εἶναι μόνον ἢ θεὸν ὄντα αὐτὸν, ἢ ἐν αὐτῷ θεὸν περιέχοντα τὴν τῶν ὅλων ψυχὴν, εἱμαρμένην τε καὶ ἀνάγκην θεοπλαστήσαντες, ἀσεβείας πολλῆς κατέπλησαν τὸν ἀνθρώπινον βίον, ἀναδιδάξαντες ὡς δίχα τῶν φαινομένων οὐδενός ἐστιν οὐδὲν αἴτιον τὸ παράπαν·

A plurimis enim bona quæ dicuntur cum reuera non sint, causa fuerunt malorum exitialium. sed qui Deum sequitur, necessarios habet comites eius sermones, qui nominari solent angeli. Proinde legitur quòd Abraham vnà faciebat iter deducens eos. ô societatem pulcherrimam, qua deducens deducitur, reddens quod accipit, non aliud pro alio, sed illud ipsum solum, quod paratum erat ad referendam gratiam. Donec enim non perficitur, Dei B verbo vtitur duce itineris, iuxta illud oraculum: Ecce mitto angelum meum ante faciem tuam, vt custodiat te in via hac, & inducat te in terram quam præparaui tibi. Attende ei, & audi eum, caue sis inobediens. non deseret enim te. nam nomen meum est in eo: at postquam ad scientiæ cacumen peruenerit, cum contentione currens æquiparabit quem paulo ante secutus fuerat. Iam enim ambo futuri sunt asseclæ C omnipotentis Dei, nemine in comitatum eorum se ingerente qui dissentiat: atque etiam Lot separato, qui flectebat hactenus animam, alioqui perstare in recto ingenio valentem. Erat autem Abraham, inquit scriptura, annorum septuagintaquinque, quando peregrinatus est in Charran.] De hoc septuagintaquinque annorum numero, cum rationem iam antedictis consonam habeat, aliàs dicetur diligentius. quæ sit autem Charran, quæve inde mi- D gratio, prius scrutabimur. Neminem latere puto, qui modo leges sacras legit, quod Abraham primum è Chaldæorum terra demigrans habitauit in Charran. Vbi defuncto ipsius patre, hinc quoque profectus est, vt iam duos locos reliquerit. quid igitur dicemus? Chaldæi præ cæteris nationibus elaborasse videntur artem astronomicam & genethliacam, terrena sublimibus, & cælestia coaptando terre- E stribus, tanquam ratione musica ostendentes rerum concentum pulcherrimum, per istos vniuersi partium affectus mutuos, disiunctarum quidem locis, sed cognatione non item. Hi suspicati sunt mundum quem videmus, aut ipsum esse Deum solum, aut eam quæ insit vniuersalem animam: quam vbi sub nomine fati & necessitatis consecrarunt, summa impietate repleuerunt vitam humanam, persuasam quòd præter hæc quæ videntur nulla sit rerum causa alia: sed

A solis, lunæ, stellarúmque cęterarum cursus tam bona quàm mala dispensent singulis. Huic sententiæ de vniuersi partium inter se societate atque commercio Moses videtur subscribere, docens vnum esse mundum, & hunc creatum. Nam cum sit creatus & vnus, verisimile fit essentias elementales particulares subijci causis cælestibus quarum ipsæ sunt effectus, sicut accidit corporibus vnitis vt contineantur à se inuicem. Verum de Deo longe aliter B sentit: nec mundum, nec mundi animam esse Deum primarium: nec ad stellas aut earum choreas referendos casus hominum. sed contineri hanc vniuersi machinam inuisibilibus potentijs, quas ab extremis terræ ad extrema cæli extendit opifex, prospiciens ne dissoluerentur quæ semel tam pulchre colligauerat. nam hæ potentiæ sunt vniuersitatis nunquam rumpenda vincula. ideo siquando in lege dicitur: Deus in cælo supra, & in terra infra: nemo cogitet hæc vt sunt dici. C nam cum Qui est continere, non contineri pie credimus. potentia Dei hæc est, per quam disposuit, ordinauit, ornauitque omnia: quæ proprie bonitas est, aliena ab inuidia maleuolentiáque, gratiarum verò mater, per quas cuncta ex non esse ad esse perduxit. nam Qui est vbique opinione intelligitur, cum reuera nusquam appareat, vt verissimum sit illud oraculum: Ego indemonstrabilis, sed quasi demonstrabilis, inuisibilis, sed quasi visibilis, cum D sim ante te. Ante omnem enim creaturam, & extra omnem incedit, nec cuiquam insistit. Hæc dicere solitus ad subuertenda Chaldaica dogmata, pergentes adhuc Chaldaizare, sic ad veritatem reuocandos sibi existimat, appellans eos his verbis: Cur ô mirandi viri subito à terra in tantam sublimitatem euecti, & super aerem quoque promergentes vectamini per æthera, vt solis motus perquiratis & lunæ E circuitus, cæterarúmque stellarum choreas concinnas à vobis celebratas. maiora sunt hæc quàm pro captu vestrarum mentium, quippe quæ ad felicem diuinámque sortem pertinent. Descendite igitur à cælo, & hoc facto non terram denuo, nec mare fluuiósque, aut stirpium animantiúmque species inquirite, sed solos vosipsos vestrámque naturam scrutamini, ne alibi malitis habitare quàm intra vosipsos.

A ἀλλ' ἡλίου καὶ σελήνης, καὶ τῶν ἄλλων ἀστέρων αἱ περίοδοι τά τε ἀγαθὰ καὶ τὰ ἐναντία ἑκάστῳ τῶν ὄντων ἀπονέμουσι. Μωσῆς μέντοι, τῇ μὲν ἐν τοῖς μέρεσι κοινωνίᾳ καὶ συμπαθείᾳ τοῦ παντὸς ἔοικε συνεπιγράφεσθαι, ἕνα καὶ γενητὸν ἀποφηνάμενος τὸν κόσμον εἶναι. γενομένου γὰρ καὶ ἑνὸς ὑπάρχοντος, εὔλογον τάς γε στοιχειώδεις οὐσίας ὑποβεβλῆσθαι τοῖς ἀποτελουμένοις τὰς αὐτὰς ἅπασι κατὰ μέρη, καθάπερ ἐπὶ σωμάτων συμβέβηκε τὴν ἡνωμένων ἀλληλουχίαν· τῇ δὲ περὶ θεοῦ δόξῃ διαφέρεται. B μήτε γὰρ τὸν κόσμον, μήτε τὴν τοῦ κόσμου ψυχὴν τὸν πρῶτον εἶναι θεόν, μηδὲ τοὺς ἀστέρας ἢ τὰς χορείας αὐτῶν τῶν συμβαινόντων ἀνθρώποις αἴτια· ἀλλὰ συνέχεσθαι μὲν τόδε τὸ πᾶν ἀοράτοις δυνάμεσιν, ἃς ἀπὸ γῆς ἐσχάτων ἄχρις οὐρανοῦ περάτων ὁ δημιουργὸς ἀπέτεινε, τοῦ μὴ ἀνεθῆναι τὰ δεθέντα καλῶς προμηθούμενος. δεσμοὶ γὰρ αἱ δυνάμεις τοῦ παντὸς ἄρρηκτοι· διὸ κἂν που τῆς νομοθεσίας λέγηται, Ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ C ἐπὶ τῆς γῆς κάτω, μηδεὶς ὑποτοπησάτω αὐτὸν κατὰ τὸ εἶναι λέγεσθαι. τὸ γὰρ ὂν περιέχειν, ἀλλ' οὐ περιέχεσθαι θέμις. δύναμιν δὲ αὐτοῦ, καθ' ἣν ἔθηκε καὶ διετάξατο καὶ διεκόσμησε τὰ ὅλα· αὕτη δὲ κυρίως ἐστὶν ἀγαθότης, φθόνον μὲν τὸν μισάρετον καὶ μισόκαλον ἀπεληλακυῖα ἀφ' ἑαυτῆς, χάριτας δὲ γεννῶσα, αἷς τὰ μὴ ὄντα εἰς γένεσιν ἄγουσα ἀνέφηνεν· ἐπεὶ τό γε ὂν φαντασιαζόμενον δόξῃ πανταχοῦ, πρὸς ἀλήθειαν δὲ οὐδαμοῦ φαίνεται, ὡς ἀψευδέστατον ἐκεῖνον εἶναι τὸν χρησμόν, ἐν ᾧ λέγε- D ται ὧδε, Ἐγὼ ἄδεικτος, ὡς ἂν δεικνύμενος ἀόρατος, ὡς ἂν ὁρατὸς ὤν, πρὸ τοῦ σέ. πρὸ γὰρ τοῦ παντὸς γενητοῦ ἔξω βαίνων ἐκεῖνος, καὶ μηδενὶ τῶν μετ' αὐτὸν ἐμφερόμενος. τούτων λεγομένων ἐπὶ τῇ τῆς χαλδαϊκῆς δόξης ἀνατροπῇ, τοὺς ἔτι τὴν γνώμην χαλδαΐζοντας μετακλίνειν καὶ μετακαλεῖν οἴεται δεῖν ἐπὶ τὴν ἀλήθειαν τῆς διδασκαλίας, ἀρχόμενος ὧδε, τί, φησίν, ὦ θαυμάσιοι, τοσοῦτον αἰφνίδιον ἀρθέντες ἀπὸ γῆς εἰς ὕψος ἐπινήχεσθε, καὶ τὸν ἀέρα E ὑπερκύψαντες αἰθεροβατεῖτε, ὡς ἡλίου κινήσεις καὶ σελήνης περιόδους καὶ τῶν λοιπῶν ἀστέρων τὰς ἐμμελεῖς καὶ ἀοιδίμους ἀκριβοῦν χορείας. ταῦτα γὰρ μείζονα ἢ κατὰ τὰς ὑμετέρας ἐστὶν ἐπινοίας, ἅτε εὐδαιμονεστέρας καὶ θειοτέρας μοίρας λαχόντα. κατάβητε οὖν ἀπ' οὐρανοῦ, καὶ καταβάντες μὴ πάλιν γῆν καὶ θάλατταν καὶ ποταμοὺς καὶ φυτῶν καὶ ζώων ἰδέας ἐξετάζετε, μόνους δὲ ἑαυτούς, καὶ τὴν ἑαυτῶν φύσιν ἐρευνᾶτε, μὴ ἑτέρωθι μᾶλλον οἰκήσαντες ἢ παρ' ἑαυτοῖς.

διαθεώμενοι γὰρ τὰ κατὰ τὸν ἴδιον οἶκον, τὸ δεσπόζον ἐν αὐτῷ, τὸ ὑπήκοον, τὸ ἔμψυχον, τὸ ἄψυχον, τὸ λογικὸν, τὸ ἄλογον, τὸ ἀθάνατον, τὸ θνητὸν, τὸ ἄμεινον, τὸ χεῖρον, εὐθὺς ἐπιστήμην θεοῦ καὶ τῶν ἔργων αὐτοῦ σαφῆ λήψεσθε. λογιεῖσθε γὰρ, ὡς ἐν ἡμῖν ἔνεστι νοῦς, καὶ τῷ παντί ἐστι, καὶ ὡς ὁ ἡμέτερος ἀρχὴν καὶ δεσποτείαν τῶν περὶ ἡμᾶς ἀνηψάμενος, ἕκαστον τῶν μερῶν ὑπήκοον ἀποφαίνει ἑαυτῷ· οὕτω καὶ ὁ τοῦ παντὸς τὴν ἡγεμονίαν περιβεβλημένος, αὐτοκράτορι νόμῳ καὶ δίκῃ τὸν κόσμον ἡνιοχεῖ, προμηθούμενος οὐ τῶν ἀξιονικωτέρων αὐτῶν μόνον, ἀλλὰ καὶ τῶν ἀφανεστέρων εἶναι δοκούντων. μεταναστάντες οὖν ἀπὸ τῆς κατ' οὐρανὸν περιεργίας, ἑαυτοὺς, ὅπερ εἶπον, οἰκήσατε, τὴν μὲν Χαλδαίων γῆν, δόξαν, καταλιπόντες, μετοικησάμενοι δὲ εἰς Χαρρὰν, τὸ τῆς αἰσθήσεως χωρίον, ὃ δὴ σωματικός ἐστι διανοίας οἶκος. Χαρρὰν γὰρ ἑρμηνεύεται τρώγλη. τρῶγλαι δὲ σύμβολα αἰσθήσεως τόπων εἰσίν. ὀπαῖς γὰρ καὶ φωλεοῖς ἔοικέν πῃ, ὀφθαλμοὶ μὲν ὁράσεως, ἀκοῆς δὲ ὦτα, ῥῖνες δὲ ὀσμῶν, καὶ γεύσεως φάρυγξ, καὶ πᾶσα ἡ τοῦ σώματος κατασκευὴ, ἁφῆς εἶναι συμβέβηκε. τούτοις οὖν ἐπιδιατρίψαντες, ἐνηρεμήσατε καὶ σχολάσατε, καὶ τὴν ἑκάστου φύσιν ὡς ἔνι μάλιστα ἀκριβώσατε, καὶ τὸ ἐν ἑκάστοις εὖ τε καὶ χεῖρον καταμαθόντες, τὸ μὲν φύγετε, τὸ δ' ἔμπαλιν ἕλεσθε. ἐπειδὰν μέντοι σφόδρα ἀκριβῶς πάντα τὸν ἴδιον διασκέψησθε οἶκον, καὶ ὃν ἔχει λόγον ἕκαστον αὐτοῦ τῶν μερῶν αὐγάσησθε, διακινήσαντες αὐτοὺς, τὴν ἐνθένδε μετανάστασιν ζητεῖτε, οὐ θάνατον, ἀλλ' ἀθανασίαν καταγγέλλουσαν, ἧς δείγματα σαφῆ καὶ ἐν τοῖς σωματικοῖς καὶ ἐν τοῖς αἰσθητοῖς ἐγκατειλημμένοι φωλεοῖς, κατόψεσθε, τοτὲ μὲν τοῖς βαθέσιν ὕπνοις· ἀναχωρήσας γὰρ ὁ νοῦς, καὶ τῶν αἰσθήσεων καὶ τῶν ἄλλων ὅσα κατὰ τὸ σῶμα ὑπεξελθὼν, ἑαυτῷ προσομιλεῖν ἄρχεται, ὡς πρὸς κάτοπτρον ἀφορῶν ἀλήθειαν, καὶ ἀποκρυψάμενος πάνθ' ὅσα ἐκ τῶν κατὰ τὰς αἰσθήσεις φαντασιῶν ἀπεμάξατο, τῆς περὶ τῶν μελλόντων ἀψευδεστάταις διὰ τῶν ὀνείρων μαντείαις ἐνθουσιᾷ. τοτὲ δὲ καὶ τῆς ἐγρηγόρσεσιν. ὅταν γὰρ ἔκ τινος τῶν κατὰ φιλοσοφίαν κατασχεθεὶς θεωρημάτων ἀχθῇ πρὸς αὐτὸ, τῷ μὲν ἕπεται, τῶν δ' ἄλλων ὅσα κατὰ τὸν σωματικὸν οἶκον, ἀμνημονεῖ δήπου, κἂν ἐμποδίζωσιν αἱ αἰσθήσεις περὶ τὴν ἀκριβῆ θέαν τοῦ νοητοῦ, μέλλει τοῖς φιλοθεάμοσι καθαιρεῖν αὐτῶν τὴν ἐπίθεσιν. τάς τε γὰρ ὄψεις καταμύουσι, καὶ τὰ ὦτα ἐπιφράττουσι, καὶ τὰς τῶν ἄλλων ἐπέχουσιν ὁρμὰς,

A considerando enim domi quid dominatur quid subijcitur, quid animatum quid inanime, quid brutum quid rationale, quid mortale quid immortale, quid melius quid deterius, mox cognitionem Dei huiúsque operum percipietis. Cogitate, sicut nobis inest mens, ita huic vniuerso suam inesse. & quòd sicut nostra principatum dominiúmque in nobis sibi vindicans, singulis nostri partibus imperat: sic qui rerum omnium habet imperium, **B** pro potestate ac iure mundum regit, prospiciens non tantum potioribus, sed & obscurioribus in speciem. Migrate igitur ab ista curiosa inquisitione rerum cælestium. Vosipsos, vt dixi, inhabitate, Chaldæorum terra, hoc est opinione, relicta, demigrantes in Charran, sensuum regionem, quod est corporeum mentis domicilium. nam Charran specus interpretatur, qui specus loca sensuum significant. in his enim ceu cauernis ac fo- **C** ueis sensus insunt, visus in oculis, auditus in auribus, odoratus in naribus, gustus in faucibus, tactus in toto corpore. In his tempus terite, his per ocium vacate, singulorum naturam quoad fieri potest perquirite, & animaduersis singulorum bonis malísque, hæc fugite, illa eligite. ac tum demum excussis diligenter ædibus proprijs, & perlustratis singulis earum partibus, excitate vosipsos, & migrationem quærite, quæ non mortem, sed immortalitatem polliceatur: cuius in- **D** dicia manifesta vel in his corporeis sensuum cauernis degentes videbitis, nonnunquam in somnis. Tunc enim mens in secessu quodam posita, & à sensibus cæterísque rebus corporeis digressa, cum seipsa colloquitur, veritatem considerans velut in speculo, detersis omnibus imaginationibus, quæ ex contagio sensuum inhæserant, & diuino furore correpta vaticinatur per somnum de certissimis **E** futurorum euentibus. nonnunquam autem etiam vigilantes, cum aliquis contemplationem quampiam philosophicam nactus eam sequitur, oblitus aliarum rerum domesticarum corporis, depulsis etiam sensuum illecebramentis, si qui sunt impedimento ad intelligibilium contemplationem auide properantibus. tunc enim & oculos claudunt, & aures obturant, & appetitus alios cohibent, quæ-

A rendo tenebras atque solitudinem: ne animæ oculus, cui diuinitus datum est intelligibilia cernere, obscuretur ab vlla re sensibili. ad hunc modum edocti mortalia relinquere, discetis persuasiones & de illo Ingenito: nisi forte putatis, nostram quidem mentem exutam corpore, sensu, ratione, & his omnibus nudatam posse res inspicere: Deum vero qui est mens vniuersitatis, non esse extra vniuersam rerum naturam, & continere, non contineri, non modo prouidentia penetrantem more humano, verum etiam B essentia, sicut Deo dignum est. nam nostra mens non fabricauit suum corpus, sed est alienum opificium. ideo corpore tanquam vase concluditur. at vniuersi huius mens creauit omnia. opifex autem opificio suo potior est. itaque nunquam contineretur à deteriore se: & alioquin non conuenit patrem contineri à filio, sed magis filium confoueri patris prouidentia. Ita C paulatim demigrans mens, ad pietatis sanctitatísque patrem perueniet, relicta genethlialogia prius, à qua persuasa fuerat credere mundum hunc esse Deum primarium, non Dei principis omnipotentis opificium: & stellarum cursus motúsque esse causas humanarum vel calamitatum vel felicitatum. Deinde consideratis rebus suis, philosophata in domo propria, de corpore, de sensu, de ratione, & cognito iuxta illum versiculum, Ædibus in D nostris quæ praua, aut recta gerantur: aperta via quæ ab ipsa sumpto initio, spem faciat intelligendi patrem illum quæsitu coniectatúque difficilem, post seipsam cognitam fortasse Deum quoque noscet, non amplius hærens in Charran, hoc est instrumentis sensuum, sed in seipsam reuertens. non est enim possibile vt qui adhuc mouetur non tam intellectu quàm sensibus, ad eius Qui est considerationem perueniat: quamobrem & ille vitæ mo- E dus in ordine optimo collocatus à Deo, Samuel nomine, non dat Sauli præcepta regnandi, quamdiu inter vasa delitescit, sed inde protracto. Scitanti enim an vllus vir eò venisset, respondet oraculum: Ecce inter vasa se occultat. Hoc audito quid debuit facere homo ingenio docili, nisi eum illinc protrahere? Accurrens, inquit, promit eum illinc. quia latens inter animæ vasa, corpus sensúsque,

καὶ ἐν ἐρημίᾳ καὶ σκότῳ διατελεῖν ἀξιοῦσιν, ὡς μὴ πρός τινος αἰσθητοῦ τὸ τῆς ψυχῆς ὄμμα, ᾧ νοητὰ βλέπειν ἔδωκεν ὁ θεός, ἐπισκιασθῇ. τοῦτον μέντοι τὸν τρόπον μαθόντες ἀπόλειψιν τῶν θνητῶν χρηματίζειν, καὶ τὰς περὶ τοῦ ἀγεννήτου παιδεύθητε δόξας, εἰ μὴ νομίζετε, τὸν μὲν ἡμέτερον νοῦν ἀποδυσάμενον σῶμα, αἴσθησιν, λόγον, δίχα τούτων γυμνὸν δύνασθαι τὰ ὄντα ὁρᾶν, τὸν δὲ τῶν ὅλων νοῦν τὸν θεὸν οὐκ ἔξω τῆς ὁλικῆς φύσεως πάσης ἑ- B στάναι, περιέχοντα, οὐ περιεχόμενον, καὶ οὐκ ἐπινοίᾳ μόνον ἐπεξεληλυθέναι ὥσπερ αἱ θεράπον, ἀλλὰ καὶ τῇ οὐσίᾳ, οἷα ἁρμόττει θεόν. ὁ μὲν γὰρ ἡμέτερος νοῦς οὐ δεδημιούργηκε τὸ σῶμα, ἀλλ' ἔστιν ἔργον ἑτέρου. διὸ καὶ περιέχεται ὡς ἐν ἀγγείῳ τῷ σώματι· ὁ δὲ τῶν ὅλων νοῦς τὸ πᾶν γεγέννηκε· τὸ πεποιηκὸς δὲ τοῦ γινομένου κρεῖττον. ὥστ' οὐκ ἂν ἐμφέροιτο τῷ χείρονι, δίχα τοῦ μηδὲ ἁρμόττειν πατέρα ἐν υἱῷ περιέχεσθαι, υἱὸν δὲ τῇ τοῦ πατρὸς ἐπιμελείαις συναύξεσθαι. οὕτω κατὰ βραχὺ μεταβαί- C νων ὁ νοῦς, ἐπὶ τὸν εὐσεβείας καὶ ὁσιότητος ἀφίξεται πατέρα, γενεθλιαλογικῆς ἀποστὰς τὸ πρῶτον, ἥτις ἀνέπεισεν αὐτὸν ὑπολαβεῖν τὸν κόσμον θεὸν τὸν πρῶτον εἶναι, ἀλλὰ μὴ τοῦ πρώτου θεοῦ δημιούργημα, καὶ τὰς τῶν ἀστέρων φορὰς τε καὶ κινήσεις αἰτίας ἀνθρώποις κακοπραγίας, καὶ τοὐναντίον εὐδαιμονίας. ἔπειτα εἰς τὴν ἐπίσκεψιν ἐλθὼν τὴν αὑτοῦ ἑαυτοῦ, φιλοσοφήσας τὰ κατὰ τὸν ἴδιον οἶκον, τὰ περὶ σώματος, τὰ περὶ αἰσθήσεως, τὰ περὶ λόγου, καὶ γνοὺς κατὰ τὸ ποιητικὸν γράμμα, Ὅττι τοι ἐν με- D γάροισι κακόν τ' ἀγαθόν τε τέτυκται· ἔπειτ' ἀνατεμὼν ὁδὸν τὴν ἀφ' ἑαυτοῦ, καὶ διὰ ταύτης ἐλπίσας τὸν δυστόπαστον καὶ δυστέκμαρτον πατέρα τῶν ὅλων κατανοήσειν, μαθὼν ἀκριβῶς ἑαυτόν, εἴσεται τάχα πῃ καὶ θεόν, οὐκ ἔτι μένων ἐν Χαρράν, τοῖς αἰσθήσεως ὀργάνοις, ἀλλ' εἰς ἑαυτὸν ἐπιστρέφων. ἀμήχανον γὰρ ἔτι κινούμενον αἰσθητῶς μᾶλλον ἢ νοητῶς, πρὸς τὴν τοῦ ὄντος ἐλθεῖν ἐπίσκεψιν, οὗ χάριν καὶ ὁ ταχθεὶς τὴν ἀρίστην τάξιν παρὰ θεῷ E ἔπος ὄνομα Σαμουήλ, οὐχ ὑφηγεῖται τὰ τῆς βασιλείας δίκαια τῷ Σαούλ, ἕως ἔτι διατρίβοι ἐν τοῖς σκεύεσιν· ἀλλ' ἐπειδὰν ἐκεῖθεν αὐτὸν ἐξαγάγῃ· πυνθάνεται μὲν γὰρ εἰ ἔτι ἔρχεται ἐνθάδε ὁ ἀνήρ, ἀποκρίνεται δὲ τὸ λόγιον, Ἰδοὺ αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι. τί οὖν προσῆκε τὸν ἀκούσαντα φύσει παιδευτικὸν ὄντα ποιῆσαι, ὅτι μὴ μετὰ σπουδῆς αὐτὸν ἐξελκῦσαι. ἐπιδραμὼν γάρ, φησί, λαμβάνει αὐτὸν ἐκεῖθεν. διότι ὁ τοῖς ἀγγείοις τῆς ψυχῆς σώματι καὶ αἰσθήσει ἐνδιατρίβων, οὐκ ἂν ἀξιω-

A χρεῶς ἀκοῦσαι τῆς βασιλείας τῶν δογμάτων καὶ νόμων. βασιλείαν δὲ σοφίαν εἶναι λέγομεν· ἐπεὶ καὶ τὸν σοφὸν βασιλέα. μετοικήσας δὲ τῆς ἀχλύος σκεδασθείσης, ὀξυδορκέστερος ἔμελλεν. εἰκότως οὖν καὶ τὴν αἰσθήσεως χώραν, ὄνομα Χαῤῥὰν, ἀπολιπεῖν οἴεται δεῖν ὁ ἐπιστήμης ἑταῖρος· ἀπολείπει δὲ ἐτῶν γεγονὼς πέντε καὶ ἑβδομήκοντα· ὁ δὲ ἀριθμὸς οὗτος, αἰσθητῆς καὶ νοητῆς, πρεσβυτέρας τε καὶ νεωτέρας, ἔτι δὲ φθαρτῆς καὶ ἀφθάρτου μεθόριος φύσεώς ἐστι. B νοητὸς μὲν γὰρ καὶ πρεσβύτερος καὶ ἄφθαρτος λόγος, ὁ τῶν ἑβδομήκοντα· αἰσθητὸς δὲ καὶ νεώτερος, ὁ τῶν πέντε ἰσάριθμος ὢν αἰσθήσεσι. τούτῳ καὶ ὁ ἔτι γυμναζόμενος ἀσκητὴς ἐξετάζεται, μηδέπω δεδυνημένος ἐνεγκεῖν τέλεια τὰ νικητήρια. λέγεται γὰρ ὅτι ἦσαν αἱ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα. τούτου γὰρ ἀθλοῦντος, καὶ τὸν περὶ κτήσεως ἀρετῆς ἱερὸν ὄντως ἀγῶνα μὴ διαφθείροντος, ψυχαὶ μὲν πρὸς σωμάτων γεννήματα, οὔπω δὲ κατηνεμέναι τὸν λόγον, ἀλλ᾽ ἔτι τὸν αἰσθήσεως C ὄχλον ἐφελκόμεναι. παλαίοντος γὰρ καὶ κονιομένου καὶ πτερνίζοντος, Ἰακώβ ἐστιν ὄνομα, οὐ νενικηκότος· ὅταν δὲ τὸν θεὸν ὁρᾷν ἱκανὸς εἶναι δόξας Ἰσραὴλ μετονομασθῇ, μόνῳ χρήσεται τῷ ἑβδομηκοστῷ λόγῳ, τὴν πεντάδα τῶν αἰσθήσεων ἐκτεμών. λέγεται γὰρ, ὅτι ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον. οὗτός ἐστιν ὁ ἀριθμὸς Μωϋσέως τοῦ σοφοῦ γνώριμος. τοὺς γὰρ ἀριστίνδην ἐκ παντὸς τοῦ πλήθους ἐπιλελεγμένους, ἑβδομήκοντα εἶναι συμβέβηκε, καὶ πρεσβυτέρους ἅ- D παντας, οὐχ ἡλικίαις, ἀλλὰ φρονήσει καὶ βουλαῖς, γνώμαις τε καὶ ἀρχαιοτρόποις ζηλώσεσιν. οὗτος ὁ ἀριθμὸς ἱερουργεῖταί τε καὶ ἀποδίδοται θεῷ, ὅταν οἱ τέλειοι τῆς ψυχῆς συναναχθῶσι καρποί. τῇ γὰρ τῶν σκηνῶν ἑορτῇ χωρὶς τῶν ἄλλων θυμάτων ἑβδομήκοντα μόσχους ἀνάγειν θυσίαν ὁλόκαυστον διείρηται, κατὰ τὸν ἑβδομηκοστὸν λόγον, καὶ αἱ τῶν ἀρχόντων φιάλαι κατασκευάζονται. ἑκάστη γὰρ ἑβδομήκοντα σίκλων ἐστὶν ὁλκῆς· ἐπειδὴ τὰ ἔνσπονδα καὶ συμβατήρια καὶ φίλα τῆς ψυχῆς, ὡς ἀληθῶς ὁλκὴν ἔχει E δύναμιν, τὸν ἑβδομηκοστὸν καὶ ἅγιον λόγον, ὃν Αἴγυπτος, ἡ μισάρετος καὶ φιλοπαθὴς φύσις πενθοῦσα εἰσάγεται· ἑβδομήκοντα γὰρ ἡμέρας καταριθμεῖται παρ᾽ αὐτοῖς τὸ πένθος. οὗτος μὲν οὖν ὁ ἀριθμὸς, ὡς ἔφην, Μωϋσέως γνώριμος· ὁ δὲ τῶν πέντε αἰσθήσεων, τοῦ καὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς ἀσπαζομένου, ὃν ἔθος καλεῖν Ἰωσήφ. τοσαύτην γὰρ αὐτῶν ἐπιμέλειαν πεποίηται, ὥστε τὸν μὲν ὁμογάστριον ἀδελφὸν, τὸν αἰσθήσεως, ἐκτὸς ὄντα

non erat dignus qui audiret præcepta legésque regias. Dũ regnũ dico, sapientiam intelligo, & sapientem regẽ. Post demigrationẽ igitur discussa caligine, iã futurus erat perspicacior. itaque meritò & sensuum regionem, cui nomen Charran, relinquendam censet amator scientiæ. relinquit autẽ iam septuagenarius, & quinque annos natus insuper: qui numerus sensibilis naturæ insensibilisque, senioris iuniorisque, corruptibilis & incorruptibilis est confinium. B nã intelligibilis, senior, incorruptáque ratio in Septuaginta est: sensibilis iuniórque quinque sensus æquat numero. ad hãc meditator adhuc se exercẽs examinatur, qui nondũ potest ferre palmã absolutæ victoriæ. Narratur enim quòd in vniuersum erãt septuagintaquinque animæ in Iacob progenie. Ad hunc enim numerũ contendentes de virtutis possessione in reuera sacro certamine pertinent animæ, colluctantes cum prognatis è corpore vitijs, nondum rationem adeptæ, C sed adhuc abreptæ à turba sensuum. Iacob enim luctantis in puluere, & supplantare conantis, non victoris nomen est. sed quando visione Dei dignus habitus mutato nomine dicitur Israel, ratione septuagenaria tantum vtitur, exciso sensuum quinario, dicente scriptura: In animabus septuaginta descenderunt tui patres in Ægyptum. hic est numerus Mosis illius sapientis familiaris. nam optimates ex omni numero selecti septuaginta fue- D re, seniores omnes, non ætate, sed prudentia, consilijs, sententijs, atque priscis moribus. Hic numerus consecratus offertur Deo, quoties vnà sacrificantur perfecti fructus animæ. præceptum est enim vt tabernaculorum festo præter alias victimas iuuenci septuaginta holocaustum adolerentur Deo, pro septuagenaria ratione, iuxta quam parantur & principum phialæ, quarum vnaquæque septuaginta siclos pendebat. quoniam quæcunque socia fœderatáque sunt in anima, reuera pondus E & vim habent, sanctam septuagenariam rationem, quam Ægyptus, virtutum hostis & affectuum socia natura, lugere introducitur. nam luctus apud eius ciues finitur septuaginta dierum numero. Ergo hic numerus vt dixi, Mosi familiaris est: alter ille quinque sensuum, amanti corpus & bona extera, qui Ioseph vocitatur. In tãtum enim ei curæ sunt, vt fratrem vterinum, sensualem

(non agnoſcit enim ex eodem patre natos) eximijs quinque donet veſtibus, ornãdos ſibi honorãdóſque ſenſus exiſtimans. Ægyptũ quoque totam in præfecturas deſcribit, vt ſub certis magiſtratibus annua tributa pendãt & vectigalia. Iubet enim eos frumentũ vendere, hoc eſt materiã & alimentum copioſum recõdere in vſum quinque ſenſuũ, vt eorũ vnuſquiſque delicietur affatim expletus ſuis deſiderijs, & mentẽ tot rebus congeſtis grauatã demergat. Epulantibus enim ſenſibus mẽs fame laborat, ſicut è diuerſo illis ieiunãtibus ipſa hilaritate fruitur. Non vides quòd & illæ quinque filiæ Salpaad, quas dico quinque ſenſuũ allegoriam, è tribu Manaſſe natę ſunt, qui filius fuerat Ioſephi, tempore ſenior, potẽtia iunior? meritò. vocatur enim ex obliuione, quod idem atque ſenſus eſt. Reminiſcentia vero ſecunda poſt memoriam cenſetur, à qua Ephraim denominatur, qui interpretatur frugifer. hoc enim fructu optime alitur anima, videlicet pertinaci memoria. Loquuntur igitur virgines vt ipſas decet, Pater noſter mortuus eſt. Mors autẽ reminiſcentiæ, eſt obliuio. Et mortuus eſt ob nullam culpam ſuam. Rectè. nam obliuio non eſt paſſio voluntaria, ſed externum quoddam accidens. huic non filij nati ſunt, ſed filiæ. quia vis memoriæ ſuapte natura efficax, mares procreat. Quod autem obliuioſum eſt, ſopita ratione parit fœminas, quippe rationis expers. irrationalis autem partis animæ ſunt filiæ quas ſenſus intelligimus. hunc Salpaad ſi quis à tergo reliquit præcurrens, nondum tamen Moſem curſu æquare valens, temperato mixtóque vtetur numero quinto ſupra ſeptuagenarium, qui ſignificat ſenſitiuam intellectiuámque naturam, quando ambæ ad generationem vnius irreprehenſibilis ſpeciei conueniunt. itaque admiror patiẽtiam Rebeccam, dum perfectam animam habenti, & aſperitates affectuum ac vitiorum exuto hortatrix fit vt in Charran aufugiat. dicit enim: Nunc igitur fili audi vocem meam, & ſurgens fuge ad Laban fratrem meum in Charran, & habita cum eo dies aliquot, donec auertatur furor & ira fratris tui à te, & obliuiſcatur quid feceris ei.] Eleganter profectionem ad ſenſus, fugam appellat. nam reuera mẽs tunc fugitiua fit, quando relictis familiaribus ſibi rebus intelligibilibus, vertitur ad cõtrarium ſenſibiliũ ordinem.

A ἥκιστα γὰρ ὁμοπατρίους οἶδε· πέντε ἐξαλλάκτοις δωρεῖται στολαῖς, διαφερόντως ἡγούμενος τὰς αἰσθήσεις, καὶ κόσμου καὶ τιμῆς ἀξίας. ὅλην δὲ Αἴγυπτον καὶ νόμοις ἀναγράφει, ὅπως τιμῶσιν αὐτὰς, καὶ φόρους καὶ δασμοὺς ἀνὰ πᾶν ἔτος κομίζωσι. τὸν γὰρ σῖτον ἀπεμπολεῖν κελεύει, τοῦτ' ἔστιν, ὕλας καὶ τροφὰς ἀφθόνους θησαυροφυλακεῖν τὰς πέντε αἰσθήσεσιν, ὅπως ἑκάστη τῶν οἰκείων ἀνεπισχέτως ἐμπιπλαμένη τρυφᾷ, καὶ τὸν νοῦν τοῖς ἐπισφορουμένοις βαρύνουσα βαπτίζῃ. ἡ γὰρ τῶν αἰσθήσεων
B εὐωχίας λιμὸν ἄγει διανοίας, ὡς ἔμπαλιν ἡ νηστείας εὐφροσύνας. οὐχ ὁρᾷς ὅτι καὶ πέντε Σαλπαὰδ θυγατέρες, ἃς ἀλληγοροῦντες αἰσθήσεις εἶναί φαμεν, ἐκ τοῦ δήμου Μανασσῆ γεγόνασιν, ὃς Ἰωσὴφ υἱός ἐστι, χρόνῳ μὲν πρεσβύτερος ὤν, δυνάμει δὲ νεώτερος; εἰκότως. καλεῖται γὰρ ἐκ λήθης, τοῦτο δὲ ἰσοδυναμοῦν ἐστὶ πρᾶγμα αἰσθήσει· ἀνάμνησις δὲ τὰ δευτερεῖα φέρεται μνήμης, ἧς Ἐφραὶμ ἐπώνυμος γέγονεν, ὃς καρποφορία μεταληφθεὶς
C προσαγορεύεται· καρπὸς δὲ κάλλιστος καὶ τιμιώτατος ψυχῆς, τὸ ἄληστον ἐν μνήμαις. λέγουσι γοῦν τὰ ἐναρμόνια ἑαυταῖς αἱ παρθένοι, Πατὴρ ἡμῶν ἀπέθανεν. ἀλλ' ὁ θάνατος ἀναμνήσεώς ἐστι λήθη· καὶ ἀπέθανεν οὐ δι' ἁμαρτίαν ἑαυτοῦ παντελῶς. οὐ γὰρ ἑκούσιον ἡ λήθη πάθος, ἀλλ' ἕν τι τῶν οὐ παρ' ἡμῖν, ἐπιγινόμενον ἔξωθεν. ὡς υἱοὶ δὲ οὐκ ἐγένοντο αὐτοῦ, ἀλλὰ θυγατέρες· ἐπειδὴ τὸ μὲν μνημονικὸν ἅτε φύσει δυναστεῦον ἀρρενογονεῖ, τὸ δὲ ἐπιλανθανόμενον, ὕπνῳ λογισμοῦ χρώμενον, θη-
D λυτοκεῖ. ἄλογοι γάρ· ἀλόγου δὲ μέρους ψυχῆς, αἰσθήσεις θυγατέρες. εἰ δέ τις τὸν μὲν τάχει παρέδραμε, Μωσεῖ δὲ ἠκολούθησε, μήπω δυνηθεὶς ἰσόδρομος αὐτοῦ γενέσθαι, κεκραμένῳ καὶ μικτῷ ἀριθμῷ χρήσεται τῷ πέμπτῳ καὶ ἑβδομηκοστῷ, ὅς ἐστι σύμβολον αἰσθητικῆς καὶ νοητῆς φύσεως, συναραμένων ἀμφοῖν εἰς εἴδους ἑνὸς ἀνεπιλήπτου γένεσιν. ἄγαμαι σφόδρα καὶ τὴν ὑπομονὴν Ῥεβέκκας, ἐπειδὴ τῷ τελείῳ τὴν ψυχὴν, καὶ τὰς τῶν παθῶν κακιῶν τρα-
E χύτητας καθηρηκότι παραινεῖ τότε εἰς Χαρρὰν ἀποδρᾶναι. λέγει γὰρ, Νῦν οὖν τέκνον, ἄκουσον τῆς φωνῆς μου, καὶ ἀναστὰς ἀπόδραθι πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαρρὰν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινὰς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ. παντελῶς δὲ τὴν ἐπὶ τὰς αἰσθήσεις ὁδὸν δρασμὸν εἴληφεν. ὄντως γὰρ δραπέτης ὁ νοῦς τότε γίνεται, ὅταν καταλιπὼν τὰ οἰκεῖα ἑαυτοῦ νοητὰ, τρέπηται πρὸς τὸ ἐναντίον τάγμα τῶν αἰσθητῶν.

ἔστι

ἔστι δ' ὅπου καὶ τὸ δραπετεῦσαι χρήσιμον, ἐπειδὰν τις αὐτὸ ποιῇ, μὴ ἕνεκα ἔχθους τοῦ πρὸς τὸν κρείττονα, ἀλλὰ τοῦ μὴ ἐπιβουλευθῆναι χάριν πρὸς τοῦ χείρονος. τίς οὖν ἡ παραίνεσις τῆς ὑπομονῆς θαυμασιωτάτη καὶ περιμάχητος. ἐάν ποτε, φησίν, ὁρᾷς ἀνηρεθισμένον καὶ ἠγριωμένον τὸ θυμοῦ καὶ ὀργῆς πάθος ἐν σαυτῷ, ἤ τινι ἑτέρῳ, ὃ ἡ ἄλογος καὶ ἀτίθασος ζωοτροφεῖ φύσις, μὴ μᾶλλον αὐτὸ ἀκονήσας ἐκθηριώσῃς· δήξεται γὰρ ἴσως ἀνίατα· καταψύχων δὲ τὸ ζέον αὐτοῦ καὶ πεπυρωμένον ἄγαν, ἡμέρωσον. τιθασὸν γὰρ καὶ χειροήθες εἰ γένοιτο, ἥκιστα ἂν βλάψοι. τίς οὖν ὁ τρόπος τῆς τιθασείας καὶ ἡμερώσεως αὐτοῦ. μεθαρμοσάμενος καὶ μετασκευασάμενος ὅσα τῷ δοκεῖν, ἀκολούθησον τὸ πρῶτον, οἷς ἂν ἐθέλῃ, καὶ πρὸς μηδὲν ἐναντιωθῇς· ὁμολόγησον τὰ αὐτὰ φιλεῖν τε καὶ μισεῖν. οὕτω γὰρ ἐξευμενισθήσεται, πραϋνθέντος δὲ ἀποθήσῃ τὴν ὑπόκρισιν, καὶ μηδὲν ἔτι προσδοκῶν ἐξ ἐκείνου κακὸν πείσεσθαι, μετὰ ῥᾳστώνης ἐπανελεύσῃ πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν. εἰσάγεται γὰρ διὰ τοῦτο Χαρρὰν, θρεμμάτων μὲν ἀνάπλεως, οἰκήτορσι δὲ κεχρημένη κτηνοτρόφοις. τί γὰρ ἂν εἴη χωρίον ἀλόγῳ φύσει, καὶ τοῖς τὴν ἐπιμέλειαν καὶ προστασίαν αὐτῆς εἰληφόσιν ἐπιτηδειότερον τῶν ἐν ἡμῖν αἰσθήσεων. πυθομένου γοῦν τοῦ ἀσκητοῦ πόθεν ἐστὶν, ἀποκρίνονται τἀληθὲς οἱ ποιμένες, ὅτι ἐκ Χαρράν. ἐκ γὰρ αἰσθήσεως αἱ ἄλογοι, ὡς ἐκ διανοίας αἱ λογικαὶ δυνάμεις εἰσί. προσεπυθομένου δὲ εἰ γινώσκουσι Λαβὰν, φασὶν εἰκότως εἰδέναι. γνωρίζει γὰρ τὸ χρῶμα καὶ πᾶσαν ποιότητα αἴσθησιν ὡς οἴεται· χρωμάτων δὲ καὶ ποιότητος ὁ Λάβαν σύμβολον. καὶ αὐτὸς δὲ ἐπειδὰν ἤδη τελειωθῇ, τὸν μὲν τῶν αἰσθήσεων οἶκον ἀπολείψει, τὸν δὲ τῆς ψυχῆς ὡς ψυχῆς ἱδρύεται, ὃν ἔτι ὢν ἐν τοῖς πόνοις καὶ ταῖς αἰσθήσεσιν, ἀναζωγραφεῖ. λέγει γὰρ, Πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον· πότε τῶν αἰσθητῶν καὶ αἰσθήσεων ὑπεριδὼν, νοῦ καὶ διανοίας οἰκήσω, λόγῳ θεωρητοῖς πράγμασι συστρεφόμενος καὶ ἐνδιαιτώμενος, καθάπερ αἱ ζητητικαὶ τῶν ἀφανῶν ψυχαί· μαίας αὐτὰς ἔθος ὀνομάζειν. καὶ γὰρ αὗται ποιοῦσι σκεπάσματα οἰκεῖα καὶ φυλακτήρια φιλαρέτοις ψυχαῖς· τὸ δ' εὐερκέστατον οἰκοδόμημα ἦν ὁ τοῦ θεοῦ φόβος τοῖς φρουρὰν καὶ τεῖχος αὐτὸν ἀκαθαίρετον πεποιημένοις. Ἐπειδὴ γὰρ, φησίν, ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν, ἐποίησαν ἑαυταῖς οἰκίας· ἐξελθὼν οὖν ἐκ τῆς κατὰ τὸν Χαρρὰν τόπον ὁ νοῦς, λέγεται διοδεῦσαι τὴν γῆν ἕως τοῦ τόπου Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν.

A Interdum tamen expedit esse fugitiuum, si hoc fiat non melioris odio, sed propter vitandas deterioris insidias. quid igitur hortatur patientia? mirum quiddam & optabile. Siquando, inquit, vides iritatum exasperatúmque furorem aut iram in teipso, aut quopiam alio, feruiente ingenio feroci brutóque, caue amplius etiam exasperes. fortassis enim morsum infigeret immedicabilem. cura potius vt feruorem illum excandescentiámque refrigeres ac mitiges. nam si ad
B mansuetudinem redierit, nihil cuiquam nocebit. at quomodo id oportet fieri? sumpta in speciem alia persona & habitu alio, primùm obsequere eius voluntati, nihil contradicens. dic te eadem cum illo amare odisséque. sic enim placabitur. tum vero simulatione omissa, nihil amplius ab eo timens periculi, facile reuerteris ad curam rerum tuarum. nam
C ideo Charran inducitur plena pecudibus, & habitatores eius pecuarij. Quis enim locus conuenientior esse posset brutæ naturæ, & eius curatoribus, quàm isti sensus nostri? Scitante igitur meditatore cuiates sint, respondent vera pastores, Carrenos se esse. nam è sensu brutæ, sicut è mente rationales, potentiæ proficiscuntur. Percontante verò amplius, num norint Labanem, meritò aiunt se nosse. nam per colorem putantur omnes qualitates innotescere. colores
D autem & qualitates Laban significat. Et hic ipse autem vbi perfectus fuerit, relinquet sensuum domum, & animæ inquantum animæ construet, quam adhuc in laboribus & sensibus versando imaginatur. dicit enim: Quando ego quoque mihi domum faciam? quando contemptis sensibus & sensibilibus, mentem & cogitationem habitabo, versabórque cum rebus ratione contemplandis, sicut per-
E quisitrices rerum obscurarum animæ, quæ obstetrices solent nominari. nam hæc faciunt propria tecta & promptuaria studiosis virtutis animabus. Sed nullum munitius ædificium quàm timor Dei, qui habentibus eum est pro arce inexpugnabili. Quoniam, inquit, timebant obstetrices Deum, fecerunt sibiipsis domos. Egressa igitur è Carrensi agro mens, dicitur peragrasse terram vsque ad agrum Sichem, & quercum illam proceram.

A Videamus quid sit peragrare. Amor
discendi est res suopte ingenio curio-
sa, quouis vadens impigre, introspi-
ciens omnia, nulla corpora, nulla ne-
gocia relinquenda inscrutata iudicans.
est enim à natura liguritor maximus
spectaculorum sermonúmque, vt non
contentus patrijs, peregrinos etiam
longinquósque appetat. nam qui sic
affecti sunt, absurdum aiunt merca-
tores institorésque propter sordida
lucra traijcere maria, & totam ter-
B ram habitabilem oberrare, contem-
pto æstu ac frigore, ventis item vel
nimijs vel contrarijs, adhæc senectu-
te, valetudine, amicorum consuetu-
dine, vxore, liberis, aliisque pluri-
mis domesticis voluptatibus, patria,
honoribúsque ciuilibus, secura pos-
sessione patrimonij, & si quid aliud
paruum magnúmve remorari eos po-
terat. propter pulcherrimam autem &
per omnes difficultates petendam dis-
ciplinam qua excolitur ratio, non
C traijcere omnia maria, omnes reces-
sus terrarum lustrare diligenter sci-
tando sicubi sit aliquid pulchrum vi-
su vel auditu, & cum ingenti alacri-
tate vestigando, donec contingat quæ-
sitis desideratísque potiri. Peregri-
nare igitur anima, & si libet de vno-
quoque homine iudica, quid cor-
pus sit, quid agat aut patiatur, quid
cogitationem sensus adiuuet, & quan-
tum menti prosit. quid ratio, &
D quarum rerum interpres, ad hone-
statem conferat: quid voluptas &
concupiscentia sit, quid dolor & ti-
mor, quæ contra hæc valeant reme-
dia, siue depulsiua, siue præserua-
tiua. Quid imprudentia, quid in-
temperantia, quid iniustitia, quid cæ-
terorum morborum multitudo, quos
pestifera malicia solet parere, & qui-
bus modis hi possint arceri. è diuer-
so quid prudentia, iustitia, tempe-
rantia, fortitudo, sagacitas, & in
E vniuersum virtus omnis atque tran-
quillitas animi, & quomodo paranda
sint hæc singula. Peruestiga & maxi-
mum illum perfectissimúmque homi-
nem, mundum hunc, dispice & par-
tes eius singulas, seiunctas locis, vni-
tas potentijs: tum quodnam sit il-
lud inuisibile vinculum quo vniun-
tur & coaptantur sibi inuicem.
Quæ si quærenti non statim se offe-
rent, noli tædio laboris deficere. nec
enim per otium isthæc percipiuntur,

τί γάρ ἐστι τὸ διαβαδίζειν σκεψώμεθα. τὸ φιλομαθὲς, ζητητικὸν καὶ περίεργόν ἐστι φύσει, πανταχῆ βαδίζον ἀόκνως, καὶ πανταχόσε διακύπτον, καὶ μηδὲν ἀδιερεύνητον τῶν ὄντων μήτε σωμάτων μήτε πραγμάτων ἀπολιπεῖν δικαιοῦν. λίχνον γὰρ ἐκτόπως θεαμάτων καὶ ἀκουσμάτων εἶναι πέφυκεν, ὡς μὴ μόνον τοῖς ἐπιχωρίοις ἀρκεῖσθαι, ἀλλὰ καὶ τῶν ξενικῶν καὶ τῶν πορρωτάτω διῳκισμένων ἐφίεσθαι. λέγουσι γοῦν, ὡς ἔστιν ἄτοπον ἐμπόρους καὶ καπήλους γλίσχρων ἕνεκα κερδῶν διαβαίνειν τὰ πελάγη, καὶ τὴν οἰκουμένην ἐν κύκλῳ περιέναι ἅπασαν, μὴ θέρος, μὴ χειμῶνα, μὴ πνεύματα βίαια, μὴ ἐναντία, μὴ γῆρας, μὴ νόσον σώματος, μὴ φίλων συνήθειαν, μὴ τὰς ἐπὶ γυναικὶ καὶ τέκνοις καὶ τοῖς ἄλλοις οἰκείοις ἀλέκτους ἡδονάς, μὴ πατρίδος καὶ πολιτικῶν φιλανθρωπιῶν ἀπόλαυσιν, μὴ χρημάτων καὶ κτημάτων καὶ τῆς ἄλλης περιουσίας ἀσφαλῆ χρῆσιν, μὴ τῶν ἄλλων ὁποιωνοῦν συνόλως μέγα ἢ μικρὸν ἐμποδὼν τιθεμένους· τοῦ δὲ καλλίστου καὶ περιμαχήτου ἕνεκα λόγου μὴ περαιοῦσθαι, πάντα μὲν πελάγη, πάντα δὲ γῆς μυχὸν ἐπέρχεσθαι, φιλοπευστοῦντας εἴ πού τι καλὸν ἔστιν ἰδεῖν ἢ ἀκοῦσαι, καὶ μετὰ σπουδῆς καὶ προθυμίας τῆς πάσης ἰχνηλατεῖν, ἄχρις ἂν ἐξηύρηται τῶν ζητουμένων καὶ ποθουμένων εἰς ἀπόλαυσιν ἐλθεῖν. διάβαινε μέντοι ψυχή, καὶ τὸν ἄνθρωπον εἰ θέλεις, ἕκαστον τῶν περὶ αὐτὸν ἀναγομένη εἰς ἐπίκρισιν, οἷον εὐθέως, τί τὸ σῶμα, καὶ τί ποιοῦν ἢ πάσχον, διανοίᾳ συνεργεῖ τί ἡ αἴσθησις, καὶ τίνα τρόπον τὸν ἡγεμόνα νοῦν ὠφελεῖ· τί λόγος, καὶ τίνων γινόμενος ἑρμηνεὺς, πρὸς καλοκαγαθίαν συμβάλλεται, τί ἡδονὴ καὶ τί ἐπιθυμία, τί λύπη καὶ φόβος, καὶ τίς ἡ πρὸς ταῦτα ἰατρική, δι᾽ ἧς ἢ ληφθεὶς τις ἀνδρώδως διεκδύσεται, ἢ οὐχ ἁλώσεται πρὸς αὐτῶν τὸ παράπαν. τί τὸ ἀφραίνειν, τί τὸ ἀκολασταίνειν, τί τὸ ἀδικεῖν, τίς ἡ τῶν ἄλλων πληθὺς νοσημάτων, ὅσα ἡ φθοροποιὸς ἀποτίκτειν πέφυκε κακία, καὶ τίς ἡ τούτων ἀποστροφή· καὶ κατὰ τὰ ἐναντία, τί τὸ δίκαιον, ὃ τὸ φρόνιμον, ὃ τὸ σῶφρον, τὸ ἀνδρεῖον, τὸ εὔβουλον, ἀρετὴ συνόλως ἅπασα καὶ εὐπάθεια, καὶ ὃν τρόπον ἕκαστον αὐτῶν εἴωθε περιγίνεσθαι· διάβαινε μέντοι καὶ τὸν μέγιστον καὶ τελειότατον ἄνθρωπον, τόνδε τὸν κόσμον, καὶ διασκέψαι τὰ μέρη, ὡς τόποις μὲν διέζευκται, δυνάμεσι δὲ ἥνωται· καὶ τίς ὁ ἀόρατος τῆς ἁρμονίας καὶ ἑνώσεως πᾶσι δεσμός ἐστιν. ἐὰν μέντοι σκοπούμενος μὴ ῥᾳδίως καταλαμβάνῃς ἃ ζητεῖς, ἐπίμενε μὴ κάμνων. οὐ γὰρ τῇ ἐκεχειρίᾳ ληπτά

ταῦτ' ἐστὶν, ἀλλὰ πολλοῖς καὶ μεγάλοις πόνοις μόλις ἀνευρισκόμενα. οὗ χάριν ὁ φιλομαθὴς εἰς τὸν τοῦ τόπου Συχὲμ ἐνείληπται, μεταληφθὲν δὲ τοὔνομα Συχὲμ, ὠμίασις καλεῖται· πόνου δὲ σύμβολον· ἐπειδὰν τοῖς μέρεσι τούτοις ἀχθοφορεῖν ἔθος. καὶ αὐτὸς ἑτέρωθι μέμνηται λέγων ἐπί τινος ἀθλητοῦ τοῦτον τὸν τρόπον, Ὑπέθηκε τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργὸς, ὥστε μηδέποτε ὦ διάνοια μαλακισθεῖσα ὀκλάσῃς, ἀλλὰ κἄν τι δοκῇ δυσθεώρητον εἶναι, τὸ ἐν σαυτῇ βλέπον διανοίξασα, διάκυψον εἴσω, καὶ ἀκριβέστερον τὰ ὄντα ἐναύγασαι, καὶ μήτε ἑκοῦσα, μήτε ἄκουσά ποτε μύσῃς. τυφλὸν γὰρ ὕπνος, ὡς ὀξυωπὸν ἐγρήγορσις. ἀγαπητὸν δὲ τῷ συνεχεῖ τῆς προσβολῆς, εἰλικρινῆ τὴν ζητουμένων λαβεῖν φαντασίαν. οὐχ ὁρᾷς ὅτι καὶ δρῦν ὑψηλὴν ἐν Συχὲμ πεφυτεῦσθαί φησιν; αἰνιττόμενος τὸν ἀνένδοτον καὶ ἀκαμπῆ, στερρόν τε καὶ ἀρραγέστατον παιδείας πόνον, ᾧ τὸν μέλλοντα ἔσεσθαι τέλειον ἀναγκαῖον κεχρῆσθαι, ἵνα μὴ τὸ τῆς ψυχῆς δικαστήριον ὄνομα Δεῖνα· κρίσις γὰρ ἑρμηνεύεται· συλληφθῇ πρὸς τοῦ τῶν ἐναντίων μοχθοῦντος πόνου, τοῦ φρονήσεως ἐπιβούλου. ὁ γὰρ ἐπώνυμος τοῦ τόπου τούτου Συχὲμ, Ἐμμὼρ, υἱὸς ὢν ἀλόγου φύσεως· καλεῖται γὰρ Ἐμμὼρ ὄνος· ἀφροσύνην ἐπιτηδεύων, καὶ συντραφεὶς ἀναισχυντίᾳ καὶ θράσει, τὰ κριτήρια τῆς διανοίας μιαίνειν ὁ παμμίαρος καὶ φθείρειν ἐπεχείρησεν, εἰ μὴ θᾶττον οἱ φρονήσεως ἀκουσταὶ καὶ γνώριμοι, Συμεών τε καὶ Λευὶ, φραξάμενοι τὰ οἰκεῖα ἀσφαλῶς, ἐπεξῆλθον, ἔτι ὄντας ἐν τῷ φιληδόνῳ καὶ φιλοπαθεῖ καὶ ἀπεριτμήτῳ πόνῳ καθελόντες. χρησμοῦ γὰρ ὄντος, ὡς οὐκ ἂν γένοιτό ποτε πόρνη τῶν τοῦ βλέποντος Ἰσραὴλ θυγατέρων, οὗτοι τὴν παρθένον ψυχὴν ἐξαρπάσαντες, παθεῖν ἤλπισαν. οὐ γὰρ ἐρημία γε τῶν βοηθησόντων τοῖς παρασπονδουμένοις ἐστὶν, ἀλλὰ κἂν οἴωνταί τινες, οἰήσονται μόνον· ἀπελεγχθήσονται δὲ τῷ ἔργῳ, ψευδοδοξοῦντες. ἔστι γὰρ ἐστὶν ἡ μισοπόνηρος καὶ ἀμείλικτος καὶ ἀδικουμένων ἀρωγὸς ἀπαραίτητος δίκη, σφάλλουσα τὰ τέλη τῶν αἰσχυνόντων ἀρετὴν, ὧν πεσόντων, εἰς παρθενείαν πάλιν ἡ δόξασα αἰσχυνθῆναι μεταβάλλει ψυχή. δόξασα δ' εἶπον, ὅτι οὐδέποτε ἐφθείρετο. τὴν γὰρ ἀκούσιον, οὐδὲ τοῦ πάσχοντος πρὸς ἀλήθειαν πάθος, ὡς οὐδὲ τοῦ μὴ ἀπὸ γνώμης ἀδικοῦντος, τὸ προσαπτόμενον ἔργον.

A sed multis magnisque laboribus paranda sunt. Quamobrem cupidus discendi in agro Sichem consistit: quod nomen interpretatur humeri suppositio, & laborem significat: quia parte hac mos est baiulari onera. id enim & alibi memoratur de hoc ipso athleta in hunc modum: Supposuit humerum suum ad laborem, & factus est vir agricola. Itaque caue ô mens, ne vnquam languore succumbas, sed etiamsi quid visum fuerit contemplatu difficile, id quod in te vim

B perspiciendi habet, aperi, & rem penitius introspice, collustrans omnia, ne quid te volentem inuitámve possit fallere, conniuentem per incuriam. Cæcus enim est somnus, vigilia cernit acutissime. Tibi sufficiat, si datur assiduitate quod quæris assequi, & imaginatione comprehendere. Viden vt & quercus procera in Sichem excreuit? per quam subindicatur firmum, solidum, nulla vi flectendum frangēdúmve robur, quod viro ad perfectionem tendenti necessa-

C rium est ferendis laboribus: ne animæ tribunal nominatum Dina (vox hæc iudicium interpretatur) in potestatem veniat erumnosi laboris, insidiatoris prudentiæ. Nam Sichem qui loco huic nomen dedit, filius est Emoris, brutæ naturæ: (Emor enim asinus dicitur) qui deditus imprudentiæ, alumnus temeritatis impudentiæque, iudicium mentis violare scelestus & corrumpere ausus est: nisi quod celeriter prudentiæ familiares discipulique Simeon & Leui, mu-

D nitis prius rebus domesticis expeditionem fecerunt, & occupatos adhuc voluptario labore, non circunciso ab affectibus, repente oppresserunt. propter oraculum enim, quod vetat meretricem esse inter Israelis filias, hi virginem animam eripuerunt, fortiter contempto periculo. Videbantur enim non defore vltores violati fœderis, sed terror ille mox euanuit. mox enim res ipsa falsam opinionem coarguit. Est profecto seuera scelerum vltrix, & iniuriam patien-

E tium auxiliatrix iustitia, quæ frustratur illudentes virtuti: quibus pessundatis, in virgineam integritatem restituitur, quæ videbatur constuprata anima. Videbatur inquam, nunquam enim corrupta fuit. nam vbi deest assensio, nec qui patitur vere patitur, nec qui præter animi sui sententiam lædit, reus est patrati facinoris.

ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΤΑ ΠΡΟΠΑΙΔΕΥΜΑΤΑ ΣΥΝΟΔΟΥ.

PHILONIS IVDÆI, DE CONGRESSV QVÆRENDÆ ERVDITIONIS GRATIA.

SArra vxor Abrahami non pariebat ei. Habebat autem ancillam Ægyptiam nomine Agar, dixítque Sarra ad Abraham : Ecce conclusit me Dominus ne parerem : ingredere ad ancillam meam, vt suscipias ex ea liberos.] Sarræ nomen interpretatur principatus meus. nam prudentia mea, temperantia mea, & particularis iustitia, aut vnaquælibet virtus alia, quæ mihi soli contigit, meus tantùm principatus est. imperat enim mihi obsequenti voluntarie, pro regina mihi per naturam apposita. Hanc Moses, quod mireris, & sterilem ait, & fœcundissimam, quandoquidem frequentissimam omnium nationum ex hac progenitam fatetur. nam reuera virtus quantum ad res malas attinet, sterilis est : bonarum vero tam fœcunda, vt ne obstetricum quidem opem requirat, partu præueniens earum operam. siquidem animantes stirpésque per interualla semel atque iterum vt plurimum in anno suos fructus afferunt, stato naturæ temporúmque ordine : virtus verò continue sine cessatione parit omni tempore, non infantulos, sed probos sermones, inculpata consilia, facinora laudatissima. Sed neque diuitiæ possessores suos iuuant, ni vtantur eis : nec prudentiæ fœcunditas nobis proderit, nisi fœtus nobis vtiles pariat. illa quidem non dedignatur conuictum coniugalem, sed non quiuis maturus est tam laudato modestóque coniugio, qualibus satis sunt sponsalia, quæ spem nuptiarum celebrandarum faciant. Ergo virtus principatum tenens in

A ΣΑΡΡΑ δὲ ἡ γυνὴ Ἀβραὰμ, οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. εἶπε δὲ Σάρρα πρὸς Ἀβραὰμ, ἰδοὺ συνέκλεισέ με ὁ κύριος τοῦ μὴ τίκτειν· εἴσελθε πρὸς τὴν παιδίσκην μου ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. τὸ Σάρρας ὄνομα μεταληφθὲν ἐστὶν ἀρχή μου· φρόνησις δὲ ἡ ἐν ἐμοὶ, καὶ σωφροσύνη ἡ ἐν ἐμοὶ, καὶ ἡ ἐπὶ μέρους δικαιοσύνη, καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν, B ἣν περὶ ἐμὲ μόνον εἶναι συμβέβηκεν, ἀρχή ἐστιν ἐμοῦ μόνου. ἐπιστατεῖ γάρ μου καὶ ἡγεμονεύει πειθαρχεῖν ἐγνωκότος, βασιλὶς ἐκ φύσεως ὑπάρχουσα. ταύτην Μωϋσῆς, τὸ παραδοξότατον, καὶ στεῖραν ἀποφαίνει καὶ πολυγονωτάτην, εἴγε τὸ πολυανθρωπότατον τῶν ἐθνῶν ἐξ αὐτῆς ὁμολογεῖ γενέσθαι. τῷ γὰρ ὄντι ἡ ἀρετὴ πρὸς μὲν τὰ φαῦλα πάντα ἐστείρωται, τῶν δὲ ἀγαθῶν εὐτοκίᾳ χρῆται τοσαύτῃ, ὡς μηδὲ μαιευτικῆς C τέχνης δεῖσθαι· φθάνει γὰρ ἀποτίκτουσα. τὰ μὲν οὖν ζῷα καὶ φυτὰ διαλείποντα τὸν πλείω χρόνον, ἅπαξ ἢ δὶς τὸ πλεῖστον τοὺς οἰκείους δι' ἐνιαυτοῦ φέρει καρποὺς, καθ' ὃν ἔταξεν ἀριθμὸν ἑκάστοις ἡ φύσις ἐναρμοζόμενον ταῖς ἐτησίοις ὥραις· ἀρετὴ δὲ οὐ διαλείπουσα, ἀνελλιπῶς δὲ καὶ ἀδιαστάτως κατὰ τοὺς ἀμερεῖς χρόνους ἀεὶ γεννᾷ, βρέφη μὲν οὐδαμῶς, λόγους δὲ ἀστείους, καὶ βουλὰς ἀνεπιλήπτους, καὶ ἐπαινετὰς πράξεις. D ἀλλ' οὔτε πλοῦτος, ᾧ μὴ δυνατόν ἐστι χρῆσθαι, τοὺς κεκτημένους ὠφελεῖ, οὔτε ἡ φρονήσεως εὐτοκία, ἐὰν μὴ καὶ ἡμῖν αὐτοῖς τὰ ὠφέλιμα τίκτῃ. τοὺς μὲν γὰρ εἰς ἅπαν ἀξίους ἔκρινε τῆς συμβιώσεως αὐτῆς, οἱ δ' οὔπω ἡλικίαν ἔδοξαν ἔχειν, ὡς ἐπαινετῆς καὶ σώφρονος οἰκουρίας ἀνέχεσθαι, ἧς τὰ προτέλεια τῶν γάμων ἐφῆκε ποιεῖσθαι, ἐλπίδα καὶ τοῦ θύσειν τοὺς γάμους παρέχουσα.

Σάρρα οὖν ἡ ἄρχουσά μου τῆς ψυχῆς ἀρετή, ἔτικτε μὲν, οὐκ ἔτικτε δ' ἐμοί. οὐ γὰρ ἠδυνάμην πω νέος ὢν τὰ γεννήματα αὐτῆς παραδέξασθαι, τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν, τὸ εὐσεβεῖν, διὰ τὸ πλῆθος τῶν νόθων παιδίων, οὓς ἀπεκύησάν μοι αἱ κεναὶ δόξαι. Τροφαὶ γὰρ αἱ τούτων καὶ συνεχεῖς ἐπιμέλειαι καὶ φροντίδες ἄλεκτοι, τῶν γνησίων καὶ ὡς ἀληθῶς ἀστῶν ὀλιγωρεῖν ἠνάγκασαν. καλὸν οὖν εὔχεσθαι τὴν ἀρετὴν μὴ μόνον τίκτειν, ἣ καὶ δίχα εὐχῆς ἀποκυεῖ, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς τίκτειν, ἵνα τῶν σπερμάτων καὶ γεννημάτων αὐτῆς μεταλαγχάνοντες, εὐδαιμονῶμεν. εἴωθε γὰρ θεῷ μόνῳ τίκτειν, τὰς ἀπαρχὰς ὧν ἔτυχεν ἀγαθῶν εὐχαρίστως ἀποδιδοῦσα τῷ τὴν ἀειπάρθενον μήτραν, ὥς φησι Μωϋσῆς, ἀνοίξαντι. καὶ γὰρ τὴν λυχνίαν τὸ ἀρχέτυπον τοῦ μιμήματος παράδειγμα, ἐκ τοῦ ἑνὸς μέρους φησὶ φαίνειν, δηλονότι τοῦ πρὸς θεόν. ἑβδόμη γὰρ οὖσα καὶ μέση τῶν ἓξ καυλίσκων δίχα διῃρημένων εἰς τριάδα, ἑκατέρωθεν δορυφορουμένη, ἄνω τὰς αὐγὰς ἀποστέλλει πρὸς τὸ ἓν, λαμπρότατον ἡγουμένη τὸ φέγγος, ἢ ὡς δύνασθαι θνητὴν αὐτῷ προσβάλλειν τὴν ὄψιν. διὰ τοῦτο οὐ φησὶ μὴ τίκτειν τὴν Σάρραν, ἀλλ' αὐτῷ τινὶ μὴ τίκτειν τὴν Σάρραν. οὐ γὰρ ἐσμὲν ἱκανοὶ δέξασθαί πω γονὰς ἀρετῆς, εἰ μὴ πρότερον ἐντύχοιμεν αὐτῆς τῇ θεραπαινίδι. θεραπαινὶς δὲ σοφίας, ἡ διὰ τῶν προπαιδευμάτων ἐγκύκλιος μουσικὴ καὶ λογική. ὥσπερ γὰρ ἐν μὲν οἰκίαις αὔλειοι πρόκεινται κλιμάδων, ἐν δὲ πόλεσι τὰ προάστεια δι' ὧν εἴσω βαδίζειν ἔνεστιν· οὕτως καὶ ἀρετῆς πρόκειται τὰ ἐγκύκλια. Ταῦτα γὰρ ὁδός ἐστιν ἐπ' ἐκείνην φέρουσα. χρὴ δὲ εἰδέναι, ὅτι τῶν μεγάλων ὑποθέσεων, μεγάλα καὶ τὰ προοίμια εἶναι συμβέβηκε· μεγίστη δὲ ὑπόθεσις ἀρετή. καὶ γὰρ περὶ μεγίστην ὕλην καταγίνεται τὸν σύμπαντα ἀνθρώπων βίον. εἰκότως οὖν, οὐ βραχέσι χρήσεται προοιμίοις, ἀλλὰ γραμματικῇ, γεωμετρίᾳ, ἀστρονομίᾳ, ῥητορικῇ, μουσικῇ, τῇ ἄλλῃ λογικῇ θεωρίᾳ πάσῃ, ὧν ἐστι σύμβολον ἡ Σάρρας θεραπαινὶς Ἄγαρ, ὡς ἐπιδείξομεν. Εἶπε γὰρ, φησὶ, Σάρρα πρὸς Ἀβραάμ, ἰδοὺ συνέκλεισέ με κύριος τοῦ μὴ τίκτειν· εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσῃς ἐξ αὐτῆς. Τὰς σωμάτων πρὸς σώματα μίξεις καὶ ὁμιλίας ἡδονὴν ἐχούσας τὸ τέλος, ὑπεξαιρετέον τοῦ παρόντος λόγου. νοῦ γὰρ πρὸς ἀρετήν ἐστι σύνοδος ἐξ αὐτῆς ἐφιεμένου παιδοποιεῖσθαι· εἰ δὲ μὴ δύναιτο εὐθὺς, ἀλλά τοι τὴν θεραπαινίδα αὐτῆς

A anima mea, parit quidem, sed non mihi, nondum enim possum per ætatem liberos ex ea suscipere, actiones prudentes, iustas piásque, propter multitudinem illegitimorum puerorum, quos mihi vanæ opiniones enixæ sunt. Nam horum educatio continuæque de his solicitudines, cogunt legitimam & vere ciuilem sobolem negligi. Optandum igitur vt virtus non solum pariat, quæ alioquin etiam parit: sed vt & nobis ipsis pariat, vt adepti B semen eius atque progeniem, felicem vitam exigamus. Solet enim illa soli Deo parere, primitias bonorum quæ accepit grate reddens ei qui semper virginem vuluam, vt Moses loquitur, aperuit. ait enim, candelabrum, archetypum illud exemplar, ex vna parte lucere, videlicet ad Deum versa. cum sit enim septima, sex cauliculorum media, bifariam in terniones diuisorum, & latus vtrumque stipantium, C sursum splendorem mittit ad illud vnum, quod æstimat lumen lucidissimum, & clarius quàm vt admittat mortales oculos. ideo non dicit Sarram non peperisse, sed negat eam cuiuis parere. Non sumus enim idonei prolem ex virtute suscipere, ni prius congrediamur cum eiús famula. Est autem sapientiæ famula musica logicáque qua liberaliter instituimur. sicut enim in domibus vestibula sunt ante ianuam, & vrbes habent sua suburbia per quæ adeuntur: ita & ante virtutem artes D liberales sitæ sunt. nam illa per hanc viam aditur. Sciendum autem quòd magnorum argumentorum magna esse conuenit etiam prooemia. virtus autem est argumentum maximum. habet enim materiam maximam, videlicet totam vitam hominum. merito igitur non paruis vtetur prooemijs, sed grammatica, geometria, astronomia, rhetorica, musica, reliqua contemplatione logica vniuersa, quæ significantur per Agar Sarræ famulam, sicut indicabi- E mus. Dixit, inquit, Sarra ad Abraham: Ecce conclusit me Dominus ne parerem. ingredere ad ancillam meam, vt filios ex ea suscipias.] Corporum cum corporibus coitus, nihil aliud quàm voluptatem quærentes, semouendi ab hoc sermone sunt. est enim hic congressus intellectus virtutísque liberos sibi quærentium. quod si non contingat statim tanta felicitas, discit tamen ille despondere sibi eius famulā

& sequestram eruditionem. Vnde A mirari libet verecundiam sapientiæ, quæ non exprobrat nobis tarditatem gignendi, aut in totum sterilitatem: quamuis oraculum vere dicat quòd non pariebat, non propter inuidiam, sed propter nostrammetipsorum culpam qui non essemus idonei. Conclusit, inquit, me Dominus ne parerem. nec addit vocem illam Nobis, ne videatur opprobrare infelicitatem alijs. Ingredere igitur, inquit, B ad ancillam meam, mediarum encyclicarum artium disciplinam mediam, vt prius ex ea filios suscipias. posthac enim poteris etiam ex consuetudine cum domina genitis frui legitimis liberis. nam grammatica historias quæ apud poetas scriptorésque habentur te docendo, intelligentiam & multiplicem cognitionem tibi præstabit, efficiétque vt contemnas figmenta vanarum opinionum, dum spectas celebratas illas heroum & semideorum calamitates. musica verò com- C monstrans quid in rhythmis, quid in harmonia, quid in cantu discrepet, inconcinna ad concinnitatem reducet. geometria æqualitatis & proportionis semina indens in studiosam animam, per contemplationem elegantiæ perpetuam, inseret amorem iustitiæ. rhetorica & mentem ad considerandum acuens, & sermonem ad proferendas cogitationes exercens, rationalem vere faciet hominem, curans id quod illi proprium eximiúmque à natura donatum est. dialecti- D ca rhetoricæ germana gemelláque, vt quidam aiunt, falsos sermones à veris discernens, & sophismata persuasibilia redarguens, magnum morbum animæ deceptionem persanabit. In his & similibus versari ac præexercitari profuerit. fortassis enim contingere nobis potest quod multis contigit, vt per famulas in reginarum virtutum familiaritatem nos insinuemus. Viden vt & corpus nostrum non prius E solidis & lautis cibis vtitur quàm in pueritia nutritum sit simplicibus & lactarijs? ad eundem sane modum existimandum est animæ quoque pueriles cibos præparatos, artes liberales, & contemplationes singularum proprias: perfectiores autem & qui vere viros deceant esse virtutes. Cæterum huius mediæ disciplinæ præcipuas formas per duo signa discimus,

A τὴν μέσην παιδείας ἐγγυμνάσασθαι διδασκαλίων. ἄξιον δὲ τῆς αἰδοῦς καταπλαγῆναι σοφίαν, ἥτις τὸ βραδὺ πρὸς γένεσιν ἢ τελέως ἄγονον οὐκ ἠξίωσεν ἡμῖν ὀνειδίσαι· καίτοι τοῦ χρησμοῦ τἀληθὲς εἰπόντος, ὅτι οὐκ ἔτικτεν, οὐ διὰ φθόνον, ἀλλὰ διὰ τὴν ἡμετέραν αὐτῶν ἀνεπιτηδειότητα. Συνέκλεισε γάρ, φησὶ κύριος τοῦ μὴ τίκτειν ἐμέ· καὶ οὐκέτι προστίθησιν ἡμῖν, ἵνα μὴ προσφέρειν καὶ ὀνειδίζειν ἀτυχίας ἑτέροις δοκῇ. Εἴσελθε οὖν, φησί, B πρὸς τὴν παιδίσκην μου, τὴν τῶν μέσων καὶ ἐγκυκλίων ἐπιστημῶν μέσην παιδείαν, ἵνα τεκνοποιήσῃ πρότερον ἐξ αὐτῆς. αὖθις γὰρ δυνήσῃ καὶ τῆς πρὸς τὴν δέσποιναν ὁμιλίας, γνησίων παίδων γονῆς, ἀπόνασθαι. γραμματικὴ μὲν γὰρ ἱστορίας τὰς παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἀναδιδάξασα, νόησιν καὶ πολυμάθειαν ἐργάσεται, καὶ καταφρονητικῶς ἔχειν ἀναδιδάξει τῶν ὅσα αἱ κεναὶ δόξαι τυφλοπλαστοῦσι, διὰ τὰς κακοπραγίας, αἷς τοὺς ᾀδομένους παρ᾽ αὐτοῖς ἥ- C ρωάς τε καὶ ἡμιθέους λόγος ἔχει χρήσασθαι· μουσικὴ δὲ τὸ μὲν ἄρρυθμον ἐν ῥυθμοῖς, τὸ δ᾽ ἀνάρμοστον ἐν ἁρμονίᾳ, τὸ δ᾽ ἀπῳδὸν καὶ ἐκμελὲς μέλος κατεπᾴδουσα, τὸ ἀσύμφωνον εἰς συμφωνίαν ἄξει· γεωμετρία δ᾽ ἰσότητος καὶ ἀναλογίας αὐτὰ βαλλομένη τὰ σπέρματα εἰς ψυχὴν φιλομαθῆ, διὰ γλαφυρότητος συνεχοῦς θεωρίας, δικαιοσύνης ζῆλον ἐμποιήσει· ῥητορικὴ δὲ καὶ τὸν νοῦν πρὸς θεωρίαν ἀκονησαμένη, καὶ πρὸς ἑρμηνείαν γυμνάσασα τὸν λόγον καὶ συγ- D κροτήσασα, λογικὸν ὄντως ἀποδείξει τὸν ἄνθρωπον, ἐπιμεληθεῖσα τοῦ ἰδίου καὶ ἐξαιρέτου, ὃ μηδενὶ τῶν ἄλλων ζῴων ἡ φύσις δεδώρηται· διαλεκτικὴ δὲ ἡ ῥητορικῆς ἀδελφὴ καὶ δίδυμος, ὥς εἰπόν τινες, τοὺς ἀληθεῖς τῶν ψευδῶν λόγους διακρίνουσα, καὶ τὰς τῶν σοφισμάτων πιθανότητας ἐλέγχουσα, μεγάλην νόσον ψυχῆς ἀπάτην ἀκέσεται. τούτοις οὖν καὶ τοῖς παραπλησίοις ἐνομιλῆσαι καὶ ἐμπρομελετῆσαι λυσιτελές. ἴσως γάρ ἴσως, ὃ πολλοῖς συνέβη, διὰ τῶν ὑπηκόων ταῖς E βασιλίσιν ἀρεταῖς γνωρισθησόμεθα. οὐχ ὁρᾷς ὅτι καὶ τὸ σῶμα ἡμῶν οὐ πρότερον πεπηγυίαις καὶ πολυτελέσι χρῆται τροφαῖς, πρὶν ἢ ταῖς ἀποικίλοις καὶ γαλακτώδεσιν ἐν ἡλικίᾳ τῇ βρεφώδει; τὸν αὐτὸν δὴ τρόπον καὶ τῇ ψυχῇ, παιδικὰς μὲν νόμισον ηὐτρεπίσθαι τροφάς, τὰ ἐγκύκλια, καὶ τὰ καθ᾽ ἕκαστον αὐτῶν θεωρήματα· τελειοτέρας δὲ καὶ πρεπούσας ἀνδράσιν ὡς ἀληθῶς, τὰς ἀρετάς. οἱ δὲ πρῶτοι τῆς μέσης παιδείας χαρακ-

τῆρες διὰ δυοῖν περιέχονται συμβόλων, τοῦ τε γένους, καὶ τοῦ ὀνόματος· γένος μὲν ἐστὶν αἰγυπτία, καλεῖται δὲ Ἄγαρ. τοῦτο δ' ἑρμηνευθέν ἐστι παροίκησις. ἀνάγκη γὰρ τὸν ἐγχορεύοντα ταῖς ἐγκυκλίοις θεωρίαις, καὶ πολυμαθείαις ἑταῖρον ὄντα, τῷ γεώδει καὶ αἰγυπτίῳ προσκεκληρῶσθαι σώματι, χρῄζοντι καὶ ὀφθαλμῶν, ὡς ἰδεῖν καὶ ἀναγνῶναι· καὶ ὤτων, ὡς προσσχεῖν τε καὶ ἀκοῦσαι· καὶ τῶν ἄλλων αἰσθήσεων, ὡς ἕκαστον τῶν αἰσθητῶν ἀναπτύξαι. δίχα γὰρ τοῦ κρίνοντος, τὸ κρινόμενον οὐ πέφυκε καταλαμβάνεσθαι· κριτὴς δὲ τῶν αἰσθητῶν αἴσθησις, ὥστ' ἀκριβωθῆναί τι τῶν κατὰ τὸν αἰσθητὸν κόσμον, ἐν οἷς ἡ πλείων μοῖρα τοῦ φιλοσοφεῖν, οὐκ ἐνῆν ἄνευ αἰσθήσεως· αἴσθησις δὲ, τὸ σωματοειδέστερον τῆς ψυχῆς μέρος, περὶ τὸ τῆς ὅλης ψυχῆς ἀγγεῖον προσερρίζωται· τὸ δὲ τῆς ψυχῆς ἀγγεῖον, Αἴγυπτος διὰ συμβόλου προσονομάζεται. χαρακτὴρ μὲν εἷς ὁ ἀπὸ τοῦ γένους οὗτος, ὃν ἡ θεραπαινὶς ἀρετῆς ἔλαχεν· ὁ δὲ ἀπὸ τοῦ ὀνόματος, ποῖος δή τις ἐστὶν, ἐπισκεψώμεθα. τὴν μέσην παιδείαν παροίκου λόγον ἔχειν συμβέβηκεν. ἐπιστήμη μὲν γὰρ καὶ σοφία καὶ ἀρετὴ πᾶσα, αὐθιγενὴς καὶ αὐτόχθων, καὶ πολῖτις ὡς ἀληθῶς ἐστὶ μόνη τοῦ παντός· αἱ δ' ἄλλαι παιδεῖαι, δευτέρων καὶ ὑστάτων ἄθλων τυγχάνουσαι, μεθόριοι ξένων καὶ ἀστῶν εἰσίν. οὐδετέρου τε γὰρ γένους ἀκεράτου, καὶ πάλιν ἀμφοῖν κατά τινα κοινωνίαν ἐφάπτονται. πάροικοι γὰρ, τῷ μὲν ἐνδιατρίβειν ἀστοῖς, τῷ δὲ μὴ κατοικεῖν, ἀλλοδαποῖς ἰσοῦνται· καθάπερ οἶμαι καὶ οἱ θετοὶ παῖδες, ᾗ μὲν κληρονομοῦσι τὰ τῶν θεμένων, τοῖς γνησίοις, ᾗ δ' οὐ γεγένηνται πρὸς αὐτῶν, τοῖς ὀθνείοις. ὃν δὴ λόγον ἔχει δέσποινα μὲν πρὸς θεραπαινίδας, γυνὴ δὲ ἀστὴ πρὸς παλλακὴν, τοῦτον ἔξει τὸν λόγον ἀρετὴ Σάρρα πρὸς παιδείαν Ἄγαρ· ὥστ' εἰκότως τοῦ θεωρίαν καὶ ἐπιστήμην ἐζηλωκότος Ἀβραὰμ ὄνομα, γένοιτο ἡ μὲν ἀρετὴ, Σάρρα γυνὴ, παλλακὴ δὲ Ἄγαρ, ἡ ἐγκύκλιος μουσικὴ πᾶσα. ᾧ τινι μὲν οὖν φρόνησις ἐκ διδασκάλων παραγίνεται, τὴν Ἄγαρ οὐκ ἂν ἀποδοκιμάζοι. πάνυ γὰρ ἀναγκαία ἡ τῶν προπαιδευμάτων κτῆσις. Εἰ δέ τις τοὺς ὑπὲρ ἀρετῆς ἄθλους ἐγνωκὼς διαπονεῖν, μελέταις χρῆται συνεχέσιν, ἀνενδότως ἔχων πρὸς ἄσκησιν, δύο μὲν ἀστὰς, παλλακὰς δὲ τὰς ἴσας τῶν ἀστῶν θεραπαινίδας ἄξεται. φύσιν δὲ καὶ ἰδέαν ἔλαχεν αὐτῶν ἑκάστη διάφορον· αὐτίκα τῶν ἀστῶν, ἡ μέν ἐστιν ὑγιεινοτάτη καὶ εὐσταθεστάτη καὶ εἰρηνικωτάτη κίνησις, ἣν ἀπὸ τοῦ συμβεβηκότος ὠνόμασαν Λείαν· ἡ δὲ ἔοικεν ἀκόνῃ, καλεῖται δὲ Ῥαχὴλ, πρὸς

A per genus & nomen: siquidem Ægyptia genere, nominatur Agar. hoc autem interpretatur inquilinus. necesse est enim vt qui choreas encyclicarum contemplationum frequentat, & multiplicem eruditionem sectatur, terreno Ægyptióque sit adscriptus corpori, cum & oculis ad lectiones opus habeat, & auribus ad auscultandum, & reliquis sensibus ad tractanda sensibilia singula. nam sine iudicatiuo iudicari aliquid natura non
B patitur. iudicatur autem per sensum sensibile, itaque sine sensu non potest quicquam percipi in hoc mundo sensibili, quæ magna ex parte est philosophandi materia. sensus porrò est animæ pars magis corporea, radicata in totius animæ conceptaculo: quod vas Ægyptus figurate nominatur. hæc est forma generis, quam ancilla virtutis habet. iam alteram, scilicet nominis, qualis sit consideremus. mediam disciplinam inquilinæ ius habere con-
C tigit. nam & sapientia & quælibet virtus est scientia, sed ciuis & reuera huius vniuersitatis indigena sola ex omnibus: reliquæ disciplinæ secundum & extremum ordinem adeptæ, mediæ censentur inter ciues & hospites. ad neutrum enim genus in totum pertinent, & cum vtroque habent commune nonnihil. Nam inquilini conuersatione cum ciuibus fruuntur: sed quia non est eis certum fixúmque domicilium, censentur inter exteros. Si-
D cut, opinor, adoptiui filij, quatenus hæredes fiunt pro natiuis æstimantur: quatenus aliunde nati sunt, pro alienis. itaque sicut se habet hera ad ancillam, matrona ad concubinam, ita se habet virtus Sarra ad disciplinam Agar. iure igitur Abrahamo contemplationi sciẽtiæque dedito virtus Sarra pro vxore fuerit: Agar vero, id est vniuersa encyclopædia, pro pellice. Ergo qui prudentiam discit à præceptoribus, Agarem non reijciet. est enim val-
E de necessaria primarum disciplinarum possessio. Quod si quis paratus est certamina pro virtute subire, & indefessus exercet se continuè, duas matronas ducet, ac totidem ancillas pellices. singularum autem diuersa sunt ingenia. matronarum altera, sanissima optime constituta pacatissimáque motio, ex re Lia nomen habet. altera coti similis Rachel vocatur, ad quam intellectus certaminis exercitiique cu-

A pidus se atterens acuitur. interpreta-
tur autem visio profanationis, non
quòd profane videat, sed contra: quia
visibilia sensibiliáque, collata cum
immortali natura inuisibili & intelli-
gibili, non religiosa sed profana esse
iudicat. nam cum anima nostra bipar-
tita sit, partim bruta partim rationalis,
vtrique sua virtus est, Lia rationali
parti, Rachel irrationali. exercet enim
nos altera per sensus, & rationis par-
tes, vt contemnamus omnia contem-
B nenda, gloriam, diuitias, volupta-
tem, quæ vulgus hominum suspicit, &
magna contentione persequitur, cor-
rupto auditu, cæterorúmque sensuum
iudicio. Altera vero docet, vt inæqua-
lem asperámque viam, studiosis virtu-
tis animabus inaccessam deuitemus, &
inoffense per tritam à populo, stra-
támque incedamus, nusquam laben-
te vestigio. Necesse est igitur vt prio-
ris ancilla sit eloquendi facultas, &
argutatio sophistica, præstigias fa-
C ciens per coniecturas quasdam persua-
sibiles. Alterius vero, illa victus ratio
quæ cibum potúmque requirit. nam
earum nomina, Zelpha & Balla, ex-
tant in sacris literis. Zelpha idem so-
nat quod oris iter, & eloquendi facul-
tatem significat. Balla vero deglutitio-
nem, quæ est mortalium animalium
præcipuum firmamentum & summè
necessarium. ab hac enim sustinentur
corpora, & vitæ rudentes ab hac re-
ligati sunt ceu crepidine. Cum his igi-
tur omnibus potentijs meditator ille
D habet consuetudinem, cum alteris vt
ingenuis & ciuibus, cum alteris, vt an-
cillis & pellicibus. Expetit enim Liam,
id est motum, qui sanitatem in cor-
pore, in anima honestatem & iusti-
tiam operatur. Rachelem etiam dili-
git, colluctans cum affectibus, & exer-
cens se ad temperantiam, resisténsque
omnibus rebus sensibilibus. Duobus
enim modis vtilitatem capimus, dum
vel in pace bonis fruimur, vel in bel-
E lo mala profligamus arcemúsque. Per
Liam antiquissima & præcipua bona
percipimus: per Rachelem, velut ex
hostibus manubias. Huiusmodi est cum
his matronis consuetudo. Opus habet
nihilominus etiam Balla deglutitione
meditator noster, sed vt ancilla &
pellice. nisi enim edat & viuat, bene
viuere non potest: quandoquidem in-
differentia semper melioribus pro fun-
damento sunt. opus habet Zelpha quo-

A ὢν ὁ φίλαθλος καὶ φιλογυμναστὴς νοῦς παραθηγό-
μενος ὀξύνεται· ἑρμηνεύεται δὲ ὅρασις βεβηλώ-
σεως, οὐκ ἐπειδὴ βεβήλως ὁρᾷ, ἀλλὰ τοὐναντίον,
ὅτι τὰ ὁρατὰ καὶ αἰσθητὰ, παρὰ τὴν ἀκήρατον
φύσιν τῶν ἀοράτων καὶ νοητῶν, οὐχ ἅγια, βέβηλα
δὲ εἶναι νομίζει. τῆς γὰρ ψυχῆς ἡμῶν διμεροῦς ὑπαρ-
χούσης, καὶ τὸ μὲν λογικὸν, τὸ δ᾽ ἄλογον ἐχούσης, ἀ-
ρετὴν ἑκατέρου ὑπάρχειν συμβέβηκε, Λείαν μὲν τοῦ
λογικοῦ, τοῦ δὲ ἀλόγου Ῥαχήλ. γυμνάζει γὰρ ἡμᾶς,
ἡ μὲν διὰ τῶν αἰσθήσεων, καὶ τῶν τοῦ λόγου μερῶν,
B πάντων καταφρονητικῶς ἔχειν, ὧν ἀλογεῖν ἄξιον,
δόξης καὶ πλούτου καὶ ἡδονῆς, ἃ περίβλεπτα καὶ πε-
ριμάχητα ὁ πολὺς καὶ ἀγελαῖος ἀνθρώπων ὄχ-
λος κρίνει, δεδεκασμέναις μὲν ἀκοαῖς, δεδεκασμένῳ
δὲ καὶ τῷ τῶν ἄλλων αἰσθητηρίων δικαστηρίῳ· ἡ δὲ ἀνα-
διδάσκει τὴν ἀνώμαλον καὶ τραχεῖαν ὁδὸν ἄβα-
τον φιλαρέτοις ψυχαῖς ἐκτρέπεσθαι, λείως δὲ διὰ
τῆς λεωφόρου βαίνειν ἄνευ πταισμάτων καὶ τῶν ἐν
ποσὶν ὀλισθων· ἀναγκαίως οὖν τῆς μὲν προτέρας ἔ-
C σται θεραπαινὶς, ἡ διὰ τῶν φωνητηρίων ὀργάνων
ἑρμηνευτικὴ δύναμις, καὶ ἡ λογικὴ σοφισμάτων
εὕρεσις, εὐστόχῳ πιθανότητι καταγοητεύουσα· τῆς
δὲ ἀναγκαῖαι τροφαὶ, βρῶσίς τε καὶ πόσις. ὀνόματα δὲ
ἡμῖν τῶν δυεῖν θεραπαινίδων ἀνέγραψε, Ζέλφαν
τε καὶ Βάλλαν· ἡ μὲν οὖν Ζέλφα μεταληφθεῖσα,
πορευόμενον καλεῖται στόμα, τῆς ἑρμηνευτικῆς καὶ
διεξοδικῆς σύμβολον δυνάμεως· ἡ δὲ Βάλλα, κα-
τάποσις, τὸ πρῶτον καὶ ἀναγκαιότατον θνητῶν ζώων
ἔρεισμα. καταπόσει γὰρ τὰ σώματα ἡμῶν ἐνορμεῖ,
D καὶ τὰ τοῦ ζῆν πείσματα ἐκ ταύτης ὡς ἀπὸ κρη-
πῖδος ἐξῆπται. πάσαις οὖν ταῖς εἰρημέναις δυνά-
μεσιν ὁ ἀσκητὴς ἐνομιλεῖ, ταῖς μὲν ὡς ἐλευθέραις καὶ
ἀσταῖς, ταῖς δὲ ὡς δούλαις καὶ παλλακίσιν. ἐφίεται μὲν
γὰρ τῆς Λείας κινήσεως, Λεία δὲ κίνησις· ἐν μὲν
σώματι γινομένη, ὑγείαν, ἐν δὲ ψυχῇ, καλοκα-
γαθίαν καὶ δικαιοσύνην ἂν ἐργάσαιτο. Ῥαχὴλ δὲ
ἀγαπᾷ, πρὸς τὰ πάθη παλαίων, καὶ πρὸς ἐγ-
κράτειαν ἀλειφόμενος, τοῖς αἰσθητοῖς πᾶσιν ἀντι-
E ταττόμενος. διττοὶ μὲν γὰρ ὠφελείας τρόποι, ἡ κατὰ
ἀπόλαυσιν ἀγαθῶν ἐν εἰρήνῃ, ἡ κατὰ ἀντίταξιν καὶ
ὑφαίρεσιν κακῶν ὡς ἐν πολέμῳ· Λεία μὲν οὖν
ἐστι, καθ᾽ ἣν συμβαίνει τὰ πρεσβύτερα καὶ ἡγεμο-
νεύοντα ἀγαθὰ καρποῦσθαι· Ῥαχὴλ δὲ, καθ᾽ ἣν
τὰ ὡς ἂν ἐκ πολέμου λάφυρα. τοιαύτη μὲν ἡ
πρὸς τὰς ἀστὰς συμβίωσις· χρῄζει δὲ ὁ ἀσκητὴς
Βάλλας μὲν καταπόσεως, ἀλλ᾽ ὡς δούλης καὶ παλ-
λακίδος. ἄνευ γὰρ τροφῆς καὶ ζωῆς, οὐδ᾽ ἂν τὸ εὖ ζῆν
περιγένοιτο· ἐπειδὴ τὰ μέσα τῶν ἀμεινόνων ἀεὶ θεμέ-

λοι· χρῄζει δὲ καὶ Ζέλφας διεξοδικῆς ἑρμηνείας, ἵνα ὁ λογικὸς αὐτῷ δίχοθεν συνεργίζηται πρὸς τελείωσιν, ἔκ τε τῆς κατὰ διάνοιαν πηγῆς, καὶ ἐκ τοῦ περὶ τὸ φωνητήριον ὄργανον ἀπορροῆς. ἀλλ' οὗτοι μὲν καὶ πλειόνων γυναικῶν καὶ παλλακίδων, οὐκ ἀστῶν μόνον, ἄνδρες ἐγένοντο, ὡς αἱ ἱεραὶ μηνύουσι γραφαί. ὁ δὲ Ἰσαὰκ οὔτε πλείους γυναῖκας, οὔτε συνόλως παλλακήν, μόνην δὲ ἡ κουρίδιος ἄχρι τελευτῆς συνοικεῖ. διὰ τί; ὅτι καὶ ἡ διδακτικὴ ἀρετὴ ἣν Ἀβραὰμ μέτεισι, πλειόνων δεῖται, γνησίων μὲν τῶν κατὰ φρόνησιν, νόθων δὲ τῶν κατὰ τὰ ἐγκύκλια προπαιδευμάτων θεωρήματα· καὶ ἡ δι' ἀσκήσεως τελειουμένη, περὶ ἣν Ἰακὼβ ἐσπουδακέναι φαίνεται. διὰ πλειόνων γὰρ καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων, ἡγουμένων, ἑπομένων, προαπαντώντων, ὑστεριζόντων, πόνους τοτὲ μὲν ἐλάττους, ποτὲ δὲ μείζους ἐχόντων. τὸ δὲ αὐτομαθὲς γένος οὗ ἐκοινώνησεν Ἰσαάκ, ἡ εὐπαθειῶν ἀρίστη χαρά, φύσεως ἁπλῆς καὶ ἀμιγοῦς καὶ ἀκράτου μεμοίραται, μήτε ἀσκήσεως, μήτε διδασκαλίας δεόμενον, ἐν οἷς παλλακίδων ἐπιστημῶν οὐκ ἀστῶν μόνον ἐστὶ χρεία. τοῦ γὰρ θεοῦ τὸ αὐτομαθὲς καὶ αὐτοδίδακτον ἄνωθεν ἀπ' οὐρανοῦ καλὸν ὀμβρήσαντος, ἀμήχανον ἦν ἔτι δούλαις καὶ παλλακαῖς συμβιῶναι τέχναις, νόθων δογμάτων οἷα παίδων ὀρεχθέντα. δεσποίνης γὰρ καὶ βασιλίδος ἀρετῆς, ὁ τούτου λαχὼν τοῦ γέρως, ἀνὴρ ἀναγράφεται· καλεῖται δὲ παρὰ μὲν Ἕλλησιν ὑπομονή, παρὰ δὲ τοῖς Ἑβραίοις Ῥεβέκκα. ζητεῖ γὰρ ὁ ἄπονον καὶ ἀταλαίπωρον εὑράμενος σοφίαν δι' εὐμοιρίαν φύσεως καὶ εὐτοκίαν ψυχῆς, οὐδὲν τὴν εἰς βελτίωσιν. ἔχει γὰρ ἐν ἑτοίμῳ τέλεια τὰ τοῦ θεοῦ δῶρα, χάρισι ταῖς πρεσβυτέραις ἐπιπνευσθέντα, βούλεται δὲ καὶ εὔχεται ταῦτα ἐπιμεῖναι· παρὸ μοι δοκεῖ καὶ ὁ εὐεργέτης, ἵνα διαιωνίζωσιν αἱ χάριτες αὐτοῦ, τῷ λαβόντι γυναῖκα τὴν ἐπιμονὴν ἐγγυῆσαι. ἀνάμνησις γε μὴν μνήμης τὰ δευτερεῖα φέρεται, καὶ ὁ ἀναμιμνησκόμενος τοῦ μεμνημένου. ὁ μὲν γὰρ ἔοικε τῷ συνεχῶς ὑγιαίνοντι, ὁ δὲ τῷ ἐκ νόσου ἀναλαμβάνοντι· λήθη γὰρ νόσος μνήμης· ἀνάγκη δὲ τὸν ἀναμνήσει χρώμενον ἐκλελῆσθαι πρότερον ὧν ἐμέμνητο. τὴν μὲν οὖν μνήμην Ἐφραὶμ ἑρμηνευόμενον καρποφορίαν, ὀνομάζει ὁ ἱερὸς λόγος· τὴν δὲ ἀνάμνησιν ἐκ λήθης Μανασσῆν προσαγορεύουσιν Ἑβραῖοι. οὕτως γὰρ ἡ μὲν τοῦ μεμνημένου ψυχὴ καρποφορεῖ ἃ ἔμαθεν, οὐδὲν ἀποβάλλουσα αὐτῶν· ἡ δὲ τοῦ ἀναμνήσει χρωμένου, ἔξω λήθης

A que disserendi facultate, vt ratiocinatio duabus rebus in vnum collatis absoluatur, ex cogitationis fonte, & riuo inde promanante per vocis organum. Verũ isti pluribus vel vxoribus vel concubinis vsi sunt, vt in sacra scriptura legitur. At cum Isaac non plures vxores, non pellex vlla, sed coniux vnica quam virginem puellam duxerat, est perpetua vitæ socia. cur ita? quia virtus quæ discitur, qualis Abrahami fuit, pluribus eruditionibus indiget, legitimis iuxta pru-
B dentiam, adulterinis iuxta disciplinas quas liberales vocamus. itidem quæ per meditationem absoluitur, quod genus virtutis Iacob sectatum apparet. meditationes enim constant ex compluribus varijs dogmatibus, antecedentibus, consequentibus, citius aut serius occurrentibus, & labores nunc minores nunc maiores exhibentibus. At genus à seipso doctum, in quo Isaac censetur, optimam inter omnes bonos affectus lætitiam simplicem, meram sin-
C cerámque sortitum est, nec meditatione vlla nec doctrina indigens, ad quas parandas non solum matronis scientijs, sed & illis alteris pellicibus opus est. Cùm enim Deus scientias sine præceptore cælitus impluit, impossibile est delectari amplius ancillis & concubinis artibus, & teneri desiderio, tanquam filiorũ dogmatum illegitimorum. Siquidem dominæ reginæque virtutis maritus appellatur, cui tantus honor contigit. ea Latine patientia, Hebraice Re-
D beca vocatur. Nam quisquis naturæ suæ felicitate & fœcunditate animæ sine labore sapientiam assecutus est, nullum profectum requirit amplius. habet enim in promptu perfecta dona Dei inspirata per illas antiquas Gratias, quæ sibi optat perpetua. Et hoc est, opinor, cur ille autor omnis beneficentiæ, volens ratas suas gratias, ei qui acceperat, vxorem despondet patientiam. Reminiscentia tamen secundum à memoria locum tenet, & reminiscens à memo-
E re. nam ille similis est vtenti constanter bona valetudine, hic recolligenti se post ægritudinem. Nam obliuio morbus est memoriæ. Quisquis autem reminiscitur, necessum est, vt oblitus prius fuerit quorum meminerat. Memoriam sacra scriptura Ephraim nominat, quam vocem fertilitatem fructuum interpretari licet: reminiscentiam autem ex obliuione Manassem vocant Hebræi. sic enim anima memoris profert

ceu fructum quæ didicit, nihil eorum amittens: reminiscentis autem, ex obliuione euadit, qua priusquam admoneretur, tenebatur. itaque memori marito vxor cohabitat memoria: obliuioso pellex reminiscentia, Syra genere, iactabunda & arrogans. nam Syria sublimitas interpretatur, huius concubinæ reminiscentiæ filius est Macheir vt appellant Hebræi, ac si Latine dicas, patris. nam qui reminiscuntur, putant à patre intellectu se commonefieri, nec reputant secum, quòd is ipse aliquando admisit in se obliuionem, non facturus, si habuisset in potestate memoriam. Scriptum est enim: Nati sunt filij Manassæ, quos peperit ei concubina Syra, primum Macheir, qui genuit Galaad. Nachor quoque frater Abraham duas mulieres habuit, vxorem & pellicem. vxoris nomen Melcha, Ruma vero pellicis. sed non historicam genealogiam contexit legislator sapientissimus, quod absit vt quisquam sanus suspicetur: magis rerum animæ profuturarum est hæc narratio. quod si hæc nomina vertantur in linguam nobis vernaculam, quid sibi velint apparebit. age igitur scrutemur singula. Nachor idem est quod luminis requies, Melcha quod regina, Ruma significat videntem aliquid. Ergo lucem habere in mente bonum est. quod autem quiescit & cessat immotum, imperfectum bonum est. nam mala quiescere expedit, bona vero moueri. Quid enim prodest cessare bonum tibicinem aut citharistam, aut in vniuersum quemcunque artificem suam artem non exercere? nam sine actione sola contemplatio scientibus ad nihil est vtilis. nec enim pancratiasta, pugilve aut luctator ex arena protrusus vllum fructum è studio suo referet: neque absolutus cursor, si corripiatur à podagra, aut alioqui laboret morbo infesto pedibus. lumen autem animæ, solari simillimum est scientia. nam sicut oculi splendore, sic mens illustratur sapientia, & vsque acutius cernere assuescit iuncta nouis semper contemplationibus. Itaque luminis quies Nachor interpretatur. & merito. Quatenus enim Abrahamum cognatione attingit, sapientiæ luminis factus est particeps. quatenus autem non est comitatus peregrinantem à creatura ad creatorem, à mundo

A γίνεται, ἣ πρὶν ὑπομνησθῆναι κατείχετο. μνημονικῷ μὲν οὖν ἀνδρὶ ἀστὴ σύμβιος γυνὴ μνήμη· ἐπιλανθανομένῳ δὲ παλλακὴ ἀνάμνησις Σύρα τὸ γένος, ἀλαζὼν καὶ ὑπέραυχος. Συρία γὰρ ἑρμηνεύεται μετεωρία. τῆς δὲ παλλακίδος ταύτης ἀναμνήσεώς ἐστιν υἱὸς Μαχὶρ ὡς Ἑβραῖοι καλοῦσιν, ὡς δὲ Ἕλληνες, πατρός. νομίζουσι γὰρ οἱ ἀναμιμνησκόμενοι τὸν πατέρα νοῦν αἴτιον εἶναι τοῦ ὑπομνησθῆναι, καὶ οὐ λογίζονται, ὅτι ὁ αὐτὸς οὗτος ἐχώρησέ ποτε καὶ λήθην, B οὐκ ἂν δεξάμενος αὐτήν, εἰ παρ' αὐτὸν ἦν τὸ μεμνῆσθαι. λέγεται γάρ, Ἐγένοντο υἱοὶ Μανασσῆ, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ Σύρα, τὸν Μαχίρ. Μαχὶρ δὲ ἐγέννησε τὸν Γαλαάδ. καὶ Ναχώρ, καίτοι ὁ ἀδελφὸς Ἀβραὰμ ἔχει δύο γυναῖκας, ἀστήν τε καὶ παλλακήν· ὄνομα δὲ τῆς μὲν ἀστῆς Μελχά, Ῥουμὰ δὲ τῆς παλλακίδος. ἀλλ' οὐχ ἱστορικὴ γενεαλογία τοῦτ' ἐστὶν ἀναγραφεῖσα παρὰ τῷ σοφῷ νομοθέτῃ· μηδεὶς τοῦτ' εὖ φρονῶν C ὑπονοήσειεν· ἀλλὰ πραγμάτων ψυχὴν ὠφελῆσαι δυναμένων διὰ συμβόλων ἀνάπτυξις. τὰ δὴ ὀνόματα μεταβαλόντες εἰς τὴν ἡμετέραν διάλεκτον, εἰσόμεθα τὴν ὑπόσχεσιν ἀληθῆ. φέρε οὖν ἕκαστον αὐτῶν ἑρμηνεύσωμεν. Ναχὼρ ἑρμηνεύεται φωτὸς ἀνάπαυσις, Μελχὰ δὲ βασίλισσα, Ῥουμὰ δὲ ὁρῶσά τι. τὸ μὲν οὖν φῶς ἔχειν κατὰ διάνοιαν, ἀγαθόν, τὸ δὲ ἀναπαυόμενον καὶ ἠρεμοῦν καὶ ἀκίνητον, οὐ τέλειον ἀγαθόν. ἡσυχίᾳ μὲν γὰρ τὰ κακὰ χρῆσθαι λυσιτε- D λές, τὰ δὲ ἀγαθὰ κινεῖσθαι, συμφέρει. τίς γὰρ ὄνησις εὐφώνου ἡσυχάζοντος, ἢ μὴ αὐλοῦντος αὐλητοῦ, ἢ κιθαριστοῦ μὴ κιθαρίζοντος, ἢ συνόλως τεχνίτου τὰ κατὰ τὴν τέχνην μὴ ἐνεργοῦντος. ἡ γὰρ ἄνευ πράξεως θεωρία ψιλή, πρὸς οὐδὲν ὄφελος τοῖς ἐπιστήμοσιν. οὐ γὰρ ὁ παγκρατιάζειν ἢ πυκτεύειν ἢ παλαίειν εἰδώς, ἐξαγκωνισθεὶς ἀπόναιτ' ἂν ἀθλήσεως, ἢ ὁ τὴν τοῦ τρέχειν ἐπιστήμην ἐκμαθών, εἰ ποδαγρικῷ χρήσαιτο πάθει, ἤ τινα ἄλλην περὶ τὰς βάσεις κῆρα ἀναδέξαιτο. φῶς E δὲ ψυχῆς ἡλιοειδέστατον, ἐπιστήμη. καθάπερ γὰρ τὰ ὄμματα αὐγαῖς, καὶ ἡ διάνοια σοφίᾳ περιλάμπεται, καὶ ὀξυδερκέστερα ἐμβλέπειν εἰθιζομένη καινοῖς ἀεὶ θεωρήμασιν ἐπιζεῖται. φωτὸς οὖν ἀνάπαυσις ἑρμηνεύεται Ναχώρ. εἰκότως. ᾗ μὲν γὰρ Ἀβραάμ ἐστι τοῦ σοφοῦ συγγενής, φωτὸς τοῦ κατὰ σοφίαν μετέσχηκεν· ᾗ δ' οὐ συναποδεδήμηκεν αὐτῷ, τὴν ἀπὸ τοῦ γενομένου πρὸς τὸ ἀγένητον, καὶ τὴν ἀπὸ τοῦ κόσμου

πρὸς τὸν κοσμοπλάστην ἀποδημίαν, χωλὴν καὶ ἀτελῆ τὴν ἐπιστήμην ἐκτήσατο, ἀναπαυομένην καὶ ἠρεμοῦσαν, μᾶλλον δὲ ἀνδριάντος ἀψύχου τρόπον πεπηγυῖαν. τῆς γὰρ χαλδαϊκῆς οὐ μετανίσταται χώρας, τουτέστι τῆς περὶ ἀστρονομίαν θεωρίας οὐ διαζεύγνυται, τὸ γενόμενον πρὸ τοῦ πεποιηκότος, καὶ κόσμον πρὸ θεοῦ τετιμηκώς, μᾶλλον δὲ τὸν κόσμον αὐτὸν θεὸν αὐτοκράτορα νομίζων, οὐκ αὐτοκράτορος ἔργον θεοῦ. Μελχὰν δὲ ἄγεται γυναῖκα, οὐκ ἀνθρώπων ἢ πόλεων ἀφηγουμένην τύχην βασιλίδα, ἀλλ' ὁμώνυμον αὐτὸ μόνον ἐκείνῃ. καθάπερ γὰρ τὸν οὐρανὸν ἅτε κράτιστον ὄντα τῶν γεγονότων, βασιλέα τῶν αἰσθητῶν εἴποι τις ἂν οὐκ ἀπὸ σκοποῦ, οὕτω καὶ τὴν περὶ αὐτὸν ἐπιστήμην, ἣν μετίασιν οἱ ἀστρονομοῦντες καὶ χαλδαῖοι, διαφερόντως βασιλίδα τῶν ἐπιστημῶν. γυνὴ μὲν οὖν ἥδε ἀστή, παλλακὴ δὲ ἡ ἕν τι τῶν ὄντων ὁρῶσα, κἂν εἰ πάντων εὐτελέστατον ὑπάρχοι. τῷ μὲν οὖν ἀρίστῳ γένει τὸ ἄριστον ὁρᾶν τὸ ὄντως ὂν συμβέβηκεν. Ἰσραὴλ γὰρ ὁρῶν θεὸν ἑρμηνεύεται· τῷ δὲ δευτερείων ἐφιεμένῳ, τὸ δεύτερον, τὸν αἰσθητὸν οὐρανὸν καὶ τὴν ἐν αὐτῷ τῶν ἀστέρων ἐναρμόνιον τάξιν, καὶ πάμμουσον ὡς ἀληθῶς χορείαν. τρίτοι δέ εἰσιν οἱ σκεπτικοὶ τῶν ἐν τῇ φύσει κρατίστων αἰσθητῶν τε καὶ νοητῶν, οὐκ ἐφαπτόμενοι, περὶ μικρὰ μόνον σοφίσματα τετριβόμενοι καὶ γλισχρολογούμενοι. τούτοις ἡ ὁρῶσά τι καὶ τὸ σμικρότατον παλλακὶς Ῥουμᾶ συνοικεῖ, μὴ δυναμένοις πρὸς τὴν τῶν ἀμεινόνων ἐλθεῖν ἔρευναν, ἐξ ὧν τὸν ἑαυτῶν βίον ὀνήσουσιν. ὥσπερ γὰρ ἐν ἰατροῖς ἡ λεγομένη λογιατρεία πολὺ τῆς τῶν καμνόντων ὠφελείας ἀποστατεῖ· φαρμάκοις γὰρ καὶ χειρουργίαις καὶ διαίταις, ἀλλ' οὐ λόγοις αἱ νόσοι θεραπεύονται· οὕτω καὶ ἐν φιλοσοφίᾳ λογοπῶλαι καὶ λογοθῆραι τινὲς αὐτὸ μόνον εἰσίν, τὸν ἀρρωστημάτων γέμοντα βίον θεραπεύειν οὔτε ἐθέλοντες οὔτε ἐπιτηδεύοντες, ἐκ πρώτης δὲ ἡλικίας ἄχρι γήρως ἐσχάτου γνωμομαχοῦντές τε καὶ συμμαχοῦντες οὐκ ἐρυθριῶσιν, ὥσπερ τῆς εὐδαιμονίας ἐν ὀνομάτων καὶ ῥημάτων ἀπεράντῳ καὶ ἀνηνύτῳ περιεργίᾳ κειμένης, ἀλλ' οὐκ ἐν τῷ τὸ ἦθος τὴν τοῦ ἀνθρωπείου πηγήν, ἄμεινον καταστήσασθαι, τὰς μὲν κακίας ὑπερορίους φυγαδεύσαντα αὐτοῦ, τὰς δὲ ἀρετὰς εἰσοικίσαντι. παλλακὰς μέντοι, ἤτοι δόξας καὶ δόγματα, προσίενται καὶ οἱ φαῦλοι. φασὶ γοῦν,

A ad mundi opificem, claudam & parum integram scientiam acquisiuit, restitantem cessantémque, vel potius humi defixam more statuæ. Non demigrat enim è Chaldaica regione, hoc est non desistit ab astronomicis speculationibus, creaturam magis colens quam opificem, & mundum magis quam Deum: imò mundum ipsum Deum esse credens, non omnipotentis opificium. Melcham autem ducit vxorem, non fortunatam aliquam re-
B ginam late imperitantem nationibus aut ciuitatibus, sed appellatam tantum communi cum ea vocabulo. Quemadmodum enim Cælum, eo quod inter omnes creaturas præemineat, regem sensibilium non inconuenienter quis dixerit: sic & scientiam rerum cælestium, cuius professores habentur Chaldæi & astronomi, reginam scientiarum ipsi vocant propter excellentiam. Hæc igitur est
C matrona, concubina vero videns vnum aliquid, vel vilissimum. Proinde optimo generi contigit videre, quod est optimum, nempe eum Qui est. Nam Israel videns Deum interpretatur. Secundaria vero cupienti secunda sors obuenit, spectare cælum sensibile, stellarúmque ordinem decentissimum, & choream vere musicam. Tertij sunt quidam disceptatores, qui naturas præstantissimas sensibilium intelligibiliúmque ne attingunt quidem, tantum circa parata ista sophis-
D mata tempus cauillando terentes. Horum concubina est Ruma, videns aliquid vel minutum, quia non possunt potiora scrutari, vnde aliquam vitæ vtilitatem capiant. Nam sicut apud medicos quæ dicitur logoiatria multum abest vt ægrotos adiuuet: remedijs enim & chirurgijs & diætis, non verbis morbi curantur: sic & in philosophia verba tantùm quidam venditant & venantur, vitam autem morbis refertam curare nec pos-
E sunt nec volunt: nec pudet eos à teneris annis ad vltimam vsque senectutem sententiolas frigidas oppugnare propugnaréque, tanquam felicitas in nominibus verbísque & in immodica inaníque curiositate sita sit, ac non potius in componendis moribus: qui fons si bene se habeat, exulant vitia, virtus restituitur. Vtuntur tamen concubinis, id est opinionibus dogmatibúsque, etiam mali homines:

quandoquidem ſcriptura dicit, quòd Thamna concubina Eliphæ, filij Eſau, peperit Eliphæ filium Amalec. Egregia nepotis degeneratio. ea magis apparebit, ſi non tam de homine hæc intelligantur quàm de anima, & quaſi anatomica ratione conſiderentur. brutus enim & immoderatus impetus affectuum appellatur Amalec: quod interpretatur populus elingens. ſicut enim vis ignis abſumit obiectam materiam, eodem modo & affectus excandeſcens abligurit corrumpitque quicquid inuenit obuium. huius affectus pater Eliphas iure cenſetur. nam hæc vox interpretatur Deus me diſperſit. Annon quam primum diſſipatur & reijcitur anima à Deo, ſtatim hic brutus affectus naſcitur? nam perſpicacem & religioſam mentem, ceu generoſam vitem propagat, radices extendens in æternitatem, & vbertatem ei donans ad vſumfructum virtutum. & hoc eſt quod Moſes precatur: Inducens plantabis eos: vt non intra vnum diem areſcat, ſed immortalis longæuáque fiat Dei plantatio. Nam iniuſtam impiámque animam fugatam à ſeipſo longiſſime, diſſipat in locum voluptatum, concupiſcentiarum, & facinorum: qui locus impiorum vocatur, aptius quàm ille fabuloſus apud inferos. reuera enim infernus nihil aliud eſt quàm vita miſeri, ſcelerati, execrandíque hominis. Extat autem & aliubi hoc verbum in ſacris literis: Quando diuiſit altiſſimus gentes, & diſperſit filios Adam, terrenos mores omnes: quos nullius cæleſtis boni videndi cupidos abegit, diſperſos extorres & exules. nullus enim malus vel domum habet vel ciuitatem, vel vllum ſocietatis eius, ſed inſtabilis diſpergitur, paſſim vagus errabundúſque, nuſquam valens ſubſiſtere. Suſcipit igitur malus è coniuge maliciam filiam, è concubina vero affectionem. Intellectui enim tota anima quaſi coniux eſt vitæ ſocia, quæ ſi culpabilis eſt, parit vitia. corporea vero natura pellex videtur, quæ affectiones gignit. Nam voluptates ac concupiſcentiæ habitant in corpore. mulier ipſa Thamna nominatur, ac ſi dicas defectus fluctuans. deficit enim & langueſcit affectu anima, motum & iactationem magnam ſumens à corpore,

A ὅτι Θαμνὰ ἡ παλλακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἡσαῦ, ἔτεκε τῷ Ἐλιφὰς τὸν Ἀμαλήκ. ὢ τῆς τοῦ ἀπογόνου λαμπρᾶς δυσγενείας· ὄψει δὲ αὐτοῦ τὴν δυσγένειαν, ἐὰν ἀποστὰς τοῦ περὶ ἀνθρώπου ταῦτα εἰρῆσθαι νομίζειν, τὴν ψυχὴν ὥσπερ ἐξ ἀνατομῆς ἐπισκέπτῃ. τὴν μὲν τοίνυν ἄλογον καὶ ἄμετρον ὁρμὴν τοῦ πάθους, Ἀμαλὴκ προσαγορεύει. μεταληφθεὶς γάρ ἐστι λαὸς ἐκλείχων. καθάπερ γὰρ ἡ τοῦ πυρὸς δύναμις τὴν παραβληθεῖσαν ὕλην ἀναλίσκει, τὸν αὐτὸν τρόπον καὶ
B τὸ πάθος ἀναζέον, τὰ ἐν ποσὶ πάντα ἐπιλιχμᾶται, καὶ διαφθείρει. τούτου τοῦ πάθους πατὴρ Ἐλιφὰς ἀναγράφεται δεόντως. ἑρμηνεύεται γὰρ ὁ θεός με διέσπειρεν. ἀλλ' οὐχ ὅταν ἀνασκεδάσῃ, ἢ διασπείρῃ, καὶ σκορακίσῃ τὴν ψυχὴν ἀφ' ἑαυτοῦ ὁ θεός, τὸ ἄλογον εὐθὺς γεννᾶται πάθος. τὴν μὲν γὰρ ὁρατικὴν αὐτοῦ καὶ φιλόθεον ὄντως διάνοιαν, κληματίδα εὐγενῆ καταφυτεύει, ῥίζας ἀποτείνων πρὸς ἀιδιότητα, καὶ εὐφορίαν καρπῶν διδοὺς
C πρὸς κτῆσιν καὶ ἀπόλαυσιν ἀρετῶν· διὸ καὶ Μωϋσῆς εὔχεται φάσκων, Εἰσαγαγὼν καταφύτευσον αὐτούς, ἵνα μὴ ἐφήμερα, ἀλλ' ἀθάνατα καὶ μακραίωνα γένηται τὰ θεῖα βλαστήματα. τὴν δὲ ἄδικον καὶ ἄθεον ψυχὴν φυγαδεύων ἀφ' ἑαυτοῦ πορρωτάτω, διέσπειρεν εἰς τὸν ἡδονῶν καὶ ἐπιθυμιῶν καὶ ἀδικημάτων χῶρον. ὁ δὲ χῶρος οὗτος προσφυέστατα ἀσεβῶν καλεῖται, οὐχ ὁ μυθευόμενος ἐν ᾅδου· καὶ γὰρ ὁ πρὸς ἀλήθειαν ᾅδης, ὁ τοῦ μοχθηροῦ βίος ἐστίν, ὁ ἀλάστωρ καὶ παλαμναῖος καὶ πά-
D σαις ἀραῖς ἔνοχος. ἔστι δὲ καὶ ἑτέρωθι τὸ γράμμα τοῦτο ἐστηλιτευμένον, ἡνίκα διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, τοὺς γηΐνους ἅπαντας τρόπους, οὐράνιον οὐδὲν ἀγαθὸν ἐσπουδακότας ἰδεῖν, ἤλασεν, ἀοίκους τε ἀπόλιδας καὶ σποράδας ὄντως ἐργασάμενος. οὐδενὶ γὰρ τῶν φαύλων, οὐκ οἶκος, οὐ πόλις, οὐκ ἄλλο τῶν εἰς κοινωνίαν οὐδὲν διασῴζεται, ἀλλ' ἀνίδρυτος ὢν σπείρεται, πάντη φερόμενος καὶ μετανιστάμενος ἀεί, καὶ μη-
E δαμοῦ στηριχθῆναι δυνάμενος. γὰρ οὖν τῷ φαύλῳ, ἐξ ἀστῆς μὲν ἡ κακία, τὸ δὲ πάθος ἐκ παλλακῆς. λογισμοῦ γάρ, ἡ μὲν ὅλη ψυχὴ καθάπερ ἀστή, σύμβιος, ψυχὴ δὲ ἐπίληπτος τίκτει κακίας. ἡ δὲ τοῦ σώματος φύσις παλλακή, δι' ἧς ἡ γένεσις τοῦ πάθους θεωρεῖται. ἡδονῶν γὰρ καὶ ἐπιθυμιῶν χῶρος τὸ σῶμα, καλεῖται δὲ Θαμνά· ἧς μεταληφθέν ἐστι τοὔνομα, ἔκλειψις σαλευομένη. ἐκλείπει γὰρ καὶ ἀδυνατεῖ ἡ ψυχὴ τῷ πάθει, σάλον καὶ κλύδωνα πολὺν ἀπὸ σώματος ἐνδεξαμένη,

διὰ

διὰ τὸ καταρραγέντα βαρὺν χειμῶνα, ἐξ ἀμέτρου ὁρμῆς. κεφαλὴ δ' ὡς ζώου πάντων τῶν λεχθέντων μερῶν, ὁ γενάρχης ἐστὶν Ἠσαῦ, ὃς τοτὲ μὲν ποίημα, τοτὲ δὲ δρῦς ἑρμηνεύεται. δρῦς μὲν γὰρ, παρ' ὅσον ἀκαμπὴς καὶ ἀμείλικτος, ἀπειθής τε καὶ σκληραύχην φύσει, συμβούλῳ χρώμενος ἀνοίᾳ, δρύινος ὄντως· ποίημα δὲ, παρ' ὅσον πλάσμα καὶ μῦθός ἐστιν ὁ μετ' ἀφροσύνης βίος, τραγῳδίας καὶ κενοῦ κόμπου, καὶ παλιγγέλωτος, καὶ κωμικῆς χλεύης ἀνάπλεως, ὑγιὲς ἔχων οὐδὲν, καταψευδόμενος, ἐκτετοξευκὼς ἀλήθειαν, τὴν ἄποιον καὶ ἀειδῆ καὶ ἄπλαστον φύσιν ἐν οὐδενὶ λόγῳ τιθέμενος, ἧς ὁ ἀσκητὴς ἐραστής. μαρτυρεῖ δὲ Μωϋσῆς φάσκων, ὅτι ἦν Ἰακὼβ ἄπλαστος, οἰκῶν οἰκίαν, ὥστε ὁ ἐναντίος τούτῳ, ὁ ἄοικος ἂν εἴη, πλάσματος καὶ ποιήματος καὶ μυθικῶν λήρων ἑταῖρος, μᾶλλον δὲ σκηνὴ καὶ μῦθος αὐτός. ἡ μὲν δὴ λογισμοῦ φιλομαθοῦς πρὸς ἀστὰς καὶ παλλακίδας δυνάμεις σύνοδος, ὡς οἷόν τε εἴρηται· τὸν δὲ εἱρμὸν τοῦ λόγου συνυφαντέον, τὰ ἀκόλουθα διερευνῶντας. Ὑπήκουσε, φησὶν, Ἀβραὰμ τῆς φωνῆς Σάρρας· ἀναγκαῖον γὰρ τοῖς παραγγέλμασιν ἀρετῆς τὸν μανθάνοντα πειθαρχεῖν. οὐ πάντες δὲ πειθαρχοῦσιν, ἀλλ' ὅσοις σφοδρὸς ἔρως ἐντέτηκεν ἐπιστήμης· ἐπεὶ καθ' ἑκάστην σχεδὸν ἡμέραν, τά τε ἀκροατήρια, τά τε θέατρα πληροῦται· διεξέρχονται δὲ ἀπνευστὶ συνείροντες τοὺς περὶ ἀρετῆς λόγους οἱ φιλοσοφοῦντες. ἀλλὰ τί τῶν λεγομένων ὄφελος; ἀντὶ γὰρ τοῦ προσέχειν, ἑτέρωσε τὸν νοῦν ἀποστείλαντες, οἱ μὲν πλοῦ καὶ ἐμπορείας, οἱ δὲ προσόδων καὶ γεωργίας, οἱ δὲ τιμῶν καὶ πολιτείας, οἱ δὲ τῶν ἀφ' ἑκάστης τέχνης καὶ ἐπιτηδεύσεως κερδῶν, ἄλλοι δὲ τιμωρίας ἐχθρῶν, οἱ δὲ τῆς ἐν τοῖς ἐρωτικοῖς ἐπιθυμίαις ἀπολαύσεων, καὶ συνόλως ἕτεροι ἑτέρων διαμεμνῆσθαι ὡς ἕνεκα τῶν ἐπιδεικνυμένων κεκωφῆσθαι, καὶ τοῖς μὲν σώμασι παρεῖναι μόνον, ταῖς δὲ διανοίαις ἀπηλλάχθαι, εἰδώλων καὶ ἀνδριάντων διαφέροντας μηδέν· εἰ δέ τινες καὶ προσέχουσι, τοσοῦτον χρόνον καθέζονται μόνον ἀκούοντες, ἀπαλλαγέντες δ' οὐδενὸς τῶν εἰρημένων διαμέμνηνται, καὶ ἧκον τέρψεως δι' ἀκοῆς μᾶλλον, ἢ ὠφελησόμενοι· ὥστ' οὐδὲν αὐτῶν ἴσχυσεν ἡ ψυχὴ συλλαβεῖν καὶ κυοφορῆσαι, ἀλλ' ἅμα τῷ κινοῦν τὴν ἡδονὴν αἴτιον ἡσυχάσαι, καὶ ἡ προσοχὴ κατεσβέσθη. τρίτοι δέ εἰσιν, οἷς ἔναυλα μὲν τὰ λεχθέντα ὑπηχεῖ, σοφισταὶ δὲ ἀντὶ φιλοσόφων αὐτοὶ ἐξετάζονται. τούτων ὁ μὲν λόγος ἐπαινετὸς, ὁ δὲ βίος ψεκτός ἐστι. δυνατοὶ μὲν γὰρ εἰπεῖν, ἀδύνατοι δὲ Εἰσὶ

A propter coortam grauem tempestatem ex immoderato impetu. Caput autem tanquam animantis omnium dictarum partium, Esau est princeps generis; qui modo factura, modo quercus; interpretatur. quercus, quia rigidus, inexorabilis, inobsequens, duræ ceruicis, amentiam in consilium adhibens, vere quernus homo. factura vero, quia figmentum & fabula est vita insipiens, plena tragico fastu, irrisione mutua, cauillisque comicis, ni-
B hil sani habens, mendax & à veritate aliena, qualitate carentem inuisibilem informémque naturam non assis faciens, quam Meditator deamat. Testis est Moses, dicens: Erat Iacob simplex, domum habitans. Itaque huic contrarius sine domo est, figmentorum, poematum, & fabulosarum nugarum amicus, vel potius ipse ludus & fabula. Hactenus de studiosi intellectus cum coniugibus concubinisque congressu, quãtum fieri potuit, dictum est. attexen-
C da sunt reliqua & scrutanda quæ deinceps sequuntur. Obedijt, inquit, Abraham verbis Sarræ.] Necesse est enim vt discipulus monitis virtutis obediat. non omnes enim præfectis suis obediunt, sed quotquot vehementer amant scientiam. nam penè quotidie plena sunt theatra & auditoria: & philosophi sine respiratione de virtute copiose verba faciunt, sed quænam est horum sermonum vtilitas? cum enim deberent attendere, auocantes animum quidam
D de nauigatione ac negociatione, quidam de agricultura & reditibus, quidã de honoribus & republica quidam de lucris ex opificijs, quidam de plectendis inimicis, quidam de amoribus, omnes de alijs rebus cogitant: vt quantum ad rem præsentem attinet surdi sint, corpore tantum occupantes suum locum, peregrinantes animo, & nihil differentes à statuis ac imaginibus. quod si qui attendunt etiam, tantisper dum sedent audiũt, post discessum non meminerunt quicquam amplius: quippe qui
E venerant vt auribus voluptatẽ caperent potius quam vtilitatem aliquam. itaque anima eorum nihil potuit vtero concipere, sed quamprimum voluptas illa auditus cessauit, euanuit & attentio. Tertium genus est eorum, qui recentem adhuc dictorũ tenent memoriam, sed sophistæ comperiuntur non philosophi. horum laudatur oratio, vita vituperatur. possunt enim dicere optima, sed nõ

A possunt facere. Itaque rarus est inuentu attentus, memor, qui malit facere quam dicere: quæ omnia testantur sacræ literæ de scientiæ cupido his verbis: Obedijt voci Sarræ. non enim solum audire, sed exaudire inducitur. quo vocabulo assensus & obedientia significatur aptissime. nec absurde dictum est illud Voci, & non loquenti Sarræ obeditum. proprium enim discentis est, audire vocem verbáque. per hæc enim sola discit. at quisquis meditatione virtutem non doctrina parat,
B non verba sed quid dicatur attendit, vitam quoque præceptoris imitans laudandis actionibus. narratur enim de Iacob, quando ad gentilicias nuptias mittitur, Exaudiuit Iacob matrem & patrem suum, & profectus est in Mesopotamiam. non dicit vocem nec verba exaudita. decebat enim meditatorem hunc vitæ imitatorem fieri, non sermonum auditorem. hoc enim discentis est illud parantis se certamini, vt
C hinc quoque meditantis & discentis appareat differentia, dum alter præceptorem, alter præcepta sequitur. Assumpsit igitur Sarra vxor Abrahami Agar Ægyptiam ancillam suam, post annos decem quam habitare cœperunt in terra Chanaan, & dedit eam suo marito vxorem.] Inuidum, amarulentum, malignum suapte natura est vitium: è diuerso virtus res mitis, benigna, socialis, omnibus modis parata generosis animis prodesse vel per se vel per alios.
D nunc igitur non valentibus nobis è prudentia filios suscipere, suam despondet famulam, encyclopædiam inquam siue orbem disciplinarum liberalium, tantum non sequestram agens & sponsæ ornatricem. legimus enim quod ipsa suo marito hanc vxorem in manum tradiderit. Hic quærendum occurrit, cur denuo Sarram dicat vxorem Abrahami, quod iam sæpe antea docuerat. non enim affectat tautologiam, prolixæ orationis insigne vitiũ. Quid igitur dicen-
E dum? Quoniam ancillam prudentiæ liberalem eruditionem desponsatam narrat scriptura, ait eam non oblitã conditionis & officij quod debebatur dominæ, sed meminisse quod illa sit matrona & vxor legitima, ipsa vero propter necessitatẽ ad tẽpus assumpta. id quod accidit omnibus discendi cupidis. qui expertus est, idoneus testis erit. Equidem cum primũ cœpi stimulari amore philosophiæ, admodũ iuuenis consuetudinẽ

προσέχειν τὰ βέλτιστα. μόλις οὖν ἐστιν εὑρεῖν προσεκτικὸν, μνημονικὸν, τὸ πράττειν τοῦ λέγειν προτιμῶντα, ἃ δὴ μαρτυρεῖται τῷ φιλομαθεῖ, διὰ τοῦ, Ὑπήκουσε τῆς φωνῆς Σάρρας. οὐ γὰρ ἐπακούειν, ἀλλ' εἰσακούειν εἰσάγεται. τοῦτο δ' ἐστὶ τοῦ συναινεῖν καὶ πειθαρχεῖν εὐθυβολώτατον ὄνομα. οὐκ ἀπὸ σκοποῦ δὲ πρόσκειται τὸ τῆς φωνῆς, ἀλλὰ μὴ τῆς φωνούσης Σάρρας ἐπακοῦσαι. ἴδιον γὰρ τοῦ μανθάνοντος, φωνῆς καὶ λόγων ἀκροᾶσθαι. διδάσκεται γὰρ τούτοις μόνοις· ὁ δὲ ἀσκήσει τὸ καλὸν, ἀλλὰ μὴ διδασκαλίᾳ κτώμενος, οὐ τοῖς λεγομένοις, ἀλλὰ τοῖς λέγουσι προσέχει, μιμούμενος τὸν ἐκείνων βίον ἐν ταῖς κατὰ μέρος ἀνεπιλήπτοις πράξεσι. λέγεται γὰρ ἐπὶ τοῦ Ἰακὼβ, ἡνίκα εἰς τὸν συγγενικὸν γάμον πέμπεται, Εἰσήκουσεν Ἰακὼβ τῆς μητρὸς καὶ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν, οὐ τῆς φωνῆς, οὐδὲ τῶν λόγων· τοῦ γὰρ βίου μιμητὴν ἔδει τὸν ἀσκητὴν, οὐκ ἀκροατὴν λόγων εἶναι. τοῦτο μὲν γὰρ ἴδιον τοῦ διδασκομένου, ἐκεῖνο δὲ τοῦ διαθλοῦντος, ἵνα κἀν τούτῳ διαφορὰν ἀσκητοῦ καὶ μανθάνοντος καταλάβωμεν, τοῦ μὲν κοσμουμένου κατὰ τὸν λέγοντα, τοῦ δὲ κατὰ τὸν ἐκείνου λόγον. Λαβοῦσα οὖν, φησὶ, Σάρρα γυνὴ Ἀβραὰμ Ἄγαρ τὴν Αἰγυπτίαν, τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἀβραὰμ ἐν γῇ Χαναὰν, ἔδωκε πρὸς Ἀβραὰμ τῷ ἀνδρὶ αὐτῆς αὐτῷ εἰς γυναῖκα. βάσκανον μὲν καὶ πικρὸν καὶ κακόηθες φύσει κακία, ἥμερον δὲ καὶ κοινωνικὸν καὶ εὐμενὲς ἀρετὴ, πάντα τρόπον τοὺς εὐφυεῖς ἔχουσα ὠφελεῖν, ἢ δι' αὐτῆς, ἢ δι' ἑτέρων ἐθέλουσα. νυνὶ γοῦν μήπω δυναμένοις ἡμῖν ἐκ φρονήσεως παιδοποιεῖσθαι, τὴν ἑαυτῆς ἐγγυᾷ θεραπαινίδα, τὴν ἐγκύκλιον, ὡς ἔφην, παιδείαν, καὶ μόνον οὐ προξενεῖν καὶ νυμφοστολεῖν ὑπομένει. αὐτὴ γὰρ λέγεται λαβοῦσα διδόναι πρὸς ἀνδρὶ αὐτῆς γυναῖκα ταύτην. ἄξιον δὲ διαπορῆσαι, διὰ τί νυνὶ πάλιν γυναῖκα τοῦ Ἀβραὰμ εἶπε τὴν Σάρραν, πολλάκις ἤδη πρότερον μεμηνυκώς. οὐ γὰρ μακρολογίας τὸ φαυλότατον εἶδος ταυτολογίαν ἐπιτετήδευκε. τί οὖν λεκτέον; ἐπειδὴ μέλλει τὴν θεραπαινίδα φρονήσεως τὴν ἐγκύκλιον παιδείαν ἐγγυᾶσθαι, φησὶν ὅτι οὐκ ἐξελάθετο τῆς πρὸς τὴν δέσποιναν αὐτῆς ὁμολογίας, ἀλλ' οἶδε μὲν ἐκείνην ἑαυτοῦ νόμῳ καὶ γνησίαν γυναῖκα, ταύτην δὲ ἀνάγκῃ καὶ βίᾳ χρειοῦς. τοῦτο δὲ παντὶ συμβαίνει φιλομαθεῖ. μάρτυς δ' ὁ πεπονθὼς γένοιτ' ἂν ἀψευδέστατος. ἐγὼ γοῦν ἡνίκα πρῶτον κέντροις φιλοσοφίας πρὸς τὸν πόθον αὐτῆς ἠρεθίσθην,

ὡμίλησα κομιδῇ νέος ὢν μιᾷ τῶν θεραπαινίδων αὐτῆς, γραμματικῇ, καὶ ὅσα ἐγέννησα ἐκ ταύτης, τὸ γράφειν, τὸ ἀναγινώσκειν, τὴν ἱστορίαν τὴν παρὰ ποιηταῖς, ἀνέθηκα τῇ δεσποίνῃ· καὶ πάλιν ἑτέρᾳ συνελθὼν, γεωμετρίᾳ, καὶ τοῦ κάλλους ἀγάμενος· εἶχε γὰρ συμμετρίαν καὶ ἀναλογίαν ἐν τοῖς μέρεσι πᾶσι· τῶν ἐξ ἐκείνης οὐδενὸς ἐνοσφισάμην, ἀλλὰ τῇ ἀστῇ φέρων ἐδωρησάμην. ἐσπούδασα καὶ τρίτῃ συνελθεῖν· ἦν δὲ εὔρυθμος, εὐάρμοστος, ἐμμελής, μουσικὴ δὲ ἐκαλεῖτο· καὶ ἐγέννησα ἐξ αὐτῆς διατονικά, χρώματα, καὶ ἐναρμόνια, συνημμένα, διεζευγμένα μέλη, τῆς διὰ τεττάρων, τῆς διὰ πέντε, τῆς διὰ πασῶν συμφωνίας ἐχόμενα. καὶ πάλιν οὐδὲν αὐτῶν ἀπεκρυψάμην, ἵνα πλουσία μοι γένηται ἡ ἀστὴ γυνή, μυρίων οἰκετῶν ὑπηρετουμένη πλήθει. τινὲς γὰρ τοῖς φίλτροις τῶν θεραπαινίδων δελεασθέντες, ὠλιγώρησαν τῆς δεσποίνης φιλοσοφίας, καὶ κατεγήρασαν οἱ μὲν ἐν ποιήμασιν, οἱ δ' ἐν γραμμαῖς, οἱ δ' ἐν χρωμάτων κράσεσιν, οἱ δ' ἐν ἄλλοις μυρίοις, οὐ δυνηθέντες ἐπὶ τὴν ἀστὴν ἀναδραμεῖν. ἔχει γὰρ ἑκάστη τέχνη γλαφυρότητας ὁλκούς τινας δυνάμεις, ἐφ' ὧν ἔνιοι ψυχαγωγούμενοι καταμένουσιν, ἐκλελησμένοι τῶν πρὸς φιλοσοφίαν ὁμολογιῶν. ὁ δ' ἐμμένων ταῖς συνθήκαις, πορίζει πάντα πανταχόθεν πρὸς τὴν ἀρέσκειαν αὐτῆς. εἰκότως οὖν αὐτὸν τῆς περὶ αὐτὴν πίστεως ἀγάμενος ὁ ἱερὸς λόγος φησὶν, ὅτι καὶ νῦν ἦν αὐτοῦ γυνὴ Σάρρα, ὅτε τὴν θεραπαινίδα πρὸς τὴν ἐκείνης ἀρέσκειαν ἠγάγετο. καὶ μὴν ὥσπερ τὰ ἐγκύκλια συμβάλλεται πρὸς φιλοσοφίας ἀνάληψιν, οὕτω καὶ φιλοσοφία πρὸς σοφίας κτῆσιν. ἔστι γὰρ φιλοσοφία ἐπιτήδευσις σοφίας, σοφία δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων καὶ τῶν τούτων αἰτίων. γένοιτ' ἂν οὖν ὥσπερ ἡ ἐγκύκλιος μουσικὴ φιλοσοφίας, οὕτω καὶ φιλοσοφία δούλη σοφίας. φιλοσοφία δὲ ἐγκράτειαν μὲν γαστρὸς, ἐγκράτειαν δὲ τῶν μετὰ γαστέρα, ἐγκράτειαν δὲ καὶ γλώττης ἀναδιδάσκει. ταῦτα λέγεται μὲν εἶναι δι' αὑτὰ αἱρετά, σεμνότερα δὲ φαίνοιτο, εἰ θεοῦ τιμῆς καὶ θρησκείας ἕνεκα ἐπιτηδεύοιτο. μεμνῆσθαι μὲν οὖν δεῖ τῆς κυρίας, ὁπότε μέλλοιμεν αὐτῆς θεραπαινίδας μνᾶσθαι· καὶ λεγώμεθα μὲν ἄνδρες εἶναι τούτων, ὑπαρχέτω δ' ἡμῖν ἐκείνη πρὸς ἀλήθειαν γυνή, μὴ λεγέσθω. δίδωσι δ' οὐκ εὐθὺς εἰς τὴν Χαναναίων γῆν ἀφικομένῳ, ἀλλὰ μετὰ δεκαετίαν τῆς ἐκεῖ διατριβῆς. τί δὲ τοῦτ' ἐστὶν, οὐκ ἀμελῶς ἐπισκεπτέον. ἐν ἀρχῇ μὲν τῆς γενέσεως

A habui cum vna ex eius pedisequis grammatica, cuius partus, scribendi legendique facultatem, & narrationes poetarum, dedicaui eius dominæ. ac rursum cum altera congressus geometria, delectatus eius pulchritudine, vt cuius membris nihil esset moderatius aut castigatius, nihil ex ea natum abscondi, sed bona fide repræsentaui ac donaui matronæ. tertiam quoque solicitaui. erat autem concinna, modulata, composita, Musica
B nomine. ex hac genui colorationes diatonicas, & harmonicos coniunctos disiunctósque cantus, pertinentes ad diatessaron, diapente, diapason symphonias. ne hæc quidem celaui, quo magis ditesceret vxor legitima, aucta numeroso famulicio. Sunt enim qui ancillarum illecebris inescati, parui penderunt heram philosophiam, & consenuerunt quidam in poematibus, quidam in deliniationibus, quidam in colorum tem-
C peraturis, alij in alijs rebus innumeris, non valentes sese ad matronam recipere. habet enim vnaquæque ars suas elegantias quibus alliciat, quibus delectati quidam capiuntur, obliti promissorum, quæ sibi intercesserunt cum philosophia. sed qui à pactis non discedit, vndecunque parat quibus dominæ placeat. merito igitur scriptura fidem eius celebrat, affirmans nunc quoque vxorem Sarram esse, etiam quando ipsa vo-
D lente libentéque maritus ancillam duxit in thalamum. atqui sicut liberales artes conferunt ad quærendam philosophiam, ita philosophia ad parandam sapientiam. Est enim philosophia meditatio sapientiæ, sapientia vero scientia rerum humanarum diuinarúmque, & causarum insuper. ergo sicut encyclopædia philosophiæ seruit, sic philosophia sapientiæ. at philosophia docet nos continere linguam, ventrem, &
E ea quæ sub ventre sunt. hæc quamuis per se expetenda, augustiora tamen fiunt, quando in honorem Dei & causa religionis, exercentur. oportet igitur nos esse memores dominæ, dum famularum eius procos agimus. & quamuis harum mariti dicamur, illa nobis matrona fit etiamsi non dicatur. Traditur autem hæc noua nupta non statim postquam in Chananæam terram venturus est, sed morato in ea iam per decennium. hoc quid sit, non obiter disp-

ciendum est. Mox à natiuitate anima nostra coalitis tantum affectibus vtitur, tristitijs, doloribus, timoribus, concupiscentijs, voluptatibus, qui per sensus in eam obrepunt, prius quam ratio queat à bonis mala discernere, & quantum altera distent ab alteris cognoscere, nimirum quasi somno etiam tum grauata & vix recludens oculos. procedente vero tempore, cum pueritiam egressi attingimus adolescentiam, statim geminæ stirpes ex vna radice nascuntur, virtus & vitium. quas licet ambas intelligamus, vtique alteram eligimus, generosi virtutem, vitium contrarij. His prius præstructis, sciendum affectus per Ægyptum significari, vitia per terram Chananæam. itaque merito populus ex Ægypto in Chananæam ducitur. nam homo, vt dixi, ex quo natus est, Ægyptios affectus incolit, radicatus in doloribus & voluptatibus. deinde ceu in coloniam migrat ad vitia, ratione iam cernente acutius, & bonum malúmque intelligente, malum tamen eligente, quòd multum mortalitatis habeat, quæ malo est propria, sicut contrarium bonum ad Deum pertinet. Has natura voluit esse patrias ætatibus, puerili affectum Ægyptum, pubescenti vitium Chananitidem. At sacra scriptura licet non ignara patriarum humani generis, submonet nos quid agendum, quidve vtile, præcipiens vt odio habeamus gentium leges institutáque, his verbis. Et locutus est Dominus ad Mosem, dicens: Loquere filijs Israel, & dices ad eos. Ego Dominus Deus vester. Iuxta consuetudinem Ægypti in qua habitastis non facietis, nec in legibus eorum ambulabitis. Iudicia mea facietis, & iuxta morem regionis Chanaan, in quam ego introducturus sum vos, non facietis. Præcepta mea facite, & ambulate in eis. Ego Dominus Deus vester. Custodite omnia præcepta mea & iudicia mea, & facite ea. Qui fecerit ea, viuet in eis. ego Dominus Deus vester. Custodite omnia præcepta mea, & iudicia mea. Ergo vera vita consistit in Dei præceptis & iudicijs, adeò vt mores impiorum adferant perniciem. quidam autem non perpendunt affectus & vitia, vnde impiorum & facinorosorum multitudo exoritur.

A ἡμῶν ἡ ψυχὴ συντρόφοις τοῖς πάθεσι μόνοις χρῆ-
ται, λύπαις, ἀλγηδόσι, πτοίαις, ἐπιθυμίαις, ἡδο-
ναῖς, αἳ διὰ τῶν αἰσθήσεων ἐπ' αὐτὴν ἔρχεται,
μήπω τοῦ λογισμοῦ βλέπειν δυναμένου τά τε
ἀγαθὰ καὶ κακά, καὶ ᾗ διαφέρει ταῦτα ἀλλή-
λων ἀκριβοῦν, ἀλλ' ἔτι νυστάζοντος, καὶ ὡς ἐν ὕπνῳ
βαθεῖ καταμεμυκότος· χρόνου δὲ προϊόντος, ἐπὰν
ἐκβαίνοντες τῆς παιδικῆς ἡλικίας μειρακιοῦσθαι
μέλλωμεν, τὸ δίδυμον στέλεχος εὐθὺς ἐκ μιᾶς
B ἀρετὴ καὶ κακία φύεται ῥίζης, καὶ ποιούμεθα μὲν
τὴν κατάληψιν ἀμφοῖν, αἱρούμεθα δὲ πάντως
τὴν ἑτέραν, οἱ μὲν εὐφυεῖς ἀρετήν, κακίαν δὲ
οἱ ἐναντίοι. τούτων προϋποτυπωθέντων, εἰδέναι
χρὴ ὅτι παθῶν μὲν Αἴγυπτος σύμβολόν ἐστι, κα-
κιῶν δὲ ἡ Χαναναίων γῆ· ὥστ' εἰκότως ἀναστήσας
ἀπ' Αἰγύπτου τὸν λαόν, εἰς τὴν Χαναναίων ἄγει
χώραν. ἄνθρωπος γάρ, ὡς ἔφην, ἅμα μὲν τῇ γενέ-
σει τὸ Αἰγύπτιον πάθος ἔλαχεν οἰκεῖν, ἡδοναῖς καὶ
ἀλγηδόσι προσερριζωμένος· αὖθις δὲ ἀποικίαν
C στέλλεται τὴν πρὸς κακίαν, ἤδη τοῦ λογισμοῦ
πρὸς τὸ ὀξυωπέστερον ἐπιδεδωκότος, καὶ κατα-
λαμβάνοντος μὲν ἀμφότερα, ἀγαθόν τε αὖ καὶ
κακόν, τὸ δὲ χεῖρον αἱρουμένου, διὰ τὸ πολὺ με-
τέχειν τοῦ θνητοῦ, ᾧ τὸ κακὸν οἰκεῖον, ἐπεὶ καὶ τοὐ-
ναντίον περὶ θεῖον τὸ ἀγαθόν. ἀλλ' αἱ μὲν φύσεως πα-
τρίδες αὗται, παιδικῆς μὲν ἡλικίας, τὸ πάθος Αἴ-
γυπτος· ἡβώσης δὲ κακίας, ἡ Χαναανῖτις. ὁ δὲ ἱερὸς
λόγος, καίτοι σαφῶς ἐπιστάμενος τὰς τοῦ θνητοῦ
D γένους πατρίδας, ἡμῖν ὑποτίθεται τὰ πρακ-
τέα καὶ συνοίσοντα, παραγγέλλων μισεῖν τὰ ἔθη
καὶ τὰ νόμιμα καὶ τὰ ἐπιτηδεύματα αὐτῶν, ἐν
οἷς φησί, Καὶ εἶπε κύριος πρὸς Μωσῆν λέγων,
λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς,
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· κατὰ τὰ ἐπιτηδεύματα τῆς
Αἰγύπτου ἐν ᾗ κατῳκήσατε ἐν αὐτῇ, οὐ ποιήσετε, καὶ
τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε, τὰ κρίματά μου
ποιήσετε, καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν
εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε· καὶ τὰ
E προστάγματά μου φυλάξεσθε, πορεύεσθε ἐν αὐ-
τοῖς. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· καὶ φυλάξεσθε πάν-
τα τὰ προστάγματά μου καὶ τὰ κρίματά μου, καὶ
ποιήσετε αὐτά. ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς.
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· καὶ φυλάξεσθε πάντα τὰ
προστάγματά μου καὶ τὰ κρίματά μου. οὐκοῦν
ἡ πρὸς ἀλήθειαν ζωὴ περὶ πάντως ἐστὶν ἐν τοῦ θεοῦ
κρίσεσι καὶ προστάξεσιν, ὥστε θάνατος ἂν εἴη τὰ τῶν
ἀθέων ἐπιτηδεύματα· τινὰ δὲ ἀθεώρητα πάθους καὶ
κακιῶν ἐστίν, ἐξ ὧν τὰ ἀσεβῶν καὶ ἀνοσιουργῶν

πλήθη φύεται· μετὰ δεκαετίαν οὖν τῆς πρὸς Χαναναίους μετοικίας ἀξιώμεθα τὴν Ἄγαρ, ἐπειδήπερ εὐθὺς μὲν γενόμενοι λογικοὶ, τῆς φύσει βλαβερᾶς ἀμαθίας καὶ ἀπαιδευσίας μεταποιούμεθα· χρόνῳ δ' ὕστερον καὶ ἐν ἀριθμῷ τελείῳ δεκάδι νομίμου, παιδείας τῆς ὠφελεῖν δυναμένης εἰς ἐπιθυμίαν ἐρχόμεθα. τὸν δὲ περὶ δεκάδος λόγον ἐπιμελῶς μὲν ἠκρίβωσαν μουσικῆς παῖδες, ὑμνεῖ δ' οὐ μετρίως ὁ ἱερώτατος Μωσῆς, ἀναθεὶς αὐτῇ τὰ κάλλιστα, τὰς εὐχὰς, τὰς ἀπαρχὰς, τὰς τῶν ἱερέων ἐνδελεχεῖς δωρεὰς, τὴν τοῦ πάσχα διατήρησιν, τὸν ἱλασμὸν, τὴν διὰ πεντηκονταετίας ἄφεσίν τε καὶ εἰς τὰς ἀρχαίας λήξεις ἐπάνοδον, τὴν κατασκευὴν τῆς ἀδιαλύτου σκηνῆς, ἄλλα μυρία, ὧν μακρὸν ἂν εἴη μεμνῆσθαι· τὰ δὲ χρεία οὐ παρετέον. αὐτίκα τὸν Νῶε ἡμῖν, πρῶτος δ' οὗτος δίκαιος ἐν ταῖς ἱεραῖς ἀνερρήθη γραφαῖς, ἀπὸ τοῦ διαπλασθέντος ἐκ γῆς εἰσάγει δέκατον, οὐκ ἐνιαυτῶν πλῆθος ἐπιστῆσαι βουλόμενος, ἀλλὰ διδάξαι σαφῶς, ὅτι ὥσπερ δεκὰς ἀριθμῶν τῶν ἀπὸ μονάδος ἐστὶ πέρας τελειότατον, οὕτω τὸ δίκαιον ἐν ψυχῇ, τέλειον καὶ πέρας ὄντως τῶν κατὰ τὸν βίον πράξεων. τὴν μὲν γὰρ πολλαπλασιαζομένην ἐφ' ἑαυτὴν τριάδα πρὸς ἐνάτου γένεσιν ἀριθμοῦ, πολεμικωτάτην ἔδοξαν οἱ χρησμοί· τὴν δὲ ἐπιβεβηκυῖαν μονάδα πρὸς ἐκπλήρωσιν δεκάδος, ὡς φίλην ἀπεδέξαντο. σημεῖον δὲ, τὰς ἐννέα τῶν βασιλέων ἀρχὰς, ἡνίκα ἡ ἐμφύλιος ἀνερριπίσθη στάσις, τῶν τεσσάρων παθῶν πρὸς τὰς πέντε αἰσθήσεις κονισαμένων, καὶ πόρθησιν καὶ κατασκαφὴν κινδυνευούσης εἶπον πόλεως τῆς ὅλης ἀναδέχεσθαι ψυχῆς, ἐκστρατεύσας ὁ σοφὸς Ἀβραὰμ κατέλυσε δέκατος ἐπιφανείς. τότε ἀντὶ χειμῶνος γαλήνην, καὶ ὑγείαν ἀντὶ νόσου, καὶ ζωὴν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἀντὶ θανάτου παρεσκεύασε, τοῦ νικηφόρου θεοῦ τροπαιοφόρον αὐτὸν ἀναδείξαντος, ᾧ καὶ τὰς δεκάτας χαριστήρια τῆς νίκης ἀνατίθησι. καὶ πάντως μέντοι τοῦ ἐλθόντος ὑπὸ τὴν ῥάβδον, λέγω δὲ τὴν παιδείαν, ἡμέρου καὶ τιθασοῦ θρέμματος τὸ δέκατον ἀποκρίνεται, νόμου προστάξει γενόμενον ἅγιον· ἵνα ἐκ πολλῶν διδασκώμεθα τὴν δεκάδος πρὸς θεὸν οἰκειότητα, καὶ τὴν τοῦ ἐνάτου ἀριθμοῦ πρὸς τὸ θνητὸν ἡμῶν γένος. ἀλλὰ γὰρ οὐκ ἀπὸ ζώων μόνον ἀπαρχὰς δεκάτας, ἀλλὰ καὶ ἀπὸ τῶν ὅσα ἐκ γῆς βλαστάνει, διείρηται. Πᾶσα γὰρ, φησὶ, δεκάτη τῆς γῆς, ἀπὸ τοῦ σπέρματος καὶ τοῦ καρποῦ τοῦ ξυλίνου, ἐστὶν ἅγιον τῷ κυρίῳ·

A Ergo post exactum in Chananæa terra decennium Agarem ducamus, quando iam rationis participes, noxiam suapte natura ignorantiam & ineruditionem dediscimus. aliquanto post in numero perfecto denario legitimo eruditionem profuturam concupiscimus. Rationem autem denarij numeri diligenter exquisiuerunt musicorum filij, laudatam non mediocriter etiam à Mose sacratissimo: qui ad hunc numerum refert res pul-
B cherrimas, vota, primitias, oblationes sacerdotum perpetuas, obseruationem paschatis, propitiationem, redeuntem quinquagesimo quoque anno remissionem, & restitutionem in integrum, apparatum tabernaculi dissolubilis, aliáque innumera, quæ memorare prolixum fuerit. tantùm potiora non silebimus. Ante omnia Noe illum, qui primus in sacra scriptura iustus pronunciatus est, à
C protoplasto inducit decimum, non ad indicandam annorum multitudinem, sed vt aperte doceat: quod sicut denarius numerorum qui deinceps vnitatem sequuntur est perfectissimus: ita iustitia in anima reuera finis est vitæ actionum. nam ternio per seipsum multiplicatus vt faciat nouenarium, res bellicosa habetur in oraculis: superueniens autem vnitas ad explendum denarium, amica existimatur. id colligitur ex nouem regnis, quando ciuili bello quatuor affectus
D contra quinque sensus insurrexerunt, & totam animam quasi ciuitatem adduxerunt in ruinæ vastitatísque periculum, quod sapiens ille Abraham decimus cum suorum manu superueniens sustulit. hic pro tempestate tranquillitatem, sanitatem pro morbo, vitam, si verum fatendum est, pro morte attulit fauente Deo victoriam assecutus, ob quam gratus obtulit ei decimas. quin & pecudum omnium quæ sub virgam, id est disciplinam
E veniunt, & quæ sunt cicuris mansuetique generis, decimas lex segregat, iubens vt consecrentur: vt tam multis exemplis discamus quam familiaris Deo sit denarius, nouenarius vero numerus mortali nostro generi. nec tantum animalium, verum etiam omnium terræ fructuum decimæ exiguntur primitiarum nomine. Omnes, inquit, decimæ, siue frugum siue arboreorum fructuũ, consecratæ sunt Domino:

A & omnes decimæ boum ac ouium, & omnis pecoris quod sub virga numeratur decimæ sacratæ erunt Domino. Viden vt etiam de hac mole nostra corporea, vere terrena & lignea, primitias imperat? nam vita, salus, incrementum, sanitas, per diuinam ei contingunt gratiam. Viden vt etiam de brutis quæ nobis insunt animalibus, hoc est sensibus, idem præcipitur? nam visus, auditus, odoratus, gustus tactúsque, diuina sunt munera, gratiarum actione dignissima. B Verùm non ob hæc solum terrena, lignea, corporea, nec ob brutas animantes, sensus videlicet, benefactorem laudare docemur: sed & ob mentem, quæ proprie homo est in homine, potior in deteriore, immortalis in morti obnoxio. ideo vt puto, primogenita omnia sibi consecrauit, pro quibus decimam Leuiticam inquam tribum accepit, vt essent qui conseruarent custodiréntque sanctitatem & C religionem ceremoniarum, quæ ad Dei cultum referuntur. nam præcipua nostri pars est ratio, & dignum est, vt intelligentiæ, solertiæ, sagacitatis, prudentiæ, & cæterarum eius potentiarum, offerantur Deo primitiæ, qui has dotes cumulauit largiter. hac occasione permotus ille meditator inter precandum ait: Omnium quæ mihi dederis seponam tibi decimas. Et oraculum quod post victoriales preces scriptum est, quas ille à seipso D consecratus sacerdos Melchisedec precatur: Dedit, inquit, ei decimas omnium, de sensibus bene sentire, de verbis bene dicere, de mente bene cogitare. Pulcherrime igitur simúlque necessarie per speciem enarrationis, quando cælestis illius & diuini alimenti monumentum in vrna aurea consecratum est, ait: quod Gomor erat decima pars trium mensurarum. In nobis enim ipsis tres mensuræ videntur E esse, sensus, ratio & mens. sensibilia sensu, verba & orationes ratione, intelligibilia mente metimur. de his singulis tribus mensuris primitiæ sunt offerendæ quasi quædam sacræ decimæ, vt & sermones & sensus & intellectus inculpabiliter sanéque iuxta Deum se habeant. hæc enim demum vera est iustáque mensura, nostræ autem falsæ iniustæque. merito igitur & in sacrificijs decima pars mensuræ similæ cum victimis in altare infertur, manente

A καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ πᾶν ὃ ἂν διέλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἔσται ἅγιον τῷ κυρίῳ. ὁρᾷς ὅτι καὶ ἀπὸ τοῦ περὶ ἡμᾶς ὄγκου σωματικοῦ, ὃς γεώδης καὶ ξύλινος ὄντως ἐστὶν, οἴεται δεῖν ἀπάρχεσθαι; ἡ γὰρ ζωὴ καὶ ἡ διαμονὴ καὶ αὔξησις καὶ ὑγεία αὐτοῦ θείᾳ γίνεται χάριτι. ὁρᾷς ὅτι καὶ ἀπὸ τῶν ἐν ἡμῖν αὐτοῖς ζώων ἀλόγων· ταῦτα δ' εἰσὶν αἰσθήσεις· πάλιν ἀπάρχεσθαι διείρηται; τὸ γὰρ ὁρᾶν καὶ ἀκούειν καὶ ὀσφραίνεσθαι καὶ γεύεσθαι, ἔτι τε ἅπτεσθαι, δωρεαὶ θεῖαι, B ὑπὲρ ὧν εὐχαριστητέον. ἀλλὰ γὰρ οὐ μόνον ἐπὶ τοῖς ξυλίνοις καὶ γηΐνοις σωματικοῖς, οὐδ' ἐπ' ἀλόγοις ζώοις, ταῖς αἰσθήσεσι, τὸν εὐεργέτην ἐπαινεῖν διδασκόμεθα, ἀλλὰ καὶ ἐπὶ τῷ νῷ, ὃς κυρίως ἄνθρωπός ἐστιν ἐν ἀνθρώπῳ, κρείττων ἐν χείρονι, ἀθάνατος ἐν θνητῷ. διὰ τοῦτο εἶναι τὰ πρωτότοκα καθιέρωσε πάντα, τὴν δεκάτην, λέγω λευιτικὴν φυλὴν, ἀντικαταλλαξάμενος πρὸς διατήρησιν καὶ φυλακὴν ὁσιότητος καὶ εὐσεβείας καὶ C λειτουργιῶν, αἳ πρὸς τὴν τοῦ θεοῦ τιμὴν ἀναφέρονται. τὸ γὰρ πρῶτον καὶ ἄριστον ἐν ἡμῖν αὐτοῖς ὁ λογισμός ἐστι, καὶ ἄξιον τῆς συνέσεως καὶ ἀγχινοίας, καταλήψεώς τε καὶ φρονήσεως, καὶ τῶν ἄλλων δυνάμεων, ὅσαι περὶ αὐτόν εἰσιν, ἀπαρχὰς ἀνατιθέναι θεῷ, τῷ τὴν εὐφορίαν τοῦ διανοεῖσθαι παρασχόντι. ἐνθένδε ὁ μὲν ἀσκητὴς ὁρμηθεὶς, εὐχόμενος εἶπε, Πάντων ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοι· ὁ δὲ χρησμὸς ὁ μετὰ τὰς ἐπι- D νικίους εὐχὰς ἀναγραφεὶς, ἃς ὁ τὴν αὐτομαθῆ καὶ αὐτοδίδακτον λαχὼν ἱερωσύνην ποιεῖται Μελχισεδὲκ, Ἔδωκε γὰρ, φησὶν, αὐτῷ δεκάτην ἀπὸ πάντων, τῶν κατ' αἴσθησιν τὸ καλῶς αἰσθάνεσθαι, ἀπὸ τῶν κατὰ λόγον τὸ εὖ λέγειν, ἀπὸ τῶν κατὰ νοῦν τὸ εὖ διανοεῖσθαι. παγκάλως οὖν καὶ ἀναγκαίως ἅμα ἐν εἴδει παραδιηγήματος, ἡνίκα τῆς οὐρανίου καὶ θείας τροφῆς τὸ μνημεῖον ἐν στάμνῳ χρυσῷ καθιεροῦτο, φησὶν, ὡς ἄρα τὸ γομὸρ δέκατον τῶν τριῶν μέ- E τρων ἦν. ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα εἶναι δοκεῖ, αἴσθησις, λόγος, νοῦς· αἰσθητῶν μὲν αἴσθησις, ὀνομάτων δὲ καὶ ῥημάτων καὶ τῶν λεγομένων ὁ λόγος, νοητῶν δὲ νοῦς. ἀφ' ἑκάστου δὴ τῶν τριῶν μέτρων τούτων, ἀπαρκτέον ὥσπερ τὴν ἱερὰν δεκάτην, ἵνα καὶ τὸ λέγειν, καὶ τὸ αἰσθάνεσθαι, καὶ τὸ καταλαμβάνειν, ἀνυπαιτίως καὶ ὑγιῶς κατὰ θεὸν ἐξετάζηται. τὸ γὰρ ἀληθινὸν καὶ δίκαιον μέτρον, τοῦτ' ἔστι, τὰ δὲ καθ' ἡμᾶς ψευδῆ τε καὶ ἄδικα. εἰκότως οὖν καὶ ἐπὶ τῶν θυσιῶν, τὸ μὲν δέκατον τοῦ μέτρου τῆς σεμιδάλεως, τοῖς ἱερείοις ἐπὶ τὸν βωμὸν συναπενεχθήσεται.

ὁ γὰρ ἔνατος ἀριθμός, ὁ λείψανον τοῦ δεκάτου, παρ' ἡμῖν αὖθις καταλειφθείς. τούτοις συνῳδὸς καὶ ἡ τῶν ἱερέων ἐνδελεχὴς θυσία. τὸ γὰρ δέκατον, τὸ τοῦ ὑφ σεμιδάλεως ἀεὶ διῃρημένον προσφέρειν αὐτοῖς. ἔμαθον γὰρ τὸν ἔνατον ὑπερβαίνοντες αἰσθητὸν δοκησίθεον, τὸν δέκατον καὶ μόνον ὄντα ἀψευδῶς προσκυνεῖν. ἐννέα γὰρ ὁ κόσμος ἔλαχε μοίρας, ἐν οὐρανῷ μὲν ὀκτώ, τήν τε ἀπλανῆ, καὶ τὰς πεπλανημένας ἐν τάξεσι φερομένας τὰς αὐτάς, ἐνάτην δὲ τὴν σὺν ὕδατι καὶ ἀέρι. τούτων γὰρ μία συγγένεια, τροπὰς καὶ μεταβολὰς παντοίας δεχομένων. οἱ μὲν οὖν πολλοὶ τὰς ἐννέα ταύτας μοίρας, καὶ τὸν παγέντα κόσμον ἐξ αὐτῶν ἐτίμησαν. ὁ δὲ τέλειος τὸν ὑπεράνω τῶν ἐννέα δημιουργὸν αὐτῶν θεὸν δέκατον. ὅλον γὰρ ὑπερκύψας τὸ ἔργον, ἐπόθησε τὸν τεχνίτην, καὶ ἱκέτης καὶ θεραπευτὴς ἐσπούδαζεν αὐτοῦ γενέσθαι. διὰ τοῦτο δεκάτην ἐνδελεχῆ τῷ δεκάτῳ καὶ μόνῳ καὶ αἰωνίῳ ὁ ἱερεὺς ἀνατίθησι, τουτέστι κυρίως εἰπεῖν, τὸ ψυχικὸν πάσχα, ἡ παντὸς πάθους καὶ παντὸς αἰσθητοῦ διάβασις πρὸς τὸ δέκατον, ὃ δὴ νοητόν ἐστι καὶ θεῖον. λέγεται γάρ, Τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ δεκάτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἰκίαν, ἵνα ἀπὸ τῆς δεκάτης τῷ δεκάτῳ καθιερωθῇ τὰ θύματα διατηρηθέντα ἐν τῇ ψυχῇ κατὰ δύο μοίρας ἐκ τελειῶν πεφωτισμένῃ, μέχρις ἂν ὅλη δι' ὅλων γενομένη φέγγος οὐράνιον, οἷα πλησιφαὴς σελήνη, κατὰ δευτέρας ἑβδομάδος παραύξησιν, μὴ μόνον φυλάττῃ, ἀλλὰ καὶ ἱερουργεῖν ἤδη δύνηται τὰς ἀσινεῖς καὶ ἀμώμους προσκοπάς, τουτέστιν ἱλασμούς. καὶ γὰρ ἐστι δεκάτῃ τοῦ μηνὸς βεβαιοῦσθαι, τὸν δέκατον ἱκετευούσης ψυχῆς θεόν, καὶ τὴν ταπεινότητα καὶ οὐδένειαν τοῦ γενητοῦ παρεννοίας λογισμοῦ πεποιθυίας, καὶ τὰς ἐν ἅπασι τοῖς ἄλλοις ὑπερβολὰς καὶ ἀκρότητας τοῦ ἀγενήτου δεδιδαγμένης. ἵλεως οὖν, καὶ ἄνευ ἱκετείας ἵλεως εὐθὺς γίνεται τοῖς ἑαυτοὺς κακίζουσι καὶ συστέλλουσι, καὶ μὴ καυχήσει καὶ οἰήσει φυσωμένοις. τουτέστιν ἄφεσις, τοῦτ' ἐλευθερία παντελὴς ψυχῆς, ὃν ἐπλανήθη τὸν πλάνον ἀποσειομένης, καὶ πρὸς τὴν ἀπλανῆ φύσιν μεθορμιζομένης, καὶ ἐπὶ τὸν κλῆρον ἐπανιούσης, ὃν ἔλαχεν, ἡνίκα λαμπρὸν ἔπνει, καὶ τοῖς περὶ τῶν καλῶν πόνοις ἤνθει. τότε γὰρ αὐτὴν τῶν ἄθλων ἀγάμενος ὁ ἱερὸς λόγος ἐτίμησε, γέρας ἐξαίρετον δοὺς κλῆρον ἀθάνατον, τὴν ἐν ἀφθάρτῳ γένει τάξιν. τοῦτο καὶ Ἀβραὰμ ὁ σοφὸς ἱκετεύει, μελλούσης ἐμπιπρᾶσθαι λόγῳ μὲν τῆς Σοδομίτιδος γῆς, ἔργῳ δὲ τῆς ἐστειρωμένης τῶν καλῶν καὶ τυφλῆς τὸν λογισμὸν ψυχῆς, ἵν' ἐὰν εὑρεθῇ

A nobis reliquo nouenario numero. huc facit & quotidianum sacerdotum sacrificium. His enim præceptum est, vt decimam partem ephi similæ semper offerant. Didicerant enim transcenso nouenario sensibili existimato Deo, decimum & solum verum vere colere. in nouem enim partes mundus distribuitur, octo in cælo, supremum orbem & septem reliquos erraticorum siderum similes cursus habentium: nonam autẽ terram cum aqua & aere. Horum enim B vna est cognatio, varias mutationes recipientium. Vulgus autem has nouem partes & compactum ex his mundum colebat: at vir perfectus superiorem his opificem earũ Deum decimum. emergens enim super omnia eius opera desiderabat artificem ipsum, supplex eius cultor fieri cupiens. ideo decimas perpetuas decimo illi qui solus æternus est, dedicat sacerdos, quod proprie animæ pascha dicitur, omnium affectuum C & omnium sensibilium transitus dum properat ad decimum illud quod est diuinum & intelligibile. scriptũ est enim: Decima mensis decimi sumat vnusquisque agnum per domos singulas: vt à decima illi decimo consecrentur victimæ seruatæ in anima duas è tribus partes illustratas habente, donec in totum versa in splendorem cælestem, velut luna toto orbe fulgida, per duas septimanes aucta, non solum custodire, sed & sacrificare iam valeat integras & inculpatas hostias. id est propitiationes. D hoc enim fit mensis decima, anima illũ decimum Deum inuocante suppliciter, edocta quam humiles & nihili creaturæ sint, & quam immenso interuallo excellat inter omnes eas ille ingenitus. quapropter propitius vel absque propitiatione fit seipsos damnantibus & contrahẽtibus non iactabundis & fastu turgidis. hæc est remissio, hæc libertas absoluta animæ, pristinũ errorem excutientis, & transeuntis ad nunquam errantẽ E naturam, redeuntisque ad sortem quam olim acceperat, cum magnifice spiraret, & vigeret honestis laboribus. tũc enim eius certaminibus delectatum illud sacrum verbum, dedit ei præmium eximium sortem immortalem, & ordinem in genere incorruptibili. hoc & ille sapiens Abraham supplex orat, imminente incendio, verbotenus quidem terræ Sodomiticæ, re autẽ animæ bonarum rerum sterilis & orbatæ rationis oculis: vt si inueniatur in ea denarius

ceu reliquiæ quædam iustitiæ, detur ei venia. Orditur autem supplicationem à remissionis numero quinquagenario, & in denarium desinit, extremam redemptionem. & hoc est cur mihi videtur Moses quoque post tribunos, centuriones, quinquagenarios præfectos, postremo decuriones eligere: vt si mens non possit per seniores ordines proficere, saltem purgetur per vltimos. Pulcherrimum documentum etiam illius studiosi seruus didicit, quando mirifica legatione fungens per seipsum sapienti petebat in vxorem patientiam virtutem cognatissimam. decem enim camelos assumit, in denarij, hoc est rectæ institutionis memoriam, quod haberet herum multorum experimentorum memorem. sumit & de bonis herilibus, non argentum aurumve, aut aliquam materiem corruptibilem: hæc enim Moses bona nunquam diceret: sed illa germana quæ solius sunt animæ viatico negotiationique destinat, doctrinam, profectum, studium, desiderium, zelum, diuinationem, prophetiam, amorem bonorum operum: quibus rebus exercitatus assidue, iam velut ex alto portum aspiciens, promet inaures duas, singulas drachmam pendentes, & armillas pondo aureorum decem, quas tradat puellæ offerenti hospitium. ô diuinum ornamentum, drachmam esse auditionem, pondus propter vnitatis naturam indiuisibile: auditus enim non debet cuiquam vacare, nisi vni verbo, quod virtutes vnius solius Dei decenter exprimit: armillas autem aureorum decem. nam sapientes actiones perfectis numeris firmantur, quarum vnaquæque auro pretiosior est. Talis est & illa per optimates viritim facta collatio, dum anima ornatu accepto à philosophia festum dedicationis ageret, Deo doctori & præceptori agens gratias. acerram enim aureorum decem plenam aromatibus dedicat, vt vaporem è prudentia cæterisque virtutibus exhalantem, ille solus sapiens dijudicet. quo sacrificio vbi litatum fuerit, Moses sacrum hymnum accinet dicēs: Hausit Dominus odorem suauitatis: olfacere ponens pro assentiri. non habet enim ille formam humanam, nec naribus aliisve partibus instrumentalibus indiget. Paulopost autem & Dei tabernaculum è decem auleis constare dicet.

A τὸ δικαιοσύνης μνημεῖον ἡ διάνοια ἐν αὐτῇ, τύχῃ τινὸς ἀμνηστίας· ἄρχεται μὲν οὖν τῆς ἱκεσίας ἀπὸ τοῦ τῆς ἀφέσεως ἀριθμοῦ πεντηκοντάδος, λήγει δὲ εἰς δεκάδα, τὴν τελευταίαν ἀπολύτρωσιν, ἀφ᾽ οὗ μοι δοκεῖ καὶ Μωσῆς μετὰ τὴν χιλιάρχων καὶ ἑκατοντάρχων καὶ πεντηκοντάρχων αἵρεσιν, ἐπὶ πᾶσι δεκάρχους χειροτονεῖν, ἵν᾽ εἰ μὴ δύναιτο διὰ τῶν πρεσβυτέρων τάξεων βελτιοῦσθαι ὁ νοῦς, ἀλλά τοι διὰ τῶν ὑστάτων καθαίρηται. πάγκαλον δί-
B δαγμα καὶ ὁ τοῦ φιλομαθοῦς παῖς ἔμαθεν, ἡνίκα τὴν θαυμαστὴν ἐκείνην ἐπρέσβευε πρεσβείαν αἰτούμενος τῷ σοφῷ προξενῆσαι οἰκειοτάτην ἀρετὴν ἐπιμονήν. δέκα γὰρ καμήλους λαμβάνει, τὴν δεκάδα, λέγω δὲ παιδείας ὀρθῆς, ἀνάμνησιν, ἀπὸ πολλῶν ἀποπειρωμένων τοῦ κυρίου, μνημόνων· λαμβάνει δὲ καὶ τῶν ἀγαθῶν ἐκείνου, δῆλον ὡς οὐκ ἀργύρεον, οὐδὲ χρυσόν τι, ἢ ἄλλο τῶν ἐν ὕλαις φθαρταῖς· τὴν γὰρ ἀγαθοῦ πρόσρησιν οὐδέποτε τούτοις ἐπιφημίσει Μωσῆς· ἀλλὰ τὰ γνήσια, ἃ δὴ
C ψυχῆς ἐστι μόνα, ἐφοδιάζεται καὶ ἐμπορεύεται, διδασκαλίαν, προκοπήν, σπουδήν, πόθον, ζῆλον, ἐνθουσιασμούς, προφητείας, τὸν κατορθοῦν ἔρωτα, οἷς ἐμμελετῶν καὶ ἐνασχολούμενος, ὅταν ὥσπερ ἐκ πελάγους ἐνορμίζεσθαι λιμένι μέλλῃ, λήψεται μὲν δύο ἐνώτια, ἀνὰ δραχμὴν ὁλκήν, ψέλια δὲ δέκα χρυσῶν ἐπὶ τὰς χεῖρας τῆς προξενουμένης. ὢ θεοπρεποῦς κόσμου, δραχμὴν μὲν εἶναι τὸ ἄκουσμα, καὶ μονάδα ἀρραγῆ καὶ ὁλκὸν φύσιν. ἀκοῇ γὰρ οὐδενὶ σχολάζειν ἐμπρεπές, ὅτι μὴ λόγῳ ἑνί, ὃς δὴ τὰς
D τοῦ ἑνὸς ἀρετὰς καὶ μόνου θεοῦ καλῶς διεξέρχεται, δέκα δὲ χρυσῶν τὰ ἐγχειρήματα. πράξεις γὰρ αἱ κατὰ σοφίαν τελείοις ἀριθμοῖς βεβαιοῦνται, καί ἐστιν ἑκάστη τιμιωτέρα χρυσοῦ· τοιαύτη τίς ἐστι καὶ ἡ ἀριστίνδην ἐπικριθεῖσα τῶν ἀρχόντων εἰσφορά, ἣν ἐποιήσαντο, ἡνίκα ἡ ψυχὴ κατασκευασθεῖσα ὑπὸ φιλοσοφίας, ἱεροπρεπῶς τὰ ἐγκαίνια ἦγεν αὐτῆς, εὐχαριστοῦσα τῷ διδασκάλῳ καὶ ὑφηγητῇ θεῷ· θυΐσκην γὰρ δέκα χρυσῶν πλή-
E ρη θυμιάματος ἀνατίθησιν, ἵνα τὰς ὑπὸ φρονήσεως καὶ πάσης ἀρετῆς ἀναδιδομένας αὔρας, ὁ μόνος ἐπικρίνῃ σοφός· ἐπειδὰν δὲ δόξωσιν εἶναι προσηνεῖς, τὸ ἐφύμνιον ᾄσεται Μωσῆς λέγων, Ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας, τὸ ὀσφρανθῆναι τιθεὶς ἐπὶ τοῦ συναινέσαι. οὐ γὰρ ἀνθρωπόμορφος, οὐδὲ μυκτήρων, ἢ τινων ἄλλων ὀργανικῶν μερῶν χρεῖος· προϊὼν δὲ καὶ τὸ θεῖον ἐνδιαίτημα τὴν σκηνήν, δέκα αὐλαίας ἐρεῖ. τὸ γὰρ τῆς ὅλης πῆγμα σοφίας, ἀριθμὸν τέλειον εἴληχε δεκάδα·

σοφία δὲ αὐλὴ καὶ βασίλειόν ἐστι τοῦ πανηγεμόνος καὶ μόνου βασιλέως αὐτοκράτορος· ὁ μὲν δὴ νοητὸς οἶκος ἐστι, αἰσθητὸς δὲ ὁ κόσμος οὗτος, ἐπεὶ καὶ τὰς αὐλαίας ἐκ τούτων συνύφηνεν, ἃ τῶν τεσσάρων στοιχείων σύμβολά ἐστι. ἐκ γὰρ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου δημιουργοῦνται, τεττάρων, ὡς ἔφην, ἀριθμόν· σύμβολον δὲ γῆς μὲν ἡ βύσσος· φύεται γὰρ ἐκ ταύτης. ἀέρος δὲ ὑάκινθος· μέλας γὰρ οὗτος φύσει. ὕδατος δὲ ἡ πορφύρα· τὸ γὰρ τῆς βαφῆς αἴτιον ἐκ θαλάττης, ἡ ὁμωνυμοῦσα κογχύλη. πυρὸς δὲ τὸ κόκκινον· ἐμφερέστατον γὰρ φλογί. πάλιν γε μὴν, Αἴγυπτον μὲν ἀφηνιάσασαν, ἡνίκα τὸν ἀντίθετον ἀποσεμνύνουσα νοῦν, τὰ παράσημα τῆς βασιλείας ἀναδοῦσα αὐτῷ, τὸν θρόνον, τὸ σκῆπτρον, τὸ διάδημα, δέκα πληγαῖς καὶ τιμωρίαις ὁ τῶν ὅλων ἐπίτροπος καὶ κηδεμὼν νουθετεῖ. τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀβραὰμ ὑπισχνεῖται τῷ σοφῷ, οὔτε πλειόνων, οὔτε ἐλαττόνων, ἀλλ' αὐτὸ μόνον δέκα ἐθνῶν ἀπώλειαν καὶ παντελῆ φθορὰν ἐργάσασθαι, καὶ τὴν τῶν ἀναιρεθέντων χώραν δώσειν τοῖς ἐγγόνοις αὐτοῦ, πανταχοῦ δεκάδι, καὶ πρὸς ἔπαινον, καὶ πρὸς ψόγον, καὶ πρὸς τιμὴν, καὶ πρὸς κόλασιν κατακεχρῆσθαι δικαιῶν. καί τοι τί τούτων μεμνήμεθα. τὴν γὰρ ἱερὰν ὄντως ἐκκλησίαν δέκα τοῖς σύμπασι λόγοις Μωσῆς ἀναγέγραφεν· οὗτοι δὲ εἰσι θεσμοὶ τῶν κατὰ μέρος ἀπείρων νόμων γενικὰ κεφάλαια, ῥίζαι καὶ ἀρχαὶ, πηγαὶ ἀέναοι διαταγμάτων, προστάξεις ἀπαγορεύσεις περιεχόντων ἐπ' ὠφελείᾳ τῶν χρωμένων. εἰκότως οὖν μετὰ δεκαετίαν τῆς εἰς Χαλδαίων γῆν ἀφίξεως, ἡ πρὸς τὴν Ἄγαρ κοινωνία γίνεται. οὐ γὰρ εὐθὺς λογικοὶ γενόμενοι, πλαδώσης ἔτι τῆς διανοίας, ὀρεχθῆναι παιδείας τῆς ἐγκυκλίου δυνάμεθα· ἀλλ' ἐπειδὰν συνέσει καὶ ἀγχινοίᾳ χρησάμενοι μηκέτι κουφῇ καὶ ἐπιπολαίῳ, ἀλλὰ βεβαίᾳ καὶ παγίᾳ γνώμῃ περὶ ἁπάντων χρώμεθα. διὸ τὸ ἀκόλουθον προσυφαίνεται, τὸ, Εἰσῆλθε πρὸς Ἄγαρ. ἐχρῆν γὰρ ἁρμόττον τῷ μανθάνοντι πρὸς ἐπιστήμονα διδάσκαλον φοιτᾷν, ἵνα ἀναδιδαχθῇ τὰ προσήκοντα ἀνθρωπίνῃ φύσει παιδεύματα. νυνὶ μὲν ὁ γνώριμος εἰς διδασκάλου βαδίζων εἰσάγεται, προεκτρέχει δὲ πολλάκις ἐξοικίσασα φθόνον ἀφ' ἑαυτῆς, καὶ τοὺς ἔχοντας εὐφυεῖς ἐπισπᾶται. τὴν γοῦν ἀρετὴν Λείαν ἐστὶν ἰδεῖν προσαπαντῶσαν καὶ λέγουσαν τῷ ἀθλητῇ, Πρός με εἰσελεύσῃ σήμερον, ἡνίκα ἐκεῖνος ἀγρόθεν ἐπανῄει. ποῖ γὰρ ὤφειλεν ἐλθεῖν ὁ τῶν ἐπιστήμης σπερμάτων καὶ φυτῶν ἐπιμελητής,

A nam totius sapientiæ compages numerum perfectum sortita est denarium. sapientia porro aula est regia regis omnipotentis qui solus imperat omnibus. hæc est domus eius intelligibilis, altera vero sensibilis mundus hic, quandoquidem & aulæa contexta sunt ex rebus quatuor elementa significantibus, videlicet bysso, hyacintho, purpura, & cocco, quæ illa numero referunt. Byssus terram significat ex qua nascitur. hyacinthus aerem nigricãtem B suapte natura. aquam purpura, quòd hæc tinctura è mari petatur, aliter dicta conchilium. postremo ignem color coccinus, cui simillimus est. Rursum Ægyptum rebellem, quando aduersariam mentem venerata regni traditis insignibus eam ornauit, solio, sceptro, diademate, decem plagis castigat ille rerum arbiter omnipotens. Idem sapienti Abrahamo pollicetur, nec plures nec pauciores, sed decem gentes se deleturum, & harum agros C daturum se illius posteris: denarium ducens idoneum ad omnia, tam ad honorem quam ad pœnam, tam ad laudem quam ad vituperium. verùm ista quorsum memorare pergimus, cum sacram illam diuinámque concionem decem in vniuersum præceptis Moses absoluerit? quæ sunt capita iuris diuini in leges plurimas partiti, radices, initia, fontes perennes mandatorum, iussa vetitáque continentium, ad vtilitem illorum qui ea recipiunt. merito D igitur decennio postquam è Chaldæa migratum fuerat, cum Agar contrahitur connubium. nec enim statim vbi ratione vti cœpimus, languente adhuc mente artes liberales appetere possumus, sed confirmata iam vi intelligendi atque solertia, quando non superficietenus quasi aliud agendo, sed firma certáque sententia res complectimur. ideo mox in contextu additur illud, Ingressus est ad Agar. Conueniebat enim discipulo vt docti magistri ludum frequẽtaret, & disceret disciplinas naturæ hu- E manæ congruas. Et nunc quidem discipulus ad doctrinam ire inducitur: sæpe tamen illa prior obuiam procurrit sine inuidia, & venientes generose attrahit. Sic virtutem Liam videre licet occurrentem dicentémque Meditatori, Ad me ingredieris hodie, cum ille rure domum rediret. quò enim aliò debuerat ire seminum scientiæ plantarúmque curator, nisi ad cultam à se virtutem?

quæ nonnunquam velut periculum
faciens discipulorum alacritatis &
promptitudinis, non occurrit, sed
velata facie sicut Thamar, sedet in
triuio, pro meretrice se ostentans
prætereuntibus, ne quis curiosior
velum detrahat, & intemerati virgi-
neique pudoris pulchritudinem de-
centissimam conspiciat. Sed quis est
ille quæsitor discendi cupidus, ni-
hil indiscussum & inexploratum si-
nens, nisi summus ille dux & rex,
libenter perstans in icto semel cum
Deo fœdere, Iudas nomine. Di-
uertit, inquit, ad eam de via & di-
xit: Sine me vt coeam tecum.] Nec
vlterius molestus fuit, vt inspice-
ret quænam esset illa velata poten-
tia, & quid sibi quæreret. Cæte-
rum post coitum scriptum est: Et
concepit. nec exprimitur quis. Com-
prehendit enim ars quidem discen-
tem, adamatum sibi persuadens: dis-
cipulus vero magistram, quoties dis-
cit auide. Interdum etiam quam-
piam ex indifferentibus scientijs pro-
fitens, & discipulum nactus ingenio-
sum, iactat suam doctrinam; cre-
dens se solum autorem eruditionis
suis auditoribus, atque ita supinus
incedit, & inflatus obducto super-
cilio, & à volentibus eum sectari
magnam mercedem postulat. si quos
autem sentit sitientes eruditionis, sed
pauperes, auersatur, quasi solus in-
uenisset thesaurum sapientiæ. hoc est
illud in vtero concipere, turgere
inflaríque supra modum: quod re-
cidit in dedecus disciplinarum in-
differentium, quas quidam ita de-
honestant suapte natura honestissi-
mas. Quotquot igitur animæ cum
prudentia fiunt rebus grauidæ, pa-
riunt nihilominus confusa discernen-
tes separantésque, sicut Rebeca. post-
quam enim vtero concepit scien-
tiam discordium rerum virtutis &
vitij, fœcunditate vsa vtramque na-
turam distinguit & separat. Quot-
quot autem sine prudentia conci-
piunt, aut abortiunt, aut conten-
tiosum quempiam sophistam iacula-
torem sagittariúmque, vel telis ve-
litationibúsque impetitum pariunt. &
merito. multum enim interest in-
ter concipientes & grauidas. nam quæ
se putant grauidas, partum sibiipsis
ascribunt, quúmque iactant sermo-
nibus. at quæ non dedignantur con-

A ὅτι μὲν πρὸς τὴν γεωργηθεῖσαν ἀρετήν· ἔστι δὲ
ὅτε καὶ ἀποπειρωμένη τῶν φοιτητῶν ὡς ἔχουσι
προθυμίας καὶ σπουδῆς, οὐχ ὑπαντᾷ μέν, ἐγκαλυ-
ψαμένη δὲ τὸ πρόσωπον ὥσπερ Θαμάρ, ἐπὶ τριό-
δου καθέζεται, πόρνης δόξαν παρέχουσα τοῖς ὁ-
δῷ βαδίζουσιν, ἵνα οἱ περιέργως ἔχοντες, ἀνακα-
λύψαντες ἀναφήνωσι, καὶ καταθεάσωνται τὸ ἄ-
ψαυστον καὶ ἀμίαντον καὶ παρθένιον ὄντως αἰδοῦς καὶ
σωφροσύνης ἐκπρεπέστατον κάλλος. τίς οὖν ὁ
ἐξεταστικὸς καὶ φιλομαθὴς καὶ μηδὲν ἄσκεπτον καὶ
B ἀδιερεύνητον τῶν ἐγκεκαλυμμένων πραγμάτων
παραλιπεῖν ἀξιῶν ἐστιν, ὅτι μὴ ὁ ἀρχιστράτηγος
καὶ βασιλεὺς, καὶ ταῖς πρὸς θεὸν ὁμολογίαις ἐμμέ-
νων τε καὶ χαίρων, ὄνομα Ἰούδας. Ἐξέκλινε γάρ, φη-
σί, πρὸς αὐτὴν τὴν ὁδὸν, καὶ εἶπεν, ἔασόν με εἰ-
σελθεῖν πρὸς σέ. ἀλλ' οὐκ ἔμεινε παραβιάζεσθαι
καὶ σκοπεῖν τίς τε ἡ ἐγκεκαλυμμένη δύναμίς ἐστι,
καὶ ἐπὶ τί παρεσκεύασται. μετὰ τοίνυν τὸ εἰσελθεῖν γέ-
γραπται, Καὶ συνέλαβεν, καὶ τό, τίς, ῥητῶς οὐ
C μεμήνυται. συλλαμβάνει γὰρ καὶ συναρπάζει
ἡ μὲν τέχνη τὸν μανθάνοντα, ἐρωτικῶς ἔχειν ἀνα-
πείθουσα ἑαυτῆς, ὁ δὲ μανθάνων, τὴν διδάσκου-
σαν, ὁπότε φιλομαθὴς εἴη. πολλάκις δέ τινα τῶν
μέσων ἐπιστημῶν ὑφηγούμενος, γνωρίμου τυχὼν
εὐφυοῦς, ηὔχησεν ἐπὶ τῇ διδασκαλίᾳ, μόνος ὑπο-
λαβὼν τῶν φοιτητῶν γεγονέναι τῆς εὐμαθίας αἴτιος,
καὶ μετεωρίσας καὶ φυσήσας ἑαυτὸν ὑψαυχενεῖ, καὶ
τὰς ὀφρῦς εὖ μάλα ἀνασπάσας τετύφωται, καὶ
παρὰ τῶν βουλομένων συνδιατρίβειν, πάμπολλα
D αἰτεῖ, οὓς δ' ἂν αἴσθηται πένητας μέν, διψῶντας δὲ
παιδείας ἀποστρέφεται, ὥσπερ θησαυρόν τινα σο-
φίας μόνος ἀνευρηκώς. τουτέστι τὸ ἐν γαστρὶ ἔχειν,
οἰδεῖν καὶ τετυφῶσθαι, καὶ ὄγκον πλείονα τοῦ με-
τρίου περιβεβλῆσθαι, δι' ὧν καὶ τὴν κυρίαν τῶν
μέσων ἐπιστημῶν ἀρετὴν, ἔδοξάν τινες ἀτιμά-
ζειν, ἐπίτιμον οὖσαν ἐξ ἑαυτῆς. ὅσαι μὲν οὖν ψυ-
χαὶ μετὰ φρονήσεως κυοφοροῦσι πραγμάτων,
τίκτουσιν ὅμως τὰ συγκεχυμένα διακρίνουσαι
E καὶ διαστέλλουσαι, καθάπερ ἡ Ῥεβέκκα· λαβοῦσα
γὰρ ἐν γαστρὶ τῶν διττῶν διαφωνίαις ἐθνῶν ἐπιστή-
μην ἀρετῆς τε καὶ κακίας, εὐτοκίᾳ χρωμένη,
τὴν ἑκατέρου φύσιν διαστέλλει τε καὶ διακρί-
νει· ὅσαι δὲ ἄνευ φρονήσεως, ἢ ἀμβλίσκουσιν, ἢ δύ-
σεριν καὶ σοφιστὴν βάλλοντα καὶ τοξεύοντα, ἢ βαλλό-
μενον καὶ τοξευόμενον ἀποκυοῦσι. καὶ μήποτε εἰκό-
τως. αἱ μὲν γὰρ λαμβάνουσιν, αἱ δὲ ἔχειν ἐν γαστρὶ οἴον-
ται παμμεγέθεις διαφοράς. αἱ μὲν γὰρ ἔχειν νομίζου-
σαι, τὴν αἵρεσιν καὶ γένεσιν ἑαυταῖς ἐπιγράφουσαι,

σπερμομυθοῦσιν, αἱ δὲ λαμβάνειν ἀξιοῦσαι, τὸ μηδὲ μηδὲν οἰκεῖον ἔχειν ἑαυτὰς συνομολογοῦσι· τὰ δὲ σπέρματα καὶ τὰς γονὰς ἔξωθεν ἐπιδεδομένας καταλαμβάνουσι, καὶ τὸν διδόντα θαυμάζουσι, καὶ τὸ μέγιστον φιλαυτίαν ἀγαθῷ τελείῳ θεοσεβείᾳ διωθοῦνται. τοῦτον τὸν τρόπον καὶ τὰ τῆς νομοθετικῆς τῆς παρ' ἀνθρώποις κατεβλήθη σπέρματα. Ἦν γάρ τις, φησὶν, ἐκ τῆς φυλῆς Λευὶ Ἀβραάμ, ὃς ἔλαβε τῶν θυγατέρων τῶν Λευί. καὶ ἔσχεν αὐτὴν, καὶ ἐν γαστρὶ ἔτεκε· καὶ ἔτεκεν ἄρρεν· ἰδόντες δὲ αὐτὸ ἀστεῖον ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς. οὗτός ἐστι Μωϋσῆς, ὁ καθαρώτατος νοῦς, ὁ ἀστεῖος ὄντως, ὁ νομοθετικὴν ὁμοῦ καὶ προφητικὴν ὁμοῦ ἐνθουσιώσῃ καὶ θεοφορήτῳ σοφίᾳ λαβὼν, ὃς γένος ὢν τῆς λευιτικῆς φυλῆς, καὶ τὰ πρὸς πατρὸς καὶ τὰ πρὸς μητρὸς ἀμφιθαλὴς, τῆς ἀληθείας ἔχεται. μέγιστον δὲ ἐπάγγελμα τοῦ γενάρχου τῆς φυλῆς ἐστι ταύτης. θαρρεῖ γὰρ λέγειν, ὅτι αὐτός μοι μόνος ἐστὶν ὁ θεὸς τιμητέος, ἄλλο δ' οὐδὲν τῶν μεθ' ἑαυτὸν, οὐ γῆ, οὐ θάλασσα, οὐχὶ ποταμοὶ, οὐκ ἀέρος φύσις, οὐ πνευμάτων, οὐκ ἀέρων μεταβολαὶ, οὐ ζώων, οὐ φυτῶν ἰδέαι, οὐχ ἥλιος, οὐ σελήνη, οὐκ ἀστέρων πλῆθος ἐν τάξεσιν ἐναρμονίοις περιπολούντων, οὐχ ὁ σύμπας οὐρανός τε καὶ κόσμος, μεγάλης καὶ ὑπερφυοῦς ψυχῆς τὸ αὔχημα, γένεσιν ὑπερκύπτειν, καὶ τοὺς ὅρους αὐτῆς ὑπερβάλλειν, καὶ μόνου τοῦ ἀγενήτου περιέχεσθαι, κατὰ τὰς ἱερὰς ὑφηγήσεις, ἐν αἷς διείρηται ἔχεσθαι αὐτοῦ. τοιγάρτοι τοῖς ἐχομένοις καὶ ἀδιαστάτως θεραπεύουσιν, ἀντιδίδωσι κλῆρον αὑτόν· ἐγγυᾶται δέ μου τὴν ὑπόσχεσιν λόγιον, ἐν ᾧ λέγεται, Κύριος κλῆρος αὐτοῦ. οὕτως ἐν γαστρὶ ἔχουσαι μᾶλλον ἢ λαμβάνουσαι αἱ ψυχαὶ, τίκτειν πεφύκασι. καθάπερ δὴ οἱ σώματος ὀφθαλμοὶ, πολλάκις μὲν ἀμυδρῶς, πολλάκις δὲ τηλαυγῶς ὁρῶσι· τὸν αὐτὸν τρόπον καὶ τὸ τῆς ψυχῆς ὄμμα, τοτὲ μὲν ὑποσυγκεχυμένας καὶ ἀδήλους, τοτὲ δὲ καθαρὰς καὶ τρανὰς ἀναδέχεται τὰς ἀπὸ τῶν πραγμάτων ἰδιότητας. ἡ μὲν οὖν ἀσαφὴς καὶ ἀδηλουμένη προσβολὴ, ἔοικε τῷ μήπω κατὰ γαστρὸς ἐμβρύῳ διατυπωθέντι· ἡ δὲ ἐναργὴς καὶ τρανὴ, μάλιστα τῷ διαπεπλασμένῳ, καὶ καθ' ἕκαστον τῶν ἐντός τε καὶ ἐκτὸς μερῶν τετεχνιτευμένῳ, καὶ τὴν ἁρμόττουσαν ἰδέαν ἀπειληφότι. νόμος δὲ ἐπὶ τούτοις ἐγράφη πάνυ καλῶς καὶ συμφερόντως τεθεὶς οὗτος, Ἐὰν μαχομένων ἀνδρῶν δύο, πατάξῃ τις γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται, καθ' ὅ, τι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ

A cipere, fatentur se nihil habere proprium, sed semina atque genituras externe infusas confouere, & autorem harum veneratæ, maximum malum, scilicet sui amorem, per bonum perfectum, scilicet pietatem, depellunt. Ad eundem modum etiam legum humanarum iacta sunt semina. Erat vir quidam, inquit scriptura, de tribu Leui, nomine Amram, qui accepit vxorem de filiabus Leui. Ea grauida facta pepe-
B rit filium: quem cum viderent elegantem, absconderunt tribus mensibus. hic est Moses ille purissimus intellectus, vere elegans, qui numinis afflatu correptus legislatoriam ac propheticam facultatem adeptus est, ex genere natus leuitico paterna stirpe maternáque florens & cognatus veritati. maximum autem quiddam primus tribus huius autor pollicetur. audet enim dicere: Ipse mihi solus Deus colendus est, aliud
C præterea nihil, non terra, non mare, non fluuij, non aeris ventorúmque natura, non tempestates, non animalium plantarúmque species, non sol, non luna, non multitudo stellarum ordine certo decurrentium, non cælum nec mundus vniuersus: quod promissum est magni generosique animi, emergere supra creaturam & terminos eius traijcere, vni adhærendo Ingenito, iuxta sacra præcepta, quæ id diser-
D te imperant. itaque pro hac assiduitate cultúque non intermisso reddit eis sortem seipsum. Fideiubet autem pro hac mea promissione oraculum dicens, Dominus hæreditas eius. Tales partus grauidæ magis quam concipientes animæ solent parere. Quemadmodum autem corporis oculi modo obscure modo clare vident: similiter etiam animæ oculus aliquando confusiores & incertas, aliquando claras manifestásque
E rerum proprietates concipit. sed ille obscurus & incertus conceptus similis est fœtui nondum formato in vtero: clarus autem & manifestus effigiem humanam habenti & discretas formas artuum. de quibus extat lex scripta valde bona & pervtilis. Si rixantibus viris duobus alter percutiat mulierem grauidam, & illa puerum informem eijciat, mulcta mulctabitur ex mariti arbitrio, eámque mox repræsentabit.

A Quod si formatus fuerit, dabit animam pro anima. non enim erat simile, perfectum & imperfectum mentis opus corrumpere, neque coniectura tantundem valet quantum scientia, neque sperata res quantum possessa. Ideo pro incerto incerta mulcta statuitur: vbi finitum est facinus, lex quoque pœnam definit. quod intelligitur non de virtute, sed de arte aliqua inculpabili. Hoc fœtu prægnans est, non quæ concepit, sed grauida, B inflata opinione. nam eam quæ concepit abortire non est possibile, quòd credibile sit absoluturum talem fœtum ipsum qui genituram indidit. at grauidæ non est mirum si quid secus accidat, quòd hæc ægrotet sine medico. Caue autem de Agar dictum putes, quòd vidisset seipsam concepisse, cum dicitur, videns quod concepit, sed de hera hoc intelligitur Sarra. nam paulo post ipsa de seipsa dicit: Videns se concepisse, parata est C coram ea. cur ita? quoniam indifferentes artes, & harum sectatores, vident se graues vtero, sed quid gestent non satis vident: scientiæ vero cernunt suos fœtus manifestissime. nam scientia maior est quam ars, quippe ratione confirmata stabilitáque. sic enim definitur: scientia est ex multis intellectis facultas, meditatione acquisita, ad finem aliquem bonum ac vtilem: quæ clausula recte additur, vt malas improbatásque artes D excludat. porrò scientia per rationem retinetur constanter atque firmiter. proinde musicam, grammaticam, & harũ cognatas vocamus artes. nam quicunque in his sunt absoluti, dicuntur artifices, musici & grammatici. philosophiam vero & cæteras virtutes, scientias, & qui hæc tenent, scientijs præditos, vt sunt prudentes, temperantes & philosophi. quorum nemo fallitur in placitis exultæ à se scientiæ, sicut supra dicti falluntur in artium suarum E contemplationibus, nam sicut oculi vident, sed mens clarius per oculos, & aures audiunt, sed mens per aures melius, & nares olfaciunt, sed anima per nares efficacius: item cæteri sensus obiecta sua percipiunt, sed mens per eos purius atque sincerius (loquendo enim proprie, hæc ipsa est oculorum oculus, & auris aurium, & in vnoquoque sensu sensus sincerior, vtens illis tanquam pro tribunali apparitoribus,

A τῆς γυναικός, καὶ δώσει μετ᾽ ἀξιώματος. ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς. οὐ γὰρ ἦν ὅμοιον, τέλειόν τε καὶ ἀτελὲς διανοίας ἔργον διαφθεῖραι, οὐδὲ εἰκαζόμενον καὶ καταλαμβανόμενον, οὐδὲ ἐλπιζόμενον καὶ ἤδη ὑπάρχον. διὰ τοῦτο ὅπου μὲν ἐπιτίμιον ἄδηλον ἐπ᾽ ἀδήλῳ πράγματι, ὅπου δὲ ὡρισμένον, ἐπὶ τελείῳ νομοθετεῖται· τελείῳ δὲ οὐχὶ πρὸς ἀρετήν, ἀλλὰ κατά τινα τέχνην τῶν ἀνεπιλήπτων γενομένῳ. κυοφο-B ρεῖ γὰρ αὐτόν, οὐχ ἡ λαβοῦσα, ἀλλ᾽ ἡ ἐν γαστρὶ ἔχουσα, οἴησιν παρ᾽ ἀτυφίας ἐπαγγελλομένη. καὶ γὰρ ἀμήχανον ἀμβλίσκειν τὴν ἐν γαστρὶ λαβοῦσαν, ἐπειδὴ τὸ φυτὸν ὑπὸ τοῦ σπείραντος ἐμπρεπὲς τελεσφορεῖσθαι· τὴν δὲ ἔχουσαν, οὐκ ἀνοίκειον, ἅτε νόσῳ χωρὶς ἰατροῦ κατεσχημμένην. μὴ νομίσῃς δὲ τὴν Ἄγαρ λέγεσθαι ἑαυτὴν ὁρᾶν ἐν γαστρὶ ἔχουσαν, διὰ τοῦ, Ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει, ἀλλὰ τὴν κυρίαν αὐτῆς Σάρραν. καὶ γὰρ ὕστερον αὐτὴ περὶ ἑαυτῆς φησιν, Ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει, ἠτι-C μάσθη ἐνώπιον αὐτῆς. διὰ τί; ὅτι αἱ μέσαι τέχναι, καὶ εἰ τὰ καθ᾽ αὑτὰς ὧν εἰσὶν ἐγκύμονες ὁρῶσιν, ἀλλά τοι πλάτως ἀμυδρῶς ὁρῶσιν· ἀλλ᾽ ἐπιστῆμαι τηλαυγῶς καὶ σφόδρα ἐναργῶς καταλαμβάνουσιν. ἐπιστήμη γὰρ πλέον ἐστὶ τέχνης, τὸ βέβαιον καὶ ἀμετάπτωτον ὑπὸ λόγου προσειληφυῖα. τέχνης μὲν γὰρ ὅρος ἐστί, σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον, τοῦ εὐχρήστου διὰ τὰς κακοτεχνίας ὑγιῶς προστιθεμένου· ἐπιστήμης δέ, κατάληψις ἀσφα-D λὴς καὶ βέβαιος, ἀμετάπτωτος ὑπὸ λόγου. μουσικὴν μὲν οὖν καὶ γραμματικὴν καὶ τὰς συγγενεῖς καλοῦμεν τέχνας. καὶ γὰρ οἱ ἀποτελούμενοι δι᾽ αὐτῶν τεχνῖται λέγονται, μουσικοί τε καὶ γραμματικοί· φιλοσοφίαν δὲ καὶ τὰς ἄλλας ἀρετὰς ἐπιστήμας, καὶ τοὺς ἔχοντας αὐτὰς ἐπιστήμονας. φρόνιμοι γάρ εἰσι καὶ σώφρονες καὶ φιλόσοφοι· ὧν οὐδὲ εἷς ἐν τοῖς τῆς διαπεπονημένης ἐπιστήμης σφαλήσεται δόγμασι, καθάπερ οἱ προειρημένοι ἐν τοῖς τῶν E μέσων τεχνῶν θεωρήμασιν· ὥσπερ γὰρ ὀφθαλμοὶ μὲν ὁρῶσιν, ὁ δὲ νοῦς δι᾽ ὀφθαλμῶν τηλαυγέστερον· καὶ ἀκούει μὲν ὦτα, ὁ δὲ νοῦς δι᾽ ὤτων ἄμεινον· καὶ ὀσφραίνονται μὲν οἱ μυκτῆρες, ἡ δὲ ψυχὴ διὰ ῥινῶν ἐναργέστερον· καὶ αἱ ἄλλαι αἰσθήσεις τῶν καθ᾽ αὑτὰς ἀντιλαμβάνονται, καθαρώτερον δὲ καὶ εἰλικρινέστερον ἡ διάνοια. κυρίως γὰρ εἰπεῖν, ἥδ᾽ ἐστὶν ὀφθαλμὸς μὲν ὀφθαλμῶν, ἀκοὴ δ᾽ ἀκοῆς, καὶ ἑκάστης τῶν αἰσθήσεων αἴσθησις εἰλικρινεστέρα, χρωμένη μὲν ἐκείναις, ὡς ἐν δικαστηρίῳ ὑπηρέταις,

δικάζουσα

δικάζουσα δ' αὐτὴ τὰς φύσεις τῶν ὑποκειμένων, A καὶ τοῖς μὲν συναινοῦσα, τὰ δ' ἀποστρέφεσθαι· οὕτως αἱ μὲν λεγόμεναι μέσαι τέχναι ταῖς κατὰ τὸ σῶμα δυνάμεσιν ἐοικυῖαι, τοῖς θεωρήμασιν ἐντυγχάνουσι κατὰ τὰς ἁπλᾶς ἐπιβολάς, ἀκριβέστερον δ' ἐπιστήμη, καὶ σὺν ἐξετάσει περιττῇ. ὃ γὰρ ὁ νοῦς πρὸς αἴσθησιν, τοῦτ' ἐπιστήμη πρὸς τέχνην ἐστί. καθάπερ γὰρ αἴσθησις τις αἰσθήσεων, ὡς ἐλέχθη πρότερον, ἐστὶν ἡ ψυχή. ἐκείνων μὲν οὖν ἑκάστη μικρά ἄττα τῶν ἐν τῇ φύσει περιεσπάσατο, περὶ ἃ πονεῖται καὶ πραγματεύεται, B γραμμὰς μὲν γεωμετρία, φθόγγους δὲ μουσική, φιλοσοφία δὲ πᾶσαν τὴν τῶν ὄντων φύσιν. ὕλη γάρ ἐστιν αὐτῆς ὅδε ὁ κόσμος, καὶ πᾶσα ἡ ὄντως ὁρατή τε καὶ ἀόρατος οὐσία. τί οὖν θαυμαστὸν εἰ ἡ τὰ ὅλα καθορῶσα, θεᾶται καὶ τὰ μέρη, καὶ ἄμεινον ἐκείνων, ἅτε ὀφθαλμοῖς μείζοσι καὶ ὀξυδερκεστέροις ἐνομματωθεῖσα, εἰκότως ἡ κυρία φιλοσοφία τὴν μέσην παιδείαν τὴν θεραπαινίδα αὐτῆς ἐγκύμονα θεᾶσθαι μᾶλλον, ἢ ἑαυτὴν ἐκείνην. καίτοιγ' οὐδὲ ὑπό τινος ἀγνοεῖται; ὅτι πάντων τῶν κατὰ μέρος, τὰς ἀρχὰς καὶ τὰ C σπέρματα ἐξ ὧν ἀναβλαστεῖν ἔδοξε τὰ θεωρήματα, φιλοσοφία δεδώρηται. ἰσόπλευρα γὰρ καὶ σκαληνά, κύκλους τε καὶ πολυγώνια καὶ τὰ ἄλλα σχήματα, γεωμετρία προσεξεῦρε· σημείου δὲ καὶ ἐπιφανείας καὶ γραμμῆς καὶ στερεοῦ φύσιν, ἃ δὴ ῥίζαι καὶ θεμέλιοι τῶν λεχθέντων εἰσίν, οὐκέτι γεωμετρία. πόθεν γὰρ αὐτὴ λέγει ὁριζομένη, ὅτι σημεῖον μέν ἐστιν οὗ μέρος οὐδέν, γραμμὴ δὲ μῆκος ἀπλατές, ἐπιφάνεια δὲ ὃ μῆκος καὶ πλάτος μόνον ἔχει, στερεὸν δὲ ὃ τὰς τρεῖς ἔχει διαστάσεις, μῆκος, πλάτος, βάθος. D ταῦτα γὰρ ἀνάκειται φιλοσοφίᾳ, καὶ ἡ περὶ ὅρων πραγματεία πᾶσα τῷ φιλοσόφῳ. τὸ γοῦν γράφειν καὶ ἀναγινώσκειν, γραμματικῆς τῆς ἀτελεστέρας ἐπάγγελμα, ἣν παρατρέποντές τινες γραμματιστικὴν καλοῦσι, τῆς δὲ τελειοτέρας, ἀνάπτυξις τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν. ἐπειδὰν οὖν περὶ τῶν τοῦ λόγου διεξέρχωνται μερῶν, τότε οὐ τὰ φιλοσοφίας εὑρέματα παρασπῶνται καὶ περιεργολαβοῦσι; ταύτης γὰρ ἴδιον ἐξετάζειν, τί E σύνδεσμος, τί ὄνομα, τί ῥῆμα, τί κοινὸν ὄνομα, τί ἴδιον, τί ἐλλιπὲς ἐν λόγῳ, τί πλῆρες, τί ἀπόφαντον, τί ἐρώτημα, τί πύσμα, τί περιεκτικόν, τί εὖ, κακὸν δὲ τί· καὶ γὰρ τὰς περὶ αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ κατηγορημάτων πραγματείας, ἥδ' ἐστὶν ἡ συνθεῖσα· ἡμίφωνον δὲ ἢ φωνῆεν, ἢ παντελῶς ἄφωνον στοιχεῖον ἰδεῖν, καὶ πῶς ἕκαστον τούτων εἴωθε λέγεσθαι, καὶ πᾶσα ἡ περὶ

sed ipsa naturas subiectorũ iudicans, & quædam auersans, alijs assentiẽs) sic artes quæ dicuntur indifferentes siue mediæ, corporis potentijs similes, contemplationes suas tractant simpliciter, sciẽtiæ vero suas diligentius & cum summo examine. nam sicut intellectus ad sensũ, sic ad artem se habet sciẽtia. nam anima est quidam (vt iam dixi) sensus sensuũ. illarum igitur singulæ exigua quædã in rerum naturis sibi vindicant, circa quæ occupãtur, lineas geometria, sonos mu- B sica, vniuersam vero naturam philosophia. nam materia circa quã versatur, est mundus hic, & tota visibilis ac inuisibilis essentia. Quid igitur mirum si cum vniuersum videat, videt etiam partes, & quidem q[u]am illæ melius, quippe illustrata maioribus acutioribúsque oculis: vt merito hera philosophia mediã eruditionem ancillam suam prægnantem videat, potius quam illa seipsam. Quis enim ignorat quod omnibus particularibus scientijs principia semináque in- C didit philosophia, ex quibus speculationes earũ germinent? nam æquilateræ, obliquæ, circulares, multiãgulæ aliæque figuræ, inuenta geometriæ sunt. cæterũ punctum, superficiem, lineam, solidum, non item inuenit geometria. Quomodo enim illa definiret punctũ esse quod in partes non diuiditur, lineam longitudinem sine latitudine, superficiem longitudinem tantum cum latitudine, solidum quod tres dimensiones habet, longitudinem, latitudinem, altitudi- D nem. hæc enim ad philosophiam attinent, & definiẽdi negotium est philosophi. item scribere legeréque est minus perfectæ grammaticæ, quam quidã torquentes vocabulũ grammatisticam vocant: perfectioris autem poetarum historicorúmque explicatio. Quoties igitur de orationis partibus disserũt, nónne tunc de inuentis philosophiæ quiddam sibi vsurpare videntur? huius enim est proprium disquirere, quid coniunctio, quid nomen, quid verbum, quid E commune nomen, quid proprium, quid defectiuum in oratione, quid completum, quid affirmatiuum, quid interrogatiuum, quid percontatiuum, quid complexiuum, quid bonum malúmve. nam de per se absolutis, & propositionibus & prædicamentis huius est tractatio. iam semiuocalium, vocalium, mutarúmque literarum discrimina, & quomodo pronuncientur singulæ, & omnes elementorum atque partium

orationis proprietates, nónne à philosophis elaboratæ absolutæque sunt? quæ isti fures tanquam de torrente paucas aliquot guttulas cum inanimas suas instillauerint, non pudet eos furta ostentare quasi res proprias. Quamobrem elati & sibi placentes contemnunt dominam, penes quam solam est harum cōtemplationum autoritas. cum contemptum illa sentiens coarguet ingenue dicens, Iniuriam patior, vobis pacta non seruantibus. ex quo enim complexi estis ista rudimenta disciplinarum nata è mea famula, exhibetis ei honorem vxori debitum, me vero sic auersamini, quasi nunquam iunctam matrimonio. Verùm hæc fortassis est nihil aliud quam suspicio, me ex aperta consuetudine vestra cum mea pedisequa, coniecturam non admodum certam sumente alienati à me animi. quæ an vana sit, soli Deo notum est, præterea nemo facile iudicauerit. ideo proprie loquitur: Iudicet Deus inter te & me: non prædamnans tanquam inique agentem, sed ambigens quasi fortassis æquum faceret, quod non ita multo post certo compertum fuit, dum se defendens, & hæsitationi eius medicinam adhibens ait, En tibi puellam trado in manus tuas, vtere hac sicut tibi libet.] Nam qui puellam dicit, vtrumque fatetur, & conditionem seruilem, & ætatis imperitiam. nam puellæ nomen vtriusque rei significationi conuenit. Simul fatetur & contraria, puellam adultæ, dominam opponens ancillæ: tantum non in faciem reclamans: equidem encyclopædiam vt iuniorem & puellam in delicijs habeo, scientiam vero coniunctam cum prudentia vt maturam matronam honore prosequor. Quod autem dicit, in manus tuas, subiectionem quidem significat, verùm non hanc solam, sed etiam quiddam aliud: videlicet quod res ancillæ sint in manu corporis: corporeis enim instrumentis & potentijs opus habent artes liberales: res autem dominæ ad animā attineant. ad rationem enim refertur tum scientia tum prudētia. itaque quāto præstantior, efficacior, & modis omnibus potior est intellectus vtilitas, tanto pluris facio scientiam prudentiámque, quam istam musicam vnam ex artium liberaliū numero. Proinde cum sis & habearis à me domina, sume, inquit, omnem meam eruditionem, & non secus quam ancilla, vtere pro arbitrio tuo:

A φωνῆς καὶ στοιχείων καὶ τῶν τοῦ λόγου μερῶν ἴδια, οὐ φιλοσοφία πεπόνηται καὶ κατήνυσται; βραχείας δὲ ὥσπερ ἀπὸ χειμάρρου ἀπάσαντες λιβάδας, καὶ βραχυτέραις τῶν ἑαυτῶν ψυχαῖς ἐναποθλίψαντες, οἱ κλέπται οἱ φῶρες, οὐκ ἐρυθριῶσι, προσφέροντες ὡς ἴδιον. οὐ χαίρειν φρυαττόμενοι, τὴν κυρίαν ᾗ τὸ κῦρος ὄντως καὶ ἡ τῶν θεωρουμένων ἀνάκειται βεβαίωσις, ἀλογοῦσι. συναισθομένη δὲ αὐτὴ τὸ ὀλιγωρίας ἐλέγξει, καὶ μετὰ παρρησίας φησίν, ἀδικοῦμαι καὶ παρασπονδοῦμαι τό γε ἐφ᾽ ὑμῖν ὁμολογίας B παραβαίνουσιν. ἀφ᾽ οὗ γὰρ ἐνεκολπίσασθε τὰ προπαιδεύματα, τῆς ἐμῆς θεραπαινίδος τὰ ἔκγονα, τὴν μὲν ὡς γαμετὴν ἐξετιμήσατε, ἐμὲ δὲ οὕτως ἀπεστράφητε, ὡς μηδὲ πώποτε ἐς ταὐτὸν ἥκοντες. ἀλλ᾽ ἴσως ἐγὼ μὲν ταῦτα περὶ ὑμῶν ὑπείληφα, ἐκ τῆς φανερᾶς πρὸς τὴν οἰκέτιν ὁμιλίας τὴν ἄδηλον πρὸς ἐμὲ αὐτὴν ἀλλοτρίωσιν τεκμηριωσαμένη· εἰ δὲ ὑμεῖς ἐναντίως ἢ ὡς ὑπείληφα διάκεισθε, γνῶναι μὲν ἀμήχανον ἑτέρῳ, ῥᾴδιον δὲ μόνῳ θεῷ. C διόπερ εἰκότως ἐρεῖ, Κρῖναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. οὐ προκατεγνωκυῖα ὡς ἠδικηκότος, ἀλλ᾽ ἐνδοιάζουσα, ὡς τάχ᾽ ἂν ἴσως καὶ κατορθοῦντος, ὅπερ ἀψευδῶς οὐκ εἰς μακρὰν ἀναφαίνεται, δι᾽ ὧν ἀπολογούμενος καὶ τὸν ἐνδοιασμὸν αὐτῆς ἐξιώμενος, φησίν, Ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ. καὶ γὰρ ὁ παιδίσκην εἰπὼν ἀμφότερα ὁμολογεῖ, τό, τε δούλην, καὶ τὸ νηπίαν εἶναι. τὸ γὰρ τῆς παιδίσκης ὄνομα, ἑκατέρῳ τούτων ἐφαρμόζει. συνομολογεῖ δὲ πάντως εὐθὺς καὶ τἀναντία, τῇ μὲν τε- D λείᾳ τὴν νηπίαν, τῇ δὲ δούλῃ τὴν κυρίαν, μονονοὺ βοῶν ἄντικρυς, ὅτι τὴν μὲν ἐγκύκλιον παιδείαν, καὶ ὡς νεωτέραν, καὶ ὡς θεραπαινίδα ἀσπάζομαι, τὴν δὲ ἐπιστήμην καὶ φρόνησιν, ὡς τελείαν καὶ δέσποιναν ἐκτετίμηκα. τὸ δέ, ἐν ταῖς χερσί σου, δηλοῖ μὲν τό, ὑποχείριός ἐστί σοι. σημεῖον δὲ πέφυκε καὶ ἑτέρου τοιούτου, τὰ μὲν τῆς δούλης εἰς χεῖρας ἀφικνεῖται σώματος· σωματικῶν γὰρ ὀργάνων καὶ δυνάμεων τὰ ἐγκύκλια χρεῖα· τὰ δὲ E τῆς κυρίας εἰς ψυχὴν ἔρχεται. λογισμοῖς γὰρ τὰ κατά τε φρόνησιν καὶ ἐπιστήμην διατίθεται· ὥστ᾽ ὅσῳ δυνατώτερον καὶ δραστικώτερον καὶ τοῖς ὅλοις κρείττων διάνοια χερός ἐστι, τοσούτῳ τῆς ἐγκυκλίου μουσικῆς ἐπιστήμην καὶ φρόνησιν θαυμασιωτέραν εἶναι νενόμικα, καὶ διαφερόντως ἐκτετίμηκα. λαβοῦσα οὖν ὡς καὶ ὑπάρχουσα καὶ πρὸς ἐμοῦ νομιζομένη κυρία, τὴν ἐμὴν ἅπασαν παιδείαν, ὡς θεραπαινίδι χρῶ, ὡς εὐάρεστόν σοι· τὸ δέ σοι εὐάρεστον, οὐκ ἀ-

σω σοὶ τόπον οὗ φεύξεται ὁ φονεύσας. ἐὰν δέ τις ἐπι-
θῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καὶ κα-
ταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου λήψῃ αὐτὸν θανα-
τῶσαι. σαφῶς εἰδώς, ὅτι περιττὸν ὄνομα οὐδὲν τί-
θησιν, ὑπὸ τῆς τοῦ πραγματολογεῖν ἀμυθήτου
φορᾶς, ἠπόρουν κατ᾽ ἐμαυτόν, διὰ τί τὸν ἑκου-
σίως κτείναντα οὐκ εἶπε θανατοῦσθαι μόνον, ἀλλὰ
D θανάτῳ θανατοῦσθαι. τίνι γὰρ ἄλλῳ ἀποθνήσκων, ἢ
θανάτῳ τελευτᾷ. φοιτήσας οὖν παρὰ γυναῖκα
σοφήν, ᾗ σκέψις ὄνομα, τοῦ ζητεῖν ἀπηλλάγην.
ἐδίδαξε γάρ με, ὅτι καὶ ζῶντες ἔνιοι τεθνήκασι,
καὶ τεθνηκότες ζῶσι. τοὺς μέν γε φαύλους ἄχρι
γήρως ὑστάτου παρατείνοντας, νεκροὺς ἔλεγεν εἶναι,
τὸν μετ᾽ ἀρετῆς βίον ἀφῃρημένους· τοὺς δὲ ἀστείους,
κἂν τῆς πρὸς σῶμα κοινωνίας διαζευχθῶσι, ζῆν εἰ-
σαεὶ ἀθανάτου μοίρας ἐπιλαχόντας· ἐπιστοῦτο
E μέντοι καὶ χρησμοῖς τὸν ἑαυτῆς λόγον, ἑνὶ μὲν τοιῷδε,
Οἱ προσκείμενοι τῷ κυρίῳ τῷ θεῷ, ζῆτε πάντες
ἐν τῇ σήμερον. τοὺς γὰρ πρόσφυγας καὶ ἱκέτας τοῦ
θεοῦ, μόνους ζῶντας εἶδε, νεκροὺς δὲ τοὺς ἄλλους.
ἐκείνοις δ᾽ ὡς ἔοικε καὶ ἀφθαρσίαν μαρτυρεῖ διὰ τοῦ
προσθεῖναι, ζῆτε, ἐν τῇ σήμερον· ὅδ᾽ ἐστὶν ὁ ἀπέ-
ρατος καὶ ἀδιεξίτητος αἰών. μηνῶν γὰρ καὶ ἐνιαυτῶν
καὶ συνόλως χρόνων περίοδοι, δόγματα ἀνθρώπων
εἰσὶν ἀριθμὸν ἐκτετιμηκότων· τὸ δ᾽ ἀψευδὲς ὄνο-
μα αἰῶνος, ἡ σήμερον. ἥλιος γὰρ οὐκ ἀλλαττόμενος,

ὁ αὐτός ἐστιν ἀεί, ποτὲ μὲν ὑπὸ γῆς, ποτὲ δὲ ὑπὲρ γῆν ἰών· παρ' ὃν ἡμέρα καὶ νὺξ, τὰ αἰῶνος μέτρα διεκρίθησαν· ἑτέρῳ δὲ ἐπιστοῦται τοιῷδε χρησμῷ, Ἰδοὺ δέδωκα πρὸ προσώπου σου, τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν. οὐκοῦν ὦ πάνσοφε τὸ μὲν ἀγαθὸν καὶ ἡ ἀρετή ἐστιν ἡ ζωή, τὸ δὲ κακὸν καὶ ἡ κακία ὁ θάνατος· καὶ ἐν ἑτέροις, Αὕτη ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν, ἀγαπᾶν κύριον τὸν θεόν σου. ὅρος ἀθανάτου βίου κάλλιστος οὗτος, ἔρωτι καὶ φιλίᾳ θεοῦ ἀσάρκῳ καὶ ἀσωμάτῳ κατεσχῆσθαι. οὕτως οἱ μὲν ἱερεῖς Ναδὰβ καὶ Ἀβιούδ, ἵνα ζήσωσιν ἀποθνήσκουσι, θνητῆς ζωῆς ἄφθαρτον ἀντικαταλλαττόμενοι βίον, καὶ ἀπὸ τοῦ γενομένου πρὸς τὸ ἀγένητον μετοικισάμενοι ἐφ' ᾧ τὰ σύμβολα τῆς ἀφθαρσίας ᾄδεται, Τό τε ἐτελεύτησαν ἐναντίον κυρίου, τουτέστιν ἔζησαν. νεκρὸν γὰρ οὐ θέμις εἰς ὄψιν ἐλθεῖν τοῦ θεοῦ. καὶ πάλιν τοῦτ' ἐστιν ὃ εἶπε κύριος, Ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι. Νεκροὶ δέ, ὡς καὶ ἐν ὕμνοις λέγεται, οὐκ αἰνέσουσι κύριον· ζώντων γὰρ τὸ ἔργον. Κάϊν δ' ὁ ἀναιδὴς καὶ ἀδελφοκτόνος, οὐδαμοῦ τῆς νομοθεσίας ἀποθνήσκων εὑρίσκεται, ἀλλὰ καὶ λόγιόν ἐστιν ἐπ' αὐτοῦ χρησθὲν τοιοῦτον, Ἔθετο κύριος ὁ θεὸς τῷ Κάϊν σημεῖον, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα. Διὰ τί ὅτι, οἶμαι, ἡ ἀσέβεια κακὸν ἐστιν ἀτελεύτητον, ἐξαπτόμενον καὶ μηδέποτε σβεσθῆναι δυνάμενον· ὡς τὸ ποιητικὸν ἁρμόττειν ἐπὶ κακίας εἰπεῖν, Ἡ δέ τοι οὐ θνητή, ἀλλ' ἀθάνατον κακόν ἐστιν, ἀθάνατον δ' ἐν τῷ παρ' ἡμῖν βίῳ, ἐπεὶ πρός γε τὴν ἐν θεῷ ζωὴν, ἄψυχον καὶ νεκρόν, καὶ κοπρίων, ὡς ἔφη τις, ἐκβλητότερον. ἀλλ' ἔδει γε πάντως χώρας ἀπονεμηθῆναι διαφερούσας πράγμασι διαφέρουσιν, οὐρανὸν μὲν ἀγαθῷ, τὰ δὲ περίγεια κακῷ. τὸ μὲν οὖν ἀγαθόν, αἰθεροφοιτόν ἐστι, κἂν εἴ ποτε ἔλθῃ πρὸς ἡμᾶς· φιλόδωρος γὰρ ὁ πατὴρ αὐτοῦ· σπουδάζει παλινδρομῆσαι δικαίως. τὸ δὲ κακὸν ἐνταυθοῖ καταμένει, πορρωτάτω θείου χοροῦ διῳκισμένον, περὶ πολὺν τὸν θνητὸν βίον, καὶ μὴ δυνάμενον ἐκ τοῦ ἀνθρωπίνου γένους ἀποθανεῖν. τοῦτό τις καὶ τῶν ἐπὶ σοφίᾳ θαυμασθέντων ἀνὴρ δόκιμος ἔφησε μεγαλοφρονέστερον ἐν Θεαιτήτῳ φάσκων, Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη· οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δέ, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν. εἰκότως οὖν ὁ Κάϊν οὐκ ἀποθνήσκει, τὸ κακίας σύμβολον, ὃν ἀεὶ δεῖ ζῆν ἐν τῷ θνητῷ

A semper idem est, nunc sub terra nunc super terram decurrens, diei noctisque arbiter, quibus metimur secula. Alterũ autẽ oraculum sic attestabatur. Ecce posui coram te vitam & mortem, bonũ & malum. ergo vir sapiens crede bonum virtutẽ & vitam esse, malum vero mortem & vitium. Alibi quoque legitur: Hæc est tua vita & longæuitas, Dominũ Deum tuum diligere. Egregia vitæ immortalis definitio, Dei dilectione amoréque incorporeo corripi. sic sacerdotes

B Nadab & Abiud vt viuant moriuntur, pro mortali vita recipientes incorruptibilem, & à creaturis ad creatorem migrantes. argumentum immortalitatis eorum est quod legitur: Tunc mortui sunt coram Domino, id est vixerunt. mortuum enim nefas est venire in conspectum Dei. Idem dicit ipse Dominus: In propinquantibus mihi sanctificabor. Mortui vero, sicut & in hymnis canitur, non laudabunt Dominum. hoc

C enim viuorum est officium. Caini vero impudentis fratricidæ mors nusquam in lege inuenitur, imò extat hoc oraculum de illo: Apposuit Dominus Deus Caino signum, ne quis eum inuentum interimeret. Cur ita? Opinor, quia impietas malum est infinitum, quod semel accensum nunquam extingui potest, in quam competit illud poeticum:

Immortale malum, nulla delebile morte.

Immortale in præsenti vita, alioquin apud Deum exanime mortuúmque, & vt quidam inquit, abiectius quam ster-

D quilinium. oportebat autem diuersas regiones rebus differentibus attribui, bono cælum, malo terræ confinia. Itaque bonum superna petit, etiamsi nonnunquam ad nos descendit. quia pater eius est munificus. sed meritò cupit sursum recurrere. Malum vero hic permanet, à diuinó choro semotum quam longissime, oberrans circa vitam mortalẽ, cũ non possit morte sua mortale genus relinquere. id quidam inter sapientes celebratus testatur magnifice in Thea-

E teto sic: Sed nec penitus extirpari mala est possibile: nam Deo semper aliquid opponi necessum est: nec tamen apud superos locum habere possunt, coacta circa mortalem naturam & hæc inferiora loca oberrare. quare conandum est hinc illuc fugere quam celerrime. est autem fuga, si Deo similes efficiamur pro viribus. proinde merito Cain non moritur, qui significat vitiũ, semper victurũ in genere mortali cũ hominibus.

itaque non absurde dictum est morte mori homicidam, propter causas iam prædictas. quod autem dicitur de inuoluntarijs homicidijs: Non sponte, sed Deus eum tradidit, valde bene dictum est. existimat enim voluntaria facinora esse nostri animi, inuoluntaria vero ad Deum referenda: non loquor de peccatis, sed de pœnis peccatorum. non est enim decorum vt ipse Deus puniat, cum sit primarius legislator optimus, sed per alios animaduertit in homines noxios: non per semetipsum. Conuenientius enim est vt gratias, beneficia, munera, porrigat ipse suapte natura bonus ac munificus: supplicia vero non sine iussu eius, qui regnum sempiternum tenet, per alios tamen exigantur quos decet tale ministerium. Testis est mihi meditator ille his verbis: Deus qui nutrit me à iuuentute mea, angelus ille qui me liberat è malis omnibus. antiquiora bona quibus anima nutritur, accepta Deo fert: Dei famulo posteriora, quæ ad fugam peccati pertinent. ideo sicut opinor, & cum de mundi opificio philosophatur, postquam dixit omnia cætera Deum creasse, solum hominem etiam alijs cooperantibus plasmatum esse docuit. Dixit, inquit, Deus: Faciamus hominem ad imaginem nostram: per hoc verbum Faciamus multitudinem significans. Ergo pater ille rerum alloquitur suas potentias, quibus mortalem hanc animæ nostræ partem fingendam dedit, imitantibus artem ipsius, quãdo rationalem in nobis formabat: æquum ducens vt à principe rerum principalis pars fabricaretur in anima, subiectæ vero, à subditis potentijs. vsus est autem his potentijs non solum ob modo memoratam causam, sed quia hominis anima sola intellectum bonorum malorúmque habitura erat, & electura alterutrum quando vtrumque non potest. necessarium igitur duxit malorum facturam alijs tribui opificibus: bonorum vero sibi soli. quapropter cum prius dixisset, faciamus hominem, tanquam de pluribus mox tanquã de vno loquitur, Fecit Deus hominẽ. nam veri hominis, qui est mẽs purissima, vnus solus Deus est opifex: plures vero eius qui vulgo sic vocatur, mixtus atque temperatus ex sensibus. quamobrem ille eximius homo indicatur per articulũ, legitur enim, Fecit Deus illũ hominem, illũ specie mixturáque carentẽ intellectũ,

A ζωῆς πρὸς ἀλήθειαν· ὥστ' οὐκ ἀπὸ σκοποῦ τὸ θανάτῳ θανατούσθω λελέχθαι τὸν ἀνδροφόνον, διὰ τὰς δεδηλωμένας αἰτίας. τὸ δέ, Οὐχ ἑκών, ἀλλ' ὁ θεὸς παρέδωκεν, ἐπὶ τῶν τὸν ἀκούσιον φόνον δρώντων, πάνυ καλῶς εἴρηται. δοκεῖ γὰρ αὐτῷ τὰ μὲν ἑκούσια γνώμης τῆς ἡμετέρας ἔργα εἶναι, τὰ δ' ἀκούσια θεοῦ, λέγω δ' οὐ τὰ ἁμαρτήματα, ἀλλὰ τὰ ποινῶν αἴτια ὅσα ἁμαρτημάτων ἐστὶ κόλασις. ἀπρεπὲς γὰρ θεῷ τὸ κολάζειν, ἅτε πρεσβυτάτῳ καὶ ἀρίστῳ νομοθέτῃ, κολάζει δ' ὑπηρετούντων ἑτέρων, οὐ δι' ἑαυτοῦ.

B τὰς μὲν γὰρ χάριτας καὶ δωρεὰς καὶ εὐεργεσίας αὐτὸν ἁρμόττει προτείνειν, ἅτε ἀγαθὸν καὶ φιλόδωρον ὄντα φύσει, τὰς δὲ τιμωρίας οὐκ ἄνευ μὲν ἐπικελεύσεως τῆς ἑαυτοῦ, βασιλέως ἅτε ὑπάρχοντος· δι' ἑτέρων δέ, οἳ πρὸς τὰς τοιαύτας χρείας εὐπρεπεῖς εἰσι. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ἀσκητής, ἐν οἷς φησιν, Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. τὰ μὲν γὰρ πρεσβύτερα ἀγαθὰ οἷς ἡ ψυχὴ τρέφεται,

C αὐτῷ ἀνῆκε θεῷ, τὰ δὲ νεώτερα, ὅσα ἐκ φυγῆς ἁμαρτημάτων περιγίνεται, θεράποντι θεοῦ. διὰ τοῦτ' οἶμαι καὶ ἡνίκα τὰ τῆς κοσμοποιίας ἐφιλοσόφει, πάντα τἄλλα εἰπὼν ὑπὸ θεοῦ γενέσθαι, μόνον τὸν ἄνθρωπον ὡς ἂν μετὰ συνεργῶν ἑτέρων ἐδήλωσε διαπλασθέντα. Εἶπε γάρ, φησίν, ὁ θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, πλήθους διὰ τοῦ ποιήσωμεν ἐμφαινομένου. διαλέγεται οὖν ὁ τῶν ὅλων πατὴρ ταῖς ἑαυτοῦ δυνάμεσιν, αἷς τὸ θνητὸν ἡμῶν τῆς ψυχῆς μέρος ἔδωκε διαπλάττειν,

D μιμουμέναις τὴν αὐτοῦ τέχνην, ἡνίκα τὸ λογικὸν ἐν ἡμῖν ἐμόρφου, δικαιῶν ὑπὸ μὲν ἡγεμόνος τὸ ἡγεμονεῦον ἐν ψυχῇ, τὸ δ' ὑπήκοον, πρὸς ὑπηκόων δημιουργεῖσθαι. κατεχρήσατο δὲ καὶ ταῖς μεθ' ἑαυτοῦ δυνάμεσιν, οὐ διὰ τὸ λεχθὲν μόνον, ἀλλ' ὅτι ἔμελλεν ἡ ἀνθρώπου ψυχὴ μόνη κακῶν καὶ ἀγαθῶν ἐννοίας λαμβάνειν, καὶ χρῆσθαι ταῖς ἑτέραις, εἰ μὴ δυνατὸν ἀμφοτέραις. ἀναγκαῖον οὖν ἡγήσατο τὴν κακῶν γένεσιν ἑτέροις ἀπονεῖμαι δημιουργοῖς, τὴν δὲ τῶν ἀγαθῶν ἑαυτῷ μόνῳ. διὸ

E καὶ λεχθέντος πρότερον, Ποιήσωμεν ἄνθρωπον, ὡς ἂν ἐπὶ πλήθους, ἐπιφέρεται τό, ὡς ἂν ἐφ' ἑνός, ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον. τοῦ μὲν γὰρ πρὸς ἀλήθειαν ἀνθρώπου, ὃς δὴ νοῦς ἐστι καθαρώτατος, εἷς ὁ μόνος θεὸς δημιουργός· τοῦ δὲ λεγομένου καὶ κεκραμένου μετ' αἰσθήσεως, τὸ πλῆθος· οὗ χάριν ὁ μὲν κατ' ἐξοχὴν ἄνθρωπος σὺν τῷ ἄρθρῳ μεμήνυται· λέγεται γάρ, Ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, τὸν ἀειδῆ καὶ ἄκρατον ἐκεῖνον

λογισμόν· ὁ δὲ, ἄνθρωπος ἄνευ τῆς τοῦδε προσθήκης. τὸ γὰρ, ποιήσωμεν ἄνθρωπον, ἐμφαίνει τὸν ἐξ ἀλόγου καὶ λογικῆς συνυφανθέντα φύσεως. ἑπόμενος τούτοις, τό, τε εὐλογεῖν τοὺς ἀγαθοὺς, καὶ τὸ καταρᾶσθαι τοῖς ὑπεναντίοις ἔθηκεν, οὐχὶ τοῖς αὐτοῖς, καίτοι γε ἀμφοτέρων ἐχόντων ἔπαινον· ἀλλ' ἐπεὶ τὸ μὲν εὐλογεῖν τοὺς ἀξίους, ἡγεμονίαν ἔχει τὴν ἐν ἐγκωμίοις, τὸ δὲ ἀρὰς τοῖς φαύλοις τίθεσθαι, δευτέραν τάξιν τῶν ἐπὶ ταῦτα χρηματισθέντων. εἰσὶ δὲ οἱ τοῦ γένους ἀρχηγέται δώδεκα ἀριθμόν· φυλάρχας αὐτοὺς ὀνομάζειν ἔθος. ἓξ μὲν τοὺς ἀμείνους ἔταξεν ἐπὶ τῆς εὐλογίας, Συμεὼν, Λευὶ, Ἰούδαν, Ἰσσάχαρ, Ἰωσὴφ, καὶ Βενιαμίν· τοὺς δὲ ἑτέρους, ἐπὶ τῆς κατάρας, τόν τε πρῶτον καὶ τὸν ὕστατον τῆς Λείας, Ῥουβὴμ, καὶ Ζαβουλὼν, καὶ τοὺς ἐκ τῶν θεραπαινίδων νόθους τέτταρας. τῆς γὰρ βασιλείου καὶ ἱερωμένης φυλῆς οἱ ἡγεμόνες ἐν τῇ προτέρᾳ τάξει χορεύουσιν, Ἰούδας τε καὶ Λευί. εἰκότως οὖν καὶ τοὺς ἄξια θανάτου δράσαντας, ἑτέρων χερσὶν ἐκδίδωσιν ἐπὶ τιμωρίαν, βουλόμενος ἡμᾶς ἀναδιδάσκειν, ὅτι ἡ κακοῦ φύσις, μακρὰν ἀπελήλαται χοροῦ θείου, ὁπότε καὶ τὸ μιμηλάζον ἀγαθὸν κακῷ ἡ τιμωρία, δι' ἑτέρων βεβαιοῦται. τὸ δὲ, Δώσω σοὶ τόπον, οὗ φεύξεται ὁ φονεύσας ἀκουσίως, πάνυ καλῶς εἰρῆσθαί μοι δοκεῖ. τόπον γὰρ καλεῖ νῦν, οὐ χώραν ἐκπεπληρωμένην ὑπὸ σώματος, ἀλλὰ δι' ὑπονοιῶν αὐτὸν τὸν θεόν· ἐπειδὴ περιέχων οὐ περιέχεται, καὶ ὅτι καταφυγὴ τῶν ὅλων ἐστί· θέμις οὖν τῷ δόξαντι τροπῇ χρήσασθαι ἀκουσίῳ, φάναι κατὰ θεὸν συμβῆναι τὴν τροπὴν, ὥσπερ οὐ θέμις τῷ ἑκουσίως ἁμαρτάνοντι. δώσειν δέ φησιν, οὐ τῷ κτείναντι, ἀλλ' ᾧ διαλέγεται· ὥστε ἕτερον μὲν εἶναι τὸν οἰκήτορα, ἕτερον δὲ τὸν φεύγοντα. τῷ μὲν γὰρ ἑαυτοῦ λόγῳ ὁ θεὸς πατρίδα οἰκεῖν τὴν ἐπιστήμην ἑαυτοῦ, ὡς ἂν αὐτόχθονι δεδώρηται, τῷ δὲ ἐν ἀκουσίοις γενομένῳ σφάλμασι, καταφυγὴν, ὡς ὀθνείῳ ξένην, οὐχ ὡς πατρίδα ἀστῷ. ταῦτα καὶ περὶ τῶν ἀκουσίων φιλοσοφήσας, περὶ τῆς ἐπισυστάσεως καὶ βουλεύσεως ἑξῆς νομοθετεῖ φάσκων, Ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καταφυγὴν ποιεῖται ἐπὶ τὸν θεὸν, τὸν προειρημένον συμβολικῶς τόπον, παρ' ὃν ζῆν συμβέβηκε τοῖς πᾶσι. καὶ γὰρ ἑτέρωθί φησιν, Ὃς ἂν φύγῃ ἐκεῖ, καὶ ζήσεται· ἀλλ' οὐ ζωὴ μέν ἐστιν αἰώνιος ἡ πρὸς τὸ ὂν καταφυγὴ, θάνατος δὲ ὁ ἀπὸ τούτου δρασμός. εἰ δέ τις ἐπιτίθεται, πάντως ἐκ προνοίας ἀδικεῖ, καὶ τὸ σὺν δόλῳ πραττόμενον, ἑκουσίοις ἔνοχον, ὡς τὸ ἀδόλως, ἔμπαλιν, οὐδὲ ὑπαίτιον.

A vulgaris autem homo ſine huiuſmodi additamento ponitur. nam cum dicit, Faciamus hominem, è bruta rationalique anima contextum ſignificat. Huc accedit quod benedictio bonorum & maledictio contrariorum, non per eoſdem fit, quamuis vtraque ſit laudabilis. Quoniam autem in demonſtratiuo genere primum eſt laudare dignos, ſecundum vituperare eos qui merentur: cum ſint huius generis principes duodecim numero, qui phylar-
B chæ ſolent nominari: ſex præſtantiores, collocauit in benedictione, Simeonem, Leuim, Iudam, Iſacharem, Ioſephum, Beniamin: reliquos in maledictione, primum ac nouiſſimum è Liæ filijs Ruben & Zabulonem, & quatuor illos ex ancillis genitos. nam regiæ ſacerdotaliſque tribus principes, Iudas & Leui, in priore cenſentur ordine. merito igitur etiam qui morte digna patrarunt facinora, in aliorum manus deduntur ad ſuppli-
C cium: vt doceamur quod mali natura longe à diuino choro exulat, quando etiam bonum propter ſolam mali ſimilitudinem, executionem per alios accipit. Illud autem, Dabo tibi locum quò fugiat qui nolens occidit, valde recte dictum mihi videtur. Locum enim vocat nunc non eum qui occupatur à corpore, ſed obſcure ipſum Deum ſubindicat. continet enim ille non continetur, & eſt omnibus refugium. Fas igitur eſt dicere, eum qui
D nolens mutatur, mutari diuinitus, quod de ſponte peccantibus dicere non licet. Daturum autem ſe ait, non interfectori, ſed ei cum quo loquitur: vt alius ſit habitator, alius profugus. nam ſuo populo Deus patriam dat cognitionem ſui, quam vt indigena inhabitet: eandem futuram per errorem lapſis refugium, ſed vt inquilinis non vt ciuibus. Poſt hæc ſapienter ſtatuta de cæde non voluntaria, tranſit legiſlator ad inſidias dicens: Quod ſi quis
E dolo aggreſſus proximum vt occideret, ad Deum confugiat. Locum videlicet quem figurate dixerat, in quo vita contingit omnibus. nam & alibi dicit: Quiſquis illuc fugerit viuet. nimirum vita æterna eſt ad illud Ens refugium, ſicut contrà mors, ab illo fugere. quod ſi quis inſidiatur, omnino volens facit iniuriam: & quod dolo fit reum facit, ſicut inſontem quod ſine dolo fit. Ergo nullum facinus ſuppuratum,

dolosum, & data opera patratum, meretur vt dicatur factum ex Dei sententia, sed ex nostra propria. intra nos ipsos enim vt dixi, thesauri vitiorum sunt, apud Deum vero solorum bonorum. quisquis igitur eò confugerit. id est quicunque peccati autorem non seipsum sed Deum incusat, puniatur: nec prosit ei refugium, quod solis supplicibus est salutiferum. & meritò. nam altare plenum est immaculatis victimis, animabus inquam purificatis & innocentibus. est autem næuus insanabilis, autorem malorum Deum dicere. proinde qui sic male morati sunt, vt seipsos magis ament quam Deum, procul à sacris maneant scelesti & impuri, nec è longinquo sacram flammã animæ inextinguibiliter accensæ ac Deo consecratæ spectare idonei. Perpulchrum est quod quidam è priscis sapientibus in hanc sententiam est ausus dicere: Deus haudquaquam iniustus est, sed dici non potest quàm sit iustissimus. ei nihil est similius, quàm qui non est. circa hunc est robur viri & vera grauitas, itémque timiditas & ignauia. Nam hunc nosse, sapientia & vera virtus est: contrà, huius ignorantia, ruditas est & manifestum vitium. Aliæ vero præcellentiæ vt videntur & sapientiæ in potestatibus publicis onerosæ sunt, in artibus vero vulgares & humiles. Postquam igitur iussit abstrahi male de Deo loquentem à sacrarijs, & tradi ad supplicium. deinceps ait: qui verberat matrem patrémve, moriatur.] Tantum non clamat ac vociferatur, nemini dandam veniam qui in Deum blasphemus sit. nam si mortali parenti conuiciatus luit supplicium, qua pœna dignus videri potest qui male loqui sustinet de parente creatoréque rerum omnium? & quod potest esse conuicium grauius quàm contendere, non ex nobis mala prouenire, sed ex Deo? Arcete igitur arcete ô initiati & mysteriorum præsules à diuinis orgijs confusam colluuiem animarum impurarum, contaminatarum maculis ineluibilibus, inobseratas aures, & reclusam linguam habentium, & instrumenta suæ miseriæ parata circumferentium; vt & loquantur quidvis, & nefaria dictu audiant. cæterum qui norunt quid intersit inter voluntaria & inuoluntaria, & os bene loqui doctum pro calumniatrice lingua sortiti sunt, dum recte faciunt laude

A οὐδὲν οὖν τῶν ἑκουσίως καὶ δολερῶς καὶ ἐκ προνοίας προσεπιτελουμένων ἀδικημάτων, ἄξιον λέγειν γίνεσθαι κατὰ τὸν θεόν, ἀλλὰ καθ' ἡμᾶς αὐτούς. ἐν ἡμῖν γὰρ αὐτοῖς, ὡς ἔφην, οἱ τῶν κακιῶν εἰσι θησαυροί· παρὰ θεῷ δὲ μόνων ἀγαθῶν. ὃς ἂν οὖν καταφύγῃ, τοῦτ' ἔστιν, ὃς ἂν τῶν ἁμαρτημάτων μὴ ἑαυτόν, ἀλλὰ τὸν θεὸν αἰτιᾶται, κολαζέσθω, τῆς μόνοις ἱκέταις πρὸς σωτηρίαν καὶ ἀσφάλειαν καταφυγῆς τοῦ βωμοῦ στερούμενος. καὶ μήποτ' εἰκότως. ἀ-
B μώμων γὰρ ἱερείων, λέγω δὲ ψυχῶν ἀσινῶν καὶ κεκαθαρμένων τὸ θυσιαστήριον ἀνάπλεών ἐστι· δυσίατος δὲ ἢ παντελῶς ἀνίατος μῶμος, τὸ φάσκειν καὶ κακῶν αἴτιον εἶναι τὸ θεῖον. φίλαυτοι δὲ μᾶλλον ἢ φιλόθεοι σπουδάσαντες οἱ τοιοῦτοι ὑπὸ πάντων εἶναι, ἐλαυνέσθωσαν ἔξω περιρραντηρίων, ἵν' ὡς μιαροὶ καὶ ἀκάθαρτοι, μηδ' ἐξ ἀπόπτου τὴν ἱερὰν φλόγα τῆς ἀνασβεννυμένης ἀσβέστου ψυχῆς καὶ θεῷ καθαγιζομένης, ὁλοκλήρῳ καὶ παντελεῖ δυνάμει θεάσωνται. παγκάλως τις τῶν πάλαι σο-
C φῶν εἰς ταυτὸ τοῦτο συνδραμών, ἐθάῤῥησεν εἰπεῖν, ὅτι θεὸς οὐδαμῇ οὐδαμῶς ἄδικος, ἀλλ' ὡς οἷόν τε δικαιότατος· οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδέν, ἢ ὃς ἂν οὐ γίνηται. περὶ τοῦτον ῥώμη τε ἐστὶν ἡ ὡς ἀληθῶς δεινότης ἀνδρός, καὶ οὐδένειά τι καὶ ἀνανδρία. ἡ μὲν γὰρ τούτου γνῶσις, σοφία καὶ ἀρετὴ ἀληθινή. ἡ δὲ ἄγνοια, ἀμαθία τε καὶ κακία ἐναργής. αἱ δὲ ἄλλαι δεινότητες δοκοῦσαι καὶ σοφίαι, ἐν μὲν πολιτικαῖς δυναστείαις γινόμεναι, φορτικαί, ἐν δὲ τέχναις, βάναυσοι. προστάξας οὖν
D ἀπάγεσθαι τὸν ἀνίερον κακήγορον τῶν θείων ἀπὸ τῶν ἱερωτάτων, καὶ ἐκδίδοσθαι ἐπὶ τιμωρίᾳ, φησὶν ἑξῆς, Ος τύπτει μητέρα ἢ πατέρα, τελευτάτω. μονονοὺ γὰρ βοᾷ καὶ κέκραγεν, ὅτι τῶν εἰς τὸ θεῖον βλασφημούντων, οὐδενὶ συγγνώμης μεταδοτέον. εἰ γὰρ οἱ τοὺς θνητοὺς κακηγορήσαντες γονεῖς ἀπάγονται τὴν ἐπὶ θανάτῳ, τίνος ἀξίους χρὴ νομίζειν τιμωρίας τοὺς τὸν ὅλων πατέρα καὶ ποιητὴν βλασφημεῖν ὑπομένοντας· τίς δ' ἂν γέ-
E νοιτο αἰσχίων κακηγορία, ἢ τὸ φάσκειν μὴ περὶ ἡμᾶς, ἀλλὰ περὶ θεὸν γένεσιν εἶναι τῶν κακῶν. ἐλαύνετε οὖν, ἐλαύνετε ὦ μύσται καὶ ἱεροφάνται θείων ὀργίων τὰς μιγάδας καὶ συγκλύδας καὶ πεφυρμένας, δυσκαθάρτους καὶ δυσεκπλύτους ψυχάς, αἳ ἄκλειστα μὲν ὦτα, ἄθυρον δὲ γλῶτταν, ὄργανα τῆς ἑαυτῶν βαρυδαιμονίας εὐτρεπῆ περιφέρουσιν, ἵνα καὶ πάντων, καὶ ὧν μὴ θέμις ἀκούωσιν· ὅσοι δὲ διαφορὰν ἑκουσίων καὶ ἀκουσίων ἐπαιδεύθησαν, καὶ εὔφημον στόμα ἀντὶ κακηγόρου γλώττης ἔλαχον,

κατορθοῦντες μὲν ἐπαινετοί, σφαλλόμενοι δὲ μὴ κατὰ γνώμην, οὐ πάνυ ψεκτοί· διὸ καὶ πόλεις αὐτοῖς εἰς καταφυγὴν ἀπεκρίθησαν. ἄξιον δὲ τὰ περὶ τὸν τόπον αὐτὸν τὰ ἀναγκαῖα μάλιστα ἀκριβῶσαι. ἔστι δὲ ἀριθμῷ τέτταρα, ἓν μὲν διὰ τί οὐκ ἐξ ὧν αἱ ἄλλαι φυλαὶ πόλεων ἔλαχον, ἀλλ' ἐξ ὧν ἡ Λευιτικὴ μόνη, φυγάσι πόλεις ἀπεκρίθησαν· δεύτερον δὲ, διὰ τί ἓξ ἀριθμῷ, καὶ οὔτε πλείους οὔτε ἐλάττους· τρίτον, τί δήποτε τρεῖς μὲν πέραν τοῦ Ἰορδάνου, αἱ δ' ἕτεραι ἐν τῇ Χαναναίων γῇ· τέταρτον, διὰ τί προθεσμία τοῖς φυγάσιν ὥρισται τοῦ κατελθεῖν, ὁ τοῦ ἀρχιερέως θάνατος. λεκτέον οὖν περὶ ἑκάστου τὰ ἁρμόττοντα, ἀρχὴν ἀπὸ τοῦ πρώτου λαβόντας. εἰς τὰς ἀπονεμηθείσας Λευίταις μόνοις πόλεις φεύγειν εἴρηται, πάνυ προσηκόντως. καὶ γὰρ Λευῖται τρόπον τινὰ φυγάδες εἰσίν, ἕνεκα θρησκείας θεοῦ γονεῖς καὶ τέκνα καὶ ἀδελφοὺς καὶ πᾶσαν τὴν θνητὴν συγγένειαν ἀπολελοιπότες. ὁ γοῦν ἀρχηγέτης τοῦ θιάσου τούτου λέγειν εἰσάγεται τῷ πατρὶ καὶ τῇ μητρί, Οὐχ ἑώρακα ὑμᾶς, καὶ τοὺς ἀδελφοὺς οὐ γινώσκω, καὶ τοὺς υἱοὺς ἀπογινώσκω, ὑπὲρ τοῦ δίχα μεθολκῆς θεραπεύειν τὸ ὄν. ἡ δ' ἀψευδὴς φυγή, στέρησις τῶν οἰκειοτάτων καὶ φιλτάτων ἐστί, καὶ φυγάδας φυγάσι συνεκπατρίσει, πρὸς τὴν ὧν εἰργάσαντο ἀμνηστίαν, δι' ὁμοιότητα ἔργων. ἆρ' οὖν διὰ τοῦτο μόνον, ἢ καὶ δι' ἐκεῖνο ἡ τῶν νεωκόρων Λευιτικὴ φυλὴ τοὺς θεοπλαστήσαντας τὸν χρυσοῦν μόσχον, τὸν Αἰγυπτιακὸν τῦφον, ἡβηδὸν ἐξ ἐπιδρομῆς κατέκτεινεν ὀργῇ δικαίᾳ συνενθουσιασμῷ καὶ τινὶ κατοκωχῇ θεοφορήτῳ χρησάμενοι. Καὶ κτείνει ἕκαστος ἀδελφὸν καὶ πλησίον καὶ τὸν ἔγγιστα, ἀδελφὸν μὲν ψυχῆς τὸ σῶμα, τοῦ δὲ λογικοῦ πλησίον τὸ ἄλογον, τοῦ δ' ἔγγιστα νοῦ, τὸν προφορικὸν λόγον. οὕτω γὰρ μόνως θεραπευτικὸν γένοιτο ἂν τοῦ ὄντος ἀρίστου τὸ ἐν ἡμῖν αὐτοῖς ἄριστον· πρῶτον μὲν, εἰ ἀναλυθείη ἄνθρωπος εἰς ψυχήν, διαζευχθέντος καὶ διακοπέντος αὐτοῦ τοῦ ἀδελφοῦ σώματος καὶ τῶν ἀπλήστων ἐπιθυμιῶν· εἶτα, τῆς ψυχῆς ἀποβαλλούσης, ὡς ἔφην, τὸ πλησίον τοῦ λογικοῦ τὸ ἄλογον. καὶ γὰρ αὐτὸ χειμάρρου τρόπον πενταχῆ σχιζόμενον, διὰ πασῶν τῶν αἰσθήσεων οἷα διεκβολῶν, τὴν παθῶν ἀνεγείρει φοράν· εἶθ' ἑξῆς τοῦ λογισμοῦ διοικίσαντος καὶ διαζεύξαντος τὸν ἐγγυτάτω δοκοῦντα εἶναι τὸν προφορικὸν λόγον, ἵν' ὁ κατὰ διάνοιαν ἀπολειφθῇ μόνος, ἔρημος σώματος, ἔρημος αἰσθήσεως, ἔρημος γε λόγου προφορᾶς. ἀπολειφθεὶς γὰρ, τῇ κατὰ τὴν μόνωσιν διαίτῃ χρώμενος, τὸ μόνον καθαρῶς καὶ ἀμεθέλκτως

A digni sunt, si quando vero labuntur per imprudentiam, non sunt admodum vituperabiles: & ideo ciuitates eis ad refugium selectæ sunt. Dignum est enim vt de hoc loco dispiciamus quædam necessaria. Sunt autem quatuor, primum cur non ex aliarum tribuum sortibus, sed tantum ex Leuiticæ, selectæ sunt ciuitates profugis. secundum, cur sex non plures paucioresve. tertium, cur trans Iordanem tres, reliquæ in terra Chananæa. quar-
B tum, cur profugis terminus reditus præscriptus est mors summi sacerdotis. dicamus igitur quæ de singulis dicenda sunt à primo faciendo principium, quod in solis leuitis contributas ciuitates iubentur fugere æquissimum est. nam & leuitæ quodammodo sunt profugi, qui propter cultum diuinum deseruerunt parentes, liberos, germanos, & totam mortalem cognationem. quorum sodalitij princeps inducitur sic patrem matrémque alloqui: Non
C vidi vos, & fratres non noui, & filios ignoro, ne quid me à cultu eius Qui est distrahat. est autem vera fuga, priuari charissimis necessitudinibus, quæ profugos commendat profugis, vt conciliante illos similitudine, sequatur perpetratorum obliuio. aut igitur hæc causa est sola, aut illa quoque, quod sacrata leuitarum tribus, adoratores iuuenci aurei, hoc est fastus Ægyptiaci, quotquot pubertatem excesserant vno incursu contrucidauit, concita furore
D iustissimo immisso sibi diuinitus. Interficit vnusquisque fratrem suum & propinquum & proximum, germanum animæ corpus, rationi vero propinquas irrationales potẽtias, denique menti proximum sermonem qui ab ea promanat. nec enim aliter nostri pars optima potest euadere cultrix eius qui in vniuerso est optimus. sed ante omnia homo vertendus est in animam, seiuncto recisóque germano eius corpore cum suis concupiscentijs insatiabilibus. quo
E facto brutæ partes animæ seiungendæ sunt à cognatis rationalibus. nam hæ more torrentis in alueos quinque diuisi, per omnes sensuum lacunas concitant impetus affectuum. mox à mente ablegandus est sermo qui videtur ei proximus: vt sola mens supersit, à corpore, à sensu, & à sermone destituta. sic enim iam solitaria sincere complectitur id quod solum colendum est, non distracta rebus alijs. Huc accedit, quod

leuitica tribus æditorum & sacerdotũ est, penes quos est sacrorum ministeriũ. ad quod ministerium pertinent illi etiã qui inuiti patrant homicidium, siquidem teste Mose Deus tradit in manus eorũ, vt tollantur qui digni morte sunt. verum leuitarum est pro meritis referre præmia, istorũ vero punire noxios. Hæ sunt causæ ob quas homicidæ non voluntarij ad solas æditorũ ciuitates cõfugiunt: ordo postulat vt deinceps dicamus quænam sint, & cur sex numero. An quoniam antiquissima & munitissima, non solum ciuitas, sed cæterarum etiã metropolis, Dei verbum est? quod primarium & vtilissimum est refugium. aliæ quinque ceu coloniæ, potẽtiæ sunt id proferentis, & in his præcipua creatiua, per quam opifex verbo suo mundum condidit. proxima regia per quam conditor creaturis imperat. tertia propitia, per quam opifex miseratur opera sua. Quarta legislatoria, per quam etiam vetantur illicita. Pulchræ ciuitates & munitæ, animarum dignarum egregia receptacula. bonũ etiam humanúmque institutum, quod cõfirmat ad bene sperandum. quis alius potuisset tantam copiam rerum profuturarum ostendere, in tanta varietate non sponte peccantium, quibus nec vires eædem sunt, nec imbecillitas eadem? consilium est igitur vt qui cursu valet, sine respiratione contẽdat ad summum illud verbum diuinum, fontem sapientiæ, vt de riuo eius hauriens, pro morte præmium æternæ vitæ inueniat. Qui non æque celer est, ad creatiuam confugiat potentiam, quam Moses nominat Deũ, quia per eam disposita ornatáque sunt omnia. Quisquis enim mundum creatum intelligit, non mediocre bonum lucratus est, creatoris noticiam. hæc enim cito persuadet vt creatura conditorem suum diligat. Quod si quis ne ad hoc quidem est idoneus, accedat ad regiam. Timor enim cohibebit subditum, si parentis amor parum valet apud filium, vt castigatione contineatur in officio. Rursum, si quis ne hos quidem terminos, vt longinquos valet attingere, huic interiores metæ præfixæ sunt necessariarum potentiarum, propitiæ, & præcipientis quid agendum, ac vetantis nequid fiat quod fieri non debet. nam quicunque iam persuasum habet, Deum esse non inclementem, sed natura exorabilem, is etiamsi peccato præueniatur, mox pœnitet, dũ sperat fore vt ille obliuiscatur.

A ἀποδώσεται. πρὸς γ᾽ μὴν τοῖς εἰρημένοις, κἀκεῖνο
ὑπομνηστέον, ὅτι ἡ λευιτικὴ φυλὴ, νεωκόρων καὶ
ἱερέων ἐστὶν, οἷς ἡ τῶν ἁγίων ἀνάκειται λειτουργία·
λειτουργοῦσι δὲ καὶ οἱ τὸν ἀκούσιον φόνον δρῶντες, εἴ
γε κατὰ Μωσῆν ὁ θεὸς παραδίδωσιν εἰς τὰς χεῖρας
αὐτῶν τοὺς θανάτου ἄξια εἰργασμένους πρὸς
ἀναίρεσιν. ἀλλ᾽ οἱ μὲν ἐπ᾽ ἀρετῇ ἐπὶ τὸ τοὺς ἀγα-
θοὺς σεμνῦναι, οἱ δ᾽ ἐπὶ τὸ τοὺς ὑπαιτίους κολά-
ζειν. αὗται μὲν εἰσὶν αἱ αἰτίαι, ὧν ἕνεκα οἱ τὸν ἀκού-
σιον φόνον δράσαντες εἰς μόνας τὰς τῶν νεωκόρων
B φεύγουσι πόλεις. τίνες δέ εἰσι, καὶ διὰ τί τὸν ἀριθμὸν
ἕξ, ἑπομένως λεκτέον. μήποτ᾽ οὖν ἡ μὲν πρεσ-
βυτάτη καὶ ὀχυρωτάτη καὶ ἀρίστη μητρόπολις, οὐκ
αὐτὸ μόνον πόλις, ὁ θεῖος ἐστὶ λόγος; ἐφ᾽ ὃν πρῶ-
τον καταφεύγειν ὠφελιμώτατον· αἱ δ᾽ ἄλλαι πέν-
τε ὡς ἂν ἀποικίαι, δυνάμεις εἰσὶ τοῦ λέγοντος, ὧν
ἄρχει ἡ ποιητικὴ, καθ᾽ ἣν ὁ ποιῶν λόγῳ τὸν κό-
σμον ἐδημιούργησε· δευτέρα δ᾽ ἡ βασιλικὴ, καθ᾽
ἣν ὁ πεποιηκὼς ἄρχει τοῦ γενομένου· τρίτη δ᾽ ἡ
C ἵλεως, δι᾽ ἧς ὁ τεχνίτης οἰκτείρει καὶ ἐλεεῖ τὸ ἴδιον ἔρ-
γον· τετάρτη δ᾽ ἡ νομοθετικὴ μοῖρα, δι᾽ ἧς ἃ μὴ
χρὴ γίνεσθαι ἀπαγορεύει. πάγκαλοι δὲ καὶ εὐερκέσταται
πόλεις, ἀξίων σώζεσθαι ψυχῶν τὸν αἰῶνα ἄρισται γε
καταφυγαί. χρηστὴ δὲ καὶ φιλάνθρωπος ἡ διάταξις,
ἀλεῖψαι καὶ ῥῶσαι πρὸς εὐελπιστίαν. τίς γὰρ ἂν ἐδυνήθη
μᾶλλον τοσαύτην τῶν δυναμένων εὐεργετεῖν ἀνα-
δεῖξαι ἀφθονίαν, διὰ τὰς διαφορὰς τῶν ἐν ταῖς
ἀκουσίοις γενομένων, οἷς οὔτε ἰσχὺς, οὔτε ἡ ἀσθένεια
ἡ αὐτή. προτρέπει δὲ τὸν μὲν ὠκυδρομεῖν ἱκανὸν,
D συντείνειν ἀπνευστὶ πρὸς τὸν ἀνωτάτω λόγον θεῖον,
ὃς σοφίας ἐστὶ πηγὴ, ἵνα ἀρυσάμενος τοῦ νάμα-
τος, ἀντὶ θανάτου ζωὴν ἀΐδιον ἆθλον εὕρηται· τὸν δὲ
μὴ οὕτω ταχὺν, ἐπὶ τὴν ποιητικὴν καταφεύγειν
δύναμιν, ἣν Μωσῆς ὀνομάζει θεὸν, ἐπειδὴ δι᾽ αὐτῆς
ἐτέθη καὶ ἐκοσμήθη τὰ σύμπαντα. ὁ γὰρ ὅτι γέγο-
νε τὸ πᾶν καταλαβόντι μεγάλη κτῆσις ἀγαθοῦ
περιγίνεται, ἡ τοῦ πεποιηκότος ἐπιστήμη· ἥ δ᾽ εὐθὺς
ἀναπείθει τὸ γενόμενον ἐρᾶν τοῦ φυτεύσαντος· τὸν δὲ
E μὴ οὕτως ἕτοιμον, ἐπὶ τὴν βασιλικήν. φόβῳ γὰρ
ἄρχοντος τὸ ὑπήκοον, εἰ καὶ μὴ εὐνοίᾳ πατρὸς τὸ ἔκ-
γονον, ἀνάγκῃ σωφρονιζόμενον νουθετεῖται· τῷ δὲ μὴ
φθάνοντι πρὸς τοὺς λεχθέντας ὅρους ὡς μακρὰν διε-
στῶτας ἀφικέσθαι, καμπτῆρες εἴσω πεπήγασιν ἕ-
τεροι δυνάμεων ἀναγκαίων, τῆς ἵλεω, τῆς προστατ-
τούσης ἃ δεῖ, τῆς ἀπαγορευούσης ἃ μὴ δεῖ. ὅ,τε γὰρ
παραλαβὼν ὡς οὐκ ἀπαραίτητον, ἀλλ᾽ εὐμενὲς δι᾽
ἡμερότητα φύσεώς ἐστι τὸ θεῖον, κἂν ἁμάρτῃ πρό-
τερον, αὖθις μετανοήσει, ἀμνηστίας ἐλπίδι, ὅ,τε ἐν-

νοίας λαβών, ὅτι νομοθέτης ὁ θεός ἐστι, πειθαρχῶν οἷς ἂν προστάττῃ πᾶσιν, εὐδαιμονήσει. ὁ δ᾽ ὕστατος, ὑστάτην εὑρήσεται καταφυγὴν, ἀπόστασιν κακῶν, εἰ καὶ μὴ μετουσίαν προηγουμένων ἀγαθῶν. αὗται δ᾽ εἰσὶν ἓξ πόλεις, ἃς καλεῖ φυγαδευτήρια, ὧν αἱ μὲν πέντε ἀπεικονίσθησαν, καί ἐστιν αὐτῶν ἐν τοῖς ἁγίοις τὰ μιμήματα, προστάξεως μὲν καὶ ἀπαγορεύσεως, οἱ ἐν τῇ κιβωτῷ νόμοι· τῆς δ᾽ ἵλεω δυνάμεως, τὸ ἐπίθεμα τῆς κιβωτοῦ· καλεῖ δ᾽ αὐτὸ ἱλαστήριον· ποιητικῆς δὲ καὶ βασιλικῆς, τὰ ὑπόπτερα καὶ ἐφιδρυμένα Χερουβίμ. ὁ δ᾽ ὑπεράνω τούτων λόγος θεῖος, εἰς ὁρατὴν οὐκ ἦλθεν ἰδέαν, ἅτε μηδενὶ τῶν κατ᾽ αἴσθησιν ἐμφερὴς ὤν, ἀλλ᾽ αὐτὸς εἰκὼν ὑπάρχων θεοῦ, τῶν νοητῶν ἁπάξ ἁπάντων ὁ πρεσβύτατος, ὁ ἐγγυτάτω, μηδενὸς ὄντος μεθορίου διαστήματος, τοῦ μόνου ὅ ἐστιν ἀψευδῶς ἀφιδρυμένος. λέγεται γὰρ, Λαλήσω σοὶ ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δυοῖν Χερουβίμ, ὥστε ἡνίοχον μὲν εἶναι τῶν δυνάμεων τὸν λόγον, ἔποχον δὲ τὸν λαλοῦντα ἐπικελευόμενον τῷ ἡνιόχῳ τὰ πρὸς ὀρθὴν τοῦ παντὸς ἡνιόχησιν. ὁ μὲν οὖν αὐθαιρέτης ἑκουσίου μὲν ἅπαγε, ἀλλὰ καὶ τῆς ἀκουσίου γεγονὼς, αὐτὸν τὸν θεὸν κλῆρον ἕξει, ἐν αὐτῷ μόνῳ κατοικήσει· οἱ δ᾽ οὐκ ἐκ προνοίας, ἀλλ᾽ ἀβουλήτοις χρησάμενοι σφάλμασι, καταφυγὰς ἕξουσι τὰς εἰρημένας ἀφθόνους καὶ πλουσίας. ὧν δὲ τῶν πρὸς καταφυγὴν πόλεων, τρεῖς μέν εἰσι πέραν, αἳ μακρὰν ἡμῶν τοῦ γένους ἀφεστῶσι. τίνες αὗται; ὁ τοῦ ἡγεμόνος λόγος, καὶ ἡ ποιητικὴ καὶ βασιλικὴ δύναμις αὐτοῦ. τούτων γὰρ ὅ, τε οὐρανὸς καὶ σύμπας ὁ κόσμος ἐστί· κοινωνοὶ δὲ καὶ προσεχεῖς ἡμῖν καὶ ἐφαπτόμεναι τοῦ τῶν ἀνθρώπων ἐπικήρου γένους, ᾧ μόνῳ συμβέβηκε διαμαρτάνειν, αἱ ἐντός εἰσι τρεῖς, ἡ ἵλεως, ἡ προστακτικὴ τῶν ποιητέων, ἡ ἀπαγορευτικὴ τῶν μὴ ποιητέων. αὗται γὰρ ἤδη ἡμῶν ἐφάπτονται. τίς γὰρ ἀπαγορεύσεως χρεία τοῖς μὴ μέλλουσιν ἀδικήσειν; τίς δὲ προστάξεως, τοῖς μὴ πεφυκόσι σφάλλεσθαι; τίς δὲ τοῦ ἵλεω, τοῖς μηδ᾽ ὅλως ἁμαρτησομένοις; ἀλλὰ τό γε ἡμέτερον γένος, χρεῖον γέγονε τούτων, διὰ τὸ πεφυκέναι καὶ ἐπικλινῶς ἔχειν πρός τε τὰ ἑκούσια καὶ ἀκούσια ἁμαρτήματα. τέταρτον καὶ λοιπὸν ἦν τῶν προτεθέντων, ἡ προθεσμία τῆς τῶν πεφευγότων καθόδου, τοῦ ἀρχιερέως ὁ θάνατος, πολλὴν ἐν τῷ ῥητῷ μοι παρέχουσα δυσκολίαν. ἄνισος γὰρ ἡ τιμωρία κατὰ τῶν τὰ αὐτὰ δρασάντων νομοθετεῖται, εἴγε οἱ μὲν πλείω χρόνον ἀποδράσονται, οἱ δὲ ἐλάττω. μακροβιώτεροι γὰρ, οἱ δὲ ὀλιγοχρονιώτατοι τῶν ἀρχιερέων εἰσί·

A & quisquis credit Deum esse legis autorem, mandata seruando felicitatem assequetur. postremus vltimum habebit refugium, vt malis careat, si bonis superioribus potiri non datur. Hæ sunt illæ sex ciuitates, quæ refugia vocantur: ex quibus quinque suas figuras habent ac imagines in sacris literis: præcepti quidem & interdictionis leges in arca reconditas: propitiationis autem, arcæ ipsius operculum. hoc enim vocatur propitiatorium. creatiuæ porrò B ac regiæ potentiæ, duo Cherubim alata huic apposita. cæterum intellectus ille diuinus omnibus his superior, non cadit in visibilem speciem, vt qui nulli rei sensibili est similis, sed ipse imago Dei, antiquissimus omnium intelligibilium, & summo proximus, quandoquidem nihil medium est inter ipsum & Ens illud verissimum. Scriptum est enim, Loquar tibi supra propitiatorium inter duo Cherubim: vt verbum potentijs pro auriga sit, is vero C qui loquitur pro vectore, ad cuius celeuma vniuersum hoc auriga regat & temperet. Ergo ille qui tantum abest vt sponte delinquat, vt ne imprudens quidem id faciat, ipsum Deum sortem habebit, in eo solo habitaturus. Cæterum qui non de industria, sed inconsulte labuntur, habebunt refugia ciuitates felices & diuites. Itaque tres earum sunt transamnenses, multum à nostro genere dissitæ. Quænam hæ? Verbum illius summi principis, & potentiæ creatiua regiáque. D harum enim cælum & vniuersus mundus est. confines autem & contiguæ humano mortali generi, quod solum peccato est obnoxium, tres citeriores, propitia, & imperatiua, atque prohibitoria. nam hæ iam ad nos pertinent. quid enim opus est interdictione non aberraturis à iustitia? quid præcepto, nisi his qui suapte natura procliues ad lapsum sunt? quid illa propitia potentia peccato nulli obnoxijs? Sed nostrum genus his opus ha- E bet, sic natum vt ad sponte secúsve peccandum procliue sit. Superest quarta quæstio ex propositis, reditus tempus præfinitum profugis, mors summi sacerdotis, quæ mihi non paruum exhibet negotium. In eadem enim culpa dispar pœna lege statuitur, dum alijs longius, alijs breuius fit exilium. nam quidam pontifices longæui sunt, quidam cito defunguntur:

&c alij iuuenes, alij senes accipiunt sa- A
cerdotium. item inuoluntariæ cædis
rei quidam initio pontificatus profu-
giunt, quidam sub mortem pontificis:
atque ita quidam per longum tempo-
ris spatium carent solo patrio, alij per
vnum diem si fors ferat. quo elapso
ceruicem erigunt, & superbi deriden-
tésque cognatos occisi, domos suas
repetunt. hanc difficultatem in qua
hæremus ita licebit euadere, si ratio-
nes naturales omiserimus. Hæc est igi-
tur nostra sententia, pontificem hunc B
non hominem, sed Dei verbum esse,
quod expers est peccatorum omnium,
non solum spontaneorum, verum etiam
inuoluntariorum. hunc enim negat Mo-
ses vel ob patrem intellectum, vel ob
matrem sentiendi vim contaminari, vt
opinor ideo, quia parentes immorta-
les purissimósque sortitus est: patrem
Deum qui omnium rerum pater est,
matrem vero sapientiam, per quam
quicquid est, cum prius non fuerit, in
lucem prodijt. & ideo caput eius vn- C
gitur oleo: principatus inquam eius
splendido circumfulget lumine, vt me-
rito existimetur amictus vestibus. nam
antiquissimum eius Qui est verbum
mundo vt veste induitur. vestitur enim
terra, aqua, aere, igne, & cæteris quæ
ex his ortum habent. Anima autem par-
ticularis vestitur corpore, & sapientis
mens virtutibus. Quod autem caput
eius perpetuo mitra tegitur, signifi-
cat diadema regium, insigne potesta-
tis non summæ quidem, sed proregiæ,
alioquin mirificæ. idem vetatur vestem D
scindere. nam & Entis illius verbum
cum sit vinculum rerum omnium, vt
dictum est, continet partes omnes &
constringit non sinens eas dissolui dila-
bique: & particularis anima, quantum
potest non permittit vllam partem cor-
poris præter naturam diffindi resecari-
que, ita vt integræ omnes & inter se
vnitæ cohæreant indissolubiles. mens
item sapientis purificata integras & cõ-
iunctas virtutes conseruat, conciliante E
eas naturali cognatione. Hic pontifex
ad nullam animam mortuam, vt in-
quit Moses, superueniet. mors autem
animæ est vita cum vitio. itaque nul-
lum scelus attinget, qualia tractare so-
let insipientia. huic etiam virgo è sa-
crato genere iungitur, pura, inconta-
minata, semper incorrupta sententia.
nam viduæ vel expulsæ vel profanæ
vel meretricis maritus nunquam fiet,

καὶ οἱ μὲν νέοι, οἱ δὲ πρεσβῦται καθίστανται· καὶ τῶν ἑαλωκότων ἐπ' ἀκουσίῳ φόνῳ, οἱ μὲν ἐν ἀρχῇ τῆς ἱερωσύνης ἐφυγαδεύθησαν, οἱ δὲ ἤδη μέλλοντος τελευτᾶν τοῦ ἱερωμένου· ὡς τοὺς μὲν αἰῶνα μακρόν τινα τῆς πατρίδος ἐστερῆσθαι, τοὺς δὲ αὐτὸ μόνον ἡμέραν εἰ τύχοι. μεθ' ἣν τὸν αὐχένα ἐπαίροντες καὶ φρυαττόμενοι καὶ γελῶντες τοὺς ἐγγίστα γένους τῶν ἀνῃρημένων, ἀφίξονται. τὸ ἄπορον οὖν καὶ δυσαπολόγητον ἀποδρασόμεθα, τὸ δι' ὑπονοιῶν φυσικῆς ἀποδόσεως ἐφιέμενοι. λέγομεν γὰρ τὸν ἀρχιερέα οὐκ ἄνθρωπον, ἀλλὰ λόγον θεῖον εἶναι, πάντων οὐχ ἑκουσίων μόνον, ἀλλὰ καὶ ἀκουσίων ἀδικημάτων ἀμέτοχον. οὔτε γὰρ ἐπὶ πατρὶ τῷ νῷ, οὔτε ἐπὶ μητρὶ τῇ αἰσθήσει φησὶν αὐτὸν Μωσῆς δύνασθαι μιαίνεσθαι, διότι οἶμαι γονέων ἀφθάρτων καὶ καθαρωτάτων ἔλαχε, πατρὸς μὲν θεοῦ, ὃς καὶ τῶν συμπάντων ἐστὶ πατήρ· μητρὸς δὲ σοφίας, δι' ἧς τὰ ὅλα ἦλθεν εἰς γένεσιν· καὶ διότι τὴν κεφαλὴν κέχρισται ἐλαίῳ· λέγω δὲ, τὸ ἡγεμονικὸν φωτὶ αὐγοειδεῖ περιλάμπεται, ὡς ἀξιόχρεως ἐνδύσασθαι τὰ ἱμάτια νομισθῆναι· ἐνδύεται δὲ ὁ μὲν πρεσβύτατος τοῦ ὄντος λόγος ὡς ἐσθῆτα, τὸν κόσμον. γῆν γὰρ καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ, καὶ τὰ ἐκ τούτων ἐπαμπίσχεται. ἡ δὲ ἐπὶ μέρους ψυχὴ, τὸ σῶμα· ἡ δὲ τοῦ σοφοῦ διάνοια, τὰς ἀρετάς· καὶ ὅτι τὴν κεφαλὴν οὐδέποτε ἀπομιτρώσει, τὸ βασίλειον οὐκ ἀποθήσεται διάδημα, τὸ σύμβολον τοῦ οὐκ αὐτοκράτορος μὲν, ὑπάρχου δὲ καὶ θαυμαστῆς ἡγεμονίας. οὐδ' αὖ τὰ ἱμάτια διαρρήξει. ὅ,τε γὰρ τοῦ ὄντος λόγος, δεσμὸς ὢν τῶν ἁπάντων ὡς εἴρηται, καὶ συνέχει τὰ μέρη πάντα, καὶ σφίγγει, καὶ κωλύει αὐτὰ διαλύεσθαι καὶ διαρτᾶσθαι, ἥ τ' ἐπὶ μέρους ψυχὴ, καθ' ὅσον δυνάμεως μεμοίραται, τῶν τοῦ σώματος οὐδὲν ἀποσχίζεσθαι καὶ ἀποτέμνεσθαι μερῶν παρὰ φύσιν ἐᾷ· τὸ δὲ ἐπ' αὐτῇ πάντα ὁλόκληρα ὄντα, ἁρμονίαν καὶ ἕνωσιν ἀδιάλυτον ἄγει τὴν πρὸς ἄλληλα· ὅ,τε κεκαθαρμένος τοῦ σοφοῦ νοῦς, ἀρρήκτους καὶ ἀπήμονας διαφυλάττει τὰς ἀρετάς, τὴν φυσικὴν αὐτῶν συγγένειάν τε καὶ κοινωνίαν ἁρμοσάμενος εὐνοίᾳ παγιωτέρᾳ. οὐκ ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ, ἤ φησι Μωσῆς, οὐκ εἰσελεύσεται, θάνατος δὲ ψυχῆς ὁ μετὰ κακίας ἐστὶ βίος· ὥστε οὐδέ τινος ἄγους ὧν προσβολὴν ἀφροσύνη φιλεῖ, ποτὲ προσάψεται. τούτῳ καὶ παρθένος ἐκ τοῦ ἱεροῦ γένους ἁρμόζεται, καθαρὰ καὶ ἀμίαντος καὶ ἀδιάφθορος εἰσαεὶ γνώμη. χήρας γὰρ καὶ ἐκβεβλημένης καὶ βεβήλου καὶ πόρνης ἀνὴρ οὐδέποτε γίνεται, πόλεμον ἄσπονδον καὶ ἀκήρυκτον

πρὸς αὐτὰς ἀεὶ συγκροτῶν. ἐχθρὸν γὰρ αὐτῷ τὸ χηρεύειν ἀρετῆς, καὶ ἐκβεβλῆσθαι καὶ πεφυγαδεῦσθαι πρὸς αὐτῆς, καὶ πᾶν ὅ, τι ἂν ᾖ βέβηλον πίσμα καὶ ἀνίερον, τὸ δὲ πολυμιγὲς καὶ πολύανδρον καὶ πολύθεον. ἄθεον μὲν οὖν κακὸν πόρνην οὐδὲ προσιδεῖν ἀξιοῖ, τὴν ἕνα ἄνδρα καὶ πατέρα τὸν ἡγεμόνα θεὸν ἐπιγεγραμμένην ἠγαπηκώς. ὑπερβολή τις περὶ τὸν τρόπον τοῦτον τελειότητος ἐμφαίνεται. τὸν μέν γε τὴν μεγάλην εὐξάμενον εὐχὴν, οὐδέ που καὶ ἀκουσίως σφαλησόμενον, εἰ μὴ καὶ ἑκουσίῳ γνώμῃ. λέγει γὰρ, Ἐὰν δέ τις ἀποθάνῃ ἐπ᾽ αὐτῷ ἐξάπινα, παραχρῆμα μιανθήσεται. τὰ γὰρ ἀβουλήτως ἔξωθεν αἰφνίδιον κατασκήπτοντα, παραχρῆμα τὴν ψυχὴν, οὐ πρὸς αἰῶνα μήκιστον μιαίνει, ἅτε ὄντα ἀκούσια. τούτων δ᾽ ὁ ἀρχιερεὺς καθαρὸς καὶ τῶν ἑκουσίων ὑπερβαίνων τὰς ὀργάς. ταῦτα δ᾽ οὐκ ἀπὸ σκοποῦ μοι λέλεκται, ἀλλ᾽ ὑπὲρ τοῦ διδάξαι, ὅτι φυσικωτάτη προθεσμία καθόδου φυγάδων, ὁ τοῦ ἀρχιερέως ἐστὶ θάνατος. ἕως μὲν γὰρ ὁ ἱερώτατος οὗτος λόγος ζῇ καὶ περίεστιν ἐν ψυχῇ, ἀμήχανον τροπὴν ἀκούσιον εἰς αὐτὴν κατελθεῖν. ἀμέτοχος γὰρ καὶ ἀπαράδεκτος πάντως εἶναι πέφυκεν ἁμαρτήματος. ἐὰν δ᾽ ἀποθάνῃ, οὐκ αὐτὸς διαφθαρεὶς, ἀλλ᾽ ἐκ τῆς ἡμετέρας ψυχῆς διαζευχθεὶς, κάθοδος εὐθὺς δίδοται τοῖς ἀκουσίοις σφάλμασιν. εἰ γὰρ μένοντος καὶ ὑγιαίνοντος ἐν ἡμῖν ἐξῳκίζετο, μεταναστάντος πάντως εἰσοικισθήσεται. γέρας γὰρ ἐξαίρετον ὁ ἀμίαντος ἀρχιερεὺς ἔλεγχος ἐκ φύσεως κεκλήρωται, τὸ μηδέποτ᾽ εἰς αὐτὸν παραδέξασθαι τόπον, γνώμης ὄλισθον. διόπερ ἄξιον εὔχεσθαι ζῆν ἐν ψυχῇ τὸν ἀρχιερέα ὁμοῦ καὶ δικαστὴν ἔλεγχον, ὃς ὅλον ἡμῶν τὸ διανοίας ἀποκεκληρωμένος δικαστήριον, ὑπ᾽ οὐδενὸς τῶν ἀγομένων εἰς κρίσιν δυσωπεῖται. λελαληκότες οὖν τὰ ἁρμόττοντα περὶ φυγάδων, τὴν κατὰ τὸν εἱρμὸν ἀκολουθίαν συνυφανοῦμεν. λέγεται γὰρ ἐξ ἀρχῆς, Εὗρεν αὐτὴν ἄγγελος κυρίου καθ᾽ ὁδὸν, ψηφισάμενος ὑπ᾽ αἰδοῦς κινδυνευούσῃ ψυχῇ πλανᾶσθαι, καὶ μόνον οὐκ προπομπὸς γενόμενος τῆς εἰς τὴν ἀπλανῆ γνώμην ἐπανόδου. χρήσιμον δὲ καὶ περὶ εὑρέσεως καὶ ζητήσεως φιλοσοφήσαντα τῷ νομοθέτῃ, μὴ ἡσυχασθῆναι. τοὺς μὲν γὰρ εἰσάγει μηδὲν μήτε ζητοῦντας, μήτε εὑρίσκοντας, τοὺς δὲ ἐν ἑκατέρῳ κατορθοῦντας, ἐνίους δὲ θάτερον πεποιημένους· ὧν οἱ μὲν ζητοῦντες οὐχ εὑρίσκουσιν, οἱ δ᾽ εὑρίσκουσιν οὐ ζητήσαντες. οἱ μὲν οὖν μήτε εὑρέσεως μήτε ζητήσεως ἐφιέμενοι, τὸν λογισμὸν ἀπαιδευσίᾳ καὶ ἀμελετη-

A perpetuus inimicus harum omnium: odit enim viduatas virtutes, & expulsas profligatásque ab ea, atque etiam omnẽ profanam persuasionem, & promiscuam consuetudinem cum multis numinibus. proinde impiam meretricem ne aspicere quidem dignatur, amator eius fœminæ quæ vnum maritum habet, & vnum parentem profitetur Deum omnipotentem. in huiusmodi cõditione apparet eximia quædam perfectio. nam illum qui magnam precationem precatus est constat si non sponte, B lapsum certe per incuriam. Dicit enim: Quod si quis coram eo repente moriatur, in præsens contaminabitur. nam si quid præter voluntatem repente ingruit, in præsens animam non in longum tempus contaminat, cum non sit voluntarium. De his pontifex non est solicitus, quippe tum his tum voluntarijs superior. Hæc autem non extra propositum dixi, sed vt docerem, non alienum esse à iure naturali, mortem ponti- C ficis præscribi profugis exilij terminum. nam quamdiu hoc sanctissimum verbum viuum superest in anima, non est possibile verti eam sponte in deterius. expers est enim peccati omnis, & suopte ingenio abhorret ab eo. quod si moriatur, non quòd ipsum pereat, sed disiungatur à nostra anima, confestim datur reditus peccatis inuoluntarijs. nam si illo saluo in nobis exulabant, omnino post eius discessum redibunt. hic enim eximius honor impolluto pon- D tifici à natura est exhibitus, vt illo præsente mentis error locum non habeat. ideo votis omnibus expetendum est vt viuat in anima pontifex, iudex simul & redargutor, qui pro mentis tribunali erga reorum personas sit indifferens. Hactenus de profugis quantum locus postulabat, deinceps sequemur contextum reliquum. Inuenit, inquit, eam angelus Domini in via.] Nimirum missus vt animæ præ pudore periclitan- E ti ne aberraret succurreret, tantum non dux itineris futurus rediture ad expertem erroris sententiam. Profuerit autem & de inuẽtione quæstionéque vnà cum legislatore philosophari. Quosdam enim inducit nec quærentes nec inuenientes, alios vtroque modo felices, alios alterutro frustratos: quòd ex his quidam quærendo non inueniunt, quidam non quærendo inueniunt. Quicunque nec quærere nec inuenire cupiunt, rationẽ suam per ineruditionem

& inexercitationem afflixerunt grauiter, & cum possent acute cernere, cæcati sunt. Sic ait vxorem Lot retrorsum versam mutatam in statuam, non fabulam fingens, sed rei proprietatem indicans. Quisquis enim contempto præceptore per innatam simul & consuetam socordiam relinquit anteriora, per quæ posset videre, audire, aliisque vti potentijs ad res naturales dijudicandas: & circumacta retrorsum ceruice, cæca vitæ negocia pluris facit quam partes sui corporis, infamis statua fit nihil à surdo inanimatóque lapide differens. non habent enim, vt Moses loquitur, tales mores cor vt intelligant, oculos vt videant, aures vt audiant, sed cæcam, surdam, stupidam, omni sensu orbatam, minime vitalem vitam sibi reddiderunt, nihil curantes eorum quæ curare deberent. huius chori princeps est rex regionis corporeæ. Conuersus, inquit, Pharao intrauit in domum suam, ac ne huic quidem rei mentem adhibuit. ac si diceret, nihil vnquam curauit, sed passus est se tanquam plantam incultam arescere & sterilescere. nam consiliarij disceptando considerandóque intellectum acuunt: qui si se exerceat, domi natos fructus percipiet, perspicacitatem & solertiam: sin se tradat incogitantiæ, torpescit & hebetat aciem prudentiæ. Verum istam brutam & prorsus inanimatam sodalitatem valere sinamus: præstat ad quærentes & considerantes conferre se. ac mox occurret mos ciuilis, non ambitiosus tamen, cupidus melioris generis quod virtutes sortitæ sunt, & quod quærit inuenire inducitur. Inuenit, inquit, homo Iosephum in campo, & interrogauit, Quid quæris? qui respondit, Fratres meos quæro. indica mihi vbi pascant. Dixítque ei homo: Discesserunt hinc. audiui enim eos dicentes, Eamus in Dothain. & secutus est Ioseph fratres suos, & inuenit eos in Dothain. Interpretatur Dothain defectio non parua, quod significat animam non mediocriter sed perfecte deseruisse vanas opiniones, quæ mulierum magis quàm virorum negotijs sunt similes. ideo pulchre virtutem Sarram deficiunt muliebria, circa quæ occupati sunt qui parum virilem effœminatámque vitam sectantur. at sapiens etiam deficiens apponitur secundum Mosem.

A σία χαλεπῶς ἠκίσαντο, καὶ δυνάμενοι ὀξὺ καθορᾶν, ἐπηρώθησαν. οὕτω φησὶ τὴν γυναῖκα Λὼτ στραφεῖσαν εἰς τοὐπίσω, γενέσθαι στήλην, οὐ μυθοπλαστῶν, ἀλλὰ πράγματος ἰδιότητα μηνύων. ὃς γὰρ ἂν ὀλιγωρήσας τοῦ διδάσκοντος ὑπὸ ῥαθυμίας ἐμφύτου τε ὁμοῦ καὶ συνήθους, τὰ μὲν πρόσω καταλίπῃ, δι' ὧν ὁρᾶν καὶ ἀκούειν καὶ ταῖς ἄλλαις δυνάμεσιν ἔστι χρῆσθαι, πρὸς τὴν τῶν φύσεως πραγμάτων ἐπίκρισιν, ἐκτραχηλίσας δ' αὐτὸν εἰς τοὐπίσω περιαγάγῃ, τὰ τυφλὰ τῶν B ἐν τῷ βίῳ πραγμάτων μᾶλλον ἢ τῶν τοῦ σώματος μερῶν ἐζηλωκώς, ἀψύχου καὶ κωφῆς λίθου τρόπον στηλιτεύεται. οὐ γὰρ ἔχουσιν, ἥ φησι Μωσῆς, οἱ τοιοῦτοι τρόποι καρδίαν συνιέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν, ἀλλὰ τυφλὸν καὶ κωφὸν καὶ ἀνόητον καὶ πάντα πηρὸν βίον ἀβίωτον ἑαυτοῖς ἐξειργάσαντο, οὐδενὶ τῶν δεόντων ἐφιστάντες. ἡγεμὼν δ' ἐστὶ τοῦ χοροῦ τούτου ὁ τῆς σωματικῆς χώρας βασιλεύς. Ἐπιστραφεὶς γάρ, φησί, C Φαραὼ, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ οὐκ ἐπέστησε τὸν νοῦν οὐδ' ἐπὶ τούτῳ, ἴσον τῷ, ἐπ' οὐδενὶ τὸ παράπαν, ἀλλ' εἴασεν αὐτὸν οἷα φυτὸν ἀγεώργητον ἀφαυαίνεσθαι, καὶ στειρούμενον ἀγονίᾳ χρῆσθαι. οἱ μέν γε βουλευόμενοι καὶ σκοπούμενοι καὶ πάντ' ἐπιμελῶς ἐξετάζοντες, ἀκονῶσι καὶ παραθήγουσιν αὐτόν· ὁ δὲ γυμναζόμενος, τοὺς οἰκείους φέρει καρπούς, ἀγχίνοιάν τε καὶ σύνεσιν, δι' ὧν τὸ ἀφενάκιστον περιγίνεται· ὁ δ' ἀπερίσκεπτος, ἀμβλύνει καὶ περιθραύει τὰς φρονήσεως ἀκμάς. D τὸν μὲν οὖν ἄλογον καὶ ἄψυχον ὡς ἀληθῶς τῶν τοιούτων θίασον ἐατέον· τὸν δὲ τῇ σκέψει καὶ ζητήσει χρωμένων, ἐπικριτέον. αὐτίκα τοίνυν ὁ πολιτικὸς μέν, ἥκιστα δὲ δοξομανὴς τρόπος, ἐφιέμενος τοῦ ἀμείνονος γένους, ὃ ἀρεταὶ κεκλήρωνται, ζητῶν τε καὶ ἀνευρίσκων αὐτὸ, εἰσάγεται. Εὗρε γάρ, φησίν, ἄνθρωπος τὸν Ἰωσὴφ ἐν πεδίῳ, καὶ ἠρώτησεν αὐτόν, τί ζητεῖς, ὁ δὲ εἶπεν, τοὺς ἀδελφούς μου ἐγὼ ζητῶ· ἀνάγγειλόν μοι ποῦ βόσκουσιν. εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος, ἀπήρκασιν ἐντεῦθεν. ἤκουσα γὰρ αὐτῶν λεγόντων, E πορευθῶμεν εἰς Δωθαΐν. καὶ ἐπορεύθη Ἰωσὴφ κατόπιν τῶν ἀδελφῶν αὐτοῦ, καὶ εὗρεν αὐτοὺς ἐν Δωθαΐν. ἑρμηνεύεται Δωθαῒν ἔκλειψις ἱκανή, σύμβολον ψυχῆς, οὐ μέσως, ἀλλὰ τελείως ἀποδεδρακυίας τὰς κενὰς δόξας, αἳ γυναικῶν μᾶλλον ἢ ἀνδρῶν ἐπιτηδεύμασιν ἐοίκασι· διὸ πάνυ καλῶς ἡ ἀρετὴ Σάρρα τὰ γυναικεῖα ἐκλείπει, περὶ ἃ πονοῦνται οἱ τὸν ἄνανδρον καὶ θῆλυν ὄντως βίον μεταδιώκοντες· ὁ δὲ σοφός, καὶ ἐκλείπων προστίθεται κατὰ Μωσῆν·

A Μωσῆν· φυσικώτατα. τὴν γὰρ τῆς κενῆς δόξης ἀφαίρεσιν πρόσθεσιν ἀληθείας εἶναι συμβέβηκεν. εἰ δ' εἴ τις ἔτ' ἐν θνητῷ καὶ πολυμιγεῖ καὶ πολυμόρφῳ βίῳ διατρίβων, καὶ κεχρημένος ἀφθόνοις ταῖς πρὸς περιουσίαν ὕλαις, σκέπτεται καὶ ζητεῖ περὶ τῆς ἀμείνονος καὶ πρὸς τὸ καλὸν μόνον ἀφορώσης γενεᾶς, ἄξιος ἀποδοχῆς ἐστιν, ἂν μὴ πάλιν τὰ ὀνείρατα καὶ φαντάσματα τῶν νομιζομένων καὶ φαινομένων ἀγαθῶν ὑπαναπλεύσαντα περιβομβήσῃ. μένων γὰρ ἐν ἀκιβδήλῳ τῇ ψυχικῇ B σκέψει κατ' ἴχνος τῶν ζητουμένων βαίνων καὶ ἐπακολουθῶν, οὐκ ἀνήσει πρότερον, ἢ τοῖς ποθουμένοις ἐντυχεῖν· ἀλλ' οὐδὲν αὐτῶν παρὰ μοχθηροῖς ἀνευρήσει. διὰ τί; ἀπήρκασι γὰρ ἐντεῦθεν, τῶν μὲν ἡμετέρων σπουδὰς ἐκλιπόντες, μετοικησάμενοι δ' εἰς τὸν ἔρημον κακῶν, εὐσεβῶν χῶρον. λέγει δὲ ταῦτα ὁ ἀληθινὸς ἄνθρωπος ὁ ἐπὶ ψυχῆς ἔλεγχος, ὃς ἀπορουμένην καὶ σκεπτομένην καὶ ζητοῦσαν αὐτὴν ἰδὼν εὐλαβεῖται, μὴ πλανηθεῖσα διαμάρτῃ τῆς ὀρθῆς ὁδοῦ. πάνυ τεθαύμακα κἀ- C κείνους, τὸν μὲν φιλοπευστοῦντα περὶ τοῦ μέσου τῶν ἄκρων καὶ λέγοντα, Ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν· τὸν δ' ἀποκρινόμενον, Ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν τέκνον, καὶ ὕστερον τὸ ἀντιδοθὲν εὑρίσκοντα. ἰδοὺ γὰρ κριὸς εἷς κατεχόμενος τῶν κεράτων ἐν φυτῷ Σαβέκ. ἴδωμεν οὖν, τί ὁ μὲν ζητῶν ἀπορεῖ, ὁ δ' ἀποκρινόμενος ἀποφαίνεται, καὶ τρίτον, τί τὸ εὑρισκόμενον ἦν. ὁ μὲν οὖν πυνθάνεται, τοιοῦτόν ἐστιν, ἰδοὺ τὸ δρῶν αἴτιον τὸ πῦρ, D ἰδοὺ καὶ τὸ πάσχον ἡ ὕλη, τὰ ξύλα, ποῦ τὸ τρίτον τὸ ἀποτέλεσμα· οἷον ἰδοὺ ὁ νοῦς, ἔνθερμον καὶ πεπυρωμένον πνεῦμα, ἰδοὺ καὶ τὰ νοητά, ὡσπερεὶ ὕλαι, ποῦ τὸ τρίτον τὸ νοεῖν· πάλιν ἰδοὺ ἡ ὅρασις, ἰδοὺ τὸ χρῶμα, ποῦ τὸ ὁρᾶν· καὶ συνόλως, ἰδοὺ ἡ αἴσθησις τὸ κριτήριον, ἀλλὰ καὶ τὰ αἰσθητὰ αἱ ὕλαι, τὸ οὖν αἰσθάνεσθαι ποῦ. ταῦτα πυνθανομένῳ δεόντως ἀποκρίνεται, ὁ θεὸς ὄψεται ἑαυτῷ. θεοῦ γὰρ ἔργον ἴδιον τὸ τρίτον. ἐπιφροσύνη γὰρ αὐτοῦ. E ὁ μὲν νοῦς καταλαμβάνει, ἡ δ' ὅρασις ὁρᾷ, καὶ πᾶσα αἴσθησις αἰσθάνεται. κριὸς δ' εὑρίσκεται κατεχόμενος, τουτέστι λόγος ἡσυχάζων καὶ ἐπέχων. ἄριστον γὰρ ἱερεῖον ἡσυχία καὶ ἐποχὴ περὶ ὧν οὐκ εἰσὶ πίστεις. ῥητὸν γὰρ μόνον τοῦτο, ὁ θεὸς ὄψεται, ᾧ γνώριμα τὰ πάντα, ὃς λαμπροτάτῳ φωτὶ ἑαυτοῦ τὰ ὅλα αὐγάζει· τὰ δ' ἄλλα οὐ ῥητὰ γενέσει, ἧς πολὺ κατακέχυται τὸ σκότος. ἠρεμία δ' ἀσφαλὲς ἐν σκότῳ. ζητήσαντες καὶ τί τὸ τρέφον ἐστὶ τὴν ψυχήν·

recte & naturaliter. quod enim vanæ opinioni demitur, id veritati apponitur. Quod si quis adhuc in mortali, promiscua multiformique vita degens, & copia rei familiaris abundans, circũspicit & quærit meliorem gentilitatẽ, solum summum bonum spectantem, dignus est qui suscipiatur, si non denuo somnijs & imaginationibus bonorum vulgarium obuersantibus sibi delectetur. manens enim in non adulterina contemplatione quæ fit oculis animæ, quæsitos assequetur per vestigia, nec prius desistet quam ad eos perueniat. Sed neminem horum apud malos inueniet. Quare? Discesserunt hinc deserentes nostra studia: transiuerũt ad desertam à malis regionem piorum hominum. Hæc autem dicit verus homo redargutor qui inest in anima: quam dum videt hæsitantem, dubiam, quærentémque, metuit ei ne aberrans rectam viam non inueniat. Illos quoque valde mirari libet, alterum scitantem de extremorum medio, dicentémque: Ecce ignis & ligna, sed vbi pecus in holocautoma? alterum respondentem, Deus prouidebit sibi de victima mi puer, ac mox inuenientem suppositam. & ecce arietem cornibus implicitum in frutice Sabec. Videamus quid à dubitante quæritur, quid respondens ostendit, tertium, quid inuenitur. Percontatio talis est. Ecce ignis causa efficiens, ecce ligna materia patiens, vbi effectus, quod requiritur tertium? ac si dicat, ecce intellectus, calidus candénsque spiritus. ecce intelligibilia, tanquam materiæ, sed vbi tertium illud, videlicet intelligere? Rursum ecce visus, ecce color, vbi videre? & in vniuersum, ecce sensus iudex, ecce obiecta eius materiæ, vbi ipsum sentire? hæc scitanti par est respõderi, Deus sibiipsi prouidebit. nam illud tertium Dei proprium opus est. ipsius enim est prouidentia. Intellectus percipit, videt visus, sentit sensus quilibet. Sed aries inuenitur hærens, hoc est ratio quiescens & assensum cohibens. opima enim victima est quies & hæsitantia in his rebus quarum certa fides non est. nam scriptura hoc tantum dicit, Deus videbit, cui nota sunt omnia, qui clarissima sua luce sibi ipse illustrat omnia. De cætero apud creaturam silentium est, quæ magna caligine offunditur. in tenebris autem nihil tutius est quam quiescere. Item qui quæsiuerunt quodnam esset alimentum animæ

(nesciebant enim, vt dicit Moses, quid A esset) inuenerunt edocti esse id verbũ & rationẽ diuinam: vnde omnes disciplinæ scientiæque perennes fluunt: & hic est ille cælestis cibus. Quod sacra scriptura indicat ex persona Dei dicẽs: Ecce ego pluo vobis panes de cælo. Nã reuera sapientiã æthercam Deus superne instillat generosis & spectandi cupidis mẽtibus. At illæ hac visa degustatãque delectatæ, experimento discũt, autorẽ tamen eius voluptatis nesciũt. ideo B percontantur, quid est hoc, melle dulcius, niue candidius? Discent autem ex vate suo, hunc esse panem quem dedit eis Dominus vt ederent. Quis igitur est hic panis, age dic. Verbum, inquit, hoc quod præcepit Dominus. Hæc præcepta diuina Israeliticæ, id est perspicaci animæ afferunt lucem simul & dulcedinem, splendore veritatis eam irradiantia, & dulcibus virtutis persuasionibus sitim honestatis refrigerantia. Quin & propheta ipse quærendo quæ C sit bene viuendi causa efficiens, inuenit quòd cum solo Deo familiaritas. Cum enim anxius quæreret, quis sum ego vt Israelitas ab eo qui regnare videtur more contra Deum rebellante liberem, monitus est oraculo pollicente Dei præsentiam. Et habent quidem inquisitiones particulares dubio procul elegantem contemplationem philosophicam: sed summum illud bonum incomparabile Deum autorẽ omnium si quis quærat, exhilaratur mox in primo eius contemplationis aditu, nec frustratur suo D proposito, prodeunte obuiam illa propitia natura per virgines gratias, & ostendente se visendi sui cupidis: non qualis est, quod fieri nequit, quoniam & Moses auertit suam faciem, veritus coràm obtueri Deum: sed quantum datur creaturæ ad res intelligibiles accedere. Hoc quoque inter præcepta relatum est. Conuertimini, inquit, ad Dominũ Deum vestrũ, & inuenietis eum, quando quæretis eum ex toto corde & ex tota anima. Absoluto hoc capite cõ- E sideremus tertiũ: vbi etiamsi non deest quærendi volũtas, inuentio tamen non sequitur. Laban quamuis scrutatus totam animalem domum Meditatoris, non inuenit, vt Moses narrat, simulacra. plenus enim erat negocijs, non somnijs & vanis imaginationibus. Nec illi cæci mente Sodomitæ furiose conati violare sacros & impollutos sermones, inuenerunt ducentem ad eos viam: sed

A οὐ γὰρ, ᾗ φησὶ Μωσῆς, ᾔδεσαν τί ἦν· εὗρον μαθόντες ῥῆμα θεοῦ καὶ λόγον θεῖον, ἀφ' οὗ πᾶσαι παιδεῖαι καὶ σοφίαι ῥέουσιν ἀέναοι, ἥδ' ἐστὶν, ἡ οὐράνιος τροφή. μηνύεται δ' ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς ἐκ προσώπου τοῦ αἰτίου λέγοντος, Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ. τῷ γὰρ ὄντι τὴν αἰθέριον σοφίαν ὁ θεὸς ταῖς εὐφυέσι καὶ φιλοθεάμοσιν ἄνωθεν ἐπιψεκάζει διανοίαις· αἱ δὲ ἰδοῦσαι καὶ γευσάμεναι, σφόδρα ἡσθεῖσαι, ἔμαθον μὲν ὃ ἔπαθον, τὸ δὲ αἴτιον ἀγνοοῦσι· διὸ πυν- B θάνονται τί ἐστι τοῦτο, ὃ μέλιτος γλυκύτερον, χιόνος δὲ λευκότερον εἶναι πέφυκε· διδαχθήσονται δὲ ὑπὸ τοῦ θεοπρόπου, ὅτι οὗτός ἐστιν ὁ ἄρτος ὃν ἔδωκε κύριος αὐτοῖς φαγεῖν. τίς οὖν ὁ ἄρτος εἰπέ· τοῦτο, φησὶ, τὸ ῥῆμα ὃ συνέταξε κύριος, ἡ θεία σύνταξις αὕτη τὴν ὁρατικὴν ψυχὴν φωτίζει τε ὁμοῦ καὶ γλυκαίνει, φέγγος μὲν τὸ ἀληθείας ἀπαστράπτουσα, πειθοῖ δὲ ἀρετῆς γλυκείᾳ, τοὺς διψῶντας καὶ πεινῶντας καλοκαγαθίας ἐφηδύνουσα. ζητήσας καὶ ὁ προφήτης C αὐτὸς, τί τοῦ κατορθοῦν αἴτιον, ἀνεῦρεν ὅτι ἡ θεοῦ μόνου συνοδός. ἐπειδὴ γὰρ ἠπόρει τίς εἰμι, καὶ τίς ὢν τὸ ὁρατικὸν γένος ἀπὸ τοῦ βασιλεύειν δοκοῦντος ἀντιθέου τρόπου ῥύσομαι, διδάσκεται χρησμῷ, ὅτι ἔσομαι μετὰ σοῦ. ζητήσεις δὲ αἱ τῶν κατὰ μέρος, ἔχουσι μὲν γλαφυρὰν θεωρίαν καὶ φιλόσοφον· πῶς γὰρ οὔ; ἡ δὲ τοῦ τῶν ὄντων ἀρίστου καὶ ἀσυγκρίτου καὶ πάντων αἰτίου θεοῦ ζήτησις, εὐφραίνει μὲν εὐθὺς ἰόντας ἐπὶ τὴν σκέψιν, ἀτελὴς δ' οὐ γίνεται, προϋπαντῶντος διὰ τὴν ἵλεων φύσιν ἑαυτοῦ ταῖς παρθένοις χά- D ρισι, καὶ ἐπιδεικνυμένου ἑαυτὸν γλιχομένοις ἰδεῖν, οὐχ οἷός ἐστιν. ἀμήχανον γὰρ, ἐπεὶ καὶ Μωσῆς ἀπέστρεψε τὸ πρόσωπον· εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ θεοῦ· ἀλλ' ὡς ἐνεχώρει γενητὴν φύσιν τῇ περὶ νοητὰ δυνάμει προσβαλεῖν. ἀναγέγραπται καὶ τοῦτο ἐν τοῖς προτρεπτικοῖς. Ἐπιστραφήσεσθε γὰρ, φησὶ, πρὸς κύριον τὸν θεὸν ἡμῶν, καὶ εὑρήσετε αὐτὸν, ὅταν ἐκζητήσητε αὐτὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ψυχῆς ἡμῶν. ἀποχρώντως λελαληκότες καὶ περὶ τούτων, ἔτι E τὸ τρίτον ἑξῆς σκεψώμεθα κεφάλαιον, ἐν ᾧ τὸ μὲν ζητεῖν ἦν, τὸ δ' εὑρίσκειν οὐχ εἵπετο. Λάβαν γοῦν διαζητήσας ὅλον τοῦ ἀσκητικοῦ τὸν ψυχικὸν οἶκον, οὐχ εὗρεν, ᾗ φησι Μωσῆς, τὰ εἴδωλα. πλήρης γὰρ πραγμάτων, οὐκ ὀνειράτων καὶ κενῶν φαντασμάτων ἦν. οὐδ' οἱ τυφλοὶ διάνοιαν Σοδομῖται σπουδάσαντες ἐκθύμως αἰσχῦναι τοὺς ἱεροὺς καὶ ἀμιάντους λόγους, εὗρον τὴν εἰς τοῦτ' ἄγουσαν ὁδὸν, ἀλλ' ὡς φησι τὸ λόγιον,

παρελήλυθε τὴν ζητοῦντες τὴν θύραν. καίτοι γε ἐν κύκλῳ πᾶσαν τὴν οἰκίαν περιθέοντες, καὶ πάντα κινήσαντες λίθον, πρὸς ἐκπλήρωσιν τῆς ἐκφύλου καὶ ἀσεβοῦς ἐπιθυμίας. ἤδη τινὲς καὶ ἀντὶ πυλωρῶν βασιλεῖς ἐθελήσαντες γενέσθαι, καὶ τὸ κάλλιστον ἐν βίῳ τάξιν καταλῦσαι, οὐ μόνον τῆς ἀδίκως ἐλπισθείσης ἐπιτροπείας ἐσφάλησαν, ἀλλὰ καὶ ἣν ἐν χερσὶν εἶχον, ἐκβαλεῖν ἠναγκάσθησαν. ἱερωσύνης γὰρ τοὺς Κορὲ στασιάσαντας ὁ νόμος διαμαρτεῖν φησὶν ἀμφοῖν. ὥσπερ γὰρ οὐ τὰ αὐτὰ παῖδες καὶ ἄνδρες μανθάνουσιν, ἀλλ' ἑκατέρᾳ τῶν ἡλικιῶν εἰσὶν ἁρμόττουσαι διδασκαλίαι, οὕτω πεφύκασιν εἶναί τινες ἀεὶ παιδικαὶ ψυχαὶ καὶ ἐν σώμασι γεγηρακόσι, καὶ ἔμπαλιν τελειόταται ἐν ἄρτι ἀκμάζουσι καὶ ἡβῶσιν. ὀφλισκάνουσιν οὖν εὐήθειαν ὅσοι μειζόνων ἢ κατὰ τὴν ἑαυτῶν φύσιν ἐρῶσιν· ἐπεὶ πᾶν τὸ ὑπὲρ δύναμιν ἐπιτάσει σφοδρότητος ἀπορήσεται, καὶ Φαραὼ ζητῶν ἀνελεῖν Μωσῆν τὸ προφητικὸν γένος, οὐδέποτε εὑρήσει· καίτοι χαλεπὸν ἀκηκοὼς κατ' αὐτοῦ λόγον, ὡς ἐπικεχειρηκότος καθελεῖν τὴν σώματος ἁπάσης ἡγεμονίαν, δυσὶ προσβολαῖς, ὧν τὴν μὲν προτέραν ἐποιήσατο πρὸς τὸν Αἰγύπτιον τρόπον, ὃς ἐπετείχιζεν ἡδονὴν ψυχῇ· πατάξας γὰρ αὐτόν, οὐσίᾳ σποράδι κατέχωσεν ἄμμῳ, τὸν αὐτὸν νομίσας ἀμφότερα εἶναι τὰ δόγματα, καὶ ἡδονὴν ὡς πρῶτον καὶ μέγιστον ἀγαθόν, καὶ ἀτόμους ὡς τῶν ὅλων ἀρχάς· τὴν δ' ἑτέραν πρὸς τὸν κατακερματίζοντα τὴν φύσιν τοῦ ἀγαθοῦ, καὶ τὸ μὲν ψυχῇ, τὸ δὲ σώματι, τὸ δὲ τοῖς ἐκτὸς ἀπονέμοντα. ὁλόκληρον γὰρ αὐτὸ βούλεται εἶναι τοῦ ἀρίστου τῶν ἐν ἡμῖν, διανοίᾳ μόνῃ προσκεκληρωμένον, καὶ μηδενὶ τῶν ἀψύχων ἐφαρμόττον. οὐδὲ τὴν ἀνίκητον ἀρετὴν καὶ πικραινομένην ἐπὶ ταῖς καταγελάστοις τῶν ἀνθρώπων σκηναῖς, ὄνομα Θαμάρ, ὁ διαπεμφθεὶς ἐπὶ τὴν ζήτησιν αὐτῆς ἀνευρεῖν ἠδυνήθη φυσικώτατα. λέγεται γάρ, Ἀπέστειλεν Ἰούδας τὸν ἔριφον ἐν χειρὶ τοῦ ποιμένος αὐτοῦ Ὀδολλαμίτου κομίσασθαι τὸν ἀρραβῶνα παρὰ τῆς γυναικός, καὶ οὐχ εὗρεν αὐτήν. ἐπηρώτησε δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου, ποῦ ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπον, οὐκ ἦν ἐνταῦθα πόρνη. καὶ ἀπεστράφη πρὸς Ἰούδαν καὶ εἶπεν, οὐχ εὗρον· καὶ οἱ ἄνθρωποι οἱ ἐκ τοῦ τόπου, λέγουσι μὴ εἶναι ὧδε πόρνην. εἶπε δὲ Ἰούδας, ἐχέτω αὐτά· ἀλλὰ μήποτε καταγελασθῶμεν. ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας. ὢ θαυμαστῆς δοκιμασίας, ὢ ἱεροπρεπεῖς πείρας, ἀρραβῶνα τίς ἔδωκεν,

A vt ait scriptura, quærendo prætererierunt ianuam: quamuis circum ædes cursitando, & omnem mouendo lapidem, vt explerent suas immanes & impias cupiditates. Nec defuerunt qui volentes à ianitorum conditione ad regnum ascendere, &, quo nihil in vita præstantius est, ordinem turbare, non solum nefaria spe frustrati sunt, verum etiam præsenti felicitate priuati fuerunt. nam eos qui cum Core conspirarant, lex narrat excidisse ab vtraque. Sicut enim
B non eadem discunt viri quæ pueri, sed suæ cuique ætati disciplinæ conueniunt: sic interdum natura fert vt animæ pueriles maneant etiam in senilibus corporibus, & contra perfectæ inueniantur in florentibus adhuc & pubentibus. Merito igitur stultitiæ notam incurrunt, qui maiora quam pro ingenio suo cupiunt. quia conatus omnis maior quam pro viribus nimietate sua vanescet, & Pharao quærens extinguere Mosem genus propheticum, nun-
C quam eum inueniet. & tamen obiectum ei graue crimen audierat, quod moliretur totius corporei regni perniciem, bis id aggressus, primum opponens se instituto Ægyptio, voluptatis arcem munienti aduersus animam. percussum enim defodit in sabulo, re passim iacente, ratus vnius esse vtraque dogmata, de voluptatis inter bona principatu, & de principijs rerum ex atomis. Iterum vero comminuenti naturam boni resistens, & partem eius animo, partem
D corpori, partem externis rebus tribuenti. Vult enim id integrum in sortem cedere menti, quæ pars nostri est præstantissima, nec dignatur id communicare cum inanimis. ne illam quidem inuictam virtutem, non admodum placentem ridendis theatris hominum, cui nomen Thamar, is qui ad eam quærendam missus est inuenit. Recte iuxta naturam. Legimus enim sic: Misit Iudas hædum per pastorem suum Odolamitam, vt reciperet pignus à mu-
E liere, & non inuenit eam. Interrogauitque homines loci eius, Vbi est meretrix quæ fuit in Ænan iuxta viam. qui responderunt: non fuit hic meretrix. & reuersus ad Iudam dixit: non inueni. & homines loci eius negant ibi vnquam fuisse meretricem. ait Iudas: habeat sibi, modo ne irrideat. ego misi hædum hunc, tu eam non inuenisti. ô mirum experimentum. ô non alienam à sacris tẽtationem. itáne pignus datur?

Mens empturiens pietatem possessionem pulcherrimam, tribus sibi caueri vult pignoribus, anulo, armilla, baculo, vt sermo cum vita conueniat, vita verò cum ratione, accedente recta disciplina, qua fulciri profuerit. id pignus an bene datum sit examinat. at quo examine noscitur? si aliqua esca objiciatur attrahendi vim habens, vt sanitas, diuitiæ, integritas corporis, aut aliquid simile, & spectetur vtrò tanquam in bilance res proclinet. nam si ad aliquid horum proclinabit, pignus certum non erit. Misit igitur hædum vt reciperet pignus à muliere, non vt omnino reportaretur, sed si forte illa indigna esset id retinere. & quomodo indigna? si eximias res mutet mediocribus, & adulterina bona pluris quàm germana faciat. Sunt autem germana bona hæc, fides, congruentia dictorum factorúmque, & rectæ disciplinæ regula: sicut è diuerso mala, incredulitas, incongruitas, ineruditio: adulterina verò ad brutum impetum pertinent. Quærens igitur non inuenit eam. difficile enim est, vel potius impossibile, in confusanea vita virtutem inuenire. & si quæratur in quouis virtutis loco, num ibi sit prostituta anima, aperte respondebitur: nec est, nec fuit antea. nam impudica, vel prostituta, vel triuialis fœmina, vel ætatis florem vili venditans, vel foris lauta ac nitida, intus sordida, vel pictæ tabellæ in morem coloribus fucata faciem ob natiuæ venustatis inopiam, vel multos viros tanquam rem bonam affectans, vel multinuba, vel ad multorum illusa libidinem, ibi non est. His auditis qui quæsiturum miserat, vir non inuidus & natura benignus, non mediocriter gauisus, inquit: Equidem optarim vt illa sit matrona bona mente prædita, honestate, temperantia, cæterísque ornata virtutibus, vno marito contenta, occupata cura & administratione rei domesticæ. Si talis est, habeat sibi quæ dedi, disciplinam, verborum cum vita congruentiam, præcipue vero fidem summe necessariam. modo ne irridear, quasi erga indignam munificus, quamuis me credo ea donasse quæ maxime conueniunt animæ. Equidem feci quod faciendum erat volenti motum experimentum sumere,

A ἐωνητικῶς ἔχουσα διάνοια τοῦ καλλίστου κτήματος θεοσεβείας, διὰ τριῶν ἐνεχύρων ἢ συμβόλων, δακτυλίου, ὁρμίσκου, ῥάβδου, βεβαιότητα καὶ πίστιν, εἱρμὸν καὶ ἀκολουθίαν λόγου πρὸς βίον, καὶ βίου πρὸς λόγον ὀρθὴν καὶ ἀκλινῆ παιδείαν, ᾗ λυσιτελὲς ἐπερείδεσθαι. τὸν ἀρραβῶνα τοῦτον εἰ καλῶς ἔδωκε, βασανίζει. τίς οὖν ἡ βάσανος; καθεῖναί τι δέλεαρ, ὁλκῷ κεχρημένον δυνάμει, δόξαν ἢ πλοῦτον, ἢ ὑγείαν σώματος, ἢ τι τῶν ὁμοιοτρόπων, καὶ γνῶναι πρὸς πότερα, καθάπερ ἐπὶ B πλάστιγγος ταλαντεύει. ῥοπὴ γὰρ εἰ γένοιτο πρός τι τούτων, ὁ ἀρραβὼν οὐ βέβαιος. ἀπέστειλεν οὖν τὸν ἔριφον κομίσασθαι τὸν ἀρραβῶνα παρὰ τῆς γυναικὸς, οὐ τοῦτο προῃρημένος πάντως ἀπολαβεῖν, ἀλλ' εἴποτε ἀναξία τοῦ κατέχειν ἐκείνη γένοιτο· γενήσεται δὲ πότε; ἡνίκα ἂν τὰ διαφέροντα διαφόρων ἀντικαταλλάξηται, τῶν γνησίων ἀγαθῶν τὰ νόθα προτιμήσασα. γνήσια μὲν οὖν ἀγαθὰ, πίστις, εἱρμὸς, καὶ ἀκολουθία λόγων πρὸς ἔργα, παι- C δείας κανὼν ὀρθός· ὡς ἔμπαλιν κακὰ, ἀπιστία, τὸ ἀνακόλουθον, ἀπαιδευσία· τὰ δὲ νόθα, ὅσα τῆς ἀλόγου φορᾶς ἀπήρτηται. ζητῶν οὖν, οὐχ ηὗρεν αὐτήν. δυσεύρετον γὰρ, ἢ καὶ παντελῶς ἀνεύρετον ἐν πεφυρμένῳ βίῳ τὸ καλόν· κἂν διαπύθηται, εἰ ἔστι περὶ πάντα τὸν τόπον τοῦ καλοῦ πεπορνευμένη ψυχὴ, ῥητῶς ἀκούσεται, ὅτι οὔτε ἔστιν, οὔτε ἦν πρότερον. ἀκόλαστος γὰρ, ἢ μαχλὰς, ἢ τριοδῖτις σοβὰς, ἢ ἡ τὴν ὥραν αὐτῆς ἐπευωνίζουσα, ἢ κα- D θαρσίοις καὶ λουτροῖς τὰ ἐκτὸς φαιδρυνομένη, τὰ δὲ ἐντὸς ῥυποῦσα, ἢ καθάπερ τὰ πινάκια χρώμασι τὴν ὄψιν ὑπογραφομένη χήτει φυσικῆς εὐμορφίας, ἢ τὸ λεγόμενον πολυάνδριον κακὸν, ὡς ἀγαθὸν μεταδιώκουσα, ἢ πολυγαμίας ἐρῶσα, ἢ πρὸς μυρία ἀνεῳγμένη, ἢ ὑπὸ μυρίων σωμάτων ὁμοῦ καὶ πραγμάτων ἐμπαιζομένη, καὶ περιυβριζομένη, κεῖθι οὐκ ἔστι. ταῦτα ὁ διαπεμψάμενος ἀκούσας, φθόνον ἠλλοτριωκὼς ἀφ' αὑτοῦ, καὶ τὴν φύσιν ἵλεως, γέγηθεν οὐ μετρίως, καί φησι, E μὴ γὰρ οὐ δι' εὐχῆς ἐστί μοι τὴν διάνοιαν ἀστείαν τε καὶ ἀστὴν ἀληθῶς εἶναι, κοσμιότητι καὶ σωφροσύνῃ καὶ ταῖς ἄλλαις διαπρεπούσαν ἀρεταῖς, ἑνὶ προσέχουσαν ἀνδρὶ, καὶ τῆς ἑνὸς οἰκουρίας ἀγαπῶσαν, καὶ μοναρχίᾳ χαίρουσαν; εἰ δὴ τοιαύτη τίς ἐστιν, ἐχέτω τὰ δεδομένα, καὶ τὴν παιδείαν, καὶ τὸν εἱρμὸν λόγου πρὸς βίον, καὶ βίου πρὸς λόγον, καὶ τὸ ἀναγκαιότατον, βεβαιότητα καὶ πίστιν. ἀλλὰ μήποτε γελασθῶμεν, ἀνάξια χαρίσασθαι δόξαντες, καί τοι γ' ὑπολαβόντες ἐπιτηδειότατα τῇ ψυχῇ δεδωρῆσθαι.

A ἀλλὰ γὰρ ἐγὼ μέν, ὅπερ εἰκὸς ἦν ἐργάσασθαι τὸν βουλόμενον τὸν ἔποπον, βάσανον καὶ δοκιμασίαν λαβεῖν πεποίηκα, δέλεαρ καθεὶς καὶ διαπειρώμενος· ὁ δὲ ἐπεδείξατο τὴν ἑαυτοῦ φύσιν οὐκ εὐάλωτον. ἄδηλον δὲ ἐμοὶ τό, διὰ τί οὐκ εὐάλωτος. μυρίους γὰρ εἶδον τῶν ἄγαν φαύλων τὰ αὐτὰ δρῶντας τοῖς λίαν ἀγαθοῖς οὐκ ἀπὸ διανοίας τῆς αὐτῆς· ἐπεὶ τοῖς μὲν ἀλήθεια, τοῖς δὲ ὑπόκρισις κεῖται, χαλεπὴ δὲ ἡ διάγνωσις ἀμφοῖν. πολλάκις γὰρ ὑπὸ τοῦ δοκεῖν προδιημερήθη τὸ εἶναι. καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας ὁ φιλάρετος ζητεῖ μέν, οὐχ εὑρίσκει δέ. ἤδη γάρ, ὡς δηλοῖ τὸ λόγιον, ἐνεπέπρηστο. B τί δὲ αἰνίττεται, σκεπτέον. τὸ μὲν μηδὲν ἁμαρτεῖν, ἴδιον θεοῦ, τὸ δὲ μετανοεῖν, σοφοῦ. παγχάλεπον δὲ καὶ δυσεύρετον τοῦτό γε. φησὶν οὖν ὁ χρησμός, ὅτι ζητῶν ἐξεζήτησε Μωσῆς ἐν τῷ θνητῷ βίῳ τὸν περὶ ἁμαρτημάτων μετανοίας λόγον. ἐσπούδαζε γὰρ εὑρεῖν ἀπαμπισχομένην τὸ ἁμαρτάνειν ψυχήν, καὶ αὖθις αἰσχύνης γυμνὴν περιϊοῦσαν ἁμαρτημάτων. ἀλλ' ὅμως οὐχ εὗρε, φλογός, λέγω δὲ τῆς ὀξυκινητοτάτης ὁρμῆς ἀλόγου καταδραμούσης, καὶ C τὴν ὅλην ψυχὴν ἐπινεμηθείσης. νικᾶται γὰρ τὰ μὲν ἐλάττω πρὸς τῶν πλειόνων, τὰ δὲ βαρύτερα πρὸς τῶν ὠκυδρομωτέρων, τὰ δὲ μέλλοντα πρὸς τῶν παρόντων. ἐσταλμένον δὲ καὶ βραδὺ καὶ μέλλον, ἡ μετάνοια, πολὺ δὲ καὶ ταχὺ καὶ συνεχὲς ἐν τῷ θνητῷ βίῳ τὸ ἀδικεῖν. εἰκότως οὖν ἐν τροπῇ τις γινόμενος, φησὶ μὴ δύνασθαι τὸ περὶ ἁμαρτίας ἐμφαγεῖν. μὴ γὰρ ἐπιτρέπειν τὸ συνειδὸς αὐτῷ μετάνοιαν τραφῆναι. διὸ λέγεται, Ἤκουσε Μωσῆς καὶ ἤρεσεν αὐτῷ. D τὰ γὰρ πρὸς γένεσιν τῶν πρὸς θεὸν μακρὰν ἀπέζευκται. τῇ μὲν γὰρ τὰ φανερὰ μόνα, τῷ δὲ καὶ τὰ ἀφανῆ γνώριμα. παραπαίει δὲ ὃς ἂν τοῦ ἀληθοῦς καταψευδόμενος, ἔτ' ἀδικῶν μετανενοηκέναι φάσκῃ· ὅμοιον ὡς εἴ τις καὶ νοσῶν τὸν ὑγιαίνοντα καθυποκρίνοιτο. μᾶλλον γὰρ ὡς ἔοικε νοσήσει, μηδὲν τῶν εἰς ὑγίειαν προσφόρων ἐπιτηδεύειν ἀξιῶν. ἐζήτει ποτὲ παραχθεὶς ὑπὸ τοῦ φιλομαθοῦς καὶ τὰς αἰτίας αἷς τὰ ἀναγκαιότατα τῶν ἐν τῷ κόσμῳ πραγμάτων ἐπιτελεῖται. E θεώμενος γὰρ ὅσα ἐν γενέσει φθειρόμενα καὶ γεννώμενα, ἀπολλύμενά τε αὖ καὶ διαμένοντα, τέθηπε καὶ καταπέπληκται καὶ ἐκβοᾷ, φάσκων, ὅτι ὁ βάτος καίεται καὶ οὐ κατακαίεται. τὸν γὰρ ἄβατον οὐ πολυπραγμονεῖ χῶρον, ὡς θείων ἐνδιαίτημα φύσεων. ἀλλ' ἤδη μέλλων ἀνήνυτον καὶ ἀτελῆ πόνον διαθλεῖν, ἐπικουφίζεται ἐλέῳ καὶ προμηθείᾳ τοῦ πάντων σωτῆρος θεοῦ, ὃς ἔχρησεν ἐκ τῶν ἀδύτων,

mittens escam & offerens. sed comperi tale ingenium non facile decipi. incertus sum tamen cur non facile capiatur. plurimos enim vidi admodum malos eadem quæ valde boni agunt facere, licet diuerso animo: quoniam in illis veritas, in his est simulatio, quæ non facile dignoscuntur. nam sæpe res minus felix fuit quàm opinio. Sed & hircum pro peccato, studiosus virtutis quærit quidem at non inuenit. iam enim, vt docet scriptura, concrematus est. id considerandum quid significet. Non peccare Deo proprium est, sapienti verò, pœnitere. & hoc quoque durum est ac inuentu difficile. Dicit igitur oraculum, quòd quærens quæsiuit Moses in vita mortali doctrinam de peccatorum pœnitentia. Conabatur enim inuenire vestitam peccatis animam, & sine pudore exuentem se eis nudantémque. non inuenit tamen, flamma, ocyssimo inquam bruto impetu descendente, depascentéque totam animam. vincuntur enim pauciora à pluribus, à velocioribus tardiora, futura à præsentibus. est autem contractum quiddam & tardum & futurum pœnitentia: contrà multa velox continua in hac vita occurrit iniustitia. Meritò igitur quidam in mutatione constitutus, negat se posse oblationem pro peccato comedere. conscientiam enim sibi non permittere vt nutriatur pœnitentia. Ideo dicitur: Audiuit Moses & placuit ei. nam res creaturæ à rebus diuinis multum disiunctæ sunt. creaturæ tantum manifesta nota sunt, creatori etiam occulta. Delirat autem & contra veritatem mentitur, qui pergens iniuste agere profitetur pœnitentiam: quod perinde est ac si ægrotus sanum se simulet. nam hoc pacto morbus reddetur grauior, dum ille nihil adhibere dignatur quod ad sanitatem sit conducibile. Olim vir discendi cupidus solicitatus est desiderio cognoscendi causas quibus efficiuntur res in mundo maxime necessariæ. Cum enim videret quicquid creatum est corrumpi gignique, tum ea quæ pereunt, & quæ permanent, obstupefactus exclamauit dicens: Rubus vritur & non comburitur. locum enim antea inaccessum non scrutatur curiosius, vt naturarum diuinarum habitaculum. & frustra laborasset, ni subleuatus fuisset misericordia prouidentiáque Dei seruatoris omnium, qui ex adyto hoc oraculum edidit:

Ne propinques huc. ac si dicat, ne ac-
cedas ad talem cogitationem. nam huic
curiositati satagenti humanæ vires non
sufficiunt. sed facta quidem mirare
stans, de causis verò ex quibus gignan-
tur corrumpantúrve ne sis solicitus.
Nam locus in quo stas, inquit, sanctus
est. Qualis locus? nimirum ad ratio-
nes causarum pertinens, qui tantùm
diuinarum naturarum est, quod Deus
neminem mortalem dignetur causa-
rum notitia. Tum ille scientiæ cupidus
supra mundum totum emergens scita-
tur de eius opifice, quisnam sit ille in-
uisibilis & inpalpabilis, corpus an in-
corporeus, an aliquid his superius, sim-
pléxne natura qualis vnitas, an concre-
ta: aut quid tandem sit: & videns id co-
gitatu perceptúque difficile, precatur vt
ab ipso discat Deo, quisnam Deus sit.
nec enim sperabat se id posse ex vllo
alio cognoscere. nihil tamen audiuit in-
terrogans de eius Qui est essentia. Po-
steriora, inquit, mea videbis, faciem au-
tem videre non poteris. Sufficit enim
sapienti ea quæ post Deum sequuntur
cognoscere. Principalem autem illam
essentiam siquis velit intueri, nimio ra-
diorum fulgore prius quam eam videat
cæcabitur. Hactenus & de tertio locuti
capite, aggredimur quartum & vltimũ
ex propositis, quando non præcedente
inquisitione vltro solet occurrere in-
uentio. ad hunc ordinem pertinet om-
nis à seipso doctus sapiens. nec enim
cogitationibus, meditationibus labori-
búsque proficit: sed mox natus para-
tam inuenit sapientiam irroratam sibi
cælesti pluuia, cuius meraco haustu ex-
hilaratus, perpetuo temulẽtus est ebrie-
tate sobria, salua rationis integritate.
Hic est ille quem Isaac vocant oracula,
quem non tempore alio concepit, alio
peperit anima. Conceptum enim, in-
quit, peperit, quasi sine tempore. non
enim homo nascebatur, sed mens pu-
rissima, ingenio magis quam arte bo-
na. quamobrem genitricem eius dicun-
tur defecisse muliebria, hoc est consue-
ta, humana & rationalia. nouum enim
hoc prodit genus plus quam rationale
& vere diuinum, à seipso doctum, non
humanis commentis eruditum, sed fu-
rore diuino. an ignoras quod Hebrææ
ad partum non habent opus obstetrici-
bus? pariunt autem, vt ait Moses, prius
quam veniant obstetrices, artes inquam
& scientiæ, & à sola natura opitulante
adiuuantur. Pulchre autem aptéque à

A Μὴ ἐγγίσῃς ὧδε, ἴσον τῷ, μὴ προσέλθῃς τοιαύτῃ
διασκέψει. περιεργίας γὰρ καὶ φιλοπραγ-
μοσύνης μείζονος ἢ κατὰ ἀνθρωπίνην δύναμιν
τὸ ἔργον. ἀλλὰ τὰ μὲν γεγονότα, θαύμαζε στάς·
τὰς δὲ αἰτίας δι' ἃς ἢ γέγονεν ἢ φθείρεται, μὴ πο-
λυπραγμόνει. Ο γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, φη-
σὶν, ἅγιός ἐστι. ποῖος τόπος· ἢ δῆλον ὅτι ὁ αἰτιο-
λογικὸς, ὃν μόναις ταῖς θείαις ἀνῆψε φύσεσιν, ἀν-
θρώπων οὐδένα νομίσας ἱκανὸν εἶναι αἰτιολογίας
ἐφάψασθαι; ὁ δ' ἄρα διὰ πόθον ἐπιστήμης
B ὑπερκύψας ἅπαντα τὸν κόσμον, ζητεῖ περὶ τοῦ
κοσμοποιοῦ, τίς ἐστιν ὁ δυσόρατος οὗτος καὶ δυσ-
τόπαστος, σῶμα ἢ ἀσώματος, ἢ ὑπεραίρων τι τού-
των, ἢ φύσις ἁπλῆ οἷα μονὰς, ἢ σύγκριμα, ἢ τί
τῶν ὄντων, καὶ τοῦθ' ὁρῶν ὡς ἐστι δυσθήρατον καὶ δυσ-
περινόητον, εὔχεται παρ' αὐτοῦ μαθεῖν τοῦ θεοῦ, τίς
ἐστιν ὁ θεός. οὐ γὰρ ἤλπισε δυνήσεσθαι γνῶναι παρ'
ἑτέρου τινὸς τῶν μετ' αὐτόν· ἀλλ' ὅμως ὤνησε μη-
δὲν περὶ τῆς τοῦ ὄντος ἐρευνῶν οὐσίας. Τὰ γὰρ ὀπίσω
C μου, φησὶν, ὄψει, τὸ δὲ πρόσωπον οὐ μὴ ἴδῃς.
αὐτάρκης γὰρ ἐστὶ σοφῷ, τὰ ἀκόλουθα καὶ ὅσα μετὰ
τὸν θεὸν γνῶναι· τὴν δὲ ἡγεμονικὴν οὐσίαν ὁ βου-
λόμενος καταθεάσασθαι, τῷ περιαυγεῖ τῶν
ἀκτίνων πρὶν ἰδεῖν πηρὸς ἔσται. Τοσαῦτα καὶ περὶ
τοῦ τρίτου διειλεγμένοι κεφαλαίου, μέτιμεν
ἐπὶ τὸ τέταρτον καὶ τελευταῖον τῶν προτεθέντων,
καθ' ὃ μὴ γινομένης ζητήσεως φιλεῖ προαπαντᾶν
εὕρεσις. ἐν τούτῳ τέτακται πᾶς αὐτομαθὴς
καὶ αὐτοδίδακτος σοφός. οὐ γὰρ σκέψεσι καὶ μελέταις
D καὶ πόνοις ἐβελτιώθη. γενόμενος δ' εὐθὺς εὐτρε-
πισμένην εὗρε σοφίαν ἄνωθεν ὀμβρηθεῖσαν ἀπ'
οὐρανοῦ, ἧς ἀκράτου σπάσας, εἱστιάθη, καὶ διε-
τέλεσε μεθύων τὴν μετ' ὀρθότητος λόγου νή-
φουσαν μέθην. οὗτός ἐστιν ὃν Ισαὰκ ὠνόμασαν
οἱ χρησμοὶ, ὃν οὐχ ἑτέρῳ μὲν χρόνῳ συνέλα-
βεν, ἑτέρῳ δ' ἔτεκεν ἡ ψυχή. Συλλαβοῦσα γὰρ,
φησὶν, ἔτεκεν, ὡς ἂν ἀχρόνως. οὐ γὰρ ἄνθρω-
πος ἦν ὁ γεννώμενος, ἀλλὰ νόημα καθαρώτα-
E τον, φύσει μᾶλλον ἢ ἐπιτηδεύσει καλόν· οὗ χά-
ριν καὶ ἡ τίκτουσα αὐτὸ λέγεται τὰ γυναικεῖα
ἐκλείπειν, τὰ συνήθη καὶ εὔλογα καὶ ἀνθρώ-
πινα. καινὸν γὰρ καὶ κρεῖττον λόγου καὶ θεῖον ὄντως
τὸ αὐτομαθὲς γένος, οὐκ ἀνθρωπίναις ἐπινοίαις,
ἀλλ' ἐν θεομανίᾳ συνιστάμενον. ἢ ἀγνοεῖς ὅτι
οὐ δέονται πρὸς τὸν τόκον μαιῶν ἑβραῖαι· τίκτου-
σι δ', ὥς φησι Μωϋσῆς, πρὶν εἰσελθεῖν τὰς μαίας,
λέγω δὲ μεθόδους, τέχνας, ἐπιστήμας, φύσει μόνῃ
χρώμεναι συνεργῷ; παγκάλως δὲ καὶ προσφυ-

τρίτους ὅρους ἀποδίδωσι τοῦ αὐτομαθοῦς· ἕνα μὲν τοιοῦτον, ὃ ταχὺ εὑρισκόμενον· ἕτερον δὲ, ὃ παρέδωκεν ὁ θεός. ὃ μὲν οὖν διδασκόμενον, μακροῦ χρόνου δεῖται· ὃ δὲ φύσει, ταχύ τε καὶ ἕτοιμον, τρόπον τινὰ ἄχρονόν ἐστι· κἀκεῖνο μὲν ἄνθρωπον, τοῦτο δὲ θεὸν ὑφηγητὴν ἔχει. τὸν μὲν δὴ πρότερον ὅρον κατέταξεν ἐν πεύσει, Τί τοῦτο ὃ ταχὺ εὗρες ὦ τέκνον· τὸν δ' ἕτερον ἐν ἀποκρίσει φάσκων, ὃ παρέδωκε κύριος ὁ θεός. ἔστι δὲ καὶ τρίτος ὅρος τοῦ αὐτομαθοῦς, τὸ ἀναβαῖνον αὐτόματον. λέγεται γὰρ ἐν τοῖς προστακτικοῖς, Οὐ σπερεῖτε, οὐδὲ μὴ ἀμήσητε τὰ αὐτόματα ἀναβαίνοντα αὐτῆς. τέχνης γὰρ οὐδεμιᾶς χρεία τῇ φύσει τοῦ θεοῦ σπείροντος αὐτὰ, καὶ τῇ γεωργικῇ τέχνῃ τελεσφοροῦντος ὡς ἂν αὐτόματα τὰ οὐκ αὐτόματα, πλὴν παρ' ὅσον ἐπινοίας ἀνθρωπίνης οὐκ ἐδεήθη τὸ παράπαν. οὐ προστάττει δὲ μᾶλλον, ἢ γνώμην ἀποφαίνεται. παραινῶν μὲν γὰρ, εἶπεν ἄν, μὴ σπείρητε, οὐδ' οὐ μὴ ἀμήσητε· ἀποφαινόμενος δὲ, οὐ σπερεῖτε, οὐδὲ μὴ ἀμήσητε τὰ αὐτόματα. οἷς γὰρ ἀπαυτοματίζουσιν ἐκ φύσεως ἐπιτυγχάνομεν, τούτων οὔτε τὰς ἀρχὰς οὔτε τὰ τέλη παρ' ἑαυτοῖς ὡς ἂν αἰτίοις εὑρίσκομεν. ἀρχὴ μὲν οὖν ὁ σπόρος, τελευτὴ δὲ ὁ ἀμητός. ἄμεινον δ' ἐκεῖνο ἐνδέξασθαι, πᾶσαν ἀρχὴν καὶ πᾶν τέλος αὐτόματον εἶναι, ἴσον τῷ, φύσεως οὐχ ἡμέτερον ἔργον· οἷον ἀρχή τις τοῦ μανθάνειν, ἢ δηλοῖ ὅτι ἐν τῷ διδασκομένῳ φύσις εὐπαράδεκτος οὖσα πρὸς τὰ κατὰ μέρος θεωρήματα· τίς δὲ τοῦ τελειοῦσθαι πάλιν, εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, ἢ φύσις. προκοπὰς μὲν οὖν ἐμποιῆσαι, καὶ ὁ διδάσκων ἱκανός· τὴν δ' ἐπ' ἄκρον τελειότητα, ὁ θεὸς μόνος, ἡ ἀρίστη φύσις. ὁ τούτοις ἐντρεφόμενος τοῖς δόγμασι, τὴν ἀΐδιον εἰρήνην ἄγει, πόνων ἀφειμένος ἀπηνῶν· ἀδιαφορεῖ δὲ ἑβδομάδος εἰρήνη κατὰ τὸν νομοθέτην. ἐν γὰρ αὐτῇ, τὸ δοκεῖν ἐνεργεῖν ἀποτιθεμένη γένεσις ἀναπαύεται. προσηκόντως οὖν λέγεται, Καὶ ἔσται τὰ σάββατα τῆς γῆς ὑμῖν βρώματα· δι' ὑπονοιῶν. τρόφιμον γὰρ καὶ ἀπολαυστὸν μόνον, ἡ ἐν θεῷ ἀνάπαυσις, τὸ μέγιστον ἀγαθὸν περιποιοῦσα, τὴν ἀπόλεμον εἰρήνην. ἡ μὲν γὰρ κατὰ πόλεις ἀνακέκραται ἐμφυλίῳ πολέμῳ· ἡ δὲ ψυχῆς, ἀμιγὴς διαφορᾶς ἁπάσης ἐστίν. ἐναργεστάτην δέ μοι δοκεῖ τὴν ἄνευ ζητήσεως εὕρεσιν παριστάναι διὰ τούτων, Ὅταν εἰσαγάγῃ σε κύριος ὁ θεός σου εἰς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσι σου, δοῦναι πόλεις μεγάλας καὶ καλὰς ἃς οὐκ ᾠκοδόμησας, οἰκίας πλήρεις πάντων ἀγαθῶν, ἃς οὐκ

A seipso doctus definitur. primò, quod cito inuenitur: secundò, quod Deus tradidit. siquidem quod discitur opus habet longo tempore: quod suopte ingenio percipitur, expeditum est & plus quam extemporale. illud hominem, hoc Deum præceptorem habet. & prima quidem definitio per interrogationem ponitur. quid hoc est quod cito inuenisti mi puer? altera verò per responsionem, dicente illo: quod tradidit Dominus Deus. est autem & tertia B definitio docti à seipso, quod ascendit per seipsum. Dicitur enim inter præcepta: Non seretis, nec metetis, quæ per se ascendunt. nulla enim arte natura indiget, seminante illa Deo, & per suam agriculturam perficiente tanquam sponte nascentia, cum non sponte nascantur, nisi quatenus nulla omninò adiuuantur humana industria. Nec tam præceptum est hoc quam sententia. nam præcipiens dixisset: ne seratis, ne metatis. decernens autem ait: non seretis neque metetis quæ sponte nascũtur. C nam quæcunque natura vltro præbente accipimus, eorum nec principia nec fines in nostra potestate inuenimus, siquidem in satione principiũ, in messe finis est. præstat sic intelligere hæc: omne initium & omnem finem esse spontaneum, hoc est naturæ opus, non nostrum. verbi gratia, principium discendi vtique ingenium est docile, promptúmque ad contemplationem rerum particularium. rursum finis quid aliud, D si ingenue fatendum est, quàm natura? siquidem etiam præceptor promouet: sed summum fastigium solus Deus imponit, natura illa optima. Qui his innutritur dogmatibus, in pace degit perpetua, immunis à molestis laboribus. pax autem & septimana idem est iuxta legislatorem. nam ea die creatio visa est interquiescere. Conuenienter igitur scriptum legitur: Et erunt sabbata terræ vobis alimenta. id rectè intelligendum est. Vtilissimus enim cibus est in Deo E quiescere, maximum bonum conferẽs, pacem ab omni bello tutam & securissimam. nam quæ inter ciuitates intercedit, mixta est seditionibus. àt animæ pax pura est ab omni dissidio. Sed manifestissime, vt mihi videtur, discimus inuentionẽ non quæsitorum ex his verbis scripturæ: Cum induxerit te Dominus Deus in terram quam iurauit se daturum tuis patribus, ciuitates magnas pulchrásque quas non ædificasti, domos

plenas bonorum omnium quas non repleuisti, cisternas è saxo excisas quas non excidisti, vineta oliuetáque quæ non plantasti. Viden paratam copiam bonorum affluentium tam ad voluptatem quàm ad necessitatem? comparantur enim ciuitatibus generales virtutes vt patentes latissime: domibus autem speciales, circumscriptæ breuiore circulo: cisternis verò generosæ animæ, capaces sapientiæ, sicut illæ aquarum. cæterum vinetis oliuetísque profectus & incrementa, prouentúsque fructuum. fructus autem scientiæ, vita contemplatiua est, sinceram læticiam qualem vinum affert conferens, & intelligibile lumen quale à flamma proficiscitur, cuius fomes est oleum. Hactenus de inuentione locuti transeamus ad vlteriorem textus consequentiam. Inuenit, inquit, eam angelus Domini ad fontem aquæ.] Fontis crebra fit mentio, qui vno modo mens nostra intelligitur: altero habitus rationalis & eruditio: tertio praua dispositio: quarto bona huic contraria: quinto rerum pater & conditor. horum probationes extant in sacris literis. videamus quænam sint. In primo limine legis, vbi mundi opificium tractatur, tale occurrit oraculum: Fons autem ascendebat è terra, & irrigabat totam terræ superficiem. Qui allegorias naturæ occultantis sua mysteria nesciunt, hunc fontem putant similem Ægyptio fluuio, qui quotannis effusus ex alueo stagnat in campis, tantum non ostentans potentiam cæli æmulam. Quod enim per hiemem cælum præstat alijs regionibus, hoc Nilus Ægypto horis æstiuis exhibet. nam illud superne terram compluit: hic, quod mireris, inferne pluens arua irrigat. Et hoc est cur Moses impietatis reos peragit mores Ægyptios, quod terram pluris quàm cælum faciant, terrestria quàm olympia, corpus quàm animam. Verùm ista in alium opportuniorem locum differenda sunt: nunc propositum est paucis agere, & ideo redeuntes in viam à diuerticulo dicimus, fontem ascendentem & rigantem totam faciem terræ, significare principalem nostri partem fonti similem, à qua ceu per terræ venas, per sensuum instrumenta manant potentiæ, per oculos, aures, nares, & cætera. hi sunt in omni animante circa caput

A ἐνέπλησας, λάκκους λελατομημένους, οὓς οὐκ ἐξελατόμησας, ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφύτευσας. ὁρᾷς τὴν ἀφθονίαν τῶν κεχυμένων μεγάλων καὶ ἑτοίμων πρὸς κτῆσιν καὶ ἀπόλαυσιν ἀγαθῶν; εἰκάζονται δὲ πόλεσι μὲν αἱ γενικαὶ ἀρεταί, διότι ἐπιπλεῖστον εὐρυνόνται· οἰκίαις δέ, αἱ ἐν εἴδει. στέλλονται γὰρ εἰς βραχύτερον αὗται κύκλον· λάκκοις δὲ αἱ εὐφυεῖς ψυχαί, αἱ εὐπαράδεκτοι σοφίας ὡς ἐκεῖνοι ὕδατος·
B ἀμπελῶσι δὲ καὶ ἐλαιῶσιν, αἱ προκοπαὶ καὶ αὐξήσεις, καὶ καρπῶν γενέσεις· καρπὸς δ᾽ ἐπιστήμης ὁ θεωρητικὸς βίος, ἄκρατον εὐφροσύνην περιποιῶν ὡς ἀπ᾽ οἴνου, καὶ νοητὸν φέγγος ὡς ἀπὸ φλογός, ἧς ἔλαιον τροφή. Ταῦτα καὶ περὶ εὑρέσεως εἰπόντες, μέτιμεν ἑξῆς ἐπὶ τὰ ἀκόλουθα τῆς ἐφόδου. Εὗρεν οὖν, φησίν, αὐτὴν ἄγγελος κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος. λέγεται δὲ πολλαχῶς πηγή, ἕνα μὲν τρόπον, ὁ ἡμέτερος νοῦς· ἕτερον δέ, ἡ λογικὴ ἕξις καὶ παιδεία· τρίτον δ᾽, ἡ φαύλη
C διάθεσις· τέταρτον, ἡ σπουδαία καὶ ἐναντία ταύτης· πέμπτον, αὐτὸς ὁ τῶν ὅλων ποιητὴς καὶ πατήρ. τὰς δὲ τούτων πίστεις οἱ ἀναγραφέντες δηλοῦσι χρησμοί. τίνες οὖν εἰσίν, ἐπισκεπτέον. ᾄδεται ὡς ἐν ἀρχῇ τῆς νομοθεσίας μετὰ τὴν κοσμοποιΐαν εὐθὺς τοιόσδε, Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. οἱ μὲν οὖν ἀλληγορίας καὶ φύσεως τῆς κρύπτεσθαι φιλούσης ἀμύητοι, τὴν εἰρημένην εἰκάζουσι πηγὴν τῷ αἰ-
D γυπτίῳ ποταμῷ, ὃς κατὰ πᾶν ἔτος ἀναχεόμενος λιμνάζει τὴν πεδιάδα, μονονοὐκ ἀντίμιμον οὐρανοῦ δύναμιν ἐπιδείκνυσθαι δοκῶν. ὃ γὰρ χειμῶνος ταῖς ἄλλαις χώραις οὐρανός, τοῦτ᾽ Αἰγύπτῳ θέρους ἀκμάζοντος ὁ Νεῖλός ἐστιν. ὁ μὲν γὰρ ἄνωθεν ἐπὶ γῆν τὸν ὑετὸν ἀποστέλλει· ὁ δὲ κάτωθεν ἄνω τὸ παραδοξότατον ὕων, ἄρδει τὰς ἀρούρας· ὅθεν ἑρμηνεὺς καὶ Μωϋσῆς, ἄθεον ἀνέγραψε τὸν αἰγύπτιον τρόπον, γῆν οὐρανοῦ προκρίνοντα, καὶ
E τῶν ὀλυμπίων τὰ χερσαῖα, καὶ ψυχῆς τὸ σῶμα. ἀλλὰ περὶ μὲν τούτων, αὖθίς ποτε ἐξέσται λέγειν, ὅταν ἐπιτρέπωσιν οἱ καιροί. νυνὶ δέ, στοχαστέον γὰρ τοῦ μὴ μακρηγορεῖν, ἐπανιτέον ἐπὶ τὴν δι᾽ ὑπονοιῶν ἀπόδοσιν, καὶ λεκτέον τό, πηγὴν ἀναβαίνειν καὶ ποτίζειν πᾶν τὸ πρόσωπον τῆς γῆς, τοιοῦτόν τι εἶναι, τὸ ἡγεμονικὸν ἡμῶν ἐοικὸς πηγῇ, δυνάμεις πολλὰς οἷα διὰ γῆς φλεβῶν ἄχρι τῶν αἰσθήσεων ὀργάνων ἀνομβροῦν, τὰς δυνάμεις ταύτας ὀφθαλμῶν, ὤτων, ῥινῶν, τῶν ἄλλων ἀποστέλλει. αἱ δ᾽ εἰσὶ πάντως ζώου περὶ κεφαλὴν καὶ πρόσωπον.

A ποτίζεσθαι, ὥσπερ ἀπὸ πηγῆς τοῦ κατὰ ψυχὴν ἡγεμονικοῦ τὸ σώματος ἡγεμονικὸν πρόσωπον, τὸ μὲν ὁρατικὸν πνεῦμα τείνοντος εἰς ὄμματα, τὸ δὲ ἀκουστικὸν εἰς οὖς, εἰς δὲ μυκτῆρας τὸ ὀσφρήσεως, τὸ δ' αὖ γεύσεως εἰς στόμα, καὶ τὸ ἁφῆς εἰς ἅπασαν τὴν ἐπιφάνειαν. εἰσὶ δὲ καὶ τῆς παιδείας πολύτροποι πηγαί, αἷς ὀρθοὶ καὶ ὠφελιμώτατοι λόγοι, καθάπερ στελέχη φοινίκων παρεβέβλαστον. Ηλθον γάρ, φησίν, εἰς Αἰλείμ, καὶ ἐν Αἰλεὶμ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων. παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. B Αἰλεὶμ πυλῶνες ἑρμηνεύονται, εἰσόδου τῆς πρὸς ἀρετὴν σύμβολον. ὥσπερ γὰρ οἰκιῶν ἀρχαὶ πυλῶνες, καὶ ἀρετῆς τὰ ἐγκύκλια προπαιδεύματα. τέλειος δ' ἀριθμὸς ὁ δώδεκα· μάρτυς δ' ὁ ζωδιακὸς ἐν οὐρανῷ κύκλος, τοσούτοις κατηστερισμένος φωσφόροις ἄστροις· μάρτυς καὶ ἡ ἡλίου περίοδος. μησὶ γὰρ δώδεκα τὸν ἑαυτοῦ περαιτοῖ κύκλον, ἰσαρίθμους τε τοῖς ἐνιαυτοῦ μησὶ τὰς ἡμέρας καὶ τὰς νυκτὸς ὥρας ἄγουσιν ἄνθρωποι. Μωσῆς δ' οὐκ ἐν ὀλίγοις ὑ- C μνεῖ τὸν ἀριθμόν, δώδεκα φυλὰς τοῦ ἔθνους ἀναγράφων, ἄρτους δώδεκα τῆς προθέσεως νομοθετῶν, λίθους ἐν οἷς αἱ γλυφαί, δώδεκα τῇ ἱερᾷ ἐσθῆτι τοῦ ποδήρους ἐνδύματος ἐπὶ τῷ λογίῳ συνυφαίνεσθαι κελεύων. ὑμνεῖ μέντοι καὶ τὴν δεκάδι πολυπλασιαζομένην ἑβδομάδα, νυνὶ μὲν ἑβδομήκοντα φοίνικας παρὰ ταῖς πηγαῖς εἶναι λέγων· ἐν ἑτέροις δέ, πρεσβυτέροις μόνοις ἑβδομήκοντα, οἷς τὸ θεῖον ἐπενεμήθη καὶ προφητικὸν πνεῦμα· καὶ πάλιν ἱερεῖα μόσχους ἑβδομήκοντα, ἐν διαιρέσει καὶ τάξεσιν D ἐναρμονίοις ἑορτῇ τῇ σκηνῶν προστεταγμένων. Βυθυτοῦνται γὰρ οὐκ ἀθρόοι, ἀλλ' ἐν ἡμέραις ἑπτά, τῆς ἀρχῆς ἀπὸ τρεισκαίδεκα ταύρων γινομένης. οὕτω γὰρ κατὰ τὴν ἑνὸς ὑφαίρεσιν ἀεὶ μέχρι τῆς ἑβδόμης ἔμελλεν ὁ τῶν ἑβδομήκοντα συντεθεὶς ἀριθμὸς ἐκπληροῦσθαι. παραγενόμενοι δὲ εἰς τοὺς θυρῶνας ἀρετῆς τὰ προπαιδεύματα, καὶ θεασάμενοι πηγάς, καὶ παρ' αὐταῖς ἔρνη φοινίκων, στρατοπεδεύειν οὐ παρὰ τοῖς φυτοῖς, E ἀλλὰ παρὰ τοῖς ὕδασι λέγονται. διὰ τί, ὅτι φοίνιξι μὲν καὶ ταινίαις οἱ παντελοῦς ἀρετῆς ἐπιφερόμενοι τὰ ἆθλα κοσμοῦνται, οἱ δὲ ἔτι χορεύοντες τοῖς προπαιδεύμασιν, ἅτε μαθήσεως διψῶντες, παρὰ τοὺς δυναμένους ἄρδειν καὶ ποτίζειν τὰς ψυχὰς αὐτῶν ἐπιστήμας ἱδρύονται. τοιαῦται μέν εἰσιν αἱ παιδείας τῆς μέσης πηγαί. τὴν δ' ἀφροσύνης ἐπισκεψώμεθα, περὶ ἧς λελάληκεν ὁ νομοθέτης ὧδε· Ος ἂν κοιμηθῇ μετὰ γυναι-

& faciem. itaque tanquam à fonte à principali animæ parte rigatur principalis pars corporis facies, visiuo spiritu tendente in oculos, auditiuo in aures, olfactiuo in nares, gustatiuo in os, tactiuo in totam superficiem. Sunt & eruditionis fontes varij, apud quos proceri & cibo vtiles sermones germinant, tanquam palmarum arbores. Venerunt, inquit, in Ælim, vbi erant duodecim fontes aquarum, & palmarum stirpes septuaginta: ibi ad aquas castra metati sunt. Ælim portæ interpretantur, & introitum ad virtutem significant. Sicut enim initium ædium est ianua, sic ad virtutem primus aditus encyclopædia. perfectus autem numerus duodenarius, quod testatur zodiacus in cælo circulus, illustratus tot sideribus: testatur etiam solis ambitus. nam intra duodecim menses circuitum suum peragit, & in totidem horas diurnas nocturnásque tempus diuidunt homines. Moses quoque non parum laudat hunc numerum, descripta sua natione in tribus duodecim, & institutis duodecim propositionis panibus, & totidem lapillis cum suis sculpturis, qui in pontificali veste talari circum rationale quod vocant intexerentur. Laudat & septenarium multiplicatum per denarium, nunc septuaginta palmas ad fontes memorans, aliâs septuaginta solos seniores, quibus datus est spiritus Dei propheticus. totidem iuuenci mactantur ad epulum solenne festi tabernaculorum, vt vocant, idque certo ordine, non simul, sed per septem dies, incipiendo à tredecim. sic enim quotidie subtrahendo vnum vsque ad diem septimum, septuagenarius numerus conficitur. Postquam autem ventum est ad virtutis portas artes liberales, conspicati fontes & apud eos stirpes palmarum, non apud arbores, sed apud aquas, castra metati narrantur. Cur ita? Quoniam palmis & lemniscis ornantur qui perfectæ virtutis præmia reportant: qui verò adhuc in rudimentis tripudiant, & eruditionem sitiunt, apud scientias animam rigantes collocantur: quales sunt fontes artium indifferentium. Videamus & fontem insipientiæ, de quo legislator sic loquitur. Quisquis cubat cum muliere seorsum sedente, & fontem eius re-

uelat, ipsa quoque retegente fluxum sui sanguinis: ambo tollantur è medio. Mulierem sensum vocat, intellectum maritum eius præsupponens. seorsum sedet sensus, hoc est in longinquo loco. quoties igitur mulier ista relicto marito legitimo assidet illicientibus se corrumpentibúsque rebus sensibilibus, & amatorie singulas complectitur: tunc si intellectus somno succumbat, qui vigilare deberet, detexit seipsum fontem sensuum: hunc enim aio esse sensuum fontem: hoc est, intectum, immunitum, insidijs expositum seipsum reddidit. at tamen nihilominus etiam mulier reuelauit fluxum sui sanguinis. Omnis enim sensus pronus vt fluat foras ad suum sensibile, à ratione cohibetur atque tegitur. Sed ista mulier deseritur solitaria, viduata recto ductore. perniciosum est enim sicut ciuitati carere mœnibus, sic animæ destitui à custodijs. Sed quando caret custode? An quoties visum non continet, profundens se ad sensibilia, & per aures haurit voces quaslibet, nec odoratum cohibet aliásque potentias similes, sinens eas suopte impetu rapi ad quiduis agendum patiendúmque. denique quoties sermo non continetur, qui multa secreta nemine cohibente intempestiue prodidit, & liberius fluens splendidas fortunas tanquam in tranquillo nauigantes vndis repentinis obruit. Hoc est illud magnum diluuium, quando apertæ sunt cataractæ cæli, mentis videlicet: & retecti sunt fontes abyssi, hoc est sensuum. non aliter enim inundatur anima, nisi superne tanquam cælitus è mête prorumpentibus iniquitatibus: inferne verò tanquam à terra, scilicet sensu, inundantibus affectibus. Et hoc est cur Moses vetat turpitudinem patris matrísque retegi, quippe qui bene norat quantum malum esset peccata mentis sensúsque non cohiberi & cælari, sed tanquam præclare gesta proferri in medium. Hi sunt fontes peccatorum, videamus fontem prudentiæ. ad hunc patientia descendit Rebeca, & toto animæ vase repleto, per viæ cliuum ascendit, vt appositissime iuxta rei naturam legislator loquitur. Euadit enim ad virtutis celsitudinem, quisquis à iactabunda descendit arrogantia. Legitur enim: Cúmque descendisset ad fontem, impleuit hydriam, & cœpit ascendere. Hic fons est illa diuina sapientia,

A καὶ ἀποκαθημένης, τὴν πηγὴν αὐτῆς ἀπεκάλυψε, καὶ αὕτη ἀπεκάλυψε τὴν ῥύσιν τοῦ αἵματος αὐτῆς· ἐξολεθρευθήτωσαν ἀμφότεροι. γυναῖκα τὴν αἴσθησιν καλεῖ, νοῦν ἄνδρα αὐτῆς ὑποτιθέμενος. ἀποκαθῆται δὲ ἡ αἴσθησις, ὅπερ ἐστὶν ἀπωτάτω καθίζεται, ὅταν οὖν ἀπολιποῦσα τὸν γνήσιον ἄνδρα, ἐφεδρεύηται τοῖς δελεάζουσι καὶ φθείρουσιν αἰσθητοῖς, καὶ ἐρωτικῶς ἑκάστοις ἐμπλέκηται, τότ' οὖν εἰ πρὸς ὕπνον τράποιτο ὁ νοῦς ἐγρηγορέναι δέον, τὴν πηγὴν τῆς αἰσθήσεως ἀπεκάλυψεν αὐ- B τόν. αὐτὸς γὰρ ἦν, ὥσπερ ἔφην, τῆς αἰσθήσεως πηγή. τοῦτο δ' ἐστίν, ἄσκεπον καὶ ἀτείχιστον καὶ εὐεπιβούλευτον κατεσκεύασεν ἑαυτόν. οὐ μὴν ἀλλὰ κἀκείνη ἀπεκάλυψε τὴν ῥύσιν τοῦ αἵματος αὐτῆς. ῥέπουσα γὰρ πᾶσα αἴσθησις πρὸς τὸ ἐκτὸς αἰσθητόν, ἀποκαλύπτεται μὲν καὶ στέλλεται διακρατουμένη λογισμῷ· καταλείπεται δὲ ἔρημος, χηρεύσασα ἡγεμόνος ὀρθοῦ. κακὸν γὰρ βαρύτατον ὡς πόλει τὸ ἀτείχιστον, ψυχῇ τὸ ἀφύλακτον. πότ' οὖν ἀφύ- C λακτος γίνεται; ἢ ὅταν ἄσκεπος μὲν ὅρασις, κεχυμένη πρὸς τὰ ὁρατά. ἄσκεπος δὲ ἀκοή, φωναῖς ἁπάσαις ἐναντλουμένη. ἄσκεποι δὲ ὀσμαὶ καὶ αἱ συγγενεῖς δυνάμεις, καταλείπουσαι πρὸς ὅ, τι ἂν οἱ καταρρέχοντες βούλωνται διαφθεῖραι ἃ παθεῖν ἑτοιμόταται. ἄσκεπος δὲ καὶ ὁ προφορικὸς λόγος, ὃς μυρία τῶν ἀπορρήτων ἅτε μηδενὸς τὴν φορὰν ἀνέχοντος, ἀκαίρως ἐξελάλησε. ῥυεὶς γοῦν ἀκωλύτως μεγάλας βίου ὑποθέσεις ὀρθὰς οἷα ἐν γαλήνῃ πλεού- D σας, ἀνέτρεψεν. οὗτός ἐστιν ὁ μέγας κατακλυσμός, ἐν ᾧ ἀνεῴχθησαν μὲν οἱ καταρράκται τοῦ οὐρανοῦ, λέγω δὲ τοῦ νοῦ· ἀπεκαλύφθησαν δὲ αἱ πηγαὶ τῆς ἀβύσσου, τουτέστι τῆς αἰσθήσεως. μόνως γὰρ οὕτως ἡ ψυχὴ κατακλύζεται, ἄνωθεν μὲν ὥσπερ ἀπ' οὐρανοῦ τοῦ νοῦ, καταρραγέντων ἀδικημάτων, κάτωθεν δὲ ὥσπερ ἀπὸ γῆς τῆς αἰσθήσεως, ἀνομβρησάντων τῶν παθῶν. οὗ χάριν ἀπαγορεύει Μωσῆς ἀσχημοσύνην πατρὸς καὶ μητρὸς ἀποκαλύπτειν, εἰδὼς σα- E φῶς ἡλίκον ἐστὶ κακὸν τὰ ἁμαρτήματα τοῦ νοῦ καὶ τῆς αἰσθήσεως μὴ ἐπέχειν καὶ ἐπικρύπτειν, ἀλλ' ὥσπερ κατορθώματα προφέρειν εἰς μέσον. αὗται εἰσὶν αἱ τῶν ἁμαρτημάτων πηγαί· τὴν δὲ φρονήσεως ἐρευνητέον. εἰς ταύτην ἡ ὑπομονὴ κάτεισι Ῥεβέκκα, καὶ τὸ τῆς ψυχῆς ὅλον πληρώσασα ἀγγεῖον, ἀναβαίνει τὴν κατ' ὀδὸν ἄνοδον, εἰπόντος τοῦ νομοθέτου φυσικώτατα. πρὸς γὰρ ὕψος ἐξαίρεται τὸ ἀρετῆς, εἴ τις ἂν ἀπ' ἀλαζονείας τῆς ὑπεραύχου διανοῆται κατέρχεσθαι. λέγει γάρ, Καταβᾶσα δὲ ἐπὶ τὴν πηγήν, ἔπλησε τὴν ὑδρίαν, καὶ ἀνέβη. αὕτη ἐστὶν ἡ θεία σοφία,

A ἐξ ἧς αἱ κατὰ μέρος ἐπιστῆμαι ποτίζονται, καὶ ὅσαι ψυχαὶ φιλοθεάμονες ἔρωτι τοῦ ἀρίστου κατέχονται. ταύτῃ ὁ ἱερὸς λόγος τῇ πηγῇ προσφυέστατα ὀνόματα τίθεται, κρίσιν αὐτὴν καὶ ἁγίαν προσαγορεύων. Ἀναστρέψαντες γὰρ, φησὶν, ἦλθον ἐπὶ τὴν πηγὴν τῆς κρίσεως, αὕτη ἐστὶ Κάδδης. καλεῖται δὲ Κάδδης ἅγιος. μονονοὺκ ἐκβοᾷ καὶ κέκραγεν, ὅτι ἡ σοφία ἁγία τίς ἐστιν, οὐδὲν ἐπιφερομένη γήινον, καὶ κρίσις τῶν ὅλων, ἡ πᾶσαι ἐναντιότητες διαζεύγνυνται. λεκτέον δ' ἤδη καὶ περὶ B τῆς ἀνωτάτω καὶ ἀρίστης πηγῆς, ἣν ὁ πατὴρ τῶν ὅλων διὰ προφητικῶν ἐθέσπισε στομάτων. εἶπε γάρ που, Ἐμὲ ἐγκατέλιπον πηγὴν ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συνέχειν ὕδωρ. οὐκοῦν ὁ θεός ἐστιν ἡ πρεσβυτάτη. καὶ μήποτ' εἰκότως; τὸν γὰρ σύμπαντα τοῦτον κόσμον ὤμβρησε. καταπέπληγμαι δ' ἀκούων ὅτι ζωῆς ἐστιν ἥδε ἡ πηγή. μόνος γὰρ ὁ θεὸς ψυχῆς καὶ ζωῆς, καὶ διαφερόντως λογικῆς ψυχῆς, καὶ τῆς μετὰ φρονήσεως ζωῆς αἴτιος. ἡ μὲν γὰρ ὕλη, C νεκρόν· ὁ δὲ θεὸς πλέον τι ἢ ζωὴ πηγὴ τοῦ ζῆν, ὡς αὐτὸς εἶπεν, ἀέναος. οἱ δ' ἀσεβεῖς, ἀποδράντες ἄγευστοι τοῦ τῆς ἀθανασίας ποτοῦ διατελέσαντες, ὤρυξαν οἱ φρενοβλαβεῖς ἑαυτοῖς, ἀλλ' οὐ θεῷ τὸ πρῶτον, τὰς ἰδίας πράξεις τῶν οὐρανίων καὶ ὀλυμπίων προκρίναντες, καὶ τὰ ἐκ φροντίδος τῶν αὐτομάτων καὶ ἑτοίμων· ἔπειτα ὀρύττουσιν οὐχ ὡς Ἀβραὰμ καὶ Ἰσαὰκ φρέατα, βαθείας ἐπιστήμας ποτίμους λόγους ἀναδιδούσας· ἀλλὰ λάκκους, ἴδιον οὐδὲν ἐξ αὐτῶν ἔχοντας τρό- D φιμον καλόν· τῆς δ' ἔξωθεν χρήζοντας ἐπιρροῆς, ἣ γίνοιτ' ἂν ἐκ διδασκαλίας, ἐπαντλούντων ἀεὶ τῶν ὑφηγητῶν ἀκοαῖς τῶν μανθανόντων ἀθρόα τὰ ἐπιστήμης δόγματα καὶ θεωρήματα, καὶ φρενὶ κατασχεῖν, καὶ μνήμῃ τὰ παραδοθέντα ταμιεύεσθαι. νυνὶ δὲ Εἰσὶν οἱ λάκκοι συντετριμμένοι, τουτέστι πᾶσαι τῆς ἀναγώγου ψυχῆς δεξαμεναὶ τεθραυσμέναι καὶ διαρρέουσαι, μὴ δυνάμεναι τυχεῖν καὶ φυλάξαι τὴν τῶν οἵων τε ὠφελεῖν ἐπιρ- E ροήν. ἃ μὲν οὖν περὶ πηγῶν καιρὸς εἰπεῖν, λέλεκται. πάνυ δ' ἐξητασμένως τὴν Ἄγαρ ἄγουσιν οἱ χρησμοὶ εὑρισκομένην μὲν ἐπὶ τῆς πηγῆς, οὐκ ἀρυομένην δ' ἀπ' αὐτῆς. οὔπω γάρ ἐστιν ἱκανὴ πηγὴ προκόπτουσα, τοῦ σοφίας ἀκράτου ποτοῦ χρῆσθαι· πλησίον δ' οὐ κεκώλυται ποιεῖσθαι τὰς διατριβάς. ἔστι δὲ καὶ λεωφόρος πᾶσα κατὰ παιδείαν ὁδὸς ἐχυρωτάτη καὶ ἀσφαλεστάτη· διό φησιν ἐν τῇ ὁδῷ Σοὺρ αὐτὴν εὑρεθῆναι. τεῖχος δὲ ἢ εὐθυσμὸς ἑρ-

A ex quo rigantur particulares scientiæ, & quotquot animæ contemplandi cupidæ amore summi boni tenentur. huic fonti sacra scriptura imponit aptissima nomina, Iudicium eum & Sanctum appellans. Reuertentes, inquit, venerunt ad fontem iudicij, qui est Caddes. Caddes autem sanctus vocatur. tantum non clamat vociferatúrque, sapientiam sanctam esse, puram à rebus terrenis, & rerum iudicem, decernentem omnes controuersias. B Nunc dicendum superest de illo summo fonte optimo, de quo cælestis pater per ora prophetarum cecinit: Me dereliquerunt fontem vitæ, & foderunt sibi cisternas contritas, quæ aquam continere non poterunt. Ergo Deus est ille fons antiquissimus. & merito. vniuersus enim hic mundus ab eo promanauit. Demiror autem & stupeo cum hunc vitæ fontem esse audio. solus enim Deus animæ & vitæ, præsertim rationalis animæ, & prudentis vi- C tæ autor est. nam materia res est mortua. Deus autem plus quàm vita, fons viuendi, vt ipse ait, sempiternus. quem fugientes impij non gustato potu immortalitatis, dementes foderunt sibi, non Deo primùm, opera propria cælestibus præferentes & olympijs, pluris facientes cura quæsita quàm parata & vltro se offerentia. deinde fodiunt non vt Abraham & Isaac puteos, profundas scientias præbentes sermonem potabilem, sed ci- D sternas, quæ ex seipsis nihil boni ad recreandum habeant, & indigent externis affluentijs, quales è doctrina parantur, dum præceptores semper in discipulorum auditum affatim ingerunt sua placita contemplationésque, retinenda in mente & recondenda in memoria. Verum istæ cisternæ contritæ sunt, hoc est omnes male educati animi lacunæ fractæ perfluentésque, quæ nec aliunde sibi parare nec con- E seruare possunt influxum vtilem. Hactenus de fontibus dixisse sufficiat. Cæterum valde apte scriptura inducit Agarem inuentam apud fontem, non haurientem tamen, quia proficiens anima nondum est idonea haurire merum potum sapientiæ: non arcetur tamen quo minus in propinquo moretur. est autem omnis publica via per doctrinam strata munitáque. Ideo dicitur eam inuentam in via Sur.] nam Sur interpretatur munitio vel directio.

A Alloquens igitur animam redargutor ait: Vnde venis, & quò vadis? quod non tam dubitando percontandóque quàm exprobrando & pudorem incutiendo dicitur. non est enim fas vt aliquid in rebus nostris ignoret angelus: quod vel hinc colligitur, quia etiam secreta natiuitatis pernouit dicens: Ecce prægnans es, & paries filium, & vocabis nomen eius Ismael.] nam nosse fœtum esse masculum supra humanam facultatem est, sicut & vitæ institutum eius qui nondum natus est, quòd B ferus homo erit non mitis ac ciuilis. Ergo illud Vnde venis, dicitur ad obiurgationem animæ fugientis meliorem potiorémque sententiam, cui si re magis seruiret quàm nomine, magnam inde reportatura esset gloriam. Quò vadis incerta sectando, certis confessísque bonis relictis? meretur igitur laudem, libenter admonitionem accipiens: quod vel inde apparet, quòd nec dominam incusat, sibiipsi fugæ C culpam tribuens, nec ad secundum interrogatum respondet, quò vadat. incertum enim hoc erat. de incertis autem tutius suspenditur sententia. Gaudens igitur redargutor obedientia mulieris ait: Reuertere ad heram tuam. prodest enim discipulæ doctricis magisterium, & imperfectæ seruitus apud prudentiam. Reuersa autem humiliare sub manu eius humilitate honestissima, abijciens præsentem brutam superbiam. sic enim feliciter parturiens eni- D teris prolem masculam nomine Ismael, castigata diuinis monitis. interpretatur enim Ismael auditus Dei. est autem auditus à visu secundus. visum verò legitimus filius & primogenitus Israel sortitur. sonat enim quod videns Deum. nam audire etiam falsa pro veris possumus: visus nequaquam fallax est, quo res certæ cognoscuntur. Mores autem nascituri describit, dum dicit ferum fore, id est rustice E sapientem, nondum ascitum in Dei ciuitatem. hæc autem virtus est, apta nata mansuefaciendis moribus. ijdem feri mores indicantur his verbis: Manus eius contra omnes, & manus omnium contra eum. Hoc est enim sophistæ propositum, præseferentis curiositatem in disputando nimiam, & gaudentis contentiosis sermonibus. adeò & ipse ferit omnes disciplinarum sectatores, tum singulis priuatim resistens, tum in commune omnibus:

ἑρμηνεύεται Σούρ. ἐκλαλῶν οὖν ὁ ἔλεγχος τῇ ψυχῇ, φησὶν αὐτῇ, πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ; τοῦτο δ' οὐκ ἐνδοιάζων, καὶ οὐ πυνθανόμενος μᾶλλον ἢ δυσωπῶν καὶ ὀνειδίζων προσφέρεται. ἥκιστα γὰρ οὐδὲν ἀγνοεῖ τῶν καθ' ἡμᾶς ἄγγελος. σημεῖον δὲ καὶ τὰ γαστρὸς, ἄπερ ἄδηλα γενέσει, σαφῶς εἰδέναι, ἐν οἷς φησὶν, Ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξεις παιδίον, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ. τὸ γὰρ γνῶναι, ὅτι τὸ κυοφορούμενον ἄρρεν ἐστὶν, οὐκ ἀνθρωπίνης δυνάμεως, ἀλλ' οὐδὲ τὸ τὴν προαίρεσιν ᾗ χρήσεται τοῦ βίου ὁ μήπω γεγεννημένος, ὅτι ἄγροικος, ἀλλ' οὐ πολιτικὸς καὶ ἥμερος. τὸ, πόθεν οὖν ἔρχῃ, πρὸς ἐπίπληξιν λέγεται τῆς ἀποδιδρασκούσης ψυχῆς τὴν ἀμείνω καὶ κυρίαν γνώμην, ἧς θεραπαινὶς οὐ λεγομένη μᾶλλον, ἢ ἔργοις ὑπάρχουσα, μέγα κλέος ἔμελλεν ἐξοίσεσθαι. ποῖ δὲ καὶ πορεύῃ, τὰ ἄδηλα μεταδιώκεις, τὰ ὁμολογούμενα ἀπορρίψασα. καλὸν οὖν αὐτὴν ἐπαινέσαι χαίρουσαν ἐπὶ νουθεσίᾳ. δείγματα δὲ τοῦ χαίρειν ἐξενήνοχε, τό, τε μὴ κατηγορῆσαι τῆς δεσποίνης, καὶ τὸ τὴν αἰτίαν ἀναθεῖναι ἑαυτῇ τοῦ δρασμοῦ, καὶ τὸ μὴ ἀποκρίνασθαι πρὸς τὸ δεύτερον πύσμα τὸ, ποῦ πορεύῃ. ἄδηλον γάρ. περὶ δὲ τῶν ἀδήλων ἐπέχειν ἀσφαλές τε καὶ ἀναγκαῖον. ἀποδεξάμενος οὖν τῆς πειθαρχίας αὐτὴν ὁ ἔλεγχος, ἀποστράφηθι πρὸς τὴν κυρίαν σου, φησί. λυσιτελὲς γὰρ τῇ μανθανούσῃ ἡ τῆς διδασκούσης ἐπιστασία, καὶ τῇ ἀτελεῖ ἡ παρὰ φρονήσει δουλεία· ὅταν δ' ὑποστρέψῃς, ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς καλὴν ταπείνωσιν, φρονήματος ἀλόγου καθαίρεσιν περιέχουσαν. οὕτω γὰρ εὐτόκοις ὠδῖσιν ἄρρενα γενεὰν ἀποκυήσεις ὄνομα Ἰσμαήλ, ἀκοαῖς θείαις σωφρονισθεῖσα. ἑρμηνεύεται γὰρ Ἰσμαήλ, ἀκοὴ θεοῦ. ἀκοὴ δ' ὁράσεως τὰ δευτερεῖα φέρεται· ὅρασιν δὲ ὁ γνήσιος υἱὸς καὶ πρωτόγονος Ἰσραὴλ κεκλήρωται. μεταληφθεὶς γάρ ἐστιν, ὁρῶν θεόν. ἀκούειν μὲν γὰρ καὶ ψευδῶν ὡς ἀληθῶν ἔνεστιν, ὅτι ἀπατηλὸν ἀκοή· ἀψευδὲς ὅρασις, ᾗ τὰ ὄντα πάντως καταλαμβάνεται. τὸ δὲ γεννηθέντα τὸ ἦθος χαρακτηρίζει, διά τε τὸ λέγειν ἄγροικον ἔσεσθαι, ὡς δὴ ἀγροικόσοφον, μήπω τῆς θείας καὶ πολιτικῆς ὄντως μοίρας ἠξιωμένον. αὕτη δ' ἐστὶν ἀρετὴ, δι' ἧς πέφυκεν ἡμεροῦσθαι τὸ ἦθος· καὶ διὰ τὸ φάσκειν, Αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας. καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν. σοφιστοῦ γὰρ βούλημα τοῦτο, τὸ λίαν σκεπτικὸν ἐπιμορφάζοντος, καὶ λόγοις χαίροντος ἐριστικοῖς. οὕτω καὶ πάντας βάλλει τοὺς ἀπὸ τῶν μαθημάτων, ἰδίᾳ τε ἑκάστῳ, καὶ κοινῇ πᾶσιν ἐναντιούμενος,

καὶ

A καὶ βάλλεται πρὸς ἁπάντων εἰκότως ἀμυνομένων ὑπὲρ οἰκείων ἐκγόνων, ὧν ἔτεκεν αὐτῶν ἡ ψυχὴ δογμάτων. ἀλλὰ καὶ τρίτον προσυπογράφει χαρακτῆρα, φάσκων, Κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν κατοικήσει, μονονουχὶ ἄντικρυς ἐπιδεικνύμενος τὴν ἀντιπρόσωπον διαμάχην καὶ ἀντίστασιν αἰώνιον. ἡ κυοφοροῦσα οὖν τὸν σοφιστὴν λόγον ψυχὴ, φησὶ τῷ λαλοῦντι πρὸς αὐτὴν ἐλέγχῳ, Σὺ θεὸς ὁ ἐπιδών με, ἴσον τῷ, σὺ ποιητὴς εἶ τῶν ἐμῶν βουλημάτων καὶ ἐκγόνων. καὶ B μήποτ' εἰκότως; ἐλευθέρων μὲν γὰρ καὶ ἀστῶν ὡς ἀληθῶς ψυχῶν, ὁ ἐλεύθερος καὶ ἐλευθεροποιὸς δημιουργὸς, δούλων δὲ δοῦλοι. ἄγγελοι δ' οἰκέται θεοῦ, νομιζόμενοι πρὸς τῶν ἐν πόνοις καὶ δουλείαις ὑπαρχόντων θεοί. Διὰ τοῦτο, φησὶν, ἐκάλεσε τὸ φρέαρ, Φρέαρ οὗ ἐνώπιον εἶδον. ἀλλ' οὐκ ἔμαθες ὦ ψυχὴ προκόπτουσα, καὶ τῇ τῶν ἐγκυκλίων ἐπιστήμῃ προπαιδευμάτων ἐμβαθύνουσα, καθάπερ διὰ κατόπτρου τῆς παιδείας, τὸν C αἴτιον τῆς ἐπιστήμης ἰδεῖν. οἰκειότατος δὲ καὶ ὁ τούτου φρέατος τόπος ἐν μέσῳ Καδδὴς καὶ Βαράδ· ἑρμηνεύεται δὲ Βαρὰδ μὲν, ἐν κοινοῖς, Κάδδης δὲ ἅγια. μεθόριος γὰρ ἁγίων καὶ βεβήλων ὁ ἐν προκοπαῖς, ἀποδιδράσκων μὲν τὰ φαῦλα, μήπω δ' ἱκανὸς ὢν τελείοις συμβιοῦν ἀγαθοῖς.

A & vicissim ab omnibus percutitur suas fœturas defendentibus, hoc est placita quæ pariunt eorum animæ. Tertia quoque nota adijcitur hæc: Contra faciem omnium fratrum suorum habitabit:] tantum non manifeste ostendens aduersam dimicationem perpetuam. Itaque anima quæ sophistam gerit in vtero, respondet redarguenti se: Tu es Deus qui inspexit me.] Ac si dicat: tu es autor meorum consiliorum & partuum. & merito. liberalium B enim & vere ingenuarum animarum liber & liberator est opifex, serui vero seruarum. angeli autem Dei famuli pro dijs habentur ab his qui in seruitute detinentur & laboribus. Propterea huic puteo nomen indidit, Puteus coram quo vidi.] Sed fieri non potest ô anima proficiens, & liberalium disciplinarum profunda penetrans, vt in eruditione tanquam in speculo videas autorem scientiæ. Commodus C autem huic puteo locus est Caddes inter & Barad. interpretatur autem Barad In communibus, Caddes verò sancta. nam qui proficit, est in sacrorum profanorúmque confinio, iam mala fugiens, sed nondum idoneus vt ad bona perfecta admittatur, habeátque cum eis contubernium.

ΠΕΡΙ ΤΟΥ ΤΗΣ Ο ΤΩΝ ΘΕΙΩΝ ΠΡΑΓΜΑΤΩΝ ΚΛΗΡΟΝΟΜΟΣ.

PHILONIS IVDÆI, DE EO QVIS RERVM DIVINARVM HÆRES SIT.

D ΕΝ μὲν τῇ πρὸ ταύτης βίβλῳ, περὶ μισθῶν ὡς ἐνῆν ἐπ' ἀκριβείας διεξήλθομεν· νυνὶ δὲ πρόκειται ζητεῖν τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος ἐστίν. ἐπειδὴ γὰρ θεσπισθέντος λογίου τοιούτου ὁ σοφὸς ἤκουσεν, Ὁ μισθός σου πολὺς σφόδρα, πυνθάνεται φάσκων, Τί μοι δέσποτα δώσεις. ἐγὼ δὲ ἀπελεύσομαι ἄτεκνος. ὁ δὲ υἱός μου ὁ ἐκ τῆς οἰκέτιδός μου, κληρονομήσει με, οὗτος Δαμασκὸς

D IN proxime præcedente libro de mercedibus pro virili disseruimus: nunc autem propositũ est quærere, quis rerum diuinarum hæres sit. Postquam enim ille sapiens audiuit redditum sibi hoc oraculum: Merces tua multa nimis: percontatur: Quid mihi dabis ô here? Ego sine liberis decedam. filius autem meus iste susceptus ex ancilla,

hæres meus erit, Damascus Eliezer, ac rursum: Quia non dedisti semen mihi, verna iste meus hæres erit.] Et quis nõ attonitus fuisset maiestate proferentis hoc oraculum, vt nec os posset diducere, si non præ metu, certe præ gaudio? adimit enim vocem vt vehemẽs dolor, ita nimia lætitia. quamobrem & Moses fatetur se parum vocalem & lingua tardum ex quo cœpit habere cum Deo colloquia: quod testimonium prophetæ verum est. tunc enim verisimile est vocis instrumentum fieri tardius. rationem autem iam articulatam ferri liberiore impetu, sententiarum magis quã verborũ ornamenta consectantem expedita quadam & sublimi eloquentia. Sunt autem admirandæ virtutes, vel fiducia, vel sermonis libertas aduersus præstantiores, quando res eam postulat: vt illa comica sententia vera potius quam ludicra videatur: Si seruus semper consuescat silentio, Fiet nequam dediscens loqui libere. Sed quando solet hac libertate vti seruus contra Dominum? nónne quando nullius maleficij sibi est conscius, certus nihil sibi dictum factúmve nisi in vtilitatem sui Domini? Quando igitur decet Dei quoque famulum libertate linguæ vti contra suum rerúmque omnium principem atque Dominum, nisi quando à peccatis purus, & charitatis erga Dominum sibi conscius, magis gaudet se esse Dei famulum quam si absque contentione adeptus esset imperium terra marique in omnes homines. Cæterum officia obsequiáque Abrahã plena charitatis erga Dominum commendat extrema clausula oraculi filio eius redditi: Dabo tibi & semini tuo terram hanc vniuersam: & in eo semine benedicentur omnes gentes terræ: propterea quod obediuit Abrahã pater tuus voci meæ, & custodiuit mandata mea, præcepta mea, leges meas & iudicia. Est autem serui laus maxima: nihil ex iussis Dominicis contemnere, sed impigre industriéque vel supra vires conari cuncta exequi ex illius animi sententia. Sunt igitur qui audire debent potius quam loqui: ad quos dicitur: Tace & audi: præceptum pulcherrimum. Nam inscitia res est mala temerariáque, cuius primum remedium est, auditoris silentium: secundum attentio ad ea quæ auditu digna sunt. Caue autem putes aliquid nihili docere hæc verba, Tace & audi: maius quiddam est quod monent.

A Ἐλιέζερ· καὶ πάλιν, Ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει με. καίτοι τίς οὐκ ἂν ὑπὸ τοῦ χρησμῳδοῦντος ἀξιώματος καὶ μεγέθους καταπλαγείς, ἄφωνος καὶ ἄχρους ἐγένετο, καὶ εἰ μὴ διὰ δέος, ἀλλά τοι διὰ περιχάρειαν. ἐπιστομίζουσι γὰρ ὡς αἱ σφοδραὶ λῦπαι, καὶ αἱ ὑπερβάλλουσαι χαραί· διὸ καὶ Μωσῆς ἰσχνόφωνος καὶ βραδύγλωσσος ὁμολογεῖ γενέσθαι, ἀφ' οὗ ἤρξατο ὁ θεὸς αὐτῷ διαλέγεσθαι· καὶ ἀψευδής ἐστιν ἡ τοῦ προφήτου μαρτυρία· τότε γὰρ εἰκὸς, τὸ μὲν φωνητήριον
B ὄργανον ἐπέχεσθαι, τὸν δὲ κατὰ διάνοιαν λόγον ἀρθρούμενον, ἀνυποτάκτῳ φορᾷ χρῆσθαι, νοημάτων οὐ ῥημάτων ἐπάλληλα κάλλη μετ' ἐξαιρέτου καὶ ὑψηγόρου δυνάμεως φιλοσοφοῦντα. θαυμάσιοι δὲ ἀρεταὶ ἥ τε εὐτολμία, καὶ ἡ ἐν δέοντι παρρησία πρὸς τοὺς ἀμείνους· ὡς καὶ τὸ κωμικὸν ἀψευδῶς μᾶλλον, ἢ κωμικῶς εἰρῆσθαι δοκεῖν, Ἂν πάνθ' ὁ δοῦλος ἡσυχάζων μανθάνῃ, Πονηρὸς ἔσται μεταδιδοὺς παρρησίας. πότε οὖν ἄγει παρρησίαν οἰκέ-
C της πρὸς δεσπότην; ἆρ' οὐχ ὅταν ἠδικηκότι μὲν ἑαυτῷ μηδὲν συνειδῇ, πάντα δὲ ὑπὲρ τοῦ κεκτημένου καὶ λέγοντι καὶ πράττοντι; πότε οὖν ἄξιον καὶ τὸν τοῦ θεοῦ δοῦλον ἐλευθεροστομεῖν πρὸς τὸν ἑαυτοῦ καὶ τοῦ παντὸς ἡγεμόνα καὶ δεσπότην, ἢ ὅταν ἁμαρτημάτων καθαρεύῃ, καὶ τὸ φιλοδέσποτον ἐκ τοῦ συνειδότος κρίνῃ πλείονι χαρᾷ χρώμενος ἐπὶ τῷ θεράπων γενέσθαι θεοῦ, ἢ εἰ τοῦ παντὸς ἀνθρώπων γένους ἐβασίλευσε, τὸ γῆς ὁμοῦ καὶ θαλάττης ἀνα-
D ψάμενος ἀκονιτὶ κράτος· τὰς δὲ φιλοδεσπότους λειτουργίας καὶ θεραπείας τοῦ Ἀβραὰμ διασυνίστησιν ἀκροτελεύτιον λογίου τοῦ χρησθέντος αὐτοῦ τῷ υἱῷ. Δώσω σοι καὶ τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰς ἐντολάς μου, καὶ τοὺς νόμους μου, καὶ τὰς κρίσεις. μέγιστον δὲ ἐγκώμιον οἰκέ-
E του, μηδενὸς ὧν ἂν προστάξῃ ὁ δεσπότης ὀλιγωρεῖν, ἀόκνως δὲ καὶ φιλοπόνως καὶ ὑπὲρ δύναμιν πάντα σπουδάζειν αἰσίᾳ γνώμῃ κατορθοῦν. εἰσὶ μὲν οὖν, οἷς ἀκούειν, ἀλλ' οὐ λέγειν εὐπρεπές, ἐφ' ὧν λέγεται, Σιώπα καὶ ἄκουε, πάγκαλον παράγγελμα. κάκιστον γὰρ καὶ θρασύτατον ἀμαθία, ἧς θεραπεία μὲν ἐστιν, ἀκοῆς ἡσυχία· δεύτερον δὲ, προσοχὴ τῶν ἀξίων τι ἀκοῆς προσφερομένων. μηδεὶς μέντοι νομισάτω τοῦτο αὐτὸ μόνον ἐμφαίνεσθαι διὰ τοῦ, σιώπα καὶ ἄκουε· ἀλλὰ καὶ προσδέχεσθαι δυνατώτερον ἕτερον.

οὐ γὰρ παρ' ἡμῖν μόνον γλώσσῃ σιωπῆς καὶ ὤσιν ἀκοῆς, ἀλλὰ καὶ ψυχῇ ταῦτα παθεῖν ἀμφότερα. πολλοὶ γὰρ ἐπ' ἀκρόασιν ἥκοντές τινος, οὐκ ἐληλύθασι τῇ διανοίᾳ, ἀλλ' ἔξω πλανῶνται, καὶ μυρία περὶ μυρίων ἑαυτοῖς διεξέρχονται, τὰ συγγενικά, τὰ ὀθνεῖα, τὰ ἴδια, ὧν εἰκὸς ἦν ἐν τῷ παρόντι μὴ μεμνῆσθαι, πάντα, ὡς ἔπος εἰπεῖν, ἑξῆς συναριθμούμενοι, καὶ διὰ τὸν ἐν αὐτοῖς πολὺν θροῦν, ἀδυνατοῦσι τοῦ λέγοντος ἀκροᾶσθαι. λέγει γὰρ ἐκεῖνος, ὥσπερ οὐκ ἐν ἀνθρώποις, ἀλλ' ἐν ἀψύχοις ἀνδριάσιν, οἷς ὦτα μέν ἐστιν, ἀκοαὶ δὲ οὐκ ἔνεισιν. ἐὰν οὖν μηδενὶ τῶν ἔξωθεν ἐπιφοιτώντων, ἢ ἔνδον ταμιευομένων προσέχων ὁ νοῦς ἀξιώσῃ προσομιλεῖν, ἀλλ' ἠρεμίαν ἀγαγὼν καὶ ἡσυχάσας, ἑαυτὸν ἀποτείνῃ πρὸς τὸν λέγοντα, σιωπήσας κατὰ τὸ Μωσέως παράγγελμα, δυνήσεται μετὰ τῆς πάσης προσοχῆς ἀκροάσασθαι, ἑτέρως δὲ οὐκ ἂν ἰσχύσῃ. τοῖς μὲν οὖν ἀμαθέσι συμφέρον ἡσυχία, τοῖς δὲ ἐπιστήμης ἐφιεμένοις καὶ ἅμα φιλοδεσπόταις, ἀναγκαιότατον ἡ παρρησία. λέγεται γοῦν ἐν Ἐξόδῳ, Κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ὑμεῖς σιγήσετε· καὶ χρησμὸς εὐθὺς ὑπόκειται τοιόσδε, Καὶ εἶπε κύριος πρὸς Μωσῆν, τί βοᾷς πρός με, ὡς δέον καὶ σιωπᾶν τοὺς μηδὲν ἄξιον ἀκοῆς ἐργαζομένους, καὶ λέγειν τοὺς ἔρωτι σοφίας θεῷ πεπιστευκότας, καὶ μὴ μόνον λέγειν σὺν ἠρεμίᾳ, ἀλλὰ καὶ μετὰ κραυγῆς μείζονος ἐκβοᾶν, οὐ στόματι καὶ γλώττῃ, δι' ὧν ἀέρα λόγος ἔχει σφαιρούμενον, αἰσθητὸν ἀκοῇ γίνεσθαι, ἀλλὰ τῷ παμμούσῳ καὶ μεγαλοφωνοτάτῳ φωνῆς ὀργάνῳ, οὗ θνητὸς μὲν ἀκροατὴς οὐδείς, ὁ δὲ ἀγένητος καὶ ἄφθαρτος μόνος. τὸ γὰρ νοητῆς ἁρμονίας διάρμοστον καὶ σύμφωνον μέλος, ὁ νοητὸς μουσικὸς μόνος καταλαβεῖν ἱκανός· τῶν δὲ ἐν αἰσθήσει φυρομένων οὐδὲ εἷς. ὅλου δὴ τοῦ διανοίας ὀργάνου κατὰ τὴν διὰ πασῶν καὶ δὶς διὰ πασῶν συμφωνίαν ἐξηχοῦντος, ὁ ἀκροατὴς ὥσπερεὶ πυνθάνεται, πρὸς ἀλήθειαν οὐ πυνθανόμενος. πάντα γὰρ γνώριμα θεῷ. τί πρός με βοᾷς, καθ' ἱκεσίαν κακῶν ἀποτροπῆς, ἢ κατ' εὐχαριστίαν μετουσίας ἀγαθῶν, ἢ κατ' ἀμφότερα. λάλος δὲ οὗτος ὁ ἰσχνόφωνος καὶ βραδύγλωσσος καὶ ἄλογος εἶναι δοκῶν, ἀνευρίσκεται. ὥστε πῆ μὲν οὐ μόνον λέγων, ἀλλὰ καὶ βοῶν εἰσάγεται, ἑτέρωθι δὲ ἀπαύστῳ καὶ ἀδιαστάτῳ χρώμενος λόγων ῥύμῃ. Μωσῆς γάρ, φησίν, ἐλάλει, καὶ ὁ θεὸς ἀπεκρίνατο αὐτῷ ἐν φωνῇ, οὐ κατὰ συστείλας ἐδίδασκεν, ἀλλ' ἀεὶ καὶ συνεχῶς ἀπεκρίνατο. ὅπου δὲ ἀπόκρισις, ἐκεῖ πάντως ἐρώτησις. ἐρωτᾷ δὲ ἕκαστος,

A non solum enim linguæ silentium postulat & auditum aurium, sed vtrumque ab anima exigit. nam multi aures non mentem afferunt in auditorium, ipsi foris interim vagantur, & multa de multis apud seipsos agitant, ad cognatos alienósve, aut etiam ad ipsos pertinentia, quæ præstaret ad tempus missa facere: quæ omnia dum cogitationi obstrepunt, fieri non potest vt exaudiatur qui loquitur. nam eius vox non ad homines fer-
B tur, sed ad inanimatas statuas, quæ aures habent cum auditu careant. quod si mens quieta ab omnibus externis internisque motibus dignetur attentam se præbere, & iuxta Mosis præceptum auscultare per silentium, poterit audire quæ dicuntur: aliâs verò non poterit. indoctos igitur decet silentium: ad scientiam autem aspirantibus, & Dominum amantibus, est necessaria confidens facundia. Le-
C gitur enim in Exodo: Dominus pugnabit pro nobis, vos autem silebitis. ac mox tale oraculum subiungitur: Et dixit Dominus ad Mosem: Quid clamas ad me? quasi deberent silere qui nihil auditu dignum afferunt, loqui verò qui præ amore sapientiæ confidunt in Domino: nec solum loqui placide, sed etiam proclamare: non ore linguáque, à quibus ictum aerem aiunt in orbem moueri, atque ita ad auditum pertingere: sed illo musico sonoróque instrumen-
D to, quod mortalis audit nemo, soli ingenito illi immortalíque exaudibile, istorum vero qui in sensibus volutantur nemini. Certe cum totum mentis instrumentum per diapason & disdiapason symphonias insonat, auditor quasi interrogatur, cum reuera non interrogetur. nam Deo nota sunt omnia. Quid ad me clamas mala deprecans, aut pro bonis acceptis agens gratias: aut vtrumque agens eadem opera? adeò
E hic parum vocalis & lingua tardus ac pene mutus, alibi non loqui solum inuenitur, sed & clamans introducitur, rursum alibi loquens indesinenter & eodem fluxu sermonem continuans. Moses, inquit, loquebatur, & Deus ei voce sua respondebat, non docens eum per certas orationis periodos, sed semper & continenter ei respondens. Vbi autem responsio, ibi vtique & interrogatio. Rogat autem quisque quod ignorat, cupiens id discere.

nam discentibus nihil tam proprium ac vtile, quam quærere, rogare, scitari, non videri sibi vel scire aliquid, vel percepisse solide. Ergo sapientes Deo præceptore magistróque vtũtur, imperfecti verò sapiente illo, ad quem dicunt: Loquere tu nobis: non loquatur ad nos Deus, ne forte moriamur. Tanta autẽ in loquendo libertate vtitur hic vir bonus, vt non solũ clamet, sed reclamet quoque, fretus vera fiducia & affectu non fucato. Nam verba hæc: Si remittis ei peccatũ hoc, remitte: sin minus, dele me è libro tuo quem scripsisti. & illa: Num ego in vtero concepi totũ hunc populũ, aut peperi eum, quia dicis mihi: sume eum in sinũ tuum, & gesta tanquam nutrix infantulũ? & illa: Vnde mihi carnes vt dem vniuerso huic populo, qui opplorat mihi? nunquid oues & boues mactabuntur, aut omnes pisces maris comportabuntur & sufficient? & illa: Domine cur afflixisti hunc populum? &, Cur misisti me? &, Ex quo profectus sum vt loquerer ad Pharaonẽ in tuo nomine, afflixit populũ. &, Non liberasti tuum populum: hæc inquam & similia nemo vel regi cuiuis auderet dicere. cæterum cum Deo loqui tam libere, summæ fuit non audaciæ sed fiduciæ: quia sapientes omnes amici Dei sunt, præsertim quod ad sacras leges promulgandas attinet. libertas autem loquendi cognata est amicitiæ: alioqui cum quo loquemur libere, si cum amico non licet? Recte igitur in sacris literis Moses amicus Dei celebratur, vt quoties audacius loquitur, amicitiæ potius id tribuatur quã arrogantiæ. nam arrogãtis est temeritas, amici vèro fiducia. Sed considera iterũ quòd fiducia temperatur cum reuerẽtia. nam hæc verba, Quid mihi dabis? fiduciam præ se ferunt: illud autem, ô here, reuerentiam. Cæterum cùm duabus appellationibus provt res postulat, rerũ autor appellari soleat, aliquando Deus, aliquando Dominus, nunc harũ neutra, sed herus assumitur, idque peropportune & religiose admodũ: quamuis hæc vocentur synonyma herus & Dominus. sed quamuis vtrumque nomen in vnũ eundémque competit, distinguit tamẽ hæc cogitatio: quia Dominus κύριος παρὰ τὸ κῦρος, hoc est, ab autoritate dicitur, qua ratum fit aliquid: sicut contra ἄκυρον vocatur irritum. herum autem δεσπότης παρὰ τὸν δεσμὸν, id est, vinculum. Vnde vt opinor δέος, id est, timor. itaque & δεσπότης Dominus erit & quidem timendus,

A ὃ μὴ ἐπίσταται, μαθεῖν ἄξιον, γνησίων τῶν εἰς ἐπιστήμην ὠφελιμωτάτων ἔργων ἐστὶ, ζητεῖν, ἐρωτᾶν, πυνθάνεσθαι, μηδὲν δοκεῖν εἰδέναι, μηδέ τι οἴεσθαι παγίως κατειληφέναι. σοφοὶ μὲν οὖν ὑφηγητῇ καὶ διδασκάλῳ χρῶνται θεῷ, οἱ δὲ ἀτελέστεροι τῷ σοφῷ. διὸ καὶ λέγουσι, Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μήποτε ἀποθάνωμεν. τοσαύτῃ δ' ἄρα χρῆται παρρησίᾳ ὁ ἀστεῖος, ὥστε οὐ μόνον λέγειν καὶ βοᾶν, ἀλλ' ἤδη καὶ καταβοᾶν ἐξ ἀληθοῦς πίστεως καὶ ἀπὸ γνη-
B σίου τοῦ πάθους θαρρεῖ. ὁ μὲν γὰρ, Εἰ ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν ἄφες, εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου ἧς ἔγραψας· καὶ ὁ, Μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον πάντα τὸν λαὸν τοῦτον; ἢ ἐγὼ ἔτεκον αὐτόν, ὅτι λέγεις μοι, λάβε εἰς τὸν κόλπον σου, καθὰ αἴρει τιθηνὸς τὸν θηλάζοντα· καὶ ὁ, Πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίει ἐπ' ἐμοί· μὴ πρόβατα καὶ βόες σφαγήσονται, ἢ πᾶν τὸ ὄψον τῆς θαλάσσης συναχθήσεται καὶ ἀρκέσει; καὶ ὁ, Κύ-
C ριε διὰ τί ἐκάκωσας τὸν λαὸν τοῦτον· καὶ, Ἵνα τί ἀπέσταλκάς με· καὶ, Ἀφ' οὗ πεπόρευμαι λαλῆσαι πρὸς Φαραὼ ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαόν· καὶ, Οὐκ ἐρρύσω τὸν λαόν σου. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἔδεισεν ἄν τις καὶ πρὸς ἕνα τῶν ἐν μέρει βασιλέων εἰπεῖν. ὁ δὲ ἀποφαίνεσθαι καὶ πρὸς θεὸν θαρρῆσαι, τοῦτο δ' ἄρα πέρας ἦν οὐ τόλμης αὐτοῦ, ἀλλ' εὐτολμίας αὐτοῦ· ἐπεὶ οἱ σοφοὶ πάντες φίλοι θεοῦ καὶ μάλιστα κατὰ τὸν ἱερώτατον νομοθέτην. παρρησία δὲ φιλίας συγγενὲς, ἐπεὶ πρὸς τίνα ἄν τις ἢ
D πρὸς τὸν ἑαυτοῦ φίλον παρρησιάσαιτο. παγκάλως οὖν ἐν τοῖς χρησμοῖς φίλος ᾄδεται Μωσῆς, ὅσα ἐπὶ θάρσει παρακεκινδυνευμένα διεξέρχεται, φιλίᾳ μᾶλλον ἢ αὐθαδείᾳ προσφέρεσθαι δοκῇ. θρασύτης μὲν γὰρ αὐθάδες, φίλου δὲ θαρραλεότης οἰκεῖον. ἀλλὰ σκόπει πάλιν ὅτι εὐλαβείᾳ τὸ θαρρεῖν ἀνακέκραται. ὁ μὲν γὰρ, Τί μοι δώσεις, θάρσος ἐμφαίνει, ὁ δὲ, ὦ δέσποτα, εὐλάβειαν. εἰωθὼς δὲ χρῆσθαι διτταῖς αἰτίαις ἐπὶ τῷ αἰτίῳ καὶ προσρήσεσι, τῇ τε τοῦ θεοῦ καὶ τῇ τοῦ κυρίου, οὐδετέραν νῦν παρείληφεν, ἀλλὰ τὴν τοῦ δεσπότου λίαν εὐσεβῶς καὶ σφόδρα
E κυρίως. καίτοι συνώνυμα ταῦτα λέγεται, κύριος καὶ δεσπότης· ἀλλ' εἰ καὶ τὸ ὑποκείμενον ἓν καὶ ταὐτόν ἐστιν, ἐπινοίαις αἱ κλήσεις διαφέρουσι. κύριος μὲν γὰρ παρὰ τὸ κῦρος, ὃ δὴ βέβαιόν ἐστιν, εἴρηται, κατ' ἐναντιότητα ἀβεβαίῳ καὶ ἀκύρῳ. δεσπότης δὲ παρὰ τὸν δεσμὸν, ἀφ' οὗ δέος οἶμαι, ὥστε τὸν δεσπότην κύριον εἶναι, καὶ ἐπιτωθασμεῖ φοβερὸν κύριον, οὐ μόνον τὸ κῦρος καὶ τὸ κράτος ἀνημμένον ἁπάντων,

ἀλλὰ καὶ δέος καὶ φόβον ἱκανὸν ἐμποιῆσαι. τάχα μέντοι καὶ ἐπεὶ τῶν ὅλων δεσπότης ἐστί, συνέχων αὐτὰ ἄλυτα, καὶ σφίγγων διαλυόμενα ἐξ ἑαυτῶν. ὃ δὴ φάσκων, Δέσποτα τί μοι δώσεις, δυνάμει ταῦτα διεξέρχεται, οὐκ ἀγνοῶ σου τὸ ὑπερβάλλον κράτος· ἐπίσταμαι τὸ φοβερὸν τῆς δυναστείας· δεδιὼς καὶ τρέμων ἐντυγχάνω, καὶ πάλιν θαρρῶ. σὺ γὰρ ὁ θεσπίσας μοι μὴ φοβεῖσθαι, σύ μοι γλῶτταν παιδείας δέδωκας, τοῦ γνῶναι, ἡνίκα δεῖ φθέγγεσθαι. σὺ τὸ στόμα ἀπερραμμένον ἐξέλυσας, σὺ διῴξας, ἐπιπλέον ἤρθρωσας· σὺ τὰ λεκτέα συνεβίβασας εἰπεῖν, τὸν χρησμὸν βεβαιούμενος ἐκεῖνον, Ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω σοι ἃ μέλλεις λαλήσειν. τίς γὰρ ἐγενόμην, ἵνα σύ μοι λόγου μεταδῷς, ἵνα μισθὸν ὁμολογῇς χάριτος καὶ δωρεᾶς ἀγαθῶν τελειότερον. οὐ τῆς πατρίδος εἰμὶ μετανάστης; οὐ τῆς συγγενείας ἀπελήλαμαι, οὐ τῆς πατρῴας οἰκίας ἠλλοτρίωμαι; οὐκ ἀποκήρυκτον καὶ φυγάδα πάντες ἔρημον καὶ ἄτιμον ὀνομάζουσιν; ἀλλὰ σύ μοι δέσποτα ἡ πατρὶς, σὺ ἡ συγγένεια, σὺ ἡ πατρῴα ἑστία, σὺ ἡ ἐπιτιμία, ἡ παρρησία, ὁ μέγας καὶ ἀοίδιμος καὶ ἀναφαίρετος πλοῦτος. διὰ τί οὖν οὐχὶ θαρρήσω λέγειν ἃ φρονῶ. διὰ τί οὐ πεύσομαι, μαθεῖν τι πλέον ἀξιῶν, ἀλλ᾽ ὁ λέγων ἐγὼ θαρρεῖν, πάλιν ὁμολογῶ δεδιέναι καὶ καταπεπλῆχθαι, καὶ οὐκ ἔχει τὴν ἄμικτον ἐν ἐμοὶ μάχην, φόβον τε καὶ θάρσος, ὡς ἴσως ὑπολήψεταί τις, ἀλλὰ τὴν ἀνακεκραμένην συμφωνίαν. ἀπλήστως οὖν εὐωχοῦμαι τοῦ κράματος, ὅ με ἀναπέπεικε, μήτε ἄνευ εὐλαβείας παρρησιάζεσθαι, μήτε ἀπαρρησιάστως εὐλαβεῖσθαι. τὴν γὰρ οὐδένειαν τὴν ἐμαυτοῦ μετρεῖν ἔμαθον, καὶ τὰς ἐν ὑπερβολαῖς ἀκρότητας τῶν σῶν εὐεργεσιῶν περιβλέπεσθαι· καὶ ἐπειδὰν γῆν καὶ τέφραν καὶ εἴ τι εὐτελέστερον ἐμαυτὸν αἴσθωμαι, τηνικαῦτα ἐντυγχάνειν σοι θαρρῶ, ταπεινὸς γεγονὼς, καταβεβλημένος εἰς χοῦν, ὅσα γε εἰς τὸ μηδ᾽ ὑφεστάναι δοκεῖν ἀνεστοιχειωμένος. καὶ τοῦτό μου τὸ πάθος τῆς ψυχῆς ἐστηλογράφησεν ἐν ταῖς ἐμαῖς μνήμαις ἐπίσκοπος Ἀβραάμ. Ἐγγίσας γὰρ, φησὶν, Ἀβραὰμ εἶπε, νῦν ἠρξάμην λαλεῖν πρὸς κύριον, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ἐπεὶ τότε καιρὸς ἐντυγχάνειν γενέσει τῷ πεποιηκότι, ὅτε τὴν ἑαυτῆς οὐδένειαν ἔγνωκεν. τὸ δὲ, Τί μοι δώσεις, οὐκ ἀποροῦντός ἐστι φώνημα μᾶλλον, ἢ ἐπὶ τῷ πλήθει καὶ μεγέθει ὧν ἀπήλαυκεν ἀγαθῶν εὐχαριστοῦντος, τί μοι δώσεις. εἰ γὰρ, ὑπολείπεταί τι πλέον προσδοκῆσαι. ἄφθονοι γὰρ ὦ φιλόδωρε αἱ σαὶ χάριτες καὶ ἀπερί-

A non solum propter autoritatem, verum etiam propter metuendam omnipotentiam. vel fortasse quia colligat continétque omnia constringens indissolubiliter, alioqui natura dissolubilia. Quare cum dicit, Here, quid mihi dabis? perinde est ac si dicat: Non ignoro tuā ingentem potentiam, scio & potestatem tuam terribilem. timens treménsque te appello, & rursus fiducia subleuor. Tuū enim oraculū iubet ne timeam: tu mihi linguā eruditam dedisti, vt sciam quan-
B do loquendum sit. tu os meum consutum soluisti, aperuisti, & articulatum fecisti. dicenda quoque suggeris, confirmans illud tuum oraculum: Ego aperiam os tuum, & docebo te quid loqui debeas. Quis enim sum ego vt loqui me doceas, vt mercedem pollicearis perfectiorem quouis dono & gratia? nónne è patria sum profugus? nónne cognatos deserui? nónne careo paternis ædibus? nónne omnes me relegatum, pro-
C fugum, desertum, & inhonoratū nominant? Verum tu mihi here es patria, tu cognatio, tu paterna domus, tu honor, fiducia, opulentia clara & perpetua. Cur igitur non audeam proloqui quæ cogito? cur non perconter de his quæ cupio discere? attamen quamuis præ me ferre confidentiam videar, nihilominus metum & stuporem fateor: nec tamen pugnare in me affectus contrarios, timorem atque audaciam, sicut fortasse aliquis suspicabitur, sed contemperari aptissime. itaque insatiabiliter fruor tam
D bene temperato poculo, quod facit vt nec liberius loquar quam pro reuerentia, nec reuerentia libertatem mihi adimat. Didici enim meipsum metiri, quā sim nihili, & nimiam tuam beneficentiam suspicere. & quoties puluerem cinerémque, aut si quid his est proiectius, meipsum sentio, tunc appellare te audeo, humiliatus & in terra prostratus, sic mutatus vt vix subsistere videar. Talem affectum animæ impressit in meam memoriam visitator Abraham. Appropin-
E quans, inquit, Abraham dixit: Nunc incepi alloqui Dominum, ego autem terra sum & cinis.] Tunc enim tempus est vt creatura suum factorem appellet, quando agnoscit quàm ipsa sit nihili. Illud autem, Quid mihi dabis? non tam dubitantis est verbum, quàm gratias agentis pro acceptorum beneficiorum magnitudine: Quid mihi dabis? Num est quod sperem præterea? Copiosæ sunt, ô munificentissime, tuæ gratiæ,

nullis circumſcriptæ terminis, nec modum nec finem habent, fontium more inexhauſtæ & ſubſcatentes perpetuo. Sed conſiderandus eſt non ſolum torrens exundans tuæ beneficentiæ, verum etiam arua noſtra quæ illo rigantur. nam ſi nimis perfundantur, ſtagna & paludes erunt pro campis frugiferis. annon & mihi certa menſura opus eſt? ideo percontor. Quid mihi daturus es? qui iam dediſti plurima, & penè omnia quorum natura humana capax eſt. quod enim adhuc cupio ſcire hoc eſt, quiſnam poſſit eſſe dignus hæres tuorum operum. Ego defungar ſine liberis, acceptis bonis ad breue tempus paucóſque dies duraturis, & ad finem properantibus, quamuis optem longæuitatem nec ſenio nec morti obnoxiam, vt poſſit iactis ſeminibus radices firmas extendere, & ſtipitem vſque ad cælum attollere. neceſſe eſt enim vt humana virtus in terra gradiens ad cælum erigatur, vt ibi guſtato immortalitatis nectare, ſempiternam ſalutem habeat. nam ſcio quòd ſterilem animam odiſti, ipſe rerum omnium genitor. eximiam enim gratiam largitus es perſpicaci generi, ne vnquam ſteriléſcat & prole careat: cui quoniam & ego contributus ſum, iure hæredem deſidero. Cum enim videam id inextinguibile, turpe puto ſinere vt naturæ meæ bonum intereat. Supplex igitur imploro, vt ſemina ſcintillæque foueantur, è quibus virtutis lux ſalutaris accendi queat, quæ tanquam lampas per manus tradita, mundo æquæua fiat. Indidiſti & meditatorijs viris deſiderium filiorum qui progignuntur ex anima, quibus potiti exclamarunt præ gaudio: En pueri quorum miſertus eſt Deus ſeruorum tuorum: quorum peregrinatio nutrix & altrix eſt, quorum intactæ animæ teneræ generoſæque ſunt, in omnes virtutis formas diuinas & pulcherrimas fingi faciles. Sed doce me & illud, an filius Maſec vernaculæ meæ, tuarum gratiarum hæres ſit idoneus. nam ego hactenus neque ſperatum accepi filium, neque de hoc quem accepi ſpem habeo. Quænam autem ſit hæc Maſec, & quis eius filius, non obiter conſiderandum eſt. Maſec interpretatur ex oſculo. differt autem ab amore oſculum. nam ille eſt animarum coniunctarum per mutuam beneuolentiam:

A χάριτες ἀπερίγραφοι, καὶ ὅρον καὶ τελευτὴν οὐκ ἔχουσαι, πηγῶν τρόπον τελείαν τὴν ἀποπληρουμένων ἀναβρύουσαι. σκοπεῖν δὲ ἄξιον, οὐ μόνον τὸν ἀεὶ πλημμυροῦντα χειμάρρουν τῆς σῆς εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἀρδευομένας ἡμῶν ἀρούρας. εἰ γὰρ περιττὸν ἀναχυθείη τὸ ῥεῦμα, λιμνώδης καὶ τελματώδης ἀντὶ καρποφόρου γῆς ἔσται τὸ πεδίον πρὸς εὐφορίαν οὐ μεμετρημένης. ἀλλ᾽ οὐ κατὰ μέτρον δεῖ τῆς ἐπιρροῆς ἐμοί· διὸ πεύσομαι, τί μοι δώσεις, B ἀμύθητα δούς, καὶ σχεδὸν πάντα ὅσα θνητὴν φύσιν χωρῆσαι ἀδύνατον ἦν. ὃ γὰρ λοιπὸν ἐπιζητῶ μαθεῖν τε καὶ κτήσασθαι τοῦτ᾽ ἐστὶν, τίς ἂν γένοιτο ἄξιος τῶν σῶν ἔργων, καὶ κληρονόμος. Ἐγὼ ἀπολυθήσομαι ἄτεκνος, ὀλιγοχρόνιον καὶ ἐφήμερον καὶ ὠκύμορον λαβὼν ἀγαθὸν, εὐχόμενος τοὐναντίον, πολυήμερον καὶ πολυχρόνιον καὶ ἀκήρατον καὶ ἀθάνατον, ὡς δυνηθῆναι καὶ σπέρματα βάλλεσθαι καὶ ῥίζας ὀχυρότητος ἕνεκα ἀποτεῖναι, καὶ ἄνω C πρὸς οὐρανὸν τὸ στέλεχος ἐγεῖρον μετεωρῆσαι. τὴν γὰρ αἰθερίαν ἀρετὴν βαίνειν ἐπὶ γῆς, φθάνειν δὲ πρὸς οὐρανὸν ἀναγκαῖον, ἵν᾽ ἐκ τῆς ἀφθαρσίας ἑστιαθεῖσα, τὸν ἀεὶ χρόνον ἀπήμων διαμένῃ. ἄτεκνον γὰρ καὶ στεῖραν οἶδ᾽ ὅτι ψυχὴν, ὁ τὰ μὴ ὄντα φέρων καὶ τὰ πάντα γεννῶν, μεμίσηκας· ἐπεὶ καὶ χάριν ἔδωκας ἐξαίρετον τῷ διορατικῷ γένει, τὸ μηδέποτε στειρωθῆναι καὶ ἀτεκνῆσαι, ᾧ καὶ αὐτὸς προσνεμηθεὶς, ἐφίεμαι κληρονόμου δικαίως. ἄσβεστον γὰρ αὐτὸ καταθεώμενος, ἄχαρι εἶναι νομίζω τὴν ἐμαυτοῦ φύσιν τὸ καλὸν περιιδεῖν D καταλυθήσεσθαι. ἱκέτης οὖν γίνομαι καὶ ποτνιῶμαι, ἵνα σπερμάτων καὶ ἐμπυρευμάτων ὑποτυφομένων, τὸ ἀρετῆς ἀνακαίηται καὶ ἀναφλέγηται σωτήριον φέγγος, ὃ λαμπαδευόμενον ἐπαλλήλοις διαδοχαῖς, ἰσόχρονον γενήσεται κόσμῳ. ζῆλον καὶ τοῖς ἀσκητικοῖς ἔδωκας τέκνων τῆς τῆς ψυχῆς σπορᾶς καὶ γενέσεως, καὶ μοιραθέντες ὑφ᾽ ἡδονῆς ἐξελάλησαν εἰπόντες, τὰ παιδία οἷς ἠλέησεν ὁ θεὸς τὸν δοῦλον σου, ὧν ἀποικία καὶ τροφὸς καὶ τιθη-E νός, ὧν ἄβατοι καὶ ἁπαλαὶ καὶ εὐφυεῖς ψυχαὶ τῶν ἀρετῆς παγκάλων καὶ θεοειδεστάτων εὐαπόδεκτοι χαρακτήρων. δίδαξον δέ με κἀκεῖνο, Εἰ ὁ υἱὸς Μασὲκ τῆς οἰκογενοῦς μου, τῶν σῶν χαρίτων ἱκανὸς γενέσθαι κληρονόμος ἐστίν. ἐγὼ γὰρ ἄχρι νῦν τὸν μὲν ἐλπιζόμενον οὐκ ἔλαχον, ὃν δὲ ἔλαβον, οὐκ ἐλπίζω. τίς δὲ ἡ Μασὲκ, καὶ τίς αὐτῆς ὁ υἱὸς, οὐ παρέργως ἐπισκεπτέον. ἑρμηνεύεται τοίνυν Μασὲκ, ἐκ φιλήματος. φίλημα δὲ διαφέρει τοῦ φιλεῖν. τὸ μὲν γὰρ ψυχῶν εὑρέσει ἁρμοζομένων εὐνοίᾳ, τὸ δὲ ψυ-

ἀλλὰ καὶ ἐπιπόλαιον δεξίωσιν χρείας τινὸς ἐς ταὐτὸν συναγούσης ἔοικεν ἐμφαίνειν. ὥσπερ γὰρ ἐν τῷ ἀνακύπτειν οὐκ ἔστι τὸ κύπτειν, οὐδ' ἐν τῷ καταπίνειν τὸ πίνειν, οὐδ' ἐν μεθίππῳ ὁ ἵππος, οὕτως οὐδ' ἐν τῷ καταφιλεῖν τὸ φιλεῖν. ἐπεὶ καὶ τῶν ἐχθρῶν μυρίους ἄκοντές τινες ὑπὸ τῆς τοῦ βίου χαλεπῆς ἀνάγκης, δεξιοῦνται. τίς δ' ἐστὶν ἡ ἐκ φιλήματος, ἀλλὰ μὴ ἐξ ἀψευδοῦς φιλίας ἡμῖν συνεστῶσα, φραζέτω μηδὲν ὑποστειλάμενος· ἡ ζωὴ ἡ σὺν αἰσθήσει, ἡ πᾶσα ὠχυρωμένη, ἧς ἀνέραστος οὐδείς, ἣν δέσποιναν μὲν οἱ πολλοί, θεράπαιναν δὲ οἱ ἀστεῖοι νομίζουσιν, οὐκ ἀλλόφυλον ἢ ἀργυρώνητον, ἀλλ' οἰκογενῆ καὶ τρόπον τινὰ ὁμόφυλον. οὗτοι καὶ πεπαίδευνται καταφιλεῖν αὐτήν, οὐ φιλεῖν· ἐκεῖνοι δὲ ὑπερφυῶς ἀγαπᾶν, καὶ περιπόθητον ἡγεῖσθαι. Λάβαν δ' ὁ μισάρετος οὐδὲ καταφιλῆσαι δύναται τὰς προσκεκληρωμένας τῷ ἀσκητικῷ δυνάμεις, ἀλλ' ὑποκρίσεως καὶ ψευδῶν πλασμάτων ἀνηρτηκὼς τὸν ἑαυτοῦ βίον, ὡσανεὶ δυσχεραίνων· οὐ γὰρ πρὸς ἀλήθειαν ἀλγῶν φησίν, Οὐκ ἠξιώθην καταφιλεῖν τὰ παιδία μου, καὶ τὰς θυγατέρας· εἰκότως γε καὶ προσηκόντως. εἰρωνείαν γὰρ μισεῖν ἀκαταλλάκτως ἐπαιδεύθημεν. ἀγάπησον οὖν ἀρετάς, καὶ ἄσπασαι ψυχῇ τῇ σεαυτοῦ, καὶ ἥκιστα βουλήσῃ τὸ φιλίας παράκομμα ποιεῖν καταφιλεῖν. μὴ γάρ ἐστιν αὐταῖς ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ; οὐχ ὡς ἀλλότριαι ἐλογίσθησαν παρὰ σοί; ἢ οὐ πέπρακας αὐτάς, καὶ κατέφαγες τὸ ἀργύριον, ἵνα μηδ' εἰσαῦθις ἀνακομίσασθαι δυνηθῇς τὰ σῶστρα, καὶ τὰ λύτρα κατεδηδοκὼς πρός; ποίους οὖν βούλεται καταφιλεῖν ὁ πᾶσι τοῖς κριταῖς ἄσπονδος. ἀλλ' οὐκ Ἀαρὼν καταφιλήσει Μωσέα, ἀλλ' ἀπὸ γνησίου τοῦ τῆς ψυχῆς πάθους φιλήσει. Ἐφίλησε γάρ, φησίν, αὐτόν, καὶ ἠσπάσαντο ἀλλήλους. ζωῆς δὲ τριττὸν γένος, τὸ μὲν πρὸς θεόν, τὸ δὲ πρὸς γένεσιν, τὸ δὲ μεθόριον μικτὸν ἀμφοῖν. τὸ μὲν οὖν πρὸς θεόν, οὐ κατέβη πρὸς ἡμᾶς, οὐδὲ ἦλθεν εἰς τὰς σώματος ἀνάγκας· τὸ δὲ πρὸς γένεσιν, οὐδ' ὅλως ἀνέβη, οὐδὲ ἐζήτησεν ἀναβῆναι, φωλεῦον δὲ μυχοῖς ἀδύτοις τῷ ἀβιώτῳ βίῳ χαίρει· τὸ δὲ μικτόν ἐστιν, ὃ πολλάκις μὲν ὑπὸ τῆς ἀμείνονος ἀγόμενον τάξεως, θειάζει καὶ θεοφορεῖται, πολλάκις δὲ ὑπὸ τοῦ χείρονος ἀντισπώμενον ἐπιστρέφει. τοῦθ' ὅταν ὥσπερ ἐπὶ πλάστιγγος ἡ τῆς κρείττονος ζωῆς μοῖρα τοῖς ὅλοις βρίθῃ, συνεπισπασθὲν, τὸ τῆς ἐναντίας ζωῆς βάρος κουφότατον ἄχθος ἀπέφηνε. Μωσῆς δὲ τὸ τῆς πρὸς Θεὸν ζωῆς γένος ἀκονιτὶ στεφανώσας,

A hoc autem nudam salutationem habet superficietenus in occursu fortuito. sicut enim in ἀνακύπτειν non est κύπτειν, in καταπίνειν πίνειν, in μεθίππῳ ἵππος, sic nec in καταφιλεῖν φιλεῖν, id est, amor in osculo. nam multi etiam inimicis coacti aliqua necessitate hanc officij speciem exhibent. quæ sit autem illa ex osculo, non ex sincera caritate, nobis commendata, dicam nihil dissimulans. Vita qua cum sensibus conuiuimus, tota secura, quam nemo B non amat, quam hominum vulgus heram existimat, elegantiores famulam, non externam aut empticiam, sed vernaculam & tribulem quodammodo: qui etiam didicerunt osculari eam non amare, cum illi alteri valde ament eam & desiderent. Laban autem ille virtutis osor ne osculari quidem potest attributas meditatori potentias, sed vt assuetus simulationi fictisque moribus, tanquam ægre ferens, cum reuera non doleat, C ait: Non iudicasti me dignum vt oscularer pueros meos & filias. Iuste ac merito. Simulationem enim implacabiliter odisse didicimus. Dilige virtutes, & animo complectere, & non requires osculum, fucatum specimen amicitiæ. non est enim eis amplius portio vel hæreditas in domo tua. nónne pro alienis à te reputatæ sunt? nónne vendidisti eas, & deuorasti earum precium? vt ne in posterum quidem eas possis redimere ac postli-D minio reuersas recipere. quid igitur osculari vult inimicus perpetuus virtutum omnium? At non sic Aaron osculatur Mosem, sed ex animo vt germanum carissimum. Amanter, inquit, salutauit eum, & complexi sunt se inuicem. Sunt autem vitæ tria genera: vna apud Deum, altera apud creaturam, tertia media, mixta ex vtraque. quæ apud Deum est, non descendit ad nos, nec venit in istas necessitates corporis: quæ apud creatu-E ram, nec ascendit, nec curauit ascendere, degens in cauernis intimis, & vita minime vitali gaudens. at quæ mixta est, sæpe ad meliorem tracta ordinem numine corripitur, interdum retracta ad deteriorem retro se recipit. quod si ad hanc tanquam in bilancem melior vita accedat, adeò prægrauabit, vt in diuersa lance minimũ ponderis appareat. Moses autem ei quæ apud Deum est vitæ palmam decernens sine puluere,

reliquas inter se comparat per duarum mulierum similitudinem, quarum alteram dilectam, alteram exosam, vocat aptissimis nominibus. Quis enim est qui non capiatur oculorum, aurium, gustus, odoratus tactúsque delicijs ac voluptatibus? Quis non abhorret à contrarijs; frugalitate, continentia, austera castigatáque vita, lusus ac risus experte, plena curis & laboribus, contemplandi cupida, infensa ignorantiæ, contemnente pecuniam, gloriam, delicias, aspirante ad temperantiam, bonam existimationem, & videntes non cæcas diuitias? Est quidem primogenitura vt antiquior ita honoratior: Moses tamen etiam posterius natos hoc honore dignatur, his duplum tribuens, alteris auferens dimidium. Si habuerit, inquit, homo duas vxores, dilectam & exosam, & ambæ pepererint, cum distribuet suam substantiam, non poterit primogenituram dare filio dilectæ, scilicet voluptatis. iuuenis enim hic censetur, etsi tempore antiquior. sed dabit filio seniori nato è fastidita prudentia, qui à pueritia dignus fuit, cui duæ portiones debentur. Huius figuræ sensum moralem quia iam ante diximus, reuertamur ad proxime sequentia, præmonito lectore, quod exosæ Deus vuluam aperuisse dicitur, ortum dans bonis studijs & honestis operibus, cùm ea quæ dilecta putatur, mox ab initio fit sterilis. Videns, inquit, Dominus quod Lia fastiditur, aperuit vuluam eius: Rachel autem erat sterilis. Sed quoties anima prægnans quales decet fœtus parturit, tunc altera sensibilium genitrix sterilescens desinit parere, grata non propter amorem, sed propter oscula. Huius sensualis vitæ, quæ Masec nominatur, vnusquisque nostrum est filius, honorans demiránsque nutricem altricémque humani generis: quam terrenus intellectus Adam nomine, vbi factam vidit, quamuis mortem suam, vitam illam nominauit. Vocauit, inquit, Adam nomen vxoris suæ vitam, quod ipsa sit mater omnium viuentium, reuera mortuorum iuxta vitam animæ. At quotquot vere viuunt, matrem habent sapientiam, sensus autem vtuntur seruitio, in hoc à natura factum existimantes, vt minister sit ad parandam scientiam. nomē autem nati ex ea vita cuius nota est osculum, Damascus traditur, quod sacci sanguis interpretatur, apte admodum:

A εἰς ἐπίκρισιν ἄγει τὰ λοιπά, δυσὶν ἀπεικάζων γυναιξίν, ὧν τὴν μὲν ἀγαπωμένην, τὴν δὲ μισουμένην καλεῖ, τοῖς ὀνόμασι προσφυέστατα. τίς γὰρ οὐ ταῖς δι' ὀφθαλμῶν, τίς δὲ οὐ ταῖς δι' ὤτων, τίς οὐ ταῖς διὰ γεύσεως, ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδοναῖς καὶ τέρψεσιν ἀποδέχεται; τίς δὲ οὐ τὰ ἐναντία μεμίσηκεν, ὀλιγοδείαν, ἐγκράτειαν, αὐστηρὸν καὶ ἐπίσημον τὸν βίον, γέλωτος καὶ παιδιᾶς ἀμέτοχον, συννοίας καὶ φροντίδων καὶ πόνων μεστόν, φίλον τοῦ θεωρεῖν, ἀμαθίας ἐχθρόν, B χρημάτων μὲν καὶ δόξης καὶ ἡδονῶν κρείττω, ἥττω δὲ σωφροσύνης καὶ εὐκλείας, καὶ βλέποντος, οὐ τυφλοῦ πλούτου. πρεσβύτερα μὲν οὖν ἀεὶ τὰ γεννήματα. ὁ δὲ Μωσῆς, εἰ καὶ νεώτερα χρόνῳ τῇ φύσει, πρεσβείων ἀξιοῖ, τὰ διπλᾶ διδούς, τῶν δὲ ἀφαιρῶν τὴν ἡμίσειαν. Ἐὰν γὰρ γένωνται, φησίν, ἀνθρώπῳ δύο γυναῖκες, ἀγαπωμένη καὶ μισουμένη, καὶ τέκωσιν ἀμφότεραι, μὴ δύνασθαι τὰ ἑαυτοῦ διανέμειν, οὐ δυνήσεται πρεσβείων ἀξιῶσαι τὸν υἱὸν τῆς ἠγαπημένης, ἡδονῆς· νέος C γὰρ ἐστί, εἰ καὶ χρόνῳ παλαιὸς ἐγένετο. ἀλλὰ τὸν τῆς μισουμένης πρεσβύτερον, φρονήσεως, ἐκ παίδων εὐθὺς ὄντα, ᾧ διμοιρίας ἀπένειμε. τὴν δὲ ἐπακριβεστέραν τούτων ἀπόδοσιν ἐν ἑτέροις εἰρηκότες, ἐπὶ τὰ ἀκόλουθα τὴν ἐν χερσὶ τρεψόμεθα, ἐκεῖνο προϋποδείξαντες, ὅτι τῆς μισουμένης ὁ θεὸς λέγεται τὴν μήτραν ἀνοίξας, γένεσιν ἀστείων ἐπιτηδευμάτων καὶ καλῶν ἔργων ἀναπείλας, τῆς φιλεῖσθαι νομιζομένης, αὐτίκα στειρουμένης. Ἰδὼν γάρ, φησί, κύριος ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν D αὐτῆς, Ῥαχὴλ δὲ ἦν στεῖρα. ἀλλ' οὐχ ὅταν ἡ ψυχὴ κυοφορῇ, καὶ τίκτειν ἄρχηται τὰ ψυχῇ πρέποντα, τηνικαῦτα ὅσα αἰσθητὰ στειρούμενα ἀτοκεῖ, ἡ προσοῦσιν ἐκ καταφιλήματος, ἀλλ' οὐχ ἡ ἐκ γνησίου φιλήματος ἀποδοχῆς. ταύτης οὖν τῆς κατ' αἴσθησιν ζωῆς, ἣν καλεῖ Μασέκ, υἱὸς ἕκαστος ἡμῶν ἐστι, τιμῶν καὶ θαυμάζων τὴν τροφὸν καὶ τιθηνὸν τοῦ θνητοῦ γένους αἴσθησιν, ἣν καὶ ὁ γήινος νοῦς ὄνομα Ἀδάμ, ἰδὼν διαπλασθεῖσαν, τὸν ἑαυτοῦ θάνατον, ζωὴν ἐκείνην ὠνόμασεν. E Ἐκάλεσε γάρ, φησίν, Ἀδὰμ ὄνομα γυναικὸς αὐτοῦ ζωήν, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων πρὸς ἀλήθειαν τὸν τῆς ψυχῆς δήπου τεθνηκότων βίον. οἱ δὲ ζῶντες ὄντως μητέρα μὲν ἔχουσι σοφίαν, αἴσθησιν δὲ δούλην πρὸς ὑπηρεσίαν ἐπιστήμης ὑπὸ φύσεως δημιουργηθεῖσαν. ὄνομα δὲ τοῦ γεννηθέντος ἐκ ζωῆς, ἣν ἐκ φιλήματος ἐγνωρίσαμεν, διασυνίστησι Δαμασκόν. τοῦτο δ' ἐστὶ μεταληφθὲν, αἷμα σάκκου, σφόδρα δυνατῶς καὶ εὐσυμβόλως, σάκκον

μὲν τὸ σῶμα αἰνιξάμενος, αἷμα δὲ ζωὴν τὴν ἔναιμον. ἐπεὶ γὰρ ψυχὴ διχῶς λέγεται, ἥ τε ὅλη καὶ τὸ ἡγεμονικὸν αὐτῆς μέρος, ὃ κυρίως εἰπεῖν ψυχὴ ψυχῆς ἐστι, καθάπερ ὀφθαλμὸς ὅ,τε κύκλος σύμπας, καὶ τὸ κυριώτατον μέρος τὸ ᾧ βλέπομεν, ἔδοξε τῷ νομοθέτῃ διπλῆν εἶναι καὶ τὴν οὐσίαν τῆς ψυχῆς· αἷμα μὲν τὸ τῆς ὅλης, τοῦ δὲ ἡγεμονικωτάτου πνεῦμα θεῖον. φησὶ γοῦν ἄντικρυς, Ψυχὴ πάσης σαρκὸς, αἷμά ἐστιν. εὖγε τὸ προσνεῖμαι τῷ σαρκὸς ὄχλῳ τὴν αἵματος ἐπιρροὴν, οἰκεῖον οἰκείῳ· τοῦ δὲ νοῦ τὴν οὐσίαν ἐξ οὐδενὸς ἤρτησε γενητοῦ, ἀπὸ θεοῦ δὲ ἄνωθεν καταπνευσθεῖσαν εἰσήγαγεν. Ἐνεφύσησε γὰρ, φησὶν, ὁ ποιητὴς τῶν ὅλων εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, ἣ καὶ κατὰ τὴν εἰκόνα τοῦ ποιητοῦ λόγος ἔχει τυπωθῆναι· ὥστε διττὸν εἶναι γένος ἀνθρώπων, τὸ μὲν θείῳ πνεύματι λογισμῷ βιούντων, τὸ δὲ αἵματι καὶ σαρκὸς ἡδονῇ ζώντων. τοῦτο τὸ εἶδος πλάσμα ἐστὶ γῆς, ἐκεῖνο θείας εἰκόνος ἐμφερὲς ἐκμαγεῖον. χρεῖος δέ ἐστιν οὐ μετρίως ὁ πεπλασμένος ἡμῶν χοῦς καὶ ἀναδεδευμένος αἵματι, βοηθείας τῆς ἐκ θεοῦ· διὸ λέγεται, Οὗτος Δαμασκὸς Ἐλιέζερ. ἑρμηνευθεὶς δέ ἐστιν Ἐλιέζερ, ὁ θεός μου βοηθός· ἐπειδὴ ὁ ἔναιμος ὄγκος ἐξ ἑαυτοῦ διαλυτὸς ὢν καὶ νεκρὸς συνέστηκε καὶ ζωπυρεῖται προνοίᾳ θεοῦ τὴν χεῖρα ὑπερέχοντος καὶ ὑπερασπίζοντος, μηδεμίαν ἡμέραν ἱδρυθῆναι παγίως δυνηθέντος ἐξ ἑαυτοῦ τοῦ γένους ἡμῶν. οὐχ ὁρᾷς ὅτι καὶ Μωσέως ὁ δεύτερος τῶν υἱῶν ὁμωνυμεῖ τούτῳ; Τὸ γὰρ ὄνομα, φησὶ, τοῦ δευτέρου, Ἐλιέζερ· καὶ τὴν αἰτίαν ἐπιφέρει· ὁ γὰρ θεός μου βοηθός μου, καὶ ἐξείλετό με ἐκ χειρὸς Φαραώ· τοῖς δὲ ἔτι τῆς ἐναίμου καὶ αἰσθητῆς ζωῆς ἑταίροις ἐπιτίθεται ὁ τὰς θεοσεβείας σκεδάσαι δεινὸς ἐχθρὸς, ὄνομα Φαραώ, οὗ τὴν παρανομίας καὶ ὠμότητος μεστὴν δυναστείαν ἀμήχανον ἐκφυγεῖν, ἄνευ τοῦ γεννηθῆναι τὸν Ἐλιέζερ ἐν ψυχῇ, καὶ ἐπελπίσαι τὴν παρὰ τοῦ μόνου σωτῆρος βοήθειαν. παγκάλως δὲ τὸν Δαμασκὸν οὐκ ἀπὸ πατρὸς, ἀλλ᾽ ἀπὸ μητρὸς τῆς Μασὲκ διασυνέστησεν, ἵνα δείξῃ ὅτι ἡ ἔναιμος ψυχὴ, καθ᾽ ἣν ζῇ καὶ τὰ ἄλογα, τῆς πρὸς γυναικῶν μητρὸς γενεᾶς οἰκεῖόν ἐστιν, ἄρρενος γενεᾶς ἀμέτοχος. ἀλλ᾽ οὐχ ἡ ἀρετὴ Σάρρα· μόνης γὰρ τῆς πρὸς ἀνδρῶν μεταπεποίηται· ἐκ πατρὸς τοῦ πάντων θεοῦ μόνου γεννηθεῖσα ἡ ἀμήτωρ ἀρχή. Ἀληθῶς γὰρ, φησὶν, ἀδελφή μου ἐστὶν ἐκ πατρὸς, ἀλλ᾽ οὐκ ἐκ μητρός. ἃ μὲν οὖν ἦν προσακοῦσαι διεπτύξαμεν. ἐν γὰρ εἰ-

A quia per saccum significatur corpus, per sanguinẽ vita quæ est in sanguine. nam quoniam anima dupliciter dicitur, & in vniuersum, & pars eius præcipua, quæ proprie dici potest animæ anima: sicut oculus & totus globus est, & ea pars qua proprie cernimus: existimauit legislator duplicem essentiam animæ: totius quidem, sanguinẽ: præcipuæ vero partis, diuinum spiritum. proinde aperte dicit: Anima omnis carnis, sanguis est. egregiè carnium turbæ influxum sanguinis attribuit vt proprium. B mentis vero essentiam nulli creaturæ coaptauit, sed introduxit eam superne inspiratam à Deo. Inspirauit, inquit, creator omnium in faciem eius spiritum vitæ, & factus est homo in animã viuentem, quæ etiam ad imaginem sui factoris expressa narratur. Itaque duplex est genus hominum, alterum quod viuit iuxta rationem inspiratam diuinitus, alterum quod sanguine viuens seruit carnis voluptatibus. hoc terræ figmentum est, illud C ad imaginem Dei expressa effigies. ea terra sanguine macerata, ex qua ficti sumus, non mediocriter eget diuino auxilio. Ideo dicitur: Iste Damascus Eliezer. Interpretatur autem Eliezer, Deus adiutor meus. quoniam hæc moles sanguinea per se dissolubilis & mortua, cõsistit & fouetur prouidẽtia Dei sua manu sustentantis & protegentis: alioqui ne per vnum quidem diem genus nostrum durare poterat. Non vides quod & Mosis secundus filius eodem est nomine? D Nomen, inquit, secundi Eliezer. ac mox causam adijcit. nam Deus meus auxiliator meus, & eripuit me è manu Pharaonis. Cæterum sanguineæ sensualisque vitæ amicis præficitur ille pietatis dissipator & hostis Pharao nomine, cuius regnum iniustum & crudele non licet effugere, nisi Eliezer nascatur in anima, & auxilium à solo seruatore nos sperare iubeat. Recte autem in stemmate Damasci non patrem, sed matrem Masec memorat: vt ostendat quod anima sanguinea, qua bruta E viuunt, ad mulierum maternum genus proprie pertinet, expers masculini generis. At non sic virtus Sarra: solam enim virilem stirpem sibi vsurpat, ex solo Deo nata qui pater est omnium, ipsa matre carens principium. Vere, inquit, soror mea est, eodem patre, non item matre progenita. Hæc de quibus præmoneremus habuimus. erat enim in prima parte argumenti quædam ob-

A ſcuritas pene ænigmatica. Quid autem hic ſtudioſus quærat, explicandum eſt diligentius. An poſſit aliquis huius ſanguineæ vitæ cupidus, & ſenſibus deditus, incorporearum diuinarúmque rerum hæres fieri. His dignus habetur ſolus ille qui superne inſpiratus eſt, cæleſtis diuinæque portionis particeps intellectus puriſſimus, contemnens non modo corpus, ſed & alteram partem animæ, quæ cum ſit bruta ſanguine fermentatur, furores feruentes & concupiſcentias ardentes excitans. ergo ſic interrogat: Quoniam mihi non dediſti ſemen illud à ſeipſo doctum & intelligibile, num verna meus hæres mihi erit, ſanguineæ vitæ filius? Vix id elocutus erat, cum Deus reſpondit. Mox, inquit, vox Dei facta eſt ad eum dicens: Non hic hæres tuus erit, nec quiſquam ſenſui conſpicuus. nam incorporeæ naturæ intelligibilium rerum hæredes fiunt. Et obſeruandum quod nec dixit Deus, nec locutus eſt, ſed vox Dei facta eſt ad eum, tanquam intus in corde pulſans. Quis ergo hæres erit? non ille intellectus qui ſponte detinetur in corporis carcere, ſed qui ſolutus vinculis liberatúſque prodijt extra parietes, & vt ita loquar, ſeipſum dereliquit. Qui, inquit, egredietur ex te, hic hæres tuus erit. Ergo ſi cupis ô anima, hæres diuinorum bonorum fieri, non tantum terram corpus, & cognationem ſenſuum, & domum paternam, rationem deſere, ſed & teipſam fuge rapta extra teipſam ſicut lymphati & fanatici, bacchabunda & numine agitari te non diſſimulans. nam extra ſe raptæ, afflatæque diuino furore, & impulſæ cæleſti cupidine, attractæque à veritate impedimenta dimouente & viam muniente, hæc eſt hæreditas. Sed quomodo migras ab illis prioribus, ingenue dic nobis, ô mens, quæ audire doctis inſonare ſoles intelligibilia dicens: Equidem migraui è corpore, quando carnem ſenſúmque contempſi, atque etiam omnia ſenſibilia, ſi ad veritatem conferantur ſpectra & phantaſmata, damnato ſenſuum iudicio corrupto & inſincero plenóque falſis opinionibus: damnatis etiam his quæ iudicantur, vt paratis ad ineſcandum fallendúmque, & veritatem, quantum in ſe eſt, tollendam è rerum natura. quin & è ra-

A χεν ἀσάφειαν ἡ προρρῆσις αἰνιγματώδη. τί δὲ ὁ φιλομαθὴς ζητεῖ, διερμηνευτέον ἀκριβέστερον. μήποτ' οὖν ἐστι τοιοῦτον; εἰ δύναταί τις ἐφιέμενος τῆς ἐναίμου ζωῆς, καὶ μεταποιούμενος ἔτι τῆς κατ' αἴσθησιν, γενέσθαι τῶν ἀσωμάτων καὶ θείων πραγμάτων κληρονόμος. τούτων ἀξιοῦται μόνος ὁ καταπνευσθεὶς ἄνωθεν, οὐρανίου τε καὶ θείας μοίρας ἐπιλαχὼν ὁ καθαρώτατος νοῦς, ὀλιγωρῶν οὐ μόνον σώματος καὶ τοῦ ἑτέρου ψυχῆς τμήματος, ὅπερ ἄλογον ὑπάρχον αἵματι πέφυρται, θυμοὺς ζέοντας, καὶ πεπυρωμέ-
B νας ἐπιθυμίας ἀναφλέγον. πυνθάνεται γοῦν τοῦτον τὸν τρόπον· ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα τὸ αὐτοδίδακτον, τὸ νοητὸν ἐκεῖνο, ἆρά γε ὁ οἰκογενής μου κληρονομήσει με, ὁ τῆς ἐναίμου ζωῆς ἔγγονος; τότε καὶ ἐπιστομίσας ὁ θεός, ἔφθασε τὸν λαλοῦντα τῆς ῥήσεως παραποστείλας, ὡς ἔπος εἰπεῖν, τὴν διδασκαλίαν. Εὐθὺς γάρ, φησί, φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτόν, λέγων· οὐ κληρονομήσει σε οὗτος, τῶν εἰς τὴν δι' αἰσθήσεως δεῖξιν ἐρχομένων οὐδὲ εἷς.
C ἀσώματοι γὰρ φύσεις, νοητῶν πραγμάτων εἰσὶ κληρονόμοι. παρατετήρηται δὲ ἄκρως τὸ μὴ εἰπεῖν ἢ ἐλάλησεν, ἄκρως φάναι, ἀλλὰ τό, φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτόν, ὥσπερ ἐντόνως ἀναπληθῇ. τίς οὖν γενήσεται κληρονόμος; οὐχ ὁ μένων ἐν τῇ σώματος εἱρκτῇ λογισμός, καὶ καθ' ἑκούσιον γνώμην· ἀλλ' ὁ λυθεὶς τῶν δεσμῶν καὶ ἐλευθερωθείς, καὶ ἔξω τειχῶν προεληλυθώς, καὶ εἰ οἷόν τε τοῦτο εἰπεῖν, αὐτὸς ἑαυτὸν καταλελοιπώς. Ὃς γάρ, φησίν, ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε. πό-
D θος οὖν εἴ τις εἰσέρχεταί σε ψυχὴ τῶν θείων ἀγαθῶν κληρονομῆσαι, μὴ μόνον γῆν τὸ σῶμα, καὶ συγγένειαν αἴσθησιν, καὶ οἶκον πατρός, τὸν λόγον, καταλίπῃς, ἀλλὰ καὶ σαυτὴν ἀπόδραθι, καὶ ἔκστηθι σεαυτῆς, καθάπερ οἱ κορυβαντιῶντες καὶ κατεχόμενοι, βακχευθεῖσα, καὶ θεοφορηθεῖσα κατά τινα προφητικὸν ἐπιθειασμόν. ἐνθουσιώσης γὰρ καὶ οὐκ ἔτι οὔσης ἐν ἑαυτῇ διανοίας, ἀλλ' ἔρωτι οὐρανίῳ σεσοβημένης καὶ ἐκμεμηνυίας, καὶ ἄνω πρὸς
E αὐτὸ εἱλκυσμένης προϊούσης ἀληθείας, καὶ τῶν ποσὶν ἀναστελλούσης, ἵνα κατὰ λεωφόρου βαίνοι τῆς ὁδοῦ, κληρονομούμενος ἐστί. πῶς οὖν μετῳκίσατο τῶν προτέρων ἐκείνων, λέγε θαρροῦσα ἡμῖν ὦ διάνοια, ἢ τοῖς ἀκούειν δεδιδαγμένοις τὰ νοητὰ ἐνηχεῖς, ἀεὶ φάσκουσα· ὅτι μετῳκησάμην τοῦ σώματος, ἡνίκα τῆς σαρκὸς ἠλόγουν δέ, καὶ τῆς αἰσθήσεως, ὁπότε τὰ αἰσθητὰ πάντα ὡς τὰ πρὸς ἀλήθειαν ὄντα ἐφαντασιώθη, καταγνοῦσα μὲν αὐτῆς τὸ κριτήριον ὡς νενοθευμένον, καὶ δεδεκασμένον, καὶ ψευδέσι δόξαις ἀναπε-

πληρουμένων δόξης, καταγνοῦσα δὲ καὶ τῶν κρινο- A
μένων, ὡς δελεάσαι καὶ ἀπατῆσαι, καὶ ἐκ μέρους
τῆς φύσεως ἀπὸ πάσης τῆς ἀληθείας ἐκτετοπισμένων· με-
τανάστην καὶ τοῦ λόγου, ἡνίκα πολλὴν ἀλογίαν αὐτοῦ
κατέγνων, καίτοι μετεωρίζοντος καὶ φυσῶντος ἑαυ-
τόν. ἐτόλμα γὰρ τόλμημα οὐ μικρὸν διὰ σκιῶν μοι
σώματα, διὰ ῥημάτων πράγματα, ἅπερ ἀμή-
χανον ἦν, δεικνύναι. τοιγαροῦν περιέρρει τοῖς
σφαλλομένοις, καὶ περιελάλει κοινότητι τῶν ὀνο-
μάτων, τὰς ἰδιότητας τῶν ὑποκειμένων ἀδυνα-
τῶν ἐμφάσει σαφεῖ παραστῆσαι· παθοῦσα δὴ ὡς B
ἄφρων καὶ νήπιος παῖς ἔγνων ὡς ἄμεινον ἦν ἀπα-
πάντων μὲν τούτων ὑπεξελθεῖν, ἑκάστου δὲ τὰς δυ-
νάμεις ἀναθεῖναι θεῷ, τῷ καὶ σῶμα σωματοῦντι καὶ
πηγνύντι, καὶ τὴν αἴσθησιν αἰσθάνεσθαι παρα-
σκευάζοντι, καὶ τῷ λόγῳ τὸ λέγειν ὀρέγοντι. τὸν αὐ-
τὸν δὲ τρόπον ὅνπερ τῶν ἄλλων ὑπεξελήλυθας, ὑ-
πέκστηθι καὶ μετανάστηθι καὶ σεαυτῆς. τί δέ ἐστι τοῦ-
το; μὴ ταμιεύσῃ τὸ νοεῖν καὶ διανοεῖσθαι καὶ κατα-
λαμβάνειν σεαυτῇ· φέρουσα δὲ καὶ ταῦτα ἀνάθου C
τῷ νοεῖν ἀκριβῶς καὶ καταλαμβάνειν ἀνεξαπα-
τήτως αἰτίῳ· τὴν δὲ ἀνάθεσιν δέχεται τῶν πολυιέ-
ρων τεμενῶν τὸ ἁγιώτερον. δύο γὰρ ἔοικε συστῆναι,
τὸ μὲν νοητόν, τὸ δ᾽ αἰσθητόν. αἰσθητῶν μὲν οὖν φύ-
σεων, ὁ κόσμος ἐστί, ἀοράτων δὲ ὡς ἀληθῶς, ὁ νοη-
τὸς τὸ πανδοχεῖόν ἐστιν. ὅτι δὴ ὁ ὑπεξελθὼν ἐξ ἡ-
μερῶν καὶ γλιχόμενος ὀπαδὸς εἶναι θεοῦ, τοῦ φύ-
σεως ἀοιδίμου πλούτου κληρονόμος ἐστί, μαρτυρεῖ ὁ
λέγων, Ἐξήγαγεν αὐτὸν ἔξω, καὶ εἶπεν, ἀνάβλε-
ψον εἰς τὸν οὐρανόν· ἐπειδήπερ ἐστὶν ὁ τῶν θείων θη- D
σαυρὸς ἀγαθῶν. ἀνοίξαι σοι, φησὶ κύριος, τὸν θη-
σαυρὸν αὐτοῦ τὸν ἀγαθὸν τὸν οὐρανόν. ἐξ οὗ δὴ τὰς τε-
λεωτάτας εὐφροσύνας ὁ χορηγὸς ἀδιαστάτως ὕει,
ἀνάβλεψον, εἰς ἔλεγχον τοῦ τυφλοῦ τῶν ἀγελαίων
ἀνθρώπων γένους, ὃ βλέπειν δοκοῦν, πεπήρωται.
πῶς γὰρ οὐ πεπήρωται, ὅταν κακὰ μὲν ἀντὶ ἀγαθῶν,
ἀντὶ δὲ δικαίων ἄδικα, καὶ πάθη μὲν ἀντ᾽ εὐπαθειῶν,
θνητὰ δὲ ἀντὶ ἀθανάτων, καὶ νουθετητὰς μὲν καὶ σω-
φρονιστάς, ἔτι δὲ ἐλέγχους καὶ παιδείαν ἀποδιδρά- E
σκῃ, κόλακας δὲ καὶ τοὺς πρὸς ἡδονὴν ἀργίας καὶ
ἀμαθίας καὶ θρύψεως λόγους ἀποδέχηται. μόνος
οὖν βλέπει ὁ ἀστεῖος· οὗ χάριν καὶ τοὺς προφήτας
ὠνόμαζον οἱ παλαιοὶ ὁρῶντας· ὁ δὲ ἔξω προεληλυ-
θώς, οὐ μόνον ὁρῶν, ἀλλὰ καὶ θεὸν ὁρῶν προσερρήθη
Ἰσραήλ, ὅς ἐστιν ὁρῶν θεόν· οἱ δὲ κἄν ποτε τοὺς ὀφ-
θαλμοὺς διοίξωσι, πρὸς γῆν ἀπονενεύκασι τὰ
γήινα μετιόντες, καὶ τοῖς ἐν ὕλῃ συντρεφόμενοι. ὁ μὲν
γὰρ τὰς ὄψεις ἀνατείνει πρὸς αἰθέρα ἀφορῶν,

A tione migraui, quando multum irra-
tionalitatis in ea cognoui, vtcunque
tumente & extollente se. ausa est enim
quiddam non mediocre, per vmbras
corpora, per verba res, quod fieri
non potest, mihi ostendere. itaque la-
bebatur per lubrica, & cogebatur mul-
ta circumloqui, quæ proprijs verbis
eloqui diserte non poterat. quapro-
pter cum viderem eam affectam vt in-
fantem puerum, decreui satius esse
migrare ab his omnibus, & ad Deum
B referre singulorum potentias, qui &
corpus compingit ac corporat, & sen-
tiendi vim indit sensibus, & rationi
orationem suppeditat. Proinde age-
dum sicut dereliquisti cætera, excede
ac emigra etiam ex teipsa. at quomo-
do? caue ne intellectum, cogitatio-
nem, perspicacitatem tibiipsi thesau-
rizes, sed offerens hæc ei dedica, qui
exacte intelligendi & infallibiliter per-
cipiendi causa est. hæc autem dona-
ria recipit alterum è sacratis templum,
C scilicet sanctius. Sunt enim opinor
duo, alterum intelligibile, alterum
sensibile. sensibilium naturarum mun-
dus hic, intelligibilium vero ille in-
telligibilis est receptaculum. Quod au-
tem is qui iam dicta egressus cupit se-
ctator Dei fieri, præ diuitis naturæ lau-
datam hæreditatem assequitur, testis
est scriptura dicens: Eduxit eum foras
& dixit: suspice in cælum. quoniam
hic est diuinorum bonorum thesaurus.
Aperiat tibi, inquit, Dominus thesau-
D rum suorum bonorum, cælum videli-
cet. ex hoc certe consummatas lætitias
largitor ille continue depluit. Suspi-
ce, vt arguas cæcum vulgus hominum,
quod cum sibi videatur cernere, or-
batum est luminibus. nisi forte non est
orbum dum mala bonis antefert, iu-
stis iniusta, perturbationes tranquilli-
tati animi, immortalibus mortalia: re-
pulsisque monitoribus ac castigatori-
bus cum suis præceptis atque monitis,
adulatores admittit & sermones inui-
E tantes ad voluptatem, otium, ignoran-
tiam, atque delicias. Ergo solus bo-
nus videt. quamobrem & prophetas
prisci nominabant videntes. qui au-
tem foras prodijt, non solum videns, sed
& Deum videns appellatus est Israel.
sic enim hæc vox interpretatur. At isti
etiamsi quando aperiunt oculos, terram
intuentur terrenorũ cupidi, & innutriti
materiæ. nam ille attollens oculos ad
ætherem suspicit, vnde mãna verbũ di-

uinũ, cælestis immortalísque cibus animæ spectandi ac discendi cupidæ. istis vero animus est in cepis & allijs pupillas cruciantibus & turbantibus, ita vt conniueant, atque in porris & salsamentorum fœtoribus, cibis Ægypto peculiaribus. Venerunt, inquit, nobis in mentem pisces quibus in Ægypto vescebamur gratis, cucumeres, pepones, porrum, cepe, allium. nunc anima nostra exaruit, nihil præter manna vident nostri oculi. Facit autem ad mores & illud Eduxit eum foras, quod quidam indocti ridere solent, rogitantes & quis intrò educitur, aut è diuerso foras intrat? Etiam, ô ridiculi & nimis faciles. nescitis enim vestigare mores animæ, sed solos corporum locales motus in his verbis quæritis. ideo mirum vobis videtur si quis intrat foras, aut intrò exit. nobis vero Mosis familiaribus nulla est hic absurditas. Annon diceretis, perfectum summum sacerdotem, quando in adytis operatur sacris patrijs, intus esse ac foris? intus conspicuo corpore, foris anima vaga obambulantéque. rursum alium vel alienum à Leuitico genere, amicũ Deo carúmque, extra sacraria stantẽ, intus in penitissimis agere, qui peregrinationem putat totam vitam corporis: & quoties potest solam animæ vitam viuere, credit se degere in patria. nam extra amicitiam est omnis insipiens, etiamsi ne momentum quidẽ discedat à contubernio: intus vero omnis sapiens, etiamsi non solum regionibus, verum etiam immensis terræ tractibus disiunctus sit. Moses autem hunc amicum adeò Deo propinquum ait, vt nihil ab anima differat. dicit enim: Amicus æqualis animæ tuæ. Iuxta eiusdem æstimationem, nec sacerdos erit homo, tantisper dum est in sanctissanctorum, donec exeat, non corporaliter, sed animæ motibus. Mens enim quando pure Deo sacrificat, non est humana, sed diuina. cum autem ad aliquid humanũ auertitur, descendens de cælo, vel potius delapsa in terram, egreditur etiamsi corpus intus maneat. Rectissime igitur dictum est, Eduxit eum foras, è carcere corporis, è cauernis sensuum, è fallacibus rationis sophismatibus: & insuper ex seipso, atque opinione qua putabat, se nulli obnoxium libere ac suapte facultate percipere atque intelligere. Producto autem foras dixit: Suspice in cælum, & numera stellas, si potest iniri eorum numerus.

A τὸ μάννα τὸν θεῖον λόγον, τὴν οὐράνιον φιλοθεάμονος ψυχῆς ἄφθαρτον τροφήν. οἱ δὲ πρὸς τὰ κρόμμυα καὶ τὰ σκόροδα, τὰ περιοδυνοῦντα τὰς κόρας καὶ κυκῶντα καὶ καταμύειν ποιοῦντα, καὶ τὰς ἄλλας πράσων καὶ νεκρῶν ἰχθύων δυσωδίας, οἰκείας Αἰγύπτου τροφάς. Ἐμνήσθημεν γάρ, φησί, τοὺς ἰχθύας οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, τοὺς σικύους, πέπονας, πράσα, κρόμμυα, σκόροδα· νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν πρὸς τὸ μάννα ὀφθαλμοὶ ἡμῶν. συντείνει δὲ πρὸς ἠθο-
B ποιίαν καὶ τό, Ἐξήγαγεν αὐτὸν ἔξω, ὅ τινες ὑπὸ ἀμουσίας ἤθους εἰώθασι γελᾶν, φάσκοντες, εἴσω γάρ τις ἐξάγεται, ἢ ἔμπαλιν εἰσέρχεται ἔξω. ναὶ ἐφῶ δή, ὦ καταγέλαστοι, καὶ λίαν εὐχερεῖς. ψυχῆς γὰρ τρόπους ἰχνηλατεῖν οὐκ ἐμάθετε, ἀλλὰ σωμάτων τὰς ἐν τούτοις μεταβατικὰς κινήσεις μόνας ἐρευνᾶτε· διὸ παράδοξοι ὑμῖν φαίνεται εἴ τις ἐξέρχεται εἴσω, ἢ εἰσέρχεται ἔξω. τοῖς δὲ Μωσέως γνωρίμοις ἡμῖν, οὐδὲν τούτων ἀπῳδόν ἐστιν. ἢ οὐκ ἂν εἴποιτε, τὸν μὲν
C τέλειον ἀρχιερέα ὁπότε ἐν τοῖς ἀδύτοις τὰς πατρίους ἁγιστείας ἐπιτελεῖ, ἔνδον εἶναί τε καὶ ἔξω· ἔνδον μὲν τῷ φανερῷ σώματι, ἔξω δὲ ψυχῇ τῇ περιφοιτώσῃ καὶ πεπλανημένῃ; καὶ ἔμπαλιν, τινὰ μὴ Λευίτην ὄντα, τὸν ἱερώμενον θεοφιλῆ καὶ θεόφιλον, ἔξω τοῦ περιρραντηρίου ἑστῶτα, ἐσωτάτω διατρίβειν, ἀποδημίαν ἡγούμενοι ὅλον τὸν μετὰ σώματος βίον· ὁπότε δὲ δύναιτο ψυχῇ μόνῃ ζῆν, ὡς ἐν πατρίδι καταμένειν ὑπολαμβάνειν; καὶ γὰρ φιλίας μέν ἐστιν ἔξω πᾶς ἄφρων, κἂν συνημερεύων μηδ᾽ ἀκαρὲς ἀ-
D πολείπηται· εἴσω δὲ πᾶς σοφός, κἂν μὴ μόνον χώραις, ἀλλὰ καὶ μεγάλοις κλίμασι γῆς διῳκισμένος τυγχάνῃ. κατὰ δὲ Μωσῆν ὁ φίλος οὕτως ἐγγύς ἐστιν, ὥστε ἀδιαφορεῖν ψυχῆς. λέγει γάρ, Ο φίλος, ὁ ἴσος τῇ ψυχῇ σου· καὶ ὁ ἱερεὺς μέντοι, ἄνθρωπος οὐκ ἔσται κατ᾽ αὐτόν, ὅταν εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων, ἕως ἂν ἐξέλθῃ, οὐ σωματικῶς, ἀλλὰ ταῖς κατὰ ψυχὴν κινήσεσιν. ὁ γὰρ νοῦς, ὅτε μὲν καθαρῶς λειτουργεῖ θεῷ, οὐκ ἔστιν ἀνθρώπινος, ἀλλ᾽ ὁ θεῖος· ὅτε δὲ ἀνθρω-
E πίνῳ τινί, τετράπηται καταβάς ἀπ᾽ οὐρανοῦ, μᾶλλον δὲ πεσὼν ἐπὶ γῆν ἐξέρχεται, κἂν ἔτι μένῃ τὸ σῶμα ἔνδον αὐτοῦ. ὀρθότατα οὖν εἴρηται, Ἐξήγαγεν αὐτὸν ἔξω, τῶν κατὰ τὸ σῶμα δεσμωτηρίων, τῶν κατὰ τὰς αἰσθήσεις φωλεῶν, τῶν κατὰ τὸν ἀπατεῶνα λόγον σοφισμάτων· ἐπὶ πᾶσιν, αὐτὸν ἐξ ἑαυτοῦ καὶ τοῦ δοκεῖν αὐτεξουσίῳ γνώμῃ καὶ αὐτοκράτορι νοεῖν τε καὶ καταλαμβάνειν. Προαγαγὼν δὲ αὐτὸν ἔξω, φησίν, ἀνάβλεψον εἰς τὸν οὐρανόν, καὶ ἀρίθμησον τοὺς ἀστέρας, ἐὰν δυνηθῇς ἐξαριθμῆσαι αὐτούς.

οὕτως

οὕτως ἔσται τὸ σπέρμα σου. πάνυ καλῶς εἶπεν, οὕτως ἔσται τὸ σπέρμα σου, ἀλλ' οὐ τοσοῦτον τοῖς ἄστροις ἰσάριθμον. οὐ γὰρ αὐτὸ τὸ πλῆθος μόνον, ἀλλὰ καὶ ἄλλα μυρία τὴν εἰς εὐδαιμονίαν ὁλόκληρον καὶ παντελῆ βούλεται παρεμφαίνειν. οὕτως οὖν ἔσται, φησίν, ὡς ἔχει τὸ ὁρώμενον αἰθέριον, οὕτως οὐράνιον, οὕτως αὐγῆς γέμον ἀσκίου καὶ καθαρᾶς. οὐρανοῦ γὰρ ἀπελήλαται νύξ, καὶ ἀρετῆς τὸ σκότος· οὕτω διακεκοσμημένον, τάξει χρώμενον ἀκλινεῖ, τῇ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχούσῃ. βούλεται γὰρ ἀντίμιμον οὐρανοῦ, εἰ δὲ χρὴ καὶ πρὸς ὑπερβάλλοντα εἰπεῖν, οὐρανὸν ἐπίγειον ἀποφῆναι τὴν τοῦ σοφοῦ ψυχήν, ἔχουσαν ἐν αἰθέρι καθαρὰς φύσεις, τεταγμένας κινήσεις, χορείας ἐμμελεῖς, θείας περιόδους, ἀρετῶν ἀστροειδεστάτας καὶ περιλαμπεστάτας αὐγάς. εἰ δ' ἀμήχανον αἰσθητῶν ἀστέρων ἀριθμὸν εὑρεῖν, πῶς οὐχὶ μᾶλλον νοητῶν. ἐφ' ὅσον γὰρ οἶμαι τὸ κρῖνον τοῦ κρινομένου ἄμεινον ἢ χεῖρον· νοῦς μὲν γὰρ ἀμείνων αἰσθήσεως, διανοίας δὲ ἀμβλύτερον αἴσθησις. ἐπὶ τοσοῦτον καὶ τὰ κρινόμενα διενήνοχεν· ὥστε μυρίοις πλήθεσι τὰ νοητὰ τὴν αἰσθητῶν ὑπερβάλλειν. τῶν γὰρ ψυχῆς ὀμμάτων βραχυτάτη μοῖρα οἱ κατὰ σῶμα ὀφθαλμοί. τὸ μὲν γὰρ ἔοικεν ἡλίῳ, λυχνούχοις δὲ οὗτοι μελετῶσιν ἐξάπτεσθαί τε καὶ σβέννυσθαι. ἀναγκαίως οὖν ἐπιλέγεται, Ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ, πρὸς ἔπαινον τοῦ πεπιστευκότος. καίτοι τάχα ἄν τις εἴποι, τοῦτ' ἄξιον ἐπαίνου κρίνετε; τίς δ' οὐκ ἂν λέγοντι καὶ ὑπισχνουμένῳ θεῷ προσέχοι τὸν νοῦν, κἂν εἰ πάντων ἀδικώτατος καὶ ἀσεβέστατος ὢν τυγχάνοι. πρὸς ὃν ἐροῦμεν, μή, ὦ γενναῖε, ἀνεξετάστως, ἢ τὸν σοφὸν ἀφέλῃ τὰ πρέποντα ἐγκώμια, ἢ τοῖς ἀναξίοις τὴν τελειοτάτην ἀρετῶν πίστιν μαρτυρήσῃς, ἢ τὴν ἡμετέραν περὶ τούτων γνῶσιν αἰτιάσῃ. βαθύτερον γὰρ εἰ ἐθελήσεις ἐρευνᾶν, καὶ μὴ σφόδρα ἐπιπόλαιον ποιήσασθαι, σαφῶς γνώσῃ, ὅτι μόνῳ θεῷ χωρὶς ἑτέρου προσπαραλήψεως, οὐ ῥᾴδιον πιστεῦσαι, διὰ τὴν πρὸς τὸ θνητὸν ᾧ συνεζεύγμεθα συγγένειαν, ὃ πείθει ἡμᾶς καὶ χρήμασι, καὶ δόξῃ, καὶ ἀρχῇ, καὶ φίλοις, ὑγείᾳ τε καὶ ῥώμῃ σώματος, καὶ ἄλλοις πολλοῖς ἀναπείθει πεπιστευκέναι. τὸ δὲ ἐκνίψασθαι τούτων ἕκαστον, καὶ ἀπιστῆσαι γενέσει τῇ πάντα ἐξ ἑαυτῆς ἀπίστῳ, μόνῳ δὲ πιστεῦσαι θεῷ τῷ καὶ πρὸς ἀλήθειαν μόνῳ πιστῷ, μεγάλης καὶ ὀλυμπίου διανοίας ἔργον ἐστί, πρὸς οὐδενὸς οὐκέτι δελεαζομένης τῶν παρ' ἡμῖν. εὖ δὲ τὸ φάναι, λογισθῆναι τὴν πίστιν εἰς δικαιοσύνην αὐτῷ· δίκαιον γὰρ οὕτως οὐδέν, ὡς ἀκράτῳ καὶ ἀμιγεῖ τῇ πρὸς θεὸν μόνον πίστει

A Sic erit semen tuum. Egregie dictum, sic erit semen tuum, non par stellarum numero. non enim solam multitudinem, sed & alia multa ad perfectam felicitatem conducentia vult indicare. Sic erit, inquit, sicut quod vides in æthere, sic cæleste, sic vmbra carens, plenum splendore purissimo (nam nec in cælo nox locum habet, nec in virtute tenebræ) dispositum ornatissime, immoto manens ordine, semper sui simile. Vult enim cæli effigiem, aut
B quod plus est, cælum terrestre dici sapientis animam, vt quæ in æthere habet lucida sidera, statos motus, concinnas choreas, diuinos circuitus, virtutum splendores fulgidissimos & stellis simillimos. quòd si sensibilium stellarum numerum inuenire est impossibile, multo magis intelligibilium. Nam quanto præstantius est quod iudicat quàm quod iudicatur: siquidem mens sensu est potior, hic vero illa hebetior: tantum & inter ea quæ iudi-
C cantur interest. itaque immenso intelligibilia sensibilium numerum superant. nam oculi animæ proprij minima quædam portio est oculus corporeus. ille soli est similis, hic candelabro quod modo accensum mox extinguitur. ideo necessario subiungitur: Credidit Abraham Deo: ad laudem eius qui credidit. Dicat fortasse aliquis, hoccine laude dignum iudicas? Quis Deo loquenti pollicentíque fidem non adhiberet, etiamsi esset im-
D pius & omnium mortalium iniustissimus? Huic respondebimus: Caue caue ô præclare vir, ne temere aut illum sapientem fraudes suis laudibus, aut indignis perfectissimam virtutem fidem tribuas, aut nostram super hac re incuses sententiam. Nam si penitius scrutari, non solum in superficie, volueris, comperies quàm difficile sit credere soli Deo absque vllo testimonio; propter cognationem quam habemus cum rebus mortalibus, quæ nobis persuadent vt credamus fidamúsque
E que gloriæ, principatui, amicis, sanitati roborique corporis, & cæteris plurimis. has persuasiones eluere, & diffidere creaturæ per se infidissimæ, ac soli Deo fidere, qui solus vere fidus est, res est animi magni cælestisque, non inescati vllis rebus nostratibus. Illud quoque bene additur, imputatam ei fidem ad iustitiam.] Nihil enim tam iustum, quàm fide sincera Deo credere,

A Id quantumuis iustum & naturæ consentaneum, mirum videtur propter vulgus incredulum, quos arguens sacra scriptura dicit, in solo Deo firmum esse certúmque præsidium, quantumlibet hoc mirentur homines verorum bonorum expertes, alioqui reuera non mirabile. est autem opus iustitiæ proprium. Et dixit, Inquit, ad eum: Ego sum Deus qui eduxi te de terra Chaldæorum, vt darem tibi terram hanc in hæreditatem.] Hoc non B solum nouam pollicetur, sed & veterem promissionem confirmat. Siquidem dudum donatum bonum, exitus erat è meteorologia Chaldaica, quæ docebat credere, mundum non opus Dei, sed Deum ipsum esse, & bona maláque imputare stellarum certis ordinatisque cursibus, vnde bonorum malorúmque causæ pendeant. hanc tam prodigiosam opinionem homines ad credendum faciles hauserant ex æquabili motu orbium cælestium. nam Chal- C dim interpretatur æquabilitas. Nouum autem bonum quod promittitur est acquisitio sapientiæ eius quæ non sensu discitur, sed mente sincerissima percipitur, & confirmat migrationem optimam, anima se conferente ab astronomia ad physiologiam, & ad certam cognitionem à coniectura: atque vt proprie loquar, à genitis ad Ingenitum, à mundo ad eius patrem conditorémque. Chaldaicam enim sectam cælo fuisse D deditam: hunc autem postquam inde migrauit, Deo qui cælo vectatur & id gubernat, credidisse, narrant sacra eloquia. præclara sane hæreditas, fortasse maior quam pro captu hæredis, sed digna largientis magnitudine. Sed non sufficit bona spes & miræ felicitatis expectatio sapientiæ cupido per oraculum oblata, nisi & modũ audiat, quo ad eam felicitatem peruenturus sit, quod molestum sit illi hæc ignorare, vt insatiabiliter sitienti scientiam. Ideo per- E contatur: Domine Deus, quomodo cognoscam quod eam hæreditate possidebo? Dicat fortasse aliquis, non conuenire hoc ei qui crediderat. nam hæsitationem dubitantis esse, cum vero qui credit, nihil amplius quærere. Dicendum igitur eum hæsitare & credere, sed non de eadem re. absit hoc à fideli anima. credidit se hæreditario iure possessurum sapientiam, nihil aliud quęrit, quã quomodo sibi obuentura sit ea felicitas. nam obuenturam certo scit fretus

χαρίζεσθαι· τὸ δὲ δίκαιον καὶ ἀκόλουθον τῇ φύσει, παράδοξον ἐνομίσθη διὰ τὴν τῶν πολλῶν ἀπιστίαν ἡμῶν, οὓς ἐλέγχων ὁ ἱερὸς λόγος φησὶν, ὅτι τὸ ἐπὶ μόνῳ τῷ ὄντι βεβαίως καὶ ἀκλινῶς ὁρμεῖν, θαυμαστὸν μὲν παρὰ ἀνθρώποις, οἷς ἀγαθῶν ἀδόλων κτῆσις οὐκ ἔστιν, οὐ θαυμαστὸν δὲ παρὰ τῇ ἀληθείᾳ βεβαιωθέν· δικαιοσύνης δ' αὐτὸ μόνον ἔργον. Εἶπε δὲ, φησὶ, πρὸς αὐτὸν, ἐγὼ ὁ θεὸς, ὁ ἐξαγαγών σε ἐκ γῆς χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι· τοῦτ' οὐχ ὑποσχέσεως μόνον, ἀλλὰ καὶ παλαιᾶς ὑποσχέσεως βεβαίωσιν ἐμφαίνει. τὸ μὲν οὖν πάλαι δωρηθὲν ἀγαθὸν, ἔξοδος ἦν ἀπὸ τῆς χαλδαϊκῆς μετεωρολογίας, ἥτις ἀνεδίδασκεν οὐ θεοῦ ἔργον, ἀλλὰ θεὸν ὑπολαμβάνειν τὸν κόσμον εἶναι, καὶ τό, τε εὖ καὶ τὸ χεῖρον, ἅπασι τοῖς οὖσι φοραῖς καὶ τεταγμέναις ἀστέρων περιόδοις ἀριθμεῖσθαι, καὶ ἐνθένδε τὴν ἀγαθοῦ καὶ κακοῦ γένεσιν ἠρτῆσθαι. Ταῦτα δὲ ἡ κατ' οὐρανὸν ἡ ὁμαλὴ καὶ τεταγμένη κίνησις, τοὺς εὐχερεστέρους ἔπεισε τερατεύεσθαι. καὶ γὰρ τὸ χαλδαίων ὄνομα μεταληφθὲν, ὁμαλότητα ἑρμηνεύεται. τὸ δὲ νέον ἀγαθὸν κτήσασθαι σοφίας τὴν ἀδίδακτον μὲν αἰσθήσει, νῷ δὲ εἰλικρινεστάτῳ καταλαμβανομένην, δι' ἧς ἀρίστη ἀποικιῶν βεβαιοῦται, μετανισταμένης τῆς ψυχῆς ἀπὸ ἀστρονομίας ἐπὶ φυσιολογίαν, καὶ ἀπὸ βεβαίας εἰκασίας ἐπὶ πάγιον κατάληψιν, καὶ κυρίως εἰπεῖν, ἀπὸ τοῦ γεγονότος πρὸς τὸ ἀγένητον, ἀπὸ τοῦ κόσμου πρὸς τὸν πατέρα καὶ ποιητὴν αὐτοῦ. τοὺς μὲν γὰρ τὰς γνώμας χαλδαΐζοντας, οὐρανῷ πεπιστευκέναι, τὸν δὲ ἐνθένδε μετανάσταντα, τῷ ἐπόχῳ τοῦ οὐρανοῦ καὶ ἡνιόχῳ τοῦ παντὸς κόσμου θεῷ, φασὶν οἱ χρησμοί. καλός γε ὁ κλῆρος, μείζων ἴσως τῆς δυνάμεως τοῦ λαμβάνοντος, ἐπάξιος δὲ τοῦ μεγέθους τοῦ διδόντος. Ἀλλ' οὐκ ἐξαρκεῖ χρηστὰ ἐλπίσαι καὶ θαυμάσια ἡλίκα προσδοκῆσαι τῷ σοφίας ἐραστῇ διὰ τῶν θεσπισθέντων, ἀλλ' εἰ μὴ καὶ τρόπον γνώσεται καθ' ὃν ἐφίξεται τῆς τοῦ κλήρου διαδοχῆς, παγχάλεπον ἡγεῖται, ἅτε διψῶν ἐπιστήμης καὶ ἀπλήστως ἔχων αὐτῆς· διὸ πυνθάνεται φάσκων, Κύριε θεὲ, κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν; ἴσως δ' ἄν τις εἴποι μάχεσθαι τοῦτο τῷ πεπιστευκέναι. τὸ μὲν γὰρ ἀπορεῖν ἐνδοιάζοντος, τὸ δὲ μηκέτι ζητεῖν πεπιστευκότος ἔργον εἶναι. λεκτέον οὖν ὅτι ἀπορεῖ καὶ πεπίστευκεν, οὐ μὴν περὶ τοῦ αὐτοῦ· καὶ πολλοῦ γε καὶ δεῖ. πεπίστευκε γὰρ ὅτι κληρονόμος ἔσται σοφίας, τὸν δὲ τρόπον αὐτὸ μόνον ζητεῖ καθ' ὃν ἂν γένοιτο· τὸ δ' ὅτι γενήσεται, πάντως κατὰ τὰς θείας ὑποσχέσεις

A βεβαίως κατείληφε. τὸν πόθον οὖν ᾧ κέχρηται πρὸς τὸ μαθεῖν, ἐπαινέσας ὁ διδάσκαλος, ἄρχεται τῆς ὑφηγήσεως ἀπὸ στοιχειώδους εἰσαγωγῆς, ἐν ᾗ πρῶτον καὶ ἀναγκαιότατον γέγραπται, Λάβε μοι. βραχεῖα μὲν ἡ λέξις, πολλὴ δὲ δύναμις· ἐμφαίνει γὰρ οὐκ ὀλίγα. πρῶτον μὲν, ἴδιον, φησὶν, οὐδὲν ἔχεις ἀγαθὸν, ἀλλ' ὅ, τι ἂν νομίσῃς ἔχειν, ἕτερος παρέσχηκεν· ἐξ οὗ συνάγεται ὅτι θεοῦ τοῦ διδόντος κτήματα πάντα, ἀλλ' οὐ τῆς μεθ' αὐτὸν, καὶ τὰς χεῖρας εἰς τὸ λαβεῖν προτεινούσης γενέσεως· B δεύτερον δὲ, κἂν λάβῃς, λάβε, μὴ σεαυτῷ, δάνειον δὲ ἢ παρακαταθήκην νομίσας τὸ δοθὲν, ῷ παρακατατεθειμένῳ, καὶ σύμβολόν τι ἀπόδος, πρεσβυτέραν χάριν χάριτι νεωτέρᾳ, προκατάρχουσαν ἀντεκτινούσῃ δικαίως καὶ προσηκόντως ἀμειψάμενος. πολλοὶ γὰρ ἐκ παρακαταθηκῶν ἱερῶν πονηροὶ ἐγένοντο, τοῖς ἀλλοτρίοις ὡς ἰδίοις ὑπ' ἀμέτρου τῆς πλεονεξίας καταχρησάμενοι. σὺ δὲ ὦ γενναῖε πειρῶ παντὶ σθένει, μὴ μόνον ἄσυλα καὶ ἀκιβδήλευτα φυλάττειν ἃ ἔλαβες, ἀλλὰ καὶ πλείο- C νος ἐπιμελείας ἀξιοῦν, ἵν' ὁ παρακαταθέμενος μηδὲν ἔχῃ τῆς παρὰ σοῦ φυλακῆς αἰτιάσασθαι. παρακατέθετο δέ σοι αὐτὸς ψυχὴν, λόγον, αἴσθησιν, ὁ ζωοπλάστης, ἃ συμβολικῶς, δάμαλις, κριὸς, αἴξ, ἐν ἱεραῖς γραφαῖς ὠνομάσθησαν· τούτων δὴ οἱ μὲν αὐτοὺς ὑπὸ φιλαυτίας ἐνοσφίσαντο, οἱ δὲ πρὸς χρειωτάτην ἀπόδοσιν ἐταμιεύσαντο. τῶν μὲν οὖν νοσφιζομένων οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν. τίς γὰρ ὁ μὴ τὴν ψυχὴν καὶ λόγον καὶ αἴσθησιν, πάντα ὅ μου ταῦτα D φησὶν κτήματα αὐτοῦ εἶναι, τὸ αἰσθάνεσθαι, τὸ λέγειν, τὸ καταλαμβάνειν, οἰόμενος ἐφ' ἑαυτῷ μόνῳ κεῖσθαι· τῶν δὲ πίστιν ἱερὰν καὶ ἄσυλον ὄντως διαφυλαττόντων, ὀλίγος ἐστὶν ἀριθμός. οὗτοι ταῦτα τὰ τρία ἀνατεθείκασι θεῷ, ψυχὴν, αἴσθησιν, λόγον. ἔλαβον γὰρ οὐχ ἑαυτοῖς, ἀλλ' ἐκείνῳ ταῦτα πάντα, ὥστε εἰκότως ὁμολογῆσαι μὴ καθ' ἑαυτὸν εἶναι τὰς ἑκάστων ἐνεργείας, τοῦ νοῦ τὰς διανοήσεις, τοῦ λόγου τὰς ἑρμηνείας, τῆς αἰσθήσεως τὰς φαντασίας. οἱ μὲν οὖν ἑαυτοῖς ταῦτα ἐπιγράφοντες ἄξια ταῦ- E τα τῆς ἑαυτῶν βαρυδαιμονίας ἐκληρώσαντο, ψυχὴν μὲν ἐπίβουλον, ἀλόγοις πάθεσι πεφυρμένην, καὶ πλήθει κακιῶν κατειλημμένην, τοτὲ μὲν ὑπὸ λαιμαργίας καὶ λαγνείας, ὥσπερ ἐν χαμαιτυπείῳ ἐξυβριζομένην· τοτὲ δὲ ὑπὸ πλήθους ἀδικημάτων, ὥσπερ ἐν δεσμωτηρίῳ καθειργνυμένην, μετὰ κακούργων, οὐκ ἀνθρώπων, ἀλλ' ἐπιτηδευμάτων, ἃ πᾶσι τοῖς κριταῖς ἀγώνισμα γέγονε· λόγον δὲ στόμαργον ἠκονημένον κατὰ τῆς ἀληθείας,

A Dei promissione. Itaque delectatus hominis prono ad discendum desiderio præceptor, incipit à primis elementis eum erudire, primum docens quod est summe necessarium: Sume mihi.] Breue verbum, sed magna vis eius. non pauca enim indicat. Ante omnia, proprium, inquit, nullum habes bonum, sed si quid habere putaris, aliunde habes. Vnde colligitur quod accipimus à Deo quicquid habemus, non à post eum nata creatura, quæ ipsa manus ad eum tendit vt acci- B piat. Secundò inquit, quicquid sumis sume non tibiipsi, sed quasi mutuum aut depositum redde ei qui deposuit, & quidem cum auctario, veterem gratiam noua pensans gratia, & decenter aliquid rependens bene merito. nam multi sacris depositis male vsi, præ auaritia nimia verterunt ea tanquam sua in proprium commodum. tu vero vir bone da operam pro viribus, vt non solum integra illæsáque C serues quæ accepisti, sed omni cura efficias, vt qui deposuit non habeat quod queratur de tua custodia. deposuit autem hæc, animam, rationem, sensum, nimirum factor animalium: quæ deposita figurate iuuenca, aries, capra nominantur in sacris literis. hæc autem quidam sui nimis amantes vsurparunt sibi, alij reposuerunt vt tempestiue redderent. & fraudatores quidem sunt innumeri. quis enim est nostrum qui animam rationem sensum D in bonis suis non censeat, sibi acceptum ferens quod sentit loquitur intelligit? eorum autem qui bona fide custodiunt depositum exiguus est numerus. hi tria iam dicta Deo dedicant, rationem, sensum, animam. Sumpserunt enim non sibi, sed illi hæc omnia: itaque merito fatentur ab eo venire vires horum singulis, menti cogitationes, rationi sermones, imaginationes sensibus. cæterum qui hæc ascribunt sibiipsis, merito sibi parant has mise- E rias: insidiosam animam fermentatam brutis affectionibus, & vitijs plurimis obsitam, nunc gulæ atque libidini tanquam in lupanari prostitutam, nunc à plurimis iniquitatibus tanquam in carcere constrictam cum maleficis, non hominibus, sed studijs, quæ omnibus tribunalibus facessunt negocium. rationem vero inaniloquam, exacutam ad impugnationem veritatis, sibi dedecus afferentem,

damnum autem audientibus. præterea sensum insatiabilem, semper ingurgitantem res sensibiles, sed nunquam expleri valentem, contumacem aduersus monitores, & conspuentem quicquid ad emendationem audit vidétque. Qui autem hæc sumpserunt non sibi, sed Deo, dedicarunt ei singula, vt sacra seruantes suo Domino: mentem quidem, ne quid aliud quam de Deo virtutibúsque cogitaret: rationem vero, vt ore frenato, laudibus hymnísque veneraretur parentem rerum omnium, ostentans in hoc tantum negocio suam eloquentiam: sensum autem, vt imaginando totum hunc mundum sensibilem, cælum terrámque & naturas quæ sunt in medio, animantes ac stirpes atque vires harum & efficaciam, motúsque alios & habitus, sedulo & sine fuco nunciet animæ. menti enim Deus dedit, vt intelligibilem mundum per seipsam, visibilem autem per sensum, cognosceret. Quod si quis possit omnibus his partibus Deo magis quam sibi quærere, per sensus introspiciendo sensibilia, inueniendæ veritatis studio, per animam autem in rebus intelligibilibus quæ vere sunt philosophando, denique per vocis instrumentum laudando hunc mundum & eius opificem, viuet vitam beatissimam. Hæc puto significari per verbum illud, Sume mihi. Cæterum quoniam misericordi Deo visum est suæ virtutis excellentiam cælitus in terram demittere, vt genus nostrum potioris sortis fieret particeps, figurate tabernaculum cum suis sacris apparauit, sapientiæ simulacrum & imaginem. nam in medio nostræ impuritatis collocatum tabernaculum ait scriptura, vt esset quo purificaremur, elutis & abstersis sordibus ac maculis, quibus referta est hæc vita nostra misera. Videamus igitur quid præcipiatur de apparando tabernaculo. Locutus est, inquit, Dominus ad Mosem dicens: Dic filijs Israel. Sumite mihi primitias, à quocunque vltro dante sumetis eas. Hic quoque præcipitur vt non sibi sed Deo sumant, examinando dantis animum magis quàm donum, & conseruando quæ dantur illæsa atque integra. quod autem primitias postulat, id ad erudiendos nos pertinet. nã reuera corporum ac rerũ primitiæ Deo debentur.

A βλαβερὸν μὲν τοῖς ἐντυγχάνουσιν, αἰσχύνην δὲ τοῖς κεκτημένοις ἐπιφέροντα, αἴσθησιν δὲ ἀκόρεστον, ἐμφορουμένην μὲν ἀεὶ τῶν αἰσθητῶν, ὑπὸ δὲ ἀκόρου ἐπιθυμίας μηδέποτε ἐμπλησθῆναι δυναμένην, ἀλογοῦσαν τῶν σωφρονιστῶν, ὡς παρορᾶν καὶ παρακούειν, καὶ ὅσα ἂν ἐπ᾽ ὠφελείᾳ διεξέρχωνται, παραπτύειν. οἱ δὲ λαβόντες μὴ ἑαυτοῖς, ἀλλὰ θεῷ, τούτων ἕκαστον αὐτῷ ἀνέθεσαν, ἱεροπρεπῆ καὶ ἅγια ὄντως φυλάξαντες τῷ κτησαμένῳ, τὴν μὲν διάνοιαν, ἵνα μηδὲν ἄλλο, ἢ τὰ περὶ θεοῦ καὶ
B τῶν ἀρετῶν αὐτοῦ διανοῆται· τὸν δὲ λόγον, ἵν᾽ ἀχαλίνῳ στόματι ἐγκωμίοις καὶ ὕμνοις καὶ εὐδαιμονισμοῖς γεραίρῃ τὸν τῶν ὅλων πατέρα, τὰς πρὸς ἑρμηνείαν ἁπάσας ἀρετάς, εἰς ἓν τοῦτο μόνον ἔργον συγκροτῶν καὶ ἐπιδεικνύμενος· τὴν δὲ αἴσθησιν, ἵνα φαντασιουμένη πάντα τὸν αἰσθητὸν κόσμον, οὐρανόν τε καὶ γῆν καὶ τὰς μεταξὺ φύσεις, ζῷά τε καὶ φυτά, ἐνεργείας τε καὶ δυνάμεις αὐτῶν, καὶ ὅσαι κινήσεις καὶ σχέσεις, ἀδόλως καὶ καθαρῶς ψυχῇ διαγγέλλοι.
C νῷ γὰρ ὁ θεὸς καταλαμβάνειν, τὸν μὲν νοητὸν κόσμον δι᾽ ἑαυτοῦ, τὸν δὲ ὁρατὸν δι᾽ αἰσθήσεως ἐφῆκεν. εἰ δὲ δύναιτό τις πᾶσι τοῖς μέρεσι ζητῆσαι θεῷ μᾶλλον ἢ ἑαυτῷ, διὰ μὲν τῶν αἰσθήσεων εἰς τὰ αἰσθητὰ διακύψας, ἕνεκα τοῦ τἀληθὲς εὑρεῖν, διὰ δὲ τῆς ψυχῆς τὰ νοητὰ καὶ ὄντα ὄντως φιλοσοφήσας, διὰ δὲ τοῦ κατὰ τὴν φωνὴν ὀργάνου καὶ τὸν κόσμον καὶ τὸν δημιουργὸν ὑμνήσας, εὐδαίμονι καὶ μακαρίῳ βίῳ χρήσεται. Ταῦτα ἐκ τοῦ λάβε μοι παρεμφαίνεσθαι νομίζω. βουληθεὶς μέντοι, καὶ τῆς θείας ἀρετῆς ἀπ᾽ οὐρανοῦ
D τὴν ἀκρότητα ἐπὶ γῆν καταπέμψαι, δι᾽ ἔλεον τοῦ γένους ἡμῶν, ἵνα μὴ ἀτυχήσῃ τῆς ἀμείνονος μοίρας, συμβολικῶς τὴν ἱερὰν σκηνὴν καὶ τὰ ἐν αὐτῇ κατασκευάζει, σοφίας ἀπεικόνισμα καὶ μίμημα. τῆς γὰρ ἀκαθαρσίας ἡμῶν ἐν μέσῳ φησὶ τὴν σκηνὴν ἱδρύσασθαι τὸ λόγιον, ἵνα ἔχωμεν ᾧ καθαρθησόμεθα, ἐκνιψάμενοι καὶ ἀπολουσάμενοι τὰ καταρρυπαίνοντα ἡμῶν τὸν ἄθλιον καὶ δυσκλείας γέμοντα βίον. τὰ συντείνοντα οὖν πρὸς τὴν κατασκευὴν ἴδωμεν ὃν τρόπον εἰσφέρειν προσέτα-
E ξεν. Ἐλάλησε, φησί, κύριος πρὸς Μωσῆν λέγων, εἰπὸν τοῖς υἱοῖς Ἰσραήλ, καὶ λάβετέ μοι ἀπαρχάς, οἷς ἂν δόξῃ τῇ καρδίᾳ λήψεσθαι τὰς ἀπαρχάς μου. οὐκοῦν καὶ ἐνταῦθα παραίνεσις, μὴ ἑαυτοῖς, ἀλλὰ θεῷ λαμβάνειν, τίς τε ἐστὶν ὁ διδοὺς ἐξετάζοντας, καὶ τὰ δοθέντα μὴ διανομένους, ἀλλ᾽ ἀσινῆ τε καὶ ἄμωμα, τέλειά τε αὖ καὶ ὁλόκληρα διαφυλάττοντας· τὰς δὴ ἀπαρχὰς δογματικώτατα ἀνέθηκεν αὐτῷ. τῷ γὰρ ὄντι καὶ σωμάτων

καὶ πραγμάτων αἱ ἀρχαί, κατὰ θεὸν ἐξετάζονται μόνον. ἐρεύνησον δὲ εἰ θέλεις γνῶναι ἕκαστα, φυτά, ζῶα, τέχνας, ἐπιστήμας. ἆρά γε οὖν αἱ μὲν τῶν φυτῶν σπερματικαὶ καταβολαί, γεωργίας, ἢ τῆς ἀοράτου φύσεώς εἰσιν ἔργα; τί δ', αἱ ἀνθρώπων τε καὶ τῶν ἄλλων ζώων γενέσεις, οὐχ ὑπουργοὺς μὲν συναιτίους ἔχουσι τοὺς τοκέας, τὴν δ' ἀνωτάτω, καὶ πρεσβυτέραν καὶ ὡς ἀληθῶς αἰτίαν, τὴν φύσιν; τέχναις δὲ καὶ ἐπιστήμαις, οὐ πηγὴ καὶ ῥίζα καὶ θεμέλιος, καὶ εἴ τι ἄλλο πρεσβυτέρας ὄνομα ἀρχῆς, ὑπόκειται, ἡ φύσις ᾗ πάντ' ἐποικοδομεῖται τὰ θεωρήματα· φύσεως δὲ μὴ προϋποκειμένης ἀτελῆ πάντα. ἐντεῦθέν μοι δοκεῖ τις εὐστόχως εἰπεῖν, ἀρχὴ δέ τοι ἥμισυ παντός. εἰκότως οὖν τὸ λόγιον ἀνέθηκε τὰς ἀπαρχὰς τῷ ἡγεμόνι θεῷ. καὶ ἐν ἑτέροις, Εἶπε κύριος πρὸς Μωσῆν λέγων, ἁγίασόν μοι πᾶν πρωτότοκον, πρωτογενές, διανοῖγον μήτραν, ἐν υἱοῖς Ἰσραήλ, ἀπὸ ἀνθρώπου ἕως κτήνους ἐμοί ἐστιν· ὥστε ἀνωμολογῆσθαι καὶ διὰ τούτων, ὅτι τὰ πρῶτα καὶ χρόνῳ καὶ δυνάμει κτήματα θεοῦ, καὶ διαφερόντως τὰ πρωτογενῆ. ἐπεὶ γὰρ πᾶν γένος ἄφθαρτον, δικαίως τῷ ἀφθάρτῳ προσνεμηθήσεται, καὶ εἴ τι συνόλως μήτραν διοιγνύει, ἀπὸ ἀνθρώπου τοῦ λογισμοῦ καὶ τοῦ λόγου, ἕως κτήνους τῆς αἰσθήσεώς τε καὶ σώματος. ὁ γὰρ διοιγνὺς μήτραν ἑκάστων, τοῦ μὲν νοῦ πρὸς τὰς νοητὰς καταλήψεις, τοῦ δὲ λόγου πρὸς τὰς διὰ φωνῆς ἐνεργείας, τῶν δ' αἰσθήσεων πρὸς τὰς ἀπὸ τῶν ὑποκειμένων ἐγγινομένας φαντασίας, τοῦ δὲ σώματος πρὸς τὰς οἰκείους αὐτῷ σχέσεις τε καὶ κινήσεις, ἀόρατος καὶ σπερματικὸς καὶ τεχνικὸς καὶ θεῖός ἐστι λόγος, ὃς προσηκόντως ἀνακείσεται τῷ πατρί. καὶ μὴν ὥσπερ αἱ ἀρχαὶ θεοῦ, οὕτω καὶ τὰ τέλη θεοῦ. μάρτυς δὲ Μωσῆς προστάττων ἀφαιρεῖν καὶ ὁμολογεῖν τὸ τέλος κυρίῳ· μαρτυρεῖ δὲ καὶ τὰ ἐν κόσμῳ, πῶς· φυτοῦ μὲν ἀρχὴ σπέρμα, τέλος δὲ ὁ καρπός, ἑκάτερον οὐ γεωργίας, ἀλλὰ φύσεως ἔργον· πάλιν ἐπιστήμης, ἀρχὴ μὲν ἡ φύσις ὡς ἐδείχθη, πέρας δ' οὐδ' ἂν ἔλθοι εἰς ἀνθρώπους. τέλειος γὰρ οὐδεὶς ἐν οὐδενὶ τῶν ἐπιτηδευμάτων, ἀλλ' ἀψευδῶς αἱ τελειότητες καὶ ἀκρότητες ἑνός εἰσι μόνου. φερόμεθα οὖν ἡμεῖς ἐν τῷ τέλους καὶ ἀρχῆς λοιπῷ μεθορίῳ, μανθάνοντες, διδάσκοντες, γεωπονοῦντες, ἐργαζόμενοι τῶν ἄλλων ἕκαστον, ὥσπερ εἰ δρῶντες, ἵνα τι καὶ γένεσις πράττειν δοκῇ. γνωριμώτερον μέντοι τὰς ἀπαρχὰς καὶ τὰ τέλη κατὰ θεὸν ὡμολόγησεν ἐπὶ τῆς τοῦ κόσμου γενέσεως, εἰπών, Ἐν ἀρχῇ ἐποίησε, καὶ πάλιν, Συνετέλεσεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. νυνὶ μὲν οὖν,

A id si scire vis, considera stirpes, animantes, artes, scientias. prima stirpium semina sunt ne agriculturæ an inuisibilis naturæ opera? quid hominum cæterorúmque animalium generatio, nónne parentum operam habet accessoriam, suprema autem antiquissima veráque eius causa natura est? artium autẽ scientiarúmque nónne fons, radix, fundamentum, aut si quod aliud est nomen potioris principij, natura supponitur, cui contemplationes omnes superstruũ-

B tur? naturam vero si subtrahas, imperfecta erunt omnia. Et hoc est quod mihi quidam videtur dixisse aptissime: ἀρχὴ δέ τοι ἥμισυ παντός. Dimidium facti qui bene cœpit habet. Merito igitur in sacris eloquijs primitiæ dedicantur Deo rerum principi. Aliubi quoque sic legitur: Locutus est Dominus ad Mosem dicens: Consecra mihi omnem primum fœtum primogenitum, aperientem vuluam, in filijs Israel, ab homine vsque ad pecora. itaque sic etiam con-

C fessum fit, quod quæ antiquiora sunt & præcipua Deo debentur, præsertim primogenita. quoniam enim omne genus est incorruptibile, incorruptibili Deo iuste attribuitur, & quicquid in vniuersum vuluam aperit, ab homine, hoc est ratione, vsque ad pecora, id est sensus corporis. nam qui aperit vuluam singulorum, mentis ad percipienda intelligibilia, rationis ad exercendum sermonem, sensuum ad obiecta tractãda, corporis ad proprios eius motus atque ha-

D bitus: est ille Dei sermo inuisibilis sator & artifex, qui conuenienter ad patrem refertur. atqui sicut principia Dei sunt, sic & fines: teste Mose, qui præcipit vt separetur finis, & dedicetur Domino. attestantur & mundanæ res. quomodo? stirpis principium semen est, finis verò fructus: vtrumque opus naturæ non agriculturæ. Rursum scientiæ principium natura est, vt ostendimus, finis autẽ ne contingit quidem hominibus. nemo enim absolutus est in vlla scien-

E tia, sed reuera perfectiones & fastigia vnius solius sunt. itaque nos versamur in spatio medio finem inter & principium, discendo, docendo, agros colendo, cætera opera tractando quasi agamus aliquid, vt & generatio videatur aliquid agere. Manifestius tamen principia finésque Deo tribuuntur in mundi creatione, dicente scriptura, In principio fecit: & rursum, Perfecit Deus cælum & terram. Nunc igitur ait:

Sumite mihi: sibi debita vindicans, & præcipiens ne quæ dantur vitientur, sed ita vt oportet seruentur. Rursum aliubi qui re nullà indiget, & ideo nihil accipit, fatetur nihil accipere, vt pietatem accendat, & ad sanctitatem religionémque promptos faciat, quasi delectetur spontaneis obsequijs animæ & cultu legitimo. Ecce, inquit, accepi Leuitas pro omni primogenito aperiente vuluam apud filios Israel, erunt eorum redemptio. Damus igitur & accipimus: sed accipimus proprie, abusiue dare dicimur, ob causas quas diximus. apte autem redemptionem Leuitas nominat. nihil enim æque mentem ad libertatem erigit, ac confugere ad Deum suppliciter. id autem sacrata Leuitica tribus profitetur. Quando igitur satis de his disseruimus, reuertamur ad textus reliqua. Sume mihi, inquit, iuuencam indomitam, illæsam, teneram, iuuenem, lasciuam, sed rectoris patientem animam. sume mihi arietem, rationem maturam, paratam certamini, idoneam soluendis & dissecandis nodis sophistarum ex aduerso disputantium, idoneam & ad tuendum ornandúmque eum cui contigit. sume mihi & sensum inducentem in hunc mundum sensibilem, capram, tria hæc omnia, iuxta numerum perfectum composita, principium, finem, medium habentia. præterea turturem & columbam, diuinam & humanam sapientiam, ambas quidem volucres & in altum tolli exercitatas, differentes tamen à se inuicem, quatenus differt genus à specie, aut exemplar ab imagine. amat enim diuina sapientia solitudinem, propter solum Deum cuius ipsa est possessio, & turtur figurate vocatur. altera vero mansueta, cicur & gregatim volitans ciuitates hominum libenter incolit, gaudens consuetudine mortalium, & ideo repræsentata per columbæ similitudinem. Has virtutes opinor Moses subindicans, obstetrices Hebræarum Sepphoram & Phuam nominat: quarum altera auicula, altera rubor interpretatur. siquidem diuinæ scientiæ proprium est sublimia petere: humanæ vero, modestiam & pudorem indere, quem erubescentia maxime indicat. Et sumpsit, inquit, ei hæc omnia. hæc laus est probi hominis, sacrum depositum animæ, sensus, rationis, diuinæ sapien-

A Λάβετέ μοι, φησί, διδοὺς τὰ πρέποντα αὐτῷ, καὶ προστάττων τὰ δοθέντα μὴ κιβδηλεύειν, ἀλλ' ἀξίως τοῦ δέοντος φυλάττειν. αὖθις δ' ἐν ἑτέροις ὁ μηδενὸς χρεῖος ὤν, καὶ διὰ τοῦτο λαμβάνων μηδέν, ὁμολογήσει λαμβάνειν, ἕνεκα τοῦ πρὸς εὐσέβειαν ἀλεῖψαι, καὶ προθυμίαν ὁσιότητος ἐμποιῆσαι, καὶ πρὸς θεραπείαν ἀκονῆσαι τὴν ἑαυτοῦ, ὡς ἀποδεχομένου καὶ δεχομένου τὰς ψυχῆς ἑκουσίους ἀρεσκείας, καὶ γνησίους θεραπείας. Ἰδοὺ γάρ, φησίν, εἴληφα τοὺς Λευίτας ἀντὶ παντὸς πρωτοτό-
B κου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ· λύτρα αὐτῶν ἔσονται. οὐκοῦν λαμβάνομεν καὶ δίδομεν, ἀλλὰ κυρίως μὲν λαμβάνομεν, καταχρηστικῶς διδόναι λεγόμεθα, δι' ἃς εἶπον αἰτίας· εὐθυβόλως δὲ λύτρα ὠνόμασε τοὺς Λευίτας. Εἰς ἐλευθερίαν γὰρ οὐδὲν οὕτως ἐξαίρεται τὴν διάνοιαν, ὡς τὸ προσφυγεῖν καὶ ἱκέτην γενέσθαι θεοῦ. τοῦτο ἡ ἱερωμένη φυλὴ Λευιτῶν ἐπαγγέλλεται. λελαληκότες οὖν τὰ πρέποντα περὶ τούτων, ἐπὶ τὰ
C ἑξῆς ἀναδράμωμεν. ὑπερεθέμεθα γὰρ πολλὰ τῶν ὀφειλόντων ἀκριβωθῆναι. Λάβε μοι, φησί, δάμαλιν ἄζυγον καὶ ἀκάκωτον, ἁπαλὴν ἔτι καὶ νέαν καὶ σφριγῶσαν, ἡνιόχησιν καὶ παιδείαν καὶ ἐπίστασιν ἐμμελῶς δέξασθαι δυναμένην ψυχήν· λάβε μοι κριόν, λόγον ἀγωνιστὴν καὶ τέλειον, ἱκανὸν μὲν τὰ σοφίσματα τῶν ἀντιδοξούντων διατεμεῖν τε καὶ λῦσαι, ἱκανὸν δὲ καὶ ἀσφάλειαν ὁμοῦ καὶ εὐκοσμίαν τῷ χρωμένῳ περιποιῆσαι· λάβε μοι καὶ τὴν διάγουσαν αἴσθησιν ἐπὶ τὸν αἰσθητὸν κόσμον,
D αἶγα, πάντα τελετίζοντα, κατ' ἀριθμὸν τέλειον πάντα, ἀρχήν, μεσότητα, τελευτὴν ἔχοντα· πρὸς δὲ τούτοις τρυγόνα τε καὶ περιστεράν, τήν τε θείαν, καὶ τὴν ἀνθρωπίνην σοφίαν, πτηνὰς μὲν ἀμφοτέρας καὶ ἀναπηδᾶν μεμελετηκυίας, διαφερούσας ἀλλήλων, ᾗ διαφέρει γένος εἴδους, ἢ μίμημα ἀρχετύπου. φιλέρημος μὲν γὰρ ἡ θεία σοφία, διὰ τὸν μόνον θεόν, οὗ κτῆμά ἐστι, τὸ μονῶσιν ἀγαπῶσα· συμβολικῶς αὕτη τρυγὼν καλεῖται· ἥμερος δὲ
E καὶ τιθασὸς καὶ ἀγελαῖος ἡ ἑτέρα τὰ ἀνθρώπων ἄστη περιπολοῦσα, καὶ διαιτητὴ μετὰ θνητῶν ἀσμενίζουσα, περιστερᾷ ταύτην ἀπεικάζουσα. Ταύτας μοι δοκεῖ τὰς ἀρετὰς Μωσῆς αἰνιξάμενος, μαίας ἑβραίων ὠνόμασε, Σεπφώραν τε καὶ Φουάν. ἡ μὲν γὰρ ὀρνίθιον, Φουὰ δὲ ἐρυθρὸν ἑρμηνεύεται. τῆς μὲν οὖν θείας ἐπιστήμης, ὄρνιθος τρόπον, τὸ ἀεὶ μετεωροπολεῖν ἴδιον· τῆς δὲ ἀνθρωπίνης, αἰδῶ καὶ σωφροσύνην ἐμποιεῖν, ὥστε ἐρυθριᾶν, ἐφ' οἷς δεῖγμα ἄξιον ἐναργέστατον. Ἔλαβε δέ, φησίν, αὐτῷ ταῦτα πάντα. τοῦτ'

A ἐπαινός ἐστι τοῦ σπουδαίου, τὴν ἱερὰν ὧν ἔλαβε παρακαταθήκην ψυχῆς, αἰσθήσεως, λόγου, θείας σοφίας, ἀνθρωπίνης ἐπιστήμης, καθαρῶς καὶ ἀδόλως μὴ ἑαυτῷ, μόνῳ δὲ τῷ πεπιστευκότι φυλάξαντος. εἶτ' ἐπιλέγει, Διεῖλεν αὐτὰ μέσα, τὸ τίς οὐ προσθείς, ἵνα τὸν ἀδίδακτον ἐννοῇς θεόν, τέμνοντα τάς τε τῶν σωμάτων καὶ τῶν πραγμάτων ἑξῆς ἁπάσας ἡρμόσθαι καὶ ἡνῶσθαι δοκούσας φύσεις, τῷ τομεῖ τῶν συμπάντων αὐτοῦ λόγῳ, ὃς εἰς τὴν ὀξυτάτην ἀκονηθεὶς ἀκμὴν, διαιρῶν οὐδέποτε λήγει τὰ αἰσθητὰ πάντα, B ἐπειδὰν μέχρι τῶν ἀτόμων καὶ λεγομένων ἀμερῶν διεξέλθῃ· πάλιν ἀπὸ τούτων, τὰ λόγῳ θεωρητὰ εἰς ἀμυθήτους καὶ ἀπεριγράφους μοίρας ἄρχεται διαιρεῖν οὗτος ὁ τομεύς, καὶ τὰ πέταλα τοῦ χρυσίου τέμνει τρίχας, ὥς φησι Μωσῆς, ἓν μῆκος ἀπλατές, ἀσωμάτοις γράμμασιν ἐμφερές. ἕκαστον οὖν τῶν τριῶν διεῖλε μέσον, τὴν μὲν ψυχὴν εἰς λογικὸν καὶ ἄλογον, τὸν δὲ λόγον εἰς ἀληθές τε καὶ ψεῦδος, τὴν δὲ αἴσθησιν εἰς καταληπτικὴν φαντασίαν καὶ ἀκατάληπτον· αὐτίκα δ' εὐθὺς τμήματα ἀντιπρόσωπα ἐτίθει C ἀλλήλοις, λογικὸν ἄλογον, ἀληθὲς ψεῦδος, καταληπτὸν ἀκατάληπτον, ἀπολιπὼν τὰ πτηνὰ ἀδιαίρετα. τὰς γὰρ ἀσωμάτους καὶ θείας ἐπιστήμας εἰς μαχομένας ἐναντιότητας ἀδύνατον τέμνεσθαι· πολλοῦ δὲ καὶ ἀναγκαίου ὄντος λόγου τοῦ περὶ τῆς εἰς ἴσα τομῆς καὶ περὶ ἐναντιοτήτων, οὔτε παρησόμεθα, οὔτε μηκυνοῦμεν, ἀλλ' ὡς ἔστιν ἐπιτεμόντες, ἀρκεσθησόμεθα μόνον τοῖς καιρίοις. καθάπερ γὰρ ἡμῶν τὴν ψυχὴν καὶ τὰ μέλη μέσα διεῖλεν ὁ τεχνίτης, οὕτως καὶ τὴν τοῦ παντὸς οὐσίαν, ὅτε τὸν κόσμον ἐδημιούργει. D λαβὼν γὰρ αὐτὴν ἤρξατο διαιρεῖν ὧδε, δύο τὸ μὲν πρῶτον ἐποίει τμήματα, τό, τε βαρὺ καὶ κοῦφον, τὸ παχυμερὲς ἀπὸ τοῦ λεπτοτέρου διακρίνων· εἶθ' ἑκάτερον πάλιν διαιρεῖ, τὸ μὲν λεπτομερὲς εἰς ἀέρα καὶ πῦρ, τὸ δὲ παχυμερὲς εἰς ὕδωρ τε καὶ γῆν, καὶ στοιχεῖα αἰσθητὰ αἰσθητοῦ κόσμου ὥσπερεὶ θεμελίους προκατεβάλετο. πάλιν δὲ τὸ βαρὺ καὶ τὸ κοῦφον καθ' ἑτέρας ἰδέας, τὸ μὲν κοῦφον εἰς ψυχρόν τε καὶ θερμὸν· ἐπεφήμισε δὲ τὸ μὲν ψυχρὸν ἀέρα, τὸ δὲ θερ- E μὸν φύσει πῦρ, τὸ δὲ βαρὺ εἰς ὑγρόν τε αὖ καὶ ξηρόν. ἐκάλεσε δὲ τὸ μὲν ξηρὸν γῆν, τὸ δὲ ὑγρὸν ὕδωρ· ἕκαστον δὲ τούτων ἄλλας τομὰς ἐδέχετο. γῆ μὲν γὰρ εἰς ἠπείρους καὶ νήσους διῄρητο· ὕδωρ δὲ εἰς θάλασσαν καὶ ποταμοὺς, καὶ ὅσον πότιμον. ἀὴρ δὲ εἰς τὰς θέρους καὶ χειμῶνος τροπάς· πῦρ δὲ εἰς τὸ χρειῶδες· ἄπληστον ἐστὶ καὶ φθαρτικὸν τοῦτο· καὶ κατὰ τοὐναντίον εἰς τὸ σωτήριον, ὅπερ εἰς τὴν οὐρανοῦ σύστασιν ἀπεκληροῦτο. ὥσπερ δὲ τὰ ὁλοσχερῆ, οὕτω καὶ τὰ κατὰ μέρος ἔτεμνεν,

tiæ, humanæ ſcientiæ, ſine dolo bona fide ſeruantis, non ſibi ſed ei qui depoſuit. Deinde addit: & diuiſit ea per medium: nec dicit quis diuiſerit, cogitationi tuæ relinquens intelligendum Deum, ſecantem corporum ac rerum cunctarum cohærentes & vnitas vt videtur naturas, verbo ſuo nihil non ſecante, quod vt acutiſſimum non deſinit diuidere omnia ſenſibilia, donec perueniat ad ea quæ vocantur indiuidua. Idem verbum inciſorium etiam rationi conſpicua in plurimas portiones incircumſcriptas diuidit, & bracteas auri ſecat in capillamenta, vt Moſes ait, longitudinem ſine latitudine, incorporeis lineis ſimilem. Hæc igitur tria ſingula diuiſit per medium, animam in brutam partem & rationalem, orationem in verum & falſum, ſenſum in imaginationem certam & incertam: atque ita dimidiata inter ſe oppoſuit, rationali brutum, vero falſum, certo incertum, indiuiſa ſinens volucria. nam incorporeæ diuinæque ſcientiæ in contrarietates pugnantes non poſſunt diuidi. Et quia dicendum eſt de diuiſione in æquales portiones & de oppoſitis, nec ſilentio rem præteruehemur, nec prolixius immorabimur, ſed quanto poterimus vtemur compendio, contenti huc proprie pertinentibus. nam ſicut animam noſtram & membra per medium diuiſit opifex, ſic & huius vniuerſitatis eſſentiam mox in mundi huius initio. Primùm bifariam eam diuiſit, in graue & leue, quod craſſum eſt diſcernens à tenui. horum vtrumque denuo diuiſit, tenue in ignem & aerem, craſſum in aquam terrámque, ſenſibilis mundi elementa ſenſibilia, pro fundamento ei futura. ac rurſus tum graue tum leue diuiſit in alias ſpecies, leue in frigidum & calidum, frigidum appellans aerem, ignem vero quod eſt natura calidum: item graue in humidum & aridum. humidum vocauit aquam, terram aridum. hæc ſingula rurſum aliter ſecta ſunt. terra in continentes & inſulas: aqua in mare & fluuios, cæteróſque latices potabiles. aer in æſtiuas brumaléſque mutationes. ignis in hunc quo vtimur quotidie, corruptiuum & inſatiabilem, & in alium ſalutarem priori contrarium, ex quo cælum confectum eſt. Ita ſecta ſunt vniuerſalia, nec minus particularia, nempe in animata & inanima.

In inanimatis quædam semper manent eadem, quæ habitu continētur ceu vinculo: quædam mouentur, non migratione sed incremento, quæ natura inenarrabili modo viuificat. ex his alia sunt siluestria, quæ immites fructus cibum ferunt bestijs: alia frugifera, quæ ad curam agricolarum pertinent. horum fructus prosunt homini, omnium animaliū mitissimo. Nec hic consistit diuisio animatorum ab inanimis, rursum hæc singula subdiuiduntur. nam alterum horum diuiditur in brutorum & rationalium species: quæ & ipsæ denuo diuiduntur: bruta in fera & mansueta, rationalia in mortalia & immortalia. mortales item secantur bifariam, distincti virorum & mulierū vocabulo. aliâs quoque animal in marem secatur & fœminam. nec desunt & aliæ sectiones necessariæ, quibus separantur volucres à terrestribus, & ab vtrisque aquatilia. Tam acutum est verbum illud res omnes dissecans, primum forma qualitatéque carentē essentiam, & ab hac discreta mundi elemēta quatuor, mox plantas & animantes ex his compactas. Quoniam autem non tantum ait diuisit, sed per medium diuisit, necessum est vt pauca de portionibus dimidiatis addamus. sic enim æquales partes indicantur. Mortalis quidem nemo posset quicquam in partes pares diuidere, sed necesse est vt alterutra maior minórve fit, saltem paulo quod sensum fugiat, solitum grandiora quæque expendere, minutias vero non valentē percipere. inæqualitas autem æqualitatem excludit, id quod veris rationibus deprehenditur. probabile igitur est, solum Deum exacte iustum esse, & solum posse per medium diuidere vel res vel corpora, vt alterutra portio ne mica quidem alteram superet, sed pares sint per omnia. Hæc dicta sufficerent, si vna esset æqualitatis species: cum autem plures sint, non grauabimur quæ res postulat adiungere. dicitur enim æqualitas vno modo in numeris, qua duo duobus, tria tribus æquiparantur, & cætera similiter. altero modo in quantitate, quæ ad longitudinis, latitudinis, altitudinis, dimēsiones pertinet. palmus enim palmo, cubitus cubito par est magnitudine. Sunt in quibus æstimatur valoris æqualitas, vt in mensuris ac ponderibus. est & ea species necessaria quam analogiā seu proportionem nominant, iuxta quam pauca multis, parua magnis, cēsentur æqua-

A ὧν τὰ μὲν ἔμψυχα, τὰ δὲ ἄψυχα ἦν. καὶ τῶν ἀψύχων,
τὰ μὲν ἐν ταὐτῷ μένοντα, ὧν δεσμὸς ἕξις, τὰ δὲ οὐ
μεταβατικῶς, ἀλλ᾽ αὐξητικῶς κινούμενα, ἃ φύσις
ἡ ἄφατος ἐζώου. τούτων δὲ τὰ μὲν τῆς ἀγρίας ὕλης, οἷς
καὶ ἀγρίων καρπῶν, οἳ τροφὴ θηρίοις ἐστί· τὰ δὲ τῆς ἡ-
μέρας, ὧν γεωργία τὴν προστασίαν καὶ ἐπιμέλειαν
ἔλαχε· τίκτει δὲ καρποὺς τῷ πάντων ἡμερωτάτῳ
ζώων, πρὸς ἀπόλαυσιν, ἀνθρώπῳ. καὶ οὐ μόνον
καθ᾽ ἕνα τρόπον τὰ ἄψυχα καὶ τὰ τῆς ψυχῆς μεμοι-
ραμένα διαιρεῖ. τούτων γὰρ, ἓν μὲν ἀλόγων, ἓν δὲ λο-
B γικῶν ἀπέφηνεν εἶδος. ἀλλὰ καὶ τούτων ἕκαστον πά-
λιν διαιρεῖ, τὸ μὲν ἄλογον, εἰς ἄγριόν τε καὶ χειροήθες
εἶδος· τὸ δὲ λογικὸν, εἰς ἄφθαρτόν τε καὶ θνητόν. καὶ
τοῦ θνητοῦ δύο μοίρας εἰργάζετο, ὧν τὴν μὲν ἀν-
δρῶν, τὴν δὲ γυναικῶν ἐπεφήμισε· καὶ κατ᾽
ἄλλον μέντοι τρόπον τὸ ζῶον εἰς ἄρρεν ἔτεμνε καὶ
θῆλυ. ἐδέχετο δὲ καὶ ἄλλας ἀναγκαίας τομὰς, αἳ
διέστελλον, πτηνὰ μὲν χερσαίων, χερσαῖα δὲ ἐνύ-
δρων, ἔνυδρα δὲ ἀμφοῖν τῶν ἄκρων. οὕτως ὁ θεὸς
C ἀκονησάμενος τὸν τομέα τῶν συμπάντων αὐτοῦ λό-
γον, διαιρεῖ τήν τε ἄμορφον καὶ ἄποιον τῶν ὅλων οὐ-
σίαν, καὶ τὰ ἐξ αὐτῆς ἀποκριθέντα τέσσαρα τοῦ κόσ-
μου στοιχεῖα, καὶ τὰ διὰ τούτων παγέντα ζῶά τε καὶ
φυτά. ἐπεὶ δὲ οὐ μόνον φησὶ, διεῖλεν, ἀλλὰ μέσα
διεῖλεν, ἀναγκαῖον κἂν ὀλίγα περὶ τῆς ἴσων τμημά-
των ὑπομνῆσαι. τὸ μὲν γὰρ ἀκριβῶς κατὰ μέσον διαιρε-
θὲν, ἴσα ἀποτελεῖ τμήματα. ἄνθρωπος μὲν οὐδεὶς
δύναιτ᾽ ἄν ποτε εἰς ἴσα διελεῖν οὐδέν· ἀλλ᾽ ἀνάγκη
τῶν τμημάτων τὸ ἕτερον ἐνδεῖν ἢ περιττεύειν, καὶ εἰ μὴ
D μείζονι, ἀλλά τοι βραχεῖ μέρει πάντως, ὃ τὴν μὲν
αἴσθησιν ἐκφεύγει, τοῖς ἁδρομερεστέροις ἐκ φύ-
σεως καὶ ἔθους προσβάλλουσαν ὄγκοις, τοὺς δὲ ἀτόμους
καὶ ἀμερεῖς καταλαβεῖν ἀδυνατοῦσαν. ἀνισότης δὲ,
οὐδὲν ἴσον. αἴτιον δὲ ἑκάστῳ λόγῳ τῆς ἀληθείας εὑ-
ρίσκεται. ἔοικεν οὖν ὁ θεὸς μόνος ἀκριβοδίκαιος εἶναι,
καὶ μέσα μόνος δύνασθαι διαιρεῖν, τά τε σώματα καὶ
πράγματα, ὡς μηδὲν τῶν τμημάτων μηδ᾽ ἄχρι ἀκα-
ροῦς καὶ ἀμεροῦς τινὶ πλέον ἢ ἔλαττον γενέσθαι· τῆς δὲ
E ἄνω κάτω καὶ ἄκρας ἰσότητος μεταλαχεῖν ἰσχύσαι.
εἰ μὲν οὖν τοῦ ἴσου μία ἰδέα, ἱκανῶς ἂν τὰ λεχθέντα
εἴρητο· πλειόνων δὲ οὐσῶν, οὐκ ἀποκνητέον τὰ ἁρ-
μόττοντα προσθεῖναι. λέγεται γὰρ ἴσον, καθ᾽ ἕνα μὲν
τρόπον ἐν ἀριθμοῖς, ὡς δύο δυσὶν, καὶ τρία τρισὶν, καὶ
τἄλλα ταύτῃ· καθ᾽ ἕτερον δὲ ἐν μεγέθεσιν, ὡς μήκει,
πλάτει, βάθει, διαστάσεις εἰσίν. παλαιστὴ γὰρ πα-
λαιστῇ, καὶ πῆχυς πήχει, ἴσα μεγέθει· δυνάμει δὲ
ἐστὶν ἴσα, ὡς τὰ ἐν σταθμοῖς καὶ μέτροις. ἀναγκαία δὲ
ἐστὶν ἰσότητος ἰδέα, καὶ ἡ διὰ ἀναλογίας, καθ᾽ ἣν καὶ

ὀλίγα τοῖς πολλοῖς, καὶ τὰ βραχέα τοῖς μείζοσιν ἴσα γενόμενα· ᾗ καὶ πόλεις ἐπὶ καιρῶν εἰώθασι χρῆσθαι, κελεύουσαι τὸ ἴσον ἕκαστον τῶν πολιτῶν ἀπὸ τῆς οὐσίας εἰσφέρειν, οὐ δήπου ἐν ἀριθμῷ, ἀλλ' ἀναλόγως τῷ περὶ τῶν χρημάτων τιμήματος, ὡς ὁ δραχμὰς ἑκατὸν εἰσενεγκών, τῷ τάλαντον εἰσενεγκόντι δόξῃ ἂν ἐπιδεδωκέναι τὸ ἴσον. τούτων προϋποτυπωθέντων, ἰδὲ πῶς μέσα διελών, ἴσα διεῖλε κατὰ πάσας τὰς ἰσότητος ἰδέας ἐν τῇ τοῦ παντὸς οὐρανοῦ γενέσει, ἀριθμῷ μὲν ἴσα τὰ βαρέα τοῖς κούφοις ἔτεμε, δύο δυσίν, γῆν καὶ ὕδωρ, τὸ βάρος ἔχοντα, τοῖς φύσει κούφοις ἀέρι καὶ πυρί· πάλιν ἓν ἑνί, τὸ μὲν ξηρότατον τῷ ὑγροτάτῳ, γῆν ὕδατι· τὸ δὲ ψυχρότατον τῷ θερμοτάτῳ, ἀέρα πυρί· τὸν αὐτὸν δὲ τρόπον καὶ σκότος φωτί, καὶ ἡμέραν νυκτί, καὶ χειμῶνι θέρος, καὶ ἔαρι μετόπωρον, καὶ ὅσα τούτων. μεγέθει δὴ ἴσα, ἐν οὐρανῷ μὲν τοὺς παραλλήλους κύκλους, τούς τε ἰσημερινούς, ἐαρινὸν καὶ μετοπωρινόν, καὶ τοὺς τροπικούς, χειμερινὸν καὶ θερινόν· ἐπὶ γῆς δὲ ζώνας, δύο μὲν ἴσας ἀλλήλαις, αἳ πρὸς τοῖς πόλοις εἰσὶ κατεψυγμέναι, καὶ διὰ τοῦτο ἀοίκητοι· δύο δὲ τὰς μεθορίους, τούτων τε καὶ τῆς διακεκαυμένης, ἃς δὴ εὐκρασίᾳ φασὶν οἰκεῖσθαι, τὴν μὲν πρὸς τοῖς νοτίοις, τὴν δὲ πρὸς τοῖς βορείοις κειμένην. μήκει δὴ ἴσα ἐστὶ καὶ τὰ χρόνου διαστήματα, ἡ μεγίστη ἡμέρα τῇ μεγίστῃ νυκτί, καὶ πάλιν ἡ βραχυτάτη τῇ βραχυτάτῃ, καὶ ἡ μέση τῇ μέσῃ· τὰ δὲ τῶν ἄλλων ἡμερῶν τε καὶ νυκτῶν ἴσα μεγέθη μάλιστα μηνύουσιν αἱ ἰσημερίαι δύο οὖσαι, ἀπὸ μὲν τῆς ἐαρινῆς ἄχρι θερινῶν τροπῶν ἡ μὲν ἡμέρα πρόσθεσιν, ἡ δὲ νὺξ ἀφαίρεσιν δέχεται, ἕως ἂν ἥτε μεγίστη ἡμέρα καὶ ἡ βραχυτάτη νὺξ ἀποτελεσθῶσιν· ἀπὸ δὲ θερινῶν τροπῶν ἀνακάμπτων ὁ ἥλιος τὴν αὐτὴν ὁδόν, οὔτε θᾶττον, οὔτε βραδύτερον, ἀλλὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα διαστήματα, τάξεσιν ἴσαις χρώμενος μέχρι τῆς μετοπωρινῆς ἰσημερίας ἔρχεται, καὶ ἴσην ἀποτελέσας ἡμέραν νυκτὶ προσαύξειν ἄρχεται τὴν νύκτα, μειῶν τὴν ἡμέραν, ἄχρι χειμερινῆς τροπῆς· καὶ ὅταν ἀποτελέσῃ νύκτα μὲν μεγίστην, ἡμέραν δὲ βραχυτάτην, κατὰ τὰ αὐτὰ πάλιν διαστήματα ἀνακάμπτων ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν ἀφικνεῖται· οὕτως τὰ χρόνων διαστήματα ἄνισα εἶναι δοκοῦντα, ἰσότητος τῆς κατὰ τὸ μέγεθος ἐν οὐχὶ τῷ αὐτῷ, ἀλλ' ἐν διαφερούσαις τοῦ ἔτους ὥραις μεταποιεῖται. τὸ παραπλήσιον μέντοι καὶ ἐν τοῖς μέρεσι τῶν ζώων καὶ μάλιστα ἀνθρώπων θεωρεῖται· ποὺς γὰρ ποδί, καὶ χεὶρ χειρί, καὶ τὰ ἄλλα σχεδὸν πάντα ἴσα μεγέθει, τὰ ἐπὶ δεξιά, τοῖς κατ' εὐώνυμα. τὰ δὴ ἴσα δυνάμει, πάμπολλά ἐστιν, ἔν τε ξηροῖς καὶ ὑγροῖς,

A lia, cuius in ciuitatibus vsus est interdum, quando ciues iubentur conferre æqualiter, non numero, sed pro rata, vt est census eius temporis, quando centum drachmas conferens, tantundem iudicatur contulisse, quantum qui talentum repræsentauit. His præsuppositis vide quomodo qui per medium diuisit, æqualiter diuisit iuxta has omnes æqualitatis species, in ipsius mundi opificio, pari numero grauia diuidens à leuibus, duo à
B duobus, terram & aquam pondus habentia, à suapte natura leuibus igne & aere. eadem parilitas est in singulis, aridissimo humidissimóque, terra & aqua. eodem modo tenebris lux opponitur, dies nocti, æstas hiemi, veri autumnus, & id genus alia. Item magnitudine pares sunt in cælo quidem æquidistantes circuli, tam æquinoctiales vernus autumnalísque, quam solstitiales æstiuus brumalísque:
C in terra vero zonæ quas vocant, duæ inter se æquales quæ circa polos sunt frigidæ: & ob hoc inhabitabiles: duæ item inter has & exustam mediæ, quas propter temperiem aiunt habitabiles, alteram ad austrum vergentem, alteram ad septemtriones. Longitudine vero paria sunt temporum spacia, nox maxima diei maximæ, breuissima breuissimæ, mediæ media. de cætero dierum æqualitates ac noctium deprehenduntur æquinoctijs, post vernum vsque ad sol-
D stitium die crescente, nocte decrescente, donec dies longissima fiat, nox breuissima. post solstitium vero sol reuertens per eandem viam, nec celerius, nec tardius, sed eodem modo per eadem spacia, pari ordine ad autumnale æquinoctium incedit, æquatáque nocte diei, noctem augere incipit, diem minuens ad brumam vsque. tum vero nocte aucta in maximam longitudinem, die con-
E tracta maxime per eadem rursum spacia reflectens ad vernum redit æquinoctium. ita spacia temporum quamuis inæqualia videantur, parem habent longitudinem, non tamen ijsdem anni horis, sed diuerso tempore. Idem consideratur & in membris animalium, præsertim hominum. pes enim pedi, manus manui, & cætera ferme omnia dextra sinistris sunt paria. Iam quæ valore æquantur sunt plurima tam arida quam liquida, de

quibus pondere mensuráque decernitur. analogia verò æquat omnia propemodum parua magnáque, in toto mundo quantus est. nam qui rerum naturam scrutantur diligentius, aiunt pro portione paria esse elementa quatuor. qua analogia mundus temperatus æquante partes singulas comparantéque, & factus est primum, & durat in perpetuum. certe ista quatuor, aridum, humidum, frigidum, calidum, contemperata pro portione, constat nihil aliud esse quam potentiarum quatuor temperamentum quoddam congruum & analogicum. Quod si libeat percurrere singula, in infinitum protendetur oratio. Animalia minima maximis paria pro portione licet animaduertere, hirundinem aquilæ, mugilem ceto, formicam elephanto. nam corpus & anima, item dolores voluptatésque, appetitus & fastidia, & quicquid est in natura animalium, omnia ferme sunt similia, æquante analogiæ regula. & hoc est quod quidam ausi sunt vniuerso mundo æquare hominem animal minimum, cum viderent vtrumque constare ex corpore & rationali anima, vt permutatis nominibus, hominem quidem mundum paruum, mundum vero magnum hominem dicerent. quæ illi non temere docent, sed quoniam ars Dei qua vniuersa condidit, nec intenditur nec remittitur, semper sui similis quantum ad excellentiam, opifice res singulas absoluente numeris omnibus, & nihil prætermittente quod merito desideres. nam & parua & magna, vt dicit Moses, iudicauit, creans & formans singula, nec propter vilitatem materiæ de arte quicquam subtrahens, nec addens aliquid propter eius precium. quoniam laudati artifices, siue preciosas materias siue viles accipiant, ipsi non parce insumunt operam. nec defuerunt qui affectate ostentarunt artem in vilibus, contendentes cum preciosis operibus, arte supplentes quod materiæ deerat. Dei autem existimatione materia nulla preciosa est, ideo cunctis ex æquo artem adhibuit: vnde in literis sacris legitur, Vidit Deus omnia quæcunque fecerat, & ecce bona valde. quæ autem laudantur ab illo, honore æquantur ipso iudice.

A ὧν ἡ ἐπίκρισις ἐν μέτροις καὶ πλάστιγξι καὶ τοῖς παραπλησίοις θεωρεῖται· ἀναλογίᾳ δὲ σχεδὸν τὰ πάντα ἐστὶν ἴσα, μικρά τε αὖ καὶ μεγάλα, ὅσα ἐν τῷ παντὶ κόσμῳ. λέγουσι γὰρ οἱ ἀκριβέστερον περὶ τὰ τῆς φύσεως ἐξητακότες, ὅτι ἀναλογίᾳ μὲν ἴσα τὰ τέτταρα στοιχεῖά ἐστιν· ἀναλογίᾳ δὲ καὶ ὁ κόσμος ἅπας κραθεὶς, τὸ ἴσον ἑκάστῳ τῶν μερῶν ἀπονεμούσῃ, συνέστη τε, καὶ συσταθεὶς εἰς ἅπαν διαμένει· καὶ τὰ περὶ ἡμᾶς μέντοι τέτταρα, ξηρὸν, ὑγρὸν, ψυχρόν τε αὖ καὶ θερμὸν, τὴν δι' ἀναλογίας
B ἰσότητα, κερασάμενα ἁρμόσασθαι, καὶ μηδὲν ἄλλο, ἢ κρᾶσιν εἶναι τῶν τεττάρων δυνάμεων ἀναλογίας ἰσότητι κραθεισῶν. ἐπιὼν δέ τις ἕκαστα, μῆκος ἂν ἄπειρον δύναιτ' ἂν παρατεῖναι τὸν λόγον. τὰ βραχύτατα ζῷα τοῖς μεγίστοις ἀναλογίᾳ σκοπῶν ἴσα ἂν εὕροι, ὡς χελιδόνα ἀετῷ, καὶ πελαμύδα κήτει, καὶ μύρμηκα ἐλέφαντι. καὶ γὰρ σῶμα καὶ ψυχὴ, καὶ πάλιν ἀλγηδόνες τε καὶ ἡδοναὶ, πρὸς δὲ οἰκειώσεις καὶ ἀλλοτριώσεις, καὶ ὅσα ἡ
C ζῴων φύσις ἔχει, τὰ πάντα σχεδόν ἐστιν ὁμοιότροπα, τῷ τῆς ἀναλογίας ἰσούμενα κανόνι. οὕτως ἐθάρρησάν τινες, καὶ τῷ παντὶ κόσμῳ τὸ βραχύτατον ζῷον ἄνθρωπον ἴσον ἀποφῆναι, κατιδόντες ὅτι ἑκάτερον ἐκ σώματος καὶ ψυχῆς καθέστηκε λογικῆς, ὥστε καὶ ἐναλλάττοντες, βραχὺν μὲν κόσμον τὸν ἄνθρωπον, μέγαν δὲ ἄνθρωπον ἔφασαν τὸν κόσμον εἶναι. ταῦτα δ' οὐκ ἀπὸ σκοποῦ διδάσκουσιν, ἀλλ' ἔγνωσαν ὅτι ἡ τοῦ θεοῦ τέχνη καθ' ἣν ἐδημιούργει τὰ σύμπαντα, οὔτε ἐπίτασιν, οὔτε ἄνεσιν
D δεχομένη, μένουσα δ' ἡ αὐτὴ κατὰ τὴν ἐν ὑπερβολαῖς ἀκρότητα, τελείως ἕκαστον τῶν ὄντων δεδημιούργηκε, πᾶσιν ἀριθμοῖς, καὶ πάσαις ταῖς πρὸς τελειότητα ἰδέαις καταχρησαμένου τοῦ πεποιηκότος. κατὰ γὰρ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν, ὥς φησι Μωϋσῆς, ἔκρινε, δημιουργῶν καὶ σχηματίζων ἕκαστα· μήτε δι' ἀφάνειαν ὕλης ὑφελόμενός τι τοῦ τεχνικοῦ, μήτε διὰ λαμπρότητα προσθείς· ἐπεὶ ὅσοι τῶν τεχνιτῶν εἰσὶ δόκιμοι, ἃς ἂν παραλάβωσιν ὕλας, εἴτε πολυτελεῖς εἶεν, εἴτε καὶ εὐτελέσταται, δημιουργεῖν
E ἐθέλουσι πολυτελῶς. ἤδη δέ τινες καὶ προσφιλοκαλοῦντες τὰ ἐν ταῖς εὐτελεστάταις οὐσίαις τεχνικώτερον τῶν ἐν ταῖς πολυτελέσιν εἰργάσαντο, βουληθέντες προσθήκῃ τοῦ ἐπιστημονικοῦ, τὸ κατὰ τὴν ὕλην ἐνδέον ἐπανισῶσαι. τίμιον δ' οὐδὲν τῶν ἐν ὕλαις παρὰ θεῷ· διὸ τῆς αὐτῆς μετέδωκε πᾶσι τέχνης ἐξ ἴσου. παρὸ καὶ ἐν ἱεραῖς γραφαῖς λέγεται, Εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ ἀγαθὰ σφόδρα· τὰ δὲ αὐτοῦ τυγχάνοντα ἐπαίνου, παρὰ τῷ

ἐπαινοῦντι πάντως ἐστὶν ἰσότιμα· ἐπήνεσε γὰρ ὁ θεὸς τὴν δημιουργηθεῖσαν ὕλην τὴν ἄψυχον καὶ πλημμελῆ καὶ διαλυτήν, ἔτι δὲ φθαρτὴν ἐξ ἑαυτῆς, ἀνώμαλόν τε καὶ ἄνισον, ἀλλὰ τὰ ἑαυτοῦ τεχνικὰ ἔργα, κατὰ μίαν ἴσην καὶ ὁμαλὴν δύναμιν καὶ ἐπιστήμην ὁμοίαν καὶ τὴν αὐτὴν ἀποτελεσθέντα. παρὸ καὶ τοῖς τῆς ἀναλογίας κανόσιν ἴσα καὶ ὅμοια πάντα πᾶσιν ἐνομίσθη, κατὰ τὸν τῆς τέχνης καὶ ἐπιστήμης λόγον. ἰσότητός τε εἰ καί τις ἄλλος ἐπαινέτης γέγονε Μωσῆς· πρῶτον μὲν ὑμνῶν καὶ πανταχοῦ δικαιοσύνην, ἧς ἴδιον, ὡς καὶ αὐτό που δηλοῖ τοὔνομα, δίχα τέμνειν εἰς μοίρας ἴσας τά τε σώματα καὶ πράγματα· εἶτα ψέγων ἀδικίαν, τὴν ἀνισότητος τῆς αἰσχίστης δημιουργόν. ἀνισότης δὲ τοὺς διδύμους πολέμους ἔτεκε, τόν τε ξενικὸν καὶ τὸν ἐμφύλιον, ὡς ἔμπαλιν εἰρήνην ἰσότης. τὰ δὲ ἐγκώμια δικαιοσύνης, καὶ τοὺς ψόγους ἀδικίας, ἐναργέστατα διερμηνεύει, ὅταν λέγῃ, Οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις, ἐν σταθμίοις, ἐν ζυγοῖς· ζυγὰ δίκαια, καὶ στάθμια δίκαια, καὶ χοῦς δίκαιος ἔσται ὑμῖν. καὶ ἐν Ἐπινομίδι, Οὐκ ἔσται ἐν μαρσιππίῳ σου στάθμιον, ἀληθινὸν καὶ δίκαιον ἔσται. οὐχὶ δὲ στάθμιον μέγα καὶ μικρόν, ἵνα πληθυνθῶσιν αἱ ἡμέραι σου ἐπὶ τῆς γῆς, ἣν κύριος ὁ θεὸς δίδωσί σοι κληροδοσίαν, ὅτι βδέλυγμα κυρίῳ πᾶς ποιῶν τὰ ἄδικα. οὐκοῦν ὁ φιλοδίκαιος θεὸς, ἀδικίαν μεμίσηκε, καὶ βδελύττεται, στάσεως καὶ κακῶν ἀρχήν. τὴν δὲ ἰσότητα δικαιοσύνης τροφὸν ὁ νομοθέτης ἀποδέχεται, ἐξάρχων εὐθὺς ἀπὸ τῆς τοῦ παντὸς οὐρανοῦ γενέσεως. Καὶ διεχώρισε, φησίν, ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος νύκτα. ἡμέραν γὰρ καὶ νύκτα, καὶ φῶς καὶ σκότος, ἰσότης ἔταξε τοῖς οὖσι. διεῖλεν ἰσότης καὶ τὸν ἄνθρωπον εἰς ἄνδρα καὶ γυναῖκα, δύο τμήματα, ἄνισα μὲν ταῖς ῥώμαις, πρὸς ὃ δὲ ἐσπούδασεν ἡ φύσις, τρίτου τινὸς ὁμοίου γένεσιν, ἰσωθέντα. Ἐποίησε γάρ, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς. οὐκ ἔτι αὐτόν, ἀλλ' αὐτοὺς ἐπιφέρει πληθυντικῶς, ἐφαρμόττων τῷ γένει τὰ εἴδη διαιρεθέντα, ὡς εἶπον, ἰσότητι. ψῦχος γε μὴν καὶ καῦμα, καὶ θέρος καὶ ἔαρ διέγραψε τὰς ἐτησίους ὥρας, πάλιν τῷ αὐτῷ τομεῖ διαιρεθείσας. αἵ γε μὴν πρὸ ἡλίου τρεῖς ἡμέραι ταῖς μετὰ ἥλιον ἰσάριθμοι γεγόνασιν, ἑξάδος τμηθείσης ἰσότητι πρὸς αἰῶνος καὶ χρόνου δήλωσιν. αἰῶνι μὲν γὰρ τὰς πρὸ ἡλίου τρεῖς ἀνατέθεικε, χρόνῳ δὲ τὰς μετὰ ἥλιον, ὅς ἐστι μίμημα αἰῶνος, τὰς δύο τοῦ ὄντος πρώτας δυνάμεις, τήν τε χαριστικήν, καθ' ἣν ἐκοσμοπλάστει,

A Laudauit autem non materiam inanimam, redundantem, dissolubilem suapte natura & corruptibilem, rudem inæqualémque: sed artificiosa opera sua, præ se ferentia vnam eandémque opificis facultatem ac scientiam æquabiliter elucentem per omnia. ideo seruata est vbique analogiæ regula, ratione artis ac scientiæ. eius æqualitatis, si quis alius, Moses laudator fuit. primum laudans vbique iustitiam, cuius proprium est æqualiter diuidere, vt Græcis ἀπὸ τοῦ δίχα τέμνειν dicta videri possit,
B diuidés & res & corpora. Deinde vituperans iniustitiam, turpissimæ inæqualitatis opificem. hæc inæqualitas geminum bellum peperit, externum & ciuile, sicut è diuerso pacem æqualitas. Sed nusquam apertius laudat iustitiam, damnat iniustitiam, quam his verbis: Non facietis iniustitiam in iudicio, in mensuris, in libra, in pondere. Libra iusta, pondera iusta, modius iustus erit vobis. & in Deuteronomio:
C Non erit in pera tua pondus iniquum, verum & iustum erit: non pondus magnum & paruum, vt fias longæuus super terram, quam Dominus Deus dabit tibi in hæreditatem, quoniam abominatus est Deo quisquis facit iniustitiam. Ergo amator iustitiæ Deus odit iniustitiam & abominatur vt seditionis & malorum principium. Sed vbi æqualitatem laudat legislator nutricem iustitiæ? Mox in principio cæli conditi. Et diuisit, inquit, Deus lucem à
D tenebris, appellauítque lucem diem, & tenebras noctem. diem enim & noctē, lucem & tenebras in rebus ordinauit æqualitas. Eadem diuisit & hominem in virum ac mulierem, duas portiones inæquales quidem robore, sed quod natura spectauit, bene comparatas vt tertium quiddam gignerent sibi simile. Fecit, inquit, Deus hominem, ad imaginem Dei fecit eum, marem & fœminam fecit eos. iam non Eum, sed Eos adiecit pluraliter, inserens in genus
E species, diuisas (vt dixi) æqualiter. Frigus quidem & æstum, æstatem & ver descripsit in horas annuas, diuisas eodem incisorio. cæterum illi tres dies qui solem præcesserunt, eundem secutis numero pares sunt, senario diuiso æqualiter, ad notas seculorum & temporis. æuo enim tres præcedentes dicauit, sequentes vero tempori, quod imago æternitatis est. Item duas eius Qui est potentias primarias, beneficam qua

Digitized by

mundum condidit, iuxta quam appellatur Dominus: & punitiuam qua rebus imperat, iuxta quam Deus agnominatur, ipse ait se medium stantem dirimere. Loquar tibi, inquit, supra propitiatorium inter duo Cherubim: vt ostenderet quòd antiquissimæ eius Qui est potentiæ pares sint, benefica & vltrix, vtentes eodem incisorio. quid columnæ decem legum generalium, quas nominat tabulas? duæ sunt numero pares animæ partibus. nam brutæ pariter ac rationali debetur eruditio castigatióque. hæ rursum à legislatore diuiduntur. ipsæ quidem opus Dei fuerunt, exaratæ literis diuinitus insculptis in eas. Quin etiam legibus ipsis, quod proprie ius est, diuisis in pares quinarios, prior ius diuinum, posterior humanum continet. In diuino iure prima lex opponitur opinioni plures Deos credentium, docens non mundum esse sub vnius imperio. secunda vetat ne quis sibi Deos alios faciat præter creatorem, deceptus pictorum fictorúmque insidiosis artibus quas Moses eiecit è sua republica damnatas exilio perpetuo vt solus vere Deus colatur. Tertia est de nomine Domini, non eo quod creaturam penetrat (hoc enim est ineffabile) sed quod prædicatur de eius potentijs. prohibitum est enim id vanum assumere. Quarta est de semper virgine sine matre nata hebdomade: vt creatura assueta eius otio, reminiscatur eius qui omnia facit inuisibiliter. Quinta de honore habendo parentibus. nam hæc quoque sacrata est, quippe quæ refertur non ad homines, sed ad autorem genituræ rerum omnium, cum quo pater & mater collati non gignunt, sed instrumenta gignendi sunt. hoc præceptum situm est in confinio quinarij pertinentis ad pietatem, & alterius cohibentis iniurias mutuas ac maleficia: quandoquidem mortales parentes finis sunt immortalium potentiarum, quæ naturales genitrices rerum omnium, permiserunt huic infimo generi mortali ad imitationem earum seminare atque gignere. principium enim generationis est Deus: finis vero hæc mortalis infima & vilissima species. alter autem quinarius vetat adulterium, homicidiũ, furtum, falsum testimonium, concupiscen-

A ἣ προσηγόρευται κύριος, καὶ τὴν κολαστικήν, καθ᾽ ἣν ἄρχει καὶ ἐπιστατεῖ τοῦ γενομένου, ἣ προσονομάζεται θεός, ἀπ᾽ αὐτοῦ φησιν ἑστῶτος ἐπάνω μέσου διαστέλλεσθαι. Λαλήσω γάρ σοι, φησίν, ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δυοῖν Χερουβίμ, ἵνα ἐπιδείξῃ ὅτι αἱ πρεσβύταται τοῦ ὄντος δυνάμεις ἰσάζουσιν, ἥ τε δωρητική, καὶ ἡ κολαστήριος, αὐτῷ τομεῖ χρώμεναι. τί δ᾽ αἱ στῆλαι τῶν γενικῶν δέκα νόμων, ἃς ὀνομάζει πλάκας. δύο εἰσὶν ἰσάριθμοι τοῖς τῆς ψυχῆς μέρεσι· λογικῷ γὰρ

B καὶ ἀλόγῳ παιδευθῆναί τε καὶ σωφρονισθῆναι χρή· τεμνόμεναι πάλιν ὑπὸ τοῦ νομοθέτου. αἱ γὰρ πλάκες ἔργον θεοῦ ἦσαν, καὶ ἡ γραφὴ γραφὴ θεοῦ κεκολαμμένη ἐν ταῖς πλαξί. καὶ μὴν τῶν ἐν ταύταις δέκα λόγων, οἳ κυρίως εἰσὶ θεσμοί, διαίρεσις ἴση γέγονεν εἰς πεντάδας, ὧν ἡ μὲν προτέρα τὰ πρὸς θεὸν δίκαια, ἡ δὲ δευτέρα τὰ πρὸς ἀνθρώπους περιέχει. τῶν μὲν οὖν πρὸς θεὸν δικαίων πρῶτός ἐστι θεσμός, ὁ ἐναντιούμενος τῇ πο-

C λυθέῳ δόξῃ, διδάσκων ὅτι μοναρχεῖται ὁ κόσμος· δεύτερος δέ, περὶ τοῦ μὴ θεοπλαστεῖν τὰ μὴ αἴτια, γραφέων καὶ πλαστῶν ἐπιβούλοις τέχναις, ἃς Μωσῆς ἐξήλασε τῆς κατ᾽ αὐτὸν πολιτείας, ἀΐδιον φυγὴν ἐπ᾽ αὐταῖς ψήφῳ ποιησάμενος, ἵν᾽ ὁ μόνος καὶ πρὸς ἀλήθειαν τιμᾶται θεός· τρίτος δέ, περὶ ὀνόματος κυρίου, οὐχ ὃ διῆλθεν εἰς γένεσιν· ἄρρητον γὰρ τοὔνομα· ἀλλὰ τοῦ ταῖς δυνάμεσιν ἐπιφημισθέντος ἀεί. εἴρηται γὰρ αὐτὸ μὴ λαμβάνειν ἐπὶ ματαίῳ. τέταρτος δέ, περὶ τῆς ἀειπαρθένου καὶ ἀμήτορος ἑβ-

D δομάδος, ἵνα τὴν ἀπραξίαν αὐτῆς μελετῶσα γένεσις, εἰς μνήμην τοῦ ἀοράτως πάντα δρῶντος ἔρχηται. πέμπτος δέ, ὁ περὶ γονέων τιμῆς. καὶ γὰρ οὗτος ἱερὸς ἔχων τὴν ἀναφορὰν οὐκ ἐπ᾽ ἀνθρώπους, ἀλλ᾽ ἐπὶ τὸν σπορᾶς καὶ γενέσεως τοῖς ὅλοις αἴτιον, παρ᾽ ὃν μήτηρ τε καὶ πατὴρ γεννᾶν ἔδοξαν, οὐ γεννῶντες, ἀλλ᾽ ὄργανα γενέσεως ὄντες. μεθόριος δ᾽ ὁ χρησμὸς οὗτος ἐτάγη, τῆς τε πρὸς εὐσέβειαν οὔσης πεντάδος, καὶ τῆς ἀποτροπὴν τῶν πρὸς τοὺς ὁμοίους ἀδικημάτων περιε-

E χούσης· ἐπειδὴ γὰρ οἱ θνητοὶ γονεῖς, τέλος εἰσὶν ἀθανάτων δυνάμεων, αἳ πάντα γεννῶσαι κατὰ φύσιν ἐπέτρεψαν ὑστάτῳ καὶ τῷ θνητῷ γένει μιμησαμένῳ τὴν περὶ τὸ γεννᾶν τέχνην, σπείρειν. ἀρχὴ μὲν γὰρ γενέσεως ὁ θεός, τὸ δὲ ἔσχατον καὶ ἀτιμότατον τὸ θνητὸν εἶδος, τέλος. ἡ δὲ ἑτέρα πεντάς ἐστιν ἀπαγορεύσεις μοιχείας, ἀνδροφονίας, κλοπῆς, ψευδομαρτυρίας, ἐπιθυμίας. οὗτοι γενικοὶ σχεδὸν πάντων ἁμαρτημάτων εἰσὶ κανόνες,

ἐφ᾽

ἐφ' οὓς ἕκαστοι ἀναφέρεσθαι τὰ ἐν εἴδει συμβέβηκεν. ἀλλὰ καὶ τὰς ἐνδελεχεῖς θυσίας ὁρᾷς εἰς ἴσα διῃρημένας, ἥν τε ὑπὲρ αὑτῶν ἀνάγουσιν οἱ ἱερεῖς τῆς σεμιδάλεως, καὶ τὴν ὑπὲρ τοῦ ἔθνους τῶν δυοῖν ἀμνῶν, οὓς ἀναφέρειν διείρηται. περὶ γὰρ τὸ ἥμισυ τῶν λεχθέντων, καὶ τὰ ἕτερα δείλης ἐκέλευσεν ὄντως ἱερουργεῖν ὁ νόμος, ἵνα καὶ ὑπὲρ τῶν νύκτωρ ἀποδιδομένων ἅπασιν ἀγαθῶν ὁ θεὸς εὐχαριστῆται· ὁρᾷς καὶ τοὺς προτιθεμένους ἄρτους ἐπὶ τῆς ἱερᾶς τραπέζης, ὡς ἴσα μέρη διανεμηθέντες οἱ δώδεκα, καθ' ἑξάδα ἀριθμῷ τίθενται μνημεῖα τῶν ἰσαρίθμων φυλῶν, ὧν τὴν ἡμίσειαν ἡ ἀρετὴ Λεία κεκλήρωται, ἓξ τεκοῦσα φυλάρχας, τὴν δ' ἑτέραν ἡμίσειαν, οἵ τε Ῥαχὴλ καὶ οἱ τῶν ἄλλων. ὁρᾷς καὶ τοὺς ἐπὶ τοῦ ποδήρους δώδεκα λίθους τῆς σμαράγδου, πρός τε τοῖς δεξιοῖς καὶ τοῖς εὐωνύμοις ἰσότητι διῃρημένους, οἷς τὰ καθ' ἑξάδα ἐγγέγλυπται τὰ τῶν δώδεκα φυλάρχων ὀνόματα, θεῖα γράμματα ἐστηλιτευμένα, θείων φύσεων ὑπομνήματα· τί δ', οὐχὶ δύο ὄρη συμβολικῶς λαβὼν, καὶ πάλιν ἰσότητι διακρίνας ἀναλογούσῃ, τὸ μὲν ἀπένειμε τοῖς εὐλογοῦσι, τὸ δ' ἕτερον τοῖς καταρωμένοις, ἐξ ἑκατέρου στήσας φυλάρχας, ἵνα τοῖς χρείοις νουθεσίας οὖσιν ἐπιδείξῃ, ὅτι καὶ ἰσάριθμοι εὐλογίαις ἀραὶ, καὶ σχεδὸν, εἰ θέμις εἰπεῖν ἰσότιμοι. ὁμοίως γὰρ οἵ τε ἔπαινοι τῶν ἀγαθῶν, καὶ οἱ ψόγοι τῶν μοχθηρῶν ὠφελοῦσιν· ἐπεὶ καὶ τὸ φυγεῖν κακὸν, τῷ ἀγαθὸν ἑλέσθαι παρὰ τοῖς εὖ φρονοῦσιν ὅμοιον καὶ ταὐτὸν νενόμισται. καταπλήττει με καὶ ἡ τῶν προσαγομένων περὶ ἱλασμοῦ δυοῖν τράγων ἀπόκρισις ὁμοῦ καὶ διανομὴ, τεμνομένων ἀδήλῳ καὶ ἀτεκμάρτῳ τομεῖ κλήρῳ. λόγων γὰρ δυοῖν, ὁ μὲν τὰ τῆς θείας ἀρετῆς πραγματευόμενος ἀνιεροῦται καὶ ἀνατίθεται θεῷ· ὁ δὲ τὰ τῆς ἀνθρωπίνης κακοδαιμονίας ἐζηλωκὼς, γενέσει τῇ φυγάδι. καὶ γὰρ ὃν ἔλαχεν αὐτὴ κλῆρον, ἀποπομπαῖον καλοῦσιν οἱ χρησμοί· ἐπειδὴ μετανίσταται καὶ διώκεται καὶ μακρὰν ἀπελήλαται σοφίας. ἐπίσημον γε μὴν καὶ ἄσημον ὥσπερ νομισμάτων, οὕτως καὶ πραγμάτων ὄντων ἐν τῇ φύσει πολλῶν, ἀόρατος τομεὺς οὐ δοκεῖ σοι διελεῖν εἰς μοίρας ἴσας, καὶ τὰ μὲν ἐπίσημα τῷ παιδείας ἐραστῇ καὶ δόκιμα, τῷ δὲ ἀμαθαίνοντι τὰ ἀτύπωτα καὶ ἄσημα προσνεῖμαι; Ἐγένετο γὰρ, φησὶ, τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ. ἡ γὰρ ψυχὴ, τὸ κήρινον, ὡς εἶπέ τις τῶν ἀρχαίων, ἐκμαγεῖον, σκληρὰ μὲν οὖσα καὶ ἀντίτυπος, ἀπωθεῖ καὶ ἀποσείεται τοὺς ἐπιφερομένους χαρακτῆρας,

A tiam. hæ sunt generales regulæ peccatorum ferme omnium, ad quas referri possunt singulorum species. quotidiana quoque sacrificia vides diuisa æqualiter, alterum sacerdotibus pro seipsis offerentibus è simila, alterum pro tota natione, in quo agni duo rite mactantur. horum quæ dixi dimidium mane offerri lex iubet, reliquum vespere, vt etiam pro nocturnis beneficijs agantur Deo gratiæ. Vides & pa-
B nes in sacra mensa propositos, vt in senos distributi æqualiter, monumentum sint duodecim tribuum, quarum dimidium ad virtutem Liam pertinet matrem sex phylarcharum, alterum dimidium Rachelis est & cæterarum. vides & in talari veste gemmas duodecim pariter senas dextras ac sinistras, quibus insculpta fuerunt duodecim patriarcharum nomina, notata diuinis literis, naturarum diuinarum monumenta. An-
C non & duos montes significantes duo genera, pro æqua portione discretos, alterum tribuit benedicentibus, alterum execrantibus, phylarchas vtrobique præficiens? vt doceret eos quibus monitore opus est, benedictiones & maledictiones pares esse numero, atque etiam honore propemodum, si dicere fas est. similiter enim laudes bonorum prosunt & malorum vituperia: quan-
D doquidem rerum malarum fuga & bonarum optio similes iudicantur à prudentibus. Libet mirari etiam duorum hircorum qui pro peccatis offeruntur selectionem & distributionem incertæ sorti commissam. cum enim sermo sit duplex, alter qui diuinas virtutes tractat, Deo consecratur: alter qui humanis inhæret miserijs, profugæ creaturæ dedicatur, quem oracula vocant emissarium, quia procul à sapientia re-
E pellitur. Cæterum quia sicut numi, sic res veris falsisque notantur characteribus, nónne inuisibilis ille sector tibi videtur diuisisse has æqualiter, dum notatas & probas eruditionis amatori assignat, notis vero & signis carentes inerudito? Obtigerunt, inquit, non signata Labani, signata Iacobo. nam anima ceræ (vt quidam priscus ait) more, si dura sit, formas respuit, nec sibi sinit imprimi, & rudis permanet.

A sin autem sit obsequens aut saltem mediocriter facilis, profunde sigilla recipit, & amoto signaculo, fideliter seruat impressas species. Nec minus miranda est victimarum sanguinis æqua distributio, quem summus pontifex Moses ex naturæ præscripto diuisit. Sumpto, inquit, dimidio sanguinis infudit eum in crateras: reliquum vero dimidium profudit apud altare: vt doceret esse duplex genus sacratæ Deo sapientiæ, alterum diuinum, alterum vero humanum. & diuinum quidem esse sincerum nulla mixtura vitiatum, quam ob rem Deo sincero atque impermixtæ vnitati libatur. humanum vero mixtum temperatúmque profundi & dispergi in nostrum genus mixtum, temperatum & compositum, quod inducit membrorum morúmque temperamenta & concordiam. Enim vero animæ pars sincera puráque mens est vigens ac viuida, superne inspirata cælitus: quæ si quando sana integráque seruatur, æquum est & dignum sacris ipsius studijs, vt reddatur Deo qui eam conseruauit incolumen & illæsam à malis omnibus. altera vero mixta pars est tota sensuum, cui suas crateras natura fabricauit: hæ crateræ, visus quidem sunt oculi, aures vero auditus, item nares odoratus, & sua cuiusque receptacula, in has sanctum illud verbum infundit sanguinem, vt bruta nostri pars animetur, & rationalis fiat quodammodo, parendo admonitionibus, & puram se seruando ab illecebris sensuum. quid didrachmum sacratum, nónne ad eundem modum intelligendum est? vt eius dimidium, scilicet drachmam seponamus in redemptionem animæ, quam ille solus liber & liberator è crudeli molestáque affectuum & iniquitatum dominatione vel rogatus vel non rogatus potenter asserit: reliquum dimidium illiberali & seruili relinquamus generi, ex quo fuit ille qui dicit: Sufficit mihi meus Dominus, mens quæ in me principatum habet: & vxor mea, charus ille sensus custos domesticorum affectuum: & pueri mei, mala quæ ex his nascuntur. Nolo abire liber. Necessum est enim vt huic quoque generi sors exsors & emissaria detur è didrachmo opposita drachmæ quæ vnitati sacrata fuit. Vnitas enim nec additionem nec subtractionem potest recipere, imago Dei qui solus

καὶ ἀσχημάτιστος δὲ ἀνάγκης διαμαρτεῖν· πιθανὸς δ' ὑπάρχουσα καὶ μετρίως ὑπείκουσα, βαθεῖς μὲν τοὺς τύπους δέχεται, καὶ ἀναμαξαμένη τὰς σφραγῖδας, ἀκριβῶς διαφυλάττει τὰ σημανθέντα ἀνεξάλειπτα εἴδη. θαυμαστὴ μέντοι καὶ ἡ τοῦ θυσιῶν αἵματος ἴση διανομή, ἣν ὁ ἀρχιερεὺς Μωσῆς φύσει διδασκάλῳ χρησάμενος διένειμε. Λαβὼν γάρ, φησί, τὸ ἥμισυ τοῦ αἵματος, ἐνέχεεν εἰς κρατῆρας· τὸ δὲ ἥμισυ προσέχεε πρὸς τὸ θυσιαστήριον, ὅπως ἀναδιδάξῃ, ὅτι τὸ σοφίας ἱερὸν γένος
B διπλοῦν ἐστι, τὸ μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον· καὶ τὸ μὲν θεῖον ἀμιγὲς καὶ ἄκρατον, οὗ ἕνεκα τῷ ἀμιγεῖ καὶ ἀκράτῳ κατὰ τὴν ἕνωσιν μονάδι ὄντι σπονδὴ ἀνάγεται· τὸ δὲ ἀνθρώπινον μικτὸν καὶ κεκραμένον, τῷ μικτῷ καὶ συνθέτῳ καὶ κεκραμένῳ γένει κατασκεδάννυται ἡμῶν, ὁμόνοιας, καὶ τί γὰρ ἄλλο ἢ κράσεις μελῶν τε καὶ ἠθῶν ἐργασάμενον. ἀλλὰ γὰρ τῆς ψυχῆς, τὸ μὲν ἀμιγὲς καὶ ἄκρατον μέρος, ἀκραιφνέστατος νοῦς ἐστιν, ὃς ἀπ' οὐρανοῦ καταπνευσθεὶς ἄνωθεν, ὅταν
C ἄνοσος καὶ ἀπήμων διαφυλαχθῇ, τῷ καταπνεύσαντι, [illegible] ἀπὸ παντὸς κακοῦ διαφυλάξαντι, προσήκοντος ὅλως εἰς ἱερὰν σπουδὴν ἀνασυγχωθεὶς ἀνταποδίδοται· τὸ δὲ αὖ μικτὸν μέρος, τὸ αἰσθήσεών ἐστιν, ὧ κρατῆρας οἰκείους ἡ φύσις ἐδημιούργησε. κρατῆρες δὲ ὁράσεως μὲν ὀφθαλμοί, ἀκοῆς δὲ ὦτα, καὶ μυκτῆρες ὀσφρήσεως, καὶ τοῦ τῶν αἱ ἁρμόττουσαι δεξαμεναί. τούτοις ἐπιχεῖ τοῖς κρατῆρσιν ὁ ἱερὸς λόγος τοῦ αἵματος, ἀξιῶν τὸ ἄλογον ἡμῶν μέρος ψυχωθῆναι, καὶ τρόπον τινὰ
D λογικὸν γενέσθαι τῇ μὲν ὑφηγήσεως ταῖς ἐφόδοις ἀκολουθῆσαν, ἀμεθὲν δὲ τῇ ὁλκὸν ἀπατεῶνα προσπεσόντων δύναμιν αἰσθητῶν. ἆρ' οὐχὶ τοῦτον τὸν τρόπον καὶ τὸ δίδραχμον διεινοήθη τὸ ἅγιον. ἵνα τὸ μὲν ἥμισυ αὐτοῦ τὴν δραχμὴν καθάρσιον, λύτρα τῆς ἑαυτῶν ψυχῆς καταθῶντες, ἣν ὁ μόνος ἐλεύθερος καὶ ἐλευθεροποιὸς θεὸς ὠμῆς καὶ πικρᾶς παθῶν καὶ ἀδικημάτων δεσποτείας ἱκετευθεὶς, ἔστι δ' ὅτε καὶ χωρὶς ἱκεσίας, ἀνὰ κράτος ἐκλύει, τὸ δ' ἕτερον μέρος τῷ ἀνελευθέρῳ καὶ
E δουλοπρεπεῖ γένει καταλείπωμεν· οὗ κεκοινώνηκεν ὁ λέγων, Ἠγάπηκα μου τὸν κύριον, τὸ ἡγεμονικὸν ἐν ἐμοὶ νοῦν, καὶ τὴν γυναῖκά μου, τὴν φίλην καὶ οἰκουρὸν παθῶν αἴσθησιν, καὶ τὰ παιδία, τὰ κακὰ τούτων ἔγγονα· οὐκ ἄπειμι ἐλεύθερος· ἀνάγκη γὰρ καὶ τῷ τοιούτῳ γένει κλῆρον ἄκληρον καὶ ἀποπομπαῖον ἐκ τοῦ διδράχμου δοθῆναι, ἐναντίον τῇ ἀνατεθειμένῃ δραχμῇ τε καὶ μονάδι· μονὰς δὲ οὔτε προσθήκην, οὔτε ἀφαίρεσιν δέχεσθαι πέφυκεν,

εἰκὼν οὖσα τοῦ μόνου πλήρους θεοῦ. χαῦνα γὰρ τά τε ἄλλα ἐξ ἑαυτῶν, εἰ δέ που καὶ πυκνωθὲν εἴη, λόγῳ σφίγγεται θείῳ. κόλλα γάρ ἐστι καὶ δεσμὸς οὗτος, τὰ πάντα τῆς οὐσίας ἐκπεπληρωκώς· ὁ δ' εἴρας καὶ συνυφήνας ἕκαστα, πλήρης αὐτὸς ἑαυτοῦ κυρίως ἐστὶν, οὐ δεηθεὶς ἑτέρου τοπαράπαν. εἰκότως οὖν ἐρεῖ Μωσῆς, Ὁ πλουτῶν οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττώσει ἀπὸ τοῦ ἡμίσεως τοῦ διδράχμου, ὅπερ ἐστὶν, ὡς ἔφην, δραχμή τε καὶ μονάς, ἣν πᾶς ἂν ἀριθμὸς εἴποι τὸ ποιητικὸν ἐκεῖνο, Ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι. λήγει τε γὰρ ἀναλυόμενος ὁ κατὰ σύνθεσιν ἀπειράκις ἄπειρος ἀριθμὸς εἰς μονάδα, ἄρχεται δ' αὖ πάλιν ἀπὸ μονάδος εἰς ἀπερίγραφον, συντιθέμενος πλῆθος· διόπερ οὐκ ἀριθμὸν, ἀλλὰ στοιχεῖον καὶ ἀρχὴν ἀριθμοῦ ταύτην ἔφασαν, οἷς ζητεῖν ἐπιμελές. ἔτι τοίνυν τὴν οὐράνιον τροφὴν ψυχῆς, ἣν καλεῖ μάννα, διανέμει πᾶσι τοῖς χρησομένοις θεῖος λόγος ἐξ ἴσου, περιφροντικῶς διαφερόντως ἰσότητος. μαρτυρεῖ δὲ Μωσῆς λέγων, Οὐκ ἐπλεόνασεν ὁ τὸ πολὺ, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν, ἡνίκα τῷ τῆς ἀναλογίας ἐχρήσαντο θαυμαστῷ καὶ περιμαχήτῳ μέτρῳ, δι' οὗ συνέβη μαθεῖν, ὅτι ἕκαστος εἰς τοὺς καθήκοντας παρ' ἑαυτοῦ συνέλεξεν οὐκ ἀνθρώπους μᾶλλον, ἢ λογισμοὺς καὶ τρόπους. ὃ γὰρ ἐπέβαλλεν ἑκάστῳ, τοῦτ' ἀπεπληρώθη προνοητικῶς, ὡς μήτε ὑστερῆσαι, μήτε αὖ περιττεῦσαι. τὸ δὲ παραπλήσιον τῆς κατ' ἀναλογίαν ἰσότητος, ἐστὶν εὑρεῖν καὶ ἐπὶ τοῦ λεγομένου πάσχα. πάσχα δ' ἐστὶν, ὅταν ἡ ψυχὴ τὸ μὲν ἄλογον πάθος ἀπομαθεῖν μελετᾷ, τὴν δ' εὔλογον εὐπάθειαν ἑκουσίως πάσχῃ. εἴρηται γὰρ, Ἐὰν ὀλίγοι ὦσιν οἱ ἐν τῇ οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς τὸ πρόβατον, τὸν πλησίον γείτονα προσλαβεῖν κατ' ἀριθμὸν ψυχῶν, ἵν' ἕκαστος τὸ ἀρκοῦν αὐτοῦ συναριθμῆται, μοίρας, ἧς ἐστὶν, ἐπάξιός τε καὶ χρεῖος ἀρεσκόμενος. ἐπειδὰν δὲ καὶ τόπους χώρας εἰς τοὺς οἰκήτορας αὖθις ἐθελήσῃ διανέμειν, τοῖς πλείοσι πλεονάζειν, καὶ τοῖς ἐλάττοσιν ἐλάττω τὴν κατάσχεσιν προστάττει, δικαιῶν μήτε τοὺς μείζους ἐλαττόνων ἀξιοῦν, μήτε μὴν τοὺς ἐλάττους μειζόνων· χωρῆσαι γὰρ αὐτῶν τὸ μέγεθος οὐ δυνήσονται. τῆς δὲ κατ' ἀριθμὸν ἰσότητος ἐναργέστατον δεῖγμά ἐστι, τά τε τῶν ἕνδεκα ἀρχόντων ἱερὰ δῶρα, καὶ ἔτι τὰ ἀπὸ τῶν δώρων διανεμόμενα τοῖς ἱερεῦσιν. Ἑκάστῳ γὰρ, φησὶ, τῶν υἱῶν Ἀαρὼν ἔσται τὸ ἴσον. παγκάλως δὲ καὶ ἡ περὶ τὴν σύνθεσιν τῶν ἐκθυμιωμένων ἐστὶν ἰσότης. λέγεται γὰρ, Λάβε σεαυτῷ ἡδύσματα, στακτὴν, ὄνυχα, καὶ χαλβάνην

plenus est. Cætera suapte natura sunt inania, quibus si quid inest solidi, verbo diuino astringitur. Hoc enim ceu vinculo & glutine solidatur omnis essentia. Ipsum vero connectens contexénsque singula, sibiipsi complementum est, nullo prorsus egens alio. Meritò igitur dicit Moses: Diues non apponet, pauper non detrahet de didrachmi dimidio: quod est (vt dixi) drachma & vnitas: cui omnis numerus dicere potest illud poeticum: A te principium, tibi desino. Nam vel infinities infinitus numerus in vnitatem desinit, & facto ab hac initio crescit in innumerabilem multitudinem. ideo non numerum, sed elementum & principium numeri hanc dixerunt, quibus curæ est consectari talia. Ad hæc cælestem illum cibum animæ qui manna vocatur, omnibus petentibus Dei sermo ex æquo distribuit, æqualitatem haudquaquam negligens. Testis est Moses, dicens: Nec plus colligenti superfuit, nec minus colligenti defuit: quando miranda optandáque analogiæ mensura vsi sunt: ex qua didicerunt hunc cibum non tam hominibus quam rationibus & moribus colligi. quantum enim cuique competebat, tantum sibi præparauit, vt nihil vel deesset vel superesset. Similem analogicam æqualitatem licet inuenire in pascha, vt vocant. est autem pascha, quando anima brutos affectus meditatur dediscere, & rationalem animi tranquillitatem vltro aduocat. Præcipitur enim sic: Si pauci fuerint in domo, adeò vt non possint agnum absumere, assumatur vicinus proximus pro animarum numero, vt supputatione facta cedat cuique sua portio, qua & dignus est & indiget. Cum autem agri nouellis colonis diuiduntur, maior portio pluribus, minor paucioribus attribuitur, quod iniquum videatur parua multis, magna vero paucis tribui magnitudinis eius non capacibus. Æqualitatis autem quæ iuxta numerum iudicatur, exemplum euidentissimum est in vndecim principum sacris oblationibus, & earum in sacerdotes distributione. Vnicuique, inquit, ex filijs Aaron erit æqua portio. Est & in compositione aromatum ad suffitum pulcherrima æqualitas. præcipitur enim: Sume tibi odoramenta, stacten, onycem, & galbanum suaueolens,

& thus perlucidum, omnia lectissima & inter se paria: faciéntque ex eo suffitum, vnguentum opus vnguentarij, puræ compositionis, opus sacratum. singulas portiones ait pares oportere esse ad totius temperamentum. opinor autem has quatuor species ex quibus suffitus componitur, figuram esse elementorum ex quibus constat mundus hic vniuersus. nam per stacten aquam, per onycem terram, per galbanum aerem, per thus perlucidum ignem significat. siquidem stacte à stillando dicta, est liquida, onyx terrestris & aridus, galbanum suaueolens cognominatur ad significandum aerem. odor enim locum habet in aere. thuri quoque perlucidi cognomen additur, vt ignem subindicet: ideo grauia separauit à leuibus, altera per copulatiuam coniunctionem vniens, altera disiunctim proferens, dicendo, Sume tibi odoramenta, stacten, onycem. hæc disiunctim significatiua grauium, aquæ terræque. deinde incipiens denuo per copulam, & galbanum suaueolens & thus perlucidum, quæ iam leuem aerem & ignem significant. Temperaturam autem ex his compositam antiquissimũ perfectissimúmque opus vere sanctum dicimus hunc mundum, qui per figuram suffitus admonetur, vt agat suo creatori Deo gratias: vt verbo quidem vnguentaria compositio adoleatur, sed re vera totus mundus per Dei sapientiam fabricatus mane ac vesperé accensus exhalet vaporem suaueolentissimum. hæc enim vita decet mundum, vt parenti suo factoríque indesinenter agat gratias, tantum non euaporans & in elementa resoluens seipsum, vt declaret se nihil sibi recondere, sed totum seipsum offerre creatori ac dedicare. Illud quoque mirari subit sacrum verbum, quod magna contentione ac celeritate intercurrit intér viuos & mortuos. Mox enim, inquit Moses, cessauit attritio. non cessatura profecto, nec releuatura ab afflictione confractionéque nostram animam, nisi amicus Dei diremisset sanctos, qui vere viuunt, à profanis, qui mortui sunt, si rem vere consideres. Sæpe enim etiam sani, propter vicinam ægrotorum, contagione periclitati sunt. id periculum hinc sublatum fuit interposito medio termino validissimo, qui arceret à parte meliore deterioris impetum. Sed magis etiam miror dum è

A ἡδύσματος, καὶ λίβανον διαφανῆ, ἐξαίρετον ἐξαιρέτῳ, ἴσον ἴσῳ, καὶ ποιήσουσιν αὐτὸ θυμίαμα, μύρον μυρεψοῦ ἔργον, συνθέσεως καθαρᾶς, ἔργον ἅγιον. ἕκαστον γὰρ τῶν μερῶν ἑκάστῳ φησὶ δεῖν ἴσον συνεργάζεσθαι πρὸς τὴν τοῦ ὅλου κρᾶσιν. ἔστι δ' οἶμαι τὰ τέσσαρα ταῦτα ἐξ ὧν τὸ θυμίαμα συντίθεται, σύμβολον τῶν στοιχείων ἐξ ὧν ἀπετελέσθη σύμπας ὁ κόσμος. στακτὴν μὲν γὰρ ὕδατι, γῇ δὲ ὄνυχα, χαλβάνην δὲ ἀέρι, τὸν δὲ διαφανῆ
B λίβανον πυρὶ ἀπεικάζει. στακτὴ μὲν γὰρ παρὰ τὰς σταγόνας, ὑδατῶδες· ξηρὸν δὲ ὄνυξ καὶ γεῶδες· ἡ δὲ χαλβάνη τοῦ ἡδύσματος πρὸς τὴν ἀέρος ἔμφασιν προσετέθη· τὸ γὰρ εὐῶδες ἐν ἀέρι. τῷ δὲ λιβάνῳ τὸ διαφανὲς πρὸς φωτὸς ἔνδειξιν, διὸ καὶ τὰ βάρος ἔχοντα τῶν κούφων διεχώρισε, τὰ μὲν τῷ συμπλεκτικῷ συνδέσμῳ ἑνώσας, τὰ δὲ διαλελυμένως ἐξενεγκών, ἔφησε, Λάβε σεαυτῷ ἡδύσματα, στακτήν, ὄνυχα· ταῦτα ἀσύνδετα, τῶν βάρος ἐχόντων, ὕδατός τε καὶ γῆς σύμβολα· εἶτα
C ἀφ' ἑτέρας ἀρχῆς μετὰ συμπλοκῆς, Καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ· ταῦτα πάλιν καθ' ἑαυτὰ τῶν κούφων ἀέρος καὶ πυρὸς τὰ σημεῖα· τὴν δὲ τούτων ἐμμελῆ σύνθεσίν τε καὶ κρᾶσιν, τὸ πρεσβύτατον καὶ τελειότατον ἔργον ἅγιον ὡς ἀληθῶς εἶναι συμβέβηκε τὸν κόσμον, ὃν διὰ συμβόλου τοῦ θυμιάματος οἴεται δεῖν εὐχαριστεῖν τῷ πεποιηκότι, ἵνα λόγῳ μὲν ἡ μυρεψικὴ τέχνῃ κατασκευασθεῖσα σύνθεσις ἐκθυμιᾶται· ἔργῳ δὲ ὁ θείᾳ σοφίᾳ δημιουργηθεὶς κόσμος ἅπας ἀναφέρηται
D πρωῒ καὶ δείλης ὁλοκαυτούμενος. βίος γὰρ ἐμπρεπὴς κόσμῳ τῷ πατρὶ καὶ ποιητῇ συνεχῶς καὶ ἀδιαστάτως εὐχαριστεῖν, μόνον οὐκ ἐκθυμιῶντι καὶ ἀναστοιχειοῦντι ἑαυτὸν πρὸς ἔνδειξιν τοῦ μηδὲν θησαυρίζεσθαι, ἀλλ' ὅλον ἑαυτὸν ἀνάθημα ἀνατιθέναι τῷ γεγεννηκότι θεῷ. θαυμάζω καὶ τὸν μετὰ σπουδῆς ἀπνευστὶ δραμόντα συντόνως ἱερὸν λόγον, ἵνα στῇ μέσος τῶν τεθνηκότων καὶ τῶν ζώντων. Εὐθὺς γάρ, φησὶ Μωσῆς, ἐκόπασεν ἡ θραῦσις· ἀλλ' οὐκ
E ἔμελλέ γε κοπάσειν, καὶ ἐπικουφίσειν τὰ παραθρύπτοντα καὶ καταγνύντα καὶ συντρίβοντα τὴν ἡμετέραν ψυχήν, μὴ διατειχίσαντος τοῦ θεοφιλοῦς τοὺς ὁσίους, οἳ ζῶσιν ἀψευδῶς, ἀπὸ τῶν ἀνοσίων, οἳ τεθνήκασι πρὸς ἀλήθειαν λογισμοῦ. τῷ γὰρ ἐγγὺς εἶναι πολλάκις νοσούντων, καὶ οἱ σφόδρα ὑγιαίνοντες ἐκδεξάμενοι τὴν ἐκείνων νόσον, ἐμέλλησαν τελευτήσειν. τοῦτο δὴ ἀμήχανον ἦν ἔτι παθεῖν διαζευχθέντα ὅρῳ μέσῳ παγίῳ δυνατωτάτῳ, ὃς τὰς ἐφόδους καὶ ἐπιδρομὰς τοῦ χείρονος μέρους

A ἀπὸ τοῦ βελτίονος ἀνασπᾶσθαι. πεπαίδευμαι δὲ ἔτι μᾶλλον, ἐπειδὰν κατακούων τῶν θείων λογίων ἀναδιδάσκωμαι, ὃν τρόπον εἰσῆλθε νεφέλη μέση τῆς αἰγυπτιακῆς καὶ τῆς Ἰσραηλιτικῆς στρατιᾶς. ἀπὸ γὰρ τοῦ φιλοπαθοῦς καὶ ἀθέου τὸ εὐγενὲς καὶ θεοφιλὲς γένος οὐκ ἐπεὶ εἴασε διώκεσθαι τὸ σκεπαστήριον καὶ σωτήριον τῶν φίλων, ἀμυντήριον δὲ καὶ κολαστήριον τῶν ἐχθρῶν ὅπλον ἡ νεφέλη. διανοίαις μὲν γὰρ ἀρετώσαις, ἠρέμα σοφίαν ἐπιψεκάζει, τὴν ἀπαθῆ παντὸς κακοῦ. λυπραῖς δὲ καὶ ἀγόνοις ἐπιστήμης ἀθρόας κατανίφει τιμωρίας, κατακλυσμοῦ φθορὰν οἰκτίστην ἐπιφέρουσα. τῷ δὲ ἀρχαγγέλῳ καὶ πρεσβυτάτῳ λόγῳ δωρεὰν ἐξαίρετον ἔδωκεν ὁ τὰ ὅλα γεννήσας πατήρ, ἵνα μεθόριος στὰς, τὸ γενόμενον διακρίνῃ τοῦ πεποιηκότος. ὁ δ' αὐτὸς ἱκέτης μέν ἐστι τοῦ θνητοῦ κηραίνοντος ἀεὶ πρὸς τὸ ἄφθαρτον, πρεσβευτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον. ἀγάλλεται δὲ ἐπὶ τῇ δωρεᾷ, καὶ σεμνυνόμενος αὐτὴν ἐκδιηγεῖται φάσκων, Κἀγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑμῶν, οὔτε ἀγένητος ὡς ὁ θεὸς ὤν, οὔτε γενητὸς ὡς ἡμεῖς, ἀλλὰ μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων· παρὰ μὲν τῷ φυτεύσαντι, πρὸς πίστιν τοῦ μὴ σύμπαν ἀφανίσαι ποτὲ καὶ ἀποστῆναι τὸ γένος, ἀκοσμίαν ἀντὶ κόσμου ἑλόμενον· παρὰ δὲ τῷ φύντι, πρὸς εὐελπιστίαν τοῦ μήποτε τὸν ἵλεων θεὸν περιιδεῖν τὸ ἴδιον ἔργον. ἐγὼ γὰρ ἐπικηρυκεύσομαι τὰ εἰρηναῖα γενέσει παρὰ τοῦ καθαιρεῖν πολέμους ἐγνωκότος εἰρηνοφύλακος ἀεὶ θεοῦ. διδάξας οὖν ἡμᾶς περὶ τῆς εἰς ἴσα τομῆς ὁ ἱερὸς λόγος, καὶ πρὸς τὴν τῶν ἐναντίων ἐπιστήμην ἄγει, φάσκων ὅτι τὰ τμήματα ἔθηκεν ἀντιπρόσωπα ἀλλήλοις. τῷ γὰρ ὄντι πάνθ' ὅσα ἐν κόσμῳ σχεδὸν ἐναντία εἶναι πέφυκεν. ἀρκτέον δὲ ἀπὸ τῶν πρώτων, θερμὸν ἐναντίον ψυχρῷ, καὶ ξηρὸν ὑγρῷ, καὶ κοῦφον βαρεῖ, καὶ σκότος φωτί, καὶ νὺξ ἡμέρᾳ· καὶ ἐν οὐρανῷ μὲν, ἡ ἀπλανὴς τῇ πεπλανημένῃ φορᾷ, κατὰ δὲ τὸν ἀέρα, αἰθρία νέφεσι, νηνεμία πνεύμασι, θέρει χειμών, ἔαρι μετόπωρον· τὸ μὲν γὰρ ἀνθεῖ, τὸ δὲ φθίνει· κατὰ δὲ γῆν πάλιν, ὕδατος τὸ γλυκὺ τῷ πικρῷ, καὶ γῆς ἡ στεῖρα τῇ γονίμῳ. καὶ τὰ ἄλλα δὲ ἐναντία, πρόδηλα σώματα ἀσώματα, ἔμψυχα ἄψυχα, λογικὰ ἄλογα, θνητὰ ἀθάνατα, αἰσθητὰ νοητά, καταληπτὰ ἀκατάληπτα, στοιχεῖα ἀποτελέσματα, ἀρχὴ τελευτή, γένεσις φθορά, ζωὴ θάνατος, νόσος ὑγεία, λευκὸν μέλαν, δεξιὰ εὐώνυμα, δικαιοσύνη ἀδικία, φρόνησις ἀφροσύνη, ἀνδρεία δειλία, σωφροσύνη ἀκολασία,

A sacris eloquijs disco, quomodo nubes interiecit se mediam inter Ægyptiacas & Israeliticas copias. Nam hæc nubes ceu scuto protegens & conseruans Deo charũ populum temperantiæ deditum, non sinebat exagitari, arcendo impiam gentem seruientẽ affectibus. Mentibus enim virtute præditis paulatim irrorat sapientiã securam à malis omnibus: in duras autem ac bonarũ artium steriles, more niuis densissimæ pœnas ingerit, intentans eis inundationis perniciẽ mi- B serabilem. cæterũ illi angelorũ principi sermoni antiquissimo hoc eximiũ donũ concessit pater omnipotens, vt in cõfinio stãs, facturã à factore discerneret. idem supplex immortalem appellat pro mortalibus deprecans, & à summo rege legatione ad subditos fungitur. Quod donum tam libenter accipit, vt iactet etiam, dicens: Et ego steteram medius inter vos & Dominum. videlicet nec ingenitus vt Deus, nec genitus vt vos, C sed inter extrema medius, apud vtrosque agens obsidem. apud creatorem, vt fides fiat nunquam eum deleturum aut deserturum vniuersum genus reuolutum in perturbationem ab ordine: apud creaturam vero, vt ea certam spem habeat, nunquã Deo propitio curam operis sui defore. nam ego denuncio creaturæ pacem ab eo qui bella tollit Deo, pacis custode perpetuo. Postquã igitur de sectione in portiones æquas sacra scriptura nos docuit, ducit nos & ad op- D positorum scientiam, dicens portiones eas oppositas inter se inuicem. nam reuera propemodum omnia quæ mundo continentur suapte natura sunt contraria. Incipiendo à primis, calidũ contrarium frigido, aridum humido, leue graui, tenebræ lumini, nox diei. In cælo stellarum fixarum orbis fertur in contrariũ erraticarum orbibus: in aere cõtraria sunt nubilum & serenitas, ventus & tranquillitas, æstas & hiems, ver & autumnus. Nam illud floret, hic mar- E cescit. In terra dulces aquæ amaris sunt contrariæ, fertiles agri sterilibus. Videmus etiam in alijs contrarietatem, vt sunt corporea incorporea, animata inanima, rationalia irrationalia, mortalia immortalia, sensibilia intelligibilia, perceptibilia inperceptibilia, rudimẽta absoluta, principium finis, generatio corruptio, vita mors, sanitas infirmitas, album nigrum, dextrum sinistrum, iustitia iniustitia, prudentia imprudentia, fortitudo timiditas, temperantia

intemperantia, virtus vitium, & vtriusque omnes species. item literatura literarum inscitia, musica amusia, eruditio ineruditio, solertia inertiæ: & qua ad artes pertinent, elementa muta & vocalia, acuti & graues soni, rectæ & circulares lineæ. In animalibus ac stirpibus, fœcunda sterilia, multipara paucipara, ouipara viuipara, mollia testacea, fera mansueta, solitaria gregaria. Item, paupertas diuitiæ, claritas obscuritas, nobilitas ignobilitas, copia inopia, bellum pax, ius iniuria, gnauitas ignauia, otium negotium, iuuentus senectus, potentia impotentia, robur debilitas. & quorsum attinet percensere singula, quorum infinita multitudo est? Itaque recte naturæ interpres pigritiam & incuriam nostram miserans, vnumquenque manifeste monet nunc quoque vt singula contra se inuicem ponamus non integra sed dimidiata. vnum enim constat ex ambobus contrarijs, quo secto noscuntur contraria. Annon hoc est quod ferunt Græci suum illum magnum & celebratum Heraclitum iactasse tanquam commentum proprium, & in eo collocasse caput totius philosophiæ? atqui vetus Mosis inuentum est, in eodem contrarias portiones animaduertere, sicut nunc apparuit. hæc igitur & alias persequemur diligentius. Nunc illud quoque videtur non prætereundum silentio, quod dimidiatæ partes trium animalium diuisorum sex factæ sunt, vt septimus sit sermo ille incisor, dirimens terniones & seipsum in medio statuens. Cui simile opinor, quod manifeste memoratur de sacro candelabro. sic enim fabricatum est, vt sex cauliculos habeat, ternos vtrinque: ipsum exstans in medio, terniones dispescit & dirimit. est enim tornatile opus diuinum, insigni arte factum ex auro purissimo. Nam illud vnum solum sincerum Ens, hebdomadam sine matre ex seipso solo genuit, nulla prorsus adhibita materia. cæterum inter laudes auri multas duæ referuntur præcipuæ: vna quòd non sentit rubiginis iniuriam: altera quòd in tenuissimas bracteas sine scissura diducitur. Merito igitur maiorem naturam significat, quæ diffusa & protensa vsquequaque, tota per totum plena est, aptissime contexens cætera. De hoc candelabro ipse artifex differens rursum dicit, quòd cauliculi vtrinque terni procedebant pari proceritate,

A ἀρετὴ κακία, καὶ τὰ ἑκατέρας εἴδη πάντα· πάλιν γραμματικὴ ἀγραμματία, μουσικὴ ἀμουσία, παιδεία ἀπαιδευσία, συνόλως τέχνη ἀτεχνία, καὶ τὰ ἐν ταῖς τέχναις, φωνήεντα στοιχεῖα καὶ ἄφωνα, ὀξεῖς καὶ βαρεῖς φθόγγοι, εὐθεῖαι καὶ περιφερεῖς γραμμαί· καὶ ἐν ζώοις καὶ φυτοῖς, ἄγονα γόνιμα, πολυτόκα ὀλιγοτόκα, ᾠοτόκα ζωοτόκα, μαλακὰ ὀστρακόδερμα, ἄγρια ἥμερα, μονωτικὰ ἀγελαῖα· καὶ πάλιν, πενία πλοῦτος, δόξα ἀδοξία, δυσγένεια εὐγένεια, ἔνδεια περιουσία, πόλεμος
B εἰρήνη, νόμος ἀνομία, ἀφυΐα εὐφυΐα, ἀπονία πόνος, νεότης γῆρας, δύναμις ἀδυναμία, ἀσθένεια ῥώμη. καὶ τί δεῖ τὰ καθ' ἕκαστον ἀναλέγεσθαι, ἀπερίγραφα καὶ ἀπέραντα ὄντα τὰ πλήθη. παγκάλως οὖν ὁ τῆς φύσεως ἑρμηνευτὴς γραμμάτων, τῆς ἀργίας καὶ ἀμελετησίας ἡμῶν λαμβάνων οἶκτον, ἕκαστον ἀφανῶς ἀναδιδάσκει, καθὰ καὶ νῦν, τῆς ἀντιπροσώπου ἑκάστων θέσεως οὐχ ὁλοκλήρων, ἀλλὰ τμημάτων ὑπαρχόντων. ἓν γὰρ τὸ ἐξ ἀμφοῖν τῶν ἐναν-
C τίων, οὗ τμηθέντος, γνώριμα τὰ ἐναντία. οὐ τοῦτ' ἐστὶν ὅ φασιν Ἕλληνες τὸν μέγαν καὶ ἀοίδιμον παρ' αὐτοῖς Ηράκλειτον, κεφάλαιον τῆς αὐτοῦ προστησάμενον φιλοσοφίας, αὐχεῖν ὡς ἐφ' εὑρέσει καινῇ; παλαιὸν γὰρ εὕρημα Μωσέως ἐστὶ, τὸ ἐκ τοῦ αὐτοῦ τὰ ἐναντία τμημάτων λόγον ἔχοντα ἀποτελεῖσθαι, καθάπερ οὖν ἀπεδείχθη. ταῦτα μὲν οὖν καὶ ἐν ἑτέροις ἀκριβωσόμεθα. ἄξιον δὲ κἀκεῖνο μὴ παρησυχασθῆναι· τὰ γὰρ λεχθέντα διχοτομήματα, τριῶν ζώων διαιρεθέντων, ἓξ ἐγένετο, ὡς ἕβδομον τὸν τομέα
D λόγον εἶναι, διαστέλλοντα τὰς τριάδας μέσον αὐτῶν ἱδρυσάμενον. ὃ παραπλήσιόν μοι δοκεῖ σαφέστατα μεμηνύσθαι καὶ ἐπὶ τῆς ἱερᾶς λυχνίας. δεδημιούργηται γὰρ ἓξ καλαμίσκους ἔχουσα, τρεῖς ἑκατέρωθεν. ἑβδόμη δ' αὐτὴ μέση, διακρίνουσα καὶ διαιροῦσα τὰς τριάδας. τορευτὴ γάρ ἐστι, τεχνικὸν καὶ δόκιμον θεῖον ἔργον, ἐξ ἑνὸς χρυσίου καθαροῦ. τὸ γὰρ ἓν καὶ μόνον καὶ καθαρὸν ὄντως, ἑβδομάδα τὴν ἀμήτορα γεγέννηκε καὶ ἐξ αὐτοῦ καὶ μόνου, μὴ προσχρησάμενον ὕλῃ πα-
E ράπαν. χρυσὸν δ' οἱ ἐγκωμιάζοντες, πολλὰ μὲν καὶ ἄλλα λέγουσι τῶν εἰς ἔπαινον, δύο δὲ τὰ ἀνωτάτω· ἓν μὲν, ὅτι ἰὸν οὐ παραδέχεται· ἕτερον δὲ, ὅτι εἰς ὑμένας λεπτοτάτους ἀρραγὴς διαμένων ἐλαύνεταί τε καὶ χεῖται. σύμβολον οὖν εἰκότως γέγονε μείζονος φύσεως, ἣ ταθεῖσα καὶ κεχυμένη καὶ φθάσασα πάντη, πλήρης ὅλη δι' ὅλων ἐστὶν, εὐαρμόστως καὶ τὰ ἄλλα συνυφήνασα. περὶ τῆς λυχνίας τῆς εἰρημένης ὁ τεχνίτης

Διαλεγόμενος πάλιν φησίν, ὅτι ἐκ τῶν καλαμίσκων εἰσὶν οἱ βλαστοὶ ἐξέχοντες τρεῖς ἑκατέρωθεν, ἐξισούμενοι ἀλλήλοις, καὶ τὰ λαμπάδια αὐτῶν ἅ ἐστιν ἐπὶ τῶν ἄκρων καρυωτὰ ἐξ αὐτῶν, καὶ τὰ ἀνθέμια ἐν αὐτοῖς, ἵν᾽ ὦσιν ἐπ᾽ αὐτῶν οἱ λύχνοι· καὶ τὸ ἀνθέμιον τὸ ἕβδομον ἐπ᾽ ἄκρου τοῦ λαμπαδίου στερεόν, ὅλον χρυσοῦν, καὶ ἑπτὰ λύχνους ἐπ᾽ αὐτοῖς χρυσοῦς, ὥστε διὰ πολλῶν οἴεσθαι κατασκευάζεσθαι, ὅτι ἑξὰς εἰς δύο τριάδας ὑπὸ μέσου τοῦ ἑβδόμου λόγου διῄρηται, καθάπερ ἔχει νυνί. πᾶσα γὰρ ἡ λυχνία σὺν τοῖς ὁλοσχερεστάτοις μέρεσιν αὐτῆς, ἃ ἕξ ἐστιν, ἑπτάγων λαμπαδίων ἑπτά, ἀνθεμίων ἑπτά, λύχνων ἑπτά· διαιροῦνται δὲ οἱ μὲν ἓξ λύχνοι τῷ ἑβδόμῳ, τὰ δὲ ἀνθέμια ὁμοίως τῷ μέσῳ, καὶ τὰ λαμπάδια τὸν αὐτὸν τρόπον ὑπὸ τοῦ ἑβδόμου καὶ μέσου· οἱ δὲ ἓξ καλαμίσκοι, καὶ οἱ ἐκπεφυκότες ἴσοι βλαστοί, ὑπ᾽ αὐτοῦ τοῦ στελέχους τῆς ἑβδόμης. πολλὰ δ᾽ ὄντα τὰ περὶ ἑκάστου λόγον, ὑπερθετέον εἰσαῦθις. τοσοῦτον δ᾽ αὐτὸ μόνον ὑπομνηστέον, ὅτι τῆς καθ᾽ οὐρανὸν τῶν ἑπτὰ πλανήτων πορείας μίμημά ἐστιν ἡ ἱερὰ λυχνία, καὶ οἱ ἑπτὰ λύχνοι οἱ ἐπ᾽ αὐτῆς. πῶς, ἐρήσεταί τις· ὅτι, φήσομεν, ὃν τρόπον οἱ λύχνοι, οὕτως καὶ τῶν πλανήτων ἕκαστος φωσφορεῖ. λαμπρότεροι γὰρ ὄντες αὐγοειδεστάτας ἄχρι γῆς ἀποστέλλουσιν ἀκτῖνας. διαφερόντως δὲ ὁ μέσος τῶν ἑπτά, ἥλιος· μέσον δ᾽ αὐτόν, οὐ μόνον ὅτι μέσην ἐπέχει χώραν, ὡς ἠξίωσάν τινες καλῶ, ἀλλ᾽ ὅτι καὶ θεραπεύεσθαι καὶ δορυφορεῖσθαι, πρὸς ὑπασπιζόντων ἑκατέρωθεν, ἀξιώματος ἕνεκα καὶ μεγέθους καὶ ὠφελειῶν, ἃς τοῖς ἐπιγείοις ἅπασι παρέχει, δίκαιος. ἀλλ᾽ ὡς ἔστι τὴν δὲ τῶν πλανήτων τάξιν ἄνθρωποι παγίως μὴ κατειληφότες· τί δ᾽ ἄλλο τῶν καθ᾽ οὐρανὸν ἴσχυσαν διαγνῶναι βεβαίως· εἰκότως λέγουσιν. ἄριστα δέ μοι στοχάζεσθαι δοκοῦσιν οἱ τὴν μέσην ἀπονενεμηκότες ἡλίῳ τάξιν, τρεῖς μὲν ὑπὲρ αὐτόν, καὶ μετ᾽ αὐτὸν τοὺς ἴσους εἶναι λέγοντες, ὑπὲρ αὐτὸν μέν, φαίνοντα, φαέθοντα, πυρόεντα, εἶθ᾽ ἥλιον· μετ᾽ αὐτὸν δὲ στίλβοντα, φωσφόρον, τὴν ἀέρος γείτονα σελήνην. ἐπίγειον οὖν βουληθεὶς ἀρχέτυπον τῆς καθ᾽ οὐρανὸν σφαίρας ἑπταφεγγοῦς μίμημα παρ᾽ ἡμῖν ὁ τεχνίτης γενέσθαι, πάγκαλον ἔργον προσέταξε τὴν λυχνίαν δημιουργηθῆναι. δέδεικται δὲ καὶ ἡ πρὸς ψυχὴν ἐμφέρεια αὐτῆς. ψυχὴ γὰρ τριμερής ἐστι. δίχα δὲ ἕκαστον τῶν μερῶν ὡς ἐδείχθη τέμνεται. μοιρῶν δὲ γενομένων ἕξ, ἕβδομος εἰκότως τομεὺς ἦν ἁπάντων ὁ ἱερὸς καὶ θεῖος λόγος. ἄξιον δὲ μηδ᾽ ἐκεῖνο παρησυχασθῆναι, τριῶν ὄντων ἐν τοῖς

A habentes in summo lucernas nucibus similes in floris speciem lucernam sustinentis, exstante in summo candelabro flore septimo ex auro solido, & super impositis septem lucernis aureis: vt multis probabile fiat, senionem in duos terniones diuisum mediante sermone illo septimo, sicut & hodie. totum enim candelabrum cum sex præcipuis sui partibus compactum est è septem cauliculis, septem floribus, lucernis totidem. diuiduntur autem sex lucernæ
B interueniente media septima, similiter & flores & cauliculi eminente septimo in medio. Cauliculi autem illi compares è medio septimo stipite proueniunt. Verùm de his quia multa dici possunt, differantur in tempus aliud: vnum in præsenti dixisse sat erit, quòd septem erraticorum siderum cursus simulacrum sit hoc sacrum candelabrum cum septem lucernis superpositis. Quomodo, rogabit aliquis. Respondeo, quia sicut lucernæ, sic &
C planetarum quisque prælucet. Cum enim plus splendoris habeant, lucidissimos ad terram vsque mittunt radios, sed præcipue sol eorum medius. medium autem voco, non solum quia iuxta multorum opinionem in medio situs est: sed quia merito vtrinque stipatur tali satellitio pro dignitate sua & magnitudine atque vtilitate quam terrenis rebus omnibus exhibet. cæterum homines qui non possunt in solidum percipere horum siderum ordinem (quid
D enim illi certò intelligunt in rebus cælestibus?) coniecturas suas sequuntur. nec male conijcere mihi videntur, qui soli medium locum tribuunt, tres super eum, totidem infra locando, superiores Phænonta, Phaethonta, Pyroenta, deinde Solem: post ipsum vero Stilbonta, Luciferum & Lunam vicinam aeri. itaque volens artifex imaginem cælestis sphæræ septilustris apud nos effingere, iussit pulcherrimum hoc candelabrum affabre fieri. idem quam cum
E anima similitudinem habeat iam antea dictum est. Anima tripartita est. singulæ partes eius (vt ostendimus) secantur bifariam. ita factis sex portionibus, septimus iure annumeratur ille incisor omnium sermo sacer & diuinus. nec illud silentio prætereundum, quod cum tria sint in sacra supellectile, candelabrum, mensa, altare: hoc quidem ad eam quæ pro acceptis elementis fit, gratiarum actionem refer-

A tur, vt ante demonstratum est: quando & ipsum portiones accipit ex his quatuor: terræ ligna, aquæ aromata quæ liquefacta primo in humorem vertuntur, vaporem aeris, denique flammam quæ ex igne accenditur. quin & illa compositio thuris, galbani, onycis, stactes, elementa figurat. At mensa ad gratiarum actionem pro rebus mortalibus parata est. panes enim & libamina super eam ponuntur, quæ nutrimenta necessitas humana postulat. Cæterum candelabrum ad eam quæ
B fit pro celestibus omnibus, ne qua mundi pars expers gratiarum actionis videatur, sed omnium partium gratitudo euidenter appareat, elementorum, & eorum quæ ex his confiunt, nec solum terrestrium, verum etiam cælestium. Hic considerandum occurrit, cur mensæ atque altaris mensuris proditis, de candelabro nihil tale scribitur. an ob illam causam, quod elementa, & quicquid mortale constat ex
C his, quarum rerum figuræ sunt mensa & altare, dimensa sunt cælo terminata. semper enim contentum à continente metitur. Cælum autem cuius figura est candelabrum, infinitam habet magnitudinem. continetur enim, sed non à vacuo, sicut Moses docet, nec ab vllo corpore vel pari magnitudine prædito, nec ab infinito, iuxta prodigiosas fabulas quas in mentione turris attigimus. Est autem eius terminus Deus, idem rector & gubernator. ita-
D que sicut Ens ipsum est incomprehensibile, sic quod ab eo terminatur, mensuris nobis ignotis circumscribitur. Et fortasse quia rotundus est in orbis absoluti speciem, caret longitudine & latitudine. De his rebus ita vt decet locutus, addit: Aues autem non diuisit: aues vocans volucres & natura sublimes sermones, alterum archetypum nobis superiorem: alterum eius imaginem, qui inter nos versatur. il-
E lum Moses vocat imaginem Dei, hunc autem nostrum, sigillum expressum illa imagine ceu signaculo. Fecit, inquit, Deus hominem, non imaginem, sed ad imaginem. itaque vniuscuiusque nostrum mens, quæ proprie veréque homo est, tertia creatoris est effigies, intercedente exemplari huius, illius vero imagine. ipsa mens suapte natura est indiuisibilis. nam brutam animæ partem in sex alias portiones subdiuisit opifex, visum, gustum, auditum,

ἀξίοις σκεύεσι, λυχνίας, τραπέζης, θυμιατηρίου. τὸ μὲν θυμιατήριον εἰς τὴν ὑπὲρ τῶν στοιχείων εὐχαριστίαν ἀνάγεται, πρότερον ὡς ἐδείχθη· ἐπεὶ καὶ αὐτὸ μοίρας ἔχει τῶν τεττάρων, γῆς μὲν τὰ ξύλα, ὕδατος δὲ τὰ ἐπιθυμιώμενα. πρότερον γὰρ τηκόμενα, εἰς λιβάδας αὖθις ἀναλύεται· τὸν δὲ ἀτμὸν ἀέρος, πυρὸς δὲ τὸ ἐξαπτόμενον. καὶ ἡ σύνθεσις δὲ λιβανωτοῦ καὶ χαλβάνης, ὄνυχός τε καὶ στακτῆς, τῶν στοιχείων σύμβολον. ἡ δὲ τράπεζα, εἰς τὴν ὑπὲρ τῶν θνητῶν ἀποτελεσμάτων εὐχαριστίαν. ἄρτοι γὰρ καὶ σπονδαὶ ἐπιτίθενται αὐτῇ, οἷς ἀνάγκη χρῆσθαι τὰ τῆς τροφῆς δεόμενα. ἡ δὲ λυχνία, εἰς τὴν ὑπὲρ τῶν κατ᾽ οὐρανὸν ἁπάντων, ἵνα μηδὲν μέρος τοῦ κόσμου δίκην ἀχαριστίας ὀφλῇ· ἀλλ᾽ ἴδωμεν ὅτι πάντα τὰ μέρη τὰ καθ᾽ αὐτὸν εὐχαριστεῖ, τὰ στοιχεῖα, τὰ ἀποτελέσματα, οὐ τὰ ἐπὶ γῆς μόνον, ἀλλὰ καὶ τὰ ἐν οὐρανῷ. ἄξιον δὲ σκέψασθαι, διὰ τί τῆς τραπέζης καὶ τοῦ θυμιατηρίου τὰ μέτρα δηλώσας, τῆς λυχνίας οὐδὲν ἀνέγραψε· μήποτε δι᾽ ἐκεῖνο, ὅτι τὰ μὲν στοιχεῖα καὶ τὰ θνητὰ ἀποτελέσματα, ὧν ἡ τράπεζα καὶ τὸ θυμιατήριον σύμβολον, μεμέτρηνται, περατωθέντα ὑπὸ τοῦ οὐρανοῦ· ἀεὶ γὰρ τὸ περιέχον τοῦ περιεχομένου μέτρον· ὁ δ᾽ οὐρανός, οὗ σύμβολόν ἐστιν ἡ λυχνία, ἀπειρομεγέθης ἐστί. περιέχεται γάρ, ἀλλ᾽ οὐχ ὑπὸ κενοῦ κατὰ Μωυσῆν, οὔτε ὑπ᾽ οὐδενὸς σώματος, οὔτε ἰσομεγέθους αὐτῷ, οὔτε ἀπείρου, διὰ τὴν ἐν τῇ πυργώσει μυθολογουμένην τερατολογίαν. ἔστι δὲ ὅρος αὐτοῦ ὁ θεός, καὶ ἡνίοχος καὶ κυβερνήτης. ὥσπερ οὖν ἀπερίληπτον τὸ ὄν, οὕτως καὶ τὸ ὁριζόμενον ὑπ᾽ αὐτοῦ μέτροις τοῖς εἰς τὴν ἡμετέραν ἐπίνοιαν ἥκουσιν οὐ μεμέτρηται. καὶ τάχα ἐπεὶ κυκλοτερὴς ὢν καὶ ἄκρως εἰς σφαῖραν ἀποτετορνευμένος, μήκους καὶ πλάτους οὐ μετέχει. εἰπὼν οὖν τὰ πρέποντα περὶ τούτων, ἐπιλέγει, Τὰ δὲ ὄρνεα οὐ διεῖλεν, ὄρνεα καλῶν τοὺς πτηνοὺς καὶ μετεωροπολεῖν πεφυκότας δύο λόγους, ἕνα μὲν ἀρχέτυπον ὑπὲρ ἡμᾶς, ἕτερον δὲ μίμημα, τὸν καθ᾽ ἡμᾶς ὑπάρχοντα. καλεῖ δὲ Μωσῆς, τὸν μὲν ὑπὲρ ἡμᾶς, εἰκόνα θεοῦ, τὸν δὲ καθ᾽ ἡμᾶς, τὸν εἰκόνος ἐκμαγεῖον. Ἐποίησε γάρ, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον, οὐκ εἰκόνα, ἀλλὰ κατ᾽ εἰκόνα· ὥστε τὸν καθ᾽ ἕκαστον ἡμῶν νοῦν, ὃς δὴ κυρίως καὶ πρὸς ἀλήθειαν ἄνθρωπός ἐστι, τρίτον εἶναι τύπον ἀπὸ τοῦ πεποιηκότος· τὸν δὲ μέσον, παράδειγμα μὲν τούτου, ἀπεικόνισμα δὲ ἐκείνου. φύσει δὲ ἄτμητος ὁ ἡμέτερος γέγονε νοῦς. τὸ μὲν γὰρ ἄλογον ψυχῆς μέρος ἑξαχῆ διελὼν ὁ δημιουργός, ἓξ μοίρας εἰργάσατο, ὅρασιν,

γεῦσιν, ἀκοήν, ὄσφρησιν, ἁφήν, γόνιμον, φωνήν· τὸ δὲ λογικόν, ὃ δὴ νοῦς ὠνομάσθη, ἄσχιστον εἴασε, κατὰ τὴν τοῦ παντὸς ὁμοιότητα οὐρανοῦ. καὶ γὰρ ἐν τούτῳ λόγος ἔχει, τὴν μὲν ἐξωτάτω καὶ ἀπλανῆ σφαῖραν, ἄτμητον φυλαχθῆναι· τὴν δ᾽ ἐντὸς ἑξαχῆ τμηθεῖσαν, ἑπτὰ κύκλοις τῶν λεγομένων πλανήτων ἀποτελέσαι. ὃ γὰρ οἶμαι ἐν ἀνθρώπῳ ψυχή, τοῦτο οὐρανὸς ἐν κόσμῳ. τὰς οὖν νοερὰς καὶ λογικὰς δύο φύσεις, τήν τε ἐν ἀνθρώπῳ καὶ τὴν ἐν τῷ παντί, συμβέβηκεν ὁλοκλήρους καὶ ἀδιαιρέτους εἶναι· διὸ λέγεται, Τὰ δὲ ὄρνεα οὐ διεῖλε. περιστερᾷ μέν, ὁ ἡμέτερος νοῦς, ἐπειδὴ ἥμερον καὶ σύντροφον ἡμῖν ἐστι τὸ ζῷον, εἰκάζεται· τῷ δὲ τούτου παραδείγματι, ἡ τρυγών. ὁ γὰρ θεοῦ λόγος φιλέρημος καὶ μονωτικός, ἐν ὄχλῳ τῶν γενομένων καὶ φθαρησομένων, οὐχὶ φυρόμενος, ἀλλ᾽ ἄνω φοιτᾶν εἰθισμένος ἀεί, καὶ ἑνὶ ὀπαδὸς εἶναι μεμελετηκώς. ἄτμητοι μὲν οὖν αἱ δύο φύσεις, ἥ τε ἐν ἡμῖν τοῦ λογισμοῦ, καὶ ἡ ὑπὲρ ἡμᾶς τοῦ θείου λόγου. ἄτμητοι δὲ οὖσαι, μυρία ἄλλα τέμνουσιν. ὅ, τε γὰρ θεῖος λόγος, τὰ ἐν τῇ φύσει διεῖλε, καὶ διένειμε πάντα· ὅ, τε ἡμέτερος νοῦς, ἅττ᾽ ἂν παραλάβῃ νοητῶς πράγματά τε καὶ σώματα, εἰς ἀπειράκις ἄπειρα διαιρεῖ μέρη, καὶ τέμνων οὐδέποτε λήγει· τοῦτο δὲ συμβαίνει, διὰ τὴν πρὸς τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἐμφέρειαν. τὸ γὰρ θεῖον ἀμιγές, ἄκρατον καὶ ἀμερέστατον ὑπάρχον, ἅπαντι τῷ κόσμῳ γέγονεν αἴτιον μίξεως, κράσεως, πολυμερείας· ὥστε εἰκότως καὶ τὰ ὁμοιωθέντα, νοῦς τε ὁ ἐν ἡμῖν, καὶ ὁ ὑπὲρ ἡμᾶς, ἀμερεῖς καὶ ἄτμητοι ὑπάρχοντες, διαιρεῖν καὶ διακρίνειν ἕκαστα τῶν ὄντων ἐρρωμένως δυνήσονται. λαλήσας οὖν περὶ τῶν ἀτμήτων καὶ ἀδιαιρέτων ὀρνέων, φησὶν ἑξῆς, Κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομηθέντα, ὁμωνυμίᾳ μὲν χρησάμενος, τὴν δὲ πραγματικὴν διαφορὰν ἐναργέστατα τοῖς ὁρᾶν δυναμένοις παραστήσας. παρὰ φύσιν γάρ ἐστι τὸ καταβαίνειν ὄρνεα τὰ μετεωροπολεῖν ἕνεκα πτερωθέντα. καθάπερ γὰρ τοῖς χερσαίοις οἰκειότατον χωρίον γῆ, καὶ μάλιστα τοῖς ἑρπετοῖς, ἃ μηδ᾽ ὑπὲρ αὐτῆς ἰλυσπώμενα ἀνέχεται, φωλεοὺς δὲ καὶ καταδύσεις ζητεῖ τὸν ἄνω χῶρον ἀποδιδράσκοντα, διὰ τὴν πρὸς τὰ κάτω συγγένειαν· τὸν αὐτὸν τρόπον καὶ τοῖς πετεινοῖς ὁ ἀὴρ ἐνδιαίτημα οἰκεῖον, κούφοις διὰ τὴν πτέρωσιν ὁ φύσει κοῦφος. ὅταν οὖν τὰ ἀεροπόρα αἰθεροβατεῖν ὀφείλοντα καταβαίνῃ πρὸς χέρσον ἀφικνούμενα, τῷ κατὰ φύσιν ἀδυνατεῖ χρῆσθαι βίῳ· τοὐναντίον δὲ Μωσῆς

A odoratum, tactum, & vocem pronunciatiuam. rationalem partem, quæ mens nominatur, indiuisam reliquit ad totius cæli similitudinem. nam & illic aiunt extremum orbem indiuisum manere: interiorem vero in sex diuisum, planetarum (vt vocant) septem circulos efficere. quod enim est in homine anima, hoc (vt opinor) cælum in mundo. Ergo duæ rationales & intelligibiles naturæ, altera in homine, altera in vniuerso, integræ manent & indiui-
B sæ. ideo dicitur, Aues autem non diuisit. siquidem columbæ nostra mens, vt mansueto & nobiscum degenti animali, assimilatur: huius autem exemplari turtur. nam Dei sermo amat deserta solitarius, non miscens se turbis rerum corruptibilium, assuetus petere sublimia, & vnius delectari consuetudine. Sunt igitur hæ duæ naturæ indiuisibiles, & nobis insita ratio, & illa diuina altera: & cum sint indiuisibiles, plurima secant alia. nam & Dei verbum
C res naturæ diuisit omnes atque distribuit: & nostra mens quicquid rerum ac corporum concepit intellectu, in infinities infinitas partes diuidendo finem non facit. id accidit propter eam quam cum vniuersorum creatore patrêque habet similitudinem. nam cæleste numen purum sincerum indiuisibile cum sit ipsum, autor est omnium mixturarum partitionum temperaturarum quotquot in toto mũdo fiunt. ideo non debemus mirari, si eius similes
D mentes, nostra & illa nobis superior, cum sint indiuisibiles & insecabiles, tamen diuidere & discernere valent singula. Postquam autem dixit de indissectis & indiuisis auibus, pergit narrare. Et descenderunt aues in corpora diuisa bifariam.] vbi quamuis vtatur homonymia, tamen rerum diuersitatem manifeste aperit duntaxat lectori non indocili. præter naturam enim fit vt aues descendant, quæ ad sublimen volatum pennas acceperunt. quemadmo-
E dum enim terrestribus nullus locus magis quam terra conuenit, præsertim reptilibus quæ ne super ea quidẽ reptant, sed fouearum quærunt penetralia, fugiendo superna ob cognationem quam habent cum inferis: eodem modo volucribus aer est propriũ habitaculum, leuibus propter pennas ipse quoque natura leuis. cum igitur aeriuaga relicto æthere suo descendunt ad terram, non possunt iuxta naturam viuere. è diuerso

A Moses quæcumque reptilia possunt se saltu attollere, probat non mediocriter: quandoquidem sic præcipit. Quæcumque de volucribus ambulant super quatuor pedes, & habent crura longiora, vt saliant super terram, hæc comedetis. sunt autem hæ figuræ animarum, quæ reptilium more affixæ terreno corpori purificantur vt mox se possint attollere, cælum terra permutantes, & corruptione immortalitatem. omnium igitur miserrimæ iudicandæ sunt illæ, B quæ in aere æthereque purissimo enutritæ, non possunt perferre saturitatem diuinorum bonorum, sed ad terram mortalium malorum regionem demigrant. incidunt enim cogitationes plurimæ de rebus plurimis, quædam vltro accersitæ, quædam obrepentes per ignorantiam, quæ nihil differunt ab istis volucribus descendentibus. cogitationes autem quæcunque superna petunt meliorem sortiuntur ordinem virtute comite indicante viam in cælum: C quæ autem deorsum feruntur, deteriorem occupant, detractæ & degrauatæ vitijs. horum locorum contrarietas nonnihil apparet in Græcis eorum nominibus. virtus enim ἀρετὴ non solum παρὰ τὴν αἵρεσιν ab electione nominatur, verum etiam παρὰ τὸ αἴρεσθαι. attollitur enim & in sublime fertur cælestia semper appetens. vitium autem κακία ἀπὸ τοῦ κάτω κεχωρηκέναι, & quod deorsum vergat & deditos sibi deprimat. nā cogitationes noxiæ descendentes in animam vel D accitæ vel irrumpentes, tum ipsæ descendunt, tum mentem degrauant voluntantem se turpiter cum corporibus, rebus sensibilibus imperfectis & parum integris, non viuis sed mortuis. non solum enim corpora, verùm & dimidiatas eorum portiones appetunt. quæ autem sic diuiduntur, coaptari & in vnum redire non possunt, dissectis spiritualibus neruis & natiuis nexibus. ex quo discimus sententiam verissimam, quod omnis virtus animas amat, omne au- E tem vitium corpora: & quod quicquid alteri gratum, alteri exosum est, sicut nunc quoque. nam animæ bella nobis subindicans aues inducit cupientes corporibus insidere, & immersis rostris satiari carnibus: quarum incursus cohibere volens vir bonus assidere dicitur, quasi curator & præses. cum enim & domi laboretur seditionibus, & foris inuadant hostiles acies, intra se versat varia consilia, & quo modo sua-

A καὶ ὅσα τῶν ἑρπετῶν ἄνω δύναται πηδᾶν, οὐ μετρίως ἀποδέχεται. φησὶ γοῦν, Ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς ἀπὸ γῆς. ταῦτα δ' ἐστὶ σύμβολα ψυχῶν, ὅσαι τρόπον ἑρπετῶν προσερριζωμέναι τῷ γηΐνῳ σώματι, καθαρθεῖσαι, μετεωροπολεῖν ἰσχύουσιν, οὐρανὸν ἀντικαταλλαξάμεναι γῆς, καὶ φθορᾶς ἀθανασίαν. πάσης οὖν βαρυδαιμονίας ἀναπεπλῆσθαι νομιστέον ἐκείνας, αἵτινες ἐν B ἀέρι καὶ αἰθέρι τῷ καθαρωτάτῳ τραφεῖσαι, μετανέστησαν, τὸν κόρον τῶν θείων ἀγαθῶν οὐ δυνηθεῖσαι φέρειν, ἐπὶ τὸν θνητῶν κακῶν χῶρον γῆν. ἐπιφοιτῶσι δὲ ἔννοιαι μυρίαι περὶ μυρίων πραγμάτων ὅσων, αἱ μὲν ἑκούσιοι, αἱ δὲ κατ' ἄγνοιαν, αἳ οὐδὲν διαφέρουσι πτηνῶν, αἷς τὰ κατιόντα ἐξωμοίωσεν ὄρνεα. τῶν δὲ ἐννοιῶν ἡ μὲν ἄνω φορά, τὴν ἀμείνω τάξιν ἔλαχε, συνοδοιπορούσης ἀρετῆς, τὸ πρὸς τὸν οὐρανὸν καὶ θεῖον χῶρον ἀγούσης· τὴν χείρω δὲ, ἡ C κάτω, κακίας ἀφηγουμένης καὶ ἀντιπαλαιούσης βίᾳ. δηλοῖ δὲ καὶ τὰ ὀνόματα οὐχ ἥκιστα τὴν τῶν τόπων ἐναντιότητα. ἀρετὴ μὲν γὰρ, οὐ μόνον παρὰ τὴν αἵρεσιν ὠνομάσθη, ἀλλὰ καὶ παρὰ τὸ αἴρεσθαι· αἴρεται γὰρ καὶ μετεωρίζεται, διὰ τὸ ἀεὶ τῶν ὀλυμπίων ἐρᾶν. κακία δὲ ἀπὸ τοῦ κάτω κεχωρηκέναι, καὶ καταπίπτειν τοὺς χρωμένους αὐτῇ βιάζεσθαι. τὰ γὰρ πολέμια τῆς ψυχῆς ἐπικατιόντα καὶ ἐπιφοιτῶντα νοήματα, κάτεισι μὲν αὐτά, καταβάλλει δὲ καὶ τὴν διάνοιαν σώμασιν αἰεὶ ἐπιφερόμε- D να, πράγμασιν αἰσθητοῖς ἀτελέσιν οὐχ ὁλοκλήροις, ἐφθαρμένοις οὐχὶ τοῖς ζῶσιν. οὐ γὰρ μόνον σώμασιν, ἀλλὰ καὶ σωμάτων τῶν δίχα διαιρεθέντων τμήμασιν, ἐπιφοιτᾷ. τὰ δὲ οὕτως διαιρεθέντα, ἁρμονίας ἀμήχανον δέξασθαι καὶ ἕνωσιν, τῶν πνευματικῶν τόνων, οἳ συμφυέστατος δεσμὸς ἦσαν, διακοπέντων. εἰσηγεῖται δὲ γνώμην ἀληθεστάτην, διδάσκων, ὅτι δικαιοσύνη μὲν καὶ πᾶσα ἀρετὴ ψυχῆς, ἀδικία δὲ καὶ πᾶσα κακία σώ- E ματος ἐρῶσι· καὶ ὅτι τὰ τῷ ἑτέρῳ φίλα, τῷ ἑτέρῳ πάντως ἐχθρά ἐστι, καθὰ καὶ νῦν. αἰνιττόμενος γὰρ τοὺς τῆς ψυχῆς πολέμους, ὄρνεα εἰσήγαγε γλιχόμενα ἐμπλέκεσθαι καὶ ἐμφύεσθαι, σώμασι καὶ σαρκῶν ἐμφορεῖσθαι. ὧν τὰς ἐφόδους καὶ ἐπιδρομὰς ἐπισχεῖν βουληθεὶς ὁ ἀστεῖος, λέγεται αὐτοῖς συγκαθίσαι, οἷα πρόεδρός τις ἢ πρόβουλος ὤν. ἐπεὶ γὰρ καὶ τὰ οἰκεῖα ὑπὸ ἐμφυλίου στάσεως διέστηκε, καὶ τὰ ἐχθρὰ σφόδρα διεφέρετο, βουλὴν ἀπὸ πάντων συναγαγεῖν ἔσχηκε περὶ τῶν διαφόρων.

ἵνα εἰ δύναιτο πειθοῖ χρώμενος, καὶ τὸν ξενικὸν πόλεμον καταλύσαι, καὶ τὴν ἐμφύλιον ταραχὴν ἀνέλοι. τοὺς μὲν γὰρ ὥσπερ νέφος ἐπιρράξαντας, ἀκαταλλάκτως ἔχοντας, λυσιτελὲς ἦν ἀποσκεδάσαι· τοῖς δὲ τὴν παλαιὰν συγγένειαν οἰκειώσασθαι. δυσμενεῖς μὲν οὖν ἄσπονδοι καὶ ἀκατάλλακτοι γράφονται ψυχῆς, ἀφροσύναι καὶ ἀκολασίαι, δειλίαι τε καὶ ἀδικίαι, καὶ ὅσαι ἄγαν ἐπὶ πλεοναζούσαις ὁρμαῖς εἰώθασι φύεσθαι ἄλογοι ἐπιθυμίαι, σκιρτῶσαι καὶ ἀπαυχενίζουσαι, καὶ τὸν εὐθὺν δρόμον τῆς διανοίας ἐπέχουσαι· πολλάκις δὲ καὶ τὸ σύμπαν αὐτῆς σχῆμα ἀνατρέπουσαί τε καὶ καταβάλλουσαι. τὰ δὲ τῶν ἐνσπόνδων δυνάμεων προσκρούσματα τοιαῦτ᾽ ἐστίν, οἵας εἶναι συμβέβηκε τὰς τῶν σοφιστῶν δογματικὰς ἔριδας. εἰ μὲν γὰρ πρὸς ἓν ἀποπνέοιεν τέλος θεωρίας τῶν τῆς φύσεως πραγμάτων, λέγοιντ᾽ ἂν εἶναι φίλοι· εἰ δ᾽ οὐχ ὁμογνωμονοῦσιν ἐν τοῖς κατὰ μέρος ζητήμασιν, ἐμφυλίῳ στάσει χρῆσθαι, ὥσπερ οἱ ἀγένητον εἶναι λέγοντες τὸ πᾶν, τοῖς γένεσιν εἰσηγουμένοις αὐτοῦ· καὶ πάλιν οἱ φθαρήσεσθαι, τοῖς φθαρτὸν μὲν εἶναι φύσει, μηδέποτε δὲ φθαρησόμενον, διὰ τὸ κραταιοτέρῳ δεσμῷ τῇ τοῦ πεποιηκότος βουλήσει συνέχεσθαι· καὶ οἱ μηδὲν εἶναι ὁμολογοῦντες, ἀλλὰ πάντα γίνεσθαι, τοῖς ὑπολαμβάνουσι τὰ ἐναντία· καὶ οἱ πάντων χρημάτων ἄνθρωπον μέτρον εἶναι διεξιόντες, τοῖς τὰ αἰσθήσεως καὶ τὰ διανοίας κριτήρια συγχέουσι· καὶ συνόλως οἱ πάντα ἀκατάληπτα εἰσηγούμενοι, τοῖς γνωρίζεσθαι πάμπολλα φάσκουσι. καὶ ἥλιος μέντοι καὶ σελήνη, καὶ ὁ σύμπας οὐρανός, γῆ τε καὶ ἀήρ, καὶ ὕδωρ, τά τε ἐπ᾽ αὐτῶν πάντα, τοῖς σκεπτικοῖς ἔριδας καὶ φιλονεικίας παρεσχήκασιν, οὐσίας καὶ ποιότητας, μεταβολάς τε αὖ καὶ τροπάς, καὶ γενέσεις ἔτι τε καὶ φθορὰς αὐτῶν ἀναζητοῦσι· μεγέθεσί τε περὶ καὶ κινήσεις τῶν κατ᾽ οὐρανόν, οὐ πάρεργον ποιούμενοι τὴν ἔρευναν, ἑτεροδοξοῦσιν, οὐ συμφερόμενοι, μέχρις ἂν μαιευτικὸς ἀνὴρ ὁμοῦ καὶ δικαστικὸς συγκαθίσας, θεάσηται τὰ τῆς ἑκάστου γεννήματα ψυχῆς, καὶ τὰ μὲν οὐκ ἄξια τροφῆς ἀπορρίψῃ, τὰ δὲ ἐπιτήδεια, διασώσῃ· καὶ προνοίας τῆς ἁρμοττούσης ἀξιώσῃ. τάδε κατὰ φιλοσοφίαν μετὰ διαφωνίας γέγονε, τὸ πιθανὸν καὶ στοχαστὸν νοῦ τῆς ἀληθείας ἀποδιδρασκούσης, καὶ τὸ δυσεύρετον καὶ δυσθήρατον αὐτῆς, ὥς γε οἶμαι, στάσεις ἐγέννησε. Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἔπεσεν ἐπὶ Ἀβραάμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ. ἔκστασις, ἡ μέν ἐστι λύττα μανιώδης παράνοιαν ἐμποιοῦσα, κατὰ γῆρας, ἢ μελαγχολίαν,

A dendo queat efficere, vt externum bellum cesset vnà cum intestinis tumultibus. opus enim est & illam ceu nubem hostiliter infestantem repellere, & domesticorum pristinam redintegrare necessitudinem. Sunt enim pertinacissimi hostes animæ affectus stulti & intemperantes; iniusti & timidi, & id genus aliæ concupiscentiæ nimiæ nobis innasci solitæ, petulantes & ceruice iugum iactantes, & exorbitantes à recto itinere. socialium autem copiarum conflictationes tales sunt, quales

B lites sophistarum de contentiosis dogmatibus. si enim ad vnum finem tendunt, scilicet contemplationem rerum naturalium, haberi possunt pro socijs. sin autem in particularibus quæstionibus dissentiunt, ciuilem tumultum excitant, sicut mundum factum asserentibus male conuenit cum id pernegantibus. simile dissidium est dum alij dicunt eum interiturum, alij vero concedunt quidem esse natura corruptibi-

C lem, negant tamen vnquam corrumpendum, eo quod valido nexu contineatur, nimirum creatoris voluntate. sic qui nihil esse opinantur, sed omnia fieri, dissentiunt ab id negantibus. item qui aiunt omnium rerum mensuram hominem, à damnantibus sensuum atque mentis iudicium. & in vniuersum qui dicunt cuncta incomprehensibilia, ab his qui aiunt percipi plurima. siquidem sol, luna, cælum, terra, aer, aqua, & quæ his continentur om-

D nia, scepticis negotium & contentionum materiam exhibent, essentias, qualitates, mutationes, versiones, generationes corruptionésque eorum in disquisitionem vocantibus. quin & de motu magnitudinéque rerum cælestium non obiter differunt, variantes & discrepantes opinionibus, donec aliquis obstetricandi & iudicandi scientia præditus vir in consessum eorum adhibitus singulorum partus animæ inspiciat, & alios vt indignos

E educatione proijciat, alios vt probatos conseruet habiturus curam eorum. Hæc autem philosophorum controuersiæ natæ sunt dum veritatem coniecturis adsequi nequeunt, rei difficultate gignente dissidia. Cúmque sol occideret excessus irruit super Abraham, & horror magnus ac tenebrosus inuasit eum.] Excessus alius est insanus faciens delirum, præ senio, bile atra, aut ob aliam causam similem.

alius fit ob nec opinatum pauorem magnum ac repentinum: alius in tranquillitate quando mens otiatur. sed longe optimus quando illa furore diuino corripitur, qualis est prophetici generis. Primæ speciei mentio fit in maledictionibus scriptis in Deuteronomio: Deliratio, inquit, cæcitas, & excessus mentis corripiet impios, vt nihil differant à cæcis meridie palpantibus tanquam in densis tenebris. Alterius item non vno loco. Correptus, inquit, Isaac stupore magno dixit: quis igitur venationem mihi obtulit, & gustaui de omnibus quæ oblata fuerunt priusquam venires, & benedixi eum, eritque benedictus. item de Iacob non credente nunciantibus. Iosephum viuere Ægypto vniuersæ præpositum: Excessit, inquit mente: non credebat enim eis. & in Exodo de concione: Mons, inquit, Sina fumabat totus, quia descenderat in eum Deus in igne: & ascendebat fumus vt vapor fornacis, & obstupuit totus populus vehementer. item in Leuitico de consecratione sacerdotum octauo die, quando descendit ignis de cælo & depastus est quæ altari fuerant imposita vnà cum coronamentis totas victimas. nam hic quoque scriptum est: Et vidit vniuersus populus & obstupuit ceciditque pronus in faciem. nam talis excessus pauorem ac stuporem inducit. Sed non est mirum de Esau, quòd peritus venandi præda ipse fit & supplantatur, quippe qui artem hanc in damnum suum, non ad vtilitatem accepit, non magna cura vsus in venando vt caperet aliquid: nec de Iacob, quod captata præda potitur, ingenio magis adiutus quam peritia, & eam, id est affectionem, offert examinatori, vt an proba sit iudicet. ideo de omnibus gustat. quicquid enim ad meditationem pertinet vescendum proponitur, inquisitio, disceptatio, auscultatio, lectio, precatio, continentia, indifferentium rerum discretio. degustat autem omnia non comedit. oportet enim & meditatori aliquid cibi relinqui operæ præmium. Priusquam venires. apte pro rei natura. Nam si affectus intrarit in animam, non fruemur temperantia. simúlque arguitur malus vt cunctator & piger, tardus ad disciplinam, non ad intemperantiam. At Moses longe aliter iubet absumi propter paschales epulas ad solennem mi-

A ἤ τινα ὁμοιότροπον ἄλλην αἰτίαν. ἡ δὲ σφοδρὰ κατάπληξις ἐπὶ τοῖς ἐξαπιναίως καὶ ἀπροσδοκήτως συμβαίνειν εἰωθόσιν· ἡ δὲ ἠρεμία διανοίας, ἐπειδὰν πέφυκεν ἡσυχάζειν· ἡ δὲ πασῶν ἀρίστη, ἔνθεος κατοκωχή τε μανία, ᾗ τὸ προφητικὸν γένος χρῆται. τὸ μὲν οὖν πρότερον, ἐν ταῖς ἐπινομίδι γραφείσαις ἀραῖς διαμέμνηται. παραπληξίαν γάρ φησι, καὶ ἀορασίαν καὶ ἔκστασιν διανοίας καταλήψεσθαι τοὺς ἀσεβοῦντας, ὡς μηδὲν διοίσειν B τυφλῶν ἐν μεσημβρίᾳ, καθάπερ ἐν βαθεῖ σκότῳ ψηλαφώντων. τὸ δὲ δεύτερον, πολλαχοῦ. Ἐξέστη γάρ, φησίν, Ἰσαὰκ ἔκστασιν μεγάλην, καὶ εἶπε, τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὶν ἢ σὲ ἐλθεῖν, καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται. καὶ ἐπὶ τοῦ Ἰακὼβ ἀπιστοῦντος τοῖς λέγουσιν ὅτι ζῇ Ἰωσὴφ καὶ ἄρχει πάσης γῆς Αἰγύπτου, Ἐξέστη γάρ, φησί, τῇ διανοίᾳ. οὐ γὰρ ἐπίστευσεν αὐτοῖς. καὶ ἐν ἐξόδῳ κατὰ τὴν ἐκκλησίαν. Τὸ γὰρ ὄρος, φησί, τὸ Σινᾶ C ἐκαπνίζετο πᾶν αὐτό, διὰ τὸ καταβεβηκέναι τὸν θεὸν ἐπ' αὐτὸ ἐν πυρί· καὶ ἀνέβαινεν ὁ καπνὸς ὡς ἀτμὶς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα. καὶ ἐν τῷ Λευιτικῷ, κατὰ τὴν τῶν ἱερέων τελείωσιν, ἡμέρᾳ τῇ ὀγδόῃ, ὁπότε ἐξῆλθε πῦρ ἀπ' οὐρανοῦ, καὶ κατέφαγε τὰ ἐπὶ τοῦ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ στέμματα. λέγεται γὰρ εὐθύς, Καὶ εἶδε πᾶς ὁ λαός, καὶ ἐξέστη, καὶ ἔπεσεν ἐπὶ πρόσωπον. ἡ γὰρ τοιαύτη ἔκπληξις, πτόησιν καὶ κατάπληξιν ἐμποιεῖ. ἀλλ' οὐκ ἄξιον θαυμάσαι καὶ ἐπὶ D τοῦ Ἠσαῦ, ὅτι εἰδὼς κυνηγεῖν, ἀεὶ θηρεύεται, καὶ πτερνίζεται, τέχνην ἐπὶ βλάβῃ κτησάμενος, οὐκ ὠφελείᾳ, θηρεῦσαι δὲ οὐδέποτε ἐσπούδασε· καὶ ἐπὶ τοῦ Ἰακώβ, ὅτι θηρεύει μὴ μαθών, ἀλλὰ φύσει κεχρημένος, τὸ πάθος, καὶ φέρει τῷ δοκιμαστῇ, ὃς εἰ δόκιμόν ἐστι, διαγνώσεται· διὸ ἀπὸ πάντων φάγεται. πάντα γὰρ τὰ τῆς ἀσκήσεως ἐδέσματα καθέστηκεν, ἡ ζήτησις, ἡ σκέψις, ἡ ἀκρόασις, ἡ ἀνάγνωσις, ἡ προσευχή, ἡ ἐγκράτεια, ἡ ἐξαδιαφόρησις E τῶν ἀδιαφόρων· ἀπὸ πάντων δὲ τὰς ἀπαρχὰς δήπουθεν ἔφαγεν. ἀλλ' οὐ πάντα. δεῖ γὰρ ὑπολείπεσθαι καὶ τῷ ἀσκητῇ τροφὰς οἰκείας, ἆθλα. Πρὸ τοῦ σε ἐλθεῖν· φυσικῶς. ἐὰν γὰρ τὸ πάθος εἰσίῃ εἰς τὴν ψυχήν, οὐκ ἀπολαυσόμεθα ἐγκρατείας· ἐλέγχει δὲ καὶ τὸν φαῦλον, ὡς βραδὺν καὶ ὀκνηρόν, καὶ μελλητὴν πρὸς τὰ παιδείας ἔργα, ἀλλ' οὐ πρὸς τὰ ἀκολασίας. ἐργοδιώκτας οὖν αἰγυπτίους ἔχει πρὸς τὴν τῶν παθῶν ἐπισπεύδοντας ἀπόλαυσιν· Μωσῆς δ' ἔμπαλιν μετὰ σπουδῆς

παρα-

A παραγγέλλει δὲ πάσχα ἐσθίειν, καὶ τὴν ἀπὸ τούτων διάβασιν διώκεσθαι· καὶ ὁ Ἰούδας φησίν, Εἰ μὴ γὰρ ἐμελλήσαμεν, ἤδη ἂν ὑπεστρέψαμεν, καὶ κατέβημεν εἰς Αἴγυπτον. δὶς οὖν φησίν, ἀλλ' ἐκεῖθεν ἐπανελυσώθημεν. Εἰκότως καὶ Ἰακὼβ τεθαύμακεν, εἰ ἔτι ὁ νοῦς ὁ ἐν σώματι Ἰωσὴφ ζῇ πρὸς ἀρετήν, καὶ ἄρχει τοῦ σώματος, ἀλλ' οὐκ ἄρχεται πρὸς αὐτοῦ, καὶ τἄλλα ἄν τις ἐπιτιῶν ὑποδείγματα, ἀληθὲς ἰχνεύειν δυνηθείη. πρόκειται δὲ νῦν οὐ περὶ τούτων ἀκριβολογεῖσθαι· διὸ ἐπὶ τὰ ἐξ ἀρχῆς τρεπτέον. B τῆς δὲ τρίτης ἐννοίας, τὰ περὶ τὴν τῆς γυναικὸς γένεσιν φιλοσοφεῖ. Ἐπέβαλε γὰρ ὁ θεός, φησίν, ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν, ἔκστασιν τὴν ἠρεμίαν καὶ ἡσυχίαν τοῦ νοῦ παραλαμβάνων. ὕπνος γὰρ νοῦ, ἐγρήγορσίς ἐστιν αἰσθήσεως. καὶ γὰρ αἱ ἐγρηγόρσεις τῆς διανοίας, αἰσθήσεως ἀπραξία. τῆς δὲ τετάρτης, ὃ νῦν σκοποῦμεν. Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν ἐπὶ τὸν Ἀβραάμ, ἐνθουσιῶντος καὶ θεοφορήτου τὸ πάθος. ἀλλ' οὐχὶ τοῦτο μόνον, ἀλλὰ συνίστησιν αὐτὸν C προφήτην· ἀλλὰ καὶ γράμμα ῥητὸν ἐστηλιτευμένον ἱεραῖς βίβλοις, ἡνίκα τις ἐπεχείρησε τὴν ἐκ φύσεως ἀρετὴν Σάῤῥαν αὐτοῦ διοικίζειν, ὡς οὐκ ἴδιον σοφοῦ καὶ μόνον κτῆμα, ἀλλὰ παντὸς τὴν φρόνησιν ἐπιμορφάζοντος. Ἀπόδος γάρ, φησίν, τῷ ἀνθρώπῳ τὴν γυναῖκα, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσεις· καὶ παντὶ δὲ ἀνθρώπῳ ἀστείῳ ὁ ἱερὸς λόγος προφητείαν μαρτυρεῖ. προφήτης γὰρ ἴδιον μὲν οὐδὲν ἀποφθέγγεται, ἀλλότρια δὲ πάντα ὑπηχοῦντος ἑτέρου. D φαύλῳ δ' οὐ θέμις ἑρμηνεῖ γενέσθαι θεοῦ, ὥστε κυρίως μοχθηρὸς οὐδεὶς ἐνθουσιᾷ, μόνῳ δὲ σοφῷ ταῦτ' ἐφαρμόττει, ἐπεὶ καὶ μόνος ὄργανον θεοῦ ἐστιν ἠχεῖον, κρουόμενον καὶ πληττόμενον ἀοράτως ὑπ' αὐτοῦ. πάντας γοῦν ὁπόσους ἀνέγραψε δικαίους, κατεχομένους καὶ προφητεύοντας εἰσήγαγε. Νῶε δίκαιος, ἆρ' οὐ καὶ προφήτης εὐθύς· ἢ τὰς εὐχὰς καὶ κατάρας ἃς ἐπὶ ταῖς αὖθις γενεαῖς ἐποιήσατο, ἔργων ἀληθείᾳ βεβαιωθείσας, οὐ κατεχόμενος ἐθέσπισε; τί δὲ Ἰσαάκ; τί δὲ Ἰακώβ; καὶ γὰρ οὗτοι, διά τε E ἄλλων πολλῶν, καὶ μάλιστα διὰ τῶν εἰς τοὺς ἐγγόνους προσρήσεων ὁμολογοῦνται προφητεῦσαι. τὸ γάρ, Συλλέγητε, ἵνα ἀναγγέλλω τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἐνθουσιῶντός ἐστιν. ἡ γὰρ τῶν μελλόντων κατάληψις ἀνοίκειος ἀνθρώπῳ. τί δὲ Μωσῆς· οὐ προφήτης ᾄδεται πανταχοῦ; λέγει γάρ, Ἐὰν γένηται ὑμῶν προφήτης κυρίου, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, Μωσῇ δέ, ἐν εἴδει, καὶ

grationis memoriam. & Iudas inquit: Nisi procrastinassemus, iam reuersi descendissemus in Ægyptum: imò iam domum rediuissemus iterum. Et hoc est quod Iacob miratur, si mens adhuc in corpore constituta viuit virtuti, & imperat corpori, non eius imperata facit. Possent & alia exempla proferri ad confirmandam rei veritatem, sed non hoc nunc agitur. ideo redeundum est à diuerticulo. Tertiam verbi huius significationem videre licet in creatione mulieris. Immisit Deus ecstasim in Adam & sopiuit eum. vbi excessus pro quiete mentis ac tranquillitate accipitur. Somnus enim mentis est vigilia sensuum: nam & vigilia mentis est sensuum otium. Quartæ vero ecstasis exemplum est quod nunc versamus in manibus: Et cum occidisset sol ecstasis incubuit in Abraham correptum numine afflatúmque diuino spiritu.] quibus verbis ostenditur eum prophetam etiam fuisse. quod aliubi diserte sacris literis exprimitur, cum quidam naturalem virtutem Sarram sibi vsurparet, quasi non solius sapientis propriam, sed cuiusuis simulatoris prudentiæ, Redde, inquit, homini suam vxorem, quia propheta est, & orabit pro te vt viuus permaneas. Quin & omnibus probis viris sacra scriptura prophetiam tribuit. nam propheta nihil ex se proloquitur, sed omnia submonente alio. malum autem virum non est fas esse interpretem numinis: ergo nemo malus proprie correptus furore diuino dicitur, sed in solum sapientem hoc competit: quandoquidem is solus est instrumentum Dei resonans, ab eo contactum & pulsatum inuisibiliter. proinde quotquot inter iustos censentur, inducuntur prophetæ pleni cælesti numine. Noe iustus nónne prophetat etiam? alioquin quomodo poterant benedictiones eius maledictionésque vim suam obtinere apud posteros? Quid Isaac? quid Iacob? & hos multis argumentis, præcipue vaticinijs quæ cecinerunt de suis posteris, prophetas fuisse credimus. Nam illud, Congregamini vt annunciem vobis quæ ventura sint vobis in diebus nouissimis: diuinantis erat oraculum: siquidem futurorum cognitio non est hominis propria. Quid Moses, nónne vbique propheta celebratur? Scribitur enim: Si fuerit vobis propheta Domini, per visionem ei me manifestabo: Mosi

autem ore ad os loquor palàm non per ænigmata. & rursum: Nullus propheta qualis Moses exortus est, quem alloquutus est Dominus facie ad faciem. & merito, nempe afflatum suo numine. quod enim in nobis est ratio, hoc in mundo sol. quia lucent ambo, alter mundo præbens lucem sensibilem, altera nos illustrans radijs intelligibilibus. siquidem donec mens nostra lucet velut meridianum splendorem diffundens per totam animam, intra nosipsos manemus. cæterum illa vergente ad occasum, meritò ecstasis & diuinus furor incidit. exoriente enim diuino lumine humanum occidit: ac rursum occidente illo hoc exoritur: id quod solet accidere prophetico generi. emigrat enim è nobis mens, immigrante diuino spiritu: quo recedente illa rursum reuertitur. non est enim fas vt mortalis cum immortali habitet. ideo rationis occasus & offusæ tenebræ excessum & diuinum furorem inducunt. Deinde pergit scriptura: Et dictum est ad Abraham. Sic enim propheta etiam cum loquitur, videtur reuera quiescere. Alius autem eius vocalibus instrumentis ore linguáque vtitur ad indicanda quæcunque vult: quæ pulsans arte musica inuisibiliter, sonoram concinnámque symphoniam efficit. Audiamus igitur quid prænunciet oraculum. Ante omnia quòd amatori virtutis non concedit Deus, vt tanquam in terra propria habitet in corpore, sed inquilinum agat in eo tanquam alienigena. Certò scias, inquit, quod semen tuum inquilinum erit in terra aliena.] Omnis autem mali viri cognatus locus corpus est, in quo habitare mauult quam inquilinum agere. hoc vnum documentum est. alterum vero, quod seruitutem & grauem afflictionem, atque vt ipse vocat humiliationem inferant animæ terrena ista habitacula. sunt enim externæ & vere alienæ à mente affectiones corporis, è carne natæ in qua radicantur. fit autem quadringentorum annorum seruitus iuxta quatuor affectionum potentias. nam incipiente voluptate fastus inflatur, ac erigitur, elatus inani leuitate: sed crescente concupiscentia nascitur absentium rerum desiderium, pendentem ab incerta spe relinquens animam. Sitit enim semper, nec vnquam potest bibere, Tantalium

A οὐ δι' αἰνιγμάτων. καὶ πάλιν, Οὐκ ἀνέστη ἔτι προφήτης ὡς Μωϋσῆς, ὃν ἔγνω αὐτὸν κύριος πρόσωπον πρὸς πρόσωπον. παγκάλως οὖν τὸ ἐνθουσιῶντα. ὅπερ γὰρ ἐν ἡμῖν λογισμὸς, τοῦτο ἐν κόσμῳ ἥλιος. ἐπειδὴ φωσφόρος ἑκάτερος, ὁ μὲν τῷ παντὶ φέγγος αἰσθητὸν ἐκπέμπων, ὁ δὲ ἡμῖν αὐτοῖς τὰς νοητὰς διὰ τῶν καταλήψεων αὐγάς. ἕως μὲν ἔτι περιλάμπει καὶ περιπολεῖ ἡμῶν ὁ νοῦς, μεσημβρινὸν οἷα φέγγος εἰς πᾶσαν τὴν ψυχὴν ἀναχέων, ἐν ἑαυτοῖς ὄντες, οὐ κατεχόμεθα· ἐπειδὰν δὲ πρὸς

B δυσμὰς γένηται, κατὰ τὸ εἰκὸς ἔκστασις, καὶ ἡ ἔνθεος ἐπιπίπτει κατοκωχή τε καὶ μανία. ὅτε μὲν γὰρ φῶς ἐπιλάμψει τὸ θεῖον, δύεται τὸ ἀνθρώπινον· ὅτε δ' ἐκεῖνο δύσει, τοῦτ' ἀνίσχει καὶ ἀνατέλλει. τῷ δὲ προφητικῷ γένει φιλεῖ τοῦτο συμβαίνειν. ἐξοικίζεται μὲν γὰρ ἐν ἡμῖν ὁ νοῦς, κατὰ τὴν τοῦ θείου πνεύματος ἄφιξιν· κατὰ δὲ τὴν μετανάστασιν αὐτοῦ, πάλιν εἰσοικίζεται. θέμις γὰρ οὐκ ἔστι θνητὸν ἀθανάτῳ συνοικῆσαι. διὰ

C τοῦτο ἡ δύσις τοῦ λογισμοῦ καὶ τὸ περὶ αὐτὸν σκότος, ἔκστασιν καὶ θεοφόρητον μανίαν ἐγέννησε. τὸ δὲ ἀκόλουθον προσυφαίνει τῇ γραφῇ, φάσκων, Ἐρρέθη πρὸς Ἀβραάμ. οὕτως γὰρ ὁ προφήτης καὶ ὁπότε λέγει, δοκεῖ πρὸς ἀλήθειαν ἡσυχάζειν· καταχρῆται δὲ ἕτερος αὐτοῦ τοῖς φωνητηρίοις ὀργάνοις στόματι καὶ γλώττῃ, πρὸς μήνυσιν ὧν ἂν θέλῃ. τέχνῃ δ' ἀοράτῳ καὶ παμμούσῳ ταῦτα κρούων, εὔηχα καὶ παναρμόνια καὶ γέμοντα συμφωνίας τῆς πάσης ἀποτελεῖ. ἴδωμεν

D δὴ ὅτι ἂν ἐρρέθη προθεσπισθέντα, καλὸν ἀκοῦσαι· πρῶτον μὲν, ὅτι τῷ φιλαρέτῳ κατοικεῖν οὐ δίδωσιν ὁ θεὸς, ὡς ἐν οἰκείᾳ γῇ, τῷ σώματι, ἀλλὰ παροικεῖν ὡς ἐν ἀλλοδαπῇ μόνον ἐπιτρέπει χώρᾳ. Γινώσκων γὰρ, φησὶ, γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ. παντὸς δὲ φαύλου συγγενὲς τὸ σώματος χωρίον, ἐν ᾧ μελετᾷ κατοικεῖν, οὐ παροικεῖν. ἓν μὲν δὴ παίδευμα τοῦτο· ἕτερον δὲ, ὅτι δουλείαν καὶ κάκωσιν καὶ δηλῶ, ὡς αὐτὸς ἔφη, ταπείνωσιν ἐπάγοντα τῇ ψυ-

E χῇ τὰ κατὰ γῆν ἐποικίδια. νόθα γὰρ καὶ ξένα διανοίας τὰ σώματος ὡς ἀληθῶς πάθη, (σαρκὸς ἐκπεφυκότα, ᾗ προσερρίζωνται). τετρακόσια δὲ ἔτη γίνεται ἡ δουλεία κατὰ τὰς τῶν τεττάρων παθῶν δυνάμεις. ἀρχούσης μὲν γὰρ ἡδονῆς, μετεωρίζεται καὶ φυσᾶται τὸ φρόνημα, χαύνῃ κουφότητι ἐξαιρόμενον· ὅταν δὲ ἐπιθυμία κρατήσῃ, ἔρως ἐγγίνεται τῶν ἀπόντων, καὶ τὴν ψυχὴν ὥσπερ ἀπ' ἀγχόνης ἐλπίδος ἀτελοῦς ἐκρέμασε. διψᾷ μὲν γὰρ ἀεὶ, πιεῖν δὲ ἀδυνατεῖ,

τὴν παντελῆ τιμωρίαν ὑπομένουσα. κατὰ δὲ τὴν τῆς λύπης δυναστείαν συνάγεται καὶ συστέλλεται, φυλλορροούντων καὶ ἀφαυαινομένων τρόπον δένδρων. τὸ γὰρ θαλερὸν αὐτῆς καὶ πῖον ἰσχναίνεται. φόβου γε μὴν τυραννήσαντος, οὐδεὶς ἔτι μένειν ἀξιοῖ, δρασμῷ δὲ καὶ φυγῇ χρῆται, μόνως ἂν οὕτως σωθήσεσθαι προσδοκῶν. ἐπιθυμία μὲν γὰρ ὁλκὸν ἔχουσα δύναμιν, κἂν φεύγῃ τὸ ποθούμενον διώκειν ἀναγκάζει. φόβος δ' ἔμπαλιν, ἀλλοτριότητα ἐμποιῶν, διοικίζει, καὶ μακρὰν τοῦ φαινομένου διΐστησιν· αἱ δὲ τῶν λεχθέντων ἡγεμονίαι παθῶν, βαρεῖαν τοῖς ἀρχομένοις ἐπάγουσι δουλείαν, ἄχρις ἂν ὁ βραβευτὴς καὶ δικαστὴς θεὸς διακρίνῃ τὸ κακούμενον ἀπὸ τοῦ κακοῦντος, καὶ τὸ μὲν εἰς ἐλευθερίαν ἐξέληται παντελῆ, τῷ δὲ τἀπίχειρα, ὧν ἐξήμαρτεν ἀποδῷ. λέγεται γάρ, Τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. ἀνάγκη γὰρ θνητὸν ὄντα τῷ τῶν παθῶν ἔθνει πιεσθῆναι, καὶ τὰς οἰκείας τῷ γινομένῳ κῆρας ἀναδέξασθαι. βούλημα δὲ θεοῦ, τὰ σύμφυτα κακὰ τοῦ γένους ἡμῶν ἐπικουφίζειν· ὥστε κἂν ἡμεῖς ἐν ἀρχῇ τὰ οἰκεῖα πεισθησώμεθα, ἡμῶν γινόμενοι δεσποτῶν δοῦλοι, καὶ ὁ θεὸς τὸ οἰκεῖον ἐργάσηται ἑαυτῷ, ἄφεσιν καὶ ἐλευθερίαν ταῖς ἱκέτισιν αὐτοῦ ψυχαῖς προκηρύξας, οὐ μόνον λύσιν δεσμῶν καὶ ἔξοδον ἐκ τῆς περιπεφρουρημένης εἱρκτῆς παρασχόμενος, ἀλλὰ καὶ ἐφόδια δούς, ἅπερ ἀποσκευὴν ἐκάλεσε. τί δὲ τοῦτ' ἐστὶν ἐπειδὰν ἄνωθεν ἀπ' οὐρανοῦ καταβὰς ὁ νοῦς ἐνδεθῇ ταῖς σώματος ἀνάγκαις, εἶτα ὑπὸ μηδεμιᾶς δελεασθεὶς οἷα ἀνδρόγυνος, ἢ γύνανδρος τὰ ἡδέα ἀσπάσηται κακά, μείνας δὲ ἐπὶ τῆς ἑαυτοῦ φύσεως, ἀνηρρένως τραχηλίζων, ἢ τραχηλίζεσθαι δυνάμενος, τῆς ἐγκυκλίου μουσικῆς ἐντραφεὶς ἅπασιν, ἐξ ὧν θεωρίας λαβὼν ἵμερον, ἐγκράτειαν καὶ καρτερίαν ἐρρωμένας ἀρετὰς ἐκτήσατο, μετοικισάμενος, καὶ κάθοδον τὴν εἰς πατρίδα εὑρισκόμενος, πάντ' ἐπάγεται τὰ παιδείας, ὅπερ ἀποσκευὴ καλεῖται. τοσαῦτα καὶ περὶ τούτων εἰπών, ἐπιλέγει, Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, μετ' εἰρήνης τραφεὶς ἐν γήρει καλῷ. οὐκοῦν οἱ μὲν ἀτελεῖς καὶ πολεμούμεθα, καὶ δουλεύομεν, καὶ μόλις ἀπαλλαγὴν τῶν ἐπικρεμασθέντων φοβερῶν εὑρισκόμεθα· τὸ δὲ τέλειον γένος, ἀδούλωτον, ἀπολέμητον, εἰρήνῃ καὶ ἐλευθερίᾳ βεβαιοτάτῃ ἐντρεφόμενον. δογματικῶς δὲ τὸν ἀστεῖον οὐκ ἀποθνήσκοντα, ἀλλ' ἀπερχόμενον εἰσήγαγεν, ἵν' ἄσβεστον καὶ ἀθάνατον τὸ τῆς κεκαθαρμένης

A luens supplicium. Quoties autem dolor præualet, contrahit se anima, more arborum marcescentium & frondes amittentium, decrescente vigore huius & pinguitudine. At pauore tyrannidem adepto, iam nemo audet manere, omnes de fuga cogitant, & in hac sola salutem collocant. Nam concupiscentia vim habens attractoriam, vel fugientem amatorem cogit, vt se sequatur. Contrà timor à se alienans repellit homines & longissime remouet. Quo-
B rum affectuum dominatio grauem seruitutem affert subditis, donec Deus præses & iudex afflictum ex affligentis potestate eripiat, restitutum libertati pristinæ, alteri vero mercedem peccati persoluat. sequitur enim: Gentem autem cui seruient ego iudicaturus sum: & post hæc egredientur cum magna substantia.] Necessum est enim vt mortalis homo prematur ab affectuum genere, & quicquid natum est expectet mala fatalia, sed Dei volun-
C tas cognatas nobis calamitates subleuat. Itaque si nos mox à principio nostrum fecerimus officium, & nobis ipsis seruiuerimus, Deus quoque nobis pro sua clementia non deerit, remissionem atque libertatem animabus ad se suppliciter confugientibus pollicitus, non tantum exitum è carcere custodijs septo & vinculorum solutionem offerens, sed & viaticum insuper, quæ vocatur substantia. Hoc quid sit dicam apertius. Quando intellectus
D è cælo delapsus illigatur corporis necessitatibus, vel absque illecebris, vt androgynus & effœminatus propria mala complectitur: quòd si perstitit in natura sua mascula paratus ad conflictationem, potest adscribi studiosis artium liberalium, & adeptus ex harum commercio temperantiam fortitudinémque robustas virtutes, remigrare in patriam vnà cum suis scientijs, quas scriptura vocat substantiam. Addit deinceps: Tu autem abibis ad patres tuos, cum pace nutritus in se-
E nectute bona.] Ergo nos imperfecti & bellum & seruitutem sustinemus, ægre inuenientes liberationem è periculis impendentibus. At illud perfectum genus perpetua libertate fruitur, in pace innutritum constantissima. inest autem dogma his verbis, bonum virum non mori, sed abire, vt ostendat inextinguibile & immortale genus perpurgatæ animæ, quæ hinc

in cælum proficiſcatur, abſque diſſolutione ac corruptione, quam mors videtur inducere. Abibis, inquit, ad Patres tuos.] Quoſnam Patres dicat conſiderandum exiſtimo. Nam de illis qui vixerunt in terra Chaldæorum, in quorum familia hæſerat Abraham, intelligi non poteſt, quando oraculo iuſſus eſt à cognatis ſecedere. Dixerat enim Dominus ad eum: Exi è terra tua, & è cognatione tua, & è domo patris tui, ad terram quam oſtendam tibi, & faciam te in gentem magnam. hunc diuino monitu profectum peregre, non eſt credibile reddi domeſticis: quod ne fieri quidem poterat, vt futurus princeps noui generis contribueretur veteri. nequaquam enim ei Deus daturus erat nouam gentem & nouum genus, niſi prius in totum ſeparato à veteri. hic eſt enim verus princeps gentis & generis, ex quo ceu è radice pullulauit illa contemplatiua rerum naturæ planta nominata Iſrael. ſiquidem præceptum eſt, vt à facie nouorum auferantur vetera. Quis enim eſt vſus antiquitatis & morum obſoletorum, quando repente nec opinantibus confertim noua bona imbris more impluunt. Patres igitur non illos relictos dicit, defoſſos in monumentis Chaldaicis, ſed vt quidam aiunt, ſolem, lunam, ſtelláſque cæteras. nam hæc terrena cuncta ex illis gigni putantur. Alij hoc dictum interpretantur de ideis archetypis intelligibilibus & inuiſibilibus, ad quarum exemplar hæc ſenſibilia quæ videmus facta ſunt: & harum ſapienti deſtinari contubernium. Rurſum alij ſuſpicantur patres dictos illas principales potentias quatuor, ex quibus mundus conſtat, terram, aquam, aerem, ignémque. in hæc enim res ſingulas aiunt diſſolui neceſſario. ſicut enim nomina, verba, & omnes orationis partes conficiuntur ex elementis grammaticis, ac rurſum diſſoluuntur in eadem: ſic vnuſquiſque noſtrum contemperatus ex his quatuor, & à ſingulis mutuatus quaſdam portiunculas, ad certum tempus reddit debitum, nimirum aridas terræ, humidas aquæ, calidas igni, frigidas aeri. & hæc quidem corporea. Cæterum intelligibile illud atque cæleſte genus animæ ad ætherem puriſſimum, tanquam ad

A ἄχραντος ψυχῆς ἀποφαίνῃ γένος, ἀποδημίᾳ τῇ ἐνθένδε πρὸς οὐρανὸν χρησάμενον, οὐ διαλύσει καὶ φθορᾷ, ἣν ἐπάγειν θάνατος δοκεῖ. μετὰ δὲ τὸ, Ἀπελεύσῃ, γέγραπται τὸ, Πρὸς τοὺς πατέρας σου· ποίους πατέρας, ἄξιον σκέψασθαι. τοὺς μὲν γὰρ ἐν γῇ Χαλδαίων βεβιωκότας, οἷς μόνοις ἐνεχρόνισε συγγένεσιν, οὐκ ἂν λέγοι, διότι χρησμῷ τῆς ἀφ᾽ αἵματος διῳκίσθη. Εἶπε γάρ, φησί, κύριος τῷ Ἀβραάμ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, πρὸς B τὴν γῆν ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα. τὸν γὰρ ἀλλοτριωθέντα ἐπιφροσύνῃ θείᾳ, πῶς ἦν τοῖς αὖθις εὔλογον οἰκειοῦσθαι πάλιν· πῶς δὲ τὸν ἔθνους καὶ γένους ἑτέρου μέλλοντα ἔσεσθαι ἡγεμόνα, προσκληροῦσθαι τῷ παλαιῷ. οὐ γὰρ ἂν ἐχαρίζετο καινὸν τρόπον τινὰ καὶ νέον ἔθνος, καὶ γένος αὐτῷ ὁ θεός, εἰ μὴ τοῦ ἀρχαίου κατὰ τὸ παντελὲς ἀπεσχοίνιζεν. ἐθνάρχης γὰρ καὶ γενάρχης ὡς ἀληθῶς ἐστὶν οὗτος, ἀφ᾽ οὗ καθάπερ ἀπὸ ῥίζης, τὸ θεωC ρητικὸν καὶ σκεπτικὸν τῶν τῆς φύσεως πραγμάτων ἀνεβλάστησεν ἔρνος, ὄνομα Ἰσραήλ· ἐπεὶ καὶ τὰ παλαιὰ ἐκ προσώπου νέων ἐκφέρειν διείρηται. ποῦ γὰρ ἀρχαιολογίας ἔτι καὶ παλαιῶν καὶ κατημαξευμένων ἐθῶν ὄφελος, οἷς ἐξαπιναίως οὐδὲν προσδοκήσασιν ἀθρόα καὶ νέα ὤμβρησεν ἀγαθά. πατέρας οὖν, οὐχ ὧν μετανάστης ἐγένετο ἡ ψυχή, καλεῖ τοὺς ἐν τοῖς Χαλδαϊκοῖς κατορωρυγμένους μνήμασιν, ἀλλ᾽ ὡς μὲν ἔνιοί φασιν, ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας. τῶν γὰρ κατὰ γῆν ἑπομένων D ἁπάντων, διὰ τούτων λόγος ἔχει συνίστασθαι· ὡς δέ τινες νομίζουσι, τὰς ἀρχετύπους ἰδέας, τὰς νοητὰς καὶ ἀοράτους ἐκείνας τῶν αἰσθητῶν καὶ ὁρωμένων τούτων παραδείγματα, πρὸς ἃς τὴν τοῦ σοφοῦ διάνοιαν μετοικίζεσθαι. τινὲς δὲ πατέρας ὑπετόπασαν εἰρῆσθαι τὰς τέσσαρας ἀρχάς τε καὶ δυνάμεις, ἐξ ὧν συνέστηκεν ὁ κόσμος, γῆν, ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ. εἰς γὰρ ταύτας ἕκαστον τῶν γενομένων φασὶν ἀναλύεσθαι δεόντως. καθάπερ γὰρ ὀνόματα καὶ ῥήματα, καὶ τὰ λόγου μέρη πάντα, συνέE στηκε μὲν ἐκ τῶν τῆς γραμματικῆς στοιχείων, ἀναλύεται δὲ πάλιν εἰς ἔσχατα ἐκεῖνα· τὸν αὐτὸν τρόπον ἕκαστος ἡμῶν συγκραθεὶς ἐκ τῶν τεσσάρων, καὶ δανεισάμενος ἀφ᾽ ἑκάστου οὐσίας μικρὰ μόρια, καθ᾽ ὡρισμένας περιόδους καιρῶν ἐκτίνει τὸ δάνειον· εἰ μέν τι ξηρὸν ᾖ, ἀποδιδοὺς γῇ· εἰ δὲ ὑγρόν, ὕδατι· εἰ δὲ ἔνθερμον, πυρί· εἰ δὲ ψυχρόν, ἀέρι. τὰ μὲν σωματικὰ ταῦτα· τὸ δὲ νοερὸν καὶ οὐράνιον τῆς ψυχῆς γένος, πρὸς αἰθέρα τὸν καθαρώτατον,

εἰς πρὸς πατέρα ἀφίξεται. πέμπτη γάρ, ὡς ὁ τῶν ἀρχαίων λόγος, ἔστω τις οὐσία κυκλοφορητική, τῶν τεσσάρων κατὰ τὸ κρεῖττον διαφέρουσα, ἐξ ἧς οἵ τε ἀστέρες, καὶ ὁ σύμπας οὐρανὸς ἔδοξε γεγενῆσθαι, ἧς κατὰ τὸ ἀκόλουθον θετέον καὶ τὴν ἀνθρωπίνην ψυχὴν ἀπόσπασμα. τὸ δέ, μετ' εἰρήνης τραφείς, οὐκ ἀπὸ σκοποῦ προσδιώρισται, ἀλλ' ὅτι σχεδὸν τὸ πλεῖστον ἀνθρώπων γένος, ἐπὶ πολέμῳ καὶ τοῖς ἐκ πολέμου κακοῖς πᾶσι τρέφεται· πόλεμος δὲ ὁ μέν ἀπὸ τῶν ἐκτός ἐστιν, ὃν ἀδοξία καὶ δυσγένεια καὶ τὰ ὁμοιότροπα ἐπάγουσιν· ὁ δ' ἀπὸ τῶν ἐμφυλίων, κατὰ μὲν τὸ σῶμα, ἀσθένειαι, λῶβαι, πηρώσεις, παντελεῖς, καὶ κηρῶν ἑσμὸς ἄλλων ἀμυθήτων, κατὰ δὲ τὴν ψυχήν, πάθος, νοσήματα, ἀρρωστήματα, δι' ἀφροσύνης καὶ ἀδικίας καὶ τῶν ὁμοιοτρόπων χαλεπαὶ καὶ βαρύταται ἐπαναστάσεις, καὶ ἀκαθαίρετοι δυνάμεις. μετ' εἰρήνης οὖν τραφείς, ὁ γαληνὸν καὶ εὔδιον κτησάμενος βίον, εὐδαίμονα ὡς ἀληθῶς καὶ μακάριον. πότε οὖν τοῦτο συμβήσεται· ὅταν εὐοδῇ μοι τὰ ἐκτὸς πρὸς εὐπορίαν καὶ εὐδοξίαν, εὐοδῇ τὰ σώματος πρὸς ὑγείαν τε καὶ ἰσχύν, εὐοδῇ δέ μοι τὰ ψυχῆς πρὸς ἀπόλαυσιν ἀρετῶν. χρῄζει γὰρ ἕκαστον οἰκείων δορυφόρων· δορυφορεῖται δὲ σῶμα μὲν εὐδοξίᾳ καὶ περιουσίᾳ καὶ ἀφθονίᾳ πλούτου· ψυχὴ δέ, τῷ τοῦ σώματος ὁλοκλήρῳ καὶ κατὰ πάντα ὑγιεινῷ· ὁ δὲ νοῦς ὑπὸ τῶν ἐν τῇ ἐπιστήμῃ θεωρημάτων. ἐπεὶ ὅτι γε εἰρήνης οὐχ ἣν αἱ πόλεις ἄγουσι μέμνηται, σαφές ἐστι τοῖς ἐντυγχάνουσι ταῖς ἱεραῖς γραφαῖς. μεγάλους γὰρ καὶ βαρεῖς πολέμους Ἀβραὰμ ἀνεδέξατο, οὓς καθῃρηκὼς φαίνεται· καὶ ἡ τῆς πατρῴας μέντοι γῆς ἀπόλειψις, μετανισταμένῳ καὶ πόλιν οἰκῆσαι μὴ δυναμένῳ, φερομένῳ δὲ ὧδε κἀκεῖσε, καὶ ἐρήμους καὶ ἀτριβεῖς ὁδοὺς ἀλωμένῳ, τῷ μὴ θεοπροπίοις καὶ λογίοις θεσφάτοις πεπιστευκότι βαρὺς ἂν ἦν πόλεμος. ἀλλὰ δεῖ γὰρ καὶ τελεῖν τῶν φοβερῶν προσαναφιλονεικεῖσθαι, λιμοῦ, μεταναστάσεως καὶ πολέμου, κακῶν χείρονα. ποίαν οὖν εἰρήνην ἤγαγεν. τὸ γάρ, οἶμαι, μετανίστασθαι, καὶ ἀνίδρυτον εἶναι, καὶ βασιλεῦσιν ἀμάχοις ἐναντιοῦσθαι δυνάμενον, καὶ λιμῷ πιέζεσθαι, πόλεμον οὐχ ἕνα, πολλοὺς δὲ καὶ πολυτρόπους ἔοικε μηνύειν· ἀλλ' ἔν γε ταῖς δι' ὑπονοιῶν ἀποδόσεσιν, εἰρήνης ἀκεραίου δεῖγμα ἕκαστον αὐτῶν εἶναι συμβέβηκε. παθῶν γὰρ ἔνδεια, καὶ λιμός, καὶ καθαίρεσις ἐχθρῶν ἀδικημάτων, καὶ μετανάστασις ἀπὸ χαλδαϊκῆς δόξης πρὸς τὸ φιλόθεον, τουτέστιν ἀπὸ τοῦ γεγονότος αἰσθητοῦ πρὸς τὸ νοητὸν καὶ πεποιηκὸς αἴτιον, εὐνομίαν καὶ εὐστάθειαν

A patrem perueniet. sit enim hæc, vt prisci docent, quinta quædam essentia motu orbiculari prædita, cæteris quatuor melior, ex qua & cælum & sidera facta fuisse videntur: & quantum colligere possumus, humana quoque anima eius est particula. Illud porrò, in pace nutritus, non temere additur: sed quia maxima pars hominum nutritur in bello & bellicis calamitatibus. est autem bellum alterum externum, quod
B infert obscuritas, ignobilitas, & quicquid est simile. alterum ciuile, quo partim corpus impetitur à morbis, læsionibus, mutilationibus, aliísque pestibus innumeris: partim anima oppugnatur ab affectibus ægritudinibus, stultitia, iniustitia, similiúmque tyrannorum insultibus grauissimis & inuictis viribus. itaque in pace nutritur, cui serena tranquilláque vita contigit, vere felix ac beata. at quando hæc contingit? quan-
C do in rebus externis bene se habent facultates & existimatio, corpus robore ac prospera valetudine fruitur, anima vero virtutibus. opus est enim his singulis suo satellitio. corpori pro satellitibus sunt gloria, diuitiæ, potentia: animæ autem, sanitas atque integritas corporis: at menti, contemplatiuæ scientiæ. Nam de ciuili pace hæc non intelligi, liquet è sacræ scripturæ lectione. Maxima enim grauiáque bella & susce-
D pit & debellauit Abraham. Quin & derelicta patria, nec vlla certa sedes concessa, homini vltro citróque vaganti per deserta & inuia, graue bellum fuisset, ni sustentatus esset fide oraculi. Erant enim ei ferendæ calamitates non mediocres, fames, exilium, & bellum his molestius. Qualem igitur pacem habuit? Nam, vt opinor, peregrinatio, sedes incertæ, cum potentibus regibus contentio, famis onus,
E non simplicem afferebant belli speciem. Verùm si rem penitus introspicias, hæc ipsa sunt sinceræ pacis indicia. nam ex affectibus emigratio, & perturbationum inopia, & deletæ iniquitatum infestæ copiæ, & à Chaldaicis opinionibus ad pias ac religiosas transitus, hoc est à sensibilibus creaturis ad autorem earum intelligibilem, tranquillam firmámque pacem conciliant. In tali pace

degenti bona senectus promittitur, non longæuitas, sed vita cum prudentia. nam felices dies multis annis meliores sunt, sicut breuis lux melior quam æternæ tenebræ. Salubriter enim dixit vir propheta, malle se vnam diem cum virtute viuere, quam mille annos in vmbra mortis, per vmbram, vitam malam subindicans. idem nunc quoque re magis quam verbis Moses docet. nam hunc cui bonam senectutem pollicetur, breuioris æui facit quàm vllum ex eius maioribus, philosophice nos erudiens, quænam sit vere bona senectus, ne hoc promissum intelligamus de senectute quæ apparet in corpore, plena probrosis fœditatibus: sed de prudentia constantiáque animi dictum accipiendo honestatem prædicemus de senectute, à qua seniores denominamus honoris gratia. Disce igitur hoc dogma nostri legislatoris, soli bono viro bonam senectutem & longæuitatem contingere. malum autem breuissimo tempore mortem meditari, vel potius virtuti iam esse mortuum. Sequuntur hæc verba: Quarta generatione reuertentur huc] vt non solum sciat tempus post quod posteri deducendi erant in coloniam, verumetiam discat perfectam virtutis absolutionem. hæc autem quarta (vt ita loquar) generatione absoluitur. id quomodo fiat consideremus. Infans per septennium à natiuitate proximum in ætate puerili puram naturam sortitur, leui tabulæ similem nullis bonis malisve signatæ formulis. quicquid enim imprimitur, propter molliciem deletur aut confunditur. Secunda ætas quæ puerilem excipit, cum vitijs incipit habere commercium, quæ solet vel secum adducece, vel aliunde libenter accipere. complures enim habet magistros nequiciæ, nutrices, pædagogos, parentes, mores & leges receptas in singulis ciuitatibus, à quibus discunt mirari quæ ridere debuerant, etiam absque his sponte procliues ad crimina, adeo feraces vitiorum vt his scateant. Prona est, inquit, mens hominis ad maliciam, iam inde ab ætate tenera. hæc est illa maledicta quæ figurate generatio, proprie vero ætas dicitur, quo tempore tum corpus quod pro fundamento est, tum animus turgescit, accensus affectibus se

A κατασκευάζουσιν. ὑπισχνεῖται δὲ τῷ τοιούτῳ ἄγοντι εἰρήνην, καλὸν γῆρας, οὐ δήπου πολυχρόνιον, ἀλλὰ τὸ μετὰ φρονήσεως ζῆν. τὸ γὰρ ἀνήμερον πολυετίας κρεῖττον, ὅσῳ καὶ βραχύτερον φῶς σκότους αἰωνίου. μίαν γὰρ ἡμέραν ὑγιῶς εἶπέ τις προφήτης ἀνὴρ, βούλεσθαι βιῶναι μετ' ἀρετῆς, ἢ μυρία ἔτη ἐν σκιᾷ τοῦ θανάτου, σκιὰν τὸν φαῦλον αἰνιττόμενος βίον. τὸ δ' αὐτὸ καὶ νῦν ἔργῳ μᾶλλον ἢ ῥήματι διαστωνίζησι Μωσῆς. ὃν γὰρ ἀναγράφει γήρᾳ χρησάμενον καλῷ, τῶν πρὸ
B αὐτοῦ σχεδὸν ἁπάντων ὀλιγοχρονιώτατον εἰσήγαγε, φιλοσοφῶν καὶ διδάσκων ἡμᾶς, τίς ὁ πρὸς ἀλήθειαν εὐγηρώς ἐστιν, ἵνα μὴ παλαιὸν τῦφον ἐπὶ τοῦ φανεροῦ σώματός ποτε ἀναδεξώμεθα, γέμοντα αἰσχύνης καὶ πολλῶν ὀνειδῶν· ἀλλ' εὐβουλίαν καὶ σταθερότητα ψυχῆς ἰδόντες, τὸ γέρως ἀδελφὸν καὶ παρώνυμον καλὸν γῆρας, ἐπιφημίσωμέν τε καὶ μαρτυρήσωμεν. δογματικῶς οὖν ἄκουε κατὰ τὸν νομοθέτην, μόνον τὸν ἀστεῖον, εὐγή-
C ρων καὶ μακροβιώτατον· ὀλιγοχρονιώτατον δὲ τὸν φαῦλον ἀποθνήσκειν μανθάνοντα, μᾶλλον δὲ τὴν ἀρετῆς ζωὴν ἤδη τετελευτηκότα. λέγεται δ' ἑξῆς, Τετάρτη γενεᾷ ἀποστραφήσονται ὧδε, οὐχ ἵνα μόνον αὐτῷ μηνυθῇ ὁ χρόνος ἐν ᾧ τὴν ἱερὰν οἰκήσουσι γῆν, ἀλλ' ὑπὲρ τοῦ καὶ τὴν τελείαν ἀποκατάστασιν ἀρετῆς παραστῆσαι. τῷ δὲ ὡσανεὶ τετάρτῃ γενεᾷ, ὃν δὲ τρόπον, ἄξιον συνδιασκέψασθαι. ἀποκυηθὲν τὸ βρέφος ἄχρι τῆς πρώτης ἑπταετίας ἐν ἡλικίᾳ τῇ παιδικῇ φύσεως ἀ-
D κραιφνοῦς μεμοίραται, λείῳ μάλιστα ἐμφερεοῦς, ἀχαράκτοις ἀγαθῶν καὶ κακῶν χαρακτῆρσι μήπω τετυπωμένη. καὶ γὰρ ὅσα γράφεσθαι δοκεῖ, δι' ὑγρότητα ἐπαλειφόμενα συγχεῖται. προσέτι μέντοι ἤδη ὡσανεὶ γενεὰ ψυχῆς· δευτέρα δὲ, ἥτις μετὰ τὴν παιδικὴν ἡλικίαν κακοῖς ἄρχεται συζῆν, ἅ, τε ἐξ ἑαυτῆς εἴωθε γεννᾶν, καὶ ὅσα παρὰ τῶν ἄλλων ἀσμένως δέχεται. διδάσκαλοί τε γὰρ ἁμαρτημάτων μυρίοι, τίτθαι, καὶ παιδαγωγοί, καὶ γονεῖς, καὶ οἱ κατὰ πόλεις γεγραμμένοι νόμοι καὶ
E ἄγραφοι, θαυμάζοντες ἃ χρὴ γελᾶσθαι, καὶ ἄνευ τῶν διδαξάντων, αὐτομαθής ἐστιν αὕτη πρὸς ὑπαίτια, ὡς ὑπ' εὐφορίας ἀεὶ κακῶν βρίθειν. Ἔγκειται γὰρ, φησὶν, ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. ἡ δὲ ἐστὶν ἡ ἐπαναστατικωτάτη γενεὰ μὲν συμβολικῶς, κυρίως δὲ ἡλικία, καθ' ἣν τό, τε σῶμα ἡ βάσις, καὶ ἡ ψυχὴ πεφύσηται, τῶν ἐντυφομένων ἀναρριπιζομένων παθῶν, ἄγαν τε ἀστάχυς καὶ

πεδία καὶ ὅσα ἂν τύχῃ καταπιμπρᾶσι. τούτων τὴν ἐπίνοσον γενεάν, ἢ ἡλικίαν ὑπὸ τινος τρίτης, οἷα ὑπὸ ἰατρικῆς, φιλοσοφίας νοσηλευθεῖσαν χρὴ καταπαυθῆναι λόγοις ὑγιεινοῖς καὶ σωτηρίοις, δι' ὧν κένωσιν μὲν ἐνδέξεται τῆς ἀμέτρου τῶν ἁμαρτημάτων πλησμονῆς· πλήρωσιν δὲ λιμηρᾶς κενώσεως τῶν κατορθωμάτων καὶ ἐρημίας ἡδονῆς. μετὰ τὴν θεραπείαν οὖν ταύτην, τετάρτη γενεᾷ φύεται ψυχῇ δύναμίς τε καὶ ῥώμη κατὰ τὴν τῆς φρονήσεως βεβαιοτάτην ἀνάληψιν, καὶ τὸ ἐν ἁπάσαις ἀρεταῖς ἀκλινές τε καὶ πάγιον· τοῦτ' ἔστι τὸ λεγόμενον, Τετάρτη γενεᾷ ἀποστραφήσονται ὧδε. κατὰ γὰρ τὸν διεξελθόντα τέταρτον ἀριθμὸν ἀποστραφεῖσα τοῦ διαμαρτάνειν ἡ ψυχή, κληρονόμος ἀποδείκνυται σοφίας. πρῶτος μὲν γὰρ ἀριθμός, καθ' ὃν οὔτε ἀγαθῶν οὔτε κακῶν ἔννοιαν λαβεῖν ἔστιν, ἀτυπώτου ψυχῆς ὑπαρχούσης· δεύτερος δὲ καθ' ὃν φορᾷ τῶν ἁμαρτημάτων χρώμεθα· τρίτος δέ, ἐν ᾧ θεραπευόμεθα, τὰ νοσερὰ διωθούμενοι, καὶ τὴν ἀκμὴν τῶν παθῶν ἀφηνιάζοντες· τέταρτος δέ, ἐν ᾧ παντελοῦς ὑγείας καὶ ῥώσεως μεταποιούμεθα, ὁπότε ἀποστρεφόμενοι τὰ φαῦλα, καλοῖς ἐγχειρεῖν δοκοῦμεν· πρότερον δὲ οὐκ ἔξεστι. τὸ δ' ἄχρι τίνος, αὐτὸς μηνύει, λέγων, Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἀνομίαι τῶν Ἀμμορραίων. δίδωσι δὲ ἀφορμὴν τοῖς ἀσθενεστέροις τὰ τοιαῦτα, ὡς ὑπολαμβάνειν, ὅτι Μωϋσῆς εἱμαρμένην καὶ ἀνάγκην ὡς αἰτίας τῶν γινομένων ἁπάντων εἰσάγει. χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι ἀκολουθίαν μὲν καὶ εἱρμὸν καὶ ἐπιπλοκὰς αἰτιῶν, ἅτε φιλόσοφος καὶ θεοφόρητος ἀνὴρ ὤν, οἶδε· τούτοις δ' οὐκ ἀνάπτει τὰς τῶν γινομένων αἰτίας. ἐφαντασιώθη γὰρ πρεσβύτερον ἄλλο ἐποχούμενον τοῖς ὅλοις ἡνιόχου τρόπον ἢ κυβερνήτου. πηδαλιουχεῖ γὰρ τὸ κοινὸν τοῦ κόσμου σκάφος, ᾧ τὰ πάντα ἐμπλεῖ, καὶ τὸ πτηνὸν ἅρμα τὸν σύμπαντα οὐρανὸν ἡνιοχεῖ, χρώμενος αὐτεξουσίῳ καὶ αὐτοκράτορι βασιλείᾳ. τί οὖν καὶ περὶ τούτων λεκτέον; ἑρμηνεύονται Ἀμμορραῖοι λαλοῦντες. τὸ δὲ μέγιστον ἀγαθὸν ἀνθρώπῳ δωρηθὲν ὑπὸ φύσεως τὸν λόγον, μυρίοι τῶν λαβόντων διέφθειραν, ἀχαρίστως καὶ ἀπίστως τῇ δούσῃ προσενεχθέντες. οὗτοι δ' εἰσὶν οἱ κόλακες, οἱ γόητες, οἱ πιθανῶν σοφισμάτων εὑρεταί· φενακίσαι καὶ παρακρούσασθαι μᾶλλον εὖ εἰδότες, τοῦ δὲ ἀψευδεῖν οὐ πεφροντικότες. ἐπιτηδεύουσι μέντοι καὶ ἀσάφειαν· ἀσάφεια δὲ βαθὺ σκότος ἐν λόγῳ, κλέπταις δὲ συνεργὸν τὸ

A proferentibus, segetes & campos & obuia cuncta exurentibus. Hanc morbidam seu generationem seu ætatem tertia sequitur, quæ philosophiam ei ceu medicinam adhibeat, curaturam morbos salubribus sermonibus, per quos exhauriatur vitiorum nimietas, & suppleto quod ad virtutem deerat, voluptas ablegetur quam longissime. Post hanc curationem iam quarta generatione anima solidum robur prudentiæ colligit, & constantiam in
B omnibus virtutibus. Et hoc est quod dicitur, Quarta generatione reuertentur huc. nam circa hunc quartum numerum à peccatis auersus animus declaratur hæres sapientiæ. primus numerus, nec bonorum nec malorum capax, est nondum formatæ animæ. in secundo vbertim vitia proueniunt. tertio sanitatem recipimus deferuentibus affectibus: quarto in ea confirmamur, & solidum robur acquirimus, quando à malis auersi
C bona tractare aggredimur, quod antea non licuit. Quid autem remoretur ipse indicat dicens, Nondum enim consummatæ sunt iniquitates Amorrhæorum.] Hinc quidam infirmiores occasionem arripiunt, vt suspicentur Mosem fatum ac necessitatem causas rerum inducere. Sciendum est autem, consequentiam seriémque causarum inter se implexarum non ignotam fuisse homini philosopho diuinis assueto colloquijs,
D attamen euentus eum his non attribuere. Videbat enim aliquid antiquius quod hoc vniuerso vectetur tanquam auriga vel gubernator. hic enim communis nauis, videlicet mundi, clauo assidet, in qua omnes nauigant, & volucrem cæli currum agitat pro imperio. Quid igitur super his rebus dicendum est? Amorrhæi loquentes interpretantur. Maximum autem bonum homini à natura datum sermonem plurimi vitiaue-
E runt acceptum, ingrate perfidéque hoc vsi contra largitricem. Hi sunt adulatores, præstigiatores, inuentores sophismatum persuasibilium, impostores fallaciarum peritissimi, de mendacio vitando haud soliciti, & insuper affectatores obscuritatis. est autem obscuritas caligo profunda in sermone, res commodissima furibus. Quapropter Moses summum pontificem claritate ornat & veri-

tate, volens perſpicuam ſimul & veracem eſſe viri boni orationem. At vulgus hominum obſcuram atque mendacem mauult ſectari, in quorum grege cenſetur contemptiſſimus quiſque, vltro ſe decipiendum offerens. Ergo donec conſummentur Amorrhæorum peccata, hoc eſt ſermones ſophiſtici, qui non facile conuincuntur, ſed valent nos rationibus perſuaſibilibus ductare, non poſſumus eos auerſari talibus ineſcati illecebris, & manere apud eos cogimur. Quod ſi omnes mendaces perſuaſiones bona fide coarguantur, & ad hoſtimentum peccata compleantur, continuato curſu fugiemus, & oram ſoluentes nauigabimus à regione mendaciorum ac ſophiſmatum ad veritatis ſtationes portúſque tutiſſimos. Atque ita ſatis demonſtratum puto, eſſe impoſſibile auerſari, odiſſe, deſerere, mendacia probabilia rationibus veriſimilibus, niſi detegatur ad plenum eorum iniquitas: quæ tum demum apparebit, ſi diligenter cum veritate conferatur. Sequitur deinceps: Poſt occaſum autem ſolis emicuit flamma] quibus verbis ſignificatur, virtutem eſſe rem ſerotinam, atque etiam vt quidam aiunt, ſub vitæ finem conſtabiliri. hanc flammæ dicit ſimilem. nam ſicut flamma vrit ſubiectam materiam, illuſtrans vicinum aerem: ad eundem modum virtus exurit vitia, totam mentem replens lumine. Sed donec ſermones non examinati collatione & indiſcreti valent perſuaſionibus, quos Amorrhæos vocant ſacræ literæ, lucidiſſimum puriſſimúmque ſplendorem videre non poſſumus: verùm more fornacis igne carentis, & vt ipſe vates ait fumantis, affecti ſumus, ſcientiæ ſcintillis vaporati, nondum tamen idonei vt igne probemur confirmemúrque. Gratias ingentes agamus ei qui tales nobis ſcintillas indidit, ne mens tanquam cadauer frigeat, ſed tepida fomento virtutis caleat, donec in ignem ſacrum mutemur ſicut Nadab & Abiud. Fumus autem ante ignem exoritur, & appropinquantibus ciet lacrymas. Vtrumque nobis etiam ſolet accidere. ad virtutis nuncios accedendo perfectionem ſperamus, quæ ni contingat non temperamus à lacrymis. ſiquidem amator deſiderio tabeſcens

A πάθος· οὗ χάριν Μωσῆς τὸν ἀρχιερέα δηλώσει καὶ ἀληθείᾳ διακεκόσμηκεν, ἀεὶ δῆλον ἀξιῶν εἶναι καὶ ἀληθῆ τὸν τοῦ σπουδαίου λόγον· οἱ δὲ πολλοὶ, τὸν ἄδηλον καὶ ψευδῆ μεταδιώκουσιν, ᾧ συνεπιγράφεται πᾶς ὁ τῶν ἀγελαίων καὶ ἠμελημένων ἀνθρώπων ἀπατώμενος ὄχλος. ἕως μὲν οὖν οὐκ ἀναπεπλήρωνται τὰ ἁμαρτήματα τῶν ἀμμοῤῥαίων, τουτέστι τῶν σοφιστικῶν λόγων, διὰ τὸ ἀνεξέλεγκτον, ἀλλ' ἔτι ἐφόλκιον ἔχοντα δύναμιν ταῖς πιθανότησιν ἡμᾶς ἐπάγεται, ἀποστραφῆναι B καὶ καταλιπεῖν αὐτὸ οὐ δυνάμενοι, τῷ δελεάζεσθαι καταπειθόμενοι· ἐὰν δὲ πᾶσαι αἱ ψευδεῖς πιθανότητες διελεγχθῶσιν ὑπὸ τῶν ἀληθῶς πίστεων, καὶ πλήρεις αὐτῶν καὶ ἐντελεῖς αἱ ἁμαρτίαι περιφανῶσιν, ἀποδρασόμεθα ἀμεταστρεπτί, καὶ μονονοὺ τὰ ἐπίγεια αἰρόμενοι, τῆς τῶν ψευσμάτων καὶ σοφισμάτων χώρας ἐξαναχθησόμεθα, τοῖς ἀληθείας ναυλοχωτάτοις ὑποδρόμοις καὶ λιμέσιν ἐνορμίσασθαι ἐπειγόμενοι. τοῦ-C τον δὴ τὸ δηλούμενον ὑπὸ τῆς περιστάσεως, ἀμήχανον ἀποστραφῆναι καὶ μισῆσαι καὶ καταλιπεῖν τὸ πιθανὸν ψεῦδος, εἰ μὴ τὸ περὶ αὐτὸ ἁμάρτημα πλῆρες ἀναφανῇ καὶ τέλειον· ἀναφανεῖται δὲ ἐκ τοῦ μὴ παρέργως διελεγχθῆναι κατὰ τὴν ἀληθοῦς ἀντίταξιν καὶ βεβαίωσιν. λέγει δ' ἑξῆς, Ἐπεὶ δὲ ἐγίνετο ὁ ἥλιος πρὸς δυσμαῖς, φλὸξ ἐγένετο, δηλῶν ὅτι ἀρετὴ πρᾶγμά ἐστιν ὀψίγονον, καὶ μὴν ὡς ἔφασάν τινες, πρὸς αὐταῖς ταῖς τοῦ βίου δυσμαῖς βεβαιούμενον. ἀρετὴν δ' ἀπει-D κάζει φλογί. καθάπερ γὰρ ἡ φλὸξ καίει μὲν τὴν παραβληθεῖσαν ὕλην, φωτίζει δὲ τὸν γείτονα ἀέρα· τὸν αὐτὸν τρόπον ἐμπίπρησι μὲν τὰ ἁμαρτήματα ἡ ἀρετή, φέγγους δὲ τὴν ὅλην ἀναπίμπλησι διάνοιαν. ἀλλὰ γὰρ ἔτι τῶν ἀδιαιρέτων καὶ ἀμερίστων λόγων ἐπικρατούντων πιθανότησιν, οὓς ἀμμοῤῥαίους ἀνακαλεῖ, περιφανεστάτην καὶ ἄσκιον αὐγὴν ἰδεῖν οὐ δυνάμεθα· κλιβάνου δὲ εἰλικρινὲς πῦρ οὐκ ἔχοντος, ἀλλ' ὡς αὐτὸς ἔφη, καπνιζομένου E τρόπον διακείμεθα, σπινθῆρσι μὲν τοῖς ἐπιστήμης ἐπιτυφόμενοι, μήπω δὲ πυρὶ δοκιμασθῆναι καὶ κραταιωθῆναι δυνάμενοι. πολλὴ δὲ τῷ παρέχοντι τοὺς σπινθῆρας χάρις, ἵνα μὴ νεκρῶν τρόπον σωμάτων ὁ νοῦς καταψυχῇ, ἀλλ' ἔνθερμος ὢν καὶ ἀλεαινόμενος ὑπεκκαύμασιν ἀρετῆς ζωπυρῆται, μέχρι τοῦ τὴν εἰς πῦρ ἱερὸν, ὡς ὁ Ναδὰβ καὶ Ἀβιοὺδ, δέξασθαι μεταβολήν. καπνὸς δὲ γίνεται μὲν πρὸ πυρὸς, δακρύειν δὲ βιάζεται τοὺς πλησιάζοντας· ἀμφότερα δὲ φιλεῖ συμβαίνειν· τοῖς γὰρ ἀρετῆς

ἀγγέλοις προσχρώμενοι τελειότητα ἐλπίζομεν, A καὶ εἰ μήπω δυναίμεθα τυχεῖν αὐτῆς, οὐκ ἀδακρυτὶ διαγενόμεθα ἀνιώμενοι. πολὺς γὰρ ὅταν ἵμερος ἐντακῇ, πρὸς τὴν τοῦ ποθουμένου θήραν ἐπισπεύδει, καὶ ἄχρι τοῦ καταλαβεῖν κατηφεῖν ἀναγκάζει. κλιβάνῳ δὲ νῦν ἐξωμοίωσε τὴν ψυχὴν τοῦ φιλομαθοῦς καὶ ἐλπίδα τελειώσεως ἔχοντος, ἐπειδὴ τροφῆς πεπτομένης ἑκάτερον ἀγγεῖόν ἐστιν, ὁ μὲν τῆς διὰ σιτίων φθαρτῶν, ἡ δὲ τῆς δι' ἀφθάρτων ἀρετῶν. αἱ δὲ λαμπάδες τοῦ πυρὸς αἱ δᾳδουχούμεναι B τοῦ δᾳδούχου θεοῦ κρίσεις εἰσίν, αἱ λαμπραὶ καὶ διαυγεῖς, αἷς ἔθος μέσαις τῶν διχοτομημάτων, λέγω δὲ τῶν ἐναντιοτήτων, ἐξ ὧν ἅπας ὁ κόσμος συνέστηκε, διέρχεσθαι. λέγεται γὰρ, Λαμπάδες πυρὸς, αἳ διῆλθον μέσον τῶν διχοτομημάτων, ἵνα γνῷς ὅτι αἱ θεῖαι δυνάμεις διὰ μέσων καὶ πραγμάτων καὶ σωμάτων ἰοῦσαι, φθείρουσι μὲν οὐδέν· μένει γὰρ ἀπαθῆ τὰ διχοτομήματα· διαιροῦσι δὲ καὶ διαστέλλουσι σφόδρα καλῶς τὰς ἑκάστων φύσεις. τῆς οὖν τῶν εἰρημένων ἐπιστήμης κληρονόμος δικαίως C ἀποδείκνυται ὁ σοφός. Ἐν γὰρ τῇ ἡμέρᾳ, φησὶν, ἐκείνῃ, συνέθετο κύριος τῷ Ἀβραὰμ συνθήκην λέγων, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ποίαν γῆν δηλοῖ, ὅτι μὴ τὴν προειρημένην, ἐφ' ἣν ποιεῖται τὴν ἀναφορὰν, ἧς ἐστιν ὁ καρπὸς κατάληψις ἀσφαλὴς καὶ βεβαιοτάτη τῆς τοῦ θεοῦ σοφίας, καθ' ἣν τὰ σύμπαντα τοῖς τομεῦσιν ἑαυτοῦ διαφυλάττει ἀπαθῆ τὰ ἀγαθὰ κακοῦ, κατὰ τὰ ἐπὶ τοῖς τὴν γένεσιν ἀφθάρτοις. εἶτ' ἐπιλέγει, Ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, D ποταμοῦ Εὐφράτου, δηλῶν ὅτι οἱ τέλειοι, τὰς μὲν ἀρχὰς ἔχουσιν ἀπὸ σώματος καὶ αἰσθήσεως, καὶ τῶν ὀργανικῶν μερῶν, ὧν ἄνευ ζῆν οὐκ ἔστι· χρήσιμα γὰρ πρὸς τὴν ἐν τῷ μετὰ σώματος βίῳ παιδείαν· τὰ δὲ τέλη, ἐπὶ τὴν τοῦ θεοῦ σοφίαν, τὸν μέγαν ὡς ἀληθῶς ποταμὸν, χαρᾶς καὶ εὐφροσύνης καὶ τῶν ἄλλων ἀγαθῶν πλημμυροῦντα. οὐ γὰρ ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου, ἕως τοῦ Αἰγυπτίου ποταμοῦ, ὃς τὴν χώραν περιγράφει· οὐ γὰρ ἂν ἀρετὴν εἰς E τὰ σωματικὰ πάθη κατεβίβασαν· ἀλλ' ἔμπαλιν ἀπὸ τοῦ Αἰγυπτίου, ἕως τοῦ μεγάλου Εὐφράτου. ἀπὸ γὰρ τῶν θνητῶν αἱ οἰκειώσεις γίνονται πρὸς τὰ ἄφθαρτα.

ad fores amorum suorum properat, mœstus donec eis potiatur. Confertur autem nunc cum fornace anima discendi cupidi & sperantis absolutam scientiam, quia in hoc vtroque vase cibus coquitur, alter è frumento corruptibili, alter è virtutibus incorruptibilibus. Cæterum faces ardentes sunt Dei facem gerentis iudicia clara & splendida, quæ solent per medium dimidiatorum, contrarietatum inquam, ex quibus totus mundus constat, incedere. Legitur enim sic: Et faces ardentes transeuntes inter dissecta animalia.] Vt scias quòd diuinæ potentiæ transeuntes per medium rerum & corporum, nihil tamen corrumpant: manent enim illæsæ partes dimidiæ. pulchrè autem per has potentias diuiduntur naturæ singulæ. Et harum rerum scientiæ quis iustior hæres declaratur, quam vir sapiens? In illa die, inquit, pepigit Dominus fœdus cum Abrahamo, dicens: Semini tuo dabo terram hanc. Quam terram, nisi de qua supra dictum est, ad quam hæc referuntur, cuius fructus est certa firmáque perceptio Dei sapientiæ: per quam sapientiam ille cuncta conseruat, suis incisorijs bona à malis illæsa separans, vt genera incorrupta maneant. post hæc addit: A flumine Ægypti ad magnum flumen Euphratem] docens quòd perfecti principia quidem habent à corpore & sensu & instrumentalibus partibus, sine quibus non viuitur, vtilibus ad instituendam vitam quam in corpore degimus: desinunt autem in Dei sapientiam, magnum reuera fluuium, gaudio lætitiáque redundantem, & bonis cæteris. non est enim cur putes circumscribi hanc terram Euphrate flumine alteróque illo Ægyptio. nunquam virtus ad corporeos affectus demittitur. magis conuenit dicere: ab Ægyptio flumine ad magnum illum Euphratem. nam à mortalibus transitus fiunt ad immortalia.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ, ΒΙΟΣ ΠΟΛΙΤΙΚΟΥ, ΟΠΕΡ ΕΣΤΙ ΠΕΡΙ ΙΩΣΗΦ.

PHILONIS IVDÆI, VITA VIRI CIVILIS, SIVE DE IOSEPH.

TRES ſunt ſpecies per quas ad optimum finem tendimus, eruditio, natura, meditatio: tres item ſapientum antiquiſſimos à Moſe accepimus ab his cognominatos, quorum vitas quoniam ſcripſi, tum eam quæ per doctrinã, tum eam quæ ſuapte natura contingit, eam etiam quæ meditatione paratur, quartam deinceps ſcripturus ſum ciuilem, à qua vnus è phylarchis commendatur, qui à tenera ætata in eam inciderat. Cœpit enim in hoc genere verſari annos natus circiter ſeptemdecim, præfectus curandis gregibus, quæ diſciplina cum ciuili conuenit. Et hoc eſt, opinor, cur poetæ reges vocant paſtores populi. Nam qui ſummus eſt in arte pecuaria, facile bonus rex euadet, pulcherrimo gregi hominum præpoſitus, approbata induſtria in minore negotio. Siquidem quemadmodum futuro imperatori neceſſaria ſunt exercitia venatoria: ſic admouendis ad curam reipublicæ, proprie paſtoralis ars congruit, velut præludium quoddam magiſtratuum. Proinde cum pater in eo generoſum animum conſideraret, & maiorem quàm pro priuata fortuna, mirabatur fouebátque, diligens eum præ cæteris filijs, eo magis quòd proles erat ſerotina, qui non exiguus eſt ad beneuolentiam ſtimulus: & quia delectabatur honeſtate pueri, accendebat eius ingeniũ accuratiore tractatione, ne premeretur diutius, ſed quamprimum eluceſceret. Sed inuidia magnarum felicitatum aduerſaria perpetua, tunc quoque domum fortunatam aggreſſa perturbauit, concitatis cõtra vnum pluribus fratribus, qui tanto odio eum proſequebantur, quanta

A ΤΡΕΙΣ μὲν εἰσὶν ἰδέαι, δι' ὧν τὸ ἄριστον τέλος, μάθησις, φύσις, ἄσκησις· τρεῖς δὲ καὶ σοφῶν οἱ πρεσβύτατοι κατὰ Μωϋσῆν ἐπώνυμοι τούτων, ὧν τοὺς βίους ἀναγεγραφώς, τόν τε ἐκ διδασκαλίας, καὶ τὸν αὐτομαθῆ, καὶ τὸν ἀσκητικόν, τέταρτον κατὰ τὸ ἑξῆς ἀναγράψω τὸν πολιτικόν, οὗ πάλιν ἐπώνυμον ἕνα τῶν φυλάρχων δια-

B συνίστησιν, ἐκ πρώτης ἡλικίας συγκροτηθέντα. ἤρξατο μὲν τοίνυν συγκροτεῖσθαι, περὶ ἔτη γεγονὼς ἑπτὰ καὶ δέκα, τοῖς κατὰ ποιμενικὴν θεωρήμασιν, ἃ συνᾴδει τοῖς περὶ πόλιν. ὅθεν οἶμαι καὶ τὸ ποιητικὸν γένος ποιμένας λαῶν τοὺς βασιλεῖς εἴωθεν ὀνομάζειν. ὁ γὰρ τὴν ποιμενικὴν ἄκρος, ἄριστος ἂν εἴη καὶ βασιλεύς, τῆς καλλίστης ζώων ἀγέλης ἀνθρώπων τὴν ἐπιμέλειαν, ἐν ταῖς ἐλάττονος σπουδῆς ἀξίαις ἀναδιδαχθείς· καὶ καθά-

C περ τῷ μέλλοντι πολεμαρχεῖν καὶ στρατηγεῖν ἀναγκαιόταται αἱ περὶ τὰ κυνηγέσια μελέται, τὸν αὐτὸν τρόπον καὶ οἷς ἐλπὶς ἐπιτροπεύσειν πόλεως, οἰκειότατον ποιμενική, προαγωγή τις οὖσα στρατηγίας. ἐνορῶν οὖν ὁ πατὴρ αὐτοῦ φρόνημα εὐγενὲς καὶ μεῖζον ἢ κατὰ ἰδιώτην, ἐθαύμαζε καὶ περιεῖπε, καὶ τῶν ἄλλων υἱῶν μᾶλλον ἔστεργεν, ἐπεὶ ὀψίγονος ἦν· ὅπερ οὐδενὸς ἧττον ἀγωγόν ἐστιν εἰς εὔνοιαν, καὶ ἅτε φιλόκαλος ὤν, ἐξωπύρει τὴν

D τοῦ παιδὸς φύσιν ἐξαιρέτοις καὶ περιτταῖς ἐπιμελείαις, ἵνα μὴ ἐντύφηται μόνον, ἀλλὰ καὶ θᾶττον ἐκλάμψῃ. φθόνος δὲ ὁ ἀεὶ ταῖς μεγάλαις εὐπραγίαις ἀντίπαλος, καὶ τότε πᾶσι τοῖς μέρεσιν οἰκίαν κατορθοῦσαν ἐπιθέμενος διέστησε, καθ' ἑνὸς πολλοὺς ἀδελφοὺς ἀλείψας, οἳ τῇ πρὸς ἐκεῖνον εὐνοίᾳ τοῦ πατρὸς ἰσόρροπον δύσνοιαν ἐπεδείκνυντο, μισοῦντες ὅσον ἐστέργετο.

τὸ δὲ μῖσος οὐκ ἐξελάλουν, ἀλλ' ἐν αὐτοῖς ἐπιμένον ὅθεν εἰκότως ἀργαλεώτερον ἐφύετο. τὰ γὰρ στεγόμενα πάθη μὴ διαπνέοντα τοῖς ἀπισοῦσι λόγοις βαρύτερα. χρώμενος οὖν ἀκακωτέροις ἤθεσι, καὶ τὴν οἰκουρουμένην ἔχθραν ἐκ τῶν ἀδελφῶν οὐ συνιείς, ὄναρ ἰδὼν αἴσιον, ὡς δὴ φίλοις διηγεῖται. ἔδοξα γάρ, φησίν, ἀμήτου καιρὸν ἐφεστάναι, καὶ πάντας ἡμᾶς ἀφικομένους εἰς τὸ πεδίον ἐπὶ τὴν τοῦ καρποῦ συλλογήν, δρέπανα λαβόντας θερίζειν· αἰφνίδιον δὲ τὸ μὲν ἐμὸν δράγμα ὑπανίστασθαι καὶ μετεωρισθὲν ὀρθὸν ἵστασθαι, τὰ δὲ ὑμέτερα, ὥσπερ ἀπὸ συνθήματος ἐπιδραμόντα τεθηπέναι, καὶ μετὰ τιμῆς τῆς πάσης προσκυνεῖν. οἱ δὲ εἰς σύνεσιν ἀκριβεῖς καὶ δεινοὶ διὰ συμβόλων ἐξηγήσασθαι πρᾶγμα δηλούμενον εἰκόσι στοχασμοῖς, μὴ νομίζεις, ἔφασαν, ἔσεσθαι βασιλεὺς ἡμῶν καὶ κύριος; ταῦτα γὰρ διὰ τῆς κατεψευσμένης φαντασίας ὑπαινίττῃ. τὸ δὲ μῖσος ἔτι μᾶλλον ἐζωπυρεῖτο, προσλαμβάνον ἀεὶ τινὰ χώραν πρόφασιν εἰς συναύξησιν· ὁ δὲ οὐδὲν ὑπιδόμενος, ὀλίγαις ὕστερον ἡμέραις ὄναρ ἰδὼν ἕτερον καταπληκτικώτερον τοῦ προτέρου, τοῖς ἀδελφοῖς ἀνέφηνεν. ᾤετο γὰρ ἥλιον καὶ σελήνην καὶ ἕνδεκα ἀστέρας ἥκοντας προσκυνεῖν αὐτόν, ὡς τὸν πατέρα θαυμάσαντα τὸ γεγονός, ἐναποθέσθαι τῇ διανοίᾳ, ταμιεύοντα καὶ σκοπούμενον τὸ ἐσόμενον· ἐμβριθῶς δ' ἐνουθέτει τὸν παῖδα, κατὰ δέος τοῦ μή τι διαμαρτεῖν, καί φησιν, ἆρα δυνησόμεθα ἐγώ τε καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ προσκυνῆσαί σε; διὰ μὲν γὰρ ἡλίου τὸν πατέρα, διὰ δὲ σελήνης τὴν μητέρα, διὰ δὲ τῶν ἕνδεκα ἀστέρων τοὺς ἀδελφοὺς ἀποσημαίνειν ἔοικας, ὃ μηδὲ εἰς νοῦν ποτὲ ἔλθοι τὸν σόν, ὦ παῖ· λαθοῦσα δὲ καὶ ἡ μνήμη τῶν φανέντων, ὑπεξέλθοι. τὸ γὰρ τὴν ἐπὶ τοῖς οἰκείοις ἐλπίζειν καὶ καραδοκεῖν ἡγεμονίαν, ἀπευκτὸν ἄγαν παρ' ἐμοὶ κριτῇ, νομίζω δὲ καὶ παρὰ πᾶσιν, ὅσοις ἰσότητος μέλει καὶ συγγενικῶν δικαίων. εὐλαβηθεὶς δ' ὁ πατήρ, μή τις ἐκ τῆς συναντήσεως ἐπιγένηται ταραχὴ καὶ στάσις τοῖς ἀδελφοῖς μνησικακοῦσιν ὑπὲρ τῶν ὀνειράτων ᾧ θεασαμένῳ, τοὺς μὲν ἐκπέμπει ποιμανοῦντας, τὸν δὲ οἴκοι περιεφύλαττεν ἄχρι καιροῦ τοῦ προσήκοντος, εἰδὼς ὅτι τῶν τῆς ψυχῆς παθῶν καὶ νοσημάτων λέγεται εἶναι χρόνος ἰατρός, ἱκανὸς καὶ πένθος ἀνελεῖν, καὶ θυμὸν σβέσαι, καὶ φόβον θεραπεῦσαι. πάντα γὰρ ἐξημεροῖ καὶ ὅσα κατὰ τὴν φύσιν δυσίατα. ὡς δ' ὑπετόπασε μηδὲν ἔτι ταῖς διανοίαις αὐτῶν ἔχθος ἐνοικουρεῖν, ἐκπέμπει τὸν υἱόν, ἅμα μὲν τοὺς ἀδελφοὺς ἀσπασόμενον, ἅμα δὲ καὶ

A pater beneuolentia, tegentes tamen id & dispensantes in tempus aliud: vnde magis angebatur in dies. nam affectus qui premuntur ne per verba exspirent, grauiores redduntur. At ille innocenter simplex non intelligens domesticas fratrum inimicitias, viso somnio non irrito, vt amicis id aperuit. Vidi, inquit, messi me præpositum, & omnes nos in campo ad colligendas fruges præsto fuisse cum falcibus. ibi repente meum manipu- B lum erectum constitisse, vestros vero tanquam ex composito accurrisse ad eum venerabundos, & reuerenter adorasse. Tum illi prudentia pollentes, & significatum per coniecturas verisimiles vestigare idonei: Putásne, inquiunt, regem te fore nostrum & Dominum? id enim ementita visione subindicas. atque ita odium magis ac magis accendebatur, auctum quotidianis occasionibus. ille tamen nihil suspicans, cum C post paucos dies vidisset alterum magis stupendum somnium, & hoc narrauit fratribus. Visus erat videre ad se venientem solem & lunam & stellas vndecim: quod pater miratus in mente recondidit de euentu præsagij solicitus. Grauiter autem obiurgabat filium, timens ne quid ille peccaret, Potéstne, inquit, fieri vt ego matérque & fratres adoremus te? nam per solem patrem, per lunam matrem, per vndecim stellas fratres D significare videris: quod caue ne vnquam in mentem tibi, mi puer, veniat. trade potius obliuioni visiones istas nefarias. Nam sperare & expectare principatum inter domesticos, res abominanda est, me iudice: nec aliter iudicare puto cæteros, quibus æqualitatis & cognationis iura nota sunt. Veritus autem ne forte præsentibus omnibus aliquid seditionis inter fratres orietur ex ingrata somniorum memoria, illos ablegat E ad pascua, hunc domi seruat ad tempus, gnarus quòd affectuum animæ ac morborum tempus dicatur medicus, & luctui tollendo, & furori sedando, & timori percurando efficax. cuncta enim reddit leuiora, etiam quæ non facile sanantur. Vbi vero cogitauit iam euanuisse simultates domesticas, misit filium, tum vt fratres salutaret, tum vt renunciaret satin salui sint vel ipsi vel eo-

rum pecora. Hoc iter initium fuit A magnorum & bonorum & malorum, vtrorumque præter expectationem. profectus est ille ad visendos fratres, ita vt pater iusserat. Qui procul conspicati venientem, mutuo se appellabant verbis nihil sanum ominantibus, quando ne nominare quidem eum dignabantur, sed somniatorem appellabant attonitum visionum prodigijs. Tantum autem irarum conceperant, vt in cædem eius si non omnes certe plures conspirauerint, B volentes eum in baratrum aliquod proijcere, ne deprehenderetur facinus. Sunt autem in ijs locis multæ cisternæ profundæ admodum. itaque minimum abfuerunt à fratricidio, quod solus fratrum maximus ægre dissuasit, iubens abstinerent ab inexpiabili scelere, tantum in vnam quampiam cisternam eum proijcerent, de salute adolescentis cogitans, vt post aliorum discessum C ipse patri restitueret incolumem. Quo impetrato venientem complexus est, cæteri hostiliter comprehensum spoliant, spoliatum demittunt per funem in profundam foueam: vestem eius cruentam hœdi sanguine transmittunt ad patrem, cum prætextu quasi absumptus esset à bestijs. eadem die negotiatores quidam iter faciebant ex Arabia in Ægyptum cum sarcinis: his fratrem extractum vendunt, D autore fratre quarto à primogenito. Hic enim (vt opinor) metuens, ne ab iratis frater per dolum interimeretur, cum vendi quàm mori maluit, leuius malum seruitutem existimans. At natu maximus qui abfuerat interim, postquam introspexit cisternam, nec vidit quem paulo ante ibi reliquerat, vociferabatur & furibundus discursabat scissis præ dolore vestibus, E capillos sibi vellens, & quid accidisset rogitans. Viuit ne puer an extinctus est? Si non superest, saltem cadauer ostendite, vt deplorando calamitatem leuiorem faciam. Solatium erit videre vel mortuum. Cur mortuum quoque odio prosequimur? certe sublatis nemo inuidet. Quod si viuit, quò abijt? apud quos seruatur? nam me suspectum non opinor, vt etiam de mea fide dubitari debeat.

δηλώσοντα πῶς ἔχοιεν αὐτοί τε καὶ αἱ τῶν θρεμμάτων ἀγέλαι. ταύτην τὴν ὁδὸν ἀρχὴν συνέβη γενέσθαι μεγάλων κακῶν τε αὖ καὶ ἀγαθῶν, παρ' ἐλπίδας ἑκατέρων. ὁ μὲν γὰρ τοῖς ἐπισκήψασι πειθαρχῶν τοῦ πατρὸς, ᾔει πρὸς τοὺς ἀδελφούς. οἱ δὲ μακρόθεν ἀφικνούμενον ἰδόντες ἄλλος ἄλλῳ διελάλουν οὐδὲν εὔφημον, ὁπότε οὐδ' ὀνόματι προσαγορεῦσαι ἠξίουν αὐτὸν, ἀλλ' ὀνειροπλῆκτα καὶ ἐνυπνιαστὴν, καὶ τὰ τοιαῦτα ἐπεφήμιζον· καὶ ἐπὶ τοσοῦτον προῆλθον ὀργῆς, ὥστε καὶ τὸν ἐπ' αὐτῷ φόνον οὐ πάντες, ἀλλ' οἱ πλείους ἐβουλεύσαντο, καὶ ὑπὲρ τοῦ μὴ καταφωραθῆναι, ῥίψειν ἀνελόντες ἐγνώκεσαν εἰς ὄρυγμα γῆς βαθύτατον· πολλαὶ δέ εἰσι περὶ τὸν τόπον ὕδατος ὄμβρων δεξαμεναί· καὶ μικροῦ τὸ μέγιστον ἄγος ἀδελφοκτονίας εἰργάσαντο, εἰ μὴ παρηγορίαις τοῦ πρεσβυτάτου μόλις ἐπείσθησαν, ὃς παρῄνει μὴ ἐφάψασθαι τοῦ μιάσματος, ἀλλ' αὐτὸ μόνον εἰς ἓν τῶν ὀρυγμάτων ῥίψαι, διανοούμενός τι σωτήριον, ἵνα λαβὼν μετὰ τὴν ἀναχώρησιν, ἀπαθῆ πάντως κακοῦ διαπέμψῃ τῷ πατρί· συναινεσάντων δὲ, ὁ μὲν προσιὼν ἠσπάζετο, οἱ δὲ ὡς πολέμιον συλλαβόντες, ἀπέσπων ἀπαμπίσχοντες τὴν ἐσθῆτα. καὶ τὸν μὲν καθιμῶσιν εἰς βαθὺν βόθρον· τὴν δ' ἐρίφου αἵματι φοινίξαντες, διαπέμπουσι τῷ πατρὶ, προφάσει, ὡς ὑπὸ θηρίων διαπολωλότος. ἐκείνῃ δὲ τῇ ἡμέρᾳ κατά τινα συντυχίαν ἔμποροί τινες ὡδοιπόρουν τὸ ἔθος ἔχοντες ἀπ' Ἀραβίας εἰς Αἴγυπτον κομίζειν φορτία· οἷς ἀνελκύσαντες τὸν ἀδελφὸν πιπράσκουσιν, ἡγησαμένου τὴν γνώμην τοῦ καθ' ἡλικίαν τετάρτου. καὶ γὰρ οὗτός μοι δοκῶ δείσας μὴ ὑπὸ τῆς ὀργῆς ἀμείλικτον ἐπ' αὐτῷ ζωπυρούντων δολοφονηθῇ, συνεβούλευσεν ἀποδόσθαι, δουλείαν ὑπαλλαττόμενος θανάτου, κουφότερον κακὸν μείζονος· ὁ δὲ πρεσβύτατος· οὐ γὰρ παρῆν πιπρασκομένου· διακύψας καὶ μὴ κατιδὼν ὃν ἀπολελοίπει πρὸ μικροῦ, ἐβόα καὶ ἐκεκράγει, καὶ τὰς ἐσθῆτας περιρρηξάμενος, ἄνω καὶ κάτω καθάπερ ἐμμανὴς ἐφέρετο τὰς χεῖρας κροτῶν, καὶ τὰς τρίχας τίλλων, τί πέπονθε λέγων. εἴπατε, ζῇ, ἢ τέθνηκεν; εἰ μὲν οὐκ ἔστι, δείξατέ μοι τὸν νεκρὸν, ἵν' ἐπιδακρύσας τῷ σώματι, λωφήσω τῆς συμφορᾶς· ἰδὼν κείμενον παρηγορηθήσομαι. τί καὶ νεκρῷ μνησικακοῦμεν· πρὸς τοὺς ἐκ ποδῶν φθόνος οὐδεὶς φύεται. εἰ δὲ ζῇ, ποῖ γῆς ἀπελήλυθε· φυλάττεται παρὰ τίσιν. οὐ γὰρ δὴ κἀγὼ καθάπερ ἐκεῖνος, ἐν ὑποψίαις εἰμὶ ὡς ἀπιστεῖσθαι.

εἰπόντων

ἐμπόρων δὲ ὅτι πέπραται, καὶ τὴν τιμὴν ἐπιδεικνυμένων, καλὴν ἐμπορίαν, εἶπεν, ἐστείλασθε· τὰ κέρδη διανεμώμεθα· τοῖς ἀνδραποδισταῖς περὶ κακίας ἄθλων ἁμιλλησάμενοι, στεφανηφορῶμεν· προσυπερβαλόντες αὐτοὺς ὠμότητι, σεμνυνώμεθα. κατὰ ἀλλοτρίων ἐκεῖνοι συνίστανται, κατὰ δ' οἰκειοτάτων καὶ φιλτάτων ἡμεῖς. κεχειρούργηται μέγα ὄνειδος, περιβόητος αἰσχύνη. μνημεῖα καλοκαγαθίας οἱ πατέρες ἡμῶν πανταχοῦ τῆς οἰκουμένης ἀπέλιπον, ἀπολειψόμεθα καὶ ὑμεῖς ἀπιστίας καὶ μισανθρωπίας ἀθεραπεύτους διαβολάς· φθάνουσι γὰρ αἱ τῶν μεγαλουργηθέντων φῆμαι πανταχόσε, τῶν μὲν ἐπαινετῶν θαυμαζόμεναι, τῶν δὲ ὑπαιτίων ψόγου καὶ κατηγορίας τυγχάνουσαι. τίνα ἄρα τρόπον ὁ πατὴρ ἡμῶν τὴν περὶ τῶν συμβεβηκότων ἀκοὴν δέξεται. τρισμακαρίῳ καὶ τρισευδαίμονι τὸν καθ' ἡμᾶς βίον ἀβίωτον προήρησθε· τὸν πραθέντα τῆς δουλείας, ἢ τοὺς πεπρακότας τῆς ὠμότητος οἰκτιεῖται; πολὺ μᾶλλον εὖ οἶδα ἡμᾶς· ἐπεὶ καὶ τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν χαλεπώτερον. τὸ μὲν γὰρ, δυσὶ βοηθεῖται τοῖς μεγίστοις, ἐλέῳ καὶ ἐλπίδι· τὸ δὲ οὐδὲ ἑτέρου μετέχον, ἁπᾶσιν ἥτταται τοῖς κριταῖς. ἀλλὰ τί ταῦτα θρηνῶν ἀπηχῶ· βέλτιον ἡσυχάζειν, μὴ καὶ αὐτὸς παραπολαύσω τινὸς ἀπευκτοῦ. τραχύτατοι γὰρ ὀργὴν καὶ ἀπαραίτητοι, καὶ πυρὸς λαμπρότερος ἔτι ὁ ἐν ἑκάστῳ θυμός. ὡς δὲ ἤκουσεν ὁ πατὴρ οὐ τἀληθὲς, ὅτι πέπραται ὁ υἱὸς αὐτοῦ, τὸ δὲ ψεῦδος ὅτι τέθνηκε, καὶ ὡς ὑπὸ θηρίων ἐξανάλωται, πληχθεὶς τὰ μὲν ὦτα διὰ τῶν λεγομένων, τοὺς δ' ὀφθαλμοὺς διὰ τοῦ φανέντος· ὁ γὰρ χιτὼν αὐτοῦ κατεσχισμένος καὶ κατῃκισμένος· καὶ πολλῷ αἵματι πεφοινιγμένος ἐκεκόμιστο· συγχυθεὶς ὑπὸ τοῦ περιπαθοῦς, ἀχανὴς ἐπὶ πλεῖστον χρόνον ἔκειτο, μηδ' ὅσον τὴν κεφαλὴν ἐπᾶραι δυνάμενος, θλιβούσης καὶ ἐκτραχηλιζούσης τῆς συμφορᾶς· εἶθ' ὥσπερ τινὰ πηγὴν δακρύων ἐξαίφνης ἀνεὶς μετ' οἰμωγῆς πικρᾶς, παίσας καὶ γένεια καὶ στέρνα κατέρρηξε, καὶ τὰς περὶ αὐτὸν ἐσθῆτας, ἅμα τοιαῦτ' ἐπιλέγων, οὐχ ὁ θάνατός με λυπεῖ τέκνον, ἀλλ' ὁ τοιοῦτος τάφος· εἰ ἐπὶ γῆς ἐτάφης τῆς σῆς, παρηγορούμην· ἐθεράπευσα, ἐνοσήλευσα πρότερον ἀποθνήσκοντα, τελευταίων ἀσπασμάτων ἐκοινώνησα, τοὺς ὀφθαλμοὺς συνέκλεισα, ἐπεδάκρυσα κειμένῳ τῷ νεκρῷ, πολυτελῶς ἐκήδευσα, τῶν νομιζομένων οὐδὲν παρέλιπον· ἀλλ' εἰ καὶ ἐπὶ τῆς ξένης, εἶπον ἄν, τὸ οἰκεῖον ὄφλημα τῆς φύσεως ἀπολαβούσης, ὦ σῶε, μὴ κατηφεῖ·

A illis vero fassis venditum, & pretium proferentibus: Bella, inquit, negotiatio. partiamur lucrum, & prædonum quos malicia vincimus, referamus præmium. Egregia vero crudelitatis palma, quæ nobis merito placeat. Illi in alienos conspirant, nos in domesticos, & charissimos. Admissum est probrum maximum, insigne dedecus. Maiorum nostrorum probitatis monumenta nusquam terrarum non exstant, relinquamus & B nos inhumanitatis perfidiæque maculas ineluibiles apud posteros. Volat enim vbique fama nuncia magnorum facinorum, non sine admiratione laudabilium, & noxiorum vituperio. Quomodo communis pater hunc casum accipiet? cui cætera beato felicissimóque vitæ affertis tædium. illius ne miseri seruitutem, an nostram deflebit sæuitiam? nostram vicem magis dolebit sat scio: quando C leuius malum est pati, quàm inferre iniuriam. Nam alterum subleuatur duobus magnis remedijs, spe atque miseratione. Alteri autem obnoxius, damnatur publico mortalium iudicio. Sed quid ego hæc clamito? præstat silere, ne mihi quoque aliquid obueniat, quod non libet dicere. Exasperati enim estis implacabiliter, & palàm spiratis iracundiam. Cæterum vbi ad patrem perlatum est, non quod verum erat, venditum esse filium, sed commentum illud de ab-D sumpto à bestijs, ictus aures nuncio, simúlque oculos spectaculo (allata enim fuerat tunica lacera cruentáque fœdum in modum) dolore turbatus, obmutuit per longum temporis spatium, ne caput quidem valens attollere oppressum tanta calamitate. Tandem repente effusus in lacrymas, velut è fonte prorumpentes, plangebat pectus & faciem, scissis vestibus lamentans: Non tam mor-E tem tuam, fili mi, doleo, quàm sepulchri iacturam. Nam si tibi sepulchrum contigisset in terra propria, nec mihi deesset solatium. Officiose assedissem ægrotanti ante mortem, impendissem morienti extrema oscula, clausissem oculos, mortuum perfudissem lacrymis, extulissem magnifice, nihil omisissem è iustis funebribus. Atque etiam si peregre defunctus esses, dixissem ad meipsum, persolutum est naturæ debitum, noli tristari.

Viui habent suas patrias, mortuorum omnis terra sepulchrum est, breuis æui sunt omnes homines. Nam qui maxime longæuus fuit, quantillum temporis vixit si ad æternitatem id conferas? vel si omnino moriturus eras per vim & insidias, leuius fuisset extingui manibus hominum, qui mortuum saltem miserati obruissent terra, & cadauer tumulassent. aut, vt crudelissimi fuerint, quid amplius potuissent quam insepultum proijcere? quem mox viator aliquis præteriens, memor naturæ communis, humasset tactus misericordia. Nunc vt fertur, immites & carniuoras bestias pauisti & saturasti meis visceribus. Hactenus multos labores inopinatos exantlaui, in his miserijs abunde sum exercitus, errando, peregrinando, mercede seruiendo, dura ferendo imperia, vsque ad vitæ periculum exagitatus à quibus minime oportuit. multa vidi, multa audiui, multa passus grauia, quibus ad patientiam eruditus perduraui. Sed nihil præsenti casu intolerabilius, qui totum animi mei robur subuertit atque deiecit. Quis enim luctus potest esse maior aut miserabilior? vestis pueri ad patrem perlata est: ex ipso non membrum, non frustum, non vel minimæ reliquiæ: totum deuorarunt bestiæ, nihil superest quod sepulchro inferatur. ac ne vestem quidem recepi, nisi vt ad eius aspectum recrudescat doloris memoria, ne vnquam tantæ calamitatis obliuio possit obrepere. Sic ille sortem suam deplorabat. Negotiatores autem vendunt puerum in Ægypto eunucho cuidam regio qui culinæ præerat. Cæterum post denarratam historiam videndum quid sub eius cortice lateat. Nam pleræque & propemodum omnes in lege scriptæ suam habent allegoriam. Hic vitæ modus de quo agitur, apud Hebræos Ioseph vocatur, apud Græcos Domini appositio, aptissimo nomine ac rei præsenti conuenientissimo. Est enim rerum naturæ auctarium ciuilis administratio qua vtuntur populi. Nam mundus hic est magna ciuitas, vnam reipublicæ formam, & vnum ius habens. Continentur autem edicto naturæ iussa de agendis, & vetita de non agendis.

A πρὸς ζῶντας αἱ πατρίδες, ἀποθανόντων δὲ πᾶσα γῆ τάφος. ὠκύμοροι δή εἰσι πάντες ἄνθρωποι. καὶ γὰρ ὁ μακροβιώτατος, ὀλιγοχρονιώτατος ἀντεξεταζόμενος αἰῶνι. εἰ δὲ δὴ καὶ βιαίως καὶ ἐξ ἐπιβουλῆς ἔδει θνήσκειν, ἦν ἄν μοι κουφότερον κακὸν ὑπ' ἀνθρώπων ἀναιρεθέντος, οἱ κτείναντες, νεκρὸν ἂν ἠλέησαν ὡς ἐπαμήσασθαι κόνιν, καὶ τὸ σῶμα συγκρύψαι. εἰ δὲ καὶ πάντων ἐγεγένηντο ὠμότατοι, τί πλέον εἶχον ἢ ῥίψαντες ἄταφον ἀπαλλάττεσθαι· τὸν δὴ ἐν ὁδῷ παριόντων
B ἴσως τις ἐπιστὰς καὶ θεασάμενος, οἶκτον τῆς κοινῆς λαβὼν φύσεως, ἐπιμελείας καὶ ταφῆς ἠξίωσε· νυνὶ δ' ὡς λόγος, ἀτιθάσοις καὶ σαρκοβόροις θηρσὶν εὐωχία καὶ θοίνη γέγονας γαστρὶ σπλάγχνοις καὶ ἑστιαθεῖσι τῶν ἐμῶν σπλάγχνων. ἀθλητής εἰμι τῶν ἀβουλήτων, ἐκ δὲ γεγύμνασμαι πολλαῖς κακοπαθείαις, ἀλώμενος, ξενιτεύων, θητεύων, ἀναγκαζόμενος, ἄχρι καὶ ψυχῆς ἐπιβουλευόμενος ὑφ' ὧν ἥκιστ' ἐχρῆν. καὶ πολλὰ μὲν εἶδον, πολλὰ δ'
C ἤκουσα, μυρία δ' αὐτὸς ἔπαθον τῶν δυσχερῶν, ἐφ' οἷς παιδευθεὶς μετριοπαθεῖν, οὐκ ἐκάμφθην. ἀλλ' οὐδὲν τοῦ συμβεβηκότος ἀφορητότερον, ὅ μου τὴν ῥώμην τῆς ψυχῆς ἀνατέτραφε καὶ καθήρηκε. τί γὰρ μεῖζον ἢ οἰκτρότερον πένθος· ἡ μὲν ἐσθὴς τοῦ παιδὸς διακεκόμισταί μοι τῷ πατρί· τοῦ δὲ οὐ μέρος, οὐ μέλος, οὐ βραχὺ λείψανον, ἀλλ' ὁ μὲν ὅλος δι' ὅλων δεδαπάνηται, μηδὲ ταφῆς ἀξιωθεὶς μεταλαχεῖν. ἤδη δ' ἂν ἐκπεμφθῆναί μοι δοκεῖ τὸ παράπαν, εἰ μὴ πρὸς
D ἀιδίας ὑπόμνησιν καὶ ὧν ὑπέμεινε καινήσω, εἰς ἀλήστους καὶ συνεχεῖς ἐμοὶ συμφοράς. καὶ ὁ μὲν τοιαῦτ' ἀπωδύρετο. οἱ δ' ἔμποροι πιπράσκουσι τὸν παῖδα ἐν Αἰγύπτῳ τῶν εὐνούχων τινὶ τοῦ βασιλέως, ὅς ἐστιν ἀρχιμάγειρος. ἄξιον μέντοι μετὰ τὴν ῥητὴν διήγησιν, καὶ τὰ ἐν ὑπονοίαις προσαποδοῦναι. σχεδὸν γὰρ τὰ πάντα ἢ τὰ πλεῖστα τῆς νομοθεσίας ἀλληγορεῖται. ὁ τοίνυν ἐπικρινόμενος τρόπος, παρὰ μὲν Ἑβραίοις Ἰωσὴφ καλεῖται, παρὰ δὲ Ἕλλησι κυρίου πρόσθεσις, εὐθυβολώ-
E τατον καὶ τῷ δηλουμένῳ πράγματι οἰκειότατον. προσθήκη γάρ ἐστι τῆς κυρίας ἁπάντων δυναμένης φύσεως, ἡ κατὰ δήμους πολιτεία. ὁ μὲν γὰρ μεγαλόπολις ὅδε ὁ κόσμος ἐστί, καὶ μιᾷ χρῆται πολιτείᾳ καὶ νόμῳ ἑνί. λόγος δέ ἐστι φύσεως, προστακτικὸς μὲν ὧν πρακτέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον· αἱ δὲ κατὰ τόπους αὗται πόλεις, ἀπερίγραφοί τε εἰσὶν ἀριθμῷ, καὶ πολιτείαις χρῶνται διαφερούσαις, καὶ νόμοις οὐχὶ τοῖς αὐτοῖς.

ἄλλα γὰρ παρ' ἄλλοις ἔθη καὶ νόμιμα πρεσβευόμενα καὶ προστεθειμένα· αἴτιον δὲ, τὸ ἄμικτον καὶ ἀκοινώνητον, οὐ μόνον Ἑλλήνων πρὸς βαρβάρους, ἢ βαρβάρων πρὸς Ἕλληνας, ἀλλὰ καὶ τὸ ἑκατέρου γένους ἰδίᾳ πρὸς τὸ ὁμόφυλον· εἶθ' ὡς ἔοικε τὰ ἀναίτια αἰτιώμενοι, καιροὺς ἀσυμβάτους, ἀγονίαν καρπῶν, τὸ λυπρόγεων, τὴν θέσιν ὅτι παράλιος, ἢ μεσόγειος, ἢ κατὰ νῆσον, ἢ κατὰ ἤπειρον, ἢ ὅσα τούτοις ὁμοιότροπα, τἀληθὲς ἡσυχάζουσιν. ἔστι δὲ ἡ πλεονεξία, καὶ ἡ πρὸς ἀλλήλους ἀπιστία, δι' ἃς οὐκ ἀρκεσθέντες τοῖς τῆς φύσεως θεσμοῖς, τὰ δόξαντα συμφέρειν κοινῇ τοῖς ὁμογνωμονοῦσιν ὁμίλοις, ταῦτα νόμους ἐπεφήμισαν· ὥστε εἰκότως προσθῆκαι μᾶλλον αἱ κατὰ μέρος πολιτεῖαι μιᾶς τῆς κατὰ τὴν φύσιν. προσθῆκαι μὲν γὰρ οἱ κατὰ πόλιν νόμοι τοῦ τῆς φύσεως ὀρθοῦ λόγου· προσθήκη δὲ ἐστὶ πολιτικὸς ἀνὴρ τοῦ βιοῦντος κατὰ φύσιν. οὐκ ἀπὸ σκοποῦ μέντοι καὶ χιτῶνα ποικίλον ἀναλαμβάνειν λέγεται. ποικίλον γὰρ πολιτεία καὶ πολύτροπον, μυρίας ὅσας ἐνδεχομένη μεταβολάς, προσώποις, πράγμασιν, αἰτίαις, προξένοις ἰδιότησι, καιρῶν καὶ τόπων διαφοραῖς· ὥσπερ κυβερνήτης ταῖς τῶν πνευμάτων μεταβολαῖς συμμεταβάλλει τὰς πρὸς εὔπλοιαν βοηθείας, ἰθύνων τὸ σκάφος οὐχ ἑνὶ τρόπῳ· καὶ ἰατρὸς οὐχὶ μιᾷ χρῆται θεραπείᾳ πρὸς ἅπαντας τοὺς κάμνοντας, ἀλλ' οὐδὲ πρὸς ἕνα τοῦ πάθους μὴ ἐπιμένοντος, ἀλλ' ἐπιτηρῶν ἀνέσεις, ἐπιτάσεις, πληρώσεις, κενώσεις, αἰτιῶν μεταβολάς, ποικίλλει τὰ πρὸς σωτηρίαν, ποτὲ μὲν ταυτί, ποτὲ δὲ ταυτὶ προσφέρων. οὕτως οἶμαι καὶ τὸν πολιτικὸν εἶναι καὶ ἀναγκαῖόν τινα πολυειδῆ καὶ πολύμορφον, ἕτερον μὲν κατ' εἰρήνην, ἕτερον δὲ ἐν πολέμῳ, ἄλλον δὲ ἐπισυνισταμένων ὀλίγων ἢ πολλῶν, τῶν μὲν ὀλίγων εὐτόνως κατεξανιστάμενον, μετὰ δὲ πειθοῦς τοῖς πολλοῖς ὁμιλοῦντα· καὶ ὅπου μὲν μετὰ κινδύνου τὸ εἶναι, διὰ τὸ κοινωφελὲς φθάνοντα τοὺς ἄλλους αὐτουργίᾳ, ὅπου δὲ πόνου ἡ σκέψις, ἑτέροις ὑπηρετεῖν ἐξιστάμενον. εὖ μέντοι τὸ φάναι πιπράσκεσθαι τὸν ἄνθρωπον. ὁ μὲν γὰρ δημοκόπος καὶ δημηγόρος ἀναβὰς ἐπὶ τὸ βῆμα, καθάπερ τὰ πιπρασκόμενα τῶν ἀνδραπόδων, δοῦλος ἀντ' ἐλευθέρου γίνεται, διὰ τὰς τιμὰς ἃς δοκεῖ λαμβάνειν, ἀπαχθεὶς ὑπὸ μυρίων δεσποτῶν· ὁ δ' αὐτὸς καὶ θηριάλωτος εἰσάγεται. θηρίον δὲ ἀτίθασον ἡ λοχῶσα κενοδοξία, συναρπάζουσα καὶ διαφθείρουσα τοὺς χρωμένους. οἱ δ' ὠνησάμενοι καὶ πιπράσκουσιν.

A Ad id ius alij alias leges ac institutiones adijciunt. in causa est separatio, non solum Græcorum à barbaris, sed & barbarorum à se inuicem, & Græcorum à suæ nationis hominibus. Nec sunt audiendi qui temere culpam referendo in difficultates temporum, infelicem prouentum fructuum, agrorum sterilitatem, loci situm in maritimis aut mediterraneis, in continente aut insulis, & id genus alia, veritatem dissimulant. Est autem vera
B causa auaritia & mutua perfidia, dum non contenti iure naturali, quæ in commune conducere videntur consentientibus cœtibus, ea leges nominant. itaque merito additamenta naturalis iuris censentur instituta particularium ciuitatum. Nam leges oppidatim receptæ, sunt appendices rationis rectæ à natura nobis insitæ, sicut & ciuilis vir auctarium est iuxta naturam viuentium. Nec alienum est à proposito, quòd tunica varia vestitus dici-
C tur. Nam rerum ciuilium administratio res est multimoda & varia, multas mutationes recipiens, personarum, rerum, causarum, sequestrorum proprietates, locorum item diuersitates & temporum. Sicut gubernator pro ratione ventorum mutat nauigationis subsidia, non vno modo nauem dirigens: & medicus non vno ad omnes morbos vtitur remedio, ac ne in vno quidem morbo si is variet, sed
D obseruans intentiones, remissiones, repletiones, vacuationes, causarum mutationes, multa ad salutem variat, nunc hoc, nunc illud experiens: sic opinor & reipublicæ moderator debet esse multiformis & multiplex, alius in pace, alius in bello, aliter se paucis aliter multis opponens aduersarijs, contra paucos constanter agens, multos vero flectens persuasionibus. idem vbi periculum publicum postulat ipse rem aget: ministeria vero
E quæ labore tantum indigent cedet alijs. Recte autem dicitur, vendi hunc hominem. Nam qui auram populi captans concionaturus locum superiorem ascendit, sicut venalicij, seruus fit ex ingenuo, propter honores quos videtur accipere, addicens se innumeris Dominis. Idem à feris circumuentus inducitur, quòd huic insidietur immanis bestia vana gloria, corripere ac deuorare tales solita. at emptores eum reuendunt:

quoniam non vnus est Dominus tractantium rempublicam, sed vulgus, alijs post alios Dominis succedentibus. Qui autem tertio venduntur, nequaquam mancipiorum more mutant Dominos, non ferendo priores propter fastidium vt rerum nouarum cupidi. De his hactenus. Cæterum adolescens in Ægyptum abductus, & eunucho vt diximus in seruitutem traditus, cum intra paucos dies generositatis & honestatis dedisset specimen, conseruis est præpositus curator totius familiæ. iam enim herus multis argumentis collegerat, eum non sine diuina prouidentia singula tum dicere tum facere. Ergo in speciem ab emptore suo domui præfectus est: re vera autem à natura conciliante illi magnæ gentis ac regionis principatum. oportebat enim futurum administratorem reipublicæ præexerceri in rebus œconomicis. nam & domus est quædam parua ciuitas, & œconomia compendiaria respublica, sicut etiam ciuitas magna domus est, & politia communis quædam œconomia. Vnde facile discimus eundem esse aptum & dispensationi domesticæ & administrationi publicæ, quamuis hæc multitudine magnitudineque differant, sicut in pictura quoque ac fictura vsu venit. nam bonus statuarius aut pictor, siue colosseas magnitudines faciat, siue pauca paruáque opera, eandem artem ostentabit. Cæterum postquam egregiam laudem in dispensatione consecutus est, insidias herilis vxoris pertulit insano amore correptæ. Capta enim adolescentis pulchritudine, & affectu indomito rabida, de stupro cum tentauit repugnantem valide, ac neaudire quidem tale quicquam sustinentem propter innatam sibi & continua meditatione confirmatam honestatem atque temperantiam. Sed vbi crescente in dies flamma cupidinis atque incesta concupiscentia continue tentando semper repulsam passa est mulier, tandem libidinis impatiens & ad vim versa in adolescentis pallium manus iniecit, magna contentione trahendo illum in thalamum, robur addente affectione, quæ solet confirmare vel debiles. At ille præsentem importunitatem fortiter submouens, in has liberas & suo genere dignas voces erupit. Quid molesta es? Bonis moribus & legibus vtimur nos Hebræorum posteri.

A οὐ γὰρ εἷς δεσπότης τῶν πολιτευομένων, ἀλλ' ὄχλος ἐξ ἑτέρων ἕτεροι, κατά τινας ἐφεδρείας καὶ διαδοχάς. οἱ δὲ τρίπρατοι, καθάπερ θεραπόντων τρόπον ἀλλάττουσι τοὺς κυρίους, οὐχ ὑπομένοντες τοὺς προτέρους διὰ τὴν ἀψικορίαν καὶ φιλόκαινον τῶν ἠθῶν ἀνωμαλίαν. τοσαῦτα μὲν περὶ τούτων. ὁ μέντοι νεανίας εἰς Αἴγυπτον ἀχθεὶς, καὶ γενόμενος, ὡς ἐλέχθη πρότερον, εὐνούχῳ δεσπότῃ, τῆς καλοκαγαθίας καὶ εὐγενείας πεῖραν ὀλίγαις ἡμέραις δοὺς, τὴν ἐπὶ τοῖς ὁμοδούλοις ἀρχὴν παραλαμ-
B βάνει, καὶ συμπάσης τῆς οἰκίας τὴν ἐπιμέλειαν. ἤδη γὰρ ὁ κτησάμενος ἐτεκμήρατο διὰ πολλῶν, ὡς οὐκ ἄνευ θείας ἐπιφροσύνης ἕκαστα ἐκεῖνος λέγει τε καὶ πράττει. τῷ μὲν οὖν δοκεῖν, ὑπὸ τοῦ ὠνησαμένου καθίστατο τῆς οἰκίας ἐπίτροπος· ἔργῳ δὲ καὶ τῇ ἀληθείᾳ, ὑπὸ φύσεως, μνωμένης αὐτῷ πόλεως καὶ ἔθνους καὶ χώρας μεγάλης ἡγεμονίαν. ἔδει γὰρ τὸν μέλλοντα ἔσεσθαι πολιτικὸν, ἐγγυμνάσασθαι καὶ ἐνασκηθῆναι πρότερον τοῖς κατ'
C οἰκονομίαν. οἰκία τε γὰρ πόλις ἐστὶν ἐσταλμένη καὶ βραχεῖα, καὶ οἰκονομία συνηγμένη τις πολιτεία. ὡς καὶ πόλις μὲν οἶκος μέγας, πολιτεία δὲ κοινή τις οἰκονομία· δι' ὧν μάλιστα παρίσταται τὸν αὐτὸν οἰκονομικόν τε εἶναι καὶ πολιτικὸν, κἂν τὰ πλήθη καὶ μεγέθη τῶν ὑποκειμένων διαλλάττῃ, καθάπερ ἐπὶ ζωγραφίας ἔχει καὶ πλαστικῆς. ὁ γὰρ ἀγαθὸς ἀνδριαντοποιὸς, ἢ ζωγράφος, ἐάν τε πολλὰ καὶ κολοσσιαῖα μεγέθη κατασκευάζῃ, ἐάν
D τε ὀλίγα καὶ βραχύτερα, τὴν αὐτὴν ἐπιδεικνύμενος τέχνην, ὁ αὐτός ἐστι. σφόδρα δ' εὐδοκιμῶν ἐν τοῖς κατὰ τὴν οἰκονομίαν, ἐπιβουλεύεται πρὸς τῆς τοῦ δεσπότου γυναικὸς ἐπιβουλὴν τὴν ἐξ ἔρωτος ἀκολάστου. τῆς γὰρ εὐμορφίας ἐπιμανεῖσα τοῦ νεανίσκου, καὶ ἀκατασχέτως περὶ τὸ πάθος λυττῶσα, τοὺς περὶ μίξεως λόγους προσέφερεν ἐρρωμένως ἐναντιουμένῳ, καὶ μηδ' ὅλως προσίεσθαι ὑπομένοντι, διὰ τὴν ἐκ φύσεως καὶ
E μελέτης ἐνυπάρξασαν κοσμιότητα καὶ σωφροσύνην. ἐπεὶ δὲ καὶ ζωπυροῦσα καὶ ἀναφλέγουσα τὴν ἔκνομον ἐπιθυμίαν, ἀεὶ μὲν ἀπεπειρᾶτο, ἀεὶ δ' ἀπετύγχανε, βίᾳ λοιπὸν προσπαθοῦσα ἐχρῆτο, καὶ λαβομένη τῆς ἀμπεχόνης, εὐτόνως ἄχρι τῆς εὐνῆς ἐπεσπάσατο, ῥώμῃ κραταιοτέρᾳ τοῦ πάθους ἰσχὺν ἐπιδόντος, ὃ καὶ τοὺς ἀσθενεστέρους εἴωθε νευροῦν· ὁ δὲ τῆς παρούσης ἀκαιρείας γενόμενος δυνατώτερος, τὰς ἐλευθέρας καὶ ἀξίας τοῦ γένους ἔρρηξε φωνάς. τί βιάζῃ λέγων· ἐξαιρέτοις ἔθεσι καὶ νομίμοις χρώμεθα ἡμεῖς οἱ Ἑβραίων ἀπόγονοι.

τοῖς δ' ἄλλοις ἔφεται μετὰ τὴν τεσσαρεσκαιδεκάτην ἡλικίαν, πόρναις καὶ χαμαιτύπαις, καὶ ὅσαι μισθαρνοῦσιν ἐπὶ τοῖς σώμασι, μετὰ πολλῆς ἀδείας χρῆσθαι· παρ' ἡμῖν δὲ οὐδ' ἑταίρᾳ ἔξεστιν, ἀλλὰ κατὰ τῆς ἐπιτηδευούσης ὥρισται δίκη θάνατος. πρὸ δὲ συνόδου νομίμου, ὁμιλίαν ἑτέρας γυναικὸς οὐκ ἴσμεν, ἀλλ' ἁγνοὶ γάμων ἁγναῖς παρθένοις προσερχόμεθα, προθέμενοι τέλος, οὐχ ἡδονήν, ἀλλὰ γνησίων παίδων σποράν. εἰς δὲ ταύτην καθαρεύσας τὴν ἡμέραν, οὐκ ἄρξομαι παρανομεῖν ἀπὸ μοιχείας, τοῦ μεγίστου τῶν ἀδικημάτων, ὀφείλων εἰ καὶ τὸν ἄλλον χρόνον ὑπῆρχον ἐκδεδιῃτημένος, καὶ νεότητος ὁρμαῖς ἡττημένος, καὶ τὴν ἐγχώριον ἐζηλωκὼς τρυφήν, ὅμως ἀλλότριον μὴ διαφθείρειν γάμον, ἐφ' ᾧ τίς οὐκ ἂν θεσπίσειε φονᾶν. περὶ γὰρ τῶν ἄλλων εἰωθότες διαφέρεσθαι, μόνου τούτου ὁμογνωμονοῦσιν, ὃ πανταχοῦ πάντες ἄξιον θανάτων μυρίων νομίζουσιν, ἀκρίτους ἐκδιδόντες τοὺς ἁλόντας τοῖς ἐπιφωραθεῖσι. σὺ δ' ἐπιδαψιλευομένη καὶ τρίτον προστίθης μοι μίασμα, κελεύουσα μὴ μοιχεύειν μόνον, ἀλλὰ καὶ δεσποίνας καὶ δεσπότου γυναῖκα διαφθείρειν. εἰ μὴ ἄρα τούτου χάριν παρῆλθον εἰς τὴν ὑμετέραν οἰκίαν, ἵν' ἀποστὰς τῶν ὑπηρεσιῶν, ἃς δεῖ δουλεύοντα προσέχειν, μεθύω καὶ ἐμπαροινῶ ταῖς ἐλπίσι τοῦ κυρίου, μοιχεύων αὐτοῦ γάμον, οἰκίαν, συγγένειαν. ἀλλὰ γὰρ οὐχ ὡς δεσπότην μόνον, ἀλλὰ καὶ ὡς εὐεργέτην ἤδη τιμᾶν προσδέχομαι. πάντ' ἐπιτέτροφέ μοι τὰ οἰκεῖα, οὐδὲν οὐ μικρόν, οὐ μέγα ὑπεξῄρηται πλὴν σοῦ τῆς γυναικός· ἀνθ' ὧν, ἄξιον αὐτὸν ἐν οἷς πράξεις ἀμείψασθαι; καλάς γ' ὡς ἔοικεν ἀντιπαρέξω δωρεὰς ταῖς προϋπηργμέναις χάρισιν οἰκείας· ὁ μὲν δεσπότης, αἰχμάλωτον ὄντα με καὶ ξένον, ταῖς εὐεργεσίαις ἐλεύθερον καὶ ἀστόν, τὸ γοῦν ἐπ' αὐτὸν ἧκον μέρος, ἀπειργάσατο· ἐγὼ δ' ὁ δοῦλος, ὡς ξένῳ καὶ αἰχμαλώτῳ προσενεχθήσομαι τῷ δεσπότῃ; καὶ τίνι ψυχῇ προσδεξάμενος τὸ αἰσχιούργημα τοῦτο. προσβλέψω δὲ ποίοις ὀφθαλμοῖς ὁ σιδηροῦς ἐγώ· τὸ συνειδὸς ἐλλαμβανόμενον, ὀρθοῖς ὄμμασιν οὐκ ἐάσει προσβλέπειν, κἂν δυνηθῶ λανθάνειν, λήσομαι δ' οὐδαμῶς. εἰσὶ γὰρ ἐξετασταὶ μυρίοι τῶν λάθρα δρωμένων, οἷς οὐ θέμις ἡσυχάζειν. ἐῶ λέγειν ὅτι κἂν μηδεὶς ἕτερος αἴσθηται, ἢ συναγορευόμενος μὴ κατείπῃ, μηνυτὴς οὐδὲν ἧττον αὐτὸς γενήσομαι καθ' ἐμαυτοῦ τῷ χρώματι, τῷ βλέμματι, τῇ φωνῇ, καθάπερ μικρῷ πρότερον εἶπον, ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος. εἰ δὲ καὶ μηδεὶς κατεροῖ,

A Aliæ gentes puberibus quatuordecimum annum ætatis egressis permittunt vsum scortorum & fœminarum corpore quæstum facientium: apud nostrates nulla est meretrix, capitali supplicio proposito talem quæstum exercentibus. Ante legitimam copulam alios congressus cum muliere nescimus, casti castis virginibus coniungimur, non voluptatis, sed liberorum quærendorum gratia. Qui ad hanc diem purus mansi, non inci-
B piam ab adulterio leges contemnere flagitio pessimo, qui etiamsi alias perperam educatus essem, & obsecutus ætatis affectibus, aut vestram imitatus lasciuiendi licentiam, tamen non deberem alieno insidiari matrimonio, quod crimen cui mortalium non cæde vindicandum videtur? nam de cæteris dissentire soliti, in hanc solam conspirant sententiam, ita vt omnes vbique rem capitalem pronuncient, & de-
C prehensos iniudicatos læso dedant necandos. tu verò quasi res per se parum damnata sit eam tertio scelere cumulas, cogens me non tantum ad adulterium, sed & ad thori herilis iniuriam. nisi fortè ideo in vestras ædes veni, vt relictis seruilibus ministerijs inebrier & debacchær in spes Domini, coniugium, familiam, cognationem eius adulterans. atqui non solum officium ei vt hero, sed & honorem vt be-
D nefactori debeo. omnia sua commisit meæ fidei nihil excipiens, nisi te vxorem suam. hanccine gratiam vt ei referam autor es? Bonam scilicet gratiam dignámque illius meritis. herus me ex captiuo & extero sua benignitate libertum & ciuem reddidit tractatum liberaliter: ego verò seruus Domino iniuriam, ne captiuo quidem & extero tolerabilem, inferam? & qua fronte potero post admissum tantum scelus il-
E lum aspicere? conscientia carnifex intestina non finet me oculos in eum erigere, vt nemo prodat alius. sed non deerunt qui prodant. præsto sunt latentes exploratores plurimi, quibus silere non licet. taceo quòd etiamsi nemo factum vel sentiat vel enunciet, ipse meus ero proditor, colore, aspectu, voce, vt modo dixi detegens conscientiam. fac nullum delatorem fore, assidentem

Deo iuftitiam res cunctas infpicientem nec timebimus nec reuerebimur? Huiufmodi multa ille canebat furdis auribus, obtundente omnes fenfus improba concupifcentia. id vt animaduertit puer aufugit, relicto in heræ manibus pallio quod apprehenderat. hinc illa occafionem comminifcendæ calumniæ rapuit, de vindicta cogitans. reuerfo enim è foro marito honeftatem & pudicitiam incefta fimulans, indignabunda dixit: Adduxifti in noftras ædes iftum feruum Hebræum puerum, adeò corruptum iam tua indulgentia, cui pudenda facilitate inexplorato commififti totam familiam, vt adulta audacia ne à me quidem iniuriam abftineat. nam conferuæ non fatis funt libidini eius nunquam explebili. Nunc me matronam tentare haud veritus, vim adiecit contumeliæ. En tibi manifeftum infani conatus indicium. nam cum exclamaffem præ indignatione opem domefticorum inuocans, territus hanc veftem reliquit fugiens ne comprehenderetur. Ea veftis prolata fidem adftruxit muliebri calumniæ. herus verum crimen ratus trudit hominem in carcerem, ipfe peccans non fimpliciter: primò quia non facta defendendi fe poteftate damnauit infontem tanquam obnoxium fceleri grauiffimo: deinde quia non animaduertit veftem quam ab adolefcente relictam mulier proferebat, effe indicium violentiæ, fed muliebris, ipfius verò adolefcentis patientiæ. nam fi vim tentaffet inferre dominæ, retinuiffet eius amiculum: nunc reluctans fuo pallio fpoliatus eft. verùm huius infcitiæ venia fortaffe danda eft ei qui degens in culina inter lanienas & fumos ac cineres, non poterat vacare caufæ cognofcendæ ita vt poftulabat ratio, immerfus rebus corporis. Iam tres notas viri ciuilis expreffi, paftoralem artem œconomicámque & tolerandi fcientiam, de quibus dictum eft, fed temperantia non minus confert ad tractandam rempublicam. hæc enim cum in omni vita falutaris eft, tum maxime in negotijs publicis, vt abunde liquet rem confiderare volentibus. quis enim ignorat, gentibus, regionibus, magnis terrarum tractibus terra marique calamitates infli-

A τὴν πάρεδρον τοῦ θεοῦ δίκην καὶ τῶν πραγμάτων ἔφορον, οὔτ' ἐδεδίειμεν οὔτ' αἰδούμεθα; πολλὰ τοιαῦτα συνείροντος, καὶ φιλοσοφοῦντος, ἐκεκώφητο. δειναὶ γὰρ αἱ ἐπιθυμίαι καὶ τὰς ἀκριβεστάτας τῶν αἰσθήσεων ἐπισκιάσαι. ὅπερ συνιδὼν ἀποδιδράσκει, καταλιπὼν τὰ ἱμάτια ἐν ταῖς χερσὶν αὐτῆς, ὧν ἐπείληπτο. τοῦτο παρέσχεν αὐτῇ τὸ ἔργον εὑρεσιλογεῖν προφάσεις σκεπτομένη κατὰ τοῦ νεανίσκου, αἷς αὐτὸν ἀμυνεῖται. παραγινομένῳ γὰρ ἐξ ἀγορᾶς τῷ αὐτῆς ἀνδρὶ, καθυποκρινομένη τὴν
B σώφρονα καὶ κόσμιον κἀν τοῖς ἀκολάστοις ἐπιτηδεύμασι, πάνυ δυσχεραίνουσα, Ἤγαγες, ἔφη, θεράποντα ἡμῖν παῖδα ἑβραῖον, ὃς οὐ μόνον ἤδη τὴν ψυχὴν διέφθαρκεν, εὐχερῶς καὶ ἀνεξετάστως ἐπιτρέψαντος αὐτῷ τὴν οἰκίαν, ἀλλὰ καὶ ἐμοῦ ἀπετόλμησεν αἰσχῦναι τὸ σῶμα. τὰς γὰρ ὁμοδούλους οὐκ ἐξήρκεσεν αὐτῷ χρῆσθαι μόναις, ἀσελγεστάτῳ καὶ λαγνιστάτῳ γινομένῳ· πειρᾶν δὲ καὶ τὴν δέσποιναν ἐπεχείρησεν ἐμὲ, καὶ βιάζεσθαι, καὶ τὰ δεί-
C γματα τῆς φρενοβλαβείας ἐναργῆ καὶ δῆλά ἐστι. περιπαθήσασα γὰρ, ὡς ἐξεφώνησα τοὺς ἔνδον βοηθοὺς ἐπικαλοῦσα, περιδεὴς διὰ τὸ ἀπερίσκεπτον τὴν ἐσθῆτα καταλιπὼν, ἀποδιδράσκει φόβῳ συλλήψεως. καὶ ἐπιδεικνυμένη, πίστιν ἐδόκει προσφέρειν τῶν λεγομένων. ἅπερ ἀληθῆ νομίσας ὁ δεσπότης εἶναι, κελεύει τὸν ἄνθρωπον εἰς εἱρκτὴν ἀπαγαγεῖν, δυσὶ τοῖς μεγίστοις ἁμαρτών· ἑνὶ μὲν, ὅτι μὴ μεταδοὺς ἀπολογίας, ἀκρίτως κατέγνω τοῦ μηδὲν ἠδικηκότος, ὡς τὰ μέγι-
D στα παρανομήσαντος· ἑτέρῳ δὲ, ὅτι ἡ ἐσθὴς ἣν προὔφερεν ἡ γυνὴ ὡς ἀπολειφθεῖσαν ὑπὸ τοῦ νεανίσκου, πίστις βίας ἦν, οὐχ ἣν ἐκεῖνος εἰργάζετο, ἀλλὰ τὴν ὑπομονὴν ἣν ὑπέμεινεν ἐκ τῆς γυναικός. βιαζόμενος μὲν γὰρ ἔργον ἦν τὴν ἀμπεχόνην τῆς δεσποίνης κατέχειν, βιασθέντος δὲ, τὴν ἰδίαν ἀφαιρεθῆναι· συγγνωστὸς δ' ἴσως τῆς ἄγαν ἀπαιδευσίας, ἅτε τὴν δίαιταν ἐν μαγειρείῳ ποιούμενος, αἵματος καὶ καπνοῦ καὶ τέφρας ἀνάπλεως, τοῦ
E λογισμοῦ καιρὸν οὐκ ἔχοντος ἠρεμεῖν καὶ σχολάζειν ἐν ἑαυτῷ, διὰ τὸ πεφύρθαι μᾶλλον τῷ σώματι. τρεῖς μὲν ἤδη χαρακτῆρας τοῦ πολιτικοῦ διετύπωσα, τόν τε ποιμενικὸν, καὶ τὸν οἰκονομικὸν, καὶ τὸν καρτερικόν. περὶ μὲν οὖν τῶν προτέρων εἴρηται. ὁ δ' ἐγκρατὴς οὐχ ἧττον ἐκείνων πρὸς πολιτείαν συνᾴδει. πρὸς μὲν οὖν ἅπαντα τὰ τοῦ βίου πράγματα λυσιτελὲς ἐγκράτεια καὶ σωτήριον· πρὸς δὲ τὰ πόλεως, καὶ διαφερόντως, ὡς ἀφθόνως τοῖς βουλομένοις μανθάνειν πάρεστι καὶ προχειρότατα

τίς γὰρ ἀγνοεῖ τὰς ἐξ ἀκρασίας ἔθνεσι καὶ χώραις καὶ ὅλοις κλίμασι τῆς οἰκουμένης ἐν γῇ καὶ θαλάττῃ γενομένας συμφοράς; τοὺς γὰρ πολέμους οἱ πλείους καὶ μέγιστοι δι' ἔρωτας καὶ μοιχείας καὶ γυναικῶν ἀπάτας συνέστησαν, ὑφ' ὧν τὸ πλεῖστον καὶ ἄριστον ἐξανάλωται τοῦ ἑλληνικοῦ καὶ βαρβαρικοῦ γένους, καὶ τῶν πόλεων ἡ νεότης ἐφθάρη. εἰ δὲ τὰ ἐξ ἀκρασίας, στάσεις ἐμφύλιοι καὶ πόλεμοι καὶ κακὰ ἐπὶ κακοῖς ἀμύθητα, δῆλον ὅτι τὰ ἐκ σωφροσύνης, εὐστάθεια καὶ εἰρήνη, καὶ τελείων κτῆσις ἀγαθῶν καὶ ἀπόλαυσις. ἄξιον μέντοι καὶ τὰ διὰ τούτων ἐμφαινόμενα κατὰ τὸ ἀκόλουθον διερευνῆσαι. ὁ πριάμενος τὸν ἐπικρινόμενον, εὐνοῦχος εἶναι λέγεται, δεόντως. ὁ γὰρ ὠνούμενος τὸν πολιτικὸν ὄχλος ἐστὶ πρὸς ἀλήθειαν εὐνοῦχος, ὅσα μὲν τῷ δοκεῖν ἔχων τὰ γεννητικά, τὰς δ' εἰς τὸ γεννᾶν δυνάμεις ἀφῃρημένος· καθάπερ καὶ οἱ τὰς ὄψεις ὑποχυθέντες, ὀφθαλμοὺς ἔχοντες τῆς δι' ὀφθαλμῶν ἐνεργείας στέρονται, βλέπειν οὐ δυνάμενοι. τίς οὖν ἡ πρὸς ὄχλον εὐνούχου ὁμοιότης; ὅτι ἄγονός ἐστι σοφίας, ἐπιτηδεύει δ' ἀρετήν. ὅταν γὰρ μιγάδων καὶ συγκλύδων πλῆθος ἀνθρώπων εἰς ταὐτὸν συνέλθῃ, λέγει μὲν τὰ δέοντα, φρονεῖ δὲ καὶ πράττει τἀναντία, τὰ νόθα πρὸ τῶν γνησίων ἀποδεχόμενος, ἕνεκα τοῦ δόξης μὲν ἡττᾶσθαι, τὸ δ' ἀληθείᾳ καλὸν μὴ ἐπιτηδεύειν· ὅθεν καὶ τὸ παραλογώτατον, γυνὴ τῷ εὐνούχῳ τούτῳ συνοικεῖ. μνᾶται γὰρ ὄχλος ἐπιθυμίαν, ὥσπερ ἀνὴρ γυναῖκα, δι' ἣν ἕκαστα καὶ λέγει καὶ πράττει, σύμβουλον αὐτὴν ποιούμενος ἁπάντων ῥητῶν τε καὶ ἀπορρήτων, μικρῶν τε αὖ καὶ μεγάλων, ἥκιστα προσέχειν εἰωθὼς τοῖς ἐκ λογισμοῦ. προσφυέστατα μέντοι καὶ ἀρχιμάγειρον αὐτὸν καλεῖ. καθάπερ γὰρ οὐδὲν ἕτερον ἐπιτηδεύει μάγειρος, ἢ τὰς ἀνωνύτους καὶ περιττὰς γαστρὸς ἡδονάς· τὸν αὐτὸν τρόπον καὶ ὁ πολιτικὸς ὄχλος, τὰς δι' ἀκοῆς τέρψεις τε καὶ θρύψεις, ὑφ' ὧν οἱ τόνοι τῆς διανοίας χαλῶνται, καὶ τρόπον τινὰ τὰ νεῦρα τῆς ψυχῆς ἐκλύεται. τὴν δὲ πρὸς ἰατροὺς μαγείρων διαφορὰν τίς οὐκ οἶδεν; οἱ μὲν τὰ ὑγιεινὰ κἂν μὴ προσηνῆ τυγχάνῃ, μόνον διὰ σπουδῆς τῆς πάσης εὐτρεπίζονται· οἱ δ' ἔμπαλιν, μόνα τὰ ἡδέα τοῦ συμφέροντος ὀλιγωροῦντες. ἰατροῖς μὲν οὖν ἐοίκασιν ἐν δήμῳ νόμοι, καὶ οἱ κατὰ νόμους ἄρχοντες, βουλευταί τε καὶ δικασταί, φροντίζοντες τῆς κοινῆς σωτηρίας καὶ ἀσφαλείας, ἀκολάκευτοι· ὀψαρτυταῖς δὲ, οἱ πολυάνθρωποι τῶν νεωτέρων ὅμιλοι. μέλει γὰρ αὐτοῖς οὐ τὰ συνοίσοντα αὖθις, ἀλλὰ πῶς τὴν ἐν τῷ παρόντι καρπώσονται

A ctas ab incontinentia? quandoquidem plurima & maxima bella ob amores, adulteria, muliebrésque illecebras conflata sunt, quæ potiorem Græci barbaricique generis partem absumpserunt, & iuuentutem exhauserunt è tot ciuitatibus. Quod si ex intemperantia tum seditiones ciuium, tum bella & calamitates cumulate proueniunt, satis apparet è sobrietate tranquillitatem pacémque nasci, & possessionem felicitatis integram.
B Nunc indicandum quid sub his figuris tegatur. Qui hunc de quo disserimus emit, eunuchus meritò dicitur. Nam emptor hominis ciuilis vulgus re vera eunuchus est, & videtur quidem habere genitalia, sed vi genitiua destituitur: quemadmodum qui suffusos habent oculos, orbati sunt eorum efficacia, non valentes cernere. Quænam igitur similitudo intercedit inter vulgum & eunuchos? C quòd vtrique steriles sapientiæ, virtutem tamen approbant. Cum enim confluit promiscua multitudo hominum, loquuntur vt oportet, sed sapiunt contrarium, posthabendo insinceris legitima, quia student existimationi tuendæ, veram honestatem negligunt. Hinc quod mireris sequitur, vt eunuchus vxorem habeat. Nam vulgus deditus est concupiscentiæ, sicut vir mulieri, in cuius gratiam dicit facitque omnia, in consilium clam & propalàm hanc ad- D hibens in rebus minimis æque ac maximis, rationi vero nusquam obtemperans. Rectè sane præfectus etiam coquorum vocatur. Nam sicut coquus nihil aliud curat, quàm inutiles ac superuacaneas ventris voluptates: eodem modo populus dedit se totum oblectamentis aurium, per quæ mentis intentio relaxatur, & nescio quo pacto eneruatur anima. Quid autem inter medicos & coquos E intersit, quis non videt? illi quicquid ad sanitatem conducit, etiamsi ægroto ingratum videatur, solum magno apparant studio. Hi contrà, suauia curant, vtilia negligunt. Ergo medicis similes sunt in ciuitate leges & magistratus legitimi, senatores iudicésque, prouidentes communi saluti ac securitati, quibus adulator non facile palpatur: cupedinarijs autem iuniorum turba est similis. Nam securi de commodis, præsentem tan-

tum voluptatem venantur. Et sicut impudica mulier, sic concupiscentia virum ciuilem adamat, sic alloquens: Heus tu, prodi ad vulgum cum quo habitas, obliuiscere morum tuorum, studiorum, dictorum, factorum, in quibus educatus es. mihi obsequere, me cole, age quicquid mihi placet. Nam tetricum, pertinacem, veritatis amicum, rigidum, perpetuo grauem, nunquam flexibilem, solum commodum spectantem, securum quid auditoribus placeat, non fero: sicut nec quorundam calumnias, quæ multæ deferuntur ad vulgum meum maritum, tuum Dominum. Hactenus enim abusus libertate videris, immemor te seruire tyrannico Domino. Quod si scires liberos suum negotium, seruos alienum agere, iam doctus esses omissa tua peruicacia me concupiscentiam vxorem illius respicere, & omnia meo arbitratu facere, vt & illi charus sis. At vere ciuilis vir non ignorat quidem penes populum esse potestatem tanquam Dominum, se tamen non seruum profitetur, sed liberum, & qui suo morem gerat animo. reclamabit igitur: populi fauorem captare nec didici, nec vnquam volui, sed magistratum mihi commissum bona fide gerere, vt bonum procuratorem decet, aut patrem beneuolum, absque dolo & mihi semper inuisa simulatione. hanc meam voluntatem approbabo, nihil subtrahens aut cælans furis in morem, sed conscientiam tanquam in sole ac luce aperiens. nam lux est veritas. nec me terrebit vllum intentatum periculum, ne mors quidem. mori malo quam simulare. cur enim simulem? Si populus est Dominus, ego certe sum ingenuus, patricius, qui cum primis in ciuitatem optimam maximam, hunc inquam mundum adscribi cupio. Cum enim nec muneribus, nec precibus, nec ambitioni, nec arrogantiæ, nec simulationi, nec luxui, nec timiditati, nec iniustitiæ, nec vlli affectui vitióve seruiam, cuius præterea timerem dominium? an fortasse hominum? at hi potestatem in corpus meum, non in me habent. equidem me à potiore mei parte censeo, iuxta quam decreui viuere, parum solicitus de mortali corpore: quod in conchæ morem adhærens mihi, etiamsi conteratur à quopiam, non ægre feram me molestis affectibus eximi, &

A μόνον ἡδονήν. ἐρᾷ δὲ ὡς ἀκόλαστος γυνὴ καὶ ἡ τῶν ὄχλων ἐπιθυμία, τοῦ πολιτικοῦ, καὶ φησὶν αὐτῷ, προελθὼν, ὦ οὗτος, εἰς ὄχλον ὡς συνοίκων, ἐπιλαθοῦ τῶν ἰδίων ἠθῶν, ἐπιτηδευμάτων, λόγων, ἔργων, ἐν οἷς ἐτράφης· ἐμοὶ δὲ πειθάρχει, καὶ ἐμὲ θεράπευε, καὶ ὅσα δι' ἡδονῆς ἐστί μοι, πρᾶττε. αὐστηρὸν γὰρ καὶ αὐθέκαστον, καὶ ἀληθείας ἑταῖρον, καὶ ἀκριβοδίκαιον, ὄγκῳ καὶ σεμνότητι πρὸς ἅπαντα χρώμενον, καὶ πρὸς μηδὲν εἴκοντα, μόνου πε-
B ριεχόμενον ἀεὶ τοῦ συμφέροντος, ἄνευ θεραπείας τῶν ἀκροωμένων, οὐκ ἀνέχομαι· διαβολὰς δὲ ἐνίων κατὰ σοῦ μυρίας καὶ πρὸς τὸν ἐμὸν ἄνδρα τὸν ὄχλον, τὸν σὸν δεσπότην. ἄχρι γὰρ νῦν ἀπελευθεριάζειν δοκεῖς μοι, καὶ ὅτι δοῦλος τυραννικοῦ γέγονας δεσπότου, λίαν ἀγνοεῖς. εἰ δὲ ᾔδεις ὅτι αὐτοπραγία μὲν ἐλευθέρῳ, οἰκέτῃ δὲ ἀλλότριον, ἐπιτετήδευσο ἂν, αὐθάδειαν μεθέμενος, εἰς ἐμὲ βλέπειν τὴν ἐκείνου γυναῖκα ἐπιθυμίαν, καὶ ἅπαντα πρὸς ἀρέσκειαν τὴν ἐμὴν, δι' ὧν μάλιστα
C διαρεστήσεις. ὁ δὲ πολιτικὸς ὄντως, οὐκ ἀγνοεῖ μὲν ὅτι δεσποτικὴν ἐξουσίαν ἔχει ὁ δῆμος· αὐτὸν δὲ οὐχ ὁμολογήσει δοῦλον, ἀλλ' ἐλεύθερον, καὶ τὸ τῆς ψυχῆς ἀρέσκειν. ἀλλ' ἄντικρυς ἐρεῖ· δημοκοπεῖν οὔτ' ἔμαθον, οὔτ' ἐπιτηδεύσαί ποτε, πόλεως δὲ προστασίαν καὶ ἐπιμέλειαν ἔχειν ἐγχειρισθεὶς, ὡς ἀγαθὸς ἐπίτροπος ἢ πατὴρ εὔνους, ἀδόλως καὶ καθαρῶς ἄνευ τῆς ἐχθρᾶς ὑποκρίσεως. ταῦτα φανερῶς ἐξετασθήσομαι, μηδὲν ὑποστέλλων, μηδὲ συγκρύπτων φωρὸς τρόπον, ἀλλὰ τὸ συνειδὸς αὐ-
D γάζων ὡς ἐν ἡλίῳ καὶ φωτί. φῶς γὰρ ἡ ἀλήθεια. φοβηθήσομαι δὲ οὐδὲν ὧν ἂν ἐπανατείνηται, κἂν θάνατον ἀπειλῇ. θανάτου γὰρ ἐμοὶ κακὸν ἀργαλεώτερον ὑπόκρισις· ἣν ὑπομενῶ τοῦ χαίρειν. καὶ γὰρ εἰ δεσπότης ὁ δῆμος, ἀλλ' οὔπω ἐγὼ δοῦλος, εὐπατρίδης, εἰ καί τις ἄλλος, ἐφιέμενος ἐγγραφῆς τῆς ἐν τῇ μεγίστῃ καὶ ἀρίστῃ πολιτεύματι τοῦδε τοῦ κόσμου. ὅταν γὰρ μὴ δῶρον, μὴ παράκλησις, μὴ τιμῶν ἔρως, μὴ ἀρχῆς ἐπιθυμία, μὴ ἀλαζονεία, μὴ ὁ τοῦ δοκεῖν ἵμερος, μὴ ἀκολασία, μὴ
E ἀνανδρία, μὴ ἀδικία, μηδὲν ἄλλο τῶν ὅσα ἐκ πάθους ἢ κακίας ὑπάγηται, τίνος ἔτι φοβηθήσομαι δεσποτείαν· ἢ δηλονότι τῆς ἀπ' ἀνθρώπων; ἀλλ' οὔτοι γε τοῦ σώματος ἐπιγράφοιντ') κυρείαν οὐδὲν κατ' ἐμοῦ. ἐγὼ γὰρ ἀπὸ τοῦ κρείττονος τῶν ἐν ἐμαυτῷ διανοίας χρηματίζω, καθ' ἣν προεσκεύασμαι βιοῦν, ὀλίγα φροντίζων τοῦ θνητοῦ σώματος, ὃ κἂν ὀστρέου δίκην περιεκτικὸς ἐπηρεάζῃ πρός τινος, ἀφειμένος τὸ εἶδος δεσποτῶν τε καὶ χαλεπῶν δεσποινῶν,

οὐκ ἀμελήσομαι, τὴν βαρυτάτην ἀνάγκην ἐκπεφευγώς. ἐὰν οὖν δικάζειν δέῃ, δικάσω, μήτε πλουσίῳ προστιθέμενος διὰ τὴν περιουσίαν, μήτε πένητι διὰ τὸν ἐπὶ τῆς ἀτυχίας ἔλεον· ἀλλὰ τὰ τῶν κρινομένων ἀξιώματα καὶ σχήματα παρακαλυψάμενος, ἀδόλως βραβεύσω τὸ φαινόμενον δίκαιον· ἐάν τε βουλεύω, γνώμας εἰσηγήσομαι τὰς κοινωφελεῖς, κἂν μὴ πρὸς ἡδονὴν ὦσιν· ἐάν τε ἐκκλησιάζω, τοὺς θῶπας λόγους ἑτέροις καταλιπὼν, τοῖς σωτηρίοις χρήσομαι καὶ συμφέρουσιν, ἐπιτιμῶν, νουθετῶν, σωφρονίζων, οὐκ αὐθάδειαν μανιώδη καὶ παράφορον, ἀλλὰ νήφουσαν παρρησίαν ἐπιτετηδευκώς· εἰ δὲ μὴ χαίρει τις τῇ βελτιώσει, ἐπιτιμάτω καὶ γονεῦσι, καὶ ἐπιτρόποις, καὶ διδασκάλοις, καὶ πᾶσι τοῖς κηδεμόσιν, ὅτι τέκνα γνήσια, καὶ ὀρφανοὺς παῖδας, καὶ φοιτητὰς κακηγοροῦσιν· ἔστι δ' ὅτε καὶ τύπτουσιν, οἷς οὔτε βλασφημεῖν, οὔθ' ὕβριν ὅσιον ἐπιφημίζειν, ἀλλὰ τοὐναντίον τὰ φιλίας καὶ εὐνοίας ὀνόματα. πολὺ γὰρ ἀνάξιον τὸν πολιτικὸν ἐμὲ καὶ τὰ τοῦ δήμου πάντα ἐπιτετραμμένον, ἐν τοῖς περὶ τοῦ συμφέροντος λογισμοῖς, χείρονα γενέσθαι τινὸς τὴν ἰατρικὴν τέχνην ἐπιτηδεύοντος. ἐκεῖνος γὰρ οὐδὲν τὸ περὶ τὸν θεραπευόμενον λαμπρότητος ἐν τῇ νομιζομένῃ εὐτυχίας φροντίσας, οὔθ' ὅτι εὐγενὴς ἦν ἢ πολυχρήματος, οὔθ' ὅτι τῶν καθ' αὑτὸν ἐνδοξότατος βασιλεὺς ἢ τύραννος, ἑνὸς περιέχεται μόνου τοῦ σῶσαι κατὰ δύναμιν, κἂν δέῃ τομαῖς ἢ καύσεσι χρῆσθαι, καίει τε καὶ τέμνει τὸν ἄρχοντα καὶ δεσπότην ὁ ὑπήκοος καὶ λεγόμενος δοῦλος. ἐγὼ δ' οὐχ ἕνα ἄνδρα, πόλιν δ' ὅλην κάμνουσαν παραλαβὼν τὰς ἀργαλεωτέρας νόσους, ἃς κατεσκεύασαν αἱ συγγενεῖς ἐπιθυμίαι, τί πράττειν ὀφείλω; παρείμενος τὰ συνοίσοντα πᾶσι κοινῇ, τὰ τοῦ δεῖνος ἢ τοῦ δεῖνος ὦτα θεραπεύειν ἀνελευθέρῳ καὶ σφόδρα δουλοπρεπεῖ κολακείᾳ; τεθνάναι μᾶλλον ἂν ἑλοίμην, ἢ πρὸς ἡδονήν τι φθεγξάμενος, ἐπικρύψαι τὴν ἀλήθειαν, καὶ τοῦ συμφέροντος ἀμελῆσαι.

Πρὸς ταῦθ', ὁ τραγικός φησιν, ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον,
Πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου,
Πίνων κελαινὸν αἷμα. πρόσθε γὰρ κάτω
Γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα,
Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

οὕτως οὖν ἠρρενωμένον τὸ φρόνημα καὶ ἐκτὸς πάντων παθῶν ἱστάμενον, ἡδονῆς, φόβου, λύπης, ἐπιθυμίας, ἄνδρα πολιτικὸν ὁ δεσπότης δῆμος οὐκ ἀνέχεται· συλλαβὼν δ' ὡς ἐχθρὸν κολάζει τὸν εὔνουν

A effugere necessitatem grauissimam. Itaque si iudicandum erit, iudicabo, nec diuiti propter opes gratificans, nec pauperi propter misericordiam: sed omisso respectu personarum incorrupte pronunciabo, quod iustum apparebit. In senatu etiam autor ero sententiarum reipublicæ conducibilium, vel si parum iucundæ auditu fuerint. pro concione quoque si dicendum erit, adulationes relinquam alijs, contentus verbis vtilibus, increpans, admo-
B nens, castigans, non arrogantem insanámque, sed sobriam libertatem proferens. Quòd si quis tales castigationes non amat, reprehendat parentes, tutores, præceptores, & omnes curatores, quia suos liberos, pupillos, discipulos obiurgare non desinunt, interdum etiam verberant, nec tamen sæuire, sed amanter castigare dicuntur. Indignum enim esset, si cum meæ fidei commissa sit administratio reipu-
C blicæ, in præuidendis commoditatibus cederem cuiuis medicinæ professori. Nam ille in ægroto nullam splendoris fortunæ rationem habens, nec quod claro genere natus, aut opulentus, denique rex aut tyrannus sit, vnum hoc spectat, quomodo seruare queat hominem: & si forte sectione vstionéve opus videt, secat vritque principem suum ac Dominum seruus ipse atque subditus: ego qui non vnum virum curandum suscepi, sed inte-
D gram ciuitatem laborantem morbis grauioribus, contractis ex innatis concupiscentijs, quid agere debeo? num prodita vtilitate publica, illius aut illius aures mulcere adulatione illiberali, & ne seruo quidem decora? Emori præstat, quàm loqui ad gratiam, dissimulata veritate, & vtilitate neglecta. Vsurpandum est hic illud dictum poetæ tragici:

Accedat ignis, accedat & gladius.
Combure carnem hanc, concrema, te-
E *pleto te*
Meo cruore. nam prius vel sidera
Terram subibunt, terra vel scandet
polum,
Quàm mollis à me extorqueatur vox
tibi.

Hanc tam masculam mentem alienam ab omnibus affectibus voluptate, timore, dolore, concupiscentia, non fert in viro ciuili Dominus populus, sed hominem amicum atque beneuolum pro inimico arripit, nec tam il-

lum, quam seipsum afficit pœna grauissima, videlicet inscitia, quippe qui non didicit id quod in omni vita vtilissimum est, imperata facere, vnde imperandi quoque scientia discitur. videamus sequentia, quando de præsenti loco satis diximus. Adolescens ab amatrice apud herum insimulatus criminis quod in ipsam competebat, inauditus in carcerem ducitur: vbi tanta virtutis edidit specimina, vt etiam facinorosis illis esset miraculo, ad suæ calamitatis solatium credentibus sibi contigisse hunc hominem. nota est autem custodum crudelitas, qui ingenio feroces magis efferantur assuetudine, in dies crescente sæuitia, dum nihil boni vident nec dicunt aut faciunt, sed sæua violentáque omnia. nam sicut bene compacta corpora exercitatione confirmantur & acquirunt robustam inuictámque habitudinem: sic ferox & immitis natura occupata sui similibus studijs duplo fit durior, inaccessa misericordiæ, qui vnus affectus bonus ac humanus est. & quemadmodum qui cum bonis viris habent familiaritatem, ex iucundissimo eorum conuictu in melius proficiunt moribus: sic etiam qui cum malis versantur, affricant sibi eorum vicia. facile enim consuetudo abit in naturæ similitudinem. degunt autem carcerum custodes inter plagiarios, fures, parietum perfossores, facinorosos, violentos, stupratores, homicidas, adulteros, sacrilegos, à quorum singulis nonnihil nequitiæ contrahunt, vt ex huiusmodi collatione miscellaneáque temperatura conficiatur vna scelesta malorum colluuies. attamen talis homo honestate adolescentis mitigatus, non solum securitatem & otium ei præstitit, sed etiam vinctis omnibus eum præfecit, ita vt penes ipsum species noménque custodis esset, rem autem & officium adolescenti cederet, quod non parum carcere inclusis proderat. iámque locus non tam erat carcer, quam disciplinæ meditatorium. Omissis enim tormentis, quibus antea noctu atque interdiu cruciari solebant varijs malis obruti, admonebantur sermonibus & præceptis philosophicis, sed maxime ipsius doctoris exemplis vtilissimis. Postquam

A καὶ φίλον, περὶ ἐκεῖνο τιμωρούμενος ἑαυτὸν τῇ μεγίστῃ τῶν τιμωριῶν ἀπαιδευσίᾳ, δι' ἣν οὐκ ἔμαθεν ἄρχεσθαι τὸ κάλλιστον καὶ βιωφελέστατον, ἐξ οὗ περιγίνεται καὶ τὸ ἄρχειν. ἀποχρώντως δὲ καὶ περὶ τούτων διειλεγμένοι, τὰ ἑξῆς ἴδωμεν. ὁ διαβληθεὶς νεανίας ὑπὸ τῆς ἐρωμένης γυναικὸς τῷ δεσπότῃ, πλασαμένης αὐτῆς ἀντιστρόφους αἰτίας αἷς ἦν ἔνοχος αὐτή, μηδ' ἀπολογίας τυχὼν εἰς εἱρκτὴν ἀπάγεται· καὶ γενόμενος ἐν τῷ δεσμωτηρίῳ,

B τοσοῦτον ἀρετῆς μέγεθος ἐπεδείξατο, ὡς καὶ τοὺς πονηροτάτους τῶν ἐκεῖ τεθηπέναι καὶ καταπεπλῆχθαι, καὶ παρηγόρημα τῶν συμφορῶν ὑπολαμβάνειν ἀλεξίκακον εὑρηκέναι τὸν ἄνθρωπον. ὅσης δ' ἀπανθρωπίας οἱ εἱρκτοφύλακες γέμουσι καὶ ὠμότητος, οὐδεὶς ἀγνοεῖ. φύσει τε γὰρ ἀνηλεεῖς εἰσί, καὶ μελέτῃ συγκροτοῦνται θηριούμενοι καὶ καθ' ἑκάστην ἡμέραν πρὸς ἀγριότητα, χρηστὸν μὲν οὐδὲν ὁρῶντες, ἢ λέγοντες, ἢ δρῶντες, ὅσα δὲ βιαιό-

C τατα καὶ χαλεπώτατα. καθάπερ γὰρ οἱ τὰ σώματα εὐπαγεῖς, ὅταν τὴν ἐξ ἀσκητικῆς ἄσκησιν προσλάβωσιν, νευροῦνται, δύναμιν ἀνανταγώνιστον καὶ εὐεξίαν ὑπερβάλλουσαν κτώμενοι· τὸν αὐτὸν τρόπον, ὅταν ἀτιθάσσος καὶ ἀμείλικτος φύσις ἄσκησιν εἰς τὸ ἀνήμερον προσλάβῃ, διχόθεν ἄβατος καὶ ἀπρόσιτος οἴκτῳ, ἑνὶ χρηστῷ πάθει καὶ φιλανθρώπῳ. καὶ ὥσπερ οἱ τῶν ἀγαθῶν ὁμιληταὶ βελτιοῦνται τοὺς τρόπους, χαίροντες τοῖς συνοῦσιν ἡδέσι καὶ ἀγαθοῖς, οὕτω καὶ οἱ τοῖς πονηροῖς συζῶντες ἀπομάττονταί τι τῆς ἐκείνων κακίας. δεινὸν γὰρ τὸ ἔθος

D ἐξομοιῶσαι καὶ βιάσασθαι πρὸς φύσιν. συνδιατρίβουσι δ' οἱ εἱρκτοφύλακες λωποδύταις, κλέπταις, τοιχωρύχοις, ὑβρισταῖς, βιαίοις, φθορεῦσιν, ἀνδροφόνοις, μοιχοῖς, ἱεροσύλοις, ὧν ἀφ' ἑκάστου ἀπαντλοῦσί τι μοχθηρίας, καὶ συνερανίζουσι, καὶ ἐκ τῆς πολυμιγοῦς κράσεως, ἓν ἀποτελοῦσι πάμφυρτον καὶ παμμίαρον κακόν. ἀλλ' ὅμως ὁ τοιοῦτος ἡμερωθεὶς ὑπὸ τῆς τοῦ νεανίσκου καλοκαγαθίας, οὐ μόνον ἀδείας καὶ ἐκεχειρίας μετέδωκεν, ἀλλὰ

E καὶ ἀρχῆς τῆς ἐφ' ἅπασι τοῖς δεσμώταις· ὡς λόγῳ μὲν ἕνεκα προσχήματος ἐμμένειν εἱρκτοφύλακα, τὴν δ' ἐν ἔργοις πρᾶξιν, παρακεχωρηκέναι τῷ νεανίᾳ, δι' ἧς οὐκ ὀλίγα συνέβαινε τοὺς ἀπαχθέντας ὠφελεῖσθαι. τὸ γοῦν χωρίον οὐδ' ὀνομάζειν ἔτ' ἠξίουν εἱρκτήν, ἀλλὰ σωφρονιστήριον. ἀντὶ γὰρ βασάνων καὶ τιμωριῶν, ἃς νύκτωρ καὶ μεθ' ἡμέραν ὑπέμενον τυπτόμενοι καὶ καταδούμενοι, καὶ τί κακὸν οὐ πάσχοντες, λόγοις καὶ δόγμασι τοῖς φιλοσοφίας ἐνετυποῦντο,

καὶ τοῖς δυσιατωτέραις πάντως λόγου πράξεσι τοὺς διδάσκοντας. τὸν γὰρ αὐτοῦ βίον σωφροσύνης καὶ πάσης ἀρετῆς, οἷα γραφὴν ἀρχέτυπον εὖ δεδημιουργημένην ἐν μέσῳ θείς, ἐπέστρεψε καὶ τοὺς πάνυ δοκοῦντας ἀνιάτως ἔχειν, οἷς μακραὶ νόσοι τῆς ψυχῆς ἐλώφησαν ἤδη κακίζουσιν ἐπὶ τοῖς πεπραγμένοις αὐτοῖς, καὶ μετανοοῦσι, καὶ τοιαῦτ᾽ ἐπιφθεγγομένοις, ποῦ πότ᾽ ἄρ᾽ ἦν πάλαι τοσοῦτον ἀγαθόν, οὗ τὴν ἀρχὴν ἐσφάλημεν. ἰδοὺ γὰρ καὶ ἐπιλάμψαντος αὐτοῦ, ὡς πρὸς κάτοπτρον τὴν ἀκοσμίαν ὁρῶντες αὐτῶν αἰσχυνόμεθα. τούτων τὸν τρόπον βελτιουμένων, εἰσάγονται δύο εὐνοῦχοι τοῦ βασιλέως, ὁ μὲν ἀρχιοινοχόος, ὁ δ᾽ ἀρχισιτοποιός, ἐν οἷς ἐπεπράττοσαν κατηγορηθέντες καὶ καταγνωσθέντες· ὁ δὲ καὶ τούτων τὴν ἐπιμέλειαν ἣν καὶ τῶν ἄλλων ἐποιεῖτο, εὐχόμενος ὅπως οἷός τε ᾖ μηδὲν χείρους τῶν ἀνεπιλήπτων ἀπεργάσασθαι τοὺς ὑφ᾽ ἑαυτῷ. χρόνου δ᾽ οὐ μακροῦ διελθόντος, ἐπιὼν τοὺς δεσμώτας, ὁρᾷ συννοίας καὶ κατηφείας γέμοντας μᾶλλον ἢ πρότερον τοὺς εὐνούχους, καὶ τεκμηράμενος ἐκ τῆς σφοδρᾶς λύπης προσπεπτωκέναι τι νεώτερον, ἐπυνθάνετο τὴν αἰτίαν· ἀποκρινομένων δέ, ὡς ὀνείρους ἰδόντες ἄσης καὶ ἀδημονίας πεπλήρωνται, μηδενὸς ὄντος τοῦ διακρινοῦντος, θαρρεῖτε, ἔφη, καὶ διηγεῖσθε· γνώριμοι γὰρ ἔσονται βουλομένου θεοῦ. βούλεται δὲ τὰ συνεσκιασμένα τῶν πραγμάτων ἀνακαλύπτεσθαι τοῖς ἀλήθειαν ποθοῦσιν. εἶτα πρότερος ὁ ἀρχιοινοχόος φησίν· ἔδοξα μεγάλην ἄμπελον ἐκπεφυκέναι τριῶν πυθμένων ἓν εὐερνέστατον στέλεχος τεθηλυῖαν καὶ βοτρυοφοροῦσαν ὡς ἐν ἀκμῇ τῆς ὀπώρας· ἀποπερκαζούσης δὲ τῆς σταφυλῆς, δρέψασθαι τοὺς βότρυς, καὶ εἰς ἔκπωμα βασιλικὸν ἀποθλίβειν· ὅσον ἱκανῶς εἶχεν ἀκράτου, προσενεγκεῖν τῷ βασιλεῖ. ὁ δὲ μικρὸν ἐπισχών, εὐτυχίαν, εἶπεν, ἡ φαντασία σοὶ καταγγέλλει, καὶ τῆς προτέρας ἀνάληψιν ἀρχῆς. αἱ γὰρ τρεῖς ῥίζαι τῆς ἀμπέλου, τρεῖς ἡμέρας ὑπογράφουσι, μεθ᾽ ἃς ὑπομνησθήσεταί σου ὁ βασιλεύς, καὶ μεταπεμψάμενος ἐνθένδε, παρέξει μὲν ἀμνηστίαν, ἐπιτρέψει δὲ καὶ τῆς αὐτῆς μεταποιεῖσθαι τάξεως, καὶ ὑπὲρ βεβαιώσεως τῆς ἀρχῆς οἰνοχοήσεις, ἀναδοὺς ἔκπωμα τῷ δεσπότῃ. καὶ ὁ μὲν ἐγεγήθει ταῦτ᾽ ἀκούσας· ὁ δὲ ἀρχισιτοποιὸς ἀποδεξάμενος τὴν διάκρισιν, ὡς καὶ αὐτὸς εὐτυχὲς ὄναρ ἰδών· ἦν δ᾽ οὐ μετρίως παλίμφημον ἀπατηθεὶς ταῖς ἑτέρου χρησταῖς ἐλπίσι, φησίν· ἀλλὰ κἀγὼ κανηφορεῖν ἔδοξα, καὶ τρία πλήρη κανᾶ πεμμάτων κομίζειν ἐπὶ τῆς κεφαλῆς· τὸ δ᾽ ἀνωτάτω πλῆ-

A quam enim suam vitam continentia, cæterisque virtutibus plenam velut tabulam bene pictam in medio proposuit, conuertit etiam eos qui videbantur insanabiles, affectos inueteratis morbis animi, ita vt iam damnarent vitam præteritam, exprimente has voces resipiscentia: Vbi tantum bonum tam diu latuit: à quo pridem aberrauimus. Ecce iam affulgente hoc, tanquam in speculo nostra dedecora
B videntes, erubescimus. In hoc rerum statu duo eunuchi regis introducti sunt, alter pincernis præfectus, alter pistoribus, accusati damnatique, quòd non recte fungerentur suis ministerijs. Hos quoque ille in suam curam accepit, orans Deum vt sibi daret facultatem corrigendi commissos suæ fidei. Aliquanto post, cùm obiret vinctos, animaduertit hos duos eunuchos cogitabundos mœstiores solito, vnde coniectans eis accidisse
C aliquid, mœroris causam scitabatur. Quibus respondentibus ortam ex somnijs anxietatem, quòd non adesset interpres: Bono animo este, inquit, & narrate. intelligentur Deo volente. Vult autem ille vt res obscuræ aperiantur veritatem desiderantibus. Tum prior pincerna, Visus sum, inquit, videre magnam vitem, habentem tres palmites onustos maturis vuis, qua-
D si autumni tempore. deinde inuitante harum pulchritudine, videbar decerpere, & exprimere in regium poculum, móxque regi offerre mustum meracum. Ioseph post modicum silentium, Felicitatem, inquit, hæc visio tibi nunciat, & restitutionem in pristinum officium. Nam tres palmites tres dies significant, quibus elapsis reminiscetur tui rex, accitóque hinc, dabit ve-
E niam: & vt in dignitate confirmeris, offeres Domino poculum. Sic illi lætum fuit suum somnium. tum pistorum præpositus interpretationem miratus, quasi & ipse faustum vidisset somnium, quod valde ominosum erat, deceptus bona spe alterius, narrare incipit. Ego quoque somniaui me tria canistra baiulare in capite plena operibus pistorijs. ex his summum continebat ea, quibus rex delectatur vt delicatio-

ribus & elaboratis curiosius. ea videbantur aues in meum caput deuolantes diripere, & deuorare auide, donec in totum absumpta sunt. Ad hæc iuuenis. Vtinam tale somnium non vidisses, aut non enunciasses: aut si narrandum erat, saltem id fecisses procul à meis auribus ne exaudirem quod non libet. piget enim me esse infelicitatis nuncium, quia compatior miseris, memor communis sortis hominum. Sed quoniam somniorum coniectoribus veritas est necessaria, tanquam vatibus & oraculorum interpretibus, nihil celabo: quandoquidem mendacium vbique fugiendum, in sacris consultationibus etiam religio vetat admittere. Tria canistra dies tres significant, quibus elapsis rex in crucem te tolli iubebit, truncatum prius capite: atque ita volucres pascentur tuis carnibus, donec totum absumant. Sic pistor recessit territus, tempus præfinitum expectans, & futura mala iam tum cogitatione præcipiens. Post triduum natalis regis illuxit, festiuitatem publicam afferens, præsertim aulicis. cúmque epulum præberetur optimatibus, vt fieri solet in hilaritate domestica, rex eunuchos requirens iussit produci è carcere: móxque confirmauit euentu somniorum præsagium, iubens alterum in cruce suspendi absciso capite, alterum in pristinam dignitatem restitui. At pincernarum princeps oblitus est eius qui futura prædicendo præsentem eius calamitatem subleuarat, vel quia nemo ingratus beneficiorum meminit, vel quia Deo visum est, iuuenem non humana, sed diuina ope ad felicitatem prouehi. Nam post biennium regi futurus eius regionis status, bonus malúsque præmonstratus est diuinitus duobus somnijs, quo certior res fieret. Vidit enim septem vaccas emergere in ripam è flumine, pingues valde obesásque, visu pulcherrimas, & pasci secundum fluuium. Post eas totidem macilentas, & vix ossibus hærentes, visu turpissimas ascendere, pascíque cum prioribus. Dein repente meliores deuorari à deterioribus, manente in saturitatis eadem macie, imò aucta etiam. Tum ex-

A ρεις εἶναι παντοίων πεμμάτων, οἷς εἴωθε χρῆσθαι ὁ βασιλεύς· ποικίλας δ' εἶναι τὰς πρὸς δίαιταν βασιλικὴν σιτοπόνων περιεργίας· ὄρνεις δὲ καθιπταμένους ἁρπάζειν ἀπὸ τῆς κεφαλῆς, καὶ ἀπλήστως ἐμφορεῖσθαι, μέχρις ἅπαντ' ἀναλῶσαι, καὶ μηδὲν τῶν εὐτρεπισθέντων ὑπολείπεσθαι. ὁ δὲ, ἐβουλόμην, εἶπε, μὴ παραστῆναί σοι τὴν φαντασίαν, ἢ φανεῖσαν ἡσυχασθῆναι· ἢ εἰ καὶ διηγοῖτό τις, μακρὰν γοῦν, ἵνα μὴ κατακούσαιμι, τῶν ἐμῶν ὤτων γενέσθαι τὴν διήγησιν· ὀκνῶ γάρ τις ἄγγε-

B λος εἶναι κακῶν. συναλγῶ γὰρ τοῖς ἐν συμφοραῖς, ἕνεκα φιλανθρωπίας οὐχ ἥκιστα τῶν ὑπομενόντων ὀδυνώμενος· ἀλλ' ἐπεὶ τοῖς ὀνείρων κριταῖς ἀληθεύειν ἀναγκαῖον θεῖα λόγια διερμηνεύουσι καὶ προφητεύουσι, λέξω μηδὲν ὑποστειλάμενος. ἀψευδεῖν γὰρ ἐπὶ μὲν πάντων ἄριστον, ἐπὶ δὲ τῶν ὁσίων ἀποφθεγμάτων καὶ ὁσιώτατον. τὰ τρία κανᾶ σύμβολον τριῶν ἡμερῶν ἐστίν· ἐπισχὼν ταύτας ὁ βασιλεὺς, ἀνασκολοπισθῆναί σε, καὶ τὴν

C κεφαλὴν ἀποτμηθῆναι κελεύσει, καὶ καταπτάμενα ὄρνεα τῶν σῶν εὐωχηθήσεται σαρκῶν, ἄχρις ἂν ὅλως ἐξαναλωθῇς. καὶ ὁ μὲν, ὥσπερ εἰκὸς ἦν, συγχυθεὶς, ἀνετέτραπτο, καραδοκῶν τὴν ἐλευθεροῦσαν προθεσμίαν; καὶ τῇ διανοίᾳ τὰς αἰκίας προσδεχόμενος· ὡς δ' αἱ τρεῖς ἡμέραι διῆλθον, γενέθλιος ἐπέστη τοῦ βασιλέως, ἐν ᾗ πάντες οἱ κατὰ τὴν χώραν ἐπανηγύριζον· διαφερόντως δ' οἱ περὶ τὰ βασίλεια. ἑστιωμένων οὖν τῶν ἐν τέλει, καὶ τῆς θεραπείας εὐωχουμένης, ὥσπερ ἐν δημοθοινίᾳ

D τῶν κατὰ τὸ δεσμωτήριον εὐνούχων ὑπομνησθεὶς, ἀχθῆναι κελεύει, καὶ θεασάμενος, τὰ ἐκ τῆς τῶν ὀνείρων διακρίσεως ἐπισφραγίζεται, προστάξας τὸν μὲν ἀνασκολοπισθῆναι τὴν κεφαλὴν ἀποτμηθέντα, τῷ δὲ τὴν ἀρχὴν ἣν εἶχε πρότερον ἀπονέμει. καταλλαγεὶς δὲ ὁ ἀρχιοινοχόος, ἐκλανθάνεται τοῦ τὰς καταλλαγὰς προειπόντος, καὶ ἕκαστα τῶν συμπεσόντων ἀτυχημάτων ἐπικουφίσαντος· ἴσως μὲν, ἐπειδὴ πᾶς ἀχάριστος ἀμνήμων ἐστὶν εὐερ-

E γετῶν, ἴσως δὲ καὶ κατὰ πρόνοιαν θεοῦ βουληθέντος τὰς εὐπραγίας τῷ νεανίᾳ μὴ δι' ἀνθρώπου γενέσθαι μᾶλλον ἢ δι' ἑαυτοῦ. μετὰ γὰρ διετῆ χρόνον τῷ βασιλεῖ τὰ μέλλοντα τῇ χώρᾳ συμβαίνειν ἀγαθὰ καὶ κακὰ, διτταῖς φαντασίαις δι' ὀνείρων θεσπίζεται ταὐτὸν ὑποσημαινούσαις ἕνεκα βεβαιοτέρας πίστεως· ἔδοξε γὰρ ἑπτὰ βόας ἀνέρπειν ἐκ τοῦ ποταμοῦ πίονας καὶ σφόδρα εὐσάρκους, καλὰς ὀφθῆναι, καὶ παρὰ τὰς ὄχθας νέμεσθαι· μεθ' ἃς, ἑτέρας ἀριθμὸν ἴσας, ἀσάρκους [illegible] τινὰ καὶ κατεσκελετευμένας;

εἰδεχθε-

εἰδεχθεστάτας ἀδηφάγους συννέμεσθαι ταῖς προτέραις. εἶτ' ἐξαπιναίως ὑπὸ τῶν χειρόνων καταβρωθῆναι τὰς ἀμείνους, καὶ μηδὲν, ἀλλὰ μηδὲ τὸ βραχύτατον τῇ ἐμφορηθείσαις πρὸς ὄγκον ἐπιδοῦναι τὰς γαστέρας ἀλλ' ἢ μᾶλλον, ἢ οὐχ ἧττον ἐστάλθαι. διαναστὰς δὲ καὶ κοιμηθεὶς πάλιν, ἑτέρᾳ πληχθῆναι φαντασίᾳ. νομίσαι γὰρ ἑπτὰ πυροῦ στάχυς ἐκπεφυκότας ἑνὸς πυθμένος, ἰσωτάτους τοῖς μεγέθεσιν, αὐξομένους καὶ τεθηλότας αἴρεσθαι πρὸς ὕψος μάλ' εὐρώστους. εἶθ' ἑτέρους ἑπτὰ λεπτοὺς καὶ ἀσθενεῖς ἀναπεφυκέναι πλησίον, ὑφ' ὧν ἐπιδραμόντων καταποθῆναι τὸν εὐσταχυν πυθμένα. ταύτην ἰδὼν τὴν ὄψιν, τὸ λειπόμενον τῆς νυκτὸς ἄϋπνος διατελέσας· ἤγειρον γὰρ αἱ φροντίδες κεντοῦσαι καὶ τιτρώσκουσαι· μεταπέμπεται τοὺς σοφιστὰς ἅμα τῇ ἕῳ, καὶ τὴν φαντασίαν διηγεῖται. μηδενὸς δὲ στοχασμοῖς εἰκόσι τἀληθὲς ἰχνηλατῆσαι δυναμένου, προσελθὼν ὁ ἀρχιοινοχόος φησὶν, ὦ δέσποτα, τὸν ἄνδρα ὃν ζητεῖς, ἐλπὶς ἐστιν εὑρήσειν. ἁμαρτόντας ἐμέ τε καὶ τὸν ἀρχισιτοποιὸν ἐκέλευσας εἰς τὸ δεσμωτήριον ἀπαχθῆναι, ἐν ᾧ τοῦ ἀρχιμαγείρου θεράπων ἦν Ἑβραῖος, ᾧ καὶ διηγησάμεθα ἐγώ τε κἀκεῖνος ὀνείρατα τὰ φανέντα ἡμῖν. ὁ δὴ οὕτως εὐθυβόλως καὶ εὐθυσκόπως διέκρινεν, ὡς ὅσα προεῖπεν ἑκατέρῳ συμβῆναι, τῷ μὲν τὴν ὑπομεῖναι τιμωρίαν, ἐμοὶ δὲ τὸ σοῦ τυχεῖν ἵλεω καὶ εὐμενοῦς. ὁ μὲν οὖν βασιλεὺς ἀκούσας, προστάττει συντείναντας ἀνακαλεῖν τὸν νεανίαν. οἱ δ' ἀποκείραντες· βαθεῖαι γὰρ ἦσαν αὐτῷ χαῖται, καθειργμένῳ κεφαλῆς τε ῥύπον· καὶ ἀντὶ ῥυπώσης λαμπρὰν ἐσθῆτα ἀντιδοῦντες, τε τἄλλα φαιδρύναντες, εἰσάγουσι πρὸς βασιλέα· ὃς ἐκ τῆς ὄψεως τεκμηράμενος ἄνδρα ἐλεύθερον καὶ εὐγενῆ· χαρακτῆρες γὰρ ἐπιφαίνονταί τινες τῷ σώματι τῶν ὁρωμένων, οὐχ ὁρατοὶ πᾶσιν, ἀλλ' οἷς τὸ διανοίας ὄμμα ὀξυδορκεῖ· μαντεύεται, εἶπεν, ἡ ψυχή μου περὶ τοῦ μὴ εἰς ἅπαν ἀσαφείᾳ τοὺς ὀνείρους ἐπισκιασθήσεσθαι. δεῖγμα γὰρ σοφίας ὁ νεανίας ἐστὶν ἀποφαίνει, ἢ διακαλύψει τὴν ἀλήθειαν οἷα φωτὶ σκότος, ἐπιστήμῃ τὴν ἀμαθίαν τῶν παρ' ἡμῖν σοφιστῶν ἀποσκεδάσει. καὶ τοὺς ὀνείρους διηγεῖτο· ὁ δὲ τὸ ἀξίωμα τοῦ λέγοντος οὐδὲν καταπλαγεὶς, ὥσπερ ὑπηκόῳ βασιλεὺς, ἀλλ' οὐχ ὑπήκοος βασιλεῖ, παρρησίᾳ σὺν αἰδοῖ χρώμενος, διελέγετο. καὶ φησὶν, ὅσα μέλλει ποιεῖν ὁ θεὸς ἐν τῇ χώρᾳ προμεμήνυκέ σοι. τὰς μέντοι διττὰς φαντασίας μὴ ὑπολάβῃς εἶναι διττοὺς ὀνείρους. εἷς ἐστι, τὴν ἀναδίπλωσιν ἔχων οὐ περιττὴν, ἀλλὰ πρὸς ἔλεγχον

perrectus ; ac mox in somnum relapsus alia visione terretur : qua visus est videre septem spicas triticeas ex vno culmo enatas pari magnitudine, plenas & proceritate pulcherrimas. Deinde septem alias exiles ac languidas enatas in proximo, quæ mox impetu facto absumpserunt culmum illum cum suis spicis nitidissimis. Post hanc secundam visionem noctis reliquum insomnis exegit, curis stimulantibus, & animum solicitum sauciantibus: sub auroram sophistis accitis, denarrat obuersatas sibi dormienti species. Cúmque nemo posset verum earum significatum coniecturis assequi, accedens eum pincernarum princeps, inquit, Here, spero me inuenturum qualem cupis hominem. Misisti dudum ob quasdam noxas me & pistoribus præfectum in carcerem, in quo erat seruus principis coquorum, Hebræus genere, ei narrauimus ambo, quæ videramus somnia. Ille rem coniecturis certissimis attigit, adeò vt euentus in vtroque nostrum eius interpretationi responderit: alter dedit supplicium, mihi tu propitius donasti veniam. Rex his auditis iubet propere acciri iuuenem. ministri attonsum post longam carceris illuuiem, & detractis sordidis pannis eleganter vestitum, cæterisque nitoribus expolitum, ad regem introducunt. qui primo aspectu iudicans hominem ingenuum & bene natum (elucent enim in ipsa facie notæ, non omnibus tamen conspicuæ, sed solis perspicaces mentis oculos habentibus) Præsagit, inquit, mihi animus, non semper in obscuro fore quod tegitur somniorum ambagibus. præ se fert enim hic iuuenis sapientiam : qui veritatem, tanquam lumen tenebris inferens, aperiet, & sua scientia nostratium sophistarum inscitiam abiget. His dictis ordine denarrauit vtrunque somnium. Tum Ioseph maiestate loquentis nihil territus, tanquam rex subditum, non subditus regem, libere sed reuerenter allocutus est, dicens: Quæ facturus est Deus in hac regione ostendit tibi. Duæ visiones (crede mihi) vnum somnium sunt, geminatum non temere, sed vt res fiat credibilior. nam & septem

vaccæ pingues ; & septem spicæ plenæ , septem vbertatis annos significant : sicut totidem famis annos illæ septem macilentæ vaccæ turpissimæ , & septem spicæ cassæ ac marcidæ. Veniet igitur prius septennium fertilissimum , tota regione quotannis bene rigata stagnante per arua flumine , & campis solito maiores prouentus afferentibus. sequetur deinde longe diuersum septennium , grauem inopiam allaturum & rerum victui necessariarum penuriam , nec flumine se diffundente , nec terra limo eius pinguescente , vt accolæ obliti superioris vbertatis nihil ex eius prouentu reliquum faciant. Hæc sunt quæ somnia præmonent: sed mihi numen quiddam suggerit , quod in tantis malis salutem afferre queat. Vrbium regionúmque grauissimus morbus fames est , cuius vires oportet frangere , ne nimium auctus incolas deleat. at quomodo succurrendum est huic periculo ? è septem annorum fertilitate quód superererit satietati hominum , hoc est quinta pars , reponatur oppidatim vicatimque , non transpórtando fruges aliò longius , sed vbi demetuntur asseruando in vsum eius loci hominum. eas fruges censeo cum suis manipulis condendas , nec trituratas , nec purgatas , quatuor de causis. quarum vna est , ne citius vitientur nudatæ suo tegmine. altera vt per singulos annos renouetur pristinæ copiæ memoria , rusticis triturantibus & fruges euentilantibus. tertia ne iniri possit frumenti numerus dum incertum est quantum spicæ manipulíque contineant , ne animus colonos deficiat reputantes quantum absumptum sit , sed securitate non minus quàm cibo se sustineant. spes enim alit cum primis , graue penuriæ malum subleuans. quarta causa est , vt & iumentis condatur pabulum , quibus aristæ paleæque purgamenta frugum proderunt. ea cura committenda est viro prudenti , cordato , probatóque , qui possit sine inuidia reprehensionéque hoc consilium exequi tanta dexteritate , vt nihil populo de fame futura suboleat. durum est enim iam ante ægris animis spem

A βεβαιοτέρας πίστεως. αἵ τε γὰρ πίονες ἑπτὰ βόες, καὶ οἱ εὔβλαστοι καὶ εὐθαλεῖς ἑπτὰ στάχυες ἐνιαυτοὺς ἑπτὰ δηλοῦσιν εὐθηνίας καὶ εὐετηρίας· καὶ ἑπτὰ ἑτέρους λιμοῦ, αἱ ἐπαναβᾶσαι ἑπτὰ βόες λεπταὶ καὶ εἰδεχθεῖς, καὶ οἱ διεφθαρμένοι καὶ μεμυκότες ἑπτὰ στάχυες. ἥξει μὲν οὖν ἑπταετία προτέρα, πολλὴν καὶ ἄφθονον ἔχουσα εὐκαρπίαν, πλημμύραις μὲν ἀνὰ πᾶν ἔτος τοῦ ποταμοῦ λιμνάζοντος τὰς ἀρούρας, τῶν δὲ πεδίων, ὡς οὔπω πρότερον εὐτοκίᾳ χρωμένων· ἥξει δὲ μετὰ ταῦτα ἐναντία πάλιν ἑπταετία,
B χαλεπὴν ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων ἐπιφέρουσα, μήτ' ἀναχεομένου τοῦ ποταμοῦ, μήτε τῆς γῆς λιπαινομένης, ὡς τῆς προτέρας εὐθηνίας ἐκλαθέσθαι. καὶ εἴ τι λείψανον παλαιᾶς εὐετηρίας ἦν, ἀναλωθῆναι. τὰ μὲν οὖν ἐκ τῆς διακρίσεως, τοιαῦτ' ἐστίν. ὑπηχεῖ δέ μοι, καί τις ἐκλαλεῖ θεῖον, ὑποβάλλον τὰ ὡς ἐν νόσῳ σωτήρια· νόσος δὲ πόλεων καὶ χωρίων ἡ βαρυτάτη, λιμός, ἣν κατασκευαστέον ἀσθενῆ, ἵνα μὴ τελείως ῥωσθεῖσα, τοὺς οἰκήτορας ἐκ-
C φάγῃ. πῶς οὖν ἀσθενήσει, τοῦ καρποῦ τῶν ἑπτὰ ἐτῶν ἐν οἷς ἡ εὐφορία, ὃ πλεονάζον, μετὰ τὰς αὐτάρκεις τοῖς πλήθεσι τροφάς· ἔσται δ' ἴσως μέρος πέμπτον· θησαυριστέον ἐν πόλεσι καὶ κώμαις, μὴ μετακομίζοντας τὰ θέρη μακρόθεν, ἀλλ' ἐξ ὧν αὐτὴ χωρίων, ἐν ἐκείνοις φυλάττοντας πρὸς τὴν τῶν ἐνοικούντων παρηγορίαν· συγκομιστέον δὲ τὸν καρπὸν αὐτοῖς δράγμασι, μήτε ἀλοῶντας, μήτε συνόλως καθαίροντας, τεττάρων ἕνεκα, ἑνὸς μὲν, τοῦ σκέπῃ χρώμενον, πρὸς πλείω χρόνον διαμένειν ἀδιάφθορον· ἑτέ-
D ρου δὲ, τοῦ καθ' ἕκαστον ἐνιαυτὸν γίνεσθαι τῆς εὐθηνίας ὑπόμνησιν, ἀλοώντων καὶ λικμώντων. ἡ γὰρ μίμησις τῶν πρὸς ἀλήθειαν ἀγαθῶν, δευτέραν ἔμελλεν ἡδονὴν ἀπεργάζεσθαι· τρίτου δὲ, τοῦ μὴ δὴ εἰς ἀριθμὸν ἐλθεῖν, ἐν στάχυσι καὶ δράγμασιν ἀδήλου καὶ ἀπεριγράφου τοῦ καρποῦ ὑπάρχοντος, ἵνα μὴ προαναπίπτωσιν αἱ διάνοιαι τῶν ἐξ χωρίων ἐν ταῖς ἀναλώσεσι τοῦ συλλογισθέντος, ἀλλ' εὐθυμίᾳ χρώμενοι τῇ σιτίων ἀμείνονι τροφῆς· τρέφει γὰρ ἐν τοῖς μάλιστα ἐλπίς· ἐπικουφίζωσι τὴν ἐκ τῆς
E ἐνδείας βαρεῖαν νόσον· τετάρτου δὲ, τοῦ καὶ τοῖς θρέμμασι χιλὸν ἐπιταμιεύεσθαι, τῶν ἀχύρων καὶ ἀθέρων ἐκ τῆς τοῦ καρποῦ καθάρσεως διακρινομένων. ἐπιμελητὴν δὲ τούτων χειροτονητέον ἄνδρα φρονιμώτατον καὶ συνετώτατον καὶ ἐν πᾶσι δόκιμον, ὃς γνοίη ἂν ἴχνος ἀμέμπτως καὶ ἀνεπιφθόνως εὐπρεπῆ τὰ λεχθέντα ποιεῖν, μηδεμίαν αἴσθησιν τοῖς πλήθεσιν ἐνδοὺς περὶ τοῦ γενησομένου λιμοῦ. χαλεπὸν γὰρ τὸ προκάμνοντας τὰς ψυχάς,

ἀναπαισῶ δυσελπιστίᾳ. ἐὰν δέ τις ἐπιζητῇ τὴν αἰτίαν, φησὶ δεῖν, καθάπερ ἐν εἰρήνῃ προνοεῖν τὰ ἐν τῷ πολέμῳ παρασκευάς, καὶ ἐν εὐπορίαις τὴν κατ' ἔνδειαν· ἄδηλον γὰρ εἶναι πολέμους καὶ λιμούς, καὶ συνόλως τοὺς καιροὺς τῶν ἀβουλήτων, εἰς οὓς ἀναγκαῖον εἶναι παρασκευάσασθαι· ἀλλὰ μὴ γινομένων, ὅτι τὴν θεραπείαν ἐπιζητεῖν, ἔτ' οὐδὲν ὄφελος. ἀκούσας δὲ ὁ βασιλεὺς καὶ τὴν ὀνείρων διάκρισιν εὐθυβόλως καὶ εὐσκόπως στοχαζομένην τῆς ἀληθείας, καὶ τὴν συμβουλίαν ὅσα γε δοκεῖν ὠφελιμωτάτην κατὰ τὴν τοῦ μέλλοντος ἀδήλου πρόνοιαν, τοὺς συνόντας ἐγγυτέρω προσελθεῖν κελεύσας, ἵνα μὴ κατακούοι, ἆρ', εἶπεν, ἄνδρες εὑρήσομεν τοιοῦτον ἄνθρωπον, ὃς ἔχει πνεῦμα θεῖον ἐν ἑαυτῷ; συνεπαινούντων δὲ καὶ συνευφημούντων, ἐπιδὼν εἰς τὸ πρόσωπα, ἐγγύς, εἶπεν, ἐστὶν ὃν προστάττεις ἀναζητεῖν, οὐ μακρὰν ἀφέστηκεν ὁ φρόνιμος καὶ συνετός, ὃν ἔδει κατὰ τὰς σὰς ὑφηγήσεις σκοπεῖν, αὐτὸς ὢν τυγχάνεις. οὐ γὰρ ἄνευ θεοῦ ταῦτ' ἀποφθέγξασθαί μοι δοκεῖς. ἴθι δὴ καὶ παραλάμβανε τὴν τ' ἐπιμέλειαν τῆς ἐμῆς οἰκίας, καὶ τὴν Αἰγύπτου πάσης ἐπιτροπήν. εὐχέρειαν δ' οὐδείς μου καταγνώσεται ἐν φιλαυτίᾳ χειρουμένους πάθει δυσιάτῳ. αἵ τε γὰρ μεγάλαι τῶν φύσεων χρόνοις οὐ δοκιμάζονται μακροῖς, ἀλλὰ δυνάμει βιαζόμεναι φθάνουσιν εἰς ἀποδοχὴν αὐτῶν ἀνυπέρθετον, τό τε πρᾶγμα μέλλησιν καὶ διατριβὴν οὐκ ἀνέχεται, τῶν καιρῶν ἐπειγόντων εἰς τὰς ἀναγκαίας παρασκευάς. εἶτ' αὐτὸν καθίστησι τῆς βασιλείας διάδοχον, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, βασιλέα, τὸ μὲν ὄνομα τῆς ἀρχῆς ὑπολειπόμενος αὐτῷ, τῆς δ' ἐν ἔργοις ἡγεμονίας ἐκστὰς ἐκείνῳ, καὶ τἆλλα παρέχων, ὅσα ἐπὶ τιμῇ τοῦ νεανίου. δίδωσι γοῦν αὐτῷ σφραγῖδα βασιλικήν, καὶ ἱερὰν ἐσθῆτα, καὶ κύκλον χρυσοῦν περιδέραιον, καὶ ἐπὶ δεύτερον τῶν ἁρμάτων ἀναβιβάσας, κελεύει περιελθεῖν τὴν πόλιν, προεξηγουμένου κήρυκος καὶ δηλοῦντος τοῖς ἀγνοοῦσι τὴν χειροτονίαν· μετονομάζει δ' αὐτὸν ἀπὸ τῆς ὀνειροκριτικῆς, ἐγχωρίῳ γλώττῃ προσαγορεύσας, καὶ ἐγγυᾷ πρὸς γάμον αὐτῷ τὴν ἐπιφανεστάτην τῶν κατ' Αἴγυπτον ἱερέως Ἡλίου θυγατέρα. ταῦτ' ἐγένετο περὶ ἔτη γεγονότος ἤδη τριάκοντα. τοιαῦτα τῶν εὐσεβῶν τὰ τέλη. κἂν γὰρ κλιθῶσιν, οὐκ εἰσάπαν πίπτουσιν, ἀλλὰ διαναστάντες ὀρθοῦνται παγίως καὶ βεβαίως, ὡς μὴ καθυποσκελισθῆναι. τίς γὰρ ἂν προσεδόκησε μιᾷ ἡμέρᾳ τὸν αὐτὸν ἀντὶ μὲν δούλου δεσπότην, ἀντὶ δὲ δεσμώτου πάντων ἀξιονικώτατον, καὶ τὸν ὑποδιάκονον εἱρκτοφύλακος,

A in futurum adimere. quod si quis causam scitabitur, respondendum est, oportere sicut in pace parantur quæ belli tempore futura sunt vsui, sic in copia prospicere inopiæ. incertum autem esse quando bellum vel fames immineat, quidve futurum tempus ferat: parandum igitur mature subsidium, ne desit cum tempus postulauerit. Rex audita somniorum interpretatione aptissima, veritati congrua, simúlque consilio, vt apparebat in fu-
B turum vtilissimo, familiaribus proprijs accitis submissa voce dixit: Num inueniemus talem hominem afflatum diuinitus? Cúmque videret eis probari hanc sententiam, versus ad iuuenem stantem ait: Prope est quem quæri iubes, non longe quærendus est homo cordatus ac prudens qui exequatur tua monita: tu is es. nec enim sine numine hæc locutus videris. I præ-
C fecturam mei palatij suscipe, simúlque totius Ægypti procurationem. nec est cur quisquam meam facilitatem accuset, se digniorem iudicans. nam excellentes naturæ non habent opus ad experimentum longo tempore, sed incunctanter se rebus ingerunt: & præsens status moras non patitur, imminente necessitate cui prospiciendum est. His dictis eum proregem instituit, vel regem potius, relicto sibi solo im-
D perij nomine, potestatem illi cedens & agens quicquid pertinebat ad honorem iuuenis. dat ei regium anulum signatorium, vestem augustam, torquem auream, currum secundum à regio, atque ita iubet per vrbem circumuehi, præcedente præcone & indicante noui magistratus electionem. nomen quoque nouum indit ei, quod interpretem significat lingua vernacula: & nuptum dat filiam clarissi-
E mi apud Ægyptios viri, qui Solis habebat sacerdotium. id actum est circiter annum eius trigesimum. hi sunt euentus piorum. nam etiamsi proclinantur, tamen non corruunt, sed erecti stant firmiter, ne supplantari queant. Quis enim expectasset intra vnam diem è seruo dominum, è vincto præstantissimum omnium, è carcerarij vicario proregem fieri, & regiam inhabitare pro carcere,

extrema ignominia versa in honorem maximum. facta sunt tamen hæc, & fient sæpius, quando Deo placuerit: modo subsidat aliqua probitatis scintilla in animo, quam necesse est per occasionem excandescere. Quoniam autem propositum est post rei narrationem figuram etiam explicare, dicemus & de hac quantum opus est, quamuis fortasse ridebit hoc aliquis temerarius. Ego tamen non dissimulanter dico, ciuilem virum vtique somniorum esse interpretem, non quales isti nugatores garruli mercenarijque sophistæ quæstum facientes ex nocturnis somniorum ludibrijs: sed qui magnum illud somnium commune publicúmque vigilantium non dormientium exacte intelligat. id somnium, ne quid mentiar, est vita hominum. nam sicut in somniorum visionibus videntes non videmus, audientes non audimus, gustantes aut tangentes nec gustamus nec tangimus, loquentes non loquimur, deambulantes non deambulamus, sed cum videamur vti motibus & habitibus nullo prorsus vtimur, mente inaniter sine vllis veris obiectis pingente sibi simulacra rerum non existentium tanquam existentium: eodem modo etiam vigilantium imaginationes somnijs sunt simillimæ. veniunt, abeunt, occurrunt, refugiunt, prius quam comprehendantur auolant. Disquirat quisque apud se, & domi testimonium inueniet vt ipse taceam, præsertim si quis est ætate prouectior. is fuit aliquando infans, mox puer, deinde pubens, deinde adolescens, postea iuuenis, postea vir, postremo senex, sed non simul omnia. nónne infans puero cedit, puer pubenti, pubens adolescenti, adolescens iuueni, iuuenis viro, vir seni, senectus morti? & fortasse singulæ ætates decedendo præmoriuntur, natura nos paulatim docente non timere mortem extremam omnium, quando priores facile tulimus, infantiæ, pueritiæ, pubertatis, adolescentiæ, iuuentutis, virilitatis, quæ omnes ætates ante senectutem euanuerunt. Quid aliæ res corporis nónne somnia sunt? nónne pulchritudo momentanea pene prius marcescit quam

A ὑπάρχων βασιλέως ἑστιάτωρ, καὶ αὐτὴ ἡ εἱρκτῆς τὰ
βασίλεια οἰκήσειν, τὰ πρῶτα τῶν ἐπὶ τιμαῖς φερό-
μενον ἀντὶ τῆς εἰς ἀτιμίαν ἐσχάτων. ἀλλ' ὅμως καὶ
γέγονε ταῦτα, καὶ γενήσεται πολλάκις, ὅταν δοκῇ τῷ θεῷ.
μόνον ἐν τι ὑφεστάτω καλοκαγαθίας ἐμπύρευμα
ταῖς ψυχαῖς, ὅπερ ἀναγκαῖον ποτε ῥιπιζόμενον ἐκ-
λάμψαι. ἐπεὶ δὲ πρόκειται μετὰ τὴν ῥητὴν ἀπό-
δοσιν, καὶ τὴν τροπικωτέραν ἐξετάζειν, λεκτέον ἂν
χρὴ καὶ περὶ αὐτῆς. ἴσως μὲν οὖν χλευάσουσί τινες
B τῶν εἰκαιοτέρων ἀκούσαντες· ἐγὼ δ' ἐρῶ μηδὲν
ὑποστειλάμενος, ὅτι ὁ πολιτικὸς πάντως ὀνειρο-
κριτικός ἐστιν, οὐχὶ τῶν βωμολόχων, οὐδὲ τῶν ἐπα-
δολεσχούντων, καὶ ἐνσοφιστευόντων ἐπὶ μισθῷ, καὶ
τὴν τῶν καθ' ὕπνον φαντασιῶν διάκρισιν ἀργυ-
ρισμοῦ πρόβλημα πεποιημένων, ἀλλὰ τὸν κοι-
νὸν καὶ πάνδημον καὶ μέγαν ὄνειρον οὐ κοιμωμένων
μόνον, ἀλλὰ καὶ ἐγρηγορότων εἰωθὼς ἀκριβοῦν. ὁ
δ' ὄνειρος οὗτος, ὡς ἀψευδέστατα φάναι, ὁ τῶν ἀνθρώ-
πων ἐστὶ βίος. ὡς γὰρ ἐν ταῖς καθ' ὕπνον φαντα-
C σίαις, βλέποντες οὐ βλέπομεν, καὶ ἀκούοντες οὐκ
ἀκούομεν, καὶ γευόμενοι ἢ ἁπτόμενοι, οὔτε γευό-
μεθα οὔτε ἁπτόμεθα, λέγοντες οὐ λέγομεν, καὶ
περιπατοῦντες οὐ περιπατοῦμεν, καὶ ταῖς ἄλλαις
κινήσεσι καὶ σχέσεσι χρῆσθαι δοκοῦντες, οὐδεμιᾷ
τὸ παράπαν χρώμεθα· κεναὶ δ' εἰσὶ τῆς διανοίας καὶ
πρὸς οὐδὲν ὑποκείμενον ἀληθείᾳ μόνον ἀνα-
ζωγραφούσης καὶ εἰδωλοποιούσης τὰ μὴ ὄντα ὡς ὄν-
τα· οὕτω καὶ ἐπὶ τῶν παρεγρηγορότων αἱ φαντασίαι
τοῖς ἐνυπνίοις ἐοίκασιν· ἦλθον, ἀπῆλθον, ἐφάνη-
D σαν, ἀπεπήδησαν, πρὶν καταληφθῆναι βε-
βαίως, ἀπέπτησαν· ἐρευνησάτω δ' ἕκαστος αὐτῶν,
καὶ τὸν ἔλεγχον αὐτὸν οἴκοθεν καὶ ἄνευ τῆς παρ' ἐμοῦ
πίστεως εἴσεται, καὶ μάλιστα εἴ τις πρεσβύτερος
ἤδη γεγονὼς τυγχάνει. οὗτος ἦν ὁ ποτὲ βρέφος, καὶ
μετὰ ταῦτα παῖς, εἶτα ἔφηβος, εἶτα μειράκιον,
καὶ νεανίας αὖθις, εἶτ' ἀνήρ, καὶ γέρων ὕστατον,
ἀλλ' οὐ πάντ' ἐκεῖνα· οὐκ ἐν μὲν παιδὶ τὸ
βρέφος ὑπεξῆλθεν, ὁ δὲ παῖς ἐν ἐφήβῳ, ὁ
δ' ἔφηβος ἐν μειρακίῳ, τὸ δὲ μειράκιον ἐν νεα-
E νίᾳ, ἐν ἀνδρὶ δ' ὁ νεανίας, ἀνὴρ δ' ἐν γέρον-
τι, γῆρας δ' ἐπὶ τελευτῇ; τάχα μέντοι τάχα
καὶ τῶν ἡλικιῶν ἑκάστη παραχωροῦσα τῷ κρά-
τει τῇ μεθ' αὐτὴν, προαποθνήσκει, τῆς φύ-
σεως ἡμᾶς ἀναδιδασκούσης ἡσυχῇ μὴ δεδιέναι
τὸν ἐπὶ πᾶσι θάνατον, ἐπειδὴ τοὺς προτέρους εὐμα-
ρῶς ἠνέγκαμεν, τοῦ βρέφους, τοῦ παιδός, τοῦ ἐφήβου, τοῦ
μειρακίου, τοῦ νεανίου, τοῦ ἀνδρός· ὧν οὐδεὶς ἔτ' ἐστὶ
γήρως ἐπιστάντος· τὰ δ' ἄλλα ὅσα περὶ τὸ σῶμα,

ἐκ ἐνύπνια; τὸ κάλλος μὲν ἐφήμερον, πρὶν ἀνθῆσαι μαραινόμενον· ὑγεία δ' ἀβέβαιος, διὰ τὰς ἐφέδρους ἀσθενείας· ἰσχὺς δ' εὐάλωτος νόσοις, ἐκ μυρίων προφάσεων· ἥ τ' ἀκρίβεια τῶν αἰσθήσεων, ῥεύματος ἐνσκήψαντος βραχέος ἀνατρέπεται· τὴν δ' ἐκτὸς ἀσάφειαν τίς οὐκ οἶδε· μιᾷ ἡμέρᾳ πλοῦτοι μεγάλοι πολλάκις ἀπερρύησαν· τὰ πρωτεῖα τῶν ἐν τοῖς ἀξιωματικωτάτοις ἡμῖν ἐνσχηματισθέντες μυρίοι, πρὸς ἠμελημένων καὶ ἀφανῆ ἀδοξίαν μετέβαλον. ἀρχαὶ βασιλέων αἱ μέγισται, καθῃρέθησαν βραχείᾳ καιροῦ ῥοπῇ. ἐγγυᾶταί μου τὸν λόγον Διονύσιος ὁ ἐν Κορίνθῳ, ὃς Σικελίας μὲν τύραννος ἦν, ἐκπεσὼν δὲ τῆς ἡγεμονίας, εἰς Κόρινθον καταφυγὼν, καὶ γραμματιστὴς ὁ τοσοῦτος ἡγεμὼν γέγονε. συνεγγυᾶται καὶ Κροῖσος ὁ Λυδίας βασιλεὺς, πλουσιώτατος βασιλέων, ὃς ἐλπίσας τὴν Περσῶν καθελεῖν ἀρχὴν, οὐ μόνον τὴν οἰκείαν προσαπέβαλεν, ἀλλὰ καὶ ζωγρηθεὶς, ἐμέλλησε καταπίμπρασθαι. μάρτυρες τῶν ἐνυπνίων, οὐκ ἄνδρες μόνοι, ἀλλὰ καὶ πόλεις, ἔθνη, χῶραι, ἡ Ἑλλὰς, ἡ βάρβαρος, ἠπειρῶται, νησιῶται, ἡ Εὐρώπη, ἡ Ἀσία, δύσις, ἀνατολή. μεμένηκε γὰρ οὐδὲν οὐδαμοῦ τὸ παράπαν ἐν ὁμοίῳ, τροπαῖς δὲ καὶ μεταβολαῖς ἐγγεγόνασι πάντα διὰ πάντων. Αἴγυπτός ποτε πολλῶν ἐθνῶν ἡγεμονίαν εἶχεν, ἀλλὰ νῦν δουλεύει· Μακεδόνες οὕτως ἐπὶ χρόνον ἤκμασαν, ὡς ἁπάσης ἀνάψασθαι τῆς οἰκουμένης τὸ κράτος· ἀλλὰ νῦν τοῖς ἐκλογεῦσι τῶν χρημάτων τοὺς ἐπιταχθέντας ὑπὸ τῶν κυρίων δασμοὺς ἐτησίους εἰσφέρουσι. ποῦ δὲ ἡ τῶν Πτολεμαίων οἰκία, καὶ ἡ καθ' ἕκαστον τῶν διαδόχων ἐπιφάνεια μέχρι γῆς καὶ θαλάττης περάτων ἐκλάμψασα. ποῦ δ' ἡ τῶν αὐτονόμων ἐθνῶν καὶ τῶν πόλεων ἐλευθερία· ποῦ δ' ἔμπαλιν αἱ δουλεῖαι τῶν ὑπηκόων· οὐ Πέρσαι μὲν Παρθυαίων ἐπεκράτουν; νυνὶ δὲ Περσῶν Παρθυαῖοι διὰ τὰς τῶν ἀνθρωπείων πραγμάτων τροπὰς, καὶ τὰς ἄνω καὶ κάτω πεττείας καὶ μεταθέσεις αὐτῶν. ἀναπλάττουσιν ἔνιοι μακράς τινας καὶ ἀπεράντους εὐτυχίας ἑαυτοῖς· αἱ δ' ἀρχαὶ μεγάλων κακῶν εἰσί· καὶ σπεύδοντες ὡς ἐπ' ἀγαθῶν κληρονομίαν, εὑρίσκουσι δυνατὰς κακοπραγίας, καὶ τοὐναντίον κακὸν προσδοκήσαντες, ἀγαθοῖς ἐνέτυχον. ἀθληταὶ δυνάμει καὶ ῥώμῃ καὶ εὐεξίᾳ σωμάτων μέγα φρονοῦντες, ἀνανταγώνιστον νίκην ἐλπίσαντες, ἐξαγώνιοι πολλάκις ἐγένοντο μὴ δοκιμασθέντες, ἢ καταπεσόντες εἰς τὸν ἀγῶνα, ἡττήθησαν· οἱ δ' ἀπογνόντες καὶ δευτερείων ἐφίξεσθαι, τὰ πρῶτα τῶν ἄθλων στεφανηφοροῦντες ἤρχοντο θέρους ἀναχθέντες τοὺς

A floreat? sanitas incerta infirmitatibus obnoxia? robur morbis expugnabile per occasiones plurimas? sensuum integritas humoribus vitiosis facile corrumpitur? Iam quanta sit in rebus externis obscuritas quis nescit? ingentes opes sæpe vna dies abstulit. multi honoratissimi antea, versis rerum vicibus in contemptum venerunt cum ignominia. imperia regum maxima breui temporis momento subuersa sunt. fidem meis ver-
B bis astruit Dionysius in Corintho, quondam tyrannus Siciliæ, mox pulsus & Corinthum profugus, literator factus è tanto principe. attestatur & Crœsus rex Lydiæ, ditissimus regum, qui sperans se deleturum Persarum potentiam, non modo proprium regnum amisit, sed & ipse viuus in potestatem hostium redactus, minimum abfuit quin exureretur. Testantur de huiusmodi somnijs non singuli tantum, sed ciuitates,
C gentes, regiones, Græcia, Barbaria, insularum continentisque incolæ, Europa, Asia, oriens, occidens. nihil enim vsquam permanet sui simile. Ægyptus quondam in multas gentes habuit imperium, nunc ipsa seruit. Macedones aliquamdiu tam potentes fuerunt, vt iura toti orbi redderent: nunc imperatas à dominis pecunias tributi nomine quotannis quæstoribus numerant. Vbi est illa Ptolemæorum familia, cuius splendor per singulos suc-
D cessores ad extremos terræ marisque terminos emicuit? vbi sunt gentes ciuitatesque sui iuris & liberæ? rursum vbi subditorum seruitutes? nónne Persæ Parthis imperauerunt? nunc subduntur eis versa rerum humanarum alea. Quidam fingunt sibi prolixas felicitates, at hæ sunt magnorum malorum initia. itaque dum ad magnorum commodorum possessionem properant, graues miserias inueniunt: & è
E diuerso malum expectando, in bona fortuita incurrunt. athletæ robore freti ac bona corporis habitudine, dum certam sibi pollicentur victoriam, vel exclusi sunt è certamine, vel victi ab aduersarijs. alij ne secundam quidem palmam sperantes, primam coronam reportauerunt præmium. quidam æstate soluentes tempore opportunissimo, fecerunt naufragium, alij hibernis tempestatibus pene obruti, portum attigerunt incolumes.

Quidam negociatores certa lucra sibi proponunt, securi de periculis: alij de damno soliciti, magnum fecerunt opere pretium. tam anceps est fortuna, rebus humanis tanquam in statera pendentibus, & inæquali pondere nunc huc nunc illuc vergentibus: tanta offenduntur caligine. Proinde tanquam altum dormientes erramus, non valentes quicquam ratiocinatione vel penetrare vel certo comprehendere, quando cuncta vmbris spectrisque sunt similia. & sicut cùm pompæ traducuntur prima quæque conspectum prætereunt, item in torrentibus fallente visum celeritate vndæ præterfluunt: sic vitæ negocia currentia præterlabentiáque videntur manere, cum ne momentum quidem maneant, nunquam non subterfluentia. Interea qui vigilant, quantum ad incertam perceptionem attinet, nihil à dormientibus differunt seipsos fallendo, dum se putant rerum naturas certo perspicere, quamuis interturbantibus scientiam sensibus per spectaculorum, saporum, vaporúmque illecebras, quibus inescatus animus non finitur rectè inoffenséque per viam publicam progredi. itaque confusis celsis cum humilibus, magnis cum paruis, exoritur inæqualitas inducens caliginem atque vertiginem. Cum igitur tanta perturbatione obscuritatéque vita referta sit, oportet interuenire virum ciuilem, & tanquam doctum somniorum interpretem, diurna somnia visionésque hominum qui vigilare sibi videntur, dijudicare coniecturis verisimilibus, persuasionibus rationi consentaneis persuadentem singula: hoc honestum, illud turpe: hoc bonum, malum illud: hoc iustum, iniustum illud, & cætera similiter: hoc prudenter factum, illud fortiter, hoc pie, hoc sancte, hoc vtiliter: & è diuerso hoc factum inutiliter, hoc imprudenter, hoc timide, hoc impie, hoc profane, hoc noxie, hoc ambitiose. Item: hoc alienum est, ne concupiscas: hoc tuum, vtere non abutere. Affluunt opes? impartire. nam diuitiarum pulchritudo est non in crumenis, sed in egenorum auxilio. Pauca possides? caue inuideas diuitibus. Pauperem inuidum nemo miserabitur. Honoratus es? caue inso-

A ὁ γὰρ χθὲς εὐπλοίας ἐναυάγησεν· ἕτεροι χειμῶνος δεινὰ καταπείσεσθαι προσδοκῶντες, ἀγχιλιμένων ἀκινδύνως παρεπέμφθησαν· ὡς ἐφ' ὁμολογουμένα κέρδη συντείνουσιν ἔνιοι τῶν ἐμπόρων, ἀγνοοῦντες τὰς ἐφέδρους ζημίας, ἔμπαλιν λογιζόμενοι βλαβήσεσθαι, μεγάλων ἀπέλαυσαν ὠφελειῶν· οὕτως ἄδηλοι μὲν αἱ τύχαι πρὸς ἑκάτερα, τὰ δ' ἀνθρώπεια ὡς ἐπὶ ζυγοῦ ταλαντεύεται, βάρεσιν ἀνίσοις ἐπικουφιζόμενα καὶ καθελκόμενα. δεινὴ δ' ἀσάφεια καὶ πολὺ σκότος κατακέχυται τῶν

B πραγμάτων. ὡς δ' ἐν βαθεῖ ὕπνῳ πλαζόμεθα, μηδὲν ἐμπεριελθεῖν ἀκριβείᾳ λογισμοῦ δυνάμενοι, μηδ' εὐτόνως καὶ παγίως ἐπιδράξασθαί τινος· σκιαῖς γὰρ ἔοικε καὶ φάσμασι· καὶ ὥσπερ ἐν ταῖς πομπαῖς τὰ προϊόντα παρέρχεται φθάνοντα τὰς ὄψεις, κἀν τοῖς χειμάρροις τὸ φερόμενον ῥεῦμα φθάνει παραδραμὸν ὀξύτητι τάχους τὴν κατάληψιν· οὕτω καὶ τὰ ἐν τῷ βίῳ πράγματα φερόμενα καὶ παρεξιόντα, φαντάζεται μὲν ὡς ὑπομένοντα,

C μένει δ' οὐδ' ἐπ' ἀκαρές, ἀλλ' ἀεὶ ὑποσύρεται· καὶ οἱ ἐγρηγορότες, ὅσα γε πρὸς τὸ ἐν ταῖς καταλήψεσιν ἀβέβαιον, οὐδὲν τῶν κοιμωμένων διαφέροντες, ἀπατῶντες ἑαυτούς, ἱκανοὶ νομίζουσιν εἶναι τὰς φύσεις τῶν πραγμάτων ἀπλανέσι λογισμοῖς ὁρᾶν, οἷς ἑκάστη τῶν αἰσθήσεων, εἰς ἐπιστήμην ἐμπόδιος, δελεαζομένη θεάμασι, χυλοῖς καὶ ἀτμῶν ἰδιότησι, πρὸς ἅπερ ἀποκλίνουσα συνεφέλκεται καὶ τὴν ὅλην ψυχήν, οὐκ ἐῶσα ὀρθοῦσθαι καὶ ἀπλανῶς οἷα διὰ λεωφόρου ὁδοῦ προέρχεσθαι·

D τὸ δ' ὑψηλοταπεινὸν καὶ μεγαλόμικρον καὶ πᾶν ὅσον ἀνισότητι καὶ ἀνωμαλίᾳ συγγενὲς ἀπεργάζεται, σκοτοδινιᾶν ἀναγκάζει, καὶ πολὺν ἐμποιεῖ ἴλιγγον. τοσαύτης οὖν ἀταξίας καὶ ταραχῆς, ἔτι δὲ καὶ ἀσαφείας γέμοντος τοῦ βίου, παρελθόντα δεῖ τὸν πολιτικόν, ὥσπερ τινὰ σοφὸν τὸν ὀνειροκριτικόν, τὰ μεθ' ἡμέραν ἐνύπνια καὶ φάσματα τῶν ἐγρηγορέναι δοκούντων, διακρίνειν εἰκόσι στοχασμοῖς, καὶ εὐλόγοις πιθανότησι περὶ ἑκάστου διδάσκοντα, ὅτι τοῦτο καλόν, ἐκεῖνο αἰσχρόν· τοῦτο ἀγαθόν, κακὸν ἐκεῖνο· τοῦτο δίκαιον,

E ἄδικον ἐκεῖνο, καὶ τἄλλα ταύτῃ, τὸ φρόνιμον, τὸ ἀνδρεῖον, τὸ εὐσεβές, τὸ ὅσιον, τὸ συμφέρον, τὸ ὠφέλιμον· καὶ πάλιν τὸ ἀνωφελές, τὸ ἀλόγιστον, τὸ ἀγεννές, τὸ ἀσεβές, τὸ ἀνόσιον, τὸ ἀσύμφορον, τὸ βλαβερόν, τὸ φίλαυτον, καὶ ἔτι πρὸς τούτοις. ἀλλότριον τοῦτο, μὴ ἐπιθύμει· ἴδιον τοῦτο, χρῶ μὴ παραχρώμενος. περιουσιάζεις; μεταδίδου. πλούτου γὰρ τὸ κάλλος, οὐκ ἐν βαλαντίοις, ἀλλ' ἐν τῇ τῶν χρῃζόντων ἐπικουρίᾳ. ὀλίγα κέκτησαι; μὴ φθόνει

τοῖς ἐχθροῖς. πάντα βάσκανον οὐδεὶς ἂν ἐξεύροι. εὔδοξος καὶ τετίμηται; μὴ καταλαζονεύου. ταπεινὸς εἶ ταῖς τύχαις; ἀλλὰ τὸ φρόνημα μὴ καταπιπτέτω. πάντα σοι κατὰ νοῦν χωρεῖ; μεταβολὴν εὐλαβοῦ. προσπταίεις πολλάκις; χρηστὰ ἔλπιζε. πρὸς γὰρ τἀναντία τῶν ἀνθρώπων αἱ τροπαί. σελήνη μὲν γὰρ καὶ ἥλιος καὶ ὁ σύμπας οὐρανὸς σαφεῖς καὶ ἀριδήλους ἔχει τὰς τρανότητας, ἅτε πάντων ὁμοίων τῶν καθ᾽ αὑτὸν μενόντων, καὶ τοῖς τῆς ἀληθείας αὐτῆς μετρουμένων κανόσιν, ἐν τάξεσιν ἐναρμονίοις καὶ συμφωνίαν ταῖς ἀρίσταις· τὰ δ᾽ ἐπίγεια, πολλῆς ἀταξίας γέμοντα καὶ ταραχῆς, ἀσύμφωνα καὶ ἀνάρμοστα, ὡς κυριώτατα φάναι, ὅτι ταῦτα μὲν βαθὺ σκότος κατείληφεν, ἐκεῖνα δ᾽ ἐμφέρεται τηλαυγεστάτῳ φωτί, μᾶλλον δ᾽ αὐτὰ φῶς ἐστιν εἰλικρινέστατον καὶ καθαρώτατον. εἰ γοῦν βουληθείη διακύψαι εἴσω τις τῶν πραγμάτων, εὑρήσει τὸν οὐρανὸν ἡμέραν αἰώνιον, νυκτὸς καὶ πάσης σκιᾶς ἀμέτοχον, ἅτε περιλαμπόμενον ἀσβέστοις καὶ ἀκράτοις ἀδιαστάτοις φέγγεσιν. ὅσῳ τε διαφέρουσιν οἱ παρ᾽ ἡμῖν ἐγρηγορότες τῶν κοιμωμένων, τοσούτῳ καὶ ἐν ἅπαντι τῷ κόσμῳ τὰ οὐράνια τῶν ἐπιγείων, τὰ μὲν ἐγρηγόρσει χρώμενα ἀκοιμήτῳ, διὰ τὰς ἀπλανεῖς καὶ ἀπαύστους καὶ ἐν ἅπασι κατορθούσας ἐνεργείας. τὰ δ᾽ ὕπνῳ κατεχόμενα, κἂν εἰ πρὸς βραχὺ διαναστείη, πάλιν καθελκόμενα καὶ καταδαρθάνοντα, διὰ τὸ μηδὲν [illegible]θυγλυὲς δύνασθαι τῇ ψυχῇ βλέπειν, ἀλλὰ πλάζεσθαι καὶ προσπταίειν. ἐπισκοτεῖται γὰρ ψευδέσι δόξαις, ὑφ᾽ ὧν ὀνειρώττειν ἀναγκαζόμενα, καὶ τῶν πραγμάτων ὑστερίζοντα, οὐδὲν παγίως καὶ βεβαίως ἰσχύει καταλαμβάνειν ἐστί. συμβολικῶς μέντοι καὶ ἐπὶ τὸ δεύτερον τῶν βασιλικῶν ἁρμάτων ἀναβαίνειν λέγεται, δι᾽ αἰτίαν τοιάνδε· ὁ πολιτικὸς τὰ δευτερεῖα φέρεται βασιλέως. οὔτε γὰρ ἰδιώτης ἐστίν, οὔτε βασιλεύς, ἀλλ᾽ ἀμφοῖν μεθόριος, ἰδιώτου μὲν ὢν κρείττων, ἐλάττων δ᾽ εἰς ἀρχὴν αὐτεξούσιον βασιλέως, τῷ δήμῳ βασιλεῖ χρώμενος, ὑφ᾽ οὗ πάντα πράττειν προῄρηται καθαρᾷ καὶ ἀδολωτάτῃ πίστει· φέρεται δ᾽ ὥσπερ ἐφ᾽ ἅρματος δίφρου μετέωρος, ὑπό τε τῶν πραγμάτων καὶ τῶν ὄχλων εἰς ὕψος αἰρόμενος, καὶ μάλιστα ὅταν κατὰ νοῦν ἕκαστα μικρὰ καὶ μεγάλα χωρῇ, μηδενὸς ἀντιπνέοντος μηδ᾽ ἀντιστατοῦντος, ἀλλ᾽ ὡς ἐν εὐπλοίᾳ πάντων σωτηρίως ὑπὸ θεοῦ κυβερνωμένων. ὅν τε δίδωσιν ὁ βασιλεὺς δακτύλιον, ἐναργέστατον δεῖγμα πίστεώς ἐστιν, ἣν πεπίστευκεν ὅ, τε βασιλεὺς δῆμος τῷ πολιτικῷ, καὶ ὁ πολιτικὸς τῷ βασιλεύοντι δήμῳ. ὁ δὲ περὶ τὸν τράχη-

A lentiam. Humilis conditionis es? noli despondere animum. Succedunt tibi omnia ex sententia? mutationem time. Offendis sæpius? bene sperato. nam res humanæ mutantur in contrarium. quandoquidem sol, luna, cælum vniuersum, manifeste apertéque noscitur, quæ perpetuo manent eadem, veris definita regulis, ordinatis, aptis, optime congruentibus. At res terrenæ totæ perturbatæ sunt, incongruæ incompo- B sitæque, vt proprie dicere liceat, has mersas profundis tenebris, illas similes lumini fulgentissimo, vel potius lumen ipsum sincerissimum atque purissimum. Si quis igitur velit res introspicere, inueniet cælum esse diem sempiternam vmbræ ac noctis expertem, quippe illustratum inextinguibilibus purissimisque splendoribus. Et quanto apud nos sunt potiores vigilantes dormientibus, tanto in mundi vniuersitate C cælestia terrestribus, vt quæ insopita vigilant, propter certas irrequietásque vires, nunquam frustratas suis effectibus. At terrestria etiamsi paulisper excitentur, rursum degrauata in somnum recidunt, deficiente visu animæ, vt errare necesse sit atque offensare. nam his rebus falsæ opiniones caliginem inferunt, vt vitari non possint somnia inania, nec quicquam firmiter prehendere liceat. Figuratum est & D quod in secundum à regio currum ascendere dicitur, ob causam hanc. qui rempublicam tractat, secundus à rege habetur, cum nec priuatus sit nec rex, situs in amborum confinio, priuato ciue potior, regia potestate inferior, subiectus tanquam regi populo, cui per omnia vult gratificari bona fide ac sedulo. Fertur autem sublimis ceu sella curuli, tum à negocijs tum à multitudine in altum elatus, præsertim E cùm parua magnáque succedunt ex sententia, nemine reflante aut opponente se, sed vt in nauigatione prospera Deo gubernante omnia salutariter. Anulus à rege datus insigne est fidei magistratum inter & populum regem intercedentis. Cæterum torques aurea, non ad gloriam solum, sed & ad pœnam pertinere videtur: quamdiu enim res ciuiles ei bene proce-

dunt; placet sibi honoratus à ciuibus. cum autem aduersitas accidit, non volenti, quod damnandum esset, sed fortuitò, quod meretur veniam, nihilominus iniecta in torquem manu trahitur, tantum non increpante suo Domino: Hanc torquem donaui tibi, ornamentum in prosperitate, vinculum in aduersitate. Audiui tamen & aliam huius loci expositionem figuratam talem. Regem Ægypti esse nostrum intellectum, principem regionum corporearum particularium, qui tanquam rex potestate vtatur in adamato corpore. tribus enim potissimum occupatur negocijs, circa cibos, potus, cupedias: ideo tres habet procuratores, pistorum, pincernarum, coquorúmque principes: quorum alius cibos, alius potus, alius condimenta præparat. omnes autem eunuchi sunt, quia voluptatis amator sterilis est rerum valde necessariarum, sobrietatis, pudoris, continentiæ, iustitiæ, virtutũ omniũ? Nullæ enim res adeò pugnant inter se, vt virtus & voluptas, propter quam multi negligunt quæ sola curanda erant, dantes se concupiscentijs, & sequentes quacunque illæ inuitant. Princeps coquorum nec in carcerem ducitur, nec mulctatur, quia condimenta non sunt admodum necessaria, non tam deliciæ, quàm voluptatis irritamenta leuia. Reliqui duo misero ventri apparatus faciunt, pistorum pincernarúmque præfecturam gerentes, quandoquidem hæc duo maxime cibus potúsque vitam fulciunt: quæ vbicunque sunt in precio, laudantur eorum procuratores, & si quando cessant in officio, pœnam indignationémque incurrunt. Puniuntur autem non eodem modo, quandoquidem etiam in harum rerum vsu est differentia: cibus necessario sumitur, vinum minus vtile censetur. nam sine mero viuunt homines contenti fontanis laticibus sitim restinguere. Quamobrem princeps pincernarum recipitur in gratiam pristinam, quippe qui peccauit in minoris momenti negocio: coquorum vero princeps non impetrat veniam, vsque ad vltimum supplicium procedente ira, haud secus ac in culpa grauissimá. nam ciborum defectum mors sequitur. Quapropter qui hac in re peccauit, lege talionis

A λον χρυσοῦν κύκλον, διδάξειν ὁμοῦ καὶ κόλασιν ἔοικεν ἀποσημαίνειν. ἕως μὲν γὰρ τὰ κατὰ τὴν πολιτείαν εὐοδοῦται πράγματα αὐτῷ, γαῦρός ἐστι καὶ σεμνὸς ὑπὸ τῶν ὄχλων τιμώμενος· ἐπειδὰν δὲ πταῖσμα συμβῇ μὴ κατὰ προαίρεσιν· τοῦτο γὰρ ὑπαίτιον· ἀλλὰ τυχηρόν, ὅπερ ἐστὶ συγγνωστόν, οὐδὲν ἧττον ἕλκεται κάτω διὰ τοῦ περιαυχενίου κόσμου, καὶ ταπεινοῦται, μονονοὺκ ἐπιλέγοντος τοῦ δεσπότου, τὸν περιαυχένιον τοῦτον κύκλον ἐδωρησάμην σοί, καὶ κόσμον κατορθουμένων τῶν ἐμῶν, καὶ ἀγχόνην B ἀποτυγχανομένων. ἤκουσα μέντοι καὶ καθ' ἑτέραν ἰδέαν τροπικώτερον τὰ περὶ τὸν τόπον ἀκριβούντων. ὧν δὲ ἡ διάδειξις. τὸν βασιλέα τῆς Αἰγύπτου, τὸν ἡμέτερον νοῦν ἔλεγον εἶναι, τὸν τῆς καθ' ἕκαστον σωματικῆς χώρας ἡγεμόνα, ᾧ οἷα βασιλεῖ ἀνῆπται τὸ κράτος, ὡς γνωρίμῳ φιλοσωμάτων. τρία γὰρ τὰ πλείστης ἀξιούμενα σπουδῆς διαπονεῖται, σιτία καὶ ὄψα καὶ ποτά· παρὸ καὶ τρισὶ χρῆται τοῖς τῶν λεγομένων ἐπιμεληταῖς, ἀρχισιτοποιῷ, καὶ ἀρχιοινοχόῳ, C καὶ ἀρχιμαγείρῳ. πρυτανεύει γὰρ ὁ μὲν τὰ περὶ ἐδωδήν, ὁ δὲ τὰ περὶ πόσιν, ὁ δ' ἐπιτέτακται τοῖς περὶ αὐτὰ τὰ ὄψα ἡδύσμασιν. εὐνοῦχοι δέ εἰσι πάντες, ἐπειδὴ ὁ φιλήδονος ἄγονός ἐστι τῶν ἀναγκαιοτάτων, σωφροσύνης, αἰδοῦς, ἐγκρατείας, δικαιοσύνης, ἁπάσης ἀρετῆς. οὐδὲν γὰρ οὕτως ἐχθρὸν δύο δυσίν, ὡς ἀρετῇ ἡδονή, δι' ἣν ἀλογοῦσιν οἱ πολλοὶ ὧν μόνων ἄξιον πεφροντικέναι, ταῖς ἀκαθέκτοις ἐπιθυμίαις χαριζόμενοι, καὶ οἷς ἂν προστάττωσιν εἴκοντες. ὁ μὲν οὖν ἀρχιμάγειρος, οὔτ' εἰς δεσμωτήριον ἀπάγεται, D οὔτε τινὶ περιπίπτει λύμῃ, διὰ τὸ μὴ σφόδρα τῶν ἀναγκαίων εἶναι τὰς παραρτύσεις, οὐχ ἡδονὰς οὔσας, ἀλλ' εὔσβεστα ἡδονῶν ὑπεκκαύματα. δύο δὲ τῶν περὶ τὴν ἄθλιον γαστέρα πραγματευομένων, ἀρχισιτοποιός, καὶ ἀρχιοινοχόος, ἐπειδὴ τὰ συνεκτικώτατα τῶν εἰς τὸ ζῆν χρησίμων, ἐστὶ βρῶσις καὶ πόσις, ὧν ἐπιμελείας μὲν ἀξιουμένων, οἱ προεστῶτες εἰκότως ἐπαίνου τυγχάνουσιν· ὀλιγωρουμένων δέ, ὀργῆς καὶ κολάσεως ἀξιοῦνται. διαφορὰ δὲ κἀν ταῖς κολάσεσιν, ὅτι καὶ διάφορος ἡ χρεία, σιτίων μὲν ἀναγ- E καιοτάτη, οἴνου δὲ οὐ πάνυ χρησίμη. καὶ γὰρ ἀκράτου δίχα ζῶσιν ἄνθρωποι ναματιαίῳ ὕδατι ποτῷ χρώμενοι· δι' ἣν αἰτίαν πρὸς μὲν τὸν ἀρχιοινοχόον γίνονται καταλλαγαὶ καὶ συμβάσεις, ὡς ἂν ἁμαρτόντα περὶ τὸ ἔλαττον μέρος· ἀσύμβατα δὲ καὶ ἀκατάλλακτα τὰ πρὸς τὸν ἀρχισιτοποιόν ἐστιν, ἄχρι θανάτου λαμβάνοντα τὴν ὀργήν, ὡς ἂν περὶ τὸ μέγιστον ἀδικήσαντα. τελευτὴ γὰρ ἕπεται σιτίων ἐνδείᾳ. οὗ χάριν καὶ ὁ περὶ ταῦτ' ἐξαμαρτών,

Εἰκότως ἐπὶ ξύλου κρεμασθεὶς, ὅμοιον κακὸν ὧν διέθηκε παθών. καὶ γὰρ αὐτὸς ἀνεκρέμασε καὶ παρέτεινε τοὺς πεινῶντας λιμῷ. τοσαῦτα καὶ περὶ τούτου. ὁ δὲ ἀντὶ βασιλέως ὕπαρχος κατασταθεὶς, καὶ τῆς Αἰγύπτου τὴν ἐπιμέλειαν καὶ προστασίαν λαβὼν, ἐξῄει γνωρισθησόμενος ἅπασι τοῖς ἐγχωρίοις, καὶ τοὺς λεγομένους νομοὺς ἐπιὼν κατὰ πόλεις, πολὺν αὐτοῦ πόθον ἐνεργάζετο τοῖς ὁρῶσιν, οὐ μόνον ταῖς ὠφελείαις ἃς ἑκάστοις παρεῖχεν, ἀλλὰ καὶ ταῖς περὶ τὴν ὄψιν τε καὶ τὴν ἄλλην ὁμιλίαν ἀλέκτοις καὶ ἐξαιρέτοις χάρισιν. ἐπεὶ δὲ κατὰ τὴν τῶν ὀνειράτων σύγκρισιν, ἐνέστη προτέρα ἡ ἑπταετία τῆς εὐθηνίας, τὸ πέμπτον τῶν καρπῶν ἀνὰ πᾶν ἔτος συνάγων διά τε τῶν ὑπάρχων καὶ τῶν ἄλλων οἳ πρὸς τὰς δημοσίας χρείας ὑπηρετοῦσιν αὐτῷ, τοσαύτην ἤθροισε πληθὺν δραγμάτων, ὅσην οὐδεὶς πω πρότερον γενομένην ἐμέμνητο. πίστις δὲ σαφεστάτη, τὸ μηδ' ἀριθμηθῆναι δύνασθαι, καίτοι μυρίων τῶν πονηθέντων, οἷς ἐπιμελὲς περιεργία διαριθμήσασθαι. διεξελθόντων δὲ τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς εὐφόρησεν ἡ πεδιάς, ἀρχὴν ἐλάμβανεν ὁ λιμὸς, ὃν ἐπιβαίνοντα καὶ συναυξανόμενον οὐκ ἐχώρησεν Αἴγυπτος. ἀναχεόμενος γὰρ, καὶ τὰς ἑξῆς ἀεὶ πόλεις καὶ χώρας ἐπικαταλαμβάνων, ἄχρι περάτων καὶ τῶν πρὸς ἕω καὶ τῶν πρὸς δυσμὰς ἔφθασε, τὴν οἰκουμένην ἐν κύκλῳ πᾶσαν κατασχών. λέγεται γοῦν μηδέποτε κοινὴ νόσος κατασκῆψαι τοσαύτη, καθάπερ ἣν ἰατρῶν παῖδες ὀνομάζουσιν ἕρπητα. καὶ γὰρ αὕτη πᾶσι τοῖς μερέσιν ἐπιφοιτῶσα, (τὴν κοινωνίαν τῶν ἡνωμένων σωμάτων ὅλη δι' ὅλων σχεδὸν πυρὸς τρόπον ἐπινέμεται). τοὺς οὖν ἀφ' ἑκάστης δοκιμωτάτους αἱρουμένους σιτώνας, ἐξέπεμπον εἰς Αἴγυπτον. ἤδη γὰρ ἡ πρόνοια τοῦ νεανίσκου πανταχόσε διηγγέλλετο, ταμιευσαμένου τροφὰς ἀφθόνους εἰς καιρὸν ἐνδείας. ὁ δὲ τὸ μὲν πρῶτον κελεύει ἀνοιχθῆναι τοὺς σιροὺς ἅπαντας, ὑπολαμβάνων εὐθυμοτέρους παρασκευάσειν τοὺς ἰδόντας, καὶ τρόπον τινὰ ἀναθρέψειν τὰς ψυχὰς πρὸ τῶν σωμάτων ἐλπίσι χρησταῖς· ἔπειτα διὰ τῶν ἐπιτραπέντων τὰς σιταρχίας, ἐπώλει τοῖς ἔχουσιν ὠνητικῶς, στοχαζόμενος τοῦ μέλλοντος ἀεὶ, καὶ τὸ ἐπιὸν ὁρῶν τοῦ παρόντος ἀκριβέστερον. ἐν δὲ τούτῳ, καὶ ὁ πατὴρ ὑποσπανιζόντων ἤδη τῶν ἀναγκαίων, ἀγνοῶν τὴν τοῦ παιδὸς εὐτυχίαν, ἐκπέμπει δέκα τῶν υἱῶν εἰς σιτωνίαν, τὸν νεώτατον οἴκοι κατασχὼν, ὃς ἦν ὁμομήτριος τοῦ βασιλέως ὑπάρχῳ ἀδελφός. καὶ οἱ μὲν εἰς Αἴγυπτον ἐλθόντες, ἐντυγχάνουσιν ὡς ἀλλοτρίῳ τῷ ἀδελφῷ, καὶ τὴν περὶ

A suspensus necatur, & quod alijs intulit, ipse patitur, quippe qui esurientes & ab ipso pendentes diuturna fame cruciauit. De his quoque hactenus. At regius vicarius assumpta Ægypti procuratione obibat eius regionis præfecturas & oppida, omnibus nouum magistratum officiose ac hilariter excipientibus, quos tum beneficijs, tum comitate sibi deuinciebat, elucente in ipso vultu hominis eximia quadam gratia.
B Postquam autem euentu somnijs respondente aduenit illud prius septennium fertilissimum, quintam partem frugum quotannis exigens per subpræfectos & ministros publicos, tantum comportauit manipulorum numerum, quantum nemo antea collectum meminerat. Nec enim iniri potuit eorum numerus, quamuis plurimi occupati essent in eo negocio, quibus mos est curiose dinu-
C merare talia. Elapso autem vbertatis septennio fames incepit, quæ vsque crescens & procedens non continuit se Ægypti terminis, sed diffusa per omnes deinceps ciuitates regionésque quàm longe latéque patet orbis habitabilis, peruenit ad extremos orientis occidentísque populos. fertur nunquam ante sic laboratum malo communi vniuersis gentibus, quale medicorum filij serpiginem nominant: quod omnes partes
D corporis inuadens ignis more depascitur. quam ob rem quæque gens per honoratissimos legatos frumentum in Ægyptum petebat. iam enim fama prouidentiam iuuenis præfecti vbique vulgauerat, qui commeatus copiosos seruasset ad futuram penuriam. ille primum aperiri iubet omnia horrea, vt aspectu ipso & spe recrearet animos, prius quàm succurreretur corporis necessitatibus,
E deinde institutis annonæ curatoribus vendebat frumentum semper in futurum prospiciens, cuius temporis maiorem quàm præsentis rationem habebat. Interea pater etiam illius, deficientibus paulatim rebus ad victum necessarijs, ignorans felicitatem iuuenis, mittit frumentatum decem filios, retento domi natu minimo, qui proregis vterinus frater erat. Illi in Ægyptum profecti fratrem tanquam alienum adeunt, & maiestate stupe-

facti adorant prisco more hominem, confirmantes euentu somnia: qui venditores suos conspicatus mox omnes agnouit, ipse agnitus à nemine, Deo nondum volente veritatem aperire ob causas quasdam necessarias, quas tum dissimulari fuit satius: is enim aut vultum eius mutauit in augustiorem speciem magistratu summo dignam, aut mentes obtuentium hebetauit quominus cernerent. Ille non vt iuuenis ad tantum principatum euectus, & regi longe potentissimo dignitate proximus, elatus ætate ac potestate de vindictæ occasione cogitauit, sed imperauit suis affectibus premens atque recondens eos in animo, magno consilio personam infensi assumens, toruo aspectu vocéque obiurgatoria miseros territans. Heus vos, inquit, nihil pacatum habetis in animo. aliquis ex regis hostibus exploratores vos submisit, cui sceleratam operam polliciti, putastis vos posse fallere: sed non latent me insidiæ vestræ, quantumuis eas tegere conamini. fratres crimen intentatum à se depulsuri, negant se huic culpæ affines, qui nec ab hostibus veniant, nec ipsi affecti sint hostiliter, nec induci queant ad tale ministerium. esse enim se natura pacis cupidos, & à tenera ætate legibus parere didicisse sub patre viro sancto religiosóque, qui duodecim genuerit filios: ex quibus vnum domi mansisse propter ætatem nondum peregrinationi maturam, decem coram adstare, reliquum sublatum è medio. Hæc de seipso loquentes audiens tanquam de mortuo, quid animi habere potuit? Quamuis enim ne tunc quidem affectum suum protulit, tamen intus vrebatur in pectore. nihilominus pari oris grauitate: Si, inquit, verum dicitis vos exploratores non esse, vt certior fiam manete hic paulisper, & fratrem minimum vocate per literas. quod si patris necessitas vos manere non sinit, ne grauiter ferat diuturnam vestram absentiam, abite omnes obside hic relicto vno, donec reuertamini cum natu minimo. si secus feceritis, capitale fuerit. Hæc truculente, vt videbatur, in-

A αὐτὸν ἀξιοῦσι καταπλαγέντες, ἔθει παλαιῷ προσκυνοῦσιν, ἤδη καὶ τῶν ὀνειράτων αὐτοῦ λαμβανόντων βεβαίωσιν. ὁ δὲ τοὺς πεπρακότας θεασάμενος, εὐθὺς ἐγνώρισεν ἅπαντας, ὑπὸ μηδενὸς αὐτὸς γνωρισθεὶς παράπαν, μὴ βουληθέντος πω τοῦ θεοῦ τἀληθὲς ἀναφῆναι διά τινας ἀναγκαίας αἰτίας, ἃς τότε βέλτιον ἦν ἡσυχάζεσθαι, ἀλλ᾽ ἢ τὴν ὄψιν ἀλλάξαντος εἰς σεμνότερον εἶδος τοῦ τὴν χώραν ἐπιτραπέντος, ἢ παρατρέψαντος τὰς ἀκριβεῖς καταλήψεις τῆς διανοίας τῶν ὁρώντων· εἶτ᾽ οὐχ ὥσπερ
B νέος, καὶ τοσαύτης ἡγεμονίας διάδοχος, ἀρχὴν τὴν μετὰ βασιλέα πρώτην ἀναψάμενος, εἰς ὃν ἀνατολαὶ καὶ δύσεις ἀπέβλεπον, ἡλικίας ἀκμῇ τε μεγέθει τῆς ἐξουσίας ἐπαρθείς, καιρὸν ἔχων ἀμύνης, ἐμνησικάκησεν. ἀλλ᾽ ἐκράτησε τὸ πάθος ἐνεγκὼν καὶ ταμιευσάμενος ἐν τῇ ψυχῇ, μετὰ πολλῆς τῆς προμηθείας, ἐπιμορφάζει ἀλλοτρίωσιν, καὶ βλέμμασι καὶ φωνῇ καὶ τοῖς ἄλλοις καθυποκρινόμενος τὸ δυσχεραίνοντα. οὐδὲν, εἶπεν, ὦ οὗτοι φρονεῖτε εἰρηνικόν·
C ἀλλά τις τοῦ βασιλέως ἐχθρὸς κατασκόπους ὑμᾶς ἐξέπεμψεν, ᾧ κακὰς ὑπηρεσίας ὁμολογήσαντες ὑπηρετεῖσθε, λήσεσθαι μὲν ᾠήθητε, λανθάνει δ᾽ οὐδὲν τῶν δρωμένων ἐπ᾽ ἐνέδρᾳ, κἂν βαθεῖ σκότει συσκιάζηται. πειρωμένων δ᾽ ἀπολογεῖσθαι καὶ διεξιόντων ὡς ἐπ᾽ ἀγνώστοις κατηγοροῦνται· μήτε γὰρ παρὰ δυσμενῶν ἥκειν, μήτ᾽ αὐτοί τις ἐχθροῖς ἀπεχθάνεσθαι, μηδ᾽ ἂν ὑπομεῖναί ποτε τοιαύτην διακονίαν. εἶναι γὰρ τὰς φύσεις εἰρηνικοί, καὶ μεμαθηκέναι σχεδὸν ἐξ ἔτι νηπίων τιμᾶν εὐπειθεῖν
D παρὰ ὁσιωτάτῳ τε καὶ θεοφιλεστάτῳ πατρί, ᾧ δώδεκα μὲν γενομένων υἱῶν, ἕνα μὲν τὸν νεώτατον οὐκ ἔχοντά πω ἡλικίαν ἀποδημίας, οἴκοι καταμεῖναι, δέκα δὲ τοὺς ὁρωμένους ἡμᾶς ἐνταῦθα ὑπάρχειν, τὸν δὲ λοιπὸν ἐκ ποδῶν γεγενῆσθαι. ταῦτ᾽ ἀκούσας, ὡς ἐπὶ τεθνεῶτι ἑαυτῷ παρὰ τῶν ἀποδομένων, τί τὴν ψυχὴν ἄρα ἐπεπόνθει. καὶ γὰρ εἰ μὴ ἐξελάλησε τότε τὸ παραστὰν πάθος, ἀλλὰ τούτοις ὑποτυφομένῳ καὶ ζωπυρουμένῳ πάντως τὰ ἐντὸς ἐκαίετο. βαθεῖ δ᾽ ὅμως ἤθει, φησὶν αὖθις, εἰ τῷ ὄντι μὴ κα-
E τασκεψόμενοι τὴν γῆν ἀφῖχθε, πρὸς πίστιν τὴν ἐμήν, ὑμεῖς μὲν ἐνταυθοῖ διατρίψατε βραχύν τινα χρόνον· ὁ δὲ νεώτατος ἀδελφὸς ὑμῶν ἀφικέσθω, μετακληθεὶς ἐπιστολιμαίοις γράμμασιν· ἐὰν δ᾽ ἕνεκα τοῦ πατρὸς ἐπείγησθε ἀπιέναι, φοβουμένου τάχα τὴν μακρὰν ὑμῶν διάζευξιν, οἱ μὲν ἄλλοι πάντες ἀπαίρετε, καταμεινάτω δ᾽ εἷς ὁμηρεύσων, ἄχρις ἂν ἐπανέλθητε σὺν τῷ νεωτάτῳ· τιμωρία δὲ κατὰ τῶν μὴ πειθαρχούντων ὁ θάνα-

πάντων προσεχείσεται θάνατος. καὶ ὁ μὲν τοιαῦτ' ἀπειλήσας ὑποβλεπόμενος, καὶ βαρείας ὀργῆς δείγματα παρέχων, ὅσα τῷ δοκεῖν, ἀπηλλάττετο. οἱ δὲ συννοίας καὶ κατηφείας γεμισθέντες, ἐκάκιζον ἑαυτοὺς ἕνεκα τῆς πρὸς τὸν ἀδελφὸν ἐπιβουλῆς, ἐκεῖνο λέγοντες, τὸ ἀδίκημα, τοῦ παρόντος ἐστὶ κακοῦ αἴτιον, τῆς ἐφόρου δίκης τῶν ἀνθρωπίνων πραγμάτων ἤδη τι μηχανωμένης καθ' ἡμῶν. βραχὺν γὰρ ἐφησυχάσασα χρόνον, διανίσταται, τὴν ἀμείλικτον καὶ ἀπαραίτητον αὐτῆς ἐπιδεικνυμένη φύσιν τοῖς ἀξίοις κολάσεως. πῶς γὰρ οὐκ ἄξιοι· δεόμενον καὶ ποτνιώμενον τὸν ἀδελφὸν οἱ ἀπηνεῖς ὑπερείδομεν, οὐδὲν μὲν ἐξαμαρτόντα, φαντασίας δὲ τὰς καθ' ὕπνον, διὰ τὸ φιλοίκειον ὡς συνήθεσιν ἀνενεγκόντα· ὑπὲρ ὧν οἱ θηριωδέστατοι καὶ πάντων ἀγριώτατοι δυσχεραίνοντες ἡμεῖς, οὐχ ὅσια· δεῖ γὰρ ἀψευδεῖν· εἰργασάμεθα. τοιγαροῦν καὶ ταῦτα καὶ ἔτι τούτων χείρω πείσεσθαι προσδοκῶμεν, οἵτινες μόνοι σχεδὸν ἐξ ἁπάντων ἀνθρώπων εὐπατρίδαι λεγόμενοι, διὰ τὰς τῶν πατέρων καὶ πάππων καὶ προγόνων ὑπερβαλλούσας ἀρετάς, ἠμαυρώσαμεν τὴν συγγένειαν, ἐπιφανὲς ὄνειδος κτήσασθαι σπουδάσαντες. ὁ δὲ πρεσβύτατος τῶν ἀδελφῶν, ὃς καὶ ἐν ἀρχῇ συνισταμένην τὴν ἐπιβουλὴν ἠναντιοῦτο, ἐπὶ τοῖς πεπραγμένοις, εἶπεν, ἀνωφελεῖς αἱ μεταμέλειαι, παρεκάλουν, ἱκέτευον, ἐξετάζων ὅσον ἐστὶ τὸ ἀνοσιούργημα μὴ θυμῷ χαρίζεσθαι, συναινεῖν δέον, ταῖς ἀβουλίαις ἑαυτῶν εἴξατε. τοιγαροῦν καρπούμεθα τῆς αὐθαδείας καὶ ἀσεβείας τἀπίχειρα. ζητεῖται μὲν ἡ ἐπ' ἐκείνῳ τυρευθεῖσα ἐπιβουλή. ὁ δὲ ζητῶν, οὐκ ἔστιν ἄνθρωπος, ἀλλ' ἢ θεός, ἢ λόγος, ἢ νόμος θεῖος. ταῦτα δὴ ἤκουεν ὁ πραθεὶς ἀδελφὸς ἡσυχῇ διαλαλούντων, ἑρμηνέως μεταξὺ ὄντος· καὶ νικηθεὶς ὑπὸ τοῦ πάθους, μέλλων ἐνδακρύειν, ὡς μὴ γένοιτο καταφανής, ἀποστρέφεται, καὶ προχέας θερμὰ καὶ ἐπάλληλα δάκρυα, καὶ πρὸς ὀλίγον ἐπικουφισθείς, τὴν ὄψιν ἀπομαξάμενος, ἐπιστρέφει, καὶ κελεύει τὸν ἡλικίᾳ δεύτερον τῶν ἀδελφῶν, ἐν ὄψεσι τῶν ἁπάντων δεθῆναι, τὸν αὐτοῦ κατάλληλον. ὁ γὰρ ἐν πλείοσι δεύτερος, τῷ παρεσχάτῳ κατάλληλος, ἐπεὶ καὶ τῷ τελευταίῳ ὁ πρῶτος. ἴσως μέντοι καὶ διότι τὴν πλείστην μοῖραν ἔδοξε τῶν ἁμαρτηθέντων εἰσενεγκεῖν, μονονοὺ συνταγματαρχῶν, καὶ τοὺς ἄλλους ἀλείφων ἐπὶ δυσμένειαν. εἰ γὰρ συνετάχθη τῷ πρεσβυτάτῳ χρηστὰ καὶ φιλάνθρωπα βουλευομένῳ, νεώτερος μὲν ἐκείνου, τῶν δ' ἄλλων πρεσβύτερος ὤν, ἴσως ἂν ἴσως ἐπεσχέθη τὸ ἀδίκημα τῶν τὴν δευτέραν τάξιν καὶ τιμὴν

A terminatus destitit. illi mœsti damnabant suam in fratrem sæuitiam dicentes : Nunc veterem iniuriam præsenti calamitate luimus , pœnas à nobis exigente iustitia rerum humanarum præside , quæ scelus ad tempus dissimulatum inclementer arguit , vt dignum est. quis enim pœna dignos neget ? qui fratris innocentis preces immaniter contempsimus , quem miserari debuissemus , nocturnas visiones narrantem
B quasi familiaribus. at nos efferati & crudelissimi nefarium (quod negari non potest) scelus perpetrauimus : propter quod & hæc patimur , & tristiora expectamus : qui cum simus penè omnium hominum nobilissimi paternis , auitis , cæterorúmque maiorum virtutibus , cognationem dehonestauimus admisso probro maximo. Tum grandior natu , qui iam inde à principio conspirationi sese opposuerat:
C Actorum , inquit , inutilis est pœnitentia. rogabam , supplicabam, ostendens quàm impius esset conatus vester , dehortans ne iræ indulgeretis. cum mihi assentiri debuissetis , maluistis sequi vestrum insanum consilium. ergo fructum dignum peruicacia tam impia carpimus , & mercedem accipimus debitam. Inquisitio fit in paratas insidias iuueni , nec homo inquirit, sed Deus , aut diuinum ius aut
D prouidentia. Hæc submisse colloquentes fratres audiebat ille venditus , qui per interpretem cum eis egerat : iámque impar affectui prorumpentibus lacrymis , ne deprehenderetur auersus est : & postquam delacrymauit , dolore paulum leuato , abstersáque facie reuersus ad eos iubet vinciri fratrem à grandissimo proximum , ídque inspectantibus cæteris omnibus , quasi sibi ex aduerso oppositum. nam inter complures secundo penultimus
E opponitur , sicut primus vltimo. Et fortasse maxima pars culpæ in eo fuerat , quasi autore conspirationis nefariæ , qui cohortem fratrum animauerit , & ad odium incitauerit. nam si fratri bene clementérque consulenti , quo vno minor , cæteris erat grandior , suum adiunxisset suffragium , vix admissum fuisset facinus , præualente per consensum ho-

nore ætatis & ordine, præsertim in tanti momenti negocio. nunc maluit à meliore parte ad deteriorem deficere, & in immitem durámque sententiam discedere, tanta contentione, vt eius ductu hortatúque sine mora perpetratum sit impium facinus. hoc est, cur soli ex omnibus iniecta puto vincula. cæteri iam parabant se ad reditum, proregis iussu impletis per frumentarios omnibus saccis fratrum tanquam hospitum, & reposito precio in eorum orificijs, nemine tamen super hac re præmonito. insuper auctarij vice additum est quantum redeuntibus in itinere posset sufficere, vt quod coemerant deportarent integrum absque vllo detrimento & dispendio. Ingressi vero iter cum iusto vincti fratris desiderio, neq minus de patre soliciti, ægre laturo numerosam prolem decrescere singulis profectionibus, ac ne credituro quidem de vinculis, sed prætexi morti hoc commentum suspicaturo, vt solent de cætero suspicaces esse qui semel impegerunt, sub vesperam deponunt iumentorum sarcinas, ipsi curas adeò non deponunt vt premantur grauius. sic enim vsu venit, vt interquiescente corpore mens improuisos casus per ocium pensitans angatur magnis molestijs. tum aperto vno quopiam sacco reperta est in eius ore crumena plena pecunijs: quibus numeratis inuentum est solidum frumenti precium, duntaxat quantum saccus capiebat. qui inuenerat, rem fratribus indicat, stupens miraculo. hi non gratiam, sed insidias rati & animo destituebantur & consilio: cúmque vellent omnes saccos excutere, metu persecutionis inde profecti, penè continuato cursu aliquot dierum iter absoluerunt magno compendio. Tum vero alius post alium ruentes in patris complexus, deosculabantur senem præbentem se, quamuis iam præsagientem inexpectatum nescio quid. sensit enim deesse vnum salutatorem, cuius mox tarditatem accusauit, subinde prospectans in viam, & requirens integrum filiorum numerum. sed cum nemo superueniret amplius, videntes eum metu solicitum sic alloquuntur:

A ἐχόντων, συμπνεόντων καὶ ὁμογνωμονούντων περὶ τοῦ πράγματος, ὃ καὶ καθ' αὑτὸ πολλὴν ῥοπὴν συνεφείλκετο· νυνὶ δὲ ἀποστὰς τῆς ἡμέρου καὶ ἀμείνονος τάξεως, πρὸς τὴν ἀνήμερον καὶ χαλεπὴν ηὐτομόλησε, καὶ ταύτης ἀποδειχθεὶς ἡγεμὼν, οὕτως ἐθάρσυνε τοὺς συνεφαπτομένους τοῦ παρανομήματος, ὡς ἀνενδοιάστως τὸν ἀνεπίληπτον ἆθλον διαθλῆσαι· διὰ ταῦτ' ἐξ ἁπάντων μόνος οὗτος δεδέσθαι μοι δοκεῖ. οἱ δ' ἄλλοι, τὴν οἴκαδε ἐπάνοδον ἤδη παρηυτρεπίζοντο, κελεύσαντος τοῦ
B τῆς χώρας ἐπιτρόπου τοῖς πυροπώλουσι, τὰ ἀγγεῖα τῶν ἀδελφῶν ὡς ξένων ἅπαντα πληρῶσαι, καὶ ἣν ἔλαβον τιμὴν, ἐπὶ τῶν στομίων λάθρα καταθεῖναι, μὴ προειπόντας οἷς ἀπεδίδοτο· καὶ τρίτον, προσεπιλαβέσθαι τροφὰς, αἳ γένοιντ' ἂν ἱκαναὶ καὶ κατὰ τὴν ὁδὸν ἐξαιρέτως ὑπὲρ τοῦ παραπεμφθῆναι τὴν σιτωνίαν ἀμείωτον. ὁδοιπορούντων δὲ, καὶ τοῦ ἐν δεσμοῖς ἀδελφοῦ ὡς εἰκὸς οἰκτιζομένων, οὐχ ἧττον δὲ ἐπὶ τῷ πατρὶ κατηφούν-
C των, εἰ πάλιν ἀκούσεται συμφορᾶς, καθ' ἑκάστην ὁδὸν ἐλαττουμένης καὶ ἀποκειρομένης αὐτῷ τῆς εὐπαιδίας, καὶ λεγόντων ἀλλ' οὐδὲ πιστεύσῃ δεδίασι, πρόφασιν δ' εἶναι τελευτῆς τὰ δεσμὰ ὑπολήψεται, διὰ δὲ τοὺς ἅπαξ πληγέντας εἰς τὰ αὐτὰ προσπταίειν, ἑσπέρα καταλαμβάνει, καὶ τῶν ὑποζυγίων καθελόντες τὰ ἄχθη, τὰ μὲν ἐπεκούφιζον, αὐτοὶ δὲ βαρυτέρας ταῖς ψυχαῖς φροντίδας ἐδέχοντο. φιλεῖ γὰρ ἐν ταῖς ἀναπαύλαις τῶν σω-
D μάτων ἐναργεστέρας τῶν ἀβουλήτων ἡ διάνοια λαμβάνουσα φαντασίας, χαλεπῶς ἄγαν θλίβεσθαι, καὶ βιάζεσθαι. λύσας δέ τις ἓν ἀγγεῖον, ὁρᾷ πρὸς τῷ στομίῳ βαλάντιον ὑπόμεστον ἀργυρίου· καὶ διαριθμησάμενος, εὑρίσκει ὅσην τοῦ σίτου καθῆκε τιμὴν ἀποδεδομένην αὐτῷ· καὶ καταπλαγεὶς τοῖς ἀδελφοῖς ἀνέφερεν. οἱ δ' οὐ χάριν, ἀλλ' ἐνέδρας ὑποτοπήσαντες, ἠθύμουν, καὶ βουλόμενοι πάντα τὰ ἀγγεῖα διερευνήσασθαι, φόβῳ διω-
E ξεως ἄραντες, ἢ τάχιστα συνδιέτεινον, καὶ μονονουχὶ ἀπνευστὶ θέοντες, πολυήμερον ὁδὸν ἐπιτεμόντες ἀνύουσιν· εἶτ' ἀλλαχόθεν ἄλλοι τὸν πατέρα σὺν ἀδακρυτὶ περιλαβόντες, ἐφίλουν ἑκάστῳ περιπλεκόμενον, καὶ περιεχόμενον ἐκθύμως· καίτοι τῆς ψυχῆς ἤδη τι μαντευομένης ἀβούλητον. καὶ γὰρ προσιόντων καὶ δεξιουμένων, κατενόει τὸν ὑπολειφθέντα υἱὸν, καὶ ὡς ὑστερηκότα τῆς βραδυτῆτος ᾐτιᾶτο· καὶ πρὸς τὰς εἰσόδους ἀπέβλεπε, σπεύδων τὸν ἀριθμὸν τῶν τέκνων πλήρη θεάσασθαι. μηδενὸς δ' ἔξωθεν ἔτι προσεπιφοιτῶντος, δεδιότα ἰδόντες,

τὸν

τῆς ἀβουλήτου ἔφασαν ὦ πάτερ, δυσαρέστερος τῆς μαθήσεως ὁ ἐνδοιασμός ἐστι. μαθὼν μὲν γάρ τις ὁδὸν εὑρεῖ εἰς σωτηρίαν, ἡ δ' ἀμφίβολος ἄγνοια, δυσθυμίας καὶ ἀπορίας αἴτιον. ἄκουε δὴ σφόδρα μὲν δυσχεροῦς διηγήματος, ἀναγκαίου δὲ λεχθῆναι· ὁ συμπεμφθεὶς ἡμῖν ἀδελφὸς ἐπὶ σιτωνίαν, καὶ μὴ ἐπανεληλυθώς, ζῇ μέν· δεῖ γὰρ τοῦτο ὡς ἐπὶ τεθνεῶτι ἀπαλλάξαι σου μείζονα φόβον· ζῶν δὲ ἐν Αἰγύπτῳ κατέσχηται παρὰ τῷ τῆς χώρας ἐπιτρόπῳ, ὃς εἴτ' ἐκ διαβολῆς, εἴτε καὶ ὑποτοπήσας αὐτός, αἰτίαν ἡμῖν ὡς κατασκόποις ἐπέφερεν· ἀπολογουμένων δὲ ὅσα καιρός, καὶ περί τε σοῦ τοῦ πατρὸς διεξιόντων, καὶ τῶν ἀπολειπομένων ἀδελφῶν, ἑνὸς μὲν τοῦ τεθνεῶτος, ἑτέρου δὲ τοῦ παρὰ σοὶ διατρίβοντος, ὃν ἔφαμεν ἔτι νέον ὄντα διὰ τὴν ἡλικίαν οἴκαδε καταμεῖναι, πάντα ἀπαμπίσχοντες καὶ ἀπογυμνοῦντες τὰ τῆς συγγενείας εἰς τὸ ἀνύποπτον, οὐδὲν ἠνύσαμεν, ἀλλ' ἔφη μόνην ἂν αὐτῷ πίστιν ἀψευδοῦς ὁμολογίας γενέσθαι, τὴν ὡς αὐτὸν ἄφιξιν τοῦ νεωτάτου παιδός· οὗ χάριν καὶ τὸν δεύτερον κατεσχηκέναι, ῥύσιόν τι καὶ ἐνέχυρον ἐκείνου. τὸ μὲν οὖν ἐπίταγμα πάντων ἀργαλεώτατον· ὁ δὲ καιρὸς αὐτὸ προστάττει μᾶλλον τοῦ κελεύοντος, ᾧ πειστέον ἐξ ἀνάγκης διὰ τὰ ἐπιτήδεια, μόνης Αἰγύπτου χορηγούσης αὐτὰ τοῖς λιμῷ πιεσθεῖσιν. ὁ δὲ βαρύτατον ἀναστενάξας, τίνα πρῶτον, εἶπεν, ὀλοφύρωμαι; τὸν πρεσβύτατον, ὃς οὐ τελευταῖος, ἀλλὰ πρῶτος ἔλαχε τὴν τῶν συμφορῶν τάξιν; ἢ τὸν δεύτερον, ὃς τὰ δεύτερα τῶν κακῶν ἤρατο πρὸ θανάτου δεσμά; ἢ τὸν νεώτατον, ὃς ἀπευκταιοτάτην ὁδὸν ἀφίξεται, ἐὰν ἄρα ἀπίῃ, τὸν τῶν ἀδελφῶν κακοπραγίαις οὐ σωφρονισθείς; ἐγὼ δὲ κατὰ μέλη καὶ μέρη διαρτώμενος· μέρη γὰρ τέκνα γονέων. εἰς ἀπαιδίαν κινδυνεύω περιελθεῖν ὁ πολύπαις καὶ εὔπαις ἄχρι πρὸ μικροῦ νομισθείς. ὁ δὲ πρεσβύτατος, εἰς ὁμηρείαν, ἔφη, σοὶ δύο υἱοὺς δίδωμι, οὓς καὶ μόνους ἐγέννησα, τούτους ἀπόκτεινον, ἐὰν μὴ σῶον ἀποδῶ τὸν ἐγχειρισθησόμενόν μοι ἀδελφόν, ὃς ἀφικόμενος εἰς Αἴγυπτον, δύο περιποιήσει τὰ μέγιστα ἡμῖν· ἓν μέν, πίστιν σαφῆ τοῦ μὴ κατασκόπους μηδὲ πολεμίους εἶναι· ἕτερον δέ, τὸ τὸν ἀδελφὸν τὸν ἐν δεσμοῖς ἀπολαβεῖν δυνηθῆναι. σφόδρα δὲ ἀχθομένου τοῦ πατρός, καὶ λέγοντος ἀγνοεῖν, ὅτι δυεῖν ὄντων ὁμομητρίων, ὁ μὲν ἤδη τέθνηκεν, ὁ δὲ ἔρημος καὶ μόνος ἀπολειφθείς, εὐλαβήσεται τὴν ὁδόν, καὶ ζῶν προαποθανεῖται τῷ δέει, κατὰ τὴν τῶν φοβερῶν ἐκείνων ὑπόμνησιν, ἃ συνέβη τὸν πρότερον παθεῖν· ταῦτα λέγοντος, ὁ εὐτολμότατος καὶ ἀρχικὸς φύσει

A In casibus inopinatis, mi pater leuior est cognitio quàm dubitatio. nam re cognita potest inueniri ad salutem aditus, hæsitatio nihil expedit. audi nunc valde molestum nuncium, sed auditu necessarium. Frater quem nobiscum misisti ad frumentum emendum, non reuersus viuit tamen. bene habet quòd salus eius in tuto est, detinetur autem in Ægypto viuens apud præsidem: qui siue aliorum calumnijs, siue suspicioni suæ credulus, pro exploratoribus B nos habuit. cúmque in defensionem nostram afferremus quod in mentem veniebat ex tempore, narrantes de te reliquísque fratribus, vno defuncto, altero apud te manente, quem dicebamus propter ætatem teneriorem domi substitisse: atque ita omnia de tota cognatione nostra proderemus nil dissimulando quo magis suspicio eximeretur homini, nihil profecimus, illo negante se crediturum nobis, nisi viso fratre nostro natu minimo. eam ob causam C secundo genitus retentus est pro obside, dimittendus quamprimum alter exhibitus fuerit. ad imperatum fuit longe molestissimum. sed durior etiam est necessitas præsentis temporis, cui parere oportet propter victualia, quæ nunc fame pressis sola Ægyptus suppeditat. Tum senex gemitum ducens ex imo pectore, Quem ergo primum, inquit, deplorabo? penultimúmne, non extremum sed primum in calamitatum ordine? an secundo genitum, qui miseria D primo proximus non prius mortem sensit quam vincula? an natu minimum, cui abominanda profectio suscipienda est, si modo proficiscetur, fratrum infortunio factus nihilo cautior. interim ipse membratim pereo. nam parentum partes sunt liberi. modo numerosa felicéque prole stipatus ad orbitatem recido. tum maximus natu, En tibi pro vno filio duos obsides, quos solos genui: in hos vt libet sæuito, ni fratrem meæ fi- E dei committendum incolumen restituo, cuius in Ægyptum profectio duo maxima nobis afferet commoda. vnum quod credetur nec hostes nec exploratores nos esse: alterum quod recipiemus fratrem è vinculis. Mœstus pater hærebat, è duobus eadem matre genitis orbatus altero, de alterius profectione solicitus, metuens ne impar anxietati ante reditum eius moreretur, memor præteritorum casuum. tum adhibitus est quod inter fratres excellebat animo,

autoritate, facundia, quartus ætatis ordine. is communem sententiam parenti aperuit. ea fuit. quandoquidem deficiebant necessaria, absumptis quæ priore frumentatione parauerant, vnà omnes proficisci, non sine fratre natu minimo. nam præfectus regionis diserte interdixerat eis reditu, ni & illum adducerent. id vir sapiens reputans, tolerabilius esse vnius incertum periculum quam certam tot fratrum perniciem, quæ propter domum fame pressam vitari non poterat, respondit: Cedendum est necessitati vt video. Fortasse natura viam munit ad melius aliquid, quod nondum præuidere mente sumus idonei. Ite, & minimum quoque quando ita videtur assumite. Verum aliter eundum est quam antea. tunc pecunia tantum opus erat ignotis ad emendum frumentum euntibus, & nullam passis iniuriam. nunc adiungenda sunt munera tribus de causis. ad parandam præfecti annonæ gratiam, cui vos innotuisse dicitis: ad fratrem citius redimendum è vinculis: ad tollendam quantum fieri potest explorationis suspicionem. proinde ex omnibus quæ nostra regio fert ceu primitias ferte homini, & duplex precium, annumerato quod retulistis proxime. fortassis enim per alicuius ignorantiam id accidit. ego faustis precationibus abeuntes prosequar commendans salutem vestram seruatori Deo, vt & apud illius regionis indigenas hospitibus conciliet gratiam, & vos restituat incolumes in patriam, vnà cum fideicommisso quod parenti debetis, tum alterum priorem relictum in vinculis, tum huncce quem nunc abducitis adolescentulum per ætatem imperitum rerum omnium. Ita cuncti contenderunt in Ægyptum. Post aliquot dies præfectus regionis cum reuersos vidisset gauisus est supra modum: moxque iubet dispensatorem suum parare opiparum epulum, & viros ad salis mensæque communionem adducere. Introducti adhuc causæ ignari timebant, suspicando furti calumniam ob non redditum frumenti precium, quod in saccis inuenerant, & apud dispensatorem excusabant factum quod nemo accusabat, vt conscientiæ satis facerent, simulque proferebant pecuniam parati reddere. ille comiter horta-

A καὶ δυνατὸν εἰπεῖν· ἦν δὲ καθ' ἡλικίαν ἀπὸ τοῦ πρώτου τέταρτος· προστησάμενοι διερμηνεύειν, λέγειν τὰ δοκοῦντα πᾶσιν. ἐδόκει δέ, τῶν μὲν ἀναγκαίων ὑστεριζόντων· ὁ γὰρ κομισθεὶς πρότερον σῖτος ὑπολελοίπει· κρατοῦντος δὲ τοῦ λιμοῦ καὶ πιέζοντος, ἡνωμένους ἀπιέναι, μὴ βαδίζειν δὲ τοῦ νεωτάτου καταμένοντος. τὸν γὰρ τῆς χώρας ἐπίτροπον ἀπηγορευκέναι, δίχα τούτου παραγενέσθαι· λογισάμενος δέ, ἅτε σοφὸς ἀνήρ, ὡς ἔστιν ἄμεινον ἕνα προέσθαι περὶ τοῦ μέλλοντος ἀδήλῳ καὶ ἀμφιβόλῳ, περὶ τῆς ὁμολογουμένης τῶν τοσούτων ἀπωλείας, ἣν ὑπομένει πᾶς οἶκος ἐνδείᾳ πιεσθείς, φησὶν αὖθις, ἀλλ' εἰ τῆς ἐμῆς βουλήσεως ἐπικρατέστερα τὰ τῆς ἀνάγκης ἐστίν, εἰκτέον. ἴσως γὰρ ἴσως ἡ φύσις οἰκοδομεῖ τι βέλτιον, ὃ μήπω τῆς διανοίας ἡμῶν καταφαίνειν ἀξιοῖ. λαβόντες οὖν καὶ τὸν νεώτατον, ὡς προείρηται, ἄπιτε· μὴ μέντοι τὸν αὐτὸν ὃν καὶ πρόσθεν τρόπον. πάλαι μὲν γὰρ ἀργυρείου μόνον ἔδει πρὸς σιτωνίαν ἀγνοουμένοις ἀνθρώποις, καὶ μηδέν πω πεπονθόσιν ἀνήκεστον· νυνὶ δὲ καὶ δώρων, τριῶν ἕνεκα, τῆς τε πρὸς τὸν ἡγεμόνα καὶ σιτάρχην θεραπείας, ὑφ' οὗ γνωρίζεσθαί φατε· καὶ τοῦ τὸν ἐν δεσμοῖς ἀπολαβεῖν θᾶττον, πολλὰ καταθέντας αὐτοῦ λύτρα· καὶ τοῦ τὴν ὑπόνοιαν τῆς κατασκοπῆς ὡς ἔνι μάλιστα ἰάσασθαι. πάντων οὖν ὅσων ἡ ἡμετέρα γῆ φέρει λαβόντες, ὥσπερ τινὰς ἀπαρχὰς κομίζετε τῷ ἀνθρώπῳ, καὶ διπλοῦν ἀργύρειον, τό, τε ἀποδοθὲν πρότερον· ἴσως γὰρ ἀγνοίᾳ τινὸς ἀπεδόθη· καὶ ἕτερον αὔταρκες εἰς σιτωνίαν. ἐπιφέρεσθε μέντοι καὶ τὰς ἡμετέρας εὐχάς, ἃς πρὸς τὸν σωτῆρα ποιούμεθα θεόν, ἵνα καὶ διαρέσητε τοῖς ἐγχωρίοις ξενιτεύοντες ἦτε, καὶ ἐπανέρχησθε σῷοι, τὰς ἀναγκαίας παρακαταθήκας υἱοὺς ἀποδιδόντες πατρί, τόν τε καταλειφθέντα πρότερον ἐν δεσμοῖς, καὶ ὃν συνεπάγεσθε νυνὶ νεώτατον καὶ πραγμάτων ἄπειρον. ἄραντες δέ, συνέτεινον εἰς Αἴγυπτον· εἶτ' ὀλίγαις ὕστερον ἡμέραις ἀφικομένους ἰδὼν ὁ τῆς χώρας ἐπίτροπος, ἥσθη πάνυ, καὶ κελεύει τῷ τῆς οἰκίας ἐπιμελουμένῳ, πολυτελὲς ἄριστον εὐτρεπίζειν, καὶ τοὺς ἄνδρας εἰσάγειν ἁλῶν καὶ τραπέζης μεθέξοντας· εἰσαχθέντες δέ, καὶ ἐφ' ὅτῳ μὴ συναισθόμενοι, διεπτόηντο, καὶ συγχυθέντες ὑπετόπαζον ἐπὶ κλοπῇ μέλλειν συκοφαντεῖσθαι, ὡς ὑφελόμενοι τὴν τοῦ σίτου τιμήν, ἣν πρότερον ἐν τοῖς ἀγγείοις ἀνεῦρον· εἶτα τῷ τῆς οἰκίας ἐπιμελητῇ προσελθόντες, ἀπελογοῦντο περὶ οὗ μηδεὶς ἐτόλμα κατηγορεῖν, τὸ συνειδὸς ἰώμενοι, καὶ ἅμα προσφέροντες,

ἐνδείκνυνται τὸ ἀργύριον εἰς ἀπόδοσιν. ὁ δὲ χρηστοῖς καὶ φιλανθρώποις λόγοις εὐθυμοτέρους αὐτοὺς ἐποίει φάσκων, οὐδεὶς ἀσεβής ἐστιν οὕτως, ὡς τὰς τοῦ θεοῦ χάριτας συκοφαντεῖν, ὃς ἵλεως εἴη. θησαυροὺς γὰρ ἐν τοῖς ὑμετέροις ὤμβρησεν ἀγγείοις, οὐ μόνον τροφάς, ἀλλὰ καὶ πλοῦτον διὰ ἑτοίμου διδούς. οἱ δὲ παρηγορηθέντες ἐν τάξει διετίθεσαν ἃ οἴκοθεν ἐπηνέγκαντο δῶρα· καὶ παραγινομένῳ τῷ δεσπότῃ τῆς οἰκίας προσέφερον· πυνθανομένῳ δὲ πῶς ἔχοιεν, καὶ εἰ ὁ πατὴρ ζῇ, περὶ οὗ πρόσθεν ἔλεγον, ἀποκρίνονται περὶ μὲν αὐτῶν οὐδέν, περὶ δὲ τοῦ πατρὸς, ὅτι ζῇ καὶ ὑγιαίνει. κατευξάμενος δὲ ἐκείνῳ καὶ θεοφιλέστατε προσειπών, τὸν ὁμομήτριον περιβλεψάμενος ἀδελφόν, ὡς εἶδεν, οὐ κατασχών, ἀλλ' ἤδη νικώμενος ὑπὸ τοῦ πάθους, πρὶν γενέσθαι καταφανής, ἐπιστρέφεται, καὶ δραμὼν προφάσει ἐπί τι τῶν κατεπειγόντων· ἐκκαλύπτεσθαι γὰρ τἀληθὲς καιρὸς οὐκ ἦν· ἐν μυχῷ τινι τῆς οἰκίας ἀνακλαυσάμενος, ἀποχεῖ τὴν τῶν δακρύων φοράν· εἶτ' ἀπονιψάμενος, λογισμῷ τῆς λύπης ἐπεκράτησε, καὶ προσελθών, εἱστία τοὺς ξένους, ἀποδοὺς πρότερον καὶ τὸν αὐτὸν τοῦ νεωτάτου καταταχθέντα εἰς ὁμηρείαν. συνειστιῶντο δὲ καὶ ἄλλοι τῶν παρ' Αἰγυπτίοις δοκίμων· αἱ δὲ ὑποδοχαί, κατὰ τὰ πάτρια ἑκάστοις ἐγίνοντο, χαλεπὸν ἡγουμένου παρασαλεύειν παλαιοὺς νόμους, καὶ ταῦτα ἐν εὐωχίᾳ τινί, ἔνθα τῶν ἀηδῶν αἱ ἡδοναὶ πλείους. ἑξῆς δὲ προστάξαντος κατὰ τὰς ἡλικίας καθίζεσθαι, μήπω τῶν ἀνθρώπων ἐν ταῖς συμποτικαῖς συνουσίαις κατακλίσει χρωμένων, ἐθαύμαζον εἰ Αἰγύπτιοι ζηλωταὶ τῶν αὐτῶν Ἑβραίοις εἰσί, τάξεώς τε πεφροντικότες, καὶ τὰς πρεσβυτέρων καὶ νεωτέρων τιμὰς διακρίνειν ἐπιστάμενοι. τάχα μέντοι καὶ τὸν ἄλλον χρόνον ἔφασκον, τῆς χώρας ἀμαθεστέρας τὰ περὶ δίαιταν ἀγούσης, ὁ ἀνὴρ οὗτος τοῖς κοινοῖς ἐπιστάς, οὐ μόνον τοῖς μεγάλοις πράγμασιν ἥρμοσεν εὐταξίαν, δι' ὧν τὰ εἰρήνης καὶ πολέμου κατορθοῦσθαι πέφυκεν, ἀλλὰ κἂν τοῖς εὐτελεστέροις εἶναι δοκοῦσιν, ὧν τὰ πλεῖστα ἐν παιδιαῖς. ἱλαρότητα γὰρ ἐπιζητοῦσιν εὐωχίαι, σεμνὸν ἄγαν καὶ αὐστηρὸν συμπότην ἥκιστα παραδεχόμεναι. τοιούτοις ἐπαίνοις ἠρέμα συνειρόντων, τράπεζαι μὲν οὐ σφόδρα πολυτελεῖς εἰσεκομίζοντο διὰ τὸν λιμόν, οὐκ ἀξιοῦντος τοῦ ξενοδόχου τῆς ἑτέρων ἀτυχίας ἐντρυφᾶν· αὐτοὶ δὲ ἅτε συνέσει ἀκριβεῖς, καὶ τοῦτ' εἰς τὰ ἐγκώμια περιελάμβανον, ὡς ἀπειροκαλίαν πρᾶγμα ἐπίφθονον ἀπέστραπται, λέγοντες, ὡς καὶ τοῦ συναλγοῦντος τοῖς δεομένοις, καὶ τὸ τοῦ ἑστιάτορος σχῆμα διασώζει, μεθόριον ἀμφοῖν τιθεὶς αὐτόν, &

A batur, essent bono animo: si quid inuenissent Deo propitio, id eis fraudi non fore. neminem eis inuidere dona Dei: nam hunc impluisse in saccos pecuniam, prouidentem non solum fami, sed & inopiæ. Sic consolati prompserunt allata munera, quæ mox Domino superuenienti obtulerunt. percontanti deinde, satin saluæ, & an pater superfit, respondent de se nihil, sed patrem viuere valeréque. B cui bene precatus, & mactum Dei fauore pronuncians, circumspexit requirens fratrem vterinum: quo viso iam non valens affectum reprimere, prius quàm eum proderet auersus, secessit quasi ad aliud negocium (nondum enim erat aperienda veritas) & in quodam angulo effudit se in lacrymas. tum ablutus, & dolorem rationi subijciens, ad hospites epulo excipiendos reuertitur, reddito quem retinuerat obside. C adfuerunt & alij conuiuæ, optimates Ægyptiorum. Tractatio fuit iuxta morem cuiusque patriæ, quod durum videretur discedere à consuetis moribus, præsertim in conuiuio, vbi maxime hilaritati prospicitur. Iussi deinde sedere iuxta ætatis ordinem (nondum enim discumbendi mos receptus erat) mirabantur quòd Ægyptij non aliter quàm Hebræi rationem ætatis haberent in honoran- D dis hominibus, sic cogitantes: fortasse hic magistratus pro sua prudentia non solum serijs & magnis rebus ad pacis bellíque recta munia spectantibus induxit decorum ordinem, verum etiam honestatem in istis leuioribus & penè ludicris, quam Ægyptij hactenus rudiores nesciuerant. nam in conuiuio semota grauitate lætitia quæritur. Interim cibi non valde lauti apponuntur, E quod conuiuatori non liberet vti delicijs in publica penuria: & hoc ipsum homines prudentes in laudem vertebant, vitari luxum intempestiuum & inuidiosum: probantes consilium memoris quid vel præsentem lætitiam, vel publicum statum deceat, & vtrique se accommodantis tempori. atque ita opportunus & minime inuidiosus apparatus fuit. quod deerat supplebatur hospitali comitate, pro-

pinationibus, faustis ominationibus, ad hilaritatem hortationibus, & id genus iucundis alloquijs, quæ ingenuis ac liberaliter educatis gratiora sunt quàm cibi potúsve lauticiæ, non magnifaciendæ nisi apud istos epulones luxus ostentatores. Postera die sub lucem accitum dispensatorem domesticum iubet saccos quotquot allati fuerant frumento replere, ac rursum in cuiusque ore precium cum crumena reponere: in minimi autem saccum indere argenteum poculum omnium pulcherrimum, ex quo ipse solebat bibere. Hæc iussa ille diligenter exsecutus est, semotis omnibus arbitris & testibus. Discedunt hospites ignari doli, atque etiam læti insperatis successibus. expectauerant enim subituros se interceptæ furto pecuniæ calumniam, nec recepturos fratrem obsidem, fortasse ne minimum quidem fratrum, vi detentum ab eo qui tam accurate illum adduci iusserat. at illis omnia supra votum euenerant, non solum nullam passis calumniam, verum etiam ad salem mensámque, quod præcipuum habetur pignus amicitiæ, adhibitis: receptus est & frater illæsus, ídque absque vllo deprecatore: alter natu minimus reducebatur ad parentem incolumis: suspicionem explorationis euaserant, reuertebantur onusti commeatibus, bonam spem & in futurum conceperant, etiamsi sæpius reditura esset penuria, pollicentes sibi securum iter, non trepidum vt ante, sed lætum, vt ad familiarem & hospitem regionis eius summum magistratum. Sic affectis & sic cogitantibus repentinus inexpectatúsque pauor ingruit. Missus dispensator cum cohorte domestica, vt maneant manu significat, ipse cursum accelerat. mox anhelus: Confirmastis, inquit, & priora crimina, pro gratia referendo bene meritis iniuriam, reuersi ad pristina maleficia. recepto per furtum frumenti precio maius addidistis facinus, impunitate augente, vt fit, maliciam. poculum herile pulcherrimum preciosissimúmque, ex quo vobis præbibit, surripuistis homines grati pacatique, qui ne

A τὴν ἐν ἑκατέρῳ μέμψιν ἐκφύγωσι. τὰ μὲν οὖν παρεσκευασμένα τὸ ἀμισὲς εἶχον, πρόσφορα τῷ καιρῷ γεγονέναι· τὸ δ᾽ ἐλλιπὲς ἀνεπλήρουν αἱ συνεχεῖς φιλοφροσύναι, προπόσεσιν, εὐχαῖς, παραινέσεσι τῆς εἰς ἀνάληψιν, ἃ τοῖς ἐλευθέροις καὶ μὴ ἀμούσοις τὸ ἦθος ἡδίω τῶν ὅσα περὶ ἐδωδὴν καὶ πόσιν διαπρεπίζουσιν οἱ φιλεστιάτορες καὶ φιλόδειπνοι, τὰ μηδενὸς ἄξια σπουδῆς, ὀλιγοφρόνων ἐπίδειξιν πομποστολοῦντες. τῇ δ᾽ ὑστεραίᾳ, ἅμα τῇ ἕῳ μεταπεμψάμενος τὸν ἐπίτροπον τῆς οἰκίας, κελεύει τὰ
B ἀγγεῖα τῶν ἀνδρῶν ὅσα ἐπηνέγκαντο, γεμίσαι σίτου, καὶ πάλιν ἐπὶ τῶν στομίων τὴν τιμὴν ἐν βαλαντίοις καταθεῖναι· εἰς δὲ τὸ τοῦ νεωτάτου, τὸ κάλλιστον τῶν ἀργυρῶν ἔκπωμα, ᾧ πίνειν ἔθος εἶχεν αὐτός. καὶ ὁ μὲν τὰ προσταχθέντα προθύμως ἐπετέλει, μηδένα μάρτυρα παραλαμβάνων· οἱ δ᾽ οὐδὲν τῶν κρύφα γεγονότων εἰδότες, ἀνεζεύγνυσαν, ἐπὶ τοῖς παρ᾽ ἐλπίδας ἀγαθοῖς ἅπασι χαίροντες. ἃ μὲν γὰρ προσεδόκησαν, ταῦτα ἦν, ἐπὶ
C κλοπῇ τοῦ ἀποδοθέντος ἀργυρίου συκοφαντίαν ἕξειν, ἀδελφὸν τὸν ὁμηρεύοντα μὴ ἀπολήψεσθαι, προσαπολεῖν καὶ τὸν νεώτατον ἴσως, ὑπὸ τοῦ σπουδάσαντος αὐτὸν ἀχθῆναι, βίᾳ κρατηθέντα· τὰ δ᾽ ἀποβάντα αἰσίων τελειότερα εὐχῶν, τὸ πρὸς τῷ μὴ συκοφαντηθῆναι, τραπέζης καὶ ἁλῶν, ἃ σύμβολα γνησίου φιλίας ἀνθρώποις ἀνεύρηται, μεταλαχεῖν, τὸ κομίσασθαι τὸν ἀδελφὸν ἀνύβριστον, μηδενὸς ἐντυχόντος καὶ δεηθέντος, τὸ καὶ τὸν νεώτατον ἀγαγεῖν πρὸς τὸν πατέρα σῶον, ἐκπεφευγέναι μὲν
D τὰς κατασκόπων ὑπονοίας, ἄφθονον τροφῶν πλῆθος ἐπιφερομένους, χρηστὰ δὲ καὶ περὶ τοῦ μέλλοντος λογιζομένους. εἰ γὰρ ἐπιλίποι τὰ πεπορισμένα πολλάκις, ἔφασκον, οὐκέθ᾽ ὡς πρότερον περιδεεῖς, ἀλλὰ γεγηθότες ὡς πρὸς ἴδιον, ἀλλ᾽ οὐ ξένον τὸν τῆς χώρας ἐπίτροπον ἀποδημήσομεν. ἀλλὰ γὰρ οὕτω διαχειμαζόντων, καὶ τοιαῦτα ταῖς ψυχαῖς ἀναπολούντων, αἰφνίδιος καὶ ἀπροσδόκητος ταραχὴ καταλαμβάνει. προσταχθεὶς γὰρ ὁ τῆς οἰκίας ἐπι-
E μελητὴς, ἐπαγόμενος θεραπόντων πλῆθος οὐκ ὀλίγον, κατασείων τὰς χεῖρας, καὶ μένειν ὑποσημαίνων, ἐπεδρόμει· καὶ συντείνας ἄσθματος πλήρης, ἐπισφραγίσασθε, εἶπε, καὶ τὰς προτέρας καθ᾽ αὑτῶν αἰτίας· ἀγαθὰ κακοῖς ἀμειψάμενοι, πάλιν τὴν αὐτὴν ὁδὸν τῶν ἀδικημάτων ἐβαδίσατε· τὴν τοῦ σίτου τιμὴν ὑπεξελόμενοι, καὶ μεῖζον ἔτι προσεξειργάσασθε. πονηρία γὰρ τυχοῦσα ἀμνηστίας, ἐπιδίδωσι· τὸ κάλλιστον καὶ τιμιώτατον ἔκπωμα τοῦ δεσπότου, ἐν ᾧ προπόσεις προὔπινεν

ὑμῶν, κεκλόφατε, οἱ λίαν εὐχάρεισοι, οἱ λίαν εἰρηνικοί, οἱ μηδ' ὄνομα κατασκοπῆς εἰδότες, οἱ διπλοῦν ἀργύριον εἰς ἀπόδοσιν τοῦ προτέρου κεκομικότες, ἐνέδρας ὡς ἔοικε καὶ δέλεαρ ἐπὶ θήραν καὶ ἁρπαγὴν πλειόνων. ἀλλ' οὐκ εἰσάπαν εὐοδεῖται κακία, λανθάνειν δ' ἀεὶ τεχνάζουσα, καταφωρᾶται. ταῦτα συνείροντος, ἀχανεῖς ἐπάγησαν, λύπης καὶ φόβου τῶν ἀργαλεωτάτων κακῶν, ἐξαίφνης ἐπιπεσόντων, ὡς μηδὲ διᾶραι τὸ στόμα δυνάσθαι. τῶν γὰρ ἀπροσδοκήτων κακῶν αἱ προσβολαί, καὶ τοῖς δεινοῖς περὶ λόγους ἀφωνίαν ἐμποιοῦσι. μόλις δ' ὅμως ὑπὲρ τοῦ μὴ δοκεῖν ὁμολογεῖν τῷ συνειδότι καθησυχάζειν, πῶς, ἔφασαν, ἀπολογησόμεθα καὶ πρὸς τίνα. σὺ γὰρ μάρτυς ἔστης καὶ δικαστὴς καὶ κατήγορος, ὃς ὤφειλες καὶ ἑτέρων αἰτιωμένων ἡμῖν συναγορεύειν, ἐξ ὧν ἐπειράθης. ἢ τὸ μὲν ἀργύριον τὸ εὑρεθὲν ἐν τοῖς ἀγγείοις πρότερον, οὐδενὸς ἐλέγχοντος ἐκομίσαμεν ἀποδώσοντες· τοσαύτην δ' ἐχρησάμεθα τὸ λοιπὸν μεταβολήν, ὡς τὸν ξενοδόχον ἀμείψασθαι ζημίαις καὶ κλοπαῖς; ἀλλ' οὔτε γέγονε τοῦτο, μήτ' εἰς νοῦν ἔλθοι ποτὲ τὸν ἡμέτερον. ὃς δ' ἂν ἔχων ἁλῷ τὸ ἔκπωμα τῶν ἀδελφῶν, θνησκέτω. θανάτου γὰρ τὸ ἀδίκημα εἰ γέγονεν ὄντως, τιμώμεθα διὰ πολλά· πρῶτον μέν, ὅτι πλεονεξία τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, παρανομώτατον· δεύτερον, ὅτι τοὺς ὠφεληκότας βλάπτειν ἐπιχειρεῖν, ἀνοσιώτατον· τρίτον δέ, ὅτι τοὺς μέγα φρονοῦντας ἐπ' εὐγενείᾳ τὸ τῶν προγόνων ἀξίωμα καθαιρεῖν ἔργοις ὑπαιτίοις τολμᾶν, ὄνειδος αἴσχιστον· οἷς ἅπασιν ἔνοχος ὤν, εἴ τις ἡμῶν ὑφήρηται, θανάτων μυρίων ἄξια πεπραχώς, τελευτάτω. καὶ ἅμα λύοντες τὰ ἄχθη τῶν ὑποζυγίων καθῄρουν, καὶ προὐτρέποντο μετὰ πάσης ἐπιμελείας ἐρευνᾶν. ὁ δὲ οὐκ ἀγνοῶν ἐν τῷ τοῦ νεωτάτου κατακείμενον, ἅτε αὐτὸς λάθρα θείς, ἐσοφίζετο, καὶ τὴν ἀρχὴν ἀπὸ τοῦ πρεσβυτάτου ποιησάμενος, ἑξῆς κατὰ στίχον ἐπακολουθῶν ταῖς ἡλικίαις ἐσκέπτετο, προφέροντος ἑκάστου καὶ ἐπιδεικνυμένου τὰ ἀγγεῖα, μέχρι τοῦ τελευταίου, παρ' ᾧ καὶ τὸ ζητούμενον εὑρέθη, ὡς ἰδόντας ἀθρόους ἀνοιμῶξαι, καὶ τὰς ἐσθῆτας διαρρήξαντας, ἐκδακρύειν ἐπιστένοντας, καὶ τὸν ἀδελφὸν ἔτι ζῶντα προθρηνοῦντας, καὶ οὐχ ἧττον αὑτοὺς καὶ τὸν πατέρα, ὃς προὔλεγε τὰς συμβησομένας τῷ υἱῷ κακοπραγίας, δι' ἃς βουλομένοις συναποδημεῖν τὸν ἀδελφὸν οὐκ ἐπέτρεπε· κατηφοῦντες δὲ καὶ συγκεχυμένοι, τὴν αὐτὴν ὑπέστρεφον ὁδὸν εἰς τὴν πόλιν, ἐκπεπληγμένοι τῷ συμβεβηκότι, καὶ τὸ πρᾶγμα ἐπιβουλήν, ἀλλ' οὐ

A nomen quidem nostis exploratorum,
qui duplicatum attulistis frumenti
precium, nimirum vt tali esca obiecta
ex insidijs, maiorem prædam auferretis.
sed non semper felix est malicia,
interdum cum maxime se cælat
deprehenditur. Ad hæc cum illi præ
stupore ne mutirent quidem, repente
oppressi dolore metúque duobus
malis grauissimis, hærebant verba in
faucibus, vt solent inopinati casus
vocem adimere. Tandem ne viderentur
B tur silentio fateri conscientiam. Quomodo,
inquiunt, causam dicemus,
aut apud quem? nam tu contra nos
exstitisti & iudex & accusator, qui
etiam ab alijs accusatis nobis patrocinari
debueras, quales simus expertus.
Certe pecuniam prius in saccis
inuentam, nemine arguente vt
redderemus retulimus. num sic mutati
sumus, vt hospiti per furtum
damnum daremus pro gratia? nec
C factum est hoc, & absit vt vnquam
vlli nostrum in mentem veniat. Quod
si apud aliquem è fratribus poculum
deprehensum fuerit, is luat capite.
si vere admissum est facinus, ipsi capitale
iudicamus ob causam non simplicem.
primùm, quia concupiscere
aliena est iniquissimum. tum quia nefarium
ducimus velle nocere bene meritis.
tertio, quia genus deductum ab
illustribus maioribus ignominiosis factis
dehonestare probrum est turpissimum.
quibus criminibus si quis nostrum
D strum est obnoxius, pereat dignus
non vno supplicio. & cum dicto iumenta
sarcinis exonerant, vltro ad
scrutandum inuitando. Dispensator
non ignarus latere id in sacco natu minimi,
quò ipse clam abdiderat, tamen
arte rem tegebat, initium à maximo
natu faciens, & inquisitionem
secundum ætates persequens, nemine
tergiuersante, singulis iuuantibus,
donec ventum est ad minimum, apud
E quem repertum est quod quærebatur,
magno fratrum gemitu: qui scissis
vestibus præmaturo luctu complorabant
fratrem viuentem etiam tunc,
nec minus suam vicem & parentis
miseri, præsagiorum eius memores,
propter quæ fratrem cunctanter
& inuitus commiserat itineri comitem.
mœsti deinde turbatíque retro
in vrbem redeunt eo casu attoniti,
non tam fratris cupiditatem suspectam
habentes, quàm externas insidias.

Tum ad regionis præfectum adducti, A
vere fraternam pietatem proferunt.
accidentes enim vniuersi ad illius genua,
quasi omnes furti conuicti,
miserabile dictu, diffluebant lacrymis,
supplicabant, seipsos offerebant,
pollicentes seruitutem voluntariam,
illum herum appellando, se
externa mancipia, empta precio, à
nullis abstinendo seruilibus nominibus.
qui magis etiam eos tentando,
seuere admodum respondit:
Absit vt ob vnius culpam in tam B
multos sæuiam, aut durius aliquid
statuam. Quid opus est pœnas ab
insontibus exigere? qui solus peccauit,
solus puniatur. Audio iam ante
à vobis prædamnatum quicunque
deprehensus fuerit. ego tamen æquitatis
respectu mitigabo pœnam remisso
supplicio in seruitutem eum
vindicans. Hac comminatione perculsis
cæteris, & exanimatis calumnia,
quartus ætatis ordine, vir
audax, & saluo pudore facundus C
libere: Precor, inquit, here, ne
iræ indulgeas, neue fretus potestate
regiæ proxima, contra inauditos
indefensósque feras sententiam.
Cum primum huc venimus,
percontanti tibi de patre fratreque,
respondimus patrem consenuisse
non tam ætate grauatum quàm
multis infortunijs, quibus more
athletarum exercitatum, vitam exegisse
in perpetuis miserijs atque laboribus.
fratrem adhuc puerum, D
patri valde carum esse, vt prolem
serotinam, & è duobus eadem
matre prognatis superstitem.
eum domi relictum solum, maiorem
eius germanum violenta morte
sublatum. cumque iussisses eum
huc adduci, malum minatus ni
faceremus, ac ne reditum quidem
ad te permittens, mœsti discessimus:
& reuersi domum rem totam
patri narrauimus. Ille diu re-
luctatus, quòd vehementer pue- E
ro metueret, tandem cogente penuria
nobis redire ad frumentationem
sine minimo fratre propter
tuas minas non audentibus,
ægre persuasus hunc vnà misit,
valde incusans quòd indicassemus
nos habere fratrem alium, & fortem
suam miserans quòd disiungeretur
à puero charissimo. est enim
pro ætate imperitus rerum omnium,

φιλαργυρίας ἀδελφοῦ νομίζοντες· εἶτα τῷ τῆς χώρας ἐπιτρόπῳ προσαχθέντες, φιλάδελφοι εὔνοιαν ἀπὸ γνησίου πάθους ἐπιδείκνυνται. προσπεσόντες γὰρ ἀθρόοι τοῖς ἐκείνου γόνασιν ὡς κλοπῆς πάντες ἔνοχοι, ὃ μηδὲ εἰπεῖν θέμις, ἐπ᾽ αὐτοῦ ἐδακρυρρόουν, ἱκέτευον, ἑαυτοὺς ἐξεδίδοσαν, ἑκούσιον δουλείαν ὑπισχνοῦντο, δεσπότην προσηγόρευον, ὀθνείους, προσηλύτους, οἰκότριβας, ἀργυρωνήτους, οὐδὲν παραλείποντες τῶν οἰκετικῶν ὀνομάτων, ἀνεκάλουν ἑαυτούς. ὁ δὲ ἔτι μᾶλλον ἀποπειρώμενος, ἤδη βαρυτάτῳ φησὶν αὐτοῖς· μηδέποτε τοῦτο ἐργασαίμην, ὡς τοσούτους ἀπάγειν ἑνὸς ἁμαρτόντος. τί γὰρ εἰς μετουσίαν ἄξιον καλεῖν τιμωριῶν, τοὺς μὴ τῶν ἀδικημάτων κοινοπραγήσαντας; ἐκεῖνος μόνος, ἐπεὶ καὶ μόνος ἔπραξε, κολαζέσθω. πυνθάνομαι μὲν οὖν ὅτι καὶ παρὰ τῆς πόλεως θάνατον ὁρίζετε κατὰ τοῦ ἁλόντος· ἐγὼ δ᾽ ἕκαστα πρὸς τὸ ἐπιεικὲς ἄγων καὶ ἡμερώτερον, ἐπικουφίζω τὴν τιμωρίαν, δουλείαν ὁρίσας ἀντὶ θανάτου. χαλεπῶς δὲ τὴν ἀπειλὴν φερόντων, καὶ ἐφ᾽ οἷς ἐσυκοφαντοῦντο καταδυομένων, ὁ τέταρτος καθ᾽ ἡλικίαν, τολμητὴς μετ᾽ αἰδοῦς, καὶ θαρραλέος, παρρησίαν τὴν αὐτὴν ἀναγκαιοτάτην ἐπιτετηδευκώς, προσελθών φησι, δεόμεθα δέσποτα, μὴ θυμῷ χρήσασθαι, μηδ᾽ ὅτι τέταξαι τὴν μετὰ βασιλέα τάξιν, προκατεγνωκέναι πρὸ τῆς ἀπολογίας ἡμῶν. πυνθανομένῳ σοὶ κατὰ τὴν προτέραν ἐπιδημίαν περὶ τοῦ ἀδελφοῦ καὶ πατρός, ἀπεκρινάμεθα, πατὴρ μὲν ἐστὶ πρεσβύτης, οὐ χρόνῳ μᾶλλον γεγηρακώς, ἢ ταῖς ἐπαλλήλοις δυστυχίαις, ὑφ᾽ ὧν γυμναζόμενος ἀθλητοῦ τρόπον, ἐν πόνοις καὶ δυσκαρτερήτοις κακοπαθείαις διετέλεσεν. ἀδελφὸς δὲ κομιδῇ νέος ἐστὶ παιδίον, ἐκτόπως στεργόμενος ὑπὸ τοῦ πατρός, ἐπεὶ καὶ ὀψίγονός ἐστι, καὶ ὁμομητρίων δυοῖν γενομένων, ἀπελείφθη μόνος, τοῦ πρεσβυτέρου βιαίως ἀποθανόντος· κελεύοντος δέ σου ἐνθάδε τὸν ἀδελφὸν ἀγαγεῖν, καὶ ἀπειλοῦντος, εἰ μὴ παραγένοιτο, μηδ᾽ εἰς ὄψιν ἡμῖν ἥκειν ἐπιτραπήσεσθαι, κατηφοῦντες ἀπηλλαττόμεθα, καὶ μόλις οἴκαδε ἐπανελθόντες, ἐδηλοῦμεν τὰ ἀπὸ σοῦ τῷ πατρί· ὁ δὲ κατ᾽ ἀρχὰς μὲν ἀντέλεγε, δεδιὼς σφόδρα περὶ τῷ παιδί· τῶν δ᾽ ἀναγκαίων ὑποσπανιζόντων, καὶ μηδενὸς ἡμῶν τολμῶντος ἐπὶ σιτωνίαν ἥκειν δίχα τοῦ νεωτάτου διὰ τὰς σὰς ἐπανατάσεις, μόλις πείθεται τοῦτον συνεκπέμψαι, μυρία μὲν αἰτιώμενος, ὅτι ἀδελφὸν ἄλλον ἔχειν ὡμολογήσαμεν, μυρία δ᾽ οἰκτιζόμενος εἰ μέλλοι διαζεύγνυσθαι· νήπιος γάρ ἐστι καὶ πραγμάτων ἄπειρος, οὐ μόνον τῶν κατὰ τὴν ἀλλοδαπήν, ἀλλὰ καὶ τῶν

κατὰ τὴν πόλιν. πρὸς οὕτως οὖν διακείμενον τὸν πατέρα, πῶς ἂν ἀφικοίμεθα. ποίοις δ' ὀφθαλμοῖς δίχα τούτου θεάσασθαι αὐτὸν δυνησόμεθα· τελευτὴν οἰκτίστην ὑπομενεῖ, μόνον ἀκούσας ὡς οὐκ ἐπανελήλυθεν· εἶθ' ἡμᾶς ἀνδροφόνους καὶ πατροκτόνους ἕκαστος ἐρεῖ τῶν φιλαπεχθημόνων, καὶ ἐπὶ ταῖς τοιαύταις συμφοραῖς ἐθελοκακούντων. τὸ δὲ πλεῖστον τῆς κατηγορίας, ῥυήσεται κατ' ἐμοῦ. πολλὰ γὰρ ὑπεσχόμην τῷ πατρὶ προέσθαι, παρακαταθήκην λαμβάνειν ὁμολογῶν, ἣν ἀποδώσειν ὅταν ἀπαιτηθῶ· πῶς δ' ἂν εἰ μὴ ἐξευμενισθεὶς αὐτὸς, ἀποδοῦναι δυναίμην· οἶκτον δέομαι τοῦ πρεσβύτου λαβεῖν, καὶ εἰς ἔννοιαν ἐλθεῖν τῶν κακῶν οἵων ἀνιαθήσεται, μὴ κομισάμενος ὃν ἀβούλως ἐνεχείρισεν. ἀλλὰ σὺ μὲν ὑπὲρ ὧν ἔδοξας ἠδικῆσθαι, δίκας λάμβανε· δώσω δ' ἐθελοντὴς ἐγώ. δοῦλον ἀπὸ ταύτης ἀνάγραφε τῆς ἡμέρας· ἄσμενος ὑπομενῶ τὰ τῶν νεωνήτων, ἐὰν τὸ παιδίον ἐθελήσῃς ἐᾶσαι. λήψῃ δ' οὐκ αὐτὸς τὴν χάριν ἐὰν ἄρα διδῷς, ἀλλ' ὁ μὲν ἀπών, ἐπικουφισθεὶς τῶν φροντίδων, ὁ τῶν τοσούτων πατὴρ καὶ τῶν ἀπόντων. ἱκέται γάρ ἐσμεν καταπεφευγότες ἐπὶ τὴν σὴν ἱεροπρεπεστάτην δεξιάν, ἧς μηδέποτε διαμάρτοιμεν. ἔλεως οὖν εἰσελθέτω σε γῆρας ἀνδρός, τοὺς ἀρετῆς ἄθλους κατὰ πᾶσαν ἡλικίαν διαπονήσαντος· τὰς κατὰ Συρίαν πόλεις εἰς ἀποδοχὴν αὐτοῦ καὶ τιμὴν ἐπέστρεψε, καίτοι ξενικωτέροις ἔθεσι καὶ νομίμοις, καὶ πολὺ διεστῶσι χρώμενος. οὐ βραχεῖ τινι τῶν ἐγχωρίων ἠλλοτριωμένοις. ἀλλ' ἡ τοῦ βίου καλοκαγαθία, καὶ τὸ σύμφωνον καὶ ὁμολογούμενον πρὸς ἔργα λόγων, καὶ πρὸς λόγους ἔργων, ἐξενίκησεν, ὡς καὶ τοὺς ἕνεκα τῶν πατρίων μὴ εὐνοοῦντας, μεθαρμόσασθαι. τοιαύτην μοι καταθέσθαι χάριν, ἧς οὐκ ἂν δύναιτο μείζονα λαβεῖν. τίς γὰρ ἂν γένοιτο περὶ δωρεὰ μείζων, ἢ τὸν ἀπογνωσθέντα κομίσασθαι. πάντα δ' ἦσαν ἀπόπειρα, καὶ ταῦτα καὶ τὰ πρότερα, πῶς ἔχοιεν τοῦ τῆς χώρας ἐπιτρόπου σκοποῦντος εὐνοίας πρὸς ὁμομήτριον ἀδελφόν. ἐδεδίει γὰρ μὴ φυσικῇ τινι ἀλλοτριώσει χρῶνται, καθάπερ οἱ ἐκ μητρυιῶν γεγονότες πρὸς τοὺς ἐξ ἑτέρας ἰσοτίμου γυναικὸς εἰώθασι. διὰ τοῦτο καὶ ὡς κατασκόποις ᾐτιᾶτο, καὶ περὶ τοῦ γένους ἐπυνθάνετο, προφάσει τοῦ γνῶναι εἰ περίεστιν ὁ ἀδελφός, ἀλλὰ μὴ ἐξ ἐπιβουλῆς ἀνῄρηται· καὶ ἕνα κατεῖχε τοὺς ἄλλους ἐάσας ἀπαίρειν, ὁμολογήσαντας ἄξειν τὸν νεώτερον, ὃν ἰδεῖν μάλιστ' ἐπόθει, καὶ τῆς ἐπ' αὐτῷ χαλεπῆς καὶ βαρυτάτης ἀνίας ἀποδιαγλῶσαι. καὶ ἐπεὶ παρεγένετο καὶ τὸν ἀδελφὸν ἐθεάσατο, μικρὸν ὅσον

A non externarum tantum; sed & domesticarum patriarúmque. ad sic affectum parentem quomodo reuertemur? hoc non reducto quibus eum intuebimur oculis? misera morte morietur, vel hoc solo audito quod puer non reuertitur. nos homicidæ patricidæque audiemus ab inimicis infortunio nostro insultantibus. maxima criminis eius pars in me recidet. multa enim patri sum pollicitus vt pateretur B abire puerum, vltro pignus offerendo, quod suo iure quandocunque libuerit posset à me repetere. quod ni tu propitius fias, reddere qui potero? Miserere senis obsecro, reputans quàm impotenter hanc calamitatem laturus sit, non recepto quem nobis inconsulte commisit filio. tu tamen pro iniuria quam videris accepisse, pœnas sumito. en me vicarium. ex hac die seruorum tuorum numero ascribito. C libenter censebor inter tuos nouitios, modo puerum digneris dimittere. id non tam puero dabitur, si condonabitur, quam seni absenti, subleuando tot anxietatibus, atque adeò ipsi parenti omnium. ad tuam enim dextram ceu ad aram, vtinam non frustra, confugimus. Miserere senis per totam ætatem exerciti honestis laboribus: qui totius Syriæ ciuitates in venerationem sui conuertit, quamuis alio ritu viuens & alijs legibus, longe diuersis ab indigenarum moribus. Sed vicit vitæ hone-D stas, & perpetuus dictorum factorumque consensus, vt etiam à suis institutis alienos ad beneuolentiam flexerit. ei sic gratificaberis, vt nihil possit contingere gratius. quid enim potest esse gratius, quam deploratum recipere? Verum hæc omnia tentamenta erant, quemadmodum & priora, regionis præfecto explorante horum erga fratrem suum vterinum beneuolentiam. Verebatur enim ne quod odium inter eos intercederet nouercale, vt so-E let in familijs prognatis è matribus diuersis, honore inter se paribus. ideo tanquam exploratores incusabat, sciscitando quo nati essent genere, vt per eam occasionem de germano cognosceret, num superesset, an periisset insidijs. Nec dimisit nisi obside retento, donec adduceretur quem desiderabat maxime, vt liberaretur à molesta solicitudine. quo in conspectum adducto, nonnihil cura leuatus,

omnes ad hospitalem mensam adhibuit, germanum honorans potioribus partibus, interim obseruans vultus singulorum, ex his iudicaturus numqua subesset inuidia. cúmque vidisset omnes gaudere & fauere honori pueri, non contentus duobus argumentis fraternæ erga illum beneuolentiæ, tertium experimentum commentus est, intentato furti crimine. nam inde certissime conijcere poterat de cuiusque animo erga fratrem petitum calumnia. atque ita certo persuasus maternam familiam non impugnari seditione domestica, probabiliter de suo casu ratiocinatus est, id accidisse non tam fratrum perfidia, quam prouidentia Dei prospicientis in futurum, & imminentia non minus cernentis quàm præsentia. tum ad reconciliationem versus ac fœdera, succumbens charitati domesticæ, ne fratribus propter veterem iniuriam obueniret aliquod dedecus, noluit agnitioni primæ interesse quenquam Ægyptium: sed semoto vniuerso famulitio, repente profusis tanquam è fonte lacrymis, dextra vt propius accederent innuit, ne vel fortuito verba eius exaudire posset quisquam alius: tum sic eos allocutus est: Rem longo tempore tectam & obliuioni mandatam vt putatis, nunc reuelaturus, solus solos appello. Fratrem quem in Ægyptum vendidistis, meipsum præsentem nunc cernitis. Ego sum. Hac insperata voce perculsis perterritisque, & tanquam præ graui onere vultus ad terram demittentibus, ac sine voce stupentibus: Nolite tristari, inquit, obliuionem omnium in me patratorum polliceor. nullo vobis deprecatore opus est. mea sponte in gratiam vos recipio, duabus de causis, propter pietatem erga patrem cui plurimum debeo, & propter innatam humanitatem, qua omnes præsertim sanguine coniunctos complector. cæterum hunc casum non vobis imputo sed Deo, qui me suorum beneficiorum difficillimis temporibus humano generi exhibendorum ministrum executorémque esse voluit: id verum esse his quæ videtis credite. Totius Ægypti procuratio mihi commissa est: rex honorem mihi habet eximium, & vt parentem ve-

A ἀνεθεὶς τῆς φροντίδος, καλέσας ἐπὶ ξενίαν, καὶ ἑστιῶν πολυτελεστέραις ἐχρῆτο καὶ διεχεῖτο τὸ ὁμομήτριον παρασκευαῖς, ἀποβλέπων εἰς ἕκαστον, καὶ τεκμηριούμενος ἐκ τῆς ὄψεως, εἴ τις αὐτοῖς ὑποικουρεῖ φθόνος· καὶ ὡς ἀσμενίζοντας ἑώρα, καὶ ἀναχεομένους ἐπὶ τῇ τοῦ νεωτάτου τιμῇ, δυσὶν ἤδη μαρτυρίαις σημειωσάμενος τὸ μηδὲν ἔχθος ὑποτύφεσθαι, καὶ τρίτην ἐπινοήσει, τὴν τοῦ κεκλέφθαι δοκοῦντος αἰτίαν ἀναθεὶς τῷ νεωτάτῳ. σαφέστατος γὰρ ἔμελλεν ἔλεγχος οὗτοσὶ γενέσθαι τῆς
B ἑκάστου διανοίας καὶ οἰκειότητος τῆς πρὸς τὸν συκοφαντούμενον ἀδελφόν· ἐξ ὧν ἁπάντων ἤδη συνεπύθετο, περὶ τοῦ μὴ κατεστασιάζεσθαι μηδ᾽ ἐπιβουλεύεσθαι τὸν μητρῷον οἶκον, λογισμόν τε εἰκότα καὶ περὶ τῶν αὐτῷ συμβεβηκότων ἐλάμβανεν, ὡς οὐκ ἐπιβουλαῖς ἀδελφῶν αὐτὰ μᾶλλον εἴη πεπονθὼς, ἢ κατὰ πρόνοιαν θεοῦ τὰ μακρὰν ἐμβλέποντος, καὶ τὰ μέλλοντα οὐχ ἧττον τῶν παρόντων ὁρῶντος· εἶτ᾽ ἐπὶ συμβάσεις καὶ καταλλαγὰς ἵετο, νικώμενος
C ὑπὸ φιλοικείου πάθους, καὶ ὑπὲρ τοῦ μηδὲν ὄνειδος προστρίψασθαι τοῖς ἀδελφοῖς ἕνεκα τῆς πράξεως, οὐδένα τῶν αἰγυπτίων ἐδικαίωσε παρεῖναι κατὰ τὴν πρώτην ἀναγνώρισιν. ἀλλὰ κελεύσας ἅπασαν τὴν θεραπείαν μεταστῆναι, πηγήν τινα δακρύων ἐξαίφνης ἀνεὶς, καὶ τῇ δεξιᾷ προσελθεῖν ἐγγυτέρω σημήνας, ἵνα μηδ᾽ ἐκ τύχης ἐπακούσαι τις ἄλλος δυνηθῇ, φησὶν αὐτοῖς· ἐπεσκιασμένον πρᾶγμα καὶ χρόνῳ μακρῷ συγκεκρύφθαι δο-
D κοῦν, μέλλων ἀνακαλύπτειν, μόνος μόνοις ὑμῖν ἀπαμπίσχω· ἀδελφὸν ὃν ἀπέδοσθε εἰς Αἴγυπτον, ἐκεῖνος ὃν ὁρᾶτε νῦν παρεστῶτα, αὐτός εἰμι ἐγώ. καταπλαγέντων δ᾽ αὐτῶν παρ᾽ ἐλπίδα, καὶ διεπτοημένων, καὶ ὥσπερ ὁλκῇ τινὶ βιαίῳ τὰς ὄψεις ἐπὶ γῆν καταβεβληκότων, καὶ πεπηγότων ἀφώνων καὶ ἀχλυῶν, μὴ κατηφεῖτε, εἶπεν, ἀμνηστίαν ἁπάντων παρέχω τῶν εἰς ἐμὲ πεπραγμένων· μηδενὸς ἑτέρου δεῖσθε παρακλήτου. αὐτοκελεύ-
E στῳ καὶ ἑκουσίῳ γνώμῃ πρὸς συμβάσεις ἐθελοντὴς ἀφῖγμαι, συμβούλοις χρησάμενος δυσὶ, τῇ τε πρὸς τὸν πατέρα εὐσεβείᾳ, ᾗ τὸ πλεῖστον τῆς χάριτος ἀνατίθημι, καὶ τῇ φυσικῇ φιλανθρωπίᾳ, ᾗ πρὸς ἅπαντας, διαφερόντως δὲ πρὸς τοὺς ἀφ᾽ αἵματος χρῶμαι· καὶ νομίζω τῶν συμβεβηκότων, οὐχ ὑμᾶς, ἀλλὰ θεὸν αἴτιον γεγενῆσθαι, βουληθέντα με τῶν αὐτοῦ χαρίτων καὶ δωρεῶν, ἃς ἐν τοῖς ἀναγκαιοτάτοις καιροῖς ἠξίωσε τῷ γένει τῶν ἀνθρώπων παρασχεῖν, ὑπηρέτην γενέσθαι καὶ διάκονον. ἐν ἀρχῇ δὲ πίστιν

δυνάσθε λαβεῖν ἐξ ὧν ὁρᾶτε· πᾶσαν μὲν Αἴγυπτον ἐπιτέτραμμαι, τιμὴν δ' ἔχω τὴν παρὰ τῷ βασιλεῖ, καί με νέον ὄντα πρεσβύτερος ὢν ὡς πατέρα τιμᾷ· θεραπεύομαί τε, οὐχ ὑπὸ τῶν ἐγχωρίων μόνον, ἀλλὰ καὶ ὑπὸ πλείστων ἄλλων ἐθνῶν, ὅσα καὶ ὑπήκοα, καὶ αὐτόνομα. χρήζει γὰρ πάντα διὰ τὴν ἔνδειαν παρεστῶτος· ἀργυρός τε καὶ χρυσὸς, καὶ τὸ τούτων ἀναγκαιότεροι αἱ τροφαὶ παρ' ἐμοὶ μόνῳ ταμιεύονται, διανέμοντι καὶ καταχερματίζοντι πρὸς τὰς ἀναγκαίας χρείας ἑκάστοις τῶν δεομένων, ὡς μήτε τι τῶν εἰς τρυφὴν, μήτε τι τῶν εἰς ἐκπλήρωσιν ἐνδείας ἐπιλιπεῖν. ἀλλ' οὐκ ἐναβρυνόμενος καὶ σεμνυνόμενος ταυτὶ διεξῆλθον, ἀλλ' ἵν' αἴσθησθε, ὅτι τῶν τηλικούτων οὐδεὶς ἔμελλεν ἀνθρώπων ἔσεσθαι αἴτιος δούλῳ, καὶ μετὰ ταῦτα δεσμώτῃ γενομένῳ. καὶ γὰρ ἐδέθην ποτὲ συκοφαντηθείς. ἀλλ' ὁ τὰς ἐσχάτας συμφοράς τε καὶ δυσπραγίας μεθαρμοσάμενος εἰς τὰς ἀνωτάτω καὶ περὶ τὰς εὐτυχίας, θεὸς ἦν, ᾧ πάντα δυνατά. ταῦτα ἐμοῦ διαβεβαιουμένου, μηκέτι εὐλαβῶς ἔχετε, τὰς δυσφορίας ἐκ ποδῶν ποιησάμενοι, καὶ πρὸς ἱλαρὰν μεταβαλόντες εὐθυμίαν. εὖ δ' ἂν ἔχοι καὶ πρὸς τὸν πατέρα συντεῖναι, καὶ πρῶτον αὐτῷ τὰ περὶ τῆς ἐμῆς εὑρέσεως εὐαγγελίσασθαι. φθάνουσι γὰρ αἱ φῆμαι πανταχόθεν κατὰ πολύ. οἱ δὲ κατὰ διαδοχὴν τοῖς ἐπαίνοις αὐτὸν συνείροντες ἀπαύστως, ἀχαλίνοις στόμασιν ὀξύνουσιν, ἄλλος ἄλλο τι διεξιὼν, ὁ μὲν τὸ ἀμνησίκακον, ὁ δὲ τὸ φιλοίκειον, ὁ δὲ τὴν σύνεσιν· ἅπαντες δ' ἀθρόοι τὴν εὐσέβειαν, ἐπὶ τὸν θεὸν ἀναφέροντες τὰ τέλη τῶν κατορθουμένων, καὶ μηκέτι τοῖς ἀβουλήτοις ἀρχαῖς καὶ περιπετείαις ἐνστάσεσι τὴν κατὰ γνώμην δυσχεράναντες, καὶ τὴν ὑπερβάλλουσαν μετ' αἰδοῦς καρτερίαν· ὃς ἐν τοσαύταις γεγονὼς ἀνωμαλίαις, οὔτε δουλεύων βλάσφημον οὐδὲν εἶπε κατὰ τῶν ἀδελφῶν ὡς πεπρακότων, οὔτ' εἰς εἱρκτὴν ἀπαχθεὶς, ὑπ' ἀθυμίας ἐξελάλησέ τι τῶν ἀπορρήτων, οὔτε πολὺν χρόνον ἐκεῖ καταμένων οἷα φιλεῖ τοῖς δεσμώταις, ἔθους ὄντος τὰς ἰδίας ἀτυχίας ἀναμετρεῖσθαι, ἀπεγυμνώσεν, ἀλλ' ὡς μηδὲν εἰδὼς τῶν αὐτῷ συμβεβηκότων, ἀλλὰ οὐδ' ὅτε τὰ ὀνείρατα διέκρινεν, ἢ τοῖς εὐνούχοις, ἢ τῷ βασιλεῖ, καιρὸν ἔχων εἰς μήνυσιν ἐπιτήδειον, ἐφθέγξατο περὶ τῆς ἰδίας εὐγενείας, οὐδ' ὅτε βασιλέως ὕπαρχος ἐχειροτονεῖτο, καὶ τῆς Αἰγύπτου πάσης τὴν ἐπιμέλειαν καὶ προστασίαν παρελάμβανεν, ἵνα μὴ δόξῃ τις εἶναι τῶν ἠμελημένων καὶ ἀφανῶν, ἀλλὰ τῷ ὄντι εὐπατρίδης, οὐ φύσει δοῦλος, ἀλλ' ἐπιβουλαῖς ὑφ' ὧν ἥκιστ'

A neratur quamuis ætate senior. color obseruórque non tantum ab indigenis, verum etiam à plurimis gentibus vel prouincialibus vel liberis. nam omnes opus habent meo subsidio propter inopiam. argentum aurúmque, & quod his maius est, commeatus apud me solum reponuntur, distribuendi in singulos quantum cuique ad necessarium vsum satis est, vt nec ad delicias supersit quicquam, nec de-
B sit ad satietatem. Quod non iactanter dico, sed vt intelligatis neminem mortalem potuisse seruo tantam conferre felicitatem, & quidem detruso in carcerem. nam & vinctus fui quondam passus calumniam. Deus extremam calamitatem miseriámque in summam felicitatem vertit, qui solus est omnipotens. id cum mihi sit persuasissimum, non est cur timea-
C tis, deponite omnem solicitudinem, lætitiam recipite. nunc properandum est vobis ad patrem, vt à vobis potius quàm à fama accipiat lætum de me inuento nuncium: solet enim illa præcurrere. Tum fratres certatim collaudabant hominem, alio aliam virtutem deprædicante, clementiam, charitatem, prudentiam. pietatem vero omnes vno ore laudabant, felicem euentum ad Deum autorem referentis, & pristinos casus
D ferentis æquo animo: nec minus mirabantur insignem eius modestiam ac patientiam, qui neque seruiens male locutus est de fratribus vt perfidis venditoribus, neque in carcerem trusus præ dolore vllum secretum effutijt, neque tam longo tempore inter vinctos degens, vt miseri solent, suum detexit infortunium, tanquam ignarus omnium suorum casuum: ac ne
E tum quidem cùm vel eunuchis vel regi interpretaretur somnia, occasionem arripiens suam ingenuitatem aperuit, imò nec cum vicariam regis potestatem accepit Ægypto vniuersæ præfectus, vt saltem obscuritatis opinionem aboleret docens se natum honesto genere, non vernam, sed insidijs quorum minime oportuit deuolutum in graues erumnas ac miserias. ad has laudes accendebat etiam æqui-

tatis eius mentio, dexteritatisque in A obeundis munijs publicis. conferentes enim cum cum vulgata magistratuum aliorum tam arrogantia quàm imperitia, mirabantur ostentationis pomparúmque contemptum in viro tam egregio: & quòd alienus ab omni maleficio tragico, quamuis potuerit mox in prima profectione agnitos opprimere, aut certe fame pereuntibus frumentum non præbere, adeò pœnam ab eis abstinuit, vt tanquam bene meritis daret munera, B reddito precio. In tantum enim perfidia patratúmque scelus latuit, vt optimates Ægypti præfecto gratularentur fratrum præsentiam, quasi tum primum venissent. quibus hospitaliter exceptis, rem indicarunt suo regi propere, ita vt omnia plena essent gratulationibus & lætitia publica, non aliter quàm si felici prouentu frugum fames mutata esset in abundantiam. Rex cognito patrem eius adhuc esse superstitem, & numero- C sam familiam, hortatus est vt vniuersi commigrarent, vberrimam Ægypti partem eis se donaturum pollicitus. móxque multa carpenta & plaustra cum iumentis ad subuectionem donat fratribus, & honestum famulicium, vt patrem secure deducerent. illi verò ad eum reuersi, & narrantes incredibilem insperatámque felicitatem, non valde senem mouebant, non quòd dubitaret de fide testium, sed propter rei magnitudinem assen- D sum suspendebat. tandem conspecto apparatu copioso, non discrepante ab his quæ nunciabantur, confirmatus laudabat Deum, qui suppleuisset quod in familia desideratum fuerat. sed hoc gaudium metu solicitabatur, ne desererentur mores patrij. norat enim iuuentutis lubricum, & apud exteros peccandi licentiam, præsertim Ægyptijs circa verum Deum cæcutientibus, & cæcas creaturas consecrantibus atque colentibus. sciebat E etiam honores diuitiásque insidiari parum cautis mentibus, ideo metuebat filio, quòd solus semotus à paterna familia videbatur egere castigatore, qui ad virtutem reuocans non sineret eum corrumpi tot prosperitatibus. Hæc cogitantem videns qui solus inuisibilem animam introspicit, miseratus dormienti in somnis apparuit. Ne dubites, inquit, in

ἐξελῶν ἀνηκέστοις ὑπομεμενηκὼς καὶ συμφοραῖς. ἔπι δὲ πρὸς τούτοις ἐρρύη πολὺς ἔπαινος ἰσότητος αὐτοῦ καὶ δεξιότητος. τὰς γὰρ τῶν ἄλλων ἀλαζονείας καὶ ἀπαιδευσίας ἡγεμόνων εἰδότες, ἐθαύμαζον τὸ ἀνεπίφαντον καὶ ἀτραγῴδητον, καὶ ὡς εὐθὺς ἰδὼν κατὰ τὴν προτέραν ὁδὸν ἀποκτεῖναι δυνάμενος, ἢ τό γοῦν τελευταῖον, λιμῷ τῆξαι τροφὰς μὴ παρασχεῖν, πρὸς τῷ μὴ τιμωρήσασθαι, καὶ ὡς χάριτος ἀξίοις δωρεὰν ἔδωκε τἀπιτήδεια, τὴν τιμὴν αὐτοῖς ἀποδοθῆναι κελεύσας. οὕτω μέντοι τὰ τῆς ἐπιβουλῆς καὶ πράξεως εἰς ἅπαν ἠγνοήθη καὶ διέλαθεν, ὥσθ᾽ οἱ ἐν τέλει τῶν Αἰγυπτίων συνήδοντο, ὡς πρῶτον ἄρτι τῶν ἀδελφῶν τοῦ προεστῶτος ἡκόντων καὶ ἐπὶ ξενίαν ἐκάλουν, καὶ φθάνοντες ἐδήλουν τῷ βασιλεῖ, καὶ πάντα διὰ πάντων ἔγεμε χαρᾶς οὐχ ἧττον, ἢ εἴπερ εὐφορησάντων τῶν πεδίων, καὶ ὁ λιμὸς εἰς εὐθηνίαν μετέβαλε. γνοὺς δὲ ὁ βασιλεὺς ὅτι καὶ πατήρ ἐστιν αὐτῷ, καὶ ἡ γενεὰ πολυάνθρωπος, προτρέπει μετοικίσασθαι πανοικί, τὴν βαθυγειοτάτην Αἰγύπτου μοῖραν ὁμολογήσας δωρήσεσθαι τοῖς ἀφιξομένοις. ἀπήνας οὖν καὶ ἁρμαμάξας καὶ πλῆθος ὑποζυγίων ἐπισεσαγμένων τἀπιτήδεια δίδωσι τοῖς ἀδελφοῖς, καὶ θεραπείαν ἱκανήν, ἵνα μετ᾽ ἀσφαλείας ἀγάγωσι τὸν πατέρα. παραγινομένων δὲ καὶ τὰ περὶ τὸν ἀδελφὸν ἄπιστα καὶ μείζονα ἐλπίδων διηγουμένων, οὐ πάνυ προσεῖχε. καὶ γὰρ οἱ λέγοντες ἀξιοπιστότατοι, ἀλλ᾽ ἡ τοῦ πράγματος ὑπερβολὴ ῥᾳδίως οὐκ ἐπέτρεπε συναινεῖν. ἰδὼν δὲ ὁ πρεσβύτης τὰς ἐν τούτῳ χειρῶν παρασκευὰς καὶ χορηγίας τῶν ἀναγκαίων ἀφθόνους τοῖς περὶ τούτου λεγομένοις εὐτυχήμασι συνᾳδούσας, ὕμνει τὸν θεόν, ὅτι τὸ δοκοῦν ἐκλελοιπέναι μέρος τῆς οἰκίας ἀπεπλήρωσεν. ἡ δὲ χαρὰ καὶ φόβον εὐθὺς ἐγέννησε τῇ ψυχῇ περὶ τῆς τῶν πατρίων ἐκδιαιτήσεως. ᾔδει γὰρ καὶ νεότητα εὐόλισθον φύσει, καὶ ξενιτείας τὴν εἰς τὸ ἁμαρτάνειν ἐκεχειρίαν, καὶ μάλιστα τῆς ἐν Αἰγύπτῳ χώρας τυφλωττούσης περὶ τὸν ἀληθῆ θεόν, ἕνεκα τοῦ γενητὰ καὶ θνητὰ θεοπλαστεῖν· καὶ προσέτι πλούτου καὶ δόξης ἐπιθέσεις, ὀλιγόφροσι διανοίαις ἐπιτίθενται, καὶ διότι ἀπολειφθεὶς μηδενὸς τῶν ἐκ τῆς πατρῴας οἰκίας ἐξεληλυθότος σωφρονιστοῦ, μόνος ὢν καὶ ἔρημος διδασκάλων ἀγαθῶν, ἕτοιμος ἔσται πρὸς τὴν τῶν ὀθνείων μεταβολήν. οὕτως οὖν διακείμενον ἰδών, ὁ μόνος δυνατὸς ἀόρατον ψυχὴν ἰδεῖν, ἔλεον λαμβάνει, καὶ κοιμωμένῳ νύκτωρ ἐπιφανείς, φησί, μηδὲν εὐλαβοῦ περὶ τῆς εἰς Αἴγυπτον ἀφίξεως.

αὐτὸς ἡγεμονεύσω τῆς ὁδοῦ, παρέχων τὴν ἀποδημίαν ἀσφαλῆ καὶ εὐάρεστον. ἀποδώσω μέντοι καὶ τὸν περιπόθητον υἱόν, ὅς ποτε τεθνάναι νομισθεὶς ἐκ πολυετίας, οὐ ζῇ μόνον, ἀλλὰ καὶ χώρας τοσαύτης ἡγεμὼν ἀναφαίνεται. πληρωθεὶς δ᾽ εὐελπιστίας, ἅμα τῇ ἕῳ γεγηθὼς ἐπέσπευδεν. ὁ δ᾽ υἱὸς ἀκούσας· σκοποὶ γὰρ καὶ φραστῆρες τῆς ὁδοῦ πάντ᾽ ἐδήλουν· οὐ μακρὰν τῶν ὁρίων ἀπέχοντι διὰ ταχέων ἀπήντα τῷ πατρί. καὶ κατὰ τὴν καλουμένην Ἡρώων πόλιν ἐντυχόντες, ἐπιπίπτουσιν ἀλλήλοις, τὰς κεφαλὰς ἐπὶ τῶν αὐχένων ἐρείσαντες, καὶ τὰς ἐσθῆτας δάκρυσι φύραντες, πολυχρονίων ἀσπασμάτων ἀπλήστως ἐνεφορεῦντο· καὶ μόλις παυσάμενοι, συνέτεινον ἄχρι τῶν βασιλείων· θεασάμενος δὲ ὁ βασιλεὺς, καὶ τὴν ὄψιν καταπλαγεὶς τῆς σεμνότητος, ὡς οὐχ ὑπάρχου πατέρα, ἀλλ᾽ ἑαυτοῦ, μετὰ πάσης αἰδοῦς καὶ τιμῆς ἐδεξιοῦτο τοῦτον· καὶ μετὰ τὰς ἐν ἔθει καὶ ἐξαιρέτους φιλοφρονήσεις, δίδωσιν αὐτῷ γῆς ἀποτομὴν ἀρετῶσαν καὶ σφόδρα εὔκαρπον, τούς τε υἱοὺς αὐτοῦ πυνθανόμενος εἶναι κτηνοτρόφους, τὴν πολλὴν οὐσίαν ἔχοντας ἐν θρέμμασι καθίστησιν ἐπιμελητὰς τῶν ἰδίων, αἰπόλια, καὶ βουκόλια, καὶ ποίμνας, καὶ μυρίας ὅσας ἀγέλας ἐγχειρίσας αὐτοῖς. ὁ δὲ νεανίας τοσαύτῃ πίστεως ἐχρήσατο ὑπερβολῇ, ὥστε τῶν καιρῶν καὶ τῶν πραγμάτων εἰς χρηματισμὸν παρεχόντων πλείστας ὅσας ἀφορμάς, δυνηθεὶς δι᾽ ὀλίγου πλουσιώτατος τῶν κατ᾽ αὐτὸν γενέσθαι, τὸν γνήσιον ὡς ἀληθῶς πρὸ τοῦ νόθου πλοῦτον, καὶ τὸν βλέποντα πρὸ τοῦ τυφλοῦ θαυμάσας, ἅπαντα τὸν ἄργυρον καὶ χρυσόν, ὅσον ἐκ τῆς τιμῆς ἤθροισε τοῦ σίτου, ἐν τοῖς βασιλέως ἐθησαυρίζετο ταμείοις, οὐδεμίαν δραχμὴν νοσφισάμενος, ἀλλὰ μόναις ἀρκεσθεὶς ταῖς δωρεαῖς, αἷς ἀμειβόμενος ἐκεῖνος αὐτὸν ἐχαρίσατο· καθάπερ τε Αἴγυπτον, καὶ τὰς αὐτῇ χώρας ἑτέρας, καὶ ἔθνη πιεσθέντα ὑπὸ λιμοῦ, πάντως λόγου κρεῖττον ἐπετρόπευσεν ὁ ἀνὴρ οὗτος, κατὰ τὸ πατρικὸν διανέμων τὰς τροφάς, καὶ ἀφορῶν οὐκ εἰς τὸ παρὸν μόνον λυσιτελές, ἀλλὰ καὶ τὴν πρὸς τὸ μέλλον ὠφέλειαν. ἡνίκα γοῦν ὁ ἕβδομος ἐνιαυτὸς τῆς ἐνδείας ἐνέστη, μεταπεμψάμενος τοὺς γεωργούς· ἤδη γὰρ τῆς εὐφορίας καὶ εὐθηνίας ἐλπὶς ἦν· ἐδίδου κριθάς τε καὶ πυροὺς εἰς σπέρματα, φροντίσας τοῦ μηδένα νοσφίσασθαι, κατατεθῆναί τε εἰς τὰς ἀρούρας ἃς ἔλαβεν, ἐπόπτας καὶ ἐφόρους ἐπιλέξας ἀριστίνδην, οἳ τὴν σπορὰν παραφυλάξουσι. μετὰ δὲ τὸν λιμόν, χρόνοις μακροῖς ὕστερον τελευτήσαντος τοῦ πατρός, ὑπονοίᾳ πληχθέντες

A Ægyptum proficisci: ipse itineris dux ero, secura tutaque facturus omnia. restituam tibi & desideratissimum filium, qui iam aliquot annis deploratus pro mortuo, non solum viuit, sed & maximæ regioni præfectus est. sic senex bona spe plenus, mane lætus se dedit in viam. Hoc audito filius (nam speculatores nuntiosque in itinere disposuerat) propinquanti circa regni fines occurrit obuiam. cumque conuenis-
B sent circa Heroopolim vt vocant, effuderunt se in complexus mutuos, vbertim vestes rigando lacrymis, atque ita hærentes aliquantisper explebant diutinum desiderium, & tandem vnà contenderunt ad regiam. Ibi rex conspicatus venerandam senis faciem, non vt præfecti, sed vt suum patrem excepit honorifice: de in post solennia humanitatis officia, donauit ei agrum vbertatis præcipue: & quia huius filios
C audierat esse pecuarios, facultatesque illorum constare pecoribus, commisit eorum curæ proprios greges ouium caprarumque cum armentis regijs. Iuuenis autem tanta fide vsus est in administrandis negocijs publicis, vt cum ratio temporum plurimas occasiones ei præbuisset ad congerendam pecuniam, potuissetque facile ditissimus sui seculi euadere, adulterinis diuitijs veras prætulerit, & cæcis perspicaces,
D totum argentum aurumque è frumenti precio collectum referens in thesauros regios, ne drachma quidem subtracta, contentus donis quibus rex eum remunerabatur. nec aliter quam Ægyptum cæterasque regni eius prouincias, externas quoque gentes fame pressas hic vir numquam satis laudatus curauit, paterna prouidentia distribuens alimenta, futuris etiam necessitatibus prospiciens, non solum præsentibus. nam ineunte an-
E no egestatis septimo, accitis agricolis (iam enim vbertatis spes affulgebat) dedit hordeum & triticum ad sementem, diligenter cauens ne quis hæc in alium vsum verteret, appositis custodijs ex optimatibus, qui sationem obseruarent. Post aliquot autem annos à finita fame defuncto patre, fratres nondum à suspicione in totum liberi, veriti ne ille vlcisceretur iniuriam veterem,

demuo cum vxoribus ac liberis supplices petierunt veniam. Qui lacrymans respondit: Iam tempus ipsum hanc solicitudinem exemisse vobis debuerat, nisi molesta esset conscientia. Obitus communis patris renouat vobis metum veterem, quasi ad tempus data venia, nequid ille contristaretur. Verum ego non mutor tempore, nec vnquam violabo pacem semel redditam fratribus. non distuli vindictam in tempus opportunius, sed condonaui pœnam in solidum, partim in honorem patris, ne quid mentiar, partim propter fraternam necessitudinem. quamuis etiamsi patris solius respectus apud me valuisset in hoc humanitatis officio, par est vt etiam illo defuncto valeat. nam mea sententia nemo bonus moritur, sed viuet in sempiternum expers senij, propter immortalem naturam animæ solutæ corporis necessitatibus. Cur autem geniti patris tantum meministis? habemus alium ingenitum, immortalem, æternum, inspectorem auditorémque omnium etiam quæ fiunt per silentium, introspicientem intimos secessus animi: eum ego testem inuoco meæ conscientiæ, quòd bona fide vobiscum in gratiam rediui. nam ego (absit dicto inuidia) Dei sum, qui in vestrum bonum vertit mala consilia. Deponite metum, posthac meliore conditione apud me futuri quàm ante parentis obitum. ita confirmatis fratribus, facta conuenientia dictis addidit, nihil omittens quod pertineret ad eorum commoda. Insequutis autem felicioribus temporibus, & regione restituta in abundantiam pristinam cum magna incolarum lætitia, honorobatur ab omnibus, gratiam referentibus pro acceptis beneficijs in difficultate superiorum temporum. fama quoque apud exteras ciuitates celebrabat hominis virtutes inclytas. Vixit annos decem supra centum in senectute defunctus prospera, formosus admodum & prudens facundúsque. testatur de eius corporis pulchritudine amor qui mulierem adegit ad insaniam: de prudentia vero æquanimitas perpetua in tantis circa fortunam eius mutationibus, illo casus omnes bene vertente, & coaptante quæ vix coaptari posse videbantur.

A οἱ ἀδελφοί, καὶ δείσαντες μή τι χαλεπὸν πάθωσι μνησικακίας, προσελθόντες ἐδέοντο λιπαρῶς, ἐπαγόμενοι γυναῖκας καὶ νήπια· ὁ δ' ἐπιδακρύσας, φησίν· ὁ μὲν καιρὸς ἱκανὸς ὑπόνοιαν κατασκευάσαι τοῖς ἀφόρητα ἐργασαμένοις, καὶ μηδ' ἑτέρου μᾶλλον ἢ τοῦ συνειδότος χάριν ἐλεγχομένοις· ἡ γὰρ τελευτὴ τοῦ πατρὸς, τὸν ἀρχαῖον φόβον ὃν πρὸ τῶν καταλλαγῶν εἴχετε, κεκίνηκεν, ὡς τοῦ λυπῆσαι τὸν πατέρα χάριν τὴν ἀμνηστίαν ἐμοῦ παρασχόντος· ἐγὼ δὲ τὸν τρόπον οὐ χρόνοις μεταβαλλόμενος,
B οὐδ' ὁμολογήσας ἔνσπονδος εἶναι, δράσω ποτὲ τὰ ἄσπονδα. οὐ γὰρ ὑπερθέσεις ἀμύνης ἐκαιροφυλάκουν, ἀλλὰ τὴν εἰς ἅπαν ἀπαλλαγὴν τῆς κολάσεως ἐχαριζόμην, ἐπινέμων τὸ μέν τι τιμῇ τοῦ πατρός· δεῖ γὰρ ἀψευδεῖν· τὸ δέ τι εὐνοίᾳ τῇ πρὸς ὑμᾶς ἀναγκαίᾳ. εἰ δὲ καὶ πατρὸς ἕνεκα πάντ' ἐποίουν τὰ χρηστὰ καὶ φιλάδελφα, φυλάξω ταῦτα καὶ πρὸς τετελευτηκότα· τέθνηκε δ' οὐδεὶς παρ' ἐμοὶ κριτῇ τῶν ἀγαθῶν ἀνδρῶν, ἀλλὰ καὶ ζή-
C σεται τὸν αἰεὶ χρόνον ἀγήρως, ἀθανάτῳ φύσει ψυχῆς μηκέτι τοῦ σώματος ἀνάγκαις ἐνδεδεμένης. τί δὲ μόνου μέμνησθε τοῦ γενητοῦ πατρός· ἔχομεν τὸν ἀγένητον, τὸν ἄφθαρτον, τὸν ἀΐδιον, ὃς ἐφορᾷ πάντα καὶ πάντων ἐπακούει καὶ τῶν ἡσυχαζόντων, τὸν ἀεὶ βλέποντα καὶ τὰ ἐν μυχοῖς τῆς διανοίας, ὃν μάρτυρα καλῶ τοῦ συνειδότος ἐπ' ἀψευδέσι καταλλαγαῖς. ἐγὼ γὰρ, καὶ μὴ θαυμάσητέ μου τὸν λόγον, τοῦ θεοῦ εἰμὶ, τοῦ τὰ πονηρὰ βουλεύματα ὑμῶν εἰς ἀγαθῶν περιουσίαν μεθαρμοσαμένου.
D γίνεσθε οὖν ἄφοβοι, καὶ πρὸς τὸ μέλλον χρησιμωτέρων μεθέξοντες, ἢ ζῶντος ἔτι τοῦ πατρὸς ἐκαρποῦσθε. τοιούτοις θαρσύνας τοὺς ἀδελφοὺς λόγοις, ἔργοις τὰς ὑποσχέσεις ἐβεβαίου μᾶλλον, οὐδὲν παραλιπὼν τῶν εἰς ἐπιμέλειαν. μετὰ δὲ τὸν λιμὸν, ἐπ' εὐθηνίᾳ καὶ εὐετηρίᾳ τῆς χώρας ἤδη γεγηθότων τῶν οἰκητόρων, ἐτιμᾶτο πρὸς ἁπάντων, ἀμοιβὰς ἀντεκτινόντων ὑπὲρ ὧν εὖ πεπόνθεσαν ἐν καιροῖς ἀβου-
E λήτοις. ἡ δὲ φήμη ῥυεῖσα τὰς ἑξῆς πόλεις κατέπλησε τῆς ἐπὶ τῷδε τῷ ἀνδρὶ εὐκλείας. ἔτη δὲ βιώσας δέκα πρὸς τοῖς ἑκατὸν, ἐτελεύτησεν εὔγηρως, ἐπ' ἄκρον ἐλθὼν εὐμορφίας, καὶ φρονήσεως, καὶ λόγου δυνάμεως· μαρτυρεῖ δὲ τὸ μὲν κάλλος τοῦ σώματος, ἔρως ὃς ἐξέμηνεν ἐπ' αὐτῷ γύναια· τὴν δὲ σύνεσιν, ἡ ἐν ταῖς ἀμυθήτοις τῶν κατὰ τὸν βίον ἀνωμαλίαις ὁμαλότης, εὐαρμοστίαν τοῖς ἀναρμόστοις, καὶ συμφωνίαν τοῖς ἀσυμφώνοις ἐργασαμένη· τὴν

δὲ τὴν

A διὰ τὴν λόγων δύναμιν εἴτε τὴν ὀνειράτων διάκρισιν, καὶ ἡ ἐν ταῖς ἀνωμαλίαις εὐέπεια, καὶ ἡ παρακολουθήσασα πειθὼ, δι᾽ ὧν οὐδεὶς τῶν ἀρχομένων ἀνάγκῃ μᾶλλον ἢ ἑκὼν ὑπήκουε. τούτων δὲ τῶν ἐνιαυτῶν, ἑπτακαίδεκα ἄχρι μειρακίου διετέλεσεν ἐν τῇ πατρῴᾳ οἰκίᾳ. τρισκαίδεκα δὲ ἐν ταῖς ἀβουλήτοις συντυχίαις, ἐπιβουλευόμενος, πιπρασκόμενος, δουλεύων, συκοφαντούμενος, ἐν δεσμωτηρίῳ καταδούμενος· τοὺς δὲ λοιποὺς ὀγδοήκοντα B ἐν ἡγεμονίᾳ καὶ εὐπραγίᾳ τῇ πάσῃ, λιμοῦ καὶ εὐθηνίας ἔφορος καὶ βραβευτὴς ἄριστος, τὰ πρὸς ἑκάτερον καιρὸν φροντίσαι ἱκανώτατος.

A quantum autem ratione orationéque polleret declarauit & somniorum interpretatio, & in fortuna varia semper sui similis constánsque facundia, ad persuadendum efficacissima, vt omnes volentes libentésque non coacti iussa facerent. Ex hac ætate decem & septem annos vsque ad exitum adolescentiæ vixit in paternis ædibus: tredecim sequentibus improuisos casus B pertulit, insidijs petitus, venditus, seruiens, calumnias ferens & vincula. reliquos octuaginta exegit in principatu summáque prosperitate, famis vbertatísque præses ac dispensator optimus, egregie prospiciens vtrique tempori.

ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΕΜΠΤΟΥΣ ΕΙΝΑΙ ΤΟΥΣ ΟΝΕΙΡΟΥΣ.

PHILONIS IVDÆI, DE EO QVOD A DEO MITTANTVR SOMNIA.

Η MEN οὖν πρὸ ταύτης γραφὴ περιεῖχε τοὺς κατὰ τὸ πρῶτον εἶδος τελουμένους τῶν θεοπέμπτων ὀνείρων, ἐφ᾽ οὗ τὸ θεῖον ἐλέγομεν κατὰ τὴν ἰδίαν ἐπιβολὴν τὰς ἐν τοῖς ὕπνοις ἐπιπέμπειν φαντασίας. ἐν ταύτῃ δὲ, ὡς οἷόν τε ἦ, δηλώσομεν τοὺς ἐφαρμόζοντας τῷ δευτέρῳ. δεύτερον δὲ εἶδος, ἐν ᾧ ὁ ἡμέτερος νοῦς τῷ τῶν ὅλων συγκινούμενος, ἐξ ἑαυτοῦ κατέχεσθαί τε καὶ θεοφορεῖσθαι ἐδόκει, ὡς ἱκανὸς εἶναι προλαμβάνειν καὶ προγινώσκειν τι τῶν μελλόντων. ὄναρ δέ ἐστι πρῶτον οἰκεῖον εἴδει τῷ σημαινομένῳ, τὸ φανὲν ἐπὶ τῆς οὐρανοκλίμακος τόδε, Καὶ ἐνυπνιάσθη Ἰακὼβ, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς· καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, καὶ ὁ κύριος ἐστήλωται ἐπ᾽ αὐτῆς. καὶ εἶπεν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς Ἰσαὰκ, μὴ φοβοῦ. τὴν γῆν ἐφ᾽ ἧς σὺ καθεύδεις, σοὶ δώσω καὶ τῷ σπέρματί σου, καὶ ἔσται τὸ σπέρμα σου ὡς ὁ χοῦς τῆς γῆς, καὶ πληθυνθήσεται ἐπὶ θάλασσαν καὶ λίβα καὶ βορρᾶν καὶ ἀνατολάς.

C SVPERIORE tractatu diximus de priore somniorum diuinitus missorum specie, quando cæleste numen vltro per somnum visiones immittit. in hoc, quantum poterimus, dicemus de posteriore, quando nostra mens vnà cum vniuersali mota, videtur per seipsam diuinare, præsagiréque, quid ferant futura tempora. Huius generis primum somnium occurrit in sacris voluminibus de illa cælesti scala, quod D sic describitur. Vidítque somniũ Iacob, & ecce scala stãs super terram, cuius caput pertingebat ad cælum: & angeli Dei ascendebant descendebántque per eam. & ecce scala stans super terrã, & Dominus innixus ei. & dixit: Ego sum Deus Abraham patris tui, & Deus Isaac, noli timere. Terram in qua dormis tibi dabo & semini tuo, eritque semen tuum quasi puluis terræ, & multiplicabitur ad mare, ad austrum, ad septemtriones, ad orientem: & benedicentur in te tuóque se-

mine cunctæ tribus terræ. Et ecce ego ero custos tuus quocunque perrexeris, & reducam te in terram hanc: quia non deseram te, donec fecero omnia quæ dixi tibi.] Verum hæc visio postulat vt repetamus rem altius, quo facto fortasse facilius quid significet intelligere poterimus. Quæ sunt igitur quæ præcedunt? Digressus, inquit, Iacob à puteo iuramenti, profectus est in Charras. cúmque venisset ad quendam locum, volebat ibi requiescere, quia sol occiderat. & sumpsit de lapidibus ibi iacentibus quos supponeret capiti, dormiuítque in illo loco. Deinde subiungitur statim hoc somnium. Occurrunt igitur mox in principio tres quæstiones: prima, quis sit ille iuramenti puteus, cúrve sic nominatus: secunda, quæ ciuitas sit Charra, & cur ad eam ventum sit mox post discessum à prædicto puteo: tertia, quisnam sit locus ille, & cur postquam eum Iacob attigit, occidente sole decumbit. Consideremus primam. Mihi videtur hic puteus significare scientiam, quæ suapte natura in profundo sita est non in superficie: nec in propatulo solet esse, sed in abdito: nec facile, sed vix multo labore inuenitur: id quod videmus non solum in magnas obscurásque contemplationes habentibus, verum etiam in vilissimis. Elige quamcunque libet artem, non eximiam inquam, sed omnium obscurissimam, quam nemo liber in vrbe educatus sponte exerceret, ruri verò vix seruus coactus à duro morosóque Domino multa facere præter sententiam. inuenies hanc quoque multiplicem, variam, querulam, difficilem, aduersam pigriciæ, socordiæ, negligentiæ, plenam studio curáque, & laboribus ac sudoribus. Quin & aquam in hoc puteo fossores inuentam negant: quoniam fines scientiarum non solum difficiles inuentu sunt, verum etiam nunquam inueniuntur. Verum ideo alius alio doctior est in grammatica geometriáve, quia profectus & incrementa non possunt circumscribi certis terminis. Semper enim plura quàm discuntur supersunt, vt etiam is qui se putat attigisse finem scientiæ, semiperfectus habeatur sub alio iudice. quod si subcundum sit ipsius veritatis iudicium.

A καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, ᾗ ἂν πορευθῇς, καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ἃ ἐλάλησά σοι. παρασκευὴ δέ ἐστι τῆς φαντασίας ἀναγκαία, ἣν ἀκριβωσάντες, εὐμαρῶς ἴσως δυνησόμεθα καὶ τὰ δηλούμενα ὑπὸ τῆς φαντασίας καταλαμβάνειν. τίς οὖν ἡ παρασκευή; Καὶ ἐξῆλθε, φησὶν, Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαῤῥὰν· καὶ ἀπήντησε τόπῳ, καὶ ηὐλίσθη ἐκεῖ, ὅτι εἰσῆλθεν ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ· κᾆτ' εὐθέως ἐστὶ τὸ ὄναρ. ἐν οὖν ἄξιον ἐν ἀρχῇ τρία ταῦτα διαπορῆσαι, ἓν μὲν, τί τὸ τοῦ ὅρκου φρέαρ, καὶ διὰ τί οὕτως ὠνομάσθη· δεύτερον, δὲ τίς ἡ Χαῤῥὰν, καὶ διὰ τί ἀπὸ τοῦ προλεχθέντος φρέατος εἰς Χαῤῥὰν ἔρχεται ἐξελθὼν εὐθύς· τρίτον, τίς ὁ τόπος, καὶ διὰ τί C ὅταν ἐντύχῃ κατ' αὐτὸν, ὁ μὲν ἥλιος δύεται, αὐτὸς δὲ κοιμᾶται. σκοπῶμεν οὖν αὐτίκα τὸ πρῶτον. ἐμοὶ τοίνυν δοκεῖ σύμβολον εἶναι τὸ φρέαρ ἐπιστήμης· οὐ γάρ ἐστιν ἐπιπόλαιος αὐτῆς ἡ φύσις, ἀλλὰ πάνυ βαθεῖα· οὐδ' ἐν φανερῷ πρόκειται, ἀλλ' ἐν ἀφανεῖ που κρύπτεσθαι φιλεῖ· οὐδὲ ῥᾳδίως, ἀλλὰ μετὰ πολλῶν πόνων καὶ μόλις δὴ εὑρίσκεται· καὶ ταῦτα οὐ μόνον ἐπὶ τῶν μεγάλα καὶ ἀμαθῆ τὰ ὅσα θεωρήματα ἐχουσῶν, ἀλλὰ καὶ ἐπὶ τῶν εὐτελεστάτων θεωρεῖται. λαβὲ γοῦν εἰ ἐθέλεις, ἐλάσσω τῶν τεχνῶν, μή μοι τὴν ἀρίστην, ἀλλὰ τὴν ἁπασῶν ἀφανεστάτην, ἣν ἐλεύθερος μὲν ἴσως οὐδεὶς ἐν πόλει τραφεὶς ἑκὼν ἐπιτηδεύσειεν ἄν, ἐν ἀγρῷ δὲ μόλις ἄκων οἰκέτης δεσπότῃ καὶ δυσκόλῳ παλαίων δεσπότῃ βιαζομένῳ πολλὰ δρᾶν τῶν ἀβουλήτων. εὑρεθήσεται γὰρ οὐχ ἁπλοῦν, ἀλλὰ ποικίλον τὸ πρᾶγμα θεωρητοῦ, μεμψίμοιρον, δυσεύρετον, δυσπερίληπτον, ἐχθρὸν μὲν ὄκνῳ καὶ ῥᾳθυμίᾳ καὶ ἀμελείᾳ, σπουδῆς δὲ καὶ φιλοτιμίας, ἱδρώτων τε καὶ φροντίδων μεστόν. οὐδ' ὕδωρ ἐν τῷ φρέατι τούτῳ φασὶν οἱ ὀρύττοντες εὑρεῖν. ἐπειδὴ τὰ τέλη τῶν ἐπιστημῶν οὐ δυσεύρετα μόνον, ἀλλὰ καὶ ἀνεύρετα παντελῶς εἶναι συμβέβηκε· γραμματικώτερος δὲ διὰ τοῦτο καὶ γεωμετρικώτερος ἕτερος ἑτέρου γίνεται, τῷ τὰς ἐπιδόσεις καὶ τὰς αὐξήσεις ἀμήχανον ὅροις εἶναι περιγραφῆναι. πλείω γὰρ δεῖ τῶν εἰς μάθησιν ἡκόντων τὰ ἀπολειπόμενα ἐκδέχεσθαι καὶ ἐφεδρεύειν, ὡς καὶ τὸν ἅπτεσθαι περάτων ἐπιστήμης ὑπολαμβάνοντα, ἡμιτελῆ πρὸς ἑτέρῳ

κριτὴν ὑπολαμβάνεσθαι· ἀλλὰ ἡ ἀλήθεια ἀκμάζουσα, καὶ ἄρτι ἄρχεσθαι δοκεῖν. βραχὺς μὲν γὰρ ὁ βίος, ὥς ἔφη τις, ἡ δὲ τέχνη μακρά· ἧς ἄριστα καταλαμβάνει τὸ μέγεθος, ὁ ἀψευδῶς ἐμβαθύνων αὐτῇ, καὶ ὥσπερ φρέαρ ὀρύττων αὐτήν, ὃν καὶ τελευτῶντα πολιὸν ἤδη καὶ ὑπεργήρων λόγος ἔχει δακρῦσαι, οὐ δι' ἀνανδρίας φόβῳ θανάτου, ἀλλὰ διὰ παιδείας ἵμερον, ὡς νῦν πρῶτον ἐπ' αὐτὴν ἐφηβιόντα, ὅτε πλωύσατα ἐξέσιν. νεάζει γὰρ ἡ ψυχὴ πρὸς ἐπιστήμην, ὁπότε αἱ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνονται. πρὶν οὖν ἡβῆσαι καὶ ἐνεάσαι τῇ τῶν πραγμάτων ἀκριβεστέρᾳ καταλήψει, χαλεπὸν ὑποσκελισθῆναι. τὸ δὲ πάθος τοῦτο κοινὸν ἁπάντων ἐστὶ τῶν φιλομαθῶν, οἷς νέα ἐπὶ παλαιοῖς ἀνίσχει καὶ ἀναλάμπει θεωρήματα· πολλὰ μὲν καὶ τῆς ψυχῆς, ὁπότε μὴ στεῖρα καὶ ἄγονος εἴη, τικτούσης· πολλὰ δὲ καὶ τῆς φύσεως ἀτεκμάρτως ἐκ ταὐτομάτου προσφαινούσης τοῖς τῆς διανοίας ἐξυδρηκόσι. τὸ μὲν οὖν ἐπιστήμης φρέαρ ὅρον καὶ τελευτὴν οὐκ ἔχον, τοιοῦτον ἀπεδείχθη. διὰ τί δὲ ὅρκου ὠνομάσθη, λεκτέον. τὰ ἐνδοιαζόμενα τῶν πραγμάτων, ὅρκῳ διακρίνεται, καὶ τὰ ἀβέβαια βεβαιοῦται, καὶ τὰ ἄπιστα λαμβάνει πίστιν· ἐξ ὧν ἐκεῖνο συνάγεται, ὅτι περὶ οὐδενὸς ἄν τις οὕτως βεβαιώσαιτο, ὡς περὶ τοῦ, τὸ σοφίας γένος ἀπερίγραφον καὶ ἀτελεύτητον εἶναι. μηνύομεν οὖν καὶ ὀμόσαντι διεξιόντι περὶ τούτων συνεπιγράφεσθαι. ὁ δὲ μηδ' εἰς σύνεσιν εὐχερής, ἐνωμότῳ γενομένῳ συναινείτω· μηδεὶς δὲ ὀμνύναι τὸν τοιοῦτον ὅρκον ἀναδυέσθω, σαφῶς εἰδὼς ὅτι ὁ εὔορκος γραφήσεται στήλαις. ἅλις μὲν δὴ τούτων· ἑπόμενον δ' ἂν εἴη σκέψασθαι, διὰ τί τεσσάρων ὀρυττομένων φρεάτων ὑπὸ τῶν ἀμφὶ τὸν Ἀβραὰμ καὶ Ἰσαάκ, τὸ τέταρτον καὶ τελευταῖον ὅρκος προσηγορεύθη. μήποτε δὲ ὑπονοιῶν ἐκεῖνο βούλεται παραστῆσαι, ὅτι αὐτῶν πάντων τεττάρων ὄντων ἐξ ὧν συνέστηκεν ὅδε ὁ κόσμος, καὶ ἐν ἡμῖν αὖθις ἰσαρίθμων, ἐξ ὧν διαπλασθέντες εἰς ἀνθρωπόμορφον εἶδος ἐτυπώθημεν. τὰ μὲν οὖν τρία πέφυκε καταλαμβάνεσθαι, τὸ δὲ τέταρτον, ἀκατάληπτον πᾶσι τοῖς κριταῖς ἐστιν. ἐν μὲν οὖν τῷ κόσμῳ, γῆν, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ οὐρανόν, τέτταρα εἶναι ταῦτα συμβέβηκεν· ὧν τὰ μὲν δῆλα εἰ καὶ δυσεύρετα, ἀλλ' οὐκ εἰς ἅπαν ἀνευρέτου μοίρας ἠξίωται. καὶ γὰρ γῆν, ὅτι ἐστὶ σῶμα βαρὺ καὶ ἀδιάλυτον καὶ στερέμνιον, καὶ τεμνόμενον εἰς ὄρη καὶ πεδιάδας χώρας, καὶ ποταμοῖς καὶ θαλάττῃ διαιρούμενον, ὡς τὰ μὲν

A adhuc circa principia hærere videbitur. Breuis enim vita, vt quidam inquit, ars longa: cuius amplitudinem is optime cognoſcit, qui in eam deſcendit profundius tanquam puteum fodiens: qualis quidam iam canus, decrepitus, capularis ſenex illacrymaſſe fertur, non ob ignauiam metúmve mortis, ſed ſcientiæ deſiderio, quaſi tum primum eam adiret, quando relinquenda erat. Viget enim ſemper ad ſcientias anima, B cum vires corporis longa ætate marceſcant & langueant. ergo prius quàm ad quandam ceu pubertatem exquiſitioris doctrinæ perueniatur, periculoſus lapſus eſt. eſt autem id commune omnium ſtudioſorum, quibus aliæ poſt alias contemplationes ſuboriuntur, multas ex ſe pariente anima, modo non ſit ſterilis, multas natura vltro ingerente non obtuſis mentibus. hic eſt igitur ille ſcientiæ puteus fundo fineque carens ſicut oſtendimus. C cur autem iuramenti nominetur, iam dicemus. adhibito iureiurando quod ambiguum erat decernitur, quod incertum confirmatur, quod fidem non inueniebat, creditur. vnde illud colligitur, nihil certius affirmari, quàm ſapientiam carere fine ac termino. itaque vel iniurato id credere debemus. quod ſi quis eſt parum credulus, ſaltem iurato aſſentietur. nec eſt cur quis detrectet iuſiurandum huiuſ- D modi, cum ſciat quòd qui recte iurat inſcribitur in tabulas. De his hactenus. proximum fuerit conſiderare, cur quatuor effoſſis puteis per Abrahami & Iſaaci domeſticos, quarto eidémque vltimo iuramenti nomen eſt inditum. An illud forte ſubindicare vult, quòd cum omnino quatuor elementa ſint ex quibus conſtat hic mundus, & in nobis ipſis totidem, ex quibus formati ſumus in humanam ſpeciem: tria poſſunt E intellectu percipi, quartum verò eſt incomprehenſibile omnium iudicio. quandoquidem in mundo inſunt hæc quatuor, terra, aqua, aer, cælum: ex quibus cætera, tametſi difficile, ſunt tamen ſcrutabilia. nam de terra, eſſe hanc corpus graue, compactum, ſolidum, in montana campeſtriáque diuiſum, diremptum mari ac fluminibus, partim continenti attributum partim inſulis: item alibi eſſe

tenuem, alibi profundos sulcos admittere: alibi asperam, saxosam, sterilem, alibi planam, mollem, fertilissimam, & alia præterea plurima nouimus. itidem de aqua, habere hanc quædam ex his quæ diximus, cum terra communia, quædam propria. est enim partim dulcis, partim salsa, partim fōtana in varias discreta proprietates, alia potabilis, alia non, alia potabilis sed non omnibus, his noxia non illis, & è diuerso. item alia frigida naturaliter, alia calida. sunt enim multi passim fontes manantes aquis feruidis, non solum in terra, sed & in mari. certe deprehenduntur tales venæ scatentes in mari medio, quas per tot secula fluctus inundantes non potuerunt extinguere, imò neque diluere. De aere quoque, habere hunc naturam tractilem, facile cedentem corporibus quibus circumfunditur, instrumentum vitæ, respirationis, visus, auditus, cæterorum sensuum: capacem densitatis raritatisque, tum quietis & motuum, variabilem ac mutabilem, autorem æstiuorum, hiemalium, autumnalium, vernorúmque temporum, quæ anni absoluunt circulum. hæc certe sentimus omnia. Cælum vero naturam habet incomprehensibilem, nec vlla eius noticia certa demanat ad nos. Quid enim possumus de hoc pronunciare? esse concretam glaciem, vt quibusdam placuit, an ignem purissimum, an quintum quoddam corpus in orbem mobile, nulli affine ex elementis quatuor? Quid illa extrema sphæra fixorum siderum, habétne soliditatem, an superficiem tantum sine altitudine, figuris in plano pictis similis? Quid stellæ ipsæ, súntne terreæ moles ignitæ? nam quidam aiunt eas colles saltúsque ignitos, ipsi digni pistrino & carcere, vbi hæc instrumenta sunt torquendis impijs istorum similibus. an forte sunt densi quidam ætheris glomi non dissimiles? sed animati ne ac rationales, an ratione simul carentes & anima? voluntarióſne an necessitate coactos motus habent? Quid luna? natiuóne an mutuaticio lucet lumine? suis radijs micans, an illustrata solaribus? an horum neutrum est, sed quiddam mixtum ex vtroque igne tum alieno tum proprio? nam hæc & huiusmodi omnia in præcipuo mundi

A ποιάζειν, τὰ δὲ ἠπειροῦσθαι· καὶ ὅτι τὸ μὲν αὐτῆς
λεπτόγεων, τὸ δὲ βαθύγεων, καὶ τὸ μὲν τραχὺ, καὶ στρυ-
φνὸν, καὶ λιθῶδες, καὶ εἰς ἄπαν ἄγονον, τὸ δὲ λεῖον, καὶ
μαλακὸν, καὶ γονιμώτατον, καὶ μυρία πρὸς τούτοις
ἕτερα καταλαμβανόμενα· καὶ πάλιν ὕδωρ, ὅτι πολ-
λὰ τῶν εἰρημένων ἔχει κοινὰ πρὸς γῆν, καὶ ἐξαίρε-
τα ἕτερα. τὸ μὲν γὰρ αὐτοῦ γλυκὺ, τὸ δὲ ἁλμυρὸν, τὸ
δὲ πλυχῶδές ἐστι, διακεκριμένον ἰδέαις, καὶ τὸ μὲν
πότιμον, τὸ δὲ οὐ πότιμον, καὶ ἑκάτερον οὐ πᾶσιν,
ἀλλ' οἷς θάτερον, οὐ τὸ ἕτερον, καὶ οἷς μὴ θάτερον,
B πάντως τὸ ἕτερον· καὶ τὸ μὲν φύσει ψυχρὸν, τὸ δὲ φύ-
σει θερμόν. εἰσὶ γὰρ μυρίαι πολλαχόθεν πηγαὶ
ζέον ὕδωρ ἐκδιδοῦσαι, οὐ κατὰ γῆν, ἀλλὰ καὶ κατὰ τὴν
θάλασσαν. ἤδη γοῦν ἐφάνησαν φλέβες ἀνομ-
βροῦσαι ἐν μέσοις πελάγεσιν, ἃς ἡ τοσαύτη τῶν ἐν
κύκλῳ πελαγῶν ἀνάχυσις ἐξ αἰῶνος ἐπικλύζου-
σα, οὐκ ἴσχυσε σβέσαι, ἀλλ' οὐδὲ ἐπὶ ποσὸν ἀμβλῦναι·
καὶ πάλιν ὅτι ἀὴρ ὁλκὸν ἔχει φύσιν, εἴκων τε καὶ ὑ-
ποδεξάμενος τοῖς σώμασιν, ὄργανον ὢν ζωῆς,
C ἀναπνοῆς, ὁράσεως, ἀκοῆς, τῶν ἄλλων αἰσθήσεων,
πυκνότητας καὶ μανότητας, κινήσεις τε καὶ ἠρεμίας
ἐνδεχόμενος, τροπάς τε καὶ μεταβολὰς παντοίας
τρεπόμενός τε καὶ μεταβάλλων, χειμῶνας καὶ θέρη
γεννῶν, καὶ τὰς μετοπωρινὰς καὶ ἐαρινὰς ὥρας, ἐξ
ὧν ὁ ἐνιαυτοῦ κύκλος πέφυκε περατοῦσθαι. τούτων
μὲν δὴ πάντων αἰσθανόμεθα· ὁ δὲ οὐρανὸς ἀκα-
τάληπτον ἔχει τὴν φύσιν, οὐδὲν ἑαυτοῦ σαφὲς γνώ-
ρισμα πρὸς ἡμᾶς ἀποστείλας. τί γὰρ ἂν εἴποιμεν·
ὅτι πεπηγώς ἐστι κρύσταλλος ὡς ἠξίωσάν τινες, ἢ ὅτι
D πῦρ τὸ καθαρώτατον, ἢ ὅτι πέμπτον κυκλοφορικὸν
σῶμα, μηδενὸς τῶν τεττάρων στοιχείων μετέχον; τί
δὲ ἡ ἀπλανὴς καὶ ἐξωτάτω σφαῖρα πρὸς τὸ ἄνω
βάθος ἔχει, ἢ αὐτὸ μόνον ἐστὶν ἐπιφάνεια βάθους
ἐρήμη, τοῖς ἐπιπέδοις σχήμασιν ἐοικυῖα; τί δὲ οἱ
ἀστέρες· πότερον γῆς εἰσιν ὄγκοι πυρὸς πλήρεις.
ἄγκεα γὰρ καὶ νάπας καὶ δρυμοὺς διαπύρους
εἶπον αὐτοὺς εἶναί τινες, αὐτοὶ δεσμωτηρίου καὶ
μύλωνος, ἐν οἷς τὰ τοιαῦτ' ἐστὶν ἐπὶ τιμωρίᾳ τῶν
E ἀσεβῶν, ὄντες ἐπάξιοι· ἢ συνεχὴς καὶ ὡς εἴποι τις,
πυκνὴ ἁρμονία, πιλήματα ἀδιάλυτα αἰθέρος;
ἔμψυχοι δὲ καὶ νοεροὶ, ἢ νοῦ καὶ ψυχῆς ἀμέτοχοι;
προαιρετικὰς δὲ, ἢ κατηναγκασμένας αὐτὸ μό-
νον κινήσεις ἔχοντες; τί δὲ σελήνη· πότερον γνήσιον,
ἢ νόθον ἐπιφέρεται φέγγος, ἡλιακαῖς ἐπιλαμπό-
μενον ἀκτῖσιν, ἢ καθ' αὑτὸ μόνον ἰδίᾳ, ἢ τούτων
οὐδέτερον, τὸ δὲ ἐξ ἀμφοῖν, ὡς ἂν ἐξ οἰκείου καὶ ἀλ-
λοτρίου πυρὸς κέραμα; πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα
τοῦ τετάρτου καὶ ἀρίστου τῶν ἐν κόσμῳ σώματος

ὄντα οὐρανοῦ, ἄδηλα καὶ ἀκατάληπτα στοχασμοῖς καὶ εἰκασίαις, οὐ παγίῳ λόγῳ τῆς ἀληθείας ἐφορμοῦσι, ὥς τε κἂν ὀμόσαι τινὰ θαρρήσαντα, ὅτι θνητὸς οὐδεὶς πώποτε ἰσχύσει τούτων ἐναργῶς καταλαβέσθαι οὐδέν. ὅρκος γοῦν διὰ τοῦτ' ὠνομάσθη τὸ τέταρτον καὶ ξηρὸν φρέαρ, ὅτι ἡ τοῦ τετάρτου τῶν ἐν τῷ κόσμῳ ζήτησις, ἀτελεύτητος καὶ πάνυ δυσόρατος οὐρανοῦ. ἴδωμεν δ' ὃν τρόπον καὶ τὸ ἐν ἡμῖν αὖθις τέταρτον διαφερόντως καὶ κατ' ἐξαίρετον λόγον ἀκατάληπτον εἶναι πέφυκεν. οὐκοῦν τέτταρα τὰ ἀνωτάτω τῶν περὶ ἡμᾶς ἐστι, σῶμα, αἴσθησις, λόγος, νοῦς. τούτων μὲν δὴ τὰ τρία, οὐ κατὰ πάσας ἄδηλα τὰς ἰδέας ἐστίν, ἀλλ' ἔχει τινὰ δείγματα ἐν ἑαυτοῖς τοῦ καταλαμβάνεσθαι, τί δὲ ἐστιν ὃ φημί; τὸ σῶμα, ὅτι μὲν τριχῆ διαστατὸν, καὶ ἑξαχῆ κινητὸν ἴσμεν. διαστάσεις μὲν τρεῖς ἔχον, μῆκος, βάθος, πλάτος· κινήσεις δὲ τὰς διπλασίας ἕξ, τὴν ἄνω, τὴν κάτω, τὴν ἐπὶ δεξιά, τὴν ἐπὶ εὐώνυμα, τὴν πρόσω, τὴν κατόπιν· ἀλλὰ καὶ ὅτι ψυχῆς ἐστιν ἀγγεῖον, οὐκ ἀγνοοῦμεν. ἀλλὰ καὶ ὅτι ἡβᾷ καὶ ἀνθεῖ, γηράσκει, τελευτᾷ, διαλύεται, σαφῶς ἴσμεν. καὶ περὶ αἴσθησιν μέντοιγε ἀμβλεῖς καὶ πηροὶ γεγόναμεν, ἀλλ' ἔχομεν εἰπεῖν, ὅτι καὶ πενταχῆ σχίζεται, καὶ ὄργανα ἑκάστης ἐστὶν ὑπὸ φύσεως δημιουργηθέντα οἰκεῖα, ὁράσεως μὲν ὀφθαλμοί, ἀκοῆς δὲ ὦτα, ῥῖνες δὲ ὀσφρήσεως, καὶ τῶν ἄλλων τὰ οἷς ἐναρμόζονται· καὶ ὅτι ἄγγελοι διανοίας εἰσὶ διαγγέλλουσαι χρώματα, σχήματα, φωνάς, ἀτμῶν καὶ χυλῶν ἰδιότητας, συνόλως σώματα, καὶ ὅσαι ποιότητες ἐν τούτοις· καὶ ὅτι δορυφόροι ψυχῆς εἰσίν, ὅσα μὲν ἴδωσι καὶ ἀκούσωσι δηλοῦσαι· κἂν εἴ τι βλαβερὸν ἔξωθεν ἐπίοι, προορώμεναί τε καὶ φυλαττόμεναι, ὡς μὴ λάθρα προσερπῦσαν αἴτιον ζημίας ἀνηκέστου τῇ δεσποίνῃ γένηται· καὶ φωνὴ δὲ οὐκ εἰς ἅπαν ἀποδιδράσκει τὴν ἡμετέραν κρίσιν· ἀλλ' ἴσμεν ὅτι ἡ μέν ἐστιν ὀξεῖα, ἡ δὲ βαρεῖα, καὶ ἡ μὲν ἐμμελὴς καὶ ἐναρμόνιος, ἡ δὲ ἀπῳδὸς καὶ λίαν ἀνάρμοστος· καὶ πάλιν ἡ μὲν μείζων, ἡ δὲ ἐλάττων, διαφέρουσαι καὶ ἄλλοις μυρίοις, γένεσι, χρώμασι, διαστήμασι, συνημμέναις τάσεσι καὶ διεζευγμέναις, ταῖς τε διὰ τεσσάρων, καὶ ταῖς διὰ πέντε, καὶ ταῖς διὰ πασῶν συμφωνίαις. καὶ μὲν δὴ καὶ τῆς ἐνάρθρου φωνῆς, ἣν μόνος ἐκ πάντων ἄνθρωπος ἔλαχεν, ἔστιν ἃ γνωρίζομεν, οἷον ὅτι ἀπὸ διανοίας ἀναπέμπεται, ὅτι ἐν στόματι διαρθροῦται, ὅτι ἡ γλῶσσα πλήττουσα τῇ τῆς φωνῆς τάσει, τὸ ἔναρθρον ἐνσφραγίζεται καὶ λόγον, ἀλλ' οὐ ψιλὴν αὐτὸ μόνον φωνῆς ἀρχὴν, καὶ ἀδιατύπωτον ἦχον ἀπεργάζεται· ὅτι κήρυκος ἢ ἑρμηνέως ἔχει

A corpore quarto, id est cælo, incerta incomprehensibiliáque coniecturis verisimilibus magis quàm certis verísque rationibus nituntur, vt iurare fas sit, neminem mortalem posse vnquam quicquam horum certo percipere. Hæc est causa cur puteus quartus aridus Iuramentum nominatur, quod quarti huius mundi elementi cæli videlicet, inquisitio infinita est & imperspicua. Videamus amplius quomodo & in nobis illud B quartum præ cæteris est incomprehensibile. quatuor sunt in nobis præcipua, corpus, sensus, mens & ratio. horum tria non sunt in totum obscura, sed habent quædam indicia in seipsis per quæ comprehendantur. Dicam apertius. Corpus tres dimensiones, sex motus, habere scimus: dimensiones in longitudinem, altitudinem, latitudinem: motus vero duplos sex, sursum deorsum, dextrorsum sinistrorsum, ante C retróque. idem animæ conceptaculum esse non ignoramus, atque etiam florescere deflorescere, senescere, interire, dissoluique in suas origines. ne sensuum quidem obscuram habemus notitiam, possumus dicere quinquefariam eos diuidi, habere sua quemque instrumenta naturæ opificio, visum oculos, auditum aures, nares odoratum, & cæteros pariter. hos menti nunciare de colorum, figurarum, vocum, vaporum D saporúmque proprietatibus, & in vniuersum de corporibus eorúmque qualitatibus. eosdem esse animæ apparitores, ad quam quicquid vident audiúntve deferunt: & si quid extrinsecus immineat noxium, præuident præcauéntque, ne quod improuisum & immedicabile malum dominæ obrepat. similiter de voce nostrum est iudicium, aliam esse acutam, grauem aliam, & quantum à concinna inconcinna discrepet, ab E exiliore grandior, déque alijs plurimis discriminibus generum, colorum, distantiarum, coniunctorum disiunctorúmque, de diatessaron, diapente, diapason symphonijs. atque etiam de articulata voce, quam solus homo sortitus est, quædam nouimus: à mente hanc proficisci, in ore articulari, linguæ plectro absolui, atque ita expressam sermonem iam non nudam vocē informémque fieri. cum mentis

esse interpretem. At quartum illud principatum obtinens num est comprehensibile? Minime gentium. Quid enim putamus eius essentiam, spiritum, an corpus, an sanguinem? Corpus dici non debet, cum sit incorporeum. Quid igitur dicemus, terminum, an speciem, an numerum, an endelechiam, an harmoniam, an quid aliud? innascitúrne an infunditur, an à circumfuso aere ipsa suapte natura calida, tanquam ferrum in officina ignitum, & in frigidam mersum, temperatur solidatúrque: vnde Græcum nomen ψυχὴ παρὰ τὴν ψῦξιν. Quid in morte, inextinguitúrne cum corporibus & interit, an aliquandiu superest, an immortalitate fruitur? mens vero vbi habet conceptaculum? habétne aliquod domicilium? nam quidam caput ceu arcem nostri corporis dedicant, in quo sensus excubant, æquum censentes circa magnum regem stationem habere satellitium. qui vero circa cor delubrum ei tribuunt, ne ipsi quidem inter se consentiunt. En quartum incomprehensibile, cælum in mundo solum ex elementis reliquis, mentem in homine cum cætera intelligantur in eo, corpus, sensus, & oratio. Quid si & quartus annus sanctus laudabilísque ob easdem causas in sacris literis dicitur? nam in rebus creatis cælum in mundo sanctum est, in quo immortales sempiternæque naturæ obambulant: in homine mens numinis particula, sicut Mosi credimus dicenti: Inspirauit in faciem eius spiritum vitæ, & factus est homo in viuentem animam. Vtrumque etiam laudabile non temere dictum mihi videtur. nam quæ laudare hymnísque celebrare suum patrem possunt, sunt hæc duo, cælum & mens. nam homo hunc præcipuum honorem sortitus est præter animalia cætera, quod Deum colit: cælum perpetuo concentu suorum motuum reddit harmoniam suauissimam: quæ si posset ad nostras aures peruenire, in nobis excitaret impotentes amores & insanum desiderium, quo stimulati rerum ad victum necessariarum obliuisceremur, non pasti cibo potúque per fauces demisso, sed quemadmodum immortalitatis candidati, consummatæ musicæ diuinis cantibus: quales cum Moses extra corpus raptus audi-

A τάξιν πρὸς τὴν ὑποβάλλοντα νοῦν. ἆρ' οὖν καὶ τὸ τέταρτον τῶν ἐν ἡμῖν αὖθις ὁ ἡγεμὼν νοῦς καταληπτός ἐστιν; οὐ δήπου. τί γὰρ αὐτὸν οἰόμεθα κατὰ τὴν οὐσίαν εἶναι, πνεῦμα, ἢ αἷμα, ἢ σῶμα συνόλως; ἀλλ' οὐ σῶμα, ἀσώματον λεκτέον. ἢ πέρας, ἢ εἶδος, ἢ ἀριθμὸν, ἢ ἐνδελέχειαν, ἢ ἁρμονίαν, ἢ τί τῶν ὄντων; γινόμενον δ' εὐθὺς, ἢ ἔξωθεν εἰσκρίνεται, ἢ ὑπὸ τοῦ περιέχοντος ἀέρος ἡ ἔνθερμος ἐν ἡμῖν φύσις οἷα σίδηρος ἐν χαλκείοις πεπυρωμένος, ὕδατι ψυχρῷ πρὸς τὸ κραταιότερον
B στομοῦται; διότι καὶ παρὰ τὴν ψῦξιν ὠνομάσθαι δοκεῖ ψυχή. τί δέ; τελευτώντων σβέννυται καὶ συμφθείρεται τοῖς σώμασιν, ἢ πλεῖστον ἐπιβιοῖ χρόνον, ἢ κατὰ τὸ παντελὲς ἄφθαρτόν ἐστι; ποῦ δὲ ἐμπεφώλευκε νοῦς αὐτὸς· ἆρα οἶκον κεκλήρωται; οἱ μὲν γὰρ τὴν ἀκρόπολιν ἐν ἡμῖν ἀνιέρωσαν αὐτῷ κεφαλὴν, περὶ ἣν καὶ αἱ αἰσθήσεις λοχῶσιν, εἰκὸς εἶναι νομίσαντες ἐγγὺς οἷα μεγάλου βασιλέως ἐφεδρεύειν τοὺς δορυφόρους· οἱ δὲ ὑπὸ καρδίας αὐτὸν ἀ-
C γαλματοφορεῖσθαι διαγωνισθέντες, γνωσιμαχοῦσιν. ἤδη τὸ τέταρτον ἀκατάληπτον, οὐρανὸς μὲν ἐν κόσμῳ παρὰ τὴν ἀέρος καὶ γῆς καὶ ὕδατος φύσιν, νοῦς δ' ἐν ἀνθρώπῳ παρὰ σῶμα καὶ αἴσθησιν καὶ τὸν ἑρμηνέα λόγον. μήποτε μέντοι καὶ τὸ τέταρτον ἔτος, ἅγιον καὶ αἰνετὸν ταύτης ἕνεκεν τῆς αἰτίας, ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς δηλοῦται; τὸ γὰρ ἐν τοῖς γεγονόσιν ἅγιον, οὐρανὸς μέν ἐστιν ἐν κόσμῳ, καθ' ὃν ἄφθαρτοι καὶ μακραίωνες φύσεις περιπολοῦσιν· ἐν ἀνθρώπῳ δὲ νοῦς ἀπόσπασμα θεῖον ὢν, καὶ μά-
D λιστα κατὰ Μωϋσῆν λέγοντα, Ενεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν· καὶ ἑκάτερον δὲ αἰνετὸν, οὐκ ἀπὸ σκοποῦ μοι προσειρῆσθαι δοκεῖ. τὰ γὰρ δυνάμενα τοὺς ἐπαίνους καὶ ὕμνους καὶ εὐδαιμονισμοὺς ἐκτραγῳδεῖν τοῦ γεννήσαντος πατρὸς ταῦτ' ἐστὶν, οὐρανός τε καὶ νοῦς. ἄνθρωπος μὲν γὰρ ἐξαίρετον παρὰ τὰ ἄλλα ζῷα γέρας ἔλαχε, θεραπεύειν τὸ ὄν. ὁ δὲ οὐρανὸς ἀεὶ μελῳδεῖ, κατὰ τὰς κινήσεις τῶν
E ὄντων ἐν αὐτῷ τὴν παμμούσον ἁρμονίαν ἀποτελῶν, ἧς εἰ συνέβαινε τὴν ἠχὴν εἰς τὰς ἡμετέρας φθάνειν ἀκοὰς, ἔρωτες ἂν ἀκάθεκτοι, καὶ λελυττηκότες ἵμεροι, καὶ ἄπαυστοι καὶ μανιώδεις ἐγένοντο οἶστροι, καὶ τῶν ἀναγκαίων ἠνάγκαζον ἀπέχεσθαι τρεφομένους μὴ καθάπερ οἱ τοῖς σιτίοις ἢ τοῖς ποτοῖς διὰ φάρυγγος, ἀλλ' οἱ μέλλοντες ἀπαθανατίζεσθαι, διὰ τῆς μουσικῆς τελείας ἐνθέαις ᾠδαῖς, ὧν ἀκροατὴν Μωϋσῆν ἀσώματον γενόμενον λόγος ἔχει τεσσαράκοντα ἡμέρας καὶ τὰς ἴσας νύκτας,

μήτε ἄρτου, μήτε ὕδατος λαβόντα τὸ παράπαν. ὁ τοίνυν οὐρανὸς, τὸ μουσικῆς ἀρχέτυπον ὄργανον ἄκρως ἡρμόσθαι δοκεῖ δι' οὐδὲν ἕτερον, ἢ ἵνα ἐπὶ τιμῇ τοῦ τῶν ὅλων πατρὸς ᾀδόμενοι ὕμνοι μουσικῶς ἐπιψάλλωνται. καὶ τὴν ἀρετὴν μέντοι Λείαν ἀκούομεν ἐπὶ τῇ τοῦ τετάρτου γενέσει υἱοῦ, μηκέτι τίκτειν δυναμένην, ἀλλ' ἐπισχοῦσαν, ἢ ἐπισχεθεῖσαν τὰς γονάς. εὕρισκε γὰρ εἰ μὴ πᾶσαν τὴν γένεσιν ἐξ αὐτῆς ξηρὰν τε καὶ στεῖραν, ἡνίκα Ἰούδαν τὴν ἐξομολόγησιν τὸν τέλειον καρπὸν ἐκύησε. διαφέρει δ' οὐδὲν τὸ τὴν Λείαν ἴσχεσθαι τίκτουσαν, τοῦ μὴ εὑρίσκειν ἐν τῷ τετάρτῳ φρέατι τοὺς παῖδας Ἰσαὰκ ὕδωρ, ἐπειδὴ ἐξ ἑκατέρου τῶν συμβόλων ἐμφαίνεται, τὸ πάντα διψῆν θεοῦ, παρ' οὗ καὶ αἱ γενέσεις καὶ αἱ τροφαὶ τοῖς γεγονόσιν ἄρδονται. μικρολόγοι μὲν οὖν τινὲς ἴσως ὑπολήψονται περὶ φρεάτων ὀρυχῆς, τὸν τοσοῦτον εἶναι λόγον τῷ νομοθέτῃ· οἱ δ' ἐν τῇ μείζονι γραφέντες πολιτείᾳ τῇδε τῷ κόσμῳ, πλείονα φρονημάτων ὄντες, εἴσονται σαφῶς, ὅτι οὐ περὶ φρεάτων τεττάρων ἐστὶν, ἀλλὰ τῶν τοῦ παντὸς μερῶν ἡ ζήτησις τοῖς ἐρευνητικοῖς καὶ φιλοθεάμοσι, γῆς, ὕδατος, ἀέρος, οὐρανοῦ, ὧν ἕκαστον ἐπινοίαις εἰς ἄκρον πεπονημέναις διεξελθόντες, ἐν μὲν οὖν τοῖς τρισὶν, εὗρόν τινα καταληπτά· διὸ καὶ τρία ὀνόματα ἐπεφημίσαντο τοῖς εὑρεθεῖσιν, ἀδικίαν, ἔχθραν, εὐρυχωρίαν· ἐν δὲ τῷ τετάρτῳ τῷ περιπόλῳ οὐδὲν οὐρανῷ, καθάπερ ὀλίγῳ πρότερον ἐδηλώσαμεν. τὸ γὰρ τέταρτον φρέαρ ἄνυδρον καὶ ξηρὸν εὑρίσκεται, καὶ ὅρκος διὰ τὴν εἰρημένην αἰτίαν προσαγορεύεται, τὰ δ' ἑπόμενα ζητῶμεν ἐρευνῶντες τίς ἡ Χαρρὰν, καὶ διὰ τί ὁ ἀπὸ τοῦ φρέατος ἐξελθὼν εἰς αὐτὴν ἔρχεται. ἔστι τοίνυν ὡς ἔμοιγε φαίνεται Χαρρὰν, μητρόπολις τῶν αἰσθήσεων. ἑρμηνεύεται γὰρ, ποτὲ μὲν ὀρυκτὴ, ποτὲ δὲ τρῶγλαι, δι' ἀμφοτέρων ὀνομάτων ἑνὸς δηλουμένου πράγματος. τὰ γὰρ σώματα ἡμῶν εἰς τὰ τῶν αἰσθήσεων ὄργανα τρόπον τινὰ ἐξορώρυκται, καὶ γέγονεν ἕκαστον τῶν ὀργάνων, ἑκάστης ὀπὴ τῆς αἰσθήσεως, ἐν ᾗ πέφυκε φωλεύειν. ὁπότ' οὖν τις ἀπὸ τοῦ φρέατος ὃ καλεῖται ὅρκος, ὥσπερ ἀπὸ λιμένος ἐξαναχθῇ, παραγίνεται εὐθὺς εἰς Χαρρὰν ἀναγκαίως. τὸν γὰρ ἀποδημίαν στελλόμενον ἀπὸ τοῦ ἀρίστου καὶ ἀπειρομεγέθους ἐπιστήμης χωρίου, καὶ ἀναγκαῖον αἰσθήσεις ἄνευ ξεναγοῦ ὑποδέξονται. κινεῖται γὰρ ἡ ψυχὴ πολλάκις μὲν ἐφ' ἑαυτῆς, ὅλον τὸν σωματικὸν ὄγκον ἐκδῦσα, καὶ τὸν αἰσθήσεων ὄχλον ἀποδρᾶσα· πολλάκις δὲ ταῦτα ἐπαμ-

A uisset, fertur per quadraginta dies totidémque noctes nec panem nec aquam gustasse. itaque cælum instrumentum musicæ archetypum videtur mihi non propter alia sic elaboratum, quàm vt rerum patris hymni scite decantentur & musice. Quin & virtutem Liam audimus post editum quartum filium desisse parere, non effœtam, sed cessantem, vel potius retentam aliquamdiu. Sensit enim opinor vim gignendi elanguisse in se, B quando Iudam, hoc est confessionem, perfectum fructum protulit. Est autem idem significatum in Lia post quartam prolem interquiescente à pariendo, & in quarto puteo in quo Isaac serui nullam aquam inuenerunt: quoniam apparet ex vtraque figura ab omnibus sitiri Deum, qui & genituras & alimenta in enatorum vsum irrigat. non deerunt tamen fortasse quidam pusillanimi, qui hæc de puteorum effosѕione à legislatore dici suspicabuntur verbosius. sed quotquot C habent ius magnæ huius ciuitatis mundanæ, sapientiores cæteris, manifeste intelligent, perspicaces & discendi cupidos non quærere de quatuor puteis, sed de quatuor vniuersi partibus, terra, aqua, aere, cælo: quæ singula persequendo cogitationibus accuratissimis, in tribus inuenerunt quædam comprehensibilia, quibus & nomina indiderunt, iniquitatem, litem, amplitudinem: quarto autem nullum, cælo videlicet, sicut paulo D ante docuimus. nam quartus puteus sine aqua siccus inuenitur, & Iuramentum ob prædictam causam nominatur. Secunda quæstio de Charra quærit, quænam sit ciuitas, & cur ad eam veniatur à puteo. Est igitur, quantum equidem video, Charra metropolis quædam sensuum. interpretatur enim nunc fossa, nunc specus, vnam rem signantibus duobus nominibus. nam corpora nostra ad sensuum instrumenta quodammodo perfossa sunt, & E vnusquisque sensus pro instrumento habet suam foueam. ergo quàm primũ aliquis à iuramenti puteo velut à portu soluit, necessario ad Charran peruenit. nam qui peregre proficiscitur ab amplissima optimáque regione scientiæ, necesse est vt ad sensus absque ductore veniat. anima enim sæpe à seipsa mouetur, emergens è tota mole corporis, & è turba sensuum profugiens,

nonnunquam etiam vestita sensibus. Sed nudo motu tantum intelligibilia comprehendit, amicta verò sensibilia. si quis igitur non potest omnia sola mente persequi, ad sensus secundum refugium inuenit: & quisquis fallitur circa intelligibilia, prolabitur ad sensibilia. ad sensum enim est secunda nauigatio, quando prima ferens ad intellectum non succedit. bonum autem fuerit in hac non consenescere, sed tanquam in aliena regione pro inquilinis se gerere, semper quærendo migrationem & reditum in patriam. Laban enim non speciem, non genus, non ideam, non aliud quicquam sciens ex his quæ solo intellectu comprehenduntur, sed à rebus manifestis tantum pendens quæ in conspectum auditúmque & similes potentias veniunt, ciuitatis ius in Charris habet, vbi amator virtutis Iacob vt peregrinus non diu habitat, semper de reditu cogitans. eum Rebeca mater, id est patientia sic alloquitur: Surge, fuge ad Labanem fratrem meum in Charras, & habita cum eo ad dies aliquot. Intelligísne quod non sustinet noster meditator in regione sensuum perpetuo viuere, sed dies aliquot & ad breue temporis spatium, propter necessitates compositi corporis? longa autem vita ac ætas ei seruatur in ciuitate illa intelligibili. quamobrem (opinor) & auus eius à scientia denominatus Abraham non diu in Charris durare potuit. Legitur enim eum natum annos lxxv. quando hanc ciuitatem reliquit: quamuis pater Tharra, qui interpretatur odoris speculatio, vsque ad obitum ibi vixerat. diserte enim in sacris literis dicitur Tharram in Charris mortuum. siquidem speculator virtutis, non ciuis, odoribus non alimentis fruebatur, nondum idoneus vt saturaretur prudentia, imò vel degustaret, sed tantum olfaceret. Quemadmodum enim canes venaticos aiunt è longinquo ad feras peruenire odorem secutos cuius eximio sensu à natura sunt præditi: eodem modo à iustitia cæterisque virtutibus exhalantes suaues auras amator scientiæ vestigat, cupiens originem tantæ voluptatis assequi, huc illuc cursitans, & vel ipso honestatis odore tanquam sacro nidore

A περιελθών. τὴν μὲν οὖν γυμνὴν κίνησιν αὐτῆς, τὰ νοητὰ μόνον καταληπτὰ ἔλαχε· τὴν δὲ μετὰ σώματος, τὰ αἰσθητά. εἴ τις οὖν ὁμιλεῖν εἰς ἅπαν ἀδυνατεῖ διανοίᾳ μόνῃ, δευτέραν καταφυγὴν αἴσθησιν εὑρίσκεται· καὶ ὅστις ἂν σφαλῇ τῶν νοητῶν, αὐτίκα πρὸς τὰ αἰσθητὰ καταφέρεται. δεύτερος γὰρ ἀεὶ πλοῦς πρὸς αἴσθησιν τοῖς μὴ δυνηθεῖσι πρὸς τὸν ἡγεμόνα νοῦν εὐπλοῆσαι. καλὸν δὲ κἂν τούτῳ γενομένους μὴ καταγηράσαι καὶ διαγωνίσαι, ἀλλ' ὡς ἐν ξένῃ διατρίβοντας B παροίκων τρόπον, ἀεὶ μετανάστασιν ζητεῖν καὶ ἐπάνοδον εἰς τὴν πατρῴαν γῆν. Λάβαν μὲν γὰρ, οὐκ εἶδος, οὐ γένος, οὐκ ἰδέαν, οὐκ ἐννόημα, οὐκ ἄλλο τῶν νοήσει μόνῃ καταλαμβανομένων, οὐδὲν ἁπλῶς εἰδὼς, ἠρτημένος δὲ τῶν ἐμφανῶν, ἃ πρὸς ὄψεις καὶ ἀκοὰς, καὶ τὰς συγγενεῖς δυνάμεις ἔρχεται, καὶ πατρίδος ἠξίωται Χαῤῥὰν, ἣν ὡς ξένην ὁ φιλάρετος Ἰακὼβ πρὸς ὀλίγον οἰκεῖ χρόνον, τῆς οἴκαδε ἐπανόδου διαμεμνημένος. φησὶ γοῦν ἡ μήτηρ ἡ C ὑπομονὴ Ῥεβέκκα πρὸς αὐτὸν, Ἀναστὰς ἀπόδραθι πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαῤῥὰν, καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς. ἆρα δὴ κατανοεῖς, ὅτι οὐχ ὑπομένει ὁ ἀσκητὴς ἐν τῇ χώρᾳ τῶν αἰσθήσεων καταβιῶναι, ἀλλ' ἡμέρας ὀλίγας, καὶ βραχύν τινα χρόνον, διὰ τὰς τοῦ συνθέτου σώματος ἀνάγκας; ὁ δὲ μακρὸς αἰὼν αὐτῷ καὶ βίος ἐν τῇ νοητῇ πόλει ταμιεύεται· παρ' ὅ μοι δοκεῖ καὶ ὁ πάππος αὐτοῦ τῆς ἐπιστήμης Ἀβραὰμ ὄνομα, μὴ πολὺν χρόνον ὑπομεῖναι τῇ Χαῤῥὰν ἐνδιατρί- D ψαι· λέγεται γὰρ ὅτι Ἀβραὰμ ἦν ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν. καίτοι τοῦ πατρὸς αὐτοῦ Θάῤῥα, ὃς ἑρμηνεύεται κατάσκοπος ὀδμῆς, μέχρι τελευτῆς ἐν αὐτῇ βιώσαντος. ῥητῶς μὲν οὖν ἐν ταῖς ἱεραῖς γραφαῖς δηλοῦται, ὅτι ἀπέθανε Θάῤῥα ἐν Χαῤῥάν. κατάσκοπος γὰρ ἦν ἀρετῆς, οὐ πολίτης, καὶ ὀσμαῖς, ἀλλ' οὐ τροφαῖς ἀπολαύσεσιν ἐχρῆτο, μήπω ἱκανὸς ὢν ἐμπίπλασθαι φρονήσεως, ἀλλὰ μηδὲ γεύεσθαι, τοῦ- E το δ' αὐτὸ μόνον ὀσφραίνεσθαι. καθάπερ γὰρ τοὺς θηρατικοὺς τῶν σκυλάκων λόγος ἔχει καὶ τὰ πόῤῥωθεν τῶν θηρίων σώματα ῥινηλατοῦντας ἀνευρίσκειν ἠκονημένους ὑπὸ τῆς φύσεως διαφερόντως τὴν περὶ τὰς ὀσμὰς αἴσθησιν· τὸν αὐτὸν τρόπον τὴν ἀπὸ δικαιοσύνης καὶ τῆς ἀρετῆς τῆς ἄλλης ἀναδιδομένην ἡδεῖαν αὔραν παιδείας ἐραστὴς ἐχνηλατεῖ, καὶ ποθεῖ μὲν ἐκείναις ἐντυχεῖν, ἐξ ὧν ἀναδίδοται τὸ θαυμασιώτατον γνώρισμα τοῦτο, μηδὲ ἐν κύκλῳ δινούμενος κενὴν περιάγει τὴν κεφα-

λήν, ὀσφραινόμενος αὐτὸ μόνον καλοκἀγαθίας ἐκ σιτίων ἱεροπρεπεστάτης κνίσης. οὐ γὰρ ἀρνεῖται λίχνος ἐπιστήμης καὶ φρονήσεως εἶναι. μακάριοι μὲν οὖν οἷς ἐξεγένετο τὸ σοφίας φίλτρον ἐκπίνεσθαι, καὶ τῶν θεωρημάτων καὶ δογμάτων αὐτῆς ἑστιαθῆναι, καὶ εὐφρανθεῖσι διψῆν, ἄπληστον καὶ ἀκόρεστον ἐπιφερομένοις ἵμερον ἐπιστήμης· δεύτεροι δ' οἴσονται, οἷς ἀπολαῦσαι μὲν οὐκ ἐγένετο τῆς ἱερᾶς τραπέζης, κνισῶσι δὲ τὰς ἑαυτῶν ψυχάς. αὔραις γὰρ ἀρετῆς οὗτοι ζωπυρηθήσονται, καθάπερ τῶν καμνόντων οἱ παρειμένοι, διὰ τὸ μὴ δύνασθαι τροφαῖς χρῆσθαι ταῖς εἰς ἀνάληψιν, προσφέροντες ὀσμὰς ἰατρῶν παῖδες, ἄχη λιποθυμίας σωτήρια προσαναρριπίζονται. καταλιπὼν μέντοι τὴν Χαλδαίων γῆν, εἰς Χαρρὰν λέγεται μετοικίσασθαι Θάρρα· τὸν δὲ υἱὸν Ἀβραὰμ καὶ τοὺς ὁμογνώμονας τῆς οἰκίας ἐπαγόμενος, οὐχ ἵνα ὡς παρὰ συγγραφέως ἱστορικοῦ μάθωμεν, ὅτι μετανάσται τινὲς ἐγένοντο, τὴν μὲν πατρῴαν γῆν καταλιπόντες, τὴν δὲ ξένην ὡς πατρίδα οἰκήσαντες· ἀλλ' ὑπὲρ τοῦ μάθημα βιωφελέστατον καὶ νοερὸν ἁρμόττον ἀνθρώπῳ μόνῳ μὴ ἀμεληθῆναι. τί δὲ τοῦτ' ἐστί; Χαλδαῖοι μὲν ἀστρονομοῦσιν, οἱ δὲ τῆς Χαρρὰν πολῖται περὶ τὸν τῶν αἰσθήσεων τόπον πραγματεύονται. φησὶν ἱερὸς λόγος τῷ κατασκόπῳ τῶν τῆς φύσεως πραγμάτων, τί περὶ ἡλίου ζητεῖς εἰ ποδιαῖός ἐστιν, εἰ τῆς γῆς μείζων ἁπάσης, εἰ πολλαπλάσιος αὐτῆς· τί δὲ περὶ φωτισμοῦ σελήνης, εἰ νόθον ἔχει φέγγος, ἢ γνησίῳ μόνῳ χρῆται· τί δὲ περὶ τῆς τῶν λοιπῶν ἀστέρων φύσεως ἢ φορᾶς ἢ συμπαθείας πρός τε ἀλλήλους καὶ τὰ ἐπίγεια· τί δὲ βαίνων ἐπὶ γῆς, ὑπὲρ νεφέλας πηδᾷς· τί δὴ ἅπτεσθαι τῶν ἐν αἰθέρι φῂς δύνασθαι προσερριζωμένος χέρσῳ· τί δὲ περὶ τῶν ἀτεκμάρτων τεκμαίρεσθαι τολμᾷς. τί δὲ πολυπραγμονεῖς ἃ μὴ σοὶ δεῖ, τὰ μετέωρα· τί δὲ τὴν ἐν τοῖς μαθήμασιν εὑρεσιλογίαν ἄχρις οὐρανοῦ τείνεις· τί δ' ἀστρονομεῖς μετεωρολεσχῶν. μὴ τὰ ὑπερωκεάνια, ὦ οὗτος, ἀλλὰ τὰ ἐγγὺς ἑαυτοῦ κατανόησον· μᾶλλον δὲ σεαυτὸν ἀκολακεύτως ἐρεύνησον. πῶς οὖν εὑρήσεις, ἐὰν ἐπιτύχῃς· ἴθι νοερῶς εἰς Χαρρὰν τὴν ὀρυκτήν, τὰς τρώγλας καὶ ὀπὰς τοῦ σώματος, καὶ ἐπίσκεψαι ὀφθαλμούς, ὦτα, ῥῖνας, τἆλλα τῶν αἰσθήσεων ὄργανα, καὶ φιλοσόφησον φιλοσοφωτάτην φιλοσοφίαν, ἢ μᾶλλον εἰπεῖν ἀναγκαιοτάτην καὶ πρεπωδεστάτην φιλοσόφησον, ἀλήθειαν ἀναζητῶν, τί ὅρασις, τί ἀκοή, τί γεῦσις, τί ὄσφρησις, ἁφὴ τί, καὶ συνόλως αἴσθησις· κἄπειτα τί δὲ ἐργα

A se recreans. non negat enim se ligutitorem scientiæ prudentiæque. macti ergo quibus datum est bibere de amatorio sapientiæ poculo, fruíque contemplationum eius & placitorum epulis, exhilaratis etiam sitire denuo propter inexplebile scientiæ desiderium. his proximi censendi sunt, qui tametsi ad sacram mensam non accedunt, nidore tamen pascunt suas animas. nam hi aura virtutis refouebuntur, sicut ægrotis deficientibus propter inediam & fastidium odores admouendo medicorum filij remedium
B salutare procurant, vt vires recipiant. Attamen Chaldæa relicta Charras migrasse Tharra dicitur, ducens secum & filium Abrahamum & cæteros consentientes domesticos: non vt tanquam ex historiarum scriptore cognoscamus eos peregrinos fuisse desertores patriæ, cui sedes externas prætulerint, sed vt re penitus intellecta discamus quiddam vitæ vti-
C lissimum, non negligendum hominibus. hoc autem quid est? Chaldæi vacant obseruandis siderum cursibus, Charrenses circa sensus occupantur. cæterum sacra eloquia sic scrutatorem naturæ interpellant: Quid de sole quæris sitne pedali latitudine, an tota terra maior, an aliquotuplo amplior? quid de lunæ lumine, propriúmne an mutuatum præferat? quid de reliquorum siderum natura, cursu, respectu inter se mutuo, vel etiam ad terrestria? cur in terra in-
D cedens super nubes exilis? cur æthereas res ais te posse attingere cum terræ affixus hæreas? cur audes coniectare de rebus omni coniectura superioribus? cur es curiosus in rebus sublimibus nihil ad te attinentibus? cur disciplinarum commentationes vsque ad cælum extendis? cur subtiliter nugaris de sideribus? non ea quæ oceano submota sunt, ô bone, sed propinqua considera. imò teipsum absque adulatione scrutare. at
E quomodo id fiet? I mente Charras in ciuitatem cauernosam, perfossam specubus corporis, considera oculos, aures, nares, cætera instrumenta sensuum, & disce summam philosophiam, vel potius summe necessariam decentissimámque, veritatem quærendo, quid visus, quid auditus, quid gustus, quid odoratus, quid tactus & sensus in vniuersum. deinde

quid sit videre, & quomodo videas, A quid audire & quando audias, quid odorari, quid gustare, quid tangere, & quando fiant hæc singula. prius autem quàm propriam domum bene consideres, vniuersalem examinare annon extrema est insania? necdum tibi maiora præcipio, vt tuam animam mentémque videas, quæ tibi placent tantopere. hæc ipsa nunquam comprehendere poteris. ascende nunc cælum, & arroganter de illis rebus dissere, cum nondum scias vulgatum ver- B sum:

Ædibus in nostris quæ praua aut recta geruntur.

Desine speculari cælestia: diuulsus ab illa scrutatione, nosce teipsum, & vt hoc possis da operã, vtque curis humanis vaces. huiusmodi hominem Tharram Hebræi, Socratem Græci nominant. nam & illum ferunt vsque ad senectutem in hoc præceptum, Nosce teipsum, incubuisse, omissa reliqua C philosophia. verum hic homo erat, Tharra autem ipsa ratio noscendi seipsum, proposita ceu arbor virentissima, vnde studiosi facilè morum fructus carpendo satiarentur. cibo salubri ac iucundissimo. tales sunt apud nos prudentiæ speculatores: athletarum autem & certantium natura est perfectior. nam hi postquam perdidicerunt omnem rationem sensuum, dignos se iudicant maioribus contemplationibus, relinquẽdo sensus quasi cauernas, qui D Charræ nominabantur. ex hoc numero est ille per multiplices profectus ad summam scientiam progressus Abraham. cum enim se maxime cognouit, tũc agnouit minime, vt eum Qui vere est bene cognosceret. Sic enim solet euenire. qui enim seipsum valde cognoscit, valde cõtemnit, reputans quã nihili sit quicquid creatum est. qui autem seipsum spernit, cum Qui est cognoscit. Hactenus quæ sit Charra, & E cur post relictum Iuramenti puteũ ad eam perueniatur. Superest tertia quæstio, Quis locus ille ad quem occurrit. Dicitur enim. Cúmque occurrisset ad locum.] Tripliciter locus intelligitur. primo modo spatium quod impletur corpore. secundo, sermo ille Dei, quẽ Deus ipse totum expleuit incorporeis potentijs. Vidi, inquit, locum in quo stetit Deus Israel, in quo solo permisit sacra facere, alibi vetuit. Præceptum enim est ascendere in locũ quẽcunque

A καὶ πῶς ὁρᾷς, τί δὲ ἀκούειν καὶ πῶς ἀκούεις, τί δὲ ὀσφραίνεσθαι, ἢ γεύεσθαι, ἢ ἅπτεσθαι, καὶ πῶς ἕκαστον αὐτῶν εἴωθε γίνεσθαι. πρὶν δὲ τὸν ἴδιον οἶκον καλῶς ἐπισκέψασθαι, τὸν τοῦ παντὸς ἐξετάζειν οὐχ ὑπερβολὴ μανίας; καὶ οὔπω σοὶ μεῖζον ἐπίταγμα ἐπιτάττω, τὴν σαυτοῦ ψυχὴν ἰδεῖν καὶ τὸν νοῦν, ἐφ' ᾧ μέγα φρονεῖς· καταλαβεῖν γὰρ αὐτὸν οὔποτε δυνήσῃ. ἀνάβαινε νῦν εἰς οὐρανὸν καὶ καταλαζονεύου περὶ τῶν ἐκεῖ, μήπω δυνάμενος γνῶναι κατὰ τὸ ποιητικὸν γράμμα, Ὅττι τοι ἐν μεγάροισι κακόν τ' B ἀγαθόν τε τέτυκται· κάταγε τὴν ἀπ' οὐρανοῦ τὸν κατάσκοπον, καὶ αὐτίκα παυσάμενος ἀπὸ τῆς ἐκεῖ ζητήσεως, γνῶθι σαυτόν, καὶ τοῦτ' ἐπιμελῶς ἐκπόνησον, ἵνα τῆς ἀνθρωπίνης ἐπιμελείας ἐπιλάχῃς. τὸν τρόπον τοῦτον, Θάρραν μὲν Ἑβραῖοι, Σωκράτην δ' Ἕλληνες ὀνομάζουσι. καὶ γὰρ ἐκεῖνον ἐγγηράσαι φασὶν τῇ περὶ τοῦ γνῶθι σαυτὸν ἀκριβεστάτῃ γνώσει, μηδὲν ἔξω τῶν καθ' ἑαυτὸν φιλοσοφοῦντα. ἀλλ' ὁ μὲν ἄνθρωπος ἦν· Θάρρα δὲ αὐτὸς ὁ λόγος ὁ πε- C ρὶ τοῦ γνῶναί τινα ἑαυτὸν προκείμενος, οἷα δένδρον εὐερνέστατον, ἵν' ἔχοιεν εὐμαρῶς οἱ φιλάρετοι τὸν περὶ ἠθοποιίαν δρεπόμενοι καρπὸν σωτηρίου καὶ ἡδίστης ἐμπίπλασθαι τροφῆς. τοιοῦτοι μὲν ἡμῖν οἱ φρονήσεως κατάσκοποι· τῶν δὲ ἀθλητῶν καὶ ἀγωνιστῶν αὐτῆς αἱ φύσεις τελεώτεραι. δικαιοῦσι γὰρ οὗτοι τὸν περὶ τῶν αἰσθήσεων σύμπαντα λόγον ἀκριβῶς καταμαθόντες, ἐπὶ τι μεῖζον ἕτερον ἥκειν θεώρημα, καταλιπόντες τὰς αἰσθήσεις, ὡς ὀπάς, αἳ D Χαρρὰν ὀνομάζονται. τούτων ἐστὶν ὁ ἐπιδόσεις καὶ βελτιώσεις πρὸς ἐπιστήμης ἄκρας ἀνάληψιν ἐσχηκὼς Ἀβραάμ. ὅτε γὰρ μάλιστα ἔγνω, τότε μάλιστα ἀπέγνω ἑαυτόν, ἵνα τοῦ πρὸς ἀλήθειαν ὄντος εἰς ἀκριβῆ γνῶσιν ἔλθῃ· καὶ πέφυκεν οὕτως ἔχειν. ὁ γὰρ λίαν καταλαβὼν ἑαυτόν, λίαν ἀπέγνωκε, τὴν ἐν πᾶσι τοῦ γενητοῦ σαφῶς προλαβὼν οὐδένειαν· ὁ δ' ἀπογνοὺς ἑαυτόν, γινώσκει τὸν ὄντα. τίς μὲν οὖν ἐστιν ἡ Χαρράν, καὶ διὰ τί ὁ ἀπολιπὼν τὸ τοῦ ὅρκου E φρέαρ εἰς αὐτὴν ἔρχεται, δεδήλωται· σκεπτέον δὲ τὸ τρίτον καὶ ἀκόλουθον, τίς ὁ τόπος, ᾧ ὑπαντᾷ. λέγεται γάρ, Ὑπήντησεν ἐν τῷ τόπῳ· τριχῶς δὲ ἐπινοεῖται τόπος· ἅπαξ μέν, χώρα ὑπὸ σώματος ἐκπεπληρωμένη· κατὰ δεύτερον δὲ τρόπον, ὁ θεῖος λόγος, ὃν ἐκπεπλήρωκεν ὅλον δι' ὅλων ἀσωμάτοις δυνάμεσιν αὐτὸς ὁ θεός. Εἶδον γάρ, φησί, τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ, ἐν ᾧ μόνῳ καὶ ἱερουργεῖν ἀφῆκεν, ἀλλαχόθι κωλύσας. εἴρηται γὰρ ἀναβαίνειν εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός, κἀκεῖ θύειν τὰ ὁλοκαυτώματα καὶ σωτήρια,

καὶ τὰς ἄλλας ἀμώμους θυσίας ἀνάγειν. κατὰ δὲ τρίτον σημαινόμενον, αὐτὸς ὁ θεὸς καλεῖται τόπος, τῷ περιέχειν μὲν τὰ ὅλα, περιέχεσθαι δὲ πρὸς μηδενὸς ἁπλῶς, καὶ τῷ καταφυγὴν τῶν συμπάντων εἶναι αὐτὸν καὶ ἐπειδήπερ αὐτός ἐστι χώρα αὐτοῦ, κεχωρηκὼς ἑαυτὸν καὶ ἐμφερόμενος μόνῳ ἑαυτῷ. ἐγὼ μὲν, οὐκ εἰμὶ τόπος, ἀλλ' ἐν τόπῳ καὶ ἕκαστον τῶν ὄντων ὁμοίως. τὸ γὰρ περιεχόμενον διαφέρει τοῦ περιέχοντος· τὸ δὲ θεῖον ὑπ' οὐδενὸς περιεχόμενον, ἀναγκαίως ἐστὶν αὐτὸ τόπος ἑαυτοῦ. μαρτυρεῖ δέ μοι ἅγιον τὸ χρησθὲν ἐπὶ τοῦ Ἀβραὰμ τόδε, Ἦλθεν εἰς τὸν τόπον ὃν εἶπεν αὐτῷ ὁ θεός· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν. ὁ ἐλθὼν εἰς τὸν τόπον, εἰπέ μοι, μακρόθεν αὐτὸν εἶδεν; ἀλλὰ μήποτε δυοῖν πραγμάτων ἐστὶν ὁμωνυμία διαφερόντων, ὧν τὸ μὲν ἕτερον θεῖός ἐστι λόγος· τὸ δὲ ἕτερον, ὁ πρὸ τοῦ λόγου θεός· ὁ δὲ ξεναγηθεὶς ὑπὸ σοφίας εἰς τὸν πρότερον ἀφικνεῖται τόπον, εὑρόμενος τῆς θρησκείας κεφαλὴν καὶ τέλος τὸν θεῖον λόγον, ἐν ᾧ γενόμενος οὐ φθάνει πρὸς τὸν κατὰ τὸ εἶναι θεὸν ἐλθεῖν, ἀλλ' αὐτὸν ὁρᾷ μακρόθεν, μᾶλλον δὲ οὐδὲ πόρρωθεν αὐτὸν ἐκεῖνον θεωρεῖν ἱκανός ἐστιν, ἀλλὰ τὸ μακρὰν τὸν θεὸν εἶναι πάσης γενέσεως αὐτὸ μόνον ὁρᾷ, καὶ τὸ πορρωτάτω τὴν κατάληψιν αὐτοῦ πάσης ἀνθρωπίνης διανοίας διῳκίσθαι. μήποτε μέντοι γε οὐδὲ τόπον νῦν ἀλληγορῶν, ἐπὶ τοῦ αἰτίου παρείληφεν, ἀλλ' ἔστι τὸ δηλούμενον τοιοῦτον, Ἦλθεν εἰς τὸν τόπον, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν αὐτὸν τὸν τόπον εἰς ὃν ἦλθεν, μακρὰν ὄντα τοῦ ἀκατονομάστου καὶ ἀρρήτου, καὶ κατὰ πάσας ἰδέας ἀκαταλήπτου θεοῦ; τούτων προδιωρισμένων, ὅταν εἰς Χαρρὰν τὴν αἴσθησιν ἔλθῃ ὁ ἀσκητὴς, οὐχ ὑπαντᾷ τόπῳ, οὔτε τῷ ἐκπεπληρωμένῳ ὑπὸ σώματος θνητοῦ· μετέχουσι γὰρ αὐτοῦ πάντες οἱ γηγενεῖς ἐκπεπληρωκότες χώραν, καὶ τόπον τινὰ κατὰ τὸ ἀναγκαῖον ἐπέχοντες· οὔτε τῷ τρίτῳ καὶ ἀρίστῳ, οὗ μόλις ἔννοιαν λαβεῖν ἦν ἐπὶ τοῦ φρέατος ποιουμένῳ τὰς διατριβὰς, ὃς προσονομάζεται ὅρκος, ἐν ᾧ τὸ αὐτομαθὲς γένος Ἰσαὰκ ἐνδιαιτᾶται, μηδέποτε τῆς πρὸς θεὸν πίστεως καὶ ἀφανοῦς ὑπολήψεως ἀφιστάμενον, ἀλλὰ τῷ μέσῳ λόγῳ θείῳ τὰ ἄριστα ὑφηγουμένῳ, καὶ ὅσα πρόσφορα τοῖς καιροῖς ἀναδιδάσκοντι. οὐ γὰρ ἀπαξιοῖ ὁ θεὸς εἰς αἴσθησιν ἔρχεσθαι, τοὺς ἑαυτοῦ λόγους ἐπικουρίας ἕνεκα τῶν φιλαρέτων ἀποστέλλει· οἱ δὲ ἰατρεύουσιν καὶ ἐκνοσηλεύουσι τὰ ψυχῆς ἀρρωστήματα, παραινέσεις ἱερὰς, ὥσπερ νόμους ἀκινήτους ὑφηγοῦντες, ἐπὶ τὰ τούτων γυμνάσια καλοῦντες, καὶ τρόπον ἀλειπτῶν, ἰσχὺν καὶ

A elegerit Dominus Deus, & ibi sacrificare holocautomata & pro salute, cæterásque integras victimas adducere. tertio significato ipse Deus vocatur locus, eo quòd omnia contineat, à nullo prorsus contineatur, & omnibus ad eum refugium pateat: & quia solus sui capax est, seipsum explens atque continens. ego non sum locus, sed in loco, & vnaquæque creatura similiter. nam contentum differt à continente. at numen à nullo contentum, sibi-
B ipsi locus est necessarius, sicut scriptura testatur de Abrahamo loquens: Venit in locum quem ei Deus prædixerat: attollénsque oculos, à longe locum eum prospexit. Quid ais? qui in locum venerat, eum è longinquo prospexit? sed fortasse vocabulum vnum duas res significat, & Dei sermonem, & ipsum Deum. ille verò qui sapientia duce iter faciebat per inhospita, peruenit ad locum priorem; doctus propitiationis caput & summam
C esse Dei sermonem: vbi constitutus nondum ad eum Qui est Deum penetrat, procul eum aspiciens: imò ne hoc quidem assecutus, tantum videt eum longe abesse ab omni creatura, quò nullius humanæ mentis conceptus possit accedere. Fieri tamen potest vt hæc allegoria per locum non illum rerum autorem significet, sed intelligenda sit hoc modo. Venit in locum, & attollens oculos vidit ipsum
D locum in quem venit, longe dissitum ab illo innominabili & ineffabili Deo modis omnibus incomprehensibili. His ita præ definitis, quando Charras, id est in sensus peruenit Meditator, non occurrit in locum implendum mortali corpore: hic enim communis est omnibus terrigenis necessitate locum aliquem occupantibus: nec in illum tertium optimum, de quo vix cogitare poterat accola putei denomi-
E nati à iuramento, vbi à seipso doctum genus Isaac habitat, nunquam à Dei fide discedens: sed in mediatorem sermonem diuinum suggerentem precepta optima & cuique opportuna tempori. Deus enim non dedignatus sensui se ingerere, suum verbum auxiliare mittit virtutem amantibus. id medetur morbis animæ, sacra præcepta ceu leges nunquam antiquandas statuens, & ad hæc exequenda inuitans, atque etiam more pædotribarum robur ad inuictam habitudinem pro-

A mouens. Merito igitur qui ad ſenſum peruenit, non Deo, ſed verbo eius occurrit, ſicut auus in cuius ſapientiam ſucceſſerat. Legimus enim: Diſceſsit Dominus poſtquam deſijt loqui Abrahamo, & Abraham reuerſus eſt in locum ſuum. Vnde colligitur, ea verba obuenire ſacerdotibus, à quibus verbis Deus diſceſsit, non per ſeipſum imaginationes porrigens, ſed per ſuas potentias. Illud autem egregie dictum eſt, non veniſſe in locum, ſed occurriſſe. B Venimus enim ſponte, occurrimus ſæpe inuitati, quando repente Dei ſermo allucens inexpectatum gaudium ſpe maius animæ deſolatæ comes futurus porrigit. nam & Moſes vt occurrat Deo ducit populum, gnarus venturum ex improuiſo & inuiſibiliter ad deſiderantes animas, & cupientes occurrere. adiungitur autem cauſa propter quam Iacob occurrit eò. Occiderat enim inquit, ſol.] non hic omnibus conſpicuus, ſed lucidiſsi- C mum lumen inuiſibilis Dei maximi. Hoc quoties mentem illuſtrat, ſecundarij ſplendores verborum occidunt, loci vero ſenſibiles multo magis obſcurantur: quo decedente, illi mox exiſtunt & exoriuntur. Nec mirum ſolem iuxta regulas allegoricas adſimilari patri principique rerum omnium: quandoquidem re vera nihil dici poteſt Deo ſimile, opinione autem hominum duo tantum, alterum inuiſibile, alterum viſibile, anima inuiſi- D bilis, ſol viſibilis. Animæ ſimilitudo indicatur alibi, ſcriptura dicente: Fecit Deus hominem, ſecundum imaginem Dei fecit eum. Et iterum in lege aduerſus homicidas lata: Qui effundit ſanguinem hominis, talione ſanguis eius effundetur: quoniam ad imaginem Dei feci hominem. Solem autem hic figurate intelligendum aliunde quoque facile poteſt colligi: quoniam Deus eſt lux pri- E maria. Dominus lux mea & ſeruator meus in hymnis canitur. nec tantum lux, ſed omnis aliæ lucis archetypum, imò plus quàm archetypum ſi repetantur antiquiſsimæ origines, ſui ſermonis exemplar. nam effigies illius verbum eſt & lumen integerrimum, ipſe vero nulli creaturæ ſimilis. præterea ſicut ſol diem noctémque diſcriminat, ita Deum Moſes dicit diſcreuiſſe lucem à tenebris. Diuiſit enim Deus lucem à tenebris.

δύναμιν, καὶ τύπον ἀκαταγώνιστον ἐμφύοντες. διόπερ οὖν εἰς αἴσθησιν ἐλθὼν, οὐκ ἐπὶ θεῷ, λόγῳ δὲ ὑπαντᾷ θεοῦ, καθάπερ καὶ ὁ πάππος αὐτοῦ τῆς σοφίας Ἀβραάμ. λέγεται γὰρ, Ἀπῆλθε κύριος ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ. δι' οὗ συνάγεται, ὅτι λόγοις τοιούτοις ἐντυγχάνουσιν ἱερεῖς, ὧν ὁ περὶ τῶν ὅλων θεὸς ἀπήλλακται, μηκέτι τὰς ἀφ' αὐτοῦ τείνων φαντασίας, ἀλλὰ τὰς ἀπὸ τῶν μεθ' αὐτὸν δυνάμεων. παραφυλάξασθαι δ' ἔχει τὸ μὴ φάναι ἐλθεῖν εἰς τὸν τόπον, ἀλλὰ ὑπαντῆσαι τόπῳ. ἑκούσιον μὲν γὰρ τὸ ἔρχεσθαι, τὸ δὲ ὑπαντᾶν πολλάκις ἀκούσιον, ἵν' ἐξαπιναίως ὁ θεῖος λόγος ἀποφαινόμενος ἀπροσδόκητον χαρὰν ἐλπίδος μείζονα ἐρήμῃ ψυχῇ συνοδοιπορεῖν μέλλων προστείνῃ. καὶ γὰρ Μωϋσῆς ἐξάγει τὸν λαὸν εἰς συνάντησιν τοῦ θεοῦ, σαφῶς εἰδὼς ἐρχόμενον αὐτὸν ἀοράτως πρὸς τὰς ποθούσας ψυχὰς ἐντυχεῖν αὐτῷ. τὴν δὲ αἰτίαν ἐπιφέρει, δι' ἣν τόπῳ ὑπήντησεν. Ἔδυ γὰρ, φησὶν, ὁ ἥλιος, οὐχ ὁ φαινόμενος οὗτος, ἀλλὰ τὸ τοῦ ἀοράτου καὶ μεγίστου θεοῦ περιφεγγέστατον καὶ περιαυγέστατον φέγγος. τοῦτο ὅταν μὲν ἐπιλάμψῃ διανοίᾳ, τὰ δεύτερα λόγων δύεται φέγγη, πολὺ δὲ μᾶλλον οἱ αἰσθητοὶ τόποι πάντες ἐπισκιάζονται. ὅταν δὲ ἑτέρωσε χωρήσῃ, πάντ' εὐθὺς ἀνίσχει καὶ ἀνατέλλει. μὴ θαυμάσῃς δὲ, εἰ ὁ ἥλιος κατὰ τοὺς ἀλληγορίας κανόνας ἐξομοιοῦται τῷ πατρὶ καὶ ἡγεμόνι τῶν συμπάντων. ὅμοιον γὰρ πρὸς ἀλήθειαν μὲν οὐδὲν, ἐν δὲ δόξῃ νενόμισται, δύο μόνα ἐστὶν, ἀόρατόν τε καὶ ὁρατὸν, ψυχὴ μὲν ἀόρατον, ὁρατὸν δὲ ἥλιος. τὴν μὲν οὖν ψυχῆς ἐμφέρειαν, δεδήλωκεν ἐν ἑτέροις, εἰπὼν, Ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν. καὶ ἐν τῷ κατὰ ἀνδροφόνων τεθέντι νόμῳ πάλιν, Ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται· ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον. τὴν δὲ ἥλιον διὰ συμβόλων μεμήνυκε. ῥᾴδιον δὲ καὶ ἄλλως διὰ ἐπιλογισμοῦ τοῦτο κατιδεῖν. ἐπεὶ πρῶτον μὲν ὁ θεὸς φῶς ἐστι. Κύριος γὰρ φῶς μου καὶ σωτήρ μου, ὕμνοις ᾄδεται· καὶ οὐ μόνον φῶς, ἀλλὰ καὶ παντὸς ἑτέρου φωτὸς ἀρχέτυπον, μᾶλλον δὲ πρεσβύτερον ἀρχετύπου καὶ ἀνώτερον, λόγον ἔχον παραδείγματος. τὸ μὲν γὰρ παράδειγμα, ὁ πληρέστατος ἦν αὐτοῦ λόγος φῶς, αὐτὸς δὲ οὐδενὶ τῶν γεγονότων ὅμοιος. ἔπειθ' ὡς ὁ ἥλιος ἡμέραν καὶ νύκτα διακρίνει, οὕτως φησὶ Μωσῆς τὸν θεὸν φῶς καὶ σκότος διατειχίσαι. Διεχώρισε γὰρ ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς

καὶ

καὶ ἀνὰ μέσον τοῦ σκότους. ἄλλως τε, ὡς ὁ ἥλιος τὰ κεκρυμμένα τῶν σωμάτων ἐπιδείκνυται, οὕτω καὶ ὁ θεὸς τὰ πάντα γεννήσας, οὐ μόνον εἰς τοὐμφανὲς ἤγαγεν, ἀλλὰ καὶ ἃ πρότερον οὐκ ἦν, ἐποίησεν, οὐ δημιουργὸς μόνον, ἀλλὰ καὶ κτίστης αὐτὸς ὤν. λέγεται πολλαχῶς κατὰ τὸν ἱερὸν λόγον ἐν ὑπονοίαις ὁ ἥλιος, ἅπαξ μὲν ὁ ἀνθρώπινος νοῦς, ὃν οἰκοδομοῦσιν ὡς πόλιν καὶ κατασκευάζουσιν οἱ γένεσιν πρὸ τοῦ ἀγεννήτου θεραπεύειν ἀναδιδαξάμενοι, ἐφ᾽ ὧν εἴρηται, ὅτι ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραῷ, τήν τε Πειθὼ τοῦ λόγου, ᾧ τὸ πείθειν ἀνάκειται, καὶ Ραμεσσὴν τὴν αἴσθησιν, ὑφ᾽ ἧς ὥσπερ ὑπὸ σητῶν ἡ ψυχὴ διεσθίεται. ἑρμηνεύεται γὰρ σεισμὸς σητός, καὶ κατὰ τὴν τοῦ νοῦ, ἣν Ἡλίου πόλιν ὠνόμασεν· ἐπειδὴ καθάπερ ἥλιος τοῦ παντὸς ἡμῶν ὄγκου τὴν ἡγεμονίαν ἀνῆπται, καὶ τὰς ἀφ᾽ αὑτοῦ δυνάμεις ὥσπερ ἀκτῖνας εἰς ὅλον τείνει. τὸν δὲ ἱερέα καὶ θεραπευτὴν τοῦ νοῦ, πενθερὸν ἐπιγράφεται πᾶς ὁ τὴν τοῦ σώματος πολιτείαν ἀναγραψάμενος, ὄνομα Ἰωσήφ. Ἔδωκε γάρ, φησίν, αὐτῷ τὴν Ἀσενὲθ θυγατέρα Πετεφρῆ ἱερέως Ἡλίου πόλεως· δεύτερον δὲ καλεῖ ἥλιον συμβολικῶς τὴν αἴσθησιν, ἐπειδὴ τὰ αἰσθητὰ πάντα δείκνυσι διανοίᾳ, περὶ ἧς λελάληκεν ὧδε, Ἀνέτειλεν ἥλιος αὐτῷ, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ. τῷ γὰρ ὄντι ταῖς ἱερωτάταις ἰδέαις καὶ ὡς ἂν εἰκόσιν ἀσωμάτοις, ὅταν μηκέτι δυνώμεθα συνδιατρίβειν, ἀλλ᾽ ἑτέρωσε μεταστρεπόμενοι μεταχωρήσωμεν, ἑτέρῳ φωτὶ τῷ κατ᾽ αἴσθησιν χρώμεθα, σκότους πρὸς τὸν ὑγιῆ λόγον οὐδὲν ἁπλῶς διαφέροντι, ὅπερ ἀνατεῖλαν, ὅρασιν μὲν καὶ ἀκοήν, ἔτι δὲ γεῦσιν καὶ ἁφὴν καὶ ὄσφρησιν, ὥσπερ κοιμωμένας ἀνήγειρε, φρόνησίν τε καὶ δικαιοσύνην, ἐπιστήμην τε καὶ σοφίαν, ἐγρηγορυίας διανοίας, εἰς ὕπνον ἔτρεψεν. οὗ χάριν ἁγνεύειν οὐδένα πρὸ ἑσπέρας φησὶν ὁ ἱερὸς λόγος δύνασθαι, διανοίας ὑπὸ τῶν κατ᾽ αἴσθησιν κινήσεων ἔτι [illegible]· ἄφυκτον δὲ καὶ τοῖς ἱερεῦσι νόμον ἐν ταὐτῷ τὴν γνώμην ἀποφαινόμενος τίθησιν, ἐπειδὰν λέγῃ, Οὐκ ἔδεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα ὕδατι, καὶ δύῃ ὁ ἥλιος, καὶ γένηται καθαρός. δηλοῖ γὰρ σαφέστατα διὰ τούτων, ὅτι εὐαγὴς εἰς ἅπαν οὐδεὶς ἐστὶν ὡς ταῖς ἁγίαις καὶ ἱεροπρεπέσι μυστικαῖς τελεταῖς, ὧν τὰς ἐσθῆτας τοῦ θνητοῦ βίου λαμπρότητι τετιμῆσθαι συμβέβηκε. εἰ δέ τις αὐτὰς οὐκ ἀποδέχεται, κατὰ τὸ ἀκόλουθον τῷ φρονήσεως ἐπιλάμπεται φωτί, δι᾽ οὗ δυνήσεται τὰς τῶν κενῶν δοξῶν ἐκνίψασθαι κηλῖδας. ἢ τὸν ἥλιον αὐτὸν οὐχ ὁρᾷς, ὅτι τἀναντία καὶ

A Alioquin etiam ficut fol occulta corpora detegit, fic Deus omnia creans, non folum in lucem produxit, fed & quæ prius non fuerant, condidit, creator magis quam opifex. Cæterum fol multa in fcripturis facris fubindicat: vno modo mentem hominis, quam ædificant ficut ciuitatem & muniunt, qui creaturam creatori præferunt, in quos dictum illud competit: quod ædificauerunt ciuitates munitas Pha-
B raoni, Pitho fermonem perfuafibilem, & Ramefem fenfum, more tineæ rofurum animam. fic enim hoc nomen interpretatur, quaffatio tineæ, vel efferans mentem, quod pòft in Heliupolim verfum eft. nam mens ficut fol in vniuerfo, in nobis principatum gerit, extendens vbique fuos radios. Sacerdotem autem & cultorem mentis focerum fibi adfcifcit quifquis in ius corporeæ ciuitatis adfcribitur, qui-
C bus Iofephi nomen conuenit. Dedit, inquit, ei coniugem filiam Petephræ facerdotis Heliupoleos. altero modo fol fenfum figurate fignificat: quia fenfus menti indicat omnia fenfibilia: in quo fignificato dicuntur hæc: Exortus eft ei fol, quando præterijt Dei vifio. Ita eft profecto, cum à facratiffimis ideis & tanquam imaginibus incorporeis, non valentes earum contemplationem diutius ferre, auertimur,
D alio lumine fenfibili vtendum eft, quod cum illo collatum nihil differt à tenebris: quod exortum, excitat quidem vifum, auditum, guftum, tactum, odoratúmque, fed prudentiam, iuftitiam, fcientiam, fapientiam, vigilantes mentes, in fomnum vertit. quamobrem ante vefperam neminem purum eloquia facra pronunciant, turbantibus mentem incompofitis fenfuum motibus. Ibidem & facerdotibus lex fancitur, inter-
E dicens fic: Non edet de facris, nifi abluto aquis corpore, purificatus poft folis occubitum. docemur enim aperte his verbis, neminem fatis fanctum effe ad obeunda facra myfteria, qui mortalis vitæ claret honoribus: fed fi quis horum contemptor vt par eft illuftratur à prudentia, vt fic poffit eluere vanæ gloriæ maculas. Nónne vides folem ipfum aliud orientē aliud occidentem efficere? poft exortum

eius illustrantur in terris omnia, in cælo verò celantur. è diuerso post eius occasum sidera quidem promicant, terrestria verò cuncta obteguntur vmbris superuenientibus. ad eundem modum res nostræ se habent: quoties sensuum splendor tanquam sol oritur, tunc scientiæ re vera cælestes occultantur: quoties autem ad occasum accedit, tunc fulgentissimæ virtutum stellæ se proferunt, quando etiam mens ipsa re nulla velante fit sensibilis. In tertio significato sol vocatur Dei sermo, imago cælestis numinis, vt ante diximus, de quo dicitur: Sol exortus est super terram, & Lot intrauit in Segor, & Dominus pluit super Sodomam ac Gomorram sulfur & ignem. Cum enim Dei verbum in terrenam istam nostram compagem peruenit, virtutis cognatis sectatoribúsque auxiliatur, salutare præbens refugium: aduersarijs vero immittit perniciem ineuitabilem. In quarta porrò significatione sol dicitur ipse Deus omnipotens, vt iam dixi, qui peccata insanabilia, quamuis latere videantur, reuelat. nam Deus & potest & nouit omnia. Quapropter eos qui diuertunt à rebus animæ, & lasciue conuersantur cum mentis filiabus, id est sensibus, tanquam cum meretricibus, contra solem tolli iubet. Scriptum est enim, Et diuertit populus in Setin. quæ vox sentes interpretatur, nimirum quod pungant animam. Et profanatus est, inquit, scortando cum filiabus Moab. sensus autem nunc vocantur filiæ. nam Moab ex patre interpretatur. môxque subiungit: Sume omnes qui populo fuerunt autores huius flagitij, & tolle hos contra solem Domino, & auertetur ira Domini ab Israel. nam non hoc tantum hic agitur, vt occulta scelera in solem proferantur, verum etiam vt figurate sol vocetur pater ille omnipotens, cui sunt omnia conspicua, etiam quæ in mentis intimis versantur cogitationibus. post sublatos autem scelestos pollicetur Deum fore propitium, cuius vnius fauore opus habet populus. Quamobrem? Quia si mens

A ἀνατέλλων καὶ δυόμενος ἐργάζεται. ἐπειδὰν μὲν
γὰρ ἀνίσχῃ, τὰ μὲν κατὰ γῆν ἅπαντα περιλάμπεται,
τὰ δὲ κατ' οὐρανὸν ἀποκρύπτεται, δύντος δὲ ἔμ-
παλιν, οἱ μὲν ἀστέρες προφαίνονται, τὰ δὲ περίγεια
συσκιάζεται· τὸν αὐτὸν τρόπον καὶ ἐν ἡμῖν, ὅταν
μὲν τὸ τῆς αἰσθήσεως φέγγος ὡς ἥλιος ἀνατείλῃ,
τὰς ὀλυμπίους καὶ οὐρανίους ὡς ἀληθῶς ἐπιστήμας
ἐπικρύπτεσθαι συμβέβηκε· ὅταν δὲ πρὸς δυσ-
μὰς ἔλθῃ, τὰς ἀστροειδεστάτας ἀναφαίνεσθαι
ἀρετῶν αὐγάς, ὅτε καὶ καθαρὸς ὁ νοῦς ὑπὸ μη-
B δενὸς κρυπτόμενος αἰσθητὸς γίνεται. κατὰ δὲ τρίτον ση-
μαινόμενον, ἥλιον καλεῖ τὸν θεῖον λόγον, τὸ τοῦ κατ'
οὐρανὸν περιπολοῦντος, ὡς πρότερον ἐλέχθη, πα-
ράδειγμα, ἐφ' οὗ λέγεται, Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν
γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σιγώρ, καὶ κύριος ἔ-
βρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ. ὁ
γὰρ τοῦ θεοῦ λόγος ὅταν ἐπὶ τὸ γεῶδες ἡμῶν σύστη-
μα ἀφίκηται, τοῖς μὲν ἀρετῆς συγγενέσι καὶ πρὸς
ἀρετὴν ἀποκλίνουσιν, ἀρήγει καὶ βοηθεῖ, ὡς κατα-
C φυγὴν καὶ σωτηρίαν αὐτοῖς πορίζειν παντελῆ, τοῖς
δὲ ἀντιπάλοις ὄλεθρον καὶ φθορὰν ἀνίατον ἐπιπέμ-
πει. λέγεται δὲ καὶ κατὰ τέταρτον σημαινόμενον, ἥ-
λιος μὲν αὐτὸς ὁ τῶν ὅλων θεὸς καὶ ἡγεμών, ὡς εἶ-
πον ἤδη, δι' οὗ τὰ ἀνίατα τῶν ἁμαρτημάτων συσκιά-
ζεσθαι δοκοῦντα, ἀνακαλύπτεται. πάντα γὰρ
ὡς δυνατά, οὕτω καὶ γνώριμα θεῷ. παρ' ὃ καὶ
τοὺς καταλυθέντας τῶν ὄντως ψυχικῶν, καὶ ἀκο-
λάστως καὶ λαγνίστερον ὁμιλοῦντας ταῖς τοῦ νοῦ θυ-
γατράσιν αἰσθήσεσιν ὡς χαμαιτύποις καὶ πόρναις,
D ἐνδειχθησομένους πρὸς ἥλιον ἄγει. φησὶ γάρ, Καὶ
κατέλυσεν ὁ λαὸς ἐν Σαττίν. ἄκανθαι δὲ παθῶν
ἑρμηνεύονται κεντούντων καὶ τιτρωσκόντων τὴν
ψυχὴν σύμβολον. Καὶ ἐβεβηλώθη, φησίν, ἐκ-
πορνεῦσαι εἰς τὰς θυγατέρας Μωάβ. αἱ δ' εἰσίν,
αἰσθήσεις, κεκλημέναι θυγατέρες. Μωὰβ γὰρ ἐκ
πατρὸς ἑρμηνεύεται. καὶ προστίθησι, Λάβε πάν-
τας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ, καὶ παραδειγμάτισον
τῷ κυρίῳ ἀπέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται
ὀργὴ κυρίου ἀπὸ Ἰσραήλ. οὐ γὰρ μόνα τὰ κεκρυμ-
E μένα τῶν ἀδικημάτων ἐμφανῆ γενέσθαι βουλό-
μενος, ταῖς ἡλιακαῖς περιέλαμψεν ἀκτῖσιν. ἀλ-
λὰ καὶ διὰ συμβόλων ἥλιον τὸν πατέρα τῶν
ὅλων ἐκάλεσεν, ᾧ πάντα προῦπτα, καὶ ὅσα
ἐν μυχοῖς τῆς διανοίας ἀοράτως ἐπιτελεῖται·
γινομένων δὲ ἐμφανῶν, ἵλεών φησιν ἔσεσθαι τὸν
μόνον ἵλεων τῷ λαῷ. διὰ τί· ὅτι ἐὰν ὑπολαμ-
βάνωσι διάνοιαι λήσεσθαι τὸ θεῖον ἀδικοῦσαι, ὡς
μὴ πάντα καθορᾶν δυνάμενον, κρύφα καὶ ἐν

ψυχαῖς διαμαρτάνῃ, καὶ μετὰ ταῦτα εἴτε καὶ ἐξ αὐτῆς, εἴτε καὶ ὑφηγησαμένου τινὸς ἐννοήσῃ, ὅτι ἀμήχανον ἄδηλον εἶναί τι θεῷ καὶ ἑαυτὴν καὶ τὰς ἑαυτῆς πράξεις ἁπάσας ἀναπτύξῃ, καὶ εἰς μέσον προενεγκοῦσα καθάπερ εἰς ἡλιακὸν φέγγος ἐπιδείξηται τῷ τῶν ὅλων ἐπισκόπῳ, φήσασα μετανοεῖν ἐφ' οἷς πρότερον ἀγνοοῦμεν γνώμῃ χρωμένη κακῶς ἐδόξαζε· μηδὲν γὰρ ἄδηλον, γινώσκεσθαι δὲ πάντα καὶ δῆλα, οὐ τὰ παρελθόντα μόνον, ἀλλὰ καὶ τὰ ἐλπιζόμενα κατὰ πολλὴν περιουσίαν ὑπάρχειν αὐτῷ· κεκάθαρται καὶ ὠφέληται, καὶ τὸν ἐφεστῶτα κολαστὴν ἔλεγχον ἡμέρωσεν, ὀργῇ δικαίᾳ χρώμενον, ὃς τὸν μετανοοῦντα ἀδελφὸν νεώτερον ὄντα τοῦ μηδόλως ἁμαρτεῖν, ἀποδέχεται). Φαίνεται μέντοι καὶ ἑτέρωθι κατὰ σύμβολον ἐπὶ τῆς αἰτίας τὸν ἥλιον παραλαμβάνων, ὡς ἐν τῷ γραφέντι νόμῳ ἐνορῶ περὶ τῶν ἐνεχύροις δανειζόντων λέγει γὰρ τὸν νόμον, Ἐὰν ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον, πρὸ δυσμῶν ἡλίου ἀποδώσεις αὐτῷ. ἔστι γὰρ τοῦτο περιβόλαιον, αὐτὸ μόνον τοῦτο ἱμάτιον ἀσχημοσύνης αὐτοῦ, ἐν τίνι κοιμηθήσεται. ἐὰν καταβοήσῃ πρός με εἰσακούσομαι αὐτοῦ. ἐλεήμων γάρ εἰμι. ἆρ' οὐκ ἄξιον τοὺς οἰομένους τὴν τοσαύτην σπουδὴν εἶναι τῷ νομοθέτῃ περὶ ἀμπεχόνης, εἰ καὶ μὴ ἐνδείξειν, ἀλλά τοι γε ὑπομιμνήσκειν, φάσκοντας, τί λέγετε ὦ γενναῖοι. ὅτι τῶν ὅλων κτίστης καὶ ἡγεμὼν ἐλεήμονα ἑαυτὸν ἐφ' οὕτως εὐτελοῦς πράγματος ἱματίου μὴ ἀποδοθέντος χρεώστῃ πρὸς δανειστοῦ καλεῖ; τὸ μέγεθος καθάπαξ τῆς ἀρετῆς τοῦ τὰ πάντα μεγάλου θεοῦ μὴ συνεωρακότων μηδὲ συνορώντων ἐπὶ τοιαῦθ' ὑπολαμβάνειν, καὶ τὴν ἀνθρωπίνην σμικρολογίαν τῇ ἀγενήτῳ καὶ ἀφθάρτῳ καὶ πλήρει μακαριότητος καὶ εὐδαιμονίας φύσει παρὰ θέμιν καὶ δίκην προσαπτόντων. τί γὰρ ἄτοπον ποιοῦσιν οἱ ῥύσια κατέχοντες δανεισταὶ παρ' αὐτοῖς, ἄχρις ἂν τὰ ἴδια διαπράξωνται. πένητες οἱ χρεῶσται, φήσει τις ἴσως, καὶ ἄξιοι ἐλεεῖν αὐτούς. εἶτ' οὐκ εὔλογον καὶ ἄμεινον ἦν γράψαι νόμον, δι' οὗ τούτοις ἐρανιοῦσι μᾶλλον ἢ χρεώστας ἀποφανοῦσιν, ἢ ἐπ' ἐνεχύροις τὸ δανείζειν κωλύσειν; ὁ δὲ ἐφεὶς, οὐκ ἂν εἰκότως ἐπὶ τοῖς ἀνελεήτως πρὸ καιροῦ μὴ προϊεμένοις δυσχεραίνοι ὡς ἀσεβοῦσι· πενίας δ' εἰς αὐτά τις ἐλθὼν ὡς ἔπος εἰπεῖν τὰ πέρατα, καὶ ῥάκιον ἐναμπεχόμενος, δανειστὰς καινοὺς ἐπάγεται), τὸν ἀπὸ τῶν ὁρώντων παρεὶς ἔλεον, ὃς τοῖς κεχρημένοις ταῖς τοιαύταις κακοπραγίαις, κατ' οἰκίαν καὶ παρ' ἱεροῖς καὶ ἐν ἀγορᾷ καὶ πανταχοῦ πρόχειρος); νυνὶ δὲ καὶ ὁ μόνον

A rata posse malefacta sua latere Deum, quasi non cernentem omnia, clam peccat: deinde vel ipsa resipiscens, vel ab alio monita cogitat impossibile esse vt Deum fallat aliquid: excutiénsque omnia sua facta tanquam in solem profert spectanda inspectori omnium, fatendo se pœnitere prioris opinionis impiæ (nihil enim ignotum Deo, noscenti non solum B præterita, sed & futura pro immensa sua potentia) purgata & percurata est, placato exactore pœnæ qui iam instabat iratus non immerito, sed fratris pœnitentiam libens volénsque vt innocentiam accipit. Idem significatum solis & alibi reperitur, sicut in lege scripta de datis creditori pignoribus. Si pignus acceperis vestem à proximo, ante occasum solis reddes eam. est enim eius ami- C ctus, quo solo tegit suam turpitudinem, in quo cubat etiam. Si contra te clamauerit ad me, exaudiam eum. sum enim misericors. Qui vident legislatorem tam diligenter de amictu præcipere, possent si non obijcere, certe taciti cogitare, Quid dicitis ô boni? Omnipotens rerum conditor misericordem se vocat ob tantillum negocium, ob vestem debitori à creditore non redditam? Istæ opiniones sunt ignorantium Dei ma- D gnitudinem, quam æstimantes è pusillanimitate hominum, beatæ illi naturæ ingenitæ immortalíque tales affectus præter ius ac fas tribuunt. Quid enim absurdi faciunt creditores si pignora detinent tantisper dum res suas recipiant? Dicet aliquis creditores pauperes & dignos miseratione: nónne igitur fuit satius legem scribere de collationibus faciendis in E subsidium talium prius quam petant mutuum: aut vetare pignus à debitore accipere? cæterum qui iam id permisit, non æquum facit dum ante tempus non reddentibus indignatur tanquam impijs. & homo ad extremam redactus pauperiem, amictus pannis detritis ac vilibus, onerabit se nouis debitis, obuiorum miserationem negligens, quæ miseris & egenis ostiatim patet pro templis, in foris,

& passim aliubi? at iste mauult vnicum pudoris tegmentum, quo verenda velabat, creditori suo porrigere. cuius rei pignus dic obsecro. num vestis melioris? nam alimenta necessaria desunt nemini, quamdiu fluuij manant è fontibus, torrentes inundant imbribus, terra fructus reddit annuos. Potéstne inueniri tam auarus, aut crudelis, aut importunus fœnerator, vt quatuor pauciorésve drachmas fœnerari malit quàm donare? & vnicum illud vestimentum non verebitur accipere pignori? id verò spoliatoris magis quàm fœneratoris fuerit. nam prædones solent detractis vestibus nudos dimittere. Quid porrò sibi vult, quod solicitus de illo ne noctu detectus cubet, diurnæ vigilantis nuditati pudorique non æque prospicit? noctu certe omnia tegunt tenebræ, vt aut minus aut nihil pudeat: dies lucem infert, & pudorem magis incutit. Cur autem non dare vestem iubet, sed reddere? quæ redduntur, aliena sunt: pignus creditoris magis quàm debitoris censetur. Sed non animaduertis, quòd debitor accipiens vestem in vsum stragulæ, non iubetur redeunte luce fœneratori eam restituere? Alioqui si proprietas locationis consideretur, vel tardiori liquet aliud in his verbis intelligi, pronunciant enim magis quàm præcipiunt. nam si præciperet diceret: vestem oppignoratam, si creditor aliam non habuerit, reddito ante vesperam, vt ea se possit noctu obuoluere. pronuncians autem ita vt contextus habet loquitur. id enim solum ei restat amiculum, operimentum turpitudinis, in quo cubabit. Hoc cauillatoribus & criticis responsum sit. nos secundum allegoriæ leges rem explicabimus. Dicimus igitur per vestem figurate sermonem intelligi. nam frigoris ac æstus iniurias vestis depellit à corpore, velat quæ natura velari vult, & pro ornamento est quadrans corpori. similiter etiam sermo à Deo datus est homini munus pulcherrimum. primùm pro telo esse potest aduersus insidiatores. nam sicut cæteræ animantes suas quæque vires habent

A εἶχε περικάλυμμα αἰδοῦς, ᾧ τὰ τῆς φύσεως ἀπόρρητα συνεσκίαζε, τοῦτο φέρων προσύτεινε· ῥύσιον ὑπὲρ τίνος, εἰπέ μοι· ἢ ὑπὲρ ἑτέρας ἀμείνονος ἐσθῆτος; τροφῆς μὲν γὰρ ἀναγκαίας, ἄπορος οὐδείς, ἄχρις ἂν πηγαὶ μὲν ἀναβλύζωσι ποταμοὺς, χείμαρροι δὲ πλημμυρῶσι, γῆ δὲ τοὺς ἐτησίους ἀναδιδῶσι καρπούς. οὕτως δὲ ἢ βαθύπλουτός τις, ἢ λίαν ὠμὸς, ἢ λίαν σκαιὸς ὁ δανειστὴς, ὥστε τέτταρα χαλκᾶ, τάχα δὲ καὶ ἔλαττον ἐθέλειν τῷ συμβόλῳ, ἢ οὕτω
B πενιχρῶς δανείζειν, ἀλλὰ μὴ χαρίζεσθαι; ἢ ὁ μόνον ἓν ἱμάτιον ἐκεῖνο λαμβάνειν ἐνέχυρον, ὅπερ ἑτέρῳ ὀνόματι λωποδυτεῖν εἰκότως ἂν λέγοιτο. καὶ γὰρ λωποδύταις ἔθος ἀπαμπίσχουσι, τὰς μὲν ἐσθῆτας ἀφαιρεῖσθαι, γυμνοὺς δὲ τοὺς ἔχοντας ἀποφαίνειν. διὰ τί δὲ νυκτὸς μὲν καὶ τοῦ μὴ ἀσχήμονά τινα κοιμηθῆναι προνοήσει, ἡμέρας δὲ καὶ τοῦ μὴ ἐγρηγορότα γυμνὸν ἀσχημονεῖν οὐκ ἔθ' ὁμοίως ἐφρόντισεν; ἡ μὲν νυκτὶ μὲν καὶ σκότῳ κρύπτεται πάντα, ὡς ἧττον, ἢ μηδ' ὅλως αἰδεῖσθαι, ἡμέρα δὲ καὶ
C φωτὶ ἀνακαλύπτεται, ὡς τότε μᾶλλον ἐρυθριᾶν ἀναγκάζεσθαι. διὰ τί δὲ οὐ διδόναι τὸ ἱμάτιον, ἀλλ' ἀποδιδόναι προσέταξεν. ἀπόδοσις γὰρ ἐπ' ἀλλοτρίοις γίνεται· τὰ δ' ἐνέχυρα τοῦ δεδανεικότος μᾶλλον ἢ τοῦ δεδανεισμένου εἰσί· ἐκεῖνο δὲ οὐκ ἐνοεῖς, ὅτι τῷ λαβόντι χρεώστῃ προσέκειτο τὸ ἱμάτιον, οὐ προσέταξε μεθ' ἡμέραν πάλιν κομίσαι τῷ δανειστῇ; καὶ μὴν τῷ γε τῆς ἑρμηνείας ἰδιώματι, καὶ ὁ βραδύτερος ἕτερόν τι τοῦ ῥητοῦ κατίδοι ἂν προσσημαίνειν. μᾶλλον γὰρ ἀφορίζομένῳ
D ἔοικεν ἢ προστάττοντι τὸ διάταγμα. προστάττων μὲν γὰρ, εἶπεν ἄν τις, τὸ ἐνεχυρασθὲν ἱμάτιον, ἐὰν τοῦτο ᾖ μόνον τῷ χρεώστῃ, πρὸ ἑσπέρας ἀπόδος, ἵν' ἔχοι νύκτωρ ἀμπέχεσθαι· ἀφοριζόμενος δὲ οὕτως, ὡς νῦν ἔχει. ἔστι γὰρ τοῦτο τὸ περιβόλαιον αὐτοῦ μόνον, τοῦτο ἱμάτιον ἀσχημοσύνης αὐτοῦ, ἐν τίνι κοιμηθήσεται. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα πρὸς τοὺς τῆς ῥητῆς πραγματείας σοφιστὰς, καὶ λίαν τὰς ὀφρῦς ἀνεσπακότας εἰρήσθω. λέγομεν γὰρ ἡμεῖς ἑπόμενοι τοῖς ἀλληγορίας νόμοις, τὰ
E πρέποντα περὶ τούτων. φαμὲν τοίνυν λόγου σύμβολον ἱμάτιον εἶναι. τάς τε γὰρ ἀπὸ κρύους καὶ θάλπους εἰωθυίας τῷ σώματι κατασκήπτειν βλάβας, ἐσθὴς ἀπωθεῖται, καὶ ἐπισκιάζει τὰ τῆς φύσεως ἀπόρρητα, καὶ ἔστιν ἁρμόττων σώματι κόσμος ἀμπεχόνη· κατὰ τὸ παραπλήσιον μέντοι καὶ ἀνθρώπῳ λόγος δώρημα κάλλιστον ἐδόθη παρὰ θεοῦ· πρῶτον μὲν κατὰ τῶν νεωτεριζόντων εἰς αὐτὸν, ὅπλον ἀμυντήριον. ὡς γὰρ τῶν ἄλλων ἕκαστον

ζώων ἡ φύσις οἰκείαις ἀρχαῖς ὠχύρωσε, δι' ὧν τοὺς A ἐπιχειροῦντας ἀδικεῖν ἀποκρούσεται, καὶ ἀνθρώπῳ μέγιστον ἔρυμα καὶ φρουρὰν ἀκαθαίρετον λόγον ἔδωκεν, οὗ καθάπερ οἷα πανοπλίας ἐνειλημμένος, οἰκεῖον μὲν καὶ προσφυέστατον ἕξει δορυφόρον. τούτῳ δὲ προαγωνιστῇ χρώμενος, διανύσεται τὰς ἀπὸ τῶν ἐχθρῶν φερομένας ἀποδιώσασθαι ζημίας. δεύτερον δέ, τὸ αἰσχύνης καὶ ὀνειδῶν ἀναγκαιότατον περίβλημα. ἱκανὸς γὰρ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων ὁ λόγος. τρίτον δέ, πρὸς ὅλον τοῦ βίου κόσμον. B ὁ γὰρ βελτιῶν ἕκαστον καὶ πάντα ἄγων ἐπὶ τὸ κρεῖττον, οὗτός ἐστιν. ἀλλὰ γάρ εἰσι λῶβαί τινες καὶ κῆρες ἀνθρώπων, οἳ καὶ τὸν λόγον ἐνεχυράζουσιν, ἀφαιρούμενοι τοὺς ἔχοντας, καὶ συναυξῆσαι δέον, ὅλον ὑποτέμνονται, καθάπερ οἱ τὰ τῶν πολεμίων δῃοῦντες χωρία, καὶ τόν τε σῖτον καὶ τὸν ἄλλον καρπὸν φθείρειν ἐπιχειροῦντες, ὃς ἀφεθεὶς μεγάλη τοῖς χρησαμένοις ἂν ὄνησις ἦν. πόλεμος οὖν ἐνίοις ἐστὶν ἄσπονδος καὶ ἀκήρυκτος C πρὸς τὴν λογικὴν φύσιν, οἵτινες τὰς βλάστας αὐτῆς ἀποκείρουσιν ἐν χρῷ, καὶ τὰς πρώτας ἐπιφύσεις ἐκθλίβουσιν, ἄγονον καὶ στεῖραν, ὡς ἔπος εἰπεῖν, καλῶν ἐπιτηδευμάτων ἀπεργαζόμενοι. ὁρμήσασαν γάρ ἐστιν ὅτε πρὸς παιδείαν τὴν ἱερὰν ἀκατασχέτῳ ῥύμῃ, καὶ πληχθεῖσαν ἔρωτι τῶν φιλοσοφίας ἀληθοῦς θεωρημάτων, ὑπὸ βασκανίας καὶ φθόνου, δείσαντες μὴ μεγάλη προβῶσα καὶ ἐπὶ μήκιστον ἀρθεῖσα, τὰς αἰσχρολογίας αὐτῶν καὶ πιθανὰς εὑρέσεις κατὰ τῆς ἀληθείας ἐπικλύσῃ χειμάρρου D τρόπον, ἑτέρωσε τῇ ἑαυτῶν κακοτεχνίαις τὴν φορὰν ἔτρεψαν, εἰς βαναύσους καὶ ἀνελευθέρους τέχνας μετοχετευσάμενοι· πολλάκις δὲ καὶ ἀμβλώσαντες καὶ ἐπιφράξαντες, ἀργὸν τὸ μεγαλοφυὲς κατέλιπον, ὥσπερ βαθύγειον καὶ εὐδαίμονα γῆν ὀρφανῶν παίδων ἐπίτροποι κακοὶ χέρσον· καὶ οὐκ ἠδέσθησαν οἱ πάντων ἀνηλεέστατοι, τὸ μόνον ἀνθρώπου ἱμάτιον περισυλῶντες λόγον. Ἔστι γάρ, φησί, τοῦτο περιβόλαιον αὐτοῦ μόνον. τί πλὴν λόγος. ὡς γὰρ ἵππου τὸ χρεμετίζειν ἴδιον, καὶ τὸ ὑλακτεῖν E κυνός, καὶ βοὸς τὸ μυκᾶσθαι, καὶ τὸ ὠρύεσθαι λέοντος, οὕτω καὶ ἀνθρώπου τὸ λέγειν, καὶ αὐτὸς ὁ λόγος. τοῦτο γὰρ ἔρυμα, περίβλημα, πανοπλία, τεῖχος, ζῶον τὸ θεοφιλέστατον ὁ ἄνθρωπος ἐκ πάντων ἴδιον κεκάρπωται· διὸ καὶ ἐπιφέρει, Τοῦτο ἱμάτιον αὐτοῦ μόνον ἀσχημοσύνης αὐτοῦ. τίς καλῶς γὰρ οὕτως τὰ ὀνείδη καὶ τὰ αἴσχη τοῦ βίου συσκιάζει καὶ συγκρύπτει ὡς λόγος. ἀμαθία μὲν γὰρ ἀλόγου φύσεως συγγενὲς αἶσχος, παιδεία δὲ ἀδελφὸν

A à natura datas ad arcendos impetus lædere volentium: sic eadem natura homini dedit maximum propugnaculum & arcem munitissimam sermonem, quo tanquam armatura tegatur vndique, domestico aptissimóque protectus satellite, & hostem infestantem lacessentémque ipse illæsus submoueat. secundus eius vsus est necessarius, quòd probra operit & dedecora. efficax enim est sermo ad prætexenda peccata B hominum. tertius, quòd totam vitam ornat. quid enim aliud vniuersa & singula in melius promouet? non desunt tamen pestilentes homines, qui sermonem quoque pro pignore capiunt, & habentibus adimunt, & quem augere debuerant succidunt: quemadmodum hostes faciunt dum agros vastant, fruges cæteróśque fructus depopulando, qui seruati potuissent esse vsui. quoniam sunt qui- C dam hostes perpetui rationalis naturæ, qui ante tempus detondent eius segetes, & prima germina deterunt, vt ei sterilitatem inducant bonorum operum. cùm enim illa eruditionis sacræ desiderio rapitur, veræ philosophiæ cupida, præ inuidia timentes ne si res ei succedat ex sententia, obscœnitates eorum ac fucata commenta more torrentis subruat, impetum eius D vertunt aliò malis artibus, deriuando in artes illiberales & vulgares ac sordidas. interdum etiam præclaris ingenijs sepes obdunt, vt occulta maneant, tanquam perfidi tutores qui pupillorum fertiles agros vepretis sinunt obsolescere. nec pudet immitissimos omnium, sermonem vnicam hominis vestem diripere. Est enim, inquit, hoc vnicum eius amiculum. Quid nisi sermo? nam sicut equi hinnitus est E proprius, latratus canis, bouis mugitus, rugitus leonis, sic sermo hominis. hic est enim proprie munimentum, indumentum, armatura & arx hominis, animalis Deo charissimi. ideo subiungit, hoc solum est tegmentum eius turpitudinis. quis enim æque ac sermo tegit vitæ probra & dedecora? nam inscitia est brutæ naturæ cognatum dedecus, eruditio rationis germanum ornamentum & domesticum.

Ergo vbi cubabit, hoc est requiescet, homo nisi in sermone? sermo enim crumnosissimum genus nostrum subleuat. Et quemadmodum doloribus, timoribus, aliisque malis pressos fauor, sedulitas dexteritásque amicorum sæpe refouet: sic non sæpe, sed semper, grauissima onera, quæ nobis imponit vel corporis coniuncti necessitas, vel externus casus aliquis ex improuiso irruens, dimouet præsentissimum sermonis rationisve remedium: qui socius & amicus familiarissimus à natura nobis est non tam additus quàm adglutinatus vt inuisibiliter sic insolubiliter. ideo præmonet quid conferat, & si quid secus accidit quàm volumus, non vocatus succurrit, præstans non alterum tantum officium, vt adiuuet sine consilio, vel consulat sine auxilio, sed vtrumque pariter. nec enim vires habet semiperfectas, sed omnibus partibus integras. qui etiam si quando frustretur consilio, aut erratum opera corrigit, aut quod tertium superest auxilium, ad consolationem se vertit. nam affectibus ceu animæ vulneribus oratio remedium est saluberrimum, quod legislator ante solis occasum admoueri vult: hoc est, prius quàm illustrissimi maximique Dei splendor occidat, quem misertus nostri menti humanæ inserit. Nam quamdiu in anima lucet lumen illud diuinissimum, reddere debemus sermonem oppignoratum ceu vestem, vt homo recepta possessione propria, turpitudinem vitæ obtegat, & fruatur diuino munere, quiescátque securus præsentia talis adiutoris & consiliarij, nunquam deserturi suum ordinem. proinde splendente tibi adhuc diuino lumine sacratissimo, cura vt interdiu pignus restituas suo Domino. nam post occasum, sicut tota Ægyptus, palpabiles habebis huius seculi tenebras: percussúsque cæcitate atque ignorantia, omnibus quæ in tua potestate fuerant spoliaberis ab Israele perspicace, cuius tenebas pignora, ingenuum in seruitutem vindicans. Hæc prolixius paulo disseruimus, non ob aliam causam nisi vt doceremus, quod meditatoria mens mota inæqualiter nunc ad vbertatem, nunc ad sterilitatem, & quodammodo semper iter faciens, quando sublimis fœcundatur, ab archetypis incorporeísque illustratur radijs fontis rationa-

A λόγου, κόσμος οἰκεῖος. Ἐν τίνι οὖν κοιμηθήσεται, τουτέστιν ἠρεμήσει καὶ διαναπαύσεται ὁ ἄνθρωπος, πλὴν ἐν λόγῳ; λόγος γὰρ τὸ βαρυπονώτατον ἡμῶν γένος ἐπικουφίζει. ὥσπερ οὖν τοὺς λύπαις, ἢ φόβοις, ἢ τισιν ἄλλοις κακοῖς πιεσθέντας, εὐμένεια καὶ συνέχεια, καὶ ἐπιδεξιότης φίλων πολλάκις ἐθεράπευσεν, οὕτως οὐ πολλάκις, ἀλλ' ἀεὶ τὸ βαρύτατον ἄχθος, ὅπερ ἐπιπιέζουσιν ἡμῖν αἱ τοῦ συνδέτου σώματος ἀνάγκαι, καὶ αἱ τῶν ἔξωθεν κατασκηπτουσῶν ἀπροόρατοι δυστυχίαι, μόνος ὁ ἀλεξίκακος λόγος
B ἀποτίθεται· φίλος γὰρ καὶ γνώριμος καὶ συνήθης καὶ ἑταῖρος ἡμῖν ἐστιν ἐνδεδεμένος, μᾶλλον δὲ ἡρμοσμένος, καὶ ἡνωμένος κόλλῃ τινὶ φύσεως ἀλύτου καὶ ἀοράτου. Διὰ τοῦτο καὶ προλέγει τὰ συνοίσοντα, καὶ συμβάντος τινὸς ἀβουλήτου, πάρεστιν αὐτοκέλευστος βοηθήσων, οὐ μίαν ἑτέραν μόνον φέρων ὠφέλειαν, ὡς ὁ μὴ δρῶν σύμβουλος ἢ ὁ μὴ συναγωνιστὴς ἥσυχος, ἀλλ' ἀμφοτέρας. οὐ γὰρ ἡμίεργον ἐπιτετήδευκε δύναμιν, ἀλλὰ πᾶσι τοῖς
C μέρεσιν ὁλόκληρον· ὥς γε κἂν σφαλῇ πείρας ἐν οἷς διανοεῖται, ἢ ἔργῳ ἐπεξέρχεται, ἢ ἐπὶ τὸ τρίτον ἀφικνεῖται βοήθημα παρηγορίαν. φάρμακον γὰρ ὡς θαυμαστόν, καὶ ψυχῆς παθῶν ὁ λόγος, ἐπὶ σωτήριον, ὃν πρὸ δυσμῶν ἡλίου φησὶ δεῖν ὁ νομοθέτης ἀποδοῦναι, τουτέστι πρὶν τὰς τοῦ μεγίστου καὶ ἐπιφανεστάτου θεοῦ καταδῦναι περιλαμπεστάτας αὐγάς, ἃς δι' ἔλεον τοῦ γένους εἰς νοῦν τὸν ἀνθρώπινον ἀποστέλλει. περιλαμπόντος γὰρ ἐν ψυχῇ
D τοῦ θεοειδεστάτου φωτός, ἀποδώσομεν τὸν ἐνεχυρασθέντα λόγον, ὡς ἱμάτιον, ἵνα ἐπιλάβηται ὁ λαβών τι τὸ ἴδιον ὁ ἄνθρωπος κτῆμα, τήν τε αἰσχύνην τοῦ βίου περιστεῖλαι, καὶ τῆς θείας ἀπόνασθαι δωρεᾶς, καὶ μεθ' ἠρεμίας ἀναπαύσασθαι, παρουσίᾳ τοιούτου συμβούλου καὶ παραστάτου, τάξιν ἣν ἐτάχθη μηδέποτε λείψοντος. ἕως οὖν ἔτι σοὶ τὸ ἱερὸν φέγγος ὁ θεὸς ἀκτινοβολεῖ, σπούδασον ἐν ἡμέρᾳ τὸ ῥύσιον ἀποδοῦναι τῷ κυρίῳ. δύντος γάρ, ὡς πᾶ-
E σα Αἴγυπτος, ψηλαφητὸν ἕξεις σκότος τὸν αἰῶνα, καὶ πληγεὶς ἀορασίᾳ καὶ ἀγνοίᾳ, ὧν ἐδόκεις πάντων ἀποκρατεῖν, ἀφαιρεθήσῃ πρὸς τοῦ βλέποντος Ἰσραήλ, ὃν ἐρρυσίαζες, ἀδούλωτον ὄντα φύσει δουλούμενος ἀνάγκῃ. τοῦτον δὲ τὸν δόλιχον ἀπεμηκύναμεν, οὐκ ἄλλου δὲ χάριν, ἢ τοῦ διδάξαι, ὅτι ἡ ἀσκητικὴ διάνοια κινήσεσιν ἀνωμάλοις πρός τε εὐφορίαν καὶ τοὐναντίον χρωμένη, καὶ τρόπον τινὰ ἀνιοῦσα συνεχῶς, ὅταν μὲν εὐφορῇ καὶ πρὸς ὕψος αἴρηται, τοῖς ἀρχετύποις καὶ ἀσωμάτοις ἀκτῖσι τῆς λογικῆς πηγῆς τοῦ τελεσφόρου θεοῦ περι-

λάμπεται· ὅταν δὲ καταβαίνῃ καὶ ἀφορῇ τῶν ἐκείνων κινήσεσιν ἀθανάτοις λόγοις, οὓς καλεῖν ἔθος ἀγγέλους· διὸ καὶ νῦν φησιν, Ὑπήντησε τόπῳ. ἔδυ γὰρ ὁ ἥλιος. ὅταν γὰρ τὴν ψυχὴν ἀπολίπωσιν αἱ τοῦ θεοῦ αὐγαί, δι' ὧν σαφέσταται αἱ τῶν πραγμάτων γίνονται καταλήψεις, ἀνατέλλει δὲ δεύτερον καὶ ἀσθενέστερον λόγων οὐκ ἔτι πραγμάτων φέγγος, καθάπερ καὶ ἐν τῷδε τῷ κάτω κόσμῳ. σελήνη γὰρ τὰ δευτερεῖα ἡλίου φερομένη, καταδύντος ἐκείνου, φῶς ἀμυδρότερον ἐπὶ γῆς ἀποστέλλει. καὶ τὸ ὑπαντᾶν μέντοι τόπῳ ἢ λόγῳ, τοῖς μὴ δυναμένοις τὸν πρὸ τόπου καὶ λόγου θεὸν ἰδεῖν, αὐταρκεστάτη δωρεά, διότι τὴν ψυχὴν ἀφώτιστον εἰσάπαν οὐκ ἔχουσιν. ἀλλ' ἐπεὶ τὸ ἄκρατον ἐκεῖνο φέγγος ἀπ' αὐτῶν ἔδυ, τὸ κεκραμένον ἐκαρπώσαντο. Τοῖς γὰρ υἱοῖς Ἰσραὴλ φῶς ἦν ἐν πᾶσιν οἷς κατεγίνοντο, φησὶν ἐν Ἐξόδῳ, ὡς νύκτα καὶ σκότος ἀεὶ πεφυγαδεῦσθαι, μεθ' ὧν οἱ τὰ ψυχῆς ὄμματα πρὸς τῶν σώματος πεπηρωμένοι ζῶσιν, ἀρετῆς αὐγὰς οὐκ εἰδότες. ἔνιοι δὲ ἥλιον μὲν ὑποτοπήσαντες εἰρῆσθαι νυνὶ συμβολικῶς αἴσθησίν τε καὶ νοῦν, τὰ νενομισμένα καθ' ἡμᾶς αὐτοὺς εἶναι κριτήρια, τόπον δὲ τὸν θεῖον λόγον, οὕτως ἐξεδέξαντο, ὑπήντησεν ὁ ἀσκητὴς λόγῳ θείῳ, δύντος τοῦ θνητοῦ καὶ ἀνθρωπίνου φέγγους. ἄχρι μὲν γὰρ ὁ νοῦς τὰ νοητὰ καὶ αἰσθητὰ αἴσθησις οἴεται παγίως καταλαμβάνειν, καὶ ἄνω περιπολεῖν, μακρὰν ὁ θεῖος λόγος ἀφέστηκεν· ἐπειδὰν δὲ ἑκάτερον ἀσθένειαν ὁμολογήσῃ τὴν ἑαυτοῦ, καὶ τρόπον τινὰ καταδύσῃ χρυσάμενον ἀποκρυφῇ, προσυπαντᾷ δεξιούμενος εὐθὺς ἔφεδρος ἀσκητὴς ὁ ὀρθὸς λόγος, ἑαυτὴν μὲν ἀπογινωσκούσης, τὸν δὲ ἐπιφοιτῶντα ἔξωθεν ἀφανῶς ἀναμενούσης. φησὶ τοίνυν ἑξῆς, ὅτι ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ. θαυμάσαι δ' ἄν τις οὐ μόνον τὴν ἐν ὑπονοίαις πραγματείαν καὶ φυσιολογίαν αὐτοῦ, ἀλλὰ καὶ τὴν ῥητὴν πρὸς πόνον καὶ καρτερίας μελέτην ὑφήγησιν. οὐ γὰρ ἀξιοῖ τὸν ἀρετῆς ἐπιμελούμενον ἁβροδιαίτῳ βίῳ χρῆσθαι καὶ τρυφᾶν, ζηλοῦντα τὰς τῶν λεγομένων μὲν εὐδαιμόνων, πρὸς ἀλήθειαν δὲ κακοδαιμονίας γεμόντων σπουδάς τε καὶ φιλοτιμίας, οἷς πᾶς ὁ βίος ὕπνος καὶ ἐνύπνιόν ἐστι κατὰ τὸν ἱερώτατον νομοθέτην. οὗτοι μεθ' ἡμέραν, ὅταν τὰ ἐν δικαστηρίοις καὶ βουλευτηρίοις καὶ θεάτροις, καὶ πανταχοῦ, τὰ πρὸς τοὺς ἄλλους ἀδικήματα διεξέλθωσιν, οἴκαδε ἀφικνοῦνται, τὸν ἑαυτῶν οἶκον οἱ δυστυχεῖς καταστρέψοντες, οὐ τὸν τῶν οἰκοδομημά-

A lis, id est Dei perficientis omnia: rursum quando descendens sterilescit, incidit in motas ab eis immortales intelligentias, quæ vocantur angeli. Ideo nunc quoque dicitur: Occurrit in locum: occiderat enim sol. nam quando anima luce Dei destituitur, inducente in rerum cognitionem, exoritur secundarium & debilius lumen verborum iam non rerum, sicut & in hoc mundo inferiore. Luna enim secundum luminare à sole, post illius B occasum lumen in terram mittit debilius. Quin & illud occurrere in locum aut sermonem, pro magno beneficio conceditur his qui non possunt Deum loco sermonéque superiorem cernere, vt qui non in totum caligantem habeant animam: sed quia purissimus ille splendor eis non apparet, vel temperato fruantur. Nam filijs Israel lumen erat quocunque venirent, vt narratur in Exodo, nocte ac tenebris sem-C per fugientibus, in quibus viuunt homines orbati mentis oculis, non videntes virtutis radios. Alij, qui solem accipiunt pro sensu mentéque, in quibus iudicandi vim collocant, locum vero pro Dei sermone, sic allegoriam intelligunt: occurrisse meditatorem sermoni Dei, post occasum mortalis humaníque luminis. nam quamdiu sensus aut mens existimat se intelligibilia tenere firmiter, & versari se in sublimibus, longe abest ser-D mo diuinus. quando vero vtrumque suam debilitatem fatetur, & abdens se quodammodo occidit, mox prompte occurrit rectus ille sermo gratulabundus desperanti de suis viribus, & præstolanti opem aduenientis inuisibiliter. Legimus deinceps, quòd sumptis lapidibus eius loci supposuit eos capiti, & dormiuit in loco illo.] Miranda sunt hæc non solum propter allegoriam & physiologiam, sed etiam propter simplicem narrationem perti-E nentem ad exemplum laboris ac patientiæ. non decet enim virtutis sectatorem vita delicata, nec imitatio beatorum istorum vt vocantur, re vera miserorum quantumlibet sint in honore ac pretio: quorum tota vita somnus est & somnium si sacrarum legum latori credimus. Hi postquam per totum diem in tribunalibus, in curijs, in theatris, & vbique molesti fuerunt alijs, reuersi suam domum destruunt infelices: non loquor

de ædificijs, ſed de animæ cognata domo hoc eſt corpore, quod immodicis delicijs alijs ſuper alias ingeſtis obruunt, & mero multo rigant, donec ratio merſa pereat, & affectus qui ſub ventre naſcuntur ex ſaturitate, in effrenem rabiem conciti, quicquid obuiam fit corripiant ad ſedandos libidinis furentis ſtimulos. noctu verò dormituri in auratas ſpondas & pictos tapetas decumbunt molliter more mulierum, quibus natura victum delicatum permittit, & ideo corpus etiam earum mollius fecit opifex. Talis nemo ſacro verbo familiaris eſt, ſed veri viri, ſobrietatis, honeſtatis, pudoris amatores, qui ad continentiam, frugalitatem, patientiam, ceu ad crepidines quaſdam iactati vitæ procellis animam tantum non mergentibus in ſtationem tutiſſimam ſe recipiunt, contemptores pecuniæ, voluptatis, gloriæ, atque etiam cibi potúſque, niſi quantum ad arcendam famem ſufficit, parati propter virtutem perferre ſitim, æſtus, frigora, & difficultates cæteras, quos ne veſtitus quidem pudet ſimpliciſſimi, imò luxum veſtium vt ignominioſum fugitant. his pro cubili pretioſo eſt ſolum herbidum, pro ſtragulis congeſtæ frondes & folia, pro puluino ſaxum aliquod aut tumulus paulo acclinior: quorum victum delicati durum vocant, honeſtatis autem ſectatores exiſtimant iucundiſſimum. conuenit enim viris qui re vera viri ſunt. Vides vt nunc quoque innutritus regijs facultatibus athleta virtutis inducitur humi cubare ſaxo pro puluino ſuppoſito capiti: & paulo poſt dum precatur, panem ac veſtem petit naturæ diuitias, quippe cui luxus oſtentatióque nunquam placuit, nec admiratores rerum talium. hic eſt verum exemplar exercitatæ animæ, infenſus effœminatis omnibus. Hactenus de laude virtutum ſectatoris hominis induſtrij. nunc quærendum quid hæc figura ſignificet. Sciendum autem quod Dei locus & ſacrata regio plena eſt rebus incorporeis. eæ ſunt immortales animæ ſiue intelligentiæ. ex his vnam ſelectam hic noſter, tanquam caput coniuncti corporis, ad mentem ſuam prope admouet. mens

A των, ἀλλὰ τὸν συμφυᾶ τῆς ψυχῆς οἶκον τὸ σῶμα,
τρυφαῖς ἀμέτροις καὶ ἐπαλλήλοις εἰσφοροῦντες, καὶ
πολὺν ἄκρατον ἄρδοντες, ἕως οὗ βυθισθεὶς μὲν ὁ λο-
γισμὸς οἴχηται, τὰ δὲ ὑπὸ γαστέρα πλησμονῆς
ἔκγονα πάθη διαναστάντα, λύττῃ χρώμενα ἀκα-
θέκτῳ καὶ προσπεσόντα καὶ συμπλακέντα τοῖς
ἐπιτυχοῦσι, τὸν πολὺν οἶστρον ἀποβρύζοντα λωφή-
σῃ· νύκτωρ δὲ ὁπότε καιρὸς εἴη πρὸς κοῖτον τρα-
πέσθαι πολυτελεῖς κλίνας καὶ εὐανθεστάτας στρω-
μνὰς εὐτρεπισάμενοι, μαλακῶς σφόδρα κα-
B τακλίνονται τὴν γυναικῶν ἐκμιμούμενοι τρυ-
φήν, αἷς ἡ φύσις ἐπέτρεψεν ἀνειμένῃ χρῆσθαι διαί-
τῃ· παρ' ὃ καὶ τὸ σῶμα, τοῦ μαλθακωτέρου κόμ-
ματος ὁ τεχνίτης καὶ ποιητὴς αὐταῖς εἰργάζετο. τοιοῦ-
τος οὐδὲ εἷς γνώριμος τοῦ ἱεροῦ λόγου, ἀλλ' οἱ
πρὸς ἀλήθειαν ἄνδρες, σωφροσύνης καὶ κοσμιό-
τητος καὶ αἰδοῦς ἐρασταί, ἐγκράτειαν, ὀλιγοδεΐαν,
καρτερίαν, ὥσπερ κρηπῖδάς τινας ὅλου τοῦ βίου κα-
ταβεβλημένοι, ψυχῆς ἀσφαλεῖς ὑποδρόμους, εἰς
C ἀκινδύνους καὶ βεβαίους ἐνορμίζονται, χρημάτων καὶ
ἡδονῆς καὶ δόξης κρείττους, σιτίων καὶ ποτῶν αὐτὸ μό-
νον τῶν ἀναγκαίων ἐφ' ὅσον μὴ νεωτερίζειν ἄρχεται
λιμὸς, ὑπερόπται, καὶ δίψος, θάλπος τε καὶ κρύος,
καὶ ὅσα ἄλλα δυσκαρτέρητα, ὑπὲρ ἀρετῆς κτή-
σεως, ἑτοιμότατοι ζηλωταί, τῶν εὐπορίστων,
ὡς μηδὲ ἐπ' εὐτελεῖ χλαίνῃ ποτὲ δυσωπηθῆναι·
τοὐναντίον δὲ, τὰς πολυτελεῖς, ὀνείδη καὶ μεγάλην
τοῦ βίου ζημίαν νομίσαι· τούτοις πολυτελὴς μὲν
ἐστι κλίνη, μαλακὸν ἔδαφος, στρωμνὴ δὲ θάμνοι,
D πόαι, φύλλων πολλῶν χύσις, βοτάναι· τὰ δὲ πρὸς
κεφαλῇ λίθοι τινὲς, ἢ βραχεῖς γεώλοφοι, τοῦ
ἰσοπέδου μικρὸν ἀνέχοντες· τὸν βίον τοῦτον, οἱ μὲν
τρυφῶντες, σκληροδίαιτον καλοῦσιν, οἱ δὲ πρὸς κα-
λοκαγαθίαν ζῶντες, ἥδιστον ὀνομάζουσιν. ἀνδρά-
σι γὰρ οὐ λεγομένοις, ἀλλὰ οὖσιν ὄντως ἐφαρμό-
ζει· οὐχ ὁρᾷς ὅτι καὶ νῦν βασιλικαῖς ὕλαις καὶ πα-
ρασκευαῖς ἐξουσιάζοντα τὸν ἀθλητὴν τῶν κα-
λῶν ἐπιτηδευμάτων, εἰσάγει χαμευνοῦντα, καὶ λί-
E θῳ προσκεφαλαίῳ χρώμενον, καὶ μικρὸν ὕστερον
ἐν ταῖς εὐχαῖς, ἄρτον καὶ ἱμάτιον τὸν φύσεως πλοῦ-
τον αἰτούμενον, ἐπεὶ τῶν ἐν ταῖς κεναῖς δόξαις ἐχ-
λεύαζεν ἀεὶ, καὶ τοὺς θαυμαστικῶς ἔχοντας αὐτῶν
κατεκερτόμει. οὗτός ἐστι παράδειγμα ἀρχέτυπον
ἀσκητικῆς ψυχῆς ἐκτεθηλυμμένῳ παντὶ πολέ-
μιος. ὁ μὲν οὖν φιλοπόνου καὶ φιλαρέτου προσήκ-
ων ἔπαινος, εἴρηται· τὸ δὲ κατὰ σύμβολον μηνυό-
μενον, ἑρμηνευτέον. εἰδέναι δὲ νῦν προσήκει, ὅτι ὁ
θεῖος τόπος καὶ ἡ ἱερὰ χώρα, πλήρης ἀσωμάτων ἐστί·

ψυχαὶ δέ εἰσιν ἀθάνατοι οἱ λόγοι οὗτοι· τούτων δὲ τὸν λόγον ἕνα λαβών, ἀριστίνδην ἐπιλεξάμενος τὸν ἀμώτατον, καὶ ὡσπερεὶ σώματος ἡγεμόνα κεφαλήν, πλησίον ἱδρύεται διανοίας τῆς ἑαυτοῦ. καὶ γὰρ αὐτὸ τρόπον τινὰ τῆς ψυχῆς ἐστι κεφαλή. ποιεῖ δὲ πρόφασιν μὲν ὡς κοιμηθησόμενος, τὸ δ' ἀληθές, ὡς ἀναπαυσόμενος ἐπὶ λόγῳ θείῳ, καὶ σύμπαντα ἑαυτοῦ τὸν βίον, κουφότατον ἄχθος ἐπαναθήσων ἐκείνῳ. ὁ δὲ ἄσμενος ὑπακούει καὶ δέχεται τὸν ἀθλητὴν ὡς φοιτητὴν ἐσόμενον τὸ πρῶτον· εἶτα ὅταν αὐτοῦ τὴν ἐπιτηδειότητα τῆς φύσεως ἀποδέξηται, χειροδοτεῖ τρόπον ἀλείπτου, καὶ πρὸς τὰ γυμνάσια καλεῖ, καὶ διερεθιζόμενος παλαίειν ἀναγκάζει, μέχρις ἂν ἀνανταγώνιστον αὐτοῦ ῥώμην ἐγκατασκευάσῃ, τὰ ὦτα θείαις ἐπινοίαις μεταβάλλων εἰς ὄμματα, καὶ καλέσας τὸν μεταχαραχθέντα καινὸν τύπον, Ἰσραὴλ τὸν ὁρῶντα. τότε καὶ τὸ νικητήριον ἐπιτίθησιν αὐτῷ στέφανον· ὁ δὲ στέφανος ἔκτοπον ἔχει καὶ ξένον, καὶ ἴσως οὐκ εὔφημον ὄνομα. καλεῖται γὰρ ὑπὸ τοῦ ἀγωνοθέτου νάρκη. λέγεται γὰρ ὅτι ἐνάρκησε τὸ πλάτος βραβείων καὶ κηρυγμάτων, καὶ τῶν ἐν τιμαῖς ἁπάντων θαυμασιωτάτων ἀρετῶν. ἡ γὰρ δυνάμεως ἀκαθαιρέτου ψυχὴ μεταλαχοῦσα, καὶ τελειωθεῖσα ἐν ἀρετῶν ἄθλοις, καὶ ἐπὶ τὸν ὅρον αὐτὸν ἐφικομένη τοῦ καλοῦ, μὴ πρὸς ὕψος ὑπὸ μεγαλαυχίας ἀρθεῖν, μηδ' ἀκροβατοῦσα ἐπικομπάζοι, ὡς ἀρτίοις ποσὶ μακρὰ βαίνειν δυναμένη· ναρκήσει δὲ καὶ στελεῖ τὸ διηρμένον οἰήσει πλάτος· εἶθ' ἑκουσίως ὑποσκελίσασα ἑαυτὴν χωλεύσει, τῇ ἀσωμάτων ὅπως ὑπείξασα φύσει, ἡττᾶσθαι δοκοῦσα, νικήσῃ. τὸ γὰρ πρεσβεῖον ἐξίστασθαι γνώμῃ, μᾶλλον ἀνάγκῃ τοῖς ἀμείνοσιν, οἷς ἐντελέστατον νενόμισται· ἐπεὶ καὶ τὰ δευτερεῖα τῶνδε τῶν ἀγώνων πλεονεκτοῦντα ἄθλων τὰ πρῶτα τῶν ἐν ἑτέροις ἀξιωμάτων μεγέθει πλεῖστον ὅσον ὑπερβάλλει. τὸ μὲν δὴ προοίμιον τῆς θεοπέμπτου φαντασίας ὧδ' ἔχει. σκέπτεσθαι δ' ἐπ' αὐτὴν καιρὸς ἤδη, καὶ τῶν ἐμφερομένων ἀκριβοῦν ἕκαστον. Καὶ ἐνυπνιάσθη, φησὶν οὕτω, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη εἰς τὴν γῆν, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. κλίμαξ τοίνυν ἐν μὲν τῷ λεγομένῳ κόσμῳ λέγεται συμβολικῶς ὁ ἀήρ, οὗ βάσις μέν ἐστι γῆ, κεφαλὴ δὲ οὐρανός. ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας, ἣν ἐσχάτην μὲν τῶν κατ' οὐρανὸν κύκλων, πρώτην δὲ τῶν πρὸς ἡμᾶς ἀναγράφουσιν οἱ φροντισταὶ τῶν μετεώρων, ἄχρι γῆς ἐσχάτης ὁ ἀὴρ πάντῃ ταθεὶς ἔφθασεν. οὗτος δέ ἐστι

A enim quodammodo est caput animæ: id verò facit quasi dormiturus, sed reuera quieturus in verbo Dei, & totius vitæ suæ onus posthac iam leuius depositurus in eo. ab hoc autem verbo libenter athleta noster excipitur, futurus nouus discipulus: qui mox approbata naturæ dexteritate velut à pædotriba instituitur, & inuitatur ad exercitia, assuescitque colluctari, donec inuictum robur acquirat, auribus in diuinis contemplationibus vtendo B vice oculorum, adscitúsque in nomen ac gentem Israeliticam, hoc est videntium. tunc etiam insigne victoriæ lauream à verbo accipit. id genus coronæ nomen habet mirum & absurdum, quod ominosum fortè videri possit. nam Torpor vocatur à præside certaminis. Scriptum est enim quod obtorpuerit latitudo præmiorum præconiorúmque & honoratissimarũ virtutum omnium. nam anima sortita vires inuincibiles, & absoluta in virtu- C tum exercitijs, assecutáque metam honestatis vltimam, non solet se iactanter extollere, & summis (vt vulgus loquitur) digitis incedere, quippe quæ potest integris pedibus ingentes passus facere. torpescet autem & contrahet amplitudinem opinione dilatatam antea. deinde vltro succumbens claudicabit, vt incorporeis naturis inferior, atque ita dum vinci videtur victrix euadet. debe- D mus enim cedere præstantioribus, & honoris eorum rationem habere. Nam secunda palma in hoc certamine maiorem dignitatem affert quàm prima in reliquis. Hæc vice præfationis in somnium diuinitus missum dicta sint. iam tempus est vt ipsum tractemus excutiendo diligenter partes eius singulas. Et vidit in somnis, inquit, & ecce scala stans in terra, cuius caput attingebat cælum, & angeli Dei ascendebant descen- E debántque per eam.] Scala in hoc vniuerso, quod mundus dicitur, aer figurate intelligitur, cuius basis terra, caput cælum est. nam à lunari orbe, qui extremus est circulorum cælestium, primus autem versus nos, vt describunt contemplatores rerum sublimium, vsque ad superficiem terræ per totum id interstitium aer extenditur. hoc est animarum corpore carentium domicilium, quia opifici mundi omnes eius partes ani-

malibus implere placuit. ideo terrestria terris attribuit, mari fluuísque indidit aquatilia, cælo vero sidera. nam hæc singula non solum animalia dicuntur, sed & mentes purissimæ. itaque & in reliqua parte huius vniuersi, videlicet aere, animalia creata sunt. quod si non patent sensibus, quid tum postea? nam & anima est inuisibilis, & verisimile est aerem potius quàm aquam alere animalia. quamobrem? quia aquatilia quoque animantur aere. fecit enim eum conditor vt sit immobilibus corporibus habitus, mobilibus vero natura inuisibilis, impetu autem imaginationéque vtentibus vt sit anima. annon igitur absurdum videtur elementum quo animantur omnia, animabus carere? ideo nemo optimam naturam animalium optimo in terris aeri adimat. adeò enim non est desertus solus ex reliquis partibus vt instar populosæ ciuitatis ciues incorruptibiles immortalésque habeat animas stellis pares numero. harum aliæ descendunt illigandæ corporibus mortalibus quotquot viciniores sunt terræ amantiorésque corporum, aliæ sursum redeunt separatæ denuo post præfinitos à natura terminos. & ex his aliæ tactæ vitæ desiderio rursum ad eam recurrunt. aliæ pertesæ huius vanitatem corpus ceu sepulcrum aut carcerem fugiunt, & sublimem ætherem petentes pennis leuibus totum æuum ibi exigunt. Sunt item quædam purissimæ optimæque omnium, quæ altius diuiniúsque sapiunt, aspernatæ ista terrestria & humilia, ministræ omnipotentis, tanquam magni regis aures & oculi, videntes audientésque omnia. has genios philosophi, angelos vocant sacræ literæ nomine aptissimo. sunt enim internunciæ, patris mandata perferentes ad filios, & ad illum vicissim preces filiorum. ideo inducuntur ascendere & descendere: non quod indicibus opus habeat Deus qui iam ante scit omnia: sed quoniam id conducit nobis mortalibus habere mediatores illos & arbitros, quo magis reuereamur rerum omnium præsidem, & eius maximam potentiam, quàm reputantes olim rogauimus quendam mediatorem: Loquere nobis tu: Deus non loquatur ad nos, ne moriamur. adeò enim non possumus ferre illum castigantem, vt

A ψυχῶν ἀσωμάτων οἶκος, ἐπειδὴ πάντα τὰ πάντῃ τὰ τοῦ κόσμου μέρη καλὸν ἔδοξεν εἶναι ζώων ἀναπλῆσαι. διὰ τοῦτο γῇ μὲν τὰ χερσαῖα ἐγκατεσκεύασε, θαλάττῃ δὲ καὶ ποταμοῖς τὰ ἔνυδρα, οὐρανῷ δὲ τοὺς ἀστέρας· καὶ γὰρ ἕκαστος τούτων, οὐ μόνον ζῶον, ἀλλὰ καὶ νοῦς ὅλος δι' ὅλων καθαρώτατος εἶναι λέγεται· ὥστε καὶ ἐν τῷ λοιπῷ τμήματι τοῦ παντὸς ἀέρι ζῶα γέγονε. εἰ δὲ μὴ αἰσθήσει καταληπτά, τί τοῦτο; καὶ ψυχὴ γὰρ ἀόρατον. καὶ μὴν εἰκός γε ἀέρα γῆς μᾶλλον καὶ ὕδατος
B ζωοτροφεῖν. διὰ τί; ὅτι καὶ τὰ ἐν ἐκείνοις οὗτος ἐψύχωσεν. ἐποίει γὰρ αὐτὸν ὁ τεχνίτης ἀκινήτων σωμάτων ἕξιν, κινουμένων δὲ ἀφαντάστως φύσιν, ἤδη δὲ ὁρμῇ καὶ φαντασίᾳ χρῆσθαι δυναμένων ψυχήν. οὐκ ἄτοπον οὖν δι' οὗ καὶ τὰ ἄλλα ἐψυχώθη, ψυχῶν ἀμοιρεῖν; διὸ μηδεὶς τὴν ἀρίστην φύσιν ζώων, τοῦ ἀρίστου τῶν περιγείων ἀέρος ἀφαιρείσθω. οὐ γὰρ μόνον ἐκ πάντων ἔρημός ἐστιν, ἀλλ' οἷα πόλις εὔανδρος, πολίτας ἀφθάρτους καὶ
C ἀθανάτους ἔχων ψυχάς, ἰσαρίθμους ἄστροις. τούτων τῶν ψυχῶν, αἱ μὲν κατίασιν ἐνδεθησόμεναι σώμασι θνητοῖς, ὅσαι προσγειότατοι καὶ φιλοσώματοι. αἱ δ' ἀνέρχονται διακριθεῖσαι πάλιν κατὰ τοὺς ὑπὸ φύσεως ὁρισθέντας ὁρισμοὺς καὶ χρόνους· τούτων αἱ μὲν τὰ σύντροφα καὶ συνήθη τοῦ βίου ποθοῦσαι, παλινδρομοῦσιν αὖθις· αἱ δὲ πολλὴν φλυαρίαν αὐτοῦ καταγνοῦσαι, δεσμωτήριον μὲν καὶ τύμβον ἐκάλεσαν τὸ σῶμα, φυγοῦσαι δ' ὥσπερ
D ἐξ εἱρκτῆς ἢ μνήματος, ἄνω κούφοις πτεροῖς πρὸς αἰθέρα ἐξαρθεῖσαι, μετεωροπολοῦσι τὸν αἰῶνα· ἄλλαι δ' εἰσὶν καθαρώταται καὶ ἄρισται, μειζόνων φρονημάτων καὶ θειοτέρων ἐπιλαχοῦσαι, μηδενὸς μὲν τῶν περιγείων ποτὲ ὀρεχθεῖσαι τὸ παράπαν, ὕπαρχοι δὲ τοῦ πανηγεμόνος, ὥσπερ μεγάλου βασιλέως ὀφθαλμοὶ καὶ ὦτα, ἐφορῶσαι πάντα καὶ ἀκούουσαι. ταύτας δαίμονας μὲν οἱ ἄλλοι φιλόσοφοι· ὁ δὲ ἱερὸς λόγος ἀγγέλους εἴωθε καλεῖν,
E προσφυεστέρῳ χρώμενος ὀνόματι. καὶ γὰρ τὰς τοῦ πατρὸς ἐπικελεύσεις τοῖς ἐκγόνοις, καὶ τὰς τῶν ἐκγόνων χρείας τῷ πατρὶ διαγγέλλουσι· παρ' ὃ καὶ ἀνερχομένους καὶ κατιόντας αὐτοὺς εἰσήγαγεν, οὐκ ἐπειδὴ τῶν μηνυσόντων ὁ πάντα ἐφθακὼς εἰδέναι δεῖται θεός, ἀλλ' ὅτι τοῖς ἐπικήροις ἡμῖν συνέφερε μεσίταις καὶ διαιτηταῖς λόγοις χρῆσθαι, διὰ τὸ τεθηπέναι καὶ πεφρικέναι τὸν παμμεγέθη, καὶ τὸ μέγιστον ἀρχῆς αὐτοῦ κράτος, οὗ λαβόντες ἔννοιαν, ἐδεήθημέν ποτέ τινος τῶν μέσων λέγοντες, Λάλησον ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μὴ

ἀποθάνωμεν. οὐ γὰρ ὅτι κολάσεις, ἀλλ' οὐδὲ τὰς ὑπερβαλλούσας καὶ ἀκράτους εὐεργεσίας χωρῆσαι δυνάμεθα, ἃς ἂν αὐτὸς προτείνῃ δι' ἑαυτοῦ, μὴ χρώμενος ὑπηρέταις ἑτέροις. παγκάλως δὲ ἐστηριγμένος ἐν τῇ γῇ διὰ συμβόλου κλίμακος καὶ δηλούμενος φαντασιοῦται ὁ ἀήρ. τὰς γὰρ ἀναδιδομένας ἐκ γῆς ἀναθυμιάσεις λεπτυνομένας, ἐξαεροῦσθαι συμβέβηκεν. ὥστε βάσιν καὶ ῥίζαν ἀέρος γῆν εἶναι, κεφαλὴν δὲ οὐρανόν. λέγεται γοῦν, ὅτι σελήνη, πίλημα μὲν ἄκρατον αἰθέρος οὐκ ἔστιν, ὡς ἕκαστος τῶν ἄλλων ἀστέρων, κρᾶμα δὲ ἔκ τε αἰθερώδους καὶ ἀερώδους οὐσίας, καὶ τὴν ἐμφαινομένην αὐτῇ μέλαιναν, ὃ καλοῦσί τινες πρόσωπον, οὐδὲν ἄλλο εἶναι ἢ τὸν ἀναμεμιγμένον ἀέρα, ὃς κατὰ φύσιν μέλας ὢν, ἄχρις οὐρανοῦ τείνεται. ἡ μὲν οὖν ἐν κόσμῳ συμβολικῶς λεγομένη κλίμαξ, τοιαύτη τις ἦν. τὴν δὲ ἐν ἀνθρώποις σκοποῦντες, εὑρήσομεν τὴν ψυχήν, ἧς βάσις μὲν τὸ σωματοειδές, ὡσανεὶ γεῶδές ἐστιν, αἴσθησις, κεφαλὴ δὲ ὡς ἂν τὸ οὐράνιον, ὁ καθαρώτατος νοῦς· ἄνω δὲ καὶ κάτω διὰ πάσης αὐτῆς οἱ τοῦ θεοῦ λόγοι χωροῦσιν ἀδιαστάτως, ὁπότε μὲν ἀνέρχοιντο, συνανασπῶντες αὐτὴν, καὶ τοῦ θνητοῦ διαζευγνύντες, καὶ τὴν θέαν ὧν ἄξιον ὁρᾶν, μόνον ἐπιδεικνύμενοι, ὁπότε δὲ κατέρχοιντο, οὐ καταβάλλοντες· οὔτε γὰρ ὁ θεός, οὔτε λόγος θεῖος ζημίας αἴτιος· ἀλλὰ συγκαταβαίνοντες διὰ φιλανθρωπίαν καὶ ἔλεον τοῦ γένους ἡμῶν, ἐπικουρίας ἕνεκα καὶ συμμαχίας, ἵνα καὶ τὴν ἔτι ὥσπερ ἐν ποταμῷ τῷ σώματι φορουμένην ψυχήν, τὰ σωτήρια ἀναπνέοντες, ἀνασώσωσι. τῶν μὲν δὴ τῶν ἄκρως ἐκκεκαθαρμένων διανοίαις ἀψοφητὶ μόνος καὶ ἀοράτως ὁ τῶν ὅλων θεὸς καὶ ἡγεμὼν ἐμπεριπατεῖ· καὶ γάρ ἐστι χρησμὸς τῷ σοφῷ θεοπρόπιον, ἐν ᾧ λέγεται, Περιπατήσω ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν θεός. τῶν δὲ ἔτι ἀπολουομένων, μήπω δὲ κατὰ τὸ παντελὲς ἐκνιψαμένων τὴν ῥυπωθεῖσαν καὶ κεκηλιδωμένην σώμασι βαρέσι ζωήν, ἄγγελοι λόγοι θεῖοι, φαιδρύνοντες αὐτὰς τοῖς καλοκαγαθίας ὄμμασιν. ὅσα δὲ ἐξοικίζεται κακὰ κακῶν τῶν οἰκητόρων εἴδη, ἵνα εἰς ἀγαθὰ εἰσοικίσηται, δῆλόν ἐστι. σπούδασον οὖν ὦ ψυχή, θεοῦ οἶκος γενέσθαι, ἱερὸν ἅγιον, ἰσχυρὰ μὲν ἐξ ἀσθενεστάτης, ἐκ δὲ ἀδυνάτου δυνατή, καὶ συνετὴ μὲν ἐξ ἀφραινούσης, εὐλογιστοτάτη δὲ ἐκ παραπαιούσης. ἴσως δὲ καὶ τὸν ἑαυτοῦ βίον ὁ ἀσκητὴς φαντασιοῦται κλίμακι ἐοικότα. φύσει γὰρ ἀνώμαλον πρᾶγμα ἄσκησις, τοτὲ μὲν προϊοῦσα εἰς ὕψος, τοτὲ δὲ ἀποστρέφουσα πρὸς τοὐναντίον, καὶ τοτὲ μὲν

A ne mera quidem eius beneficia queamus capere, si ea per seipsum sine alijs ministris porrigat. Pulchre autem scala terræ infima sui parte hærens figurat aerem. exhalationes enim è terra exspirantes tenuantur in aerem, vt terra quasi radix, cælum vero quasi caput sit aeris. Sunt certe qui dicant, lunam non esse globum puri ætheris, vt cætera sidera, sed mixtum ex æthere aereque: & apparentem in ea maculam, quàm nonnulli vocant B faciem, nihil aliud esse quàm admixtum aerem, qui suapte natura niger vsque ad cælum tenditur. hæc est igitur illa mundi scala, quam in præsenti figura intelligimus. quod si eam quæramus in hominibus, inueniemus animam, cuius basis est penè corporea, & tanquàm terrea. scilicet sensus: caput vero tanquam cæleste mens illa purissima. per eam sursum deorsúmque feruntur indesinenter diuinæ intelligentiæ: quoties ascendunt C trahentes eam secum diuellentésque à rebus mortalibus, & pro dignitate tantum ostendentes ei spectacula: sed non detrahentes secum, quando descendunt. nam nec Deus, nec Dei nuncius, detrimenti causa est: sed condescendunt propter caritatem, vt succurrant misero nostro generi, & animam quasi à flumine raptam fauore suo seruent incolumem. purgatissimas quidem mentes solus Deus omnipotens insensibiliter inuisibilitérque dignatur inuisere. Sic enim le- D gimus in quodam oraculo viro sapienti reddito: Inambulabo in vobis, & ero Deus vester. eas vero quæ adhuc lauantur, nondum abstersis omnibus sordibus contractis ex corpore, interuisunt angeli & exhilarant aspectu honestissimo, quibus immigrantibus quantum malorum pellatur, quantúmque bonorum substituatur, manifestum est. Da igitur operam ô anima, vt fias Dei do- E mus sacrosancta, robusta reddita è debilissima, potens ex impotente, ex imprudente intelligens, è delira sapientissima. Quid si autem suametipsius vitam meditator in somnis videt scalæ similem? est enim naturaliter inæqualis res meditatio, nunc proficiens in altitudinem, nunc deficiens in contrarium, & tanquam nauis nunc secundis nunc aduersis ventis nauigans. alternis enim diebus, vt

quidam ait, mutatur vita exercentium **A** se in virtutis stadio, modo viuens ac vigilans, modo mortua dormiénsque. nec absurde dictum id videtur. sapientes enim olympiam cælestémque regionem habitandam sortiti sunt, docti semper altiora petere: mali vero inferorũ specus intimos, qui ab initio finẽ vsque mori didicerũt, asseuerúntque vsque ad senectutem ab incunabulis. at meditatores, inter extremos medij, súsque déque per scalam feruntur, aut meliore fato subducti, aut **B** reiecti contrario, donec huius contentionis digladiationísque præses Deus parti potiori addicat præmium, in totum profligata deteriore. Est & alterius cuiusdam rei similitudo hoc somnium, non prætereundæ silentio. Res humanæ habent naturalem quodammodo scalæ imaginem, propter cursum inæqualem inconstantémque. vna enim (vt ille ait) dies, alium de fastigio detrahit, alium tollit in altum, cum nihil in eodem statu apud nos **C** perpetuo maneat, sed cuncta varijs omnifariisque mutentur vicissitudinibus. Annon ex plebeijs principes, plebeij fiunt ex principibus: pauperes è diuitibus, è pauperibus locupletissimi, honorati è contemptis, ex obscuris clarissimi, mutatione pulcherima? nam fieri potest vt is cui totus mundus est domicilium, apud te quoque habitans curam gerat suarum ædium, eásque sartas tectas semper tueatur. hæc est via rerum **D** humanarum accliuis decliuísque, incertis obnoxia casibus, quorum inæquabilitatem ipsum tempus veritatis amicissimum non obscuris argumentis indicat. Somnium autem ostendit innixum summæ scalæ principem angelorum Dominum. Credendum est enim sicut in curru aurigam aut in naui gubernatorem, ita rebus omnibus superstare eum Qui est, corporibus, animabus, animan- **E** tibus, mentibus, angelis, cunctis quæ terra vel aere vel cælo continentur naturis tum visibilibus tum inuisibilibus. totum enim ille mundum ex se pendentem regit. Cum autem dicitur innixus scalæ, nemo intelligat Deum laborare vt eam molem stabiliat: illud potius cogitet his verbis significari, Deum esse robur firmitatémque rerum, quibuscunque vult assignare stabilitatem perpetuam.

καθάπερ νεὼς εὐπλοΐα, τοτὲ δὲ δυσπλοΐα χρωμένη. ἑτερήμερος γάρ, ὡς ἔφη τις, ὁ τῶν ἀσκητῶν βίος, ἀνὰ τοτὲ μὲν ζῶν καὶ ἐγρηγορώς, ἀνὰ τοτὲ δὲ τεθνεώς, ἢ κοιμώμενος. καὶ τάχα οὐκ ἀπὸ σκοποῦ τοῦτο λέλεκται. σοφοὶ μὲν γὰρ τὸν ὀλύμπιον καὶ οὐράνιον χῶρον ἔλαχον οἰκεῖν, ἄνω φοιτᾶν ἀεὶ μεμαθηκότες, κακοὶ δὲ τοὺς ἐν ᾅδου μυχούς, ἐξ ἀρχῆς ἄχρι τέλους ἀποθνήσκειν ἐπιτετηδευκότες, καὶ εἰς γῆρας ἐκ σπαργάνων φθορᾶς ἐθάδες ὄντες· οἱ δ᾽ ἀσκηταί· μεθόριοι γὰρ τῶν ἄκρων εἰσίν· ἄνω καὶ κάτω πολλάκις ὡς ἐπὶ κλίμακος βαδίζουσιν, ἢ ὑπὸ τῆς κρείττονος μοίρας ἀνελκόμενοι, ἢ ὑπὸ τῆς χείρονος ἀντικρατούμενοι, μέχρις ἂν ὁ τῆς ἁμίλλης καὶ διαμάχης ταύτης βραβευτὴς θεὸς ἀναδῷ τὰ βραβεῖα τάξει τῇ βελτίονι, τὴν ἐναντίαν εἰς ἅπαν ἀνελκών. ἐμφαίνεται δέ τι καὶ τοιοῦτον εἴδωλον, ὅπερ οὐκ ἄξιον ἡσυχασθῆναι. τὰ ἀνθρώπων πράγματα, κλίμακι πέφυκεν ἐξομοιοῦσθαι, διὰ τὴν ἀνώμαλον αὐτῶν φοράν. ἡ μία γάρ, ὡς ἔφη τις, ἡμέρα, τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δὲ ἦρεν ἄνω, μηδενὸς ἐν ὁμοίῳ πεφυκότος μένειν τῶν περὶ ἡμᾶς, ἀλλὰ παντοίας μεταβαλλόντων τροπάς. ἢ οὐκ ἄρχοντες μὲν ἐξ ἰδιωτῶν, ἰδιῶται δὲ ἐξ ἀρχόντων, πένητες δὲ ἐκ πλουσίων, καὶ ἐκ πενήτων πολυχρήματοι, καὶ ἔνδοξοι μὲν ἐξ ἠμελημένων, ἐπιφανέστατοι δὲ ἐξ ἀδόξων ἀεὶ γίνονται, διαίτημα κάλλιστον; ἴσως γὰρ ἴσως ὢν ὁ κόσμος ἅπας, καὶ σοῦ οἰκοδεσπότην χρήσῃς ἐπιμελούμενον τῆς ἰδίας οἰκίας, ὡς εὐερκεστάτη καὶ ἀπήμων εἰσαεὶ διαφυλάττοιτο· καὶ ὁδός τις ἤδη ἐστὶν ἄνω καὶ κάτω τῶν ἀνθρωπίνων πραγμάτων, ἀστάτοις καὶ ἀνιδρύτοις χρωμένη συντυχίαις, ὧν τὸ ἀνώμαλον οὐκ ἀδήλοις, ἀλλὰ σαφέσι τεκμηρίοις ὁ φιλαληθέστατος ἐλέγχει χρόνος. ἐμήνυε δὲ τὸ ὄναρ, ἐστηριγμένον ἐπὶ τῆς κλίμακος τὸν ἀρχάγγελον κύριον. ὑπεράνω γὰρ ὡς ἅρματος ἡνίοχον, ἢ νεὼς κυβερνήτην, ὑποληπτέον ἵστασθαι τὸ ὄν, ἐπὶ σωμάτων, ἐπὶ ψυχῶν, ἐπὶ θρεμμάτων, ἐπὶ λόγων, ἐπὶ ἀγγέλων, ἐπὶ γῆς, ἐπ᾽ ἀέρος, ἐπ᾽ οὐρανοῦ, ἐπ᾽ αἰσθητῶν δυνάμεων, ἐπ᾽ ἀοράτων φύσεων, ὅσαπερ ἀθέατα καὶ θεατά. τὸν γὰρ κόσμον ἅπαντα ἐξάψας ἑαυτοῦ καὶ ἀναρτήσας, τὴν τοσαύτην ἡνιοχεῖ φύσιν. μηδεὶς δ᾽ ἀκούων ὅτι ἐπεστήρικτο, νομισάτω συνεργεῖν τι τὸν θεὸν πρὸς τὸ παγίως στῆναι, ἀλλ᾽ ἐκεῖνο λογισάσθω, ὅτι τὸ δηλούμενον, ἴσον ἐστὶ τῷ, στήριγμα καὶ ἰσχυρότης καὶ βεβαιότης ἁπάντων, ὁ ἀσφαλὴς θεός ἐστιν, ἐνσφραγιζόμενος οἷς ἂν ἐθέλη

τὸ

τὸ ἀσάλευτον· ἐπερειδομένου γὰρ καὶ συστηρίζοντος αὐτοῦ, μένει τὰ συσταθέντα ἀνώλεθρα κραταιῶς. ὁ τοίνυν ἐπιβεβηκὼς τῇ οὐρανοῦ κλίμακι, λέγει τῷ φαντασιουμένῳ τὸ ὄναρ, Ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς Ἰσαάκ· μὴ φοβοῦ. ὁ χρησμὸς ἐστὶ καὶ ἔρεισμα, τῆς ἀσκητικῆς ψυχῆς καὶ βεβαιότητος ἔρεισμα ἦν, ὃς αὐτὴν ἐπεδίδασκεν, ὅτι ὁ τῶν ὅλων κύριος καὶ θεὸς ἀμφότερα ταῦτα τοῦ γένους ἐστὶν αὐτοῦ, ἀνθρώπων, πατρῴων καὶ πάππων ἐπιγραφεὶς, καὶ ἐπικληθεὶς ἑκάτερον, ἵνα τὸν αὐτὸν ὅν, τε κόσμος ἅπας, καὶ ὁ φιλάρετος ἔχῃ κλῆρον· ἐπεὶ καὶ λέλεκται, Κύριος αὐτὸς, κλῆρος αὐτοῦ. μὴ παρέργως δὲ νομίσῃς τοῦ μὲν Ἀβραὰμ κοινῇ λέγεσθαι κύριον καὶ θεὸν, τοῦ δὲ Ἰσαὰκ, θεὸν αὐτὸ μόνον. ὁ μὲν γὰρ, αὐτηκόου καὶ αὐτοδιδάκτου καὶ αὐτομαθοῦς φύσεως περιγινομένης σύμβολον ἐπιστήμης ἐστίν· ὁ δὲ Ἀβραὰμ, διδασκομένης· καὶ αὐτῷ μὲν αὐτόχθονι καὶ αὐθιγενεῖ συμβέβηκεν εἶναι, τῷ δὲ μετανάστῃ καὶ ἐπηλύτῃ. τὴν γὰρ Χαλδαϊκὴν ὡς ἀλλογενῆ καὶ ἀλλόφυλον γλῶτταν τὴν περὶ ἀστρονομίαν μετεωρολεσχῶν ἀπολιπὼν, ἐπὶ τὴν ἁρμόττουσαν λογικῷ ζώῳ μετήγετο, τὴν τοῦ πάντων αἰτίου θεραπείαν. ἐστὶ μὲν δὴ ὁ τρόπος, δυοῖν δυνάμεοιν τῶν ἐπιμελησομένων ἐστὶ χρεῖος, ἡγεμονίας τε καὶ εὐεργεσίας, ἵνα τῷ μὲν κράτει τοῦ ἡγεμόνος ὑπακούῃ τῶν νομοθετουμένων, τῷ δὲ χαριστικῷ μεγάλως ὠφεληθῇ· ὁ δὲ ἕτερος, τῆς κατὰ τὸ χαρίζεσθαι μόνης. οὐ γὰρ ὑπὸ νουθετούσης ἀρχῆς ἐβελτιώθη, φύσει περιπεποιημένος τὸ καλὸν, ἀλλὰ διὰ τὰς ὀμβρηθείσας ἄνωθεν δωρεὰς, ἀγαθὸς καὶ τέλειος ἐξ ἀρχῆς ἐγένετο. χαριστικῆς μὲν οὖν δυνάμεως ὁ θεὸς, βασιλικῆς δὲ κύριος ὄνομα. τί οὖν αὐτῆς εἴποι πρεσβύτερον ἀγαθόν· ἢ τὸ τυχεῖν ἀκράτου καὶ ἀμιγοῦς εὐεργεσίας; τί δὲ νεώτερον· ἢ τὸ κεκραμένον ἔκ τε ἡγεμονίας καὶ δωρεᾶς; ὅ μοι δοκεῖ συνιδὼν ὁ ἀσκητὴς, εὔξασθαι θαυμασιωτάτην εὐχὴν, ἵν' αὐτῷ κύριος γένηται εἰς θεόν. ἐβούλετο γὰρ μηκέτι ὡς ἄρχοντα εὐλαβεῖσθαι, ἀλλ' ὡς εὐεργέτην ἀγαπητικῶς τιμᾶν. ἆρ' οὐχὶ τούτοις καὶ τοῖς παραπλησίοις εἰκὸς ἦν καὶ τοὺς τυφλοὺς τὴν διάνοιαν ὀξυδορκῆσαι, πρὸς τὴν ἱερωτάτων ἐνομματουμένους λογίων, ὡς φυσιογνωμονεῖν, καὶ μὴ μόνον τοῖς ῥητοῖς ἐφορμεῖν· ἀλλὰ κἂν ἡμεῖς καμμύσαντες τὸ τῆς ψυχῆς ὄμμα, μὴ σπουδάζωμεν, ἢ μὴ δυνώμεθα ἀναβλέπειν, αὐτὸς ὁ ἱεροφάντης ὑπηχεῖ καὶ ἐφίσταται· καὶ ἐγχειρῶν μήποτε ἀπείπῃς, ἕως ἐπὶ τὸ κεκρυμμένον ἱερῶν λόγων φέγγος ἡμᾶς μυσταγωγῶν ἐπιδείξῃ τὰ κάλλιστα,

A tantisper enim dum ab illo sustentantur, inconcussæ manēt atque integræ. ille igitur cælesti scalæ innixus sic dormientem in somnis alloquitur. Ego sum Dominus Deus Abrahami patris tui, & Deus Isaaci. noli timere.] Hoc oraculum & visio fuit & confirmatio meditatricis animæ, quod eā docebat, omnium rerum Dominum Deúmque vtrūque esse humano generi, cuius patres auósque adoptat, eorum Dominū Deúmque se profitendo, vt eadem sit B viri boni quæ mūdi totius sors & conditio: quia scriptū legimus, Dominus ipse sors eius est. Caue autem putes temere dici hic Abrahami Dominum Deūque, Isaaci vero Deū tantūmodo. Nam hic figura est suopte ingenio partæ absque præceptoris opera scientiæ: Abrahā autē ex præceptoribus cognitæ: & hic indigena fuit, ille peregrinus & aduena. ille enim omissa externa barbaráque lingua Chaldęorū de siderali sciētia subtiliter disserentiū, vertit C se ad rationali animali conuenientem cultū creatoris rerū omniū: cuiusmodi homini duarū potentiarū opus est auxilio, principalis & beneficæ: vt & imperio legibúsque Domini sit obediēs, & valde adiuuetur eius beneficētia. alter vero sola indiget gratia. nec enim castigatione profecit in melius, innatā virtutē habens, sed iam inde ab initio propter accepta diuinitus dona perfecte bonus euaserat. cæterū beneficæ D potentiæ Deus nomen est, regiæ vero Dominus. vtrū igitur dicēdū est antiquius? an dignū haberi pura putáque beneficētia? vtrū autē posterius? nōne quod & ex dominio temperatur & ex gratia? quod intelligens meditator vt mihi videtur, precatur rē mirificā, vt ei Dominus fiat in Deū. volebat enim non amplius timere vt principem, sed amāter honorare vt bene meritū. His atque huiusmodi cęteris sacrę scriptu- E ræ locis nonne decebat homines, qui modo integros habeāt mētis oculos, illustratos perspicere quis sēsus interius lateat, scrutaríque naturæ secreta potius quā in apertis dictis cōsistere? attamen etiāsi nos conniuētibus animæ oculis aut nō curauerimus, aut non potuerimus cernere, ipse sacrorū antistes submonet, addēs animum ne desperemus donec nos introducat in penetralia, illatóque lumine ostēdat mysteria pulcherrima nunquā visa profanis hominibus. ita profecto decet facere. At

vos animæ quotquot diuinũ amorem gustastis, tanquã ex alto somno excitatæ, discussa caligine properate ad mirificũ spectaculum, & tardam cunctationẽ deponite, vt consideretis quam multa spectatu auditúque dignissima noster agonotheta ad vestram vtilitatẽ præparauerit: quandoquidem plurima ostendi possunt memorabilia, & in his vnum illud quod paulo ante diximus. nam auum meditatoris, patrem vocat oraculum: vero autem eius patri non addit hanc appellationem. ait enim: Ego sum Dominus Deus Abraham patris tui. atque auus hic fuit. & rursum, Deus Isaac, nec addit patris. hæc nonne digna quæstione sunt? maxime. inspiciamus igitur non negligenter quid sibi velint. aiunt virtutem parari vel natura, vel meditatione, vel doctrina. ideo tres nostri generis autores sapientes ciues describuntur, non eodem modo ad eundem finem contendisse. nam horum antiquissimus Abraham doctrina duce viæ ad virtutem ferentis vsus est, sicut alibi quoque quoad fieri potuit ostendimus: medius vero Isaac natura, eadem magistra atque discipula: tertius autem Iacob, meditatorijs exercitijs, quæ versantur in certaminum laboribus. cum igitur tribus modis acquiratur sapientia, extremi vniuntur maxime. nam doctrinæ progenies est meditatio. cæterum natura cognata quidem vt radix omnium, sine certamine tamen sortita est præmium. Itaque meritò Abraham qui per doctrinam profecit, pater Iacobi dicitur meditatione prouecti, vt non tam homo cum homine conferatur, quam vis audiendi ad discendum paratissima, cum vi meditandi ad sentiendum idonea. Attamen si hic meditator bene ad finem decurrat, & clare cernat quæ prius per somnium viderat, in meliorem notam transformatus, & appellatus Israel, id est Deum videns pro Iacob subplantatore, non amplius ex patre Abraham docto censebitur, sed ex bono Isaac naturali parente suo. hæc non mea commenta sunt, sed oracula inscripta sacris tabulis. Sublatis, inquit, Israel omnibus rebus suis venit ad Iuramenti puteum, & immolauit victimam Deo sui patris Isaac. Intelligis iam non de mortalibus hominibus, sed de naturæ negotijs præsentem sermonem

A καὶ ἀτελέστοις ἀόρατα κάλλη. Σοὶ μὲν δὴ ταῦτα ποιεῖν ἐμπρεπές· ψυχαὶ δ' ὅσαι θείων ἐρώτων ἐγεύσασθε, καθάπερ ἐκ βαθέος ὕπνου διαναστᾶσαι, τὴν ἀχλὺν ἀποσκεδάσασθε, πρὸς τὴν περίβλεπτον θέαν ἐπείχθητε, μεθέμεναι τὴν βραδεῖαν καὶ μελλητὴν ὄκνον, ἵν' ὅσα θεάματα καὶ ἀκούσματα τῆς ἡμετέρας ἕνεκα ὠφελείας ὁ ἀγωνοθέτης ηὐτρέπισε, κατανοήσητε. μυρία μὲν οὖν ἐστιν ἀοίδιμα τῶν πρὸς ἐπίδειξιν· ἓν δ' οὖν καὶ τὸ λεχθὲν πρὸ μικροῦ. τὸν μὲν γὰρ γενόμενον πάππον τοῦ ἀσκητοῦ, πατέρα
B εἶπε τὸ λόγιον· τῷ δ' ὡς ἀληθῶς πατρὶ τοῦ γεννήσαντος οὐκ ἐπεφήμισεν ὄνομα. λέγει γάρ, Ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου. καίτοι πάππος ὄντως ἦν· καὶ πάλιν, ὁ θεὸς Ἰσαάκ. εἶτ' οὐ προστίθησι τοῦ πατρός. οὐκ οὖν ἄξιον τούτων αἰτίαν ἐρευνῆσαι; πάνυ γε. τίς οὖν ἐστι, μὴ παρέργως σκοπήσωμεν. τὴν ἀρετήν, ἢ φύσει, ἢ ἀσκήσει, ἢ μαθήσει παραγίνεσθαί φασι· διὸ καὶ τρεῖς τοὺς γενάρχας τοῦ ἔθνους σοφοὺς πολίτας ἀνέγραψεν, ἀπὸ
C μὲν τῆς αὐτῆς οὐχ ὁρμηθέντας ἰδέας, πρὸς δὲ τὸ αὐτὸ τέλος ἐπειχθέντας. ὁ μὲν γὰρ πρεσβύτατος αὐτῶν Ἀβραάμ, ἡγεμόνι ὁδοῦ τῆς πρὸς τὸ καλὸν ἀγούσης ἐχρήσατο διδασκαλίᾳ, ὡς ἐν ἑτέροις, ὡς ἦν οἷόν τε ἦν, ἐδείξαμεν· ὁ δὲ μεσαίτατος Ἰσαάκ, εὐτυχεῖ καὶ αὐτομαθεῖ τῇ φύσει· ὁ δὲ τρίτος Ἰακώβ, ἀσκητικαῖς μελέταις, καθ' ἃς οἱ ἔναθλοι καὶ ἐναγώνιοι πόνοι. τριῶν οὖν τρόπων ὑπαρχόντων ἐξ ὧν σοφία παραγίνεται, τοὺς ἄκρους μάλιστα συμβέβηκεν ἡνῶσθαι. τὸ γὰρ ἀσκήσει, ἔκγο-
D νον τοῦ μαθήσει· τὸ δὲ φύσει, συγγενὲς μέν· ὑποβέβληται γὰρ ὡς ῥίζα πᾶσιν· ἀνανταγώνιστον δὲ καὶ ἑτοίμου γέρως ἔλαχεν· ὥστε εἰκότως Ἀβραὰμ ὁ βελτιωθεὶς εἰς διδασκαλίαν, πατὴρ Ἰακὼβ λέγεται τοῦ μελέτῃ συγκροτηθέντος, οὐκ ἄνθρωπος ἀνθρώπου μᾶλλον, ἢ δύναμις ἀκουστικὴ πρὸς μάθησιν ἐπιμοτάτη, δυνάμεως ἀσκητικῆς καὶ ἐπιτηδείου πρὸς αἴσθησιν. ἐὰν μέντοι ὁ ἀσκητὴς τελέως εὐτόνως δράμῃ πρὸς τὸ τέλος, καὶ διαυγῶς ἴδῃ ἃ πρότερον ἀμυ-
E δρῶς ὠνειροπόλει, μετατυπωθεὶς τῷ κρείττονι χαρακτῆρι, καὶ προσαγορευθεὶς Ἰσραήλ, ὁ θεὸν ὁρῶν ἀντὶ τοῦ πτερνίζοντος Ἰακώβ, πατέρα οὐκ ἔτι τὸν μαθόντα Ἀβραάμ, ἀλλὰ τὸν φύσει γεννηθέντα ἀστεῖον Ἰσαὰκ ἐπιγράφεται. ταῦτ' οὐκ ἐμός ἐστι μῦθος, ἀλλὰ χρησμὸς ἐν ταῖς ἱεραῖς ἀναγεγραμμένος στήλαις. Ἀπάρας γάρ, φησίν, Ἰσραὴλ καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. καὶ ἔθυσε θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. ἆρα δὴ κατανοεῖς, ὅτι οὐ περὶ φθαρτῶν ἀνθρώπων, ἀλλ' ὡς ἐλέχθη,

περὶ φύσεως πραγμάτων ἐστὶν ὁ περὶ τῶν λόγος; ἰδοὺ γὰρ τὸ αὐτὸ ὑποκείμενον, ὅτε μὲν Ἰακὼβ ὀνομάζεται πατρὸς Ἀβραάμ· ὅτε δὲ Ἰσραὴλ πατρὸς Ἰσαὰκ καλεῖται, διὰ τὴν ἠκριβωμένην αἰτίαν. εἰπὼν τοίνυν, Ἐγὼ κύριος ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς Ἰσαάκ, ἐπιφέρει, Μὴ φοβοῦ. κατὰ τὸ ἀκόλουθον. πῶς γὰρ ἔτι φοβηθησόμεθα, τὸ φόβου καὶ παντὸς πάθους λυτήριον, σὲ τὸν ὑπερασπιστὴν, ὃ πλὴν ἔχοντες, ὃς καὶ τοῖς ἀρχετύποις τῆς παιδείας ἡμῶν τύποις ἀδηλουμένους ἐφήρμοσας, ἵν' ἐπιφανεῖς ὦσιν, Ἀβραὰμ μὲν διδάξας, Ἰσαὰκ δὲ γεννήσας. τοῦ μὲν γὰρ ὑφηγητὴς, τοῦ δὲ πατὴρ ὑπέμεινας ὀνομασθῆναι, τῷ μὲν τὴν γνωρίμου τάξιν, τῷ δὲ τὴν υἱοῦ προσδεχών· διὰ τοῦτο καὶ τὴν γῆν, λέγω δὲ τὴν παμφορωτάτην ἀρετὴν, ἐφ' ἧς καθεύδει ὁ ἀσκητὴς ἀναπαυόμενος, ὥστε τὸν μὲν αἰσθήσεως κοιμᾶσθαι βίον, τὸν δὲ ψυχῆς ἐγρηγορέναι, δώσειν ὡμολόγησεν, ἀποδεξάμενος αὐτοῦ τὴν εἰρηνικὴν ἀνάπαυσιν, ἣν οὐκ ἄνευ πολέμου, καὶ τῶν ἐν πολέμῳ ταλαιπωριῶν εἵλετο, οὐχ ὅπλα βαστάζων καὶ ἀνθρώποις ἀναιρῶν ἅπαγε, ἀλλὰ τὸ ἀντίπαλον ἀρετῆς παθῶν καὶ κακιῶν στῖφος καθαιρῶν· τὸ δὲ σοφίας γένος ἄμμῳ γῆς ἐξομοιοῦται, διά τε τὸ πλῆθος ἀπερίγραφον, καὶ διότι τὰς μὲν τῆς θαλάττης ἐπιδρομὰς ὑποταίνιος ἄμμος ἀνακρούει, τὰς δὲ τῶν ἁμαρτημάτων ὁ παιδείας λόγος. ἔστι δὲ κατὰ τὰς θείας ὑποσχέσεις ἄχρι τῶν περάτων τοῦ παντὸς εὐρύνεται, καὶ τὸν ἔχοντα ἀποφαίνει τῶν τοῦ κόσμου κληρονόμον μερῶν φθάνοντα πάντῃ, πρὸς τὰ ἑῷα, πρὸς τὰ ἑσπέρια, τὰ κατὰ μεσημβρίαν, τὰ πρὸς ἄρκτον. λέγεται γὰρ, ὅτι πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ λίβα καὶ βορρᾶν καὶ ἀνατολάς. ἔστι δὴ ὁ ἀστεῖος οὐκ ἴδιον μόνον, ἀλλὰ καὶ κοινὸν ἀγαθὸν ἅπασιν, ἐξ ἑτοίμου τὴν ἀφ' αὑτοῦ προτείνων ὠφέλειαν. ὡς γὰρ ἥλιος ἁπάντων ἐστὶ φῶς τῶν ὄψεις ἐχόντων, καὶ ὁ σοφὸς τῶν ὅσοι λογικῆς κεκοινωνήκασι φύσεως. Ἐνευλογηθήσονται γάρ σοι, φησὶ, πᾶσαι αἱ φυλαί. ὁ δὲ χρησμὸς ἐστὶν ἐφαρμόττων καὶ αὐτῷ τινὶ πρὸς ἑαυτὸν, καὶ ἑτέρῳ πρὸς ἕτερον. ἐάν τε γὰρ ὁ ἐν ἐμοὶ νοῦς ἀρετῇ τελείᾳ καθαρθῇ, καὶ αἱ τοῦ περὶ ἐμὲ γεώδεις φυλαὶ συγκαθαίρονται, ἃς ἔλαχεν αἰσθήσεις, καὶ ἡ μεγίστη δεξαμενὴ τὸ σῶμα· ἐάν τέ τις κατ' οἰκίαν, ἢ πόλιν, ἢ χώραν, ἢ ἔθνος γένηται φρονήσεως ἐραστής, ἀνάγκη καὶ τὴν οἰκίαν ἐκείνην καὶ τὴν πόλιν καὶ τὸ ἔθνος ἀμείνονι βίῳ χρῆσθαι. καθάπερ γὰρ τὰ ἐν θυμιώμενα τῶν ἀρωμάτων εὐωδίας τοὺς πλησιάζοντας ἀναπίμπλησι, τὸν αὐτὸν τρόπον ὅσοι γείτονες

A accipi? ecce enim idem modo Iacob ex patre Abraham natus, modo Israel ex patre Isaac vocatur ob causam iam redditam. Ergo postquam dixit: Ego sum Dominus Deus Abraham patris tui, & Deus Isaac, subiungit, Noli timere. meritò. Quomodo enim posthac timere possumus cum habeamus te pro clipeo depellente omnes metus & affectus alios, qui etiam exemplares institutionis nostrę formas proposuisti in propatulo bene doctum Abraham
B & bene natum Isaac. alterius enim magister, alterius pater nominari sustinuisti, illum in familiarium, hunc in filiorum, recipiens ordinem. Quapropter etiam terram, virtutem inquam fertilissimam, in qua dormit meditator quiescens, eo quod sensibus dormiat, anima vero vigilet, daturum ei se pollicetur, pacata ipsius quiete delectatus, ad quam non sine bello bellicisque laboribus peruenerat, non armatus aut homines interimens (absit) sed
C aduersarios virtutis affectus debellans & prosternens phalanges vitiorum. progenies autem sapientiæ cum arena confertur, tum propter multitudinem incomprehensibilem, tum quia marinas vndas litoralis arena obiecta repercutit, sicut peccatorum fluctus recta per verbum diuinum institutio. nam hoc iuxta Dei promissum propagatur vsque orbis terminos, & eos qui recipiunt illud facit totius mundi hæredes, omniúmque huius partium
D versus orientem, occidentem, septemtrionem, meridiem. Scriptū est enim Dilatabitur ad mare, austrum, septemtrionem, orientémque.] est autem vir probus non suum tantum, verumetiam publicum bonum omnium, prompte suam opem offerens. Sicut enim sol omnibus lucet habentibus oculos, sic sapiens omnibus quotquot sunt ratione prædíti. In te, inquit, omnes tribus benedicentur.] Hoc oraculum vel singulis conuenit, vel complu-
E ribus. nam siue mea mens virtute perfectè purgata fuerit, etiam meæ terrenæ tribus simul purificantur, videlicet sensus & corpus eorum conceptaculum. siue quis in domo aut ciuitate aut regione aut gente prudentiæ amator exoriatur, necesse est domum illam ciuitatémve gentémve mores ac vitam corrigere. sicut enim odoramenta replent suaueolentia proximos: eodem modo vicini sapientis &

contermini ex afflatu eius latissime se diffundente meliores euadunt. cæterum maximum beneficium animæ certanti laborantique contingit comes Deus omnipotens, Ecce, inquit, ego sum tecum.] Quid igitur nobis deest amplius, cum te possideamus veras diuitias, seruantem in via ducente ad virtutem per omnes eius species? non est enim simplex rationalis via tendens ad iustitiam & virtutes cæteras, sed sunt plurimæ, per quas commode peruenitur ad sapientiam. valde pulcre autem dicitur & illud, Reducam te in terram hanc. Bonum enim fuisset rationem apud seipsam manere, nec ad sensus proficisci: secundaria vero nauigatio est reuerti ad seipsam. Et fortasse de immortalitate animæ dogma hic subindicatur. relicto enim cælesti loco, vt paulo ante dixi, in corpus quasi peregre profecta est. ei pater pollicetur, non semper se passurum illam teneri carcere, sed misericorditer soluturũ eius vincula, liberatámque tutò deducturũ in veterẽ patriam, nec prius desiturum opitulari, quàm effectus fidem promissionis approbauerit. Deo enim proprie conuenit, id quod omnino futurũ est prædicere, imò quod plus est, ab operibus sermones eius non differunt. Excitata igitur experrectáque ad eum Qui est quærendum anima meditatoria, primùm suspicatur eum adesse inibi. suspenso deinde aliquantisper assensu, ob hæsitationem eius cogitationis in metum incidit iam pœnitens. Experrectus, inquit, Iacob dixit: Dominus est in loco hoc: ego autem nesciebam.] Cui libenter dicerem: & præstat ignorare, quam in loco Deum esse credere, qui circumquaque complectitur omnia. meritò igitur timuit, & stupens dixit, Quàm terribilis locus iste.] Vere enim in physiologia difficilis est de loco tractatio, in qua quæritur vbi, & in vniuersum an alicubi sit Ens: alijs dicentibus quicquid est occupare locum aliquem, & alijs alium ei tribuentibus, vel intra mundum, vel quendam vltra mundanum. rursum alijs contẽdentibus, nulli creaturę illum increatũ similem, sed in tantũ excellere, vt mentẽ quoque omniũ velocissimã, ipsius confessione post se relinquat interuallo longissimo. quàobrẽ exclamat cõfestim, non est quod putabam, non est in loco Dominus.

A καὶ ὅμοροι σοφοῦ, τῆς ἀπ' αὐτοῦ πνεούσης αὔρας
ἐπὶ μήκιστον χεομένης βελτιοῦνται τὰ ἤθη. με-
γίστη δ' ἐστὶν εὐεργεσία ψυχῇ πονούσῃ καὶ διαθ-
λούσῃ συνοδοιπόρον ἔχειν τὸν ἐφθακότα πάντα
θεόν. Ἰδοὺ γάρ, φησί, ἐγὼ μετὰ σοῦ. τίνος οὖν ἂν ἔτι
χρεῖοι γενοίμεθα, πλοῦτον ἔχοντές σε τὸν ἀληθείᾳ
μόνον πλοῦτον, διαφυλάττοντα ἐν ὁδῷ τῇ πρὸς
ἀρετὴν ἀγούσῃ κατὰ πάσας αὐτῆς τὰς τομάς. οὐ
γὰρ ἓν μέρος ἐστὶ τοῦ λογικοῦ βίου τὸ πρὸς δικαιο-
B σύνην καὶ τὴν ἄλλην τινὸς ἀρετήν, ἀλλὰ μυρία
ὅσα, δι' ὧν ἐστιν ὁρμωμένους φρονήσεως ἐξικνεῖσθαι.
παγκάλως δὲ εἴρηται καὶ τό, Ἀποστρέψω σε εἰς τὴν
γῆν ταύτην. καλὸν μὲν γὰρ ἦν, τὸν λογισμὸν ἐφ'
ἑαυτοῦ μείναντα καὶ ἀποδημῆσαι πρὸς αἴσθησιν.
δεύτερος δὲ πλοῦς, ἐφ' ἑαυτὴν ὑποστρέψαι πά-
λιν. ἴσως δὲ καὶ τὸ περὶ ἀφθαρσίας ψυχῆς ὑπαινίτ-
τεται δόγμα διὰ τούτων. ἀπολιποῦσα μὲν γὰρ
τὸν οὐράνιον τόπον, ὡς καὶ μικρὸν πρότερον ἐλέ-
χθη, καθάπερ εἰς ξένην χώραν ἦλθε τὸ σῶμα.
C φησὶ δ' οὐ μέχρι τοῦ παντὸς καθειργνυμένην αὐ-
τὴν ὁ γεννήσας περιόψεσθαι πατήρ, ἀλλ' οἶκτον
λαβὼν λύσειν τὰ δεσμά, καὶ ἐλευθέραν ἄχρι τῆς
μητροπόλεως ἀσφαλῶς παραπέμψειν, καὶ μὴ
πρότερον ἀνήσειν, ἢ τὰς λόγων ὑποσχέσεις ἀλη-
θείας ἔργοις βεβαιωθῆναι. θεοῦ γὰρ ἴδιον λέγειν
πάντως τὰ γενησόμενα. καίτοι τό γε τοῦτο φαῦλον·
ἔργων γὰρ οὐ διαφέρουσιν αὐτοῦ οἱ λόγοι. διακινη-
θεῖσα οὖν καὶ διαναστᾶσα πρὸς τὰς περὶ τοῦ ὄν-
τος ζητήσεις ἡ ἀσκητικὴ ψυχή, τὸ μὲν πρῶτον
D ὑπετόπησεν εἶναι τὸ ὂν ἐν τόπῳ· μικρὸν δὲ ἐπι-
σχοῦσα, τῷ διστάσαι τῆς σκέψεως περιδεὴς γί-
νεται, καὶ μετανοεῖν ἄρχεται. Ἐξηγέρθη γάρ, φησίν,
Ἰακώβ, καὶ εἶπεν, ὅτι ἐστὶ κύριος ἐν τῷ τόπῳ τού-
τῳ· ἐγὼ δὲ οὐκ ᾔδειν. καὶ ἄμεινον ἦν εἴποιμ' ἂν
ἀγνοεῖν, ἢ ἔν τινι τὸν θεὸν ὑπολαβεῖν εἶναι, τὸν πε-
ριέχοντα αὐτὸν ἐν κύκλῳ τὰ πάντα. δικαίως οὖν
ἐφοβήθη, καὶ εἶπε θαυμαστικῶς, ὡς φοβερὸς ὁ
τόπος οὗτος. ὄντως γὰρ τῶν ἐν φυσιολογίᾳ τόπος ἀρ-
γαλεώτατος, ἐν ᾧ ζητεῖται ποῦ καὶ εἰ συνόλως
E ἔν τινι τὸ ὄν, τῶν μὲν λεγόντων, ὅτι πᾶν τὸ ὑφε-
στὸς χώραν τινὰ κατείληφε, καὶ ἄλλων ἄλλην ἀπο-
νεμόντων, ἢ ἐντὸς τοῦ κόσμου, ἢ ἐκτὸς αὐτοῦ με-
ταχόσμιόν τινα· τῶν δὲ φασκόντων, ὅτι οὐδενὶ τῶν ἐν
γενέσει τὸ ἀγένητον ὅμοιον, ἀλλὰ καὶ τοῖς ὅλοις ὑπερ-
βάλλον, ὡς καὶ τὴν ὠκυδρομωτάτην διάνοιαν ὑστερί-
ζουσαν, μακρῷ τῆς καταλήψεως ὁμολογεῖν ἡττᾶ-
σθαι· διόπερ εὐθὺς ἀνέκραγεν, οὐκ ἔστι τοῦτο ὃ ἐδό-
ξασα, ὅτι ἐστὶ κύριος ἐν τόπῳ· περιέχει γάρ, ἀλλ'

καὶ περιέχεται κατὰ τὸν ἀληθινὸν λόγον. τοῦτο δὲ δεικνύμενον καὶ ὁρατὸν, ὁ αἰσθητὸς οὑτοσὶ κόσμος, οὐδὲν ἄρα ἄλλο ἐστὶν, ἢ οἶκος θεοῦ, μιᾶς τῶν τοῦ ὄντως θεοῦ δυνάμεων, καθ' ἣν ἀγαθὸς ἦν· τὸν δὲ κόσμον οἶκον ὠνόμασε, καὶ πύλην τοῦ πρὸς ἀλήθειαν οὐρανοῦ προσεῖπε. τί δὲ τοῦτ' ἐστι· τὸν ἐκ τῶν ἰδεῶν συσταθέντα ἐν τῷ χρηστοποιηθέντι κατὰ τὰς θείας χορηγίας κόσμον νοητὸν οὐκ ἔνεστιν ἄλλως καταλαβεῖν, ὅτι μὴ ἐκ τῆς τοῦ αἰσθητοῦ καὶ ὁρωμένου τούτου μεταβάσεως. οὐδὲ γὰρ ἄλλο τῶν ὄντων ἀσώματον ἐννοῆσαι δυνατὸν, ὅτι μὴ τὴν ἀρχὴν λαβόντας ἀπὸ σωμάτων. ἠρεμούντων μὲν γὰρ, ἐνοήθη τόπος· χρόνος δὲ κινουμένων· σημεῖα δὲ καὶ γραμμαὶ, καὶ ἐπιφάνειαι, καὶ συνόλως πέρατα, ἀπὸ τῆς ἐξωτάτω περικειμένης οἷα ἀμπεχόνης. κατὰ δὲ τὸ ἀνάλογον οὕτω καὶ ὁ νοητὸς, ἀπὸ τοῦ αἰσθητοῦ κόσμου ἐνοήθη, πύλη τις ὢν ἐκείνου. ὡς γὰρ οἱ βουλόμενοι τὰς πόλεις θεάσασθαι, διὰ πυλῶν εἰσίασιν, οὕτως καὶ οἱ τὸν ἀειδῆ κόσμον καταλαβεῖν ἐθέλοντες, ὑπὸ τῆς ὁρατοῦ φαντασίας ξεναγοῦνται· ὁ δὲ νοητῆς ὑποστάσεως κόσμος ἄνευ τῆς τινοσοῦν σχηματογραφίας, μόνης δὲ διὰ τῆς ἀρχετύπου ἰδέας τῆς ἐν τῷ διαχαραχθέντι, πρὸς τὸ ἀπαθὲς αὐτοῦ εἶδος ἄνευ σκιᾶς μετακληθήσεται, πάντων αὐτοῦ τειχῶν καὶ πάσης πύλης ἀρθέντων, εἰς τὸ μὴ ἀπό τινος ἀθρῆσαι, ἀλλ' αὐτὸ καθ' αὑτὸ ἄλεκτον ἢ καὶ δυσερμήνευτον θέαν ἰδεῖν, κάλλος ἀναλλοίωτον. περὶ μὲν τούτων ἅλις. ἐφαρμόζει δὲ τῷ αὐτοῦ εἴδει καὶ ἕτερος ὄνειρος, ὁ περὶ τῆς ποικίλης ἀγέλης, ὃν περ αἰσθανθεὶς ὁ φαντασιωθεὶς διηγεῖται, φάσκων, Εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ' ὕπνον, Ἰακώβ· ἐγὼ δὲ εἶπα, τί ἐστι· καὶ εἶπέ μοι, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα, καὶ τὰς αἶγας, διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς. ἑώρακα γὰρ ὅσα Λάβαν ποιεῖ· ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι στήλην, καὶ ηὔξω μοι εὐχήν· νῦν οὖν ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ. ὁρᾷς ὅτι θεοπέμπτους ὀνείρους ἀναγράφει ὁ θεῖος λόγος, οὐ μόνους τοὺς κατὰ τὸ πρεσβύτατον τῶν αἰτίων προφαινομένους, ἀλλὰ καὶ τοὺς διὰ τῶν ὑποφητῶν αὐτοῦ καὶ ὀπαδῶν ἀγγέλων, οἳ θείας καὶ εὐδαίμονος μοίρας πρὸς τοῦ γεννήσαντος ἠξίωνται πατρός; σκόπει μέντοι καὶ τὸ ἀκόλουθον· ὁ ἱερὸς λόγος, τοῖς μὲν ὡς βασιλεὺς, ἃ χρὴ πράττειν ἐξ ἐπιτάγματος παραγγέλλει· τοῖς δὲ ὡς γνωρίμοις διδάσκαλος, τὰ πρὸς ὠφέλειαν ὑφηγεῖται

A continet enim non continetur, vt docet veritas. mundus iste quem videmus sensibilis, nihil aliud quam domus est Dei, vnius ex Entis veri Dei potentijs, qua bonus est. Mundum nempe domum & veri cæli portam nominat. hoc quid sic dicam. Mundum intelligibilem illum qui decreto Dei constat ex ideis, non licet nobis aliter percipere quàm ex collatione ad hunc nostrum visibilem ac sensibilem: quia nec aliam vllam rem incor- B poream cogitare possumus, nisi occasione sumpta à corporibus. quiescentium enim locus intelligitur, tempus vero mobilium. puncta autem lineæ superficiésque, & in vniuersum fines, velut circundati amictus extimi. eadem ratione cum intelligibilis mundi noticia contingat nobis per sensibilem, hic illius porta dicitur. nam sicut ciuitatem visuri per portam intrant: sic qui mundum illum inuisibi- C lem volunt cognoscere, tanquam peregrini sequuntur imaginationem huius visibilis. At ille mundus essentiæ tantùm intelligibilis absque conspectu cuiuscunque figuræ, solam ideam referens exemplaris ad quod effictus est, ad clarissimam illam speciem vmbra carentem reuocabitur, sublatis & mœnibus & portis omnibus, vt non per aliud spectetur sed per seipsum, ineffabili spectaculo exerens pulchritudinem nunquam mutabilem. De his quoque satis. Huiusmodi som- D nium est & illud alterum de grege vario, quod ipse qui vidit, experrectus narrat dicens: Angelus Domini per visionem inclamauit me: Iacobe. respondi, quid est? & ait: Leua oculos, & vide hircos arietésque salientes super oues & capras, albos, varios, intersparsos cinericij coloris maculis. Vidi enim quæ facit Laban. Ego sum ille Deus qui apparui tibi in loco Dei, vbi vnxisti mihi lapidem, & votum E vouisti. nunc ergo surge, & egredere de terra hac, & proficiscere in terram natalem, & ero tecum.] Vides in sacris literis diuinitus mitti somnia, non solum per causam rerum antiquissimam, sed & per ministros eius apparitorésque angelos, qui diuinam felicémque sortem à summo parente acceperunt? considera tamen & quod sequitur. Sacer sermo alijs vt rex facienda imperat, alios vt præceptor familiares discipulos vtiliter instituit,

alios item tanquam consiliarius sententijs optimis instruit, non valentes ipsos sibi consulere. rursum cum alijs tanquam cum amicis fidenter amātérque secreta consilia communicat, quæ profanos audire nefas est. interdū sciscitatur ex quibusdam, sicut ex Adamo illud, Vbi es? ad quod proprie responderi poterat, Nusquam: eo quod humanæ res omnes nunquam in eodem statu maneant, subinde mutāte se tum anima, tū corpore, ac rebus extraneis. Instabiles enim sunt cogitationes, cum earundem rerum imaginationes non semper easdem, sed interdū contrarias concipiant. corpus quoque pariter instabile, vt indicāt mutationes ætatum continuæ ab infantia vsque senectutē vltimam. nihilo stabiliores etiam res extraneæ, pendentes à fluctuantis fortunæ arbitrio. Cæterum quando sermo ille venit in amicorum consistoriū, non prius incipit dicere quam vnumquemque nominatim appellet, vt arrectis auribus attenti quietique audiant oracula ad perpetuā memoriam: quoniā & aliubi dicitur, Sile & audi. ad hunc modum è rubo Moses vocatur. Vt vidit, inquit, eum accedere ad rem visendam propius, vocauit eum è rubo Deus, dicens: Moses Moses. qui respondit, Quid est? Sic & Abraham, quando Deo tentante pietatem eius, parans immolare dilectum filium vnigenitum, vetitus est genus illud per se doctū, cognominatū Isaac, extinguere. sic enim incipit narratio: quod Deus tentans eum dixit, Abraham Abrahā, qui respondit, Ecce ego. tum ille: Sume filium tuum vnigenitū quem diligis Isaac, & offer eum mihi in holocautoma. Iámque victima erat altari imposita, cum reuocauit eū angelus Domini è cælo dicens: Abraham Abraham. qui respondit, Adsum. dixítque ei, Ne extēdas manū tuam super puerum, neque facias illi quicquam. Ex hoc diuino sodalitio vnus hic meditator, meritò & ipse vt non postremus nominatim vocatur. Dixit, inquit, angelus ad me, Iacobe. Cui respōdi, quid est? Vocatus attēdit diligenter, vt visa bene percipiat. ea sunt orationum, ceu pecorum, coitus & generatio. Leuatis, inquit, oculis vidit hircos arietésque salientes super oues & capras.] Hircus caprarum gregis dux est, aries autem ouium. Hæc animalia duos sermones perfectos significant, quorum alter pu-

A τοῖς δὲ ὡς σύμβουλος γνώμας εἰσηγούμενος τὰς ἀρίστας, τοὺς δὲ συμφέρον ἐξ ἑαυτῶν οὐκ εἰδότας μέγα ὠφελεῖ· τοῖς δὲ ὡς φίλος ἐπιεικῶς καὶ μετὰ πειθοῦς πολλὰ καὶ τῶν ἀρρήτων διαφέρει, ὧν οὐδένα τῶν ἀτελέστων ἐπακοῦσαι θέμις· ἔστι δ᾽ ὅτε καὶ πυνθάνεταί τινων, ὡς ἐπὶ τοῦ Ἀδάμ, τὸ, ποῦ εἶ, πρὸς ὃν ἀποκρίναιτ᾽ ἄν τις οἰκείως, οὐδαμοῦ, τῷ τὰ ἀνθρώπεια πάντα ἐν ὁμοίῳ μὴ μένειν, ἀλλὰ καὶ κινεῖσθαι καὶ ψυχῇ καὶ σώματι, καὶ τοῖς ἐκτός. ἄστατοι μὲν B γὰρ οἱ λογισμοί, φαντασίας ἀπὸ τῶν αὐτῶν πραγμάτων οὐχὶ τὰς αὐτάς, ἀλλ᾽ ἐναντίας ἔχοντες· ἄστατον δὲ καὶ τὸ σῶμα, ὡς μηνύουσιν αἱ ἐκ βρέφους ἄχρι γήρως τῶν ἡλικιῶν ἀπαύστως τροπαί· ἄστατα δὲ καὶ τὰ ἐκτός, ἐπῃωρημένα φορᾷ τύχης ἀεὶ σαλευούσης. ἐπειδὰν μέντοι πρὸς τὸ τῶν φίλων ἔλθῃ συνέδριον, οὐ πρότερον ἄρχεται λέγειν, ἢ ἕκαστον αὐτῶν ἀνακαλέσαι καὶ ὀνόματι προσειπεῖν, ἵνα τὰ ὦτα ἀθροίσαντες, ἡσυχίᾳ καὶ προσοχῇ χρώμενοι, τῶν θεσμῳδουμένων εἰς ἄληστον μνή- C μην ἀκροῶσιν. ἐπεὶ καὶ ἑτέρωθι λέγεται, Σιώπα καὶ ἄκουε. τοῦτον τὸν τρόπον ἐπὶ τῆς βάτου Μωσῆς ἀνακαλεῖται. Ὡς γὰρ εἶδε, φησίν, ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ὁ θεὸς ἐκ τῆς βάτου λέγων, Μωϋσῆ Μωϋσῆ· ὁ δὲ εἶπε, τί ἐστιν. Ἀβραὰμ δὲ ἐπὶ τῆς τοῦ ἀγαπητοῦ καὶ μόνου παιδὸς ὁλοκαυτώσεως, ἡνίκα τε ἱερουργεῖν ἤρχετο, καὶ ὁπότε διὰ τὴν ἀπόπειραν εὐσεβείας ἐξ ἀνθρώπων ἀφανίσαι τὸ αὐτομαθὲς γένος ἐπίκλησιν Ἰσαάκ, ἐκωλύθη. ἀρχόμενος μὲν γάρ, φησιν, ὅτι ὁ θεὸς ἐπεί- D ραζε τὸν Ἀβραάμ, καὶ εἶπε πρὸς αὐτόν, Ἀβραὰμ Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε, λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ ἀνένεγκε. ἤδη δὲ τὸ ἱερεῖον ἐπὶ τὸν βωμὸν ἀνενηνοχότος, τό τε ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ, λέγων, Ἀβραὰμ Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. καὶ εἶπε, μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτῷ μηδέν. εἷς δὲ δὴ τοῦ φιλικοῦ θιάσου καὶ ὁ ἀσκητής, ὃν εἰκότως προοίμια τῆς E αὐτῆς ἀξιωθεὶς ἀνακαλεῖται. Εἶπε γάρ μοι, φησίν, ὁ ἄγγελος τοῦ θεοῦ καθ᾽ ὕπνον, Ἰακώβ· ἐγὼ δὲ εἶπα, τί ἐστιν. ἀνακληθεὶς δέ, προσοχῇ χρῆται, τὰ φανέντα σημεῖα πειρώμενος ἀκριβοῦν· ἔστι δὲ τὰ σημεῖα, λόγων οἷα θρεμμάτων ὀχεῖαί τε καὶ γενέσεις. Ἀναβλέψας γάρ, φησί, τοῖς ὀφθαλμοῖς, εἶδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας. αἰπολίου μὲν δὴ τράγος, ποίμνης δὲ κριὸς ἡγεμών ἐστι· τὰ δὲ ζῷα ταῦτα δύο λόγων σύμβολα τελείων, ὧν ὁ μὲν ἕτερος καθαίρει,

καὶ κενοῖ ψυχὴν ἁμαρτημάτων· ὁ δ᾽ ἕτερος τρέφει καὶ πλήρη κατορθωμάτων ἐργάζεται. τοιοῦτοι μὲν οἱ ἡγεμόνες ἐν ἡμῖν ἀγελάρχαι λόγοι· αἱ δὲ ἀγέλαι προβάτοις καὶ αἰξὶ φερωνύμως διατιθεῖσαι, ἄττουσαι καὶ προβαίνουσαι μετὰ σπουδῆς πρὸς δικαιοσύνην. ἀναβλέψας οὖν ποτε, ὡς μεμυκὼς ὄμμα τὸ διανοίας, εἶδε τοὺς ἀναλογοῦντας τράγοις καὶ κριοῖς τελείους λόγους ἠκονημένους πρός τε μείωσιν ἀδικημάτων, καὶ τῶν χρηστῶν πρὸς τὴν συναύξησιν. πῶς ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, τὰς ἔτι νέας καὶ ἁπαλὰς ψυχάς, ἄρτι ἡβώσας, καὶ ἤδη τὸ τῆς ἀκμῆς ὡραϊζομένας, ἀναβαίνουσιν· οὐχ ἄλογον ἡδονὴν διώκοντες, ἀλλ᾽ ἀοράτου σπορᾶς φερωνύμως χρώμενοι δογμάτων. εὔπαις γὰρ ὁ γάμος ἐστὶν, οὐ σώματι συμπλέκων, ἀλλ᾽ εὐφυέσι ψυχαῖς τελείας ἀρετὰς ἁρμοζόμενος. ἐπιβαίνετε οὖν οἱ σοφίας ὀρθοὶ λόγοι πάντες, ὀχεύετε, σπείρετε, καὶ ἣν ἂν ἴδητε ψυχὴν βαθεῖαν, εὔγεον, παρθένον, μὴ παρέλθητε· καλέσαντες δὲ εἰς τὴν ὁμιλίαν καὶ συνουσίαν, τελειώσατε, καὶ ἐγκύμονα ἀπεργάσασθε. τέξεται γὰρ πάντα ἀστεῖα, γενεὰν ἄρρενα, διαλεύκων, ποικίλων, σποδοειδῶν ῥαντῶν. ἣν δὲ ἔχει τῶν γεννημάτων τούτων ἕκαστον δύναμιν, ἐρευνητέον· διάλευκοι τοίνυν εἰσὶν, οἱ τηλαυγέστατοι, καὶ ἀριδηλότατοι, τῆς δια πολλάκις ἐπὶ τοῦ μεγάλου τιθεμένης, ἀφ᾽ οὗ διάδηλον καὶ διάσημον, τὸ μεγάλως δῆλον καὶ μεγάλως ἐπίσημον ἔθος ὀνομάζειν ἐστί. βούλεται οὖν τῆς τὸν ἱερὸν σπόρον παραδεξαμένης ψυχῆς τὰ πρωτότοκα γεννήματα διάλευκα εἶναι, φωτὶ ἐοικότα οὐκ ἀμυδρῷ, φέγγει δὲ διαυγεστάτῳ, οἷα γένοιτ᾽ ἂν ἀφ᾽ ἡλιακῶν ἀκτίνων ἀνέφελος ἐν αἰθρίᾳ κατὰ μεσημβρίαν αὐγή. βούλεται δὲ καὶ ποικιλίαν οὐ πολύμορφον, καὶ ποικίλην καὶ πολύτροπον λέπρας ἀκαθάρτου τρόπον διὰ γνώμης ἀβεβαιότητα χρωσάμενα ἀστάτῳ καὶ φορουμένῳ βίῳ, ἀλλὰ γράμμασιν ἐγκεχαραγμένα, καὶ σφραγῖσι διαφόροις, δοκίμοις δὲ πάσαις τετυπωμένα, ὧν αἱ ἰδιότητες ἀναμιχθεῖσαι καὶ ἀνακραθεῖσαι, μουσικὴν συμφωνίαν ἐργάζονται. τὴν γὰρ ποικίλην τέχνην, ὁμοίως μὲν τινὲς οὕτως ἠμελημένον καὶ ἀφανὲς εἶναι πρᾶγμα, ὥστε ὑφάνταις αὐτὴν ἀνέθεσαν· ἐγὼ δὲ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ τοὔνομα τέθηπα, καὶ μάλιστα ὅταν εἰς τὰ γῆς τμήματα, καὶ τὰς ἐν οὐρανῷ σφαίρας καὶ ζῴων καὶ φυτῶν διαφορὰς, καὶ τὸ παμποίκιλον ὕφασμα τουτονὶ τὸν κόσμον ἀπίδω. τὸν γὰρ τοῦ πλέγματος τούτου δημιουργὸν καὶ εὑρετὴν τῆς

A rificat animam, & facit peccatis vacuam: alter eam nutrit, & replet bonis operibus. Tales sunt in nobis duces gregum sermones. greges autem vt oues capræque quarum gerunt nomina, currentes properantésque ad iustitiam. Tunc igitur leuatis mentis oculis, quos prius clauserat, vidit similes hircis arietibúsque perfectos sermones, paratos ad minuendas iniquitates & augenda officia. at quomodo? Dum super oues caprásque, B videlicet iuuenes adhuc teneràsque animas, pubentes & vigentes ætate saliunt, non propter brutam voluptatem, sed propter inuisibilem genituram sapientium dogmatum. fœcundum enim est hoc connubium, non amplexus concilians corporum, sed bene natas animas iungens perfectis virtutibus. Salite igitur omnes recti sermones, coite, seminate, & quamcunque animam videritis fœcundam fertilémque virginem, ne sinatis præ- C teritam. Inuitatam autem ad complexus initiate, redditéque grauidam. elegantem enim prolem pariet, masculam, albam, variam, interspersam cinericijs maculis. hæc verba quid significent quærendum est. διάλευκοι albi sunt clarissimi & manifestissimi, quod δια sæpe in compositione verborum augeat rem, vt διάδηλον & διάσημον, quæ voces aliquid perspicuum insignéque significant. proinde requiri- D tur vt animæ sacra genitura grauidæ primogeniti fœtus albidi sint, similes non sublustri colori, sed splendido, quales per meridianam serenitatem fulgent solares radij. requiritur etiam varietas, non illa in lepræ impuræ morem multiformis ac multiplex, quæ propter sententiæ inconstantiam adsimilatur vitæ huc illuc raptatæ incertis casibus: sed literis picturata sigillísque varijs, effictis probe omnibus quorum proprietates inter se temperatæ mixtæ- E que musicam symphoniam conficiant. quidam enim picturandi artem adeo neglectam vilémque existimant, vt eam ad textores relegent. ego vero etiam nomen eius admiror, præsertim quando terræ segmenta, cælestes circulos, animalium stirpiúmque differentias, & hunc mundi multiformem contextum aspicio. quæ admiratio cogit me credere, huius opificem inuenisse artem va-

riegandi : atque ita & inuentorem A veneror, & inuentum eius honoro : operis vero ipsius spectaculo stupeo (quamuis quotam eius portionem vidi ?) ex eo quod apparet, si tamen satis apparet, diligentem coniecturam sperans me posse facere de cætero. Quin & amatorem sapientiæ miror ob eiusdem artis studium, qui multa variáque hinc inde collecta scit contexere. Sumens enim à puerili grammatica hæc duo prima, scri- B bendi legendique facultatem, à perfectiore poematum noticiam & antiquitatum memoriam, ab arithmetica geometriáque certitudinem in iudicio proportionum ratiocinationúmque, à musica rythmos, metra concinna, colores, tonos, melos coniunctum disiunctúmque, à rhetorica inuentionem, elocutionem, ordinem, dispositionem, memoriam, pronunciationem, à philoso- C phia quicquid in his est prætermissum, & reliqua ex quibus constat vita hominum, vnum opus floridissimum conficit eruditionem variam, admiscens ei opificem quoque huius negotij, quem sacra scriptura vocat Beseleel, & interpretatur In vmbra Dei. hic enim rerum simulacra fabricat, exemplaria vero architectus, Moses nomine. ideo ille tanquam vmbras delineat : hic vero non vmbras facit, sed naturas archetypas D speciésque, & picturis ornat sacraria. ille autem doctus ornator pictórque loci sapientiæ, monumentis sacrarum literarum inseritur. Hoc ipsum quoque pulcrum opus Dei, variúmque, mundus videlicet, eadem arte sapienter absolutum est. Et non mirabimur picturam vt magnam scientiam, cuius sacratum opus extat factum ratione sapientissima, terra cæloque tot simulacra continens, E vnde meditatori variarum cogitationum materia. post albos enim mox vidit varios, eruditionis notis insignitos. tertij sunt aspersi cinericij. hos tamen quis sanus non diceret varios? verùm hic non tam de differentijs pecorum agitur, quam de via ducente ad virtutem. vult enim propheta in hac incedentem aspergi aqua & cinere : quia terram aqua maceratam proditum est formatam esse ab hominis fictore in corpus hoc nostrum,

ποικιλτικῆς ἐπινοεῖν εὐθὺς ἐπιστήμης ἀναγκαζόμεθα, καὶ σέβομεν μὲν τὸν εὑρόντα, τιμῶμεν δὲ τὸ εὑρεθὲν, τὸ δ᾽ ἔργον καταπεπλήγμεθα· καίτοι μηδὲ πολλοστὸν μέρος αὐτοῦ δυνηθεὶς ἰδεῖν, ἀπὸ τοῦ καὶ φανέντος μοι μέρους, εἰ δὴ καὶ πέφηνεν, ἀκριβῶς τὸ ὅλον εἰκάζων ἀναλογίας ἐλπίδι. θαυμάζω μέντοι καὶ τὸν σοφίας ἐραστὴν, ὅτι τὴν αὐτὴν τέχνην ἐπιτετήδευκε, πολλὰ καὶ διαφέροντα ἐκ διαφερόντων εἰς ταὐτὸ συνάγειν καὶ συνυφαίνειν ἀξιῶν. λαβὼν γὰρ ἀπὸ μὲν τῆς παιδικῆς γραμματικῆς δύο τὰ πρῶτα, τὸ, τε γράφειν καὶ τὸ ἀναγινώσκειν, ἀπὸ δὲ τῆς τελειοτέρας, τήν τε περὶ τοῖς ποιηταῖς ἐμπειρίαν, καὶ τὴν ἀρχαίας ἱστορίας ἀνάληψιν· παρὰ δὲ ἀριθμητικῆς καὶ γεωμετρίας, τὸ ἀνεξαπάτητον, ἐν οἷς ἀναλογίας καὶ λογισμοῦ ἐστὶ χρεία· παρὰ δὲ τῆς μουσικῆς, ῥυθμοὺς, καὶ μέτρα τὰ ἐναρμόνια, καὶ χρωματικὰ, καὶ διατονικὰ, συνημμένα τε αὖ καὶ διεζευγμένα μέλη· παρὰ δὲ ῥητορικῆς, εὕρεσιν, φράσιν, τάξιν, οἰκονομίαν, μνήμην, ὑπόκρισιν· παρὰ δὲ φιλοσοφίας, ὅσα τε ἐν ταύταις παραλέλειπται, καὶ ἄλλα ἐξ ὧν ἅπας ὁ ἀνθρώπων βίος συνέστηκεν, ἓν ἔργον εὐανθέστατον ἡρμόσατο, πολυμάθειαν, πολυμαθείᾳ μίξας καὶ τὸν τούτου τοῦ πράγματος δημιουργὸν, ὃν ὁ ἱερὸς λόγος Βεσελεὴλ ἐκάλεσεν, ὃς ἑρμηνευθείς ἐστιν, ἐν σκιᾷ θεοῦ. τὰ γὰρ μιμήματα οὗτος, τὰ δὲ παραδείγματα, ἀρχιτέκτων, Μωσῆς ὄνομα· διὰ τοῦτο ὁ μὲν οἷα σκιὰς ὑπογράφεται, ὁ δ᾽ οὐ σκιὰς, αὐτὰς δὲ τὰς ἀρχετύπους ἐδημιούργει φύσεις, καὶ εἴδη καὶ τὰ ἅγια ποικιλτικῇ τέχνῃ κατεσκεύαζεν· ὁ δὲ σοφίας χώρας ὁ σοφὸς ποικιλτὴς μόνον ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς ἀνείρηται· καὶ τὸ τοῦ θεοῦ καλὸν ποίκιλμα ὅδε ὁ κόσμος ἐπιστήμῃ πανσόφῳ τετελεσιούργηται. καὶ πῶς οὐκ ἄξιον ὡς μεγάλην τὴν ἐπιστήμης ἀποδέχεσθαι ποικιλτικὴν, ἧς ἀφίδρυμα ἱερώτατον πᾶς ὁ σοφίας λόγος, ὃς ἀγαλματοφορεῖται καὶ κατ᾽ οὐρανὸν καὶ ἐπὶ γῆς, ἀφ᾽ ἧς ποικίλων λόγων ἰδέας ὁ ἀσκητὴς ἐκπονεῖ. μετὰ γὰρ τοὺς διαλεύκους εὐθὺς τοὺς ποικίλους εἶδε, παιδείας, χρώματι χαραχθέντας. τρίτοι δ᾽ εἰσὶν οἱ σποδοειδεῖς ῥαντοί· καίτοι τίς ἂν εὖ φρονῶν εἴποι οὐχὶ καὶ τούτους εἶναι ποικίλους. ἀλλὰ γὰρ οὐκ ἔστιν αὐτῷ περὶ θρεμμάτων διαφορᾶς ἡ τοσαύτη σπουδὴ, περὶ μέντοι τῆς πρὸς καλοκαγαθίαν ὁδοῦ. βούλεται γὰρ τὸν ἐπὶ ταύτῃ ὄντα, σποδῷ καὶ ὕδατι περιρραίνεσθαι· διότι γῆν καὶ ὕδωρ λόγος ἔχει φυραθέντα καὶ μορφωθέντα πρὸς τοῦ ἀνθρωποπλάστου εἰς τὸ ἡμέτερον ἀποκριθῆναι

σῶμα, οὐ χειρόκμητον, ἀλλὰ φύσεως ἔργον. ἀοράτου σοφίας αὕτη ἐστὶν ἀρχή, μὴ ἐπιλανθάνεσθαι ἑαυτοῦ, τὰ δ' ἐξ ὧν συνεκράθη, πρὸ ὀφθαλμῶν ἀεὶ λαμβάνειν. οὕτως γὰρ μεγαλαυχίαν τὸ κακὸν θεομισέστατον ἐκνίψαιτ' ἄν. τί γὰρ εἰς νοῦν βαλλόμενος, ὅτι τέφρα καὶ ὕδωρ εἰσὶ τῆς γενέσεως αἱ ἀρχαί, φυσηθεὶς ποτ' οἰήσεως μετέωρος ἀρθήσεται; διὰ τοῦτο καὶ τοὺς μέλλοντας ἱερουργεῖν περιρραίνεσθαι τοῖς λεχθεῖσιν ἐδικαίωσεν, οὐδένα θυσιῶν ἄξιον νομίσας, ὃς μὴ πρότερον ἑαυτὸν ἔγνωκε, καὶ τὴν ἀνθρωπίνην οὐδένειαν κατείληφεν, ἐξ ὧν συνεκράθη στοιχείων, τὸ μηδενὸς ἄξιον εἶναι τεκμηράμενος. ταῦτα τὰ σημεῖα, τὸ διάλευκον, τὸ ποικίλον, τὸ σποδοειδὲς ῥαντόν, περὶ μὲν τὸν ἀσκητὴν, ἅτε μήπω τέλειον ἑωρακότα, ἀτελῆ· περὶ δὲ τὸν τέλειον, φαίνεται καὶ αὐτὰ τέλεια· ὃν δὲ τρόπον, θεασώμεθα. τὸν μὲν γὰρ ἀρχιερέα, ὁπότε μέλλοι τὰς νόμῳ προστεταγμένας ἐπιτελεῖν λειτουργίας, ὁ ἱερὸς ἐδικαίωσε λόγος, ὕδατι καὶ τέφρᾳ περιρραίνεσθαι τὸ πρῶτον, εἰς ὑπόμνησιν ἑαυτοῦ. καὶ γὰρ ὁ σοφὸς Ἀβραὰμ ὅτε ἐντευξόμενος ἦλθε, γῆν καὶ σποδὸν εἶπεν ἑαυτόν· ἔπειτ' ἐνδύεσθαι τὸν ποδήρη χιτῶνα, καὶ τὸ ποικίλον, ὃ κέκληκεν ἐπ' αὐτοῦ περιστήθιον, τῶν κατ' οὐρανὸν φωσφόρων ἀστέρων ἀπεικόνισμα καὶ μίμημα. δύο γὰρ, ὡς ἔοικεν, ἱερὰ θεοῦ, ἓν μὲν ὅδε ὁ κόσμος, ἐν ᾧ καὶ ἀρχιερεὺς ὁ πρωτόγονος αὐτοῦ θεῖος λόγος· ἕτερον δὲ λογικὴ ψυχή, ἧς ἱερεὺς ὁ πρὸς ἀλήθειαν ἄνθρωπος, οὗ μίμημα αἰσθητὸν ὁ τὰς πατρίους εὐχάς τε καὶ θυσίας ἐπιτελῶν ἐστιν, ᾧ τὸν εἰρημένον ἐπιτέτακται χιτῶνα ἐνδύεσθαι τοῦ παντὸς ἀντιμίμημα ὄντα οὐρανοῦ, ἵνα συνιερουργῇ καὶ ὁ κόσμος ἀνθρώπῳ, καὶ τῷ παντὶ ἄνθρωπος. δύο μὲν οὖν εἴδη, τό, τε ῥαντὸν καὶ ποικίλον, τύπον ἔχων ἐπιδέδεικται· τὸ δὲ τρίτον καὶ τελειότατον, ὃς ὀνομάζεται διάλευκος, αὐτίκα σημανοῦμεν. ὅταν εἰς τὰ ἐσώτατα τῶν ἁγίων ὁ αὐτὸς οὗτος ἀρχιερεὺς εἰσίῃ· τὴν μὲν ποικίλην ἐσθῆτα ἀπαμφιέννυται, λινῆν δὲ ἑτέραν βύσσου τῆς καθαρωτάτης πεποιημένην ἀναλαμβάνει· ἡ δ' ἐστὶ σύμβολον εὐτονίας αὐγοειδεστάτου φέγγους. ἀρραγέστερον γὰρ ἡ ὀθόνη, καὶ ἐξ οὐδενὸς τῶν ἀποθνησκόντων γίνεται, καὶ ἔτι λαμπρότατον καὶ φωτοειδέστατον ἔχει μὴ ἀμελῶς καθαρθεῖσα χρῶμα. διὰ δὲ τούτων ἐκεῖνο αἰνίττεται, ὅτι τῶν ἀδόλως καὶ καθαρῶς θεραπευόντων τὸ ὄν, οὐδείς ἐστιν ὃς μὴ πρότερον μὲν ἰσχυρογνωμοσύνῃ κέχρηται, καταπεφρονηκὼς τῶν ἀνθρωπίνων πραγμάτων, ἃ δελεάζοντα κηραίνει, καὶ ἀσθενείας ἐργάζεται·

A non manu factum opus, sed naturale. est ergo principium inuisibilis sapientiæ, non obliuisci sui ipsius, & habere semper præ oculis suas origines. Sic enim superbia, vitium cum primis exosum Deo, potest elui. Quis enim cogitans se aquam & cinerem iam inde à creationis suæ primordijs, inflabitur: & cristas tollet per arrogantiam? ideo sacrificaturos etiam ad hunc modum aspergi legislator iubet, neminem censens dignum his B munijs, qui sibi non sit notus antea, & ignoret vilitatem hominis, quam ex elementis è quibus constat, coniectando intellexisse debuerat. Hæc insignia, album, varium, sparsum cinericium, quantum ad Meditatorem attinet, qui nondum perfectus ea vidit, imperfecta sunt: quantum autem ad virum perfectum, & ipsa perfecta videntur. Consideremus quomodo. Principem sacerdotum, quoties rite immolaturus præscriptas victimas ac- C cedit ad altare, ante omnia cinere & aqua lustrari sacra lex iubet, vt in sui memoriam redeat: nam & ille sapiens Abraham supplicaturus terram se ait esse ac cinerem: deinde talarem stolam indui, & ornatum pectoralem varium, cælestium siderum quandam imaginem. Duo enim Dei templa esse videntur: alterum hic mundus, cuius sacerdotium est penes Dei sermonem primogenitum: alterum anima ratio- D nalis, cuius sacerdos est ille verus homo: cuius hominis imago sensibilis est pontifex, qui patrio ritu vota & sacra facit. huic præceptum est vt iam dictam stolam induat referentem cæli similitudinem: vt & mundus vnà cum sacerdote operetur, & homo cum hac vniuersitate. atque ita duarum specierum typi declarantur, sparsæ & variæ: iam tertiam perfectissimámque, quæ alba nominatur, explanabimus. quando hic ipse pontifex intrat intima sacraria, variam illam vestem exuit, su- E mens aliam lineam, factam è bysso purissima. hæc significat firmitatē splendidissimi luminis. nam hoc telæ genus difficile rumpitur, nec fit ex vlla re mortali, & cum bene purgatur candorem habet eximiū. per quæ illud subindicatur, quod ex his qui sedulo puréque colunt illud Ens, nemo est qui non primùm firma vtatur sententia, contemptis humanis negotijs, quæ illectos lædunt & reddunt infirmiores:

deinde immortalitatem cupiat, irrisis figmentis cæcorum hominum: postremo illustretur veritatis splendore purissimo, nullam posthac admissurus falsam opinionem pertinentem ad tenebras. Hactenus de magno pontifice insignito tribus dictis signaculis, albo, vario, sparso cinericio. at ille rerum humanarum administrationis cupidus, nomine Ioseph, extremas notas, vt apparet, non affectat, sed solam mediam variam. narratur enim habuisse tunicam variam, nec aspersus sacris lustralibus, vnde agnoscere poterat se lutum factum ex aqua & cinere, nec virtutis vestem adeptus candidissimam: amictus tantum textura ciuilium rerum varia, cui minimum quiddam de veritate inspergitur, maxima vero ex parte constat è mendacijs ratione fucatis, persuasibilibus, & præferentibus quandam veritatis speciem: vnde origo sophistarum Ægyptiorum omnium, vt sunt augures, ventriloqui, prodigiorum procuratores, aduersarij graues & præstigiatores maximi, quorum insidiosas artes difficile habetur euadere. ideo tunicam hanc Moses inducit naturaliter infectam sanguine: quoniam tota vita rempublicã administrantis contaminatur, dum bellum aut infertur aut propulsatur, infestantibus subinde alijs atque alijs improuisis casibus. scrutare quemlibet gratiosum apud populum, cui bene succedunt negotia. caue te miratores eius decipiant, inuenies multos morbos, multas pestes in eo latere, huc illuc obtorto collo trahentes eius animam inuisibiliter licet reluctantem ne opprimatur, vel offensa tandem plebeia multitudine, vel alicuius potentioris insidijs. huc accedit inuidia grauis inimica & vix superabilis, omnes quæ vocantur felicitates impetere solita, quam euitare non est facile. quid est ergo cur nobis placeamus administratione reipublicæ tanquam veste versicolori, decepti eius externa specie, nec animaduertentes latentem in insidijs periculosam turpitudinem? quin potius exuta ista tunica florida sacram illam vestem induimus intertextam varijs virtutibus? sic enim insidias euademus, quas nobis struit inertia, inscitia, ineruditio, Labanis sodalitium. postquam enim nos purificatos illustrationibus san-

A ἔπειτα ἀφθαρσίας ἐφίεται, γελάσας ὅσα οἱ τυφλοὶ τυφλοπλαστοῦσι· τελευταῖον δέ, ἀληθείας ἀσκίῳ φέγγει καὶ περιαυγεῖ καταλάμπεται, μηδὲν ἔτι τὴν τῆς ψευδοῦς δόξης, ἃ σκότου φίλα εἶναι συμβέβηκε, προσιέμενος. ὁ μὲν δὴ μέγας ἀρχιερεύς, τῆς ὁμολογίας πέρι ταῖς εἰρημέναις τυπωθεὶς σφραγῖσι, τῇ διαλεύκῳ, τῇ ποικίλῃ, τῇ σποδοειδεῖ ῥαντῇ, τοιοῦτος ἡμῖν ἀναγεγράφθω. ὁ δὲ τῆς ἀνθρωπίνης πολιτείας ἐφιέμενος Ἰωσὴφ ὄνομα, τὴν μὲν ἄκρων ἰδεῖν ἐστὶ μὴ μεταποιούμενον χα-
B ρακτήρων, μόνης δὲ τοῦ μέσου καὶ ποικίλου. λέγεται γὰρ ὅτι χιτῶνα ποικίλον εἶχεν, οὔτε καθαρσίοις περιρραινόμενος ἱεροῖς, ἀφ' ὧν ἑαυτὸν ἂν ἔγνω τέφρας καὶ ὕδατος συμφόρημα, οὔτε τῆς ποδηνεκοῦς καὶ φωτοειδεστάτης ἐσθῆτος ἀρετῆς ψαῦσαι δυνηθείς· ἀλλὰ τὸ τῆς πολιτείας ἐπαμπισχόμενος ὕφασμα παμποίκιλον, ᾧ βραχύτατον ἀληθείας μέρος ἐγκαταμέμικται, πολλαὶ δὲ καὶ μεγάλαι μοῖραι ψευδῶν, εὐλόγων, πιθανῶν, εἰκότων, ἐξ ὧν οἱ ἀπ'
C Αἰγύπτου πάντες ἀνεβλάστον σοφισταί, οἰωνομάντεις, ἐγγαστρίμυθοι, τερατοσκόποι, δεινοὶ παλαῖσαι καὶ καταπαῦσαι, καὶ γοητεῦσαι, ὧν τὰς ἐπιβούλους τέχνας, μέγα ἔργον διεκδῦναι· διὸ καὶ τὸν χιτῶνα τοῦτον εἰσάγει Μωσῆς φυσικῶς αἵματι πεφυρμένον. ἐπειδὴ πᾶς ὁ τοῦ πολιτευομένου βίος πέφυρται, πολεμῶν τε καὶ πολεμούμενος, καὶ ὑπὸ τῶν προσπιπτουσῶν ἀβουλήτων συντυχιῶν βαλλόμενος καὶ τοξευόμενος. ἐρεύνησον οὖν τὸν λίαν δη-
D μοτικόν, ᾧ τὰ πόλεως πράγματα ἐφορμεῖ· μὴ καταπλαγῇς τοὺς θαυμαστικῶς ἔχοντας αὐτοῦ, καὶ πολλὰς μὲν ἐμφωλευούσας νόσους εὑρήσεις, πολλὰς δ' ἐξημμένους κῆρας, καὶ βιαίως ἐφ' ἑκάτερα τὴν ψυχὴν αὐχενιζούσας καὶ ἀφανῶς αὐτῇ προσπαλαιούσας καὶ ζητούσας ἀνατρέψαι καὶ καταβαλεῖν, ἢ τοῦ πλήθους τῇ προστασίᾳ δυσχεράναντος, ἢ κατ' ἀντεπίθεσιν δυνατωτέρου ἀνδρός· ἔστι δὲ καὶ ὁ φθόνος βαρύς, καὶ δυσαπότρεπτος ἐχθρός, ἐπι-
E φυόμενος ἀεὶ ταῖς λεγομέναις εὐπραγίαις, ὃν οὐ ῥᾴδιον ἐκφυγεῖν. τί οὖν ὡς ἐσθῆτος πολυτελοῦς τῆς ἐπηνθισμένης πολιτείας ἀψάμενοι γαυριῶμεν, τῷ εὐπρεπεῖ τῆς φανερᾶς ὄψεως ἀπατώμενοι, τὸ δ' ἀφανὲς κεκρυμμένον ἐπίβουλον καὶ σφαλερὸν αἶσχος αὐτῆς οὐ κατανοοῦντες; ἀποδυσάμενοι δὴ τὸν ἀνθηρὸν τοῦτον χιτῶνα, τὸν ἱερὸν ἐνδυσώμεθα, ἀρετῶν ποικίλμασιν ἐνυφασμένον. οὕτως γὰρ καὶ τὰς ἐνέδρας ἀποδρασόμεθα, ἃς ἀτεχνία καὶ ἀνεπιστημοσύνη καὶ ἀπαιδευσία καθ' ἡμῶν τίθησιν, ὧν ὁ Λάβαν ἐστὶ θιασώτης. ἐπειδὰν γὰρ ἐκκαθήρει

ἡμᾶς ὁ ἱερὸς λόγος τοῖς εἰς ἁγνείαν εὐτρεπισθεῖσι περιρραντηρίοις, καὶ τοῖς ἀπορρήτοις φιλοσοφίας ἀληθοῦς κατεποίκιλε λόγοις, ἀγαγὼν εἰς τὸ δόκιμον καὶ διάσημον καὶ ἐπιφανὲς καὶ λαμπρότερον ἐποίησεν, αἰτιᾶται τὸ ἐπίβουλον ἦθος, πρὸς τὴν τῶν ῥηθέντων λύμην ἐπιτεθειμένον Λάβαν. φησὶ γάρ, Ἑώρακα ἅ σοι Λάβαν ποιεῖ, τἀναντία δήπουθεν οἷς ἐδωρησάμην ἐγώ, τὸ δυσκάθαρτον καὶ ἀδόκιμον, τὸ πάντη σκοταῖον. ἀλλὰ γὰρ οὐ χρὴ καταπεπλῆχθαι τὸν ἐλπίδι θείας συμμαχίας ἐφορμοῦντα, ᾧ καὶ λέγεται, Ἐγώ εἰμι θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ. πάγκαλόν γε αὔχημα ψυχῇ τὸ ἀξιοῦν θεὸν ἐπιφαίνεσθαι, καὶ ἐνομιλεῖν αὐτῇ. μὴ παρέλθῃς δὲ τὸ εἰρημένον, ἀλλ' ἀκριβῶς ἐξέτασον εἰ δύο εἰσὶ θεοί. λέγεται γάρ, Ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι, οὐκ ἐν τόπῳ τῷ ἐμῷ, ἀλλ' ἐν τόπῳ θεοῦ, ὡς ἂν ἑτέρου. τί οὖν χρὴ λέγειν; ὁ μὲν ἀληθείᾳ θεὸς, εἷς ἐστιν· οἱ δ' ἐν καταχρήσει λεγόμενοι, πλείους. διὸ καὶ ὁ ἱερὸς λόγος ἐν τῷ παρόντι τὸν μὲν ἀληθείᾳ, διὰ τοῦ ἄρθρου μεμήνυκεν, εἰπών, Ἐγώ εἰμι ὁ θεός· τὸν δὲ ἐν καταχρήσει χωρὶς ἄρθρου, φάσκων, Ὁ ὀφθείς σοι ἐν τόπῳ οὐ τοῦ θεοῦ, ἀλλ' αὐτὸ μόνον, θεοῦ. καλεῖ δὲ θεὸν τὸν πρεσβύτατον αὐτοῦ νυνὶ λόγον, οὐ δεισιδαιμονῶν περὶ τὴν θέσιν τῶν ὀνομάτων, ἀλλ' ἓν τέλος προστιθέμενος πραγματολογεῖν. καὶ γὰρ ἐν ἑτέροις σκεψάμενος εἰ ἔστι τι τοῦ ὄντος ὄνομα, σαφῶς ἔγνω ὅτι κύριον μὲν οὐδέν, ὃ δ' ἂν εἴπῃ τις, καταχρώμενος ἐρεῖ. λέγεσθαι γὰρ οὐ πέφυκεν, ἀλλὰ μόνον τὸ ὄν. μαρτυρεῖ δὲ καὶ τὸ θεσπισθὲν λόγιον τῷ πυνθανομένῳ εἰ ἔστιν ὄνομα αὐτοῦ, ὅτι ἐγώ εἰμι ὁ ὤν. ἵν' ὧν ἀδύνατον ἀνθρώπῳ καταλαβεῖν μὴ ὄντων περὶ θεόν, ἐπιγνῷ τὴν ὕπαρξιν. ταῖς μὲν οὖν ἀσωμάτοις καὶ θεραπευτρίσιν αὐτοῦ ψυχαῖς, εἰκὸς αὐτὸν οἷός ἐστιν ἐπιφαίνεσθαι διαλεγόμενον ὡς φίλον φίλαις. ταῖς δ' ἔτι ἐν σώμασιν, ἀγγέλοις εἰκαζόμενον, οὐ μεταβάλλοντα τὴν ἑαυτοῦ φύσιν, ἄτρεπτος γάρ· ἀλλὰ δόξαν ἐντιθέντα ταῖς φαντασιουμέναις ἑτερόμορφον, ὡς τὴν εἰκόνα, μὴ μίμημα, ἀλλ' αὐτὸ τὸ ἀρχέτυπον εἶδος ἐκεῖνο ὑπολαμβάνειν εἶναι. παλαιὸς μὲν οὖν ᾄδεται λόγος, ὅτι τὸ θεῖον ἀνθρώποις εἰκαζόμενον ἀλλοδαποῖς, περινοστεῖ τὰς πόλεις ἐν κύκλῳ, τάς τε ἀδικίας καὶ παρανομίας ἐξετάζον· καὶ τάχα μὲν οὐκ ἀληθῶς, πάντως δὲ λυσιτελῶς καὶ συμφερόντως ᾄδεται. ὁ δὲ λόγος, σεμνότερον καὶ ἁγιώτερον ταῖς περὶ τοῦ ὄντος ἐννοίαις ἀεὶ χρώμενος, ἅμα δὲ καὶ τὸν ἄφρονα βίον παιδεῦσαι γλιχόμενος, ἀνθρώπῳ μὲν εἴκασεν, οὐ μέντοι τῷ ἐπὶ μέρους οὐδενὶ προσάπτων

A ęditatem inducentibus sacer ille sermo veris ornauit philosophiæ rationibus, adiunctósque probatis insignes ac illustres reddidit, incusamur à maliciosis moribus modo dicta bona infestantibus. ait enim: Vidi quæ tibi Laban facit: nimirum contraria meis muneribus, petens te impuris, improbatis, clanculariisque artibus. sed non est timendum freto diuina ope, quapropter dicit, Ego sum ille Deus quem in loco Dei vidisti.]
B Egregia laus animæ, dignam habitam esse quæ Deum videat & audiat. Hic locus non est cursim prætereundus, sed diligenter examinandus, an duo dij sint. Legitur enim, Ego sum ille Deus qui tibi apparui, non in loco meo, sed in loco Dei, quasi alterius. quid igitur dicendum? Re vera Deus vnus est, abusiue autem plures: ideo sacra scriptura nunc illum verum per articulum indicat: dicens: Ego sum ille Deus. cæterum
C abusiue dictum sine articulo enunciat, qui apparui tibi in loco Dei, nihil adiungens ad Dei vocabulum. vocat autē Deum nunc antiquissimum sermonē suum, non superstitiose de nominibus solicitus, sed vnum spectans finē propositum. nam & alibi considerans an sit aliquod Entis nomen, satis didici nullum esse proprium: & quodcumq; dicatur dici abusiuè. non potest enim dici aliud quam solum Ens. attestatur mihi oraculū illud percontanti de no-
D mine redditum, Ego sum ille Ens: vt cum homo non possit cogitare nisi quæ non adsunt Deo, saltem cum esse credat. hunc cum animabus corpore carentibus dicatis ipsius ministerio tanquam amicum colloqui videtur probabile: cæterum cum degentibus in corpore, per speciem angelorum, natura nihil mutata interim, quandoquidem est immutabilis: animabus tantum per visionem concipientibus formam imaginariam, & veram speciem se videre putantibus. est enim
E decantatum priscorum fabulis, numen humana specie ciuitates obire, obseruando quid in eis contra ius & fas fiat. id vt verum non sit, tamen fortasse vulgatum fuit vtiliter. at scriptura, semper sanctè reuerentérque de Ente loqui solita, nihilominus stultorum hominum vitam erudire cupiens, homini quidem eum assimilat, sed non personis particularibus. ideo manus,

pedes, os, vocem, iram furorémque & A vindictam etiam, introitus exitúsque, sursum deorsum & quaqua versum motus ei tribuit, hac parte non verborum veritatem respiciens, sed vtilitatem discentium. nimirũ quia nota est quorundam naturæ obtusitas, vt omnino non possint Deũ cogitare sine corpore, quos non est possibile ad officiũ reuocari modo alio, nisi audiât Deum more humano ire atque redire, descẽdere ascenderéque vociferari & indignari propter peccata hominũ, inter- B dum etiam inclemẽter irasci & implacabiliter. imò etiam tela gladiósque & instrumenta vltionis alia contra sceleratos ei parata esse. Bonũ certe fuerit, si vel talibus minis intentatis ad sanam mentem redeant. vix enim aliam viã præter has duas vllus legislator ingreditur: quarum vna vergens ad veritatem docet, non esse Deum sicut hominem: altera tardioribus se accõmodans ait: Castigabit te Dominus Deus sicut homo castigat suum filium. quid C igitur mirum est eum adsimilari angelis, quando propter egentium vtilitatem non refugit similitudinem hominum: sicut quando dicit, Ego sum ille Deus qui apparui tibi in loco Dei. quod sic intelligendum est, eum tenuisse locum angeli vt tunc videbatur, salua sua natura, vt prodesset nondum valenti verum Deum cernere. nam quemadmodum radios solis repercussos vident etiam qui non possunt ipsum obtueri, & in lunaribus ra- D dijs, sicut in ipsa conspicitur mutatio: sic imago Dei sermo ipsius nuncius, tanquã ipse intelligitur. Viden Agar, hoc est liberalem eruditionem angelo dicentem, Tu es ille Deus qui respexit me? non erat enim idonea videre illum antiquissimum rerum autorem, mulier Ægyptij generis. at nunc mẽs incipiens proficere, omnium potentiarum regem imaginatur. ideo dicit ipse: Ego sum Dominus Deus, cuius E imaginem tanquam me prius vidisti, & lapidem mihi inscriptum dedicasti. quæ inscriptio docet quod solus ego sto, & omnium rerum naturam statuo, perturbatione confusionéque in ordinem ornatúmque reducta, suffultis rebus omnibus, vt firmo nitantur fundamento & solido, potenti meo sermone videlicet, qui mihi est vicarius. nam lapidea columna tria significat, statum, dedicationem, inscriptionem.

διὰ τοῦτο καὶ χεῖρας καὶ βάσεις, καὶ στόμα, καὶ φωνήν, ὀργάς τε καὶ θυμούς, ἔτι δὲ ἀμυντήρια ἔργα, καὶ εἰσόδους αὐτῷ καὶ ἐξόδους, καὶ τὰς ἄνω καὶ κάτω καὶ πανταχοῦ κινήσεις περιέθηκεν, οὐ πρὸς ἀλήθειαν τὸ κεφάλαιον τοῦτο τοῦ λόγου ἀναφέρων, ἀλλὰ πρὸς τὸ λυσιτελὲς τῶν μανθανόντων. ἤδη γάρ τινας ἀμβλεῖς πάνυ τὰς φύσεις, ὡς μὴ δύνασθαι θεὸν ἄνευ σώματος ἐπινοῆσαι τὸ παράπαν, οὓς ἀμήχανον ἑτέρως ἢ τὸν τρόπον τοῦτον νουθετεῖν λέγοντας, ὅτι ὡς ἄνθρωπος ὁ θεὸς ἀφικνεῖται καὶ ἐξαναχωρεῖ, καὶ κάτεισι καὶ ἀνέρχεται, καὶ φωνῇ χρῆται, καὶ τοῖς ἁμαρτανομένοις δυσχεραίνει, καὶ ἀπαραιτήτως πρὸς ὀργὰς ἔχει· καὶ βέλη αὐτῷ καὶ ξίφη καὶ ἄλλα ὅσα πρὸς τιμωρίας ὄργανα ἐπιτήδεια κατὰ τῶν ἀδίκων προητοίμασται. ἀγαπητὸν γὰρ εἰ καὶ τῷ διὰ τούτων ἐπικρεμασθέντι φόβῳ σωφρονισθῆναι δυνηθῶσι. καὶ σχεδὸν δύο εἰσὶν αὗται μόναι τῆς νομοθεσίας ἁπάσης ὁδοί· μία μὲν ἡ πρὸς τὸ ἀληθὲς ἀποκλίνουσα, δι' ἧς κατασκευάζεται οὐχ ὡς ἄνθρωπος ὁ θεός· ἑτέρα δὲ, ἡ πρὸς τὰς τῶν νωθεστέρων δόξας, ἀφ' ὧν λέγεται, Παιδεύσει σε κύριος ὁ θεός· ὡς εἴ τις παιδεύσει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ. τί οὖν ἔτι θαυμάζομεν εἰ ἀγγέλοις, ὁπότε καὶ ἀνθρώποις ἕνεκα τῆς τῶν δεομένων ἐπικουρίας ἀπεικάζεται· ὥστε ὅταν φῇ, Ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ· τοῦτ' ἐννοητέον, ὅτι τὸν ἀγγέλου τόπον ἐπέσχεν, ὅσα τῷ δοκεῖν, οὐ μεταβαλὼν πρὸς τὴν τοῦ μήπω δυναμένου τὸν ἀληθῆ θεὸν ἰδεῖν ὠφέλειαν. καθάπερ γὰρ τὴν ἀνθήλιον αὐγὴν ὡς ἥλιον οἱ μὴ δυνάμενοι τὸν ἥλιον αὐτὸν ἰδεῖν ὁρῶσι, καὶ τὰς περὶ σελήνην ἀλλοιώσεις ὡς αὐτὴν ἐκείνην· οὕτως καὶ τὴν τοῦ θεοῦ εἰκόνα τὸν ἄγγελον αὐτοῦ λόγον, ὡς αὐτὸν κατανοοῦσιν. οὐχ ὁρᾷς τὴν ἐγκύκλιον παιδείαν Ἄγαρ, ὅτι τῷ ἀγγέλῳ φησί, Σὺ ὁ θεὸς ὁ ἐπιδών με; οὐ γὰρ ἦν ἱκανὴ τὸν πρεσβύτατον ἰδεῖν αἴτιον, γένος οὖσα τῶν ἀπ' Αἰγύπτου. νυνὶ δὲ ὁ νοῦς ἄρχεται βελτιοῦσθαι, τὸν ἡγεμόνα πασῶν τῶν δυνάμεων φαντασιούμενος· διὸ καὶ αὐτός φησιν, Ἐγώ εἰμι κύριος ὁ θεός, οὗ τὴν εἰκόνα ὡς ἐμὲ προεώρακας, καὶ στήλην ἐπιγράμματι ἐγκολάψας ἱερώτατον ἀνέθηκας. τὸ δὲ ἐπίγραμμα ἐμήνυεν, ὅτι μόνος ἕστηκα ἐγώ, καὶ τὴν πάντων φύσιν ἱδρυσάμην, τὴν ἀταξίαν καὶ ἀκοσμίαν εἰς τάξιν καὶ κόσμον ἀγαγὼν, καὶ τὸ πᾶν ἐρείσας, ἵνα στηριχθῇ βεβαίως τῷ κραταιῷ καὶ ὑπάρχῳ μου λόγῳ. στήλη γὰρ τελείων πραγμάτων σύμβολον, στάσεως, ἀναθέσεως, ἐπιγράμματος.

ἡ μὲν οὖν στάσις καὶ τὸ ἐπίγραμμα δεδήλωται, ἡ δὲ ἀνάθεσις ἀναγκαία μηνυθῆναι πᾶσιν. ὁ γὰρ οὐρανὸς καὶ κόσμος ἀνάθημα θεοῦ τοῦ πεποιηκότος τὸ ἀνάθημα· καὶ ὅσαι μέντοι κοσμοπολίτιδες ψυχαὶ καὶ θεοφιλεῖς, ἑαυτὰς ἀνιεροῦσιν ὑπὸ μηδενὸς ἀντισπώμεναι θνητοῦ· καθαγιάζουσι δὲ καὶ καλλιεργοῦσι τὸν ἑαυτῶν ἄφθαρτον βίον οὐδέποτε κάμνουσι. μάταιος δὲ ἔστις μὴ θεῷ στήλην ἀνατίθησιν, ἀλλ' ἑαυτῷ τὰ γενέσεως ἱστὰς τῆς πάντη σαλευομένης, καὶ ἐπιγραμμάτων καὶ ἐπαίνων ἀξιοῖ, ἃ ψόγου καὶ κατηγορίας μεστὰ ὄντα, καλὸν ἦν ἢ μὴ γραφῆναι τὸ παράπαν, ἢ γραφέντα εὐθὺς ἀπαλειφθῆναι· διὸ καὶ φησὶν ἄντικρυς ὁ ἱερὸς λόγος, Οὐ στήσεις σεαυτῷ στήλην· ἕστηκε γὰρ τῶν ἀνθρώπων πρὸς ἀλήθειαν οὐδὲν, κἂν διαρραγῶσί τινες ψευδόμενοι· ἀλλὰ γὰρ οὐκ οἴονται μόνον παγίως ἐρηρεῖσθαι, ἀλλὰ καὶ τιμῶν ἄξιοι καὶ ἐπιγραμμάτων εἶναι, τοῦ μόνου τιμῆς ἀξίου καὶ ἑστῶτος ὄντως ἐπιλελησμένοι. ἀποκλίνοντας γὰρ αὐτοὺς καὶ ἐκτρεπομένους τὴν ἐπ' ἀρετὴν ἄγουσαν ὁδὸν, ἔτι μᾶλλον ἐξέτρεψεν αἴσθησις, ἡ σύμφυτος αὐτῶν γυνὴ, καὶ ἠνάγκασεν ἐξοκεῖλαι. τοιγάρτοι περικαταγεθεῖσα ὡς ναῦς ἡ ὅλη ψυχὴ, τρόπον στήλης ἀνεστάθη. τὴν γὰρ Λὼτ γυναῖκα καὶ ἐπιστραφεῖσαν εἰς τοὐπίσω φασὶν οἱ χρησμοὶ γενέσθαι στήλην ἁλῶν· εἰκότως δὲ καὶ προσηκόντως. εἰ γάρ τις μὴ τὰ πρόσω θέας καὶ ἀκοῆς ἄξια διορᾷ· ταῦτα δέ εἰσιν ἀρεταὶ καὶ τὰ κατὰ τὰς ἀρετὰς ἔργα· περιβλέπεται δὲ τὰ ὀπίσω καὶ τὰ νῶτα, κωφὴν δόξαν, καὶ τυφλὸν πλοῦτον, καὶ ἀναίσθητον εὐσαρκίαν, καὶ νοῦ κενὴν εὐμορφίαν, καὶ ὅσα συγγενῆ τούτου μεταδιώκων, ἄψυχος ἀνακείσεται στήλη περὶ ἑαυτὴν καταρρέουσα. οἱ γὰρ ἅλες οὐ βέβαιοι. παγκάλως οὖν ὁ ἀσκητὴς μελέτῃ συνεχεῖ μαθὼν, ὅτι γένεσις κινητὸν ἐξ ἑαυτῆς, τὸ ἀγένητόν τε καὶ ἀκίνητον, ἀνίστησι τῷ θεῷ στήλην, καὶ ἀναστήσας, ἀλείφει. λέγεται γὰρ, Ἤλειψάς μοι στήλην. ἀλλὰ μὴ νομίσῃς ἐλαίῳ λίθον ἀλείφεσθαι, ἀλλὰ περὶ τοῦ μόνου ἑστάναι τὸν θεὸν ἐν ψυχῇ, παράδοξον γυμνάζεσθαι καὶ προσυποσκέφθαι πρὸς ἀλειπτικῆς ἐπιστήμης, ὑφ' ἧς ἡ διάνοια ἰσχὺν κτᾶται καὶ ῥώμην ἀνανταγώνιστον. φίλαθλος γὰρ καὶ φιλογυμναστὴς ὁ πρὸς τὴν τῶν καλῶν ἐπιτηδευμάτων ὡρμημένος θήραν· ὥστε εἰκότως τὴν ἀδελφὴν ἰατρικῆς τέχνης ἀλειπτικὴν ἐκπονήσας, πάντας τοὺς περὶ ἀρετῆς καὶ εὐσεβείας ἀλείψας καὶ συγκροτήσας λόγους, ἀνάθημα κάλλιστον καὶ ἐχυρώτατον τίθησι θεῷ· διὸ καὶ μετὰ τὴν τῆς στήλης ἀνάθεσιν, φησὶν, ὅτι εὔξομαι εὐχήν.

A de statu inscriptionéque diximus, superest vt explicemus dedicationem. nam cælum & mundus dedicantur suo creatori: & animæ quotquot ciues mundi charæ Deo sunt, seipsas consecrant, nullo distractæ mortalium rerum desiderio. consecratæ autem per totam vitam indefessæ vacant bonis operibus. Stulte porrò facit qui non seipsum sed aram Deo dicat, putans esse in rebus creatis quicquam stabile, aut dignum titulo, B vel tale vt non etiam inscriptum mox aboleri debeat, vituperabile magis quam laudabile. ideo clare in sacris literis præcipitur, Non statues tibiipsi statuam. nihil enim humanum vere stat, etiamsi crepuerint qui reclamant mentientes. putant enim se non tantum stare firmiter, verum etiam esse dignos honoribus ac titulis, obliti eius qui solus vere stat & solus honorari debet. deflectentes enim eos & auersos à via virtutis, magis etiam C in errorem sensus inducit, ceu cognata vxor eorum, & cogit in sirtes & breuia: vt anima tanquam nauis defixa hæreat more statuæ. Nam & Loti vxorem postquam respexit, scriptura narrat versam in salis statuam, & meritò. Quia si quis in anteriora visu auditúque digna non prospicit, hoc est in virtutes & earum opera, malens à tergo relicta respicere, vanam gloriam, cæcas diuitias, insensatam corpulentiam, dementem for- D mositatem, & id genus alia consectando, stabit inanima statua tabescétque paulatim. Sal enim est res parum solida. Rectissime igitur meditator exercitatione continua doctus, creaturam suapte natura esse mobilem, creatorem immobilem, ponit Deo columnam lapideam, & inungit. Dicitur enim: Vnxisti mihi columnam lapideam. Caue autem putes vnctum oleo lapidem, sed intellige totum de Deo stante in anima, id quod incredibiliter eam vngit confirmátque, addendo E menti robur insuperabile. est enim certaminū exercitiorúmque cupidus quisquis se honestis studijs dedidit. itaque merito qui germanam medicinæ artem alipticen excoluit, omnes ad virtutem pietatémque pertinentes sermones inungens componénsque, aram Deo dicauit pulcherrimam & firmissimam. ideo post dedicatam columnam lapideam ait se votū vouere.

A Votum autem intelligitur proprie deuotio, quando quis non sua tantum, sed etiam seipsum eorum Dominum, Deo donum dedicat. Sanctus est, inquit, qui alit comam capitis, qui votum fecit. Quod si sanctus, vtique dedicatus, nihil profanum posthac attrectaturus. Adstipulatur mihi Anna prophetissa & prophetæ genitrix, cuius nomen interpretatur gratia. Ait enim se dedicare sacris Samuelem, B non tam hominem, quàm vitæ genus afflatum diuinitus, & extra se raptum numine. Samuel autem interpretatur ordinatus Deo. Ergo quid insanis anima & in vanum laboras, quin ad Meditatorem accedis, sumptis armis quibus affectus arceas & luctando superes? Sic enim breui disces præesse gregibus, non ignobilis bruti maléque pasti pecoris, sed probati rationalis & pulcherrimi: C quorum magistra si fueris, miserum hominum genus miseraberis, indesinenter ad diuinum cultum hortando: Deum quoque incessanter laudabis, sacros hymnos inscribens tabulis, vt non solum expeditis verbis, sed & carminibus musicis virtutes eius celebres. sic enim poteris & in paternam domum restitui postliminio, finitis longis dutisque peregrinationis laboribus.

εὐχὴ δέ ἐστι κυρίως εἰπεῖν, ἀνάθεσις, ὁπότε μὴ μόνον τὰ αὐτοῦ τις κτήματα, ἀλλὰ καὶ τὸν κεκτημένον ἑαυτὸν ἀποδιδοὺς, διδόναι λέγεται δῶρον θεῷ. Ἅγιος γὰρ, φησὶν, ἐστὶν ὁ τρέφων κόμην τρίχα κεφαλῆς, ὁ εὐξάμενος. εἰ δὲ ἅγιος, ἀνάθημα πάντως, μηδενὸς ἔτι ἀνιέρου καὶ βεβήλου προσαπτόμενος. ἐγγυᾶται δέ μοι τὸν λόγον ἡ προφῆτις καὶ προφητοτόκος Ἄννα, ἧς μεταληφθὲν τοὔνομα καλεῖται χάρις. τὸν γὰρ υἱὸν διδόναι φησὶ τῷ ἁγίῳ δῶρον Σαμουὴλ, οὐκ ἂν ἄνθρωπον μᾶλλον, ἀλλ' ἢ τρόπον ἐνθουσιῶντα καὶ κατεχόμενον ἐκ μανίας θεοφορήτου· Σαμουὴλ δὲ ἑρμηνεύεται τεταγμένος θεῷ. τί οὖν ἔτι ψυχὴ ματαιάζεις καὶ κενοπονεῖς, ἀλλ' οὐ φοιτᾷς πρὸς τὴν ἀσκητὴν, τὰ κατὰ τοῦ πάθους καὶ τῆς κενῆς δόξης ἀναλαβοῦσα ὅπλα, καὶ παλαίσματι θησομένη. τάχα γὰρ μαθοῦσα, ἀγελαρχήσεις, οὐκ ἀσήμου καὶ ἀλόγου καὶ ἀναγώγου, δοκίμου δὲ καὶ λογικῆς καὶ καλῆς ἀγέλης, ὡς εἰ θεῖοιο ἡγεμὼν, ὃ μὲν οἰκτεῖρον ἀνθρώπων ὀλοφυρῇ γένος, ὃ δὲ θεῖον οὐ παύσῃ προσβλεπομένη, τὸν δὲ θεὸν οὐκ ἐπιλείψεις εὐδαιμονίζουσα, ἀλλὰ καὶ ὕμνους ἱεροπρεπεῖς στήλαις ἐγχαράξεις, ἵνα μὴ μόνον λέγῃς εὐτρόχως, ἀλλὰ καὶ ᾄδῃς μουσικῶς τὰς τοῦ ὄντος ἀρετάς. οὕτως γὰρ δυνήσῃ καὶ εἰς τὸν πατρῷον οἶκον ἐπανελθεῖν, τὴν ἐπὶ τῆς ξένης μακρὰν καὶ ἀνήνυτον ἀλήθλων ἐκφυγοῦσα.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ ΠΕΡΙ ΒΙΟΥ ΜΩΥΣΕΩΣ, ΟΠΕΡ ΕΣΤΙ ΠΕΡΙ Θεολογίας καὶ Προφητείας, Λόγος Α.

PHILONIS IVDÆI DE VITA MOSIS, HOC EST, DE THEOLOGIA ET PROPHETIA,

LIBER PRIMVS.

MOSIS vt quidam cēsent legislatoris Iudæorum, vt alij sacrarum legum interpretis, vitam scribere est animus, viri modis omnibus maximi absolutissimique, & eum lectoribus dignis notum facere. nam inclita fama legum, quas reliquit posteris, totum

ΜΩΣΕΩΣ τοῦ κατὰ μέν τινας νομοθέτου τῶν ἰουδαίων, κατὰ δέ τινας ἑρμηνέως νόμων ἱερῶν, τὸν βίον ἀναγράψαι διενοήθην, ἀνδρὸς τὰ πάντα μεγίστου καὶ τελειοτάτου, καὶ γνώριμον τοῖς ἀξίοις μὴ ἀγνοεῖν αὐτὸν ἀποφῆναι. τῶν μὲν γὰρ νόμων τὸ κλέος οὓς ἀπολέλοιπε, διὰ πάσης τῆς οἰκουμένης πεφοιτηκὸς, ἄχρι καὶ

τὴν τῆς γῆς περιμήκη ἔφθακεν. αὐτὸν δ' ὅστις ἦν ἐπ' ἀληθείας ἴσασιν οὐ πολλοί, διὰ φθόνον ἴσως, ἢ τὸ ἐν οὐκ ὀλίγοις τῶν διατεταγμένων ὑπὸ τῶν κατὰ πόλεις νομοθετῶν ἐναντιοῦσθαι, οὐκ ἐθελησάντων αὐτὸν μνήμης ἀξιῶσαι τῶν παρ' Ἕλλησι λογίων, ὧν οἱ πλείους τὰς δυνάμεις αἷς ἔσχον διὰ παιδείας, ἐξύβρισαν ἐν τε ποιήμασι καὶ τοῖς καταλογάδην συγγράμμασι κωμῳδίας καὶ συβαριτικὰς ἀσελγείας συνθέντες περιβόητον αἰσχύνην, οὓς ἔδει ταῖς φύσεσι καταχρήσασθαι πρὸς τὴν τῶν ἀγαθῶν ἀνδρῶν τε καὶ βίων ὑφήγησιν, ἵνα μήτε τι καλὸν ἡσυχίᾳ παραδοθὲν ἀρχαῖον ἢ νέον ἀφανισθῇ λάμψαι δυνάμενον, μήτ' αὖ τὰς ἀμείνους ὑποθέσεις παρελθόντες, τὰς ἀναξίους ἀκοῆς προκρίνειν δοκῶσι, σπουδάζοντες τὰ κακὰ καλῶς ἀπαγγέλλειν εἰς ἐπίδειξιν ἐπιφανείας. ἀλλ' ἔγωγε τὴν τούτων βασκανίαν ὑπερβάς, τὰ περὶ τὸν ἄνδρα μηνύσω, μαθὼν αὐτὰ κἀκ βίβλων τῶν ἱερῶν, ἃς θαυμάσια μνημεῖα τῆς αὐτοῦ σοφίας ἀπολέλοιπε, καὶ παρά τινων ἀπὸ τοῦ ἔθνους πρεσβυτέρων. τὰ γὰρ λεγόμενα τοῖς ἀναγινωσκομένοις ἀεὶ συνύφαινον, καὶ διὰ τοῦτ' ἔδοξα μᾶλλον ἑτέρων τὰ περὶ τὸν βίον ἀκριβῶσαι. ἄρξομαι δ' ἀφ' οὗπερ ἀναγκαῖον ἄρξασθαι. Μωσῆς γένος μέν ἐστιν ἑβραῖος, ἐγεννήθη δ' ἐν Αἰγύπτῳ καὶ ἐτράφη, τῶν προγόνων αὐτοῦ διὰ πολυχρόνιον λιμόν, ὃς Βαβυλῶνα καὶ τοὺς πλησιοχώρους ἐπίεζε, κατὰ ζήτησιν τροφῆς εἰς Αἴγυπτον πανοικὶ μεταναστάντων, γῆν πεδιάδα καὶ βαθεῖαν καὶ πρὸς πάντα γονιμωτάτην, ὅσων ἡ ἀνθρωπίνη φύσις δεῖται, καὶ μάλιστα τοῦ σίτου καρπόν. ὁ γὰρ ταύτης ποταμός, θέρους ἀκμάζοντος, ἡνίκα τοὺς ἄλλους φασὶ μειοῦσθαι, χειμάρρους τε καὶ αὐξηθείς, ἐπιβαίνων τε καὶ ἀναχεόμενος πλημμυρεῖ καὶ λιμνάζει τὰς ἀρούρας· αἳ δ' ὑετοῦ μὴ δεόμεναι φορὰς, ἀφθονίας παντοίων ἀγαθῶν ἀνὰ πᾶν ἔτος χορηγοῦσιν, εἰ μή που μεσολαβήσῃ ἐν ὀργῇ θεοῦ, δι' ἐπιπολάζουσαν ἀσέβειαν τῶν οἰκητόρων. πατρὸς δὲ καὶ μητρὸς ἔλαχε τῶν καθ' ἑαυτοὺς ἀρίστων, οὓς φυλέτας ὄντας ἡ ὁμοφροσύνη μᾶλλον ᾠκείωσεν, ἢ τὸ γένος. ἕβδομος γενεὰ οὗτός ἐστιν ἀπὸ τοῦ πρώτου, ὃς ἐπηλύτης ὢν, τοῦ σύμπαντος Ἰουδαίων ἔθνους ἀρχηγέτης ἐγένετο. τροφῆς δ' ἠξιώθη βασιλικῆς, ἀπ' αἰτίας τοιᾶσδε· ὁ τῆς χώρας ὁ βασιλεὺς εἰς πολυανθρωπίαν ἐπιδιδόντος ἀεὶ τοῦ ἔθνους, δείσας μὴ οἱ ἔποικοι πλείους γενόμενοι, δυνατωτέρᾳ χειρὶ τοῖς αὐτόχθοσι περὶ κράτους ἀρχῆς ἁμιλλῶνται, τὴν ἰσχὺν αὐτῶν ἀφαιρεῖν ἐπινοίαις ἀνοσιουργοῖς ἐμηχανᾶτο· καὶ κελεύει τῶν γεννωμένων τὰ

A orbem habitabilem peruagata, extremos eius terminos attigit. ipse verò quis fuerit, non multis satis notum est: fortasse propter inuidiam, aut propter institutorum eius ab alijs ciuitatibus in plerisque discrepantiam, scriptoribus Græcis non dignatis eum memoria: quorum maior pars facultate scribendi abusi sunt tum in oratione soluta tum in poematibus, versi ad comœdias & fabellas sybariticas notæ turpitudinis obscœnitatisque: cum B debuissent naturæ donis vti ad prodēdas res gestas vitásque bonorum virorum: vt nec honesta exempla vetera nouáque traderentur obliuioni ac silentio cum prælucere possint posteris, nec omissis melioribus argumentis auditu indigna anteponerentur, prætexta probris honestatis specie. verũ ego istorum inuidiam prætereo, malens de hoc viro dicere quæ è sacris libris didici, quos reliquit mirandum mo- C numentum suæ sapientiæ, & à quibusdam nostræ gentis senioribus, qui veteri lectioni semper attexebant aliquid: quo magis vita hominis est mihi cognita. faciam autem initiũ vnde necessum est incipere. Moses genere fuit Hebræus, natus in Ægypto educatúsque: eo quòd maiores ipsius ob diuturnã famem quæ Babylonem ac propinquas regiones tum premebat, alimenta quærendo in Ægyptum cum vniuersa familia migrauerant, terram campestrem, sulci profundi, fertilémque D omniũ quibus natura humana indiget, frumenti præcipue. nám huius fluuius æstate adulta, quando alios fertur decrescere, perennes æque ac torrentes, crescens & diffusus arua inũdat aquis stagnantibus. atque ita nullo pluuiarum desiderio, genus omne frugum fructuúmque quotannis copiose prouenit, ni manifesta numinis ira incidat, propter nimiam impietatem inhabitantium. parentes habuit eius ætatis E optimos, quos non magis communis tribus quam idem animus iunxerat. septima progenies hic est à primo, qui peregrinus ipse, princeps fuit vniuersi Iudæorum generis. educatus est regio more, per occasionem hanc. Rex cum animaduertisset hanc gentẽ indies magis ac magis crescere, veritus ne inquilini superante numero cum indigenis de principatu contenderent, vires eorũ nefarijs artibus conatus est accidere: iussitque vt ex recẽs editis alerẽtur

fœminæ, propter sexum bello inutiles, mares tollerentur, ne oppidatim inualescerent. quandoquidem viris armisque florentes copiæ sunt murus inexpugnabilis. eo tempore natus hic puer visus est præ se ferre haud vulgarem indolem, adeò vt eius parentes edictum tyranni contemnerent. fertur tribus mensibus domi lacte nutritum nemine conscio. deinde cum non deessent (vt fit sub regibus) qui scrutarentur etiam recondita captando gratiam nouis delationibus, timentes ne dum vni consulunt, ipsi necis eius fierent accessio, deploratum puerum, exponunt in ripa fluminis: atque ita gementes discedunt, miserantésque tum suam necessitatem qua expressum sit infanticidium filij, tum pueri necem iniquam & miserabilem. deinde seipsos incusabant, qui calamitatem auxissent. Debueramus recens natum exponere, quando prius quàm nutricis intercedat officium, vulgus vix habet pro homine. nos nimia cura per tres integros menses aluimus, nobis maiorem tristitiam parantes, maiorem cruciatum puero, vt voluptatum dolorúmque per ætatem capacior se perire sentiat. hæc illi de futuro incerti, præsenti tantum indulgentes luctui. interea puella soror infantis expositi, affectu mota domestico, paulum digressa expectabat exitum, nimirum cuncta dispensante Dei prouidentia. Erat regi vnica dilecta filia. eam ferunt dudum nuptam non potuisse matrem fieri, quamuis liberorum cupidam præsertim sexus potioris, vt esset qui in fortunatam auiti regni sortem succederet, migraturi alioquin in familiam aliam nepotum penuria. Qua cura pressam, & ea die maxime anxiam cum hactenus solita esset domi se continere, ac ne limen quidem transcendere, proripuisse se cum puellis familiaribus ad fluuium, vbi puer fuerat expositus. deinde lauantem aspergentémque se inter opaca condensáque stagnorum, conspicatam iussisse afferri puerum: tum à capite ad calcem contemplatam, miratámque formam & habitudinem, ploranti condoluisse, affectu iam ad

A μὲν θήλεα τρέφειν· ἐπεὶ γυνὴ διὰ φύσεως ἀσθένειαν, ὀκνηρὸν εἰς πόλεμον· τὰ δὲ ἄρρενα διαφθείρειν, ἵνα μὴ αὐξηθῇ κατὰ πόλεις· ἐπεὶ ἀνδρῶν δυνάμεις, δυσάλωτον καὶ δυσκαθαίρετον ἐπιτείχισμα. γεννηθεὶς οὖν ὁ παῖς εὐθὺς ὄψιν ἐνέφαινεν ἀστειοτέραν ἢ κατ' ἰδιώτην, ὡς καὶ τῶν τοῦ τυράννου κηρυγμάτων, ἐφ' ὅσον οἷόν τε ἦν τοὺς γονεῖς ἀλογῆσαι. τρεῖς γοῦν φασὶ μῆνας ἐφεξῆς οἴκοι γαλακτοτροφηθῆναι, λανθάνοντα τοὺς πολλούς· ἐπεὶ δέ, οἷα ἐν μοναρχίαις φιλεῖ, καὶ τὰ ἐν μυχοῖς ἔνιοι διη-B ρεύνων, σπεύδοντες ἀεί τι καινὸν ἄκουσμα προσφέρειν τῷ βασιλεῖ, φοβηθέντες μὴ σωτηρίαν ἑνὶ μνώμενοι πλείους ὄντες αὐτοὶ σὺν ἐκείνῳ προσαπόλωνται, δεδακρυμένοι τὸν παῖδα ἐκτιθέασι παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ, καὶ στένοντες ἀπῄεσαν, οἰκτιζόμενοι μὲν αὐτοὺς τῆς ἀνάγκης αὐτόχειράς τε καὶ τεκνοκτόνους ἀποκαλοῦντες, οἰκτιζόμενοι δὲ καὶ τὸν παῖδα τῆς ἀργαλεωτάτης ἀπωλείας. εἶθ' ὡς εἰκὸς ἐν ἀλλοκότῳ πράγματι ἀλλοκότῳ κατηγόρουν αὐτῶν, ὡς μείζονος αἰτίων συμφορᾶς. τί γάρ, ἔφα-C σκον, εὐθὺς γενόμενον οὐκ ἐξεθήκαμεν; τὸν μὴ φθάσαντα τροφῆς ἡμέρου μεταλαχεῖν, οὐδ' ἄνθρωπον οἱ πολλοὶ νομίζουσιν· ἡμεῖς δ' οἱ περιττοὶ καὶ τρεῖς μῆνας ὅλους ἀνεθρέψαμεν, δαψιλεστέρας μὲν αὐτοῖς λύπας, τῷ δὲ τιμωρίας ἐκπορίζοντες, ἵν' ἡδονῶν καὶ ἀλγηδόνων ἐπὶ πλεῖον ἀντιλαμβάνεσθαι δυνάμενος, ἐν αἰσθήσει κακῶν ἀργαλεωτέρων διαφθείρηται. καὶ οἱ μὲν ἀγνοίᾳ τοῦ μέλλοντος ἀπῄεσαν, οἴκτῳ κατεσχημένοι πένθει· ἀ-D δελφὴ δὲ τοῦ ἐκτεθέντος βρέφους ἔτι παρθένος, ὑπὸ φιλοικείου πάθους μικρὸν ἄποθεν ἐκαραδόκει τὸ ἀποβησόμενον, ἅ μοι δοκεῖ πάντα συμβῆναι κατὰ θεὸν προμηθούμενον τοῦ παιδός. θυγάτηρ ἦν τῷ βασιλεῖ τῆς χώρας ἀγαπητὴ καὶ μόνη. ταύτην φασὶ γημαμένην ἐκ πολλοῦ χρόνου, μὴ κυίσκειν, τέκνων ὡς εἰκὸς ἐπιθυμοῦσαν, καὶ μάλιστα γονῆς ἄρρενος, ἣ τὸν εὐδαίμονα κλῆρον τῆς πατρῴας εὐδαιμονίας καὶ ἡγεμονίας διαδέξεται, κινδυνεύοντα ἐρημίᾳ θυγατρίδων ἀλλοτριωθῆναι· κατηφοῦ-E σαν δ' ἀεὶ καὶ στένουσαν, ὡς μάλιστα ἐκείνῃ τῇ ἡμέρᾳ τὸ βαρὺ τῶν φροντίδων ἀπαγορεῦσαι, καὶ δι' ἔθους ἔχουσαν οἴκοι καταμένειν, καὶ μηδὲ τὰς κλισιάδας ὑπερβαίνειν, ἐξορμῆσαι μετὰ θεραπαινίδων ἐπὶ τὸν ποταμόν, ἔνθα ὁ παῖς ἐξέκειτο· κἄπειτα λουτροῖς καὶ περιρραντηρίοις χρῆσθαι μέλλουσαν ἐν τοῖς δασυτάτοις τῶν ἑλῶν, αὐτὸν θεάσασθαι, καὶ κελεῦσαι προσφέρειν· εἶτα ἀπὸ κεφαλῆς ἄχρι ποδῶν καταθεωμένην, τήν τε εὐμορφίαν καὶ εὐεξίαν

ἀποδέχεσθαι, καὶ διδακρυμένον ὁρῶσαν ἐλεεῖν, ἤδη τῆς ψυχῆς τετραμμένης αὐτῇ πρὸς μητρῷον πάθος, ὡς ἐπὶ γνησίῳ παιδί. γνοῦσαν δ' ὅτι τῶν Ἑβραίων ἐστὶ καταδεισάντων τὸ βασιλέως πρόσταγμα, βουλεύεσθαι περὶ τῆς ἐκτροφῆς αὐτοῦ· μὴ γὰρ ἀσφαλὲς εὐθὺς εἶναι νομίζειν εἰς τὰ βασίλεια ἄγειν. διαπορούσης δ' ἔτι, τὴν ἀδελφὴν τοῦ παιδὸς καθάπερ ἀπὸ σκοπῆς τὸν ἐνδοιασμὸν στοχασαμένην πυνθάνεσθαι προσδραμοῦσαν, εἰ βούλοιτ' ἂν γαλακτοτροφηθῆναι τοῦτο πρός τινος γυναικῶν Ἑβραϊκῶν, οὐ πρὸ πολλοῦ κυησάντων. τῆς δὲ βούλεσθαι φαμένης, τὴν αὑτῆς καὶ τοῦ βρέφους μητέρα προσαγαγεῖν, ὡς ἀλλοτρίαν, ἣν ἑτοιμότερον ἀσμένην ὑποσχέσθαι, προφάσει τοῦ ἐπὶ μισθῷ τρέφουσαν, ἐπινοίᾳ θεοῦ τὰς πρώτας τροφὰς τῷ παιδὶ γνησίας εὐτρεπίζοντος. εἶτα δίδωσιν ὄνομα, θεμένη Μωσῆν ἐτύμως, διὰ τὸ ἐκ τοῦ ὕδατος αὐτὸν ἀνελέσθαι. τὸ γὰρ ὕδωρ, μῶς ὀνομάζουσιν Αἰγύπτιοι. ἐπεὶ δ' ἀθρόας ἐπιδόσεις καὶ παραυξήσεις λαμβάνων, οὐ σὺν λόγῳ τοῦ χρόνου, θᾶττον δὲ ἀπότιτθος γενόμενος, πρῶτον ἡ μήτηρ ἅμα καὶ τροφὸς κομίζουσα τῇ δούσῃ, μηκέτι γαλακτοτροφίας δεόμενον, εὐγενῆ καὶ ἀστεῖον ὀφθῆναι τελειότερον δὲ τῆς ἡλικίας ἰδοῦσα, καὶ τῆς ὄψεως ἔτι μᾶλλον ἢ πρότερον ἀντιλαβοῦσα εὐνοίας, υἱὸν ποιεῖται, τὰ περὶ τὸν ὄγκον τῆς γαστρὸς τεχνάσασα πρότερον, ἵνα γνήσιος, ἀλλὰ μὴ ὑποβολιμαῖος νομισθῇ. πάντα δὲ εὐμαρεῖς θεὸς ἃ ἂν ἐθελήσῃ, καὶ τὰ δυσκατόρθωτα. τροφῆς οὖν ἤδη βασιλικῆς καὶ θεραπείας ἀξιούμενος, οὐχ οἷα κομιδῇ νήπιος ἥδετο τωθασμοῖς καὶ γέλωσι, καὶ παιδιαῖς, καίτοι τῶν τὴν ἐπιμέλειαν αὐτοῦ παρειληφότων ἄνεσιν ἐχόντων ἐπιτρεπόντων, καὶ μηδὲν ἐπισκυθρωπαζόντων· ἀλλ' αἰδῶ καὶ σεμνότητα παραφαίνων, ἀκούσμασι καὶ θεάμασιν, ἃ τὴν ψυχὴν ἔμελλεν ὠφελήσειν, προσεῖχε. διδάσκαλοι δ' εὐθὺς ἀλλαχόθεν ἄλλοι παρῆσαν· οἱ μὲν ἀπὸ τῶν πλησιοχώρων καὶ τῶν κατ' Αἴγυπτον νομῶν αὐτοκέλευστοι· οἱ δ' ἀπὸ τῆς Ἑλλάδος ἐπὶ μεγάλαις δωρεαῖς μεταπεμφθέντες. ὧν ἐν οὐ μακρῷ χρόνῳ τὰς δυνάμεις ὑπερέβαλεν, εὐμοιρίᾳ φύσεως φθάνων τὰς ὑφηγήσεις, ὡς ἀνάμνησιν εἶναι δοκεῖν, οὐ μάθησιν, ἔτι καὶ προσεπινοῶν αὐτὸς τὰ δυσθεώρητα. πολλὰ γὰρ αἱ μεγάλαι φύσεις καινοτομοῦσι τῶν εἰς ἐπιστήμην· καὶ καθάπερ τὰ εὐεκτικὰ τῶν σωμάτων καὶ πᾶσι τοῖς μέρεσιν εὐκίνητα φροντίδων ἀπαλλάττει τοὺς ἀλείπτας, οὐδὲν ἢ βραχέα παρέχοντα τὴν εἰς ἐπιμέλειαν, ὥσπερ καὶ γεωργοὺς

A maternam pietatem vergente, ac si ex ipsa infans fuisset progenitus. cúmque didicisset eum esse natum ex Hebræis parentibus tunc edicto regis territis, consultasse de alendo puero. nec enim tutum videbatur confestim eum ferre in regiam. sic hæsitanti sororem infantis superuenisse tanquam è specula, & coniectantem de causa, rogasse num iuberet eum nutriri apud quandam Hebræam mulierem non dudum partu
B leuatam. annuente vero illa, infantem vt alienum suæ matri commendasse: eámque libenter pollicitam suam operam in nutricando, tanquam mercedis gratia, Deo prouidente, vt prima educatio contingeret infanti domi apud hos ipsos ex quibus procreatus fuerat. post hæc nomen ei datur sumptum ex ipsa re, quòd esset ex aqua sublatus. Nam Ægyptiorum lingua Mos aqua dicitur. vbi vero maioribus quam pro
C ætate incrementis auctus, mature ablactatus est, mater eadem & nutrix eum reddidit ei à qua acceperat, eleganti sanè præditum indole. illa videns eum supra ætatem proficere, ex aspectu renouata accensáque beneuolentia, facit filium suppositicium, quæ iam ante muliebri arte finxerat se grauidam, vt natiuus putaretur non ascititius. Tam facile succedit quicquid Deo placet quantumuis arduum. Ita nactus edu-
D cationem regiam, nequaquam infantium more delectabatur assentationibus iocis lusibúsque, quamuis indulgenter haberetur ab educatoribus: sed iam tum modestiam grauitatémque præferens malebat audire spectaréque vtilia. confestim enim accesserunt aliunde præceptores, quidam vltro venientes è præfecturis Ægypti proximis, alij magnis præmijs inuitati è Græcia. eos intra modicum tempus ille superauit, natiua docilitate institutionem
E præcurrens, vt reminisci videretur non discere, in rebus difficilioribus de suo comminiscens aliquid. nam præclara ingenia multa nouant circa scientias. Et quemadmodum bonæ habitudinis corpora membris omnibus agilia securos pædotribas faciunt exhibendo illis vel nihil negotij vel minimum, itidémque agricolis generosæ plantæ per

se proficientes in bonas arbores: sic anima bene nata præceptis obuiam se offerens, à seipsa magis quam à magistris adiuuatur: arreptisque rudimentis cuiuscunque scientiæ, equus (iuxta prouerbium) fertur in planiciem. Itaque numeros & geometriam, vniuersámque musicam, rhythmicam, harmonicam, metricam, siue contemplatiuam, siue per instrumenta, vocésque promentem se modis varijs, accepit ab Ægyptijs doctoribus: & insuper occultam philosophiam descriptam literis (vt vocant) hieroglyphicis, hoc est notis animalium, quæ ipsi venerantur etiam pro numinibus. reliquas liberales artes Græci docebant: ex propinquis autem regionibus euocati, Assyrij suas literas, Chaldæi sideralem scientiam. hanc & ab Ægyptijs didicit, mathematicæ cum primis deditis: obseruánsque quid vtrisque conueniat, in quo discrepent, intactus à contentionibus veritatem quærebat: quippe qui nihil præter eam admittebat, longe aliter quam isti qui accepta semel qualiacunque dogmata obstinate defendunt, siue probata siue improba, more causidicorum mercenariorum, ius & æquum negligentium. Egressus deinde pueritiam magis curam intendit, non vt quidam frena laxans concupiscentijs, quamuis non deessent incitamenta plurima, quæ se vbertim offerunt in regum domibus: sed sobrietate atque temperantia tanquam habenis quibusdam eas cohibens, ne ferrentur impetu nimio. atque ita singulos affectus suapte natura impotentes & indomitos cicurabat quantum poterat. Quod si alicubi decessisset ab officio vel offendisset nonnihil, seuere à seipso pœnas exigebat: & in vniuersum dabat operam vt ad primos impetus animi resisteret, quasi contumacem equum obseruans, nimirum ne inuito auriga ratione cursum plus satis accelerantes confunderent perturbaréntque omnia. hæ sunt enim bonorum & malorum origines: bonorum, si ratio teneat imperium, contrariorum, si affectus dediscant obedientiam. merito igitur stupori erat omnibus familiaribus tanquam nouum naturæ miraculum, incertis qualis mens habitaret in eius corpore, humana an

A τὰ εὔβλαστα καὶ τὰ τῆς ὕλης δένδρα βελτιούμενα δι' ἑαυτῶν· τὸν αὐτὸν τρόπον εὐφυὴς ψυχὴ προαπαντῶσα τοῖς λεγομένοις, ὑφ' αὑτῆς μᾶλλον ἢ τῶν διδασκόντων ὠφελεῖται· καὶ λαβομένη τινὸς ἐπιστημονικῆς ἀρχῆς, κατὰ τὴν παροιμίαν, ἵππος εἰς πεδίον ὁρμᾷ. ἀριθμοὺς μὲν οὖν καὶ γεωμετρίαν τήν τε ῥυθμικὴν καὶ ἁρμονικὴν καὶ μετρικὴν θεωρίαν, καὶ μουσικὴν τὴν σύμπασαν, διά τε χρήσεως ὀργάνων, καὶ λόγων τῶν ἐν ταῖς τέχναις, καὶ διεξόδοις τοπικωτέραις, Αἰγυπτίων οἱ λόγιοι παρεδίδοσαν· B καὶ προσέτι τὴν διὰ συμβόλων φιλοσοφίαν, ἣν ἐν τοῖς λεγομένοις ἱεροῖς γράμμασιν ἐπιδείκνυνται, καὶ διὰ τῆς τῶν ζῴων ἀποδοχῆς, ἃ καὶ θεῶν τιμαῖς γεραίρουσι· τὴν δ' ἄλλην ἐγκύκλιον παιδείαν Ἕλληνες ἐδίδασκον, οἱ δ' ἐκ τῶν πλησιοχώρων, τά τε Ἀσσύρια γράμματα, καὶ τὴν τῶν οὐρανίων Χαλδαϊκὴν ἐπιστήμην. ταύτην καὶ παρ' Αἰγυπτίων ἐλάμβανε, μαθηματικὴν ἐν τοῖς μάλιστα ἐπιτηδευόντων· καὶ τὰ παρ' ἀμφοτέροις ἀκρι- C βῶς, ἐν οἷς τε συμφωνοῦσι, καὶ διαφέρουσι, καταμαθών, ἀφιλονείκως τὰς ἔριδας ὑπερβάς, τὴν ἀλήθειαν ἐπεζήτει, μηδὲν ψεῦδος τῆς διανοίας αὐτοῦ παραδέχεσθαι δυναμένης, ὡς ἔθος τοῖς αἱρεσιομάχοις, οἳ τοῖς προταθεῖσι δόγμασιν ὁποῖα ἂν τύχῃ βοηθοῦσιν, οὐκ ἐξετάζοντες εἰ δόκιμα, ταὐτὸ δρῶντες τοῖς ἐπὶ μισθῷ συναγορεύουσι, καὶ μηδὲν τοῦ δικαίου πεφροντικόσιν. ἤδη δὲ τοὺς ὅρους τῆς βρεφικῆς ἡλικίας ὑπερβαίνων, ἐπέτεινε τὴν φρόνησιν, οὐχ ὡς ἔνιοι τὰς μειρακιώδεις ἐπιθυ- D μίας ἀχαλινώτους ἐῶν, καίτοι μυρία ἐχούσας ὑπεκκαύματα, διὰ παρασκευὰς ἀφθόνους, ἃς αἱ βασίλειαι χορηγοῦσιν· ἀλλὰ σωφροσύνῃ καὶ καρτερίᾳ, ὥσπερ τισὶν ἡνίαις ἐνδησάμενος αὐτάς, τὴν εἰς τὸ πρόσω φορὰν ἀνεχαίτιζε βίᾳ· καὶ τῶν ἄλλων μέντοι παθῶν ἕκαστον ἐξ ἑαυτοῦ μεμηνὸς καὶ λελυττηκὸς φύσει, τιθασεύων καὶ ἐξημερῶν ἐπράυνεν· εἰ δέ που διακινηθείη μόνον ἠσυχῆ καὶ πτερύξαιτο, κολάσεις ἐμβριθεστέρας παρεῖχε τὰς διὰ λόγων E ἐπιπλήξεις, καὶ συνόλως τὰς πρώτας τῆς ψυχῆς ἐπιβολάς τε καὶ ὁρμάς, ὡς ἀφηνιαστὴν ἵππον ἐπετήρει, δεδιὼς μὴ προεκδραμοῦσαι τοῦ ἡνιοχεῖν ὀφείλοντος λογισμοῦ, πάντα διὰ πάντων συγχέωσιν. αὗται γάρ εἰσιν αἱ ἀγαθῶν αἰτίαι καὶ κακῶν· ἀγαθῶν μέν, ὅταν ἡγεμόνι λόγῳ πειθαρχῶσι, τῶν δ' ἐναντίων, ὅταν εἰς ἀναρχίαν ἐκδιαιτῶνται. κατὰ τὸ εἰκὸς οὖν οἵ τε συνόντες καὶ οἱ ἄλλοι πάντες ἐτεθήπεσαν, ὡς ἐπὶ καινῷ θεάματι καταπεπληγμένοι· καὶ τίς ἄρα ὁ ἐνοικῶν αὐτοῦ τῷ

σώματι, καὶ ἀγαλματοφορούμενος νοῦς ἐστί. πότερον ἀνθρώπειος, ἢ θεῖος, ἢ μικτὸς ἐξ ἀμφοῖν διερευνώμενοι, τῷ μηδὲν ἔχειν τοῖς πολλοῖς ὅμοιον, ἀλλ' ὑπερκύπτειν καὶ πρὸς τὸ μεγαλειότερον ἐξῆρθαι. γαστρί τε γὰρ ἔξω τῶν ἀναγκαίων δασμῶν, οὓς ἡ φύσις ἔταξεν, οὐδὲν πλέον ἐχορήγει, τῶν τε ὑπογαστρίων ἡδονῶν, εἰ μὴ μέχρι σπορᾶς παίδων γνησίων οὐδὲν ἐμέμνητο· γινόμενός τε διαφερόντως ἀσκητὴς ὀλιγοδείας, καὶ τὸν ἁβροδίαιτον βίον ὡς οὐδεὶς ἕτερος χλευάσας· ψυχῇ γὰρ ἐπεπόθει μόνῃ ζῆν οὐ σώματι· τὰ φιλοσοφίας δόγματα διὰ τῶν καθ' ἑκάστην ἡμέραν ἔργων ἐπεδείκνυτο, λέγων μὲν οἷα ἐφρόνει, πράττων δὲ ἀκόλουθα τοῖς λεγομένοις, εἰς ἁρμονίαν λόγου καὶ βίου· ἵν' οἷος ὁ λόγος, τοιοῦτος ὁ βίος, καὶ οἷος ὁ βίος, τοιοῦτος ὁ λόγος· ἐξετάζωνται, καθάπερ ἐν ὀργάνῳ μουσικῷ συνηχοῦντες. οἱ μὲν οὖν πολλοί, κἂν αὔρα μόνον βραχεῖα τινος εὐτυχίας προσπνεύσῃ, φυσῶσι καὶ πνέουσι μεγάλα, καταλαζονευόμενοι τῶν ἀφανεστέρων, καθάρματα καὶ φρενοχλήματα, καὶ γῆς ἄχθη, καὶ ὅσα τοιαῦτα ἀποκαλοῦσιν, ὥσπερ τὸ ἀκλινὲς τῆς εὐπραγίας ἐν βεβαίῳ παρ' αὐτοῖς εὖ μάλα σφραγισάμενοι, μηδὲ μέχρι τῆς ὑστεραίας ἴσως διαμενοῦντες ἐν ὁμοίῳ. τύχης γὰρ ἀσταθμητότερον οὐδέν, ἄνω καὶ κάτω τὰ ἀνθρώπεια πεττευούσης. ἡ μία πολλάκις ἡμέρα, τὸν μὲν ὑψηλὸν καθαιρεῖ, τὸν δὲ ταπεινὸν μετέωρον ἐξαίρει. καὶ ταῦτα ὁρῶντες ἀεὶ γινόμενα, καὶ σαφῶς εἰδότες, ὅμως ὑπερόπται μὲν ἐκείνων καὶ φίλων εἰσί, νόμους δὲ παραβαίνουσι καθ' οὓς ἐγεννήθησαν καὶ ἐτράφησαν, ἤθη δὲ πάτρια, οἷς μέμψις οὐδεμία πρόσεστι δικαία, κινοῦσιν ἐκδεδιῃτημένοι, καὶ διὰ τὴν τῶν παρόντων ἀποδοχὴν, οὐδενὸς ἔτι τῶν ἀρχαίων μνήμην λαμβάνουσιν· ὁ δ' ἐπ' αὐτὸν φθάσας τὸν ὅρον τῆς ἀνθρωπίνης εὐτυχίας, καὶ θυγατριδοῦς μὲν τοῦ τοσούτου βασιλέως νομισθείς, τῆς δὲ παππῴας ἀρχῆς ὅσον οὐδέπω γεγονὼς ἐλπίσι ταῖς ἁπάντων διάδοχος, καὶ τί γὰρ ἀλλ' ἢ ὁ νέος βασιλεὺς προσαγορευόμενος, τὴν συγγενικὴν καὶ προγονικὴν ἐζήλωσε παιδείαν, τὰ μὲν τῶν εἰσποιησαμένων ἀγαθά, καὶ εἰ λαμπρότερα καιροῖς, νόθα εἶναι ὑπολαβών, τὰ δὲ τῶν φύσει γονέων, εἰ καὶ πρὸς ὀλίγον ἀφανέστερα, οἰκεῖα γοῦν καὶ γνήσια· καθάπερ τις κριτὴς ἀδέκαστος τῶν γεννησάντων καὶ τῶν εἰσποιησαμένων, τοὺς μὲν εὐνοίαις τῷ φιλεῖν ἐνθύμως, τοὺς δ' εὐεργεσίαις, ἀνθ' ὧν εὖ ἔπαθεν ἠμείβετο, καὶ μέχρι παντὸς ἠμείψατ' ἄν, εἰ μὴ κατεῖδεν ἐν τῇ χώρᾳ μέγα καινουργηθὲν ὑπὸ τοῦ βασιλέως

A diuina an mixta ex vtroque; cum nihil vulgare haberet, augustiora cæteris omnia. Nam nec ventri quicquam dabat præter tributum naturæ necessarium, nec voluptatum sub ventre nascentium nisi liberorum causa meminerat: frugalitatem colebat vt nemo alius, in vniuersum abhorrens à delicijs. Animo enim viuere malebat quam corpore. philosophiæ præcepta quotidie factis repræsentabat, mentem B verbis exprimens, facta dictis accommodans, vt cum sermone vita congrueret. In summa qualis erat vita, talis & oratio, cum nihil discreparet haud aliter quam in instrumento musico. cæteri mortales si vel leuis aura felicitatis aspiret, inflantur & immane spirant, superbe illudentes obscurioribus, appellando piaculares, conturbatores, onera terræ, aliísque verborum contumelijs, tanquam sua felicitate probe C constabilita munitáque, fortasse ne in crastinum quidem eodem statu mansuri. nihil enim fortuna mutabilius, súsque déque versante rerum humanarum aleam: adeò vt vna sæpe dies alium affligat, extollat alium. hæc illi cum nunquam non videant ac intelligant, tamen amicos despiciunt, contemnunt leges sub quibus nati educatique sunt, mores patrios quantumuis probatos mutant pro libito, & intenti præ D sentibus obliuiscuntur veterum. At hic euectus in summum rerum fastigium, nepos tanti regis habitus, spe omnium destinatus successor auiti solij, nec aliud quam rex iunior appellatus, secutus est maiorum suorum instituta gentilia, adoptiuorum parentum bona & si splendida, tamen adulterina iudicans: è diuerso naturalium parentum & si ad tempus viliora, vera E tamen & propria. itaque vtriusque partis iudex incorruptissimus tum eius ex qua natus, tum eius in quam adoptatus fuerat, alteri beneuolentiam præstabat, alteri gratitudinem: & retulisset abunde gratiam, ni animaduertisset in ea terra impiam regis sæuiciam. nam externi generis (vt ante dixi) erant Iudæi, quorum primi conditores ob famem & inopiam à Babylonis prouincijs in Ægyptum migra-

uerant; & propemodum supplices tanquam ad asylum in regis fidem confugerant & indigenarum misericordiam. Hospitibus enim (quantum ego iudico) iura debentur eadem quæ supplicibus. erant igitur supplices, inquilini, socij honore ciuibus iam proximi, vicini minimum differentes ab indigenis. Hos tales qui relictis pristinis sedibus in Ægyptum se contulerant, vt eam secure incolerent, tanquam alteram patriam, rex in seruitutem vindicabat, quasi belli iure captiuos, aut emptos de lapide, adigebátque ad opera seruilia, homines non solum ingenuos, verum etiam hospites, supplices, inquilinos, nihil veritus numen cui exosæ sunt id genus iniuriæ. Ad hæc imperabat eis grauiora quàm ferre possent, alios super alios labores cumulans. Si quis interim labori ob infirmitatem se subtraheret, capitalis noxa iudicabatur. Operibus præerat immitissimus quisque crudelissimúsque, quos exactores operarum appellabant ab hoc officio. Operabantur autem partim lutum formando in lateres, partim comportando paleas. Nam paleis cohærent lateres. Alij iussi sunt publica & priuata ædificia struere, fossásque fodere, dies noctésque conuehendo materiam sine successione, ne tantisper quidem permissi quiescere, dum somno se reficerent, ipsi & opificum & ministrorum præstantes operas, vt breui primum animi mox & corpora deficerent. Itaque alij post alios emoriebantur pestilentia, quos insepultos proijciebant extra terminos, nec puluerem sinentes corporibus inijcere, nec lacrymis cognatos aut amicos tam misere mortuos prosequi: adeò etiam affectibus animi, quos penè solos natura fecit liberos, iugum intentabant homines impij, prementes eos necessitate grauissima. Hæc ille continuè ferebat indignissime, cum nec prohibere iniuriam posset, nec oppressis succurrere: verbis tamen quantum poterat subleuabat, præfectos subinde admonens vt moderarentur laxaréntque nimiam in vrgendo duriciam: operarios vero, vt præsentem statum ferrent fortiter, si-

A ἀσέβημα. ξένοι γὰρ ἦσαν, ὡς ἔφην πρότερον, οἱ
Ἰουδαῖοι τῶν τοῦ ἔθνους ἀρχηγετῶν διὰ λιμόν,
ἀπορίᾳ τροφῆς, ἐκ Βαβυλῶνος καὶ τῶν ἄνω σατραπειῶν εἰς Αἴγυπτον μεταναστάντων, καὶ τρόπον
τινὰ ἱκέται καταπεφευγότες ὡς ἐπ' ἄσυλον ἱερόν,
τήν τε βασιλέως πίστιν, καὶ τὸν ἀπὸ τῶν οἰκητόρων
ἔλεον· οἱ γὰρ ξένοι παρ' ἐμοὶ κριτῇ, τῶν ὑποδεξαμένων ἱκέται γεγράφθωσαν· μέτοικοι δὲ πρὸς
ἱκέταις, καὶ φίλοι σπεύδοντες εἰς ἀστῶν ἰσοτιμίαν, καὶ
γειτνιῶντες ἤδη πολίταις ὀλίγῳ τῶν αὐτοχθόνων
B διαφέροντες. τούτους οὖν, οἳ τὴν μὲν οἰκείαν ἀπέλιπον, εἰς δ' Αἴγυπτον ἧκον, ὡς ἐν δευτέρᾳ πατρίδι μετ' ἀσφαλείας οἰκήσοντες, ὁ τῆς χώρας ἡγεμὼν ἠνδραποδίζετο, καὶ ὡς ἢ πολέμου νόμῳ λαβὼν αἰχμαλώτους, ἢ πριάμενος παρὰ δεσποτῶν,
οἷς ἦσαν οἰκότριβες, ὑπήρετο καὶ δούλους ἀπέφαινε, τοὺς οὐκ ἐλευθέρους μόνον, ἀλλὰ καὶ ξένους καὶ
ἱκέτας καὶ μετοίκους, οὔτ' αἰδεσθείς, οὔτε δείσας τὸν ἐλευθέριον καὶ ξένιον καὶ ἱκέσιον καὶ ἐφέστιον θεόν, ὃς τῶν
C τοιούτων ἐστὶν ἔφορος· εἶτ' ἐπιτάγματα ἐπέταττε
βαρύτερα τῆς δυνάμεως, ἄλλους ἐπ' ἄλλοις πόνους
προσεπιθείς. καὶ τοῖς ἀπαγορεύουσιν ὑπ' ἀσθενείας,
ὁ σίδηρος εἵπετο· ἐπιστάτας τῶν ἔργων, ἀνηλεεστάτους
καὶ ὠμοθύμους οὐδενὶ συγγνώμης μεταδιδόντας,
ᾑρεῖτο, οὓς ἐργοδιώκτας ἀπὸ τοῦ συμβεβηκότος ὠνόμαζον· εἰργάζοντο δ', οἱ μὲν πηλόν, εἰς πλίνθου σχηματίζοντες· οἱ δὲ πανταχόθεν ἄχυρα συγκομίζοντες· πλίνθου γὰρ ἄχυρα δεσμός· οἱ δ' ἦσαν ἀποτεταγμένοι πρὸς οἰκιῶν καὶ τειχῶν καὶ πόλεων κα-
D τασκευάς, καὶ διωρύχων ἀνατομάς, ὑλοφοροῦντες
αὐτοὶ μεθ' ἡμέραν καὶ νύκτωρ ἄνευ διαδοχῆς, οὐδεμίαν ἔχοντες ἀνάπαυλαν, ἀλλ' οὐδ' ὅσον καταδαρθεῖν αὐτὸ μόνον ἐώμενοι, πάντα καὶ τὰ τῶν δημιουργῶν, καὶ τὰ τῶν ὑπουργῶν δρᾶν ἀναγκαζόμενοι, ὡς ἐν βραχεῖ τὰ σώματα αὐτοῖς ἀπαγορεύειν,
ἅτε καὶ τῆς ψυχῆς προαναπιπτούσης. ἄλλοι γοῦν
ἐπ' ἄλλοις διεξέθνησκον ὡς ὑπὸ λοιμώδους φθορᾶς, οὓς ἀτάφους ἔξω τῶν ὁρίων ἀπερρίπτουν, οὐδὲ
κόνιν ἐπαμήσασθαι τοῖς σώμασιν ἐῶντες, ἀλλ' οὐδὲ
E δακρῦσαι συγγενεῖς ἢ φίλους οὕτως οἰκτρῶς διαφθαρέντας, ἀλλὰ καὶ τοῖς ἀδουλώτοις πάθεσι τῆς ψυχῆς, ἃ μόνα σχεδὸν ἐξ ἁπάντων ἐλεύθερα ἡ φύσις ἀνῆκε, δεσποτείαν ἐπιτειχίσασθαι ἀσεβῶς, ἀνάγκης ἀνυποίστῳ βάρει δυνατωτέρας πιέζοντες. ἐπὶ
δὴ τούτοις ἀθυμῶν καὶ δυσχεραίνων διετέλει, μήτ'
ἀμύνασθαι τοὺς ἀδικοῦντας, μήτε βοηθεῖν τοῖς ἀδικουμένοις ἱκανὸς ὤν, ἃ δ' οἷός τ' ἦν διὰ λόγων
ὠφέλει, παραινῶν τοῖς μὲν ἐφεστῶσι μετριάζειν, καὶ

τὸ σφοδρὸν τῶν ἐπιταγμάτων ὑπομένειν καὶ χαλᾶν, τοῖς δ' ἐργαζομένοις φέρειν τὰ παρόντα γενναίως, ἄνδρας τε εἶναι τὰ φρονήματα, καὶ μὴ συγκάμνειν τὰς ψυχὰς τοῖς σώμασιν, ἀλλὰ χρηστὰ προσδοκᾶν ἐκ πονηρῶν. πάντα γὰρ μεταβάλλειν τὰ ἐν κόσμῳ πρὸς τἀναντία, νέφωσιν εἰς αἰθρίαν, πνευμάτων βίας εἰς ἀέρα νήνεμον, κλύδωνα θαλάττης εἰς ἡσυχίαν καὶ γαλήνην, τὰ δ' ἀνθρώπεια καὶ μᾶλλον, ὅσῳ καὶ ἀσταθμητότερα. τούτοις κατεπᾴδων ὥσπερ ἀγαθὸς ἰατρὸς, ᾤετο τὰς νόσους καίτοι βαρυτάτας οὔσας ἐπικουφιεῖν· αἱ δ' ὁπότε λωφήσειαν, αὖθις ἐκ μεταβολῆς ἐπετίθεντο, φέρουσαί τι πάντως ἐκ τοῦ διαπνεῦσαι καινὸν κακὸν ἀργαλεώτερον τῶν πόνων τῶν προτέρων. ἦσαν γάρ τινες τῶν ἐφεστηκότων ἀνήμεροι σφόδρα καὶ λελυττηκότες, μηδὲν εἰς ἀγριότητα τῶν ἰοβόλων καὶ σαρκοβόρων διαφέροντες, ἀνθρωπόμορφα θηρία, τὴν τοῦ σώματος μορφὴν εἰς δόκησιν ἡμερότητος ἐπὶ θήρᾳ καὶ ἀπάτῃ προβεβλημένοι, σιδήρου καὶ ἀδάμαντος ἀπειθέστεροι. τούτων ἕνα τὸν βιαιότατον, ἐπεὶ πρὸς τῷ μηδὲν ἐνδιδόναι, καὶ ταῖς παρακλήσεσιν ἔτι μᾶλλον ἐξηγριοῦτο, τοὺς δὲ προσταχθὲν μὴ ἀπνευστὶ καὶ ὀξυχειρίᾳ δρῶντας τύπτων, προπηλακίζων, ἄχρι θανάτου πάσαις αἰκιζόμενος αἰκίαις, ἀναιρεῖ, δικαιώσας εὐαγὲς εἶναι τὸ ἔργον· καὶ ἦν εὐαγὲς τὸν ἐπ' ὀλέθρῳ ζῶντα ἀνθρώπων, ἀπόλλυσθαι. ταῦτα ἀκούσας ὁ βασιλεὺς ἠγανάκτει, δεινὸν ἡγούμενος, οὐκ εἴ τις τέθνηκεν, ἢ ἀνῄρηκεν, ἀδίκως ἢ δικαίως, ἀλλ' εἰ ὁ θυγατριδοῦς αὐτῷ μὴ συμφέροιτο, μηδὲ τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ὑπολαμβάνοι, ἀλλὰ μισοίη μὲν οὓς αὐτὸς στέργει, φιλοίη δ' οὓς προβέβληται, καὶ ἐλεοῖ πρὸς οὓς ἀτέγκτως καὶ ἀπαραιτήτως ἔχει. λαβόμενοι δ' ἅπαξ ἀφορμῆς οἱ ἐν τέλει, καὶ τὸν νεανίσκον ὑφορώμενοι· ἤδεσαν γὰρ μνησικακήσοντα τῶν ἀνοσιουργημάτων αὐτοῖς, καὶ ἐπὶ καιρῶν ἀμυνούμενον· ἀναπεπταμένοις ὠσὶ τοῦ πάππου μυρίας διαβολὰς ἐπήντλουν, οἱ μὲν ἔνθεν, οἱ δ' ἔνθεν, ὡς καὶ περὶ ἀφαιρέσεως τῆς ἀρχῆς ἐμπειθῆσαι δέος· ἐπιθήσεται, λέγοντες· οὐδὲν φρονεῖ μικρὸν, ἀεί τι προσπεριεργάζεται, περὶ τὴν βασιλείαν ἐρᾷ, θωπεύει τινὰς, ἑτέροις ἀπειλεῖ, κτείνει χωρὶς δίκης, τοὺς μάλιστα εὔνους σοι προβέβληται. τί δὴ μέλλεις, ἀλλ' οὐχ ἃ διανοεῖται δρᾶν, ὑποτέμνῃ; μέγα τοῖς ἐπιτιθεμένοις αἱ τῶν ἐπιβουλευομένων ἀναβολαί. τοιαῦτα διεξιόντων, ὑπανεχώρησεν εἰς τὴν ὅμορον Ἀραβίαν, ἔνθα διατρίβειν ἦν ἀσφαλὲς, ἅμα καὶ τὸν θεὸν ἱκετευόμενος, ἵνα τοὺς μὲν ἐξ ἀμηχάνων ῥύ-

A ut viros decet, nec animis deficerent vnà cum corporibus, vtque sperarent mutationem in melius. omnia enim mundana verti in contrarium, nubila in serenitatem, procellas in quietum aerem, tempestatem in tranquillitatem, res vero humanas eo magis quo instabiliores sunt. talibus incantationibus tanquam bonus medicus putabat se leuaturum mala quamuis grauissima: quæ tamen ad
B tempus lenita mox exasperabantur denuo, & ex interuallo augebantur nouis crumnarum accessionibus. erant enim inter præfectos quidam efferati rabie, nihil differentes à venenatis carniuorísque bestijs, humana specie beluæ, sub qua mores ferinos celabant, ferro adamantéque duriores. ex his vnum immanissimum, quia nihil remittens exacerbabatur etiam precibus, nisi
C celeriter iussa fierent pulsans miseros, verberans, excrucians, interemit fas esse ratus. & re vera fas erat eum occidere, qui viuebat in perniciem hominum. hoc auditum rex ægre tulit, vt indignum facinus, non quòd aliquis occisus esset, aut occidisset, siue iure siue iniuria: sed quòd nepos ab eo dissentiret, nec eosdem quos ipse haberet pro socijs & hostibus, amans quos ille oderat, infensus vero dilectis ab eo, & miserans quos rex
D inclementer exagitabat. hanc occasionem nacti purpurati, & suspectum habentes iuuenem, quem norant aliquando exacturum pœnas præsentis crudelitatis quamprimum potuerit, patulas aui aures impleuerunt plurimis calumnijs, hinc inde insusurrantes vt de amittendo principatu reddiderint solicitum. dicebant enim: Teipsum aggredietur. nihil mediocre sapit, semper
E molitur aliquid, ante tempus ad regnum aspirat, alijs pollicetur, alios territat, indemnatos interficit: quo quisque est tui amantior, eo magis eum persequitur. quid cunctaris? an vt quæ conatur efficiat? proderit insidiatori hæc dilatio. Moses interea secessit in finitimam Arabiam, vbi tutius degere poterat, Deum inuocans, vt alteros eripiat è grauissimis calamitatibus: alteros nihil non per vim

agentes puniat, atque ita ipsi duplex gaudium præbeat. nec fuere vota irrita, Deo probante mentem hominis fauentem bonis, malis infensam, vt paulo post declaratum est manifesta eius sententia pœnáque genti sceleratæ inflicta. ipse interim exercebat se in virtutis stadio sub ratione magistra, parans se ad optima vitæ genera, actiuum contemplatiuúmque, simul euoluens philosophiæ dogmata, atque etiam expedite dijudicans, recondénsque in memoriam, vt postea posset in suum vsum depromere, veram laudem quærens non inanem opinionem hominum, quippe qui nihil nisi rectam rationem spectabat, fontem originémque virtutum omnium. Alius certe à rege infesto elapsus, & tum primum ingressus regionem exteram, nondum assuetus indigenarum moribus, incertus quibus offendantur vel gaudeant, conatus fuisset quietus latere: aut si maluisset versari cum alijs, vtique optimates sibi conciliasset in spem auxilij, si forte ab aliquo ad deditionem deposceretur. at hic diuersam viam ingressus, sequebatur sanum suum animum, non sinens se transuersum abripi. & ideo nonnunquam audentior quàm pro viribus, fidebat iustitiæ, qua fretus vltro ferebat opem infirmioribus. Dicam vnum eius facinus quod in hoc tempus incidit, paruum in speciem, sed indicium magni animi. Arabes exercent pecuariam pascúntque greges promiscue viri, mulieres, iuuenes virginésque, non plebeij solum, sed & nobiles. Septem puellæ vnius sacerdotis filiæ gregem ad quendam fontem adduxerant, demissísque per funem vrnis, per vices certatim hauriebant, fundebántque aquam in proximos alueos donec implerentur. superuenerunt alij pastores, qui contempta debilitate virginum conati sunt eas submouere vnà cum suis gregibus, ad paratum potum agentes sua pecora, fruituri alienis laboribus. id Moses qui non longe aberat conspicatus confestim accurrit, clamitans: Non desistetis ab iniurijs

A σονται συμφορῶν, τοὺς δὲ μηδὲν παραλιπόντας τῶν εἰς ἐπήρειαν, ἀξίας τίσαι δίκας), παρ' ἣν δὴ αὐτῷ τῶν τ' ἐλπίδων ἀμφότερα, διπλασιάσας τὴν χαράν. ὁ δὲ ἐπακούει τῶν εὐχῶν, ἀγάμενος αὐτοῦ τὸ φιλόκαλον ἦθος καὶ μισοπόνηρον, καὶ οὐκ εἰς μακρὰν τὰ κατὰ τὴν χώραν, ὡς θεῷ πρέπον δικάσας· ἐν ᾧ δὲ καὶ ἔμελλε δικάζειν, τοὺς ἀρετῆς ἄθλους Μωσῆς διήθλει, τὸν ἀλείπτην ἔχων ἐν ἑαυτῷ λογισμὸν ἀστεῖον, ὑφ' οὗ γυμναζόμενος πρὸς τοὺς ἀρίστους βίους, τόν τε θεωρητικὸν καὶ πρακτικὸν, ἐπονεῖτο, φιλοσοφίας ἀνε-
B λίττων ἀεὶ δόγματα, καὶ τῇ ψυχῇ διαγινώσκων εὐτρόχως, καὶ μνήμῃ παρακατατιθέμενος εἰς τὸ ἄληστον αὐτά, καὶ τὰς οἰκείας αὐτίκα πράξεις ἐφαρμόττων ἐπαινετὰς πάσας, ἐφιέμενος οὐ τοῦ δοκεῖν, ἀλλὰ τῆς ἀληθείας, διὰ τὸ προκεῖσθαι σκοπὸν ἕνα τὸν ὀρθὸν τῆς φύσεως λόγον, ὃς μόνος ἐστὶν ἀρετῶν ἀρχή τε καὶ πηγή. ἕτερος μὲν οὖν ὀργὴν ἀμείλικτον βασιλέως ἀποδιδράσκων, καὶ ἄρτι πρῶτον εἰς ἀλλοδαπὴν ἀφιγμένος, μήπω τοῖς τῶν ἐπιχωρίων ἔθε-
C σιν ἐνωμιληκὼς, μηδὲ ἀκριβῶς ἐπιστάμενος οἷς χαίρουσιν ἢ ἀλλοτριοῦνται, κἂν ἐσπούδασεν ἡσυχίᾳ χρώμενος ἀφανέστερον ζῆν, τοὺς πολλοὺς λανθάνων, ἢ βουληθεὶς εἰς μέσον προέρχεσθαι, τοὺς γοῦν δυνατοὺς καὶ τοὺς πλεῖστον ἰσχύοντας λιπαρέσι θεραπείαις ἐξευμενίζεσθαι, παρ' ὧν τις ὠφέλεια προσεδοκᾶτο καὶ βοήθεια, εἴ τινες ἐπελθόντες ἀπάγειν πρὸς βίαν ἐπιχειροῖεν. ὁ δὲ τὴν ἐναντίαν τῆς εἰκότης ἀτραπὸν ἤλαυνε, ταῖς τῆς ψυχῆς ὑγιαινούσαις ὁρμαῖς ἑπόμενος, καὶ μηδεμίαν ἐῶν ὑποσκελίζε-
D σθαι· διὸ καὶ τῆς ὑπούσης δυνάμεως ἔστιν ὅτε πλέον ἐνεανιεύετο, δύναμιν αὐθαίρετον τὸ δίκαιον ἡγούμενος, ὑφ' οὗ προτραπεὶς, αὐτοκέλευστος ἐπὶ τὴν τῶν ἀσθενεστέρων συμμαχίαν ᾔει. λέξω δὲ καὶ τὸ κατ' ἐκεῖνον αὐτῷ τὸν χρόνον πραχθὲν, εἰ καὶ μικρὸν ὅσον γε τῷ δοκεῖν, ἀλλ' οὐκ ἀπὸ φρονήματος μικροῦ. κτηνοτροφοῦσιν Ἄραβες, καὶ νέμουσι τὰ θρέμματα, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, νέοι τε καὶ παρθένοι παρ' αὐτοῖς, οὐχὶ τῶν ἠμελημένων καὶ ἀδόξων μόνον, ἀλλὰ καὶ τῶν ἄγαν ἐπιφανῶν. ἑπτὰ δὲ κόραι
E παῖδες ἱερέως ποίμνην ἄγουσαι παρῆσαν ἐπί τινα πηγὴν, καὶ τὴν ἱμονιὰν ἐνδησάμεναι τοῖς καδίσκοις, ἄλλη διαδεχομένη παρ' ἄλλης ὑπὸ τῆς ἐν τῷ πονεῖν ἰσομοιρίας, μάλα προθύμως τὰς δεξαμενὰς, αἳ πλησίον ἔκειντο, πληροῦσιν. ἐπιφοιτήσαντες δ' ἕτεροι ποιμένες καὶ τῆς τῶν παρθένων ἀσθενείας ὑπεριδόντες, τὰς μὲν ἐπεχείρουν μετὰ τῆς ποίμνης ἐλαύνειν, τὰ δ' οἰκεῖα θρέμματα προσῆγον ἐπὶ τὸ εὐτρεπισθὲν ποτὸν, ἀλλότριον

καρπωσόμενοι πόνον. ἰδὼν δὲ Μωϋσῆς τὸ γινόμενον· οὐ γὰρ ἦν πόρρω· σπουδαίως ἔθει, καὶ πλησίον στὰς, οὐ παύσεσθε εἶπεν, ἀδικοῦντες, τὴν ἐρημίαν νομίζοντες εἶναι πλεονεξίαν; βραχίονας καὶ πήχεις ἀργοὺς φέροντες οὐκ ἐρυθριᾶτε; χαίτην βαθεῖαν, καὶ σάρκες ὑμεῖς ἐστε, οὐκ ἄνδρες· αἱ μὲν κόραι νεανιεύονται μηδὲν ὀκνοῦσαι τῶν πρακτέων, οἱ δὲ νεανίαι κορικῶς ἤδη θρύπτεσθε. οὐ βαδιεῖσθε; οὐχ ὑπεκστήσεσθε ταῖς προτέραις ἡκούσαις, ὧν καὶ τὸ ποτόν ἐστι, δικαίως ἂν αὐταῖς ἐπαντλήσαντες, ἵν' ἀφθονώτερον εἴη ὕδωρ, καὶ τὸ εὐτρεπισθὲν ἀφελέσθαι σπουδάζετε; ἀλλὰ μὰ τὸν οὐράνιον τῆς δίκης ὀφθαλμὸν, οὐκ ἀφελεῖσθε, βλέποντα καὶ τὰ ἐν ταῖς ἐρημοτάταις. ἐμὲ γοῦν ἐχειροτόνησε βοηθὸν οὐ προσδοκηθέντα. καὶ γάρ εἰμι σύμμαχος ταῖς ἀδικουμέναις μετὰ μεγάλης χειρὸς, ἣν οὐ θέμις πλεονέκταις ὁρᾶν· αἰσθήσεσθε δὲ αὐτῆς ἐκ τοῦ ἀφανοῦς τιτρωσκούσης, εἰ μὴ μεταβάλοιτε. Ταῦτα διεξιόντος φοβηθέντες, ἐπεὶ καὶ λέγων ἅμα ἐνεθουσία μεταμορφούμενος εἰς προφήτην, μὴ χρησμοὺς καὶ λόγια θεσπίζῃ, καταπειθεῖς τε γίνονται, καὶ τὴν ποίμνην τῶν παρθένων ἐπὶ τὰς δεξαμενὰς ἄγουσι προτέρας μεταστησάμενοι τὰς αὐτῶν. αἱ δ' ἐπανήεσαν οἴκαδε σφόδρα γεγηθυῖαι, καὶ τὰ συμβάντα παρ' ἐλπίδας ἐκδιηγοῦντο, ὡς πολὺν ἵμερον ἐνεργάσασθαι τοῦ ξένου τῷ πατρί. καταμέμφεται γοῦν αὐτὰς ἐπ' ἀχαριστίᾳ, τοιαῦτα λέγων, τί παθοῦσαι μεθεῖτε, δέον ἄγειν εὐθὺς, καὶ εἰ παρῃτεῖτο, λιπαρῆσαι· ἤ τινα μισανθρωπίαν μου κατέγνωτε, ἢ δεύτερον ἐκπεσοῦσαι ἀδίκοις οὐ προσδοκᾶτε; βοηθῶν ἀπορήσει ἀνάγκη τοὺς ἐπιλήσμονας χαρίτων. ἀλλ' ὅμως ἀναδραμοῦσαι· τὸ γὰρ ἁμάρτημα μέχρι νῦν ἐστιν ἰάσιμον· ἴτε μετὰ σπουδῆς καὶ καλεῖτε, ξένιον μὲν πρότερον, αὖθις δὲ καὶ ἀμοιβῆς· ὀφείλεται γὰρ αὐτῷ χάρις. μετῄεσαν σπουδῇ· καταλαμβάνουσιν αὐτὸν οὐ πόρρω τῆς πηγῆς· καὶ δηλώσασαι τὰ ἀπὸ τοῦ πατρὸς, οἴκαδε συμπείθουσιν ἥκειν. ὁ δὲ πατὴρ τὴν μὲν ὄψιν εὐθὺς, τὸ δὲ βούλημα ὀλίγον ὕστερον καταπλαγείς· περίδηλοι γὰρ αἱ μεγάλαι φύσεις, καὶ οὐ μακρῷ χρόνῳ γνωριζόμεναι· δίδωσι τὴν καλλιστεύουσαν αὐτῷ τῶν θυγατέρων γυναῖκα, δι' ἑνὸς ἔργου πάνθ' ὅσα τὴν εἰς καλοκαγαθίαν μαρτυρήσας, καὶ ὡς ἀξιέραστον μόνον τὸ καλόν ἐστι, τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δεόμενον, ἀλλ' ἐν ἑαυτῷ περιφέρον τὰ γνωρίσματα. μετὰ δὲ τὸν γάμον, παραλαβὼν τὰς ἀγέλας ἐποίμαινε, προδιδασκόμενος εἰς τὴν ἡγεμονίαν. ποιμενικὴ γὰρ, μελέτη καὶ προγύμνασμα βασιλείας τῷ μέλλοντι τῆς ἡμε-

A in solitudine, qua ad fraudem abutimini? non pudet vos circumferre ignauia brachia inertésque humeros? capillos, barbas carnésque viriles video, viros non video: puellæ inueniliter tractant quæ tractanda sunt, vos iuuenes estis puellis delicatiores. non abitis? non ceditis his quæ priores venerunt, quæ ius aquæ habent haustæ ipsarum opera, quo vberior esset copia? ita ne paratam auferetis? Non B facietis per cælestem oculum iustitiæ, qui videt quicquid fit etiam in locis desertissimis, non auferetis impune. is me præter opinionem misit in auxilium. nec enim deero iniuriam patientibus, fretus illa magna manu, quam vos excæcati cupiditate non cernitis, nec fas est vos cernere. sentietis tamen eam ex occulto ferientem, nisi resipiscitis. His verbis territi, quæ videbantur hominis afflati diuino C furore, veritique ne vera caneret, paruerunt: admissísque virginum gregibus ad alueos, passi sunt earum pecora prius bibere. Illæ domum lætæ reuersæ, insperatum casum patri denarrauerunt, ita vt caperetur magno desiderio videndi eius hospitis. obiurgabat igitur earum ingratitudinem: Cur dimisistis hominem? quin adduxistis, & si forte recusabat exorastis etiam? estis ne mihi alicuius inhumanitatis con- D sciæ? aut non timetis ne iterum incidatis in violentos & iniustos alios? necesse est vt auxilio destituamini tam obliuiosæ erga bene meritos: recurrite vnde venistis, donec erratum potest corrigi. ite propere, vocate non tam ad hospitium, quàm ad recipiendam gratiam. Debetur enim. Reuersæ ad fontem, in propinquo eum inueniunt, & patris verbis persuasum, domum deducunt. Qui primum E speciem, mox & mentem eius admiratus (nec enim opus habet felix ingenium longa experientia) dat ei vxorem filiarum formosissimam, hoc vno facto virtutem eius approbans, per seipsam amabilem, vt externa commendatione non egeat, modo detur innotescere. Post eas nuptias præfuit gregibus, ad principatum se præparans. Nam pastoralis ars ad regnum est præludium, hoc est ad

regimen hominum gregis mansuetissimi: quemadmodum bellicosa ingenia præexercent se in venationibus. in feris enim experiuntur futuri præfecti militiæ, brutis præbentibus materiam exercitij tam belli quàm pacis tempore, nam præfectura mansueti pecoris habet quiddam simile cum regno in subditos. ideo reges cognominantur pastores populorum, non contumeliæ, sed honoris gratia. Imò quantum ego intelligo, non iuxta vulgarem opinionem, sed rei veritatem vestigans (rideat qui volet) solus potest esse rex vndequaque perfectus, qui bene callet artem pastoriciam, & curando minora animalia didicit, quomodo debeat præesse præstantioribus. impossibile est enim vt magna prius quàm parua perficiantur. Factus igitur omnium ætatis suæ pastorum optimus, & vtilitatis pecorum prouidentissimus, dum nullum laborem fugitat, sed vltro & iniussus alacriter eis prospicit, prompte bonaque fide auxit gregum copiam, adeo vt iam inuidiosus esset apud pastores cæteros, nihil simile videntes in suis gregibus, qui præclare secum agi putabant si nihil detrimenti acciperent, mirantes illius numerum indies crescere, nec tantum singulas oues pulchre pinguescere, sed præter egregiam corporum habitudinem fœcunditate quoque laudari, & pascuis frui longe saluberrimis. Accidit quondam vt dum sectatur loca herbida, rigua lætaque pascuis, in quodam nemore videret visionem horribilem. rubus erat, frutex spinosus & inualidus. is nemine ignem admouente subitò incensus est: correptúsque totus à radice vsque cacumen flamma in morem fontis scatente, manebat integer & illæsus, quasi non esset incendij materia, sed ipse ab igne aleretur. è medio promicabat forma quædam pulcherrima nulli visibili similis, diuinum simulacrum, luce fulgens clarissima, vt suspicari posset Dei esse imaginem. Vocemus eam angelum, quandoquidem futura prænunciauit tanto clarius, quanto magnificentior erat visio. significabat enim ardens rubus oppressos iniuria,

A ρωπότης τῆς αἰδεσίμου ἐπιστατεῖν ἀγέλης, καθάπερ καὶ τοῖς πολεμικοῖς τὰς φύσεις, τὰ κυνηγέσια. θήραις γὰρ ἐμπρογυμνάζονται οἱ πρὸς τὰς στρατηγίας ἀλειφόμενοι, τῶν ἀλόγων οἷά τινος ὕλης ὑποβεβλημένων πρὸς ἄσκησιν τῆς καθ' ἑκάτερον καιρὸν ἀρχῆς, τόν τε πολέμου καὶ τὸν εἰρήνης. ἡ μὲν γὰρ τῶν ἀγρίων θήρα στρατηγικὸν κατ' ἐχθρῶν ἐστι γύμνασμα· ἡ δὲ τῶν ἡμέρων ἐπιμέλεια καὶ προστασία, βασιλικὸν πρὸς ὑπηκόους ἀγώνισμα· διὸ καὶ ποιμένες λαῶν οἱ βασιλεῖς, οὐχ ὡς ὄνειδος, ἀλλ' B ὡς ὑπερβάλλουσα τιμὴ προσαγορεύονται· καί μοι δοκεῖ, μὴ πρὸς δόξας τῶν πολλῶν, ἀλλὰ πρὸς ἀλήθειαν ἐρευνωμένῳ τὸ πρᾶγμα· γελάτω δ' ὁ βουλόμενος· μόνος ἂν γενέσθαι βασιλεὺς τέλειος, ὁ τὴν ποιμενικὴν ἐπιστήμην ἀγαθὸς, ἐν ἐλάττοσι ζώοις παιδευθεὶς τὰ τῶν κρειττόνων· ἀμήχανον γὰρ τὰ μεγάλα πρὸ τῶν μικρῶν τελεσθῆναι. γενόμενος οὖν τῶν καθ' αὑτὸν ἀγελαρχῶν ἄριστος, καὶ πορίζειν, ὅσα πρὸς τὴν τῶν θρεμμάτων συντείνει C ὠφέλειαν, ἱκανὸς, ἐκ τοῦ μηδὲν ἀποκνεῖν, ἀλλ' ἐθελουργῷ καὶ αὐτοκελεύστῳ προστασίᾳ εἰς δέον τῇ προθυμίᾳ χρῆσθαι, μετὰ χαρᾶς καὶ ἀδόλου πίστεως ηὔξησε τὰς ἀγέλας, ὡς ὑπὸ τῶν ἄλλων νομέων ἤδη καὶ φθονεῖσθαι, μηδὲν ὁμοιότροπον ἐν ταῖς ἰδίαις ποίμναις ὁρώντων, αἷς εὐτυχὲς εἶναι ἐδόκει ἡ ἐν ὁμοίῳ μονὴ, τῷ δὲ τὸ μὴ βελτιοῦσθαι καθ' ἑκάστην ἡμέραν, ἐλάττωσις, διὰ τὸ μεγάλας εἰωθέναι λαμβάνειν ἐπιδόσεις, ἐκ μὲν εὐσαρκίας καὶ πιότητος εἰς κάλλος, εἰς δὲ πλῆθος, ἐξ εὐτοκίας, καὶ τῆς περὶ D δίαιταν εὐεξίας. ἄγων δέ ποτε τὴν ποίμνην εἰς τόπον εὔυδρόν τε καὶ εὔχορτον, ἔνθα συνέβαινε καὶ πολλὴν πόαν προβατεύσιμον ἀναδίδοσθαι, γενόμενος πρός τινι νάπει, θέαμα ἐκπληκτικώτατον ὁρᾷ. βάτος ἦν, ἀκανθῶδές τι φυτὸν καὶ ἀσθενέστατον· οὗτος οὐδενὸς πῦρ προσενεγκόντος ἐξαίφνης ἀνακαίεται· καὶ περισχεθεὶς ὅλος ἐκ ῥίζης εἰς ἀκρέμονα πολλῇ φλογὶ, καθάπερ ἀπό τινος πηγῆς ἀνομβρούσης, διέμενε σῶος οὐ κατακαιόμε- E νος, οἷά τις ἀπαθὴς οὐσία, καὶ οὐχ ὕλη πυρὸς αὐτὸς ὢν, ἀλλὰ τροφῇ χρώμενος τῷ πυρί. κατὰ δὲ μέσην τὴν φλόγα μορφή τις ἦν περικαλλεστάτη, τῶν ὁρατῶν ἐμφερὴς οὐδενὶ, θεοειδέστατον ἄγαλμα, φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑπετόπησεν εἰκόνα τοῦ ὄντος εἶναι· καλείσθω δὲ ἄγγελος, ὅτι σχεδὸν τὰ μέλλοντα γενήσεσθαι διηγγέλλετο, τρανοτέρᾳ φωνῆς ἡσυχίᾳ, διὰ τῆς μεγαλουργηθείσης ὄψεως. σύμβολον γὰρ ὁ μὲν καιόμενος βάτος τῶν ἀδικουμένων

τῶν

τὸ δὲ φλέγον πῦρ, τῶν ἀδικούντων. τὸ δὲ μὴ κατακαίεσθαι τὸ καιόμενον, τοῦ μὴ πρὸς τῶν φθαρήσεσθαι ἐπιτιθεμένων τοὺς ἀδικουμένους, ἀλλὰ τοῖς μὲν ἄπρακτον καὶ ἀνωφελῆ γενήσεσθαι τὴν ἐπίθεσιν· τοῖς δὲ τὴν ἐπιβουλὴν ἀζήμιον. ὁ δὲ ἄγγελος προνοίας τῆς ἐκ θεοῦ, τὰ λίαν φοβερὰ παρὰ τὰς ἁπάντων ἐλπίδας κατὰ πολλὴν ἡσυχίαν ἐξευμαρίζοντος. τὴν δὲ εἰκασίαν, ἀκριβῶς ἐπισκεπτέον. ὁ βάτος, ὡς ἐλέχθη, φυτὸν ἀσθενέστατον, ἀλλ' οὐδ' ἄκεντρον, ὡς εἰ καὶ μόνον ἐπιψαύσειε, τιτρώσκειν· οὔτ' ἐξαναλώθη τῷ φύσει δαπανηρῷ πυρὶ, τοὐναντίον δ' ἐφυλάχθη πρὸς αὐτοῦ, καὶ διαμένων ὁποῖος ἦν πρὸς τῷ μὴ ἀνακαίεσθαι, μηδὲν ἀποβαλὼν τὸ παράπαν αὐγὴν προσέλαβε. ταῦθ' ἅπαντα ὑπογραφή τις ἐστὶ τῆς ἐθνικῆς ὑποθέσεως, ἣ κατ' ἐκεῖνον τὸν χρόνον ἐπεῖχε μονονοὺ βοῶσα τοῖς ἐν συμφοραῖς, μὴ ἀναπίπτετε, τὸ ἀσθενὲς ὑμῶν δύναμίς ἐστιν, ἣ καὶ κεντεῖ καὶ κατατιτρώσκει μυρίους· ὑπὸ τῶν ἐξαναλῶσαι γλιχομένων τὸ γένος ἀκόντων διασωθήσεσθε μᾶλλον ἢ ἀπολεῖσθε, τοῖς κακοῖς οὐ κακωθήσεσθαι, ἀλλ' ὅταν μάλιστα πορθεῖν νομίσῃ τις ὑμᾶς, τότε μάλιστα πρὸς εὔκλειαν ἐκλάμψετε. πάλιν τὸ πῦρ φθοροποιὸς οὐσία, διελέγχουσα τοὺς ὠμοθύμους, μὴ ταῖς ἰδίαις ἀλκαῖς ἐπαίρεσθε, τὰς ἀμάχους ῥώμας ἰδόντες καθαιρουμένας, σωφρονίσθητε. ἡ μὲν καυστικὴ δύναμις τῆς φλογὸς, ὡς ξύλον καίεται· τὸ δὲ φύσει καυστὸν ξύλον, οἷα πῦρ ἐμφανῶς καίει. τὸ τεράστιον τοῦτο καὶ τεθαυματουργημένον δείξας ὁ θεὸς τῷ Μωσεῖ προφαίνει ἐναργεστάτην τῶν μελλόντων ἀποτελεῖσθαι, καὶ διὰ χρησμῶν ἄρχεται προτρέπειν αὐτὸν ἐπὶ τὴν τοῦ ἔθνους σπουδὴν ἐπιμελῆσαι, ὡς οὐ μόνον ἐλευθερίας αἴτιον, ἀλλὰ καὶ ἡγεμόνα τῆς ἐνθένδε ἀποικίας οὐκ εἰς μακρὰν γενησόμενον, ὁμολογῶν ἐν ἅπασι συλλήψεσθαι. κακουμένων γὰρ ἐκ πολλοῦ καὶ δυσυπομαχέτους ὕβρεις ὑπομενόντων, οὐδενὸς ἀνθρώπων οὔτ' ἐπικουφίζοντος, οὔτ' ἐλεοῦντος τὰς συμφορὰς, οἶκτον φησὶν αὐτὸς ἔλαβον. καὶ γὰρ ἰδίᾳ ἕκαστον καὶ πάντας ὁμοθυμαδὸν ἐφ' ἱκετείας καὶ λιτὰς τραπομένους, ἐλπίζειν τὴν ἐξ ἐμοῦ βοήθειαν· εἰμὶ δὲ τὴν φύσιν ἤπιος, καὶ γνησίοις ἱκέταις ἵλεως. ἴθι δὴ παρὰ τὸν βασιλέα τῆς χώρας μηδὲν φοβηθεὶς τὸ παράπαν· ὁ μὲν γὰρ πρότερος τέθνηκεν, ὃν ἀποδέδρακας διὰ φόβον ἐπιβουλῆς· ἕτερος δὲ τὴν χώραν ἐπιτέτραπται, μηδενὸς τῶν πραγμάτων σοι μνησικακῶν, καὶ τὴν τοῦ ἔθνους γερουσίαν παραλαβών.

A vrens vero ignis oppressores. Quòd autem non exurebatur materia, portendebat non perituros qui affligebantur inimicorum violentia, sed conatum eorum fore irritum, illos vero euasuros incolumes. Porrò nuncius diuinæ prouidentiæ faciebat spem, tot horrendorum periculorum fore lætum & facilem exitum. ea coniectura excucutiatur diligentius. Rubus (vt dixi) frutex debilis est & senticosus, vt vel solo contactu B vulneret. Nec absumitur ignis voraci natura, imò conseruatur etiam, qualis antea fuit permanens, adeò nihil amittens vt nitesceret etiam. Hæc omnia designabant exhortationem quandam, tantum non inclamantem pressis calamitate: Nolite succumbere. Hæc vestra infirmitas est potentia, quæ punget vulnerabitque plurimos. Qui C delere cupiunt vos inuiti seruabunt, tot mala illæsi euadetis, & cum maxime vastari videbimini, tunc maxime enitebit vestra gloria. Vos quoque crudeles & igni voraci similes ne nimium confidatis vestris viribus, cogitate inuictissimas opes aliquando deletas & resipiscite. Ecce flamma suapte natura vrens vt lignum vritur: lignum vero cremabile vrit euidenter ignis in modum. D Hoc ostento mirifico postquam Deus Mosem de rebus futuris manifeste præmonuit, addit & oraculum, vt sine cunctatione ad curam suæ gentis reuertatur, pollicens se non solum libertatis autorem, sed etiam ducem nouæ coloniæ paulopost deducendæ, & promptum fauorem offerens ad omnia. Iamdudum, inquit, me miseret oppressorum intolerandis E iniurijs, quos nemo vel miseratur vel subleuat. & video tum singulos tum vniuersos vnanimiter supplices implorare sperareque meum auxilium. Sum autem exorabilis & propitius veniam petentibus ex animo. I regem accede nihil omnino solicitus. Qui tum regnabat cum præ metu fugeres, defunctus est, in regnum successit alius, cui nulla tecum simultas intercedit. Eum accedens vnà cum tuæ gentis senioribus,

A dic oraculo meo iuberi vniuersam gentem, vt extra fines regni progressi trium dierum itinere, sacra patrio ritu mihi faciant. Ille non ignarus tribules suos cæterósque omnes haudquaquam his dictis credituros: Quid si, inquit, percontabuntur, quod sit nomen eius qui misit me, nec dicere potero, nónne impostor videbor? Cui Deus: Primùm dic eis, Ego sum qui sum: vt discant differentiam B inter ens & non ens, & nullum nomen de me dici proprie, cui soli esse competit. Quod si vt sunt debiliores ingenio requirent appellationem, indica eis, non tantum esse me Deum, sed etiam trium virorum à virtute denominatorum, Deum Abraham, & Deum Isaac, & Deum Iacob: quorum alius doctrina, alius natura, alius meditatione quæsitæ virtutis est regula. Quod si etiam tunc nolint C credere, tribus prodigijs docti flectentur, quæ antea nemo vnquam vel vidit vel audiuit. erant autem hæc. virgam quam habebat, in terram proijcere iussus est. ea mox animata reptabat, versa in draconem serpentum principem. ille territus monstro, præ timore fugam parans reuocatur, & à Deo confirmatus, iubetur caudam eius prehendere. quo facto D draco adhuc repens ad tactum constitit, extensúsque in longum, mox denuo in baculum versus est, mirante vtramque mutationem homine, & vix discernente vtra esset horribilior, in tantum erat ambiguus animo. Sequutum est confestim aliud prodigium. Alteram manum iussus est in sinum mittere, & paulo post eximere. eo facto manus niue candidior repente apparuit, rursúmque condita in sinum ac prolata, pristinam spe- E ciem colorémque natiuum recepit. Hæc solus à solo discebat tanquam à magistro discipulus, habens secum instrumenta prodigiorum, manum & baculum, quibus quasi viatico instructus est. tertium nec circumferre secum nec prædiscere potuit, quod Ægypto seruabatur non minus horrendum stupendúmque. id tale fuit. Sume, inquit, aquam fluminis, & effunde in terram,

Εἰπὲ χρησμῷ προσκεκλῆσθαι πρὸς ἐμοῦ τὸ ἔθνος, ἵνα μοι κατὰ τὰ πάτρια θύσῃ τριῶν ἡμερῶν ὁδὸν ἔξω τῆς χώρας προελθόν. ὁ δὲ οὐκ ἀγνοῶν ἐπὶ τοῖς λεγομένοις ἀπιστήσοντας τούς τε ὁμοφύλους, καὶ τοὺς ἄλλους ἅπαντας, ἐὰν οὖν, φησί, πυνθάνωνται, τί τὸ ὄνομα τοῦ πέμψαντος, μηδ' αὐτὸς εἰπεῖν ἔχω, ἆρ' οὐ δόξω διαπατᾶν; ὁ δὲ, τὸ μὲν πρῶτον λέγε, φησὶν, αὐτοῖς, Ἐγώ εἰμι ὁ ὤν· ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ μὴ ὄντος προσαναδιδαχθῶσιν, ὡς οὐδὲν ὄνομα ἐπ' ἐμοῦ τὸ παράπαν κυριολογεῖται, ᾧ μόνῳ πρόσεστι τὸ εἶναι. ἐὰν δὲ ἀσθενέστεροι τὰς φύσεις ὄντες ἐπιζητῶσι προσρήσεων, δήλωσον αὐτοῖς, μὴ μόνον τοῦθ' ὅτι θεός εἰμι, ἀλλ' ὅτι καὶ τριῶν τῶν ἐπωνύμων ἀνδρῶν ἀρετῆς, θεὸς Ἀβραὰμ, καὶ θεὸς Ἰσαὰκ, καὶ θεὸς Ἰακώβ· ὧν ὁ μὲν τῆς διδακτῆς, ὁ δὲ τῆς φυσικῆς, ὁ δὲ τῆς ἀσκητικῆς σοφίας κανών ἐστιν. ἐὰν δὲ καὶ ἔτι ἀπιστῶσι, τρισὶ σημείοις ἀναδιδαχθέντες μεταβαλοῦσιν, ἃ πρότερον οὔτε τις εἶδεν, οὔτ' ἤκουσεν ἀνθρώπων· ἦν δὲ τὰ σημεῖα τοιάδε· ῥάβδον ἣν εἶχεν, εἰς τοὔδαφος ῥῖψαι κελευσθείς· ἡ δ' αὐτίκα ψυχωθεῖσα εἷρπε, καὶ τῶν ἑρπετῶν τὸ ἡγεμονικώτατον, ὑπερμεγέθης δράκων γίνεται, τελειότατος ταχέως· ἀποχωρήσας δ' ἀπὸ τοῦ ζῴου καὶ διὰ δέος ἤδη πρὸς φυγὴν ὁρμῶν, μετακαλεῖται· καὶ θεοῦ προστάξαντος ἅμα τε θάρσος ἐμποιήσαντος, ἐπιδράττεται τῆς οὐρᾶς· ὁ δ' ἰλυσπώμενος ἔτι, κατὰ τὴν ἐπαφὴν ἵσταται, καὶ πρὸς μῆκος εὖ μάλα ταθεὶς, αὖθις εἰς βακτηρίαν ἀνεστοιχειοῦτο τὴν αὐτὴν, ὡς θαυμάζειν μὲν τὰς μεταβολὰς ἀμφοτέρας, ποτέρα δὲ καταπληκτικωτέρα, μὴ δύνασθαι διακρίνειν, τῆς ψυχῆς ἰσορρόπῳ πληγείσης φαντασίᾳ. τοῦτο μὲν δὴ πρῶτον· ἕτερον δ' οὐκ εἰς μακρὰν ἐθαυματουργεῖτο. τὴν χεῖρα τὴν ἑτέραν προσταχθεὶς τοῖς κόλποις ἐπικρύψαντα, μικρὸν ὕστερον προενεγκεῖν· δράσαντος δὲ τὸ κελευσθὲν, ἡ χεὶρ λευκοτέρα χιόνος ἐξαπιναίως ἀναφαίνεται· πάλιν δὲ καθέντος εἰς τοὺς κόλπους, καὶ ἀνενεγκόντος, εἰς τὴν αὐτὴν χρόαν τρέπεται, τὸ οἰκεῖον ἀπολαβοῦσα εἶδος. ταῦτα μὲν οὖν ὑπὸ μόνου μόνος ἐπαιδεύετο, ὡς παρὰ διδασκάλου γνώριμος, ἔχων παρ' ἑαυτῷ τὰ τῶν τεράτων ὄργανα, τήν τε χεῖρα καὶ τὴν βακτηρίαν, οἷς προεφωδιάσθη. τὸ τρίτον δὲ ἐπιφέρεσθαι μὲν οὐκ ἦν, οὐδὲ προδιδάσκεσθαι, ἔμελλε δὲ ἐκπλήττειν οὐκ ἔλαττον, τὴν ἀρχὴν τοῦ γίνεσθαι λαβὸν ἐν Αἰγύπτῳ. ἦν δὲ τοιόνδε· τοῦ ποταμίου, φησὶν, ὕδατος, ὅσον ἂν ἀρυσάμενος ἐπὶ τὴν γῆν ἐκχέῃς,

αἷμα ξανθότατον ἔσται, πρὸς τὴν χρόαν καὶ τὴν δύναμιν, ἐπερρωσθὲν εἰς ἀλλαγὴν παντελῆ. πιστὸν δ᾽ ὡς ἔοικε καὶ τοῦτο ἀνεφαίνετο, οὐ μόνον διὰ τὸν τοῦ λέγοντος ἀψευδῆ, ἀλλὰ καὶ διὰ τὰ ἤδη προεπιδειχθέντα, ἐπί τε τῆς χειρὸς καὶ τῆς βακτηρίας θαυματουργήματα. πιστεύων δ᾽ ὅμως παρῃτεῖτο τὴν χειροτονίαν, ἰσχνόφωνον, καὶ βραδύγλωσσον, οὐκ εὔγλωττον αὐτὸν εἶναι φάσκων· καὶ μάλιστα ἀφ᾽ οὗ λέγοντος ἤκουε θεοῦ. νομίσας γὰρ τὴν ἀνθρωπίνην λογιότητα κατὰ σύγκρισιν τῆς ἀληθείας ἀφωνίαν εἶναι, καὶ ἅμα τὴν φύσιν εὐλαβὴς ὤν, ὑπεστέλλετο, τοῖς ὑπερόγκοις τὰ λίαν μεγάλα κρίνων οὐ καθ᾽ αὐτόν. καὶ παρεκάλει ἕτερον ἑλέσθαι τὸν εὐμαρῶς ἕκαστα τῶν ἐπισταλέντων διαπράξασθαι δυνησόμενον. ὁ δ᾽ ἀποδεξάμενος αὐτὸν τῆς αἰδοῦς, ἆρ᾽ ἀγνοεῖς, εἶπε, τὸν δόντα ἀνθρώπῳ στόμα, καὶ κατασκευάσαντα γλῶτταν, καὶ ἀρτηρίαν, καὶ τὴν ἅπασαν λογικῆς φωνῆς ὀργανοποιΐαν; αὐτὸς εἰμι ἐγώ· μηδὲν οὖν δείσῃς. ἐμοῦ γὰρ ἐπινεύσαντος ἀρθρωθήσεται πάντα, καὶ μεταβαλεῖ πρὸς τὸ βέλτιον, ὡς μηδενὸς ἔτι ἐμποδίζοντος ῥεῖν εὔτροχον καὶ λεῖον ἀπὸ καθαρᾶς πηγῆς τὸ τῶν λογισμῶν νᾶμα· χρεία δ᾽ εἰ γένοιτο ἑρμηνέως, ὑποδιακονικὸν στόμα τὸν ἀδελφὸν ἕξεις, ἵν᾽ ὁ μὲν τῷ πλήθει ἀπαγγέλλῃ τὰ ἀπὸ σοῦ, σὺ δ᾽ ἐκείνῳ τὰ θεῖα. ταῦτ᾽ ἀκούσας, οὐ γὰρ ἦν εἰς ἅπαν ἀσφαλὲς ἀντιλέγειν οὐδ᾽ ἀκίνδυνον, ἄρας ἐβάδιζε μετὰ γυναικὸς καὶ τέκνων ὁδὸν τὴν κατ᾽ Αἴγυπτον, καθ᾽ ἣν ὑπαντήσαντα τὸν ἀδελφὸν πείθει συνακολουθεῖν ὑπειπὼν τὰ θεῖα λόγια. τῷ δ᾽ ἄρα προϋπείργαστο ἡ ψυχὴ κατ᾽ ἐπιφροσύνην θείαν πρὸς πειθαρχίαν, ὡς ἀνενδοιάστως συναινεῖν καὶ ἑτοίμως ἕπεσθαι. παραγενόμενοι δ᾽ εἰς Αἴγυπτον γνώμῃ καὶ ψυχῇ μιᾷ, τὸ μὲν πρῶτον τοὺς δημογέροντας τοῦ ἔθνους συναγαγόντες ἐν ἀπορρήτῳ μηνύουσι τοὺς χρησμούς. καὶ ὡς ἔλεον καὶ οἶκτον λαβὼν αὐτῶν ὁ θεὸς, ἐλευθερίαν, καὶ τὴν ἐνθένδε μετανάστασιν εἰς ἀμείνω χώραν, ὁμολογεῖ, αὐτὸς ἔσεσθαι τῆς ὁδοῦ ἡγεμὼν, ὑπισχνεῖται. μετὰ δὲ ταῦτα καὶ τῷ βασιλεῖ θαρροῦσιν ἤδη διαλέγεσθαι περὶ τοῦ τὸν λεὼν ἱερουργήσοντα ἐκπέμψαι τῶν ὅρων. δεῖν γὰρ ἔφασκον ἐν ἐρήμῳ τὰς πατρίους θυσίας ἐπιτελεσθῆναι, μὴ κατὰ τὰ αὐτὰ ταῖς τῶν ἄλλων ἀνθρώπων γινομέναις, ἀλλ᾽ ἔθει καὶ νόμῳ διαφθείροντι τὴν κοινότητα, διὰ τὰς τῶν ἐθῶν ἐξαιρέτους ἰδιότητας. ὁ δ᾽ ἐξ ἔτι σπαργάνων προγονικῷ τύφῳ τὴν ψυχὴν πεπιεσμένος, καὶ μηδένα τὸ παράπαν νοητὸν θεὸν ἔξω τῶν ὁρατῶν νομίζων,

A eritque sanguis cruentissimus; cum colore mutatis & cæteris viribus. visum est autem hoc quoque credibile, non solum propter certam autoris fidem, verumetiam propter præterita manus virgæque miracula. nihilominus deprecabatur hanc functionem, causatus exilitatem vocis & linguæ tarditatem, negánsque sibi adesse facundiam, præsertim postquam Deum loquentem audierat. ratus enim mutam esse hu-
B manam eloquentiam cum veritate collatam, & verecundo ingenio præditus, subtrahebat se grauiori quàm pro viribus, vt putabat, oneri: rogabátque vt alius eligeretur ad exequenda mandata magis idoneus. Deus pudore delectatus respondit: An nescis quis os homini dederit, & linguam indiderit, quis guttur cæteráque vocis rationalis instrumenta fecerit? ego sum. noli timere. meo nutu articulate disseres om-
C nia, facundia mutata in melius, & vsque proficiente, nec aliter absque impedimento fluente & cogitationes pro mente, quàm fontes manant lympidissimi. quod si opus fuerit interprete, fratrem habebis sermonis ministrum ac vicarium, qui ad populum tua dicta perferat nuncius: tu vero illum Dei mandata docebis. His auditis, quia periculosum erat amplius contradicere, profectus vnà cum vxore ac liberis iter faciebat
D in Ægyptum: inuentóque fratre qui venerat obuiam, adiunxit eum sibi comitem, communicatis oraculis. Is iam ante habebat præparatam diuinitus animam ad obsequium, vt incunctanter assentiret sequeretúrque. Sic ingressi Ægyptum vnanimiter, primum senioribus gentis clam conuocatis indicant oraculum, Dei miseratione instare libertatem & migrationem ad sedes meliores: idque ipsum Deum polliceri, offerréque se
E ducem itineris. post hæc regem ipsum audent appellare, vt populum extra fines regni emittat ad sacrificium. Aiebant enim solitudine opus esse ad peragendos ritus patrios, diuersos ab aliorum ceremonijs, & ideo secessum requirentes, ne vel offendant alios, vel profanentur exterorum oculis parum fauentium spectaculo. At rex ab incunabulis innutritus maiorum suorum fastui, nec credens

vllum Deum præter ista visibilia, contumaciter respondit: Quis est cui me obedire iubetis? non noui istum quem prædicatis nouum Dominum. non dimitto gentem prætextu celebritatis sacrorúmque cupientem iugum excutere. Deinde homo iracundus & inclemens ignominia notat præfectos operum, qui finerent otio lasciuire populum, alioqui non desideraturum festa & sacrificia. Hæc enim non esse intentorum operi necessario, sed suauiter delicatéque viuentium. Ergo cum populus grauius quàm ante premeretur, & Mosi socijs indignaretur vt impostoribus, eis clámque palámque impietatem objiciens ac ementita oracula, tandem propheta aggreditur exerere miracula quæ didicerat, quo spectatoribus incredulitatem eximeret. interfuit & rex cum cohorte purpuratorum. Itaque confluente ad regiam multitudine, frater Mosis baculum, elatum prius vt esset omnibus conspicuus, in terram proijcit, qui mox in draconem mutatur. Tum circulus spectatorum præ metu stuporéque solutus diffugit. Sophistæ vero magique quotquot aderant, quid vos terret, inquiunt. Nec nos sumus rudes talium artium. & nos talia patrare possumus. Deinde cum quisque suam virgam proiecisset, multi dracones circa primum illum voluebantur sinuosis orbibus. ille vero arrecta ceruice immani hiatu non aliter quàm obiectos pisces circumquaque petitos absorbuit: atque ita deglutitis in pristinam virgæ naturam redijt. id tam magnificum spectaculum etiam iniquis animis omnem suspicionem exemit, ne putarent hæc agi humanis vaframentis aut artibus excogitatis ad ludibrium, sed diuina potentia, qua nihil non facile perficitur. Attamen cum ne tam manifesta quidem efficacia posset eis exprimi vt victos se faterentur, sed nihilominus pertinaci audacia resisterent, addicti obstinate inhumanitati impietatique tanquam laudatis virtutibus, nec miserantes oppressos iniquo seruitio, nec diuina

A ἀποκρίνεται πρὸς ὕβριν εἰπών, τίς ἐστιν οὗ χρή με ὑπακούειν; οὐκ οἶδα τὸν λεγόμενον τοῦτον καινὸν κύριον· οὐκ ἐξαποστελῶ τὸ ἔθνος, ἐπὶ προφάσει ἑορτῆς καὶ θυσιῶν ἀφηνιάσαν. εἶθ᾽ ἅτε χαλεπὸς καὶ βαρύμηνις καὶ ἀπαραίτητος τὴν ὀργήν, κελεύει τοὺς τοῖς ἔργοις ἐφεστῶτας προπηλακίζεσθαι, ὡς ἀνέσεις καὶ σχολὴν ἐνδιδόντας, ἀνέσεως καὶ σχολῆς εἶναι λέγων τὸ βούλεσθαι περὶ θυσιῶν καὶ ἑορτῶν. τοὺς γὰρ ἐν ἀνάγκαις, τούτων οὐδὲ μεμνῆσθαι, ἀλλ᾽ οἷς ὁ βίος ἐν εὐπαθείᾳ πολλῇ καὶ τρυφῇ. βαρυτέρας οὖν ἢ
B πρότερον συμφορὰς ὑπομενόντων, καὶ ἐπὶ τοῖς ἀμφὶ Μωσῆν δυσχεραινόντων ὡς ἀπατεῶσι, καὶ τὰ μὲν λάθρα, τὰ δὲ καὶ φανερῶς κακηγορούντων, καὶ ἀσεβείας αἰτιωμένων, ἐπὶ τῷ δοκεῖν θεοῦ καταψεύδεσθαι, δεικνύειν ἄρχεται Μωσῆς, ἃ προὐδιδάχθη τέρατα, νομίσας τοὺς θεασαμένους ἐκ τῆς ἐπιχειρήσεως ἀπιστίας εἰς πίστιν τῶν λεγομένων μεταβαλεῖν. ἡ δὲ τῶν τεράτων ἐπίδειξις ἐγίνετο καὶ τῷ βασιλεῖ διὰ σπουδῆς, καὶ τοῖς ἐν τέλει τῶν αἰγυπτίων. παρόντων οὖν τῶν
C δυνατῶν συρρεόντων εἰς τὰ βασίλεια, λαβὼν τὴν βακτηρίαν ὁ Μωσέως ἀδελφός, καὶ κατασείσας μάλα ἐπιδεικτικῶς, εἰς τοὔδαφος ῥίπτει. καὶ ἡ μὲν δράκων αὐτίκα γίνεται· οἱ δ᾽ ἐν κύκλῳ κατεθεῶντο, καὶ ἅμα θαυμαστικῶς ἔχοντες, ὑπὸ δέους ἐξαναχωροῦντες ἀπέφευγον· σοφισταὶ δ᾽ ὅσοι καὶ μάγοι παρετύγχανον, τί καταπεπλήγεσθε εἶπον; οὐδ᾽ ἡμεῖς τῶν τοιούτων ἀμελετήτως ἔχομεν, ἀλλὰ χρώμεθα τέχνῃ δημιουργῷ τῶν ὁμοίων. εἶθ᾽ ἑκάστου βακτηρίαν
D ἣν εἶχε ῥίψαντος, δρακόντων πλῆθος ἦν, καὶ περὶ ἕνα τὸν πρῶτον εἰλοῦντο· ὁ δ᾽ ἐκ πολλοῦ τοῦ περιόντος διαναστὰς πρὸς ὕψος, τὰ μὲν στέρνα εὐρύνει, τὸ δὲ στόμα διοίξας, ὁλκοῦ πνεύματος ῥύμῃ βιαιοτάτῃ, καθάπερ βόλον ἰχθύων πάντας ἐν κύκλῳ σαγηνεύσας, ἐπισπᾶται· καὶ καταπιὼν εἰς τὴν ἀρχαίαν φύσιν τῆς βακτηρίας μετέβαλεν. ἤδη μὲν οὖν ἐν ἑκάστου τῇ ψυχῇ τῶν ἐθελοκακούντων, τὸ ὕποπτον διήλεγξεν ἡ μεγαλουργηθεῖσα ὄψις,
E ὡς μηκέτι νομίζειν ἀνθρώπων σοφίσματα καὶ τέχνας εἶναι τὰ γινόμενα πεπλασμένας πρὸς ἀπάτην, ἀλλὰ δύναμιν θειοτέραν τὴν τούτων αἰτίαν, ᾗ πάντα δρᾶν εὐμαρές. ἐπειδὴ δὲ ὁμολογεῖν ἀναγκασθέντες ὑπὸ τῆς τῶν γινομένων ἐμφανοῦς ἐνεργείας, οὐδὲν ἧττον ἐθρασύνοντο, τῆς αὐτῆς ἀπανθρωπίας καὶ ἀσεβείας, ὥσπερ ἀγαθοῦ τινὸς ἐπειλημμένοι βεβαιοτάτου, μήτε τοὺς καταδουλωθέντας ἀδίκως ἐλεοῦντες, μήτε τὰ διὰ τῶν λόγων προσταττόμενα δρῶντες,

ἀπὸ δὲ τοῦ θεοῦ τρανοτέραις χρησμῶν ἐπιδείξεσι τοῖς διὰ σημείων καὶ τεράτων τὸ βούλημα δεδηλωκότος, ἐμβριθεστέρας ἐπανατάσεως ἔδει, καὶ πληγαῖς, αἷς οἱ ἄφρονες νουθετοῦνται, οὓς λόγος οὐκ ἐπαίδευσε. δέκα δὴ ἐπάγονται τῇ χώρᾳ ζημίαι, κατὰ τῶν τέλεια ἡμαρτηκότων τέλειος ἀριθμὸς κολάσεως· ἡ δὲ κόλασις παρηλλαγμένη τὰς ἐν ἔθει. τὰ γὰρ στοιχεῖα τοῦ παντός, γῆ, καὶ ὕδωρ, καὶ ἀήρ, καὶ πῦρ ἐπιτίθεται δικαιώσαντος θεοῦ, ἐξ ὧν ἀπετελέσθη ὁ κόσμος, τὴν ἀσεβῶν χώραν φθαρῆναι, πρὸς ἔνδειξιν κράτους ἀρχῆς ἣν κέκτηται, τὰ αὐτὰ καὶ σωτηρίας ἐπὶ γενέσει τῶν ὅλων σχηματίζοντες, καὶ τρέποντες ὁπότε βουληθείη, πρὸς τὴν κατὰ τῶν ἀσεβῶν ἀπώλειαν. διανέμει δὲ τὰς κολάσεις, τρεῖς μὲν, τὰς ἐκ τῶν παχυμερεστέρων, στοιχείων, γῆς καὶ ὕδατος, ἐξ ὧν ἀπετελέσθησαν αἱ σωματικαὶ ποιότητες, ἐφεὶς τῷ Μωσέως ἀδελφῷ· τὰς δ' ἴσας ἐξ ἀέρος καὶ πυρὸς τῶν ψυχογονιμωτάτων, μόνῳ Μωσεῖ· μίαν δὲ κοινὴν ἀμφοτέροις ἑβδόμην ἐπιτρέπει· τρεῖς δὲ τὰς ἄλλας εἰς συμπλήρωσιν δεκάδος ἀνατίθησιν αὑτῷ. καὶ πρώτας ἐπιφέρει ἄρχεσθαι τὰς ἐξ ὕδατος. ἐπειδὴ γὰρ τὸ ὕδωρ Αἰγύπτιοι διαφερόντως ἐκτετιμήκασιν, ἀρχὴν τῆς τῶν ὅλων γενέσεως τοῦτο εἶναι νομίζοντες, αὐτὸ πρῶτον ἠξίωσε καλέσαι πρὸς τὴν τῶν ἀποδεχομένων ἐπίπληξίν τε καὶ νουθεσίαν. τί οὖν συνέβη; τοῦ Μωσέως ἀδελφοῦ προστάξει θείᾳ κατενεγκόντος τὴν βακτηρίαν ἐπὶ τὸν ποταμόν, ὁ μὲν εὐθὺς ἀπὸ Αἰθιοπίας ἄχρι θαλάσσης εἰς αἷμα τρέπεται· συνεξαιματοῦνται δ' αὐτῷ λίμναι, διώρυχες, κρῆναι, φρέατα, πηγαί, σύμπασα ἡ κατ' Αἴγυπτον οὐσία ὕδατος, ὡς ἀπορίᾳ ποτοῦ τὰς παρὰ τὰς ὄχθας ἀνασκάπτειν, τὰς δ' ἀνατεμνομένας φλέβας, καθάπερ ἐν ταῖς αἱμορραγίαις, κρουνηδὸν αὐλοὺς ἀκοντίζειν αἵματος, μηδεμιᾶς ὁρωμένης διαυγοῦς λιβάδος. ἀπέθνησκε δὲ καὶ τὰ γένη τῶν ἰχθύων ἅπαντα, ἅτε τῆς ζωτικῆς δυνάμεως εἰς φθοροποιὸν μεταβαλούσης, ὡς δυσωδίας πάντα διὰ πάντων ἀναπεπλῆσθαι, τοσούτων σηπομένων ἀθρόον σωμάτων. πολὺς δὲ καὶ ἀνθρώπων ὄχλος ὑπὸ δίψους διαφθαρεὶς, ἔκειτο σωρηδὸν ἐπὶ τῶν τριόδων, οὐ σθενόντων ἐπὶ τὰ μνήματα τῶν οἰκείων τοὺς τετελευτηκότας ἐκκομίζειν. ἐπὶ γὰρ ἡμέρας ἑπτὰ τὸ δεινὸν ἐκράτησεν, ἕως οἱ μὲν Αἰγύπτιοι τοὺς ἀμφὶ Μωυσῆν, οὗτοι δὲ τὸν θεὸν ἱκέτευσαν, οἶκτον λαβεῖν τῶν ἀπολλυμένων. ὁ δὲ τὴν φύσιν ἵλεως, μεταβάλλει τὸ αἷμα εἰς ὕδωρ πότιμον,

A mandata exſequi inducentes in animum, tum manifeſtis oraculis declarata, tum oſtentis ſubſecutis atque prodigijs: opus fuit grauiore cenſura, vt afflictionibus agminatim ingruentibus caſtigarentur ſtolidi, qui dedignabantur erudiri bonis rationibus. Decem pœnæ regioni inflictæ ſunt, vt qui in peccando nihil ſibi reliquum fecerant ad ſummam maliciam, punirentur modis omnibus, ferirentúrque per-
B fecto pœnarum numero. ne genera quidem pœnæ fuerunt vulgaria. Nam elementa mundi, terra, aqua, aer, ignis, conſpirarunt in impios Deo vindice, ad declarandam eius potentiam, ea quibus ad creationem ſalutémque rerum vſus eſt, vertentis quando libet in impiorum perniciem. Hæ pœnæ trifariam diſtributæ ſunt: tres pertinentes ad craſſiora elementa, terram & aquam, ex quibus conſtant corpora cum ſuis
C qualitatibus, fratri Moſis commiſſæ: totidem ſoli Moſi, quas inflixit per ignem & aerem, vnde animarum origo præcipua: vna vtrique communis, ordine ſeptima. tres reliquæ ad complendum denarium Deo ſeruatæ ſunt. ab aqua fuit initium. hanc quoniam honorant Ægyptij præ cæteris, tanquam rerum omnium principium primam adhibuit Deus ad terrendos caſtigandóſque noxios. Quid igitur mox
D accidit? Moſis fratre iuſſu Dei percutiente virga fluuium, in ſanguinem vertitur quàm longus eſt ad mare vſque ab Æthiopia. idem in ſtagnis, foſſis, puteis, fontibus, & omnibus Ægypti aquis euenit, vt deficiente aqua potabili ripas nemo peteret, & nouas venas aperientibus pro limpido liquore ſanguis emicaret tanquam è vulnere. piſcium quoque genera extincta ſunt cuncta, vitali facultate verſa in peſtiferam, vt fœtore complerentur omnia, putreſcentibus
E ſimul tot corporibus. hominum quoque ſiti enectorum magnus numerus aceruatim iacebat in triuijs, non ſufficientibus domeſticis ad ſepulturæ officia. nam per ſeptem dies hoc malum durauit, donec Ægyptijs ſuppliciter Moſem inuocantibus, & illo deprecante, Deus miſertus eſt pereuntium. is cum ſit exorabilis, mutauit ſanguinem in aquam dulcem,

A redditis amni fluentis salubribus, qualia prius fuerant. sed non multo post remissam mulctam scelerati ad eandem crudelitatem redierunt, quasi omnino è terris migrasset iustitia, aut quasi elapsi ex vna pœna non possent aliam incurrere. itaque more puerorum per ætatem nondum sapientium suo malo didicerunt non contemnere. nam vindicta secuta è vestigio, vt illis cessantibus tardauerat, ita ad iniquitatem properantes præuertit. **B** rursus enim Mosis frater iussus ad fossas & stagna paludésque virgam porrexit. vix manum extenderat, cum ranarum tanta vis prorepsit, vt non tantum fora compleret ac loca subdiualia, verum etiam domos villásque, & cuncta ædificia, tam sacra quàm profana, tam priuata quàm publica, haud secus ac si hoc genus aquatilium missum esset in diuersi elementi coloniam, natura mutante rerum vicissitudines. **C** Nam terra est aquæ contraria. Itaque cum nec foras progredi possent homines vijs oppletis, nec intus manere, refertis etiam intimis penetralibus, & ad summas quoque contignationes ranis obrepentibus, ad extremam desperationem redacti, rursum ad eosdem, vt ante confugiunt, rege pollicitante permissurum se Hebræos abire impune ac libere. Sic exorato Deo populi sui precibus, ranæ partim receperunt se in fluuium, **D** partim mortuæ cumulabantur in triuijs, etiam è domibus eodem congestæ propter intolerabilem graueolentiam exhalantem è cadaueribus bestiolarum, quæ viuæ quoque molestæ sunt sensibus. Postquam autem ab hac pœna respirarunt modicum, sicut athletæ collectis viribus, quo vehementius vrgerent, ad consuetam reuersi maliciam, obliti sunt eorum quæ pertulerant. At Deus aquis cessare ius**E**sis, terrestrem pœnam induxit eodem vsus castigatore: qui vbi terram virga percussit, tot scnipes ex ea profusi sunt, vt velut extensa nubes totam obtineret Ægyptum. id animal est molestissimum, quamuis minutum admodum. Nam non solam superficiem cutis lædit prurito noxio, verumetiam interiora per aures narésque penetrat. inuolat & in oculos, nisi quis caueat.

ἀποδοὺς τῷ ποταμῷ καθαρὰ τὰ ἀρχαῖα ῥεῖθρα καὶ σωτήρια. μικρὸν δ' ὅσον ἀνεθέντες, ἐπὶ τὴν αὐτὴν ὠμότητα, καὶ παρανομίαν ἵεντο, ὡς ἢ τῆς δίκης παντάπασιν ἐξ ἀνθρώπων ἀφανισθείσης, ἢ τὴν ὑπομεινάντων μίαν τιμωρίαν, ἑτέραν οὐκ εἰωθότων ἐπιπλήττεσθαι· παθόντες δ' ἀνεδιδάσκοντο νηπίων παίδων τρόπον, μὴ καταφρονεῖν· ἡ γὰρ κόλασις ἐπομένη κατ' ἴχνος, μελλόντων μὲν ἐβράδυνε, πρὸς δὲ τὰ ἀδικήματα θέοντας ἐπιδραμοῦσα κατελάμβανε. πάλιν γὰρ ὁ Μωσέως ἀδελφὸς κελευσθεὶς, διώρυξι καὶ λίμναις καὶ ἕλεσι τὴν ῥάβδον ἐκτείνας ἐπιφέρει· πρὸς δὲ τὴν ἔκτασιν, βατράχων πλῆθος ἀνέρπει τοσοῦτον, ὡς μὴ μόνον ἀγορὰς καὶ πᾶσαν τὴν ὑπαίθριον, ἀλλὰ πρὸς τούτοις ἐπαύλεις, οἰκίας, ἱερὰ, πάντα, ἰδιωτικὸν καὶ δημόσιον τόπον πεπληρῶσθαι, καθάπερ εἰς ἀποικίαν ἓν γένος τῶν ἐνύδρων τῆς φύσεως ἐκπέμψαι διανοηθείσης πρὸς τὴν τῶν ἐναντίων χώραν. ἐναντία γὰρ χέρσος ὕδατι. μήτ' οὖν ἔξω προελθεῖν ἕνεκα τοῦ προκατέχεσθαι τοὺς στενωπούς, μήτε ἔνδον δυνάμενοι μένειν. καὶ γὰρ τὰ ἐν μυχοῖς ἤδη προκατειλήφεσαν, ἄχρι καὶ τῶν ὑψηλοτάτων ἀνέρποντες· ἐν ἐσχάταις ἦσαν συμφοραῖς καὶ σωτηρίας ἀπεγνώκεσαν. πάλιν οὖν καταφεύγουσιν ἐπὶ τοὺς αὐτούς, ὑπισχνουμένου τοῦ βασιλέως ἐπιτρέψαι τὴν ἔξοδον Ἑβραίοις· οἱ δὲ λιταῖς τὸν θεὸν ἐξευμενίζονται· καὶ ἐπινεύσαντος [illegible] φρύνων οἱ μὲν εἰς τὸν ποταμὸν ἀναχωροῦσι, τῶν δ' ἄλλων διαφθαρέντων κατὰ τὰς τριόδους θημῶνες ἦσαν, σωρηδὸν ἐπιφερόντων καὶ τοὺς οἴκοθεν, διὰ τὰς ἀνυποίστους ὀσμάς, αἳ ἐκ νεκρῶν σωμάτων καὶ τοιούτων ἀνεφέροντο, ἃ καὶ ἔμψυχα ὄντα, πολλὴν ἀηδίαν παρέχεται ταῖς αἰσθήσεσι. διαπνεύσαντες δὲ τῆς τιμωρίας ἐπ' ὀλίγον, ὥσπερ ἐν τοῖς ἀγῶσιν ἀθληταὶ συλλεξάμενοι δύναμιν, ἵν' ἀπ' ἐρρωμενεστέρας ἰσχύος ἀδικῶσι, πάλιν εἰς τὴν συνήθη κακίαν ἀνέδραμον, ἐκλαθόμενοι ὧν τέως ὑπέμειναν κακῶν. ἐπισχὼν δὲ τὰς ἐκ τοῦ ὕδατος τιμωρίας ὁ θεὸς, τὰς ἐκ γῆς ἐπέφερε, τὸν αὐτὸν ἐπιστήσας κολαστήν, οὗ πάλιν κατὰ τὸ προσταχθὲν τῇ βακτηρίᾳ τοὔδαφος παίσαντος, φορὰ σκνιπῶν ἐχύθη, καὶ ταθεῖσα καθάπερ νέφος, ἅπασαν ἐπέσχεν Αἴγυπτον· τὸ δὲ ζῷον εἰ καὶ βραχύτατον, ὅμως ἀργαλεώτατον. οὐ γὰρ μόνον τὴν ἐπιφάνειαν λυμαίνεται κνησμοὺς ἐμποιοῦν ἀηδεῖς καὶ βλαβερωτάτους, ἀλλὰ καὶ εἰς τὰ ἐντὸς βιάζεται διὰ μυκτήρων καὶ ὤτων. σίνεται δὲ καὶ κόρας ὀφθαλμῶν εἰσπετόμενον, εἰ μὴ φυλάξαιτό τις· φυλακὴ δὲ τίς ἔμελλε πρὸς

τοσαύτην ἔσεσθαι φορὰν, καὶ μάλιστα θεοῦ κολάζοντος. ἴσως ἄν τις ἐπιζητήσειε, διὰ τί τοῖς οὕτως ἀφανέσι καὶ ἠμελημένοις ζώοις ἐτιμωρεῖτο τὴν χώραν, παρεὶς ἄρκτους καὶ λέοντας καὶ παρδάλεις, καὶ τὰ ἄλλα γένη τῶν ἀτιθάσων θηρίων, ἃ σαρκῶν ἀνθρωπείων ἅπτεται· καὶ εἰ μὴ ταῦτα, τάς γοῦν αἰγυπτίας ἀσπίδας, ὧν τὰ δήγματα πέφυκεν ἀνυπερθέτως ἀναιρεῖν. εἰ δ' ὄντως ἀγνοεῖ, μαθέτω, πρῶτον μὲν, ὅτι τοὺς οἰκήτορας ὁ θεὸς νουθετῆσαι μᾶλλον ἐβούλετο, ἢ διαφθεῖραι. βουληθεὶς γὰρ ἀφανίζειν εἰσάπαν, οὐκ ἂν ζώοις ἐχρῆτο πρὸς τὰς ἐπιθέσεις ὥσπερ συνεργοῖς, ἀλλὰ τοῖς θεηλάτοις κακοῖς, λιμῷ τε καὶ λοιμῷ· μετὰ δὲ ταῦτα κἀκεῖνο προσεκδιδασκέσθω μάθημα πρὸς ἅπαντα τὸν βίον ἀναγκαῖον. τί δὲ τοῦτ' ἐστίν· ἄνθρωποι μὲν γὰρ ὅταν πολεμῶσι, τὸ δυνατώτατον εἰς συμμαχίαν ἐπικουρικὸν ἐξετάζουσιν, ὃ τὴν αὐτῶν ἀσθένειαν ἐκπληρώσει· θεὸς δ' ἡ ἀνωτάτω καὶ μεγίστη δύναμις, ᾧ οὐδενὸς χρεῖος, ἐάν που βουληθῇ καθάπερ ὀργάνοις τισὶ χρήσασθαι πρὸς τὰς τιμωρίας, οὐ τὰ ἐρρωμενέστατα καὶ μέγιστα αἱρεῖται, τῆς τούτων ἀλκῆς ἥκιστα φροντίζων, ἀλλὰ τοῖς εὐτελέσι καὶ μικροῖς, ἀμάχους καὶ ἀηττήτους δυνάμεις ἐγκατασκευάσας, ἀμύνεται δι' αὐτῶν τοὺς ἀδικοῦντας, καθὰ καὶ νῦν. τί γὰρ εὐτελέστερον σκνιπός· ἀλλ' ὅμως τοσοῦτον ἴσχυσεν, ὡς ἀπαγορεῦσαι πᾶσαν Αἴγυπτον, καὶ ἐκβοᾶν ἀναγκασθῆναι, ὅτι δάκτυλος θεοῦ τοῦτ' ἐστί. χεῖρα γὰρ θεοῦ μηδὲ τὴν σύμπασαν οἰκουμένην ὑποστῆναι ἄν, ἀπὸ περάτων ἐπὶ πέρατα, μᾶλλον δ' οὐδὲ τὸν σύμπαντα κόσμον. τοιαῦται μὲν αἱ διὰ τοῦ Μωσέως ἀδελφοῦ τιμωρίαι· ἃς δὲ αὐτὸς Μωϋσῆς ὑπηρέτησε, καὶ ἐξ οἵων τῆς φύσεως συνέστησαν μερῶν, κατὰ τὸ ἀκόλουθον ἐπισκεπτέον. ἀὴρ μὲν οὖν καὶ οὐρανὸς αἱ καθαρώτεραι μοῖραι τῆς τῶν ὅλων οὐσίας, παρ' ὕδατος καὶ γῆς διαδέχονται τὴν ἐπ' Αἰγύπτῳ κόλασιν, ἧς ἐπίτροπος ἐχειροτονήθη Μωϋσῆς. ἤρξατο δὲ πρότερον τὸν ἀέρα διακινεῖν. Αἴγυπτος γὰρ μόνη σχεδόν τι παρὰ τὰς ἐν τῷ νοτίῳ κλίματι χώρας, τῶν ἐτησίων ὡρῶν μίαν τὴν χειμερινὴν οὐ παραδέχεται, τάχα μὲν ὡς λόγος διὰ τὸ μὴ πόρρω ζώνης διακεκαυμένης εἶναι, ῥέοντος τοῦ πυρώδους ἐκεῖθεν ἀφανῶς, καὶ τὰ ἐν κύκλῳ πάντα ἀλεαίνοντος· τάχα δὲ ἐπεὶ καὶ ταῖς θεριναῖς τροπαῖς πλημμυρῶν ὁ ποταμὸς, προαναλίσκει τὰς νεφώσεις. ἄρχεται μὲν γὰρ ἐπιβαίνειν θέρους ἐνισταμένου, λήγει δὲ λήγοντος, ἐν ᾧ χρόνῳ καὶ οἱ ἐτησίαι καταρραπίζουσιν ἐξ ἐναντίας τοῦ Νείλου

A sed qui caueri poterant tot dira examina? Quæret fortasse aliquis, cur Deus tam vilibus animalibus ad vindictam vti maluerit, quàm vrsis, pardis, leonibus, cæterisque feris carniuoris: aut si hæ non placebant, saltem familiaribus Ægypto aspidibus, quarum morsus sine mora enecat. Is si nescit, discat, Deum voluisse incolas castigare non tollere. B Nam si eos omnino delere voluisset, non opus erat animalium opera, sed diuinitus immissa fame ac pestilentia. Præterea discat & illud in omni vita profuturum. Quid nam? Homines quando bella gerunt, auxilia sibi asciscere potentissima, quibus suam infirmitatem suppleant. Deum vero omnipotentem, & nullius egentem opera, si quando vult tanquam instrumentis quibusdam C vti ad exigenda supplicia, non valida eligere, quorum robur curat minime, sed vilia paruáque instruere inuictis viribus, atque ita noxios plectere, quod nunc quoque accidit. Quid enim scnipe vilius? tamen tantum effecit, vt tota Ægyptus deficiens exclamare cogeretur, hunc esse Dei digitum. manum enim ne à tota quidem terra quanta est sustineri posse, imò nec à mundo vniuerso. D Hæc sunt inflicta per fratris ministerium. Nunc videamus quas pœnas ipse Moses sumpserit, & ex quibus naturæ partibus. Aer ac cælum mundi portiones purissimæ, aquis & terræ successerunt in Ægyptiorum castigatione, cuius administrator Moses electus fuit. Aer prior turbari cœpit. Nam Ægyptus penè sola inter regiones in meridiano tractu sitas, vnam ex quatuor anni temporibus ignorat hiemem: vel E quia (vt fertur) non longe abest à zona torrida, cuius occulto afflatu calescunt finitima: vel quia circa æstiuum solstitium inundans fluuius nubes absumit. Incipit enim crescere æstatis initio, & sub eius finem definit: quo tempore etesiæ quoque impingunt ex aduerso in Nili hostia, impeditúrque aquarum exitus, mari tumescente per ventorum violentiam,

& fluctibus, quasi pro muro se opponentibus, ita vt amnis fluenta retro agantur. Ita fit vt aquis sibi inuicem occurrentibus, tum his quæ superne à fonte descendunt, tum his quæ repelluntur ab hostijs, & dilatari nequeuntibus propter ripas eminentiores exaggeratásque, tandem necessariò superesfundatur. Est & alia causa cur hiems Ægypto sit superuacanea. Nam quod imbres alibi, hic restagnationes fluminis efficiunt, arua fœcundantes ad prouentus frugum annuos. Natura autem non solet ita in vanum operari, vt pluuias terræ non indigenti largiatur, simúlque gaudet varietate sui artificij, concentum è contrarijs qualitatibus temperans. & ideo alijs superne è cælo, alijs inferne è fontibus ac fluuijs præbet aquarum commoda. In hoc statu regionis vernantis alienis mensibus, quæ circa brumam irroratur paruis rarísque pluuijs duntaxat in locis maritimis, supra Memphim autem regiam nullas omnino sentit, repente aer nouam sumpsit faciem, vt hybernis regionibus consuetæ tempestates simul ingruerent, imbres, grandines, procellæ atque turbines, collisiones nubium, continua fulgura & tonitrua prodigiosa specie. Grando enim intermixta nec ipsa liquescebat, nec extinguebat fulmina, sed vtraque vno eodémque deferebantur impetu. Nec solum inclementia cæli contristabat incolas, verum etiam rei nouitas. Credebant enim, nec falso, ab irato Deo mutari omnia, tempestatibus insolitis arbusta segetésque vastantibus, pereuntibus simul non paucis animalibus, partim frigore absumptis, partim elisis grandine ruente more lapidum, nonnullis etiam ictis fulmine, ex quibus si quæ supererant, ambusta circumferebant vulnera ad terrorem videntium. Post finem autem huius cladis rege cum suis reuerso ad contumaciam, Moses iubente Deo virgam extendit in aerem. Móxque auster incubuit violentissimus, per totam diem noctémque inualescens, malum vel per se valde noxium. Est enim ari-

A στομάτων, δι' ὧν ἔπι κωλυόμενος ἐκχεῖσθαι, τῆς θαλάσσης ὑπὸ βίας τῶν ἀνέμων πρὸς ὕψος αἰρομένης, καὶ τὰς τρικυμίας ὥσπερ μακρὸν τεῖχος ἀποτεινούσης, ἐντὸς εἴλεται· κἄπειτα τῶν ῥείθρων ὑπαντιαζόντων, τοῦ τε κατιόντος ἄνωθεν ἀπὸ τῶν πηγῶν, καὶ τοῦ θύραζε χωρεῖν ὀφείλοντος ταῖς ἀνακοπαῖς ἀνατρέχοντος, εὐρύνεσθαί τε μὴ δυναμένων· αἱ γὰρ παρ' ἑκάτερα ἐκθλίβουσιν ὄχθαι· μετεωριζόμενος ὡς εἰκὸς ἐπιβαίνει. τάχα δ' ἐπεὶ καὶ περιττὸν ἦν ἐν Αἰγύπτῳ χειμῶνα γενέσθαι. πρὸς ὃ γὰρ

B αἱ τῶν ὄμβρων φοραὶ χρήσιμοι, καὶ ὁ ποταμὸς λιμνάζων τὰς ἀρούρας, εἰς καρπῶν ἐτησίων γένεσιν. ἡ δὲ φύσις οὐ ματαιουργὸς, ὡς ὑετὸν χορηγεῖν μὴ δεομένῃ γῇ, καὶ ἅμα χαίρει τῷ πολυτρόπῳ καὶ πολυειδεῖ τῶν ἐπιστημονικῶν ἔργων, τὴν συμφωνίαν τοῦ παντὸς ἐξ ἐναντιοτήτων ἐναρμοσαμένη· καὶ διὰ τοῦτο τοῖς μὲν ἄνωθεν ἐξ οὐρανοῦ, τοῖς δὲ κάτωθεν ἐκ πηγῶν τε καὶ ποταμῶν παρέχει τὴν ἐξ ὕδατος ὠφέλειαν. οὕτως οὖν τῆς χώρας διαχειμαζούσης, καὶ ταῖς

C χειμεριναῖς ἐαριζούσης τροπαῖς, καὶ τῶν μὲν πρὸς θαλάττῃ μόναις ψακάσιν ἀραιαῖς λιπαινομένων, τῶν δ' ὑπὲρ Μέμφιν τὸ βασίλειον Αἰγύπτου, μηδὲ νιφομένων τοπαράπαν, ἐξαίφνης οὕτως ἐνεωτέρισεν ὁ ἀήρ, ὥσθ' ὅσα ἐν τοῖς δυσχειμέροις ἀθρόα κατασκῆψαι, φορὰς ὑετῶν, χάλαζαν πολλὴν καὶ βαθεῖαν, ἀνέμων συμπιπτόντων, καὶ ἀντιπαταγούντων βίας, νεφῶν ῥήξεις, ἐπαλλήλους ἀστραπὰς καὶ βροντὰς, συνεχεῖς κεραυνοὺς, οἳ τερατωδεστάτην ὄψιν παρεῖχοντο. θέοντες γὰρ διὰ τῆς χαλάζης, μα-

D χομένης οὐσίας, οὔτε ἔτηκον αὐτὴν, οὔτε ἐσβέννυντο, ἀθύροντες δ' ἐν ὁμοίῳ τε δολιχεύοντες ἄνω καὶ κάτω, διετήρουν τὴν χάλαζαν. ἀλλ' οὐ μόνον ἡ ἐξαίσιος φορὰ πάντων τοὺς οἰκήτορας εἰς ὑπερβαλλούσας δυσθυμίας ἦγεν, ἀλλὰ καὶ τὸ τοῦ πράγματος ἀηθές. ὑπέλαβον γὰρ, ὅπερ καὶ ἦν, ἐκ μηνιμάτων θείων κεκαινουργῆσθαι τὰ σύμπαντα, νεωτερίσαντος ὡς οὔπω πρότερον τοῦ ἀέρος ἐπὶ λύμῃ καὶ φθορᾷ δένδρων τε καὶ καρπῶν, οἷς συνεφθάρη ζῷα οὐκ ὀλίγα, τὰ μὲν περιψύξεσι, τὰ δὲ βάρει τῆς ἐπι-

E πιπτούσης χαλάζης, ὥσπερ καταλευσθέντα, τὰ δ' ὑπὸ τοῦ πυρὸς ἐξαναλωθέντα· ἔνια δ' ἡμίφλεκτα διέμενε, τοὺς τύπους τῶν κεραυνίων τραυμάτων εἰς νουθεσίαν τῶν ὁρώντων ἐπιφερόμενα. λωφήσαντος δὲ τοῦ κακοῦ, καὶ πάλιν τοῦ βασιλέως, καὶ τῶν περὶ αὐτὸν θρασυνομένων, εἰς τὸν ἀέρα Μωϋσῆς τὴν ῥάβδον ἐκτείνει, κελεύσαντος τοῦ θεοῦ· κἄπειτ' ἄνεμος καταρράττει νότος βιαιότατος, ὅλην τὴν ἡμέραν καὶ νύκτωρ προσεπιτεινόμενος καὶ

σφοδρουμένους, αὐτὸς καθ' αὑτὸν ὢν μεγάλη ζημία. ζηρός τε γάρ ἐστι, καὶ κεφαλαλγής, καὶ βαρυήκοος, ἄσης τε καὶ ἀδημονίας ἐμποιεῖν ἱκανός, καὶ μάλιστ' ἐν Αἰγύπτῳ κειμένῃ κατὰ τὰ νότια, δι' ὧν αἱ περιπολήσεις τῶν φωσφόρων ἀστέρων, ὡς ἅμα τῷ διακινηθῆναι, τὸν ἀφ' ἡλίου φλογμὸν συνεπισπᾶσθαι, καὶ πάντα καίειν. ἀλλὰ γὰρ ἅμ' αὐτῷ καὶ πλῆθος ἀμήχανον ζῴων ἐπεφέρετο, φθοροποιὸν φυτῶν, ἀκρίδες, αἳ ῥεύματος τρόπον ἀπαύστως διέφαγον ὅσα οἱ χειμῶνες ὑπελίποντο, καὶ ἡ χάλαζα, ὡς μηδὲν ἐν τῇ τοσαύτῃ χώρᾳ βλαστάνον ἔτι θεωρεῖσθαι. τότε μόλις εἰς ἀκριβεστέραν ἔννοιαν τῶν οἰκείων ἐλθόντες οἱ ἐν τέλει κακῶν, προσελθόντες ἔλεγον τῷ βασιλεῖ, μέχρι τίνος οὐκ ἐπιτρέπεις τὴν ἔξοδον τοῖς ἀνδράσιν; ἢ οὔπω μεμάθηκας ἐκ τῶν γινομένων ὅτι ἀπόλωλεν Αἴγυπτος. ὁ δὲ ὅσα τῷ δοκεῖν ἐφιεὶς, ὡμολόγει. χαλάσαντος δὲ τοῦ δεινοῦ, πάλιν ἐξαιτησαμένου Μωϋσέως, ὑπολαβὼν ἐκ τῆς θαλάττης ἄνεμος ἀποσκεδάννυσι τὰς ἀκρίδας. ἀνασκεδασθεισῶν δὲ, καὶ τοῦ βασιλέως περὶ τὴν τοῦ ἔθνους ἄφεσιν δυσθανατοῦντος, ἐπιγίνεται τῶν προτέρων κακῶν μεῖζον. λαμπρᾶς γὰρ ἡμέρας οὔσης, ἐξαπιναίως ἀναχεῖται σκότος, ἴσως μὲν καὶ ἡλίου γινομένης ἐκλείψεως τῶν ἐν ἔθει τελεωτέρας· ἴσως δὲ καὶ συνεχείαις νεφῶν καὶ πυκνότησιν ἀδιαστάτοις, καὶ πιλήσει βιαιοτάτῃ τῆς τῶν ἀκτίνων φορᾶς ἀνακοπείσης, ὡς ἀδιαφορεῖν ἡμέραν νυκτός· καὶ τί γὰρ, ἀλλ' ἢ μίαν νύκτα νομίζεσθαι μακροτάτην, τρισὶν ἡμέραις ἴσην καὶ ταῖς ἰσαρίθμοις νυξί. τότε φασὶ τοὺς μὲν ἐρριμμένους ἐν ταῖς εὐναῖς, μὴ τολμᾶν ἐξανίστασθαι, τοὺς δὲ ὁπότε κατεπείγοι τι τῶν τῆς φύσεως ἀναγκαίων, ἐπαφωμένους τοίχων ἤ τινος ἑτέρου καθάπερ τυφλοὺς, μόλις προέρχεσθαι. καὶ γὰρ τοῦ χρειώδους πυρὸς τὸ φέγγος, τὸ μὲν ὑπὸ τῆς κατεχούσης ζάλης ἐσβέννυτο, τὸ δὲ τῷ βάθει τοῦ σκότους ἀμαυρούμενον ἠφανίζετο, ὡς τὴν ἀναγκαιοτάτην ὄψιν τῶν αἰσθήσεων ὑγιαίνουσαν, πηρὸν εἶναι, μηδὲν ὁρᾶν δυναμένην· πεπηρῶσθαι δὲ καὶ τὰς ἄλλας οἷα ὑπηκόους, πεσούσης τῆς ἡγεμονίδος. οὔτε γὰρ λέγειν τις, οὔτ' ἀκούειν, οὔτε προσενέγκασθαι τροφὰς ὑπέμενεν, ἀλλ' ἡσυχίᾳ καὶ λιμῷ παρέτεινον αὐτοὺς, οὐδεμίαν τῶν αἰσθήσεων σχολάζοντες, ἀλλ' ὑπὸ τοῦ πάθους ὅλοι συνηρπασμένοι, μέχρι πάλιν Μωϋσῆς λαβὼν οἶκτον, ἱκετεύει τὸν θεόν· ὁ δὲ φῶς ἀντὶ σκότους, καὶ ἡμέραν ἀντὶ νυκτὸς ἐργάζεται σὺν αἰθρίᾳ πολλῇ. τοιαύτας φασὶ γενέσθαι καὶ τὰς διὰ μόνου Μωϋσέως

A dus inuehens dolorem capitis & grauedinem, languorisque tedium, præsertim in Ægypto regione ad austrum opposita, & exposita solibus, vt quamprimum is ventus mouetur æstu exurat omnia. Tunc vero intulit etiam locustarum agmina in stirpium perniciem, quæ indesinenter affluentes absumpserunt quicquid post tempestates superfuerat, vt
B in amplissima regione nihil relinqueretur viride. ad has extremas calamitates redacti vix resipuerunt regi occlamantes: Quousque non permittis his viris exitum? an nondum sentis Ægyptum perditam? ille, vt tum videbatur, assensit: relaxatáque clade ad Mosis deprecationem ventus à mari exortus locustas dispulit. Verùm hoc quoque malo defunctis, quia rex manebat vt
C ante difficilis, superuenit calamitas maior quàm vlla hactenus. Sereno enim die repente offusæ sunt tenebræ, siue ob defectum solis maiorem solito, siue continuis densisque nubibus cælum subtexentibus, & nimia constipatione interclusis radijs, vt dies nihil differret à nocturna caligine: qua per triduum continuata, videbatur vna perpetua nox longissima. tunc aiunt eos aut
D non ausos è cubili surgere: aut si necessitates naturales vrgerent, more cæcorum palpando parietes, & si quid erat præ manibus, ægre potuisse progredi. Nam ignis quo vtimur quotidie, vel aere turbato extinguebatur, vel vincebatur à crassissimis tenebris, ita vt saluis oculis summe necessarium videndi sensum ceu exoculati requirerent: quo adempto cæterorum nullus vsus erat. Nam
E nec loqui, nec audire, nec cibis frui licebat, sed per silentium fame cruciabantur, nulli vacantes sensui, præsenti malo prægrauante, donec Moses miseratione motus Deum exorauit. Tum demum successit lux tenebris, & nocti dies serenissima. His plagis percussos ferunt à Mose, mixta fulminibus grandine, & locustis, & tenebris lumen nullum admittentibus. Vnam

de communi sententia fratres ambo inflixerunt in hunc modum. Deo iubente cinerem è fornace hauserunt manibus, quem solus Moses iactauit in aerem. Moxque puluis excitatus, & longe lateque dispersus, hominibus brutisque dira per totam cutem inussit vlcera, carnibus simul intumescentibus & fœdis pustulis scatentibus, ac si succensæ clam efferuescerent. Quo cruciatu, sicut par erat in exulceratione ac inflammatione, oppressi, non minus animo laborabant quàm corpore, misere vexati doloribus. Videbatur enim vnum vlcus à vertice vsque ad imos pedes, his quæ membratim sparsa erant, continua serpigine in vnum coeuntibus: donec rursum legislatore supplicante pro affectis morbus leuatus est. Cæterum hæc castigatio commissa est ambobus: propter puluerem fratri, penes quem erat cura pœnarum è terra prouenientium, Mosi propter aerem mutatum ad affligendos incolas. nam hic erat minister calamitatum ex aere cæloque nascentium. Supersunt tria genera inflicta ab ipso deo, sine vllo humano ministerio, quæ singula indicabo quantum potero, primum per animal omnium audacissimum cynomyam, cui veram appellationem imposuerunt periti nominum, vt erant sapientissimi, compositam è duobus impudentissimis animantibus, musca & cane, altera vincente omnes volucres temeritate, altero omnes terrestres quadrupedes. Accurrunt enim intrepide, & si quis arceat, non cedunt peruicacia, donec satientur carnibus & sanguine. At cynomia particeps amborum audaciæ mordax & insidiosum est animal. Nam è longinquo cum stridore in teli morem magno impetu aduolat, infixáque cuti hæret pertinaciter. Tunc vero diris exagitatæ, multo molestiores erant, vltra natiuam sitim sanguinis armatæ ad vltionem diuinitus contra homines impios. Post hanc pœnam successit alia, nemine tunc quoque ministro irati numinis, videlicet interitus pecudum nam armenta & greges

A ἐπιπλήξεις, τὴν διὰ χαλάζης καὶ κεραυνῶν, τὴν διὰ τῆς ἀκρίδος, τὴν διὰ σκότους, ὃ πᾶσαν ἰδέαν φωτὸς οὐ προσεδέχετο. κοινῇ δὲ, αὐτός τε καὶ ὁ ἀδελφὸς μίαν ἐπετράπησαν, ἣν αὐτίκα σημανῶ· κελευσθέντες τοῦ θεοῦ τέφραν ἀπὸ καμίνου λαμβάνουσι ταῖς χερσίν, ἣν Μωϋσῆς κατὰ μέρος εἰς τὸν ἀέρα διέπαττεν· ἔπειτα κονιορτὸς αἰφνίδιον ἐπενεχθεὶς, ἀνθρώποις τε καὶ ἀλόγοις ζῴοις ἀχειλῆ καὶ δυσαλγῆ κατὰ τῆς δορᾶς ἁπάσης ἕλκωσιν εἰργάζετο, καὶ τὰ σώματα εὐθὺς συνῳδεῖ ταῖς B ἐξανθήσεσιν, ὑποπύους ἔχοντα φλυκταίνας, ἃς ἐτόπασεν ἄν τις ἀφανῶς ὑποκαιομένας ἀναζεῖν, ἀλγηδόσι τε καὶ περιωδυνίαις κατὰ τὸ εἰκὸς ἐκ τῆς ἑλκώσεως καὶ φλογώσεως πιεζόμενοι, μᾶλλον ἢ οὐχ ἧττον τῶν σωμάτων τὰς ψυχὰς ἔκαμνον, ἐκτετρυχωμένοι ταῖς ἀνίαις. ἓν γὰρ ἄν τις ἀπὸ κεφαλῆς ἄχρι ποδῶν συνεχὲς ἕλκος ἐθεάσατο, τῶν κατὰ μέλος καὶ μέρος ἐσπαρμένων, εἰς μίαν καὶ τὴν αὐτὴν ἰδέαν ἀποκριθέντων· ἕως πάλιν ἱκεσίαις τοῦ C νομοθέτου, ἃς ὑπὲρ τῶν παθόντων ἐποιήσατο, ἡ νόσος ῥᾴων ἐγένετο. κοινὴν μέντοι τὴν νουθεσίαν ταύτην ἐπετράπησαν δεόντως, ὁ μὲν ἀδελφὸς, διὰ τὸν ἐπενεχθέντα κονιορτὸν ἐπεὶ τῶν ἀπὸ γῆς συμβαινόντων τὴν ἐπιμέλειαν ἔλαχε· Μωϋσῆς δὲ διὰ τὸν ἀέρα μεταβαλόντα πρὸς κάκωσιν τῶν οἰκητόρων· ταῖς δὲ ἀπ᾽ ἀέρος καὶ οὐρανοῦ πληγαῖς οὗτος ὑπηρέτει. λοιπαὶ δὲ τιμωρίαι τρεῖς εἰσὶν αὐτουργηθεῖσαι δίχα τῆς ἀνθρώπων ὑπηρεσίας, ὧν κατὰ μίαν ἑκάστην ὡς ἂν οἷόν τε ᾖ, δηλώσω. πρώ- D τη δέ ἐστιν ἡ γενομένη διὰ ζῴου τῶν ἐν τῇ φύσει πάντων θρασυτάτου, κυνομυίας, ἣν ἐτύμως ἐκάλεσαν οἱ θετικοὶ τῶν ὀνομάτων· σοφοὶ γὰρ ἦσαν· ἐκ τῶν ἀναιδεστάτων ζῴων συνθέντες τοὔνομα, μυίας, καὶ κυνός· τοῦ μὲν τῶν χερσαίων θρασυτάτου, τῆς δὲ τῶν πτηνῶν. ἐπιφοιτῶσι γὰρ καὶ ἐπιτρέχουσιν ἀδεῶς, κἂν ἀνείργῃ τις, εἰς τὸ ἀήττητον ἀντιφιλονεικοῦσιν, ἄχρις ἂν αἵματος καὶ σαρκῶν κορεσθῶσιν. ἡ δὲ κυνόμυια, τὴν ἀφ᾽ ἑκατέρου τόλμαν προσειληφυῖα, δηκτικὸν καὶ ἐπίβουλον ζῷόν ἐστι. E καὶ γὰρ πόρρωθεν μετὰ ῥοίζου καθάπερ βέλος εἰσακοντίζεται, καὶ ἐπεμπίπτουσα βιαίως, οὗ μάλα ἐγχρίμπτεται. τότε δὲ καὶ θεήλατος ἦν ἡ προσβολὴ, ὡς διπλασιάζεσθαι τὴν ἐξ αὐτῆς ἐπιβουλὴν, οὐκέτι μόνοις τοῖς φυσικοῖς κεχρημένης πλεονεκτήμασιν, ἀλλὰ καὶ τὸ ἐκ θείας ἐπιφροσύνης ἣ τὸ ζῷον ὥπλιζε, καὶ πρὸς ἀλκὴν ἀνήγειρε κατὰ τῶν ἐγχωρίων. μετὰ τὴν κυνόμυιαν εἵπετο τιμωρία πάλιν ἄνευ συμπράξεως ἀνθρωπίνης, βοσκη-

μάτων θάνατος. βουκόλια γὰρ καὶ αἰπόλια καὶ ποίμνια μεγάλα, καὶ ὅσαι ὑποζυγίων καὶ ἄλλων θρεμμάτων ἰδέαι πᾶσαι, μιᾷ ἡμέρᾳ ὡς ἀφ' ἑνὸς συνθήματος ἀγεληδὸν διεφθείροντο, τὴν ἀνθρώπων ἀπώλειαν, ἣ μικρὸν ὕστερον ἔμελλε γίνεσθαι, προμηνύουσαι, καθάπερ ἐν ταῖς λοιμώδεσι νόσοις, λέγεται γοῦν προαγών τις εἶναι λοιμικῶν ἀρρωστημάτων, ἡ ζώων ἀλόγων αἰφνίδιος φθορά. μετὰ δὲ ταῦτα ἡ δεκάτη καὶ τελευταία δίκη πάσας ὑπερβάλλουσα τὰς προτέρας ἐπηγγέλλετο, θάνατος αἰγυπτίων, οὔτε πάντων· οὔτε γὰρ ἐρημῶσαι τὴν χώραν προῄρητο ὁ θεός, ἀλλὰ νουθετῆσαι μόνον· οὔτε τῶν πλείστων ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἐξ ἁπάσης ἡλικίας, ἀλλὰ τοῖς ἄλλοις ζῆν ἐφεὶς μόνων τῶν πρωτοτόκων καταψηφίζεται θάνατον, ἀρξάμενος ἀπὸ τοῦ πρεσβυτάτου τῶν βασιλέως παίδων, καὶ λήξας εἰς τὸν τῆς ἀφανεστάτης ἀλετρίδος. περὶ γὰρ μέσας νύκτας οἱ πρῶτοι πατέρας καὶ μητέρας προσειπόντες, καὶ ὑπ' ἐκείνων υἱοὶ πάλιν πρῶτον ὀνομασθέντες, ὑγιαίνοντες, καὶ τὰ σώματα ἐρρωμένοι, πάντες ἀπ' οὐδεμιᾶς προφάσεως ἤδη ἐξαπιναίως ἀνῄρηντο, καὶ οὐδεμίαν οἰκίαν ἀμοιρῆσαί φασι τότε τῆς συμφορᾶς· ἅμα δὲ τῇ ἕῳ, κατὰ τὸ εἰκός, ἕκαστοι θεασάμενοι τοὺς φιλτάτους ἀπροσδοκήτως τετελευτηκότας, οἷς ὁμοδίαιτοι καὶ ὁμοτράπεζοι μέχρι τῆς ἑσπέρας ἐγεγένηντο, βαρυτάτῳ πένθει καταπλαγέντες, οἰμωγῆς πάντα ἐνέπλησαν· ὥστε συνέβη καὶ διὰ τὴν κοινοπραγίαν τοῦ πάθους ἁπάντων ἀθρόως ὁμοθυμαδὸν ἐκβοησάντων, ἕνα θρῆνον ἀπὸ περάτων ἐπὶ πέρατα συνηχῆσαι κατὰ πάσης τῆς χώρας. καὶ μέχρι μὲν ἐν ταῖς οἰκίαις διέτριβον, ἀγνοοῦν ἕκαστος τὸ τοῦ πλησίον κακόν, ἐπὶ τῷ ἑαυτοῦ μόνον ἐστένε· προελθὼν δὲ καὶ γνοὺς τὰ τῶν ἄλλων, διπλοῦν πένθος πρὸς τῷ ἰδίῳ καὶ τὸ κοινὸν εὐθὺς ἐλάμβανεν, ἐπ' ἐλάττονι καὶ κουφοτέρῳ μεῖζον καὶ βαρύτερον, ἅτε καὶ τὴν ἐλπίδα τῆς παραμυθίας ἀφῃρημένος· τίς γὰρ ἔμελλε παρηγορεῖν ἕτερον αὐτὸς ὢν τοῦδε χρέος. ὅπερ δὲ ἐν τοῖς τοιούτοις φιλεῖ, τὰ παρόντα νομίζοντες ἀρχὴν εἶναι μειζόνων, καὶ περὶ τῆς τῶν ἔτι ζώντων ἀπωλείας καταδείσαντες, συνέδραμον εἰς τὰ βασίλεια δεδακρυμένοι, καὶ τὰς ἐσθῆτας περιερρηγμένοι κατεβόων τοῦ βασιλέως, ὡς πάντων αἰτίου τῶν συμβεβηκότων δεινῶν. εἰ γάρ, ἔλεγον, εὐθὺς ἐν ἀρχῇ Μωσέως ἐντυχόντος εἴασεν ἐξελθεῖν τὸ ἔθνος, οὐδενὸς ἂν τῶν γεγονότων πειραθῆναι παρέδωκεν. εἴξαντος δὲ αὐθαδείᾳ τῇ συνήθει, τὰ ἐπίχειρα τῆς ἀκαίρου φιλονεικίας ἐξ ἑτοίμου λαβεῖν

A ouium caprarúmque; præterea iumenta omnis generis, vna die tanquam ex composito gregatim moriebantur, portendentia paulo post secuturam pestem hominum: quemadmodum aiunt publicas pestilentias solere primum in bruta sæuire animalia. Tandem accessit extrema pœna decima superioribus omnibus atrocior, ipsis Ægyptijs morientibus, non tamen omnibus. nolebat enim Deus regionem de-
B sertam reddere, quam castigatam tantum voluit. itaque parcens maximæ turbæ omnis ætatis virorum atque mulierum, morti addixit solos primogenitos, exorsus à maximo natu regio filio, & in vilissimæ ancillæ pistrinariæ filium desinens. Nam circiter noctem mediam quotquot primi patris matrisque appellationem iucundissimam attulerunt parentibus, & vicissim
C ab ipsis primi nominati sunt filij, sani valentésque, nullo præcedente morbo repente interierunt ad vnum, vt nulla familia sine domestico luctu tunc inuenta sit. Prima vero luce cum quisque suos charissimos inopinata nece sublatos videret, cum quibus superiore die suauiter vsque vesperam conuixerat, vt in publico luctu grauissimo, comploratione impleuerunt omnia. cum enim nemo es-
D set exsors eius calamitatis, vnus erat clamor omnium, vno luctu obtinente totam regionem quacumque patebat: qui tantisper dum intra priuatos parietes se continebat, singulis aliena mala ignorantibus, priuatus etiam tum videbatur. Vbi vero alij didicerunt ex alijs, geminabatur comploratio, accedente grauantéque dolore publico, vt ne consolator quidem
E existeret. quis enim solaretur alterum, ipse consolatione indigens? cæterum vt in tali casu solet fieri, putantes hæc esse maiorum malorum initia, & soliciti de interitu superstitum, flentes conuolabant in regiam, scissísque suis vestibus regi causam calamitatis imputabant, dicentes nihil mali se passuros fuisse, si Moses impetrasset quæ petierat. Nunc habere se obstinatæ peruicaciæ contentionísque intempestiuæ præmia. deinde

pro se quisque certatim hortabatur populum, vt propere tota regione decederent, vel vnam diem horámve differre longum rati & periculosum insuper. ad hunc modum expulsi protrusique, memores ingenuitatis pristinæ, ausi sunt facinus quo iniurias acceptas rependerent. multum enim prædæ nacti sarcinas partim suis humeris, partim iumentis, imposuerunt, non præ auaricia (vt obtrectatores dicerent) aut alienarum fortunarum concupiscentia (quæ enim esse poterat?) sed primum vt diuturni laboris necessariam mercedem reciperent: deinde vt pro acceptis tempore quo seruierant iniurijs, si non pro merito, aliquid tamen damni reponerent. Nec enim est par iactura libertatis & pecuniæ, cum nemo sanus non malit vitæ quam libertatis adire periculum. itaque vtrumque factum iure tueri possunt, siue vt in pace mercedem receperunt, qua tam diu fraudati fuerant: siue vt bello victores victos bonis spoliauerunt. ab illis enim orta fuerat iniuria, qui hospites supplicésque suos (vt ante dixi) quasi captiuos in seruitutem redegerant. Tandem vbi se obtulit occasio meliorum temporum, populus inermis illatam sibi vim vltus est, protegente ipsa iustitia. Tot plagis Ægyptus castigata est, quarum tamen vlla Hebræos attigit, quamuis cohabitantes in eisdem oppidis, vicis, domibus, terra, aqua, aere, igne, præcipuis naturæ partibus conspirantibus, vt impossibile esset effugere. id quod maxime mirum fuit, ab eisdem rebus vno eodémque loco ac tempore, alios seruari, alios interimi. Pluuius versus erat in sanguinem, at non Hebræis: his enim haurientibus fiebat potabilis. Ranæ ex aquis in terram subrepentes fora, villas, domos impleuerant, solos Hebræos deuitabant, ac si scirent discernere qui puniendi essent, qui nequaquam. Non scnipes, non cynomyæ, non locustæ, quæ arboribus, satis, animalibus, hominibus vastitatem intulerant, ad hos aduolauerunt. non imbrium, grandinum, fulminum continuata vis ad hos vsque peruenit. exulcerationem molestissimam ne in somnis quidem senserunt. cum densis-

A εἶτ' ἄγειν ἄγειν παρεκάλει τὸν λεὼν μετὰ πάσης σπουδῆς ἐξ ἁπάσης τῆς χώρας ἐξελαύνειν, καὶ τὸ μίαν ἡμέραν, μᾶλλον δὲ ὥραν αὐτὸ μόνον κατασχεῖν, πρὸς ἀνήκεστον ζημίαν τιθέμενοι. οἱ δ' ἐλαυνόμενοι καὶ διωκόμενοι, τῆς αὐτῶν εὐγενείας εἰς ἔννοιαν ἐλθόντες, τόλμημα τολμῶσιν ὁποῖον εἰκὸς ἦν τοὺς ἐλευθέρους, καὶ μὴ ἀμνήμονας ὧν ἐπεβουλεύθησαν ἀδίκως. πολλὴν γὰρ λείαν ἐκφορήσαντες, τὴν μὲν αὐτοὶ διεκόμιζον ἐπηχθισμένοι, τὴν δὲ τοῖς ὑποζυγίοις ἐπέθεσαν, οὐ διὰ φιλοχρη- B ματίαν, ἢ ὡς ἄν τις κατήγορος εἴποι, τὴν τῶν ἀλλοτρίων ἐπιθυμίαν· πόθεν; ἀλλὰ πρῶτον μὲν, ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν, ἀναγκαῖον μισθὸν κομιζόμενοι· εἶτα δὲ ὑπὲρ ὧν κατεδουλώθησαν ἐν ἐλάττοσι καὶ οὐχὶ τοῖς ἴσοις ἀντιλυποῦντες. ποῦ γὰρ ἐφ' ὅμοιον ζημία χρημάτων καὶ στέρησις ἐλευθερίας, ὑπὲρ ἧς οὐ μόνον προΐεσθαι τὰς οὐσίας οἱ νοῦν ἔχοντες, ἀλλὰ καὶ ἀποθνήσκειν τολμῶσιν. ἐν ἑκατέρῳ δὲ κατώρθουν, εἴθ' ὡς ἐν εἰρήνῃ μισθὸν C λαμβάνοντες, ὃν παρὰ ἀκόντων πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀπεστεροῦντο· εἴθ' ὡς ἐν πολέμῳ τὰ τῶν ἐχθρῶν φέρειν ἀξιοῦντες νόμῳ τῶν κεκρατηκότων. οἱ μὲν γὰρ χειρῶν ἦρξαν ἀδίκων, ξένους καὶ ἱκέτας, ὡς ἔφην πρότερον, καταδουλωσάμενοι τρόπον αἰχμαλώτων· οἱ δὲ καιροῦ παραπεσόντος, ἠμύναντο δίχα τῆς ἐν ὅπλοις παρασκευῆς, προασπίζοντος, καὶ τὴν χεῖρα ὑπερέχοντος τοῦ δικαίου. τοσαύταις μὲν δὴ πληγαῖς καὶ ζημίαις Αἴγυπτος ἐνουθετεῖτο, ὧν οὐδεμία τῶν ἑβραίων, καίτοιγε ἐν D ταῖς αὐταῖς πόλεσι καὶ κώμαις, καὶ οἰκίαις συνδιατριβόντων, ἥψατο, γῆς, ὕδατος, ἀέρος, πυρὸς, ἃ μέρη τῆς φύσεώς ἐστιν. ἦν ἀμήχανον ἐκφυγεῖν, ἐπελάβοντο. ὃ δὴ καὶ παραδοξότατον ἦν, ὑπὸ τῶν αὐτῶν κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον, τοὺς μὲν διαφθείρεσθαι, τοὺς δὲ σώζεσθαι. ὁ ποταμὸς εἰς αἷμα μετέβαλεν, ἀλλ' οὐχ ἑβραίοις. ἡνίκα γὰρ βουληθεῖεν ἀρύσασθαι, ποτὸν ἐλάμβανεν εἰς πόσιμον. βάτραχοι ἐκ τῶν ὑδάτων ἐπὶ τὴν χέρσον E ἀνερπύσαντες ἀγορὰς καὶ ἐπαύλεις καὶ οἰκίας ἐπλήρωσαν· ἀλλ' ἀπὸ τῶν ἑβραίων ἐξανεχώρει μόνων, καθάπερ διακρίνειν ἐπιστάμενος, οὕς τε χρὴ κολάζεσθαι, καὶ τοὐναντίον. οὐ σκνῖπες, οὐ κυνόμυια, οὐκ ἀκρὶς, ἣ καὶ φυτὰ, καὶ καρποὺς, καὶ ζῶα, καὶ ἀνθρώπους μεγάλα ἔβλαψε, τούτοις προσεστάλησαν· οὐχ ὑετῶν, οὐ χαλάζης, οὐ κεραυνῶν αἱ γινόμεναι συνεχεῖς φοραὶ, μέχρι τούτων ἔφθασαν· ἑλκώσεως τῆς ἀργαλεωτάτης εἰς τὸ παθεῖν, οὐδ' ὄναρ ἐπῄσθοντο· βαθυτάτου σκότου τῆς

αὐγῆς

ἀθρόοις ἀναχυθέντες, ἐν αὐγῇ καθαρᾷ διῆγον, τοῦ φωτὸς ἡμερινοῦ ἐπιλάμποντος· ἀναιρουμένων τῶν παρ' Αἰγυπτίοις πρωτοτόκων, ἐτελεύτησεν Ἑβραῖος οὐδείς· οὐδὲ γὰρ εἰκὸς ἦν, ὁπότε καὶ ἡ τῶν ἀμυθήτων φθορὰ θρεμμάτων, οὐδεμίαν τῶν παρὰ τούτοις ἀγέλην συνεπεσπάσατο πρὸς ἀπώλειαν. καί μοι τις δοκεῖ παρατυχὼν τοῖς γινομένοις κατ' ἐκεῖνον τὸν καιρὸν, μηδὲν ἄλλο νομίσαι τοὺς Ἑβραίους, ἢ θεατὰς ὧν ἕτεροι κακῶν ὑπέμενον, καὶ οὐ μόνον, ἀλλὰ καὶ μαθημάτων τὸ κάλλιστον καὶ ὠφελιμώτατον ἀναδιδασκομένους, εὐσέβειαν. οὐ γάρ πω πρότερον οὕτως ἡ τῶν ἀγαθῶν καὶ κακῶν κρίσις ἐμφανὴς ἦλθε, τοῖς μὲν φθοράν, τοῖς δὲ σωτηρίαν παρέχουσα. τῶν δ' ἐξιόντων καὶ μετανισταμένων, οἱ μὲν ἄνδρες ἔχοντες ἡλικίαν, ὑπὲρ ἑξήκοντα μυριάδας ἦσαν· ὁ δ' ἄλλος ὅμιλος πρεσβυτέρων, παίδων, γυναικῶν, οὐ ῥᾴδιος ἀριθμηθῆναι· μιγάδων δὲ καὶ συγκλύδων καὶ θεραπείας ὄχλος συνεξῆλθεν, ὡσανεὶ νόθον μετὰ γνησίου πλῆθος. οὗτοι δ' ἦσαν οἱ ἐκ γυναικῶν γεννηθέντες τοῖς Ἑβραίοις Αἰγυπτίων, καὶ τῷ πατρῴῳ γένει προσνεμηθέντες· καὶ ὅσοι τὸ θεοφιλὲς ἀγάμενοι τῶν ἀνδρῶν ἐπηλύται ἐγένοντο, καὶ ἤδη τινὲς τῷ μεγέθει καὶ πλήθει τῶν ἐπαλλήλων κολάσεων, μετεβάλλοντο σωφρονισθέντες· τούτων ἁπάντων ἡγεμὼν ἐχειροτονεῖτο Μωσῆς, τὴν ἀρχὴν καὶ βασιλείαν λαβών, οὐχ ὥσπερ ἔνιοι τῶν ἐπὶ τὰς δυναστείας ὠθουμένων, ὅπλοις καὶ μηχανήμασιν, ἱππικαῖς τε καὶ πεζαῖς, καὶ ναυτικαῖς δυνάμεσιν, ἀλλ' ἀρετῆς ἕνεκα καὶ καλοκαγαθίας, καὶ τῆς πρὸς ἅπαντας εὐνοίας, ἣ χρώμενος ἀεὶ διετέλει. προσέτι καὶ τοῦ φιλαρέτου καὶ φιλοκάλου θεοῦ γέρας ἄξιον αὐτῷ παρασχόντος. ἐπειδὴ γὰρ τὴν Αἰγύπτου κατέλιπεν ἡγεμονίαν, θυγατριδοῦς τοῦ τότε βασιλεύοντος ὤν, ἕνεκα τῶν κατὰ τὴν χώραν γινομένων ἀδικημάτων, πολλὰ χαίρειν φράσας ταῖς ἀπὸ τῶν θεμένων ἐλπίσι διὰ ψυχῆς εὐγένειαν, καὶ φρονήματος μέγεθος, καὶ τὸ μισοπόνηρον φύσει, τῷ πρυτανεύοντι καὶ ἐπιμελουμένῳ τῶν ὅλων ἔδοξεν αὐτὸν ἀμείψασθαι βασιλείᾳ πολυανθρωποτέρου, καὶ κρείττονος ἔθνους. ὅπερ ἔμελλεν ἐξ ἁπάντων τῶν ἄλλων ἱερᾶσθαι, τὰς ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων ἁπάντων ἀεὶ ποιησόμενον εὐχάς, ὑπέρ τε κακῶν ἀποτροπῆς καὶ μετουσίας ἀγαθῶν. παραλαβὼν δὲ τὴν ἀρχήν, οὐχ ὥσπερ ἔνιοι, τὸν ἴδιον αὔξειν οἶκον, καὶ τοὺς υἱούς· δύο γὰρ ἦσαν αὐτῷ· προαγαγεῖν ἐπὶ μέγα δυνάμεως ἐσπούδασεν, ὡς ἐν μὲν τῷ παρόντι κοινωνούς, αὖθις δὲ καὶ διαδόχους ἀποφῆναι. γνώμῃ γὰρ ἀδόλῳ καὶ καθαρᾷ πρὸς πάντα μικρά τε αὖ καὶ μεγάλα χρώμενος,

A fimæ tenebræ offunderentur alijs, ipsi in diurna puráque luce degebant. cum interirent Ægyptiorum primogeniti, nemo Hebræus perijt. & merito, quando ne pecudum quidem pestis ad horum greges vlla venerunt contagia. Nec aliud videri poterant illo tempore quam spectatores calamitatum alienarum, ex quibus vtilissimam doctrinam pietatis perciperent. nunquam enim tam manifestum bonorum & B malorum iudicium extitit, alteris exitium, alteris salutem afferens. Erant autem viri demigrantes supra DCM. reliquæ turbæ senum, puerorum, mulierum iniri non poterat numerus. huc accedebat seruitiorum multitudo promiscua & quasi suppositicia. hos Hebræi susceperant è fœminis Ægyptijs, contributos paterno generi, quidam etiam pietatis amore se adiunxerant, & C erant qui tot continuis castigationibus profecerant in melius. Horum omnium princeps Moses electus est: quam potestatem accepit non vt alij fretus armis & machinis, aut equestribus, pedestribus naualibúsque copijs: sed virtutis ergô honoratus & charitatis qua vniuersos prosequebatur indesinenter, Deo quoque fauente honori viri optimi. Nam quia regnum Ægypti dereliquerat cum D esset nepos regius, & offensus incolarum superbia violentiáque adoptatores suos abdicauerat, simúlque spes illas abiecerat præ generosa magnanimitate & amore iustitiæ, visum est omnipotenti rerum gubernatori, frequentioris meliorisque gentis regnum ei reponere, quæ vna omnium erat functura sacerdotio, & vota factura pro vniuerso humano genere, quibus & mala auerterentur, & impetrarentur prospera. E Assumpto autem principatu non hoc egit, sicut nonnulli solent, vt augeret suam familiam, & filios quos duos habebat extolleret, socios ac mox successores habiturus: sed vbique incorrupte se gerens in rebus minimis æque ac maximis, superauit naturalem affectum erga liberos, malens rationis obtemperare iudicio,

Vnicum enim habebat propositum necessarium, iuuare subditos, & dictis factisque vtilitati eorum consulere, nullam occasionem prætermittendo in promouendis eorum negocijs. Solus hic omnium qui vnquam principatum gesserunt, non aurum, non argentum in thesauros condidit, non tributa exegit, non palatia, non latifundia, non greges, non famulicia, non reditus, non alias opes sibi parauit, quamuis posset habere omnium harum rerum copiam: sed existimans animæ pauperis indicium esse mirari materiales diuitias, has quidem vt cæcas contempsit, illas verò naturales perspicacésque honorauit & amauit si quis vnquam alius, in vestitu victúque quotidiano nihil præ se ferens fastus tragici, sed simplicitatem frugalitatémque exercens priuati hominis. Regem autem in his solis agebat quæ vere sunt regia: vt sunt continentia, fortitudo, sobrietas, solertia, prudentia, scientia, industria, tolerantia, iustitia, voluptatis contemptus, ad virtutem exhortatio, obiurgationes castigationésque peccantium legitimæ, & recte facientium laudes atque præmia. Itaque quoniam auariciæ renunciauerat & diuitijs honoratis apud homines, perfectas maximásque diuitias pro his ei Deus reddidit: hoc est, vt tantundem posset quantum terra & mare ac flumina elementáque cætera, & quæ ex his sunt condita. fecit enim eum suæ potentiæ participem, totum mundum ei subdens tanquam hæreditarium. quamobrem singula elementa obediebant vt Domino, ad iussum eius suas vires mutantia. Nec mirum, quandoquidem iuxta prouerbium, Amicorum omnia sunt communia, amicus autem Dei propheta dicitur: vnde consequitur vt diuinæ possessionis vsum habeat. nam Deus nullius eget, cum possideat omnia. Bonus autem vir nihil proprie possidet, nec seipsum quidem, verum de thesauris Dei quantum potest accipit. & merito, cum mundi ciuis sit: ideo nullam priuatim in orbe habet patriam: quippe qui hæreditatem habet non vnam quampiam regionem, sed mundum vniuersum. Quid quod maiorem etiam cum omnipotente rerum patre conditoréque societatem adeptus,

A τὴν φυσικὴν πρὸς τὰ τέκνα φιλοστοργίαν ἐνίκα, οἷα κριτὴς ἀγαθὸς περὶ τὸν λογισμὸν ἀδέκαστος. προὔκειτο γὰρ ἐν αὐτῷ τέλος ἀναγκαιότατον ὀνῆσαι τοὺς ἀρχομένους, καὶ πάντα δι' ὧν ὑπὲρ τῆς τούτων ὠφελείας ἔργῳ καὶ λόγῳ πραγματεύεσθαι, μηδένα παραλιπόντι καιρὸν τῶν συντεινόντων πρὸς κατόρθωσιν. μόνος γοῦν τῶν πώποθ' ἡγεμονευσάντων, οὐ χρυσόν, οὐκ ἄργυρον ἐθησαυρίσατο, οὐ δασμοὺς ἐξέλεξεν, οὐκ οἰκίας, οὐ κτήματα, οὐ θρέμματα, οὐ θεραπείαν οἰκετικήν, οὐ
B προσόδους, οὐκ ἄλλο τῶν εἰς πολυτέλειαν καὶ περιουσίαν οὐδὲν ἐκτήσατο, καίτοι πάντων ἔχειν ἀφθονίαν δυνάμενος· ἀλλ' ὑπολαβὼν πενίας ψυχικῆς ἔργον εἶναι, τὸν ἐν ταῖς ὕλαις ἀποδέχεσθαι πλοῦτον, τὸν μὲν ὡς τυφλοῦ κατεφρόνησε, τὸν δὲ βλέποντα τῆς φύσεως ἐξετίμησε, καὶ ζηλωτής, ὡς οὐκ εἴ τις ἕτερος, αὐτοῦ γενόμενος, ἐν μὲν ἐσθῆσι καὶ τροφαῖς καὶ τοῖς ἄλλοις τοῖς περὶ δίαιταν, οὐδὲν ἐπιτραγῳδῶν πρὸς σεμνότερον ὄγκον, εὐτέλειαν
C καὶ εὐκολίαν ἐπιτηδεύων ἰδιώτου· πολυτέλειαν δὲ τῷ ὄντι βασιλικήν, ἐν οἷς καλὸν ἦν πλεονεκτεῖν τὸν ἄρχοντα· ταῦτα δὲ ἦσαν ἐγκράτειαι, καρτερίαι, σωφροσύναι, ἀγχίνοιαι, συνέσεις, ἐπιστῆμαι, πόνοι, κακοπάθειαι, ἡδονῶν ὑπεροψίαι, δικαιοσύναι, προτροπαὶ πρὸς τὰ βέλτιστα, ψόγοι καὶ κολάσεις ἁμαρτανόντων ἔννομοι, ἔπαινοι καὶ τιμαὶ πάλιν κατορθούντων σὺν νόμῳ. τοιγαροῦν πολλὰ χαίρειν φράσαντα φιλοχρηματίᾳ, καὶ τῷ παρ' ἀνθρώποις μέγα πνέοντι πλούτῳ, γεραίρει ὁ θεὸς τὸν
D μέγιστον καὶ τελειότατον ἀντιδοὺς πλοῦτον αὐτῷ. οὗτος δ' ἐστὶν ἰσότης πάσης γῆς καὶ θαλάττης, καὶ ποταμῶν, καὶ τῶν ἄλλων στοιχείων ὅσα καὶ συγκρίματα. κοινωνὸν γὰρ ἀξιώσας ἀναφανῆναι τῆς ἑαυτοῦ λήξεως, ἀνῆκε πάντα τὸν κόσμον, ὡς κληρονόμῳ κτῆσιν ἁρμόζουσαν. τοιγαροῦν ὑπήκουεν ὡς δεσπότῃ τῶν στοιχείων ἕκαστον, ἀλλάττον ἣν εἶχε δύναμιν, καὶ ταῖς προστάξεσιν ὑπεῖκον· καὶ θαυμαστὸν ἴσως οὐδέν. εἰ γὰρ κατὰ τὴν παροιμίαν, κοινὰ τὰ τῶν φίλων, φί-
E λος δὲ ὁ προφήτης ἀνείρηται θεοῦ, κατὰ τὸ ἀκόλουθον μετέχοι ἂν αὐτοῦ, καὶ τῆς κτήσεως καθ' ὃ χρειῶδες. ὁ μὲν γὰρ θεὸς πάντα κεκτημένος, οὐδενὸς δεῖται· ὁ δὲ σπουδαῖος ἄνθρωπος, κέκτηται μὲν οὐδὲν κυρίως, ἀλλ' οὐδὲ αὑτόν, τῶν δὲ τοῦ θεοῦ κειμηλίων καθ' ὅσον ἂν οἷός τε ᾖ, μεταλαγχάνει· καὶ μήποτε εἰκότως; κοσμοπολίτης γάρ ἐστιν. ἧς χάριν αἰτίας, οὐδεμιᾷ τῶν κατὰ τὴν οἰκουμένην πόλεων ἐνεγράφη. δεόντως, οὐ μέρος χώρας, ἀλλ' ὅλον τὸν κόσμον κλῆρον λαβών. τί δ', οὐχὶ καὶ μείζονος τῆς πρὸς

A τοῦ πατέρα τῶν ὅλων καὶ ποιητὴν κοινωνίας ἀπήλαυσε, προσρήσεώς τε τῆς αὐτῆς ἀξιωθείς; ὠνομάσθη γὰρ ὅλου τοῦ ἔθνους θεὸς καὶ βασιλεύς, εἴς τε τὸν γνόφον, ἔνθα ἦν ὁ θεός, εἰσελθεῖν λέγεται, τουτέστιν εἰς τὴν ἀειδῆ καὶ ἀόρατον καὶ ἀσώματον τῶν ὄντων παραδειγματικὴν οὐσίαν, τὰ ἀθέατα φύσει θνητῇ κατανοῶν· καθάπερ τε γραφὴν εὖ δεδημιουργημένην, ἑαυτὸν καὶ τὸν αὑτοῦ βίον εἰς μέσον προαγαγών, πάγκαλον καὶ θεοειδὲς ἔργον ἔστησε παράδειγμα τοῖς ἐθέλουσι μιμεῖσθαι. εὐδαίμονες δ᾽ ὅσοι τὸν τύπον ταῖς ἑαυτῶν ψυχαῖς ἐναπεμάξαντο, ἢ ἐσπούδασαν ἐναπομάξασθαι. φερέτω γὰρ ἡ διάνοια, μάλιστα μὲν τὸ εἶδος τέλειον ἀρετῆς, εἰ δὲ μή, τὸ γοῦν περὶ τοῦ κτήσασθαι τὸ εἶδος ἀνενδοίαστον πόθον. καὶ μὴν οὐδ᾽ ἐκεῖνό τις ἀγνοεῖ, ὅτι ζηλωταὶ τῶν ἐνδόξων οἱ ἄδοξοι εἰσί, καὶ ὧν ἂν ἐκεῖνοι μάλιστα ὀρέγεσθαι δοκῶσιν, πρὸς ταῦτα τὰς αὐτῶν ἀποτείνουσιν ὁρμάς. ἐπειδὰν γοῦν ἡγεμὼν ἄρξηται καθηδυπαθεῖν, καὶ πρὸς τὸν ἁβροδίαιτον ἀποκλίνειν βίον, σύμπαν ὀλίγου δεῖν τὸ ὑπήκοον ταῖς γαστρὸς καὶ τῶν μετὰ γαστέρα προσαναρρήγνυσιν ἔξω τῶν ἀναγκαίων ἐπιθυμίας, εἰ μή τινες εὐμοιρίᾳ χρήσαιντο φύσεως, ψυχὴν οὐκ ἐπίβουλον, ἀλλ᾽ εὐμενῆ καὶ ἵλεων κτησάμενοι· ἐὰν δ᾽ αὐστηρότερον καὶ σεμνότερον ἕληται προαίρεσιν, καὶ οἱ λίαν αὐτοῖς ἀκράτορες μεταβάλλουσι πρὸς ἐγκράτειαν ἢ φόβῳ, ἢ αἰδοῖ, σπουδάζοντες ὑπόληψιν ἐμποιεῖν, ὅτι ἄρα ζηλωταὶ τῶν ὁμοίων εἰσί· καὶ οὐκ ἀπὸ τοῦδε οἱ χείρους τὰ τῶν κρειττόνων, ἀλλ᾽ οὐδὲ μανέντες ἀποδοκιμάζουσι. τάχα δ᾽ ἐπεὶ καὶ νομοθέτης ἔμελλεν ἔσεσθαι, πολὺ πρότερον αὐτὸς ἐγένετο νόμος ἔμψυχός τε καὶ λογικὸς θείᾳ προνοίᾳ, ἥτις ἀγνοοῦντα αὐτὸν εἰς νομοθέτην ἐχειροτόνησεν αὖθις. ἐπεὶ τοίνυν παρ᾽ ἑκόντων ἔλαβε τὴν ἀρχήν, βραβεύοντος καὶ ἐπινεύοντος τοῦ θεοῦ, τὴν ἀποικίαν ἔστελλεν εἰς Φοινίκην καὶ Συρίαν τὴν κοίλην καὶ Παλαιστίνην, ἣ τότε προσηγορεύετο Χαναναίων, ἧς οἱ ὅροι τριῶν ἡμερῶν ὁδὸν διεστήκεσαν ἀπ᾽ Αἰγύπτου. ἦγεν αὐτοὺς οὐ τὴν ἐπίτομον, ἅμα μὲν εὐλαβηθείς, μήποθ᾽ ὑπαντιασάντων τῶν οἰκητόρων διὰ φόβον ἀναστάσεως καὶ ἀνδραποδισμοῦ, καὶ γενομένου πολέμου, πάλιν τὴν αὐτὴν ὁδὸν ὑποστρέψωσιν εἰς Αἴγυπτον, ἀπ᾽ ἐχθρῶν ἐπ᾽ ἐχθρούς, νέων ἐπ᾽ ἀρχαίους, γέλως καὶ χλεύη γενησόμενοι, καὶ χείρω καὶ ἀργαλεώτερα τῶν προτέρων ὑπομένοντες· ἅμα δὲ καὶ βουλόμενος αὐτοὺς δι᾽ ἐρήμης ἄγων καὶ μακρᾶς, δοκιμάσαι πῶς ἔχουσι πειθαρχίας, ἐν οὐκ ἀφθόνοις χορηγίαις, ἀλλ᾽ ἐκ τοῦ κατ᾽ ὀλίγον ὑπο-

A communi appellatione dignatus est? nominatur enim totius gentis Deus atque rex, & caliginem vbi Deus erat intrasse dicitur, hoc est in illam inuisibilem, incorpoream, specie formáque carentem exemplarem essentiam, abstrusos à mortali natura contemplationes considerans. Seipsum quoque suámque vitam, quasi tabulam elegantissime pictam proposuit spectandam, diuinum opus imitandúmque posteris. Felices qui has figuras suis B animis imprimunt, aut certe student exprimere. Optandum est enim vt menti contingat absoluta modis omnibus virtutis species: sin minus, saltem certum acquirendæ huius desiderium. Nec illud quidem ignotum est, quòd claros viros imitantur obscuri & ignobiles, sua sponte sequendo quocumque viderint illos contendere. Itaque siquando princeps se totum dans voluptatibus, primus ad vitam delicatam deflectit, vniuersa pro- C pemodum subditorum multitudo ad ventrem & ea quæ sub ventre sunt proclinat præter appetitum necessarium, nisi qui naturæ benignitate animam sortiti sunt non insidiatricem sed propitiam. quod si honestiorem seueriorémque sectam ille prætulerit, intemperantes quoque mutantur ad continentiam, vel metu, vel reuerentia, vt habeantur æmulatores studiorum similium. nec enim sic insaniunt, vt se præstantioribus anteferant. Et fortasse quia legislator futurus erat, D multo ante ipse lex animata rationalisque factus est per Dei prouidentiam, quæ nescientem destinabat huic muneri. Ergo postquam de communi consensu accepit imperium non sine numine, decreuit coloniam in Phœnicen, Cœlesyriam, Palæstinámque, tunc communi nomine Chananæam, deducere, cuius fines disterminabantur ab Ægypto trium dierum itinere. duxit autem per viam minime compendiariam: tum quia verebatur ne E regionum earum incolæ metu amittendarum vnà cum libertate sedium armati occurrerent, ipsi verò ab hostibus reiecti ad hostes reuerti cogerentur, à nouis ad veteres, præter ludibrium passuri grauiora quàm antea: tum quia volebat per vastas solitudines ducendo experiri horum obedientiam, instructorum non amplis commeatibus, sed paulatim deficientibus.

Quamobrem de recta via decedens inuenit obliquum tramitem: cum ingressus est, ratus ad rubrum mare ducere. Fertur illo tempore accidisse ingens naturæ miraculum, quale nunquam auditum fuerat post hominum memoriam. præcedebat populum nubes in magnæ columnæ speciem, solari splendore lucens interdiu, noctu vero flammeo, vt eius ductu absque periculo erroris incederint. Credi tamen potest aliquem è summi regis præfectis angelum, nube inuolutum eos duxisse, quem nefas sit aspici mortalibus oculis. At rex Ægyptius postquam animaduertit hos ferri per deuia sicut putabat, ingressos desertum à nullis tritum viatoribus, gaudebat eos aberrasse à recto itinere, videlicet ratus non inuenturos exitum: iamque missionis pœnitens, statuit eos persequi, aut metu retracturus in seruitutem, aut internecione deleturus gentem profugam. deinde assumpto omni equitatu, iaculatoribus, funditoribus, sagittarijs, velitibus, & vniuersis leuis armaturæ militibus, sexcentisque falcatis curribus, præfectisque huic expeditioni purpuratis quo alacrius sequerentur cæteri sine detractione militiæ, excurrit summa celeritate, properans vt fugientes improuisos opprimeret. Solent enim insultus repentini terrere grauius, & securi facilius intercipiuntur quàm soliciti. id tunc quoque sperans ille sequebatur, quasi ad primum clamorem victor euasurus. Et iam populus in littore castra posuerat: quibus prandium parantibus primum exaudiebatur strepitus, vt propinquante tanta virorum equorúmque multitudine certatim properantium: mox progressi extra tabernacula circumspectabant arrectis auribus. paulo post conspectus est in tumulis hostilis exercitus instructus ad prælium explicata acie. Hoc tam inexpectato casu perterriti, cum nec arma illis ad defensionem suppeterent (non enim ad bellum, sed ad quærendas sedes exiuerant) nec ipsi fugam expedirent, à tergo mari claudente, à fronte imminentibus hostibus, ab vtroque latere abiacentibus vastis iniuriisque solitudinibus, trepidabant desperantes, vt fit,

A συνοικιζούσαις. ἐκτραπόμενος οὖν τῆς ἐπ' εὐθείας
ἐγκάρσιον ἀτραπὸν εὑρών, καὶ νομίσας κατατείνειν
ἄχρι τῆς ἐρυθρᾶς θαλάττης, ὁδοιπορεῖν ἤρχετο· τεράστιον δέ φασι συμβῆναι κατ' ἐκεῖνον τὸν χρόνον,
μεγαλούργημα τῆς φύσεως, ὃ μηδείς πω μέμνηται
πάλαι γεγονός. νεφέλη γὰρ εἰς εὐμεγέθη κίονα σχηματισθεῖσα, προηγεῖτο τοῦ πλήθους, ἡμέρας μὲν ἡλιοειδὲς ἐκλάμπουσα φέγγος, νύκτωρ δὲ φλογοειδές,
ὑπὲρ τοῦ μὴ πλάζεσθαι κατὰ τὴν πορείαν, ἀλλ'
ἀπλανεστάτῃ ἕπεσθαι ἡγεμόνι τῆς ὁδοῦ· τάχα μέντοι καὶ τῶν ὑπάρχων τις ἦν τοῦ μεγάλου βασιλέως,
B ἀφανὴς ἄγγελος, ἐγκατειλημμένος τῇ νεφέλῃ
προηγητήρ, ὃν οὐ θέμις σώματος ὀφθαλμοῖς ὁρᾶσθαι. θεασάμενος δὲ ὁ τῆς Αἰγύπτου βασιλεὺς
ἀνοδίᾳ χρωμένους ὡς ᾤετο, καὶ διὰ τραχείας καὶ ἀτριβοῦς ἐρήμης βαδίζοντας, ἥδετο μὲν ἐπὶ τῷ κατὰ
τὴν πορείαν σφάλματι, νομίσας συγκεκλεῖσθαι,
διέξοδον οὐκ ἔχοντας· ἐπὶ δὲ τῇ μεθέσει μετανοῶν, ἐπεχείρει διώκειν, ὡς ἢ φόβῳ τὴν πληθὺν
C ὑποστρέψων καὶ δουλωσόμενος αὖθις, ἢ ἀποκτενῶν ἡβηδὸν ἀφηνιάζουσαν· εἶτ' ἅπασαν τὴν ἱππικὴν
δύναμιν παραλαβών, ἀκοντιστάς τε καὶ σφενδονήτας, καὶ ἱπποτοξότας καὶ τοὺς ἄλλους ὅσοι τῆς κούφης ὁπλίσεως, καὶ τὰ κάλλιστα τῶν δρεπανηφόρων ἁρμάτων
ἑξακόσια τοῖς ἐν τέλει δούς, ἵνα μετὰ τοῦ πρέποντος
ἀξιώματος ἐπακολουθῶσι, καὶ τῆς στρατείας μετάσχωσιν, οὐδὲν τάχους ἀνείς, ἐπεξῄει, καὶ συντείνων
ἐπέσπευδε, βουλόμενος ἐξαπιναίως οὐ προσδοκωμένοις ἐπιστῆναι. τὸ γὰρ ἀνέλπιστον κακὸν ἀργαλεώτερον
D αἰεὶ τοῦ προσδοκηθέντος, ὅσῳ καὶ τὸ ὀλιγωρηθὲν
εὐεπιχειρητότερον τοῦ σὺν φροντίδι. καὶ ὁ μὲν ταῦτα
διανοηθείς, ἐπηκολούθει, νομίζων αὐτοβοεὶ περιέσεσθαι. οἱ δὲ ἔτυχον ἤδη παρὰ τῇ ἠϊόνι τῆς θαλάττης
στρατοπεδευσάμενοι· μελλόντων δ' ἀριστοποιεῖσθαι,
τὸ μὲν πρῶτον πάταγος ἐξηχεῖτο πολύς, ἅτε τοσούτων ἀνθρώπων ὁμοῦ καὶ ὑποζυγίων, μετὰ σπουδῆς ἐλαυνόντων ὡς ἐξεληλυθότας τῶν σκηνῶν περιβλέπεσθαι καὶ ἐπακουστὴν ἀκροβατοῦντας· εἶτ'
E ὀλίγῳ ὕστερον ἐπὶ λόφου μετεώρου ἡ ἀντίπαλος
καταφαίνεται δύναμις, ἐν τοῖς ὅπλοις ἐκτεταγμένη πρὸς μάχην· ἐπὶ δὲ τῷ παραλόγῳ καὶ
ἀπροσδοκήτῳ καταπλαγέντες, καὶ μήτε πρὸς
ἄμυναν εὐτρεπεῖς ὄντες διὰ τὸ μηδὲν ἀμυντηρίων· οὐ γὰρ ἐπὶ πόλεμον, ἀλλ' εἰς ἀποικίαν ἐξῄεσαν· μήτε φυγεῖν δυνάμενοι· κατόπιν μὲν γὰρ πέλαγος, ἐχθροὶ δ' ἀντικρύς, τὰ δὲ παρ' ἑκάτερα
βαθεῖα καὶ ἀτριβὴς ἐρήμη· σφαδάζοντες, καὶ
τῷ μεγέθει τῶν κακῶν ἀπειρηκότες, οἷα παρὰ τὰς

τοιαύτας φέρειν συμφοράς, τὸν ἄρχοντα ᾐτιῶντο, φάσκοντες, ἆρά γε μὴ εἰσὶ μνήματα ἐν Αἰγύπτῳ, εἰς ἃ ἀποθανόντες ἐνταφησόμεθα, ἐξήγαγες ἡμᾶς ἵν' ἐνταῦθα κηδεύσῃς ἀποκτείνας; ἢ οὐ πᾶσα δουλεία κουφότερον κακὸν θανάτου; δελεάσας ἐλευθερίας ἐλπίδι τὸ πλῆθος, τὸν χαλεπώτερον περὶ τοῦ ζῆν ἐπεκρέμασας κίνδυνον. ἠγνόεις τὴν ἡμετέραν ἁπλότητα, καὶ τὴν αἰγυπτίων πικρίαν καὶ τὸ βαρύμηνι. τὸ μέγεθος τῶν ἀφύκτων κακῶν οὐχ ὁρᾷς; τί πρακτέον· πολεμῶμεν ἄνοπλοι πρὸς ἐνωπλισμένους, ἀλλὰ φύγωμεν, καθάπερ ἄρκυσι κυκλωθέντες δυσὶ πλείοσιν ἐχθροῖς, ἐρημίαις ἀβάτοις, ἀπλώτοις πελάγεσιν; εἰ δὲ καὶ πλωτά, τίς εὐπορία σκαφῶν εἰς περαίωσιν. ὁ δὲ ταῦτα ἀκούων, τοῖς μὲν συνεγίνωσκε, τῶν δὲ χρησμῶν ἐμέμνητο· καὶ διανείμας τὸν νοῦν καὶ τὸν λόγον κατὰ τὸν αὐτὸν χρόνον, τῷ μὲν ἐνετύγχανεν ἀφανῶς τῷ θεῷ, ἵν' ἐξ ἀμηχάνων ῥύσηται συμφορῶν· δι' οὗ δ' ἐθάρσυνε καὶ παρηγόρει τοὺς καταβοῶντας, μὴ ἀναπίπτετε, λέγων· οὐχ ὁμοίως ἄνθρωπος ἀμύνεται καὶ θεός. τί μόνοις τοῖς εὐλόγοις καὶ πιθανοῖς προσπιστεύετε· παρασκευῆς οὐδεμιᾶς ἐστὶ χρεῖος ὁ βοηθός· ἐν ἀπόροις πόρον εὑρεῖν, ἴδιον θεοῦ· τὰ ἀδύνατα παντὶ γενητῷ, μόνῳ δυνατὰ καὶ κατὰ χειρός. καὶ ταῦτα μὲν ἔτι καθεστὼς διεξῄει. μικρὸν δ' ἐπισχών, ἔνθους τε γίνεται καταπνευσθεὶς ὑπὸ τοῦ εἰωθότος ἐπιφοιτᾶν αὐτῷ πνεύματος, καὶ θεσπίζει προφητεύων τάδε, ἣν ὁρᾶτε στρατιὰν εὐοπλοῦσαν, οὐκ ἔτ' ἀντιτεταγμένην ὄψεσθε. πεσεῖται γὰρ πρόρριζος πᾶσα, καὶ βύθιος ἀφανισθήσεται, ὡς μηδὲ λείψανον αὐτῆς ὑπὲρ γῆς ἔτι φανῆναι, καὶ οὐ μακρῷ χρόνῳ, ἀλλὰ τῇ ἐπιούσῃ νυκτί. καὶ ὁ μὲν ταῦτα ἀπεφθέγγετο· καταδυομένου δ' ἡλίου, νότος εὐθὺς ἤρξατο καταπνεῖν βιαιότατος, ὑφ' οὗ τὸ πέλαγος ὑπανεχώρησεν. εἰωθὸς μὲν ἀμπωτίζειν, τότε δὲ καὶ μᾶλλον ὠθούμενον τὸ πρὸς αἰγιαλοῖς ὑπεσύρη, καθάπερ εἰς χαράδραν ἢ χάρυβδιν. ἀστὴρ τε προὔφαινεν οὐδείς, ἀλλὰ πυκνὸν καὶ μέλαν νέφος ἅπαντα τὸν οὐρανὸν ἐπεῖχε, ζοφώδους τῆς νυκτὸς οὔσης εἰς κατάπληξιν τῶν διωκόντων. προσταχθεὶς δὲ Μωϋσῆς, τῇ βακτηρίᾳ παίει τὴν θάλασσαν· ἡ δὲ ῥαγεῖσα διΐσταται, καὶ τῶν τμημάτων τὰ μὲν πρὸς τῷ ῥαγέντι μέρει μετέωρα πρὸς ὕψος ἐξαίρεται, καὶ παγέντα τρόπον τείχους κραταιῶς ἠρέμει καὶ ἡσύχαζε, τὰ δ' ὀπίσω σταθέντα καὶ χαλινωθέντα, τὴν εἰς τὸ πρόσω φορὰν καθάπερ ἡνίαις ἀφανέσιν ἀνεχαίτιζε· τὸ δὲ με-

A in tantis calamitatibus, incusabántque principem occlamantes: Num deerant sepulcreta in Ægypto, vt nos huc adductos necatósque sepelires in solitudine? nónne quæuis seruitus est morte leuior? inescasti plebeculam spe libertatis, vt adiret vitæ periculum. abusus es nostra simplicitate, quasi nescires Ægyptiorum maliciam & iracundiam. Non vides nullum patere nobis è tot malis instantibus effu-B gium? Quid agimus? inermes armatis occurremus? at fugiemus. quomodo, cum simus cincti ceu cassibus infestissimis hostibus, locis inuijs, & mari carente nauigijs? si tamen est nauigabile. His ille auditis ignoscebat, memor diuini oraculi: diuisisque mentis & sermonis officijs, eodem tempore, altera deprecabatur Deum tacitus vt eos è desperatis rebus eriperet: al-C tero confirmabat solabatúrque tumultuantes: Nolite animo concidere. aliud est humanum, aliud diuinum auxilium. cur tantum credibilibus sermonibus fidem accommodatis? noster adiutor nullis opus habet apparatibus. exitum inuenire in rebus dubijs est Deo proprium. solus ille plus quàm vniuersa creatura potest. His illos etiam tum sui compos hortabatur. paulo verò post iam afflatus familiari numine hæc cecinit: Exerci-D tus iste instructissimus vt videtis armis virisque, non terrebit vos postea. internecione totus delebitur submergetúrque, vt ne reliquiæ quidem eius in terra maneant, idque non post longum tempus, sed nocte proxima. Hoc ille tum responsum edidit: post solis autem occasum exortus est auster vehementissimus, qui mare tunc solitum cum æstu decedere, protrusit etiam vlterius nu-E datis littoribus, sicut fit in torrentum eluuie. nox quoque densis nubibus obscura nullis illustrabatur sideribus, quo magis caligo persequutoribus esset formidabilis. Tunc Moses iussus virga mare percutit. quo facto aquæ scinduntur, & altera pars in altum tollitur stans more parietis solida, altera ceu freno imposito vi occulta retrahitur: media scissura siccata

patentem latamque viam præbente ad populi transitum. Moses gaudens conspecto hoc tam prodigioso miraculo suis addebat animum, iubebatque castra mouere quàm possent celerrime. inter cunctandum autem nouum prodigium se obtulit. Nubes quæ hactenus viæ dux solita erat præcedere, tunc retrograda in extremo visa est agmine quasi ad eius custodiam, obiectu suo fugientes à persequentibus dirimens, illis muniens iter tutius, hos retardans & infringens impetum eorum celerem. quo portento Ægyptij perterriti, tumultu atque trepidatione complebant omnia; turbatis præ metu ordinibus incursantes in se inuicem, ac sero frustráque conantes fugere. Nam Hebræi summo mane per siccam viam traijciebant vnà cum vxoribus ac liberis. Hostes autem vndis marinis rursum in vnum coeuntibus mergebantur cum suis equis & curribus, æstum refluum voluentibus etiam aquilonis flatibus, vt ne ignifer quidem superstes relinqueretur, nunciaturus acceptam cladem Ægyptiis. At Hebræi stupentes quòd prodigiosam insperatamque sine sanguine nacti essent victoriam, & videntes hostem deletum momento temporis, duos choros, alterum virorum, alterum mulierum, statuerunt in littore, cecineruntque deo hymnos gratulatorios, præeunte carmen viris Mose, sorore verò huius mulieribus. nam hi choreas ductabant. Relicto deinde mari aliquandiu faciebant iter securum, erepti hostibus: sed cum per triduum aquam non inuenirent, rursum præ siti mœsti ad querelas reuertebantur, quasi nullo accepto beneficio. semper enim præsens molestia solet auferre memoriam voluptatis præteritæ. Conspectis deinde fontibus accurrunt læti, decepti vana spe tanquam hausturi. Amaræ enim erant aquæ, quarum gustu offensi defecerunt & animis & corporibus, non tam suam quàm puerorum vicem dolentes, quos petentes potum non poterant videre siccis oculis. nonnulli vero inconstantiores & parum certæ pietatis, etiam præte-

A σταίπατον ἐν ᾧ ἡ ῥῆξις ἐγεγένητο, ἀναξηρανθὲν, ὁδὸς εὐρεῖα καὶ λεωφόρος γίνεται. τοῦτ' ἰδὼν Μωϋσῆς, καὶ θαυμάσας, ἐγεγήθει, καὶ πληρωθεὶς χαρᾶς ἐθάρσυνε τοὺς ἰδίους, καὶ ᾗ τάχιστα προὔτρεπεν ἀναζευγνύναι· περαιοῦσθαι δὲ μέλλουσιν, σημεῖον ἐπιγίνεται τερατωδέστατον. ἡ γὰρ ὁδηγὸς νεφέλη προστατοῦσα τὸν ἄλλον χρόνον, ἀνακάμπτει πρὸς τὰ οὐραῖα τοῦ πλήθους, ὅπως ὀπισθοφυλακῇ, καὶ ἐλθοῦσα μεθόριος τῶν διωκόντων καὶ τῶν διωκομένων, B τοὺς μὲν ἡνιοχοῦσα σωτηρίως καὶ ἀσφαλῶς ἐπήλαυνε, τοὺς δ' ἀνεῖργε καὶ ἀνέκρουεν, ἐφορμᾶν ἐπιχειροῦντας. ἅπερ ὁρῶντες αἰγύπτιοι, θορύβου καὶ ταραχῆς πάντ' ἐπλήρουν, τάς τε τάξεις ὑπὸ δέους συνέχεον, ἐμπίπτοντες ἀλλήλοις, καὶ ζητοῦντες ἤδη φυγεῖν, ὅτ' οὐδὲν ἦν ὄφελος. οἱ μὲν γὰρ ἑβραῖοι διὰ ξηρᾶς ἀτραποῦ περὶ βαθὺν ὄρθρον μετὰ γυναικῶν καὶ παίδων ἔτι κομιδῇ νηπίων περαιοῦνται· τοὺς δὲ τὰ ῥήγματα τοῦ πελάγους ἑκατέρωθεν ἐπικυλισθέντα καὶ ἑνωθέντα, αὖθις C ἅρμασι καὶ ἵπποις καταποντοῖ, βορείοις πνεύμασι τῆς παλιρροίας ἀναχυθείσης, καὶ μετεώροις τρικυμίαις ἐπιδραμούσης, ὡς μηδὲ πυρφόρον ἀπολειφθῆναι τὸν ἀπαγγελοῦντα τοῖς ἐν Αἰγύπτῳ τὰς αἰφνιδίους συμφοράς. τὸ μέγα τοῦτο καὶ θαυμαστὸν ἔργον ἑβραῖοι καταπλαγέντες, ἀναιμωτὶ νίκην οὐκ ἐλπισθεῖσαν ἤραντο, καὶ κατιδόντες ἐν ἀκαρεῖ φθορὰν ἀθρόαν πολεμίων, δύο χοροὺς, τὸν μὲν ἀνδρῶν, τὸν δὲ γυναικῶν ἐπὶ τῆς ἠιόνος στήσαντες, εὐχαριστικοὺς ὕμνους εἰς τὸν θεὸν ᾖδον, D ἐξάρχοντος μὲν Μωϋσέως τοῖς ἀνδράσιν. ἀδελφῆς δὲ τούτου, ταῖς γυναιξίν. ἡγεμόνες γὰρ οὗτοι τῶν χορῶν ἐγεγένηντο. ἄραντες δ' ἀπὸ θαλάττης, μέχρι μέν τινος ὡδοιπόρουν, μηκέτι τὸν ἀπὸ τῶν ἐχθρῶν ὀρρωδοῦντες φόβον· ἐπιλιπόντος δὲ τοῦ ποτοῦ τρισὶν ἡμέραις, αὖθις ἐν ἀθυμίαις ἦσαν ὑπὸ δίψους, καὶ πάλιν ἤρξαντο μεμψιμοιρεῖν, ὡς μηδὲν εὖ προπεπονθότες· ἀεὶ γὰρ ἡ τοῦ παρόντος προσβολὴ δεινοῦ, τὰς ἐπὶ τοῖς προτέροις E ἀγαθοῖς ἡδονὰς ἀφαιρεῖται. θεασάμενοι δὲ πηγὰς, ἐπιτρέχουσιν ὡς ἀρυσόμενοι χαρᾶς ὑπόπλεοι, δι' ἄγνοιαν τῷ πλήθει ἀπατηθέντες· πικραὶ γὰρ ἦσαν. εἶτα γευσάμενοι, καμφθέντες ἐκ τῆς ἐλπίδος, τά τε σώματα παρεῖντο, καὶ τὰς ψυχὰς ἀναπεπτώκεσαν, οὐχ οὕτως ἐφ' αὑτοῖς, ὡς ἐπὶ τοῖς νηπίοις παισὶ στένοντες, οὓς ἀδακρυτὶ ποτὸν αἰτοῦντας ὁρᾶν οὐχ ὑπέμενον· ἔνιοι δὲ τῶν ὀλιγωρωτέρων καὶ πρὸς εὐσέβειαν ἀβεβαίων, καὶ τὰ προγεγονότα ᾐτιῶντο, ὡς οὐκ ἐπ' εὐεργεσίᾳ συμβάντα

μᾶλλον, ἢ διὰ μετουσίας ἀργαλεωτέρων συμφορῶν, ἄμεινον εἶναι λέγοντες τοῖς, οὐχ ἅπαξ ὑπὸ τῶν ἐχθρῶν ἀποθανεῖν, ἢ δίψει καταπολεῖσθαι. τὴν μὲν γὰρ ἄπονον καὶ ταχεῖαν τοῦ βίου μετάστασιν, ὁδὸν ἀθανασίας διαφέρειν τοῖς εὖ φρονοῦσι· θάνατον δ᾽ ὡς ἀληθῶς εἶναι τὸν βραδὺν καὶ μετ᾽ ἀλγηδόνων. ὃς ἐν τῷ τεθνάναι τὸ φοβερὸν, ἀλλ᾽ ἐν μόνῳ τῷ ἀποθνήσκειν ἐπιδεικνύμενον. τοιαύταις χρωμένων ὀλοφύρσεσι, πάλιν ἱκετεύει τὸν θεὸν ὁ Μωϋσῆς, ἐπιστάμενος τὴν ζώων, καὶ μάλιστα τῶν ἀνθρώπων ἀσθένειαν, καὶ τὰς τοῦ σώματος ἀνάγκας ἐκ τροφῆς ἠρτημένας, καὶ δεσποίναις χαλεπαῖς συνεζευγμένας βρώσει καὶ πόσει, συγγνῶναι μὲν τοῖς ἀθυμοῦσι, τὴν δὲ πάντων ἔνδειαν ἐκπλῆσαι, μὴ χρόνου μήκει, δωρεᾷ δ᾽ αὐτοπροθέτῳ καὶ ταχείᾳ, διὰ τὴν τοῦ θνητοῦ φυσικὴν ὀλιγωρίαν, ὀξὺν καιρὸν τῆς βοηθείας ἐπιποθοῦντος. ὁ δὲ τῇ ἵλεῳ αὐτοῦ δυνάμει φθάνει προεκπέμψας, καὶ διοίξας τὸ τοῦ ἱκέτου ἀκοίμητον ὄμμα τῆς ψυχῆς, ξύλον δείκνυσιν, ὃ προσέταξεν ἀράμενον εἰς τὰς πηγὰς καθεῖναι, τάχα μὲν καὶ κατεσκευασμένον ἐκ φύσεως, ποιοῦν δύναμιν, ἣ τάχα ἠγνόητο, τάχα δὲ καὶ τότε πρῶτον ποιηθὲν, εἰς ἣν ἔμελλεν ὑπηρετεῖν χρείαν. γενομένου δὲ τοῦ κελευσθέντος, αἱ μὲν πηγαὶ γλυκαίνονται μεταβαλοῦσαι πρὸς τὸ πότιμον, ὡς μηδὲ εἰ τὴν ἀρχὴν ἐγένοντό ποτε πικραὶ δύνασθαι διαγνῶναι, διὰ τὸ μηδ᾽ ἴχνος ἢ ζώπυρον τῆς ἀρχαίας κακίας εἰς μνήμην ὑπολελεῖφθαι. οἱ δὲ δίψος ἀκεσάμενοι μεθ᾽ ἡδονῆς διπλασίας ἐπὶ τῆς ἀπολαύσεως τὸ παρ᾽ ἐλπίδα συμβεβηκὸς ἀγαθὸν εὐφραίνει μᾶλλον ἔτι καὶ τὰς ὑδρίας πληρώσαντες, ἀνεζεύγνυσαν ὥσπερ ἀπὸ θοίνης καὶ ἱλαρᾶς εὐωχίας ἑστιαθέντες, καὶ μεθύοντες οὐ τὴν ἐν οἴνῳ μέθην, ἀλλὰ τὴν νηφάλιον, ἣν ἠκρατίσαντο τὰς προπόσεις λαβόντες παρὰ τῆς εὐσεβείας τοῦ προεστῶτος ἄρχοντος, ἀφικνοῦνται δὲ εἰς σταθμὸν δεύτερον, εὔυδρόν τε καὶ εὔδενδρον, Αἰλεὶμ ὠνομάζετο, πηγαῖς καταρρεόμενον δώδεκα, παρ᾽ αἷς φοινίκων στελέχη νέα εὐερνέστατα ἦν τὸν ἀριθμὸν ἑβδομήκοντα, τοῖς ὀξὺ τῇ διανοίᾳ βλέπειν δυναμένοις ἀγαθῶν τῷ ἔθνει ἐναργῆ σημεῖα καὶ δείγματα. φυλαὶ μὲν γάρ εἰσι τοῦ ἔθνους δώδεκα, ὧν ἑκάστη πηγῆς ἕξει λόγον εὐσεβοῦσα, χορηγούσης εὐσεβείας ἀενάους καὶ ἀδιαλείπτους καλὰς πράξεις. γενάρχαι δὲ τοῦ σύμπαντος ἔθνους ἑβδομήκοντα γεγόνασι, φοίνικι τῷ τῶν δένδρων ἀρίστῳ παρεικασθέντες προσηκόντως, ὃ καὶ ὀφθῆναι, καὶ καρπὸν

A rita incusabant, vt quæ non salutem afferrent, sed grauiorem perniciem, quòd multo satius esset hostili manu cadere, quàm siti excruciari insuper. illic enim esse citam mortem, vel potius ad immortalitatem transitum: hanc autem veram esse mortem, diuturnam simul ac cruciabilem, cum sensus eius magis quàm ipsa timeatur. In hac lamentatione populi rursum Moses supplex Deum precatur, vt gnarus imB becillitatis animalium, præsertim hominum, propter corporis necessitates, à cibo pendentium, & duro tantum ventri seruientium, det veniam desperantibus, & omnium egestatem expleat, idque sine dilatione, quando mortalium naturalis incuria celerem opem desideret. Ille facile exoratus aperit supplicis animæ oculum, & ostendit lignum, quod sublatum iussit in fontes immitti: siue vis ea natiua fuit, ignoC rata hactenus: siue tum primum ad præsentem vsum est indita. Quod vbi factum est, fontes dulcedinem acceperunt vt essent potabiles, ac si nunquam ante amari quicquam habuissent, adeò nullum relictum fuerat vestigium vitij pristini. Ad hunc modum extincta siti voluptas geminata contigit, quandoquidem quoties præter spem incidit, maiorem affert lætitiam. Impletis deinde hydrijs discesserunt tanquam D epulati in festiuissimo conuiuio, ebrietate non temulenta ebrij, sed illa sobria, quam meracam hauserant ex propinationibus sui principis pietati deditissimi: atque ita peruenerunt in stationem secundam, aquas habentem & arbores, cui nomen Ælim erat, riguam duodecim fontibus, apud quos erant septuaginta palmæ ramosæ ac virentissimæ, bonum omen genti afferentes, si quis obseruet oculis mentis perspicaciE bus. nam ea diuiditur in tribus duodecim, singulas fonti similes, vt quæ pietatis fluentis scateant, vnde indesinenter proficiscuntur præclara facinora. principes autem familiarum totius gentis fuere septuaginta, merito assimilati palmæ arborum præstantissimæ: quæ aspectu pulcherrima, fructum quoque fert optimum, & vitalem vim

A habet non in radicibus defossam vt cæteræ, sed in summo quasi cor sitam in ramorum medio, à quibus circumquaque stipatur ceu princeps à suis satellitibus. cuiusmodi natura est etiam mentis quæcunque sanctitatem degustauit. solet enim hæc sursum spectare & in sublimibus versari occupata contemplandis diuinis pulchritudinibus, naucifaciens terrenas, & hæc lusus reputans, illa seria. Non multum B deinde fluxit temporis, cum deficientibus cibarijs fame tentabantur, quasi per vices prementibus eos necessitatibus. Graues enim dominæ sitis & fames suo quæque tempore vrgebant, vt altera cessante, succederet altera: id verò afflictis erat molestissimum & intolerabile: qui postquam sibi videbantur euasisse sitis periculum, in famis insidias inciderant. Nec solum præsens grauabat inopia, sed C etiam in futurum commeatus desperatio. videntes enim vastam solitudinem, frugum sterilem, despondebant animum. nihil apparebat præter rupes asperas, aut campos salsuginosos saxosósve tumulos, aut arenarum aceruos altissimos. nusquam fluuius vel torrens vel perennis, nusquam fons, nulla sata, nullæ arbores, non mites, non siluestres, non volucre non terrestre animal, nisi venenosa repti- D lia perniciosa homini, serpentes & scorpij. Adhæc subibat animum copia & vbertas regionis Ægyptiæ, quam conferentes cum egestate premente, tanto magis indignabantur, tales voces iactantes alij apud alios: Libertatis spe migrauimus, nunc ne viuere quidem possumus. Felices nostri ducis pollicitationibus, reipsa sumus miserrimi omnium mortalium. Quis finis erit tam longi & inutilis iti- E neris? tum nauigationes, tum terrestres peregrinationes habent terminum aliquem propositum, vel portum frequentem commercijs, vel vrbem aut regionem quampiam. soli nos vagamur per inuias solitudines destituti spe rerum omnium. progredimur enim per deserta patentissimo similia pelago, & indies maior offert se vastitas. postquam nos inflauit vanis sermonibus, &

A ἐνδείκνυσθαι κάλλιστον, ὅπερ καὶ τὴν ζωτικὴν ἔχει δύναμιν, οὐκ ἐν ῥίζαις ὥσπερ καὶ τὰ ἄλλα κατορωρυγμένην, ἀλλ' ἀνώφυτον, καρδίας τρόπον, ἐν τῷ μεσαιτάτῳ τῶν ἀκρεμόνων ἱδρυμένην, ὑφ' ὧν οἷα ἡγεμονὶς ὄντως ἐν κύκλῳ δορυφορεῖται. τοιαύτην δὴ ἔχει φύσιν καὶ ἡ διάνοια τῶν γευσαμένων ὁσιότητος. ἄνω γὰρ μεμάθηκε βλέπειν τε καὶ φοιτᾶν, καὶ μετεωροπολοῦσα ἀεὶ καὶ τὰ θεῖα διερευνωμένη κάλλη, χλεύην τίθεται τὰ ἐπίγεια, ταῦτα μὲν παιδιάν, ἐκεῖνα δὲ σπουδὴν ὡς B ἀληθῶς νομίζουσα. μετὰ δὲ ταῦτ' οὐ πολὺς διῆλθε χρόνος, καὶ ἀπορίᾳ σιτίων ἐλίμωττον, ὥσπερ ἐκ διαδοχῆς ἀντεπιτιθεμένων τῶν ἀναγκαίων. δέσποιναι γὰρ χαλεπαὶ καὶ βαρεῖαι δίψα καὶ πεῖνα διακληρωσάμεναι τὰς κακώσεις ἐν μέρει προσέκειντο, καὶ συνέβαινε κατὰ τὴν τῆς προτέρας ἄνεσιν ἐπιγίνεσθαι τὴν ἑτέραν, ὅπερ ἦν τοῖς πάσχουσιν ἀφορητότατον, οἵ γε πρὸ μικροῦ δόξαντες ἀπηλλάχθαι δίψους, ἐφεδρεῦον κακὸν πεῖναν εὕ- C ρισκον. ἦν δὲ οὐ μόνον ἡ παροῦσα ἔνδεια χαλεπόν, ἀλλὰ καὶ ἡ πρὸς τὸν μέλλοντα χρόνον τῶν ἐπιτηδείων ἀπόγνωσις. ὁρῶντες γὰρ βαθεῖαν καὶ πολλὴν ἔρημον, καὶ καρπῶν ἀγονωτάτην, σφόδρα ἠθύμουν. πάντα γὰρ ἦσαν, ἢ τραχεῖαι καὶ ἀπορρῶγες πέτραι, ἢ ἁλμυρόγειος πεδιάς, ὄρη λιθωδέστατα, ἢ ψάμμοι βαθεῖαι πρὸς ἠλίβατον ὕψος ἀνατείνουσαι· καὶ προσέτι ποταμὸς οὐδείς, οὐκ αὐθιγενής, οὐ χειμάρρους, οὐδεμία πηγή, σπαρτὸν οὐδέν, οὐδὲ δένδρον, οὐχ ἥμερον, οὐ τῆς ἀγρίας ὕλης, D οὐ ζῷον πτηνόν, οὐ χερσαῖον, ὅτι μὴ τῶν ἑρπετῶν τὰ ἰοβόλα πρὸς ὄλεθρον ἀνθρώπων, ὄφεις καὶ σκορπίοι. εἶθ' ὑπομιμνησκόμενοι τῆς κατ' Αἴγυπτον εὐθηνίας καὶ εὐετηρίας, καὶ τὴν τῶν ἐκεῖ πάντων ἀφθονίαν ἀντιτιθέντες τῇ πάντων ἐνταῦθα ἐνδείᾳ, χαλεπῶς ἔφερον, καὶ πρὸς ἑτέρους ἕτεροι τοιαῦτα ἐλογοποίουν· ἐπ' ἐλευθερίας ἐλπίδι μετανασάντες, οὐδὲ τὸ ζῆν ἄδειαν ἔχομεν· οἱ ταῖς μὲν ὑποσχέσεσι τοῦ ἡγεμόνος εὐδαίμονες, ἐν δὲ τοῖς E ἔργοις τῶν ἀνθρώπων ἁπάντων κακοδαιμονέστατοι. τί τέλος ἔσται τῆς ἀνηνύτου καὶ μακρᾶς οὕτως ὁδοῦ. πᾶσι καὶ τοῖς πλέουσι, καὶ τοῖς πεζεύουσιν, ὅρος εἰς ὃν ἀφίξονται πρόκειται, τοῖς μὲν ἐμπόρια καὶ λιμένες, τοῖς δὲ πόλις τις ἢ χώρα· μόνοις δὲ ἡμῖν ἄβατος ἐρημία καὶ δυσοδία, καὶ χαλεπαὶ δυσελπιστίαι. προϊόντων γὰρ ὥσπερ ἀχανὲς καὶ βαθὺ πέλαγος ἀπέραντον ἀναφαίνεται, καὶ καθ' ἑκάστην ἡμέραν εὐρυνόμενον. μετεωρίσας καὶ φυσήσας ἡμᾶς τῷ λόγῳ, καὶ κενῶν ἐλπίδων τὰ

ὦτα πληρώσας, παρατείνει λιμῷ τὰς γαστέρας, οὐδὲ τὰς ἀναγκαίας ἐκπορίζων τροφάς· ἀποικίας ὀνόματι τοσαύτην πληθὺν ἠπάτησεν, ἐξ οἰκουμένης τε πρότερον εἰς ἀοίκητον ἀναγαγών, εἶτα καὶ εἰς ᾅδου προπέμπων, τὴν τοῦ βίου τελευταίαν ὁδόν. τοιαῦτ' ὀνειδιζόμενος, οὐχ οὕτως ἐπὶ τῇ εἰς αὐτὸν κακηγορίᾳ ἐδυσχέραινεν, ὡς ἐπὶ τῷ τῆς γνώμης αὐτῶν ἀνιδρύτῳ. πεπειραμένοι γὰρ μυρίων ὅσων ἐκ τοῦ παραλόγου συμβεβηκότων πραγμάτων παρὰ τὸ καθεστὼς ἔθος, ὤφειλον ὑπὸ μηδενὸς ἔτι τῶν εὐλόγων καὶ πιθανῶν ἄγεσθαι, πεπιστευκέναι δ' αὐτῷ, λαβόντες ἀποδείξεις ἐναργεστάτας, τῆς περὶ ἁπάντων ἀληθείας. πάλιν δ' ὅταν εἰς ἔννοιαν ἦλθε τῆς ἐνδείας, ἧς μεῖζον οὐδὲν κακὸν ἀνθρώποις ἐστί, συνεγίνωσκεν, ὄχλον εἰδὼς ἀβέβαιον φύσει πρᾶγμα καὶ ὑπὸ τῶν ἐν χερσὶ διακινούμενον, ἃ λήθην μὲν τῶν προγεγονότων ἐργάζεται, δυσελπιστίαν δ' εἰς τὰ μέλλοντα. πάντων οὖν ἐν ἐσχάταις ὄντων ἀθυμίαις, καὶ τὰς ἀνιαροτάτας προσδοκώντων συμφοράς, ἃς ἐνόμιζον ἐφεδρεύειν, καὶ ἐγγυτάτω παρεῖναι, τοῦτο μὲν, διὰ τὴν σύμφυτον ἐπιείκειαν καὶ φιλανθρωπίαν, τοῦτο δὲ βουλόμενος ὃν ἐχειροτόνησεν ἡγεμόνα τιμῆσαι, καὶ ἔτι μᾶλλον ὡς εὐσεβείας ἔχει καὶ ὁσιότητος ἔν τε τοῖς φανεροῖς κἂν τοῖς ἀδήλοις ἅπασι διαφανῆσαι, ὁ θεὸς ἐλεήσας, τὸ πάθος ἰᾶτο. ξένας οὖν εὐεργεσίας ἐκαινοτόμει, σαφεστέραις ὅπως ἐμφάσεσιν αἰσθάνωνται ἤδη μὴ δυσμαχεῖν, εἰ μὴ κατὰ γνώμην εὐθὺς ἀποβαίη, τλητικῶς δ' ὑπομένειν, χρηστὰ περὶ τῶν μελλόντων προσδοκῶντας. τί οὖν συνέβη. τῇ ὑστεραίᾳ περὶ τὴν ἕω, δρόσος βαθεῖα καὶ πολλὴ περὶ σύμπαν τὸ ἐν κύκλῳ τοῦ στρατοπέδου, τὸ ἀπένιφεν ἡσυχῇ, ἀνθ' ὑετὸν καὶ παρηλλαγμένον, οὐχ ὕδωρ, οὐ χάλαζαν, οὐ χιόνα, οὐ κρύσταλλον· ταῦτα γὰρ αἱ τῶν νεφῶν ἀπεργάζονται μεταβολαὶ ταῖς χειμεριναῖς τροπαῖς· ἀλλὰ κέγχρον βραχυτάτην καὶ λευκοτάτην, ἣ διὰ τὴν ἐπάλληλον φορὰν σωρηδὸν προὐκέχυτο πρὸ τῶν σκηνῶν ἄπιστος ὄψις· ἣν καταπλαγέντες ἐπυνθάνοντο τοῦ ἡγεμόνος, τίς ὁ ὑετὸς οὗτος ἐστίν, ὃν οὐδείς πω πρότερον εἶδεν ἀνθρώπων, καὶ πρὸς τί γέγονεν. ὁ δὲ καταπνευσθεὶς ἔνθους γίνεται, καὶ θεσπίζει τάδε· θνητοῖς μὲν δίδοται πεδιὰς ἡ βαθύγειος, ἣν ἀνατέμνοντες εἰς αὔλακας, ἀροῦσί τε καὶ σπείρουσι, καὶ τὰ ἄλλα τὰ κατὰ γεωργίαν δρῶσι, καρποὺς ἐτησίους ἐκπορίζοντες εἰς ἀφθονίαν τῶν ἀναγκαίων· θεῷ δ' οὐ μία μοῖρα τοῦ παντός, ἀλλ' ὁ σύμπας κόσμος ὑποβέβληται, καὶ τὰ τούτου μέρη πρὸς ἃς

A & aures spe repleuit; nunc ventres fame vexat, nec alimenta expediens necessaria. prætextu deducendæ coloniæ tantam decepit multitudinem, è locis cultis in inculta seductam: superest vt eam deducat ad inferos, quæ est via vitæ vltima. His opprobrijs petito non tam molestum erat male audire, quàm ferre hominum inconstantiam. experti enim plurima miracula præter solitum rerum ordinem, non debebant amplius suas coniecturas sequi vtcun-
B que probabiles, sed potius amplecti fidem cuius toties experimenta viderant. attamen cum reputaret nullam calamitatem esse grauiorem inopia, facile ignoscebat imperito vulgo & suapte natura mobili, tantum intento præsentibus, quæ tum præteritorum memoriam eximunt, tum in futurum spem adimunt. itaque mœstis omnibus & nihil præter extremam calamitatem expectantibus, im-
C minentem vt putabant capiti: Deus partim propria motus clementia, partim in honorem ducis suo iussu electi, quo magis eius pietatem sanctitatémque commendaret parem prosperis rebus & dubijs, miseriæ remedium exhibuit nouum & inauditum antea: vt tam manifestis signis sui fauoris præsentis reuerentiam eis induceret: ne ‖ quando non omnia cederent ex sententia, spem simul & patientiam abijce-
D rent. Quid igitur accidit? Postridie diluculo multum roris circum castra decidit paulatim niuis in morem, dissimilis huic vulgari & penè quotidiano, quippe qui nec aqua erat, nec grando, nec nix, nec glacies, quod genus nubes inuehunt hibernis tempestatibus: sed in milij speciem minutus candidissimúsque, vt aceruatim extra tabernacula iaceret mirando spectaculo. quo stupefacti scitabantur ex duce, quænam esset hæc nunquam ante visa
E pluuia, aut in quem vsum demissa. tum ille diuinitus hoc oraculum edidit: Mortalibus data sunt arua campestria sulcis proscindenda, vt sementem agricolis reddant cum fœnore prouentus annui, quantum satis sit ad rerum victui necessariarum copiam. at Deo non vna pars sed totus mundus subditur, cuius portiones pro potestate vertit in

vsus quoscunque vult. nunc sic illi visum est vt alimentis aer non aqua subseruiat, quandoquidem terra quoque solet producere pluuiam. Ægyptius fluuius quotannis arua inundans & irrigans, quid aliud est quàm terrestris pluuia? Miranda sanè res, etiamsi nihil accessisset noui præterea: accessit tamen quod magis mireris. afferebantur certatim vasa iumentis & humeris hominum, vt & in futurum commeatus sufficeret: sed non erat opus reponere, ex quo Deus decreuit recentia semper dona suggerere. Vrgenti necessitati abunde satis factum est, cunctis suauiter vescentibus: quicquid seruatum est in crastinum, totum perijt, ita corruptum vt fœteret scaterétque vermiculis. abiectis igitur his reliquijs inueniebant cibos alios, cum rore matutino depluentes quotidie. tum quoque septimo diei honor eximius est habitus. quoniam enim nihil operis eo die permittitur, à paruis magnísque cessatione indicta, ne feriæ violarentur propter vsum necessarium, duplum Deus pluebat pridie sabbati, iusso populo colligere quod duraret in biduum proximum, cibo tantisper incorrupto manente præter solitum. successit & aliud miraculum haudquaquam prætereundum silentio. per continuos quadraginta annos, toto illo tam diuturno itinere, necessarius victus non defuit iuxta semel institutum ordinem temporum, non secus quàm si ex horreis dimensum distribueretur singulis: simúlque discebant obseruationem illius diei sacratissimæ ac desideratissimæ. Cum enim iamdudum quæsissent quis esset mundi natalis, quo hoc vniuersum absolutum est, rem à suis maioribus ignoratam tandem didicerunt, non solum oraculo, verum etiam argumento manifestissimo. Videbant enim corrumpi (vt dixi) quicquid supererat diebus cæteris, quod autem depluebat pridie sabbati, duplum prouenire, duraréque in biduum. Vsus verò eius erat huiusmodi. prima luce collectum molebant aut terebant, deinde elixo quasi placentis vescebantur suauissime, absque pistoris opera. Imò

A ἂν ἐθέλῃ χρείας ὡς δεσπότῃ δοῦλα ὑπηρετεῖ. νυνὶ
δὴ ἔδοξεν αὐτῷ τὸν ἀέρα τροφὴν ἐνεγκεῖν ἀνθ'
ὕδατος, ἐπεὶ καὶ γῆ πολλάκις ὑετὸν ἀνέσχεν. ὁ γὰρ
ἐν Αἰγύπτῳ ποταμὸς καθ' ἕκαστον ἐνιαυτὸν ταῖς
ἐπιβάσεσι πλημμυρῶν ὅταν ἀρδεύῃ τὰς ἀρού-
ρας, τί ἕτερον, ἢ ὑετός ἐστι κάτωθεν ἐπινίφων.
παράδοξον μὲν δὴ τὸ ἕτερον ἔργον, εἰ καὶ ἐνταῦθα
ἔστη· νυνὶ δὲ, καὶ παραδοξοτέροις ἄλλοις ἐθαυμα-
τουργεῖτο. ἐπειγόμενοι γὰρ ἄλλος ἀλλαχόθεν ἀγ-
B γεῖα συνεκόμιζον, οἱ μὲν ἐπὶ τῶν ὑποζυγίων, οἱ
δὲ κατὰ τῶν ὤμων ἐπηχθισμένοι, προνοίᾳ τοῦ πρὸς
πλείω χρόνον ταμιεύσασθαι τὰ ἐπιτήδεια. ἦν δὴ
ἄρα ἀταμίευτα καὶ ἀθησαύριστα, δωρεὰς ἀεὶ νέας
ἐγνωκότος τοῦ θεοῦ χαρίζεσθαι. τὰ μὲν γὰρ πρὸς τὸ
τότε ἀναγκαῖα τε καὶ χρόνῳ αὐτάρκη κατασκευά-
σαντες, μεθ' ἡδονῆς προσηνέγκαντο. τὰ δ' αὖ
ὑπολειφθέντα εἰς τὴν ὑστεραίαν, οὐδὲν τι σῷον
εὕρισκον, ἀλλὰ μεταβεβληκότα, καὶ δυσώδη, καὶ
μεστὰ τῶν ἑρπετῶν ζώων, ἃ κατὰ σῆψιν εἴωθε γεννᾶ-
C σθαι. ταῦτα μὲν οὖν ἀπερρίπτουν κατὰ τὸ εἰκὸς, ἑ-
τέρας δὲ αὖ τὰς τροφὰς ἀνεύρισκον, αἳ ἅμα τῇ
δρόσῳ καθ' ἑκάστην ἡμέραν συνέβαινε νίφεσθαι.
γέρας δὲ ἐξαίρετον ἡ ἱερὰ ἑβδομὰς εἶχεν. ἐπεὶ γὰρ
οὐδὲν ἐφεῖται δρᾶν ἐν αὐτῇ. πάντων δὲ μικρῶν καὶ
μεγάλων ἔργων ἀνέχειν διείρηται, συγκομίζειν οὐ
δυναμένοις τότε τὰ ἐπιτήδεια, πρὸ μιᾶς ὁ θεὸς
ὗε διπλᾶ, καὶ κελεύει φέρειν εἰς δύο ἡμέρας αὐ-
τάρκη τροφὴν ἰσομέτρων· τὰ δὲ συγκομισθέντα σῷα
διέμενον, οὐδενὸς δὲ πρότερον φθαρέντος τοπαρά-
D παν. λέξω δὲ, καὶ τὸ ἔτι τούτου θαυμασιώτερον.
ἐπὶ γὰρ ἔτη τεσσαράκοντα, τοσοῦτον μῆκος αἰῶνος
ὁδοιποροῦσι αὖθις αἱ χορηγίαι τῶν ἀναγκαίων ἐν
τάξεσι τῶν εἰρημένων ἐγίνοντο, καθάπερ ἐν σιταρ-
χίαις μεμετρημέναις πρὸς τὰς ἐπιβαλλούσας ἑκά-
στοις διανομάς. ἅμα μέντοι καὶ τὴν περιπόθητον
ἡμέραν αἰεὶ ἐδιδάσκοντο. ζητοῦντες γὰρ ἐκ πολλοῦ,
τίς ἄρα ἡ τοῦ κόσμου γενέθλιος, ἐν ᾗ τόδε τὸ πᾶν
ἀπετελέσθη, καὶ παρὰ πατέρων καὶ προγό-
E νων τὴν ζήτησιν ἄλυτον διαδεξάμενοι, μόλις
ἠδυνήθησαν εὑρεῖν, οὐ μόνον χρησμοῖς ἀναδι-
δαχθέντες, ἀλλὰ καὶ τεκμηρίῳ πάνυ σαφεῖ·
τοῦ γὰρ πλεονάζοντος ἐν ταῖς ἄλλαις ἡμέραις,
ὡς ἐλέχθη, φθειρομένου, τὸ περὶ τῆς ἑβδόμης
ὑόμενον οὐ μόνον οὐ μετέβαλεν, ἀλλὰ καὶ μέ-
τρον εἶχε διπλάσιον. ἡ δὲ χρῆσις ἦν τοιάδε· συλ-
λέγοντες ἅμα τῇ ἕῳ τὸ νιφόμενον, ἤλεσαν ἢ ἔ-
τριβον, εἶθ' ἕψοντες ἡδεῖαν πάνυ τροφὴν, οἷα
μελίπηκτον προσεφέροντο, μὴ δεόμενοι σιτο-

A πόνων προσεργασίας· ἀλλὰ γὰρ καὶ τῶν εἰς ἁβροδίαιτον βίον οὐκ εἰς μακρὰν εὐπόρουν, ὅσαπερ ἐν οἰκουμένῃ χώρᾳ, καὶ εὐδαίμονι, βουληθέντος τοῦ θεοῦ κατὰ πολλὴν περιουσίαν ἄφθονα χορηγεῖν ἐν ἐρημίᾳ. ταῖς γὰρ ἑσπέραις ὀρτυγομητρῶν νέφος συνεχὲς ἐκ θαλάττης ἐπιφερόμενον, πᾶν τὸ στρατόπεδον ἐπεσκίαζε, τῆς πλησίον προσγειότατα πετόμενον εἰς τὸ εὔθηρον. συλλαμβάνοντες οὖν καὶ σκευάζοντες ὡς φίλον ἑκάστοις, κρεῶν ἀπήλαυον ἡδίστων, ἅμα καὶ τὴν ἐδωδὴν παρηγοροῦντες ἀναγ- B καίῳ προσοψήματι. τούτων μὲν οὖν πολλὴν ἦγον ἀφθονίαν οὐκ ἐπιλειπόντων· ὕδατος δὲ καὶ πάλιν πιέσασα ἔνδεια αὖθις ἐπεγίνετο, καὶ πρὸς ἀπόγνωσιν ἤδη τραπομένων σωτηρίας, λαβὼν Μωϋσῆς τὴν ἱερὰν ἐκείνην βακτηρίαν, δι' ἧς τὰ κατ' Αἴγυπτον ἀπετέλεσε σημεῖα, θεοφορηθεὶς τὴν ἀκρότομον παίει πέτραν· ἡ δ' εἴτε προϋποκειμένης πηγῆς φλέβα καιρίῳ διακοπεῖσα, εἴτε καὶ τότε πρῶτον ὕδατος ἀθρόου δι' ὑπονόμων εἰς αὐτὴν ἀθρόον συρρυέντος, καὶ σφόδρα ἐκθλιβέντος ἀνα- C στομωθεῖσα τῇ βίᾳ τῆς φορᾶς, κρουνηδὸν ἐκχεῖται, ὡς μὴ τότε μόνον παρασχεῖν ἄκος δίψους, ἀλλὰ καὶ πρὸς πλείω χρόνον τοσαύταις μυριάσιν ἀφθονίαν ποτοῦ. τὰ γὰρ ὑδρεῖα πάντ' ἐπλήρωσαν, ὡς καὶ πρότερον ἀπὸ τῶν πηγῶν. αἳ πικραὶ μὲν ἦσαν φύσει, μετέβαλον δ' ἐπιφροσύνῃ θείᾳ πρὸς τὸ γλύκιον. εἰ δέ τις τούτοις ἀπιστεῖ, θεὸν οὔτ' οἶδεν, οὔτ' ἐζήτησε πώποτε. ἔγνω γὰρ ἂν εὖ ἴσως, ἔγνω παγίως καταλαβών, ὅτι τὰ παράδοξα δὴ ταῦτα D καὶ παράλογα, θεοῦ παίγνιά εἰσιν, ἀπιδὼν εἰς τὰ τῷ ὄντι μεγάλα καὶ σπουδῆς ἄξια, γένεσιν οὐρανοῦ, καὶ πλανήτων καὶ ἀπλανῶν ἀστέρων χορείας, καὶ φωτὸς ἀνάλαμψιν, ἡμέρας μὲν ἡλιακοῦ, νύκτωρ δὲ τοῦ διὰ σελήνης, καὶ γῆς ἵδρυσιν ἐν τῷ μεσαιτάτῳ τοῦ παντός, ἠπείρων τε καὶ νήσων ὑπερβάλλοντα μεγέθη, καὶ ζώων καὶ φυτῶν ἀμυθήτους ἰδέας, ἔτι δὲ καὶ πελαγῶν ἀναχύσεις, ποταμῶν ἀοιδίμων καὶ χειμάρρων φοράς, ἀενάων ῥεῖθρα πηγῶν, ὧν αἱ μὲν ψυχρῶν, αἱ δὲ θερμῶν ὑδάτων E ἀνομβροῦσι πηγάς· ἀέρος παντοίας τροπάς, ἐτησίων ὡρῶν διακρίσεις, ἄλλα κάλλη μυρία. ἐπιλίποι ἂν ὁ βίος τοῦ βουλομένου διηγεῖσθαι τὰ καθ' ἕκαστα, μᾶλλον δ' ἕν τι τῶν ὁλοσχερεστέρων μερῶν τοῦ κόσμου, κἂν εἰ μέλλοι πάντων ἀνθρώπων ἔσεσθαι μακροβιώτατος. ἀλλὰ ταῦτα μὲν πρὸς ἀλήθειαν ὄντα θαυμάσια, καταπεφρόνηται τῇ συνηθείᾳ· τὰ δὲ μὴ ἐν ἔθει κἂν μικρὰ ᾖ, ξέναις φαντασίαις ἐνδιδόντες καταπεπλήγμεθα τῇ φιλοκαινίᾳ.

A ne delicatioribus quidem cibis diu caruerunt, quales habentur in regionibus habitatis & felicibus, Deo proferente suas opes in solitudine. vespertinis enim horis coturnicum nubes aduolabat à mari tota castra inumbrans, terræ tam propinqua, vt facile præberet aucupium. has capiendo coquendóque vt cuique libebat, fruebantur carnibus optimis, ne desiderarent obsonia. In B hac copia ciborum interuenit magna potus inopia: iámque deplorata erat salus omnium, cum Moses sumpta sacra illa virga per quam in Ægypto prodigia patrauerat, numine correptus rupem percutit. quæ seu vena opportuno ictu aperta, seu aquis tum primum eò corriuatis per occultos cuniculos, erumpentibúsque præ impetu, more fontis tantum profudit, quantum & ad sitis remedium, & ad diuturnam C aquationem sufficit tot milibus. omnes enim hydrias impleuerunt, sicut prius ad fontes amaros in dulcem naturam versos Dei prouidentia. quod si quis huic narrationi non credit, non nouit Deum, nec quærit noscere. alioqui certo certius sciret, miracula ista esse Dei ludicra, collata cum serijs operibus: quale est creatio cæli cum fixis erraticísque sideribus, lucis, diei solísque productio, itidémque nocturni lunaris luminis, ter- D ræ fundatio in rerum meditullio, insularum & continentis immensa magnitudo, animalium stirpiúmque in tot species diuisa varietas: adhæc maris æstuaria, fluuiorum cursus tam perennium quam torrentium, latices fontium perpetuo manantium, alibi frigidorum, calidorum alibi: præterea tot mutationes aeris, tempora discreta annuis horarum vicibus, aliæque pulcherrimæ res innumeræ, quibus recen- E sendis vix tota hominis vita sufficiat, quæ nec ad vnius cuiuspiam mundi partis miracula singulatim excutienda satis sit, etiamsi contingeret longissima. Verum ista cùm digna sint admiratione maxima, contemnuntur propter consuetudinem. quæ autem insusitata sunt, quamuis minora, miramur indulgentes nouis imaginationibus. Tandem post pererratas diu solitudi-

nes inuias apparuerunt quidam terræ habitabilis termini, ceu suburbana regionis eius quam sibi destinauerant. habitabatur autem à Phœnicibus. hic sperantes vitam quietam tranquillámque, multum opinione sua falsi sunt. nam regionis eius rex populationem agrorum metuens, excita oppidatim iuuentute, opposuit se vt arceret eos à transitu. quod si armis viam sibi aperire conarentur, aggrederetur integris viribus & recenti milite fessos itineribus & commeatuum inopia aquarúmque penuria, quibus illi necessitatibus laborabant alternantibus. At Moses re per exploratores cognita non longe ab hoste castra metatus est, delectu iuniorum habito, imperatorem his Iesum præficiens vnum è minoribus ducibus, ipse properauit ad quærendum maius auxilium. purificatus enim solemnibus lustrationibus ascendit propinquum tumulum, suppliciter Deum inuocans vt Hebræis daret victoriam, quos liberasset à grauioribus periculis, depulsa non solum hominum violentia, verum etiam lue quæ corruptis elementis Ægyptios infestauerat, atque etiam per totum iter fame alias ineuitabili. cum autem starent vtrinque instructæ acies, nouum accidit prodigium in ipsius prophetæ manibus, modo leuissimis, modo mire grauibus. quæ quoties leuitatem recipiebant, ad cælum sublatæ confirmabant socios ad rem gerendam fortiter: quoties verò degrauabantur, præualebat hostilis acies, Deo significante, quòd alterorum propria hæreditas sit terra mundi pars infima, alterorum æther sacratissimus, & quemadmodum in rerum vniuersitate cælum est terra potius, sic etiam populum suum bello superaturum aduersam aciem. Cum igitur aliquantisper manus bilancis in morem nunc sursum tollerentur nunc deorsum vergerent, certaretúrque marte dubio, tandem repente velut pinnas habentes pro digitis sublatæ volitabant per aerem manentes in sublimi, donec Hebræis certa victoria contigit internecione deletis hostibus, & clade iusta domitis ab his quos iniustis armis lacessebant. Tunc Moses altare dedicauit, quod ex re nominauit Dei refugium, in quo vota persoluit mactatis victimis. Post prælium decreuit exploratores ad inspiciendas sedes

A ἤδη δὲ πολλὴν καὶ ἀπόρευτον διεξεληλυθότων, ὅροι
τινὲς ἀνεφαίνοντο γῆς οἰκουμένης καὶ προάστεια χώ-
ρας, εἰς ἣν μεθορμίζοντο· ἐνέμοντο δ᾽ αὐτὴν
Φοίνικες· ἐλπίσαντες δὲ βίον εὔδιον καὶ γαληνὸν
αὐτοῖς ἀπαντήσεσθαι, γνώμης ἐσφάλησαν. ὁ γὰρ
προκαθήμενος βασιλεὺς πόρθησιν εὐλαβηθεὶς,
ἀναστήσας τὴν ἐκ τῶν πόλεων νεότητα, μάλιστα
μὲν ἀνείρξων ὑπηντίαζεν· εἰ δὲ βιάζοιντο, διὰ χει-
ρῶν ἀμυνούμενος ἀκμῆσι καὶ ἄρτι πρῶτον κα-
B θισταμένοις εἰς ἀγῶνα, κεκμηκότας ὁδοιπορίαις καὶ
ἐνδείαις σιτίων καὶ ποτῶν, ἃ κατὰ μέρος ἀντεπετί-
θετο. Μωϋσῆς δὲ παρὰ τῶν σκοπῶν γνοὺς οὐ μα-
κρὰν διεστηκότα τὸν ἐχθρῶν στρατὸν, καταλέξας τοὺς
ἡβῶντας, καὶ στρατηγὸν ἑλόμενος ἕνα τῶν ὑπάρχων
Ἰησοῦν, πρὸς τὴν μείζονα συμμαχίαν αὐτὸς ἠ-
πείγετο. περιρρανάμενος γὰρ τοῖς εἰωθόσι καθαρ-
μοῖς, ἐπὶ κολωνὸν τὸν πλησίον μετὰ σπουδῆς ἀνα-
δραμὼν, ἱκέτευε τὸν θεὸν ὑπερασπίσαι, καὶ νίκην καὶ
κράτος περιποιῆσαι τοῖς Ἑβραίοις, οὓς ἐκ χαλεπω-
C τέρων κινδύνων καὶ κακῶν ἄλλων ἐρρύσατο, μὴ
μόνον τὰς ἐξ ἀνθρώπων ἐπιτειχισθείσας συμ-
φορὰς ἀποσκεδάσας, ἀλλὰ καὶ ὅσας ὅ, τε τῶν στοι-
χείων νεωτερισμὸς ἐκαινούργησε κατ᾽ Αἴγυπτον,
καὶ ὁ ἐν τῇ ὁδοιπορίας ἀλεύωτος λιμός. ἤδη δὲ μελ-
λόντων εἰς μάχην καθίστασθαι, τερατωδέστατόν τι
συμβαίνει πάθος περὶ τὰς χεῖρας αὐτοῦ. κουφόταται
γὰρ ἐγένοντο ἐν μέρει καὶ βαρύταται· εἶθ᾽ ὁπότε μὲν
ἐπελαφρίζοντο πρὸς ὕψος αἰρόμεναι, τὸ συμμα-
D χικὸν ἐρρώννυτο, καὶ ἀνδραγαθιζόμενοι ἐπικυδέστε-
ροι ἐγίνετο· ὁπότε δὲ κάτω βρίθοιεν, ἴσχυον οἱ ἀντί-
παλοι, μηνύοντος διὰ συμβόλων τοῦ θεοῦ, ὅτι τοῖς
μὲν ἐστὶ γῆ καὶ αἱ τοῦ παντὸς ἐσχατιαὶ, κλῆρος οἰ-
κεῖος, τοῖς δ᾽ αἰθὴρ ὁ ἱερώτατος· καὶ ὥσπερ ἐν τῷ
παντὶ βασιλεύει, καὶ κατακρατεῖ γῆς οὐρανὸς, οὕ-
τω καὶ τὸ ἔθνος περιέσεσθαι τῶν ἀντιπολεμούντων.
ἄχρι μὲν οὖν τινὸς αἱ χεῖρες οἷα πλάστιγγες, ἐν
μέρει μὲν ἐπεκουφίζοντο, ἐν μέρει δ᾽ ἐπέρρεπον,
ἡνίκα καὶ ὁ ἀγὼν ἀμφήριστος ἦν· ἐξαπιναίως δ᾽
E ἀβαρεῖς γενόμεναι, δακτύλοις ἀντὶ ταρσῶν χρώ-
μεναι, μετέωροι πρὸς ὕψος ἠρθησαν, καθάπερ
αἱ πτηναὶ φύσεις ἀεροπορεῦσαι, καὶ διέμενον ἀνώ-
φοιτοι, μέχρι τοῦ τὴν νίκην Ἑβραίους ἀνανταγώνιστον
ἄρασθαι, τῶν ἐχθρῶν ἡβηδὸν ἀναιρεθέντων, ἅπερ τε
διαθεῖναι παρὰ τὸ προσῆκον ἐσπούδαζον, παθόν-
των μετὰ δίκης. τότε καὶ Μωσῆς ἱδρύεται βωμὸν, ὃν
ἀπὸ τῶν συμβεβηκότων ὠνόμασε θεοῦ καταφυγὴν,
ἐφ᾽ οὗ τὰ ἐπινίκια ἔθυε, χαριστηρίους εὐχὰς ἀποδι-
δούς· μετὰ τὴν μάχην ταύτην, ἔγνω δεῖν τὴν χώραν
εἰς

εἰς ἣν ἀποικίζεσθαι τὸ ἔθνος, κατασκέψασθαι· δεύτερον δ' ὁδοιποροῦσιν ἔτος ἐνεστήκει· βουλόμενος μὴ οἷα φιλεῖ, γνωσιμαχεῖν οὐκ εἰδότας, ἀλλ' ἀκοῇ προμαθόντας αὐτὴν, ἐπιστήμῃ τῇ ἐκεῖ βεβαίᾳ χρωμένους, ὃ πρακτέον, ἐκλογίζεσθαι· δώδεκα δ' ἰσαρίθμους ταῖς φυλαῖς ἄνδρας ἐξ ἑκάστης ἕνα φύλαρχον αἱρεῖται, τοὺς δοκιμωτάτους ἀριστίνδην προκρίνας, ἵνα μηδεμία μοῖρα πλέον ἢ ἔλαττον ἐνεστηκαμένη διαφέρηται. πᾶσαι δ' ἐξ ἴσου διὰ τῶν ἐν τέλει τὰ παρὰ τοῖς κατοίκοις, εἰ βουληθεῖεν οἱ πεμφθέντες ἀψευδεῖν, ἐπιγνῶσιν. ἑλόμενος δ' αὐτοὺς, φησί· τὰ ὑπὲρ τῶν ἀγώνων καὶ κινδύνων οὓς ὑπέστημεν καὶ μέχρι νῦν ὑπομένομεν, ἆθλόν εἰσιν αἱ κληρουχίαι, ὧν τὰς ἐλπίδας μὴ διαμάρτοιμεν, ἔθνος πολυανθρωπότατον εἰς ἀποικίαν παραπέμποντες· ἔστι δ' ὠφελιμώτατον ἡ τόπων καὶ ἀνθρώπων καὶ πραγμάτων ἐπιστήμη, ὥσπερ ἡ ἄγνοια βλαβερόν. ὑμᾶς οὖν ἐχειροτονήσαμεν, ἵνα ταῖς ὑμετέραις ὄψεσί τε καὶ διανοίαις τὰ ἐκεῖ θεασώμεθα· γένεσθε δὴ τῶν τοσούτων μυριάδων ὦτα καὶ ὀφθαλμοὶ πρὸς τὴν τῶν ἀναγκαίων εἰδέναι σαφῆ κατάληψιν. ἃ δὲ γνῶναι ποθοῦμεν, τρία ταῦτ' ἐστίν· οἰκητόρων πλῆθός τε καὶ δύναμιν, πόλεων τὴν ἐν εὐχερείᾳ θέσιν, καὶ ἐν οἰκοδομαῖς ἐχυρότητα, ἢ τοὐναντίον· χώραν, εἰ βαθύγειός ἐστι καὶ πίων, εἰ ἀγαθὴ παντοίους καρποὺς ἐνεγκεῖν σπαρτῶν τε καὶ δένδρων, ἢ λεπτόγεως ἔμπαλιν, ἵνα πρὸς μὲν ἰσχὺν καὶ πλῆθος οἰκητόρων ἰσορρόποις δυνάμεσι φραξώμεθα, πρὸς δὲ τὴν ἐν τοῖς τόποις ἐρυμνότητα μηχανήμασι καὶ ταῖς ἑλεπόλεσιν· ἀναγκαῖον δὲ καὶ τὴν χώραν εἰδέναι, εἰ ἀρετῶσα, ἢ μή. περὶ γὰρ λυπρᾶς ἑκουσίους κινδύνους ὑπομένειν, ἠλιθιότητος· τὰ δ' ὅπλα καὶ μηχανήματα ἡμῶν, καὶ πᾶσα ἡ δύναμις ἐν μόνῳ τῷ πιστεύειν θεῷ κεῖται. ταύτην ἔχοντες τὴν παρασκευὴν, οὐδενὶ τῶν φοβερῶν εἴξομεν. ἰσχύει γὰρ ἀμάχους ῥώμας, εὐεξίαις, τόλμαις, ἐμπειρίαις, πλήθεσιν, ἐκ πολλοῦ τοῦ περιόντος κατακρατεῖν, δι' ἣν καὶ ἐν ἐρήμῃ βαθείᾳ χορηγίαι πάντων εἰσὶν, ὅσα ἐν εὐετηρίᾳ πόλεων· ὁ δὲ καιρὸς ἐν ᾧ μάλιστα χώρας ἀρετὴν δοκιμάζεσθαι συμβέβηκεν, ἔαρ ἐστὶν, ὃ νῦν ἐφέστηκεν. ὥρα γὰρ ἔαρος, τὰ μὲν σπαρέντα τελεσφορεῖται, γενέσεως δὲ τῶν δένδρων φύσεις ἀρχὴν λαμβάνουσιν. ἄμεινον δ' ἂν εἴη καὶ ἐπιμεῖναι μέχρι θέρους ἀκμάζοντος, καὶ διακομίσαι καρποὺς, οἱονεὶ δείγματα χώρας εὐδαίμονος. ταῦτ' ἀκούσαντες ἐπὶ τὴν κατασκοπὴν ἐξῄεσαν, ὑπὸ παντὸς τοῦ πλήθους προπεμπόμενοι, δεδιότος μὴ συλληφθέντες ἀπόλωνται, καὶ συμβῇ δύο τὰ χαλεπώτατα,

A genti suæ destinatas mittere, anno secundo postquam iter ingressi fuerant: ne forte more solito per ignorantiam dissentirent à ducis consilio: vtque re auditu cognita, quid agendum esset in commune dispicerent. missi sunt è duodecim tribubus totidem principes electi ex optimatibus, vt omnium esset par autoritas: vtque ex æquo tribus omnes de statu regionis cognoscerent ex honoratioribus, si modo illi renunciare vera voluerint.
B Electos autem sic alloquitur: Certaminum ac periculorum quæ sustinuimus & sustinemus hodieq; præmium erit agrorum diuisio, quam spem ratã faxit Deus optimus maximus, vt gentẽ frequentissimam deducamus in coloniã. profuerit autem plurimum locorum, hominum, rerum cõditionem pernoscere, sicut ignorat e hęc est noxiũ. ideo vos eleginius, vt vestris oculis atque mentibus illa inspiceremus. eritis igitur tot milibus pro auribus & oculis, vt
C cognoscatis quæ nos scire oportet, nimirum tria hæc: incolarum frequentiam ac potentiam, vrbium situm, munitæ sint an sine munitionibus: postremo quænam sit agri natura, num ferax & apta vinetis, arbustis atque segetibus, an contrà sterilis: vt aduersus vires copiasque incolarum instruamus nos legionibus quas illis tuto possimus opponere, contra locorum autem difficultates machinis oppugnatoriis. naturam
D quoque regionis scire necessum est, bona sit an non. alioqui pro possessione sterilium agrorum vltro subire pericula, summa stulticia fuerit. arma autem nostra & machinæ atque copiæ sitæ sunt in sola erga Deum fiducia. hoc apparatu freti nullis cedemus terroribus: hoc vincemus, etiamsi fuerimus inferiores robore, habitudine, audacia, peritia, copiis: hoc instructi etiam in vasta solitudine nihil requisiuimus eorum quæ habentur in vrbi-
E bus. tempus quoque nunc est explorationi aptissimum, vernum videlicet, quando ad maturitatem tendunt segetes, & arborum fructus proferre se incipiunt. præstat tamen differre in æstatem reditum, & afferre aliquid fructuum, quod sit regionis eius vbertatis specimen. His auditis ad explorandum proficiscuntur deducente vniuersa multitudine, solicita ne comprehensi luant supplicium, & accipiatur geminum incommodum,

virorum tributim selectorum interitus, cum ignoratione rerum hostilium quarum petebatur noticia. habebant autem secum duces peritos locorum, quos sequebantur in itinere. cumque appropinquassent finibus, ascenso monte altissimo contemplabantur regionem magna ex parte campestrem, feracem hordei, tritici, atque pabuli. montana quoque vitibus & arbustis erant consita, vbique virentia, distinctaque riuis ac fontibus ad aquandi copiam, vt à radicibus vsque cacumina tota latera montium opaca essent continuis arboribus, præsertim iuga & valles mediæ. videbant etiam vrbes natura simul & arte munitas egregie. amplius deinde inquirendo videbant incolarum immensum numerum, gignantibus similium proceritate ac robore. hæc vt diligentius perspicerent, hæserunt ibi diutius, ne fallerentur primo intuitu, sed certiores menti notas imprimerent. simulque curauerunt vt decerptos arborum fructus iam semimaturos suis tribulibus ostenderent, eos præcipue qui non corrumpuntur facile. sed nihil magis quàm vitis fructum mirabantur. pendebant enim prægrandes vuæ de palmitibus, spectaculum vix credibile. harum vnam exectam suspenderunt è vecte medio, cuius extrema imposuerunt humeris duorum iuuenum, atque ita deportabant alijs post alios propter pondus succedentibus. de cætero non consentiebant. In itinere conuenire eis non poterat quid renunciandum esset de communi sententia, ne quid seditionis orietur in populo, sed hoc fuit leuius. post reditum extitit maior discordia. alij de vrbium munimentis & ciuium frequentia narrantes, attollentesque in maius omnia, verbis territabant concionem: alij contrà eleuabant quicquid viderant, hortando vt forti essent animo, & coloniam quærerent, consecuturi ad primum clamorem victoriam. nullam vrbem laturam tantæ multitudinis simul ingruentis impetum, nec parem futuram incumbenti oneri. Atque ita vtrique inuenerunt in plebe quos imbuerent suis affectibus, ignauia timidi, fortes

A ἀνδρῶν τε οἳ φυλῆς ἑκάστης ὄψις ἦσαν σφαγαί, καὶ ἄγνοια τῶν περὶ τοῖς ἐφεδρεύουσιν ἐχθροῖς, ὧν ὠφέλιμος ἡ ἐπιστήμη. παραλαβόντες δ' ὁδηγέτας καὶ ἡγεμόνας τῆς ὁδοῦ, προερχομένοις ἐφείποντο· καὶ γενόμενοι πλησίον, ἐφ' ὑψηλότατον ὄρος τῶν περὶ τὸν τόπον ἀναδραμόντες, κατεθεῶντο τὴν χώραν, ἧς πεδιὰς μὲν ἦν πολλὴ κριθοφόρος, πυροφόρος, εὔχορτος· ὀρεινὴ δ' σὺν ἐλατῶν ἀμπέλων καὶ στελεχῶν ἄλλων καταπλέως, εὔδενδρος, ἅπασα λάσιος, ποταμοῖς καὶ πηγαῖς διεζωσμένη πρὸς ἀφθόνους ὑδρείας, ὡς ἐκ B τῶν προπόδων ἄχρι τῶν κορυφῶν ὅλα τῶν ὀρῶν τὰ κλίματα, δένδρεσι κατασκίοις συνυφᾶσθαι, διαφερόντως δὲ τοὺς αὐχένας, καὶ ὅσαι βαθεῖαι διαφύσεις. κατεθεῶντο δὲ καὶ τὰς πόλεις ἐρυμνοτάτας διχόθεν, ἔκ τε τοπικῆς περὶ τὴν θέσιν εὐκαιρίας, καὶ περιβόλων ἐχυρότητος· ἐξετάζοντες δὲ καὶ τοὺς οἰκήτορας, ἑώρων ἀπείρους τὸ πλῆθος, περιμηκεστάτους γίγαντας, ἢ γιγαντώδεις ταῖς τῶν σωμάτων ὑπερβολαῖς, ἔν τε μεγέθεσι καὶ ῥώμαις. ταῦτα κα- C τιδόντες, εἰς ἀκριβεστέραν κατάληψιν ἐπέμενον· ὀλισθηραὶ γὰρ αἱ πρῶται φαντασίαι, χρόνῳ μόλις ἐνσφραγιζόμεναι· καὶ ἅμα σπουδὴν ἐποιοῦντο δρεψάμενοι τῶν ἀκροδρύων, μὴ ἄρτι πρῶτον σειριφουμένων, ἀλλ' ἤδη ὑποπερκαζόντων, ἐπιδείξασθαι τοῖς ἐν τῷ πλήθει, τὰ μὴ ῥᾳδίως φθαρησόμενα. μάλιστα δ' αὐτοὺς κατέπληττεν ὁ τῆς ἀμπέλου καρπός. οἱ γὰρ βότρυες ὑπερμεγέθεις ἦσαν, ἀντιπαρεκτεινόμενοι τοῖς κληματίσι καὶ μοσχεύ- D μασιν, ἄπιστος θέα. ἕνα γοῦν ἐκτεμόντες, καὶ δοκίδος ἐκ μέσων ἀπαιωρήσαντες, ἧς τὰς ἀρχὰς δυσὶ νέοις, τῷ μὲν ἔνθεν, τῷ δὲ ἔνθεν ἐπιθέντες, ἐκ διαδοχῆς πιεζομένων αἰεὶ τῶν προτέρων· βαρύτατον γὰρ ἦν ἄχθος, ἐκόμιζον· περὶ τῶν ἀναγκαίων οὐχ ὁμοφρονοῦντες. ἐγένοντο μὲν οὖν αὐτοῖς ἅμιλλαι μυρίαι, καὶ πρὶν ἐπανήκειν κατὰ τὴν ὁδόν, ἀλλὰ κουφότεραι, ὑπὲρ τοῦ μὴ γνωσιμαχούντων μηδ' ἀλλ' ἢ ἄλλων ἀπαγγελλόντων στάσιν ἐν τῷ πλήθει γενέ- E σθαι· χαλεπώτεραι δὲ μετὰ τὴν ἐπάνοδον. οἱ μὲν γὰρ περὶ τῆς τῶν πόλεων ἐχυρότητος, καὶ ὡς ἑκάστη πολυάνθρωπός ἐστι διεξιόντες, καὶ πάντα αἴροντες τῷ λόγῳ πρὸς τὸ μεγαλεῖον, φόβον ἐνειργάζοντο τοῖς ἀκούουσιν· οἱ δὲ τὸν ἁπάντων ὧν εἶδον ὑφαιροῦντες ὄγκον, παρεκάλουν μὴ ἀναπίπτειν, ἀλλ' ἔχεσθαι τῆς ἀποικίας, ὡς αὐτοβοεὶ περιεσομένους. οὐδεμίαν γὰρ ἀνθέξειν πόλιν πρὸς τοσαύτης δυνάμεως ἔφοδον ἀθρόας ἐπιστάσης, ἀλλὰ τῷ βάρει πιεσθεῖσαν, ἀπορρήξειν· προσαπέτριψαν δὲ καὶ τὰ ἐκ τῶν ἰδίων παθῶν ἑκάτεροι ταῖς ψυχαῖς τῶν ἀκουόντων, οἱ μὲν ἄνανδροι δειλίαν,

οἱ δ' ἀκαταπλήκτῳ θάρσει μετ' εὐελπιστίας. ἀλλ' οὗτοι μέν, πέμπτη μοῖρα τῶν ἀποδεδειλιακότων ἦσαν, οἱ δ' ἔμπαλιν τῶν γενναίων πενταπλάσιοι. τὸ δ' ὀλίγων θάρσος, ἀπλημμελίας ἐναφανίζεται πολυανθρωπίᾳ· ὃ δὴ καὶ τότε φασὶ συμβῆναι. τῶν γὰρ βέλτιστα διεξιόντων δυοῖν, οἱ τἀναντία φάσκοντες δέκα περιῆσαν οὕτως, ὥστε καὶ σύμπασαν ἐπηγάγοντο τὴν πληθύν, ἐκείνων μὲν ἀλλοτριωθέντες, αὐτοῖς δ' οἰκειωσάμενοι. περὶ δὲ τῆς χώρας ταὐτὰ πάντες ἀπεφαίνοντο γνώμῃ μιᾷ, τὸ κάλλος καὶ τῆς πεδιάδος, καὶ τῆς ὀρεινῆς ἐκδιηγούμενοι. τί δ' ὄφελος, εὐθὺς ἀνεβόησαν, ὁ μὲν ἀλλοτρίων ἀγαθῶν καὶ τούτων πεφρουρημένων κρατιστεύσει χειρὶ πρὸς τὸ ἀναφαίρετον· καὶ τοῖς δυσὶν ἐπιδραμόντες, μικροῦ καταλεύουσιν αὐτούς, ἡδονὴν ἀκοῆς τοῦ συμφέροντος, καὶ ἀπάτην ἀληθείας προκρίνοντες. ἐφ' οἷς ὁ ἡγεμὼν ἠγανάκτει, καὶ ἅμα ηὐλαβεῖτο, μή τι θεήλατον κατασκήψῃ κακόν, οὕτως ἐκθύμως ἀπιστοῦσι τοῖς χρησμοῖς· ὅπερ καὶ ἐγένετο. τῶν γὰρ κατασκόπων οἱ μὲν δειλοὶ δέκα λοιμώδει νόσῳ διαφθείρονται, μετὰ τῶν ἐκ τοῦ πλήθους συναπονοηθέντων· μόνοι δ' οἱ συμβουλεύσαντες μὴ ὀρρωδεῖν, ἀλλ' ἐφίεσθαι τῆς ἀποικίας, ἐσώθησαν, ὅτι καταπειθεῖς ἐγένοντο τοῖς λογίοις, γέρας ἐξαίρετον λαβόντες τὸ μὴ συναπολέσθαι. τοῦτ' αἴτιον ἐγένετο τοῦ μὴ θᾶττον ἥκειν εἰς ἣν ἀπῳκίζοντο γῆν. δυνάμενοι γὰρ ἔτει δευτέρῳ μετὰ τὴν ἀπ' Αἰγύπτου μετανάστασιν, τὰς ἐν Συρίᾳ πόλεις καὶ τὰς κληρουχίας ἐκνέμεσθαι, τὴν ἄγουσαν καὶ ἐπίτομον ἐκτραπόμενοι ὁδόν, ἐπλάζοντο, διαπορεύοντες καὶ μακρὰς ἀνοδίας ἄλλας ἐπ' ἄλλαις ἀνευρίσκοντες, εἰς ἀνήνυτον ψυχῆς τε καὶ σώματος κάματον, δίκας ἀναγκαίας τῆς ἄγαν ἀσεβείας ὑπομένοντες. ὀκτὼ γοῦν ἐνιαυτοὺς πρὸς τοῖς τριάκοντα δίχα τοῦ προεληλυθότος χρόνου, γενεᾶς βίον ἀνθρωπίνης, ἄνω κάτω πλαζόμενοι, καὶ τὰς ἀβάτους ἐρημίας ἀναμετροῦντες, ἔτει τεσσαρακοστῷ μόλις ἐπὶ τοὺς τῆς χώρας ὅρους παρεγένοντο, ἐφ' οὓς καὶ πρότερον ἦλθον. πρὸς δὲ ταῖς εἰσβολαῖς ᾤκουν ἕτεροι, καὶ δὴ συγγενεῖς αὐτῶν, οὓς ᾤοντο μάλιστα μὲν συνεκπολεμήσειν τὸν πρὸς τοὺς ἀστυγείτονας πόλεμον, καὶ πρὸς τὴν ἀποικίαν ἅπαντα συμπράξειν· εἰ δ' ἀποκνοῖεν, μετὰ μηδετέρων γοῦν τετάξεσθαι, χεῖρας ἀνέχοντας. οἱ γὰρ ἀμφοτέρων τῶν ἐθνῶν πρόγονοι, τοῦ τε Ἑβραϊκοῦ καὶ τοῦ τὰ πρόσοικα κατῳκηκότος, ἀδελφοὶ ἦσαν ὁμοπάτριοι καὶ ὁμομήτριοι, πρὸς δὲ καὶ δίδυμοι. ἀφ' ὧν εἰς πολυπαιδίαν ἐπιδιδόντων, καὶ τῶν ἀπογόνων εὐφορίᾳ τινὶ χρωμένων, εἰς μέγα καὶ

A verò spe atque audacia. Verum hi portio quinta fuerunt; timidis quincuplo superantibus cæteros: quo factum est vt paucorum fortitudo obscuraretur in tanto ignauorum numero. duobus autoribus optimi consilij præualuerint decem dissuasores eorum sententiæ, qui pertraxerunt in suas partes totam plebeiam multitudinem. omnes vno ore laudabant montana æque atque campestria: sed confestim
B reclamabatur à concione: Quid opus est nobis alienis fortunis asseruatis tanto præsidio, vt non possint adimi pristinis dominis? Vix temperatum est à manibus, quin duos diuersum sentientes lapidibus obruerent, malentes audire iucunda quàm vtilia, & veris falsa præferentes. quod ægerrime ferebat dux multitudinis, diris agitari eam suspicans, quæ tam con-
C tumaciter aspernaretur oracula, nec longe vltionem abesse, sicut euentus docuit. nam illi decem exploratores timidi absumpti sunt pestilentia cum turba sequuta ipsorum ignauiam. soli qui suaserant eundum intrepide, seruati sunt, præmium referentes pietatis, & reuerenter accepti oraculi. Hæc causa fuit serius deductæ coloniæ. cum enim potuissent secundo anno post quam ex Ægypto demigrarant, agros Syriæ diuidere, de-
D flectentes à via compendiaria, vagabantur per secessus longinquos & deuios, alios quærendo post alios, frustra defatigantes animum cum corpore, vt meritas impietatis pœnas persoluerent: quippe qui præter tempus iam elapsum, per triginta & octo annos, ætatem hominis, susque deque oberrantes per inuia, vix quadragesimo anno peruenerunt ad eosdem quos
E antea terminos. In aditu regionis habitabat gens cognata, quos sperabant fore belli aduersus vicinos gerendi socios, adiutorésque in parandis nouis sedibus: aut si hoc grauarentur, certe neutris se adiuncturos partibus. nam vtriusque gentis primi conditores, tum Hebraicæ, tum accolentis fines hostiles, vna matre vnóque partu editi fuerant, quorum familiæ felici auctæ sobole in duas populosas gentes

tum excreuerant. harum altera in suis mãsit sedibus: altera (vt ante diximus) in Ægyptũ propter famem translata, post aliquot ætates retro vnde venerat rediјt. hæc cognationis non oblita, quamuis dudum disiuncta sedibus: & tunc quoque nihil de ritu maiorum agnoscẽs in degeneribus posteris, arbitrabatur decorũ esse mansuetis ingenijs, si antiquæ necessitudini aliquid tribuerent. in altera nullum supererat amicitiæ vestigiũ, quæ longe diuersis assueta moribus, rationibus, consilijs, studijs, auita renouabat odia. nam primus huius gẽtis autor ius primogenituræ fratri vẽdiderat, quod paulo post facti pœnitens repetijt, atque etiã necem intentando extorquere voluit. hæ maiorũ priuatæ simultates apud integras posterorũ gentes instauratæ sunt eo tempore. Cæterum dux Hebræorũ Moses, quamuis primo incursu poterat eos opprimere, iniquum id ratus propter ius antedictę cognationis, maluit transitum per eorum agros petere, pollicendo se iter facturos sine incolarũ iniuria, intactis agris & pecoribus, ne potum quidem aquæ necessarium sumpturos absque precio: in potestate incolarũ fore annonam, se vsuros foro ex ipsorum arbitrio. at illi contemptis caduceatoribus conditiones fœderis offerentibus, armati obuiam profecti sunt, bellũ ostentãtes eis, si auderent fines transcendere, imò vel attingere. id responsum ægre ferẽte populo, & iam ad arma concitato, propheta è superiore loco vt exaudiri posset, sic eos allocutus est: Non est iniqua viri fortissimi vestra indignatio, qui bonas cõditiones offerendo repulsam passi estis à prauis & peruersis hominibus. Illi quidẽ digni sunt vt inhumanitatis pœnas dent, nos tamen decet mitius agere, & reuereri gentiles necessitudines. alioqui quod erit inter bonos malósque discrimen, si magis cogitabimus quid illi mereantur, quam quid nos deceat? His dictis auertit aliò populũ, cum videret omnes aditus insessos præsidijs ab his quibus nihil imminebat periculi, tantũ præ inuidia viam compendiariã intercluserãt: quod erat certissimũ indicium maleuolentiæ molestè ferẽtium gentem libertati redditã, quam in Ægypto graui seruitute premi antea libenter audierãt. necesse est enim vt qui alterius felicitate dolet, eius calamitate gaudeat, quãtũuis dissimulet.

A πολυανθρωπότατον ἔθνος ἑκατέρα τὴν οἰκείαν ἀνέχωσε.
ἀλλ' ἡ μὲν ἐφιλοχώρησεν, ἡ δ', ὡς ἤδη πρότερον,
εἰς Αἴγυπτον μετανάστασα διὰ λιμὸν, χρόνοις ὕστερον
ἐπανῆκε. τὴν δ' οἰκειότητα ἡ μὲν διεφύλαττε,
καίτοι πολλῷ χρόνῳ διαζευχθεῖσα, πρὸς τοὺς μηδὲν
ἔτι τῶν πατρίων φυλάττοντας, ἀλλὰ πάντα τὰ
τῆς ἀρχαίας πολιτείας ἐκδεδιῃτημένους, ὑπολαβοῦσα
τοῖς ἡμέροις τὰς φύσεις, ἁρμόττον εἶναι διδόναι
τι καὶ γεραίρειν συγγενείας ὀνόματι· ἡ δ' ἔμπαλιν
τὰ φιλικὰ πάντα ἔσβεσεν, ἤθεσι καὶ λόγοις, βου-
B λαῖς τε καὶ πράξεσιν ἀσπόνδοις καὶ ἀσυμβάτοις
χρωμένη, πατρικὴν ἔχθραν ζωπυροῦσα. ὁ γὰρ τοῦ
ἔθνους ἀρχηγέτης αὐτοῖς ἀποδόμενος τῷ ἀδελφῷ
τὰ πρεσβεῖα, μικρὸν ὕστερον ὧν ἐξέστη μετεποιεῖτο,
παραβαίνων ὁμολογίας, καὶ ἐφόνα θάνατον ἀπειλῶν,
εἰ μὴ ἀποδοίη. ταύτην τὴν παλαιὰν ἀνδρὸς
ἑνὸς πρὸς ἕνα ἔχθραν, ἔθνος τοσαύταις ὕστερον γενεαῖς
ἐκαίνωσεν. ὁ μὲν οὖν ἡγεμὼν τῶν Ἑβραίων Μωϋ-
σῆς, καίτοιγ' αὐτοβοεὶ δυνάμενος ἑλεῖν ἐξ ἐπιδρο-
C μῆς, οὐκ ἐδικαίωσε διὰ τὴν εἰρημένην συγγένειαν,
ἀλλ' ὁδῷ χρήσασθαι μόνον ἠξίου τῇ διὰ τῆς χώρας,
πάνθ' ὑπισχνούμενος παρέξειν τὰ ἐκ σπονδῶν, μήτε
μὴν χωρίον, μὴ θρέμματα, μὴ λείαν ἀπάξειν,
ὕδατος εἰ ποτοῦ γένοιτο σπάνις, τιμὴν παρέξειν, καὶ τὴν
ἀγορὰν τοῖς ἀχορηγήτοις ὠνίων· οἱ δ' εἰρηνικὰς προ-
κλήσεσιν ἀνὰ κράτος ἠναντιοῦντο, πόλεμον ἀπει-
λοῦντες, εἰ τῶν ὅρων ἐπιβαίνοιεν, ἢ ψαύοντας αὐτῶν
μόνον αἴσθοιντο· χαλεπῶς δὲ τὰς ἀποκρίσεις ἐνηνο-
χότων, καὶ ἤδη πρὸς ἄμυναν ὁρμώντων, ἐν ἐπηκόῳ
D στάς, ὦ ἄνδρες, εἶπεν, ἡ μὲν ἀγανάκτησις ὑμῶν εὔ-
λογος καὶ δικαία. χρηστὰ γὰρ ἀφ' ἡμετέρου γνώμης
προτεινάμενοι, πονηρὰ ἀπὸ διανοίας ἀπεκρίναντο
κακοήθους· ἀλλ' οὐχ ὅτι τῆς ὠμότητος ἐκεῖνοι δίκας
ἐπάξιοι τῖσαι εἰσὶ, διὰ τοῦθ' ἡμῖν ἐπὶ τὰς κατ' αὐτῶν
τιμωρίας ἁρμόττον ἵεσθαι ἕνεκα τῆς πρὸς τὸ ἔθνος
τιμῆς· ἵνα καὶ ταύτῃ μοχθηρῶν ἀγαθοὶ διαφέρωμεν,
ἐξετάζοντες οὐ μόνον εἰ κολαστέοι τινές εἰσιν, ἀλλ' εἰ
καὶ ὑφ' ἡμῶν ἐπιτήδειοι τοῦτο πάσχειν. Εἶτ' ἐκ-
E τραπόμενος ἦγε δι' ἑτέρας τὴν πληθὺν, ἐπειδὴ τὰς
κατὰ τὴν χώραν ὁδοὺς ἁπάσας φρουραῖς διεζωσμέ-
νας εἶδεν ὑπὸ τῶν βλάβην μὲν οὐδεμίαν ἐνδεξο-
μένων, φθόνῳ δὲ καὶ βασκανίᾳ τὴν ἐπίτομον οὐκ
ἐώντων προσέρχεσθαι. Ταῦτα δὲ σαφεστάτη πίστις
δυσνοίας ἦν, ἣν ἐπὶ τῷ τὸ ἔθνος ἐλευθερίας τυ-
χεῖν κέκτηντο, δηλονότι χαίροντες, ἡνίκα τὴν ἐν
Αἰγύπτῳ πικρὰν δουλείαν ὑπέμενον· ἀνάγκη
γὰρ οἷς φέρει λύπην τὰ ἀγαθὰ τῶν πλησίον, ἐπὶ τοῖς
τούτων εὐφραίνεσθαι κακοῖς, κἂν μὴ ὁμολογῶσιν

ἐτύγχανον γὰρ ὡς πρὸς ὁμογνώμονας καὶ τὰ αὐτὰ βουλομένους διανενοηκότες τὰ συμβαίνοντα λυπηρά τε αὖ καὶ ὅσα καθ᾽ ἡδονὴν, οὐκ εἰδότες ὅτι πόρρω προεληλύθασι μοχθηρίας, καὶ ἐθελέχθρως καὶ φιλαπεχθημόνως ἔχοντες, στένειν μὲν ἐπὶ τοῖς ἀγαθοῖς, ἥδεσθαι δὲ ἐπὶ τοῖς ἐναντίοις ἔμελλον. τῆς δὲ κακονοίας ἀνακαλυφθείσης ἐκείνων ἐκωλύθησαν εἰς χεῖρας ἐλθεῖν ὑπὸ τοῦ προεστῶτος, ἐπιδειξαμένου δύο τὰ κάλλιστα, φρόνησιν ἐν ταὐτῷ καὶ χρηστότητα. τὸ μὲν γὰρ μηδὲν μηδένα παθεῖν φυλάξασθαι, συνέσεως· τὸ δὲ μηδὲ ἀμύνασθαι συγγενεῖς ὄντας θελῆσαι, φιλανθρωπίας ἔργον. τὰς μὲν οὖν τούτων πόλεις παρημείψατο· βασιλεὺς δέ τις τῆς ὁμοχώρου Χαναναῖος ὄνομα, τῶν σκοπῶν ἀπαγγειλάντων τὸν ὁδοιποροῦντα στρατὸν οὐ μακρὰν πάνυ ἀφεστηκότα, νομίσας ἀσύντακτόν τε εἶναι καὶ ῥᾳδίως εἰ προσεπίθοιτο νικήσειν, ἄρας μετὰ τῆς οἰκείας νεότητος εὐοπλούσης, ἐπεξῆλθε, καὶ τοὺς πρώτους ὑπαντιάσαντας, ἅτε μὴ παρεσκευασμένους εἰς μάχην, τρέπεται. καὶ λαβὼν αἰχμαλώτους ἐπὶ τῷ παρ᾽ ἐλπίδα εὐημερήματι φυσηθεὶς, προῄει, καὶ τοὺς ἄλλους ἅπαντας χειρώσασθαι νομίζων. οἱ δὲ, οὐδὲ γὰρ ἐγναμφθησαν ἥττῃ τῆς προσερχομένης πράξεως, ἀλλ᾽ ἔτι μᾶλλον ἢ πρότερον ἀναστάντες εὐτολμίας, καὶ τὴν ἔνδειαν τῶν ἑαλωκότων ἐκπληρῶσαι ταῖς προθυμίαις ἐπειγόμενοι, συνεκρότουν ἄλλος ἄλλον μὴ ἀποκάμνειν. ἀνεγειρώμεθα λέγοντες, ἄρτι τῆς χώρας ἐπιβαινόμενοι· ἀκατάπληκτοι μετὰ τῆς ἐν τῷ θαρρεῖν ὀχυρότητος γενώμεθα· τὰ τέλη ταῖς ἀρχαῖς πολλάκις κρίνεται. ἐπὶ τῶν εἰσβολῶν ὄντες καταπληξώμεθα τοὺς οἰκήτορας, ὡς ἔχοντες μὲν τὴν ἐκ τῶν πόλεων εὐετηρίαν, ἀντιδεδωκότες δὲ τὴν ἐκ τῆς ἐρημίας ἐπαγόμεθα σπάνιν τῶν ἀναγκαίων· καὶ ἅμα διὰ τούτων προτρέποντες αὑτοὺς, ηὔξαντο τῆς χώρας ἀπαρχὰς ἀναθήσειν τῷ θεῷ τὰς πόλεις τοῦ βασιλέως, καὶ τοὺς ἐν ἑκάστῃ πολίτας· ὁ δὲ ἐπινεύει ταῖς εὐχαῖς, καὶ θάρσος ἐμπνεύσας τοῖς Ἑβραίοις, τὴν τῶν ἀντιπάλων στρατιὰν ἁλῶναι παρεσκεύασεν· οἱ δὲ ἀνὰ κράτος ἑλόντες τὰς χαριστηρίους ὁμολογίας ἐπετέλουν, οὐδὲν ἐκ τῆς λείας νοσφισάμενοι· τὰς δὲ πόλεις αὐτοῖς ἀνδράσι καὶ κειμηλίοις ἀνιερώσαντες, ἀπὸ τοῦ συμβεβηκότος ὅλην τὴν βασιλείαν ὠνόμασαν ἀνάθημα· καθάπερ γὰρ εἷς ἕκαστος τῶν εὐσεβούντων, ἀπὸ τῶν ἐτησίων ἀπάρχεται καρπῶν, οὓς ἂν ἐκ τῶν ἰδίων συγκομίζηται κτημάτων· τὸν αὐτὸν τρόπον καὶ ὅλον τὸ ἔθνος μεγάλης χώρας, εἰς ἣν μετῳκίζετο, μέγα τμῆμα τὴν εὐθὺς αἱρεθεῖσαν βασιλείαν ἀνέθηκεν ἀπαρχήν τινα

A In tantum enim res suas cum impijs consociauerant, vt in summam maliciam prolapsi, infensi essent bonis omnibus, ægre ferrent successus eorum, gauderent calamitatibus. Id tum latere non potuit, cohibitus est tamen populus à suo principe, eadem opera gemino exemplo edito tum bonitatis tum prudentiæ. prudenter enim fecit, quòd discessum est sine mutuis iniurijs: quod vero cognationis respectu vltionem B cohibuit, humanitatis fuit officium. horum oppidis præteritis cum ad vlteriora pergerent, rex quidam finitimus Chananes nomine vbi cognouit è speculatoribus exercitum per loca non longe dissita iter facere, putans eos sine ordine incedentes facile posse opprimi, cum armata suorum iuuentute inuasit, & primo assultu quosdam vt imparatos coegit terga vertere: interceptisque aliquot captiuis insperato successu inflatus C procedebat vlterius, quasi omnes in suam potestatem redacturus. at illi nihil territi accepto incommodo, imò accensa audacia vt abolerent ignominiam, hortabantur se inuicem: Viri simus, geramus rem alacriter in primo regionis promissæ aditu. intrepide pugnemus pro munimento habentes audaciam; per initia sæpe de euentu decernitur. dum in limine sumus terrorem incutiamus incolis, vt inopia qua in locis D desertis laborauimus, permutemus agrorum fertilium & bene cultorum copiam. Sic animati vouerunt Deo primitias agrorum, eius regis oppida cum suis finibus. nec fuerunt vota irrita, propitio numine Hebræis robur addente, ad extorquendam hosti victoriam. Itaque pugnatum est egregie, supplicatúmque post victoriam, præda tota consecrata autori tantæ felicitatis. Oppi-E da cum viris & auro argentóque Deo dicari placuit, vnde totum id regnum anathema nominatum est. Quemadmodum enim vnusquisque vir pius consecrat primitias fructuum comportatorum ex agris suis: ad eundem modum gens vniuersa portionem magnæ regionis, in cuius possessionem migrabat, & eam quidem non exiguam, regnum integrum quod primum bello quæsitum est, nouæ coloniæ primitias Deo dicauit.

nefas enim putabant vel agros diuidere, vel in vrbes immigrare, ante consecratas horum primitias. Paulo post fontem copiosum inuenerunt, qui omnibus potum præbuit. is erat in puteo, in eius prouinciæ finibus. ibi ac si merum non aquam hausissent exhilarati, pias choreas circa puteum ducendo nouum carmen canebant in laudem Dei datoris agrorum & autoris coloniæ, quòd emensi longas solitudines, terram promissam attigissent, & in ipso limine inuenissent aquæ copiam, meliore nota signandum rati hunc puteum. fuerat enim excisus non plebeiorum sed regum opera & diligentia: qui vt fertur magnum sumptum quærendo aquam & apparando puteum fecerant, sicut apparebat ex operis regij magnificentia. His inopinatis successibus lætus Moses progrediebatur vlterius, iuuentute disposita in primo extremóque agmine: seniorum, mulierum, puerorúmque turba incedebat media, vtrinque munita præsidio, siue frontem siue terga hostis lacesseret. Post aliquot dies regionem Amorræorum attigit, missisque legatis ad regem eorum Seon, inuitabat ad easdem conditiones, quas prius cognatis obtulerat. ille adeò contumeliose respondit, vt vix sibi temperaret à manibus, occisurus ni legatos tutaretur ius gentium: contractisque mox copijs expeditionem suscepit, victoriam sibi pollicens. Congressus autem sensit sibi rem esse cum inuictis militibus, qui iam ante exercitatis duratisque tum corporibus tum animis, non semel virtutis specimen ediderant. quapropter egregie tunc quoque vicerunt, à præda tamen abstinuerunt, vt sacrarent Deo certaminum suorum primitias, cuius ope subsistebant magis quàm proprijs consilijs aut viribus, illo addente animos ad rem gerendam, & causam suam defendendam fortiter, sicut tunc quoque apparuit. non erat enim opus iterato prælio, vna acie debellatum est, fusis, fugatis, internecione deletis hostilibus copijs. Vrbes etiam eodem tempore exhaustæ & repletæ sunt, vacuæ veteribus incolis, ple-

A τῆς ἀποικίας. οὐ γὰρ ἐνόμιζον ὅσιον εἶναι διανείμασθαι γῆν, ἢ πόλεις κατοικῆσαι, πρὶν καὶ τῆς χώρας καὶ τῶν πόλεων ἀπάρξασθαι. μικρὸν δ' ὕστερον καὶ πηγὴν εὔυδρον ἀνευρόντες, ἣ πολυπληθεῖ ποτὸν ἐχορήγησεν· ἐν φρέατι δ' ἦν ἡ πηγή, καὶ ἐπὶ τῶν τῆς χώρας ὅρων ὥσπερ οὐχ ὕδατος, ἀλλ' ἀκράτου σπασάμενοι, τὰς ψυχὰς ἀνεχύθησαν, ὑπό τε εὐφροσύνης καὶ χαρᾶς ᾆσμα καινὸν οἱ θεοφιλεῖς χορούς περὶ τὸ φρέαρ ἐν κύκλῳ στησάμενοι ᾖδον εἰς τὸν κληροδότην θεὸν, καὶ τὸν ἀληθῶς ἡγεμόνα τῆς ἀποικίας, ὅτι πρῶτον ἐπιβάντες ἐξ ἐρημίας μακρᾶς τῆς οἰκουμένης, καὶ ἣν ἔμελλον καθέξειν, ποτὸν ἄφθονον ἀνεῦρον, ἁρμόττον ἡγησάμενοι μὴ ἀσημείωτον τὴν πηγὴν παρελθεῖν. καὶ γὰρ ἔτυχεν οὐ χερσὶν ἰδιωτῶν, ἀλλὰ βασιλέων, ἀνατετμῆσθαι φιλοτιμηθέντων ὡς λόγος, οὐ μόνον περὶ τὴν εὕρεσιν τοῦ ὕδατος, ἀλλὰ καὶ περὶ τὴν τοῦ φρέατος κατασκευὴν, ἵν' ἐκ τῆς πολυτελείας, βασιλικὸν φαίνηται τὸ ἔργον, καὶ ἡ τῶν κατασκευασάντων ἀρχῆθεν μεγαλόνοια. γεγηθὼς δ' εὐθὺς ἐπὶ τοῖς ἀεὶ συμβαίνουσιν ἀπροσδοκήτοις ἀγαθοῖς ὁ Μωϋσῆς, ἐχώρει προσωτέρω, τὴν μὲν νεότητα διανείμας εἴς τε προτοστάτας καὶ ὀπισθοφύλακας· γηραιοὺς δὲ καὶ γύναια καὶ παῖδας ἐν μέσοις τάξας, ἵνα διὰ τῶν παρ' ἑκάτερα φρουρὰν ἔχωσιν, ἐάν τε ἀντιπρόσωπος, ἐάν τε κατόπιν ἐχθρῶν ὅμιλος ἐπίῃ. ὀλίγαις δ' ὕστερον ἡμέραις εἰς τὴν τῶν ἀμορραίων χώραν ἐμβαλὼν, πρέσβεις ἐξέπεμπε πρὸς τὸν βασιλέα· Σηὼν δ' ὠνομάζετο· προτείνων ἐφ' οἷς καὶ τὸν συγγενῆ πρότερον· ὁ δ' οὐ μόνον πρὸς ὕβριν ἀπεκρίνατο τοῖς ἥκουσι, μικροῦ δὲ καὶ ἀνελὼν αὐτοὺς, εἰ μὴ νόμος ὁ πρεσβευτικὸς ἐμποδὼν ἐγένετο, ἀλλὰ καὶ τὸν στρατὸν συναγαγὼν ἐφορμᾷ, νομίζων αὐτίκα τῷ πολέμῳ περιέσεσθαι· συμπλακεὶς δ' οὐ πρὸς ἀμελετήτους καὶ ἀνασκήτους ἔγνω τὴν μάχην οὖσαν, ἀλλ' ἀθλητὰς πολέμων ἀνηττήτους τῷ ὄντι, οἳ παρὰ μικρὸν πολλὰ καὶ μεγάλα ἠνδραγαθίσαντο, σωμάτων ἀλκὴν καὶ φρόνημα διανοίας, καὶ ἀρετῆς ὕψος ἐπιδειξάμενοι. διὸ τοὺς μὲν ἐναντιωθέντας ἐκ πολλοῦ τοῦ περιόντος εἷλον· ἐφαίνοντο δ' ἀπὸ τῆς λείας ἐνδεεῖς, τὰ πρῶτα τῶν ἄθλων ἀναθεῖναι τῷ θεῷ σπουδάσαντες, οὗ καὶ τότε φραξάμενοι καρτεροῖς ἀπὸ τῶν αὐτοῦ βουλευμάτων καὶ παρασκευῶν ἀντεφώρμησαν ἅμα, καὶ τῇ ἀκαθαιρέτῳ τοῦ δικαίου χρώμενοι συμμαχίᾳ, δι' ἣν εὐτολμότεροί τε ἦσαν, καὶ ἀγωνισταὶ πρόθυμοι. σαφὴς δ' ἡ πίστις· δευτέρας οὐκ ἐδέησε μάχης, ἀλλ' ἡ πρώτη καὶ μόνη ἐγένετο, καθ' ἣν πᾶσα ἡ ἀντίπαλος ἐκλίθη δύναμις· καὶ ἀνατραπεῖσα, ἠνδὸν

αὐτίκα ἐφάνη· αἱ δὲ πόλεις ὑπὸ τὸν αὐτὸν χρόνον, κεναί τε καὶ πλήρεις ἐγένοντο· κεναὶ μὲν τῶν ἀρχαίων οἰκητόρων, πλήρεις δὲ τῶν κεκρατηκότων. τὸν αὐτὸν μέντοι τρόπον καὶ αἱ κατ' ἀγροὺς ἐπαύλεις ἐρημωθεῖσαι, τοὺς ἐν αὐταῖς ἀντέλαβον ἄνδρας βελτίους τὰ πάντα. οὗτος ὁ πόλεμος ἅπασι μὲν τοῖς ἀσιανοῖς ἔθνεσι φοβερὸν δέος ἐνειργάσατο, διαφερόντως δὲ τοῖς ὁμόροις, ὅσοις τὰ δεινὰ ἐγγυτέρω προσεδοκᾶτο. εἷς δὲ δὴ καὶ τῶν ἀστυγειτόνων βασιλέων ὀνόματι Βαλάκης, μεγάλην καὶ πολυάνθρωπον τῆς ἑῴας μοῖραν ὑπηγμένος, πρὶν εἰς χεῖρας ἐλθεῖν ἀπειπών, ἀντιπάλους μὲν ὑπαντᾶν οὐκ ἐδοκίμασε, τὸ ἐκπρεπῶς δὲ ὅπλων ἐλαθεὶς πόλεμον διαδιδράσκων, ἐπ' οἰωνοὺς δὲ καὶ μαντείας ἐτρέπετο, νομίζων ἀραῖς τισι δυνήσεσθαι τὴν ἄμαχον ῥώμην τῶν Ἑβραίων καθελεῖν. ἀνὴρ δ' ἦν κατ' ἐκεῖνον τὸν χρόνον ἐπὶ μαντείᾳ περιβόητος Μεσοποταμίας οἰκῶν, ὃς ἅπαντα μὲν ἐμεμύητο τὰ μαντικῆς εἴδη· οἰωνοσκοπίαν δ' ἐν τοῖς μάλιστα συγκεκροτηκὼς, ἐθαυμάζετο, πολλοῖς τε πολλάκις ἐπιδειξάμενος ἄπιστα καὶ μεγάλα. προεῖπε γὰρ τοῖς μὲν ἐπομβρίας θέρους ἀκμάζοντος· τοῖς δὲ αὐχμόν τε καὶ φλογμὸν ἐν μέσῳ χειμῶνι. τοῖς δ' ἐξ εὐετηρίας ἀφορίαν, καὶ ἔμπαλιν λιμοῦ φοράν, ἐνίοις δὲ πλημμύρας ποταμῶν τε κενώσεις, καὶ θεραπείας λοιμικῶν νοσημάτων, καὶ ἄλλων μυρίων, ὧν ἕκαστον ὁ προθεσπίζειν δοκῶν ὀνομαστότατος ἦν ἐπὶ μέγα τῆς εὐκλείας προερχόμενος διὰ τὴν ἐπιβαίνουσαν ἀεὶ καὶ φθάνουσαν πανταχόσε φήμην. ἐπὶ τοῦτον ἐξέπεμπε τῶν ἑταίρων τινάς, παρακαλῶν ἥκειν, καὶ δωρεὰς τὰς μὲν ἤδη προὔτεινε, τὰς δὲ δώσειν ὡμολόγει, τὴν χρείαν ἧς ἕνεκα μετεπέμπετο δηλῶν. ὁ δ' οὐκ ἀπὸ φρονήματος εὐγενοῦς καὶ βεβαίου, ἀλλὰ τὸ πλέον ἀκκιζόμενος, ὡς δὴ τῆς ἐλλογίμου προφητῶν γενόμενος, καὶ μηδὲν ἄνευ χρησμοῦ εἰωθὼς πράττειν, παραιτεῖται λέγων οὐκ ἐπιτρέπειν αὐτῷ βαδίζειν τὸ θεῖον. καὶ οἱ μὲν ἥκοντες ἐπανήεσαν ἄπρακτοι πρὸς βασιλέα· ἕτεροι δ' εὐθὺς ἐπὶ τὴν αὐτὴν χρείαν ἐχειροτονοῦντο τῶν δοκιμωτέρων, πλείω μὲν ἐπιφερόμενοι χρήματα· περιττοτέρας δὲ δωρεὰς ὑπισχνούμενοι. δελεασθεὶς δὲ καὶ τοῖς ἤδη προτεινομένοις, καὶ ταῖς μελλούσαις ἐλπίσι, καὶ τὸ ἀξίωμα τῶν παρακαλούντων καταιδεσθεὶς, ἐνεδίδου, πάλιν προφασιζόμενος τὸ θεῖον, οὐκ ἐφ' ὑγιεῖ. τῇ γοῦν ὑστεραίᾳ προὐσκευάζετο τὴν ἔξοδον, ὀνείρατα διηγούμενος, ὑφ' ὧν ἔλεγε πληχθεὶς ἐναργέσι φαντασίαις ἀναγκάζεσθαι μηκέτι μέλλειν, ἀλλὰ τοῖς πρέσβεσιν ἀκολουθεῖν. ἤδη δὲ αὐτῷ προερχομένῳ, γί-

A næ victoribus. similiter villæ prædiáque rustica modo deserta recipiebant colonos meliores. Hoc bellum gentes omnes Asianas terruit, præsertim finitimas, quibus propius imminere videbatur periculum. Vnus autem è vicinis regibus Balaces nomine, habens in oriente magnum populosúmque imperium, non ausus armis decernere, domi se continuit: & timens clades quas bellum afferre solet,
B ad auguria se vertit atque diuinationes, putans se diris execrationibus expugnaturum inuictam Hebræorum potentiam. Erat illo tempore vates magnæ celebritatis in Mesopotamia, peritus omnium diuinationis generum. sed maxime augurali scientia sibi autoritatem parauerat, cuius multa sæpe experimenta ediderat magna & vix credibilia. nam aliquando imbres
C futuros prædicebat æstate preferuida, rursum alijs siccitatem æstúsque brumali tempore: aliquando vbertatem annonæ, rursum aliàs famem & penuriam: fluuiorum item defectus inundationésque, & procurationes pestilentiæ, aliáque innumera: quæ singula cum præsagire videretur, erat in ore omnium, inclita fama diuinitatis eius indies se spargente latius. Ad hunc rex misit
D amicos aliquot, rogans vt veniret, multa repræsentans dona, plura pollicens, nec dissimulans cur accerseret hominem. Ille non ingenue constantérque, sed fucata ciuilitate, quasi propheta eximius, & nihil absque diuino nutu facere solitus, tergiuersabatur, negans sibi hoc permitti à numine. sic legati reuersi sunt infecto negocio. Rex alios mox honoratio-
E res misit cum maiore vi pecuniæ, iussos etiam polliceri ampliora quàm antea munera. Vates inescatus & præsenti vtilitate, & spe futuri commodi, simúlque oratorum dignitatem reueritus, persuaderi sibi passus est, rursum fucate causatus de numine. itaque postridie parabat se itineri, narrans admonitum se in somnis visione manifesta vt incunctanter legatos sequeretur. Cæterum in via prodigium ingens ei se obtulit, om-

A nino aduersum ominosúmque illius proposito. Iumentum enim quo vehebatur, primùm repente constitit. deinde quasi ex aduerso violenter repulsum in tergum retro cedebat, nunc ad dextram, nunc ad læuam flectendo errandóque trepide more temulentorum, etiam verberibus contumax, vt penè sessorem excuteret, vexatum vicissim non mediocriter. Erant enim ex vtroque viæ latere sepes & maceriæ.
B in has impingente iumento Dominus atterebat lacerabátque crura & genua. videlicet obuio spectro iamdudum territabatur animal, cui soli erat illud conspicuum: homini verò non item, quo magis argueretur eius stupiditas. tunc enim brutum perspicacius erat quàm is qui se iactabat videre non mundum solum, verum etiam ipsum mundi rectorem conditorémque. Tandem vix
C agnito resistente angelo, non quòd dignus esset eo spectaculo, sed vt indignitatem suam intelligeret, ad supplicationes deprecationésque versus orabat veniam ignorantiæ, negans sibi fuisse peccandi animum. Cúmque debuisset reuerti è vestigio, maluit rogare angelum, num redire domum iubeat. Ille intelligens & indigne ferens simulationem (quid enim opus erat scitari in re tam aperta, quam ipse videbat,
D nec indigebat verbis fidem adstruentibus, nisi forte oculis minus creditur quàm auribus) Vade, inquit, quò properas. Sed nihil efficies, me subijciente verba præter tuam sententiam, & instrumenta vocis vertente quò fas ac pium est. nam ego ero tui sermonis rector, per tuam linguam inuitam fundens oracula. Interea Balaces vt audiuit vatem esse in proximo, prodijt obuiam cum satellitio: deinde post so-
E lennem consalutationem mutuam, aliquantum questus est de tarditate, expostulans quòd non incunctanter se dedisset in viam: atque ita versi sunt ad epulas regio luxu paratas excipiendis hospitibus, cæteráque hospitalitatis officia pari splendore ornatissima. Postera die diluculo Balaces vatem duxit in tumulum sacratum cuidam genio, cuius statuam indigenæ venerabantur diuinis honoribus. inde prospectus erat in

κατὰ τὴν ὁδὸν σημεῖον ἀρίδηλον, περὶ τοῦ τὴν χρείαν ἐφ᾽ ἣν συνέτεινεν ἔσεσθαι παλίμφημον. τὸ γὰρ ὑποζύγιον ᾧ συνέβαινεν αὐτὸν ἐποχεῖσθαι, προερχόμενον ἐπ᾽ εὐθείας, ἐξαπιναίως ἵστατο τὸ πρῶτον· εἶθ᾽ ὥσπερ ἐξ ἐναντίας βίᾳ τινὸς ἀντωθοῦντος, ἢ ἀναχαιτίζοντος, ὑπὸ πόδας ἐχώρει, καὶ πάλιν ἐπὶ δεξιὰ καὶ εὐώνυμα ἐπιφερόμενον, καὶ ὧδε κἀκεῖσε πλαζόμενον οὐκ ἠρέμει, καθάπερ οἴνῳ καὶ μέθῃ καρηβαρούμενον, καὶ πολλάκις τυπτόμενον, ἠλόγει τῶν πληγῶν, ὥστε καὶ τὸν ἐποχούμενον μικροῦ καταβαλεῖν, καὶ καθεζόμενον ὅμως ἀντιλυποῦσαι· τῶν περὶ ἑκάτερα χωρίων ἦσαν αἱμασιαί, καὶ φραγμοὶ πλησίον. ὁπότ᾽ οὖν τούτοις προσηρράχθη φερόμενον, γόνυ καὶ κνήμας καὶ πόδας ὁ δεσπότης πιεζόμενος καὶ θλιβόμενος ἀπεδρύπτετο. ἦν δέ, ὡς ἔοικε, θεία τις ὄψις, ἣν τὸ μὲν ζῷον ἐπιφοιτῶσαν ἐκ πολλοῦ θεασάμενον, ὑπέπληξεν· ὁ δ᾽ ἄνθρωπος οὐκ εἶδεν, εἰς ἔλεγχον ἀναισθησίας, ὑπὸ γὰρ ἀλόγου ζῴου παρευημερεῖτο τὰς ὄψεις, ὁ μὴ μόνον τὸν κόσμον, ἀλλὰ καὶ τὸν κοσμοποιὸν αὐχῶν ὁρᾶν. μόλις οὖν τὸν ἀνθεστηκότα ἰδὼν ἄγγελον, οὐκ ἐπεὶ τοιαύτης ἦν θέας ἄξιος, ἀλλ᾽ ἵνα τὴν ἀτιμίαν καὶ οὐδένειαν αὑτοῦ καταλάβῃ, πρὸς ἱκεσίας καὶ λιτὰς ἐτράπετο, συγγνῶναι δεόμενος ὑπ᾽ ἀγνοίας, ἀλλ᾽ οὐ καθ᾽ ἑκούσιον γνώμην ἁμαρτόντι. τότε μὲν οὖν ὑποστρέφειν δέον, ἐπυνθάνετο τῆς φανείσης ὄψεως, εἰ ἀνακάμπτοι πάλιν τὴν ἐπ᾽ οἴκου· ἡ δὲ συνιδοῦσα τὴν εἰρωνείαν καὶ σχετλιάσασα· τί γὰρ ἔδει πυνθάνεσθαι περὶ πράγματος οὕτως ἐμφανοῦς, ὃ τὰς ἀποδείξεις εἶχεν ἐξ ἑαυτοῦ, καὶ μὴ δεομένου τῆς ἐκ λόγων ἀληθεστέρας πίστεως, εἰ μὴ ἄρα ὀφθαλμῶν ὦτα πιστότερα, καὶ πραγμάτων ῥήματα. βάδιζε, εἶπεν, ἐφ᾽ ἣν σπεύδεις ὁδόν. ὀνήσεις γὰρ οὐδέν, ἐμοῦ τε λεκτέα ὑπηχοῦντος ἄνευ τῆς σῆς διανοίας, καὶ τὰ φωνῆς ὄργανα τρέποντος, ᾗ δίκαιον καὶ συμφέρον, ἡνιοχήσω γὰρ ἐγὼ τὸν λόγον, θεσπίζων ἕκαστα διὰ τῆς σῆς γλώττης οὐ συνιέντος. ἀκούσας δ᾽ ὁ βασιλεὺς ἐγγὺς ἤδη γεγονότα, μετὰ τῶν δορυφόρων ὑπαντησόμενος ἐξῄει, καὶ ἐντυχόντων οἷα εἰκὸς τὸ μὲν πρῶτον ἦσαν φιλοφροσύναι καὶ δεξιώσεις, εἶτα βραχεῖα καταμέμψεις περὶ τῆς βραδυτῆτος καὶ τοῦ μὴ ἑτοιμότερον ἥκειν, καὶ μετὰ ταῦτ᾽ εὐωχίαι τε καὶ πολυτελεῖς ἑστιάσεις καὶ ὅσα ἄλλα πρὸς ὑποδοχὴν ξένων ἔθος εὐτρεπίζεσθαι φιλοτιμίαις βασιλικαῖς πάντα πρὸς τὸ μεγαλειότερον ἐπιδιδόντα καὶ σεμνότερον ὄγκον. τῇ δ᾽ ὑστεραίᾳ ἅμα τῇ ἕῳ τὸν μάντιν ὁ Βαλάκης παραλαβών, ἐπὶ γεώλοφον ἀνήγαγεν, ἔνθα καὶ στήλην συνέβαινεν ἱδρῦσθαι δαιμονίου τινός, ἣν οἱ ἐγχώριοι προσεκύνουν. μέρος

δ' ἐνθένδε καθεωρᾶτο τῆς τῶν Ἑβραίων στρατοπεδείας, ὃ καθάπερ ἀπὸ σκοπιᾶς ἐπεδείκνυτο τῷ μάγῳ. ὁ δὲ θεασάμενος φησίν, σὺ μὲν ὦ βασιλεῦ βωμοὺς ἑπτὰ δειμάμενος, μόσχον ἐφ' ἑκάστου καὶ κριὸν ἱέρευσον· ἐγὼ δὲ ἐκτραπόμενος, πεύσομαι τοῦ θεοῦ τί λεκτέον. ἔξω δὲ προελθὼν, ἔνθους αὐτίκα γίνεται, προφητικοῦ πνεύματος ἐπιφοιτήσαντος, ὃ πᾶσαν αὐτοῦ τὴν ἔντεχνον μαντικὴν σοφιστείαν ὑπερόριον τῆς ψυχῆς ἤλασε· θέμις γὰρ οὐκ ἦν ἱερωτάτην κατοκωχὴν συνδιαιτᾶσθαι μαγικῇ. εἶθ' ὑποστρέψας, καὶ τάς τε θυσίας ἰδὼν, καὶ τοὺς βωμοὺς φλέγοντας, ὥσπερ ἑρμηνεὺς ὑποβάλλοντος ἑτέρου θεσπίζει τάδε· ἐκ Μεσοποταμίας μετεπέμψατό με Βαλάκης, μακρὰν τὴν ἀπ' ἀνατολῶν στειλάμενον ἀποδημίαν, ἵνα τίσηται τοὺς Ἑβραίους ἀραῖς. ἐγὼ δὲ τίνα τρόπον ἀράσομαι τοῖς μὴ καταρωμένοις ὑπὸ θεοῦ; θεάσομαι μὲν αὐτοὺς ὀφθαλμοῖς ἀφ' ὑψηλοτάτων ὀρῶν, καὶ τῇ διανοίᾳ καταλήψομαι, βλάψαι δ' οὐκ ἂν δυναίμην λαὸν, ὃς μόνος κατοικήσει, μὴ συναριθμούμενος ἑτέροις ἔθνεσιν, οὐ κατὰ τόπων ἀποκλήρωσιν καὶ χώρας ἀποτομὴν, ἀλλὰ κατὰ τὴν τῶν ἐξαιρέτων ἐθῶν ἰδιότητα, μὴ συναναμιγνυμένων ἄλλοις εἰς τὴν τῶν πατρίων ἐκδιαίτησιν. τίς ἐπ' ἀκριβείας εὗρε τὴν πρώτην καταβολὴν τῆς τούτων γενέσεως; τὰ μὲν σώματα αὐτοῖς ἐξ ἀνθρωπίνων διεπλάσθη σπερμάτων, ἐκ δὲ θείων ἔφυσαν αἱ ψυχαί· διὸ καὶ γεγόνασιν ἀγχίσποροι θεοῦ. ἀποθάνοι μου ἡ ψυχὴ τὸν σωματικὸν βίον, ἵν' ἐν ψυχαῖς δικαίων καταριθμηθῇ, οἵας εἶναι συμβέβηκε τὰς τούτων. ταῦτ' ἀκούων ὁ Βαλάκης, ὤδινεν ἐν ἑαυτῷ. παυσάμενος δὲ, τὸ πάθος οὐ χωρήσας, ἐπὶ κατάραις, εἶπεν, ἐχθρῶν μετακληθεὶς, εὐχαῖς τιθέμενος ἐκείνοις οὐκ ἐρυθριᾷς· ἐλελήθειν ἄρ' ἐμαυτὸν ἀπατῶν ὡς ἐπὶ φίλῳ σοὶ τὴν ὑπὲρ τῶν πολεμίων ἀφανῶς τεταγμένῳ τάξιν, ἣ νῦν γέγονε δήλη· μήποτε καὶ τὰς ὑπερθέσεις τῆς ἐνθάδε ἀφίξεως ἐποιοῦ, διὰ τὴν ὑποικουροῦσαν ἐν τῇ ψυχῇ, πρὸς μὲν ἐκείνους οἰκειότητα, πρὸς δὲ ἐμὲ καὶ τοὺς ἐμοὺς ἀλλοτρίωσιν. πίστις γὰρ ὡς ὁ παλαιὸς λόγος, τῶν ἀδήλων τὰ ἐμφανῆ. ὁ δὲ τῆς κατοχῆς ἀνεθεὶς, ἀδικωτάτην, εἶπεν, αἰτίαν ὑπομένω συκοφαντούμενος. λέγω γὰρ οὐδὲν ἴδιον, ἀλλ' ἅττ' ἂν ὑπηχήσῃ τὸ θεῖον, ὅπερ οὐχὶ νῦν πρῶτον, ἐγὼ μὲν εἶπον, σὺ δ' ἤκουσας, ἀλλὰ καὶ πρόσθεν ἡνίκα τοὺς πρέσβεις ἔπεμψας, οἷς ἀπεκρινάμην ταυτί. νομίσας δ' ὁ βασιλεὺς ἢ τὸν μάντιν ἀπατᾶν, ἢ τὸ θεῖον τρέπεσθαι, καὶ ταῖς τῶν τόπων μεταβολαῖς τὸ τῆς γνώμης ἐχυρὸν ἀλλάττειν, εἰς ἕτερον ἀπαγαγὼν χωρίον, ἐκ λόφου πάνυ περιμήκους ἐπεδείκνυτο μέρος τι τῆς ἀντιπάλου

A partem castrorum Hebraicorum, quæ ostendebantur mago tanquam è specula. his visis dixit: Tu rex positis septem aris, in singulis vitulum cæde & arietem: ego interim secedam, vt diuinitus discam quid dicendum sit. progressus autem foras confestim afflatur numine, quod omnem eius artificialem diuinationem exterminauit ex anima. nec enim fas erat sanctum spiritum cohabitare cum
B magicis artibus. post hæc reuersus, & videns victimas ardere aris impositas, tanquam alienus interpres sic cecinit: E Mesopotamia me acciuit Balaces, vt longum iter emensus execrarer Hebræos. sed quomodo execrabor quos Deus non execratur? possum eos ex alto monte despicere, & vota concipere, sed lædere non possum singularem ac eximium
C populum, qui non connumeratur cum cæteris gentibus, non tam locis separatus & sedibus quàm ritibus propriis, multum diuersis, nec contaminatis vlla externa ceremonia. Quibus exacte nouit primam horum originem? corpora quidem ex humanis sunt nata seminibus, ex diuinis autem animæ, Deo cognatæ hactenus. Tollatur anima mea ex hac vita corporali, vt connumeretur cum iustorum animabus,
D quales sunt horum hominum. His auditis Balaces ingemuit. Conduxi te, inquit, vt hostes execrareris, nunc non pudet te illis fausta ominari? Quàm me fefellit opinio, qui amicum putans opposui te hostibus. iam satis apparet quo sis animo. hoc est nimirum cur tam cunctanter venisti, beneuolentiam qua istos prosequeris, & odium mei dissimulans. licet enim ex manifestis de incertis coniectu-
E ram facere. Tum magus iam à spiritu relictus: Iniustam, inquit, sustineo calumniam. Nihil ex meipso dicere soleo, interpres tantum Dei sum, sicut & antea me protestatum ex legatis nouisti. Rex sperans posse vel vatem decipi, vel diuinam mutari sententiam, si locum ipse mutaret, illinc petijt alium montem editiorem, vnde conspiciebatur magna pars hostilis exercitus

exstructisque denuo septem aris alijs, & mactatis totidem quot antè victimis, misit vatem ad captanda meliora auspicia. Ille in secessu correptus numine, & extra se raptus vt suamet ipse verba non intelligeret, ore suo sententiam alienam pronunciauit hoc vaticinio. Surge rex, & audi attentis auribus. Non est Deus quasi homo vt mentiatur, nec quasi filius hominis vt mutetur. Dixit & faciet, locutus est & rata erunt verba eius, quandoquidem ipsa verba sunt eius opera. ad bene precandum adductus sum ego, non ad execrationem. Non erit labor in Hebræis nec lassitudo. Deus eos manifeste ceu clipeo protegit. Is etiam Ægyptiacas calamitates ab eis depulit, & tam multa millia tanquam vnum hominem eripuit. ideo populus Israeliticus nihil moratur auguria cæteráque diuinationis genera omnia, fretus vno totius mundi principe. video populum insurgentem vt leonis catulum, superbum leonina ferocia. Satiabitur præda, & bibet occisorum à se sanguinem. ac ne tum quidem in cubile se conferet, sed peruigil victoriale carmen cõcinet. Tum Balaces præ dolore ob spem diuinatione frustratam exclamat: Desine homo & execrari & fausta ominari. præstat silere quàm iniucunda dicere. Móxque mutata sententia duxit vatem in locum alium, vnde ostendens ei partem copiarum Hebraicarum, hortabatur vt diras execrationes contra eas depromeret. Magus rege nihilo melior, quamuis contra incusationẽ obiectúmque præuaricationis crimen vere præfatus, se nihil de suo proloqui, tantùm interpretem esse numinis quo incalescebat: cum debuisset domum reuerti, cupide comitatus est, tum propter insignem arrogantiam, tum propter odio suppuratum animum, quippe qui male volebat populo, cui tamen non sinebatur male precari. cúmque venisset in montem celsiorem prioribus, longo ascensu arduum, iubet instaurari eadem sacrificia, rursum aris septem positis, & superimpositis quatuordecim victimis, binis vt antea, vitulo ac ariete. ipse verò non abijt more solito ad captanda auguria, damnata hac diuinatione & quasi obliterata, vt nihil certi posset ex ea percipi: & alioquin etiam vix tandem senserat repugnare Dei voluntati

A στρατιᾶς. εἶτα πάλιν ἑπτὰ βωμοὺς ἱδρυσάμενος, καὶ τὰ ἴσα τοῖς πρόσθεν ἱερείοις καταθύσας, ἐξέπεμπε τὸν μάντιν ἐπ' οἰωνοὺς καὶ φήμας αἰσίους. ὁ δὲ μονωθεὶς, ἐξαίφνης θεοφορεῖται, καὶ μηδὲν συνιεὶς, ὥσπερ μετανισταμένου τοῦ λογισμοῦ, τὰ ὑποβαλλόμενα ἐξελάλει, προφητεύων τάδε· ἀνάστας ἄκουε βασιλεῦ, τὰ ὦτα ἐπαιωρήσας· οὐχ ὡς ἄνθρωπος διαψευσθῆναι δύναται, οὐδ' ὡς υἱὸς ἀνθρώπου μετανοεῖ, καὶ ἅπαξ εἰπὼν, οὐκ ἐμμενεῖ· φθέγξεται δὲ
B παράπαν οὐδὲν, ὃ μὴ τελειωθήσεται βεβαίως, ἐπεὶ ὁ λόγος ἔργον ἐστὶν αὐτῷ. παρελήφθην δ' ἐπ' εὐλογίαις, οὐ κατάραις ἐγώ. οὐκ ἔσται πόνος ἢ μόχθος ἐν ἑβραίοις· ὁ θεὸς αὐτῶν ὑπερασπίζει φανερῶς, ὃς καὶ τὴν αἰγυπτιακὴν ῥύμην κακῶν ἀπεσκέδασεν, ὡς ἕνα ἄνδρα τὰς τοσαύτας μυριάδας ἀναγαγών. τοιγαροῦν οἰωνοῖς ἀλογοῦσι καὶ πάντων τῶν κατὰ μαντικὴν, ἑνὶ δὲ τῷ τοῦ κόσμου ἡγεμόνι πιστεύοντες· ὁρῶ δὲ λαὸν ὡς σκύμνον ἀνιστάμενον, καὶ ὡς λέοντα γαυρούμενον· εὐωχηθήσεται θήρας, καὶ ποτῷ χρή-
C σεται τραυματιῶν αἵματι, καὶ κορεσθεὶς οὐ τρέψεται πρὸς ὕπνον, ἀλλ' ἐγρηγορὼς τὸν ἐπινίκιον ᾄσεται ὕμνον. χαλεπῶς δ' ἐνεγκὼν ἐπὶ τῷ τὰς ἐλπίδας αὐτῷ τὰ τῆς μαντικῆς ἀπολυτᾶσθαι, ἄνθρωπε εἶπε, μήτε ἀρὰς τίθεσο, μήτ' εὐχὰς ποιοῦ. βελτίων γὰρ τῶν μὴ καθ' ἡδονὴν λόγων ἡ ἀκίνδυνος ἡσυχία. καὶ ταῦτ' εἰπὼν, ὥσπερ ἐκλαθόμενος ὧν εἶπε διὰ τὸ τῆς γνώμης ἀβέβαιον, εἰς ἕτερον τόπον ἀπῆγε τὸν μάντιν, ἀφ' οὗ δείξας μέρος τι τῆς ἑβραϊκῆς στρατιᾶς, καταρᾶσθαι παρεκάλει· ὁ δὲ ἄτερ χείρων ἐκεί-
D νου· καίτοι πρὸς τὰς ἐπιφερομένας κατηγορίας ἀπολογίᾳ χρώμενος ἀληθεῖ, ὡς οὐδὲν ἴδιον λέγοι, κατεχόμενος δὲ καὶ ἐνθουσιῶν διερμηνεύοι τὰ ἑτέρου· δέον μηκέτ' ἐπακολουθεῖν, ἀλλ' οἴκαδε ἀπαίρειν, ἑτοιμότερον τοῦ παραπέμποντος προεξέτρεχεν, ἅμα μὲν οἰήσει κακῶν μεγάλων πεπιεσμένος, ἅμα δὲ καὶ τῇ διανοίᾳ καταρᾶσθαι γλιχόμενος, εἰ καὶ τῇ φωνῇ διεκωλύετο. παραγενόμενος δ' εἰς ὄρος μεῖζον τῶν προτέρων, ἄχρι πολλοῦ
E κατατεῖνον, κελεύει μὲν τὴν αὐτὴν ἐπιτελεῖν θυσίαν, βωμοὺς πάλιν ἑπτὰ κατασκευάσαντας, καὶ ἱερεῖα τεσσαρεσκαίδεκα προσαγαγόντας ἑκάστῳ βωμῷ δύο, μόσχον τε καὶ κριόν. αὐτὸς δὲ οὐκέτι κατὰ τὸ εἰκὸς ἐπὶ κληδόνας καὶ οἰωνοὺς ἵετο, πολλὰ τὴν αὐτοῦ τέχνην κακίσας, ὡς χρόνῳ καθάπερ γραφὴν ἐξίτηλον ἠμυδρωμένην, καὶ τοὺς εὐθυβόλους στοχασμοὺς ἐξαμαυρωθεῖσαν. ὀψὲ δὲ καὶ μόλις ἐνενόησεν, ὅτι οὐ συνᾴδει πως τῷ τοῦ θεοῦ βουλήματι ἡ τοῦ μισθωσαμένου προαίρεσις αὐτὸν

A βασιλέως. τραπόμενος δ' οὖν κατὰ τὴν ἐρημίαν, ὁρᾷ κατὰ φυλὰς ἐστρατοπεδευκότας ἑβραίους, καὶ τό, τε πλῆθος καὶ τὴν τάξιν, ὡς πόλεως, ἀλλ' οὐ στρατοπέδου καταπλαγείς, ἔνθους γενόμενος, ἀναφθέγγεται τάδε· Φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, ὅστις καθ' ὕπνον ἐναργῆ φαντασίαν εἶδε θεοῦ τοῖς τῆς ψυχῆς ἀκοιμήτοις ὄμμασιν· ὡς καλοί σου οἱ οἶκοι, στρατιὰ ἑβραίων, αἱ σκηναί σου ὡς νάπαι συσκιάζουσαι, ὡς παράδεισος ἐπὶ ποταμοῦ, ὡς κέδρος παρ' ὕδατα· ἐξελεύσεταί ποτε ἄνθρωπος ἐξ ὑμῶν,
B καὶ ἐπικρατήσει πολλῶν ἐθνῶν, καὶ ἐπιβαίνουσα ἡ τοῦδε βασιλεία καθ' ἑκάστην ἡμέραν πρὸς ὕψος ἀρθήσεται· ὁ λαὸς οὗτος ἡγεμόνι τῆς ἀπ' Αἰγύπτου πάσης ὁδοῦ κέχρηται θεῷ, καθ' ἓν κέρας ἄγοντι τὴν πληθύν. τοιγαροῦν ἔδεται ἔθνη πολλὰ ἐχθρῶν, καὶ ὅσον ἐν αὐτοῖς πῖον, ἄχρι μυελῶν λήψεται, καὶ ταῖς ἑκηβολίαις ἀπολεῖ τοὺς δυσμενεῖς· ἀναπαύσεται κατακλιθεὶς ὡς λέων, ἢ σκύμνος λέοντος, μάλα καταφρονητικῶς δεδιὼς οὐδένα, φόβον τοῖς ἄλλοις ἐνεργασάμενος· ἄθλιος δ' ὃς ἂν αὐτὸν παρακινήσας
C ἐγείρῃ· οἱ μὲν εὐλογοῦντές σε, εὐφημίας ἄξιοι· κατάρας δ', οἱ καταρώμενοι. σφόδρα δ' ἐπὶ τούτοις ἀγανακτήσας ὁ βασιλεύς, ἐπ' ἀραῖς, εἶπεν, ἐχθρῶν μετακληθείς, εὐχὰς ἤδη τρὶς τὰς ὑπὲρ ἐκείνων πεποίησαι; φεῦγε δὴ θᾶττον· ἐξὸ πάθος ἐπὶ θυμός· μή τι καὶ νεώτερον ἐργάσασθαι βιασθῶ· πόσον πλῆθος χρημάτων ἀνοητότατε καὶ δωρεῶν, πόσην δ' εὐφημίαν καὶ δόξαν ἀφῄρησαι σεαυτόν, φρενοβλαβὴς ὤν· ἐπανελεύσῃ φέρων ἀπὸ τῆς ξένης
D ἐπὶ τὴν οἰκίαν, ἀγαθὸν μὲν οὐδέν, ὀνείδη δὲ καὶ πολλὴν ὡς ἔοικεν αἰσχύνην, οὕτως σοι τῆς κατὰ τὴν ἐπιστήμην ἐφ' οἷς πρότερον ἐσεμνύνου γελασθέντων. ὁ δέ, τὰ μὲν πρότερα πάντα, εἶπεν, ἐπὶ λόγια καὶ χρησμοί· τὰ δὲ μέλλοντα λέγεσθαι, γνώμης τῆς ἐμῆς εἰκασίαι· καὶ τῆς δεξιᾶς λαβόμενος, μόνος μόνῳ συνεβούλευε, δι' ὧν ὡς ἂν οἷόν τε ἦ φυλάξασθαι τὸν ἀντίπαλον στρατόν, ἀσέβημα κατηγορῶν αὐτοῦ μέγιστον. τί γάρ, εἴποι τις ἄν, ἰδιάζεις καὶ συμβουλεύεις τὰ ἐναντία τοῖς χρη-
E σμοῖς ὑποτιθέμενος, εἰ μὴ ἄρα τῶν λογίων αἱ σαὶ βουλαὶ δυνατώτεραι. φέρε δ' οὖν καὶ τὰς καλὰς αὐτοῦ παραινέσεις ἐξετάσωμεν, ὡς τετεχνιτευμέναι πρὸς ὁμολογουμένην ἧτταν τῶν ἀεὶ νικᾶν δυναμένων. εἰδὼς γὰρ ἑβραίοις μίαν ὁδὸν ἁλώσεως παρανομίαν, διὰ λαγνείας καὶ ἀκολασίας μεγάλου κακοῦ, πρὸς μεῖζον κακὸν ἀσέβειαν ἄγειν αὐτοὺς ἐσπούδασεν, ἡδονὴν δέλεαρ προθείς. εἰσὶ γάρ, εἶπεν, αἱ ἐγχώριοι γυναῖκες ὦ

A regis propositum: sed versus ad solitudinem, considerabat singulas tribus Hebræorum, & castrorum ordinem populosæ ciuitati similiorem quàm militari multitudini, moxque afflatus in hæc verba erupit: Hæc dicit homo vere videns, cui Deus in somnis manifeste visus est insopito animæ oculo. Quam pulchra tabernacula vestra Hebræi, tentoria vestra vt valles opacæ nemoribus, vt horti secundum flumen irrigui, vt cedrus
B prope aquas. Egredietur olim homo ex vobis, & imperitabit multis gentibus, cuius regnum indies crescens magis ac magis exaltabitur. populus hic ex quo Ægyptum reliquit per totum iter à Deo deductus est vno agmine. propterea deuorabit multas gentes hostiles, & pinguitudinem earum exsuget medullitus, configetque sagittis aduersarios. Dormiet cubans vt leo vel leonis catulus securus, neminem ipse timens, & alios territans
C insuper. Infelix quisquis eum excitauerit. Qui tibi bene precatus fuerit, ipse quoque faustus erit: execrabilis vero quisquis te diris deuouerit. Rex maiore quàm antè indignatione percitus ait: Vt hostes meos deuoueres vocatus, iam tertio bene illis precatus es? fuge quantocyus, ne indignatione furens aliquid sæuius in te consulam. Quantum auri, quantum gloriæ tibi inuidisti homo insane ac perdite. Redibis domum vacuis manibus, ipse
D plenus opprobriis, irrisus illususque cum ista tua quam tantopere iactas scientia. Respondit ille: Quæ hactenus audisti, omnia sunt diuina oracula: quæ vero iam dicam, meę coniectationes sunt. Tum dextra prehensum seduxit à cæteris: & solus soli dedit consilium, quibus rationibus sibi cauere posset ab infesto exercitu, quo facto inussit sibiipse notam impietatis turpissimam. Dixerit enim aliquis, Cur priuatim das consilium oraculis con-
E trarium, nisi putas id potentius & efficacius. Age vero examinemus ista pręclara consilia, qualibus artibus vtatur ad interrumpendas perpetuas victorias fortissimi populi. Sciebat Hebræos per solum legum contemptum expugnabiles, tentatos malo impotenti libidinis: ideo voluptate inescatos conatus est ad grauissimum scelus impietatis pertrahere. Sunt, inquit, in tuo regno mulieres formosissimæ,

nec alia re vir facilius capitur quàm mulieris eximia specie. harum pulcherrimas si permiseris ob quæstum vulgare sua corpora, hoc hamo capietur iuuentus hostium. sed præmonendæ sunt, ne statim faciant sui copiam rogantibus. nam hæc fucata tergiuersatio magis incitabit & accendet cupidinem. atque ita obtorto collo pertracti à suismet concupiscentiis, nihil non vel patientur vel facient. Sic affectum amatorem vbi viderit captatrix fœmina superbe loquatur: Non est fas habere te mecum voluptatis consuetudinem, nisi abiurato ritu patrio, colas eadem mecum numina. nec ante credam te mutatum, quàm videam non abhorrere à nostris sacris & libationibus, quæ in delubris peragimus. Tum ille miser captus his cassibus, conditionem accipiet, & repulsa ratione monitrice imperata faciet addictus in seruitutem cupidini. Hoc fuit consilium. id quoniam videbatur non inani coniectura subnixum, antiquata lege de stupris & adulteriis, data est fœminis licentia concubitus cum viris quibuslibet. qua impunitate factum est vt iuuentutem ad se pertraherent, corrupta prius anima & huiusmodi præstigiis ad impietatem illecta: donec Phinees filius pontificis indigne ferens perire animas simul cum corporibus, & hæc voluptate illas impietate corrumpi, ausus est facinus viro bono honestoque conuenientissimum. Conspicatus enim quendam suæ gentis hominem post profana sacra ad meretricem ingredi, non furtim, vt mos est verecundis scortatoribus, sed propalam erecta ceruice quasi ostentantem impudenter multitudini suam turpitudinem, nec minus sibi placentem quàm in aliquo præclaro facinore, admodum exasperatus & ira iusta repletus, inuasit iacentem in complexu adamatæ meretricis, & vtrumque peremit adacto mucrone per genitalia, eo quòd operarentur geniture nefariæ. Quo exemplo animati quotquot æmulabantur pietatem ac continentiam,

A βασιλεῦ, διαφέρουσαι τὴν ὄψιν ἐπιχωρίων· ἀνὴρ δ᾽ οὐδενὶ μᾶλλον εὐάλωτος, ἢ γυναικὸς εὐμορφίᾳ. ταῖς οὖν περικαλλεστάταις ἐὰν ἐπιτρέψῃς μισθαρνεῖν καὶ δημοσιεύειν, ἀγκιστρεύσονται τὴν νεότητα τῶν ἀντιπάλων· ὑφηγητέον δὲ αὐταῖς, μὴ εὐθὺς ἐμπαρέχεσθαι τοῖς ἐθέλουσι τὴν ὥραν. ὁ γὰρ ἀκκισμὸς ὑποκνίζων, τὰς ὁρμὰς ἐπεγείρει μᾶλλον, καὶ τοὺς ἔρωτας ἀναφλέξει· πιεζόμενοι δὲ ταῖς ἐπιθυμίαις, πᾶν ὁτιοῦν ὑπομενοῦσι δρᾶν τε καὶ πάσχειν.

B πρὸς δὲ τὸν οὕτω διακείμενον ἐραστὴν, λεγέτω φρυαττομένη τις τῶν ἐπὶ τὴν θήραν ἀλλοφύλων, οὐ θέμις τῆς ὁμιλίας σοὶ τῆς ἐμῆς ἀπολαῦσαι, πρὶν ἂν ἐκδιαιτηθῇς αὖθις τὰ πάτρια, μεταβαλὼν δὲ τιμήσῃς ἅπερ ἐγώ. πίστις δέ μοι τῆς βεβαίου μεταβολῆς γένοιτ᾽ ἂν ἀρίδηλος, εἰ ἐθελήσεις μετασχεῖν τῶν αὐτῶν σπονδῶν τε καὶ θυσιῶν, ἃς ἀγάλμασι καὶ ξοάνοις καὶ τοῖς λοιποῖς ἀφιδρύμασιν ἐπιτελοῦμεν. ὁ δ᾽ ἅτε σαγηνευθεὶς πάγαις πολυειδέσι, κάλλους, στωμυλίας, χορηγίας οὐδὲν ἀντει-

C πὼν, ἐξηνιοχημένος τὸν λογισμὸν, ἄθλιος ὑπηρετήσει τοῖς προστεταγμένοις, ἀναγραφεὶς τῷ πάθους δοῦλος. ὁ μὲν δὴ τοιαῦτα συνεβούλευσεν· ὁ δ᾽ οὐκ ἀπὸ σκοποῦ νομίσας εἰρῆσθαι τὰ λεχθέντα, τὸν κατὰ μοιχῶν νόμον παραλυσάμενος, καὶ τοὺς ἐπὶ φθορᾷ καὶ πορνείᾳ κειμένους ἀνελὼν, ὡς εἰ μηδὲ τὴν ἀρχὴν ἐγράφησαν, ἀνέδην ἐπιτρέπει ταῖς γυναιξὶ τὰς ὁμιλίας πρὸς οὓς ἂν ἐθέλωσι ποιεῖσθαι. δοθείσης δ᾽ ἀδείας, τὴν πληθὺν τῶν μειρακίων ἐπηγάγοντο, πολὺ πρότερον τὴν διάνοιαν αὐτῶν ἀπατῶσαι,

D καὶ τρέπουσαι ταῖς γοητείαις πρὸς ἀσέβειαν, ἕως υἱὸς τοῦ ἀρχιερέως Φινεὲς ἐπὶ τοῖς γινομένοις σφόδρα χαλεπήνας· δεινότατον γὰρ αὐτῷ κατεφαίνετο, εἰ ὑφ᾽ ἕνα καιρὸν ἄμφω τά τε σώματα καὶ τὰς ψυχὰς ἐπιδεδώκασι, τὰ μὲν ἡδοναῖς, τὰς δὲ τῷ παρανομεῖν καὶ ἀνοσιουργεῖν. ἐνεανιεύσατο νεανίευμα ἀνδρὶ καλῷ καὶ ἀγαθῷ προσῆκον. ἰδὼν γάρ τινα τῶν ἀπὸ τοῦ γένους θύοντα καὶ εἰσιόντα πρὸς πόρνην, μήτε κατακύψαντα εἰς τοὔδαφος, μήτε λαθεῖν ὅπως τοὺς πολλοὺς πειρώμενον, μηδ᾽, οἷα φιλεῖ, κλέπτοντα τὴν

E εἴσοδον, ἀλλὰ μετ᾽ ἀναισχύντου θράσους τὴν ἀκοσμίαν ἐπιδεικνύμενον, καὶ φρυαττόμενον ὡς ἐπὶ σεμνῷ πράγματι τῷ καταγελάστῳ, πολὺ πικρανθεὶς, καὶ πληρωθεὶς ὀργῆς δικαίας, ἐπιδραμὼν, ἔτι καὶ εὐνῇ κειμένους ἀμφοτέρους, τόν τ᾽ ἐραστὴν, καὶ τὴν ἑταίραν, ἀναιρεῖ, προσαποτεμὼν καὶ τὰ γεννητικὰ, διότι σποραῖς ὑπηρέτησαν ἐκθέσμοις. τοῦτο θεασάμενοί τινες ὅσοι παράδειγμα τῶν τὴν ἐγκράτειαν καὶ θεοσέβειαν ἐζηλωκότων,

ἐξηλακότων, προστάξαντος Μωϋσέως, ἐμιμήσαντο, καὶ πάντας τοὺς τελεσθέντας τοῖς χειροποιήτοις συγγενεῖς καὶ φίλους, ἀνηλεῶς ἀνελόντες, τὸ μὲν μίασμα τοῦ ἔθνους ἐκκαθαίρουσι διὰ τῆς τῶν προσημαρτηκότων ἀπαραιτήτου τιμωρίας· τοὺς δὲ ἄλλους παρέχοντες ἀπολογίαν ἐναργεστάτην ὑπὲρ τῆς αὐτῶν εὐσεβείας προσεποιήσαντο, μηδένα τῶν ἀφ' αἵματος καταχρίτου οἰκτισάμενοι, μήτ' ἐλέῳ τὰ ἀδικήματ' αὐτῶν παρελθόντες, ἀλλὰ καὶ καθαρεῖς νομίσαντες τοὺς αὐτόχειρας· ὅθεν οὐδενὶ παρεχώρησαν τὴν ἐπ' ἔξοδον φέρουσαν τοῖς δρῶσιν ἀψευδέστατον ἔπαινον. τετρακισχιλίους δέ φασι πρὸς τοῖς δισμυρίοις ἀναιρεθῆναι μιᾷ ἡμέρᾳ, συναναιρεθέντος αὐθις τοῦ κοινοῦ μιάσματος, ὃ πᾶσαν τὴν στρατιὰν ἐκηλίδου· τῶν δὲ καθαρσίων ἐπιτελεσθέντων, ὡς ἀριστεῖ γέρας ἐπάξιον τῷ υἱῷ τοῦ ἀρχιερέως, ὃς πρῶτος ἐπὶ τὴν ἄμυναν ὥρμησεν, ἐζήτει παρασχεῖν Μωϋσῆς· φθάνει δὲ χρησμοῖς δωρησάμενος ὁ θεὸς Φινεὲς τὸ μέγιστον ἀγαθὸν εἰρήνην, ὃ μηδεὶς ἱκανὸς ἀνθρώπων παρασχεῖν· πρὸς δὲ τῇ εἰρήνῃ, καὶ παγκράτιστον ἱερωσύνης αὐτῷ καὶ γένους κληρονομίαν ἀναφαίρετον· ἐπεὶ δὲ τῶν ἐμφυλίων οὐδὲν ἔτ' ἦν ὑπόλοιπον κακῶν, ἀλλὰ καὶ ὅσοι πρὸς αὐτομολίαν ἢ προδοσίαν ὑπωπτεύοντο, πάντες ἀπολώλεσαν, ἔδοξεν εἶναι καιρὸς ἐπιτηδειότατος τῆς ἐπὶ τὸν Βαλάκην στρατείας, ἄνδρα μυρία καὶ βεβουλευμένον ἐργάσασθαι κακὰ καὶ δεδρακότα· βεβουλευμένον μὲν διὰ τοῦ μάντεως, ὃν ἤλπισεν ἀραῖς ἱκανὸν δυνήσεσθαι καθελεῖν τὴν δύναμιν τῶν Ἑβραίων· δεδρακότα δὲ διὰ τῆς τῶν γυναικῶν ἀσελγείας καὶ ἀκολασίας, αἳ τὰ μὲν σώματα λαγνείαις, τὰς δὲ ψυχὰς ἀσεβείᾳ τῶν χρωμένων διέφθειραν. παντὶ μὲν οὖν τῷ στρατῷ πολεμεῖν οὐκ ἐδοκίμαζεν, εἰδὼς τὰ ὑπερόρια πλήθη πλησιάζοντα περὶ αὐτοῖς, καὶ ἅμα λυσιτελὲς ἡγούμενος ἐφεδρείας εἶναι συμμάχων, τοῖς προσκαμοῦσι βοηθούς· ἀριστίνδην δὲ τοὺς ἡλικίας ἐπιλέξας χιλίους, ἐκ φυλῆς ἑκάστης δώδεκα χιλιάδας· τοσαῦται γὰρ ἦσαν αἱ φυλαί· καὶ στρατηγὸν ἑλόμενος τοῦ πολέμου Φινεές, πεῖραν ἤδη δεδωκότα στρατηγικῆς εὐτολμίας, ἐπὶ καλοῖς ἱερείοις ἐξέπεμπε τοὺς ὁπλίτας, καὶ θαρσύνων τοιάδε διεξῄει· οὐχ ὑπὲρ κρείττονος ἀρχῆς ὁ παρὼν ἀγών ἐστιν, οὐδ' ὑπὲρ τοῦ κτήσασθαι τὰ ἑτέρων, περὶ ὧν ἢ μόνων, ἢ μάλιστά εἰσιν οἱ πόλεμοι· ἀλλ' ὑπὲρ εὐσεβείας καὶ ὁσιότητος, ὧν τοὺς ἡμετέρους συγγενεῖς καὶ φίλους ἠλλοτρίωσαν οἱ ἐχθροί, παραίτιοι γενόμενοι τοῖς

A Mose quoque iubente, imitati sunt autorem vltionis, & omnes simulachris initiatos sine cognationis amicitiæque respectu ad vnum deleuerunt, atque ita gentem expiauerunt exacto inclementer à noxiis supplicio. reliqui satis approbauerunt suam pietatem, neminem sontem miserati, ne coniunctissimum quidem sanguine, plus valente apud eos indignatione quam affectu necessitudinum: nec quisquam ex his homicidis pro impuro aut cæde polluto est habitus. B imò visa est hæc res gesta nulli è superioribus cedere, quantum ad veram meritamque laudem fortitudinis attinet. Fertur vno die cæsa vigintiquatuor milia, móxque sublatum publicum piaculum, quo tota castra contaminata fuerant. quibus expiatis Moses dispiciebat de premio decernendo filio pontificis, qui primus fortiter vltionem aggressus fuerat. id cogitanti mature oraculum redditur: Pacem à Deo dari Phinei, C quod bonum mortalis nemo dare potest: dari & perpetuum sacerdotium, quod hæreditario iure ad posteros quoque ipsius pertineat. Ad hunc modum intestinis malis defuncti, quando etiam de transfugio proditioneque suspecti omnes ceciderant, Israelitæ arbitrabantur venisse opportunum tempus expeditionis contra Balacem, nihil non conatum vt læderet, nec frustratum suo consilio: quippe qui per vatem deuouere delereque copias D Hebræorum sperauerat: per mulieres vero impudicas ingentem plagam tum libidine corporibus, tum animabus impietate inflixerat. non fuit tamen vniuersorum expeditio, ne finitimæ gentes excirentur ad arma communi periculo: simúlque consultum videbatur manere cæteros in subsidijs, si forte res posceret noua submitti auxilia. milleni de singulis tribubus selecti sunt. Sic armatis duodecim milibus imperator datur Phinees, spectatæ iam fortitudinis E vir: qui sacris rite peractis vbi litatum vidit, milites hunc in modum pro concione adhortatus est, Non de imperio nunc certamen instat, nec de inualidis occupandisque alienis possessionibus, quæ causa belli vel soli mouet alios vel præcipua, sed pro tuenda pietate ac sanctimonia, quam nostris cognatis amicísque dum hostes eripiunt, parauerunt eis

grauissimam perniciem. Absurdum igitur & periniquum fuerit si parcamus sceleratis hostibus, qui domesticis minus noxiis non pepercimus: si magistros impietatis impune abire sinamus, qui de discipulis pœnas sumpsimus: præsertim cum totius calamitatis culpa penes autores impietatis sit. His dictis animati iuuenes accensique amplius, tanquam ad certam victoriam afferebant inuicta pectora: collatisque signis tantum præualuerunt robore ac audacia, vt mactatis more pecudum hostibus ipsi omnes reuerterentur incolumes, ne vno quidem è suis vel desiderato vel saucio. aliquis ignarus facti ex redeuntium specie coniectans dixisset eos reuerti à decursione militari, non ex acie referre victoriam. adeò intacti erant haud secus quàm post meditationem armorum ludicram: deuictæ vrbes flammis ferroque solo æquatæ sunt, vt nullum superesset habitationis vestigium, ac si nunquam ea terra habuisset incolas. captiuorum abductus est infinitus numerus. ex his in viros & mulieres internecione sæuitũ est: in alteros, quòd ab his petiti fuerant iniustis armis & scelestis consiliis: in alteras, quia hæ suis præstigiis iuuentutem Hebræam seduxerant, qui lasciuiæ, impietatis, ac postremo necis causa fuerant: tenera ætas, pueri virginesque impetrarunt veniam. Præda ingens parta fuit, exhaustis non solum opibus regiis, sed etiam priuatis possessionibus: non minus enim ex agris auectum est quàm ex oppidis. in castra conuexerunt totas quantæ fuerant hostiles diuitias. Moses laudato pro concione Phinee, commilitonumque eo bello spectata fortitudine, parique continentia, qui maluerant prædam in commune proponere quàm sibi vsurpare, vt etiam in castris relicti forent eius participes, iussit victores extra castra per aliquot dies tendere: pontifici autem mandauit, vt lustraret reuersos à recenti cæde hostium. quamuis enim per leges liceat hostem occidere, tamen qui necauit hominem, etiamsi coactus & propulsans iniuriam, obnoxius videtur, propter antiquam generis cognationem oriundi ab vno capite. hæc tum fuit lustrandi causa, vt ne species quidem sceleris in eos competeret.

A ὑπαχθεῖσι χαλεπῆς ἀπωλείας. ἔστιν οὖν ἄτο-
πον, οἰκείων μὲν αὐτόχειρας γεγενῆσθαι παρανομη-
σάντων, ἐχθρῶν δὲ χαλεπώτερα ἠδικηκότων ἀπο-
σχέσθαι· καὶ τοὺς μὲν μαθόντας ἀδικεῖν ἀνῃρηκέναι
βιασαμένους, τοὺς δὲ διδάξαντας ἀτιμωρήτους κα-
ταλιπεῖν, οὓς ἁπάντων αἰτίους εἶναι συμβέβηκεν, ὧν
ἢ δεδράκασιν, ἢ πεπόνθασιν ἐκεῖνοι. νευρωθέντες
οὖν τῇ παραινέσει ἐκεῖνοι, καὶ ὅσον ἐν ταῖς ψυχαῖς
προϋπῆρχε, γενναιότητος ζωπυρήσαντες, ὡς ἐφ'
B ὁμολογουμένην νίκην πρὸς τὸν ἀγῶνα ἵεντο φρονή-
μασιν ἀηττήτοις· καὶ συμπλακέντες, τοσαύτῃ πε-
ριουσίᾳ ῥώμης καὶ τόλμης ἐχρήσαντο, ὡς ἱερεῦσαι
μὲν τοὺς ἀντιπάλους, αὐτοὺς δὲ πάντας σώους ἐπανελ-
θεῖν, οὐδενὸς ἀποθανόντος, ἀλλ' οὐδὲ τρωθέντος.
ὑπέλαβεν ἄν τις τῶν ἀγνοούντων τὸ συμβεβη-
κός, ἰδὼν αὐτοὺς ἐπανιόντας, οὐκ ἀπὸ πολέμου καὶ
παρατάξεως ἀφικνεῖσθαι μᾶλλον, ἢ τῶν ἐν ταῖς ὁ-
πλοσκοπίαις ἐπιδείξεων, ἃς ἔθος ἐν εἰρήνῃ ποιεῖ-
σθαι· γυμνάσματα δ' εἰσὶ καὶ μελέται συγκρο-
C τουμένων τὰ κατ' ἐχθρῶν ἐν φίλοις. τὰς μὲν οὖν
πόλεις ἢ κατασκάπτοντες ἢ ἐμπιπράντες ἠφά-
νισαν, ὡς μηδ' εἰ τὴν ἀρχὴν ᾠκίσθησαν, εἰπεῖν
ἔχειν· αἰχμαλώτων δὲ σωμάτων ἀπερίληπτον
ἀριθμὸν ἀπαγαγόντες, ἄνδρας μὲν καὶ γυναῖκας
κτείνειν ἐδικαίωσαν, τοὺς μὲν, ὅτι βουλευμάτων καὶ
χειρῶν ἦρξαν ἀδίκων· τὰς δὲ, ἐπεὶ κατεγοήτευσαν
τὴν ἑβραίων νεότητα, παραιτίας γεγενημένας αὐ-
τοῖς ἀκολασίας, καὶ ἀσεβείας, καὶ τὰ τελευταῖα θα-
νάτου· νέοις δὲ κομιδῇ παισὶ καὶ παρθένοις συνέ-
D γνωσαν, ἀμνηστίαν τῆς ἡλικίας ἐφελκομένης.
λείας δὲ πολλῆς ἄγαν εὐπορήσαντες, ἔκ τε τῶν βα-
σιλείων καὶ τῶν ἰδιωτικῶν κατ' ἀγροὺς ἐπαύλεων· τὴν
γὰρ ἐν τοῖς χωρίοις οὐκ ἐλάττω τῆς ἐν τοῖς ἄστεσιν.
ἧκον εἰς τὸ στρατόπεδον, ἐπαγόμενοι τὸν παρὰ τῶν
ἐχθρῶν πάντα πλοῦτον. ἐπαινέσας δὲ Μωϋσῆς τόν τε
στρατηγὸν Φινεὲς καὶ τοὺς παραταξαμένους ἐπί τε
τοῖς κατορθώμασι, καὶ ὅτι τῶν ὠφελειῶν οὐκ ἐπέ-
δραμον, τὴν λείαν μόνοι διασφετερίσασθαι διανοη-
E θέντες, ἀλλ' εἰς μέσον προὔθεσαν, ἵνα καὶ οἱ κατα-
μείναντες ἐν ταῖς σκηναῖς μεταλάχωσι. προσέταττε
τοὺς μὲν ἔξω τοῦ στρατοπέδου καταμεῖναι τινὰς ἡμέ-
ρας· τὸν δὲ μεγάλου ἱερέα καθῆραι τοῦ φόνου τοὺς ἀπὸ
τῆς παρατάξεως ἥκοντας τῶν συμμάχων. καὶ γὰρ εἰ
νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαί, ἀλλ' ὅγε κτείνας
ἄνθρωπον, εἰ καὶ δικαίως καὶ ἀμυνόμενος καὶ βια-
σθεὶς, ὑπαίτιος εἶναι δοκεῖ, διὰ τὴν ἀνωτάτω καὶ
κοινὴν συγγένειαν· οὗ χάριν καθαρσίων ἐδέησε τοῖς
κτείνασι πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους

χειρώσασθαι· μετ' οὐ πολὺ μέντοι χρόνον, καὶ τὴν λείαν διένειμε, τοῖς μὲν στρατευσαμένοις· ὀλίγος δ' ἀριθμὸς ἦν· τὸ δ' ἥμισυ τοῖς ἡσυχάσασιν, δίδωσι ἥμισυ μέρος. θάτερον δὲ τοῖς καταμείνασιν ἐν τῷ στρατοπέδῳ. δίκαιον γὰρ ὑπέλαβεν εἶναι καὶ τούτοις μεταδοῦναι τῆς ὠφελείας, εἰ καὶ μὴ τοῖς σώμασι, ταῖς γοῦν ψυχαῖς διηγωνισαμένοις. οἱ γὰρ ἔφεδροι τῶν ἀγωνιστῶν οὐκ ἐλαττούμενοι ταῖς προθυμίαις, χρόνῳ καὶ τῷ φθάσαι μόνον ὑστερίζουσι· λαβόντων δὲ τῶν μὲν ὀλίγων πλείω, διὰ τὸ προεγκινδυνεῦσαι, τῶν δὲ πλειόνων ἐλάττω, διὰ τὸ ἔνδον καταμεῖναι, ἔδοξεν ἀναγκαῖον εἶναι πάσης τῆς λείας τὰς ἀπαρχὰς καθιερῶσαι. τὸ μὲν οὖν πεντηκοστὸν οἱ ἔφεδροι ἀπέδοσαν· πεντακοσιοστὴν δὲ μοῖραν οἱ προπολεμήσαντες εἰσήνεγκαν. τὰς δ' ἀπαρχὰς τὰς μὲν παρὰ τῶν στρατευσαμένων, τῷ μεγάλῳ ἱερεῖ προσέταξε δοθῆναι· τὰς δὲ παρὰ τῶν καταμεινάντων ἐν τῷ στρατοπέδῳ, τοῖς νεωκόροις, οἷς ὄνομα Λευῖται. χιλίαρχοι δὲ καὶ ἑκατόνταρχοι καὶ ὁ ἄλλος ὅμιλος λοχαγῶν καὶ ταξιαρχῶν, ὑπέρ τε τῆς αὐτῶν σωτηρίας, καὶ τῶν στρατευσαμένων, καὶ τῆς παντὸς λόγου κρείττονος νίκης ἐθελονταὶ κομίζουσι χαριστηρίους ἀπαρχάς, κόσμον τε χρυσοῦν ὅσον ἕκαστος ἐκ τῆς λείας ηὗρε, καὶ σκεύη πολυτελέστατα, ὧν πάλιν ὕλη χρυσὸς ἦν. ἃ Μωϋσῆς λαβὼν καὶ τὴν εὐσέβειαν τῶν φερόντων ἀγάμενος, ἀνατίθησιν ἐν τῇ καθιερωμένῃ σκηνῇ, τῆς εὐχαριστίας τῶν ἀνδρῶν ὑπόμνημα. παγκάλη δὲ ἡ διανομὴ τῶν ἀπαρχῶν. τὰς μὲν τῶν μὴ πεπολεμηκότων, ἡμίσειαν ἀρετῆς τῆς χειρὸς ἔργων προθυμίαν αὐτὸ μόνον ἐπιδειξαμένων τοῖς νεωκόροις ἀπένειμε· τὰς δὲ τῶν ἀγωνισαμένων, οἳ σώμασι καὶ ψυχαῖς ἐκινδύνευσαν, ἔλεγχον ἀνδραγαθίας παρασχόμενοι, τῷ προεστηκότι τῶν νεωκόρων ἱερεῖ τῷ μεγάλῳ· τὰς δὲ τῶν ταξιαρχῶν ἀπὸ ἡγεμονικῶν τῷ συμπάντων μεγάλῳ ἡγεμόνι θεῷ. πάντες οὗτοι διεπολεμήθησαν οἱ πόλεμοι, μήπω διαβεβηκότων Ἰορδάνην τὸν εἰσχώριον ποταμόν, πρὸς τοὺς τῆς ἀντιπέρας γῆς οἰκήτορας εὐδαίμονος καὶ βαθείας, ἐν ᾗ πολλὴ πεδιὰς σιτοφόρος, καὶ χιλὸν κτηνοτρόφοις ἀγαθή. ταύτην ὡς ἐθεάσαντο τὴν χώραν αἱ κτηνοτρόφοι δύο φυλαί, μοῖρα τῆς συμπάσης ἕκτη στρατιᾶς, Μωϋσῆν ἱκέτευον ἐπιτρέψαι τὰς κληρουχίας ἐνταυθοῖ λαβεῖν αὐτάς, ἤδη ποτὲ ἱδρυθείσας. ἐπιτηδειότατον γὰρ εἶναι ἔφασκον τὸν τόπον ἐννέμεσθαι, καὶ ἐμβόσκεσθαι θρέμμασιν, εὔυδρον ὄντα καὶ εὔχορτον, καὶ προβατευσίμην ἄφθονον πόαν ἀπαυτοματίζοντα. ὁ δὲ νομίσας αὐτοὺς προεδρίαν

A Aliquanto post prædam diuisit, his qui militauerant, multo paucioribus præ cæteris, assignata parte dimidia, reliqua vero his qui in castris remanserant æquum enim censebat hos quoque victoriæ fructum capere, qui si non corporibus, animis tamen decertauerant. nam qui manent in statione parati auxilio, tempore non alacritate cedunt potioribus. itaque cum pauci accepissent plura propter nauatam operam, plures pauciora, vt qui intra munitiones se continuerant,
B visum est necessarium totius prædæ sacrare primitias. quinquagesimas subsidiarij, quingentesimas propugnatores contulerunt. hæ pontifici datæ sunt iussu prophetæ: altera portio cessit æditûis, quos Leuitas nominant. Tribuni, centuriones, cæterique præfecti ordinum, virtutis ergô acceperunt sua præmia, ornamenta vasaque aurea, quantum cuique in direptione obuenit: ea pro
C sua militúmque salute sponte obtulerunt vt essent donaria: quæ Moses delectatus virorum pietate dicauit tabernaculo Dei, monumentum gratitudinis. Laudanda sane primitiarum distributio. Qui non militarant, de suo dimidio promptæ voluntatis, non operæ præmio, Leuitis obtulerunt ex prophetæ præscripto: pontifici autem illi qui fortitudine absolutissima etiam caput
D obiecerunt periculis, nimirum capiti sacratorum ceremoniis hominum. cæterum præfecti ordinum sacrarunt Deo suas primitias, summo totius vniuersitatis principi. Tantum hostium ferocium debellarunt Israelitæ prius quam Iordanem eius regionis fluuium traiicerent, qui hostes transamnensem tunc tractum incolebant felicem & frugiferum, campestrem magna ex parte aptumque vel frumento vel pabulo.
E hæc loca vbi viderunt duæ tribus pecuariæ, sexta pars totius exercitus, à Mose petebant hos agros sibi diuididi, vt tandem alicubi certas sedes acciperent. esse regionem pascuis aptissimam, propter aquarum copiam & pabuli, sponte fundentem alimenta pecoribus. Ille ratus eos prærogatiuam in agris diuidendis

quærere, aut immunitatẽ à bellis imminentibus, cum adhuc superessent cis Iordanem reges multi, occasionem expectantes tanquam ex insidijs, valde ira commotus respondit: Itáne cęteris æquum vos hic ociosos ante tempus considere, immunitate fruituros? Quid interim fiet amicis socijsque, & quæ sanctior necessitudo est, coniũctis natiuo cõsanguineitatis fœdere? num placet eos desertos obijci opprimẽdos hostibus? Itáne vos soli quasi re bene gesta præmijs potiemini, pugnas, labores, erumnas, pericula, relinquetis cæteris? Non est iustum vos frui pace cõmodisque alijs quæ pacem sequuntur, vestros fratres atteri tot bellis ac certaminibus, & vt parti bene sit, vexari totum exercitum: illud magis decet, vt cum vniuersis copijs partes etiam in sortem agrorum veniant. omnes æquo iure degitis, vnum genus omnibus ab ijsdem profectum conditoribus, vna familia, mores, ritus, leges, sacra eadem, & alia plurima, quæ vel singula fœdus amicitiámque conciliãt. Quid est cur hactenus pares in summe necessarijs munijs, in agrorum diuisione rationem vestri haberi postuletis extra ordinẽ, quasi cæteros habeatis pro seruis aut subditis. atqui debuerãt vos aliorum exempla docere modestiam: nam prudentes nolunt suo malo discere: nunc ne domesticæ quidem clades vos admonent officij, quas spectastis in vestris patribus. explorauerunt illi regionem expetitam, sed quia de possessione desperauerunt, omnes perierunt duobus tantum exceptis. Illorum igitur libet imitari formidinem ô vecordes, quasi hæc consilia non tendant ad vestram perniciem, dũ ipsimet vobis animos adimitis & audaciã: quandoquidem properantes ad peccatum properatis ad suppliciũ. nam vindictã quantumuis tardam, si semel moueatur contra noxios, nemo potest effugere. Vbi debellatũ fuerit, sublatis omnibus hostibus, socij verò virtutẽ suã approbauerint, sine crimine desertorum & detrectatorum militiæ alióue quod officiat victoriæ, prompte vsque belli finem vsi animo & corpore: agri quoque vacui fuerint colonis pristinis, tum demum tribubus ex æquo sua cõtingent præmia. Hanc admonitionem illi tulerunt ita vt filios decuit, nempe profectam à paterno animo. sciebant enim eum haud superbe

A τὴν διανομήν, τά τε γέρα πρὸ καιροῦ λαμβάνειν
ἀξιοῦν, ἢ πρὸς τοὺς μέλλοντας πολέμους ἀποκνεῖν,
ἐφεδρευόντων ἔτι πλειόνων βασιλέων οἳ τὴν εἴσω τοῦ
ποταμοῦ χώραν ἐκεκλήρωντο, πάνυ δυσχεράνας,
πρὸς ὀργὴν ἀποκρίνεται, καί φησιν, ὑμεῖς μὲν οὕτως
ἐνταυθοῖ καθεδεῖσθε σχολὴν ἐν οὐ δέον τι, καὶ ἀρ-
γίαν ἕξοντες· τοὺς δὲ ὑμετέρους οἰκείους καὶ συγγενεῖς
καὶ φίλους, οἱ λειπόμενοι περιχυθήσονται πόλεμοι· καὶ τὰ
μὲν ἆθλα μόνοις ὑμῖν, ὡς ἐπὶ κατωρθωμένοις
πᾶσι δοθήσεται; μάχαι δὲ καὶ πόνοι, καὶ ταλαιπωρίαι
B καὶ οἱ διὰ τούτων κίνδυνοι ἑτέρους ἀναμενοῦσιν; ἀλλ'
οὐ δίκαιον ὑμᾶς μὲν εἰρήνην καὶ τὰ ἐκ τῆς εἰρήνης
ἀγαθὰ καρποῦσθαι, τοὺς δ' ἄλλους πολέμοις καὶ
κακοῖς τοσούτοις ἀμυθήτοις ἐναθλεῖν, οὐδὲ προσ-
θήκης τὸ ὅλον μέρος εἶναι. τοὐναντίον γὰρ ἕνεκα τῶν
ὅλων τὰ μέρη κληρονομίας ἀξιοῦται. πάντες ἐστὲ
ἰσότιμοι, γένος ἕν, οἱ αὐτοὶ πατέρες, οἰκία μία, ἔθη
τὰ αὐτά, κοινωνία νόμων, ἄλλα μυρία, ὧν ἕκαστον
τὴν οἰκειότητα συνδεῖ καὶ πρὸς εὔνοιαν ἁρμό-
C ζεται. διὰ τί δὲ τῆς ἴσης ἐν τοῖς μεγίστοις καὶ ἀναγ-
καιοτάτοις ἀξιωθέντες, ἐν ταῖς διανομαῖς πλεο-
νεκτήσετε, ὡς ἢ ἄρχοντες ὑπηκόων, ἢ δεσπόται
δούλων καταφρονήσαντες. ἔδει μὲν ὑμᾶς ταῖς ἑ-
τέρων πληγαῖς πεπαιδεῦσθαι· φρονίμων γὰρ ἀν-
δρῶν μὴ ἀναμένειν ἄχρις ἂν ἐπ' αὐτοὺς ἔλθῃ τὰ
δεινά· νυνὶ δὲ παραδείγματα ἔχοντες οἰκεῖα τοὺς
πατέρας, οἳ κατεσκέψαντο τήνδε τὴν χώραν, καὶ
τὰς ἐκείνων συμφοράς, καὶ τὴν συναπονοηθέντων·
ἅπαντες γὰρ ἔξω δυοῖν ἀπώλοντο· δέον μηδενὶ τῶν
D ὁμοίων συνεπιγράφεσθαι, δειλίαν ὦ κενοὶ φρε-
νῶν ζηλοῦτε, ὡς οὐχ ἁλωτότεροι γενησόμενοι,
καὶ τὰς προθυμίας ὑποσκελίζετε τῶν ἀνδρα-
γαθίζεσθαι προαιρουμένων, ἐκλύοντες καὶ παριέν-
τες αὐτῶν τὰ φρονήματα. τοιγάρτοι σπεύδοντες
ἁμαρτάνειν, σπεύδετε καὶ πρὸς τιμωρίας. ἡ γὰρ δίκη
μόλις μὲν εἴωθε κινεῖσθαι· κινηθεῖσα δ' ἅπαξ, φθάνει
προκαταλαμβάνουσα τοὺς ἀποδιδράσκοντας. ὅ-
ταν μὲν οὖν ἅπαντες μὲν οἱ ἐχθροὶ καθαιρεθῶσιν, ἔ-
E φεδρος δὲ μηδεὶς ἔτι προσδοκᾶται πόλεμος, ἐν δὲ
ταῖς εὐθύναις ἀνεπίληπτοι δοκιμασθῶσιν οἱ σύμ-
μαχοι, μὴ λιποτάξιον, μὴ λιποστράτιον, μηδὲν
ἄλλο τῶν ἐφ' ἥττῃ διαπεπραγμένοι, παραμεμε-
νηκότες δ' ἐξ ἀρχῆς ἄχρι τέλους φαίνωνται, καὶ τοῖς
σώμασι καὶ ταῖς προθυμίαις, ἐρημωθῇ δὲ πᾶσα ἡ
χώρα, τῶν προενῳκηκότων· τηνικαῦτα ἀποδοθήσε-
ται τὰ γέρα καὶ τὰ ἀριστεῖα ταῖς φυλαῖς ἐξ ἴσου.
τὴν δὲ νουθεσίαν πράως ἐνδεχόντες, ὡς υἱοὶ γνή-
σιοι σφόδρα εὔνου πατρός· ᾔδεσαν γὰρ αὐτὸν οὐ κα-

πλαζονευόμενον ἀρχῆς ἐξουσίᾳ, προκηδόμενον δὲ πάντων, καὶ δικαιοσύνην, καὶ ἰσότητα τιμῶντα, καὶ τὸ μισοπόνηρον οὐκ ἐφ' ὀνείδει, σωφρονισμῷ δὲ τῶν βελτιοῦσθαι δυναμένων ἀεὶ ποιούμενον· εἰκότως μὲν, ἔφασαν, ἀγανακτεῖς, εἰ τοῦθ' ὑπείληφας, ὅτι τὴν συμμαχίαν ἀπολιπόντες, πρὸ καιροῦ τὰς λήξεις λαβεῖν ἐπειγόμεθα· χρὴ δὲ σαφῶς εἰδέναι, ὅτι οὐδὲν ἡμᾶς φοβεῖ τῶν σὺν ἀρετῇ κἂν ἐπιπονώτατον τυγχάνῃ· κρίνομεν δ' ἀρετῆς ἔργα, πειθαρχεῖν τε σοὶ τοιῷδε ἡγεμόνι, καὶ τῶν δεινῶν μὴ ὑστερίζειν, καὶ ἐν ἁπάσαις ἐξετάζεσθαι ταῖς μελλούσαις στρατείαις, ἄχρις ἂν τὰ πράγματα λάβῃ τέλος αἴσιον. ἡμεῖς μὲν οὖν καθὰ καὶ πρότερον συνταξάμενοι διαβησόμεθα τὸν Ἰορδάνην ἐν ταῖς πανοπλίαις, οὐδενὶ τὴν ὁπλιτῶν πρόφασιν ὑπεξάγοντες μονῆς· υἱοὶ δὲ κομιδῇ νήπιοι καὶ θυγατέρες, καὶ μητέρες, καὶ γυναῖκες, καὶ τὸ πλῆθος τῶν βοσκημάτων ἐὰν ἐπιτρέπῃς, ὑπολελείψονται, παισὶ μὲν καὶ γυναιξὶν οἰκίας, ἐπαύλεις δὲ θρέμμασι κατασκευασάντων ἡμῶν, ἵνα μηδὲν ἐξ ἐπιδρομῆς δεινὸν πάθωσιν ἐν ἀτειχίστοις καὶ ἀφρουρήτοις προκαταληφθέντες. ὁ δ' ἵλεῳ τῷ βλέμματι καὶ πρᾳοτέρᾳ τῇ φωνῇ, ἀψευδοῦσιν ὑμῖν, ἔφη, βέβαιοι μενοῦσιν ἃς ᾐτήσασθε λήξεις· ὑπολείπεσθε μὲν ὡς ἀξιοῦτε, γυναῖκας καὶ παῖδας, καὶ βοσκήματα· κατὰ λόχους δ' αὐτοὶ διαβαίνετε μετὰ τῶν ἄλλων ἐνωπλισμένοι, καὶ ἐκτεταγμένοι πρὸς μάχην, ὡς αὐτίκα μάλα δέῃ, πολεμήσοντες· αὖθις δ' ὅταν ἅπαντες οἱ ἐχθροὶ καθαιρεθῶσι, καὶ γινομένης εἰρήνης τὴν χώραν οἱ κεκρατηκότες διανέμωνται, καὶ ὑμεῖς ἐπανελεύσεσθε πρὸς τοὺς οἰκείους, τῶν ἐπιβαλλόντων ἀπολαύσοντες ἀγαθῶν, καὶ καρπωσόμενοι ἣν εἵλεσθε μοῖραν. ταῦτ' εἰπόντος καὶ ὑπόχρεω μὲν πληρωθέντες εὐθυμίας καὶ χαρᾶς, τοὺς μὲν οἰκείους μετὰ τῶν θρεμμάτων ἀσφαλῶς ἐν ἐρύμασι δυσαλώτοις, ὧν τὰ πλεῖστα χειροποίητα ἦν, ἱδρύονται· τὰ δ' ὅπλα ἀναλαβόντες, ἐξῄεσαν τῶν ἄλλων συμμάχων προθυμότερον, ὡς ἢ μόνοι πολεμήσοντες, ἢ προαγωνιούμενοι πάντως. ὁ γὰρ προλαβών τινα δωρεὰν προθυμότατος εἰς τὴν συμμαχίαν, ἀποτίνειν ἀναγκαῖον ὄφλημα νομίζων, οὐ χαρίζεσθαι. τὰ μὲν δὴ κατὰ τὴν βασιλείαν πεπραγμένα αὐτῷ, μεμήνυται· λεκτέον δ' ἑξῆς καὶ ὅσα διὰ τῆς ἀρχιερωσύνης καὶ νομοθετικῆς κατώρθωσε. καὶ γὰρ ταύτας περιεποιήσατο τὰς δυνάμεις ὡς ἁρμοττούσας μάλιστα βασιλείᾳ.

A principatum gerere, solicitum de toto populo, iuris & æqui obseruantissimum, sæuientem non ad subditorum contumeliam, sed ad emendationem eorum qui videbantur corrigibiles. Responderunt igitur, Iusta est indignatio tua, si suspicaris nos à societate desciscere, & ante tempus agros petere: sed scire debes, nos nullis terreri laboribus qui cum virtute coniuncti sint. Iudicamus autem virtutem esse obedientiam, præsertim sub principe B qualis tu es: nec deerimus futuris expeditionibus quantumlibet difficilibus, donec res nostræ ad optatum finem perueniant. sequemur cæteros vt antè armati trans Iordanem, sine vacatione cuiusquam qui sit armis ferendis idoneus. pueros & puellas cum matribus vxoribúsque & pecorum gregibus pace tua relinquemus, extædificatis in hunc vsum oppidis & caulis pecori, ne pateant incursionibus hostium, si non includantur munitio- C nibus. Tum propheta vultu & voce iam placidiore: Si ex animo, inquit, pollicemini, habebitis agros quos extra sortem petitis. Relinquite ita vt vultis vxores cum liberis & gregibus: ipsi armati cum sociorum exercitu traijcite, mox à traiectu si opus fuerit explicaturi aciem, & armis de rei summa dimicaturi cum hostibus. quibus profligatis deletísque internecione, quando iam pacato hostico agri diuidentur victoribus, vos quoque reuer- D timini ad domesticos fruituri vestris commodis, percepturíque fructus ex agris quos ipsi elegistis. Hac promissione audita pleni alacritate ac gaudio domesticos cum pecoribus reliquerunt in locis tutioribus, quorum plerosque manu muniuerant. ipsi armis sumptis expeditionem susceperant cum socijs, non recusaturi vel totum bellum, vel maximam eius partem proprijs viribus conficere. nam qui deuincti sunt muneribus promptissi- E me nauant operam, non conferendo sed referendo gratiam debitam. Hæc sunt quæ in regno eius gesta produntur: supersunt dicenda acta sacerdotis & legislatoris: has enim sibi facultates, vt maxime regno conuenientes, dudum parauerat.

ΠΕΡΙ ΒΙΟΥ ΜΩΥΣΕΩΣ.

ΛΟΓΟΣ Β.

PHILONIS IVDÆI, DE VITA MOSIS.

LIBER SECVNDVS.

SVPERIORE libro diximus de natiuitate ac educatione Mosis, déque eruditione ac principatu non solum irreprehensibili, verum etiam laude omni dignissimo: tum quid in Ægypto & in itinere gesserit, vel ad rubrũ mare vel in deserto, res quæ nulla eloquẽtia pro dignitate possunt exprimi, laborésque nõ minores successibus, & agros attributos parti exercitus: in hoc libro attexẽtur quæ deinceps de actis eius dicẽda sunt. est enim quorundã haud improbãda sentẽtia, ita demũ fore felices respublicas si aut philosophẽtur reges, aut regnent philosophi. At in hoc vno viro plures etiã dotes reperiũtur, cum tres alias habuerit præter regiã & philosophicã, quarum aliã exeruit in ferẽdis legibus, aliã in pontificatus munijs, aliam in vaticinijs propheticis: quarum rerum necessariã narrationẽ nunc institui. compertum enim habeo hæc omnia in vnũ hominẽ cõpetere: siquidẽ hic factus diuina prouidentia rex & legislator & põtifex & propheta, in his functionibus ita se gessit, vt omnes alios à tergo reliquerit. Cur autẽ eidem hæc cuncta conueniãt, apertius differendũ est. Regis officiũ est iubere quæ oportet fieri, & vetare à quibus abstineri decet. cęterũ iussio faciẽdorũ, & interdictio cauẽdorũ, propriè ad legẽ pertinet. Atque ita consequitur, vt rex animata lex sit, lex verò sit rex iustissimus. quisquis autẽ est rex simul & legislator, debet nõ solũ humani, verũ etiam diuini iuris peritus esse. nec enim sine diuina prouidẽtia regnũ bene administratur & ex subditorum vtilitate. Quamobrẽ talis vir pontificatu opus habuit, vt obeundo perfecta sacra iuxta perfectã diuini cultus sciẽ-

A Ἡ ΜΕΝ προτέρα σύνταξίς ἐστι περὶ γενέσεως τῆς Μωσέως, καὶ τροφῆς, ἔτι δὲ καὶ παιδείας, καὶ ἀρχῆς, ἣν οὐ μόνον ἀνεπιλήπτως, ἀλλὰ καὶ σφόδρα ἐπαινετῶς ἦρξε, καὶ τῶν ἐν τῇ Αἰγύπτῳ καὶ ταῖς ὁδοιπορίαις, ἐπί τε τῆς ἐρυθρᾶς θαλάσσης καὶ κατὰ τὴν ἐρήμην πεπραγμένων, ἃ δύναμιν πᾶσαν λόγων ὑπερβάλλει, καὶ προσέτι πόνων οὓς κατώρθωσε, καὶ κληρουχιῶν ἃς ἐκ μέ-
B ρους ἀπένειμε τοῖς στρατευσαμένοις· ἣν δὲ νυνὶ συντάττομεν, περὶ τῶν ἑπομένων καὶ τῶν ἀκολούθων. φασὶ γάρ τινες οὐκ ἀπὸ σκοποῦ, μόνως ἂν οὕτω τὰς πόλεις ἐπιδοῦναι πρὸς τὸ βέλτιον, ἐὰν οἱ βασιλεῖς φιλοσοφήσωσιν, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν· ὁ δ' ἐκ περιττοῦ φανεῖται μὴ μόνον ταύτας ἐπιδεδειγμένος τὰς δυνάμεις ἐν ταὐτῷ, τήν τε βασιλικὴν καὶ φιλόσοφον, ἀλλὰ καὶ τρεῖς ἑτέρας, ὧν ἡ μὲν πραγματεύεται περὶ
C νομοθεσίαν, ἡ δὲ περὶ ἀρχιερωσύνην, ἡ δὲ τελευταία περὶ προφητείαν· περὶ ὧν νυνὶ λέγειν εἱλόμην ἀναγκαίως. ὑπέλαβον γὰρ τὸ αὐτῷ πάντ' ἐφαρμόττειν, εἰ ἐγένετο προνοίᾳ θεοῦ βασιλεύς τε καὶ νομοθέτης καὶ ἀρχιερεὺς καὶ προφήτης, καὶ ἐν ἑκάστῳ τὰ πρωτεῖα ἠνέγκατο. διότι δὲ τῷ αὐτῷ πάντ' ἐφαρμόττει, δηλωτέον. βασιλεῖ προσήκει προστάττειν ἃ χρὴ, καὶ ἀπαγορεύειν ἃ μὴ χρή· πρόσταξις δὲ τῶν πρακτέων, καὶ ἀπαγόρευσις τῶν οὐ πρακτέων, ἴδιον
D νόμου· ὡς εὐθὺς εἶναι τὸν μὲν βασιλέα νόμον ἔμψυχον, τὸν δὲ νόμον βασιλέα δίκαιον. βασιλεὺς δὲ καὶ νομοθέτης, ὀφείλει μὴ τὰ ἀνθρώπεια μόνον, ἀλλὰ καὶ τὰ θεῖα συνεπισκοπεῖν. οὐ γὰρ ἄνευ θείας ἐπιφροσύνης κατορθοῦται τὰ βασιλέων καὶ ὑπηκόων πράγματα· δι' ἣν αἰτίαν ἐδέησε τῷ τοιούτῳ τῆς πρώτης ἱερωσύνης, ἵν' ἐπὶ τελείοις ἱεροῖς καὶ ἐπιστήμῃ τελείᾳ τῆς τοῦ θεοῦ θεραπείας, ἀποτρ-

τὴν μὲν κακῶν, μετουσίαν δὲ ἀγαθῶν αὑτῷ τε καὶ τοῖς ἀρχομένοις αἰτῆται παρὰ τοῦ ἵλεω καὶ ταῖς εὐχαῖς συνεπινεύοντος. πῶς γὰρ οὐ τελεσφορήσει τὰς εὐχάς, ὁ καὶ ἐκ φύσεως εὐμενής, καὶ τοὺς γνησίως θεραπεύοντας αὐτὸν προνομίας ἀξιῶν. ἀλλ' ἐπεὶ μυρία καὶ βασιλεῖ καὶ νομοθέτῃ καὶ ἀρχιερεῖ τῶν ἀνθρωπίνων καὶ θείων ἄδηλα· γενητὸς γὰρ οὐδὲν ἧττον καὶ θνητός ἐστιν, εἰ καὶ τοσοῦτον καὶ οὕτως ἀφθόνου περιβέβληται κλήρου εὐπραγιῶν· ἀναγκαίως καὶ προφητείας ἔτυχεν, ἵν' ὅσα μὴ λογισμῷ, θείῳ δυνηθείη καταλαμβάνειν. ὧν γὰρ ὁ νοῦς ἀπολείπεται, πρὸς ταῦθ' ἡ προφητεία φθάνει. καλή γε ἡ συζυγία καὶ παναρμόνιος τῶν τεττάρων δυνάμεων. ἐμπλεκόμεναι γὰρ καὶ ἀλλήλων ἐχόμεναι, συγχορεύουσι, τὰς ὠφελείας ἀντιλαμβάνουσαί τε καὶ ἀντεκτίνουσαι, μιμούμεναι τὰς παρθένους Χάριτας, ἃς μὴ διαζεύγνυσθαι νόμος φύσεως ἀκίνητος· ἐφ' ὧν δεόντως εἴποι τις ἂν ὃ καὶ ἐπὶ τῶν ἀρετῶν εἴωθε λέγεσθαι, ὅτι ὁ μίαν ἔχων, καὶ πάσας ἔχει. ῥητέον δὲ πρότερον περὶ τῶν κατὰ τὴν νομοθετικὴν ἕξιν. οὐκ ἀγνοῶ μὲν οὖν ὅτι τῷ μέλλοντι ἀρίστῳ γενήσεσθαι νομοθέτῃ προσήκει παντελέσι καὶ ὁλοκλήροις κεχρῆσθαι ταῖς ἀρεταῖς πάσαις, ἐπεὶ κἂν ταῖς οἰκίαις, οἱ μὲν ἐγγυτάτω γένους εἰσίν, οἱ δὲ πόρρω, συγγενεῖς δὲ πάντες ἀλλήλων· καὶ τῶν ἀρετῶν, τὰς μὲν προσπεφυκέναι νομιστέον μᾶλλον οἰκείοις πράγμασι, τὰς δὲ ἧττον ᾠκειῶσθαι. νομοθετικῇ δὲ ἀδελφὰ καὶ συγγενῆ τέτταρα ταυτὶ διαφερόντως ἐστί, τὸ φιλάνθρωπον, τὸ φιλοδίκαιον, τὸ φιλάγαθον, τὸ μισοπόνηρον. ὑπὸ γὰρ τούτων ἑκάστου παρακαλεῖται πᾶς, ὅτῳ ζῆλος εἰσέρχεται τοῦ νομοθετεῖν· φιλανθρωπίας μὲν εἰς μέσον προτιθέναι τὰς κοινωφελεῖς γνώμας ἀναδιδασκούσης· δικαιοσύνης δέ, ὡς ἰσότητα τιμητέον, καὶ τὸ κατ' ἀξίαν ἀπονεμητέον ἑκάστοις· φιλαγαθίας δ', ἀποδέχεσθαι τὰ φύσει καλά, καὶ παρέχειν ἅπασι τοῖς ἀξίοις ἀταμίευτα πρὸς ἀφθονωτάτην χρῆσιν· μισοπονηρίας δέ, προβεβλῆσθαι τοὺς ἀτιμάζοντας ἀρετήν, καὶ ὡς κοινοὺς δυσμενεῖς τοῦ τῶν ἀνθρώπων γένους ὑποβλέπεσθαι. μέγα μὲν οὖν, εἴ τῳ καὶ ἕν τι τῶν λεχθέντων λαχεῖν ἐγένετο· θαυμαστὸν δ', ὡς ἔοικε, τούτων ἀθρόον περιδράξασθαι δυνηθῆναι, οὗ μόνος Μωσῆς ἐφικέσθαι δοκεῖ, τρανώσας ἐμφανῶς τὰς εἰρημένας ἀρετὰς ἐν οἷς διετάξατο. συνίσασι δ' οἱ ταῖς ἱεραῖς βίβλοις ἐντυγχάνοντες, ὡς οὐκ ἄν, εἰ μὴ τοιοῦτος ὑπέφυκε, ταύτας συνέγραφεν ὑφηγησαμένου θεοῦ. καὶ

A tiam, mala deprecando auerteret, rerum verò bonarum copiam sibi subditisque impetraret, annuente votis Deo propitio. Quomodo enim non faceret rata vota qui est suapte natura placabilis, & germanos cultores sui numinis ornare solet priuilegijs? Sed quoniam innumera vel regi vel legislatori, vel pontifici humana diuináque sunt incognita, nimirum nato mortali etiamsi alioqui felicissimo, necessario prophetia quoque adiungitur, vt quicquid ratio non percipit, suppleatur
B diuinitus. quò enim mens non potest pertingere, eò prophetia peruenit. Bellæ profectò quadrigæ potentiarum aptissime comparatarum. connexæ enim & hærentes sibi inuicem, simul agitantur, percipientes ex se vtilitates mutuas more Gratiarum virginum, quæ nunquam separantur coniunctæ naturæ lege immobili. De quibus merito dici potest quod vulgo de virtutibus dicitur: eum qui
C vnam habet, omnes habere. Cæterum ante omnia tractandum videtur de legislatoris habitudine. Non ignoro quod in legislatore optimo requirantur omnes virtutes integræ, sed quemadmodum in familijs alij propius cognati sunt quam alij quamuis in eadem cognatione: sic quibusdam rebus certæ virtutes naturaliter cohærent propius, reliquę minus familiares habentur. facultati legislatoriæ quatuor hæc sunt coniunctissima, caritas
D erga proximos, iustitia, amor virtutum, & vitiorũ odium. quisquis enim ad leges ferendas animum appulit, ab his causis singulis permotus est. siquidem caritas docet sententias vtiles proferre in medium, iustitia honoratur vt æquabilitas, suum cuique tribuens. Virtutum amor approbat quicquid natura bonum est, & id omnibus dignis exhibet sine inuidia. Odium autem vitiorum exagitat contemptores virtutis, suspectos habens vt ho-
E stes humani generis publicos & perpetuos. Hæc vel singula magnum est alicui contingere: mirandum vero si vniuersa vnus possit consequi: quod in solo Mose licet cernere, eminentibus in eo manifestis cunctarum modo dictarum virtutum indicijs, præsertim in eius legibus. Id verum esse sciunt qui legunt sacra illius volumina, quæ non poterant nisi à tali viro conscribi, idque ex Dei sententia.

hæ leges posteris sunt traditæ vt res A preciosissima, referentes imaginem animæ propheticæ, indubijs notis exprimentem has ipsas virtutes, quas dixi necessarias. Quòd autem hic fuerit præstantissimus legislatorum qui vnquam exstiterunt vel apud Græcos vel apud barbaros, leges item optimæ sint & verè diuinæ, in quibus nihil desiderari possit, hoc argumento colligitur certissimo. Aliarum gentium iura, si quis B cogitatione percenseat, innumeris de causis antiquata inueniet, bello, tyrannide, aliisque improuisis casibus, vt solet fortuna ludere. interdum etiam præ nimia felicitate lasciuientes quidam colla subduxerunt legibus, vt vulgus est in rebus secundis insolens, comitante saturitatem superbia. Lex autem semper pugnat cum superbia. sola nostra lex firma, immobilis, inconcussa, tanquam obsignata naturæ signaculis, C manet ex quo scripta est in hodiernum vsque, & spes est mansuram per omnia secula immortalem, donec sol, luna, cælum, totúsque mundus manebit. gens enim hæc multas experta fortunæ vicissitudines, tamen ne minimum quidem mandatum passa est absolescere. Tanta fuit semper diuini iuris veneratio. quæ autem tuta sunt à famis, pestis, belli, tyrannorum regúmque iniurijs, à corporis morbis pariter & animi, atque etiam à diris D calamitatibus alijs, an non sunt modis omnibus amplectenda, vt maioris quàm quod æstimari possit precij? res certe non caret miraculo, per tot secula mansisse leges easdem incolumes. illud tamen magis etiam mireris, non solum Iudæos, sed & aliarum gentium penè omnium homines, præsertim virtutis rationem habentium, imbutos esse harum veneratione. hic enim E est honor earum eximius. id ita esse vel hinc liquet. In tota Græcia totáque barbaria nulla ciuitas habet leges communes cum quapiam alia: imò vix inuenias vllam eisdem semper vsam, in tot mutationibus rerum & temporum. Athenienses Laconicas leges aspernantur, Atticas Lacedæmonij. Inter barbaros Ægyptij non vtuntur Scytharum legibus, nec Scythicæ gentes in-

παραδέδωκε τοῖς ἀξίοις χρῆσθαι κτημάτων, τὸ κάλλιστον τῶν ἀγαλματοφορουμένων ἐν τῇ ψυχῇ παραδειγμάτων, ὧν ἀπεικονίσματα καὶ μιμήματα οἱ δηλωθέντες νόμοι γεγόνασι, σαφέστατα τὰς λεχθείσας ἐμφαίνοντες ἀρετάς. ὅτι δ᾽ αὐτός τε νομοθετῶν ἄριστος τῶν πανταχοῦ πάντων ὅσοι παρ᾽ ἕλλησιν ἢ βαρβάροις ἐγένοντο, καὶ οἱ νόμοι κάλλιστοι καὶ ὡς ἀληθῶς θεῖοι, μηδὲν ὧν χρὴ παραλιπόντες, ἐναργεστάτη πίστις ἥδε· τὰ μὲν τῶν ἄλλων νόμιμα, εἴ τις ἐπίοι τῷ λογισμῷ, διὰ μυρίας προφάσεις εὑρήσει κεκινημένα, πολέμοις, ἢ τυραννίσιν, ἤ τισιν ἄλλοις ἀβουλήτοις, ἃ νεωτερισμῷ τύχης κατασκήπτει· πολλάκις δὲ καὶ τρυφὴ πλεονάσασα χορηγίαις καὶ περιουσίαις ἀφθόνοις καθεῖλε νόμους, τὰ λίαν ἀγαθὰ τῶν πολλῶν φέρειν οὐ δυναμένων, ἀλλὰ διὰ κόρον ἐξυβριζόντων· ὕβρις δ᾽ ἀντίπαλον νόμῳ. τὰ δὲ τούτου μόνου βέβαια, ἀσάλευτα, ἀκράδαντα, καθάπερ σφραγῖσι φύσεως αὐτῆς σεσημασμένα, μένει παγίως ἀφ᾽ ἧς ἡμέρας ἐγράφη μέχρι νῦν, καὶ πρὸς τὸν ἔπειτα πάντα διαμενεῖν ἐλπὶς αὐτὰ αἰῶνα ὥσπερ ἀθάνατα, ἕως ἂν ἥλιος καὶ σελήνη καὶ ὁ σύμπας οὐρανός τε καὶ κόσμος ᾖ. τοσαύταις γοῦν χρησαμένου τοῦ ἔθνους μεταβολαῖς κατά τε εὐπραγίας, καὶ τοὐναντίον, οὐδὲν, ἀλλ᾽ οὐδὲ τὸ μικρότατον τῶν διατεταγμένων ἐκινήθη, πάντων ὡς ἔοικε τὸ σεμνὸν καὶ θεοπρεπὲς αὐτῶν ἐκτετιμηκότων· ἃ δὲ μήτε λιμὸς, ἢ λοιμὸς, ἢ πόλεμος, ἢ βασιλεὺς, ἢ τύραννος, ἢ ψυχῆς, ἢ σώματος, ἢ παθῶν, ἢ κακιῶν ἐπανάστασις, ἤ τι ἄλλο θεήλατον ἢ ἀνθρώπειον κακὸν ἔλυσε, πῶς οὐ περιμάχητα, καὶ παντὸς λόγου κρείττονα καθέστηκεν. ἀλλ᾽ οὔπω τοῦτο θαυμαστὸν, καίτοι μέγα καθ᾽ αὑτὸ δεόντως ἂν νομισθὲν, τὸ ἐξ ἅπαντος τοῦ χρόνου περιφυλάττεσθαι τοὺς νόμους ἐν βεβαίῳ· ἀλλ᾽ ἐκεῖνο θαυμασιώτερον ὡς ἔοικε, τὸ μὴ μόνον ἰουδαίους, ἀλλὰ καὶ τοὺς ἄλλους σχεδὸν ἅπαντας, καὶ μάλιστα οἷς ἀρετῆς πλείων λόγος, πρὸς τὴν ἀποδοχὴν αὐτῶν καὶ τιμὴν ὡσιῶσθαι. γέρας γὰρ τοῦτ᾽ ἔλαχον ἐξαίρετον, ὃ μηδενὶ πρόσεστιν ἑτέρῳ. σημεῖον δέ· τὴν περὶ ἑλλάδα καὶ βάρβαρον ὡς ἔπος εἰπεῖν, οὐδεμία πόλις ἐστὶν, ἣ τὰ ἑτέρας νόμιμα τιμᾷ. μόλις δὲ καὶ τῶν αὐτῆς εἰσαεὶ περιέχεται, πρὸς τὰς τῶν καιρῶν καὶ τῶν πραγμάτων μεθαρμοζομένη τροπάς. ἀθηναῖοι τὰ λακεδαιμονίων ἔθη καὶ νόμιμα προβάλλονται, καὶ λακεδαιμόνιοι τὰ ἀθηναίων· ἀλλ᾽ οὐδὲ κατὰ τὴν βάρβαρον αἰγύπτιοι

τοὺς σκυθῶν νόμους φυλάττουσιν, ἢ σκύθαι τοὺς αἰγυπτίων, ἢ συνελόντι φράσαι, τοὺς τῆς κατ' Εὐρώπην οἱ τὴν Ἀσίαν οἰκοῦντες, ἢ τοὺς τῶν ἀσιανῶν ἐθνῶν οἱ ἐν Εὐρώπῃ· ἀλλὰ σχεδὸν οἱ ἀφ' ἡλίου ἀνιόντος ἄχρι δυομένου, πᾶσα χώρα, καὶ ἔθνος, καὶ πόλις, τῶν ξενικῶν νομίμων ἀλλοτριοῦται, καὶ οἴονται τὴν τῶν οἰκείων ἀποδοχὴν, εἰ τὰ παρὰ τοῖς ἄλλοις ἀτιμάζοιεν, συναυξήσειν· ἀλλ' οὐχ ὧδε τὰ ἡμέτερα ἔχει. πάντας γὰρ ἐπάγεται καὶ συνεπιστρέφει, βαρβάρους, ἕλληνας, ἠπειρώτας, νησιώτας, ἔθνη τὰ ἑῷα, τὰ ἑσπέρια, Εὐρώπην, Ἀσίαν, ἅπασαν τὴν οἰκουμένην, ἀπὸ περάτων ἐπὶ πέρατα. τίς γὰρ τὴν ἱερὰν ἐκείνην ἑβδόμην οὐκ ἐκτετίμηκεν, ἄνεσιν πόνων καὶ ῥᾳστώνην αὐτῷ τε καὶ τοῖς πλησιάζουσιν, οὐκ ἐλευθέροις μόνον, ἀλλὰ καὶ δούλοις, μᾶλλον δὲ καὶ ὑποζυγίοις διδούς. φθάνει γὰρ ἡ ἐκεχειρία καὶ πρὸς πᾶσαν ἀγέλην, καὶ ὅσα πρὸς ὑπηρεσίαν γέγονεν ἀνθρώπου, καθάπερ δοῦλα θεραπεύοντα τὸν φύσει δεσπότην, φθάνει καὶ πρὸς δένδρων καὶ φυτῶν ἅπασαν ἰδέαν. οὐ γὰρ ἔρνος, οὐ κλάδον, ἀλλ' οὐδὲ πέταλον ἐφεῖται τεμεῖν, ἢ καρπὸν ὁντινοῦν δρέψασθαι, πάντων ἀφειμένων κατ' ἐκείνην τὴν ἡμέραν, καὶ ὥσπερ ἐλευθερίας ἀγόντων, κοινῷ κηρύγματι μηδενὸς ἐπιψαύοντος. τίς δὲ τὴν λεγομένην νηστείαν οὐ τέθηπε καὶ προσκυνεῖ, καὶ μάλιστα δι' ἔτους ἀγομένην, τῆς ἱερομηνίας αὐστηροτέραν καὶ σεμνοτέραν τρόπον. ἐν ᾗ μὲν γὰρ πολὺς ἄκρατος, καὶ τράπεζα πολυτελὴς, καὶ ὅσα περὶ ἐδωδὴν καὶ πόσιν ἄφθονα πάντα, δι' ὧν αἱ ἀκόρεστοι γαστρὸς ἡδοναὶ συναύξονται, προσαναρριπίζουσαι καὶ τὰς ὑπογαστρίους ἐπιθυμίας· ἐν ᾗ δὲ οὐ σιτίον, οὐ ποτὸν ἔξεστι προσενέγκασθαι, καθαραῖς ὅπως διανοίαις μηδενὸς ἐνοχλοῦντος μηδὲ ἐμποδίζοντος σωματικοῦ πάθους, ὁποῖα φιλεῖ συμβαίνειν ἐκ πλησμονῆς, ἑορτάζωσιν, ἱλασκόμενοι τὸν πατέρα τοῦ παντὸς αἰσίοις εὐχαῖς, δι' ὧν ἀμνηστίαν μὲν παλαιῶν ἁμαρτημάτων, κτῆσιν δὲ καὶ ἀπόλαυσιν νέων ἀγαθῶν εἰώθασιν αἰτεῖσθαι. τὸ δὲ τῆς νομοθεσίας ἱεροπρεπὲς, ὡς οὐ παρ' ἰουδαίοις μόνον, ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τεθαύμασται, δῆλον ἔκ τε τῶν εἰρημένων ἤδη, κἀκ τῶν μελλόντων λέγεσθαι. τὸ παλαιὸν ἐγράφησαν οἱ νόμοι γλώσσῃ χαλδαϊκῇ, καὶ μέχρι πολλοῦ διέμειναν ἐν ὁμοίᾳ τὴν διάλεκτον οὐ μεταβάλλοντες, ἕως μήπω τὸ κάλλος εἰς τοὺς ἄλλους ἀνθρώπους ἀνέφηναν αὐτῶν· ἐπεὶ δὲ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν συνεχοῦς μελέτης καὶ ἀσκήσεως τῶν χρωμένων, ᾔσθοντο καὶ ἕτεροι, καὶ τὸ κλέος ἐφοίτα πανταχόσε. τὰ γὰρ καλὰ κἂν φθόνῳ

A stitutis Ægyptiorum: & in vniuersum Europæi suas leges habent, suas item Asiatici populi.ab oriente vsque occidentē, omnes regiones, gentes, ciuitates, abhorrent ab externis ritibus: putántq; tanto plus honoris suis accedere, quanto magis alienos proculcauerint. at non sic nostrū ius. omnes enim admonet officij, barbaros, Græcos, cōtinentis ęque ac insularum incolas, occidentales ac orientales, Europæos ac Asiaticos, totum orbē habitabilē vsq;
B ad extremos terminos. Quis enim sacrum illū diem per singulas hebdomadas recurrentē non honorat, remissionem laborum feriásq; afferenrem patrifamiliâs cum domesticis, non ingenuis tantū, verum etiā mancipijs, & iumentis insuper. nam hic inducias laboris affert omnibus māsuetis animātibus, creatis in ministerium hominū, & à natura addictis eorum seruitio: affert etiam arboribus & stirpibus omnibus. nec ramū enim nec frondē nec
C folium demere fas est, ne fructū quidē vllum decerpere, immunitate in vnum diem concessa his omnibus, velut publico præconio interdictum esset hæc attingere. Quis ieiuniū quod vocāt nō mirabundus adorat, præsertim quotānis recurrens sacrato mense, iuxta disciplinā austeram & tetricā. Sunt enim qui sic ieiunant, vt nec merū desit nec cupediæ, dapsiliter appositis cibis & poculis non tantum ventrē expleturis,
D verum etiam excitaturis subuētraneas concupiscentias. sed vbi sic ieiunatur, vt nec cibum nec potum attingere liceat, nequid corporearum affectionū purgatæ menti obstrepat, vt fit in saturitate festa celebrantium: ibi intentis omnibus ad placandum patrem omnipotentem pia precatione id vnum agitur, vt concedat præteritorū peccatorum veniā, & in posterū nouis beneficijs suam gratiā augeat. Quòd autem
E harū legū sanctitas non solis Iudęis verum etiam alijs omnibus gentibus sit admiranda & venerabilis, manifeste apparet tū ex his quæ modo diximus, tū ex his quæ dicentur in sequentibus sermonibus. Lex antiquitus scripta fuit lingua Chaldaica, mansitq; longo tempore in ea, quādiu legis ipsius pulchritudo nō est intellecta externis hominibus. postquā autē ex quotidiano eius vsu etiā ad alienos sensus quidam permanauit, simul gloriosa quoq; fama vbiq; terrarum increbuit. nā honestis

rebus ad tempus obesse potest inuidia, illę tamen proferunt se tandem suapte felicitate ingenij. Extiterunt qui indignę ferrent has leges parti tantum humani generis innotuisse, nempe solis barbaris, Græcas gentes nullum earum gustum cepisse, dederuntque operam vt verterentur per idoneos interpretes. id opus quia magnum erat & reipublicæ vtilissimum, non priuatis hominibus obuenit, nec mediocribus istis principibus & regulis, sed regi omnium longe celebratissimo. Ptolemæus fuit is, Philadelphus cognomine, tertius ab Alexandro Ægypti rex, virtutibus regijs supra omnes ætatis suæ superiorumq; seculorũ principes nobilis, cuius nunc quoque ex tanto temporum interuallo decus est inclitum, ob tot relicta per ciuitates regionésque monumenta magnificentiæ, vt in prouerbiũ abierint sumptuosa opera ab illo Philadelphea denominata. quandoquidem in vniuersum Ptolemæorum domus cæteris regijs prænituit, inter Ptolemæos vero Philadelphus. vnus enim hic plura laude digna gessit, quam omnes reliqui eius familiæ, quippe qui tantum inter eos præminuit, quantũ caput in corpore. Talis princeps captus nostræ legis amore ac desiderio, in Græcam linguam è Chaldaica transferendam curauit, legatis in hoc missis ad Iudæorum pontificẽ, penes quem tunc erat in ea gente autoritas ac maiestas regia. Ei voluntatem suam aperuit, petens vt delectu habito ex præcipuis interpretes ad se mitteret. Qui gauisus vt decebat, ratusque haud sine diuina prouidentia rem tantam regi in mentem venisse, è suis Hebræis doctissimum quemque, præter patrias literas Græcis etiam eruditum, libenter misit. Hi comitate hospitali excepti, sermonibus ciuilibus & eruditis non minus hilaritatis regi exhibebant, quàm ipsi percipiebant ex epulis. nam ille singulorum sapientiam tentabat propositis non vulgaribus quæstionibus: quas ipsi apte ac breuiter inodabant ex tempore, quod locus non esset prolixioribus disputationibus, ita vt res ageretur apophthegmatis. cumque placuissent, confestim aggressi sunt negocium per legationem expetitum: reputantésque quàm seria res esset leges ex oraculis acceptas interpretari, vbi nefas sit quicquam vel demere vel apponere

A πρὸς ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ καιροῦ αὖθις ἀναλάμπει φύσεως εὐμενείᾳ. δεινὸν ἡγησάμενοί τινες, εἰ οἱ νόμοι παρὰ τῷ ἡμίσει τμήματι τοῦ ἀνθρώπων γένους ἐξετασθήσονται μόνῳ τῷ βαρβαρικῷ, τὸ δ' ἑλληνικὸν εἰς ἅπαν ἀμοιρήσει, πρὸς ἑρμηνείαν τὴν τούτων ἐτράποντο. τὸ δ' ἔργον ἐπεὶ καὶ μέγα ἦν καὶ κοινωφελὲς, οὐκ ἰδιώταις, οὐδ' ἄρχουσιν, ὧν οὐ πολὺς ἀριθμὸς, ἀλλὰ βασιλεῦσι, καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ.

B Πτολεμαῖος ὁ Φιλάδελφος ἐπικληθεὶς, τρίτος μὲν ἦν τῶν ἀπ' Ἀλεξάνδρου τὴν Αἴγυπτον παραλαβόντων· ἀρεταῖς δὲ ταῖς ἐν ἡγεμονίᾳ πάντων, οὐχὶ τῶν καθ' αὑτὸν μόνον, ἀλλὰ καὶ τῶν πάλαι πώποτε γεγενημένων ἄριστος, οὗ καὶ μέχρι νῦν τοσαύταις ὕστερον γενεαῖς ᾄδεται τὸ κλέος, πολλὰ δείγματα καὶ μνημεῖα τῆς μεγαλοφροσύνης κατὰ πόλεις καὶ χώρας ἀπολιπόντος, ὡς ἤδη καὶ ἐν παροιμίας εἴδει τὰς ὑπερόγκους φιλοτιμίας καὶ μεγάλας κατασκευὰς, Φιλαδελφείους ἀπ' ἐκείνου καλεῖσθαι.

C συνόλως μὲν οὖν ἡ τῶν Πτολεμαίων οἰκία διαφερόντως παρὰ τὰς ἄλλας βασιλείας ἤκμασεν· ἐν δὲ τοῖς Πτολεμαίοις ὁ Φιλάδελφος. ὅσα γὰρ εἷς ἔδρασεν οὗτος ἐπαινετὰ, μόλις ἐκεῖνοι πάντες ἀθρόοι διεπράξαντο, γενόμενος καθάπερ ἐν ζώῳ τὸ ἡγεμονεῦον, κεφαλὴ τρόπον τινὰ τῶν βασιλέων. ὁ δὴ τοιοῦτος ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας ἡμῶν, εἰς ἑλλάδα γλῶτταν τὴν χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο· καὶ πρέσβεις εὐθὺς

D ἐξέπεμπε πρὸς τὸν τῆς ἰουδαίας ἀρχιερέα καὶ βασιλέα. ὁ γὰρ αὐτὸς ἦν· τό, τε βούλημα δηλῶν, καὶ προτρέπων ἀριστίνδην ἑλέσθαι τοὺς τὸν νόμον διερμηνεύσοντας· ὁ δ' οἷα εἰκὸς, ἡσθεὶς, καὶ νομίσας οὐκ ἄνευ θείας ἐπιφροσύνης περὶ τὸ τοιοῦτον ἔργον ἐσπουδακέναι τὸν βασιλέα, σκεψάμενος τοὺς παρ' αὑτῷ δοκιμωτάτους ἑβραίων, οἳ πρὸς τῇ πατρίῳ καὶ τὴν ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, ἄσμενος ἀποστέλλει. ὡς δ' ἧκον, ἐπὶ ξενίαν

E κληθέντες λόγοις ἀστείοις καὶ σπουδαίοις τὸν ἑστιάτορα εὐώχουν ἀντεστιάσαντες· ὁ μὲν γὰρ ἀπεπειρᾶτο τῆς ἑκάστου σοφίας, καινὰς, ἀλλ' οὐ τὰς ἐν ἔθει ζητήσεις προτείνων· οἱ δ' εὐστόχως καὶ εὐθυβόλως, οὐκ ἐπιτρέποντος μακρηγορεῖν τοῦ καιροῦ, καθάπερ ἀποφθεγγόμενοι, τὰ προταθέντα διελύοντο. δοκιμασθέντες δ', εὐθὺς ἤρχοντο τὰ τῆς καλῆς πρεσβείας ἐπιτελεῖν, καὶ λογισάμενοι παρ' αὑτοῖς ὅσον εἴη τὸ πρᾶγμα θεσπισθέντας νόμους χρησμοῖς διερμηνεύειν, μήτ' ἀφελεῖν τι, μήτε προσθεῖναι, μήτε μεταθεῖ-

καὶ δυναμένους, ἀλλὰ τὴν ἐξ ἀρχῆς ἰδέαν καὶ τὸν τύπον αὐτῶν διαφυλάξοντας, ἐσκόπουν τὸ καθαρώτατον τῶν περὶ τὸν τόπον χωρίων, ἔξω πόλεως· τὰ γὰρ ἐντὸς τείχους, ἅτε παντοδαπῶν πεπληρωμένα ζῴων, διὰ νόσους, καὶ τελευτάς, καὶ τὰς ὑγιαινόντων οὐκ εὐαγεῖς πράξεις, ἦν ὕποπτα. νῆσος ἡ Φάρος πρόκειται τῆς Ἀλεξανδρείας, ἧς αὐχὴν ὑποσύρμιος τέταται πρὸς τὴν πόλιν, περικλυζόμενος οὐκ ἀγχιβαθεῖ, τὰ δὲ πολλὰ τεναγώδει θαλάττῃ, ὡς καὶ τῆς τῶν κυμάτων φορᾶς τὸν πολὺν ἦχον καὶ πάταγον ἐκ πάνυ μακροῦ διαστήματος προεκλύεσθαι. τοῦτον ἐξ ἁπάντων τῶν ἐν κύκλῳ κρίναντες ἐπιτηδειότατον εἶναι τὸν τόπον ἐνησυχάσαι καὶ ἐνηρεμῆσαι, καὶ μόνῃ τῇ ψυχῇ πρὸς μόνους ὁμιλῆσαι τοὺς νόμους, ἐνταυθοῖ κατέμειναν, καὶ τὰς ἱερὰς βίβλους λαβόντες, ἀνατείνουσιν ἅμα αὐταῖς καὶ τὰς χεῖρας εἰς οὐρανόν, αἰτούμενοι τὸν θεὸν μὴ διαμαρτεῖν τῆς προθέσεως· ὁ δ᾽ ἐπινεύει ταῖς εὐχαῖς, ἵνα τὸ πλεῖστον ἢ καὶ τὸ σύμπαν γένος τῶν ἀνθρώπων ὠφεληθῇ, χρησόμενον εἰς ἐπανόρθωσιν βίου φιλοσόφοις καὶ παγκάλοις διατάγμασι. καθίσαντες δ᾽ ἐν ἀποκρύφῳ, καὶ μηδενὸς παρόντος ὅτι μὴ τῶν τῆς φύσεως μερῶν, γῆς, ὕδατος, ἀέρος, οὐρανοῦ, περὶ ὧν πρῶτον τῆς γενέσεως ἔμελλον ἱεροφαντήσειν· κοσμοποιία γὰρ ἡ τῶν νόμων ἐστὶν ἀρχή. καθάπερ ἐνθουσιῶντες προεφήτευον οὐκ ἄλλα ἄλλοι, τὰ δ᾽ αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστοις ἀοράτως ἐνηχοῦντος. καίτοι τίς οὐκ οἶδεν ὅτι πᾶσα μὲν διάλεκτος, ἡ δ᾽ ἑλληνικὴ διαφερόντως πλουτεῖ, καὶ ταὐτὸν ἐνθύμημα οἷόν τε μεταφράζοντα καὶ παραφράζοντα σχηματίσαι πολλαχῶς, ἄλλοτε ἄλλας ἐφαρμόζοντα λέξεις· ὅπερ ἐπὶ ταύτης τῆς νομοθεσίας οὔ φασι συμβῆναι, συνενεχθῆναι δ᾽ εἰς ταὐτὸ κύρια κυρίοις ὀνόμασι, τὰ ἑλληνικὰ τοῖς χαλδαϊκοῖς, ἐναρμοσθέντα εὖ μάλα τοῖς δηλουμένοις πράγμασιν. ὃν γὰρ τρόπον οἶμαι γεωμετρίας καὶ διαλεκτικῆς τὰ σημαινόμενα, ποικιλίαν ἑρμηνείας οὐκ ἀνέχεται, μένει δ᾽ ἀμετάβλητος ἡ ἐξ ἀρχῆς τεθεῖσα· τὸν αὐτὸν ὡς ἔοικε τρόπον καὶ οὗτοι συντρέχοντα τοῖς πράγμασιν ὀνόματα ἐξεῦρον, ἅπερ δὴ μόνα μάλιστα τρανώσειν ἔμελλεν ἐμφαντικῶς τὰ δηλούμενα. σαφεστάτη δὲ τούτου πίστις· ἐὰν τε Χαλδαῖοι τὴν ἑλληνικὴν γλῶτταν, ἐάν τε Ἕλληνες τὴν χαλδαίων ἀναδιδαχθῶσι, καὶ ἀμφοτέραις ταῖς γραφαῖς ἐντύχωσι, τῇ τε χαλδαϊκῇ καὶ τῇ διερμηνευθείσῃ, καθάπερ ἀδελφάς, μᾶλλον δ᾽ ὡς μίαν καὶ τὴν αὐτὴν ἔν τε τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι τεθήπασι καὶ

A vel transponere, vel quocumque modo à præscripto discedere, dispiciebant de aliquo suburbano secessu purissimo. nam intra mœnia nullus locus placebat, referta omnigenis animalibus, nec à morbis pura & cadaueribus, sed magis etiam suspecta propter impuros mores ciuium. Ante vrbem Alexandrinam sita est Pharus insula, per oblongam & fasciæ similem ceruicem accessibilis, quæ non alto mari sed stagnantibus vndis alluitur, B vt ne fluctus quidem, nimirum spacio medio debilitati, obstrepant. Hic locus post quam de communi sententia visus est ad præsens negocium aptissimus propter secessum quietissimum, vbi animus solis legibus posset intendere, cum sibi optauerunt ad diuersorium: sumptisque in manus sacris voluminibus, tendebant eas ad cælum supplices, Deum inuocando vt cœptis faueat. exaudi- C uit ille vota, vt si non vniuersum genus humanum, certe maxima pars instrueretur ad bene viuendum præceptis optimis & sapientissimis. In eo secessu cum consedissent solitarij, nemine interueniente arbitro præter naturæ partes, terram, aquam, aerem, cælum, de quibus primum prodituri erant mysteria (nam mundi opificium est legum exordium) tanquam numine correpti prophetabant, non alia alij, sed omnes ad verbum eadem, quasi quopiam dictan- D te singulis inuisibiliter. Et quis nescit cuiusque linguæ, præsertim Græcæ copiam, vt eadem sententia possit enunciari modis variis, nunc has, nunc illas dictiones accommodando. Id negant factum in prodendis his legibus, sed reddita propria propriis nominibus, Græcis ad Chaldaica exacte respondentibus, quo melius perciperetur rerum noticia. quemadmodum enim geometriæ dia- E lecticæque doctrina non admittit sermonis varietatem, sed semper eisdem vtitur vocibus: eodem modo & hi conuenientia rebus inuenerunt nomina, quæ sola declaratura erant sensum apertissime. id experimentis quotidianis creditur. siue Chaldæus Græcam linguam, siue Græcus Chaldæam didicerit, in vtraque scriptura tum Chaldaica, tum eius interpretatione miratur germanitatem, imò rerum verborumque consonantiam adorat,

A non interpretes illos, sed initiatores & prophetas appellans, quibus datum est sincerissimas Mosis cogitationes assequi spiritu purissimo. quamobrem hodiéque solennis celebritas renouatur in Pharo insula, ad quam non tantum Iudæi sed & alij plurimi traiiciunt, locum veneraturi in quo primum visa est hæc interpretatio, & pro tanto beneficio quasi recente acturi Deo gratias. post vota autem & gratiarum actiones alij tentoriis fixis B in littore, alij discumbentes in ipsa arena sub diuo epulantur cum amicis & domesticis, præferendo tunc littus palatiis regiis. in tantum expetendum videtur hoc diuinum ius priuatis & magistratibus, quamuis iamdudum hæc gens vtatur fortuna parum prospera. & solent res præclaræ obscurari quodammodo aduersitatibus. quod si fortuna melior affulserit, videtur non mediocrem accessionem allatura. puto enim plerosque relictis & ablegatis C patriis legibus transituros ad harum obseruationem. nam cum felicitate gentis leges exortæ denuo, cæteras obscurabunt, sicut sol minora sidera. quæ quidem vna legislatoris laus est haudquaquam exigua. altera verò hac amplior etiam, contenta in sacris voluminibus, quò iam reuertemur, ad declarandam virtutem sui scriptoris. horum pars est historica, altera pars præcepta interdictáque continet, de qua posterius dicemus, vbi prius quod D primum est diligenter tractauerimus. In historica tractatione de mundo condito agitur, déque maiorum genealogiis. hæ genealogiæ partim pœnas impiorum, partim præmia iustorum continent. Cur autem hęc memorentur in legum exordio, præceptis interdictísque dilatis in tempus posterius, videtur non prætereundum silentio. Non enim sicut cæteri scriptores, antiquitates prodendas sibi proposuit, vt seruarentur ad posteritatis E memoriam, aures auditorum delinituræ voluptate inutili: sed exorsus est à summo initio, videlicet mundi creatione, vt doceret nos duo quædam magnopere necessaria. primò patrem conditoremque mundi, & veritatis legislatorem. quo cognito sequitur vt qui vult viuere iuxta naturæ ordinem, miretur eam in creaturis imitetúrque pro viribus, ne quid à dictis facta discrepent, aut à vita oratio.

προσκυνοῦσιν, οὐχ ἑρμηνέας ἐκείνους, ἀλλ' ἱεροφάντας καὶ προφήτας προσαγορεύοντες, οἷς ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωσέως καθαρωτάτῳ πνεύματι. διὸ καὶ μέχρι νῦν ἀνὰ πᾶν ἔτος, ἑορτὴ καὶ πανήγυρις ἄγεται κατὰ τὴν Φάρον νῆσον, εἰς ἣν οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι διαπλέουσι, τό, τε χωρίον σεμνυνοῦντες, ἐν ᾧ πρῶτον τὸ τῆς ἑρμηνείας ἐξέλαμψε, καὶ παλαιᾶς ἕνεκα εὐεργεσίας ἀεὶ νεαζούσης εὐχαριστήσοντες τῷ θεῷ. μετὰ δὲ τὰς εὐχὰς καὶ τὰς εὐχαριστίας, οἱ μὲν πηξάμενοι σκηνὰς ἐπὶ τοῦ αἰγιαλοῦ οἱ δ' ἐπὶ τῆς αἰγιαλίτιδος ψάμμου κατακλινέντες ἐν ὑπαίθρῳ, μετ' οἰκείων καὶ φίλων ἑστιῶνται, πολυτελεστέραν τῆς ἐν βασιλείοις κατασκευῆς τότε τὴν ἀκτὴν νομίζοντες. οὕτω μὲν οἱ νόμοι ζηλωτοὶ καὶ περιμάχητοι πᾶσιν ἰδιώταις τε καὶ ἡγεμόσιν ἐπιδείκνυνται, καὶ ταῦτ' ἐκ πολλῶν χρόνων τοῦ ἔθνους οὐκ εὐτυχοῦντος· τὰ δὲ τῶν μὴ ἐν ἀκμαῖς πέφυκέ πως ἐπισκιάζεσθαι. εἰ δὲ γένοιτό τις ἀφορμὴ πρὸς τὸ λαμπρότερον, πόσην εἰκὸς ἐπίδοσιν γενήσεσθαι. καταλιπόντας ἂν οἶμαι τὰ ἴδια, καὶ πολλὰ χαίρειν φράσαντας τοῖς πατρίοις ἑκάστους, μεταβαλεῖν ἐπὶ τὴν τούτων μόνων τιμήν. εὐτυχίᾳ γὰρ τοῦ ἔθνους οἱ νόμοι συναναλάμψαντες, ἀμαυρώσουσι τοὺς ἄλλους, καθάπερ ἀνατείλας ἥλιος τοὺς ἀστέρας. ἀπόχρη μὲν οὖν καὶ τὰ λεχθέντα, πολὺς ἔπαινος εἶναι τοῦ νομοθέτου· πλείων δ' ἐστὶν ἕτερος, ὃν αὐταὶ περιέχουσιν αἱ ἱερώταται βίβλοι, πρὸς ἃς ἤδη τρεπτέον, εἰς τὴν ἔνδειξιν τῆς τοῦ συγγράψαντος ἀρετῆς. τούτων τοίνυν, τὸ μέν ἐστιν ἱστορικὸν μέρος, τὸ δὲ περὶ τὰς προστάξεις καὶ ἀπαγορεύσεις, ὑπὲρ οὗ δεύτερον λέξομεν, τὸ πρότερον τῇ τάξει πρότερον ἀκριβώσαντες. ἔστιν οὖν τοῦ ἱστορικοῦ, τὸ μὲν περὶ τῆς τοῦ κόσμου γενέσεως, τὸ δὲ γενεαλογικόν· τοῦ δὲ γενεαλογικοῦ, τὸ μὲν περὶ κολάσεως ἀσεβῶν, τὸ δ' αὖ περὶ τιμῆς δικαίων. οὗ δὲ χάριν ἐνθένδε τῆς νομοθεσίας ἤρξατο, τὰ περὶ τὰς προστάξεις καὶ ἀπαγορεύσεις ἐν δευτέρῳ θείς, λεκτέον. οὐ γὰρ οἷά τις συγγραφεὺς, ἐπετήδευσε παλαιῶν πράξεων καταλιπεῖν ὑπομνήματα τοῖς ἔπειτα τοῦ ψυχαγωγῆσαι χάριν ἀνωφελῶς, ἀλλ' ἠρχαιολόγησεν ἄνωθεν ἀρξάμενος ἀπὸ τῆς τοῦ παντὸς γενέσεως, ἵν' ἐπιδείξῃ δύο τὰ ἀναγκαιότατα· ἓν μὲν τὸν πατέρα καὶ ποιητὴν τοῦ κόσμου, καὶ ἀληθείας νομοθέτην· ἕτερον δὲ τὸν χρησόμενον τοῖς νόμοις, ἀκολουθίας φύσεως ἀσπασόμενον, καὶ βιωσόμενον κατὰ τὴν τοῦ ὅλου διάταξιν ἁρμονίᾳ καὶ συμφωνίᾳ πρὸς ἔργα λόγων, καὶ πρὸς λόγους ἔργων.

τὸν μὲν

τῶν μὲν ὅσοι ἄλλων νομοθετῶν, οἱ μὲν εὐθὺς ἅ τε χρὴ πράττειν καὶ ἃ μή, διαταξάμενοι, τιμωρίας κατὰ τῶν παραβαινόντων ὥρισαν· οἱ δ' ἀμείνους δόξαντες εἶναι, τὴν ἀρχὴν οὐκ ἐνθένδε ἐποιήσαντο, πόλιν δὲ τῷ λόγῳ κτίσαντες καὶ ἱδρυσάμενοι πρότερον, ἣν ἐνόμιζον οἰκειοτάτην εἶναι καὶ πρεπωδεστάτην τῇ κτισθείσῃ πολιτείᾳ, διὰ τῆς τῶν νόμων θέσεως προσέτι ἐφήρμοζον· ὁ δὲ τὸ μὲν πρότερον ὑπολαβὼν, ὅπερ ἦν, τυραννικόν τε καὶ δεσποτικόν, ἄνευ παραμυθίας προστάττειν ὡς οὐκ ἐλευθέροις, ἀλλὰ δούλοις· τὸ δὲ ὕστερον, ἐμμελὲς μὲν, οὐ μὴν τελείως ἐπαινετόν, ἅπασι τοῖς κριταῖς ἔοικεν, ἐν ἑκατέρῳ τῶν λεχθέντων διενέγκαι. ἔν τε γὰρ ταῖς προστάξεσιν ὑποτίθεται καὶ παρηγορεῖ τὸ πλέον ἢ κελεύει, μετὰ προοιμίων καὶ ἐπιλόγων τὰ πλεῖστα καὶ ἀναγκαιότατα πειρώμενος ὑφηγεῖσθαι, τοῦ προτρέψασθαι χάριν μᾶλλον ἢ βιάσασθαι, πόλεώς τε χειροποιήτου κτίσιν τὴν ἀρχὴν ποιήσασθαι τῆς γραφῆς ταπεινότερον ἢ κατ' ἀξίαν τῶν νόμων ὑπολαβὼν εἶναι, πρὸς τὸ μέγεθος καὶ κάλλος τῆς ὅλης νομοθεσίας ἀκριβεστάτῃ ὄψει τῇ κατὰ διάνοιαν ἀπιδὼν, καὶ νομίσας αὐτὴν κρείττονα καὶ θειοτέραν, ἢ ὥστε κύκλῳ τινὶ τῶν ἐπὶ γῆς περιγραφῆναι, τῆς μεγαλοπόλεως τὴν γένεσιν εἰσηγήσατο, τοὺς νόμους ἐμφερεστάτην εἰκόνα τῆς τοῦ κόσμου πολιτείας ἡγησάμενος εἶναι· τὰς γοῦν ἐν μέρει διατεταγμένων τὰς δυνάμεις εἴ τις ἀκριβῶς ἐξετάζειν ἐθελήσειεν, εὑρήσει τῆς τοῦ παντὸς ἁρμονίας ἐφιεμένας, καὶ τῷ λόγῳ τῆς ἀιδίου φύσεως συνᾳδούσας. διὸ καὶ τοὺς ἀφθόνων μὲν ἀγαθῶν ἀξιωθέντας, ὅσα κατ' εὐεξίαν σωμάτων καὶ τὰς περὶ πλοῦτον καὶ δόξαν, καὶ τὰ ἄλλα ἐκτὸς εὐτυχίας, ἀρετῆς δ' ἀφηνιάσαντας, καὶ οὐκ ἀνάγκῃ, γνώμῃ δὲ ἑκουσίῳ πανουργίαν, καὶ τὰς ἄλλας κακίας, ὡς μέγα ὄφελος, τὸ μεγίστην ζημίαν ἐπιτηδεύσαντας, οὐκ ἀνθρώπων ἐχθρούς, ἀλλὰ τοῦ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου τὰς ἐν ἔθει τιμωρίας οὔ φησιν ὑπομεῖναι, ἀλλὰ καινοτάτας καὶ παρηλλαγμένας, ἃς ἐμεγαλούργησεν ἡ πάρεδρος τοῦ θεοῦ μισοπόνηρος δίκη, τῶν τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιθεμένων, ὕδατος καὶ πυρός, ὡς καιρῶν περιόδοις, τοὺς μὲν κατακλυσμοῖς φθαρῆναι, τοὺς δὲ καταφλεχθέντας ἀπολέσθαι. πελάγη μὲν ἤρθη τε, καὶ ποταμοὶ μετεωρισθέντες αὐθιγενεῖς τε καὶ χείμαρροι, τὰς ἐν τῇ πεδιάδι πόλεις ἁπάσας ἐπέκλυσε καὶ κατέσυρε. τὰς δὲ κατὰ τῶν ὀρεινῶν αἱ μεθ' ἡμέραν καὶ νύκτωρ συνεχεῖς καὶ ἀδιάστατοι ὄμβρων φοραί. χρόνῳ δ' ὕστερον ἐκ τῶν ὑπολειφθέντων, πάλιν τὸ γένος συναυξη-

A Cæteri legislatores mox ab initio facienda vitandáque præscribunt; & pœnas minantur contumacibus: quidam etiam sapientius vt ipsis visum est, non sic exorsi, ciuitatem condiderunt ante omnia, qualem putabant maxime quadraturam ad formam constituendæ à se reipublicæ, atque ita ad leges ferendas versi sunt. At noster hic priorem illum modum censuit herilem ac tyrannicum, quòd iussa citra doctrinam B non tam ingenuis conueniant quàm mancipijs: alterum verò modum elegantem quidem, sed non omnino probabilem: proinde neutrum imitari placuit. nam & in præceptis monet hortatúrque magis quàm imperat, adhibitis plerunque præfatiunculis & epilogis provt res postulat, docere malens quàm cogere: & exordiri à ciuitate manu facta humilius existimauit, quàm C pro dignitate legum longe optimarum pulcherrimarúmque, quarum diuinitatem non deceret in terra includi circumscribíque vllis pomerijs: ideo satius duxit mundi ceu magnæ ciuitatis creationem describere, vt suarum legum formulas è mundana republica desumeret. nam si libeat examinare præcepta singula, apparebit omnia conuenire ad amussim cum præscriptis naturæ. quapropter eos qui in summa prosperitatum affluentia, valetudinis, diui- D tiarum, gloriæ, cæterorúmque bonorum externorum, deflexerunt à virtutis regula, non coacti sed versutia propria perniciosa vitia complexi tanquam res egregias, ceu hostes non tam hominum quàm cæli mundíque totius, pœnis narrat afflictos non vulgaribus sed nouis inusitatísque: quibus diuina iustitia magnifice declarauit quanto malos prosequatur odio, nunc aqua E nunc igne sæuiens per interualla temporum, & alios diluuio perdens, alios incendio. Siquidem maria tumentia, fluuijque aucti torrentes simul & perennes, ciuitates cunctas in campestribus regionibus sitas inundarunt subuerterúntque: in editioribus autem locis habitatas imbres continuati, non interdiu, non noctu intermissi, subruerunt funditus. deinde post aliquot ætates rursus multiplicato numero

hominum; quia ne maiorum quidem supplicijs admonita posteritas sapere didicerat, sed permissa libidini licentia in deterius profecerat, vltricibus flammis hos deleri decretum est iusto Dei iudicio. Tunc, vt in sacra scriptura legitur, fulmina imbrium in morem de cælo ruentia concremauerunt homines impios vnà cum eorum vrbibus. Extant in hodiernum vsque monumenta cladis illius inenarrabilis, ostenduntúrque ruinæ in Syria mixtæ cineri, fumo, sulfuri, lambentibus hæc interdum flammis tenuibus, sicut fit in reliquijs incendij. Interea pœnas luentibus impijs, bonorum virtuti sua præmia non deerant. In totius regionis conflagratione ardentis vnà cum incolis, vnicus inquilinus seruatus est diuina prouidentia, quòd abhorreret ab indigenarum iniquitatibus, cum aliàs inquilini soleant vel suæ securitatis causa non aspernari mores exteros, timentes ne quem offendant probando instituta contraria. & tamen non erat is perfecte sapiens, vt eo nomine dignus haberetur tanto præmio: nihilominus profuit ei non consensisse cum vulgo in luxum ac delicias, fouente rerum copia quasuis concupiscentias, non secus quam si sulfur igni adijceretur, aut fomenta id genus alia. Similiter in illo memorabili diluuio, quando penè vniuersi homines interierunt, sola Noe familia proditur euasisse incolumis, quia paterfamiliâs se purum à peccatis voluntarijs seruauerat. Id quomodo factum narrent sacri libri, operæ precium fuerit indicasse, vel vt moribus prosit, vel propter miraculi magnitudinem. Postquam enim iudicatus est dignus qui ereptus è clade publica fieret autor instaurati humani generis, iuxta mandatum diuinũ acceptum ex oraculo, fabricauit opus ligneum maximum trecentorum cubitorum longitudine, quinquaginta latitudine, altum triginta cubitos, distinctum cellis continuatis, alijs imis, alijs in secunda, tertia quartáque contignatione dispositis, paratóque prius pabulo, ex vnaquaque animantium specie terrestrium ac volucrium introduxit marem & fœminam, ne deessent in futurum tempus semina. norat enim Dei clementiam, etiamsi species perirent, conseruaturã genera,

A θέντος, καὶ εἰς πολυανθρωπίαν ἐπιδόντος, ἐπειδὴ τὸ περὶ τοὺς προγόνους πάθος οἱ ἀπόγονοι μάθημα σωφροσύνης οὐκ ἐποιήσαντο, πρὸς δὲ ἀκολασίας ἐτράποντο, ζηλωταὶ χαλεπωτέρων ἐπιτηδευμάτων γενόμενοι, πυρὶ τούτους ἀναλῶσαι διενοήθη. τότε οὖν, ὡς μηνύει τὰ λόγια, κεραυνοὶ ῥυέντες ἐξ οὐρανοῦ τούς τε ἀσεβεῖς κατέπρησαν καὶ τὰς πόλεις αὐτῶν· καὶ μέχρι τοῦ νῦν μνημεῖα τοῦ συμβεβηκότος ἀλέκτου πάθους δείκνυται κατὰ Συρίαν ἐρεί-
B πια, καὶ τέφρα, καὶ θεῖον, καὶ καπνὸς, καὶ ἡ ἔτι ἀναδιδομένη φλὸξ ἀμαυρὰ, καθάπερ διασμυχομένου πυρός. ἐν δὲ τούτῳ συνέβαινε τούς τε ἀσεβεῖς τὰς εἰρημένας τιμωρίας κολάζεσθαι, καὶ τοὺς καλοκαγαθίας διενηνοχότας εὖ πάσχειν, ἀρετῆς ἐπαξίων ἄθλων τυγχάνοντας. ἐν μὲν γε τῇ φορᾷ τοῦ κεραυνίου πυρὸς, οἰκήτορσιν αὐτοῖς ὅλης χώρας ἐμπιπραμένης, εἷς μόνος ἀνὴρ μέτοικος ἐπιφροσύνῃ θείᾳ διασώζεται, διότι τῶν ἐγχωρίων παρανομημάτων οὐδὲν ἠσπάσατο, τῶν μετοίκων εἰωθότων ἀσφαλείας ἕνε-
C κα τὰ ξενικὰ τιμᾶν, ἐπεὶ τοῖς ἀτιμάζουσι κίνδυνος ἐκ τῶν αὐτοχθόνων ἕπεται. καίτοι γ' οὐκ ἐπ' ἄκρον ἧκε σοφίας, ὡς διὰ τελειότητα τῆς ἐν αὐτῷ φύσεως τοσούτου γέρως ἀξιωθῆναι, ἀλλ' ὅτι μόνον τοῖς πολλοῖς οὐ συνηνέχθη πρὸς τὸ ἁβροδίαιτον ἀποκλίνασι, καὶ πάσας μὲν ἡδονὰς, πάσας δὲ ἐπιθυμίας χορηγίαις ἀφθόνοις ἀνάψασιν, ὥσπερ φλόγα θείῳ καὶ κεχυμένῃ ὕλῃ. κατὰ δὲ τὸν μέγαν κατακλυσμὸν, ὀλίγου δεῖν φθαρῆναι τοῦ σύμπαντος ἀν-
D θρώπων γένους φθειρομένου, τὸν Νῶε οἶκον ἀπαθῆ γενέσθαι παντὸς κακοῦ λόγος ἔχει, τὸν πρεσβύτατον καὶ ἡγεμόνα τῆς οἰκίας, ἐπειδὴ συνέβαινε μηδενὸς ἀδικήματος ἑκουσίου προσάψασθαι· τὸν δὲ τρόπον τῆς σωτηρίας, ὡς ἱεραὶ βίβλοι περιέχουσιν, ἄξιον ἱστορῆσαι, διά τε μεγαλουργίαν, καὶ ἅμα βελτίωσιν ἠθῶν. νομισθεὶς γὰρ εἶναι ἐπιτήδειος, μὴ μόνον ἀμοιρῆσαι τῆς κοινῆς συμφορᾶς, ἀλλὰ καὶ δευτέρας γενέσεως ἀνθρώπων αὐτὸς ἀρχὴ γενέσθαι, θείαις προσ-
E τάξεσιν ἃς ὑφηγοῦντο οἱ χρησμοὶ, ξύλινον δημιουργήσας ἔργον μέγιστον εἰς πήχεις τριακοσίους μῆκος, καὶ πεντήκοντα εὖρος, καὶ τριάκοντα ὕψος, καὶ συνεχῆ κατασκευασάμενος ἔνδον οἰκήματα, ἐπίπεδα καὶ ὑπερῷα, τριώροφα καὶ τετρώροφα, καὶ τροφὰς ἑτοιμασάμενος, ἀφ' ἑκάστου γένους ζώων ὅσα χερσαῖα καὶ πτηνὰ εἰσήγαγεν ἄρρεν τε καὶ θῆλυ, σπέρματα ὑπολειπόμενος πρὸς καταλλαγὴν καιρῶν τῶν αὖθις ποτε γενησομένων. ᾔδει γὰρ τὴν φύσιν τοῦ θεοῦ ἵλεων, κἂν εἰ τὰ εἴδη φθείροιτο, ἀλλά τοι τὴν ἐν τοῖς γένεσιν ἀφθαρσίαν,

ἕνεκα τῆς πρὸς αὐτὸν ὁμοιότητος, καὶ τοῦ μηδὲν κατὰ πρόθεσιν φύντων ποτὲ λυθῆναι διαφθαρέντων· οὗ χάριν πάντα ἐπειθάρχει, καὶ τὰ τέως ἠγριωμένα ἐξημεροῦτο, καὶ οἷα νομεῖ καὶ ἀγελάρχῃ τιθασευθέντα ἐπηκολούθει. μετὰ δὲ τὴν εἴσοδον ἁπάντων εἴ τις ἐθεάσατο τὸ πλήρωμα, οὐκ ἂν διήμαρτεν εἰπὼν, ἀντίμιμον γῆς εἶναι πάσης, ἐν αὐτῇ φέρον τὰ ζώων γένη, ὧν καὶ ἡ σύμπασα γῆ τὰ ἀμύθητα εἴδη καὶ πρότερον ἤνεγκε, καὶ ὕστερον αὖθις οἴσει. τὰ δ' εἰκασθέντα χρόνοις ὕστερον οὐ μακροῖς ἀπέβαινε. τὸ μὲν γὰρ πάθος ἐλώφα, καὶ ἡ τοῦ κατακλυσμοῦ φθορὰ καθ' ἑκάστην ἡμέραν ἐμειοῦτο, τῶν τε ὄμβρων ἐπισχεθέντων, καὶ τοῦ κατὰ πᾶσαν γῆν ἀναχυθέντος ὕδατος, πῆ μὲν ἀναλισκομένου πρὸς ἀφ' ἡλίου φλογμοῦ, πῆ δὲ ὑπονοστοῦντος εἰς χαράδρας καὶ φάραγγας, καὶ τὰς ἄλλας τῆς γῆς κοιλότητας. ὥσπερ γὰρ θεοῦ προστάξαντος ἑκάστη φύσις, ὅπερ ἔχρησεν, οἷα δάνειον ἀναγκαῖον ἀπελάμβανε, θάλαττα καὶ πηγαὶ καὶ ποταμοί. πρὸς γὰρ τοὺς οἰκείους τόπους ἕκαστον ῥεῦμα ὑπενόστει. μετὰ δὲ τὴν κάθαρσιν τῶν ὑπὸ σελήνην ἀπολουσαμένης τῆς γῆς, καὶ νέας ἀναφανείσης, καὶ τοιαύτης οἵαν εἰκὸς εἶναι, ὅτε τὴν ἀρχὴν μετὰ τοῦ κόσμου παντὸς ἐκτίζετο, πρόεισιν ἐκ τοῦ ξυλίνου κατασκευάσματος αὐτός τε καὶ γυνή, καὶ υἱοί, καὶ αἱ τούτων γυναῖκες, καὶ μετὰ τῆς οἰκίας ἀγεληδὸν τὰ συνεληλυθότα τῶν ζώων γένη, πρὸς τὴν τῶν ὁμοίων σποράν τε καὶ γένεσιν. ταῦτα τῶν ἀγαθῶν ἀνδρῶν ἐστὶν ἀριστεῖα καὶ ἆθλα, δι' ὧν οὐ μόνον αὐτοὶ καὶ γένη σωτηρίας ἔτυχον τοὺς μεγίστους ἐκφυγόντες κινδύνους, οἳ κατὰ τὸν τῶν στοιχείων νεωτερισμὸν τοῖς πανταχοῦ πᾶσιν ἐπετειχίσθησαν, ἀλλὰ καὶ παλιγγενεσίας ἐγένοντο ἡγεμόνες, καὶ δευτέρας ἀρχηγέται περιόδου, καθάπερ ἐμπυρεύματα τῶν ζώων ἀρίστου γένους ἀνθρώπων ὑπολειφθέντες, ὃ τὴν ἡγεμονίαν τῶν περιγείων ἅπαξ ἁπάντων ἔλαχεν, ἀντίμιμον γεγονὸς θεοῦ δυνάμεων, εἰκὼν τῆς ἀοράτου φύσεως ἐμφανής, ἀϊδίου γενητή.

A propter quandam sui similitudinem, & ne quid desideraretur ex diuinis operibus. sic factum est vt nullum animal detrectaret obsequium, immanibus etiam bestijs mansuescentibus, & seruatorem suum tanquam pastorem vltro sequentibus. quæ postquam se contulerunt intra vnum receptaculum, dici poterat totius terrarum orbis æmulum, nimirum continens tot animantium genera, quot in omnibus terris vel tunc inueniebantur vel in- B uenienda erant in posterum, vix vllo sermone comprehensibilia. nec fefellit hominem opinio. remisit enim se dirum illud prodigium decrescente in dies diluuio, cohibitis imbribus, & aquis quæ se nusquam non diffuderant, partim absumptis per solis efficaciam, partim reuersis in voragines cauernásque terræ alias. nam velut ad vnum numinis omnipotentis edictum, reposcebat recipiebátque suum vnaquæque natura debitum, mare, C fontes, flumina, fluentis in sua loca recurrentibus. ita orbe sublunari purgato postquam noua terra emersit, qualis olim recens creata fuerat, superstes prodijt è lignea mole cum vxore ac liberis & nuribus vniuersóque grege tot animalium quæ ad suorum generum semen conseruationémque reliqua manserant. Hæc sunt bonorum virorum præmia virtuti debita, quando non solum ipsi maximis periculis exempti fuerunt turbatis D vbique elementis omnibus, verum etiam noui generis facti sunt principes, autorésque rediuiui post vniuersalem cladem seculi; velut scintillæ seruatæ ad reparationem generis inter omnes animantes præstantissimi, & imperium terrarum habituri, cunctarúmque rerum terrestrium: quandoquidem id factum ad exemplar diuinæ potentiæ, visibilis & creata imago est naturæ illius sempiternæ atque inuisibilis.

ΠΕΡΙ ΒΙΟΥ ΜΩΥΣΕΩΣ.

ΛΟΓΟΣ Γ.

PHILONIS IVDÆI, DE VITA MOSIS.

LIBER TERTIVS.

DVAS iam partes vitæ A
Mosis descripsimus, quæ
ad regnum & leges perlatas attinent, superest
tertia, in qua dicetur
de sacerdotio. In hac functione præcipue spectari solet pietas, eximia
dos viri de quo sermonem instituimus: cuius ille natiua semina excepta in indolem felicissimam, phi- B
losophiæ studijs & dogmatum eius
contemplatione diligenter excoluit:
nec prius destitit, quàm maturos
virtutis fructus perceptos dictis æque
ac factis ostenderet. itaque id assecutus est, vt inter raros amicos
Dei censeretur, totus correptus rerum amore cælestium, & sicut ipse
omnipotentis regis insignis cultor C
extitit, sic ab ipso honoratus præ
cæteris. est autem honor sapienti
conueniens, colere illum qui vere
est: quæ professio habetur sacerdotij, scire quomodo Deus colendus sit: is honor incomparabilis
contigit ei ex oraculis, vnde ceremonias & omnes ritus religiose
didicit. Primùm sicut anima, sic D
& corpus purificandum erat ab omni contagio rerum mortalium, cibo,
potu, & consuetudine cum mulieribus. Verum hoc affectu iam dudum non tangebatur, penè iam inde postquam cœpit afflari diuino
spiritu, vt semper esset paratus accipiendis oraculis. nam per quadraginta dies continuos à cibo & potu
abstinuit, nimirum alimentis re- E
creatus melioribus, cælitus aspirantibus, & primo menti, mox corpori etiam vtilitatem per animam
afferentibus, vt & viribus & habitudine proficeret, adeò vt intuentes eum vix oculis sui crederent.

ΔΥΟ μὲν ἤδη μέρη Μωσέως τοῦ βίου διεξεληλύθαμεν, τὸ περὶ βασιλείας, καὶ νομοθετικῆς· τρίτον δὲ προσαποδοτέον τὸ περὶ ἱερωσύνης. ὃ τοίνυν μέγιστον καὶ ἀναγκαιότατον ἀρχιερεῖ προσεῖναι δεῖ, τὴν εὐσέβειαν ἐν τοῖς μάλιστα αὐτὸς ἤσκησεν, ἅμα καὶ φύσεως εὐμοιρίᾳ χρησάμενος, ἣν ὥσπερ ἀγαθὴν ἄρουραν φιλοσοφία παραλαβοῦσα, δογμάτων θεωρίᾳ παγκάλως ἐξηπίωσε· καὶ οὐ πρότερον ἀνῆκεν ἢ τελεσφορηθῆναι τοὺς ἀρετῆς καρποὺς διά τε λόγων καὶ πράξεων. τοιγαροῦν μετ᾽ ὀλίγων ἄλλων φιλόθεός τε καὶ θεοφιλὴς ἐγένετο, καταπνευσθεὶς ὑπ᾽ ἔρωτος οὐρανίου, καὶ διαφερόντως τιμήσας τὸν ἡγεμόνα τοῦ παντός, καὶ ἀντιτιμηθεὶς ὑπ᾽ αὐτοῦ· τιμὴ δ᾽ ἁρμόττουσα σοφῷ, θεραπεύειν τὸ πρὸς ἀλήθειαν ὄν· ἱερωσύνη δὲ θεραπείαν ἐπιτετήδευκε θεοῦ. τούτου τοῦ γέρως, οὗ μεῖζον ἀγαθὸν ἐν τοῖς οὖσιν οὐκ ἔστιν, ἠξιοῦτο, χρησμοῖς ἕκαστα τῶν εἰς τὰς λειτουργίας καὶ ἱερὰς ὑπηρεσίας ἀναδιδασκόμενος. ἔδει δὲ πρότερον ὥσπερ τὴν ψυχὴν καὶ τὸ σῶμα καθαρεῦσαι μηδενὸς πάθους προσαψάμενον, ἀλλ᾽ ἁγνεῦσαι ἀπὸ πάντων ὅσα τῆς θνητῆς ἐστὶ φύσεως, σιτίων καὶ ποτῶν, καὶ τῆς πρὸς γυναῖκας ὁμιλίας· ἀλλὰ ταύτης μὲν ἐκ πολλῶν χρόνων κατεφρόνησε, καὶ σχεδὸν ἀφ᾽ οὗ τὸ πρῶτον ἤρξατο προφητεύειν καὶ θεοφορεῖσθαι, προσήκειν ἡγούμενος ἕτοιμον ἐμπαρέχειν ἀεὶ τοῖς χρησμοῖς ἑαυτόν· σιτίων τε καὶ ποτῶν ἐπὶ τεσσαράκοντα ἡμέρας ἑξῆς ἠλόγησε, δηλονότι τροφὰς ἔχων ἀμείνους τὰς διὰ θεωρίας, αἷς ἄνωθεν ἀπ᾽ οὐρανοῦ καταπνεόμενος, τὴν μὲν διάνοιαν τὸ πρῶτον, ἔπειτα δὲ καὶ τὸ σῶμα διὰ τῆς ψυχῆς ἐβελτιοῦτο, καθ᾽ ἑκάτερον πρός τε ἰσχὺν καὶ εὐεξίαν ἐπιδιδούς, ὡς τοὺς ἰδόντας ὕστερον ἀπιστεῖν. εἰς γὰρ ὄρος ὑψηλότατον

καὶ ἱερώτατον τῶν περὶ τὸν τόπον ἀνελθὼν προστάξεσι θείαις, ὅπερ ἀπρόσιτον καὶ ἄβατον ἦν, εἰς ἐκεῖνον λέγεται διαμεῖναι τὸν χρόνον, οὐδὲν ἐπιφερόμενος τῶν εἰς ἀναγκαίαν ἀπόλαυσιν τροφῆς, καὶ ἡμέραις ὕστερον, ὡς ἐλέχθη, τετταράκοντα κατέβαινε, πολὺ καλλίων τὴν ὄψιν, ἢ ὅτε ἀνῄει, ὡς τοὺς ὁρῶντας τεθηπέναι καὶ καταπεπλῆχθαι, καὶ μηδὲν ἐπιπλέον ἀντέχειν τοῖς ὀφθαλμοῖς δύνασθαι κατὰ τὴν προσβολὴν ἡλιοειδοῦς φέγγους ἀπαστράπτοντος. ἔτι δὴ ἄνω διατρίβων, ἐμυσταγωγεῖτο παιδευόμενος κατὰ τὴν ἱερωσύνην πάντα ἃ δεῖ, καὶ πρῶτα τῇ τάξει, τὰ περὶ τὴν τοῦ ἱεροῦ καὶ τὴν ἐν αὐτῷ κατασκευήν. εἰ μὲν οὖν τὴν χώραν εἰς ἣν μετῳκίσαντο, ἤδη παρειλήφεσαν, ἀναγκαῖον ἦν ἱδρύσασθαι περισημότατον νεὼν ἐν τῷ καθαρωτάτῳ λίθων πολυτελῶν ὕλης, καὶ περὶ αὐτὸν τείχη μεγάλα δείμασθαι, καὶ νεωκόροις παμπληθεῖς οἰκίας, ὀνομάσαντας ἱερόπολιν τὸν τόπον· ἐπεὶ δ᾽ ἔτι κατὰ τὴν ἐρήμην ἐπλάζοντο, τοῖς μήπω παγίως ἱδρυθεῖσιν ἥρμοττε φορητὸν ἔχειν ἱερὸν, ἵν᾽ ἐν ταῖς ὁδοιπορίαις καὶ στρατοπεδείαις θυσίας ἀνάγωσι, καὶ τἄλλα ὅσα κατὰ τὰς ἱερουργίας δρῶσι μηδενὸς ἀμοιροῦντες ὧν χρὴ τοὺς ἐν πόλεσιν οἰκοῦντας. σκηνὴν οὖν ἔργον ἱερώτατον δημιουργεῖν ἔδοξεν, ἧς τὴν κατασκευὴν θεσφάτοις λογίοις ἐπὶ τοῦ ὄρους Μωϋσῆς ἀνεδιδάσκετο, τῶν μελλόντων ἀποτελεῖσθαι σωμάτων ἀσωμάτους ἰδέας τῇ ψυχῇ θεωρῶν, πρὸς ἃς ἔδει, καθάπερ ἀπ᾽ ἀρχετύπου γραφῆς καὶ νοητῶν παραδειγμάτων αἰσθητὰ μιμήματα ἀπεικονισθῆναι. προσῆκον γὰρ ἦν τῷ ὡς ἀληθῶς ἀρχιερεῖ, καὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν ἐπιτραπῆναι, ἵν᾽ ἐκ πολλοῦ τοῦ περιόντος ἡρμοσμένας καὶ συμφώνους τοῖς δημιουργηθεῖσι ποιῆται τὰς ἐν τῷ ἱερᾶσθαι λειτουργίας. ὁ μὲν οὖν τύπος τοῦ παραδείγματος ἐνεσφραγίζετο τῇ διανοίᾳ τοῦ προφήτου, διαζωγραφούμενος καὶ προδιαπλαττόμενος ἀφανῶς ἄνευ ὕλης ἀοράτοις εἴδεσι· τὸ δ᾽ ἀποτέλεσμα πρὸς τὸν τύπον ἐδημιουργεῖτο ἐναποματτομένου τὰς σφραγῖδας τοῦ τεχνίτου ταῖς προσφόροις ἑκάστῳ ὑλικαῖς οὐσίαις· ἦν δὲ ἡ κατασκευὴ τοιάδε· ὀκτὼ καὶ τετταράκοντα κίονες κέδρου τῆς ἀσηπτοτάτης ἀπὸ στελεχῶν κοπέντες εὐερνεστάτων περιεβάλλοντο χρυσῷ βαθεῖ. κἄπειτα ἑκάστῳ δύο ἀργυραῖ βάσεις ὑπηρείδοντο, καὶ κατὰ τὸ ἀκροκιόνιον ἐφηρμόζετο χρυσῆ κεφαλίς. εἰς μὲν οὖν τὸ μῆκος τετταράκοντα κίονας διέταττεν ὁ τεχνίτης, ἑκατέρωθεν τοὺς ἡμίσεις εἴκοσι, μηδὲν ἐν μέσῳ διάστημα ποιούμενος, ἀλλ᾽ ἑξῆς ἐφαρμόζων καὶ συνάπτων,

A cum enim ascendisset sacrum montem in eo tractu celsissimum, Deo iubente quod alioqui nemini licuit impune facere, fertur ibi durasse tot diebus quot dixi, quamuis nihil secum tulerat, quo naturali desiderio satisfaceret: attamen exacto ibi tanto tempore reuersus ad suos præstolantes ad montis radicem, visus est pulcrior quam cum ascenderet: adeò vt stupentes miraculo ne obtueri quidem possent eius
B faciem splendore solari fulgidam. Dum autem in monte moraretur, discebat cuncta mysteria sacerdotij; & ante omnia de templi vasorúmque sacrorum apparatu. Id templum iam nunc exstruendum fuisset in loco nobilissimo purissimóque ex materia pretiosi marmoris, addito muro in circuitu & ædificijs in vsum sacerdotum, inditóque nomine Heriopoli, si promissam regionem accepissent. Quo-
C niam autem adhuc in deserto errabant, nullam certam sedem habentibus conueniebat templum ambulatorium, vt tam in itinere quàm in castris sacra facerent, & nihil ex ceremonijs omitterent, haud aliter quàm hi qui degunt in ciuitatibus. Placuit igitur tabernaculum erigi, cuius apparatum ex oraculis in monte Moses didicerat, futuri ædificij contemplatus ideas incorporeas, ad quarum
D exemplar intelligibile oportebat designari sensibiles imagines. Decebat enim sacrum apparatum fieri ex veri pontificis arbitrio, vt præsto esset copia rerum aptarum ministerijs sacerdotalibus. Sic igitur forma exemplaris impressa est in mentem prophetæ, designata latenter absque vlla materia figuris inuisibilibus. Opus autem ipsum ad eam formam factum est, artifice ad iam designatam spe-
E ciem accommodante conuenientes materias. id fuit huiusmodi. Quadraginta octo tabulæ è selectis cedris excisæ, opertæ sunt aureis laminis. Singulis erant geminæ bases argenteæ, & aureum capitellum superimpositum. Eas tabulas sic disposuit artifex, vt vicenæ continuarentur per latera singula, referentes vnius parietis speciem.

A In extremo per transuersam latitudinem octo reliquæ sunt positæ, sex occupantes interuallum medium, duæ vero dextrum & sinistrum angulos. In aditu erant aliæ quatuor, cætera similes, sed simplices bases habebant pro geminis: post quas extremæ stabant quinque, hoc solo differentes quòd basibus sustinebantur aheneis. ita omnibus supputatis quotquot erant in hoc tabernaculo, absque illis duabus quæ latebant in angulis, reliquæ conspicuæ conficie-
B bant quinquaginta quinque numerum perfectissimum, crescentem ab vnitate vsque denarium. Quod si quis velit illas quinque in vestibulo sitas, & ad atrium pertinentes seiungere, supererit numerus quinquagenarius sanctissimus, vim habens trianguli rectangularis (is est omnium rerum creationis principium) absoluentibus plenitudinem octo tabulis. Siquidem quadraginta constant ex vi-
C cenis per latera dispositis, quibus accedunt sex in medio, absque illis latentibus in angulis: item aduersæ quatuor, quibus velum oppanditur. Causam autem cur illas quinque cæteris quinquaginta nunc annumerem nunc detraham, indicare non pigebit. Quinarius est sensuum numerus. Sensus autem in homine aliquando ad externa est pronior, aliquando ad mentem reflectitur, cui à natura minister est additus. ideo his quin-
D que tabulis locus attributus est in confinio. Nam interna earum spectant adyta tabernaculi, quæ significant res intelligibiles: externa vero sunt obuersa ad atrium, quo significantur res sensibiles. ideo basibus distinguuntur diuersis ab alijs. sunt enim aheneæ. Quoniam autem in nobis mens est caput sensuum, sensus vero est velut basis & extremitas, mens auro, sensus æri, comparatur. mensuræ autem tabularum hæ produntur: de-
E cem cubitorum longitudo, latitudo vnius & dimidij, vt tabernaculum æquabile videatur omnibus sui partibus. Pulcherrimis etiam picturatisque aulæis totum circumdatum fuit, distinctis hyacintho, cocco, bysso, purpura. Decem enim legimus in sacris literis contexta ex iam dictis speciebus, singula viginti octo cubitorum longitudine, quatuor latitudine, vt & perfectissimum haberent dena-

ἐν οἷς τείχους ὄψις μία προσφαίνεται· εἰς δὲ τὸ ἐσώτατον πλάτος, τοὺς λοιποὺς ὀκτώ, ἓξ μὲν κατὰ τὴν μέσην χώραν, δύο δ᾽ ἐν ταῖς περὶ ἑκάτερα τῆς μέσης γωνίας, τὴν μὲν ἐπὶ δεξιά, τὴν δ᾽ ἐπ᾽ εὐώνυμα. κατὰ δὲ τὴν εἴσοδον ἄλλους τέτταρας, τὰ μὲν ἄλλα ὁμοίους, μίαν δ᾽ ἀντὶ δυοῖν ἔχοντας βάσιν· τῶν δ᾽ ἐξ ἀντικρύ, μεθ᾽ οὓς ἐξωτάτω πέντε μόναις ταῖς βάσεσι διαφέροντας· χαλκαῖ γὰρ ἦσαν. ὥστε τῆς σκηνῆς τοὺς συμπάντας εἶναι δίχα τῶν ἐν ταῖς γωνίαις δυοῖν ἀφανῶν, πέντε καὶ πεντήκοντα ἐμφανεῖς, τὸν ἀπὸ μονάδος μέχρι δεκάδος τῆς παντελείας συμπληρούμενον ἀριθμόν· εἰ δὲ βουληθείη τις τοὺς ἐν τῷ προπυλαίῳ πέντε τοὺς ὑπαίθρῳ συνάπτοντας, ὃ κέκληκεν αὐλήν, ἰδίᾳ χωρίς, ἀπολειφθήσεται ὁ ἁγιώτατος πεντηκοντάδος ἀριθμός, δύναμις ὢν τοῦ ὀρθογωνίου τριγώνου, ὅπερ ἐστὶ τῆς τῶν ὅλων γενέσεως ἀρχή, συμπληρωθεὶς ἐκ τῶν ὀκτὼ κιόνων· τεσσαράκοντα μὲν τῶν καθ᾽ ἑκατέρας πλευρὰς εἴκοσι, ἓξ δὲ τῶν ἐν μέσῳ, δίχα τῶν ἐν ταῖς γωνίαις ἀποκεκρυμμένων· τεσσάρων δὲ τῶν ἀντικρύ, ἐφ᾽ ὧν τὸ καταπέτασμα. τὴν δ᾽ αἰτίαν ἧς ἕνεκα τοὺς πέντε τοῖς πεντήκοντα συγκαταλέγων, καὶ χωρὶς αὐτοὺς τίθημι, δηλώσω· ἡ πεντὰς αἰσθήσεων ἀριθμός ἐστιν· αἴσθησις δ᾽ ἐν ἀνθρώπῳ, πῇ μὲν νεύει πρὸς τὰ ἐκτός, πῇ δὲ ἀνακάμπτει πρὸς τὸν νοῦν, ὑπηρέτις οὖσα φύσεως νόμοις αὐτοῦ· διὸ καὶ τὴν μεθόριον χώραν ἀπένειμε τοῖς πέντε. τὰ μὲν γὰρ ἐντὸς αὐτῶν, ἐκνένευκε πρὸς τὰ ἄδυτα τῆς σκηνῆς, ἅπερ ἐστὶ συμβολικῶς νοητά· τὰ δ᾽ ἐκτὸς πρὸς τὸ ὕπαιθρον καὶ τὴν αὐλήν, ἅπερ ἐστὶν αἰσθητά· παρ᾽ ὃ καὶ ταῖς βάσεσι διηνέχθησαν· χαλκαῖ γὰρ εἰσίν. ἐπεὶ δὲ τῆς ἐν ἡμῖν αἰσθήσεως κεφάλαιον μὲν καὶ ἡγεμονικὸν ὁ νοῦς, ἔσχατα δὲ καὶ ὡσπερεὶ βάσις τὸ αἰσθητόν, εἴκασε δὲ τὸν μὲν νοῦν χρυσῷ, χαλκῷ δὲ τὸ αἰσθητόν. μέτρα δὲ τῶν κιόνων ταῦτα· δέκα μὲν πήχεις τὸ μῆκος, πέντε δὲ καὶ ἥμισυ τὸ εὖρος, ἵν᾽ ἡ σκηνὴ πᾶσι τοῖς μέρεσιν ἴση προσφαίνηται. παγκάλοις δὲ καὶ ποικίλοις ὑφάσμασιν αὐτὴν περιέβαλεν, ὑακίνθῳ, καὶ πορφύρᾳ, καὶ κοκκίνῳ, καὶ βύσσῳ καταχρώμενος εἰς τὴν ὑφήν. δέκα γὰρ, ἃς διὰ τῆς ἱερᾶς γραφῆς ὀνόμασεν αὐλαίας, ἐκ τῶν ἄρτι λεχθέντων γενῶν ἐδημιούργει, μῆκει μὲν ὀκτὼ καὶ εἴκοσι πηχῶν ἑκάστην, εἰς δὲ τέτταρας πήχεις πρὸς εὖρος ἀνατείνων, ἵνα καὶ δεκάδα ἔχωσι τὴν παντέλειαν, καὶ τετράδα τὴν δεκάδος οὐσίαν, καὶ τὸν ὀκτὼ καὶ εἴκοσιν ἀριθμὸν τέλειον, ἴσον τοῖς ἑαυτοῦ μέρεσι, καὶ τὴν τεσ-

τεσσαρακοντάδα, τὴν ζωογονικωτάτην, ἐν ᾗ διαπλάττεσθαί φασιν ἄνθρωπον ἐν τοῖς τῆς φύσεως ἐργαστηρίοις. οἱ μὲν οὖν εἰκοσιοκτὼ πήχεις τῶν αὐλαίων τοιαύτην ἔχουσι τὴν διανομήν, δέκα μὲν κατὰ τὸν ὄροφον· τοσοῦτον γάρ ἐστι τῆς σκηνῆς τὸ εὖρος· οἱ δὲ λοιποὶ παρὰ τὰς πλευρὰς ἑκατέρωθεν ἐννέα πρὸς σκέπην ἀποτείνονται τῶν κιόνων, ἀπολειπομένου πήχεως ἀπὸ τοῦ ἐδάφους, ἵνα μὴ ἀνασύρηται πάγκαλον καὶ ἱεροπρεπὲς ὕφασμα· τῶν δὲ τεσσαράκοντα, οἳ συναριθμοῦνται ἐκ τοῦ τῶν δέκα αὐλαίων πλάτους, τριάκοντα μὲν ἀπολαμβάνει τὸ μῆκος· τοσοῦτον γάρ ἐστι καὶ τὸ τῆς σκηνῆς· ἐννέα δὲ ὁπισθόδομος· ὁ δὲ λοιπὸς τὸ κατὰ τὸ προπύλαιον, ἵνα δεσμὸς ᾖ τοῦ ὅλου περιβλήματος· ἐπὶ δὲ τοῦ προπυλαίου τὸ καταπέτασμα. σχεδὸν δὲ καὶ αἱ αὐλαῖαι καταπετάσματά εἰσιν, οὐ μόνον τῷ τὸν ὄροφον καὶ τοὺς τοίχους καλύπτειν, ἀλλὰ καὶ τῷ συνυφάνθαι γένεσι τοῖς αὐτοῖς, ὑακίνθῳ, καὶ πορφύρᾳ, καὶ κοκκίνῳ, καὶ βύσσῳ. ἐκ δὲ τῶν αὐτῶν, τό, τε καταπέτασμα καὶ τὸ λεγόμενον κάλυμμα κατεσκευάζετο· τὸ μὲν εἴσω κατὰ τοὺς τέσσαρας κίονας, ἵν' ἐπικρύπτηται τὸ ἄδυτον· τὸ δὲ ἔξω, κατὰ τοὺς πέντε, ὡς μηδεὶς ἐξ ἀπόπτου δύναιτο τῶν μὴ ἱερωμένων καταθεάσασθαι τὰ ἅγια. τὰς δὲ τῶν ὑφασμάτων ὕλας ἀριστίνδην ἐπέκρινεν ἐκ μυρίων ὅσων ἑλόμενος τοῖς στοιχείοις ἰσαρίθμους, ἐξ ὧν ἀπετελέσθη ὁ κόσμος, καὶ πρὸς αὐτὰ λόγον ἐχούσας, γῆν, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ. ἡ μὲν γὰρ βύσσος ἐκ γῆς, ἐξ ὕδατος δὲ ἡ πορφύρα, ὁ δὲ ὑάκινθος ἀέρι ὁμοιοῦται· φύσει γὰρ μέλας οὗτος· τὸ δὲ κόκκινον πυρί, διότι φοινικοῦν ἑκάτερον. ἦν γὰρ ἀναγκαῖον ἱερὸν κατασκευάζοντας χειροποίητον τῷ πατρὶ καὶ ἡγεμόνι τοῦ παντὸς, τὰς ὁμοίας λαβεῖν οὐσίας, αἷς τὸ ὅλον ἐδημιούργει. ἡ μὲν οὖν σκηνὴ, καθάπερ νεὼς ἅγιος, τὸν εἰρημένον τρόπον κατεσκευάσθη· τέμενος δ' αὐτῆς ἐν κύκλῳ περιεβάλλετο πηχῶν μῆκος ἑκατὸν, καὶ πλάτος πεντήκοντα, κίονας ἔχον ἀφεστῶτας ἴσον ἀλλήλων διάστημα πέντε πήχεις, ὡς τοὺς μὲν σύμπαντας ἑξήκοντα εἶναι, διανέμεσθαι δ' εἰς μὲν τὸ μῆκος τετταράκοντα, πρὸς δὲ τὸ εὖρος ὀκτὼ, καθ' ἑκάτερα μέρη τοὺς ἡμίσεις. ὕλη δὲ τῶν στύλων, τὰ μὲν ἐντὸς κέδρος, τὰ δ' ἐκ τῆς ἐπιφανείας ἄργυρος, ἁπάντων δ' αἱ βάσεις χαλκαῖ, καὶ τὸ ὕψος ἴσον πέντε πηχῶν. ἔδοξε γὰρ ἁρμόττον εἶναι τῷ τεχνίτῃ συνελεῖν ὅλῳ ἡμίσει τὸ ὕψος τῆς λεγομένης αὐλῆς, ἵν' ἡ σκηνὴ πρὸς τὸ διπλάσιον μετέωρος ἀρθεῖσα προφαίνηται. λεπταὶ δ' ὀθόναι κατὰ τοῦ μήκους καὶ πλά-

A rium, & quaternionem essentiam denarij, & viginti octo numerum perfectum, æqualem suis partibus, & quadragenarium vitalem maxime, intra quem aiunt absolui in naturæ officina hominem. Cæterum hi viginti octo cubiti sic distribuuntur. Decem ad tectum, tanta enim est latitudo tabernaculi. reliqui noueni ad protegenda vtraque latera, vacante à solo vno cubito, ne humi traheretur textum sacratum pulcherrimum. Cæterum è
B quadraginta cubitis qui conficiuntur ex decem aulæorum latitudine, triginta occupant totam quanta est longitudinem tabernaculi, nouem postremum parietem: quod superest ad vestibulum extenditur, vt sit pro totius septi vinculo. At in vestibulo velum est. Sunt autem & aulæa vela, non solum quia velant tectum & parietes, verum etiam quia ex eisdem contexta sunt speciebus, hyacintho, cocco, bysso, purpura, quæ fuit & veli
C materia. Fuit & aliud velum inter quatuor tabulas, quo intercludebatur adytum. Exterius vero fuit oppansum quinque alijs, ne quis profanus posset sacra introspicere. Ad hanc textrinam electa est materia omnibus cæteris visa præstantior, elementis mundi par numero, habens etiam cum eis quandam similitudinem, videlicet cum terra, aqua, igne, & aere. Nam byssus è terra, purpura ex aqua prouenit, aerem hyacinthus refert colore, nigricantem naturaliter: si-
D cut coccus igni est similis, quòd vterque rubeat. Nam necesse erat, vt qui templum manufactum patri omnipotenti condere instituerant, sumerent aliquid essentijs simile, ex quibus mundus est conditus. sic igitur tabernaculum ad templi modum fuit adornatum. Et circumdatum fuit atrium centum cubitorum longitudine, quinquaginta latitudine, in circuitu habens columnas distantes quinis cubitis, in vniuersum sexaginta, quadra-
E genas ab vtroque latere, octonas item vtrinque per atrij latitudinem. Harum quoque materia fuit intus cedrina tecta laminis argenteis, bases omnium æreę, ipsarum altitudo quinquecubitalis. Hoc enim decorum iudicauit opifex, dimidio contractiorē esse altitudinem atrij, vt tabernaculum duplo altius esset in conspicuo. Nam tenues telæ per longum latúmque pen-

debant prætentæ intercolūnijs, lintea- A
minibus similes, ne quis impurus pe-
netraret intra illud spatiū. De cætero
situs fuit huiusmodi. Mediū stabat ta-
bernaculū, longum triginta cubitos, la-
tū decem, quantū occupabant tabulæ.
Distabat æquali spatio à tribus septi
partibus, videlicet à lateribus, & à ter-
go. id spatiū erat viginti cubitorum.
Quod vero circa vestibulum erat reli-
quū, quo capacius esset sacrificorum,
amplius patebat per integros quinqua-
ginta cubitos. Sic enim explebatur B
atriū centenarium, ad spatiū postremū
viginti cubitorū accedente longitudi-
ne ipsius tabernaculi, quandoquidem
triginta viginti cubitis appositi quin-
quaginta faciūt, totidē alijs patentibus
in primo aditu. nā vestibulū velut con-
finiū erat gemini quinquagenarij, tam
oriētalis qua dabatur introitus, quam
occidētalis, in quo tabernaculi lōgitu-
do cōtinebatur & septi postrema pars.
Erat & aliud vestibulū pulchrum ma- C
gnúmque in aditu ipsius atrij, quatuor
columnis ornatū, & suo velo picturato
prætensū, simili velo tabernaculi, & ex
eadem contexto materia. Tūc & sacra
vasa fabricata fuerūt, arca, candelabrū,
mensa, altaria duo, in quo suffitus ex
odoramētis fieret, & in quo adoleren-
tur victimæ. hoc situm fuit in atrio, ex
aduerso vestibuli tabernaculi, tantum
inde semotū, quantū spatij satis esset
ministris sacrorū ad obeūda quotidia-
na sacrificia. Arca vero intra vela posi- D
ta est in adyto, intus & foris munita
crassis laminis aureis, operculo super-
impositum, quod in sacris literis dicitur
propitiatoriū. eius operculi proditur
longitudo latitudóque, altitudo non
itē, vt simile sit superficiei geometri-
cæ: cuius interpretatio si ad naturā ap-
plicetur, intelligi potest propitia Dei
potētia. sin ad mores referatur, signifi-
cabit mentē sibiipsi propitiā, quæ cō-
cepto amore modestię purgare se sciat, E
cōpescátque brutā elatam & inflatam
arrogantiā. hæc arca vas est destinatū
legibus. in hanc enim præcepta recon-
dūtur accepta dictāte ipso cælesti nu-
mine. nā operculū arcæ quod vocatur
propitiatoriū, basis est duarū imaginū
volucriū, quæ sermone vernaculo no-
minantur Cherubim, hoc est multa
scientia. per has quidā aiunt significa-
ri vtrūque orbis hemisphæriū, quod
opponātur subterraneis quæ suprà ter-
ras eminēt. nam totū cælū est volucre.

τοὺς ἔσω ἐφαρμοζόμενα τοῖς κίοσιν, ἱστίοις ἐμφερῆ, ὑπὲρ τοῦ μηδένα τῶν μὴ καθαρῶν εἰσιέναι. ἡ δὲ θέσις τοιάδε ἦν· μέση μὲν ἵδρυτο σκηνή, μῆκος ἔχουσα τριάκοντα πήχεις, καὶ εὖρος δέκα καὶ βάθος τῶν κιόνων· ἀφειστήκει δὲ τῆς αὐλῆς ἐν τρισὶ μέρεσιν ἴσῳ διαστήματι, δυσὶ μὲν κατὰ τὰς πλευράς, ἑνὸς δὲ κατὰ τὸ ὀπισθόδομον· τὸ δὲ διάστημα ἦν εἴκοσι πηχῶν ἀναμεμετρημένον· κατὰ δὲ τὸ περιπύλαιον, ὡς εἰκὸς, ἕνεκα τοῦ πλήθους τῶν εἰσιόντων, μεῖζον ἐγίνετο διάστημα πεντήκοντα πηχῶν. οὕτω γὰρ οἱ B ἑκατὸν τῆς αὐλῆς ἔμελλον ἐκπληροῦσθαι, τῶν κατὰ τὸ ὀπισθόδομον εἴκοσι, καθ' οὓς ἀπελάμβανεν ἡ σκηνή, τριάκοντα συντεθέντων τοῖς κατὰ τὰς εἰσόδους πεντήκοντα. τὰ γὰρ περιπύλαια τῆς σκηνῆς, ὡσανεὶ μέσος ὅρος ἵδρυτο δυεῖν πεντηκοντάδος, τῆς μὲν κατ' ἀνατολάς, ἔνθα εἴσοδοι· τῆς δὲ πρὸς δυσμάς, ἔνθα τό τε μῆκος τῆς σκηνῆς καὶ ὁ κατόπιν περίβολος· μέγιστον δὲ καὶ κάλλιστον ἄλλο περιπύλαιον ἐν ἀρχῇ τῆς εἰς τὴν αὐλὴν εἰσόδου κατεσκευάζετο διὰ C τεττάρων κιόνων, καθ' ὧν ἐτείνετο τὸ ποικίλον ὕφασμα, τὸν αὐτὸν τρόπον τοῖς εἴσω κατὰ τὴν σκηνήν, καὶ ἐκ τῆς ὁμοίας ὕλης ἀπειργασμένον. ἅμα δὲ τούτῳ ἐδημιουργεῖτο καὶ σκεύη ἱερά, κιβωτὸς, λυχνία, τράπεζα, θυμιατήριον, βωμός. ὁ μὲν οὖν βωμὸς ἵδρυτο ἐν ὑπαίθρῳ, τῶν εἰσόδων τῆς σκηνῆς ἀντικρύ, ἀφεστὼς τοσοῦτον ὅσον ἱκανὸν ἦν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας. ἡ δὲ κιβωτὸς ἐν ἀδύτῳ καὶ ἀβάτῳ τῶν κα- D ταπετασμάτων εἴσω, κατακεχρυσωμένη πολυτελῶς ἔνδοθέν τε καὶ ἔξωθεν, ἧς ἐπίθεμα ὡσανεὶ πῶμα τὸ λεγόμενον ἐν ἱεραῖς βίβλοις ἱλαστήριον. τούτου μῆκος μὲν καὶ πλάτος μεμήνυται, βάθος δ' οὐδέν, ἐπιφανείᾳ γεωμετρικῇ μάλιστα ὁμοιούμενον, ὅπερ ἔοικεν εἶναι σύμβολον, φυσικώτερον μὲν τῆς ἵλεω τοῦ θεοῦ δυνάμεως· ἠθικώτερον δέ, διανοίας πάλιν ἵλεω δι' ἑαυτὴν αὐτῆς τὴν πρὸς ὕψος ἄλογον αἴρουσαν καὶ φυσῶσαν οἴησιν, ἀτυφίας ἔρωτι σὺν E ἐπιστήμῃ στέλλειν, καὶ καθαιρεῖν ἀξιούσης. ἀλλ' ἡ μὲν κιβωτὸς ἀγγεῖον τῶν νόμων ἐστίν. εἰς γὰρ ταύτην κατετίθετο τὰ χρησθέντα λόγια· τὸ δ' ἐπίθεμα τὸ προσαγορευόμενον ἱλαστήριον, βάσις ἐπὶ τῷ πτηνῶν δυεῖν ἃ πατρίῳ μὲν γλώττῃ προσαγορεύεται Χερουβίμ, ὡς δ' ἂν Ἕλληνες εἴποιεν, ἐπίγνωσις καὶ ἐπιστήμη πολλή. ταῦτα δέ τινες μέν φασιν εἶναι σύμβολα τῶν ἡμισφαιρίων ἀμφοῖν, κατὰ τὴν ἀντιπρόσωπον θέσιν, τοῦ τε ὑπὸ γῆς καὶ ὑπὲρ γῆν· πτηνὸς γὰρ ὁ σύμπας οὐρανός· ἐγὼ δ' ἂν εἴποιμι δηλοῦσθαι δι' ὑπονοιῶν τὰς πρεσβυτάτας

καὶ ἀνωτάτω δύο τοῦ ὄντος δυνάμεις, τήν τε ποιητικὴν καὶ βασιλικήν. ὀνομάζεται δὲ ἡ μὲν ποιητικὴ δύναμις αὐτοῦ θεός, καθ᾽ ἣν ἔθηκε καὶ ἐποίησε καὶ διεκόσμησε τόδε τὸ πᾶν· ἡ δὲ βασιλικὴ κύριος, ᾗ τῶν γενομένων ἄρχει, καὶ σὺν δίκῃ βεβαίως ἐπικρατεῖ. μόνος γὰρ πρὸς ἀλήθειαν ὤν, καὶ ποιητής ἐστιν ἀψευδῶς, ἐπειδὴ τὰ μὴ ὄντα ἤγαγεν εἰς τὸ εἶναι· καὶ βασιλεὺς φύσει, διότι τῶν γεγονότων οὐδεὶς ἂν ἄρχοι δικαιότερον τοῦ πεποιηκότος. ἐν δὲ τῷ μεθορίῳ τῶν τεττάρων καὶ πέντε κιόνων, ὅπερ ἐστὶ κυρίως εἰπεῖν πρόναον, εἰργόμενον δυσὶν ὑφάσμασι, τῷ μὲν ἔνδον ὃ καλεῖται καταπέτασμα, τῷ δ᾽ ἐκτὸς ὃ προσαγορεύεται κάλυμμα, τὰ δὲ λοιπὰ τρία σκεύη τῶν προειρημένων ἵδρυτο, μέσον μὲν τὸ θυμιατήριον γῆς καὶ ὕδατος, σύμβολον εὐχαριστίας, ἣν ἕνεκα τῶν γινομένων ἐφ᾽ ἑκατέρου προσήκει ποιεῖσθαι. τὸν γὰρ μέσον ταῦτα τοῦ κόσμου τόπον κεκλήρωται· τὴν δὲ λυχνίαν ἐν τοῖς νοτίοις, δι᾽ ἧς αἰνίττεται τὰς τῶν φωσφόρων κινήσεις ἀστέρων. ἥλιος γὰρ καὶ σελήνη, καὶ ἄλλοι πολὺ τῶν βορείων ἀφεστῶτες, νοτίους ποιοῦνται τὰς περιπολήσεις· ὅθεν ἓξ μὲν κλάδοι, τρεῖς δ᾽ ἑκατέρωθεν τῆς μέσης λυχνίας ἐκπεφύκασιν εἰς ἀριθμὸν ἕβδομον· ἐπὶ δὲ πάντων, λαμπάδιά τε καὶ λύχνοι ἑπτά, σύμβολα τῶν λεγομένων παρὰ τοῖς φυσικοῖς ἀνδράσι πλανήτων. ὁ γὰρ ἥλιος, ὥσπερ ἡ λυχνία, μέσος τῶν ἓξ τεταγμένος, ἐν τετάρτῃ χώρᾳ φωσφορεῖ τοῖς ὑπεράνω τρισὶ καὶ τοῖς ὑφ᾽ αὐτὸν ἴσοις, ἁρμοζόμενος τὸ μουσικὸν καὶ θεῖον ὡς ἀληθῶς ὄργανον. ἡ δὲ τράπεζα τέθειται πρὸς τοῖς βορείοις, ἐφ᾽ ἧς ἄρτοι καὶ ἅλες, ἐπειδὴ τῶν πνευμάτων τὰ βόρεια τροφιμώτατα, καὶ διότι ἐξ οὐρανοῦ καὶ γῆς αἱ τροφαί, τοῦ μὲν ὕοντος, τῆς δὲ τὰ σπέρματα ταῖς τῶν ὑδάτων ἐπιρροίαις τελεσφορούσης. οὐρανοῦ δὲ καὶ γῆς παρίδρυται τὰ σύμβολα, καθάπερ ἐδήλωσεν ὁ λόγος, τοῦ μὲν οὐρανοῦ, ἡ λυχνία, τῶν δὲ περιγείων, ἐξ ὧν αἱ ἀναθυμιάσεις, τὸ ἐτύμως προσαγορευόμενον θυμιατήριον· τὸν δ᾽ ἐν ὑπαίθρῳ βωμὸν εἴωθε καλεῖν θυσιαστήριον, ὡσανεὶ τηρητικὸν καὶ φυλακτικὸν ὄντα θυσιῶν, τὸ ἀναλωτικὸν τούτων αἰνιττόμενος, οὐ τὰ μέλη καὶ τὰ μέρη τῶν ἱερουργουμένων, ἅπερ δαπανᾶσθαι πυρὶ πέφυκεν, ἀλλὰ τὴν προαίρεσιν τοῦ προσφέροντος. εἰ μὲν γὰρ ἀγνώμων καὶ ἄδικος, ἄθυτοι θυσίαι, καὶ ἀνίεροι ἱερουργίαι, καὶ εὐχαὶ παλίμφημοι παντελῆ φθορὰν ἐνδεχόμεναι. καὶ γὰρ ὁπότε γίνεσθαι δοκοῦσιν, οὐ λύσιν ἁμαρτημάτων, ἀλλ᾽ ὑπόμνησιν ἐργάζονται· εἰ δ᾽ ὅσιος καὶ δίκαιος, μένει βέβαιος ἡ θυσία, κἂν τὰ κρέα δαπανηθῇ·

A ipse per has figuras intelligo duas antiquissimas supremásque eius Qui est potētias, alteram conditricem, rectricem alteram. quarum illa Deus nominatur, per quam totū mundum ornauit & condidit. regia vero Dominus, per quam creaturas regit pro imperio, & iure optimo certissimóque temperat. solus enim ille qui vere est & conditor rerum indubitate creditur, quibus cum nullæ essent dedit essentiam: & rex suapte natura, quando in creaturas
B nulli magis quam creatori debetur imperium. cæterum in confinio quatuor & quinque tabularum, quod proprie dici potest templi vestibulum, velo exteriore interioréque inclusum, ex prædictis tria vasa fuerunt posita: medium altare odoramētorum, per quod significatur debita pro terrenis aquaticisque rebus gratiarum actio. nam hæc elementa mediam mundi regionem obtinent. at candelabrum austrū versus, subindicans motum siderū lu-
C minarium. nam sol lunáque cum cæteris longe à septemtrionalibus partibus deflectētes, magis obuersantur australibus. hinc factū est vt terni rami producti sint ex medij cādelabri vtroque latere, ad numerum septenarium. in summitatibus eminebant septē lucernulæ figuræ planetarum, vt vocāt physici. sol enim tanquam lucerna inter illos sex medius lucet, quartus à summo pariter ac infimo, temperans musicum illud & vere diuinū organum. Versus
D septemtriones autem mensa, & in hac panes cum sale: quoniam septemtrionales venti vegetant maxime, & quia è cælo terráque alimenta proueniunt, altero pluente, altera semen pluuijs rigatum ad maturam frugem perducente. & erant in proximo figuræ cæli terræque, sicut ostendimus, cæli candelabrum, rerum vero terrestriū vnde vapores prodeunt, illud quod ex re appellatur thymiaterium. nam alterum altare subdiuale solet scriptura vocare
E thysiasterium à victimis, quasi τηρητικὸν θυσιῶν, qua voce subindicatur non absumi victimas, voluntatem inquā offerentiū, non membra pecoris quæ ignis deuorat. nam si quis prauus & iniustus offerat, eius non litant victimæ, sacrificia profana sunt, vota ominosa, perniciem afferentia. non abolent enim peccata, sed in memoriam reuocant. quod si pius iustúsque offerat, ratum manet sacrificium, etiamsi carnes

absumptæ fuerint, imò etiamsi nulla mactetur hostia. nullum enim potest esse verius sacrificium, quam animæ Deo charæ pietas. huius enim gratitudo immortalis fit, relata in Dei tabulas, in sempiternum cum sole luna mundóque duratura. Post hæc sacram vestem adornauit artifex in vsum futuri pontificis, pulcherrimam & mirificis texturis multiplicem. hæc constabat è tunica & epomide, sicut scriptura nominat. tunica fuit simplicior, tota hyacinthina præter imam fimbriam, distinctam dependentibus floribus malísque punicis aureis & tintinabulis. at epomis opus speciosissimum arte summa confectum erat ex prædictis generibus, hyacintho, cocco, bysso, purpura, auro quoque intertextum. nam bracteæ concisæ in capillamenta tenuissima intertexebantur omnibus staminibus. in summis humeris inserti erant duo smaragdi pretiosissimi, inscripti senis vtrinque phylarchorum nominibus, in vniuersum duodecim. in pectore quoque aliæ gemmæ spectabantur fulgentes varijs coloribus, similes signaculis, ternæ quadruplici ordine. hæ fuerunt insertæ rationali quod vocant: id erat quadrangulum duplicatum, pro basi destinatum ferendis duabus virtutibus, reuelationi veritatíque. pendebat autem aureis catenulis ex epomide, astrictum ad eam ne laxum flueret. adhæc lamina aurea quasi corona insculpta erat quatuor literis nominis illius, quod solis aures linguámque sapientia purgatis fas est audire nominaréque in sacris, præterea nemini. id Theologi aiunt esse tetragrammaton, fortasse quod significet primos numeros, vnum, duo, tria, quatuor. quaternioni enim insunt omnia, punctum, linea, superficies, soliditas, mensuræ vniuersorum, & musicæ symphoniæ potissimæ, diatessaron ratione super tertia, diapente sesqualtera, diapason dupla, disdiapason quadrupla. Quin & alias ineffabiles virtutes habet quaternarius, quarum pleraſque diligenter perscrutati sumus in tractatu de numeris. eam laminam mitra sustinebat ne caput attingeret. superimposita erat & cidaris, quo insigni reges orientis ma-

A μᾶλλον δὲ καὶ εἰ τὸ παράπαν μηδὲν προσάγοιτο ἱερεῖον. ἡ γὰρ ἀληθὴς ἱερουργία τίς ἂν εἴη, πλὴν ψυχῆς θεοφιλοῦς εὐσέβεια· ἧς τὸ εὐχάριστον ἀθανατίζεται, καὶ ἀνάγραπτον στηλιτεύεται παρὰ τῷ θεῷ, συνδιαιωνίζον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ παντὶ κόσμῳ. τούτοις ἱερὰν ἑξῆς ἐσθῆτα κατεσκεύαζεν ὁ τεχνίτης τῷ μέλλοντι ἀρχιερεῖ καθίστασθαι, περικαλλεστάτην καὶ θαυμασιωτάτην ἔχουσαν ἐν τοῖς ὑφάσμασι πλοκήν. τὰ δὲ ὕφη διττὰ ἦν, τὸ μὲν ὑποδύτης, τὸ δὲ προσαγορευόμενον ἐπωμίς. ὁ μὲν οὖν

B ὑποδύτης, ἀμιγεστέρας ἰδέας. ὅλος γὰρ ὑακίνθινος, ἔξω τῶν κατωτάτω καὶ πρὸς ἐσχατιαῖς μερῶν· ταῦτα γὰρ ἐποικίλλετο χρυσοῖς ῥοΐσκοις, καὶ κώδωσι, καὶ ἀνθινοῖς πλέγμασιν. ἡ δὲ ἐπωμίς, ἐκπρεπέστατον ἔργον καὶ τεχνικώτατον, ἐπιστήμῃ τελειοτάτῃ κατεσκευάζετο τοῖς προειρημένοις γένεσιν, ὑακίνθῳ, καὶ πορφύρᾳ, καὶ βύσσῳ, καὶ κοκκίνῳ, συγκαταπλεκομένου χρυσοῦ. πέταλα γὰρ εἰς λεπτὰς τρίχας κατατμηθέντα, πᾶσι τοῖς νήμασι

C συνυφαίνετο. λίθοι δὲ ἐπὶ τῶν ἀκρωμίων ἐνηρμόζοντο σμαράγδου πολυτελοῦς δύο τιμαλφέστατοι, οἷς ὀνόματα τῶν φυλάρχων ἓξ καθ' ἑκάτερον ἐνεχαράττετο, δώδεκα τὰ σύμπαντα· καὶ κατὰ τὸ στῆθος ἄλλοι λίθοι πολυτελεῖς διαφέροντες τὰς χρόας, σφραγῖσιν ἐοικότες, ἐν τέτρασι τετραστοιχεί· οὗτοι δὲ ἐνηρμόζοντο τῷ προσαγορευομένῳ λογίῳ. τὸ δὲ λόγιον τετράγωνον, διπλοῦν κατεσκευάζετο, ὡσπερεὶ βάσις, ἵνα δύο ἀρετὰς ἀγαλματοφορῇ, δήλωσίν τε καὶ ἀλήθειαν· ὅλον δὲ

D ἁλυσιδίοις χρυσοῖς ἀνήρτητο πρὸς τὴν ἐπωμίδα, σφιγγόμενον ἐξ αὐτῆς, ὑπὲρ τοῦ μὴ χαλᾶσθαι. χρυσοῦν δὲ πέταλον ὡσπερεὶ στέφανος ἐδημιουργεῖτο, τέτταρας ἔχον γλυφὰς ὀνόματος, ὃ μόνοις τοῖς ὦτα καὶ γλῶτταν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν ἁγίοις, ἄλλῳ δ' οὐδενὶ τὸ παράπαν οὐδαμοῦ· τετραγράμματον δὲ τοὔνομά φησιν ὁ θεολόγος εἶναι· τάχα που σύμβολα τιθεὶς αὐτὰ τῶν πρώτων ἀριθμῶν, μονάδος, καὶ δυάδος, καὶ

E τριάδος, καὶ τετράδος· ἐπεὶ πάντα ἐν τῇ τετράδι· σημεῖον, καὶ γραμμή, καὶ ἐπιφάνεια, καὶ στερεόν, τὰ μέτρα τῶν συμπάντων, καὶ αἱ κατὰ μουσικὴν ἄρισται συμφωνίαι, ἥ τε διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, καὶ ἡ διὰ πέντε ἐν ἡμιολίῳ, καὶ ἡ διὰ πασῶν ἐν διπλασίῳ, καὶ ἡ δὶς διὰ πασῶν ἐν τετραπλασίῳ. ἔχει δὲ καὶ τὰς ἄλλας ἀμυθήτους ἀρετὰς ἡ τετράς, ὧν τὰς πλείστας ἠκριβώσαμεν ἐν τῇ περὶ ἀριθμῶν πραγματείᾳ. μίτρα δ' ἦν ὑπ' αὐτῷ, τοῦ μὴ ψαύειν κεφαλῆς τὸ πέταλον· πρὸς δὲ καὶ κί-

διαίρεσις κατεσκευάζετο. κιδάρει γὰρ οἱ τῶν ἑῴων βασιλεῖς ἀντὶ διαδήματος εἰώθασι χρῆσθαι. τοιαύτη μὲν ἡ τοῦ ἀρχιερέως ἐσθής· ὃν δὲ ἔχει λόγον οὐ παρασιωπητέον, αὐτή τε καὶ τὰ μέρη. ὅλη μὲν δὴ γέγονεν ἀπεικόνισμα καὶ μίμημα τοῦ λόγου· τὰ δὲ μέρη, τῶν καθ᾽ ἕκαστον μερῶν. ἀρκτέον δὲ ἀπὸ τοῦ ποδήρους· οὗτος ὁ χιτὼν σύμπας ἐστὶν ὑακίνθινος, ἀέρος ἐκμαγεῖον. φύσει γὰρ ὁ ἀὴρ μέλας, καὶ τρόπον τινὰ ποδήρης ἄνωθεν ἀπὸ τῶν μετὰ σελήνην καὶ μέχρι τῆς γῆς ταθεὶς περάτων, πάντῃ κεχυμένος· ὅθεν καὶ ὁ χιτὼν ἀπὸ στέρνων ἄχρι ποδῶν περὶ ὅλον τὸ σῶμα κέχυται. ἐξ αὐτοῦ δὲ κατὰ τὰ σφυρὰ ῥοΐσκοι, καὶ ἄνθινα, καὶ κώδωνές εἰσι· τὰ μὲν ἄνθινα, σύμβολον γῆς· ἀνθεῖ γὰρ καὶ βλαστάνει πάντα ἐκ ταύτης· οἱ δὲ ῥοΐσκοι, ὕδατος, παρὰ τὴν ῥύσιν λεχθέντες εὐθυβόλως. οἱ δὲ κώδωνες τῆς ἁρμονίας καὶ συμφωνίας τούτων. οὔτε γὰρ γῆ χωρὶς ὕδατος, οὔτε ὕδωρ ἄνευ τῆς γεώδους οὐσίας αὔταρκες εἰς γένεσιν, ἀλλ᾽ ἡ σύνοδος καὶ κρᾶσις ἀμφοῖν· μάρτυς δὲ τοῦ δηλουμένου καὶ ὁ τόπος ἐναργέστατος. ὡς γὰρ ἐν ἐσχάταις τοῦ ποδήρους οἱ ῥοΐσκοι καὶ τὰ ἄνθινα καὶ οἱ κώδωνές εἰσιν, οὕτω καὶ τὰ ὧν ἐστι σύμβολα τὴν κατωτάτω χώραν ἔλαχεν ἐν κόσμῳ γῆ καὶ ὕδωρ, καὶ τῇ τοῦ παντὸς ἁρμονίᾳ συνηχοῦντα τὰς ἰδίας ἐπιδείκνυνται δυνάμεις, ἐν ὡρισμέναις χρόνου περιόδοις, καὶ τοῖς προσήκουσι καιροῖς. τριῶν μὲν δὴ στοιχείων, ἐξ ὧν τε καὶ ἐν οἷς τὰ θνητὰ καὶ φθαρτὰ γένη πάντα, ἀέρος, ὕδατος, γῆς, ὁ ποδήρης σὺν τοῖς ἀπῃωρημένοις κατὰ σφυρά, σύμβολον ἐδείχθη προσηκόντως. ὡς γὰρ ὁ χιτὼν εἷς, καὶ τὰ λεχθέντα τρία στοιχεῖα μιᾶς ἰδέας ἐστίν, ἐπειδὴ κατωτέρω σελήνης ἅπαντα τροπὰς ἔχει καὶ μεταβολάς· καὶ καθάπερ ἐκ τοῦ χιτῶνος ἤρτηνται οἵ τε ῥοΐσκοι, καὶ τὰ ἄνθινα, καὶ ἀπὸ ἀέρος τρόπον τινά, γῆ καὶ ὕδωρ ἐκκρέμαται. τὸ γὰρ ὄχημα τούτων ἐστὶν ὁ ἀήρ, τὴν δὲ ἐπωμίδα οὐρανοῦ σύμβολον ὁ λόγος εἰκόσι στοχασμοῖς χρώμενος παραδείκνυσι. πρῶτον μὲν γὰρ οἱ ἐπὶ τῆς ἀκρωμίας σμάραγδοι δύο λίθοι περιφερεῖς μηνύουσιν, ὡς μὲν οἴονταί τινες, ἀστέρας τοὺς ἡμέρας τε καὶ νυκτὸς ἡγεμόνας, ἥλιον καὶ σελήνην· ὡς δὲ ἂν ἐγγυτέρω τις ἀληθείας προσερχόμενος εἴποι, τῶν ἡμισφαιρίων ἑκάτερον. ἴσα τε γὰρ ὡς λίθοι τό, τε ὑπὸ γῆς καὶ ὑπὲρ γῆν, καὶ οὐδέτερον πέφυκε μειοῦσθαι ἢ αὔξεσθαι, καθάπερ ἡ σελήνη· συνεπιμαρτυρεῖ δὲ καὶ ἡ χρόα. σμαράγδῳ γὰρ ἔοικεν ἡ τοῦ παντὸς οὐρανοῦ φαντασία κατὰ τὴν ὄψεως προσβολήν. ἀναγκαίως δὲ καὶ καθ᾽ ἑκάτερον τῶν λίθων ἓξ ὀνόματα ἐγγλύφεται, διότι καὶ τῶν ἡμισφαιρίων ἑκά-

A lunt vti quàm diademate. Hic fuit amictus pontificis: quid autem sibi velit & integer & partes eius, ne id quidem videtur prætereundum silentio. Totus enim totius mundi quædam imago fuit, partes vero singularum partium. incipiamus à talari tunica. hæc tota est hyacinthina, ad exprimendam figuram aëris. natura enim aër nigricat, & quodammodo talaris est, à lunari orbe protensus vsque terræ terminos. Vnde etiam B tunica à pectore vsque pedes per totum corpus diffunditur. circa talos habet flores, mala punica & tintinnabula. Flores terram significant, in qua florent & germinant omnia. Mala punica aquam, ῥοαὶ dictæ à fluendo iuxta Græcam etymologiam. tintinnabula vero horum elementorum concentum & congruentiam. Nam nec terra sine aqua, nec aqua sine terra generationi sufficit, sed amborum coitus & contemperatio. Huic inter- C pretamento locus ipse attestatur. Sicut enim in ima talaris tunicæ fimbria mala punica flores & tintinnabula sunt, sic horum significata infimam mundi regionem sortita sunt, aqua terraque: & sic consonando cum vniuersitatis harmonia, vires suas exerunt statis temporum curriculis. itaque trium elementorum ex quibus & in quibus sunt omnia mortalia corruptibiliaque genera, aeris, aquæ, terræ, figura est stola ista cum suis appendi- D cibus. nam sicut hæc vna, ita tria dicta elementa vnius ideæ sunt, quandoquidem sub luna sita sunt, & mutationes recipiunt. & sicut ab hac pendent flores ac mala punica, sic ab aere quodammodo suspenduntur aqua terraque, quandoquidem continentur ab eo. at epomida cæli figuram esse certis coniecturis colligitur. primùm à duobus smaragdis rotundis humeralibus, quos quidam existimant typos solis lunæque, alterius E diurni, alterius nocturni sideris. sed propius ad veritatem accedit, per hos designari duo hemisphæria. sunt enim sicut hæ gemmæ ambo inter se paria, neutro crescente decrescenteue secus quam in luna videtur attestatur & color: smaragdo enim aspectus totius cæli est similis. vnde factum est vt gemma vtraque sculperetur sex nominibus: quia vtrumque hemisphæriũ, diuiso signifero circulo,

A sex signa complectitur. præterea in pectore duodecim gemmæ discolores, ternæ distributæ in quatuor ordines, quid aliud subindicant quam ipsum signiferum circulum? nam & hic in quatuor partes è ternis signis constantes diuiditur, atque ita horas anni conficit, ver, æstatem, autumnum, hiemem, mutationes quatuor, quarum singulas tria signa determinant, sole illustrante hæc omnia iuxta certam, immotam vereque diuinam rationem numeri. B Quapropter hæ gemmæ dicto rationali sunt insertæ. constat enim sua ratio mutationibus anni ordinariis: & quod mireris, tempestiuis variationibus declaratur harum rerum sempiternitas. nec abhorret ab hac significatione varietas colorum in gemmis, ita vt nullus ex his sit alteri similis. Nam & circuli signa suum quodque colorem efficiunt in terris, aquis & aere horumque accidentibus, atque etiam in animalium stirpiumque generibus omnibus. C Quòd autem rationale duplicatur, causam habet hanc. Duplex est ratio, altera in mundo, altera in natura hominis. In mundo illa incorporearum exemplariumque idearum ratio, itemque rerum visibilium, quæ sunt idearum imagines, & mundum hunc sensibilem conficiunt. In homine autem ratio est intrinseca & prolatiua, quæ aliter dicitur oratio. illa ceu fons, hæc ceu riuus inde promanans. D illius sedes est mens, huius lingua & os, instrumentáque vocis cætera. Voluit autem rationale illud quadrangulum esse artifex, pulchre subindicans, oportere rationem tum naturæ, tum hominis inconcussam esse ac solidam: quapropter ei duas supra dictas virtutes attribuit, reuelationem atque veritatem. nam & naturæ ratio vera est reuelatoriaque omnium, & ea quæ in sapiente est imago illius alterius, debet esse verissima, & nihil cælare præ inuidia, quod quidem cognitu sit vtile. E Quin & vniuscuiusque nostrum tum oratio tum ratio his duabus ornanda est proprijs virtutibus, declaratione oratio, veritate interna ratio. decet enim mentem nullum mendacium admittere, orationem autem expedite veritatem proferre declararéque. Nulla tamen est sermonis vtilitas, si ab hoc discrepent opera.

περὶ δίχα τέμνον τὸν ζωοφόρον ἐξ ἑκάτερα μέρη ζώδια. ἔπειθ᾽ οἱ κατὰ τὰ στέρνα δώδεκα λίθοι ταῖς χροαῖς οὐχ ὅμοιοι, διανεμηθέντες εἰς τέτταρας στίχους ἐκ τριῶν, τίνος ἑτέρου δεῖγμά εἰσιν, ἢ τοῦ ζῳδιακοῦ κύκλου; καὶ γὰρ οὗτος τετραχῇ διανεμηθεὶς ἐκ τριῶν ζωδίων, τὰς ἐτησίους ὥρας ἀποτελεῖ, ἔαρ, θέρος, μετόπωρον, χειμῶνα, τροπὰς τέτταρας, ὧν ἑκάστης ὅρος τρία ζώδια, γνωριζόμενος ταῖς τοῦ ἡλίου περιφοραῖς, κατὰ τὸν ἐν ἀριθμοῖς ἀσάλευτον καὶ βεβαιότατον, καὶ θεῖον ὄντως λόγον· ὅθεν καὶ ἐναρμόζοντα τῷ προσαγορευθέντι δεόντως λογείῳ. λόγῳ γὰρ αἱ τροπαὶ καὶ ἐτήσιοι ὧραι τεταγμένῳ καὶ παγίῳ συνίστανται, τὸ παραδοξότατον, διὰ τῆς χρονίου μεταβολῆς ἐπιδεικνύμεναι τὴν διαιωνίζουσαν αὐτῶν μονήν. εὖ δὲ ἔχει καὶ πάνυ καλῶς καὶ τὸ τοῖς χρώμασι τοὺς δώδεκα λίθους διαλλάττειν, καὶ μηδένα ὅμοιον εἶναι μηδενί· καὶ γὰρ ἐν τῷ ζωοφόρῳ ἕκαστος ἀποτελεῖ τι χρῶμα οἰκεῖον, κατὰ τὸν ἀέρα, καὶ γῆν, καὶ ὕδωρ, καὶ τὰ τούτων παθήματα, καὶ ἔτι καὶ τὰ τῶν ζῴων καὶ φυτῶν γένη πάντα. διπλοῦν δὲ τὸ λογεῖον, οὐκ ἀπὸ σκοποῦ. διττὸς γὰρ ὁ λόγος, ἔν τε τῷ παντὶ καὶ ἐν ἀνθρώπου φύσει· κατὰ μὲν τὸ πᾶν, ὅ τε περὶ τῶν ἀσωμάτων καὶ παραδειγματικῶν ἰδεῶν, ἐξ ὧν ὁ νοητὸς ἐπάγη κόσμος, καὶ ὁ περὶ τῶν ὁρατῶν, ἃ δὴ μιμήματα καὶ ἀπεικονίσματα τῶν ἰδεῶν ἐκείνων ἐστίν, ἐξ ὧν ὁ αἰσθητὸς οὗτος ἀπετελέσθη. ἐν ἀνθρώπῳ δ᾽ ὁ μέν ἐστιν ἐνδιάθετος, ὁ δὲ προφορικός· καὶ ὁ μὲν οἷά τις πηγή, ὁ δὲ γεγωνὸς, ἀπ᾽ ἐκείνου ῥέων· καὶ τοῦ μὲν ἐστὶ χώρα τὸ ἡγεμονικόν, τοῦ δὲ κατὰ προφορὰν, γλῶττα καὶ στόμα καὶ ἡ ἄλλη πᾶσα φωνῆς ὀργανοποιΐα. σχῆμα δὲ ἀπένειμεν ὁ τεχνίτης τετράγωνον τῷ λογείῳ, πάνυ καλῶς αἰνιττόμενος ὡς χρὴ καὶ τὸν τῆς φύσεως λόγον, καὶ τὸν τοῦ ἀνθρώπου βεβηκέναι πάντη, καὶ κατὰ μηδ᾽ ὁτιοῦν κραδαίνεσθαι· παρ᾽ ὃ καὶ τὰς εἰρημένας δύο ἀρετὰς προσεκλήρωσεν αὐτῷ, δήλωσίν τε καὶ ἀλήθειαν. ὅ, τε γὰρ τῆς φύσεως λόγος ἀληθὴς καὶ δηλωτικὸς πάντων, ὅ, τε τοῦ σοφοῦ μιμούμενος ἐκεῖνον, ὀφείλει προσηκόντως ἀψευδέστατός τε εἶναι τιμῶν ἀλήθειαν, καὶ μηδὲν φθόνῳ συσκιάζειν, ὧν ἡ μήνυσις ὠφελήσει τοὺς ἀναδιδαχθέντας. οὐ μὴν ἀλλὰ καὶ δυσὶ λόγοις τοῖς καθ᾽ ἕκαστον ἡμῶν, τῷ τε προφορικῷ καὶ ἐνδιαθέτῳ, δύο ἀρετὰς ἀπένειμεν οἰκείας· τῷ μὲν προφορικῷ δήλωσιν, τῷ δὲ κατὰ διάνοιαν ἀλήθειαν. ἁρμόζει γὰρ διανοίᾳ μὲν μηδὲν παραδέχεσθαι ψεῦδος, ἑρμηνείᾳ δὲ μηδὲν ἐμποδίζειν τῶν εἰς τὴν ἀκριβεστάτην δήλωσιν. λόγου δὲ ἄρα οὐδὲν ὄφελος τὰ καλὰ καὶ σπουδαῖα σεμνηγοροῦντος, ᾧ μὴ πρόσεστιν οἰκεία ἀκολουθία

λουθία πράξεων· ὅθεν τὸ λογεῖον ἤρτηται ἐκ τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται, τὸν λόγον οὐ δικαιώσας ἔργων ἀπεζεῦχθαι· τὸν γὰρ ὦμον ἐνεργείας καὶ πράξεως ποιεῖται σύμβολον. ἃ μὲν οὖν αἰνίττεται διὰ τῆς ἱερᾶς ἐσθῆτος, ἐστὶ τοιαῦτα. κίδαριν δὲ ἀντὶ διαδήματος ἐπιτίθησι τῇ κεφαλῇ, δικαιῶν τὸν ἱερωμένον τῷ θεῷ, καθ' ὃν χρόνον ἱερᾶται, προφέρειν ἁπάντων, καὶ μὴ μόνον ἰδιωτῶν, ἀλλὰ καὶ βασιλέων. ὑπεράνω δὲ τὸ χρυσοῦν ἐστι πέταλον, ᾧ τῶν τεττάρων αἱ γλυφαὶ γραμμάτων ἐνεσφραγίσθησαν, ἐξ ὧν ὄνομα τοῦ ὄντος φασὶ μηνύεσθαι, ὡς οὐχ οἷόν τε ὂν ἄνευ κατακλήσεως θεοῦ συστῆναί τι τῶν ὄντων. ἁρμονία γὰρ πάντων ἐστὶν ἡ ἀγαθότης καὶ ἵλεως δύναμις αὐτοῦ. τοῦτον τὸν τρόπον ὁ ἀρχιερεὺς διακοσμηθεὶς στέλλεται πρὸς τὰς ἱερουργίας, ἵν' ὅταν εἰσίῃ τὰς πατρίους εὐχάς τε καὶ θυσίας ποιησόμενος, συνεισέρχηται πᾶς ὁ κόσμος αὐτῷ, δι' ὧν ἐπιφέρεται μιμημάτων, ἀέρος τὸν ποδήρη, ὕδατος τοὺς ῥοΐσκους, γῆς δὲ τὰ ἄνθινα, πυρὸς δὲ τὸν κόκκινον, οὐρανοῦ τὴν ἐπωμίδα. καὶ κατ' εἶδος τῶν δυοῖν ἡμισφαιρίων, τοὺς ἐπὶ τῶν ἀκρωμίων σμαράγδους περιφερεῖς, ἐφ' ὧν καθ' ἑκάτερον γλυφαὶ ἓξ τῶν ζῳοφόρου, τοὺς ἐπὶ τῶν στέρνων δώδεκα λίθους ἐν τέτρασι κατὰ τρεῖς στοίχους, τοῦ συνέχοντος καὶ διοικοῦντος λόγου τὸ σύμβολον, τὸ λογεῖον. ἀναγκαῖον γὰρ ἦν τὸν ἱερωμένον τῷ τοῦ κόσμου πατρὶ, παρακλήτῳ χρῆσθαι τελειοτάτῳ τὴν ἀρετὴν υἱῷ, πρός τε ἀμνηστίαν ἁμαρτημάτων, καὶ χορηγίαν ἀφθονωτάτων ἀγαθῶν. ἴσως μέντοι καὶ προδιδάσκει τὸν τοῦ θεοῦ θεραπευτὴν, εἰ καὶ μὴ τοῦ κοσμοποιοῦ δυνατόν, ἀλλὰ τοῦ γε κόσμου διηνεκῶς ἄξιον εἶναι πειρᾶσθαι, οὗ τὸ μίμημα ἐνδυόμενος, ὀφείλει τῇ διανοίᾳ τὸ παράδειγμα εὐθὺς ἀγάλματος τρόπον αὐτὸς ἐξ ἀνθρώπου τινὰ πρὸς τὴν τοῦ κόσμου φύσιν μεθαρμόσασθαι, καὶ εἰ θέμις εἰπεῖν, θέμις δὲ ἀψευδεῖν ἀλήθειαν λέγοντα, βραχὺς κόσμος εἶναι. τὸ δὲ προπυλαίου ἔξω παρὰ ταῖς εἰσόδοις λουτήρ ἐστι χαλκοῦς, οὐκ ἀργὸν ὕλην λαβόντος τοῦ τεχνίτου πρὸς τὴν κατασκευὴν, ὅπερ φιλεῖ γίνεσθαι, σκεύη δὲ ἐπιμελῶς δημιουργηθέντα πρὸς ἑτέραν χρείαν, ἃ μετὰ σπουδῆς καὶ φιλοτιμίας ἁπάσης αἱ γυναῖκες εἰσήνεγκαν, ἁμιλλώμεναι τοῖς ἀνδράσι πρὸς εὐσέβειαν, ἀγώνισμα καλὸν ἄρασθαι διανοηθεῖσαι, καὶ καθ' ὅσον δυνάμεως εἶχον, σπουδάσασαι μὴ ἀπολειφθῆναι τῆς ἐκείνων ὁσιότητος. κάτοπτρα γὰρ, οἷς εἰς εὐμορφίας εἴωθασι διακοσμεῖσθαι, μηδενὸς προστάξαντος, αὐτοκελεύστῳ προθυμίᾳ καὶ σωφροσύνης καὶ τῆς περὶ γάμον ἁγνείας, καὶ τί γὰρ ἢ

A Et hoc est cur rationale pendet ab epomide & humeris, ne laxum fluat, quòd à dictis seiungi facta iniquum sit. Nam per humerum significatur operatio. Hæc sunt quæ sub sacerdotali veste latent ænigmata. Cidaris autem pro diademate imponitur capiti, quia quantisper sacerdos honore suo fungitur & ministerio, non solum priuatis hominibus est eminentior, verum etiam cunctis regibus.
B Huic præfigitur aurea lamina insignita quatuor literis, per quas Entis nomen aiunt indicari, quandoquidem nihil potest absque inuocatione Dei subsistere. nam huius bonitate fauente, integritate sua fruuntur omnia. In hunc modum ornatus pontifex ad sacra mittitur, vt quoties ritu patrio vota facturus est pro populo, totum mundum secum introducat sub figuris quas gestat, aerem in stola, aquam in malis punicis, terram in floribus,
C ignem in cocco, cælum in epomide duobúsque smaragdis referentibus totidem hemisphæria sculptura senorum signorum, item in rationali pectus ornante quatuor ternarum gemmarum ordinibus, quod rationis cuncta dispensantis repræsentat speciem. Necessarium enim erat, vt sacerdos supplicaturus patri omnipotenti, aduocatum adhiberet perfectissimum eius filium, ad impetrandam erratorum veniam, & vberem in posterum gratiam. Fieri tamen po-
D test, vt sic quoque doceatur Dei cultor, si non conditore mundi, saltem mundo ipso conari se dignum facere, cuius induitur imagine: videlicet gestaminibus illum figurantibus admonitus, vt quodam modo ex homine in naturam mundi transeat, & si fas est dicere (fas est autem cum verum sit) paruus mundus fiat. Cæterum extra vestibulum in primo aditu labrum erat aheneum, non ex rudi materia, vt
E ferè fit, fabrefactum ab opifice, sed ex vasis iam ante expolitis in vsum tamen alium, quæ mulieres mira animi alacritate certatim benignéque contulerant, ne viris hac parte viderentur cedere, æmulatione longe honestissima, qua dabant operam ne illis inferiores iudicarentur in pietatis sanctitatísque studio. Specula enim ad quæ formam curare solitæ fuerant, sponte nemine iubente Deo dicauerant, ceu primitias coniugalis pudicitiæ

A pulchritudinísque animæ decentissimas. Hæc ad se delata opifex in vnam massam confudit, ratus nihil inde aptius posse confiteri, quàm labrum ex quo se lustrarent sacerdotes templum ingressuri ad obeunda sua ministeria, præsertim pedes manúsque lauando, in signum vitæ inculpatæ, victúsque puri parati bonis rationibus, non per illam asperam inuiámque viam vitiorum, sed per regiam stratam munitámque virtutibus, & directissimam. B Quasi diceret, Meminerit quisquis hinc se asperget, huius vasis materiam fuisse specula, vt ipse quoque tanquam in speculo contempletur mentem propriam: & si quid in ea viderit turpitudinis, aut brutorum affectuum, aut voluptatis præter naturæ leges efferuescentis, aut contrà mœsticiæ plus æquo se deijcientis, aut metus declinantis à recto itinere, aut concupiscentiæ nitentis in vetitum, id mature curare studeat, & germanæ sinceræque pulchritudinis rationem habeat. C Nam quæ in corpore laudatur, sita tum in membris bene dimensis pro sua cuiusque portione, tum in colore decenti & habitudine, breui momento durat. At altera illa menti propria, quæ constat opinionum virtutúmque concentu, non languescit vllo tempore, sed iuuenescit indies, colore veritatis tincta decentissimo, dictis cum factis consentientibus, & à neutris discrepante consilio. Postquam autem propheta exemplar sacrati tabernaculi didicit, D idque homines ingeniosos & ad præscripta exequenda idoneos perdocuit, quomodo singula oporteat affabre fieri: reliquum erat vt sacerdotes optaret, docerétque quo ritu quibúsve hostijs res diuina facienda sit. Itaque fratri ex omnibus optimatibus selecto pontificatus honorem tribuit eximium: filios illius constituit sacerdotes, non cognationis priuilegio, sed pietatis sanctitatísque, quas in his viris animaduerterat. E Eius rei manifesta fides est, quòd neutri filio dignitatem hanc contulit, vtrumque electurus, si propinquitatis rationem habuisset. Hos instituit de communi totius gentis sententia, iubente oraculo, more nouo & memorabili. Ante omnia fontanis aquis limpidissimis & vitæ vtilissimis eos abluit: deinde sacris vestibus induit, fratrem talari &

ψυχικοῦ κάλλους, ἀπαρχὴν προθυμοτάτην ἀπήρξαντο. ταῦτ' ἔδοξε τῷ τεχνίτῃ λαβόντι χωνεῦσαι, καὶ μηδὲν ἀπ' αὐτῶν ἕτερον, ἢ τὸν λουτῆρα κατασκευάσασθαι, περιρραντηρίοις ὅπως οἱ μέλλοντες εἰς τὸν νεὼν εἰσιέναι ἱερεῖς ἐπὶ τῷ τὰς διατεταγμένας λειτουργίας ὑπουργεῖν, χρῶνται, πόδας μάλιστα καὶ χεῖρας ἀπονιπτόμενοι, σύμβολον ἀνυπαιτίου ζωῆς, καὶ βίου καθαρεύοντος ἐν πράξεσιν ἐπαινεταῖς, οὐ τὴν τραχεῖαν κακίας ὁδόν, ἢ κυριώτερον εἰπεῖν, ἀνοδίαν, ἀλλὰ τὴν δι' ἀρετῆς λεωφόρον ἀπευθύνοντος. ὑπομιμνησκέσθω μέντοι, φησί, καὶ ὁ μέλλων περιρραίνεσθαι, ὅτι τοῦδε τοῦ σκεύους ἡ ὕλη κάτοπτρα ἦν, ἵνα καὶ αὐτὸς οἷα πρὸς κάτοπτρον αὐγάζῃ τὸν ἴδιον νοῦν· κἂν εἴ τι ὑποφαίνοιτο αἶσχος ἐξ ἀλόγου πάθους, ἢ παρὰ φύσιν ἐπαιρομένης καὶ μετεωριζούσης ἡδονῆς, ἢ συστελλούσης ἔμπαλιν λύπης καὶ καθαιρούσης, ἢ ἀποστρέφοντος καὶ ἀποκλίνοντος τὴν ἐπ' εὐθείας ὁρμὴν φόβου, ἢ τῆς ἐπιθυμίας πρὸς τὰ μὴ παρόντα ἑλκούσης καὶ ἀποτεινούσης βίᾳ, τοῦτο θεραπεύῃ τε καὶ ἰᾶται, τὸ γνήσιον καὶ ἄνοθον μεταποιούμενος κάλλος. τὸ μὲν γὰρ τοῦ σώματος, ἐν συμμετρίᾳ μερῶν, εὐχροίᾳ τε καὶ εὐσαρκίᾳ κεῖται, βραχὺν τῆς ἀκμῆς ἔχον καιρόν· τὸ δὲ τῆς διανοίας, ἐν ἁρμονίᾳ δογμάτων καὶ ἀρετῶν συμφωνίᾳ, μὴ χρόνου μήκει μαραινόμενον, ἀλλ' ἐφ' ὅσον ἐγχρονίζει, καινούμενον καὶ νεάζον, χρώματι διαπρεπεῖ κεκοσμημένον ἀληθείας καὶ ὁμολογίας ἔργων πρὸς λόγους, καὶ λόγων πρὸς ἔργα, καὶ ἔτι βουλευμάτων πρὸς ἑκάτερα. διδαχθέντι δὴ αὐτῷ τὰ παραδείγματα τῆς ἱερᾶς σκηνῆς, καὶ ἀναδιδάξαντι τοὺς διανοίᾳ ὀξεῖς καὶ εὐφυεῖς ἔχοντας πρὸς ἀνάληψιν καὶ τελείωσιν ἔργων, ἅπερ ἀναγκαίως εἶχε δημιουργηθῆναι, κατὰ τὸ εἰκὸς ἱεροῦ κατασκευασθέντος ἔδει καὶ ἱερεῖς τοὺς ἐπιτηδειοτάτους αἱρεθῆναί τε καὶ προμαθεῖν ὃν τρόπον τὰς θυσίας ἀνάγειν τε καὶ ἱερουργεῖν προσῆκε. τὸν μὲν οὖν ἀδελφὸν ἐξ ἁπάντων ἐπικρίνας ἀριστίνδην, ἀρχιερέα· τοὺς δ' ἐκείνου παῖδας, ἱερεῖς ἐχειροτόνει, προνομίαν οὐ τῷ οἰκείῳ γένει διδούς, ἀλλ' εὐσεβείᾳ καὶ ὁσιότητι, ἃς ἐνεώρα τοῖς ἀνδράσιν ὑπαρχούσας. σαφὴς δὲ πίστις· οὐδέτερον υἱῶν δύο δ' ἦσαν αὐτῷ τούτου τοῦ γέρως ἠξίωσεν, ἀναγκαίως ἂν ἀμφοτέροις ἑλόμενος, εἴ τινα τιμὴν τῷ φιλοικείῳ ἔνεμε. καθίστη δὲ μετὰ τῆς ἁπάντων τοῦ ἔθνους γνώμης, ὡς τὰ λόγια ὑφηγεῖτο, καινότατον τρόπον καὶ ἄξιον ἱστορηθῆναι. λούει δὲ πρότερον αὐτοὺς ὕδατι πηγῆς τῷ καθαρωτάτῳ καὶ ζωτικωτάτῳ. κἄπειτα τὰς ἱερὰς ἀναδίδωσιν ἐσθῆτας, τῷ μὲν ἀδελφῷ τὸν ποδήρη καὶ τὴν

A ἐπωμίδα, οἱονεὶ θώρακα, τὸ παμποίκιλον ὕφασμα καὶ μίμημα τοῦ παντός· τοῖς δ' ἀδελφιδοῖς χιτῶνας λινοῦς, ζώνας τε καὶ περισκελῆ πᾶσι. τὰς μὲν ὅπως ἀνεμπόδιστοι καὶ ἑτοιμότεροι πρὸς τὰς ἱερὰς ὑπουργίας ὦσι, σφιγγομένων τοὺς ἀνειμένους κόλπους τῶν χιτώνων· τὰ δ', ὅπως μηδὲν ὧν κρύπτεσθαι θέμις, παραφαίνηται, καὶ μάλιστ' ἀνερχομένων ἐπὶ τὸν βωμὸν, ἢ κατιόντων ἄνωθεν, καὶ πάντα δρώντων μετὰ σπουδῆς καὶ τάχους. εἰ γὰρ μὴ οὕτως ἀκριβὴς ἐγεγένητο ὁ στολισμὸς διὰ τὴν τοῦ
B μέλλοντος ἀδήλου προφυλακὴν, καὶ ἕνεκα τοῦ συντόνου περὶ τὰς λειτουργίας ὀξύτητος ἀπεγυμνοῦντο, τὸν προσήκοντα ἱερεῦσι καὶ ἱερωμένοις κόσμον φυλάττειν ἀδυνατοῦντες. ὡς δὲ ταῖς ἐσθῆσιν ἤσκησεν αὐτοὺς, χρίσματος εὐωδεστάτου λαβὼν, ὃ μυρεψικῇ τέχνῃ κατειργάσθη, τὰ ἐν ὑπαίθρῳ πρῶτα τόν τε βωμὸν καὶ τὸν λουτῆρα κατέχριε, ἐπιρραίνων ἑπτάκις· ἔπειτα τὴν σκηνὴν καὶ τῶν ἱερῶν σκευῶν ἕκαστον, τὴν κιβωτὸν, τὴν λυχνίαν, τὸ θυμιατήριον, τὴν
C τράπεζαν, τὰ σπονδεῖα, τὰς φιάλας, τἆλλ' ὅσα πρὸς θυσίας ἀναγκαῖα καὶ χρήσιμα· καὶ τελευταῖον προσαγαγὼν τὸν ἀρχιερέα, πολλῷ λίπει τὴν κεφαλὴν ἀλείφει. ταῦτ' ἐπιτελέσας, εἰσάγων ἀχθῆναι κελεύει μόσχον, καὶ κριοὺς δύο· τὸν μὲν ἵνα θύσῃ περὶ ἀφέσεως ἁμαρτημάτων, αἰνιττόμενος ὅτι παντὶ γενητῷ κἂν σπουδαῖον ᾖ, παρ' ὅσον ἦλθεν εἰς γένεσιν, συμφυὲς τὸ ἁμαρτάνειν ἐστίν· ὑπὲρ οὗ τὸ θεῖον εὐχαῖς καὶ θυσίαις ἀναγκαῖον ἐξευμενίζεσθαι, μὴ διακινηθεὶς ἐπίθοιτο· τῶν δὲ κριῶν, τὸν μὲν ἕτερον εἰς ὁλο-
D καύτωμα εὐχαριστήριον τῆς τῶν ὅλων διοικήσεως, ἧς κατὰ τὸ ἐπιβάλλον ἑκάστῳ μέρος μέτεστι, καρπουμένῳ τὴν ἀπὸ τῶν στοιχείων ὠφέλειαν, γῆς πρὸς οἴκησιν, καὶ τὰς ἐξ αὐτῆς τροφὰς, ὕδατος πρὸς ποτὸν, καὶ λουτρὰ, καὶ πλοῦν, ἀέρος πρὸς ἀναπνοὴν, καὶ τὰς διὰ τῆς αἰσθήσεως ἀντιλήψεις· ἐπεὶ πασῶν ἀὴρ ὄργανον· καὶ ἔτι τὰς ἐτησίους ὥρας· πυρὸς, τοῦ μὲν χρειώδους πρὸς τὰ ἑψόμενα καὶ θερμαινόμενα, τοῦ δὲ οὐρανίου πρὸς αὐγὴν καὶ τὰ ὁρατὰ πάντα· τὸν δ' ἕτε-
E ρον, εἰς τὴν τῶν ἱερωμένων διὰ καθάρσεως ἁγνευτικῆς τελείωσιν, ὃν ἐτύμως τελειώσεως ἐκάλεσεν, ἐπειδὴ τὰς ἁρμοττούσας θεραπευταῖς καὶ λειτουργοῖς θεοῦ τελετὰς ἔμελλον ἱεροφαντεῖσθαι. τοῦ δ' αἵματος αὐτοῦ, τὸ μὲν ἐν κύκλῳ τοῦ βωμοῦ σπένδει λαβὼν, τὸ δὲ φιάλῃ ὑποσχὼν δέχεται, καὶ ἀπὸ τούτου τρία μέρη τοῦ σώματος χρίει τῶν τελουμένων ἱερέων, οὖς ἄκρον, ἄκραν χεῖρα, ποδὸς ἄκρον, δεξιὰ τὰ σύμπαντα, αἰνιττόμενος ὅτι δεῖ τὸν τέλειον καὶ λόγῳ καὶ ἔργῳ καὶ βίῳ παντὶ καθαρεύειν·

A epomide, ceu thorace referente mundi imaginem: fratris filios tunicis linteis & zonis ac subligaribus: illis vt expedite peragerent sacra ministeria, astrictis tunicarum sinibus: his, ne quid quod pudor cælari postulat, oculos circumstantium offenderet, præsertim dum ascendunt ad altare aut descendunt, omniáque propere ac celeriter faciunt. Nisi enim tam accurate præscriptus fuisset totus vestitus sacerdotalis propter incertos casus fu-
B turi temporis, quos præcaueri oportuit, non potuisset fieri in tanta celeritate ministerij, quin nudarentur aliquando, sacerdotibus decorum inter sacra seruare non valentibus. Vt vero instruxit eos sacratis vestibus, sumpsit vnguentum suauecolentissimum, confectum arte vnguentaria: quo primùm subdialia vasa, altare labrúmque perunxit aspersa septies: deinde tabernaculum & sacra vasa singula, ar-
C cam, candelabrum, thymiaterium, mensam, calices, phialas, cæteráque sacrificijs deseruientia. Postremo adductum pontificem inunxit profuso largiter in caput eius sacro vnguine. His rite peractis iubet adduci vitulum & duos arietes. Vitulum vt offerret in remissionem peccatorum, subindicans cuiuis nato, etiam bono, vel ob hoc ipsum, quòd natus sit, cognatum esse peccatum: propterea placandum esse Deum precibus & victimis, ne
D iratus sæuiat. Arietum autem alterum qui adoleretur solidus autori rerum omnium, cuius benignitate pro se quisque fruitur elementis omnibus, terra ad alimentum & domiciliũ, aqua in potum, lauacra nauigationémque, aere ad respirationem effectúsque sensuum (nam horum instrumentum aer est) & ad horas annuas: igne quotidiano quidem ad cibos coquendos & calefactionem, cælesti vero ad lucem & res visibiles. alterum autem arietem
E mactauit ad absolutam eorum qui sacrabantur purificationem, quem apte consecrationis cognominauit, quòd per hoc sacrificium initiarentur sacerdotes Dei maximi optimi. eius sanguinis partem circum altare profudit, partem excepit phiala, cóque tinxit tria membra initiatorum, auriculam extremam, manum extremam, pedem extremũ, hæc omnia dextera, significans virũ perfectum debere purũ esse sermone, opere, tota vita denique.

sermonem enim auditus iudicat: manus significat opera, pes totius vitæ transitum. quoniam autem hæc singula extrema sunt & dextera, intelligendum est in his singulis requiri profectum & cupiditatem extremæ felicitatis & vltimæ, ad quam ceu ad scopum omnes vitæ actiones referendæ sunt. Primum igitur vnius victimæ, quæ consecrationis appellatur, sanguine sincero has partes sacerdotum inunxit. deinde sumpsit ex eo quod circum altare profusum fuerat vel ex vnguento vel è victimis omnibus, eóque permixto sacerdotes aspersit, volens eos non solum externæ subdiualisque sanctitatis fieri participes, verum etiam internæ, quandoquidem sacra facturi erant in adytis, in quibus omnia peruncta sacro vnguento fuerant. Deinde alijs quoque cæsis victimis, tum pro sacerdotibus ipsis, tum pro senatu ac gente vniuersa, Moses fratrem introduxit in tabernaculum. erat is dies octauus à consecratione, huius festi vltimus: superiores enim septem fratri filiisque eius initiandis dati fuerant. Tum vero in loco sacro vt bonus præceptor docilem discipulum ritus pontificios edocuit: post hæc ambo egressi protensis ad cælum manibus, vota pro gente fecerunt, qualia proficisci par erat à mente sanctissima. quibus nondum peractis accidit insigne prodigium. nam ex adytis, siue ætheris pars purissimi, siue aer naturaliter in ignem mutatus, emicuit, vt repente flamma prorumpens rectà ferretur in altare, & quicquid superimpositum fuerat absumeret, opinor in argumentum manifestissimum præsentis diuinæ prouidentiæ. Decuit enim eximium donum conferri sacrarijs, non qualia sunt materiæ tractabiles hominibus, sed ignis essentiæ purissimæ, ne iste qui in nostro vsu est, altare attingeret, quo iam innumeræ sordes contactæ fuerant. Admouetur enim non solum brutis animalibus, dum coquuntur ad satietatem ventris miseri, verum etiam ad necandos ex insidijs homines, non tres quatuórve, sed interdum magnum numerum. Nam & classes integræ cum socijs

A λόγων μὲν γὰρ ἀκοὴ δικάζει· χεὶρ δὲ ἔργων σύμβολον, διεξόδου δὲ τῆς περὶ τὸν βίον, πούς. ἐπεὶ δὲ ἕκαστον αὐτῶν ἄκρον τε καὶ δεξιόν, ὑπονοητέον δηλοῦσθαι τὴν ἐν ἑκάστοις ἐπίδοσιν μετὰ δεξιότητος ἐφιεμένην τῆς ἄκρας εὐδαιμονίας καὶ τοῦ τέλους, ἐφ' ὃ σπουδὴν ἀναγκαῖον, καὶ τὰς πράξεις ἁπάσας ἀναφέρειν, στοχαζομένους ὥσπερ ἐν ταῖς τοξείαις σκοποῦ τοῦ περὶ βίον. πάλαι μὲν οὖν ἱερείου ἑνός, ὃ προσωνόμαστο τελειώσεως, ἀκράτῳ αἵματι τὰ λεχθέντα τρία μέρη κατέχριε τῶν ἱερέων· αὖθις δὲ B ἐκ τοῦ παρὰ τῷ βωμῷ λαβὼν ὥσπερ ἐξ ἀπολύτου ἦν, τῶν τε θυομένων καὶ τοῦ λεχθέντος χρίσματος, ὃ μυρεψοὶ κατεσκεύασαν, ἀναμίξας δὲ ἔλαιον τῷ αἵματι τοῦ χρίματος, τοῖς ἱερεῦσι καὶ ταῖς ἀμφιέσεσιν αὐτῶν ἐπέρραινε, βουλόμενος αὐτοὺς μὴ μόνον τῆς ἔξω καὶ ἐν ὑπαίθρῳ μεταλαχεῖν ἁγνείας, ἀλλὰ καὶ τῆς ἐν ἀδύτοις, ἐπειδὴ καὶ ἔνδον λειτουργεῖν ἔμελλον. τὰ δὲ εἴσω πάντα ἐλαίῳ κατεκέχριτο. θυσίας δὲ ἐπὶ ταῖς προτέραις ἄλλας C ἀναγαγόντων, τοῦτο μὲν τῶν ἱερέων ὑπὲρ αὐτῶν, τοῦτο δὲ τῆς γερουσίας ὑπὲρ ἅπαντος τοῦ ἔθνους, Μωϋσῆς μὲν εἰς τὴν σκηνὴν εἰσέρχεται τὸν ἀδελφὸν ἐπαγόμενος· ὀγδόη δὲ ἦν τῆς τελετῆς ἡμέρα καὶ τελευταία· αἱ γὰρ πρότεραι ἑπτά, ἱεροφαντοῦντι αὐτόν τε καὶ τοὺς ἀδελφιδοῦς ὀργιάζειν. εἰσελθὼν δὲ ἀνεδίδασκεν οἷα ὑφηγητὴς ἀγαθός, εὐμαθῆ γνώριμον, ὃν χρὴ τρόπον τὸν ἀρχιερέα τὰς εἴσω ποιεῖσθαι λειτουργίας· εἶτ' ἐξελθόντες ἀμφότεροι, καὶ τὰς χεῖρας ἀνατείναντες πρὸ τῆς κεφαλῆς, D εὐχὰς ὑπὲρ τοῦ ἔθνους τὰς προσηκούσας ἀπὸ καθαρᾶς καὶ ὁσιωτάτης γνώμης· ἔτι δ' εὐχομένων, τερατωδέστατόν τι συμβαίνει. ἐκ γὰρ τῶν ἀδύτων, εἴτε αἰθέρος ἀπόσπασμα τοῦ καθαρωτάτου, εἴτε ἀέρος κατὰ τὴν τῶν στοιχείων φυσικὴν μεταβολὴν ἀναλυθέντος εἰς πῦρ, αἰφνίδιον ἀθρόα φλὸξ διεκχυθεῖσα, καὶ σφοδροτάτῃ ῥύμῃ, φέρεται μὲν ἐπὶ τὸν βωμόν, τὰ δ' ἐπ' αὐτοῦ πάντα ἐξαναλίσκει, πρὸς οἶμαι τὸ ἐμφανεστάτην δήλωσιν, ὅτι οὐδὲν ἄνευ θείας ἐπιφροσύνης E ἐπετελεῖτο. δωρεὰν γὰρ ἐξαίρετον εἰκὸς ἦν τοῖς ἁγίοις προσνεμηθῆναι, μὴ μόνον ἐν οἷς ἄνθρωποι δημιουργοί, ἀλλὰ καὶ τὸ καθαρωτάτῳ τῆς οὐσίας πυρί, τὸ χρειῶδες καὶ παρ' ἡμῖν ὅπως μὴ προσάψαιτο τοῦ βωμοῦ, διὰ τὸ μυρίας ἴσως αὐτὸ μεμιάνθαι κῆρας. ἅπτεται γὰρ οὐ μόνον ζώων ἀλόγων, ὀπτωμένων εἰς πλησμονὴν ἄδικον γαστρὸς τῆς ταλαίνης, ἀλλὰ καὶ ἀνθρώπων ἐξ ἐπιβουλῆς ἀναιρουμένων, οὐ τριῶν ἢ τεττάρων, ἀλλὰ καὶ πολυανθρώπων ὁμίλων. ἤδη γοῦν καὶ στόλους μεγάλους ἐπιβατικοὺς πλήρεις οἰστοὶ

πυρφόροι κατέφλεξαν βληθέντες, καὶ ὅλαι πόλεις ἐξανηλώθησαν, αἳ συμπεσοῦσαι, μέχρι θεμελίων εἰς τέφραν ἐδαπανήθησαν, ὡς μηδ᾽ ἴχνος ὑπολελεῖφθαι τοῦ πάλαι συνοικισμοῦ. ταύτης ἕνεκά μοι δοκῶ τῆς αἰτίας, ὡς μεμιασμένον ἤλασε τοῦ ἱερωτάτου βωμοῦ πῦρ τὸ χειρῶδες, ἀνθ᾽ οὗ φλόγα αἰθέριον ὤμβρησεν ἀπὸ τοῦ οὐρανοῦ πρὸς διαστολὴν ἁγίων καὶ βεβήλων, ἀνθρωπείων τε καὶ θείων. ἥρμοττε γὰρ ταῖς θυσίαις ἀφθαρτοτέραν οὐσίαν ἀπονενεμῆσθαι πυρός, τῆς πρὸς τὰς βιωτικὰς χρείας ὑπηρετούσης. πολλῶν δὲ κατὰ τὸ ἀναγκαῖον ἀγομένων θυσιῶν καθ᾽ ἑκάστην ἡμέραν, καὶ διαφερόντως ἐν πανηγύρεσι καὶ ἑορταῖς, ὑπέρ τε ἰδίᾳ ἑκάστου, καὶ κοινῇ ὑπὲρ ἁπάντων, διὰ μυρίας, καὶ οὐχὶ τὰς αὐτὰς αἰτίας, ἅτε πολυανθρωποτάτου ἔθνους εὐσεβοῦντος, ἔδει καὶ νεωκόρων πλήθους εἰς τὰς ἱερὰς ὑπηρεσίας· ἡ δ᾽ αἵρεσις ἐγένετο πάλιν καινότατον, ἀλλ᾽ οὐ τὸν εἰωθότα τρόπον. μίαν τῶν δώδεκα φυλῶν ἐπικρίνας ἀριστίνδην, ἐχειροτόνει, θεοφιλοῦς ἔργου προθεὶς ἆθλα καὶ ἀριστεῖα· τὸ δ᾽ ἔργον τοιόνδε ἦν. Μωϋσέως ἀναβάντος εἰς τὸ πλησίον ὄρος, καὶ πλείους ἡμέρας ἰδιάζοντος τῷ θεῷ, τὴν ἀποδημίαν αὐτοῦ καιρὸν ἐπιτήδειον εἶναι νομίσαντες οἱ μὴ βέβαιοι τὰς φύσεις, ὥσπερ ἀναρχίας γενομένης, ἄφετοι πρὸς ἀσέβειαν ὥρμησαν, καὶ ἐκλαθόμενοι τῆς πρὸς τὸ ὂν ὁσιότητος, ζηλωταὶ τῶν αἰγυπτιακῶν γίνονται πλασμάτων· εἶτα χρυσοῦν ταῦρον κατασκευασάμενοι, μίμημα τοῦ κατὰ τὴν χώραν ἱερωτάτου ζῴου δοκοῦντος εἶναι, θυσίας ἀθύτους ἀνῆγαγον, καὶ χοροὺς ἀχορεύτους ἵστασαν, ὕμνους τε ᾖδον θρήνων οὐδὲν διαφέροντας, καὶ ἐμφορηθέντες ἀκράτου, διπλῇ μέθῃ κατέσχοντο, τῇ μὲν ἐξ οἴνου, τῇ δὲ καὶ ἀφροσύνης, κωμάζοντές τε καὶ παννυχίζοντες, ἀπρονόητοι τοῦ μέλλοντος, ἡδέσι κακοῖς ἐπεβίουν ἐφεδρευούσης δίκης, ἣν μὴ βλέποντες καὶ ὧν ἄξιοι τιμωριῶν εἰσίν. ἐπεὶ δὲ αἱ ἐν τῷ στρατοπέδῳ συνεχεῖς ἐκβοήσεις κατὰ πολυανθρώπους ὁμίλους ἀθροιζομένων, ἄχρι πολλοῦ διαστήματος ἐχώρουν, ὡς καὶ μέχρι τῆς ἀκρωρείας τὴν περιήχησιν ἐλθεῖν, πληχθεὶς τὰ ὦτα Μωϋσῆς, ἐν ἀμηχανίαις ἦν, ἅτε θεοφιλὴς ὁμοῦ καὶ φιλάνθρωπος, μήτ᾽ ἐκλιπεῖν ὑπομένων τὰς πρὸς θεὸν ὁμιλίας, αἷς ἰδιάζων μόνος μόνῳ διελέγετο, μήθ᾽ ὑπεριδεῖν τὸ πλῆθος ἐμπιπλάμενον τῶν ἐξ ἀναρχίας κακοπραγιῶν. ἔγνω γὰρ τὸν θόρυβον, δεινὸς ὢν ἐκ φωνῆς ἀδιαρθρώτου καὶ ἀσήμου στοχάσασθαι ψυχῆς ἀδήλους καὶ ἀφανεῖς τοῖς ἄλλοις παθῶν ἰδιότητας, ὅτι παροινίας ἐστὶν ἡ κατέχουσα ταραχή, γνωσθείσης ἀκρα-

A navalibus incensæ sunt telis ignitis, & vrbes eadem arte petitæ conflagrarunt subsederúntque in cineres, vt ne vestigium quidem habitationis superfuerit. Hanc opinor ob causam ignis iste qui in vulgari vsu est tanquam contaminatus ablegatus fuit ab altari sanctissimo, & pro eo demissus cælestis ex æthere, vt esset discrimen inter sancta profanáque, & inter humana diuináque. Conueniebat enim sacrificijs attribui naturam B ignis incorruptiorem quàm est hæc quæ seruit quotidianis vsibus. Cum autem necesse esset per singulos dies, præsertim festos iterari sacrificia multiplicarique propter multas variásque causas tum priuatas tum publicas, vtpote in gente non minus religiosa quàm populosa, opus fuit etiam æditiuorum multitudine ad sacra ministeria. Horum quoque mira & inusitata fuit electio. Vnam è duodecim tribubus præstantissimam delegit addito religioni præmio. Id ita C gestum est. Cum Moses ascendisset montem proximum, ibique aliquot diebus colloqueretur cum Deo sine arbitris, quidam inconstantes tanquam orbati principe, absentiam eius verterunt in impietatis occasionem: oblitíque Dei veri, cœperunt æmulari figmenta Ægyptia, facto iuuenco aureo ad imitationem animalis eius regionis sacratissimi: cui profana sacra faciebant, & choreas agebant inconditas, hymnos concinendo la-D mentis similes, & expleti mero congeminarunt temulentiam, vino pariter furentes ac insania, pernoctando in comessationibus, oblectandóque se factis pessimis, ignari vltionis imminentis quam prouocabant sua malicia, & excæcati suis affectibus. Vbi vero clamores castrenses vt in turba celebritatéque longe latéque audiebantur, adeo vt ad montis cacumen peruenirent, perculsus aures Moses hærebat vt amator Dei simul & ho-E minum, nec discedere sustinens à diuino colloquio quo priuatim honoratus fuerat, nec despicere plebem misere tumultuantem per principis absentiam. sentiebat enim tumultum, vocibus confusis & inarticulatis indicantibus perturbationes animi, præsertim sagaci prudentique homini, facile intelligenti hanc esse debacchationem publicam, per vinolentiam

non abstinentium ab iniuriis. itaque diu huc illucque incertus distrahebatur. sed oraculum dubitationem exemit his verbis. I descende celeriter, populus ad impietatem prolapsus est, iuuencum manu factum adorans pro numine, & victimas ei sacrificans, oblitus omnium quæ hactenus vel vidit vel audiuit, & totius pietatis atque religionis acceptæ à maioribus. ille stupefactus cum non posset non credere oraculo, tanquam sequester & arbiter, non statim resilijt, sed prius deprecabatur pro populo suppliciter orans peccati veniam: deinde placato rege omnipotente reuertebatur mixta gaudio mœstitia. Gaudebat enim Deum non repulisse suam supplicationem, contristatus autem fuerat, quòd iniquissime ferret patrias leges derelictas à populo. Vbi vero castra ingressus vidit repente mutatos ritus, & figmenta recepta pro veritate, non omnes tamen infectos eius mali contagio, sed superesse quosdam sanos quibus talia displiceant, volens discernere incorruptos ab insanabilibus, & videre num qui reuertantur ad pœnitentiam, per præconem populum monuit edicto, cuius indicio tum pios tum impios manifeste cognosceret. Verba edicti fuerunt hæc: Si quis est domini, veniat ad me: breuia sanè, sed magnam vim continentia: perinde ac si diceret: Si quis nihil manufactum, nihil creatum habet pro Deo, sed vnum rerum Dominum, ad me veniat. Itaque alij qui Ægyptiacum typhum prætulerant, edictum contempserunt. Alij fortasse metu pœnæ non ausi sunt propius accedere, siue Mosem timentes, siue seditionem populi. Solet enim vulgus sæuire in dissentientes à sua dementia. Sola ex omnibus Leuitica tribus audito præcone tanquam ex composito accurrit propere, pedum celeritate indicans alacritatem animi, & quanto affectu pietatem coleret. Quos vbi vidit Moses certatim ad se concurrere: Statim apparebit, inquit, num eadem animis insit alacritas, quæ corporibus. Sumite gladios, cædite mille supplicia meritos, qui vero Deo relicto falsos sibi fecerunt, indito

A οἵας μὴ χρῆν, ὥρμη δ' εὐθύ· ἀνθελκόμενος δὲ καὶ ἀντι-
σπώμενος πρὸς ἑκάτερα μέρη, κἀνθάδε κἀκεῖσε, τί χρὴ
δρᾶν ἠπόρει. σκοπουμένῳ δ' αὐτῷ θεσπίζεται τάδε·
βάδιζε ταχέως, ἐνθένδε κατάβηθι, πρὸς ἀνομίαν
ἔσπευσεν ὁ λεώς, χειροποίητον κατασκευάσαντες
ταυρόμορφον θεόν, ὃ θεὸν προσκυνοῦσι καὶ θύουσιν,
ὧν εἶδον καὶ ὧν ἤκουσαν ἁπάντων ὅσα συντείνει
πρὸς εὐσέβειαν ἐκλαθόμενοι. καταπλαγεὶς δὲ
καὶ ἀναγκασθεὶς, πιστεύειν ἀπίστοις πράξεσι, καὶ οἷα
μεσίτης καὶ διαιτητής, οὐκ εὐθὺς ἀποπήδησεν, ἀλ-
B λὰ πρότερον τὰς ὑπὲρ τοῦ ἔθνους ἱκεσίας καὶ λιτὰς
ἐποιεῖτο, συγγνῶναι τῶν ἡμαρτημένων δεόμενος.
εἶτ' ἐξευμενισάμενος ὁ κηδεμὼν καὶ παραιτη-
τὴς τὸν ἡγεμόνα, ἐπανῄει χαίρων ἅμα καὶ κατη-
φῶν. ἐγεγήθει μὲν γὰρ τὴν ἱκεσίαν τοῦ θεοῦ προ-
σιεμένου, συννοίας δὲ καὶ κατηφείας μεστὸς ἦν, οἰ-
δῶν ἐπὶ τῇ τοῦ πλήθους παρανομίᾳ. γενόμενος δ'
ἐν μέσῳ τοῦ στρατοπέδου, καὶ τὴν ἐξαπιναίως ἐκ-
διαίτησιν τοῦ πλήθους θαυμάσας, καὶ ὅσον ψεῦ-
C δος ἀνθ' ὅσης ἀληθείας ὑπηλλάξαντο, κατιδὼν
οὐκ εἰς πάντας τὴν νόσον ἀφιγμένην, ἀλλὰ καί
τινας ὑγιαίνοντας ἔτι καὶ μισοπονήρῳ πάθει χρωμέ-
νους, βουλόμενος διαγνῶναι τούς τε ἀνιάτως
ἔχοντας, καὶ τοὺς ἐπὶ τοῖς πεπραγμένοις δυσχε-
ραίνοντας, καὶ εἰ ἤδη τινὲς ἁμαρτόντες μετανοοῦσι,
κήρυγμα κηρύττει. τὸ δ' ἦν ἄρα βάσανος ἀκριβὴς
τῆς ἑκάστου διανοίας, ὡς ἔχει πρός τε ὁσιότητα
καὶ τοὐναντίον. εἴ τις γάρ, φησί, πρὸς κύριον, ἴτω
πρός με. βραχὺ μὲν τὸ λεχθέν, μεγάλη δὲ ἡ ἔμ-
D φασις. ἔστι γὰρ τοιόνδε τὸ δηλούμενον· εἴ τις μηδὲν
τῶν χειροποιήτων, μηδ' ὅσα γενητὰ νομίζει θεούς,
ἀλλ' ἕνα τὸν ἡγεμόνα τῶν ὅλων, ἐμοὶ προσίτω. τῶν
μὲν οὖν ἄλλων, οἱ μὲν ἕνεκα τοῦ τὸν αἰγυπτιακὸν
ἐζηλωκέναι τῦφον, ἀφηνιάζοντες οὐ προσεῖχον
τοῖς λεγομένοις· οἱ δὲ φόβῳ κολάσεως ἴσως ἐγγυτέρω
προσελθεῖν οὐκ ἐθάρρουν, ἢ τὴν ἐκ Μωσέως
τιμὴν δεδιότες, ἢ τὴν ἐκ τοῦ πλήθους ἐπανάστασιν.
ἀεὶ γὰρ οἱ πολλοὶ τοῖς μὴ συναπονοουμένοις ἐπιτί-
E θενται. μία δ' ἁπάντων ἡ λεγομένη λευιτικὴ φυ-
λή, τοῦ κηρύγματος ἐπακούσασα, καθάπερ ἀφ'
ἑνὸς συνθήματος ἔθει μετὰ πολλῆς σπουδῆς, τῇ ποδω-
κείᾳ τὴν προθυμίαν ἐπιδεικνυμένη, καὶ τὴν ὀξύ-
τητα τῆς εἰς εὐσέβειαν ψυχικῆς ὁρμῆς· οὓς ἰδὼν
Μωϋσῆς, ὥσπερ ἀπὸ βαλβῖδος ἁμιλλωμένους, εἰ
μὴ μόνον τοῖς σώμασιν εἶπεν, ἐπισπεύδετε τὴν πρὸς
ἡμᾶς ἄφιξιν, ἀλλὰ καὶ ταῖς διανοίαις αὐτίκα μαρτυ-
ρήσετε. ξίφος ἀναλαβὼν ἕκαστος τοὺς μυρίων ἄ-
ξια θανάτων εἰργασμένους, οἳ τὸν ἀληθῆ θεὸν κατα-

λιπόντες, τοῖς ψευδωνύμοις ἐδημιούργησαν, φθαρταῖς καὶ γενηταῖς οὐσίαις τὴν τοῦ ἀγενήτου καὶ ἀφθάρτου πρόσρησιν ἐπιφημίσαντες, συγγενεῖς καὶ φίλους ἀποκτεινάτω, φιλίαν καὶ συγγένειαν ὑπολαβὼν εἶναι μόνην ἀνδρῶν ἀγαθῶν ὁσιότητα· οἱ δὲ τὴν παραίνεσιν ἑτοιμότατα φθάσαντες, ἐπεὶ καὶ τὰς γνώμας ἐτύγχανον ἠλλοτριωμένοι σχεδὸν ἀφ' οὗ τὸ παρανόμημα γινόμενον εἶδον, ἀναιροῦσιν ἡβηδὸν εἰς τρισχιλίους τῶν πρὸ μικροῦ φιλτάτων. κειμένων δὲ ἐν ἀγορᾷ μέσῃ τῶν σωμάτων, ἡ πληθὺς θεασαμένη τοὺς μὲν οἰκτίσασα, τὸ δὲ τῶν κτεινάντων ἔνθερμον ἔτι καὶ μεστὸν ὀργῆς παράστημα καταδείσασα, φόβῳ νουθετεῖται· Μωϋσῆς δὲ τὴν ἀριστείαν ἀποδεξάμενος, γέρας ἐπενόησε καὶ ἐβεβαίωσε τῇ πράξει τὸ οἰκεῖον. ἔδει γὰρ τοὺς ὑπὲρ θεοῦ τιμῆς ἑκούσιον πόλεμον ἀραμένους, καὶ βραχεῖ καιρῷ κατωρθωκότας, ἀξιωθῆναι, τῆς θεραπείας αὐτοῦ λαχόντας ἱερωσύνην. ἐπεὶ δ' οὐ μία τάξις τῶν ἱερωμένων, ἀλλ' οἷς μὲν ἐπιτέτραπται τὰ περὶ τὰς εὐχὰς καὶ θυσίας, καὶ τὰς ἄλλας ἱερουργίας, ἄχρι τῶν ἀδύτων ἰοῦσιν· οἷς δὲ τούτων μὲν οὐδὲν, ἐπιμέλεια δὲ καὶ φρουρὰ, καὶ μεθ' ἡμέραν καὶ νύκτωρ τοῦ τε ἱεροῦ καὶ τῶν ἐν αὐτῷ, οὓς νεωκόρους ἔνιοι καλοῦσιν, ἡ πολλοῖς πολλαχοῦ μυρίων κακῶν αἰτία γενομένη περὶ πρωτείων στάσις, ἐπιπολάσασα κἀνταῦθα, τῶν νεωκόρων ἐπιτιθεμένων τοῖς ἱερεῦσι, καὶ τὴν ἐκείνων τιμὴν παραιρήσεσθαι βουληθέντων· καὶ τοῦτ' εὐμαρῶς ἤλπισαν ἔσεσθαι, πολλαπλάσιοι τὸν ἀριθμὸν ὄντες· ὑπὲρ δὲ τοῦ μὴ δοκεῖν ἰδίᾳ γνώμῃ νεωτερίζειν, καὶ τὴν πρεσβυτάτην τῶν δυοκαίδεκα φυλῶν συμφέρειν ἀναπείθουσιν, ᾗ πολλοὶ τῶν οἰκειοτέρων ἐπηκολούθησαν, ὡς ἔχειν δυναμένῃ πρεσβεῖον ἡγεμονίας. μέγαν, τοῦτον ἐπιτειχισμὸν Μωϋσῆς ἔγνω φυόμενον καθ' αὑτοῦ. τὸν γὰρ ἀδελφὸν ἀρχιερέα κατὰ τὰ χρησθέντα λόγια ᾕρητο· διαβολαὶ δὲ ἦσαν, ὡς τοὺς μὲν χρησμοὺς ἐπιψευσαμένου, ποιησαμένου δὲ τὴν αἵρεσιν διὰ τὴν οἰκειότητα καὶ τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν· ἐφ' οἷς εἰκότως ἀνιαθεὶς, εἰ μὴ μόνον ἀπιστεῖται διὰ τοσούτων ἐλέγχων τὴν ἑαυτοῦ πίστιν ἐπιδειξάμενος, ἀλλὰ καὶ ἐπ' ἔργοις ἅπερ διαφέρεται πρὸς θεοῦ τιμὴν, δι' ἃ μόνα καὶ τὸν ἐν τοῖς ἄλλοις τὸ ἦθος καταψευσόμενον ἀναγκαῖον ἦν ἀληθεύειν· ἀλήθεια γὰρ ὀπαδὸς θεοῦ· λόγοις μὲν ἀναδιδάσκειν περὶ τῆς ἑαυτοῦ προαιρέσεως οὐκ ἐδοκίμαζε, τὸ μεταπείθειν ἐπιχειρεῖν τοὺς προκαταληφθέντας ἐναντίαις δόξαις ἀργαλέον εἰδὼς, ἱκετεύει δὲ τὸν θεὸν ἐμφανεῖς ἀποδείξεις αὐτοῖς παρασχεῖν περὶ τοῦ μηδὲν ἐψεῦσθαι κατὰ τὴν τῆς ἱερωσύνης αἵρεσιν.

A corruptibilibus creatisque essentijs incorruptibilis illius increatique nomine: non cognatis non amicis parcite, amicitiam ac cognationem æstimādo sanctitate proborum hominum. Vix ea dixerat, cum illi exasperati & infensi sceleri iam inde à principio ruentes in cædem interemerunt ad tria millia virorum coniūctissimorum antea. Quorum cadauera medio foro iacentia plebs videns indoluit, simulque metuens vltricem iram adhuc fer-
B uidam, statim resipuit. Tum Moses publice laudata horum fortitudine, honorem eis decreuit perpetuum, conuenientem facinori præclarissimo. Decebat enim, vt qui in honorem Dei vltro arma sumpserant, & impios momento debellauerant, præmium acciperent ipsius cultum ac ceremonias. Quoniam autem non vnus ordo est sacratorum hominum, sed alij tractant preces, victimas, sacraque cætera, & vsque adyta
C procedunt: alijs nihil horum permittitur, tantum noctu interdiúque curant templum & custodiunt eius sacram supellectilem, quos nonnulli vocant ędituos: quæ sæpe aliàs multarum calamitatum causa fuit de primatu contentio, hic quoque inualuit, æditius in sacerdotes conspirantibus, & illorum dignitatem sibi vsurpare conantibus: id quod facile successurum sperabant, cum ipsi in tantum superarent eos numero. & ne viderentur priuatæ seruire cupiditati, antiquissimam è duodecim
D tribubus in partes suas pertraxerunt, quam multi familiares sequebantur, vt habentem prærogatiuam generis. Sensit Moses hanc conspirationem contra se tendere, quia fratrem pontificem oraculi iussu designauerat. id factum non caruit calumnia, quasi prætextu oraculi plus valuisset domestica gratia quam vtilitas publica. quod, vt erat, visum est indignissimum, non solum in dubium reuocari fidem approbatam
E tot cælestibus prodigiis, verum & de religione ambigi, quæ fucatis etiam hominibus solet veritatis confessionem exprimere. Veritas enim à Deo non seiungitur. proinde superuacaneum ratus eos prolixa oratione beneficiorum acceptorum commonefacere, quos iam aduersariorum criminationibus præoccupatos animaduerterat: Deum exorauit vt euidenti signo declararet, sinceram incorruptámque fuisse electionem pontificis.

ille iuſſit eum duodecim virgas, pares tribuum numero, inſcribere nominibus phylarchorum vndecim, duodecimámque pontificis fratris ſui nomine, deinde inferre adytis. fecit iuſſa vates, intentus in exitum. poſtera die monitus oraculo, in præſentia totius populi, deprompſit virgas, cæteras nil mutatas, eam autem quam nomine pontificis inſcripſerat, oſtento nouo conſpicuam. nam hæc mirifice tota quanta erat, frondes fructúſque protulit. erant autem nuces, diuerſa natura ab aliis fructibus. nam in pleriſque, vt vua, oliua, malis, aliud eſt ſemen, aliud id quo veſcimur, quæ diſcernuntur locis etiam. externa pars veſca eſt, ſemen intus includitur. in nuce ſemen ipſum eſtur, & vtrumque in vnam ſpeciem confuſum vno loco intimo clauditur, munito duplici tegmine, craſſo primum putamine, dein ligneo cortice, vt apte per hanc figuram perfecta virtus poſſit intelligi. ſicut enim in nuce idem eſt finis & principium, inquantum ſemen initium, in quantum fructus finis, ſic & in virtutibus. Vnaquæque & finis eſt & principium. principium quia non aliunde quàm ex ſeipſa oritur: finis quia vita tendit ad eam naturaliter. præter hanc cauſam affertur alia manifeſtior. Nucis extremum putamen eſt amarum, ligneus cortex interior eſt auſterus & ſolidus: quo fit vt fructus non ſit in promptu clauſus vtroque munimine. hac figura docetur anima exercens ſe in virtutis ſtadio, eſſe opus laboribus. Labor autem durus & difficilis, vnde felicitas prouenit: quapropter perdurandum eſt. Nam qui fugit laborem, fugit felicitatem: è diuerſo qui fortiter patientérque difficultates tolerat, ad beatitudinem properat. Nam fieri non poteſt, vt homo delicatus & effœminatus animo, corpore quoque labefactato quotidianis voluptatibus, virtuti domicilium præbeat. Cui niſi contingat pro dignitate tractatio, primùm denunciat ſe migraturam ad illum ſummum rectarum rationum principem: mox ſi nihil proficit, confert ſe quò trahitur ſuopte deſiderio. Imò ſi verum fatendum eſt, ſacer ille virtutum chorus, prudentiæ, temperantiæ, fortitudinis, iuſtitiæque, vltro ſibi

A ὁ δὲ κελεύει δώδεκα ῥάβδους λαβεῖν ταῖς φυλαῖς ἰσαρίθμους· καὶ ταῖς μὲν ἄλλων ὀνόματα φυλάρχων ἐπιγράψαι ταῖς ἕνδεκα· τῇ δὲ λοιπῇ τὸ τοῦ ἀδελφοῦ καὶ ἀρχιερέως, εἶτ᾽ εἰς τὸν νεὼν ἄχρι τῶν ἀδύτων εἰσενεγκεῖν. ὁ δὲ τὰ προσταχθέντα ποιήσας ἐκαραδόκει τὸ ἀποβησόμενον. τῇ δὴ ὑστεραίᾳ λογίῳ πληχθεὶς ἅπαντος τοῦ ἔθνους παρεστῶτος, εἰσέρχεται, καὶ τὰς ῥάβδους ἐκκομίζει, τὰς μὲν ἄλλας οὐδὲν διάφορον ἐχούσας, μίαν δὴ ἐφ᾽ ἧς τοὔνομα ἐπεγέγραπτο τἀδελφοῦ τεθαυματουργημένην. B οἷα γὰρ φυτὸν εὐγενὲς ἅπασα εὐθὺς βλαστοὺς ἐξέφυσε, καὶ ὑπ᾽ εὐφορίας καρπῶν ἔβριθεν· οἱ δὲ καρποὶ κάρυα ἦσαν, ἃ φύσιν ἐναντίαν ἔχει τοῖς ἄλλοις. ἐπὶ γὰρ τῶν πλείστων, σταφυλῆς, ἐλαίας, μήλων, διαφέρει τὸ σπέρμα καὶ τὸ ἐδώδιμον, ἃ διαφέροντα τόποις χωρίζεται. τὸ μὲν γὰρ ἐδώδιμον ἔξω, τὸ δὲ σπέρμα εἴσω κατακέκλεισται· τοῦ δὲ καρύου ταὐτόν ἐστι τό, τε σπέρμα καὶ τὸ ἐδώδιμον, ἀμφοτέρων εἰς μίαν ἰδέαν ἀποκριθέντων, καὶ τόπος εἷς ὁ ἐντὸς C ὠχυρωμένος, ἐν ᾧ περιπεφρούρηται ἕρκει διπλῷ, τῷ μὲν ἐκ φλοιοῦ πάνυ βαθέος, τῷ δὴ οὐδὲν ἀποδέοντι ξυλίνου κατασκευάσματος, ἀφ᾽ οὗ τελείαν ἀρετὴν αἰνίττεται. ὥσπερ γὰρ ἐν καρύῳ ταὐτόν ἐστιν ἀρχὴ καὶ τέλος, ἀρχὴ μὲν ἡ σπέρμα, τέλος δὲ ἡ καρπός· οὕτως ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν. ἑκάστῃ γὰρ συμβέβηκεν εἶναι καὶ ἀρχὴν καὶ τέλος· ἀρχὴν μὲν, ὅτι οὐκ ἐξ ἑτέρας δυνάμεως, ἀλλ᾽ ἐξ ἑαυτῆς φύεται· τέλος δὲ, ὅτι πρὸς αὐτὴν ὁ κατὰ φύσιν βίος σπεύδει. μία μὲν αἰτία ἥδε· λέγεται δὲ καὶ ἑτέρα τῆς προτέρας ἐμφαντικωτέρα· D καρύου τὸ μὲν φλοιῶδές ἐστι πικρόν, τὸ δὴ εἴσω περικείμενον ὡσανεὶ ξύλινον ἔρκος, στρυφνὸν εὖ μάλα καὶ κραταιόν, οἷς ἀμφοτέροις ὁ καρπὸς ἐγκατακεκλεισμένος, οὐκ ἔστιν εὐλήπτος. τοῦτο ποιεῖται σύμβολον ἀσκητικῆς ψυχῆς, ἀφ᾽ ἧς προτρέπειν αὐτὴν οἴεται δεῖν ἐπ᾽ ἀρετήν, ἀναδιδάσκων ὅτι πόνῳ προεντυχεῖν ἀναγκαῖον· πικρὸν δὲ καὶ ἀντίτυπος, καὶ σκληρὸς ὁ πόνος, ἐξ οὗ φύεται τἀγαθόν, οὗ χάριν οὐ μαλακιστέον. ὁ μὲν γὰρ τὸν πόνον φεύγων, φεύγει καὶ τἀγαθά· ὁ δὴ αὖ τλη- E τικῶς καὶ ἀνδρείως ὑπομένων τὰ δυσκαρτέρητα, σπεύδει πρὸς μακαριότητα. οὐδὲ γὰρ ἁβροδιαίτοις καὶ τὴν ψυχὴν ἐκτεθηλυσμένοις, καὶ τὸ σῶμα διαρρέουσιν ὑπὸ τῆς καθ᾽ ἑκάστην ἡμέραν ἀδιαστάτου θρύψεως, ἀρετὴ πέφυκεν ἐνδιαιτᾶσθαι· κακουμένη δὲ μετανίστασθαι, πρότερον ἀπόλειψιν χρηματίσασα, πρὸς τὸν ἄρχοντα τῶν ὀρθῶν λόγων. ἀλλ᾽ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ φρονήσεως καὶ σωφροσύνης, ἀνδρίας τε δικαιοσύνης ἱερώτατος

θίασος ἀσκητὰς μεταδιώκει, καὶ ὅσοι τὸν αὐστηρὸν καὶ σκληραγωγὸν βίον ἐγκράτειάν τε καὶ καρτερίαν ζηλοῦσι, στενὴν εὐτέλειαν καὶ ὀλιγοδεΐαν, δι' ὧν τὸ κυριώτατον τῶν ἐν ἡμῖν ὁ λογισμὸς εἰς ὑγείαν ἄγεσθαι καὶ εὐεξίαν ἐπιδίδωσι, καθελὼν τὸ βαρὺ τῶν σωμάτων ἐπιτειχισμὸν, ὃν οἰνοφλυγίαι, καὶ ὀψοφαγίαι, καὶ λαγνεῖαι, καὶ ἄλλαι ἀπλήρωτοι ἐπιθυμίαι, συνεκρότησαν, γεννήσασαι τὴν ἀντίπαλον ἀγχινοίας πολυσαρκίαν. λέγεται μέντοι, καὶ τῶν ἐν ἔαρι βλαστάνειν εἰωθότων δένδρων ἡ ἀμυγδαλῆ πρῶτον ἀνθεῖν, διαγγελιζομένη φορὰν ἀκροδρύων, καὶ ὕστατον φυλλορροεῖν, τὴν ἐπέτειον πρὸς μήκιστον ἀποτείνουσα τῆς χλόης εὐγηρίαν, ὧν ἑκάτερον ποιεῖται σύμβολον τῆς ἱερατικῆς φυλῆς, αἰνιττόμενος ὅτι καὶ πρώτη καὶ ὑστάτη τοῦ σύμπαντος ἀνθρώπων γένους ἀνθήσει, καθ' ὃν ἂν χρόνον δόξῃ τῷ θεῷ ταῖς ἐαριναῖς ὥραις ἐξομοιῶσαι τὸν ἡμέτερον βίον, ἀνελόντι τὴν ἐπίβουλον, καὶ τὴν κακοδαιμονίας πηγὴν πλεονεξίαν. ἐπεὶ τοίνυν τῷ τελειοτάτῳ ἡγεμόνι τέτταρα δεῖν ἔφαμεν προσεῖναι, βασιλείαν, καὶ νομοθετικὴν ἕξιν, καὶ ἱερωσύνην, καὶ προφητείαν, ἵνα διὰ μὲν τῆς νομοθετικῆς προστάττῃ ἃ δεῖ ποιεῖν καὶ ἀπαγορεύῃ ἃ μὴ δεῖ πράττειν· διὰ δὲ τῆς ἱερωσύνης, μὴ μόνον τὰ ἀνθρώπεια, ἀλλὰ καὶ τὰ θεῖα διέπῃ· διὰ δὲ τῆς προφητείας, ὅσα μὴ λογισμῷ καταλαμβάνεται, θεσπίζῃ. διειλεγμένος περὶ τῶν πρώτων τριῶν, καὶ ἐπιδεδειχὼς Μωϋσῆν ἄριστον βασιλέα καὶ νομοθέτην καὶ ἀρχιερέα, τὸ τελευταῖον ἔρχομαι δηλώσων, ὅτι καὶ προφητῶν γέγονε δοκιμώτατος. οὐκ ἀγνοῶ μὲν οὖν, ὡς πάντα εἰσὶ χρησμοὶ, ὅσα ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται, χρησθέντες δι' αὐτοῦ· λέξω δὲ τὰ ἰδιαίτερα, πρότερον εἰπὼν ἐκεῖνο· τῶν λογίων γὰρ, τὰ μὲν ἐκ προσώπου τοῦ θεοῦ λέγεται δι' ἑρμηνέως τοῦ θείου προφήτου· τὰ δ' ἐκ πεύσεως καὶ ἀποκρίσεως ἐθεσπίσθη· τὰ δ' ἐκ προσώπου Μωϋσέως ἐπιθειάσαντος, καὶ ἐξ αὑτοῦ κατασχεθέντος. τὰ μὲν οὖν πρῶτα, ὅλα δι' ὅλων ἀρετῶν θείων δείγματ' ἐστὶ, τῆς τε ἵλεω καὶ εὐεργέτιδος, δι' ὧν ἅπαντας μὲν ἀνθρώπους πρὸς καλοκαγαθίαν ἀλείφει· μάλιστα δὲ τὸ θεραπευτικὸν αὐτοῦ γένος, ᾧ τὴν πρὸς εὐδαιμονίαν ἄγουσαν ἀνατέμνει ὁδόν. τὰ δὲ δεύτερα μίξιν ἔχει καὶ κοινωνίαν, πυνθανομένου μὲν τοῦ προφήτου περὶ ὧν ἐπεζήτει, ἀποκρινομένου δὲ τοῦ θεοῦ καὶ διδάσκοντος· τὰ δὲ τρίτα ἀνατίθεται τῷ νομοθέτῃ, μεταδόντος αὐτῷ τοῦ θεοῦ τῆς προγνωστικῆς δυνάμεως, ᾗ θεσπιεῖ τὰ μέλλοντα. τὰ μὲν οὖν πρῶτα ὑπερθετέον· μείζονα γάρ ἐστιν ἢ ὡς ὑπ'

A quærit quos exerceat, præsertim eos qui tetricam duramque vitam complectuntur, coniunctam cum patientia continentiáque, simplicitate frugalitatéque contentam: quibus artibus pars nostri præcipua, scilicet ratio, sanitatem tuetur bonamque habitudinem, superatis molestis obicibus corporeis: quales sunt temulentiæ, cupediarum liguritiones, libidines, & id genus cupiditates insatiabiles, tantum solertiæ detrahentes, quantum addunt carnibus. B fertur etiam è vernis arboribus prima florere amygdalus prouentum arboreorum fructuum prænuncians, & postrema omnium amittere folia, æstatem ferens diutissime saluo virore frondium, vtroque modo figuram sacerdotalis tribus referens, subindicansque hanc primam & vltimam vigere in humano genere, duraturam donec visum fuerit Deo nostrum genus reuocare ad vernam renascentiam, C sublata insidiosa cupiditate, fonte malorum omnium. Quoniam igitur diximus, oportere absoluto principi adesse quatuor res, regnum, legum ferendarum facultatem, sacerdotium, prophetiamque, vt tanquam legislator vetet ac iubeat, tanquam sacerdos non solum humana, sed & diuina administret negotia, tanquam propheta quicquid intellectu non percipit discat ex oraculis: iamque de tribus primis disseruimus, & ostendimus Mosem fuisse optimum regem, legislatorem, ponti- D ficem, nunc postremam aggredior, declaraturus eum fuisse & prophetam probatissimum. Nec ignoro pondus oraculorum habere quicquid scriptum est in eius voluminibus, recensebo tamen magis propria, vbi prius distinxero, quædam oracula ex persona Dei proferri per diuinum interpretem, quædam esse responsa scitanti reddita, quædam pronunciari ex persona Mosis afflati numine. Quæ primi generis sunt, tota præ se ferunt virtutes E Dei, clementiam & beneficentiam, per quas omnes homines ad honestatem instruit, præcipue vero cultores suos quibus ad felicitatem viam aperit. Secundum genus mixtum est è verbis rogantis prophetæ & respondentis numinis. Tertium legislatoris est proprium, donati à Deo vi præsagiendi prædicendique futura. Primi generis seponentur nunc, cũ sint maiora quam vt satis laudari queant

ab homine quorum laudi vix tota natura sufficiat, & alioquin efferuntur per interpretem. differunt autem inter se prophetia & interpretatio. De secundo mox conabor dicere, subiuncturus & tertium, in quo apparet vatis diuinitas, propter quam proprie propheta nuncupatur. incipiemus autem promissa repræsentare hoc modo. In quatuor locis leges feruntur per rogationem responsionémque, mixtæ ex verbis afflati prophetæ Deum consulentis, & responso ipsius patris cælestis. Primùm quando non solum Mosem omnium sanctissimum & amātissimum Dei, verum etiam quemuis mediocriter pium exasperare potuit quidam è dissimili genere natus hybrida, patre Ægyptio, matre Iudæa, qui fastidito ritu materno declinauit ad impietatem Ægyptiacam, contemptor cælestis numinis. Soli enim propemodum ex omnibus gentibus Ægyptij cælo terram opposuerunt æmulam, hanc diuinis colentes honoribus, illud nulla veneratione dignati eximia, quasi regni extremitas præferenda esset regiæ. Nam in mundo cælum est regia sacratissima, terra vero extremitas regni, per seipsam quidem non contemnenda, sed tamen haud conferenda cum æthere, à quo tantum à tergo relinquitur, quantum tenebræ à lumine, nox à die, corruptio ab incorruptibilitate, mortalis à numine. nam quia non compluit eorum regio sicut aliæ, solita quotannis inundari à restagnante flumine, opinione sua Nilum consecrant Ægyptij, vt cæli æmulum; & regionem suam magnopere prædicant. proinde ille promiscui generis homo, dum rixatur cum quodam ex sacerdotali doctóque genere, impotenter iratus, & agitatus impietate Ægyptiaca, à terra in cælum extendit contumaciam, execrabili scelesta pollutáque tum anima tum lingua vocéque ausus miserrimus eum execrari, quem ne honoris quidem gratia fas est nominari ab omnibus, sed à solis optimis & purificatis hominibus. Quapropter miratus amentiam perditam & immanem audaciam, quamuis efferuescente generosa indignatione cuperet manu sua scelestum conficere, tamen veritus est ne is ad hunc modum leuiore quam pro merito defungeretur supplicio. parem enim tantæ

A ἀνθρώπου τινὸς ἐπαινεθῆναι, μόλις ἂν ὑπ' οὐ-
ρανοῦ τε καὶ κόσμου, καὶ τῆς τῶν ὅλων φύσεως ἀξίως
ἐγκωμιασθέντα, καὶ ἄλλως λέγεται ὡσπερεὶ δι' ἑρ-
μηνέως· ἑρμηνεία δὲ καὶ προφητεία διαφέρου-
σι. περὶ δὲ τοῦ δευτέρου αὐτίκα πειράσομαι δη-
λοῦν, συνυφαίνας αὐτοῖς καὶ τὸ τρίτον εἶδος, ἐν ᾧ
τὸ τοῦ λέγοντος ἐνθουσιῶδες ἐμφαίνεται, καθ' ὃ μά-
λιστα καὶ κυρίως νενόμισται προφήτης· τῆς δ' ὑπο-
σχέσεως ἀρκτέον ὧδε. τέτταρές εἰσι τόποι διὰ
B πεύσεως καὶ ἀποκρίσεως χρησμοῖς νομοθετηθέντες,
μικτὴν ἔχοντες δύναμιν. τῇ μὲν γὰρ ὁ προφήτης
ἐνθουσιᾷ πυνθανόμενος· τῇ δ' ὁ πατὴρ θεσπίζει,
λόγου καὶ ἀποκρίσεως μεταδιδούς· ἔστι δὲ πρῶτος,
οὐχ ὅτι Μωϋσῆν ὁσιώτατον καὶ θεοφιλέστατον τῶν πο-
τὲ γενομένων, ἀλλὰ καὶ τὸν ἐπὶ βραχὺ γευσάμε-
νον εὐσεβείας ὠργίασεν ἐξ ἀνομοίων τις γενόμενος
ἄνθρωπος νόθος, αἰγυπτίου μὲν πατρὸς, μητρὸς δὲ
ἰουδαίας, ὃς τῶν μὲν ταύτης πατρίων ἐθῶν ἠλόγησε,
πρὸς δὲ τὴν αἰγυπτιακὴν, ὡς λόγος, ἀπέκλινεν
C ἀσέβειαν, τὴν τῶν ἀνδρῶν ζηλώσας ἀθεότητα. μό-
νοι γὰρ σχεδὸν ἁπάντων τῶν ἐθνῶν αἰγύπτιοι γῆν
ἐπετείχισαν οὐρανῷ, τὴν μὲν ἰσοθέων τιμῶν ἀξιώ-
σαντες, τῷ δ' οὐδὲν γέρας ἐξαίρετον ἀπονείμαν-
τες, ὡς δέον περὶ τὴν βασίλειον τὰς ἐσχατιὰς πε-
ριέπειν. ἐν γὰρ κόσμῳ, βασίλειον μὲν ἱερώτατον οὐ-
ρανός, ἐσχατιὰ δὲ γῆ, καθ' ἑαυτὴν μὲν ἀξιοσπού-
δαστος, εἰς δὲ σύγκρισιν ἰοῦσα αἰθέρος ἀπολειπομέ-
νη τοσοῦτον. ὅσον σκότος μὲν φωτὸς, νὺξ δ' ἡμέρας,
φθορὰ δ' ἀφθαρσίας, καὶ θνητὸς θεοῦ. τῆς γὰρ χώρας
D οὐχ ὑετῷ καθάπερ αἱ ἄλλαι νιφομένης, ἀλλὰ ταῖς
τοῦ ποταμοῦ πλημμύραις εἰωθυίας ἀνὰ πᾶν ἔτος
λιμνάζεσθαι, θεοπλαστοῦσι τῷ λόγῳ τὸν Νεῖλον αἰ-
γύπτιοι, ὡς ἀντίμιμον οὐρανοῦ γεγονότα, καὶ περὶ
τῆς χώρας σεμνηγοροῦσιν. ὁ δὴ μικτὸς οὗτος ἐκεῖ-
νος διενεχθείς τινι τῶν ἀπὸ τοῦ ἱερατικοῦ καὶ ἐπιστη-
μονικοῦ γένους, ἀκράτωρ ὑπ' ὀργῆς αὐτὸς αὑ-
τοῦ γενόμενος, καὶ ἅμα τῆς αἰγυπτιακῆς ζηλω-
τὴς ἀθεότητος ὢν, ἀπὸ γῆς εἰς οὐρανὸν ἔτεινε τὴν
E ἀσέβειαν, ἐπαράτῳ καὶ ἐναγεῖ μεμιασμένῃ ψυ-
χῇ τε καὶ γλώττῃ καὶ πάσῃ τῆς φωνῆς ὀργανοποιΐᾳ
καταρασάμενος δι' ὑπερβολὴν κακῶν, ὃν οὐδ'
ὑπὸ πάντων, ἀλλὰ μόνων τῶν ἀρίστων εὐλογεῖ-
σθαι θέμις, ὅσοι τὰς τελείας καθάρσεις ἐδέξαντο·
διὸ καὶ θαυμάσας τὴν φρενοβλάβειαν καὶ τὴν τοῦ
θράσους ὑπερβολὴν, καίτοι γ' ὑπόπλεως ὢν
παραστήματος εὐθυμοῦ, καὶ ἱέμενος αὐτοχειρίᾳ δια-
χειρίσασθαι τὸν ἄνθρωπον, ἔδεισε μὴ κουφοτέραν
ἀναπράξῃ τιμωρίαν. ἰσόρροπον γὰρ ἐπινοῆσαι

πρὸς τοσαύτην ἀσεβείας κόλασιν ἄνθρωπος οὐκ
ἂν εὗρεν· ἐπεὶ δὲ καὶ τὸν μὴ σέβοντα θεὸν ἐπειδὴ ὁ
μήτε γονεῖς, μήτε πατρίδα, μήτ' εὐεργέτας τι-
μᾷν· ὁ δὲ μὴ πρὸς τῷ μὴ σέβειν, καὶ κακηγορεῖν τολ-
μήσῃ, ἵνα μηδεμίας ὑπερβολῆς ἀπολείπηται. καί-
τοι καὶ τὸ κακηγορεῖν ἧττον ἐν συγκρίσει κατάρας·
ἀλλὰ γλωσσαλγία καὶ ἀχάλινον στόμα ὅταν ἐκ-
νόμοις ἀφροσύναις ὑπηρετῶσι, πάντως τι χειρου-
ργεῖται τῶν ἀθέσμων ὦ ἄνθρωπε. καταρᾶταί τις
θεόν, ἵνα καλεῖ ἕτερον θεὸν εἰς τὴν τῆς ἀρᾶς βε-
βαίωσιν; ἢ δῆλον ὅτι αὐτὸν καθ' αὑτοῦ; ἄπαγε· βέβη-
λοι καὶ ἀνόσιοι ἐνθυμήματα. καθαρὸν ἐκνίψασθαι
τὴν ἀθλίαν ψυχήν, ἐμπρησθεῖσαν μὲν τῆς
φωνῆς, διὰ ἀκοαῖς δὲ τοῖς ὠσὶ χρησαμένην, αἰσθήσει
τυφλῇ. καὶ οὔτε ἡ γλῶττα τοσοῦτον ἀσέβημα φθεγ-
ξαμένη παρείθη, οὔτε τὰ τῶν μελλόντων ἀκούειν ὦτα
ἐπιφράχθη, εἰ μὴ ἄρα χάριν προνοίας τῆς δίκης, ἥτις
οὔτ' ἀγαθὸν ὑπερβάλλον, οὔτε μέγιστον κακὸν ἐπι-
σκιάζεσθαι οἴεται δεῖν πρὸς ἔλεγχον ἐναργέστατον
ἀρετῆς ἢ κακίας· ἵνα τὴν μὲν ἀποδοχῆς, τὴν δὲ τι-
μωρίας ἀξιώσῃ. διὸ δὲ τοῦτο τὸν μὲν εἰς εἱρκτὴν ἀ-
παχθέντα κελεύει δεθῆναι· ποιεῖται δὲ τὸν θεὸν ἱλα-
σκόμενος ταῖς ἀνάγκαις τῶν αἰσθήσεων, δι' ἃς καὶ βλέπο-
μεν ἃ μὴ θέλομεν ὁρᾶν, καὶ ἀκούομεν ὧν μὴ θέλομεν ἀ-
κούειν, ὅ, τι χρὴ παθεῖν τὸν εὑρετὴν ἀσεβήματος καὶ
ἀνοσιουργήματος ἐκτόπου καὶ ξένου δηλῶσαι. ὁ δὲ προ-
στάττει καταλευσθῆναι, προσήκουσαν οἶμαι δίκην
ὑπολαβὼν τὴν διὰ λίθων, καθ' ἀνδρὸς λιθίνην καὶ
ἀπόκροτον ψυχὴν ἔχοντος, καὶ ἅμα βουλόμενος
πάντας τοὺς ἀπὸ τοῦ ἔθνους συνεφάψασθαι τῆς κολά-
σεως, οὓς ἤδη σφόδρα ταχέως ἐγνωκότας καὶ φο-
νῶντας· μόνως δ' ὡς ἔοικε τῆς διὰ βλημάτων ἔμελ-
λον αἱ τοσαῦται μυριάδες ἐφάψεσθαι. μετὰ δὲ τὴν τοῦ
ἀνοσίου καὶ παλαμναίου ποινήν, ἐγράφη διάταγμα και-
νόν, οὐκ αὖ ποτε προσηγορευμένης ἀξιωθὲν γραφῆς,
ἀλλ' αἱ ἀπροσδόκητοι νεωτεροποιίαι καινοὺς νόμους
εἰς ἀνακοπὴν ἁμαρτημάτων ἐπιζητοῦσιν. αὐτίκα
γοῦν νομοθετεῖται τάδε· ὃς ἂν καταράσηται θεόν, ἁ-
μαρτίαν ἐνεχέσθω· ὃς δ' ἂν ὀνομάσῃ τὸ ὄνομα τοῦ
κυρίου, θνησκέτω. εὖγε ὦ πάνσοφε· μόνος ἀμιγοῦς
ἠκρατίσω σοφίας· τοῦ καταρᾶσθαι χεῖρον τὸ ὀνομάζειν
ὑπείληφας, οὐ γὰρ ἄν, τὸ μὲν βαρύτατον ἀσέβημα
εἰργασμένον ἐπεκούφιζες, δημιουργικώτερον ἐπεξέρ-
γον πρεπέστερον· κατὰ δὲ τοῦ βραχύτερον ἠδικηκέναι
δόξαντος, τὴν ἀνωτάτω τιμωρίαν θάνατον ὥρισες·
ἀλλ' ὡς ἔοικε θεοὺς τοὺς νῦν, οὐ τὸν πρῶτον καὶ
ἀγέννητον τῶν ὅλων, ἀλλὰ τοὺς ἐν ταῖς πόλεσι μέ-
μνηται ψευδωνύμους δ' εἰσί, γραφέων καὶ πλαστῶν

A impietati pœnam homo inuenire non
potuisset. cum enim contemptor Dei
nec parentes veneretur, nec patriam,
nec benemeritos, hic non contentus
neglexisse religionem, & vsque ad
execrationem prorumpens, nihil sibi
ad summam impietatem fecit reli-
quum. nam maledictum præ execra-
tione crimen est leuius. Verùm lin-
guæ morbus & effrene os cum mi-
nistrant nefariæ dementiæ, proculdu-
bio prodigiosum aliquod scelus per-
B petrant. ô homo, execratur Deum
aliquis? quem igitur alium Deum ad
execrationem inuocat? nónne hunc
ipsum contra ipsum? apage istas pro-
fanas cogitationes & sacrilegas. pur-
getur anima misera tali voce contami-
nata, in quam auditu sensu cæco im-
pegit. fieri ne potuit, vt lingua ad tam
impiam vocem prolatam non sit tacta
paralysi, ac ne aures quidem audituri
obturatæ sint, nisi forte vltioni pros-
pectum est & iustitiæ, quod ad exem-
C pla vitę pertineat non cælari quicquid
insigniter præeminet & in benefactis
& in maleficijs, vt alteri præmium con-
tingat alteri supplicium. ideo prophe-
ta iussit hunc vinctum seruari in car-
cere: ipse Deum supplex orauit daret
veniam oculis auribúsque non sponte
pollutis visu auditúque nefario: si-
múlque rogauit quid oporteat pati in-
uentorem sceleris nefandi & inau-
diti ad eam diem. Ille iussit eum lapi-
dari, ideo sicut opinor saxis plecten-
D dum pronuncians quod animam ha-
beret duram & saxeam, vtque mani-
bus totius gentis vltionis auidæ su-
meretur supplicium. Nec enim pote-
rant aliter quam eminus ferire tot mi-
lia. post exactas pœnas à nefario ca-
pite, noua lex scripta est & tunc pri-
mum relata in tabulas, vt ferè nouis
morbis quæruntur noua remedia. ver-
ba legis sunt hæc. Quisquis execratus
fuerit Deum, peccato obnoxius esto.
Quisquis autem nominauerit nomen
E Domini, capitalis esto. ô dictum
bene vir sapientissime. solus meram
hausisti sapientiam. nominare grauius
credidisti quam execrari. Non enim
extenuares crimen grauissimum, tra-
ctans id clementius. Itaque videtur
nunc Deum non illum primum & in-
genitum mundi conditorem dicere,
sed eos qui oppidatim colebantur.
Nam hi quoque sic vocantur falso no-
mine, cum sint pictorum fictorúmque

opera suas artes ostentantium. signorum enim statuarúmque huiusmodi plenus fuit totus orbis habitabilis: à quibus abstineri oportet maledictionem, ne quis Mosis discipulus assuescat vllo modo appellationem Dei contemnere. semper enim amabilis est ac plausibilis. Quod si quis non dico blasphemauerit hominum deorúmque Dominum, sed ausus fuerit vel nomen eius intempestiue promere, noxam luat capite. Quandoquidem ne mortalium quidem parentum nomina proferunt ij quibus cordi est pietas, sed omissis proprijs honoris gratia, vtuntur naturalibus, patrem appellantes matrémque: atque ita profitentur accepta immensa beneficia simúlque suam gratitudinem. Quomodo igitur merentur veniam qui temere abutuntur sanctissimo Dei nomine tantum ad explendum sermonem non aliter quam profanis vocibus? Post honorem autem creatori habitum propheta diem sacratum septimum veneratus est, cuius eximiam pulchritudinem cernebat acutioribus oculis, expressam cælo mundóque vniuerso, ipsa natura præferente eius simulacrum. inueniebat enim ante omnia matre carere hunc numerum, expertem fœminini generis, è solo patre satum absque semine, & absque partu genitum. animaduertit præterea septimanam semper virginem, nec è matre natam, nec matrem ipsam, nec è corruptione oriundam, nec ipsam corruptibilem: denique intellexit hanc esse mundi natalem, cælo terræque festam & omnibus terrestribus, exhilarantem cuncta concinnissimo septenario. Hâc ob rem ille maximus Moses æquum censuit vt omnes ascripti eius ciuitati, ius naturæ sequentes, celebrarent hûc diem otio festísque hilaritatibus, intermissis laboribus & opificijs quæstuarijs negotiisque victum parantibus, ablegata etiam tantisper ceu per inducias solitudine anxia, vt vacarent non ludicris (sicut quidam) ridendísque spectaculis mimorum saltatorúmque quæ insanum vulgus amat perdite, & per præcipuos sensus visum auditúmque captiuat animam suopte ingenio liberam ac dominam: sed soli philosophiæ, non isti cuius compendium profitentur captatores sophistæ,

A τέχναις δημιουργούμενοι. ξοάνων γὰρ καὶ ἀγαλμάτων καὶ τοιουτοτρόπων ἀφιδρυμάτων ἡ οἰκουμένη μεστὴ γέγονεν, ὧν τῆς βλασφημίας ἀνέχεσθαι ἀναγκαῖον, ἵνα μηδεὶς ἐθίζηται τῶν Μωϋσέως γνωρίμων συνόλως θεοῦ προσρήσεως ἀλογεῖν· ἀξιονικοτάτη γὰρ ἀεὶ καὶ ἐπαξιέραστος ἡ κλῆσις. Εἰ δέ τις οὐ λέγω βλασφημήσειεν εἰς τὸν ἀνθρώπων καὶ θεῶν κύριον, ἀλλὰ καὶ τολμήσειεν ἀκαίρως αὐτοῦ φθέγξασθαι τοὔνομα, θάνατον ὑπομενέτω τὴν δίκην. οὔτε γὰρ τῶν φυτευσάντων, B καίτοι θνητῶν ὑπαρχόντων, οἷς μέλει γονέων τιμῆς, τὰ ὀνόματα προσφέρουσιν, ἀλλὰ τὰ κύρια διὰ τὸν ἐπ' αὐτοῖς σεβασμὸν ἡσυχάζοντες, τοῖς τῆς φύσεως ἀνακαλοῦσι πατέρα καὶ μητέρα προσαγορεύοντες, δι' ὧν εὐθὺς αἰνίττονται τὰς ἐξ ἐκείνων ἀνυπερβλήτους εὐεργεσίας, καὶ τὴν αὐτῶν εὐχάριστον διάθεσιν· ἔτι πῶς συγγνώμης ἀξιοῦσθαι ἄξιοι οἱ κατ' ἐπισυρμὸν γλώττης ἀκαιρευόμενοι, καὶ λόγων ἀναπλήρωμα ποιούμενοι τὸ ἁγιώτατον καὶ θεῖον ὄνομα· C Μετὰ δὲ τὴν τοῦ γεννητοῦ τῶν ὅλων τιμήν, τὴν ἱερὰν ἑβδόμην ἐσέμνυνεν ὁ προφήτης, ἰδὼν αὐτῆς ὀξυωπεστέροις ὄμμασι κάλλος ἐξαίσιον, ἀνεσφραγισμένον οὐρανῷ τε καὶ τῷ σύμπαντι κόσμῳ, καὶ ὑπὸ τῆς φύσεως αὐτῆς ἀγαλματοφορούμενον. εὕρισκε γὰρ αὐτὴν τὸ μὲν πρῶτον ἀμήτορα, γενεᾶς τῆς θήλεως ἀμέτοχον, ἐκ μόνου πατρὸς σπαρεῖσαν ἄνευ σπορᾶς, καὶ γεννηθεῖσαν ἄνευ κυήσεως· ἔπειτα δ' οὐ ταῦτα μόνον κατεῖδεν, ὅτι παγκάλη καὶ ἀμήτωρ, ἀλλ' ὅτι καὶ ἀειπάρθενος, D οὔτ' ἐκ μητρὸς, οὔτε μήτηρ, οὔτ' ἐκ φθορᾶς, οὔτε φθαρησομένη, εἶτ' ἐκ τρίτου κατανοήσας αὐτὴν ἐξετάζων, καὶ κόσμου γενέθλιον, ἣν ἑορτάζει μὲν οὐρανὸς, ἑορτάζει δὲ γῆ καὶ τὰ ἐν γῇ, γανύμενα καὶ εὐφραινόμενα τῇ παναρμονίῳ ἑβδομάδι. Ταύτης ἕνεκα τῆς αἰτίας ὁ πάντα μέγας Μωσῆς ἐδικαίωσε τοὺς ἐγγραφέντας αὐτοῦ τῇ ἱερᾷ πολιτείᾳ, νόμοις φύσεως ἑπομένους, πανηγυρίζειν, ἐν ἱλαραῖς διάγοντας εὐθυμίαις, ἀνέχοντας μὲν E ἔργων καὶ τεχνῶν τῶν εἰς πορισμὸν, καὶ πραγματειῶν, ὅσαι κατὰ βίου ζήτησιν, ἀργίας δὲ ἐκεχειρίαν, καὶ διαφειμένους πάσης ἐπιπόνου καὶ καματηρᾶς φροντίδος, σχολάζοντας, οὐχ ὡς ἔνιοι γέλωσιν, ἢ παιδιαῖς, ἢ μίμων, ἢ ὀρχηστῶν ἐπιδείξεσι, περὶ ἃς κηραίνουσι καὶ δυσθανατῶσιν οἱ θεατρομανοῦντες, καὶ διὰ τῶν ἡγεμονικωτάτων αἰσθήσεων ὁράσεως καὶ ἀκοῆς, δοῦλον ἀπεργαζόμενοι τὴν φύσει βασιλίδα ψυχήν· ἀλλὰ μόνῳ τῷ φιλοσοφεῖν, οὐχ ὅπερ μεθοδεύουσιν οἱ λογοθῆραι καὶ σοφισταί,

πιπράσκοντες

πιπράσκοντες ὡς ἄλλο τι τῶν ὠνίων ἐπ᾿ ἀγορᾶς δόγματα καὶ λόγους, οἱ φιλοσοφίᾳ κατὰ φιλοσοφίας, ὦ γῆ καὶ ἥλιε, χρώμενοι δι᾿ αἰῶνος, οὐκ ἐρυθριῶσιν, ἀλλὰ τῷ ὄντι φιλοσοφεῖν, ὅπερ ἐκ τριῶν συνυφαίνεται, βουλευμάτων, καὶ λόγων, καὶ πράξεων, εἰς ἓν εἶδος ἡρμοσμένων, πρὸς κτῆσιν καὶ ἀπόλαυσιν εὐδαιμονίας. τούτου δή τις ἀλογήσας τοῦ διατάγματος, ἔτι τοὺς χρησμοὺς ἐναύλους ἔχων τοὺς περὶ τῆς ἱερᾶς ἑβδόμης, οὓς ἐθέσπισεν αὐτὸς ἄνευ προφήτου ὁ θεὸς καὶ διὰ φωνῆς τὸ παραδοξότατον ὁρατῆς, ἣ τῶν παρατυγχανόντων ὀφθαλμοὺς ὤτων ἐπήγειρε μᾶλλον, ἐπὶ φρυγανισμὸν ἐξῄει διὰ μέσου τοῦ στρατοπέδου, πάντας εἰδὼς ἐν ταῖς σκηναῖς ἠρεμοῦντας, καὶ δρῶν ἔτι τὸ ἀδίκημα, καταφανὴς ὑπὲρ τοῦ μὴ λαθεῖν γίνεται· πυλῶν γὰρ ἔξω προελθόντες τινὲς εἰς ἠρεμίαν, ἵν᾿ ἐν τῷ καθαρωτάτῳ καὶ ἡσυχάζοντι εὔξωνται, θέαν ἔκνομον ἰδόντες, ξύλων ὕλην συγκομίζοντα, καὶ δυσανασχετήσαντες ἔμελλον μὲν αὐτὸν ἀνελεῖν, λογισμῷ δὲ τῷ παρακεκινημένον τῆς ὀργῆς ἐπισχόντες, ἵνα μήτε ἰδιῶται πρὸ ἀρχόντων κολάζειν τινὰ δοκῶσι, καὶ ταῦτ᾿ ἄκριτον, κἂν ἄλλως τὸ παρανόμημα ᾖ ἐμφανὲς, μήτε τὸ περὶ τὴν ἡμέραν εὐαγὲς μίασμα φόνου, κἂν δικαιότατος ᾖ, προσάψηται· συλλαβόντες δὴ, ἄγουσιν αὐτὸν ἐπὶ τὸν ἄρχοντα, ᾧ συνήδρευον μὲν ἱερεῖς· παρειστήκει δὲ σύμπασα ἡ πληθὺς πρὸς ἀκρόασιν· ἔθος γὰρ ἦν, ἀεὶ μὲν κατὰ τὸ παρεῖκον, προηγουμένως δὲ ταῖς ἑβδόμαις, ὡς ἐδήλωσα καὶ πρόσθεν, φιλοσοφεῖν, τοῦ μὲν ἡγεμόνος, ὑφηγουμένου καὶ διδάσκοντος, ἅ, τε χρὴ πράττειν καὶ λέγειν, τῶν δὲ εἰς καλοκαγαθίαν ἐπιδιδόντων, καὶ βελτιουμένων τά τε ἤθη καὶ τὸν βίον· ἀφ᾿ οὗ καὶ εἰσέτι νῦν φιλοσοφοῦσι ταῖς ἑβδόμαις Ἰουδαῖοι τὴν πάτριον φιλοσοφίαν, τὸν χρόνον ἐκεῖνον ἀναθέντες ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν περὶ φύσιν. τὰ γὰρ κατὰ πόλεις προσευκτήρια, τί ἕτερόν ἐστιν, ἢ διδασκαλεῖα φρονήσεως καὶ ἀνδρείας καὶ σωφροσύνης καὶ δικαιοσύνης, εὐσεβείας τε καὶ ὁσιότητος, καὶ συμπάσης ἀρετῆς, ᾗ κατανοεῖται καὶ κατορθοῦται τά, τε ἀνθρώπεια καὶ θεῖα. τότε μὲν οὖν εἰς εἱρκτὴν ὁ τηλικοῦτον ἀσέβημα δράσας ἀπάγεται· Μωϋσῆς δὲ ἀπορῶν ὅ, τι χρὴ παθεῖν τὸν ἄνθρωπον· ἤδει γὰρ ἄξια θανάτου διαπεπραγμένον· ἀλλὰ τίς ἂν γένοιτο τρόπος ἁρμόζων τῆς τιμωρίας· ἀφικνεῖται πρὸς τὸ ἀόρατον ἀοράτῳ ψυχῇ δικαστήριον, καὶ πρὶν ἀκοῦσαι πάντ᾿ ἐπισταμένου δικαστοῦ τί κέκρικεν· ὁ δὴ ἀποφαίνεται τὴν γνῶσιν, ὅτι καὶ θνήσκειν ὀφείλει, καὶ οὐχ ἑτέρως ἢ καταλευσθεὶς, ἐπειδὴ καὶ τούτῳ

A venales tanquam in foro proponendo sermones opinionésque, qui philosophia contra philosophiam (ô terra, ô sol) abutuntur perpetuo, nec pudet: sed veræ inquam philosophiæ quæ constat ex his tribus, consiliis dictis factisque, in vnam speciem coaptatis, vt quæsita fruantur felicitate. Hoc præcepto posthabito quidam recenti etiam tum oraculi de sacro sabbato, proditi memoria, quod Deus ipse visibili voce oculis magis quam auribus ingesserat, per
B media castra lignatum exiuit, nô ignarus omnes in tentoriis quiescere, móxque in vetito deprehensus est. Quidam enim per otium extra portâ progressi, vt in loco puro quietóq; vacarent precibus, viso nefario spectaculo, intentû fasci componêdo lignatorem occisuri erât præ ira, nisi commotos ab impetu reuocasset hæc reputatio, animaduersionê in huiusmodi peccata nô esse priuati iuris, sed pertinere ad magistratus
C publicos ipsósq; principes, ne indicta causa indemnatusque periret, alioquin reus manifestarij criminis, religione quoque diei vetante cædem vel iustissimam. ideo maluerunt comprehêsum hominem adducere ad principem & sacerdotum consistorium, confluente ad rem cognoscendam vniuerso populo. mos enim erat certis temporibus, præcipue sabbatis, vt ante dixi, operam dare studio sapientiæ, principe
D doctoris vice fungente, præmonstranteque officia, subditis autem in honestate proficientibus, & mores vitamque corrigentibus. Quæ consuetudo à maioribus per manus accepta hodiéque durat apud Iudæos, tempore illo dicato eruditioni contemplationique rerum naturalium. nam destinata oppidatim sacris precationibus loca, quæ proseuchas vulgus nominat, quid aliud sunt quam scholæ, in quibus prudentia, fortitudo, temperantia, iusticia,
E pietas, sanctitas, omnisque virtus discitur, quæcumque ad humana diuináque negotia requiritur. Cæterum eo die non vltra vincula sæuitum est in hominem impium. At Moses de plectendo quem norat commeruisse mortem dubius, & genus supplicij dignum ignorans, inuisibili animo ad inuisibile tribunal se contulit, vbi iam ante cognitam causam decretum fuerat ab omniscio iudice, qui pronunciauit morte mulctandum obruendumque lapidibus, quandoquidem &

huius mens sicut prioris in surdum lapidem obdurucrat, prolapsi ad impietatem extremam, complexam penè omnia violati sabbati crimina. quam ob rem? quia non solum sordidæ fabrilésque sed cæteræ quoque artes & occupationes tunc sunt prohibitæ, præsertim quæ ad parandum victum attinent, aut per ignem fiunt, aut per instrumenta non sine igne confecta. ideo sæpe interdicitur ne quis ignem accendat sabbato, vt cessante causa principali & antiquissima cessent effectus eius etiam. Sunt autem ligna ignis materia, vt lignator & qui accendit ignem in eadem culpa hæreant: atque ita geminetur noxa, tum quia fit opus dum lex iubet quiescere, tum quia fomites ignis comportantur, vnde præbetur opificijs occasio. Hæc duo responsa continent pœnas sontibus inflictas ex arbitrio cælestis numinis consulti super talibus negotijs. Sunt & alia duo, ad diuersam speciem pertinentia, alterum de successione hæreditaria, alterum de sacrificio non tempestiue vt videbatur oblato. de hoc prius dicetur. Moses primum anni mensem facit eum qui in vernum æquinoctium incidit, non sicut quidam qui præcedentibus id honoris tribuunt, non obseruato naturæ beneficio. tunc enim maturescunt segetes ad victum necessariæ: arborum vero fœtus pubescunt recens editi, secundis mensis inferendi. sine tritico hordeo cæterísque similibus frugibus non viuitur: sine vino & oleo fructibúsque arboreis quædam gentes ætatem producunt in annos plurimos. Eius mensis die quartadecima, sub ipsum tempus quo luna suum orbem solet complere lumine, celebratur migrationis publica festiuitas quam Chaldaice Pascha nominant: quo tempore non vt aliâs plebeij homines victimas adducunt ad altare mactandas à sacerdotibus, sed iubente lege tota gens sacrificat, dum pro se quisque mactat hostiam suis manibus. Tunc vniuerso populo concelebrante lætas epulas, dum quisque se gerit pro sacerdote, nonnulli occupati lacrymis, gemitibus luctúque domestico propter desideratos nuper defunctos necessarios,

A καθάπερ καὶ τῷ προτέρῳ, μετέβαλεν ὁ νοῦς εἰς κωφὸν λίθον, εἰργασμένῳ τελεώτατον παρανόμημα, ᾧ σχεδὸν πάντα τἄλλα ἐμφέρεται, ὅσα περὶ τοῦ σεβασμοῦ τῆς ἑβδόμης νενομοθέτηται. διὰ τί; ὅτι οὐχ αἱ βάναυσοι μόνον, ἀλλὰ καὶ αἱ ἄλλαι τέχναι καὶ πραγματεῖαι, καὶ μάλιστα αἱ περὶ πορισμὸν καὶ βίου ζήτησιν, ἢ διὰ πυρός εἰσιν, ἢ οὐκ ἄνευ τῶν διὰ πυρός. ὅθεν ἀπαγορεύει πολλάκις ἐν ταῖς ἑβδόμαις πῦρ ἐναύειν, ὡς ἀρχηγικώτατον αἴτιον καὶ πρεσβύτατον ἔργον, οὗ ἡσυχάσαντος, ἐνενοήθη καὶ τὰ
B κατὰ μέρος ὡς εἰκὸς συνησυχάζειν. ὕλη δὲ ξύλα πυρός, ὥστε τὸν ξυλιζόμενον ἀδελφὸν καὶ συγγενὲς ἁμάρτημα τῷ καίοντι δρᾶν, τὸ παρανόμημα διπλασιάζοντα, τῇ μὲν, ὅτι προσταχθὲν ἠρεμεῖν συνεκόμιζε, τῇ δ', ὅτι καὶ τοιαῦτα συνεκόμιζεν, ἃ πυρός ἐστιν ὕλη τῆς τῶν τεχνῶν ἀρχῆς. ἄμφω μὲν οὖν τὰ εἰρημένα τιμωρίας ἀσεβῶν διὰ πεύσεως τε καὶ ἀποκρίσεως βεβαιούμενα· ἕτερα δὲ δύο ἐστὶν, οὐχὶ τῆς αὐτῆς, ἀλλὰ διαφερούσης ἰδέας,
C ὧν τὸ μὲν περὶ κλήρου διαδοχῆς, τὸ δ' ὅσα τῷ δοκεῖν παρὰ καιρὸν ἐπιτελουμένης ἱερουργίας· περὶ οὗ λεκτέον προτέρας. τὴν ἀρχὴν τῆς ἐαρινῆς ἰσημερίας πρῶτον ἀναγράφει μῆνα Μωϋσῆς, ἐν ταῖς τῶν ἐνιαυτῶν περιόδοις ἀναθεὶς, οὐχ ὥσπερ ἔνιοι, χρόνῳ τὰ πρεσβεῖα μᾶλλον, ἢ ταῖς τῆς φύσεως χάρισιν, ἃς ἀνέτειλεν ἀνθρώποις. κατὰ γὰρ ταύτην, τὰ μὲν σπαρτὰ ἡ ἀναγκαία τροφὴ, τελεσφορεῖται· ὁ δὲ τῶν δένδρων καρπὸς ἡβώντων ἄρτι γεννᾶται, δευτέραν ἔχων τάξιν· ὅθεν καὶ ὀψίγονός
D ἐστι. ἀεὶ γὰρ ἐν τῇ φύσει τὰ μὴ λίαν ἀναγκαῖα τῶν σφόδρα ἀναγκαίων δεύτερα. σφόδρα μὲν οὖν ἀναγκαῖα, πυροί τε καὶ κριθαὶ, καὶ ὅσα ἄλλα εἴδη τροφῆς, ὧν ἄνευ ζῆν οὐκ ἔστιν· ἔλαιον δὲ καὶ οἶνος, καὶ ἀκρόδρυα, οὐχὶ τῶν ἀναγκαίων· ἐπεὶ δίχα τούτων ἄχρι μακροτάτου γήρως παρατείνοντες εἰς πολυετίαν βιοῦσιν ἄνθρωποι. ἐν δὴ μηνὶ τούτῳ, περὶ τεσσαρεσκαιδεκάτην ἡμέραν μέλλοντος τοῦ σεληνιακοῦ κύκλου γίνεσθαι πλησιφαοῦς, ἄγεται
E τὰ διαβατήρια δημοφανὴς ἑορτὴ, τὸ χαλδαϊστὶ λεγόμενον πάσχα, ἐν ᾗ οὐχ οἱ μὲν ἰδιῶται προσάγουσι τῷ βωμῷ τὰ ἱερεῖα, θύουσι δ' οἱ ἱερεῖς, ἀλλὰ νόμου προστάξει σύμπαν τὸ ἔθνος ἱερᾶται, τῶν κατὰ μέρος ἑκάστου τὰς ὑπὲρ αὐτοῦ θυσίας ἀνάγοντος τότε καὶ χειρουργοῦντος· ὁ μὲν οὖν ἄλλος ἅπας λεὼς ἐγεγήθει καὶ φαιδρὸς ἦν, ἑκάστου νομίζοντος ἱερωσύνῃ τετιμῆσθαι· δεδακρυμένοι δ' ἕτεροι καὶ στένοντες διῆγον, οἰκείων αὐτοῖς ἔναγχος τετελευτηκότων,

οἱ πενθοῦντες διπλῇ κατείχοντο λύπῃ, προσειληφότες τῇ διὰ τοὺς ἀποθανόντας συγγενεῖς, καὶ τὴν ἐκ τοῦ στερηθῆναι τῆς περὶ τὴν ἱερουργίαν ἡδονῆς τε καὶ τιμῆς, οἷς οὐδὲ καθήρασθαι καὶ περιρράνασθαι κατ᾽ ἐκείνην τὴν ἡμέραν ἐξεγένετο, μήπω τοῦ πένθους ἀφῃρημένου καὶ ἐκπροθέσμου γεγονότος. οὗτοι μετὰ τὴν πανήγυριν προσελθόντες τῷ ἄρχοντι, συννοίας μεστοὶ καὶ κατηφείας, τά συμβεβηκότα διηγήσαντο, τὴν ὑπόγυον τῶν συγγενῶν τελευτήν, τὸ πένθος ὃ κατ᾽ ἀναγκαῖον ἐχρήσαντο, τὸ μὴ δυνηθῆναι διὰ τοῦτο μετασχεῖν τῆς τῶν διαβατηρίων θυσίας· εἶτ᾽ ἐδέοντο, μὴ ἔλαττον τῶν ἄλλων ἐνέγκασθαι, μηδὲ τὸ ἐπὶ τοῖς ἀποθανοῦσιν οἰκείοις ἀτύχημα ἐν ἀτοπήματος μέρει καταριθμηθῆναι, τιμωρίας ἐργασάμενον πρὸ ἐλέου. νομίσαι γὰρ ἂν χαλεπώτερα παθεῖν τῶν ἀποθανόντων, εἴγε τοῖς μὲν οὐδενός ἐστιν ἀντίληψις τῶν ἀβουλήτων· οἱ δὲ ζῶντες δόξουσι τεθνάναι τὸν μετ᾽ αἰσθήσεως θάνατον. ταῦτ᾽ ἀκούσας, ἑώρα μὲν καὶ τὴν δικαιολογίαν οὐκ ἀπῳδόν, καὶ τὴν τοῦ μὴ ἱερουργῆσαι πάλαι πρόφασιν ἀναγκαίαν, καὶ τὸ συμπαθὲς ἀνακεκραμένον τούτοις· ἐπαμφοτερίζων δὲ τὴν γνώμην, καὶ ὥσπερ ἐπὶ πλάστιγγος ἀντιρρέπων. τῇ μὲν γὰρ ἐταλάντευε τὸ ἔλεος καὶ τὰ δίκαια, τῇ δ᾽ ἀντέβαινεν ὁ νόμος τῆς τῶν διαβατηρίων θυσίας, ἐν ᾗ καὶ πρῶτος μὴν καὶ τεσσαρεσκαιδεκάτη ἡμέρα δεδήλωται τῆς ἱερουργίας· ἀρνήσεως καὶ συγκαταθέσεως μεταξὺ φορούμενος ἱκετεύει τὸν αὐτὸν δικαστὴν γενέσθαι, καὶ χρησμῷ τὴν κρίσιν ἀναφῆναι. ὁ δ᾽ ἐπακούσας θεσπίζει λόγιον οὐ περὶ ὧν ἐνετεύχθη μόνον, ἀλλὰ καὶ περὶ τῶν αὖθίς ποτε γενησομένων, εἰ τοῖς αὐτοῖς χρήσαιντο συντυχίαις. ἐπιδαψιλευόμενος δὲ καὶ περὶ τῶν κατ᾽ ἄλλας αἰτίας οὐ δυνηθέντων ἱερουργῆσαι, κατὰ πλοῦτος τοῦ ἔθνους προσεπιθεσπίζει. τίνα οὖν ἐστι τὰ περὶ τούτων λόγια χρησθέντα, μηνυτέον. συγγενικόν, φησί, πένθος· ἀναγκαία μὲν τοῖς ἀφ᾽ αἵματος ἀνία· ἀναγράφεται δὲ οὐκ ἐν πλημμελείαις. ἕως μὲν οὖν ἐκπρόθεσμόν ἐστιν, ἔξω περιβόλων ἱερῶν ἐλαυνέσθω, οὓς ἀπὸ παντὸς ἁγνεύειν, οὐχ ἑκουσίου μόνον, ἀλλὰ καὶ κατὰ γνώμην μιάσματος δεῖ. γενομένου δ᾽ ἐκπροθέσμου, μὴ στερείσθωσαν ἰσομοιρίας τῆς ἐν τῇ ἱερουργίαις, ἵνα μὴ προσθήκη τετελευτηκότων οἱ ζῶντες ὦσιν· ἴτωσαν δ᾽ ἅτε δεύτεροι δευτέρῳ μηνὶ πάλιν, τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, καὶ θυέτωσαν κατὰ ταὐτὰ τοῖς προτέροις, καὶ τῷ θύματι χρήσθωσαν, ὡς ἐκεῖνοι νόμῳ καὶ τρόπῳ τῷ παραπλησίῳ. τὰ δ᾽ αὐτὰ ἐπι-

A premebantur gemina tristicia, noua super veterem accedente, quòd orbati suis affectibus cogerentur etiam carere voluptate honoreque totius gentis publico, quia nec ablui nec aspergi lustralibus aquis fas erat illo tempore, prius quam veniret luctui præfinitus lege terminus. Hi post festum mœsti accesserunt principem, narraueruntque suum infortunium: habere se funestas domos recenti cognatorum obitu, occu-
B patos luctu necessario, non potuisse frui sacris pascalibus. addiderunt preces, ne posthaberentur cæteris, néve pœnas darent calamitatis domesticæ, dignæ potius misericordia. alioqui se posse inuidere defunctis qui potiore conditione fato cesserint. se viuos mori & sentire suam perniciem. His auditis animaduertit & postulationem non absurdam, & excusationem sacrificij prætermissi idoneam, & casum
C ipsum dignum miseratione. Ambigebat tamen incertus consilij, & tanquam in bilance nutans nunc in hanc partem nunc in illam procliuior, cum hinc suum pondus obtineret misericordia cum iusticia, illinc præcellere videretur lex de paschali sacrificio, primi mensis quartamdecimam diem ei præstituens. itaque inter assensum & renutum pendens ad supplicationem se ver-
D tit, vt ipse Deus oraculo decerneret. Qui exaudito vate non in præsens tantum respondit, sed quod pro lege foret postea, quoties aliquid simile accideret. Comprehensi sunt ea lege illi quoque, si qui eius gentis aliis de causis non potuerunt ad sacrum id occurrere. Fuit autem hæc orasuli sententia. Luctus in cognatorum obitu dolor necessarius non imputatur pro
E peccato. Attamen ad certum tempus à templo arceantur lugentes, quo non patet aditus nisi immunibus ab omni inquinamento tum fortuito tum voluntario. post terminum luctus pro se quisque sacrificet, ne viui habeantur pro mortuis. cum igitur sint posteriores, postero mense die quartadecima sacrificent ritu quo priores, & eodem modo absumant hostiam. idem ius esto his qui non ob luctum sed longinquæ peregrinationis ergô cum

cæteris suæ gentis hominibus non sacrificauerunt. nam ne eorum quidem qui aut in longinquis terris habitant, aut longius peregrinantur, vllum est peccatum, cur priuari debeant honore communi cum cæteris, præsertim cum vna regio gentem tam populosam non capiat, missis in multa loca colonijs. Hactenus de his qui ob aliquem casum à celebrando cum cæteris paschate prohibiti, vel serius officium necessarium faciunt, nunc transeo ad postremam legem de successione hæreditaria, è percontatione responsionéque mixtam similiter. Erat quidam nomine Salpaath, vir probus, è tribu non obscura natus. is quinque deterioris sexus liberos genuit, nullam vero prolem masculam. puellæ post obitum patris veritæ ne paterno agello exciderent, quia maribus agri diuisi fuerant, reuerenter adierunt principem, non tam de possessione solicitæ, quam nomen dignitatémque sui patris conseruare cupientes. hæ sic locutæ sunt. Pater noster obijt, non seditione absumptus vt multi alij, sed fato raptus cum priuatam vitam ageret procul negotiis. nulla ipsius culpa factum est quod caruit mascula sobole. adsumus igitur pupillæ vt videtur, re vera tamen te loco parentis habituræ. nam legitimus princeps non minus quam pater curat subditos. Ille miratus prudentiam virginum, & pietatem erga parentem, suspendit sententiam respectu legis quæ solis viris agros diuidit, præmium laborum militarium. nam mulieribus cum natura immunitatem ab his tribuat, non admittit eas ad præmia. Ergo hanc quoque causam vt ambiguam ad Deum retulit, quem sciebat solum veracibus incorruptísque iudicijs etiã in paruis controuersijs ostendere suam veritatem & iustitiam. Tum ille rerum conditor, mundi pater, terræ, cœlo, mari, aeri, rebúsque in his contentis imperans, princeps deorum & hominum, non est dedignatus respondere puellis patre orbatis. Respondens autem plus quàm iudicis officio functus est ille clementissimus cuncta replens sua beneficentia. Laudauit enim virgines. ô Domine, te vero quis satis laudauerit? quo ore?

A πεπρᾶχθαι καὶ τοῖς μὴ διὰ πένθος, ἀλλὰ καὶ μακρᾶς
χάριν ἀποδημίας κωλυομένοις ἅμα τῷ παντὶ
ἔθνει συνιερουργεῖν. οὐ γὰρ οἱ ξενιτεύοντες οἱ ἑτέρωθι
οἰκοῦντές τι ἀδικοῦσιν, ὡς στέρεσθαι τῆς ἴσης τιμῆς, καὶ
ταῦτα μὴ χωρούσης πολυανθρωπίαν τὸ ἔθνος
μιᾶς χώρας, ἀλλ' ἀποικίας πολλαχόσε διαπεπομ-
φαμένης. τοσαῦτα διειλεγμένος περὶ τῶν ὑστερησάντων
μὲν ἅμα τῷ πλήθει θῦσαι τὰ διαβατήρια κατὰ συν-
τυχίας ἀβουλήτους, ἐκπληρῶσαι δ' εἰ καὶ ὀψέ,
B ἀλλ' οὖν ἀναγκαίως τὸ ἐλλειφθὲν σπουδασάντων,
ἐπὶ τελευταῖον μέτειμι διάταγμα τὸ περὶ τῆς τῶν
κλήρων διαδοχῆς, ὅπερ ὁμοίως μικτὴν ἔσχεν, ἐκ πεύ-
σεως καὶ ἀποκρίσεως λαβὸν τὴν σύστασιν. ἦν τις ὄνομα
Σαλπαάθ, ἀνὴρ δόκιμος, καὶ φυλῆς οὐκ ἀσήμου. τού-
τῳ πέντε μὲν γίνονται θυγατέρες, υἱὸς δ' οὐδείς, αἳ
μετὰ τὴν τελευτὴν τοῦ πατρὸς στέρησιν τῆς πατρῴας λή-
ξεως ὑποτοπήσασαι, διὰ τὸ τὰς κληρουχίας ἄρ-
ρεσι δίδοσθαι, προσίασι τῷ ἡγεμόνι μετὰ τῆς ἁρμοτ-
τούσης κόραις αἰδοῦς, οὐ θηρώμεναι πλοῦτον, ἀλλὰ
C τοὔνομα καὶ ἀξίωμα γλιχόμεναι διασῶσαι τοῦ πα-
τρός, καί φασιν, ὁ μὲν πατὴρ ἡμῶν ἐτελεύτησεν· ἐ-
τελεύτησε δέ, ἐν οὐδεμιᾷ στάσει γενόμενος, ὑφ' ὧν συ-
νέβη διαφθαρῆναι μυρίους, ἀλλ' ἐζήλωσε βίον ἀ-
πράγμονα καὶ ἰδιώτην. εἰ μὴ ἄρα ἐν ἁμαρτία
θετέον τὸ γενεᾶς ἄρρενος ἀμοιρῆσαι. πάρεσμεν δ'
ἡμεῖς, ὅσα μὲν τὸ δοκεῖν ὀρφαναί, τὸ δ' ἀληθὲς σοὶ
χρησόμεναι πατρί. τοῦ γὰρ γεννήσαντος ὁ νόμιμος
ἄρχων οἰκειότερος ὑπηκόοις. ὁ δὲ θαυμάσας τὴν
D φρόνησιν τῶν παρθένων, καὶ τὴν πρὸς τὸν γεννάμενον εὔ-
νοιαν, ἐπέσχεν, ἐφ' ἑκατέρας ἑλκόμενος φαντασίας,
καθ' ἣν τὰς κληρουχίας ἄνδρες ὤφειλον διανέμε-
σθαι, γέρας ληψόμενοι στρατείας καὶ πολέμων, οὓς
διήθλησαν· γυναιξὶ δ' ἡ φύσις ἀσυλίαν τῶν τοιού-
των ἀγωνισμάτων παρέχουσα, δηλονότι καὶ τῶν ἐφ'
αὐτοῖς τιθεμένων ἄθλων οὐ μεταδίδωσιν. ὅθεν εἰκό-
τως τῆς διανοίας ἀμφικλινῶς ἐχούσης καὶ ἀντι-
σπωμένης ἀναφέρει τῷ θεῷ τὴν διαπόρησιν, ὃ ἤδει
μόνον καὶ ἀψευδέσι καὶ ἀπλανεστάτοις κριτηρίοις τὰς
E κατὰ μικρὸν διαφορὰς διαστέλλοντα, πρὸς ἐπίδει-
ξιν ἀληθείας καὶ δικαιοσύνης. ὁ δὲ ποιητὴς τῶν ὅλων,
ὁ τοῦ κόσμου πατήρ, γῆν καὶ οὐρανόν, ὕδωρ τε καὶ ἀέρα
καὶ ὅσα ἐκ τούτων ἑκάστου συνέχων καὶ διακρατῶν,
ὁ θεῶν καὶ ἀνθρώπων ἡγεμών, οὐκ ἀπηξίωσε χρη-
ματίσαι κόραις ὀρφαναῖς· χρηματίσας δέ φημι,
πλέον τι παρέσχεν, ἢ κατὰ δικαστὴν νόμου, ὁ εὐμενὴς καὶ
ἵλεως, ὁ πάντα διὰ πάντων πεπληρωκὼς τῆς εὐερ-
γέτιδος ἑαυτοῦ δυνάμεως. ἔπαινον γὰρ διεξῆλθε τῶν
παρθένων. ὦ δέσποτα, πῶς ἄν σέ τις ὑμνήσειε, ποίῳ

στόματι, τίνι γλώττῃ, ποίᾳ φωνῆς ὀργανοποιίᾳ, ποίᾳ ψυχῆς ἡγεμονικῷ; οἱ γὰρ ἀστέρες γενόμενοι χορὸς, ᾄσονταί τι μέλος ἐπάξιον; ὁ δὲ οὐρανὸς ὅλος εἰς φωνὴν ἀναλυθεὶς δυνήσεταί τι τῶν σῶν ἀρετῶν διηγήσασθαι μέρος; ὀρθῶς φησιν, ἐλάλησαν αἱ θυγατέρες Σαλπαάθ. τοῦθ' ἡλίκον ἐστὶν ἐγκώμιον θεοῦ μαρτυροῦντος, τίς οὐκ οἶδε; πάριτε νῦν οἱ ἀλαζόνες, οἱ μέγα πνέοντες ἐπὶ ταῖς εὐπραγίαις, οἱ τὸν αὐχένα πλέον τῆς φύσεως ἐπαίροντες, καὶ τὰς ὀφρῦς ἀνεσπακότες, παρ' οἷς χηρεία μὲν γυναικῶν, γέλως, καὶ οὐχ ἓν κακόν· ἐρημία δὲ παίδων ὀρφανῶν, οὐχ ἧττον τοῦ προτέρου χλευάζεται· καὶ κατιδόντες, ὅτι οἱ οὕτω ταπεινοὶ καὶ ἀτυχεῖς εἶναι δοκοῦντες, οὐκ ἐν ἠμελημένοις καὶ ἀφανέσι τάττονται παρὰ τῷ θεῷ, οὗ τῆς ἀρχῆς τὸ ἀτιμότατον μέρος εἰσὶν αἱ πανταχοῦ τῆς οἰκουμένης βασιλεῖαι· διότι καὶ ὁ τῆς γῆς ἅπας ἐν κύκλῳ περίβολος, ἐσχατιὰ τῶν ἔργων αὐτοῦ ἐστι, δέξασθε νουθεσίαν ἀναγκαίαν. ἐπαινέσας δὲ Μωσῆς τὴν ἔντευξιν τῶν παρθένων, οὔτε ταύτας ἀγεράστους καταλείπει, οὔτ' εἰς τὴν ἴσην τιμὴν τοῖς ἀγωνισταῖς ἀνδράσι προεισήγαγεν, ἀλλὰ τοῖς μὲν, ὡς ἆθλα οἰκεῖα ἀπένειμε τὰς κληρουχίας, ἀνθ' ὧν ἠνδραγάθησαν, ταῖς δὲ χάριτος καὶ φιλανθρωπίας οὐ γέρως ἠξίωσεν· ὃ ἐναργέστατα παρίστησι διὰ τῶν ὀνομάτων, δόμα λέγων καὶ δόσιν, ἀλλ' οὐκ ἀπόδομα, οὐκ ἀπόδοσιν. ταῦτα μὲν γὰρ ἴδια τῶν λαμβανόντων, ἐκεῖνα δὲ τῶν χαριζομένων. παύσας δὲ περὶ ἃ ἐνετύγχανον αἱ ὀρφαναὶ παρθένοι, καθολικώτερον τίθησι νόμον περὶ κλήρων διαδοχῆς, πρότερον μὲν υἱοὺς ἐπὶ μετουσίαν καλῶν τῶν πατρῴων, εἰ δὲ μὴ εἶεν υἱοὶ, δευτέρας θυγατέρας, αἷς φησι δεῖν προστεθῆναι τὸν κλῆρον, ὡσπερεὶ κόσμον ἔξωθεν, ἀλλ' οὐχ ὡς ἴδιον καὶ συγγενὲς κτῆμα. τὸ γὰρ προστιθέμενον οὐδεμίαν οἰκείωσιν ἔχει πρὸς τὸ διαδεχόμενον, ἁρμονίας καὶ ἑνώσεως ἀλλοτριούμενον. μετὰ δὲ θυγατέρας, τρίτους ἀδελφοὺς καλεῖ, καὶ τετάρτην θείοις πρὸς πατρὸς ἀπονέμει τάξιν, αἰνιττόμενος ὅτι καὶ πατέρες γένοιντ' ἂν υἱῶν κληρονόμοι. πάνυ γὰρ εὔηθες ὑπολαβεῖν, ὅτι πατρὸς ἀδελφῷ νέμων κλῆρον ἀδελφιδοῦ, διὰ τὴν πρὸς τὸν πατέρα συγγένειαν, αὐτὸν ἀφείλετο τὸν πατέρα τῆς διαδοχῆς· ἀλλ' ἐπειδὴ ὁ νόμος φύσεως ἐστι κληρονομεῖσθαι τοὺς γονεῖς ὑπὸ παίδων, ἀλλὰ μὴ τούτους κληρονομεῖν, τὸ μὲν ἀπευκταῖον καὶ παλίμφημον ἡσύχασεν, ἵνα μὴ πατὴρ καὶ μήτηρ προσδοκᾶσθαι δοκῶσι τὰ ἐπὶ ἀώροις τέκνοις ἀπαρηγόρητα πένθη, πλα-

A qua lingua? quibus vocis inſtrumentis? qua mente aut anima? ſtellæ ſi in vnum chorum conuenirent, poſſentne tuas laudes pro merito canere? totum cælum ſi in vocem abeat, poteritne vel partem tuarum virtutum ediſſerere? Æquum poſtulant, inquit, filiæ Salpaath. Hæc laus quanta ſit Deo teſtante, quis non videt? Adeſte nunc vos arrogantes, quos inflat felicitas, qui ceruicem ſupra naturam attollitis, & B adducitis ſupercilia, qui mulierum viduitatem ridetis miſeram, & pupillorum orbitatem miſeriorem etiam exiſtimatis. videte quòd hi veſtra opinione infelices & humiles non poſtremo loco habentur apud Deum, cuius imperij viliſſimæ partes ſunt regna iſta paſſim per orbem diſperſa: quandoquidem totus terræ ambitus eſt diuini operis extremitas. conſiderate inquam hæc, & doctrinam neceſſariam accipite. At Mo- C ſes laudata poſtulatione virginum, ne has quidem inhonoratas reliquit, nec tamen æquauit viris bellatoribus: ſed his agros debita ob virtutem præmia reddidit, puellis vero gratiam non præmium. quod etiam verbis declarauit manifeſtiſſime, donum hanc rem appellans non retributionem: quorum alterum eſt debitum, alterum gratificatio. Cæterum vbi virginibus pupillis ſatisfactum eſt ex oraculo, ad- D didit princeps generalem legem de hæreditatibus, primùm filios hæredes paternorum bonorum inſtituens, deinde filias ſi deſint filij: quas vult hæreditatem habere, vt ornamentum externum, non vt poſſeſſionem propriam. Aliud eſt enim quod vt proprium attribuitur, aliud quod tantum ad ornamentum abſque iure proprietatis conceditur. Poſt filias tertio loco fratres ad hæreditatem vocat, quarto patruos, ſubindi- E cans etiam patres fieri poſſe hæredes filiorum. Stultum enim foret credere, patruo concedi hæreditatem fratris filij vt patris cognato, ipſi vero patri eam auferri. Verùm quia lex naturæ iubet filios parentibus hæredes ſuccedere, non parentes filijs, hoc vt ominoſum & pijs votis contrarium tacuit: ne pater matérque viderentur lucrari ex immaturis filiorum mortibus & luctu inconſolabili:

oblique tamen ipsos vocauit ad ius quod permittit patruis, vt & decorum seruaretur, & bona manerent in familia. pòst patruos quintus locus est cognatorum, vt quisque est sanguine proximus. His non temere dictis de hæreditatis iure promiscuo, nunc subiungam oracula per ipsum prophetam numine correptum edita, sicut iam ante sum pollicitus, Cœpit autem tunc primum inspirari cælitus, cum tota gens spem melioris fortunæ concepit, de communi consensu multis millibus ex Ægypto in Syriam in nouas colonias demigrantibus. Viri enim pariter ac mulieres per inuias vastásque solitudines peruenerant ad mare quod rubrum dicitur. ibi hærebant inopes consilij, cum nec naues præsto essent ad traiectum, nec tutum videretur reuerti per eandem viam. in hoc rerum statu maior mali vis incubuit. nam rex Ægypti cum haud contemnendis copijs equestribus pedestribúsque persequebatur, vt animaduerteret in retractos è profectione, quam prodigijs manifestis territus permiserat. Sed satis apparuit nihil esse in sceleratis hominibus constantiæ, velut in bilance leui momento in diuersum proclinantibus. Sic intercepti inter mare & hostes de salute desperauerant, alij necem miserabilem expectantes vt finem malorum, alij censentes satius elemento naturæ se committere, & in mare se proijcere, quàm perferre hostium insultationes atque ludibria. iámque grauati sarcinis stabant in littore, vt quàm primum viderent hostem accurrere, desilientes mergerentur facilius: ac ne mortem quidem expedire poterant. At propheta videns vniuersum populum præ metu interclusum non aliter quàm pisces cinctos retibus, extra se raptus repletúsque numine hoc oraculum edidit. Non sine causa trepidatis instante tanto periculo, à fronte mari vasti clausi carente nauigijs quæ fugam possent adiuuare, à tergo vero proximi hostibus denso agmine vrgentibus. Quò te vertas? quò deflectas? ex improuiso infestant nos omnia, terra, mare, homines, elementa naturæ. Estote tamen bono animo, nolite

A γίους δ᾽ αὐτοὺς ἐκάλεσε τοῖς θείοις ἐφιεὶς, ἵνα καὶ ἀμφοτέρων στοχάσηται, καὶ τοῦ πρέποντος, καὶ τοῦ μὴ τὴν οὐσίαν ἀλλοτριωθῆναι. μετὰ δὲ θείους πέμπτη τάξις ἐστὶν, οἱ ἔγγιστα γένους, ὧν ἀεὶ τοῖς προτέροις δίδωσι τὰς κλήσεις. Ταῦτ᾽ ἀναγκαίως διεξεληλυθὼς περὶ τῶν μελλόντων ἐξ ἀγχιστείας κληρουχίαν, ἑξῆς δηλώσω τὰ κατ᾽ ἐνθουσιασμὸν τοῦ προφήτου θεσπισθέντα λόγια. τοῦτο γὰρ ὑπεσχόμην διέξειν. Ἀρχὴ τοίνυν ἐστὶν αὐτῷ τῆς θεοφορήτου κατακωχῆς, ἥτις καὶ τῷ ἔθνει γέγονεν εὐπραγίας ἀρχή, B στελλομένων τὴν ἀπ᾽ Αἰγύπτου πρὸς τὰς κατὰ Συρίαν πόλεις ἀποικίαν, μυριάσι πολλαῖς. ἄνδρες γὰρ ὁμοῦ καὶ γυναῖκες ἀτριβῆ καὶ μακρὰν ἐρημίαν ἀπαστὴν ἀνύσαντες, ἐπὶ θάλατταν ἀφικνοῦνται τὴν ἐρυθρὰν προσαγορευομένην· εἶθ᾽ ὡς εἰκὸς, ἐν ἀμηχανίαις ἦσαν, οὔτε περαιοῦσθαι δυνάμενοι διὰ σκαφῶν ἀπορίαν, οὔτ᾽ ἐπιστρέφειν τὴν αὐτὴν ὁδὸν ἀσφαλὲς ἡγούμενοι· διαπορουμένοις δ᾽ ὅπως μεῖζον ἐπιρράττῃ κακόν. ὁ γὰρ τῶν Αἰγυπτίων βασιλεὺς δύναμιν παραλαβὼν οὐκ εὐκαταφρόνητον, C ἱππότην καὶ πεζὸν στρατὸν, ἐπεξῆλθε διώκων, καὶ σπουδὴν καταλαβεῖν, ἵνα τίσηται τῆς ἐξόδου, ἣν θεοφάτοις ἀριδήλοις ἐπέτρεψε ποιήσασθαι. ἀλλ᾽ ὡς ἔοικεν, ἀβέβαιος ἡ μοχθηρῶν ἀνθρώπων διάθεσις, ὡς ἐπὶ πλάστιγγος μικρᾶς ἕνεκα προφάσεως ῥέπουσα πρὸς τἀναντία. μέσοι δὴ ληφθέντες ἐχθρῶν καὶ θαλάττης, ἀπεγνώκεσαν τὴν ἰδίαν σωτηρίαν, οἱ μὲν εὐκτὸν ἀγαθὸν ἡγούμενοι, τὸν οἴκτιστον ὄλεθρον, οἱ δ᾽ ἀμείνους εἶναι νομίσαντες D ὑπὸ τῶν τῆς φύσεως ἀπολέσθαι μερῶν, ἢ γέλως ἐχθροῖς γενέσθαι, ῥίπτειν ἑαυτοὺς εἰς θάλατταν διενοοῦντο, καί τινα τῶν βάρος ἐχόντων ἐπαχθισάμενοι παρὰ ταῖς ἠϊόσιν ἐφήδρευον, ἵν᾽ ὁπότε θεάσαιντο τοὺς πολεμίους ἐγγὺς ὄντας, καθαλλόμενοι ῥᾷον εἰς βυθὸν ἐνεχθῶσιν. ἀλλὰ γὰρ οἱ μὲν πρὸς τὸ ἄπορον τῆς ἀνάγκης ἐπλίνωντο δυσθανατοῦντες· ὁ δὲ προφήτης ὁρῶν ὑπ᾽ ἐκπλήξεως σεσαγηνευμένον, ὥσπερ βόλον ἰχθύων, τὸ σύμπαν E ἔθνος, οὐκ ἔτι ὢν ἐν ἑαυτῷ θεοφορεῖται καὶ θεσπίζει τάδε· τὸ μὲν δέος ἀναγκαῖον, καὶ φόβος ἐστὶ καὶ μέγας ὁ κίνδυνος, ἐξ ἐναντίας ἀχανὲς ἐπὶ πέλαγος, ὑπόδρομος εἰς καταφυγὴν οὐδεὶς, ἀπορία πλοίων, κατόπιν ἔφεδροι φάλαγγες ἐχθρῶν, αἳ στίχοισιν ἀπνευστὶ διώκουσαι. ποῖ τις τράπηται, ποῖ τις ἐκνεύσῃ· πάντα πάντοθεν ἐξαπιναίως ἐπιτέθειται, γῆ, θάλαττα, ἄνθρωποι, στοιχεῖα φύσεως. ἀλλὰ θαρρεῖτε, μὴ ἀποκάμνετε, στῆτε ταῖς διανοίαις μὴ κραδαινόμενοι, προσδοκᾶτε τὴν ἀήττητον

ἐκ θεοῦ βοήθειαν, αὐτεπαγγέλτως ἤδη παρέσεσθαι, A
μὴ ὁρωμένην προσαγωνιεῖσθαι· πεπείρασθε αὐτῆς
ἤδη πολλάκις ἀμυνομένης ἀφανῶς, μέλλουσαν
κινεῖσθαι βλέπω, βρόχους τοῖς αὐχέσι περιβάλ-
λουσαν κατὰ τῶν ἀντιπάλων, ἕλκει κατὰ τῆς θαλάσ-
σης, μολίβδου τρόπον εἰς βυθὸν χωροῦσιν. ὑμεῖς
μὲν ἔτι ζώντων αἰσθάνεσθε, τεθνεώτων δὲ ἐγὼ
φαντασίαν λαμβάνω· τήμερον δὲ καὶ ὑμεῖς αὐ-
τοὺς νεκροὺς θεάσεσθε. καὶ ὁ μὲν τοσαῦτα ἀπεφθέγξα-
το, μείζονα ὄντα πάσης ἐλπίδος. οἱ δ' ἐπειρῶντο
ἔργοις τῆς περὶ τὸ λόγιον ἀληθείας. ἀπέβαινε γὰρ B
τὰ χρησθέντα θείαις δυνάμεσι, μύθων ἀπιστότε-
ρα· ῥῆξις θαλάσσης, ἀναχώρησις ἑκατέρου τμή-
ματος, πῆξις τῶν κατὰ τὸ ῥαγὲν μέρος διὰ παντὸς τοῦ
βάθους κυμάτων, ἵν' ἀντὶ τειχῶν ᾖ κραταιοτάτων,
εὐθυτενὴς ἀνατομὴ τῆς μεγαλουργηθείσης ὁδοῦ,
ἡ τῶν κρυσταλλωθέντων μεθόριος ἦν ὁδοιπορία, τοῦ
ἔθνους ἀκινδύνως πεζεύοντος διὰ θαλάσσης ὡς
ἐπὶ ξηρᾶς ἀτραποῦ καὶ λιθώδους ἐδάφους· ἐκραυ-
ρώθη γὰρ ἡ ψάμμος, καὶ ἡ σποράς αὐτῆς οὐσία, C
συμφυεῖσα ἡνώθη· ἐχθρῶν ἀπνευστὶ διωκόντων ἐ-
φόρμησις, σπευδόντων ἐπ' οἰκεῖον ὄλεθρον, νεφέ-
λης ὀπισθοφύλακος ἡνιόχησις, ἐν ᾗ θεία τις ὄψις
πυρὸς αὐγὴν ἀπαστράπτουσα ἦν, πελαγῶν ἃ τέως
ἀνακοπέντα διειστήκει παλίρροια, τοῦ διακοπέντος καὶ
ἀναξηρανθέντος μέρους αἰφνίδιος θαλάττωσις,
πολεμίων φθοραί, οὓς τότε κρυσταλλωθέντα τείχη, καὶ
ἀνάξαντα πάντα κατεπόντισαν, καὶ αἱ πλημμύραι τοῦ πε-
λάγους, ὥσπερ εἰς φάραγγα τὴν ὁδὸν ἐπεισελθοῦσαι,
κατέκλυσαν, ἐπίδειξις τῆς φθορᾶς διὰ τῶν ἐπανα- D
ναπλευσάντων σωμάτων, ἃ τὴν ἐπιφάνειαν τοῦ πε-
λάγους κατεστόρεσε, καὶ σφοδρὰ κυμάτωσις, ὑφ' ἧς
πάντες οἱ νεκροὶ σωρηδὸν ἀπεβράσθησαν εἰς τοὺς
ἀντιπέραν αἰγιαλούς, ἀναγκαῖα θέα γενησόμενοι
τοῖς διασωθεῖσιν, οἷς ἐξεγένετο μὴ μόνον τοὺς κιν-
δύνους διαφυγεῖν, ἀλλὰ καὶ ἐπιδεῖν τοὺς ἐχθρούς,
οὐκ ἀνθρωπίναις, ἀλλὰ θείαις δυνάμεσι παντὸς
λόγου μεῖζον κολασθέντας· διόπερ εἰκότως εὐχα-
ριστοῖς ὕμνοις γεραίρει τὸν εὐεργέτην. εἰς γὰρ δύο χο-
ροὺς διανείμας τὸ ἔθνος, τὸν μὲν ἀνδρῶν, τὸν δὲ γυ- E
ναικῶν, ἐξάρχει μὲν αὐτὸς τοῖς ἀνδράσιν, ἔξαρχον
δὲ καὶ τῶν γυναικῶν καθίστησι τὴν ἀδελφήν, ἵν' ᾄδω-
σιν ὕμνους εἰς τὸν πατέρα καὶ ποιητὴν ἀντιφθόγγοις
ἁρμονίαις συνηχοῦντες, διά τε κράσεως ἠθῶν καὶ
μέλους, τῶν μὲν ἐπὶ τὴν αὐτὴν σπευδόντων ἀ-
μοιβήν, τοῦ δὲ συνισταμένου κατὰ τὴν βαρύτητος
πρὸς ὀξύτητα συμφωνίαν. φθόγγοι γὰρ οἱ μὲν ἀν-
δρῶν βαρεῖς, ὀξεῖς δὲ γυναικῶν, ἐξ ὧν ὅταν ἡ κρᾶ-

deficere, state imperterriti, expectate diuinitus inuictum auxilium, quod iamiam vltro aderit, protecturum vos inuisibiliter. Experti estis & antea sæpe opem eius præsentaneam, quam nunc quoque venire video, laqueos iniecturam aduersariorum ceruicibus. Hæc eos in mare protrudit, illi more plumbi ad fundum feruntur præcipites. Vobis videntur adhuc viuere, ego mortuos video: quod spectaculum vobis quoque continget hodie. Hæc ille cecinit præter spem omnium: móxque euentus fidem adstruxit oraculo. Deus enim potentia sua prædictionem ratam habuit, vix credibili & fabulis simili prodigio. Mare diruptum est, aquæ secesserunt, constiterúntque in abrupto vtrinque latere quasi muri firmissimi. in medio rectam viam aperuit diuina magnificentia, diuidentem vndas ad præbendum iter ceu congelatas, tota gente secure mare traijciente pedibus, tanquam per siccam semitam, aut pauimentum constratum silice. induruerat enim sabulum, concretum è suis minutijs. huc accessit impetus hostium se inuehentium & in suam ruentium perniciem: nubis extremum agmen protegentis subsidium, emicante inde ignea numinis effigie: maris paulo ante scissi refluxus, viæ siccatæ repentina inundatio, hostium internecio, & à parietibus illis qui ex aquis constiterant oppressio, fluctibus in viam tanquam in vallem confluentibus: & insuper cladis ostentatio fluitantibus cadaueribus quæ totam maris superficiem texerant: postremo tempestas procellosa quæ in litus aduersum eiecit enectorum cumulos, quo magis seruati salutem suam agnoscerent, non solum euadendo pericula, verum etiam spectando inimicos deletos ope diuina sine humanis viribus. quamobrem propheta mentis hymnis celebrauit autorem tanti beneficij. distributa enim tota gente in duos choros, alterum virorum, alterum mulierum, ipse viris carmen præiuit, sororem dedit præcentricem fœminis, vt hymnos in parentem conditorémque alternis canerent versibus, non discrepante à moribus carmine, dum certatim canunt suis vicibus, & carmen miscetur è sonis acutis atque grauibus. nam virorum voces graues sunt, acutæ mulierum, vnde temperamentum

fit commensuratæ suauitérque coaptatæ melodiæ, Vt autẽ tot millia hymnum eundem ore vno concinerent, in causa fuerunt illa prodigiosa miracula, de quibus paulo ante mentionem fecimus. propter quæ propheta gaudens vnà cum gaudente populo, & lætitiam intra se non continens, exorsus est canticum. id populus audiens, in duos choros secessit, & canentem imitatus est. Hoc fuit prophetiæ Mosis principium & quasi prooemium. Secundum eius oraculum fuit de cibo re cum primis necessaria: quem terra negante vtpote sterili, cælum depluit: idque non semel, sed per annos quadraginta, quotidie sub auroram decidente ex æthere cum rore quadam milij similitudine. Quo cibo viso Moses iussit colligere sic diuinitus præmonitos. Credendum est & fidendum Deo, cuius experti sumus tot spe maiora beneficia. nemo hunc cibum reponat recondátve. nemo quicquam ex eo relinquat in crastinum. His auditis quidam nondum in pietate confirmati, rati fortasse hanc adhortationem principis magis quam oraculum, in crastinum partem seruauerunt. ea putrefacta primùm tota castra foetore compleuit, deinde amplius corrupta, protulit vermiculos. quod vbi vidit Moses non immerito in contumaces excanduit. Qui enim non irasci poterat, animaduertens post tot prodigia iuxta humanam rationem vix credibilia, tam facile perpetrata diuinitus, esse qui non modo dubitent de diuina prouidentia, verum etiam nullam prorsus fiduciam in ea collocent. Cæterum pater omnipotens duobus euidentissimis argumentis commendauit prophetæ vaticinium: altero confestim per corruptionem foetorémque reliquiarum & mutationem in vermes animal vilissimum: altero vero paulo post. Semper enim quicquid supererat post collecta populariter, radijs solaribus liquefactum dissoluebatur absumebatúrque. Nec ita multo post prodidit aliud oraculum de sacrosancto sabbato. cum enim is dies haberet à natura priuilegium, non solum ex quo mundi natalis factus est, verum etiam ante creatum mundum sensibilem, nesciebant hoc homines, fortasse propter multas clades acceptas diluuijs & incendijs interrupta memoria per manus à maioribus tradi solita.

A σις φύνται σύμμετρος, ἥδιστον καὶ πολυαρμόνιον ἀποτελεῖται μέλος. τὰς δὲ τοσαύτας μυριάδας ἐπεῖσεν ὁμογνωμονῆσαι, τὸν αὐτὸν ὕμνον ἐν ταυτῷ συνᾴδειν, τὰ τεράστια ἐκεῖνα καὶ μεγαλουργηθέντα, περὶ ὧν ὀλίγῳ πρότερον διεξῆλθον· ἐφ' οἷς ὁ προφήτης γεγηθὼς, ὁρῶν καὶ τὸ τοῦ ἔθνος περιχαρείας, οὐδ' αὐτὸς ἔτι χωρῶν τὴν ἡδονὴν, κατῆρχε τῆς ᾠδῆς· οἱ δ' ἀκούοντες εἰς δύο χοροὺς διαιρεθέντες τὰ λεχθέντα συνῇδον. Τοῦτ' ἔστι τῆς κατ' ἐνθουσιασμὸν προφητείας Μωϋσέως ἀρχὴ καὶ προοί-
B μιον. ἑξῆς δὲ θεσπίζει περὶ τῆς πρώτου καὶ ἀναγκαιοτάτου τροφῆς, ἣν γῆ μὲν οὐκ ἤνεγκε· καὶ γὰρ ἦν στεῖρα καὶ ἄγονος· ὤμβρησε δὲ οὐρανὸς οὐχ ἅπαξ, ἀλλὰ ἐπὶ τεσσαρακονταετίαν ἑκάστης ἡμέρας περὶ τὴν ἕω καρπὸν αἰθέριον ἐν δρόσῳ κέγχρῳ παραπλήσιον· ὃ ἰδὼν Μωϋσῆς συγκομίζειν κελεύει, καὶ ἐπιθειάσας, φησὶ, πιστεύειν δεῖ τῷ θεῷ πεπειραμένους αὐτοῦ τὴν εὐεργεσίαν ἐν μείζοσιν ἐλπίδος πράγμασιν· ἀποθησαυριζέσθω, ἀταμίευτα τὰ τῆς τρο-
C φῆς ἔστω· μηδεὶς ἄχρι πρωΐας ὑπολειπέσθω μηδὲν αὐτῆς μέρος. τοῦτ' ἀκηκοότες ἔνιοι τῶν πρὸς εὐσέβειαν ἀνερματίστων, ὑπολαβόντες ἴσως οὐ χρησμοὺς, ἀλλὰ παραίνεσιν ἄρχοντος εἶναι τὰ λεγόμενα, λείπουσιν εἰς τὴν ὑστεραίαν· ὃ δὲ σηπόμενον, τὸν κύκλον τοῦ στρατοπέδου δυσοδμίας πληροῖ τὸ πρῶτον, εἶτα εἰς σκώληκας, ὧν ἡ γένεσις ἐκ φθορᾶς ἐστι μετέβαλεν· ἅπερ ἰδὼν Μωϋσῆς εἰκότως ἐπὶ τοῖς ἀπειθέσι πικραίνεται. πῶς γὰρ οὐκ ἔμελλεν, εἰ τοσαῦτα καὶ τηλικαῦτα θεασάμενοι, πρὸς
D μὲν τὰς πιθανὰς καὶ εὐλόγους φαντασίας ἀδυνάτα προσχεθῆναι, πληρωθέντα δ' εὐμαρῶς ἐπιφερομέναις θείαις, οὐκ ἐνδοιάζουσι μόνον, ἀλλὰ καὶ ἀπιστοῦσιν οἱ δυσμαθέστατοι πάντων. ἀλλ' ὅγε πατὴρ δυοῖν ἐναργεστάταις ἀποδείξεσι, τὸ λόγιον τοῦ προφήτου διεσυνέστησεν, ὧν τὴν μὲν ἑτέραν εὐθὺς ἀπεδείξατο φθορᾷ τοῦ ὑπολειφθέντος καὶ δυσωδίᾳ, καὶ τῇ πρὸς σκώληκας τὸ φαυλότατον ζῷον μεταβολῇ· τὴν δ' ἑτέραν ὕστερον. ἀεὶ γὰρ τὸ πλεο-
E νάζον τοῦ συγκομισθέντος ὑπὸ τοῦ πλήθους, ταῖς ἡλιακαῖς ἀκτῖσι διελύετο, καὶ τηκόμενοι ἐξανηλοῦτο, δεύτερον οὐκ εἰς μακρὰν ἀποθεσπίσας ἀποφθέγγεται λόγιον, τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης. ἔχουσα γὰρ αὐτὴν ἐν τῇ φύσει πρεσβευομένην, οὐκ ἀφ' οὗ μόνον ἐδημιουργήθη ὁ κόσμος, ἀλλὰ καὶ πρὸ τῆς οὐρανοῦ καὶ πάντων τῶν αἰσθητῶν γενέσεως, ἠγνόησαν ἄνθρωποι, τάχα που διὰ τὰς ἐν ὕδασι καὶ πυρὶ γινομένας συνεχεῖς καὶ ἐπαλλήλους φθορὰς, οὐ δυνηθέντων παρὰ τῶν προτέρων διαδέξασθαι μνήμην τὴν ἐπὶ τῆς

τῆς κατὰ τὸν ἐν χρόνοις εἱρμὸν ἀκολουθίας καὶ τάξεως, ὅσπερ ἀδηλούμενον ἐπιθεσπίσας ἀνέφηνε λογίῳ μαρτυρηθέντι διά σημείου τινὸς ἐναργοῦς. τὸ δὲ σημεῖον, τοιοῦτον ἦν· ἐλάττων μὲν ἀπὸ ἀέρος ἐγένετο ἡ φορὰ ταῖς προτέραις ἡμέραις τῆς τροφῆς· τότε δ' αὖ διπλασίων. καὶ ταῖς μὲν προτέραις εἴ τι κατελείφθη, λειβόμενον ἐτήκετο, μέχρι τοῦ παντελῶς εἰς νοτίδα μεταβαλὸν ἀναλωθῆναι· τότε δὲ ἑβδόμην δεχόμενον τροφὴν, ἐν ὁμοίῳ διέμενεν, ἐφ' οἷς ἀγγελλομένοις καὶ ἅμα ὁρωμένοις καταπλαγεὶς Μωϋσῆς, οὐκ ἐστοχάσατο μᾶλλον ἢ θεοφορηθεὶς ἐθέσπισε τὴν ἑβδόμην. ἐῶ λέγειν ὅτι καὶ αἱ τοιαῦται εἰκασίαι συγγενεῖς προφητείας εἰσίν. ὁ γὰρ νοῦς οὐκ ἂν οὕτως εὐσκόπως εὐθυβόλησεν, εἰ μὴ καὶ θεῖον ἦν πνεῦμα τὸ ποδηγετοῦν πρὸς τὴν ἀλήθειαν. τὸ δὲ τεράστιον οὐ μόνον ἐν τῷ διπλασιασθῆναι τὴν τροφὴν ἐδηλοῦτο, οὐδ' ἐν τῷ διαμεῖναι σῶον παρὰ τὸ καθεστὸς ἔθος, ἀλλὰ καὶ ἐν τῷ ἀμφότερα ταῦτα συμβῆναι κατὰ τὴν ἕκτην ἡμέραν, ἀφ' ἧς ἤρξατο ἀπὸ ἀέρος ἡ τροφὴ χορηγεῖσθαι, μεθ' ἣν ὁ ἱερώτατος ἀριθμὸς τῆς ἑβδόμης ἔμελλεν ἀνατέλλειν· ὥστε λογιζόμενος ἄν τις εὕροι κατὰ τὴν ἀκολουθίαν τῆς τοῦ κόσμου γενέσεως τὴν οὐράνιον δοθεῖσαν τροφήν. ἤρξατο γὰρ καὶ τὸν κόσμον ἐξάδος τῇ προτέρῃ δημιουργεῖν, καὶ τὴν λεχθεῖσαν ὕειν τροφήν. ἡ δὲ εἰκὼν ὁμοιοτάτη. καθάπερ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸ τελειότατον ἔργον τὸν κόσμον ἀνέφηνε· τὸν αὐτὸν τρόπον καὶ εὐθηνίαν ἐν ἐρημίᾳ μεταβαλὼν τὰ στοιχεῖα πρὸς τὸ κατεπεῖγον τῆς χρείας, ἵνα ἀντὶ γῆς ὁ ἀὴρ σιτία τροφὴν ἄπονον φέρῃ καὶ ἀταλαίπωρον, οἷς ἀναχωροῦσιν οὐκ ἦν εὐτρεπίζεσθαι κατὰ σχολὴν τὰ ἐπιτήδεια. μετὰ ταῦτα τρίτον ἀναφθέγγεται χρησμὸν τερατωδέστατον, δηλονότι τῇ ἑβδόμῃ τὴν εἰωθυῖαν ὁ ἀὴρ οὐ παρέξει τροφὴν, καὶ οὐδὲν ἐπὶ γῆν, ἀλλ' οὐδὲ τὸ βραχύτατον ὡς ἔθος συνενεχθήσεται· τοῦτο δὲ ἀπέβαινεν ἔργοις. τῇ μὲν γὰρ προτεραίᾳ ταῦτα θεσπίζει. τινὲς δὲ τῶν ἀβεβαίων τὸ ἦθος, ὥρμησαν ἐπὶ τὴν συγκομιδὴν, καὶ σφαλέντες τῶν ἐλπίδων, ἐπανῄεσαν ἄπρακτοι, κακίζοντες μὲν ἑαυτοὺς τῆς ἀπιστίας, ἀληθόμαντιν δὲ καὶ θεοφορούμενα καὶ μόνον προορατικὸν τῶν ἀδήλων ἀνακαλοῦντες τὸν προφήτην. τοιαῦτα μὲν ἐπὶ τῆς οὐρανίου τροφῆς κατεχόμενος ἐθέσπισεν· ἕτερα δ' ἑξῆς ἀναγκαῖα, καίτοι δόξαντ' ἂν παραινέσεσιν ἐοικέναι μᾶλλον ἢ χρησμοῖς, ὧν ἐστι καὶ τὸ χρησθὲν κατὰ τὴν μεγίστην τῶν πατρίων ἐκδιαίτησιν, περὶ ἧς ἔμπροσθεν εἶπον, ἡνίκα τεκτηνάμενοι ταῦρον χρυσοῦν αἰγυπτιακοῦ μίμημα τύφου,

A eam rem iam obscuratam ille declarauit oraculo mox euidenti prodigio comprobatam in hunc modum. præcedentibus diebus depluerat minus alimentorum, deinde duplum vna die: & quod prioribus supererat liquescebat in humorem inutilem: tunc vero incorruptum permanebat. His nunciatis simulque conspectis Moses stupefactus, non tam coniecturis quam diuino monitu edoctus est de sabbato, quamuis etiam
B coniecturæ tales cognationem quandam habent cum prophetia. mens enim nunquam tam bene coniiceret, nisi deduceretur ad veritatem diuino spiritu. id miraculum eo fuit euidentius, quod præter duplicatam cibi mensuram, & eius incorruptionem insolitam, vtrumque hoc incidebat in diem sextum ab eo quo primum pluere cœperat, videlicet in proximum a mox secuturo septimo. ex qua supputatione de-
C prehenditur, seruatum esse in mundi creatione & in cælesti demenso eundem ordinem. nam & hoc & illa incepit à primo è sex profestis diebus. est autem vtrumque opus alteri simile. Sicut enim mundus è nihilo creatus & absolutus est: sic elementis præsenti necessitati seruientibus, aer in terræ vicem succedens alimenta nullo labore quæsita copiose suggessit hominibus non valentibus parare sibi vi-
D ctum in solitudine. tunc tertium oraculum vates protulit mirificum, quando prædixit cælestis cibi pluuiam cessaturam die septimo, ac ne micam quidem casuram eo tempore: nec aliter euenit. cum enim postridie quàm præmoniti fuerant, quidam è mobili vulgo ad colligendum extra castra prodiissent, reuersi sunt vacui, damnantes suam incredulitatem, prophetam autem prædicantes veracem, diuinum, & solum futuri
E præscium. Hæc sunt quæ de cælesti commeatu præmonuit ipse Dei spiritu monitus. Quæ autem prodidit postea, ad præcepta magis pertinere videntur quam ad oracula, & in his vnum de maximo delicto gentis in religione patria, sicut ante diximus, quando fabrefacto iuuenco ad exemplar typhi Ægyptiaci, choreas agitabant,

exstructisque aris mactabant victimas, obliti veri numinis & pietatis acceptæ à maioribus, & non mediocribus incrementis auctæ vsque ad illa tempora. Id vero Moses tulit indignissime: primùm repente cæcatum esse totum populum, qui paulo ante perspicacior sapientiórque fuerat omnibus allis gentibus: deinde vanissimam fabulam potuisse tantam lucem veritatis extinguere, quæ nec solis nec vniuersorum siderum obscurari potest deliquio. Contenta est etiam proprio splendore intelligibili & incorporeo, ad quem collatus iste sensibilis, perinde superatur ac nox cum die composita. Has ob causas propheta iam multum sui dissimilis cursu prorumpit in medium, & vultu mentéque numen præferens exclamat: Quis est ab errore liber? quis à profanis sacris abstinuit? accedat ad me quisquis talis est. Cumque vna tribus se adiunxisset non minus animo quam corpore, iam ante animata in impiorum scelestorúmque perniciem, sed ducem imperatoremque requirens, qui legitimè tempus modumque vltionis præscriberet: horum promptam fidelemque operam libenter accipiens: agite, inquit, arripite gladios, & discurrentes per castra pro se quisque occidite non solum alienos, verum etiam familiaritate cognationéque proximos nullo respectu affectuum: existimatéque hoc facinus sanctissimum pro vindicatur pietas & religio, Deo fauente harum-propugnatoribus. Hac exhortatione factum est vt primo impetu cæsa sint virorum tria milia, qui autores impietatis præcipui fuerant; atque ita non solum depulsa est suspicio communicatæ culpæ ab innoxijs, verum etiam rei fortiter gestæ retulerunt merita præmia, aucti honore sacerdotij qui religionis iniuriam vlti fuerant. Est & aliud eius oraculum coniunctum cum maiore prodigio, cuius supra mentionem feci de pontificatu prophetæ disserens: id quoque prolatum ex afflatu numinis, sine dilatione euentus consecutus est. Templi ministrorum duo sunt ordines, sacerdotum potior, æditorum inferior. erant illo tempore tres sacerdotes, æditorum multa milia. Hi freti suorum multitudine paucitatem sacerdotum contemnebant peccato non simplici, dum & maioribus adimunt

A χορούς ἵσαντες, καὶ βωμοὺς κατεσκεύαζον, καὶ θυσίας ἀνῆγον, ἐκλαθόμενοι τοῦ πρὸς ἀλήθειαν θεοῦ, καὶ τὴν προγονικὴν εὐγένειαν, ἣ δι' εὐσεβείας καὶ ὁσιότητος ηὐξήθη καθαιροῦντες· ἐφ' οἷς Μωϋσῆς περιπαθήσας ἦν, εἰ πρῶτον μὲν πᾶς ὁ λεὼς ἐξαίφνης γεγένηται τυφλὸς, ὁ ἄχρι πρὸ μικροῦ πάντων ἐθνῶν ὀξυωπέστατος· ἔπειτα δὲ, εἰ πλάσμα μύθου κατεψευσμένον ἴσχυσε τοσαύτην αὐγὴν σβέσαι τῆς ἀληθείας, ἣν οὔθ' ἥλιος ἐκλιπὼν, οὔθ' ὁ σύμπας χορὸς τῶν ἀστέρων ἐπισκιάσει. B περιλαμβάνεται γὰρ ἰδίῳ φέγγει νοητῷ καὶ ἀσωμάτῳ, πρὸς ὃ παραβαλλόμενον τὸ αἰσθητὸν, νὺξ ἂν πρὸς ἡμέραν εἶναι νομισθείη· διὰ ταῦτα καὶ τὰς αἰτίας οὐκ ἔτι μένων ὁ αὐτὸς ἐξαλλάττεται τό, τε εἶδος καὶ τὴν διάνοιαν, καὶ ἐπιθειάσας φησίν, εἴ τίς ἐστιν ὁ μὴ τῇ πλάνῃ συνενεχθεὶς, μηδὲ τὸ κῦρος ἐπιφημίσας τοῖς ἀκύροις· πᾶς ὁ τοιοῦτος ἐμοὶ προσίτω· μιᾶς δὲ φυλῆς προσελθούσης οὐχ ἧττον ταῖς διανοίαις ἢ τοῖς σώμασιν, οἳ πάλαι μὲν ἐφέδρων κατὰ τῶν ἀθέων καὶ ἀνοσιουρ- C γῶν, ἡγεμόνα δ' ἐζήτουν καὶ στρατάρχην ἄνδρα, ὃς ἐνδίκως ὑφηγήσεται καιρὸν καὶ τρόπον τῆς ἀμύνης, οἷς ὀργῶντας εὖ ῥώμῃ καὶ γέμοντας εὐτολμίας, καὶ παραστήματος, ἔτι μᾶλλον ἢ πρότερον θεοφορηθεὶς, ξίφος ἕκαστος ὑμῶν, φησὶν, ἀναλαβὼν, ἐφορμάτω τε διὰ παντὸς τοῦ στρατοπέδου, καὶ κτεινέτω μὴ μόνον ἀλλοτρίους, ἀλλὰ καὶ φίλων καὶ συγγενῶν τοὺς οἰκειοτάτους ἐπιστροφάδην, εὐαγέστατον κρίνων τὸ ἔργον ὑπὲρ ἀληθείας καὶ θεοῦ τιμῆς, ὧν ὑπερμαχεῖν καὶ προαγωνίζεσθαι κουφότατος D πόνος. οἱ δ' αὐτοβοεὶ τρισχιλίους κτείναντες τοὺς ἀρχηγέτας μάλιστα τῆς ἀσεβείας γενομένους, οὐκ ἀπελογήσαντο μόνον περὶ τοῦ μὴ συνεφάψασθαι τοῦ τολμήματος, ἀλλὰ καὶ ἐν ἀριστείων τοῖς γνησιωτάτοις ἀνεγράφησαν, καὶ γέρως ἠξιώθησαν οἰκειοτάτου ταῖς πράξεσιν, ἱερωσύνης. ἔδει γὰρ θεραπευταῖς ὁσιότητος γενέσθαι τοὺς ὑπὲρ αὐτῆς ἀνδραγαθησαμένους καὶ προπολεμήσαντας. ἔχω δέ τι μηνῦσαι σημειωδέστερον λόγιον, περὶ οὗ καὶ πάλαι διεξῆλθον, ὅτε καὶ τὰ τῆς ἀρχιερωσύνης ἐπήειν τοῦ E προφήτου, ὅπερ αὐτὸς πάλιν κατασχεθεὶς ἀνεφθέγξατο, τελεσθὲν οὐ μακροῖς χρόνοις ὕστερον, ἀλλ' εὐθὺς ὅτε ἐχρησμῳδεῖτο. τῶν περὶ τὸν νεὼν λειτουργιῶν δύο τάξεις εἰσίν· ἡ μὲν κρείττων ἱερέων, ἡ δὲ ἐλάττων νεωκόρων· ἦσαν δὲ κατ' ἐκεῖνον τὸν χρόνον τρεῖς μὲν ἱερεῖς, νεωκόρων δὲ πολλαὶ χιλιάδες οὗτοι φυσηθέντες ἐπὶ τῇ τοῦ οἰκείου πλήθους περιουσίᾳ, τῆς τῶν ἱερέων κατεφρόνουν ὀλιγότητος· καὶ δύο ἐν τῷ αὐτῷ παρανομήματα συνύφαι-

νον· ὧν ἡ μὲν ἦν καθαίρεσις τῶν ὑπερεχόντων, ἡ δὲ αὔξησις τῶν ἐλαττόνων, οἷα ἡγεμόσιν ὑπηκόων ἐπιτιθεμένων ἐπὶ συγχύσει τοῦ κρατίστου, καὶ δημωφελεστάτου τῆς τάξεως· εἶτα συνιστάμενοι καὶ ἀθροιζόμενοι κατεβόων τοῦ προφήτου, ὡς δι' οἰκειότητα τῷ τε ἀδελφῷ καὶ τοῖς ἀδελφιδοῖς χαρισαμένου τὴν ἱερωσύνην, καὶ ἐπιψευσαμένου τὰ περὶ τὴν αἵρεσιν αὐτῶν, ὡς ἐπιφροσύνῃ θείᾳ καθάπερ διεξήλθομεν γινόμενα. ἐφ' οἷς ἀνιαθεὶς καὶ περιαλγήσας, καίτοι πρᾳότατος ὢν καὶ ἡμερώτατος, οὕτως πρὸς δικαίαν ὀργὴν ὑπὸ μισοπονήρου πάθους ἠκονήθη, ὡς ἱκετεῦσαι τὸν θεὸν ἀποστραφῆναι τὴν θυσίαν αὐτῶν· οὐκ ἐπειδήπερ ἔμελλεν ὁ δικαιότατος κριτὴς ἱερουργίας ἀσεβῶν προσδέχεσθαι, ἀλλ' ὅτι καὶ ἡ ψυχὴ τοῦ θεοφιλοῦς τὸ κατ' αὐτὴν μέρος οὐχ ὑποσιωπᾷ, σπεύδουσα μὴ ἐνδεῖν ἀνοσίοις, ἀλλ' ἀεὶ τῆς προθέσεως διαμαρτάνειν. ἔτι δὲ ζέων καὶ πεπυρωμένος ὑπὸ τῆς νομίμου διαγανακτήσεως, ἐνθουσιᾷ, καὶ μεταβαλὼν εἰς προφήτην, θεσπίζει τάδε· χαλεπὸν ἀπιστία πρᾶγμα τοῖς ἀπίστοις μόνοις· τούτοις οὐ λόγοις, ἀλλὰ καὶ ἔργα παιδεία· παθόντες εἴσονται τὸ ἐμὸν ἀψευδές, ἐπεὶ μανθάνοντες οὐκ ἔγνωσαν. ἐπικριθήσεται δὲ τοῦτο τῇ τοῦ βίου τελευτῇ. εἰ μὲν γὰρ δέξονται τὸν κατὰ φύσιν θάνατον, πέπλασμαι τὰ λόγια· εἰ δὲ καινόν τινα καὶ παρηλλαγμένον, τὸ φιλάληθές μοι μαρτυρηθήσεται. χάσματα γῆς ὁρῶ διηνοιγμένης ἐπὶ μήκιστον εὐρυνόμενα, πολυανθρώπους ἀπολλυμένους, συγγενείας αὐτάνδρους ὑποσυρομένας, καὶ συγκαταπινομένας οἰκίας, ζῶντας ἀνθρώπους εἰς ᾅδου κατερχομένους· ἐπεὶ δὲ ἡσύχασε, ῥήγνυται μὲν ἡ γῆ σεισμῷ τιναχθεῖσα, ῥήγνυται δέ, καθ' ὃ μέρος μάλιστα αἱ σκηναὶ τῶν ἀσεβῶν ἦσαν, ὡς ὑπενεχθείσας ἀθρόως ἐπικρυφθῆναι. τὰ γὰρ διαστάντα μέρη, πάλιν συνῆλθε τῆς χρείας ἀποτελεσθείσης, ἧς ἕνεκα διεζεύχθη. μικρὸν δὲ ὕστερον τοὺς τῆς στάσεως ἡγεμόνας πεντήκοντα πρὸς τοῖς διακοσίοις ἄνδρας κεραυνοὶ κατασκήψαντες αἰφνίδιον, ἀθρόους ἐξανάλωσαν, μηδὲν μέρος ὑπολειπόμενοι τῶν σωμάτων, ὃ ταφῆς ἐπιμοιράσεται. τὸ δὲ τῶν τιμωριῶν ἐπάλληλον, καὶ τὸ ἑκατέρας μέγεθος, διάσημον καὶ περιβόητον ἀπέφηνε τὴν εὐσέβειαν τοῦ προφήτου, χρησαμένου θεῷ μάρτυρι τῆς περὶ τοὺς χρησμοὺς ἀληθείας. ἄξιον δὲ κἀκεῖνο μὴ παριδεῖν, ὅτι τὰς κατὰ τῶν ἀσεβῶν κολάσεις διεκληρώσαντο γῆ καὶ οὐρανός, αἱ τοῦ παντὸς ἀρχαί. τὴν γὰρ μοχθηρίαν ἐρρίζωσαν μὲν ἐπὶ γῆς, ἐξέτειναν δὲ εἰς αἰθέρα, τοσοῦτον

A honorem debitum, & minores vltra modum extollunt, sicut fit insurgentibus contra suos præfectos subditis, turbatóque ordine publico. Deinde cœtus faciendo clamabant in prophetam, quòd propter domesticam necessitudinem fratri eiusque filijs donasset sacerdotium conficto oraculo, vt videretur id ex autoritate Dei facere. Quamobrem exasperatus alioqui vir ingenij mitissimi, non tulit tam insignem
B iniuriam simul & maliciam, petiitque à Deo vt auersaretur illorum sacrificia: non quòd periculum esset ne iustissimus iudex sacra impiorum acciperet, sed quia hic est peculiaris affectus Deo chari animi, aduersari propalam nefarijs conatibus. Nec dum iusta indignatio furórque deferbuerat, cum numine afflatus insuper hoc edidit vaticinium. Graue malum est incredulitas, sed solis perniciosum incre-
C dulis. Hi factis non dictis castigandi sunt. Pœna docebit eos me non mentiri, quando scire nolunt quod sciunt. Mors decernet de hac controuersia. Si naturali morte decedent, fictum est meum oraculum. Quod si nouo inusitatoque lethi genere absumentur, testata erit mea veracitas. Video terram vasto specu dehiscere, absorberi numerosas cognationes vnà cum suis tabernaculis, viuos homines ad inferos de-
D scendere. Vix hæc effatus erat cum terra concussa rumpitur eo potissimum loco vbi tendebant impij: momentoque temporis vniuersos operit. Rursum enim hiatus coiuit, velut suo defunctus officio. Nec ita multo post seditiosi ducenti quinquaginta qui præcipui tumultus autores fuerant, repente de cælo tacti vnà conflagrauerunt, ne minimo quidem membro relicto quod sepulchris posset inferri. Atque ita horrendis pœnis cumulatis alijs su-
E per alias magnopere illustrata est prophetæ pietas, Deo testimonium præbente veritati oraculorum. Vbi operæpretium est considerare quomodo cælum terráque pœnas exegerunt ab impijs hominibus, ceu diuisis munijs inter primarias mundi partes, vnde cæteræ sumpserunt originem. Nimirum quia scelesti maliciam suam radicatam in terra, in tantam

altitudinem extulerunt extenderúntque, vt cælum attingeret, ideo terra simul & æther in eos sæuijt. Altera diducens se, vt absorberet inutilia pondera, alter exurens eos fulminibus, imbris in morem densis & crebro micantibus. Finis autem & absorptorum & exustorum idem fuit. Nam vtrique disparuerunt, alteri operti solo restituto in pristinam planiciem, alteri absumpti fulmineis ignibus. Postremo migraturus ad superos, & exuta mortalitate ad immortalitatem transferendus, vocante patre vt eum è duplici corporis animæque natura transformaret in simplicem, iam tum prope totus versus in animum & quidem illustratissimum, repletus diuino spiritu, non solum in vniuersum gentem suam præmonuit, verumetiam singulis tribubus suos casus futuros aperuit: quorum pars iam euenit, reliquum adhuc exspectatur, ea fide repræsentandum olim, quam experti sumus in præteritis oraculorum euentibus. Postulabat enim rei dignitas, vt quorum tam diuersa fuit origo, præsertim materno genere, hi secuturi diuersa studia consiliáque, haberent etiam sua fata præsignata oraculis. Miranda sunt hæc, sed magis etiam mirari conuenit finem sacrorum quæ reliquit voluminum, quæ sunt ceu caput iuris totius. iam enim assumendus, & in ipsis stans carceribus vnde ad cælestem metam erat euolaturus, tunc quoque afflatus diuinitus, viuens adhuc prophetauit de seipso tanquam mortuo, ante obitum narrans se mortuum sepultúmque inspectante nemine, videlicet manibus non mortalium, sed virtutum immortalium, ne maiorum quidem monumentis illatum: quippe cui monumentum contigit eximium, haud cuiquam notum homini. Luxit eum vniuersa gens lacrymis diffluens per mensem integrum, accedentibus ad publicum luctum priuatis affectibus, quandoquidem erat inenarrabilis eius prouidentia beneuolentiáque erga vniuersos ac singulos. Huiusmodi fuit vita obitúsque Mosis, regis, legislatoris, vatis & pontificis, sicut sacris literis proditur.

A ὕψος αὐτὴν διαίροντες· ὅθεν καὶ τῶν στοιχείων ἑκάτερον ἐχορήγησε τὰς τιμωρίας· ἡ μὲν, ἵν' ἀποσύρῃ καὶ καταπίῃ τοὺς τότε βαρύνοντας αὐτὴν ῥαγεῖσα καὶ διαστᾶσα· ὁ δ' ἵνα καταφλέξῃ καὶ διαφθείρῃ, πυρὸς πολλοῦ φορὰν, καινότατον ὑετὸν ὀμβρήσας· τὸ δὲ τέλος καὶ τοῖς καταποθεῖσι καὶ τοῖς ὑπὸ τῶν κεραυνῶν διεφθαρμένοις ταυτὸν ἀπέβαινε. οὐδέτεροι γὰρ ἐφάνησαν, οἱ μὲν ἐπικρυφθέντες γῇ, τῇ τοῦ χάσματος συνόδῳ πρὸς τὸ ἰσόπεδον ἑνωθείσῃ· B οἱ δ' ὅλοι δι' ὅλων ἀναλωθέντες ὑπὸ τοῦ κεραυνίου πυρός. χρόνοις δ' ὕστερον, ἐπειδὴ τὴν ἐνθένδε ἀποικίαν ἔμελλεν εἰς οὐρανὸν στέλλεσθαι, καὶ τὸν θνητὸν ἀπολιπὼν βίον ἀπαθανατίζεσθαι, μετακληθεὶς ὑπὸ τοῦ πατρὸς, ὃς αὐτὸν δυάδα ὄντα σῶμα καὶ ψυχὴν, εἰς μονάδος ἀνεστοιχείου φύσιν, ὅλον δι' ὅλων μεθαρμοζόμενος εἰς νοῦν ἡλιοειδέστατον· τότε δὴ κατασχεθεὶς, οὐκέτι συλλήβδην ἀθρόῳ παντὶ τῷ ἔθνει θεσπίζειν ἔοικεν, ἀλλὰ καὶ κατὰ μέρος ἑκάστῃ φυλῇ, τὰ μέλλοντα καὶ γενεαῖς αὖθις C ἀποβησόμενα· ὧν τὰ μὲν ἤδη συμβέβηκε, τὰ δὲ προσδοκᾶται· διότι πίστις τῶν μελλόντων ἡ τῶν προγεγονότων τελείωσις. ἥρμοττε γὰρ διαφέροντας καὶ ταῖς σποραῖς, καὶ μάλιστα ἐν τοῖς μητρῴοις γένεσι, καὶ βουλευμάτων πολυτρόποις ἰδέαις, καὶ τῶν περὶ τὸν βίον ἐπιτηδευμάτων ἀμυθήτοις διαφοραῖς, ὥσπερ τινὰ κλῆρον δαιμονίων λόγων καὶ χρησμῶν εὑρέσθαι. θαυμάσια μὲν οὖν ταῦτα· θαυμασιώτατον δὲ καὶ τὸ τέλος τῶν ἱερῶν γραμμάτων, ὃ καθάπερ ἐν τῷ ζώῳ κεφαλὴ τῆς ὅλης D νομοθεσίας ἐστίν. ἤδη γὰρ ἀναλαμβανόμενος, καὶ ἐπ' αὐτῆς βαλβῖδος ἑστὼς, ἵνα τὸν εἰς οὐρανὸν δρόμον διανύῃ διιπτάμενος, καταπνευσθεὶς καὶ ἐπιθειάσας ζῶν ἔτι, τὰ ὡς ἐπὶ θανόντι ἑαυτῷ προφητεύει δεξιῶς, ὡς ἐτελεύτησε μήπω τελευτήσας, ὡς ἐτάφη μηδενὸς παρόντος, δηλονότι χερσὶν οὐ θνηταῖς, ἀλλ' ἀθανάτοις δυνάμεσιν, ὡς οὐδ' ἐν τάφῳ τῶν προπατόρων ἐκηδεύθη, τυχὼν ἐξαιρέτου μνήματος, ὃ μηδεὶς εἶδεν ἀνθρώπων, ὡς σύμ- E παν τὸ ἔθνος αὐτὸν ὅλον μῆνα δακρυρροοῦν ἐπένθησεν, ἴδιον καὶ κοινὸν πένθος ἐπιδειξάμενον ἕνεκα τῆς ἀλέκτου καὶ πρὸς ἕνα ἕκαστον, καὶ πρὸς ἅπαντας εὐνοίας καὶ κηδεμονίας. τοιοῦτος μὲν ὁ βίος, τοιαύτη δὲ καὶ ἡ τελευτὴ τοῦ βασιλέως καὶ νομοθέτου καὶ ἀρχιερέως καὶ προφήτου Μωϋσέως διὰ τῶν ἱερῶν γραμμάτων μνημονεύεται.

ΠΕΡΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ.

PHILONIS IVDÆI, DE CHARITATE.

ΤΗΝ δὲ εὐσεβείας συγγενεστάτην καὶ ἀδελφὴν καὶ δίδυμον ὄντως ἑξῆς ἐπισκεπτέον, φιλανθρωπίαν, ἧς ἐρασθεὶς ὡς οὐκ οἶδ' εἴ τις ἕτερος ὁ πατὴρ τῶν νόμων· ὁδὸν γὰρ οἷα λεωφόρον ἄγουσαν ἐφ' ὁσιότητα ταύτην ἠπίστατο· τοὺς ὑφ' αὐτὸν ἅπαντας ἤλειφε καὶ συνεκρότει πρὸς κοινωνίαν, παράδειγμα καλὸν, ὥσπερ γραφὴν ἀρχέτυπον στηλιτεύσας τὸν ἴδιον βίον. τὰ μὲν οὖν ἐκ πρώτης B ἡλικίας ἄχρι γήρως εἰς ἐπιμέλειαν καὶ κηδεμονίαν ἑνὸς ἑκάστου καὶ πάντων ἀνθρώπων πεπραγμένα αὐτῷ, δεδήλωται πρότερον ἐν δυσὶ συντάξεσιν, ἃς ἀνέγραψα περὶ τοῦ βίου Μωϋσέως· ἑνὸς δὲ ἢ δυοῖν, ὧν ἐπὶ τελευτῇ κατώρθωσεν, ἀναγκαῖον ἐπιμνησθῆναι. δείγματα γάρ εἰσι τῆς συνεχοῦς καὶ ἀδιαστάτου καλοκαγαθίας, ἣν ἀσύγχυτον ἐπισφραγίσατο τῇ ψυχῇ, χαρακτῆρι θείῳ τυπωθεῖσαν. ἐπεὶ γὰρ ἡ προθεσμία τῆς θνητῆς ζωῆς C ἔμελλεν αὐτῷ περαιοῦσθαι, καὶ λογίοις ἀριδήλοις προέγνω τὴν ἐνθένδε μετάστασιν, οὐδένα τῶν ἄλλων ἢ βασιλέων ἢ ἰδιωτῶν ἐμιμήσατο, οἷς μία σπουδή τε καὶ εὐχὴ, κληρονόμους παῖδας καταλιπεῖν, ἀλλὰ, καίτοι πατὴρ γεγονὼς δυοῖν υἱοῖν, οὐδ' ἑτέρῳ τὴν ἀρχὴν ἀπέλιπεν, ἡττηθεὶς εὐνοίᾳ συγγενικῇ, καὶ πάθει φιλοικείῳ· καίτοι εἰ καὶ τὰ τῶν τέκνων δι' ὑποψίας ἦν, ἀδελφιδῶν γοῦν οὐκ ἠπόρει καλῶν καὶ ἀγαθῶν, οἳ γέρας ἀρετῆς ἔσχον τὴν ἀνωτάτω ἱερωσύνην· ἀλλ' D ἴσως ὁ μεθέλκειν αὐτοὺς ἀπὸ τῆς θείας λειτουργίας οὐκ ἐδοκίμαζεν, ἢ καὶ, ὅπερ εἰκὸς ἦν, ἐνενόησεν, ὅτι ἀμήχανον τοὺς αὐτοὺς δύνασθαι ἄμφω ἐπιτηδεύειν, ἱερωσύνης τε καὶ βασιλείας· ὧν ἡ μὲν ἐπαγγέλλεται θεοῦ θεραπείαν, ἡ δὲ ἀνθρώπων ἐπιμέλειαν. ἴσως δὲ καὶ κριτὴν αὐτὸν οὐκ ἠξίωσε γενέσθαι πράγματος μεγάλου· μέγιστον δὲ, ὅτι τὸν εὖ πεφυκότα πρὸς ἀρχὴν δοκιμάσαι, χαλεπὸν

NVNC germana gemelláque soror pietatis charitas consideranda est, adamata legislatori nostro, quantum vix vlli alteri. Cum enim sciret hanc esse publicam viam ad sanctitatem tendentium, omnibus suis subditis societatem benignitatémque commendauit, suam vitam imitandam proponens, tanquam pictam in tabula. Quicquid igitur à prima ætate vsque extremam senectutem priuatim publicéque gessit ad vtilitatem suorum hominum, supra dictum est in commentarijs, quos de vita Mosis inscripsimus: adijciemus tamen vnum alterúmve factum eius memorabile, iam propinqui vitæ termino. Erunt enim indicia honestatis illius bonitatísque perpetuæ, quam sanctissimæ animæ Deus ipse impresserat. Nam cum mortalis huius vitæ finis instaret, oraculo aperto de hoc præmonitus, nullum vel regem vel priuatum imitatus est, quorum vnicum votum habetur ac studium, hæredes liberos relinquere: sed quamuis pater esset duorum filiorum, neutrum successorem sibi optauit, victor affectuum erga cognatos ac domesticos. & poterat, si filios suspicabatur parum idoneos, certe fratris filios extollere iam virtute meritos sacerdotium, sed fortasse aut non placebat eos à diuinis rebus distrahi: aut potius cogitabat impossibile esse eundem hominem recte curare simul regnum & sacerdotium, quandoquidem alterum regionis alterum subditorum curam profitetur, aut fortasse non putauit rem tam magnam pertinere ad suum iudicium: maluítque iudicandam

Deo committere, qui pro sua potentia perspicit etiam intima pectorum. Hæc vera esse vel hinc colligitur. Erat ei amicus & familiaris penè à puero Iesus nomine, non vulgaribus conciliatus artibus, sed amore integro cælestique, ex quo omnes virtutes proueniunt. is etiam conuictor contubernalisque prophetæ fuit, nisi si quando ille secessum quæsiuit propter diuina colloquia. idem administrationis reipub. particeps, & tantum non principis vicarius, multa pro potestate solitus erat gerere attamen quamuis sciret hunc esse diu spectatæ probitatis hominem, dictis factisque honestatem eius expertus, & quæ maxime requirebatur, beneuolentiam erga populum, ne sic quidem ausus est ei principatum committere, ne forte opinione falleretur, non satis fidens humano iudicio. itaque ne sibiipsi quidem credens, supplex inuocauit Deum qui solus inuisibilem animam introspicit & mentium arcana penetrat, vt optimatibus eligeret vnum aliquem idoneum principem qui paternam curam subditorum gereret: sublatisque ad cælum puris & virgineæ (vt ita loquar) castitatis manibus, sic precatus est: Dispiciat Dominus Deus spirituum & vniuersæ carnis de homine qui plebem hanc curet pascátque, sine crimine, ne corrumpatur sicut grex dispersus carens magistri cura & diligentia. Quis non miretur has preces, dicátque: Here quid ais? Itáne tibi fratrique desunt germani filij, successores à natura dati? aut his aut illis principatum relinquito. Quod si neutros existimas idoneos, & potior est tibi reipublicæ quàm necessitudinis domesticæ ratio, habes certe amicum irreprehensibilem ac probatæ virtutis vel tuo iudicio sapientissimo. Quin igitur hunc, si probitas non genus spectatur, eligis? Verùm respondebit: cum in omnibus rebus non esse præcipitandum iudicium, tum in his potissimum, quæ recte aut secus administratæ, plurimis felicitatem aut calamitatem afferunt. Nihil autem principatu maius, cui belli pacisque arbitrium committitur à ciuibus. Quemadmodum enim ad prosperam nauigationem opus est bono peritóque gubernatore, sic etiam sapiente principe

A θείας δυνάμεως, ᾗ μόνῃ καθορᾶν ἤθη ἀνθρώπων ῥᾴδιον. πίστις δὲ σαφεστάτη τοῦ δηλουμένου γένοιτ' ἂν ἤδη· φίλος ἦν αὐτῷ καὶ γνώριμος ἐκ πρώτης σχεδὸν ἡλικίας γενόμενος, Ἰησοῦς ὄνομα, οὗ τὴν φιλίαν προὐξένησεν οὐδὲν τῶν παρὰ τοῖς ἄλλοις εἰωθότων, ἀλλ' ἔρως οὐράνιος καὶ ἀκήρατος, ἐξ οὗ πᾶσαν ἀρετὴν φύεσθαι συμβέβηκεν. οὗτος ὁμωρόφιος καὶ ὁμοδίαιτος ἦν αὐτῷ, πλὴν ὁπότε ἐπιθειάσειε καὶ χρησμῳδούμενος προσταχθείη μονοῦσθαι. ὑπηρέτει μέντοι καὶ ἄλλας ὑπηρεσίας, B αἷς τὰ πλήθη διέφερε, μονονουχὶ ὕπαρχος ὢν, καὶ τὰ τῆς ἡγεμονίας διοικῶν· ἀλλὰ καίτοι βάσανον ἀκριβῆ λαβὼν ἐκ μακρῶν χρόνων, τῆς ἐν τε λόγοις αὐτοῦ καὶ ἔργοις καλοκαγαθίας, καὶ τὸ ἀναγκαιότατον εὐνοίας τῆς πρὸς τὸ ἔθνος, οὐδὲ τοῦτον ᾠήθη χρῆναι καταλιπεῖν, δεδιὼς μὴ ψευδοδοξῇ, νομίζων ἀγαθὸν τὸν οὐκ ὄντα πρὸς ἀλήθειαν, ἐπειδὴ τὰ κριτήρια τῆς ἀνθρωπίνης γνώμης ἀμυδρὰ καὶ ἀβέβαιά πως εἶναι πέφυκεν. ὅθεν οὐ C προσπιστεύων ἑαυτῷ, ποτνιᾶται καὶ καθικετεύει τὸν ἀοράτου ψυχῆς ἔφορον θεὸν μόνον, ὃς διανοίας ἀκριβῶς θεωρεῖ, ἀριστίνδην ἑλέσθαι τὸν ἐπιτηδειότατον εἰς ἡγεμονίαν, ὃς οἷα πατὴρ ἐπιμελήσεται τῶν ὑπηκόων, καὶ τὰς καθαρὰς, καὶ ὡς ἂν εἴποι τις ἐπικώτερον παρθένοις χεῖρας εἰς οὐρανὸν ἀνατείνας, ἐπισκεψάσθω δὴ, φησὶ, κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ἄνθρωπον ἐπὶ τοῦ πλήθους εἰς ἐπιμέλειαν καὶ προστασίαν ποιμένος, ὃς ἀνυπαιτίως ἀφηγήσεται, ἵνα μὴ γένηται σαθρὸν D τὸ ἔθνος, οἷα ποίμνη σποράδην ἀγελάρχην οὐκ ἔχουσα. καίτοι τίς οὐκ ἂν κατεπλάγη τὴν ποτὲ τῆς εὐχῆς ἐπακούσας, τί φὴς εἰπὼν δέσποτα· οὐκ εἰσὶ μέν σοι γνήσιοι παῖδες, οὐκ εἰσὶ δὲ ἀδελφιδοῖ, μάλιστα μέντοι τοῖς υἱοῖς· κληρονόμοι γὰρ οὗτοι τῇ φύσει πρώτοις κατάλιπε τὴν ἀρχήν· εἰ δὲ ἀποδοκιμάζεις, τοῖς γοῦν ἀδελφιδοῖς· εἰ δὲ καὶ τούτους ἀνεπιτηδείους ὑπείληφας, τὸ ἔθνος προκρίνων τῶν συγγενεστάτων καὶ οἰκειοτάτων· ἀλλ' ἔστι γέ σοι φίλος ἄμεμπτος βάσανον ἀρετῆς τελείας δεδωκώς σοι τῷ παν- E σόφῳ. τί δὴ τοῦτον, εἰ μὴ γένους, ἀλλὰ καλοκαγαθίας, ἡ αἵρεσίς ἐστιν, οὐκ ἀξιοῖς δοκιμάζειν. ἀλλ' ἀποκρίνεται, ὅτι πάντων μὲν κρίσιν ποιεῖσθαι θέμις, διαφερόντως δὲ, ἐν οἷς τὸ εὖ γε ἢ χεῖρον, μυρίους ὅσους εἰς εὐδαιμονίαν ἀνήγαγεν, ἢ τοὐναντίον εἰς κακοδαιμονίαν· μεῖζον δ' οὐδὲν ἀρχῆς, ᾗ τὰ πόλεων ὅσα κατὰ πόλεμον ἢ καθ' εἰρήνην ἐπιτέτραπται. ὡς γὰρ πρὸς εὔπλοιαν ἀγαθοῦ καὶ τὴν γνώμην καὶ τὴν ἐπιστήμην δεῖ κυβερνήτου, τὸν αὐτὸν τρόπον καὶ πρὸς εὐνομίαν

ὑπηκόων τὴν ἑκάστου, πλὴν τό γε πρὸς ἡγεμόνος· σοφίαν δὲ πρεσβυτέραν οὐ μόνον τῆς ἐμῆς γενέσεως, ἀλλὰ καὶ τῆς τοῦ κόσμου παντὸς οὖσαν, οὔτε θέμις οὔτε δυνατὸν ἄλλον τινὰ κρίνειν, ἢ θεὸν, καὶ τοὺς ἀδόλως καὶ καθαρῶς καὶ γνησίως αὐτῆς ἐρῶντας. ἐδιδάχθην δ᾽ ἀπ᾽ ἐμαυτοῦ, μηδ᾽ ἄλλον τινὰ τῶν ἐπιτηδείων εἶναι δοκούντων, εἰς ἀρχὴν δοκιμάσαι. τὴν γοῦν ἐπιμέλειαν καὶ προστασίαν τῶν κοινῶν, οὔτ᾽ αὐτὸς ἐθελοντὴς εἱλόμην, οὔθ᾽ ὑπό τινος ἀνθρώπου χειροτονηθεὶς ἔλαβον, ἀλλὰ χρησμοῖς ἐναργέσι καὶ λογίοις ἀριδήλοις θεοῦ ἐμφανῶς θεσπίζοντος καὶ προστάττοντος ἀρχὴν ἀνεδεξάμην, ἱκετεύων καὶ ποτνιώμενος, εἰς τὸ μέγεθος ἀφορῶν τοῦ πράγματος, ἕως ἐπεὶ πολλάκις ἐκέλευσε, δείσας ἐπειθάρχησα. πῶς οὖν οὐκ ἄτοπον ἦν μὴ τοῖς αὐτοῖς ἴχνεσιν ἐπακολουθῆσαι, καὶ χρησάμενον ὅτ᾽ ἔμελλον ἀρχὴν δοκιμασθῆναι θεῷ, πάλιν ἐπ᾽ αὐτοῦ μόνου θέσθαι τὴν χειροτονίας τοῦ διαδόχου, μὴ συνεφαψαμένης ἀνθρωπίνης γνώμης, ἣν εἰκὸς συγγενεστέραν εἶναι τοῦ ἀληθοῦς, ἄλλως τε καὶ τῆς προστασίας, οὐκ ἐπὶ τῷ τυχόντι ἔθνει γινομένης, ἀλλὰ πολυανθρωποτάτῳ μὲν τῶν ἁπανταχῇ πάντων, ἐπάγγελμα δὲ ἐπαγγελλομένῳ μέγιστον, ἱκεσίαν τοῦ ὄντος, ὅς ἐστι ποιητὴς τῶν ὅλων καὶ πατήρ. ὃ γὰρ ἐκ φιλοσοφίας τῆς δοκιμωτάτης περιγίνεται τοῖς ὁμιληταῖς αὐτῆς, τοῦτο καὶ διὰ νόμων καὶ ἐθῶν Ἰουδαίοις, ἐπιστήμη τοῦ ἀνωτάτω καὶ πρεσβυτάτου πάντων, τὴν ἐπὶ τοῖς γεννητοῖς θεοῖς πλάνην ἀπωσαμένοις. γεννητὸς γὰρ οὐδεὶς ἀληθείᾳ θεός, ἀλλὰ δόξῃ μόνον, τὸ ἀναγκαιότατον ἀφῃρημένος ἀϊδιότητα. τοῦτο μὲν δὴ πρῶτον ἐναργέστατον δεῖγμα τῆς πρὸς ἅπαν τὸ ὁμόφυλον αὐτοῦ φιλανθρωπίας καὶ πίστεως ἔργον· ἕτερον δὲ τοῦ λεχθέντος οὐκ ἀποδέον. ἐπεὶ γὰρ ἄριστος ὢν ὁ φοιτητὴς αὐτοῦ καὶ μιμητὴς τῶν ἀξιεράστων ἠθῶν Ἰησοῦς, ἄρχειν ἐδοκιμάσθη κριτηρίοις θείοις, οὐχ ὥσπερ ἂν ἕτεροι ἐπὶ τῷ μὴ τοὺς υἱοὺς, ἢ τοὺς ἀδελφοὺς αἱρεθῆναι, κατηφὴς Μωϋσῆς, ἀλλ᾽ ὑποπλησθεὶς ἀλέκτου χαρᾶς, ὅτι μέλλοι τὸ ἔθνος ἐπιτρόπῳ χρῆσθαι τὰ πάντα ἀρίστῳ· καλὸν γὰρ καὶ ἀγαθὸν ἐξ ἀνάγκης ᾔδει τὸν ἀρέσαντα θεῷ, λαβόμενος τῆς τούτου δεξιᾶς, καὶ προαγαγὼν αὐτὸν εἰς ἠθροισμένον τὸ πλῆθος, μηδὲν περὶ τῆς αὑτοῦ τελευτῆς ἀλεγεινὸν ἐνθυμηθεὶς, ἀλλὰ ταῖς ἀρχαίαις εὐφροσύναις νέας ἑτέρας προσειληφὼς, ἐκ τῆς κατὰ ψυχὴν προθυμίας φαιδρὸς καὶ γεγηθὼς φησιν· ἐμοὶ μὲν ἀπαλλάττεσθαι καιρὸς ἤδη τῆς ἐν σώματι ζωῆς· ὁ δὲ τῆς ὑμετέρας ἐπίτροπος ἐπιμελείας οὗτός ἐστιν, αἱρεθεὶς ὑπὸ θεοῦ. καὶ τὰ χρησθέντα λόγια τῆς δοκιμασίας

A ad tuendam tranquillitatem bene constitutæ reipublicæ. Cæterum de sapientia, quæ non me tantum, sed & toto mundo est antiquior, non est fas quemquam iudicare, nisi Deum, aut aliquem sincerum, purum germanumque amatorem ipsius sapientiæ. Et iam ante exemplo meo didici, ne alijs quidem vtcunque idoneis in speciem, principatum decernere. Nam reipublicæ curam inuitus suscepi, non humanis suffragiis princeps B designatus, sed manifestis oraculis, diuina voce iubente, quantumlibet deprecarer molem rerum veritus, donec iterum atque iterum iubenti parere metu coactus sum. An non igitur absurdum fuerit, nunc non per eadem incedere vestigia: & cum ipse noluerim principatum nisi ex Dei sententia sumere, nunc arbitratu meo successorem eligere, ne hominum quidem expectatis suffragiis? præsertim cum agatur de re- C gimine gentis non vulgaris, sed primum populosissimæ omnium quotquot vsque sunt, deinde professæ rem maximam, cultum eius Qui est, patris conditorisque rerum omnium. quicquid enim aliis contingit ex optimæ cuiusque philosophiæ studio, id Iudæis ex suis legibus ac moribus, videlicet summi Dei noticia, repudiato errore deorum ex creaturis consecratorum. nullus enim creatus verè Deus est, quantumuis habeatur pro Deo, cum æter- D nitate, sine qua non est numen, careat. Hoc vnum euidens argumentum est eximiæ erga suam gentem caritatis atque fidei: alterum autem priore non inferius. Postquam enim optimus eius discipulus imitatórque Iesus propter mores amabiles princeps à Deo confirmatus fuit, Moses haudquaquam tristis ob fratrem filiósque præteritos, sed plenus ine- E narrabili gaudio, quòd prospectum esset genti de rectore modis omnibus incomparabili (id enim indubitatum erat de eo qui Deo placuerat) apprehensa eius dextra produxit eum ad concionem, nihil de imminente obitu suo solicitus: sed ad familiarem sibi hilaritatem accedente recenti lætitia, alacriter affatus est populum his verbis: Mihi iam instat tempus discedendi ex hac vita corporea: succedet autem in meam

curam hic electus à Deo. simulque protulit oraculum, cui mox creditum est. Tum ad Iesum versus, hortatur vt rem gerat strenuè: vtque bene consulat reipublicæ, ac constanter in bene consultis perseueret. Quamuis autem non erat opus hac adhortatione, tamen non potuit se continere, quin amicum admoneret officij, & tum quoque proferret affectum charitatis erga populum, cui tam diu præfuerat. Nec omnino fuit superuacua monitio, ne fortasse ille grauaretur subire tantum oneris: vtque exemplum atque regula proderetur cæteris, communicandi bona consilia cum suis successoribus, & instruendi eos præceptis optimis. Potest enim boni viri hortatus confirmare labantem animum, & excitare ne terreatur rerum temporúmque difficultatibus. Itaque admonitis & subditis & successore principe, cœpit Deo hymnum canere, extremam ei reddens gratiarum actionem, quòd à natiuitate vsque senectutem miris & continuis se prosequutus sit beneficiis: vocatisque in auditorium elementis totius mundi præcipuis, terra cæló que, quorum alterum mortalium domus est, alterum immortalium, carmen cecinit aptissimum auribus angelorum & hominum: horum vt tanquam à magistro similiter gratias agere discerent: illorum, vt adessent tanquam spectatores ostentantis musicam animæ in corpore mortali certantis cum cælestibus harmonijs siderum, ipsum Deum conditorem autorémque habentibus. Sic ille vates iam insertus quodammodo choreis æthereis hymnum & gratiarum actionem temperauit admixtis charitatis erga suam gentem affectibus, dum arguit peccata vetera, & in præsens præceptis eam instruit, in futurum quoque spem bonam proponit, non frustraturam pios conatus. Absoluta deinde melodia, è sanctitate charitatéque quodammodo contexta, cœpit paulatim è mortali vita in immortalem mutari,

A εὐθὺς ἐξεῖπεν, οἷς ἐπίστευσεν· καὶ πρὸς τὸν Ἰησοῦν ἀποβλέψας, ἀνδραγαθίζεσθαι παρῄνει καὶ σφόδρα ἰσχύειν ἐν ταῖς βουλαῖς, ἀγαθαῖς μὲν γνώμαις εἰσηγούμενον, ἀνενδότοις δὲ καὶ ἐρρωμένοις λογισμοῖς τὰ γνωσθέντα καλῶς τελειοῦντα· καὶ ταῦτ᾽ ἔλεγεν ἴσως οὐ δεομένῳ παραινέσεως, ἀλλὰ τὸ φιλάλληλον καὶ φιλεθνὲς πάθος οὐ στέγων, ὑφ᾽ οὗ τρόπον τινὰ κεντριζόμενος, ἃ συνοίσειν ἐνόμιζεν, ἀπεγύμνου. ἦν δὲ καὶ χρησμὸς αὐτῷ παρακαλέσαι τὸν διάδοχον,
B εὐθαρσέστατον ἀπεργάσασθαι πρὸς τὴν τοῦ ἔθνους ἐπιμέλειαν, τὸ βάρος μὴ καταδείσαντα τῆς ἀρχῆς, ἵνα τοῖς ἔπειτα γένηται κανὼν καὶ νόμος ἅπασιν ἡγεμόσι, πρὸς παράδειγμα Μωϋσῆν ἀποβλέπουσι, καὶ μηδεὶς φθονῇ βουλημάτων ἀγαθῶν τοῖς διαδόχοις, ἀλλ᾽ ὑποθήκαις καὶ παραινέσεσι τὰς ψυχὰς αὐτῶν ἀλείφωσι καὶ συγκροτῶσι. δύναται γὰρ ἀνδρὸς ἀγαθοῦ παραίνεσις ἀναπεπτωκότας τῆς γνώμης ἐγεῖραι, καὶ διᾶραι εἰς ὕψος, ἐπάνω τε καιροῦ καὶ πραγμάτων ἱδρύσασθαι φρό-
C νημα γενναῖον καὶ ἀκατάπληκτον ἐνθεῖσα. τά τε ἁρμόττοντα τοῖς τε ὑπηκόοις καὶ τῷ κληρονόμῳ τῆς ἡγεμονίας διαλεχθείς, ἄρχεται τὸν θεὸν ὑμνεῖν μετ᾽ ᾠδῆς, τελευταίαν αὐτῷ τοῦ βίου τοῦ μετὰ σώματος εὐχαριστίαν ἀποδιδούς, ἀνθ᾽ ὧν ἀπὸ γενέσεως ἄχρι γήρως καιναῖς καὶ οὐχὶ τῶν ἐν ἔθει χάρισιν εὐηργέτητο, καὶ συναγαγὼν ἄθροισμα θεῖον, τὰ στοιχεῖα τοῦ παντός, καὶ τὰ συνεκτικώτατα τοῦ κόσμου μέρη, γῆν καὶ οὐρανόν, τὴν μὲν θνητῶν ἑστίαν, τὸν δὲ ἀθανάτων οἶκον, ὑμνῳδίας ἐποιεῖτο, διὰ παντὸς ἁρ-
D μονίας καὶ συμφωνίας εἴδους, ἵνα κατακούσωσιν ἄνθρωποί τε καὶ ἄγγελοι λειτουργοί· οἱ μὲν ὡς γνώριμοι, πρὸς τὴν τῆς ὁμοίας εὐχαριστίου διαθέσεως διδασκαλίαν· οἱ δ᾽ ὡς ἔφοροι, κατὰ τὴν σφῶν ἐμπειρίαν θεασόμενοι μήτι τῆς ᾠδῆς ἐκμελές, καὶ ἅμα διαπιστοῦντες, εἴ τις ἄνθρωπος ὢν ἐνδεδεμένος σώματι φθαρτῷ, δυνατός ἐστιν αὐτῷ τὸν ὅμοιον τρόπον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ τῶν ἄλλων ἀστέρων χορῷ μεμουσῶσθαι τὴν ψυχήν, πρὸς τὸ
E θεῖον ὄργανον τὸν οὐρανόν, καὶ τὸν σύμπαντα κόσμον ἁρμοσάμενος. ταχθεὶς δ᾽ ἐν τοῖς κατὰ τὸν αἰθέρα χορευταῖς ὁ ἱεροφάντης, ἀνεκεράσατο ταῖς πρὸς τὸν θεὸν εὐχαριστίοις ὑμνῳδίαις τὰ γνήσια πάθη τῆς πρὸς τὸ ἔθνος εὐνοίας, ἐν οἷς ἦσαν ἔλεγχοι παλαιῶν ἁμαρτημάτων, αἱ πρὸς τὸν παρόντα καιρὸν νουθεσίαι καὶ σωφρονισμοί, παραινέσεις αἱ πρὸς τὰ μέλλοντα διὰ χρηστῶν ἐλπίδων, αἷς ἐπακολουθεῖν ἀναγκαῖον αἴσια. ὡς δ᾽ ἐτέλεσε τὰς χορείας, ὁσιότητι καὶ φιλανθρωπίᾳ τρόπον τινὰ συνυφασμένας,

A ἤρξατο μεταβάλλειν ἐκ θνητῆς ζωῆς εἰς ἀθάνατον βίον, καὶ ἐκ τοῦ καθ' ὀλίγον συνησθάνετο τῆς ἐξ ὧν συνεκέκρατο διαζεύξεως, τοῦ μὲν σώματος, ὀστρέου δίκην περιαιρουμένου, τῆς δὲ ψυχῆς ἀπογυμνουμένης, καὶ τὴν κατὰ φύσιν ποθούσης ἐνθένδε μετάστασιν· εἶτ' ἐπιμασσάμενος τὰ πρὸς ἔξοδον, οὐ πρότερον ἐστείλατο τὴν ἀποικίαν, ἢ τὰς τοῦ ἔθνους φυλὰς ἁπάσας εὐχαῖς ἐναρμονίοις, ἀριθμῷ δώδεκα, γεραίρει διὰ τῆς τῶν φυλάρχων κατακλήσεως, ἃς ὅτι τελεσφορηθήσονται, πιστευτέον. ὅ, τε B γὰρ εὐξάμενος θεοφιλὴς, ὅ, τε θεὸς φιλάνθρωπος, ὑπὲρ δὲ ὧν αἱ αἰτήσεις, εὐπατρίδαι καὶ εὐγενεῖς, τὴν ἀνωτάτω τεταγμένοι τάξιν, ὑπὸ στρατάρχῃ τῷ ποιητῇ πάντων καὶ πατρί· αἰτήσεις δὲ ἦσαν αἱ τῶν ἀληθινῶν ἀγαθῶν, οὐ μόνον ἐν τῷ θνητῷ, ὅπως ὑπάρχωσιν αὐτοῖς βίῳ, ἀλλὰ πολὺ μᾶλλον ἐπὰν λύηται τῶν τοῦ σωματικοῦ δεσμοῦ γένηται ἡ ψυχή. μόνος γὰρ Μωϋσῆς τὴν πρὸς τὰ θεῖα, ὡς ἔοικεν, ἐξ ἀρχῆς τὸ σύμπαν ἔθνος ὑπολαβὼν ἔχειν C ἀναγκαιοτάτην συγγένειαν, πολὺ γνησιωτέραν τῆς ἀφ' αἵματος, πάντων ἀγαθῶν ὧν ἡ ἀνθρωπίνη φύσις χωρεῖ, κληρονόμον ἀπέφηνεν, ἃ μὲν αὐτὸς ἔχει, ἐξ ἑτοίμου διδούς· ἃ δὲ μὴ ἐκέκτητο, τὸν θεὸν ἱκετεύων παρασχεῖν, εἰδὼς τὰς τῶν χαρίτων αὐτοῦ ἀενάους πηγὰς μὲν οὔσας, οὐ πᾶσι δὲ ἀνειμένας, ἀλλὰ μόνοις ἱκέταις· ἱκέται δ' εἰσὶν οἱ καλοκαγαθίας ἐρῶντες, οἷς ἀρύεσθαι θέμις ἀπὸ τῶν ἱερωτάτων πηγῶν διψῶσι σοφίας. τὰ μὲν οὖν δείγματα τῆς τοῦ νομοθέτου φιλανθρωπίας, οἷς D ἐχρήσατο πρὸς εὐμοιρίαν φύσεως ἀγαθῆς, κἀκ τῶν ἱερῶν βίβλων ὑφηγήσεως μεμηνύται. λεκτέον δὲ ἃ καὶ τοῖς ἔπειτα διετάξατο, καὶ εἰ μὴ πάντα· οὐ γὰρ ῥᾴδιον· τὰ γοῦν ἀξιοχρεώτατα ἐμφαίνοντα τῆς ἐκείνου βουλήσεως. τὸ γὰρ ἐπιεικὲς καὶ ἥμερον οὐκ ἐν ταῖς πρὸς ἀνθρώπους αὐτοῦ μόνον ἵδρυται κοινωνίαις, ἀλλ' ἐπιδαψιλευόμενος ἀνέχεε πλουσίως αὐτὸ, καὶ τείνει πρός γε τὰς τῶν ἀλόγων ζώων φύσεις, καὶ πρὸς τὰς τῶν ἡμέρων ἰδέας δένδρων. ἃ δὲ περὶ ἑκάστων ἐνομοθέτησε, λεκτέον ἐν μέρει, τὴν ἀρ- E χὴν ποιησάμενος ἀπ' ἀνθρώπων. ἀπαγορεύει τοίνυν ἀδελφῷ δανείζειν, ἀδελφὸν ὀνομάζων, οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ἀστὸς ἢ ὁμόφυλος ᾖ, τόκους ἐπὶ χρήμασιν οὐ δίκαιον ἐκλέγειν, ὡς ἀπὸ θρεμμάτων ἔκγονα· καὶ προτρέπει μὴ διὰ τοῦτο ἀναδύεσθαι καὶ συμβάλλειν ὀκνηρότερον, ἀλλ' ἀνειμέναις χερσὶ καὶ γνώμαις, μάλιστα μὲν χαρίζεσθαι τοῖς δεομένοις, λογιζομένους ὅτι καὶ ἡ χάρις τρόπον τινὰ δάνειον ἀποδοθησόμενον

A sentiréque separationem rerum ex quibus concretus fuerat, corpore in testæ morem discedente nudantéque animam, hac vero auide migrante ad destinatam sibi à natura regionem. Deinde vbi visus est satis paratus ad exitum, non prius gentem suam misit in coloniam, quàm singulas eius tribus, numero duodecim honoraret faustis imprecationibus, nominatim citatas phylarchorum suorum vocabulis: quas quidem preces ratas fore creden- B dum est: quandoquidem & ipsæ ab amico Dei profusæ sunt, & Deus amare humanum genus nunquam desinit, tum hi pro quibus vota facta sunt, bono genere, & à laudatis maioribus oriundi censentur in ordine eximio sub imperatore illo patre conditoréque rerum omnium. Precatus est autẽ eis vera bona, non tam huic mortali vitæ profutura, quàm animæ olim cum exsoluta fuerit corporeis vinculis. Solus enim Moses, vt apparet, habita ma- C gis ratione cognationis cælestis quàm istius vulgaris, totam gentem suam hæredem omnium bonorum quorum natura humana capax est, instituit: de suo dans, quæ ipse habebat: quæ non habebat à Deo impetrans: cuius gratiarum perennes fontes sciebat patere, non tamen omnibus, sed solis supplicibus. sunt autem supplices qui honestatem amant, quibus sitientibus fas est haurire è sacris fontibus sapientiæ. Hæc sunt argumenta natiuæ charitatis, quæ D de legislatore nostro produntur sacris voluminibus: dicemus & quæ mandauit posteris, si non omnia (id enim difficile fuerit) certe præcipua, quæ maxime voluntatem eius exprimunt. æquitatem enim ac mansuetudinem non intra solam hominum societatem statuit, sed benigne impartiens extendit etiam ad brutas naturas animaliũ, ne arbores quidem excludens, præsertim mites ac frugiferas. leges autem huc pertinentes libet recensere, inci- E piendo ab hominibus. Vetat igitur fratri fœnerari, fratrem nominans non solum ex eisdem natum parentibus, verum etiam quemcunque ciuem tribulémve, iniquum ducens colligere fœnus è pecuniis, tanquam fœturam è pecoribus. non vult tamen vt ideo tergiuersemur segniores ad beneficentiam, sed largis manibus mentéque donemus gratis indigentibus, cogitantes etiam gratiam esse genus fœnoris,

vltro ad nos redituri feliciore accipientis tempore. Quod si quis nolit donare, saltem mutuetur alacriter, nihil præter capitalem summam recepturus. sic enim nec pauperes redigentur ad extremam inopiam, coacti plura quàm acceperunt reddere: nec creditoribus quicquam decedet de rebus pretiosissimis, bonitate, magnanimitate, existimatione optima. nam ne cum vna quidem virtute vniuersæ Persicæ gazæ conferendæ sunt. illæ exanimes opes abduntur in terræ finibus, hæc autem in principali partæ animæ. Virtutem enim sibi vsurpat cælum portio mundi purissima, ipséque Deus conditor rerum omnium. Contemplari libet istos sordidos & ne obolares quidem minutias spernentes vsurarios, in magnis diuitijs inopes, quos bene numatos reges diceres, cum ne in somnis quidem vnquam diuitias, præter suas cæcas, viderint. hi miserrimi omnium, quasi pecunia careant, cibos mutuantur vt recipiant cum fœnore: isti quomodo egeno stipem offerent, cum in prouentu felici famem inuehant, reditus sibi parantes ex miserorum hominum ventribus, sic appendendo frumentum ne prægrauet. Necesse igitur habuit è sua republica hoc genus quæstus eijcere. sunt enim seruilis & illiberalis animæ talia studia, degenerantis in ferinam immanitatem. Illud quoque præceptum ad charitatis officia refertur, mercedem eadem die reddi pauperi: non ob id solum quia æquum est post exhibitam operam repræsentari pecuniam absque dilatione: sed etiam quia (vt quidam docent) opifex aut baiulus, qui sibi victum parat quotidie, toto corpore laborans more iumenti, spem omnem in mercede collocat: quam si mox referat, & in præsens gaudet, & in crastinum redit ad opus alacrior: quod si non referat, dolebit, atque insuper lassus præ tristitia, solito labori non sufficiet. Præterea vetat ne creditor intret debitoris domum vt violenter aurum aut pignus capiat: sed iubet eum ante ianuam expectare dum vltro proferantur. Debitorem autem vult non tergiuersari: quandoquidem decet vt alter non abutatur

A ἐν καιρῷ βελτίονι ἀνάληψις, ἑκουσίῳ διαθέσει τοῦ λαβόντος· εἰ δὲ καὶ μὴ βούλοιτο δωρεῖσθαι, κιχράναι γοῦν ἑτοιμότατα καὶ προθυμότατα, μηδὲν ἔξω τῶν ἀρχαίων ἀποληψομένους· οὔτω γὰρ οὔθ' οἱ πένητες ἔμπαλιν ἀπορώτατοι γίνεσθαι, πλείονα ὧν ἔλαβον εἰσφέρειν ἀναγκαζόμενοι, οὔθ' οἱ συμβαλόντες ἀδικεῖσθαι ἃ προσθήκη, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν, ὧν κτῆσις ἐφάμιλλος. ἀπορώτατος μὲν οὖν καὶ ὁ μέγας βασιλεὺς ἀναφαίνεται, κατὰ σύγκρισιν μιᾶς ἀρετῆς. τοῦ μὲν γὰρ ὁ πλοῦτος ἄ-
B ψυχος, ἐν ταμιείοις καὶ μυχοῖς γῆς κατορωρυγμένος, τῆς δ' ἐν ψυχῆς τῷ ἡγεμονικῷ· μεταποιεῖται δ' αὐτοῦ καὶ τὸ καθαρώτατον τῆς οὐσίας οὐρανὸς, καὶ ὁ γεννητὴς τῶν συμπάντων θεός. ἔτι τοίνυν τὴν ὀβολοστατῶν καὶ τοκογλύφων εὔπορον ἀπορίαν λόγῳ θετέον, πολυχρύσων δοκούντων εἶναι βασιλέων, οὐδ' ὄναρ ἑωρακότων βλέποντα πλοῦτον· εἰσὶ δ' οἳ τοσαύτῃ κέχρηνται μοχθηρίας ὑπερβολῇ, ὥστε οὐκ ἔχοντες ἀργύριον, τροφὰς δανείζουσιν, ὡς
C πλείους ὧν ἔδοσαν αὖθις κομισόμενοι. τάχ' οὖν οὗτοι μεταδῶσιν ἔρανον προέλοιεν, λιμὸν ἐν εὐθηνίᾳ καὶ εὐετηρίᾳ κατασκευάζοντες, καὶ τῆς ἀθλίας ἀνθρώπων γαστρὸς ἔνδειαν προσοδευόμενοι, μονονοὐκ ἐπὶ ζυγοστάτης ἱστάντες σιτία, ἵνα μὴ καθέλκειν ῥοπήν. τίς οὖν μεθέξουσι τῆς κατ' αὐτὸν πολιτείας ἱερᾶς ἀναξίως παρήγγελλε ταῖς ἰδέαις τῶν τοιούτων πόρων ἐκτρέπεσθαι. δουλοπρεπεῖς γὰρ καὶ σφόδρα ἀνελευθέρου ψυχῆς τὰ ἐπιτηδεύματα,
D μεταβεβληκυίας εἰς ἀγριότητα καὶ θηρίων φύσιν. ἔτι τῶν εἰς φιλανθρωπίαν τεινόντων παράγγελμα κἀκεῖνο διατέτακται, μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι· οὐ μόνον ἐπεὶ τὴν χρείαν ἐφ' ἣν παρελήφθη παρασχόντα; δίκαιον ἦν τὸν ἐπὶ τῇ ὑπηρεσίᾳ μισθὸν ἀνυπερθέτως ἀπολαβεῖν, ἀλλ' ὅτι καὶ ὡς εἶπόν τινες, ἐφήμερος ὢν ὁ χειροτέχνης ἢ ἀχθοφόρος, ὅλῳ τῷ σώματι κακοπαθῶν ὑποζυγίου τρόπον, ἐπὶ τῷ μισθῷ τίθηται τὴν ἐλπίδα, ὃν εἰ
E μὲν εὐθὺς κομίσαιτο, γήθει, χαίρων νῦν τε, καὶ πρὸς τὴν ἐπιοῦσαν προθυμίᾳ ἐργαζόμενος· εἰ δὲ μὴ κομίσαιτο, πρὸς τῷ σφόδρα ἄχθεσθαι καὶ τοὺς τόνους ὑπὸ λύπης ἐκλυθεὶς, ἀναπέπτωκεν, ὡς ἀδυνατεῖν πρὸς τὰ ἐν ἔθει τῶν ἔργων ἀποδυτεῖν. ἔτι φησὶ, δανειστὴς μὴ εἰσίτω χρεωστῶν οἰκίας, ἐνέχυρον καὶ χρυσὸν ἐπὶ τῷ δανείῳ μετὰ βίας ληψόμενος, ἀλλ' ἐν προθύροις ἔξω προεστὼς ἀναμενέτω κελεύων ἡσυχῇ προσφέρειν· οἱ δ' ἂν ἔχωσι, μὴ ἀναδυέσθωσαν, εἴγ' ἁρμόττει τὸν μὲν μὴ τῷ δύνασθαι κατακεχρῆσθαι πρὸς τὸ αὐ-

θαδέστερον, ἐφ' ὕβρει τῶν δεδανεισμένων· τοῖς δὲ A πρὸς ὑπόμνησιν τῆς τῶν ἀλλοτρίων ἀποδόσεως ἄξια παρέχειν ἐνέχυρα. τίς γε μὴν οὐκ ἂν ἀγάσαιτο τοῦ περὶ τοὺς θεριστὰς κηρύγματος ἢ διατάγματος. κελεύει γὰρ ἐν μὲν ἀμήτῳ, μήτε τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι, μήτε πάντα τὸν σπόρον κείρειν, ἀλλ' ὑπολιπέσθαι τοῦ κλήρου μέρος ἄτμητον, ἅμα μὲν τοὺς εὐπόρους μεγαλόφρονας καὶ κοινωνικοὺς κατασκευάζων, ἐκ τοῦ τι προϊέναι τῶν ἰδίων, καὶ μὴ πάντα προσκεχλινέναι, B μηδὲ πάντα συμφέρειν καὶ συγκομίζειν οἴκαδε θησαυροφυλακήσοντας· ἅμα δὲ καὶ τοὺς πένητας εὐθυμοτέρους ἀπεργαζόμενος. ἐπεὶ γὰρ κτημάτων ἰδίων ἀποροῦσιν, ἐφίησιν αὐτοῖς εἰς τὰ τῶν ὁμοφύλων εἰσιέναι, κἀκ τῶν ὑπολειφθέντων ὡς οἰκείων ἀμᾶν. ἐν δὲ τῷ καιρῷ τῆς ὀπώρας, πάλιν δρεπομένοις τοῖς κληρούχοις προστάττει, μήτε ῥᾶγας ἀποπιπτούσας συλλέγειν, μήτε διατρυγᾶν ἀμπελῶνας. τὰ δ' αὐτὰ καὶ τοῖς ἐλαιολογοῦσι διατάττεται, καθάπερ φιλοστοργότατος πατήρ, οὐχὶ ταῖς C αὐταῖς εὐπραγίαις χρωμένων τῶν παίδων, ἀλλὰ τῶν μὲν ἐν περιουσίᾳ ζώντων, τῶν δ' εἰς ἀπορίαν ἐσχάτην περιηκόντων, οὓς ἐλεῶν καὶ οἰκτείρων, ἐπὶ τὰ κτήματα τῶν ἀδελφῶν καλεῖ μεθέξοντας ὡς ἰδίων τῶν ἀλλοτρίων, οὐκ εἰς ἀναισχυντίαν, ἀλλ' εἰς ἐπανόρθωσιν ἐνδείας, ἵν' οὐ μόνον καρπῶν μετουσίας, ἀλλὰ καὶ κτημάτων ἴσα τῷ δοκεῖν. εἰσὶ δ' οἱ ὑπὸ ῥυπῶσι τὰς διανοίας προσεστηκότες ἀργυρισμῷ, καὶ δεδιθανατοῦντες περὶ πᾶσαν ἰδέαν κέρδους, τὸ πόθεν ἂν γένοιτο μὴ σκεπτόμενοι, D ὥστε ἐπαναδρυγῶσι μὲν τοὺς ἀμπελῶνας, καὶ ἐλαιῶνας, τήν τε κριθοφόρον καὶ σιτοφόρον γῆν ἀναθερίζουσι, τὴν δουλοπρεπῆ καὶ ἀνελεύθερον αὐτῶν μικροψυχίαν ἐλέγχοντες, καὶ ἅμα ἀσεβοῦντες εἰς τὸν πρὸς γεωργίαν, παρέχοντα πλεῖστα καὶ ἀναγκαιότατα πρὸς καρποφορίαν καὶ εὐγονίαν, χειμῶνας, ὑετούς, ἀέρος εὐκρασίας, τὰς τιθηνίας τῶν φυομένων, συνεχεῖς καὶ μεγάλας δρόσους, ζωτικωτάτας αὔρας, ὡρῶν τε ἐτησίων ἀζημίους γενέσεις, E ὡς μήτε θέρος περιφλέγειν, μήτε κρύος περιψύχειν, μήτε ἔαρος καὶ μετοπώρου τροπαὶ ἐλαττοῖεν τὰ γινόμενα· καὶ ταῦθ' ὁρῶντες ἀεὶ τὴν φύσιν τελεσιουργοῦσαν, καὶ πλουσίαις χάρισι δωρουμένην, ὅμως τὰς ἐκείνης εὐεργεσίας σφετερίζεσθαι τολμῶσι, καὶ ὡς αὐτοὶ πάντων αἴτιοι μεταδιδόασιν οὐδενὸς οὐδενί, μισανθρωπίαν ὁμοῦ καὶ ἀσέβειαν ἀσκοῦντες· οὓς ἐπεὶ μὴ γνώμαις ἑκουσίαις ἀρετὴν διεπόνησαν, ἄκοντας νουθετεῖ καὶ σω-

suis opibus ad insolentiam: alter vero pignus exhibeat per quod moneatur debitum reddere. Iam præceptum de messoribus cui non probetur? vetat enim colligi spicas prolapsas è manipulis, vetat & totam segetem demeti, vt agelli pars à falce relinquatur intacta: simul diuitibus consulens, vt assuescant sua communicare liberaliter, non omnia congerendo in penuaria: simul pauperibus afferens solatium. Quoniam enim carent propriis possessionibus, permittit eis ire in agros tribulium, & reliquias tanquam suas demetere. Similiter vindemiæ tempore præcipit ne colligantur decidentes acini, néue fiat racematio: idem mandat & oliuatoribus, tanquam pater amantissimus, qui videns non omnes pariter fortunatos filios, sed alios locupletes alios inopes, hos miseratus vocat in fratrum possessiones vt alienis vtantur pro suis, non impudenter, sed quantum necessitas postulat, atque ita fiant non fructuum tantum, verùm & agrorum quodammodo participes. Sunt autem quidam in tantum sordidi, pecuniis dediti, auaritia perditi, & vndecunque lucra captantes, vt vindemiam oliuationemque iterent, & hordei triticique spicilegium faciant, detegentes suam seruilem ac illiberalem pusillanimitatem, simulque impietatem erga largitorem tot rerum ad agriculturam necessariarum & ad prouentus fructuum, vt sunt mutationes temporum, pluuiæ, temperies aeris, incrementa satorum, rores magni & continui, auræ vitales, conseruationes ab iniuriis temporum, ne æstus frigúsve adurat, ne verna vel autumnali tempestate lædantur segetes fœtúsve arborei. hæc opera naturæ illi cum videant, eiúsque largissimas gratias, tamen audent sibi vsurpare eius beneficia: & quasi sint ipsi autores rerum omnium, inhumanitatem coniungunt cum impietate maxima. Hi quoniam sponte virtutem non complectuntur, inuitos admonet castigatque sacris legibus, quas vir probus

vltro sequatur, malus vero contemnere non audeat. Eædem leges iubent decimas frumenti, vini, olei, pecorum, lanarum decidi sacerdotibus primitiarum nomine: de cæteris quoque fructibus arborum pro quantitate fundorum plenos canistros eis comportari, cantando carmen obiter in laudem cælestis numinis, cuius formula extat in sacris voluminibus. Ad hæc boum, ouium, caprarumque primogenita, non annumeranda propriis gregibus: sed horum quoque sacrandas primitias: vt inuitati ad religionem moderandumque lucri studium, pietate charitateque ornentur duabus virtutibus principalibus. Est & alia lex: Si videris iumentum alicuius familiaris aut amici aut vtique noti hominis, errans in solitudine, reduc ad eum. Quod si longe absit eius Dominus, adserua cum tuis, donec ille veniens suum recipiat, quod non deposuit, sed quod inuentum vltro reddis propter naturalem societatem hominum. Quid lex de anno septimo, quo cessat agricultura, & pauperibus licet è diuitum agris fructus sponte natos ceu naturæ donum secure tollere, an non plena humanitatis est? Sexennio, inquit, fruantur coloni suis possessionibus & laboribus: septimus annus sit eorum qui carent prædiis ac pecuniis, quo etiam terræ conceditur immunitas. absurdum enim esset aliorum labores prodesse aliis. nunc possessionibus quodammodo vacuis & intactis ab agricolarum opera, tota gratia soli Deo debetur, omnibus egentibus exposita. Quid item illa de anno quinquagesimo, nónne quamuis aliam caritatis speciem superat? ita profectò, id quod nemo negauerit, qui has leges non degustauit modo, sed lautius in eis epulatus est, expletus deliciis suauissimis. fiunt enim tunc eadem quæ anno septimo, & accedunt alia maiora, scilicet in pristinas possessiones restitutio, ex quibus aliquis propter temporum difficultates exciderat. non permittit enim possessionem alienorum bonorum, occludens aditum auariciæ, vt cohibeat insidiatricem fontemque omnium malorum concupiscentiam: nec censet æquum vt coloni suis agris priuentur in perpetuum, & paupertatis pœnas dent, miserandi potius quam puniendi.

A φροντίζει νόμοις ἱεροῖς, οἷς ὁ μὲν σπουδαῖος ἐθελοντί,
ὁ δὲ μοχθηρὸς ἄκων πειθαρχεῖ. κελεύουσιν οἱ νόμοι,
δεκάτας μὲν ἀπὸ σίτου, οἴνου, καὶ ἐλαίου, καὶ θρεμ-
μάτων ἡμέρων, καὶ ἐρίων ἀπάρχεσθαι τοῖς ἱερωμένοις,
ἀπὸ δὲ τῶν κατ' ἀγροὺς ὀπώρας καὶ τῶν ἄλλων ἀ-
κροδρύων, κατὰ τὸ ἀνάλογον τῆς κτήσεως ἐν ταλάροις
πλήρεσι κομίζειν, σὺν ᾠδαῖς εἰς τὸν θεὸν πεποιη-
μέναις, ἃς ἀναγράπτους στηλιτεύουσιν αἱ ἱεραὶ
βίβλοι· καὶ προσέτι βοῶν καὶ προβάτων καὶ αἰ-
B γῶν τὰ πρωτότοκα, μὴ ὥσπερ ἴδια καταπλέκειν
ἐν ταῖς ἀγέλαις, ἀλλὰ καὶ ταῦτα νομίζειν ἀπαρχάς,
ὅπως ἐρεθιζόμενοι τῇ μὲν τιμᾶν τὸ θεῖον, τῇ δὲ μὴ
πάντα κερδαίνειν, εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ ταῖς
ἀρετῶν ἡγεμονίσι κοσμῶνται· πάλιν, ἐὰν ἴδῃς τι-
νὸς τῶν οἰκείων ἢ φίλων ἢ συνόλως ὧν οἶδας ἀν-
θρώπων ὑποζύγιον ἐν ἐρημίᾳ πλανώμενον, ἀ-
παγαγὼν ἀπόδος· καὶ ἐὰν ἄρα τύχῃ μακρὰν ἀ-
φεστὼς ὁ δεσπότης, μετὰ τῶν σῶν διαφύλαξον, ἄ-
χρις ἂν ἐπανελθὼν κομίσηται παρακαταθήκην ἣν
C οὐκ ἔδωκεν, ἀλλ' ἣν αὐτομάτως εὑρών, ἐκ φυσικῆς
κοινωνίας ἀποδίδως. τί δαί; ὁ περὶ τοῦ ἑβδόμου ἔτους
νομοθετηθεὶς καθ' ὃ δεῖ, τὴν μὲν χώραν ἀνιέναι
ἀργὴν πᾶσαν ἀφειμένην, τοὺς δὲ πένητας ἀδεῶς
τοῖς τῶν πλουσίων χωρίοις δρέπεσθαι τοὺς αὐτοματι-
σθέντας καρποὺς δώρημα φύσεως, ἆρ' οὐχὶ χρηστὰ καὶ
φιλάνθρωπα; ἑξαετίαν, φησίν, ἀπολαυέτωσαν
οἱ οἰκήτορες ὧν ἐκτήσαντο καὶ ἐγεωπόνησαν,
ἕνα δὲ ἐνιαυτὸν ἕβδομον οἱ ἀκτήμονες καὶ ἀχρήμα-
D τοι, μηδενὸς τῶν κατὰ γεωργίαν ἀποτελεσθέντος. ἄ-
τοπον γὰρ ἦν, ἑτέρους μὲν πονεῖν, ἑτέρους δὲ καρποῦ-
σθαι· ἀλλ' ἵνα τρόπον τινὰ τῶν χωρίων ἀδεσπό-
των ἐαθέντων, μὴ συνεφαπτομένης γεωργίας,
ἄρτιοι καὶ πλήρεις αἱ χάριτες ἐκ θεοῦ μόνου γέ-
νωνται, προσαπολαύωσι τοῖς δεομένοις. τί δέ,
ὅσα περὶ τοῦ πεντηκοστοῦ ἐνιαυτοῦ διατέτακται,
πᾶσαν οὐχ ὑπερβάλλει φιλανθρωπίαν; καὶ τίς ἂν
εἴποι τῶν μὴ χείλεσιν ἄκροις ἀπογευσαμένων τῆς
E νομοθεσίας, ἀλλ' ἐπὶ πλέον ἑστιαθέντων καὶ ἐπιρρο-
φησάντων ἡδίστοις ἅμα καὶ καλλίστοις δόγμασιν.
ἐπιτελεῖται μὲν γὰρ ἃ καὶ τῷ ἑβδόμῳ, προσείληφε
δέ τινα μείζονα, λῆψιν τῶν ἰδίων κτημάτων, ἃ διὰ
καιροὺς ἀβουλήτους παρεχώρησαν ἑτέροις. οὔτε γὰρ
τὴν κτῆσιν ἔχειν τῶν ἀλλοτρίων ἐφίησι, τὰς εἰς
πλεονεξίαν ἐπιφράττων ὁδούς, ἕνεκα τοῦ στέλλειν
τὴν ἐπίβουλον καὶ πάντων αἰτίαν ἐπιθυμίαν, οὔ-
τε τοὺς κληρούχους εἰς ἅπαν ᾠήθη χρῆναι τῆς οἰ-
κείας ἀποστερεῖσθαι, πενίας διδόντας δίκας, ἣν κο-
λάζεσθαι μὲν οὐ θέμις, ἐλεεῖσθαι δὲ ἀναγκαῖον.

εἰσὶ δὲ καὶ ἄλλαι μυρία τῶν ἐν μέρει διατεταγμένων, πρὸς τοὺς ὁμοεθνεῖς χρηστὰ καὶ φιλάνθρωπα, ὧν ἀποχρώντως ἐν ταῖς προτέραις συντάξεσιν ἐπιμνησθεὶς, ἀρκεσθήσομαι ταῖς εἰρημέναις, ἃ δείγματος ἕνεκα, καιρίως παρέλαβον. νομοθετήσας δὲ περὶ τῶν ὁμοεθνῶν, καὶ τοὺς ἐπήλυδας οἴεται δεῖν προνομίας πάσης ἀξιοῦσθαι, γενεὰν μὲν τὴν ἀφ' αἵματος, καὶ πατρίδα, καὶ ἔθη, καὶ ἱερὰ ἀφιδρύματα θεῶν γέρα τε τιμὰς ἀπολελοιπότας, καλὴν δ' εἰς ἀποικίαν στειλαμένους, τὴν ἀπὸ μυθικῶν πλασμάτων πρὸς τὴν τῆς ἀληθείας ἐνάργειαν, καὶ τὸν σεβασμὸν τοῦ ἑνὸς καὶ ὄντως ὄντος θεοῦ. κελεύει δὲ τοῖς ἀπὸ τοῦ ἔθνους ἀγαπᾶν τοὺς ἐπήλυδας, μὴ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλὰ καὶ ὡς ἑαυτούς, κατά τε σῶμα καὶ ψυχὴν ὡς οἷόν τε κοινοπραγοῦντας· κατὰ δὲ τὴν διάνοιαν, τὰ αὐτὰ λυπουμένους τε καὶ χαίροντας, ὡς ἐν διῃρημένοις μέρεσιν ἓν ζῷον εἶναι δοκεῖν, ἁρμοζομένης καὶ συμφυοῦς ἀπεργαζομένης αὐτὸ κοινωνίας. οὐκέτ' αὖ εἴποιμι περὶ σιτίων καὶ ποτῶν καὶ ἐσθῆτος καὶ τῶν ἄλλων ὅσα περὶ δίαιταν καὶ τὰς ἀναγκαίας χρείας ἐπηλύταις αὐτοῖς δίδωσιν ὁ νόμος παρὰ τῶν αὐτοχθόνων. ἕπεται γὰρ ταῦτα πάντα ἐν ἴσοις τῆς εὐνοίας τοῦ στέργοντος ὁμοίως καὶ ἀγαπῶντος τὸν ἐπήλυν ὡς αὑτόν. ἔτι τοίνυν ἐπιτείνων καὶ ἐπεκτείνων ὁλκὸν φύσει φιλανθρωπίαν, διατάττεται, καὶ περὶ μετοίκων, ἀξιῶν τοὺς μετανάστας ἐν χερσὶ γενομένους, ἀπονέμειν τοῖς ὑποδεξαμένοις τιμήν, εἰ μὲν πεποιηκόσι καὶ φιλοξένως προσενεχθεῖσι, πᾶσαν, εἰ δὲ μηδὲν ἔξω τῆς ὑποδοχῆς παρέχοιεν, μετριωτέραν. τὸ γὰρ ἐνορμίσασθαι πόλει μηδὲν προσηκούσῃ, μᾶλλον δὲ καὶ τὸ ἐπιβῆναι ἐδάφους αὐτοῖς μόνον ἀλλοτρίου, δωρεὰ καθ' αὐτήν τίς ἐστιν ἀποχρῶσα τοῖς μὴ δυναμένοις τὴν ἰδίαν οἰκεῖν. τὸ δὲ προσυπερβάλλον τοὺς ἐπιεικείας ὅρους αὐτῆς, οἴεται δεῖν καὶ τοῖς κακῶς πεποιηκόσι τὸν ξενοδόχον μὴ μνησικακεῖν, εἰ καὶ μὴ τὰς πράξεις, ὄνομα γοῦν ἔχουσι φιλανθρωπίας. αὐτίκα γοῦν φησιν, Οὐ βδελύξῃ αἰγύπτιον. καίτοι τί κακὸν αἰγύπτιοι παρέλιπον, ὃ μὴ τῷ ἔθνει προσετρίψαντο, νέα παλαιοῖς ἐξυφαίνοντες ἀεὶ κατειργασμένοις ἐπινοίαις εἰς ὠμότητα. ἀλλ' ὅμως ἐπειδὴ τὸ ἀρχαῖον ἐδέξαντο ταῖς πόλεσιν οὐκ ἀποκλείσαντες, οὐδὲ τὴν χώραν ἄβατον τοῖς ἥκουσι κατασκευάσαντες, ἐχέτωσαν, φησί, προνομίαν τῆς ὑποδοχῆς τὸ ἱκανοῦν. κἂν εἴ τινες ἐθελήσαιεν αὐτῶν μεταταξάσθαι πρὸς τὴν ἰουδαίων πολιτείαν, οὐχ ὡς ἐχθρῶν παῖδας ἀσυμβάτως σκορακιστέον, ἀλλ' οὕτω προσοιστέον,

A Sunt & aliæ leges particulares plurimæ, docentes amorem tribulium: de quibus quoniam in superioribus libris feci mentionem, satis puto hæc nunc retulisse ceu cæterarum specimen. Postquam autem suis bene prospexit, etiam aduenas dignatus est multis priuilegiis: qui deserta cognatione patriáque & maiorum institutis ac ceremoniis delubrisque demigrarunt in optimam coloniam, translati à fabulis ad veritatem & cultum vnius
B veri numinis. hos aduenas diligenter commendat suis gentilibus, non solum vt amicos iam cognatosque, verum etiam vt vnius fortunæ participes tum animo tum corpore, & aduersitatum æque ac prosperitatum socios, ceu membra vnius corporis, conciliante cunctos mutua beneuolentia. proinde non est quod dicam de cibo, potu, vestitu aliisque ad victum necessariis, quæ lex indigenas iubet præbere aduenis: hæc enim
C vltro contingunt apud eos qui aduenas non minus quam seipsos diligunt. Quin & ad inquilinos extendit naturalia caritatis officia: iubens vt qui ad tempus demigrant aliò, honorem omnem habeant his à quibus excipiuntur hospitaliter atque comiter: quod si nihil præter hospitium accipiant, honorem quoque mediocrem ab eis exigit. nam hoc ipsum, habere in aliena ciuitate receptaculum, & non arceri ab
D eius aditu, gratiam existimat non aspernandam in his qui domi habitare in patria nequeunt. Et vt videas extremam æquitatis lineam, vult aboleri memoriam iniuriarum illatarum à veteribus hospitibus: vt magis nomen ad charitatem faciens valeat quam respectus malæ tractationis. proinde diserte interdicit, Non prosequeris Ægyptium odio. atqui nullam iniuriam Ægyptij ab hac gente abstinuerant, no-
E uas semper crudelitatis species addentes prioribus: attamen quoniam ab initio non excluserunt eam à suis ciuitatibus, nec arcuerunt à finibus, ob eam rem, inquit, habeant priuilegium & ius amicitiæ. Et si forte aliqui voluerint transire ad Iudæorum instituta, non sunt hostiliter eliminandi tanquam inimicorum posteri, sed hac conditione admittendi,

vt tertia generatione vocentur in ecclesiam audituri diuina eloquia eodem iure quo indigenæ ac patricij. Hæc iura intercedunt inquilinis cum ciuibus. Ac ne belli quidem ius ab humanitate alienum est. vult enim etiamsi armati portis immineant & mœnibus, nondum tamen eos pro hostibus haberi, nisi per caduceatorem ad pacem inuitati conditiones aspernati fuerint. aut enim pace impetrata lucrifacturos amicitiam rem optimam: aut si hostis pertinaciter aduersatus fuerit, fretos iusticia cum spe victoriæ occursuros in prælium. Quod si, inquit, inter captiuas formosam mulierem adamaueris, noli tanquam in serua explere cupidinem: sed fortunam miseratus, calamitatem eius subleua, omnia mutans in melius. Subleuabis autem detonso squalore capillitij, præsectisque vnguibus, & veste mutata in qua capta est, permisisque ei triginta diebus vt lugeat patrem, matrem & cæteros domesticos aut mortuos, aut (quod grauius est) abductos in seruitium. post hæc vt cum vxore legitima congredere. eam enim quæ ascensura est viricubile, non mercede vt meretrix formam venditans, sed aut propter amorem, aut propter quærendos liberos, æquum est habere ius coniugij. Qua in lege multa laudanda sunt. primo quod non laxauit frena cupidini, sed per triginta dies eam repressit. deinde quod amorem examinat, num mere furiosus fastidiosusque sit, an aliquid rationis admixtum habeat. ratio enim cohibebit concupiscentiam ne quid agat insolentius, expectabitque menstruum terminum. tertio quod miseratur captiuam: si virgo est, quia parentes ei optatas nuptias non conciliant: si vidua, quia amisso cui puella nupserat, expertura est alium, non magis maritum quam Dominum etiam sub æquabili iure coniugij. subditus enim potiorem semper metuit, etiamsi sciat eius mite ingenium. Quod si quis expleta concupiscentia satiatus complexibus iam non dignatur captiuam matrimonio: eum non tam mulctat

A ὡς τρίτῃ γενεᾷ καλεῖν εἰς ἐκκλησίαν, καὶ μεταδιδόναι θείων λόγων, οἷς θέμις τοὺς αὐτόχθονας καὶ εὐπατρίδας ἱεροφαντεῖσθαι. ταῦτα μὲν ὑπὲρ τῶν ἐπιδεξαμένων πρὸς τοὺς μετοίκους νομοθετεῖ· χρηστὰ δ' ἕτερα καὶ μεστὰ ἡμερότητος ὑπὲρ τῶν πολεμίων. ἀξιοῖ γὰρ αὐτούς, κἂν ἐπὶ θύραις ὦσιν, ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ἐν τῇ πανοπλίᾳ, καὶ τῇ πόλει ἐφιστάντες, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προσκαλέσωνται πρὸς εἰρήνην, ἵν' εἰ μὲν ἐνδοῖεν, τὸ μέγιστον
B ἀγαθὸν εὕροιεν φιλίαν· εἰ δ' ἀπειθέστεροι γένοιντο, συμμαχίαν τὴν τοῦ δικαίου προσειληφότες, ἐλπίδι νίκης ἐπίωσι πρὸς ἄμυναν. ἐὰν μέντοι καὶ ἐκ προνομῆς εὐμόρφου γυναικὸς εἰς ἐπιθυμίαν ἔλθῃς, μὴ ὡς αἰχμαλώτῳ, φησίν, ἐπεντρυφήσῃς τὸ πάθος, ἀλλ' ἡμερώτερον οἰκτισάμενος τῆς μεταβολῆς, ἐπικούφισον τὴν συμφοράν, μεθαρμοσάμενος πάντα πρὸς τὸ βέλτιον. ἐπικουφίσεις δέ, τὰς μὲν τῆς κεφαλῆς χαίτας ἀποκείρας,
C περιελὼν δὲ ὄνυχας, ἀπαμφιέσας δὲ τὴν ἐσθῆτα ἣν ἔχουσα ἐζωγρήθη, τριάκοντα δ' ἡμέρας αὐτῆς, καὶ ἐπιτρέψας αὐτῇ πενθῆσαι καὶ δακρῦσαι μετ' ἀδείας πατέρα καὶ μητέρα καὶ τοὺς ἄλλους οἰκείους, ὧν ἀπεζεύχθη τεθνεώτων, ἢ θανάτου χείροσιν ὑπομενόντων ταῖς ἐπὶ δουλείᾳ συμφοραῖς· μετὰ δὲ ταῦτα, ὡς γαμετῇ νομίμῳ συνέρχου. τὴν γὰρ μέλλουσαν εὐνῆς ἀνδρὸς ἐπιβήσεσθαι, μὴ κατὰ μισθαρνίαν, ὡς ἑταίραν τὸ τῆς ὥρας ἄνθος καπηλεύουσαν, ἀλλ' ἢ
D δι' ἔρωτα τοῦ συμβιώτου, ἢ διὰ τέκνων γένεσιν, ὅσιον θεσμῶν τῶν ἐπὶ τελείοις γάμοις ἀξιοῦσθαι. πάνυ καλῶς ἕκαστα διαταξάμενος· πρῶτον μὲν γάρ, οὐκ εἴασεν ἀχάλινον φέρεσθαι τὴν ἐπιθυμίαν ἀπαυχενίζουσαν, ἀλλ' ἀνέστειλε τὸ σφοδρὸν αὐτῆς, ἡμέρας τριάκοντα ἐάσας· δεύτερον δέ, τὸν ἔρωτα βασανίζει, πότερον ἐπιμανὴς καὶ ἀψίκορος καὶ ὅλος τοῦ πάθους ἐστίν, ἢ μετέχει τι καθαρωτάτης ἰδέας ἀνακεκραμένου λογισμοῦ. λογισμὸς γὰρ πεδήσει τὴν
E ἐπιθυμίαν, οὐδὲν ὑβριστικὸν ἐάσας αὐτὴν ἐργάσασθαι, ἀλλὰ τὴν μηνιαίαν προθεσμίαν ἐπισχεῖν. τρίτον δέ, ἐλεεῖ τὴν αἰχμάλωτον, εἰ μὲν παρθένος ἐστίν, ὅτι γονεῖς οὐκ ἐγνώσθη, τὴν εὐκταιοτάτην σπουδὴν ἁρμοζομένην· εἰ δὲ χήρα, διότι κουριδίου στερομένη, πεῖραν ἑτέρου λαβεῖν μέλλει, καὶ ταῦτα ἐπανατεταμένου ἐπὶ δεσποτικὸν φόβον, κἂν ἰσότητα ἐπιτηδεύῃ. τὸ γὰρ ὑπήκοον, ἀεὶ τὴν τοῦ κρατοῦντος κἂν ἡμερώτερος ᾖ, δέδοικεν ἰσχύν. ἐὰν δέ τις τῆς ἐπιθυμίας πληρωθείς, καὶ διακορὴς γενόμενος, μηκέτι κοινωνεῖν ὁμιλίας ἀξιοῖ τῆς πρὸς τὴν αἰχ-

A μέλλοντα, οὐ ζημιοῖ μάλιστα αὐτόν, ἢ νουθετεῖ καὶ σωφρονίζει πρὸς βελτίωσιν ἐθῶν. κελεύει γὰρ μήτε πιπράσκειν, μήτ' ἔτι δούλην ἔχειν, ἀλλὰ χαρίζεσθαι μὲν ἐλευθερίαν αὐτῇ, χαρίζεσθαι δὲ καὶ τὴν ἐκ τῆς οἰκίας ἀπαλλαγὴν ἀδεῶς, μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης ἐξ ἔριδος, οἷα φιλεῖ κατὰ ζηλοτυπίαν, πάθῃ τι τῶν ἀνηκέστων, ἅμα καὶ τοῦ δεσπότου καινοτέροις φίλτροις ὑπηγμένου, καὶ καταφρονοῦντος τῶν παλαιτέρων. ἕτερα δὴ ἐφ' ἑτέροις ἐπαντλεῖ ὠσὶ φιληκόοις, ἡμερότητα προστάττει· B κἂν ἐχθροῦ ὑποζύγια ἀχθοφοροῦντα ὑπὸ βάρους πιεσθέντα προσπίπτῃ, μὴ παρελθεῖν, ἀλλὰ συνεπικουφίσαι καὶ συνεγεῖραι, πόρρωθεν ἀναδιδάσκων, τὸ μὴ τοῖς ἀβουλήτοις ἐφήδεσθαι, βαρυμήνι πάθος τὴν χαιρεκακίαν εἰδώς, ἀντίπαλον φθόνου, συγγενὲς μὲν ὂν ἐκ πάθους ἑκάτερον καὶ γνήσιον ἂν ἄμφω περισπερχόμενα, καὶ μονονοὺκ ἀντακολουθοῦντα ἐκείνοις· ἀντίπαλον δέ, ὅτι ὁ μὲν, ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λύπην, ἡ δὲ χαρὰν τοῖς τοῦ πλησίον κακοῖς κατεργάζεται. κἂν πλανώμενον μέντοι, C φησίν, ἐχθροῦ τινὸς ἴδῃς ὑποζύγιον, τὰ τῆς διαφορᾶς καταλιπὼν ὑπεκκαύματα βαρυτέροις ἤθεσιν ἀπαγαγὼν ἀπόδος. οὐ γὰρ ἐκείνῳ μᾶλλον ὀνήσεις, ἢ σεαυτόν· ἐπεὶ τῷ μὲν ἄλογον ζῷον καὶ οὐδενὸς ἴσως ἄξιον, περιγίνεται· σοὶ δὲ τὸ μέγιστον καὶ τιμιώτατον τῶν ἐν τῇ φύσει καλοκαγαθία. διέξεισι δὲ καὶ τὸ ἀναγκαῖον, ὥσπερ σκιὰ σώματος, καὶ τῆς ἔχθρας διάλυσις. ὅ,τε γὰρ εὖ πεπονθώς, ἄκων ἄγεται πρὸς τὸ ἔνσπονδον, χάριτι δουλωθείς, ὅ,τ' ὠφεληκώς, συμβόλῳ χρώμενος καλῇ πράξει, σχεδὸν D ἤδη πρὸς καταλλαγὰς τὴν διάνοιαν τέταται. τοῦτο δὲ μάλιστα βούλεται διὰ πάσης νομοθεσίας ὁ ἱερώτατος προφήτης κατασκευάζειν, ὁμόνοιαν, κοινωνίαν, ὁμοφροσύνην, κρᾶσιν ἠθῶν, ἐξ ὧν οἰκίαι καὶ πόλεις, ἔθνη τε καὶ χῶραι, καὶ τὸ σύμπαν τὸ ἀνθρώπων γένος, εἰς τὴν ἀνωτάτω προσέλθοιεν εὐδαιμονίαν. ἀλλ' ἄχρι μὲν τοῦ παρόντος, ταῦτ' εἰσὶν εὐχαί· γενήσεται δέ, ὥς γ' ἐμαυτὸν πείθω, καὶ ἔργα ἀψευδέστατα, τοῦ θεοῦ παρασχόντος ὥσπερ ἐτησίοις καρποῖς E εὐφορίαν ἀρετῆς· ὧν μὴ ἀμοιρήσαιμεν οἱ τὸν πόθον αὐτῶν σχεδὸν ἀπὸ πρώτης ἡλικίας περιφερόμενοι. ἃ μὲν οὖν ἐπ' ἐλευθερίας ἔγνω, ταῦτα καὶ τὰ τούτοις παραπλήσια· συνῳδὰ δ' ὡς ἔοικε καὶ τὰ περὶ δούλων νομοθετεῖ, πάντων τῶν συντεινόντων εἰς ἡμερότητα καὶ φιλανθρωπίαν, καὶ τούτοις μεταδιδούς. τοὺς μὲν οὖν ἕνεκα χρείας τῶν ἀναγκαίων ὑποβεβληκότας ἑαυτοὺς ἄλλων ὑπηρεσίαις, οἴεται δεῖν μηδὲν ἀνάξιον ὑπομένειν τῆς εὐγενοῦς ἐλευθερίας,

quam castigat & iubet mores corrigere. Nec vendi enim sinit eam, nec retineri in seruitio: sed vult ei gratis donari libertatem, & discedendi ex ædibus licentiam, ne forte superinducta muliere alia, & contentione inter fœminas exorta vt fieri solet per zelotypiam, prior fastidita patiatur grauius aliquid, Domino occupato nouis amoribus, & oblito veterum. Adduntur & alia præcepta humanitatis, & cumulatim ingeruntur auditoribus. Etiamsi inimici iumentum conciderit sub onere, noli præterire, sed subleuantem erigentemque adiuua: nimirum in minimis quoque docet non gaudendum alienis aduersitatibus, sciens molestum affectum esse insultationem in miserlis, aduersum inuidiæ, cui tamen æque ac iræ cognatus est. solent enim hæ se mutuo consequi. aduersantur tamen hactenus, quia inuidia proximi felicitate offenditur: altera verò lætatur eius calamitatibus. Vel si inimici iumentum, inquit, errare videris, noli addere fomitem dissidij, sed reduc id ad suum Dominum: quod non magis illi quam tibi proderit. lucrabitur ille brutum fortasse non magni precij: tu honestatem qua nihil in rerum natura preciosius. hanc necessario sequetur, sicut vmbra corpus, finis simultatis. nam qui beneficium accipit, inuitus ad reconciliationem trahitur, deuinctus gratia: & qui profuit, quasi pignus dedit animi tendentis ad amicitiam. Est autem hic præcipuus scopus quem sacer vates spectat in omnibus iuris capitibus, vt concordia, societas, consensusque morum vigeat: vnde familijs, ciuitatibus, gentibus, regionibus, vniuerso humano generi contingit summa felicitas. Verum hactenus res vltra vota non procedit: quæ tamen credo rata fore olim fauente numine, & largiente virtutum profectum, sicut quotannis largitur fructuum: quod desiderium mihi ab ineunte ætate fuit perpetuum. Hæ fermè ac huiusmodi aliæ sunt leges de ingenuis: nec discrepare videntur quæ de seruis latæ sunt, nimirum spectantes omnes humanitatem ac mansuetudinem communicandam cum hoc quoque hominum genere. eos sane qui ob inopiam mercede seruiunt, vult tractari liberaliter vt ingenuos:

hortans vt qui vtuntur eorum ministerio, fortunæ incertæ meminerint, reuereantúrque vices eius mutabiles. eos autem qui creditoribus libertatem suam opposuerunt pignori, aut vi in alienam potestatem redacti seruiunt, non sinit miseros esse in perpetuum, dans inducias omnibus anno septimo. nam eos qui ob æs alienum creditori non redditum libertate amissa seruiunt, satisfacere putat per sexennium. Fruantur, inquit, tandem serui libertate pristina, è qua exciderunt per fortunæ inclementiam. Quod si cuius verna metu minarum herilium, aut propter alieni peccati conscientiam, ipse insons fugerit iratum Dominum egens auxilij, talem ne contempseritis. prodere enim supplices nefas est. supplex autem etiam seruus est qui ad focum tuum confugit, à quo non est æquum eum abstrahi, præsertim si citra fucum cupit recipi in gratiam. id si non impetrat, saltem vendatur. mutatur enim Dominus, licet incertum an in melius: nisi quod confesso malo incertum præfertur. Hæ sunt leges de domesticis alienísque, amicis inimicísque, seruis & ingenuis, denique in vniuersum de hominibus. Sed non hic sistit gradum æquitas, profert se ad brutas quoque naturas, permittens eis haurire ex eodem fonte humanitatis. iubet enim abstineri ab omnibus recens natis tam in armentis quam in gregibus, vetans ea vel mensæ inferri vel altari: nimirum crudele ac ab omni humanitate alienum existimans facinus, insidiari parturientibus, & fœtus à matribus rapere, idque ventris gulæque gratia. Sic igitur quemcumque instituta sua sequentem alloquitur: Magnam habes, ô bone, rerum copiam, quibus vti potes absque crimine. alioquin fortasse ignosci poterat presso inopia. tu vero etiam temperantia cæterisque virtutibus debes excellere, ascitus in ordinem lectissimum, nec admittere in mentem tantam sæuitiam, vt fœtæ lassæ partus laboribus nouam mox vexationem afferas, rapiendo recens editum animal. necesse est enim turbari matrem

A παραινῶν τοῖς τυγχάνουσι τῆς διακονίας, εἰς δὲ τῆς τύχης ἀτέκμαρτον ἀφορᾶν, καὶ λαμβάνειν αἰδῶ τῆς μεταβολῆς· τοὺς δ' ἐξ ἐφ' ἡμερινῶν δανείων χρεώστας, τὸ τῆς ὑπερβολῆς ὄνομα καὶ πάθος ὑποδυῶντας, ἢ καὶ τοὺς ἀνάγκῃ βιαστικωτέρᾳ γενομένους ἐξ ἐλευθέρων δούλους, οὐκ εἰσάπαν κακοπραγεῖν ἐᾷ, διδοὺς ἐκεχειρίαν, εἰς ἅπαν ἐνιαυτοῦ ἑβδόμου· τοῖς μὲν γὰρ δανείσασιν οὐ κομισαμένοις τὸ χρέος πρὸς τὸ ἕτερον κτησαμένοις τοὺς πρότερον ἐλευθέρους, ἀρκεῖ, φησί, χρόνος εἰς ὑπηρεσίαν, B ἑξαετία. οἱ γοῦν μὲν δοῦλοι, χρηστῶν μὴ εἰσάπαν ἀμοιρείτωσαν, ἀλλ' ἴτωσαν ἐπὶ τὴν παλαιὰν ἄδειαν, ἧς διὰ κακοπραγίας ἀβουλήτους ἐστέρηνται. ἂν πελωνίας μὲν φησί, δοῦλος ἑτέρου, φόβῳ δεσποτικῶν ἀπειλῶν, ἢ συνειδὸς ἑαυτῷ ἁμαρτήματος, μηδὲν ἠδικηκώς, ἀμειλίκτῳ χρωμένους ἄλλως δεσπότῃ καταφυγῇ χρῆται ὡς τευξόμενος ἐπικουρίας, μὴ περιίδητε· προδιδόναι γὰρ ἱκέτας οὐχ ὅσιον. ἱκέτης δὲ καὶ ὁ δοῦλος, ὥσπερ εἰς τὴν ἑστίαν καταπεφευγώς, C ἐν ᾗ δίκαιόν ἐστιν ἀσυλίας τυγχάνειν, μάλιστα μὲν εἰς ἀδόλους καταλλαγὰς ἐλθόντα χωρὶς ἐνέδρας· εἰ δὲ μή, τὸ γοῦν ἀζημιώτατον πραθείς. ἀλλάττεται γὰρ δὲ δεσποτῶν ἄδηλον ὅπου τὴν ῥοπὴν ἕξουσι· τοῦ δὴ ὁμολογουμένου, κουφότερον δὲ ἄδηλον κακόν. Ταῦτα μὲν οὖν περὶ οἰκείων καὶ ἀλλοτρίων, καὶ φίλων καὶ ἐχθρῶν, καὶ δούλων καὶ ἐλευθέρων, καὶ συνόλως ἀνθρώπων νομοθετεῖ· τὸ δὲ ἐπιεικὲς καὶ ἥμερον, καὶ ἐπὶ τὴν τῶν ἀλόγων φύσιν, ἀεὶ μεταδιδοὺς καὶ τούτοις ὥσπερ ἀπὸ πηγῆς εὐμενοῦς, ἀρύσασθαί τι- D νος χρηστοῦ. κελεύει γὰρ ἐν ταῖς ἡμέροις ἀγέλαις κατὰ τὰ ποίμνια καὶ αἰπόλια καὶ βουκόλια, τῆς παραχρῆμα τῶν γενομένων ἀπολαύσεως ἀπέχεσθαι, μήτε πρὸς ἐδωδήν, μήτε προφάσει θυσιῶν λαμβάνοντας. ὠμῆς γὰρ ὑπέλαβεν εἶναι ψυχῆς, ἐφεδρεύειν ἀποκυϊσκομένοις ἀνυπέρθετον διάζευξιν ἐγγόνων τε αὖ καὶ μητρῶν, ἕνεκα γαστρὸς ἡδονῆς, μᾶλλον δὲ αὐτῆς ψυχῆς ἐκτόπου τινὸς καὶ παρηλλαγμένης. φησὶν οὖν τοῖς βιωσομένοις κατὰ τὴν ἱερωτάτην αὐτοῦ πολιτείαν, ὦ γενναῖε, πολλή τις ἐστὶν E ἀφθονία σοὶ τῶν πρὸς ἀπόλαυσιν, οἷς μέμψις οὐ παρέπεται. συγγνωστὸν γὰρ ἂν ἦν ἴσως, ἐπειδὴ πολλὰ τῶν ἀβουλήτων ἀπορία καὶ σπάνις δρᾶν ἀναγκάζει· σὺ δὲ καὶ διαφέρειν εἰς ἐγκράτειαν καὶ ἀρετὰς ὀφείλεις, τὴν καλλίστην τεταγμένος τάξιν, καὶ μηδὲν σκαιὸν τῇ διανοίᾳ παραδέχεσθαι, καὶ ταῖς περὶ τὴν ἀποκύησιν ὠδῖσιν ἐπιφέρειν ἔξωθεν ἑτέρας, ἐκ τῆς παραχρῆμα τῶν γενομένων διαζεύξεως. ἀνάγκη γὰρ σφαδάζειν ἀποσπώμενον,

διὰ

διά τινα φυσικὴν μητέρων πρὸς ἔγγονον φιλοστοργίαν, καὶ μάλιστα ἀπὸ τὸν τῆς κυήσεως καιρόν· ἐπεὶ πηγάζοντες οἱ μαστοὶ σπάνει τοῦ θηλάζοντος διακοπὴν τῆς ἐπιῤῥοίας λαμβανούσης, στεῤῥοῦνταί τε κατατεινόμενοι περὶ βάρει τοῦ γάλακτος, καὶ ἀλγηδόσι πιέζονται. χάρισαι, φησί, τῇ μητρὶ τὸ ἔγγονον· εἰ καὶ μὴ τὸν σύμπαντα χρόνον, ἑπτὰ γοῦν τὰς πρώτας ἡμέρας γαλακτοτροφῆσαι, καὶ μὴ ἀνωφελεῖς ἃς ἡ φύσις ὤμβρησε πηγὰς, τοῦ γάλακτος ἐν μαστοῖς ἐργάσῃ, τὰς δευτέρας χάριτας αὐτῆς ἀνελών, ἃς ἐκ πολλοῦ τοῖς γεννηθεῖσιν ἡτοιμάσατο, τὸ ἀκόλουθον, μακρόθεν αἰωνίᾳ καὶ τελείᾳ φρονήσει κατιδοῦσα. πρώτη μὲν γὰρ δωρεὰ γένεσις, δι' ἧς τὸ μὴ ὂν ἄγεται εἰς τὸ εἶναι. δευτέρα δὲ, γάλακτος ἐπιῤῥοία, τροφὴ καιρίῳ μαλακωτάτη ἐν ἁπαλῷ, μία δὲ οὖσα, ποτόν ἐστιν ὁμοῦ καὶ σιτίον. ἔστι γὰρ ὅσον μὲν ὑδατῶδες τοῦ γάλακτος ποτὸν, ὅσον δὲ ἀποπαχύνεται, σιτίον, προνοίᾳ τοῦ μὴ κακοπαθεῖν τὸ ἀρτίγονον, ἐφεδρευούσης χρόνοις διαφέρουσιν ἐνδείας, ἀλλ' ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς προσφορᾶς ἑκατέρου τοῦ τῆς τροφῆς εἴδους, τὰς πικρὰς δεσποίνας δίψαν τε καὶ πεῖναν ἐκφύγῃ. τοῦτον ἀναγνόντες τὸν νόμον οἱ χρηστοὶ καὶ περιμάχητοι γονεῖς, ἐγκαλύψασθε, οἱ ἐπὶ τοῖς βρέφεσιν ἀεὶ πονοῦντες, οἱ κακὴν ἐφεδρεύοντες ἐφεδρείαν τοῖς ἀποκυουμένοις ἐκθέσιν, οἱ τοῦ σύμπαντος ἀνθρώπων γένους ἄσπονδοι πολέμιοι. τίνι γὰρ δι' εὐνοίας ἐγένεσθε, γενόμενοι τῶν ἰδίων τέκνων αὐτόχειρες· οἱ τὰς πόλεις, τό γ' ἐπ' αὐτοῖς ἧκον μέρος, ἐρημοῦντες, ἀπὸ τῶν ἐγγυτάτω γενέσεως ἀρξάμενοι τῆς ἀπωλείας· οἱ τοὺς τῆς φύσεως θεσμοὺς ἀνατρέποντες, καὶ ὅσα ἐν οἰκοδομῇ καθαιροῦντες· οἱ ἀνήμεροι καὶ ἀπίθασοι ψυχῆς ὠμότητι γυμνασταὶ φθορᾶς, ζωῇ θάνατον ἐπιτειχίζοντες. ἢ οὐχ ὁρᾶτε ὅτι τῷ πάντων ἀρίστῳ νομοθέτῃ δι' ἐπιμελείας ἐγένετο, μηδὲ τῶν ἀλόγων τὰ ἔγγονα διαζευχθῆναι τῆς τεκούσης, ἄχρις ἂν γαλακτοτροφηθῇ; τὸ πλέον ὦ γενναῖοι δι' ὑμᾶς, ἵν' εἰ μὴ τῇ φύσει, μαθήσει γοῦν ἀναδιδάσκησθε τὸ φιλοίκειον, εἰς ἄρνας καὶ ἐρίφους ἀποβλέποντες. οἱ ἐν ἀφθόνοις χορηγίαις τῶν ἀναγκαίων, τρυφᾶν οὐ κεκώλυνται, τῆς φύσεως μὲν αὐτοῖς παρασκευασαμένης ἐν ἐπιτηδειοτάτοις χωρίοις, ἐξ ὧν εὐμαρεῖς τοῖς δεησομένοις αἱ ἀπολαύσεις γίνονται· νομοθέτου δὲ μετὰ πολλῆς προθυμίας ἐφορῶντος, ἵνα μηδεὶς ἐμποδίζῃ τὰς εὐεργέτιδας καὶ σωτηρίους τοῦ θεοῦ δωρεάς. βουλόμενος δὲ τὰ ἡμερότητος καὶ ἐπιεικείας σπέρματα πολυτρόποις ἰδέαις ἐγκατασπεῖραι τῇ διανοίαις,

A propter affectum à natura inditum, sed à partu maxime. tunc enim lac in mammis subscatens, si desit fructus, reprimitur: & distentis hac mole vberibus dolor quoque intenditur. Sine vt mater suum fœtum lacte alat, si non diutius, saltem per septem dies: ne natiuos lactis fontes extinguas in vberibus cum ipsius naturæ iniuria, quæ non vult intercipi sua beneficia, multo ante præparata ad conseruationem generum. B primum enim eius munus est generatio, per quam animalia suam essentiam accipiunt: secundum, lactis affluxus; tenerrimi alimenti & aptissimi tempori, quippe quod cibi potúsque vicem præbeat. nam quicquid inest aqueum pro potu habetur, pro cibo verò id quod coagulatur, natura prospiciente modo genitis fœtibus ne patiantur inopiam mox à vitæ initio, sed eadem opera eodemque remedio duas molestias sitis famisque arceant. C Perfricate frontem & legite hanc legem præclari parentes, qui grauari vos putatis infantibus, quos vt exponatis insidiamini parturientibus, publici & infestissimi hostes humani generis. cui enim parcetis, qui filios necatis propriis manibus? qui quantum in vobis est ciuitates desertas redditis, vastitatem incipientes à coniunctissimis: qui ius D naturæ subuertitis tollentes eius opera: qui crudelitate immani vitam oppugnatis, mortem inuehitis, & hanc contra illam armatis. Non videtis vt legislatori optimo curæ fuerit, ne vel brutorum fœtus à matre separarentur nisi post lactationem? nimirum propter vos ô præclari, vt si vos natura non docet affectum erga domesticos, saltem agnorum hædorúmque exemplo eum discatis: E quibus permittitur deliciari in affluentia, natura vltro suppeditante quo fruantur facilius. Id eius munus legislator quoque ratum esse voluit, diligenter cauens ne quis impedire audeat salutarem Dei beneficentiam. atque vt magis etiam insereret in animos multiplices variásque mansuetudinis & æquitatis species, alio præcepto simili cauit nequis immolaret

A matrem & natam ex ea pecudem: aut si vtraque victima cædenda est, fiat id saltem diuersis temporibus. extremæ enim crudelitatis fuerit, eadem die mactare genitricem cum animali ex se progenito. & quo prætextu, nisi aut ventris aut sacrificij. Si sacrificij, falsum nomen est. cædes enim sunt huiusmodi non sacrificia, non admittente Deo tam profana sacra ad altare suum. quin & ignis ipse scinderet se bifariam diffugiens, ne contaminaretur complexu non mis- B cendarum victimarum: aut etiam confestim extingueretur opinor, ne sacram aëris naturam flammis impuris pollueret. Quod si mensis hæc parantur, quis non detestetur nouam & inauditam gulæ sæuiciam? absurdæ sunt enim voluptates huiusmodi. Quæ voluptas est in esu carnium, si tenerorum & lactentium animalium misceantur cum maternis visceribus. ipsa membra si quis C assanda figat eisdem verubus, videntur ruptura silentium præ indignitate facinoris, & plurimis conuiciis proscissura gulam explentem se nefandis dapibus. Certe vetitum est iisdem legibus ne templum subeat animans vlla grauida, néve mactetur nisi partu leuato: quod latens in vtero fœtus non minoris æstimetur quam in lucem editus. Licet enim sit iniqua hæc collatio, prodest tamen ad com- D pescendam temeritatem istorum qui omnia confundunt nullo rerum discrimine. si enim cauetur vt quæ plantarum more augentur nunc vnita grauidis, separanda post menses aliquot, ea seruentur in spem futuram & parcatur matribus, ne quod fiat piaculum: quanto maior ratio habenda est iam editorum, & proprias animas habentium propriáque corpora? proinde nefarium videtur eodem tempore ac eadem die mactare matrem cum sua sobole. E Et hoc est opinor, cur quidam legem introduxerunt de damnatis mulieribus, si grauidæ crimen capitale admiserint, ne ante partum luant supplicium, videlicet vt maneat incolume quod vtero geritur. Verum isti hæc statuerunt de hominibus: at noster æquitatem hanc & ad bruta extendit, vt in his præexercitati tanto magis

ἀγορεύουσι διάταγμα συγγενὲς τοῖς καταθύειν μητέρα καὶ ἔγγονον ἐθέλουσι. καὶ γὰρ εἰ θυτόν, ἀλλ' οὖν γε ἐν χρόνοις διαφέρουσιν. ὑπερβολὴ γὰρ ἀγριότητος, τὴν αἰτίαν τῆς γενέσεως μετὰ τοῦ γεννηθέντος ζώου ἡμέρᾳ μιᾷ κτείνειν. καὶ τοῦτο τοῦ χάριν; ἢ γὰρ ἐπὶ προφάσει θυσιῶν, ἢ διὰ γαστρὸς ἀπόλαυσιν. εἰ μὲν οὖν ἕνεκα θυσιῶν, ἔψευσται καὶ τοὔνομα· τὰ γὰρ τοιαῦτα σφάγια, οὐ θυσία. τίς δ' ἂν δὴ καὶ θεοῦ βωμὸς οὕτως ἀνίερα ἱερεῖα προσδέξαιτο; τὸ δὲ πῦρ, οὐκ ἂν δίχα τμηθὲν ἐξ ἑαυτοῦ διαστσαίη, φυγὸν τὴν ἐξ ἀμίκτου πράγματος ἕνωσιν; οἶμαι δ' ἂν αὐτὸ μηδὲ πρὸς βραχύτατον χρόνον ὑπομεῖναι, αὐτίκα δὲ σβεσθῆναι προνοίᾳ τοῦ μὴ τὸν ἀέρα καὶ τὴν ἱεροπρεπεστάτην πνεύματος φύσιν ὑπὸ τῆς καιομένης φλογὸς μιαίνεσθαι. εἰ δὲ μὴ θυσιῶν χάριν ἀλλ' ἀθοίνης, τίς οὐκ ἂν τῆς ὑπερφυοῦς γαστριμαργίας προβάλοιτο κενὰς καὶ περιττὰς ἐπιθυμίας. ἐκτόπους μὲν γὰρ ἡδονὰς οἱ δὴ τοιοῦτοι μεταδιώκουσι. τίς δ' ἡδονὴ κρεωφαγοῦσι, γεύσασθαι σαρκῶν ἔκ τε τῶν μητέρων καὶ ἐγγόνων· εἰ τὰ μέλη τις ἀναμίξας ἐθελήσειεν ἀναπείρων ὀβελίσκοις ὀπτῶν ἐμφορήσασθαι, οὐκ ἄν μοι δοκεῖ διατελέσειν ἥσυχα, ῥῆξαι δὲ φωνὴν σχετλιάσας δι' ὑπερβολὴν τοῦ καινουργηθέντος πάθους, καὶ μυρία λοιδορήσεσθαι τῆς λαιμαργίας, τοῖς εὐτρεπίζουσιν ἄλεκτον εὐωχίαν. ἀλλ' ὅ γε νόμος ἔξω περιρραντηρίων ἐλαύνει καὶ ὅσα τῶν ζώων κυοφορεῖ, μὴ ἐπιτρέπων ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, τὰ κατὰ γαστρὸς ἐν ἴσῳ τοῖς ἀποκυηθεῖσι λογισάμενος· οὐκ ἐπειδὴ τὴν ἴσην ἔλαχον ἀξίαν ἃ μηδέπω εἰς φῶς πρότερον ἦλθεν, ἀλλ' ὑπὲρ τοῦ μακρόθεν ἐπισχεῖν τὴν εὐχέρειαν τῶν εἰωθότων πάντα φύρειν. εἰ γὰρ τὰ φυτῶν τρόπον ἐμπεριαυξανόμενα καὶ ἐνομιζόμενα τῶν κυούντων, νῦν μὲν ἡνωμένα μένοντα δὲ περιόδοις αὖθις ἀποσπασθησόμενα τῆς συμφυΐας, διὰ τὴν ἐλπίδα τοῦ γενήσεσθαι ζῷα φυλάττεται ὡς περὶ τὰς μητέρας ἀνεπιβουλεύτως, τοῦ μὴ τὸ λεχθὲν μίασμα συμβῆναι· πῶς οὐχὶ μᾶλλον τὰ ἀποτεχθέντα, καὶ καθ' αὑτὰ ψυχῆς καὶ σώματος μεμοιραμένα; πάντων γὰρ ἀνοσιώτατον ἐνὶ καιρῷ καὶ ἡμέρᾳ μιᾷ ἔγγονον ὁμοῦ καὶ μητέρα κτείνειν. συνιδεῖν δέ μοι δοκοῦσιν ὁρμηθέντες ἔνιοι τῶν νομοθετῶν καὶ τὸν ἐπὶ ταῖς κατακρίτοις γυναιξὶν εἰσηγήσασθαι νόμον, ὃς κελεύει τὰς ἐγκυούσας ἂν ἄξια θανάτου δράσωσι, μὴ θανεῖν μέχρις ἂν ἀποτέκωσιν, ἵνα μὴ ἀναιρουμένων, συναπόληται τὸ κατὰ γαστρός. ἀλλ' οὗτοι μὲν ἐπ' ἀνθρώπων ταῦτα ἔγνωσαν· ὁ δὲ προσυπερβάλλων, ἄχρι καὶ τῶν ἀλόγων ζώων τὸ ἐπιεικὲς ἐπέτεινεν, ἵν' τοῖς νόμοις

πᾶσιν ἀσκήσαντες, πολλῇ τινι περιουσίᾳ χρώμεθα φιλανθρωπίας, τὸ μὲν λυπεῖν καὶ ἀντιλυπεῖν ἀλλήλοις ἀπεχόμενοι, τὰ δ' οἰκεῖα ἀγαθὰ μὴ θησαυροφυλακοῦντες, ἀλλ' εἰς μέσον προφέροντες καθάπερ συγγενέσι, καὶ ἐκ φύσεως ἀδελφοῖς τοῖς πανταχῆ πᾶσιν. ἔτι τοίνυν τὸ μὲν ἔθνος μισανθρωπίαν διαβαλλέτωσαν, τοὺς δὲ νόμους μὴ ὡς ἄμικτα καὶ ἀκοινώνητα παραγγέλλοντας αἰτιάσθωσαν οἱ δεινοὶ συκοφάνται, περιφανῶς οὕτω τῶν μὲν νόμων ἐλέου μεταδιδόντων καὶ ταῖς τῶν θρεμμάτων ἀγέλαις, τῶν δ' ἔθνοις ἐκ πρώτης ἡλικίας νομίμοις ἐφηγήσεσιν ὅσον ἐν ταῖς ψυχαῖς ἀπειθὲς μεθαρμοζομένων πρὸς τὸ ἥμερον. ἐπαποδύεται δ' αὐτὸς αὑτῷ καὶ ἀγωνίζεται, πολυτρόπως ἐν ἀρετῇ, καὶ τινι εὐτροπίᾳ χρώμενος πρὸς τὰς καλὰς ὑφηγήσεις. κελεύει γὰρ πρῶτον ἀπότιτθον γενέσθαι, μὴ ἀποσπᾶσθαι τῆς τεκούσης, μήτε ἄρνα, μήτε ἔριφον, μήτε ἄλλο τι τῶν ἐν ταῖς ἀγέλαις. καὶ προσδιαταξάμενος μὴ θύειν τῇ αὐτῇ ἡμέρᾳ μητέρα καὶ ἔγγονον, ἐπιδαψιλεύεται φάσκων, Οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρός. πάνυ γὰρ ὑπέλαβεν εἶναι δεινὸν τὴν τροφὴν ζῶντος, ἥδυσμα γενέσθαι καὶ προσάρτυσιν ἀναιρεθέντος· καὶ τὴν μὲν φύσιν ἐπιμεληθεῖσαν αὐτοῦ τῆς διαμονῆς, ὀμβρῆσαι γάλα, ὃ διὰ μαστῶν τῆς τεκούσης ὡς ἐκ διδύμων φρεάτων φέρεσθαι διετάξατο· τὴν δὲ τῶν ἀνθρώπων ἀκρασίαν τοσοῦτον ἐπιδοῦναι, ὡς τὸ τῆς ζωῆς αἴτιον καταχρήσασθαι καὶ πρὸς τὴν τοῦ ὑπολοίπου σώματος ἀνάλωσιν. εἰ δέ τις σὺν γάλακτι κρέα συνέψειν ἀξιοῖ, μὴ σὺν ὠμότητι, χωρὶς δὲ ἀσεβείας ἑψέτω. μυρίαι θρεμμάτων ἀγέλαι εἰσὶ πανταχοῦ, καὶ καθ' ἑκάστην ἡμέραν ἀμέλγονται διὰ βουκόλων, αἰπόλων, ποιμένων, οἷς κτηνοτροφοῦσιν ἡ μεγίστη πρόσοδος, τῇ μὲν εἰσκεχυμένον, τῇ δὲ συνιστάμενον καὶ πηγνύμενον εἰς τυρόν· ὥστε ἀφθονίας ὑπαρχούσης τῷ ἄρνα ἢ ἔριφον ἤ τινος ἑτέρου, τῷ γάλακτι μητρὸς κρέα συνέψοντι, χαλεπὴν ἐπιδείκνυσθαι τρόπων σκαιότητα, ἀναγκαιότατον καὶ συγγενέστατον λογικῇ ψυχῇ πάθος ἐκτεμνομένῳ τὸν ἔλεον. ἄγαμαι δὲ κἀκεῖνον τὸν νόμον, ὃς καθάπερ ἐν χορῷ παναρμονίῳ συνᾴδων τοῖς προτέροις, διαγορεύει, βοῦν ἀλοῶντα μὴ φιμοῦν. ἔστι γὰρ ὅ γε πρὸ μὲν τῆς σπορᾶς οὔσης βαθυγείου πεδιάδος ἀνατέμνων εἰς αὔλακας, προσεπιμετρούμενος οὐρανῷ καὶ γεωπόνῳ τὰς ἀρούρας, τὸ μὲν ἵνα χερσεῖαι καταπονηθῶσι, τὸ δ' ἵνα κόλποι βαθεῖς ὑποδεξάμενοι τὰς διὰ τῶν ὑετῶν χάριτας, ταμιεύσωσι καὶ χορηγήσωσιν ἐκ τοῦ κατ' ὀλίγον τῷ σπόρῳ τροφὰς πιείρας, ἄχρις ἂν σταχυοφορήσας τελεσφορήσῃ τὸν ἐτήσιον καρπόν.

A humanitatem colamus mutuam, nec inferendo nec referendo iniuriam, & communicando propria bona cum fratribus eiusdem naturæ participibus. Eant nunc sycophantæ, & inhumanitatem nostræ genti obijciant; legibus vero nouitatem quandam insociabilem, cum ab his tam clementer tractentur etiam pecudes, homines vero à tenera ætate assuescant præceptis mansuetudinem docentibus. B Ipse legislator seipsum superare contendit omni virtutum genere, vt ex eius institutis apparet. Vetat enim ne vllum animal nondum ablactatum abstrahatur à matre sua, non agnus, non hædus, non aliud quicquam ex armentis atque gregibus. Nam cum interdixisset ne quis eadem die mactaret matrem cum fœtu suo, insuper addidit: Non coques C agnum in lacte materno. Iudicauit enim valde iniquum, id quod viuenti animali cibus fuerat, in condimentum occisi vertere: & cum natura prouida ad eius conseruatiouem lac vberum receptaculis indidisset, hominum incontinentiam eò progredi, vt vitali alimento abutatur ad absumendas reliquias corporis. quod si quis carnes cum lacte vult coquere, id sine crudelitate, impietatéque faciat. sunt vbique greges innu-D meri, qui quotidie mulgentur à bubulcis, caprarijs & opilionibus, vnde pecuarijs ampli reditus, tum è liquido lacte, tum è coagulato in caseum. In tanta copia hædum agnúmve in materno lacte coquere, nihil aliud quam immanitatis indicium fuerit, ablegata misericordia, affectu necessario cognatóque rationali animæ. Illa quoque lex laudabilis ad superiorum chorum pertinens, quæ ve-E tat boui trituranti os obturari. huius enim opera ante sementem aruum sulcis proscinditur, præparatúrque vt fauente cælo respondeat agricolæ votis ac laboribus, conceptóque tempestiue semine pluuias quoque cælitus intra se recipiat facilius, dispensandas mox in nutrimenta segetum, donec maturæ spicæ annonam vberem proferant. absoluto autem hoc opere,

A rursum bos adhibetur ad aliud necessarium ministerium, vt purgentur fruges & à reiectamentis secernantur. Huic legi prospicienti bubus triturantibus, connexa est quæ præcipit de iumentis arantibus. Vetat enim ne arandi causa sub idem iugum mittatur bos & asinus: non solum quoniam genere plurimum differunt: bos enim purus, asinus impurus est, & ideo iungi eos non decet: verum etiam quia non pollent paribus viri- B bus, infirmiori consulitur, ne cum fortiore contendens succumbat negocio: quamuis asinus infirmior à sacris locis arceatur, bos fortior censeatur inter præcipuas victimas. attamen impurorum etiam securitati prospicitur, purorum robori non plus quam æquum est permittitur, lege tantum non occlamante habentibus aures animæ: nemini alieno inferendam iniuriam, in quo nihil præterea sit culpabile, quandoquidem exter- C num genus culpa careat. quicquid enim nec vitium est, nec à vitio proficiscitur, non est culpabile. Adeò autem abundat & exuberat æquitas legislatoris, vt à rationalibus ad bruta, à brutis ad stirpes se porrigat, de quibus iam dicendum est, sicut antea de hominibus cæterisque animatis diximus. Diserte igitur cautum est ne quis cædat frugiferas arbores, néve segetes in detrimentum colonorum ante tempus demetat, néve vllum fru- D ctum corrumpat, vt præsto sit humano generi ciborum copia, non solum ad necessitatem, sed & ad delicias. frumentum enim alimenta necessaria suggerit hominibus, delicias autem ministrat secundarum mensarum inenarrabilis varietas: quæ temporibus egestatis in alimentorum vicem succedunt. imò quod magis etiam mireris, ne hostium quidem arbusta sinit cædere, iubens vt eis parcatur: quod iniquum sit bellum susceptum aduersus homines, sæ- E uire in res innoxias. præterea vult rationem haberi non solum præsentis temporis facile mutabilis, verum etiam eius vicissitudinum: quandoquidem accidere potest vt qui modo fuerant hostes infestissimi, pace impetrata recipiantur etiam in fœdus & amicitiam. amicos autem inopia ciborum premere inhumanum est, si nihil præparetur in

μετὰ δὲ τὴν τελείωσιν, πάλιν βοῦς ἐστι πρὸς ἑτέραν ὑπηρεσίαν ἀναγκαίαν, καθαρσιν δραγμάτων, καὶ διάκρισιν σκυβάλων ἀπὸ τοῦ γνησίου καὶ χρησίμου. ἀλλ' ἐπεὶ τοῖς μὲν ἀλοῶσι βουσὶν ἥμερον καὶ ῥητὴν πρόσταξιν εἶπεν, καὶ τὸν ἐπὶ τοῖς ἀροῦσι θρέμμασι τέθεικε νόμον ἑξῆς διὰ μιᾶς τῆς αὐτῆς οὔσης συζυγίας. ἀπαγορεύει γὰρ ἐν ταὐτῷ ζευγνύναι πρὸς ἄροσιν βοῦν καὶ ὄνον, οὐ μόνον τῆς περὶ τὰ ζῷα διοικήσεως στοχασάμενος, ὅτι τὸ μὲν ἐστι καθαρόν, ὄνος δὲ τῶν ἀκαθάρτων. τὰ δὲ οὕτως ἠλλοτριωμένα συνάγειν οὐκ εὐπρεπές. ἀλλ' ἐπεὶ καὶ τὴν ἰσχὺν ἐστιν ἄνισα, προμηθεῖται τοῦ ἀσθενεστέρου, ὡς μὴ πρὸς δυνατωτέρας βίας θλίβηται καὶ πιέζηται. καίτοι τὸ μὲν ἀσθενέστερον ὄνος, ἔξω περιρραντηρίων ἐλαύνεται· τὸ δὲ ἐρρωμενέστερον βοῦς ἐν ταῖς τελειοτάταις θυσίαις ἱερουργεῖται. ἀλλ' ὅμως, οὔτε τῆς τῶν ἀκαθάρτων ἀσφαλείας ὠλιγώρησεν, οὔτε τοῖς καθαροῖς ἐφῆκεν ἰσχύϊ πρὸ δίκης χρῆσθαι, μονονοὺκ ἄντικρυς βοῶν καὶ κεκραγὼς τοῖς ὦτα ἔχουσιν ἐν ψυχῇ, μηδένα τῶν ἑτερογενῶν ἀδικεῖν, οὐδενὸς ἔχοντος αἰτιάσασθαι, ἐπὶ μὴ τὸ ἀλλογενές, ὅπερ ἐστὶν ἀναίτιον. ὅσα γὰρ μήτε κακία, μήτε ἀπὸ κακίας, ἔξω παντὸς ἐγκλήματος ἵσταται. ἐπιδαψιλευόμενος δὲ τὸ ἐπιεικές, πάλιν πλουσίως αὐτῷ καὶ κατακόρως χρῆται, μετιὼν ἀπὸ μὲν τῶν λογικῶν ἐπὶ τὰ ἄλογα, ἀπὸ δὲ τῶν ἀλόγων ἐπὶ τὰ φυτά, περὶ ὧν αὐτίκα λεκτέον, ἐπειδή γε περὶ τῶν προτέρων ἀνθρώπων καὶ τῶν ὅσα ψυχῆς μεμοίραται, λέλεκται. ἀπείρηκε τοίνυν ἄντικρυς μήτε δενδροτομεῖν ὅσα τῆς ἡμέρου ὕλης, μήτε κείρειν ἐπὶ λύμῃ σταχυοφοροῦσαν πεδιάδα, μήτε συνόλως καρπὸν διαφθείρειν, ἵνα περιουσία μὲν τροφῶν ἀφθόνων χορηγῆται τὸ τῶν ἀνθρώπων γένος, περιουσίᾳ δὲ ζῇ μὴ μόνον τῶν ἀναγκαίων, ἀλλὰ καὶ τῶν πρὸς τὸν ἁβροδίαιτον βίον. ἀναγκαῖα μὲν γὰρ ὁ τοῦ σίτου, καρπὸς εἰς τροφὴν ἀνθρώπων ἀποκριθείς· πρὸς δὲ τὸν ἁβροδίαιτον βίον, αἱ τῶν ἀκροδρύων ἀμύθητοι ποικιλίαι· γίνονται δὲ ἐν ἐνδείαις πολλάκις ὅτε καὶ τροφαὶ δεύτεραι. καὶ προσυπερβάλλων, οὔτε τὴν πολεμίων χώραν τέμνειν ἐᾷ, παραγγέλλει δὲ ἀνέχειν δενδροτομιῶν, ἄδικον ὑπολαμβάνων τὴν πρὸς ἀνθρώπους ὀργὴν ἀποσκήπτειν εἰς τὰ μηδενὸς αἴτια κακοῦ. ἔπειτα δὲ ἀξιοῖ μὴ μόνον τὸ παρὸν προορᾶσθαι, μηδενὸς ἐν ὁμοίῳ μένοντος, ἀλλὰ πάντων τροπαῖς καὶ μεταβολαῖς χρωμένων, ὡς εἰκὸς εἶναι τοὺς τέως δυσμενεῖς ἐπικηρυκευσαμένους καὶ συμβατηρίων ἀρξάντας, ἐν σπονδαῖς αὐτίκα γενέσθαι φίλους· φίλους δὲ τροφῶν ἀναγκαίων ἀποστερεῖν χαλεπόν,

μηδὲν ταμιευσαμένοις τὴν ἐπ᾽ ὠφελείᾳ, διὰ τὴν τοῦ μέλλοντος ἀδηλότητα. πάνυ γὰρ ἐκεῖνο καλῶς εἴρηται τοῖς παλαιοῖς, ὅτι καὶ φιλίας κοινωνητέον, μὴ ἀπογινώσκοντας ἔχθραν, καὶ προσκρουστέον ὡς φιλίας ἐσομένης, ἵν᾽ ἕκαστος ἐν τῇ ἑαυτοῦ φύσει ταμιεύηταί τι τὴν εἰς ἀσφάλειαν, καὶ μὴ ἀπογυμνωθεὶς ἐν ἔργοις καὶ λόγοις, μετανοῇ τῆς ἄγαν εὐχερείας, ὅτ᾽ οὐδὲν ὄφελος, αἰτιώμενος ἑαυτόν. τὸ λόγιον τοῦτο χρὴ φυλάττειν τὰς πόλεις, ἐν μὲν εἰρήνῃ προνοουμένας τὴν κατὰ πόλεμον, ἐν δὲ πολέμῳ, τὴν κατ᾽ εἰρήνην, καὶ μήτε τοῖς συμμάχοις ἀνέδην προσπιστεύειν ὡς οὐ χρησομένοις μεταβολῇ πρὸς τὸ ἀντίπαλον, μήτε τοῖς πολεμίοις εἰσάπαν ἀπιστεῖν, ὡς οὐ δυνησομένοις ποτὲ μεθαρμόσασθαι πρὸς τὸ ἔνσπονδον. εἰ μέντοι καὶ μηδὲν ὑπὲρ ἐχθροῦ πρακτέον δι᾽ ἐλπίδα καταλλαγῶν, οὐδὲν ἐχθρὸν φυτόν, ἀλλὰ πάντα ἔνσπονδα καὶ ὠφέλιμα· τὰ δ᾽ ἥμερα καὶ διαφερόντως ἀναγκαῖα, ὧν ὁ καρπός, ἢ τροφή ἐστιν, ἢ ἰσότιμον τροφῇ κτῆμα. οὐ δεῖ πολεμεῖν πρὸς τὰ μὴ πολέμια, τέμνοντας, ἢ καίοντας, ἢ ῥίζαις αὐταῖς ἀνασπῶντας, ἅπερ αὐτὴ ἡ φύσις ὑδάτων ἐπιρροίαις καὶ θέρεσι εὐκρασίαις ἐτελειογόνησε, δασμοὺς ἐτησίους οἴσοντα ἀνθρώποις οἷα βασιλεῦσιν. ἐμέλησε δ᾽ αὐτῷ καθάπερ ἀγαθῷ προστάτῃ ἀλήπτον εἶναι, μὴ μόνον ζώοις, ἀλλὰ καὶ φυτοῖς, ἰσχύν τε καὶ ῥώμην, καὶ μάλιστα τοῖς ἡμέροις· ἐπειδὴ καὶ πλείονος ἄξια φροντίδος ἐστί, καὶ οὐχ ὁμοίως τοῖς ἀγρίοις ἔχοντα, γεωργικῆς ἐπιστήμης δεόμενα πρὸς κραταιοτέραν δύναμιν· κελεύει γὰρ τὰ νέα φυτὰ τῶν δένδρων, ἐπὶ τριετίαν ἑξῆς τιθηνεῖσθαι, τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι, καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς δι᾽ ἔνδειαν ἐξασθενεῖν, γυροῦν τε καὶ περισκάπτειν, ἵνα μηδὲν τῶν ἐπὶ ζημίᾳ παραβλαστάνῃ, τὴν αὔξησιν κωλῦον· τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι κατὰ μετουσίαν ἀπολαύσεως, οὐ μόνον ἐπειδὴ ἀτελὴς ἐξ ἀτελῶν ἔμελλεν ἔσεσθαι. καὶ γὰρ τῶν ζώων ὅσα μὴ τέλεια οὐ τελειογονεῖ· καὶ διὰ τὸ βλάπτεσθαι τὰ νεόφυτα, καὶ τρόπον τινὰ χαμαίζηλα ἔμελλε, κωλυόμενα ἐρνοῦσθαι. πολλοὶ γοῦν τῶν γεωπόνων ἔαρος ὥρᾳ, ἐπιτηροῦσι τὰ νέα τῶν δένδρων, ἵν᾽ ὃν ἂν τέκῃ καρπόν, εὐθὺς ἀποθλίβωσι, πρὶν ἐπίδοσιν καὶ συναύξησιν λαβεῖν, φόβῳ τῆς τῶν τεκόντων ἀσθενείας. συμβαίνει γὰρ εἰ μὴ προφυλάξαιτό τις, ὅτε χρὴ τελειωθέντα καρπὸν φέρειν, ἀγονεῖν, ἢ ἀμβλίσκειν, ἐξασθενήσαντα, τῷ πρὸ καιροῦ πληθῦναι φορᾷ, ὡς αἱ παλαιαὶ κληματίδες ἐπιλυμέναις ῥίζαις τῶν ἐκβρέχουσιν ὑπὸ στελέχη·

A eventus incertos futuri temporis. non temere enim vetere prouerbio iactatum est: ita amicum habeas, posse vt fieri inimicum putes. ita offendas amicum, tanquam rediturus in gratiam. sic securitati prospicitur, nequem post detectum dictis factisque ingenium, sero nimiæ facilitatis pœniteat. Sed maxime ciuitatibus hoc præceptum vtile fuerit, vt in pace de bello, in bello de pace cogitent, & neque sociis nimium confidant tanquam B non transituris ad partes hostium, neque de hostibus omnino desperent, tanquam nunquam recipiendis in fœdera. Imò etiamsi nulla pax speranda sit ab hostibus, certe stirpes infestant neminem, omnibus pacatæ atque vtiles, præsertim frugiferæ, quæ aut alendo vitam iuuant, aut alijs non minoribus commoditatibus. cum igitur nemini noceant, non debent quicquam hostile pati, non cædi, non vri, non C exstirpari radicitus, ab ipsa natura æstiuis auris refocillatæ hibernisque pluuijs, vt annuum tributum hominibus pendant tanquam regibus. itaque vt bonus præses curauit sartam tectámque præstare incolumitatem, non pecudum solum, verum arborum etiam, præcipue mitium: quippe quæ maiore cura dig[illegible]sunt, nec ita vt siluestres possunt carere colonorum prouidentia. iubet enim nouellas plantas nutricari per triennium, resectis superfluis stolonibus, ne grauen- D tur onere, néve absumpto alimento in minutos ramulos languescant stirpes ipsæ: easdémque ablaqueari, nequid succrescens in proximo earum augmenta impediat. fructum quoque harum non sinit decerpi pro cuiusque arbitrio, non solum quia imperfectus ex imperfectis nascitur: nam neque animantes ante adultam ætatem generationi sunt idoneæ: sed etiam quia lædit teneras arbusculas, quo- E dammodo non sinens supra fruticum altitudinem se ab humo tollere. proinde sunt qui vere ineunte nouellas stirpes inspiciunt, vt si quem proferunt fructum deterant prius quam excrescat, metuentes ne firmitati parentis officiat. quod ni præcaueatur, iam adultæ fallunt expectationem, fertilitate hebetata vel euanida, vt exhausta partu intempestiuo: quod & in vetulis vitibus vsu venit, succo ad eum modum absumpto radicitus,

at post triennium actis iam altius radicibus & in solo defixis firmiter, postquam stirps bene fundata se humo extulit, potest perfectos fructus gignere anno quarto iuxta perfectum numerum, tum vero ita demum decerpi permittitur, si non in priuatos vsus vertatur, sed Deo sacretur primitiarum nomine, in testimonium gratitudinis & in spem fertilitatis futuræ. reliquum ætatis prodest sui cultoris vsibus. Vides bonitatem eximiam, primo diffusam in omnes species hominum, non exteris exclusis, non hostibus: deinde in bruta quoque, impurorum etiam ratione habita: postremo in omne genus plantarum ac stirpium. quisquis enim in stupidis naturis æquitatem meditatur, ne in viuas quidem peccat facile: & quisquis nihil absurdi tentat in cæteris animantibus, iam inde discit rationalibus potiorem curam impendere. Talibus præceptis vbi mentes ciuium suorum mansuetas reddidit, liberauit eos ab arrogantia superbiaque vitijs grauissimis, quæ tamen multi amplectuntur pro virtutibus, præsertim quotquot opibus extolluntur atque honoribus. nam arrogantia sæpe nascitur etiam in contemptis & obscuris hominibus, sicut cæteræ perturbationes & ægritudines: sed non potest in his crescere, quia sicut ignis absque fomento deficit, & ad magnates demigrat, quibus vt dixi large opes honorésque suppetunt: atque ita dulci fortuna ebrij debacchantur in seruos ac ingenuos, interdum & in ciuitates integras. Saturitas enim parit ferociam, vt est in vetere prouerbio. quamobrem optime docet Moses in sacris suis præceptis, abstinendum ab omni peccato, sed maxime à superbia. móxque memorat vnde accendi soleat hoc vitium, nimirum è saturitate, & prædiorum pecudumque copia. tunc enim possessores impotentes sui fiunt, elati inflatique, proculdubio perituri nisi Deum semper habuerint in memoria. Quemadmodum enim sole exorto euanescunt tenebræ, & luce implentur omnia: eodem modo quando sol diuinus illucescit animæ, vitiorum affectionumque caligo dispellitur, & splendidissimæ virtutis pura amabilisque se profert species. Et quo

A μετὰ δὲ τριετίαν, ὅταν αἱ μὲν ῥίζαι βαθύνωσι προσεχόμεναι τοῦ ἐδάφους κραταιότερον, τὸ δὲ στέλεχος ἀκλινέσι θεμελίοις ἐπηρεισμένον αὔξηται σὺν εὐτονίᾳ, δύναται τελεσφορεῖν ἔτει τετάρτῳ κατὰ τέλειον ἀριθμόν. τετράδι δὲ κελεύει δρέπεσθαι τὸν καρπόν, οὐ πρὸς ἀπόλαυσιν, ἀλλ' ὅλον αὐτὸν καθιερῶν ἀπαρχὴν τῷ θεῷ. τῇ μὲν τῶν προγεγονότων χαριστήριον, τῇ δὲ ἐλπίδι τῆς εἰς τὸ μέλλον εὐκαρπίας. καὶ τὸ μετὰ τοῦτο, προσοδεύεσθαι. ὁρᾷς ὅσον τὸ ἵλεων καὶ χρηστὸν ἐπιδείκνυται, καὶ ὡς ἀναχέχυκεν αὐτὸ πρὸς
B ἅπασαν ἰδέαν ἀνθρώπων τὸ πρῶτον, κἂν ἀλλόφυλός τις ἢ ἐχθρὸς ἢ· εἶτα ζώων ἀλόγων, κἂν μὴ τυγχάνῃ καθαρά. ἐπὶ δὲ πάσης σπαρτῶν ὁμοῦ καὶ δένδρων φύσεως. ὁ γὰρ ἐν ταῖς ἀφαντάστοις φύσεσι προμαθὼν ἐπιείκειαν, εἰς οὐδὲν αὖ τῶν ψυχῆς μεμοιραμένων ἐξαμαρτεῖ, ὅ, τε μηδὲν ἐπιχειρῶν νεωτερίζειν περὶ τὰ ἔμψυχα, πόρρωθεν ἀναδιδάσκεται τὴν λογικὴν ἐπιμελεῖσθαι. τοιαύταις ὑφηγήσεσι τὰς διανοίας τῶν καθ' αὐτὸν πολιτευομένων ἐξημερώσας, ὑπεροψίας καὶ ἀλαζονείας ἀργαλεωτάτων
C καὶ ἐπαχθεστάτων κακῶν διέζευξεν, ὧν ὡς μεγίστων ἀγαθῶν οἱ πολλοὶ περιέχονται, καὶ μάλισθ' ὅταν πλοῦτοι καὶ δόξαι καὶ ἡγεμονίαι περιουσίας ἀφθόνους χορηγῶσιν. ἀλαζονεία γὰρ φύεται καὶ ἐν ἠμελημένοις πολλάκις καὶ ἀφανέσιν ἀνθρώποις, ὡς καὶ τῶν ἄλλων ἕκαστον ψυχῆς παθῶν τε καὶ νοσημάτων καὶ ἀρρωστημάτων· τὴν δὲ ἐπὶ πλέον εὐλάβειαν καὶ παραύξησιν οὐ λαμβάνει, ἀλλ' οἷα πυρὸς οὐσία σπάνει ὕλης ἀμαυροῦται, καὶ περιφέρεται ἐν τοῖς μεγάλοις, χορηγοὺς ὡς ἔφην, ἔχουσι τοὺς κακοὺς πλούτους καὶ δόξας
D καὶ ἡγεμονίας, ὧν ἀποπλησθέντες καθάπερ οἱ πολὺν ἄκρατον ἐμφορησάμενοι, μεθύουσι καὶ ἐμπαροινοῦσι δούλοις ὁμοῦ καὶ ἐλευθέροις, ἔστι δ' ὅτε καὶ ὅλαις πόλεσι. τίκτει γὰρ κόρος ὕβριν, ὡς ὁ τῶν παλαιῶν λόγος. διὸ παγκάλως Μωϋσῆς ἱεροφαντεῖ, παραινεῖ πάντων μὲν ἁμαρτημάτων ἀπέχεσθαι, διαφερόντως δὲ ὑπεροψίας. εἶθ' ὑπόμνησιν ποιεῖται τῶν ἀναφλέγειν τὸ πάθος εἰωθότων, πλησμονῆς τὰς τροφὰς ἀμέτρους, καὶ οἰκιῶν καὶ κτημάτων καὶ θρεμ-
E μάτων ἀφθόνους περιουσίας. γίνονται γὰρ εὐθὺς αὐτῶν ἀκράτορες, διαιρόμενοι καὶ φυσώμενοι, οἷς μία θεραπείας ἐλπίς, τὸ μηδέποτε ἐκλαθέσθαι θεοῦ. καθάπερ γὰρ ἀνατείλαντος ἡλίου, τὸ μὲν σκότος ἀφανίζεται, φωτὸς δὲ πληροῦται τὰ πάντα· τὸν αὐτὸν τρόπον ὅταν θεοποίητος ἥλιος ἀνάσχῃ καὶ ἐπιλάμψῃ ψυχήν, ὁ μὲν τῶν κακιῶν καὶ παθῶν ζόφος ἀνασκίδναται· τῆς δ' αὐγοειδεστάτης ἀρετῆς τὸ καθαρώτατον καὶ ἀξιέραστον εἶδος ἐπιφαίνεται. στέλ-

A ἀλλ' ἔτι μᾶλλον καὶ καθαιρεῖ ὑπεροψίαν, ἀξιῶν τὰς αἰτίας συλλέγειν, δι' ἃς ἄληστον θεοῦ μνήμην ἀγαλματοφορεῖ. αὐτὸς γάρ σοι, φησὶ, δίδωσιν ἰσχὺν ποιῆσαι δύναμιν· ἄγαν παιδευτικῶς. ὁ γὰρ ἀκριβῶς ἀναδιδαχθεὶς, ὅτι δῶρον εἴληφε παρὰ θεοῦ τὸ εὔτονον καὶ ῥωμαλέον, τὴν ἰδίαν ἀσθένειαν ἐκλογιζόμενος, ἣν πρὶν ἀπολαῦσαι τῆς δωρεᾶς εἶχεν, ὑψηλὸν καὶ ὑπέραυχον φρόνημα διώσεται, καὶ εὐχαριστήσει τῷ τῆς κρείττονος αἰτίῳ μεταβολῆς. ψυχὴ δὲ εὐχάριστος ἀλαζονείας πολέμιος. ἐπεὶ καὶ τοὐναντίον
B ἀχαριστία συγγενὲς ὑπεροψίας. εὐρωστεῖ σοι τὰ πράγματα, λαβὼν καὶ κτησάμενος σώματος ἰσχὺν ἣν ἴσως οὐ προσεδόκησας, ποίει δύναμιν. τί δὲ τοῦτ' ἐστιν, ἀκριβωτέον τοῖς μὴ πάνυ συνορῶσι τὸ δηλούμενον. πολλοὶ τἀναντία ὧν εὖ πεπόνθασι δρᾶν ἐπιχειροῦσιν. ἢ γὰρ πλουτήσαντες πενίαν ἄλλοις κατασκευάζουσιν, ἢ δόξης καὶ τιμῆς ἐπὶ μέγα μεταλαχόντες, ἀδοξίας καὶ ἀτιμίας ἑτέροις αἴτιοι γίνονται· χρὴ δὲ καὶ τὸν φρόνιμον καὶ ἀγχίνουν, ὡς ἔνι μάλιστα, τοιούτους καὶ τοὺς πλησιάζοντας κατασκευάζειν, καὶ τὸν
C σώφρονα ἐγκρατεῖς, καὶ ἀνδραίους τὸν ἀνδρεῖον, καὶ τὸν δίκαιον δικαίους, καὶ συνόλως ἀγαθοὺς τὸν ἀγαθόν. ταύτας γὰρ ὡς ἔοικε δυνάμεις, ὧν ὅ γε ἀστεῖος, ὡς οἰκείων περιέχεται· δύναμις δὲ καὶ ἀσθένεια τὰ ἐναντία, σπουδαίων ἀλλότρια ἠθῶν· ἄλλως τέ καὶ μάθημα ἀναδιδάσκει τῇ λογικῇ φύσει πρεπωδέστατον, μιμεῖσθαι θεὸν, καθ' ὅσον οἷόν τε, μηδὲν παραλιπόντα τῶν εἰς τὴν ἐνδεχομένην ἐξομοίωσιν. ἐπεὶ τοίνυν ἔλαβες ἰσχὺν παρὰ τοῦ δυνατωτέρου, μεταδὸς ἄλλοις ἰσχύος,
D διαθεὶς ὃ ἔπαθες, ἵνα μιμήσῃ θεὸν τῷ παραπλήσια χαρίζεσθαι. κοινωφελεῖς γὰρ αἱ τοῦ πρώτου ἡγεμόνος δωρεαὶ, ἃς δίδωσιν ἐνίοις, οὐχ ἵν' ἐκεῖνοι λαβόντες ἀποκρύψωσιν, ἢ καταχρήσωνται πρὸς ζημίαν ἑτέρων, ἀλλ' ἵν' εἰς μέσον προενεγκόντες ὥσπερ ἐν δημοθοινίᾳ, πάντας ὅσους οἷόν τε καλέσωσιν αὐτῶν. λέγομεν οὖν καὶ τῷ πολυχρημάτῳ καὶ ἐνδόξῳ, καὶ εὐέκτῃ, καὶ ἐπιστήμονι, πλουσίους, καὶ εὐέκτας, καὶ ἐπιστήμονας, καὶ συνόλως ἀγαθοὺς ἀπεργάσασθαι τοὺς ἐντυχόντας, ἀλλὰ μὴ φθόνον καὶ
E βασκανίαν ἀρετῆς προστησαμένους, τοῖς εὖ πράττειν δυναμένοις ἀντιβαίνειν· τοὺς δὲ μέγα πνέοντας ἐπὶ τοῖς τῆς ἀλαζονείας καὶ ἀθεραπεύτως τὸν τῦφον ἔχοντας, ὁ νόμος παγκάλως οὐκ ἤγαγεν εἰς κρίσιν ἀνθρωπίνην, ἀλλὰ μόνῳ τῷ θείῳ παρέδωκε δικαστηρίῳ· φησὶ γὰρ, Ὃς ἂν ἐγχειρῇ τι πράττειν μεθ' ὑπερηφανίας, τὸν θεὸν παροξύνει· διὰ τί; ὅτι πρῶτον μὲν, ἀλαζονεία ψυχῆς ἐστι κακία· ψυχὴ δὲ ἀόρατος, ἔτι μὴ θεῷ·

A magis compescat superbiam; vult nos causas habere præ oculis, quæ nunquam sinant beneficiorum Dei memoriam elabi è nostro pectore. Hic enim, inquit, tibi præstat robur ad exerendam potentiam. Recte monet. quisquis enim didicit donatam sibi à Deo fortitudinem, reputans in firmitatem suam pristinam, seponet omnem iactantiam, & gratias aget ei qui se mutauit in melius. nam gratus animus alienus est ab arrogantia, sicut
B ediuerso ingratus affinis est superbiæ. Bene se habent tua negocia: accepto igitur corporis robore, quod fortasse non expectaueras, exerce potentiam. hoc quid sit, clarius propter imperitiores explicandum videtur. Multi accepto beneficio abutuntur in contrarium, dum aut diuitijs suis alios ad inopiam adigunt, aut quanto magis præminent honore atque gloria, tanto maiore alios afficiunt ignominia. atqui decet vt vir prudens ac solers fa-
C miliares reddat sibi similes, fortis item fortes & iustus iustos, & in vniuersum bonus bonos. Has enim intelligo potentias, quas vir probus amplectetur vt proprias. Est autem potentia imbecillitati contraria, alienæ à bonis moribus. Et alioquin etiam hic traditur præceptum rationali naturæ vtilissimum, vt Deum imitetur pro viribus, nullam eius imitationis occasionem sinens præterlabi. ergo quoniam accepisti à potentiore fortitudinem,
D communica eam cum alijs, sic eos afficiens vt ipse affectus es, vt hoc pacto Deum imiteris. publicam enim vtilitatem afferunt largitiones & gratiæ summi principis, non ideo profusæ in quosdam vt celentur aut vertantur in aliorum incommodum, sed vt proferantur in medium tanquam in epulo publico, inuitatis ad fruendum omnibus. Hortamur igitur locupletem, honoratum, bene valentem, multiscium,
E vt diuites, bene valentes, multiscios, & in vniuersum bonos reddant eos cum quibus habent consuetudinem, semotaque inuidia virtutibus suis vtantur in rempublicam. cæterum illos qui fastu turgidi nolunt resipiscere, lex non ad humanum tribunal mittit, sed diuino tradit iudicio. Ait enim: Quicunque aggreditur aliquid agere cum superbia Deum iritat. Cur ita? primum quoniam arrogantia vitium est animæ: anima autem Deo soli est visibilis.

A quisquis autem punit, si cæcus est, vt ignorans arguitur. cum vero videt, laudatur, vt scientiam adhibens in consilium. deinde quoniam quilibet arrogans insana opinione inflatus, non tam virum aut heroem quam genium quendam se existimat, vt Pindarus inquit, transcendens naturæ humanæ terminos. est autem nec animi satis compos nec corporis, toto habitu gestúque morbum præ se ferens. Incedit summis pedum digitis, ceruicem in equi morem erigens, attollensque B se supra naturæ modulum: nec aliter audit quam quasi non audiens: famulis pro iumentis vtitur, ingenuis verò pro mancipijs: cognatis item pro alienis, amicis pro adulatoribus, ciuibus pro exteris. arbitratur enim se omnium ditissimum, nobilissimum, pulcherrimum, fortissimum, prudentissimum, temperantissimum, iustissimum, solertissimum. alios vero habet pro pauperibus, obscuris, contemptis, C imprudentibus, iniustis, insipientibus, piacularibus, nihilique homuncionibus. Merito igitur talis ad Dei tribunal puniendus relegatur prophetæ sententia. Cum autem virtutis amantissimus sit sacer hic Moses, omnes vbique pietatis iustitiæque cultores excitat propositis præmijs tãquam in certamine, conuersis ad bonam frugem offerens ius ciuitatis optimæ, & societatem commodorum paruorum magnorumque omnium. siquidem D præcipua bona sunt, in corpore sanitas, in nauigatione prosperitas, in anima rerum non obliuiscendarum memoria: secundaria vero quæ ad correctionem pertinent, virium post morbum recollectio, salus optata superatis marinis periculis, & post obliuionem reminiscentia: cuius germana est resipiscentia, in primum supremumque bonorum referenda ordinem potius quam in alterum proximum. nam omnino non peccare, Deo proprium est. aut fortassis etiam homini Deo simili, E cæterum à vitiosa vita transire ad innocentiam, est prudentis & intelligentis suam vtilitatem. Tales igitur conuocans & initians præceptis amicis instruit: vt veritati studeant, vanitatem fugiant ac mendacia, quod in hoc potissimum sita sit felicitas, si auersentur figmenta fabularum, quæ teneris etiamtum animis instillant nutrices ac

A κολαστὴς δὲ, ὁ μὲν τυφλὸς, ἐπίμεμπτος, ἄγνοιαν κατήγορον ἔχων· ὁ δὲ βλέπων, ἐπαινετὸς, ἐπιστήμῃ πάντα δρῶν. ἔπειτα δὲ ὅτι φρονήματος ὑπέρπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν, οὔτε ἄνδρα, οὔτε ἡμίθεον μᾶλλον ἢ δαίμονα κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτὸν ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως βαίνειν ἀξιῶν. ἔστι δὲ αὐτῷ καθάπερ ἡ ψυχὴ καὶ τὸ σῶμα ἐπίληπτον, κατά τε τὰς σχέσεις καὶ κινήσεις ἁπάσας. ἀκροβατεῖ τε γὰρ, καὶ τὸν αὐχένα μετέωρον ἐξαίρει φρυαττόμενος, καὶ πλέον B τῆς φύσεως ἐπῆρται καὶ πεφύσηται, καὶ ὁρῶν παραβλέπει πλαγίαις ὄψεσι, καὶ ἀκούων παρακούει, καὶ χρῆται, τοῖς μὲν οἰκέταις ὡς θρέμμασι, τοῖς δὲ ἐλευθέροις ὡς οἰκέταις, καὶ τοῖς μὲν συγγενέσιν ὡς ἀλλοτρίοις, τοῖς δὲ φίλοις ὡς κόλαξι, τοῖς δὲ ἀστοῖς ὡς ξένοις· πάντων δὲ εἶναι οἴεται πλουσιώτατος, ἐπισημότατος, κάλλιστος, ἰσχυρότατος, φρονιμώτατος, σωφρονέστατος, δικαιότατος, λογικώτατος· εἶτα τοὺς ἄλλους ὑπολαμβάνει πένητας, ἀδόξους, ἀτίμους, ἄφρονας, C ἀδίκους, ἀνεπιστήμονας, καθάρματα, τὸ μηδέν. εἰκότως οὖν ὁ τοιοῦτος ἀντιδίκῳ καὶ κολαστῇ χρήσεται αὐτῷ, ὥς φησιν ὁ ἱεροφάντης, θεῷ. φιλάρετος δὲ καὶ φιλόκαλος, καὶ διαφερόντως φιλάνθρωπος ὢν ὁ ἱερώτατος Μωϋσῆς, προτρέπει τοὺς πανταχοῦ πάντας, εὐσεβείας καὶ δικαιοσύνης ζηλωτὰς, ἆθλα προθεὶς ὡς νικηφόροις, μεγάλα τοῖς μετανοοῦσι, πολιτείας κοινωνίαν τῆς ἀρίστης, καὶ τὴν κατ' αὐτὴν ἀπόλαυσιν μικρῶν τε καὶ μεγάλων. ἀγαθὰ μὲν προηγούμενα, ἐν σώμασιν ἡ ἄνοσος ὑγεία, ἐν δὲ ναυτι- D λίαις ἀκίνδυνος εὔπλοια, ἐν δὲ ψυχαῖς ἡ ἄληστος μνήμη τῶν ἀξίων μνημονεύεσθαι· δεύτερα δὲ, τὰ κατ' ἐπανόρθωσιν συνιστάμενα, ἥ τε ἐκ νόσων ἀνάληψις, καὶ ἡ ἐκ τῶν κατὰ πλοῦν κινδύνων εὐκταιοτάτη σωτηρία, καὶ ἡ λήθης ἐγγενομένη ἀνάμνησις, ἧς ἀδελφὸν καὶ συγγενέστατον τὸ μετανοεῖν, οὐκ ἐν τῇ πρώτῃ καὶ ἀνωτάτω τεταγμένον τάξει τῶν ἀγαθῶν, ἀλλ' ἐν τῇ μετ' αὐτὴν φερόμενον δευτερεῖα. τὸ μὲν γὰρ μηδὲ συνόλως ἁμαρτεῖν, ἴδιον θεοῦ· τάχα δὲ καὶ θείου ἀνδρὸς, τὸ δὲ ἁμαρτόντα μεταβαλεῖν E πρὸς ἀνυπαίτιον ζωὴν, φρονίμου, καὶ τὸ συμφέρον εἰς ἅπαν οὐκ ἀγνοήσαντος· ὅθεν τοὺς τοιούτους συνάγων καὶ μυσταγωγῶν προσκαλεῖται τὰς συμβατηρίοις, καὶ φιλικὰς προτείνων ὑφηγήσεις, αἳ παραινοῦσιν ἀψευδίαν ἀσκεῖν, καὶ τῦφον προβεβλῆσθαι, καὶ ἀληθείας καὶ ἀτυφίας ἀναγκαιοτάτων καὶ εὐδαιμονίας αἰτιωτάτων περιέχεσθαι, μυθικῶν πλασμάτων κατεξαναστάντας, ἅπερ ἐκ πρώτης ἡλικίας ἁπαλαῖς ἔτι ψυχαῖς, καὶ τίτθαι,

καὶ παιδαγωγοὶ, καὶ μυρίοι ἄλλοι τῶν συνήθων ἐνεχάραξαν, πλάνον ἀνήνυτον περὶ τὴν τοῦ ἀρίστου ἀπεργασάμενοι. τί δ' ἂν εἴη τῶν ὄντων ἄριστον, ἢ θεός· οὗ τὰς τιμὰς προσνείμαντες τοῖς οὐ θεοῖς, τοὺς μὲν ἀποσεμνύνοντες πλέον τοῦ μετρίου, τοῦ δ' εἰς ἅπαν οἱ κενοὶ φρενῶν ἐκλαθόμενοι. πάντας οὖν ὅσοι τὸν κτίστην καὶ πατέρα τοῦ παντὸς εἰ καὶ μὴ ἐξ ἀρχῆς σέβειν ἠξίωσαν, ἀλλ' ὕστερον, μοναρχίαν ἀντὶ πολυαρχίας ἀσπασάμενοι, φιλτάτους καὶ συγγενεστάτους ὑποληπτέον, τὸ μέγιστον εἰς φιλανθρωπίας καὶ οἰκειότητα παρεσχημένους θεοφιλὲς ἦθος, οἷς χρὴ καὶ συνήδεσθαι, καθάπερ ἂν εἰ καὶ τυφλοὶ πρότερον ὄντες, ἀνέβλεψαν, ἐκ βαθυτάτου σκότους αὐγοειδέστατον φῶς ἰδόντες. τὸ μὲν οὖν πρῶτον καὶ ἀναγκαιότατον τῆς εἰς μετάνοιαν, εἴρηται· μετανοείτω δέ τις, μὴ μόνον ἐφ' οἷς ἠπατήθη πολὺν χρόνον τὰ γενητὰ πρὸ τοῦ ἀγενήτου καὶ ποιητοῦ θαυμάσας, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ὅσα περὶ βίον ἀναγκαῖα μετιών, ὥσπερ ἐκ τῆς φαυλοτάτης τῶν κακοπολιτειῶν ὀχλοκρατίας, εἰς τὴν εὐνομωτάτην πολιτείαν δημοκρατίαν, τουτέστιν ἐξ ἀμαθίας εἰς ἐπιστήμην ὧν ἡ ἄγνοια αἰσχρόν, ἐξ ἀφροσύνης εἰς φρόνησιν, ἐξ ἀκρατείας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς δικαιοσύνην, ἐξ ἀτολμίας εἰς θαρραλεότητα. πάγκαλον γὰρ καὶ συμφέρον αὐτομολῆσαι ἀμεταστρεπτὶ πρὸς ἀρετήν, κακίαν ἐπίβουλον δέσποιναν ἀπολιπόντας· ἅμα δ' ἀναγκαῖον ἕπεται, ὡς ἐν ἡλίῳ σώματι, καὶ τῇ τοῦ ὄντος θεοῦ τιμῇ πᾶσαν τὴν τῶν ἄλλων ἀρετῶν κοινωνίαν. γίνονται γὰρ εὐθὺς οἱ ἐπηλύται, σώφρονες, ἐγκρατεῖς, αἰδήμονες, ἥμεροι, χρηστοί, φιλάνθρωποι, σεμνοί, δίκαιοι, μεγαλόφρονες, ἀληθείας ἐρασταί, κρείττους χρημάτων καὶ ἡδονῆς· ἐπεὶ καὶ τοὐναντίον τοὺς τῶν ἱερῶν νόμων ἀποστάντας ἰδεῖν ἔστιν ἀκολάστους, ἀναισχύντους, ἀδίκους, ἀσέμνους, ὀλιγόφρονας, φιλαπεχθήμονας, ψευδολογίας ἑταίρους καὶ ψευδορκίας, τὴν ἐλευθερίαν πεπρακότας ὄψου καὶ ἀκράτου καὶ πεμμάτων, καὶ εὐμορφίας, εἴς τε τὰς γαστρὸς ἀπολαύσεις καὶ τῶν μετὰ γαστέρα, ὧν τὰ τέλη βαρύτατα ζημίαι σώματός τε καὶ ψυχῆς εἰσίν. παγκάλως μέντοι καὶ τὰς εἰς μετάνοιαν ὑφηγήσεις ποιεῖται, αἷς διδασκόμεθα μεθαρμόζεσθαι τὸν βίον ἐξ ἀναρμοστίας εἰς τὴν ἀμείνω μεταβολήν. φησὶ γὰρ ὅτι τοῦτο τὸ πρᾶγμα οὐχ ὑπέρογκον ἐστιν οὔτε μακρὰν ἀφεστώς, οὔτε κατὰ τὸν αἰθέρα ἀνωτάτω, καὶ ἐσχατιαῖς τῆς μεγάλης θαλάττης, ὡς ἀδυνατεῖν λαβεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω τρισὶ μέρεσι τῶν καθ' ἡμᾶς ἐνδιαιτώμενον, στόματι, καὶ καρδίᾳ, καὶ χερσί, διὰ συμβόλων, λόγοις καὶ βουλαῖς καὶ πράξεσι· λόγου

A pædagogi, aliique familiares plurimi, errores infinitos inuehentia, & summi boni noticiā impedientia. quid porrò aliud est summum bonum quam Deus? cuius honorem isti falso nominatis diis tribuūt, attollentes hos supra modum, illius vero prorsus obliti, homines deliri ac miseri. Itaque omnes quotquot conditorem parentemque vniuersitatis vel serius agnoscunt, malētes vnum quam plures Deos colere, habēdi sunt pro amicissimis & cognatione proxi-
B mis, cum nihil æque ac communis pietas conciliet mutuam beneuolentiam: gratulandumque est talibus, haud secus quàm si post cæcitatem visum recepissent, ex altissimis tenebris adducti ad lucem clarissimam. Tanta est vis resipiscentiæ rei vehementer necessariæ. postulat autem resipiscentia non solum correctionem opinionis quæ creaturis tribuebat honorem creatori debitum, verum etiam officiorum studiorumque mutationem in melius: vt
C relictis inconditi vulgi moribus transeatur ad bene constitutam ornatámq; optimis legibus rempublicam: hoc est, ex ignorantia migretur in scientiam rerum quas ignorari non decet, ex imprudentia in prudentiam, ex incontinentia in temperantiam, ex iniusticia in iusticiam, ex timiditate in fortitudinem. Bonum enim vtileque fuerit ad virtutem transfugere, deserta malicia velut insidiosa domina. Solent etiam pietatem comitari virtutes cæteræ, à
D qua non magis diuelli possunt quàm vmbra à corpore quod in sole versatur. proinde quotquot ad nostram religionem se conferunt, statim fiunt sobrij, continentes, verecundi, mites, iucundi, humani, graues, iusti, magnanimi, veritatis amatores, contemptores voluptatum ac pecuniæ: quandoquidem è diuerso quicumque à sacris legibus deficiunt, eos videre licet intemperātes, imprudentes, iniustos, leues, pusil-
E lanimos, irritabiles, mendaces, periuros, cupedijs, potationibus venereisq; rebus deditos, ventri pendentes tributa cum graui corporis animíq; dispēdio. Itaque perpulchre præcipitur vt discamus vitam componere, & ex perturbatione in meliorem statum reformare. ait enim id non esse nimis arduū, nec è longinquo petendum, nō ex æthere, nec ab extremis oceani finibus: sed in promptu esse, nempe in ore, pectore atque manibus, hoc est in dictis,

factis & consiliis. nam per os verba, per pectus consilia, per manus actiones significantur, in quibus consistit felicitas. cum enim cogitationes à verbis, & actiones à consiliis non discrepant, absoluta vita est modis omnibus laudabilis: sicut ediuerso imperfecta & vituperabilis si hæc inter se parum consentiant, nec adhibeatur tale temperamentum, vt homo & amet Deum, & ei carus esse studeat. proinde pulchre nobis attestatur illud scripturæ oraculum: Fœdus fecisti hodie cum Domino vt sit tibi Deus: & ipse fœdus fecit hodie tecum vt fias ei populus. Pulchra sane permutatio, homine properante ad cultum Dei, Deo quoque sine dilatione admittente supplicem, & occurrente accedenti ad se sincero animo. Talis porrò cultor & deprecator, etiamsi vnus homo fuerit, ipsius Dei existimatione non minus honoratur quàm totus populus: id quod & aliâs vsu venit. quemadmodum enim in naui gubernator confertur cum omnibus vectoribus, in castris itē imperator cū omnibus militibus, adeò vt per huius interitum non minor quàm per iuuentutis stragem clades accipiatur: eodem modo etiā vir sapiens totius gentis dignitatē obtinet, quippe qui pietatē habeat pro munimēto inexpugnabili.

A μὲν στόμα σύμβολον, καρδία δὲ βουλευμάτων, πράξεων δὲ χεῖρες, ἐν οἷς τὸ εὐδαιμονεῖν ἐστίν. ὅταν μὲν γὰρ οἷος ὁ λόγος, τοιάδε ἡ γνώμη, καὶ οἷον τὸ βούλευμα, τοιάδε ἡ πρᾶξις, ἐπαινετὸς καὶ τέλειος ὁ βίος· ὅταν δὲ στασιάζῃ ταῦτα ἐν ἀλλήλοις, ἀτελὴς τε καὶ ψεκτός, εἰ μή τις τῆς ἁρμονίας ταύτης ἐπιλάβοιτο, γενόμενος ὁμοῦ καὶ θεοφιλὴς καὶ φιλόθεος· ὅθεν εὖ καὶ συμφώνως τοῖς εἰρημένοις ἐχρήσθη τὸ λόγιον ἐκεῖνο, Τὸν κύριον ἀντηλλάξω σήμερον εἶναί σοι εἰς θεόν, καὶ
B κύριος ἀντηλλάξατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ· παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις σπεύδοντος ἀνθρώπου μὲν θεραπεύειν θεόν, θεοῦ δὲ ἀνυπερθέτως ἐξοικειοῦσθαι τὸν ἱκέτην, καὶ προεξαπαντᾶν τῷ βουλήματι τοῦ γνησίως καὶ ἀνόθως ἰόντος ἐπὶ τὴν θεραπείαν αὐτοῦ· ὁ δὴ ἀληθὴς θεραπευτής τε καὶ ἱκέτης κἂν εἷς ὢν αὐτὸς ἀριθμῷ τυγχάνῃ, δυνάμει καθάπερ αὐτὸς εἴρηται, σύμπας ἐστὶν ὁ λεὼς ἰσότιμος ὅλῳ ἔθνει γεγονώς· καὶ πέφυκεν οὕτως ἔχειν. ὡς γὰρ ἐν νηὶ μὲν κυ-
C βερνήτης πᾶσι τοῖς ναύταις ἀντίρροπος, ἐν δὲ στρατοπέδῳ στρατηγὸς ἅπασι τοῖς στρατιώταις· διαφθαρέντος γοῦν ἡττᾶσθαι συμβαίνει, καθάπερ ἂν εἰ καὶ πάσῃ δυνάμει ἡ νεότης ἑάλω· τὸν αὐτὸν τρόπον καὶ ὁ σοφὸς ὅλου ἔθνους ἀξιώματι ἁμιλλᾶται, τεῖχος πεφραγμένος ἀκαθαιρέτῳ θεοσεβείᾳ.

ΤΑ ΠΕΡΙ ΔΙΚΑΣΤΟΥ.

PHILONIS IVDÆI, DE IVDICE.

SACRAE leges cum ab omnibus instituta Mosis sequentibus exigūt sinceritatem, & animū tranquillū, nullis obnoxium perturbationibus, tū præcipue ab his quibus iudicandi potestas aut per electionem aut sorte obuenit. absurdum enim fuerit eos in culpa hærere qui iura præscribunt aliis, quandoquidē ab his potissimū exemplū vitæ petendū est. Sicut enim ignis quęcumq; admouentur calefaciēs, ipse primū innata sibi vi calet: nix cōtrà suapte natura frigida, infrigidat & alia: sic iudex ipse debet esse

D ΟΙΕΤΑΙ δεῖν ὁ νόμος ἅπαντας τοὺς συμπεφερομένους τῇ κατὰ Μωσέα ἱερᾷ πολιτείᾳ, παντὸς ἀλόγου πάθους καὶ πάσης κακίας ἀμετόχους εἶναι, διαφερόντως δὲ τοὺς τοῖς ἄλλοις λαχόντας ἢ χειροτονηθέντας δικάζειν. ἄτοπον γὰρ ἁμαρτήμασιν ἐνόχους εἶναι τοὺς τοῖς ἄλλοις τὰ δίκαια βραβεύειν ἀξι-
E οῦντας, οἷς ἀναγκαῖον καθάπερ ἀρχετύπου γραφῆς ἀπομάττεσθαι τὰ φύσεως ἔργα πρὸς μίμησιν· ὡς γὰρ ἡ τοῦ πυρὸς δύναμις ἀλεαίνουσα ὧν ἂν προσψαύσῃ, θερμὴ πολὺ πρότερον αὐτὴ καθέστηκεν ἐξ αὐτῆς, καὶ κατὰ τοὐναντίον ἡ τῆς χιόνος τοῦ

καταψυχθῇ, καὶ τὰ ἄλλ' ἐπὶ ψυχῆς· οὕτως ὀφείλει καὶ δικαστὴς ἀνάπλεως εἶναι δικαιοσύνης ἀκραιφνοῦς, εἴ γε μέλλει τὰ δίκαια τοῖς ἐντυγχάνουσιν ἐπιρρεῖν, ἵν' ὥσπερ ἀπὸ πηγῆς γλυκείας φέρηται νάματα πότιμα τοῖς διψῶσιν εὐνομίας. τοῦτο δὲ συμβήσεται, ἐὰν ὁ δικάζειν εἰσιὼν, ἐν τῷ νομίζῃ κρίνειν τε καὶ κρίνεσθαι, καὶ ἀναλαμβάνῃ ἅμα τῇ ψήφῳ, σύνεσιν μὲν εἰς τὸ μὴ ἀπατᾶσθαι, δικαιοσύνην δ' εἰς τὸ τὴν κατ' ἀξίαν ἐπιδιδόντι ἑκάστοις ἀπονομὴν, ἀνδρείαν δὲ πρὸς τὸ ἀνένδοτον πρὸς ἱκεσίας καὶ οἴκτους, κατὰ τῆς τῶν ἑαλωκότων τιμωρίας. ὁ γὰρ τούτων ἐπιμελούμενος τῶν ἀρετῶν, κοινὸς εὐεργέτης εἰκότως ἂν νομίζοιτο, κυβερνήτου τρόπον ἀγαθοῦ, τοὺς χειμῶνας τῶν πραγμάτων εὐδιάζων, ἕνεκα σωτηρίας καὶ ἀσφαλείας τῶν οἰκεῖα ἐπιτετραφότων αὐτῷ. καλῶς δὲ προσέτι ὁ νόμος τῷ δικαστῇ, μὴ παραδέχεσθαι ἀκοὴν ματαίαν. τὸ δὲ τοῦτ' ἔστιν ἔσω, φησὶν, ὦ οὗτος, τὰ ὦτά σοι κεκαθαρμένα· καθαρθήσεται δὲ, ἐὰν νάμασι σπουδαίων λόγων συνεχῶς ἐπαντλῆται, τὰς ματαίους καὶ πεπατημένας καὶ χλεύης ἀξίας μυθογράφων ἢ μιμολόγων ἢ τυφλοπλαστῶν τὰ μηδενὸς ἄξια σεμνοποιούντων μακρηγορίας μὴ προσιέμενα. δηλοῦται δὲ ἐκ τοῦ μὴ παραδέχεσθαι ματαίαν ἀκοὴν, καὶ ἕτερόν τι τῷ προτέρῳ συνᾷδον. τοῖς ἀκοῇ μαρτυροῦσι, φησὶν, ὁ προσέχων, ματαίως καὶ οὐχ ὑγιῶς προσέχει. διότι ὀφθαλμοὶ μὲν τοῖς οὖσιν ἐντυγχάνουσι τοῖς γινομένοις, ἐφαπτόμενοι τρόπον τινὰ τῶν πραγμάτων, καὶ ὅλα δι' ὅλου καταλαμβάνοντες, φωτὸς συνεργοῦντος, ᾧ πάντα αὐγάζεταί τε καὶ διελέγχεται· ὦτα δὲ, ὥς ἔφη τις οὐκ ἀπὸ σκοποῦ τῶν προτέρων, ὀφθαλμῶν ἀπιστότερα, πράγμασι μὲν οὐκ ἐντυγχάνοντα, ἑρμηνεῦσι δὲ πραγμάτων λόγοις οὐκ ἀεὶ πεφυκόσιν ἀληθεύειν προσεληλυθότα. διὸ καὶ τῶν παρ' Ἕλλησιν ἔνιοι νομοθετῶν, μεταγράψαντες ἐκ τῶν ἱερωτάτων Μωσέως στηλῶν, δοκοῦσι διατάξασθαι καλῶς, μὴ μαρτυρεῖν ἀκοὴν, ὡς δέον, ἃ μὲν εἶδέ τις, πιστὰ κρίνειν, ἃ δὲ ἤκουσε, μὴ πάντως βέβαια. δεύτερον παράγγελμα κριτῇ, δῶρα μὴ λαμβάνειν. τὰ γὰρ δῶρα, φησὶν ὁ νόμος, πηροῖ μὲν ὀφθαλμοὺς βλέποντας, τὰ δὲ δίκαια λυμαίνεται, τὴν δὲ διάνοιαν οὐκ ἐᾷ διὰ λεωφόρου βαίνειν ἐπ' εὐθείας. καὶ τὸ μὲν δωροδοκεῖν ἐπ' ἀδίκοις, παμπονήρων ἐστὶν ἀνθρώπων ἔργον, τὸ δ' ἐπὶ δικαίοις, ἐφ' ἡμισεία πονηρευομένων. εἰσὶ γὰρ ἀμφίβολοί τινες, ἡμιμόχθηροι, δικαιάδικοι, τὴν πρὸς τῶν πλημμελουμένων τεταγμένοι τάξιν κατὰ τῶν πλημμελησάντων, προῖκα δ' οὐκ ἀξιοῦντες νικῶντας γράφειν, οἷς νικᾶν ἀναγκαῖον,

A plenus iusticia, si aliis ius administraturus est, à quo ceu fonte promanant fluentia dulcia legum & potabilia sitientibus iusticiam. Id ita demum fiet, si is qui ad iudicādum ascendit tribunal, iudicari se non minus quam iudicare cogitet, & vnà cum potestate assumat prudentiam ne decipiatur, iusticiam vt suū cuique tribuat, fortitudinē ne flectatur precibus aut misericordia quominus animaduertat in conuictos sceleris. nam cuicunq; virtutes hæ cor- B di fuerint, bene meritus de republica existimandus est, quippe qui more boni gubernatoris sedat tempestates negociorum commissorū suæ fidei ad salutem securitatémq; illorum qui pendent ab eius arbitrio. Ergo ante omnia lex præcipit iudici, caueat ne vanā narrationem auribus accipiat: quasi dicat, Heus tu, cura vt aures perpurgatas habeas. purgabuntur autem, si sæpius eluantur doctis sermonibus, & excludāt vanas, vulgo protritas dāmnatásq; fa- C bulas figmentorum poeticorum scenicorumq;, res nihili multis verbis exaggerantium. Quin & aliud quiddam idem præceptum admonet, ab expositione priore nihil discrepans. Qui auritos testes, inquit, accipit, vane non sane accipit. nam oculi rebus ipsis interueniunt, & contrectant quodammodo negocia, totáque percipiunt adiuuante luce per quam illustrantur deprehendun túrque omnia. aures autem, sicut recte dixit quidam è veteribus, D minus fidei habent quàm oculi, vt quibus non cum rebus ipsis sit commercium, sed cum sermonibus rerum interpretibus non semper veritatem sectantibus. quòd legis caput mihi vidētur quidam è Græcis legislatoribus desumpsisse è sacratissimis Mosis tabulis, interdixisséque ne ex auditu feratur testimonium: quòd quæ quis vidit certa iudicanda sint, quæ verò audiuit, non perinde firmæ fidei. Secundum præceptum iudicis est, ne accipiat E munera. nam munera, vt lex ait, excæcant oculos. officiunt iusticiæ, mentem à recta via cogunt decedere. præterea muneribus induci ad iniusticiam, est scelerati hominis: sicut semimali, non reddere ius absque operæ præmio. Sunt enim quidam prætextati inter iustos iniustósque medij, instituti ad tuendos oppressos ab oppressoribus, qui tamen non dignantur gratis ferre sententiam pro causa meliore,

A venales mercenariique iudices. quod
si quis queratur, negant se præuari-
catos. vicisse enim litem quos opor-
tuit, & victam partem aduersariam.
Quæ excusatio nequam est. oportet
enim duo quædam inesse in sen-
tentia boni iudicis, vt sit incorru-
pta & legitima. Cæterum præses ve-
nalis muneribus, iusticiam suapte
natura pulcherrimam dehonestare
se non intelligit, & peccat non sim-
pliciter. primum quòd assuefacit se
B ad auaritiam, arcem iniquitatum
omnium, deinde quòd accepto pre-
cio mulctat eum cui prodesse de-
buerat. Ideo salubriter Moses ad-
monet, iuste administrandam esse
iusticiam, subindicans etiam iniuste
administrari eam interdum, quoties
præsides inhiant muneribus, non
tantum in iudicijs, sed terra ma-
rique in omnibus penè vitæ nego-
cijs. siquidem reperire licet aliquem
C qui modicum depositum reddit,
magis vt insidietur accipienti quàm
vt prosit: videlicet vt approbata
sua fide in modico, inescatum ca-
piat maiore perfidia: quod nil aliud
est quàm iusticiam non iuste face-
re. quoniam alienæ rei restitutio
iusta iniuste fit, inquantum captat
lucrum cumulatius. Huiusmodi au-
tem peccatorum præcipua causa est
assuetudo mendacij, quo ab incu-
nabulis nutrices matrésque, & alia
D tum seruorum, tum ingenuorum tur-
ba alumnum suum imbuunt, di-
ctis factísque astruentes id animo
quasi agnatum naturaliter, cum ex-
tirpari potius debuerit per ho-
nesta studia, etiamsi à natura fuis-
set inditum. Quid enim in vita est
æque preciosum ac veritas? quam
vates sapiens inscripsit loco sacra-
tissimo, ea parte vestis pontifi-
ciæ, vbi est principalis vis animæ,
E vt sacerdotem per hoc ornamen-
tum augustiorem faceret. Veritati
autem adiunxit cognatam virtutem,
declarationem vt vocat, vt essent
ceu imagines orationis, quæ vel
animo concipitur, vel profertur et-
iam. nam huic declaratione opus est,
per quam aperiatur aliis quicquid
latet in animo: sicut veritate illi al-
teri ad perfectionem vitæ actionum-
que per quas itur ad felicitatem.
Tertium iudici præcipitur, vt cau-
sas partium examinet ante iudicium,

A ἀλλὰ τὴν γνῶσιν ὤνιον καὶ ἔμμισθον ἀποφαίνον-
τες· εἶτ' ἐπειδάν τις αἰτιᾶται, φασὶ μὴ παραπε-
φάχθαι τὸ δίκαιον· ἡττηθῆναι μὲν γὰρ οὓς ἁρμόττον
ἦν ἡττῆσθαι, νενικηκέναι δ' οὓς ἐχρῆν περιγενέσθαι·
κακῶς ἀπολογούμενοι. δύο γὰρ δεῖ προσφέρεσθαι
τὸν ἀγαθὸν δικαστὴν, νομικωτάτην γνῶσιν, καὶ τὸ ἀδέ-
καστον· ὁ δ' ἐπὶ δώροις δεκαστὴς, τοῦ δικαίου κα-
λὸν φύσει πρᾶγμα λέληθεν αἰσχύνων, ἐπεξαμαρ-
τάνει δὲ καὶ δύ' ἕτερα· τὸ μὲν, ἐθίζων ἑαυτὸν εἶναι φιλο-
B χρήματον, ὅπερ ὁρμητήριον τῶν παρανομημάτων
ἐστί· τὸ δὲ, βλάπτων ὃν ἄξιον ἦν ὠφελεῖν, μισθὸν τοῦ δι-
καίου κατατιθέντα. διὸ σφόδρα παιδευτικῶς Μω-
σῆς, δικαίως τὸ δίκαιον προστάττει μεταδιώκειν,
αἰνιττόμενος ὅτι καὶ ἀδίκως ἔνεστι, διὰ τοὺς ἐπὶ δώροις
τοῦ δικαίου δεκαστὰς, οὐ μόνον ἐν δικαστηρίοις,
ἀλλὰ καὶ πολλαχοῦ κατά τε γῆν καὶ θάλατταν, καὶ
ἐν ἅπασιν ὀλίγου δεῖν φάναι, τοῖς τοῦ βίου πράγ-
μασιν. ἤδη γοῦν ὀλιγοχρήματόν τις παρακατα-
θήκην λαβὼν, ἀπέδωκεν, ἐπ' ἐνέδρᾳ μᾶλλον τοῦ
C λαμβάνοντος, ἢ ὠφελείᾳ, ἵνα τὴν ἐν ὀλίγοις πίστιν
δέλεαρ καθεὶς, ἀγκιστρεύσηται τὴν ἐν μείζοσιν ἀπι-
στίαν, ὅπερ οὐδὲν ἦν ἕτερον, ἢ τὸ δίκαιον μὴ δικαίως
ἐπιτελεῖν. δίκαιον μὲν γὰρ, ἡ τῶν ἀλλοτρίων ἀπό-
δοσις, οὐ δικαίως δὲ γέγονε, παρ' ὅσον ἐπὶ θήρᾳ πλεό-
νων. αἴτιον δὲ μάλιστα τῶν τοιούτων ἁμαρτημάτων
ἐστὶν ἐν τοῖς μάλιστα ἡ πρὸς τὸ ψεῦδος οἰκείωσις,
ὅπερ ἐκ πρώτης γενέσεως καὶ σπαργάνων αὐτοὶ
τίτθαι καὶ μητέρες καὶ ὁ ὄχλος τῶν κατ' οἰκίαν ἀν-
D δραπόδων καὶ ἐλευθέρων ὅμιλος, ἔργοις καὶ λόγοις
αἰεὶ σύντροφον κατασκευάζουσιν, ἁρμοζόμενοι καὶ
ἑνοῦντες αὐτὸ τῇ ψυχῇ, ὡς μέρος φύσεως ἀναγ-
καῖον, ὅπερ εἰ καὶ τῷ ὄντι φύσει συνεγεγέννητο, ὤφει-
λεν ἐπιτηδεύσει τῶν καλῶν ἐκτέμνεσθαι. τί δ' οὕ-
τως ἐν βίῳ καλὸν ὡς ἀλήθεια, ἣν ὁ πάνσοφος ἐστη-
λίτευσεν ἐν ἱερωτάτῳ χωρίῳ, κατὰ τὴν τοῦ ἀρχιερέως
στολὴν, ἔνθα τὸ τῆς ψυχῆς ἡγεμονικὸν, ἀναθήμα-
των τῷ καλλίστῳ καὶ διαπρεπεστάτῳ βουληθεὶς
E αὐτὸν ἐπικοσμῆσαι· συγγενῆ δὲ δύναμιν ἀληθείᾳ
παριδρύσατο, ἣν ἐκάλεσε δήλωσιν, ἀμφοτέρων
τῶν ἐν ἡμῖν λόγων εἰκόνας, ἐνδιαθέτου τε καὶ
προφορικοῦ. δεῖται γὰρ ὁ μὲν προφορικὸς δη-
λώσεως, ᾗ τὰ ἀφανῆ τῶν καθ' ἕκαστον ἡμῶν ἐνθύ-
μια γνωρίζεται τοῖς πέλας· ὁ δ' ἐνδιάθετος
ἀληθείας, εἰς τελειότητα βίου καὶ πράξεων,
δι' ὧν ἐπ' εὐδαιμονίαν ὁδὸς ἀνευρίσκεται. τὸ τρίτον
παράγγελμα τῷ δικαστῇ, τὰ πράγματα πρὸ τῶν
κρινομένων ἐξετάζειν, καὶ πειρᾶσθαι πάντα τρόπον
ἀφέλκειν αὐτὰ τῆς τῶν δικαζομένων φαντασίας,

Εἰς

εἰς ἄγνοιαν καὶ λήθην βιαζόμενον ὧν ἐπιστήμην εἶχε καὶ μνήμην, οἰκείων, φίλων, πολιτῶν, καὶ πάλιν ἀλλοτρίων, ἐχθρῶν, ξένων, ἵνα μήτ' εὔνοια μήτε μῖσος ἐπισκιάσῃ τὴν γνῶσιν τοῦ δικαίου. ἀνάγκη γὰρ οἷα τυφλὸν δίχα βακτηρίας περιερχόμενον, καὶ τοὺς ποδηγετήσοντας οὐκ ἔχοντα οἷς βεβαίως ἐπερείδεσθαι, πταίειν. ὅθεν προσήκει τὸν ἀγαθὸν δικαστὴν, τοὺς μὲν κρινομένους, οἵτινες ἂν ὦσι, παρακαλύπτεσθαι· τὴν δὲ φύσιν τῶν πραγμάτων ἄπλαστον καὶ γυμνὴν ὁρᾶν, μὴ πρὸς δόξαν, ἀλλὰ πρὸς ἀλήθειαν μέλλοντα κρίνειν, καὶ τοιαύτην ἔννοιαν λαβόντα, ὅτι ἡ μὲν κρίσις τοῦ θεοῦ ἐστιν, ὁ δὲ δικαστὴς ἐπίτροπος τῆς κρίσεως, ἐπιτρόπῳ δ' οὐκ ἐφίεται τὰ τοῦ θεοῦ χαρίζεσθαι, παρακαταθήκην εἰληφότι τὴν πάντων τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἀρίστην παρὰ τοῦ πάντων ἀρίστου. πρὸς δὲ τοῖς λεχθεῖσιν, ἤδη καὶ ἄλλο θαυμάσιον εἰσηγεῖται, κελεύων πένητα κρίσει μὴ ἐλεεῖν, ὁ πᾶσαν σχεδὸν τὴν νομοθεσίαν πεπληρωκὼς τῶν εἰς ἔλεον καὶ φιλανθρωπίαν διαταγμάτων, καὶ μεγάλας μὲν ἀπειλὰς ἐνδυναμούμενος ὑπερόπταις καὶ ἀλαζόσι, μεγάλα δὲ προτιθεὶς ἆθλα τοῖς τὰ ἀτυχήματα τῶν πέλας εἰς ἐπανόρθωσιν ἄγειν ἀξιοῦσι, καὶ τὰς περιουσίας οὐκ ἴδια κτήματα νομίζουσιν, ἀλλὰ κοινὰ τῶν ἐν ἐνδείαις. ὁ γὰρ ἔφη τις οὐκ ἀπὸ σκοποῦ τῶν προτέρων, ἀληθές ἐστιν, ὅτι παραπλήσιον οὐδὲν ἄνθρωποι θεῷ δρῶσιν, ἢ χαριζόμενοι· τί δ' ἂν εἴη κρεῖττον ἀγαθὸν, ἢ μιμεῖσθαι θεὸν γεννητοῖς τὸν ἀΐδιον. μήτ' οὖν ὁ πλούσιος ἄργυρον καὶ χρυσὸν οἴκοι συναγαγὼν ἄφθονον θησαυροφυλακείτω, προφερέτω δ' εἰς μέσον, ἵνα τὸ σκληροδίαιτον τῶν ἀπόρων ἱλαραῖς μεταδόσεσι λιπάνῃ, μήτ' εἴ τις ἔνδοξος, ὑψηλὸν αἴρων αὐτὸν αὐχείτω φρυαττόμενος, ἀλλ' ἰσότητα τιμήσας, μεταδιδότω παρρησίας τοῖς ἀδόξοις· ὁ δὲ ῥώμῃ κεχρημένος σώματος, ἔρεισμα τῶν ἀσθενεστέρων ἔστω, καὶ μὴ καθάπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσι, καταπαγκρατιαζέτω τοὺς ἐλάττους ταῖς δυνάμεσιν, ἀλλὰ φιλοτιμείσθω τῆς ἰδίας ἰσχύος μεταδιδόναι τοῖς ἐξ ἑαυτῶν ἀπειρηκόσιν. ὅσοι μὲν γὰρ ἀπὸ πηγῶν ἠρύσαντο τῆς σοφίας, φθόνον ὑπερόριον τῆς διανοίας ἐληλακότες, αὐτοὶ προθύμως αὐτοκέλευστοι τοῖς τῶν πλησίον ὠφελείαις ἐπαποδύονται, τὰ λόγων νάματα ταῖς ψυχαῖς ἐκείνων διὰ ὤτων ἐποχετεύοντες εἰς μετουσίαν τῆς ὁμοίας ἐπιστήμης· καὶ ἐπειδὰν ἴδωσιν ὥσπερ βλαστὰ καὶ εὐγενῆ μοσχεύματα, νέους εὐφυεῖς, γεγήθασιν, οἰόμενοι κληρονόμους εὑρηκέναι τοῦ ψυχικοῦ πλούτου, ὃς μόνος ἀληθείᾳ πλοῦτός ἐστι, καὶ παραλαβόντες γεωργοῦσι τὰς ψυ-

A semoto in totum respectu personarum, siue sint ciues, amici, domestici: siue contrà inimici, alieni, exteri: ne quid vel beneuolentia, vel odium cognitionem impediat. alioqui necesse est iudicem impingere, velut si cæcus incedat absque baculo, ducente sustentantéue nemine. Ideo decet bonum iudicem personas quæ iudicantur non animaduertere, sed solam naturam negociorum sinceram nudamque considerare, vt non iuxta
B opinionem, sed iuxta veritatem iudicet, sic cogitans, Dei rem esse iudicium, iudicem vero ministrum & procuratorem. procuratori autem non permittitur largiri de eo quod Dei est, à quo vt optimo accepit hoc depositum rerum omnium optimum. Preter iam dicta & aliud quiddam mirandum præcipitur, ne in iudicio misereamur pauperem, cum alioquin legislator omnes suas leges condiat humanitate ac mise-
C ricordia, magnas minas intentans superbis & arrogantibus, & magna præmia proponens alienos casus subleuantibus, bonaque sua non tanquam propria seruantibus, sed cum egenis communicantibus. Vera est enim illa prisci cuiusdam autoris sententia, numquam homines propius ad Dei similitudinem accedere, quàm cum sunt benefici. Quid porrò fieri potest melius quàm si creatura imitetur Deum immor-
D talem & ingenitum? Ergo nec diues aurum argentumque in thesauris domesticis custodiat, sed in medium proferat vt benignitate soletur inopes: nec honoratus ceruicem extollat, sed malens æquo iure viuere, sinat libertate frui etiam ignobiles. Quisquis autem præcellit robore, sit protector infirmiorum, non pulsans protrudensque minores quasi in pancratio, sed proprijs viribus etiam alijs prodesse cupiens. nam qui
E hauserunt è sapientiæ fontibus, inuidiam ex animo suo exterminant, & vltro succurrunt proximis, sermonibus per aures traijcientes scientiã in eorum animas: & quoties repriunt iuuenes bonæ indolis, velut generosæ plantæ surculos, gaudent rati se inuenisse hæredes opulentiæ, reconditæ in animo, quæ solæ veræ sunt diuitiæ: itaq; assumũt eos & excolũt eorũ ingenia dogmatibus contemplationibus

que, donec confirmatæ virtutis fructum proferant. Huiusmodi exemplis præceptísque leges refertæ ac distinctæ sunt in gratiam egenorũ, quos in solo iudicio miserari non est fas: nam miseratio debetur infelicibus: quisquis autem sponte male facit, non infelix sed iniquus est. cæterum iniquis pœna proponitur, sicut iustis honor & præmium. Itaque nemini misero propter suam inopiam pœna remittatur: quandoquidem non miserationem (absit) sed iram meretur. Et qui ad iudicandum accedit, debet more boni numularij naturas negociorum discernere, ne turbatis signis confundantur proba cum improbis. Poteram & alia multa de falsis testibus dèque iudicibus dicere: sed ne nimis prolixus fiam transibo ad præceptum Decalogi vltimum, quod compendiarium sicut cætera oraculum continet. Non concupisces videlicet.

A καὶ δόγμασι καὶ θεωρήμασι, μέχρις ἂν τελεσφορηθεῖσαι, καρπὸν τῆς καλοκαγαθίας ἐνέγκωσι. τοιαῦτα τοῖς νόμοις ἀγάλματα συνύφανται καὶ πεποίκιλται πρὸς εὐπορείαν ἀπόρων, οὓς ἐπὶ μόνης κρίσεως ἐλεεῖν οὐ θεμιτόν. ἔλεος γὰρ ἐπ' ἀτυχήμασιν· ὁ δ' ἑκουσίᾳ γνώμῃ πονηρευόμενος, οὐκ ἀτυχὴς, ἀλλ' ἄδικος· τιμωρία δ' ἐπ' ἀδίκοις, ὡς ἐπὶ δικαίοις τιμαὶ βεβαιούσθωσαν· ὥστε μηδεὶς μοχθηρὸς ἄπορος ὑπάρχων καὶ ὑποστέλλων, ἀχρηματίας οἴκτῳ τὸ δίκην δοῦναι παραιτείσθω, δεδρακὼς, οὐκ ἐλέου πάθων ἀλλ' ὀργῆς ἄξια· B καὶ ὁ δικάζειν εἰσιὼν, καθάπερ ἀργυραμοιβὸς ἀγαθὸς, διαιρείτω καὶ διακρινέτω τὰς φύσεις τῶν πραγμάτων, ἵνα μὴ φύρηται συγχεόμενα τοῖς παρασήμοις τὰ δόκιμα. πολλὰ μὲν οὖν ἄλλα πρός τε ψευδομαρτυρίας καὶ δικαστὰς ἔνεστι λέγειν· ὑπὲρ δὲ τοῦ μὴ μακρηγορεῖν, ἰτέον ἐπὶ τὸ τελευταῖον τῶν δέκα λογίων, ὃ κεφαλαιώδει τύπῳ, καθάπερ καὶ τῶν ἄλλων ἕκαστον κεχρησμῴδηται· τοῦτο δ' ἐστὶν, οὐκ ἐπιθυμήσεις.

ΠΕΡΙ ΚΑΤΑΣΤΑΣΕΩΣ ΑΡΧΟΝΤΟΣ.

PHILONIS IVDÆI, DE CREATIONE PRINCIPIS.

Qvibvsdam placet sortito creari principes, nullo sane subditorũ cõmodo. sors enim ad felicitatẽ non ad virtutẽ attinet. itaq; sæpe accidit vt ad principatũ sors eueheret, quos vir bonus non ferret in subditorũ numero. nã & minores principes, qui ab aliis vocantur Domini, non omnes vernas emptitiósve assumunt in famulicium, sed solos morigeros obsequentésque: cæteros refractarios & incorrigibiles gregatim interdũ hastæ auctionique subiiciunt, vt indignos qui vel seruiãt in boni viri familia. Quãto minus decet dominiũ principatũq; integrarũ ciuitatum gẽtiumque sorti cõmittere, lubricæ rei pendenti à fortuna instabili. certe in ægrotis curandis sortium nemo meminit. nec enim sorte capiuntur medici, sed peritissimus quisq; eligitur. item cum de prosperitate salutéque nauigantium agitur,

C ΕΝΙΟΙ τὰς κληρωτὰς εἰσηγήσαντο ἀρχὰς, ἀλυσιτελῶς τοῖς πλήθεσιν. εὐτυχίαν γὰρ, ἀλλ' οὐκ ἀρετὴν ὁ κλῆρος ἐμφαίνει. πολλοὶ γοῦν πολλάκις τῶν ἀναξίων ἔλαχον, οὓς ἀνὴρ ἀγαθὸς λαβόμενος ἡγεμονίας, ἀποδοκιμάσαι ἂν καὶ ἐν ὑπηκόοις ἐξετάζεσθαι· καὶ γὰρ οἱ μικροὶ λεγόμενοι παρά τισιν ἄρχοντες, οὓς δεσπότας ὀνομάζουσιν, οὐ πάντας ὅσους ἂν οἷοί τε ὦσιν οἰκότριβας, ἢ ἀργυρωνήτους ἀπάγονται· μόνους δὲ τοὺς κατα- D πειθεῖς γινομένους, ἀγεληδὸν ἔστιν ὅτε πιπράσκοντες τοὺς ἀνιάτως ἔχοντας τὸ ἦθος, ὡς καὶ δουλεύειν ἀγαθοῖς ἀνδράσιν οὐκ ἀξίους ὄντας. οὐ τοίνυν προσήκει δεσπότας καὶ ἡγεμόνας ὅλων πόλεων καὶ ἐθνῶν ἀποφαίνειν, τοὺς κλήρῳ λαχόντας ὀλίσθῳ τινὶ τύχης ἀβεβαίου καὶ ἀνιδρύτου πράγματος, ἀλλ' εἰς μὲν τὴν τῶν καμνόντων ἐπιμέλειαν, κλῆρος τὸ μηδέν. ἰατροὶ γὰρ οὐ κλήρῳ λαγχάνουσιν, ἀλλὰ πείρᾳ δοκιμάζονται· καὶ πρὸς εὐπλοΐαν καὶ σωτηρίαν

τῶν θαλαττευόντων, οὐχ ὁ λαχὼν κυβερνᾷ, εὐθὺς ἐπὶ πρύμναν παραπέμπεται, ἵνα δι' ἀνεπιστημοσύνης ἐργασάμενος ἐν εὐδίᾳ καὶ γαλήνῃ χειμῶνα ναυάγια, ἀλλ' ὃς ἂν ἐκ πρώτης ἡλικίας τὴν κυβερνητικὴν τέχνην ἐπιμελῶς φαίνηται δεδιδαγμένος· οὗτός ἐστιν ὁ πολλάκις μὲν πεπλευκώς, τὰ δὲ σύμπαντα ἢ πλεῖστα πελάγη περαιωσάμενος, ἐμπόριά τε καὶ λιμένας καὶ ὑφόρμους καὶ καταδρόμους, τούς τε ἐν ταῖς νήσοις καὶ ἠπείροις ἐπιμελῶς ἐξητακώς, καὶ μᾶλλον ἢ οὐχ ἧττον τῶν κατὰ γῆν ὁδῶν τὰς διὰ θαλάσσης ἀτραποὺς ἐπιστάμενος, ἐκ τῆς ἀκριβοῦς θέας τῶν οὐρανίων. παρατηρήσας γὰρ τὰς χορείας τῶν ἀστέρων, καὶ ἐπακολουθήσας αὐτῶν ταῖς τεταγμέναις κινήσεσιν, ἐν ἀνοδίαις ἴχνεσιν ἀπλανέσι καὶ λεωφόρους ὁδοὺς ἀνατεμεῖν, ἵνα τὸ πάντων ἀπιστότατον πραγμάτων, ἡ χερσαία φύσις διαπλωτὴς οἷά τε ᾖ διὰ θαλάσσης· πόλεις δέ τις μεγάλας καὶ πολυανθρώπους μεστὰς οἰκητόρων, καὶ πολιτείας ἐγχειρίζεσθαι μέλλων, καὶ πραγμάτων ἰδιωτικῶν καὶ δημοσίων καὶ ἱερῶν ἐπιμέλειαν, ἣν οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τέχνην τεχνῶν, καὶ ἐπιστήμην ἐπιστημῶν εἶναι, πρὸς ἄστατον κλήρου φορὰν ἀναρτήσει, τὴν ἀκριβῆ βάσανον τῆς ἀληθείας φυγών· ἀληθείας δὲ βάσανος, ὁ σὺν λόγῳ πίστις. ταῦτα οὖν ὁ πάνσοφος Μωϋσῆς τῇ ψυχῇ θεασάμενος, κληρωτῆς μὲν ἀρχῆς οὐδὲ μέμνηται· τὰς δὲ χειροτονητὰς δικαιοῖ εἰσηγεῖσθαι. φησὶν οὖν Καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα οὐκ ἀλλότριον, ἀλλ' ἐκ τῶν σῶν ἀδελφῶν, δηλῶν ἐθελούσιον αἵρεσιν, καὶ δοκιμασίαν ἀνεπίληπτον ἄρχοντος, ὃν σύμπασα ἡ πληθὺς ὁμογνωμονοῦσα ποιήσεται· προσεπιψηφιεῖται δὲ τὴν αἵρεσιν ἐπισφραγιζόμενος, καὶ ὁ τῶν κοινωφελῶν ἁπάντων βεβαιωτὴς θεός, ἐκλογὴν ἵνα τοῦ γένους καταλαβὼν εἶναι τὸν ἄνθρωπον, ὡς ὄψιν ἐν σώματι. τὰς δ' αἰτίας τοῦ μὴ δεῖν ἀλλότριον αἱρεῖσθαι πρὸς ἀρχήν, διττὰς ἐπιγράφει· τὴν μέν, ἵνα μὴ πλῆθος ἀργυρίου καὶ χρυσίου καὶ θρεμμάτων συναγάγῃ, πολὺν πλοῦτον καὶ παντάδικον ἐκ τῆς πενίας τῶν ὑπηκόων θησαυρισάμενος· τὴν δ', ἵνα μὴ τὸ ἔθνος ἐκ τῆς οἰκείας χώρας ἀναστήσας ἕνεκα τῶν ἰδίων πλεονεξιῶν, ἀναγκάζῃ μετανίστασθαι πλάνον ἀνήνυτον ὧδε κἀκεῖσε φερόμενον, ὑποβαλὼν ἀτελεῖς ἐλπίδας μειζόνων ἀγαθῶν κτήσεως, εἰς ἀφαίρεσιν ὧν ἤδη βεβαίως ἐκαρποῦτο. προὔλαβε γὰρ ὡς εἰκὸς τὸν ὁμόφυλον καὶ συγγενῆ μετέχοντα τῆς πρὸς τὴν ἀνωτάτω συγγένειαν οἰκειότητος· ἡ δ' ἀνωτάτω συγγένεια ἐστὶ πολιτεία μία, καὶ νόμος ὁ αὐτός, καὶ εἷς θεός,

A non forte decernitur quis gubernaturus puppim ascendat, ne forte aliquis imperitus vel in tranquillitate ac serenitate asciscat naufragium, sed quæritur aliquis qui artem gubernandi à iuuentute didicerit: hoc est qui sæpe nauigauit perlustrauitque aut omnia aut plurima maria, qui bene nouit emporia, portus, stationes, receptacula, quæ vel in continente sunt vel in insulis, qui in mari quoque callet inuenire semitas ex obseruatione siderum, peritus stellarum, & suos cursus ad illarum motus dirigens, ita vt per B inuia viam expediat, & nouo more maria terrestri animanti aperiat, reddatque traiectu facilia. & postea ciuitates magnas, populosas, plenas habitatoribus, earumque administrationem, & curam rerum priuatarum ac publicarum, sacrarum ac profanarum, quam merito quis artē artium & scientiam scientiarum dixerit, committemus incertæ rei fortuitæque, reiecto veritatis examine? est C autem veritatis examen, rationabilis probatio. His igitur consideratis Moses sapientissimus nusquam meminit principatus quæsiti sortibus, maluitque suffragijs electos introducere. Sic igitur præcipit: Præficies tibijpsi principem non alienigenam, sed vnum ex tuis fratribus. nimirum significans electionem debere fieri voluntariam ex suffragijs consensuque totius populi, præcedente vt oportet examine. huiusmodi porrò comitia vt rata fiant, re- D quirunt etiam Dei calculum, ceu signaculum, sicut & cætera publica negocia: quando quidem huius voluntate homo in vniuersa rerum natura præminet, sicut facies in corpore. Cur autem principatus non detur extero, duæ causæ assignantur: altera, ne sibi magnam vim auri, argenti, pecorumque colligat spoliatis iniuste subditis: altera, ne propter sua priuata commoda gentem traducat in regio- E nem aliam, & subinde aliò atque aliò migrare iubeat, ostentata vana spe agri vberioris, & omissa certa possessione pristina. merito enim legislator in defectu principis habuit rationē cognationis & cōmunis originis & familiaritatis intimæ. ea est cōsensus in institutis ac legibus, & vnius Dei religio, qui sibi optauit peculiarē populū,

A sub tali principe nihil timendum est eorum quæ modo diximus, sed speranda omnia contraria. tantum enim abest vt cogat colonos demigrare aliò, vt potius si qui ante dispersi fuere colligat, eisque ius postliminij concedat. & adeo non auferet alienas pecunias, vt potius de suis largiatur in vsus publicos. Cæterum mox post acceptam potestatem iubetur deuteronomium, hoc est legum compendium B describere manu propria, quo magis ea præcepta inhæreant animo. nam legentibus elabuntur sententiæ, quòd lectio moras non patitur. qui autem scribit per ocium, imprimit & infigit menti singula fideliter, non in transcursu animaduersa, sed cunctanter, non prius cogitatione transeunte ad sequentia, quàm bene pensitatis quæ præcesserant: Absoluto autem hoc scripto, relegendum est quotidie, vt C assiduitate confirmetur memoria, & ipsa præcepta eo magis adlubescant per assuetudinem, vtilitate honestateque sua commendabilia, & animo inserentia sacrum sui desiderium. nam longa consuetudo sincerum amorem gignit non solum erga homines, sed erga dignas cognitu literas. id ita fiet, si princeps euoluet à se, non ab alijs scriptos commentarios. nam libentius quodammodo agnoscet propria, sic secum co- D gitans, Ego tantus princeps scripsi hæc, nullius vsus opera, cum tot subditos habeam. fortasse vt librum explerem literis velut scribæ mercenarij. aut oculorum acumen exercerem & celeritatem manuum sicut notarij. nequaquam, sed vt inter transcribendum in animam imprimerem, & menti diuinos characteres inscriberem numquam eluibiles. Ergo cum alij reges sceptro vtantur pro gestamine, mihi pro sceptro erit hoc legum compendium: hoc in- E signi gloriabor, hoc me inuictum reddet & inculpabilem, summique regis imitatorem. his sacris legibus semper subnixus assequar duas res eximias: primum æqualitatem, qua nihil præstantius. nam arrogantia superbiaque pusillanimitatis est, in futurum non prospicientis. at æqualitas conciliat subditorum beneuolentiam, securitatem principi

A ὥσπερ οἱ ἀπὸ τοῦ ἔθνους προσκεκλήρωνται, μηδέποτε τὰ παραπλήσια τοῖς λεχθεῖσι διαμαρτεῖν, ἀλλ' ἔμπαλιν, ἀντὶ μὲν τοῦ μετοικίζειν τοὺς οἰκήτορας, καὶ τοῖς ἐν τῇ ξένῃ σποράδην ἀσφαλῆ κάθοδον παρέξειν· ἀντὶ δὲ τοῦ καὶ τὰ τῶν ἄλλων ἀφαιρεῖσθαι χρήματα, προσεπιδώσειν τοῖς δεομένοις τὴν ἰδίαν οὐσίαν ἀποφήναντα κοινήν. ἀφ' ἧς δ' ἂν ἡμέρας παρέλθῃ τις ἐπὶ τὴν ἀρχὴν, κελεύει τὴν ἐπινομίδα γράψαι αὐτοχειρίᾳ, κεφαλαιώδη τύπον περιέχουσαν ἁπάντων τῶν νόμων, βουλόμενος ἐγκολ- B λᾶ τῇ ψυχῇ τὰ διατεταγμένα ἠθέλησε. τοῦ μὲν γὰρ ἀναγινώσκοντος ὑπορρεῖ τὰ νοήματα τῇ φορᾷ παρασυρόμενα· ᾧ δὲ γράφοντι κατὰ σχολὴν, ἐνσφραγίζεται, καὶ ἐνιδρύεται τῆς διανοίας ἐνδιατριβούσης ἑκάστῳ, καὶ ἐμφιλοχωρούσης ἑαυτήν, καὶ μὴ μεταπηδώσης ἐφ' ἕτερον, πρὶν ἢ περιδράξασθαι τοῦ προτέρου βεβαίως. ἐπειδὰν μέντοι γράψῃ, πειράσθω καθ' ἑκάστην ἡμέραν ἐντυγχάνειν καὶ ἀναγινώσκειν, ὑπέρ τε συνεχοῦς καὶ ἀδιαστάτου μνήμης καλῶν καὶ συμ- C φερόντων ἅπασι διαταγμάτων, καὶ ὑπὲρ τοῦ βέβαιον ἔρωτα καὶ πόθον αὐτῶν ἀεὶ ἐγγενέσθαι, τῆς ψυχῆς ἀεὶ διδασκομένης καὶ ἐθιζομένης ὁμιλεῖν νόμοις ἱεροῖς. αἱ γὰρ μακροχρόνιαι συνήθειαι, φιλίας ἀδόλους καὶ καθαρὰς οὐ πρὸς ἀνθρώπους μόνον, ἀλλὰ καὶ πρὸς ἰδέας ἀξιεράστους γραμμάτων ἀποτελοῦσι. τουτὶ δὲ συμβήσεται, ἐὰν μὴ ἑτέρου γράμμασι καὶ ὑπομνήμασιν ὁ ἄρχων, ἀλλ' οἷς αὐτὸς ἔγραψεν ἐντυγχάνῃ. τὰ γὰρ ἴδιά πως ἑκάστοις γνωριμώτερα, καὶ πρὸς ἀναλήψεις ἐπινώτερα, καὶ ἄλλως ἀνα- D γινώσκων, ἀναλογισμὸν ἕξει τοιοῦτον, ἐγὼ ταῦτ' ἔγραψα ὁ τοσοῦτος ἄρχων, μὴ προσχρησάμενος ὑπηρέτῃ ἑτέρῳ μυρίων ὄντων. ἆρα ὅπως βίβλον ἀποπληρώσω, καθάπερ οἱ μισθοῦ γράφοντες, ἢ οἱ γυμνάζοντες ὀφθαλμούς τε καὶ χεῖρας, τοὺς μὲν εἰς ὀξυωπίαν, τὰς δ', ἵνα ὦσιν ὀξυγράφοι· πόθεν; οὐκ ἔστιν, ἀλλ' ὅπως αὐτὰ ἐν βίβλῳ γράφων, εὐθὺς εἰς τὴν ψυχὴν μεταγράφω, καὶ ἐναπομάττωμαι τῇ διανοίᾳ θειοτέρους καὶ ἀνεκπλύτους χαρακτῆρας. οἱ μὲν οὖν ἄλλοι βασιλεῖς, βακτηρίας ἔχοντες σκη- E πτροφοροῦσιν· ἐμοὶ δὲ τὸ σκῆπτρον, ἡ βίβλος ἔσται τῆς ἐπινομίδος, καύχημα καὶ κλέος ἀνανταγώνιστον, ἐπίσημον ἡγεμονίας ἀνεπιλήπτου, πρὸς ἀρχέτυπον τῆς θεοῦ βασιλείας ἀπεικονισθείσης. ἀεὶ δ' ἐπερειδόμενος καὶ σκηριπτόμενος τοῖς ἱεροῖς νόμοις, κτήσομαι δύο τὰ πάντων ἄριστα, ἓν μὲν, ἰσότητα, ἧς μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν· ἀλαζονεία γὰρ καὶ τὸ ὑπέραυχον, ὀλιγόφρονος ψυχῆς, τὸ μέλλον οὐ προορωμένης. ἰσότης μὲν οὖν, τὴν ἐκ τῶν ὑπηκόων

εὔνοιαν καὶ ἀσφάλειαν ἀμοιβὰς δικαίας ἀντεκτινόντων ἀπεργάσεται, τὸ δ' ἄνισον κινδύνους σφαλερωτάτους· τούτους μὲν ἀποδράσομαι, μισήσας τὴν χορηγὸν σκότους καὶ πολέμου ἀνισότητα· βίον δ' ἀνεπιβούλευτον ἕξω, τὴν ἀστασίαστον ἰσότητα τιμήσας, ἣ γεννᾷ φῶς καὶ εὐστάθειαν· ἕτερον δὲ περιποιήσομαι, τὸ μὴ ἐπὶ θάτερα καθάπερ ἐπὶ τρυτάνης ἀντιρρέπειν, ἐκτρέπων καὶ πλαγιάζων τὰ διαπεπηγμένα. πειράσομαι δ' ἄγειν αὐτὰ διὰ λεωφόρου τῆς μέσης, ὀρθαῖς καὶ ἀρτίοις βάσεσι χρησάμενος πρὸς μετουσίαν ἀπταίστου βίου. βασιλικὴν δ' εἴωθεν ὀνομάζειν Μωσῆς ὁδὸν, τὴν μέσην, ὑπερβολῆς καὶ ἐλλείψεως οὖσαν μεθόριον, καὶ ἄλλως ἐπειδὴ τὸ μέσον ἐν τριάδι τὴν ἡγεμονίδα τάξιν εἴληχεν, ἁρμοζόμενον τὰ παρ' ἑκάτερα εἰς ἕνωσιν ἀδιαλύτῳ δεσμῷ, ὑφ' ὧν καὶ δορυφορεῖται τρόπον βασιλέως. νομίμου δ' ἄρχοντος ἰσότητα τιμῶντος, ἀδεκάστως τὰ δίκαια κρίνοντος, δικαίως ἐμμελετῶντος ἀεὶ τοῖς νομίμοις, ἆθλον εἶναί φησι τὴν μακροχρόνιον ἡγεμονίδα, οὐχ ἵνα πολυετῆ ζωὴν αὐτῷ χαρίσηται μετὰ τοῦ τὰ κοινὰ πρυτανεύειν, ἀλλ' ἵνα ἀναδιδάξῃ τοὺς ἀγνοοῦντας, ὅτι νόμιμος ἄρχων κἂν τελευτήσῃ, βίον ζῇ μακραίωνα διὰ τῶν πράξεων, ἃς ἀθανάτους καταλέλοιπε, μνημεῖα καλοκαγαθίας ἀκαθαίρετα. προσήκει δὲ τῷ τῆς ἀνωτάτω καὶ μεγίστης ἀρχῆς ἀξιωθέντι, αἱρεῖσθαι διαδόχους, οἳ συνάρξουσι καὶ συνδικάσουσι, καὶ τἄλλα ὅσα κοινωφελῆ συνδιοικήσουσιν· εἷς γὰρ οὐκ ἂν ἐξαρκέσαι, κἂν προθυμότατος ᾖ καὶ πάντων ἐρρωμενέστατος ἑκάτερον σῶμα καὶ ψυχὴν, πρὸς τὰ μεγέθη καὶ πλήθη τῶν πραγμάτων, ἐπὶ τῇ φορᾷ τῶν ἐπιρρεομένων καθ' ἑκάστην ἡμέραν ἀλλαχόθεν ἄλλων, εἰ μὴ τοὺς συλληψομένους ἔχοι πάντας ἀριστίνδην ἐπιλελεγμένους, φρονήσει, δυνάμει, δικαιοσύνῃ, θεοσεβείᾳ, τοὺς μὴ μόνον ἐκτρέπεσθαι, ἀλλὰ καὶ μισεῖν ὡς ἐχθρὸν καὶ μέγιστον κακὸν ἀλαζονείαν. βοηθοὶ γὰρ οὗτοι καὶ παρασπισταὶ γένοιντ' ἂν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ τὰ κοινὰ ἐπιχειρισμένῳ, συνεπικουφίζειν καὶ ἐπελαφρίζειν ἐπιτηδειότατοι· καὶ ἄλλως ἐπειδὴ τῶν ὑποθέσεων αἱ μέν εἰσι μείζους, αἱ δὲ βραχύτεραι, τὰς μὲν ἐλάττους, ἵνα μὴ περὶ μικρὰ τρίβηται, τοῖς ὑπάρχοις ἐνδίκως ἂν ἐπιτρέψαι, τῶν δὲ μειζόνων, αὐτὸς ἂν γένοιτο ἀναγκαίως ἐξεταστὴς ἀκριβέστατος· μεγάλας δ' ὑποληπτέον ὑποθέσεις, οὐχ ἃς οἴονταί τινες, ὅταν ἔνδοξοι πρὸς ἐνδόξους διαφέρωνται, καὶ πλούσιοι πρὸς πλουσίους, καὶ ἡγεμόνες πρὸς ἡγεμόνας, ἀλλ' ἔμπαλιν ὅταν ἰδιῶται καὶ ἄποροι

A bene meritol rependentium ; sicut inæqualitas periculis semper est obnoxia. Hæc igitur effugiam si auersatus fuero inæqualitatem causam dissidiorum & caliginis: securusque vitam exigam æqualitatem colens autorem tranquillitatis ac luminis. Alterum vero assequar , vt in neutram partem deflectam velut in æquilibrio , recta regiaque via mandatorum diuinorum incedens firmis passibus , nec vsquam offensantibus. Talem enim viam Moses solet appellare regiam , qua inter defectum & nimietatem tramitem tenet medium : quoniam in ternione quod medium est principatum habet , vtrinque contigua coaptans vinculo insolubili , latera sibi tanquam regi stipantia. Tali autem principi legitimo , ius æquabile honoranti , incorrupte iudicanti , semper meditanti iustitiam , longæuum principatum propheta proponit vice præmij : non quòd annosam ætatem polliceatur recte administrantibus rempublicam , sed vt nos doceat , legitimum principem victurum etiam post obitum , relicta post se immortali virtutis rerumque à se gestarum memoria. Est autem id quoque potestatis summæ officium , eligere aliquot administrationis reddendique iuris socios. Vnus enim non sufficit , quantumuis alacris fortisque corpore simul atque animo , in tanta mole negociorum ac multitudine , quotidie alijs affluentibus super alia : proinde assumendi sunt òptimates selecti, spectatæ Prudentiæ , Fortitudinis , iustiçiæ , pietatisque , incorrupti , & ante omnia infensi superbiæ : nam huiusmodi viri maxime idonei sunt ad subleuandum ope sua bonum honestumque princìpem. Præterea cum aliquando res magnæ aliquando minores tractandæ sint , ne in exiguis conterat operam princeps , subpræfectis eas delegabit , maiores verò ipse examinabit diligentissime. maiora dico negocia , non vt quidam existimant , controuersias quæ inter claros, diuites , potentesque incidunt , sed quoties priuati , egeni , obscuri , premuntur à potentioribus,

cum nulla præsidij spes est nisi in iudice. Quæ dico patent exemplis sacræ scripturæ, à quibus non decet discedere. Fuit enim aliquando tempus cum solus Moses præsidebat iudicijs, occupatus & laborans à mane vsque vesperam. tum socer eius superueniens, & animaduertens quanta mole premeretur confluente ad ipsius tribunal multitudine, optime consuluit vt vicarios eligeret qui minora tractent negocia, ipse verò maiora curet, interquiescens nonnihil. id consilium adeò placuit, vt mox probatissimus quisque allectus sit in ordinem iudicum, reseruatis prophetæ grauioribus controuersiis. Relatum est etiam hoc in sacra volumina, vt haberent quod imitentur posterorum principes: primum ne aspernentur consiliarios, quasi possint ipsi dispicere omnia, cum ne Moses quidem aspernatus sit amicus Dei sapientissimus. deinde vt sibi vicarios secundæ tertiæque notæ substituant, ne solicitudinem impendendo rebus vilioribus, negligant maioris momenti negocia. Impossibile est enim vnum hominem obire omnia munia. ad hoc exemplum adiungemus & alterum, confirmaturum quæ diximus. Diximus autem magnas causas esse personarum humiliorum, vt sunt viduæ, pupilli, aduenæ. his debet suum ius summus princeps reddere, qui potestatem habet nemini obnoxiam, quandoquidem autori Mosi credimus, ne Deum quidem rerum omnium regem grauatim causas talium cognoscere. sic enim vates laudat eius virtutes, dicens: Deus magnus fortísque, qui nullius personam respicit, qui sine corruptelis iudicat. móxque addit quos iudicet, non satrapas tyrannósque terra & mari late imperitantes, sed aduenam, pupillum, viduam. primum illum, quia cognatos, quos solos aduocatos habere potuerat, inimicos sibi infensissimos reddidit, postquam se ad veritatem & vnius numinis cultum transtulit à figmentorum delirijs, quæ parentes, aui, proaui, maioresque ipsius plurium deorum veneratores sequuti fuerant. secundum verò, quia patris & matris naturali ac necessaria tutela destituitur. tertiam item, eo quod maritum amisit, qui ad ipsius de-

A καὶ ἄδοξοι πρὸς δυνατωτέρους, ὅτε πρὸς τὸ μηδὲν ἀνήκεστον παθεῖν μία ἐλπὶς ὁ δικαστής. ἑκατέρου δὲ τῶν εἰρημένων σαφῆ παραδείγματα εὑρεῖν ἐστιν ἐν τοῖς ἱεροῖς νόμοις, ἃ μιμεῖσθαι καλόν. ἦν γάρ ποτε χρόνος ὅτε μόνος αὐτὸς ἐβράβευε τὰς περὶ δίκας Μωϋσῆς, ἕωθεν εἰς νύκτα πονούμενος· ἀλλ' αὖθις ἀφικόμενος ὁ πενθερὸς καὶ συνιδὼν ὅσῳ βάρει πιέζεται πραγμάτων, ἐπισυρρεόντων ἀεὶ τῶν ἀμφισβητήσεις ἐχόντων, ἄριστα συνεβούλευεν

B ἑλέσθαι διαδόχους, ἵνα οἱ μὲν τὰ βραχύτερα κρίνωσιν, αὐτὸς δ' ἐφεδρεύῃ τοῖς μείζοσι, καιρὸν εἰς ἀνάπαυλαν αὑτῷ διδούς. πεισθεὶς δὲ τοῖς λεγομένοις· καὶ γὰρ ἦν συμφέροντα· τοὺς δοκιμωτάτους ἐξ ἁπάντων τοῦ πλήθους ἑλόμενος, ὑπάρχους ἅμα καὶ δικαστὰς καθίστησι, κελεύσας τὰς μείζους κρίσεις ἐπ' αὐτὸν ἀνάγειν. ταύτην τὴν τάξιν ἀναγραπτον αἱ ἱεραὶ βίβλοι περιέχουσιν, εἰς τὴν τῶν καθ' ἑκάστην γενεὰν ἀρχόντων διδασκαλίαν, ἵνα πρῶτον μὲν, μὴ ἀποδοκιμάζωσι συμβούλους ὡς

C ἱκανοὶ πάντα περιαθρεῖν, Μωσέως οὐκ ἀποδοκιμάσαντος τοῦ πανσόφου καὶ θεοφιλοῦς. ἔπειτα δὲ, ἵνα δευτέρους καὶ τρίτους ἡγεμόνας αἱρῶνται, φροντίζοντες τοῦ μὴ περὶ μικρὰ τριβόμενοι, τῶν ἀναγκαιοτέρων ἀμελεῖν. ἀμήχανον γὰρ ἐφ' ἅπαντα φθάνειν φύσιν ἀνθρωπίνην. ἓν μὲν δὴ τῶν παραδειγμάτων μεμήνυται· τοῦ δὲ δευτέρου τὴν πίστιν ἐφαρμοστέον· μεγάλας ἔφην εἶναι δίκας τὰς τῶν ταπεινοτέρων· ἀσθενὴς δὲ καὶ χήρα καὶ ὀρφανὸς, καὶ ἐπήλυτος. τούτοις χρὴ δικάζειν τὸν ἀνωτάτω βασι-

D λέα, καὶ τὸν ἐφ' ἅπασιν ἐναψάμενον ἀρχὴν, ἐπεὶ κατὰ Μωσέα καὶ ὁ τῶν ὅλων ἡγεμὼν θεὸς οὐκ ἀπεσκοράκισεν αὐτοὺς τῆς ἀφ' αὑτοῦ δικαιονομίας. ὑμνήσας γὰρ τὰς τοῦ ὄντος ἀρετὰς ὁ ἱεροφάντης τὸν τρόπον τοῦτον, Ὁ θεὸς ὁ μέγας, ὁ κραταιὸς, ὅστις οὐ λαμβάνει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον ποιεῖν κρίσιν, ἐπιλέγει τίσιν ἡ κρίσις, οὐ σατράπαις καὶ τυράννοις, καὶ τῆς γῆς καὶ θαλάττης ἐναψαμένοις τὸ κράτος, ἀλλ' ἐπηλύτῃ, καὶ ὀρφανῷ, καὶ χήρᾳ. τῷ μὲν,

E ὅτι τοὺς συγγενεῖς, οὓς μόνους εἰκὸς ἔχειν συναγωνιστὰς, ἐχθροὺς ἀσυμβάτους εἰργάσατο ἑαυτῷ, μεταναστὰς εἰς ἀλήθειαν, καὶ τὴν ἑνὸς τιμίου τιμὴν ἀπὸ μυθικῶν πλασμάτων καὶ πολυαρχίας, ἃ γονεῖς, καὶ πάπποι καὶ πρόγονοι καὶ πάντες οἱ ἀφ' αἵματος τοῦ ςυλομένου τὴν καλὴν μετοικίαν ταύτην ἐξετίμησαν· τῷ δ', ἐπεὶ πατρὸς καὶ μητρὸς τῶν ἐκ φύσεως βοηθῶν καὶ ὑπερμάχων ἐστέρηται, δυνάμεως τῆς μόνης εἰς συμμαχίαν ἀναγκαίας ἐρημωθείς· τῇ δ', ὅτι τὸν διαδεξάμενον ἄνδρα τῶν γονέων ἐπιμέλειαν καὶ προ-

ἐστέρηται. γυναικὶ γὰρ ἀνὴρ εἰς κηδεμονίαν, ὅσπερ γονεῖς παρθένῳ. σχεδὸν δὲ καὶ τὸ σύμπαν Ἰουδαίων ἔθνος ὀρφανοῦ λόγον ἔχει, συγκρινόμενον τοῖς ἁπανταχῆ πᾶσι. τὰ μὲν γὰρ, ὁπότε μὴ θεήλατοι κατασκήπτοιεν συμφοραὶ, διὰ τὰς ἐν τοῖς ἔθνεσιν ἐπιμιξίας οὐκ ἀπορεῖ βοηθῶν, κοινοπραγοῦντα. τῷ δὲ ἥκιστά τις συναγωνίζεται νόμοις ἐξαιρέτοις χρωμένῳ, σεμνοὶ δ' εἰσὶν ἐξ ἀνάγκης, ἅτε πρὸς τὴν ἄκραν ἀρετὴν ἀλείφοντες. τὸ δὲ σεμνὸν, αὐστηρὸν τοῦτο ὁ πολὺς ὅμιλος τῶν ἀνθρώπων ἀποστρέφεται, διὰ τὴν ἡδονῆς ἀποδοχήν. ἀλλὰ τῆς ὀρφανίας αὐτοῦ καὶ ἐρημίας ἔλεον καὶ οἶκτόν φησι Μωϋσῆς αἰεὶ λαμβάνειν τὸν ἡγεμόνα τῶν ὅλων ᾧ προσκεκλήρωται, διότι τοῦ σύμπαντος ἀνθρώπων γένους ἀπενεμήθη οἷά τις ἀπαρχὴ τῷ ποιητῇ καὶ πατρί. τὸ δ' αἴτιον, αἱ τῶν ἀρχηγετῶν τοῦ ἔθνους περιμάχητοι δικαιοσύναι, καὶ ἀρεταὶ, αἳ καθάπερ φυτὰ ἀθάνατα διαμένουσιν, ἀειθαλῆ καρπὸν φέρουσαι τοῖς ἀπογόνοις σωτήριον, καὶ πρὸς πάντα ὠφέλιμον, κἂν αὐτοὶ τύχωσι διαμαρτάνοντες ἰάσιμα, ἀλλὰ μὴ παντελῶς ἀνίατα. μὴ μέντοι νομίσας τις ἀγαθὸν εἶναι τέλειον τὴν εὐγένειαν, ὀλιγωρείτω καλῶν πράξεων, λογιζόμενος ὅτι μείζονος ὀργῆς ἄξιος τυγχάνειν ἐστὶν, ὁ γεννηθεὶς μὲν ἐκ τῶν ἀρίστων, αἰσχύνην δ' ἐπιφέρων τοῖς γεννήσασι τῇ τῶν τρόπων κακίᾳ. ἔχων γὰρ οἰκεῖα παραδείγματα καλοκἀγαθίας ἃ μιμήσεται, καὶ μηδὲν ἀπομαξάμενος εἰς ὑγιαίνοντος βίου κατόρθωσιν, ἐπίληπτος. ἀπαγορεύει δ' ὁ νόμος τῷ τὴν προστασίαν καὶ ἐπιμέλειαν τῶν κοινῶν ἀνειληφότι δημοκοπεῖν ἀπαγορεύων, μὴ πορεύεσθαι δόλῳ ἐν τῷ ἔθνει. ψυχῆς γὰρ ἀνελευθέρου καὶ δουλοπρεποῦς ἐπίβουλα ἤθη, συσκιαζούσης ὑποκρίσει τὸ ἔργον. τὸν γὰρ ἄρχοντα οὕτω χρὴ προεστάναι τῶν ὑπηκόων, ὡς πατέρα παίδων, ἵνα καὶ αὐτὸς ὡς ὑπὸ γνησίων υἱῶν ἀντιτιμᾶται. διότι κοινοὶ πόλεων καὶ ἐθνῶν γονεῖς, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἄρχοντές εἰσιν οἱ ἀγαθοὶ, τὴν ἴσην· ἔστι δ' ὅτε καὶ περιττοτέραν εὔνοιαν ἐπιδεικνύμενοι. τοὺς δ' ἐπὶ λύμῃ καὶ ζημίᾳ τῶν ὑπηκόων μεγάλας περιβαλλομένους δυναστείας, οὐκ ἄρχοντας, ἀλλ' ἐχθροὺς προσαγορευτέον, τὰ πολεμίων ἀσυμβάτων δρῶντας. οὐ μὴν ἀλλὰ καὶ οἱ δολερῶς ἀδικοῦντες, πονηρότεροι τῶν φανερῶς ἐνισταμένων εἰσὶν, εἴγε τοὺς μέν ἐστι ῥᾳδίως ἀμύνασθαι, γυμνὴν ἀπαμπίσχοντας τὴν δυσμένειαν· τῶν δ' ἐστὶ δυσάλωτος καὶ δυσθεώρητος ἡ μοχθηρία, καθάπερ ἐν θεάτροις σκευὴν ἀλλοτρίαν ἀναλαμβανόντων, εἰς

A fensionem in parentum vicem succefferat. vxori enim maritus tutor est, sicut parentes virgini. & alioqui tota Iudæorum natio est pupillo similis, si conferatur cum cæteris. nam illæ quoties in calamitates incidunt, adiuuantur mutuis commerciis: huic autem nemo fert opem, propter mores ritúsque diuersos ab aliis, contendentes ad virtutis fastigium, rem pulcherrimam sed eandem difficilimam, ac proinde à vulgo voluptati

B posthabitam. Cæterum Moses pollicetur huic orbitati desolationique nunquam defore prouidentiam cælestis numinis, tanquam peculiari sibi prouinciæ, totiúsque humani generis ceu sacratis primitijs. in causa est inclita iusticia virtusque primorum autorum huius gentis, vnde quasi ab immortalibus plantis perpetui fructus germinant & proueniunt salubres etiam posteris vtilissimique ad omnia, atque insuper peccatis eorum afferentes remedium, modo non sint

C prorsus insanabilia. Nemo tamen summam felicitatis in generis nobilitate collocans honestas actiones negligat, reputans grauiori animaduersioni fieri obnoxium, quisquis ex optimis prognatus maiores suos vitijs dedecorat, discedens à virtutis exemplis domesticis: quorum reliquijs omnibus deletis ex animo, non potest meritam reprehensionem effugere. Est & aliud interdictum iustissimum,

D quo cauetur ne reipublicæ princeps dolose versetur inter suos subditos, nam fallaces mores ad seruile non liberale ingenium pertinent, dum rebus simulatio prætexitur. at princeps ad hunc modum tractare suos non debet, qui parentis locum inter eos obtinet, ac vicissim tanquam à germanis filijs reuerentiam postulat. Sunt enim principes (vt verum fatear) publici parentes ciuitatum & gen-

E tium, quotquot boni sunt, nec cedunt pietati naturalium. Contrà qui in subditorum detrimentum abutuntur potentia, nequaquam principes sed hostes appellandi sunt, cum agant hostilia. Sic & qui per dolum inferunt iniuriam, peiores sunt apertis hostibus: siquidem hi propulsantur facile, detecto infenso animo. at illos sua malicia deprehendi non sinit, tanquam in theatro personatos sub alieno habitu, tegentésque

veram faciem. Est autem quædam principatus species in quouis vitæ genere, sola distans magnitudine. quod enim est in ciuitate rex, hoc in vico magister, in domo dominus, inter ægrotos medicus, imperator inter milites, præfectus classis inter nauales socios, inter vectores nauclerus, inter nautas gubernator. hi omnes & prodesse possunt & obesse, debent tamen id velle quod est melius. præstat autem iuuare quoscunque possis pro viribus. nam præceptum vulgo tritum, Deum sequere, non aliud significat: quandoquidem ille quoque cum vtrumque possit, mauult bene facere, vt liquet ex mundi creatione atque regimine. non entibus enim dedit essentiam, confusa digessit in ordinem, nouas qualitates rebus indidit, similia fecit è dissimilibus, è diuersis eadem, ex insociabilibus & diffitis cohærentia sociabiliaque, ex inæqualibus æqualia, ex obscuris illustria. semper enim cura est ipsis & beneficis eius potentijs, vt quicquid delinquit deterior essentia, transformetur in melius. huiusmodi exempla imitari decet bonos principes, si modo cupiunt reddi Deo similes. Quoniam autem plurima fallunt mentem hominis, vtpote implicitam tot sensibus, per vanas opiniones facile decipientibus, imò insepultam mortali corpori ceu cuidam tumulo, non pudeat iudicem nescire quod nescit. alioqui fiet seipso deterior, veritatem exterminans ex anima, & insuper multis modis lædet eos quibus ius dicit, cæcas sententias proferens, cum quid iustum sit non videat. quoties igitur non satis causas perspiciet propter perplexitatem earum & caliginem, recuset officium iudicis, & litigatores ad accuratius tribunal ablegét. id vero non aliud fuerit quam sacerdotum atque pontificis. nam legitimi cultores Dei mente pollent plurimum, qui ne leuia quidam errata negligunt, propter excellentiam summi regis in cuius versantur obsequijs. quapropter præcipitur omnibus sacrificijs vt sobrij sacra faciant, ne subrepens delirationis potio hebetet oculos animæ. Et fortassis quoniam verus sacerdos simul etiam vates est, non tam generis quàm virtutis beneficio

A ἀπόκρυψιν τῆς ἀληθοῦς ὄψεως. φθάνει δὲ τὸ τῆς ἀρχῆς εἶδος, καὶ διαδέδυκεν ὀλίγου δεῖν φάναι, πρὸς ἅπαντα τὰ τοῦ βίου μέρη, διαφέρον αὐτὸ μόνον μεγέθει καὶ τῷ ποσῷ. ὅπερ γὰρ πόλεως βασιλεύς, τοῦτο καὶ κώμης ὁ πρῶτος, καὶ οἰκίας ὁ δεσπότης, καὶ νοσούντων ἰατρός, καὶ στρατοπέδου μὲν στρατηγός, ναύαρχος δ' ἐπιβατικοῦ καὶ πληρωμάτων, καὶ πάλιν φορτίδων μὲν καὶ ὁλκάδων ναύκληρος, κυβερνήτης δὲ πλωτήρων· οἱ πάντες δύνανται μὲν τό, τε εὖ καὶ τὸ χεῖρον, βούλεσθαι δ' ὀφείλουσι τὸ ἄμεινον. B τὸ ἄμεινον δ' ἐστὶν ὠφελεῖν, ἀλλὰ μὴ βλάπτειν ὅσους ἂν οἷόν τε ᾖ. τὸ γὰρ ἕπεσθαι θεῷ τοῦτ' ἐστιν, ἐπεὶ κἀκείνῳ δύναμις μέν ἐστι δρᾶν ἑκάτερα, βούλεται δὲ μόνα τἀγαθά. μηνύει δ' ἥ τε τοῦ κόσμου γένεσίς τε καὶ διοίκησις. τὰ γὰρ μὴ ὄντα ἐκάλεσεν εἰς τὸ εἶναι, τάξιν ἐξ ἀταξίας, καὶ ἐξ ἀποίων ποιότητας, καὶ ἐξ ἀνομοίων ὁμοιότητας, καὶ ἐξ ἑτεροτήτων ταὐτότητας, καὶ ἐξ ἀκοινωνήτων καὶ ἀναρμόστων κοινωνίας καὶ ἁρμονίας, καὶ ἐκ μὲν ἀνισότητος ἰσότητα, C ἐκ δὲ σκότους φῶς ἐργασάμενος. αἰεὶ γάρ ἐστιν ἐπιμελὲς αὐτῷ καὶ ταῖς εὐεργέτισιν αὐτοῦ δυνάμεσι, τὸ πλημμελὲς τῆς χείρονος οὐσίας μεταποιεῖν καὶ μεθαρμόζεσθαι πρὸς τὸ ἄμεινον. ταῦτα μιμεῖσθαι προσήκει τοὺς ἀγαθοὺς ἄρχοντας, εἴ γέ τις αὐτοῖς φροντὶς ἐξομοιώσεως τῆς πρὸς θεόν. ἐπεὶ δ' ἀπορρῆ μυρία καὶ λανθάνει τὸν ἀνθρώπινον νοῦν, ἅτε ἐνδεδεμένον αἰσθήσεων ὄχλῳ τοσούτῳ, παράγειν καὶ ἀπατᾶσθαι ψευδέσι δόξαις ἱκανωτάτῳ· μᾶλλον δὲ ἐντετυμβευμένον θνητῷ σώματι, ὃ D κυρίως ἄν τις σῆμα καλέσειε, μηδεὶς αἰδείσθω δικαστὴς ὁμολογῶν ἀγνοεῖν, ὅπερ ἀγνοεῖ. πρῶτον γὰρ ὁ ψευδόμενος αὐτὸς αὑτοῦ γενήσεται χείρων, ἀλήθειαν ἀπορρέοιον τῆς ψυχῆς πεφυγαδευκώς· ἔπειτα δέ, μυρία βλάψει τοὺς κρινομένους, τυφλὴν γνῶσιν ἀποφαινόμενος, τῷ μὴ βλέπειν τὰ δίκαια. ὅταν οὖν διὰ ἀμαυρὰν ποιότητα τὴν ἀντίληψιν τῶν πραγμάτων, ἀσάφειαν καὶ πολὺ σκότος ἀπεργαζομένων, παραιτείσθω τὰς κρίσεις, καὶ ἀναπεμπέτω πρὸς E ἀκριβεστέρους δικαστάς. οὗτοι δὲ τίνες ἂν εἶεν, ἢ ἱερεῖς, καὶ ὁ τῶν ἱερέων ἔξαρχος ἡγεμών. οἱ γὰρ λειτουργοὶ θεοῦ οἱ γνήσιοι, τὴν διάνοιαν ἐπιμελῶς ἠκόνηνται, τὸ παρὰ μικρόν, οὐ μικρὸν σφάλμα ἡγούμενοι, διὰ τὰς ἐν ἅπασιν ὑπερβολὰς τοῦ θεραπευομένου βασιλέως· διὸ καὶ προστέτακται πᾶσι τοῖς ἱερωμένοις νηφάλια θύειν, ἵνα μηδὲν τοῦ παραπαίειν καὶ παραληρεῖν φάρμακον ἐπισελθὸν τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἀμαυρώσῃ. τάχα δ' ἐπεὶ ὁ πρὸς ἀλήθειαν ἱερεὺς εὐθύς ἐστι προφήτης, οὐ γένει μᾶλλον, ἢ ἀρετῇ

προεληλυθὼς ἐπὶ τὴν τοῦ ὄντος ὄντως θεραπείαν· προφήτῃ δ' οὐδὲν ἄγνωστον, ἔχοντι νοητὸν ἥλιον ἐν αὑτῷ, καὶ ἀσκίους αὐγάς, εἰς ἐναργεστάτην κατάληψιν τῶν αἰσθήσει μὲν ἀοράτων, διανοίᾳ δὲ καταληπτῶν. πάλιν οἱ μέτρα καὶ σταθμία καὶ ζυγὰ διαχειρίζοντες ἔμποροι καὶ κάπηλοι καὶ ἀγοραῖοι καὶ ὅσοι ἄλλοι τὰ πρὸς τὸ ζῆν ὤνια πιπράσκουσι, ξηρά τε καὶ ὑγρά, τάττονται μὲν ὑπ' ἀγορανόμοις, ὀφείλουσι δ' αὐτοὶ ἑαυτῶν ἄρχοντες εἶναι, ἐὰν σωφρονῶσι, μὴ φόβῳ τὰ δίκαια δρῶντες, ἀλλ' ἑκουσίῳ γνώμῃ. τοῦ γὰρ μετ' ἀνάγκης τὸ αὐτοκέλευστον κατόρθωμα, τιμιώτερον πανταχοῦ. διὸ προστάττει τοῖς καπήλοις καὶ ἐμπόροις, καὶ οἵτινες ἄλλοι τὴν τοιαύτην προαίρεσιν ἐπανῄρηνται τοῦ βίου ζυγὰ δίκαια καὶ μέτρα καὶ σταθμία κατασκευάζεσθαι, μηδὲν ἐπὶ βλάβῃ τῶν ὠνουμένων κακοτεχνοῦντας, ἀλλ' ἀπ' ἐλευθέρου καὶ ἀδόλου ψυχῆς ἕκαστα καὶ λέγειν καὶ πράττειν, ἐκεῖνο λογιζομένους, ὅτι τὰ μὲν ἄδικα κέρδη βλαβερώτατα, ὁ δὲ μετὰ δικαιοσύνης πλοῦτος ἀναφαίρετος. ἐπεὶ δὲ φιλεργίας ἆθλα μισθοὶ πρόκεινται τοῖς δημιουργοῖς· δημιουργοῦσι δ' οἱ ἐν ἐνδείαις, ἀλλ' οὐχ οἷς ἄφθονος περιουσία, κελεύει μὴ ὑπερτίθεσθαι τὰς δόσεις, ἀλλ' αὐτῇ παρέχειν ἡμέρᾳ τὸν δημιουργηθέντος μισθόν. ἄτοπον γὰρ τὰ μὲν ἐκ τῆς τῶν πενήτων ὑπηρεσίας ἀπειληφέναι τοὺς εὐπόρους, τὰς δ' ἀντὶ τούτων ἀμοιβὰς μὴ αὐτίκα παρέχειν εὐπόρους εὐθύς, περιουσίᾳ ζῶντας. ἆρ' οὐκ ἐναργῆ δείγματα ταῦτ' ἐστὶ προφυλακῆς μειζόνων ἀδικημάτων; ὁ γὰρ μηδὲ μισθὸν τὸν πάντως ἀποδοθησόμενον ἐῶν ἐκ προθέσμου γενέσθαι, προθεσμίαν ὁρίσας ἑσπέραν, ἐν ᾗ δεήσει τὸν δημιουργὸν ἀπαλλαττόμενον οἴκαδε κομίσασθαι τὴν ἀμοιβήν, οὐκ οὐ πολὺ πρότερον ἁρπαγὴν ἀπαγορεύει καὶ κλοπήν, καὶ χρεωκοπίαν, καὶ ὅσα τούτοις ὁμοιότροπα, διαπλάττων καὶ διαμορφῶν τὴν ψυχὴν πρὸς δόκιμα εἴδη τῆς καλοκαγαθίας αὐτῆς; εὖ μέντοι κἀκεῖνο διείρηται, ὅπως μηδεὶς μηδένα βλασφημῇ καὶ κακηγορῇ, καὶ μάλιστα κωφόν, οὐδ' αἴσθησιν ὧν ἀδικεῖται δυνάμενον λαβεῖν, οὐδ' ἐν τοῖς ἴσοις περὶ αὐτὸ τοῦτο ἀμύνασθαι. μάχη γὰρ πασῶν ἀνομωτάτη, καθ' ἣν τὸ μὲν ἕτερον μέρος ἐν τῷ δρᾶν ἐξετάζεται, τὸ δ' ἕτερον ἐν τῷ μόνον πάσχειν· τοῖς δὲ κακηγοροῦσι τοὺς ἀνηκόους καὶ τὰ ὦτα βεβλαμμένους, ὁμοίως ἄδικα δρῶσιν οἱ τυφλοῖς ὀλίσθους ἐμποιοῦντες, καὶ ἕτερ' ἄττα ἐν ποσὶ τιθέντες. ἀνάγκη γὰρ οὐκ οἵους τε ὄντας ὑπερβαίνειν δι' ἄγνοιαν, περιπταίοντας, ἀμφότερα καὶ

A consecutus sacerdotium veri numinis, ideo nihil ignorat: quippe qui habet in seipso solem intelligibilem, & lucem omni vmbra carentem, vt facile percipiat ea quæ sensum effugiunt, & sola ratione comprehenduntur. Item qui mensuras tractant ac pondera, negociatores, caupones, institoresque, & quotquot victui necessaria venditant seu arida seu liquida, subiiciunt, quidem ædilibus, debent
B tamen sibijpsis esse pro magistratibus si sapiunt, & non præ metu quod iustum est facere, sed ex libera animi sui sententia. vltroneum enim officium vbique coacto præferendum est. ideo præcipitur cauponibus, negociatoribus, & cæteris huiusmodi vitæ institutum sequentibus, vt iusta pondera mensurasque habeant, nullis technis insidiantes emptoribus, sed ingenue absque omni fuco dicentes facientesque singula, sic cogitan-
C tes, quòd iniqua lucra sunt damnosissima, & è diuerso diuitiæ cum iusticia coniunctæ nunquam intercidant. Et quoniam operæ præmium mercedes proponuntur opificibus, quod genus hominum ex inopibus constat non ex diuitibus, lex iubet vt absque procrastinatione repræsentetur eis quod debetur. Iniquum enim fuerit diuites frui pauperibus, & cum ipsi laute viuant, differre solamen eorum inopiæ. Hæc nónne
D rudimenta sunt manifestaria, quibus præcauetur ne peccetur grauius. nam qui ne mercedem quidem sinit differri vltra præfinitum terminum, hoc est vltra vesperam, quando emeritam stipem referre domum debet opifex, nónne multò magis interdicet rapinis, furtis, decoctionibùsque, & id genus alijs, fingens formansque animos ad probatas omnibus virtutis species? Illud quoque recte
E interdicitur, ne quis impetat alterum conuicio, præsertim surdum qui ne sentiens quidem iniuriam, par pari referre non potest. est enim iniquissima conflictatio, vbi altera parte agente, altera tantum patitur. quisquis autem muto surdoque facit conuicium, similis est facienti cæcis offendiculum, & objicienti præ pedibus quod cum illi transcendere nesciunt, & aberrant à via, & impingendo crura

oblædunt. Hos & eorum similes lex merito minis cælestibus intentatis territat, quandoquidem solus Deus protegit non valentes sibiipsis succurrere. videturque illa tantum non his verbis increpare iniurios: ô vacua cerebro capita, creditis vos latere posse dum illuditis miseris, & calamitates eorum deridetis, maledicendo surdis auribus, & cæcos inducendo in lubricum? certe Deum inspectorem speculatoremque rerum omnium non latebit vestra insultatio petulans, cum & ipsi circumferatis corpora similibus malis exposita, & sensus vitiabiles, leuique momento hebetari faciles, & interdum post acceptum detrimentum insanabiles. itáne immemores vestræ conditionis putatis vos exemptos ab humanis necessitatib. naturalibus, & ab incertis inexpectatisque fortunæ insidiatricis casibus? quæ sæpe repentino percellit vulnere, & in media vitæ tranquillitate tantum non in portu nauigantib. infert naufragium. quid opus est vos insultare alienis miserijs, quasi non iusticia diuino tribunali assideat, quam reuereri debueratis, insopitis oculis lustrantem omnia vel in penitissimis recessib. haud secus ac in luce clarissima. talium crudelitas, opinor, non abstineret nec à mortuis iniuriam, iugulatura hos quoque, iuxta vulgare prouerbium: quando quidem partibus quodammodo præmortuis non verentur illudere. oculi enim dum non vident sunt mortui, sicut aures dum non audiunt. itaque si post cladem membrorum suorũ etiam totus homo toleretur è medio, ne tum quidem ad miserationem moueretur istorum immanitas: adeò alieni sunt ab omnibus humanitatis affectibus, quos etiã infesissimis hostibus nonnũquam exhibemus post obitum. Verum de his hactenus. Deinceps autẽ contexũt alia præcepta similia, de nõ miscẽdis coitu iumentis diuersi generis, de nõ facienda semente inter vineas ob reportandum fructũ duplicẽ, de nõ induenda veste improbo artificio contexta è duab. diuersis materijs. quorũ primum opponitur adulteris, quo magis intelligatur non esse insidiandum alienis thalamis, nec vitiandos mores mulierum, nec corrumpendam spem posteritatis procreandæ legitime. qui enim bruta saliri non

A τῆς ὁδοῦ διαμαρτάνειν, καὶ τὰς βάσεις βλάπτεσθαι. τοῖς δὲ τῶν τοιούτων εὑρεταῖς καὶ ζηλωταῖς ἐπανατείνεται τὸν ἐκ τοῦ θεοῦ φόβον ὁ νόμος, εἰκότως καὶ προσηκόντως, ἐπειδὴ μόνος ἐστὶν ὁ χεῖρα ὑπερέχει, καὶ προασπίζει τῶν αὐτοῖς βοηθεῖν ἀδυνατούντων, καὶ μονονοὐκ ἄντικρυς φησὶ τοῖς ἀδικοπραγοῦσι τοὺς πεπληρωμένους, ὦ κενοὶ φρενῶν, λήσεσθαι νομίζετε γέλωτα ἡγούμενοι τὰς ἐκείνων συμφοράς, καὶ εἰς ταῦτ᾽ ἐξαμαρτάνοντες, περὶ ἃ συμβέβηκεν ἀτυχεῖν αὐτοῖς, ὦτα μὲν διὰ κακηγοριῶν, B ὀφθαλμοὺς δὲ διὰ τῶν ἐν ποσὶν ὀλισθῶν; ὃν δὲ πάντων ἔφορον καὶ ἐπίσκοπον θεὸν οὐδέποτε λήσεσθε, κακοπραγίαις ἀθλίων ἀνθρώπων ἐπεμβαίνοντες, ὡς τὰς ὁμοίας κῆρας οὐκ ἐνδεξάμενοι σώματα μὲν πάσαις ἁλωτὰ νόσοις ἐπιφέροντες, αἰσθήσεις δ᾽ ἐπικήρως ἐχούσας, ἃς μικρᾶς ἕνεκα καὶ τῆς τυχούσης προφάσεως οὐκ ἀμαυροῦσθαι μόνον, ἀλλὰ καὶ ἀνιάτοις ὑπομένουσι πηρώσεις. τοὺς οὕτω ἐπιλελησμένους μὲν ἑαυτῶν, ἐπικυδεστέρους δ᾽ οἰομένους εἶναι τῆς φυσικῆς ἀνθρώπων C ἀσθενείας, ἐκπεφευγέναι δὲ τὰς ἀδήλους καὶ ἀτεκμάρτους οὔσας τῆς τύχης ἐπιβουλάς, ἣ πολλάκις αἰφνιδίους σκηπτοὺς ἐπέρριψε, καὶ εὐπλοίᾳ βίου χρωμένοις μονονοὐκ ἐν αὐτοῖς λιμέσιν εὐδαιμονίας κατέλυσε, τί δεῖ μεγαλαυχεῖν καὶ ἐπεμβαίνειν συμφοραῖς ἑτέρων, μηδὲ τὴν πάρεδρον δίκην ἡγεμόνα αἰδουμένους, ἣν θέμις ἀκοιμήτοις καὶ ὀξυωπεστάτοις ὄμμασι καὶ τὰ ἐν μυχοῖς ὡς ἐν ἡλίῳ καθαρῷ περιαθρεῖν· οὗτοί μοι δοκοῦσι μηδὲ τῶν τετελευτηκότων D ἀποσχέσθαι, δι᾽ ὑπερβολὴν ὠμότητος· ἀλλὰ τὸ λεγόμενον δὴ τοῦτο παρὰ πολλοῖς, μὴ ἂν ὀκνῆσαι νεκροὺς ἐπισφάττειν· ἐπεὶ καὶ μέρεσι τοῖς τρόπον τινὰ προτεθνηκόσιν ἐναλλέσθαι καὶ ἐνυβρίζειν ἀξιοῦσιν· ὀφθαλμοί τε γὰρ μὴ βλέποντες νεκροί, καὶ ὦτα μὴ ἀκούοντα· ὥστ᾽ εἰ καὶ οὐ μέρη ταῦτ᾽ ἐστὶν ἐξ ἀνθρώπων ἀφανισθείη, τὸ ἀνηλεὲς καὶ ἀσύμβατον ἐπιδείξονται, μηδὲν ἀνθρώπινον καὶ συμπαθὲς δράσοντες, ἃ τετελευτηκόσι καὶ πρὸς ἐχθρῶν ἐν ἀκηρύκτοις πολέμοις σώζεται. ταῦτα μὲν ἐπὶ τοσοῦτον· E ἁρμονίαν δέ τινα ἑξῆς τίθησιν ὁμοιοτρόπων παραγγελμάτων, φάσκων τὰ κτήνη μὴ ὀχεύειν ἑτεροζύγοις, τὸν ἀμπελῶνα μὴ κατασπείρειν διφορεῖν, ἱμάτια ἐκ δυοῖν ὑφασμένα, κίβδηλον ἔργον, μὴ ἀμπέχεσθαι. λέλεκται δὲ τὸ μὲν πρῶτον ἐν τοῖς κατὰ μοιχῶν, πρὸς ἔμφασιν σαφεστέραν τοῦ μὴ δεῖν ἀλλοτρίοις γάμοις ἐφεδρεύειν, φθείραντας μὲν ἤθη γυναικῶν, φθείραντας δὲ καὶ τὰς ἐπὶ τεκνώσει σπορᾶς γνησίων χρηστὰς ἐλπίδας. ὁ γὰρ τὰς ἐν ἀλό-

γοις ζῴοις ἑτερογενῶν ὀχείας ἀπηγορευκώς, ἔοικε πόρρωθεν ἀνακοπὴν μοιχῶν ἀπεργάσασθαι. λεκτέον δὲ καὶ νῦν ἐν τοῖς περὶ δικαιοσύνης. τὸ γὰρ αὐτὸ πλείοσιν ἐφαρμόττειν εἰ δύναιτό πως, οὐ παραιτητέον. ἔστιν οὖν δίκαιον, εἰς ταὐτὸν ἄγειν τὰ δυνάμενα κοινωνεῖν· τὰ δ᾽ ὁμογενῆ πέφυκεν εἰς κοινωνίαν, ἐπεὶ καὶ ὅσα ἑτερογενῆ κατὰ τοὐναντίον ἄμικτα καὶ ἀκοινώνητα, οἷς ὁ μηχανώμενος ἐκθέσμους ὁμιλίας, ἄδικος, νόμον φύσεως ἀναιρῶν· ὁ δ᾽ ὄντως ἱερὸς νόμος τοσαύτῃ προμηθείᾳ κέχρηται τοῦ δικαίου, ὥστ᾽ οὐδ᾽ ἄροτον γῆς ἐπιτρέπει ποιεῖσθαι διὰ τῶν τὴν ἰσχὺν ἀνίσων, ἀλλ᾽ ἐν ταὐτῷ καταζεύξαντας ὄνον τε καὶ μόσχον ἀροτριᾶν ἐκώλυσεν, ἵνα μὴ περιεστὴ δυνάμει τοῦ ἐρρωμένου μᾶλλον τὸ ἀσθενέστερον ἁμιλλᾶσθαι βιασθέν, ἀπείπῃ καὶ προκάμῃ. καίτοι τὸ μὲν ἐρρωμενέστερον ὁ ταῦρος ἐν τῇ τάξει τῶν καθαρῶν ζῴων ἀναγέγραπται· τὸ δ᾽ ἀσθενέστερον ὄνος, ἐν τῇ τῶν μὴ καθαρῶν. ἀλλ᾽ ὅμως καὶ τοῖς χείροσιν εἶναι δοκοῦσιν οὐκ ἐφθόνησεν ὠφελείας τῆς ἀπὸ τοῦ δικαίου, πρὸς ἀναγκαιοτάτην μάθησιν, ὥστ᾽ οἶμαι, δικαστῶν, ἵνα μηδὲν ἐν ταῖς κρίσεσιν ἐλαττῶσι τοὺς δυσγενεῖς, ἐν οἷς οὐ γένους, ἀλλ᾽ ἀρετῆς ἢ κακίας ἐστὶν ἐξέτασις. ἐμφερὲς τούτοις ἐστὶ διάταγμα καὶ τὸ τελευταῖον τὸ ἐν τῇ συζυγίᾳ, τὸ μὴ συνυφαίνειν τὰς ἑτεροειδεῖς οὐσίας, ἔρεια καὶ λινᾶ. καὶ γὰρ ἐπὶ τούτων οὐ μόνον ἡ διαφορότης ἀκοινώνητον, ἀλλὰ καὶ ἡ ἐπικράτεια θατέρου ῥῆξιν ἀπεργασομένου μᾶλλον ἢ ἕνωσιν, ὅταν δέῃ χρῆσθαι. μέσον δὲ τῆς ἐν τῇ συζυγίᾳ τετράδος, τὸ μὴ κατασπείρειν ἀμπελῶνα διάφορον· πρῶτον μὲν, ἵνα μὴ φύρηται συμφυόμενα τοῖς γένεσιν ὄντα ἑτέρου. σπαρτὰ γὰρ δένδροις, καὶ δένδρα σπαρτοῖς ἀνοίκεια· παρ᾽ ὃ καὶ ἡ φύσις οὐχὶ τὴν αὐτὴν προθεσμίαν ἀμφοτέροις ὥρισεν εἰς τὴν τῶν ἐτησίων καρπῶν γένεσιν, ἀλλὰ τοῖς μὲν εἰς ἄμητον ὥραν ἀπένειμε τὸ ἔαρ· τοῖς δ᾽ εἰς συγκομιδὴν ἀκροδρύων, λῆγον θέρος. συμβαίνει γοῦν κατὰ τὸν αὐτὸν χρόνον, τὰ μὲν ἀφαναίνεσθαι προεξανθήσαντα. τὰ δὲ βλαστάνειν προαφαυανθέντα. χειμῶνι μὲν γὰρ φυλλορροούντων δένδρων, τὰ σπαρτὰ ἀνθεῖ· ἔαρι δὲ κατὰ τοὐναντίον αὐαινομένων ὅσα σπαρτά, βλαστάνουσιν αἱ δένδρων ἡμέρων τε καὶ ἀγρίων ὗλαι· καὶ σχεδὸν ὁ αὐτὸς ὅρος ἐστὶν ἐν ᾧ οἱ μὲν τῶν σπαρτῶν καρποὶ τελειοῦνται, οἱ δὲ τῶν δένδρων ἀρχὴν γενέσεως λαμβάνουσιν. εἰκότως οὖν τὰ τοσοῦτον ἀλλήλων ἀπηρτημένα καὶ τῇ φύσει καὶ τῇ αὐξήσει καὶ τοῖς εἰς τὸ γεννᾶν τὰ οἰκεῖα καιροῖς, διέζευξε, καὶ διῴκισε τάξιν ἐξ ἀταξίας εἰσηγούμενος. τάξει μὲν γὰρ τὸ συγγενές,

A vult à diuersæ speciei admissariis, quanto magis mœchos è sua ciuitate reiiciet? Huc pertinet etiam quod de iusticia disseruimus, quandoquidem nihil vetat eadem alibi repetere, modo conueniant. Est igitur iustum ea coniungere, quæ societatis sunt capacia. sunt autem ad societatem nata quæcunque cadunt sub eandem speciem: sicut diuersorum generum nulla est consociatio, quę si quis miscet coitu nefario, ius naturæ quantum est in se tollit è
B medio. proinde sacra lex hic quoque rationem habet iusticiæ, adeò vt ne arationem quidem fieri permittat iumentis imparibus robore, vetans sub idem iugum agi iuuencum & asinum, ne forte dum contendit cum robustiore infirmior, lassus succumbat operi & in labore deficiat, & tamen taurus qui est validior, censetur inter pura animalia, sicut inter impura asinus infirmior. nihilominus vel
C deterioribus in speciem, non inuidetur ius suum, vt discant (opinor) iudices inter iudicandū obscuro loco natos non contemnere, quando non generis examen agitur, sed virtutis aut vitij. Huic mandato simile est illud vltimū, de non texenda vna tela è duabus materiis, lana linóq; hęc enim non solum propter diuersas species male conueniunt, verum etiam quia non est par eorum firmitas, vt sic in vsum recepta facilius rūpantur quā
D contexta fuerant. his duobus præceptis medium est interpositū de non facienda semente in vinea. primum ne hoc modo confundantur diuersa genera. segetes enim & arbústa nihil habent simile. ideo natura quoque non eosdem vtrisque præfixit terminos prouectus annui: sed messibus ver, æstatis autem extremum comportandis arboreis fructibus. itaq; fit vt eodem tēpore illæ flauescant quæ prius viruerant, arbores vero germinent
E squalore deposito. per hiemem enim arboribus fronde nudatis virent segetes, vere autem redeunte arescunt, quando germinant mites siluestrésque arbores. atque ita ferè circa eundem terminum cereales fructus maturescunt, & arborei se exerunt. merito igitur tam distantes res natura, germinatione, maturitatéque legislator coniūgi vetuit, vt omnia disponeret ordine. nam ordo affert ornatū,

A quem adimit confusio. Alia vero huius legis causa est, ne altera species lædatur ab altera, dum sibijnuicem alimenta subtrahunt, & humor in multas stirpes absumptus languidiores eas facit præ inopia, aut in totum steriles, aut fructum degenerem. Est & tertia ratio, ne bonus ager prematur onere grauissimo, vexatus vel serentium plantantiumque operis in orbem redeuntibus, vel duplicata ferocitate fructuum. Satis
B enim est si Dominus è suo prædio tributum vnum exigat annuum, sicut rex è sua ditione. qui vero plura tributa conatur imponere subditis, non facit officium boni principis, sed auari & pugnantis cum naturæ legibus. quapropter quicumque colonus nimis ad rem attētus inter arbusta seminat, potest obiurgari his verbis legislatoris: Cur sæuior es regib. ciuitates regionesque debellantibus? Illi prospicientes futuro tempori suis parcunt
C prouincialibus, contenti vno tributo annuo, ne subiectos redigant cito ad extremam inopiam. Vos autem cum ex eodem fundo colligatis in vere hordeum atque triticum, in æstate fructus arboreos, duplici eum tributo grauatum opprimitis. fieri non potest quin exhaustus deficiat, quemadmodum athleta cui respirare non datur ac vires colligere vt certamen redintegret. Videmini prorsus obliti vtilitatis publicæ, alioqui si meminissetis præcepti
D prodìti de anno septimo, quo iussi agros vt sacratos interquiescere, immunes ab operibus rusticis, in gratiam laborum exantlatorum per continuum sexennium, & annorum prouentuum iuxta præscriptos à natura terminos temporum: nihil contra receptum morem tentaretis ob auaritiam, nouas culturas comminiscendo, faciendo
E sementem inter arbusta & vineas: vt gemino reditu iniquo vtroque quotannis augeretis rem domesticam, auare colligentes pecuniam istis vestris vastis cupiditatibus. certe non est eiusdē hominis, cassationem immunitatemque septimo quoque anno suis prædijs concedere, vt quies hæc ea reficiat, & duplicibus eadem grauare premereque onerib. proinde necesse habui execrari vt impuros huiusmodi redi-

A κόσμος· ἀταξία δὲ, τὸ ἄκοσμον· δεύτερον δὲ, ἵνα μὴ ἑκάτερα τὰ εἴδη βλάπτηταί τι καὶ ἀντιβλάπτῃ, τὰ ἕτερα τὴν ἑτέρων τὴν τροφὴν ἀφαιρούμενα, ἧς κατακερματιζομένης οἷα ἐν λιμῷ καὶ ἀπορίᾳ ἀναγκαίων, τὰ φυτὰ πάντα διὰ πάντων ἐξασθενήσει, ἢ στείρωσιν ἐνδείξεται πρὸς τὸ παντελὲς ἀφορήσαντα, ἢ νόθους καρποὺς ἐνδώσει οἷον ἐξασθενήσαντα ταῖς ἐνδείαις. τρίτον δὲ, ὅπως ἀρετῶσα γῆ μὴ πιέζηται βαρυτάτοις ἄχθεσι, τοῦτο μὲν ὑπὸ τῆς τῶν σπειρομένων ἐν ταὐτῷ
B καὶ φυτευομένων συνεχοῦς καὶ ἐπαλλήλου πυκνότητος· τοῦτο δ᾽ ὑπὸ τῆς τῶν καρπῶν διπλασιαζομένης φορᾶς. ἀπόχρη γὰρ χρεῖον λαμβάνειν ἕνα δασμὸν ἐτήσιον τῷ κεκτημένῳ, καθάπερ ἐκ πόλεως βασιλεῖ· ὁ δὲ φόρους ἐπιχειρῶν πλείους ἐκλέγειν, φιλοχρηματίας ὑπερβαλλούσης ἐστὶν ἔργον, ἢ καὶ τὰ φύσεως αἰσχρῶς παρανομεῖν· διὸ φαίη ἂν ὁ νόμος τοῖς ἐγκατασπείρουσι τὸν ἀμπελῶνα ἕνεκα πλεονεξίας κατασπείρειν, μὴ χείρους γίνεσθε
C τῶν ὅπλοις καὶ στρατιαῖς πόλεις καὶ χώρας ὑπηγμένων βασιλέων, οἳ προνοίᾳ τοῦ μέλλοντος καὶ ἅμα φειδοῖ τῶν ὑπηκόων, ἕνα δασμὸν ἐτήσιον ἐκλέγειν ἀξιοῦσι, στοχαζόμενοι τοῦ μὴ βραχεῖ χρόνῳ κατὰ τὸ παντελὲς εἰς ἐσχάτην ἀπορίαν αὐτοὺς ἀγαγεῖν· ὑμεῖς δὲ ἐκ τοῦ αὐτοῦ ἐδάφους ἔαρι μὲν τῶν κριθῶν καὶ πυρῶν φορὰς εἰσπράττετε, θέρει δὲ τοὺς τῶν ἀκροδρύων, διπλασίοις αὐτὸ δασμοῖς ἐκτραχηλίζετε· ἀπαγορεύσει γὰρ κατὰ τὸ εἰκὸς, ἀθλητοῦ τρόπον οὐκ ἐωμένου διαπνεῖν καὶ
D συλλέγεσθαι δύναμιν εἰς ἑτέρας ἀγωνίας ἀφορμήν. ἀλλ᾽ ἐοίκατε ῥᾳδίως τῶν διατεταγμένων κοινωφελῶν ἐκλελῆσθαι. εἰ γοῦν ἐμέμνησθε τῆς περὶ τοῦ ἑβδόμου ἔτους εἰσηγήσεως, καθ᾽ ἣν ἐδικαιώσα τὴν ἱερὰν χώραν ἐξανίεσθαι, μηδενὶ τῶν κατὰ γεωργίαν ἔργων ἐπιτετευγμένην, ἕνεκα τῶν ἐν ἑξαετίᾳ πόνων, οὓς ὑπέστη καρποφοροῦσα τοῖς ἐτησίοις ὥραις, κατὰ τοὺς φύσεως θεσμοὺς, οὐκ ἂν ἐπικαινούμενοι καὶ ἐπιχειρονομοῦντες τῆς πλεο-
E νεξίαις, καινοὺς ὅρους ἐπινοεῖτε, τὴν δενδρῖτιν γῆν καὶ μάλιστα τὴν ἀμπελόφυτον κατασπείροντες, ἵνα διπλαῖς προσόδοις καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀμφοτέραις ἀδίκοις, αὔξητε τὰς οὐσίας, ὑπὸ φιλοχρηματίας ἐκνόμοις ἐπιθυμίαις ἀργυρολογοῦντες. οὐ γὰρ ἂν ὑπέμεινεν ὁ αὐτὸς, ἐπειγ᾽ ἑβδόμῳ τὴν οἰκείαν χώραν ἀνίεσθαι μὴ προσοδευόμενος, ὑπὲρ τοῦ τὴν γῆν ἀνακτήσασθαι πονηθεῖσαν, καὶ βαρύνειν αὐτὴν καὶ πιέζειν διπλοῖς ἄχθεσιν. ἀναγκαίως οὖν ἀπεφηνάμην τὸν τοιοῦτον κλημάτων ἀνίερον εἶναι καὶ ἄναγνον,

καὶ ἀνάγκαιον, τὸ, τι τῆς ὀπώρας γέννημα, καὶ τὸν τοῦ σπόρου καρπόν, διότι αὐχενίζεται τρόπον τινὰ καὶ ἄγχεται πνεῦμα ζωοφυτικὸν ἐν ἀρετώσῃ γῇ, καὶ ὅτι τὸν τοῦ θεοῦ δωρεαῖς ὁ κεκτημένος ἐναλύει καὶ ἐνσπαθᾷ, προσαναρρηγνὺς τὰς ἀδίκους ἐπιθυμίας αὐτοῦ, μέχρις αὐτὰς μὴ προσορίζων· ἆρ' οὐκ ἄξιον ἐρασθῆναι τοιούτων ὑφηγήσεων, αἳ μακρόθεν τὴν ἐπ' ἀνθρώποις πλεονεξίαν ἀνείργουσι καὶ ἀνακόπτουσιν; ὁ γὰρ ἀπομαθὼν ἐν φυτοῖς ἰδιώτης κέρδος ἄδικον, εἰ λαβόμενος μειζόνων πραγμάτων γένοιτο βασιλεύς, χρήσεται πρὸς ἄνδρας ὁμοῦ καὶ γυναῖκας τῷ ἔθει, οὐ διπλοῦς φόρους ἀναπράττων, οὐδὲ δασμοῖς τοὺς ὑπηκόους ἐκτραχηλίζων. ἱκανὸν γὰρ τὸ συντροφὸν ἔθος, μαλάξαι σκληρὰ ἤθη, καὶ τρόπον τινὰ παιδαγωγῆσαι καὶ διαπλάσαι πρὸς βελτίονας τύπους· τύποι δ' ἀμείνους εἰσὶν οὓς ἐνσφραγίζεται ψυχῇ δικαιοσύνη. ταῦτα μὲν καὶ ἑνὶ ἑκάστῳ νομοθετεῖ· καθολικώτεραι δὲ προστάξεις εἰσὶν ἕτεραι, αἷς ἅπαντι τῷ ἔθνει κοινῇ διαγορεύει, παραινῶν ὡς προσοιστέον οὐ φίλοις καὶ συμμάχοις αὐτὸ μόνον, ἀλλὰ καὶ τοῖς τῆς συμμαχίας ἀφισταμένοις. Ἐὰν γάρ, φησίν, εἴσω τειχέων κατακλεισάμενοι αὐτοὺς ἀπαυχενίζωσιν, ἡ ὑμετέρα νεότης ἐνοπλοδοσα μετὰ τῆς εἰς πόλεμον παρασκευῆς ἐπίτω, καὶ στρατόπεδον ἐν κύκλῳ βαλομένη, καραδοκείτω, μηδὲν ὀργῇ πρὸ λογισμοῦ χαριζομένη, βεβαιότερον ὅπως καὶ σταθερώτερον ἐγχειρῇ τοῖς πρακτέοις. εὐθὺς οὖν πεμπέτω κήρυκας τοὺς προσκαλεσομένους εἰς συμβάσεις, καὶ ἅμα τὸ ἀξιόμαχον τῆς παρεϊδρυμένης δυνάμεως δηλώσοντας· καὶ ἐὰν μὲν ἐφ' οἷς ἐνεωτέρισαν μετανοήσαντες ὑπείκωσι πρὸς τὸ εἰρηναῖον ὁποιονοῦν ἀσπαζόμενοι, δεχέσθωσαν ἄσμενοι τὰς σπονδάς. εἰρήνη γὰρ κἂν ἡ σφόδρα ἐπιζήμιος, λυσιτελεστέρα πολέμου. ἐὰν δὲ πρὸς ἀπόνοιαν ἀποτείνωνται θρασυνόμενοι, ῥωσθέντες εὐτολμίᾳ, ἔχοντες καὶ τὴν τοῦ δικαίου συμμαχίαν ἀήττητον, ἐφορμάτωσαν τὰς ἑλεπόλεις τοῖς τείχεσιν ἐφιστάντες, εἶτα μέρη τούτων παραρρήξαντες, ἐπιχειρείτωσαν ἀθρόοι καὶ βάλλοντες μὲν τοῖς δορατίοις εὐσκόπως, ἐπιστροφάδην δὲ τοῖς ξίφεσιν ἀναιροῦντες, ἀφειδῶς ἀμυνέσθωσαν, ἃ παθεῖν ἔμελλον διαπράττοντες, ἄχρις ἂν τὴν ἀντιτεταγμένην ἅπασαν στρατιὰν ἡβηδὸν καταστορέσωσιν· ἄργυρον καὶ χρυσόν, καὶ τὴν ἄλλην λείαν λαβόντες. καὶ τὴν πόλιν ἐμπρησάτωσαν πῦρ προσαγαγόντες, ἕνεκα τοῦ μηδ' αὖθις ποτε δυνηθῆναι τὴν αὐτὴν πόλιν ἐγερθῆναι καὶ στασιάσαι, καὶ ὑπὲρ τοῦ νουθετῆσαι φόβῳ τοὺς ὁμόρους,

A tus, siue autumni fructus sint siue fruges æstiuæ: quandoquidem hoc pacto vim genitalem terræ velut obtorto collo cogitis seruire vestræ auariciæ, & diuinæ beneficentiæ illuditis, nullum modum finémve imponentes luxui. Ergo non complectemur talia monita, quæ procul homines arcent ab auaricia, retundendo eam acriter? nam si priuatus ciuis discat iniqua lucra è suis arbustis con- B temnere, idem ad principatum euectus viros æque ac mulieres tractabit more solito, nec tributa exigens duplicia, nec vectigalibus ciues opprimens. consuetudo enim inolita ingenium eius mite lenéque faciet, & tanquam pædogogus formabit in melius. hoc est meliorem notam iustitiæ in animum illius imprimet. Hæc sunt quæ præcipit lex singulis ciuibus. sunt & alia quæ genti vniuersæ imperat, C commonens quomodo se gerere debeat non solum erga socios amicósque, verum etiam erga eos qui desciuerunt à fœderibus. Si receperint se intra munitiones violato fœdere, iuuentus vestra expeditionem suscipiat armis instructa & apparatu cætero, obsessisque hostibus oppugnationem differat, ne quid per iracundiam aggrediatur temere. oportet enim ante omnia per feciales inuitari eos ad renouanda D fœdera, simulque ostentari copias gerendo bello idoneas. tum si pœnitentia defectionis admiserint pacem quibuscunque conditionibus, recipiantur libenter in amicitiam. pax enim quantumuis iniqua, bello præferenda est quod si obstinati perstiterint in eadem insolentia, nostri quoque forti animo rem gerant, inuictæ iusticiæ freti auxilijs, admoueantque machinas muris hostilibus, E & demoliti partem, eorum, irrumpant strenue conferto agmine, telis feriendo eminus & gladijs cominus cædendo ad satietatem, inferendoque cladem quam accepturi fuerant, donec stratis internecione hostibus, victores auro argentoque potiantur & præda cætera. tum verò vrbem quoque deleant incédio, ne denuo belli sedes fiat nouis hostib. & vt exéplo eius terreãtur finitimi,

quando hominum ingenium ex alienis calamitatibus solet discere modestiam. à virginibus autem & mulieribus abstineatur iniuria, quandoquidem ab his nihil est periculi, quas immunes à militia natura esse voluit. Vnde liquet Iudæorum gentem sociam & amicam esse omnibus pacem amantibus: non contemnendam tamen, vt cui satis animorum sit ad repellendam iniuriam, si quis vltro velit lacessere. discernit autem in bello, qui se infestent, qui non. nam cædibus sæuire in immeritos aut leuiter noxios, immanis est ferociæ, & iisdem cladibus mulieres cum viris inuoluere, quarum vita pacata intra priuatos parietes se continet. Tantus porrò amor iusticiæ ex institutis domesticis concipitur, vt ne agros quidem hostiles vastare liceat, & arbusta cædere ad fructuum interitum. Videtur enim lex dicere: Heus tu, cur inanimis stirpibus infensus es, mitibus & mites fructus ferentibus? num aliquam significationem odij præ se ferunt arbores, vt aut læsus, aut ne lædaris veritus, eas eradices? imò prosunt victoribus præbendo rerum copiam, vel victui necessariarum vel deliciis. non à solis enim tributa exiguntur hominibus, sed vtiliora etiam quotannis ab arboribus, sine quibus non datur viuere. siluestrem autem & sterilem materiam licet cuiuis cædere ad vallum & munitiones, aut si opus fuerit, ad parandas scalas turrésque ligneas. ad ista enim & similia vsus earum est præcipuus. Hæc sunt quæ ad iusticiam attinent, quam nullus poëta, nullus scriptor satis laudauerit: tanta est eius excellentia. nam vt reliqua eius bona sileantur, vnum hoc omni laude maius est, quod ipsa omnes creaturas conciliat. Est enim æqualitas, vt naturæ scrutatores asserunt, mater iusticiæ. est autem æqualitas lumen clarissimum, sol (vt ita dicam) facticius: sicut ediuerso inæqualitas, tum in defectu, tum in nimietate, fons & origo caliginis. At æqualitas omnia vel in cælo vel in terra bene disposuit iure humano diuinóque immobili. Quis enim nescit, solem demetiri æquabiliter dierum noctiúmque vices & spacia certis proportionibus? siquidem

A ἐπειδὴ τοῖς ἑτέρων πάθεσιν ἄνθρωποι διδάσκονται
σωφρονεῖν. παρθένοι δὲ καὶ γυναῖκες μεθείσθωσαν,
μηδὲν τῶν ὅσα νεωτερίζει ὁ πόλεμος ἐξ αὐτῶν πεί-
σεσθαι προσδοκῶντες, ἕνεκα φυσικῆς ἀσθενείας τε-
τιμημένων ἀστρατείας. ἐξ οὗ δῆλον ὅτι τὸ Ἰουδαίων
ἔθνος, ἔνσπονδον μὲν καὶ φίλον πᾶσι τοῖς ὁμογνώμοσι
καὶ τὴν προαίρεσιν εἰρηνικοῖς, ἐστὶν οὐ μὴν εὐκα-
ταφρόνητον, ὡς τοῖς ἄρχουσι χειρῶν ἀδίκων ὑπ'
ἀνανδρείας ἐνδιδόναι. διακρίνει δὴ ὁπότε πρὸς
B ἄμυναν ἴοι, τοὺς ἐπιβούλους ζῶντας, καὶ τοὐναντίον.
τὸ γὰρ κατὰ πάντων καὶ τῶν ἐλάχιστα ἢ μηδὲν ἡμαρτη-
κότων φονᾶν, ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς, καὶ
τὸ προσθήκην ἀνδρῶν πόλεμον κατασκευασάν-
των ποιεῖσθαι γυναῖκας, ὧν ὁ βίος εἰρηνικὸς φύσει
καὶ κατοικίδιος. τοσοῦτον δὴ ἔρωτα δικαιοσύνης
ἐνεργάζεται τοῖς καθ' αὐτὸν πολιτευομένοις, ὡς οὐ-
δὲ πόλεως ἐχθρᾶς τὴν ἀρετῶσαν γῆν ἐφίησι λυ-
μαίνεσθαι δηοῦντας, ἢ δενδροτομοῦντας ἐπὶ φθορᾷ
C καρπῶν. τί γὰρ φησὶ τοῖς ἀψύχοις μὲν, τὴν δὲ φύσιν
ἡμέροις καὶ ἡμέρους καρποὺς ἀπογεννῶσι μνησι-
κακεῖς. μὴ γὰρ ὦ οὗτος, ἀνθρώπου πολεμίου δια-
θέσιν ἐπιδείκνυται δένδρον, ὡς αὐθ' ὧν διατίθη-
σιν, ἢ διατιθέναι παρεσκεύασται, ῥίζαις αὐταῖς ἀ-
νασπᾶσθαι; τοὐναντίον δὴ ὠφελεῖ παρέχον τοῖς νενι-
κηκόσιν ἀφθονίαν τῶν ἀναγκαίων, καὶ τῶν πρὸς ἀ-
βροδίαιτον βίον. οὐ γὰρ ἄνθρωποι μόνον δασμὸν
φέρουσι τοῖς κυρίοις, ἀλλὰ καὶ φυτὰ τοὺς ὠφελι-
μωτέρους κατὰ τὰς ἐτησίους ὥρας ὧν ἄνευ, ζῆν
οὐκ ἔστιν. ἀγόνων δὲ καὶ ἐστειρωμένων, καὶ ὅσα τῆς ἀγρίας
D ὕλης, ἔστω μηδεμία φειδὼ τοῖς ἐθέλουσι τέμνειν εἰς
χαρακώματα καὶ σταυροὺς καὶ σκόλοπας καὶ τά-
φρους, καὶ ὁπότε δέοι, κλιμάκων καὶ πύργων ξυλίνων
κατασκευάς. εἰς γὰρ ταῦτα καὶ τὰ τούτοις ὅμοια γέ-
νοιτ' ἂν αὐτοῖς χρεία προσήκουσα. τὰ μὲν οὖν εἰς
δικαιοσύνην ἀναφερόμενα εἴρηται· δικαιοσύνην
δὲ αὐτὴν τίς ἂν ποιητὴς ἢ λογογράφος ὑμνῆσαι
δύναιτο, παντὸς ἐπαίνου καὶ παντὸς ἐγκωμίου κρείτ-
τονα καθεστῶσαν. ἓν γοῦν τὸ πρεσβύτατον ἀγαθὸν
E αὐτῆς, ἡ εὐγένεια, κἂν τἄλλα τις παραλιπὼν ἡσυ-
χάζῃ, γένοιτ' ἂν αὐταρκέστατος ἔπαινος. ἔστι γὰρ ἰσό-
της, ὡς οἱ τὰ φύσεως ἀκριβοῦντες ἡμῖν παρέδοσαν,
μήτηρ δικαιοσύνης· ἰσότης δὲ, φῶς ἄσκιον, ἥλιος, εἰ
δεῖ τἀληθὲς εἰπεῖν, νοητός, ἐπειδὴ καὶ τοὐναντίον ἀνι-
σότης, ἐν ᾧ τό, τε ὑπερέχον, καὶ τὸ ὑπερεχόμενον,
σκότους ἀρχή τε καὶ πηγή. πάντα ἰσότης τά τε κατ'
οὐρανὸν καὶ τὰ ἐπὶ γῆς εὖ διετάξατο νόμοις καὶ θεσμοῖς
ἀκινήτοις. τίς γὰρ ἀγνοεῖ τοῦθ', ὅτι ἡλίῳ μεμέτρηνται
πρὸς νύκτας ἡμέραι, καὶ πρὸς ἡμέρας νύκτες, ἰσότητι

διαστημάτων ἀναλογούντων. τὰς μὲν καθ' ἕκαστον ἐνιαυτὸν ἀπὸ τοῦ συμβεβηκότος προσαγορευομένας ἰσημερίας, ἐαρινήν τε καὶ μετοπωρινήν, οὕτως ἡ φύσις ἐνεφάνισεν, ὡς καὶ τοὺς ἀμουσοτάτους αἰσθάνεσθαι τῆς ἐν τοῖς μεγέθεσιν ἡμερῶν πρὸς νύκτας ἰσότητος. τί δ', αἱ σελήνης περίοδοι διαυλοδρομούσης, καὶ ἀπὸ συνόδου μέχρι πανσελήνου, καὶ ἀπὸ τελείας ἐπὶ σύνοδον, ἆρ' οὐ διαστημάτων ἰσότητι μεμέτρηνται; καθ' ὅσα γὰρ καὶ ἡλίκα αἱ συναυξήσεις, κατὰ τοσαῦτα αἱ μειώσεις ἐπ' ἀμφοτέραις ἰδέαις τοῦ ποσοῦ, τῇ τε κατὰ πλῆθος, καὶ τῇ κατὰ μέγεθος. ὥσγε μὴν ἐν τῷ καθαρωτάτῳ τῆς οὐσίας οὐρανῷ διαφερόντως ἰσότης τετίμηται, οὕτω καὶ ἐν τῷ γείτονι ἀέρι. τετραχῇ γὰρ τοῦ ἐνιαυτοῦ διανεμηθέντος, εἰς τὰς ἐπικαλουμένας ἐτησίους ὥρας τρέπεσθαι καὶ μεταβάλλειν ὁ ἀὴρ πέφυκεν, ἐν ταῖς τροπαῖς καὶ μεταβολαῖς ἄλεκτον ἐπιδεικνύμενος ἐν ἀταξίᾳ τάξιν. ἰσαρίθμοις γὰρ μησὶ διακρινόμενος, εἴς τε χειμῶνα καὶ ἔαρ, θέρος τε καὶ μετόπωρον, τρισὶν εἰς ἑκάστην ὥραν ἐκπληροῖ τὸν ἐνιαυτόν, καθάπερ αὐτὸ μηνύει τοὔνομα. αὐτὸς γὰρ ἐν αὐτῷ περιέχει πάντα συμπεραιούμενος, ἑτέρως οὐκ ἂν τοῦτ' ἐργάσασθαι δυνηθεὶς, εἰ μὴ ταῖς ἐτησίοις ὥραις αὐτὸν ἐπέχρησεν. ἰσότης ἀπὸ τῶν οὐρανίων καὶ μεταρσίων καὶ πρὸς τὰ περίγεια τέτακται, τὴν μὲν ἀκραιφνῆ φύσιν ἑαυτῆς, αἰθέρος οὖσαν ἀδιάστατον, ἄνω μετέωρον διαφέρουσα· τὴν δ' ὥσπερ αὐγὴν ἡλίου τρόπον ἀποστέλλουσα δεύτερον φέγγος. ὅσα γὰρ πλημμελῆ τῶν παρ' ἡμῖν, ἀνισότης, ὅσα δὲ τάξιν ἔχει τὴν προσήκουσαν, ἰσότης ἀπειργάσατο, ἥτις ἐν μὲν τῇ τοῦ παντὸς οὐσίᾳ κυριώτατα φάναι, κόσμος ἐστὶν· ἐν δ' ἄστεσιν ἡ εὐνομωτάτη καὶ πολιτειῶν ἀρίστη δημοκρατία· ἐν δ' αὖ σώμασιν ὑγεία, καὶ ἐν ψυχαῖς καλοκαγαθία. καὶ γὰρ τὸ ἄνισον ἔμπαλιν νόσων καὶ κακιῶν αἴτιον. ἐπιλείψει καὶ τὸν μακροβιώτατον χρόνος, εἰ πάντας ἐθελήσειε τοὺς ἐπαίνους ἰσότητος καὶ δικαιοσύνης τῆς ἐκγόνου διεξιέναι· περὶ ὃ μοι δοκεῖ βέλτιον εἶναι τοῖς λεχθεῖσιν ἀρκεσθέντα, τοῦ διαμνημονεῦσαι χάριν τὴν τῶν φιλεπιστημόνων μνήμην, τὰ λοιπὰ ἐν ταῖς ἐκείνων ἀναγράψαι ψυχαῖς παγκάλως ἐνιδρυθέντα, ἱεροπρεπεστάτῳ χωρίῳ θεῖα ἀγάλματα.

A quotannis recurrentia quæ ex re vocantur æquinoctia, vernum autumnaléque, natura tam manifeste signauit, vt vel indoctissimi sentiant, quantitate dies pares fieri noctibus. Quid lunæ cursus recursúsque, à coniunctione vsque plenilunium, & inde rursus vsque coitum & interlunium, nónne paribus dimetiuntur spaciis? nam siue crescat, siue decrescat, vtrumque fit numeris dierum æqualibus, & augmentis detrimentísque parilibus. B adeò in cælo quoque purissimo eximius honor habetur æqualitati, sicut & in vicino eius aëre. Cum enim quadrifariam annus sit diuisus in horas quas vocant, aër mutari solet naturaliter his vicissitudinibus, ineffabilem ostendens in hac ipsa permutatione ordinem. nam in totidem menses hiems, ver, æstas, autumnus distribuitur, trinos videlicet, atque ita expletur annus solidus: quem ideo Græci ἐνιαυτὸν nominant, quia in C se recurrit sua per vestigia, in se complectens omnia, quod aliàs fieri non poterat, nisi adiuuaretur horarum dictis vicibus. Eadem æqualitas à cælestibus extendit se ad terrestria, pro suo vigore natiuo, cum sitætherea natura prædita, & illic ex propinquo cuncta disponens sublimia, & deorsum more solis mittens secundos radios. Quicquid enim apud nos peccat est inæqualitas: quicquid non decedit ab officio, æqualitatis opus est: D quam in rerum vniuersitate proprie mundum dicere licet: in ciuitatibus optimam & maxime legitimam reipublicæ speciem democratiam, siue popularem administrationem: in corporibus sanitatem, virtutem in animis. nam è diuerso inæqualitas morborum ac vitiorum causa est. Ætas quantumuis longa me deficeret, si vellem percensere omnes laudes æqualitatis, & ex ea natæ iustitiæ: ideo satius iudico iam dictis contentum esse, E & ad excitandam studiosorum memoriam, reliquas illarum imagines consecrare in ipsorum animis.

ΠΕΡΙ ΑΝΔΡΙΑΣ.

PHILONIS IVDÆI, DE FORTITVDINE.

DE iusticia & his quæ ei coniuncta sunt locutus quantum visum est esse cõmodum, transeo deinceps ad fortitudinẽ, non illam vulgarem armis martiis sæuientem rabiem, sed aliam, quæ sapientiam non iram in consilium adhibeat. quidam enim elati audacia, fretíque robore corporis, in acie muniti armatura ferrea, post magnas strages hostium editas, claram quidem, at non propriam laudem rei bene gestæ referunt, appellati gloriosi victores plebeio iudicio, cum sint immanes belluæ, aucta per diuturnam meditationem genuina ferocia sitientes humanum sanguinem. alij verò domi manentes, corpore affecto morbis aut senectutis molestiis, sed meliore sui parte animo iuueniles ac validi, magnanimitate pleni atque fiducia, ferrum ne in somnis quidem tractare soliti, bonis consiliis sæpe iuuerunt rem & priuatam & publicam in summo salutis discrimine, constanter sequendo vtilia vel amicis vel patriæ. hi sunt qui exercent se in vera fortitudine, meditatores sapientiæ. penes alteros est solum nomen fortitudinis, imperitiæ morbo immedicabili obnoxios, quos aptius audaces quàm fortes dixeris: sicut adulterini nummi referunt nonnihil veram principis effigiem. nec desunt & alia in vita toleratu difficilia confessione omnium, paupertas, obscuritas, defectus integritatis sensuum membrorúmque, & morborum species multifariæ, quibus succumbunt pusillanimes, ita vt non possint se contrà erigere. Sed quicunque generoso animo ad certamen sese expediunt, fortiter contemnunt minas istas &

A ΠΕΡΙ δικαιοσύνης καὶ τῶν κατ' αὐτὴν ὅσα καίρια πρότερον εἰπών, μέτειμι τὸ ἑξῆς ἐπ' ἀνδρείαν, οὐχ ἣν οἱ πολλοὶ νομίζουσι τὴν πολεμικὴν λύτταν, ὀργῇ συμβούλῳ χρωμένην, ἀλλὰ τὴν ἐπιστήμην. θρασεῖς μὲν γὰρ ἐπηρμένοι τινές, συμπαραληφθείσης σωματικῆς ἰσχύος, παραταχθέντες κατὰ πόλεμον ἐν ταῖς πανοπλίαις ἤνεγκον μυρίους ὅσους ἀνελόντες τῶν ἀντιπάλων, ἀνοίκειον μὲν,
B εὔφημον δὲ ἀριστείας ὄνομα καρπωσάμενοι διαφερόντως ὑπὸ τῶν τὰ τοιαῦτα κρινόντων, εὐκλεεῖς νίκην νομισθέντες, ἄγριοι καὶ θηριώδεις ἐκ φύσεως καὶ μελέτης γεγονότες, αἵματος ἀνθρωπίνου δεδιψηκότες· εἰσὶ δὲ οἳ καὶ ἐν οἰκίᾳ διατρίβοντες, τῶν σωμάτων αὐχμοῖς ἢ μακροῖς νόσοις, ἢ ἐπιπόνῳ γήρᾳ κατεσκελετευμένων, ὑγιαίνοντες καὶ νεάζοντες τῷ κρείττονι μέρει τῆς ψυχῆς, μεστοί τε φρονήματος καὶ θαρραλεωτάτης γέμοντες εὐτολμίας, ἀμύητοι ὅπλων μηδ' ὄναρ ψαύοντες,
C βουλευμάτων ἀγαθῶν κοινωφελεστάταις εἰσηγήσεσιν, τά τε ἴδια ἑκάστων καὶ τὰ κοινὰ τῶν πατρίδων πεσόντα πολλάκις ἀνώρθωσαν, ἀνενδότοις καὶ ἀκαμπέσι χρώμενοι τοῖς περὶ τοῦ συμφέροντος λογισμοῖς. οὗτοι μὲν οὖν τὴν ἀληθῆ διαπονοῦσιν ἀνδρείαν, ἀσκηταὶ σοφίας ὄντες· ἐκεῖνοι δὲ τὴν ψευδώνυμον, ἀμαθίᾳ νόσῳ δυσθεραπεύτῳ βεβιωκότες, ἣν θρασύτητα κυρίως ἄν τις προσαγορεύσειεν· ὥσπερ φασὶν ἐν τοῖς νομίσμασι τὸ παράσημον, ἐμφέρειαν τῆς ἀληθοῦς εἰκόνος.
D οὐκ ὀλίγα μέντοι καὶ ἄλλα δυσυπομόνητα, τὸν κατὰ τὸν ἀνθρώπινον βίον ὁμολογῆται, πενία καὶ ἀδοξία, καὶ πήρωσις, καὶ νόσων ἰδέαι πολύτροποι, πρὸς ἃς οἱ μὲν ὀλιγόφρονες μαλακίζονται, μηδ' ὅσον ὑπ' ἀτολμίας ἐγερθῆναι δυνάμενοι· ὅσοι δὲ φρονήσεως ὑπόπλεοι καὶ γενναιότατοι, ἐπαποδύονται καρτερῶς, καὶ σφόδρα ἐρρωμένως, ἀντιφιλονεικοῦντες, τὰς ἀπειλὰς καὶ ἐπιθωματίους αὐτῶν

πολλὴν γέλωτα καὶ χλεύην τιθέμενοι. πενίᾳ μὲν πλοῦτον ἀντιτάττοντες, οὐ τὸν τυφλόν, ἀλλὰ τὸν ὀξὺ καθορῶντα, οὗ τὰ ἀγάλματα καὶ κειμήλια ψυχὴ πέφυκε ταμιεύειν. μυρίοι γὰρ πενίᾳ κατεπάλαισαν, οἷ τρόπον ἀθλητῶν ἀπειρηκότων, ὑπ' ἀνανδρίας κατέπεσον μαλακισθέντες. οὐδεὶς δὲ παρ' ἀλήθειαν δικάζουσι πένης οὐδὲ εἷς ἐστί, χορηγὸν ἔχων τὸν τῆς φύσεως ἀκαθαίρετον πλοῦτον, ἀέρα μὲν, τὴν πρώτην καὶ ἀναγκαιοτάτην καὶ συνεχῆ τροφήν, ἀδιαστάτως μεθ' ἡμέραν τε καὶ νύκτωρ ἀναπνεόμενον· ἔπειτα δὲ, πηγὰς ἀφθόνους καὶ ποταμούς, οὐ χειμάρρους μόνον, ἀλλὰ καὶ αὐθιγενῶν ῥεῖθρα ἀέναα πρὸς ποτοῦ χρῆσιν· ἔπειτα εἰς ἐδωδὴν, φορὰς παντοίων καρπῶν καὶ δένδρων ἰδέας, αἳ τὰς ἐτησίους ὀπώρας ἀεὶ φέρουσι· τούτων γὰρ ἄπορος οὐδείς· ἀλλὰ πάντες οἱ πανταχοῦ πολλὴν ἔχουσι περιουσίαν. εἰ δέ τινες τὸν τῆς φύσεως πλοῦτον παρ' οὐδὲν θέμενοι, τὸν τῆς κενῆς δόξης διώκουσι, τυφλῷ παρὰ βλέποντος σκηριπτόμενοι, καὶ ἡγεμόνι τῆς ὁδοῦ χρώμενοι πεπηρωμένῳ, πίπτειν ἐξ ἀνάγκης ὀφείλουσιν. ὁ μὲν δὴ σώματος δορυφόρος πλοῦτος, φύσεως εὕρεμα καὶ δῶρον ὤν, ἤδη λέλεκται· τὸν δὲ σεμνότερον, οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀληθῶς σεμνοῖς καὶ θεσπεσίοις ἀνδράσι προσιόντα, μηνυτέον. τοῦτον τὸν πλοῦτον σοφία χορηγεῖ διὰ λογικῶν καὶ ἠθικῶν καὶ φυσικῶν δογμάτων καὶ θεωρημάτων, ἐξ ὧν φύονται αἱ ἀρεταὶ συμβεβήκασιν, αἳ τῆς ψυχῆς ἀποτέμνονται τὴν πολυτέλειαν, εὐκολίας καὶ ὀλιγοδείας ἔρωτας ἐντίκτουσαι, κατὰ τὴν πρὸς θεὸν ἐξομοίωσιν. ἔστι γὰρ ὁ μὲν θεὸς ἀνεπιδεής, οὐδενὸς χρῄζων, ἀλλ' αὐτὸς αὐταρκέστατος ἑαυτῷ· ὁ δὲ φαῦλος πολυτελής, ἀεὶ διψῶν τῶν ἀπόντων, ἀπλήστου καὶ ἀκορέστου χάριν ἐπιθυμίας, ἣν πυρὸς τρόπον ἀναρριπίζων, ἐπὶ πάντα καὶ μικρὰ καὶ μεγάλα τείνει· ὁ δὲ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος, τὸ μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητόν, τὸ δὲ μὴ πολυτελὲς διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας. οὕτω μὲν πενίᾳ πλοῦτον ἀντιτέθεικεν, ἀδοξίᾳ δὲ εὔκλειαν. ὁ γὰρ ἔπαινος ὁρμητήριον ἔχων καλοκἀγαθίαν, ὥσπερ ἀπ' ἀενάου πηγῆς ἐκχεῖται ῥέων, ἀνεξετάστων ἀνθρώπων οὐκ ὁμιλεῖ πλήθει, τὰς τῆς ψυχῆς ἀνωμαλίας ἀβεβαίοις φωναῖς ἀπογυμνοῦν εἰωθότων, ἃς ἔστιν ὅτε λημμάτων αἰσχρῶν ἐπιπλωνίζοντες οὐκ ἐρυθριῶσιν. ὀλίγος δὲ τούτων ἀριθμός ἐστιν. ἀρετὴ γὰρ οὐ πολύχους ἐν θνητῷ γένει. πηρώσει γε μὴν αἰσθήσεων, αἷς ζῶντες ἔτι μυρίοι προαπέθανον, πρὸς μηδὲ ἀλεξίκακον

A terricula: opponúntque paupertati opulentiam, non illam cæcam, sed aliam perspicacem, quæ mundum suum recondere solet in animo. multi enim paupertati succubuerunt, tanquam ignaui athletæ, propter infirmitatem animi. cæterum vero iudicio nemo egenus videtur qui contentus est naturæ diuitijs numquam deficientibus: primum aere quo indesinenter alitur, respirans noctu & interdiu, deinde largis fontibus amnibúsque B tàm torrentibus quàm perennibus sponte potum copiosum subministrantibus: item arboribus varios fructus ad cibum quotannis porrigentibus. nam hi certe desunt nemini, sed passim omnibus præsto est magna eorum abundantia. quod si qui contemptis naturæ diuitijs sectantur istas quam vulgus falso sic nominat, malunt sequi cæcum ducem quàm videntem, & infirmo baculo innixi vitare non possunt quin procidant. C Dixi quas opes corpori suggerat naturæ munificentia: dicam & alias augustiores, quæ non omnibus contingunt, sed solis diuinis viris & vere venerabilibus. Eas opes sapientia porrigit per rationales, morales, naturales contemplationes atque dogmata, ex quibus virtutes proueniunt, quæ luxum ejiciunt ex animo, & frugalitatis amorem excitant, ad quandam Dei similitudinem. nam & Deus nulla re indiget, sibijpse sufficiens. D at malus vir requirit plurima, semper quæ desunt appetens, propter cupiditatem insatiabilem, quam ipse quasi ignem fouens, ad parua æque atque magna lucra contendit. contrà bonus paucis contentus, in naturæ mortalis immortalisque situs collimitio, corpus quidem habet egestati obnoxium, animum verò diuitem, aspirantem ad immortalitatem. atque ita paupertati opulentia opponitur, obscurati verò gloria. E laus enim, cum à virtute proficiscatur, velut à fonte perenni, non moratur vulgi suffragia, animorum inconstantiam aperientis incertis vocibus, quas nonnunquam largitionibus corruptum perfricta fronte venditat. itaque horum vilis est existimatio. Virtus enim non late inter mortales diffunditur. defectui verò sensuum in multis viuis præmorientium, cum aliud remedium non inueniatur,

obijcit se prudentia res præcellentissima, illustrans mentis oculos, incomparabiliter acutiores quàm istos corporeos. nam hi superficiem contemplantur rerum visibilium, adiuti externo lumine. illa intimos etiam sinus penetrat, tota quanta sunt corpora diligenter considerans, & insuper naturas incorporeas, quas sensus speculari non potest. nam ferè totam perspicacitatem oculorum intelligit, non indiga lucis ascititiæ, cum ipsa sidus quoddam sit, instar illorum cælestium. proinde morbi corporis tantisper dum anima sana permanet, non lædunt admodum. est autem animæ sanitas, bona constitutio potentiarum eius, irritabilis, concupitiuæ, rationalisque, ita vt rationalis cæteris præpolleat, & vtramque velut effrenes equos cohibeat. huius sanitatis proprium nomen est sobrietas, Græce σωφροσύνη, quòd conseruet prudentiam, & eam nostri partem qua sapimus. Curat enim ne perturbationibus tanquam fluctibus pulsata oppugnatáque pessum eat, sustentans eam attollénsque, & quodammodo animans immortalémque faciens. hæc autem omnia quo pacto fieri oporteat, multis in locis docemur sacris legibus, ingenia docilia lenius admonentibus, contumaces verò grauius obiurgantibus: vt contemnant res externas ac corporis, & vnicum scopum sibi proponant, vitam cum virtute agendam, cætera tanti faciant, quantum conducunt ad hoc propositum. Et nisi disseruissem in præcedentibus scriptis de singulis quæ conferunt ad modestiam, prolixius nunc agerem, contexens & in vnum contrahens præcepta passim super hac re prodita: sed quia tunc dictum est quantum licuit pro tempore, non libet eadem repetere. si quem non pigebit superiores libros legere, inueniet quicquid dictum est de modestia, posse accommodari ad fortitudinem: quoniam constantis, firmi generosique animi est, despicere cuncta quæ fastus suspicit, sinceræ vitæ corruptor. Tanta porrò contentione lex studet exercere confirmaréque animos ad fortitudinem, vt & de vestimentis qualibus vtendum sit præcipiat, diserte interdicens ne vir sumat muliebria, ne vel vmbra aut vestigium effœminationis sexui masculo

A ἀθρόᾳ δυνάμει φαρμάκων, ἀντικαθίσταται φρόνησις ἡ κρατιστεύουσα τῶν ἐν ἡμῖν, ἐνομματοῦσα διάνοιαν, ἣ πρὸς ὀξυωπίαν τῶν σώματος ὀφθαλμῶν, ὅλῳ φασὶ καὶ παντὶ διενήνοχεν. οἱ μὲν γὰρ τὰς ἐπιφανείας τῶν ὁρατῶν καταθεῶνται ἅμα, δεόμενοι φωτὸς ἔξωθεν. ἡ δὲ καὶ διὰ βάθους χωρεῖ τῶν σωμάτων, ὅλα δι' ὅλων καὶ καθ' ἕκαστα τῶν μερῶν ἀκριβοῦσα καὶ περιαθροῦσα, καὶ τὰς τῶν ἀσωμάτων φύσεις, ἃς ἐπισκοπεῖν αἴσθησις ἀδυνατεῖ. σχεδὸν γὰρ ἅπασαν ὀξυωπίαν ὀφθαλμοῦ καταλαμβάνει, μὴ προσδεομένη νόθου φωτός, ἀστὴρ οὖσα αὐτή, καὶ σχεδόν τι τῶν ἐπουρανίων ἀπεικόνισμα καὶ
B μίμημα. νόσοι γε μὴν σωμάτων ὑγιαινούσης ψυχῆς, ἥκιστα βλάπτουσιν. ὑγεία δὲ ψυχῆς, εὐκρασία δυνάμεών ἐστι τῆς τε κατὰ τὸν θυμὸν, καὶ τὴν ἐπιθυμίαν, καὶ τὸν λόγον, ἐπικρατούσης τῆς λογικῆς, καὶ ὥσπερ ἀφηνιαστὰς ἵπποις ἡνιοχούσης ἑκατέρας. ὄνομα ταύτης ἴδιον τῆς ὑγείας ἐστὶ σωφροσύνη, σωτηρίαν τοῦ φρονοῦντος τῶν ἐν ἡμῖν ἀπεργαζομένη. κινδυνεῦον γὰρ αὐτὸ πολλάκις ὑπὸ τῆς τῶν παθῶν φορᾶς
C κατακλύζεσθαι, βρύχιον οὐκ ἐᾷ χωρεῖν, ἀλλ' ἀνέλκει, καὶ μετέωρον ἐξαίρει ψυχοῦσα καὶ ζωογονοῦσα, καὶ τρόπον τινὰ ἀπαθανατίζουσα. πάντων δὲ τῶν εἰρημένων ὑφηγήσεις εἰσὶ καὶ διδασκαλίαι πολλαχοῦ τῆς νομοθεσίας ἐστηλιτευμέναι, τοὺς μὲν εὐπειθεῖς μαλακώτερον ἀναπείθουσαι, τοὺς δ' ἀπειθεστέρους ἐμβριθέστερον καταφρονεῖν τῶν περὶ τὸ σῶμα καὶ ἐκτός, ἓν μὲν τέλος ἡγουμένους
D τὸν κατ' ἀρετὴν βίον, ζηλοῦντας δὲ καὶ τἄλλα ὅσα ἀγωγὰ πρὸς τοῦτον. καὶ εἰ μὲν διὰ τῶν προτέρων ἐτύγχανον ἕκαστα διεξεληλυθὼς τῶν εἰς ἀτυφίαν, ἐπειρώμην ἂν ἀπομηκύνειν ἐν τῷ παρόντι, συνυφαίνων καὶ συνείρων τὰ δοκοῦντα σποράδην κεῖσθαι ἐν τόποις διαφέρουσιν· εἰρηκὼς δ' ὅσα δίδωσιν ὁ καιρός, παλιλλογεῖν οὐ δικαιῶ· τοὺς μέντοι μὴ ἀποκνοῦντας, ἀλλὰ διὰ σπουδῆς ποιουμένους ἐντυγχάνειν τοῖς περὶ τούτων βί-
E βλοις, ἐξὸν νοῆσαι ὅτι πάντα τὰ περὶ ἀτυφίας λεχθέντα σχεδόν ἐστι περὶ ἀνδρείας· ἐπειδὴ τὸ εὔτονον καὶ γενναῖον καὶ σφόδρα νενευρωμένης ψυχῆς ἐστί, καταφρονητικῶς πάντων ὅσα τῦφος εἴωθε σεμνοποιεῖν, ἐπὶ διαφθορᾷ τοῦ πρὸς ἀλήθειαν βίου. τοσαύτη δέ τις ἐστὶ τῷ νόμῳ σπουδὴ καὶ φιλοτιμία περὶ τοῦ γυμνάσαι καὶ συγκροτῆσαι ψυχὴν πρὸς ἀνδρείαν, ὥστε καὶ περὶ ἐσθημάτων ὁποῖα χρὴ ἀμπέχεσθαι, διετάξατο, ἀπειπὼν ἀνὰ κράτος ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν, ἕνεκα τοῦ μηδὲ ἴχνος ἢ σκιὰν αὐτὸ μόνον τοῦ θήλεος

ἐπὶ λύμῃ τοῦ ἄρρενος γένους προσάπτεσθαι. βούλεται γὰρ ὁ νόμος ἀεὶ τῇ φύσει τὰ οἰκεῖα καὶ συνῳδὰ ἀλλήλοις ἄγειν τὴν ἑκατέρων, καὶ δι' εὐτελεστέρων ἀφανεστέρων εἶναι δοκούντων νομοθετεῖν. ἐπειδὴ γὰρ τύποις σωμάτων ἑώρα καθάπερ ἐπὶ πλάτεις χαραχθέντας ἀνομοίους ἀνδρός τε αὖ καὶ γυναικός, καὶ βίον ἑκατέρῳ τῶν εἰδῶν οὐ τὸν αὐτὸν ἀπονεμηθέντα· τῇ μὲν γὰρ ὁ κατοικίδιος, τῷ δ' ὁ πολιτικὸς προσκεκλήρωται· καὶ τοῖς ἄλλοις ὅσα μὴ φύσεως μὲν ἔργα ἦν, φύσει δ' ἀκόλουθα γνώμης ἀγαθῆς εὑρέματα, συμφέρειν ἔκρινε διατάξασθαι. ταῦτα δ' ἦν τὰ περὶ δίαιταν καὶ ἀμπεχόνην, καὶ εἴ τι ὁμοιότροπον. ἠρρενῶσθαι γὰρ τόν γε πρὸς ἀλήθειαν ἄνδρα κἂν τούτοις ἠξίωσε, καὶ μάλιστα ἐν ἐσθήσεσιν, ἃς ἐπιφερόμενος μεθ' ἡμέραν τε καὶ νύκτωρ, ὀφείλει μηδὲν ἔχειν ἀνανδρίας ὑπόμνημα. κατὰ ταυτὰ μέντοι καὶ τὴν γυναῖκα ἀσκήσας τοῖς ἁρμόττουσι κόσμοις, ἐκώλυσεν ἀναλαμβάνειν ἀνδρὸς ἐσθῆτα, πόρρωθεν ὡς ἀνδρογύνους, οὕτω καὶ γυναικίας φυλαξάμενος. ἑνὸς γὰρ καθάπερ ἐν ταῖς οἰκοδομίαις ὑφαιρεθέντος, ἤδη καὶ τἄλλα μένουσιν οὐκ ἐν ὁμοίῳ. ἐπεὶ τοίνυν τῶν ἀνθρωπείων πραγμάτων δυσὶ καιροῖς ἐμφερομένων, εἰρήνῃ τε καὶ πολέμῳ, τὰς ἀρετὰς ἔστιν ἰδεῖν ἐν ἀμφοτέροις ἐξεταζομένας. περὶ μὲν οὖν τῶν ἄλλων λέλεκται πρότερον, καὶ αὖθις εἰ γένοιτό τις χρεία, λεχθήσεται· τὰ δὲ νῦν οὐ παρέργως ἐξεταστέον ἀνδρείαν, ἧς τὰ μὲν κατ' εἰρήνην ἔργα πολλαχοῦ τῆς νομοθεσίας ὕμνησεν, ἀεὶ τῶν καιρῶν στοχαζόμενος, περὶ ὧν ἐν τοῖς οἰκείοις τόποις ὑπεμνήσαμεν· τὴν δὲ κατὰ πόλεμον, ἐνθένδε ποιησόμεθα τὴν ἀρχήν, ἐκεῖνο προειπόντες, ὅταν ποιῆται τὸν στρατιωτικὸν κατάλογον, οὐχ ἅπασαν τὴν νεότητα καλεῖν οἴεται δεῖν, ἀλλ' ἔστιν οὓς παραιτεῖται, προστιθεὶς αἰτίας εὐλόγους, τῆς στρατείας· αὐτίκα τοὺς κατεπληχότας καὶ δειλούς, μελλήσοντας ὑπὸ τῆς ἐμφύτου μαλακίας ἁλίσκεσθαι, καὶ δέος τοῖς ἄλλοις συμμάχοις ἐμποιεῖν· τὸ γὰρ ἑτέρου κακόν, εὖ πως ὁ πλησίον ἀναμάττεσθαι φιλεῖ, καὶ μάλιστα ἐν πολέμῳ, τοῦ λογισμοῦ διὰ τὴν ἀγωνίαν συγκεχυμένου, καὶ τὰς τῶν πραγμάτων ἀντιλήψεις ἀκριβοῦν ἀδυνατοῦντος. τότε γὰρ εὐλάβειαν μὲν τὴν δειλίαν, τὸ δὲ φοβεῖσθαι προμηθές, ἀσφάλειαν δὲ τὴν ἀνανδρίαν εἰώθασι καλεῖν. αἴσχιστα ἔργα εὐπρεπέσι καὶ σεμνοῖς κλήσεσιν ἐπαμπίσχοντες. ὅπως οὖν μὴ τὰ μὲν οἰκεῖα βλάπτηται διὰ τὴν τῶν εἰς τὸν πόλεμον ἰόντων ἀνανδρίαν, ἐπικυδέστερα δὲ γίνηται τὰ τῶν ἐχθρῶν, αἰσχρῶν καταφρονητικῶς τοὺς ἀγεννεῖς, ὄχλον ἀργὸν

A inurat aliquam maculam. semper enim naturam sequendo obseruat quid deceat etiam in rebus minimis, quæ infra curam legislatoris videri poterant. cum enim animaduerteret difformia esse virorum mulierúmque corpora, & vtrisque sua esse officia: alteris attributam curam rei domesticæ, alteris publicæ, & ab ipsa natura non ad eadem factos negocia, oportereque bonam mentem sequi naturæ instituta, vtile iu-
B dicauit de his quoque rebus decernere, scilicet de victu amictúque & huiusmodi cæteris. voluit enim virum etiam in his se vt virum decet gerere, præsertim in vestitu: quem cum die noctúque circumferat, talis esse debet vt eum semper decori honestatísque admoneat. sic & mulierem ornans pro dignitate, vetat virilem vestem sumere, longe submouens
C tum effœminatos viros, tum plus æquo viriles fœminas. Nam si vnum aliquid mutaueris, ne cætera quidem pristinam formam retinent, vt licet in ædificiis cernere. Præterea cum res hominum duobus spectentur temporibus, pacis belli que, suas quodque virtutes requirit. Verum de alijs dictum est alibi, & rursum posthac dicetur, si opus fuerit. nunc non obiter disquirendum videtur de fortitudi-
D ne, cuius etiam in pace opera legislator laudauit sæpenumero, prout opportunum fuit, de quibus suo loco mentionem fecimus. itaque aggrediemur dicere quantum in bello valeat, illud præmonendo: cum habetur delectus militum, non oportere vniuersam iuuentutem euocari; sed esse exceptionem ob causas immunitatis idoneas. Ante omnia non admittendos timidos, ob natiuam pusillanimitatem futu-
E ros sociis exemplo ignauiæ. Facile enim serpit vitiorum contagio, præsertim in tumultibus bellicis, ratione per contentionem turbata, nec satis valente discernere quid tentare debeat. Tunc enim ignaui cautos se vocant, timidi consultos, segnes prouidos, prætexendo vitia turpissima honestis vocabulis. Ne igitur talium militia detrimento, afficiat rempublicam, & prosit partibus hostium, ignauos facile trucidantium,

legislator sciens inertem turbam impedimento esse non adiumento, prohibuit timidos: sicut & ducibus corpore inualidis nemo imponit necessitatem militiæ, quos excusat infirmitas. nam timiditas quoque morbus est, & quidem grauior quàm corporis. alter enim non diu durat: hæc vero coalita ceu membra agnata corpori, à tenera ætate perseuerat vsque ad extremam senectutem, ni Deus remedium attulerit. is enim potest omnia. nec tamen omnes audaces iubentur dare nomina, etiamsi animo corporéque validi cupiant cum primis patriæ nauare operam: sed laudata horum prompta voluntate, & alacritate approbata socijs, examinat dux ne quibus sint obnoxij causis efficacibus ad distrahendos à proposito eorum animos. Edicitur enim vt siquis ædificauit domum, necdum immigrauit in eam: siue plantauit nouellam vineam opera sua, necdum aduenit tempus vindemiæ: siue sponsam habet virginem, necdum celebrauit nuptias: abstineat à militia. humana sane remissio duabus de causis: vna, quoniam incerti sunt casus bellorum, nequis ociosus fruatur alienis laboribus. iniquum enim visum est non permitti è proprijs fructum percipere, & cum alius ædes extruxisset, inhabitare has alium, & ex consitis ab alio vitibus alium vindemiam facere: cumque alius procatus sit, alium nuptam domum ducere: atque ita sua spe frustrari qui aliquid commodi in vita expectauerit. altera vero causa, ne præsentes corpore in exercitu, absint animo. necesse est enim mentem illò tendere, quò desiderio trahitur. nam quemadmodum esurientes sitientésve ad conspectum cibum potúmve accurrunt vt auiditatem expleant: ad eundem modum quicunque vxorem legitimam aut domum aut prædium parauerunt sua industria, sperantque se iamiam potituros eorum commodis, ægreferunt speratum fructum intercipi sibi: vt quamuis versentur inter socios, meliore tamen sui parte absint animo, quo solo res fortiter aut secus geritur. hos igitur & similes in delectu militum prætereundos legislator noster existimat, & asciscendos alios integros ab omnibus perturbationibus, vt expediti liberique sine tergiuersatione

A εἰδὼς οὐκ ὠφέλιμον, ἀλλ' ἐμπόδιον εἰς κατόρθωμα, ἀνεῖρξε τοὺς ἀτόλμους καὶ διαπίπτοντας δειλίᾳ, καθάπερ οἶμαι καὶ τοὺς τὰ σώματα νοσοῦντας στρατηγοῖς οὐδεὶς ἀνάγκην ἐπιτίθησι πολεμεῖν, ὑποπεφραγμένοις ἀσθενείας· νόσος δέ τις καὶ ἡ δειλία βαρυτέρα τῶν κατὰ τὸ σῶμα τὰς ψυχῆς δυνάμεις καθαιροῦσα. τὴν μὲν γὰρ βραχὺ εἶναι συμβαίνει τὸν χρόνον τῆς ἀκμῆς· ἡ δ' ἐστὶ κακὸν σύντροφον, μᾶλλον δ' οὐχ ἧττον τῶν ἡνωμένων μερῶν, προσπεφυκὸς ἐκ πρώτης ἡλικίας ἄχρι πολυ-
B ετοῦς γήρως, εἰ μὴ τύχοι θεὸς ἰώμενος· πάντα γὰρ θεῷ δυνατά. καὶ μὴν οὐδ' ἅπαντας τοὺς εὐτολμοτάτους καλεῖ, κἂν σφόδρα ἐρρωμένοι καθ' ἑκάτερον σῶμα καὶ ψυχὴν, προαγωνίζεσθαι καὶ προκινδυνεύειν ἐθέλωσιν, ἀλλὰ τῆς γνώμης αὐτοὺς ἐπαινέσας, ὅτι κοινωνικὸν καὶ πρόθυμον καὶ ἀκατάπληκτον ἦθος ἐπιδείκνυνται, διερευνᾷ μή τισιν ἀνάγκαις ἐνδέδενται, ὧν ὁλκὸς ἡ δύναμις. Εἰ γάρ τις, φησὶ, νεουργῆ δειμάμενος οἰκίαν, οὐκ ἔφθη εἰ-
C σοικίσασθαι· ἢ ἀμπελῶνα φυτεύσας νεόφυτον, αὐτὸς εἰς γῆν τὰ κλήματα καθεὶς, μήπω τῆς καρπείας καιρὸν ἔχει· ἢ παρθένον ἐγγυησάμενος, οὐκ ἔγημεν, ἀφείσθω πάσης στρατείας· φιλανθρωπίας ὁμοῦ τῷ ἄδειαν ἀνθυπισχόμενος, ἕνεκα δυεῖν· ἑνὸς μὲν, ἵν' ἐπειδὴ κατὰ πολέμους ἄδηλα, μὴ τὰ τῶν πονησάντων ἀταλαιπώρως ἄλλοι λαμβάνωσι. χαλεπὸν γὰρ ἔδοξεν εἶναι τῶν ἰδίων τινὰ μὴ ἀπόνασθαι δυνηθῆναι, ἀλλ' οἰκοδομεῖν μὲν ἕτερον, ἐνοικεῖν δ' ἄλλον· καὶ φυτεύειν μέν τινα, τὸν δὲ μὴ
D φυτεύσαντα καρποῦσθαι· καὶ μνᾶσθαι ἄλλον, γαμεῖν δὲ τὸν μὴ μνώμενον· ὡς οὐ δεῖν ἀτελεῖς τὰς ἐλπίδας κατασκευάζειν τοῖς χρηστὰ τῶν κατὰ τὸν βίον προσδοκήσασιν· ἑτέρου δὲ, ἵνα μὴ σώματι στρατευόμενοι ταῖς ψυχαῖς ὑστερίζωσιν. ἀνάγκη γὰρ αὐτῶν τὴν διάνοιαν ἐκεῖ τετάσθαι, πόθῳ τῆς ἀπολαύσεως ὧν ἀφελκυσθήσονται. ὡς γὰρ οἱ πεινῶντες ἢ διψῶντες ὅταν σιτίον ἢ ποτόν που παραφανῇ διώκουσι καὶ ἐπιτρέχουσιν ἀμεταστρεπτὶ γλιχόμενοι μεταλαβεῖν, οὕτως οἱ περὶ νομίμου γυναικὸς, ἢ οἰ-
E κίας, ἢ χωρίων κτήσεως πονηθέντες, καὶ ὅσον οὔπω τὰς ἐλπίδας νομίζοντες εἰς τὸν ἑκάστου τῆς χρήσεως ἀφῖχθαι καιρὸν, ὅταν ἀφαιρεθῶσι τῆς ἀπολαύσεως, σφαδάζουσιν, ὡς παρόντας μὴ παρεῖναι τῷ κρείττονι μέρει ψυχῆς, δι' οὗ συμβαίνει κατορθοῦν, ἢ τοὐναντίον. τούτους οὖν καὶ τοὺς ὁμοίους οὐκ οἴεται δεῖν εἰς τὸν στρατιωτικὸν ἄγειν κατάλογον, ἀλλ' οἷς οὐδὲν προσεληλυθὸς οἰκουρεῖ πάθος, ὅπως ἐλευθέραις καὶ ἀφέτοις ὁρμαῖς ἀπροφασίστως τοῖς δεινοῖς ἐναποδύωνται.

καθάπερ γὰρ πανοπλίας οὐδὲν ὄφελος ἀσθενεῖ σώματι ἢ λελωβημένῳ, ἣν ἀδυνατοῦν ἀποῤῥίψει· τὸν αὐτὸν τρόπον ἐρρωμένον σῶμα φέρει τῇ καμνούσῃ πάθος ψυχῇ, μὴ συνᾷδον τοῖς προσοῦσιν. εἰς ἅπερ ἀπιδὼν, οὐ μόνον λοχαγοὺς καὶ στρατηγοὺς, καὶ τοὺς ἄλλους τῆς στρατείας ἡγεμόνας, ἀλλὰ καὶ τῶν στρατιωτῶν ἕκαστον ἐπικρίνει, δοκιμάζων πῶς ἔχει πρός τε σώματος εὐεξίαν, καὶ πρὸς εὐστάθειαν λογισμοῦ, σῶμα μὲν ἐξετάζων, εἰ ὁλόκληρον, εἰ ὑγιαῖνον ὅλον δι' ὅλων, εἰ τοῖς μέρεσι καὶ μέλεσι πᾶσιν εὖ ἡρμοσμένον πρὸς τὰς ἐπιβαλλούσας ἑκάστῳ στάσεις τε καὶ κινήσεις· ψυχὴν δὲ, εἰ θαῤῥαλεωτάτη καὶ εὐτολμίας ἀνάπλεως, εἰ ἀκατάπληκτος καὶ μεστὴ φρονήσεως εὐγενοῦς, εἰ φιλότιμος, καὶ ζωῆς ἀδόξου τὸν σὺν εὐκλείᾳ θάνατον προκρίνουσα. τούτων γὰρ ἕκαστον ἰδίᾳ καθ' αὑτὸ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δύναμίς ἐστιν· ἀθρόα δ' εἰ συνέλθοιεν, ῥώμην ἀμήχανόν τινα καὶ δυσανταγώνιστον ἐκ πολλοῦ τοῦ περιόντος ἐπιδείξονται, κρατοῦντες ἀναιμωτὶ τῶν πολεμίων. τῶν δὲ λεχθέντων σαφεστάτην πίστιν αἱ ἱεραὶ βίβλοι περιέχουσιν. ἔθνος πολυανθρωπότατόν ἐστιν Ἄραβες, οἷς ὄνομα παλαιὸν ἦν, Μαδιηναῖοι. οὗτοι πρὸς Ἑβραίους φιλαπεχθημόνως ἔχοντες, οὐδενὸς ἑτέρου μᾶλλον, ἢ ὅτι τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβουσι καὶ τιμῶσι, τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων προσκεκληρωμένοι, καὶ πάσας μὲν μηχανὰς τεχνάζοντες, πάσας δὲ πείρας καθιέντες, ἵν' ἀπὸ τῆς τοῦ ἑνὸς καὶ ὄντος τιμῆς αὐτοὺς ἀποστήσωσι, καὶ μεθαρμόσωνται πρὸς ἀσέβειαν ἐξ ὁσιότητος· οὕτω γὰρ περιέσεσθαι ῥᾳδίως ὑπελάμβανον· ἐπεὶ μυρία καὶ λέγοντες καὶ δρῶντες ἀπειρήκεσαν, ὥσπερ οἱ θανατῶντες ἀπογνόντες σωτηρίας, καί τι τοιοῦτον ἐπινοοῦσι στρατήγημα· γυναικῶν τὰς περικαλλεστάτας μεταπεμψάμενοι, φασὶν αὐταῖς, ὁρᾶτε ὡς ἀπερίληπτόν ἐστιν ἡ τῶν Ἑβραίων πληθύς· τοῦ δὲ πλήθους ἀργαλεώτερόν ἐστιν ἐπιτείχισμα ἡ ὁμόνοια, καὶ συμφωνία τούτων· αἴτιον δὲ τῆς ὁμονοίας τὸ ἀνωτάτω καὶ μέγιστον ἡ περὶ τοῦ ἑνὸς θεοῦ δόξα, ἀφ' ἧς οἷα πηγῆς, ἑνωτικὴ καὶ ἀδιάλυτος φιλία κέχυται πρὸς ἀλλήλους. ἡδονῇ δ' ἁλωτὸν ἄνθρωπος, καὶ μάλιστα συνουσίᾳ τῇ πρὸς γυναῖκα. διαπρεπέσταται δ' ἐστὲ καὶ φύσει μὲν ἀγωγὸν τὸ κάλλος, ἡ δὲ νεότης εἰς ἀκρασίαν εὐόλισθον· ἑταιρήσεως ἢ μοιχείας ὀνόματα μὴ δείσητε, ὡς αἰσχύνην ἐποίσοντα, τὰς ἐκ τοῦ πράγματος ὠφελείας ἀντιθεῖσαι, δι' ἃς τὰς ἐφ' ἡμέραν ἀδοξίας μεθαρμόσεσθε εἰς ἀγήρω καὶ ἀτελεύτητον εὔκλειαν, τὰ μὲν σώματα ὅσα δοκεῖν

A aggrediantur pericula sicut enim armatura solida nihil prodest infirmo aut mutilato corpori, quòd perferri nequeat : sic anima infirma corpus quoque male afficit, & inhabile reddit ad præsens negocium. Eam ob rem non solum tribunos centurionésque, & cæteros ductores ordinum, verum etiam singulos milites inspicit, examinans tum robur corporis tum mentis habitum: B illud num vsquequaque sanum sit & Integrum, absolutum partibus omnibus membrísque agile : hanc vero num audacia plena sit ac fiducia, sui compos & contemptrix terroris : adhæc honoris cupida, & honestam mortem vitæ ignominiosæ præferens. hæc enim vel singula proculdubio valent plurimum : si vero in vnum conueniant, fortitudinem afferunt inexpugnabilem, adeò vt incruenta victoria potiri li- C ceat : quod exemplo euidentissimo docent sacræ literæ. Arabum gens est numerossissima, quos Hebræi prisci Madianæos nominabant. hi cum odio prosequerentur Hebræos, vt deditos cultui summi numinis, & ab ipso in tutelam receptos, omni conatu variisque artibus tentabant eos à vera pietate ad impias superstitiones seducere: quòd non sperarent aliàs consecuturos se de illis victoriam. cúmque parum eis succederet quicquid dicerent aut D facerent, præ desperatione ruentes in pericula tali vsi sunt stratagemate. accitis mulierum formosissimis, sic eas allocuti sunt: Videtis immensam Hebræorum multitudinem, eámque munitam egregie consensu atque concordia. vt autem sint vnanimes, facit communis vnius Dei religio, à qua ceu fonte nascitur indissolubilis amicitia. potest tamen homo voluptate E decipi, præsertim venerea. Vos estis forma venustissima ornatæ, cui natiuæ insunt illecebræ, & iuuentus procliuis est ad incontinentiam. nec vos deterreant scortationis adulteriique nomina, quasi allatura dedecus, cum è diuerso tanta proponatur vtilitas publica, quæ facile præsentem turpitudinem vertet in immortalem gloriam, si hoc astu succedente vestris corporibus redemeritis

de hoste victoriam, animis certe incolumis constabit sua pudicitia, quam in futurum licebit vobis colere. ita hoc bellum conficietur cum peculiari laude mulierum, quod virorum virtute debellari non potuit. Fatemur enim nostrum sexum hostibus imparem, omni apparatu instructioribus, vester sine dubio dabit victoriam, & rem bene geret absque periculo. nam sine cruore, atque adeò citra puluerem, solo aspectu superabitis aduersarios. his auditis fœminæ quæ castitatem ne per somnium quidem cognouerant, & educationem honestam nunquam gustauerant, libenter consenserunt: omissóque ficto castitatis studio, quod paulisper simulâuerant, ornant se pretiosis vestibus monilibúsque ac muliebri mundo cætero, atque ita cultu exquisito natiuam augent pulchritudinem, & magna contentione ad captandam iuuentutem circumuentu facilem in apertum prodeunt. Vbi vero accesserunt propius, aspectibus meretriciis & verborum lenocinio, saltationibus etiam ac lasciuis gestibus, iuuenum partem non contemnendam pelliciunt: pertractísque in stupri societatem animis nulla morum disciplina constabilitis, ad profana quoque sacra eos induxerunt, & libationes nefarias manufactorum numinum, abalienatos à religione veri Dei quem antea pie sanctéque coluerant. quo facto retulissent viris suis lętum expugnati hostis nunciū, ni propitius Deus casum miseratus repręsentasset amentiæ deploratæ supplicium. Erant autē vigintiquatuor millia contacta hoc crimine, ita vt ceu torrente abrepti castigatione seuera tollendi essent è medio, ad metu continendos reliquos in officio. proinde gētis princeps qui pietatem auribus suorum per præcepta plurima inculcauerat, è singulis tribubus millenos delegit fortissimos, sāctitatis dolo malo violatę vindices: vt eos qui sperarent pietatē astu muliebri penitus subuertere, ferirent vltore gladio, quāuis non plures quod dixi deceperant. is exercitus exiguus numero cōtra plurima hostium millia progressus in aciem, virtute ac rei militaris peritia superans, cum singuli cohortis animos gererent, contemptim irruit facto cuneo, stratisque primoribus manipulis simul ac subsidiariis,

A περιελόμεναι, σόφισμα κατ' ἐχθρῶν καὶ στρατήγημα· παρθένους δὲ τὰς ψυχὰς διαφυλάξουσαι, ἧς καὶ τὴν πρὸς τὸ μέλλον ἁγνείαν ἐπιφέρεσθε. καὶ χειρωθήσεται ὁ πόλεμος ἕξει κλέος διὰ γυναικῶν, ἀλλ' οὐ δι' ἀνδρῶν κατορθωθείς. τὸ μὲν γὰρ ἡμέτερον ὁμολογουμένως ἧττον ἐναντίων ὅπλα, διὰ τὸ πᾶσι τοῖς εἰς μάχην πρὸς ἀντιπάλους ἐπικινδυνοτέροις εἶναι· τὸ δ' ὑμέτερον, πολυτελὲς τὴν νίκην καὶ τὸ μέγιστον ἀγαθὸν, τὰς δίχα κινδύνων ἀριστείας. ἀναιμωτὶ γὰρ, μᾶλλον δὲ καὶ ἀκονιτὶ, κατὰ τὴν

B πρώτην φαντασίαν αὐτὸ μόνον ὀφθεῖσαι, περιέσεσθε. ταῦτα ἀκούσασαι καθαρεύειν μηδ' ὄναρ ἠθισμέναι, παιδείας ὀρθῆς ἄγευστοι, συναινοῦσιν, ἅτε πεπλασμένον ἦθος σωφροσύνης τὸν ὀλίγον χρόνον καθυποκρινόμεναι, καὶ πολυτελέσιν ἐσθῆσι καὶ ὅρμοις καὶ οἷς ἄλλοις εἰώθει διακοσμεῖσθαι γυνὴ, πᾶσιν ἀσκηθεῖσαι, καὶ τὸ ἐκ φύσεως κάλλος εὐμορφότερον ταῖς ἐπιμελείαις ἀπεργασάμεναι· τὸ γὰρ ἀγώνισμα οὐ μικρὸν ἦν, θήρα νέων εὐθηράτων· εἰς τοὐμφανὲς προέρχονται, καὶ πλησίον γενόμεναι,

C βλέμμασιν ἑταιρικοῖς, καὶ στωμυλίᾳ λόγων, καὶ ὀρχήσεσι καὶ κινήσεσιν ἀκολάστοις, δελεάζουσι τῆς νεότητος τὴν ὀλιγόφρονα μοῖραν, ἀνερμάτιστα καὶ ἀνίδρυτα ἤθη· καὶ διὰ τῆς τῶν σωμάτων αἰσχύνης ἀδιστρευσάμεναι τὰς ψυχὰς τῶν συνελθόντων, ἐπὶ θυσίας ἀθύτους καὶ σπονδὰς ἀσυμβάτους κελεύουσαι τῶν χειροκμήτων, ἀλλοτριοῦσι δὲ τῆς ἑνὸς καὶ ὄντως ὄντος θεραπείας θεοῦ. τοῦτο διαπραξάμεναι τοῖς ἀνδράσιν εὐαγγελίζονται ἐπισπᾶσθαι τὴν σφόδρα βεβαίαν, εἰ μὴ τοῦ πάθους λαβὼν οἶκ-

D τον ὁ εὐεργέτης καὶ ἵλεως θεὸς, ἀνυπερθέτῳ κολάσει τῶν ἀπονοηθέντων· ἦσαν δὲ τέσσαρες πρὸς ταῖς εἴκοσι χιλιάδες· ὥσπερ ὑπὸ χειμάρρου κατακλυσθεῖσαι κινδυνευούσας, ἀνεχαίτισε φόβῳ νουθετήσας. ὁ δὲ τοῦ ἔθνους ἡγεμὼν τοῖς ὑπὲρ εὐσεβείας δόγμασι καὶ ταῖς ψυχαῖς τῶν ὑπηκόων τούτοις ἐπάδων, ἐκ φυλῆς ἑκάστης χιλίους ἄνδρας ἀριστίνδην ἐπιλέξας κατέλεγε, δίκας ἀναπράξαι τῆς ἐνέδρας, ἣν ἐμηχανήσαντο διὰ τῶν

E γυναικῶν, ἐλπίσαντες μετὰ ἅπασαν τὴν πληθὺν ἄνωθεν ἐξ ἄκρας ὁσιότητος καταβαλόντες διαφθεῖραι, μόνους δὲ τοὺς λεχθέντας διευνηθεῖσαι· εἰ δὲ πρὸς πολλὰς μυριάδας ὀλίγος ἀριθμὸς ἀντιταχθέντες, ἐμπειρίαις ἅμα καὶ εὐτολμίαις χρώμενοι, καθάπερ αὐτός τις ἕκαστος ὅμιλος ὢν, καταφρονητικῶς πυκναῖς ἐπιβρέχοντες τῇ φάλαγγι, καὶ τοὺς ἐν ποσὶν ἀναιροῦντες ἠρέμουν. τὰ βύζην οἴκο ἑστηκότα ξίφη, καὶ ὅσα ἐφέδρευε πρὸς ἀναπλήρωσιν

τῶν κεκινδυνευμένων πράξεων, οἳ καὶ αὐτοβοεὶ πολλὰς μυριάδας καθαιρήσουσι, καὶ μηδένα τῆς ἀντιπαραταχθείσης νεότητος ἀπολιπεῖν· κτείνουσι δὲ καὶ γυναῖκας τὰς συνεπιγραψαμένας ἀνδρῶν γνώμαις ἀνοσίοις, ζωγρήσαντες παρθένους, ἄκακον ἡλικίαν οἰκτισάμενοι, καὶ τοσοῦτον πόλεμον κατορθώσαντες, οὐδένα τῶν ἰδίων ἀπέβαλον· ἀλλ' ὁπόσοι καὶ ὁποῖοι προσῆλθον εἰς τὴν μάχην, ἐπανήεσαν ἀσινεῖς καὶ ὁλόκληροι, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, μετὰ διπλασίονος ῥώμης. ἡ γὰρ ἐκ τοῦ νικῆσαι χαρὰ τῆς προτέρας οὐκ ἐλάττονα τὴν ἰσχὺν ἐχαρίσατο. αἴτιον δὲ οὐδὲν τούτων ἕτερον, ἢ τὸ σπουδάσαι φιλοκινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἄρασθαι, ἐν ᾗ καὶ προαγωνίζεται θεὸς ἀήττητος ἐπικουρία, βουλὰς μὲν ἀγαθὰς ταῖς διανοίαις ὑφηγούμενος, ἀλκὴν δὲ τοῖς σώμασι κραταιοτέραν ἐντιθείς. πίστις δὲ τῆς ἐκ θεοῦ συμμαχίας τό, τε ὑπ' ὀλίγων πολλὰς μυριάδας ἁλῶναι, καὶ τὸ μηδένα μὲν τῶν ἐχθρῶν διαφυγεῖν, μηδένα δὲ τῶν φίλων ἀναιρεθῆναι, μήτ' ἀριθμόν, μήτε σώματος δύναμιν ἐλαττωθῆναι· ὅθεν ἐν τοῖς προτρεπτικοῖς φησίν, Ἐὰν δικαιοσύνην, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύῃς, βίον ἀπόλεμον βιώσῃ, καὶ εἰς ἅπαν εἰρηνικόν. ἢ συστάντος πολέμου, ῥᾳδίως τῶν ἐχθρῶν περικρατήσεις, θεοῦ στρατηγοῦντος ἀοράτως. ᾧ δι' ἐπιμελείας ἐστὶ τοὺς ἀγαθοὺς σώζειν ἀνὰ κράτος. μήτ' οὖν ἐὰν πολλαῖς μυριάσιν ἐπιτρέχωσιν ὁ πεζὸς ὁμοῦ καὶ ἱππότης στρατὸς εὐοπλοῦντες, μήτ' ἐὰν ἐρυμνὰ καὶ ἐπίμαχα προκαταλαμβανόμενοι χωρία τοποκρατῶσι, μήτ' ἐὰν ἀφθόνοις παρασκευαῖς χορηγῶνται, καταπλαγεὶς δείσῃς, κἂν ἀπορῇς ὧν ἄγουσι περιουσίαν ἐκεῖνοι, συμμάχων, ὅπλων, τόπων, εὐχερείας, παρασκευῶν. ἐκεῖνα γάρ, ὥσπερ ὁλκάδα πεπληρωμένην παντοίων ἀγαθῶν πολλάκις ἐπιπεσὼν ἄνεμος ἐξαίφνης ἀνέτρεψε, καὶ κατέλυσε· τοῖς δ' ἀτελέσι καὶ λυπροῖς ὥσπερ ἀστάχυσιν ἤδη μεμυκόσιν ἐξ αὐχμοῦ καὶ ἀνομβρίας, ἐπιψεκάζων καὶ ἐπινίφων ὁ θεὸς τὰς σωτηρίους δυνάμεις, ἐμπαρέχει ἀνεγερθῆναί τε καὶ τελεσφορῆσαι. ἐξ οὗ δῆλον ὅτι αἰεὶ τοῦ δικαίου καὶ ὁσίου περιέχεται. οἷς μὲν γὰρ τὸ θεῖον ἔνσπονδον, ἄκρως εὐδαίμονες, οἷς δ' ἐχθρόν, ἐσχάτως κακοδαίμονες. τοσαῦτα καὶ περὶ ἀνδρείας εἰς τὸ παρὸν ἀποχρώντως λελέχθω.

A ad primum clamorem sublatum cladem ingentem patrauit, & internecione deleuit hostiles copias. denique ne mulieribus quidem pepercit, quæ impio consilio virorum assenserant: solæ virgines seruatæ sunt ætatis innocentis miseratione. Hæc victoria fuit incruentissima, nemine desiderato è socijs, ac ne sauciato quidem, sed cunctis integris in castra reductis ex acie, atque etiam valentioribus quam exiuerant iuxta veram æstimationem, quippe
B quos alacriores victoria reddiderat, conduplicatis eorum viribus. nec alia fuit causa huius felicitatis, quam quòd fortiter pro pietate in certamen descenderant, cuius propugnator & adiutor Deus esse solet, consilia bona suggerens, & robur addens corporibus. liquet enim opem diuinam affuisse, vel quia multo plures à paucis profligati sunt prostratique, vel quia nemine hostium superstite nemo sociorum periit, integris & viribus & numero.
C Quapropter exhortans ad bene viuendum vates sic loquitur: Si iusticiæ cæterisque virtutibus operam dederis, vitam pacatam viues: aut si bellum exoriatur, facile hostes debellabis, Deo clam obeunte imperatoris munia, cui salus bonorum virorum semper cordi est. Ergo siue pedestres equestrésque copiæ cum armis ingruant, siue munitiora loca in potestatem eorum veniant, siue apparatus belli fiat maximus, caue formides, etiamsi minus instructus sis apparatu, sociis, armis, locorum
D opportunitatibus, & commeatibus. illas enim opes, velut nauem onerariam refertam variis mercibus, sæpe repentinus ventus submersit aut allisit. mediocres autem res & tenues, velut spicas iam per squalorem sitimque languidulas, Deus rore pluuiáque salutari demissa excitauit ac reparauit, & ad maturam frugem perduxit. Vnde satis apparet, quod iustis piísque prospicere nunquam desinat. nam quicunque cum Deo fœdus habent &
E amicitiam, hi felicitatis tenent fastigium: sicut è diuerso longe miserrimi sunt, qui sentiunt illum parum propitium. Hactenus & de fortitudine dixisse in præsens sufficiat.

ΠΕΡΙ ΤΩΝ ΔΕΚΑ ΛΟΓΙΩΝ Α ΚΕΦΑΛΑΙΑ ΝΟΜΩΝ ΕΙΣΙ.

PHILONIS IVDÆI, DE DECALOGO QVOD EST IVRIS SVMMARIVM.

VITAS sapientum, A
quos Moses autores nostri generis prodidit, & leges non scriptas, quas sacræ literæ continent, in superioribus libris satis indicauimus: reliquum est vt deinceps leges scriptas speciatim excutiam diligentius, ne penitiore quidem & allegorico earum sensu præterito, propter mentes studiosas parandæ scientiæ, obscura non minus quam aperta inquirere solitas. Si quis igitur quærat, cur non in ciuitatibus, B
sed in vasta solitudine hæ leges perlatæ sunt, respondendum: primùm, quia pleræque ciuitates vix dici potest quam refertæ sint vicijs, siue spectes impietatem erga numen cæleste nefariam, siue mutuas iniurias hominum. nihil enim in his non deprauatur, vbi adulterinæ res pluris fiunt quam legitimæ, & veræ non tantum valent quantum verisimiles, naturam suam tegentes mendacio, & falsis imaginibus illudentes vulgo credulo: vbi etiam fastus insidiosus exoritur adoraturq; à vanis hominibus, stupētibus ad conspectū coronarū aurearū C
& purpureę sellarūq; curulium, quibus impositas celsas potestates dijs ęquas officiosa turba assectarū prosequitur, inuectas quadrigis mulorū equorùmue, interdū etiam lectica gestatas succollantibus hominib⁹ & ipso corporis habitu animū seruitute oppressū ostēdentibus. Is fastus aliorū quoq; multorū malorū est opifex, arrogātiæ, contēptus, impietatis: vnde origo bellorum externorū & ciuilium, dum terra mariq; turbatur, nō publicis rebus nō priuatis in quiete manētibus. & quid opus est de mutuis hominum iniurijs

ΤΟΥΣ βίους τῶν κατὰ Μωϋσέα σοφῶν ἀνδρῶν, οὓς ἀρχηγέτας τοῦ ἡμετέρου ἔθνους, καὶ νόμους ἀγράφους αἱ ἱεραὶ βίβλοι δηλοῦσιν, ἐν ταῖς προτέραις συντάξεσι μεμηνυκώς, κατὰ τὰ ἀκόλουθα ἑξῆς τῶν ἀναγραφέντων νόμων τὰς ἰδέας ἀκριβώσω, μηδ᾽ εἴ τις ὑποφαίνοιτο τρόπος ἀλληγορίας, τοῦτον παρείς, ἕνεκα τῆς πρὸς διάνοιαν φιλομαθοῦς ἐπιστήμης, ᾗ πρὸ τῶν ἐμφανῶν ἔθος τὰ ἀφανῆ ζητεῖν· πρὸς δὲ τοὺς ἀποροῦντας διὰ τί οὐκ ἐν πόλεσιν, ἀλλ᾽ ἐν ἐρήμῳ βαθείᾳ τοὺς νόμους ἐτίθη, λεκτέον· πρῶτον μὲν, ὅτι αἱ πολλαὶ τῶν πόλεων ἀμυθήτων κακῶν εἰσὶ μεσταὶ, καὶ τῶν πρὸς τὸ θεῖον δυσσεβημάτων, καὶ τῶν πρὸς ἀλλήλους ἀδικημάτων. οὐδὲν γάρ ἐστιν ὃ μὴ κεκιβδήλευται, τὰ γνήσια τῶν νόθων παρευημερούντων, καὶ τὰ ἀληθῆ τῶν εἰκότων, ἃ φύσει μὲν καταψεύδεται, πιθανὰς δὲ ὑποβάλλει φαντασίας πρὸς ἀπάτην ἐν πόλεσιν, ὃ καὶ ὁ πάντων ἐπιβουλότατος φύεται τῦφος, ὃν τινὲς τεθήπασι καὶ προσκυνοῦσι, τὰς κενὰς δόξας σεμνοποιοῦντες. διὰ χρυσῶν στεφάνων καὶ ἁλουργίδων, καὶ πλήθους θεραπόντων καὶ ὀχημάτων, ἐφ᾽ ὧν οἱ λεγόμενοι μακάριοι καὶ εὐδαίμονες μετέωροι φέρονται, τοτὲ μὲν ὀρεῖς καὶ ἵππους καταζευγνύντες, τοτὲ δὲ καὶ ἀνθρώπους, οἳ τὰ φορεῖα κατὰ τῶν αὐχένων ἀχθοφοροῦσι, τὴν ψυχὴν πρὸ τοῦ σώματος δι᾽ ὑπερβολὴν ὕβρεως πιεζόμενοι. τῦφος δὲ καὶ πολλῶν ἄλλων κακῶν δημιουργός ἐστιν, ἀλαζονείας, ὑπεροψίας, ἀνοσιότητος· αἳ δὴ εἰσὶν ἀρχαὶ ξενικῶν καὶ ἐμφυλίων πολέμων, οὐδὲν μέρος, οὐ κοινὸν, οὐκ ἴδιον, οὐ κατὰ γῆν, οὐ κατὰ θάλατταν ἡσυχάζειν ἐῶσαι. τί δὲ δεῖ τῶν πρὸς ἀλλήλους ἁμαρτημάτων μεμνῆσθαι;

τύφῳ

τύφῳ γὰρ καὶ τὰ θεῖα ἐξολιγωρεῖται, καίτοι νομιζόμενα τῆς ἀνωτάτω τυγχάνειν τιμῆς· τιμὴ δ᾽ πῶς ἂν γένοιτο, μὴ προσούσης ἀληθείας, ἣ καὶ ὀνόματι καὶ ἔργῳ ἔχει τίμιον· ἐπεὶ καὶ τὸ ψεῦδος ἔμπαλιν ἄτιμον φύσει. ἡ δὲ ὀλιγωρία τῶν θείων, ἐμφανὴς τοῖς ὀξυδερκέστερον ὁρῶσι. μυρίας γὰρ ὅσας διὰ γραφικῆς καὶ πλαστικῆς μορφώσαντες ἰδέας, ἱεροῖς καὶ νεῲς αὐτὰς περιεβάλοντο, καὶ βωμοὺς κατασκευάσαντες ἀγάλμασι καὶ ξοάνοις καὶ τοιούτοις ἀφιδρύμασι τιμὰς ἰσολυμπίους ἀπένειμαν ἅπασιν ἀψύχοις, οὓς ἐπιβόλως αἱ ἱεραὶ γραφαὶ τοῖς ἐκ πόρνης γεγενῆσιν ἀπεικάζουσιν. ὡς γὰρ οὗτοι πάντας ὅσοις ἐρασταῖς ἐχρήσατο ἡ μήτηρ ἐπιγράφονται πατέρας, ἑνὸς ἀγνοίᾳ τοῦ φύσει, οὕτω καὶ οἱ κατὰ πόλεις οὐκ εἰδότες τὸν ὄντως ὄντα ἀληθῆ θεόν, μυρία πλήθη ψευδωνύμων ἐκτεθειώκασιν. εἶτα ἄλλων παρ᾽ ἄλλοις τιμωμένων, ἡ περὶ τοῦ ἀρίστου κρατήσασα διχόνοια, καὶ τὰς περὶ τὰ ἄλλα πάντα φορὰς ἐγέννησεν. Εἰς ἃ πρῶτον ἀπιδὼν, ἔξω πόλεως ἐβουλήθη νομοθετεῖν. δεύτερον δὲ κἀκεῖνο διέπρεπεν, ὅτι τὸν μέλλοντα τοὺς ἱεροὺς νόμους παραδέχεσθαι, τὴν ψυχὴν ἀναγκαῖόν ἐστιν ἀπορρύψασθαι, καὶ ἐκκαθήρασθαι τὰς δυσεκπλύτους κηλῖδας, ἃς μιγάδων καὶ συγκλύδων ὄχλος ἀνθρώπων κατὰ πόλεις προσετρίψατο. τοῦτο δὲ ἀμήχανον ἑτέρως ἢ διοικισθέντι συμβῆναι, καὶ οὐκ εὐθὺς, ἀλλὰ μακρῷ χρόνῳ ὕστερον, ἕως ἂν οἱ τῶν ἀρχαίων παρανομημάτων ἐνσφραγισθέντες τύποι κατὰ μικρὸν ἀμαυρούμενοι καὶ ἀπορρέοντες ἀφανισθῶσι. τοῦτον τὸν τρόπον καὶ οἱ τὴν ἰατρικὴν ἀγαθοὶ σώζουσι τοὺς κάμνοντας. οὐ γὰρ πρότερον σιτία παρέχειν ἀξιοῦσι, πρὶν ἢ τὰ τῆς νόσου αἴτια ὑπεξελέσθαι. μενόντων γὰρ, ἀνωφελεῖς αἱ τροφαὶ, ἐπιζήμιοι ὗλαι γινόμεναι τοῦ πάθους. Εἰκότως οὖν ἐκ τῆς κατὰ πόλιν βλαβερωτάτων συνηθείας εἰς ἐρημίαν ἀπαγαγὼν, ἵνα κενώσῃ τὰς ψυχὰς ἀδικημάτων, ἤρξατο προσφέρειν ταῖς διανοίαις τροφάς. αὗται δὲ τίνες ἂν εἶεν, ὅτι μὴ νόμοι καὶ λόγοι θεῖοι. τρίτη δέ ἐστιν αἰτία ἥδε· καθάπερ οἱ μέλλοντες μακρὸν πλοῦν, οὐχ ὅταν ἐπιβαίνοντες τῆς νεὼς ἀπὸ λιμένος ἐξαναχθῶσιν, ἄρχονται κατασκευάζειν ἱστία καὶ πηδάλια καὶ οἴακας, ἀλλ᾽ ἔτι μένοντες ἐπὶ γῆς ἕκαστα τῶν συντεινόντων πρὸς πλοῦν εὐτρεπίζονται· τὸν αὐτὸν τρόπον ἠξίωσεν οὐ λαβόντας κληρουχίας, καὶ τὰς πόλεις οἰκήσαντας, τότε ζητεῖν νόμους οἷς πολιτεύσονται, ἀλλ᾽ ἑτοιμασαμένους τῆς πολιτείας κανόνας, καὶ ἵνα συνηθέντες οἷς μέλλοιεν δῆμοι κυβερνᾶσθαι βεβαίως, τηνικαῦτα εἰσοικίζεσθαι,

A dicere, cum idē fastus etiā res diuinas paruipendat, quarū honor putatur præcipuus? quis enim honor esse potest, vbi deest veritas, res honorata, sicut & nomen eius: quandoquidem illi contrarium mendacium suapte natura est vile ac aspernabile. Quàm autem contempta sit religio, sciunt qui modo vtuntur oculis. nam pictores fictoresque innumeris simulacris templa fanáque repleuerunt & circumdederunt, eáque surda & inanima dignati sunt B aris ac honoribus cælestibus, quod genus hominum sacræ literæ natis ex meretrice adsimilant. sicut enim hi patres appellant omnes, à quibus mater adamata fuerat, cùm naturalem parentem nesciant: ita populi oppidatim abalienati à veri Dei noticia, innumera sibi consecrauerunt falsi nominis numina. cúmque alius aliud colendum accepisset, ex hac de summo bono dissensione cæteræ contentiones vniuersæ enatæ sunt. & hoc est cur extra C ciuitates legem diuinam perferri placuit. huc accessit causa altera, quòd ad sacras leges recipiendas animus purificatus requiritur, elutis maculis quæ hærent ex miscellaneæ turbæ in ciuitatibus degentis contagio. id vero non est possibile aliter quam in secessu efficere, & longo temporis spatio, donec exolescant & euanescant veterum erratorum species ex animo: qui modus obseruatur etiam à peritis medicis. nec D enim prius cibos ægrotis præbent, quam morbi causis sublatis. nam illis manentibus alimenta fiunt inutilia, vt quæ vertuntur in humorum noxiorum materiam. non mirum igitur si à perniciosa ciuitatum consuetudine in desertum abductus est populus, vt animos purgaret ab iniquitatibus, móxque mentis alimenta caperet, videlicet leges præceptáque diuina. Quin & tertia causa eius facti adfertur hæc: Quemadmodum qui longinquam nauigationem suscipiunt, non E inter soluendum è portu vela parant & gubernacula, sed antequam nauem conscendant instructa habent quæcunque ad propositum suum sunt necessaria: ad eundem modum decebat vt accepturi agros & nouellas colonias, non vnà cum eis leges acciperent, sed iam ante præparata haberent instituta & vitæ regulas, ne rudes ac inexercitati admouerentur

ad rempublicam, cum satius sit iam ante recepto iure consociatos sua quęque obire negotia. Nec desunt qui & quartam caussam afferant, non alienam à veritate quantum ego iudico. Quoniam enim oportebat persuasum esse mentibus, leges has non esse commenta humana, sed oracula certa diuinitus prodita, abducta est multitudo longe ab vrbibus in vastam solitudinem omnium fructuum mitium sterilem, atque etiam aqua carentem limpida: vt constituti in summa cibi potúsque inopia, & salutis periculo, repente inuenirent sponte oblatam rerum copiam, in panis vicem depluente manna cælitus, accedentibúsque in obsonium coturnicibus, aquis autem nunc edulcatis deposita salsugine, nunc è rupe largo fonte promanantibus: ne posthac Nilum mirarentur aut Deum esse legum nouarum autorem ambigerent, sumpto bonitatis eius experimento manifestissimo in tam insperato egestatis remedio. Nam qui ope sua vitam eis prorogabat, idem præscribebat etiam bene viuendi formulas: alterum præstans suggerendo commeatus quos non præparauerant, alterum vero ferendo leges profuturas corrigendis animis. Hæ causæ possunt afferri verisimiles: veræ Deo soli notæ sunt. ego contentus iam expositis, deinceps leges ipsas tractabo diligentius, præfatus primùm, leges has partim Deum ipsum prodidisse vocis suæ oraculo absque vllius interpretis ministerio, partim per Mosem prophetam, quem vnum ex omnibus optimatibus maxime idoneum enunciandis his sacris præceptis delegerat. Quas igitur ore suo cecinit, & leges sunt, & capita legum particularium: quas autem vates promulgauit, omnes ad illa referuntur. De vtrisque dicam quantũ potero, & primũ de summariis, in quibus illud mirandum occurrit ante omnia, quod absoluuntur denario numero inter omnes perfectissimo, cõplectente cũctas numerorum differentias parium & imparium, parium duorum, imparium trium, pariter imparium quinque, & rationes eorum multiplicatiuas ac superpartientes superpartitásque: item proportiones tum arithmeticas quæ tantundem numero superant quantum superantur ab alijs, vt in I. II. III. tum geometricas,

A χρησομένους αὖθις τῷ τῶν δικαίων παρασκευαῖς, ἐφ' ὁμονοίᾳ καὶ κοινωνίᾳ καὶ διανομῇ τῶν ἐπιβαλλόντων ἑκάστοις. Φασὶ δέ τινες καὶ τετάρτην αἰτίαν οὐκ ἀπῳδὸν, ἀλλ' ἐγγυτάτω τῆς ἀληθείας. ἐπειδὴ γὰρ ἔδει πίστιν ἐγγενέσθαι ταῖς διανοίαις περὶ τοῦ μὴ εὑρήματα ἀνθρώπου τοὺς νόμους, ἀλλὰ θεοῦ χρησμοὺς σαφεστάτους εἶναι, πορρωτάτω τῶν πόλεων ἀπήγαγε τὸ ἔθνος εἰς ἐρήμην βαθεῖαν καὶ ἄγονον οὐ μόνον ἡμέρων καρπῶν, ἀλλὰ καὶ ποτίμου ὕδατος, ἵνα ἐὰν ἐν αὐτῇ γενόμενοι τῶν ἀναγκαίων, καὶ δίψῃ καὶ λιμῷ B διαφθαρῆναι προσδοκήσαντες, ἐξαπιναίως ἀφθονίαν τῶν ἐπιτηδείων αὖθις εὑρίσκωσιν ἀπαυτοματισθέντων, οὐρανοῦ μὲν ὕοντος τροφὰς, τὸ καλούμενον μάννα, προσόψημα δὲ τροφῶν, ἀπ' ἀέρος ὀρτυγομήτρας φορὰν, ὕδατος δὲ πικροῦ γλυκαινομένου πρὸς τὸ πότιμον, πέτρας δὲ ἀκροτόμου πηγὰς ἀναμβρυούσης, μηκέτι θαυμάζωσι Νεῖλον, μηδ' εἰ συμβέβηκεν εἶναι θεοῦ τοὺς νόμους ἀμφιγνοῶσιν, ἐναργεστάτην βάσανον εἰληφότες ἐκ τῶν χορηγιῶν, C ἃς ἐξ ἀπόρων ἔσχον οὐκ ἐλπίσαντες. ὁ γὰρ πρὸς τὸ ζῆν ἀφθονίαν δοὺς, καὶ τὰς πρὸς τὸ εὖ ζῆν ἀφορμὰς ἐδωρεῖτο. πρὸς μὲν οὖν τὸ ζῆν σιτίων ἔδει καὶ ποτῶν, ἃ παρ' αὖθις εὕρισκον οὐχ ἑτοιμασάμενοι, πρὸς δὲ τὸ εὖ ζῆν, καὶ ὡς εἰκὸς νόμων καὶ διαταγμάτων, οἷς βελτιοῦσθαι τὰς ψυχὰς ἔμελλον. αὗται δ' εἰσὶν ἐν στοχασμοῖς εἰκόσιν αἰτίαι λεγόμεναι περὶ τοῦ διαπορηθέντος. τὰς γὰρ ἀληθεῖς θεὸς οἶδε μόνος. εἰπὼν δὲ ἃ ἥρμοττε περὶ τούτων, ἑξῆς αὐτοὺς ἀκριβώσω τοὺς νόμους, ἐκεῖνο κατὰ τὸ ἀναγκαῖον προμηνύσας, ὅτι D τῶν νόμων, οὓς μὲν αὐτὸς ὁ θεὸς οὐ προσχρησάμενος ἄλλῳ, δι' αὐτοῦ μόνου θεσπίζειν ἠξίωσεν, οὓς δὲ διὰ προφήτου Μωσέως, ὃν ἀριστίνδην ἐξ ἁπάντων ὡς ἐπιτηδειότατον ἱεροφαντεῖν εἵλετο. τοὺς μὲν οὖν αὐτοπροσώπως θεσπισθέντας δι' αὐτοῦ μόνου, συμβέβηκε καὶ νόμους εἶναι, καὶ νόμων τῶν ἐν μέρει κεφάλαια· τοὺς δὲ διὰ τοῦ προφήτου, πάντας ἐπ' ἐκείνους ἀναφέρεσθαι. λέξω δ' ὡς ἂν οἷός τε ὦ, καὶ περὶ ἑκατέρων· καὶ πρότερόν γε τῶν κεφα- E λαιωδεστέρων, ὧν εὐθέως ἄξιον θαυμάσαι τὸν ἀριθμὸν δεκάδι τῇ παντελείᾳ συναγομένων, ἣ πάσας μὲν ἀριθμῶν διαφορὰς, ἀρτίων καὶ περιττῶν, ἀρτίων μὲν δυοῖν, περιττῶν δὲ τριῶν, ἀρτιοπερίττων δὲ πέντε· πάσας δὲ λόγων τῶν ἐν ἀριθμοῖς πολυπλασίων, καὶ ἐπιμερῶν, καὶ ἐπιμερείων περιέχει· πάσας δ' ἀναλογίας, τήν τε ἀριθμητικὴν, ἣ τῷ ἰσαρίθμῳ ὑπερέχει καὶ ὑπερέχεται, οἷον ἐπὶ τοῦ ἓν καὶ δύο καὶ τρία· καὶ τὴν γεωμετρικὴν, καθ' ἣν οἷος ὁ λόγος πρὸς τὸν

A πρῶτον τοῦ δευτέρου, τοιοῦτος καὶ ὁ πρὸς τὸν δεύτερον τοῦ τρίτου, ὡς ἔχει ἐπὶ τοῦ ἓν καὶ δύο καὶ τέσσαρα· ἔν τε διπλασίοις καὶ τριπλασίοις, καὶ πάλιν ἐν ἡμιολίοις, καὶ ἐπιτρίτοις, καὶ τοῖς παραπλησίοις· ἔτι μέντοι καὶ τὴν ἁρμονικήν, καθ' ἣν ὁ μέσος τῶν ἄκρων τῷ ἴσῳ μορίῳ καὶ ὑπερέχεται καὶ ὑπερέχει, ὡς ἔχει ἐπὶ τοῦ τρίτου καὶ τετάρτου καὶ ἕκτου. περιέχει δὲ ἡ δεκὰς καὶ τὰς τῶν τριγώνων καὶ τετραγώνων καὶ τῶν ἄλλων πολυγώνων ἐμφαινομένας ἰδιότητας· καὶ τὰς τῶν συμφωνιῶν, τήν τε διὰ

B τεττάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὡς τέσσαρα πρὸς τρία· καὶ τὴν διὰ πέντε ἐν ἡμιολίῳ, ὡς τρία πρὸς δύο· καὶ τὴν διὰ πασῶν ἐν διπλασίῳ, ὡς δύο πρὸς ἕν· καὶ τὴν δὶς διὰ πασῶν ἐν τετραπλασίῳ, ὡς ὀκτὼ πρὸς δύο. παρ' ὃ μοι δοκοῦσι καὶ οἱ πρῶτοι τὰ ὀνόματα τοῖς πράγμασι θέμενοι· σοφοὶ γὰρ ἦσαν· εἰκότως αὐτὴν προσαγορεῦσαι δεκάδα, ὡσανεὶ δεχάδα οὖσαν, παρὰ τὸ δέχεσθαι καὶ κεχωρηκέναι τὰ γένη πάντα τῶν ἀριθμῶν,

C καὶ λόγων τῶν κατ' ἀριθμόν, καὶ ἀναλογιῶν, ἁρμονιῶν τε αὖ καὶ συμφωνιῶν. τὴν μέντοι δεκάδα πρὸς τοῖς εἰρημένοις καὶ διὰ ταῦτα δικαίως εἰκότως θαυμάσαι, περιέχουσαν τήν τε ἀδιάστατον φύσιν, καὶ τὴν διαστηματικήν. ἡ μὲν οὖν ἀδιάστατος τάττεται κατὰ σημεῖον μόνον· ἡ δὲ διαστηματικὴ κατὰ τρεῖς ἰδέας, γραμμῆς, καὶ ἐπιφανείας, καὶ στερεοῦ. τὸ μὲν γὰρ δυσὶ σημείοις περατούμενον, ἐστὶ γραμμή· τὸ δὲ ἐπὶ δύο διαστατόν, ἐπιφάνεια, ῥυείσης ἐπὶ πλάτος γραμ-

D μῆς· τὸ δὲ ἐπὶ τρία, στερεόν, μήκους καὶ πλάτους βάθος προσλαβόντων, ἐφ' ὧν ἵσταται φύσις. πλείους γὰρ τριῶν διαστάσεις οὐκ ἐγέννησεν. ἀρχέτυποι δὲ τούτων ἀριθμοί, τοῦ μὲν ἀδιαστάτου σημείου, τὸ ἕν· τῆς δὲ γραμμῆς, τὰ δύο. καὶ ἐπιφανείας μέν, τρία, στερεοῦ δέ, τέσσαρα, ὧν ἡ σύνθεσις, ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ τεσσάρων, ἀποτελεῖ δεκάδα, παραφαίνουσαν τοῖς ὁρατικοῖς καὶ ἕτερα κάλλη. σχεδὸν γὰρ ἡ ἀπειρία τῶν ἀριθμῶν ταύτῃ μετρεῖται· διότι οἱ συνιστάν-

E τες αὐτὴν ὅροι τέσσαρες, εἰσὶν ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ τεττάρων· οἱ δὲ ἴσοι ὅροι ἑκατοντάδα γεννῶσιν ἐκ δεκάδων. δέκα γὰρ καὶ εἴκοσι καὶ τριάκοντα καὶ τεσσαράκοντα γεννῶσιν ἑκατόν· ὁμοίως δὲ καὶ χιλιάδα ἐξ ἑκατοντάδων, καὶ μυριάδα ἐκ χιλιάδων· μονὰς δὲ καὶ δεκάς, καὶ ἑκατοντάς, καὶ χιλιὰς τέσσαρες ὅροι οἱ δεκάδα γεννῶντες· ἥτις δίχα τῶν πρόσθεν εἰρημένων καὶ ἑτέρας ἀριθμῶν ἐμφαίνει διαφοράς, τόν τε πρῶτον, ὃς μονάδι μόνον μετρεῖται, οὗ παράδειγμα ὁ τρεῖς, ὁ πέντε, ὁ ἑπτά. καὶ τὸν τετράγωνον, τὸν τέταρτον, τὸν ἰσάκις ἴσον·

vbi sicut se habet secundus ad primum, sic ad secundum tertius, vt patet in I. II. IIII. & in duplis triplisque ac sesqualteris supertertiisque & similibus. Nec deest harmonica proportio, iuxta quam medius inter extremos æqua portione vel superatur vel superat, vt apparet in secundo quarto sextoque. Quin & triangulorum quadrangulorum aliorumque multiangulorum proprietates denarius numerus continet: atque insuper symphoniarum, eius quæ diatessaron vocatur proportionem habens supertertiam: & eius quæ diapente, quæ est sesqualtera, vt tria ad duo: sicut dupla quæ diapason dicitur, vt duo ad vnum. quadrupla vero disdiapason, vt octo ad duo. Quapropter impositores primi nominum, viri sapientes, meritò videntur appellasse hanc δεκάδα quasi δεχάδα, quod capiat comprehendatque omnia numerorum genera, & rationum proportionumque arithmeticarum, ac insuper harmoniarum symphoniarumque. Hæc sunt quæ denarium faciunt admirabilem, qui complectitur naturam & indimensam & dimensionibus obnoxiam. indimensa ad solum punctum pertinet. dimensiua tres habet species, lineam, superficiem, solidum. Quod enim duobus punctis terminatur, est linea: superficies vero quod duas dimensiones habet, accedente ad lineam latitudine. Tres autem dimensiones solidum corpus conficiunt, quando & altitudo assumitur: nec habet natura quò procedat vlterius, quandoquidem non plures tribus dimensiones produxit. Harum rerum exempla videre licet in numeris, indimensi puncti vnum, lineæ duo, superficiei tria, solidi quatuor, qui numeri compositi denarium conficiunt, aliis quoque spectabilem pulchritudinibus. Nam per hunc numerus infinitus penè fit mensurabilis: quia cum constet è quatuor terminis vno duobus tribus quatuor, totidem termini gignunt centenarium è denariis. Nam X. XX. XXX. XL. centenarium faciunt. Sic è centuriis fit millenarius, è millenarijs myrias. Vnitas autem, denarius, centenarius, millenarius quatuor sunt termini, è quibus denarius nascitur. In eo præter iam dictas numerorum differentias apparent & aliæ: primò is quem metimur vnitatibus, vt tres quinque septimo, deinde quadrangulus,

quartus, pariter par. denique cubicus octauus, pariter par pariter. Quin & ille perfectus senarius, exæquatus sui partibus, ternario binario vnitatique. Quorsum autem attinet decadis virtutes innumeras percensere obiter, quæ per se ipsæ possunt exhibere amplum argumentum mathematicis? dilatis igitur aliis vnam etiam non intempestiue memorabo docendi gratia. Quæ in rerum natura prædicamenta vocantur, decem sola esse aiunt studiosi philosophiæ, substantiam, qualitatem, quantitatem, ad aliquid, agere, pati, habitum, situm, & sine quibus nihil, locum tempúsque nihil est enim non horum particeps. Equidem substantiam habeo desumptam ab elementis singulis ex quibus mundus totus compactus est, terra, aqua, aere ignéque, quæ ad mei contéperationem sufficiunt. particeps sum & qualitatis, quatenus homo, & quantitatis pro statura. ad aliquid quoque consideror, cum mihi dexter aliquis sinistérve astitit. ago quippiam fricans tondénsque, patior frictus tonsúsve ab aliis. in habitu examinor indutus armatúsve: in situ sedens cubánsve. Sum vtique in loco & tempore, quandoquidem nihil ex omnibus prædictis absque his ambobus potest subsistere. de his igitur satis dictum sit. superest vt attexamus decem illa præcepta siue leges, seu verius oracula, quæ pro totius gentis concione, ne mulieribus quidem ab hoc cœtu semotis rerum pater cecinit. Quæres, num ipse vocem mittens? absit vt in mentem nostram descendat hæc cogitatio. nec enim more hominum Deus habet opus ore, lingua, & arteriis: sed opinor eum illo tempore sacrum quoddam edidisse miraculum, iussisséque vocem inuisibilem prodire ex aëre, quouis instrumento absolutiorem sonantiorémque, non inanimem, nec tamen profectam ex corpore animato qualis est animalium, sed animam rationalem diserte sonoram: quæ pulsato aëre formatóque in flammæ speciem, spiritu quodam instar tubæ articulate ab omnibus exaudiretur vel prope vel longius distantibus. hominum enim voces in longum extentæ solent deficere, vt à procul stantibus percipi clare nequeant, hebetatæ paula-

A καὶ μὴν ὁ κύβος ὁ ὄγδοος, ὅς ἐστιν ἰσάκις ἴσος ἰσάκις· καὶ ὁ τέλειος ὁ ἕξ, ἰσούμενος τοῖς ἑαυτοῦ μέρεσι, τρισὶ καὶ δυσὶ καὶ ἑνί. τί δὲ δεῖ καταλέγεσθαι τὰς δεκάδος ἀρετὰς ἀπείρους τὸ πλῆθος, πάρεργον ποιουμένους ἔργον μέγιστον, ὃ καθ' αὑτὸ συμβέβηκεν αὐταρκεστάτην εἶναι ὑπόθεσιν τοῖς περὶ τὰ μαθήματα διατρίβουσι. τὰς μὲν οὖν ἄλλας ὑπερθετέον· μιᾶς δ' οὐκ ἄτοπον ἴσως ὑπομνησθῆναι δείγματος ἕνεκεν. τὰς γὰρ ἐν τῇ φύσει λεγομένας κατηγορίας δεκάδας μόνας εἶναί φασιν οἱ

B ἐνδιατρίβοντες φιλοσοφίας δόγμασιν, οὐσίαν, ποιόν, ποσόν, πρός τι, ποιεῖν, πάσχειν, ἔχειν, κεῖσθαι, τὰ ὧν οὐκ ἄνευ χρόνον καὶ τόπον. οὐδὲν γάρ ἐστι τούτων ἀμέτοχον, οἷον, ἐγὼ μὲν μετέχω οὐσίας, δανεισάμενος ἀφ' ἑκάστου τῶν στοιχείων, ἐξ ὧν ἀπετελέσθη ὅλος ὁ κόσμος, γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός, τὰ πρὸς τὴν ἐμὴν σύστασιν αὐταρκέστατα· μετέχω δὲ καὶ ποιότητος, καθ' ἣν ἄνθρωπός εἰμι, καὶ ποσότητος ᾗ πηλίκος γίνομαι·

C καὶ πρός τι, ὅταν μου πρὸς δεξιοῖς ᾖ τις, ἢ πρὸς εὐωνύμοις ᾖ. ἀλλὰ καὶ ποιῶ τι, τρίβων ἢ κείρων καὶ πάσχω, κειρόμενος ἢ τριβόμενος ὑφ' ἑτέρου κἂν τῷ ἔχειν ἐξετάζομαι, ἢ περιβεβλημένος, ἢ ὡπλισμένος κἂν τῷ κεῖσθαι, ἤδη καθεζόμενος, ἢ κατακεκλιμένος· εἰμὶ δὲ πάντως κἀν χρόνῳ, κἀν τόπῳ, τῶν προειρημένων οὐδενὸς δυναμένων χωρὶς ἀμφοῖν ὑφίστασθαι. ταυτὶ μὲν οὖν ἀποχρώντως λελέχθω. συνυφαίνειν δ' ἀναγκαῖον τὰ ἀκόλουθα, τοὺς δέκα λόγους, ἢ χρησμούς, ἢ νόμους καὶ θεσμοὺς

D πρὸς ἀλήθειαν ὄντας, οὓς ἀθροισθέντος τοῦ ἔθνους ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν, ὁ πατὴρ τῶν ὅλων ἐθέσπισεν. ἆρά γε φωνῆς τρόπον προέμενος αὐτός; ἄπαγε, μηδ' εἰς νοῦν ποτ' ἔλθοι τὸν ἡμέτερον. οὐ γὰρ ὡς ἄνθρωπος ὁ θεός, στόματος καὶ γλώττης καὶ ἀρτηριῶν δεόμενος, ἀλλ' ἐμοὶ δοκεῖ κατ' ἐκεῖνον τὸν χρόνον ἱεροπρεπέστατόν τι θαυματουργῆσαι, κελεύσας ἦχον ἀόρατον ἐν ἀέρι δημιουργηθῆναι, πάντων ὀργάνων θαυμασιώτερον, ἁρμονίαις τελείαις ἡρμοσμένον, οὐκ ἄψυχον, ἀλλ' οὐδ' ἐκ σώματος καὶ ψυχῆς τρόπον

E ζῴου συνεστηκότα, ἀλλὰ ψυχὴν λογικὴν ἀνάπλεων σαφηνείας καὶ τρανότητος, ἣ τὸν ἀέρα σχηματίσασα καὶ ἐπιτείνασα, καὶ πρὸς πῦρ φλογοειδὲς μεταβαλοῦσα, καθάπερ πνεῦμα διὰ σάλπιγγος φωνὴν τοσαύτην ἔναρθρον ἐξήχησεν, ὡς τοῖς ἔγγιστα τοὺς ποῤῥωτάτω κατ' ἴσον ἀκροᾶσθαι δοκεῖν. αἱ μὲν ἀνθρώπων γὰρ αἱ φωναὶ πρὸς μήκιστον ἀποτεινόμεναι, πεφύκασιν ἐξασθενεῖν, ὡς ἀριδήλους τοῖς μακρὰν ἀφεστῶσι μὴ γίνεσθαι τὰς ἀντιλήψεις, τῆς ἐπικτήσεως

ἐν τῷ κατ᾽ ὀλίγον ἀμαυρουμένας, ἐπεὶ καὶ τὰ ὄργανα φθαρτά· τὴν δὲ κατηχουργημένην φωνὴν ἐπιπνέουσα ἡ τοῦ θεοῦ δύναμις ἤγειρε καὶ ἐζωπύρει, καὶ ἀναχέουσα πάντῃ τὸ τέλος τῆς ἠχῆς ἀπέφαινε τηλαυγέστερον, ἀκοὴν ἑτέραν πολὺ βελτίω τῆς δι᾽ ὤτων, ταῖς ἑκάστου ψυχαῖς ἐντιθεῖσα. ἡ μὲν γὰρ βραδυτέρα πως οὖσα αἴσθησις, ἀτρεμίζει, μέχρις ἂν ὑπ᾽ ἀέρος πληχθεῖσα διακινηθῇ· φθάνει δ᾽ ἡ τῆς ἐνθέου διανοίας ὀξυτάτῳ τάχει προσυπαντῶσα τοῖς λεγομένοις. φωνῆς μὲν δὴ τῆς θείας πέρι τοσαῦτα. εἰκότως δ᾽ ἄν τις ἀπορήσειε, τοῦ χάριν πλείστων ὅσων μυριάδων εἰς ἓν ἠθροισμένων χωρίον, ἕκαστον θεσπίζειν τὰ δέκα λογίων ἠξίωσεν, ὡς οὐχὶ πρὸς πλείους, ἀλλὰ πρὸς ἕνα, οὐ μοιχεύσεις, λέγων, οὐ φονεύσεις, οὐ κλέψεις, καὶ τἄλλα τοῦτον τὸν τρόπον. λεκτέον μὲν οὖν, ὅτι βούλεται κάλλιστον ἀναδιδάξαι μάθημα τοὺς ἐντυγχάνοντας ταῖς ἱεραῖς γραφαῖς, ὡς ἄρα καθ᾽ αὑτὸν εἷς ἕκαστος ὅταν ᾖ νόμιμος καὶ θεῷ κατάπειθής, ἰσότιμός ἐστιν ὅλῳ ἔθνει πολυανθρωποτάτῳ, μᾶλλον δὲ καὶ πᾶσιν ἔθνεσιν· εἰ δὲ δεῖ περαιτέρω προελθόντα εἰπεῖν, καὶ παντὶ τῷ κόσμῳ, διὸ καὶ ἐν ἑτέροις ἐπαινῶν τινὰ δίκαιον ἄνδρα, φησίν, Ἐγώ εἰμι ὁ θεός σου. ὁ δ᾽ αὐτὸς ἦν γὰρ καὶ κόσμου θεός· ὡς τοὺς ὑπηκόους τὴν αὐτὴν τεταγμένους τάξιν, καὶ ὁμοίως εὐαρεστοῦντας τῷ ταξιάρχῳ, τῆς ἴσης ἀποδοχῆς καὶ τιμῆς μεταλαμβάνειν. δεύτερον δ᾽, ὅτι κοινῇ μὲν ὡς πλήθει τις ἐκκλησιάζων, οὐκ ἐξ ἀνάγκης διαλέγεται, διότι δὲ προστάττων ἢ ἀπαγορεύων, ἰδίᾳ δ᾽ ὡς ἑνὶ ἑκάστῳ τῶν ἐμφερομένων εὐθὺς ἐνδέξεται τὰ πρακτέα, καὶ κοινῇ πᾶσιν ἀθρόοις ὑφηγεῖσθαι, εὐπειθέστερος ὁ τὰς παραινέσεις αὐτοπροσώπως δεχόμενος· ὁ δὲ συλληφθεὶς μεθ᾽ ἑτέρων κεκώφωται, τὸν ὄχλον ἀφηνιασμοῦ παρακάλυμμα ποιούμενος. τρίτον, ἵνα μηδείς ποτε βασιλεὺς ἢ τύραννος ἀφανοῦς ἰδιώτου καταφρονήσῃ, γεμισθεὶς ἀλαζονείας καὶ ὑπεροψίας, ἀλλ᾽ εἰς τὰ τῶν ἱερῶν νόμων διδασκαλεῖα φοιτήσας, χαλάσῃ τὰς ὀφρῦς, ἀπομαθὼν οἴησιν, εἰκότι, μᾶλλον δ᾽ ἀληθεῖ λογισμῷ. εἰ γὰρ ὁ ἀγένητος, καὶ ἄφθαρτος, καὶ ἀΐδιος, καὶ οὐδενὸς ἐπιδεής, καὶ ποιητὴς τῶν ὅλων, καὶ εὐεργέτης, καὶ βασιλεὺς τῶν βασιλέων, καὶ θεὸς θεῶν, οὐδὲ τὸν ταπεινότατον ὑπεριδεῖν ὑπέμεινεν, ἀλλὰ καὶ τοῦτον εὐωχῆσαι λογίων καὶ θεσμῶν ἱερῶν ἠξίωσεν, ὡς μόνον ἑστιάσειν μέλλων, καὶ μόνῳ τὸ συμπόσιον εὐτρεπίζεσθαι πρὸς ψυχῆς ἀνάχυσιν ἱεροφαντουμένης, ἣν θέμις τὰς μεγάλας τελεῖσθαι τελετάς, ἐμοὶ τῷ θνητῷ τί προσῆκεν ὑψαυχενεῖν καὶ πεφυσῆσθαι, φρυαττομένῳ

A tim medio spatio, vt profectæ ab instrumentis corruptibilibus. hanc autem nouam vocem & mirificam inspirabat Dei virtus vegetabátque: & diffundens eam per omnia, pulsabat aliū quoque auditum præstantiorem quam aurium, videlicet tangens singulorum animos. sensus enim cum sit tardior, nil mouetur, donec percellatur à motu aeris: at mens afflata numine, vltro procurrit præceptis eius ob viam. Hactenus de voce diuina. Quærat & illud
B aliquis non immeritò, cur in concione tam multorum milium, quodque oraculum singulos appellat non plures: Non mœchaberis, non occides, non furaberis, & ad eundem modū cætera: Respondendum est igitur, ideo placuisse hanc formulam, vt lectores sacræ scripturæ discerent quiddam valde pulchrum & necessarium: videlicet vnumquemque tantisper dum Deo paret ac legibus honore æquari frequentissimo populo, vel potius omni-
C bus gentibus addo amplius, mundo etiam vniuerso: quoniam alibi quendam iustum virum laudans inquit, Ego sum Deus tuus. ipse autem erat etiam Deus mundi totius. ita qui pariter suum ordinem non deserunt, & imperatori pariter officium suum approbant, in eodem honore habentur. Altera causa est, quia qui concionem alloquitur, non semper interdicit aut præcipit: cum autem singuli admonen-
D tur quid agere debeant, omnes docentur eadem opera, & quisque redditur obsequentior, sibi dictum existimans. qui vero cum cætera turba comprehenditur eodem alloquio, surdescit, turbam ipsam prætexens suæ contumaciæ. Tertia causa hæc affertur, exémplum hic datum esse ne quis vnquam rex tyrannúsve superbe despiciat priuatum obscurumq; ciuem, sed doctus à sacris legibus deponat supercilium factúmque dediscat, sic secum verisimiliter imò vere, cogitans: Si ille in-
E genitus, immortalis, sempiternus, nullius indigus creator rerum omnium, beneficus regum rex & Deus deorum, ne humilissimum quidem contemnere sustinuit, sed hunc quoque admisit ad oraculorum suorum epulum, tanquam inuitato ei soli paratū ad exhilarandā animam quantum fas est sacris magnisque mysteriis initiatam: ego mortalis cur inflatus ceruicem erigam efferens me vltra eiusdem naturæ participes,

fortuna impares mihi non origine generis, eadem forma insignitos, & mecum censos in hominum numero? exhibebo igitur me comem & affabilem, etiam si terræ marisque imperium assequar, vel egentissimis obscuritissimisque domestico destitutis auxilio, vtroque parente orbatis, & mulieribus viduitatem tolerantibus, senibúsque quibus aut nunquam contigerunt liberi: aut erepti sunt immaturo interitu. homo enim cum sim, non est æquum vt maiestatem tragicam in me recipiam. continebo me intra naturam meam: nec transgrediar eius terminos: assuefaciam potius mentem humanitatis affectibus, non solum propter incertas fortunæ vices mutantis lætis tristia, verum quia sic decet etiamsi felicitas maneat perpetua, non obliuisci conditionis suæ. hæ sunt opinor causæ cur singulariter loquuntur oracula, quasi dirigantur ad vnum hominem. Interea, vt par erat in præsentia numinis, omnia perstrepebant prodigiosis tonitribus aures obtundentibus coruscabant fulguribus micantissimis, sonus tubæ inuisibilis è longinquo exaudiebatur è nube, quæ instar columnæ innixa terræ è basi tendebat ad æthheream celsitudinem cælestis ignis impetu, profunda caligine fumi offuscante circumuicinum aerem. oportebat enim ad Dei aduentum turbari mundum omnibus sui partibus, & exciti ad ministerium. Adstabat autem populus purus à mulieribus & omnibus voluptatibus abstinens præter cibos necessarios, lauacris etiam purificatus per triduum, candidis nitidisque indutus vestibus, arrectus & attentus, ita vt Moses præmonuerat. is enim iam diem concioni præstitutam seorsum didicerat. Tum vox è medio flammæ superne ruentis horrendum insonuit, diserta & articulata iuxta communem captum auditorij, tam manifeste se ingerens, vt videre magis quam audire se putarent: sicut in lege ipsa scriptum legitur his verbis, Vniuersus populus videbat vocem apertissime. Humana enim vox auditu, diuina visu, percipitur. quare? quia quæcumque Deus dicit, non verba sunt, sed opera,

A πρὸς τοὺς ὁμοίους, οἳ τύχαις μὲν ἀνίσοις, ἴσῃ δὲ καὶ ὁ-
μοίᾳ συγγενείᾳ κέχρηνται, μίαν ἐπιγραψάμενοι
μορφὴν, τὴν κοινὴν ἁπάντων ἀνθρώπων φύσιν.
ἀλλὰ προσιτὸν οὕτω καὶ εὐέντευκτον ἐμαυτὸν παρέξω,
κἂν τὸ τῆς γῆς καὶ τὸ τῆς θαλάττης κράτος ἀνάψωμαι,
τοῖς ἀπορωτάτοις καὶ ἀδοξοτάτοις, καὶ οἰκειοτάτοις
συμμαχίας ἐρήμοις, ἑκατέρου τῶν γονέων ὀρφανοῖς,
καὶ γυναιξὶ χηρείαν ὑπομενούσαις, καὶ πρεσβύ-
ταις, ἢ μηδὲ παιδοποιησαμένοις τὸ παράπαν, ἢ
B ἀποβαλοῦσιν ὠκυμόρους, οὓς ἐγέννησαν· ἄνθρω-
πος γὰρ ὢν ὄγκον καὶ σεμνότητα τετραγῳδημένην,
οὐ δικαιώσω προσίεσθαι· μενῶ δ᾽ ἐντὸς τῆς φύ-
σεως, τοὺς ὅρους αὐτῆς μὴ ὑπερβαίνων, ἀλλ᾽ ἐθίζων
τὴν ἐμαυτοῦ διάνοιαν ἀνθρωποπαθεῖν. οὐ μόνον
διὰ τὰς ἀδήλους τῶν ἐναντίων πρὸς τἀναντία
μεταβολὰς, καὶ τῶν εὖ πραττόντων καὶ τῶν ἐν
κακοπραγίαις, ἀλλὰ καὶ διὰ τὸ ἁρμόττειν,
κἂν ἀμεταβλήτως καὶ βεβαίως μένῃ τὸ εὐτυχεῖν, μὴ
ἐπιλανθάνεσθαί τινα αὐτοῦ. διὰ ταῦτά μοι δοκεῖ
C τοὺς χρησμοὺς ἑνικῶς ἀποτεινόμενος, ὡς πρὸς ἕνα
θεσπίζειν ἐθελῆσαι. πάντα δ᾽, ὡς εἰκὸς, τὰ περὶ τὸν
τόπον ἐθαυματουργεῖτο, κτύποις βροντῶν, μειζό-
νων ἢ ὥστε χωρεῖν ἀκοάς, ἀστραπῶν λάμψεσιν αὐ-
γοειδεστάταις, ἀοράτου σάλπιγγος ἠχῇ πρὸς μήκι-
στον ἀποτεινούσῃ, καθόδῳ νεφέλης, ἣ κίονος τρόπον,
τὴν μὲν βάσιν ἐπὶ γῆς ἠρήρειστο, τὸ δὲ ἄλλο σῶμα πρὸς
αἰθέριον ὕψος ἀνέτεινε, πυρὸς οὐρανίου φορᾷ, κα-
πνῷ βαθεῖ τὰ ἐν κύκλῳ συσκιάζοντος. ἔδει γὰρ θεοῦ
δυνάμεως ἀφικνουμένης, μηδὲν τῶν τοῦ κόσμου
D μερῶν ἡσυχάζειν, ἀλλὰ πάντα πρὸς ὑπηρεσίαν
συγκεκινῆσθαι· παρειστήκει δὲ ὁ λεὼς ἁγνεύσας ὁμι-
λιῶν τῶν πρὸς γυναῖκας, καὶ πασῶν ἡδονῶν. ἔξω
τῶν πρὸς τὰς τροφὰς ἀναγκαίων ἀπεχόμενος, λου-
τροῖς τε καὶ περιρραντηρίοις καθηράμενος ἐκ τριῶν
ἡμερῶν, ἔτι καὶ τὰς ἐσθῆτας ἀποπλυνάμενος ἐν
τοῖς μάλιστα λευχείμων, ἀκροβατῶν καὶ ἀνορθια-
κὼς τὰ ὦτα, Μωσέως προδηλώσαντος εὐτρεπίζε-
σθαι πρὸς ἐκκλησίαν. ᾔδει γὰρ αὐτὴν ἐσομένην,
ἡνίκα μόνος ἀνακληθεὶς ἐχρησμῳδεῖτο· φωνὴ δ᾽
E ἐκ μέσου τοῦ ῥυέντος ἀπ᾽ οὐρανοῦ πυρὸς ἐξήχει
καταπληκτικωτάτη, τῆς φλογὸς εἰς διάλεκ-
τον ἀρθρουμένης τὴν συνήθη τοῖς ἀκροωμένοις,
ᾗ τὰ λεγόμενα οὕτως ἐναργῶς ἐτρανοῦτο, ὡς ὁ-
ρᾶν αὐτὸ μᾶλλον, ἢ ἀκούειν δοκεῖν· ἐγγυᾶται δέ μου
τὸν λόγον ὁ νόμος, ἐν ᾧ γέγραπται, Πᾶς ὁ λαὸς
ἑώρα τὴν φωνὴν ἐμφαντικώτατα. τὴν μὲν γὰρ
ἀνθρώπων, ἀκουστὴν εἶναι συμβέβηκεν· ὁρατὴν δὲ
ὡς ἀληθῶς τὴν θεοῦ· διὰ τί; ὅτι ὅσα ἂν λέγῃ ὁ θεὸς,

οὐ ῥήματά ἐστιν, ἀλλ' ἔργα, ἃ τῶν ὀφθαλμοὶ πρὸ τῶν ὤτων διαγνώσουσι. παγκάλως μὲν καὶ θεοπρεπῶς ἐκ τοῦ πυρὸς ἡ φωνὴ λέγεται προσέρχεσθαι. ἠκρίβωται γὰρ καὶ βεβασάνισται τὰ θεοῦ λόγια, καθάπερ χρυσὸς πυρί. μηνύει δὲ καὶ διὰ συμβόλου τι τοιοῦτο· ἐπεὶ τοῦ πυρὸς τὸ μὲν φωτίζειν, τὸ δὲ καίειν πέφυκεν, οἱ μὲν τοῖς χρησμοῖς ἀξιοῦντες εἶναι κατάπειθεῖς, ὡς ἐν ἀσκίῳ φωτὶ τὸν ἀεὶ χρόνον βιώσονται, τοὺς νόμους αὐτοὺς ἀστέρας ἔχοντες ἐν ψυχῇ φωσφοροῦντας· ὅσοι δὲ ἀφηνιασταί, καιόμενοι καὶ κατακαιόμενοι διατελοῦσιν ὑπὸ τῶν ἔνδον ἐπιθυμιῶν, αἳ φλογὸς τρόπον πορθήσουσι τὸν σύμπαντα τῶν ἐχόντων βίον. ἃ μὲν οὖν ἦν ἀναγκαῖον προδηλῶσαι, ταῦτ' ἐστίν· ἐπ' αὐτὰ δὲ ἤδη τρεπτέον τὰ λόγια, καὶ πάντα τὰ ἐν τούτοις ἐρευνητέον διαφορά. δέκα τοίνυν ὄντα διένειμεν εἰς δύο πεντάδας, ἃς δυσὶ στήλαις ἐχάραξε· καὶ ἡ μὲν προτέρα πεντὰς τὰ πρωτεῖα ἔλαχεν, ἡ δὲ δευτέρα τῶν δευτερείων ἠξιοῦτο. καλαὶ δὲ ἀμφότεραι καὶ βιωφελεῖς, εὐρείας ὁδοὺς καὶ λεωφόρους ἐν τέλει περατουμένας ἀνατέμνουσαι, πρὸς ἄπταιστον ψυχῆς ἐφιεμένης ἀεὶ τοῦ βελτίστου πορείαν. ἡ μὲν οὖν ἀμείνων πεντὰς τοιάδε ἦν· περὶ μοναρχίας, ᾗ μοναρχεῖται ὁ κόσμος· περὶ ξοάνων καὶ ἀγαλμάτων, καὶ συνόλως ἀφιδρυμάτων χειροκμήτων· περὶ τοῦ μὴ λαμβάνειν ἐπὶ ματαίῳ πρόσρησιν θεοῦ· περὶ τοῦ τὴν ἱερὰν ἑβδόμην ἄγειν ἱεροπρεπῶς· περὶ γονέων τιμῆς, καὶ ἰδίᾳ ἑκατέρου, καὶ ἀμφοτέρων κοινῇ· ὡς εἶναι τῆς μὲν μιᾶς γραφῆς τὴν ἀρχὴν θεόν, καὶ πατέρα καὶ ποιητὴν τοῦ παντός, τὸ δὲ τέλος, γονεῖς, οἳ μιμούμενοι τὴν ἐκείνου φύσιν γεννῶσι τοὺς ἐπὶ μέρους. ἡ δὲ ἑτέρα πεντὰς τὰς πάσας ἀπαγορεύσεις περιέχει, μοιχειῶν, φόνου, κλοπῆς, ψευδομαρτυριῶν, ἐπιθυμιῶν. ἐπισκεπτέον δὲ μετὰ πάσης ἀκριβείας τῶν λογίων ἕκαστον, μηδὲν παρέργως αὐτῶν ποιουμένους. ἀρχὴ δὲ ἀρίστη πάντων τῶν ὄντων θεός, ἀρετῶν δὲ εὐσέβεια· περὶ ὧν ἀναγκαιότατον πρῶτον διεξελθεῖν. πλάνος τις οὐ μικρὸς τὸ πλεῖστον τῶν ἀνθρώπων γένος κατέσχηκε, περὶ πράγματος, ὅπερ ἢ μόνον, ἢ μάλιστα ἦν εἰκὸς ἀπλανέστατον ταῖς ἑκάστων διανοίαις ἐνιδρῦσθαι. ἐκτεθειώκασι γὰρ οἱ μὲν τὰς τέσσαρας ἀρχάς, γῆν, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ πῦρ· οἱ δὲ ἥλιον καὶ σελήνην, καὶ τοὺς ἄλλους πλανήτας καὶ ἀπλανεῖς ἀστέρας· οἱ δὲ μόνον τὸν οὐρανόν, οἱ δὲ τὸν σύμπαντα κόσμον· τὸν δὲ ἀνωτάτω καὶ πρεσβύτατον, τὸν γεννητήν, τὸν ἄρχοντα τῆς μεγάλης πόλεως, τὸν στρατάρχην τῆς ἀηττήτου στρατιᾶς, τὸν κυβερνήτην, ὃς οἰκονομεῖ σωτηρίως ἀεὶ τὰ σύμπαντα,

A quorum iudicium non tam est penes oculos. Siquidem pro dignitate rei dicitur è flamma vox procedere, probata sunt enim Dei præcepta, velut velut aurum igni examinatum. Nec caret hæc figura mysterio. Quoniam ignis habet vim geminam, illustrandi vrendique, præcepta hæc obedientibus erunt per totam vitam pro lumine, legibus ceu sideribus animæ prælucentibus. quotquot autem contumaces fuerint: æstuabunt vrenturque intestinis concupiscentiis, more flammæ
B totos homines semel occupatos depascentibus. Hæc sunt quæ præfari necesse fuit. Nunc sermo erit de ipsis præceptis, & dispiciemus quid à se inuicem differunt. decem enim cum sint, in quina diuiduntur, inscripta duabus tabulis. prior quinarius habetur potior, secundus inferior. vtraque bona sunt & ad vitam vtilia, vias latas in vnum finem competentes sternentia, per quas anima summi boni
C cupida inoffensum iter faciat. ille igitur potior quinarius de monarchia loquitur, quia mundus regitur, de statuis simulacrisque & in genus manufactis operibus, de non assumendo in vanum Dei nomine, de obseruatione religiosa diei septimi, de honorandis parentibus & ambobus & singulis. itaque vna hæc tabula incipit à Deo patre conditoréque rerum omnium, definit in parentes, qui ad illius imitationem gignunt particulariter. alter quinarius
D ex interdictis constat, vetans adulterium, homicidium, furtum, falsum testimonium, concupiscentiam. ea præcepta singula perscrutanda sunt diligenter, ne quid à proposito euagetur oratio. Principium rerum omnium optimum Deus est, sicut virtutum pietas: de his igitur necesse habemus ante omnia disserere. Error non exiguus occupauit maximam partem humani generis, de re quæ vel sola vel inter præcipuas ab omni errore libera
E puráque insigi debuerat singulorum mentibus. nam alij quatuor elementa consecrata suis decretis colunt tanquam numina: alij solem ac lunam cæteráque sidera tum fixa tum erratica: alij cælum, alij mundum vniuersum. at illum summum antiquissimúmque parentem, illum magnæ ciuitatis principem, & imperatorem inuicti exercitus, omnia gubernantem salubriter,

silentio texerunt, istis falso nominatis A imponendo aliâs alia vocabula. vocant enim terram Proserpinam, Plutonem, Cererem: mare Nuptunum, in cuius famuliciũ fingunt turbas maximas geniorum sexus vtriusque. Sic aerem Iunonem, ignem Vulcanum, solem Apollinem, lunam Dianam, luciferũ Venerem, stilbôta Mercurium: & aliis stellis indunt alia cognomina desumpta è fabulis, arte contextis confictisq; ad decipiendas aures credulas: mirificéq; sibi placent hac nominũ elegantia, dum B orbe dissecto in duo hemisphæria, alterũ superius ac conspicuũ, alterũ subterraneum, appellant ea gemellos Castores, & addunt prodigiosum mendacium de vita eorũ alternis diebus mutabili. cum enim cęlum continenter & irrequiete in orbẽ circũagatur, necessario cõsequitur vt hemisphæriũ vtrũque sũsq; dẽq; feratur alternis diebus, sicut nobis videtur: nam re vera in orbibus nihil est superius aut inferius: C sed iuxta situm nostrum ista dicuntur, quæ super caput supera, infera quę cõtraria. cæterum germanæ philosophiæ studiosus puréq; pietatis sectator, discit egregiam sententiam, nullam mũdi partem suimet compotem, & suomet arbitratu agere: genitæ sunt enim vtique: generatio vero corruptionis est principium, quamuis creatoris prouidentia immortalitatem adipiscantur quæ aliquando non fuerant. at de Deo dicere quod aliquando non fuerit, & D aliquo tẽpore natus sempiternitatem acceperit, nefas est. sed nonnulli tam peruerse iudicant', vt non solum Deos credant quos diximus, verum etiam vnumquemque horũ esse Deum summum & maximum, cui vere nomen id conueniat: siue quia habent ingenium indocile, siue quia non curant discere, quippe qui præter ista sensibilia nullũ inuisibilem intelligibilémque rerum autorem existimant esse, quod tamen E euidentissimis argumentis potuissent cognoscere. cum enim animæ suæ acceptum referant vitam, consilia, cæteráque officia, nunquam tamen potuerunt animam corporeis oculis inspicere, quamuis nihil non facturi, vt sibi liceret videre imaginem eius augustissimam, è cuius contemplatione possent transire ad cogitationem de Deo sempiterno ac ingenito, mundi gubernatore atque conseruatore, quem inuisibiliter temperat. Quemadmodũ igitur

παρεκαλύψαντο, ψευδωνύμους προσρήσεις ἑκάστοις ἐπιφημίσαντες, ἑτέρας ἑτέροις. καλοῦσι γὰρ τὴν γῆν, κόρην, δήμητρα, πλούτωνα· τὴν δὲ θάλατταν, ποσειδῶνα, δαίμονας ἐναλίους ὑπάρχους αὐτοῦ προσαναπλάττοντες, καὶ θεραπείας, ὁμίλους μεγάλους ἀρρένων τε καὶ θηλειῶν· ἥραν δὲ τὸν ἀέρα, καὶ τὸ πῦρ ἥφαιστον, καὶ ἥλιον ἀπόλλωνα, καὶ σελήνην ἄρτεμιν, καὶ ἑωσφόρον ἀφροδίτην, καὶ στίλβοντα ἑρμῆν, καὶ τῶν ἄλλων ἀστέρων ἑκάστου τὰς ἐπωνυμίας μυθογράφοι παρέδοσαν, οἳ πρὸς ἀπάτην ἀκοῆς εὖ τετεχνασμένα πλάσματα συνυφαίνοντες, ἔδοξαν περὶ τὴν τῶν ὀνομάτων θέσιν κεκομψεῦσθαι, τόν τε οὐρανὸν εἰς ἡμισφαίρια τῷ λόγῳ δίχα διανείμαντες, τὸ μὲν ὑπὲρ γῆς, τὸ δὲ ὑπὸ γῆς, διοσκόρους ἐκάλεσαν, περὶ τῆς ἑτερημέρου ζωῆς αὐτῶν προστερατευσάμενοι διήγημα. τοῦ γὰρ οὐρανοῦ συνεχῶς καὶ ἀπαύστως ἀεὶ κύκλῳ περιπολοῦντος, ἀνάγκη τῶν ἡμισφαιρίων ἑκάτερον ἀντιμεθίστασθαι παρ' ἡμέραν ἄνω τε καὶ κάτω γινόμενον ἴσα τῷ δοκεῖν. ἄνω γὰρ καὶ κάτω πρὸς ἀλήθειαν οὐδὲν ἐν σφαίραις. πρὸς δὲ τὴν ἡμετέραν σχέσιν, αὐτὸ μόνον εἴωθε λέγεσθαι, τὸ μὲν ὑπὲρ κεφαλῆς ἄνω, κάτω δὲ τοὐναντίον. τῷ δὲ φιλοσοφεῖν ἀνόθως ἐγνωκότι, καὶ ἀδόλου καὶ καθαρᾶς εὐσεβείας μεταποιουμένῳ, κάλλιστον καὶ ὁσιώτατον ὑφηγεῖται παράγγελμα, μηδὲν τῶν τοῦ κόσμου μερῶν αὐτοκρατὲς ὑπολαμβάνειν εἶναι. καὶ γὰρ γέγονε· γένεσις δὲ, φθορᾶς ἀρχή, κἂν προνοίᾳ τοῦ πεποιηκότος ἀθανατίζηται, καὶ ἦν ποτε χρόνος ὅτε οὐκ ἦν· θεὸν δὲ, πρότερον μὲν οὐκ ὄντα, καὶ ἀπό τινος χρόνου γενόμενον καὶ μὴ διαιωνίζοντα λέγειν οὐ θεμιτόν. ἀλλὰ γὰρ ἔνιοι περὶ τὰς κρίσεις ἀπονοίᾳ τοσαύτῃ κέχρηνται, ὡς οὐ μόνον τὰ εἰρημένα θεοὺς νομίζειν, ἀλλὰ καὶ ἕκαστον αὐτῶν μέγιστον καὶ πρῶτον θεόν, τὸν ὄντως ὄντα ἢ οὐκ εἰδότες ἀδιδάκτῳ τῇ φύσει, ἢ οὐ σπουδάζοντες μαθεῖν, ἕνεκα τοῦ μηδὲν ἔξω τῶν αἰσθητῶν ἀόρατον καὶ νοητὸν αἴτιον ὑπολαμβάνειν εἶναι, καί τοι σαφεστάτης ἐγγὺς παρακειμένης πίστεως. ψυχῇ γὰρ ζῶντες καὶ βουλευόμενοι, καὶ πάνθ' ὅσα κατὰ τὸν ἀνθρώπινον βίον δρῶντες, οὐδέποτε ψυχὴν ὀφθαλμοῖς σώματος ἴσχυσαν θεάσασθαι, καί τοι φιλοτιμηθέντες ἂν πάσας φιλοτιμίας, εἴ πως ἰδεῖν οἷόν τε ἦν ἄγαλμα τῶν ἱεροπρεπέστατον, ἀφ' οὗ κατὰ μετάβασιν εἰκὸς ἦν ἔννοιαν τοῦ ἀγενήτου καὶ ἀιδίου λαβεῖν, ὃς ἅπαντα τὸν κόσμον ἡνιοχῶν σωτηρίως, ἀόρατος ὢν κατευθύνει. καθάπερ οὖν τοῦ μεγάλου

βασιλέως τιμὰς εἴ τις τοῖς ὑπάρχοις καὶ σατράπαις ἀπένεμεν, ἔδοξεν ἂν οὐκ ἀγνωμονέστατος εἶναι μόνον, ἀλλὰ καὶ ῥιψοκινδυνότατος, χαριζόμενος τὰ δεσπότου δούλοις· τὸν αὐτὸν δή που καὶ τοῖς αὐτοῖς γεραίρων τὸν πεποιηκότα τοῖς γεγονόσιν, ἴστω πάντων ἀβουλότατος ὢν καὶ ἀδικώτατος, ἴσα διδοὺς ἀνίσοις, οὐκ ἐπὶ τιμῇ τῶν ταπεινοτέρων, ἀλλ' ἐπὶ καθαιρέσει τοῦ κρείττονος. εἰσὶ δ' οἳ καὶ προσυπερβάλλουσιν ἀσεβείᾳ, μηδὲ τὴν ἴσην μεταδιδόντες, ἀλλὰ τοῖς μὲν τὰ πάντα τῶν ἐπὶ τιμῇ χαριζόμενοι, τῷ δ' οὐδὲ νέμοντες, ἀλλ' οὐδὲ μνήμης τὸ κοινότατον ἀξιοῦντες. ἐπιλήθονται γὰρ οὗ μόνου προσῆκον ἦν μεμνῆσθαι, ἐπιτηδεύοντες οἱ βαρυδαίμονες ἑκούσιον λήθην· ἔνιοι δὲ καὶ στομάργῳ κατεχόμενοι λύττῃ, τὰ δείγματα τῆς ἐνιδρυμένης ἀδικίας εἰς μέσον προφέροντες, βλασφημεῖν ἐπιχειροῦσι τὸ θεῖον, ἀκονησάμενοι κατήγορον γλῶτταν, ἅμα καὶ λυπεῖν ἐθέλοντες τοὺς εὐσεβοῦντας, οἷς ἄλεκτον καὶ ἀπαρηγόρητον εὐθὺς εἰσδύεται πένθος, τὴν ὅλην πυρπολοῦν ψυχὴν δι' ὤτων, ἥ τις τῶν ἀνοσίων ἑλέπολις, τοῦτ' ἔστι μόνον ᾧ τοὺς φιλοθέους ἐπιστομίζουσι, νομίζοντες ὑπὲρ τοῦ μὴ παροξῦναι ἐν τῷ παρόντι κάλλιον τὴν ἡσυχίαν. πᾶσαν οὖν τὴν τοιαύτην τερθρείαν ἀπωσάμενοι, τοὺς ἀδελφοὺς φύσει μὴ προσκυνῶμεν, εἰ καὶ καθαρωτέρας καὶ ἀθανατωτέρας οὐσίας ἔλαχον. ἀδελφὰ δ' ἀλλήλων τὰ γενόμενα, καθὸ γέγονεν· ἐπεὶ καὶ πατὴρ ἁπάντων ὁ ποιητὴς τῶν ὅλων ἐστίν· ἀλλὰ καὶ διανοίᾳ, καὶ λόγῳ, καὶ πάσῃ δυνάμει τῇ τοῦ ἀγενήτου, καὶ ἀιδίου, καὶ τῶν ὅλων αἰτίου θεραπείᾳ, σφόδρ' εὐτόνως καὶ ἐρρωμένως ἐναποδυώμεθα, μὴ ὑποκατακλινόμενοι μηδ' ὑπείκοντες ταῖς τῶν πολλῶν θρησκείαις, ἀφ' ὧν καὶ οἱ δυνάμενοι σῴζεσθαι διαφθείρονται. πρῶτον οὖν παράγγελμα καὶ παραγγελμάτων ἱερώτατον στηλιτεύσωμεν ἐν αὐτοῖς, ἕνα τὸν ἀνωτάτω νομίζειν τε καὶ τιμᾶν θεόν· δόξα δ' ἡ πολύθεος μηδ' ὤτων ψαυέτω καθαρῶς καὶ ἀδόλως ἀνδρὸς εἰωθότος ζητεῖν ἀλήθειαν. ἀλλ' ὅσοι μὲν ἡλίου καὶ σελήνης καὶ τοῦ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου καὶ τῶν ἐν αὐτοῖς ὁλοσχερεστάτων μερῶν ὡς θεῶν προπολοί τε καὶ θεραπευταί, διαμαρτάνουσι μέν· πῶς γὰρ οὔ, τοὺς ὑπηκόους τοῦ ἄρχοντος σεμνύνοντες; ἧττον δὲ τῶν ἄλλων ἀδικοῦσι, τῶν ξύλα καὶ λίθους, ἄργυρόν τε καὶ χρυσόν, καὶ τὰς παραπλησίους ὕλας μορφωσάντων, ὡς φίλον ἑκάστοις, εἶτ' ἀγαλμάτων καὶ ξοάνων, καὶ τῶν ἄλλων χειροκμήτων, ὧν πλαστικὴ καὶ ζωγραφία καὶ δημιουργία μεγάλα ἔβλαψε τὸν ἀνθρώπινον βίον, καταπλησάντων τὴν οἰκουμένην·

A si quis magni regis honores satrapis eius præfectisq; exhiberet, nō stulticiæ solum argueretur, sed & periculosæ audaciæ, tribuens seruis, quod debetur Domino: ita quicúnq; sic creaturas colit vt creatorem, sciat se impudentissimum & iniustissimū, qui paria largiatur imparibus, non tam in honorē inferiorum, quàm in potioris contumeliā. Verum hos quoq; impietate superant, qui ne parem quidē honorē habent vtrisque, sed alteros omni cultu dignantur, B alterum adeò nullo, vt eius nec meminerint. Nec solum obliuiscuntur cuius minime debuerant, sed homines miserrimi augent eam obliuionem data opera. Nec desunt quidā vaniloqui rabulæ, quos non pudet impietatē suam proferre in medium, & maledicam linguam contra Deum acuere, vt contristent pios & in dolorem coniiciāt maximum, dum verba per aures ingressa vrunt totā animā: quod impij his vtan-C tur machinis, & amicos Dei adigāt ad silentium, ne forte aduersarij per contentionē proritentur ad maiores blasphemias. Amota igitur omni superstitione germanas nobis naturas nō adoramus, ne immortales quidem & purissimas. intercedit autem inter creaturas quædā germanitas hoc ipso quod creatæ sunt: quandoquidem creator omniū idem etiam pater est vniuersorū. proinde malumus totam mentem, totā rationem, vires omnes exercere ad cultū ingeniti sempiterniq; autoris rerū, nō D submittendo nos vulgaribus religionibus, quę multos perdūt qui aliás seruari poterant: & primum illud sanctissimúmque præceptum penitus inscribimus pectori, vnum summum Deū credendum esse colendúmque iat multorum deorum religio ne in aures quidem puras admittitur hominum sedulo veritati studentium. Ergo quotquot solis, lunæ, cæli, mundi, præcipuarumque huius partium cultores habentur & huiusmodi sacrorum anti-E stites, peccant proculdubio, dum posthabito principe venerantur eius subditos, minus tamen à recto declinant, quam qui ligna, lapides, argentum, aurum, similésque materias formatas, vt cuique libuit, vertunt in statuas ac simulacra, cæteráque manufacta opera: qua parte fictorum pictorúmque ars valde humanæ vitæ nocuit, omnes terras implentium his abominationibus.

exemerunt enim robur ex anima, persuasionem veram de semper viuente Deo, vt vacillet tanquam male saburratum nauigium, huc illuc vndis iactatum, cui nec facile portum attingere, nec tutum in statione aliqua interquiescere, propter cæcutientes circa veritatem oculos mentis, quam solam videre debuerant. ego certe tales miseriores iudico, quam orbatos corporeis oculis. nam hi mulctati sunt aut incurabili morbo aut inimicorum insidiis: illi suapte voluntate obscurarunt visum animæ, aut omnino perdiderunt. Quapropter alteris miseratio debetur vt infortunitatis calamitosisque, alteris pœna vt vltro complexis miseriam ac maliciam: qui ne illud quidem considerant quod vel pueris est conspicuum, artificem præstantiorem & antiquiorem suo esse opificio. iuxta tempus enim prior est cum sit quasi pater: potentia quoque superior, quanto id quod agit præcellit ea quæ patiuntur. certe si error placuit, pictores ac statuarij magis merebantur vt consecrarentur & diuinos honores acciperent, nunc ipsis contemptis ac si nihil præstitissent egregium, pro dijs habentur eorum opera: & cum artifices sæpe inhonorati in egestate consenuerint, absumptique sint variis casibus, opera eorum exornantur purpura & auro luxúque cætero quem diuitiæ suppeditant, adorantúrque religiose non solum ab ingenuis, verum & à nobilibus honestaque specie præditis. nam in sacerdote & genus examinatur vt sit inculpabile, & corporis partium modus competens, vt sit vsque quaque integrum. nec hic gradum sistit impietas, procedit vlterius. noui enim quosdam qui à se factis simulacris preces votiuásque victimas offerunt, iustius vtramque manum suam adoraturi, aut si hoc nollent vitantes crimen arrogantiæ, saltem incudes, malleos, scalpra, forcipes, ferramentáque cætera quibus materiæ formam addiderant. huiusmodi homines deploratæ amentiæ libet sic increpare: Heus vos viri egregij, votorum summa & felicitatis finis est reddi Deo similem. orate igitur vt similes fiatis vestris statuis, & summa felicitate fruamini, non videntes oculis, non audientes auribus, nec respirantes nec olfactantes naribus,

A τὸ γὰρ κάλλιστον ἔρεισμα τῆς ψυχῆς ἐξεκόψαν, τὴν περὶ τοῦ ζῶντος ἀεὶ θεοῦ προσήκουσαν ὑπόληψιν, ὥσπερ τὰ ἀνερμάτιστα σκάφη, ὧδε κἀκεῖσε σαλεύουσι διαφερόμενοι τὸν αἰῶνα, μηδέποτ' εἰς λιμένα καταραι, μηδ' ἐνορμίσασθαι βεβαίως ἀληθείᾳ δυνάμενοι, τυφλώττοντες περὶ τὸ θέας ἄξιον, πρὸς ὃ μόνον ὀξυδορκεῖν ἀναγκαῖον ἦν. καί μοι δοκοῦσι τῶν τὰς τοῦ σώματος ὄψεις πεπηρωμένων ἀθλιώτερον ζῆν. ἐκεῖνοι μὲν γὰρ, ἀκουσίως ἐβλάβησαν, ἢ νόσον ὀφθαλμῶν χαλεπὴν ὑποστάντες, ἢ
B πρὸς ἐχθρῶν ἐπιβουλευθέντες· οἱ δ' ἑκουσίῳ γνώμῃ τὸ τῆς ψυχῆς ὄμμα οὐκ ἠμαύρωσαν μόνον, ἀλλὰ καὶ παντελῶς ἀποβαλεῖν ἠξίωσαν· ὅθεν τοῖς μὲν ἔλεος, ὡς ἠτυχηκόσι· τοῖς δὲ κόλασις ὡς μοχθηροῖς ἕπεται δικαίως, οἳ μετὰ τῶν ἄλλων οὐδὲ τὸ προχειρότατον συνεῖδον, ὃ καὶ παῖς ἔγνω νήπιος, ὅτι τοῦ τεχνιτευθέντος ὁ τεχνίτης ἀμείνων, καὶ χρόνῳ· πρεσβύτερος γὰρ καὶ τρόπον τινὰ τοῦ δημιουργηθέντος πατήρ· καὶ δυνάμει. τὸ γὰρ δρῶν τοῦ πάσχοντος ἐπι-
C κυδέστερον· καὶ δέον εἴπερ ἐξημάρτανον, τοὺς ζωγράφους αὐτοὺς καὶ ἀνδριαντοποιοὺς ὑπερβολαῖς τιμῶν ἐκτεθειωκέναι, τοὺς μὲν εἴασαν ἀφανεῖς, οὐδὲν πλέον παρασχόντες, τὰ δ' ὑπ' ἐκείνων δημιουργηθέντα πλάσματα καὶ ζωγραφήματα, θεοὺς ἐνόμισαν. καὶ οἱ μὲν τεχνῖται πολλάκις ἄποροι καὶ ἄδοξοι κατεγήρασαν, ἀτυχίαις ἐπαλλήλοις ἐναποθανόντες· τὰ δὲ τεχνιτευθέντα πορφύρᾳ καὶ χρυσῷ καὶ ταῖς ἄλλαις πολυτελείαις, ἃς πλοῦτος χορηγεῖ, σεμνοποιεῖται, θεραπεύεταί τε οὐ πρὸς ἐλευθέρων
D μόνον, ἀλλὰ καὶ εὐπατριδῶν, καὶ τὸ σῶμα καλλίστων. ἱερέως γὰρ τὸ γένος ἐξετάζεται μετὰ πάσης ἀκριβείας εἰ ἀνεπίληπτον, καὶ ἡ κοινωνία τῶν τοῦ σώματος μερῶν, εἰ σύμπασα ὁλόκληρος. καὶ οὔπω τοῦτο δεινὸν, καίτοι δεινὸν ὂν, ἀλλ' ἐκεῖνο παγχάλεπον· ἤδη γάρ τινας οἶδα τῶν πεποιηκότων τοῖς πρὸς αὐτῶν γεγονόσιν εὐχομένους τε καὶ θύοντας, οἷς πολὺ βέλτιον ἦν ἑκατέραν τῶν χειρῶν προσκυνεῖν· εἰ δὲ μὴ βούλοιντο δόξαν φιλαυτίας ἐκτρεπόμενοι, σφύρας γοῦν καὶ ἄκμονας, καὶ γραφίδας, καὶ καρ-
E κίνους, καὶ τἆλλα ἐργαλεῖα, δι' ὧν ἐμορφώθησαν αἱ ὗλαι· καίτοι πρὸς τούτους οὕτως ἀπονενοηκότας ἄξιον παρρησιασαμένοις εἰπεῖν, εὐχῶν ἀρίστη ἐστὶ καὶ συμβέβηκεν ὦ γενναῖοι, καὶ τέλος εὐδαιμονίας, τὴν πρὸς θεὸν ἐξομοίωσιν. εὔχεσθε οὖν ὑμεῖς ἐξομοιωθῆναι τοῖς ἀφιδρύμασιν, ἵνα τὴν ἀνωτάτω καρπώσησθε εὐδαιμονίαν, ὀφθαλμοῖς μὴ βλέποντες, ὠσὶ μὴ ἀκούοντες, μυκτῆρσι μὴ ἀναπνέοντες, μήτε ὀσφραινόμενοι, στόματι μὴ φω-

θύοντες, μηδὲ λαλοῦμενοι, χερσὶ μήτε λαμβάνοντες, μήτε διδόντες, μήτε δρῶντες, ποσὶ μὴ βαδίζοντες, μηδ᾽ ἄλλῳ τινὶ τῶν μερῶν ἐνεργοῦντες, ἀλλ᾽ ὥσπερ ἐν εἱρκτῇ τῷ ἱερῷ φρουρούμενοι καὶ φυλαττόμενοι, μεθ᾽ ἡμέραν τε καὶ νύκτωρ τὸν ἀπὸ τῶν θυομένων ἀεὶ καπνὸν ἀσπῶντες· ἓν γὰρ τοῦτο ἀγαθὸν μόνον προσαπλάττεται τοῖς ἀφιδρύμασιν. ἀλλ᾽ ἔγωγε νομίζω ταῦτα ἀκούοντας, οὐχ ὡς ἐπ᾽ εὐχαῖς, ἀλλ᾽ ὡς ἐπὶ κατάραις ἀγανακτήσειν καὶ τρέψεσθαι πρὸς λοιδορίας ἀμύνας, ἀντικατηγοροῦντας· ὃ μέγιστον ἂν εἴη τεκμήριον τῆς ἐπιπολαζούσης ἀσεβείας ἀνθρώπων, θεοὺς νομιζόντων, οἷς ὅμοιοι ταῖς φύσεις ἀπεύξαιντ᾽ ἄν ποτε γενέσθαι. μηδεὶς οὖν τῶν ἐχόντων ψυχὴν ἀψύχῳ τινὶ προσκυνείτω. πάνυ γὰρ τῶν ἀτόπων ἐστὶ, τὰ τῆς φύσεως ἔργα πρὸς θεραπείας τετράφθαι τῶν χειροκμήτων. Αἰγύπτιοι δ᾽ οὐ μόνον τὸ κοινὸν ἔγκλημα χώρας ἁπάσης, ἀλλὰ καὶ ἕτερον ἐξαίρετον ἐπάγονται δεόντως. πρὸς γὰρ ξοάνοις καὶ ἀγάλμασιν, ἔτι καὶ ζῷα ἄλογα παραγηόχασιν εἰς θεῶν τιμάς, ταύρους, καὶ κριούς, καὶ τράγους, ἐφ᾽ ἑκάστου μυθικὸν πλάσμα τερατευσάμενοι. καὶ ταῦτα μὲν ἴσως ἔχει τινὰ λόγον· ἡμερώτατα γὰρ καὶ ὠφελιμώτατα βίῳ. ἀροτὴρ ὁ βοῦς, αὔλακας ἀνατέμνει εἰς τὰς σποράς, ἀλοᾶσθαι πάλιν, ὅτε μὲν δέῃ τὸν καρπὸν καθαίρεσθαι, δυνατώτατος· ὁ κριὸς τῶν σκεπασμάτων τὸ κάλλιστον ἐσθῆτα προφέρει. γυμνὰ γὰρ ἂν τὰ σώματα διεφθείρετο ῥᾳδίως, ἢ διὰ θάλπος, ἢ διὰ κρύος ἄμετρον, τοτὲ μὲν τοῦ ἀφ᾽ ἡλίου φλογμοῦ, τοτὲ δ᾽ ἀπ᾽ ἀέρος περιψυχθέντος· νυνὶ δὲ καὶ προσυπερβάλλοντες, τῶν ἀνημέρων τὰ ἀγριώτατα καὶ ἀτιθασώτατα, λέοντας, καὶ κροκοδείλους, καὶ ἑρπετῶν τὴν ἰοβόλον ἀσπίδα γεραίρουσιν ἱεροῖς καὶ τεμένεσι, θυσίαις τε καὶ πανηγύρεσι, καὶ πομπαῖς, καὶ τοῖς παραπλησίοις· ἀφ᾽ ἑκατέρου γὰρ τῶν εἰς χρῆσιν δοθέντων ἀνθρώποις ὑπὸ θεοῦ, γῆς καὶ ὕδατος, διερευνησάμενοι τὰ ἀγριώτατα, οὔτε χερσαῖον λέοντος θηριωδέστερον ἀνεῦρον, οὔτε κροκοδείλου τῶν ἐνύδρων ἀγριώτερον, ἃ σέβουσι καὶ τιμῶσι· πολλὰ μέντοι καὶ ἄλλα ζῷα, κύνας, αἰλούρους, λύκους, πτηνὰ, ἴβιδας, καὶ ἱέρακας, καὶ πάλιν ἰχθύων ἢ ὅλα τὰ σώματα, ἢ μέρη πάντων ἐκτεθειώκασιν· ὧν τί ἂν γένοιτο καταγελαστότερον; καὶ δὴ τῶν ξένων οἱ πρῶτον εἰς Αἴγυπτον ἀφικνούμενοι, πρὶν τὸν ἐγχώριον τῦφον ταῖς διανοίαις εἰσοικίσασθαι, ἐκτεθνήκασι χλευάζοντες· ὅσοι δὲ παιδείας ὀρθῆς ἐγεύσαντο, τὴν ἐπ᾽ ἀσέμνοις σχήμασι σεμνοποιίαν καταπλαγέν-

A ore nec loquentes nec gustantes, manibus nec dantes nec capientes nec agentes quicquam aliud, pedibus non incedentes, ociosique omnibus partibus corporis, templo inclusi asseruatique tanquam in carcere adhibitis interdiu noctúq; custodijs, & inibi haurientes nidorem ac fumum exhalātem è victimis. nam hoc vno cōmodo frui statuas sacratas, falso licet, creditis tamen. atqui reor, talia dicentem non vt fausta ominantem audirent libenter, B sed vt diras imprecantem auersarentur, conuiciisque vicissim proscinderent: quod ingens argumentum est impietatis hominum nimiæ, opinionem diuinæ maiestatis concipientium de his, quibus deprecantur abominantúrque similes fieri. nemo igitur animam habens adoret brutas res cassas animis, indecorum enim & iniquum est, opus naturæ submittere se operibus artificum. cæterum Ægyptiis non satis est C in eodem cum reliquis hærere crimine, habent & aliud suum eximium: qui non solum delubra venerantur cum sacratis statuis, sed etiam animantes mutas in deorum numerum referunt, tauros, hircos, arietes, affingendos suas cuique fabulas. hæc tamen habent fortasse quandam recti speciem. prosunt enim vitæ, bos arando & terram prædomando ad futuras segetes, triturando item quando fruges conduntur in horrea: aries prębendo tegmina com- D modissima contra tempestatum iniurias, siue ardores solis nimios, siue immoderatum frigus aëris. cæterū quod immanes crocodilos, ferocissimos, leones, virulentásque aspides pariter templis, lucis, aris, sacrificiis, fastis, pompísque honorant, quæso cuius pietatis est aut prudentiæ? in vtroque elemento diuinitus concesso ad vsum hominum, terras & aquas scrutati, nec inter feras leone ferocius quicquam in- E uenire potuerunt, nec inter aquaticas beluas crocodilo crudelius, quos adorant pro numinibus. nec hos solum, sed & animantes alias, canes, feles, lupos, è volucribus ibides & accipitres, pisces quoque aut integros aut membratim consecrant: quod sine risu dici non potest. certe hospites recens in Ægyptum delati, priusquam asuescant eius prouinciæ vanitatibus, abhorrent ab eis vsque ad tædium. Quod si qui eruditi sunt liberalius, obstupescunt dum vident in honore esse res vilissimas,

& his viliores cultores ipsos miserantur, animo transformatos in illas animantes, bestias obambulantes sub humana specie. sublatis igitur è iure diuino huiusmodi factitijs dijs omnibus, ad veri Dei cultum lex nos reuocat, quamuis ille opus eo non habeat, nimirum ipse sibi sufficiens, nullius indigus. sed hoc tantum agitur vt humanum genus ab errore in viam rectam redeat, & naturæ ductum sequendo finem optimum inueniat, Entis veram noticiam, qui est summum bonum & absolutissimum, à quo ceu fonte mundus rigatur bonis istis particularibus. Hactenus & de secundo præcepto quantum potuimus, deinceps excutiamus tertium, hoc est, Non assumes Dei nomen in vanum. Et ordo quidem per se patet mentibus perspicacibus. semper enim nomen rem tanquam vmbra corpus sequitur. ergo postquam dixit de essentia honoréque eius qui semper est, secutus rerum seriem, ita vt decet præcipit de vsu eius nominis. multis enim & variis modis in hac parte peccant homines. proinde vtilissimum fuerit & rationali naturæ conuenientissimum, omnino abstinere à iureiurando, & sic veritati asuescere, vt simplex sermo vim iuramenti habeat. secundaria vero iuxta prouerbium nauigatio, est recte iurare. iam enim qui iurat suspectus est de perfidia. Sit igitur cunctator & procrastinator, si forte differendo possit euitare ne iuret. Quod si qua incumbat necessitas, dispicienda sunt curiose singula, de quibus fit controuersia: Est enim iusiurandum non exiguum negotium, tametsi contemnitur propter consuetudinem, videlicet testimonium Dei de rebus dubijs. Deum autem citare testem mendacij, scelus est nefarium. Introspice, si libet, falso iurantis animum. Aspicies eum non quiescere, sed plenum tumultu trepidationéque, accusatum à seipso & sibi ipsi facientem conuicium modis omnibus. Insita enim à natura cuique conscientia non solet admittere quicquam culpabile, propter natiuũ virtutis amorem & viciorum odium, eadem accusatrix ac iudex, primò indignatione pudorem incutiens, deinde more iudicis docens, monens, præcipiens mutare propositum.

A τες, οἰκτίζονται τοὺς χρωμένους, ἀθλιωτέρους, ὅπερ εἰκός, εἶναι ὑπολαμβάνοντες τῶν τιμωμένων, μεταβεβληκότας εἰς ἐκεῖνα τὰς ψυχάς, ὡς ἀνθρωπόμορφα θηρία περινοστεῖν δοκεῖν. ἀνελὼν οὖν ἐκ τῆς ἱερᾶς νομοθεσίας πᾶσαν τὴν τοιαύτην ἐκθέωσιν, ἐπὶ τὴν τοῦ πρὸς ἀλήθειαν ὄντος θεοῦ τιμὴν ἐκάλεσεν, ἑαυτοῦ τιμῆς οὐ προσδεόμενος· οὐ γὰρ ἑτέρου χρεῖος ἦν ὁ αὐταρκέστατος ἑαυτῷ· βουλόμενος δὲ τὸ γένος τῶν ἀνθρώπων ἀνοδίαις πλανώμενον εἰς
B ἀπλανεστάτην ἀγαγεῖν ὁδόν, ἵν' ἑπόμενοι τῇ φύσει τὸ ἄριστον εὕρηται τέλος, ἐπιστήμην τοῦ ὄντως ὄντος, ὅς ἐστι τὸ πρῶτον ἀγαθὸν καὶ τελεώτατον, ἀφ' οὗ τρόπον πηγῆς ἄρδεται τῷ κόσμῳ καὶ τοῖς ἐν αὐτῷ τὰ ἐπὶ μέρους ἀγαθά. διειλεγμένοι δὲ καὶ περὶ τοῦ δευτέρου παραγγέλματος, ὅσα οἷόν τε ἦν, τὴν ἑπομένην κατὰ τὸ ἑξῆς ἀκριβώσωμεν· ἔστι δέ, μὴ λαμβάνειν ὄνομα θεοῦ ἐπὶ ματαίῳ. τὰ μὲν οὖν τῆς τάξεως, γνώριμα τοῖς διανοίας ὀξυδερκοῦσιν. ὄνομα γὰρ αἰεὶ δεύτερον ὑποκειμένου πράγματος, σκιᾷ
C παραπλήσιον, ἣ παρέπεται σώματι. προειπὼν οὖν περὶ τῆς ὑπάρξεως καὶ τιμῆς τοῦ αἰεὶ ὑπάρχοντος, ἑπόμενος τῷ τῆς ἀκολουθίας εἱρμῷ, τὰ πρέποντα καὶ περὶ τῆς κλήσεως εὐθὺς παρήγγειλε. πολύτροποι γὰρ καὶ πολυειδεῖς αἱ περὶ τοῦτο τὸ μέρος τῶν ἀνθρώπων ἁμαρτίαι. κάλλιστον δὴ καὶ βιωφελέστατον καὶ ἁρμόττον λογικῇ φύσει, τὸ ἀνώμοτον, οὕτως ἀληθεύειν ἐφ' ἑκάστου δεδιδαγμένῃ, ὡς τοὺς λόγους ὅρκους εἶναι νομίζεσθαι· δεύτερος δέ φασι πλοῦς τὸ εὐορκεῖν· ἤδη γὰρ ὅ γε ὀμνύς, εἰς ἀπιστίαν
D ὑπονοεῖται. μελλητὴς οὖν ἔστω καὶ βραδὺς εἴ πως ἐνδέχοιτο ταῖς ὑπερθέσεσιν ἀπώσασθαι τὸν ὅρκον· εἰ δέ τις ἀνάγκη βιάζοιτο, περισκεπτέον οὐ παρέργως ἕκαστα τῶν ἐμφερομένων. ἔστι γὰρ πρᾶγμα οὐ μικρόν, εἰ καὶ τῷ ἔθει καταφρονεῖται. μαρτυρία γάρ ἐστι θεοῦ περὶ πραγμάτων ἀμφισβητουμένων, ὅρκος· μάρτυρα δὲ καλεῖν ἐπὶ ψευδεῖ θεὸν ἀνοσιώτατον. ἴθι γάρ, εἰ βούλει τῷ λόγῳ διάκυψον εἰς τὴν τοῦ μέλλοντος ὀμνύναι διάνοιαν ἐπὶ ψευδεῖ. θεάσῃ γὰρ αὐτὴν οὐκ ἠρεμοῦσαν, ἀλλὰ
E θορύβου καὶ ταραχῆς μεστήν, κατηγορουμένην, καὶ πάσας ὕβρεις καὶ βλασφημίας ὑπομένουσαν. ὁ γὰρ ἑκάστῃ ψυχῇ συνοικῶν, καὶ συμπεφυκὼς ἔλεγχος, οὐδὲν εἰωθὼς παραδέχεσθαι τῶν ὑπαιτίων, μισοπονήρῳ καὶ φιλαρέτῳ χρώμενος αἰεὶ τῇ φύσει, κατήγορος ὁμοῦ καὶ δικαστὴς ὁ αὐτὸς ὤν, διακινηθείς, ὡς μὲν κατήγορος αἰτιᾶται, κατηγορεῖ, δυσωπεῖ· πάλιν δ' ὡς δικαστὴς διδάσκει, νουθετεῖ, παραινεῖ μεταβάλλεσθαι.

καὶ

κἂν μὲν ἰσχύσῃ πεῖσαι, γηθήσας καταλλάττεται, μὴ δυνηθεὶς δὲ ἀσπονδεῖ, πολεμεῖ, μήτε μεθ' ἡμέραν μήτε νύκτωρ ἀφιστάμενος, ἀλλὰ κεντῶν καὶ τιτρώσκων ἀνίατα, μέχρις ἂν τὴν ἀθλίαν καὶ ἐπάρατον ζωὴν ἀπορρήξῃ. τί λέγεις. εἴποιμ' ἂν πρὸς τὸν ἐπίορκον· τολμήσεις τινὶ τῶν συνήθων γνωρίμων φάναι προσελθών, ὦ οὗτος, ἃ μήτ' εἶδες μήτ' ἤκουσας, ὡς ἰδών, ὡς ἀκούσας, ὡς παρηκολουθηκὼς ἅπασιν, ἀφικόμενός μοι μαρτύρησον, ἐγὼ μὲν οὐκ οἶμαι. μανίας γὰρ ἀκράτου τὸ ἔργον. τίσιν ὀφθαλμοῖς νήφων καὶ ἐν σαυτῷ διακείμενος προσιδὼν τὸν φίλον ἐρεῖς. διὰ τὴν ἑταιρείαν ἀδικοπράγει, παρανόμει, ἀσέβει μοι. δῆλον γὰρ ὡς εἰ ταῦτ' ἀκούσει, πολλὰ χαίρειν φράσας ἑταιρείᾳ τῇ νομιζομένῃ, κακίσας αὑτόν, ὅτι τὴν ἀρχὴν ἀνδρὶ τοιούτῳ φιλίας ἐκοινώνησεν, ἀποπηδήσεται καθάπερ ἀπὸ θηρὸς ἀγριαίνοντος καὶ λελυττηκότος· εἶτα πρὸς ὃν μηδὲ φίλον ἀγαθὸν τολμήσεις, ἐπὶ ταῦτα μάρτυρα καλῶν θεόν, οὐκ ἐρυθριᾷς, ὃν πατέρα καὶ ἡγεμόνα τοῦ κόσμου; πότερον ἐπιστάμενος ὅτι πάνθ' ὁρᾷ καὶ πάντων ἀκούει, ἢ τοῦτο ἀγνοῶν. εἰ μὲν ἀγνοεῖς, ἄθεός τις εἶ· πηγὴ δὲ πάντων ἀδικημάτων ἀθεότης· πρὸς δὲ τῷ ἀθέῳ καὶ καταστρατηγεῖς τὸν ὅρκον, ὀμνὺς κατὰ τοῦ μὴ προσέχοντος, ὡς ἐπιμελομένου τῶν ἀνθρωπείων πραγμάτων· εἰ δ' ὅτι προνοεῖ σαφῶς εἰδώς, ὑπερβολὴν ἀσεβείας οὐ καταλέλοιπας, λέγων εἰ καὶ μὴ στόματι καὶ γλώττῃ, τῷ γοῦν συνειδότι πρὸς τὸν θεόν, σὺ ψευδῆ μοι μαρτύρει, συγκακούργει, συρραδιούργει· μία μοι τοῦ παρ' ἀνθρώποις εὐδοκιμεῖν ἐλπίς, τὸ παρακαλύψασθαι τὴν ἀλήθειαν· ὑπὲρ ἑτέρου πονηρὸς γενοῦ, ὑπὲρ τοῦ χείρονος ὁ κρείττων, ὑπὲρ ἀνθρώπου. καὶ ταῦτα μὴ θεὸς, θεὸς ὁ πάντων ἄριστος. εἰσὶ δ' οἱ μηδὲ κερδαίνειν μέλλοντες, ἔθει πονηρῷ κατακόρως καὶ ἀνεξετάστως ὀμνύουσιν ἐπὶ τοῖς τυχοῦσιν, οὐδενὸς ἀμφισβητουμένου τὸ παράπαν, τὰ μὲν αὐτῶν ἐν τῷ λόγῳ προσαναπληροῦντες ὅρκοις, ὡς οὐκ ἄμεινον ὂν ἀποκοπῆναι ῥήματα, μᾶλλον δὲ καὶ ἀφωνίαν ἐπιτηδεῦσαι παντελῆ. φύεται γὰρ ἐκ πολυορκίας ψευδορκία καὶ ἀσέβεια. διὸ χρὴ τὸν μέλλοντα ὀμνύναι πάντ' ἐπιμελῶς ἐξητακέναι καὶ σφόδρα ἀκριβῶς, τὸ πρᾶγμα, εἰ διαμέγεθες, καὶ εἰ γέγονεν ὄντως, καὶ εἰ προσαχθὲν κατείληφε παγίως, ἑαυτόν, εἰ καθαρεύει ψυχὴν καὶ σῶμα καὶ γλῶτταν, τὴν μὲν παρανομίας, τὸ δὲ μιασμάτων, τὴν δὲ βλασφημιῶν. οὐ γὰρ ὅσιον διὰ στόματος δι' οὗ τὸ ἱεροπρεπέστατον ὄνομα προσφέρεταί τις, διὰ τούτου φθέγγεσθαί τι τῶν αἰσχρῶν.

A Quæ si persuadere valuerit, gaudens accusatum recipit in gratiam: sin minus, irascitur infensa hostiliter, nocte diéque vrgens, stimulans, infligens insanabilia vulnera, donec abrumpat vitam execratam & miseram. Quid ais, inquam, tu periure? audebis improbe adire notum quenquam, & asseuerare quæ nec vidisti vnquam nec audisti, quasi visa, audita, te præsente acta omnia? depone testimonium. non facies opinor. Alioqui perniciosæ insaniæ
B peccatum committeres. Qua fronte sobrius ab amico peteres: commoda mihi maleficium, mea causa contra ius & fas age. proculdubio his auditis valere iubebit talem amicitiam, seipsum damnans quòd non initio abstinuisset, resiliétque abs te tanquam à rabida feráque bestia. & postea quod ab amico non audes postulare, ad id Deum vocas? itáne nulla inest tibi reuerentia parentis omnipotentis atque Domini? Scis an nescis illum
C inspicere omnia exaudiréque? si nescis, impius es. est autem fons omnium iniquitatum impietas. Præterea iurando præuaricaris & dolo malo agis, dum iuras per eum qui non animaduertit, quasi per prospicientem rebus hominum. Quod si nosti eius prouidentiam, nihil ad summam impietatem tibi facis reliquum, si non ore linguáque certe corde sic appellans Deum: dic pro me falsum testimonium, esto mihi sceleris & male-
D ficij socius. vna mihi spes superest tuendæ existimationis apud homines, si celetur veritas. esto alienæ maliciæ vicarius, melior deteriori subseruiens, Deus optimus scelesto homini. Et sunt qui etiam lucro nullo proposito subinde iurant temere ob malam consuetudinem, de rebus nihili, contradicente nemine, iureiurando supplentes orationem, quasi non satius esset dimidiatam mutilámve relinquere, imò prorsus obmutescere: quandoquidem ex frequenti iuramento nascitur periu-
E rium & impietas. Quapropter iuraturus debet omnes rei circumstantias diligenter perspicere, quanta sit, quàm vera, quàm bene à se percepta: tum seipsum considerare, num purus sit anima, corpore, lingua, illa ab iniquitatibus, hoc à piaculis, hac à maledicentia. nefas est enim per os quo profertur nomen illud sanctissimum, quicquam turpe progredi.

quæratur etiam tam loci quàm temporis opportunitas. Noui enim quosdam in profanis impurisque locis, vbi nec patris nec matris nec cuiuslibet honesti viri mentionem deceret fieri, deierare, & quasi conceptis verbis iusiurandum texere multis Dei cognominibus præter omne decorum, cum impietate maxima. Quod si cui hæc contemnenda videntur, sciat, se primo scelestum esse impurúmque: dein obnoxium diris vltricibus, per occasionem exacturis inclementer pœnas debitas tantis sceleribus: quas tametsi diuina iusticia non statim repræsentat sontibus, reddit tamen aliquando cum fœnore, quando maxime id è republica esse iudicat. Quartum præceptum commendat diem septimam, iubens eam sanctè piéque transigi. hanc ciuitates quædam singulis mensibus vt festam celebrant incipiendo numerationem à nouilunio: Iudæis vero sancta est septima quæque dies: cuius rei rationem in libro de opificio mundi reddidimus. constat enim mundum intra sex dies creatum: septima Deum quieuisse à suis operibus & approbasse quæ bene condiderat. Iussit igitur vt quicunque hæc instituta recepissent, sicut in cæteris, ita in hoc quoque Deum sequerentur, operando per sex dies, septima vero interquiescendo vacandóque contemplationi rerum & studio sapientiæ, retractando etiam cogitatione acta præterita & rationem eorum à se reposcendo, sicubi à legum præscripto aberratum fuerat, vt imposterum cautiores essent, prospiceréntque ne iterum impingerent in eadem offendicula. Verùm Deo satis fuit quod semel creationi mundi perfectionique sex dies impendit, quia non opus habet prolixo tempore: homo autem quisque cum sit mortalis & multis necessarijs ad vitam indigeat, impigre debet ea donec spirat quærere, sabbatorum quiete se reficiens. an non egregium præceptum, & ad omnem virtutem excitandam vtile, pietatem vero præcipue? Quasi dicat, Sequere semper Deum. habes exemplum & præscriptum operandi per sex dies, qui numerus suffecit vel mundi fabricæ. habes item aliud exemplum philosophandi & examinandi quæ facta sunt,

A ἐρευνάτω δὲ καὶ τὸν τόπον, καὶ καιρὸν ἐπιτήδειον. ἤδη γὰρ οἶδά τινας ἐν βεβήλοις καὶ ἀκαθάρτοις χωρίοις, ἐν οἷς οὔτε πατρὸς ἢ μητρὸς, ἀλλ' οὐδὲ τῶν ὀθνείων πρεσβύτου τινὸς τῶν βεβιωκότος ἄξιον μεμνῆσθαι, διομνυμένους, καὶ ὅλας ῥήσεις ὅρκων συνείροντας, τῷ τοῦ θεοῦ πολυωνύμῳ χρησαμένους ὀνόματι ἔνθα μὴ δεῖ, πρὸς ἀσέβειαν· ὁ δὲ τῶν λεχθέντων ὀλιγώρως ἔχων, ἴστω τὸ μὲν πρῶτον μιαρὸς καὶ ἀκάθαρτος ὤν· εἶθ' ὡς αἰεὶ μέγισται τῶν τιμωριῶν ἐφεδρεύουσιν αὐτῷ, τῆς ἐφόρου τῶν ἀνθρωπείων B δίκης ἀτρέπτως καὶ ἀπαρηγορήτως ἐπὶ τοῖς οὕτω μεγάλοις ἀδικήμασιν ἐχούσης, ἣ τις ἔτι μὲν παραχρῆμα κολάζειν ἀξιοῖ, ἐπὶ πολλῷ δανείζειν ἔοικε τὰς τιμωρίας, ἃς ὅταν ἦ καιρὸς, ἀναπράττει μετὰ τοῦ κοινῇ συμφέροντος. τέταρτόν ἐστι παράγγελμα τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης, ἵν' ἁγνῶς καὶ ὁσίως ἄγηται. ταύτην ἔνιαι μὲν τῶν πόλεων ἑορτάζουσιν ἅπαξ τοῦ μηνὸς, ἀπὸ τῆς κατὰ θεὸν νουμηνίας διαριθμούμενοι, τὸ δὲ ἰουδαίων ἔθνος συνεχῶς, C ἓξ διαλείποντες αἰεί. λόγος δ' ἐστὶν ἀναγραφεὶς ἐν τοῖς κατὰ κοσμοποιίαν, περιέχων αἰτίαν ἀναγκαίαν. ἐν γὰρ ἓξ ἡμέραις φησὶ κτισθῆναι τὸν κόσμον· τῇ δ' ἑβδόμῃ παυσάμενον τῶν ἔργων τὸν θεὸν, ἄρξασθαι τὰ γεγονότα καλῶς θεωρεῖν. ἐκέλευσεν οὖν καὶ τοὺς μέλλοντας ἐν ταύτῃ ζῆν τῇ πολιτείᾳ, καθάπερ ἐν τοῖς ἄλλοις, καὶ κατὰ τοῦθ' ἕπεσθαι θεῷ, πρὸς μὲν ἔργα τρεπομένους ἐφ' ἡμέρας ἕξ, ἀνέχοντας δὲ καὶ φιλοσοφοῦντας τῇ ἑβδόμῃ, καὶ θεωρίαις μὲν τῆς φύσεως σχολάζοντας, ἐπισκο- D ποῦντας δὲ καὶ εἴ τι μὴ καθαρῶς ἐν ταῖς προτέραις ἐπράχθη, λόγον καὶ εὐθύνας ὧν εἶπον ἢ ἔδρασαν παρ' ἑαυτῶν λαμβάνοντας ἐν τῷ τῆς ψυχῆς βουλευτηρίῳ, συνεδρευόντων καὶ συνεξεταζόντων νόμων, εἴς τε τὴν τῶν παροραθέντων κατόρθωσιν, καὶ πρὸς τὴν τοῦ μηδὲν αὖθις ἐξαμαρτάνειν προφυλακήν. ἀλλ' ὁ μὲν θεὸς ἅπαξ κατεχρήσατο ταῖς ἓξ πρὸς τὴν τοῦ κόσμου τελείωσιν, μήκους χρόνων οὐ προσδεόμενος, ἀνθρώπων δ' ἕκαστος, ἅ- E τε θνητῆς φύσεως μετέχων, καὶ μυρίων ἐνδεὴς ὢν πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρείας, ὀφείλει μὴ κατοκνεῖν ἐκπορίζειν τὰ ἐπιτήδεια μέχρι τελευτῆς τοῦ βίου, διαναπαυόμενος ταῖς ἱεραῖς ἑβδομάδας. ἆρ' οὐ παγκάλη παραίνεσις, καὶ πρὸς πᾶσαν ἀρετὴν ἱκανωτάτη προτρέψασθαι, καὶ διαφερόντως εἰς εὐσέβειαν; ἕπου, φησὶν, αἰεὶ θεῷ, παράδειγμα προθεσμίας ἔστω σοι πράξεων ἐν ἑξάμερον αὐταρκέστατον, ἐν ᾧ τὸν κόσμον ἐδημιούργει. παράδειγμα καὶ τοῦ δεῖν φιλοσοφεῖν, ἡ ἑβδόμη καθ' ἣν ἐπιδεῖν

λέγεται εἰργάσθαι, ὅπως καὶ αὐτὸς ἐπιθεωρῇς τά τε φύσεως καὶ τὰ ἴδια, ὅσα συντείνει πρὸς εὐδαιμονίαν. τοιοῦτον οὖν ἀρχέτυπον τῶν ἀρίστων βίων, πρακτικοῦ τε καὶ θεωρητικοῦ, μὴ παρέλθωμεν. ἀλλ' αἰεὶ πρὸς αὐτὸ βλέποντες, ἐναργεῖς εἰκόνας καὶ τύπους τῶν ἑαυτῶν διανοίαις ἐγχαράττωμεν, ἐξομοιοῦντες θνητὴν φύσιν, ὡς ἔνεστιν ἀθανάτῳ, κατὰ τὸ λέγειν τε πράττειν ἃ χρή. πῶς δὲ λέγεται ἐν ἓξ ἡμέραις γεγενῆσθαι τὸν κόσμον ὑπὸ θεοῦ, τοῦ μηδὲ χρόνων εἰς τὸ ποιεῖν δεομένου, μεμήνυται διὰ τῶν ἀλληγορηθέντων ἐν ἑτέροις. τὴν μέντοι προνομίαν, ἧς ἐν τοῖς οὖσιν ἑβδομὰς ἠξίωται, δηλοῦσιν οἱ περὶ τὰ μαθήματα διατρίψαντες, ἐπιμελῶς καὶ πεφροντισμένως πάνυ αὐτὴν ἐξιχνιάσαντες. ἥδε γάρ ἐστιν ἡ ἐν ἀριθμοῖς παρθένος, ἡ ἀμήτωρ φύσις, ἡ μονάδος οἰκειοτάτη καὶ ἀρχῆς, καὶ ἰδέα τῶν πλανήτων· ἐπεὶ καὶ τῆς ἀπλανοῦς σφαίρας μονάς. ἐκ γὰρ μονάδος καὶ ἑβδομάδος οὐρανὸς ὁ ἀσώματος, τὸ παράδειγμα τοῦ ὁρατοῦ. πέπηγε δ' ὁ οὐρανὸς ἐκ τε ἀμερίστου φύσεως καὶ τῆς μεριστῆς· ἡ μὲν οὖν ἀμέριστος τὴν πρώτην καὶ ἀνωτάτω καὶ ἀπλανῆ περιφορὰν εἴληχεν, ἣν μονὰς ἐπισκοπεῖ· ἡ δὲ μεριστὴ τὴν καὶ δυνάμει καὶ τάξει δευτέραν, ἧς ἐπίτροπος ἑβδομάς, ἥτις ἑξαχῇ διατεμηθεῖσα, τοὺς ἐπικαλουμένους ἑπτὰ πλανήτας εἰργάσατο· οὐκ ἐπειδὴ πεπλάνηταί τι τῶν κατ' οὐρανόν, θείας καὶ μακαρίας καὶ εὐδαίμονος φύσεως μετεσχηκότων, οἷς πᾶσι τὸ ἀπλανὲς οἰκειότατον. τὴν γοῦν ἐν ὁμοίῳ ταυτότητα σώζοντα, δολιχεύει τὸν αἰῶνα, μηδεμίαν ἐνδεχόμενα τροπὴν καὶ μεταβολήν· ἀλλ' ὅτι καὶ περιπολεῖ τὰ ἐναντίως τῇ ἀμερίστῳ καὶ ἐξωτάτῃ σφαίρᾳ, πλανῆται ὠνομάσθησαν, οὐ κυρίως ὑπ' ἀνθρώπων εἰκαιοτέρων, οἳ τὴν ἰδίαν πλάνην τοῖς οὐρανίοις ἐπεφήμισαν, ἃ τὴν τοῦ θείου στρατοπέδου τάξιν οὐδέποτε λείπει. διὰ μὲν δὴ ταῦτα καὶ ἔτι πλείω τετίμηται ἡ ἑβδομάς· ἐπ' οὐδενὶ δ' οὕτω προνομίας ἔτυχεν, ἢ ᾧ μάλιστα τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἐμφαίνεσθαι διὰ ταύτης· ὡς γὰρ διὰ κατόπτρου φαντασιοῦται ὁ νοῦς θεὸν δρῶντα καὶ κοσμοποιοῦντα, καὶ τῶν ὅλων ἐπιτροπεύοντα. μετὰ δὲ τὰ περὶ τῆς ἑβδόμης παραγγέλλει πέμπτον πρόσταγμα, τὸ περὶ γονέων τιμῆς, τάξιν αὐτῷ δοὺς τὴν μεθόριον τῶν δυεῖν πεντάδων. τελευταῖον γὰρ ὂν τῆς προτέρας, ἐν ᾗ τὰ ἱερώτατα πρὸς τὰ πέντε, καὶ τῇ δευτέρᾳ συνάπτει περιεχούσῃ τὰ πρὸς ἀνθρώπους δίκαια. αἴτιον δ' ὡς οἶμαι τόδε· τῶν γονέων ἡ φύσις ἀθανάτου καὶ θνητῆς οὐσίας ἔοικεν εἶναι μεθόριον, θνητῆς μὲν, διὰ τὴν πρὸς ἀνθρώπους

A quod ipse quoq; imiteris cōtēplādō
siue tua siue naturæ opera, & quantum
quodq; ad felicitatē conferat. Ne dis-
cedamus igitur ab his optimis vitæ tū
actiuæ tū contemplatiuæ formulis: sed
eas semper intuendo imprimendóque
nostris mentibus, conemur effingere in
omnibus quæ agenda dicendáve sunt;
duntaxat quātum mortalibus licet ad
immortalis similitudinē accedere. cæ-
terum quomodo intelligatur intra sex
dies mundū creatū à Deo, qui nō opus
B habet tēpore, alibi hāc allegoriā expli-
cauimus. certe septenarij priuilegium
ostendūt mathematici, sūma cura per-
quisitū & diligentia. nā hebdomas pro
sua natura qua reliquos antecellit nu-
meros est virgo matre carens, valde fa-
miliaris vnitati & principio, & plane-
tarū idea, sicut vnitas est idea sphæræ
continentis fixa sidera. nā ex vnitate &
hebdomade cōstat cælum incorporeū,
exēplar huius cæli visibilis. cōpactū est
C autem cælū ex natura indiuisibili & ex
natura diuisibili. indiuisibilis primam
summámq; sortita est circūferentiam
circuli fixorū siderū, quē tutatur vni-
tas. diuisibilis secunda est tū viribus tū
ordine, ad hebdomadis curā pertinēs,
scissáque sex limitibus, septem quos
planetas & errones vocant efficit, cum
tamen in cælo nihil sit errori obnoxiū.
propter beatā, felicem diuinámq; hu-
ius naturā, ab omni errore alienissimā.
proinde cælestia sēper sui similia cur-
runt recurrúntq; perpetuo, nullā pror-
D sus mutationem admittentia. sed quia
cursum tenent indiuisibili & extremæ
sphæræ contrariū, parū proprie sidera
erratica cognominata sūt ab hominib.
temerariis, suū met ipsorū errorem illis
ascribētibus quæ in summi imperato-
ris militia nunquā deserunt ordinem.
his atque aliis pluribus de causis hono-
ratur septenarius, sed ob nullam magis
quàm quòd per hunc numerū manife-
status est pater vniuersitatis & cōditor:
E in quo ceu in speculo mens considerat
Deū fabricantē mundū & quicquid eo
continetur, regentémq; sua prouidēn-
tia. Sequitur quintū preceptum de ho-
norandis parentibus situm in duarum
tabularum confinio. cum enim in pri-
ma sit vltimum coniungit ambas, prio-
ri secundam applicans complexam
ius quod nobis intercedit cum homi-
nibus, quod ideo factum arbitror,
quia parentum natura videtur morta-
lis & immortalis essentiæ confinium:

mortalis propter cognationem cum hominibus & cæteris animantibus, & propter corpus corruptibile: immortalis vero, quia gignendo refert Deum genitorem omnium. Sunt igitur qui alteri parti addicti, alteram videntur contemnere. pleni enim pietatis desiderio, relictis alijs negotijs, totam vitam dedicant diuino cultui: alij contrà, dum nullum esse ius præter humanum existimant, solam curant societatem hominum, bona sua cum quibuslibet communicantes liberaliter, & mala illorum subleuantes pro viribus. illos Dei amatores, hos hominum, recte dixeris, semiperfectæ virtutis homines. integri enim ab vtroque probantur genere. cæterum qui nec de hominibus benemerentur læti eorum prosperitatibus condolentes aduersitatibus, nec pietatem sanctitatémque suspiciunt, possunt videri mutati in ferarum ingenium: inter quos primas ferent qui parentes suos negligunt, vtriusque partis hostes, tum eius quæ Deo, tum eius quę hominibus se approbare vult. sciant igitur se damnatos pro duobus tribunalibus, quæ sola sunt naturalia: impietatis apud diuinum, quod secundos post Deum autores vitæ suæ non tractant ex officio: inhumanitatis vero apud humanum. cui enim benefacient qui proximos & optime de se meritos vilipendunt, quibus nulla potest referri gratia non inferior acceptis beneficijs. quo modo enim natus genitorem suum poterit vicissim gignere, quam eximiam prærogatiuam natura dedit parentibus, nunquam compensandam à liberis. proinde indignissimum fuerit, si qui ne omnibus quidem officiis possunt gratitudini satisfacere, grauentur præstare vel minima. Eos sic libet alloqui. Feræ debent cicurari ab hominibus, & licet nonnunquam videre mansuefactos leones, vrsos, pardos, blandientes non solis cibum præbentibus, sed aliis etiam, opinor quia vident eos illis similes. decet enim deteriorem sectatorem esse potioris, in spem profectus futuri. nunc cogor contrarium dicere. vos cum homines sitis quasdam feras imitamini. illæ pro accepto beneficio norunt gratiam reponere. Canes domos custodiunt, & cadunt pugnando pro Dominis circumuentis aliquo repentino periculo.

A καὶ τἄλλα ζῷα συγγένειαν, καὶ τὸ τοῦ σώματος ἐπίκηρον· ἀθανάτου δὲ, διὰ τὴν τοῦ γεννᾶν πρὸς θεὸν τὸν γεννητὴν τῶν ὅλων ἐξομοίωσιν. ἤδη μὲν οὖν τινες τῇ ἑτέρᾳ μερίδι προσκληρώσαντες αὑτοὺς, ἔδοξαν τῆς ἑτέρας ὀλιγωρεῖν. ἄκρατον γὰρ ἐμφορησάμενοι τὸν εὐσεβείας πόθον, πολλὰ χαίρειν φράσαντες ταῖς ἄλλαις πραγματείαις, ὅλον ἀνέθεσαν τὸν οἰκεῖον βίον θεραπείᾳ θεοῦ. οἱ δ' οὐδὲν ἔξω τῶν πρὸς ἀνθρώπους δικαιωμάτων ἀγαθὸν ὑποτοπήσαντες εἶναι, μόνην τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἠσπάσαντο, B τῶν τε ἀγαθῶν τὴν χρῆσιν ἐξ ἴσου πᾶσι παρέχοντες διὰ κοινωνίας ἵμερον, καὶ τὰ δεινὰ κατὰ δύναμιν ἐπικουφίζειν ἀξιοῦντες. τούτους μὲν οὖν φιλανθρώπους, τοὺς δὲ προτέρους φιλοθέους ἐνδίκως ἂν εἴποι τις ἡμιτελεῖς τὴν ἀρετήν. ὁλόκληροι γὰρ, οἱ παρ' ἀμφοτέροις εὐδοκιμοῦντες· ὅσοι δὲ μήτ' ἐν τοῖς πρὸς ἀνθρώπους ἐξετάζονται, συνηδόμενοι μὲν ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς, συναλγοῦντες δ' ἐπὶ τοῖς ἐναντίοις, μήτ' εὐσεβείας καὶ ὁσιότητος ἀντέχονται, C μεταβεβληκέναι δόξειεν ἂν εἰς τὴν τῶν θηρίων φύσιν, ὧν τῆς ἀγριότητος οἴσονται τὰ πρωτεῖα οἱ γονέων ἀλογοῦντες, ἑκατέρας μερίδος ὄντες ἐχθροὶ, καὶ τῆς πρὸς θεὸν, καὶ τῆς πρὸς ἀνθρώπους. ἐν δυσὶν οὖν δικαστηρίοις, ἃ δὴ μόνα ἐστὶ τῇ φύσει, μὴ ἀγνοούμενα, ἴστωσαν ἑαλωκότες, ἀσεβείας μὲν, ἐν τῷ θείῳ, διότι τοὺς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντας, καὶ κατὰ τοῦτο μιμησαμένους θεὸν, οὐ περιέπουσι. μισανθρωπίας δὲ, ἐν τῷ κατ' ἀνθρώπους. τίνα γὰρ ἕτερον εὖ ποιήσουσιν οἱ τῶν συγγενεστάτων καὶ τὰς μεγίστας D παρεσχημένων δωρεὰς ὀλιγωροῦντες, ὧν ἔνιαι δι' ὑπερβολὴν, οὐδ' ἀμοιβὰς ἐνδέχονται· πῶς γὰρ ἂν ὁ γεννηθεὶς ἀντιγεννῆσαι δύναιτο τοὺς σπείραντας, κλῆρον ἐξαίρετον τῆς φύσεως δεδωρημένης πρὸς παῖδας γονεῦσιν, εἰς ἀντίδοσιν ἐλθεῖν οὐ δυνάμενον· ὅθεν καὶ σφόδρα προσῆκεν ἀγανακτεῖν, εἰ μηδὲ πάντα μέλλοντες ἀντιχαρίζεσθαι, μηδὲ τὰ κουφότατα ἐθελήσουσιν· οἷς δικαίως ἂν εἴποιμι, τὰ θηρία πρὸς ἀνθρώπων ἡμεροῦσθαι δεῖ· καὶ πολλάκις ἔγνων ἡμερωθέντας λέοντας, E ἄρκτους, παρδάλεις, οὐ μόνον πρὸς τοὺς τρέφοντας διὰ τὴν ἐπὶ τοῖς ἀναγκαίοις χάριν, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους, ἕνεκά μοι δοκῶ τῆς πρὸς ἐκείνους ὁμοιότητος. καλὸν γὰρ αἰεὶ τῷ κρείττονι τὸ χεῖρον ἀκολουθεῖν, διὰ βελτιώσεως ἐλπίδα· νυνὶ δ' ἀναγκασθήσομαι τἀναντία λέγειν· μιμηταὶ θηρίων ἐνίων ἄνθρωποι γένεσθε. τοὺς ὠφεληκότας ἀντωφελεῖν ἐκεῖνα οἶδε καὶ πεπαίδευται. κύνες οἰκουροὶ προασπίζουσι, καὶ προαποθνήσκουσι τῶν δεσποτῶν, ὅταν κίνδυνός τις ἐξαπιναῖος καταλάβῃ·

τοὺς δ' ἐν ταῖς ποίμναις φασὶ προαγωνιζομένους τῶν θρεμμάτων, ἄχρι θανάτου προκινδυνεύειν ὑπὲρ τοῦ διατηρῆσαι τοὺς ἀγελάρχας ἀζημίους· εἶτ' οὐκ αἰσχρῶν ἐστιν αἴσχιστον, ἐν χαρίτων ἀμοιβαῖς ἀνθρώπους ἡττηθῆναι κυνὸς τοῦ θηρίων θρασυτάτου, τὸ ἡμερώτατον ζῷον; ἀλλ' εἰ μὴ τοῖς χερσαίοις ἀναδιδασκόμεθα, πρὸς τὴν πτηνὴν καὶ ἀεροπόρον μετίωμεν φύσιν, ἃ χρὴ παρ' αὐτῆς μαθησόμενοι. τῶν πελαργῶν οἱ μὲν γηραιοὶ κατὰ μένουσιν ἐν ταῖς νεοττιαῖς, ἀδυνατοῦντες ἵπτασθαι· οἱ δὲ τούτων παῖδες, ὀλίγου δέω φάναι, γῆν καὶ θάλατταν ἐπιπετόμενοι, πανταχόθεν ἐκπορίζουσι τοῖς γονεῦσι τὰ ἐπιτήδεια· καὶ οἱ μὲν ἀξίως τῆς ἡλικίας ἠρεμοῦντες, ἐν ἀφθονίᾳ διατελοῦσι τῇ πάσῃ τρυφῶντες· οἱ δὲ τὰς ἐν ταῖς πορείαις κακοπαθείας ἐπελαφρίζόμενοι, τῇ εὐσεβείᾳ καὶ τῷ προσδοκᾶν ἐν γήρᾳ τὰ αὐτὰ πείσεσθαι ὑπὸ τῶν ἐγγόνων, ἀναγκαῖον ὄφλημα ἀντεκτίνουσιν ἐν καιρῷ, καὶ λαβόντες αὐτὸ, καὶ ἀποδιδόντες· οὐ γὰρ ἕτεροι τρέφειν αὐτοὺς ἐδύναντο, παῖδες μὲν ἐν ἀρχῇ τῆς γενέσεως, γονεῖς δ' ἐπὶ τελευτῇ τοῦ βίου· ὅθεν αὐτοδιδάκτῳ τῇ φύσει νεοτροφηθέντες γηροτροφοῦσι χαίροντες. ἆρ' οὐκ ἄξιον ἐπὶ τούτοις ἀνθρώπους ὅσοι γονέων ἀμελοῦσιν, ἐγκαλύπτεσθαι καὶ κακίζειν ἑαυτοὺς ὠλιγωρηκότας ὧν ἢ μόνων, ἢ πρὸ τῶν ἄλλων ἀναγκαῖον ἦν πεφροντικέναι; καὶ ταῦτ' οὐ διδόντας μᾶλλον ἢ ἀποδιδόντας; παίδων γὰρ οὐδὲν ἴδιον, ὃ μὴ γονέων ἐστὶν, ἢ οἴκοθεν ἐπιδεδωκότων, ἢ τὰς αἰτίας τῆς κτήσεως ἐπιπαρεχομένων. εὐσέβειαν δὲ καὶ ὁσιότητα τὰς τῆς ἀρετῆς ἡγεμονίδας, ἆρά γ' ἐντὸς ὅρων ἔχουσι τῆς ψυχῆς; ὑπερορίους μὲν οὖν ἐληλάκασι καὶ πεφυγαδεύκασι. θεοῦ γὰρ ὑπηρέται πρὸς τέκνων σποράν οἱ γονεῖς· ὁ δ' ὑπηρέτην ἀτιμάζων, συνατιμάζει καὶ τὸν ἄρχοντα. τῶν δ' εὐτολμοτέρων ἀποσεμνύνοντες τὸ γονέων ὄνομα, φασί τινες ὡς ἄρα πατὴρ καὶ μήτηρ ἐμφανεῖς εἰσὶ θεοὶ, μιμούμενοι τὸν ἀγένητον ἐν τῷ ζωοπλαστεῖν· ἀλλὰ τὸν μὲν εἶναι τοῦ κόσμου θεὸν, τοὺς δὲ μόνων ὧν ἐγέννησαν. ἀμήχανον δ' εὐσεβεῖσθαι τὸν ἀόρατον ὑπὸ τῶν εἰς τοὺς ἐμφανεῖς καὶ ἐγγὺς ὄντας ἀσεβούντων. τοσαῦτα καὶ περὶ γονέων τιμῆς φιλοσοφήσας, τέλος ἐπιτίθησι τῇ ἑτέρᾳ καὶ θειοτέρᾳ πεντάδι· τῆς δ' ἑτέρας ἀναγραφόμενος περιέχουσα ἀπαγορεύσεις τῶν πρὸς ἀνθρώπους, ἀπὸ μοιχείας ἄρχεται, μέγιστον ἀδικημάτων τοῦτ' εἶναι ὑπολαβών. πρῶτον μὲν γὰρ, πηγὴν ἔχει φιληδονίαν, ἣ καὶ τὰ σώματα θρύπτει τῶν ἐχόντων, καὶ τοὺς τῆς ψυχῆς ἐκλύει τόνους, καὶ τὰς οὐσίας διαφθείρει, πάντα δίκην ἀσβέστου πυρὸς,

A alij gregibus seruandis adhibiti, vsque ad mortem decertant pro salute pecorum, ne damnum accipiant pecuarij. & non fatebimur probrum esse longe turpissimum, hominem gratijs natum gratitudine superari à cane audaci asperáque bestia? quod si à terrestribus virtutem hanc non discimus, eamus ad volucres præpetibus pennis vltro citróque volitantes per aërem, discamus ab his saltem quid nos deceat. Ciconiæ senes impotes volandi nido se continent: ex his
B prognatæ terra marique volitant, & cibos parentibus afferunt. Sic ille vt earum ætate dignum est, quiete fruũtur & copia: iuniores vero laborem comportandi solantur pietate ac spe recipiendæ in senectute gratiæ, debitum persoluentes interim quod tempus postulat: & eadem opera natos inplumes effœtósque parentes educant, naturæ instinctu & pullis & decrepitis alacriter præstando mu-
C tuum officium. & postea non obuoluent faciem præ pudore homines parentum contemptores, damnabuntque suam incuriam in re quæ vel sola erat curanda, vel ante alias, præsertim cum non tam conferatur quàm referatur beneficium? Filiorum enim nihil est proprium, quod non parentibus debeant, à quibus vel acceperunt, vel in acquirendo adiuti sunt. Habentne igitur pietatem ac sanctitatem principales virtutes in
D anima, an eiecerunt eas è pectore? Deo enim subministrant parentes in gignendis liberis. Cæterum qui ministrum spernit, spernit & principem. & sunt qui audacius exaggerantes nomen parentum, aiunt patrem matremque Deos conspicuos, illius ingeniti imitatores fingendis animantibus: hoc vno differre, quòd Deus sit mundi genitor, hi vero filiorum tantummodo. nec fieri posse vt pius sit erga illum inuisibilem, qui
E erga hos conspicuos est impius. Hoc præceptum de honorandis parentibus claudit priorem illu[illegible]inum quinarium. alterum vere [illegible]pturus legislator interdicta continentem & spectantem ad homines, orditur ab adulterio, vt peccato grauissimo. fontem enim habet amorem voluptatis, quæ & corpus atterit, & robur animi resoluit, & rem familiarem absumit, quicquid attigerit more

ignis adurens, & nihil saluum relinquens in vita hominum. hæc adultero persuadet vt non solum ipse peccet, sed & alios asciscat in culpæ societatē nefariam & aduersam societati legitimæ. percitus enim hoc œstro non potest solus explere cupiditatem, sed opus est omnino vt duo sint, alter quasi magister nequiciæ alter discipulus, rei turpissimæ. nec enim solū corpus mulieris impudicę vitiatur, sed si vera fateamur, multo prius animus asuescit malis moribus ditcēs modis omnibus auersari maritum & odio prosequi: quod tamen malū leuius multo esset si non dissimularetur. nā quæ sūt in propatulo, cauētur facilius. Nūc vero vix vllus suspicioni locus relinquitur, adeò se malis artibus celat & obūbrat ne deprehendatur, plerunq; prę se ferens affectū contrarium, & mirificis præstigiis opinionē amoris sibi conciliians. eadē certe opera subuertuntur tres familiæ. is cuius coniugium violatur, nuptialia vota perdidit & spem prolis legitimæ. nec minus incōmodi accipiunt reliquæ duę domus, adulteri & adulteræ, quandoquidem ambæ replentur dedecore, contumelia, probrisq; turpissimis. Quod si numerosæ fuerint istæ familiæ multis cognationibus affinitatibusque implicitæ, totā ciuitatem accendet hoc flagitium obambulans per ora ciuium. permolestum est enim dubitare de liberis: & quoties parum integrè seruatur vxoris pudicitia, verus pater certò cognosci non potest. itaque dum res in obscuro latet, adulterini subrepunt pro legitimis, alienarum familiarum sinceritatem deprauant, hæreditatem, vt tunc videtur paternam, alioqui nihil ad se pertinentem, vsurpant. Et adulter postquam illusa muliere despumauit feruentem libidinem, & expleuit nefariam cupidinem, abit ridens læsi mariti ignorantiam: at ille tanquam cæcus nihil sciens de fraude domestica, vt propriam sobolem indulgenter habebit natos ex infensissimis sibi hominibus. Quod si detegatur iniuria, miserrimi erunt licet insontes pueri, in neutro accensendi genere, nec mariti, nec adulteri. Tales calamitates cum proueniant è concubitu illegitimo, non mirum si adulterium res probrosa & inuisa Deo primum locum inter peccata obti-

A ὡς ἂν πυρὰ ἅψηται καταφλέγουσα, καὶ μηδὲν σῶον ἀπολείπουσα κατὰ τὸν ἀνθρώπινον βίον ἐκεῖ, ἀναπείθει τὸν μοιχὸν οὐκ ἀδικεῖν μόνον, ἀλλὰ καὶ διδάσκειν συναδικεῖν, ἐν ἀκοινωνήτοις πράγμασι κοινωνίαν τιθέμενον. οἴστρου γὰρ τοῦ κατασχόντος, ἀμήχανον εὑρεῖν τέλος δι᾽ ἑνὸς μόνου τὰς ὀρέξεις, ἀλλὰ δεῖ πάντως δύο κοινοπραγῆσαι, τὸν μὲν ὑφηγητοῦ, τὸν δὲ γνωρίμου τάξιν λαβόντα, πρὸς ἀκρασίας καὶ λαγνείας βεβαίωσιν, αἰσχίστων κακῶν. οὐδὲ γὰρ τοῦτ᾽ ἔνεστιν εἰπεῖν, ὡς τὸ σῶμα μόνον διαφθείρεται τῆς μοιχευομένης γυναικός, ἀλλ᾽ εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἡ ψυχὴ πρὸ τοῦ σώματος εἰς ἀλλοτρίωσιν ἐθίζεται, διδασκομένη πάντα τρόπον ἀποστρέφεσθαι καὶ μισεῖν τὸν ἄνδρα. καὶ ἧττον ἂν ἦν δεινόν, εἰ τὸ μῖσος ἐπεδείκνυτο ἐμφανές· τὰ γὰρ ἐν προόπτῳ, ῥᾷον φυλάξασθαι· νυνὶ δὲ δυσυπονόητον καὶ δυσθήρατόν ἐστι, πανούργοις τέχναις συσκιαζόμενον, καὶ τὴν ἐναντίαν ἔστιν ὅτε τοῦ φιλεῖν δόξαν ἐμποιοῦν γοητείαις τισὶ καὶ ἀπάταις· ἀναστάτους γε μὴν τρεῖς ἀποδεικνύουσιν οἴκους· C τόν τε τοῦ παρασπονδουμένου ἀνδρὸς τὰς ἐπὶ γάμοις εὐχάς, καὶ τὰς ἐπὶ γνησίοις παισὶν ἐλπίδας περικόπτεται· καὶ δύο δὴ ἑτέρους, τόν τε τοῦ μοιχοῦ, καὶ τῆς γυναικός. καὶ γὰρ τούτων ἑκάτερος ὕβρεως καὶ ἀτιμίας καὶ τῶν μεγίστων ὀνειδῶν ἀναπίμπλαται· κἂν πολυάνθρωποι μὲν τύχωσιν αἱ συγγένειαι, διὰ τὰς ἐπιγαμίας καὶ τὰς ἄλλων πρὸς ἄλλους ἐπιμιξίας ἅπτεται καὶ τῆς πόλεως ἁπάσης ἐν κύκλῳ βαδίζον τὸ ἀδίκημα. πάγχαλεπόν γε μὴν καὶ ὁ τῶν τέκνων ἐπαμφοτερισμός. D μὴ γὰρ ἁγνευούσης γυναικὸς ἀμφίδοξον καὶ ἄδηλον, τὰ ἀποκυόμενα τίνος ἐστὶν ἀληθείᾳ πατρός· εἶτα λανθάνοντος τοῦ πράγματος, οἱ μοιχίδιοι τὴν τῶν γνησίων παρασπασάμενοι τάξιν, ἀλλοτρίαν γενεὰν νοθεύουσι, καὶ κλῆρον ὅσον τῷ δοκεῖν πατρῷον οὐδὲν προσήκοντα διαδέξονται. καὶ ὁ μὲν μοιχὸς ἐφυβρίσας καὶ ἐναπερυγὼν τὸ πάθος, ἐπίληπτον σπορὰν σπείρας, ὅταν ἀποπλησθῇ τῆς ἐπιθυμίας, οἰχήσεται καταλιπών, γέλωτα θέμενος τὴν E τοῦ παρανομηθέντος ἄγνοιαν· ὁ δή, οἷα τυφλός, μηδὲν τῶν ἐποικουρημένων ἐπιστάμενος, ὡς οἰκότατα ἔγγονα τὰ ἐκ τῶν πολεμιωτάτων θρεπτὰ ἂν ἀναγκασθήσεται. φανερὸν δ᾽ εἰ γένοιτο τὸ ἀδίκημα, κακοδαιμονέστατοι γένοιντ᾽ ἂν οἱ μηδὲν ἠδικηκότες ἄθλιοι παῖδες, μηδ᾽ ἑτέρῳ γένει προσνεμηθῆναι δυνάμενοι, μήτε τῷ τοῦ γήμαντος, μήτε τῷ τοῦ μοιχοῦ. τοιαύτας συμφορὰς ἀπεργαζομένης τῆς ἐκνόμου μίξεως, εἰκότως στυγητὸν καὶ θεομίσητον πρᾶγμα, μοιχεία πρῶτον ἀδικημά-

των ἀνέγραψε. δεύτερον δὲ πρόσταγμα, μὴ ἀνδροφονεῖν. ἀγελαστικὸν γὰρ καὶ συννόμον ζῷον τὸ ἡμερώτατον ἡ φύσις γεννήσασα, πρὸς ὁμόνοιαν καὶ κοινωνίαν ἐκάλεσε, λόγον δοῦσα συναγωγὸν εἰς ἁρμονίαν καὶ κρᾶσιν ἠθῶν. ὁ δὴ κτείνων τινὰ, μὴ ἀγνοείτω νόμους φύσεως καὶ θεσμοὺς ἀνατρέπων καλῶς καὶ συμφερόντως ἅπασι γραφέντας· ἴστω μέντοι καὶ ἱεροσυλίας ἔνοχος ὢν, τὸ ἱερώτατον τῶν τοῦ θεοῦ κτημάτων σεσυληκώς. τί γὰρ σεμνότερον ἢ αἰώτερον ἄγαλμα ἀνθρώπου. χρυσὸς μὲν καὶ ἄργυρος καὶ λίθοι πολυτελεῖς, καὶ ὅσαι ἄλλαι τιμαλφέσταται ὗλαι, κόσμος οἰκοδομημάτων ἐστὶν ἄψυχος ἀψύχων· ἄνθρωπος δὲ, ζῷον ἄριστον κατὰ τὸ κρεῖττον τῶν ἐν αὐτῷ τὴν ψυχὴν, συγγενέστατος τῷ καθαρωτάτῳ τῆς οὐσίας οὐρανῷ, ὡς δ᾽ ὁ τῶν πλείστων λόγος, καὶ τῷ τοῦ κόσμου πατρὶ, τῶν ἐπὶ γῆς ἁπάντων οἰκειότατον ἀπεικόνισμα καὶ μίμημα τῆς ἀιδίου καὶ εὐδαίμονος ἰδέας, διὰ νοῦ λαβών. τρίτον δ᾽ ἐστὶ τῆς δευτέρας πεντάδος παράγγελμα, μὴ κλέπτειν. ὁ γὰρ τοῖς ἀλλοτρίοις ἐπικεχηνὼς, κοινὸς πόλεως ἐχθρὸς, βουλήσει μὲν τὰ πάντων, δυνάμει δὲ τά τινων ἀφαιρούμενος, ὅτι τὴν μὲν πλεονεξίαν ἐπὶ μήκιστον ἐκτείνεσθαι, τὸ δ᾽ ἀσθενὲς ὑστερίζον, εἰς βραχὺ στέλλεσθαι, καὶ μόνον φθάνειν ἐπ᾽ ὀλίγους. ὅσοι τοίνυν τὴν κλοπῶν ἰσχὺν προσέλαβον, ὅλας συλῶσι πόλεις, ἀλογοῦντες τιμωριῶν, διὰ τὸ ἐπικυδέστεροι τῶν νόμων εἶναι δοκεῖν. οὗτοι δ᾽ εἰσὶν οἱ ὀλιγαρχικοὶ τὰς φύσεις, οἱ τυραννίδος καὶ δυναστειῶν ἐπιθυμοῦντες, οἱ τὰς μεγάλας ἐργαζόμενοι κλοπὰς, σεμνοῖς ὀνόμασι τῆς ἀρχῆς καὶ ἡγεμονίας ἐπικρύπτοντες λῃστείας τὰς ἀληθεστέρας. ἐκ πρώτης οὖν ἡλικίας ἀναδιδασκέσθωσαν μηδὲ λάθρα τῶν ἀλλοτρίων ὑφαιρεῖσθαι, κἂν βραχύτατον ᾖ, διότι ἐγχρονίζον ἔθος, φύσεως κραταιότερόν ἐστι, καὶ τὰ μικρὰ μὴ κωλυόμενα αὔξεται καὶ ἐπιδίδωσι πρὸς μέγεθος ἐπαυξανόμενα. κλέπτειν δ᾽ ἀπειπὼν, εὐθὺς ψευδομαρτυρεῖν ἀπαγορεύει, πολλοῖς καὶ μεγάλοις καὶ πᾶσι χαλεποῖς τοὺς ψευδομάρτυρας ἐνόχους εἰδώς. τὸ μὲν γὰρ πρῶτον φθείρουσι τὴν σεμνὴν ἀλήθειαν, ἧς οὐκ ἔστιν ἐν βίῳ κτῆμα ἱερώτερον, ἡλίου τρόπον φῶς τοῖς πράγμασι περιτιθείσης, ἵνα μηδὲν αὐτῶν ἐπισκιάζηται· δεύτερον δὲ, πρὸς τῷ ψεύδεσθαι καὶ τὰ πράγματα οἷα νυκτὶ καὶ σκότῳ βαθεῖ περιαμπίσχουσι, καὶ συμπράττουσι μὲν τοῖς ἁμαρτάνουσιν, ἐπιτίθενται δὲ τοῖς ἀδικουμένοις, ἃ μήτ᾽ εἶδον, μήτ᾽ ἤκουσαν, μήτ᾽ ἴσασι, παγίως εἰδέναι, καὶ σφόδρα κατειληφέναι διαβεβαιούμενοι.

A net. Secundo vero interdicitur homicidium. cum enim natura gregale ac compascuum edidisset illud mansuetissimum animal, ad consensum & societatem inuitauit, dato eis sermone, quo magis conciliarentur conspirarentque moribus. proinde quisquis occidit alterum, sciat se naturæ ius fasque subuertere, scriptum ad omnium vtilitatem publicam: sciat etiam se cõmittere sacrilegium, sublata è possessione Dei re sacratissima. quid enim tam religiosum tam sacrum est quam homo? aurum, argẽtum, gemmæ, aliæque pretiosæ materiæ, inanima ornamenta sunt ædificiorum perinde anima carentium. homo autem animal optimum, potiore parte sui cælo cognatum purissimo, & vt plerique arbitrantur ipsi mundi conditori, propius accedit ad illius felicis sempiternæque ideæ imaginẽ quam vlla terrestris natura, propter mentem acceptã diuinitus. Tertium in secundo quinario præceptum est, Ne furtum facias. qui enim alienis inhiat, hostis publicus, voluntate omnes, vi quotquot valet, spoliat, cupiditatem extendens longissime, viribus autem deficientibus contrahens, vt ad paucos perueniat. itaque fures potestatem adepti populantur ciuitates integras, contemptis suppliciis, quia videntur sib potentiores legibus. hi sunt qui à natura insitum habent paucorum dominationis desiderium, & dynastias tyrannidésque appetunt, qui magna furta faciunt, latrocinia tegendo honestis nominibus principatus & imperij. ideo discant statim pueri manus à furtiuis lucris abstinere minimis etiam, quia diuturna consuetudo potentior quam natura fit, & ni malum nascens inhibeas, crescit in immensam magnitudinem. Post vetitum furtum mox vetat falsum testimonium, non ignarus falsos testes, multis magnisque molestiis sese inuoluere. Primò sanctam veritatem violant, qua nihil est in rebus sacratius, solis in morem illustrante negotia, ne quid eorum in obscuro lateat. deinde noticiam rerum quasi nocte quadam tegunt & caligine, & iniustos adiuuant aduersantúrque iniuriam patientibus, dum quæ nec viderunt, nec adiuerunt, nec cognouerunt, se certò scire, & probe tenere asseuerant,

A addunt & tertium peccatum peius prioribus. quoties enim desunt argumenta aut probationes quæ ex scripto fiunt, ad testes recidit controuersia, quorum verba pro regula sunt iudicibus pronunciaturis sententiam. Necesse est enim vt his solis attendatur, cum nemo adsit iudex alius. hinc fit vt qui litem perdunt grauati testimonio, iniuriam patiantur cum potuissent vincere: & iudices iniquitatis non iusticiæ opinionem lucrifaciant. B Ad hæc etiam cum impietate fraus ea coniuncta est. non est enim moribus receptum vt iniurati iudicent, sed sacramenti religione obstricti, quam tamen impostores magis violant quam qui decipiuntur: quandoquidem hi labuntur per ignorantiam, illi de industria technis vtuntur & peccant libenter, corrumpuntque suffragia, vt interdum ab insciis mulctentur qui nullam pœnam meruerunt. hæc sunt opinor causæ quas propter prohibetur falsum testimonium. C Postremò vetat concupiscere, quod concupiscentia res nouas moliri, & alienis bonis insidiari soleat. Omnes enim perturbationes animi graues sunt, concitantes eum & dimouentes ab ingenio sanitatéque pristina, sed nulla æque nocet ac concupiscentia. quamobrem aliæ videntur externæ inuitis & inscijs obrepere, hæc vero sola in nobis oriri, & quidem volentibus. D dicam apertius. quoties se offert rei cuiuspiam expetendæ imaginatio, expergefacit exitátque quiescentem animam, arrectam velut oculis præstrictis fulgure. is eius affectus voluptas dicitur. ediuerso quod malum & fugiendum est, quando sauciat animam, confestim eam replet mœsticia: qui affectus dolor nominatur. at quando malum nondum præsens premit, imminet tamen, pauorem præmittit abominandum nuncium quo territet, qui & timor E dicitur. quoties autem aliquis de absente bono cogitans habere id cupit, in longum animam porrigit, extendens eam vt possit rem adamatam attingere, tanquam in orbiculari machina semper sequendo nunquam assequendo: quod spectamus in cursoribus, quando præcurrentem tardior peruicaciter insequitur. Simile autem quiddam & circa sensus accidit. nonnunquam oculi rem aliquam

A προσαπεργάζονται δὲ καὶ τρίτον παρανόμημα τῶν προτέρων ἀργαλεώτερον. ὅταν γὰρ ἀπορῇ ἀποδείξεων ἢ διὰ λόγων ἢ γραμμάτων, ἐπὶ μάρτυρας καταφεύγουσιν οἱ τὰς ἀμφισβητήσεις ἔχοντες, ὧν τὰ ῥήματα κανόνες εἰσὶ δικασταῖς περὶ ὧν μέλλουσιν ἀποφαίνεσθαι. μόνοις γὰρ ἐπακολουθεῖν ἀνάγκη, μηδενὸς ὄντος ἑτέρου τοῦ εἰς ἔλεγχον. ἐξ οὗ συμβαίνει τοὺς μὲν καταμαρτυρουμένους ἀδικεῖσθαι νικᾶν δυναμένους, τοὺς δὲ προσέχοντας δικαστὰς, ἄδικα καὶ παράνομα ἀντὶ δικαίων καὶ νομίμων B γράφεσθαι. τὸ μέντοι πανούργημα φθάνει καὶ πρὸς ἀσέβειαν. οὐ γὰρ ἀνωμότως δικάζειν ἔθος, ἀλλὰ μετὰ φρικωδεστάτων ὅρκων, οὓς παραβαίνουσι περὶ τὴν ἀπάτην οἱ φεναχίζοντες, ἐπεὶ τὸ μὲν τὸ σφάλμα οὐ κατὰ γνώμην, οἱ δ' ἐπιστήμῃ κατασρατηγοῦσι, καὶ ἐκ προνοίας ἁμαρτάνοντες, καὶ τοὺς κατηγόρους τῆς ψήφου συνεξαμαρτεῖν ἀναπείθοντες, οὐκ εἰδότας ὃ δρῶσιν, ἐπὶ τιμωρίᾳ τῶν οὐδεμιᾶς ἀξίων κολάσεως. διὰ μὲν δὴ ταῦτά μοι δοκεῖ ψευδομαρτυρείαν ἀπειπεῖν. C τελευταῖον δ' ἐπιθυμίαν ἀπαγορεύει, νεωτεροποιὸν καὶ ἐπίβουλον τὸ ἐπιθυμίας εἰδώς. πάντα μὲν γὰρ τὰ ψυχῆς πάθη χαλεπά, κινοῦντα καὶ σείοντα αὐτὴν παρὰ φύσιν, καὶ ὑγιαίνειν οὐκ ἐῶντα, χαλεπώτατον δ' ἐπιθυμία. διὸ τῶν μὲν ἄλλων ἕκαστον θύραθεν ἐπεισιόν, καὶ προσπῖπτον ἔξωθεν, ἀκούσιον εἶναι δοκεῖ. μόνη δ' αὕτη ἐπιθυμία τὴν ἀρχὴν ἐξ ἡμῶν λαμβάνει, καὶ ἔστιν ἑκούσιος. τί δ' ἐστὶν ὃ λέγω; τοῦ παρόντος καὶ νομισθέντος ἀγαθοῦ φαντασία διεγείρει καὶ διανίστησι D τὴν ψυχὴν ἠρεμοῦσαν, καὶ σφόδρα μετέωρον ἐξαίρει, καθάπερ ὀφθαλμοὺς φῶς ἀναστράπτον. καλεῖται δὲ τοῦτο τὸ πάθος αὐτῆς, ἡδονή. τὸ δ' ἐναντίον ἀγαθῷ κακόν, ὅταν ἐκβιασάμενον πληγὴν ἐπενέγκῃ καίριον, συννοίας καὶ κατηφείας εὐθὺς αὐτὴν ἀναπίμπλησιν ἄκουσαν. ὄνομα δὲ καὶ τούτῳ τῷ πάθει λύπη. ὅταν δὲ τὸ κακὸν μήπω μὲν εἰσῳκισμένον θλίβῃ, μέλλῃ δ' ἀφικνεῖσθαι καὶ παρὰ πόδας ἐπιζεῖσθαι, πλοίαν καὶ ἀγωνίαν ἀποφερούσας ἀγγέλους E προεκπέμπει δειματοῦντας· φόβος δὲ προσαγορεύεται τὸ πάθος. ἐπειδὰν δὲ λαβών τις ἔννοιαν ἀγαθοῦ μὴ παρόντος, ὀρέγηται λαβεῖν αὐτό, πρὸς μήκιστον τὴν ψυχὴν ἐλαύνει, καὶ ἐπὶ πλεῖστον ἐκτείνων ψαῦσαι τοῦ ποθουμένου γλιχόμενος, ὥσπερ ἐπὶ τροχοῦ κατατείνεται, σπεύδων μὲν συλλαβεῖν, ἐφικέσθαι δ' ἀδυνατῶν, καὶ ταὐτὸν πεπονθὼς τοῖς τοὺς ἐξ ἀναχωροῦντας διώκουσιν, ἐλάττονι μὲν τάχει, προθυμίᾳ δ' ἀνανταγωνίστῳ. ὅμοιον δέ τι καὶ περὶ τὰς αἰσθήσεις ἔοικε συμβαίνειν. ὀφθαλμοὶ

πολλάκις ὁρατοῦ τινὸς πόῤῥω μακρὰν ἀφεστῶτος εἰς κατάληψιν ἐλθεῖν ἐπειγόμενοι, τείνοντες αὑτοὺς εὖ μάλα καὶ πλέον τῆς δυνάμεως ἐνεχθέντες, ὀλισθόντες κατὰ κενοῦ περὶ τὴν ἀκρίβειαν τοῦ ὑποκειμένου γνῶσιν σφαλέντες, καὶ προσέτι τῷ βιαίῳ καὶ συντόνῳ τῆς προσβολῆς ἀθυμήσαντες ἀμαυροῦνται· καὶ θροῦ πάλιν ἀσαφοῦς ἐκ μακροῦ διαστήματος φερομένου, τὰ ὦτα διεγερθέντα καὶ ἐπουρισθέντα, ἵεσθαι καὶ σπουδῇ προσπελάζειν εἴ πῃ τε ἐγγυτέρω, πόθῳ τοῦ τρανωθῆναι ταῖς ἀκοαῖς τὸν ἦχον. ὁ δ᾽, ἔτι γὰρ ἀμαυρὸς ὡς ἔοικε, προσπίπτει, οὐδὲν εἰς γνῶσιν τηλαυγέστερον ἐπιδιδοὺς, ὡς ἔτι μᾶλλον τὸν ἀνήνυτον καὶ ἀδιεξίτητον ἐπιτείνεσθαι τοῦ καταλαβεῖν ἵμερον, Ταντάλειον τιμωρίαν ἐπιφερούσης τῆς ἐπιθυμίας. ἐκεῖνός τε γὰρ ὧν ὀρεχθείη πάντων ὁπότε μέλλοι ψαύσειν ἀπετύγχανεν, ὅ τε κρατηθεὶς ἐπιθυμίᾳ, διψῶν ἀεὶ τῶν ἀπόντων, οὐδέποτε πληροῦται, περὶ κενὴν ἰλυσπώμενος τὴν ὄρεξιν. ὥσπερ τε τὰ ἑρπηνώδη τῶν νοσημάτων, εἰ μὴ προακρουσθείη τομαῖς ἢ καύσεσιν, ἐπινέμεται σύμπασαν ἐν κύκλῳ καταλαμβάνοντα τὴν τοῦ σώματος κοινωνίαν, οὐδὲν ἀπαθὲς μέρος ἐῶντα· οὕτως εἰ μὴ λόγος ὁ κατὰ φιλοσοφίαν ἰατροῦ δίκην ἀγαθοῦ ῥέουσαν τὴν ἐπιθυμίαν ἐπίσχοι, πάντ᾽ ἐξ ἀνάγκης τὰ τοῦ βίου πράγματα κινηθήσεται παρὰ φύσιν. οὐδὲν γάρ ἐστιν ὑπεξῃρημένον, ὃ διαφεύγει τὸ πάθος, ἀλλ᾽ ὅταν ἄδειαν λάβῃ καὶ ἐκεχειρίαν, ἐπινέμεται, καὶ γίνεται πάντα διὰ πάντων. εὐήθης ἴσως μακρηγορεῖν ἐστι περὶ τῶν οὕτως ἐμφανῶν, ἃ τίς ἀνὴρ ἢ πόλις ἀγνοεῖ, καθ᾽ ἑκάστην οὐχ ἡμέραν μόνον, ἀλλὰ καὶ ὥραν ὡς ἔπος εἰπεῖν, ἔλεγχον ἐναργῆ παρισάντα. χρημάτων ἔρως, ἢ γυναικὸς, ἢ δόξης, ἢ τινος ἄλλου τῶν ἡδονὴν ἀπεργαζομένων, ἆρά γε μικρῶν καὶ τῶν τυχόντων αἴτιος γίνεται κακῶν; οὐ διὰ τοῦτο συγγένειαι μὲν ἀλλοτριοῦνται, τὴν φυσικὴν εὔνοιαν μεθαρμοζόμεναι πρὸς ἀνήκεστον ἔχθραν; χῶραι δὲ μεγάλαι καὶ πολυάνθρωποι στάσεσιν ἐμφυλίοις ἐρημοῦνται; γῆ δὲ καὶ θάλαττα πληροῦται τῶν κατειργασμένων ἀεὶ συμφορῶν, ναυμαχίαις καὶ πεζαῖς στρατείαις; οἱ γὰρ Ἑλλήνων καὶ βαρβάρων πρός τε ἑαυτοὺς καὶ πρὸς ἀλλήλους τραγῳδηθέντες πόλεμοι πάντες ἀπὸ μιᾶς πηγῆς ἐῤῥύησαν ἐπιθυμίας, ἢ χρημάτων, ἢ δόξης, ἢ ἡδονῆς· περὶ γὰρ ταῦτα κηραίνει τὸ τῶν ἀνθρώπων γένος. ἅλις μὲν δὴ τούτων. χρὴ δὲ μὴ δ᾽ ἐκεῖνο ἀγνοεῖν, ὅτι οἱ δέκα λόγοι, κεφάλαια νόμων εἰσὶ τῶν ἐν εἴδει παρὰ ὅλην τὴν νομοθεσίαν ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγραφέντων.

A longe remotam cernere cupientes, plus satis & supra vires intenti frustrantur, nec valent eam exacte cognoscere, & insuper hebetantur conatu suo nimio. sic & fremitus obscurus auribus è longinquo allapsus eas excitat cupidas rem cognoscendi propius, & sonitum percipiendi clarius: tamen quo est obscurior & quo minus augetur, eo magis accenditur desiderium nihil proficiens, concupiscentia pœnas dante haud secus
B quam de Tantalo narrant fabulæ poeticæ. fertur enim cum quicquid appetit frustra velle tangere, rebus per ludibrium tantum non è digitis clabentibus: illum vero nihilominus impotenter eas concupiscere, sitientem ea quæ se quo minus satietur subducunt hianti & auido, seséque huc illuc extendenti more serpiginosi vlceris, quod ni sectionibus cauteriisve reprimatur, totum circumquaque corpus occupat, nec vllam partem incon-
C tactam præterit. ad eundem modum nisi ratio philosophica ceu bonus medicus cohibeat diffundentem se concupiscentiam, totam vitam perturbabit necessario. cuncta enim sine exceptione subijciuntur huic vitio, sed nunquam magis insanit quam cum nacta est licentiam, quando in omnibus facit omnia. Id quia satis liquet, non est opus verbis pluribus, cum nemo nesciat, nulla ciuitas ignoret exempla quotidiana, imò quæ
D pene singulis horis fidem nobis astruunt. Pecuniarum amor, aut fœminę, aut gloriæ, aut cuiusuis rei facientis ad voluptatem, paruásne ac vulgares calamitates inuehit? nónne amicitias dirimit, etiam cognatos è beneuolis reddens infensissimos. nónne hinc & regiones populosæ desolantur intestinis seditionibus? nónne hoc pacto terra maréque replen-
E tur nouis tumultibus & cladibus vltro citróque illatis vel naualibus vel terrestribus prælijs. nam græcorum barbarorúmque bella tam contra suos quam contra diuersi generis homines gesta, omnia manarunt ab vno fonte, concupiscentia pecuniarum aut voluptatis aut gloriæ. Hæc enim sunt fatalia mala hominum. Et de his hactenus. Illud quoque sciendum, decem hæc præcepta esse summarium legum speciatim proditarum in toto legislatoris sacro volumine.

nam primũ caput est de legibus ad monarchiã pertinentibus. hæc docent vnũ esse conditorem mundi regémque ac gubernatorem, qui regat omnia salubriter, paucorum aut vulgi dominatum esse peruersas constitutiones reipublicæ, inductas à malis & astutis hominibus per ambitionem auariciamque libertati ciuium insidiantibus, cæterum in cælo purissimo nihil reperiri simile: secundum caput continet omnia quæ spectãt ad manufacta simulacra, statuas delubráq;, & in vniuersum quicquid è pictorũ fictorúmq; noxiis officinis in templa translatũ dedicatur: quo diserte cauetur ne admittant figmenta fabularum de deorum cõnubiis & natalibus, & qui hinc oriuntur variis casibus. Tertio præscribitur, quas ob res, vbi, quãdo, iusiurandum interponi debeat, à quo & qualiter affecto vel animo vel corpore, tum quid recte secúsve iurantes maneat. Quarto vero de festis diebus & sabbatis in summa præcipitur, déque votis, sacrificiis, atque purificationibus & cætero cultu religioso numinis. Sabbatum voco diem septimũ annumerato senario fœcunditati proprio, cui accedit septimus vnitati similis, quibus numeris ambobus festa dinumerantur: vnitate quidem sacrũ nouilunium in quo tuba canitur, & ieiuniũ in quo à cibo potúq; abstinetur, & quod patria Hebręorum lingua pascha dicitur, quando populariter singuli sacrificant non expectatis sacerdotibus, ipsi permissu legis fungentes sacerdotio quot annis per vnum diem destinatum huic negotio: quando etiam offertur manipulus gratiarum actionis pro vbertate camporum & frugum abundantia. ab eo septies septimus, hoc est quinquagesimus, Pentecoste Græco & vsitati ore vocabulo: quando panes offeruntur primitiarum nomine conuenientissimo. quoniam primũ hoc inter alimenta mitia prouenire Deus voluit in vsum hominis animaliũ mitissimi. septenario vero attributa sunt festa maiora quæ plures dies postulant, tunc cum annus distinguitur duobus æquinoctiis, verno autumnaliq;, & septeni dies festi agũtur: verno tempore vt segetes ad maturã frugem perueniãt: autumnali, vt omnes arborei fructus colligantur conuehantúrq; feliciter. septeni autem dies dantur his festiuitatibus propter menses septenos vtriusq; æquinoctij: vt cuique mensi honor

ὁ μὲν πρῶτος τὸ περὶ μοναρχίας. οὗτοι δὲ δηλοῦσιν, ὅτι ἓν αἴτιον τοῦ κόσμου, καὶ ἡγεμὼν καὶ βασιλεὺς εἷς, ὁ ἡνιοχῶν καὶ κυβερνῶν τὰ ὅλα σωτηρίως, ὀλιγαρχίαν ἢ ὀχλοκρατίαν, ἐπιβούλους πολιτείας φυομένας παρὰ ἀνθρώποις τοῖς κακίστοις ἐξ ἀταξίας καὶ πλεονεξίας, ἐξεληλακὼς ἐκ τοῦ καθαρωτάτου τῆς οὐσίας οὐρανοῦ. ὁ δὲ δεύτερος κεφάλαιόν ἐστι πάντων, ὅσα περὶ χειροκμήτων ἐνομοθετεῖτο, ἀγάλματα, καὶ ξόανα, καὶ συνόλως ἀφιδρύματα, ὧν γραφικὴ καὶ πλαστικὴ βλαβεραὶ δημιουργοί, κατασκευάζειν οὐκ ἐῶν, οὐδ' ὅσα μύθων πλάσματα προσίεσθαι, θεογαμίας καὶ θεογονίας, καὶ τὰς ἀμφοτέροις ἑπομένας ἀμυθήτους καὶ ἀργαλεωτάτας κῆρας. τῷ δὲ τρίτῳ ὑποστέλλει τά τε ἀνώμοτα, καὶ ἐφ' οἷς ὀμνύναι δεῖ, καὶ ὁπότε, καὶ ὅπου χρή, καὶ τίνα, καὶ πῶς ἔχοντας κατά τε ψυχὴν καὶ σῶμα, καὶ ὅσα ἐπ' εὐόρκοις καὶ τοὐναντίον ἐχρήσθη. ὁ δὲ τέταρτος, ὁ περὶ τῆς ἑβδομάδος, οὐδὲν ἄλλ' ἢ κεφάλαιον νομιστέον ἑορτῶν, καὶ τῶν διατεταγμένων εἰς ἑκάστην ἁγνευτικῶν περιρραντηρίων, καὶ αἰσίων καὶ εὐπροσδέκτων εὐχῶν, καὶ θυσιῶν τελείων ἡ λατρεία ἐγίνετο. ἑβδόμην δὲ λέγω, καὶ τὴν σὺν ἑξάδι τῇ γονιμωτάτῃ, καὶ τὴν ἄνευ ἑξάδος ἐπιπροσθοῦσαν αὐτῇ, μονάδι ὡμοιωμένην, ὧν ἑκατέρᾳ τὰς ἑορτὰς προσαριθμεῖ· μονάδι μὲν τήν τε ἱερομηνίαν, ἣν σάλπιγξιν ἀποσημαίνονται, καὶ νηστείαν, ἐν ᾗ σιτίων καὶ ποτῶν ἀποχὴ διείρηται, καὶ ἣν Ἑβραῖοι πατρίῳ γλώττῃ πάσχα προσαγορεύουσιν, ἐν ᾗ θύουσι πανδημεὶ αὐτῶν ἕκαστος, τοὺς ἱερεῖς αὐτῶν οὐκ ἀναμένοντες, ἱερωσύνην τοῦ νόμου χαρισαμένου τῷ ἔθνει παντὶ μίαν ἡμέραν ἐξαίρετον ἀνὰ πᾶν ἔτος, εἰς αὐτουργίαν θυσιῶν· καὶ ἔτι τὴν ἐν ᾗ προσφέρεται δράγμα χαριστήριον εὐγονίας καὶ φορᾶς γῆς πεδιάδος, δι' ἀσταχύων πληρώσεως· καὶ τὴν ἀπὸ ταύτης καταριθμουμένην ἑπτὰ ἑβδομάσι πεντηκοστὴν ἡμέραν, ἐν ᾗ προσάγειν ἄρτους ἔθος, οἳ καλοῦνται πρωτογεννημάτων ἐτύμως, ἐπειδήπερ εἰσὶν ἀπαρχὴ γεννημάτων καὶ καρπῶν ἡμέρου τροφῆς, ἣν ἀνθρώποις τῷ ἡμερωτάτῳ ζῴων ἀπένειμεν ὁ θεός. ἑβδομάδι δὲ τὰς μεγίστας καὶ πολυημέρους ἑορτὰς προσένειμε κατὰ τὰς τοῦ ἔτους ἰσημερίας, ἐαρινήν τε καὶ μετοπωρινήν, δυσὶ δυσὶν ἀναθεὶς ἑκατέραν ἐφ' ἡμέρας ἑπτά, τὴν μὲν κατὰ τὸ ἔαρ ἐπὶ τελειώσει τῶν σπειρομένων· τὴν δὲ μετοπωρινὴν ἐπὶ συγκομιδῇ καρπῶν ἁπάντων, οὓς καὶ τὰ δένδρα ἀνέδωκεν. ἑπτὰ δὲ ἡμέραι ἀπενεμήθησαν εἰκότως ἑπτὰ μησὶ τῆς ἰσημερίας ἑκατέρας, ἵνα μὴν ἕκαστος λαμβάνῃ γέρας ἐξαίρετον, μίαν ἱερὰν ἡμέραν ἑορτώδη, πρὸς εὐθυμίαν καὶ ἀπό-

λαυσιν ἐκεχειρίας. ἐμφέρονται δὲ καὶ ἄλλοι νόμοι πάνυ καλῶς τεθέντες, εἰς ἡμερότητα καὶ κοινωνίαν, ἀτυφίαν τε καὶ ἰσότητα παρακαλοῦντες· τούτων οἱ μὲν εἰσι περὶ τοῦ λεγομένου ἑβδοματικοῦ, καθ' ὃ διείρηται, πᾶσαν ἀργὴν τὴν χώραν ἐᾶν, μήτε σπείροντας, μήτε ἀροῦντας, μήτε δένδρα διακαθαίροντας, ἢ τέμνοντας, ἢ ὅσ' ἄλλα τῶν κατὰ γεωργίαν ἐπιτελοῦντας. ἓξ γὰρ ἐνιαυτοὺς τήν τε πεδιάδα καὶ τὴν ὀρεινὴν εἰς καρπῶν γένεσιν καὶ δασμῶν ἐτησίων φορὰν πονηθείσας, ἀνέσεως ἠξίωσε, τοῦ διαπνεῦσαι χάριν καὶ ἀπολαῦσαι ἐλευθερίας, χρησάμενος ἀνεπικελεύστῳ τῇ φύσει. ἕτεροι δ' εἰσὶ περὶ τοῦ πεντηκοστοῦ ἔτους, ἐν ᾧ τά τε λεχθέντα ἀρτίως ἐπιτελεῖται, καὶ τὸ ἀναγκαιότατον τῶν κληρουχιῶν ἀποκατάστασις εἰς τοὺς ἐξ ἀρχῆς λαχόντας οἴκους, πρᾶγμα φιλανθρωπίας καὶ δικαιοσύνης μεστόν. τὸ δὲ πέμπτον τὸ περὶ γονέων τιμῆς, πολλοὺς καὶ ἀναγκαίους νόμους ὑπαινίττεται, τοὺς ἐπὶ πρεσβύταις καὶ νέοις ἀναγραφέντας, τοὺς ἐπ' ἄρχουσι καὶ ὑπηκόοις, τοὺς ἐπ' εὐεργέταις καὶ εὖ πεπονθόσι, τοὺς ἐπὶ δούλοις καὶ δεσπόταις. γονεῖς μὲν γὰρ τῆς τῶν κρειττόνων εἰσὶ μερίδος καὶ τάξεως, ἐν ᾗ πρεσβῦται, ἡγεμόνες, εὐεργέται, δεσπόται· παῖδες δὲ ἐν τῇ καταδεεστέρᾳ, ἐν ᾗ νεώτεροι, ὑπήκοοι, εὖ πεπονθότες, δοῦλοι. πολλὰ δὲ καὶ ἄλλα προστέτακται, νέοις μὲν εἰς ἀποδοχὴν γήρως, πρεσβύταις δὲ εἰς ἐπιμέλειαν νεότητος· καὶ ὑπηκόοις μὲν εἰς πειθαρχίαν ἡγεμόνων, ἡγεμόσι δὲ εἰς ὠφέλειαν τῶν ἀρχομένων· καὶ εὖ μὲν πεπονθόσιν εἰς χαρίτων ἀμοιβάς, ἄρξασι δὲ δωρεῶν εἰς τὸ μὴ ζητεῖν καθάπερ ἐν δανείοις ἀπόδοσιν· καὶ θεράπουσι μὲν εἰς ὑπηρεσίαν φιλοδέσποτον, δεσπόταις δὲ εἰς ἠπιότητα καὶ πραότητα, δι' ὧν ἐξισοῦται τὸ ἄνισον. καὶ ἡ μὲν προτέρα πεντὰς ἐν τούτοις ἀναγράφεται, κεφαλαιώδη τύπον περιέχουσα· τῶν δὲ ἐν εἴδει νόμων οὐκ ὀλίγος ἀριθμός. τῆς δὲ ἑτέρας πρῶτον ἐστὶ κεφάλαιον, τὸ κατὰ μοιχῶν, ᾧ ὑποτέτακται πλεῖστα διατάγματα, τὸ κατὰ φθορέων, τὸ κατὰ παιδεραστῶν, τὸ κατὰ τῶν λαγνίστερον βιούντων, ὁμιλίαις τε καὶ μίξεσιν ἐκνόμοις καὶ ἀκολάστοις χρωμένων. τὰς δὲ ἰδέας ἀναγέγραφεν, οὐχ ὑπὲρ τοῦ μηνῦσαι τὸ πολύχουν καὶ πολύτροπον τῆς ἀκρασίας, ἀλλ' ὑπὲρ τοῦ τοὺς ἀσχημόνως ζῶντας ἐμφανέστατα δυσωπεῖν, ἐπαντλοῦντας τοῖς ὠσὶν αὐτῶν ἀθρόα ὀνείδη, δι' ὧν ἐρυθριάσουσι. δεύτερον δὲ κεφάλαιον, ἡ τοῦ μὴ ἀνδροφονεῖν ἀπαγόρευσις, ὑφ' ἣν εἰσι πάντες οἱ περὶ βιαίων, ὕβρεως, αἰκίας, τραυμάτων, πηρώσεως, ἀναι-

A suus cōtingat otio hilaritateque vnius dici. eodem pertinent & aliæ leges pulcherrimæ, quæ inuitant ad mansuetudinem, societatem, modestiam, & ius exæquandum cunctis pariter: qualis est de septimo quoque anno, quo inducitur totius agriculturæ intermissio, ne quis serat aretve, néve putet purgétque arbores, aut quicquam rustici operis faciat. Visum est enim irreprehensibili legislatoris ingenio dignum præmium sexēnis fertilitatis locorum B montanorum & campestrium, remissio hæc laboris & ad respirandum libera vacatio. Nec dissimilia sunt quæ præcipiuntur de anno quinquagesimo, qui non solum habet modo dictum septimi priuilegium, verum etiam restitutionem rei familiaris in integrum, necessariam sane plenámque charitatis ac iusticiæ. In quinto capite de honore parentum multæ leges subindicantur perinde necessariæ, spectantes ad seniores iunioresque, ad magistratus & C subditos, ad benemeritos & affectos beneficio, ad seruos & Dominos. parentes enim censentur in potiore ordine, in quo seniores, principes, benefactores, Domini: liberi vero in deteriore, in quo iuniores, subditi, beneficio deuincti, seruique. multa enim præcipiuntur, iuuentuti de fouendis senibus, senioribus vero de instituendis iuuenibus. item subditis de obedientia magistratibus debita, his vero de curandis subditorum commodis. D his qui beneficium acceperunt, de referenda gratia, de non expectanda vero his qui gratis debent esse benefici, ne sint fœneratoribus similes. à seruis exiguntur officia caritatis erga Dominos, ab his vicissim humanitas & clementia, vt bene inter se comparentur impares. Hactenus capita quinarij primæ tabulæ, speciatim non exiguum complectentis legum numerum. in sequenti primum caput mœchis opponitur, multa instituta continens, contra E stupratores, contra puerorū amatores, contra lasciuiæ deditos & illegitimis incestisque concubitibus. Quorum formas non ideo retulit in literas, vt indicaret multiplices libidines, sed vt eo magis imponeret pudorem turpiter viuentibus, exprobrando eis pudenda dedecora. secundum caput vetat homicidium, quo comprehenduntur leges de vi & iniuria, de mutilatione, plagis, vulneribúsque,

omnes necessariæ perutilésque rei publicæ. Tertium vero fures cohibet, ad quē ordinē pertinent qui fraudāt creditorē vel depositū abnegant, qui peculantur, qui prædantur, in sūma quotquot prę auaricia clámve palámve aliena vsurpant. Quartum est de falsis testibus, quo etiā multæ leges continentur, de non decipiendo, de non calumniādo, de non adiuuandis malefactoribus, de non celāda perfidia prætextu fidei, quæ omnia legislatori curæ fuerunt. Quintū reprimit concupiscentiā fontem iniquitatū, vnde manat quicquid contra ius fit priuatim ac publice, siue paruū siue magnū, sacrū profanúmve, ad corpus animúmve, résve externas attinens. Nihil enim, vt iam ante dixi, potest euadere vim cōcupiscentiæ, sed tanquā flamma ligneam materiam, depascitur absumitque omnia. eius quoque multæ species coercentur præceptis & monitis, vt corrigantur emēdabiles, contumaces vero puniantur, per totā vitā malo huic obnoxij. Hæc & de posterioris tabulæ quinario dixisse sat erit ad explendū decalogū, sacrosancto Dei proditū oraculo. eius enim naturam decuit, capita legū specialiū ore proprio canere, leges vero ipsas per prophetā absolutissimū electū ex omni optimatū numero, repletúmque diuino spiritu, quo interprete oraculorum vti placuit. De cætero addamus causā, cur in his decem præceptis siue legibus contentus iubere vetaréque, secus facientibus nullam pœnam decernit, quemadmodum solent alij legislatores statuere. Quia Deus erat, & consequēter bonus Dominus, solorum bonorum autor, mali vero nullius. Proinde existimauit nihil magis naturam suam decere, quàm vt salutaria præcepta daret pura non admixtis pœnarum terroribus, ne quis imprudens metu malo consultore vsus inuitus pareret, sed potius vt sapiens rationem voluntatemque spontaneam secutus verteret se & applicaret ad id quod est optimum: ne quis putet ideo de pœnis silere oracula, vt qui peccant impunitatem sibi polliceantur, sed magis cogitet assidere Deo iusticiam, inspectaréque quicquid agunt homines, nec dissimulare vt natura infensam sontibus, & ex officio plectentem iuris violatores. hoc enim est proprium ministris Dei potentiis, vt quemadmodum in militari fit imperio, seuere

A καὶ οἱ νόμοι καὶ σφόδρα κοινωφελεῖς. τρίτον δὲ, τὸ περὶ τοῦ μὴ κλέπτειν, ᾧ ὑποτέτακται τὰ ἐπὶ χρεωκοπίαις ὀφειλόντων, καὶ ἐξάρνοις παρακαταθήκαις, καὶ ἀκοινωνήτῳ κοινωνίᾳ, καὶ ἀναιδέσι ταῖς ἁρπαγαῖς, καὶ συνόλως πλεονεξίαις, ἐφ᾽ ἃς ἐπιτίθενταί τινες φανερῶς ἢ λάθρα τἀλλότρια νοσφίζεσθαι. τέταρτον δὲ, τὸ περὶ τοῦ μὴ ψευδομαρτυρεῖν, ᾧ πολλὰ ἐμφέρεται, τὸ μὴ ἀπατᾶν, τὸ μὴ συκοφαντεῖν, τὸ μὴ τοῖς ἐξαμαρτάνουσι συμπράττειν, τὸ μὴ ποιεῖσθαι προκάλυμμα πίστιν
B ἀπιστίας, ἐφ᾽ οἷς ἅπασι νόμοι προσήκοντες ἐτέθησαν. πέμπτον δὲ, τὸ ἀνεῖργον τὴν τῶν ἀδικημάτων πηγὴν ἐπιθυμίαν, ἀφ᾽ ἧς ῥέουσιν αἱ παρανομώταται πράξεις, ἴδιαι καὶ κοιναὶ, μικραὶ καὶ μεγάλαι, ἱεραὶ καὶ βέβηλοι, περί τε σώματα καὶ ψυχὰς, καὶ τὰ λεγόμενα ἐκτός. διαφεύγει γὰρ οὐδὲν, ὡς καὶ πρότερον ἐλέχθη, τὴν ἐπιθυμίαν, ἀλλ᾽ οἷα φλὸξ ἐν ὕλῃ, νέμεται δαπανῶσα πάντα καὶ φθείρουσα. πολλὰ δὲ τῶν ὑποπιπτόντων αὐτῇ
C διατέτακται, πρός τε νουθεσίας ἐπανόρθωσιν ἐνδεχομένων, καὶ πρὸς κόλασιν ἀφηνιαστῶν, ὅλον τὸν βίον ἐκδεδωκότων τοῖς πάθεσι. τοσαῦτα καὶ περὶ τῆς δευτέρας πεντάδος ἀποχρώντως λέλεκται πρὸς ἐκπλήρωσιν τῶν δέκα λόγων, οὓς ἀφ᾽ ἱεροπρεπῶς ἔχρησεν αὐτὸς ὁ θεός. ἦν γὰρ ἁρμόττον αὐτοῦ τῇ φύσει, κεφάλαια μὲν τῶν ἐν εἴδει νόμων αὐτοπροσώπως θεσπίσαι· νόμους δὲ τοὺς ἐν τῷ μέρει διὰ τοῦ τελειοτάτου τῶν προφητῶν, ὃν ἐπικρίνας ἀριστίνδην, καὶ ἀναπλήσας ἐνθέου πνεύ-
D ματος, ἑρμηνέα τῶν χρησμῳδουμένων εἵλετο. μετὰ δὲ ταῦτα λέγωμεν τὴν αἰτίαν, δι᾽ ἣν τοὺς δέκα λόγους ἢ νόμους ἀποδύσας ψιλαῖς προστάξεσι καὶ ἀπαγορεύσεσι, κατὰ τῶν παραβησομένων, ὡς ἔθος νομοθέταις, οὐδὲν ὥρισεν ἐπιτίμιον. θεὸς ἦν, αὐτόθεν δὲ κύριος ἀγαθὸς, μόνων ἀγαθῶν αἴτιος, κακοῦ δ᾽ οὐδενός. οἰκειότατον οὖν ὑπολαβὼν αὐτοῦ τῇ φύσει τὰ σωτήρια κελεύειν ἀμιγῆ καὶ ἀμέτοχα τιμωρίας, ἵνα μήπως τις ἄφρονι συμβού-
E λῳ χρησάμενος, ἄκων, ἀλλ᾽ ἔμφρονι λογισμῷ καθ᾽ ἑκούσιον γνώμην αἱρῆται τὰ βέλτιστα, μετὰ κολάσεως οὐκ ἠξίωσε θεσπίζειν. οὐκ ἄδειαν τοῖς ἀδικοπραγοῦσι διδοὺς, ἀλλ᾽ εἰδὼς τὴν πάρεδρον αὐτοῦ δίκην, καὶ τῶν ἀνθρωπίνων ἔφορον πραγμάτων, οὐκ ἠρεμήσουσαν, ἅτε φύσει μισοπόνηρον, καὶ ὥσπερ τι συγγενὲς ἔργον ἐκδεξομένην τὴν κατὰ τῶν ἁμαρτανόντων ἄμυναν. ἐμπρεπὲς γὰρ τοῖς ὑπηρέταις μὲν καὶ ὑπάρχοις θεοῦ, καθάπερ τοῖς πολέμου στρατηγοῖς, ἐπὶ λιποτάκταις, οἱ λείπουσι τὴν τοῦ

τὴν τοῦ δικαίου τάξιν, ἀμυντηρίοις χρῆσθαι· τῷ δὲ μεγάλῳ βασιλεῖ τὴν κοινὴν ἀσφάλειαν ἐπιγεγράφθαι τοῦ παντὸς εἰρηνοφυλακοῦντι, καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ πάντα τοῖς πανταχοῦ πᾶσιν ἀεὶ πλουσίως καὶ ἀφθόνως χορηγοῦντι. τῷ γὰρ ὄντι ὁ μὲν θεὸς πρύτανις εἰρήνης, οἱ δὲ ὑποδιάκονοι πολέμων ἡγεμόνες εἰσίν.

A animaduertant in desertores ordinum. ipse vero magnus rex gaudet appellari conseruator custósque pacis publicæ rerum vniuersarum, fructus pacis omnibus vbique largiter copioséque suppeditans. Nam re vera penes Deum cura pacis est, belli verò penes eos quibus ille supræfectis & ministris vtitur.

ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ, ΕΙΣ ΤΡΙΑ ΓΕΝΗ ΤΩΝ

δέκα λόγων, τὸ τρίτον, τὸ τέταρτον, τὸ πέμπτον, τὸ περὶ εὐορκίας καὶ σεβασμοῦ, καὶ τῆς ἱερᾶς ἑβδόμης, καὶ γονέων τιμῆς.

PHILONIS IVDÆI, DE SPECIALIBVS LEGIBVS QVÆ REFERVNTVR AD TRIA

Decalogi capita, videlicet tertium, quartum quintúmque, De iureiurando religionéque, De sacro sabbato, De honore habendo parentibus.

B

ἘΝ μὲν τῇ πρὸ ταύτης βίβλῳ, δύο κεφάλαια ἠκρίβωται τῶν δέκα, τό, τε περὶ τοῦ μὴ νομίζειν θεοὺς αὐτοκρατεῖς ἑτέρους, καὶ περὶ τοῦ μηδὲν θεοπλαστεῖν χειρόκμητον· εἴρηται δὲ καὶ τὰ ἑκατέρῳ τῶν κατὰ μέρος διατεταγμένων ἁρμόττοντα νόμιμα· νυνὶ δὲ περὶ τῶν τριῶν τῶν κατὰ τὸ στοιχεῖον ἑξῆς διαλεξόμεθα, πάλιν ἐφαρμόττοντες τὰ προσήκοντα τῶν ἐν εἴδει.

C

πρῶτον δή ἐστι τῶν τριῶν, τὸ μὴ θεοῦ ὄνομα λαμβάνειν ἐπὶ ματαίῳ. ὁ γὰρ τοῦ σπουδαίου, φησί, λόγος, ὅρκος ἔστω βέβαιος, ἀκλινής, ἀψευδέστατος, ἐρηρεισμένος ἀληθείᾳ· κἂν εἰ μή, ὀμνύναι μέντοι βιάζοιντο αἱ χρεῖαι, πατρὸς ἢ μητρός, ζώντων μὲν ὑγείαν καὶ εὐγηρίαν, τετελευτηκότων δὲ τὴν μνήμην ὅρκον ποιητέον. ἀπεικονίσματα γὰρ οὗτοί γε

D

καὶ μιμήματα θείας δυνάμεώς εἰσι, τοὺς μὴ ὄντας εἰς τὸ εἶναι παραγαγόντες. ἀναγέγραπταί τις ἐν τοῖς νόμοις τῶν ἀρχηγετῶν ἐπὶ σοφίᾳ μάλιστα θαυμασθέντων, ὀμνὺς κατὰ τοῦ φόβου τοῦ πατρός, ὑπὲρ ὠφελείας οἶμαι τῶν ἔπειτα, καὶ διδαχῆς ἀναγκαίας, ἵνα τοὺς γονεῖς ὃν χρὴ τρόπον τιμῶσι, στέργοντες ὡς εὐεργέτας, καὶ εὐλαβούμενοι ὡς ὑπὸ

B IN libro qui hunc præcedit proximus, accurate introspeximus duo capita quæ in decẽ præceptis prima numerãtur, de non colẽdis alijs dijs præter vnũ cuius imperio parẽt omnia, & de non fingẽdis simulacris: vbi etiã de legibus speciatim ad ea spectãtibus dictũ est. Nũc de tribus deinceps sequẽtibus disseremus, speciales leges adaptãdo his similiter.

C Horũ triũ primum admonet, ne Dei nomine abutamur in vanũ. Nam quicquid vir bonus asseuerat, perinde ac iurato credi debet, cũ verbũ eius firmũ sit ac rigidũ, nullo mẽdacio flexile, veritate in qua fundatur subnixum. Quod si rei necessitas religionẽ iurisiurãdi postulet, magis decet iurare per patris aut matris sanitatẽ & senectutẽ

D prosperã si viuunt, aut si defuncti sunt per eorũ beatã memoriã. sunt enim effigies & simulacra diuini numinis, qui liberos ad vitã produxerũt de nihilo. Extat scriptũ in legibus prisci cuiusdã celebrati sapientiæ nomine: Deierato per religionẽ patris tui: opinor vt hoc præcepto prodesset posteris, docens quomodo parentes honorandi sint,

pietate, vt bene meriti, religione vero vt à natura cõstituti principes, & quod non temere Deus nominandus sit. Illis quoq; laus debetur, qui quoties vrgentur sacramentũ dicere, cũctando tergiuersandoq; religionẽ incutiũt nõ solũ spectantibus, sed & ad iurandũ prouocãtibus. solent enim quidã vbi hoc solũ protulerint, Ita me adiuuet, reliquũ ex abrupto subticere, nihil addentes amplius, nec absoluentes formulã. Potest enim suppleri si libeat, non statim addendo: Altissimus aut summus rerũ conditor, sed tellus, sol, cęlũ, mũdúsve. Sunt enim hæ creaturæ præcipuæ, nimirũ antiquiores nostro genere, sempiternæq; omnis expertes senij, sic volente cælesti numine. alij vero tã faciles sunt ad iurandũ & temerarij, vt prę teritis nimia properatione creaturis omnibus, ad ipsum creatorẽ patrémq; vniuersorũ audeant illotis pedibus irrumpere, nõ habita ratione locorum & temporũ, nec soliciti quã ipsi puri sint animo & corpore, nõ expendentes negotium, quasi linguã à natura sibi datã deberẽt ad vsus nefarios vertere. atqui satius erat hoc instrumento pulcherrimo, quo interprete animi subsistit hominũ societas, vti ad honorẽ & reuerẽtiam prædicationémq; omnipotentis numinis. nunc in tantũ valet impietas quorundã, vt vel religiosissima nec sine horrore audienda Dei nomina congerantur aceruatim per summã impudentiã: quasi euicturi sint crebris deierationibus. vt sibi credatur, fatui qui nõ intelligũt consuetudinẽ crebro iurãdi argumentũ esse perfidiæ nõ fidei, duntaxat prudentiorũ iudicio. Quod si necesse fuerit quacunq; in re saluis legibus iusiurãdum interponere, sanciatur id modis omnibus, ne quid impedimẽto sit quo minus incertæ rei contingat noticia: præsertim si non agitur implacabili odio, aut amore insano, aut impotenti concupiscentia, qui affectus menti sanitatem adimunt, ne videat quid oporteat vel dicere vel facere: sed sobrie certáque ratione ad iurandum acceditur. Quid enim est melius quam per totam vitam abstinere à mendacio, & id approbare Dei testimonio? siquidem iusiurandum nihil est aliud, quam in re ambigua Dei testis citatio. id ni fiat in veritatis fauorẽ, scelus est haud expiatu facile. Qui enim hoc admittit, si non verbis certe reipsa occlamat Deo: Te prætexo iniusticiæ meæ,

A φύσεως κατασταθέντας ἄρχοντας, καὶ μὴ ῥᾳδίως ἐπιχειρῶσιν ὀνομάζειν θεόν. ἄξιον ἐπαινεῖν καὶ τοὺς ὁπότε βιασθεῖεν ὀμνύναι, τῷ μέλλειν καὶ βραδύνειν καὶ ἀποκνεῖν ἐμποιοῦντας δέος οὐ μόνον τοῖς ὁρῶσιν, ἀλλὰ καὶ τοῖς προσκαλουμένοις εἰς τὸν ὅρκον. εἰώθασι γὰρ ἀναφθεγξάμενοι τοσοῦτον, νὴ τόν, ἢ μὰ τόν, μηδὲν προσεπιλαμβάνοντες, προσφάσει τῆς ἀποκοπῆς, τρανοῦν ὅρκον οὐ γενόμενον. ἀλλὰ καὶ προσλαβέτω τις εἰ βούλοιτο, μὴ μὲν τὸ ἀνωτάτω καὶ πρεσβύτατον εὐθὺς αἴτιον, ἀλλὰ γῆν, ἥλιον,
B ἀστέρας, οὐρανόν, τὸν σύμπαντα κόσμον. ἀξιολογώτατα γὰρ ταῦτά γε, καὶ πρεσβύτερα τῆς ἡμετέρας γενέσεως, καὶ προσέτι ἀγήρω διαμενοῦντα τῇ τοῦ πεποιηκότος γνώμῃ. τοσαύτῃ δέ τινες εὐχερείᾳ καὶ ῥᾳθυμίᾳ χρῶνται, ὥστ' ἐν γενέσει πάντα ὑπερβάντες, ἐπὶ τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἀναφέρειν *τολμῶσι, μὴ τόπους εἰ βέβηλοι ἢ ἱεροί, μὴ καιροὺς εἰ ἐπιτήδειοι, μὴ αὐτοὺς εἰ καθαροὶ σῶμα καὶ ψυχήν, μὴ τὰ πράγματα εἰ μεγάλα, ἀλλὰ τὸ λεγόμενον δὴ τοῦτο ἀνίπτοις ποσὶ
C πάντα φέροντες, ὡς δέον, ἐπεὶ γλῶτταν αὐτοῖς ἡ φύσις ἐδωρήσατο, λελυμένῃ χρῆσθαι καὶ ἀχαλίνῳ πρὸς ἃ μὴ θέμις· οὐκ ἐχρῆν ὀργάνῳ τῷ καλλίστῳ, ᾧ φωνὴ καὶ λόγος τὰ βιωφελέστατα καὶ κοινωνίας αἴτια συντετρίανται, πρὸς τιμὴν καὶ σεμνότητα καὶ εὐδαιμονισμὸν καταχρῆσθαι τοῦ πάντων αἰτίου. νυνὶ δὲ ὑπὸ τῆς ἄγαν ἀσεβείας περὶ ὧν ἂν τύχῃ, τὰς φρικωδεστάτας ὀνομάζουσι κλήσεις, καὶ ἄλλ' ἐπ' ἄλλοις ἐπιφέροντες ὀνόματα σωρηδὸν οὐκ ἐρυθριῶσι, νομίζοντες τῇ πυκνότητι καὶ
D τῷ συνεχεῖ τῶν ἐπαλλήλων ὅρκων, ὧν διαφιλονεικοῦσι περιέσεσθαι, λίαν ὄντες εὐήθεις. οὐ γὰρ πίστεως ἡ πολυορκία τεκμήριον, ἀλλ' ἀπιστίας ἐστὶ παρὰ τοῖς εὖ φρονοῦσι. ἐὰν δέ τις ἐκβιασθεὶς ὀμόσῃ περὶ παντὸς ὑπισχνουμένου, ὃ μὴ νόμος ἀπείρηκε, πάντῃ πάντως καὶ μηχανῇ πάσῃ τὸν ὅρκον βεβαιούτω, μηδὲν ἐμποδὼν τιθέμενος εἰς τὴν τοῦ γνωσθέντος τελείωσιν, καὶ μάλιστα ἐπειδὰν μὴ ὀργαὶ ἀπήνειαι, ἢ λελυττηκότες ἔρωτες, ἢ ἐπιθυμίαι ἀκάθεκτοι
E τὴν διάνοιαν ἐκμαίνωσιν ὡς ἀγνοῆσαι τὰ λεγόμενα καὶ πραττόμενα, λογισμῷ δὲ ἡ διάνοια νηφούσῃ ποιῆται τὸν ὅρκον. τί γὰρ ἄμεινον ἢ ἀψευδεῖν παρ' ὅλον τὸν βίον, καὶ ταῦτα μαρτυρεῖ θεῷ χρώμενον. ὅρκος γὰρ οὐδὲν ἄλλο ἐστὶν, ἢ μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου. θεὸν δὲ μὴ ἐπ' ἀληθείᾳ καλεῖν, πάντων ἀνοσιώτατον. ὁ γὰρ τοῦτο ποιῶν, μονονουχὶ ἄντικρυς βοᾷ κἂν ἡσυχάζῃ, σοὶ χρῶμαι τῷ ἀδικεῖν παρακαλύμματι,

A αἰδουμένῳ μοι τῷ δοκεῖν ἁμαρτάνειν, συνέργησον, ἀντ' ἐμοῦ ποιησάμενος τὴν αἰτίαν ὑπόστηθι. μέλλεις γάρ μοι πλημμελοῦντι μὴ φαύλῳ νομίζεσθαι· σὺ δὲ τῆς παρὰ τοῖς πολλοῖς δόξης ἀλογεῖς, οὐδὲν εὐφημίας ἐπιστρεφόμενος. ἅπερ καὶ λέγειν καὶ ἐννοεῖσθαι ἀσεβέστατον. ἀγανακτήσαι γὰρ ἄν, οὐχ ὅτι θεὸς ὁ πάσης κακίας ἀμέτοχος, ἀλλὰ καὶ πατὴρ καὶ ὁ θεῖος ἄνθρωπος μὴ τελείων ἀρετῆς ἄγευστος, εἰ τοιαῦτ' ἀκούοι. πάντας μὲν οὖν ὅρκους, ὡς ἔφην, βεβαιωτέον, ὅσοι περὶ καλῶν καὶ συμφε- B ρόντων γίνονται πρὸς ἐπανόρθωσιν ἰδίων ἢ κοινῶν πραγμάτων, φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιότητος ἡγουμένων. τούτοις ἐμφέρονται καὶ τῶν εὐχῶν αἱ νομιμώταται διὰ περιουσίαν ἀγαθῶν ἢ παρόντων ἢ προσδοκωμένων γινόμεναι· τοὺς δ' ἕνεκα τῶν ἐναντίων ἐπικυροῦν οὐκ εὐαγές. εἰσὶ γάρ οἳ ὀμνύουσιν, ἐὰν τύχῃ, κλοπὰς καὶ ἱεροσυλίας, ἢ μοιχείας καὶ φθοράς, ἢ τραύματα καὶ σφαγάς, ἢ τι τῶν ὁμοιοτρόπων κακῶν ἐργάσασθαι, καὶ ἀνυπερθέτως αὐτὰ δρῶσι, ποιούμενοι πρόφασιν τὸ εὐορκεῖν, C ὡς οὐκ ἄμεινον καὶ θεῷ κεχαρισμένον μᾶλλον τῆς παραβάσεως τῶν ὅρκων, τὸ μὴ δεῖν ἀδικεῖν ἐπὶ δικαιοσύνῃ καὶ πάσῃ ἀρετῇ, ὁ νόμος ἐστὶ πατρῷος, καὶ θεσμοὶ τῶν ἑταίρων, ἢ φύσεως ἱεροὶ λόγοι τὸ βέβαιον καὶ τὸ πάγιον ἐξ αὐτῶν ἔχοντες, ὡς ὅρκων ἀδιαφορῶν. ἴστω δὲ πᾶς ἐνωμότως ἄδικα δρῶν, ὅτι εὐορκήσει μὲν οὔ, τὸν δὲ πολλῆς φυλακῆς καὶ ἐπιμελείας ἄξιον ὅρκον ἀνατρέπει, ᾧ τὰ καλὰ καὶ δίκαια ἐπισφραγίζεται. προστίθεται γὰρ ὑπαίτια ὑπαιτίοις ἐν οὐ δέοντι γινομένοις ὅρκοις, οἷς πολὺ βέλτιον ἦν D ἡσυχάζεσθαι πράξεις παρανόμους. ἀπεχόμενος οὖν τοῦ ἀδικοπραγεῖν, πολιάσθω τὸν θεόν, ἵνα μεταδῷ τῆς ἵλεω δυνάμεως αὐτοῦ συγγνώμην, ἐφ' οἷς ἀβουλίᾳ χρησάμενος ὤμοσε. διπλάσια γὰρ αἱρεῖσθαι κακά, δυνάμενον τὴν ἡμίσειαν αὐτῶν ἀποφορτίσασθαι, μανία καὶ φρενοβλάβεια δυσίατος. εἰσὶ δ' οἳ τὴν φύσιν ἄμικτοι καὶ ἀκοινώνητοι δι' ὑπερβολὴν μισανθρωπίας γεγονότες, ἢ καὶ ὑπ' ὀργῆς οἷα χαλεπῆς δεσποίνης ἐκβιασθέντες, ὅρκῳ τὴν ἀγριότητα πιστοῦνται τῶν ἠθῶν, οἵτινες οὔ φα- E σιν ὁμοτράπεζον ἢ ὁμωρόφιον ἕξειν τὸν δεῖνα ἢ τὸν δεῖνα, ἢ πάλιν τῷ δεῖνι μὴ προέξειν ὠφέλειάν τινα, ἢ παρ' ἐκείνου τινὰ λήψεσθαι καὶ μέχρι τελευτῆς. ἔστι δ' ὅτε καὶ μετὰ τὴν τελευτὴν τὸ ἀσύμβατον διαφυλάττουσιν, οὐδὲ νεκροῖς τοῖς σώμασιν ἐπιτρέποντες ἐν διαθήκαις τὰ νομιζόμενα παρασχεῖν· οἷς παραινέσαιμ' ἂν καθ' ἃ καὶ τοῖς προτέροις, εὐχαῖς καὶ θυσίαις ἐξευμενίζεσθαι τὸ θεῖον, ἵν' εὕρωνταί τινα

quia pudet haberi pro malo & improbo, fer opem, in te culpam meam recipe. sic enim mihi salua existimatione peccare licebit. Quæ verba non dictu modo, sed & cogitatu, sunt nefaria. id enim obsequium præstare grauaretur, non dico Deus alienus ab omni vitio, sed vel pater vel patruus, ac ne ad aures quidem admitteret, modo esset homo educatus liberaliter. licet igitur omne iusiurandum confirmare, in quo res honestæ vtilésque vertuntur, & quo prudenter iustéque vtilitati vel priuatæ vel publicæ consulitur. Huc pertinent & vota legitima, quibus in præsens aut in futurum bona petuntur. nam qui malum propositum iureiurando sanciunt, quid sanctum sit ignorant. iurant se commissuros furtum, sacrilegium, stuprum, adulterium, homicidium, aut aliud simile: móxque ne periuri habeantur committunt, quasi non melius Deóque gratius sit tale periurium, modo seruentur leges per manus acceptæ á maioribus, de colenda iusticia virtutibusque cæteris, sine quibus nec societas hominum, nec naturæ iura possunt in tuto consistere, siue sequatur periurium siue non. Proinde quisquis iuratus iura violat, sciat se non peierare quidem, attamen ea pessum dare, ad quæ constabilienda iusiurandum inuentum est. addit enim culpæ culpam dum sacramento abutitur, cum debuisset potius abstinere à maleficijs, abstineat igitur, & supplex Deum exoret, vt pro sua clementia temeritati inconsultæ ignoscat qua ad iurandum præceps actus est. nam duplicare noxam, cum te possis exonerare dimidio, maxima est insania vix vnquam curabilis. Rursum alij feroces inhumanique, aut ab ira coacti molesta domina, iureiurando suam inhumanitatem confirmant, dũ negant se hunc aut illum admissuros in contubernium vel mensæ societatem, aut adiuturos vllo beneficio, aut vsuros eius opera quoad vixerit. Interdum etiam vltra obitum prorogant odia, nec sinũt mortuorum corpora potiri iustis funebribus. Hi quemadmodum & priores illi monendi sunt, vt placent Deum votis ac sacrificijs, quo aliquã

consequantur medicinam animæ nulla ope humana curabilis. Alij iactatores & arrogantia turgidi, gloriæque insatiabiliter auidi, frugalitatem sibi putant prorsus inutilem: quod si quis submoneat vt concupiscentijs suis imperent, contumeliam sibi factam existimant: contemptísque monitoribus ruunt in delicias, risu cauillisque ludentes in præcepta honesta vitæque vtilissima. his si res familiaris lauta sit, iureiurando affirmant, facturos se impensas in voluptates sine parsimonia. Verbi gratia, nuper diues quidam delicatus, à sene cognato paternóque amico monitus, vt honestius & castigatius viueret, tulit id ægerrime, móxque obnixius contendendo iurauit, quamdiu sumptus se non defecerint, à luxu non temperaturum vel ruri vel in vrbe, sed vbique ostentaturum diuitias. Atqui non diuitiæ sic ostentantur, sed fastus ac luxus traducitur, quantum ego intelligo. Reperias enim non paucos magnos principes affluentes apparatu copioso & inexhaustis diuitiis, tamen interdum non aspernari res tenuium, fictilia pocula, obolares panes, & oleas caseúmve olúsve vice obsonij: tum in æstate campestre lineum, in hieme crassam validámque penulam, & cubile aliquando humi stratum fastiditis spondis eburneis, vel testudine auróque ornatis, stragulísque purpureis, & mensis luxuriosis elaboratisque curiose bellarijs. In causa est non solum eorum ingenij felicitas ac bonitas, verùm etiam à tenera ætate recta institutio, ex qua didicerunt meminisse homines se magis quàm principes, & nihil humanum spernere: quam opinionem pene quotidie in memoriam sibi reuocant, demittúntque se à celsa potestate ad ista humilia, & quadam tenus exæquant subditis, ne quid offendat disparitas. Atque ita ciuitates potentia, rerum copia, legibus, moribus, pacéque festa florentes reddunt, nulla his subtrahentes commoda, sed omnia largientes prompte absque inuidia. Hi sunt mores generosorum & vere principum hominum, aliique his similes.

A ψυχικῶν ἀρρωστημάτων θεραπείαν, ἣν μηδεὶς ἀνθρώπων ἱκανὸς ἰάσασθαι. ἕτεροι δ' εἰσὶ κομπασταὶ τῶν ὑπ' ἀλαζονείας φυσωμένων, οἱ λιμοδοξοῦντες, οὐδενὶ τὴν εἰς ὠφελιμωτάτην ὀλιγοδεΐαν χρῆσθαι ἀξιοῦσιν· ἀλλὰ κἂν προτρέπῃ τις ἕνεκα τοῦ τὸν ἀφηνιασμὸν τῆς ἐπιθυμίας ἀναχαιτίσαι, τὴν νουθεσίαν ὕβριν εἶναι νομίζουσι, καὶ πρὸς τὸν ἁβροδίαιτον ὠθούμενοι βίον, ἀλογοῦσι τῶν σωφρονιστῶν, γέλωτα καὶ χλεύην ποιούμενοι τὰς φρονήσεως

B ὁμοῦ καλὰς καὶ λυσιτελεστάτας ὑφηγήσεις· εἰ δ' ἂν καὶ τύχοι τις οὐσίας περιουσία καὶ ἀφθονία τῶν περὶ βίον, ὅρκοις ἐπισφραγίζονται τὴν χρῆσιν καὶ ἀπόλαυσιν τὴν εἰς πολυτέλειαν· οἶδα γοῦν τινα λέγω· περιέπων τις τῶν οὐκ ὀλίγα κεκτημένων, ἱλαρὸν καὶ διαρρέοντα βίον ἀσπαζόμενος, ἐπεὶ πρεσβύτης τῶν συγγενὴς ἢ πατρικός γ' ἅμα φίλος, ἐνουθέτει, πρὸς τὸ σεμνότερον καὶ αὐστηρότερον τὴν δίαιταν παρακαλῶν μεταβαλεῖν, τὴν προαίρεσιν

C οὐ μετρίως δυσχεράνας, ὤμοσεν ἀπὸ φιλονεικίας, ἕως ἂν τὰς χορηγίας ἔχῃ καὶ τὰς παρασκευάς, μηδενὶ χρήσασθαι τὴν εἰς εὐτέλειαν, μὴ κατὰ πόλιν, μὴ κατ' ἀγρούς, ἀλλ' ἀεὶ καὶ πανταχοῦ τοῦ πλούτου ἐπιδείξασθαι. πλούτου δὲ ταῦθ', ὡς ἔοικεν, ἐπίδειξις οὐκ ἔστι μᾶλλον ἢ ἀλαζονείας καὶ ἀκρασίας. καίτοι τῶν ἐν ταῖς μεγάλαις ἡγεμονίαις οὐκ ὀλίγοι εἰσὶν οἱ παμπληθεῖς ἔχοντες παρασκευὰς καὶ χορηγίας ἀφθόνους, ὥσπερ ἐξ ἀενάου τινὸς πηγῆς πλούτου ῥέοντος αὐτοῖς ἀδιαστάτως, ὅμως ἐφ' ἃ καὶ οἱ πένητες ἡμεῖς, ἔστιν ὅτε τρέπονται κεραμεαίας κύλικας,

D καὶ ὀβολιαίους ἄρτους, καὶ ἐλαίας, ἢ τυρόν, ἢ λάχανα προσόψημα, καὶ θέρους μὲν περίζωμα καὶ λινῆν ὀθόνην, χειμῶνος δὲ χλαῖναν παχεῖαν καὶ στρυφνήν, καὶ τὰ πρὸς κοίτην ἔστιν ὅτε χαμαίστρωτα, πολλὰ χαίρειν φράσαντες κλίναις ἐλεφαντίναις, ἢ χελώνης, ἢ χρυσοῦ πεποιημέναις, καὶ στρωμναῖς ἔνθα βαθέσι, καὶ ἐσθῆσι καὶ ἁλουργίσι, καὶ ποικιλμάτων μελιπήκτων περιεργίαις, καὶ τραπεζῶν πολυτελείαις. αἴτιον δ' οὐ μόνον τὸ φύσεως αὐτοὺς εὐμοι-

E ρῆσαι, ἀλλὰ καὶ τὸ παιδείας ὀρθῆς ἐκ πρώτης ἡλικίας ἅψασθαι, ἥτις ἀνεδίδαξε περὶ τὴν ἡγεμονικὴν τὰ ἀνθρώπινα τιμᾶν, ἥτις καὶ ἐνδιαιτωμένη τῇ ψυχῇ μονονοὺ καθ' ἑκάστην ἡμέραν ὑπομιμνήσκει τοῦ ἀνθρωπότητος, ἀπὸ τῶν ὑψηλῶν καὶ ὑπερόγκων ἀντισπῶσα καὶ στέλλουσα, καὶ τὸ ἄνισον ἰσότητι θεραπεύουσα. τοιγαροῦν τὰς πόλεις εὐθηνίας, εὐπορίας, εὐνομίας, εἰρήνης ἀναπεπλήκασιν, ἀγαθὸν μὲν οὐδὲν ὑπεξελόμενοι, πάντα δ' ἀφθόνως καὶ ἀταμιεύτως χαριζόμενοι. τὰ μὲν δὴ τῶν εὐγενῶν

καὶ ὡς ἀληθῶς ἡγεμόνων ἔργα, ταῦτα καὶ τὰ τούτοις παραπλήσια· τὰ δὲ τῶν νεοπλούτων, ἐκ φορᾷ πλάνῳ τινὶ τύχης εἰς πολυχρηματίαν προεληκότων, οἳ τὸν ἀληθῆ καὶ βλέποντα πλοῦτον, ὑπ' ἀρετῶν πλείστων συνεστῶτα καὶ τῶν κατ' ἀρετὰς πράξεων, οὐδ' ὄναρ ἴσασι, τῷ δὲ τυφλῷ προσέπταισαν, ἐφ' ᾧ σκηριπτόμενοι, κατ' ἀναγκαῖον, τὴν ἄγουσαν ὁδὸν οὐχ ὁρῶντες, εἰς ἀνοδίαν ἐκτρέπονται, θαυμάζοντες τὰ μηδεμιᾶς ἄξια τιμῆς, καὶ τὰ φύσει τίμια γελῶντες, οἷς ὁ ἱερὸς λόγος ὅρκον ἐν οὐ δέοντι καιρῷ ποιουμένοις οὐ μετρίως ἐπιτιμᾷ καὶ ὀνειδίζει· δυσκάθαρτοι γὰρ καὶ δυσίατοι, ὡς μηδὲ παρὰ θεῷ τῷ τὴν φύσιν ἵλεῳ συγγνώμης ἀξιοῦσθαι. παρθένων δὲ καὶ γυναικῶν τὸ περὶ τὰς εὐχὰς αὐτοκρατὲς ἀφείλετο, τῶν μὲν τοὺς πατέρας κυρίους, τῶν δὲ γυναικῶν τοὺς ἄνδρας ἀποφήνας, εἰς βεβαίωσιν ὅρκων καὶ λύσιν, τῆς μὲν πατρὸς, τῆς δὲ ἀνδρὸς εἶναι καὶ μάλα εἰκότως. αἱ μὲν γὰρ διὰ νεότητα δύναμιν ὅρκων οὐκ ἴσασιν, ὡς χρήζειν τῶν ἐπικρινούντων· αἱ δὲ πολλάκις ὑπ' εὐχερείας ὀμνύουσιν, ἃ μὴ τοῖς ἀνδράσι συνοίσει· διόπερ αὐτοῖς ἀνέθηκε τὴν ἐξουσίαν τοῦ τὰ νομισθέντα διαφυλάττειν, ἢ τοὐναντίον. χῆραι δὲ μὴ ῥᾳδίως ὀμνύτωσαν. οὐ γὰρ ἔχουσι τοὺς παραιτητάς, οὔτ' ἄνδρας ὧν διεζεύχθησαν, οὔτε πατέρας ἀφ' ὧν μετανέστησαν, ὅτε τὴν πρὸς γάμον ἀποικίαν ἐστέλλοντο, ἐπεὶ μένειν τοὺς τούτων ὅρκους ἀναγκαῖον, ἐρημίᾳ τῶν κηδεμόνων βεβαιουμένους. ἐὰν δέ τις ἐπιορκοῦντά τινα εἰδὼς μὴ καταμηνύσῃ ἢ ἀπελέγξῃ, φιλίᾳ ἢ αἰδοῖ ἢ φόβῳ διδοὺς πλέον ἢ εὐσεβείᾳ, τοῖς αὐτοῖς ἐπιτιμίοις ἔνοχος ἔστω. διαφέρει γὰρ τοῦ ἀδικεῖν οὐδὲν τὸ συνεπιγράφεσθαι ἀδικοῦντι. δίκαι δὲ κατ' ἐπιόρκων, αἱ μὲν ἀνάκεινται θεῷ, αἱ δ' ἀνθρώποις· θεῷ μὲν, αἱ ἀνώταται καὶ μέγισται. ἵλεως γὰρ οὐ γίγνεται τοῖς οὕτως ἀσεβήσασιν, ἀλλὰ μένειν ἀεὶ δυσκαθάρτους ἐᾷ, δικαίως οἶμαι καὶ προσηκόντως. ὁ γὰρ ἀμελὴς τί δήποτ' εἰ ἀνταμεληθήσεται· οἷς δίδωσι τίσε καρπούμενος· αἱ δ' ἀπ' ἀνθρώπων διάφοροι, θάνατος ἢ πληγαί. τούτων μὲν ἀμείνω, καὶ περὶ τὴν εἰς εὐσέβειαν θανάτου δίκας βεβαιούντων, τῶν δὲ μαλακωτέρων χειρουμένων ὀργαῖς δημοσίᾳ μάστιγι τυπτόντων ἀναφανδὸν ἐν κοινῷ. εἰσὶ δὲ καὶ πληγαὶ τοῖς μὴ δουλοπρεπέσιν οὐκ ἔλαττον δίκης θανάτου. ταῦτα μὲν δύο αἱ ῥηταὶ προστάξεις περιέχουσιν. ἔστι δ' ἀλληγορῆσαι τὰ περὶ τὸν τόπον, ἔχοντα θεωρίαν τὴν διὰ συμβόλων. Εἰδέναι τοίνυν προσήκει, ὁ τῆς φύσεως ὀρθὸς λόγος πατρὸς

A At isti recens euecti ad opulentiam, adeptique multas pecunias errantis fortunæ indulgentia, veras autem & nequaquam cæcas opes, quæ constant è virtutibus honestisque actionibus, ne in somnis quidem vnquam conspicati, in cæcum Plutum inciderunt: à quo sustentati necesse est, vt per cæcitatem viam non videant, deflectántque in auia, mirentur res nullius pretij, vere pretiosas rideant, quos sacra scriptura intempestiue iurantes B non mediocriter increpat. incorrigibiles enim sunt & insanabiles, proinde ne à Deo quidem natura propitio veniam impetrant. Cæterum virginibus & maritatis vouendi iurandique potestas adimitur legibus, quod illæ in autoritate parentum, hæ maritorum esse pronuncientur, penes quos est voluntatem earum ratam habere aut irritam. nam illæ per ætatem vim iusiurandi parum intelligunt, & opus habent alieno C iudicio: alteræ procliuiores ad iurandum sunt quam ferat maritorum vtilitas. Quapropter his liberum est vxoris iuramentum ratum vel irritum facere. At viduæ caueant ne iurent temere. Non habent enim deprecatores, nec maritos defunctos, nec parentes relictos quando migrarunt in aliam familiam: ideo iuramentum earum non conuellitur, destitutarum à curatoribus. Si quis autem quem periurum scit D non indicat, amicitiæ, reuerentiæ, timori, plus quàm pietati tribuens, periurij pœnæ fit obnoxius. Nam peccare & peccanti fauere perinde est. Pœnæ autem periuris partim à Deo, partim ab hominibus, infliguntur: sed à Deo grauissimæ. Non fit enim propitius contaminatis eo scelere, sed vt impuros auersatur perpetuo. & merito. Qui enim res tam serias contemnit, vicissim contemnitur, & referuntur E paria paribus. Homines vero aut morte mulctant hos aut verberibus: seuerius dum pietatem læsam morte vindicant: remissius dum publice flagris eos lacerant, quæ pœna ingenuo non videtur morte leuior. Hæc diserte præcipiuntur, licet interpretari possint per allegoriam ab his qui occultiorem intellectum considerant. Sciendum igitur quòd recta ratio seu sermo patris atque mariti vim habet,

ſed diuerſa obſeruatione. Mariti, quia virtutum ſemina iacit in animam tanquam in agrum fertilem. Patris, quia conſilia bona & actiones honeſtas ſolet gignere, prognatáſque educare decretis dulcibus, quæ doctrina & ſapientia ſuppeditat. Mens autem aſſimilatur nunc virgini, nunc mulieri vel coniugatæ vel viduæ. virgini, quando caſtam purámque ſe conſeruat à voluptatibus harúmque concupiſcentijs, tum à dolore timoréque inſidioſis affectibus, & genitoris curam reſpicit. Cæterum quæ tanquam mulier proba ſermoni probo per virtutem copulatur, ſub eius ipſius degit prouidentia, ſeminantis more maritali cogitationes optimas. cæterum quæ anima deſtituta fuerit & parentela prudenti, & recti ſermonis coniugio, viduata pulcherrimis præſidijs & deſerta à ſapientia, viuénſque vitam obnoxiam, tenetur quo ſe obſtrinxit vinculo, non habens medicum à quo curetur, nec maritum conuictorem, nec patrem genitorem, ſermonem inquam ornatum ſapientia. Eorum vero qui non ſolum bona ſua partémve horum, ſed & ſeipſos deuouerunt, pretia conſtituta ſunt, non iuxta formam aut proceritatem aut aliud ſimile, ſed pro annorum numero, ratione tantum ſexus ætatiſque habita. præfinit enim lex ab anno XX. ad LX. viri pretium CC. argenteos ſolidos. mulieris vero CXX. à quinto autem ætatis anno vſque vigeſimum, maſculi LXXX. fœminæ XL. ab infantia vſque quinquennium, maſculi vigeſimum, fœminæ duodecimum, eorum vero qui ſexageſimum vitæ annum exceſſerunt, ſenis ſexaginta, anus quadraginta ſolidos. Cur autem pariter omnes eiuſdem ætatis & omnes eiuſdem ſexus æſtimari ſint, tres cauſæ afferuntur valde idoneæ. Vna, quia par & ſimilis eſt votorum dignitas, ſiue magnates ſiue humiles voueant. altera vero, quia haud æquum videbatur vota facientes æſtimari eiſdem conditionibus quibus mancipia venalia. in illis enim ſpectatur pulchritudo & bona habitudo corporis, viléſcentibus ſi iſta defuerint. Tertia cauſa eſt præcipua, quia apud nos imparitas honoratur, apud Deum paritas. Hactenus de hominibus,

A ὁμοῦ καὶ ἀνδρὸς ἔχει δύναμιν, ἐπιποίας διαφόροις· ἀνδρὸς μέν, ἐπειδὴ τὰ τῶν ἀρετῶν σπέρματα ὥσπερ εἰς ἀγαθὴν ἄρουραν τὴν ψυχὴν καταβάλλεται· πατρὸς δέ, ὅτι βουλὰς ἀγαθὰς καὶ πράξεις καλὰς καὶ σπουδαίας γεννᾶν πέφυκε, καὶ γεννήσας ἐκτρέφει ποτίμοις δόγμασιν, ἃ παιδεία καὶ σοφία χορηγοῦσι. διάνοια δὲ ἀπεικάζεται, ποτὲ μὲν παρθένῳ, ποτὲ δὲ γυναικὶ ἢ χηρευούσῃ, ἢ ἀνδρὶ ἔτι ἡρμοσμένῃ· παρθένῳ μέν, διανοίας ἁγνὴν καὶ
B ἀδιάφθορον διαφυλαττούσης ἑαυτὴν ἀπό τε ἡδονῶν καὶ ἐπιθυμιῶν, ἔτι δὲ λυπῶν καὶ φόβων, ἐπιβούλων παθῶν, ἧς τὴν προστασίαν ὁ γεννητὴς ἀνῆπται πατήρ· τῆς δὲ ὡς γυναικὸς ἀστείας ἀστείῳ λόγῳ τῷ κατ᾽ ἀρετὴν συμβιούσης τὴν ἐπιμέλειαν ὁ αὐτὸς οὗτος λόγος ἐπαγγέλλεται, σπείρων ἀνδρὸς τρόπον ἐννοίας ἀρίστας. ἡ δὲ αὖ ἀπορφανισθεῖσα ψυχὴ καὶ γονέως τοῦ κατὰ φρόνησιν, καὶ ἐπιγαμίας τῆς κατὰ τὸν ὀρθὸν λόγον, χηρεύουσα τῶν καλλίστων καὶ ἔρημος οὖσα σοφίας, ὑπαίτιον ἑλομένη
C ζωήν, ἔνοχος ἔστω, ἧς ἔγνω καθ᾽ ἑαυτῆς, ἰατρὸν ἁμαρτημάτων οὐκ ἔχουσα, οὔτε ὡς ἄνδρα συμβιωτήν, οὔτε ὡς πατέρα γεννητήν, τὸν κατὰ σοφίαν λόγον. τῶν δὲ μὴ μόνον τὰς οὐσίας ἢ μέρη τούτων, ἀλλὰ καὶ αὐτοὺς ἀνάθημα ποιησαμένων, ἐν εὐχαῖς ὥρισε τιμάς, οὐ πρὸς κάλλος ἢ μέγεθος, ἤ τι τῶν ὁμοιοτρόπων ἀπιδών, ἀλλὰ πρὸς ἀριθμὸν ἴσον διακρίνας ἄνδρας αὐτὸ μόνον γυναικῶν, καὶ νηπίους τελείων. κελεύει γὰρ ἀπὸ μὲν εἰκοσαετίας ἄχρις ἑξηκονταετίας ἀνδρὸς εἶναι τιμὴν δραχ-
D μὰς διακοσίας νομίσματος ὁλαργύρου· γυναικὸς δέ, εἴκοσι πρὸς ταῖς ἑκατόν· ἀπὸ δὲ πενταετίας ἄχρις εἰκοσαετίας, τοῦ μὲν ἄρρενος ὀγδοήκοντα, τῆς δὲ θηλείας τεσσαράκοντα· ἀπὸ δὲ βρέφους εἰς πενταετίαν, τοῦ μὲν ἄρρενος εἴκοσι, τοῦ δὲ θήλεος δώδεκα· τῶν δ᾽ ὑπὲρ ἑξήκοντα ἔτη βεβιωκότων, πρεσβυτῶν μὲν ἑξήκοντα, πρεσβυτίδων δὲ τεσσαράκοντα. τὰ δὲ ἴσα καὶ ἐπὶ ἀρρένων καθ᾽ ἡλικίαν ἑκάστην, καὶ ἐπὶ θηλειῶν ὁ-
E μοίως διέταξε, τριῶν ἕνεκα τῶν ἀναγκαιοτάτων· ἑνὸς μέν, ὅτι ἴσον ἐστὶ καὶ ὅμοιον τὸ ἀξίωμα τῆς εὐχῆς, ἐάν θ᾽ ὑπὸ μεγάλου τινός, ἐάν τε καὶ ὑπὸ εὐτελοῦς γένηται. δευτέρου δέ, ὅτι τοῖς εὐξαμένοις ἁρμόττει οὐχ ἣν ταῖς τῶν ἀνδραπόδων ὑποβάλλεσθαι τύχαις. ἐκεῖνα γὰρ πρὸς τὰς τῶν σωμάτων εὐεξίας καὶ εὐμορφίας, ἢ τοὐναντίον προσυποτιμῶνται. τρίτου δέ, ὃ καὶ ἀναγκαιότατον, ὅτι παρὰ μὲν ἡμῖν ἀνισότης, ἰσότης δὲ παρὰ θεῷ τίμιον. ταῦτα μὲν περὶ ἀνθρώπων·

ἐπὶ δὲ κτηνῶν ταῦτα νομοθετεῖται· ἐάν τις ἀφορίσῃ κτῆνος, εἰ μὲν εἴη καθαρὸν ἐκ τινὸς γένους τῶν τριῶν, ἅπερ εἰς θυσίας ἀπενεμήθη, βοῦς, ἢ πρόβατον, ἢ αἴξ, ἐκεῖνο καταθυέτω, μὴ ὑπαλλαττόμενος, μήτε χεῖρον κρείττονος, μήτ᾽ ἄμεινον χείρονος. οὐ γὰρ πολυσαρκίᾳ καὶ πιότητι ζώων χαίρει ὁ θεός, ἀλλ᾽ ἀνυπαιτίῳ τοῦ εὐξαμένου διαθέσει. ἐὰν δ᾽ ὑπαλλάττηται, δύο ἀνθ᾽ ἑνὸς καθιερούτω, τό, τ᾽ ἀρχαῖον, καὶ τὸ ἀντ᾽ ἐκείνου. ἐὰν δέ τις εὔρηταί τι τῶν μὴ καθαρῶν κτηνῶν, ἀγέτω πρὸς τὸν δοκιμώτατον τῶν ἱερέων· ὁ δὲ τιμάσθω μὲν ὑποβάλλων τὴν ἀξίαν, προσεπιθεὶς τῆς τιμῆς καὶ τὸ πέμπτον, ἵν᾽ εἰ δέοι καθαρὸν ἀντὶ ζώου ἱερουργεῖν, μηδὲν ὑστερίζῃ τῆς ἀξίας τιμῆς· καὶ ἄλλως ὑπὲρ τοῦ δυσωπῆσαι τὸν εὐξάμενον, ὅτι τὴν εὐχὴν ἐποιήσατο, οὐ συλλογισμῷ, τὸ μὴ καθαρὸν ζῷον, ὥσγ᾽ οἶμαι, τοῦτο νομίσας πλείονι διανοίας κεκρατημένος ὑπὸ πάθους. οἰκίαν δ᾽ εἰ γένοιτ᾽ ἀνάθημα, πάλιν ἐχέτω τιμητὴν ἱερέα· οἱ δ᾽ ὠνούμενοι μὴ τὰ ἴσα κατατιθέτωσαν, ἀλλ᾽ εἰ μὲν ὁ εὐξάμενος ἀνακομίζεσθαι προέλοιτο, ἐπιδαψιλευέσθω τὸ πέμπτον, κολάζων τὴν εὐχέρειαν καὶ ἐπιθυμίαν διττῶν κακῶν, ἐν οἷς μὲν ηὔχετο τὴν εὐχέρειαν, ἐν οἷς δὲ ἐφίεται ὧν πρότερον ἐξέστη, τὴν ἐπιθυμίαν· εἰ δ᾽ ἕτερος, μηδὲν πλέον τῆς ἀξίας κατατιθέτω. ὁ δ᾽ εὐξάμενος μὴ μακροῖς ἐμποιείτω χρόνοις πρὸς τὴν ὧν ηὔξατο τελείωσιν ἢ τίμησιν. ἄτοπον γὰρ τὰς μὲν πρὸς ἀνθρώπους ὁμολογίας ἐπιτέμνειν πειρᾶσθαι, τὰς δὲ πρὸς θεὸν τὸν ἀνεπιδεᾶ καὶ οὐδενὸς χρεῖον, ἐκπροθέσμους ἀποφαίνειν, μελλήσει καὶ βραδυτῆτι διελέγχοντας αὑτοὺς ἐπὶ τῷ μεγίστῳ τῶν ἀδικημάτων, ὀλιγωρίᾳ τῇ πρὸς αὐτόν, οὗ τὴν θεραπείαν ἀρχὴν καὶ τέλος εὐδαιμονίας εἶναι νομιστέον. ὅρκων μὲν δὴ πέρι καὶ εὐχῶν ἅλις.

A cæterum de pecudibus hæ leges habentur. Si quis selegerit pecudem, quæ sit ex aliquo trium generum purorum ad sacrificium, bouem, aut capram, illam ipsam satrificet, nec supponat vel deteriorem pro meliore, vel meliorem pro deteriore. Non gaudet enim Deus carnibus & adipibus animalium, sed vouentium innocentia pióque proposito. Quod si supposuerit, mactet pro vna duas victimas, & eam quam dudum vo-
B uerat, & suppositiciam. Quod si deuota pecus impura sit, adducatur ad sacerdotem probatissimum. Hanc ille quanti sit æstimet æquo pretio, & insuper quinta parte eius pretij, ne quid desit si substituenda sit pura victima. Eadem opera mulctatur etiam & pudefit vouentis incogitantia, qui per errorem animal impurum vouerit, fortassis offuscante mentem perturbatione quapiam. Si quis autem
C domum vouerit, rursum sacerdotem æstimatorem adhibeat. Emptor autem si est ipse qui vouit, non solum persoluat æquum pretium, sed & quintam partem superaddat, quo mulctentur duo vitia, temeritas & cupiditas, in vouendo temeritas: cupiditas in repetendo quæ semel alienata fuerant. Sin alius emerit, nihil addat vltra æquam æstimationem. Cæterum qui vouet non differat diu res votiuas luere, vel earum pretium. Iniquum enim fuerit pacta repræsentari
D hominibus, Deo cui non potest referri merita gratia, procrastinari honorem debitum, & cunctando negligentiam detegere, quasi cordi non sit cultus eius numinis, à quo & initium & summa felicitatis dependet. Hæc de iureiurando, votisque dixisse sufficiat.

ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ ΕΙΣ ΔΥΟ ΓΕΝΗ ΤΩΝ

δέκα λογίων, τὸ ἕκτον καὶ τὸ ἕβδομον, τὸ κατὰ μοιχῶν καὶ παντὸς ἀκολάστου, καὶ τὸ κατὰ ἀνδροφόνων καὶ πάσης βίας.

PHILONIS IVDÆI, DE SPECIALIBVS LEGIBVS QVÆ REFERVNTVR AD DVO

Decalogi capita, sextum septimúmque. Contra mœchos omnésque libidinosos, & contra homicidas omnémque violentiam.

FVIT olim tempus quando philosophiæ vacans contemplationique mundi & eorum quæ mundo continentur, fruebar A optatis ac beatis mentis deliciis, semper consectando diuina præcepta & oracula, quibus satiari præ auiditate nimia non poteram, his tantum me oblectans, humile vero nihil sapiens, gloriam, opes, voluptatésque fastidiens: & velut in sublime raptus diuino spiritu lustrabam animo solis lunæque cursus & cæterorum cælestium orbium. interdum deflectens ab æthere B ad terram mentis oculos, tanquam è specula considerabam terrestria negotia cuncta, quæ nullo sermone possunt explicari facile, mactum me iudicans qui fortiter euasissem tot calamitates mortalium. sed insidiabatur mihi grauissima pestis inuidia, virtutis aduersaria: quæ nec opinantem aggressa non prius desijt deorsum trahere, quàm vi coniecit in profundum mare curarum spectantium rempublicam, quibus iactatus ne nunc quidem enatare valeo. Gemens tamen eas C sustineo, ætatis primæ studia pertinaciter animo hærentia desiderans, quorum amore memoriáque in miseriis recreor atque subleuor. Propterea nonnunquam caput attollo, & oculis animæ, licet hebetatis

ΗΝ ποτὲ χρόνος ὅτε φιλοσοφίᾳ σχολάζων καὶ θεωρίᾳ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, τὸν καλὸν καὶ περιπόθητον καὶ μακάριον ὄντως νοῦν ἐκαρπούμην, ἀεὶ θείοις λογίοις συγγινόμενος καὶ δόγμασιν, ὧν ἀπλήστως καὶ ἀκορέστως ἐχόμην, εὐφραινόμενος, οὐδὲν ταπεινὸν φρονῶν ἢ χαμαίζηλον, οὐδὲ περὶ δόξαν ἢ πλοῦτον, ἢ τὰς σώματος εὐπαθείας ἰλυσπώμενος, ἀλλ' ἄνω μετάρσιος ἐδόκουν ἀεὶ φέρεσθαι κατά τινα τῆς ψυχῆς ἐπιθειασμὸν, καὶ συμπεριπολεῖν ἡλίῳ καὶ σελήνῃ, καὶ τῷ σύμπαντι οὐρανῷ τε καὶ κόσμῳ· τότε δὴ τότε παρακύπτων ἄνωθεν ἀπ' αἰθέρος, καὶ τείνων ὥσπερ ἀπὸ σκοπιᾶς τὸ τῆς διανοίας ὄμμα, κατεθεώμην τὰς ἀμυθήτους θεωρίας τῶν ἐπὶ γῆς ἁπάντων, καὶ εὐδαιμόνιζον ἐμαυτὸν, ὡς ἀνὰ κράτος ἐκπεφευγότα τὰς ἐν τῷ θνητῷ βίῳ κῆρας· ἐφήδρευε δ' ἄρα μοι τὸ κακῶν ἀργαλεώτατον, ὁ μισόκαλος φθόνος, ὃς ἐξαπιναίως ἐπιπεσὼν, οὐ πρότερον ἐπαύσατο καθέλκων πρὸς βίαν, ἢ με καταβαλεῖν εἰς μέγα πέλαγος τῶν ἐν πολιτείᾳ φροντίδων, ἐν ᾧ φορούμενος, οὐδ' ὅσον ἀνανήξασθαι δύναμαι· στένων δ' ὅμως ἀντέχω, τὸν ἐκ πρώτης ἡλικίας ἐνιδρυμένον τῇ ψυχῇ παιδείας ἵμερον ἔχων, ὃς ἔλεόν μου καὶ οἶκτον ἀεὶ λαμβάνων, ἀνεγείρει καὶ ἀνακουφίζει. διὰ τοῦτόν ἐστιν ὅτε τὴν κεφαλὴν ἐπαίρω, καὶ τοῖς τῆς ψυχῆς ὄμμασιν ἀμυδροῖς μέν·

τὸ ὀξυδερκὲς γὰρ αὐτοῦ ἡ τῶν ἀλλοκότων πραγμάτων ἀχλὺς ἐπεσκίασεν. ἀλλ' ἀνασχόμενος γοῦν διαβλέπομαι τὰ κύκλῳ, καθαρᾶς καὶ ἀμιγοῦς κακῶν ζωῆς ἀσπάσασθαι γλιχόμενος. εἰ δέ μοι καὶ ἐξ ἀπροσδοκήτου βραχεῖα γένοιτο εὐδία καὶ γαλήνη θορύβων τῶν ἐκ πολιτείας, ὑπόπτερος ἐπικυματίζω, μονονοὺκ ἀεροπορῶν αὔραις ταῖς ἐπιστήμης καταπνεόμενος, ἥ με πολλάκις ἀναπείθει δραπετεύειν, συνημερεύοντα αὐτῇ, καθάπερ ἀπὸ δεσποτῶν ἀμειλίκτων, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ πραγμάτων ἀλλαχόθεν ἄλλων χειμάῤῥου τρόπον ἐπιχεομένων. ἀλλὰ γὰρ καὶ ἐπὶ τούτοις προσῆκον εὐχαριστεῖν, ὅτι καίτοι κατακλυζόμενος, οὐκ εἰσκαταπίνομαι βυθῷ. ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς ὀφθαλμούς, οὓς ἀπογνωσθεὶς τῆς χρηστῆς ἐλπίδος ᾤμην ἤδη πεπηρῶσθαι, διοίγω, καὶ φωτὶ τῷ σοφίας ἐναυγάζομαι, μὴ πάντα τὸν βίον ἐν σκότῳ παραδοθείς. ἰδοὺ γάρ τοι τολμῶ μὴ μόνον τοῖς ἱεροῖς Μωϋσέως ἑρμηνεύμασιν ἐντυγχάνειν, ἀλλὰ καὶ φιλεπιστημόνως διακύπτειν εἰς ἕκαστον, καὶ ὅσα μὴ γνώριμα τοῖς πολλοῖς, διαφυλάττειν καὶ ἀναφαίνειν σκοπεῖν. ἐπεὶ δὲ περὶ δέκα λογίων ἃ παρ' αὐτὸς ἔχρησεν ὁ θεὸς ἄνευ προφήτου καὶ ἑρμηνέως, πέντε μὲν εἴρηται τὰ χαραχθέντα ἐν τῇ προτέρᾳ δέλτῳ, καὶ ὅσα τῶν κατὰ μέρος συντείνει εἰς ταῦτα, δεῖ δὲ ἐν τῷ παρόντι καὶ τὰ λοιπὰ τὰ κατὰ τὴν ἑτέραν δέλτον ὡς οἷόν τε ἄριστα συνυφῆναι, πειράσομαι πάλιν καθ' ἕκαστον τῶν γενῶν ἐφαρμόζειν τοὺς ἐν εἴδει νόμους· ἐν δὲ τῇ δευτέρᾳ δέλτῳ, πρῶτον γράμμα τοῦτ' ἐστίν· Οὐ μοιχεύσεις, ὅτι οἶμαι πανταχοῦ τῆς οἰκουμένης μέγα ἰσχύει ἡδονή, καὶ οὐδὲν μέρος τῆς δυναστείας αὐτῆς ἐκπέφευγεν, οὐ τὰ κατὰ γῆν, οὐ τὰ κατὰ θάλατταν, οὐ τὰ ἐν ἀέρι· χερσαῖά τε γὰρ καὶ πτηνὰ καὶ ἔνυδρα πάντα διὰ πάντων γέγηθε καὶ προσέχει, καὶ τοῖς ἐπιτάγμασιν αὐτῆς ὑπείκει, καὶ πρὸς τὸ βλέμμα καὶ νεῦμ' ἀφορῶντα, κἂν εἰ φρυάττοιτο ὑπ' ἀγερωχίας ἀσμενίζοντα, καὶ μονονοὺ φθάνοντα τὰς προστάξεις ὀξύτητι καὶ ἀνυπερθέτῳ τάχει τῆς ὑπηρεσίας. ἔχει μὲν οὖν καὶ ἡ κατὰ φύσιν ἡδονὴ πολλάκις μέμψιν, ὅταν ἀμέτρως καὶ ἀκορέστως χρῆταί τις αὐτῇ, καθάπερ οἱ ἄπληστοι περὶ ἐδωδήν, κἂν εἰ μηδὲν τῶν ἀπηγορευμένων προσφέροιντο, καὶ οἱ φιλογυναίοις συνουσίαις ἐπιμεμηνότες, καὶ λαγνίστερον προσομιλοῦντές τις γυναιξὶν οὐκ ἀλλοτρίαις, ἀλλὰ ταῖς ἑαυτῶν· ἡ δὲ μέμψις, σώματός ἐστι μᾶλλον ἢ ψυχῆς κατὰ τοὺς πολλούς, πολλὴν ἀθρόως ἔχοντος εἴσω φλόγα, ἣ τὴν παραβληθεῖσαν τροφὴν

A negotiorum parum gratorum caligine, circumspicio, sic vnde se pura lux offerat. Quod si quando non expectanti mihi contingit vel breuis tranquillitas ac quies à tumultuatione rerum ciuilium, tanquam alatus tantum non per aerem volito aspirante aura scientiæ: quæ me sæpe incitat vt ad se transfugiam, secumque degam imposterum, desertis immitibus heris, non tam hominibus, quàm negotiis B alijs aliunde in morem torrentis affluentibus. Verum oportet hoc quoque nomine Deo gratias agere, quòd quamuis pulser, non absorbeat tamen huiusmodi fluctibus: atque etiam mentis oculos, quos quidam vt cæcatos iam deplorauerant, aperio, admittóque lucem sapientiæ, ne totam vitam in perpetuis tenebris quasi damnatus exigam. Ecce audeo non solum tractare sacra C Mosis eloquia, verum etiam diligenter singula introspicere, & quæcumque non sunt multis cognita, reuelare spectandáque proponere. & quoniam è decem præceptis, quæ Deus ipse absque propheta interprete ore suo prodidit, explicauimus quinque scripta in priore tabula, specialésque leges tendentes ad eundem terminum, supersuntque reliqua in posteriore contenta illis attexenda quantum possumus, conabor iterum singulis ge- D neribus suas leges speciatim adaptare. in ea tabula primum mandatum est, Non mœchaberis, vt opinor, quoniam vbique terrarum voluptas pollet plurimum, vt potentiam eius terra marique atque in aere nihil queat effugere. imperat enim terrestribus, volucribus, aquatilibus, libenter imperata facientibus, atque adeo nutus eius obseruantibus & arrogantes superbósque fremitus, E & hos quoque cupide præuertentibus mirifica celeritate ministerij. Incidit tamen etiam naturalis voluptas in reprehensionem, propter vsus immodicos: sicut lurcones insatiabiles, etiamsi à vetitis cibis abstineant, & vxorij plus satis indulgentes lasciuiæ, etiamsi ab alienis toris sibi temperent. Verum hæc culpa est corporis magis quam animæ, vt vulgus putat, dum internus calor absumptis alimentis è proximo

humorem alium attrahit, cuius fluxus deriuatus in genitalia, pruritus titillationésque irrequietas excitat. Cæterum qui in vxores aliorum, interdum & amicorum insaniunt, & in damnum proximorum viuendo familias numerosas adulterare conantur, coniugaliáque vota irrita facere, & spem posteritatis abrumpere, laborant insanabili morbo animæ, capite plectendi vt publici hostes humani generis, ne impune plures domos contaminent, néve alijs exemplum fiant nequiciæ, quæ facile imitatores inuenit. Quin & aliæ leges de concubitu recte institutæ sunt. Vetitum est enim congredi non solum cum maritatis mulieribus, sed etiam cum viduis, quod illicitus sit talis coitus. Eadem lex Persicum quoque morem execratur vt incestissimum. Honoratiores enim Persæ cum matribus contrahunt matrimonia, & natos inde arbitrantur nobilissimos, regióque (vt ferunt) dignantur solio: quo nihil excogitari potest magis impium, conspurcari defuncti patris thalamum, cui maxima debebatur religio, matri exhiberi nullam reuerentiam, filium eundem & maritum fieri, matrem vicissim vxoris nomen assumere, communes liberos patris quidem fratres, matris vero nepotes censeri. Hanc prolis suæ matrem simul esse ac auiam, illum filiorum patrem & germanum vterinum. Accidit tam scelestum facinus apud priscos Græcos Thebis Oedipodi Laij filio, non sponte tamen, sed per ignorantiam, nihilominus tantam vim calamitatum secum attulerunt hæ nuptiæ, vt nihil reliquum factum sit ad summum miseriarum cumulum. Sequuta sunt enim continua bella, tum externa tum ciuilia, velut hæreditario iure filijs nepotibúsque à maioribus tradita, quæ vastitates induxerunt maximis Græciæ ciuitatibus, strages exercitibus eorúmque auxilijs, ducibus partium continua funera, & in his fratribus de regno implacabiliter contendentibus cædes mutuas, vnde nata est non solum familiarum patriarúmque, sed etiam ex maiore parte Græcanici generis pernicies. Nam vrbes antea populosæ, euacuatæ sunt, reliquijs modo

A ἐξαναλίσκουσα, ἑτέραν δὲ ἐκ τῆς μακρᾶς ἐπιζητεῖ πολλὴν ἰκμάδα, ἧς ὁ ῥοώδης διὰ τῶν γονίμων ἀποχετεύεται), κνησμοὺς καὶ ὀδαξισμοὺς ἐμποιοῦν καὶ γαργαλισμοὺς ἀπαύστους. τοὺς δὲ γυναιξὶν ἄλλων, καὶ ἔστιν ὅτε οἰκείων καὶ φίλων ἐπιμεμηνότας, ἐπὶ λύμῃ τῶν πλησίον ζῶντας, ὅλας γενεὰς πολυανθρώπους κιβδηλεύειν ἐπιχειροῦντας, καὶ τὰς μὲν ἐπιγαμίους εὐχὰς παλιμφήμους, τὰς δὲ ἐπὶ τέκνοις ἐλπίδας ἀτελεῖς ἀπεργαζομένους, ἀνίατον νόσον ψυχῆς νοσοῦντας, ὡς κοινοὺς ἐχθροὺς ἁ-
B πάντων ἀνθρώπων γένους κολαστέον θανάτῳ, ὡς μήτε ζῶντες ἐν ἀδείᾳ πλείους διαφθείρειεν οἴκους, μηδὲ διδάσκαλοι γίνοιντο ἑτέρων, οἷς τὰ πονηρὰ τῶν ἐπιτηδευμάτων ζηλοῦν ἐπιμελές. ἀλλὰ μέντοι καὶ τὰ ἄλλα τὰ περὶ τὰς ὁμιλίας ὁ νόμος διετάξατο. κελεύει γὰρ οὐ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ χηρευουσῶν, αἷς οὐ θέμις συνέρχεσθαι. τὸ Περσικὸν ἔθος εὐθὺς ἀποστραφεὶς καὶ μυσαξάμενος, ἀπεῖπεν ὡς μέγιστον ἀνοσιούργημα. μητέρας γὰρ οἱ
C ἐν τέλει Περσῶν τὰς αὑτῶν ἄγονται, καὶ τοὺς φύντας ἐκ τούτων εὐγενεστάτους νομίζουσιν, καὶ βασιλείας τῆς μεγίστης, ὡς λόγος, ἀξιοῦσιν. οὗ τί ἂν γένοιτο δυσσεβέστερον ἀνοσιούργημα, πατρὸς εὐνὴν τετελευτηκότος, ἣν ἄψαυστον ὡς ἱερὰν ἐχρῆν φυλάττεσθαι, καταισχύνεσθαι· γήρως δὲ καὶ μητρὸς αἰδῶ μὴ λαμβάνειν, τὸν αὐτὸν τῆς αὐτῆς υἱὸν καὶ ἄνδρα γενέσθαι, καὶ πάλιν τὴν αὐτὴν νυνὶ μητέρα καὶ γυναῖκα, καὶ τοὺς ἀμφοῖν παῖδας, τοὺς μὲν πατρὸς ἀδελφούς, υἱωνοὺς δὲ τῆς μητρός· καὶ τὴν μὲν ὧν ἔτε-
D κε μητέρα τε καὶ μάμμην· τὸν δὲ ὧν ἐγέννησεν, ἐν ταὐτῷ πατέρα τε καὶ ὁμομήτριον ἀδελφόν. ταῦτ' ἐτραγῳδήθη τὸ παλαιόν, καὶ παρ' Ἕλλησιν ἐν Θήβαις ἐπὶ τοῦ Λαΐου παιδὸς Οἰδίποδος, καὶ ἐτραγῳδήθη κατ' ἄγνοιαν, οὐχ ἑκουσίῳ γνώμῃ, καὶ ὅμως τοσαύτην φορὰν κακῶν ἐνέδειξεν ὁ γάμος, ὡς μηδὲν ἐλλειφθῆναι τῶν εἰς τὴν ἀνωτάτω βαρυδαιμονίαν. πολέμων τε γὰρ ἐμφυλίων καὶ ξενικῶν διαδοχαί, καθάπερ κλῆρος παισὶ καὶ ἐγγόνοις παρὰ πάππων
E καὶ προγόνων ἀπελείπετο, καὶ πορθήσεις πόλεων τῶν ἐν τῇ Ἑλλάδι μεγίστων ἐγίνοντο, καὶ φθοραὶ στρατιωτικῶν δυνάμεων, ἐγχωρίων τε καὶ τῶν κατὰ συμμαχίαν ἀφικνουμένων ἐθνῶν, καὶ ἡγεμόνων τῶν παρ' ἑκατέροις ἀρίστων ἐπάλληλοι φθοραί, καὶ διὰ τὰς περὶ κράτους καὶ ἀρχῆς ἀσυμβάτους ἔχθρας ἀδελφοκτονίαι, δι' ἃς οὐ μόνον αἱ συγγένειαι καὶ πατρίδες, ἀλλὰ καὶ ἡ πλείστη μοῖρα τοῦ Ἑλληνικοῦ παντὸς ἐξεφθάρη πανωλεθρίᾳ· κεναὶ γὰρ αἱ πρότερον εὐανδροῦσαι πόλεις οἰκητόρων, μνημεῖα τῶν τῆς

Ἑλλάδος συμφορῶν ὑπελείφθη, ἀτυχὴς θέα τοῖς ὁρῶσιν. οἱ μὲν οὐδὲ Πέρσαι παρ' οἷς ταῦτα ἐπιτηδεύεται, τῆς παραπλησίου κακῶν ἀμοιροῦσιν. ἀεὶ γὰρ ἐν στρατείαις καὶ μάχαις εἰσὶ κτείνοντες καὶ κτεινόμενοι, καὶ τοτὲ μὲν τοὺς πλησιοχώρους καταθέοντες, τοτὲ δὲ τοὺς ἐπαναστάντας ἀμυνόμενοι· πολλοὶ δὲ πολλαχόθεν ἐπανίστανται, τοῦ βαρβαρικοῦ μὴ πεφυκότος ἠρεμεῖν. πρὶν γ' οὖν καταλυθῆναι τὴν ἐν χερσὶ στάσιν, ἑτέρα φύεται, ὡς μηδένα τοῦ ἔτους ὑπεξῃρῆσθαι χρόνον εἰς ἡσυχίαν, ἀλλὰ καὶ μεθ' ἡμέραν καὶ νύκτωρ ὁπλοφορεῖν, πλείονα χρόνον ἐν τοῖς στρατοπέδοις ἐν ὑπαίθρῳ ταλαιπωροῦντας, ἢ ἐν ταῖς πόλεσιν οἰκοῦντας, διὰ πολλὴν ἔνδειαν εἰρήνης. ἐῶ λέγειν τὰς τῶν βασιλέων μεγάλας καὶ περιβοήτους εὐτυχίας, οἷς ἀγώνισμα πρῶτον εὐθὺς ἅμα τῇ παραλήψει τῆς ἡγεμονίας, τὸ μέγιστον ἄγος, ἀδελφοκτονία, μαντευομένων τὴν ἐκ τῶν ἀδελφῶν γενησομένην ἴσως ἐπίθεσιν, ἵνα παρὰ τοῦ δοκεῖν εὐλόγως κτείνειν. ἅπερ μοι δοκεῖ πάντα συμβαίνειν διὰ τὰς ἀναρμόστους υἱῶν πρὸς μητέρας ὁμιλίας, τῆς ἐφόρου τῶν ἀνθρωπείων δίκης ἀμυνομένης τὴν ἀνοσιουργημάτων τοὺς ἀσεβοῦντας. ἀσεβοῦσι γὰρ οὐχ οἱ δρῶντες μόνοι, ἀλλὰ καὶ ὅσοι τοῖς δρῶσιν ἑκουσίῳ γνώμῃ συνῳδὰ τῇ τῶν δρώντων ἐξουσίᾳ συνεπιγράφονται. τοσαύτην δ' ὁ ἡμέτερος νόμος φυλακὴν πεποίηται τοῦ πράγματος, ὥστ' οὐδὲ προγονὸν τελευτήσαντος πατρὸς ἀγαγέσθαι μητρυιὰν ἐφῆκε, διά τε τὴν εἰς τὸν πατέρα τιμήν, καὶ διότι μητρυιᾶς καὶ μητρὸς ὄνομα συγγενές, εἰ καὶ μὴ τὸ τῆς ψυχῆς συνῳδὸς πάθος. ὁ γὰρ ἀλλοτρίας ἀπέχεσθαι διδαχθεὶς ὅτι μητρυιὰ προσερρήθη, πολὺ μᾶλλον ἀφέξεται τῆς φύσει μητρός· καὶ εἴ τις διὰ τὴν ἐπὶ τῷ πατρὶ μνήμην αἰδεῖται τὴν ἐκείνου ποτὲ γενομένην γυναῖκα, δῆλός ἐστιν ἕνεκα τῆς εἰς ἀμφοτέρους τοὺς γονεῖς τιμῆς, οὐδὲν βουλόμενος ἐπὶ τῇ μητρὶ νεώτερον· ἐπεὶ καὶ σφόδρα ἐστὶν εὔηθες, ἡμίσει μέρει τοῦ γένους χαριζόμενον ὀλιγωρεῖν δοκεῖν ὁλοκλήρου καὶ παντελοῦς. ἑξῆς ἐστι πρόσταγμα, μηδ' ἀδελφὰς ἐγγυᾶσθαι, πάνυ σπουδαῖον καὶ συντεῖνον εἰς ἐγκράτειαν ὁμοῦ καὶ εὐκοσμίαν. ὁ μὲν οὖν Ἀθηναῖος Σόλων ὁμοπατρίους ἐφεὶς ἄγεσθαι, τὰς ὁμομητρίους ἐκώλυσεν· ὁ δὲ Λακεδαιμονίων νομοθέτης ἔμπαλιν, τὸν ἐπὶ τῶν ὁμογαστρίοις γάμον ἐπιτρέψας, τὸν πρὸς τὰς ὁμοπατρίους ἀπεῖπεν. ὁ δὲ τῶν Αἰγυπτίων, χλευάζων τὴν ἑκατέρων εὐλάβειαν, ὡς ἡμίεργα διατεταγμένων, εὐφορῶν εἰς ἀσέλγειαν, ἐπιδαψιλευόμενος δυσθεράπευτον κακὸν σώμασι καὶ ψυχαῖς ἀκρασίαν, καὶ

A calamitatum ad memoriam, & miserum spectaculum superstitibus. Ac ne Persæ quidem, apud quos hoc receptum est, expertes sunt cladium similiū. Semper enim atteruntur expeditionibus atque præliis, dum cædunt cædunturque inuicem, nunc incursando finitimos, nunc populatores arcendo à suis finibus. E multis enim locis hostes in eos cooriuntur, quòd natura inquieti sint barbari. Itaque vix B dum finito præsenti tumultu, alius nascitur, vt nullum anni tempus vacet à militia, & sæpius in castris subdiuo degant miseri quàm in oppidis, eo quod pace careant. Omitto illas ingentes regum felicitates regnum auspicantium à fratricidio, videlicet præsagientium fraternas insidias, ne gratis scelesti videantur. Quæ omnia contingere opinor propter inconuenientissima connubia filiorum cum matribus, iusticia rerum C humanarum spectatrice vlciscente impietatem nefariam. Nam habendi sunt impij non solum qui talia flagitia perpetrant, verum etiam qui assentiuntur patrantibus. At nostra lex tantam cautelam adhibuit in hoc negotio, vt ne à priuigno quidem post patris obitum nouercam duci permittat, tum ob patris reuerentiam, tum quia nouerca & mater cognatæ appellationes videntur: tanto magis à matre oportet abstinere D iniuriam probrosissimam. Siquidem qui propter patris memoriam reueretur mulierem quæ quondam illius coniux fuerat, satis apparet quòd multo magis in honorem vtriusque parentis cum matre nihil tentabit nouum & illicitum. Stultum enim fuerit, rationem habere dimidiati generis, integrum vero prorsus contemnere. Deinceps præcipitur, ne sororem quidem esse ducendam, honestum sanè præceptum E & aptum continentiæ. quamuis Atheniensis Solon hoc obseruat in vterinis tantum germanis, eodem patre prognatis relinquit liberum. contra Lacedæmoniorum legislator vterinis non interdicit connubio, sed solis eodem patre genitis. at Ægyptius ridens vtriusque simplicitatem & semiperfecta placita, laxauit libidinem, & auxit in corporibusque animisque insanabile malum intemperantiæ, permissa

licentia ducendi sorores, siue per alterutrum parentem siue per vtrumque cognatas, maiores pariter & minores æqualésve, ne gemellis quidem exceptis, quas natura ipso natali seiunxit, intemperantia vero societate copulauit insociabili, & male comparata iunctura. quas leges abominatus Moses sanctissimus, vt alienissimas à bene constituta republica, & incitantes ad omnem turpitudinem, modis omnibus prohibuit congressum cum sororibus, siue vtrumque, siue alterum tantummodo parentem communem habentibus. Quid enim opus est deturpare pudoris pulchritudinem, & virgines ne erubescant assuefacere? quorsum autem attinet obstare quo minus affinitates iungantur cum alijs, & intra domesticorum parietum angustias rem honestissimam includere? cum extendi ac diffundi possit per continentes terras & insulas, denique totius orbis habitati prouincias. nam connubia cum exteris nouas coniunctiones faciunt, nihilo deteriores quã consanguinitas. Quapropter & aliarum multarum nuptiæ sunt vetitæ, neptium, consobrinarum, nuruum, priuignarum seu viduarum seu virginum, siue vxore viua siue post eius obitum. non fratris patruive vxorem licet ducere, tanto minus priuignam, cui vitricus parentis loco est, & ipsa vicissim loco filiæ, nempe ex vxore huius genita. Similiter duas sorores vni marito nubere non permittitur, nec simul nec successiue, etiamsi prior repudiata fuerit. Nam priore manente in contubernio, aut etiam dimissa, siue maneat vidua, siue nubat alteri, non videtur pium sororem in bona illius infelicis venire: proinde docentur seruare iura cognationis, & non insultare coniunctis genere, nec oblectari cum earum inimicis per obsequia mutua. Nascuntur enim inde graues zelotypiæ, & contentiones implacabiles, prouentúsque malorum maximus: perinde ac si membra eiusdem corporis naturali compage soluta seditionibus agitarentur, morbos immedicabiles & perniciem sibi quærentia. Germani autem quamuis membra disiuncta sint, natura tamen ac cognatione coaptantur. At zelotypia molestissimus affectus graues calamitates secum afferre solet. Ne alienigenam quidem vxorem legislator sinit in thalamũ recipi,

A παρέχων ἄδειαν ἁπάσας ἀδελφὰς ἄγεσθαι, τάς τε ἰδίας τοῦ ἑτέρου τῶν γονέων, τῆδε, ἢ τῆδε, καὶ τὰς ἐξ ἀμφοῖν, καὶ τὰς οὐ νεωτέρας μόνον, ἀλλὰ καὶ πρεσβυτέρας καὶ ἰσήλικας. καὶ δίδυμοι γὰρ πολλάκις ἐγεννήθησαν, οὓς ἡ μὲν φύσις ἅμα τῇ γενέσει διήρτησε καὶ διέζευξεν· ἡ δὲ ἀκολασία καὶ φιληδονία εἰς κοινωνίαν ἐκάλεσεν ἀκοινώνητον, καὶ ἁρμονίαν ἀνάρμοστον. ἅπερ ἐκμυσαξάμενος ὁ ἱερώτατος Μωϋσῆς, ὡς ἀλλότρια καὶ ἐχθρὰ πολιτείας ἀνεπιλήπτου, καὶ προτρέποντα καὶ ἀλείφοντα πρὸς τὰ αἴ-
B σχιστα τῶν ἐπιτηδευμάτων, ἀνὰ κράτος ἀπεῖπεν ἀδελφῇ συνέρχεσθαι, εἴτε καὶ ἐξ ἀμφοῖν, εἴτε καὶ μόνου γένοιτο τοῦ ἑτέρου. τί γὰρ δεῖ τὸ τῆς αἰδοῦς κάλλος αἰσχύνειν· τί δὲ ἀχρωμάτους κατασκευάζειν παρθένους, αἷς ἐρυθριᾶν ἀναγκαῖον· τί δὲ τὰς πρὸς ἑτέρους ἀνθρώπους κοινωνίας καὶ ἐπιμιξίας ἐπέχειν, εἰς βραχὺ χωρίον τὸ ἑκάστης οἰκίας συνωθοῦντας μέγα καὶ λαμπρὸν ἔργον, ἐκτείνεσθαι καὶ χεῖσθαι δυνάμενον εἰς ἠπείρους, καὶ νήσους καὶ τὴν οἰκουμένην
C πᾶσαν. αἱ γὰρ τῶν ὀθνείων ἐπιγαμίαι, καινὰς ἀπεργάζονται συγγενείας, τῶν ἀφ᾽ αἵματος οὐκ ἀποδεούσας· ὧν χάριν πολλὰς καὶ ἄλλας ὁμιλίας ἐκώλυσε. προστάξας μὴ θυγατριδῆν, μὴ υἱιδῆν, μὴ τηθίδα πρὸς πατρὸς ἢ μητρὸς, μὴ θείου ἢ υἱοῦ, ἢ ἀδελφοῦ γυναῖκα γενομένην ἐγγυᾶσθαι· μηδὲ αὖ πρόγονον χήραν, ἢ παρθένον, ζώσης μὲν τῆς γυναικὸς ἐπάγεσθαι, ἀλλὰ μηδὲ ἀποθανούσης· δυνάμει γὰρ ὅ γε πατρῷος πατήρ, ὀφείλει τὴν ἐκ τῆς γυναικὸς ἐν τάξει θυγατρὸς ἡγεῖσθαι. πάλιν δύο ἀδελφὰς ἄγε-
D σθαι τὸν αὐτὸν οὐκ ἐπιτρέπει, οὔτ᾽ ἐν ταὐτῷ, οὔτ᾽ ἐν διαφέρουσι χρόνοις, κἂν τύχῃ τις ἣν προηγμένην ἀπωσάμενος. ζώσης γὰρ ἔτι τῆς συνοικούσης εἴτε καὶ ἀπηλλαγμένης, ἐάν τε χηρεύσῃ, ἐάν τε καὶ ἑτέρῳ γαμηθῇ, τὴν ἀδελφὴν οὐχ ὅσιον ὑπέλαβεν ἐπὶ τὰ τῆς ἠτυχηκυίας παρέρχεσθαι, προδιδάσκων ταύτας τὰ συγγενικὰ δίκαια μὴ λύειν, μηδὲ ἐπιβαίνειν πταίσμασι τῆς οὕτως ᾠκειωμένης κατὰ γένος, μηδ᾽ ἐναβρύνεσθαι καὶ ἐντρυφᾶν θεραπευομένην ὑπὸ τῶν ἐχθρῶν
E ἐκείνης, καὶ ἀντιθεραπεύουσαν αὐτούς. ἐγείρονται γὰρ ἐκ τούτων χαλεπαὶ ζηλοτυπίαι, καὶ δυσπερήγορητοι φιλονεικίαι, φοραὶ ἀμυθήτους ἄγουσαι κακῶν. ὁμοίως γὰρ ὡς εἰ καὶ τὰ μέρη τοῦ σώματος τὴν κατὰ φύσιν ἁρμονίας ἐκστάντα καὶ κοινωνίας στασιάζοι πρὸς ἄλληλα, ἃ νόσους ἀνιάτους ἀπεργάζεται πάντως καὶ φθοράς· ἀδελφαὶ δὲ, εἰ καὶ διαιρετὰ τὰ μέρη γεγόνασιν, ἀλλ᾽ οὖν ἁρμόζονται φύσει καὶ συγγενείᾳ μιᾷ· ἡ δὲ ζηλοτυπία πάθος ἀργαλεώτατον χαλεπὰ καὶ νεωργεῖ κακὰ καὶ δυσίατα. ἀλλὰ μηδὲ ἀλλοεθνεῖ, φησὶ,

φησί, κοινωνίαν γάμου συντίθεσο, μή ποτε μαχομένοις ἔθεσιν ἡττηθεὶς ἐνδῷς, καὶ τῆς πρὸς εὐσέβειαν ὁδοῦ λάθῃς διαμαρτών, πρὸς ἀνοδίαν ἐκτραπείς. καὶ τάχα μὲν αὐτὸς ἀντέξεις, ἐκ πρώτης ἡλικίας ἠρτημένος ὑποθήκαις ἀρίσταις, ἃς οἱ γονεῖς κατεπᾴδοντες ἀεὶ τοὺς ἱεροὺς νόμους ὑφηγοῦντο· δέος δ' οὐ μικρόν ἐστι περὶ υἱῶν καὶ θυγατέρων· ἴσως γὰρ δελεασθέντες νόθοις πρὸ γνησίων ἔθεσι κινδυνεύσουσι τὴν τοῦ ἑνὸς θεοῦ ἀπομαθεῖν τιμήν, ὅπερ ἐστὶν ἀρχὴ καὶ τέλος τῆς ἀνωτάτω βαρυδαιμονίας. ἐὰν δέ, φησίν, ἀνδρὸς ἀπαλλαγεῖσα γυνὴ καθ' ἣν ἂν τύχῃ πρόφασιν, ἑτέρῳ γημαμένη πάλιν χηρεύσῃ, ζῶντος ἢ καὶ τετελευτηκότος τοῦ δευτέρου, μὴ ἐπανίτω πρὸς ἄνδρα τὸν πρότερον, ἀλλὰ πᾶσι τοῖς ἄλλοις ἔνσπονδος μᾶλλον, ἢ τῷδε γινέσθω, θεσμοὺς παραβᾶσα τοὺς ἀρχαίους, ὧν ἐξελάθετο, φίλτρα καινὰ πρὸ τῶν παλαιῶν ἑλομένη. πρὸς δὲ συμβάσης εἴ τις ἐθέλοι χωρεῖν ἀνὴρ τῇ τοιαύτῃ γυναικί, μαλακίας καὶ ἀνανδρίας ἐκφερέσθω δόξαν, ὡς ἐκτετμημένος τῆς ψυχῆς τὸ βιωφελέστατον καὶ μισοπόνηρον πάθος, ὑφ' οὗ καὶ τὰ οἴκων καὶ πόλεων πράγματα κατορθοῦται, καὶ δύο τὰ μέγιστα τῶν ἀδικημάτων ἐπιφυεὶς ἀπομαξάμενος, μοιχείας τε καὶ προαγωγείας. αἱ γὰρ αὖθις καταλλαγαὶ μηνύματά εἰσι τοῦ ἑκατέρων θανάτου. δίκην οὖν τινέτω σὺν τῇ γυναικί. φορᾶς τῶν μηνιαίων ὁπότε γίνοιτο, μὴ ψαυέτω τῆς γυναικὸς ὁ ἀνήρ, ἀλλὰ τὸν χρόνον ἐκεῖνον ὁμιλίας ἀνεχέσθω, νόμον φύσεως αἰδούμενος· καὶ ἅμα διδασκέσθω, μὴ ἀτελεῖς γονὰς ἀκαίρου καὶ ἀμούσου χάριν ἡδονῆς προΐεσθαι. ὅμοιον γὰρ ὡς εἴ τις γεωπόνος ὑπὸ μέθης ἢ φρενοβλαβείας, πυροὺς ἢ κριθὰς εἰς λίμνας καὶ χειμάρρους ἀντὶ πεδίων κατασπείροι. ξηραῖς γὰρ γινομέναις ταῖς ἀρούραις καταβάλλεσθαι χρὴ τὸν σπόρον εἰς εὐκαρπίαν· καθαίρει δ' ἡ φύσις ἑκάστῳ μηνὶ τὴν μήτραν, οἷά τινα θαυμασίαν ἄρουραν, ἧς τὸν καιρὸν ἀγαθοῦ γεωργοῦ τρόπον ἐπιτηρητέον, ἵν' ἔτι μὲν ἐπικλυζομένης, ἐπέχῃ τὸν σπόρον· λήσεται γὰρ ἡ σπορὰ κατασυρεῖσα ὑπὸ τῆς ὑγρότητος, τοὺς πνευματικοὺς τόνους οὐ χαλασθεῖσα μόνον, ἀλλὰ καὶ εἰς ἅπαν ἐκλυθεῖσα· οὗτοι δέ εἰσιν οἱ ἐν τῇ μήτρᾳ τῷ τῆς φύσεως ἐργαστηρίῳ ζωοπλαστοῦντες, καὶ τὰ μέρη ἕκαστα σώματός τε καὶ ψυχῆς ἀκρότητι τέχνης τελεσιουργοῦντες· εἰ δ' ἐπίσχοι τὰ μηνιαῖα, θαρρῶν ἤδη γόνιμα κατασπειρέτω, μηκέτι φθορὰν τῶν καταβληθησομένων δεδιώς. ὀνειδιστέοι καὶ τοῖς σκληρὰν καὶ λιθώδη γῆν ἀροῦσιν· οὗτοι δὲ τίνες ἂν εἶεν, ἢ οἱ στείραις συνερχόμενοι γυναιξί. θηρῶσι γὰρ αὐτὸ μόνον ἡδονὴν

A ne quando maritus ab ea seducatur; oblitúsque pietatis à recto itinere deflectat in deuia. Potest quidem fieri vt ipse resistat, assuetus à iuuentute ritibus patrijs, & sacris legibus quas parentes inculcauerant: sed cauendum est non mediocre periculum, quod filijs & filiabus imminet. Forrassis enim vnius Dei cultum dediscent illecti falsis opinionibus, quod quidem est initium & caput extremæ miseriæ. Addit: Quod si quamcunque B ob causam repudiata, & alteri nupta, viduata iterum fuerit, siue viuo posteriore marito siue mortuo, non habet ius reuertendi ad priorem: cuiuis nubat potius, quando vinculi oblita pristini, nouos amores prætulit veteribus. sin autem quispiam vxorem talem receperit, habeatur ignauissimus, vt cui sit exemptum è pectore vitiorum odium, affectus ad rem tum domesticam tum publicam administrandam vtilissimus, & ipse C sibi duas notas inusserit, adulterij lenociniique. Nam huiusmodi reconciliationes non absunt à suspicione veneficij, ideo simul cum vxore pœnas luat. Menstruorum fluxus tempore maritus vxorem ne contrectet, sed abstineat tantisper à coitu, legibus naturæ in hoc obtemperans, nec committat vt propter voluptatem intempestiuam fœtus minus absoluti in lucem veniant. id enim perinde fuerit, ac si ebrius aut insanus agricola in paludes torrentésve non in arua semen- D tem faceret. Nam semina siccatos fundos postulant, si colonus sibi velit vbertatem fructuum promittere. Natura porrò vuluam repurgat singulis mensibus, velut aruum quoddam mirificum, quas tempestates obseruare oportet more boni agricolæ, vt per inundationem à seminando abstineat. alioqui semen nemine sentiente diffluet præ humiditate, non modo liquidius factum, sed & omnino fluidum, E euanescente in eo vi spiritus, per quem in officina vteri formantur animalia, ita vt absoluantur omnibus corporis animique partibus. cessantibus autem menstruis tutò iam prolificum semen vteris committitur. cæterum qui squalidum petricosúmque fundum colunt, non euitabunt opprobrium: videlicet qui voluptatis consuetudinem habent cum fœminis sterilibus. Nihil enim captant præterea,

qui per lasciuiam sponte prolis iacturam faciunt. quid enim aliud est cur earum coniugium expetant? certe liberos sperare non possunt, quos nullos fore sciunt, stimulantur tamen impotenti libidine, laborantes insanabili vitio. ergo qui puellas duxerunt incerti de futura fœcunditate, si sterilitate tandem deprehensa non eis renunciant, & res suas sibi habere agereque sinunt, merentur veniam, quia victi diuturna consuetudine amoréque mutuo non valent vim inferre suis affectibus, impressis iam dudum in animum. Qui autem fœminas compertæ sterilitatis expetunt ad coniugium, suum hircorúmque more quærentes solam venerem, in impiorum album ascribantur, vt Deo repugnantes. Illi enim vt amatori animalium, præsertim hominum, curæ est genitura salúsque omnium. At isti simul emittunt semen & extinguunt, inimici naturæ confessione publica. Sed & alius morbus petulanter irrupit in ciuitates hoc multo nocentior, eorum qui pueros adamant, quod olim probrum fuit maximum: nunc eo gloriantur & qui patrant & qui patiuntur muliebria, effœminati iuxta corpore atque animo, ne scintillam quidem retinentes generis masculi, propalam plectentes cincinnos ornantésque, & cerussa fucóque oblinentes faciem pingentésque, vnguentis quoque fragrantes exquisitissimis. Nam & hac vtuntur illecebra, exercitati omnibus formæ lenocinijs: nec pudet eos marem sexum data opera mutare in fœminam. His parcendum non est, si audimus legem, quæ iubet androgynum & sexum suum adulterantem impune occidi, die ipsa & hora qua deprehenditur, cum sit probrosus & familiæ suæ patriæque dedecus, atque adeò totius humani generis. Amator autem puerorum sit eidem pœnæ obnoxius, quia voluptates alienas à natura sectatur, & ciuitates, quantum in ipso est, desolat, corrumpens semina: ad hæc duorum maximorum vitiorum magister est, ignauiæ molliciæque, iuuentutem ad formæ curam assuefaciens, & florem ætatis effœminans, qui ad vires ac robur exerceri debuerat.

A ἀκρατέστεροι, ὅσοι λαγνίστατοι τὰς γονὰς ἑκουσίῳ γνώμῃ διαφθείρουσιν. ἐπεὶ τίνος ἄλλου χάριν ἐγγυῶνται τὰς τοιαύτας; οὐ μὴν δι' ἐλπίδα τέκνων, ἣν ἴσασιν ἐξ ἀνάγκης ἀτελῆ γενησομένην, ἀλλὰ δι' ὑπερβάλλοντα οἶστρον, καὶ ἀκρασίαν δυσίατον. ὅσοι μὲν οὖν ἄγονται κόρας ἀγνοίᾳ τοῦ πῶς ἕξουσιν εὐθὺς εὐτοκίας ἢ τοὐναντίον, ὁπότε χρόνῳ μακρῷ ὕστερον ἐκ τῆς ἀγονίας αἰσθανόμενοι στείρας αὐτάς, μὴ ἀποπέμπωνται· οὗτοι δὲ συγγνώμης εἰσὶν ἄξιοι, συνηθείας βιαστικωτάτου πράγματος ἡττώμενοι, καὶ
B φίλτρα ἀρχαῖα μακρᾷ συμβιώσει ταῖς ψυχαῖς ἐνεσφραγισμένα λῦσαι ἀδυνατοῦντες· ὅσοι δὲ πρὸς δεδοκιμασμένας ἑτέροις ἀνδράσιν ὡς εἰσὶν ἄγονοι μνῶνται, συῶν ἢ τράγων ὀχεύοντες αὐτὸ μόνον, ἐν ἀσεβῶν στήλαις ἐγγραφέσθωσαν, ὡς ἀντίπαλοι θεοῦ. ὁ μὲν γὰρ ἅτε φιλόζῳος καὶ φιλάνθρωπος, δι' ἐπιμελείας τῆς πάσης ἐστὶ σωτηρίαν καὶ μονὴν τοῖς γένεσιν ἅπασιν ἐργάζεσθαι· οἱ δ'
C ἅμα τῇ καταβολῇ σβέσιν τοῖς σπέρμασι τεχνάζοντες, ἐχθροὶ τῆς φύσεως ὁμολογουμένως εἰσίν. ἐπεισκεκώμακε δὲ ταῖς πόλεσιν ἕτερον πολὺ τοῦ λεχθέντος μεῖζον κακόν, τὸ παιδεραστεῖν, ὃ πρότερον μὲν καὶ λεχθῆναι μέγα ὄνειδος ἦν, νυνὶ δ' ἐστὶν αὔχημα οὐ τοῖς δρῶσι μόνον, ἀλλὰ καὶ τοῖς πάσχουσιν, οἳ νόσον θήλειαν νοσεῖν ἐθιζόμενοι, τάς τε ψυχὰς καὶ τὰ σώματα διαρρέουσι, μηδὲν ἐμπύρευμα τῆς ἄρρενος γενεᾶς ἐῶντες ὑποτύφεσθαι, περιφανῶς οὕτως τὰς τῆς κεφαλῆς τρίχας ἀναπλεκόμενοι καὶ διακοσμούμενοι, καὶ ψιμυθίῳ καὶ
D φύκεσι καὶ τοῖς ὁμοιοτρόποις τὰς ὄψεις τριβόμενοι, καὶ ὑπογραφόμενοι, καὶ εὐώδεσι μύροις λίπα χριόμενοι· προσαγωγὸν γὰρ μάλιστα ἐν τοῖς τοιούτοις τὸ εὐῶδες, ἐν ἅπασι τοῖς εἰς εὐκοσμίαν ἠσκημένοις· καὶ τὴν ἄρρενα φύσιν ἐπιτηδεύσει τεχνάζοντες εἰς θηλείας μεταβάλλειν, οὐκ ἐρυθριῶσι. καθ' ὧν φονᾶν ἄξιον νόμῳ πειθαρχοῦντας, ὃς κελεύει τὸν ἀνδρόγυνον τὸ φύσεως νόμισμα παρακόπτοντα, νηποινὶ τεθνάναι, μηδεμίαν ἡμέραν, ἀλλὰ
E μηδ' ὥραν ἐώμενον ζῆν, ὄνειδος αὑτοῦ καὶ οἰκίας καὶ πατρίδος ὄντα, καὶ τοῦ σύμπαντος ἀνθρώπων γένους. ὁ δὲ παιδεραστὴς ἴστω τὴν αὐτὴν δίκην ὑπομένων, ἐπεὶ τὴν παρὰ φύσιν ἡδονὴν διώκει, καὶ τὰς πόλεις τό γ' ἐπ' αὐτὸν ἧκον μέρος, ἐρήμους καὶ κενὰς ἀποδείκνυσιν οἰκητόρων, διαφθείρων τὰς γονάς, καὶ προσέτι τῶν μεγίστων κακῶν ἀνανδρίας καὶ μαλακίας ὑφηγητὴς καὶ διδάσκαλος ἀξιοῖ γίνεσθαι, τοὺς νέους ὡραΐζων, καὶ τὸ τῆς ἀκμῆς ἄνθος ἐκθηλύνων, ὃ πρὸς ἀλκὴν καὶ ῥώμην ἀλείφειν

ἁρμόττουσαν καὶ τελευταῖον, ὅτι κακοῦ δίκην γεωργοῦ, τὰς μὲν βαθυγείους καὶ εὐκάρπους ἀρούρας, χερσοῦσθαι ἐᾷ, μηχανώμενος ἐπ' αὐταῖς ἀγονίαν· ἐξ ὧν δὲ οὐδὲν βλάστημα προσδοκᾶται τὸ παράπαν, εἰς ταῦτα πονεῖται καθ' ἡμέραν καὶ νύκτωρ. αἴτιον δ' οἶμαι, τὸ παρὰ πολλοῖς τῶν δήμων, ἀκρασίας καὶ μαλακίας ἆθλα κεῖσθαι. τοὺς γοῦν ἀνδρογύνους ἰδεῖν ἔστι διὰ πληθούσης ἀγορᾶς ἀεὶ σοβοῦντας, καὶ ταῖς ἑορταῖς προπομπεύοντας, καὶ τὰ ἱερὰ τοὺς ἀνιέρους διειληχότας, καὶ μυστηρίων καὶ τελετῶν κατάρχοντας, καὶ τὰ Δήμητρος ὀργιάζοντας. ὅσοι δ' αὐτῶν τὴν καλὴν νόσον προσεπιτείναντες εἰς ἅπαν, ὠρέχθησαν μεταβολῆς τῆς εἰς γυναῖκας, καὶ τὰ γεννητικὰ προσαπέκοψαν, ἁλουργίδας ἀμπεχόμενοι, καθάπερ οἱ μεγάλων ἀγαθῶν αἴτιοι ταῖς πατρίσι, προέρχονται δορυφορούμενοι, τοὺς ὑπαντῶντας ἐπιστρέφοντες· εἰ δ' ἦν ἀγανάκτησις οἵα παρὰ τῷ ἡμετέρῳ νομοθέτῃ κατὰ τῶν τὰ τοιαῦτα τολμώντων, καὶ ὡς κοινὰ τῶν πατρίδων ἄγη καὶ μιάσματα δίχα συγγνώμης ἀνῃροῦντο, πολλοὺς ἂν ἑτέρους νουθετεῖσθαι συνέβαινεν. αἱ γὰρ τῶν προκαταγνωσθέντων τιμωρίαι ἀπαραίτητοι, ἀνακοπὴν οὐ βραχεῖαν ἐργάζονται τοῖς ζηλωταῖς τῶν ὁμοίων ἐπιτηδευμάτων. ἀλλὰ γὰρ ἔνιοι τὰς Συβαριτῶν καὶ τὰς ἔτι τῶν λαγνιστέρων ἐπιθυμίας ζηλώσαντες, τὸ μὲν πρῶτον ὀψοφαγίαις καὶ οἰνοφλυγίαις, καὶ ταῖς ἄλλαις ταῖς γαστρὸς καὶ μετὰ γαστέρα ἡδοναῖς ἐνσκιρτήσαντες, εἶτα κορεσθέντες ἐξύβρισαν· ὕβριν δὲ κόρος γεννᾶν πέφυκεν· ὡς ὑπὸ φρενοβλαβείας λυττᾶν καὶ ἐπιμεμηνέναι μηκέτ' ἀνθρώποις εἴτ' ἄρρεσιν εἴτε θηλείαις, ἀλλὰ καὶ ἀλόγοις ζῴοις, ὥσπερ ἐν Κρήτῃ φασὶ τὸ παλαιὸν τὴν γυναῖκα Μίνω τοῦ βασιλέως ὄνομα Πασιφάην. ταύρου γὰρ ἐρασθεῖσαν καὶ τῷ πάθει σφαδάζουσαν ἕνεκα τῆς περὶ τὴν ὁμιλίαν ἀπογνώσεως· ἀποτυγχανόμενος γὰρ ἔρως οὐ μετρίως ἐπιτείνεται· Δαιδάλῳ τὴν κατέχουσαν συμφορὰν διηγεῖσθαι, ὃς ἦν τῶν καθ' αὐτὸν ἄριστος δημιουργός· τὸν δὲ πολὺν δεινὸν ὄντα ταῖς ἐπινοίαις ὅσα τὰ ἄπορα θεῖναι, ξύλινον κατασκευάσαι βοῦν, καὶ διὰ τῆς ἑτέρας πλευρᾶς εἰσδῦναι τὴν Πασιφάην· τὸν δὲ ταῦρον ὁρμήσαντα ὡς ἐπὶ ζῷον συγγενὲς ἐπιβαίνειν· ἐγκύμονα δὲ γενομένην χρόνοις ὕστερον ἀποτεκεῖν μιξόθηρα τὸν καλούμενον Μινώταυρον. εἰκὸς δὲ καὶ ἄλλας ἔσεσθαι Πασιφάας, ἀχαλινώτων ἐρασθείσας τῶν παθῶν, καὶ οὐ γυναῖκας μόνον, ἀλλὰ καὶ ἄνδρας ἐπιμανήσεσθαι θηρίοις, ἐξ ὧν γενήσεσθαι τέρατα παλίμφημα, μνημεῖα τῆς ἀνθρώπων

A Denique more mali agricolæ fœcunda arua inculta sinit squalescere, sterilitatem eis inducens: alia vero ex quibus nullus fructus expectari potest, colit interdiu noctúque. In causa est opinor, quia apud plerasque ciuitates impudicis & mollibus proposita sunt præmia: vbi videre licet istos semiuiros in medio foro frequentissimáque turba versari, & cubito protrudere alios, festis quoque
B diebus in pompa præcedere, & tractare sacra incestis manibus, interesséque ac præesse mysterijs Cereris. qui vero cæteris insaniores omnino desciuerunt ad mulieres exectis genitalibus palliolati purpuratíque tanquam optimè de patria meriti incedunt cum satellitibus, & vertunt in se obuiorum oculos. quos si maneret indignatio, qualis est nostri legislatoris,
C vt piaculares & patriæ probra tollerentur sine venia, vt eorum exemplo deterrerentur alij. supplicium enim repræsentatum non mediocriter retundit audaciam simili morbo laborantium. Nunc quidam imitatores luxus sybaritici post opipara conuiuia largásque potationes per saturitatem prorumpunt in lasciuiam voluptatésque distensi ventris comites. Nam saturitas gignit petulantiam. ita fit
D vt mentis impotes rabiéque perciti insaniant non iam in mares fœminásve homines, sed in brutas pecudes, sicut narratur de Pasiphae Minois olim Cretensis regis vxore: quæ taurum tanto amabat impotentius, quanto minus sperabat concubitum, vt fere vsu venit amantibus. Tandem communicauit consilium cum Dædalo, fabrorum eius ætatis præstantissimo. is vt erat arti-
E fex rerum inuentu difficilium, in vaccam ligneam inclusit Pasiphaen. Taurus sui generis animal ratus in eam insilijt, redditque grauidam, vnde natum dicitur monstrum semiferum Minotaurus nomine: & crediderim esse alias quoque Pasiphaas infreni libidine, nec solum mulieres, sed etiam viros insanire in bestias, vnde nascuntur abominanda prodigia, hominum cupiditates

Vuu ij

sceleſtas & fatuas teſtantia: ex quo A genere fortaſſe fuerunt fabuloſi centauri, chimæræ, aliáque ſimilia. Tanta vero fuit ſacrarum legum prouidentia cauendi ne homines polluerentur coitu nefario, vt diſerte cautum ſit ne admittantur pecudes diuerſi generis. hircum nullus paſtor Iudæus ſinet in ouem ſcandere, nec in capram arietem, nec taurum ad equam admittet. Quod ſi fecerit, dabit pœnas vt qui naturæ iura violauerit, diſtinguentis genera quo in B ſua ſinceritate permaneant. mulos quidam præferunt iumentis omnibus, quód bene compacta neruoſáque habeant corpora, & in equarum paſcuis ſtabuliſque aſinos prægrandes, quos calones vocant, nutriunt, ad gignendam eis ſobolem. illæ pariunt mulos ſpeciei confuſæ animal, cuius genituram vt cum natura pugnantem prorſus interdixit Moſes edicto generali, ne coitu miſceantur animalia diſparia. qua ratione proſ- C pectum eſt ne indecore confunderentur naturæ ordines, ſimúlque cautum eſt hominum temperantiæ, vt ſic diſcant viri atque mulieres abſtinere à nefarijs concubitibus. Proinde ſiue vir ineat quadrupedem, ſiue mulier eam admittat, necabuntur & homines & quadrupedes: illi quia per intemperantiam tranſgreſſi ſunt præſcriptos terminos comminiſcendo noua genera libidinum, & voluptatem inſuauem captando è rebus D etiam dictu turpiſſimis: hæ vero quia ſe præbuerunt probris talibus, & ne pariant abominandum aliquid, qualia naſci ſolent ex huiuſmodi piaculis deteſtabilibus, quæ nemo honeſtus ferat in ſuis poſſeſſionibus abhorrens ab eorum vſu & miniſterio, atque adeo aſpectu quoque vt renouante memoriam fœdiſſimam, vel ſolo attactu omnia contaminantium. cum igitur his nemo libens vtatur, nil aliud ſunt quam telluris inuti- E le pondus, vt quidam ait. Præterea ſcortum lex eijcit è republica, vt honeſtate, pudore, ſobrietate ac cæteris virtutibus vacuum, & replens viros fœmináſque impudicitia, deturpánſque immortalem mentis pulchritudinem, ſolam vero corporis venuſtatem breui perituram excolens, proſtituens ſe prætereuntibus, & florem ætatis venditans,

παραβαινούσης βδελυρίας, δι᾽ ἣν ἴσως καὶ αἱ τῶν ἀδιηγήτων καὶ μεμυθευμένων ἀλλόκοτοι φύσεις ἱπποκενταύρων καὶ χιμαιρῶν καὶ τῶν ὁμοιοτρόπων ἔσονται. τοσοῦτον δ᾽ ἄρα τὸ προμηθὲς ἐν τοῖς ἱεροῖς νόμοις ἐστὶν, ὥστε παρὰ τοῦ μηδεμίαν ἔκθεσμον ὁμιλίαν ἀνθρώποις προσίεσθαι, διείρηται μηδὲν ἐᾶν ὑπό τινος ἑτερογενοῦς ὀχεύεσθαι· τράγοις οὐδεὶς ἐάσει ποιμὴν Ἰουδαῖος ἐπιβαίνειν ἀμνάδι, οὐδὲ κριὸν χιμαίρᾳ, οὐδὲ βοῦν ἵππῳ· εἰ δὲ μὴ, τίσει δίκας, ὡς φύσεως δόγμα λύων, ἣ τὰ ἀρχέτυπα γένη διατηρεῖν ἐπιμελὲς οὐ νενοθευμένα. τοὺς ὀρεῖς ἔνιοι τῶν ὑποζυγίων ἁπάντων προτιμῶσιν, ἐπειδὴ τὰ σώματα ἀδροῖς πέπηγε καὶ σφόδρα νενεύρωται, κἀν τοῖς ἱπποφορβίοις καὶ ταῖς ἱπποστασίαις ὄνους παμμεγέθεις οὓς προσαγορεύουσι κήλωνας ἀνατρέφουσιν, ἵνα ταῖς θηλείαις ἀναβαίνωσι πώλοις· αἱ δὲ μικτὸν ζῷον ἀποτίκτουσιν ἡμίονον, ἧς παρὰ φύσιν τὴν γένεσιν εἰδὼς, ἀνὰ κράτος ἀπεῖπε Μωϋσῆς καθολικωτέρᾳ προστάξει, τοῖς ἀνομοίοις γένεσι μὴ ἐφεὶς ὀχεύειν ἢ ὀχεύεσθαι. προὐνόησε μὲν οὖν ἀναλόγως τοῦ πρέποντος καὶ ἀκολούθου τῇ φύσει· μακρόθεν δ᾽ ὡς ἀπὸ σκοπιῆς ἐσωφρόνισεν ἀνθρώπους, ἵν᾽ ἐκ τῶνδε προμαθόντες ἄνδρες ὁμοῦ καὶ γυναῖκες ἀπέχωσιν ὁμιλιῶν ἐκνόμων. ἐάν τε οὖν ἀνὴρ ὀχεύῃ τετράποδι, ἐάν τε γυνὴ ὑπὸ τετράποδος ὀχεύηται, θνησκέτωσαν καὶ οἱ ἄνθρωποι καὶ τὰ τετράποδα, οἱ μὲν, ὅτι παρὰ τοὺς ὅρους ἀκρασίας αὐτῆς ἤλασαν, εὑρεταὶ γενόμενοι παρηλλαγμένων ἐπιθυμιῶν, καὶ ὅτι ἡδονὰς ἀηδεστάτας ἐκαινούργησαν, ὧν καὶ ἡ διήγησις αἰσχίστη· τὰ δὲ, ὅτι τοιούτοις ὀνείδεσιν ὑπηρέτησε, καὶ ἵνα μηδὲν ἢ τέκῃ, ἢ γεννήσῃ δύσφημον, οἷα εἰκὸς ἐκ τοιούτων μιασμάτων, ἄλλως τε, οἷς κἂν βραχὺ μέλῃ τοῦ πρέποντος, οὐκ ἔτι ἂν χρήσαιντο τοῖς θρέμμασιν εἰς οὐδεμίαν τῶν περὶ βίον ὑπηρεσίαν, μυσαττόμενοι καὶ ἀποστρεφόμενοι, καὶ τὴν ὄψιν αὐτὴν δυσχεραίνοντες, καὶ νομίζοντες ὧν ἂν προσάψαιντο, καὶ ἐκεῖνα εὐθὺς ἀκάθαρτα εἶναι· τὰ δὲ μηδαμῇ χρήσιμα τῷ βίῳ ζῆν εἰ καὶ λυσιτελὲς, ἀλλ᾽ οὖν περιττὸν ἄχθος ὄντα γῆς ὥς εἶπέ τις. πάλιν πόρνην κατὰ τὸν ἱερὸν λόγον οὐ παραδέχεται ἡ πολιτεία, κοσμιότητος καὶ αἰδοῦς καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἀλλοτρίαν, ἢ ἀναπιμπλᾶσα τὰς ψυχὰς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἀκολασίας, τὸ μὲν τῆς διανοίας ἀθάνατον κάλλος αἰσχύνει· τὴν δὲ σώματος ὀλιγοχρόνιον εὐμορφίαν προτιμᾷ· παραρρίπτουσα μὲν αὑτὴν τοῖς ἐπιτυχοῦσι, τὴν δ᾽ ὥραν ὥσπερ τι ὤνιον ἐπ᾽ ἀγορᾶς πιπράσκουσα, ἐπὶ μὲν θήρᾳ τῶν νέων,

ἕκαστα καὶ λέγει καὶ πράττει τοὺς νέους ἐρεθίζουσα, ἀλείφει καθ' ἀλλήλων, αἴσχιστον ἆθλον αὐτὴν προτιθεῖσα τοῖς τὸ πλέον εἰσενεγκοῦσιν. ὡς λύμη οὖν καὶ ζημία καὶ κοινὸν μίασμα καταλευέσθω, τὰς τῆς φύσεως διαφθείρασα χάριτας, ἃς ἥρμοττε καλοκαγαθίᾳ προσεπικοσμεῖν. μοιχείας δὲ τὰς μὲν αὐτοφώρους, ἐναργέσιν ἐλέγχοις πιστουμένας, ἐνθένδε ὑπαιτίους ἀποφαίνει ὁ νόμος· τὰς δὲ καθ' ὑπόνοιαν οὐκ ἐδικαίωσεν ἐξετάζεσθαι πρὸς ἀνθρώπων, ἀλλὰ τὸ τῆς φύσεως ἤγαγε δικαστήριον, ἐπειδὴπερ ἄνθρωποι μὲν τῶν ἐμφανῶν ἐπιγνώμονες, θεὸς δὲ καὶ τῶν ἀδήλων, ᾧ μόνῳ δυνατὸν ψυχὴν ἐναργῶς ἰδέσθαι. φησὶν οὖν τῷ ὑπονοοῦντί τι ἀνδρί, γραψάμενος πρόσκλησιν, εἰς τὴν ἱερόπολιν ἴθι σὺν τῇ γυναικί, καὶ καταστὰς ἐπὶ τῶν δικαστῶν ἀπογύμνωσον τὸ παραστάν σοι τῆς ὑπονοίας πάθος, μὴ ὡς ἄν τις συκοφάντης ἢ κακοτεχνῶν ὑπὲρ τοῦ πάντως περιγενέσθαι, ἀλλ' ὡς ἄν τις τῆς ἀληθείας ἀκριβὴς ἐξεταστὴς ἄνευ σοφιστείας. ἡ δὲ γυνὴ δύο κινδύνους ὑπομένουσα, τὸν μὲν ὑπὲρ ψυχῆς, τὸν δ' αἰσχύνην βίου παντὸς ἀργαλεώτερον θανάτου, κρινάτω παρ' αὑτῇ τὸ πρᾶγμα, κἂν μὲν καθαρεύῃ, θαρροῦσα ἀπολογείσθω· εἰ δ' ὑπὸ τοῦ συνειδότος ἐλέγχοιτο, καταδυέσθω, προκάλυμμα τῶν ἁμαρτημάτων αἰδῶ ποιησαμένη. τὸ γὰρ μέχρι τέλους ἀναισχυντεῖν, ὑπερβολὴ κακίας. ἐὰν δ' ἀμφιρρεπῆ ᾖ τὰ λεχθέντα, καὶ μηδέτερον καθέλκῃ μέρος, ἴτωσαν εἰς τὸ ἱερόν, καὶ ὁ μὲν ἀνὴρ στὰς ἀντικρὺ τοῦ βωμοῦ, παρόντος τοῦ κατ' ἐκείνην τὴν ἡμέραν ἱερωμένου, δηλούτω τὴν ὑπόνοιαν ἅμα, καὶ κομίζων ἄλευρον κρίθινον, εἶδός τι θυσίας ὑπὲρ τῆς γυναικὸς εἰς ἔνδειξιν τοῦ μὴ κατ' ἐπήρειαν, ἀλλ' ἀπὸ γνώμης ὑγιοῦς καὶ κατ' ἐνδιασμὸν εὔλογον αἰτιᾶσθαι. ὁ δ' ἱερεὺς λαβὼν προσπιπτέτω τῇ γυναικί, καὶ τὸ ἐπίκρανον ἀφελών, ἵν' ἐπικρίνηται γεγυμνωμένη τῇ κεφαλῇ τὸ τῆς αἰδοῦς περιῃρημένη σύμβολον, ᾧ ταῖς εἰς ἅπαν αἰτίαις ἔθος χρῆσθαι· μήτε δ' ἔλαιον, μήτε λίβανον, ὡς ἐπὶ τῶν ἄλλων θυσιῶν προσίστω, διὰ τὸ μὴ ἐπὶ χαρτοῖς, ἀλλ' ἄγαν ὀδυνηροῖς μέλλειν τὴν θυσίαν ἐπιτελεῖσθαι· κρίθινον δ' ἐστὶ τὸ ἄλευρον, ἴσως ἐπειδὴ ἀμφίβολός ἐστιν ἡ ἀπὸ κριθῆς τροφή, καὶ ἀλόγοις ζῴοις καὶ ἀτυχέσιν ἀνθρώποις ἐφαρμόζεσθαι, σύμβολον τοῦ τὴν μεμοιχευμένην οὐδὲν θηρίων διαφέρειν, ὧν ἀδιακρίτους εἶναι καὶ ἀνεπιστάτους τὰς ὀχείας συμβέβηκε· τὴν δὲ καθαρεύουσαν τῶν ἐγκλημάτων, οἰκεῖον ἀνθρώπων βίον ἐζηλωκέναι. λαβὼν δέ φησιν, ὁ ἱερεὺς κεράμεον ἀγγεῖον, ἐγχείτω καθαρὸν ὕδωρ

A ad illectandos iuuenes omnia tum dicens tum faciens. Eadem committit amatores suos, inhonestum præmium seipsam proponens ei qui plura dederit. ergo vt pestis labésque publica saxis obruetur, quòd naturæ donis abutatur, quæ virtutibus exornasse debuerat. Adulteris deprehensis conuictísque lex præsentem pœnam infligit: suspectas autem committit naturæ iudicio non hominum: quandoquidem manifesta cognoscunt homines, Deus

B occulta etiam, qui solus animos introspicit. sic igitur zelotypo viro præcipit: Dic dicta vxori, sanctam ciuitatem pete cum ea: & vbi coram iudicibus comparueritis, suspicionem tuam detege, non vt calumniator aut insidiator, captans modis omnibus victoriam, sed vt in incorruptus inquisitor veritatis. At mulier in gemino constituta periculo, mortis & morte

C grauioris ignominiæ, rem ipsa secum expendat, & si est innocens, purget se cum fiducia. quod si arguatur suapte conscientia, satius fuerit se abdere, & peccatum pudore tegere, quam peruicaciter ambire victoriam. quod si lis nequeat dirimi, neutrius coniugum argumentis præualentibus, ambo in templum eant: tum maritus ante altare stans coram sacerdote illius temporis, suspicionem suam pro-

D dat, offerátque pro vxore pultem hordeaceam, vt appareat eum non malo sed sano animo certis de caussis pudicitiam eius reuocare in dubium. sacerdos vero protensa manu mulieri tegmen capitis detrahat, vt iudicetur aperto capite sine pudoris insignijs, sicut mos est in omnibus controuersijs capitalibus. sed neque oleum neque thus, vt in alijs sacrificijs aspergitur, quia tristes non læti rem diuinam faciunt. puls autem adhibetur hordeacea, fortassis ideo,

E quia hoc genus frugum vsus est duplex, & promiscue præbetur brutis animalibus & pauperibus hominibus: quo signo subinnuitur, adulteram nihil differre à bestijs, quæ sine discrimine & sine disciplina ruunt in venerem: pudicam verò & puram à crimine, imitari vitam propriam hominibus. Pergit lex, iubens vt sacerdos vrnam fictilem aqua

A è viuo fonte hausta impleat, & terræ puluerem è templi solo collectum indat in eam: quod ipsum eò spectare opinor, vt figurate significetur veritatis inquisitio. nam vrna fictilis adulteræ conuenit, cui mors optanda est, solennis pœna violatæ coniugalis fidei. terra autem & aqua sic assumuntur, velut testes periclitantis innocentiæ, videlicet quòd ambæ sint causa generationis, incrementi, perfectionisque rerum omnium. nec temere vtraque ornatur suis epithetis, dum aqua pura viuáque dicitur, quia mulier insons pura est meretúrque viuere: terra vero sacra, vt ex templi pauimento desumpta, quod sua sanctitate placet, sicut & mulier sua castimonia. His ita paratis illa capite aperto accedat, vt dixi, pultem offerens. sacerdos ex aduerso stans cum fictili aquam terrámque continente: hæc verba pronunciet: Ni violasti iura coniugalia, niue cum alio viro congressa es proculcatis legibus, insons esto & à crimine libera. quod si cum iniuria mariti te implicasti nouis amoribus, scito te deuotam diris omnibus, quibus manifeste pœnam lues corpore. Bibe iam redargutionis poculum, quod incerta occultáque nudabit ac reteget. Eadem verba inscripta chartulæ deleat aqua in fictili, móxque bibendam mulieri porrigat. illa post potum abeat, expectatura pudicitiæ præmium, aut extremam pœnam intemperantiæ. nam si est passa calumniam, conceptum partúmque speret, nihil de sterilitate solicita. quod si culpa non caret, non euadet ventris inflationem tumorémque, & cruciabile vuluæ vicium, quam puram seruare marito noluit, cum quo in matrimonium rite conuenerat. in tantum autem prospicit lex puritati coniugij, vt etiam post legitimos complexus coniugum nihil sinat eos attingere, prius quàm abluantur purificentúrque, quo magis absint ab adulterij criminibus. Quod si quis viduæ siue defuncto siue disiuncto marito stuprum obtulerit, duplo leuiore culpa quàm adulterij, non luet quidem capite: cæterum propter libidinosam audaciam violentiámque prælatas contrarijs virtutibus accusatus, ex arbitratu iudicum flagris cædatur aut mulctetur pe-

A ἐκ πηγῆς ἀρυσάμενος, καὶ φερέτω βῶλον γῆς ἐκ τοῦ κατὰ τὸ ἱερὸν ἐδάφους, ὅπερ οἶμαι καὶ αὐτὸ συντείνει πρὸς τὴν ἔρευναν τῆς ἀληθείας διὰ συμβόλων. τὸ μὲν γὰρ κεραμεοῦν ἀγγεῖον, πρὸς τὸ μοιχεύεσθαι, διὰ τὸ εὔθικτον, θάνατος ἡ κατὰ μοιχῶν δίκη. ἡ δὲ γῆ καὶ τὸ ὕδωρ, πρὸς τὸ καθαρεύειν τῆς αἰτίας ἐπειδὴ δι' ἀμφοτέρων αἱ γενέσεις καὶ αὐξήσεις καὶ τελειώσεις ἁπάντων. ὅθεν ἑκάτερον οὐκ ἀπὸ σκοποῦ καὶ τοῖς ὀνόμασιν ἐπικεκόσμηται, τὸ μὲν ὕδωρ εἰπὼν δεῖν καθαρόν τι λαμβάνειν καὶ ζῶν, ἐπεὶ ἡ ἀνυπαίτιος γυνὴ καθαρεύει τὸν βίον, καὶ ζῆν ὀφείλει· τὴν δὲ γῆν οὐκ ἀπὸ τοῦ τυχόντος, ἀλλ' ἀπὸ τοῦ ἱεροῦ ἐδάφους, ὅπερ ἀναγκαῖον, ἀρετῶσαν ὡς καὶ γυναῖκα τὴν σώφρονα. τούτων δὲ προευτρεπισθέντων, ἡ μὲν ἀκατακαλύπτῳ τῇ κεφαλῇ τὸ κρίθινον ἄλευρον κομίζουσα, καθάπερ ἐλέχθη, προΐτω· ὁ δ' ἱερεὺς ἀντικρὺ τὸ κεραμεοῦν ἀγγεῖον ἐν ᾧ τὸ ὕδωρ ἐστὶ καὶ γῆ, στὰς ἐπιλεγέτω τάδε· Εἰ μὲν τοὺς ἐπὶ γάμοις θεσμοὺς οὐ παραβέβηκας, οὐδ' ἀνὴρ ἕτερος ὡμίλησέ σοι καθυφιεμένη τὰ πρὸς τὸν νόμον συνεληλυθότα δίκαια, ἀνυπαίτιος καὶ ἀθῷα ἴσθι· εἰ δ' ὠλιγώρηκας μὲν ἀνδρὸς, καινὰς ζηλώσασα ἐπιθυμίας, ἢ ἐρασθεῖσα, μὴ ἀγνοεῖ πάσαις ἀραῖς ἔνοχος γεγενημένη, ὧν τὰ δείγματα ἀναφανεῖ ἐπὶ τοῦ σώματος ἴσθι, καὶ ἔκπιε ποτὸν ἐλέγχου, ὃ τὰ κεκρυμμένα σου καὶ τὰ ἄδηλα ἀπαμφιέσει καὶ ἀπογυμνώσει. ταῦτα γράψας ἐν χαρτιδίῳ καὶ ἀπαλείψας τῷ κατὰ τὸ ἀγγεῖον ὕδατι, προσπινέτω τῇ γυναικί· ἡ δὲ πιοῦσ' ἀπαλλαττέσθω, προσδοκῶσα σωφροσύνης ἆθλον, ἢ ἀκολασίας τὴν ἀνωτάτω τιμωρίαν. εἰ μὲν γὰρ συκοφαντεῖται, σπορὰν καὶ γένεσιν ἐλπιζέτω, τὴν ἐπὶ στειρώσει καὶ ἀγονίᾳ φόβων καὶ φροντίδων ἀλογοῦσα· εἰ δ' ἐστὶν ἔνοχος, ἐφεδρευέσθω εἰς τὴν γαστρὸς ὄγκον οἰδούσης καὶ πιμπλαμένης, καὶ τὴν περὶ μήτραν δεινὴν κάκωσιν, ἣν καθαρεύειν οὐκ ἠξίωσεν ἀνδρὶ διατηρεῖν, τῷ κατὰ πάτρια γήμαντι. τοσαύτην δ' ἔχει πρόνοιαν ὁ νόμος τοῦ μηδ' ἐπὶ γάμοις νεωτερίζεσθαι, ὥστε καὶ τοὺς συνιόντας εἰς ὁμιλίας ἄνδρας καὶ γυναῖκας κατὰ τοὺς ἐπὶ γάμοις θεσμοὺς, ὅταν εὐνῆς ἀπαλλάττωνται, οὐ πρότερον ἐᾷ τινὸς ψαύειν, ἢ λουτροῖς καὶ περιρραντηρίοις χρήσασθαι, πόρρωθεν μοιχείας εἴργων, καὶ τῶν ἐπὶ μοιχείας ἐγκλημάτων. ἐὰν δέ τις χήραν ἀποθανόντος ἀνδρὸς ἢ καὶ διαζευχθέντος ἄλλως βιασάμενος αἰσχύνῃ, κουφότερον ἢ κατὰ μοιχείας ἁμάρτημα δρῶν, ἥμισυ σχεδὸν ἐκείνου, τῆς μὲν τοῦ θανάτου τιμωρίας ἀφείσθω, βίαν δὲ καὶ ὕβριν καὶ ἀκολασίαν καὶ θράσος, τὰ αἴσχισθ' ὡς καλλίσ-

ἀποδεξάμενος, κατηγορείσθω, καὶ ὅ, τι χρὴ παθεῖν ἢ ἀποτῖσαι τιμάσθω τὸ δικαστήριον ἐπ' αὐτῷ. ἀδελφὸν μὲν καὶ συγγενὲς ἀδίκημα μοιχείας, φθορά, καθάπερ ἐκ μητρὸς μιᾶς ἀκολασίας φυόμενα· ἔνιοι δὲ τῶν εἰωθότων εὐπρεπέσιν ὀνόμασι τὰ αἰσχρὰ ἐπικοσμεῖν, ἔρωτα ὀνομάζουσι, τἀληθὲς ὁμολογεῖν ἐρυθριῶντες. ἀλλ' ὅμως εἰ καὶ συγγενές, οὐ πάντῃ πάντως ὅμοιον, τῷ τὸ ἀδίκημα οὐκ εἰς πλείους χωρεῖν οἰκίας, ὡς ἐπὶ τῆς μοιχείας συμβέβηκεν, ἀλλ' εἰς μίαν συνῆχθαι τὴν τῆς παρθένου. λεκτέον οὖν τῷ κόρης αὐτῆς ἐπιθυμοῦντι, περιπέτειαν ἢ θράσος ἀναίσχυντον, ἢ τὰς ἐπ' ἐνέδρᾳ πάγας, ἢ τι τῶν ὁμοιοτρόπων ὦ οὗτος ἀποστραφείς, μήτ' ἀναφανῇς, μήτε λάθρα πονηρὸς ἐξετασθῇς, ἀλλ' εἴπερ ἄρα τι τῇ ψυχῇ πέπονθας πρὸς τὴν παῖδα οἰκεῖον, ἴθι πρὸς τοὺς γονεῖς αὐτῆς, ἐὰν ζῶντες τυγχάνωσιν· εἰ δὲ μή, πρὸς τοὺς ἀδελφοὺς ἢ ἐπιτρόπους, ἢ ἄλλους κυρίους, καὶ ἀπογυμνώσας τὸ σαυτοῦ πάθος, ὡς χρὴ τὸν ἐλεύθερον, αἴτει πρὸς γάμον, καὶ παρακάλει μὴ ἀνάξιος λογισθῆναι. σκαιὸς γὰρ οὐδεὶς οὕτως ἂν γένοιτο τῶν ἐπιμελουμένων τῆς παιδός, ὡς ἐναντιωθῆναι πρὸς λιπαρεστέρας δεήσεις, καὶ μάλιστα, ἐπειδὰν ἐξετάσας αὐθεντικῶς μὴ κατεψευσμένον ἢ ἐπιπόλαιον ἴδῃ τὸ πάθος, ἀλλ' ἐπαληθὲς καὶ παντελῶς ἐνιδρυμένον. ἐὰν δέ τις λυττῶν καὶ μεμηνώς, ἅπασι τοῖς ἐκ λογισμοῦ πολλὰ χαίρειν φράσας, δυναστείᾳ τὸν οἶστρον καὶ τὴν ἐπιθυμίαν προσβαλών, νόμου βίαν ὥς φασί τινες, προτιμοτέραν ἡγούμενος, ἁρπάσῃ καὶ φθείρῃ, ταῖς ἐλευθέραις ὡς θεραπαίναις χρώμενος, καὶ τὰ πολέμου δρῶν ἐν εἰρήνῃ, πρὸς τοὺς δικαστὰς ἀγέσθω. κἂν μὲν ὁ πατὴρ τῆς βιασθείσης βουλεύηται περὶ ἐγγύης τῷ περὶ τὸν ἐφθαρκότα, εἶτα ἐὰν μὴ ἀνανεύσῃ, προικιζέτω τὴν παῖδα ὁ φθορεὺς αὐτῆς, ζημιούμενος χρήμασιν· ἐὰν δὲ συναινῇ καὶ συνεπιγράφηται, μηδὲν ὑπερθέμενος ἀγέσθω, προῖκα πάλιν τὴν ὁμολογῶν, καὶ μήτ' ἀναδύεσθαι τὴν ἐξουσίαν ἐχέτω, μήτε παραιτεῖσθαι· καὶ δι' αὐτόν, ἵνα μὴ λαγνείας ἕνεκα δοκῇ μᾶλλον ἢ ἱμέρῳ τὰ νόμιμ' ἐφθαρκέναι· καὶ διὰ τὴν κόρην, ἵν' αὐτῆς τὸ περὶ τὴν πρώτην σύνοδον ἀτύχημα παρηγορηθῇ βεβαιοτάτῳ γάμῳ, ὃν οὐδὲν ἄλλο τι ἢ θάνατος διαζεύξει. ἐὰν δὲ ἡ παῖς ὀρφανὴ τυγχάνῃ, πρὸς τῶν δικαστῶν ἐρωτάσθω εἴτε βούλεται συνοικεῖν, εἴτε μή. εἴτε συναινῇ καὶ ἀρνῆται, τὰ αὐτὰ γινέσθω ἃ καὶ ἐπὶ ζῶντι διωμολόγηται τῷ πατρί. μεθόριον ὑπολαμβάνουσί τινες ἀδίκημα εἶναι φθορᾶς καὶ μοιχείας, ὑπόγαμιον, ὅταν ὁμολογία μὲν ὑποζευγνύ-

A cuniis. germanum verò cognatúmque adulterio crimen est puellarum viciatio, quandoquidem vtrumque ex eadem matre incontinentia nascitur: vtcunque à quibusdam res turpes appellatione honestiore prætexentibus amor vocatur, quia verum fateri pudet. attamen quamuis cognatum, non est omnino simile: quia talis iniuria non grassatur per plures familias, sicut adulterium, sed consistit apud vnam virginem. His igi-
B tur verbis obiurganda erit amatoris concupiscentia: Heus tu, mitte impudentem istam procacitatem, & desine insidiosos laqueos clámve palámve tendere, ne improbitatis notam lucrifacias: sed si bene affectus es erga virginem, accede parentes eius si forte viuunt: sin minus, fratres aut tutores, aut quoscunque in quorum est potestate: & amorem ingenue detegens pete illius coniu-
C gium, & ne te vt indignum fastidiant. nemo enim ex puellæ curatoribus tam erit difficilis vt instantiores preces reijciat, præsertim si habita inquisitione comperiat non fingi amorem, nec leuiter te afflauisse suis ignibus, sed citra fucum penitus insedisse præcordiis. Quod si quis agitatus insana rabie, rationibus omnibus ablegatis, furori violentiam ac libidinem addiderit, posthabitísque legibus raptam vitiauerit, tanquam ancillis abutens inge-
D nuis, & pacis tempore iniurias belli perpetrans, ducatur ad iudices. tum si pater violatæ superfuerit, agat cum vitiatore de sponsalibus. quæ si ille recusarit, mulctetur pecunijs in dotem puellæ nupturæ alteri. quod si assenserit, sine dilatione ducat eam, assignata dote nihilominus: nec ei cunctari tergiuersarive liceat: vel suamet causa, ne videatur per libidinem non per amorem
E inobediens fuisse legibus: vel propter puellam, vt læsam eius pudicitiam soletur connubio stabili, nec vnquam dirimendo ante obitum. Sin autem orbata patre fuerit, iudices percontentur pariter de voluntate ducendi. & siue assentiatur siue renuat, idem ius seruetur quod viuente patre seruatum fuisset. Sunt qui putant medium quiddam esse inter stuprum & adulterium, interceptum concubitum, quoties desponsa-

nondum tamen nupta, dolo aut vi opprimitur ab alio: me verò iudice hæc quoque species est adulterij. nam sponsalia tantundem valent quantum nuptiæ, quando in solenni amicorum conuentu mariti vxorísque nomina inscribuntur tabulis. propterea lex reum & ream iubet lapidibus obrui, si accessit etiam puellæ consensus ad nequiciam, qui ni accedat, non possunt ambo hærere in culpa eadem. itaque pro ratione loci reputatur crimen grauius aut leuius. merito enim habetur atrocius, si committatur intra mœnia: leuius autem si extrà in solitudine. hic enim nemo poterat succurrere puellæ vociferanti, reluctanti, & nihil non tentanti ad seruandam virginitatem integram. in vrbe vero præsto sunt curiæ tribunaliáque, prætores, ædiles, magistratúsque cæteri, adhæc vicini vniuersúsque populus. innatum est enim etiam plebeiorum animis odium scelerum, quod per occasionem proritatum se aperit, & vltro fert opem patientibus iniuriam. itaque violentum stupratorem vbique sua pœna sequitur, nec excusatur locorum differentia flagitium: puella eo quo dixi discrimine, vel meretur veniam, vel certum luit supplicium. Verum de hac curiose debet iudex inquirere, locorum etiam considerando circumstantias. potest enim & in media vrbe inuitæ vis inferri, & extra vrbem volens libénsque nefarium coitum admittere. ideo recte cautéque lex patrocinatur stupratæ per vim in solitudine, dicens: Vociferata est adolescentula, nec erat qui succurreret. Itaque si nec clamauit, nec repugnauit, sed volens se præbuit, non est innoxia, quantumuis prætexat culpæ locum solitarium. In vrbe quoque quid iuuat pro castitate tuenda conari omnia, si puellam opprimat violator longe superior viribus & pollentior? Quid enim si colligarit eam funibus? si os obturauerit, vt ne in clamorem quidem valeat prorumpere? quid tum ei proderit in propinquo habitantium vicina? nam hoc pacto vel in vrbe licet inuenire solitudinem, vbi nemo succurrit. eadem ratione consensus in solitudine nihil differt ab eo qui fit in vrbibus. Sunt item qui-

A σωσι, μήπω δὲ τῶν γάμων ἐπιτελεσθέντων ἕτερος ἀποδυτήσας ἢ καὶ βιασάμενος εἰς ὁμιλίαν ἔλθῃ· παρ' ἐμοὶ δὲ κριτῇ μοιχείας καὶ τοῦτ' ἐστιν εἶδος· αἱ γὰρ ὁμολογίαι γάμοις ἰσοδυναμοῦσιν, αἷς ἀνδρὸς ὄνομα καὶ γυναικὸς καὶ τἆλλα τὰ ἐπὶ συνόδοις ἐγγράφεται· ὧν χάριν καταλεύειν ὁ νόμος ἀμφοτέρους προσέταξεν, ἐὰν ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς γνώμης ἐπιθῶνται τοῖς ἀδικήμασι συμφρονήσαντες. οὐκ οἷόν τε γὰρ μὴ ἀπὸ τῶν αὐτῶν ὁρμηθέντας βουλημάτων, νομίζεσθαι συναδικεῖν οὐ συναδικοῦντας.

B πρὸς δὲ γνῶσιν τὰς τῶν τόπων διαφορὰς αὔξεσθαι συμβέβηκε καὶ μειοῦσθαι τὸ ἀδίκημα. μεῖζον μὲν γάρ, ὡς εἰκός, ἐστιν, εἰ πραχθείη κατὰ πόλιν· ἔλαττον δὲ τειχέων ἔξω κατ' ἐρημίαν. ἐνταῦθα μὲν γὰρ βοηθὸς οὐδείς ἐστι τῇ παιδί, πολλὰ ὅσα περὶ τοῦ διατηρῆσαι τὴν παρθενίαν ἄψαυστον καὶ ἀνεπιβούλευτον λεγούσῃ τε καὶ δρώσῃ· ἐν ἄστει δὲ βουλευτήρια, καὶ δικαστήρια, στρατηγῶν, ἀγορανόμων, ἀστυνόμων ἀγοραὶ ἀρχόντων ὅμιλοι μεγάλοι, καὶ σὺν τούτοις ὁ

C δῆμος. ἔστι γὰρ ἐν ἑκάστου τῇ ψυχῇ κἂν ἰδιώτης τυγχάνῃ, μισοπόνηρον πάθος, ὃ διεγερθὲν ἀποδείκνυσι τὸν ἔχοντα κατ' ἐκεῖνον τὸν χρόνον ὑπέρμαχον, καὶ προδιαγωνιστὴν αὐτοκέλευστον τοῦ δόξαντος ἠδικῆσθαι. τῷ μὲν οὖν διαπραξαμένῳ τὴν βίαν ἕπεται δίκη πανταχοῦ, μηδὲν ἐκ τῆς τῶν χωρίων διαφορᾶς εὑρισκομένῳ πρὸς ἐπανόρθωσιν ὧν ὕβρισε καὶ παρηνόμησε· τῇ δὲ παιδὶ καθάπερ ἔφην, τοτὲ μὲν ἔλεος καὶ συγγνώμη, τοτὲ δὲ ἀπαραίτητος τιμωρία παρακολουθήσει. καὶ περὶ ταύτης μέντοι πολυπραγμονητέον τῷ δικαστῇ, μὴ πάντ' ἐπὶ τοὺς τόπους ἀναφέροντι.

D δύναται γὰρ κατὰ μέσην τὴν πόλιν ἄκουσα βεβιάσθαι, καὶ ἔξω πόλεως ἑκοῦσα πρὸς ὁμιλίαν ἔκθεσμον ἐνδεδωκέναι· διὸ παρατετηρημένως καὶ σφόδρα καλῶς ἀπολογούμενος ὑπὲρ τῆς ἐν ἐρημίᾳ φθειρομένης, φησὶν ὁ νόμος, Ἐβόησεν ἡ νεᾶνις, καὶ βοηθὸς οὐκ ἦν αὐτῇ· ὥστ' εἰ μήτ' ἐβόησε, μήτ' ἠναντιώθη, βουλομένη δὲ συναπ[illegible] γένοιτ' ἂν ἔνοχος, σόφισμα τοῦ βεβιάσθαι δοκεῖν, προστησαμένη τὸν τόπον. καὶ μὴν ἐν πόλει τί

E γένοιτ' ἂν ὄφελος τῇ πάντ' ἐκλυούσῃ ποιεῖν ὑπὲρ τῆς ἰδίας ἐπιτιμίας, ἀδυνατούσῃ δὲ ἕνεκα τῆς περὶ τὸν ὑβριστὴν ἰσχύος. τί γὰρ εἰ μετὰ κάλων ἀποδήσειεν, ἢ τὸ στόμα ἀποφράξειεν, ὡς μηδὲ φωνὴν ῥῆξαι δύνασθαι, τί γένοιτ' ἂν ὄφελος ἐκ τῶν συνοικούντων. ἔστιν γὰρ ἵνα ἤδη μὲν ἐν πόλει διατρίβουσα, κατ' ἐρημίαν ἐστίν, ἅτε βοηθῶν ἔρημος οὖσα, κἂν μηδεὶς παρατυγχάνῃ, τῇ δὲ ἑκοῦσα συναπάρας, λέγοιτ' ἂν οὐδὲν διαφέρειν τῆς ἐν ἄστει.

Ἐπεὶ δέ τινες περὶ τὰς ὁμιλίας ἀψίκοροι, γυναικομανεῖς ἐν τῷ αὐτῷ καὶ μισογύναιοι, συγκλύδων καὶ μιγάδων ἠθῶν ἀνάπλεοι, οἳ ταῖς πρώταις εὐθὺς ὁρμαῖς ἐνδιδόντες ὁποῖαί περ ἂν οὖσαι τυγχάνωσιν, ἃς ἡνιοχεῖν δέον ἀχαλινώτους ἐῶσιν, ἀπερισκέπτως καὶ ἀπερινοήτως σώμασιν ὁμοῦ καὶ πράγμασιν ἐμπιπτόντες τυφλῶν τρόπον, ἅτε ῥύμῃ καὶ φορᾷ βιαίῳ συνωθοῦντες καὶ ἀνατρέποντες, οὐκ ἐλάττω ὧν διατιθέασι πάσχουσι, περὶ ὧν τάδε νομοθετεῖται· κόρας οἱ ἀγόμενοι νόμῳ, καὶ γάμους θύσαντες καὶ ἑστιαθέντες, μηδὲν οἰκεῖον ἐπὶ ταῖς γαμεταῖς πάθος σώζοντες, ἀλλ' ὑβρίσαντες καὶ ὡς ἑταίραις ταῖς αὐταῖς προσενεχθέντες, ἐὰν διαζεῦξιν τεχνάζωσι, μηδεμίαν ἀπαλλαγῆς πρόφασιν εὑρίσκοντες, εἶτ' ἐπὶ τὸ συκοφαντεῖν τραπόμενοι, ἀπορίᾳ φανερῶν ἐγκλημάτων, πρὸς τὰ ἀφανῆ τρέπωσι τὰς αἰτίας, καὶ παρελθόντες κατηγορῶσιν, ὅτι παρθένοις δόξαντες συνεληλυθέναι, γυναῖκας ἐν ταῖς πρώταις ὁμιλίαις ἐφωράθησαν, ἀθροιζέσθω μὲν ἡ γερουσία πᾶσα πρὸς τὴν κρίσιν, παρίτωσαν δ' οἱ τῆς κατηγορουμένης γονεῖς, ἀπολογησόμενοι περὶ κοινοῦ κινδύνου. κίνδυνος γὰρ οὐ ταῖς θυγατράσι μόνον περὶ τῆς τῶν σωμάτων ἁγνείας ἐστὶν, ἀλλὰ καὶ τοῖς ἐπιμεληταῖς, οὐ μόνον ὅτι εἰς τὸν ἀναγκαιότατον τῆς ἀκμῆς χρόνον οὐ παρεφύλαξαν, ἀλλ' ὅτι τὰς παρθένους τὰς ὑφ' ἑτέρων ἐφθαρμένας ἐνεγγύησαν, ἀπατῶντες καὶ φενακίζοντες τοὺς λαμβάνοντας· εἶτ' ἐὰν περιγένωνται τοῖς δικαίοις, τιμάτωσαν οἱ δικασταὶ κατὰ τῶν τὰς ψευδεῖς αἰτίας πλασαμένων, χρημάτων ζημίας, καὶ τὰς διὰ πληγῶν εἰς τὰ σώματα ὕβρεις, καὶ τὸ πάντων ἐκείνοις ἀηδέστατον, τὴν τῶν γάμων βεβαίωσιν, ἐὰν ὑπομένωσιν αἱ γυναῖκες αὐτοῖς ἔτι συνοικεῖν. ταῖς μὲν γὰρ ἐφῆκεν ὁ νόμος θελούσαις καὶ μένειν καὶ ἀπαλλάττεσθαι· τοὺς δ' οὐδ' ἑτέρου κυρίους ἀπέφηνεν, ἀνθ' ὧν ἐσυκοφάντησαν. ὄνομα μὲν ἀνδροφονία κατὰ τοῦ κτείναντος ἄνθρωπον ἐπιφημίζεται· τὸ δ' ἀληθὲς ἔργον ἐστὶν ἱεροσυλία, καὶ ἱεροσυλιῶν ἡ μεγίστη, διότι τῶν ἐν κόσμῳ κτημάτων καὶ κειμηλίων οὐδὲν οὔτε ἱεροπρεπέστερον, οὔτε θεοειδέστερόν ἐστιν ἀνθρώπου, παγκάλης εἰκόνος πάγκαλον ἐκμαγεῖον, ἀρχετύπου λογικῆς ἰδέας παραδείγματι τυπωθέν. τὸν οὖν ἀνδροφόνον εὐθὺς ἀσεβῆ καὶ ἀνοσιουργὸν ὑποληπτέον, ἀνοσιουργημάτων καὶ ἀσεβημάτων τὸ μέγιστον δρῶντα, ὃν ἀμειλίκτως ἐργασάμενοι ἀναιρετέον· ἐπὶ μυρίων θανάτων ἐπάξιος ὢν ἕνα ὑπομένει, διὰ τὸ τῆς τιμωρίας ἀθάνατον εἰς πλῆθος μὴ πεφυκυίας συναύξεσθαι,

A dam qui facile appetitas fastidiunt facilius, mulierosi simul & infensi mulieribus, è diuersis promiscuísque conflati moribus, primis quibusque cedentes affectionibus, quas refrenare fuisset satius: nunc sinunt eas inconsiderate tanquam cæcas ruere, & in quaslibet res aut in quæuis corpora impingere, ac præ impetu nimio procidere cum offensione mutua. Ad eos reprimendos hæc lex est opposita. Si quis post B epulum nuptiale cum puella non maritali affectu, sed tanquam cum meretrice libidinis causa congressus, deinde non habens quod ei propalam exprobret, calumniose vertat se ad occulta crimina, dicendo in primis complexibus eam à se mulierem deprehensam non virginem: vocetur vniuersus senatus vt iudicet: adsint etiam accusatæ parentes, communem causam acturi. in tali enim controuersia, quando de C castitate corporis quæritur, non imminet periculum soli filiæ, sed etiam eius curatoribus: non modo quia vsque ad suum tempus non custodierunt natæ pudicitiam, verùm quia vitiatam ab alio desponderunt pro virgine, decepto qui eam sibi vxorem petijt. qui si litem vicerint, mulctetur calumniator ex iudicum arbitrio tum pecunijs tum verberibus: &, quod ei grauissimum erit, confirmetur id matrimonium, si D modo vxor cum tali cohabitare sustineat. his enim lex relinquit liberum, abire an manere malint. maritis eadem potestas non permittitur, propter recentem calumniam. Qui hominem occidit, appellatur homicida, sed reuera est sacrilegus, & quidem insignis, quippe qui perpetrauit sacrilegium maximum, sublata è mundo re preciosissima sacratissimáque: quando nihil est Deo tam simile, quàm hoc sigillum pulcherri- E mum expressum è matrice pulcherrima, ad exemplar ideæ rationalis effictum. Ergo quilibet homicida confestim pro impio sceleratóque habendus est ob perpetratum facinus impium atque nefarium, & debet è medio tolli vt maleficus. meritus enim plurimas mortes exsoluit se vnica, quia natura non fert eum affici pluribus supplicijs. nec iniquum videri potest si quod prior fecit, idem &

ipso patitur. quamuis idem non est, quod tempore, facto, proposito, personáque distinguitur. An non iniuria lacessere prius est quàm vim vi repellere? nónne homicidium res iniustissima est, sicut è diuerso iustissima homicidæ supplicium? homicida explet suam concupiscẽtiam patrato facinore: occisus verò sublatus è medio, nec iniuriam potest reponere, nec ex vltione voluptatem capere. ille sua manu impetit ex insidijs: alter nihil potest officere aut nocere interfectori suo, nisi cognatis amicísque propugnantibus ex affectu misericordiæ. Si quis gladio petit aliquem occidẽdi animo, etiamsi non succedat, reus est homicidij quod destinauerat, nec prodest ei quòd conatu suo frustratus sit. proinde pari pœna plectatur. Item si quis non ausus cominus aggredi, dolo malo aggreditur ex insidijs hominẽ, & necẽ ei machinatur, scelestus est & execrabilis, pollutus animo prius quàm manibus. Quemadmodum enim hostes habentur non solum qui nos iam impugnant classibus aut exercitibus, verum etiam qui vtrosque apparatus faciunt, & machinas admouent portubus ac mœnibus, etiamsi nondum ad manus venerint: ita homicidæ censendi sunt non solum qui interimunt, sed & qui nihil non conantur clámque palámque, vt interficiant, etiamsi non perpetrarint facinus. quod si præ metu vel audacia, vitijs contrarijs, in templũ irrumpere tentarint impunitatis inueniendæ gratia, prohibendi sunt. sin autem iam subrepserunt, dedendi sunt ad suppliciũ, cum hoc præconio: Hominibus nefarijs in fano ius asyli non deberi. nam quisquis malũ dat incurabile, inimicus est Deo. homicida autem lædit immedicabiliter, quia occisus non potest in integrum restitui, nisi forte innoxios ante solennem purificationem in templum non admittimus: pollutos verò ineluibili scelere, abolendo nulla mora temporis, dignabimur aditu sacrarum ædium, quos ne priuata quidem domus honesti viri & sanctitatem amantis reciperet. Ergo si peccatum peccato cumulantes impietatem addũt homicidio, ducendi sunt ad supplicium, vt non vnam mortem meriti, sicut iam ante diximus. alioqui cognatis amicísque per dolum necati non patebit templum quod homicidam excepit, qui nunquã sub idem

A χαλεπὸν δὲ οὐδὲν εἰ τὰ αὐτὰ οἷς διέθηκε πείσεται· καίτοι πῶς ἐστι ταὐτὸν, εἰ καὶ χρόνοις καὶ πράξεσι καὶ βουλήμασι καὶ προσώποις διαλλάττοι εἴη; οὐχὶ τὸ χειρῶν ἄρχειν ἀδίκων ἐστὶ πρότερον, τὸ δὲ ἀμύνασθαι ὕστερον; καὶ ἀνδροφονία μὲν παρανομώτατον, ἡ δὲ κατ᾽ ἀνδροφόνων κόλασις νομιμώτατον· καὶ ὁ μὲν κτείνας ἐκπεπλήρωκε τὴν ἐπιθυμίαν, ὃν ἐζήτει ἀνελών· ὁ δὲ πεπονθὼς, ἅτε γεγονὼς ἐκποδὼν, οὐδὲ ἀντιδιαθεῖναι, οὔτ᾽ ἀντεφησθῆναι δυνατός ἐστι· B καὶ ὁ μὲν ἐπιβουλεύειν αὐτοχειρίᾳ πέφυκε δι᾽ αὑτοῦ· τῷ δὲ ἀτελὴς ἡ ἐπέξοδος, εἰ μὴ συγγενεῖς καὶ φίλοι προσαγωνίσαιντο, λαβόντες τοῦ πάθους οἶκτον. ἐὰν δὲ ἐπανατείνηται ξίφος, ὥστε ἀποκτεῖναι, κἂν μὴ ἀνέλῃ, ἔνοχος ἔσται, προαιρέσει γεγονὼς ἀνδροφόνος, εἰ καὶ μὴ τὸ τέλος τῇ γνώμῃ συνέδραμε. τὰ δὲ αὐτὰ παθέτω, κἂν συνὼ τύχῃ τις ἐξ ἐνέδρας, οὐ θαρρῶν ἀντικρὺς, καὶ ἐπιχειρεῖν βούληται καὶ μηχανᾶται δολερῶς τὸν φόνον, ἐναγής. καὶ γὰρ οὗτος, εἰ καὶ μήπω ταῖς χερσὶν, ἀλλά τοι τῇ ψυχῇ καθέστηκεν. C ὥσπερ γὰρ οἶμαι πολεμίους οὐ μόνον τοὺς ἤδη ναυμαχοῦντας, ἢ πεζομαχοῦντας νομιστέον, ἀλλὰ καὶ τοὺς εἰς ἑκάτερον παρεσκευασμένους, καὶ τὰς ἑλεπόλεις ἐφιστάντας τοῖς λιμέσι καὶ τείχεσι, κἂν μὴ συμπλέκωνται, κρίνομεν· οὕτω καὶ ἀνδροφόνους χρὴ νομίζειν οὐ τοὺς κτείνοντας αὐτὸ μόνον, ἀλλὰ καὶ τοὺς πάντα δρῶντας εἰς τὴν ἀναίρεσιν ἢ φανερῶς ἢ λάθρα, κἂν μὴ τὸ ἀδίκημα ὦσιν εἰργασμένοι. ἐὰν δὲ καὶ ὑπὸ δειλίας ἢ θρασύτητος μαχομένων καὶ ἐπιλύπων παθῶν καταφεύγειν τολμῶσιν εἰς τὸ ἱερὸν ὡς ἀσυλίαν εὑρησόμενοι, κωλυτέον· D κἂν φθάνωσι προεισδύντες, ἐκδοτέον ἐπ᾽ ἀναιρέσει, ταῦτ᾽ ἐπιλέγοντας, ἀσυλίαν ἀνιέροις τὸ ἱερὸν μὴ παρέχεσθαι. πᾶς γὰρ ὁ ἀνίατα δρῶν, ἐχθρὸς θεοῦ· ἀνδροφόνοι δὲ ἀνίατα δρῶσιν, ἐπεὶ καὶ οἱ ἀνδροφονηθέντες ἀνίατα πεπόνθασιν· ἢ τοῖς μὲν μηδὲν ἡμαρτηκόσιν, ἕως ἂν ἀπολούσωνται καὶ περιρραινόμενοι καθαρθῶσι τοῖς εἰωθόσι καθαρσίοις, ἄβατος ὁ νεώς ἐστι· τοῖς δὲ ἐνόχοις ἀνεκπλύτοις ἄγεσιν, ὧν τὰ μιάσματα οὐδεὶς ἀπονίψει χρόνος, E ἄξιον ἐπιφοιτᾶν καὶ ἐνδιατρίβειν τοῖς ἐδάφεσιν, οὓς οὐδὲ ἂν οἰκία δέξαιτο κοσμίων ἀνδρῶν, οἷς μέλει τῶν ὁσίων; προστεθέντας οὖν ἀδικήματ᾽ ἀδικήμασιν, ἀνδροφονίᾳ παρανομίαν καὶ ἀσέβειαν, ἀναγκαῖον ἀπάγειν δώσοντας δίκην, τοὺς, ὡς ἔφην, ἄξια μυρίων θανάτων οὐχ ἑνὸς εἰργασμένους. ἄλλως τε, τοῖς συγγενέσιν ἢ φίλοις τοῦ δολοφονηθέντος ἀποκεκλείσεται τὸ ἱερὸν, εἰ ὁ ἀνδροφόνος ἐνδιατρίβοι, μὴ ἂν ὑπομείνασιν εἰς ταὐτὸ ποτ᾽

ἐλθεῖν· ἄτοπον δ᾽, ἑνὸς ἕνεκα τοὺς πολλοὺς καὶ τοῦ παρανομωτάτου τοὺς παρανομηθέντας ἐξείργεσθαι, οἳ πρὸς τῷ μηδὲν ἁμαρτεῖν καὶ πένθος ἀπροσδόκητον ἀνεδέξαντο. τάχα μέντοι καὶ τὸ μέλλον ὀξυωπεῖ λογισμῷ πεφυκὼς ἐπιβλέπειν, προυνόησε μὴ φόνον ἐν τῷ ἱερῷ γενέσθαι κατὰ τὰς ἐπιφοιτήσεις τῶν τοῦ σφαγέντος ἐπιτηδείων, οὓς ὀργὴ πάθος ἀδούλωτον, ὥσπερ τοὺς ἐνθουσιῶντας καὶ κατεσχημένους προσκαλέσεται μονονουχὶ αὐτοχειρίᾳ κτεῖναι τὸν ἀνδροφόνον, οὗ γενομένου συμβήσεταί τι τῶν ἀνοσιωτάτων. αἷμα τι γὰρ ἀνδροφόνων, αἷμα θυσιῶν ἀναχυθήσεται, τὸ καθωσιωμένον τῷ μὴ καθαρῷ. διὰ μὲν δὴ ταῦτα, κελεύει καὶ ἀπ᾽ αὐτοῦ βωμοῦ ἐκδιδόναι τὸν ἀνδροφόνον· ἀλλ᾽ οἱ μὲν ξίφεσιν, ἢ δόρασιν ἢ βέλεσιν, ἢ ξύλοις, ἢ λίθοις, ἤ τισιν ὁμοιοτρόποις ἀναιροῦντες, δύνανται μὴ προβουλευόμενοι, μηδ᾽ ἐκ πολλοῦ πρὸ αὐτοῖς λελογισμένοι τὸ ἄγος, ἐκ ταὐτομάτου διακινηθέντες, καὶ θυμῷ δυνατωτέρῳ χρησάμενοι λογισμοῦ, δρᾶσαι τὸν φόνον, ὡς ἡμίεργον τὴν πρᾶξιν εἶναι, τῆς διανοίας μὴ προσκατεσχημένης ἐκ μακροῦ τοῖς μιάσμασιν. εἰσὶ δ᾽ ἕτεροι πονηρότατοι, χερσὶ καὶ γνώμης ἐναγεῖς, οἱ μάγοι καὶ φαρμακευταί, σχολὴν καὶ ἀναχώρησιν ἐνδιδόντες αὐτοῖς πρὸς χρείους ἐπιθέσεις, καὶ τέχνας καὶ μηχανὰς πολυτρόπους ἀνευρίσκοντες ἐπὶ ταῖς τῶν πλησίον συμφοραῖς· ὅθεν κελεύει φαρμακευτὰς καὶ φαρμακίδας μηδὲ μίαν ἡμέραν βιοῦν, ἀλλ᾽ ἅμα τῷ ἁλῶναι τεθνάναι, μηδεμιᾶς ἐξευρισκομένης προφάσεως εἰς ἀναβολὴν καὶ ὑπέρθεσιν τῆς τιμωρίας. τοὺς μὲν γὰρ φανερῶς κἀντικρὺς ἐπιβουλεύοντας, δύναιτ᾽ ἄν τις φυλάξασθαι· τῶν δὲ κρύφα συντιθέντων καὶ συσκευωρουμένων τὰς ἐπιθέσεις φαρμακείαις, οὐ ῥᾴδιον τὰς τέχνας συνιδεῖν. ἀναγκαῖον οὖν ἃ μελλήσουσι δι᾽ αὐτῶν ἕτεροι παθεῖν, τοὺς δρῶντας προαναιρεῖσθαι. καὶ γὰρ ἄλλως ὁ μὲν ἐμφανῶς ξίφει κτείνων ἤ τινι ὅπλῳ τῶν ὁμοιοτρόπων, καθ᾽ ἕνα καιρὸν ὀλίγους ἀνεῖλε· φαρμάκοις δὲ θανασίμοις, μυρίους ὅσους τὴν ἐπιβουλὴν οὐ προαισθανομένους ἐδωδίμοις τισὶν ἀναμίξας καὶ συνανακεράσαμενος. ἤδη γοῦν πολυάνθρωπα συσσίτια καθ᾽ ἑταιρείαν συνεληλυθότων ἐπὶ τοὺς αὐτοὺς ἅλας, καὶ τὴν αὐτὴν τράπεζαν, ἐν σπονδαῖς ἄσπονδα ἔπαθεν, ἐξαίφνης διαφθαρέντα καὶ θάνατον ἀντ᾽ εὐωχίας ἀντηλλάξατο· διὸ προσήκει κατὰ τῶν τοιούτων, καὶ τοὺς ἐπιεικεστάτους καὶ τοὺς μετριοπαθεστάτους φονᾶν, μονονοὺ γινομένους αὐτόχειρας, καὶ νομίζοντας ἐναγὲς εἶναι, τὸ μὴ ἑτέροις τὴν τιμωρίαν ἐπιτρέπειν, ἀλλ᾽ ἑαυτοῖς. πῶς γὰρ οὐκ ἔστι περιδεινόν, δι᾽ ἃ τροφῆς ἢ τοῦ ζῆν αἴτια

A tectum succederent. Iniquissimum autem fuerit propter vnum multos, & propter violatorem iuris excludi affectos iniuria, nullo suo merito in luctum coniectos acerbissimum. Et fortasse legislator prudenter in futurum prospiciens, præcauere voluit ne in templo committeretur homicidium, si illud frequentarent occisi hominis necessarij, qui præ impotenti affectu vel proprijs manibus confecturi homicidam videbantur, patraturique
B impietatis summæ facinus. sic enim victimarum sanguis misceretur cum homicidarum sanguine, sacratus cum execrabili. propterea iubet vt ab ipsis aris abstrahatur homicida. Cæterum qui gladio, hasta, fuste, saxo, alióve telo interimunt, fieri potest vt inconsulto repentinóque impetu percitì scelus admittant, furori non rationi obsequuti, ita vt dimidiatum videatur facinus cui non accessit longa deliberatio. alij verò sceleratissi-
C mi, polluti mente ac manibus, magi & venefici per ocium & in secessu dant operam malis damnatísque artibus, captantes occasionem variarum calamitatum inferendarum proximis. ideo lex vult veneficos & veneficas ne vnum quidem diem viuere, sed mori quamprimum deprehensi fuerint, nec vllo pacto differri supplicium. nam qui propalam & cominus aggrediuntur, vtcunque caueri pos-
D sunt: occultæ autem insidiæ veneficiáque non animaduertuntur facile. præstat igitur vt noxa quam illaturi erant alijs, auertatur in ipsorum capita. & alioquin etiam qui gladio vel alio quouis simili telo grassatur, non enecat multos eodem tempore. venenis autem letiferis innumeri perimuntur, inter esculenta clam admixtis confusisque per insidias. & accidit aliquando in numeroso conuiuio sodalibus ad eiusdem salis eiusdémque
E mensæ societatem collectis, inter libationes violari sodalitatis fœdera, repente mutatis rerum vicibus, & in conuiuij locum succedentibus funestis exsequijs. quapropter etiam mitissimos clementissimósque iudices sæuire in id genus conuenit, nec saluti eorum vnquam parcere, tantum non proprijs eos tollendo manibus absque vlla contagione sceleris, etiamsi non vtantur ministris supplicij. Quid enim est iniquius, quàm ali-

menta ad tuendam vitam facta vertere in perniciem, & naturæ beneficia corrumpere? vt qui ex cibo potúque petunt refectionem necessariam, in insidias præcipitati pro salute mortem inueniant. Eadem pœna manet eos qui non letifera venena conficiunt, sed longos morbos & tabem lentam inferentia. nam sæpe satius est emori quàm ægrotare, præsertim diuturno morbo non habituro felicem exitum. respuunt enim medicinam morbi contracti è veneficijs. molestiores autem sunt in hoc genere animorum noxæ quàm corporum, quoniam inde nascuntur deliria & intolerabiles insaniæ, quibus mens, qua nihil preciosius homini datum est diuinitus, oblæditur, vel potius in totum demigrat sine vlla spe reditus, brutam deterioremque animi partem relinquens corpori, communem cum bestijs: quandoquidem sublata ratione homo in feram mutatur, vtcunque lineamenta humanæ speciei retinet. Veram quidem illam magiam, hoc est perspectiuam scientiam, per quam naturæ opera cernuntur clarius, vt honestam expetendámque, non plebeij solum sectantur, sed etiam reges regum maximi, præsertim Persici, tam curiosi harum artium, vt regnare non liceat nisi cum magis versato familiariter. ex hac adulterata deprauatáque descendunt quas maxime proprio vocabulo malas artes dicimus, circulatorum ariolorúmque studia, & mulierum mancipiorúmque nequissimorum expiationes lustrationésque profitentium, mutationésque amoris in odium, aut è diuerso in amorem odij, per quasdam potiones amatorias & incantamenta idonea: atque his dolis inuncant simplicissimum quemque, donec in calamitates ingentes pertrahant, vt nonnunquam magnæ familiæ cognationésque paulatim sidendo sine ruinæ strepitu intercidant. His omnibus opinor consideratis noster legislator non sinit procrastinari veneficorum supplicia, sed absque mora vult exigi: quòd dilatio noxijs opportunitatem peccandi præbeat, vltro ad mortem properantibus, cæteros vero suspicione metúque

A καθέστηκε, θάνατον τεχνάζεσθαι, καὶ τοῖς φύσει τροφίμοις φθοροποιὸν ἐργάζεσθαι μεταβολήν, ἵνα τινὲς διὰ φυσικὴν ἀνάγκην ἐπ᾽ ἐδωδὴν καὶ πόσιν ἰόντες, οὐ προσδοκώμενοι τὴν ἐνέδραν, ὡς σωτήρια προσῶνται τὰ πανώλεθρα σιτία. τὴν δ᾽ αὐτὴν ὑπομενέτωσαν τιμωρίαν, κἂν εἴ τινες θανάσιμα μὴ συντιθέντες, τὰ δὲ ὧν μακραὶ κατασκευάζονται νόσοι προσφέρωσι. θάνατοι γὰρ πολλάκις αἱρετώτεροι νόσων εἰσί, καὶ μάλιστα τῶν τοιούτων, αἳ μήκεσι χρόνων ἀποτείνονται, καὶ τέλος ἔχουσιν οὐκ αἴσιον. B δυσίατα γὰρ ἤδη καὶ παντελῶς ἀθεράπευτα τὰ ἐκ φαρμακειῶν ἀρρωστήματα. χαλεπώτερα μέντοι συμβαίνειν φιλεῖ τῶν ἐν τοῖς σώμασι καὶ περὶ τὰς ψυχὰς πάθη τῶν ἐπιβουλευομένων. ἐκστάσεις γὰρ καὶ παραφροσύναι, καὶ ἀφόρητοι μανίαι κατασκήπτουσι, δι᾽ ὧν ὁ νοῦς, ἣν μεγίστην ἀπένειμεν ἀνθρώπῳ δωρεὰν ὁ θεός, κακούμενος πάσας κακώσεις ὅτε δὴ ἀπογνῷ τὰ σωτήρια, μετανίσταται καὶ μετοικίζεται, τὸ τῆς ψυχῆς φαυλότερον εἶδος ὑπολειπόμενος ἐν τῷ σώματι τὸ ἄλογον, οὗ καὶ τὰ θηρία C μετέσχηκεν, ἐπειδὴ πᾶς ὁ ἐρημωθεὶς λογισμοῦ τοῦ κρείττονος μέρους ψυχῆς, μεταβέβηκεν εἰς θηρίου φύσιν, κἂν ἔτι μένωσιν οἱ τοῦ σώματος χαρακτῆρες ἀνθρωπόμορφοι. τὴν μὲν οὖν ἀληθῆ μαγικήν, ὀπτικὴν ἐπιστήμην οὖσαν, ᾗ τὰ φύσεως ἔργα τρανωτέραις φαντασίαις αὐγάζεται, σεμνήν τε καὶ περιμάχητον δοκοῦσαν εἶναι, οὐκ ἰδιῶται μόνον, ἀλλὰ καὶ βασιλεῖς καὶ βασιλέων οἱ μέγιστοι, καὶ μάλιστα οἱ Περσῶν διαπονοῦσιν οὕτως, ὥστ᾽ οὐδένα φασὶν ἐπὶ D βασιλείαν παραληφθῆναι δύνασθαι παρ᾽ αὐτοῖς, εἰ μὴ πρότερον τοῦ μάγων γένους κεκοινωνηκὼς τυγχάνοι. ἔστι δέ τις, ἢ παράκομμα ταύτης, κυριώτατα φάναι, κακοτεχνία, ἣν μηναγύρται καὶ βωμολόχοι μετίασι, καὶ γυναικῶν καὶ ἀνδραπόδων τὰ φαυλότατα, περιμάττειν καὶ καθαίρειν κατεπαγγελλόμενα, καὶ στέργοντας μὲν εἰς ἀνήκεστον τὴν ἔχθραν, μισοῦντας δ᾽ εἰς ὑπερβάλλουσαν εὔνοιαν ἄξειν ὑπισχνούμενα φίλτροις καὶ ἐπῳδαῖς τισίν, εἶτα τοὺς ἀπλάστοις καὶ ἀκακωτάτοις ἤθεσι χρωμένους, ἀπατᾷ καὶ E ἀγκιστρεύεται, μέχρις ἂν ταῖς μεγίσταις περιβάλοι συμφοραῖς, δι᾽ ἃς οἰκιῶν καὶ συγγενειῶν ὅμιλοι μεγάλοι καὶ πολυάνθρωποι κατὰ μικρὸν ὑπορρέοντες ἀψοφητὶ ταχέως ἐξεφθάρησαν. εἰς ἅπερ οἶμαι πάντ᾽ ἀπιδὼν ὁ ἡμέτερος νομοθέτης, οὐκ ἐᾷ τὰς φαρμακευτῶν εἰς ὕστερον ἀναβάλλεσθαι δίκας, παραχρῆμα τὰς τιμωρίας ἀναπράττειν κελεύσας. ὡς γὰρ ὑπερθέσεις, τοὺς μὲν ὑπαιτίους ἐνδυσχερεῖν τοῖς αὐτοῖς ἀδικήμασι παρορμῶσιν ἅτε θανατῶντας,

τοὺς

ταῖς δ' εἰς τὸ παθεῖν ὑπόπτοις φοβερωτέρου δέους ἀναπιμπλᾶσι, τὴν ἐκείνων ζωὴν θάνατον αὐτῶν εἶναι νομίζοντας. καθάπερ οὖν ἔχεις καὶ σκορπίους καὶ ὅσ' ἰοβόλα πρὶν δακεῖν ἢ τρῶσαι ἢ συνόλως ὁρμῆσαι, θεασάμενοι μόνον χωρὶς ὑπερθέσεως κτείνομεν, προφυλαττόμενοι διὰ τὴν ἐνυπάρχουσαν ἐν αὐτοῖς κακίαν τὸ μηδὲν παθεῖν· τὸν αὐτὸν τρόπον καὶ ἀνθρώπους ἄξιον τιμωρεῖσθαι, οἳ φύσεως ἐπιλαχόντες ἡμέρου διὰ τὴν κοινωνίας αἰτίαν λογικὴν πηγήν, ἐπιτηδεύσει πρὸς θηρίων ἀτιθάσων ἀγριότητας μεταβάλλουσιν, ἐν ἡδονῇ καὶ ὠφελείᾳ τιθέμενοι τὸ κακῶς ποιεῖν ὅσους ἂν δύνωνται. τοσαῦτ' ἐν τῷ παρόντι περὶ φαρμακευτῶν ἀποχρώντως λελέχθω. προσήκει μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι καιροὶ συμπίπτουσιν ἀβούλητοι πολλάκις, ἐν οἷς ἀνδροφονεῖ τις, οὐκ ἐπὶ τοῦτ' ἐλθών, ἢ παρασκευασάμενος, ἀλλ' ἐξαπιναίως ἁρπασθεὶς ὑπ' ὀργῆς ἀνηκέστου καὶ ἐπιβόλου πάθους, ὃ καὶ τὸν ἔχοντα καὶ καθ' οὗ γίνεται μάλιστα βλάπτει· προσελθὼν γάρ ἐστιν ὅτ' εἰς ἀγορὰν ἕνεκα πραγματείας ἐπειγούσης, ἐντυχών τινι προπετεστέρῳ κακηγορεῖν, ἢ τύπτειν ἐπιχειροῦντι, ἢ καὶ αὐτὸς ἄρξας τῆς πρὸς ἐκεῖνον διαφορᾶς, συμπλοκῆς γινομένης ὑπὲρ τοῦ διαζευχθῆναι καὶ θᾶττον ἐκφυγεῖν, ἢ πὺξ ἔπαισε τῇ χειρί, ἢ λίθον ἀράμενος ἔρριψε· καιρίας δὲ τῆς πληγῆς ἐνεχθείσης, εἰ μὲν εὐθὺς θνήσκει, καὶ ὁ παίσας θνησκέτω, τὰ ἴσα οἷς διέθηκε παθών· ἐὰν δὲ παραχρῆμα μὲν ἐκ τῆς πληγῆς μὴ τελευτήσῃ, νόσῳ δὲ χρήσηται, καὶ κλινήρης γενόμενος ἐπιμελείας τυχὼν τῆς προσηκούσης αὖθις ἐξαναστῇ, κἂν μὴ ποσὶν ἀρτίοις δύνηται βαδίζειν, ἀλλ' ὑπερειδόντων τινῶν, ἢ καὶ βακτηρίαις σκηριπτόμενος, διττὰς ὁ παίσας ἐκτινέτω ζημίας, τὴν μὲν εἰς ἀργίας ἐπανόρθωσιν, τὴν δ' ἀντὶ τῶν ἰατρείων· καταθεὶς δ' ἀπαλλαττέσθω τῆς ἐπὶ τῷ θανάτῳ τιμωρίας, κἂν ὕστερον ὁ τὴν πληγὴν λαβὼν τελευτήσῃ. τάχα γὰρ οὐκ ἀπὸ τῆς πληγῆς, ἐπεὶ ῥᾴων γενόμενος εἰς πάτον προῆλθεν, ἀλλὰ καθ' ἑτέρας αἰτίας, αἳ καὶ τοὺς ὑγιεινοτάτους τὰ σώματα πολλάκις ἐξαίφνης ἐπιθέμεναι, διέφθειραν. ἐὰν δὲ συμπλακῇ τις γυναικὶ ἐγκύῳ, καὶ πληγὰς ἐμφορήσῃ κατὰ τὴν γαστέρα, ἡ δ' ἀμβλώσῃ, ἐὰν μὲν ἄπλαστον καὶ ἀδιατύπωτον τὸ ἀμβλωθὲν τύχῃ, ζημιούσθω, καὶ διὰ τὴν ὕβριν, καὶ ὅτι ἐμποδὼν ἐγένετο τῇ φύσει ζωογονούσῃ τὸ κάλλιστον τεχνιτευούσῃ καὶ δημιουργούσῃ ζῷον, ἄνθρωπον. εἰ δ'

A repleat, existimantes quicquid illorum vitæ accedit, suæ securitati decedere. idcirco sicut viperas, scorpios, aliásque venenosas bestiolas, prius quàm mordeant, aut saucient, aut omnino se commoueant, sine mora ad primum aspectum occidimus, præcauendo genuinam eorum maliciam prius quam noceant: eodem modo etiam homines plectendi sunt, qui cum sint animalia rationalia, ni-
B hilo secius à natiua mansuetudine in ferinos mores degenerant, & pro delectamento habent lædendi quotquot possunt licentiam. Hactenus in præsenti de veneficis dictum sit. Sciendum tamen hoc quoque, interdum accidere vt aliquis nihil minus cogitans committat homicidium, non destinato consilio, nec paratus ad id antea, sed repentino furore percitus, impotenti malo & obre-
C penti facile, quod non minus nocet commoto, quàm sustinenti talem debacchationem. interdum enim aliquis progressus in forum vt agat sua negocia, casu homini vel lingua vel manibus petulanti fit obuius, lacessitúsque aut ipse contentionem exorsus, vt rixa citius dirimatur, aut pugno ferit, aut eminus lapide. Tum si lethali plaga ictus alter moritur, percussor quoque ferat quod
D intulit. quod si non statim ab ictu perit, sed decumbit læsa valetudine, ac mox curatus si non suis pedibus, saltem aliis sustentantibus, aut scipione subnixus obambulat, duplicem mulctam luat, tum eam qua rependatur percussi ocium, tum qua satis fiat medico. hac persoluta immunis sit à supplicio: etiamsi percussus moriatur postea. fortasis enim non
E ex ictu, post quem cœpit obambulare valeréque meliuscule, sed aliis de causis interiit, quæ repentè aggressæ vel sana corpora enecant. Quod si quis rixando cum muliere grauida pugnos in ventrem inflixerit, ita vt abortus sequatur, si abortiuum informe fuerit, mulctetur, tum propter violentiam, tum quia fuit impedimento naturæ exorsæ opificium hominis, animalis pulcherrimi.

Quod si formatus fœtus absoluta membra & in ordinem digesta habuerit, moriatur percussor. iam enim erat homo qui in naturæ officina interemptus est, nondum ab ea prolatus in lucem, similis statuæ latenti apud fictorem suum, & nihil aliud expectanti quàm dum libeat illi spectandam proponere populo. Hæc lex etiam grauius quiddam prohibet, expositionem infantium, quæ apud multas gentes propter natiuam inhumanitatem vulgaris est impietas. nam si prospiciendum est, ne ante præfinitum natiuitatis tempus vim patiantur in vtero, quanto magis conseruandi sunt iam editi, & quasi nouelli coloni adscripti cæteris hominibus, vt vnà fruantur naturæ donis, quæ in terra, aqua, aëre, cælo proueniunt, cælestia contemplationi & spectaculo, terrestria vero vt vsibus seruiant, & expleant omnium sensuum desideria: menti quoque famulentur tanquam regi magno per eosdem sensus ceu satellites: aut etiam sine horum ministerio, duntaxat in his quæcunque sola ratione possunt percipi. Hæc tanta bona quisquis adimit pueris, & alimenta statim à natiuitate denegat, sciat se violare iura naturæ, & hoc modo incidere in maxima crimina, libidinosus, immanis, homicida, atque adeò infanticida prolis propriæ. libidinosus vt qui non liberorum causa conseruandique generis cum vxore congreditur, sed voluptatem captans ex coitu more suum hircorúmque. immanis autem quis potius censebitur, quàm natorum suorum inimicus implacabilis? nisi quis est tam fatuus, vt credat non temeraturum fœdera inita cum exteris, eum qui cognationis iura & communis generis societatem nodósque arctissimos ducit pro nihilo. certe homicidæ infanticidæque sunt manifestarij, siue scelus id peragunt suis manibus immaniter elidendo præfocandóve recentem spiritum: aut in flumen maréve proiiciendo è sublimi, quo celerius mergantur ac profundius: siue in deserta loca deportatos exponunt, vt ipsi aiunt non desperantes de salute: sed reuera vt abiecti miserius intereant. nam quæcunque feræ carnes humanas appetunt, accurrunt & auide fruuntur bellis epulis obiectis sibi à parentibus,

A ἤδη μεμορφωμένον, ἁπάντων μερῶν τὰς οἰκείας τάξεις καὶ ποιότητας ἀπειληφότων, θνησκέτω. τὸ γὰρ τοιοῦτον ἄνθρωπός ἐστιν, ὃν ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διεχρήσατο, μήπω χρόνον εἶναι νομιζούσης εἰς φῶς προαγαγεῖν, ἐοικὸς ἀνδριάντι ἐν πλαστικῇ κατακειμένῳ, πλέον οὐδὲν ἢ τὴν ἔξω παραπομπὴν καὶ ἄφεσιν ἐπιζητοῦντι. διὰ ταύτης τῆς προστάξεως καὶ ἕτερόν τι μεῖζον ἀπηγόρευται, βρεφῶν ἔκθεσις, ὃ παρὰ πολλοῖς τῶν ἄλλων ἐθνῶν ἕνεκα τῆς φυσικῆς ἀπανθρωπίας χλευασθὲν ἀσέβημα γέγονεν.

B εἰ γὰρ τῶν μηδέπω τοὺς ὡρισμένους τῇ κυήσει περιόδους ἀποκυηθέντος προνοητέον, ὡς μὴ ἐξ ἐπιβουλῆς τι δεινὸν πάθοι, πῶς οὐχὶ μᾶλλον τοῦ τελεογονηθέντος, καὶ ὥσπερ εἰς ἀποικίαν ἣν ἔλαχον ἄνθρωποι προπεμφθέντος, ἐπὶ τῷ μεταλαχεῖν τῶν τῆς φύσεως δωρεῶν, ἃς ἀνίησιν ἐκ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ οὐρανοῦ, παρέχουσα τὴν μὲν οὐρανίων τὴν θέαν, τὴν δ' ἐπιγείων τὸ κράτος καὶ τὴν ἡγεμονίαν, καὶ πάσαις μὲν χορηγοῦσα ταῖς αἰσθήσεσιν ἄφθονα τὰ πάντων·

C τῷ δὲ νῷ καθάπερ βασιλεῖ μεγάλῳ, τὰ μὲν διὰ τούτων ὡς ἂν δορυφόρων, ὅσ' αἰσθητά· τὰ δ' ἄνευ τούτων, ὅσα λόγῳ καταληπτά. τούτων γοῦν ἀποστεροῦντες ἀγαθῶν τοὺς παῖδας, οἱ τροφῆς ἅμα τῇ γενέσει τούτων μηδενὸς μεταδόντες, ἴστωσαν νόμους φύσεως καταλύοντες, καὶ τὰ μέγιστα κατηγοροῦντες αὑτῶν, φιληδονίαν, μισανθρωπίαν, ἀνδροφονίαν, καὶ τὸ χαλεπώτατον ἄγος, τεκνοκτονίαν. φιλήδονοι μὲν γὰρ οἱ μὴ σπορᾶς ἕνεκα τέκνων καὶ τοῦ διαιωνίσαι τὸ γένος, συνερχόμενοι

D γυναιξίν, ἀλλὰ θηρώμενοι συῶν ἢ τράγων τρόπον τὴν ἐξ ὁμιλίας ἀπόλαυσιν· μισάνθρωποι δὲ τίνες ἂν εἶεν μᾶλλον, ἢ οἱ τῶν γεννηθέντων ἐχθροί. ἀμείλικτοι δ', ἀληθῶς, εἰ μή τις οὕτως ἐστὶν ἠλίθιος, ὡς ὑπολαβεῖν ὅτι πρὸς τοὺς ἀλλοτρίους ἔνσπονδοι γένοιντ' ἂν οἱ τοὺς ἐκ τοῦ γένους ἐκσπόνδους εἰργασμένοι. τάς γε μὴν ἀνδροφονίας καὶ τεκνοκτονίας ἐναργεστάταις βεβαιοῦται πίστεσιν, οἱ μὲν αὐτόχειρες γινόμενοι, καὶ τὸ πρῶτον εἰς πνοὴν τῶν βρεφῶν

E πιέζοντες καὶ ἀναθλίβοντες ὑπὸ ὠμότητος καὶ ἀναλγησίας δεινῆς· οἱ δ' εἰς ποταμὸν ἢ θαλάσσης βυθὸν ἀφιέντες, ὅταν ἀπαιωρήσωσιν ἄχθος, ἵνα θᾶττον ἡ ὁλκὴ τῷ βάρει καταφέρηται. οἱ δ' ἐπ' ἐρημίαν κομίζοντες ἐκθήσοντες, ὡς μὲν αὐτοί φασιν, ἐλπίδι σωτηρίας, ὡς δὲ τἀληθὲς ἔχει, πρὸς ἀνιαροτέρας συμφοράς. ὅσα γὰρ σαρκῶν ἀνθρωπίνων ἅπτεται θηρία, μηδενὸς ἀνείργοντος ἐπιφοιτᾷ καὶ θοινᾶται τῶν βρεφῶν καλῆς θοίνης, ἣν οἱ μόνοι κηδεμόνες καὶ πρὸ τῶν ἄλλων σώζειν

ὀφείλοντες, μήτηρ καὶ πατήρ, προεῖνται· καὶ τὰ λείψανα μάλιστα προσεπιλιχμῶνται αὐτῶν οἰωνοὶ σαρκοβόροι καταπτάντες, ὅταν μὴ προφθασθῶσιν· αἰσθανόμενοι γὰρ καὶ τὴν ἄλων πρὸς τοὺς χερσαίους θῆρας κονίονται. φέρε δ᾽ οὖν τῶν ὁδῷ παριόντων τινὰ ἡμέρῳ κινηθέντα πάθει λαβεῖν οἶκτον καὶ ἔλεον τῶν ἐκτεθέντων, ὡς ἀνελέσθαι τε καὶ τροφῆς μεταδοῦναι, καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιῶσαι, ταυτὶ τὰ οὕτω χρηστὰ ἔργα τί νομίζομεν; ἆρ᾽ οὐ τῶν γεννησάντων εἶναι καταδίκας, εἴ γ᾽ οἱ μὲν ἀλλότριοι τὰ γονέων, οἱ δὲ γονεῖς οὐδὲ τὴν τῶν ἀλλοτρίων προνοίαν ἐπετήδευσαν; πόρρωθεν οὖν τὴν βρεφῶν ἔκθεσιν ἀπεῖπε διὰ τοῦ προνοεῖν, θάνατον, ὡς ἔφην, ὁρίσας κατὰ τὴν αἰτίαν ἀμβλώσεως, τὰ μεμορφωμένα ἤδη κυϊσκούσης. καίτοι τὰ μὲν ἔτι κατὰ γαστρὸς περιεχόμενα τῇ μητρί, τῆς κυούσης εἶναι μέρη λέγεται παρά τε φυσικοῖς ἀνδράσιν, οἷς ὁ θεωρητικὸς διαπονεῖται βίος, καὶ παρ᾽ ἰατρῶν τοῖς δοκιμωτάτοις, οἳ τὴν ἀνθρώπου κατασκευὴν διηρευνήσαντο, τά τ᾽ ἐνδὸν καὶ τὰ φανερὰ μετ᾽ ἐπιμελείας ἐξ ἀνατομῆς ἀκριβωσάμενοι, ἵν᾽ εἰ χρεία τις γένοιτο θεραπείας, μηδὲν ἀγνοίᾳ παρολιγωρηθὲν, αἴτιον μεγάλου κινδύνου γένηται. τὰ δ᾽ ἀποκυηθέντα, τῆς τε συμφυΐας ἀπέζευκται, καὶ διαφερόμενα καθ᾽ αὑτὰ ζῷα γέγονεν, οὐδενὸς ἐπιδεᾶ τῶν ὅσα πληρωτικὰ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, ὥστ᾽ ἀνενδοιάστως ἀνδροφόνον εἶναι τὸν βρέφος ἀναιροῦντα, νόμου μὴ ἐπὶ ταῖς ἡλικίαις, ἀλλ᾽ ἐπὶ τῷ γένει παρασπονδουμένῳ δυσχεραίνοντος. εἰ μέντοι καὶ ἡλικιῶν ἔδει προμηθεῖσθαι, δοκεῖ μοι τις ἂν δικαίως ἀγανακτῆσαι μᾶλλον ἐπὶ τοῖς ἀναιροῦσι βρέφη. πρὸς μὲν γὰρ τοὺς τελείους μυρίαι προφάσεις εὔλογοι προσκρουμάτων τε καὶ διαφορῶν· τοῖς δὲ κομιδῇ νηπίοις ἄρτι παρεληλυθόσιν εἰς φῶς καὶ τὸν ἀνθρώπινον βίον, οὐδ᾽ ἐπιψεύσασθαι κατηγορίαν ἀκακωτάτοις οὖσιν ἐνδέχεται· διὸ πάντων ὠμότατοι καὶ ἀνηλεέστατοι κριθεῖεν ἂν οἱ ἐπαποδυόμενοι ταῖς τούτων ἐπιβουλαῖς, οἷς ἐχθραίνων ὁ ἱερὸς νόμος ἐνόχους ἀπέφηνε θανάτου. τὸν ἀκουσίῳ γνώμῃ τοῦ κτείναντος ἀναιρεθέντα φησὶν ὁ ἱερὸς νόμος παραδίδοσθαι ὑπὸ θεοῦ χερσὶν ἀνδροφόνοις, τῇ μὲν ἀπολογούμενος ὑπὲρ τοῦ δόξαντος ἀνελεῖν ὡς ἐνόχου ἀνελόντος. μὴ γὰρ ἄν ποτε τὸν ἵλεων καὶ συγγνώμονα θεὸν ἐπ᾽ ἀναιρέσει τινὰ τὸν ἀναίτιον ἐκδοῦναι, ἀλλ᾽ ὅστις τὰς μὲν παρ᾽ ἀνθρώποις κρίσεις εὐμηχάνως ἕνεκα τοῦ πολυτρόπου διαδιδράσκει, πρὸς δὲ τὸ τῆς φύσεως ἀχθεὶς ἀφανὲς δικαστήριον ἑάλω, ἐν ᾧ μόνῳ

A qui soli aut præcipui curatores infantis esse debuerant: atque etiam reliquias eorum carpunt alites carniuoræ, si serius veniant. Nam quoties mature præsentiunt, decertant pro præda cum terrestribus bestiis. Sed fac alicuius prætereuntis miseratione colligi expositicium, & alimenta cæterámque educationem consequi, hoc beneficium quid aliud est quàm parentum ipsorum condemnatio? Si-
B quidem exteri faciunt horum officium, parentes verò ne eam quidem curam natis impendunt quam exteri. immensum igitur quanto magis expositionem infantum vetitam innuit, qui autori abortus infligit pœnam capitis, si fœtus iam formatus erat in vtero. quamuis infantem tantisper dum matrice clauditur, partem matris aiunt scrutatores naturalis philosophiæ, cúmque his medicorum probatis-
C simi, qui paraturam hominis inspexerunt, non foris solum, verum etiam dissectis corporibus, ne quid eius ignoratum in curandis morbis afferret causam ingentis periculi. hanc concretionem partus secernit, absoluens animal, ita vt nil ei desit eorum quæ natura humana postulat: proinde sine controuersia homicida est quisquis infantem interimit, ætate non obstante, cum lex vindicet iniu-
D riam illatam generi. attamen si ætatis quoque rationem haberi placet, maiorem indignationem infanticida mereri videtur. nam perfecta ætas multis modis irritat offenditque: infantibus verò tum recens in lucem ac vitam editis ne falsum quidem crimen licet obiicere propter summam eorum innocentiam. ideo sæuissimi omnium & immanissimi iudicandi
E sunt qui his struunt perniciem, merito capitalem pœnam daturi legibus. Ei autem qui nolens cædem commisit, occisum sacra lex ait in manus à Deo traditum: vel quo excuset culpam. nunquam enim Deus clemens ac propitius insontem ad necem dederet: sed aliquoties qui apud humanum tribunal euadunt modis variis, in naturæ iudicium adducti damnantur, vbi sola sincera veritas spectatur, nec

offuſcantur vllis verborum præſtigiis, imò ne opus quidem verbis eſt, vbi nudantur conſilia, voluntatéſque occultæ antea in apertum producuntur. vel quo percuſſor licet exemptus crimine homicidij, quaſi miniſter iudicij diuini, tamen declaretur obnoxius exiguo cuidam piaculo, quod veniam impetrare debeat. nonnunquam enim Deus paruis delictis & ſanabilibus vtitur ad punienda magna atque inſanabilia peccata, non quod ipſos miniſtros probet, ſed quod eos putet inſtrumenta pœnarum idonea, ne quis alioqui tota vita purus & è puris prognatus parentibus, cæde vel iuſtiſſima ſuas manus contaminet. ideo cæde præter animi ſententiam pollutis exilium indicitur, certis quidem locis circumſcriptum, non tamen perpetuum. Sex enim ciuitates attribuuntur huiuſmodi exulibus, octaua pars poſſeſſionum quæ ſorte obuenerunt ſacratæ tribui, & ex re nominantur profugorum receptacula. finis autem exilij eſt idem qui vitæ pontificis. tunc enim reditus permittitur. quod ad locum exilij attinet, hæc cauſa redditur. tribus de qua loquimur, has ciuitates accepit in cædis piæ iuſtæque præmium, propter operam nauatam egregie. Cum enim propheta in celſiſſimum ac ſanctiſſimum eius tractus montem accitus, ex ore Dei capita iuris acciperet, ſemotus per dies aliquot à conſpectu hominum, quidam ſeditioſi per abſentiam principis multa mala inuexerunt, & ad extremum impietatem his adiecerunt, vnius veri Dei cultu exploſo, & conſecrato iuuenco aureo ad exemplar typi Ægyptiaci: vacabántque profanis ſacrificiis & feſtis nefariis, inconcinniſque choreis, cantantes hymnos cum debuerint lamentari potius. hanc repentinam à bonis moribus defectionem indigne ferens ea tribus, ira zelóque accenſa armauit ſe velut ex compoſito, & vino ſimul orgiiſque furentes contemptim aggreſſa trucidauit, initio cædis facto ab amiciſſimis & coniunctiſſimis, pietate tantum metiendo neceſſitudines. itaque exigua parte diei ceciderunt vigintiquatuor millia, quorum clades reliquos in officio continuit, ſimilem pœnam veritos. eam voluntariam millitiam pro pietate cultúque veri

A τἀληθὲς ἀκραιφνέστατον ὁρᾶται, λόγων τέχναις οὐκ ἐπισκιαζόμενον. οὐδὲ γὰρ λόγους τὴν ἀρχὴν προσδέχεται, βουλήματα ἀπαμφίσχον, καὶ διανοίας ἀφανεῖς εἰς τοὐμφανέστατον ἄγον· ᾗ δὲ καὶ τὸν ἀνελόντα φόνῳ μὲν οὐ ποιεῖ ὑπόδικον, ἅτε θείᾳ κρίσει δόξαντ' ὑπηρετῆσαι, μιάσματι δ' ἀδηλουμένῳ, καὶ βραχεῖ πάντως, ὃ παραιτητὸν καὶ συγγνωστόν ἐστι. χρῆται γὰρ ὁ θεὸς τοῖς ὀλίγα καὶ ἰάσιμα ἐξαμαρτάνουσι κατὰ τῶν μέγιστα καὶ ἀνίατα ἠδικηκότων ὑπηρέταις κολάσεως, οὐκ ἐκείνους ἀποδεχόμενος, ἀλλ' B ὡς ἂν ὄργανα παραλαμβάνων ἐπιτήδεια πρὸς τιμωρίαν, ἵνα μηδεὶς ὅλῳ βίῳ καθαρὸς ὢν καὶ ἐκ καθαρῶν, φόνου, κἂν δικαιότατος ᾖ, προσάψηται. φυγὴν οὖν κατὰ τοῦ κτείναντος, ἀκουσίως ὥρισεν, οὐχ ὅπῃ τύχῃ, οὐδ' ἐσαεί. πόλεις μὲν γὰρ ἓξ ἀπένειμεν, ὀγδόην μοῖραν ὧν ἔλαχεν ἡ ἱερωμένη φυλή, τοῖς ἁλοῦσιν, ἃς ἀπὸ τοῦ συμβεβηκότος ὠνόμασε φυγαδευτήρια· χρόνον δὲ τῆς φυγῆς, τὸν βίον τοῦ ἀρχιερέως προσενομοθέτησε, κάθοδον μετὰ τὴν ἐκείνου C τελευτὴν ἐπιτρέπων· αἰτία δὲ τοῦ μὲν προτέρου ἥδε· ἡ λεχθεῖσα φυλὴ τὰς πόλεις εἴληφεν ἆθλον ἀνδροφονίας εὐαγοῦς, ἣν ἀριστειῶν ὅσαι πώποτε γεγόνασιν ἐπιφανεστάτην καὶ μεγίστην ὑποληπτέον. ἡνίκα γὰρ ὁ προφήτης εἰς τὸ περιμηκέστατον καὶ ἱερώτατον τῶν κατ' ἐκεῖνον τὸν τόπον ὀρῶν ἀνακληθείς· ἐθεσπίζετο γὰρ τὰ γένη τῶν ἐν εἴδει νόμων, καὶ πλείους ἦν ἀφανὴς ἡμέρας· οἱ μὴ τὰς φύσεις εἰρηνικοί, τὴν ἐξ ἀναρχίας κακῶν πάντα κατέπλησαν, καὶ τέλος προσέθηκαν ἀσέβειαν, τὰς μὲν ἀρίστας καὶ καλὰς D ὑφηγήσεις περὶ τῆς τοῦ ὄντως ὄντος θεοῦ τιμῆς χλευάσαντες, ταῦρον δὲ κατασκευασάμενοι χρυσοῦν, αἰγυπτιακοῦ μίμημα τύφου, θυσίας ἀνῆγον ἀθύτους, καὶ ἑορτὰς ἀνεόρτους, καὶ χορείας ἀχορεύτους ἐπετέλουν σὺν ᾠδαῖς καὶ ὕμνοις ἀντὶ θρήνων· ἡ δὲ λεχθεῖσα φυλὴ πάνυ χαλεπῶς ἐνεγκοῦσα τὴν αἰφνίδιον ἐκδιαίτησιν, καὶ ζήλῳ πυρωθεῖσα διὰ μισοπόνηρον πάθος, ὑπόπλεοι πάντες ὀργῆς ἐνθουσιῶντες, ὡς ἀφ' E ἑνὸς συνθήματος ὁπλισάμενοι, διττὴν μεθύοντας μέθην, τὴν μὲν ἀσεβείᾳ, τὴν δὲ οἴνῳ, μάλα καταφρονητικῶς ἐπιστροφάδην ἀνῄρουν, ἀπὸ οἰκειοτάτων καὶ φιλτάτων ἀρξάμενοι, φίλων καὶ συγγενῶν ἓν τὸ θεοφιλὲς εἶναι νομίζοντες· καὶ βραχεῖ μέρει ἡμέρας τέτταρες πρὸς ταῖς εἴκοσι χιλιάδες ἀνῃρέθησαν, ὧν αἱ συμφοραὶ τοὺς συναπονοεῖσθαι μέλλοντας ἐνουθέτησαν, δέει τοῦ μὴ τὰ παραπλήσια παθεῖν. ταύτην τὴν στρατείαν ἐθελουργὸν καὶ αὐτοκέλευστον ὑπὲρ

εὐσεβείας καὶ ὁσιότητος τὴν εἰς τὸν ὄντως ὄντα θεὸν A
ἀνῃρημένην οὐκ ἄνευ μεγάλων κινδύνων τοῖς δρα-
σαμένοις τοὺς ἀγῶνας, αὐτὸς ὁ πατὴρ τῶν ὅλων ἀπε-
δέξατο, καὶ τοὺς ἀνελόντας δικάσας παραυτὰ κα-
θαροὺς εἶναι παντὸς ἄγους καὶ μιάσματος, ἱερωσύ-
νην τῆς ἀνδρείας τούτοις ἀντιδωρεῖται. τὸν οὖν ἀκού-
σιον δράσαντα φόνον κελεύει φυγεῖν εἰς ἐνίας ὧν ἔ-
λαχον οὗτοι πόλεις, ἕνεκα παρηγορίας, καὶ τοῦ μὴ
ἀπογινώσκειν τὴν εἰς ἅπαντας ἀσφάλειαν, ὑπο-
μεμνησκόμενον ἐκ τοῦ τόπου τὸ ἄφοβον, λογιζόμε-
νον ὅτι τοῖς ἑκουσίως ἀπεκτονόσιν, οὐ μόνον ἀμνηστία B
δίδοται, ἀλλὰ καὶ γέρα μεγάλα καὶ περιμάχητα, καὶ
πολλὴ εὐδαιμονία. εἰ δὲ τούτοις, πολὺ μᾶλλον τοῖς
μὴ ἐκ προνοίας ἀνελοῦσιν, εἰ καὶ μηδὲν τῶν ἐπὶ
τιμῇ, ἀλλὰ τὸ γοῦν πταίσαντι μὴ ἀναιρε-
θῆναι· διʼ οὗ παρίσταται τὸ μὴ πᾶσαν ἀνδροφονίαν
ἐπίληπτον, ἀλλὰ τὴν σὺν ἀδικίᾳ μόνην εἶναι, καὶ τῶν
ἄλλων ἐπαινετὴν μὲν, τὴν κατὰ πόθον καὶ ζῆλον
ἀρετῆς· οὐ ψεκτὴν δὲ τὴν ἀκούσιον. ἤδη μὲν αἰ-
τία προτέρα λελέχθω· δευτέρα δʼ αὐτίκα C
μηνυτέον· βούλεται ὁ νόμος τὸν ἀκουσίως ἀπο-
κτείναντα διασώζειν, εἰδὼς γνώμῃ μὲν οὐκ ἔνοχον,
χερσὶ δʼ ὑπηρετήσαντα τῇ τῶν ἀνθρωπίνων ἐ-
φόρῳ δίκῃ πραγμάτων. ἐφεδρεύουσι γὰρ ἐχθροὶ
φονῶντες οἱ τοῦ τεθνεῶτος ἀγχιστεῖς, οἱ δὲ ὑπερβάλ-
λοντα οἶκτον καὶ πένθος ἀπαρηγόρητον, ἵενται πρὸς
ἄμυναν ἀλόγῳ φορᾷ, τἀληθὲς καὶ τὸ φύσει δίκαιον
οὐκ ἐξετάζοντες. ἐπέτρεψεν οὖν τῷ τοιούτῳ κα-
ταφυγεῖν οὔτʼ εἰς ἱερὸν, ἅτε μήπω κεκαθαρμέ-
νῳ, οὔτʼ εἰς ἠμελημένον καὶ ἀφανὲς χωρίον, ἵνα D
μὴ ῥᾳδίως ἐκδοθῇ καταφρονηθεὶς, ἀλλʼ εἰς ἱε-
ρόπολιν, ἥτις ἐστὶν ἱεροῦ καὶ βεβήλου τόπου με-
θόριος, τρόπον τινὰ δεύτερον ἱερόν. αἱ γὰρ τῶν ἱερω-
μένων πόλεις, σεμνότεραι τῶν ἄλλων εἰσὶν, ἐφʼ ὅσον
οἶμαι καὶ οἰκήτορες οἰκητόρων ἐντιμότεροι. βού-
λεται γὰρ τὴν τῆς ὑποδεξαμένης προνομίᾳ
βεβαιοτέραν ἀσφάλειαν περιποιῆσαι τῷ κατα-
φυγόντι· χρόνον δʼ ὡς ἔφην ὥρισε τῆς καθόδου,
τὴν μεγάλου ἱερέως τελευτὴν, αἰτίας ἕνεκα E
τοιᾶσδε· ὥσπερ ἑνὸς ἑκάστου τῶν δολοφονηθέντων
συγγενεῖς εἰσὶν ἔφεδροι τῆς κατὰ τῶν δολοφονησάντων
δίκης καὶ τιμωρίας, οὕτω τοῦ σύμπαντος ἔθνους
συγγενὴς καὶ ἀγχιστεὺς κοινὸς ὁ ἀρχιερεύς ἐστι, πρυ-
τανεύων μὲν τὰ δίκαια τοῖς ἀμφισβητοῦσι κατὰ τοὺς
νόμους, εὐχὰς δὲ καὶ θυσίας τελῶν καθʼ ἑκάστην ἡμέ-
ραν, καὶ τἀγαθὰ αἰτούμενος ὡς ὑπὲρ ἀδελφῶν καὶ
γονέων καὶ τέκνων, ἵνα πᾶσα ἡλικία καὶ τὰ μέρη
τοῦ ἔθνους ὡς ἑνὸς σώματος εἰς μίαν καὶ τὴν αὐτὴν

numinis susceptam non sine pericu-
lo, ipse rerum pater approbauit, pro-
nunciauitque interfectores puros ab
omni scelere, & honorauit sacerdo-
tio, virtutis ergô pietatisque. ideo
quisquis inuitus necauit hominem,
iubetur in nonnullas huius sortis ci-
uitates secedere, ad eius casus sola-
tium, néve desperet de securitate
fretus loci priuilegio, redigentis in
memoriam, quòd qui contra volun-
tatem suam necesse habuerunt ferro
grassari in vitam quorundam, hono-
res etiam & magna præmia supra im-
punitatem olim adepti fuissent. tan-
to magis absolui debere à crimine,
qui idem peccatum commiserunt per
imprudentiam, & saltem hoc impe-
trare ne plectantur capite. Vnde disci-
mus, non omne homicidium dam-
nandum esse, sed ea solum quæ con-
iuncta sunt cum iniuria: quandoqui-
dem licet interdum laudem hoc faci-
nore quærere, si per æmulationem &
virtutis amorē patratum sit. certe ve-
niam meretur qui nolens occidit. Al-
tera causa est hæc. Vult lex incolumi-
tatem eius qui necauit imprudens,
quoniam insons est animo, licet ma-
nibus ministrarit iusticiæ rerum hu-
manarum præsidi. infestatur enim &
ad mortem expetitur ab occisi cogna-
tis proximis, quos vel miseratio vel
domesticus luctus ad vltionem stimu-
lat, nec finit iura naturæ diligenter ex-
pendere. ideo datur huiusmodi homi-
ni refugium, non in templum, vtpote
nondum expiato: nec in obscurum ali-
quem neglectúmq; angulum, ne con-
temptus dederetur facile: sed in vrbē
sacerdotalē, hoc est mediam inter sa-
cram profanámque, quę est quasi tem-
plum quoddam secundarium. nam sa-
crificorū oppida religiosiora sunt cæ-
teris, sicut augustiores ipsorum incolę.
proinde ob receptaculorum priuile-
gium certa securitas contingit eò fu-
gientibus. terminum autem reditus
præfiniit lex, vt dixi, mortem summi
pontificis, ob causam hanc. quemad-
modum quisque occisus cognatos ha-
bet superstites vltionis auidos, ita vni-
uersæ gentis in commune cognatus
& propinquus est pontifex, reddens
omnibus iura controuersiásque diri-
mēs, & sacra votáq; quotidie faciens,
omniáque fausta petens tanquā fratri-
bus & liberis & parentibus, vt omnis
ætas cunctæq; partes gētis in vnū ceu

corpus coeant coaptentúrque, & A & sic pace fruantur ac communibus legibus. hunc igitur timere debet quisquis inuitus cædem patrauit, vt propugnatorem & protectorem necatorum, contineréque se intra sua receptacula, si modo cupit sine periculo viuere. cum igitur lex dicit, non reuertetur exul in patriam donec moriatur summus pontifex: perinde valet ac si dicat, donec moriatur cognatus omnium publicus, qui solus habet ius in B viuos pariter ac mortuos. hæc est causa quæ placet recentioribus: altera vero autores grauiores habet antiquioresque, hæc videlicet. A peccatis voluntariis debent esse puri plebeij homines, aut etiam sacerdotes, si cui libet hos quoque addere: princeps vero sacerdotum siue pontifex per excellentiam ab vtrisque voluntariis pariter ac inuoluntariis. nefas est enim hunc quicquam pollutum attingere vel sponte sua vel casu fortuito, vt cum C sacris præsit, ornatus sit parte vtraque, tum mente irreprehensibili, tum vita nullis probris obnoxia. itaque tali merito suspecti sunt qui nolentes cædem fecerunt, non vt scelerati, sed vt minus puri à peccato: vtcunque voluntati naturæ videntur præbuisse ministerium aduersus prædamnatos illius occulto iudicio. Hactenus de ciuibus & ingenuis: deinceps etiam de seruis D lex loquitur occisis per vim ac iniuriam. hos fortuna & conditio vilior distinguit à suis dominis, de cætero natura vtrisque communis est & eadem. at lex diuina regulas iuris non fortunæ, sed naturæ accommodat. ideo decet dominos non abuti sua potestate contra famulos, cauereque ab insolentia, contemptu atque sæuicia. nam ista non sunt indicia E placidi animi, sed impotentiæ tyrannicæ, exercentis licentiam pro arbitrio. quisquis enim domum suam tanquam arcem muniit, neminem domesticorum sinens loqui libere, asper in omnes præ agnata vel etiam affectata sæuicia, tyrannus est apparatu tantum minore differens: vnde satis apparet eum progressurum vlterius, si quid opibus accreue-

ἁρμόζηται κοινωνίαν, εἰρήνης καὶ εὐνομίας ἐφιέμενα. τοῦτον οὖν εὐλαβείσθω πᾶς ὁ ἀκουσίως ἀνελὼν, ὡς ὑπέρμαχον καὶ προαγωνιστὴν τῶν ἀναιρεθέντων, καὶ εἴσω τῆς πόλεως εἰς ἣν κατέφυγε κατακεκλείσθω, μηκέτι θαρρῶν ἔξω προέρχεσθαι, εἰ δή τινα ποιεῖται λόγον ἀσφαλείας καὶ τοῦ ζῆν ἀκινδύνως. ὅταν οὖν λέγῃ, μὴ ἐπανίτω ὁ φυγὰς ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ἴσον τῷ τοιούτῳ φησὶν, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὁ πάντων κοινὸς ἀγχιστεὺς ὢν, ᾧ μόνῳ καὶ τὰ τῶν ζώντων, καὶ τὰ τῶν τετελευτηκότων ἐφεῖται βραβεύειν. τὴν μὲν οὖν καὶ νεωτέρων ἀκοαῖς ἐφαρμόζουσαν αἰτίαν τοιαύτην εἶναι συμβέβηκε· τὴν δὲ πρεσβυτέροις καὶ τελείοις τὸ ἦθος, θέμις ἀναφέρειν· ἥδ᾽ ἐστί· τῶν μὲν ἀκουσίων ἀδικημάτων αὐτὸ μόνον ἰδιώτας καθαρεύειν ἐφείσθω· λεγέσθω δ᾽ εἰ βούλοιτό τις καὶ τοὺς ἄλλους ἱερεῖς, ἀμφοτέρων δ᾽ ἑκουσίων τε καὶ ἀκουσίων κατὰ τὸν ἐξαίρετον λόγον τὸν ἀρχιερέα. προσάπτεσθαι γὰρ αὐτῷ μιάσματος ὁπωσοῦν οὐ θεμιτὸν, οὔτ᾽ ἐκ προνοίας, οὔτε κατὰ τρόπον τῆς ψυχῆς ἀβούλητον, ἵν᾽ ἱεροφάντης ὢν κοσμῆται καθ᾽ ἑκάτερον, διανοίᾳ τε χρώμενος ἀνεπιλήπτῳ, καὶ εὐπραγίᾳ βίου, ᾧ μηδὲν ὄνειδος πρόσεστι. ὧν δὴ τοιούτων ὄντων ἀκόλουθον ὑποβλέπεσθαι τοὺς ἀκουσίως ἀποκτείναντας, οὐχ ὡς ἐναγεῖς, ἀλλ᾽ ὡς καθαροὺς καὶ πάντως ἀμετόχους ἁμαρτημάτων· καὶ εἰ τὰ μάλιστα τοῖς τῆς φύσεως ὑπηρετῆσαι βουλήμασιν ἔδοξαν, τιμωρουμένης διὰ τούτων τοὺς ἀναιρεθέντας, ὧν ἀφανῶς αὐτὴ δικάσασα παρ᾽ ἑαυτῇ θάνατον κατέγνω. ταῦτα μὲν ἐπ᾽ ἐλευθέροις καὶ ἀστοῖς· ἑξῆς δὲ καὶ περὶ οἰκετῶν νομοθετεῖται βιαίως ἀναιρεθέντων. θεράποντες τύχῃ μὲν ἐλάττονι κέχρηνται, φύσεως δὲ τῆς αὐτῆς μεταποιοῦνται τοῖς δεσπόταις· τῷ δὲ θείῳ νόμῳ κανὼν τῶν δικαίων ἐστὶν, οὐ τὸ τύχης, ἀλλὰ τὸ τῆς φύσεως ἐναρμόνιον· διὸ προσήκει τοῖς κυρίοις μὴ κατακόρως χρῆσθαι ταῖς ἐξουσίαις κατὰ τῶν οἰκετῶν, ἀλαζονείαν καὶ ὑπεροψίαν καὶ δεινὴν ὠμότητα ἐπιδεικνυμένους. ταῦτα γὰρ οὐκ ἔστι δείγματα ψυχῆς εἰρηνικῆς, ἀλλ᾽ ὑπ᾽ ἀκρασίας τὸν ἀνεύθυνον κολαζούσης κατὰ τυραννικὴν δυναστείαν. ὁ μὲν γὰρ τὴν ἰδίαν οἰκίαν ὡς τὴν ἄκραν ἐπιτειχίσας [illegible] σίας δὲ τῶν ἔνδον μηδενὶ μεταδιδοὺς, ἀλλὰ πρὸς ἅπαντας ἠγριωμένος, ὑπὸ τῆς ἐμφύτου, τάχα δὲ καὶ ἐπιτετηδευμένης μισανθρωπίας, τύραννός ἐστιν ἐν ἐλάττοσι παρασκευαῖς· ἐξ ὧν ἐλέγχεται μὴ στησόμενος ἐπὶ τῶν αὐτῶν,

A εἰ μειζόνων λάβοιτο χρημάτων. διαβήσεται γὰρ αὐθις ἐπὶ πόλεις τε καὶ χώρας καὶ ἔθνη τὴν αὐτοῦ πατρίδα προσδουλωσάμενος, εἰς ἔνδειξιν τοῦ μηδενὶ μηδὲ τῶν ἄλλων ὑπηκόων ἠπίως προσφέρεσθαι· σαφῶς οὖν ὁ τοιοῦτος ἴστω, μὴ τοῦ συνεχῶς καὶ εἰς πολλοὺς ἁμαρτάνειν ἄδειαν ἕξων. ἐναντιωθήσεται γὰρ ἡ μισοπόνηρος αὐτῷ δίκη, ἡ βοηθὸς καὶ ὑπέρμαχος τῶν ἀδικηθέντων, ἣ λόγον καὶ εὐθύνας αὐτὸν τῆς περὶ τοὺς πεπονθότας συμφορᾶς ἀπαιτήσει, κἂν ἄρα φάσκῃ πληγὰς ἕνεκα νουθεσίας ἐντεῖ- B ναι, μὴ διανοηθεὶς ἀνελεῖν· οὐ γὰρ εὐθὺς βαδιεῖται γεγηθώς, ἀλλ᾽ εἰς δικαστήριον ἀχθεὶς ὑπὸ ἀκριβέσι λογισταῖς τῆς ἀληθείας ἐξετασθήσεται, πότερον ἑκὼν ἀπέκτεινεν, ἢ ἄκων· κἂν ἐπιβεβουλευκὼς εὑρίσκηται γνώμῃ ἀνοσίᾳ, ἀποθνησκέτω, μηδὲν παρ᾽ ὅσον δεσπότης ἐστὶ κερδαίνων εἰς τὸ σωθῆναι· ἐὰν δὲ μὴ εὐθὺς ἐκ τῶν πληγῶν οἱ τυπτηθέντες ἀναιρεθῶσιν, ἀλλὰ βιώσωσιν ἡμέραν μίαν ἢ καὶ δύο, μηκέθ᾽ ὁ δεσπότης ὑπόδικος ἔστω φόνου· C πλεονέκτημα εἰς ἀπολογίαν πεπορισμένος τὸ μὴ παραχρῆμα τύπτων ἀνελεῖν, μηδ᾽ ὕστερον ἔχων κατὰ τὴν οἰκίαν, ἀλλὰ ζῆν ἐάσας ὅσον βιῶναι οἷοί τ᾽ ἦσαν χρόνον, εἰ καὶ παντάπασιν ὀλίγον· χωρὶς τοῦ μηδένα οὕτως ἠλίθιον εἶναι, ὡς λυπεῖν ἕτερον ἐπιχειρεῖν, ἐν οἷς αὐτὸς ἀδικηθήσεται· κτείνων δέ τις οἰκέτην, πολὺ πρότερον βλάπτει ἑαυτόν, ὑπηρεσιῶν ἃς παρὰ ζῶντος εἶχε στερούμενος, καὶ τὴν τιμὴν ζημιούμενος, καὶ πλείστην ἴσως. ἐὰν μέντοι θανάτου ἄξια πεπραχὼς τυγχάνῃ, πρὸς τοὺς D δικαστὰς ἀγέτω, καὶ δηλούτω τὸ ἀδίκημα, τοὺς νόμους κυρίους ποιῶν τῆς τιμωρίας, ἀλλὰ μὴ ἑαυτόν. κατὰ ζώων ἀλόγων, ἅπερ αἴτια γίνεται θανάτου. ἐὰν ταῦρος ἀναπείρας ἀποκτείνῃ, καταλευέσθω. ἀσφαγὴ γὰρ ἱερείοις, καὶ ἄβρωτ᾽ ἔστω τούτου τὰ κρέα. διὰ τί; ὅτι τροφὴν ἢ προσόψημα τροφῆς ἀνθρώπῳ γίνεσθαι τὰ τοῦ κτείναντος ἄνθρωπον οὐχ ὅσιον· ἐὰν δ᾽ ὁ τοῦ κτήνους κύριος ἄγριον καὶ εἰδὼς ἀτιθάσευτον, μήτε καταδήσῃ, μήτε κατακλείσας φυλάττῃ· τύχῃ δὲ καὶ παρ᾽ ἑτέρων πεπυσμένος ὅτι οὐκ ἔστι χειροήθης, E ἄφετον ἐάσας ἐκνέμεσθαι, ὡς παραίτιος, ὑπόδικος ἔστω· καὶ τὸ μὲν ἀναπεῖραν αὐτίκα θνησκέτω· ὁ δὲ κύριος προσαναιρείσθω, ἢ λύτρα καὶ σῶστρα καταθέσθω· τὸ δὲ δικαστήριον ὅ, τι χρὴ παθεῖν ἢ ἀποτῖσαι διαγνώσεται· εἰ μέντοι δοῦλος ὁ ἀναιρεθεὶς εἴη, τὴν τιμὴν ἐπανορθούτω τῷ δεσπότῃ· ἐὰν δὲ μὴ ἄνθρωπον, ἀλλὰ κτῆνος ἀναπείρῃ, τὸ τεθνηκὸς ὁ τοῦ κτείναντος λαβὼν δεσπότης, τὸ ὅμοιον ἀποτισάτω, διότι τὸ ἀνήμερον τοῦ ἰδίου προαισθανόμενος

rit. Transcendet enim mox ad ciuitates, gentes, regionésque, oppressa prius sua patria, vt specimen de se præbeat, quàm immitis sit futurus in cæteros subditos. Talis igitur certo sciat, non semper, nec in omnes habiturum se peccandi licentiam. Vltrix enim ei resistet iusticia, propugnatrix iniuriam patientium, reposcétque rationem necis quam ille suis intulit: nec satis erit dicere inflictas plagas castigandi non occidendi animo. non enim statim dimittetur impune, sed ad iudices ductus diligenter examinabitur num vera dicat, volens an nolens interemerit. si dolus malus & nefarium propositum compertum in eo fuerit, moriatur, nec prosit ei ad salutem quòd sit Dominus. sin autem non mox post verbera, sed altero tertióve die seruus exspirauerit, iam non erit reus cædis Dominus, excusationem habens hoc ipsum quod ille inter vapulandum non sit mortuus, permissus intra ædes viuere quamdiu potuit, licet breui tempore. Huc accedit, quòd nemo est tam fatuus vt alium velit lædere cum suo incommodo. at quisquis seruum interficit, seipsum mulctat, cariturus eius ministerio, & insuper precium perditurus, fortasse non modicum. quod si seruus meruit supplicium, ducatur ad iudices, & crimen eius indicetur, vt legibus pœnas luat non suo Domino. Quod autem attinet ad bruta mortem merita: si quem taurus cornupeta interemerit, obruatur lapidibus. non est enim idoneus sacrificio, & carnibus eius vesci non est fas. quamobrem? quia non est purus cibus homini, animal quod interfecit hominem. quod si Dominus eius sciens ferum immansuetúmque, nec alligauit nec inclusit, ac ne ab aliis quidem præmonitus eum asseruauit, reus esto. necatóque cornupeta, ipse quoque tollatur è viuis, aut certe caput suum precio redimat, iuxta æstimationem iudicum. Si seruus fuit qui sic peremptus est, precium eius restituatur ipsius Domino. Quod si non homo, sed pecus cornu confixum fuerit, mortuum sumat cornupetæ Dominus, reddátque aliud simile, propterea quòd incaute seruauit pecudis suæ

ferociam. quod si ipse alienam necarit pecudem, restituat similem, & boni consulat non mulctari se grauius, cum prior læserit. Quidam profundos puteos fodiunt, aperiendo viuos latices, aut vt pluuiales aquas colligant: deinde nec os putei sepiunt, nec addunt operculum, per summam negligentiam vel amentiam sinentes id patere ad quorundam interitum. in hos si quis viator incautius incedendo prolapsus perierit, actio sit cuilibet defuncti propinquo contra fossores putei: tum iudices litem æstiment, & mulctam ab eis exigant. quod si iumentum eò prolapsum perierit, quanti viuum æstimabatur, tantum luant Domino, ipsis cadauer tollere liceat. Huic modo dicto crimini admittunt simile, qui ædificata domo solarium relinquunt sine loricula, nec cauent nequis deferatur in præceps. nam vt verum fatear committunt homicidium, quantum in ipsis est, etiamsi nemo delapsus intereat. proinde pœnam eandem debebunt, quam illi qui puteos relinquunt absque operculo. Homicidis lex non indulget vt pecuniis luant, quod luendum est capite aut exilio: sed exigit rigide, vt sanguis expietur sanguine, & insidiatoris capite satis fiat interempti manibus. alioqui peruersa ingenia nunquam satiantur maleficiis, sed facinora cumulant facinoribus, augendo vsque maliciam, nec vllis eam circumscribendo terminis. Contra tales mille supplicia decreuisset legislator, si potuisset: id quia non poterat, nouam pœnam addidit, iubens in ligno suspendi homicidas. móxque ad suam clementiam reuertitur, humanitatis erga inhumanos non oblitus: Non occidat, inquit, sol superpendentes in ligno, sed depositi ante occasum sepeliantur. nam necesse fuit eos qui omnes mundi partes infestarant, sublimes tolli, vt ostenderetur soli, cælo, aëri, aquæ terræque, illorum supplicium: móxque in sepulchreto condi, ne quid super terram contaminent. Quin & illud pulchre cautum est, ne patres moriantur pro filiis, néve filij pro patribus: sed vt quisque

A οὐκ ἐφυλάξατο· κἂν αὐτὸ μέντοι τὸ θρέμμα ἀλλότριον ἀνέλῃ, παλινόμοιον ἀποτινέτω, χάριν εἰδὼς ἐπὶ τῷ μὴ πλείονα ζημίαν ὑπομένειν, ἄρξας ἐπηρείας. ὀρύγματα γῆς εἰώθασί τινες εὖ μάλα βαθύνειν, ἢ φλέβας πηγαζούσας ἀναστέλλοντες, ἢ πρὸς ὑποδοχὴν ὀμβρείου ὕδατος, εἶθ᾽ ὑπονόμους εὐρύναντες ἀφανεῖς, δέον τὰ στόμια ἢ περιοικοδομῆσαι, ἢ περιπωμάσαι, κατά τινα δεινὴν ῥᾳθυμίαν, ἢ φρενοβλάβειαν, ἐπ᾽ ὀλέθρῳ τινῶν ἐῶσιν ἀχανῆ. ἐὰν οὖν τις τῶν ὁδῷ
B παριόντων μὴ προαισθόμενος κατὰ κενοῦ ἐπιβὰς ἐνεχθῇ καὶ τελευτήσῃ, ἐπιγραφέσθωσαν οἱ βουλόμενοι τῶν τετελευτηκότος πρὸς τοὺς τὸ ὄρυγμα πεποιημένους, καὶ τιμάτω τὸ δικαστήριον ὅ, τι χρὴ παθεῖν, ἢ ἀποτῖσαι· ἐὰν δὲ θρέμμα κατενεχθὲν ἀποθάνῃ, τὴν ἀξίαν τιμὴν ὡς ζῶντος ἐπανορθούτωσαν τῷ δεσπότῃ, τὸν νεκρὸν αὐτοὶ λαβόντες. ἀδελφὸν δὲ καὶ συγγενὲς ἀδίκημα δρῶσι λεχθέντι, ὅσοι κατασκευάζοντες οἰκίας, ἰσόπεδα καταλείπουσι
C τὰ τέγη, περιστεφανοῦν θωρακίοις δέον, ὑπὲρ τοῦ μή τινα κατακρημνισθῆναι λαθόντα. φόνον γὰρ εἰ δεῖ τἀληθὲς εἰπεῖν δρῶσι, κἂν μηδεὶς ὑποσυρεὶς ἀποθάνῃ, τό γ᾽ ἐπ᾽ αὐτοῖς ἧκον μέρος. κολαζέσθωσαν γοῦν ἴσα τοῖς ἀχανῆ τὰ στόμια τῶν ὀρυγμάτων καταλείπουσι. λύτρα περὶ ἀνδροφόνων, οὓς δέον τεθνάναι, διαγορεύει ὁ νόμος μὴ ἐξεῖναι λαμβάνειν ἐπὶ μειώσει τῆς τιμωρίας, ἢ ὑπαλλαγῇ φυγῆς ἀντὶ θανάτου. αἵματι γὰρ αἷμα καθαίρεται, τῷ τοῦ κτείναντος τὸ τοῦ ἐπιβουλευθέντος· ἐπεὶ κόρον οὐκ ἔχου-
D σιν οἱ πονηροὶ τὰς φύσεις τοῦ πλημμελεῖν, ἀλλ᾽ ἀεὶ μεγαλουργοῦσι προσυπερβάλλοντες, καὶ τὰς κακίας ἐπιτείνουσι, καὶ διαίρουσι πρὸς τὸ ἄμετρον καὶ ἀπερίγραφον. μυρίοις μὲν γὰρ θανάτοις εἴπερ οἷόν τ᾽ ἦν, ἐφεῖλκεν ἂν καθ᾽ αὐτῶν ὁ νομοθέτης· ἐπεὶ δὲ τοῦτ᾽ οὐκ ἐνεδέχετο, τιμωρίαν ἄλλην προσδιατάττεται, κελεύων τοὺς ἀνελόντας ἀνασκολοπίζεσθαι· καὶ τοῦτο προστάξας ἀνατρέχει πάλιν πρὸς τὴν ἑαυτοῦ φιλανθρωπίαν, ἡμερούμενος πρὸς τοὺς ἀνήμερα εἰργασμένους, καί φησι, Μὴ ἐπιδυέτω ὁ ἥλιος
E ἀνεσκολοπισμένοις, ἀλλ᾽ ἐπικρυπτέσθωσαν, γῇ πρὸ δύσεως καθαιρεθέντες. ἦν γὰρ ἀναγκαῖον τοὺς ἅπασι τοῖς μέρεσι τοῦ κόσμου πολεμίους, μετεωρισθέντας εἰς τοὐμφανὲς ἐπιδείξασθαι μὲν αὐτοὺς ἡλίῳ καὶ οὐρανῷ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ κολασθέντας· πάλιν δ᾽ εἰς τὸν νεκρῶν χῶρον ὑποσύρεσθαί τε καὶ καταχωσθῆναι, ὅπως μὴ τὰ ὑπὲρ γῆς μιαίνωσι. παγκάλως μέντοι κἀκεῖνο διατέτακται, πατέρας ὑπὲρ υἱῶν μὴ ἀποθνήσκειν, μηδ᾽ υἱοὺς ὑπὲρ γονέων,

ἀλλ' ἕκαστον τὸν ἄξια θανάτου δεδρακότων, αὐτὸν ἰδίᾳ μόνον ἀναιρεῖσθαι, διὰ τοὺς ἢ βίαν τοῦ δικαίου προτιμῶντας, ἢ πάνυ φιλοστόργους. οὗτοι μὲν γὰρ διὰ τὴν περιττὴν καὶ ὑπερβάλλουσαν εὔνοιαν, ἐθελήσουσι πολλάκις ἄσμενοι προαποθνήσκειν, αὑτοὺς ἐπιδιδόντες ὑπὲρ τῶν ἐνόχων οἱ ἀναίτιοι, μέγα κέρδος νομίζοντες τὸ μὴ ἰδεῖν κολαζομένους ἢ τοὺς γεννήσαντας υἱοὶ, ἢ καὶ τοὺς παῖδας γονεῖς, ὡς ἀβίωτον καὶ πάντως ἀργαλεώτερον θανάτου τὸν αὖθις χρόνον βιωσόμενοι· πρὸς οὓς λεκτέον, ἡ εὔνοια ὑμῶν οὐκ ἔχει καιρόν· τὰ δ' ὅσα μὴ ἐν καιρῷ, ψέγεται δικαίως· ἐπεὶ καὶ τὰ καίρια ἐπαινεῖται. χρὴ μέντοι φιλεῖν τοὺς ἄξια φιλίας δρῶντας· πονηρὸς δ' οὐδεὶς πρὸς ἀλήθειαν φίλος· συγγενεῖς δὲ καὶ ἐν συγγενέσι φίλους καλουμένους, ἠλλοτρίωσαν αἱ μοχθηρίαι πλημμελοῦντας. συνθῆκαι γὰρ οἰκειότεραι τῆς πρὸς αἵματος, ἡ πρὸς δικαιοσύνην καὶ πᾶσαν ἄλλην ἀρετὴν ὁμολογία, ἣν ἐκλείπων τις οὐκ ἐν ὀθνείοις καὶ ξένοις μόνον, ἀλλὰ καὶ ἐν ἀσπόνδοις ἐχθροῖς ἀναγράφεται. τί οὖν κατεψευσμένοι ὄνομα εὐνοίας, ὃ, τί χρηστὸν καὶ φιλάνθρωπόν ἐστιν, ὑποδύεσθε τἀληθῆ μαλακίαν καὶ ἀνανδρίαν παρακαλυπτόμενοι, ἢ οὐκ ἄνανδροι περὶ οἷς οἴκτῳ λογισμὸς ἥττηται, καὶ τοῦθ' ἵνα διπλοῦν ἀδίκημα δράσητε, τοὺς μὲν ὑπαιτίους ῥυόμενοι τῆς τιμωρίας· αὑτοὺς δ' ἐπὶ μηδενὶ μεμφθέντας ὑπορρίπτειν, οἰόμενοι δεῖν ἀντ' ἐκείνων κολάζειν, ἀλλ' οὗτοι μὲν ὑποτίμησιν ἔχουσι, τὸ μηδενὸς θηρᾶσθαι ἐπ' ὠφελείᾳ, καὶ τὸ λίαν πρὸς τοὺς ἐγγυτάτω γένους φιλόστοργον, ὑπὲρ ὧν τῆς σωτηρίας ἀποθνήσκειν ἄσμενοι διαγνοοῦνται· τοὺς δ' ὠμοθύμους καὶ τὴν φύσιν θηριώδεις, τίς οὐκ ἂν προβάλοιτο τῶν, οὐ λέγω μετρίων, ἀλλὰ καὶ τῶν μὴ σφόδρ' ἀπηθάσκων τὴν ψυχὴν, οἳ λάθρα τεχνάζουσιν, ἢ ἐπιθαῤῥοῦσι φανερῶς, ἑτέροις ἀνθ' ἑτέρων τὰς μεγίστας ἐπαναπίνεσθαι συμφορὰς, φιλίαν, ἢ συγγένειαν, ἢ κοινωνίαν, ἢ τι ὁμοιότροπον ἐπ' ὀλέθρῳ τῶν οὐδὲν ἠδικηκότων προφασιζόμενοι· καὶ ταῦτα δρῶσιν ἔστιν ὅτε μηδὲν πεπονθότες δεινὸν, ἕνεκα δὲ πλεονεξίας ἢ ἁρπαγῆς. πρῴην τις ἐκλογεὺς φόρων ταχθεὶς παρ' ἡμῖν, ἐπειδή τινες τῶν δοξάντων ὀφείλειν διὰ πενίαν ἔφυγον, δέει τιμωριῶν ἀνηκέστων, γύναια τούτων καὶ τέκνα καὶ γονεῖς καὶ τὴν ἄλλην γενεὰν ἀπαγαγὼν πρὸς βίαν, τύπτων καὶ προπηλακίζων καὶ πάσαις αἰκίαις αἰκιζόμενος, ἵνα ἢ τὸν φυγόντα καταμηνύσωσιν,

mortem meruit, pro se luat proprio capite. atque ita lex hæc opponitur, iis qui vel ius collocant in violentia, vel suos nimis tenero affectu adamant. tales enim se libenter supponerent mortis vicarios, insontes pro sontibus, lucrum ducentes non videre supplicium vel parentum vel filiorum, vtpote insuauem & morte tristiorem vitam victuri postea. Quibus respondebimus, Intempestiua est vestra ista beneuolentia, nec potest probari quicquid fit alieno tempore: sicut è diuerso laudantur quibus in suis factis constat ratio temporum. debemus amare quos amore dignos censemus. malus autem nemo verè amicus est. genere coniuncti amici, vt vocantur, alienant se sceleribus. arctius enim consensu virtutum quàm cognatione sanguinis astringimur: quas si quis deseruerit, nihil vetat eum referri in hostium, nedum alienorum hominum, numerum. Cur ergo affectibus istis parum virilibus beneuolentiæ humanitatísque falsa nomina prætexitis? nisi forte apud virum fortem miseratio plus valebit quàm ratio: præsertim cùm peccetis non simpliciter, dum noxios multis eripere supplicio, vosipsos vero insontes pro illis pœnæ subiicere. Verùm istis increpatio satis fuerit, non ex vtilitate publica indulgentibus suis affectibus, & alienam salutem sua morte redimere cupientibus. cæterum illorum immanitatem quis non detestetur, quorum tam dira est ferocia, vt clámve palámve pro aliorum culpis ab aliis pœnas grauissimas exigere audeant, obiiciendo eis cognationem reorum, aut societatem, aut amicitiam aliúdve simile, vt in vitam eorum sæuiendi occasionem habeant. & hæc interdum faciunt nulla prouocati iniuria, tantum vt per auariciam rapinas exerceant. Nuper quidam tributis exigendis apud nos præfectus, quoniam aliquot qui debere videbantur fugerant propter inopiam, veriti ne torquerentur, vxores eorum, & liberos, parentes, cognatósque cæteros vniuersos per vim abduxit, protrusos, verberibus affectos, & omnibus cruciatibus, vt aut indicarent profugorum

latebras; aut pro illis dependerent, cum neutrum possent, alterum quia nesciebant, alterum quia ipsi non minus erant pauperes. nec prius abstitit, quam nouis tormentis eos enecaret, inauditóque mortis genere, suspensa de collo sportula plena sabulo: vt pressi onere grauissimo sub diuo in medio foro, variis modis vexati, vento, sole, prætereuntium ludibriis, misere deficerent. quod tam crudele spectaculum sic affecit nonnullorum animos, vt aliorum exemplo docti mortem præoccuparent gladiis, aut venenis, aut laqueis, in tam misero rerum statu partem felicitatis existimantes absque cruciatu interitum. cæteri moras inter ac deliberationes correpti, prius quàm ipsi sibi necem consciscerent, velut sortito ducebantur iuxta cognationis ordinem, primùm proximi, post hos secundi atque tertij, donec perueniretur ad vltimos: quod si quando nullus è cognatis supererat, ad vicinos transibat ea calamitas. interdum etiam totos vicos & oppida desolabat, colonis diffugientibus & latebras vbicunque sibi quærentibus. attamen fortasse minus mirum fuerit tributorum exactores ingenio barbaros, liberalis institutionis expertes, obsequentes iussis herilibus, collectores annuorum redituum, nec facultatibus parcentes nec corporibus, in vitæ quoque periculum multos variis de causis adducere. nunc ipsi legislatores penes quos sunt iuris regulæ, perinique statuunt, opinionem suam magis quàm veritatem secuti, proditorem plecti vnà cum liberis: tyrannum verò vnà cum quinque familiis cognatione proximis. libenter discerem cur ita. si vnà peccauerunt, simul etiam puniantur. quod si nec socij fuerunt eorum nec imitatores, nec felicitatis voluptatisque domesticorum participes, cur interimentur? ideóne tantùm quia cognati sunt? genus enim non scelus punitis. nimirum vos ô venerandi legislatores, bonas habetis familias: alioqui si malæ essent, opinor nunquam vobis in mentem venissent instituta huiusmodi: imò ne alios quidem ferretis hæc statuere, vt ob cauenda scelera

A ἢ τὰ ὑπὲρ ἐκείνου καταθῶσιν, οὐδ' ἕτερα δυνάμενοι, τὸ μὲν ὅτι ἠγνόουν, τὸ δ' ὅτι οὐχ ἧττον τοῦ φυγόντος ἀπόρως εἶχον· οὐ πρότερον ἀνῆκεν, ἢ βασάνοις καὶ στρέβλαις τὰ σώματα καταικίσας ἀποκτεῖναι κεκαινουργημέναις ἰδέαις θανάτου, ἄμμου σπυρίδα πληρῶν βρόχοις ἐκδησάμενος, ἀνῆπτε κατὰ τὸν αὐχένα βαρύτατον ἄχθος, ἱστὰς ἐν ὑπαίθρῳ κατὰ μέσην ἀγοράν, ἵν' οἱ μὲν ἀθρόαις τιμωρίαις ἀνέμῳ καὶ ἡλίῳ καὶ τῇ ἀπὸ τῶν παριόντων αἰσχύνῃ, καὶ τοῖς ἐκκρεμαμένοις ἄχθεσι βιαζόμενοι, B χαλεπῶς ἀπαγορεύωσιν· οἱ δὲ θεώμενοι τὰς τούτων τιμωρίας προαλγῶσιν, ὧν ἔνιοι τρανότερον τῆς διὰ τῶν ὀφθαλμῶν τὴν διὰ τῆς ψυχῆς λαβόντες αἴσθησιν, ὡς ἐν τοῖς ἑτέρων σώμασιν αὐτοὶ κακούμενοι, τῷ βίῳ προαπετάξαντο, ξίφεσιν, ἢ φαρμάκοις, ἢ ἀγχόναις, μεγάλην ὡς ἐν κακοπραγίαις νομίζοντες ἐπιτυχίαν, τὴν ἄνευ βασάνων τελευτήν· οἱ δὲ μὴ φθάσαντες αὑτοὺς διαχειρίσασθαι, καθάπερ ἐν ταῖς τῶν κλήρων ἐπιδικασίαις, C κατὰ στοιχεῖον ἤγοντο οἱ ἀπὸ τοῦ γένους πρῶτοι, καὶ μετ' αὐτοὺς δεύτεροι καὶ τρίτοι, μέχρι τῶν ὑστάτων, καὶ ὁπότε μηδεὶς λοιπὸς εἴη συγγενῶν, διέβαινε τὸ κακὸν καὶ ἐπὶ τοὺς γειτνιῶντας· ἔστι δ' ὅτε καὶ ἐπὶ κώμας καὶ πόλεις, αἳ ταχέως ἔρημοι καὶ κεναὶ τῶν οἰκητόρων ἐγίνοντο, μετανισταμένων καὶ σκεδαννυμένων ἔνθα λήσεσθαι προσεδόκων. ἀλλ' οὐδὲν ἴσως θαυμαστὸν εἰ φορολογίας ἕνεκα, βάρβαροι τὰς φύσεις, ἡμέρου παιδείας ἄγευστοι, πειθαρχοῦντες δεσποτικοῖς προστάγμασι, τοὺς ἐτησίους ἀναπράττοντες D δασμούς, οὐ μόνον ἐκ τῶν οὐσιῶν, ἀλλὰ καὶ ἐκ τῶν σωμάτων, μέχρι καὶ ψυχῆς τοὺς κινδύνους ἐπιφέροντες ὑπὲρ ἑτέρων ἑτέροις· ἤδη δὲ καὶ οἱ τῶν δικαίων ὅροι καὶ κανόνες, αὐτοὶ οἱ νομοθέται πρὸς δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἀπιδόντες, τῶν ἀδικημάτων ὑπέμειναν γενέσθαι, κελεύσαντες τοῖς μὲν προδόταις τοὺς παῖδας συναναιρεῖσθαι, τοῖς δὲ τυράννοις τὰς ἐγγυτάτω πέντε οἰκίας. διὰ τί φαίην ἄν. εἰ μὲν γὰρ συνεξήμαρτον, καὶ συγκολαζέσθωσαν. εἰ δὲ μήτε κατεκοινώνησαν, μήτε E ζηλωταὶ τῶν ὁμοίων ἐγένοντο, μήτε ταῖς τῶν οἰκείων εὐτυχίαις ἐντρυφήσαντες ἐνηδυπάθησαν, τίνος χάριν ἀναιρήσονται· ἢ δι' ἓν τοῦτο μόνον, ὅτι συγγενεῖς εἰσί. γένους γάρ, ἢ παρανομημάτων αἱ τιμωρίαι; χρηστῶν ἴσως ὑμεῖς ὦ σεμνοὶ νομοθέται τῶν οἰκείων ἐλάχετε, μοχθηροὶ δ' εἴπερ ἐγένοντο, δοκεῖ τέ μοι μηδ' ἂν εἰς νοῦν ποτε βαλέσθαι τὰς τοιαύτας προστάξεις, ἀλλὰ καὶ γράφουσιν ἑτέροις δυσχεραίνειν, διὰ τὴν τοῦ μηδὲν αἴσχιον παθεῖν

προφυλακήν, ὃν ἐν ἀσφαλεῖ βίῳ διάγοντα, μετὰ τῶν κινδυνευόντων σκοπεῖν, καὶ ἐν ταῖς ἴσαις κακοπραγίαις συνεξετάζεσθαι. τὸ μὲν γὰρ ἐγδίος, ὁ φυλαττόμενός τις οὐδ᾽ ἂν ἕτερον περιίδοι· τὸ δ᾽ ἐστὶν ἄφοβον, ὑφ᾽ οὗ πολλάκις ἀδεεστά[illegible]σάν τινες ἀλογεῖν ἀνθρώπων ἀναιτίων ἀσφαλείας. ταῦτ᾽ οὖν ἐκλογισάμενος ὁ ἡμέτερος νομοθέτης, καὶ τὰ παρ᾽ ἄλλοις ἁμαρτήματα συνιδών, ὡς φθοροποιὰ τῆς ἀρίστης πολιτείας ἀπεστράφη καὶ διεμίσησε, καὶ τοὺς χρωμένους εἴτε ῥαθυμίαις, εἴτ᾽ ἀπανθρωπίαις καὶ κακίαις, καὶ οὐδέποτέ τινα τῶν συμβεβηκότων ἐξέδωκεν ἐπὶ τιμωρίᾳ, προσθήκην ποιησάμενος αὐτὸν ἀδικημάτων ἑτέρων· διὰ τοῦτο ἄντικρυς ἀπεῖπεν υἱοὺς ἀντὶ γονέων, ἢ γονεῖς ἀνθ᾽ υἱῶν ἀναιρεῖσθαι, δικαιώσας ὧν τὰ ἁμαρτήματα, τούτων εἶναι καὶ τὰς τιμωρίας, εἴτε ζημίας χρημάτων, εἴτε καὶ πληγὰς καὶ βιαιοτέρας ὕβρεις, εἴτε τραύματα καὶ πηρώσεις, καὶ ἀτιμίας, καὶ φυγάς, καὶ ὅσ᾽ ἄλλα τῶν ἐπὶ δίκαις. ἑνὸς γὰρ τοῦ μὴ ἕτερον ἀνθ᾽ ἑτέρων κτείνειν μνησθεὶς καὶ τὰ ἡσυχασθέντα προσπεριέλαβεν. ἀγοραὶ καὶ βουλευτήρια καὶ δικαστήρια, καὶ θίασοι καὶ σύλλογοι πολυανθρώπων ὁμίλων, καὶ ὁ ἐν ὑπαίθρῳ βίος διὰ λόγων καὶ πράξεων κατὰ πολέμους καὶ κατ᾽ εἰρήνην, ἀνδράσιν ἐφαρμόζουσι· θηλείαις δ᾽ οἰκουρία, καὶ ἔνδον μονή· παρθένοις μὲν, εἴσω κλισιάδων τὴν μεσαύλιον ὅρον πεποιημέναις· τελείαις δὲ ἤδη γυναιξί, τὴν αὔλιον. διττὸν γὰρ εἶδος πόλεων, μειζόνων καὶ βραχυτέρων· αἱ μὲν οὖν μείζους ἄστη καλοῦνται, οἰκίαι δ᾽ αἱ βραχύτεραι· τὴν δ᾽ ἑκατέρων προστασίαν διειλήχασιν, ἄνδρες μὲν τῶν μειζόνων, ἧς ὄνομα πολιτεία· γυναῖκες δὲ τῶν βραχυτέρων, ἧς ὄνομα οἰκονομία. μηδὲν οὖν ἔξω τῶν κατ᾽ οἰκονομίαν πολυπραγμονείτω γυνή, ζητοῦσα μοναυλίαν, μηδ᾽ οἷα νομὰς κατὰ τὰς ὁδοὺς ἐν ὄψεσιν ἀνδρῶν ἑτέρων ἐργαζέσθω, πλὴν εἰς ἱερὸν ὁπότε δέοι βαδίζειν, φροντίδα ποιουμένη, καὶ τότε μὴ πληθούσης ἀγορᾶς, ἀλλ᾽ ἐπανεληλυθότων οἴκαδε τῶν πλείστων, ἐλευθέρας τρόπον καὶ τῷ ὄντι ἀστῆς, ἐν ἠρεμίᾳ θυσίας ἐπιτελοῦσα καὶ εὐχάς, ἀποτροπὴν κακῶν, καὶ μετουσίαν ἀγαθῶν· τὸ δὲ λοιδορουμένων ἢ συμπλεκομένων ἀνδρῶν ἐπεκθεῖν τολμᾶν κατὰ πρόφασιν συμμαχίας ἢ βοηθείας γυναῖκας, ἐπίληπτον καὶ οὐ μετρίως ἀναίσχυντον, ἃς οὐδ᾽ ἐν πολέμοις καὶ στρατείαις καὶ τοῖς ὑπὲρ πάσης τῆς πατρίδος κινδύνοις, ἐδικαίωσεν ὁ νόμος ἐξετάζεσθαι, τὸ πρέπον ἰδών,

A innocentes quoque inuoluantur alienis periculis. nam hic metus ita cautus debet esse, vt tamen non contemnatur cuiusquam incolumitas. Cæterum qui nimium securitati consulit, cogitur sæpe innoxiis non parcere. His rationibus consideratis noster legislator, simúlque animaduertens quantum hic peccetur ab aliis contra rempublicam, damnauit pariter & negligentiam & inhumanam
B sæuiciam: nec passus est quemquam pro auctario dedi ad luendum alienæ culpæ supplicium. ideo diserte cauit ne filij pro parentibus, néve parentes plectantur pro filiis: æquum censens vt qui peccant, iidem puniantur etiam, siue mulcta pecuniaria, siue flagris & cruciatibus, siue talione læsi mutilatíve corporis, siue ignominia exilióque, aut quacunque tandem pœna legitima. dum enim vnum genus exprimit, non permittens caput plecti pro capite, la-
C tenter & de cæteris subindicat suam sententiam. Fora, curiæ, tribunalia, sodalicia, comitia, & subdiualis vita quæ causis agendis rebúsque gerendis in bello ac pace peragitur, viris conueniunt: fœminis vero cura rei familiaris, & domus custodia. virgines penetralia, mulieres aulam, non egrediantur. duæ sunt enim ciuitatum species, maiorum minorúmque. maiores vrbes vocantur, domus verò minores. harum præfecturæ sorte obuenerunt,
D viris maiorum, hoc est respublica: mulieribus minorum, hoc est res domestica. Absit igitur vt mulier aliquid extra familiæ curam satagat, sed amet solitudinem, nec tanquam prostituta in publico in conspectu virorum operetur, nec nisi ad templum procedat, ac ne tum quidem sine pudore per forum frequentissimum, sed turba iam domum reuersa, ita vt decet mulie-
E rem ingenuam & vere ciuilem, persolutis sine strepitu votis atque precibus ad auertenda mala & bona impetranda. Rixantibus autem pugnantibúsque viris mulieres audenter procurrere velut in auxilium, non mediocris fuerit impudentiæ, quando etiam in bello vacationem habent militiæ, vbi de communis patriæ salute agitur: adeò decorum & honestas fuit curæ legibus,

vt ſemper & vbique immotum ſeruaretur, quòd in hoc incomparabili bono ſita videatur victoria, etiamſi cætera veniant in periculum. quod ſiqua tam impotenter amat maritum, vt iniuriam ei factam diſſimulare non valeat, tamen ſexus memor ſit etiam cum opem ferre parat. periniquum enim fuerit, ſi vt virum contumeliis eximat, ipſa ſibi faciat contumeliam, oblita pudoris fœminei, & probrum ſibi concilians ineluibile. itáne decet mulierem conuiciari per vias, & verbis vti non licitis, ac non potius ſi alius conuicietur fugere obturatis auribus? at nunc nonnullæ procurrunt armatæ non lingua tantum ſed & manibus, natis exercitatíſque ad lanificium, non ad protrudendos pulſandóſque obuios more pugilum. cætera tamen vtcumque tolerari poterant: illud verò immanis audaciæ fuerit, mulierem inter rixandum inuolare aduerſarij genitalia. Non debet enim hic valere cauſatio, quòd marito ferre opem conata ſit, ſeuere potius cohibenda eſt audacia: vt nec ipſa poſthac poſsit peccare ſimiliter, nec aliæ petulantiam hanc imitentur, exemplo in eam edito deterritæ. Erit autem pœna, mutilatio manus ipſius, quæ nefaria licentia rem illicitam attigit. Laudandi ſane gymnicorum certaminum præſides, qui fœminas arcent ab huius generis theatris, ne viros nudatos contemplatæ, probitatem pudoris deprauarent contemptis naturæ legibus, quæ inſigniter diſcreuit vtrumque ſexum noſtri generis. nam ne viros quidem decet interuenire exutis veſte mulieribus: ſed vterque ſexus debet ab altero nudato viſum auertere, ita vt natura poſtulat. ergo ſi temerarius viſus reprehenditur, quanto magis manus procaces culpandæ ſunt? nam oculi nonnunquam incidunt in ea quæ videre nollent, ſi eſſet ipſis integrum. manus verò cenſentur inter obſequentiſſimas partes corporis, promptæ ad exhibenda nobis miniſteria. Hæc eſt cauſa, quam vulgus afferre ſolet. aliam autem audiui à viris diuinis, qui pleraſque leges autumant apertis verbis ſignificare obſcura

A ὅπερ ἀκίνητον ἀεὶ καὶ πανταχοῦ φυλάττειν διενοήθη, νομίσασα αὐτὸ τοῦτ' εἶναι καθ' αὑτὸ νίκην, καὶ ἐλευθερίας καὶ πάσης ἀμείνον εὐτυχίας. ἐὰν μέντοι τις καὶ πυθομένη ὑβρίζεσθαι τὸν ἄνδρα, πόθῳ τῷ πρὸς ἐκεῖνον ἡττηθεῖσα φιλανδρίας, ὑπὸ τοῦ περισπάντος πάθους ἐξορμῆσαι βιασθῇ, μὴ πλέον τῆς φύσεως ἀρρενούσθω θρασυνομένη. μενέτω δὲ καὶ ἐν οἷς βοηθεῖ, γυνή. πάνδεινον γὰρ εἰ βουλομένη τις ὑπεξελέσθαι τὸν ἄνδρα ὕβρεων, ὑβρισθήσεται περὶ αὐτῆς, καθάπερ πλείστων B ἀποφαινούσης τὸν ἴδιον βίον αἰσχύνης, καὶ μεγάλων ὀνειδῶν τὴν ἐπ' αὐτῇ τῷ θρασύτητι. λοιδορηθήσεται γὰρ γυνὴ κατ' ἀγορὰν, ῥήματά τε τῶν ἀπορρήτων φθέγξεται, ἑτέρου τι κακηγοροῦντος οὐκ ἀποδραμεῖται τὰ ὦτ' ἐπιφράξασα· νυνὶ δὲ, προβαίνουσί τινες ὡς μὴ μόνον γλωσσαλγίας ἐν ἀνδράσιν ὄχλῳ γυναῖκες κακηγορεῖν, ἀλλὰ καὶ τὰς χεῖρας ἐπιφέρειν καὶ προπηλακίζειν, τὰς ὑφάσμασι καὶ ταλασίαις, ἀλλ' οὐ πληC γαῖς καὶ ὕβρεσι, καθάπερ παγκρατιαστῶν καὶ πυκτῶν, συνασκηθείσας· καὶ τὰ μὲν ἄλλα οἰστὰ καὶ φέρειν ἄν τις δύναιτο· χαλεπὸν δ' ἐκεῖνο, εἴ τις γυνὴ τοσοῦτον κατατεθρασύνηται, ὡς διαδράξασθαι τῶν τοῦ διαφερομένου γεννητικῶν. μὴ γὰρ περὶ ὅσον ἀνδρὶ βοηθοῦσα δοκεῖ τοῦτο πεποιηκέναι, ἀφείσθω, τῆς δὲ ἄγαν θρασύτητος ἐπισχέσθω τίνουσα δίκην, ὑφ' ἧς αὐτὴ μὲν τὰ ὅμοια ἐξαμαρτάνειν ἐθέλουσ' αὖθις, οὐκ ἂν δύναιτο, τῶν δ' ἄλλων ὅσαι προπετέστεραι φόβῳ μετριάσουσιν. D ἔστω δ' ἡ δίκη, χειρὸς ἀποκοπὴ τῆς ἁψαμένης ὧν οὐ θέμις. ἄξιον ἐπαινεῖν καὶ τοὺς τῶν γυμνικῶν ἀγώνων ἀθλοθέτας, οἳ τῆς θέας εἶρξαν γυναῖκας, ἵνα μὴ γυμνουμένοις ἀνδράσι παρατυγχάνουσαι, τὸ δόκιμον αἰδοῦς νόμισμα παρακόπτωσιν, ὀλιγωροῦσαι φύσεως θεσμῶν, οὓς ὥρισεν ἑκατέρῳ τμήματι τοῦ γένους ἡμῶν. οὐδὲ γὰρ ἄνδρας, ἀποδυομένων ἐσθῆτας γυναικῶν εὐπρεπὲς παρατυγχάνειν, ἀλλ' ἑκατέρους τὰς τῶν ἑτέρων ὄψεις ἐκτρέπεσθαι γυμνουμένων, τοῖς τῆς φύE σεως βουλήμασιν ἑπομένους. εἶτ' οὖν ἡ ὄψις ἐπίληπτος, οὐ πολὺ μᾶλλον ὑπαίτιοι χεῖρες; ὀφθαλμοὶ μὲν γὰρ, καὶ ἃ μὴ βουλόμεθα πολλάκις ὁρᾶν, ἐπελευθεριάζοντες ἀποβιάζονται· χεῖρες δ' ἐν τῇ τῶν ὑπηκόων τεταγμέναι τάξει μερῶν, πειθαρχοῦσαι τοῖς ἡμετέροις ἐπιτάγμασιν ὑπηρετοῦσιν. ἥδε μὲν αἰτία ἡ παρὰ πολλοῖς εἴωθε λέγεσθαι· ἑτέρας δ' ἤκουσα θεσπεσίων ἀνδρῶν, τὰ πλεῖστα τῶν ἐν τοῖς νόμοις ὑπολαμβανόντων εἶναι

σύμβολα

σύμβολα φανερὰ ἀφανῶν, καὶ ῥητὰ ἀρρήτων. ἦν δὲ τοιάδε· ψυχῆς ὥσπερ ἐν τῇ συζυγίαις, ἡ μέν ἐστιν ἄρρην καὶ πρὸς ἄνδρας, ἡ δὲ θήλεια καὶ πρὸς γυναῖκας· ἄρρην μὲν ἡ μόνῳ τῷ προσκληρωθεῖσα ἑαυτὴν, ὡς πατρὶ καὶ ποιητῇ τῶν ὅλων καὶ πρώτῳ αἰτίῳ· θήλεια δὲ, ἡ ἐκκρεμαμένη τῶν ἐν γενέσει καὶ φθορᾷ, καὶ ἀποτείνουσα καθάπερ χεῖρα τὴν δύναμιν αὐτῆς, ἵνα τυφλῶς τῶν ἐπιτυχόντων ἐφάπτηται, γένεσιν δεξιουμένη, τὴν μυρίαις τροπαῖς ἀμυθήτοις χρωμένην καὶ μεταβολαῖς, δέον τὴν ἀμετάβλητον καὶ μακαρίαν καὶ τρισευδαίμονα θείαν φύσιν. εἰκότως οὖν τὴν ἐφαπτομένην χεῖρα τῶν διδύμων ἀποκόπτειν διείρηται συμβολικῶς, οὐχ ὅπως ἀκρωτηριάζηται τὸ σῶμα στερόμενον ἀναγκαιοτάτου μέρους, ἀλλ' ὑπὲρ τοῦ τοὺς τῆς ψυχῆς ἀθέους ἐκτέμνειν λογισμούς, ἐπιβάθρᾳ χρωμένους ἅπασιν ὧν γένεσίς ἐστι, δίδυμοι γὰρ σύμβολον σπορᾶς καὶ γενέσεως. ἑπόμενος δὲ ἀκολουθίᾳ φύσεως κἀκεῖνο λέξω, ὅτι μονὰς μέν ἐστιν εἰκὼν αἰτίου πρώτου, δυὰς δὲ παθητῆς καὶ διαιρετῆς ὕλης. ὃς ἂν οὖν δυάδα πρὸ μονάδος τιμήσας δεξιώσηται, μὴ ἀγνοείτω ὕλην ἀποδεχόμενος μᾶλλον ἢ θεόν· ἧς χάριν αἰτίας ἐδικαίωσεν ὁ νόμος ταύτην ἐπιβολὴν τῆς ψυχῆς ἀποκόπτειν οἷα χεῖρα. μεῖζον γὰρ οὐκ ἔστιν ἀσέβημα ἢ τοῖς παθητοῖς τὴν τοῦ δρῶντος ἀνατεθῆναι δύναμιν. μέμψαιτο δ' ἄν τις δεόντως τοὺς ἀνόμοια τοῖς ἀδικήμασι τάττοντας ἐπιτίμια κατὰ τῶν εἰργασμένων, ζημίας χρημάτων ἐπ' αἰκίαις, ἢ ἐπὶ τραύμασι καὶ πηρώσεσιν ἀτιμίας, ἢ ἐπ' ἀνδροφονίαις ἑκουσίοις ἐλάσεις ὑπερορίους καὶ τὰς εἰσαεὶ φυγὰς, ἢ δεσμοὺς ἐπὶ κλοπαῖς. τὸ γὰρ ἀνώμαλον καὶ ἄνισον, ἐχθρὸν πολιτείας ζηλούσης τὴν ἀλήθειαν· ἰσότητος δ' ὑφηγητὴς ὁ ἡμέτερος νόμος, τὰ ὅμοια κελεύων τοὺς ἁμαρτάνοντας ἀντιπάσχειν οἷς ἔδρασαν· ἐκ τῶν οὐσιῶν, ἐὰν περὶ τὰς οὐσίας ἀδικοπραγῶσι τὸν πλησίον· ἐκ τῶν σωμάτων, ἐὰν εἰς τὰ σώματα ἁμαρτάνωσι κατὰ μέρη, ἢ καὶ μέλη καὶ τὰς αἰσθήσεις· κἂν ἄχρι θανάτου τῆς ψυχῆς ἐπιβουλεύσωσιν, εἰς ψυχὴν τιμωρεῖσθαι κελεύει. ἀποδιδόναι γὰρ ἀνθ' ἑτέρων ἕτερα μηδεμίαν ἔχοντα κοινωνίαν, ἀλλὰ τοῖς εἴδεσιν ἀπηρτημένα, καταλυόντων νόμους ἐστὶν, οὐ βεβαιούντων. ταυτὶ δὲ φαμὲν τῶν ἄλλων οὐχ ὁμοίως ἐχόντων. οὐ γὰρ ταὐτὸν πατέρα καὶ ἀλλότριον πληγαῖς ἐμφορῆσαι, οὐδ' ἄρχοντα ἢ ἰδιώτην κακῶς εἰπεῖν, οὐδ' ἐργάζεσθαί τι τῶν μὴ ἐφειμένων ἐν βεβήλοις ἢ ἱεροῖς χωρίοις, οὐδ' ἐν ἑορταῖς καὶ πανηγύρεσι καὶ δημοτελέσι θυσίαις·

A mysteria. est autem illorum sententia hæc. Duplex animæ vis, quasi sexu distincta, coniuncta genere, altera vt mascula ad mares pertinet, altera ad fœminas vt fœminea: mascula soli Deo deuota, parenti, factori, autorique omnium: fœminea verò pendens à generatione corruptionéque, & extendens tanquam manum suam potentiam, vt in obscuro apprehendat fortuita, generationi hærens multis modis muta-
B bili, cum debuerit potius amplecti diuinam illam naturam nunquam mutabilem, ter beatam & felicissimam. Merito igitur lex figurate iubet resecari quæ apprehendit testiculos, non vt mutiletur corpus parte maxime necessaria: sed vt ex anima excidantur cogitationes impiæ, insidentes omnibus rebus generationi obnoxijs. testes enim generationem significant. Addam & illud, vnitatem esse primæ causæ
C siue primi autoris imaginem, dualitatem vero, passibilis & diuisibilis materiæ. quisquis igitur dualitatem pluris quam vnitatem faciens arripuerit, sciat se Deo præferre materiam. ideo lex æquum censet excidi hunc affectum tanquam manum ex anima. nulla enim maior est impietas, quam rebus passibilibus ascribere illius summi agentis potentiam. Illi quoque reprehendendi sunt qui non pro digni-
D tate peccatis pœnas statuunt, percussori mulctam pecuniariam, vulneratori ignominiam, homicidæ exilium, furi vincula. nam ista inæqualitas & disparitas inimica est rectè institutæ reipublicæ. at nostra lex æquitatem docet, vt quisque pro his quæ facit patiatur similia. si facultatibus sui ciuis nocuit, luat de proprijs: corpore verò, si membra læsit aut instrumenta sensuum. quod si vitæ struxit insidias, ipse vita
E mulctetur. nam aliam pro alia pœnam exigere in rebus toto genere dissimilibus, soluere leges est non constabilire. hoc autem dico, si circunstantiæ rem non variant. non enim perinde fuerit verberare parentem at quemuis alium, conuiciari priuato ac magistratui, illicitum aliquid in sacro ac profano loco facere, aut in celebritate festóque publico, ac in alio quouis die non eximio:

& in vniuersum quæcunque sunt huiusmodi differentiæ quæ crimen aut minuunt aut exaggerant. Item si quis, inquit, seruo ancillæve oculũ extuderit, manumittat eos liberos. quia sicut in corpore principatũ natura dedit capiti cui summũ locum tanquam regiã attribuit, reliquis membris omnibus quæ à ceruice vsque ad imos pedes pertinent, ei pro basi suppositis: ita inter cæteros sensus imperiũ penes oculos esse voluit. ideo hos quoque in sublimi collocauit vt principes, & quidẽ varijs modis honoratos, sed præcipue loco tam insigni ac conspicuo. quantam verò vtilitatem ex his genus humanum percipiat, recensere longum fuerit, vnam tamẽ dicemus eximiam. Philosophia defluxit quidem è cælo in hominum animos, sed oculis sequestris deducta est in id hospitium. nam hi primi conspexerunt vias, quæ à cælo ad nos tendunt, regias. bonorum autem omnium, quæ vere bona sunt, fons est philosophia. ex eo si quis haurit vt virtutem sibi quærat, laudandus: contrà vituperandus qui solam inde petit vafriciam. nam alter similis est conuiuæ exhilaranti & se & sodalitium: alter vero meribibo ingurgitanti se vsque debacchationem tum in seipsum, tum in cæteros. nunc dicendum quomodo philosophia per oculos deducta sit in nostrum hospitium. sublato vultu in ætherem viderunt illi solem, lunam, stellas fixas & erraticas, sacratam cæli militiam, & ipsius mundi ornatum. adhæc ortus harum occasúsque, choreas concinnissimas, statos circuitus, coniũctiones, defectus, emersiones. deinde incrementa detrimentáque lunæ, solis motus transuersos à meridie septemtriones petentis, ac rursum recipientis se ad partes austrinas à septemtrionalibus, atque ita variantis annua tempora, ad absoluenda maturandáque omnia, multósque alios effectus mirificos. ijsdem collustrantibus aerem, terras, maria, cuncta hæc mens percepit ipsorum indicio: & quæ per se videre non potuerat, eorum ope contemplata, non hic substitit: sed vlterius progressa discendi studio, & spectandi dulcedine, rationibus coniecturísque assecuta est, hæc non temere ferri suopte impetu, sed gubernari Dei prouidentia, quem parentem conditorémque rerum nominare fas est. Item non esse hæc infinita,

A καὶ πάλιν ἐν ἡμέραις αἷς μηδὲν προσήκει τὴν εἰς ἐκεχειρίας, ἢ καὶ συνόλως ἀποφορᾶς, καὶ ὅσ' ἄλλα τοιουτότροπα διερευνητέον εἰς συναύξησιν ἢ μείωσιν κολάσεως. πάλιν ἐάν τις, φησίν, ὀφθαλμὸν οἰκέτου ἢ θεραπαίνης ἐκκόψῃ, ἐλευθέρους ἀφιέτω· διότι ὥσπερ τοῦ σώματος ἡγεμονίαν ἡ φύσις ἀπένειμε κεφαλῇ, χαρισαμένη καὶ τόπον οἰκειότατον ὡς βασιλεῖ τὸν ἄκρον. ἄνω γὰρ αὐτὴν ἐπὶ φρουρὰν ἀναπέμψασα ἱδρύσατο, καθάπερ ἀνδριάντι
B βάσιν ὑποθεῖσα τὴν ἀπ' αὐχένος ἄχρι ποδῶν ἁπάσαν ἁρμονίαν· οὕτω καὶ τὴν αἰσθήσεων τὸ κράτος ἀνέδωκεν ὀφθαλμοῖς. ὑπόβαθρον γοῦν καὶ τούτοις ὡς ἄρχουσιν ἀπένειμεν οἴκησιν, βουληθεῖσα μὴ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ σημείῳ περισημοτάτῳ καὶ περιφανεστάτῳ τούτους γεραίρειν. τὰς μὲν οὖν χρείας καὶ ὠφελείας ἃς παρέχονται τῷ γένει ἡμῶν ὀφθαλμοί, μακρὸν ἂν εἴη καταριθμεῖσθαι, μίαν δὲ τὴν ἀρίστην λεκτέον, φιλοσοφίας. ὤμβρησε
C μὲν οὐρανός, ἐχώρησε δὲ ὁ ἀνθρώπινος νοῦς, ἐξενάγησε δὲ ὄψις. πρώτη γὰρ αὕτη κατεῖδε τὰς λεωφόρους ἀπ' αἰθέρος ὁδούς. ἀγαθῶν δὲ ὅσα πρὸς ἀλήθειαν ἀγαθά, πηγὴ φιλοσοφία· ἧς ὁ μὲν ἀρυόμενος εἰς κτῆσιν καὶ χρῆσιν ἀρετῆς, ἐπαινετός· ὁ δ' ἕνεκα πανουργίας καὶ τοῦ καταψηφίσασθαί τινα, ψεκτός. ἔοικε γὰρ ὁ μὲν ἀνδρὶ συμποτικῷ καὶ ἑαυτὸν καὶ τοὺς συνεστιωμένους εὐφραίνοντι πάντας· ὁ δὲ τῷ ἀκράτου εἰς παροινίαν ἑαυτόν τε καὶ τὸν πλησίον ἐμφορουμένῳ. ὅτῳ γοῦν τρόπῳ φιλοσοφίαν ἐξενάγησεν ὄψις, ἤδη λεκτέον. ἀναβλέψασα εἰς αἰθέ-
D ρα εἶδεν ἥλιον, καὶ σελήνην, καὶ πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, τὴν ἱεροπρεπεστάτην οὐρανοῦ στρατιάν, κόσμον ἐν κόσμῳ· εἶτ' ἀνατολὰς καὶ δύσεις, καὶ χορείας ἐμμελεῖς, καὶ τεταγμένας χρόνων περιόδους, συνόδους, ἐκλείψεις, ἐπιλάμψεις· εἶτ' αὐξήσεις καὶ μειώσεις σελήνης, ἡλίου κινήσεις τὰς κατὰ πλάτος, ἀπὸ μὲν τῶν νοτίων ἐπὶ τὰ βόρεια προσιόντος, ἀπὸ δὲ τῶν βορείων ἀναχωροῦντος πρὸς τὰ νότια, εἰς καιρὸν τὴν ἐτησίων φύσιν, ὡς τὰ
E πάντα τελεσφορεῖσθαι, καὶ πρὸς τούτοις μυρί' ἄλλα θαυμάσια· καὶ περιαθρήσασα κατά τε γῆν, καὶ κατὰ θάλατταν, καὶ ἀέρα, καὶ τὰ κατὰ τάδε πάντα τῷ νῷ μετὰ σπουδῆς ἐπεδείξατο. ὁ δ' ἅπερ οὐχ οἷός τ' ἦν δι' αὐτοῦ καταλαβεῖν, δι' ἑκείνης ἰδών, οὐκ ἐπὶ τῶν ὁραθέντων αὐτὸ μόνον ἔστη, ἀλλ' ἅτε φιλομαθὴς καὶ φιλόκαλος, ἀγάμενος τὴν θέαν, λογισμὸν εἰκότ' ἐλάμβανεν, ὅτι ταῦτ' οὐκ αὐτοματισθέντα συνέστη φοραῖς ἀλόγοις, ἀλλὰ διανοίᾳ θεοῦ, ὃν πατέρα καὶ ποιητὴν ὀνομάζειν θέμις· καὶ ὅτι οὐκ ἔστιν ἄπειρα,

πεπέρασται δ᾽ ἑνὸς κόσμου περιγραφῇ, πόλεως A
τρόπον ὑπὸ τῆς ἀπλανοῦς ἐξωτάτω σφαίρας περι-
λαμβανόμενος· καὶ ὡς ὁ γεννήσας πατὴρ νόμῳ φύ-
σεως ἐπιμελεῖται τοῦ γενομένου, προνοούμενος καὶ τοῦ
ὅλου, καὶ τῶν μερῶν. εἶτα προσεπεσκέψατο τίς ἡ οὐ-
σία τοῦ ὁρατοῦ, καὶ εἰ πάντων ἡ αὐτὴ τῶν κατὰ κό-
σμον, ἢ ἑτέρα ἑτέρων, καὶ ἐκ τίνων ἕκαστ᾽ ἐτελε-
σθη, καὶ τὰς αἰτίας δι᾽ ἃς ἐγένετο, καὶ δυνάμεις
αἷς συνέχεται, καὶ πότερον αὗται σώματ᾽ ἢ ἀσώ-
ματοι. ἡ γὰρ περὶ τούτων καὶ τῶν παραπλησίων B
ἔρευνα, τί ἂν ἄλλο ἢ φιλοσοφία προσαγορεύοιτο·
τί δὲ τὸν σκεπτόμενον, τοῦτο ἂν τις οἰκειότερον ὄνο-
μα ἢ φιλόσοφον. τὸ γὰρ περὶ θεοῦ σκοπεῖν, καὶ κό-
σμου, καὶ τῶν ἐν αὐτῷ κοινῶς ζώων τε καὶ φυτῶν, καὶ
περὶ νοητῶν παραδειγμάτων, καὶ πάλιν αἰσθη-
τῶν ἀποτελεσμάτων, καὶ τῆς καθ᾽ ἕκαστον τῶν γεγο-
νότων ἀρετῆς τε καὶ κακίας, φιλομαθῆ καὶ φιλο-
θεάμονα καὶ τῷ ὄντι φιλόσοφον διάθεσιν ἐμφαίνει·
μέγιστον δὲ τοῦτο τῶν βροτῶν ἀνθρώποις ἀγαθὸν
ὄψις πεπόρισται. δοκεῖ δέ μοι ταύτης ἠξιῶσθαι τῆς C
προνομίας, ἐπεὶ τῶν ἄλλων αἰσθήσεων ἐνεργεστέ-
ρα ψυχῇ καθέστηκεν. ἅπασαι μὲν γὰρ τὴν πρὸς
διάνοιαν ἔχουσιν οἰκειότητα. αὕτη δὲ καθάπερ ἐν
ταῖς οἰκίαις τὴν ἐγγυτάτω γένους πρώτην καὶ δυσα-
πάτων τάξιν εἴληχε. τεκμηριώσαιτο δ᾽ ἄν τις ἐκ
πολλῶν. τίς γὰρ οὐκ οἶδεν ὅτι χαιρόντων μὲν ὀφ-
θαλμοὶ γάννυνται καὶ μειδιῶσι, λυπουμένων δὲ
συννοίας γέμουσι καὶ κατηφείας· εἰ δὲ πλεονάσειεν
καὶ πιέζοι καὶ ἀναθλίβοιτο ἄλγος ἐκδακρύουσι, καὶ D
κρατούσης μὲν ὀργῆς οἰδοῦσι, καὶ ὕφαιμοι καὶ πυρω-
πὸν ἐμβλέπουσιν· ἵλεων δὲ καὶ εὐμενὲς, εἰ χαλάσειε
ὁ θυμός· καὶ ἐν μὲν τῷ λογίζεσθαι ἢ σκοπεῖν πε-
πήγασιν αἱ κόραι τρόπον τινὰ συννοοῦσαι· τῶν δ᾽
εὐηθεστέρων πλάζεται ἀπὸ ἠλιθιότητος καὶ ἡ ὅρα-
σις οὐκ ἠρεμοῦσα, καὶ συνόλως τοῖς τῆς ψυχῆς πά-
θεσι συμπάσχουσιν ὀφθαλμοὶ, καὶ ταῖς ἀμυθήτοις τρο-
παῖς συμμεταβάλλειν πεφύκασι διὰ τὴν οἰκειό-
τητα. δοκεῖ γάρ μοι μηδὲν οὕτως ὁ θεὸς ἐμφανὲς E
ἀφανοῦς ἐργάσασθαι μίμημα, ὡς ὄψιν λογισμοῦ.
ἐάν τις οὖν εἰς τὴν ἀρίστην καὶ ἡγεμονικωτάτην τῶν
αἰσθήσεων ὅρασιν ἢ ἐπιβεβουλευκὼς αὐτῷ, καὶ κα-
ταφανῇ μὲν ἐλευθέρου ὀφθαλμὸν ἐκκόψας, τὰ
αὐτὰ ἀντιπασχέτω· δούλου δὲ, μή· οὐχ ὅτι συγγνώ-
μης ἐστὶ ἄξιος, ἢ ἔλαττον ἀδικεῖ, ἀλλ᾽ ὅτι πονη-
ροτέρῳ χρήσαιτ᾽ ἂν ὁ πεπονθὼς ἀντιπεπονθότι
μνησικακήσοντι τῆς συμφορᾶς τὸν ἀεὶ χρόνον, καὶ
ἀμυνουμένῳ καθ᾽ ἑκάστην ἡμέραν ὡς ἐχ-
θρὸν ἄσπονδον, ἀφορητοτέροις καὶ βαρυτέροις

cum circumſcribantur vnius mundi terminis, orbe illo extremo ceu vrbem includente, ſtellis fixis conſpicuo. porrò illum ſummum parentem lege naturæ curare ſuam progeniem, tum vniuerſitatem ipſam, tum partes eius ſingulas. amplius conſiderauit quęnam ſit eſſentia rerũ viſibilium, & num eadem omnium quæ mundo continentur, an aliarũ alia: tum quæ ſingularum materia, quæve cauſa finalis, quæ vires quibus conſeruantur, & vtrũ hæ corporeæ an incorporeæ. nam horũ & ſimilium ſcrutatio, nihil aliud appellari poteſt quam philoſophia, ſicut ipſe veſtigator proprie dicitur philoſophus. nam mundi conſideratio, & contentarũ in eo ſtirpium atque animantiũ, tum exẽplorum intelligibilium & effectuum ſenſibiliũ, quidque in his ſingulis inſit virtutis aut vitij, res eſt hominis ſtudioſi cognitionis, auidi contemplationis, & vere philoſophi. at hoc ſummũ generis humani bonum acceptum fertur oculis: quos dignatos opinor eo priuilegio, quia ſunt dilucidiores cæteris ſenſibus & magis illuſtrant animam. habent quidem omnes familiaritatẽ quandam cum eo, verum hic tãquam cognatione proximus primũ locum obtinet, ſicut multis argumentis licet colligere. quis enim neſcit gaudente animo ſubridere oculos hilariter: ſicut eodẽ merente ipſos quoque ſubmitti ac lãgueſcere. quod ſi grauior premat moleſtia, lacrymas etiã exprimit. ijdem per iram tumeſcũt, & ignitum quiddã tuentes ſuffunduntur ſanguine: remiſſiores verò præ ſe ferunt manſuetudinem. inter ratiocinandum conſiderandúmve ſtant immotæ pupillæ & ipſæ cogitabundæ quodãmodo: fatuorum autem oberrant, quorum ne oculi quidẽ poſſunt quieſcere præ ſtulticia. denique omnibus animi affectibus afficiuntur & oculi, varijs mutationibus declarantes naturalem quandam cognationem. equidẽ nullam opinor inuiſibilis rei tam euidentem imaginem à Deo factam, quam rationis oculos. Ergo ſi quis conuictus fuerit hunc præcipuũ ſenſum dolo malo impetiſſe, & extudiſſe oculum ingenuo homini, talionem feret. ſin ſeruo, non item. non quod venia dignus ſit, aut minus peccauerit: ſed quoniam ſi talione ageret ſeruus, infeſtiorem herum eſſet habiturus, acceptæ calamitatis ſemper memorẽ, & implacabiliter

vindictam meditantem quotidie, donec eum iniquis iussis vsque magis ac magis grauatum ad mortem adigeret. Prospexit igitur lex ne vel maleficium sineretur impunitum, vel orbatus oculo grauiora pateretur insuper, statuens absque controuersia mancipium manumitti, cui herus extulisset oculum. Sic enim dupliciter mulctabitur, & precio serui & ministerio: tum quod est vtroque grauius, maximo afficiet beneficio quem maluisset habere semper obnoxium suæ sæuitiæ. at læsus duplex habebit solatium, libertatem lucratus, & ereptus sæuo imperio. eadem lex iubet vel pro dente excusso libertate donari mancipium. cur ita? quia vita nihil preciosius, cuius instrumentum natura dentes fabricauit ad ciborum dispensationem. his enim conciduntur, dictis ab edendo detorto vocabulo, sicut molares dicuntur qui attritu frusta comminuunt. quapropter ille rerum parens & conditor, cuius nullum opus est superuacuum, dentes non vt cætera membra nascenti statim addidit, ne infantem lacte nutriendum grauarent inutiliter, & fontes vberum per quos alimenta deriuantur, vexarent inter sugendum: sed in tempus præstitutum, hoc est ablactandi, exortum eorum distulit, quos prius abdiderat: scilicet quia iam solidiores cibi hæc instrumenta postulant, cessante nutrimento lacteo. Siquis igitur præ nimia superbia dentem seruo excusserit, priuaritque hominem instrumento ad sustentandam vitam necessario, manumittat læsum tam grauiter, & mulctetur viuo instrumento cariturus eius ministerijs. Dicet aliquis, Ergo pari pœna vindicatur dens & oculus? Respondebo: & meritò: par enim vtriusque vsus est, in suo duntaxat officio, in aspectu oculi, dentis verò in edendo. imò si hæc diligenter inter se comparentur, apparebit oculum esse honestissimam partem corporis, vt contemplatorem cæli quo nihil in mundo augustius: dentem verò non minus vtilem, vt qui præmandendo cibos vitæ sit adminiculum. præterea visu orbatus potest nihilominus viuere: dentes verò extusos sequitur mors miserabilis. Hos igitur si quis infensus seruo adimat, sciat se ipsi

A τῆς δυνάμεως ἐπιτάγμασιν, οἷς πιεζόμενος τὴν ψυχὴν ἀπορρήξει. προὐνόησεν οὖν ὁ νόμος τοῦ μήτε τὸν ἐπιβεβουλευκότ᾽ ἀθῷον ἀφεθῆναι, μήτε τὸν πεπηρωμένον προσαδικηθῆναι καλῶς, ἵν᾽ εἴ τις ἐκκόψῃ θεράποντος ὀφθαλμὸν, ἀδιενδοιάστως ἐλευθερίας μεταδιδότω. οὕτω γὰρ ὁ μὲν αὐτὸ ὃ ἂν ἔδρασε, διπλῆν ἐκδέξεται ζημίαν, ἅμα τιμῆς καὶ τῆς ὑπηρεσίας ἀφαιρεθεὶς, καὶ τρίτον ἑκατέρου τῶν λεχθέντων χαλεπώτερον, ἀναγκαζόμενος ἐν τοῖς μεγίστοις εὐεργετεῖν ἐχθρὸν, ὃν ἴσως ηὔχετο κακοῦν
B ἀεὶ δύνασθαι· ὁ δ᾽ αὐτὸ ὃ ἂν ὑπέμεινε παρηγορίαν ἕξει διπλῆν, οὐ μόνον ἐλευθερωθεὶς, ἀλλὰ καὶ ἀργαλέον καὶ ὠμὸν δεσπότην ἐκφυγών. προστάττει δὲ κἂν τις ὀδόντα θεράποντος ἐκκόψῃ, ἐλευθερίαν χαρίζεσθαι τῷ θεράποντι. διὰ τί; ὅτι ζωὴ μὲν τίμιον, ὄργανον δὲ ζωῆς ἐτεκτήνατο ἡ φύσις ὀδόντας, οἷς τὴν τροφὴν οἰκονομεῖσθαι συμβέβηκεν, ὀδόντες δ᾽ οἱ μέν εἰσι τομεῖς σιτία καὶ ὅσ᾽ ἄλλ᾽ ἐδώδιμα, διὰ τοῦτο ταύτης προσηγορίας ἀξιω-
C θέντες· οἱ δὲ μύλαι, τὰ διαιρεθέντα εἰς μείζονα λεαίνειν δύνασθαι. παρ᾽ ἣν αἰτίαν ὁ ποιητὴς καὶ πατὴρ οὐδὲν εἰωθὼς δημιουργεῖν, ὃ μὴ πρός τινι τετάξεται χρείᾳ, τοὺς ὀδόντας οὐχ ὥσπερ τῶν ἄλλων μερῶν ἕκαστον, κατὰ τὴν πρώτην γένεσιν εὐθὺς εἰργάζετο, διανοηθεὶς ὅτι βρέφει μὲν γαλακτοτροφεῖσθαι μέλλοντι περιττὸν ἄχθος γενήσονται· μαστοῖς δὲ πηγάζουσιν, αἷς ἀρδεύεται ἡ τροφὴ, χαλεπὴ ζημία κατὰ τὴν ὁλκὴν τοῦ γάλακτος ἐνδακνομένοις. τὸν ἐπιτήδειον οὖν καιρὸν περιειδόμενος· ἔστι δὲ τοῦθ᾽
D ἡνίκα τὸ βρέφος ἀπότιτθον γένηται· τὴν ἔκφυσιν τῶν ὀδόντων, ἣν ἐταμιεύσατο πρότερον, ἀνέφηνεν, ἤδη τὸ πληρεστέρας αἰτεῖσθαι τροφῆς ὀργάνων ἂν εἴποι δεομένης, τὴν διὰ τοῦ γάλακτος ἀποστρεφόμενον. ἐὰν οὖν τις ἐξ ἀλαζονείας θεράποντος ὀδόντ᾽ ἐκκόψῃ, τὸν ὑπηρέτην καὶ ὑποδιάκονον τῶν ἀναγκαιοτάτων τροφῆς τε καὶ ζωῆς, ἐλευθερούτω τὸν ἀδικηθέντα, στερόμενος αὐτὸς τοῦ ἐκ τοῦ πεπονθότος λατρείας τε καὶ ὑπηρεσίας. ἰσότιμον οὖν, φησί τις, ὀδοὺς ὀφθαλμῷ; μὴ πρὸς ἃ γέγονεν ἑ-
E κάτερον, εἴποιμ᾽ ἄν, ἰσότιμα, πρὸς μὲν τὰ ὁρατὰ ὀφθαλμὸς, πρὸς δὲ τὰ ἐδώδιμα ὀδούς. εἰ δὲ καὶ συγκρῖναι τις θελήσει, σεμνότατον μὲν εὑρήσει τῶν ἐν σώματι μερῶν, ὀφθαλμὸν, ἅτε θεωρὸν ὄντα τοῦ σεμνοτάτου τῶν κατὰ τὸν κόσμον οὐρανοῦ· χρήσιμον δὲ ὀδόντα, ὡς ἀνατροφῆς τοῦ χρησιμωτάτου πρὸς τὸ ζῆν ἐργάτην. καὶ ὁ μὲν τὰς ὄψεις ἀποβαλὼν οὐ κεκώλυται βιοῦν· ᾧ δ᾽ ἐκκοπείη τοὺς ὀδόντας ἐφεδρεύει θάνατος οἴκτιστος. εἰ δέ τις ἐπιβουλεύοι περὶ

τὰ μέρη ταῦτα τοῖς οἰκέταις, μὴ ἀγνοείτω λιμὸν ἐν εὐθηνίᾳ καὶ εὐετηρίᾳ κατασκευάζων τούτοις χειροποίητον. τί γὰρ ὄφελος ἀφθονίαν μὲν εἶναι τροφῶν, τὰ δὲ πρὸς τὴν διοίκησιν αὐτῶν ὄργανα σεσυλῆσθαι καὶ ἀποβεβληκέναι, χαλεπῶν ἕνεκα καὶ ἀμειλίκτων καὶ ὠμοθύμων δεσποτῶν. διὰ τοῦτο καὶ ἑτέρωθι παρὰ χρεωστῶν ἀπηγόρευσεν ἐνεχυράσαι μύλον, ἢ ἐπιμύλιον ῥύσιον αἰτεῖν, ἐπειπὼν ὅτι ὁ τοῦτο δρῶν, ψυχὴν ἐνεχυράζει. ὁ γὰρ τὰ τοῦ ζῆν ὄργανα ἀφαιρούμενος, ἐπ' ἀνδροφονίας ἵεται, μέχρι καὶ ψυχῆς ἐπιβουλεύειν διανοηθείς. τοσαύτην δὲ πρόνοιαν ἐποιήσατο τοῦ μηδένα παραίτιόν τινι γενέσθαι θανάτου, ὡς καὶ τοὺς προσψαύοντας νεκροῦ σώματος, ὃ τελευτὴν ἐνδέδεκται τὴν κατὰ φύσιν, οἴεται δεῖν μὴ εὐθὺς εἶναι καθαρούς, μέχρις ἂν περιρρανάμενοι καὶ ἀπολουσάμενοι καθαρθῶσιν. εἰς μέντοι τὸ ἱερὸν οὐδὲ τοῖς σφόδρα καθαροῖς ἐφῆκεν εἰσιέναι, ἐντὸς ἡμερῶν ἑπτά, τρίτῃ καὶ ἑβδόμῃ κελεύσας ἀφαγνίζεσθαι. ἔτι μέντοι καὶ τοῖς εἰσιοῦσιν εἰς οἰκίαν ἐν ᾗ τετελεύτηκέ τις, προστάττει μηδενὸς ἅπτεσθαι μέχρις ἂν ἀπολούσωνται, καὶ τὰς ἐσθῆτας αἷς ἀμπίσχοντο προσαποπλύναντες. σκεύη δὲ καὶ ἔπιπλα καὶ ὅσ' ἄλλα εἶναι συμβέβηκε, πάνθ' ὡς ἔπος εἰπεῖν ἀκάθαρτ' ἡγεῖται. ψυχὴ γὰρ ἀνθρώπου σημεῖον, ἧς μετανισταμένης καὶ μετοικιζομένης, τὰ ἀπολειφθησόμενα πάντα μιαίνεται, στερόμενα θείας εἰκόνος· ἐπειδὴ θεοειδὴς ὁ ἀνθρώπινος νοῦς, πρὸς ἀρχέτυπον ἰδέαν τὸν ἀνωτάτω λόγον τυπωθείς. ἔστω δέ, φησίν, ἀκάθαρτα καὶ τἄλλα ὅσα ἂν ὁ ἀκάθαρτος προσψαύσηται, μετουσίᾳ τοῦ μὴ καθαροῦ μιαινόμενα. καθολικωτέραν δ' ἀπόφασιν ὁ χρησμὸς οὗτος ἔοικε παραδηλοῦν, οὐκ ἐπὶ σώματος αὐτὸ μόνον ἱστάμενος, ἀλλ' ἤδη καὶ τρόπους προσδιερευνώμενος ψυχῆς. ἀκάθαρτος γὰρ κυρίως ὁ ἄδικος καὶ ἀσεβής, ὅτῳ μήτε τῶν ἀνθρωπίνων, μήτε τῶν θείων αἰδώς τις ἔρχεται, πάντα φύρων καὶ συγχέων διά τε τὰς ἀμετρίας τῶν παθῶν, καὶ τὰς τῶν κακιῶν ὑπερβολάς· ὥστε ὧν ἂν ἐφάψηται πραγμάτων, πάντ' ἐστὶν ἐπίληπτα, τῇ τοῦ δρῶντος συμμεταβάλλοντα μοχθηρίᾳ. καὶ γὰρ κατὰ τοὐναντίον αἱ πράξεις τῶν ἀγαθῶν ἐπαινεταί, βελτιούμεναι ταῖς τῶν ἐνεργούντων ἀρεταῖς, ἐπειδὴ πέφυκέ πως τὰ γινόμενα τοῖς δρῶσιν ἐξομοιοῦσθαι.

A famem in annona quantumlibet bona inuehere suis manibus. quid enim proderit ciborum copia per summam Domini crudelitatem spoliato instrumentis ad vescendum necessarijs? & hæc est causa cur alibi interdicatur nequis fœnerator à debitore molam superiorẽ inferiorémve sumat pro pignore, non sine præuaricatione legis, quòd qui hoc facit, oppignorari sibi finit vitam hominis. nam qui aufert vitæ susten-
B tacula, fit homicidio proximus, non parcendo vel animæ. In tantum autem solicitus fuit legislator, ne quis alteri necis causam præberet, vt eos etiam qui cadauer fatali morte defuncti hominis attigissent, impuros pronunciet, tantisper dum se lauacro purificarint. à templo autem etiam post purificationem tales arcentur per septem dies, iubentúrque tertia latere atque septima. præ-
C terea funestam domum ingressos lex vetat quicquam attingere prius quàm abluantur vnà cum suis vestibus. eo enim contactu vasa & quamcunque suppellectilem pollui iudicat. nam anima facit hominem, qua demigrante reliqua contaminantur omnia, destituente se diuina imagine. mens enim refert Dei similitudinem, formata iuxta exemplarem ideam illius supremæ sapientiæ. Addit lex, impurum fieri quicquid ab impuro tan-
D gitur, per contagionem videlicet. Videtur autem late patere hoc sacrum oraculum, non consistens intra corpus, sed amplius inquirens etiam in mores animæ. nam proprie loquendo impurus dicitur quisquis est iniustus & impius, cui nulla iuris humani diuiníque reuerentia, qui omnia miscet conturbâtque propter immoderatos suos affectus & vitia nimia. proinde quæcunque aggreditur negocia, omnia reprehensionem merentur, vt vitiata per autoris sui
E nequiciam. Sicut è diuerso actiones bonorum virorum laudantur, per virtutem eorum meliores redditæ: quandoquidem ita natura comparatum est, vt effectus similes fiant suis autoribus.

ΠΕΡΙ ΠΕΡΙΤΟΜΗΣ.

PHILONIS IVDÆI, DE CIRCVMCISIONE.

CAPITA legum specialium, id est decem præcepta quæ vocant decalogum, superiore libro diligenter tractauimus: nunc superest vt speciatim mandata consideremus, ordine quo in sacris literis sunt prodita. initium autem faciam à re iuxta multorum opinionem ridicula. Ridetur enim maiorum nostrorum circumcisio, quamuis in non mediocri honore habita etiam apud gentes alias, præsertim Ægyptiam, præcellentem hominum tàm frequentia quàm sapientia. ideo conuenientius erat absque cauillis puerilibus prudenter & serio quærere causas cur is mos inualuerit, quam præpropera sententia damnare facilitatem gentium nobilium, cum verisimile sit non temere circumcidi tam multa hominum millia, perferréque cruciatus mutilationis in suis & charissimorum pignorum corporibus: imò esse causas permultas quæ suadeant ab hoc priscorum instituto non discedere, sed quatuor præcipuas. Vnam, vt caueatur morbus curatu difficilis, quem vocant carbunculum, opinor ideo sic appellatum, quod vrat inflammatione, quæ præputiatis facilius innascitur. alteram, vt totum corpus sit purius, nec impediat officia sacerdotalis ordinis: quamobrem etiam radunt corpora Ægyptij sacrifici, ne quid sordium vel sub pilis vel sub præputijs hæreat, quod possit obesse puritati sacris debitæ. tertiam, quod cordis similitudinem quandam habeat circumcisa hæc particula. ambæ enim generationi seruiunt. nam ab altera spiritus animales,

A Τὰ μὲν γένη τῶν ἐν εἴδει νόμων, οἱ προσαγορευόμενοι δέκα λόγοι, διὰ τῆς προτέρας ἠκρίβωνται συντάξεως· τὰ δ' ἐν μέρει διατάγματα κατὰ τὴν τῆς γραφῆς ἀκολουθίαν νῦν ἐπισκεπτέον. ἄρξομαι δὲ ἀπὸ τοῦ γελωμένου παρὰ τοῖς πολλοῖς· γελᾶται δ' ἡ τῶν γεννητικῶν περιτομή, πρᾶγμα σπουδαζόμενον οὐ μετρίως
B καὶ παρ' ἑτέροις ἔθνεσι, καὶ μάλιστα τῷ Αἰγυπτιακῷ, ὃ καὶ πολυανθρωπότατον καὶ πολυσοφώτατον εἶναι δοκεῖ· παρ' ὃ καὶ προσῆκον ἦν παιδικὴν χλεύην μεθεμένους, φρονιμώτερον καὶ σεμνότερον ἀναζητῆσαι τὰς αἰτίας, δι' ἃς κεκράτηκε τὸ ἔθος, καὶ μὴ προεξαναστάντας καταγινώσκειν μεγάλων ἐθνῶν εὐχέρειαν, λογιζομένους ὡς οὐκ εἰκὸς τοσαύτας μυριάδας καθ' ἑκάστην γενεὰν ἀποτέμνεσθαι, μετὰ χαλεπῶν ἀλγηδό-
C νων ἀκρωτηριαζούσας τά θ' ἑαυτῶν καὶ τὰ τῶν οἰκειοτάτων σώματα· πολλὰ δὲ εἶναι τὰ προτρέποντα τὴν εἰσαγωγὴν τῶν παλαιῶν διατηρεῖν καὶ ἐπιτελεῖν, τὰ δ' ἀνωτάτω τέτταρα· ἓν μὲν, χαλεπῆς νόσου καὶ δυσιάτου πάθους ἀπαλλαγήν, ἣν ἄνθρακα καλοῦσιν ἀπὸ τοῦ καίειν ἐντυφόμενον, ὡς οἶμαι ταύτης τῆς προσηγορίας τυχόντος, ἥτις εὐκολώτερον τοῖς τὰς ἀκροποσθίας ἔχουσιν ἐγγίνεται. δεύτερον, τὴν δι' ὅλου τοῦ σώ-
D ματος καθαρότητα πρὸς τὸ ἁρμόττον τάξει ἱερωμένῃ· παρ' ὃ καὶ ξυρῶνται τὰ σώματα προσυπερβάλλοντες οἱ ἐν Αἰγύπτῳ τῶν ἱερέων. ὑποσυλλέγεται γὰρ καὶ ὑποστέλλει καὶ θριξὶ καὶ ποσθίαις ἔνια τῶν ὀφειλόντων καθαίρεσθαι· τρίτον δέ, τὴν πρὸς καρδίαν ὁμοιότητα τοῦ περιτμηθέντος μέρους. εἰς γὰρ γένεσιν ἄμφω παρεσκευάσθαι. τὸ μὲν γὰρ ἐγκάρδιον πνεῦμα νοημάτων, τὸ δὲ γόνιμον ὄργανον ζώων. ἐδικαίωσαν

γὰρ οἱ πρῶτοι τοῦ ἀφανοῦς καὶ κρείττονος δι' οὗ καὶ τὰ νοήματα συνίσταται, τὸ ἐμφανὲς καὶ ὁρατόν, ᾧ τὰ αἰσθητὰ γεννᾶσθαι πέφυκεν, ἐξομοιῶσαι· τέταρτον δὲ καὶ ἀναγκαιότατον, τὴν πρὸς πολυγονίαν κατασκευήν. λέγεται γὰρ ὡς εὐοδεῖ τὸ σπέρμα, μήτε σκιδνάμενον, μήτε παρεῤῥέον εἰς τοὺς τῆς ποσθίας ὡς ἦλθε κόλπους· ὅθεν καὶ τὰ περιτεμνόμενα τῶν ἐθνῶν πολυγονώτατα καὶ πολυανθρωπότατα εἶ[ναι]. ταῦτα μὲν οὖν εἰς ἀκοὰς ἦλθε τὰς ἡμετέρας, ἀρχαιολογούμενα παρὰ θεσπεσίοις ἀνδράσιν, οἳ τὰ Μωσέως οὐ παρέργως ἡρμήνευσαν. ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ σύμβολον ἡγοῦμαι τὴν περιτομὴν δυοῖν τοῖν ἀναγκαιοτάτοιν· ἑνὸς μὲν, ἡδονῶν ἐκτομῆς, αἳ καταγοητεύουσι διάνοιαν. ἐπεὶ γὰρ τὰ πικτήρια φέρεται τῶν ἐν ἡδοναῖς φίλτρων ἡ ἀνδρὸς πρὸς γυναῖκα συνουσία, τὸ ὑπηρετοῦν ταῖς τοιαύταις ὁμιλίαις ὄργανον ἀκρωτηριάζειν ἔδοξε τοῖς νομοθέταις, αἰνιττομένοις ἐκτομὴν περιττῆς καὶ πλεοναζούσης ἡδονῆς, οὐ μιᾶς, ἀλλὰ διὰ μιᾶς τῆς βιαιοτάτης καὶ τῶν ἄλλων ἁπασῶν. ἑτέρου δὲ, τὸ γνῶναί τινα ἑαυτὸν, καὶ τὴν βαρεῖαν νόσον τὴν οἰήσεως ψυχῆς ἀπώσασθαι. ἔνιοι γὰρ ὡς ἀγαθοὶ ζωοπλάσται ζῷον, τὸ κάλλιστον ἄνθρωπον ηὔχησαν δύνασθαι δημιουργεῖν, καὶ φυσηθέντες ὑπ' ἀλαζονείας ἑαυτοὺς ἐξεθείωσαν, τὸν ἀληθῶς ὄντα αἴτιον γενέσεως θεὸν παρακαλυψάμενοι, καίτοιγ' ἐκ τῶν συνόντων ἐπανορθώσασθαι τὴν ἀπάτην δυνάμενοι. πολλοὶ μὲν γὰρ παρ' αὐτοῖς εἰσὶν ἄνδρες ἄγονοι, καὶ στεῖραι γυναῖκες, ὧν ἀτελεῖς αἱ ὁμιλίαι καταγηρασάντων ἐν ἀπαιδίᾳ. ταύτην οὖν δόξαν ἐκτμητέον τῆς διανοίας, καὶ τὰς ἄλλας ὅσαι μὴ φιλόθεοι. τούτων μὲν οὖν πέρι τοσαῦτα· τρεπτέον δ' ἐπὶ τοὺς κατὰ μέρος ἤδη νόμους, καὶ πρῶτον ἀφ' ὧν ἄρχεσθαι καλὸν, τοὺς περὶ μοναρχίας δει-σθέντας.

A ab altera genituræ proficiſcuntur. ideo priſci æquum cenſuerunt occultæ illi potiorique, ceu fonti ſenſuum animi, adſimilare hanc viſibilem, vnde origo craſſiorum ſenſuum corporis. quarta porrò cauſa ſumme neceſſaria, eſt cura fœcunditatis & numeroſæ ſobolis. aiunt enim ita ſemen recta eiaculari integrum nec diffluens per ſinus præputij: & ideo circumciſas gentes fœcunditate pollere, eſſéque populoſiſſimas. Hæc ſunt quæ ad aures
B meas peruenerunt, tradita per manus à diuinis viris noſtris maioribus, qui Moſis placita diligenter explicauerunt ſuis interpretationibus. equidem præter iam dictas rationes per circumciſionem ſignificari arbitror duo quædam valde neceſſaria. vnum, exciſionem voluptatum quæ mentem faſcinant. quoniam enim inter omnes voluptatum illecebras principatum tenet viri congreſſus cum muliere, inſtrumentum eius legiſlatores mutilari
C iuſſerunt, innuendo reſecandas voluptates ſuperfluas, non vnius tantum huius generis, ſed omnes per vnam ſubindicantes. alterum verò, quo moneantur abijcere arrogantiam, grauem morbum animæ. quidam enim velut præclari fictores, iactant ſe poſſe hominem animal pulcherrimum producere, & inflati hac ſuperbia gerunt ſe pro dijs, vero autore generationis diſſimulato, cum tamen eum errorem conſideratis alijs quibuſcum verſan-
D tur, potuerint corrigere. multi enim ſunt inter eos viri ſteriles, & infœcundæ mulieres multæ, atque ita vtrique conſenuerunt in orbitate. hæc igitur praua opinio excidenda eſt ex anima, ſicut & cætera quæcunque pietati repugnant. verum de his hactenus. nunc vertendus eſt ſtilus ad leges ſpeciatim proditas, ac primum ad eas quibus debetur initium, pertinentes ad caput de monarchia.

ΠΕΡΙ ΜΟΝΑΡΧΙΑΣ,

ΛΟΓΟΣ Α.

PHILONIS IVDÆI, DE MONARCHIA LIBER PRIMVS.

QVIDAM ſolem & lunam cæteráque ſidera crediderunt eſſe Deos rerum Dominos, ad quos omnium quæ fiunt cauſas retulerunt. at Moſes opinatur mundum & creaturam eſſe, & more amplæ ciuitatis magiſtratus habere ac ſubditos: magiſtratus, quotquot in cælo ſidera vel fixa vel erratica: ſubditorum verò loco naturas quæ lunam inter & terras degunt in aere. cæterum dictos magiſtratus non eſſe poteſtatis liberæ, ſed ſubpræfectos vnius patris rerum omnium, ad cuius imitationem iuſte legitiméque adminiſtrent ſingula negocia. ſed hebetes quoſdam quia ſummum illum rectorem non videant, inferioribus iſtis, quaſi liberæ poteſtatis eſſent, cauſas rerum attribuere. quorum ignorantiam ſacer legiſlator caſtigat verbis his: Caue ne conſpicatus ſolem, lunam, ſidera, omnémque cæli ornatum, opinione falſus adores ea. Recte admodum & pulchre fallaciam vocat, diuinum cultum rerum ſupradictarum. nam quidam animaduertentes ſolis proceſſibus ac receſſibus temperari anni tempora, quibus animalia, ſtirpes, fruges, proueniant matureſcántque, lunam vero miniſtram ſolis & abſentis vicariam, vt quæ noctu præſit rebus quibus ſol interdiu, alias item ſtellas afficere varie terreſtria, in errorem inducti ſunt inexplicabilem, ſuſpicati nullos eſſe Deos præter hos. quòd ſi ſtuduiſſent per rectam viam incedere, ſtatim didiciſſent, quòd quemadmodum noſtri ſenſus miniſtri mentis ſunt, ſic & ſenſibiles iſti magiſtratus

A ΤΙΝΕΣ ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας ὑπέλαβον εἶναι θεοὺς αὐτοκράτορας, οἷς τὰς τῶν γινομένων ἁπάντων αἰτίας ἀνέθεσαν. Μωσεῖ δὲ ὁ κόσμος ἔδοξεν εἶναι καὶ γενητός, καὶ καθάπερ πόλις ἡ μεγίστη, ἄρχοντας δὲ ἔχουσα καὶ ὑπηκόους· ἄρχοντας μὲν τοὺς ἐν οὐρανῷ πάντας ὅσοι πλανῆτες καὶ ἀπλανεῖς ἀστέρες· ὑπηκόους δὲ,
B τὰς μετὰ σελήνην ἐν ἀέρι περιγείους φύσεις· τοὺς δὲ λεχθέντας ἄρχοντας, οὐκ αὐτεξουσίους, ἀλλ' ἑνὸς τοῦ πάντων πατρὸς ὑπάρχους, οὗ μιμουμένους τὴν ἐπιστασίαν κατορθοῦν, πρυτανεύοντος κατὰ δίκην καὶ νόμον ἕκαστον τῶν γεγονότων· τοὺς δὲ μὴ βλέποντας τὸν ἐπιβεβηκότα ἡνίοχον, τοῖς ὑπεζευγμένοις ὡς αὐτουργοῖς τῶν ἐν κόσμῳ γινομένων ἀνάψαι τὰς αἰτίας· ὧν τὴν ἄγνοιαν ὁ ἱερώτατος
C νομοθέτης εἰς ἐπιστήμην μεθαρμόζεται λέγων ὧδε, Μὴ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς. εὐθυβόλως πάνυ καὶ καλῶς πλάνον εἶπε τὴν τῶν εἰρημένων ὡς θεῶν ἀποδοχήν. οἱ γὰρ ἰδόντες ἡλίου μὲν προσόδοις καὶ ἀναχωρήσεσι τὰς ἐτησίους ὥρας συνισταμένας, ἐν αἷς καὶ ζῴων καὶ φυτῶν καὶ καρπῶν γενέσεις ὡρισμένων χρόνων περιόδοις τελεσφοροῦνται, σελήνην
D δ' ὑπηρέτιν καὶ διάδοχον ἡλίου, νύκτωρ τὴν ἐπιμέλειαν καὶ προστασίαν ἀνειληφυῖαν, ὧν μεθ' ἡμέραν ἥλιος καὶ τοὺς ἄλλους ἀστέρας κατὰ τὴν πρὸς τὰ ἐπίγεια συμπάθειαν, μυρία τῶν ἐπὶ διαμονῇ τοῦ παντὸς ἐνεργοῦντάς τε καὶ δρῶντας, πλεῖον ἐπλανήθησαν αἰῶνα, μόνους εἶναι τούτους θεοὺς ὑποτοπήσαντες· εἰ δὲ ἐσπουδάκεσαν διὰ τῆς ἀπλανοῦς βαδίζειν ὁδοῦ, εὐθὺς ἂν ἔγνωσαν, ὅτι καθάπερ αἴσθησις ὑποδιάκονος νοῦ γέγονε,

τὸν αὐτὸν ὕπαρχοι καὶ οἱ αἰσθητοὶ πάντες ὑπηρέται τοῦ νοητοῦ συνέστησαν, ἀγαπήσαντες εἰ δευτερείων ἐφίξονται· παγγέλοιον δὲ εἰκάζ' ὅτι νοῦς μὲν ὁ ἐν ἡμῖν βραχύτατος ὢν καὶ ἀόρατος ἡγεμὼν τῶν αἰσθητικῶν ὀργάνων ἐστίν. ὁ δὲ τοῦ παντὸς ὁ μέγιστος καὶ τελεώτατος, οὐχὶ βασιλεὺς βασιλέων εἶναι πέφυκε, βλεπομένων οὐ βλεπόμενος. πάντας οὖν τοὺς κατ' οὐρανὸν οὓς αἴσθησις ἐπισκοπεῖ θεούς; οὐκ αὐτοκρατεῖς νομιστέον, τὴν ὑπάρχων τάξιν εἰληχότας, ὑπευθύνους μὲν φύσει γεγονότας, ἕνεκα δὲ ἀρετῆς εὐθύνην οὐχ ὑφέξοντας· ὥστε ὑπερβάντες τῷ λογισμῷ πᾶσαν τὴν ὁρατὴν οὐσίαν, ἐπὶ τὴν τοῦ ἀειδοῦς καὶ ἀοράτου καὶ μόνῃ διανοίᾳ καταληπτοῦ τιμὴν ἴωμεν, ὃς οὐ μόνον θεὸς θεῶν ἐστὶ νοητῶν τε καὶ αἰσθητῶν, ἀλλὰ καὶ πάντων δημιουργός. ἐὰν δέ τις τὴν τοῦ ἀιδίου καὶ ποιητοῦ θεραπείαν ἄλλῳ προσνέμῃ, νεωτέρῳ ἢ γενητῷ, φρενοβλαβὴς ἀναγεγράφθω καὶ ἔνοχος ἀσεβείᾳ τῇ μεγίστῃ. εἰσὶ δέ τινες οἳ χρυσὸν καὶ ἄργυρον ἀνδριαντοποιοῖς ὡς θεοπλαστεῖν ἱκανοῖς προέδοσαν· οἱ δὲ λαβόντες ἀργὴν ὕλην θνητῷ παραδείγματι προσχρησάμενοι, τὸ παραλογώτατον θεοὺς ὅσα τῷ δοκεῖν ἐμόρφωσαν, καὶ νεὼς κατασκευάσαντες καὶ ἱδρυσάμενοι βωμοὺς ἐδείμαντο, θυσίαις τε καὶ πομπαῖς καὶ ταῖς ἄλλαις ἱερουργίαις τε καὶ ἁγιστείαις ἐπιμελῶς πάνυ τε καὶ πεφροντισμένως γεραίρουσιν, ἱερέων καὶ ἱερειῶν τὸ περὶ ταῦτα τῦφον σεμνοποιούντων, ὡς ἔνιοι μάλιστα, οἷς ὁ τῶν ὅλων πατὴρ προσαγορεύει λέγων, Οὐ ποιήσετε ὑμῖν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς, μονονουχὶ οὐκ ἄντικρυς ἀναδιδάσκων, ὅτι οὐδ' ἐξ ἑτέρας ὕλης χειρόκμητον οὐδὲν τὸ παράπαν θεοπλαστήσετε, δύο κωλυθέντες ἐκ τῶν ἀρίστων. ἄργυρος γὰρ καὶ χρυσός, τὰ πρωτεῖα τῶν ἐν ὕλαις φέρονται· δίχα δὲ τῆς ῥητῆς ἀπαγορεύσεως, καὶ ἕτερον αἰνίττεσθαί μοι δοκεῖ τῶν πρὸς ἠθοποιίαν μάλιστα συντεινόντων, διελέγχων οὐδὲ μετρίως τοὺς φιλοχρημάτους, οἳ πανταχόθεν μὲν ἀργύρειον καὶ χρυσίον ἐκπορίζουσι, τὸ δὲ πορισθὲν ὡς ἄγαλμα θεῖον ἐν ἀδύτοις θησαυροφυλακοῦσιν, ἀγαθῶν αἴτιον καὶ τῆς συμπάσης εὐδαιμονίας τοῦτ' εἶναι νομίζοντες, καὶ ὅσοι μὲν τοῖς ἀπόροις κεκράτηνται χαλεπῇ νόσῳ φιλαργυρίᾳ· οὐκ ἔχοντες δὲ ἴδιον πλοῦτον ὃν θεραπείας ἀξιώσουσι, τὴν τῶν πλησίον τεθηπότες, καὶ προσκυνοῦντες ἕωθεν εἰς τὰς τῶν περιουσιαζόντων οἰκίας ἀφικνούμενοι, καθάπερ εἰς ἱερὰ μέγιστα προσευξόμενοι ἔρχονται, καὶ τἀγαθὰ παρὰ τῶν δεσποτῶν ὡς θεῶν αἰτησόμενοι· πρὸς

A ministri sunt illius intelligibilis, boni consulentes censeri se in secundo ordine. ridiculum autem esset opinari, mentem in nobis, cum sit parua & inuisibilis, præesse instrumentis sensuum: illam verò vniuersalem maximam perfectissimámque non habere regnum in reges ipsos, inuisibilem in visibiles. ergo credendum est omnes illos cælites qui percipiuntur sensibus, non esse sui iuris, nec habere potestatem propriam, sed subpræfe-B ctorum tenere ordinem, sic natura factos vt sint obnoxij, quamuis summus ille rector non reposcat ab eis rationem, propter virtutem ipsorum eximiam. Itaque transcensa per cogitationem omni visibili essentia, pergamus ad cultum illius inuisibilis qui sola mente percipitur, solus Deus deorum tam intelligibilium quàm sensibilium, atque etiam rerum cunctarum opifex. quòd si quis religionem quæ sempiterno conditori de-C betur, alteri iuniori aut creato tribuat, inter insanos referendus est ac impios. Sunt item quidam qui aurum argentúmque statuarijs, quasi Deos fingere scientibus, suppeditant. hi mox acceptam rudem materiam ad exemplar mortale formant, vt (quod est absurdissimum) talia simulacra pro dijs colantur, fanis constructis & dedicatis altaribus, honorentúrque pompis, sacrificijs & cæteris ritibus atque D ceremonijs per sacrificos & sacrificas augustum in modum exquisitis cura quoad fieri potest maxima. id rerum pater vetat prædicens: Non facietis vobis Deos aureos & argenteos. tantum non expresse docens, ne ex alia quidem vlla materia Deos manu faciendos esse, quando præcipuis duabus interdicitur. argentum enim & aurum primatum in metallis obtinent. Verùm præter hoc apertum interdictum, videtur mihi subesse hic & aliud E præceptum vtile moribus, auaros valde arguens, vndecunque argentum & aurum sibi quærentes, & acquisitum tanquam numen recondentes in penetralibus, totam suam fœlicitatem acceptam illi ferendo. quin & illos qui cum non possint proprias diuitias colere, quòd his careant, alienas mirantur, non minus auari quàm illi priores: quos adoraturi mane ad ædes eorum tanquam ad sanctissima templa cursitant, bona perituri ab his quasi numi-

nibus. Hos alibi quoque lex admonet: Idola non consectabimini, nec facietis vobis Deos fusiles: figurate docens, diuinos honores non cõuenire diuitijs. auro enim argentóque ferme constãt diuitiæ, quas vulgus sectatur sub illius cæci Pluti nomine, cui soli se debere felicitatẽ existimat: hoc est simulacris, vt scriptura loquitur, vmbris & vanis imaginibus, nihil solidũ firmúmve habentibus. ferũtur enim vltro citróque ventorũ in morem. id verum esse argumento certissimo colligitur: quia sicut interdũ repente aduolant, ita prius quã prehendantur, possessore illuso rursum auolant. atque etiam cum adsunt maxime, speculares quasdam repræsentant imagines, præstigias sensuũ, ludibriáque instabilia. Sed quid opus est fastũ istum & opulentiã, quam sibi homines fingunt, vanitatis coarguere, cum non desint qui existimẽt animalia stirpésque, & quicquid gignitur ac corrũpitur, perpetuo fluere, detrimentis tamẽ obscurioribus quàm vt sensui pateãt, quòd naturæ velocitatẽ visus quantũuis acer assequi nequeat. Nec tantùm opulẽtia gloriáque habent sua simulacra & inanes imagines, verũ & omnes isti fabulosi quos poetæ cõmenti sunt contra veritatem propugnatores mẽdacij, nouis dijs velut è machina introductis, vt ille verus sempiternúsque obliuioni traderetur. & quo facilius homines allicerẽt, carminibus, numeris metrísque ornarunt mendacium, rati se fucum facturos lectoribus. Nec hoc cõtenti assumpserũt in fraudis societatem pictores & statuarios, vt colorum specie figurísque affabre factis & expolitis spectatores inescatos subigerent, iniectis in præcipuos sensus visum auditúmque laqueis, alterum captum inanimis pulchritudinibus, alterum vero suaui incãtatione poetica, insinuante se in animam & vires eius labefaciente atque constantiam. Propterea legislator non ignarus ad quantam molem ista vanissima persuasio intumuerit, quantóque stipata sit plerorumque hominũ imperitorum satellitio, sponte sua potentiam eius protegentium, veritus nequando meditatores incorruptæ veræque pietatis, ab ea tanquam torrente raperentur inuoluerentúrque, profundos sanctitatis typos in auditorum mentes imprimit & insculpit, ne vnquam deleantur cõfundantúrve iniuria temporum, con-

A οὓς καὶ ἐν ἑτέροις φησίν, Οὐκ ἐπακολουθήσετε εἰδώλοις, καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσετε, διὰ συμβόλων ἀναδιδάσκων, ὅτι πλούτῳ τιμὰς ἀπονέμειν ἰσοθέους οὐ προσήκει. πλούτου γὰρ αἱ προὔχουσαι ὗλαι, χρυσὸς καὶ ἄργυρος χρῆσθαι πεφύκασιν, αἷς ἀκολουθοῦσιν οἱ πολλοὶ τὰ τοῦ λεγομένου τυφλοῦ πλούτου μόνα ἢ μάλιστα εὐδαιμονίας αἴτια νομίζοντες, τὰ δ᾽ ἐστίν, ἅ φησιν εἴδωλα, σκιαῖς ἐοικότα καὶ φάσμασιν, οὐδενὸς ἠρτημένα ἰσχυροῦ καὶ βεβαίου. φέρεται γὰρ τρόπον πνεύματος ἀστάτου B τροπὰς παντοίας ἐνδεχόμενα· σημεῖον δὲ τούτου ἐναργέστατον· μὴ προσλαβόντων ἐξαπιναίως ἐστὶν ὅτε προσέπτη, παγίως ἐνειλῆφθαι νομιζόντων πάλιν ἀπεδήμησε· καὶ ὅτε μέντοι πάρεστι, καθάπερ διὰ τῶν κατόπτρων εἴδωλα φαντάζεται, τὴν αἴσθησιν ἀπατῶντα καὶ καταγοητεύοντα, καὶ ὡς ἂν ὑφεστηκότα καὶ μὴ ὑπομένοντα. καὶ τί δεῖ τὸν ἀνθρώπων πλοῦτον καὶ τῦφον ὃν ἀναζωγραφοῦσιν αἱ κεναὶ δόξαι, δηλοῦν ὡς ἔστιν ἀβέβαιος; ἤδη γάρ C τινες καὶ τἄλλα πάντα ζῷα καὶ φυτά, ὧν γένεσις ἐστὶ καὶ φθορά, συνεχῶς μέν φασι καὶ ἀπαύστως ῥεῖσθαι, τὴν δ᾽ ἀπόρροιαν ἀδηλοτέραν αἰσθήσεως εἶναι, ἀεὶ νικώσης τῆς περὶ τὴν φύσιν ὀξύτητος, τὴν δι᾽ ὄψεως ἀκριβῆ προσβολήν. ἀλλ᾽ οὐ μόνον πλοῦτος καὶ δόξα καὶ τὰ τοιαῦτα εἴδωλα καὶ ἀμενηνοὶ σκιαί, ἀλλὰ καὶ πάντες οὓς μυθογράφοι διαπλασάμενοι ἐξετύφωσαν, ἐπιτειχίσαντες τὰς ψευδεῖς δόξας κατὰ τῆς ἀληθείας, θεοὺς καινοὺς ὥσπερ ἀπὸ μηχανῆς εἰσαγαγόντες ἕνεκα τοῦ μὴ τὸν ἀΐδιον D καὶ ὄντα ὄντως λήθῃ παραδοθῆναι· πρὸς δὲ τὸ εὐπαράγωγον, μέλεσι καὶ ῥυθμοῖς καὶ μέτροις ἐναρμόνιον τὸ ψεῦδος, νομίσαντες ῥᾳδίως καταγοητεύειν τοὺς ἐντυγχάνοντας· οὐ μὴν ἀλλὰ καὶ πλαστικὴν καὶ ζωγραφίαν συνεργοὺς τῆς ἀπάτης προσέλαβον, ἵνα χρωμάτων καὶ σχημάτων καὶ ποιοτήτων εὖ δεδημιουργημέναις ἰδέαις ὑπαγαγόντες τοὺς ὁρῶντας, καὶ τὰς ἡγεμονίδας αἰσθήσεις ὄψιν καὶ ἀκοὴν δελεάσαντες, τὴν μὲν ἀψύχοις εὐμορφίαις, τὴν δὲ εὐφωνίᾳ ποιητικῇ συναρπάσωσι τὴν ψυχὴν E ἀβέβαιον καὶ ἀνίδρυτον ταύτην ἀπεργαζόμενοι. διὰ τοῦτ᾽ ἐπιστάμενος ἐπὶ μέγα δυνάμεως προεληλυθότα τὸν τῦφον καὶ δορυφορούμενον ὑπὸ τῶν πλείστων ἀνθρώπων οὐκ ἐξ ἀνάγκης, ἀλλ᾽ ἑκουσίοις γνώμαις εὐλαβηθείς, μήποτε καὶ οἱ ζηλωταὶ τῆς ἀδεκάστου καὶ ἀληθοῦς εὐσεβείας, καθάπερ ὑπὸ χειμάρρου παρασυρῶσιν, ἐνσφραγίζεται βαθεῖς τύπους ταῖς διανοίαις ἐγχαράττων ὁσιότητος, ὑπὲρ τοῦ μὴ συγχυθέντας ἢ ἐπαλειφθέντας

A ἐμμυρωθῆναι ποτὲ χρόνῳ· συνεχῶς τ᾽ ἐπᾴδειν, ποτὲ μὲν λέγων, ὅτι θεὸς εἷς ἐστι καὶ κτίστης καὶ ποιητὴς τῶν ὅλων· ποτὲ δέ, ὅτι κύριος τῶν γεγονότων. ἐπειδὴ τὸ βέβαιον καὶ πάγιον καὶ κῦρος ὡς ἀληθῶς περὶ αὐτὸν εἶναι πέφυκε μόνον· λέλεκται δ᾽ ὅτι οἱ προσκείμενοι τῷ ὄντι θεῷ, ζῶσι πάντες. ἆρ᾽ οὐχ ἐπεί ἐστιν ὁ τρισμακάριος καὶ τρισευδαίμων βίος, ἀγαπητικῶς ἔχεσθαι τῆς θεραπείας τοῦ πρεσβυτέρου πάντων αἰτίου, καὶ μὴ τοὺς ὑποδιακόνους καὶ πυλωροὺς παρὲν τῆς βασιλείας θεραπεύειν ἀξιοῦν; B ἀθάνατος δὲ ζωὴ καὶ μακρὸς αἰὼν ἐν ταῖς τῆς φύσεως στήλαις ἀναγέγραπται· ταυτί τε τὰ γράμματα συνδιαιωνίζειν τῷ κόσμῳ ἀναγκαῖον. δυστόπαστος μὲν οὖν καὶ δυσκατάληπτος ὁ πατὴρ καὶ ἡγεμὼν τῶν συμπάντων ἐστίν, ἀλλ᾽ οὐ διὰ τοῦτο ἀποκνητέον τὴν ζήτησιν αὐτοῦ. δύο δ᾽ ἐν ταῖς περὶ θεοῦ ζητήσεσι τὰ ἀνωτάτω ταῦτα ἐπαπορεῖ ἡ διάνοια τοῦ φιλοσοφοῦντος ἀνόθως· ἓν μέν, εἰ ἔστι τὸ θεῖον, ἕνεκα τῶν ἐπιτηδευσάντων ἀθεότητα κακιῶν τὴν μεγίστην· C ἕτερον δέ, τὸ τί ἐστι κατὰ τὴν οὐσίαν. τὸ μὲν οὖν πρότερον οὐ πολὺς πόνος ἰδεῖν, τὸ δὲ δεύτερον οὐ χαλεπὸν μόνον, ἀλλὰ καὶ ἴσως ἀδύνατον· ἐπισκεπτέον δ᾽ ἑκάτερα· ἀεὶ γνωρίσματα τῶν δημιουργῶν πέφυκέ πως εἶναι τὰ δημιουργηθέντα. τίς γὰρ ἀνδριάντας ἢ γραφὰς θεασάμενος οὐκ εὐθὺς ἐνόησεν ἀνδριαντοποιὸν ἢ ζωγράφον. τίς δ᾽ ἐσθῆτας ἢ ναῦς ἢ οἰκίας ἰδὼν, οὐκ ἔννοιαν ἔλαβεν ὑφάντου καὶ ναυπηγοῦ καὶ οἰκοδόμου· παρελθὼν δέ τις εἰς πόλιν εὔνομον ἐν ᾗ τὰ τῆς πολιτείας σφόδρα καλῶς D κεκόσμηται, τί ἕτερον ὑπολήψεται ἢ ὅτι κρατεῖται ἥδε ἡ πόλις ὑπ᾽ ἀρχόντων ἀγαθῶν, τὸν οὖν ἀφικόμενον ἀληθῶς εἰς τὴν μεγαλόπολιν, τόνδε τὸν κόσμον, καὶ θεασάμενον τὴν ὀρεινὴν καὶ πεδιάδα πληθύουσαν ζώων τε καὶ φυτῶν καὶ ποταμῶν, αὐθιγενῶν καὶ χειμάρρων, ἐκφορὰς καὶ πελαγῶν ἀναχύσεις, καὶ εὐκρασίαν ἀέρος, τῶν ἐτησίων ὡρῶν τροπάς· εἶτα ἥλιον καὶ σελήνην τοὺς ἡμέρας καὶ νυκτὸς ἡγεμόνας, καὶ τὰς τῶν ἄλλων πλανητῶν τε καὶ ἀπλανῶν, καὶ τοῦ σύμπαντος οὐρανοῦ περιπολήσεις E καὶ χορείας, οὐκ εἰκότως, μᾶλλον δὲ ἀναγκαίως ἔννοιαν λήψεσθαι δεῖ τοῦ πατρὸς καὶ ποιητοῦ καὶ προσέτι ἡγεμόνος; οὐδὲν γὰρ τῶν τεχνικῶν ἔργων ἀπαυτοματίζεται. τεχνικώτατος δὲ ὁ κόσμος, ὡς ὑπό τινος τὴν ἐπιστήμην ἀγαθοῦ καὶ τελειοτάτου πάντως δεδημιουργῆσθαι. τοῦτον τὸν τρόπον ἔννοιαν ἐλάβομεν ὑπάρξεως θεοῦ· τὴν οὐσίαν, εἰ καὶ δυσθήρατον καὶ δυσκατάληπτον εἶναι συμβέβηκεν, ὅμως καθ᾽ ὅσον ἐνδέχεται διερευνητέον. οὐδὲν γὰρ

tinue cantionem tandem repetens: vnum esse Deum conditorem factorémque rerum vniuersarum, & hunc dominari creaturis omnibus, quandoquidem vere firma constánsque penes ipsum solum est autoritas. Dictum est autem omnes viuere, quicunque Deo vero adhærent. an non igitur felicissima & ter beata vita fuerit, vnum rerum autorem antiquissimum colere potius, quàm hoc rege posthabito venerari ianitores eius apparitorésque? nam vitæ huius immortalitas relata est in naturæ tabulas, duraturis in æternum vnà cum mundo literis. Difficile quidem videtur quærere perciperéque patrem & rectorem vniuersorum, sed conandum tamen impigre. occurrunt autem hic duo præcipue quærenda menti germane philosophanti. Vnum, an sit Deus, quod negat quorundam pessima impietas: alterum, quid sit Deus. horum primum non magno discitur negocio: secundum verò non solum difficile est discere, sed etiam fortassis impossibile. consideremus vtrumque. Opifices plerunque noscuntur ex opificijs. quis enim inspecta statua vel tabula, non statim intelligit pictorem vel statuarium? quis vestibus, nauibus, domibus inspectis, non cogitat textorem, materiarium, cæmentarium? item dum aliquis adit vrbem cuius bene constituta sit res publica, ornatáque pulchris legibus, quid aliud credet quàm bonos ei magistratus præesse? sic qui venit in hanc veram Megalopolim, mundum videlicet, videns terræ montana & campestria plena stirpibus & animalibus, amnibus perennibus & torrentibus, pabulis & maritimis subuectionibus, tum aeris temperiem & mutationes vicésque annuas temporum, ad hæc solem lunámque noctis & diei principes, cæteráque sidera vel fixa vel erratica, totiúsque cæli choreas & ambages: nónne verisimilem atque adeò necessariam cogitationem de horum patre conditore atque rectore concipiet? nullum enim artificiosum opus sponte prouenit. mundus autem arte summa factus est, dubio procul à conditore optimo ac perfectissimo. Ita iam esse Deum percepimus. Nunc essentiam huius, quamuis vestigatu inuentúque difficilem, tamen quoad fieri potest scrutari libet. nihil enim

magis quàm verus Deus quærendum est, etiamsi eius inuentio supra vires humanas sit: quandoquidē ipsum per se discendi studium incredibilem affert voluptatē ac læticiam, sicut testantur quicunque non summis labris degustarunt philosophiam, sed affatim oblectati sunt dogmatum eius epulis. horū enim ratio sublimis à terris rapta incedit per æthera, totum cælum cum sole ac luna perlustrans studio visendi omnia, quamuis hebetiore visu vix ferat clarissimū sincerissimúmque splendorem effusum obuiam, ita vt animæ oculis caliget ad eius radios, & quasi tentetur quadam vertigine. nec tamen ab incepto desistit præ lassitudine, sed inuicta contentione pergit cōtēplari pro viribus, vel ad secundam palmam aspirans, sicut in sacris certaminibus, quando non datur primam assequi. post imaginationem autem veri coniectura secundum locum obtinet, in quantum non discrepat à bonis rationibus ac probabilibus. Quemadmodum igitur certo scire non possumus, cuiusque stellæ qualis sit essentia, quærimus tamen alacriter, oblectamúrque rationibus verisimilibus propter genuinum discendi desiderium: ad eundem modum licet verum illud ens Deum non valeamus cernere, debemus indesinenter eum quærere, quando hæc consideratio vel per se ipsa citra inuentionem, res est summe desiderabilis. nam nec corporis oculis quisquam vertit vicio, quòd cum non possint solem ipsum obtueri, radiorum ab eo in terram defluentiū splendorem extremum aspiciunt. quapropter amicus Dei Moses & mysteriorum eius interpres, supplex precatur: Ostende mihi teipsum: tantum non diserte proclamare coactus, Esse te docente mundo didici, qui me vt filius de patre, vt opus docuit de artifice. quæ porrò tua sit essentia cum scire cupiam, qui me hoc docere possit in vniuerso mūdo inuenio neminem. oro igitur vt exorari te patiaris ab amico supplice, & qui solus potes opem afferas. Sicut enim lux à nulla re illustratur, sed seipsa ostendit, sic tu te solus potes ostendere. sit ergo venia confugere ad te audenti propter penuriam magistrorum in summo discendi desiderio. Ad hæc Deus: Ardorē discendi probo vt meretur, cæterum quod petis, neminē natum impetrare fas est.

A ἄμεινον τοῦ ζητεῖν τὸν ἀληθῆ θεόν, κἂν ἡ εὕρεσις αὐτοῦ διαφύγῃ τὴν ἀνθρωπίνην δύναμιν· ἐπεὶ καὶ ἡ περὶ τοῦ βούλεσθαι μαθεῖν σπουδὴ, ἀλέκτους ἡδονὰς καθ' ἑαυτὴν καὶ εὐφροσύνας ἐργάζεται. μάρτυρες δ' οἱ μὴ χείλεσιν ἄκροις γευσάμενοι φιλοσοφίας, ἀλλὰ τῶν λόγων καὶ δογμάτων αὐτῆς ἐπιπλέον ἑστιαθέντες. τούτων γὰρ ὁ λογισμὸς ἀπὸ τῆς γῆς ἄνω μετέωρος ἀρθεὶς αἰθεροβατεῖ, καὶ συμπεριπολῶν ἡλίῳ καὶ σελήνῃ καὶ τῷ σύμπαντι οὐρανῷ, ταῦτα πάντα γλιχόμενος ἰδεῖν, ἀμυδροτέ-
B ραις χρῆται ταῖς προσβολαῖς, ἀκράτου καὶ πολλοῦ φέγγους ἐκχεομένου, ὡς τὸ τῆς ψυχῆς ὄμμα σκοτοδινιᾶν ταῖς μαρμαρυγαῖς· ἀλλ' οὐ διὰ τοῦτο προκάμνων ἀπαγορεύει, γνώμῃ δ' ἀηττήτῳ πρὸς τὴν ἐνδεχομένην θέαν ἵεται, καθάπερ ἐν ἄθλοις δευτερείων μεταποιούμενος, ἐπεὶ τῶν πρωτείων ἐσφάλη. φαντασίας δ' ἀληθοῦς δευτερεῖά ἐστιν εἰκασία καὶ στοχασμός, καὶ ὅσοι εἰς τὴν τῶν εὐλόγων καὶ πιθανῶν ἰδέαν ἀνάγονται. καθάπερ οὖν οἷός ἐστι
C τῶν ἀστέρων ἕκαστος κατὰ τὴν οὐσίαν εἰλικρινῶς, οὔτ' εἰδότες, οὔτε σαφῶς δυνάμενοι διαγνῶναι, ζητεῖν ὅμως προθυμούμεθα, τερπόμενοι τοῖς εἰκόσι λόγοις ἕνεκα τοῦ φύσει φιλομαθοῦς· τὸν αὐτὸν τρόπον καὶ τὸν κατὰ τὸ ὄντως ὄντα θεόν, ἐναργοῦς φαντασίας ἀμοιροῦντες, ὀφείλομεν μὴ ἀπολείπεσθαι τῆς ζητήσεως αὐτοῦ, διὰ τὸ τὴν σκέψιν καὶ ἄνευ τῆς εὑρέσεως καθ' αὑτὴν περιπόθητον εἶναι· ἐπεὶ καὶ τοῦ σώματος ὀφθαλμοὺς οὐδεὶς αἰτιᾶται, παρ' ὅσον ἥλιον αὐτὸν ἰδεῖν ἀδυνατοῦντες, τὴν φερομένην ἀπόρροιαν τῶν
D ἀκτίνων ἐπὶ γῆν ὁρῶσιν, ἡλιακῆς αὐγῆς ἔσχατον φέγγος· εἰς ἅπερ ἀπιδὼν ὁ ἱεροφάντης καὶ θεοφιλέστατος Μωσῆς ἱκετεύει τὸν θεὸν λέγων, Ἐμφάνισόν μοι σαυτόν, μονονουχὶ καταρρηθεὶς καὶ βοῶν ἄντικρυς, ὅτι τοῦ μὲν εἶναί σε καὶ ὑπάρχειν, διδάσκαλος καὶ ὑφηγητής μοι γέγονεν ὁ κόσμος, καὶ ὡς υἱὸς ἀναδιδάξας με περὶ τοῦ πατρός, καὶ ὡς ἔργον περὶ τοῦ τεχνίτου. τίς δὲ κατὰ τὴν οὐσίαν τυγχάνεις ὤν, διαγνῶναι ποθῶν, οὐδένα τοῦ μαθήματος τούτου ὑφηγητὴν
E ἐν οὐδενὶ τῶν τοῦ παντὸς μερῶν ἀνευρίσκω. διὸ δέομαι καὶ ποτνιῶμαι προσέσθαι τὴν ἱκετείαν ἀνδρὸς ἱκέτου καὶ φιλοθέου, καὶ μόνον θεραπεύειν ἀξιοῦντος. ὡς γὰρ τὸ φῶς ὑφ' ἑτέρου μὴ γνωριζόμενον, ἀλλ' ἑαυτοῦ γνώρισμά ἐστιν, οὕτω καὶ σὺ σαυτὸν μόνος ἂν φῆναι δύναιο. διὸ συγγνώμης ἀξιῶ τυχεῖν, εἰ σπάνει τοῦ διδάξοντος ἐπὶ σὲ καταφυγεῖν θαρρῶ διὰ τὴν σπουδὴν τοῦ μαθεῖν. ὁ δὲ τὴν μὲν προθυμίαν φησὶν ἐπαινετὴν οὖσαν ἀποδέχομαι, τὸ δ' αἴτημα οὐδενὶ τῶν εἰς γένεσιν ἡκόντων ἐφαρμόζει. χαρίζομαι

χαρίζομαι δὲ τὰ οἰκεῖα τῷ ληψομένῳ. οὐ γὰρ ὅσα μοι δύναμαι ῥᾴδιον, καὶ ἀνθρώπῳ λαβεῖν δυνατόν· ὅθεν ὀρέγω τῷ χάριτος ἀξίῳ πάσας ὅσας ἂν οἷός τε ᾖ δέξασθαι δωρεάς. τὴν δ' ἐμὴν κατάληψιν οὐχ ὅτι ἀνθρώπου φύσις, ἀλλ' οὐδ' ὁ σύμπας οὐρανός τε καὶ κόσμος δυνήσεται χωρῆσαι. γνῶθι δὴ σαυτόν, καὶ μὴ συμπαραφέρου ταῖς ὑπὲρ δύναμιν ὁρμαῖς καὶ ἐπιθυμίαις, μηδέ σε τῶν ἀνεφίκτων ἔρως αἱρέτω καὶ μετεωριζέτω. τῶν γὰρ ἐφικτῶν οὐδενὸς ἀμοιρήσεις. ταῦτ' ἀκούσας ἐπὶ δευτέραν ἱκεσίαν ἦλθε, καί φησι, πέπεισμαι μὲν ταῖς σαῖς ὑφηγήσεσιν, ὅτι οὐκ ἂν ἴσχυσα δέξασθαι τὸ τῆς σῆς φαντασίας ἐναργὲς εἶδος· ἱκετεύω δ' ἐγώ, τὴν γοῦν περὶ σὲ δόξαν θεάσασθαι· δόξαν δὲ σὴν εἶναι νομίζω τὰς σὲ δορυφορούσας δυνάμεις, ὧν διαφεύγουσα ἡ κατάληψις ἄχρι τοῦ παρόντος, οὐ μικρὸν ἐργάζεταί μοι πόθον τῆς διαγνώσεως· ὁ δὲ ἀμείβεται καί φησιν, ἃς ἐπιζητεῖς δυνάμεις, εἰσὶν ἀόρατοι καὶ νοηταὶ πάντως, ἐμοῦ τοῦ ἀοράτου καὶ νοητοῦ· λέγω δὲ νοητὰς, οὐχὶ τὰς ἤδη ὑπὸ τοῦ νοῦ καταλαμβανομένας, ἀλλ' ὅτι εἰ καὶ καταλαμβάνεσθαι οἷαί τ' εἶεν, οὐκ ἂν αἴσθησις αὐτάς, ἀλλ' ἀκραιφνέστατος νοῦς καταλαμβάνειν πέφυκεν· αἱ δ' ἀκατάληπτοι κατὰ τὴν οὐσίαν, ὅμως παραφαίνουσιν ἐκμαγεῖόν τι καὶ ἀπεικόνισμα τῆς αὐτῶν ἐνεργείας. οἷαι παρ' ὑμῖν σφραγῖδες, ὅταν προσενεχθῇ κηρὸς ἤ τις ὁμοιότροπος ὕλη, μυρίους ὅσους τύπους ἐναπομάττονται μηδὲν ἀκρωτηριασθεῖσαι μέρος, ἀλλ' ἐν ὁμοίῳ μένουσαι· τοιαύτας ὑποληπτέον καὶ τὰς περὶ ἐμὲ δυνάμεις περιποιούσας ἀποίοις ποιότητας, καὶ μορφὰς ἀμόρφοις, καὶ μηδὲν τῆς ἀιδίου φύσεως μήτ' ἀλλαττούσας μήτε μειουμένας· ὀνομάζουσι δ' αὐτὰς οὐκ ἀπὸ σκοποῦ τινὲς τῶν παρ' ὑμῖν ἰδέας, ἐπειδὴ ἕκαστον τῶν ὄντων ἰδιοποιοῦσι, τὰ ἄτακτα τάττουσαι, καὶ τὰ ἄπειρα καὶ ἀόριστα καὶ ἀσχημάτιστα, περατοῦσαι καὶ περιορίζουσαι, καὶ σχηματίζουσαι, καὶ συνόλως τὸ χεῖρον εἰς τὸ ἄμεινον μεθαρμοζόμεναι· μήτ' οὖν ἐμέ, μήτε τινὰ τῶν ἐμῶν δυνάμεων κατὰ τὴν οὐσίαν ἐλπίσῃς ποτὲ δυνήσεσθαι καταλαβεῖν· τῶν δ' ἐφικτῶν, ὡς εἶπον, ἑτοίμως καὶ προθύμως μεταδίδωμι· ταῦτα δέ ἐστιν ἐπὶ τὴν τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ καλέσαι θέαν, ἣν οὐ σώματος ὀφθαλμοῖς, ἀλλὰ τοῖς διανοίας ἀκοιμήτοις ὄμμασι συμβαίνει καταλαμβάνεσθαι· μόνος ὁ σοφίας ἵμερος συνεχὴς ἔστω καὶ πυκνός, ὃς δογμάτων ἀοιδίμων καὶ περικαλλεστάτων ἀναπίμπλησι τοὺς φοιτητὰς καὶ γνωρίμους αὐτῆς. ταῦτ' ἀκούσας, οὐκ ἐπαύσατο τῆς ἐπιθυμίας, ἀλλ' ἔτι τὸν ἐπὶ τοῖς

A tibi tantũ largiar quantum conuenit: nec enim quicquid ego dare possũ facile, id & homo potest accipere. ideo cum dignus sis mea gratia, donaberis omnibus quorũ capax es muneribus. mei verò noticiam tantũ abest vt natura humana capiat, vt ne totũ quidẽ cælum totúsve mũdus possit eam capere. Nosce teipsum, nec sinas te cupidine rerũ quibus impar es abripi, & sublimiora te noli plus æquo appetere. potieris enim omnibus, quibus potiri fas
B erit. His ille auditis preces iterat. Persuades, inquit, mihi me non posse manifestam imaginationẽ tui mente concipere: oro tamen, vt saltẽ gloriam tuã videre liceat. gloriam dico potestates quarũ stiparis satellitio, quæ hactenus ignoratæ miro me torquent cognitionis desiderio. Tum Deus: Quas quæris potestates, vtique intelligibiles sunt, non visibiles, sicut ipse sum inuisibilis & intelligibilis. intelligibiles inquã, non quod iam intellectæ sint, sed quia
C si cõprehendi possent, dũtaxat mente, non sensibus, essent cõprehensibiles, cum mentis natiuus vigor taliũ rerum sit capacior. attamen quamuis earũ essentia sit incõprehensibilis, videre licet sigillũ quoddam & effigiem earum efficaciæ: quomadmodum apud vos anulis in ceram impressis similémve materiam, exprimuntur figuræ variæ, & quidem integræ omnibus sui partibus. tales cogitãdę sunt potestates, quę mihi astant pro apparitoribus, & qua-
D litates formásque addunt rebus qualitate formáque carentibus, absque vllo sempiternæ suæ naturæ detrimẽto. hæ non temere ideæ nominãtur à quibusdam vestratibus, quia singula ἰδιοποιοῦσι, hoc est suam cuique reddunt proprietatem, inordinata redigunt in certum ordinẽ, infinita, indeterminata, informia formant, definiunt, terminãt, & in vniuersum deteriora in melius reparãt. Non est igitur quod speres te percepturũ vnquam vel meipsum, vel vl-
E lam è meis potestatibus. quorũ autem capax es, libenter (vt dixi) facio tibi copiam. patebit tibi mundi & eorum quæ in ipso continentur spectaculum, non corporis, sed mẽtis peruigili collustrandum, comprehendendúmque oculo. tu modo perge amare indesinẽter sapientiam, quæ suos discipulos explet laudatissimis honestissimisque placitis ac sententijs. His auditis confirmatum est in eo sapientiæ studium,

& hodiéque ad rerũ inuisibilium amorẽ excitat omnes sui similes, complectens tum populares, tum eos qui aliũde transitionem fecerunt ad meliorẽ ordinẽ: alteros vt à nobilitate non degeneres, alteros vt in generis societatẽ ascitos à nobilibus. quales vocantur proselyti seu aduenæ, quòd postquam aliunde venere nouelli coloni sint ascripti in ciuitatem, qui cõtemptis figmentis fabularum, sincera instituta recipiunt. omnes autẽ æquo iure vti voluit tam aduenas quàm indigenas, veteres ciues admonẽs vt hos nouos non solum honorent, verum etiam eximia prosequantur beneuolẽtia. & merito. Cum reliquerint patriã, cognatos amicósque pietatis ergô sanctitatísque, nõ excludantur ab alijs ciuitatibus, familijs, amicitijs, sed pateant receptacula hominibus ad religionẽ veram transfugientibus. nam vnius Dei cultus est amoris mutuæque beneuolẽtiæ vinculũ insolubile. exæquatis autem honore iuréque cum alijs ciuibus, propter abdicatam superstitionẽ traditã sibi dudũ à maioribus, non permittit effreni linguæ petulantia conuiciari dijs creditis falsa persuasione aliarũ gentium, ne & illæ iritatæ prorumpant in voces nefarias contra Deum optimũ maximum, nimirũ non docti verum à falso discernere propter deprauatam institutionem & errorem iam inueteratũ. interdum tamen reperiuntur quidam è ciuibus, qui omisso vnius Dei cultu à pietate deficiunt, & ordinem suum deserũt, plectendi pœna vltima, quòd tenebras præponant luci clarissimæ, & data opera mentem excæcant, cum potuerint verum cernere. permissum est autẽ cuiuis bene nato educatóque & maiorũ virtutis æmulo, à talibus sine mora pœnas sua manu exigere, non expectato assensu senatus & iudicum, imò ne delato quidem nomine: & sequi animi amantis Deum infestíque vicijs impetũ cõcitati aduersus impios nulla dignos clementia, semel accepta potestate senatus, iudicum, prætorum, tribunorũ, accusatorum, testium, legũ, populi, vt absque omnibus impedimẽtis intrepide pro pietate decertare liceat. & extat in sacris legũ voluminibus exemplũ tam præclari facinoris. Vir quidam conspicatus ciues suos in amplexus exterarũ ruere, pellicique harũ blandicijs in ritus alienos à religione patria, atque etiam sacris earum

A ἀοράτοις πόθον ἐζωπύρει, καὶ πάντας τοὺς ὁμοιοτρόπους, εἴτ' οὖν φύντας ἐξ ἀρχῆς, εἴτε καὶ ἐκ τοῦ μεταβάλλεσθαι πρὸς τὴν ἀμείνω τάξιν κρείττους γεγονότας, ἀποδέχεται· τοὺς μὲν, ὅτι τὴν εὐγένειαν οὐ κατέλυσαν· τοὺς δ', ὅτι πρὸς εὐγένειαν ἠξίωσαν μεθαρμόσασθαι· τούτους δὲ καλεῖ προσηλύτους ἀπὸ τοῦ προσεληλυθέναι καινῇ καὶ φιλοθέῳ πολιτείᾳ, οἳ μυθικῶν μὲν ἀλογοῦσι πλασμάτων, περιέχονται δ' ἀκραιφνοῦς πολιτείας. ἰσοτιμίαν γοῦν ἅπασιν ἐπηλύταις μεταδοὺς καὶ χαρισάμενος ὅσα καὶ

B τοῖς αὐτόχθοσι, παραινεῖ τοῖς εὐπατρίδαις μὴ μόνον αὐτοὺς τιμαῖς γεραίρειν, ἀλλὰ καὶ ἐξαιρέτῳ φιλίᾳ καὶ εὐνοίᾳ περιέπειν· καὶ μήποτ' εἰκότως; ἀπολελοιπότες, φησὶ, πατρίδα καὶ φίλους καὶ συγγενεῖς δι' ἀρετὴν καὶ ὁσιότητα, μὴ ἀμοιρείτωσαν ἑτέρων πόλεων καὶ οἰκείων καὶ φίλων, ἀλλ' ἔστωσαν ἔφεδροι καταφυγαὶ τοῖς πρὸς εὐσέβειαν αὐτομολοῦσι. φίλτρον γὰρ ἀνυσιμώτατον καὶ δεσμὸς ἄλυτος εὐνοίας ἑνωτικῆς, ἡ τοῦ ἑνὸς θεοῦ τιμή. προστάττει δὲ μὴ

C παρ' ὅσον αὐτοῖς ἰσονομίαν καὶ ἰσοτέλειαν ἐπηλύταις παρέχει κατεγνωκόσι τοῦ πατρῴου καὶ προγονικοῦ τύφου, στομαργίᾳ χρήσασθαι καὶ ἀχαλίνῳ γλώσσῃ βλασφημοῦντας, οὓς ἕτεροι νομίζουσι θεοὺς εἶναι, μὴ κἀκεῖνοι διακινηθέντες, ἃ μὴ θέμις φθέγξωνται κατὰ τοῦ ὄντως ὄντος. ἀγνοίᾳ γὰρ τῆς διαφορᾶς, ἅτε τὸ ψεῦδος ὡς ἀληθὲς προμαθόντες ἐκ παίδων, καὶ σύντροφον ἔχοντες, ἐξαμαρτήσονται. εἰ δ' ἀπὸ τοῦ ἔθνους εἰσί τινες οἱ καθυφιέντες τὴν τοῦ

D ἑνὸς τιμὴν ὡς λιπόντες τὴν ἀναγκαιοτάτην τάξιν εὐσεβείας καὶ ὁσιότητος, ταῖς ἀνωτάτω τιμωρίαις ὀφείλουσι κολάζεσθαι, σκότος αἱρούμενοι πρὸ αὐγοειδεστάτου φωτὸς, καὶ τυφλὴν ἀπεργαζόμενοι διάνοιαν, ὀξὺ καθορᾶν δυναμένην· καὶ ἐπιτέτραπται δὲ καλὸν ἅπασι τοῖς ζῆλον ἔχουσιν ἀρετῆς, ἐκ χειρὸς ἀναπράττειν ἀνυπερθέτως τὰς τιμωρίας, μήτ' εἰς δικαστήριον, μήτ' εἰς βουλευτήριον, μήτε συνόλως ἐπ' ἀρχὴν ἄγοντας, ἀλλὰ

E τῷ παραστάντι μισοπονήρῳ πάθει καὶ φιλοθέῳ καταχρῆσθαι πρὸς τὰς τῶν ἀσεβῶν ἀπαραιτήτους κολάσεις, νομίσαντας αὐτοὺς ὑπὸ τοῦ καιροῦ τὰ πάντα γεγενῆσθαι, βουλευτὰς, δικαστὰς, στρατηγοὺς, ἐκκλησιαστὰς, κατηγόρους, μάρτυρας, νόμους, δῆμον, ἵνα μηδενὸς ὄντος ἐμποδὼν, ἄφοβοι σὺν ἀδείᾳ πολλῇ προαγωνίζωνται ὁσιότητος. ἀναγέγραπταί τις ἐν τοῖς νόμοις, ὃ καλὸν τοῦτο τόλμημα τολμήσας. ἐπειδὴ γὰρ ἐθεάσατό τινας ἀλλοφύλοις συνόντας γυναιξὶ, καὶ ἕνεκα τῶν πρὸς αὐτὰς φίλτρων ἀλογοῦντας μὲν τῶν πατρίων, τελουμένους δὲ τὰς

A μυηθεὶς τελετὰς, ἕνα τὸν ἔξαρχον καὶ ἡγεμόνα τῆς παρανομίας καταθαρροῦντα· ἤδη γὰρ παρεπεδείκνυτο δημοσίᾳ τὸ ἀνοσιούργημα· καὶ θυσίας ἀγάλμασι καὶ ξοάνοις ἀθύτους φανερῶς ἐπιτελοῦντα, παρόντος ἅπαντος τοῦ πλήθους ἐνθουσιῶν. διείρξας τοὺς παρ' ἑκάτερα ἐπὶ τὴν θέαν ἠθροισμένους, οὐδὲν εὐλαβηθεὶς, ἀναιρεῖ σὺν τῇ γυναικί· τὸν μὲν ἕνεκα τῆς εὐμαθείας ὧν λυσιτελὲς ἀπομανθάνειν· τὴν δ' ὅτι διδάσκαλος κακῶν ἐγένετο. τουτὶ δὲ ἔργον ἐξαίφνης δραθὲν ἐν θερμῷ παραστήματι, μυρίους ἐνουθέτησε τῶν ἐπὶ ταὐτὰ παρασκευαζομένων. B ἐπαινέσας οὖν ὁ θεὸς τὴν ἀριστείαν αὐτοκέλευστον καὶ ἐθελουργῷ σπουδῇ γενομένην, διτταῖς αὐτὸν ἀναστέφει δωρεαῖς, εἰρήνῃ καὶ ἱερωσύνῃ· τῇ μὲν, ἄξιον διακρίνας ἀπολέμου μεταποιεῖσθαι βίου τὸν ἀρξάμενον τοὺς ὑπὲρ τιμῆς θεοῦ ἀγῶνας· τῇ δ', ὅτι γέρας εὐσεβοῦς ἀνδρὸς οἰκειότατον ἱερωσύνη, θεραπείαν ἐπαγγελλομένου τοῦ πατρὸς, ᾧ τὸ δουλεύειν οὐκ ἐλευθερίας μόνον, ἀλλὰ καὶ βασιλείας ἄμεινον. ἔνιοι δὲ τοσαύτῃ χρῶνται μανίας ὑπερβολῇ, ὥστε οὐδ' ἀναχώρησιν C ἑαυτοῖς πρὸς μετάνοιαν ἀπολιπόντες, ἵενται πρὸς δουλείαν τῶν χειροκμήτων, γράμμασιν αὐτὴν ὁμολογοῦντες, οὐκ ἐν χαρτιδίοις ὡς ἐπὶ τῶν ἀνδραπόδων ἔθος, ἀλλ' ἐν τοῖς σώμασι καταστίζοντες αὐτὴν σιδήρῳ πεπυρωμένῳ πρὸς ἀνεξάλειπτον διαμονήν. οὐδὲ γὰρ χρόνῳ ταῦτα ἀμαυροῦνται. τὴν δ' ὁμοίαν προαίρεσιν ὁ ἱερώτατος Μωσῆς καὶ ἐπὶ τῶν ἄλλων ἁπαξαπάντων σώζειν ἔοικεν, ἀληθείας ἐραστὴς ὢν καὶ διδάσκαλος, ἣν καὶ πᾶσι τοῖς γνωρίμοις ἐγχαράττειν καὶ ἐνσφραγίζειν ποθεῖ, τὰς D ἀψευδεῖς δόξας καὶ τὰς ψευδεῖς μακρὰν τῆς διανοίας ἀποικίζων. ἐπιστάμενος γοῦν ὅτι πλάνῳ τῶν πολλῶν βίῳ συμπαρατείνουσαν οὐ μετρίως εἰς ἀνοδίαν μαντικὴν, οὐδενὶ τῶν εἰδῶν αὐτῆς ἐᾷ χρῆσθαι, πάντας δὲ τοὺς κολακεύοντας αὐτὴν ἐλαύνει τῆς ἰδίας πολιτείας, θύτας, καθαρτὰς, οἰωνοσκόπους, τερατοσκόπους, ἐπᾴδοντας, κληδόσιν ἐπανέχοντας. στοχασταὶ γὰρ πάντες οὗτοι πιθανῶν καὶ εἰκότων, ἄλλοτε ἄλλας ἀπὸ τῶν αὐτῶν φαντασίας λαμβάνοντες, διὰ τὸ μήτε τὸ ὑποκείμενον φύσιν ἔχειν πάγιον, μήτε E τὴν διάνοιαν ἀκριβῆ βάσανον πεποιῆσθαι, ᾗ βασανισθήσεται τὰ δόκιμα· παρασκευαὶ δὲ ταῦτα εἰσὶν ἀσεβείας. διὰ τί; ὅτι ὁ προσέχων καὶ πειθόμενος αὐτοῖς ἀλογεῖ τοῦ πάντων αἰτίου, μόνα ταῦθ' ὑπολαμβάνων ἀγαθῶν εἶναι καὶ κακῶν αἴτια, καὶ οὐκ αἰσθάνεται τὰς τοῦ βίου φροντίδας ἐξάπτων ἀβεβαιοτάτων πεισμάτων, ὀρνίθων καὶ πτερῶν φορᾶς ἐν ἀέρι τῇδε κἀκεῖσε,

initiari, principem eius factionis & legum contemptus autoré præferocem (iam enim propalã ostentabatur audacia nefaria, & simulacris mactabantur victimæ) in cõspectu totius populi furore diuino percitus, dimotis turbis quæ ad spectandũ conuenerãt, fortiter aggressus interemit vnà cum muliere: ipsum quia facilem se discipulũ præbuerat ad discenda quæ satius fuisset dediscere, illã verò quòd maliciæ nequiciæque magistra fuerat. id tam calidum facinus repente visum castigauit plurimos, & reuocauit ad officiũ. Quocirca Deus laudauit strenue nauatam operam iniussu magistratuũ, & promptam alacritatẽ honorauit duplici præmio, pace ac sacerdotio: tum quia iudicauit immunẽ à malitia debere esse in posterũ propugnatorem diuini cultus fortissimum: tum quia sacerdotalis honor pietati debeatur merces propria, quæ est professio seruiendi cælesti parenti optimo, cui seruire optabilius est quàm regnare, nedũ esse liberum. non desunt tamen quidã prolapsi eò insaniæ, vt ne receptũ quidem ad pœnitẽtiam sibi reliquũ faciant, ad cultum simulacrorum præcipites, confirmantes eam seruitutẽ literis, non in chartula scriptis sicut mos est mancipiorũ, sed inustis in corpus ferro ignito ne deleri queant postea. nam hæ non obscurãtur vllo tẽpore. At legifer Moses vir sanctissimus idem propositum per omnia cætera tenuit, vtpote veritatis amator atque magister, cunctis suæ gentis hominibus cupiens hanc imprimere in præcordia, procul reiectis falsis opinionibus. proinde cum sciret hunc errorẽ vitæ non mediocriter foueri prauis diuinationibus, totum hoc genus auersatur maxime, diuinos cunctos arcens in perpetuũ à sua republica, sacrificos, expiatores, auspices, prodigiorũ procuratores, incantatores, sortilegos. omnes enim hi coniecturis ducũtur in speciem probabilibus, easdem res aliter atque aliter interpretando, tum quia subiectum eorum non habet naturam stabilem, tum quia ipsi carent ratione accurata examinandi conceptus suarum mentium. impietatis apparatus isti sunt. quare? quia qui attendit his & obsequitur, credens hinc pendere bona maláque, contemnit autorem rerum omnium: nec intelligunt se vitæ curas committere incertissimis alitum motibus per aerem vltro citróque

A que volitantium, & reptilium è terræ cauernis quærendi cibi causa proreptantium: item visceribus pecudum, cruori & cassis anima cadaueribus collapsis vt mutentur in deterius. requirit enim lex in huic ciuitati ascripto absolutam scientiam, non istarum artium quibus vulgus instituitur à teneris, quales sunt diuinationum sortilegiorúmque coniecturis nitentium: sed certæ persuasionis & veritatis indubitatissimæ qua Deus & pietas perdiscitur. B sed quoniam à natura insitum est hominibus prænoscendi futura desiderium, & ideo multi se ad aruspicinam similésque diuinandi artes applicant, sperántque harum ope se fore voti compotes, cum tamen seipsæ vanitatis coarguant, seuere vsus earum interdicitur. nec enim defore pietatis veræ cultoribus futurorum præscientiam: exoriturum repente C prophetam aliquem qui vaticinetur correptus numine, nihil de suo dicens (nec enim scit quid dicat qui vere diuinat) sed quicquid proferet quasi alio dictante interpretans. Deus enim per prophetas loquitur, quibus pro instrumentis vtitur ad significanda quæcunque voluerit. Hæc & similia postquam de vno vero Deo cognoscendo vates legifer nos præmonuit, deinceps præscribit quo ritu eum coli oporteat.

καὶ χαμαιζήλων ἑρπετῶν, ἃ τῶν φωλεῶν ἀνέρπει πρὸς ζήτησιν τροφῆς· ἔτι δὲ σπλάγχνων καὶ αἵματος καὶ νεκρῶν σωμάτων, ἃ στερόμενα ψυχῆς εὐθὺς ἐπισυμπίπτει τε καὶ συγχεῖται, καὶ στερισκόμενα τῆς οἰκείας φύσεως ἐξαλλάττει πρὸς τὴν χείρω μεταβολήν. ἀξιοῖ γὰρ τὸν ἐγγραφόμενον τῇ κατὰ τοὺς νόμους πολιτείᾳ τέλειον εἶναι, μὴ ἐν οἷς οἱ πολλοὶ παιδοτριβοῦνται, μαντείαις καὶ κληδόσι καὶ πιθαναῖς εἰκασίαις, ἀλλ' ὡς δὴ ἐν τοῖς πρὸς θεὸν οὐδὲν ἔχουσιν ἐπαμφοτερίζον ἢ ἀμφίβολον, ἀλλ' ἀνενδοίαστον καὶ γυμνὴν ἀλήθειαν. ἐπεὶ δὲ πᾶσιν ἀνθρώποις ἔρως τῆς τῶν μελλόντων ἐπιστήμης ἐνίδρυται, καὶ διὰ τὸν ἔρωτα τοῦτον ἐπὶ θυτικὴν καὶ τὰ ἄλλα εἴδη τρέπονται μαντικῆς, ὡς δι' αὐτῶν τὸ σαφὲς ἀνερευνήσοντες, τὰ δὲ ἀσαφείας γέμει πολλῆς καὶ ἐξ ἑαυτῶν ἀεὶ διελέγχεται· τούτοις μὲν σφόδρα εὐτόνως ἐπακολουθεῖν ἀπαγορεύει· φησὶ δ', ὅτι ἐὰν ἀληθῶς εὐσεβῶσιν, οὐκ ἀμοιρήσουσι τῆς τῶν μελλόντων ἐπιγνώσεως· ἀλλά τις ἐπιφανεὶς ἐξαπιναίως προφήτης θεοφόρητος θεσπιεῖ καὶ προφητεύσει, λέγων μὲν οἰκεῖον οὐδέν· οὐδὲ γὰρ εἰ λέγει, δύναται καταλαβεῖν ὅ γε κατεχόμενος ὄντως καὶ ἐνθουσιῶν· ὅσα δ' ἐνηχεῖται, διελεύσεται καθάπερ ὑποβάλλοντος ἑτέρου. ἑρμηνεῖς γάρ εἰσιν οἱ προφῆται θεοῦ καταχρωμένου τοῖς ἐκείνων ὀργάνοις πρὸς δήλωσιν ὧν ἂν ἐθελήσῃ. ταῦτα καὶ τὰ τούτοις παραπλήσια περὶ τῆς τοῦ ἑνὸς θεοῦ καὶ ὄντως ὄντος ἐννοίας ὑπειπών, ὃν χρὴ τρόπον ἀπονέμειν αὐτῷ τὰς τιμὰς ἐξ ἱερῶν ὑπογράφει.

ΠΕΡΙ ΜΟΝΑΡΧΙΑΣ, ΛΟΓΟΣ Β.

PHILONIS IVDÆI, DE MONARCHIA LIBER SECVNDVS.

D Dei templū alterū summum verúmque existimandū est, mundus hic vniuersus, cuius sacrariū sit cœlū in tota rerū natura præstantissimū, donaria vero sidera, sacerdotes & æditui potestates angelicæ, animæ carentes corporibus, non quemadmodū nostræ contempe-

Τὸ μὲν ἀνωτάτω καὶ πρὸς ἀλήθειαν ἱερὸν θεοῦ νομίζειν τὸν σύμπαντα χρὴ κόσμον εἶναι, νεὼν μὲν ἔχοντα ἁγιώτατον τῆς τῶν ὄντων οὐσίας μέρος, οὐρανόν, ἀναθήματα δὲ τοὺς ἀστέρας, ἱερέας δὲ τοὺς ὑποδιακόνους αὐτοῦ τῶν δυνάμεων ἀγγέλους, ἀσωμάτους ψυχάς, οὐ κράματα ἐκ λογικῆς καὶ ἀλόγου φύσεως, οἵας τὰς ἡμετέρας εἶναι συμβέβηκεν,

ἀλλ' ἐκτετμημένας τὸ ἄλογον, ὅλας δι' ὅλων νοεράς, λογισμοὺς ἀκραιφνεῖς, μονάδι ὡμοιωμένους· τὸ δὲ χειρόκμητον. ἔδει γὰρ ὁρμὰς ἀνθρώπων μὴ ἀνακόψαι, φορὰς τὰς εἰς εὐσέβειαν συντελούντων, καὶ θυσίαις βουλομένων ἢ ἐπὶ τοῖς συμβαίνουσιν ἀγαθοῖς εὐχαριστεῖν, ἢ ἐφ' οἷς ἂν ἁμάρτωσι συγγνώμην καὶ παραίτησιν αἰτεῖσθαι. προυνόησε δ' ὡς οὔτε πολλαχόθι, οὔτ' ἐν ταὐτῷ πολλὰ κατασκευασθήσεσθαι ἱερά, δικαιώσας, ἐπειδὴ εἷς ἐστὶ θεός, καὶ ἱερὸν ἓν εἶναι μόνον. εἶτα τοῖς βουλομένοις ἐν ταῖς οἰκίαις αὐτῶν ἱερουργεῖν οὐκ ἐφίησιν, ἀλλ' ἀνισταμένους ἀπὸ τῶν περάτων γῆς, εἰς τοῦτ' ἀφικνεῖσθαι κελεύει. ἅμα καὶ τῶν ἠθῶν λαμβάνων ἀναγκαιοτάτην βάσανον. ὁ γὰρ μὴ μέλλων θύειν εὐαγῶς, οὐκ ἄν ποτε ὑπομείνῃ πατρίδα καὶ φίλους καὶ συγγενεῖς ἀπολιπὼν ξενιτεύειν, ἀλλ' ἔοικεν ὑπὸ δυνατωτέρας ὁλκῆς ἀγόμενος τῆς πρὸς εὐσέβειαν, ὑπομένειν τὴν συνηθεστάτων καὶ φιλτάτων, ὡσπερεὶ ἡνωμένων μερῶν ἀπαρτᾶσθαι. καὶ τούτου σαφεστάτη πίστις ἐστὶ τὰ γινόμενα. μυρίοι γὰρ ἀπὸ μυρίων ὅσων πόλεων, οἱ μὲν διὰ γῆς, οἱ δὲ διὰ θαλάττης, ἐξ ἀνατολῆς καὶ δύσεως, καὶ ἄρκτου καὶ μεσημβρίας, καθ' ἑκάστην ἑορτὴν εἰς τὸ ἱερὸν καταίρουσιν, οἷά τινα κοινὸν ὑπόδρομον καὶ καταγωγὴν ἀσφαλῆ πολυπραγμοσύνης καὶ ταραχωδεστάτου βίου, ζητοῦντες εὐδίας εὑρεῖν, καὶ φροντίδων ἀνεθέντες, αἷς ἐκ πρώτης ἡλικίας καταζεύγνυνται καὶ πιέζονται, βραχύν τινα διαπνεύσαντες χρόνον ἐν ἱλαραῖς διάγειν εὐθυμίαις, ἐλπίδων τε χρηστῶν γεμισθέντες σχολάζουσι τὴν ἀναγκαιοτάτην σχολήν, ὁσιότητι καὶ τιμῇ θεοῦ, φιλίας καὶ πρὸς τοὺς τέως ἀγνοουμένους συντιθέμενοι, καὶ κρᾶσιν ἠθῶν ἐπὶ θυσιῶν καὶ σπονδῶν εἰς βεβαιοτάτην πίστιν ὁμονοίας ποιούμενοι. τούτου τοῦ ἱεροῦ ὁ μὲν ἐξωτάτω περίβολος καὶ μήκει καὶ πλάτει μέγιστος ὤν, τέτρασι στοαῖς εἰς πολυτέλειαν ἠσκημέναις ὠχύρωται· διπλῆ δ' αὐτῶν ἐστιν ἑκάστη, ξύλων καὶ λίθων ὕλαις καὶ χορηγίαις ἀφθόνοις καὶ δημιουργῶν ἐμπειρίαις, καὶ τῶν ἐφεστηκότων ἐπιμελείαις, κατεσκευασμένη τελειότατον ἔργον. οἱ δ' εἴσω, βραχύτεροι μέν, αὐστηρότεροι δ' ἔχοντες τὴν κατασκευήν. κατὰ δὲ τὸ μεσαίτατον αὐτὸς ὁ νεώς, παντὸς λόγου κρείττων, ὡς ἐκ τῶν προφαινομένων ἐστὶ τεκμήρασθαι. τὰ γὰρ ἐντὸς ἀόρατα παντὶ τῷ, πλὴν ἑνί, τῷ ἀρχιερεῖ, καὶ τούτῳ μέντοι δι' ἔτους ἐπιτετραμμένον ἅπαξ εἰσιέναι, πάντ' ἐστὶν ἀθέατα. πυρεῖον μὲν γὰρ ἀνθράκων πλῆρες καὶ θυμιάματος εἰσκομίζει· πολλῆς δ' ἀναδιδομένης ὡς εἰκὸς ἀτμίδος, κατέχεται τὰ ἐν κύκλῳ πάντα, καὶ ἡ ὄψις ἐπισκιάζεται, καὶ ἀνακοπὴν ἴσχει, πρόσω χωρεῖν ἀδυνατοῦσα·

A ratæ è rationali brutáque natura, sed totæ quantæ sunt intellectu præditæ, ratione sinceritatis vnitati similes: alterũ verò manufactum. non erat enim reprimendus impetus hominum ad pietatem properantium, & grata sacrificia pro acceptis beneficijs reddere parantium, aut pacem veniámque petentium. prospectum est tamen ne vel passim vel vno loco plura templa dedicarentur æquissima ratione, quandóquidem vnus Deus non nisi vnicum
B sibi dicari postulare videtur. ac ne apud priuatos quidem focos licet rem diuinam facere, sed vel ab extremis terris ad hoc templum proficisci iubentur sacrificaturi, hac quoque de causa quo morum experimentum de se præbeant. nemo enim nisi caste piéque sacra facturus sustineat relictis cum patria cognatis amicisque peregrinari, & diuelli à necessarijs coniunctissimisque affectibus. id verum esse apparet cuilibet. innumeri enim ex in-
C numeris ciuitatibus terra marique ab oriente, occidente, septentrionibus, meridiéque singulis festis ad templum hoc confluunt, quasi ad quoddam commune refugium vitæ negociosæ ac tumultuariæ: vt ibi tranquillitate inuenta remittant animum, sepositisque curis quibus per totam vitam grauantur, respirent paulisper degentes hilariter, conceptáque bona spe vacent rei cum primis necessariæ, sanctitati religionique, inter se quoque nouis coniuncti amicitijs, & pro-
D miscuis epulis ac libationibus instaurata firmatáque concordia. eius templi extimus ambitus longe latéque patẽs, munitur quatuor elegantissimæ structuræ porticibus: quarum singulæ duplici constant ordine, materie, marmoribus, artificúmque ingenioso labore architectorúmque cura ornatissimæ. sed ordo interior est submissior, & in apparatu plus austeritatis præ se fert. in medio templum ipsum nullis verbis enarrabile, quantum licet ex
E his quæ foris spectantur coniecturam facere. nam intima nemini videre fas est, præterquam soli sacerdotum principi, & id ei quoque vno die duntaxat anniuersario permittitur, quo introspicit omnia. infert autem odoramenta & foculum cum ignitis carbonibus. ibi multo suffitu facto fumus circumquaque offunditur, & visum offuscat, nec finit longius prospicere.

Cum enim sit ingens & in magnam A
substructum altitudinem quamuis in
loco situm non admodum edito, in-
star celsorum montium attollitur.
eius structuræ amplitudo eximia mi-
raculo est omnibus spectatoribus,
præsertim hospitibus visentibus, &
cum alijs publicis ædificijs conferen-
tibus vel pulchritudinem huius vel
gentis in hoc opere magnificentiam.
Lucus autem nullus est intra dictum
ambitum, quia lex id multis de cau-
sis vetuit. primo quoniam verum B
templum non amœnitates postulat,
sed seueram castimoniam. deinde
quia non est fas importare quæ fa-
ciunt ad virorem arborum, hoc est
brutorum excrementa & hominum.
tertio quia siluestris materiæ nullus
est vsus, cum sit vt poetæ loquun-
tur, telluris inutile pondus: mitio-
res verò arbores quæ mites fructus
ferunt, parum cordatos à religione
retraherent. præterea condensa sil- C
uarum maleficis conueniunt, ex la-
tebris securitatem & insidiarum oc-
casionem quærentibus. at aperta loca
& propatula prospectúmque intro-
gressorum & obambulantium late ad-
mittentia, sacris sunt aptissima. re-
ditus autem hoc templum habet non
solum è latifundijs, sed & multo
potiores alios, nullo vnquam inte-
rituros tempore. donec enim genus
humanum permanebit, perpetuo re-
ditus hi cum mundo vniuerso sta-
bunt incolumes. institutum est enim D
quotannis offerri primitias ab anno
ætatis vigesimo: has redemptionem
vocant, ac proinde volentes libentes
summa cum alacritate offerunt, quasi
hoc pacto suam libertatē, sanitatē, sa-
lutémque redempturi in posterū. cum
autem hæc gens sit populosissima, pro-
culdubio hæc primitiæ maximam re-
rum copiam suppeditant. quocirca
penè oppidatim sunt sacrata æraria,
vbi mos est deponi primitias, quam E
sacram pecuniam certis temporibus
legati ad templum perferunt, delecti
ex cuiusque ciuitatis optimatibus,
committentis huic legationi spes suas,
quas in religione oblatisque rite pri-
mitijs collocant. Huius nationis cum
tribus numerentur duodecim, vna ex
omnibus selecta fungitur sacerdotio,
quod accepit præmium pietatis atque
fortitudinis, quo tēpore plebeia mul-
titudo visa est seduci errore quorun-

μέγιστος δὲ καὶ ὑψηλότατος ὢν καὶ ἐν χθαμαλωτέροις κείμενος, τῶν περιμηκεστάτων ὀρῶν οὐδενὸς ἀποδεῖ. τά γε μὴν τῆς οἰκοδομῆς ὑπερβολὰς ἔχοντα, περίβλεπτά ἐστι καὶ θαυμαστὰ πρὸς τῶν ὁρώντων, καὶ μάλιστα τῶν ἐπιφοιτώντων ξένων, οἳ συγκρίνοντες τὰς οἴκων δημοσίων κατασκευὰς ἐκπλήττονται, τό, τε κάλλος ὁμοῦ καὶ τὴν πολυτέλειαν. ἄλσος δὲ οὐδέν ἐστιν ἐν τῷ περιβόλῳ προστάξει νόμου διὰ πολλά· πρῶτον μὲν, ὅτι οὐχ ἡδονὴν καὶ τέρψιν εὐάγωγον ἐπιζητεῖ τὸ πρὸς ἀλήθειαν ἱερόν, ἀλλὰ αὐστηρὰν ἁγιστείαν· δεύτερον δ', ὅτι τὰ συντείνοντα πρὸς τὴν τῶν δένδρων χλόην, οὐ θέμις εἰσκομίζεσθαι. ταῦτα δ' ἐστὶν ἀλόγων ζῴων καὶ ἀνθρώπων περιττώματα· τρίτον δ', ὅτι τὰ μὲν τῆς ἀγρίας ὕλης πρὸς οὐδὲν ὄφελος, ἄχθος δ', ὡς οἱ ποιηταί φασι, γῆς· τὰ δὲ τῆς ἡμέρου, καρπῶν ἡμέρων οἰστικὰ, μεθέλξει τοὺς ὀλιγόφρονας ἀπὸ τῆς περὶ τὴν ἱερουργίαν σεμνότητος· πρὸς δὲ τούτοις, λάσια χωρία καὶ δρυμοὶ βαθεῖς κακούργων εἰσὶν ἐνδιατήματα, τὴν ἐκ τοῦ συσκιάζεσθαι ποριζομένων ἀσφάλειαν, καὶ τοῦ ἐξ ἐνέδρας καθ' ὧν ἂν ἐθέλωσιν αἰφνιδίως ἐπιτίθεσθαι· αἱ δ' εὐρυχωρίαι καὶ τὸ ἀναπεπταμένον πάντη μηδενὸς τὰς ὄψεις ἐμποδίζοντος, πρὸς τὴν τῶν εἰσιόντων καὶ ἐνδιατριβόντων ἀκριβῆ θέαν, ἱεροπρεπέστατον. πρόσοδοι δ' εἰσὶ τῷ ἱερῷ, οὐ μόνον ἀποτομαὶ γῆς, ἀλλὰ καὶ πολὺ μείζους ἕτεραι, αἳ οὐδενὶ χρόνῳ φθαρήσονται. ἐφ' ὅσον γὰρ τὸ ἀνθρώπων γένος διαμενεῖ, ἀεὶ καὶ αἱ πρόσοδοι τοῦ ἱεροῦ φυλαχθήσονται, συνδιαιωνίζουσαι παντὶ τῷ κόσμῳ. προστέτακται γὰρ ἀνὰ πᾶν ἔτος ἀπαρχὴν εἰσφέρειν, ἀπὸ εἰκοσαετοῦς ἀρξαμένους· αἱ δ' εἰσφοραὶ λύτρα προσονομάζονται· διὸ καὶ προθυμότατα ποιοῦνται τὰς ἀπαρχάς, φαιδροὶ καὶ γεγηθότες, ὡς ἅμα τῇ καταθέσει μέλλοντες ἢ δουλείας ἀπαλλαγὴν, ἢ νόσων ἄκεσιν εὑρήσεσθαι, καὶ βεβαιοτάτην ἐλευθερίαν ὁμοῦ καὶ σωτηρίαν εἰς πάντα καρποῦσθαι. πολυανθρωποτάτου δὲ ὄντος τοῦ ἔθνους, ὡς εἰκὸς καὶ τὰς ἀπαρχὰς ἀφθονωτάτας εἶναι συμβέβηκε. σχεδὸν γοῦν ἀνὰ πᾶσαν πόλιν ταμεῖον τῶν ἱερῶν χρημάτων ἐστὶν, εἰς ἃ παραγινομένοις ἔθος ἀπάρχεσθαι, καὶ χρόνοις ὡρισμένοις ἱεροπομποὶ τῶν χρημάτων εἰσὶν ἀριστίνδην ἐπικριθέντες. ἐξ ἑκάστης δ' οἱ δοκιμώτατοι χειροτονοῦνται, σώους τὰς ἐλπίδας ἑκάστων παραπέμψοντες. ἐν γὰρ ταῖς νομίμοις ἀπαρχαῖς αἱ τῶν εὐσεβούντων ἐλπίδες εἰσί. φυλαὶ μὲν οὖν εἰσι τοῦ ἔθνους δώδεκα, μία δ' ἐκ πασῶν ἀριστίνδην ἐπικριθεῖσα ἱερᾶται, γέρας ἀνδραγαθίας καὶ φιλοθέου ψυχῆς τοῦτο λαβοῦσα, καθ' ὃν καιρὸν ἔδοξεν ἡ πληθὺς ἁμαρτεῖν ἐπακολουθήσασα γνώμαις ἐνίων

ἀγνωμόνων, οἳ τὴν αἰγυπτιακὴν ἐπετήδευσαν ζηλοῦν ἠλιθιότητα, καὶ τὸν ἐγχώριον τῦφον, ὃν ἐπ' ἀλόγοις ζώοις καὶ μάλιστα ταύροις μυθοπλαστοῦσι. τοὺς γὰρ ἡγεμόνας τῆς ἀπονοίας ἅπαντες ἡβηδὸν αὐτοκέλευστοι κατακτείναντες, ὁσίας ἔδοξαν ἔργον εἰργάσθαι, τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας διαθλήσαντες. νόμοι δὲ ἱερέων εἰσὶν οἵδε, παντελῆ καὶ ὁλόκληρον εἶναι τὸν ἱερέα προστέτακται, μηδεμίαν ἐν τῷ σώματι λώβην ἔχοντα, μήτε κατ' ἔνδειαν ἐπιλείποντος ἢ ἀκρωτηριασθέντος μέρους, μήτε κατὰ πλεονασμὸν ἅμα τῇ γενέσει προστεθέντος, ἢ ὕστερον ἐκ νόσου προσφυέντος, μήτε τῆς χρόας μεταβαλούσης εἰς λέπραν ἢ λειχῆνας ἀγρίους ἢ μυρμηκίας, ἤ τινας ἄλλας ἐξανθημάτων ἐκ φύσεις· ἅ μοι δοκεῖ πάντα σύμβολα τῆς περὶ ψυχὴν εἶναι τελειότητος. εἰ γὰρ τὸ φύσει θνητὸν σῶμα τοῦ ἱερέως ἐπισκεπτέον, ἵνα περὶ μηδὲν ἀτύχημα κηραίνῃ, πολὺ πλέον ψυχὴν τὴν ἀθάνατον, ἥν φασι τυπωθῆναι κατὰ τὴν εἰκόνα τοῦ ὄντος. λόγος δέ ἐστιν εἰκὼν θεοῦ, δι' οὗ σύμπας ὁ κόσμος ἐδημιουργεῖτο. μετὰ δὲ τὴν ἐξ εὐπατριδῶν εὐγένειαν καὶ παντέλειαν τὴν ἐν τοῖς σώμασι καὶ ψυχῇ, περὶ ἐσθῆτος, ἣν ἀναλαμβάνειν χρὴ τὸν ἱερέα μέλλοντα λειτουργεῖν τὰς ἱερὰς λειτουργίας νενομοθέτηται· ἡ δὲ ἐσθής ἐστι χιτὼν λινοῦς καὶ περίζωμα, τὸ μὲν εἰς αἰδοίων σκέπην, ἃ μὴ πρὸς τῷ θυσιαστηρίῳ γυμνοῦσθαι θέμις· ὁ δὲ χιτὼν ἕνεκα τῆς πρὸς τὴν ὑπηρεσίαν ὀξύτητος. ἀνείμονες γὰρ ἐν μόνοις χιτωνίσκοις τά τε ἱερεῖα καὶ τὰς σπονδὰς καὶ ὅσα ἄλλα χρήσιμα θυσίαις προσφέρουσιν εἰς ἀνυπέρθετον τάχος ἠσκημένοι. τῷ δὲ ἀρχιερεῖ διείρηται μὲν τὴν παραπλησίαν ἐσθῆτα ἀναλαμβάνειν, ἡνίκα ἂν εἰς τὰ ἄδυτα ἐπιθυμιάσων εἰσίῃ, διὰ τὸ τὴν ὀθόνην ἐκ μηδενὸς τῶν ἀποθνησκόντων ὥσπερ τὰ ἔρια φύεσθαι. προστέτακται δὲ καὶ ἑτέρᾳ κεχρῆσθαι πάνυ ποικίλην ἐχούσῃ κατασκευήν, ὡς ἀπεικόνισμα καὶ μίμημά τι τοῦ κόσμου δοκεῖν εἶναι. σαφὴς δὲ πίστις ἡ κατασκευή· πρῶτον μὲν γὰρ ἔνδυμα περιφερές ἐστιν ὅλον δι' ὅλων ὑακίνθινον, ποδήρης χιτών, ἀέρος σύμβολον· ἐπειδὴ γὰρ ὁ ἀὴρ καὶ φύσει μέλας ἐστί, καὶ τρόπον τινὰ ποδήρης, ἄνωθεν ἀπὸ τῶν μετὰ σελήνην τόπων ταθεὶς ἄχρι τῶν κατωτάτω γῆς μυχῶν· εἶθ' ὕφασμα θωρακοειδὲς ἐπὶ τούτῳ, σύμβολον οὐρανοῦ. δύο τε γὰρ ἐπὶ τῶν ἀκρωμίων λίθοι σμάραγδοι τῆς τιμαλφεστάτης ὕλης, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, εἷς ἑκατέρωθεν περιφερής, δεῖγμα τῶν ἡμισφαιρίων· ὧν τὸ μὲν ὑπὲρ γῆν, τὸ δὲ ὑπὸ γῆν ἐστιν. ἔπειτα πρὸς στέρνοις δώδεκα λίθοι πολυτελεῖς, ταῖς χρόαις διαφέροντες, ἐν τετράσι τεταγμένοι τριστιχεί, πρὸς παράδειγμα τοῦ ζωδιακοῦ τυπωθέντες.

A dam popularium, ad Ægyptiacum delirium & typhum illius regionis familiarem desciscentium, quæ brutis animantibus præcipuè tauris miras affingit fabulas. huius igitur dementiæ scelestos autores cùm internecione deleuissent iniussu magistratuũ, comprobatum fuit eorũ facinus, & pietati nauata opera. Leges autẽ de sacerdotibus extãt hæ. integritas corporis in sacerdote requiritur, ne quam labem mutilationémve habeat, néve vllam agnatã
B particulam superuacaneã, siue in natiuitate, siue per morbum postea: néve colorem mutatũ in lepram aut feram impetiginẽ, aut formicantes verucas aliásve pustulas & tubercula. quæ omnia mihi videntur figurate referenda ad perfectionem animæ. nam si mortale corpus sacerdotis inspici oportet ne quo contactum sit vitio, quanto magis immortalẽ animam, formatam (vt creditur) ad Dei veri effigiem. sermo au-
C tem est imago Dei, quo ille totũ mundum condidit. post nobilitatem vero generis & integritatẽ animæ simul & corporis, de vestitu quoque præscribitur, quem sumi à sacerdote sacris operaturo deceat. is est lintea tunica & subligar, alterũ quo tegantur partes pudendæ, quas apud altare nudari nefas est, altera verò vt expeditius obeantur ministeria. absque amictu enim tunicati sacra libationésque peragunt, & quicquid ad rem diuinam opus est ce-
D leriter ac incunctanter suggerunt. põtifex autem iubetur & ipse vestem similem sumere, quando adyta subit vt aram odoramentis adoleat, quia lintea non conficiuntur è mortali materia sicut vestes laneæ: assumit tamen & aliã pictam, quæ videtur mundi referre quandam imaginem, quantum è paratu eius apparet. primum enim indumẽtum eius rotundum est totum hyacinthinum, talaris tunica significans
E aerem: siquidem aer suapte natura nigricat & ipse talaris quodammodo superne à lunari vicinia tensus vsque ad terræ infima. huic superinduitur textum pectorale thoracis specie, quo cælum subindicatur. nam duo smaragdi preciosissimi eminent in summis humeris, orbiculares, in singulis singuli, qui hemisphæria duo nobis innuunt, alterum superum, alterum subterraneũ. in pectore sunt gẽmæ duodecim eximijs coloribus, ternæ serie quadruplici, ad exẽplar signiferi circuli.

nam & ille terna è suis duodecim signis in quatuor anni horas distribuit. cæterum tota hæc pars in qua sitæ sunt, rationale vocatur vero nomine, quoniam quicquid cælo continetur, fabrefactum ornatúmque est certis rationibus. inter se congruentibus. nam ibi nihil non sua ratione nititur. id rationale geminus textus variat, quorũ alter claritas appellatur, alter veritas. per hanc subindicatur non esse fas vlli mendacio cælum ascendere, quod totum inde ad terrestria loca relegatũ sit, & demigrarit in animos scelestorum hominum per claritatem vero, res nostras clarescere naturis cęlestibus, aliâs in obscuro futuras. liquet enim, quod nisi sole illustrante, non essent conspicuæ tot qualitates corporum, nec tot colorũ formarúmque species, nec dierum, noctium, mensium, annorúmque discrimina. & in vniuersũ quis distinxit tempora, nisi solis, lunæ cæterorũque siderum cursus ac recursus cõcinniores quam vt enarrari possint humana facũdia? vnde numerorũ natura nisi ex obseruatione modo dictarũ temporis partium? quis in tanta maris latitune simul & altitudine vias nautis aperuit, nisi ratio siderum? alia quoque innumera viri sapientes deprehensa per eorũ noticiam retulerunt in literas, vt procellas & trãquillitates aeris, felices ac malignos frugum prouentus, æstus remissos & ardẽtissimos, hiemes asperas aut vernantes, siccitates & pluuias, fœcunditatẽ animantium & stirpium, aut è diuerso sterilitatem, & id genus alia. omniũ enim rerum terrestrium in cælo signa notata sunt. ex ima vero talari pendent aurea mala punica & tintinnabula & flosculi, quæ terrã & aquã significant: terram flosculi quod ex ea germinent floreántque omnia: aquam vero punica, dicta ῥοαὶ παρὰ τὴν ῥύσιν, id est à fluxu iuxta Græcam etymologiam. harmoniam porrò consensúmque mundi partiũ tintinnabula indicant, quæ omnia sita sunt decẽtissime, in summo gemmæ, pectorale illud cæli simulacrũ, quia & cælum summum est. sub hoc talaris tota hyacinthina, quia & aer nigricans secundum à cælo tenet ordinem. in extrema vero eius fimbria flores & mala punica, quia terra & aqua infimum in vniuerso sint sortitæ ordinem. hoc cultu pontifex vtitur, totum mundum referens ornatu mirando vel menti vel oculis.

A καὶ γὰρ ἐκεῖνος ἐκ δώδεκα συνεστὼς ζῳδίων, τὰς ἐτησίους τέτταρας ὥρας ἀποτελεῖ, τρία νείμας εἰς ἑκάστην. σύμπας δὲ ὁ τόπος καλεῖται λογεῖον ἐτύμως, ἐπειδὴ τὰ ἐν οὐρανῷ πάντα λόγοις καὶ ἀναλογίαις δεδημιούργηται καὶ συντέτακται. τῶν γὰρ ἐκεῖ τὸ παράπαν ἄλογον οὐδέν. ἐπὶ δὲ τοῦ λογείου διττὰ ὑφάσματα καταποικίλλει, προσαγορεύων, τὸ μὲν δήλωσιν, τὸ δ᾽ ἀλήθειαν. αἰνίττεται δὲ διὰ μὲν τῆς ἀληθείας, ὅτι οὐρανῷ τὸ παράπαν ψεῦδος ἐπιβαίνειν οὐ θεμιτόν, ἀλλὰ τοῦτο πᾶν εἰς τὸν περίγειον πεφυ-B γάδευται χῶρον, ψυχαῖς ἀσεβῶν ἐνοικιζόμενον· διὰ δὲ τῆς δηλώσεως, ὅτι αἱ κατ᾽ οὐρανὸν φύσεις, ἕκαστα δηλοῦσι τῶν παρ᾽ ἡμῖν, ἃ καθ᾽ αὑτὰ πάντως ἂν ἦν ἄγνωστα. σημεῖον δ᾽ ἐναργέστατον εἰ μὴ φῶς, ἥλιος δ᾽ ἀνέλαμψε, πῶς ἂν αἱ τῶν σωμάτων ἀμύθητοι ποιότητες διεφαίνοντο; πῶς δ᾽ ἂν αἱ πολύμορφοι τῶν χρωμάτων καὶ σχημάτων ἰδέαι; ἡμέρας καὶ νύκτας, μῆνάς τε καὶ ἐνιαυτοὺς καὶ συνόλως χρόνον τίς ἀνέδειξεν, ὅτι μὴ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων ἀστέρων ἐναρμόνιοι καὶ παντὸς λόγου κρείτ-C τους περιφοραί; τίς δὲ τὴν ἀριθμοῦ φύσιν, ἐπὶ μὴ τὰ λεχθέντα κατὰ τὰς τῶν μερῶν τοῦ χρόνου συνθέσεις; τίς δὲ τὰς ἐν θαλάττῃ καὶ τοσούτοις πελάγεσιν ὁδοὺς ἀνέτεμε καὶ ἀνέδειξε πλωτῆρσι, εἰ μὴ αἱ τῶν ἀστέρων τροπαὶ καὶ περίοδοι; σοφοὶ δ᾽ ἄνδρες καὶ μυρία ἄλλ᾽ ἄττα παρατηρήσαντες, ἀνεγράψαντο ἐκ τῶν οὐρανίων σημειωσάμενοι, νηνεμίας καὶ πνευμάτων βίας, φορὰς καὶ ἀφορίας καρπῶν, ἀνέσεις καὶ φλογωδέστατα θέρη, χειμῶνας ἐξαισίους καὶ ἐαρίζοντας, αὐ-D χμοὺς καὶ ἐπομβρίας, εὐγονίας ζῴων καὶ φυτῶν, καὶ τοὐναντίον ἑκατέρων ἀγονίας, καὶ ὅσα τοιουτότροπα. πάντων γὰρ ἐστηλίτευται τῶν ἐπὶ γῆς, ἐν οὐρανῷ τὰ σημεῖα. πρὸς δὲ τοῖς κάτω μέρεσι τοῦ ποδήρους ἀπῃώρηνται χρύσεοι ῥοΐσκοι, κώδωνές τε καὶ ἄνθινα. τὰ δ᾽ ἐστὶ σύμβολα γῆς καὶ ὕδατος· γῆς μὲν τὰ ἄνθινα, παρ᾽ ὅσον βλαστάνει καὶ ἀνθεῖ πάντα ἐκ ταύτης· ὕδατος δὲ οἱ ῥοΐσκοι λεχθέντες ἐτύμως παρὰ τὴν ῥύσιν. τὴν δ᾽ ἁρμονίαν καὶ συμφωνίαν καὶ συνήχησιν τῶν τοῦ κόσμου
E μερῶν οἱ κώδωνες ἐμφαίνουσιν. εὖ δ᾽ ἔχει καὶ ἡ θέσις, ἀνωτάτω μὲν ἐν ᾧ οἱ λίθοι, τὸ καλούμενον περιστήθιον, οὐρανοῦ μίμημα, διότι καὶ ὁ οὐρανὸς ἀνωτάτω· ὁ δὲ ποδήρης ὑπ᾽ αὐτῷ, ὅλος δι᾽ ὅλου ὑακίνθινος, ἐπειδὴ καὶ ὁ ἀὴρ μέλας ὢν τὴν μετὰ τὸν οὐρανὸν δευτέραν τετίμηται· τὰ δ᾽ ἄνθινα καὶ οἱ ῥοΐσκοι, πρὸς τοῖς ἐσχάτοις· διότι γῆ καὶ ὕδωρ τὴν κατωτάτω τοῦ παντὸς μοῖραν ἔλαχον. ἡ δ᾽ ἐστὶν ἡ τῆς ἱερᾶς ἐσθῆτος κατασκευή, μίμημα τοῦ παντός, θαυμάσιον ἔργον ὀφθῆναί τε καὶ νοηθῆναι. καὶ γὰρ ὄψιν ἔχει καταπλη-

ἐπικουροτάτην, καὶ οἷον οὐδὲν ὕφασμα τῶν παρ' ἡμῖν ἕνεκα ποικιλίας ὁμοῦ καὶ πολυτελείας, καὶ τὴν ἑρμηνείαν περὶ τῶν αὐτῆς μερῶν φιλόσοφον. βούλεται γὰρ τὸν ἀρχιερέα πρῶτον μὲν εἰκόνα τοῦ παντὸς ἔχειν ἐμφανῆ περὶ ἑαυτόν, ἵν' ἐκ τῆς συνεχοῦς θέας ἄξιον παρέχῃ τὸν ἴδιον βίον τῆς τῶν ὅλων φύσεως· ἔπειτα, ὅπως ἐν ταῖς ἱερουργίαις συλλειτουργῇ πᾶς ὁ κόσμος αὐτῷ· πρεπωδέστατον δὲ τὸν ἱερωμένον τῷ τοῦ κόσμου πατρὶ, καὶ τὸν υἱὸν ἐπάγεσθαι πρὸς θεραπείαν τοῦ γεγεννηκότος. ἔστι δὲ καὶ τρίτον τῆς ἱερᾶς ἐσθῆτος σύμβολον ἀναγκαῖον μὴ ἡσυχασθῆναι. τῶν μὲν γὰρ ἄλλων οἱ ἱερεῖς ὑπὲρ οἰκείων καὶ φίλων καὶ πολιτῶν αὐτὸ μόνον εἰώθασι τάς τ' εὐχὰς καὶ θυσίας ἐπιτελεῖν· ὁ δὲ τῶν Ἰουδαίων ἀρχιερεὺς, οὐ μόνον ὑπὲρ ἅπαντος ἀνθρώπων γένους, ἀλλὰ καὶ ὑπὲρ τῶν τῆς φύσεως μερῶν, γῆς, ὕδατος, ἀέρος καὶ πυρὸς, τάς τ' εὐχὰς καὶ τὰς εὐχαριστίας ποιεῖται, τὸν κόσμον ὅπερ ἐστὶ ταῖς ἀληθείαις πατρίδα εἶναι ἑαυτοῦ νομίζων, ὑπὲρ ἧς ἱκεσίαις καὶ λιταῖς εἴωθεν ἐξευμενίζεσθαι τὸν ἡγεμόνα, ποτνιώμενος τῆς ἐπιεικοῦς καὶ ἵλεω φύσεως αὐτοῦ μεταδιδόναι τῷ γεγονότι. Ταῦθ' ὑπειπὼν, προσυπομνήσει κελεύων τὸν προσιόντα τῷ βωμῷ καὶ ἐφαψόμενον θυσιῶν, ἐν ᾧ χρόνῳ τέτακται τὰς ἱερὰς λειτουργίας ἐπιτελεῖν, μὴ οἶνον μήτε τι ἄλλο πίνειν μέθυσμα, τεττάρων ἕνεκα τῶν ἀναγκαιοτάτων, ὄκνου καὶ λήθης, ὕπνου καὶ ἀφροσύνης. ἄκρατος γὰρ τὰς μὲν τοῦ σώματος δυνάμεις ἀνίησι, βαρυτέρα τὰ μέλη ποιῶν, καὶ ὀκνηρότερα ἀπεργάζεται, καὶ βίᾳ καταδαρθάνειν ἀναγκάζει. τούς τε τῆς ψυχῆς τόνους ἐπιχαλῶν, λήθης ὁμοῦ καὶ ἀφροσύνης αἴτιος γίνεται. νηφόντων δὲ, τά τε μέρη τοῦ σώματος ἐλαφριζόμενα εὐκινητότερα, αἵ τε αἰσθήσεις καθαρώτεραι καὶ εἰλικρινέστεραι, ὅ τε νοῦς ὀξυωπέστερος, ὥστε προϊδέσθαι πράγματα δύνασθαι, καὶ τὰ προτέρων εἰδέ... ἀπομνημονεύειν. συνόλως μὲν οὖν τὴν οἴνου χρῆσιν ἅπασι τοῖς κατὰ τὸν βίον ἀλυσιτελεστάτην εἶναι ὑποληπτέον, ψυχὰς πιεζούσης, αἰσθήσεων ἀμβλυνουσῶν, βαρυνομένων σωμάτων. οὐδὲν γὰρ καὶ ἄφετον οὐδὲν ἐᾷ τῶν παρ' ἡμῖν, ἀλλ' ἑκάστῳ πρὸς ὃ πέφυκεν ἐμποδίζει. ἐν δὲ ταῖς ἁγιστείαις καὶ ἱερουργίαις, τὸ βάρος ἀργαλεώτατον, ὅσῳ καὶ τὸ περὶ θεὸν ἁμαρτάνειν τοῦ περὶ ἀνθρώπους ἀφορητότερον. ὅθεν εἰκότως προστέτακται νηφάλια θύειν, κατὰ τὸ διακρίνειν καὶ διορίζειν τὸ ἅγιον καὶ βέβηλον, καὶ καθαρὸν καὶ ἀκάθαρτον, καὶ νόμιμον καὶ παράνομον. ἐπειδὴ ὁ ἱερεὺς πολὺ πρότερον ἀνήρ ἐστι, καὶ τὴν πρὸς συνουσίας ὁρμὴν ἐξ ἀνάγκης ὀφείλει χρῆσθαι, γάμον αὐτῷ προσήκει καθαρᾶς μνᾶσθαι, καὶ ἐκ καθαρῶν γονέων καὶ πάππων καὶ προγόνων εἰς τὸ

A Sicut enim hos aspectu ob pretium simul ac varietatem stupendo percellit magis quam vllum textile in nostris regionibus: ita interpretationem sui partium habet sapientem ac philosophicam. admonet enim pontificem vt considerata vniuersi quam gestat imagine, vitam præstet à natura non degenerem. deinde vt operando sacris totum mundum deprecatorem alleget. Decet enim vt patris sacerdos filium eius mundum hunc ad preces votáque adhibeat. Est & tertium huius sacræ vestis mysterium non prætereundum silentio. nam alij sacerdotes tantum pro familiaribus amicis ciuibúsque solent rem diuinam facere: at Iudæorum pontifex non solum pro toto humano genere, verum etiam pro naturæ partibus, terra, aqua, aere, igne, precatur & agit gratias: quippe qui existimat mundum (vt re vera est) suam patriam, solitus supplicationibus ei reddere propitium parentem conditorémque suum. Post hæc legislator præcepit, vt qui accedit altare contrectaturus victimas redeuntibus ad se sacræ functionis vicibus, à vino temetóque abstineat, quatuor de causis, scilicet vt effugiat pigritiam, obliuionem, somnum, amentiam. metum enim laxatis viribus corporis facit id minus agile, & in somnum velit nolit pertrahit: animi quoque intentionem remittens, fit ei causa obliuionis ac desipientiæ. contrà sobriorum & membra sunt leuiora habilioráque, & sensus puriores sinceriorésque, & mens ipsa perspicacior, ad prospiciendum futuris negotijs, & ad præteritorum reminiscentiam. itaque in vniuersum vini vsus censetur ad vitam inutilis, quandoquidem grauat animam, sensus hebetat, denique corpus onerat. nihil enim sinit in nobis liberum, sed quicquid attigit præpedit. At cum puritati sacrísque vacatur, tanto est hoc onus molestius, quanto grauius peccatur in Deum quam in hominem. Meritò igitur institutum est sacrificium abstemium, vt discrimen sit inter sacra & profana, pura & impura, legitima & illegitima. Cæterum quoniam nemo nisi vir cooptatur in sacerdotium, non cariturus amplexuum cupidine, quæruntur ei castæ virginis nuptiæ, sanctis prognatæ parentibus

ac honestis generosisque maioribus. A
Meretricem enim pariter animo impuram atque corpore, ne aspicere quidem ei licet, etiamsi quæstu relicto ad frugem redijt, eo quod olim pollutum vitæ institutum secuta sit. ipsa vero de cætero quidem eximatur ignominiæ, propter propositum mutatū in melius: laudanda est enim nequiciæ pœnitentia, nec vetandus quo minus eam ducat quisquam alius: sacerdotem vero ne accedat quidem propius. huius enim est eximiū priuilegium, quod requirit B consensum mutuū actionum eius omnium inculpabilium ab initio vitæ vsque ad exitum. Videtur enim à ratione bonisque moribus alienissimū, cicatricosos arceri sacerdotio propter notas infelicitatis nō maliciæ: eas vero quæ non solum coactæ, verùm etiā interdum sponte formā venditarāt, postquam vix tandem resipuerint, ab amatoribus diuulsas iungi mox sacerdotibus, & è lupanaribus migrare in sacra C domicilia. manent enim nihilominus in animis pœnitentiū cicatrices quædā & vestigia nequiciæ pristinæ. proinde recte honesteque vetitū est alibi, ne merces meretricis inferatur in sacrarium. Atqui numi per se carent crimine, sed quæ hos accepit vnà cum suo quæstu est abominabilis. quomodo igitur admittetur in sacerdotis consortium mulier, cuius etiam pecunia profana habetur adulterináque, quantumuis probatæ notæ ac materiæ? ita- D que tanta requiritur in pontifice puritas, vt nec viduam sinatur ducere, siue mariti obitu desolatam, siue diuortio: primò vt sacrum semen intacto puróque aruo capiatur, nec vllo modo misceantur huius natales cum alijs familijs: deinde vt inita cum nondum deprauatis animis consuetudine, facilius eas suis moribus accōmodent. Sequaces enim & flexiles ad virtutem sunt mentes virginum & ad disciplinam E promptissimæ. At quæ iam experta est virum alium, probabiliter videtur ad institutionem difficilior, vt quæ non adeo puram habeat animam, nec instar ceræ leuigatam, sed iam ante inscriptis notis asperam, quæ ægre delebiles, vel non recipiunt figuras alias, vel receptas confundunt inæqualitate sua. Virginem igitur ducat pontifex castam à nuptijs: virginem inquam non solum cum qua nemo congressus est alius, sed ne desponsam quidem alteri,

A καλοκαγαθίαν καὶ δι᾽ εὐγένειαν ἀριστίνδην ἐπικριθέντων. πόρνην μὲν γὰρ καὶ βέβηλον σώματι καὶ ψυχῇ οὐδὲ προσιδεῖν ἐᾷ, κἂν τὴν ἐργασίαν ἀποθεμένη, σχῆμα κόσμιον καὶ σῶφρον ὑποδύηται, διὰ τὴν ἀρχαίαν προαίρεσιν ἀνίερον αὐτῇ γενέσθαι. αὕτη δὲ πρὸς μὲν τὰ ἄλλα ἐπιτιμίαν ἐχέτω διὰ τὴν πρὶν σπουδασμάτων καθάρευσιν. μετανοίας γὰρ ἀδικημάτων ἐπαινετέον. καὶ μηδεὶς ἕτερος αὐτὴν ἄγεσθαι κεκωλύσθω, ἱερεὺς δὲ μηδὲ προσίτω. τὰ γὰρ ἱερωσύνης ἐξαίρετα δίκαια, συμφωνίαν ἐπιζητοῦντα τὴν B ἀπὸ γενέσεως ἀρχῆς ἄχρι τελευτῆς ἀνυπαίτιον. εὔηθες γὰρ διὰ μὲν τὰς ἐν τῶν τραυμάτων ἐπιγινομένας οὐλὰς ἐν τοῖς σώμασιν εἴργεσθαί τινας ἱερωσύνης, αἳ σύμβολον ἀτυχίας οὐ μοχθηρίας εἰσί· τὰς δὲ μὴ κατ᾽ ἀνάγκην μόνον, ἀλλ᾽ ἔστιν ὅτε ἑκουσίοις γνώμαις πεπρακυίας τὴν ἰδίαν ὥραν, ἐπειδὴ ὀψὲ καὶ μόλις μετέγνωσαν, εὐθὺς ἀπὸ ἐραστῶν ἱερεῦσιν ἁρμόζεσθαι, καὶ ἀπὸ χαμαιτυπείων εἰς ἱερὰ C χωρία μετοικίζεσθαι. μένουσι γὰρ οὐδὲν ἧττον ἐν ταῖς ψυχαῖς τῶν μετεγνωκότων οὐλαὶ καὶ τύποι τῶν ἀρχαίων ἀδικημάτων. ὅθεν εὖ καὶ παγκάλως ἐν ἑτέροις εἴρηται, μηδὲν μίσθωμα πόρνης μὴ κομίζειν εἰς τὸ ἱερόν· καίτοι γε τὸ νόμισμα καθ᾽ αὑτὸ οὐκ ἔνοχον, ἀλλὰ διὰ τὴν λαβοῦσαν καὶ τὴν πρᾶξιν ἐφ᾽ ᾗ δίδοται. σχολῇ γὰρ ἔτι προσοιστέος εἰς κοινωνίαν ἱερέων γυναῖκας, ὧν καὶ τὰ χρήματα βέβηλα καὶ παράσημα, εἰ καὶ ταῖς ὕλαις καὶ τοῖς χαρακτῆρσι δόκιμα. τὰ μὲν οὖν περὶ γάμου οὕτως ἠκρίβωται τοῖς D ἀρχιερεῦσιν, ὡς οὐδὲ χρεὼν ἐφεῖται γαμεῖν αὐτοῖς, οὐδὲ τετελευτηκότος ἀνδρὸς μονωθεῖσαν, οὔτ᾽ ἀπηλλαγμένην ἔτι ζῶντος, ἵνα πρῶτον μὲν εἰς ἄβατον καὶ καθαρὰν ἄρουραν ὁ ἱερὸς σπόρος χωρήσῃ, καὶ μηδεμίας κεράσωσιν αἱ γοναὶ πρὸς ἑτέραν οἰκίαν λαμβάνωσιν· εἶτα δ᾽, ὅπως ἀκακώτοις καὶ ἀδιαστρόφοις ταῖς ψυχαῖς συνερχόμενοι ῥᾳδίως διαπλάττωσι τὰ ἤθη καὶ τοὺς τρόπους αὐτῶν· ἐλκοὶ καὶ εὐάγωγοι διάνοιαι παρθένων πρὸς ἀρετήν, καὶ εἰς διδασκαλίαν E ἑτοιμόταται. ἡ δ᾽ ἑτέρου πεῖραν ἀνδρὸς λαβοῦσα, κατὰ τὸ εἰκὸς ἀπειθεστέρα πρὸς μάθησιν, ἅτε τὴν ψυχὴν ἀκραιφνεστάτην οὐκ ἔχουσα, καθάπερ ἵνα λελεασμένον κηρὸν, εἰς τρανότητα τῶν ἐγχαραχθησομένων δογμάτων, ἀλλὰ τραχεῖαν ὑπὸ τῶν προεγχαραχθέντων τύπων, οἱ δυσεξάλειπτοι παραμένοντες, ἢ οὐ παραδέχονται σφραγῖδας ἑτέρας ἢ παραδεξάμενοι συγχέουσι ταῖς ἑαυτῶν ἀνωμαλίαις. παρθένον οὖν ὁ ἀρχιερεὺς ἀγέσθω γάμου ἁγνήν, λέγω δὲ παρθένον, οὐ μόνον ᾗ μὴ ἕτερος οὐχ ὡμίλησεν, ἀλλὰ καὶ ἐφ᾽ ᾗ μηδεὶς ἄλλος ἀνὴρ ὠνομάσθη

A διά τινων ὁμολογιῶν, κἂν ἁγνεύῃ τὸ σῶμα· τοῖς δὲ κατὰ μέρος ἱερεῦσι, τὰ μὲν ἄλλα περὶ γάμων διατέτακται ταυτὰ, ἃ καὶ τοῖς τὴν μεγίστην ἔχουσιν ἱερωσύνην· ἐφεῖται δὲ οὐ μόνον παρθένους, ἀλλὰ καὶ χήρας, οὐ πάσας, ἀλλ' ὧν τετελευτήκασιν ἄνδρες, μετ' ἀδείας ἄγεσθαι. φιλονεικίας γὰρ καὶ στάσεις ἐκ τοῦ βίου τῶν ἱερέων οἴεται δεῖν ὁ νόμος ἀναιρεῖν. πρὸς μὲν οὖν τοὺς ζῶντας ἴσως γένοιντ' ἂν ἔριδες ἐκ πάθους γυναικείου ζηλοτυπίας· τοῖς δὲ ἀποθανοῦσι συναποθνήσκει καὶ ἡ πρὸς τοὺς δευτέρους ἄνδρας
B ἔχθρα. ἄλλως τε τὸν ἀρχιερέα πλείονος ἐδικαίωσεν ἁγνείας καὶ καθάρσεως, ὥσπερ ἐν ἅπασι τοῖς ἄλλοις, καὶ ἐν γάμου κοινωνίᾳ μεταλαχεῖν, οὐκ ἐάσας ἔτι μὴ κόρην ἄγεσθαι· τοῖς δὲ τῆς δευτέρας τάξεως, ἐπηύνηκε τὰ περὶ συνόδου γυναικῶν ἐφιεὶς, καὶ πεπειραμένας ἀνδρῶν ἑτέρων ἐγγυᾶσθαι. πρὸς δὲ τούτῳ καὶ τὸ γένος ἠκρίβωσε τῆς μελλούσης γαμεῖσθαι, προστάξας τὸν μὲν ἀρχιερέα μνᾶσθαι μὴ μόνον γυναῖκα παρθένον, ἀλλὰ καὶ ἱέρειαν ἐξ ἱερέων,
C ἵνα ἐκ μιᾶς οἰκίας καὶ τρόπον τινὰ τοῦ αὐτοῦ αἵματος ὦσι νυμφίος τε καὶ νύμφη, πρὸς ἁρμονίαν ἐπιδειξόμενοι παρ' ὅλον τὸν βίον κρᾶσιν ἠθῶν βεβαιοτάτην· ἐπιτρέπει δὲ τοῖς ἄλλοις καὶ μὴ ἱερέων γαμεῖν θυγατέρας· τῇ μὲν, ὅτι μικρὸν τούτων καθάρσια· τῇ δὲ, ὅτι τὸ ἔθνος οὐκ ἠβουλήθη γένους εἰς ἅπαν ἱερατικῆς ἀμοιρῆσαι καὶ παντελῶς ἀποζεῦξαι· δι' ἣν αἰτίαν οὐκ ἐκώλυσε τοὺς ἄλλους ἱερέας ἐπιγαμίας ποιεῖσθαι πρὸς τοὺς ἀπὸ τοῦ ἔθνους, αἵπερ εἰσὶ δεύτεραι συγγένειαι. γαμβροὶ γὰρ
D ἀνθ' υἱῶν πενθεροῖς, καὶ ἀντὶ πατέρων γαμβροῖς πενθεροί. τὰ μὲν δὴ περὶ γάμου ταῦτα καὶ τὰ τούτοις ὅμοια χάριν παίδων γενέσεως· ἐπεὶ δὲ ἕπεται γενέσει φθορὰ, καὶ τοὺς ἐπὶ τελευταῖς ἀνέγραψε τοῖς ἱερεῦσι νόμους, κελεύσας μὴ ἐφ' ἅπασιν αὐτοὺς μιαίνεσθαι, τοῖς ὁπωσοῦν ἢ κατὰ φιλίαν ἢ κατὰ συγγένειαν ᾠκειωμένοις, ἀλλ' ἐπὶ μόνοις ἓξ, πατράσι καὶ μητράσι, υἱοῖς καὶ θυγατράσιν, ἀδελφοῖς καὶ ἀδελφαῖς παρθένοις· τὸν δὲ ἀρχιερέα παντὸς πέν-
E θους ὑπεξείλετο. καὶ μή ποτ' εἰκότως; τὰς μὲν γὰρ τῶν ἄλλων ἱερέων ὑπηρεσίας, ἀνθ' ἑτέρων ἕτεροι λειτουργεῖν δύνανται, ὡς κἂν πενθῶσί τινες, μηδὲν τῶν ἐξ ἔθους ὑστερίζειν· τὰ δὲ τοῦ ἀρχιερέως οὐδενὶ δρᾶν ἐφεῖται· παρ' ἣν αἰτίαν ἀμίαντος ἀεὶ διατελείτω μὴ προσαπτόμενος νεκροῦ σώματος, ὅπως τὰς ὑπὲρ τοῦ κόσμου εὐχὰς καὶ θυσίας ἕτοιμος ὢν ἐν καιροῖς τοῖς προσήκουσιν ἀκωλύτως ἐπιτελῇ. καὶ γὰρ ἄλλως προσκεκληρωμένος θεῷ καὶ τῆς ἱερᾶς τάξεως γεγονὼς ταξίαρχος,

quãdo non sola hic requiritur castitas corporis. Reliquis sacerdotibus, quod ad nuptias attinet, præscribuntur eadem quæ pontificibus: verùm his præter virgines etiam viduas licet ducere, non quasuis tamen, sed quarũ mariti defuncti sint. non vult enim lex materiam contentionũ præberi sacerdotibus, quas viuis prioribus maritis posteriores vix possunt effugere propter zelotypiam. cæterũ illis extinctis, simul affectus talis extinguitur. & alioquin etiam ęquũ est pontificem puriorem sanctioréque, sicut in cæteris rebus omnibus, sic in nuptijs quoque se approbare, nec nisi virginem puellam ducere. Secundi autem ordinis sacerdotibus permittitur cum mulieribus virum expertis connubium. Quin & dę genere futurarũ vxorum diligenter præscribitur, vt pontifici despondeatur non solum virgo, sed sacerdotalis generis, vt sponsus sponsáque gentiles sint & quodãmodo consanguinei, quo magis per totam vitam moribus conueniant. cæteris conceditur vt quamuis ipsi sacerdotes sint, possint tamen ducere non sacerdotũ filias: siue quòd leue sit hoc piaculum, siue quòd non expediat plebem in totum submoueri à sacerdotum affinitatibus. ideo licitum est sacerdotibus huiusmodi connubium, vt cognationi proximum. nam generi loco filiorum sunt soceris, & hi vicissim loco parentum suis generis. Hactenus de coniugio, & cura procreandi liberos. Quoniam autem generationem sequitur corruptio, etiam de vita functis leges sunt proditæ, quibus decernitur, sacerdotes non funestari ob cuiusuis amici cognatíve interitum, sed tantum sex cognationis proximæ, patris matrísque, filij vel filiæ, germani germanæve virginis. at pontifici in vniuersum luctu interdicitur, nec fortasse immerito. nam aliorum sacerdotum functiones habent suas vicissitudines, vt pro alijs cessantibus ministrent sacris alij, & quibusdam luctu occupatis, nihil tamen omittatur è solennibus ritibus atque ceremonijs. pontificis autem officia propria committuntur præter ipsum nemini. Quamobrem semper impollutus permanere debet cauens à contactu cadaueris, vt paratus sit temporibus debitis vota sacráque sine impedimento facere. Cur enim alioqui sit Deo dicatus ductórque sacrati

ordinis, oportet eum abdicari omnibus cognationis affectibus, vt charitatem erga parentes, liberos, fratres posthabeat, nec vnquam ea retardatus potiora negotia differat. idem vetatur in domestico luctu vestimenta scindere, & insigne sacerdotij suo capiti detrahere, aut è fano per occasionem luctus excedere, vt ob loci ornatúsque reuerentiam resistat mœstitiæ, & fortis malit videri, quàm miserabilis. Postulat enim in eo viro lex præstantiorem homine indolem, quippe qui Deo sit familiaris præ cæteris, situs in quodam diuinæ humanæque naturæ (si verum fateri licet) confinio, vt hoc mediatore Deus propitietur hominibus, eiusdem ministerio porrigat eis largiatúrque suam gratiam. Post hæc præcepit lex de ijs ad quos primitiarum vsusfructus pertinet. Si quis, inquit, sacerdos oculum, aut manum, aut pedem aliúdve membrum amiserit, aut maculam aliquam contraxerit, ad sacra quidem tractanda non admittatur propter calamitates huiusmodi, fruatur tamen sacerdotum honoribus, propter dignitatem generis irreprehensibilem. Quod si aut lepra sacerdotem occupet aut seminis profluuium, nec sacram mensam attingito, nec portionem accipito honorariam, donec sistatur profluuium, & lepra decedens cutem relinquat concolorem. Quod si sacerdos rem quamcunque impuram attigerit, aut somnio venereo pollutus fuerit, ea die sacrificijs abstineat: sed sub vesperam ablutus sinatur partem suam capere. Accola vero sacerdotis & mercenarius arceatur à primitijs. Accola ideo, quia non omnibus vicinis mensa communis est, & cauendum ne sacra profanentur nimio humanitatis studio. Non omnibus enim danda omnia, sed quæ accipientibus conueniant. Alioquin ordo, quo nihil in vita melius, tolletur è medio, succedente confusione perniciosissima. Si enim in nauibus onerarijs nautæ gubernatoribus pares erunt, & in triremibus æquabuntur præfectis remiges naualésque socij, in exercitu vero equites magistris suis, scutati ordinum ductoribus, centuriones legatis & imperatoribus: item in republica concionatores senatoribus, rei iudicibus, & in vniuersum plebeij

A ὀφείλει πάντων ἀλλοτριοῦσθαι τῶν ἐν γενέσει, μὴ γονέων, μὴ τέκνων, μηδὲ ἀδελφῶν εὐνοίας οὕτως ἡττώμενος, ὡς ἢ παρελθεῖν, ἢ ὑπερθέσθαι τι τῶν ὁσίων, ἃ πραχθῆναι πάντως αὐτίκα ἄμεινον. κελεύει δὲ μήτε τὰ εἵματα περιρρηγνύναι ἐπὶ τοῖς οἰκειοτάτοις ἀποθανοῦσι, μήτ᾽ ἀφαιρεῖν ἀπὸ τῆς κεφαλῆς τὰ παράσημα τῆς ἱερωσύνης, μήτε συνόλως ἐκ τῶν ἁγίων ἐξιέναι κατὰ πρόφασιν πένθους, ἵνα καὶ τὸν τόπον αἰδούμενος, καὶ τὰ περὶ αὐτὸν προκοσμήματα οἷς ἀνέστεπται, κρείττων οἴκτου γινόμενος, ἄλυπος εἰσαεὶ διατελῇ. B βούλεται γὰρ αὐτὸν ὁ νόμος μείζονος μεμοιρᾶσθαι φύσεως, ἢ κατὰ ἄνθρωπον, ἐγγυτέρω προσιόντα τῆς θείας, μεθόριον, εἰ δεῖ τἀληθὲς λέγειν, ἀμφοῖν, ἵνα διὰ μέσου τινὸς ἄνθρωποι μὲν ἱλάσκωνται θεόν, θεὸς δὲ τὰς χάριτας ἀνθρώποις ὑποδιακόνῳ τινὶ χρώμενος ὀρέγῃ καὶ χορηγῇ. ταῦτ᾽ εἰπὼν, ἑξῆς εὐθὺς νομοθετεῖ περὶ τῶν χρησομένων ταῖς ἀπαρχαῖς. Ἐὰν οὖν τις, φησί, τῶν ἱερέων ὀφθαλμοὺς, ἢ χεῖρας, ἢ βάσεις, ἢ τι μέλος ἄλλο παραπηρωθῇ τοῦ σώματος, ἢ καί C τινα μῶμον ἐνδείξηται, λειτουργιῶν μὲν μὴ μετεχέτω διὰ τὰς εἰρημένας κῆρας, τὰ δὲ κοινὰ τῶν ἱερέων γέρα καρπούσθω, διὰ τὴν ἀνυπαίτιον εὐγένειαν. ἐὰν μέντοι λέπραι τινὲς ἐξανθήσασαι κατάσχωσιν, ἢ καὶ γονορρυής τις γένηται τῶν ἱερέων, μήτε τραπέζης ἱερᾶς ψαυέτω, μήτε τῶν προκειμένων ἄθλων τι λαβέτω, μέχρις ἂν ἥτε ῥύσις ἐπισχεθῇ, καὶ ἡ λέπρα μεταβαλοῦσα τῷ τῆς ὑγιοῦς σαρκὸς ἐξομοιωθῇ χρώματι. κἂν προσάψηται μέντοι τις οὐδ᾽ ὁπωσοῦν τῶν ἀκαθάρτων ἱερεὺς, ἢ τὸ νύκτωρ D οἷα φιλεῖ πολλάκις, ὀνειρώξῃ, τὴν ἡμέραν ἐκείνην μηδὲν προσφερέσθω τῶν καθιερωθέντων· λουσάμενος δὲ ἐπιγινομένης ἑσπέρας, χρῆσθαι μὴ κεκωλύσθω. πάροικος δὲ ἱερέως καὶ μισθωτὸς εἰργέσθω τῶν ἀπαρχῶν· ὁ μὲν πάροικος, ἐπεὶ μὴ πάντες γείτονες συνέστιοι καὶ ὁμοτράπεζοι. δέος γὰρ μὴ προσῇταί τις τὰ καθιερωθέντα προφάσει χρησάμενος εἰς ἀσέβειαν ἀκαίρῳ φιλανθρωπίᾳ. μεταδοτέον γὰρ οὐ πᾶσι πάντων, ἀλλὰ τῶν ἐφαρμοζόντων τοῖς ληψομένοις· εἰ δὲ μή, τὸ κάλλιστον καὶ λυσι- E τελέστατον τῶν ἐν τῷ βίῳ τάξις ἀναιρεθήσεται, ὑπὸ τῆς βλαβερωτάτης παρευημερηκυίας συγχύσεως. Εἰ γὰρ ἴσον μέρος ἐν ὁλκάσιν οἱ ναῦται κυβερνήταις, ἴσον δ᾽ ἐν ταῖς μακραῖς τριήρεσι καὶ ναυάρχαις ἐρέται καὶ τὸ ἐπιβατικόν· ἔν τε στρατοπέδοις, ἴσον ἱππεῖς μὲν ἱππάρχαις, ὁπλῖται δὲ ταξιάρχαις, λοχαγοὶ δὲ στρατηγοῖς· ἐν δὲ πόλεσι δικασταῖς κρινόμενοι, καὶ βουλευταὶ προβούλοις, καὶ συνόλως ἄρχουσιν

ἀρχόντων ἰδιῶται, ταραχαὶ καὶ στάσεις γενήσονται, καὶ ἡ λόγῳ ἰσότης τὴν δι᾽ ἔργων ἀνισότητα γεννήσει. τὸ γὰρ τοῖς παρ᾽ ἀξίας ἀνομοίοις ὅμοια ἀπονέμειν, ἄνισον· τὸ δ᾽ ἄνισον, πηγὴ κακῶν. οὗ χάριν καὶ γέρα τῶν ἱερέων οὐ δοτέον, ὥσπερ ἄλλοις, οὐδὲ τοῖς παροίκοις, ἕνεκα τοῦ γειτνιᾶν ἐφαψομένοις ὧν οὐ θέμις. οὐ γὰρ οἰκίας, ἀλλὰ γένους ἐστὶν ἡ τιμή. ὁμοίως μέντοι μηδὲ μισθωτῷ μηδεὶς παρεχέτω, μήτε μισθὸν, μήτε ὑπηρεσίας ἀμοιβὴν, ἱερὸν γέρας. χρήσεται γὰρ ὁ λαβὼν ἐστὶν ὅτε ἀνίερος πρὸς ἃ μὴ δεῖ, βέβηλα τὰ τῆς εὐγενείας ἆθλα καὶ τῆς περὶ τὸ ἱερὸν λειτουργίας ἀπεργασάμενος· δι᾽ ἣν αἰτίαν οὐδ᾽ ἀλλογενεῖ συνόλως ὁ νόμος ἐπιτρέπει μεταλαμβάνειν τῶν ἁγίων, κἂν εὐπατρίδης ὢν τυγχάνῃ τῶν αὐτοχθόνων, καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἀνεπίληπτος ὤν, ἵνα αἱ τιμαὶ μὴ νοθεύωνται, μένωσι δ᾽ ἐν τῇ ἱερατικῇ τάξει βεβαίως φυλαττόμεναι. καὶ γὰρ ἄτοπον τὰς μὲν θυσίας καὶ ἱερουργίας καὶ ὅσα ἄλλα περὶ τὸν βωμὸν ἁγιστεύεται, μὴ πᾶσιν, ἀλλὰ τοῖς ἱερεῦσι μόνοις ἐπιτετράφθαι, τὰ δ᾽ ἀντὶ τούτων ἆθλα κοινὰ γίνεσθαι καὶ τῶν ἐπιτυχόντων, ὡς δέον, πόνοις μὲν πολλοῖς καὶ καμάτοις, καὶ τῶν μεθ᾽ ἡμέραν καὶ νύκτωρ φροντίσιν ἀποτρύχειν τοὺς ἱερέας, τὰ δ᾽ ἆθλα κοινὰ καὶ τοῖς ἀργοῦσιν ἀπονέμειν. Οἰκογενεῖ δὲ, φησὶ, καὶ ἀργυρωνήτῳ, μεταδιδότω δεσπότης ἱερεὺς σιτίων καὶ ποτῶν ἐκ τῶν ἀπαρχῶν· πρῶτον μὲν, ὅτι θεράποντι πόρος εἷς ὁ δεσπότης, ὁ δὲ τοῦ δεσπότου κλῆρος, αἱ ἱεραὶ φιλανθρωπίαι, ἐξ ὧν ἀνάγκη τὸν δοῦλον τρέφεσθαι· δεύτερον δ᾽, ὅτι τὰ γενησόμενα πάντως ἀνάγκῃ μὴ δρᾶν ἀκούσας. οἱ δ᾽ οἰκέται κἂν μὴ θέλωμεν ἅτε ἀεὶ συνόντες καὶ συνδιαιτώμενοι, σιτία τε καὶ ποτὰ καὶ ὄψα τοῖς δεσπόταις προευτρεπιζόμενοι, καὶ τραπέζαις ἐφεστῶτες, καὶ τὰ λείψανα ἐκκομίζοντες, κἂν μὴ φανερῶς λαμβάνωσι, λάθρα γοῦν ὑφαιροῦνται, κλέπτειν ὑπὸ τῆς ἀνάγκης βιασθέντες, ὡς ἀνθ᾽ ἑνὸς ἐγκλήματος, εἴπερ ἐστὶν ἀδίκημα τὸ ἐκ τῶν δεσποτικῶν τρέφεσθαι, καὶ ἕτερον προσκατασκευάζεσθαι κλοπὴν, ἵνα φανερῶς ἐξὸν πρὸς τῶν ἀνυπαιτίως ζώντων ἀπολαύωσι τῶν καθιερωθέντων, ὅπερ ἐστὶν ἀτοπώτατον. τρίτον κἀκεῖνο χρὴ λογίζεσθαι, ὅτι τὰ τῶν ἀπαρχῶν οὐ περὶ ὅσον ἐπινέμεται τοῖς οἰκέταις, ὀλιγωρηθήσεται διὰ τὸν δεσποτικὸν φόβον. ἱκανὸς γὰρ οὗτος ἐπιστομίζειν τὰς τινων εὐχερείας ῥᾳθυμεῖν οὐκ ἐφιείς. ταῦθ᾽ ὑπειπὼν, φιλανθρωπίας μεστὸν νόμον ἑξῆς ἀναγράφει, Ἐὰν θυγάτηρ, φησὶν, ἱερέως γημαμένη ἱερεῖ χηρεύσῃ τελευτήσαντος τοῦ

A magistratibus, tumultus seditionésque nascentur, & ista verbo tenus æqualitas inæqualitatem rerum pariet. Nam æqualia dignitate imparibus tribuere, est inæqualitas: inæqualitas vero, fons malorum. Quam ob rem honorariæ partes sacerdotum ne cum accolis quidem communicandæ sunt, ne propter vicinitatem attingant quæ nefas est tangere. Nam is honor non domui habetur, sed generi. Similiter merces è sacra portio-
B ne non est reddenda mercenario. Nam is si profanus sit in profanum vsum vertet quæ honoris causa tributa sunt nobilissimo sacerdotum generi. Quapropter neminem alienigenam lex admittit in societatem sacratorum fructuum, etiamsi ex indigenarum nobilitate paterno maternóque genere sit laudatissimus, vt hi honores incorrupti permaneant penes sacerdotalem ordinem. Inconueniens enim fuerit, victimas, sacrificia, cæterásque
C que altaris ceremonias committi sacerdotibus, præterea nemini, honores vero eorum communicari quibuslibet: quasi deceat illos diuexari nocturnis diurnísque curis ac laboribus, præmia vero etiam otiosis promiscue contingere. Vernæ autem, inquit, & empticio Dominus suus sacerdos impartiat cibum potúmque de primitijs. Primum quia seruus nihil lucratur nisi ex Domino, cuius ipse est possessio, vt necesse sit seruum
D ali è sacris prouentibus. Deinde ne quod omnino futurum est, id inuiti faciamus. Nam serui, dum velimus nolimus nobiscum versantur perpetuo, & cibum potúmque parando mensas heriles instruunt, dum ministrant vescentibus & reliquias efferunt, si non aperte desumunt, certe clam surripiunt, necessitate cogente: atque ita vni culpæ, si tamen culpa est vti cibis dominicis, alteram addunt furtum videlicet, vt fur-
E tim sacris fruantur sine crimine, quod est absurdissimum. Huc accedit causa tertia, quòd non est periculum ne primitiæ vilescant seruis communicatæ, quandoquidem hi cohibentur metu dominorum, qui ne insolescat possunt in officio continere familiam. Postremo sequitur lex humanitatis plenissima, sic præcipiens. Si filia sacerdotis nupta sacerdoti per mortem mariti fiat vidua,

aut à viuo propter sterilitatem deseratur, retro in paternas ædes reuertatur, vt de primitijs viuat, sicut quando virgo erat. Nam & nunc quodammodo virgo est potentia, siquidem destituta marito ac liberis, nullum præter parentem habet refugium. Vbi vero supersunt filij filiæ, necessariò liberis suis mater attribuitur: qui cum ad paternam domum pertineant, matrem quoque secum adducent in idem domicilium.

A ἀνδρός, ἢ καὶ ἔτι ζῶντος ἄπαις καταλειφθεῖσα, πάλιν ἐπὶ τὸν πατρῷον οἶκον ἀνερχέσθω, μεταληψομένη τῶν ἀπαρχῶν, ὧν ἡνίκα παρθένος ἦν ἐκοινώνει. ἔστι γάρ τινα καὶ νῦν ἐπὶ δυνάμει παρθένος, εἰ καὶ ἀνδρὸς καὶ παίδων ἐρήμη, οὐδεμίαν ἑτέραν ἔχουσα καταφυγὴν, ὅτι μὴ τὸν πατέρα. υἱῶν δὲ ὄντων ἢ θυγατέρων, ἀνάγκη τὴν μητέρα τοῖς τέκνοις συντετάχθαι· υἱοὶ δὲ καὶ θυγατέρες τῆς [illegible] οἰκίας ὄντες, εἰς ταύτην συνεφέλκονται καὶ τὴν μητέρα.

ΠΕΡΙ ΤΟΥ ΤΙΝΑ ΓΕΡΑ ΙΕΡΕΩΝ.

PHILONIS IVDÆI, DE PRÆMIIS SACERDOTVM ET HONORIBVS.

SACERDOTIBVS nullam agri partem lex attribuit, vnde more cæterorum in vsum vitę fructus terrę colligant: sed honoris causa Deum ipsum fore sortem ac possessionē eorum pronunciat, ad res offerri Deo solitas respiciēs, idque duabus de causis: primo quia summus honor est participes fieri eorū quæ Deo sacrātur à gratis hominibus: deinde vt circa solū Dei cultū occuparentur, ceu curā & possessionē propriam. Huc accedunt & alij honores, virtutis ergò illis habiti, & ante omnia cibus absque ipsorū cura laboreque paratus. Præcipit enim lex, vt quotiescūque panis à pistoribus fermētatur ac subigitur, totius primitiæ separētur in vsum sacerdotū: atque hoc pacto etiā offerentiū pietati prospicitur. Dum enim assuescūt semper alimēti partē Deo decidere, nunquā in eius obliuionē veniunt, qua re nihil in vita potest contingere felicius homini. Cum autē hæc gens plurimū abundet numero virorū, necesse est primitias afferre magnam copiam, vt nemo sacerdos tam pauper sit, quin diues videatur. sed & è reliquis

B ΤΟΙΣ ἱερεῦσιν οὐκ ἀπένειμε χώρας ἀποτομὴν ὁ νόμος, ἵν' ὡς ἕτεροι τὰς ἀπὸ τῆς γῆς καρπούμενοι προσόδους, τὴν ἀναγκαίαν εὐπορῶσιν, ἀλλ' ὑπερβολῇ χρησάμενος τιμῆς, τὸν θεὸν ἔφη κλῆρον αὐτῶν εἶναι, κατ' ἀναφορὰν τὴν ἐπὶ τὰ καθιερούμενα, δυοῖν ἕνεκα, τῆς τε ἀνωτάτω τιμῆς, ἐπεὶ κοινωνοὶ τῶν κατ' εὐχαριστίαν ἀποτιμωμένων
C γίνονται θεῷ, καὶ τοῦ περὶ μόνα πραγματεύεσθαι δεῖν τὰ περὶ τὰς ἁγιστείας, ὥσπερ τινὰς κλήρων ἐπιμελητάς. ἃ δὲ προστίθησιν ἆθλα καὶ ἀριστεῖα, ταῦτ' ἐστί· πρῶτον μὲν, ἄπονον καὶ ἀταλαίπωρον τροφὴν ἐπόρισεν. κελεύει γὰρ τοὺς σιτοποιοῦντας ἀπὸ παντὸς στέατός τε καὶ φυράματος ἄρτον ἀφαιρεῖν ἀπαρχὴν εἰς ἱερέων χρῆσιν, προνοούμενος ἅμα καὶ τῆς εἰς εὐσέβειαν ἀγούσης ὁδοῦ νομίμῳ διδασκαλίᾳ
D τῶν ἀφαιρουμένων. ἐθιζόμενοι γὰρ ἀεὶ καὶ τῆς ἀναγκαίας τροφῆς ἀπάρχεσθαι, τὴν θεοῦ μνήμην ἄληστον ἕξουσιν, οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν. πολυανθρωποτάτου δὲ ἔθνους ἀναγκαῖον εἶναι καὶ τὰς ἀπαρχὰς ἀφθόνους, ὡς καὶ τὸν ἀπορώτατον τῶν ἱερέων ἕνεκα περιουσίας τροφῶν, εὐπορώτατον δοκεῖν εἶναι. δεύτερον δὲ προστάττει καὶ ἀπὸ τῆς ἄλλης κτήσεως

ἀπάρχεσθαι, καθ' ἑκάστην μὲν ληνὸν, οἶνον, τὴν δ' ἅλωνα, σῖτον καὶ κριθάς· ὁμοίως δ' ἐξ ἐλαιῶν ἔλαιον, καὶ ἀπὸ τῶν ἄλλων ἀκροδρύων ἡμέρους καρπούς, ἵνα μὴ τὰ ἀναγκαῖα μόνον ἔχοντες αὐχμηρότερον ἀποζῶσιν, ἀλλὰ καὶ τῶν πρὸς ἁβροδίαιτον βίον εὐπορηκότες, ἱλαρώτερον ἐξ ἀφθόνων τρυφῶσι μετὰ κόσμου τοῦ προσήκοντος. τρίτον ἐστὶ γέρας, τὰ πρωτότοκα ἀρρενικὰ, καὶ πάντα τῶν χερσαίων ὅσα πρὸς ὑπηρεσίας καὶ χρῆσιν ἀνθρώπων. ταῦτα γὰρ κελεύει διαδίδοσθαι τοῖς ἱερωμένοις ἀνθρώποις· βοῶν μὲν καὶ προβάτων καὶ αἰγῶν αὐτὰ τὰ ἔκγονα, μόσχους καὶ κριοὺς καὶ χιμάρρους, ἐπειδὴ καθαρὰ καὶ πρὸς ἐδωδὴν καὶ θυσίαν ἐστί τε καὶ νενόμισται· λύτρα δὲ κατατιθέναι τῶν ἄλλων ἵππων καὶ ὄνων καὶ καμήλων καὶ τῶν παραπλησίων μὴ μειοῦντας τὴν ἀξίαν. ἔστι δὲ καὶ ταῦτα παμπληθῆ. κτηνοτροφοῦσι γὰρ καὶ ζωοτροφοῦσιν ἐν τοῖς μάλιστα οἱ ἀπὸ τοῦ ἔθνους, αἰπόλια καὶ βουκόλια καὶ ποίμνας, καὶ μυρίας ἄλλας ἀγέλας παντοδαπῶν ζῴων ἐκνέμοντες. ἤδη μέντοι καὶ προσυπερβάλλων ὁ νόμος οὐ μόνον ἀπὸ τῆς κτήσεως καθ' ἑκάστην ἰδέαν ἀπάρχεσθαι προστέταχεν, ἀλλὰ καὶ ἀπὸ τῶν οἰκείων ψυχῶν καὶ σωμάτων. μέρη γὰρ διαιρετὰ γονέων παῖδές εἰσιν· εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, ἀδιαίρετα συγγενικῷ αἵματι καὶ λόγοις προγόνων ἀοράτοις ἰδέαις εἰς ἐκγόνους διήκουσι, φίλτροις τε ἑνωτικῆς εὐνοίας καὶ φύσεως δεσμοῖς ἀλύτοις ἡρμοσμένοι· ἀλλ' ὅμως καὶ τούτων τοὺς πρωτοτόκους ἄρρενας, τρόπον ἀπαρχῆς καθιεροῖ, χαριστήρια εὐτεκνίας καὶ εὐγονίας οὔσης τε καὶ ἐλπιζομένης, καὶ ἅμα βουλόμενος, οὐ μόνον ἀμέμπτους εἶναι, ἀλλὰ καὶ σφόδρα τοὺς γάμους ἐπαινετούς, ἐξ ὧν ὁ πρῶτος βλαστήσας καρπὸς καθιεροῦται, ὅπερ χρὴ λογιζομένους καὶ ἄνδρας καὶ γυναῖκας σωφροσύνης καὶ οἰκουρίας καὶ ὁμονοίας ἀντέχεσθαι, συμπνέοντας ἀλλήλοις, ἔν τε ἔργῳ καὶ λόγῳ τὴν λεγομένην κοινωνίαν ἀληθείᾳ παγίῳ βεβαιοῦσθαι· τὴν δὲ τῶν πρωτοτόκων υἱῶν καθιέρωσιν, ὡς ὑπὲρ τοῦ μήτε γονεῖς τέκνων, μήτε τέκνα γονέων διαζεύγνυσθαι, τιμᾶται τὴν ἀπαρχὴν ἀργυρίῳ ῥητῷ προστάξας ἴσον εἰσφέρειν καὶ πένητας καὶ πλουσίους, οὐ πρὸς ἀξίωμα τῶν εἰσφερόντων, οὐδὲ πρὸς εὐεξίαν καὶ κάλλος τῶν γεννηθέντων ἀπιδὼν, ἀλλ' ὅσον δυνατὸν εἰσενεγκεῖν, καὶ τοῖς λίαν ἀπόροις σταθμησάμενος. ἐπειδὴ γὰρ ἡ παίδων γένεσις ἐν ἴσῳ καὶ τοῖς λαμπροτάτοις καὶ τοῖς ἀφανεστάτοις εἴωθε συμβαίνειν, ἴσην ἐδικαίωσε καὶ τὴν εἰσφορὰν νομοθετῆσαι, στοχασάμενος, ὡς ἔφην, μάλιστα τοῦ πᾶσι δυνατοῦ. μετὰ δὲ

A prouentibus imperantur primitiæ, vinum in singula præla, triticum hordeúmque in singulas areas. similiter ex oliuetis oleum, cæterísque mites fructus ex arboribus, ne contenti necessarijs sustentent vitam durius, aut delicatiore victu careant, sed hilarius mensis fruantur cum mundicie. tertium præmium sunt primogenita mascula, ex omni genere terrestrium quæ in vsum hominum veniunt. Nam hæc iure di-
B uino debentur sacerdotibus: ex armentis boum & ouium caprarúmque gregibus ipsi iuuenci, hirci & arietes, quippe cibo puri ac sacrificio: pro equis vero, asinis, camelis & similibus æstimationis non iniquæ pretium. est autem hic quoque prouentus maximus. nam veteri gentis huius instituto pascuntur multi greges armentáque omnis generis animalium. hic lex non contenta primitijs omnium prouen-
C tuum, alias insuper exigit animarum atque corporum. nam liberi sunt parentum partes separabiles: imò (si verum fateamur) inseparabiles, propter communem sanguinem & latentem quandam rationem generis demanantem à maioribus, natiua beneuolentia coniungente affectus mutuos. Attamen & horum exiguntur primogenita primitiarum nomine, vt appareat gratam esse fœcunditatem
D vel præsentem vel quæ speretur in posterum: id quod cedit in laudem coniugij, sacrari primum eius fructum, simúlque coniuges admonet temperantiæ, curæ domesticæ atque concordiæ, vt mutuo consensu in veram firmámque societatem conueniant. Cæterum ne filij primogeniti sacratíque disiungantur à parentibus, redimuntur certa pecunia, tantidem pauper ac diues, nullo respectu vel
E dignitatis offerentium, vel recens natorum habitudinis, modo ne quis quantumuis pauper grauetur. Quoniam enim liberi tam humilibus de plebe viris contingunt quàm clarissimis proceribus, oblationem parem debere fieri iudicauit, facultatum (vt dixi) potissimum ratione habita. Alios insuper non mediocres reditus iura sacerdotibus tribuunt, dum à singulis exi-

guntur decimæ frumenti, vini, olei, fœturæ pecudum ex armentis ac gregibus: quanta vero hinc quoque proueniat copia, licet ex numerosissimæ gentis frequentia coniecturam sumere. ex his rebus liquet iuxta legis iudicium sacerdotes æquiparari honore ac maiestate regibus: siquidem illis tanquam principibus conferri tributa imperat, id quod fit longe aliter quàm in cæteris ciuitatibus sub dynastis degentibus. nam hæ gementes & coactæ vix tandem conferunt, perosæ quæstores ceu pestem publicam, nunc has nunc illas causationes fingendo, ne ad præstitutum tempus tributa repræsentent. Ad hæc gens sacerdotibus debitam pecuniam libens gaudénsque depromit, quasi non daret sed acciperet, addens faustas ominationes & gratiarum actiones populariter, idque quotannis nec viris cessantibus nec mulieribus, sed alacritate spontanea, quanta nullis verbis exprimi potest, conferentibus. & hæc quidem contribuuntur ex priuatis possessionibus, nec desunt etiam alij reditus è victimis, digni sacerdotibus. Nam de qualibet mactata pecude lex iubet duas certas partes eis decidi, armum dextrum & pectoris pinguedinem: quarum altera significat requiri in eis fortitudinem in omni actione legitima, siue dandum siue capiendum siue operandum sit quippiam: altera vero animum placatum & alienum ab ira postulat. Hunc enim aiunt habitare in pectore, vbi natura collocauit vim irritabilem, ceu militem in præsidio, munito videlicet compage ossium firmissima, neruis adstricta validis. De pecudibus autem quæ aliàs mactantur causa viscerationis; tria suo iure sacerdos accipit, armum, maxillam, & quod omentum dicitur. Armum ea ratione quam modo diximus. Maxillas vero, vt capitis, quod inter membra præeminet, sermonísque primitias. Nam hic promanare non potest nisi maxillis commotis, vnde σιαγόνας ἀπὸ τοῦ σείεσθαι, hoc est ab huiusmodi commotione Græci has nominant. Nam ijs plectro linguæ percussis, omnia vocis instrumenta conso-

A ταῦτα καὶ ἄλλον πόρον οὐ βραχὺν ἐπινέμει τοῖς ἱερεῦσιν, ἕκαστον τῶν προσόδων ἀπάρχεσθαι κελεύσας, ἀπό τε σίτου, οἴνου, καὶ ἐλαίου, καὶ ἔτι θρεμμάτων ἐπιγονῆς, κατά τε ποίμνας καὶ βουκόλια, καὶ αἰπόλια, καὶ τὰς ἄλλας ἀγέλας. ὅση δὲ καὶ τούτων ἐστὶν ἀφθονία, τεκμήραιτο ἄν τις ἐκ τῆς περὶ τὸ ἔθνος πολυανθρωπίας· ἐξ ὧν ἁπάντων ἐστὶ δῆλον, ὅτι βασιλέως εἰς σεμνότητα καὶ τιμὴν περιάπτει τοῖς ἱερεῦσιν ὁ νόμος. ὡς γὰρ ἡγεμόσι φόρους ἀπὸ
B παντὸς μέρους κτήσεως δίδοσθαι κελεύει, καὶ δίδονται τὸν ἐναντίον τρόπον ἢ ὃν αἱ πόλεις τοῖς δυνάσταις εἰσφέρουσιν. αἱ μὲν γὰρ ἐξ ἀνάγκης καὶ μόλις ἐπιστένουσαι, τοὺς ἐκλογεῖς τῶν χρημάτων ὡς κοινοὺς λυμεῶνας ὑποβλεπόμεναι, καὶ προφάσεις ἄλλοτε ἀλλοίας σκηπτόμεναι, καὶ τῶν προθεσμιῶν ἀλογοῦσαι, τὰ ὁρισθέντα τέλη καὶ δασμοὺς καταπιθήασιν· οἱ δ᾽ ἀπὸ τοῦ ἔθνους τὰ ἱερατικὰ γεγηθότες, χαίροντες, τοὺς αἰτοῦντας φθάνοντες, τὰς
C προθεσμίας ἐπιτέμνοντες, λαμβάνειν, ἀλλ᾽ οὐ διδόναι νομίζοντες, μετ᾽ εὐφημίας καὶ εὐχαριστίας καθ᾽ ἑκάστην τῶν ἐτησίων ὡρῶν ποιοῦνται τὰς εἰσφορὰς ἄνδρες ὁμοῦ καὶ γυναῖκες, αὐτοκελεύστῳ προθυμίᾳ καὶ ἑτοιμότητι καὶ σπουδῇ παντὸς λόγου κρείττονι· καὶ ταῦτα μὲν ἀπὸ τῆς ἑκάστου κτήσεως ἐπινέμεται, ἄλλαι δέ εἰσιν ἐξαίρετοι πρόσοδοι προσπωδέσται ἱερεῦσιν, αἱ ἀπὸ τῶν ἀναγομένων θυσιῶν· παντὸς γὰρ ἱερείου προστέτακται δύο τοῖς ἱερεῦσιν ἀπὸ δυοῖν δίδοσθαι μελῶν· βραχίονα μὲν ἀπὸ χειρὸς δεξιᾶς, ἀπὸ δὲ τοῦ στήθους ὅσον πῖον· τὸ μὲν ἰσχύος
D καὶ ἀνδρείας καὶ πάσης νομίμου πράξεως, ἐν τῷ διδόναι καὶ λαμβάνειν καὶ ἐνεργεῖν σύμβολον, τὸ δὲ τῆς περὶ τὸν θυμὸν ἵλεω πρᾳότητος. ἐνοικεῖν γὰρ αὐτὸν λόγος ἔχει τοῖς στήθεσιν, ἐπειδὴ χωρίον οἰκειότατον ἡ φύσις ἀπένειμε τὰ στέρνα θυμῷ πρὸς ἐνδιαίτησιν, ᾧ καθάπερ στρατιώτῃ περιέβαλεν εἰς τὸ δυσάλωτον ἕρκος ὀχυρώτατον, τὸ ἐπικαλούμενον θώρακα, ὃν ἐκ πολλῶν καὶ συνεχῶν καὶ κραταιοτάτων ὀστέων ἀπειργάσατο, σφίγξας αὐτὸν διὰ μάλα νεύροις
E ἀρραγέσιν· ἀπὸ δὲ τῶν ἔξω τοῦ βωμοῦ θυομένων ἕνεκα κρεωφαγίας, τρία προστέτακται τῷ ἱερεῖ δίδοσθαι, βραχίονα, καὶ σιαγόνα, καὶ τὸ καλούμενον ἤνυστρον· τὸν μὲν βραχίονα, διὰ τὴν ὀλίγῳ πρότερον εἰρημένην αἰτίαν· τὰς δὲ σιαγόνας, οὔ τε κυριωτάτου τῶν μελῶν κεφαλῆς, καὶ λόγου τοῦ κατὰ προφορὰν ὁ ἀπαρχήν· ἐκ γὰρ τούτου τὸ νᾶμα ῥεῖν ἔξω καὶ δίχα τῆς κινήσεως τούτων οὐκ ἂν δύναιτό τι σειομένων ἀφ᾽ οὗ καὶ προσωνομάσθη ἐτύμως· ὅταν πληχθῶσιν ὑπὸ γλώττης, ἅπασα ἡ τῆς φωνῆς ὀργανοποιία

συνέπεται. τὸ δ' ἤνυστρον, ἔκφυσις κοιλίας ἐστί· κοιλίαν δὲ φάτνην ἀλόγου θρέμματος ἐπιθυμίας εἶναι συμβέβηκεν, ἥτις ὑπ' οἰνοφλυγίας καὶ ὀψοφαγίας ἀρδευομένη, ῥύμαις ἐπαλλήλοις σιτίων ὁμοῦ καὶ ποτῶν ἀεὶ κατακλύζεται, καὶ συὸς τρόπον ἐν βορβόρῳ διαιτωμένη χαίρει· παρ' ὃ καὶ σφόδρα ἐπενεμήθη τόπος οἰκειότατος ὁ τῶν περιττωμάτων, ἀκολάστῳ καὶ ἀπρεπεστάτῳ θρέμματι. ἀντίπαλον δὲ ἐπιθυμίας ἐγκράτεια, ἣν ἀσκητέον καὶ διαπονητέον καὶ σπουδαστέον πάσῃ μηχανῇ περιποιεῖσθαι, ὡς μέγιστον ἀγαθὸν καὶ τελειότατον ἰδίᾳ τε καὶ κοινῇ συμφέρον. ἐπιθυμία μὲν οὖν βέβηλος καὶ ἀκάθαρτος καὶ ἀνίερος οὖσα πέρα τῶν ἀρετῆς ὅρων ἐλήλαται καὶ πεφυγάδευται δεόντως· ἐγκράτεια δὲ καθαρὰ καὶ ἀκηλίδωτος ἀρετή, πάντων ὅσα πρὸς βρῶσιν καὶ πόσιν ἀλογοῦσα, καὶ ἐπάνω τῶν γαστρὸς ἡδονῶν αὐχοῦσα ἵστασθαι, βωμῶν ἱερῶν ψαυέτω, καὶ τὴν πρόσφυσιν ἐπιφερομένη τῆς κοιλίας ὑπόμνημα τοῦ καταφρονητικῶς ἔχειν ἀπληστίας καὶ λαιμαργίας, καὶ πάντων ὅσα τὰ εἰς τὰς ἐπιθυμίας ἀναφλέγει. ἐφ' ἅπασι μέντοι καὶ τὰς τῶν ὁλοκαυτωμάτων· ἀμύθητα δὲ ταῦτ' ἐστί· δορὰς προστάττει τοὺς ὑπηρετοῦντας ταῖς θυσίαις ἱερεῖς λαμβάνειν, οὐ βραχεῖαν, ἀλλ' ἐν τοῖς μάλιστα πολυχρήματον δωρεάν. ἐξ ὧν δῆλόν ἐστιν, ὅτι κλῆρον ἕνα μὴ παρασχὼν τῇ ἱερωμένῃ φυλῇ κατὰ ταὐτὰ ταῖς ἄλλαις, τῶν πασῶν ἔδωκε σεμνότερον τρόπον, καὶ ἀπονώτερον κατὰ πρόφασιν ἀπαρχῶν τῶν ἐξ ἅπαντος θυσίας εἴδους. ὑπὲρ δὲ τοῦ μηδένα τῶν διδόντων ὀνειδίζειν τοῖς λαμβάνουσι, κελεύει τὰς ἀπαρχὰς εἰς τὸ ἱερὸν κομίζεσθαι πρότερον εἶτ' ἐντεῦθεν τοὺς ἱερεῖς λαμβάνειν. ἥρμοττε γὰρ οἶμαι, τοὺς μὲν εὐεργετουμένους ἐν ἅπασι τοῖς κατὰ τὸν βίον χαριστηρίους ἀνάγειν ἀπαρχάς· τὸν δὲ ἅτε μηδενὸς ἐπιδεᾶ, τοῖς ἀμφὶ τὸ ἱερὸν ὑπηρέταις καὶ λειτουργοῖς χαρίζεσθαι μετὰ σεμνότητος καὶ τιμῆς ἁπάσης. τὸ γὰρ μὴ παρ' ἀνθρώπων, ἀλλὰ παρὰ τοῦ πάντων εὐεργέτου δοκεῖν λαμβάνειν, ἀδυσώπητον ἔχει δωρεάν. τοσούτων οὖν προκειμένων ἄθλων, ἐάν τινες ἀπορῶσι τῶν ἱερέων, κοσμίως καὶ ἀνυπαιτίως ζῶντες, τῆς ἡμετέρας παρανομίας ἐφεστῶσι κατήγοροι, κἂν ἡσυχάζωσιν. εἰ γὰρ ἐπειθαρχοῦμεν τοῖς κελευσθεῖσι, καὶ τὰς ἀπαρχὰς ἐπετελοῦμεν ᾗ προστέτακται, οὐκ ἂν μόνον ἔνδεοι τῶν ἀναγκαίων εὐπόρουν, ἀλλὰ καὶ τῶν ἄλλων ὅσα πρὸς ἁβροδιαίτους χορηγίας ἐνεπίμπλαντο· κἂν ἄρα ποτὲ αὖθις ἡ φυλὴ τῶν ἱερέων ἐν ἅπασι τοῖς κατὰ τὸν βίον ἀφθόνοις ἐξετάζηται, μέγα δεῖγμα τοῦ

A nant. Omentum vero ventris est protuberatio: venter porrò nil aliud quàm præsepe brutæ concupiscentiæ, qui potationibus rigatur & ingluuie, & inundatur alijs post alias cibi potúsque delicijs, suis more gaudens in cœni volutabro degere. Proinde locus excrementis dicatus, conuenientissimus est illi turpi & intemperanti pecudi. Aduersatur autem ei temperantia, quam exerceri & labore studióque confirmari decet modis B omnibus, vt bonum maximum ac perfectissimum, priuatim & publice vtile. Quocirca gulosa concupiscentia, cum sit impura profanáque, merito extra virtutis fines exulat. Temperantia vero pura virtus & immaculata, cibi potúsque negligens, vt contemptrix voluptatum ad ventrem pertinentium, ad sacrum altare admittitur: aufértque illam ventris protuberantiam, quo magis admoneatur despicere gulam insatiabilem, C & quicquid accendit hanc concupiscentiam. Quin & holocautomatum, quorum vix iniri potest numerus, tergora cedunt sacrificis, vnde quæstus cum primis opimus percipitur. Satis igitur apparet, quamuis tribus destinata diuino cultui exsors agrorum sit, alia tamen ratione prospectum ei honorificentius, vt sine labore suo viuat è primitijs & oblationibus. Sed ne quis è conferentibus exprobret accipienti suum benefi- D cium, iubentur prius in templum deferre munera, vt tum demum inde sacerdotes desumant. Decebat enim pro diuinis beneficijs largissimis aliquam ex rebus victui necessarijs delibari gratiam: autorem vero eorum cum ipse nulla egeat, ista largiri templi ministris & sacrorum curatoribus. Nam quisquis non ab hominibus, sed à Deo nunquam non in omnes benefico munus accipit, saluo E pudore accipit. Itaque tot præmijs decretis sacerdotum ordini, si quis eorum eget honeste viuens sine crimine, vel tacitus nobis legum contemptum opprobrat. Nam si earum iussis pareremus, & oblationes debitas in quem oportet vsum verteremus, haberent illi non solum victum necessarium, verùm etiam cætera delicatioris vitæ subsidia. Sicut è diuerso victus sacerdotum lautior, argumentum euidens esse potest pietatis

publicæ, & legum semper seruatarum summa diligentia. Verùm quorundam incuria (nec enim tutum est id. imputare omnibus), sacratis viris affert pauperiem, imò (si verum fateri licet) illis ipsis ab officio decedentibus. Nam leges contemptæ nocent contemptoribus, quamuis seductis & inescatis ad tempus aliqua illecebra. Cæterum nihil vtilius, quàm sequi leges naturæ, vtcunque primus earum gustus austerus & immitis videtur. Tot lucrorum accessione vbi satis prospectum est sacerdotibus, etiam secundi ordinis habita est ratio. Hi sunt æditui, pars fungentes ianitorum, pars vero atriensium officio, ne quis profanus volens nolénsve transcendat sacrata limina. Alij circumquaque obuersantur noctu & interdiu, per vices sortiti diurnas nocturnásque stationes atque custodias. Rursum alij porticus atriúmque verrunt & exportant scobes ac quisquilias, curántque munditiem. & mercedem accipiunt victum ex decimis, vt prouentu proprio. Verùm his ipsis decimis eis frui non licet, prius quàm harum quoque decimas offerant primi ordinis sacerdotibus. Tunc enim demum libere fruuntur, non antea. Oppida quoque quadraginta octo acceperunt lege concedente & cuiusque pomœria per duo millia cubitorum in circuitu pascendis pecudibus, & in reliquos vsus oppidis necessarios. Ex his selecta sunt sex, tria cis Iordanem, transamnana totidem, in refugium eorum qui nolentes cædem fecerint. Quoniam enim qualemcunque homicidam nefas erat fanum introgredi, vt se religione loci tueretur, iam dicta oppida sunt aperta velut asyla secundaria, propter incolarum honorem ac priuilegium, qui supplicibus contra vim futuri erant præsidio, non armorum ope, sed dignitatis respectu, & iusta reuerentia sacerdotalis ordinis. Cæterum profugus iubetur continere se intra septa oppidi quo receptus est, ne in vltores cæsi cognatos incidat, in homicidam quamuis non spontaneum sæuituros propter extincti desiderium, quod officit æquitatis examini. Quod si oppido exire ausus fuerit, sciat se in manifestam ruere perniciem.

A γενήσεται κοινῆς ὁσιότητος, καὶ τῆς τῶν νομίμων ἐπ᾽ ἀκριβὲς εἰς ἅπαν φυλακῆς. ἀλλ᾽ ἡ τινῶν ὀλιγωρία· ἅπαντας γὰρ οὐκ ἀσφαλὲς αἰτιᾶσθαι· γέγονε πενίας αἰτία τοῖς ἱερωμένοις, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, καὶ αὐτοῖς ἐκείνοις. τὸ γὰρ παρανομεῖν, ἐπιζήμιον τοῖς παρανομοῦσι, κἂν πρὸς ὀλίγον δελεάζῃ χρόνον· τὸ δὲ ἕπεσθαι τοῖς τῆς φύσεως νόμοις ὠφελιμώτατον, κἂν παραυτίκα αὐστηρὸν ᾖ, καὶ μηδὲν προσηνὲς ἐμφαίνῃ. τοσαύτας προσόδων ἀφορμὰς ἀναδείξας τοῖς ἱερεῦσιν, οὐδὲ B τῶν ἐν τῇ δευτέρᾳ τάξει κατωλιγώρησεν· εἰσὶ δὲ νεωκόροι· τούτων, οἱ μὲν ἐπὶ θύραις ἵδρυνται παρ᾽ αὐταῖς ταῖς εἰσόδοις πυλωροί· οἱ δ᾽ εἴσω κατὰ τὸ πρόναον ὑπὲρ τοῦ μή τινα ὧν οὐ θέμις ἑκόντα ἢ ἄκοντα ἐπιβῆναι· οἱ δ᾽ ἐν κύκλῳ περινοστοῦσιν, ἐν μέρει διακληρωσάμενοι νύκτα καὶ ἡμέραν, ἡμεροφύλακες καὶ νυκτοφύλακες. ἕτεροι δὲ τὰς στοὰς καὶ τὰ ἐν ὑπαίθρῳ κορημοῦντες τὸν φορυτὸν ἐκκομίζουσιν, ἐπιμελόμενοι καθαρότητος, οἷς ἅπασι μισθὸς C ὠρίσθησαν αἱ δεκάται. κλῆρος γὰρ νεωκόρων ἐστί. οὐ πρότερον γοῦν εἴασεν ὁ νόμος αὐταῖς χρῆσθαι τοὺς λαβόντας, ἢ πάλιν ἄλλας δεκάτας ὡς ἀπὸ κτημάτων ἰδίων ἀπάρξασθαι καὶ δοῦναι τοῖς τῆς ἀμείνονος τάξεως ἱερεῦσι. τηνικαῦτα γὰρ ἐφῆκεν ἀπολαύειν. πρότερον δ᾽ οὐκ ἐᾷ. ἀπένειμε δὲ καὶ πόλεις αὐτοῖς ὀκτὼ πρὸς ταῖς τετταράκοντα, καθ᾽ ἑκάστην προάστεια εἰς δισχιλίους πήχεις ἐν κύκλῳ πρὸς νομὰς θρεμμάτων, καὶ τὰς ἄλλας ὧν δεῖ πό- D λεσιν ἀναγκαίας ὑπηρεσίας. ἐκ δὲ τούτων ἀπεκληρώθησαν αἱ ἕξ, αἱ μὲν ἐκτός, αἱ δ᾽ ἐντὸς Ἰορδάνου τοῦ ποταμοῦ, τρεῖς ἑκατέρωθεν, εἰς καταφυγὴν τοῖς ἀκούσιον φόνον δράσασιν. ἐπεὶ γὰρ τὸν ὁπωσοῦν γενόμενον ἀνθρώπων τελευτῆς παραίτιον οὐκ ἦν εὐαγὲς εἴσω περιρραντηρίων παρέρχεσθαι, χρώμενον πρὸς ἀσφάλειαν καταφυγῇ τῷ ἱερῷ, τὰς εἰρημένας ἀνῆκε πόλεις ἱερὰ δεύτερα, πολλὴν ἀσυλίαν ἐχούσας ἕνεκα τῆς περὶ τοὺς E οἰκήτορας προνομίας τε καὶ τιμῆς, οἳ τοὺς οἰκέτας διασώζειν ἔμελλον, εἰ βιάζοιτό τις ὀχυρωτέρα δύναμις, οὐ παρασκευαῖς ταῖς εἰς πόλεμον, ἀλλ᾽ ἀξιώμασι καὶ προνομίαις, ἅπερ ἐκ τῶν νόμων διὰ τὴν σεμνότητα τῆς ἱερωσύνης εἶχον. ὁ δὲ φυγὰς ἐντὸς ὅρων τῆς πόλεως εἰς ἣν πεφυγάδευται, κατακεκλείσθω διὰ τοὺς ἐφέδρους κολαστάς, οἳ γένει προσήκοντες τῷ τεθνεῶτι, πόθῳ τοῦ συγγενοῦς, κἂν μὴ ὑφ᾽ ἑκόντος ἀναιρεθῇ, κατὰ τοῦ κτείναντος φονῶσι, νικῶντος τοῦ οἰκείου πάθους τὸν ἀκριβῆ τοῦ δικαίου λογισμόν. ἔξω δὲ προϊὼν, ἐπ᾽ ὀλέθρῳ ἀνενδοιάστῳ

A περιπλανώμενος ἔστω. λήσεται γὰρ οὐδένα τῶν ἀφ' αἵματος, ὑφ' ὧν αὐτίκα λίνοις καὶ πάγαις σαγηνευθεὶς, οἰχήσεται· προθεσμία δ' ἔξω τῆς φυγῆς ὁ βίος τοῦ μεγάλου ἱερέως, οὗ τελευτήσαντος, ἀμνηστείας ἀξιωθεὶς κατίτω. Ταῦτα καὶ τὰ τούτοις παραπλήσια νομοθετήσας περὶ τῶν ἱερέων, ἑξῆς ἀναδιδάσκει περὶ ζώων, ἃ πρὸς θυσίαν ἐστὶν ἐπιτήδεια.

Nec enim illius à se occisi cognatos latere poterit, sed confestim peribit interceptus eorum laqueis & cassibus. Terminus autem huius exilij, sit idem qui vitæ summi pontificis, quo defuncto impetrabit veniam, & ad patriam reditum. His similibúsque legibus perlatis de sacerdotio, deinceps docet de animalibus, quǽnam sint sacrificijs idonea.

ΠΕΡΙ ΖΩΩΝ ΤΩΝ ΕΙΣ ΘΥΣΙΑΣ, ΚΑΙ ΤΙΝΑ ΤΩΝ ΘΥΣΙΩΝ ΤΑ ΕΙΔΗ.

PHILONIS IVDÆI, DE ANIMALIBVS IDONEIS SACRIFICIO, DEQVE victimarum generibus.

B ΤΩΝ ἐν ταῖς ἱερουργίαις ζώων, τὰ μέν ἐστι χερσαῖα, τὰ δὲ ἀεροπόρα. τὰ μὲν οὖν τῶν πτηνῶν ἔθνη μυρία ὅσα παρελθὼν, δύο μόνα ἐξ ἁπάντων εἵλετο, διότι περιστερὰ μὲν τῶν φύσει θιασωτικῶν καὶ ἀγελαστικῶν ἡμερώτατον· τρυγὼν δὲ τῶν φύσει μονωτικῶν τιθασώτατον. Τὰς δὲ τῶν χερσαίων ἀμυθήτους ἀγέλας ὧν οὐδ' ἀριθμὸν εὑρεῖν εὔπορον, ὑπερβὰς, τρεῖς ἀριστίνδην ἐπέκρινε, βοῶν, καὶ προβάτων, καὶ αἰγῶν. ἡμερώτατα
C γὰρ αὗται καὶ χειροηθέστατα. βουκόλια γοῦν μεγάλα καὶ αἰπόλια καὶ ποίμνια πρὸς ἑνὸς ἄγεται τοῦ τυχόντος, οὐκ ἀνδρὸς μόνον, ἀλλὰ καὶ κομιδῇ νηπίου παιδὸς, εἴς γε νομὰς ἐξιόντα, καὶ ὁπότε δέοι πάλιν εἰς σηκοὺς ὑποστρέφοντα ἐν κόσμῳ. τῆς δ' ἡμερότητος, πολλὰ μὲν καὶ ἄλλα σημεῖα, σαφέστατα δὲ ταυτὶ, τό, τε πάντα χλοηφάγα εἶναι, καὶ μηδὲν αὐτῶν σαρκοβόρον, καὶ τὸ μήτε γαμψοὺς ὄνυχας ἔχειν, μήτε
D τὴν ἔκφυσιν τῶν ὀδόντων παντελῆ. τὸ γὰρ ἐνδοτέρω φάτνιον οὐκ ὀδοντοφυεῖ, ἀλλ' ὅσοι τῶν ὀδόντων καὶ αὐτοῦ ἐπιλελοίπασι. πρὸς δὲ τούτοις καὶ βιωφελέστατα τῶν ζώων εἰσί· κριοὶ μὲν εἰς ἐσθῆτας τὴν ἀναγκαιοτάτην σκέπην σωμάτων· βόες δὲ, εἰς τὸ ἀρόσαι γῆν καὶ προετοιμάσασθαι σπορὰν, καὶ τὸν γενόμενον ἀλοῆσαι καρπὸν, εἰς μετουσίαν καὶ ἀπόλαυσιν τροφῆς.

ANIMALIA quæ in sacris mactari solent, aut terrestria sunt aut volucria. sed volucrium cum sint innumeræ species, præteritis cæteris omnibus, duas tantũ selegit Moses legifer: quoniam columba inter natura mansuetas & gregatim volitãtes est mitissima, turtur vero inter solitarias cicuratu facilima. Terrestrium quoque innumeris gregibus omissis, tria præcipua secreuit genera, boum, ouium, caprarúmque vt mitiora mansuetioráque. Siquidem armenta magna boum, magni greges caprarum & ouium, ab vno quouis aguntur, nec solum viro, sed & puero, dum exeunt in pascua, rursúmque suo tempore decenter ad septa redeunt. Quod autem animalia hæc ingenio miti sint prædita, vel illud euidens est indicium, quòd omnia vescantur herbis non carnibus, nec vnguibus aduncis armata, nec continua serie dentium. Nam gingiuæ dentibus aliquot destitutæ sunt. Præterea maxime vitam iuuant hæc animalia. Arietes vestitum præbent tegendis corporibus. Boues arando terram sementi præparant, & fruges ipsas tritura reddunt alimento vtiles.

A Ex caprarum pilis ac tergoribus contextis consutisque fiunt penulæ viatoriæ, velaminaque militibus, & alijs quos necessitas aliqua cogit extra vrbes sub diuo degere. Requiruntur autem integra hæc omnia, illæsa partibus omnibus, & maculis etiam neuisque carentia. Tanta enim cautela vtuntur in hoc negotio & qui offerunt victimas & ipsi sacrifici, vt probatissimi sacerdotum peritissimique B ab extremis pedibus exorsi per totum corpus inquirant quæ sunt conspicua, ne ventre fœminibusque celetur vel minima labecula. Adhibetur autem hæc cura non propter victimas, sed vt sine omni culpa sint qui eas mactandas offerunt. Submonentur enim his symbolis, vt quoties accedunt altaria, vel nuncupaturi vota vel reddituri, nullum vitium nullumque morbum afferant in anima, sed conentur omnino nitidam & immaculatam in conC spectum Dei producere, ne visam auersetur. Quoniam autem quædam sacrificia fiunt pro vniuersa gente, quædam pro vniuerso (si verum fatendum est) humano genere, quædam pro singulis rem diuinam faciẽtibus, prius dicetur de publicis. Est enim in his ordo mirificus. Nam alia sunt quotidiana, alia recurrunt septimo quoque die, alia cum sacratis nouilunijs, alia ieiuniorum tempore, alia tribus festis præcipuis. Itaque agni duo iussu leD gis mactantur quotidie, mane ac sub vesperam, vterque cum gratiarum actione, alter pro diurnis, alter pro nocturnis beneficijs, quæ indesinenter Deus largitur humano generi. is numerus duplicatur septimo quoque die, vt par pari addatur, in æternitatis honorem, quod septimus dies mundi natalis sit. Quapropter hebdomadarias victimas placuit esse similes quotidianis & continuis. Institutum est etiam vt quotidie bis adolerẽtur odoramenta fragrantissima in ara quæ inE tra velum est, oriente sole occidentéque, ante matutinum & post vespertinum sacrificium: vt sacra cum sanguine fiant pro nobis qui constamus è sanguine, incruenta vero pro principali nostri parte anima, ratione prædita, factáque ad exẽplar diuinæ imaginis. panes item septimo quoque die proponuntur in sacra mensa, pares numero mensium, in quaque serie seni, pro ratione æquinoctiorum.

αἰγῶν ἢ αἱ τρίχες, αἱ δοραὶ συνυφαινόμεναί τε καὶ συρραπτόμεναι, φορηταὶ γεγόνασιν ὁδοιπόροις οἰκίαι, καὶ μάλιστα τοῖς ἐν στρατιαῖς, οὓς ἔξω πόλεως ἐν ὑπαίθρῳ διατρίβειν ἀναγκάζουσιν αἱ χρεῖαι τὰ πολλά. πάντα δ' ὁλόκληρα, περὶ μηδὲν μέρος κηραίνοντα τοῦ σώματος, ὅλα δι' ὅλων ἀσινῆ, μώμων ἀμέτοχα. τοσαύτη γοῦν ἐστὶ πρόνοια οὐ μόνον τοῖς ἀνάγουσι τὰς θυσίας, ἀλλὰ καὶ τοῖς ἱερωμένοις, ὥστε οἱ δοκιμώτατοι τῶν ἱερέων ἀριστίνδην ἐπὶ ποδῶν ἄκρων ἐρευνῶσιν ὅσα τε ἐμφανῆ, καὶ ὅσα ἐπὶ γαστρὶ καὶ μηροῖς διακέκρυπται, μήπου τις βραχεῖα λώβη διαλέληθε. τὸ δ' ἀκριβὲς καὶ περιττὸν τῆς ἐξετάσεως, οὐχ ἕνεκα τῶν καταθυομένων, ἀλλὰ τοῦ περὶ τοὺς καταθύοντας ὑπαιτίου γέγονε. βούλεται γὰρ αὐτοὺς ἀναδιδάξαι διὰ συμβόλων, ὁπότε προσέρχοιντο εἰς βωμούς, ἢ εὐξόμενοι, ἢ εὐχαριστήσοντες, μηδὲν ἀρρώστημα ἢ πάθος ἐπιφέρεσθαι τῇ ψυχῇ· πειρᾶσθαι δ' ὅλην δι' ὅλων ἀκηλίδωτον ἀναγαγεῖν, ὡς ἰδόντα μὴ ἀποστραφῆναι θεόν. ἐπεὶ δὲ τῶν θυσιῶν, αἱ μέν εἰσιν ὑπὲρ ἅπαντος τοῦ ἔθνους, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, ὑπὲρ ἅπαντος ἀνθρώπων γένους· αἱ δ' ὑπὲρ ἑκάστου τῶν ἱερουργεῖν ἀξιούντων, λεκτέον πρότερον περὶ τῶν κοινῶν. θαυμαστὴ δ' ἡ τούτων τάξις ἐστίν· αἱ μὲν γὰρ ἀνάγονται καθ' ἑκάστην ἡμέραν, αἱ δὲ τῇ ἑβδόμῃ, αἱ δὲ νουμηνίαις καὶ ἱερομηνίαις, αἱ δὲ νηστείαις, αἱ δὲ περὶ τρεῖς ἑορτῶν καιρούς. καθ' ἑκάστην μὲν οὖν ἡμέραν δύο ἀμνοὺς ἀνάγειν διείρηται, τὸν μὲν ἅμα τῇ ἕῳ, τὸν δὲ δείλης ἑσπέρας, ὑπὲρ εὐχαριστίας ἑκάτερον, τὸν μὲν ὑπὲρ τῶν μεθ' ἡμέραν, τὸν δὲ ὑπὲρ τῶν νύκτωρ εὐεργεσιῶν, ἃς ἀπαύστως καὶ ἀδιαστάτως τῷ γένει τῶν ἀνθρώπων ὁ θεὸς χορηγεῖ. τῇ δ' ἑβδόμῃ διπλασιάζει τῶν ἱερείων ἀριθμόν, ἴσα προστιθεὶς ἴσοις, ἰσότιμον ἡγούμενος τὴν ἑβδόμην αἰῶνι, ἣν καὶ γενέθλιον τοῦ κόσμου παντὸς ἀνέγραψεν· οὗ χάριν τὴν τῆς ἑβδόμης θυσίαν ἐξομοιῶσαι τῇ ἐνδελεχείᾳ τῶν ἡμερησίων ἀμνῶν διενοήθη. δὶς δὲ καθ' ἑκάστην ἡμέραν ἐπιθυμιᾶσθαι τὰ πάντων εὐωδέστατα θυμιαμάτων εἴσω τοῦ καταπετάσματος, ἀνίσχοντος ἡλίου καὶ δυομένου, πρό τε τῆς ἑωθινῆς θυσίας καὶ μετὰ τὴν ἑσπερινήν, ὡς εἶναι τὰς μὲν ἐναίμους, εὐχαριστίας ὑπὲρ ἡμῶν τῶν ἐναίμων, τὰ δὲ θυμιάματα, ὑπὲρ τοῦ ἡγεμονικοῦ τοῦ ἐν ἡμῖν λογικοῦ πνεύματος, ὅπερ ἐμορφώθη πρὸς ἀρχέτυπον ἰδέαν εἰκόνος θείας. ἄρτοι δὲ προστίθενται τῇ ἑβδόμῃ ἐπὶ τῆς ἱερᾶς τραπέζης ἰσάριθμοι τοῖς μησὶ τοῦ ἐνιαυτοῦ, δυσὶ θέμασιν ἀνὰ ἕξ, δώδεκα, κατὰ τὸν λόγον τῆς ἰσημερίας ἑκατέρας. δύο γάρ εἰσιν ἀνὰ πᾶν ἔτος, ἐαρινή τε καὶ μετοπωρινή, αἳ μησὶν ἓξ κατα-

ἀριθμοῦνται· ἐαρινῇ μὲν τὰ σπαρτὰ πάντα τελεσφορεῖται, καθ' ὃν χρόνον τὰ δένδρα βλαστάνειν ἄρχεται· μετοπωρινῇ δέ, ἐν ᾗ ὁ τῶν δένδρων καρπὸς τελεσφορεῖται, ἐν ᾧ καιρῷ πάλιν ἀρχὴ σπορᾶς· οὕτω δολιχεύουσα ἡ φύσις τὸν αἰῶνα ἄλλαις ἐπ' ἄλλαις ἀμείβεται δωρεαῖς τὸ ἀνθρώπων γένος· ὧν εἰσὶ σύμβολα αἱ διτταὶ τῶν προκειμένων ἄρτων ἑξάδες. αἰνίττονται δὲ καὶ τὴν ὠφελιμωτάτην τῶν ἀρετῶν ἐγκράτειαν, ἣ δορυφορεῖται πρὸς εὐκολίας καὶ εὐτελείας καὶ ὀλιγοδεΐας, διὰ τὸν ἐξ ἀκολασίας καὶ πλεονεξίας βλαβερώτατον ἐπιτειχισμόν. ἄρτος γὰρ ἐραστῇ σοφίας διαρκὴς τροφή, παρέχουσα καὶ τὰ σώματα ἄνοσα, καὶ τὸν λογισμὸν ὑγιᾶ καὶ νηφάλιον· ὄψα δὲ καὶ μελίπηκτα καὶ ἡδύσματα, καὶ ὅσα σιτοπόνων καὶ ὀψαρτυτῶν περιεργίαι τεχνιτεύουσι καταγοητεύουσαι τὴν ἄμουσον καὶ ἀφιλόσοφον καὶ ἀνδραποδωδεστάτην τῶν αἰσθήσεων γεῦσιν, ὑπηρετοῦσαν καλῷ μὲν οὐδενὶ θεάματι ἢ ἀκούσματι, γαστρὸς δὲ τῆς ταλαίνης ἐπιθυμίᾳ, νόσους σώματι καὶ ψυχῇ κατασκευάζει πολλάκις ἀνιάτους. συνεπιτίθενται δὲ τοῖς ἄρτοις λιβανωτὸς καὶ ἅλες· ὁ μὲν σύμβολον τοῦ μηδὲν ἥδυσμα εὐωδέστερον ὀλιγοδεΐας εἶναι καὶ ἐγκρατείας παρὰ σοφίᾳ δικαζούσῃ· οἱ δὲ ἅλες, διαμονῆς τῆς τῶν συμπάντων· οἷς γὰρ ἂν περιπασθῶσι, διατηροῦσι· καὶ ἱκανοῦ προσοψήματος. οἶδ' ὅτι χλεύην θήσουσι καὶ γέλωτα ταῦτα οἱ περὶ τὰ συμπόσια καὶ τὰς εὐωχίας πραγματευόμενοι, καὶ πολυτελεῖς τραπέζας μεταδιώκοντες, οἱ ὀρνέων καὶ ἰχθύων καὶ κρεῶν καὶ τῆς ὁμοιοτρόπου φλυαρίας ἄθλιοι δοῦλοι, μηδ' ὄναρ ἀληθοῦς ἐλευθερίας γεύσασθαι δυνάμενοι· ὧν ὀλίγα φροντιστέον τοῖς κατὰ θεὸν πρὸς τὴν τοῦ ὄντος ὄντως ἀρέσκειαν ζῆν ἐγνωκόσιν, οἳ τὴν σαρκὸς ἡδονὴν ἀλογεῖν πεπαιδευμένοι, τὰς τῆς διανοίας χαρὰς καὶ εὐπαθείας θεωρίᾳ τῇ τῆς φύσεως ἐνασχολούμενοι, μεταδιώκουσι. τοσαῦτα περὶ τούτων διαλεχθεὶς ἄρχεται διαιρεῖν τὰ τῶν θυσιῶν γένη, καὶ τέμνει εἰς τρία εἴδη τὰ ἀνωτάτω, τὸ μὲν ὁλόκαυτον καλῶν, τὸ δὲ σωτήριον, τὸ δὲ περὶ ἁμαρτίας· εἶθ' ἕκαστον τοῖς ἁρμόττουσιν ἐπιδιώκει, τοῦ πρέποντος ἅμα καὶ εὐαγοῦς οὐ μετρίως στοχασάμενος· παγκάλη δὲ καὶ προσφυεστάτη τοῖς πράγμασιν ἡ διαίρεσις ἀκολουθίαν ἔχουσα καὶ εἱρμόν. εἰ γὰρ βούλοιτό τις ἐξετάζειν ἀκριβῶς τὰς αἰτίας ὧν ἕνεκα τοῖς πρώτοις ἔδοξεν ἀνθρώποις ἐπὶ τὰς θυσιῶν εὐχαριστίας ὁμοῦ καὶ λιτὰς ἐλθεῖν, εὑρήσει δύο τὰς ἀνωτάτω· μίαν μὲν τὴν πρὸς θεὸν τιμήν, τὸ ἄνευ τινὸς ἑτέρου διὰ τὸ μόνον γινομένην καὶ ἀναγκαῖον καλόν· ἑτέραν δὲ τὴν τῶν θυόντων προηγουμένην ὠφέλειαν.

A Nam seni menses intersunt vernum inter autumnaléque. Post vernum fruges maturescunt, quando fructus arborei se proferre incipiunt: qui mox post autumnale maturescunt, quando sunt sementis initia. Sic natura sempiternis orbibus in sese recurrentibus alia post alia dona mortalibus per vices cumulat, quod significatur per bis senos panes propositos. ijdem admonent nos temperantiæ inter omnes virtutes B vtilissimæ, quam comitantur facilitas, simplicitas, frugalitas; hostes cupiditatis & intemperantiæ. panis enim alimento contentus esse potest sectator sapientiæ, habiturus sanum corpus & mentem sobriam. cupediæ vero, placentæ, bellaria, commentáque alia curiosa pistorum & coquorum, gustui præ cæteris sensibus inerudito illiberalíque seruientium ad nihil honestum & spectatu vel auditu dignum, sed ad mi- C seri ventris desideria, conciliant morbos tum corpori tum animo plerumque insanabiles. cum panibus autem sal & thus mensæ imponitur: quorum altero significatur, nullum esse condimentum frugalitate suauius, ex sapientum sententia: altero vero, videlicet sale, rerum omnium perpetuitas. nam hic conseruat ea quibus inspargitur, & sufficit vice obsonij. Ridebunt hæc sat scio, isti qui nihil tractant præter epulas & D conuiuia, lautarum sectatores mensarum, seruiliter inhiantes auibus, piscibus, carnibus & id genus cæteris, qui ne in somnis quidem vnquam veram libertatem gustarunt. eos ego contemnendos iudico his qui Deo vitam suam approbare cupiunt, docti voluptates aspernari, & assueti mentem oblectare naturæ contemplatione. Post hæc legislator distinguit sacrificia trifariam, in holocautoma, & quod pro salute, & quod pro peccato vocatur. Dein- E de singula exequitur accuratissime, seruato respectu decori pietatisque. Quin & ordo in hac diuisione spectatur aptissimus. nam si quis examinare velit causas, cur illi prisci homines aggressi sint sacrificia, tres præcipuas inueniet. Vnam cultum Dei, vel per se honestum ac necessarium: alteram vero, vtilitatem sacrificantium. ea duplex est,

dum bona impetramus, & à malis eripimur. Cæterum primo illi generi, quod solum Dei honorem sibi proponit, lex apte holocautoma tribuit, quādo victima integra igne absumitur, humana cupiditate nihil inde sibi vsurpante. Alterum genus quoniam ad homines pertinēs ipsorum opinione diuiditur, etiam lex subdistinguit, vt alio bona quærantur, quod nominatur pro salute: alio fuga calamitatis, quod pro peccato dicitur. atque ita holocautoma solius est Dei, cui semper debetur honor etiamsi nihil expectaremus ab eo gratiæ, reliquæ duæ species ad nos proprie pertinent: altera incolumitatem postulans & profectum in melius: ea vero quæ pro peccato nuncupatur, veniam delictorum & medicinam languentis animæ. Dicemus de singulis quæ lex ipsa præcipit, ipitio facto à specie præstantissima, hoc est ab holocautomate. Ante omnia, inquit, seligatur mascula victima ex animalibus puris ad sacrificium, iuuencus, aut agnus, aut hædus. Hanc qui offert, ablutas manus imponat eius capiti. Tum aliquis sacerdos accipiat eam & immolet, mox alius sanguinem eius exceptum phiala fundat per altaris circuitum. detractóque tergore victimæ, artus in frusta concidantur, & ablutis intestinis atque pedibus, tota victima igni altaris tradatur, congestis rursum in vnum partibus quæ modo dissectæ fuerant. Hæc sunt quæ diserte lex præcipit. subest tamen intellectus obscurior, qui è signis quibusdam declaratis elicitur. primum sexus mas in victima requiritur, quia præstantior est quàm fœmina, & primæ causæ efficienti propinquior. nam quicquid fœmineum est imperfectū censetur & subditum, vt quod patiatur magis quàm agat. Porrò cum anima nostra constet è duabus partibus, bruta rationalique, rationalis videlicet intellectus masculini est generis, fœminini vero bruta illa quæ sensus sortita est. Intellectus autem sensui tanquam vir mulieri præstat toto genere, quippe purus inculpatúsque, purificatus præfectis virtutibus. ipsa est tota Deo grata & sanctissima hostia. cæterum quod manus imponuntur capiti victimæ, euidens indicium est innocentiæ, vitæque sine culpa exactæ iuxta naturæ leges & diuina oracula. postulat enim Deus, à sacrificante

A ἡ μὲν ἐπὶ μετουσίᾳ ἀγαθῶν, ἡ δὲ ἐπὶ κακῶν ἀπαλλαγῇ. τῷ μὲν οὖν κατὰ θεὸν δι' αὐτὸν μόνον γινομένῳ, προσήκουσαν ὁ νόμος ἀπένειμε θυσίαν τὴν ὁλόκαυτον ὁλοκλήρῳ καὶ παντελεῖ, μηδὲν ἐπιφερομένῳ τῆς θνητῆς φιλαυτίας ὁλόκληρον καὶ παντελῆ· τὴν δὲ χάριν ἀνθρώπων, ἐπεὶ διαίρεσιν ἐπιδέχεται ἡ δόξα, καὶ αὐτὸς διεῖλε, κατὰ τὴν μετουσίαν τῶν ἀγαθῶν ὁρίσας θυσίαν, ἣν ὀνόμασε σωτήριον· τῇ δὲ φυγῇ τῶν κακῶν ἀπονείμας τὴν περὶ ἁμαρτίας. διόντως ἐπιτίθησι, τὴν μὲν ὁλόκαυτον, δι'
B αὐτὸν μόνον τὸν θεὸν, ὃν καλὸν τιμᾶσθαι, μὴ δι' ἕτερον, τὰς δ' ἄλλας δι' ἡμᾶς. τὴν μὲν οὖν σωτήριον ἐπὶ σωτηρίᾳ καὶ βελτιώσει τῶν ἀνθρωπίνων πραγμάτων, τὴν δὲ περὶ ἁμαρτίας ἐπὶ θεραπείᾳ ὧν ἐπλημμέλησε ψυχή. λεκτέον δὲ περὶ ἑκάστης ψυχῆς τὰ νομοθετηθέντα, τὴν ἀρχὴν ποιησαμένους ἀπὸ τῆς ἀρίστης. ἀρίστη δέ ἐστιν ἡ ὁλόκαυτος. Ἔστω δὲ, φησὶ, πρῶτον μὲν τὸ ἱερεῖον ἄρρεν, ἐκ τῶν πρὸς τὰς θυσίας ἀριστίνδην ζώων ἐπικρι-
C θὲν, μόσχος, ἢ ἀμνὸς, ἢ ἔριφος· ἔπειτα δ', ἀπονιψάμενος ὁ προσάγων, τὰς χεῖρας ἐπιφερέτω τῇ τοῦ ἱερείου κεφαλῇ· καὶ μετὰ ταῦτα λαβών τις τῶν ἱερέων, καταθυέτω, καὶ φιάλην ἕτερος ὑποσχὼν καὶ δεξάμενος τοῦ αἵματος, ἐν κύκλῳ περιιὼν τὸν βωμὸν ἐπιρραινέτω· καὶ τὸ ἱερεῖον ἀποδείρειν εἰς ὁλόκληρα μέρη διανεμέσθω, κοιλίας ἀποπλυνομένης καὶ ποδῶν· εἶτα σύμπαν τὸ ἱερεῖον πυρὶ τοῦ βωμοῦ παραδιδόσθω, γενόμενον ἐξ ἑνὸς πολ-
D λὰ, καὶ ἐκ πολλῶν ἕν. ταῦτα μὲν ἡ ῥητὴ πρόσταξις περιέχει· μηνύεται δὲ καὶ τοῖς ἕτερος αἰνιγματώδη λόγον ἔχον τὸ διὰ συμβόλων· σύμβολα δ' ἐστὶ τὰ λεχθέντα, φανερὰ ἀδήλων καὶ ἀφανῶν δῆλα. ἄρρεν τὸ ὁλόκαυτον ἱερεῖον, ἐπειδὴ τὸ ἄρρεν τελειότερον καὶ ἡγεμονικώτερον καὶ συγγενέστερον αἰτίῳ δραστικῷ. τὸ γὰρ θῆλυ ἀτελές, ὑπήκοον, ἐν τῷ πάσχειν μᾶλλον ἢ ποιεῖν ἐξεταζόμενον· δυοῖν δ' ὄντων ἐξ ὧν ἡ ἡμετέρα ψυχὴ συνέστη, λογικοῦ τε καὶ ἀλόγου, τὸ
E μὲν λογικὸν τῆς ἄρρενος γενεᾶς ἐστιν, ὅπερ νοῦ καὶ λογισμοῦ κεκλήρωται· τὸ δ' ἄλογον τῆς γυναικῶν, ὅπερ ἔλαχεν αἴσθησις· νοῦς δὲ αἰσθήσεως, ὡς ἀνὴρ γυναικὸς, καθ' ὅλον γένος ἀμείνων, ὃς ἄμωμος ὢν καὶ καθαρθεὶς καθαρσίοις ταῖς ἀρεταῖς τελείαις, αὐτός ἐστιν ἡ εὐαγεστάτη θυσία, καὶ ὅλη δι' ὅλων ἀρέσκουσα θεῷ· τὰς δ' ἐπιτιθεμένας τῇ τοῦ ζώου κεφαλῇ χεῖρας, δεῖγμα σαφέστατον εἶναι συμβέβηκε πράξεων ἀνυπαιτίων, καὶ βίου μηδὲν ἐπιφερομένου τῶν εἰς κατηγορίαν, ἀλλὰ τοῖς τῆς φύσεως νόμοις καὶ θεσμοῖς συνᾴδοντος. βούλεται γὰρ τοῦ θύοντος

A πρῶτον μὲν τὸν νοῦν ἀσκεῖσθαι γνώμαις ἀγαθαῖς καὶ συμφερούσαις ἐνασχολούμενον· ἔπειτα δὲ τὸν βίον ἐξ ἀρίστων συνεστάναι πράξεων, ὡς ἅμα τῇ τῶν χειρῶν ἐπιθέσει δύνασθαί τινα παρρησιασάμενον ἐκ καθαροῦ τοῦ συνειδότος τοιαῦτα εἰπεῖν, αἱ χεῖρες αὗται, οὔτε δῶρον ἐπ᾽ ἀδίκοις ἔλαβον, οὔθ᾽ αἵματος ἀθῴου προσήψαντο, οὐ πήρωσιν, οὐχ ὕβριν, οὐ τραῦμα, οὐ βίαν εἰργάσαντο, οὐκ ἄλλῳ τῷ τῶν ὑπὲρ οὐδενὶ τὴν κατηγορίαν ἢ ψόγον ἐχόντων ὑπηρέτησαν, ἀλλ᾽ ὑποδιάκονοι πάντων ἐγένοντο καλῶν B καὶ συμφερόντων, ἅπερ τῇ σοφίᾳ καὶ νόμοις καὶ καλοῖς καὶ νομίμοις ἀνδράσι τετίμηται. τὸ δ᾽ αἷμα κύκλῳ περιχεῖται τῷ βωμῷ· διότι κύκλος σχημάτων τελειότατον, καὶ ὑπὲρ τοῦ μέρος οὐδὲν ἔρημον καὶ κενὸν ἀπολειφθῆναι ψυχικῆς σπονδῆς. ψυχῆς δ᾽ ὡς εἰπεῖν ἐστὶ σπονδὴ τὸ αἷμα. συμβολικῶς οὖν ἀναδιδάσκει τὴν διάνοιαν ὅλην δι᾽ ὅλων ἐν κύκλῳ χορεύουσαν ἐν πάσαις ἰδέαις λόγων καὶ βουλημάτων καὶ ἔργων ἐπιδείκνυσθαι τὴν πρὸς τὸν θεὸν ἀρέσκειαν. C ἀποπλύνεσθαι δὲ κοιλίαν καὶ πόδας διείρηται, πάνυ συμβολικῶς. διὰ μὲν γὰρ τῆς κοιλίας αἰνίττεται, ὡς τὴν ἐπιθυμίαν ἀποπλύνεσθαι συμφέρει, κηλίδων καὶ μέθης καὶ παροινίας μεστήν, κακὸν βλαβερώτατον ἐπὶ λύμῃ τοῦ βίου τῶν ἀνθρώπων συγκροτούμενόν τε καὶ συνασκούμενον· διὰ δὲ τοῦ τοὺς πόδας ἀπολούεσθαι, τὸ μηκέτι βαίνειν ἐπὶ γῆς, ἀλλ᾽ αἰθεροβατεῖν. ἡ γὰρ τοῦ φιλοθέου ψυχὴ πρὸς ἀλήθειαν ἀπὸ γῆς ἄνω πρὸς οὐρανὸν πηδᾷ, καὶ πτερωθεῖσα μετεωροπορεῖ συμπεριπολῆσαι γλιχομένη καὶ συγχορεῦσαι ἡλίῳ καὶ σελήνῃ καὶ τῇ τῶν D ἄλλων ἀστέρων ἱερωτάτῃ καὶ παναρμονίῳ στρατιᾷ, ταξιαρχοῦντος καὶ ἡγεμονεύοντος τοῦ θεοῦ, τοῦ τὴν ἀνανταγώνιστον καὶ ἀναφαίρετον βασιλείαν ἔχοντος, δι᾽ ἧς ἐνδίκως ἕκαστα πρυτανεύεται. ἡ δὲ εἰς μέλη τοῦ ζῴου διανομὴ δηλοῖ ἢ ὅτι εἰς ἓν τὰ πάντα, ἢ ὅτι ἐξ ἑνός τε καὶ εἰς ἕνα, ὅπερ οἱ μὲν κόρον καὶ χρησμοσύνην ἐκάλεσαν, οἱ δ᾽ ἐκπύρωσιν καὶ διακόσμησιν κατὰ τὴν τῶν τεττάρων στοιχείων οἰκονομίαν, ἣν ἀντιδιδόασιν ἀλλήλοις. ἐμοὶ δὲ ἀψευδολογώτερον σκοπουμένῳ δοκεῖ τοῦτο δηλοῦσθαι, ἢ E τιμῶσα τὸ ὄν, δι᾽ αὐτὸ τὸ ὂν ὀφείλεται μὴ ἀλόγως μηδ᾽ ἀνεπιστημόνως, ἀλλὰ καὶ σὺν ἐπιστήμῃ καὶ λόγῳ τιμᾶν· ὁ δὲ περὶ αὐτοῦ λόγος τομὴν ἐπιδέχεται καὶ διαίρεσιν καθ᾽ ἑκάστην τῶν θείων δυνάμεων καὶ ἀρετῶν. ὁ γὰρ θεὸς ἀγαθός τέ ἐστι καὶ ποιητὴς καὶ γεννητὴς τῶν ὅλων, καὶ προνοητικὸς ὧν ἐγέννησε, σωτήρ τε καὶ εὐεργέτης καὶ μακαριότητος καὶ πάσης εὐδαιμονίας ἀνάπλεως, ὧν ἕκαστον καὶ καθ᾽ αὑτὸ ἰδίᾳ

A primum bonam mentem, sanctam & in pietate exercitam: deinde vitam benefactis ornatam, vt dum manus imponit, possit libera conscientia dicere: manus hæ nec muneribus corruptæ, nec innocenti sanguine pollutæ sunt, noxam, iniuriam, vulnus, vim intulerunt nemini, nulli rei turpi præbuerunt ministerium, sed rebus honestis ac vtilibus, quæ viris iustis, honestis sapientibúsque probantur. Sanguis B autem circumaltare funditur, quia circulus figura est perfectissima, ne huius libationis exsors sit vlla pars animæ. nam animam quodammodo libare videmur sanguine. Figurate igitur docemur, vt integra mente in orbem choreas agitante per omnes consiliorum, dictorum factorúmque species Deum colamus. Nec mysterio caret quòd iubemur intestina & pedes abluere. per intestina enim lota subinnuitur opor- C tere cupiditates ablui, abstergique maculas contractas ex ebrietate ac crapula, vitijs humanæ vitæ valde noxijs. Pedum vero lotio significat, non humi posthac incedendum, sed per æthera. Amans enim Deum anima re vera in cælum à terris emicat, sumptísque alis petit sublimia, cupida oberrandi cum sole, luna cæterarúmque stellarum sacra militia, ipso Deo duce atque imperatore, cuius D inexpugnabile regnum iuste moderatur vniuersa & singula. Quod autem membratim victima diuiditur, sic interpretantur, vel quòd ad vnum referantur omnia, vel quòd orta ex vno in vnum redeant: id quod nonnulli sufficientiam nominant, alij vero mutuum fomentum, ornatúmque elementorum quatuor. Mihi verisimilior coniectura videtur, admoneri hoc pacto Dei cultricem animam, vt Ens E illud non temere colat, sed certa ratione atque scientia. Ea ratio consistit in hoc, vt diuidantur ac distinguantur Dei virtutes & potentiæ. Nam Deus est bonus, conditor paréntque huius rerum vniuersitatis, prouidens suis operibus, seruator atque benefactor, idem beatissimus omníque felicitate refertissimus: quæ singula tum per se maiestatem habent mirificam,

tum collecta cum alijs eiusdem generis. Idem dicendum videtur & de rebus cæteris. Quoties subit tuum animum voluntas agendi Deo gratias propter mundum conditum, age & pro vniuerso & pro integris eius partibus tanquam animalis perfectissimi: atque vt clarius loquar, pro cælo, pro sole, pro luna cæterisque vel fixis vel erraticis sideribus: deinde pro terra cum suis animantibus & stirpibus, pro mari ac perennibus torrentibúsque fluuijs, & his quæ victum in eis sibi quærunt. denique pro aere ac huius partibus. Nam hiems, æstas, ver, autumnus, anni tempora tuendæ vitæ necessaria, mutationes sunt aeris commodæ rebus sublunaribus. quod si quando gratias agis pro hominibus, id non in genere tantum fieri oportet, sed speciatim iuxta distinctiones præcipuas, pro viris ac mulieribus, pro Græcis ac barbaris, pro insularibus æque ac pro continentem colentibus. item si pro vno viro vota facis, diuidenda sunt non in minutias, sed in ea quæ sunt potissima, vt res animi ac corporis, & rationis atque sensuum. Non est enim ingrata Deo pro his singulis gratiarum actio, vel deprecatio. Hactenus de holocautomatis: nunc sacrificium quod pro salute vocatur, considerandum venit. In eo non refert vtrius sexus sit hostia, verum ex ea tria hæc debentur sacrificis, adeps, fibra iecinoris, & renes duo. Cætera in epulum cedunt ei qui obtulit. Cur autem dictæ partes interaneorum sacratæ sint, non obiter dispiciendum est. equidem sæpe de his rebus cogitans, miratus sum cur ex ea visceratione lex desumens ceu primitias fibram iecinoris, & renes cum adipe, nec cor requirit nec cerebrum, vtramque sedem principalis partis animæ. nec dubito alijs quoque nonnullis, sacras literas magis mente quam aspectu perlustrantibus eandem quæstionem occurrere: qui si causam probabilem inuenerint, & sibi & nobis profuerint. sin minus, nostrum commentum iudicent, an videatur verisimile. est autem hoc, principalis nostri pars capax est iniustitiæ, timiditatis, imprudentiæ, cæterorúmque vitiorum: habitat autem in duabus modo dictis sedibus, corde atque cerebro. itaque sacra lex æquum iudicat, non oportere ad altare Dei, vbi solet impetrari omnium peccato-

A σεμνὸν καὶ ἐκπρεπετόν, καὶ μετὰ τῶν ὁμογενῶν ἐξεταζόμενον. ἔχει δὲ καὶ τὰ ἄλλα ταύτῃ. ὅταν βουληθῇς ἐν διανοίᾳ εὐχαριστῆσαι θεῷ, περὶ γενέσεως κόσμου, καὶ περὶ τοῦ ὅλου ποιοῦ τὴν εὐχαριστίαν, καὶ περὶ τῶν ὁλοσχερῶν αὐτοῦ μερῶν, ὡς ἂν ζῴου τελειοτάτου μερῶν, οἷον οὐρανοῦ λέγω καὶ ἡλίου καὶ σελήνης καὶ πλανήτων καὶ ἀπλανῶν ἀστέρων· εἶτα γῆς καὶ τῶν ἐπ᾽ αὐτῆς ζῴων καὶ φυτῶν· εἶτα καὶ πελαγῶν καὶ ποταμῶν αὐθιγενῶν τε καὶ χειμάρρων καὶ τῶν ἐν αὐτοῖς· ἔπειτα ἀέρος καὶ τῶν κατ᾽ αὐτὸν μερῶν. χει-
B μὼν γὰρ καὶ θέρος, ἔαρ τε καὶ μετόπωρον αἱ ἐτήσιοι καὶ βιωφελέσταται ὧραι, παθήματα ἀέρος γεγόνασιν ἐπὶ σωτηρίᾳ τῶν μετὰ σελήνην τρεπομένων. κἂν ἄρα ποτὲ περὶ ἀνθρώπων εὐχαριστῇς, μὴ μόνον περὶ τοῦ γένους, ἀλλὰ καὶ τῶν εἰδῶν καὶ ἀναγκαιοτάτων μερῶν εὐχαρίστει, ἀνδρῶν, γυναικῶν, Ἑλλήνων, βαρβάρων, τῶν ἐν ἠπείροις τῶν τὰς νήσους εἰληχότων· κἂν περὶ ἑνὸς ἀνδρός, τέμνε δὲ λόγῳ τὴν εὐχαριστίαν μὴ εἰς τὰ λεπτότατα μέχρι τῶν
C ἐσχάτων, ἀλλ᾽ εἰς τὰ συνεκτικώτατα, σῶμα καὶ ψυχὴν τὸ πρῶτον, ἐξ ὧν συνέστηκεν· εἶτα εἰς λόγον καὶ νοῦν καὶ αἴσθησιν. οὐ γὰρ ἂν γένοιτο ἀνάξια θεοῦ ἀκοῆς καὶ ἡ περὶ ἑκάστου τούτων εὐχαριστία καθ᾽ αὑτήν. ἀπόχρη τοσαῦτα περὶ τῆς θυσίας τῆς ὁλοκαύτου λελέχθαι· τὴν δὲ τοῦ σωτηρίου λεγομένην ἑξῆς ἐπισκεπτέον. ἐπὶ ταύτης γὰρ ἀδιαφορεῖ, ἐάν τε ἄρρεν ᾖ τὸ ἱερεῖον, ἐάν τε καὶ θῆλυ· σφαγέντος δέ, τρία ταῦτα ὑπεξαιρεῖται τῷ βωμῷ, τὸ στέαρ, καὶ λοβὸς ἥπατος, καὶ νεφροὶ δύο· τὰ δ᾽ ἄλλα δὴ κα-
D ταθύσαντι εὐωχία. διὰ τί δὲ τὰ μέρη ταῦτα τῶν ἐντοσθίων καθιεροῦται μετ᾽ ἀκριβείας ἐπισκεπτέον, ἐκεῖνο μὴ παρελθόντας. διαλογιζόμενος ἐν ἐμαυτῷ πολλάκις καὶ τοιαῦτα διερευνώμενος, ἐπηπόρησα τί δήποτε λοβὸν μὲν ἥπατος, καὶ νεφρούς, καὶ στέαρ ἀπαρχὰς τῶν καταθυομένων ζῴων ὑπεξείλετο ὁ νόμος, οὔτε δὲ καρδίαν, οὔτε ἐγκέφαλον, τοῦ ἡγεμονικοῦ παρ᾽ ἑτέρῳ τούτων ἐνδιαιτωμένου. τὸ δ᾽ αὐτὸ νομίζω καὶ ἄλλους οὐκ ὀλίγους τῶν διανοίᾳ μᾶλλον ἢ ὀφθαλμοῖς τῶν ἱερῶν ἐντυγχανόντων
E γραφαῖς ἐπιζητήσειν. ἐὰν μὲν οὖν ἐπισκεψάμενοι πιθανωτέραν αἰτίαν εὕρωσιν, ἑαυτούς τε καὶ ἡμᾶς ὠφελήσουσιν. εἰ δὲ μή, τὴν ἐπινοηθεῖσαν ὑφ᾽ ἡμῶν ἐπικρινέτωσαν εἰ δόκιμος. ἔστι δὲ ἥδε· τὸ ἡγεμονεῦον τῶν ἐφ᾽ ἡμῖν ἀφροσύνην, καὶ ἀδικίαν, καὶ δειλίαν, καὶ τὰς ἄλλας κακίας δυνατόν τε καὶ χωρεῖ. τούτου δὲ οἶκος, ὁ ἕτερος τῶν λεχθέντων ἐστίν, ἐγκέφαλος ἢ καρδία. ἐδικαίωσεν οὖν ὁ ἱερὸς λόγος, ἐπὶ τοῦ θεοῦ βωμοῦ, δι᾽ οὗ πάντων ἁμαρτημάτων καὶ παρανο-

ἱππείων σωμάτων. ἢ καὶ τὸ σύμβολον τοῦ πᾶσαν ἀπέχεσθαι δεῖν τὴν περὶ τὴν ἡδονήν, τὰ μὲν περὶ τὴν κατάποσιν γλυκαίνουσαν, πικρὰς δὲ καὶ δυσιάτους αὖθις ἐπιφέρουσαν ἀλγηδόνας, ὑφ' ὧν ἀνάγκη τὴν ψυχὴν σείεσθαι καὶ κλονεῖσθαι, παγίως ἱδρυθῆναι μὴ δυναμένην. ζύμην δὲ, διὰ τὴν γινομένην ἔπαρσιν ἐξ αὐτῆς, πάλιν συμβολικῶς, ἵνα μηδεὶς προσιὼν τῷ θυσιαστηρίῳ τὸ παράπαν ἐπαίρηται, φυσηθεὶς ὑπ' ἀλαζονείας, ἀλλ' εἰς τὸ τοῦ θεοῦ μέγεθος ἀποβλέπων, αἴσθησιν λαμβάνῃ τῆς περὶ τὸ γενητὸν ἀσθενείας, κἂν εὐτυχίαις διαφέρῃ, καὶ τὸν εἰκότα ποιησάμενος λογισμὸν στέλλῃ τὸ τοῦ φρονήματος ὑπέρογκον ὕψος, τὴν ἐπίβουλον οἴησιν καθαιρῶν. εἰ δὴ ὁ τῶν ὅλων κτίστης καὶ ποιητὴς καὶ πάντων ἀνεπιδεὴς ὢν ἐγέννησεν, οὐ πρὸς τὰς ὑπερβολὰς τοῦ κράτους αὐτοῦ καὶ τῆς ἐξουσίας ἀπιδών, ἀλλὰ πρὸς τὴν σὴν ἀσθένειαν, μεταδίδωσι τῆς ἵλεω δυνάμεως αὐτοῦ, τὰς ἐνδείας ἀναπληρῶν αἷς κέχρησαι, σὲ τί ποιεῖν ἁρμόττει πρὸς ἀνθρώπους τοὺς φύσει συγγενεῖς καὶ ἀπὸ τῶν αὐτῶν στοιχείων σπαρέντας, τὸν μηδὲν εἰς κόσμον, ἀλλὰ μηδὲ σαυτὸν εἰσενηνοχότα. γυμνὸς μὲν γὰρ ὦ θαυμάσιε ἦλθες, γυμνὸς πάλιν ἄπεις, τὸν μεταξὺ χρόνον γενέσεως καὶ θανάτου παρὰ τοῦ θεοῦ χρῆσιν λαβών, ἐν ᾧ τί ποιεῖν προσῆκον ἦν, ἢ κοινωνίας καὶ ὁμονοίας, ἰσότητός τε καὶ φιλανθρωπίας καὶ τῆς ἀρετῆς ἐπιμελεῖσθαι, ἀποβαλλόμενοι τὴν ἄνισον καὶ ἄδικον καὶ ἀσύμβατον κακίαν, ἣ τὸ ἡμερώτατον φύσει ζῷον ἄνθρωπον, ὠμὸν καὶ ἀτίθασον ἐργάζεται. πάλιν ἀφ' ἑσπέρας ἕως πρωῒ προστάττει καίεσθαι λύχνους ἐπὶ τῆς ἱερᾶς λυχνίας εἴσω τοῦ καταπετάσματος, πολλῶν χάριν· ἑνὸς μέν, ἵνα ἐκ διαδοχῆς τοῦ μεθημερινοῦ φωτὸς καταλάμπηται τὰ ἅγια, γινόμενα ἀεὶ σκότους ἀμέτοχα καθ' ὁμοιότητα τῶν ἀστέρων. καὶ γὰρ οὗτοι δύνοντος ἡλίου τὸ ἴδιον ἀναφαίνουσι φέγγος, ἣν ἐτάχθησαν ἐν τῷ κόσμῳ τάξιν οὐ λείποντες· ἑτέρου δέ, τοῦ καὶ νύκτωρ ἀδελφόν τι καὶ συγγενὲς ταῖς μεθημεριναῖς θυσίαις ἐπιτελεῖσθαι πρὸς ἀρέσκειαν θεοῦ, καὶ μηδένα χρόνον ἢ καιρὸν εὐχαριστίας παραλείπειν ἐπιτηδειότατον καὶ προσφυέστατον τῇ νυκτί. θυσίαν γὰρ αὐτὴν ἄξιον καλεῖν τὴν τοῦ ἱεροπρεποῦς φέγγους ἐν τοῖς ἀδύτοις αὐγήν· τρίτου δὲ καὶ σφόδρα ἀναγκαίου. ἐπεὶ γὰρ οὐ μόνον ἐγρηγορότες εὖ πάσχομεν, ἀλλὰ καὶ καθεύδοντες, τοῦ φιλοδώρου θεοῦ μεγάλην ἐπικουρίαν ὕπνον τῷ θνητῷ γένει παρασχόντος ἐπ' ὠφελείᾳ σώματός τε καὶ ψυχῆς, τοῦ μὲν σώματος τῶν μεθημερινῶν πόνων ἀφιεμένου, τῆς δὲ ψυχῆς ἐπικουφιζομένης τὰς φροντίδας, καὶ ἀναχωρούσης εἰς ἑαυτὴν ἀπὸ τῶν αἰσθήσεων ὄχλου καὶ θορύβου,

καὶ

καὶ δυναμένης τότε γοῦν καὶ ἐνομιλεῖν ἑαυτῇ, προσηκόντως ἠξίωσεν ὁ νόμος τὰς εὐχαριστίας διακληρῶσαι, ὑπὲρ μὲν ἐγρηγόρσεως, διὰ τῶν προσαγομένων ἱερείων, ὑπὲρ δὲ ὕπνου καὶ τῶν ἀπὸ τοῦδε ὠφελειῶν διὰ τῆς τῶν ἱερῶν λύχνων ἐξάψεως. ἃ μὲν οὖν πρὸς εὐσέβειαν νομοθετεῖται κατὰ προστάξεις καὶ ἀπαγορεύσεις, ταῦτα καὶ τὰ τούτοις παραπλήσιά ἐστιν. ἃ δὲ κατὰ τὰς φιλοσόφους ὑποθήκας καὶ παραινέσεις, ὧδε λεκτέον. αἰτεῖται γάρ, φησίν, ὦ διάνοια, παρὰ σοῦ ὁ θεὸς οὐδὲν βαρὺ καὶ ποικίλον ἢ δύσεργον, ἀλλὰ ἁπλοῦν πάλιν καὶ ῥᾴδιον. ταῦτα δέ ἐστιν, ἀγαπᾶν αὐτὸν ὡς εὐεργέτην, εἰ δὲ μή, φοβεῖσθαι γοῦν ὡς ἄρχοντα καὶ κύριον, καὶ διὰ πασῶν ἰέναι τῶν εἰς ἀρέσκειαν ὁδῶν, καὶ λατρεύειν αὐτῷ μὴ παρέργως, ἀλλ' ὅλῃ τῇ ψυχῇ πεπληρωμένῃ γνώμης φιλοθέου, καὶ τῶν ἐντολῶν αὐτοῦ περιέχεσθαι καὶ τὰ δίκαια τιμᾶν. ἐξ ὧν ἁπάντων αὐτὸς μὲν ἐν ὁμοίᾳ μενεῖ φύσει μὴ τρεπόμενος· εἴ τι δὲ τῶν ἄλλων ὅσα κατὰ τὸν κόσμον ἐστί, βελτίωσιν ἴσχει, ἥλιος, ἢ σελήνη, ἢ τὸ πλῆθος τῶν ἄλλων ἀστέρων, ἢ ὁ σύμπας οὐρανός, ἀλλὰ καὶ γῆς, τὰ μὲν ὄρη πρὸς ὕψος αἴρεται περιμηκέστατον, ἡ δὲ πεδιάς, ὥσπερ αἱ χυταὶ οὐσίαι ἐπὶ πλεῖον εὐρύνεται, καὶ ἡ θάλαττα μεταβάλλει πρὸς πότιμον, ἢ οἱ ποταμοὶ πελάγεσιν ἐξισοῦνται. ἐπὶ μὲν οὖν τῶν αὐτῶν ὅρων ἕκαστον ἵδρυται εὐθύς, ἐφ' οἷς ἐξ ἀρχῆς ἐποίησεν ὅτε ἐτάχθη· σὺ δὲ βελτίων ἔσῃ, ζῶν ἀνυπαιτίως. τί δὴ τούτων ἀργαλέον ἐστὶν ἢ ἐπίπονον; οὐκ ἄπλωτα πελάγη δεῖ περαιοῦσθαι, καὶ μέσου χειμῶνος κλύδωνι καὶ βίαις ἐναντίων πνευμάτων κυκλουμένοις ἄνω καὶ κάτω θαλαττεύειν, ἢ τραχείας καὶ ἀτριβεῖς πεζεύειν ἀνοδίας, οὐχ ὁδοὺς ληστῶν ἢ θηρίων ἐφόδοις ἀεὶ κατεπτηχότας, ἢ τειχοφυλακεῖν ἐν ὑπαίθρῳ νυκτερεύοντας, ἐφεδρευόντων πολεμίων, καὶ τοὺς ἀνωτάτω κινδύνους ἀπειλούντων· ἄπαγε, μηδὲν ἐπὶ καλοῖς λεγέσθω τῶν ἀηδῶν. εὐφημιστέον ἐπὶ τοῖς οὕτω συμφέρουσιν· ἐπινεῦσαι μόνον δεῖ τὴν ψυχήν, καὶ πάρεστιν ἐν ἑτοίμῳ τὰ πάντα. ἢ τοῦτο ἀγνοεῖς ὅτι τοῦ θεοῦ ἐστιν ὁ αἰσθητὸς οὐρανός, καὶ νοητός, εἴποι ἄν τις, οὐρανὸς οὐρανοῦ, καὶ πάλιν ἡ γῆ καὶ τὰ ἐν αὐτῇ καὶ σύμπας ὁ κόσμος, ὅ, τε ὁρατὸς καὶ ἀόρατος καὶ ἀσώματος, τὸ παράδειγμα τοῦ οὐρανοῦ; ἀλλ' ὅμως καὶ ἐξ ἁπάντων ἀνθρώπων γένους πρὸς ἀλήθειαν ἀνθρώπους ἀριστίνδην ἐπιλέξας εἵλετο, καὶ προνοίας ἠξίωσε τῆς πάσης, ἐπὶ τὴν θεραπείαν καλέσας ἑαυτοῦ τὴν ἀέναον τῶν καλῶν πηγήν, ἀφ' ἧς καὶ τὰς ἄλλας ὤμβρησεν ἀρετάς.

A iudicauit gratiarum actiones ita distribui, vt sacra fiant pro vigilantibus, pro somno vero & prouenientibus inde commodis accendantur sacrata lumina. Hæc & huiuscemodi sunt mandata interdictáque ad ceremonias spectantia. Præcepta porro ad sapientiam conducibilia sic inde licebit elicere. Videtur legislator dicere: Nihil ô anime à te Deus exigit graue multiplex & arduum, sed simplicia quædam & facilia: videli- B cet vt eum tanquam bene meritum diligas, si non libet reuereri vt principem ac Dominum: vtque incedas per vias ei placitas, colásque illum non obiter, sed ex tota mente referta pijs opinionibus: tum mandata eius retineas firmiter, & ius diuinum habeas in pretio: quæ cuncta si accurate obseruaueris, nunquam degenerabis à natura propria. Quod si quid in mundo promouetur, sol, C aut luna, stellæve cæteræ, aut cælum ipsum vniuersum, vel terra dum celsis attollitur montibus, aut in patentes campos liquidæ naturæ more diffunditur, vel mare dum vertitur in dulcedinem, aut flumina restagnant tanquam maria, statim tamen singula redeunt ad pristinos terminos. Tuus autem profectus erit, si viuas innocens. Quid hic molestum est aut difficile? non iuberis maria nunquam prius ten- D tata traijcere, & tempestate furente in medijs fluctibus súsque déque iactari procellis inter se conflictantibus, non pedibus emetiri asperos calles & inuios, non itinera ingredi feris infestata & latronibus, non agere sub diuo excubias expositus insidijs hostium. Absint à bonis hæ molestiæ. Melius ominandum est in rebus tam vtilibus. Satis est si annuat animus, E mox in promptu erunt omnia. An nescis Dei esse cælum, tum hoc sensibile, tum illud intelligibile quod cælum cæli dicere licet: terram item & quicquid ea continet, mundúmque vniuersum visibilem, atque alterum illum inuisibilem ac incorporeum ad cuius exemplum hic noster est conditus? & tamen ex toto humano genere selegit sibi aliquot præcipuos verè homines, quos curare dignatus vocauit ad sui cultum & religionem, seu perennem fontem

vnde cæteræ virtutes promanant, ad fruendum iucundiores nectare, nec minus ad parandam immortalitatem vtiles. Miseri qui se alienant ab hoc virtutis epulo, miserrimi qui ne gustum quidem honestatis vnquam ceperunt, cum liceat deliciari & hilariter degere in sanctitate ac iustitia. Verum isti sunt corde incircumciso, sicut scriptura loquitur, & contumaces propter morum duritiem, petulantes & immorigeri, quos lex his verbis admonet: Circumcidimini cordis duritiem: hoc est, excidite superflua mentis germina, prognata ex immoderatis affectibus & coalita insitáque in animum à malo agricola insipientia, quàm primum excidenda summo studio. Et cauete, inquit, ne ceruix vestra dura sit: hoc est ne sit refractaria, néve data opera duretur ad ruditatem noxiam: sed omissa intractabilitate natiua vt perniciosa, flectatur ad ea quæ decent, obsequendo naturæ legibus. Annon vides, circa ipsum Ens primarias maximásque potentias, beneficam & vltricem? beneficam Deum nominant, quoniam huius opera mundus conditus & ornatus est: alteram vero Dominum, penes quam est rerum vniuersarum imperium. Deus non hominum tantum, sed & deorum est Deus, magnus, verè ens, & pollens poténsque. Attamen hic tam ingens virtute ac robore, miseretur egenorum inopiæ, nec dedignatur esse iudex in causa inquilini, pupilli, & viduæ: sed posthabitis regibus tyrannísque & magnatibus, humiles dignatur hoc priuilegio. inquilinos, quia relictis institutis patrijs vanitate mendacióque plenissimis, amore veritatis ad pietatem se transtulerunt, & versi ad eum qui vere est colendum, religiosi animi fruuntur priuilegio, ne frustra ad diuinam opem confugisse videantur. Pupillorum autem viduarúmque tutelam profitetur, quia hæ maritis, illi parentibus, orbati sunt: quibus humana ope destitutis nullum præterea relinquitur auxilium. Ideo maxima in diuino spes superest: quia propitium numen non auersatur huius generis patrocinium. Sit, inquit, solus Deus tua gloriatio.

A καὶ αἱρεθὲν εἰς ἀπόλαυσιν ὠφελιμώτατον, νέκταρος μᾶλλον, ἢ οὐχ ἧττον ἀθανατίζον ποτόν. οἰκτροὶ δὲ καὶ κακοδαίμονες ὅσοι μὴ τὸν ἀρετῆς πότον εὐωχήθησαν, καὶ κακοδαιμονέστατοι διετέλεσαν, οἳ εἰσάπαν ἄγευστοι καλοκαγαθίας, παρὸν καὶ ἐνευφρανθῆναι καὶ ἐντρυφῆσαι δικαιοσύνῃ καὶ ὁσιότητι. ἀλλ' εἰσὶν ἀπερίτμητοι τῇ καρδίᾳ, ἥ φησιν ὁ νόμος, καὶ διὰ σκληρότητα τρόπων ἀφηνιασταί, σκιρτῶντες, αὐθάδεις καὶ ἀποχαινίζοντες· οὓς νουθετεῖ φάσκων, Περιτέμνεσθε τὰς σκληροκαρ-
B δίας· τοῦτ' ἔστι, τὰς περιττὰς φύσεις τοῦ ἡγεμονικοῦ, ἃς αἱ ἄμετροι τῶν παθῶν ἔσπειράν τε καὶ συνηύξησαν ὁρμαί, καὶ ὁ κακὸς ψυχῆς γεωργὸς ἐφύτευσεν, ἀφροσύνη, μετὰ σπουδῆς ἀποκείρασθε. Καὶ ὁ τράχηλος, φησίν, ὑμῶν μὴ σκληρὸς ἔστω, τουτέστι μὴ ἀκαμπὴς ὁ νοῦς καὶ αὐθαδέστατος, μηδ' ὑπὸ τῆς ἄγαν σκαιότητος ἐπιτηδευέτω τὴν βλαβερωτάτην ἀμαθίαν· ἀλλὰ τὸ φύσει δύστροπον καὶ δύσκολον μεθέμενος ὡς ἐχθρόν, μεταβαλλέτω πρὸς
C τὸ εἰκός, πειθαρχήσων νόμοις φύσεως. ἢ οὐχ ὁρᾷς ὅτι περὶ τὸ ὂν αἱ πρῶται καὶ μέγισται τῶν δυνάμεών εἰσιν, ἥ τε εὐεργέτις καὶ κολαστήριος; καὶ προσαγορεύεται, ἡ μὲν εὐεργέτις θεός, ἐπειδὴ κατὰ ταύτην ἔθηκε καὶ διεκόσμησε τὸ πᾶν· ἡ δ' ἑτέρα κύριος, καθ' ἣν ἀνῆπται τῶν ὅλων τὸ κράτος; θεὸς οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ θεῶν ἐστι θεός, μέγας τέ ἐστιν, ὢν ὄντως, καὶ ἰσχυρὸς καὶ κραταιός· ἀλλ' ὅμως ὁ τοσοῦτος ἐν ἀρεταῖς καὶ δυνάμεσιν ἔλεον καὶ οἶκτον λαμβάνει τῶν ἐνδείαις ἀπορωτά-
D των, οὐκ ἀπαξιῶν γενέσθαι κριτὴς προσηλύτοις καὶ ὀρφανοῖς ἢ χήραις, ἀλλὰ βασιλέων καὶ τυράννων, καὶ τῶν ἐν μεγάλαις δυναστείαις ὑπεριδών, τὸ ταπεινὸν τῶν λεχθέντων ἀξιοῖ προνομίας, τῶν μὲν ἐπηλύτων, διὰ τόδε· καταλιπόντες οὗτοι τὰ πάτρια οἷς ἐνετράφησαν, ψευδῶν πλασμάτων γέμοντα καὶ τύφου, γενόμενοι ἀληθείας ἐρασταὶ γνήσιοι, μετεχώρησαν πρὸς εὐσέβειαν· ἱκέται δὲ καὶ θεραπευταὶ τοῦ ὄντως ὄντος ἀξίως ὄντες, τῆς προνομίας τῆς ἁρμοττούσης εἰκότως μεταλαμβάνουσι,
E καρπὸν εὑράμενοι τῆς ἐπὶ τὸν θεὸν καταφυγῆς τὴν ἀπ' αὐτοῦ βοήθειαν· ὀρφανῶν δὲ καὶ χηρῶν, ἐπειδὴ κηδεμόνας ἀφῄρηνται, οἱ μὲν γονεῖς, αἱ δὲ ἄνδρας· καταφυγὴ δὲ οὐδεμία τοῖς οὕτως ἐξ ἀνθρώπων ἐρήμοις ἀπολείπεται· διὸ τῆς μεγίστης ἐλπίδος οὐκ ἀμοιροῦσι τοῦ θεοῦ, διὰ τὴν ἵλεων φύσιν αὐτοῦ, τὴν πρόνοιαν καὶ ἐπιμέλειαν μὴ ἀποστραφέντος τῶν οὕτως ἐρήμων. Ἔστω δέ, φησί, μόνος θεός, αὔχημά σου καὶ μέγιστον κλέος, καὶ μήτ' ἐπὶ

πλούτῳ, μήτ' ἐπὶ δόξῃ, μήθ' ἡγεμονίᾳ, μήτε σώματος εὐμορφίᾳ, μήτε ῥώμῃ, ἢ τοῖς παραπλησίοις ἐφ' οἷς εἰώθασιν οἱ κενοὶ φρενῶν ἐπαίρεσθαι, σεμνυνθῇς, λογισάμενος ὅτι πρῶτον μὲν ἀμέτοχα ταῦτ' ἐστὶ τῆς ἀγαθοῦ φύσεως· ἔπειτα δ', ὅτι καὶ ὀξεῖαν ἔχει τὴν μεταβολήν, μαραινόμενα τρόπον τινὰ πρὶν ἀνθῆσαι βεβαίως· καὶ τῆς ἱκεσίας αὐτοῦ περιεχώμεθα, καὶ μήτε κρατήσαντες ἐχθρῶν ζηλώσωμεν τὰς ἐκείνων ἐν οἷς εὐσεβεῖν δοκοῦσιν ἀσεβείας, υἱοὺς καὶ θυγατέρας τοῖς αὐτῶν καταφλέγοντες θεοῖς, οὐχ ὅτι τὰ τέκνα πᾶσι τοῖς βαρβάροις ἐμπιμπράναι δι' ἔθους ἐστίν· οὐ γὰρ οὕτως ἐξηγρίωνται τὰς φύσεις, ὡς ἃ μόλις ἐχθροῖς ἀσυμβάτοις ἐν πολέμῳ, ταῦτα τοῖς φιλτάτοις καὶ οἰκειοτάτοις ἐν εἰρήνῃ δρᾶν ὑπομένειν· ἀλλ' ὅτι τὰς ψυχὰς τῷ ὄντι καταφλέγουσι καὶ διαφθείρουσιν ὧν ἐγέννησαν, ἐξ ἔτι σπαργάνων, ἁπαλαῖς ἔτι μὴ ἐγχαράττοντες τὰς ἀληθείας δόξας περὶ τοῦ ἑνὸς καὶ πρὸς ἀλήθειαν ὄντος θεοῦ. μὴ οὖν ἡττηθέντες ἀναπείσωμεν καὶ ὑπαχθῶμεν ταῖς ἐκείνων εὐτυχίαις ὡς δι' εὐσέβειαν νενικηκότων. πολλοῖς γὰρ ἐπ' ἐνέδρᾳ συμβαίνουσιν αἱ παραυτίκα εὐπραγίαι, δέλεαρ σφοδρῶν καὶ ἀνιάτων οὖσαι κακῶν. εἰκὸς δὲ καὶ ἀναξίους ὄντας κατορθοῦν, οὐ δι' ἑαυτούς, ἀλλ' ὑπὲρ τοῦ λυπεῖσθαι καὶ ἀνιᾶσθαι σφοδρότερον ἡμᾶς οὐχ ὅσια δρῶντας, οἳ γεννηθέντες ἐν πολιτείᾳ φιλοθέῳ, καὶ ἐντραφέντες νόμοις ἐπὶ πᾶσαν ἀρετὴν ἀλείφουσι, καὶ ἐκ πρώτης ἡλικίας παιδευόμενοι τὰ κάλλιστα ἀνδράσι, τὴν μὲν ὀλιγωροῦμεν, τὴν δ' ὡς ἀληθῶς ὀλιγωρίας ἀξίαν περιεχόμεθα, παιδιὰν μὲν τὰ σπουδαῖα, σπουδῆς δὲ τὰ παιδιᾶς ἄξια ἡγούμενοι. κἂν μέντοι τις ὄνομα καὶ σχῆμα προφητείας ὑποδὺς ἐνθουσιᾶν καὶ κατέχεσθαι δοκῇ, ἄγῃ πρὸς τὴν τῶν νενομισμένων κατὰ πόλεις θρησκείαν θεῶν, οὐκ ἄξιον προσέχειν ἀπατωμένους ὀνόματι προφήτου· γόης γάρ, ἀλλ' οὐ προφήτης ἐστὶν ὁ τοιοῦτος. ἐπεὶ δὲ ψευδολογίας λόγους καὶ χρησμοὺς ἐπλάσατο, κἂν ἀδελφός, ἢ υἱὸς ἢ θυγάτηρ, ἢ γυνή, ἢ οἰκουρός, ἢ γνήσιος φίλος, ἢ τις ἕτερος εὔνους εἶναι δοκῶν εἰς τὰ ὅμοια ἐνάγῃ, προτρέπων ἐνασμενίζειν τοῖς πολλοῖς, καὶ ἐπὶ τὰ αὐτὰ ἱερὰ καὶ τὰς αὐτὰς σπουδὰς ἀφικέσθαι, κολαστέον ὡς δήμιον καὶ κοινὸν ἐχθρὸν ὄντα, ὀλίγα φροντίσαντας οἰκειότητος, καὶ τὰς προαιρέσεις αὐτοῦ διαγγελτέον πᾶσι τοῖς εὐσεβείας ἐρασταῖς, οἳ ἀνυπερθέτῳ τάχει τὴν κατ' ἀνδρὸς ἀνοσίου ἐπιδραμοῦνται τιμωρίαις, κρίνοντες εὐαγὲς τὸ κατ' αὐτοῦ φονᾶν. ἔστω γὰρ ἡμῖν μία οἰκειότης καὶ φιλίας ἓν σύμβολον,

A Non diuitijs, non honoribus, non principatu, non pulchritudine corporis vel robore, aut similibus rebus, quibus homines vesani extolluntur, tibi placeas, cogitans primum hæc ad bonorum naturam non pertinere: deinde mutari momento minimo, & simul ac effloruerunt marcescere. Illi soli adhæreamus supplices, ac ne deuicti quidem ab hostibus æmulemur impias eorum ceremonias, in honorem B Deorum exurentes filios ac filias: non quòd is mos sit omnibus Barbaris: nec enim tam fero sunt ingenio, vt iniuriam, quam in bello ab infensissimis hostibus abstinent, in pace charissimis pignoribus inferre sustineant: sed quia re vera concremant corrumpúntque animas ex se prognatorum, dum ab incunabulis in teneras etiamtum non insculpunt veritatis dogmata, vnde vnum verum Deum discere valeant. C cauendum igitur ne vel deuicti prolabamur in superstitiones eorum, quasi pietatis merito adepti sint victoriam. multis enim insidiantur præsentes felicitates, vt inescatos in calamitates maximas pertrahant. & fieri potest vt quamuis indigni, potiantur victoria vt nos id male habeat, qui educati in diuinitus instituta republica, & innutriti legibus ad omnem virtutem incitantibus, à prima ætate doctrina imbuti quæ viros de- D ceat, hæc contemptim habemus, & nugas æstimamus cuiusuis pretij, seria vero nihili. quod si quis sumpto prophetæ habitu ac nomine, correptum se diuino spiritu simulet, atque ita ad externorum deorum cultum inuitet, cauendum est ne quis decipiatur à personato propheta. magus enim non vates est. qui quoniam mendacia commentus est & falsa oracula, etiamsi frater aut filius, vxor aut filia, familiaris aut amicus sit, si per speciem beneuo- E lentiæ seducere te ad impietatem suam studeat: necandus est tanquam hostis publicus sine respectu priuatæ necessitudinis: & hortatio illius proferenda est ad omnes pietatis amatores: qui absque mora in scelestum irruent, rati sanctitatis officium, talem hominem occidere. debet enim nobis esse vnica familiaritatis & amicitiæ tessera,

Deo placendi studium, & dicendi faciendíque pro pietate omnia. Cæterum cognationes siue vt quidam vocant consanguinitates descendentes à communibus maioribus, tum affinitates quæsitæ per connubia, reijciendæ sunt si non ad eundem finem properant, honorem Dei videlicet, quod est omnis coniunctiuæ beneuolentiæ vinculum insolubile. nam talibus non deerit cognatio sanctior & honestior. attestatur mihi lex ipsa, quæ naturæ placita & virtutem seruantes, filios Dei nominat, dicens: Filij estis Domino Deo nostro: mirum ni quia sicut pater dignatur eos sua cura & prouidentia. quæ cura tantum ab humana differt, quanto curator ipse maior est hominibus. præterea profanas initiationes orgiáque lex sacra omnino submouet è sua republica, quòd periniquum censeat bene ac diligenter educatos contempta veritate animum applicare ad huiusmodi mysteria, & sectari pernoctationes tenebricosas, relicta luce actionibúsque quales diem deceant. nemo igitur ex Mosis discipulis initiet initietúrve: quando vel docere vel discere hæc iuxta est nefarium. cur enim ô mystæ, si hæc pulchra sunt & vtilia, clausi profundis tenebris tribus tantum quatuórve prodestis hominibus, cum liceat coram omnibus in medio foro vtilitates istas proponere, vt omnes ad meliorem feliciorémque vitam se conferrent intrepide. nam à virtute disiuncta est inuidia. cælent se suáque præ pudore qui tractant illicita, subeant secessus terræ obscuros & abditos, ne quis eos videat. qui autem prosunt publice omnibus, in clara luce versentur in foro medio, libere se in cœtus hominum ingerant, in illustri vitam suam proponant, & per præcipuos sensus iuuent turbas mortalium, dum vident stupenda, sed iucunda spectacula, & dulces sermones auribus hauriunt, mentes non prorsus indoctorum exhilarare solitos. An non vides naturam quoque haud occultare sua pulcherrima laudatissimáque opera, sed in conspicuo posuisse cælum cum sideribus omnibus, vt visum allectaret ad philosophiæ desiderium? maria quoque, fontes, fluuios, aeris temperiem, ventos anni horas moderantes suis vicibus, stirpium animantium frugúmque innumeras spe-

A ἡ πρὸς θεὸν ἀρέσκεια, καὶ τὸ πάντα λέγειν τε καὶ πράττειν ὑπὲρ εὐσεβείας. αἱ δὲ ἐκ προγόνων ἀφ' αἵματος αὗται λεγόμεναι συγγένειαι, καὶ αἱ κατ' ἐπιγαμίας ἤ τινας ἄλλας ὁμοιοτρόπους αἰτίας οἰκειότητες, ἀπερριπτέσθωσαν, εἰ μὴ πρὸς τὸ αὐτὸ τέλος ἐπείγονται, τὴν τοῦ θεοῦ τιμήν, ἥ πάσης ἑνωτικῆς εὐνοίας ἄλυτος δεσμός ἐστιν. ἀντιλήψονται γὰρ οἱ τοιοῦτοι σεμνοτέρας καὶ ἱεροπρεπεστέρας συγγενείας. βεβαιοῦται δέ μου τὴν ὑπόσχεσιν ὁ νόμος λέγων, ὅτι οἱ τὸ ἀρεστὸν τῇ φύσει δρῶντες καὶ τὸ καλόν, υἱοί εἰσι τοῦ θεοῦ. φησὶ γάρ, Υἱοί ἐστε κυρίῳ τῷ θεῷ ὑμῶν, δηλονότι προνοίας καὶ κηδεμονίας ἀξιωθησόμενοι τῆς ὡς ἐκ πατρός. ἡ δ' ἐπιμέλεια τοσοῦτον ἰδίοις τοῖς ἀπ' ἀνθρώπων, ὅσονπερ οἶμαι καὶ ὁ ἐπιμελούμενος διαφέρει. πρὸς τούτοις ἔτι τὰ περὶ τελετὰς καὶ μυστήρια, καὶ πρὸς τὴν τοιαύτην τερθρείαν καὶ βωμολοχίαν, ἐκ τῆς ἱερᾶς αἵρει νομοθεσίας, οὐκ ἀξιῶν τοὺς ἐν τοιαύτῃ πολιτείᾳ τραφέντας ὀργιάζεσθαι, καὶ μυστικῶν πλα-
C σμάτων ἐκκρεμαμένους ὀλιγωρεῖν ἀληθείας, καὶ τὰ νύκτα καὶ σκότος κεκληρωμένα μεταδιώκειν, παρέντας τὰ φωτὸς καὶ ἡμέρας ἄξια. μηδεὶς οὖν μήτε τελείσθω τῶν Μωσέως φοιτητῶν καὶ γνωρίμων, μήτε τελείτω. ἑκάτερον γὰρ τό, τε μανθάνειν καὶ τὸ διδάσκειν τελετάς, οὐ μικρὸν ἀνοσιούργημα. τί γάρ, εἰ καλὰ ταῦτ' ἐστιν ὦ μύσται καὶ συμφέροντα, συγκλεισάμενοι ἑαυτοὺς ἐν σκότῳ βαθεῖ, τρεῖς ἢ τέτταρας μόνους ὠφελεῖτε, παρὸν ἅπαντας ἀνθρώπους ἐν ἀγορᾷ μέσῃ τὰ τῆς ὠφελείας προθέντας,
D ἵνα πᾶσιν ἀδεῶς ἐξῇ βελτίονος καὶ εὐτυχεστέρου κοινωνῆσαι βίου. φθόνος γὰρ ἀρετῆς διῴκισται. οἱ μὲν γὰρ τὰ βλαβερὰ πράττοντες αἰσχυνέσθωσαν, καὶ καταδύσεις ἐπιζητοῦντες καὶ γῆς μυχοὺς καὶ βαθὺ σκότος ἐπικρυπτέσθωσαν, τὴν πολλὴν ἀνομίαν αὐτῶν ἐπισκιάζοντες, ὡς μηδεὶς ἴδοι· τοῖς δὲ τὰ κοινωφελῆ δρῶσιν ἔστω παρρησία, καὶ μεθ' ἡμέραν διὰ μέσης ἴτωσαν ἀγορᾶς ἐντευξόμενοι πολυανθρώποις ὁμίλοις, ἡλίῳ καθαρῷ τὸν ἴδιον βίον αὐγάσοντες,
E καὶ διὰ τῶν κυριωτάτων αἰσθήσεων τοὺς συλλόγους ὀνήσοντες, ὁρῶντας μὲν ὧν ἥδιστόν ἐστι καὶ καταπληκτικώτατον ὄψις, ἀκούοντας δὲ καὶ ἑστιωμένους λόγων ποτίμων, οἳ καὶ τὰς διανοίας τῶν μὴ σφόδρα ἀμούσων εἰώθασιν εὐφραίνειν. ἢ οὐχ ὁρᾷς ὅτι καὶ ἡ φύσις τῶν ἑαυτῆς ἀοιδίμων καὶ παγκάλων ἔργων οὐδὲν ἀπέκρυψεν, ἀλλ' ἀστέρας μὲν καὶ τὸν σύμπαντα οὐρανόν, εἰς τε τὴν δι' ὄψεως τέρψιν καὶ πρὸς φιλοσοφίας ἵμερον ἀπέφηνεν· πέλαγη δὲ καὶ πηγὰς καὶ ποταμούς, καὶ ἀέρος εὐκρασίαν, ἀνέμων τε εἰς τὰς ἐτη-

σίους ὥρας, φυτῶν τε καὶ ζῴων, ἔτι δὲ καρπῶν ἀμυθήτων ἰδέας, εἰς χρῆσιν καὶ ἀπόλαυσιν ἀνθρώπων; εἶτ᾽ οὐκ ἐχρῆν καὶ ὑμᾶς ἑπομένους τοῖς ἐκείνης βουλήμασι, πάνθ᾽ ὅσα ἀναγκαῖα προτιθέναι τοῖς ἀξίοις ἐπ᾽ ὠφελείᾳ; νῦν δὲ συμβαίνει πολλάκις τοῖς μὲν ἀγαθῶν ἀνδρῶν μηδένα μυεῖσθαι, λῃσταῖς δ᾽ ἔστιν ὅτε καὶ καταποντισταῖς καὶ γυναικῶν θιάσοις βδελυκτῶν καὶ ἀκολάστων, ἐπειδὰν ἀργύριον παράσχωσι τοῖς τελοῦσι καὶ ἱεροφαντοῦσιν. ἀπορρέοιεν δὲ πάντες οὗτοι φυγαδευέσθωσαν πόλεως καὶ καταστάσεως, ἐν ᾗ τὸ καλὸν καὶ ἡ ἀλήθεια δι᾽ αὐτὰ τιμᾶται. ταῦτα μὲν ἐπὶ τοσοῦτον. κοινωνίας δὲ καὶ φιλανθρωπίας εἰσηγητὴς ὢν ἐν τοῖς μάλιστα ὁ νόμος, ἑκατέρας ἀρετῆς τήν τ᾽ ἀξίωσιν καὶ τὴν σεμνότητα διετήρησεν, οὐδενὶ τῶν ἀνιάτως ἐχόντων ἐπιτρέψας καταφυγεῖν ἐπ᾽ αὐτάς, ἀλλὰ πορρωτάτω ἀποσχοινίσας. ἐπιστάμενος γοῦν ἐν ταῖς ἐκκλησίαις οὐκ ὀλίγους τῶν μοχθηρῶν ἐπεισρέοντας, καὶ διὰ τὸ συνειλεγμένον πλῆθος λανθάνοντας, ἵνα μὴ τοῦτο γίνηται, προαπείργει πάντας τοὺς ἀναξίους ἱεροῦ συλλόγου, τὴν ἀρχὴν ποιησάμενος ἀπὸ τῶν νοσούντων τὴν θήλειαν νόσον, ἀνδρογύνων, οἳ τὸ φύσεως νόμισμα παρακόπτοντες, εἰς ἀκολάστων γυναικῶν πάθος καὶ μορφὰς εἰσβιάζονται· θλαδίας καὶ ἀποκεκομμένους τὰ γεννητικὰ ἐλαύνει, τό, τε τῆς ὥρας ταμιεύοντας ἄνθος, ἵνα μὴ ῥᾳδίως μαραίνοιτο, καὶ τὸν ἄρρενα τύπον μεταχαράττοντας εἰς θηλύμορφον ἰδέαν. ἐλαύνει δ᾽ οὐ μόνον πόρνας, ἀλλὰ καὶ τοὺς ἐκ τῆς πόρνης ἐπιφερομένους μητρῷον αἶσχος, διὰ τὸ τὴν πρώτην σπορὰν καὶ γένεσιν αὐτοῖς κεκιβδηλεῦσθαι. τόπος γὰρ οὗτος, εἰ καί τις ἄλλος ἐπιδέχεται ἀλληγορίαν, φιλοσόφου θεωρίας ὢν ἀνάπλεως. τῶν γὰρ ἀσεβῶν καὶ ἀνοσίων οὐχ εἷς τρόπος, ἀλλὰ πολλοὶ καὶ διαφέροντες. οἱ μὲν γὰρ τὰς ἀσωμάτους ἰδέας, ὄνομα κενὸν ἀμέτοχον ἀληθοῦς πράγματος εἶναί φασι, τὴν ἀναγκαιοτάτην οὐσίαν ἐκ τῶν ὄντων ἀναιροῦντες, ἥτις ἐστὶν ἀρχέτυπον παράδειγμα πάντων, ὅσα ποιότητες οὐσίας, καθ᾽ ἣν ἕκαστον εἰδοποιεῖται καὶ διαμετρεῖται. τούτους αἱ ἱεραὶ τοῦ νόμου στῆλαι μηνύουσι θλαδίας. τὸ γὰρ τεθλασμένον ἀφῄρηται τὴν ποιότητα καὶ τὸ εἶδος, καὶ οὐδὲν ἕτερόν ἐστιν, ἢ κυρίως εἰπεῖν ἄμορφος ὕλη. οὕτως ἡ ἀναιροῦσα δόξα ἰδέας, πάντα συγχεῖ, καὶ πρὸς τὴν ἀνωτέραν τῶν στοιχείων οὐσίας τὴν ἀμορφίαν, ἀπὸ σχημάτων ἄγει οὗ τί γένοιτ᾽ ἂν ἀτοπώτερον. ἐξ ἐκείνης γὰρ πάντ᾽ ἐγέννησεν ὁ θεός, οὐκ ἐφαπτόμενος αὐτός. οὐ γὰρ ἦν θέμις ἀπείρου καὶ πεφυρμένης ὕλης ψαύειν τὸν ἴδμονα καὶ μακάριον

A eies, prompsisse in vsumfructum hominum? & non oportebat vos quoque illam imitatos omnia necessaria quibusuis dignis vtenda proponere? nunc sæpe fit vt nemo bonus initietur, sed latrones piratæque ac mulierum probrosarum & impudicarum sodalitia, modo pecunia numeretur initiatoribus. Procul semoueantur omnes isti extra fines bene constitutæ ciuitatis in qua virtus & veritas colitur. de his bactenus. Cæterum quia societatem B humanitatémque maxime docet lex nostra, vtrique virtuti honorem habet meritum, neminem deplorate malum ad eas admittens, sed quam longissime in rem malam ablegans. Cum igitur sciret concionibus admisceri multos improbos, quòd se posse in turba latere autument, vt id caueret in posterum, omnes indignos à sacro cœtu edicto prohibuit, exorsus à semiuiris obscœno morbo laborantibus, qui naturæ monetam adul- C terantes, in impudicarum mulierum affectum & formam sponte degenerant. Spadones item & castratos arcet, quòd vt florem ætatis seruarent diutius, è masculino sexu transcribi se passi sint in fœmineam speciem. Pariter repellit non tantum scorta, sed & natos è prostitutis, contactos materno dedecore, propter natales adulterinos. Qui locus, si quis alius, allegoriam recipit, plenam contemplatio- D ne philosophica. impiorum enim & scelestorum non vnum genus est, sed multa & varia. Quidam enim incorporeas ideas nomen inane aiunt rei veræ nullius, tollúntque è rebus essentiam summe necessariam, quæ est archetypum exemplar omnium quæ specificantur & dimetiuntur qualitatibus. Hos sacræ legis tabulæ spadones nominant. Quod enim conuulsum est priuatur qualitate atque specie, fitque nil aliud quàm (vt proprie lo- E quar) informis materia. Eodem modo opinio quæ tollit ideas, confundit omnia, & super veterem illam informitatem quæ ante digesta in ordinem elementa fuerat, adducit scenica deliria: quo quid iniquius cogitari potest aut absurdius? nam ex materia creauit Deus omnia, licet eam non attigerit: nec enim fas erat rudem indigestáque contrectari ab illo beato ac omniscio: sed incorporeis potentijs, quarum verum nomen est ideæ,

vsus fuit ad apte formanda singula genera. at ista opinio valde perturbat omnem rerum ordinem. sublatis enim ideis vnde qualitates sunt, qualitates ipsas tollit pariter. Alij vero quasi contendant hos in impietatis stadio post se relinquere, addunt amplius, vt non solum ideas, sed & Deum esse negent per summam impudentiam: quasi conducat vitæ vel falso credi præsentiam inspectantis cuncta numinis, miseri & steriles sapientiæ, impietati malo maximo deuoti ac dediti. Tertium genus eorum est, qui viam ingressi contrariam, comminiscuntur deorum multitudinem, mares & fœminas, seniores & iuniores, replendo mundum multis præsidibus, vt de vno vero Deo persuasionem eximant mentibus hominum. Hi sunt quos lex figurate dicit natos è meretricibus. quemadmodum enim hæ verum filiorum suorum patrem nesciunt, nec possunt eis quemquam assignare ex tam multis amatoribus, cum quibus habuerunt stupri consuetudinem: eodem modo qui vnum verum Deum ignorant inter multos falsos cæcutiunt, neglecto præcipuo fine ad quem ab ipsis incunabulis tendere debuerant. Quæ enim disciplina est honestior, quam veri Dei cognitio? Tertios autem quartósque repellit, quamuis ad eundem finem tendentes, non tamen eodem cum cæteris consilio. vtrique enim magnæ pesti obnoxij, hoc est amori sui, quasi communem hæreditatem diuiserunt animam, distributis inter se partibus eius bruta rationalique. nam alteri rationalem, hoc est mentem, sortiti sunt: alteri vero brutam, dissectam in sensus aliquot. qui à mente stant, principatum & regnum in res humanas ei tribuunt, aiúntque idoneam retinendæ præteritorum memoriæ, tractandis præsentibus, & futuris per coniecturam assequendis. hæc enim campos montésque consueuit plantis ac segetibus, inuento agriculturæ ad vitam vtilissimo. hæc è siderum obseruatione diuersis terris commercia nauigationis aperuit ratione vix enarrabili. hæc literas, musicam & encyclopædiam totam inuenit simul absoluítque. hæc philosophiam rerum optimam excogitauit, vt eius partibus adiutaret genus mortalium: per rationalem vt

A ἀλλὰ ταῖς ἀσωμάτοις δυνάμεσιν, ἃς ἔτυμον ὄνομα αἱ ἰδέαι, κατεχρήσατο πρὸς τὸ γένος ἕκαστον τὴν ἁρμόττουσαν λαβεῖν μορφήν. ὁ δὲ πολλὴν ἀταξίαν εἰσηγεῖται καὶ σύγχυσιν. ἀναιροῦσι γὰρ ταῦτα δι᾽ ὧν αἱ ποιότητες, συναναιροῦντες ποιότητας. ἕτεροι δ᾽ ὡς ἐν ἄθλοις κακίας τὰ ἐπ᾽ ἀσεβείᾳ νικητήρια σπουδάζοντες ἀρέσθαι, προσυπερβάλλουσιν, ἅμα ταῖς ἰδέαις καὶ πρὸς ὕπαρξιν θεοῦ ἐπικαλυπτόμενοι ὡς οὐκ ὄντος, λεγομένου δ᾽ εἶναι χάριν τοῦ συμφέροντος ἀν-
B θρώποις, οἱ δ᾽ εὐλαβείᾳ τοῦ δοκοῦντος, πάντα παρεῖναι καὶ πάντα καθορᾶν, ἄγονοι μὲν σοφίας, ἐπιτηδεύοντες δὲ τὴν μεγίστην κακιῶν ἀθεότητα· τρίτοι δέ εἰσιν, οἱ τὴν ἐναντίαν ἔτεμον, εἰσηγησάμενοι πλῆθος ἀρρένων τε καὶ θηλειῶν, πρεσβυτέρων τε αὖ καὶ νεωτέρων, πολυαρχίας λόγον τὸν κόσμον ἀναπλήσαντες, ἵνα τὴν τοῦ ἑνὸς καὶ ὄντως ὄντος ὑπόληψιν ἐκ τῆς ἀνθρώπων διανοίας ἐκτέμωσιν. οὗτοι δ᾽ εἰσὶν οἱ συμβολικῶς ἐκ πόρνης ὑπὸ τοῦ νόμου προσαγορευόμενοι. καθάπερ γὰρ ὧν
C μητέρες πόρναι τὸν μὲν ἀληθῆ πατέρα οὐκ ἴσασιν, οὔτ᾽ ἐπιγράψασθαι δύνανται, πολλοὺς δὲ καὶ σχεδὸν ἅπαντας τοὺς ἐραστὰς καὶ ὡμιληκότας· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀγνοοῦντες ἕνα καὶ ἀληθινὸν θεόν. πολλοὺς γὰρ καὶ ψευδωνύμους ἀναπλάττοντες, περὶ τὸ ἀναγκαιότατον τῶν ὄντων τυφλώττουσιν, ὅπερ ἦν τέλος μόνον, ὃ πρέπον ἐξ αὐτῶν σπαργάνων εἰκὸς ἦν ἀναδιδάσκεσθαι. τί γὰρ μάθημα κάλλιον ἐπιστήμης τοῦ ὄντως ὄντος θεοῦ. τετάρτους δὲ καὶ πέμπτους ἐλαύνει, πρὸς μὲν τὸ αὐτὸ τέλος ἐπειγο-
D μένους, οὐ μὴν ἀπὸ τῆς αὐτῆς βουλήσεως. ἀμφότεροι γὰρ ζηλωταὶ μεγάλου κακοῦ φιλαυτίας ὄντες, ὥσπερ τινὰ κοινὴν οὐσίαν διενείμαντο τὴν ὅλην ψυχήν, ἐκ λογισμοῦ καὶ ἀλόγου μέρους συνεστῶσαν. καὶ οἱ μὲν τὸ λογικόν, ὃ δὴ νοῦς ἐστι, διεκληρώσαντο, οἱ δὲ τὸ ἄλογον, ὅπερ εἰς τὰς αἰσθήσεις τέμνεται. οἱ μὲν οὖν τῷ νῷ προσάπτουσι τὴν ἡγεμονίαν καὶ βασιλείαν τῶν ἀνθρωπίνων πραγμάτων ἀνάγουσιν αὐτῷ, καί φασιν ἱκανὸν εἶναι καὶ
E τὰ παρεληλυθότα μνήμῃ διασώζειν, καὶ τῶν παρόντων ἐρρωμένως ἀντιλαμβάνεσθαι, καὶ τὰ μέλλοντα εἰκότι στοχασμῷ ἀποσκοπεῖσθαι. οὗτος γάρ ἐστιν ὁ γῆν τὴν βαθύγειον τὴν ὀρεινὴν καὶ πεδιάδα καταπείρας καὶ φυτεύσας, καὶ τὴν βιωφελεστάτην γεωργίαν εὑρών· οὗτος ὁ τὸν οὐρανὸν κατασκευάσας, καὶ τὴν χέρσου φύσει παντὸς λόγου ἐπινοίαις κρείττοσι πλωτὴν ἐργασάμενος· οὗτος γράμματα καὶ μουσικὴν καὶ τὴν ἐγκύκλιον παιδείαν ἐπενόησε, καὶ πρὸς τὸ τέλος ἤγαγεν· οὗτος καὶ τὸ μέγιστον ἀγαθὸν φιλοσοφίαν ἐγέ-

ποιεῖ, καὶ διὰ τῶν μερῶν αὐτῆς ὠφελοῦσι τὸν ἀνθρώπινον βίον· διὰ μὲν τοῦ λογικοῦ πρὸς ἀνεξαπάτητον ἑρμηνείαν· διὰ δὲ τοῦ ἠθικοῦ, πρὸς τὴν τῶν τρόπων ἐπανόρθωσιν· διὰ δὲ τοῦ φυσικοῦ, πρὸς ἐπιστήμην οὐρανοῦ τε καὶ κόσμου. καὶ ἄλλα μέντοι παμπληθῆ λέγουσιν ἐγκώμια νοῦ, συμφορήσαντές τε καὶ ἀγείραντες. ἔχοντες τὴν ἀναφορὰν ἐπὶ τὰ λεχθέντα εἴδη, περὶ ὧν οὐ καιρὸς ἐνοχλεῖν. οἱ δὲ τῶν αἰσθήσεων προστάται τὸν ἔπαινον αὐτῶν εὖ μάλα σεμνοποιοῦσι, διεξιόντες τῷ λόγῳ τὰς ἀπ' αὐτῶν ἐξηνυσμένας χρείας· καί φασιν ὅτι δύο μὲν αἴτια τοῦ ζῆν ἐστιν, ὄσφρησις καὶ γεῦσις, δύο δὲ τοῦ καλῶς ζῆν, ὅρασις, καὶ ἀκοή. διὰ μὲν οὖν γεύσεως, αἱ τῶν σιτίων τροφαὶ παραπέμπονται, διὰ δὲ τῶν μυκτήρων ὁ ἀήρ, οὗ πᾶν ζῷον ἐξήρτηται. τροφὴ δ' ἐστὶ καὶ οὗτος ἡ συνεχής, ὃς οὐκ ἐγρηγορότας μόνον, ἀλλὰ καὶ κοιμωμένους διατρέφει τε καὶ διασώζει. σαφὴς δὲ πίστις· εἰ γὰρ καὶ βραχύτατον ὁ τῆς ἀναπνοῆς δίαυλος ἐπισχεθείη, κατὰ τὴν τοῦ πεφυκότος ἔξωθεν ἐποχετεύεσθαι πνεύματος ἀποκοπὴν θάνατος ἀπαραίτητος ἐξ ἀνάγκης ἐπακολουθεῖ· τῶν γε μὴν φιλοσόφων αἰσθήσεων, δι' ὧν περιγίνεται τὸ εὖ ζῆν, ὅρασις μὲν φῶς τὸ κάλλιστον ἐν τοῖς οὖσιν ὁρᾷ, καὶ διὰ φωτὸς τἆλλα πάντα, ἥλιον, σελήνην, ἀστέρας, οὐρανόν, γῆν, θάλατταν, φυτῶν καὶ ζῴων ἀμυθήτους διαφοράς, καὶ συνόλως πάντα σώματα, καὶ σχήματα, καὶ μεγέθη, ὧν ἡ θέα περιττὴν φρόνησιν ἐξειργάσατο, καὶ πολὺν ἵμερον ἐπιστήμης ἐνεποίησε· παρέχεται δὲ καὶ ἄλλας τούτων ὠφελείας, ὅρασις ἡμῖν τὰς μεγίστας εἴς τε τὴν οἰκείων καὶ ἀλλοτρίων καὶ φίλων διάκρισιν, καὶ βλαβερῶν μὲν φυγήν, αἵρεσιν δὲ ἐπωφελῶν. γέγονε μὲν οὖν καὶ τῶν ἄλλων ἕκαστον τοῦ σώματος μερῶν πρὸς ἁρμοττούσας χρείας καὶ σφόδρα ἀναγκαίας, ὡς βάσεις μὲν πρὸς περίπατον καὶ τὰ ἄλλα ὅσα διὰ σκελῶν ἐνεργεῖται· χεῖρες δὲ πρὸς τὸ πρᾶξαί τι καὶ δοῦναι καὶ λαβεῖν· ὀφθαλμοὶ δὲ ὥσπερ εἴ τι κοινὸν ἀγαθὸν τῆς τῶν δυνάμεων κατορθώσεως αἰτίαν καὶ τούτοις καὶ τοῖς ἄλλοις ἅπασι παρέχουσιν. ὅτι δὲ ταῦθ' οὕτως ἔχει, ἀψευδέστατοι οἱ πεπηρωμένοι μάρτυρες, οἳ μήτε χερσί, μήτε ποσὶ δύνανται κατὰ τὸ βέλτιον τὴν στέρησιν ἐπαληθεύειν, καὶ οὐκ ἐπ' ὀνείδει μᾶλλον ἢ οἴκτῳ διὰ τὸ φασὶ τοὺς προπετεστέρους, ἀδυνάτους ὀνομάσαντες θαυμασιώτατα· ἡ ἀκοὴ δὲ χρῆμα δι' ἧς μέλη καὶ ῥυθμοὶ καὶ πάνθ' ὅσα κατὰ τὴν μουσικὴν ἐπικρίνεται. οὐδὲ γὰρ καὶ λόγους, ὑγιεινὰ καὶ σωτήρια φάρμακα, ἡ μὲν τὰ πάθη κατεπᾴδουσα, τὸ δ' ἄρρυθμον ἐν ἡμῖν ῥυθμοῖς, τὸ δ' ἐκμε-

A sermo fallacijs careat: per moralem vt mores corrigantur, per naturalem vt noscantur mundana & cælestia. Alias præterea permultas laudes mentis aceruatim congerunt, quæ possunt referri ad iam dictas species, nunc prætereundas breuitatis studio. Alteri vero qui patrocinantur sensibus, haud minus eos extollunt, enumerando vsus eorum necessarios: aiúntque duos ex his viuendi causam esse, gustum & ol-
B factum, duos bene viuendi, visum auditúmque. quoniam per gustum alimenta traijciuntur, per nares aer, quo totum sustentatur animal. Nam & is alimentum est continuum, non vigilantes solum, sed & dormientes conseruans atque nutriens, id quod vel hoc argumento certissime colligitur. Liquet enim si tempore breui cohibeatur respiratio, præciso spiritu qui solet externe influere, necessario sequi animalis perniciem.
C Verùm vnus è philosophicis sensibus per quos homini contingit bene viuere, visus lumen videt rerum pulcherrimum, & alia quoque huius auxilio, solem, lunam, sidera cætera, cælum, terras, maria, stirpium animaliúmque plurimas differentias, & in vniuersum corpora omnia qualia quantáque sunt, quorum per contemplationem absoluta prudentia magnum scientiæ desiderium excitat. quamuis & aliæ visus
D vtilitates sint maximæ, in dignoscendis alienis & domesticis, amicis & inimicis, vt caueantur noxia, eligantur commoda. Sic aliæ quoque corporis partes suos vsus habent valde necessarios, vt pedes ad ambulandum, & ad alia quæcunque peraguntur crurum ministerio: manus ad operandum & dandum accipiendúmque. At oculi, vt bonum quoddam publicum, & his & alijs partibus præstant facultatem perfungendi suis cuique officijs. id ita esse cæci testa-
E buntur verissime, qui reuera nec manus habent nec pedes, & ideo vel à petulantibus vel à miserantibus appellantur horum membrorum impotes. Auditus porrò carmina, rhythmos totámque musicam iudicat. Cantus enim verbáque sanitatem & salutem afferunt. Cantus quidem excantando perturbationes animi, & quicquid in nobis dissonat, in

concentū quendam redigendo reprimendóque immodicos affectus certis modulis. Quibus in rebus singulis sunt varietates plurimæ, si musicis & poetis credimus, haud contemnendis autoribus. Verba vero retundendo impetus ruentes in vitia, & homines occupatos ab inscitia simul ac imprudētia liberādo, perductis obsequentibus, pertractísque renitentibus prosunt plurimū. Hæc sunt quæ vel mentis vel sensuum sodales pro suis partibus tuēdis vndecūque colligunt, dum ex his ex illáve Deos faciūt, obliti veri Dei pręnimio contētiosóque opinionū suarū studio. proinde omnes hi meritò pelluntur à sacris cœtibus: & spadones qui ideas negant: & qui omnino impij cum sint, contemptorésque numinis, exsecti dicūtur proprio vocabulo: & his cōtrarij qui genealogias deorū asserunt, quos scriptura natos è meretrice nominat: postremo qui amore sui cæcati, pars rationem, pars sensū aliquē consecrant. omnes enim hi ad eundē finem properant, & si non eodem consilio. At nos Mosis sacri vatis auditores & discipuli non desinemus eū Qui est quærere, cū sciamus esse felicitatis finē illius noticiam, & longæuam vitam eos qui Deo viuunt viuere: quod dogma è sacris literis discimus cum primis necessarium, & philosophorum quoque placitis consentaneum. certum enim est animi morbis laborantes censendos pro mortuis, eos vero qui ordinem in quo à Deo constituti sunt non deserunt, vitam immortalem viuere.

A λὲς μέλεσι, τὸ δ᾽ ἄμετρον μέτροις ἐπιστομίζοντα. ποικίλον δ᾽ ἐστὶ καὶ παντοδαπὸν ἕκαστον, ὡς μουσικοὶ καὶ ποιηταὶ καρτεροῦσιν, οἷς πιστεύειν ἀναγκαῖον. ὁ δὲ λόγος ἐπέχων καὶ ἀνακόπτων τὰς ἐπὶ κακίαν ὁρμάς, καὶ τοὺς κεκρατημένους ἀφροσύναις καὶ ἀνοίαις ἐκνοσηλεύων, καὶ μαλακωτέρους μὲν τοὺς ὑπείκοντας, σφοδροτέρους δὲ τοὺς ἀφηνιάζοντας, αἴτιος γὰρ τῶν μεγίστων ὠφελειῶν. τοιαῦτα συ-
B νείροντες οἵ τε τοῦ νοῦ θιασῶται καὶ τῶν αἰσθήσεων, οἱ μὲν ἐκεῖνον, οἱ δὲ ταύτην θεοπλαστοῦσιν, ὑπὸ φιλαυτίας ἐκλαθόμενοι τοῦ πρὸς ἀλήθειαν ὄντος θεοῦ. διὸ πάντας εἰκότως ἱεροῦ συλλόγου ἐλαύνει τούς τε τὰς ἰδέας ἀναιροῦντας θλαδίας, καὶ τοὺς κατὰ τὸ παντελὲς ἀθέους ὑπονοῶν, οἷς ὄνομα οἰκεῖον τὸ ἀπόκοπον ἔθετο, καὶ τοὺς ἐναντίας εἰσηγητὰς θεογονίας, οὓς ἐκάλεσεν ἐκ πόρνης, καὶ ἐπὶ πᾶσι τοὺς
C φιλαύτους, ὧν οἱ μὲν τὸν λογισμόν, οἱ δ᾽ ἑκάστην τῶν αἰσθήσεων ἐξεθείωσαν. ἐπείγονται γὰρ πάντες ὥσπερ πρὸς τὸ αὐτὸ τέλος, εἰ καὶ μὴ ἀπὸ τῶν αὐτῶν ἄγονται βουλευμάτων. ἀλλ᾽ ἡμεῖς γε οἱ φοιτηταὶ καὶ γνώριμοι τοῦ προφήτου Μωσέως, τὴν τοῦ ὄντος ζήτησιν οὐ μεθησόμεθα, τὴν ἐπιστήμην αὐτοῦ τέλος εἶναι νομίζοντες εὐδαιμονίας καὶ ζωὴν μακραίωνα, καθὰ καὶ ὁ νόμος φησί, τοὺς προσκειμέ-
D νους τῷ θεῷ ζῆν, δόγμα τιθεὶς ἀναγκαῖον καὶ φιλόσοφον. ὄντως γὰρ οἱ μὲν ἄθλιοι τὰς ψυχὰς τεθνᾶσιν, οἱ δὲ τὴν παρὰ τῷ ὄντι θεῷ τεταγμένοι τάξιν, ἀθάνατον βίον ζῶσιν.

ΠΕΡΙ ΤΟΥ ΜΙΣΘΩΜΑ ΠΟΡΝΗΣ
ΕΙΣ ΤΟ ΙΕΡΟΝ ΜΗ ΠΡΟΣΔΕΧΕΣΘΑΙ.

PHILONIS IVDÆI, DE MERCEDE
MERETRICIS NON ACCIPIENDA IN SACRARIVM.

EGREGIVM præceptum extat in sacro legum codice, non decere meretricis mercedes inferri in ædem Deo sacratam, fœminę formam florentem venditantis, & vitam probrosam professæ quæstus gratia. quod si mulieris amatoribus suis obsequentis profana ducūtur munera, quanto magis scortantis animæ, quæ se prostrauit constuprandam

E ΠΑΝΥ καλῶς ἐν ταῖς ἱεραῖς τοῦ νόμου στήλαις γέγραπται, μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ προσδέχεσθαι, τῆς πεπρακυίας τὴν ἰδίαν ὥραν, ἑλομένης ἕνεκα λημμάτων αἰσχρὸν ἐπονείδιστον βίον. Εἰ δὲ τὰ παρὰ γυναικὸς ἡταιρηκυίας δῶρα ἀνίερα, πῶς οὐχὶ μᾶλλον τὰ παρὰ ψυχῆς πεπορνευμένης, ἣ παρέρριψεν ἑαυτὴν ἐπ᾽ αἰσχύνῃ καὶ ὕβρεσι ταῖς ἐσχάταις, οἰνοφλυγίαις,

ὀψοφαγίαις, φιλαργυρίαις, φιλοδοξίαις, φιληδονίαις, ἄλλαις μυρίαις πάθων τε αὖ καὶ νοσημάτων καὶ κακιῶν ἰδέαις· ὧν τὰ μιάσματα ἐκείνης τίς ἂν ἐκνίψαι χρόνος, ἔγωγε οὐκ οἶδα. τὴν μὲν γὰρ ἑταιρῶν τὴν ἐργασίαν κατέλυσε πολλάκις γῆρας· ἐπειδὰν ἐξώροις γινομέναις οὐδεὶς ἔτι προσίοι, ἀπομαρανθείσης ὥσπερ τινῶν ἀνθῶν τῆς ἀκμῆς· ψυχῆς δὲ πορνείαν ἀκολασίᾳ συντρόφῳ καὶ συνήθει πεπαιδοτριβημένην, τίς ἂν αἰὼν μεταβάλλοι πρὸς εὐκοσμίαν· αἰὼν μὲν οὐδ', θεὸς δὲ μόνος, ᾧ δυνατὰ τὰ παρ' ἡμῖν ἀδύνατα. δεῖ δὴ τὸν μέλλοντα θύειν σκέπτεσθαι μὴ εἰ τὸ ἱερεῖον ἄμωμον, ἀλλ' εἰ ἡ διάνοια ὁλόκληρος αὐτῷ καὶ παντελὴς καθέστηκε. διερευνάτω μέντοι καὶ τὰς αἰτίας, ὧν ἕνεκα ἀνάγει ἀξιοῖ θυσίας. ἤτοι γὰρ εὐχαριστῶν ἐπὶ προϋπηργμέναις εὐεργεσίαις, ἢ βεβαιότητα παρόντων, ἢ μελλόντων ἀγαθῶν κτῆσιν αἰτούμενος, ἢ κακῶν παρόντων, ἢ προσδοκωμένων ἀποτροπήν· ἐφ' οἷς ἅπασιν, ὑγείας, καὶ σωτηρίας ἐκπορίζειν ὀφείλει τῷ λογισμῷ. εἴτε γὰρ ἐπὶ προϋπηργμένοις εὐχαριστεῖ, μὴ ἀχαριστείτω φαῦλος γινόμενος· σπουδαίοις γὰρ ἐδόθησαν αἱ χάριτες· εἴτε βεβαιούμενος τὰ παρόντα ἀγαθὰ, καὶ χρηστὰ περὶ τῶν μελλόντων προσδοκᾷ, ἄξιον αὑτὸν παρεχέτω τῆς εὐπραγίας, ἀστεῖος ὤν· εἴτε κακῶν φυγὴν αἰτούμενος, μὴ δράτω κολάσεων ἐπάξια καὶ τιμωριῶν. δύο γὰρ ἡμῶν ἑκάστῳ συνοικοῦσι γυναῖκες ἐχθραὶ καὶ δυσμενεῖς ἀλλήλαις, τὸν ζηλοτυπίας τὸν ψυχικὸν οἶκον ἀναπιμπλᾶσαι φιλονεικιῶν· τούτων τὴν μὲν ἑτέραν ἀγαπῶμεν, χειροήθη καὶ τιθασὸν καὶ φιλτάτην καὶ οἰκειοτάτην αὐτὴν νομίζοντες· καλεῖται δὲ ἡδονή· τὴν δ' ἑτέραν ἐχθραίνομεν, ἀτίθασον, ἀνήμερον, ἐξηγριωμένην, πολεμιωτάτην ἡγούμενοι· ὄνομα δὲ καὶ ταύτης ἐστὶν ἀρετή. ἡ μὲν οὖν προσέρχεται πόρνης καὶ χαμαιτύπης τρόπον τεθρυμμένη, κεκλασμένῳ τῷ βαδίσματι, ὑπὸ τρυφῆς τῆς ἄγαν καὶ χλιδῆς σαλεύουσα τὼ ὀφθαλμὼ, οἷς τὰς τῶν νέων ἀγκιστρεύεται ψυχὰς, θράσος μετ' ἀναισχυντίας ἐμβλέπουσα, τὸν αὐχένα ἐπαίρουσα, πλέον τῆς φύσεως ἑαυτὴν ἐξορθιάζουσα, σεσηρυῖα καὶ κιχλίζουσα, περιέργῳ ποικιλίᾳ τὰς τῆς κεφαλῆς τρίχας ἀναπεπλεγμένη, ὑπογεγραμμένη τὴν ὄψιν, ἐγκεκαλυμμένη τὰς ὀφρῦς, θερμολουσίαις ἐπαλλήλοις χρωμένη, ἐρυθρὸς εἰργασμένη, πολυτελεῖς ἐσθῆτας ἐπηνθισμένας ἄχρις ἀμπεχομένη, περιβραχιόνια καὶ περιαυχένια, καὶ ὅσα ἄλλα χρυσοῦ καὶ λίθων πολυτελῶν δημιουργήματα

A vinolentiæ, gulæ, voluptatum studio, ambitioni, auaritiæ, aliisque vitijs innumeris, quorum maculæ an vnquam elui possint nescio. Nam meretricum quæstui finem nonnunquam senectus imponit, quando pristina destitutas pulchritudine adire nemo dignatur, postquam ætatis vigor floris in morem emarcuit. at animam fornicationi iam assuetam & eruditam ad intemperantiam, quæ tandem ætas in honestatem restituet? ætas certe nulla,
B sed solus Deus, cui facilia sunt, quæ nos efficere non possumus. oportet sanè sacrificaturum dispicere, vt mens eius integra sit magis etiam quam victima, videre itidem cur eam offerat. aut enim gratias agit pro acceptis beneficijs, aut præsentis status confirmationem futuráve sibi precatur commoda, aut deprecatur mala præsentia vel imminentia: quibus modis sanitas & salus
C rationi quæritur. nam aut pro ante donatis aguntur gratiæ, ad euitandum ingratitudinis vitium. in bonos enim conferri solent beneficia. aut si quis præsentia bona precatur sibi perpetua, melioráque vota concipit, si non est inciuilis, dignum expetitis felicitatibus se præbeat. Quod si aduersitates effugere postulat, caueat ne quod admittat flagitium. duas enim nostrum quisque vxores habet in suo contubernio, cásque infensas sibiin-
D uicem, & animæ domum replentes contentionibus zelotypis. harum alteram diligimus, quasi amicam blandam & familiarem, quæ voluptas dicitur: alteram odio prosequimur, vt immitem ac tetricam, & nobis minime beneuolam, hæc virtus nominatur. illa nos accedit cum ornatu meretricio, fracto incessu præ mollicie, obtutu lasciuo inuncans animas iuuenum, temeritatem & impudentiam præfe-
E rens in oculis, elata ceruice supra natiuam staturam assurgens, ridens cachinnabundáque, calamistrata & cincinnatula, fucata faciem, pictis supercilijs, recens lota, purpurissata, pretioso floridóque amicta palliolo, aureis gemmatísque armillis superba & murenulis mundóque muliebri cætero, spirans vnguenta fragrantissima, non

tam domum suam quam fora compitáque diligens, petulans, suæ formæ prodiga, ascititiæ vero auida. & cum ea pedissequæ, domesticæ vafricia, iniustitia, nequicia, quibus stipata more principis, sic pertentat animum: Heus tu, omnium bonorum humanorum thesauri apud me sunt reconditi. diuinis enim fruuntur cælites. præterea nihil inuenies. ego meos, si mecum consuetudinem habere cupis, proferam, nec inuidebo quo minus vtenda fruendáque continue depromas pro tuo arbitrio. eorum tibi recensebo multitudinem, vt aut libenter assentias, aut eis tuapte culpa careas. apud me est relaxatio, securitas, quies, laborum obliuio, vtensilium varietas, vocum modulamina, luxus in cibo potúque, odorum suauissimorum plurimæ species, amores perpetui, lusus licentissimi, coitus liberrimi, sermones sine reprehensione, actiones sine castigatione, vita sine solicitudine, somnus mollissimus, satietas inexplebilis. Proinde si tibi placet meum contubernium, parata habebis in hac omni copia quæcunque delectant maxime: mihi erit curæ ne quid desideres esu, potúve suaue, aut oculis, auribúsque gratum & naribus. potieris enim rebus omnibus quascunque concupiueris, pluribus in absumptarum locum subscatentibus. Sunt enim in thesauris modo dictis perpetuò virentes arbores feraces aliorum post alios fructuum, recentibus & maturescentibus maturos iam ac vietos protrudentibus. Hæc arbusta nullo vnquam externo ciuilive bello cæsa sunt, sed ex quo primum è terra fuerunt edita, ab ea tanquam bona nutrice aluntur, fundata profunde sitis radicibus eisque firmissimis, stirpes vero inde prominentes ad cælum vsque attollentia: vnde rami enascuntur manibus pedibúsque animantium proportione non absimiles, & in his frondes ad ornatum pro comis additæ germinant, fructúsque quorum causa paraui tibi cætera. His auditis altera in abdito stans, sed ita vt exaudire posset verba æmulæ, verita ne forte illa mariti communis animum ad se solam pertraheret corruptum donis vel oblatis vel ostentatis, nève specioso aspectu emollitum deciperet, quando ascititio cultu & magicis eum allectari, demulcerique animaduertebat præstigijs,

A κόσμος ἐπὶ γυναικεῖος, περιεκαθειμένη, μύρων εὐωδεστάτων ἀποπνέουσα, τὴν ἀγορὰν οἰκίαν νομίζουσα, τελοδῖτις ὁδοῖς, χήτει γνησίου κάλλους τὸ νόθον μεταδιώκουσα. συνομαρτοῦσι δ' αὐτῇ τῶν συνηθεστάτων πανουργία, ἀδικία, ἀκολασία, ὧν ἐν μέσῳ καθάπερ ἡγεμὼν χοροστατοῦσα, φησὶ πρὸς τὸν νοῦν τάδε, εἰσὶν ὦ οὗτος θησαυροὶ πάντων ἀγαθῶν ὅσα ἀνθρώπεια, παρ' ἐμοί· τὰ γὰρ θεῖα ἐν οὐρανῷ ὧν ἐκτὸς οὐδὲν εὑρήσεις. τούτοις ἐὰν ἐθέλῃς B μοι συνοικεῖν τοὺς θησαυροὺς ἀναπετάσασα, χρῆσιν καὶ ἀπόλαυσιν τῶν ἐνόντων ἀφθονωτάτην εἰσαεὶ παρέξω. βούλομαι δέ σοι προειπεῖν τὸ πλῆθος τῶν ταμιευομένων ἀγαθῶν, ἵνα κἂν συναινῇς, ἑκὼν ἀσμενίζῃς, κἂν ἀποστρέφῃ, μὴ ἀγνοῶν ἀρνῇ. ἄνεσις ἐστὶ παρ' ἐμοί, καὶ ἄδεια, καὶ ἐκεχειρία, καὶ πόνων ἀμελετησία, καὶ χρωμάτων ποικιλία, καὶ κλάσεις ἐμμελέσταται φωνῆς, σιτία τε πολυτελῆ καὶ ποτά, ὀσμῶν ἡδίστων παμπληθεῖς διαφοραί, C συνεχεῖς ἔρωτες, ἀπαιδαγώγητοι παιδιαί, μίξεις ἀνεξέταστοι, ἀνουθέτητοι λόγοι, ἔργα ἀνυπεύθυνα, ἄφροντις βίος, μαλακώτατος ὕπνος, κόρος ἀπλήρωτος. ἐὰν οὖν ἐθελήσῃς σὺν ἐμοὶ ποιεῖσθαι τὰς διατριβάς, ἐκ πάντων ὧν εὐτρέπιστα σοι τὰ ἁρμόζοντα δωρήσομαι, συνεπισκοποῦσα τί ἂν φαγὼν ἢ τί πιὼν γλυκανθείης, ἢ τί τοῖς ὀφθαλμοῖς ἰδών, ἢ τοῖς ὠσὶν ἀκούσας, ἢ μυκτῆρσιν ὀσφραινόμενος ἡσθείης. ἐλλειφθήσεται δ' οὐδὲν ὧν ἂν ἐπιθυμήσῃς. πλείω γὰρ τῶν ἀναλισκομένων εὑρήσεις γεγενημένα. φυτὰ γάρ ἐστιν ἐν τοῖς λεχθεῖσι D θησαυροῖς ἀειθαλῆ, βλαστάνοντα καὶ τίκτοντα καρποὺς ἐπαλλήλους, ὡς τὴν τῶν ὡραίων καὶ νέων ἀκμὴν ἐπιτρέχειν καὶ καταλαμβάνειν τοὺς ἤδη πεπανθέντας· πόλεμος δ' οὐδεὶς ἐμφύλιος ἢ ξενικὸς, τὰ φυτὰ ταῦτα πώποτε ἔτεμεν, ἀλλ' ἀφ' οὗ τὸ πρῶτον αὐτὰ γῆ περιέλαβεν, ὥσπερ ἀγαθὴ τροφὸς τιθηνεῖται, ῥίζας μὲν οἱονεὶ θεμελίους εἰς τὸ κάτω βαλλομένη κραταιοτάτας· τὸ δ' ὑπὲρ γῆς ἔρνος οὐρανομήκες ἀνατείνασα, κλά- E δους δ' ἐκφύσασα τῶν ἐν ζώοις χειρῶν καὶ ποδῶν ἀναλογοῦντας μιμεῖται. πέταλα δ' ἔτι κόμας σκέπειν ἐν ταὐτῷ καὶ κόσμον ἐπανθῆσαι παρεσκεύασά σοι, καρποὺς δ' ἐπὶ τούτοις, ὧν ἕνεκα κἀκεῖνα. τούτων ἀκούσασα ἡ ἑτέρα· καὶ γὰρ ἐν ἀποκρύφῳ μέν, ἐν ἐπηκόῳ δὲ εἱστήκει· δείσασα μήποτε λαθὼν ὁ νοῦς αἰχμάλωτος ἀνδραποδισθεὶς ἀπαχθῇ τοσαύταις δωρεαῖς καὶ ὑποσχέσεσιν, ἔτι καὶ πρὸς τὴν ὄψιν ἐνδιδοὺς εὖ καὶ ποικίλως ἐπ' ἀπάτῃ τεχνιτευομένῃ·

διὰ γὰρ τὴν περικάλλων καὶ μαγγανειῶν ἔνυθεν, ἐκπλὴξ, γαργαλισμὸν ἐνεργάζετο. παρελθοῦσα ἐξαίφνης ἐπιφαίνεται, ἐλευθέρας καὶ ἀστῆς προσφερομένη πάντα, σταθερὸν βάδισμα, ἠρεμαγωγικὴν ὄψιν, χρῶμα καὶ τὸ αἰδοῦς καὶ τὸ στόματος ἀκιβδήλευτον, ἀψευδὲς ἦθος, ἀνόθευτον βίον, ἀποίκιλον γνώμην, λόγον οὐ φέναχα, διανοίας ὑγιοῦς ἀληθέστατον μίμημα, σχέσιν ἄπλαστον, οὐ σεσοβημένην κίνησιν, μετρίαν ἐσθῆτα, τοῦ χρυσοῦ τιμιώτερον φρονήσεως καὶ ἀρετῆς κόσμον. συνείποντο δ' αὐτῇ εὐσέβεια, ὁσιότης, ἀλήθεια, θέμις, ἁγιστεία καὶ εὐορκία, δικαιοσύνη, ἰσότης, εὐσυνθεσία, κοινωνία, ἐχεμυθία, σωφροσύνη, κοσμιότης, ἐγκράτεια, πρᾳότης, ὀλιγοδεΐα, εὐκολία, αἰδὼς, ἀπραγμοσύνη, ἀνδρία, γενναιότης, εὐβουλία, προμήθεια, φρόνησις, προσοχὴ, διόρθωσις, εὐθυμία, χρηστότης, ἡμερότης, ἠπιότης, φιλανθρωπία, μεγαλοφροσύνη, μακαριότης, ἀγαθότης· ἐπιλείψει με ἡ ἡμέρα λέγοντα τὰ τῶν κατ' εἶδος ἀρετῶν ὀνόματα. αὗται περὶ ἑκάτερα στᾶσαι μέσην αὐτὴν ἐδορυφόρουν. ἡ δὲ σχῆμα τὸ συνῆθες ἑαυτῇ λαβοῦσα, λόγων ἤρξατο τοιῶνδε· Τὴν περίεργον καὶ μάχλον καὶ μυθολόγον εἶδον ἡδονὴν τραγικώτερον ἐνεσκευασμένην, καὶ λιπαρῶς θαμινά σοι προσομιλοῦσαν· ὥστ', εἰμὶ γὰρ μισοπόνηρος φύσει, δείσασα μὴ λάθῃς ἀπατηθεὶς καὶ συναιρήσας κακοῖς μεγίστοις ὡς ὑπερβάλλουσιν ἀγαθοῖς, ἠξίωσα τὰ προσόντα τῇ γυναικὶ μετὰ πάσης ἀληθείας προειπεῖν, ἵνα μηδὲν ἀγνοίᾳ τῶν συμφερόντων ἀπώσας ἠλίθιος, ἀβούλητον ἐμπορεύσῃ κακοπραγίαν. ταύτην μὲν οὖν σκευὴν ἣ κέχρηται, πᾶσαν ἀλλοτρίαν ἴσθι. τῶν γὰρ εἰς γνήσιον κάλλος οὐδὲν οἰκεῖον ἐξ αὐτῆς ἐπιφέρεται· περικείμεναι δὲ δίκτυα καὶ πάγας ἐπὶ τῇ σῇ θήρᾳ, νόθην καὶ κίβδηλον εὐμορφίαν ἀπεριθέμενος, ἣν εὖ φρονῇς, ἀτελῆ τὴν ἄγραν αὐτῇ παρασκευάσεις· ὀφθαλμοὺς μὲν γὰρ φανεῖσα ἥδυνε, ὦτα δὲ φθεγξαμένη λιγαίνει, ψυχὴν δὲ τὸ πλείστου ἄξιον κτῆμα, καὶ διὰ τούτων καὶ τῶν ἄλλων ἁπάντων μερῶν πέφυκε λυμαίνεσθαι· τῶν δὲ περὶ αὐτὴν, ἃ μὲν ἔμελλεν ἀκουσθέντα σοι προσηνῆ γενέσθαι, διεξῆλθε, τὰ δ' ἄλλα ὅσα μὴ ῥᾳστώνην εἶχεν ἀμύθητα ὄντα, ἐθελοκακοῦσα ἐπεκρύψατο, οἷς οὐκ ἄν τινα συναιρέσειν εὐχερῶς προσεδόκησεν. ἐγὼ δὲ καὶ ταῦτα ἀπαμφιάσασα ἀναδείξω, καὶ οὐ μιμήσομαι τοὺς τρόπους ἡδονῆς, ὡς ὅσα μέν ἐστιν ἐπαγωγὰ ἐν ἐμοὶ μόνα ἐπιδεῖξαι, τὰ δ' ἔχοντα δυσκολίαν συσκιάσαι καὶ περιστεῖλαι, ἀλλὰ τοὐναντίον, τὰ μὲν τέρψιν ἐξ ἑαυτῶν καὶ χαρὰν ἐνδιδόντα,

A repente superuenit ingenuo matronalique incessu grauis, vultu serena, genuino quodam pudoris colore suffusa, simplex moribus, vitæ integra, mente semper sui similis, verbis haud blanda sanam mentem veraciter exprimentibus, decora natiuo habitu, moderata gestu, vestitu modica, ornata non auro, sed longe pretiosioribus ornamentis, artibus virtutem decentibus. Comites eam sequebantur, pietas, sanctitas, veritas, reli-
B gio, castitas, vtraque iustitia, tum quæ Deo debetur, tum quæ hominibus: iuris æqualitas, fides, liberalitas, taciturnitas, sobrietas, honestas, temperantia, mansuetudo, frugalitas, facilitas, reuerentia, fortitudo, generositas, securitas, prudentia, prouidentia, vis consulendi, diligentia, tranquillitas, comitas, bonitas, suauitas, humanitas, lenitas, clementia, magnanimitas, beatitas. dies me deficeret percen-
C sentem singularum nomina, protegentium latera dominæ suæ more satellitij. illa verò ad consuetam grauitatem composita, sic exorsa est: Video hanc impudicam nugatricem & præstigatricem splendide ac scenice ornatam, blandicijs te aggredi. quamobrem cùm odio natiuo malos prosequar, verita ne per imprudentiam deceptus mala maxima pro bonis eximijs eligas, non grauabor tibi qualis sit hæc mulier verissime prædicere,
D ne stolide reiectis rebus vtilioribus, inops consilij tibi accersas infortunium. Ergo totum istum apparatum quo se iactat, aio asciticiū. nihil enim habet proprij natiuíque decoris, sed assumpsit sibi adulterinam falsámque pulchritudinem, qua te in suos casses pertrahat. id præmonitus, si sapis, irritam eius venationem facies. delectat illa quidem aspectu oculos, aures voce demulcet: animam vero cuius præci-
E pua habenda est ratio, non potest non lædere, per has aliásve partes se insinuans. de rebus suis quicquid auditu gratum sciebat narrauit: cætera innumera, vt iniucunda, maliciose dissimulauit, quòd ea quemuis absterrere queant facilime. at ego hæc quoque detecta in medium proferam, nec imitabor ipsius vaframenta, vt sola ostentem quæ pelliciunt, difficultates vero meas è conspectu submoueam: imò rebus lætis præteritis silentio,

A ἐπιχαιρέκακος, λελυττηκώς, παρακεκομμένος, ἀδιατύπωτος, κακομήχανος, αἰσχροκερδής, φίλαυτος, ἐθελόδουλος, ἐθελέχθρος, δημοκόπος, κακοικονόμος, σκληραύχην, θηλυδρίας, ἐξίτηλος, ἐκκεχυμένος, σκωπτικός, ποτικός, ἠλίθιος, βαρυδαίμων, ἐμπεφορημένος ἀκράτου. Τοιαῦτα τῆς περικαλλοῦς καὶ περιμαχήτου μεγάλα μυστήρια ἡδονῆς ἐστιν, ἅπερ ἑκοῦσα ἀπεκρύψατο αἰεί, τοῦ μὴ γνόντα σε ἀποστραφῆναι τὴν εἰς τὸ αὐτὸ συνοδον αὐτῆς. τῶν δὲ παρ' ἐμοὶ θησαυριζομένων ἀγαθῶν τὸ πλῆθος ἢ μέγεθος, τίς ἂν ἀξίως εἰπεῖν δυνηθείη.

lacrymosus, alienis gaudens calamitatibus, rabidus, adulterinus, informis, machinator, turpis lucri cupidus, amans sui, seruitutis patiens, simultatis appetens, ambitiosus, de re domestica parum solicitus, ceruicosus, effœminatus, inanis, profusus, mordax, pugnax, fatuus, vinolentus, infortunatúsque. Hæc sunt huius formosæ ac exoptatæ voluptatis magna mysteria, quæ libenter omnino tegeret, ne ijs cognitis auersaris eius consuetudinem. meorum verò thesaurorum copiam & amplitudinem nulla lingua pro dignitate eloqui valeat.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΠΑΝΤΑ ΣΠΟΥΔΑΙΟΝ εἶναι ἐλεύθερον.

PHILONIS IVDÆI, QVOD LIBER SIT QVISQVIS VIRTVTI STVDET.

ΟΜΕΝ πρότερος λόγος ἦν ἡμῖν ὦ Θεόδοτε, περὶ τοῦ πάντα δοῦλον εἶναι φαῦλον, ὡς καὶ διὰ πολλῶν καὶ εἰκότων καὶ ἀληθινῶν ἐπιστωσάμεθα· οὑτοσὶ δ' ἐκείνου συγγενής, ὁμοπάτριος καὶ ὁμομήτριος ἀδελφός, καὶ τρόπον τινὰ δίδυμος, καθ' ὃν ἐπιδείξομεν ὅτι πᾶς ὁ ἀστεῖος ἐλεύθερος. τὸν μὲν οὖν τῶν πυθαγορείων ἱερώτατον θίασον λόγος ἔχει μετὰ πολλῶν καὶ ἄλλων καλῶν, καὶ τοῦτ' ἀναδιδάσκειν, ταῖς λεωφόροις μὴ βαδίζειν ὁδοῖς, οὐχ ἵνα κρημνοβατῶμεν· οὐ γὰρ ποσὶ καμάτους παρήγγειλεν, ἀλλ' αἰνιττόμενος διὰ συμβόλου τὸ μήτ' ἔργοις μήτε λόγοις δημώδεσι καὶ πεπατημένοις χρῆσθαι. ὅσοι δὲ φιλοσοφίαν γνησίως ἠσπάσαντο, καταπειθεῖς γενόμενοι τῷ παραγγέλματι, λόγον αὐτό, μᾶλλον δὲ θεσμὸν ἰσούμενον χρησμῷ ὑπετόπησαν, καὶ δόξας ἀγελαίους ὑπερκύψαντες, ἀτραπὸν ἄλλην ἐκαινοτόμησαν, ἰδιώτας λόγων καὶ δογμάτων ἰδέας ἀναστείλαντες,

B SVPERIORE sermone docuimus Theodote, seruum esse omnem quicunque peccet, idque multis probabilibus rationibus verum confirmauimus. addemus nunc alterum illius cognatum, imò germanum gemellúmque, per quem ostendemus omnem probum esse liberum. Extat sane inter cætera sacrata Pythagoreorum præcepta & illud egregium, quo monemur per viam publicam non ingredi, non vt feramur per rupes deuias: nec enim laborem pedibus imperat: sed figurate subindicatur, nec dictis nec factis vtendum protritis ac vulgaribus. Id præceptum diligenter obseruarunt, haud aliter quam oraculum, quotquot legitime sunt complexi philosophiam: adeò vt deflectentes à gregarijs opinionibus, nouam sibi viam aperuerint, inducta propria quadam specie dogmatum,

quam nefas sit alijs præterquam puris attingere. impuros autem censeo quotquot vel disciplinas nunquam gustarunt, vel eas perperam non recte acceperunt, sapientiæ pulchritudinem dehonestando in speciem sophistices. hi cum propter hebetes animi oculos lumen intelligibile videre nequeant, quod nimio fulgore præstringit aciem, tanquam in tenebris degentes non credunt in die viuentibus, & quæcunque illi perspiciunt adiuti radijs solaribus, pro spectris habent ac prodigiosis mendacijs. An non absurdum & mirum videtur, exules dici eos qui non solum versantur in vrbe media, sed curias, tribunalia, rostra occupant, & gerunt ædilitates reliquósque magistratus curules etiam. è diuerso ciues haberi qui aut nunquam ascripti sunt in eum numerum, aut damnati exilio, sub interminatione supplicij, si non dico attigerint solum patrium, sed vel è longinquo fuerint ausi prospicere. præsto sunt enim innumeri qui obseruent & animaduertant, tum sponte infensi, tum subministrantes legibus ex officio. An non etiam ab omni ratione alienum, plenum impudentia & insania, aut quomodocunque dicenda est: non enim succurrit proprium tam indignæ rei vocabulum: diuites nominari qui sunt omnium egentissimi & carent victui necessarijs, sordide se sustentantes ac misere, vix quotidianum cibum capientes, & vltro sibi famem indicentes in abundantia publica, aura se nutrientes, sicut cicadas aiunt rore viuere: pauperes verò qui argento, auro, pecoribus, reditibus, alijsque bonis ineffabilibus affluunt, quorum opulentia prodest non solum cognatis amicisque, sed non continens se intra domesticos parietes, effunditur in turbas tribulium atque popularium: imò vlterius etiam se porrigens, ciuitati multa largitur belli pacisque temporibus. Eadem somniatio patricijs, paterno maternóque genere abauos atauósque illustres memorantibus, seruitutem audet objicere: alios contrà inscripta fronte vernas, ex similibus oriundos maioribus, ingenuos pronunciat. In causa est, vt dixi, hebetudo mentis hominum addictorum opinionibus & sensibus, quorum consistorium

A ὧν οὐδενὶ μὴ καθαρῷ θέμις ψαῦσαι. λέγω δὲ μὴ καθαρούς, ὅσοι ἢ παιδείας εἰς ἅπαν ἄγευστοι διετέλεσαν, ἢ πλαγίως, ἀλλὰ μὴ ἐπ' εὐθείας αὐτὴν ἐδέξαντο, κάλλος τὸ σοφίας εἰς τὸ σοφιστείας αἶσχος παραχαράξαντες. οὗτοι δὲ νοητὸν φῶς ἰδεῖν μὴ δυνάμενοι διὰ τὴν ἀσθένειαν τοῦ κατὰ ψυχὴν ὄμματος, ὃ ταῖς μαρμαρυγαῖς πέφυκεν ἐπισκιάζεσθαι, καθάπερ ἐν νυκτὶ διάγοντες ἀπιστοῦσι τοῖς ἐν ἡμέρᾳ ζῶσι, καὶ ὅσα οἱ αὐγαῖς ἡλιακαῖς ἀκτῖσιν ἐπικεχρημένοι εἰλικρινέστατα περιαθρήσαντες διηγοῦνται, τεράστια
B νομίζουσι φάσμασιν ἐοικότα, τῶν ἐν τοῖς θαύμασιν οὐ διαφέροντα. πῶς γὰρ οὐκ ἐκτόπια καὶ θαύματα ὄντως, φυγάδας μὲν καλεῖν τοὺς μὴ μόνον ἐν μέσῃ τῇ πόλει διατρίβοντας, ἀλλὰ καὶ βουλεύοντας καὶ δικάζοντας καὶ ἐκκλησιάζοντας, ἔστι δ' ὅτε καὶ ἀγορανομίας καὶ γυμνασιαρχίας καὶ τὰς ἄλλας λειτουργίας ὑπομένοντας· πολίτας δὲ τοὺς ἢ μὴ ἐγγραφέντας τοπαράπαν, ἢ ὧν ἀτιμία καὶ φυγὴ κατέγνωσται, περιεργῶν ἀνθρώποις ἐληλεγμένους, οὐ μόνον οὐκ ἐπι-
C βῆναι τῆς χώρας, ἀλλ' οὐδ' ἐξ ἀπόπτου τὸ πατρῷον ἔδαφος θεάσασθαι δυναμένους, εἰ μή που ποινὰς ἐλαύνοιντο θανατῶντες. ἔφεδροι γὰρ καταστήσονται κολασταὶ μυρίοι, καὶ δι' ἑαυτῶν ὑποστησόμενοι, καὶ νόμων προστάξεσιν ὑπηρετοῦντες. πῶς δὲ οὐ παράλογα καὶ γέμοντα πολλῆς ἀναισχυντίας ἢ μανίας; ἢ οὐκ ἔχω τί λέγω· διὰ γὰρ ὑπερβολὴν, οὐδ' οἰκείων ὀνομάτων εὐπορῆσαι ῥᾴδιον, πλουσίους μὲν ὀνομάζειν τοὺς ἀπορωτάτους καὶ τῶν ἀναγκαίων ἐπιδεεῖς, λυπρῶς καὶ ἀθλίως ἀποζῶντας, μόλις τὸ ἐφήμερον κομίζον-
D τας, ἐν εὐθηνίᾳ κοινῇ λιμὸν ἐξαίρετον ἔχοντας, ἀρετῆς αὔρᾳ, καθάπερ ἀέρι φασὶ τοὺς τέττιγας, τρεφομένους· πένητας δὲ τοὺς ἀργύρῳ καὶ χρυσῷ καὶ πλήθει κτημάτων, καὶ προσόδων, καὶ ἄλλων ἀμυθήτων ἀγαθῶν ἀφθονίᾳ περιρρεομένους, ὧν ὁ πλοῦτος οὐ συγγενεῖς καὶ φίλους αὐτὸ μόνον ὤνησεν, ἀλλὰ καὶ τῆς οἰκίας ἔξω προελθὼν, μεγάλους ὁμίλους δημοτῶν καὶ φυλετῶν· διαβὰς δέ τι μεῖζον καὶ πόλει χορηγεῖ τὰ πολλὰ, ἐν εἰρήνῃ χρεῖος ἢ πόλεμος. ἀπὸ
E δὲ τῆς αὐτῆς ὀνειρώξεως, τοῖς μὲν ἀμφιθαλέσι καὶ τῷ ὄντι εὐπατρίδαις, ὧν οὐ γονεῖς μόνοι, ἀλλὰ καὶ πάπποι καὶ πρόγονοι μέχρι τῶν ἀρχηγετῶν καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἐπιφανέστατοι γεγόνασι, δουλείαν ἐπιτολμῶσιν ἐπιφημίζειν· τοῖς δ' ἐκ τριγονίας στιγματίαις, παιδοθρέπτοις καὶ παλαιοδούλοις, ἐλευθερίαν. ἔστι δὲ τὰ τοιαῦτα, ὡς ἔφην, προφάσεις ἀνθρώπων, οἳ διάνοιαν μὲν ἠμαύρωνται, δοῦλοι δ' εἰσὶ δόξης, ἐπιμένοντες αἰσθήσεσιν, ὧν τὸ συνέδριον

ὑπὸ τῶν κρινομένων ἀεὶ δεκαζόμενον ἀβέβαιον. χρῆν δ' αὐτούς, εἴπερ ὅλως ἐζήλουν ἀλήθειαν, μὴ τῶν τὰ σώματα καμνόντων ἐν τῷ φρονεῖν ἐλαττοῦσθαι. ἐκεῖνοι μὲν γὰρ ἑαυτοὺς ἐπιτρέπουσιν ἰατροῖς ὑγείας ὀρεγόμενοι· κατοκνοῦσι δ' οὗτοι νόσον ψυχῆς ἀπαιδευσίαν ἀπώσασθαι, γενόμενοι σοφῶν ἀνδρῶν ὁμιληταί· παρ' ὧν οὐ μόνον ἔστιν ἀπομαθεῖν ἀμαθίαν, ἀλλὰ καὶ τὸ ἴδιον ἀνθρώπου κτῆμα παραλαβεῖν ἐπιστήμην. ἐπεὶ δὲ κατὰ τὸν λιγυρώτατον Πλάτωνα, φθόνος ἔξω θείου χοροῦ ἵσταται, θειότατον δὲ καὶ κοινωνικώτατον σοφία, συγκλείει μὲν οὐδέποτε τὸ ἑαυτῆς φροντιστήριον, ἀναπεπταμένη δὲ δέχεται τοὺς ποτίμων διψῶντας λόγων, οἷς ἄκρατον διδασκαλίας ἄφθονον ἐπαντλοῦσα νᾶμα, μεθύειν τὴν νηφάλιον ἀναπείθει μέθην. οἱ δ' ὥσπερ ἐν ταῖς τελεταῖς ἱεροφαντηθέντες, ὅταν ὀργίων γεμισθῶσι, πολλὰ τῆς πρόσθεν ὀλιγωρίας ἑαυτοὺς κακίζουσιν, ὡς ἂν φθεισάμενοι χρόνον, βίον δὲ τρίψαντες ἀβίωτον, ἐν ᾧ φρονήσεως ἐχήρευσαν· ἄξιον οὖν νεότητα τὴν πανταχοῦ πᾶσαν, τὰς ἀπαρχὰς τῆς πρώτης ἀκμῆς μηδενὶ μᾶλλον ἢ παιδείᾳ ἀναθεῖναι, ᾗ καὶ ἐνηβῆσαι καὶ ἐγγηράσαι καλόν. ὥσπερ γάρ φασι τὰ καινὰ τῶν ἀγγείων ἀναφέρειν τὰς τῶν πρώτων εἰς αὐτὰ ἐγχυθέντων ὀσμάς, οὕτω καὶ αἱ νέων ψυχαὶ τοὺς πρώτους τῶν φαντασιῶν τύπους ἀνεξαλείπτους ἐναποματτόμεναι, τῇ φορᾷ τῶν αὖθις ἐπεισρεόντων ἥκιστα κατακλυζόμεναι, τὸ ἀρχαῖον διαφαίνουσιν εἶδος. ἄλις μὲν δὴ τούτων. ἀκριβωτέον δὲ τὸ ζητούμενον, ἵνα μὴ τῇ τῶν ὀνομάτων ἀσαφείᾳ παραγόμενοι, πλαζώμεθα, καταλαβόντες δὲ περὶ οὗ ὁ λόγος, τὰς ἀποδείξεις εὐσκόπως ἐφαρμόττωμεν. δουλεία τοίνυν ἡ μὲν ψυχῆς, ἡ δὲ σωμάτων λέγεται· δεσπόται δὲ τῶν μὲν σωμάτων ἄνθρωποι, ψυχῶν δὲ κακία καὶ πάθη. κατὰ τὰ αὐτὰ δὲ καὶ ἡ ἐλευθερία. ἡ μὲν γὰρ ἄδειαν σωμάτων ἀπ' ἀνθρώπων σωμάτων δυνατωτέρων· ἡ δὲ διανοίας ἐκεχειρίαν ἀπὸ τῆς τῶν παθῶν διανοίας ἐργάζεται. τὸ μὲν οὖν πρότερον οὐδεὶς ζητεῖ. μυρίαι γὰρ ἀνθρώπων ψυχαί, καὶ πολλοὶ πολλάκις κήρεσιν ἀβουλήτοις τῶν σφόδρ' ἀστείων, τὴν ἐκ γένους ἀπέβαλον ἐλευθερίαν· ἀλλ' ἔστιν ἡ σκέψις περὶ ἠθῶν, οἷς οὔτ' ἐπιθυμίαι, οὔτε φόβοι, οὔθ' ἡδοναί, οὔτε λῦπαι κατέζευξαν, ὥσπερ ἐξ εἱρκτῆς προεληλυθότων, καὶ δεσμῶν οἷς ἐπιεσφίγγοντο διαφειμένων. ἀνελόντες οὖν ἐκποδὼν τὰς παραφάσεις καὶ ἐλαθείας, καὶ τὰ φύσεως μὲν ἀλλότρια, δόξης δ' ἠρτημένα ὀνόματα οἰκοτρίβων καὶ ἀργυρωνήτων αἰχμαλώτων, τὸν ἀψευδῶς ἐλεύθερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι,

A semper à rebus iudicatis corrumpitur propter ipsorum inconstantiam. atqui debuerant, si æmularentur veritatis studium, non minus sapere quam qui ægrotant corporibus. nam illi desiderio sanitatis committunt sui curam medicis: istos verò piget inscitiam depellere morbum animi, accitis viris sapientibus: qui non solum profligare possunt imperitiam, verum etiam scientiam in eius locum inducere, rem omnium preciosissimam. B Et quoniam, vt ait Plato suauiloquus, inuidia extra diuinum chorum sita est, nihil autem sapientia diuinius & magis expositum, nunquam claudit suum auditorium, sed patentibus ianuis admittit sitientes sermonem dulcem ac potabilem, frequentatores suos fluentis doctrinarum abunde proluens, vt inebrietur sobria temulentia. illi verò iam vt sacris initiati, furoréque diuino perciti, damnant pristinam suam negligentiam iacturámque temporis, C in rebus nihili contrita vita per imprudentiam. operæprecium igitur fecerint, si quotquot vbique sunt iuuenes, ætatis floridæ primitias eruditioni dedicarint, tam in præsens quam in futurum paraturi sibi decus & præsidium. sicut enim vasa odorem, quo primum fuere imbuta, referunt, sic iuuenum animæ quas primum formas imaginatione concipiunt, nunquam aboleri sinunt, ne alijs quidem insuper affluẽtibus. De his hactenus. nunc quæstionem nostram dispiciamus ac- D curatius, ne nos obscuritas nominum decipiat. intellecto autem quod sit de quo disserimus, demõstrationes aptius adhibebimus. Seruitus quædam animi, quædam corporis dicitur. corporibus dominantur homines, animis affectus & vitia. itidem libertas quædam est corporum, non subiecta hominibus potentioribus: quædam animi, nullis affectibus obnoxia. de priore genere nunc non quæritur. innu- E meri enim boni viri libertatem amiserunt varijs casibus. Nos agimus de moribus quos non concupiscentia, non timor, non gaudium, non dolor subigit, velut è carcere liberatos & vinculis. omissa igitur altera illa libertate fortuita & alienis à natura, pendentibúsque ex sola opinione vocabulis, vernarum, venaliciorum, captiuorum, quæramus vere liberum, qui solus sui compos est,

A etiamsi multi se heros eius nuncupent. is enim exclamabit illud Sophocleum nihil differens à Pythijs oraculis: Deus mi princeps, non vllus mortalium. nam reuera solus liber est, qui solum Deum sequitur: imò vt equidem sentio, imperium habet in terrestria, tanquam immortalis summique regis mortalis vicarius. sed præstat sermonem de principatu differre in tempus commodius, & de libertate, vt cœpimus, B disserere. certe siquis negocium penitius voluerit introspicere, liquido noscet, nullas res tam cognatas esse inuicem, quam libertatem, & curam sui. improbos enim multa impediunt auaritia, luxus, ambitio: probos omnino nihil, resistentes tanquam in certamine, cupidini, pauori, timiditati, dolori, & cæteris id genus. didicerunt enim contemnere iussa iniqua dominorum animis imperitare volentium, quippe libertatis amatores: C cuius propria felicitas, hoc est sua sponte facere quicquid placuerit, laudatur hoc senario:

Quis seruus est, mortem qui potest temnere?

Nimirum intellexerat quisquis eius autor fuit, nihil æque mentem in seruitutem redigere, vt mortis metum: vsque adeo sumus vitæ cupidi. cogitandum autem, immunem esse à seruitute non solum contemptorem mortis, sed & paupertatis, & obscuritatis, & D doloris, atque cæterorum quæ vulgares inter mala numerant, cum sint ipsi mali rerum iudices, qui seruum ex vsu suo æstimant, considerantes eius ministeria, cum oporteat mores ingenuos respicere. nam qui humili seruilique animo humilibus seruilibúsque negocijs inuitus dat operam, vere seruus est. cæterum qui tempori se accommodans, suapte voluntate tolerat fortunæ insolentiam, nihil humanum à se E alienum putans, non ignarus diuinas res perpetuo seruare suæ felicitatis ordinem, & hac quoque parte humanis præcellere, agitatis iactatísque fluctuatione continua, vtcunque momenta negociorum hinc inde prægrauant, fortiter ferens quicquid acciderit, philosophus mox euadit & ingenuus. proinde non cuiusuis audiet imperia: quod si quis vrgeat tormenta minitans, reclamabit strenue?

κἂν μυρίοι γράφωσι δεσπότας ἑαυτοῦ· ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον, οὐδὲν τῶν πυθοχρήστων διαφέρον, Θεὸς ἐμοὶ ἄρχων, θνητῶν δ' οὐδὲ εἷς. τῷ γὰρ ὄντι μόνος ἐλεύθερος, ὁ μόνῳ θεῷ χρώμενος ἡγεμόνι· καίτοι ἐμοὶ δὲ διαφέρειν καὶ τὴν τῶν ἄλλων ἡγεμονίαν ἐπιτετραμμένος τὴν περιγείων, οἷα μεγάλου βασιλέως θνητὸς ἀθανάτου διάδοχος. ἀλλ' ὁ μὲν περὶ τῆς ἀρχῆς λόγος εἰς καιρὸν ἐπιτηδειότερον ὑπερκείσθω· τὸν δὲ περὶ ἐλευθερίας ταυτῶ ἀκριβωτέον. εἰ δή τις εἴσω προσελθὼν τὴν πραγμάτων ἐθελήσειε διακύψαι, γνώσεται σαφῶς ὅτι οὐδὲν ἄλλο ἄλλῳ συγγενὲς οὕτως, ὡς αὐτοπραγία ἐλευθερίᾳ· διότι πολλὰ μὲν τῷ φαύλῳ τὰ ἐμποδὼν, φιλαργυρία, φιλοδοξία, φιληδονία. τῷ δ' ἀστείῳ, τὸ παράπαν οὐδὲν, ἐπηυχημένῳ καὶ ἐπιβεβηκότι καθάπερ ἐν ἄθλων ἀγωνισταῖς καταπαλαισθεῖσιν, ἔρωτι, φόβῳ, δειλίᾳ, λύπῃ, τοῖς ὁμοιοτρόποις. ἔμαθε γὰρ ἀλογεῖν ἐπιταγμάτων, ὅσα οἱ ψυχῆς παρανομώτατοι ἄρχοντες ἐπιτάττουσι, διὰ ζῆλον καὶ πόθον ἐλευθερίας, ἧς τὸ αὐτοκέλευστον καὶ ἐθελουργὸν κλῆρος ἴδιος ἐπαγγέλλεται παρὰ τισιν, ὁ δὲ τρίμετρον ἐχέγγυον ποιήσας· Τίς ἐστι δοῦλος, τοῦ θανεῖν ἄφροντις ὤν, ὡς μάλα συνιδὼν τὸ ἀκόλουθον· ὑπέλαβε γὰρ ὅτι οὐδὲν οὕτω δουλοῦσθαι πέφυκε διάνοιαν, ὡς τὸ ἐπὶ θανάτῳ δέος, ἕνεκα τοῦ πρὸς τὸ ζῆν ἱμέρου. χρὴ δὲ λελογίσθαι ὅτι οὐχ ὁ τοῦ θανεῖν μόνον ἀφρόντιστος ἀδούλωτος, ἀλλὰ καὶ ὁ τοῦ πένεσθαι, καὶ ἀδοξεῖν, καὶ ἀλγεῖν, καὶ τῶν ἄλλων ὅσα οἱ πολλοὶ κακὰ νομίζουσι, κακοὶ τῶν πραγμάτων ὄντες αὐτοὶ κριταὶ, οἵτινες ἐκ τῶν χρειῶν δοκιμάζουσι τὸν δοῦλον, εἰς τὰς ὑπηρεσίας ἀφορῶντες, δέον εἰς τὸ ἀδούλωτον ἦθος. ὁ μὲν γὰρ ἀπὸ ταπεινοῦ καὶ δουλοπρεποῦς φρονήματος ταπεινὰ καὶ δουλοπρεπῆ πίσι παρὰ γνώμην ἐγχειρῶν τὴν ἑαυτοῦ, δοῦλος ὄντως· ὁ δὲ πρὸς τὸ συμφέρον καιρὸν ἁρμοζόμενος τὰ οἰκεῖα, ἑκουσίως ἅμα καὶ τλητικῶς ἐγκαρτερεῖν τοῖς ἀπὸ τύχης, καὶ μηδὲν καινὸν ἀπ' ἀνθρώπων εἶναι νομίζων, ἀλλ' ἐξητακὼς ἐπιμελῶς, ὅτι τὰ μὲν θεῖα αἰωνίῳ τάξει καὶ εὐδαιμονίᾳ τετίμηται, τὰ δὲ θνητὰ πάντα, σάλῳ καὶ κλύδωνι πραγμάτων διαφερόμενα πρὸς δυσὶν ῥοπαῖς ταλαντεύει, καὶ γενναίως ὑπομένων τὰ συμπίπτοντα, φιλόσοφος εὐθύς τε καὶ ἐλεύθερος· ὅθεν οὐδενὶ πάντι τῷ προστάττοντι ὑπακούσεται, κἂν αἰκίας καὶ βασάνους καὶ τινὰς φοβερωτέρας ἀπειλὰς ἐπανατείνηται, καταθυόμενος δὲ ἀντικηρύξει,

Πίμπρη, καταίθε σάρκας, ἐμπλήσθητί μου A
Πίνων κελαινὸν αἷμα. πρόσθε γὰρ κάτω
Γῆς εἶσιν ἄστρα, γῆ τ' ἄνω εἰς οὐρανὸν,
Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

ἤδη ποτὲ εἶδον ἐν ἀγῶνι παγκρατιαστῶν, τὸν μὲν ἐπιφέροντα τὰς πληγὰς καὶ χερσὶ καὶ ποσὶ, καὶ πάσας εὐσκόπως, καὶ μηδὲν παραλελοιπότα τῶν εἰς τὸ νικᾶν, ἀπειρηκότα, καὶ πέρας ἀστεφάνωτον ἐξελθόντα τοῦ σταδίου· τὸν δὲ τυπτόμενον, ὑπὸ πυκνότητος σαρκῶν πεπιλημένον, στριφνὸν, ναστὸν, B ὄντως γέμοντα πνεύματος ἀθλητικοῦ, δι' ὅλου νενευρωμένον, οἷα πέτρος καὶ σίδηρος, οὐδὲν μὲν πρὸς τὰς πληγὰς ἐνδιδόντα, τὴν δὲ τοῦ ἀντιπάλου δύναμιν τῷ καρτερῷ καὶ παγίῳ τῆς ὑπομονῆς καθῃρηκότα μέχρι παντελοῦς νίκης. ὅμοιον δή τι τούτῳ πεπονθέναι μοι δοκεῖ ὁ ἀστεῖος. τὴν γὰρ ψυχὴν εὖ μάλα κρατυνθεὶς ἰσχυρογνώμονι λογισμῷ, θᾶττον ἀναγκάζει τὸν βιαζόμενον ἀπειπεῖν, ἢ ὑπομένει τι δρᾶσαι τῶν παρὰ γνώμην. C ἀλλ' ἄπιστον ἴσως τοῖς μὴ πεπονθόσιν ἀρετὴν τὸ λεγόμενον· καὶ γὰρ καὶ ἐκεῖνο τοῖς τὰς παγκρατιαστὰς οὐκ ἰδοῦσι· γέγονε δ' οὐδὲν ἧττον ἐπ' ἀληθείας. Εἰς ταῦτα δ' ἀπιδὼν Ἀντισθένης, δυσβάστακτον εἶπεν εἶναι τὸν ἀστεῖον. ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον καὶ φερόμενον, ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος ἔχον ἀσάλευτον. ὁ δὲ τῶν Ἰουδαίων νομοθέτης τὰς τοῦ σοφοῦ χεῖρας βαρείας εἰσάγει, διὰ συμβόλων τὰς πράξεις αἰνιττόμενος, οὐκ ἐπιπολαίως, D ἀλλὰ παγίως ἐρηρεισμένας ἀπὸ διανοίας ἀρρεποῦς. πρὸς οὐδενὸς οὖν ἀναγκάζεται, ἅτε καταπεφρονηκὼς μὲν ἀλγηδόνων, καταπεφρονηκὼς δὲ θανάτου· νόμῳ δὲ φύσεως, ὑπηκόους ἔχων πάντας ἄφρονας. ὅνπερ γὰρ τρόπον αἰγῶν μὲν καὶ βοῶν καὶ προβάτων αἰπόλοι καὶ βουκόλοι, καὶ νομεῖς ἀφηγοῦνται, τὰς δ' ἀγέλας ἀμήχανον ἐπιτάξαι ποιμέσι· καὶ τὸν αὐτὸν τρόπον οἱ μὲν πολλοὶ θρέμμασιν ἐοικότες, E ἐπιστάτου καὶ ἄρχοντος δέονται, ἡγεμόνες δ' εἰσὶν οἱ ἀστεῖοι, τὴν ἀγελαρχῶν τεταγμένοι τάξιν. Ὅμηρος μὲν οὖν ποιμένας λαῶν εἴωθε καλεῖν τοὺς βασιλέας· ἡ δὲ φύσις τοῖς ἀγαθοῖς κυριώτερόν τε τοὔνομα ἐπεφήμισεν· εἴτ' ἐκεῖνοι ποιμαίνονται τὸ πλέον, ἢ ποιμαίνουσιν. ἄκρατος γὰρ αὐτοὺς ἄγει καὶ εὐμορφία, πέμματά τε καὶ ὄψα, καὶ τὰ μαγείρων καὶ σιτοποιῶν ἡδύσματα, ἵνα τὰς ἀργύρου καὶ χρυσοῦ καὶ τῶν σεμνοτέρων ἐπιθυμίας παραλείπω· τοῖς δ' ὑπ' οὐδενὸς συμβέβηκε δελεάζεσθαι·

Combure carnem hanc, concrema, repleto te
Meo cruore. nam prius vel sidera
Terrã subibunt, terra vel scandet polũ,
Quàm mollis à me extorqueatur vox tibi.

Spectaui aliquando certantes pancratio, alterum obtundentem pugnis & calcibus, totisque viribus contendentem ad victoriam, tandem lassum & incoronatum è stadio discedere: alterum carnosum, neruosum, musculosum, refertúmque spiritu vere athletico, tanquàm saxeum ferreúmve nihil plagis cedere, soláque patientia superare aduersarium, & ad extremum adipisci victoriam. huic similem bonum virum censeo, qui valide confirmatus certo animi proposito, efficit vt aduersarius prius delassetur inferendo iniurias, quam ipse quicquam agat præter animi sui sententiam. Sed hoc inexpertis videtur incredibile. nec mirum, quando ne illud quidem quod de pancratiastis diximus, quisquam, nisi qui vidit, crediderit. nihilominus verum est quod diximus. Vnde profectum est Antisthenis dicterium, virum bonum esse molestam sarcinam. nam sicut insipientia bene fertur & leuiter, sic prudentia grauiter incumbens, premit vehementer suopte pondere, nec facile potest excuti. proinde Iudæorum legislator ait sapientem graues manus habere, actiones eius hoc ænigmate significans, non superficiem contrectantes, sed penetrantes in solidum, vtpote subnixas non flectendo mentis proposito. itaque à nemine cogitur, cum sit contemptor & mortis & cruciatuum, lege naturæ præpositus omnibus insipientibus. Quemadmodum enim capris, bubus, ouibus præsunt caprarij, bubulci pastorésque, greges autem non possunt præesse opilionibus: sic & vulgus pecori non absimile, opus habet curatore principe, qui ordo est bonorum virorum, præfectorum suis gregibus. certe Homerus reges solet vocare pastores populi. at natura bonis viris hoc nomen magis competere voluit. Illi pascuntur magis quam pascunt, dediti amoribus potationibus & cupedijs, nequid dicam de auro argentóque, & alijs rebus preciosioribus quas expetunt. at hi nullis capiuntur illecebris,

& insuper alios monent, caueant sibi ab insidiosis voluptatibus. quod autem publicæ functiones non sint seruitutis indicium, apparet belli tempore. tunc enim vniuersi milites sunt in opere, non solum armis onerati, sed & sarcinis, comportantésque in castra aquam, ligna, & iumentis pabulum: ne quid interim dicam de alijs laboribus militaribus, dum vallum aut fossam faciunt, mœnia reparant, triremes ædificant, artibúsque varijs manus exercent cum reliquo corpore. quin & in pace non deest alia nihilo segnior conflictatio cum paupertate, obscuritate, rerúmque necessariarum inopia, quæ mala inuitos ad seruiles labores adigunt, & fossores, agricolas, sordidósque opifices faciunt victus parandi gratia, interdum etiam in medio foro cogunt baiulare onera in conspectu condiscipulorum & æqualium. Alios seruili natos genere, benignitas fortunæ promouit ad ingenuorum officia. fiunt enim procuratores in amplis opibus, interdum etiam conseruis præficiuntur cæteris. quibusdam vxorum pupillorúmque herilium tutela commissa est, ob spectatam ipsorum fidem, posthabitis amicis & necessarijs: nihilominus tractant seruilia, fœnerantur, emptitant, reditus colligunt, patronos suos demerentur obsequijs. Quid igitur mirum si aduersus fortunæ fauorem inuoluunt se negocijs illiberalibus, & libertatem suam ipsi produnt, vltro se subijcientes alijs. sic parentum mandata exsequuntur pueri, sic magistrorum iussa discipuli. nemo enim sponte seruus fit. Sed parentes nunquam sic obliuiscuntur charitatis debitæ liberis, vt vllum ministerium vel in speciem seruile sibi exhiberi ab eis sustineant. Quod si quis à mangonibus vili venditos, ob id ipsum censet in seruorum numero, prorsus fallitur. nam isthæc venditio nec hunc seruum facit, nec emptorem eius Dominum: quandoquidem & patres filios redimunt, & suos parentes filij, vel captos à latronibus, vel iure belli redactos in potestatem hostium, quos tamen summum naturæ ius humanis legibus potentius ingenuitati restituit. quin & illud aliquoties accidit, vt versis rerum vicibus, empticij suis heris non tam seruirent quàm dominarentur.

A νουθετεῖν δὲ καὶ ὅσους ἂν ἁλῶντας πάγαις ἡδονῆς ἀλισκομένους. ὅτι δ' οὐχ αἱ ὑπηρεσίαι μηνύματά εἰσι δουλείας, ἐναργεστάτη πίστις οἱ πόλεμοι. τοὺς γὰρ στρατευομένους ἰδεῖν ἐστιν αὐτουργοὺς ἅπαντας, οὐ μόνον τὰς πανοπλίας κομίζοντας, ἀλλὰ καὶ ὅσα πρὸς τὴν ἀναγκαίαν χρῆσιν ὑποζυγίων τρόπον ἐπηχθισμένους, εἶτ' ἐφ' ὑδρείαν ἐξιόντας, καὶ φρυγανισμὸν καὶ χιλὸν κτήνεσι. τὰ γὰρ πρὸς τοὺς ἐχθροὺς ἐν ταῖς στρατείαις τί δεῖ μακρηγορεῖν, τάφρους ἀνατεμνόντων, ἢ τείχη κατασκευαζόν-

B των, ἢ τριήρεις ναυπηγουμένων, ἢ ὅσα ὑπουργίας, ἢ τέχνης, πάντα χερσὶ καὶ τῷ ἄλλῳ σώματι ὑπηρετούντων. ἔστι δέ τις καὶ κατ' εἰρήνην πόλεμος τῶν ἐν ὅπλοις οὐκ ἀποδέων, ὃν ἀδοξία, καὶ πενία, καὶ δεινὴ ἔνδεια τῶν ἀναγκαίων συγκροτοῦσιν, ὑφ' οὗ βιασθέντες ἐγχειροῦσι καὶ τοῖς δουλοπρεπεστάτοις ἀναγκάζονται, σκάπτοντες, γεωπονοῦντες, βαναύσους ἐπιτηδεύοντες τέχνας, ἕνεκα τοῦ παρατρέφεσθαι, πολλάκις καὶ κατὰ μέσην ἀγορὰν ἀχ-

C θοφοροῦντες, ἐν ἡλικιωτῶν καὶ συμφοιτητῶν καὶ συνεφήβων ὄψεσιν. ἕτεροι δ' εἰσὶν ἐκ γένους δοῦλοι, τὰ τῶν ἐλευθέρων εὐμοιρίᾳ τύχης μετιόντες. ἐπίτροποι γὰρ οἰκιῶν, κτημάτων καὶ μεγάλων οὐσιῶν, ἔτι δ' ὅτε καὶ ὁμοδούλων ἄρχοντες καθίστανται· πολλοὶ δὲ καὶ γυναῖκας, καὶ παῖδας ὀρφανοὺς δεσποτῶν ἐπετράπησαν, φίλων καὶ συγγενῶν προκριθέντες εἰς πίστιν, ἀλλ' ὅμως εἰσὶ δοῦλοι, δανείζοντες, ὠνούμενοι, προσόδους ἐκλεγόμενοι, θεραπευόμενοι. τί οὖν θαυμαστὸν εἰ κατὰ τοὐναντίον

D ὀλισθῶ τῆς εὐτυχίας δουλικὰς χρείας ἐπιτελεῖ, ᾧ δ' ὑπακούει ἑτέρων τὴν ἐλευθερίαν ἀφαιρεῖται. καὶ πῶς πατρὸς μὲν ἢ μητρὸς ἐπιταγμάτων παῖδες ἀνέχονται· γνώριμοι δὲ ὧν ἂν ὑφηγηταὶ διακελεύωνται· δοῦλος γὰρ ἑκὼν οὐδείς. οἵ γε μὴν τοκέες οὐ τοσαύτην ὑπερβολὴν ἐπιδείξονταί ποτε μισοτεκνίας, ὥσθ' ἃ μόνον σύμβολα δουλείας ἐστί, τὰς ὑπηρεσίας ἀναγκάσαι ἂν παῖδας τοὺς ἑαυτῶν ὑπομένειν. εἰ δέ τινας ὑπ' ἀνδραποδοκαπήλων ἐπευωνιζομένους ἰδών τις οἴεται δούλους

E αὐτοὺς εἶναι, πολὺ διαμαρτάνει τῆς ἀληθείας, οὐ γὰρ ἡ πρᾶσις κύριον ἀποφαίνει τὸν πριάμενον, ἢ τὸν πραθέντα δοῦλον, ἐπεὶ καὶ πατέρες υἱῶν τιμὰς κατέθεσαν, καὶ υἱοὶ πολλάκις πατέρων, ἢ κατὰ ληστείας ἀπαχθέντων, ἢ κατὰ πόλεμον αἰχμαλώτων γενομένων, οὓς οἱ τῆς φύσεως νόμοι τῶν κατὰ θέσιν ὄντες βεβαιότεροι, γράφουσιν ἐλευθέρους. ἤδη δέ τινες καὶ προσυπερβάλλοντες, εἰς τοὐναντίον περιήγαγον τὸ πρᾶγμα, δεσπόται γενόμενοι τῶν πριαμένων ἀντὶ

δούλων. ἐγὼ γοῦν ἐθεασάμην εὔμορφα παιδισκάρια, καὶ φύσει στωμύλα, δυσὶν ἑρμηνείοις, ὄψεως κάλλει, καὶ τῇ περὶ λόγους χάριτι, πορθοῦντα. ἑλεπόλεις γὰρ ταῦτά γε ψυχῶν ἀϊδρύτων καὶ ἀνερματίστων, μηχανημάτων ἁπάντων, ὅσα ἐπ' ἀνατροπῇ τειχῶν κατασκευάζεται, δυνατώτατα. σημεῖον δέ. θεραπεύουσιν, ἱκετεύουσιν, ἀναβλέψαι ὡς πρὸς τύχης καὶ ἀγαθοῦ δαίμονος αἰτεῖσθαι γλίχονται, καὶ περιορώμενοι μὲν σφαδάζουσιν· εἰ δ' αὐτὸ μόνον τὸ βλέμμα ἵλεων θεάσαιντο, γεγηθότες ἀνορχοῦνται. εἰ μὴ καὶ τοὺς λέοντας ὠνησάμενοι δεσπότας φατέον εἶναι λεόντων. εἰ μόνον ἐπιδεῖξαιντο τὰς ὄψεις, οἵοις ἐπρίατο κυρίοις ὁ δύστηνος, ὡς χαλεποὺς καὶ ὠμοθύμους, αὐτίκα παθὼν εἴσεται. τί οὖν, οὐκ οἰόμεθα τὸν σοφὸν ἀδουλωτότερον εἶναι λεόντων, ἐλευθερίᾳ καὶ ἀτρώτῳ ψυχῇ τὴν ἀλκὴν ἔχοντα μᾶλλον, ἢ εἰ σώμασι φύσει δούλοις καὶ ἀνοίᾳ κραταιοτάτῃ ἰσχὺς ἀφηνιάζοι; μάθοι δ' ἄν τις τὴν ἐλευθερίαν ἡ περὶ τὸν σπουδαῖόν ἐστι καὶ ἐξ ἑτέρων. δοῦλος εὐδαίμων πρὸς ἀλήθειαν οὐδείς. τί γὰρ ἀθλιώτερον, ἢ πάντων ἄκυρον εἶναί τινα, καὶ ἑαυτοῦ. ὁ δέ γε σοφὸς, εὐδαίμων, ἔρμα καὶ πλήρωμα καλοκἀγαθίας ἐπιφερόμενος, ἐν ᾗ τὸ κῦρος ἐστὶν ἁπάντων, ἀναμφιβόλως τῆς ἀνάγκης ὁ σπουδαῖος ἐλεύθερός ἐστι. πρὸς τούτοις ἔτι οὐκ ἂν εἴποι τις τοὺς φίλους τοῦ θεοῦ ἐλευθέρους εἶναι; εἰ μὴ τοῖς μὲν τῶν βασιλέων ἑταίροις ἄξιον μὴ μόνον ἐλευθερίας, ἀλλὰ καὶ ἀρχῆς συνομολογεῖν συνεπιτροπεύουσι καὶ συνδιέπουσι τὴν ἡγεμονίαν· τοῖς δὲ θεοῦ τὴν ὀλυμπίαν δουλείαν ἐπιφημιστέον, οἳ διὰ τὸ φιλόθεον εὐθὺς γινόμενοι θεοφιλεῖς, ἴσην ἀντιμηνύσαντες εὔνοιαν πρὸς ἀλήθειαν δικαζούσῃ, καθάπερ οἱ ποιηταί φασι, παναρχόντες τε καὶ βασιλέων βασιλεῖς εἰσι· τολμηρότερον δ' ὁ τῶν Ἰουδαίων νομοθέτης προσυπερβάλλων, ἅτε γυμνῆς ὡς λόγος ἀσκητὴς φιλοσοφίας, τὸν ἔρωτι θείῳ κατεσχημένον, καὶ τὸ ὂν μόνον θεραπεύοντα, οὐκ ἔτ' ἄνθρωπον ἀπετόλμησεν εἰπεῖν ἀνθρώπων μέντοι θεόν, οὐ τῆς φύσεως μερῶν, ἵνα τῷ πάντων καταλείπῃ πατρὶ τὸ θεὸν εἶναι βασιλεῖ καὶ θεῷ. ἆρ' ἄξιον τὸν προνομίας τοσαύτης τετυχηκότα, δοῦλον, ἢ μόνον ἐλεύθερον εἶναι νομίζειν; ὃς εἰ καὶ θείας οὐκ ἠξίωται μοίρας καθ' αὑτὸν, ἀλλά τοι διὰ τὸ φίλῳ θεῷ χρῆσθαι, πάντως ὤφειλεν εὐδαιμονεῖν. οὔτε γὰρ ἀσθενὴς ὁ ὑπέρμαχος, οὔτε φιλικῶν ἀμελὴς δικαίων θεὸς, ἑταιρεῖος ὢν καὶ κατὰ τοὺς ἑταίρους ἔφορος. ἔτι τοίνυν, ὥσπερ τῶν

A Ipse vidi ancillas formosas & naturali facundia prædítas, duplici gratia fretas sermonum & pulchritudinis, plurimum pollere in expugnandis dominis. sunt enim hæ præcipuæ machinæ contra infirmos & parum constabilitos animos, efficaciores multo quàm illæ quibus perfringuntur mœnia. id ita esse liquet animaduertentibus eos adamatis blandiri supplicaréque, captantes eorum fauorem tanquam genij propitij: tum si putent se parum B gratiosos, quasi despiciantur, ferre indignissime. rursum si obtutum hilariorem viderint, exilire præ gaudio. alioquin etiam leonis emptorem dicemus eius Dominum: quem ille si vel torue aspexerit, statim miser suo malo doctus ferociam eius sentiet. & credimus sapientem seruitutis patientiorem quàm beluas? cum maiorem ingenuitatem fortitudinémque habeat in anima quàm cuius vllum corpus capax sit, vtpote à natura seruituti addi C ctum, quantumuis recalcitret. Hanc probi viri libertatem & aliâs licet cernere quàm præclara sit.

Miser fiet profecto quisque seruulus.

Quid enim miserius quam ne sui quidem esse compotem? atqui sapiens felix est, virtutis summarium circumferens, in quo sita sunt omnia, vt necessario consequatur virum bonum esse liberum. præterea Dei amicos nonne liberos fatebimur? nisi forte regum amicis non modo libertatem, verum D & imperij societatem concedimus simul administrantibus rempublicam: cælesti verò numini charis seruitutem exprobrabimus: qui amatores Dei redamatíque, iusto fauore honorantur ab incorrupto eius iudicio, súntque poetarum quoque testimonio reges regum & rerum Domini. At Iudæorum legislator audet quiddam maius dicere, vt simplicis meditator philosophiæ, amore Dei correptum, & eius solius cultui deditum, plus quam ho E minem pronuncians, videlicet hominum Deum non item naturæ, qui honos vni Deo debetur patri regíque rerum omnium. & postea tali priuilegio dignatum seruum censebimus potius quam ingenuũ? qui licet ipse non est habendus pro Deo, tamen vt amicus Dei felix est proculdubio. Deus enim nec infirmus propugnator est, nec immemor iuris amicitiæ, cui tutor ipse præsidet, gaudétque inuocari hoc co-

τοῖς δ' ἐλευθέροις ἡ ἐκ νόμου πᾶσιν ἰσηγορία δίδοται, καὶ εἰσί τινες σπουδαίων ἐλεύθεροι· καὶ τῶν βιωτικῶν, ἄπειροι μὲν οἱ φαῦλοι, ἐμπειρότατοι δ' οἱ σοφοί· οὐκ ἄρα εἰσί τινες τῶν φαύλων ἐλεύθεροι, δοῦλοι δὲ πάντες. ὁ δὲ Ζήνων εἰ καί τις ἄλλος ὑπ' ἀρετῆς ἀχθεὶς, ἱκανώτερον ἀποδείκνυσι περὶ τοῦ μὴ εἶναι τοῖς φαύλοις ἰσηγορίαν πρὸς ἀστείους. φησὶ γὰρ, Οὐκ οἰμώξεται ὁ φαῦλος, ἐὰν ἀντιλέγῃ τῷ σπουδαίῳ; οὐκ ἄρ' ἐστὶν ἰσηγορία τῷ φαύλῳ πρὸς σπουδαῖον. οἶδ' ὅτι τὸν λόγον κατακερτομήσουσιν, ὡς αὐθαδείᾳ τὸ πλέον ἐρωτηθέντος ἢ συνέσει· μετὰ δὲ τὴν χλεύην παυσάμενοι τοῦ γέλωτος ἢν ἐθελήσωσι διακύψαι, καὶ τὸ λεγόμενον σαφῶς ἐρευνῆσαι, καταπλαγέντες αὐτοῦ τὸ ἀψευδὲς, εἴσονται ὅτι ἐπ' οὐδενὶ μᾶλλον οἰμώξεταί τις, ἢ τῷ μὴ πειθαρχεῖν σοφῷ. ζημία γὰρ χρημάτων, ἢ ἀτιμία, ἢ φυγαὶ, ἢ αἱ διὰ πληγῶν ὕβρεις, ἢ ὅσα ὁμοιότροπα, βραχέα καὶ τὸ μηδὲν ἀντιτιθέμενα κακίαις, καὶ ὧν κακίαι δημιουργοί. τοὺς δὲ πολλοὺς οὐ συνορῶντας ψυχῶν βλάβας διὰ λογισμοῦ πήρωσιν, ἐπὶ μόναις ταῖς ἐκτὸς συμβέβηκεν ἄχθεσθαι, τὸ κριτήριον ἀφῃρημένοις, δι' οὗ μόνου καταλαβεῖν ἔστι διανοίας ζημίαν. εἰ δὲ δυνηθεῖεν ἀναβλέψαι, θεώμενοι τὰς δι' ἀφροσύνης ἀπάτας καὶ τὰς ἐκ δειλίας ἐπηρείας, καὶ ὅσα ἀκολασία προφήνησεν, ἢ ἀδικία παρῳνόμησεν, ἐπὶ ταῖς τοῦ ἀρίστου συμφοραῖς λύπης ἀπαύστου γεμισθέντες, οὐδὲ παρηγορίας διὰ ὑπερβολὰς κακῶν ἀνέξονται· ἔοικε δὲ ὁ Ζήνων ἀρύσασθαι τὸν λόγον, ὥσπερ ἀπὸ τῆς πηγῆς τῆς ἰουδαίων νομοθεσίας, ἐν ᾗ δυοῖν ὄντοιν ἀδελφοῖν, τοῦ μὲν σώφρονος, τοῦ δ' ἀκολάστου, λαβὼν οἶκτον ὁ κοινὸς ἀμφοῖν πατὴρ, τοῦ μὴ ἐπ' ἀρετὴν ἥκοντος, εὔχεται ἵνα δουλεύσῃ τῷ ἀδελφῷ, τὸ δοκοῦν μέγιστον εἶναι κακὸν δουλείαν, ἀγαθὸν τελεώτατον ὑπολαμβάνων ἄφρονι, τὸ μὲν αὐτεξούσιον ἀφῃρημένῳ, πρὸς τὸ μὴ σὺν ἀδείᾳ πλημμελεῖν, ἐκ δὲ τῆς τοῦ προεστῶτος προστασίας βελτιωθησομένῳ τὸ ἦθος. τὰ μὲν οὖν λεχθέντα πρὸς τὴν τοῦ ζητουμένου διασύστασιν, ἔμοιγε ἀποχρῶντα ἦν· ἐπεὶ δὲ τὰ ποικίλα τῶν νοσημάτων ἰατροῖς ἔθος ποικιλωτέραις θεραπείαις ἰᾶσθαι, ἀνάγκη καὶ τοῖς παραδόξοις νομιζομένοις τῶν προβλημάτων διὰ τὸ ἀήθες, ἐπάγειν πίστεις ἐπαλλήλους προσεπιχειροῦντας. μόλις γὰρ ἔνιοι, συνεχείᾳ φραττόμενοι τῶν ἀποδείξεων, αἰσθάνονται. λέγεται

A vt liberis omnibus ex æquo ius loquendi conceditur, inter quos probi nonnulli: & nulli minus sciunt vitam instituere quàm mali, sicut nulli melius quàm sapientes: ergo nemo malus liber est, sed omnes seruiunt. Zeno quoque cum cæteris virtutis admiratoribus fortiter pronunciat, non oportere malos viros cum probis contendere. ait enim: An non plorabit malus si bono aduersabitur? Ergo nullum ius sinit malum probo contra-
B dicere. Nec me latet fore qui subsannent hanc meam sententiam, & arrogantem insensatámque iudicent. verum isti si risu cauillisque sedatis voluerint penitius totam rem introspicere, scient non alia de causa quenquam ploraturum citius, quam si sapientis monita contempserit. nam pecuniarum iactura, ignominia, exilium, verbera, similésque iniuriæ, non sunt conferendæ cum vitijs, &
C cæteris calamitatibus quas vitia secum afferunt. at vulgus non animaduertens quàm perniciosa sit animis rationis cæcitas, tantummodo externis angitur infortunijs, quandoquidem caret iudicio. quod si possent visum recipere, conspicati tot insipientiæ decipulas, tot damna accepta per ignauiam, debacchationésque luxuriæ, iniquitatésque iniustitiæ, summæ felicitatis amissæ iacturam deplorarent seriò, nec vllam in tanta calamitate consolationem admitterent.
D Cæterum illa Zenonis sententia tanquam è fonte hausta videtur ex Iudæorum legibus: in quibus narratur de duobus fratribus, altero frugi, altero luxu perdito, quod communis amborum pater miseratus eum qui à virtute desciuerat, precatur ei vt fratri seruiat, seruitutem quæ videtur malum maximum, existimans rem insipienti vtilissimam: ne si relinqueretur in sua potestate, prolaberetur in
E omnem licentiam, sed per potioris curam emendatis moribus in melius proficeret. Hæc ad confirmationem rei qua de quæritur, mihi sane sufficerent. sed quoniam medici solent varijs morbis adhibere varia remedia, necessarium duco istis vt videntur paradoxis propositionibus propter nouitatem alias insuper probationes apponere. quidam enim vix continuatis argumentationibus conuicti errorem suum agnoscunt. Recte

igitur vulgo dici audimus, cum qui A prudenter agit, bene agere omnia. quisquis autem recte agit omnia, peccatum, reprehensionem, culpam, mulctam euadit. itaque licet ei quidlibet agere, & quomodolibet viuere. at bonus vir prudenter agit omnia, solus ergo liber est. quid ni? cum nec cogi possit nec vetari. ergo nemo bonus seruus est. liquet autem quod nec cogi nec vetari possit. vetatur enim qui à concupitis rebus cohibitus arcetur. at sapiens cupit virtutem, qua non potiri B non potest. quod si non cogitur, certe sua sponte agit. actiones verò aut bonæ à virtute proficiscuntur, aut malæ à vitio, aut indifferentes sunt & mediæ. quæ ad virtutem attinent, non coactus agit sed volens. cum virtute enim coniuncta sunt facta eius omnia. quicquid autem vitiosum est, vt fugiendum ne in somnis quidem attingit. idem credibile videtur & de indifferentibus, circa quæ animus pendet tanquam in æquilibrio, doctus C nec trahi ab eis vt pondus habentibus, nec eis offendi vt auersandis. Vnde satis apparet nihil inuitum coactúmque facere. quod si seruus esset, cogeretur vtique. ergo liber erit quisquis bonus est. Quoniam autem quidam incruditi argumentationes tales non intelligunt, quibus in vniuersum de rebus decernitur, solent percontari, ecquando fuerunt viri quales fingitis, aut vbi reperiuntur? respondere licet, nulli sæculo defuisse viros virtute D præstantes, qui freti ope Dei solius, & iuxta rectum naturæ ius viuentes, non modo ipsi fuere liberi, verum etiam familiares suos repleuerunt ingenuo generosóque spiritu: & sunt nunc quoque imagines quædam viuæ expressæ ad illorum sapientum effigiem. quamuis enim aduersarij fateantur se carere libertate huiusmodi, pertractos in seruitutem ab imprudentia vitiisque cæteris, non statim id existimandum est de vniuerso hominum genere. quod si non videmus prodire horum E agmina, nil mirum. primum quia quæ pulchra ea rara sunt. deinde quia semoti à turba domesticorũ vacant naturæ contemplationibus, cupiẽtes quidem si quomodo queant, vitam ciuium corrigere: virtus enim libenter prodest publice omnibus: sed videntes id onus suas vires excedere, propter absurdos mores receptos in ciuitatibus,

τοίνυν οὐκ ἀπὸ σκοποῦ, ὅτι ὁ φρονίμως ποιῶν, εὖ ποιεῖ πάντα· ὁ δ' εὖ ποιῶν πάντα, ὀρθῶς ποιεῖ πάντα· ὁ δ' ὀρθῶς πάντα ποιῶν, καὶ ἀναμαρτήτως, καὶ ἀμέμπτως, καὶ ἀνεπιλήπτως, καὶ ἀνυπευθύνως, καὶ ἀζημίως· ὥστ' ἐξουσίαν σχήσει πάντα δρᾶν καὶ ζῆν ὡς βούλεται· ᾧ δὲ ταῦτ' ἔξεστιν, ἐλεύθερος ἂν εἴη. ἀλλὰ μὴν πάντα φρονίμως ποιεῖ ὁ ἀστεῖος· μόνος ἄρα ἐστὶν ἐλεύθερος. καὶ μὴν ὃν μὴ ἐνδέχεται μήτ' ἀναγκάσαι, μήτε κωλῦσαι· οὐκ ἄρα δοῦλος ὁ σπουδαῖος· ὅτι δ' οὔτ' ἀναγκάζεται, οὔτε κωλύεται, δῆλον. κωλύεται μὲν γὰρ ὁ μὴ τυγχάνων ὧν ὀρέγεται. ὀρέγεται δ' ὁ σοφὸς τῶν ἀπ' ἀρετῆς, ὧν ἀποτυγχάνειν οὐ πέφυκε. καὶ μὴν εἰ ἀναγκάζεται, δῆλον ὅτι ἄκων τι ποιεῖ· ἐν οἷς δὲ αἱ πράξεις, ἢ ἀπ' ἀρετῆς εἰσὶ κατορθώματα, ἢ ἀπὸ κακίας ἁμαρτήματα, ἢ μέσα καὶ ἀδιάφορα. τὰ μὲν οὖν ἀπ' ἀρετῆς οὐ βιασθεὶς, ἀλλ' ἑκών· αἱρετὰ γὰρ εἶναι αὐτῷ πάνθ' ὅσα δρᾷ· τὰ δ' ἀπὸ κακίας ἅτε φευκτὰ, οὐδ' ὄναρ πράττει· οὐδὲ μὴν τὰ ἀδιάφορα εἰκὸς, πρὸς ἃ καθάπερ ἐπὶ πλάστιγγος ἡ διάνοια ἰσορροπεῖ, δεδιδαγμένη μήτε ὡς ὁλκὸν ἔχουσι δύναμιν ἐνδιδόναι, μήτ' ὡς ἀποστροφῆς ἀξίοις δυσχεραίνειν· ἐξ ὧν ἐστὶ δῆλον, ὅτι οὐδὲν ἄκων ποιεῖ, οὐδ' ἀναγκάζεται· δοῦλος δ' εἴπερ ἦν, ἠναγκάζετ' ἄν· ὥστ' ἐλεύθερος ἂν εἴη ὁ ἀστεῖος. ἐπεὶ δέ τινες τῶν ἥκιστα συγκεχορευκότων μούσαις λόγων ἀποδεικτικῶν οὐ συνιέντες, οἳ τὰς καθόλου τῶν πραγμάτων ἐμφάσεις παριστᾶσιν, εἰώθασιν ἐρωτᾶν, τίνες οὖν ἢ πρότερον γεγόνασιν ἄνδρες, ἢ νῦν εἰσὶν ὁποίους ἀναπλάττεσθε, καλόν γε ἀποκρίνασθαι, ὅτι καὶ πάλαι τινὲς ἦσαν τῶν καθ' αὑτοὺς, οἳ ἀρετῇ διέφερον, ἡγεμόνι μόνῳ θεῷ χρώμενοι, καὶ κατὰ νόμον τὸν ὀρθὸν φύσεως λόγον ζῶντες, οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ἐλευθέρου φρονήματος ἀναπιμπλάντες· καὶ ἐφ' ἡμῶν αὐτῶν ἔτι εἰσὶν ὥσπερ εἰκόνες ἀπὸ ἀρχετύπου γραφῆς σοφῶν ἀνδρῶν καλοκαγαθίας τυπωθέντες. οὐ γὰρ εἰ τῶν ἀντιλεγόντων ψυχαὶ κεχηρεύκασιν ἐλευθερίας, ὑπ' ἀφροσύνης καὶ τῶν ἄλλων κακῶν δουλαγωγηθεῖσαι, διὰ τοῦτο οὐ τὸ ἀνθρώπων γένος· εἰ δὲ μὴ κατὰ στίφη περίασιν ἀγεληδόν, θαυμαστὸν οὐδὲν· πρῶτον μὲν, ὅτι τὰ λίαν καλὰ, σπάνια· εἶτ', ἐπειδὴ τὸν τῶν οἰκειοτέρων ἐκτρεπόμενοι πολὺν ὅμιλον θεωρίᾳ τῶν τῆς φύσεως σχολάζουσιν, εὐχόμενοι μὲν εἴ πως ἐνῆν ἐπανορθώσασθαι τὸν βίον. κοινωφελὲς γὰρ ἡ ἀρετή· τὸ δὲ ἀδυνατεῖν πλημμυρούντων κατὰ πόλεις ἀλλοκότων πραγ-

μάτων, ἃ ψυχῆς πάθη καὶ κακίας συνεπιτείνηται, ἀποδιδράσκουσιν, ὡς μὴ τῇ ῥύμῃ τῆς φορᾶς, καθάπερ ἀπὸ χειμάρρου βίας κατασυρῶσιν ἡμᾶς· δέον, εἰ βελτιώσεως ἦν ζῆλος ἦν, ἰχνηλατεῖν ἔδει τὰς τούτων καταδύσεις, καὶ ἱκέτας καθεζομένους παρακαλεῖν, ἵνα τεθηριωμένον τὸν βίον προσελθόντες ἐξημερώσωσιν, ἀντὶ πολέμου καὶ δουλείας καὶ κακῶν ἀμυθήτων εἰρήνην καὶ ἐλευθερίαν καὶ τὴν ἄλλων ἀγαθῶν ἀφθονίαν περιρρεομένην ἀπαγγείλαντες· νυνὶ δὲ χρημάτων μὲν ἕνεκα πάντας μυχοὺς ἐρευνώμεθα, καὶ γῆς στρυφνὰς καὶ ἀποκρότους φλέβας ἀναστέλλομεν· καὶ μεταλλεύεται μὲν πολλὴ τῆς πεδιάδος, μεταλλεύεται δὲ οὐκ ὀλίγη τῆς ὀρεινῆς, χρυσὸν καὶ ἄργυρον, χαλκόν τε καὶ σίδηρον, καὶ τὰς ἄλλας ὕλας ἀναζητούντων. ἀποπλασαμένη δὲ ἡ κενὴ δόξα τὸν τῦφον ἄχρι τοῦ βυθοῦ θαλάττης διερευνωμένη, μή τι τῶν πρὸς αἴσθησιν ἀφανὲς ἐναπόκειταί που καλόν, καὶ λίθων πολυτελῶν ἀνευροῦσα ἰδέας, τὰς μὲν πέτραις προσπεφυκυίας, τὰς δὲ ὀστρέοις, αἳ καὶ τιμαλφέστεραι γεγόνασιν, ὄψεως ἀπάτην ἐξετίμησεν· φρονήσεως δέ, ἢ σωφροσύνης, ἢ ἀνδρείας, ἢ δικαιοσύνης ἕνεκα, γῆ μὲν ἀπόρευτός ἐστι καὶ ἡ βάσιμος· πελάγη δὲ ἄπλωτα τὰ καθ' ἑκάστην ὥραν τοῦ ἔτους ναυκλήροις ἐκπλεόμενα. καίτοι τίς ἢ μακρᾶς ὁδοιπορίας ἢ τοῦ θαλαττεύειν ἐστὶ χρεία πρὸς ἔρευναν καὶ ζήτησιν ἀρετῆς, ἧς τὰς ῥίζας ὁ ποιῶν οὐ μακράν, ἀλλ' οὕτω σφόδρα πλησίον ἐβάλλετο, καθάπερ καὶ ὁ σοφὸς τῶν Ἰουδαίων νομοθέτης φησίν, Ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου, αἰνιττόμενος διὰ συμβόλων λόγους, πράξεις, βουλάς, ἃ δὴ πάντα γεωργικῆς τέχνης δεῖται. οἱ μὲν οὖν ἀργίαν πόνου προτιμήσαντες, οὐ μόνον τὰς βλάστας ἐκώλυσαν, ἀλλὰ καὶ τὰς ῥίζας ἀφαυάναντες ἔφθειραν· οἱ δὲ σχολὴν μὲν βλαβερὸν ἡγούμενοι, πονεῖν δὲ ἐθέλοντες, ὥσπερ εὐγενῶν μοσχεύματα γεωργοῦντες, τῷ συνεχεῖ τῆς ἐπιμελείας οὐρανομήκεις ἐστελέχωσαν ἀρετὰς ἀειθαλεῖς καὶ ἀθάνατα ἔρνη, καρπὸν φέροντα εὐδαιμονίας οὐδέποτε λήγοντα, ἢ ὥς τινες, οὐ φέροντα, ἀλλ' αὐτὰ ὄντα εὐδαιμονία, ἃ Μωϋσῆς ὀνόματι συνθέτῳ καλεῖν εἴωθεν ὁλοκαρπώματα. ἐπὶ μὲν τῶν ἐκ γῆς βλαστανόντων, οὐδ' ὁ καρπός· ἐπὶ δὲ τῶν ἐν ψυχῇ φυομένων, ὅλα δι' ὅλου εἰς καρποῦ φύσιν μεταβέβληκε τὰ ἔρνη, τὸ φρονήσεως, τὸ δικαιοσύνης, τὸ ἀνδρείας, τὸ σωφροσύνης. ἔχοντες οὖν τοιαύτας πρὸς αὐτῆς ἀφορμάς,

A & morbos animi auctos viciorum consuetudine, resiliunt ne velut torrentis impetu transuersi abripiantur. Nos verò, si qua cura esset mutationis in melius, deberemus vestigare latebras eorum, & orare suppliciter, vt efferatam vitam nostram ad mitiorem statum reducant, & pro bello ac seruitute pacem inducant, libertatémque huius comitem. nunc pecuniæ causa scrutamur intima quæque, aperimus terræ venas duras & refractarias: metallarij
B puteos fodiunt in planis atque montanis, quærendo aurum, argentum, cuprum, ferrum, cæteras species. Vanitas fastum colens pro numine, profunda maris penetrat, quærens varia lapillorum preciosorum genera, vel saxis latentibus adnata vel ostreis, & ob hoc ipsum preciosiora, quantum oculi delicijs ac luxu corrupti iudicant. at prudentiæ, temperantiæ, fortitudinis, iusticiæque causa nemo peregrinatur, ne in peruijs
C quidem regionibus & hospitalibus: nemo enauigat maria, naucleris alioqui patentia per totum annum vltro citróque cursitantibus. Quamuis non habemus opus virtutem in longinquas aut transmarinas regiones petere, cuius radices autor naturæ in proximo deposuit, sicut ille sapiens Iudæorum legislator testatur dicens: In ore tuo, in corde tuo, in manibus tuis. subinnuens dicta, facta consiliáque, quæ omnia cultura indigent.
D ergo qui labori præferunt ocium, non solum germinibus officiunt, sed & radices ipsas exsiccando interimunt. contrà qui ocium vt noxium fugientes, ad laborem se applicant, velut generosarum plantarum cultores, continua cura præcelsas virtutum stirpes educunt in æthera, immortales virentésque perpetuo, ferentes felicitatis fructum nunquam interiturum: quandoquidem iuxta
E quorundam opinionem non tam felicitatem afferunt, quam ipsæ sunt felicitas, & vt Moses vocare solet composito vocabulo [illegible], quasi dicas frugem solidam. siquidem terrestres plantæ interdum nullum fructum suo cultori afferunt. at quæ inseruntur in anima, totæ quantæ sunt in fructus abeunt, prudentiæ, iustitiæ, fortitudinis, temperantiæ. Cum igitur tales occasiones vltro nobis se præbeant, non

pudet querelarum quasi negata sit hominum generi sapientia? quam poteramus ceu scintillam in fomite fumante redaccendere. nos verò vbi res diligentiam postulat ad nos proprie pertinens, segnes & supini sumus, corrumpimus virtutum seminaria: quæ autem fugienda sunt desideramus & requirimus. propterea diuitum, illustrium, voluptariorum, terra marique plena sunt omnia. prudentum autem, iustorum, proborum exiguus numerus. pauca verò sunt quidem rara, tamen reperiuntur, attestante Græcia simul & barbaria. nam in illa septem meriti sunt cognomen sapientiæ, quamuis alij quoque præcesserunt eos aut secuti sunt: illorum memoriam vetustas obliterauit, recentiores non fuerunt in precio apud sui sæculi homines, ideo minus inclaruerunt. at in barbarico solo frequentior numerus celebratur eorum quibus egregia dicta factáque pepererunt tam insignem gloriam: quales apud Persas magi naturæ scrutatores præ veritatis cognoscendæ studio, qui per ocium diuinas virtutes contemplantur clarius, & alios eisdem initiant mysterijs: apud Indos gymnosophistæ, qui cum naturali moralem coniungunt philosophiam, honestatis probitatísque amorem tota vita præ se ferendo. nec Palæstinæ Syriæque deest hoc genus hominum virtutem sectantium, cuius regionis non paruam partem populosa Iudæorum gens incolit. in his quidam nominantur Essæi, circiter quatuor millia, à sanctitate dicti, quia summa religione Deo seruiunt, non mactando victimas, sed suasmetipsorum mentes componendo ad sanctimoniam. hi vicatim habitant, vrbes fugiunt, propter familiaria ciuibus earum vitia, gnari non minus periculi esse ab eorũ conuictu quam ab aeris intemperie pestifera, propter contagium incurabile: viuuntque partim ex agricultura, partim ex opificijs in pace florentibus, benefici erga suos & proximos, nullam condentes pecuniam, nec parantes ampli reditus latifundia, sed quotidianis necessitatibus quærentes remedium. nam pene soli hominum degunt sine prædijs, sine pecunijs, & propter vitæ institutum diuites habentur magis quam ob rerum copiam, frugalitatem non vana existimatione

A

οὐκ ἐρυθριῶμεν ἔνδειαν σοφίας ἀνθρώπων γένει καταψηφίζοντες, ἣν δυνατὸν ἦν ἐκ φύσεως ἐμπνέοντα καθάπερ ἐν ὕλῃ σπινθῆρα τυφόμενον, ζωπυρῆσαι. ἀλλὰ γὰρ πρὸς ἃ μὲν σπουδὴν ἐχρῆν, ὡς συγγενέστατα καὶ οἰκειότατα, πολὺς ὁ ὄκνος, καὶ ῥᾳθυμία συνεχής, ὑφ' ὧν τὰ καλοκἀγαθίας σπέρματα διαφθείρεται· ὧν δ' εἰκὸς ὑστερίζειν, ἵμερος καὶ πόθος ἄπληστος. διὰ τοῦτο πλουσίων μὲν καὶ ἐνδόξων, καὶ ταῖς ἡδοναῖς χρωμένων μεστὴ γῆ καὶ θάλαττα· φρονίμων δὲ καὶ δικαίων καὶ ἀστείων, ὀλίγος ἀριθμός. τὸ

B

δ' ὀλίγον, εἰ καὶ σπάνιον, οὐκ ἀνύπαρκτον. μάρτυς δὲ ἥ τε Ἑλλάς, καὶ ἡ βάρβαρος. ἐν ᾗ μὲν γὰρ οἱ ἐτύμως ἐπονομασθέντες ἑπτὰ σοφοὶ ἤνθησαν, καὶ ἄλλοι πρότερον καὶ αὖθις ὡς εἰκὸς ἀκμάσαντες, ὧν ἡ μνήμη παλαιοτέρων μὲν ὄντων, μήκει χρόνων οὐκ ἠφανίσθη· ἀκμαζόντων δ' ἔτι, διὰ τὴν ἐπιπολάζουσαν τῶν συνόντων ὀλιγωρίαν ἐξαμαυροῦται. κατὰ δὲ τὴν βάρβαρον, ἐν ᾗ πρεσβευταὶ λόγων καὶ ἔργων πολυανθρωπότερα, εἶφη καλοὶ καὶ ἀγαθοὶ

C

ἐπὶ ἀνδρῶν ἐν Πέρσαις μὲν τὸ μάγων, οἳ τὰ φύσεως ἔργα διερευνώμενοι πρὸς ἐπίγνωσιν ἀληθείας, καθ' ἡσυχίαν τὰς θείας ἀρετὰς τηλαυγεστέραις ἐμφάσεσιν ἱεροφαντοῦνταί τε καὶ ἱεροφαντοῦσιν· ἐν Ἰνδοῖς δὲ, τὸ γυμνοσοφιστῶν, οἳ πρὸς τῇ φυσικῇ καὶ τὴν ἠθικὴν φιλοσοφίαν διαπονοῦντες, ὅλον ἐπίδειξιν ἀρετῆς πεποίηνται τὸν βίον. ἔστι δὲ καὶ ἡ Παλαιστίνη καὶ Συρία καλοκἀγαθίας οὐκ ἄμοιρος, ἣν πολυανθρωποτάτου ἔθνους τῶν Ἰουδαίων οὐκ ὀλίγη μοῖρα νέμεται. λέγονταί τινες παρ' αὐτοῖς

D

ὄνομα Ἐσσαῖοι, πλῆθος ὑπὲρ τετρακισχιλίους, κατ' ἐμὴν δόξαν, οὐκ ἀκριβεῖ τύπῳ, διαλέκτου Ἑλληνικῆς παρώνυμοι ὁσιότητος, ἐπειδὴ κἀν τοῖς μάλιστα θεραπευταὶ θεοῦ γεγόνασιν, οὐ ζῷα καταθύοντες, ἀλλ' ἱεροπρεπεῖς τὰς ἑαυτῶν διανοίας κατασκευάζειν ἀξιοῦντες. οὗτοι τὸ μὲν πρῶτον, κωμηδὸν οἰκοῦσι, τὰς πόλεις ἐκτρεπόμενοι, διὰ τὰς τῶν πολιτευομένων χειροήθεις ἀνομίας, εἰδότες ἐκ τῶν συνόντων ὡς ἀπ' ἀέρος φθοροποιοῦ νόσον, ἐγγινομένην προσβολὴν ψυχαῖς ἀνίατον,

E

ὧν οἱ μὲν γεωπονοῦντες, οἱ δὲ τέχνας μετιόντες ὅσαι συνεργάτιδες εἰρήνης, ἑαυτούς τε καὶ τοὺς πλησιάζοντας ὠφελοῦσιν, οὐκ ἄργυρον καὶ χρυσὸν θησαυροφυλακοῦντες, οὐδ' ἀποτομὰς γῆς μεγάλας κτώμενοι δι' ἐπιθυμίας προσόδων, ἀλλ' ὅσα πρὸς τὰς ἀναγκαίας χρείας τοῦ βίου ἐκπορίζοντες. μόνοι γὰρ ἐξ ἁπάντων σχεδὸν ἀνθρώπων ἀχρήματοι καὶ ἀκτήμονες γεγονότες, ἐπιτηδεύσει τὸ πλέον ἢ ἐνδείᾳ εὐτυχίας, πλουσιώτατοι νομίζονται, τὴν

τὴν ὀλιγοδεΐαν καὶ εὐκολίαν, ὅπερ ἐστὶ κρίνοντες περιουσίαν. βελῶν, ἢ ἀκόντων, ἢ ξιφιδίων, ἢ κράνους, ἢ θώρακος, ἢ ἀσπίδος οὐδένα παρ' αὐτοῖς ἂν εὕροις δημιουργόν, ἢ ὁπλοποιὸν ἢ μηχανοποιόν, ἢ συνόλως τι τῶν κατὰ πόλεμον ἐπιτηδεύματα, ἀλλ' οὐδὲ ὅσα κατ' εἰρήνην εὐόλισθα εἰς κακίαν. ἐμπορίας γὰρ ἢ καπηλείας, ἢ ναυκληρίας, οὐδ' ὄναρ ἴσασι, τὰς εἰς πλεονεξίαν ἀφορμὰς ἀποδιοπομπούμενοι· δοῦλός τε παρ' αὐτοῖς οὐδὲ εἷς ἐστιν, ἀλλ' ἐλεύθεροι πάντες ἀνθυπουργοῦντες, ἀλλήλοις καταγινώσκουσί τε τῶν δεσποτῶν, οὐ μόνον ὡς ἀδίκων, ὁσιότητα λυμαινομένων, ἀλλὰ καὶ ὡς ἀσεβῶν, θεσμὸν φύσεως ἀναιρούντων, ἣ πάντας ὁμοίως γεννήσασα καὶ θρέψασα μητρὸς δίκην ὡς ἀδελφοὺς γνησίους, οὐ λεγομένους, ἀλλ' ὄντας, ὄντως ἀπειργάσατο· τὴν δὲ συγγένειαν ἡ ἐπίβουλος πλεονεξία παρευημερήσασα διέσεισεν, ἀντ' οἰκειότητος ἀλλοτριότητα, καὶ ἀντὶ φιλίας ἔχθραν ἐργασαμένη. φιλοσοφίας δὲ, τὸ μὲν λογικὸν, ὡς οὐκ ἀναγκαῖον εἰς κτῆσιν ἀρετῆς, λογοθήραις· τὸ δὲ φυσικὸν, ὡς μεῖζον ἢ κατὰ ἀνθρωπίνην φύσιν, μετεωρολέσχαις ἀπολιπόντες, πλὴν ὅσον αὐτοῦ περὶ ὑπάρξεως θεοῦ καὶ τῆς τοῦ παντὸς γενέσεως φιλοσοφεῖται· τὸ ἠθικὸν εὖ μάλα διαπονοῦσιν, ἀλείπταις χρώμενοι τοῖς πατρίοις νόμοις, οὓς ἀμήχανον ἀνθρωπίνην ἐπινοῆσαι ψυχὴν ἄνευ κατοκωχῆς ἐνθέου· τούτους ἀναδιδάσκοντες μὲν καὶ παρὰ τὸν ἄλλον χρόνον, ἐν δὲ ταῖς ἑβδόμαις μάλιστα διαφερόντως· ἱερὰ γὰρ ἡ ἑβδόμη νενόμισται, καθ' ἣν τῶν ἄλλων ἀπέχονται ἔργων· εἰς ἱεροὺς ἀφικνούμενοι τόπους, οἳ καλοῦνται συναγωγαί, καθ' ἡλικίας ἐν τάξεσιν ὑπὸ πρεσβυτέροις νέοι καθέζονται, μετὰ κόσμου τοῦ προσήκοντος ἔχοντες ἀκροατικῶς· εἶθ' ὁ μὲν τὰς βίβλους ἀναγινώσκει λαβών, ἕτερος δὲ τῶν ἐμπειροτάτων, ὅσα μὴ γνώριμα παρελθὼν ἀναδιδάσκει. τὰ γὰρ πλεῖστα διὰ συμβόλων ἀρχαιοτρόπῳ ζηλώσει παρ' αὐτοῖς φιλοσοφεῖται· παιδεύονται δὲ ὁσιότητα, δικαιοσύνην, οἰκονομίαν, πολιτείαν, ἐπιστήμην τῶν πρὸς ἀλήθειαν ἀγαθῶν καὶ κακῶν, καὶ ἀδιαφόρων, αἱρέσεις ὧν χρή, καὶ φυγὰς τῶν ἐναντίων, ὅροις καὶ κανόσι τριττοῖς χρώμενοι, τῷ τε φιλοθέῳ, καὶ φιλαρέτῳ, καὶ φιλανθρώπῳ. τοῦ μὲν οὖν φιλοθέου δείγματα παρέχονται μυρία, τὴν παρ' ὅλον τὸν βίον συνεχῆ καὶ ἐπάλληλον ἁγνείαν, τὸ ἀνώμοτον, τὸ ἀψευδές, τὸ πάντων μὲν ἀγαθῶν αἴτιον, κακοῦ δὲ μηδενὸς νομίζειν εἶναι τὸ θεῖον· τοῦ δὲ φιλαρέτου, τὸ ἀφιλοχρήματον, τὸ ἀφιλόδοξον, τὸ ἀφιλήδονον, τὸ ἐγκρατές, τὸ καρτερικόν,

A ducentes esse quæstũ maximum. tela, iacula, gladios, galeas, thoraces, scuta, nemo apud eos fabricat, sicut nec arma cætera, nec machinas, aut aliud quicquam bello vtile: imò ne ea quidẽ studia reperias ibi, quibus in pace facile abutuntur homines. negociatores, institores, naucleros ne in somnis quidem viderunt, subtrahendo materiã auariciæ. nemo ex illis seruit, omnes liberi ministrant sibiinuicem: dominationẽ damnãt vt iniustam atque
B impiam, repugnãtem iuri naturæ, quæ omnes ex æquo genuit educauitque tanquam mater germanos fratres re vera, non solo nomine. eam cognationẽ labefactam conuulsámque insidiis auariciæ, huius opera inductam pro familiaritate abalienationem animi, & odium pro beneuolentia. philosophiæ partem ratiocinatoriam, vt parandæ virtuti non necessariã, relinquunt verborũ captatoribus: eam verò quæ naturam scrutatur, disputatoribus, vt hu-
C mano captu sublimiorem, nisi quatenus de creatore mundi & eius creatione disserit. in sola morali se exercent sub pædotribis legibus patriis, quas non potest concipere humanus animus absque afflatu numinis. has ediscunt & alio tempore, sed præcipue recurrente die septimo, quem sacratum existimant, feriantúrque tunc ab omnibus aliis negociis. quoties sacras ædes, quas synagogas vocant, adeunt, pro ætatis ordine iuniores ad seniorum
D pedes consident, & ad audiendum se componunt. ibi alius ex libro prælegit, alius quispiam vnus è peritioribus accedens quæ obscura sunt explicat. nam pleraque per figuras more veterum philosophorum eis sunt tradita. discunt autem sanctitatem, iusticiam, curam rei vel domesticæ vel publicæ, verorum bonorum malorúmque scientiam atque rerum in differentium insuper, quid expetendum, quid contrà fugiendum, quæ triplici regula examinant, amore Dei, & vir-
E tutis, & hominum. pietatis erga Deum argumenta præ se ferunt plurima, castitatem in tota vita perpetuam, à iureiurando mendacióque abstinentiã, & quod ad Deum autorem bona omnia, malum verò nullum referunt. virtutem quoque sibi esse cordi satis declarant, dum pecunias, honores voluptatésque contemnunt fortiter, viuúntque continenter in laboribus

complexi frugalitatem, simplicitatem, facilitatem, modestiam, legum reuerentiam, constantiam, & id genus cætera. charitatem porrò eorum erga homines indicat beneuolentia, mira dictu æquabilitas & omnium rerum societas, de qua non intempestiuum fuerit nunc paucis dicere. Patent eorum sodalitia hominibus etiam aduenis idem institutum seruantibus. omnibus vnum est promptuarium, vnde vestitus & mensa communis sumitur. nam contubernium victúsque ac mensæ societas apud alios laudatur magis quam recipitur. nec mirum. quicquid enim lucrantur è quotidianis operæ mercedibus, non sibi quisque seruat, sed in medium conferendo cuicunque volenti fruendi potestatem faciunt. tum si valetudinarij nequeunt victum quærere, non negliguntur, paratum habentes è publico infirmitati subsidium, quam securè sustentant ex communi copia. Senioribus iuniores debitam curam honorem reuerentiam exhibent tanquam germani filij, labantem eorum ætatem fulcientes modis omnibus tam consilijs quàm ministerijs. Tales virtutis athletas reddit philosophia absque omnibus curiosis & ambitiosis Græcorum vocabulis, exercens eos in laude dignis actionibus, quibus certa perpetuáque libertas constabilitur. id compertum est in multis & varijs temporum difficultatibus, sub tyrannide potentiorum diuersis præditorum ingenijs. ex quibus alij conati feroces bestias immanitate superare, nullam omiserunt crudelitatis speciem, gregatim mactando subditos, aut laniorum more viuos frustratim concidendo: nec prius finis fuit quàm in easdem calamitates incidere vindicante diuina prouidentia. alij vero suam rabiem celantes diuerso maliciæ genere, acerbas clades dederunt, placido sermone susurrísque clancularijs dissimulantes odium, canum maleficorum more blandiendo, móxque infigendo morsus insanabiles, vt oppidatim monumenta impietatis suæ relinquerent ad perpetuam afflictionum memoriam. nemo tamen vel è crudelibus illis, vel ex alteris fucatis ac subdolis, valuit modo dictos cœtus Essæorum siue sanctorum in culpam inducere,

A ἔτι δὲ ὀλιγοδεΐαν, ἀφέλειαν, εὐκολίαν, τὸ ἄτυφον, τὸ νόμιμον, τὸ εὐσταθὲς, καὶ ὅσα τούτοις ὁμοιότροπα· τοῦ δὲ φιλανθρώπου, εὔνοιαν, ἰσότητα παντὸς λόγου κρείττονα, κοινωνίαν, περὶ ἧς οὐκ ἄκαιρον βραχέα εἰπεῖν. πρῶτον μὲν τοίνυν οὐδενὸς οἰκία τίς ἐστιν ἰδία, ἣν οὐχὶ πάντων εἶναι συμβέβηκε. πρὸς γὰρ τὸ κατὰ θιάσους συνοικεῖν, ἀναπέπταται καὶ τοῖς ἑτέρωθεν ἀφικνουμένοις τῶν ὁμοζήλων. εἶτ' ἐστὶ ταμεῖον ἓν πάντων καὶ δαπάναι, καὶ κοιναὶ μὲν ἐσθῆτες, κοιναὶ δὲ τροφαὶ συσσίτια πεποιη-
B μένων. τὸ γὰρ ὁμωρόφιον, ἢ ὁμοδίαιτον ἢ ὁμοτράπεζον, οὐκ ἄν τις εὕροι παρ' ἑτέροις ἔργῳ βεβαιούμενον. καὶ μήποτ' εἰκότως; ὅσα γὰρ ἂν μεθ' ἡμέραν ἐργασάμενοι λάβωσιν ἐπὶ μισθῷ, ταῦτ' οὐκ ἴδια φυλάττουσιν, ἀλλ' εἰς μέσον προτιθέντες κοινὴν τοῖς ἐθέλουσι χρῆσθαι τὴν ἀπ' αὐτῶν παρασκευάζουσιν ὠφέλειαν. οἵ τε νοσηλευόμενοι, οὐχ ὅτι πορίζειν ἀδυνατοῦσιν ἀμελοῦνται, πρὸς τὰς νοσηλείας ἐκ τῶν κοινῶν ἔχοντες ἐν ἑτοίμῳ, ὡς μετὰ πάσης ἀδείας ἐξ ἀφθονωτέρων ἀναλίσκειν. αἰ-
C δὼς δ' ἐστὶ πρεσβυτέρων, καὶ τιμὴ καὶ φροντὶς, οἷα γνησίων παίδων, χερσὶ καὶ διανοίαις μυρίαις ἐν ἀφθονίᾳ τῇ πάσῃ γηροτροφουμένων. τοιούτους ἡ δίχα περιεργίας Ἑλληνικῶν ὀνομάτων ἀθλητὰς ἀρετῆς ἀπεργάζεται φιλοσοφία, γυμνάσματα προτιθεῖσα τὰς ἐπαινετὰς πράξεις, ἐξ ὧν ἡ ἀδούλωτος ἐλευθερία βεβαιοῦται· σημεῖον δὲ, πολλῶν κατὰ καιροὺς ἐπαναστάντων τῇ χώρᾳ δυναστῶν, καὶ φύσεσι καὶ προαιρέσεσι χρησαμένων
D διαφερούσαις. οἱ μὲν γὰρ πρὸς τὸ ἀτιθάσσον ἀγριότητα θηρίων ἐκνικῆσαι σπουδάσαντες, οὐδὲν παραλιπόντες τῶν εἰς ὠμότητα, τοὺς ὑπηκόους ἀγεληδὸν ἱερεύοντες, ἢ καὶ ζῶντας ἐπὶ μαγείρων τρόπον κατὰ μέλη καὶ μέρη κρεουργοῦντες, ἄχρι τοῦ τὰς αὐτὰς ὑπομεῖναι συμφορὰς ὑπὸ τῆς τὰ ἀνθρώπεια ἐφορώσης δίκης οὐκ ἐπαύσαντο· οἱ δὲ τὸ παρακεκινημένον καὶ λελυττηκὸς εἰς ἕτερον εἶδος κακίας μεθαρμοσάμενοι, πικρίαν ἄλεκτον ἐπιτηδεύσαντες, ἡσυχῇ
E διαλαλοῦντες, ἠρεμαιοτέρας φωνῆς ὑποκρίσει βαρύμηνιν ἦθος ἐπικρυπτόμενοι, κυνῶν ἰοβόλων τρόπον προσσαίνοντες, ἀνιάτων γενόμενοι κακῶν αἴτιοι, κατὰ πόλεις μνημεῖα τῆς αὐτῶν ἀσεβείας καὶ μισανθρωπίας ἀπέλιπον τὰς τῶν πεπονθότων ἀλήστους συμφοράς. ἀλλὰ γὰρ οὐδεὶς οὐδὲ τῶν σφόδρ' ὠμοθύμων, οὐδὲ τῶν πάνυ δολερῶν καὶ ὑπούλων, ἴσχυσε τὸν λεχθέντα ὅμιλον τῶν Ἐσσαίων ἢ ὁσίων αἰτιάσασθαι.

πάντες δ' ἀπειρηκότες πρὸς τὴν ἀνδρῶν καλοκαγαθίας γενόμενοι καθάπερ αὐτονόμοις καὶ ἐλευθέροις οὖσιν ἐκ φύσεως, προσεπικηρύσσουσιν ᾄδοντες αὐτῶν τὰ συσσίτια, καὶ τὴν παντὸς λόγου κρείττονα κοινωνίαν, ἣ βίου τελείου καὶ σφόδρα εὐδαίμονός ἐστι δεῖγμα. χρὴ δ', ἐπειδὴ τὰς ἐν τοῖς πλήθεσιν ἀρετὰς οὐκ οἴονταί τινες εἶναι τελείας, ἀλλ' ἄχρι συναυξήσεως καὶ ἐπιδόσεως αὐτὰς μόνον ἵστασθαι, μάρτυρας βίους τῶν κατὰ μέρος ἀνδρῶν ἀγαθῶν παραγαγεῖν, οἳ σαφέστατοι πίστεις ἐλευθερίας εἰσί. Κάλανος ἦν Ἰνδὸς γένος τῶν γυμνοσοφιστῶν· οὗτος καρτερικώτατος τῶν καθ' αὑτὸν ἁπάντων νομισθείς, οὐ μόνον ὑπὸ ἐγχωρίων, ἀλλὰ καὶ πρὸς ἀλλοφύλων, ὃ δὴ σπανιώτατόν ἐστιν, ἐχθρῶν βασιλέων ἐθαυμάσθη, λόγοις ἐπαινετοῖς σπουδαῖα ἔργα συνυφήνας. Ἀλέξανδρος γοῦν ὁ Μακεδὼν βουλόμενος ἐπιδείξασθαι τῇ Ἑλλάδι τὴν ἐν τῇ βαρβάρῳ σοφίαν, καθάπερ ἀπ' ἀρχετύπου γραφῆς ἀπεικόνισμα καὶ μίμημα, τὸ μὲν πρῶτον παρεκάλει Κάλανον συναποδημῆσαι, μέγιστον περιποιήσοντα κλέος ὅλῃ Ἀσίᾳ, καὶ ὅλῃ Εὐρώπῃ· ὡς δ' οὐκ ἔπειθεν, ἀναγκασθήσῃ, ἔφη, συνακολουθεῖν. ὁ δὲ εὐθυβόλως πάνυ καὶ εὐγενῶς, τίνος ἕνεκεν, εἶπεν, ἄξιόν με τοῖς Ἕλλησιν ἐπιδείξῃς Ἀλέξανδρε, εἴγε ἀναγκασθήσομαι ποιεῖν ἃ μὴ βούλομαι. ἆρ' οὐ γέμων μὲν παρρησίας ὁ λόγος, πολὺ δὲ μᾶλλον ὁ νοῦς; ἀλλὰ καὶ ἐν τοῖς βεβαιοτέροις φωνῶν πράγμασιν ἤθους ἀδουλώτου τύπους ἐστηλίτευσεν ἀριδήλους· μηνύει δὲ ἡ πεμφθεῖσα ἐπιστολὴ τῷ βασιλεῖ.

Κάλανος Ἀλεξάνδρῳ.

Φίλοι πείθουσι χεῖρας καὶ ἀνάγκην προσφέρειν Ἰνδῶν φιλοσόφοις, οὐδ' ἐν ὕπνῳ ἑωρακότες ἡμέτερα ἔργα. σώματα γὰρ μετοίσεις ἐκ τόπου εἰς τόπον· ψυχὰς δὲ οὐ δυνήσῃ ποιεῖν ἃ μὴ βούλονται, ἢ μᾶλλον πλίνθους καὶ ξύλα φωνὴν ἀφεῖναι. πῦρ μεγίστους τοῖς ζῶσι σώμασι πόνους καὶ φθορὰν ἐργάζεται, τούτου ὑπεράνω ἡμεῖς γινόμεθα, ζῶντες καιόμεθα. οὐκ ἔστι βασιλεύς, οὔτε ἄρχων, ὃς ἀναγκάσει ἡμᾶς ποιεῖν ἃ μὴ προαιρούμεθα· Ἑλλήνων δὲ φιλοσόφοις οὐκ ἐξομοιούμεθα, ὅσοι αὐτῶν εἰς πανήγυριν λόγους ἐμελέτησαν, ἀλλὰ λόγοις ἔργα παρ' ἡμῖν ἀκόλουθα, καὶ ἔργοις λόγοι· βραχεῖαν ἔχουσι δύναμιν καὶ μακαριότητα καὶ ἐλευθερίαν περιποιοῦντες. ἐπὶ τοιαύταις ἀποφάσεσι καὶ γνώμαις ἆρ' οὐκ ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι, ὅτι θᾶττον ἀσκὸν βαπτίσαι πλήρη πνεύματος,

A sed omnes discesserunt victi virtute horum virorum, laudantes eos vt liberos ciues & suo iure viuentes accepto à natura, prædicantésque illorum sodalicia, societatémque inenarrabilem, in qua exemplum fælicis & perfectæ vitæ videre liceat. Sed quoniam sunt qui putant perfectas virtutes non cadere in multitudinem, verum eas tantummodo quæ subolescunt etiamnum augentúrque, testes citabo vitas singulares bonorum virorum, libertatis indicia manifestissima. B Calanus erat Indus genere vnus gymnosophistarum. is patientissimus omnium eius sæculi hominum habitus seu indigenarum seu exterorum, quod rarissimum est, in admiratione fuit apud reges etiam hostium ob virtutem coniunctam cum eruditione. proinde Alexander Macedo volens ostentare Græciæ barbarorum sapientiam, & exhibere aliquod eius specimen, primò hortatus est Calanum proficisceretur secum pa- C raturus magnam gloriam in tota Europa simul & Asia. quod cum non impetraret, ait inuitum id facturum. tum ille valde apposite generoséque: Et quid magnum Græcis ostendes Alexander, si potes me cogere vt quæ nolo faciam? Quid hac voce & hac mente liberius? nisi quod hoc dictum liberiore facto confirmauit, reliquitque sempiternam constantis in libertate ingenij memoriam, vt literæ ad regem missæ indicant. D CALANVS ALEXANDRO. Amici tibi suadent vt cogas Indorum philosophos, ne per somnum quidem conspicati nostras res & nostra negocia. corpora de loco ad locum transferes, animis inuitis nullam vim inferes, nihilo magis quàm si lateres & ligna cogas vocem mittere. Ignis corporibus viuis maximos dolores excitat non sine pernicie, hunc tamen nos despicimus dum viui E comburimur. nullus rex, nullus princeps potest efficere vt quicquam agamus præter animi sententiam. non sumus Græcorum philosophorum similes, qui diu meditatas orationes recitant in celebritatum conuentibus, sed res à verbis apud nos non discrepant. breui momento & beatitatem & libertatem adipiscimur. Talibus sententijs nónne decet illud Zenonium succinere: Facilius esse vtrem inflatum mergere,

A quàm quemuis virum probum inuitum ad aliquid agendum cogere. nam inuictus animus, rationis rectæ placitis confirmatus, cedit nemini. Extant de hac bonorum virorum libertate multa poëtarum & historicorum testimonia: quorum sententijs Græci simul & barbari penè ab ipsis incunabulis innutriti proficiunt in bonis moribus, quicquid vitiorum ex mala educatione aut deprauata victus ratione contraxit anima, reducendo in melius.

B Vide quid apud Euripidem loquatur Hercules:

Combure carnem hanc, concrema, repleto te
Meo cruore. nam prius vel sidera
Terram subibunt, terra vel scandet polum,
Quàm mollis à me extorqueatur vox tibi.

Reuera enim seruilis est adulatio simulatióque, quoties à mente verba dissident. Cæterum ingenue sine fuco è sincera conscientia liberam sententiam depromere decet generosos animos.

C Rursum is ipse vir probus, vide vt ne sub hasta quidem inter venalia mancipia seruus sibi videtur, stupefaciens spectatores, quasi non solum ingenuus, sed & emptori suo dominaturus. Mercurius enim rogatus de hoc ipso an malus sit, respondet:

Non vilis est: contráque prorsus est graui
Forma, nec abiectus, nec vt serui solet,
Facilis agi: quin splendide vestitus est,
D *Clauáque dexter. Nemo vult domi sua*
Seruum, seipso qui siet præstantior.
At te vel aspectu pauescat quilibet.
Nam plena fers ardentis ignis lumina,
Qualis leonem taurus aggredi parat.

Deinde subiungit mores eius cuius incusat silentium.

parêre namque non feres,
Nec subijci, sed imperare cogitas.

E Idem mox emptus à Syleo missúsque ad opus rusticum, re ipsa declarauit satis quantũ à seruili abesset ingenio. nam opimo tauro Ioui mactato prætextu festi epulatus est: haustáque meri magna vi decoquebat id cubans. Tum superuenienti Syleo grauiter ferenti rerum iacturam & serui socordiam contemnentis Dominum, nihil mutato frontis colore, nec ob perpetrata demissior, confidenter dicit:

Accumbe, potemus, mei periculum
Sic protinus fac, proderit res hac tibi.

A ἢ βιάσαιτο τὸν σπουδαῖον ὁτιοῦν ἄκοντα δρᾶσαι τι τῶν ἀβουλήτων; ἀνένδοτος γὰρ καὶ ἀήττητος ψυχὴ, ἣν ὀρθὸς λόγος δόγμασι παγίοις ἐνεύρωσε. τῆς δὲ σπουδαίων ἐλευθερίας μάρτυρές εἰσι ποιηταὶ καὶ συγγραφεῖς, ὧν ταῖς γνώμαις Ἕλληνες ὁμοῦ καὶ βάρβαροι σχεδὸν ἐξ αὐτῶν σπαργάνων ἐντρεφόμενοι, βελτιοῦνται τὰ ἤθη, πᾶν ὅσον ἐξ ὑπαιτίου τροφῆς καὶ διαίτης ἐν ταῖς ψυχαῖς κεκιβδήλευται, μεταχαραττόμενοι πρὸς τὸ δόκιμον.

B ἴδε γοῦν οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς.

Πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου
Πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
Γῆς εἶσιν ἄστρα, γῆ τ' ἄνεισ' εἰς αἰθέρα
Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

τῷ γὰρ ὄντι θωπεία καὶ κολακεία καὶ ὑπόκρισις, ἐν οἷς λόγοις γνώμης διαμάχονται, δουλοπρεπέστατα. τὸ δὲ ἀδόλως καὶ γνησίως ἐκ καθαροῦ τοῦ συνειδότος ἐλευθεροστομεῖν, εὐγενέσιν ἁρμόττον.

C πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ, καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὤν, ἀλλὰ καὶ δεσπότης ἐσόμενος τοῦ πριαμένου; ὁ γοῦν Ἑρμῆς πυνθανομένοις ἡμῖν εἰ φαῦλός ἐστιν, ἀποκρίνεται,

Ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον
Πρόσχημα σεμνὸς, κοὐ ταπεινὸς, οὐδ' ἄγαν
Εὔογκος ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν
Ἰδόντι λαμπρὸς, καὶ ξύλῳ δραστήριος·
D Οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας
Αὐτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν
Πᾶς τις δέδοικεν. ὄμμα γὰρ πυρὸς γέμεις
Ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.

εἶτ' ἐπιλέγει τὸ ἦθος αὐτοῦ, ὃ κατηγορεῖ σιγῶντος,

ὡς εἴης ἂν οὐχ ὑπήκοος
Τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεσθαι θέλεις.

E ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη, διέδειξεν ἔργοις τὸ τῆς φύσεως ἀδούλωτον· τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ προφάσει διευωχεῖτο· πολὺν δ' οἶνον ἐμφορήσας ἀθρόον, εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεὺς δ' ἀφικόμενος καὶ δυσχεραίνοντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ ἐπὶ τῇ περιττῇ καταφρονήσει, μηδὲν μήτε τὴν χρόαν, μήτε ὧν ἐποίει μεταβαλὼν, εὐτολμότατά φησι,

Κλῖθητι καὶ πίωμεν, ἐν τούτῳ δέ μου
Τὴν πεῖραν εὐθὺ λάμβανε, εἰ κρείττων ἔσῃ.

τοῦτον οὖν πότερον, δοῦλον ἢ κύριον τοῦ δεσπότου ἀποφαντέον, μὴ μόνον ἀπελευθεριάζειν, ἀλλὰ καὶ ἐπιτάγματα ἐπιτάττειν τοῖς κτησαμένοις· καὶ εἰ ἀφηνιάζοιεν, τύπτειν καὶ προπηλακίζειν· εἰ δὲ καὶ βοηθοὺς ἐπάγοιντο, πάντας ἄρδην ἀπολλύναι. γέλως οὖν ἂν εἴη καὶ φλυαρία πολλὴ τὰ κατὰ τὰς λεγομένας ὠνὰς γράμματα, ἐπειδὴν καθ' ὧν γράφεται παρευημερηθείη σθεναρωτέρᾳ δυνάμει, χαρτιδίων ἀγράφων ἀκυρότερα, ὑπὸ σητῶν, ἢ χρόνων, ἢ εὐρῶτος εἰς ἅπαν διαφθαρησόμενα, ἀλλ' οὐ χρὴ, φήσει τις, τὰς τῶν ἡρώων παράγειν εἰς πίστιν ἀρετάς. μείζους γὰρ ἢ κατ' ἀνθρωπίνην φύσιν γενομένους ὀλυμπίοις ἁμιλλᾶσθαι, μικτῆς γενέσεως ἀθανάτων καὶ θνητῶν ἀνακραθέντων σπερμάτων ἐπιλαχόντας, ἡμιθέους εἰκότως προσαγορευθέντας, τοῦ θνητοῦ μίγματος, ὑπὸ τῆς ἀφθάρτου μερίδος κατακρατηθέντος, ὡς μηδὲν εἶναι παράδοξον εἰ τὴν ἐπ' αὐτοῖς δουλείαν τεχναζόντων ὠλιγώρησαν. ἔστω ταῦτα· μὴ καὶ Ἀνάξαρχος ἢ Ζήνων ὁ Ἐλεάτης ἥρωες ἢ ἐκ θεῶν; ἀλλ' ὅμως ὑπὸ τυράννων ὠμοθύμων καὶ τῇ φύσει πικρῶν, ἔτι μᾶλλον ἐπ' αὐτοῖς ἐκτεθηριωμένων, στρεβλούμενοι κεκαινουργημέναις αἰκίαις, ὥσπερ ἀλλότρια ἢ ἐχθρῶν ἐπιφερόμενοι σώματα μέγα καταφρονητικῶς ἠλόγουν τῶν φοβερῶν. τὴν γὰρ ψυχὴν ἐθίσαντες ἐξ ἀρχῆς δι' ἐπιστήμης ἔρωτα, τῶν μὲν πρὸς τὰ πάθη κοινωνίας ἀφίστασθαι, παιδείας δὲ καὶ σοφίας περιέχεσθαι, μετανάστιν μὲν τοῦ σώματος εἰργάσαντο, φρονήσει δὲ καὶ ἀνδρείᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς σύνοικον ἀπέφηναν. τοιγαροῦν ὁ μὲν κρεμάμενος καὶ κατατεινόμενος ὑπὲρ τοῦ τι τῶν ἀῤῥήτων ἐκλαλῆσαι, πυρὸς, σιδήρου, τῶν ἐν τῇ φύσει κραταιοτάτων φανεὶς δυνατώτερος, ἀποτρώγων τοῖς ὀδοῦσι τὴν γλῶτταν, εἰς τὸν βασανιστὴν ἠκόντισεν, ἵνα μηδ' ἄκων λόγον ἡσυχῇ φθέγξηται βιασθείς· ὁ δὲ πληκτικώτατα εἶπε, πτίσσε τὸν Ἀναξάρχου ἀσκόν· Ἀνάξαρχον γὰρ οὐκ ἂν δύναιο. αὗται γέμουσαι θράσους αἱ εὐτολμίαι, τὴν ἡρωϊκὴν εὐγένειαν οὐ μετρίως ὑπερβάλλουσι, διότι τοῖς μὲν τὸ κλέος ἐν τοῖς φυτεύσασιν ἀκούσιον· τῶν δ' ἐν ἑκουσίοις ἀρεταῖς, αἳ τοὺς ἄθλους γεγονότας ἀθανατίζειν πεφύκασι, παλαιστάς. οἶδα καὶ παγκρατιαστὰς πολλάκις ὑπὸ φιλοτιμίας καὶ τῆς εἰς τὸ νικᾶν σπουδῆς, ἀπαγορευόντων αὐτοῖς τῶν σωμάτων, μόνῃ ψυχῇ διαπνέοντας ἔτι καὶ διαθλοῦντας, ἣν ἐθίσαντες καταφρονητικῶς ἔχειν τῶν φοβερῶν, ἐγκαρτεροῦσιν ἄχρι τῆς τοῦ βίου τελευτῆς.

A Seruúmne hunc dicemus an herum Domini, qui seipsum manumittens, hero insuper imperitat, & non obsequenti intentat verbera? quod si quiritetur, vult eum vnà cum opitulantibus perdere. Nugas igitur agit qui emptionis instrumentum siue cautionem per notarium curat fieri, quando empticij nolunt ita se obligari freti viribus, potioribus quàm sint literatæ chartulæ, à tineis sitúve corrumpendæ, aut certe ab iniuria diuturni temporis. B Sed negabit aliquis adducendas ad nostræ sententiæ confirmationem virtutes heroum, videlicet supra naturam humanam positas & cæli æmulas, propter genus mixtum è mortali & immortali semine, vt merito semidei vocentur, præualente immortali genitura, ne cui mirum videatur hos vindicias secundum seruitutem contemnere. Esto, quid Anaxarchus & Zeno Eleates, num hi quoque sunt heroes dijs geniti? C attamen à tyrannis & suapte natura sæuis, & tum aduersum se irritatis excruciati tormentis inauditis antea, sic ea contempserunt quasi aut alienis aut etiam ipsorum inimicorum adhiberentur corporibus. nam olim assuefecerant animum, ex quo eum ad disciplinas applicuerant, vt semotus à perturbationibus aspiraret ad scientiam & sapientiam: & quasi demigrassent è corpore, in prudentiæ fortitudinísque agebant contubernio, virtutúmque cæterarum. D Itaque alter sublimis pendens & distensus, vt arcanum quoddam proderet, ignis ferríque vim superauit: præcisáque mordicus lingua, in tortorem suum eam exspuit, ne vlla vox inuito extorqueretur. alter vero stupenda verba protulit: Tunde Anaxarchi follem, Anaxarchum enim non potes. Hac confidens audacia heroicam generositatem longe à tergo reliquit: quandoquidem alteris decus traditum est à maioribus, citra omnem E ipsorum operam: alteri sua sponte subeuntes laborem in virtutis stadio, sedulo quærunt immortalitatem. & videre memini pancratiastas tanta obstinatione ad victoriam tendere, vt lassato corpore sola animositate persisterent in certamine: quòd assueti contemnere terricula, vsque ad vitæ finem durarent intrepidi. quæ cum ita se habeant,

A putamus eos qui corporis robur exercendo confirmant, metum mortis calcare spe victoriæ, aut ne victorem aspiciant: eos verò qui exercent mentem suam inuisibilem, quæ vere homo est domicilium hoc sensibile circumferens, & verbis philosophiam, factis virtutem excolunt, grauatim morituros pro libertate, vt libero spiritu fatalem viam pertranseant? fertur in quodam sacro certamine athletas duos robore pari præditos, non prius destitisse ab inferendis B excipiendisque ictibus, quàm vterque expiraret in vestigio. Dicat aliquis tali cuipiam: Ah miser, virtus te perdat tua. Sed iuuat gloriose pro apio frondéve oleastri certantem occumbere. at sapientem multo magis pro tuenda libertate, quam solam, si verum fatendum est, animus desiderat, vt agnatam non asciticiam, qua resecta tota hominis compages dissoluitur. Celebratur Laconis pueri, C quo in genere præcipuum est virtutis studium, mira quædam ingenuitas. Captiuus enim abductus à quodam Antigoni milite, liberalia quidem non recusauit ministeria, seruilia verò negauit se exhibiturum, quòd abhorreret à seruitio. atqui nondum per ætatem legibus Lycurgi poterat institui, quas vix degustauerat: tamen præsenti vitæ violentam mortem prætulit vt feliciorem, & desperata redemptione libens sibimet manus intulit. D Narrant Macedones etiam Dardanas mulieres, quæ seruitutem credebant miseriam turpissimam, suos pueros quos in vlnis baiulant proiecisse in fluminis gurgitem, acclamando, Vos certe non seruietis, sed priusquam infelicem vitæ cursum aggrediamini, salua libertate compendiariam atque necessariam viam decurretis vltimam. Polyxenam quoque tragicus Euripides inducit contempta morte cu-E ram libertatis gerere, dum sic loquitur:

Defungor vltro: nemo tangat corpus hoc:
Præbebo collum fortiter: liceat mori
Me liberam.

Ergo cum pueri ac mulierculæ, illi ætate, hæ sexu fragiles, natiuo libertatis amore teneantur, adeò vt ne hanc amittant, ad mortem tanquam ad immortalitatem properent: cre-

A εἶτ' οἰόμεθα τοὺς μὲν ἀσκητὰς τῆς ἐν σώμασιν εὐτονίας, ἐπιβεβηκέναι φόβῳ θανάτου, ἢ δι' ἐλπίδα νίκης, ἢ ὑπὲρ τοῦ μὴ τὴν ἰδίαν ἧτταν ἐπιδεῖν· τοὺς δὲ τὸν ἀόρατον νοῦν γυμνάζοντας ἐν ἑαυτοῖς, ὃς ἀψευδῶς ἄνθρωπός ἐστιν, οἶκον ἐπιφερόμενος τὸ αἰσθητὸν εἶδος, καὶ λόγοις μὲν τοῖς εἰς φιλοσοφίαν, ἔργοις δὲ τοῖς τῆς ἀρετῆς ἀλείφοντας, οὐχ ὑπὲρ ἐλευθερίας ἐθελήσειν ἀποθνήσκειν, ἵν' ἐν ἀδουλώτῳ φρονήματι τὴν εἱμαρμένην ἀνύσωσι πορείαν; ἐν ἀγῶνί φασιν ἱερῷ δύο ἀθλητὰς ἰ-B σορρόπῳ κεχρημένους ἀλκῇ τὰ αὐτὰ ἀντιδρῶντάς τε καὶ ἀντιπάσχοντας, μὴ πρότερον ἀπειπεῖν, ἢ ἑκάτερον τελευτῆσαι. Δαιμόνιε φθίσει σε τὸ σὸν μένος, εἴποι ἄν τις ἐπὶ τῶν τοιούτων. δηλαδὴ γὰρ ὑπὲρ κοτίνων καὶ σελίνων εὐκλεὴς ἀγωνισταῖς ἡ τελευτή· σοφοῖς δὲ οὐ πολλῷ μᾶλλον ἐλευθερίας, ἧς ὁ πόθος ταῖς ψυχαῖς μόνον, εἰ δεῖ τἀληθὲς εἰπεῖν ἐνίδρυται, καθάπερ τι μέρος ἡνωμένον οὐ τῶν ἐπιτυχόντων, οὗ διακοπέντος, ἅπα-C σαν τὴν κοινωνίαν φθείρεσθαι συμβέβηκε. Λακωνικοῦ παιδὸς ᾄδεται, παρ' οἷς ἰχνηλατεῖν ἔθος τὰς ἀρετάς, τὸ ἐκ γνώσεως ἢ φύσεως ἀδούλωτον. ἐπεὶ γὰρ αἰχμάλωτος ἀπήχθη ὑπό τινος τῶν Ἀντιγόνου, τὰς μὲν ἐλευθέρους χρείας ὑπέμενεν, ἐν δὲ ταῖς δουλικαῖς ἠναντιοῦτο, φάσκων οὐχὶ δουλεύσειν· καίτοι μήπω τοῖς Λυκούργου νόμοις παγίως ἐνσφραγισθῆναι διὰ τὴν ἡλικίαν δυνηθείς, ὅτι μόνον αὐτῶν ἐγεύσατο, τοῦ παρόντος βίου βίαιον θάνατον εὐτυχέστερον κρίνας, ἀπογνοὺς ἀπολύ-D τρωσιν, ἄσμενος ἑαυτὸν διεχρήσατο. λέγεται δὲ καὶ παρὰ Μακεδόσι τὰς Δαρδανίδας γυναῖκας αἴσχιστον κακὸν δουλείαν ὑπολαβούσας, οὓς ἐκουροτρόφουν παῖδας εἰς τὸ βαθύτατον τοῦ ποταμοῦ ῥῖψαι, ἐπιφωνούσας, ἀλλ' ὑμεῖς γε οὐ δουλεύσετε, πρὶν δὲ ἄρξασθαι βίου βαρυδαίμονος τρέχειν, ἐπιτεμόντες ἐλεύθεροι τὴν ἀναγκαίαν καὶ πανυστάτην ὁδὸν περαιώσεσθε. Πολυξένην δὲ ὁ τραγῳδὸς Εὐριπίδης, ἀλογοῦσαν μὲν θανά-E του, φροντίζουσαν δὲ ἐλευθερίας εἰσάγει, δι' ὧν φησίν,

Ἑκοῦσα θνήσκω, μή τις ἅψηται χροὸς
Τοὐμοῦ. παρέξω γὰρ δέρην εὐκαρδίως,
Ἐλευθέραν δέ μ' οὖσαν.

εἶτ' οἰόμεθα γυναιξὶ μὲν καὶ μειρακίοις, ὧν τὰ μὲν φύσει ὀλιγόφρονα, τὰ δὲ ἡλικίᾳ εὐολίσθῳ χρώμενα, τοσοῦτον ἐλευθερίας ἔρωτα ἐντήκεσθαι, ὡς ὑπὲρ τοῦ μὴ ταύτην ἀφαιρεθῆναι, εἰς θάνατον ὡς ἐπ' ἀθανασίαν ὁρμᾶν·

τοὺς δὲ σοφίας ἀκράτου ἀπολαύοντας, οὐκ εὐθὺς ἐλευθέρους εἶναι, ἀμιγῆ τὴν εὐδαιμονίαν τῆς ἀρετῆς ἑαυτοῖς περιφέροντας, ἣν ἐπίβουλος οὐδεμία πώποτε δύναμις κατέλυσε, τῆς ἀρχῆς καὶ βασιλείας ἔχουσαν αἰώνιον κλῆρον; ἀλλὰ γὰρ καὶ δήμους ὅλους ἀκούομεν ὑπὲρ ἐλευθερίας ἅμα καὶ πίστεως τῆς πρὸς ἀποθανόντας εὐεργέτας, αὐθαίρετον πανωλεθρίαν ὑποστάντας, ὥσπερ φασὶν οὐ πρὸ πολλοῦ Ξανθίους· ἐπεὶ γὰρ εἷς τῶν ἐπιθεμένων Ἰουλίῳ Καίσαρι Βροῦτος, καὶ ἐπιὼν ἐπ' αὐτοὺς ἐστράτευσε, δεδιότες οὐ πόρθησιν, ἀλλὰ τὴν ὑπ' ἀνδροφόνου κτείναντος ἡγεμόνα καὶ εὐεργέτην· ἀμφότερα γὰρ αὐτῷ Καῖσαρ ἦν· ἀπεμάχοντο μὲν ἐφ' ὅσον οἷοί τε ἦσαν δυνατῶς τὸ πρῶτον, ὑπεκλυόμενοι δὲ ἐκ τοῦ κατ' ὀλίγον, ἔτ' ἀντεῖχον· ὡς δὲ ἀπεῖπον τὴν ἰσχὺν ἐξαναλωθέντες, γύναια καὶ γονεῖς καὶ τέκνα συνελάσαντες εἰς τὰς σφῶν οἰκίας ἕκαστοι καθεῖρξαν, καὶ σωρηδὸν τὰ σφάγια σωρεύσαντες, πῦρ ἐνέντες, καὶ ἑαυτοὺς ἐπικατασφάξαντες, ἐλεύθεροι τὸ πνεῦμα μετ' εὐψυχίας καὶ ἐλευθέρου φρονήματος ἐξετέλεσαν. ἀλλ' οἱ μὲν πικρὰν καὶ ἀμείλικτον τυραννικὴν ἐχθρὰν ἀποδιδράσκοντες, πρὸ ἀδόξου βίου τὸν μετ' εὐκλείας θάνατον ᾑροῦντο. οἷς δὲ ἐπιτρέπει ζῆν τὰ πράγματα τὰ τυχηρά, τλητικῶς ὑπέμειναν, τὴν Ἡρακλέους εὐτολμίαν ἀπομιμούμενοι. καὶ γὰρ ἐκεῖνος τῆς Εὐρυσθέως ἐπιταγμάτων διεφάνη κρείττων. ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης, οὕτως ἦν μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥστ' ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόλις τὰς ἀναγκαίας παρεῖχον αὐτῷ τροφάς, οὔθ' ὑπὸ τῆς παρούσης τύχης καμφθείς, οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας, ἀποπώτατον, ἔφη, γὰρ, δελφάκια μὲν ἢ προβάτια ὁπότε μέλλοι τις πιπράσκειν, τροφαῖς ἐπιμελεστέραις εἰς εὐσαρκίαν πιαίνειν· ζῷον δὲ τὸ ἄριστον ἄνθρωπον, ἀσιτίαις καὶ συνεχέσι κατασκελετεύοντα, ἐπευωνίζεσθαι· λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπεὶ μεθ' ἑτέρων ἔμελλεν ἀπεμπολᾶσθαι, καθίσας ἠρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον, ἑνὸς δὲ οὐ μόνον λυπουμένου, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, οὐ παύσῃ τῆς σκυθρωπότητος ἔφη; χρῶ τοῖς παροῦσι.

Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου·

Τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,

Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.

ἐπεὶ πυνθανομένους τῶν ὠνητικῶς ἐχόντων, τί δ' οἶδας, ἄρχειν, εἶπεν, ἀνθρώπων, ἐκ δὲ τοῦ, ὡς ἔοικε τοῦ

A dimus viros mere sapientes non hoc ipso esse liberos, fruique sincera felicitate dum virtutes secum circumferunt, quas nulla importuna vis potest eis eripere, quippe quæ perpetuum regnum suis cultoribus conciliant? quin & integros populos accepimus pro libertate fidéque erga defunctos principes bene meritos, vltro subijsse perniciem, sicut Xanthios recenti adhuc memoria. Cum enim vnus è coniuratis in Iulium Cæsarem

B Brutus eos obsedisset, odio non tam partium quàm ipsius ducis, qui amicum & imperatorem suum interemerat, repugnauerunt pro viribus, donec eos paulatim deficerent. postremo in totum his exhausti, concluserunt suæ quisque domi vxores, parentes, liberos, atque ita mactarunt, congestísque in aceruos ignem subdiderunt, & seipsos insuper iugularunt, vt fatali necessitati salua libertate magnanimitatéque satisfacerent. Sic

C illi acerbitatem tyrannicam fugiendo prætulerunt gloriosam mortem vitæ coniunctæ cum ignominia. qui autem seruati sunt fortunæ beneficio, patientia se muniuerunt, imitati animositatem Herculis. nam & ille imperatis Eurysthei non succubuit. Proinde Cynicus Diogenes tam vasto fuit animo, vt cum ei capto latrones maligne cibum præberent, nec præsenti fortuna, nec illorum immanitate deterritus diceret, iniquissimum esse cum por-

D celli agníque venales saginentur diligentius, hominem præstantissimum animal inedia macerari, quasi hoc pacto non redderetur vilior. itaque accepto quantum sat erat, cum iam esset vendendus inter cæteros, sedit & prandebat bono animo, impartiens etiam proximis: cúmque vnus ex his valde mœstus cunctanter sumeret: Desine, inquit, tristari, & vtere præsentibus.

E *Nec formosa cibum Niobe non sumpsit & eius*

Pignora sub tectis letho bis sena iacebant,

Sex natæ, totidem pubenti corpore nati.

Et cum ei licitatores illuderent iueniliter, percontando quid sciret, respondit, Præesse hominibus. Qua voce prodebat ingenuum, genero-

A fum vereque regium animum. tandem & ipſe ad iocos eſt verſus ex more ſuo, conſeruis demiſſo vultu mœrentibus. cum igitur inter licitatores animaduertiſſet quendam effœminatum quantum ex aſpectu apparebat, accedens inquit: Tu me emito, viro enim opus habere videris. Sic ille pudefactus cauillo, quod non eſſe vanum erat ſibi conſcius, in turbam ſe abdidit, cæteris audacem coniectorem, ſed veridicum,

B ſtupentibus. Hunccine ſeruum appellabimus, ac non potius liberum, imò etiam ſummo dignum magiſtratu atque imperio? huius in dicendo libertatis æmulus fuit Chæreas quidam, vir eruditus. habitabat is Alexandriæ: cui cum aliquando iratus Ptolemæus minaretur non mediocriter, ille ſuam libertatem non minoris faciens quàm potentiam regiam, reſpondit: Ægyptijs impera, ego te tuámque iram nil moror. ha-

C bent enim regium quiddam generoſæ animæ, quarum ſplendorem nec fortunæ obſcurat iniuria, quod decet opponi amplis dignitatibus, ad retundendam liberis dictis ſuperbiam. Fertur cum Theodorus cognomento Impius Athenis profugus veniſſet ad Lyſimachum, & quidam ex optimatibus eam fugam exprobraſſet, ſimúlque fugæ cauſam, quòd negaret Deos, & iuuentutem corrumperet, reſpondiſſe: Non profugi, ſed idem mihi accidit quod Herculi. nam &

D illeab Argonautis fuit expoſitus, non ob crimen vllum, ſed quod vel ſolus eſſet iuſtum onus nauis, & cæteri vectores vererentur ne prægrauata ſubſideret. ita ego quoque migraui propter magnanimitatem, quam cùm Athenienſium rectores non valerent aſſequi, inuidere maluerunt. cúmque Lyſimachus amplius rogaſſet, num & è patria excidiſſet per inuidiam ciuium, reſpondiſſe, Nequaquam, ſed propter excellentiam inge-

E nij, quod non capiebat patria. ſicut enim Semele Baccho grauida cum non potuiſſet perferre vterum, Iupiter eam miſeratus abortiuũ ambuſſit, & inter Deos retulit: ſic cum patria mea minor eſſet quam vt caperet philoſophum, bonus quiſpiam ſiue Deus ſiue genius Athenas in locum fortunatiorem commodioremque me tranſtulit. ad hanc ſapientum libertatem,

ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. ἤδη δὲ καὶ πρὸς χλευασμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐφ' ᾗ οἱ ἄλλοι συνωνίας γέμοντες κατήφειαν, ἐτράπετο. λέγεται γοῦν ὅτι θεασάμενός τινα τῶν ὠνουμένων ὃν θῆλυ νόσος εἶχεν ἐκ τῆς ὄψεως, οὐκ ἄρρενα, προσελθὼν ἔφη, σύ με ἐπρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς, ὡς τὸν μὲν δυσωπηθέντα ἐφ' οἷς ἑαυτῷ σύνοιδε, καταδῦναι, τοὺς δ' ἄλλους τὸ στοῦ εὐτολμίᾳ ἀθυβόλον ἐκπλήττεσθαι. ἆρά γε τῷ τοιούτῳ δουλείαν, ἀλλ' οὐ μόνην ἐλευθερίαν δίχα ἀνυπευθύνου ἡγεμονίας ἐπιφημιστέον; ζηλωτὴς δὲ τῆς τοιαύτης παρρησίας ἐγένετό τις Χαιρέας τῶν ἀπὸ παιδείας· Ἀλεξάνδρειαν γὰρ οἰκῶν τὴν πρὸς Αἰγύπτῳ, διαχεραναντός ποτε Πτολεμαίου καὶ ἀπειλήσαντος οὐ μετρίως, τῆς ἐκείνου βασιλείας οὐδὲν ἐλάττονα τὴν ἐν τῇ ἑαυτοῦ φύσει νομίσας ἐλευθερίαν, ἀντίλεξεν, Αἰγυπτίοισιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω, Οὐδ' ὄθομαι κοτέοντος. ἔχουσι γάρ τι βασιλικὸν αἱ εὐγενεῖς ψυχαί, τὸ λαμπρὸν ἐν πλεονεξίᾳ τύχης οὐκ ἀμαυρούμεναι, ὃ πρέπει, καὶ τοῖς τὸ ἀξίωμα ὑπερόγκοις ἐξ ἴσου διαφέρεσθαι, ἀλαζονείᾳ παρρησίαν ἀντιτάττειν. Θεόδωρον λόγος ἔχει τὸν ἐπικληθέντα ἄθεον, ἐκπεσόντα τῶν Ἀθηνῶν, καὶ πρὸς Λυσίμαχον ἐλθόντα, ἐπειδή τις τῶν ἐν τέλει τὸν δρασμὸν ὠνείδισεν, ἅμα καὶ τὰς αἰτίας ἐπιλέγων, ὅτι ἐπὶ ἀθεότητι καὶ διαφθορᾷ τῶν νέων καταγνωσθεὶς ἐξέπεσεν, οὐκ ἐξέπεσον, φάναι, ὃ δ' αὐτὸ ἔπαθον τῷ Διὸς Ἡρακλῆς. καὶ γὰρ ἐκεῖνος ἐξετέθη πρὸς τῶν Ἀργοναυτῶν οὐκ ἀδικῶν, ἀλλ' ὅτι μόνος πλήρωμα καὶ ἕρμα καθ' αὑτὸν ὢν ἐκεβάρει, δέος παρασχὼν τοῖς συμπλέουσι μὴ τὸ σκάφος ὑπέραντλον γένηται· κἀγὼ διὰ τοῦτο μετανέστην, ὕψει καὶ μεγέθει τῆς ἐμῆς διανοίας, τῶν πολιτευομένων ἀθλιώσεσιν οὐ δυνηθέντων συνδραμεῖν, ἀλλὰ καὶ φθονηθείς. προσδιερομένου δὲ Λυσιμάχου, μὴ καὶ ἐκ τῆς πατρίδος ἐξέπεσες φθόνῳ, ἀποκρίνασθαι, φθόνῳ μὲν οὔ, φύσεως δὲ ὑπερβολαῖς, ἃς ἡ πατρὶς οὐκ ἐχώρει. καθάπερ γὰρ Σεμέλης νηδὺς Διόνυσον ἐκύει, τὸν ὡρισμένον ἄχρι τῆς ἀποτέξεως χρόνον ἐνεγκεῖν οὐ δυνηθείσης, καταπλαγεὶς Ζεὺς τὴν τῆς κατὰ γαστρὸς φύσιν ἠλιτόμηνον ἐξέκαυσε, καὶ ἰσότιμον τοῖς οὐρανίοις ἀπέφηνε θεοῖς· οὕτω κἀμὲ τῆς πατρίδος βραχυτέρας οὔσης ἢ ὥστε δέξασθαι φιλοσόφου φρονήματος ὄγκον τοσοῦτον, δαίμων τις ἢ θεὸς ἀνασπάσας, εἰς εὐτυχέστερον τόπον Ἀθήνας ἀπῳκίσαι διενοήθη. τῆς δ' ἐν σοφοῖς ἐλευθερίας,

A ὥσπερ καὶ τῶν ἄλλων ἀνθρωπίνων ἀγαθῶν, καὶ τοῖς ἀλόγοις ζῴοις παραδείγματα σκοπῶν ἂν ἴδοι εὕροι· οἱ γοῦν ἀλεκτρυόνες οὕτως εἰώθασι φιλοκινδύνως ἀγωνίζεσθαι, ὥστε ὑπὲρ τοῦ μὴ εἶξαι καὶ παραχωρῆσαι, κἂν ἡττῶνται τῇ δυνάμει, οὐχ ἡττῶνται ταῖς εὐτολμίαις. ἄχρι γὰρ θανάτου παραμένουσιν· ὃ συνιδὼν Μιλτιάδης ὁ τῶν Ἀθηναίων στρατηγός, ἡνίκα βασιλεὺς ὁ Περσῶν ἅπασαν τὴν ἀκμὴν τῆς Ἀσίας ἀναστήσας, μυριάσι πολλαῖς διέβαινεν ἐπὶ τῆς Εὐρώπης, ὡς ἀναρπάσων B αὐτοβοεὶ τὴν Ἑλλάδα, συναγαγὼν ἐν τῷ Παναθηναϊκῷ τοὺς συμμάχους, ὀρνίθων ἀγῶνα ἐπέδειξε, λόγου παντὸς δυνατωτέραν ὑπολαβὼν ἔσεσθαι τὴν διὰ τῆς τοιαύτης ὄψεως παρακέλευσιν, καὶ γνώμης οὐχ ἥμαρτε. θεασάμενοι γὰρ τὸ τλητικὸν καὶ φιλότιμον ἄχρι τελευτῆς ἐν ἀλόγοις ἀήττητον, ἁρπάσαντες τὰ ὅπλα πρὸς τὸν πόλεμον ὥρμησαν, ὡς ἐχθρῶν ἐναγωνισάμενοι σώμασι, τραυμάτων καὶ σφαγῶν ἀλογοῦντες, ὑπὲρ τοῦ κἂν C ἀποθανόντες, ἐν ἐλευθέρᾳ τῇ γοῦν τῆς πατρίδος ἐδάφει ταφῆναι. προτροπῆς γὰρ εἰς βελτίωσιν οὐδὲν οὕτως αἴτιον, ὡς ἡ τῶν ἀφανεστέρων ἐλπίδος μείζων κατόρθωσις· τῆς δὲ περὶ τοὺς ὄρνιθας ἐναγωνίου, μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων·

Οὐδ' ὅγε σῶμα τυπεὶς, διφυεῖς τε
Κόρας ἐπιλήθεται ἀλκῆς,
Ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
Θάνατον δ' ὅγε δουλοσύνας προβέβουλε.

D Τοὺς οὖν σοφοὺς τί οἰόμεθα, οὐκ ἀσμενέστατα δουλείας ἀπαλλάξεσθαι τελευτῇ; τὰς δὲ τῶν νέων καὶ εὐφυῶν ψυχὰς ἆρ' οὐκ ἄτοπον λέγειν ἐν ἄθλοις ἀρετῆς ὀρνίθων ἐλαττοῦσθαι, καὶ μόλις φέρεσθαι τὰ δευτερεῖα; καὶ μὴν δὴ ἐκεῖνό τις τῶν ἐπὶ βραχὺ παιδείας ἀψαμένων ἀγνοεῖ, ὅτι καλὸν μὲν πρᾶγμα ἐλευθερία, αἰσχρὸν δὲ δουλεία, καὶ ὅτι τὰ μὲν καλὰ πρόσεστι τοῖς ἀγαθοῖς, τὰ δ' αἰσχρὰ τοῖς φαύλοις· ἐξ ὧν ἐναργέστατα παρίσταται, τὸ μήτε τινὰ τῶν σπουδαίων δοῦλον εἶναι, E κἂν μυρίοι τὰ δεσποτῶν σύμβολα προφέροντες ἐπιδεικνύωνται, μήτε τῶν ἀφρόνων ἐλεύθερον, κἂν Κροῖσος, ἢ Μίδας, ἢ ὁ μέγας βασιλεὺς ὢν τυγχάνῃ. τὸ δὲ ἐλευθερίας μὲν ἀοίδιμον κάλλος, δουλείας δὲ ἐπάρατον αἶσχος, ὑπὸ τῶν παλαιοτέρων καὶ πολυχρονιωτέρων, καὶ ὡς ἐν θνητοῖς ἀθανάτων, οἷς θέμις ἀψευδεῖν, πόλεών τε καὶ ἐθνῶν μαρτυρεῖται. βουλαί τε γὰρ καὶ ἐκκλησίαι καθ' ἑκάστην σχεδὸν ἡμέραν ἀθροί-

sicut & ad cætera bona hominum, videmus aspirare quædam animalia. certe gallinacei tam audacter certare solent, vt non animositate vincantur sed viribus. quod intelligens Miltiades imperator Atheniensium, quando rex Persarum excito Asiæ robore tam multa millia traiecit in Europam, quasi ad primum clamorem oppressurus Græciam, conuocatis in panathenaïcum conuentum socijs pugnantes ostendit has alites, ratus hoc spectaculum maiorem vim habiturum ad permouendos quam orationem, nec eum fefellit sua opinio. spectata enim in brutis patientia, pertinacique contentione, vsque ad necem pugnantibus inuicto pectore, correptis armis eam expeditionem susceperunt, quasi debellaturi cum ingenti strage hostium, contemptis mortibus & vulneribus, vt saltem insepelirentur libero solo patriæ. nihil enim æque ad rem gnauiter gerendam excitat, ac deteriorum victoria maior quam sperari poterat. cæterum solemnis gallorum gallinaceorum certaminis etiam Ion poeta tragicus meminit his versibus:

Nec iam corpore, vtroque & ocello
Ictibus obtuso ille fathiscit,
Robore sed labente gemiscit,
Et viuus seruire recusat.

& putamus viros sapientes non libentissime seruituti prælaturos interitum? aut æquum censemus iuuentutem magnanimam in virtutis certamine cedere gallinaceis, vt vix secundum gradum obtineat? atqui ne illud quidem quisquam ignorat, qui modo leuiter literas attigit, libertatem esse rem egregiam, sicut è diuerso seruitutem longe turpissimam: & quod pulchra bonos deceant, malos verò turpia. vnde colligitur euidentissime, neque probum quemquam seruum esse, licet innumeri tabulas de huius possessione proferant: neque insipientem vllum esse liberum, etiamsi Crœsus sit aut Midas aut magnus rex. cæterum de celebrata libertatis pulchritudine, seruitutis verò execrabili turpitudine, testimonia multa extant ciuitatum & gentium quarum consecratæ sunt origines, & quas mentiri nefas est. senatus enim & conciones habentur pene quotidie,

nulla magis de causa quàm ob tuendam præsentem libertatem, aut recipiendam si iam perijt. Græci barbarique conflictantur bellis continuis, quid aliud volentes quam seruitutem effugere, libertatem acquirere? ideo centuriones, tribuni & imperatores ipsi nullam cohortationem habent efficaciorem in prælijs quam Este viri, libertas agitur, qua nihil hominibus optabilius, vt quæ sit fons fælicitatum cunctarum, priuatarum etiam. quapropter Athenienses me iudice acutissimi hominum (quod enim in oculo pupilla, in anima ratio, hoc Athenæ sunt in Græcia) quando pompam ducunt Eumenidibus, neminem seruum admittunt, sed per ingenuos viros ac fœminas peragunt omnia solemnia, & ne eos quidem vulgares, sed inculpatæ vitæ homines. nam & bellaria in id festum parant adolescentes honestissimi, putántque honorificum hoc ministerium. Nuper etiam tragœdis fabulam Euripidis in theatro agentibus, & hos senarios pronunciantibus:

Nam liberum esse, maximum dico bonum:

Quod si quis est pauper, putet se ditem:

vidi omnes spectatores arrectos in summos digitos præ admiratione, sententiæ laudatæ acclamantes magnis vocibus, & ipsum poetam certatim laudantes, qui libertatis vel nomen magni faciat. Quin & Argonautas admiror, qui nullum inter nauales socios receperunt nisi liberum, ingenuorum contenti ministerijs libertati non officientibus, si poetis fidem habere debemus. sed cur non habeamus, cum sint eruditores omnium hominum, instituendo populos, sicut patres proprios liberos. itaque nauclerus Iason, vir & natus & educatus liberaliter, amatórque ingenuorum, nauem suam neminem seruum permisit ascendere: quamobrem Æschylus sic loquitur:

Argus vbi sint sacra ligna dicito.

Minis autem quas quidam intentant sapientibus, minime terreri conuenit: sed eludendæ sunt exemplo Antigenidæ tibicinis. aiunt enim cum quidam eiusdem artis

A ζονται περί τινος μᾶλλον ἢ ἐλευθερίας, τῆς ὑπαρχούσης μὲν, βεβαιώσεως· εἰ δ' ἀπείη, κτήσεως. ἡ δ' Ἑλλὰς καὶ βάρβαροι κατὰ ἔθνη στασιάζουσι καὶ πολεμοῦσιν ἀεὶ, τί βουλόμενοι ὅτι μὴ δουλείαν μὲν ἀποδιδράσκειν, ἐλευθερίαν δὲ περιποιεῖσθαι. διὸ κἂν ταῖς μάχαις ἡ λοχαγῶν καὶ ταξιαρχῶν καὶ στρατηγῶν μεγίστη παρακέλευσις ἥδ' ἐστὶ, κακῶν τὸ βαρύτατον, ἄνδρες σύμμαχοι, δουλείαν ἐπιφερομένην ἀπωσώμεθα· τοῦ καλλίστου τῶν ἐν ἀν-

B θρώποις ἀγαθῶν ἐλευθερίας μὴ περιιδώμεθα. ἥδ' ἐστὶν ἀρχὴ καὶ πηγὴ τῆς εὐδαιμονίας, ἀφ' ἧς αἱ κατὰ μέρος ῥέουσιν ὠφέλειαι· διό μοι δοκοῦσιν οἱ τῶν Ἑλλήνων ὀξυδερκέστατοι διάνοιαν Ἀθηναῖοι· ὅπερ γὰρ ἐν ὀφθαλμῷ κόρη, ἢ ἐν ψυχῇ λογισμός, τοῦτ' ἐν Ἑλλάδι Ἀθῆναι· τὴν ἐπὶ ταῖς σεμναῖς θεαῖς πομπὴν ὅταν στέλλωσι δοῦλον μηδένα προσλαμβάνειν παραπέμπειν, ἀλλὰ δι' ἐλευθέρων ἕκαστα τῶν νενομισμένων ἀνδρῶν τε καὶ γυναικῶν ἐπιτελεῖν, καὶ οὐχ οἵων ἂν τύχῃ, ἀλλὰ βίον ἐζηλωκό-

C των ἀνεπίληπτον· ἐπεὶ καὶ τὰ πρὸς τὴν ἑορτὴν πέμματα τῶν ἐφήβων οἱ δοκιμώτατοι σιτοποιοῦσι, πρὸς εὐδοξίας καὶ τιμῆς, ὥσπερ ἐστὶ, τὴν ὑπηρεσίαν τιθέμενοι, πρώην ὑποκριτῶν τραγῳδίαν ἐπιδεικνυμένων, καὶ τὰ παρ' Εὐριπίδῃ τρίμετρα διεξιόντων ἐκεῖνα,

Τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,

Κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομιζέτω·

τοὺς θεατὰς ἅπαντας εἶδον ἐπ' ἄκρων ποδῶν ὑπ' ἐκπλήξεως ἀναστάντας, καὶ φωναῖς μεί-

D ζοσι καὶ ἐκβοήσεσιν ἐπαλλήλοις, ἔπαινον μὲν τῆς γνώμης, ἔπαινον δὲ καὶ τοῦ ποιητοῦ συνείροντας, ὃς οὐ μόνον τὴν ἐλευθερίαν ἔργοις, ἀλλὰ καὶ τοὔνομα αὐτῆς ἐσέμνυνεν. ἄγαμαι καὶ τῶν Ἀργοναυτῶν, οἳ σύμπαν ἀπέφηναν ἐλεύθερον τὸ πλήρωμα, μηδένα μήτε τῆς ἰδίας ἀναγκαίας ὑπηρεσίας προσιέμενοι δοῦλον, ἀδελφὸν ἐλευθερίας λειτουργίαν ἐν τῷ τότε ἀσπασαμένων, εἰ δὴ καὶ ποιηταῖς προσέχειν ὅσιον, διὰ τί δὲ οὐ μελλήσομεν· παιδευταὶ γὰρ οὗτοί γε τοῦ σύμ-

E παντος βίου, καθάπερ ἰδίᾳ γονεῖς παῖδας, καὶ οὗτοι τὰς πόλεις δημοσίᾳ σωφρονίζουσιν· οὐ δὴ ἀρχιναυαρχοῦντος Ἰάσονος ἐπέτρεπεν ἐπιβαίνειν οἰκέταις μεμοιραμένον καὶ ψυχῆς καὶ λογισμοῦ φύσεις οὔσας φιλελευθέρους, ὅθεν καὶ ὁ Αἰσχύλος ἐπ' αὐτοῖς εἶπε,

Ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερὸν αὐδᾶεν ξύλον.

ἐπαναστάσεων δὲ καὶ ἀπειλῶν, ἃς σοφοῖς ἀνδράσιν ἐπανατείνονται καὶ ἀπειλοῦσί τινες, ἥκιστα φροντιστέον, καὶ τὰ ὅμοια λεκτέον Ἀντιγενίδᾳ τῷ αὐλητῇ. καὶ γὰρ ἐκεῖνόν φασιν, ἐπειδή τις τῶν ἀντι-

τίχων ὀργισθεὶς εἶπεν, Ὠνήσομαί σε, βάδιζ᾽ ἤδη, Φλαύας, Κἀγώ τοιγαροῦν διδάξω σε αὐλεῖν. ἄξιον οὖν καὶ τὸν σπουδαῖον πρὸς μὲν τὸν ἔχοντα ὑβριστικῶς λέγειν, σωφροσύνην ἄρα ἀναδιδαχθήσῃ· πρὸς δὲ τὸν ἀπειλοῦντα φυγήν, πᾶσα γῆ μοι πατρίς· πρὸς δὲ τὸν τὴν χρημάτων ζημίαν, ἀρκοῦ μετρία βιοτά μοι· πρὸς δὲ τὸν πληγὰς καὶ θάνατον ἐπανατεινόμενον, οὐ μορμολύττεταί με ταῦτα, οὐδ᾽ εἰμὶ πυκτῶν ἢ παγκρατιαστῶν ἐλάττων, οἵτινες ἀμυδρὰ εἴδωλα ἀρετῆς ὁρῶντες, ἅτε σωμάτων αὐτὸ μόνον εὐεξίας διαπονήσαντες, ἑκάτερον τλητικῶς ὑπομένουσιν. ὁ γὰρ ἡγεμὼν σώματος ἐν ἐμοὶ νοῦς ἀνδρίᾳ τονωθείς, οὕτω σφόδρα κεκύρωται, ὡς ἐπάνω πάσης ἀλγηδόνος ἵστασθαι δύνασθαι. φυλακτέον οὖν τὸ τοιοῦτον θήραμα συλλαμβάνειν, ὃς οὐκ ἀλκῇ μόνον, ἀλλὰ καὶ ὄψει φοβερὸς ὤν, τὸ δυσάλωτον καὶ μὴ εὐκαταφρόνητον δείκνυται. ἀσυλία τόπων πολλάκις ἱκετῶν τοῖς καταφυγοῦσιν, ἄδειαν καὶ ἐκεχειρίαν ὡς ἰσοτίμοις καὶ ἰσοτελέσι παρέσχετο· καὶ τοὺς ἐκ προπάππων καὶ τὴν ἐπὶ ἄνω προσγενῶν κατά τινα συγγενικὴν διαδοχὴν παλαιοδούλους ἔστιν ἰδεῖν, ὅταν ἐν ἱεροῖς ἱκέται καθίζωνται, μετὰ πάσης ἀδείας ἐλευθεροστομοῦντας· εἰσὶν οἳ καὶ τοῖς κτησαμένοις οὐκ ἐξ ἴσου μόνον, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ περιόντος εὐτόνως ἅμα καὶ καταφρονητικῶς διαφέρονται περὶ τῶν δικαίων. οὐ μὲν γὰρ ὁ τοῦ συνειδότος ἔλεγχος, κἂν ὦσιν εὐπατρίδαι, πέφυκε δουλοῦσθαι. οἱ δὲ τὴν τοῦ σώματος ἄδειαν ἐκ τῆς περὶ τὸν τόπον ἀσυλίας πεπορισμένοι, ψυχῆς ἣν ὁ θεὸς ἐκ πάντων ἀχείρωτον ἐδημιούργησεν, ἐλευθερίαν καὶ εὐγένειαν σφόδρα διαφαίνουσιν ἤδη. μὴ λίαν οὕτω τίς ἐστιν ἀλόγιστος, ὡς χωρία μὲν θάρσους αἴτια καὶ παρρησίας ὑπολαμβάνειν εἶναι, τὸ δὲ τὴν ὄντως θεοειδέστατον ἀρετήν, μηκέτι, δι᾽ ἣν τοῖς χωρίοις καὶ τοῖς ἄλλοις ὅσα φρονήσεως μετέχει, τὸ ἱεροπρεπὲς ἐγγίνεται; καὶ μὴν τοῖς μὲν εἰς ἀσύλους τόπους καταφυγοῦσιν, ἐκ μὲν τῶν τόπων περιποιουμένοις ἀσφάλειαν, ἐκ μυρίων ἄλλων ἀναγκαίως συμβέβηκε γίνεσθαι, δώρων γυναικός, ἀδείας τέκνων, ἔρωτος ἀπάτης· τοῖς δὲ εἰς ἀρετὴν ὥσπερ εἰς ἀκαθαίρετον καὶ ἐρυμνότατον τεῖχος, ἀλογοῦ βλημάτων, ὧν αἱ ἐφεδρεῖαι τῶν παθῶν βάλλουσι καὶ τοξεύουσι. ταύτῃ τις πεφραγμένος τῇ δυνάμει μετὰ παρρησίας ἂν εἴποι, ὅτι οἱ μὲν ἄλλοι πρὸς τῶν τυχόντων ἁλίσκονται·

Ἐγὼ δ᾽ ἐμαυτοῦ, κατὰ τὸ βαγχικόν, καὶ λύειν
ἐπίσαμαι,

A æmulus ira commotus ei dixisset: Abi, emam te pro mancipio: eum respondisse: Tum ego te docebo tibijs canere. Ergo & vir probus contumelioso & gerenti se heriliter, potest dicere, docendus es sobrietatem atque temperantiam. exilium verò minanti respondebit: Omne solum forti patria. item territanti mulcta pecuniaria: Mihi mediocris victus sufficit. intentanti mortem ac verbera: Nil istis terricculis moueor, nec sum inferior B pugilibus, qui cum tenuem modo habeant virtutis imaginem præ oculis, & corporis tantum habitudine polleant, vtrumque perferunt fortiter. animus enim rector mei corporis ita confirmatus est fortitudine, vt quemuis dolorem superare queat. cauendum igitur nequis talem feram capiat, non robore solo verùm & aspectu ipso formidabilem, & prae se ferentem quam non sit despicabilis. sæpe asyla C hanc securitatem præstant supplicibus eò confugientibus, vt ex æquo liceat eis contendere cum aduersarijs: & qui per successionem in proauita vel antiquiore seruitute inueterauerunt, quando ad aras sedent habitu supplicum magna linguæ libertate vtuntur. nec desunt qui non tantum heris ex æquo responsant, sed vt in causa meliore suum ius tuentur fortiter. at quos sua redarguit conscientia, etiamsi præclaris natalibus fulgeant, D suopte ingenio se gerunt seruiliter. illi contrà qui corpori non timent freti asylorum priuilegio, miram animi libertatem exerunt, quem solum Deus creauit extra seruitutis aleam. & quis est tam insipiens vt credat loca conferre fiduciam, atque in dicendo audaciam, virtutem verò qua Deo similes reddimur, non valere tantundem existimet, per quam & locis & ratione præditis mentibus accedit sanctitas ac religio? atqui asylis sua securitas E non semper manet inuiolabilis, vel arte mulierum corruptarum muneribus, fauoréque captorum talibus illecebris, vel liberorum negligentia, suos inde abstrahi sustinentium. at virtus velut arx munitissima, contemnit omnes machinas quibus eminus impetitur. huius robore quisquis se communijt, potest confidenter dicere: alij facile sunt expugnabiles:

Ast ego meipsum soluere, imperaréque

Noui mihi: virtute namque metior
Omnia.

Hoc est quod de Biante Prienensi fertur, qui appellatus à Crœso contemptim & minaciter, iussit eum cepas edere, fletum ciuiliter subindicans, quandoquidem harum esus ciet lacrymas. adeo sapientes arbitrabantur nihil esse æque regium ac virtutem, cuius instituta per totam vitam sequuntur: imperatis aliorum non terrentur: quo factum est vt omnes vafri ambiguæque fidei homines vulgo nominentur illiberales & parum ingenui. inde illud:

Erectum seruile caput vidisse nefas est,
Semper id obliquum colla retorta gerit.

Quod enim tortum est degeneres mores arguit, sicut erectus habitus apertos & minime fucatos, quando dicta cum cogitatis consonant. Illi ridendi sunt qui manumissi à dominis putant se factos liberos. sunt enim famuli, quamuis meliore conditione. serui autem & verberones sunt omnes quotquot non hominibus, quod leuius est, sed rebus vilissimis, mero, holeribus, seminibus, aliisque coquorum ac cupediariorum curiositatibus in gratiam ventris dant operam. Quapropter Diogenes conspicatus quendam liberum iactantem se hac noua felicitate, fauorémque gratulantium, miratus est fatuum eorum eorum iudicium, perinde ac si præconis voce declararetur, seruum aliquem in posterum fore grammaticum aut geometram aut musicum, qui ne in somnis quidem has artes didicisset. nam præconium sicut doctiorem potest reddere neminem, ita nec liberiorem: alioqui mactum felicitate diceretur: sed in seruitutem tantum vindicat. Sublata igitur vana opinione à qua pendet vulgus hominum, veritatem rem sanctissimam complexi, nec libertatem tribuamus his qui se ciues nominant, nec empticijs mancipijs seruitutẽ objiciamus: sed omissis natalibus & tabulis & in totum rebus corporeis, scrutemur naturam animi. qui si concupiscentijs agitatur, aut ab inopia ceruice obtorta trahitur, & ipse seruit, & totum hominem heris innumeris seruire adigit. sin autem inscitiam prudentia, luxum temperantia, formidinem fortitudine, auariciam æquitate superat,

A Ἄρχειν δ᾽ ὁμοίως, τῇ ἀρετῇ σταθμώμενος
Τὰ πάντα.

λέγεται γοῦν ὁπηνίκα Βίας ἀπειλοῦντι Κροίσῳ, μάλα καταφρονητικῶς ἀντεπειλῆσαι, ἐπεσθίειν τὴν κρομμύων, αἰνιττόμενος τὸ κλαίειν, ἐπεὶ δάκρυα κινεῖ ἡ κρομμύων βρῶσις. οὕτως οἱ σοφοὶ βασιλικώτερον οὐδὲν ἀρετῆς νομίζοντες, ἣ τοῦ βίου παντὸς αὐτοῖς ταξιαρχεῖ, τὰς τῶν ἄλλων τῶν ὑπηκόων οὐ δεδίασι, παρὸ καὶ τοὺς διχονοῦς
B καὶ δολεροὺς ἅπασιν ὀνομάζειν ἔθος ἀνελευθέρους τε καὶ δουλοπρεπεῖς· ὅθεν κἀκεῖνα ἐκπεφώνηται,

Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
Ἀλλ᾽ αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

τὸ γὰρ πλάγιον καὶ ποικίλον ἀπατηλὸν ἦθος ἀγεννέστατον, ὥσπερ τὸ εὐθὺ καὶ ἄπλαστον καὶ ἀνύπουλον, λόγων βουλήμασι καὶ βουλημάτων λόγοις συνᾳδόντων, ἄξιον καταγελᾶν τῶν, ἐπειδὰν ἀπαλλαγῶσι δεσποτικῆς κτήσεως, ἐλευθερωθῆναι
C νομιζόντων. οἰκέται μὲν γὰρ οὐκ ἔτ᾽ ὁμοίως εἶεν εἴγε ἀφειμένοι· δοῦλοι δὲ καὶ μαστιγίαι πάντες, ὑπακούοντες οὐκ ἀνθρώπων· ἧττον γὰρ ἦν τὸ δεινόν· ἀλλὰ τῶν ἐν ἀψύχοις ἀτιμοτάτων, ἀκράτου, λαχάνων, σπερμάτων, ὅσα ἄλλα σπερμάτων τε καὶ ὀψαρτυτῶν περιεργίαι κατὰ γαστρὸς τῆς ταλαίνης δημιουργοῦσιν. ὁ γοῦν Διογένης ἰδών τινα τῶν λεγομένων ἀπελευθέρων ἁβρυνόμενον, καὶ πολλοὺς αὐτῷ συνηδομένους, θαυμάσας τὸ ἄλογον καὶ ἄκριτον, ὅμοιον εἶπεν ὡς εἴ τις ἀνακηρύξειέ τινα τῶν οἰκετῶν ἀπὸ ταύτης τῆς ἡμέρας εἶναι γραμματι-
D κόν, ἢ γεωμετρικόν, ἢ μουσικόν, οὐδ᾽ ὄναρ τὴν τέχνην ἐπῃσθημένον. ὡς γὰρ ἐπιστήμονας οὐ ποιεῖ τὸ κήρυγμα, οὕτως οὐδὲ ἐλευθέρους· ἐπεὶ μακάριοι ἦσαν· ἀλλὰ μόνον οἰκέτας. ἀνελόντες τοίνυν τὴν κενὴν δόξαν, ἧς ὁ πολὺς ὅμιλος ἀνθρώπων ἀπῃώρηται, καὶ ἀληθείας ἱεροπρεπεστάτου κτήματος ἐρασθέντες, μήτε τοῖς λεγομένοις ἀστοῖς πολιτείαν ἢ ἐλευθερίαν, μήτε τοῖς οἰκότριψιν ἀργυρωνήτοις δουλείαν ἐπιφημίσωμεν, ἀλλὰ γένη καὶ δε-
E σποτικὰ γράμματα καὶ συνόλως σώματα παρελθόντες, ψυχῆς φύσιν ἐρευνῶμεν. εἰ μὲν γὰρ πρὸς ἐπιθυμίας ἐλαύνεται, ἢ ὑφ᾽ ἡδονῆς δελεάζεται, ἢ φόβῳ ἐκκλίνει, ἢ λύπῃ συστέλλεται, ἢ ὑπ᾽ ἀπορίας τραχηλίζεται, δούλην μὲν αὐτὴν, δοῦλον δὲ καὶ τὸν ἔχοντα μυρίων δεσποτῶν ἀνδραποδίζεται· εἰ δὲ φρονήσει μὲν ἀμαθίαν, σωφροσύνῃ δ᾽ ἀκολασίαν, δειλίαν δὲ ἀνδρείᾳ, καὶ πλεονεξίαν δικαιοσύνῃ κατηγωνίσατο, πρὸς τῷ ἀδούλωτον

καὶ ὁ

καὶ τὸ ἀρχικὸν προσείληφε· ὅσαι δὲ μηδ' ἑτέρας ἰδέας πω μετεσχήκασι, μήτε τῆς καταδεδουλωμένης, μήτε δι' ἧς ἐλευθερία βεβαιοῦται· γυμναὶ δέ εἰσιν ἔτι, καθάπερ αἱ τῶν κομιδῆ νηπίων, ταύτας τιθηνοκομητέον, ἐντρέφοντας, τὸ μὲν πρῶτον ἀντὶ γάλακτος ἁπαλαῖς τροφαῖς, ταῖς διὰ τῶν ἐγκυκλίων ὑφηγήσεις· εἶτ' αὖ ταῖς κραταιοτέραις ὧν φιλοσοφία δημιουργός, ἐξ ὧν ἀνδρωθεῖσαι καὶ εὐεκτήσασαι, πρὸς τέλος ἄριστον, ζηνώνειον μᾶλλον ἢ πυθόχρηστον ἀφίξονται, τὸ ἀκολούθως τῇ φύσει ζῆν.

A imperat etiam, tantũ abest vt seruiat. cæterum qui nondum ad harum alterã accesserũt speciem, nec serui omnino nec liberi, quales sunt in prima pueritia puri sincerique, præceptis nutricandi sunt, & ante omnia ceu lacte alẽdi cibis teneris, scilicet disciplinis encyclicis: mox alimenta solidiora suggerenda sunt, quorum opifex habetur philosophia, vt ad virilem habitudinẽ firmitatémque prouecti, ad finem optimum perueniant: quod est secundum naturæ ductum viuere, iuxta non Pythij sed Zenonis oraculum.

ΠΕΡΙ ΒΙΟΥ ΘΕΩΡΗΤΙΚΟΥ Η ΙΚΕτῶν ἀρετῶν.

PHILONIS IVDÆI, DE VITA CONTEMPLATIVA, SIVE SVPPLIcum virtutibus.

Ἐσσαίων πέρι διαλεχθεὶς, οἳ τὸν πρακτικὸν ἐζήλωσαν καὶ διεπόνησαν βίον ἐν ἅπασιν, ἢ τὸ γοῦν εὐφορητότερον εἰπεῖν τοῖς πλείστοις μέρεσι διενεγκόντες, αὐτίκα καὶ περὶ τῶν θεωρίαν ἀσπασαμένων ἀκολουθίᾳ τῆς πραγματείας ἑπόμενος, τὰ προσήκοντα λέξω, μηδὲν οἴκοθεν, ἕνεκα τοῦ βελτιῶσαι προστιθεὶς, ὃ δρᾶν ἔθος ἐν σπάνει καλῶν ἐπιτηδευμάτων ἅπασι τοῖς ποιηταῖς καὶ λογογράφοις, ἀλλ' ἀτεχνῶς αὐτῆς περιεχόμενος τῆς ἀληθείας, πρὸς ἣν οἶδ' ὅτι καὶ ὁ δεινότατος εἰπεῖν ἀπαγορεύσει· διαθλητέον δ' ὅμως καὶ διαγωνιστέον. οὐ γὰρ δεῖ τὸ μέγεθος τῆς τῶν ἀνδρῶν ἀρετῆς, αἴτιον ἀφωνίας γενέσθαι τοῖς μηδὲν καλὸν ἡσυχάζεσθαι δικαιοῦσιν· ἡ δὲ προαίρεσις τῶν φιλοσόφων εὐθὺς ἐμφαίνεται διὰ τῆς προσρήσεως· θεραπευταὶ γὰρ καὶ θεραπευτρίδες ἐτύμως καλοῦνται, ἤτοι παρ' ὅσον ἰατρικὴν ἐπαγγέλλονται κρείσσονα τῆς κατὰ πόλεις· ἡ μὲν γὰρ σώματα θεραπεύει μόνον, ἐκείνη δὲ καὶ ψυχὰς νόσοις κεκρατημένας χαλεπαῖς καὶ δυσιάτοις, ἃς κατέσκηψαν ἡδοναὶ καὶ ἐπιθυμίαι, λῦπαι καὶ φόβοι,

B POSTQVAM de Essæis disseruimus, qui vitam actiuam exercent omnibus, aut quod minus inuidiosum dictu est, plerisque felicius: ordo postulat vt deinceps dicamus quæ dicenda sunt de cõtemplationi deditis, nihil affingendo rei ornãdæ gratia, sicut poetæ scriptorésque solẽt destituti vera honestáque C materia, sed simplicissime veritatẽ sectando, quã vix vlla eloquentia potest assequi. conabimur tamẽ & operam ei nauabimus pro viribus. nõ debet enim huiusmodi virorũ virtus eximia causã præbere silentij his qui nihil honestũ putãt tacẽdũ dissimulandũq;. institutũ autẽ huius philosophiæ mox apparet ex ipsis appellationibus vocãtur enim therapeutæ therapeutridésque, hoc est curatores & curatrices, siue cultores & D cultrices, vero nomine: vel quia profitentur medicinã præstantiorẽ ista vulgata per oppida omnia. hæc enim medetur solis corporibus: illa & animas liberat morbis grauibus & aduersus medelas cõtumacibus, quos inflixerũt voluptates, concupiscentiæ, dolores,

timores, auariciæ, insipientiæ, iniusticiæ, & cæteræ perturbationes, vitiorúmque agmen innumerabile. vel quia didicerunt à natura & è sacris legibus colere illud Ens & bono melius & vno sincerius, & vnitate in generando antiquius, atque vt ita dicam principalius. horum pietati quos tandem merito comparabimus? istósne qui pro dijs venerantur elementa, terram, aquam, aerem, ignémque, aliâs alijs notata nominibus: qualia sunt apud Græcos ignis ἥφαιστος παρὰ τὴν ἔξαψιν, id est ab accendendo: aer ἥρα παρὰ τὸ αἴρεσθαι, quod in sublime sit elatus: aqua ποσειδῶν, à potu fortasse: terra δημήτηρ, quod mater videatur omnium stirpium & animalium. Latini Vulcanum, Iunonem, Neptunum, Cererem nominant. Verùm ista nomina sophistarum commenta sunt. elementa autem sunt inanimis materia à seipsa immobilis, subiecta opifici suo à quo transformatur in omnia qualitatum genera. Sed fortasse illos conferemus qui alias creaturas colunt, solem, lunam, sidera vel fixa vel erratica, aut cælum ipsum vel mundum quantus est. atqui ne hæc quidem ex seipsis habent originem, ab alio quodam opifice tanta arte condita. quid si illos, qui semideos heroas adorant? id quidem ridiculum fuerit. qui potest idem mortalis esse immortalisque, nequid dicam de horũ maculosis natalibus, iuuenili plenis lasciuia, quam homines impij audent affingere beatæ illi diuinæque potentiæ, tanquam illa in complexus muliebres insaniat, cum sit felicissima & expers affectuũ omnium. statuas enim & simulacra memorare quorsum attinet? quorũ materia saxũ aut truncus est paulo ante informis vexatus fabrorũ iniurijs, cuius cognatæ partes versæ sunt in serias & pelluuia cæteráque vasa sordida adhibenda secretis vsibus. multo verò magis silenda sunt Ægyptiorum numina, qui bruta colunt non solum mansueta sed & sæuissima, consecrando quæcunque sub luna sunt, leonem è terrestribus immanissimum, crocodilum ex aquaticis, miluium è volucribus & ibim domesticam. hæc quãuis vident quibus nascantur originibus, quibus alimẽtis sustentẽtur, quàm sint insatiabilia plenáque excrementorum sordibus, venefica etiam & humanæ carnis auida, varijs morbis ac morti denique obnoxia,

A πλεονεξίας τε καὶ ἀφροσυνίας, καὶ ἀδικίας καὶ τῶν ἄλλων παθῶν, καὶ κακιῶν ἀνήνυτον πλῆθος· ἢ παρ' ὅσον ἐκ φύσεως καὶ τῶν ἱερῶν νόμων ἐπαιδεύθησαν θεραπεύειν τὸ ὄν, ὃ καὶ ἀγαθοῦ, κρεῖττόν ἐστι, καὶ ἑνὸς εἰλικρινέστερον, καὶ μονάδος ἀρχεγονώτερον· οἷς τίνας συγκρῖναι ἄξιον τῶν ἐπαγγελλομένων εὐσέβειαν. ἆρά γε τοὺς τὰ στοιχεῖα τιμῶντας; γῆν, ὕδωρ, ἀέρα, πῦρ, οἷς καὶ ἐπωνυμίας ἔθεντο ἑτέρας ἕτεροι, τὸ μὲν πῦρ ἥφαιστον παρὰ τὴν ἔξαψιν οἶμαι καλοῦντες· ἥραν δὲ τὸν ἀέρα, παρὰ τὸ αἴ- B ρεσθαι καὶ μετεωρίζεσθαι πρὸς ὕψος· τὸ δὲ ὕδωρ ποσειδῶνα, τάχα που διὰ τὸ ποτόν· τὴν δὲ γῆν δήμητραν, παρ' ὅσον μήτηρ εἶναι δοκεῖ πάντων φυτῶν τε καὶ ζώων. ἀλλὰ τὰ μὲν ὀνόματα σοφιστῶν ἐστιν εὑρήματα. τὰ δὲ στοιχεῖα, ἄψυχος ὕλη καὶ ἐξ ἑαυτῆς ἀκίνητος, ὑποβεβλημένη τῷ τεχνίτῃ πρὸς ἁπάσας σχημάτων καὶ ποιοτήτων ἰδέας· ἀλλὰ τοὺς τὰ ἀποτελέσματα, ἥλιον, σελήνην, ἢ τοὺς ἄλλους ἀστέρας, πλανήτας ἢ ἀ- C πλανεῖς, τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον; ἀλλὰ καὶ ταῦτα οὐκ ἐξ ἑαυτῶν γέγονεν, ἀλλ' ὑπό τινος δημιουργοῦ τελειοτάτου τὴν ἐπιστήμην. ἀλλὰ τοὺς ἡμιθέους; ἢ τοῦτό γε καὶ χλεύης ἄξιον; πῶς γὰρ ἂν ὁ αὐτὸς ἀθάνατός τε καὶ θνητὸς εἴη, δίχα τοῦ καὶ τὴν ἀρχὴν τῆς τούτων γενέσεως ἐπίληπτον εἶναι, μειρακιώδους ἀκρασίας ἀνάπλεων, ἣν τολμῶσιν οὐκ εὐαγῶς προσάπτειν ταῖς μακαρίαις καὶ θείαις δυνάμεσιν, εἰ γυναιξὶ θνηταῖς ἐπιμανέντες ὡμίλησαν οἱ πάν- D τως παθῶν ἀμέτοχοι καὶ τρισευδαίμονες. ἀλλὰ τὰ ξόανα, καὶ ἀγάλματα; ὧν αἱ οὐσίαι, λίθοι, καὶ, ξύλα, τὰ μέχρι πρὸ μικροῦ τελείως ἄμορφα, λιθοτόμων καὶ δρυοτόμων τῆς συμφυΐας αὐτὰ διακοψάντων, ὧν τὰ ἀδελφὰ μέρη καὶ συγγενῆ λουτροφόροι γεγόνασι καὶ ποδόνιπτρα, καὶ ἄλλα ἄττα τῶν ἀτιμοτέρων, ἃ πρὸς τὰς ἐν σκότῳ χρείας ὑπηρετεῖ μᾶλλον, ἢ τὰς ἐν φωτί. τὰ μὲν γὰρ παρ' αἰγυπτίοις οὐδὲ μεμνῆσθαι καλόν, E οἳ ζῷα ἄλογα καὶ οὐχ ἥμερα μόνον, ἀλλὰ καὶ θηρίων τὰ ἀγριώτατα προήχασιν εἰς θεῶν τιμὰς ἐξ ἑκάστου τῶν κάτω σελήνης, χερσαίων μὲν λέοντα, ἐνύδρων δὲ τὸν ἐγχώριον κροκόδειλον, ἀεροπόρων δὲ ἴκτινον, καὶ τὴν αἰγυπτίαν ἶβιν· καὶ ταῦτα ὁρῶντες γεννώμενα, καὶ τροφῆς χρείαν ἔχοντα, καὶ περὶ ἐδωδὴν ἄπληστα, καὶ περιττωμάτων μεστά, ἰοβόλα τε καὶ ἀνθρωποβόρα, καὶ νόσοις ἁλωτὰ παντοίαις, καὶ οὐ μόνον θανάτῳ τῷ κατὰ

A φύσιν, ἀλλὰ καὶ βιαίως πολλάκις διαφθειρόμενα, προσκυνοῦσιν οἱ ἥμεροι τὰ ἀνήμερα καὶ ἀτίθασα, καὶ οἱ λογικοὶ τὰ ἄλογα, καὶ οἱ συγγένειαν ἔχοντες πρὸς τὸ θεῖον, τὰ μηδ' ἂν θηρσὶ ἴσα συγκριθέντα, οἱ ἄρχοντες καὶ δεσπόται τὰ ὑπήκοα φύσει καὶ δοῦλα. ἀλλ' οὗτοι μὲν ἐπειδήπερ οὐ τοὺς ὁμοφύλους μόνον, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ἀναπιμπλᾶσι φλυαρίας, αὐτοὶ ἀθεράπευτοι διατελείτωσαν, ὄψιν τὴν ἀναγκαιοτάτην τῶν αἰσθήσεων πεπηρωμένοι· λέγω δ' οὐ τὴν σώματος, ἀλλὰ τὴν ψυχῆς, ᾗ τὸ ἀληθὲς καὶ ψεῦδος μόνη γνωρίζεται. B τὸ δὲ θεραπευτικὸν γένος βλέπειν ἀεὶ προσδιδασκόμενον, τῆς τοῦ ὄντος θέας ἐφιέσθω, καὶ τὸν αἰσθητὸν ἥλιον ὑπερβαινέτω, καὶ μηδέποτε τὴν τάξιν ταύτην λειπέτω πρὸς τελείαν ἄγουσαν εὐδαιμονίαν. οἱ δὲ ἐπὶ θεραπείαν ἰόντες, οὔτε ἐξ ἔθους, οὔτε ἐκ παρακλήσεως τινῶν, ἀλλ' ὑπ' ἔρωτος ἁρπασθέντες οὐρανίου, καθάπερ οἱ βακχευόμενοι καὶ κορυβαντιῶντες ἐνθουσιάζουσι, μέχρις ἂν τὸ ποθούμενον ἴδωσιν· εἶτα διὰ τὸν τῆς ἀθανάτου καὶ μακαρίας ζωῆς ἵμερον C τετελευτηκέναι νομίζοντες ἤδη τὸν θνητὸν βίον, ἀπολείπουσι τὰς οὐσίας υἱοῖς ἢ θυγατράσιν, εἴτε καὶ ἄλλοις συγγενέσιν, ἑκουσίῳ γνώμῃ προκληρονομούμενοι, οἷς δὲ μὴ συγγενεῖς εἰσιν, ἑταίροις καὶ φίλοις. ἔδει γὰρ τοὺς τὸν βλέποντα πλοῦτον ἐξ ἑτοίμου λαβόντας τὸν τυφλὸν παραχωρῆσαι τοῖς ἔτι τὰς διανοίας τυφλώττουσιν. Ἀναξαγόραν καὶ Δημόκριτον Ἕλληνες ᾄδουσιν ὅτι φιλοσοφίας ἱμέρῳ πληχθέντες, μηλοβότους εἴασαν γενέσθαι τὰς οὐσίας· ἄγαμαι τοὺς ἄνδρας, καὶ αὐτοὺς γενομένους χρημάτων κρείττους· ἀλλὰ D πόσῳ βελτίονες, οἱ μὴ θρέμμασιν ἐμβόσκεσθαι τὰς κτήσεις ἀνέντες, ἀλλὰ τὰς ἀνθρώπων ἐνδείας συγγενῶν ἢ φίλων ἐπανορθωσάμενοι, καὶ ἐξ ἀπόρων εὐπόρους ἀποφήναντες. ἐκεῖνο μὲν γὰρ ἀπερίσκεπτον, ἵνα μὴ μόνον μανιῶδες ἐπ' ἀνδρῶν οὓς ἡ Ἑλλὰς ἐθαύμασεν εἴπω τὸ ἔργον· τοῦτο δὲ νηφάλιον, καὶ μετὰ φροντίσεως ἠκριβωμένον περιττῆς. οἱ πολέμιοι τί πλέον δρῶσιν, ἢ κείρουσι καὶ δενδροτομοῦσι τὴν τῶν E ἀντιπάλων χώραν, ἵνα σπάνει τῶν ἀναγκαίων πιεσθέντες ἐνδῶσι. τοῦτο οἱ περὶ Δημόκριτον τοῖς ἀφ' αἵματος εἰργάσαντο, χρεοκοπήσαντες ἔνδειαν καὶ πενίαν αὐτοῖς κατασκευάσαντες, οὐκ ἐξ ἐπιβουλῆς ἴσως, ἀλλὰ τῷ μὴ προϊδέσθαι καὶ περιαθρῆσαι τὸ τοῖς ἄλλοις συμφέρον. πόσῳ δὴ κρείττους οὗτοι καὶ θαυμασιώτεροι, χρησάμενοι μὲν οὐκ ἐλάττοσι τῆς πρὸς φιλοσοφίαν ὁρμῆς· μεγαλονοίαν δὲ ὀλιγωρίας προτιμήσαντες, καὶ χαρισάμενοι τὰς οὐσίας, ἀλλὰ μὴ διαφθείραντες, ἵνα καὶ ἑτέρους καὶ ἑαυτοὺς ὠφελήσωσι,

A violentæ quoque interdum non modo fatali, adorant tamen ipsi mites immitia incicurabiliáque, rationales bruta, Deo cognati vix conferenda cum bestijs, naturaliter subiecta ipsi principes ac Domini. Verum isti qui non modo suos sed etiam propinquos inficiunt talibus delirijs, relinquantur morbo suo, priuati visu præstantissimo sensuum, visu inquam non corporeo, sed quo verum à falsis discernit animus. B at illud hominum genus therapeuticum semper in contemplatione diuinitatis proficiet etiam sole hoc sensibili præterito, nec vnquam suum ordinem deseret tendentem ad felicitatem perfectissimam. huic vitæ instituto qui se addicunt, non ex more aut rogati id faciunt, sed amore correpti rerum cælestium, & quasi furore diuino perciti, donec ad contemplationem illam desideratissimam perueniant. deinde præ immortalis beatæque vi- C tæ cupidine, quasi iam hac mortali defuncti, facultates suas relinquunt liberis, aut cognatis, vltro eis possessione cedendo, atque etiam socijs & amicis, si cognati desint. oportet enim vt qui perspicaces diuitias adeptus est, cæcas illas relinquat mentibus cæcutientibus. Anaxagoram & Democritum celebrant Græci, quòd præ amore philosophiæ prædia sua pecori compascua reliquerint. probo hos viros contemptores pecuniæ. D at quanto præstantiores qui non pecoribus suas possessiones depascendas permiserunt, sed impenderunt ad subleuandam egestatem hominum cognatorum amicorúmque, vt egere desinerent. illud enim inconsideratum, ne dicam insanum, factum fuit virorum Græcis laudatorum sapientiæ nomine: hoc verò sobrium & magnæ prudentiæ. quid aliud hostis faceret, excisis arbustis agróque va- E stato redigens aduersarios ad inopiam, quàm quod suis cognatis fecit Democritus, vltro illis consciscens pauperiem, non tam malo animo, quàm per inconsiderantiam & alienæ vtilitatis negligentiam. hi certe multo prudentiores & magis suspiciendi, vt non minus philosophiæ cupidi, sed prouidi magis quam negligentes: quippe qui sua donare maluerunt quam perdere, quo & sibi prodessent & alijs,

dum alios opibus iuuant, se philosophiæ studio. nam cura pecuniæ possessionúmque affert dispendium temporis, cuius præcipua nos decet parsimonia, iuxta illud Hippocratis medici monitum: Vita breuis, ars longa. idem mihi videtur Homerus subinnuere in Iliadē circa initia rhapsodiæ decimætertiæ his versibus:

Mysorum terram aspiciens, queis prælia cordi,
Et facilis victus: siquidem lac pascit equinum
Egregios homines, nullis virtute secundos.

ac si cura victus parandi sit causa iniustitiæ propter disparitatem: iustitiam verò gignat diuersum studium, qua naturæ opulentia cernitur, non contenta vulgaribus felicitatibus. Relictis igitur facultatibus & auocamentis omnibus, fugiunt sine respectu fratrum, liberorum, parentum, vxorúmque, & deserunt numerosas cognationes, societates, amicitias, ipsas denique patrias in quibus geniti educatique sunt, quandoquidem consuetudo magnum momentum habet ad allectandos animos. demigrant autem non in aliam ciuitatem, sicut serui qui se vendi heris alijs impetrant, miseri vt qui seruitutem mutant non effugiunt. quæuis enim ciuitas vel optimis ornata legibus, plena est tumultu plurimo, quem nemo sapientiæ sectator sustineat. sed extra mœnia degunt in hortis aut villis solitarijs, amantes solitudinem non hominum odio, sed ad cauendos congressus cum dissimilibus, quos sciunt moribus bonis officere. hoc genus reperitur in multis orbis regionibus, merito vt absolutæ probitatis receptum à Græcis atque barbaris. maxime tamen in Ægypto frequentatur per præfecturas singulas, præsertim circum Alexandriam. ex omnibus autem locis optimus quisque therapeutarum tanquam in huius generis patriam colonus mittitur in locum quendam aptissimum, situm ad stagnum Mariam in terreno colle accliui leniter, tutum simul & laudatum ab aeris temperie. securitatem enim ei præstant villæ vicique proximi: aerem verò temperat emissorium stagni exonerantis se in mare, & auræ nunquam non ex alto aspirantes tenuiter, sicut crassiores feruntur è stagno,

A καὶ τοὺς μὲν ἐν ἀφθόνοις περιουσίαις, ἑαυτοὺς δὲ ἐν τῷ φιλοσοφεῖν. αἱ γὰρ χρημάτων καὶ κτημάτων ἐπιμέλειαι τοὺς χρόνους ἀναλίσκουσι· χρόνου δὲ φείδεσθαι καλόν, ἐπειδὴ κατὰ τὸν ἰατρὸν Ἱπποκράτην, ὁ μὲν βίος βραχύς, ἡ δὲ τέχνη μακρή. τοῦτό μοι δοκεῖ Ὅμηρος αἰνίξασθαι ἐν Ἰλιάδι κατὰ τὴν ἀρχὴν τῆς τρισκαιδεκάτης ῥαψῳδίας διὰ τούτων τῶν ἐπῶν, Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν, Γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων· ὡς τῆς μὲν περὶ βίον σπουδῆς
B καὶ χρηματισμὸν ἀδικίαν γεννώσης διὰ τὸ ἄνισον· δικαιοσύνην δὲ τῆς ἐναντίας προαιρέσεως, ἕνεκα ἰσότητος, καθ' ἣν ὁ τῆς φύσεως πλοῦτος ὥρισται, καὶ προβέβηκε τὸν ἐν ταῖς κεναῖς δόξαις. ὅταν οὖν ἐκστῶσι τῶν οὐσιῶν, ὑπ' οὐδενὸς ἔτι δελεαζόμενοι, φεύγουσιν ἀμεταστρεπτὶ καταλιπόντες ἀδελφούς, τέκνα, γυναῖκας, γονεῖς, πολυανθρώπους συγγενείας, φιλικὰς ἑταιρείας, τὰς πατρίδας, ἐν αἷς ἐγεννήθησαν καὶ ἐτράφησαν, ἐπειδὴ
C τὸ συνήθες ὁλκὸν καὶ δελεάσαι δυνατώτατον. μετοικίζονται δὲ οὐκ εἰς ἑτέραν πόλιν, ὥσπερ οἱ πραθῆναι αἰτούμενοι παρὰ τῶν κεκτημένων, ἀτυχεῖς ἢ κακόδουλοι δεσποτῶν ὑπαλλαγήν, οὐκ ἐλευθερίαν αὑτοῖς ἐκπορίζοντες· πᾶσα γὰρ πόλις καὶ ἡ εὐνομωτάτη γέμει θορύβων καὶ ταραχῶν ἀμυθήτων, ἃς οὐκ ἂν ὑπομείναι τις ἅπαξ ὑπὸ σοφίας ἀχθείς· ἀλλὰ τειχῶν ἔξω ποιοῦνται τὰς διατριβὰς ἐν κήποις ἢ μοναγρίοις, ἐρημίαν μεταδιώκοντες, οὐ διά τινα ὠμὴν ἐπιτετηδευ-
D μένην μισανθρωπίαν, ἀλλὰ διὰ τὰς ἐκ τῶν ἀνομοίων τὸ ἦθος ἐπιμιξίας, ἀλυσιτελεῖς καὶ βλαβερὰς εἰδότες. πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τὸ γένος. ἔδει γὰρ ἀγαθοῦ τελείου μεταλαχεῖν ἑλλάδα, καὶ τὴν βάρβαρον· πλεονάζει δὲ ἐν Αἰγύπτῳ καθ' ἕκαστον τῶν ἐπικαλουμένων νομῶν, καὶ μάλιστα περὶ τὴν Ἀλεξάνδρειαν. οἱ δὲ πανταχόθεν ἄριστοι καθάπερ εἰς πατρίδα, θεραπευτῶν ἀποικίαν στέλλονται πρός τι χωρίον
E ἐπιτηδειότατον, ὅπερ ἐστὶν ὑπὲρ λίμνης Μαρίας κείμενον ἐπὶ γεωλόφου χθαμαλωτέρου, σφόδρα εὐκαίρου, ἀσφαλείας τε ἕνεκα, καὶ ἀέρος εὐκρασίας. τὴν μὲν οὖν ἀσφάλειαν αἱ ἐν κύκλῳ περιέχουσιν ἐπαύλεις τε καὶ κῶμαι· τὴν δὲ περὶ τὸν ἀέρα εὐκρασίαν, ἔκ τε τῆς λίμνης ἀνεστομωμένης εἰς τὴν θάλατταν, καὶ τοῦ πελάγους ἐγγὺς ὄντος ἀναδιδόμεναι συνεχεῖς αὖραι, λεπταὶ μὲν αἱ ἐκ τοῦ πελάγους· παχεῖαι δὲ αἱ ἀπὸ τῆς λίμνης ἀνεστομωμένης εἰς τὴν θάλατταν,

ὧν ἡ μῖξις ὑγιεινοτάτην κατάστασιν ἀπεργάζεται. αἱ δὲ οἰκίαι τῶν συνεληλυθότων, σφόδρα μὲν εὐτελεῖς εἰσι, πρὸς δύο τὰ ἀναγκαιότατα σκέπην παρέχουσαι, πρός τε τὸν ἀφ' ἡλίου φλογμὸν, καὶ τὸν ἀπὸ ἀέρος κρυμόν· οὔτε δ' ἐγγὺς, ὥσπερ αἱ ἐν τοῖς ἄστεσιν· ὀχληρὸν γὰρ καὶ δυσάρεστον τοῖς ἐρημίαν ἐζηλωκόσι καὶ μεταδιώκουσιν αἱ γειτνιάσεις· οὔτε πόῤῥω, δι' ἣν ἀσπάζονται κοινωνίαν, καὶ ἵνα εἰ λῃστῶν γίνοιτο ἔφοδος, ἀλλήλοις ἐπιβοηθῶσιν. ἑκάστῳ δέ ἐστιν οἴκημα ἱερὸν, ὃ καλεῖται σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδὲν εἰσκομίζοντες, μὴ ποτὸν, μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν, καὶ ὕμνους, καὶ τὰ ἄλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦνται. ἀεὶ μὲν οὖν ἄληστον ἔχουσι τὴν τοῦ θεοῦ μνήμην, ὡς καὶ δι' ὀνειράτων μηδὲν ἕτερον, ἢ τὰ κάλλη τῶν θείων δυνάμεων φαντασιοῦσθαι. πολλοὶ οὖν καὶ ἐκλαλοῦσιν ἐν ὕπνοις ὀνειροπολούμενοι τὰ τῆς ἱερᾶς φιλοσοφίας ἀοίδιμα δόγματα· δὶς δὲ καθ' ἑκάστην ἡμέραν εἰώθασιν εὔχεσθαι, περὶ τὴν ἕω, καὶ περὶ τὴν ἑσπέραν, ἡλίου μὲν ἀνίσχοντος, εὐημερίαν αἰτούμενοι τὴν ὄντως εὐημερίαν, φωτὸς οὐρανίου τὴν διάνοιαν αὐτῶν ἀναπλησθῆναι· δυομένου δὲ, ὑπὲρ τοῦ τὴν ψυχὴν τοῦ τῶν αἰσθήσεων καὶ αἰσθητῶν ὄχλου παντελῶς ἐπικουφισθεῖσαν, ἐν τῷ ἑαυτῆς συνεδρίῳ καὶ βουλευτηρίῳ γενομένην, ἀλήθειαν ἰχνηλατεῖν. τὸ δὲ ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα σύμπαν ἐστὶν αὐτοῖς ἄσκησις. ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι, φιλοσοφοῦσι, τὴν πάτριον φιλοσοφίαν ἀλληγοροῦντες, ἐπεὶ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσι φύσεως ἀποκεκρυμμένης, ἐν ὑπονοίαις δηλουμένης. ἔστι δὲ αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν, οἳ τῆς αἱρέσεως ἀρχηγέται γενόμενοι πολλὰ μνημεῖα τῆς ἐν τοῖς ἀλληγορουμένοις ἰδέας ἀπέλιπον, οἷς καθάπερ τισὶν ἀρχετύποις χρώμενοι, μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον· ὥστ' οὐ θεωροῦσι μόνον, ἀλλὰ καὶ ποιοῦσιν ᾄσματα καὶ ὕμνους εἰς τὸν θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν, ἃ ῥυθμοῖς σεμνοτέροις ἀναγκαίως χαράττουσι. τὰς μὲν οὖν ἓξ ἡμέρας χωρὶς ἕκαστοι μονούμενοι παρ' ἑαυτοῖς ἐν τοῖς λεχθεῖσι μοναστηρίοις φιλοσοφοῦσι, τὴν αὔλειον οὐχ ὑπερβαίνοντες, ἀλλ' οὐδὲ ἐξ ἀπόπτου θεωροῦντες· ταῖς δὲ ἑβδόμαις συνέρχονται καθάπερ εἰς κοινὸν σύλλογον, καὶ καθ' ἡλικίαν ἑξῆς καθέζονται μετὰ τοῦ πρέποντος σχήματος, εἴσω τὰς χεῖρας ἔχοντες,

A quibus permixtis temperamentũ existit saluberrimum. domicilia verò cõuenarum sunt admodum frugalia, parata contra æstum tantummodo & frigora, non contigua vt in vrbibus, non enim placet id amantibus solitudinem: nec tamen longe remota, quia societatem diligunt, vt sibi possint inuicem succurrere contra latronum incursus fortuitos. singuli autem habent sacras ædiculas, quæ semnea vocant siue monasteria, vbi solitarij
B sanctæ vitæ mysterijs dant operam, nec cibi potúsve quicquam eò inferunt, aliúdve in vsum corporis, sed legem tantum & prophetarum oracula diuinitus prodita, hymnósque & quædam alia pietati scientiæque promouendæ vtilia. itaque perpetuam habent Dei memoriam, vt ne in somnis quidem aliud eis obuersetur quàm imagines diuinarum pulchritudinum: & sunt in his qui somniando produnt præclaras sacræ philosophiæ
C sententias. Quotidie bis precari solent, mane ac sub vesperam, oriente sole petentes diem vere fælicem, vtque mentes eorum cælesti repleantur lumine: occidente verò, vt anima in totum exonerata sensibus moléque rerum sensibilium veritatem vestiget in consistorio domestico. medium verò matutini vespertinique temporis interstitium totum meditationi attribuitur. Versantes enim sacra volumina, dant operam philo-
D sophiæ per manus acceptæ à maioribus, scrutando eius allegorias, quoniam sub apertis verbis latere credunt secreta naturæ coniecturis explicanda probabilibus. habent etiam priscorum commentarios, qui huius sectæ autores multa monumenta reliquerunt de allegorijs eiusmodi, ad quorum imitationem posteri se accommodant. itaque non solum contemplantur, sed etiam cantica hymnósque in Dei laudem com-
E ponunt vario metrorum carminúmque genere, rythmis concinnatos in augustiorem ac religiosam speciem. per sex dies seorsum quisque in suis illis modo dictis monasterijs philosophantur, non progredientes foras, imò ne prospicientes quidem. septima verò conueniunt in cœtum communem, & iuxta ætatis ordinem considunt decenti habitu, manus continentes sub pallio,

dextram inter pectus barbámque, sinistram applicatam lateri. tum progressus in medium natu maximus, & dogmatum eius sectæ peritissimus, disserit vultu ad grauitatem composito, voce moderata, non sine magna prudentia, secus quàm oratores aut ætatis nostræ sophistæ, ostentatores eloquentiæ, vt quibus magis cordi sunt exquisitæ sententiæ diligénsque & accurata harum enarratio, quæ non summis insidat auribus, sed per auditum penetret in animum, ibíque firmiter inhæreat. reliqui omnes auscultant per summum silentium, annutantes oculis tantum aut capite. id commune semneum in quod septimo quoque die conueniunt, septo clauditur duplici, separatis virorum & mulierum cœtibus. nam mulieres quoque simul auscultant ex more, duntaxat quæ institutum idem sectantur. medius autem paries à solo surgit tribus quatuórve cubitis, in modum loriculæ, superiora vsque ad tectum patent: vnde gemina prouenit commoditas, & quòd pudori fœminei sexus consulitur, & quòd verba doctoris exaudiuntur facile absque vllis obstaculis quæ vocem eius intercipiant. Temperantiæ tanquam fundamento in anima iacto virtutes cæteras superstruunt. Nec cibum nec potum quisquam sumit ante solis occasum, quòd sapientiæ studium luci conuenire iudicent, tenebris verò curam corporis. ideo totos dies alteri, alteri verò exiguam noctis partem tribuunt. nonnulli ex his vix tertio quoque die famem sentiunt, attenti magis ad disciplinarum scientiam. nec desunt qui prælaute accepti epulo sapientiæ copiose præbentis sua placita, perdurant duplum eius temporis, & vix sexto die degustant cibum necessarium, assueti sicut cicadæ rore viuere, canticis opinor solantes inediam. septimum verò diem vt festum sacratúmque honore dignantur eximio, quo post curam animi, corpus quoque reficiunt, sicut iumento relaxantes laborem continuum. in cibatu vtuntur pane simplici, sal vicem supplet obsonij, qui delicatiores sunt hyssopum pro condimento adijciunt. potum è fluentis hauriunt, contenti placare dominas à natura mortalibus additas, fa-

A τὴν μὲν δεξιὰν μεταξὺ στέρνου καὶ γενείου, τὴν δὲ εὐώνυμον ὑπεσταλμένην παρὰ τῇ λαγόνι. παρελθὼν δὲ ὁ πρεσβύτατος καὶ τῶν δογμάτων ἐμπειρότατος, διαλέγεται, καθεστῶτι μὲν τῷ βλέμματι, καθεστώσῃ δὲ τῇ φωνῇ, μετὰ λογισμοῦ καὶ φρονήσεως, οὐ δεινότητα λόγων ὥσπερ οἱ ῥήτορες, ἢ οἱ νῦν σοφισταὶ παρεπιδεικνύμενος, ἀλλὰ τὴν ἐν τοῖς νοήμασι διηρευνηκὼς καὶ διερμηνεύων ἀκρίβειαν, ἥτις οὐκ ἄκροις ὠσὶν ἐφιζάνει, ἀλλὰ διὰ ἀκοῆς ἐπὶ ψυχὴν ἔρχεται, καὶ βεβαίως ἐπιμένει. καθ' ἡσυχίαν δὲ οἱ ἄλλοι πάν-
B τες ἀκροῶνται τὸν ἔπαινον, νεύμασιν ὄψεως ἢ κεφαλῆς παρεμφαίνοντες αὐτὸ μόνον. τὸ δὲ κοινὸν τοῦτο σεμνεῖον εἰς ὃ ταῖς ἑβδόμαις συνέρχονται, διπλοῦς ἐστι περίβολος, ὁ μὲν εἰς ἀνδρῶνα, ὁ δὲ εἰς γυναικωνῖτιν ἀποκριθείς. καὶ γὰρ καὶ γυναῖκες ἐξ ἔθους συνακροῶνται, τὸν αὐτὸν ζῆλον καὶ τὴν αὐτὴν προαίρεσιν ἔχουσαι. ὁ δὲ μεταξὺ τῶν οἴκων τοῖχος, τὸ μὲν ἐξ ἐδάφους ἐπὶ τρεῖς ἢ τέσσαρας πήχεις εἰς τὸ ἄνω συνῳκοδόμηται, θωρακίου τρόπον·
C τὸ δὲ ἄχρι τέγους ἀνάγειον ἀχανὲς ἀνεῖται, δυοῖν ἕνεκα, τοῦ τε τὴν πρέπουσαν αἰδῶ τῇ γυναικείᾳ φύσει διατηρεῖσθαι, καὶ τοῦ τὴν ἀντίληψιν ἔχειν εὐμαρῆ καθεζομένας ἐν ἐπηκόῳ, μηδενὸς τὴν τοῦ διαλεγομένου φωνὴν ἐμποδίζοντος. ἐγκράτειαν δὲ ὥσπερ τινὰ θεμέλιον προκαταβαλλόμενοι τῇ ψυχῇ, τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς. σιτίον δὲ ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκαιτο πρὸ ἡλίου δύσεως, ἐπεὶ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς κρίνουσιν εἶναι, σκότους δὲ τὰς σωματικὰς ἀνάγκας· ὅθεν τῷ μὲν ἡ-
D μέραν, ταῖς δὲ βραχύ τι μέρος τῆς νυκτὸς ἔνειμαν. ἔνιοι δὲ καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος ἐπιστήμης ἐνίδρυται· τινὲς δὲ οὕτως ἐνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ σοφίας ἑστιώμενοι, πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγούσης, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν, καὶ μόλις δι' ἓξ ἡμερῶν ἀπογεύεσθαι τροφῆς ἀναγκαίας, ἐθισθέντες ὥσπερ φασὶ τὸ τῶν τεττίγων γένος, ἀέρι
E τρέφεσθαι, τῆς ᾠδῆς ὡς γε οἶμαι τὴν ἔνδειαν ἐξευμαριζούσης. τὴν δὲ ἑβδόμην πανίερόν τινα καὶ πανέορτον νομίζοντες εἶναι, ἐξαιρέτου γέρως ἠξιώκασιν, ἐν ᾗ μετὰ τὴν ψυχῆς ἐπιμέλειαν, καὶ τὸ σῶμα λιπαίνουσιν, ὥσπερ ἀμέλει καὶ τὰ θρέμματα, τῶν συνεχῶν πόνων ἀνιέντες. σιτοῦνται δὲ πολυτελὲς οὐδὲν, ἀλλὰ ἄρτον εὐτελῆ, καὶ ὄψον ἅλες, οὓς οἱ ἁβροδίαιτοι παραρτύουσιν ὑσσώπῳ, ποτὸν ὕδωρ ναματιαῖον αὐτοῖς ἐστιν. ἃς γὰρ ἡ φύσις ἐπέστησε τῷ θνητῷ γένει δε-

σποίνας πεῖνάν τε καὶ δίψαν, ἀπομειλίσσονται, τὴν εἰς κολακείαν ἐπιφέροντες οὐδὲν, ἀλλ' αὐτὰ τὰ χρήσιμα, ὧν ἄνευ ζῆν οὐκ ἔστι. διὰ τοῦτο ἐσθίουσι μὲν ὥστε μὴ πεινῆν, πίνουσι δὲ ὥστε μὴ διψῆν, πλησμονὴν ὡς ἐχθρόν τε καὶ ἐπίβουλον ἐκτρεπόμενοι ψυχῆς καὶ σώματος. ἐπεὶ δὲ καὶ σκέπης διττὸν εἶδος τὸ μὲν ἐσθὴς, τὸ δὲ οἰκία, περὶ μὲν οἰκίας εἴρηται πρότερον, ὅτι ἐστὶν ἀκαλλώπιστος καὶ αὐτοσχέδιος, πρὸς τὸ χρειῶδες αὐτὸ μόνον εἰργασμένη· καὶ ἐσθὴς δὲ ὁμοίως εὐτελεστάτη, πρὸς ἀλέξημα κρυμοῦ τε καὶ θάλπους, χλαῖνα μὲν ἀντὶ λασίου δορᾶς παχεῖα χειμῶνος. ἐξωμὶς δὲ, θέρους, ἢ ὀθόνη. συνόλως γὰρ ἀσκοῦσιν ἀτυφίαν, εἰδότες τύφου μὲν τὸ ψεῦδος ἀρχὴν, ἀτυφίας δὲ, ἀλήθειαν, ἑκάτερον δὲ πηγῆς λόγον ἔχον. ῥέουσι γὰρ ἀπὸ μὲν τοῦ ψεύδους αἱ πολύτροποι τῶν κακῶν ἰδέαι, ἀπὸ δὲ τῆς ἀληθείας αἱ περιουσίαι τῶν ἀγαθῶν ἀνθρωπίνων τε καὶ θείων. βούλομαι δὲ καὶ τὰς κοινὰς συνόδους αὐτῶν καὶ ἱλαρωτέρας ἐν συμποσίοις διαγωγὰς εἰπεῖν, ἀντιτάξας τὰ τῶν ἄλλων συμπόσια. οἱ μὲν γὰρ ὅταν ἄκρατον ἐμφορήσωνται, καθάπερ οὐκ οἶνον πίνοντες, ἀλλὰ παρακινητικόν τι καὶ μανιῶδες, καὶ εἴ τι χαλεπώτερον ἐπ' ἐκστάσει λογισμοῦ φυσικοῦ, θράττουσι καὶ λυττῶσι κυνῶν τρόπον ἀτιθάσων, καὶ ἐπανιστάμενοι δάκνουσιν ἀλλήλους, καὶ ἀποτρώγουσι, ῥῖνας, ὦτα, δακτύλους, ἕτερ' ἄττα μέρη τοῦ σώματος, ὡς τὸν ἐπὶ κύκλωπος καὶ τῶν Ὀδυσσέως ἑταίρων μῦθον ἀποδεδειχέναι τούτους ἀληθῆ, ψωμοὺς, ἥ φησιν ὁ ποιητὴς, ἐπεσθίοντας ἀνδρομέους, καὶ ὠμότερον ἢ ἐκεῖνος. ὁ μὲν γὰρ ἐχθροὺς ὑποτοπήσας ἠμύνετο· οἱ δὲ συνήθεις καὶ φίλους, ἔστι δὲ ὅτε καὶ συγγενεῖς, ἐφ' ἁλῶν καὶ τραπέζης, ἄσπονδα ἐν σπονδαῖς ἐργασάμενοι τῶν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅμοια, καὶ παρακόπτοντες ὡς καὶ νόμισμα δόκιμον ἄσκησιν, οἱ ἀντὶ ἀθλητῶν ἄθλιοι. τοῦτο γὰρ αὐτοῖς ἐπιφημιστέον· ἅπερ γὰρ νήφοντες ἐν σταδίοις ἐκεῖνοι, θεαταῖς χρώμενοι τοῖς πᾶσιν Ἕλλησι μεθ' ἡμέραν, ἕνεκα νίκης καὶ στεφάνων ὀλυμπιονίκαι σὺν τέχνῃ δρῶσιν, οὗτοι κιβδηλεύοντες ἐπὶ συμποσίων, νύκτωρ ἐν σκότῳ μεθύοντες, ἐμπαροινοῦντες, ἀνεπιστημόνως καὶ κακοτέχνως ἐπ' ἀτιμίᾳ καὶ ὕβρει καὶ αἰκίᾳ χαλεπῇ τῶν ὑπομενόντων ἐνεργοῦσιν. εἰ δὲ μηδεὶς οἷα βραβευτὴς παρελθὼν μέσος διαλύσειε, μετὰ πλείονος ἐξουσίας καταπαλαίουσι, φονῶντες ἐν ταυτῷ καὶ θανατῶντες. πάσχουσι γὰρ οὐκ ἐλάττονα ὧν διατιθέασιν, ἀλλ' οὐκ

A mem sitimque, absque omnibus lenocinijs fruendo rebus sine quibus non licet viuere. edunt igitur ne esuriant, bibunt ne sitiant, saturitatem cauendo vt inimicam animo pariter ac corpori. & quoniam tegminis quoque duæ sunt species, vestis tectúmque, de ædibus iam dixi, esse incultas & extẽporaneas, factas ad præsentem vsum tantũmodo. in veste autem eadem apparet simplicitas, ad arcendos calores & frigora, pro pelliceis crassa tunica in
B hieme, æstate verò exomis aut interula linea. in vniuersum enim exercent modestiam, vt fontem veritatis, sicut è fastu mendacium prognatum autumant. profluunt enim è mendacio variæ malorum species, contrà ex veritate omnium felicitatum humanarũ diuinarúmque copia. Dicam aliquid & de sodalicijs eorum, quoties hilarius conuiuia celebrant, quo magis elucescant collata cum aliorum epulis. Vulgus enim vbi se mero expleuit, ac si
C non vinum bibisset, sed insaniæ poculum ad rationem penitus profligandam ex animo, offensat & canum ferocium more in rabiem vertitur: móxque coorti se inuicem morsibus appetunt, abrodendo nasos, auriculas, digitos, cæterásque partes corporis, vt fabula de Cyclope Vlixisque socijs fidem inueniat: quem poeta solitum ait mandere frusta humanarum carnium, quem tamen immanitate isti longe superant. nam ille inimicos ratus tractauit hostiliter. isti verò cum familiari-
D bus & amicis, interdum etiam cognatis, communi sali mensæque adhibitis, contra iura hospitalitatis omnia, nihil reueriti sacra libamina quibus conciliari debuissent, sic confligantur tanquam in harena vel pancratio: laudatam illam contentionem quasi monetam deprauantes in deterius, athletis ipsis ærumnosiores miserioresque. Reuera enim eos licet appellare miseros. nam illi athletæ in stadijs Græco-
E rum interdiu captant spectatorum applausus atque gratiam, expectantes artis ac victoriæ præmiũ coronam olympiacam. at isti adulterini athletarum simij, noctu in tenebris ebrij debacchantésque, sine industria maliciosas artes exercent in aliorum iniuriam atque contumeliam: quos si nemo tanquam præses dirimat, maiore licentia ruunt in mutuam perniciem. non minus enim læduntur quàm lædunt,

vt mentis impotes præ vino nimio, quod (ſicut inquit Comicus) non tam alieno malo bibunt quam proprio. itaque qui modo ad conuiuium venerant amici & integri, paulo poſt exeunt inimici & mulctati membris quibuſdam, aut certe horum extremitatibus: móxque alij quærunt ſibi aduocatos & iudices, alij petunt à chirurgis opem & medicis. qui verò videntur modeſtiores cæteris, quaſi pro mero bibiſſent ſuccum mandragoræ, incumbunt læuo cubito, & obliquata ceruice ructantes inter pocula, ſtertunt altum nihil videntes audientéſve interim, ac ſi vnicum guſtus ſenſum haberent, & cum quidem illiberaliſſimum. noui quoſdam qui hilariores facti potando, priuſquàm penitus ſe obruant crebris inuitationibus, iam tum in craſtinum proſpiciunt de ſymbolis, quia putant ſpem ebrietatis futuræ non mediocriter conducere ad præſentem lætitiam. atque ita ſemper extra domeſticos parietes victitant, diſſidentes à parentibus, vxoribus, atque liberis, patriæ quoque inimici & ſibiipſis denique. nam vita luxu diffluens malum affert omnibus. Sed fortaſſe probabit aliquis morem hunc conuiuiorum iam vulgo receptum apud Græcos atque barbaros, à Romanis inuentum non tam ad hilaritatem quàm ad oſtentationem deliciarum & opulentiæ. triclinia lectos habent eburneos aut teſtudineos, aut precioſioris materiæ, gemmatos pleroſque, ſtratos auro intertexta purpura, vel alijs floridis coloribus varijs oculos allicientibus, poculorum etiam vim magnam, digeſtorum per ſuas ſpecies. præſto ſunt enim cyphi, calices, phialæ, thericlea, toreumatáque clarorum artificum, miniſtrantibus formoſis mancipijs, non tam ad præſens miniſterium quæſitis, quàm ad exhilarandos aſpectu conuiuis oculos. ex his minores pueri pincernas agunt, grandiores aquam afferunt, loti & nitidi, fucatíque ac cincinnatuli. alunt enim capillitium, vel omnino intonſi, vel à fronte tantum præſectis in orbem crinibus, tenuiſſimas candidáſque præcincti tunicas, anteriore parte ad genua demiſſas, poſteriore ad poplites, vtrinque mollibus tenijs

A ἴσασι παραπαίοντες, οἱ τὸν οἶνον, οὐχ ὡς ὁ κωμικός
φησιν ἐπὶ κακῷ τῶν πλησίον αὐτῶν μόνον, ἀλλὰ καὶ
ἐπὶ τῷ ἰδίῳ πίνειν ὑπομένοντες. τοιγαροῦν οἱ πρὸ
μικροῦ παρελθόντες εἰς τὰ συμπόσια σῷοι καὶ φίλοι,
μικρὸν ὕστερον ἐξίασιν ἐχθροὶ καὶ τὰ σώματα ἠκρω-
τηριασμένοι· καὶ οἱ μὲν συνηγόρων καὶ δικαστῶν, οἱ δὲ
καταπλαστῶν καὶ ἰατρῶν καὶ τῆς ἀπὸ τούτων δέον-
ται βοηθείας. ἕτεροι δὲ τῶν μετριωτέρων δοκούντων
εἶναι συμποτῶν, ὥσπερ μανδραγόραν τὸν ἄκρατον
B πιόντες ὑποβεβλήκασι, καὶ τὸν εὐώνυμον ἀγκῶνα
προβαλόντες, καὶ τὸν αὐχένα ἐγκάρσιον ἐπιστρέ-
ψαντες ἐνερευγόμενοι ταῖς κύλιξιν, ὕπνῳ βαθεῖ
πιέζονται, μηδὲν μήτε ἰδόντες, μήτε ἀκούσαντες,
ὡς μίαν μόνην ἔχοντες αἴσθησιν τὴν ἀνδραποδω-
δεστάτην γεῦσιν. οἶδα δέ τινας, οἳ ἐπειδὰν ἀκροθώ-
ρακες γένωνται, πρὶν τελέως βαπτισθῆναι, τὸν εἰς τὴν
ὑστεραίαν πότον ἐξ ἐπιδόσεως καὶ συμβολῶν προ-
ευτρεπιζομένους, μέρος ὑπολαμβάνοντας τῆς ἐν
C χερσὶν εὐφροσύνης εἶναι, τὴν περὶ τῆς εἰς τὸ μέλλον
μέθης ἐλπίδα. τοῦτον τὸν τρόπον διαζῶντες ἄοικοι
καὶ ἀνέστιοι διατελοῦσιν, ἐχθροὶ μὲν γονέων, καὶ γυναι-
κῶν, καὶ τέκνων, ἐχθροὶ δὲ καὶ τῆς πατρίδος, πολέ-
μιοι δὲ καὶ ἑαυτῶν. ὑγρὸς γὰρ καὶ ἄσωτος βίος ἅπασιν
ἐπίβουλος. ἴσως δ' ἄν τις ἀποδέξαιτο τὴν ἐπι-
πολάζουσαν νυνὶ πανταχοῦ τῶν συμποσίων διάθε-
σιν, κατὰ πόθον τῆς ἰταλικῆς πολυτελείας καὶ τρυφῆς,
ἣν ἐζήλωσαν Ἕλληνές τε καὶ βάρβαροι, πρὸς ἐπί-
δειξιν μᾶλλον ἢ πρὸς εὐωχίαν ποιούμενοι τὰς πα-
D ρασκευάς· τρίκλινά τε καὶ περίκλινα χελώνης ἢ ἐλέ-
φαντος κατεσκευασμένα, καὶ τιμαλφεστέρας ὕλης,
ὧν τὰ πλεῖστα λιθοκόλλητα, στρωμναὶ ἁλουργεῖς
ἐνυφασμένου χρυσοῦ, καὶ ἀνθοβαφεῖς ἕτεραι παν-
τοίων χρωμάτων, πρὸς τὸ τῆς ὄψεως ἐπαγωγόν,
ἐκπωμάτων πλῆθος, ἐκ τεταγμένων καθ' ἕκα-
στον εἶδος. ῥυτὰ γὰρ καὶ φιάλαι καὶ κύλικες, καὶ ἕτερα
πολυειδῆ τεχνικώτατα θηρίκλεια καὶ τορείαις ἐπι-
στημονικῶν ἀνδρῶν ἠκριβωμένα. διακονικὰ ἀν-
E δράποδα, εὐμορφότατα καὶ περικαλλέστατα, ὡς
ἀφιγμένα οὐχ ὑπηρεσίας ἕνεκα μᾶλλον, ἢ τοῦ φα-
νέντα τὴν τῶν θεωμένων ὄψιν ἡδῦναι. τούτων οἱ μὲν παῖ-
δες ἔτι ὄντες οἰνοχοοῦσι, ὑδροφοροῦσι δὲ βούπαιδες λε-
λουμένοι καὶ λελειασμένοι, τά τε πρόσωπα ἐντρί-
βονται καὶ ὑπογράφονται, καὶ τὰς τῆς κεφαλῆς τρίχας
εὖ πως διαπλέκονται σφηκούμενοι· βαθυχαῖται
γάρ εἰσιν· ἢ μὴ κειρόμενοι τὸ παράπαν, ἢ τὰς
προμετωπιδίους αὐτὸ μόνον ἐξ ἄκρων εἰς ἐπα-
νίσωσιν, καὶ γραμμῆς κυκλοτεροῦς ἠκριβωμέ-
νοι σχῆμα, χιτῶνάς τε ἀραχνοϋφεῖς καὶ ἐκλεύκους

ἐπίδια ζωσάμενοι, τὰ μὲν ἔμπροσθεν κατωτέρω τῶν ὑπὸ γόνυ, τὰ δὲ κατόπιν μικρὸν ὑπὸ τοῖς γονατίοις, ἑκάτερον δὲ μέρος οὐλοτέραις ταινίαις σφαιρίαις ἐπιδιπλώσασι κατὰ τὴν χιτωνίσκων συμβολὴν συστέλλοντες, ἐκ πλαγίων κόλπους ἀπαιωροῦντες εὐρύναντες τὰ κοῖλα τῆς πλευρᾶς, ἐφεδρεύουσιν· ἄλλοι δὲ μειράκια πρωτογένεια τοὺς ἰούλους ἄρτι ἀνθοῦντες, ἀθύρματα πρὸ μικροῦ παιδεραστῶν γεγονότες, ἠσκημένοι σφόδρα περιέργως πρὸς τὰς βαρυτέρας ὑπηρεσίας, ἐπίδειξις ἑστιατόρων εὐπορίας· ὡς δὲ ἔχει τὸ ἀληθές, ἀπειροκαλία, ὡς ἴσασιν οἱ χρώμενοι· πρὸς δὲ τούτοις αἱ πεμμάτων, καὶ ὄψων, καὶ ἡδυσμάτων ποικιλίαι, περὶ ἃ σιτοπόνοι καὶ ὀψαρτυταὶ πονοῦνται, φροντίζοντες οὐ γεῦσιν, ὅπερ ἀναγκαῖον ἦν, ἡδῦναι μόνον, ἀλλὰ καὶ ὄψιν τῇ καθαρειότητι. ἑπτὰ γοῦν καὶ πλείους εἰσκομίζονται τράπεζαι πλήρεις ἁπάντων ὅσα γῆ τε, καὶ θάλαττα, καὶ ποταμοὶ, καὶ ἀὴρ φέρουσιν, ἔκλογα πάντα καὶ εὔσαρκα, χερσαίων, ἐνύδρων, ἀεροπόρων, ὧν ἑκάστη διαλλάττει καὶ ταῖς παρασκευαῖς, καὶ ταῖς παραρτύσεσιν· ὑπὲρ δὲ τοῦ μηδὲν εἶδος ἀπολειφθῆναι τῶν ἐν τῇ φύσει, τελευταῖαι τῶν ἀκροδρύων εἰσκομίζονται γέμουσαι, δίχα τῶν εἰς τοὺς κώμους καὶ τὰς λεγομένας ἐπιδειπνίδας· εἶτα αἱ μὲν ἐκκομίζονται κεναὶ διὰ τὴν τῶν παρόντων ἀπληστίαν, οἳ τρόπον αἰθυιῶν ἐμφορούμενοι, κατακοφαγοῦσιν οὕτως, ὡς καὶ τῶν ὀστέων ἐπιτραγεῖν· τὰς δὲ λωβησάμενοι καὶ σπαράξαντες, ἡμιβρώτους ἐῶσιν· ὅταν δὲ τελέως ἀπαγορεύσωσι, τὰς μὲν γαστέρας ἄχρι φαρύγγων πεπληρωμένοι, κενοὶ δὲ πρὸς τὰς ἐπιθυμίας, ἀπειρηκότες πρὸς τὰς ἐδωδὰς, τοὺς αὐχένας ἐν κύκλῳ περιάγοντες, τοῖς ὀφθαλμοῖς καὶ τοῖς μυκτῆρσι περιλιχνεύουσι, τοῖς μὲν τὰς εὐσαρκίας καὶ τὸ πλῆθος, τοῖς δὲ τὴν ἀναδιδομένην κνῖσαν· εἶτα ὅταν ἀμφοτέρων ὄψεώς τε καὶ ὀσμῆς γένωνται διάκοροι, ἐσθίειν διακελεύουσιν, ἐπαινέσαντες οὐκ ὀλίγα τὴν παρασκευὴν καὶ τὸν ἑστιάτορα τῆς πολυτελείας. ἀλλὰ τί ταῦτα προσῆκε μηκύνειν, ἃ παρὰ πολλοῖς ἤδη τῶν μετριωτέρων κατεγνώσκεται προσαναρρηγνῦντα τὰς ἐπιθυμίας, ὧν ἡ μείωσις ὠφέλιμον; εὔξαιτο γὰρ ἄν τις τὰ ἀπευκταιότατα πεινῆν τε καὶ διψῆν, ἢ τὴν ἐν ταῖς τοιαύταις εὐωχίαις ἄφθονον σιτίων καὶ ποτῶν περιουσίαν. τῶν ἐν τῇ Ἑλλάδι συμποσίων τὰ περιβόητα καὶ σημειωδέστατα δύο ταῦτα ἐστὶν, οἷς καὶ Σωκράτης παρετύγχανε· τὸ μὲν ἐν Καλλίου, ἡνίκα στεφανωθέντος Αὐτολύκου τὰ ἐπινίκια εἱστία, τὸ δὲ ἐν Ἀγάθωνος· ἃ καὶ μνήμης ἠξίωσαν ἄνδρες τά τε ἤθη καὶ τοὺς λόγους φι-

A astricti commissuras tunicæ, propendentibus ad latera sinibus. sic ornati astant nutus obseruando, quid quisque postulet. adsunt & alij adolescentes prima lanugine malas vestiti, qui paulo antè amatorum suorum deliciæ fuerant, curiose docti grauioris momenti ministeria, mera ostentatio magnæ opulentiæ, vt conuiuæ splendore stupefacti facile intelligant à quanto viro quámque magnifico sint ad mensam communem adhibiti: cum ta-
B men totum hoc negocium vera æstimatione nihil aliud sit quam stolidus luxus hominis abutentis fortunæ beneficio, sicut testari possunt quibus comperta sunt talia. huc accedunt variæ bellariorum, obsoniorum, condimentorúmque species, elaboratæ à pistoribus & cupediarijs, quorum est cura non tantum gustui satisfacere, verum etiam oculos exhilarare mundiciis. sic fit vt septem vel etiam plures mensæ inferantur, plenæ omnium
C quæ terra, mare, amnes, aérque ferunt, selectis suauissimis carnibus terrestrium, aquaticorum, & volucrium, paratura simul ac conditura variantibus. ac ne quid prætermittatur naturæ munerum, tandem apponuntur poma nucésque dapsiliter, seruatis aliis eiusdem generis ad comessationes quas vocant. dein aliæ patinæ efferũtur vacuatæ à conuiuis voracibus, more fulicarum explentibus se in tantum vt ossa etiam arrodant, aliæ cum fœde discerptis semesisque reliquiis. vbi
D verò vsque fauces expleti nil possunt amplius, edendo lassati appetitu esuriunt, oculos pascendo carnium opimarum copia, nidorem verò exhalantem attrahendo naribus. postremo his quoque sensibus saturatis, faciunt mentionem de habitu, egregie collaudata conuiuatoris magnificentia. Sed quorsum attinet ista narrare prolixius, quæ multis moderatioribus displicent, vt cupiditates accendentia, quas
E minui præstaret. quis enim sobrius non mallet famem & sitim, quàm in talibus epulis nimiam cibi potúsque abundantiam. in Græcia duo conuiuia præcipue celebrantur, quibus & Socrates interfuit: alterum in ædibus Calliæ, quando is coronato Autolyco amicis epulum victoriale præbuit, alterum in Agathonis: quæ literis mandare dignati sunt moribus ac professione philosophi,

Plato & Xenophon. visa sunt enim eis digna memoratu, vt essent exemplo posteris, quid & quomodo agendum sit in conuiuijs. Veruntamen hæc quoque si conferãtur cum nostris contemplatiuæ vitæ sectatoribus, erunt ridicula. habet quidem suas voluptates vtrumque, sed magis decoras homini quod Xenophon prodidit. nam tibicinæ, mimi, præstigiatores, balatrones, iocis tantum placẽt scurrilibus ad exhilarandos animos. Platonicum verò penè totũ disputationi de amore impenditur, non illo quo viri in mulieres insaniunt, aut hæ in viros, sed quo viri in masculos ætate tantum minores. nam si quid ibi de amore veneréque cælesti dictum videtur elegantius, pro condimento modo est additum. cæterum maiorem partem vulgaris & promiscuus amor occupat, fortitudinem virtutem bello pacéque vtilissimam tollens è medio, & pro hac morbum muliebrem inducens in animas, & homines reddens androgynos, quos oportebat potius omni contentione exerceri ad confirmandum robur tam corporis quàm animi. at isti qui pueros transferunt in amicarum habitum & ordinem cum summa ætatis iniuria, ne amatoribus quidem eorum melius consulunt, magnis detrimentis afficiendo eorum facultates, animos, atque corpora. necesse est enim vt puerorum amator animum habeat in suis delicijs, & huc tantum acres intendat oculos, cæteris in rebus tum priuatis tum publicis cæcutiat hebetatus cupidinibus, tunc præcipue contabescens quãdo impos voti frustratur. facultates autẽ duobus modis decrescunt, partim per rei familiaris incuriam, partim per sumptus & profusionésque fiunt in adamati gratiam. huc accedit & maius aliud malum totis populis pestiferum. desolationem enim vrbium & raritatem optimi generis hominum sterilitatémque meditantur isti, qui more imperitorum agricolarum præteritis aruis campestribus & feracibus in aspreta saxosa salebrosáque sementem faciunt mox perituram, nec vnquam ad frugem peruenturam. taceo nunc illos fabulosos bicorpores, olim concretos vi amatoria, dein disiunctos, soluto nexu quo antea cohæserant. habent hæc nouitatem quamdam & illecebram aurium ac mentium, sed

A λόσοφοι, Ξενοφῶν τε καὶ Πλάτων. ἀνέγραψαν γὰρ ὡς ἀξιομνημόνευτα, οἷς ὑπετόπασαν χρήσασθαι παραδείγμασι τοὺς ἔπειτα τῆς ἐν συμποσίοις ἐμμελοῦς διαγωγῆς. ἀλλ' ὅμως καὶ ταῦτα συγκρινόμενα τοῖς τῶν ἡμετέρων, οἳ τὸν θεωρητικὸν ἠσπάσαντο βίον, γέλως ἀναφανεῖται. ἡδονὰς μὲν οὖν ἔχει ἑκάτερον, ἀνθρωπικώτερον δέ ἐστι τὸ Ξενοφῶντος· αὐλητρίδες γὰρ καὶ ὀρχησταὶ, καὶ θαυματοποιοὶ, καὶ ποιηταὶ γελοίων, ἐπὶ τῷ σκῶψαι

B καὶ χαριεντίσασθαι μέγα φρονοῦντές εἰσι. καὶ τινα ἄλλα τῶν ἐν ταῖς ἱλαρωτέραις ἀνέσεσι. τὸ δὲ Πλατωνικὸν, ὅλον σχεδόν ἐστι περὶ ἔρωτος, οὐκ ἀνδρῶν ἐπὶ γυναιξὶν ἐπιμανέντων, ἢ γυναικῶν ἀνδράσιν αὐτὸ μόνον. ἐπιτελοῦνται γὰρ αἱ ἐπιθυμίαι αὗται νόμῳ φύσεως· ἀλλὰ ἀνδρῶν ἄρσεσιν, ἡλικίᾳ μόνον διαφέρουσι. καὶ γὰρ εἴ τι περὶ ἔρωτος καὶ οὐρανίου Ἀφροδίτης κεκομψεῦσθαι δοκεῖ, χάριν ἀστεϊσμοῦ παρείληπται. τὸ

C γὰρ πλεῖστον αὐτοῦ μέρος ὁ κοινὸς καὶ πάνδημος ἔρως διείληφεν, ἀνδρείαν μὲν τὴν βιωφελεστάτην ἀρετὴν κατὰ πόλεμον καὶ κατ' εἰρήνην ἀφαιρούμενος, θήλειαν δὲ νόσον ταῖς ψυχαῖς ἀπεργαζόμενος, καὶ ἀνδρογύνους κατασκευάζων, οὓς ἐχρῆν πᾶσι τοῖς πρὸς ἀλκὴν ἐπιτηδεύμασι συγκροτεῖσθαι· λυμηνάμενος δὲ τὴν παιδικὴν ἡλικίαν καὶ εἰς ἐρωμένης τάξιν καὶ διάθεσιν ἀγαγὼν, ἐζημίωσε καὶ τοὺς ἐραστὰς περὶ τὰ ἀναγκαιότατα σῶμά τε, καὶ ψυχὴν, καὶ οὐσίαν. ἀνάγκη γὰρ τοῦ παιδεραστοῦ τὸν μὲν νοῦν τετάσθαι πρὸς τὰ παι-

D δικὰ, καὶ πρὸς ταῦτα μόνον ὀξυδορκοῦντα, πρὸς δὲ τὰ ἄλλα πάντα ἴδιά τε καὶ κοινὰ, τυφλούμενον ὑπὸ τῆς ἐπιθυμίας, καὶ μάλιστα εἰ ἀποτυγχάνοι, συντήκεσθαι· τὴν δὲ οὐσίαν ἐλαττοῦσθαι διχόθεν, ἔκ τε ἀμελείας, καὶ τῶν εἰς τὸν ἐρώμενον ἀναλωμάτων· παραφύεται δὲ καὶ μεῖζον ἄλλο πάνδημον κακόν. ἐρημίαν γὰρ πόλεων, καὶ σπάνιν τοῦ ἀρίστου γένους ἀνθρώπων, καὶ στείρωσιν καὶ ἀγονίαν τεχνάζοντες, οἱ μιμοῦνται τοὺς ἀνεπιστήμονας τῆς

E γεωργίας, σπείροντες ἀντὶ τῆς βαθυγείου πεδιάδος ὑφάλμους ἀρούρας, ἢ λιθώδη καὶ ἀπόκροτα χωρία, ἃ πρὸς τῷ μηδὲν πεφυκέναι βλαστάνειν, καὶ τὰ βληθέντα φθείρει σπέρματα. σιωπῶ τὰ τῶν μύθων πλάσματα καὶ τοὺς δισωμάτους, οἳ κατ' ἀρχὰς προσφυόντες ἀλλήλοις ἐρωτικαῖς δυνάμεσιν, αὖθις οἷα μέρη συνεληλυθότων διεζεύχθησαν, τῆς ἁρμονίας ὑφ' ἧς συνείχοντο λυθείσης. εὐπαράγωγα γὰρ ταῦτα πάντα, δυνάμενα τῇ καινότητι τῆς ἐπινοίας τὰ ὦτα δελεάζειν,

ὧν ἐκ πολλοῦ τοῦ περιόντος οἱ Μωσέως γνώριμοι μεμαθηκότες ἐκ πρώτης ἡλικίας ἐρᾶν ἀληθείας καταφρονοῦσιν, ἀνεξαπάτητοι διατελοῦντες. ἀλλ' ἐπεὶ τὰ διωνομασμένα συμπόσια τοιαύτης μεστὰ φλυαρίας ἐστὶν, ἐν ἑαυτοῖς ἔχοντα τὸν ἔλεγχον, εἴ τις μὴ πρὸς δόξαν, καὶ τὴν διαδοθεῖσαν περὶ αὐτῶν ὡς δὴ πάνυ κατωρθωμένων φήμην ἐθελήσειεν ἀφορᾶν, ἀντιτάξω τὰ τῶν ἀνατεθεικότων τὸν ἴδιον βίον καὶ ἑαυτοὺς ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν τῆς φύσεως πραγμάτων, κατὰ τὰς τοῦ προφήτου Μωσέως ἱερωτάτας ὑφηγήσεις. οὗτοι τὸ μὲν πρῶτον ἀθροίζονται δι' ἑπτὰ ἑβδομάδων, οὐ μόνον τὴν ἁπλῆν ἑβδομάδα, ἀλλὰ καὶ τὴν δύναμιν τεθηπότες. ἁγνὴν γὰρ καὶ ἀειπάρθενον αὐτὴν ἴσασιν· ἔστι δὲ προεόρτιος μεγίστης ἑορτῆς, ἣν πεντηκοντὰς ἔλαχεν, ἁγιώτατος καὶ φυσικώτατος ἀριθμῶν, ἐκ τῆς τοῦ ὀρθογωνίου τριγώνου δυνάμεως, ὅπερ ἐστὶν ἀρχὴ τῆς τῶν ὅλων γενέσεως. ἐπειδὰν οὖν συνέλθωσι λευχειμονοῦντες φαιδροὶ μετὰ τῆς ἀνωτάτω σεμνότητος, ὑποσημήναντός τινος τῶν ἐφημερευτῶν· οὕτω γὰρ ὀνομάζειν ἔθος τοὺς ἐν ταῖς τοιαύταις ὑπηρεσίαις· πρὸ τῆς κατακλίσεως στάντες ἑξῆς κατὰ στοῖχον ἐν κόσμῳ, καὶ τάς τε ὄψεις καὶ χεῖρας εἰς οὐρανὸν ἀνατείναντες, τὰς μὲν, ἐπεὶ τὰ θέας ἄξια καθορᾶν ἐπαιδεύθησαν· τὰς δὲ, ὅτι καθαραὶ λημμάτων εἰσὶν, ὑπὸ μηδεμιᾶς προφάσεως τῶν εἰς πορισμὸν μιαινόμεναι, προσεύχονται τῷ θεῷ θυμήρη γενέσθαι καὶ κατὰ νοῦν ἀπαντῆσαι τὴν εὐωχίαν. μετὰ δὲ τὰς εὐχὰς οἱ πρεσβύτεροι κατακλίνονται, ταῖς εἰσκρίσεσιν ἀκολουθοῦντες. πρεσβυτέρους γὰρ, οὐ τοὺς πολυετεῖς καὶ παλαιοὺς νομίζουσιν, ἀλλ' ἔτι κομιδῇ νέους παῖδας, ἐὰν ὀψὲ τῆς προαιρέσεως ἐρασθῶσιν, ἀλλὰ τοὺς ἐκ πρώτης ἡλικίας ἐνηβήσαντας καὶ ἐνακμάσαντας τῷ θεωρητικῷ μέρει φιλοσοφίας, ὃ δὴ κάλλιστον καὶ θειότατόν ἐστι. συνεστιῶνται δὲ καὶ γυναῖκες, ὧν πλεῖσται γηραιαὶ, παρθένοι τὴν ἁγνείαν, οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι τῶν παρ' Ἕλλησιν ἱερειῶν, διαφυλάξασαι μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην, διὰ δὲ ζῆλον καὶ πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάσασαι, τῶν περὶ σῶμα ἡδονῶν ἠλόγησαν, οὐ θνητῶν ἐκγόνων, ἀλλ' ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυτῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχὴ, σπείραντος εἰς αὐτὴν ἀκτῖνας νοητὰς τοῦ πατρὸς, αἷς δυνήσεται θεωρεῖν τὰ σοφίας δόγματα. διανενέμηται δὲ ἡ κατάκλισις, χωρὶς μὲν ἀνδράσιν ἐπὶ δεξιὰ, χωρὶς δὲ γυναιξὶν ἐπ' εὐώνυμα. εἰ πού τις ὑπολαμβάνει στρωμνὰς, εἰ καὶ μὴ πο-

A vt superuacanea fastidiuntur à Mosis discipulis, à prima ætate veritati assuetis, vt decipi nequeant. ergo cum illa celebrata conuiuia tantum nugarum contineant, vt ipsa se coarguant, si quis rem magis spectet quàm aliorum præiudicium, ex aduerso his opponam quæ ex instituto Mosis prophetæ agitantur certis temporibus apud eos qui totam vitam dedicarunt cognitioni naturæ contemplationique. hi numeros in primis obseruan-
B do post septem hebdomadas elapsas conuentus suos instaurant, venerati non solum simplicem septenarium, sed & vim eius multiplicem. castam enim sciunt hebdomada & semper virginem. is dies profestus est maximæ festiuitatis incidentis in numerum quinquagenarium sanctissimum & naturæ gratissimum, constantem ex vi rectangularis trianguli, quod est initium generationis rerum omnium.
C vbi verò conuenere candidati & læti cum summa grauitate, ad signum datum à quopiam ephemereuta (sic huiusmodi ministros nominant) prius quàm discumbant stantes vna serie decentes, sublatisque ad cælum manibus atque oculis, his quoniam didicerunt spectare cælestia, illis vtpote incorruptis à muneribus & à quæstu illicito, precantur vt Deo placeat id conuiuium. absolutis precibus seniores discumbunt, ac mox alij pro
D cuiusque dignitate. nec enim seniores ex annis æstimant, sed quantumlibet grandæuos habent pro pueris, si sero institutum hoc complexi sunt: honorem verò senectutis tribuunt his qui exercuerunt se à iuuentute in hac pulcherrima diuináque parte contemplatiuæ philosophiæ. Adhibētur mensæ fœminæ quoque, anus pleræque, sed virgines, non coactæ castitatis, sicut apud Græcos quædam sacrificu-
E læ, sed sponte continentes præ amore sapientiæ, cuius studio per totam vitam contempserunt voluptates corporis, nimirum diuinæ non mortalis prolis cupidæ, quam solæ Deo charæ animæ ex seipsis pariunt, excipientes pro semine intelligibiles patris radios, vt decreta sapientiæ contemplando percipere valeant. discubitus ita distribuitur, vt seorsum viri dextrum latus, seorsum fœminæ sinistrum teneant. quod si quis suspicatur lectisternia, etsi non sumptuosa,

certe molliuscula parari hominibus ingenuis & philosophiæ deditis, sciat esse tegetes rudes è vili contextas materia, videlicet è papyro indigena, sic humi aggestas vt eminendo fulciant cubitos. remittunt enim paululum illam Laconicam disciplinæ duriciam, semper & vbique probantes liberalem frugalitatem, totis viribus auersando voluptatis illecebras. in ministerio non vtuntur mancipijs, quandoquidem seruitutem cum natura omnino pugnare autumant. nam ea liberos omnes genuit, sed huius legum contemptrix auaricia, fontem malorum inæqualitatem ei præferens, infirmioribus necessitatem imposuit, vt iussa potentiorum facerent. cæterum in hoc sacro conuiuio nemo, vt dixi, seruus adest, ministrant ingenui, & sponte quicquid opus est faciunt, iussa non expectando sed præueniendo alacritate voluntaria. non enim quibuslibet ingenuis delegatur id officium, sed habito delectu ex omni sodalitatis huius iuuentute, vt quisque aliquod præclarum indolis ac virtutis specimen edidit. hi tanquam germani filij libenter & certatim ministrant haud secus ac parentibus publicis, hanc coniunctionem arctiorem ducentes quàm sanguinis, quandoquidem rectè sapientibus virtute nihil est antiquius. discincti autem & promissis tunicis accedunt ad ministrandum, vt absit omnis seruilis species ab hoc conuiuio. Scio quosdam his auditis risuros, duntaxat eos qui deflenda ipsi lamentisque digna faciunt. Vinum per illos dies non præbetur, sed aqua limpidissima, cæteris frigida, calida verò his qui inter seniores tractantur delicatius. mensa pura est à cruentis dapibus, pro cibo panis apponitur, sal pro obsonio, & pro condimento hyssopus in delicatorum gratiam. operantur enim vt sacerdotes sacris abstemijs, tota victus ratione castigata ad eandem frugalitatem. nam vinum habent pro veneno afferente dementiam: opiparis autem obsonijs aiunt irritari concupiscentiam, beluam insaturabilem. hæc sunt exordia conuiuij. Dicat aliquis: Quid tum posteaquam conuiuis ordine suo discumbentibus adstiterunt ministri decenter parati ad obsequium, nullàne sequitur compotatio? imò silentium magis quàm antea,

A λυτελεῖς, ἀλλ' οὖν μαλακωτέρας ἀνθρώποις εὐγενέσι καὶ ἀστείοις καὶ φιλοσοφίας ἀσκηταῖς εὐτρεπίσθαι, στιβάδες εἰσὶν εὐτελεστέρας ὕλης, ἀφ' ὧν εὐτελῆ πάνυ χαμαίστρωτα παπύρου τῆς ἐγχωρίου, μικρὸν ὑπερέχοντα κατὰ τοὺς ἀγκῶνας ἵνα ἐπερείδοιντο. τὴν μὲν γὰρ Λακωνικὴν σκληραγωγίαν ὑπανιᾶσιν, ἀεὶ δὲ καὶ πανταχοῦ τὴν ἐλευθέριον εὐκολίαν ἐπιτηδεύουσιν, ἀνὰ κράτος τοῖς ἡδονῆς φίλτροις ἀπεχθόμενοι· διακονοῦνται δὲ οὐχ ὑπ' ἀνδραπόδων, ἡγούμενοι συνόλως τὴν
B θεραπόντων κτῆσιν εἶναι παρὰ φύσιν. ἡ μὲν γὰρ ἐλευθέρους ἅπαντας γεγέννηκεν· αἱ δὲ τινῶν ἀδικίαι καὶ πλεονεξίαι ζηλωσάντων τὴν ἀρχέκακον ἀνισότητα καταζεύξασαι, τὸ ἐπὶ τοῖς ἀσθενεστέροις κράτος τοῖς δυνατωτέροις ἀνῆψαν. ἐν δὴ τῷ ἱερῷ τούτῳ συμποσίῳ, δοῦλος μὲν ὡς ἔφην οὐδεὶς, ἐλεύθεροι δὲ ὑπηρετοῦσι, τὰς διακονικὰς χρείας ἐπιτελοῦντες οὐ πρὸς βίαν, οὐδὲ προστάξεις ἀναμένοντες, ἀλλ' ἐθελουσίῳ γνώμῃ φθάνοντες
C μετὰ σπουδῆς καὶ προθυμίας τὰς ἐπικελεύσεις. οὐδὲ γὰρ οἱ τυχόντες ἐλεύθεροι τάττονται πρὸς ταῖς ὑπουργίαις ταύταις, ἀλλ' οἱ νέοι τῶν ἐν τῷ συστήματι μετὰ πάσης ἐπιμελείας ἀριστίνδην ἐπικριθέντες, ὃν χρὴ τρόπον ἀστείους καὶ εὐγενεῖς πρὸς ἄκραν ἀρετὴν ἐπειγομένους, οἳ καθάπερ υἱοὶ γνήσιοι φιλοτίμως ἄσμενοι πατράσι καὶ μητράσιν ὑπουργοῦσιν, κοινοὺς αὐτῶν γονεῖς νομίζοντες οἰκειοτέρους τῶν ἀφ' αἵματος, εἴγε καλοκἀγαθίας οὐδὲν οἰκειότερόν ἐστι τοῖς εὖ φρονοῦσιν· ἄζωστοι δὲ καὶ καθειμέ-
D νοι τοὺς χιτωνίσκους εἰσίασιν ὑπηρετήσοντες, ἕνεκα τοῦ μηδὲν εἴδωλον ἐπιφέρεσθαι δουλοπρεποῦς σχήματος εἰς τοῦτο τὸ συμπόσιον. οἶδα ὅτι γελάσονταί τινες ἀκούσαντες· γελάσονται δὲ οἱ κλαυθμῶν καὶ θρήνων ἄξια δρῶντες. οἶνος ἐν ἐκείναις ταῖς ἡμέραις οὐκ εἰσκομίζεται, ἀλλὰ διαυγέστατον ὕδωρ, ψυχρὸν μὲν τοῖς πολλοῖς, θερμὸν δὲ τῶν πρεσβυτῶν τοῖς ἁβροδιαίτοις. καὶ τράπεζα καθαρὰ τῶν ἐναίμων, ἐφ' ἧς ἄρτοι μὲν τροφή, προσόψημα δὲ ἅλες οἷς ἐστιν ὅτε καὶ ὕσσωπος ἥδυσμα
E παραρτύεται διὰ τοὺς τρυφῶντας. νηφάλια γὰρ ὡς τοῖς ἱερεῦσι θύειν, καὶ τούτοις βιοῦν ὁ ὀρθὸς λόγος ὑφηγεῖται. οἶνος μὲν γὰρ, ἀφροσύνης φάρμακον· ὄψα δὲ πολυτελῆ, τὸ θρεμμάτων ἀπληστότατον διερεθίζει τὴν ἐπιθυμίαν. καὶ τὰ μὲν πρῶτα τοιαῦτα· μετὰ δὲ τὸ κατακλιθῆναι μὲν τοὺς συμπότας ἐν αἷς ἐδήλωσα τάξεσι, στῆναι δὲ τοὺς διακονοῦντας ἐν κόσμῳ πρὸς ὑπηρεσίαν ἑτοίμους· πότος δ' οὐκ ἔστιν, εἴποι τις ἄν. ἀλλ' ἔτι μᾶλλον ἢ πρότερον,

ὡς

ὡς μηδὲ γρύξαι τινὰ τολμᾶν ἢ ἀναπνεῦσαι βιαιότερον, ζητεῖ τι τῶν ἐν τοῖς ἱεροῖς γράμμασιν, ἢ καὶ ὑπ' ἄλλου προταθὲν ἐπιλύεται, φροντίζων μὲν οὐδὲν ἐπιδείξεως· οὐ γὰρ τῆς ἐπὶ δεινότητι λόγων εὐκλείας ὀρέγεται· θεάσασθαι δέ τινα ποθῶν ἀκριβέστερον, καὶ θεασάμενος μὴ φθονῆσαι τοῖς εἰ καὶ μὴ ὁμοίως ὀξυδερκοῦσι, τὸν γοῦν τοῦ μαθεῖν ἵμερον παραπλήσιον ἔχουσι. καὶ ὁ μὲν σχολαιοτέρᾳ χρῆται τῇ διδασκαλίᾳ, διαμέλλων καὶ βραδύνων ταῖς ἐπαναλήψεσιν, ἐγχαράττων ταῖς ψυχαῖς τὰ νοήματα. τῇ γὰρ ἑρμηνείᾳ τοῦ εὐτρόχως καὶ ἀπνευστὶ συνείροντος, ὁ τῶν ἀκροωμένων νοῦς συνομαρτεῖν ἀδυνατῶν, ὑστερίζει καὶ ἀπολείπεται τῆς καταλήψεως τῶν λεγομένων· οἱ δὲ ἀνωρθιακότες εἰς αὐτὸν, ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς σχέσεως ἐπιμένοντες ἀκροῶνται, τὸ μὲν συνιέναι καὶ κατειληφέναι νεύματι καὶ βλέμματι διασημαίνοντες· τὸ δὲ ἐπαινεῖν τοῦ λέγοντος ἱλαρότητι καὶ τῇ σχέδην περιαγωγῇ τοῦ προσώπου· τὴν δὲ διαπόρησιν, ἠρεμαιοτέρᾳ κινήσει τῆς κεφαλῆς, καὶ ἄκρῳ δακτύλῳ τῆς δεξιᾶς χειρός. οὐχ ἧττον δὲ τῶν κατακεκλιμένων οἱ παρεστῶτες νέοι προσέχουσιν. αἱ δὲ ἐξηγήσεις τῶν ἱερῶν γραμμάτων γίνονται δι' ὑπονοιῶν ἐν ἀλληγορίαις. ἅπασα γὰρ ἡ νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ἐοικέναι ζῴῳ· καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διατάξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν, ἐν ᾧ ἤρξατο ἡ λογικὴ ψυχὴ διαφερόντως τὰ οἰκεῖα θεωρεῖν ὥσπερ διὰ κατόπτρου τῶν ὀνομάτων, ἐξαίσια κάλλη νοημάτων ἐμφαινόμενα κατιδοῦσα, καὶ τὰ μὲν σύμβολα διαπτύξασα καὶ διακαλύψασα· γυμνὰ δὲ εἰς φῶς προαγαγοῦσα τὰ ἐνθύμια, τοῖς δυναμένοις ἐκ μικρᾶς ὑπομνήσεως τὰ ἀφανῆ διὰ τῶν φανερῶν θεωρεῖν. ἐπειδὰν οὖν ἱκανῶς ὁ πρόεδρος διειλέχθαι δοκῇ, καὶ κατὰ προαίρεσιν ἀπηντηκέναι, τῷ μὲν ἡ διάλεξις εὐστόχως ταῖς ἐπιβολαῖς, τοῖς δὲ ἡ ἀκρόασις, κρότος ἐξ ἁπάντων ὡς ἂν συνηδομένων ἐπὶ τῷ ἐπιφερομένῳ γίνεται. καὶ ἔπειτα ὁ μὲν ἀναστὰς, ὕμνον ᾄδει πεποιημένον εἰς τὸν θεὸν, ἢ καινὸν αὐτὸς πεποιηκὼς, ἢ ἀρχαῖόν τινα τῶν πάλαι ποιητῶν. μέτρα γὰρ καὶ μέλη καταλελοίπασι ποιηταὶ ἐπῶν τριμέτρων, προσοδίων, ὕμνων, παρασπονδείων, παραβωμίων, στασίμων, χορικῶν, στροφαῖς πολυστρόφοις εὖ διαμεμετρημένων· μεθ' ὃν καὶ οἱ ἄλλοι κατὰ τάξεις ἐν κόσμῳ προσήκοντι, πάντων κατὰ πολλὴν ἡσυχίαν ἀκροωμένων, πλὴν ὁπότε τὰ ἀκροτελεύτια καὶ ἐφύμνια ᾄδειν δέοι. τότε γὰρ ἐξηχοῦσι πάντες τε καὶ πᾶσαι.

A ita vt ne mutire quidem cuiquam liceat aut respirare vehementius. proponit quispiam quæstionem è sacris literis, aut soluit ab alio propositam, nihil de solutione solicitus. nec enim captat laudem argutiarum aut eloquentiæ. hoc tantum agit vt rem diligentius perspiciat, tum perspectam non inuideat minus perspicacibus, sed non minus discendi cupidis. atque ita immoratur doctrinæ, subinde inculcans impriménsque animis præclaras sententias. B nam expeditam elocutionem, & vna serie continuam, auditorum mens non valens assequi, à tergo relinquitur, nec satis audita percipit. totum verò auditorium attentum auscultat in vno eodémque habitu, intelligere se nutu vultúque indicans, probare verò hilaritate ac exporrectis frontibus: interdum & dubitare hærerèque, moto leniter capite summóque dextræ digito. Nec minore attentione C iuniores qui adstant audiunt. enarrationes autem sacrarum literarum constant ex allegorijs. nam hi viri totam legem existimant habere animalis similitudinem, quòd præcepta corpus referant, animam verò sententiæ retrusiores sub velamine verborum abditæ, in quibus rationalis anima egregie seipsam contemplatur tanquam in speculo, sub his ipsis verbis miram sententiarum pulchritudinem conspiciens, & explicans è figurarum D inuolucris, atque ita penitiorem intellectum in lucem producens, duntaxat apud eos qui per occasionem admoniti sciunt obscura ex apertis colligere. vbi verò præses visus est rem bene tractando satisfecisse auditorum desiderio, plausus propalam editur ab omnibus. tum ille assurgens hymnum in laudem Dei primus canit, aut recens à se compositum, aut desumptum ab aliquo vatum veterum. E extant enim huius generis carmina prisca versu trimetro, & hymni cum suis accentibus inter sacra canendi ante altaria, vel à stantibus vel à choreas ducentibus moderatas varijs flexibus atque reflexibus. præsulem mox imitantur cæteri decenti ordine, omnibus intente quietéque auscultantibus, præterquam in fine hymni extremáque clausula tunc enim vniuersi vocem extollunt

A sine sexus discrimine. absolutis hymnis singulorum, iuniores paulo ante dictam mensam efferunt, in qua rite cibus ille sacratissimus, panis fermentatus cũ sale apponitur & hyssopo, ob reuerentiam mensæ dedicatæ in templi vestibulo. nam & in ea solent proponi panes cum sale absque condimento alio: sed panes non fermentati, sal sine vlla mixtura. conuenit enim sacris pura simplicitas, egregium diuini cultus præmium. eam vulgus B imitari debet, abstinere tamen ab his panibus, vt potiores priuilegium habeant. cœnam verò sequitur sacrum peruigilium his ritibus. Vbi omnes consurrexere, duo chori fiunt in medio cœnaculo, alter virorum, alter fœminarum. cuique suus incentor præficitur, honore præstans & canendi peritia. deinde cantant hymnos in laudem Dei compositos varijs metrorum carminúmque generibus, nũc C ore vno, nunc alternis, non sine decoris & religiosis gestibus atque accentibus, modo stantes, modo prorsum retrorsúmve gradum mouentes, vtcunque res postulat. Deinde postquam vterque chorus seorsum expleuit se his delicijs, velut amore diuino ebrij vnum chorum faciunt promiscuum, ad imitationem illius olim instituti in rubri sinus littore post mirandum prodigium, quando mare Deo iubente alteris salutem, alteris D perniciem attulit. diductus enim violenter aquis & vtrinque consolidatis in parietum speciem, medium interstitium latam viam & siccam populo præbuit, per quam ad continentis aduersæ loca editiora traijceret. aquis deinde in suam regionem pristinam hinc illinc refluentibus, & medium solum paulo ante nudatum inundantibus, ausus eos persequi hostis mersus internecione perijt. ac-E cepto autem hoc tam insigni & insperato beneficio, correpti numine viri pariter ac mulieres, & in vnam choream conglomerati, hymnis gratias seruatori Deo canebant, præcinente viris Mose propheta, Mariamme vero prophetide fœminis. ad horum maxime imitationem hic therapeutarum therapeutridúmque chorus compositus, & mixtis ad graues virorum acutis fœmineis vocibus concinne temperatus, concentum reddit suauissimum

A ὅταν δὲ ἕκαστος διαπεράνηται τὸν ὕμνον, οἱ νέοι τὴν πρὸ μικροῦ λεχθεῖσαν τράπεζαν εἰσκομίζουσιν, ἐφ' ἧς τὸ πανάγιστον σιτίον, ἄρτος ἐζυμωμένος μετὰ προσοψήματος ἁλῶν, οἷς ὕσσωπος ἀναμέμικται, δι' αἰδῶ τῆς ἀνακειμένης ἐν τῷ ἁγίῳ προνάῳ ἱερᾶς τραπέζης. ἐπὶ γὰρ ταύτης εἰσὶν ἄρτοι καὶ ἅλες ἄνευ ἡδυσμάτων· ἄζυμοι μὲν οἱ ἄρτοι, ἀμιγεῖς δὲ καὶ οἱ ἅλες. προσῆκον γὰρ ἦν, τὰ μὲν ἁπλούστατα καὶ εἰλικρινέστατα τῇ κρατίστῃ τῶν ἱερέων B ἀπονεμηθῆναι μερίδι, λειτουργίας ἆθλον· τοὺς δὲ ἄλλους, τὰ μὲν ὅμοια ζηλοῦν, ἀπέχεσθαι δὲ τῶν ἄρτων, ἵνα ἔχωσι προνομίαν οἱ κρείττονες. μετὰ δὲ τὸ δεῖπνον τὴν ἱερὰν ἄγουσι παννυχίδα· ἄγεται δὲ ἡ παννυχὶς τὸν τρόπον τοῦτον· ἀνίστανται πάντες ἀθρόοι, καὶ κατὰ μέσον τὸ συμπόσιον δύο γίνονται τὸ πρῶτον χοροί, ὁ μὲν ἀνδρῶν, ὁ δὲ γυναικῶν· ἡγεμὼν δὲ καὶ ἔξαρχος αἱρεῖται καθ' ἑκάτερον ἐντιμότατός τε καὶ ἐμμελέστατος. εἶτα ᾄδουσι πεποιημένους εἰς τὸν θεὸν ὕμνους πολλοῖς μέτροις καὶ μέλεσι, τῇ μὲν C συνηχοῦντες, τῇ δὲ καὶ ἀντιφώνοις ἁρμονίαις ἐπιχειρονομοῦντες καὶ ἐπορχούμενοι, καὶ ἐπιθειάζοντες τοτὲ μὲν τὰ προσόδια, τοτὲ δὲ τὰ στάσιμα, στροφάς τε τὰς ἐν χορείᾳ καὶ ἀντιστροφὰς ποιούμενοι. εἶτα ὅταν ἑκάτερος τῶν χορῶν ἰδίᾳ καὶ καθ' ἑαυτὸν ἑστιαθῇ, καθάπερ ἐν ταῖς βακχείαις ἀκράτου σπάσαντες τοῦ θεοφιλοῦς ἀναμίγνυνται, καὶ γίνονται χορὸς εἷς ἐξ ἀμφοῖν, μίμημα τοῦ πάλαι συστάντος κατὰ τὴν ἐρυθρὰν θάλασσαν, ἕνεκα τῶν θαυματουρ-D γηθέντων ἐκεῖ. τὸ γὰρ πέλαγος προστάξει θεοῦ, τοῖς μὲν σωτηρίας αἴτιον, τοῖς δὲ πανωλεθρίας γίν. ῥαγέντος μὲν γὰρ καὶ βιαίοις ἀνακοπαῖς ὑποσυρέντος καὶ ἑκατέρωθεν ἐξ ἐναντίας οἷα τειχῶν παγέντων, τὸ μεθόριον διάστημα εἰς λεωφόρον ὁδὸν καὶ ξηρὰν πᾶσαν ἀνατμηθὲν εὐρύνετο, δι' ἧς ὁ λεὼς ἐπέζευσεν ἄχρι τῆς ἀντιπέρας ἠπείρου, πρὸς τὰ μετέωρα παραπεμφθείς· ἐπιδραμόντος δὲ τῇ παλιρροίᾳ, καὶ τοῦ μὲν ἔνθεν, τοῦ δὲ ἔνθεν εἰς τὸ χερσω-E θὲν ἔδαφος ἀναχυθέντος, οἱ ἐπακολουθήσαντες τῶν πολεμίων κατακλυσθέντες διαφθείρονται. τοῦτο καὶ ἰδόντες καὶ παθόντες, ὃ καὶ λόγου καὶ ἐννοίας καὶ ἐλπίδος μεῖζον ἔργον ἦν, ἐνθουσιῶντες ἄνδρες ὁμοῦ καὶ γυναῖκες, εἷς γενόμενοι χορός, τοὺς εὐχαριστηρίους ὕμνους εἰς τὸν σωτῆρα θεὸν ᾖδον, ἐξάρχοντος τοῖς μὲν ἀνδράσι Μωσέως τοῦ προφήτου, ταῖς δὲ γυναιξὶ Μαριὰμ τῆς προφήτιδος. τούτῳ μάλιστα ἀπεικονισθεὶς ὁ τῶν θεραπευτῶν καὶ θεραπευτρίδων, μέλεσιν ἀντήχοις καὶ ἀντιφώνοις πρὸς βαρὺν ἦχον τῶν ἀνδρῶν ὁ γυναικῶν ὀξὺς ἀνακιρνάμενος,

ἐναρμόνιον συμφωνίαν ἀποτελεῖ, καὶ μουσικὴν ὄντως· πάγκαλα μὲν τὰ νοήματα, πάγκαλοι δὲ αἱ λέξεις, σεμνοὶ δὲ οἱ χορευταί· τὸ δὲ τέλος καὶ τῶν νοημάτων, καὶ τῶν λέξεων, καὶ τῶν χορευτῶν, εὐσέβεια. μεθυσθέντες οὖν ἄχρι πρωΐας, τὴν καλὴν ταύτην μέθην, οὐ καρηβαροῦντες ἢ καταμύοντες, ἀλλὰ διεγηγερμένοι μᾶλλον ἢ ὅτε παρεγίνοντο εἰς τὸ συμπόσιον, τάς τε ὄψεις καὶ ὅλον τὸ σῶμα πρὸς τὴν ἕω στάντες, ἐπὰν θεάσωνται τὸν ἥλιον ἀνίσχοντα, τὰς χεῖρας ἀνατείναντες εἰς οὐρανὸν, εὐημερίαν καὶ ἀλήθειαν ἐπεύχονται, καὶ ὀξυωπίαν λογισμοῦ. καὶ μετὰ τὰς εὐχὰς, εἰς τὰ ἑαυτοῦ ἕκαστος σεμνεῖα ἀναχωροῦσι, πάλιν τὴν συνήθη φιλοσοφίαν ἐμπορευσόμενοι καὶ γεωργήσοντες. θεραπευτῶν μὲν δὴ πέρι τοσαῦτα θεωρίαν ἀσπασαμένων φύσεως, καὶ τῆς ἐν αὐτῇ καὶ ψυχῇ μόνῃ βιωσάντων, οὐρανοῦ μὲν καὶ κόσμου πολιτῶν, τῷ δὲ πατρὶ καὶ ποιητῇ τῶν ὅλων γνησίως συσταθέντων ὑπ' ἀρετῆς, ἣ τὴν φιλίαν αὐτοῖς προυξένησεν οἰκειότατον γέρας, καλοκαγαθίας προσθεὶς ἁπάσης ἄμεινον εὐτυχίας, ἐπ' αὐτὴν ἀκρότητα φθάνον εὐδαιμονίας.

A veréque musicum. pulcherrimis enim verbis includuntur sententiæ pulcherrimæ, religiosis choreis accedentibus. horum porrò vniuersorum finis vnus & idem est pietas. itaque producta vsque matutinum hac comessatione honestissima, neque grauati crapula, neque nictantes, sed excitatiores, quam cum venirent ad conuiuium, verso ad auroram vultu totóque corpore, quamprimum solem orientem aspiciunt, felicem diem & veritatem, perspicacémque mentem sibi comprecantur. atque ita precationi-
B bus absolutis ad suum quisque semneũ secedit, & ad negotiationẽ culturámque consuetæ philosophiæ. Hactenus de therapeutis naturæ contemplatoribus, & huic tantum studio curandęque animæ per totam vitam deditis, cæli & mundi ciuibus, patri conditoríque rerum propter suam virtutem commendatissimis: qua conciliante adepti cælestis numinis amicitiam, præmium conuenientissimum, fortuna virtuti posthabita, euaserunt ad supremum felicitatis fastigium.

ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ.

PHILONIS IVDÆI, DE NOBILITATE.

ΤΟΙΣ δὲ ὑμνοῦσι τὴν εὐγένειαν ὡς μέγιστον ἀγαθὸν καὶ μεγάλων ἀγαθῶν αἴτιον, οὐ μετρίως ἐπιτιμητέον, εἰ πρῶτον μὲν οἴονται τοὺς ἐκ παλαιοπλούτων καὶ παλαιενδόξων εὐγενεῖς, μήτε τῶν προγόνων ἀφ' ὧν αὐχοῦσι γενέσθαι, διὰ τὰς ἀφθόνους περιουσίας εὐδαιμονησάντων. ἐπεὶ τὸ πρὸς ἀλήθειαν ἀγαθὸν οὐδενὶ τῶν ἐκτὸς, ἀλλ' οὐδὲ τῶν περὶ σῶμα, μᾶλλον δὲ οὐδὲ παντὶ μέρει ψυχῆς, ἀλλὰ μόνῳ τῷ ἡγεμονικῷ πέφυκεν ἐνδιαιτᾶσθαι. βουληθεὶς γὰρ ὁ θεὸς διὰ ἡμερότητα καὶ φιλανθρωπίαν καὶ παρ' ἡμῖν τοῦτο ἱδρύσασθαι, νεὼν ἀξιοπρεπέστερον ἐπὶ γῆς οὐχ εὗρε λογισμοῦ κρείττω. ὁ γὰρ νοῦς ἀγαλματοφορεῖ τὸ ἀγαθὸν, κἂν ἀπιστῶσί τινες τῶν μὴ γευσαμένων σοφίας, ἢ χείλεσιν ἄκροις· ἀρ-

C QVI laudibus extollunt nobilitatem, vt bonum maximum & causam magnorum bonorum, ipsi reprehendendi sunt vel ob hoc quod nobiles censent natos è familijs iamdudum claris & diuitibus, cum ne maiores quidem illi quos iactant, propter opulentiam felices fuerint: quandoquidem verum bonum in
D nulla externa re, nec in corpore, imò nec in quauis parte animæ, sed in principali tantum, situm esse natura voluit. postquam enim Deus pro sua bonitate charitatéque etiã inter nos hoc collocare decreuit, nullũ templum inuenit ei dignius quam mentẽ hominis. mẽs enim circũfert illius boni effigiẽ, quãuis id persuaderi non possit his qui ne sũmis quidẽ labris degustarunt sapiẽ-

tiam, caligantibus in luce clarissima. A nam aurum, argentum, honores, dignitates, valetudo, forma, sunt in virtutis tanquam reginæ ministerijs. quoniam igitur nobilitas expiatæ purgatæque mentis sors est præcipua, nobiles dicendi sunt soli prudentes & iusti, etiamsi è vernis aut empticijs nati sint. malis vero prognatis ex honestis maioribus nullus locus esto inter nobiles. nam nequam ne inter ciues quidem censendus est, cum virtutis exul sit, B veræ bonorum virorum patriæ. talis fieri non potest, quin sit ignobilis, etiamsi auos proauósque laudatos memoret, ipse tota vita non minus alienus à nobilitate, quàm ab illorum studijs. nec satis est malis quod sint suapte natura ignobiles, nisi omnes, vt video, perpetuũ bellum gerant cum vere nobilibus, vel contra maiorum suorum dignitatem, obscurantes extinguentésque si quid superest splendoris gentilicij. Et hoc est, vt opinor, cur parentes C liberorum amantissimi interdum exhæredant filios, & à familia gentéque ablegant, quoties natiuam parentum caritatẽ degeneres nimia nequitia superant. id ita esse, etiam alijs argumentis facile colligitur. quid enim prodest oculis orbato suorum maiorũ perspicacitas, nequaquã hæreditaria? quid prodest ad dicendum elingui paterna vel auita eloquentia? quid conferunt ad vires tabe diuturna exsucci aridíque & vix ossibus hærentis, principes D generis propter athleticum robur adscripti fastis olympiacis? imò quid etiamsi fuere victores in omnibus sacris Græciæ certaminibus? certe nihil ea de causa decedit vitijs corporis, nullam opem ex præterita familiæ felicitate sentiẽtibus. ad eundem sanè modum iniustis liberis iusti parentes, luxu perditis sobrij, & in vniuersum malis boni vtilitatem nullam adferũt: sicut nec iura iuris violatoribus, ad quorum contumaciam pœnis coercẽ E dam inuenta sunt. & sunt etiam leges non scriptæ, nimirum vitæ exemplaque sectantium virtutem hominum. ideo puto ipsam Nobilitatem, si Deus ei formam vocémque daret humanã, sic allocuturam istos cõtumaces posteros. Gentilitas non sanguine solo æstimatur apud veritatem iudicem, sed factis studiisque similibus. At vos in contrarium tenditis, quæ odi amatis, quæ probo improbatis & auersamini.

πλοῦτος γὰρ καὶ χρυσός, τιμαί τε καὶ ἀρχαί, καὶ σώματος εὐεξία μετ' εὐμορφίας τοῖς ἐν ταῖς ἡγεμονίαις ἐπὶ χρειῶν τεταγμένοις πρὸς τὴν οἷα βασιλίδος ἀρετῆς ὑπηρεσίαν· ἀπεικότως φασί μὴ ἰδόντες. ἐπεὶ τοίνυν ἡ εὐγένεια κεκαθαρμένης διανοίας καὶ καθαρσίοις τελείοις κλῆρος οἰκεῖος, μόνους χρὴ λέγειν εὐγενεῖς τοὺς σώφρονας καὶ δικαίους, κἂν τύχωσιν ἐξ οἰκοτρίβων ἢ ἀργυρωνήτων γεγονότες· τοῖς δ' ἐξ ἀγαθῶν πονηροῖς γεγονόσιν ἄβατον ἔστω τὸ εὐγενείας χωρίον. ἄοικος γὰρ καὶ ἄπολις πᾶς φαῦλος, ἐκ πατρίδος ἀρετῆς ἐληλαμένος, ἥτις καὶ τῷ ὄντι σοφῶν ἀνδρῶν ἐστι πατρίς. τούτῳ κατὰ τὸ ἀναγκαῖον ἕπεται δυσγένεια, κἂν ἢ πάππων ἢ προπάππων γένοιτο τοὺς βίους ἀνεπιλήπτων, ἀλλοτρίωσιν ἐπιτηδεύοντι, καὶ πορρωτάτω τῆς εὐγενείας διαζευγνύντι ἑαυτὸν ἔν τε λόγοις καὶ ἔργοις. ἀλλὰ γὰρ πρὸς τῷ μὴ πεφυκέναι τοὺς πονηροὺς εὐγενεῖς, ἔτι καὶ πάντας αὐτοὺς ὁρῶ πολεμίους ἀσυμβάτους εὐγενείας καθαιροῦντας τὸ προγονικὸν ἀξίωμα, καὶ ὅσον ἐν τῷ γένει λαμπρὸν ἐξαμαυροῦντάς τε καὶ σβεννύντας· διό μοι δοκοῦσι φιλοστοργότατοι πατέρες ἀποκηρύξεις χρηματίζειν κατὰ υἱῶν, ἀποχωρίζοντες αὐτοὺς τῆς οἰκίας καὶ συγγενείας, ὅταν τὴν ἐκ φύσεως ἐν τοῖς γεννήσασι περιττὴν καὶ ὑπερβάλλουσαν εὔνοιαν, ἡ ἐν ἐκείνοις μοχθηρία κατακεκρατήκῃ. τὸ δ' ἀληθὲς τοῦ λόγου ῥᾴδιον καὶ ἀφ' ἑτέρων διαγνῶναι. τί γὰρ τὰς ὄψεις πεπηρωμένῳ γένοιτο ἂν εἰς τὰς ὄψεις ὄφελος, ὀξυωπίας προγονικῆς ἐστερημένῳ; ἢ πρὸς ἑρμηνείαν τῷ πεφιμωμένῳ γλῶτταν, γονεῖς ἢ πάππους γενέσθαι μεγαλοφώνους; τί δ' ὀνησαι πρὸς εὐτονίαν τὸν ἐκ μακρᾶς καὶ φθινώδους νόσου κατεσκελετευμένον, ἐὰν οἱ τοῦ γένους ἀρχηγέται δι' ἀθλητικὴν ῥώμην ἐν ὀλυμπιονίκαις ἢ περιοδονίκαις γράφωνται. μηδὲ ὅσοι γὰρ οὐδὲν ἧττον αἱ τοῦ σώματος κῆρες ἐν ὁμοίῳ, βλάπτουσιν οὐκ ἐνδιδόμεναι διὰ τὰς τῶν οἰκείων εὐπραγίας· τὸν αὐτὸν δὴ τρόπον, οὔτε τοῖς ἀδίκοις δίκαιοι γονεῖς, οὔτε ἀκολάστοις σώφρονες, οὔτε συνόλως ἀγαθοὶ πονηροῖς ὄφελος. οὔτε γὰρ οἱ νόμοι τοῖς παρανομοῦσιν, ὧν εἰσιν αὐτοὶ κολασταί· νόμοι δέ τινες ἂν εἶεν ἄγραφοι, οἱ βίοι τῶν ζηλωσάντων ἀρετήν· ὅθεν οἶμαι τὴν εὐγένειαν, εἰ θεὸς αὐτὴν εἰς ἀνθρωπόμορφον ἰδέαν ἐτύπωσεν στᾶσαν πρὸς τοὺς ἀφηνιαστὰς ἀπογόνους, ταῦτ' ἂν εἰπεῖν· τὸ συγγενὲς οὐχ αἵματι μετρεῖται μόνον πρυτανευούσης ἀληθείας, ἀλλὰ πράξεων ὁμοιότητι καὶ θήρᾳ τῶν αὐτῶν· ὑμεῖς δὲ τἀναντία ἐπιτηδεύσατε, τὰ μὲν ἐμοὶ φίλα νομίσαντες ἐχθρά, τὰ δὲ

καὶ διεζευγμένη φίλα. παρ' ἐμοὶ μὲν γὰρ αἰδὼς καὶ ἀλήθεια, μετριοπάθειά τε καὶ ἀτυφία καὶ ἀκακία τίμια· παρ' ὑμῖν δ' ἄτιμα. καὶ ἐμοὶ μὲν ἐχθρὰ τὰ ἀναίσχυντα, τὸ ψεῦδος, ἡ ἀμετρία τῶν παθῶν, ὁ τῦφος, αἱ κακίαι· ὑμῖν δὲ οἰκειότατα. τί δὴ μελετήσαντες ἀλλοτρίωσιν τὴν δι' ἔργων, τὴν ἐν λόγοις συνθήκην εὐπρεπὲς ὄνομα ὑποδυόμενοι καθυποκρίνεσθε. παραγωγαῖς γὰρ κεκομψευμένας καὶ ἀπάταις οὐκ ἀνέχομαι· διότι ῥᾷστον μὲν καὶ τῷ τυχόντι εὐπροσώπους λόγους εὑρεῖν, ἤθη δ' ὑπαλλάξαι πονηρὰ χρηστοῖς οὐ ῥᾷστον· εἰς ἃ τὴν ἀφορῶσα καὶ νῦν ἐχθροὺς νομίζω, καὶ αὖθις ἡγήσομαι τοὺς τὰ τῆς ἔχθρας ὑπεκκαύματα ζωπυρήσαντας, καὶ μᾶλλον τῶν εἰς δυσγένειαν ὀνειδιζομένων ὑποβλέψομαι. τούτοις μὲν γὰρ ἀπολογία τὸ μηδὲν οἰκεῖον ἔχειν καλοκαγαθίας. ὑπόδικοι δ' ὑμεῖς οἱ ἐκ μεγάλων φύντες οἴκων, οἷς αὔχημα καὶ κλέος τὰ λαμπρὰ γένη. περιδρυμένων γὰρ καὶ τρόπον τινὰ συμπεφυκότων ἀρχετύπων ἀγαθῶν οὐδὲν ἀπομάξασθαι καλὸν διενοήθητε· ὅτι δὲ ἀρετῆς κτήσει τίθετε τὸ εὐγενὲς, καὶ τὸν ἔχοντα ταύτην εὐγενῆ μόνον ὑπειλήφατε, ἀλλ' οὐχ ὅστις ἂν καλῶν καὶ ἀγαθῶν γένηται γονέων, δῆλον ἐκ πολλῶν. αὐτίκα τοὺς ἐκ τοῦ γηγενοῦς φύντας τίς οὐκ ἂν εὐπατρίδας εἴποι καὶ εὐπατριδῶν ἀρχηγέτας, οἳ γένος ἐξαίρετον ἔλαχον παρὰ τοὺς ἔπειτα βλαστήσαντες ἐκ τῶν πρώτων νυμφίων ἀνδρός τε καὶ γυναικὸς, τότε πρῶτον εἰς ὁμιλίαν κοινὴν ἐπὶ σπορᾷ τοῦ ὁμοίου συνελθόντων, ἀλλ' ὅμως δυοῖν γενομένων, ὁ πρεσβύτερος ὑπέμεινε τὸν νεώτερον δολοφονῆσαι, καὶ τὸ μέγιστον ἄγος ἀδελφοκτονίαν ἐργασάμενος πρῶτος αἵματι ἀνθρωπίνῳ τὴν γῆν ἐμίανεν. τί δὲ τοῦτον ὤνησεν ἡ εὐγένεια τὴν ἐν ψυχῇ δυσγένειαν ἐπιδειξάμενον, ὃν καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἔφορος θεὸς ἰδὼν ἐστύγησε, καὶ προβαλόμενος τιμωρίας ἄξιον, οὐκ εὐθὺς ἀνεῖλεν, ὅπως ἀναισθήτως ἔχῃ συμφορῶν, ἀλλὰ μυρίους ἐπικρεμάσας τοὺς ἐν αἰσθήσει θανάτους, λύπαις καὶ φόβοις ἐπαλλήλοις, εἰς κακῶν ὀδυνηροτάτων ἀντίληψιν. ἐγένετο δέ τις τῶν μετὰ ταῦτα σφόδρα δόκιμος ἀνὴρ ὁσιότητος, οὗ τὴν εὐσέβειαν ἀναγραπτέον ἠξίωσεν ἐν ἱεραῖς βίβλοις ὁ τοὺς νόμους διαταξάμενος. ἐν γοῦν τῷ μεγάλῳ κατακλυσμῷ τῶν πόλεων ἀφανιζομένων πανωλεθρίᾳ· καὶ γὰρ τῶν ὀρέων τὰ ὑψηλότατα τῇ συνεχείᾳ καὶ ἐπιτάσει τῆς περὶ τὴν φορὰν πλημμύρας κατεπίνετο· μόνος μετὰ τοῦ οἰκείου διεσώζετο, τῆς καλοκαγαθίας ἆθλον ἀράμενος, οὗ μεῖζον οὐκ ἔστιν εὑρεῖν. ἀλλὰ καὶ τούτῳ τριῶν γενομένων παίδων, καὶ συνα-

A apud me honor est pudori, veritati, moderationi, modestiæ, innocentiæ, apud vos in nullo pretio habitis. impudentiam odi, mendacium, impotentiam, superbiam, maliciam, vobis familiarissimas. cur igitur factis alienissimi, verbis fucatis fictísque vultis obrepere, & insinuare vos in amicitiam? nec moror, nec fero vestras fraudes ac offucias. facile est cuiuis comminisci sermones bonos in speciem: sed pro malis B moribus bonos adsciscere, difficile. hæc considerans & nunc inimicos existimo, & posthac existimabo, quicunque instaurant causas odij: quos equidem suspectiores habebo, quàm eos quibus probro datur generis obscuritas. nam hi possunt excusari, quia nullum cum virtute fuit eis commercium: vos estis inexcusabiles, qui præclaris prognati familijs iactatis maiorum splendorem ac C gloriam: & cum abundetis exemplis domesticis nulla vobis inhærent maiorum decora per vestram negligentiam. atqui satis liquet vos quoque nobilitatem virtuti potius tribuere quàm illustri generi. iamprimum illos è terrigenis natos quis neget generosos, cum ab hac stirpe descendat omnis patricia nobilitas, videlicet eximijs posteritatis autoribus ortis è coniugio quod primum liberorum causa generísque propagandi D conuenit: & tamen eorum alter maior minorem dolo malo interimere sustinuit, admissóque maximo scelere fratricidij primus terram polluit humano sanguine. quid huic profuit nobilitas generis, ignobilem præ se ferenti animum? quem ipse rerum humanarum inspector Deus vt vidit auersatus damnauit, non præsenti quidem supplicio quod confestim ei calamitatis sensum adimeret, sed mille E mortes intentando, vt sentiret alios super alios pauores & aceruatas molestias, atque ita dignam pro maleficio pœnam reciperet. Aliquanto post fuit quidā vir valde sanctus probatúsque, cuius pietas digna visa est legislatori quę mandaretur sacris literis. hic tempore diluuij quod omnes ciuitates deleuit funditus, inūdatis nimia vi aquarum montibus etiam celsissimis, solus vnà cum familia seruatus est, ferens virtutis præmium longe maximum. attamen è tribus eius filijs, collati

in patrem diuinitus beneficij consortibus, vnus ausus est parentem cui salutem debebat irridere, à decoro nonnihil per imprudentiam prolapsum in dedecus, atque etiam nescientibus fratribus nudata ostendit quæ non est fas in genitore aspici. eam ob rem nobilitate clara excidit execrationem meritus, autor infelicitatis etiam suis posteris, vt dignus erat ob neglectum debitæ patri reuerentiæ. Sed quid opus est hos in medium adducere potius quàm ipsum primum terrigenam? qui nulli non mortali præferendus est quantum ad nobilitatem attinet, artificio summo formatus Dei manibus in statuam corpoream: animam vero adeptus non vllius creaturæ beneficio, sed inspirante ipso numine quantum natura humana capere poterat. annon igitur nobilissimus, cui ne conferre quidem licet hac parte quemquam alium? nam cæterorum decus descendit à maioribus: maiores autem eorum fuere homines, animalia mortalia, temporis momento felicitatem si qua fuerat amittentia: illi vero nemo parens autórve vitæ, nisi Deus fuit cuius imaginem quodãmodo referens mente animi parte præcipua, cum debuisset eam seruare immaculatam, pro viribus imitando creatoris sui virtutes ceu exemplar propositas, fugeréque his contraria vitia, dedecus & mendacium veritati honestatique prætulit: atque ita suo merito pro immortalitate mortalem vitam accepit, excussus è felicitate, prolapsúsque in erumnas ac miserias. verum hæc lex cõmunis esto mortalium omnium, qua præscribitur ne quis virtutis expers claro genere natalibúsque splendidis magnopere sibi placeat. cæterum Iudæi habent & alia exempla peculiaria. oriundi sunt enim ab illis, quos maiorum suorum virtutes nihil iuuerunt, obnoxios grauibus criminibus, etiamsi nemo argueret præter conscientiam, cuius solius tribunal nullis verborum technis circumscribitur. primus gentis conditor multos liberos suscepit è tribus mulieribus, non indulgens libidini, sed spe ampliandæ familiæ. vnus tamen è multis solus successit in patrimonium: reliqui omnes sicut à pietate degenerarunt, ita separati sunt ab eius gentilitate, cuius nullas virtutes expresserant, exciderúntque ab illa nobilitate celebratissi-

(A) πολελαυκότων τῆς παρ' ἴσης δωρεᾶς, εἷς ἐτόλμησε τὸν αἴτιον τῆς σωτηρίας πατέρα κατακερτομεῖν, γέλωτα καὶ χλεύην εἶτι προσφάλη, μὴ καθ' ἑκούσιον γνώμην τιθέμενος, καὶ τοῖς μὴ εἰδόσιν ἀπογυμνῶν, ἃ κρύπτεσθαι θέμις ἐπὶ τῇ τοῦ γεννήσαντος αἰχμῇ. τοιγαροῦν ἀπὸ τῆς λαμπρᾶς εὐγενείας ἐπάρατος γενόμενος, καὶ τοῖς μεθ' αὐτὸν ἀρχὴ κακοδαιμονίας, ὧν ἄξιον ἦν τυγχάνειν τὸν ἠμεληκότα γονέων τιμῆς. ἀλλὰ τί τούτων μεμνῆσθαι προσήκει ἀφεμένους τοῦ πρώτου καὶ γηγενοῦς, (B) ὃς ἕνεκα εὐγενείας οὐδενὶ θνητῷ σύγκριτος, χερσὶ μὲν θείαις εἰς ἀνδριάντα τῆς σωματοειδοῦς τυπωθεὶς ἀκρότητι τέχνης πλαστικῆς· ψυχῆς δὲ ἀξιωθεὶς ἀπ' οὐδενὸς ἔτι τῶν εἰς γένεσιν ἡκόντων, ἐμπνεύσαντος θεοῦ τῆς θείας δυνάμεως ὅσον ἠδύνατο δέξασθαι θνητὴ φύσις. ἦν ἆρ' οὐχ ὑπερβολὴ τῆς εὐγενείας, μηδεμιᾶς τῶν ἄλλων αἱ δὴ ὠνομάσθησαν εἰς σύγκρισιν ἐλθεῖν δυναμένης. τῶν μὲν γὰρ τὸ κλέος ἐκ προγόνων εὐγενείας. ἄνθρωποι δὲ οἱ πρόγονοι, ζῷα ἐπί- (C) κηρα καὶ φθαρτά, καὶ αἱ τούτων ἀβέβαιοι καὶ ἐφήμεροι τὰ πολλὰ εὐπραγίαι· τοῦ δὲ πατὴρ μὲν θνητὸς οὐδείς, οὐδὲ αἴτιος, ἀλλ' ὁ θεός. οὗ τρόπον τινὰ γενόμενος εἰκὼν κατὰ τὸν ἡγεμόνα νοῦν ἐν ψυχῇ, δέον ἀκηλίδωτον τὴν εἰκόνα φυλάξαι, καθ' ὅσον οἷόν τε ἦν ἐπακολουθήσαντα ταῖς τοῦ γεννήσαντος ἀρεταῖς, προτεθέντων εἰς αἱρέσεις καὶ φυγὰς τῶν ἐναντίων ἀγαθοῦ καὶ κακοῦ, καὶ καλοῦ καὶ αἰσχροῦ, καὶ ἀληθοῦς καὶ ψευδοῦς, τὰ μὲν ψευδῆ καὶ αἰσχρὰ καὶ κακὰ προθύμως εἵλετο· τῶν δὲ ἀγαθῶν καὶ καλῶν (D) καὶ ἀληθῶν ὠλιγώρησεν, ἐφ' οἷς εἰκότως θνητὸν ἀντ' ἀθανάτου βίον ἀντυπηλλάξατο, μακαριότητος καὶ εὐδαιμονίας ἀποσφαλείς, καὶ ῥᾷστα μετέβαλεν εἰς ἐπίπονον καὶ κακοδαίμονα ζωήν. ἀλλ' οὗτοι μὲν ἔστωσαν κοινοὶ πᾶσιν ἀνθρώποις ὅροι, τοῦ μὴ ἐπὶ μεγάλοις γένεσι σεμνύνεσθαι τοὺς καλοκἀγαθίας ἀμοιροῦντας. Ἰουδαίοις δέ, καὶ ἕτεροι δίχα τῶν κοινῶν ἐξαίρετοι. τῶν γὰρ τοῦ γένους ἀρχηγετῶν εἰσιν, οὓς αἱ τῶν προγόνων ἀρεταὶ συνόλως οὐδὲν ὤνησαν, ἐπ' ἐπιλήπτοις καὶ ὑπαιτίοις πράξεσιν ἁ- (E) λόντας, εἰ καὶ πρὸς ἑτέρου μηδενὸς ἐλεγχθέντας, ἀλλ' οὖν ὑπὸ τοῦ συνειδότος, ὃ μόνον τῶν ἁπάντων δικαστήριον τέχναις λόγων οὐ παράγεται. πολύπαις ἦν ὁ πρῶτος ἐκ τριῶν παιδοποιησάμενος γυναικῶν, οὐ δι' ἡδονῆς ἀπόλαυσιν, ἀλλὰ δι' ἐλπίδα τοῦ πληθῦναι τὸ γένος· ἀλλ' ἐκ πολλῶν εἷς μόνος ἀπεδείχθη κληρονόμος τῶν πατρῴων ἀγαθῶν· οἱ δ' ἄλλοι πάντες γνώμης ἀγνοίαις σφαλέντες καὶ μηδὲν τῶν τοῦ γεννήσαντος ἀπομαξάμενοι διῳκίσθησαν, ἀλλο-

A πελωθέντες τῆς ἀοιδίμου εὐγενείας. πάλιν ἐκ τοῦ δοκιμασθέντος κληρονόμου δύο δίδυμοι γίνονται, μηδὲν ὅτι μὴ χεῖρας, καὶ ταύτας ἕνεκά τινος οἰκονομίας ὅμοιον ἐπιφερόμενοι, μήτε τοῖς σώμασι, μήτε τῆς γνώμης. ὁ μὲν γὰρ νεώτερος κατα πειθὴς τοῖς γονεῦσιν ἀμφοτέροις ἦν καὶ ὄντως εὐαρέστος, ὡς καὶ θεοῦ τυχεῖν ἐπαινέτου· ὁ δὲ μείζων ἀπειθής, ἐκ τῶν γαστρὸς καὶ τῶν μετὰ γαστέρα ἡδονῶν ἀκρατῶς ἔχων, ὑφ᾽ ὧν ἀνεπείσθη, καὶ πρεσβείων ἐξίστασθαι τῷ μεθ᾽ αὑτόν, καὶ μεταμελόμενος εὐθὺς ἐφ᾽ οἷς ἐξέστη, B καὶ φονῶν κατὰ τοῦ ἀδελφοῦ, καὶ μηδὲν ἕτερον, ἢ δι᾽ ὧν λυπήσει τοὺς γονεῖς πραγματεύεσθαι· τοιγαροῦν τῷ μὲν εὐχὰς τίθενται τὰς ἀνωτάτω βεβαιοῦντος αὐτὰς θεοῦ, καὶ μηδεμίαν ἀξιοῦντος ἀτελῆ καταλιπεῖν· τῷ δὲ κατ᾽ ἔλεον χαρίζονται τὴν ὑπήκοον τάξιν, ἵνα δουλεύῃ τῷ ἀδελφῷ, νομίζοντες, ὅπερ ἐστίν, ἀγαθὸν εἶναι τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον· καὶ εἴ γε ὑπέμεινε τὴν δουλείαν ἄσμενος, δευτερείων ἂν ἠξιοῦτο ὡς ἐν ἄθλοις ἀρετῆς· νυνὶ δὲ ἀπαυθαδιάσας καὶ ἀποδρὰς, αὑτῷ τε καὶ τοῖς ἀπογόνοις C μεγάλων αἴτιος ὀνειδῶν ἐγένετο, ὡς τὸν ἀβίωτον αὐτοῦ βίον ἐστηλιτεῦσθαι πρὸς σαφέστατον ἔλεγχον, τοῦ μηδὲν τὴν εὐγένειαν ὠφελεῖν τοὺς ἀναξίους εὐγενείας. οὗτοι μὲν οὖν εἰσι τῆς ἐπιλήπτου τάξεως, οὓς ἐξ ἀγαθῶν πατέρων γενομένους ὤνησαν μὲν οὐδὲν αἱ πατέρων ἀρεταί, αἱ δ᾽ ἐν τῇ ψυχῇ κακίαι μυρία ἔβλαψαν· ἔχω δ᾽ εἰπεῖν ἑτέρους τοὺς ἐξ ἐναντίας ἀμείνω τεταγμένους τάξιν, οἷς πρόγονοι μὲν ὑπαίτιοι, ζηλωτὸς δὲ καὶ ἀνάπλεως εὐφημίας ὁ τούτων βίος. τοῦ τῶν Ἰουδαίων ἔθνους ὁ πρεσβύτατος, D γένος μὲν ἦν Χαλδαῖος, πατρὸς δὲ ἀστρονομικοῦ τῶν περὶ τὰ μαθήματα διατριβόντων, οἳ τοὺς ἀστέρας θεοὺς νομίζουσι, καὶ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον· παρ᾽ οὓς τά τε εὖ καὶ τὸ χεῖρον ἑκάστοις φασὶν ἀποβαίνειν, οὐδὲν ἔξω τῶν αἰσθητῶν αἴτιον ὑπολαμβάνοντες εἶναι· τούτου δὲ τί ἂν εἴη χαλεπώτερον, ἢ μᾶλλον ἀπελέγξαι τὴν ἐν τῇ ψυχῇ δυσγένειαν δυνάμενον, δι᾽ ἐπιστήμης τῶν πολλῶν καὶ δευτέρων καὶ γενητῶν, εἰς ἀνεπιστημοσύνην ἰέναι τοῦ ἑνὸς καὶ πρεσβυτάτου καὶ ἀγενήτου καὶ ποιητοῦ τῶν ὅλων, καὶ E διά τε ταῦτα ἀρίστου, καὶ διὰ μυρία ἄλλα, ἃ διὰ μέγεθος ἀνθρώπινος λογισμὸς οὐ χωρεῖ. ὃν ἐν νῷ λαβὼν, καὶ ἐπιθειάσας, καταλείπει μὲν πατρίδα, καὶ γένος, καὶ πατρῷον οἶκον, εἰδὼς ὅτι μένοντος μὲν αἱ τῆς πολυθέου δόξης ἐγκαταμένουσιν ἀπάται, ἔννοιαν ἀνήνυτον κατασκευάζουσιν εἰς τὴν τοῦ ἑνὸς εὕρεσιν, ὅς ἐστιν ἀΐδιος μόνος, καὶ τῶν ἄλλων πατὴρ νοητῶν τε καὶ αἰσθητῶν· εἰ δὲ μετ-

ma. Rursum ex hoc ipso probato hærede nati sunt gemelli, nihil præter manus, idque certa quadam prouidentia, habentes simile, diuersi corporibus atque animis. nam minor vtriusque parentis beneuolentiam demerebat obsequijs, laudatus ob id Dei testimonio: maior vero ventri libidinique addictior quàm parẽtibus, minori cessit ius primogeniti, móxque cessisse pœnitens, fratri molitus est perniciem, nihil aliud agitans animo, quàm quod ad patris matrísque mœsticiam faceret. atque ita euenit vt illi vota pro minore facerent amplissima, quæ Deus absque vlla exceptione rata esse voluit: alterum vero miserati hoc afficerent beneficio, vt fratri eum subijcerent, existimantes id ei fore vtile, si homo nequam in sua potestate non relinqueretur. qui si hanc seruitutem libenter tulisset, poterat mereri secunda virtutis præmia. Nunc quoniam iugum excussit cõtumax, sibi posterísque lucratus est magnam ignominiam, vt vita eius nulli optanda literarũ monumentis sit prodita, quo magis liqueret nobilitatem nihil prodesse indignis hac prerogatiua generis: quia mali è bonis prognati, nihil adiuti sunt paternis virtutibus, quod ipsorum anima sit multimodis oblæsa vitijs. E diuerso possum quosdam memorare viros melioris ordinis, quia orti ex illaudatis maioribus vitam vixerunt laudatissimam, adeo vt probitatis exemplar de se præbuerint posteris. primus parens Iudæorum Chaldæus erat natione, patre prognatus dedito siderali scientiæ, vno ex eorum numero qui sidera, cælum, mundum pro dijs habentes his accepta ferunt fata hominum, ac proinde nullum rerum autorem esse credentes præter eos qui percipiuntur sensibus. & quid indignius aut magis alienum à generoso animo, quàm studio noscendæ creaturæ prolabi in vnius antiquissimi rerum conditoris ignorantiam, vel hoc solo nomine venerandi etiamsi abessent cætera beneficia plurima, quorum iniri non potest ratio? horum reputatione vir ille tactus non sine numine, patriam, cognatos, familiam deserit: sciens, ni faciat, instare sibi à multorum deorum superstitione periculum, impeditura vnius Dei quærendi studium, à quo vt sempiterno parente originem habet quicquid vel mente vel sensu percipitur: quod

A si demigret, migraturam & mentem è fallacijs, transiturámque ad veritatem à mendacio. id cognoscendi veri Dei desiderium magis accensum est oraculo, à quo in impigerrimum quærendi studium inductus est. nec prius vestigare destitit, quàm manifestius conciperet animo quandam imaginem, non essentiæ (id enim non est possibile) sed prouidentiæ, quatenus homini fas est concipere. ideo primus credidisse Deo dicitur, qui primus inconcussam fidem tenuit, esse vnum supremum B rerum autorem, cuius prouidentia mundus regatur & quæ mundo continentur omnia. adeptus autem hanc scientiam virtutem præstantissimam, simul acquisiuit cunctas alias, vt apud hospites suos autoritatem haberet regiam: non propter apparatũ (priuatus enim erat) sed propter regiam magnitudinẽ animi. itaque honorabant eum quasi suum principem, suspiciẽtes ingeniũ augustius humano fastigio. nec C enim sermonibus vtebatur vulgaribus: sed diuinitatẽ quandam præ se ferẽtibus. quoties enim arripiebatur numine, modis omnibus mutabatur in melius, vultu, colore, statura, motu, habitu, voce denique, spiritu diuino superne inspirante animam, & addente decorem eximiũ corpori, sermoni efficaciam, intellectũ vero auditoribus. quis nũc negabit hunc profugum, destitutũ amicis & familiaribus, esse nobilissimum, postquam desiderio veræ nobilitatis, quæ ad Deum parentem D refertur, toto conatu quęsiuit eius amicitiam? quo factum est vt ascisceretur in præcipuum ordinem propheticum, quia posthabitis creaturis maluit ingenito patri omnipotenti credere. regiam vero autoritatem adeptus fuit (vt dixi) apud eos quorum vtebatur hospitio, non armis fretus neque copijs, sicut quidam solent imperiũ sibi quęrere, sed suffragio Dei optimi maximi, E pijs hominibus honoris causa dantis tantam potentiam ad vtilitatem eorum quibus cum versantur. hic vir est nobilitatis regula omnibus fugientibus ignobilitatem externorum profanorúmque rituum, marmori lignóque, & in vniuersum surdis materijs numen tribuentiũ, migrantibus vero ad viuam rempublicam, cui præest prospicitque ipsa veritas. hanc nobilitatem non solum viri Deo chari, sed etiam mulieres æmulatæ sunt,

A τῆ μαστίν, μετανάστης) καὶ τῆς ἀγνοίας ἢ ἀπάτης, μεθαρμοσάμενος τὴν ψευδῆ δόξαν εἰς ἀλήθειαν· ἅμα δὲ καὶ τὸν πόθον, ὃν ἐπόθει γνῶναι τὸ ὄν, προσανερρίπισε λόγια τὰ χρησθέντα, οἷς ποδηγετούμενος, ἐπὶ τὴν τοῦ ἑνὸς ἀκοπωτάτην σπουδὴν καὶ ζήτησιν ᾔει· καὶ οὐ πρότερον ἀνῆκεν ἢ τρανοτέρας λαβεῖν φαντασίας, οὐχὶ τῆς οὐσίας· τοῦτο γὰρ ἀμήχανον· ἀλλὰ τῆς ὑπάρξεως αὐτοῦ καὶ προνοίας ἢ δίκαιον· διὸ καὶ πιστεῦσαι λέγεται τῷ θεῷ πρῶτος, ἐπειδὴ καὶ πρῶτος ἀκλινῆ καὶ βεβαίαν ἔσχεν ὑπό- B ληψιν, ὡς ἔστιν ἓν αἴτιον τὸ ἀνωτάτω, καὶ προνοεῖ τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ. κτησάμενος δὲ πίστιν τὴν τῶν ἀρετῶν βεβαιοτάτην, συνεκτᾶτο καὶ τὰς ἄλλας ἁπάσας, ὡς παρὰ τοῖς ὑποδεξαμένοις νομίζεσθαι βασιλεύς, οὐχὶ ταῖς παρασκευαῖς· ἰδιώτης γὰρ ἦν· ἀλλὰ τῷ περὶ τὴν ψυχὴν μεγέθει, φρονήματος ὢν βασιλικοῦ. καὶ δὴ θεραπεύοντες αὐτὸν διετέλουν ὡς ἄρχοντα ὑπήκοοι, τὸ περὶ πάντα μεγαλεῖον τῆς φύσεως αὐτοῦ καταπληττό- C μενοι τελειοτέρας οὔσης ἢ κατὰ ἄνθρωπον. οὐδὲ γὰρ ὁμιλίαις ἐχρῆτο ταῖς αὐταῖς, ἀλλ' ἐπιθειάζων τὰ πολλὰ σεμνοτέραις. ὁπότε γοῦν κατασχεθείη, μετέβαλλε πάντα πρὸς τὸ βέλτιον, τὰς ὄψεις, τὴν χροιάν, τὸ μέγεθος, τὰς σχέσεις, τὰς κινήσεις, τὴν φωνήν, τοῦ θείου πνεύματος, ὅπερ ἄνωθεν καταπνευσθὲν εἰσῳκίσατο τῇ ψυχῇ, περιτιθέντος τῷ μὲν σώματι κάλλος ἐξαίρετον, τοῖς δὲ λόγοις πειθώ, τοῖς δ' ἀκούουσι σύνεσιν. ἆρ' οὖν ἄν εἴποι τις τὸν μετανάστην τοῦτον, τὸν πάντων ἔρημον οἰκείων D καὶ φίλων εὐγενέστατον εἶναι τὸν πρὸς θεὸν εὐγενείας ὀρεχθέντα καὶ σπουδάσαντα μηχανῇ πάσῃ γνώριμον αὐτῷ γενέσθαι; καὶ ταχθέντα μὲν τάξιν τὴν ἀρίστην ἐν προφήταις, πιστεύσαντα μηδενὶ τῶν ἐν γενέσει πρὸ τοῦ ἀγενήτου καὶ πάντων πατρός· βασιλέα δέ, ὡς ἔφην, καὶ παρὰ τοῖς ὑποδεξαμένοις νομισθέντα, μὴ δι' ὅπλων, μήτε στρατιωτικῆς δυνάμεως, ὡς ἐνίοις ἔθος, λαβόντα τὴν ἀρχήν, ἀλλὰ χειροτονίᾳ θεοῦ τοῦ φιλαρέτου, καὶ τοῖς E εὐσεβέσιν ἐξαιρέτους αὐτοκρατορίου ἐξουσίας γεραίροντος ἐπ' ὠφελείᾳ τῶν συντυγχανόντων· οὗτος ἅπασιν ἐπηλύταις εὐγενείας ἐστὶν ὁ κανών, δυσγένειαν μὲν τὴν ἐξ ἀλλοκότων νομίμων καὶ ἐκθέσμων ἐθῶν, ἃ λίθοις καὶ ξύλοις καὶ συνόλως ἀψύχοις ἰσοθέους ἀπένειμε τιμάς, καταλιποῦσι· καλὴν δ' ἀποικίαν στειλαμένοις πρὸς ἔμψυχον τῷ ὄντι καὶ ζῶσαν πολιτείαν, ἧς ἔφορος καὶ ἐπίσκοπος ἀλήθεια. ταύτην εὐγένειαν οὐ μόνον θεοφιλεῖς ἄνδρες, ἀλλὰ καὶ γυναῖκες ἐζήλωσαν,

ἀπομαθοῦσαι μὲν ἀμαθίας τὴν συντροφον, τὰς περὶ τιμῆς τῶν χειροκμήτων παιδευθεῖσαι δὲ περὶ μοναρχίας ἐπιστήμην, ᾗ μοναρχεῖται ὁ κόσμος. Θάμαρ ἦν τῶν ἀπὸ τῆς Παλαιστίνης Συρίας, γύναιον ἐν οἰκείᾳ πόλει τραφὲν πολυθέῳ, γεμούσῃ ξοάνων καὶ ἀγαλμάτων, καὶ συνόλως ἀφιδρυμάτων· ἀλλ᾽ ἐπεὶ καθάπερ ἐκ σκότους βαθέος ἐδυνήθη βραχεῖαν αὐγὴν ἀληθείας ἰδεῖν, θανάτου κινδύνῳ πρὸς εὐσέβειαν ηὐτομόλησεν, ὀλίγα φροντίσασα τοῦ ζῆν, εἰ μὴ μέλλοι καλῶς ζῆν· τὸ δὲ καλῶς ἀνέφερεν ἐπ᾽ οὐδὲν ἕτερον ἢ ἐπὶ τὴν θεραπείαν καὶ ἱκεσίαν τοῦ ἑνὸς αἰτίου. καίτοι δυσὶν ἀδελφοῖς ἀμφοτέροις πονηροῖς ἐν μέρει γημαμένη, κουριδίᾳ μὲν τῷ προτέρῳ, τῷ δ᾽ ὑστέρῳ κατὰ τὸν ἐπιδικασίας νόμον, ἐπειδὴ τοῦ προτέρου μὴ καταλιπόντος, ἀλλ᾽ ὅμως ἀκηλίδωτον διαφυλάξασα τὸν ἑαυτῆς βίον, ἴσχυσε καὶ προσηκούσης τοῖς ἀγαθοῖς εὐφημίας ἐπιλαχεῖν, καὶ τοῖς μεθ᾽ αὐτὴν ἅπασιν εὐγενείας ἀρχὴ γενέσθαι. ἀλλ᾽ αὕτη μὲν εἰ καὶ ἀλλόφυλος, ἀλλ᾽ οὖν γε ἐλευθέρα, καὶ ἐξ ἐλευθέρων ἴσως καὶ οὐκ ἀσήμων· θεράπαιναι δὲ τῶν ὑπὲρ Εὐφράτην ἐν ἐσχατιαῖς τῆς Βαβυλῶνος γεγενημέναι, προικίδιαι μὲν ἐκδοθεῖσαι γαμουμέναις ταῖς ἐφιμερίαις, ἄξιαι δὲ κριθεῖσαι παρελθεῖν εἰς εὐνὴν ἀνδρὸς σοφοῦ, τὸ μὲν πρῶτον ἐκ παλλακίδων εἰς γαμετῶν ὄνομα καὶ σχῆμα παρῆλθον, καὶ ἀντὶ θεραπαινίδων ἰσότιμοι τῶν δεσποινῶν ὀλίγου δεῖν φασὶ κατέστησαν, ὑπ᾽ ἐκείνων ὅπερ ἦν ἀπιστότατον πρὸς τὸ αὐτὸ ἀξίωμα προπεμφθεῖσαι. φθόνος γὰρ οὐκ εἰσοικίζεται σοφῶν ψυχαῖς, οὐ μὴν προσόντος κοινοπραγοῦσι τῶν ἀγαθῶν· εἶτ᾽ αὖ τούτων νόθοι παῖδες, γνησίων οὐδὲν διενεγκόντες, οὐ μόνον παρὰ τῷ γεννήσαντι. θαυμαστὸν γὰρ οὐδὲν εἰ τοῖς ὁμογαστρίοις ἁπάντων μόνος πατὴρ τὴν αὐτὴν εὔνοιαν παρέσχε· ἀλλὰ καὶ ταῖς μητρυιαῖς. αἱ μὲν γὰρ τὸ εἰς προγόνους μῖσος ἀναιρούμεναι, εἰς ἄληκτον μεθηρμόσαντο κηδεμονίας· οἱ δὲ πρόγονοι, τῇ κατ᾽ ἀντίδοσιν εὐνοίᾳ, τὰς μητρυιὰς ὡς φύσει μητέρας ἐξετίμησαν, ἀδελφοί τε μόνῃ τῇ μίξει τοῦ ἡμίσεως μεμαθηκότες, οὐκ ἐφ᾽ ἡμισείας στοργῆς ἀλλήλους ἠξίωσαν, ἀλλ᾽ εἰς τὸ διπλάσιον τὸ τοῦ φιλεῖν καὶ ἀντιφιλεῖσθαι πάθος συναυξήσαντες, καὶ τὸ ἐνδέον ὑστερίζον προσαναπληροῦντες, τοῖς ἐξ ἀμφοῖν γεγονόσιν εἰς ἁρμονίαν καὶ χρηστῶν ἠθῶν συνδραμεῖν σπουδάσαντες. ἐπὶ τούτοις μεταποιούμενοι αὐτοὶ τοῖς ὡς ἴδιον ἀγαθὸν τὸ ἀλλότριον εὐγένειαν ὑποδυόμενοι, οἱ δίχα τῶν εἰρημένων ἐχθροὶ δικαίως νομισθεῖεν καὶ τοῦ τῶν Ἰουδαίων ἔθνους, καὶ τῶν πανταχοῦ πάντων·

A oblitæ ruditatis pristinæ ac simulacrorum quæ coluerant, institutæ vero ad vnius monarchæ noticiam, cuius solius imperio mundus regitur. Thamar nata fuit in Palæstina Syriæ, muliercula educata in patria cultrice multorum numinum, vbi omnia plena erant statuis delubris & id genus cæteris superstitionibus. sed postquam ei contigit velut è profundissima caligine paruum quendam splendorem veritatis aspicere, capitis periculo ad B pietatem transfugit, nihili pendens vitam si non daretur bene viuere. rectam autem vitam in eo sitam censebat, si daretur colere adoraréque vnum autorem rerum omnium. quamuis duobus deinceps fratribus ambobus scelestis nupserat, priori puella, posteriori ex decreto iudicum, quia prior liberis nullis susceptis decesserat: & tamen seruata vitæ integritate, tum ipsa in bona existimatione fuit, tum posteris suis omnibus nobilita- C tis exordium præbuit. Verùm hæc licet extera, ingenua tamen & fortasse non obscuris natalibus. aliæ trans Euphratem natæ in Babylonis finibus, dotales ancillæ suas alumnas secutæ, receptæque in viri sapientis thalamum, & ipsæ peruenerunt à pellicatu in dignitatem vxoriam, heras suas æquando propemodum illis (incredibile dictu) fauentibus: sapientum enim animos non subit inuidia, quæ si absit bona fiunt communia: & D earum filij habiti sunt pro legitimis, non solum à patre, quem non mirum erat agnoscere omnes ex se genitos, sed à nouercis etiam. nam hæ deposito priuignorum odio curam eorum gesserunt: priuigni vicissim vt beneuolentiæ referrent gratiam, illis exhibuerunt reuerentiam quæ debetur matribus. Fratres quoque tametsi dimidia tantum parte coniuncti fraternum affectum seruarunt in- E tegrum, imò conduplicatum etiam, videlicet amando redamandóque, & diligentia supplendo quod deerat natalibus, dum nothi legitimis nolunt virtute cedere. non sunt igitur audiendi qui bonum alienum nobilitatem sibi vsurpant, cum exceptis paucis quos memorauimus, hostes sint non Iudæorum tantum, verumetiam totius humani generis, quàm late patet orbis habitabilis: illorum, quia non sinunt

eam gentem ſecure imitari virtutes maiorum ſuorum: huius, quia etiamſi aliqui euaſerint ad probitatis faſtigium, negant eis profore, eo quod non ſint prognati è probatis auis atque parentibus. qua opinione nulla poteſt excogitari nocentior, ſi neque bonorum degenerem ſobolem ſua pœna ſequetur, neque bonis malo genere prognatis reddetur debitum præmium, cum lex vnumquemque non pro maiorum meritis, ſed ſuis proprijs, vel honoret vel puniat.

A τοὺς μὲν, ὅτι διδόασι τοῖς ὁμοφύλοις ἐκεχειρίαν, ὀλιγωρεῖν ὑγιαινούσης βεβαίου, καὶ οὐ τι ποιήσει προγονικῆς ἀρετῆς· τοὺς δὲ, ὅτι κἂν φθάσωσιν εἰς ἀκρότητα καλοκαγαθίας, οὐδὲν ὠφεληθήσονται, διὰ τὸ μὴ τυχεῖν γονέων καὶ πάππων ἀνεπιλήπτων· ἧς οὐκ οἶδα εἴ τις βλαβερωτέρα γένοιτ᾽ ἂν εἰσήγησις, εἰ μήτε τοῖς ἐξ ἀγαθῶν πονηρευομένοις ἐπακολουθήσει τιμωρὸς δίκη, οὔτε τοῖς ἐκ πονηρῶν ἀγαθοῖς ἔρχεται τιμὴ, τοῦ νόμου δικάζοντος ἕκαστον αὐτὸν ἀφ᾽ ἑαυτοῦ, μὴ συγγενῶν ἀρεταῖς ἐπαινοῦντος ἢ κολάζοντος.

ΠΕΡΙ ΑΘΛΩΝ ΚΑΙ ΕΠΙΤΙΜΙΩΝ.

PHILONIS IVDÆI, DE PRÆMIIS ET POENIS.

ORACVLA per Moſem prophetã mandata ſacris literis in tres diuidũtur ſpecies: quarũ prima ad mundi opificiũ, altera ad hiſtoriã, tertia ad leges latas pertinet. Totũ mundi opificiũ ex dignitate opificis deſcriptũ eſt à creato cælo vſque ad formatũ hominem: quorũ alterum inter incorruptibiles res perfectiſſimum eſt, ſicut alter inter corruptioni mortíque obnoxias. ſiquidẽ mortalia contexẽs immortalibus conditor vnũ mundũ fecit, & in hoc alterum principum, alterũ ſubditorũ ordinem. pars autẽ hiſtorica vitas malorũ bonorúmque cõtinet, præterea vtriuſque generis tum pœnas tũ præmia. cæterũ quod ad leges attinet, partim præceptis conſtat vniuerſalibus, partim inſtitutis particularibus. fertur ipſa legis decem capita, non per hominẽ interpretem, ſed ex æthere pronũciata diuinę vocis oraculo, articulatæ & ad captũ rationis compoſitæ: cæteras leges ſpeciatim ab eodẽ Deo, ſed per prophetã proditas. quæ omnia quoniã tractaui libris ſuperioribus, atque etiam virtutes bello pacique neceſſarias, nunc ſeries rerum poſtulat vt tranſeã ad propoſita bonis præmia, pœnáſque maleficis debitas.

B ΤΑΣ μὲν οὖν τῶν διὰ τοῦ προφήτου Μωσέως λογίων τρεῖς ἰδέας εἶναι συμβέβηκε. τὴν μὲν γὰρ περὶ κοσμοποιίας, τὴν δὲ ἱστορικὴν, τὴν δὲ τρίτην νομοθετικήν· ἡ μὲν οὖν κοσμοποιία πᾶσα καλῶς καὶ θεοπρεπῶς μεμήνυται, λαβοῦσα τὴν ἀρχὴν ἀπὸ γενέσεως οὐρανοῦ, καὶ λήξασα εἰς ἀνθρώπου κατασκευήν. ὁ μὲν γὰρ ἀφθάρτων τελειότατος· ὁ δὲ θνητῶν φθαρτός. ἀθάνατα δὲ καὶ
C θνητὰ ἐν γενέσει συνυφαίνων ὁ ποιητὴς εἰργάσατο τὸν κόσμον, τὰ μὲν γενόμενα ἡγεμονικὰ, τὰ δ᾽ ὡς ὑπήκοα καὶ γενησόμενα. τὸ δὲ ἱστορικὸν μέρος, ἀναγραφὴ πονηρῶν καὶ σπουδαίων βίων ἐστὶ, καὶ τὰ ὁρισθέντα ἑκατέροις ἐπιτίμια καὶ γέρα ἐν ἑκάσταις γενεαῖς· τοῦ δὲ νομοθετικοῦ, τὸ μὲν καθολικωτέραν τὴν ὑπόθεσιν ἔχει· τὸ δὲ ἕτερον μέρος νομίμων εἰσὶν ἐντολαί· κεφάλαια δὲ δέκα ἅπερ λέγεται
D κεχρησμῳδῆσθαι οὐ δι᾽ ἑρμηνέως, ἀλλ᾽ ἐν τῷ ὑψώματι τοῦ ἀέρος σχηματιζόμενα, καὶ ἀρθρώσιν ἔχοντα λογικήν· τὰ δ᾽ ἄλλα τὰ κατ᾽ εἶδος μέρη διὰ τοῦ προφήτου θεσπισθέντα· περὶ ὧν ἁπάντων ὅσα καιρὸς ἐν ταῖς προτέραις συντάξεσι διεξελθὼν, καὶ προσέτι τὰς ἀρετῶν ἃς ἀπένειμεν εἰρήνῃ τε καὶ πολέμῳ, μέτειμι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὰ προτεθέντα καὶ τοῖς ἀγαθοῖς ἆθλα, καὶ τοῖς πονηροῖς ἐπιτίμια.

συνασκήσας γὰρ ὑφηγήσεσι καὶ παραινέσεσι μαλακωτέραις, καὶ πάλιν ἐπιτιμήσεσι καὶ νουθεσίαις ἐμβριθεστέραις τοὺς ὑπ' αὐτῷ πολιτευομένους, ἐκάλεσεν εἰς τὴν τῶν νομοθετηθέντων ἐπίδειξιν· οἱ δὲ παρελθόντες ὥσπερ εἰς ἱερὸν ἀγῶνα, τὴν ἑαυτῶν προαίρεσιν ἀνέφηναν εἰς ἐναργέστατον ἔλεγχον τῆς ἀληθείας. εἶτα οἱ μὲν ἀθληταὶ ἀρετῆς ἀνευρίσκοντο, μὴ ψεύσαντες τῆς ἐπ' αὐτοῖς χρηστῆς ἐλπίδος, τοὺς ἀλείπτας νόμους· οἱ δὲ ἄνανδροι καὶ μαλακοὶ καὶ ἀγεννεῖς ὑπὸ τῆς ἐμφύτου μαλακίας τὰς ψυχάς, πρὶν ἢ δυνατώτερόν τι ἀνταγωνίσασθαι, προκαταπίπτοντες, αἰσχύνη καὶ γέλως θεατῶν ἐγίνοντο· δι' ἣν αἰτίαν οἱ μὲν βραβείων, κηρυγμάτων καὶ τῶν ἄλλων ὅσα νικῶσι δίδοται μετελάμβανον. οἱ δὲ οὐκ ἀστεφάνωτοι μόνον ἀπῄεσαν, ἀλλὰ καὶ ἧτταν ἐπονείδιστον ἐνδεξάμενοι τῶν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἀργαλεωτέραν. ἐκεῖ μὲν γὰρ ἀθλητῶν σώματα κλίνεται, ῥᾳδίως ὀρθοῦσθαι δυνάμενα· ἐνταῦθα δὲ ὅλοι βίοι πίπτουσιν, οὓς ἅπαξ ἀνατραπέντας, μόγις ἐστὶν ἀνεγεῖραι. τὰς δὲ προνομίας καὶ τιμῆς καὶ τοὐναντίον κολάσεως τάξεις ἐναρμονίους ὑφηγεῖται, κατ' ἄνδρας κατ' οἴκους, κατὰ πόλεις, κατὰ χώρας καὶ ἔθνη, κατὰ κλίματα γῆς μεγάλα. πρότερον δὲ ἐρευνητέον τὰ ἐπὶ τιμαῖς, ἐπεὶ καὶ λυσιτελέστερα καὶ ἡδίω πρὸς ἀκρόασιν, ἀρχὴν λαβόντας τὴν ἐφ' ἑκάστου τῶν ἐν μέρει. φασὶ τὸν παλαιὸν ἐκεῖνον Τριπτόλεμον Ἕλληνες ἀρθέντα μετέωρον ἐπὶ πτηνῶν δρακόντων, τὸν τοῦ σίτου καρπὸν εἰς ἅπασαν τὴν γῆν κατασπείρειν, ἀντὶ βαλανηφαγίας ἵν' ἔχῃ τὸ ἀνθρώπων γένος ἥμερον καὶ ὠφέλιμον καὶ ἡδίστην τροφήν. τοῦτο μὲν οὖν, ὥσπερ πολλὰ καὶ ἄλλα, τοῖς εἰωθόσι τερατεύεσθαι κατάπλασμα, ὡς μῦθος ὢν ἀπολελείφθω, σοφιστείαν καὶ γοητείαν πρὸ ἀληθείας ἐπιτετηδευκόσιν. ἐξ ἀρχῆς γὰρ ἅμα τῇ προτέρᾳ γενέσει τῶν ὅλων ὁ θεὸς προηυτρεπίσατο τὰ ἐπιτήδεια πᾶσι ζῴοις ἐκ γῆς ἀνιείς, καὶ μάλιστα τῷ γένει τῶν ἀνθρώπων, ᾧ τὴν ἐφ' ἅπασι τοῖς γηγενέσιν ἡγεμονίαν ἐχαρίζετο· τῶν γὰρ θείων ἔργων οὐδὲν ὀψίγονον, ἀλλὰ καὶ ὅσα τέχναις καὶ ἐπιμελείαις ὕστερον τελειοῦσθαι δοκεῖ, πάντως ἡμίεργα προϋπόκειται προμηθείᾳ φύσεως, ὡς μὲν ἀπὸ σκοποῦ τῆς μαθήσεως εἶναι λέγεσθαι. ταῦτα μὲν οὖν ὑπαρκείσθω· τὴν δὴ ἀναγκαιοτάτην σπορὰν ἐπισκεπτέον, ἣν ὁ ποιητὴς ἐν ἀρετώσῃ χώρᾳ κατέσπειρε λογικῇ ψυχῇ· ταύτης δὴ ὁ πρῶτος σπόρος ἐστὶν ἐλπίς, ἡ πηγὴ τῶν βίων. ἐλπίδι γὰρ κέρδους ὁ χρηματιστὴς ἐπαποδύεται, καὶ πολυτρόποις ἰδέαις πορισμῶν, ἐλπίδι δ' ὁ ναύκληρος εὐπλοίας

A nam legislator postquam tum præceptis monitisque blandioribus tum minis castigationibúsque seuerioribus suos instituit, aduocata concione leges eis consideraturis promulgauit. populus vero quasi ad sacrum certamen inuitatus, suam voluntatem non dissimulanter aperuit. Deinde alij, ceu probi virtutis athletæ, spe sua non sunt frustrati, legibus certamen huius stadij moderantibus. alij molles effœminatique ac degeneres animo prius quàm B validius resisterent conciderunt, risus & ludibrium facti spectatoribus. Quapropter illi victores præmia tulerunt præconia cum cæteris honoribus: hi vero non solum sine corona discesserunt, verumetiam cum ignominia molestiore quàm sit vllũ certamen gymnicum. in illo enim genere succumbũt athletarum corpora, quæ rursum assurgunt facile: in hoc vero tota vita collabitur, quàm semel subuersam ægre possis restituere. cæterum priuilegia C honoréisque, & è diuerso pœnæ, decernuntur ordine conuenientissimo, pro ratione virorum, familiarum, ciuitatum, regionum, gentium, magnorũque terræ tractuum. sed prius honores considerandi veniunt, vel quod vtiliores, vel quod auditu iucũdiores, addetur tamen suum cuique parti exordiũ. Fertur apud Græcos antiquum illum Triptolemũ sublimem vectum alaris draconibus, fruges in vniuersam terrã seminasse, vt pro esu glandiũ alimenta D mitiora genus humanũ capesseret. id vt alia pleraque figmenta relinquatur penes autores fabularũ talium, nugis sophisticis præstigiisque magis quàm veritate gaudentiũ. nam mox à rebus cõditis Deus è terra victum produxit animãtibus omnibus. præcipue hominibus, quibus in omnia quæ terra fert dedit imperium. nam in operibus Dei nullũ est serotinum, sed quicquid arte curáque postea videtur absolutũ, vtique semiperfectum iam antea fuerat E per naturæ prouidentiam, vt non temere artes inuentas existimare debeamus. verùm hæc aliò differenda sunt. nunc consideremus sementem cum primis necessariam, quàm fecit conditor ille in agro bono, scilicet rationali anima. in hac præcipuum semen est spes, à quo fonte victus ratio promanat. nam spe lucri negotiator varios quæstus aggreditur nauclerus secundum cursum sperans maria traij-

A cit, ambitiosus spe honorum accedit ad tractandam rempublicam spe coronarum athleta subit certamina: spe felicitatis ad philosophiam animum applicant quicumque sunt dediti virtutum studio: quod eius ope se putent peruenturos tum ad naturæ noticiam, tum ad vitæ actiuæ contemplatiuæque perfectionem, quibus in rebus felicitatem sitam existimant. ea spei semina nonnulli hostiliter exurunt incensis natiuis animæ vitijs, aut velut negligentes agricolę corrumpunt per socordiam, nec desunt qui cum diligentes coloni videantur, sui magis quàm pietatis studiosi, benefactorum causas sibiipsis tribuunt: omnes hi culpandi merito. solus laudem meretur qui suam spem in Deo collocat, cui hoc ipsum quod est debet, conseruaturo munus suum gratuito. Quod igitur præmium est propositum victori in hoc certamine? mixtum quoddam ex mortali ac immortali natura animal, homo videlicet, non is ipse qui præmium accipit, nec alius tamen. Hunc Chaldæi nominant Enos, quod interpretatur homo. eam communem generis appellationem victor accipit eximium præmium, quasi nemo prorsus hoc nomine dignus sit, nisi nisi qui in Deo sperat. post hanc spei victoriam superest alterum certamen in stadio pœnitentiæ: quæ vbi è bene constitutæ naturæ statu excidit, accensa repente amore melioris propositi, à familiari cupiditate iniquitatéque properat transire ad temperantiam, iusticiam, virtutésque cæteras. Nam duobus præmijs pensantur duo merita, discessus à turpibus & accessus ad honesta, migratione & solitudine. Sic enim scriptura loquitur de eo qui relictis corporis affectibus rerum nouarum auidis, transfugit ad animam: Non est inuentus quia Deus eum transtulerat, per hanc enim translationem manifeste significatur migratio: per id verò quod non inuentus dicitur, solitudinem intelligimus, & quidem valde proprie. Nam si ex animo decreuit homo affectibus & perturbationibus omnibus superior euadere, contemptis concupiscentijs ac voluptatibus, expediat se fugiátque continuato cursu familiam, patriam, cognatos & amicos pariter. Nam consuetudo vim attrahendi habet, vt timendum sit, ne

προσαποδύεται τὰ μακρὰ πλάγη, ἐλπίδι δόξης καὶ ὁ φιλότιμος αἱρεῖται πολιτείαν, καὶ κοινῶν πραγμάτων ἐπιμέλειαν, δι' ἐλπίδα βραβείων καὶ στεφάνων καὶ οἱ τὴν σωμάτων ἀθληταὶ τοὺς γυμνικοὺς ἀγῶνας ἀθλοῦσιν· ἐλπὶς εὐδαιμονίας καὶ τοὺς ἀρετῆς ζηλωτὰς ἐπαίρει φιλοσοφεῖν, ὡς ταύτῃ δυνησομένους καὶ τὴν τῶν ὄντων φύσιν ἰδεῖν, καὶ δρᾶσαι τὰ ἀκόλουθα πρὸς τὴν τῶν ἀρίστων βίων θεωρητικοῦ τε καὶ πρακτικοῦ τελείωσιν, ὧν ὁ τυχὼν, ἐστὶν εὐθὺς εὐδαίμων. ἔνιοι μὲν οὖν τὰ ἐλπίδος σπέρματα, ἢ ὡς πολέμιοι ταῖς ἐν τῇ ψυχῇ κακίαις ζωπυρήσαντες ἐνέπρησαν, ἢ ὡς ἀμαθεῖς τέχνης τῆς γεωργικῆς ὑπὸ ῥᾳθυμίας διέφθειραν· εἰσὶ δ' οἳ καὶ δόξαντες ἐπιμεμελῆσθαι, φιλαυτίαν πρὸ εὐσεβείας ἀναπεισάμενοι, τὰς αἰτίας τῶν κατορθωμάτων ἀνέθηκαν ἑαυτοῖς, ὑπαίτιοι δὲ πάντες οὗτοι· μόνος δ' ἀποδοχῆς ἄξιος, ὁ ἀνατιθεὶς τὴν ἐλπίδα θεῷ, καὶ ὡς αἰτίῳ τῆς γενέσεως αὐτοῦ, καὶ ὡς δυνατῷ καὶ ἀλώβητον ἰσχυρῷ μόνῳ διαφυλάξαι. τί δ' οὖν ἆθλον προὔκειται τῷ στεφανωθέντι τὸν ἀγῶνα τοῦτον; τὸ μικτὸν ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως ζῷον ὁ ἄνθρωπος, οὐχ ὁ αὐτὸς, οὐχ ἕτερος ὢν τοῦ λαβόντος. τοῦτον χαλδαῖοι μὲν ὀνομάζουσιν Ἐνώς, εἰς δ' Ἑλλάδα γλῶτταν μεταβληθεὶς ἐστὶν ἄνθρωπος, τὸ κοινὸν ὄνομα τοῦ γένους ἴδιον λαβὼν ἆθλον ἐξαίρετον, ὡς δέον μηδένα νομίζεσθαι προσρηθῆναι ἄνθρωπον, ὃς ἂν μὴ ἐπὶ θεὸν ἐλπίζῃ. μετὰ δὲ τὴν ἐλπίδος νίκην, ἀγὼν δεύτερός ἐστιν, ἐν ᾧ μετάνοια ἀγωνίζεται, τὸ μὲν ἀτελὲς καὶ ἀμετανόητον, ἢ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχούσης φύσεως ἀμοιρήσασα, ζήλῳ δὲ καὶ ἔρωτι τοῦ βελτίονος ἐξαίφνης κατασχεθεῖσα, σπουδάζει καταλιπεῖν μὲν τὴν σύντροφον πλεονεξίαν καὶ ἀδικίαν, μεθορμίσασθαι δὲ πρὸς σωφροσύνην καὶ δικαιοσύνην, καὶ τὰς ἄλλας ἀρετάς. ἆθλα γὰρ ταῦτα προτίθεται διττὰ ἐπὶ διττοῖς κατορθώμασιν, ἀπολείψει μὲν αἰσχρῶν, αἱρέσει δὲ τῶν καλλίστων· τὰ δ' ἆθλα ἀποικία καὶ μόνωσις· φησὶ γὰρ ἐπὶ τοῦ τὰς μὲν τοῦ σώματος νεωτεροποιίας ἀποδράντος, αὐτομολήσαντος δὲ πρὸς ψυχήν, Οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός· αἰνίττεται δὲ καὶ ἐναργῶς, διὰ μὲν τῆς μεταθέσεως τὴν ἀποικίαν, διὰ δὲ τοῦ μὴ εὑρίσκεσθαι τὴν μόνωσιν, καὶ σφόδρα οἰκείως. εἰ γὰρ τῷ ὄντι ἐκδύσει τὴν παθῶν ἀφειδῶς ἔγνωκεν ἵστασθαι ἄνθρωπος, καταφρονήσας ἡδονῶν καὶ ἐπιθυμιῶν, διατείνεσθαι φυγεῖν ἀμεταστρεπτὶ καὶ οἶκον καὶ πατρίδα, καὶ συγγενεῖς καὶ φίλους. ὁλκὸν γὰρ ἡ συνήθεια, ὡς δέος εἰ μὴ

B C D E

μὴ

μὴ καταμείνας ἀλῷ, τοσούτοις ἐν κύκλῳ φιλέξεις ἀποπληχθείς, ὧν αἱ φαντασίαι τὴν εἰθισμένην ἡσυχίαν τῶν αἰσχρῶν ἐπιτηδευμάτων πάλιν ἀνακινήσουσι, καὶ μνήμας ἐναύλους ὧν ἐπιλελῆσθαι καλὸν ἦν, ἐνεργάσονται. πολλοὶ γοῦν ἀποδημίαις ἐσωφρονίσθησαν, ἔρωτας ἐκμανεῖς καὶ λελυττηκότας θεραπεύσαντες, οὐκ ἔτι τῆς ὄψεως χορηγεῖν δυναμένης τὰ πάθη τῆς ἡδονῆς τὰ εἴδωλα. τῇ γὰρ διαζεύξει κατ' ἀνάγκην κενοῦ βαίνει, μηκέτι παρόντος ὑφ' οὗ διερεθισθήσεται· κἂν μετοικίσηται μέντοι, τοὺς τῶν πολλῶν θιάσους ἐκτρεπέσθω, μόνωσιν ἀσπαζόμενος. πέφυκε γὰρ καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ὅμοια τοῖς οἴκοι δίκτυα, οἷς ἀνάγκη περιπείρεσθαι τοὺς ἀπερισκέπτως ἔχοντας, καὶ ταῖς τῶν πολλῶν χαίροντας ὁμιλίαις. ὅ, τι γὰρ ἄτακτον, ἄκοσμον, πλημμελές, ὑπαίτιον, τοῦτο ὄχλος, μεθ' οὗ φέρεσθαι τοῖς νῦν μετοικισαμένοις πρὸς ἀρετὴν ἀλυσιτελέστατον. ὡς γὰρ τοῖς ἐκ νόσου μακρᾶς ἀρχομένοις ἀναλαμβάνειν εὐάλωτά πώς ἐστι τὰ σώματα, οὕτω καὶ οἷς ἡ ψυχὴ ὡς νῦν πρότερον ὑγιάζεται, σαλεύουσι οἱ νοεροὶ τόνοι καὶ κραδαίνονται, ὡς δέος εἶναι μὴ παλινδρομήσῃ τὸ πάθος, ὃ πέφυκεν ἐκ τῆς εἰκαιοτέρων συνδιαιτήσεως ἀνερεθίζεσθαι. μετὰ δὲ τοὺς τῆς μετανοίας ἀγῶνας, τρία ἆθλα τέθειται δικαιοσύνης, ἧς ὁ μεταποιησάμενος, λαμβάνει γέρα διττά· τὸ μὲν σωτήριον ἐν κοινῇ φθορᾷ, τὸ δὲ ταμίαν καὶ φύλακα ἑκάστης ζῴων ἰδέας ἡρμοσμένου· ζυγὰ δὲ ἦν εἰς δευτέραν γένεσιν ἀντὶ τῆς ἀπολλυμένης. ἠξίωσε γὰρ ὁ ποιητὴς τὸν αὐτὸν καὶ τέλος γενέσθαι τῆς κατακρίτου γενεᾶς, καὶ ἀρχὴν τῆς ἀνυπαιτίου, διδάσκων τοὺς ἀπρονόητον εἶναι τὸν κόσμον λέγοντας ἔργοις οὐ ῥήμασιν, ὅτι καθ' ὃν εἰσηγήσατο νόμον ἐν τῇ φύσει τῶν ὅλων, αἱ σύμπασαι μυριάδες ἀνθρώπων μετ' ἀδικίας, ἑνὸς ἀνδρὸς οὐκ ἄξιαι δικαιοσύνῃ συμβιοῦντος. τοῦτον Ἕλληνες μὲν Δευκαλίωνα, Χαλδαῖοι δὲ Νῶε ἐπονομάζουσιν, ἐφ' οὗ τὸν μέγαν κατακλυσμὸν συνέβη γενέσθαι. μετὰ δὲ τὴν τριάδα ταύτην, ἑτέρα τριὰς ὁσιωτέρα καὶ θεοφιλεστέρα γίνεται μιᾶς συγγενείας. πατὴρ γὰρ καὶ υἱὸς καὶ υἱωνὸς ἐπὶ τὸ αὐτὸ τέλος ἔσπευσαν τοῦ βίου, τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων εὐαρεστῆσαι, καταφρονήσαντες μὲν ὧν θαυμάζουσιν οἱ πολλοί, δόξης καὶ πλούτου καὶ ἡδονῆς, γελάσαντες δὲ καὶ τῦφον, ὃς ἐκ ψευσμάτων ἀεὶ συνυφαίνεται καὶ καταποικίλλεται πρὸς ἀπάτην τῶν ὁρώντων.

A hac captus hæreat, inclusus tanta illecebrarum multitudine, quarum imaginationibus excitantur sopita iam rerum turpium studia, refricata memoria rerum quas præstabat obliuioni tradere. Sic enim multis accidit, vt peregrinando ad sanam mentem redirent, excussis præferuidis amoribus, postquam aspectus repræsentare imagines voluptatis desijt. Nam sublatis iritamentis per inane incedit cogitatio. Quin & post migrationem satius est vitare sodalitia &
B amare solitudinem. nam & apud exteros præsto sunt laquei similes domesticis, in quos necesse est incidere, si quis sit improuidus & delectetur multorum consuetudine. vulgus enim est enorme, inconditum, immodicum, culpabile, cum quo versari tendenti ad virtutem non expedit. sicut enim à longo morbo se recolligentium corpora leui momento relabuntur in deterius: ita quo-
C rum anima nunc primum sanitatem recipit, nutat mente inualida, vt timendum sit ne in morbum recidat, irritamentis ex incauto conuictu accedentibus. Cæterum post pœnitentiæ certamina, tria proponuntur præmia iustitiæ, cuius sectator geminos honores accipit: alterum salutem in pernicie publica, alterum custodiam ac tutelam omnis generis animalium, ad propagandam eorum posteritatem copulatorum per coniugia. Voluit
D enim conditor rerum omnium, vt idem homo & damnati generis esset finis, & initium innoxij, eos qui negant prouidentiam docens rebus magis quàm verbis, quòd iuxta legem naturæ se autore proditam, vnus vir iustus potior sit innumeris iniustis mortalibus, eius conuictu indignissimis. Hunc Græci Deucalionem, Chaldæi Noam nominant, cuius ætate ingens illud diluuium
E acciderit. Post eius tres filios alter sequutus est ternio sanctior & Deo charior in vna familia. Nam pater, filius, nepósque, ad eumdem finem vitæ contenderunt, vt conditori parentique rerum placerent, contemptis quas vulgus miratur opibus atque voluptatibus vnà cum honoribus, calcata etiam vanitate, quæ se ornari gaudet mendacijs, spectatoribus fucum solita facere.

Hæc est illa præstigiatrix, res inanimas in numerum deorum referens, arx magna, expugnatu perdifficilis, cuius versutijs quælibet vrbs capitur, adeo subrepit in iuuentutis animos. Occupatos enim iam inde à pueritia, vsque senectutem insidet, nisi si quibus Deus splendorem veritatis affulgere voluit. Veritatis autem aduersaria vanitas est, quæ licet ægre, cedit tamen victa viribus efficacioribus. Verùm hoc genus exiguum quidem numero, pollet tamen potéstque plurimum: & quoniam eius amplitudinem totus orbis non capit, ad cælum vsque pertinet: & cupiditate contemplandi post exquisitam cognitionem naturæ rerum visibilium, mox transit ad incorporeas & intelligibiles, semotis sensibus vt ministris brutæ partis animæ, mente verò & ratione in consilium adhibita. cæterum princeps ille assertor piæ sententiæ, qui primus à vanitate se totum ad veritatem magno conatu contulit, ad sui perfectionem vsus doctrina eximia, præmium accepit certam in Deum fiduciam. ei verò qui ingenio tam felici præditus fuerat, vt seipso magistro virtutem perdidicerit, prętmium obtigit gaudium. At illi meditatori, conatu magno ac pertinaci virtutem assecuto, videre Deum fuit operæ præmium palmarium. ea fiducia, læticiáque perpetua, cum visione Dei coniuncta, quid cogitari potest in vita vtilius aut honestius? Inspiciamus singula diligentius, & res ipsas penitius contemplemur non contenti vocabulis, Quisquis Deo credit ex animo, in nulla re creata corruptibilique collocat fiduciam, ne in his quidem quibus sibi placet maxime, vi rationali sensitiuáque. nam vtraque habet suum consistorium, sed rationalis intelligibilia solum considerat, cuius finis est opinatio. cæterum opinionũ instabilitas & vacillatio vel hinc liquet, quod probabilibus tantum argumentis nituntur & verisimilibus. omnis autem similitudo fallax est, cum sit imago tantum rei quam simulat. itaque fit vt ratio dux sensuum, dum putat eodem modo tractanda intelligibilia, subinde offenset decipiatúrque. dum enim aggreditur tot indiuidua, inualidior fit destituta viribus, & deficit sicut athleta oppressus à robustiore aduersario. at cui contigit omnia corpora de sublimi despicere,

A οὗτός ἐστιν ὁ γόης, ὁ τὰ ἄψυχα θεοπλαστῶν, ὁ μέγας καὶ δυσάλωτος ἐπιτειχισμός, οὗ τοῖς σοφίσμασι καὶ στρατηγήμασι, πᾶσα πόλις δελεάζεται, προκαταλαμβάνοντος τὰς τῶν νέων ψυχάς. εἰσοικισάμενος γὰρ ἐκ πρώτης ἡλικίας ἄχρι γήρως ἐνιδρύεται, πλὴν οἷς ἂν ὁ θεὸς αὐγὴν ἐπιλάμψῃ τῆς ἀληθείας· ἀληθείᾳ δὲ τῦφος ἀντίπαλον, ὃς μόγις μὲν, ἀλλ' οὖν κραταιοτέρᾳ δυνάμει νικηθεὶς ὑπεξίσταται· τοῦτο δὲ τὸ γένος ἀριθμῷ μὲν ἐστιν ὀλίγον, δυνάμει δὲ πολὺ καὶ μέγιστον, ὡς B μηδὲ ἅπαντα τῆς γῆς κύκλον αὐτὸ χωρεῖν δύνασθαι, φθάνειν δ' εἰς οὐρανὸν, καὶ τῷ θεωρεῖν καὶ τοῖς θείοις ἀεὶ συνιέναι κατεσχημένον ἀλέκτως ὃ πλέον ὁρατὴν, ὅταν ἅπασαν φύσιν διερευνήσῃ, καὶ διεξέλθῃ, πρὸς τὴν ἀσώματον καὶ νοητὴν εὐθὺς μέτεισιν, οὐδεμίαν τῶν αἰσθήσεων ἐπαγόμενον, ἀλλ' ὅσον μὲν τῆς ψυχῆς ἄλογον μεθιέμενον, ᾧ δ' ὁ κέκληται νοῦς καὶ λογισμὸς μόνῳ προσχρώμενον. ὁ μὲν οὖν ἡγεμὼν τῆς θεοφιλοῦς δόξης, ὁ πρῶτος ἐκ C τύφου μεθορμισάμενος πρὸς ἀλήθειαν, διδακτικῇ χρησάμενος ἀρετῇ πρὸς τελείωσιν, ἆθλον αἴρεται τὴν πρὸς τὸν θεὸν πίστιν· ᾧ δὲ κατ' εὐμοιρίαν φύσεως αὐτήκοον καὶ αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ τὴν ἀρετὴν, ἀναδίδοται χαρά· τῷ δ' ἀσκητοῦ καὶ πόνοις ἀτρύτοις καὶ ἀκαμπέσι προσποιησαμένου τὸ καλὸν, ὁ στέφανός ἐστιν ὅρασις θεοῦ. τοῦ δὲ πιστεύειν θεῷ καὶ διὰ παντὸς τοῦ βίου χαίρειν καὶ ὁρᾶν ἀεὶ τὸ ὂν, τί ἂν ὠφελιμώτερον ἢ σεμνότερον ἐπινοήσειέ τις; ἐπαυγασόμεθα δ' αὐτῶν ἕκα- D στον ἀκριβέστερον, μὴ τοῖς ὀνόμασι προσαχθέντες, ἀλλὰ διακύψαντες εἴσω, καὶ ταῖς διανοίαις ἐμβαθύναντες. ὁ μὲν τοίνυν ἀψευδῶς πιστεύσας θεῷ, τὴν ἐν τοῖς ἄλλοις ὅσα γενητὰ καὶ φθαρτὰ καταλέληφεν ἀπιστίαν· ἀρξάμενος δὲ ἀπὸ τῶν ἐν αὐτῷ μέγα πνεόντων, λογισμοῦ τε καὶ αἰσθήσεως· ἑκατέρῳ γὰρ ἴδιον συνέδριον καὶ δικαστήριον προσκεκλήρωται, τῷ μὲν εἰς τὴν τῶν νοητῶν ἐπίσκεψιν, οὗ τέλος δόξα. τὸ μὲν οὖν ἀΐδρυτον καὶ πεπλανημένον δόξης, ἐνθέν- E δε δῆλον. εἰκόσι γὰρ καὶ πιθανοῖς ἐφορμεῖ· πᾶσα δὲ εἰκὼν ὁμοιότητος διὰ παραγωγοῦ ψεύδεται τὸ ἀρχέτυπον· ὅ, τε ἡγεμὼν αἰσθήσεως λογισμὸς τὰς κρίσεις οἰόμενος ἀνῆφθαι τῶν νοητῶν καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων, ἁλίσκεται περὶ πολλὰ κηραίνων. ὅταν γὰρ μυρίοις οὖσι τοῖς κατὰ μέρος ποιῆται τὰς προσβολὰς, ἀδυνατεῖ καὶ ἐξασθενεῖ, καὶ ἀπαγορεύει, καθάπερ ἀθλητὴς ὑπὸ ῥώμης δυνατωτέρας ἐκτραχηλιζόμενος· ὅτῳ δ' ἐξεγένετο πάντα μὲν σώματα ὑπεριδεῖν καὶ ὑπερκύψαι,

μόνῳ δὲ ἐπερείσασθαι καὶ στηρίσασθαι θεῷ μετ' ἰσχυρογνώμονος λογισμοῦ, καὶ ἀκλινοῦς καὶ βεβαιοτάτης πίστεως, εὐδαίμων καὶ τρισμακάριος ἐστὶν ἀληθῶς. μετὰ πίστιν προὔκειτο τῷ αὐτοποιουμένῳ τὴν ἀρετὴν ἐκ φύσεως ἀκονιτὶ καὶ νικηφορήσαντι χαρὰ τὸ ἆθλον. ὠνομάσθη γάρ, ὡς μὲν ἂν εἴποιεν Ἕλληνες, γέλως, ὡς δὲ Χαλδαῖοι προσονομάζουσιν, Ἰσαάκ· γέλως δὲ σημεῖον ἐπὶ τοῦ σώματος ἀφανοῦς τῆς κατὰ διάνοιαν χαρᾶς ἐστι· χαρὰ δὲ τῶν εὐπαθειῶν ἀρίστη καὶ καλλίστη εἶναι συμβέβηκεν, ὑφ' ἧς ὅλη δι' ὅλων εὐθυμίας ἡ ψυχὴ καταπέπλησται, γεγηθυῖα μὲν ἐπὶ τῷ πατρὶ καὶ ποιητῇ τῶν ἁπάντων θεῷ· γεγηθυῖα δὲ καὶ ἐπὶ τοῖς ἄνευ κακίας δρωμένοις, κἂν μὴ τυγχάνῃ καθ' ἡδονὴν ὄντα, ὡς καλῶς γινομένοις, καὶ ἐπὶ τῇ τῶν ὅλων διαμονῇ. καθάπερ γὰρ ἰατρὸς μὲν ἐν ταῖς μεγάλαις καὶ ἐπισφαλεστάταις νόσοις ἐσθ' ὅτε σωμάτων μέρη ἀφαιρεῖ, στοχαζόμενος ὑγείας. κυβερνήτης δὲ χειμώνων ἐπιγενομένων ἀποφορτίζεται, προνοίᾳ τῆς τῶν ἐμπλεόντων σωτηρίας· καὶ μέμψις οὔτε τῷ ἰατρῷ τῆς πηρώσεως, οὔτε τῷ κυβερνήτῃ τῆς ἀποβολῆς ἕπεται, τοὐναντίον δὲ ἔπαινος ἑκατέρῳ, τὸ συμφέρον πρὸ τοῦ ἡδέος ἰδόντι καὶ κατορθώσαντι· τὸν αὐτὸν τρόπον καὶ τὴν τῶν ὅλων φύσιν ἀεὶ θαυμαστέον, καὶ τοῖς ἐν τῷ κόσμῳ πραττομένοις ἅπασιν ἄνευ τῆς ἑκουσίου κακίας εὐαρεστητέον, ἐξετάζοντας οὐκ εἴ τι μὴ καθ' ἡδονὴν συμβέβηκεν, ἀλλ' εἰ τρόπον εὐνόμου πόλεως ὁ κόσμος ἡνιοχεῖταί τε σωτηρίως καὶ κυβερνᾶται. μακάριος οὖν καὶ ἐστὶν οὐχ ἧττον τοῦ προτέρου, σκυθρωπίας καὶ κατηφείας ἀμέτοχος ὤν, ἄλυπόν τι καὶ ἄφοβον ζωὴν καρπούμενος, αὐχμηροῦ καὶ αὐστηροῦ βίου μηδ' ὄναρ προσψαύμενος, διὰ τὸ πάντα τρόπον τῆς ψυχῆς αὐτοῦ χαρᾷ προκατέχεσθαι. μετὰ τὴν αὐτομαθῆ δὲ καὶ πλουσίῳ χρησάμενον τῇ φύσει, τρίτος ὁ ἀσκητὴς τελειοῦται, λαμβάνων γέρας ἐξαίρετον, ὅρασιν θεοῦ. πάντων γὰρ τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἐφαψάμενος, καὶ πᾶσιν ἐνομιλήσας οὐ παρέργως, καὶ μηδένα πόνον ἢ κίνδυνον παρεσταλθών, εἴπως δυνηθείη τὴν ἀξιέραστον ἀλήθειαν ἰχνηλατῆσαι, παρὰ τῷ θνητῷ βίῳ καὶ γένει πολὺν ζόφον εὕρισκε κατὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα, καὶ αἰθέρα. καὶ γὰρ ὁ αἰθὴρ καὶ ὁ σύμπας οὐρανός, νυκτὸς αὐτῷ παρεῖχε φαντασίαν· ἐπειδὴ πᾶσα ἡ αἰσθητὴ φύσις, ἀόριστος· τὸ δὲ ἀόριστον, ἀδελφὸν σκότους καὶ συγγενές. καταμύσας γοῦν τὸ τῆς ψυχῆς ὄμμα τὸν ἔμπροσθεν αἰῶνα, τοῖς συνεχέσιν ἄθλοις μόγις ἤρξατο διοίγνυσθαι,

A & soli Deo constanter inniti certissima fiducia, is vere felix & ter beatus censendus est. secundum præmium natiuam virtutem sectanti, & sine pulueris iactu palmam auferenti, contigit gaudium. Hunc enim Isaacum Chaldæi, Latini risum nominant. risus autem est signum quo sese profert occultum mentis gaudium: qui affectus est inter omnes alios honestissimus, replens tranquillitate ac securitate totam animam, B lætam & Deo patre conditoréque rerum omnium, & innocentibus actionibus ac cum virtute coniunctis, etiamsi nulla voluptas accedat, modo salus in tuto sit. nam quemadmodum in periculosis morbis medicus interdum corporis partem resecat, vt ad sanitatem id perducat, gubernator quoque tempestate occupatus iacturam facit, dum saluti nauigantium prospicit, nemo tamen C vel hunc vel illum incusat quasi noxium, imò vterque re bene gesta laudatur quod vtile dulci prætulerit: eodem modo rerum natura semper suspicienda est contentis statu rerum præsentium, modo absit malicia voluntaria, nec inquirendum quàm iucunda sint quæ obueniunt, sed an more bene constitutæ reipublicæ mundus regatur ac gubernetur salutari ordine. itaque hic etiam non minus quàm ille prior mactus virtute viuit lætus, quippe immunis ab D omni mœsticia, ne in somnis quidem expertus vitam duram & tetricam, eo quòd anima tota occupata sit gaudio. post hunc per naturæ benignitatem præditum genuinis dotibus tertius sequitur ille absolutus meditator, cui præmium eximium, videre Deum contigit. expertus enim omnia quæ humana vita fert, & in his omnibus versatus non obiter, laboribus nullis vitatis nec periculis, si quo pacto posset optatam verita- E tem assequi, apud mortale genus multam inuenit caliginem, terra & mari, per aerem ac æthera. nam in æthere, atque adeo toto cælo, noctis vidit quandam imaginem: quandoquidem tota sensibilis natura infinita est. quicquid autem infinitum est, cognationem propinquam habet cum tenebris. itaque prima ætate conniuentibus oculis animæ, præ continuis laboribus vix eos potuit diducere,

vt per offusam caliginem cerneret. sed repente affulxit ei purior splendor incorporeus ex æthere, & aperuit gubernari mundum intelligibilem. verùm is gubernator circumfusus luce purissima, nec videri nec palpari facile poterat radijs visum hebetantibus. restitit tamen vir egregius contra tantam vim igneam immenso amore videndi percitus. quam generosam cupiditatem animaduertens pater miseratúsque, addidit robur visui, nec inuidit sui cernendi copiam, quantum natura humana capax fuit eius spectaculi, videlicet vt sciret esse Deum, non quis sit etiam. nam is & bonitate ipsa melior, & vnitate antiquior ac sincerior, non potest spectari à quoquam alio. ideo ipsi soli fas est à seipso percipi. cæterum esse eum percipitur, si non ab omnibus, certe ab his qui per potiorem viam incedunt. sunt enim quidam qui esse vllum numen pernegant: alij sit ne annon sit ambigunt. alij secuti maiorum ritus potius quàm certam rationem aliquam, talem Deum cogitant qualem didicerunt à suis educatoribus: atque ita se egregie pios existimant, si superstitionem pro pietate amplectantur. quod si qui adiuti scientia valuerunt imaginari rectorem atque conditorem huius rerum vniuersitatis, ab inferis (vt aiunt) promouerunt ad supera. introgressi enim hunc mundum, velut bene constitutam rempublicam, & conspicati campos montésque plenos segetibus atque arboribus frugiferis, variisque generibus animantium: & hos rigari stagnis, amnibus, ac torrentibus, afflari ventis aurisque miro temperamento quatuor annuarum vicissitudinum: prӕterque hæc omnia solem, lunam, erratica fixáve sidera, vniuersámque cæli militiam obeũtem ordine mirifico hunc mundum dictum vero nomine: tracti admiratione cœperunt cogitare, tam bene ornatas ordinatásque res non moueri temere: vnde necessario colligebant eas ab aliquo mundi opifice regi magna prouidentia. Nam lex naturæ iubet opificem operis sui curam gerere. Verum hi diuiniores cæteris (vt dixi) ab inferis progressi sunt ad supera, quasi per quasdam cælestes scalas rationibus probabilibus tendentes ad ipsum opificem. Quod si qui absque vllo

A καὶ τὴν ἐπισκοτήσασαν ἀχλὺν ἀποβάλλει ἀχλύν. καθαρωτέρα γὰρ αἰθέρος ἀσώματος ἐξαίφνης ἐπιλάμψασα αὐγή, τὸν νοητὸν κόσμον ἀνέφηνεν ἡνιοχούμενον· ὁ δ᾽ ἡνίοχος ἀκράτῳ φέγγει περιλαμπόμενος ἐν κύκλῳ, δυσόρατος καὶ δυστόπαστος ἦν ταῖς μαρμαρυγαῖς τῆς ὄψεως ἀμυδρουμένης· ἡ δὲ καίτοι πολλοῦ ῥέοντος εἰς αὐτὴν πυρὸς, ἀντεῖχεν ἔρωτι ἐκτόπῳ τοῦ θεάσασθαι· γνήσιον δὲ ἵμερον ἰδὼν ὁ πατὴρ ἠλέησε, καὶ κράτος δοὺς τῇ τῆς ὄψεως προσβολῇ τῆς ἑαυτοῦ

B θέας οὐκ ἐφθόνησε, καθ᾽ ὅσον οἷόν τ᾽ ἦν χωρῆσαι θνητὴν καὶ γενητὴν φύσιν, οὐχὶ τῆς ὅς ἐστιν ἐμφαινούσης, ἀλλὰ τῆς ὅτι ἔστιν. ἐκεῖνο μὲν γὰρ ὃ καὶ ἀγαθοῦ κρεῖττον καὶ μονάδος πρεσβύτερον καὶ εἰλικρινέστερον, ἀμήχανον ὑφ᾽ ἑτέρου τινὸς θεωρεῖσθαι· διότι μόνῳ θέμις αὐτὸν ὑφ᾽ αὐτοῦ καταλαμβάνεσθαι. τὸ δ᾽ ὅτι ἔστιν, ὑπάρξεως ὀνόματι καταληπτὸν ὂν, ἢ οὐ πάντες, ἢ οὐχ ὁδῷ τῇ βελτίονι καταλαμβάνουσιν, ἀλλ᾽ οἱ μὲν ἄντικρυς ἀ-

C πεφήναντο μηδ᾽ ὅλως εἶναι τὸ θεῖον· οἱ δὲ ἐνδοιάζοντες ἐπαμφοτερίζουσιν, ὡς οὐκ ἔχοντες εἰπεῖν, εἴτε ἔστιν, εἴτε μή· οἱ δὲ καὶ ἔθει μᾶλλον ἢ λογισμῷ τὰς περὶ ὑπάρξεως θεοῦ νομίσαντες ἐννοίας παρὰ τῶν τρεφόντων, ἔδοξαν εὐστόχως εὐσεβεῖν, δεισιδαιμονίᾳ τὴν εὐσέβειαν ἐγχαράξαντες. οἱ δέ τινες καὶ δι᾽ ἐπιστήμης ἴσχυσαν φαντασιωθῆναι τὸν ποιητὴν καὶ ἡγεμόνα τοῦ παντὸς, τὸ λεγόμενον δὴ τοῦτο, κάτωθεν ἄνω προελθόντες· ὥσπερ γὰρ εἰς εὔνομον πόλιν τόνδε τὸν κόσμον παρεληλυθότες, καὶ θεασάμενοι

D γῆν μὲν ἑστῶσαν ὀρεινήν τε καὶ πεδιάδα, σπαρτῶν καὶ δένδρων καὶ καρπῶν, ἔτι δὲ καὶ ζῴων παντοίων ἀνάπλεων· ἐπὶ δὲ αὐτῆς ἀνακεχυμένα καὶ λίμνας καὶ ποταμοὺς αὐθιγενεῖς τε καὶ χειμάρρους, καὶ πνευμάτων εὐκρασίας, καὶ τὰς ἐτησίους ὡρῶν τὰς εὐαρμονίους μεταβολὰς, καὶ ἐπὶ πᾶσιν ἥλιον καὶ σελήνην, πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, καὶ τὸν σύμπαντα οὐρανὸν ἐν τάξεσι μετὰ τῆς οἰκείας στρατιᾶς, κόσμον ἀληθινὸν ἐν κόσμῳ περιπολοῦντα, θαυμάσαντες καὶ καταπλαγέντες, εἰς ἔννοιαν ἦλθον ἀκόλουθον τοῖς φανεῖσιν, ὅτι ἄρα τοσαῦτα κάλλη καὶ

E οὕτως ὑπερβάλλουσα τάξις, οὐκ ἀπαυτοματισθέντα γέγονεν, ἀλλ᾽ ὑπό τινος δημιουργοῦ κοσμοποιοῦ, καὶ ὅτι πρόνοιαν ἀναγκαῖον εἶναι. νόμος γὰρ φύσεως ἐπιμελεῖσθαι τὸ πεποιηκὸς τοῦ γεγονότος. ἀλλ᾽ οὗτοί γε θαυμάσιοι, καὶ τῶν ἄλλων διενηνοχότες, ὡς ἔφην, κάτωθεν ἄνω προῆλθον, οἷα διά τινος οὐρανίου κλίμακος εἰκότι λογισμῷ στοχασάμενοι τὸν δημιουργόν. εἰ δέ τινες ἠδυνήθησαν αὐτὸν ἐξ ἑαυτοῦ καταλαβεῖν,

ἑτέρῳ μηδενὶ χρησάμενοι συνεργῷ πρὸς τὴν θέαν, ἐν ὁσίοις θεραπευταῖς καὶ θεοφιλέσιν ὡς ἀληθῶς ἀναγραφέσθωσαν. τούτων ἐστὶν ὁ χαλδαϊστὶ μὲν προσαγορευόμενος Ἰσραήλ, ἑλληνιστὶ δὲ ὁρῶν θεόν, οὐχ οἷός ἐστιν ὁ θεός· τοῦτο γὰρ ἀμήχανον, ὡς ἔφην· ἀλλ᾽ ὅτι ἐστίν, οὐ παρ᾽ ἑτέρου τινὸς μαθών, οὐχὶ τῶν κατὰ γῆν, οὐχὶ τῶν κατ᾽ οὐρανόν, οὐχὶ τῶν ὅσα στοιχεῖα, ἢ συγκρίματα θνητά τε αὖ καὶ ἀθάνατα, ἀλλὰ παρ᾽ αὐτοῦ μόνου καταβληθείς, τὴν ἰδίαν ὕπαρξιν ἀναφῆναι θελήσαντος ἱκέτῃ. πῶς δ᾽ ἡ προσβολὴ γέγονεν, ἄξιον διά τινος εἰκόνος ἰδεῖν. τὸν αἰσθητὸν τοῦτον ἥλιον μὴ ἑτέρῳ τινὶ θεωροῦμεν ἢ ἡλίῳ; τὰ δ᾽ ἄστρα, μή ποτ᾽ ἄλλοις ἢ ἄστροις θεωροῦμεν; καὶ τὸ φῶς, ἆρ᾽ οὐ φωτὶ βλέπεται; τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ θεὸς ἑαυτοῦ φέγγος ὤν, δι᾽ αὐτοῦ μόνου θεωρεῖται, μηδενὸς ἄλλου συνεργοῦντος, ἢ δυναμένου συνεργῆσαι πρὸς τὴν εἰλικρινῆ κατάληψιν τῆς ὑπάρξεως αὐτοῦ. στοχασταὶ μὲν οὖν οἱ ἀπὸ τῶν γεγονότων τὸν ἀγένητον προσαναδόντες θεωροῦσι, ὅμοιόν τι δρῶντες τοῖς ἀπὸ δυάδος μονάδος φύσιν ἐρευνῶσιν, δέον ἔμπαλιν ἀπὸ μονάδος· ἀρχὴ γὰρ αὕτη δυάδος· σκοπεῖν· ἀλήθειαν δὲ μετίασιν οἱ τὸν θεὸν θεῷ φαντασιωθέντες, φωτὶ φῶς. τὸ μὲν οὖν μέγιστον ἆθλον εἴρηται· πρὸς δὲ τούτοις λαμβάνει βραβεῖον ὁ ἀσκητής, λεχθῆναι μὲν οὐκ εὔφημον, νοηθῆναι δὲ ἄριστον· ὀνομάζεται δὲ τὸ βραβεῖον νάρκη συμβολικῶς. ἀλαζονεία γὰρ καὶ ὑπεροψία διὰ τοῦ πλάτους ἐμφαίνεται, χεομένης τῆς ψυχῆς ἀμέτρως ἐφ᾽ ἃ μὴ δεῖ χύσιν· διὰ δὲ τῆς νάρκης, μετεώρου καὶ πεφυσημένου πράγματος εἴσω συστολή. συμφέρει δὲ οὐδὲν οὕτως, ὡς τὸ κεχαλασμένον καὶ ἀνειμένον τῆς ὁρμῆς ἀνακοπῆναί τε καὶ ναρκῆσαι παρὰ θεὸν τοὺς πνευματικοὺς τόνους, ἵν᾽ ἡ τῶν παθῶν ἄμετρος ἰσχὺς ἐξασθενήσασα, πλάτος ἐμπαράσχῃ ψυχῆς τῷ βελτίονι μέρει· προσεξεταστέον δ᾽ ὅτι καὶ οἰκειότατον ἑκάστῳ τὴν τελειότητα ἀπονεμηθὲν τὸ ἆθλον. τῷ μὲν γὰρ ἐκ διδασκαλίας τελειωθέντι, πίστις· ἐπειδὴ τὸν μανθάνοντα πιστεῦσαι δεῖ τῷ διδάσκοντι, περὶ ὧν ὑφηγεῖται. δύσκολον γάρ, μᾶλλον δὲ ἀδύνατον ἀπιστοῦντα παιδευθῆναι· τῷ δὲ κατ᾽ εὐμοιρίαν φύσεως ἐπ᾽ ἀρετὴν φθάσαντι χαρά. χαρτὸν γὰρ ἡ εὐφυΐα καὶ τὰ φύσεως δῶρα, τῆς διανοίας εὐθιξίαις καὶ εὐσκόποις ἐπιβολαῖς προσχρωμένης, ἐν οἷς ἀπόνως εὑρίσκεται τὰ ζητούμενα, καθάπερ ὑποβολέως ἔνδοθεν ὑπηχοῦντος.

A externo auxilio potuerunt ad hoc spectaculum euadere, inter sanctos veréque pios Dei cultores referendi sunt. in ijs est Chaldaïce nominatus Israel, quæ vox interpretatur, videns Deum, Deum inquam, non qualis Deus sit. id enim iam dixi esse impossibile. Sed eum esse, à nullo alio didicit terrestrium vel cælestium, mortalium vel immortalium quæcunque elementa incolentium: sed ab ipso solo attactus, nec tamen dignato aperire suam essentiam. id quem-
B admodum contigerit, operæpretium fuerit contemplari per quandam similitudinem. Solem hunc visibilem, num alia re, quàm sole ipso, adiuti cernimus? quid stellas, an non sola stellarum ope aspicimus? lucis aspectum nónne luci debemus? ad eundem sane modum etiam Deus per seipsum illustrat sui noticiam, cooperante nemine, quòd ea res excedat
C vires omnium. cæterum coniectores isti qui dant operam vt per creaturas perueniant ad creatoris cognitionem, perinde faciunt ac si cognito binario scrutentur vnitatis naturam, cum debuissent ab hac initium facere. ab hac enim binarius incipit. veritatis autem studiosi Deum adiuti Deo quærunt, & lumen ope luminis. hoc igitur quod diximus, maximum fuit præmium. sed & aliud accepit meditator, ominosum dictu, si tamen recte intelligatur, optimum. id figurate torpor nomina-
D tur. nam arrogantia superbiáque per latitudinem significatur, dum se anima diffundit quò non debet: per torpem vero, fastus tumentis & magnifice de se sentientis contractio. Nihil autem vtilius, quàm effusos impetus & animosas contētiones torpore quodam retundere: vt immodicum affectuum robur debilitatum, latum spatium præbeat potiori parti animæ. Hic considerandum insuper, quàm
E conueniens cuique redditum sit præmium. ei, qui discendo absolutus vir euasit, fides: quoniam discentem oportet doctori credere de his quæ docetur. alioqui difficile imò impossibile est non credentem erudiri. ei verò qui felici ingenio virtutem adeptus est, gaudium. læta enim res est generositas dotibus naturæ ornata, gaudens acumine mentis & coniectationibus certissimis, quibus quæsita sine labore assequitur, vsa monitore domestico.

est enim gratissima inuentio rerum dubiarum compendiaria. cæterum illi qui meditando sibi parauit prudentiam, datur visio. Post exactam enim iuuentam actiuam in senectute vita contemplatiua succedit, optima & sanctissima, cælitus demissa, vt quasi gubernator in puppi ad clauum sedeat, & cursum rerum terrenarum moderetur. Nam absque contemplatione iuncta cum scientia nihil præclarum geritur. Vnius adhuc viri mentionem apponam, coronati in sacris certaminibus, ne sim æquo prolixior, ac mox reuertar ad cœptam seriem. Voco autem sacra certamina, haudquaquam ea quæ vulgus nominat. Profana enim sunt ista, vbi violentijs, iniurijs, iniustitijs, non meritæ pœnæ, sed honores & præmia sunt proposita. ego loquor de animæ certaminibus, dum à prudentia stat contra vafriciem & stulticiam, à frugalitate contra luxum & sordiciem, à fortitudine contra temeritatem ac timiditatem, & ab alijs virtutibus contra aduersaria vitia, & cum his & inter se pugnantia. Sunt quidem virtutes omnes virgines, sed harum choros ductat pulcherrima coniuncta cum iusticia pietas, quæ præcipua sorte theologo Mosi obuenit. Ideo præter alia plurima præmia, quæ in eius vita indicauimus, quatuor adsequutus est eximia, factus idem rex, legislator, propheta & pontifex. Regnauit enim non more aliorum fretus copijs pedestribus, equestribus & naualibus, sed Deo, cuius autoritate regnum acceperat, subditis volentibus ac libentibus, qui numinis cælestis instinctu eum sibi principem optauerant. Hunc solum memoriæ proditum est sine auro argentóque ac reliquis opibus regnum administrasse, confisum perspicaci, non cæca opulentia, & vt nil dissimulem, pro suo censu habentem quicquid Deus possidet. idem & legislator factus est. Regis enim est iubere vetaréque. Lex porro nihil est aliud, quàm iubens agenda, & vitanda prohibens. Et quoniam vtrobique incertum est quid conducat: accidit enim plerunque per ignorantiam, vt vitanda iubeamus, agenda vetemus: ideo conueniebat tertiam adhiberi prophetiam, ne quid erretur. Nam propheta interpres est Dei, dictantis intus oracula. Quicquid autem fit di-

A ἡ γὰρ σύντομος τῶν ἀπορουμένων εὕρεσις χαρτόν· τῷ δὲ δι' ἀσκήσεως περιποιησαμένῳ φρόνησιν, ὅρασις· μετὰ γὰρ τὸν ἐν νεότητι πρακτικὸν βίον, ὁ ἐν γήρᾳ θεωρητικὸς, ἄριστος καὶ ἱερώτατος, ὃν οἷα κυβερνήτην ἄνωθεν καταπέμψας ἐπὶ πρύμναν ὁ θεὸς, ἐνεχείρισε τοὺς οἴακας, ὡς ἱκανῷ πηδαλιουχεῖν τὰ ἐπίγεια. χωρὶς γὰρ θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πραττομένων καλόν. ἑνὸς ἔτι μνησθεὶς ἀνδρὸς, στοχαζόμενος τοῦ μὴ μακρηγορεῖν,
B ἐπὶ τὰ ἀκόλουθα τὸν λόγον τρέψομαι· ὁ δὲ ἀνήρ ἐστιν ὃς τοὺς ἱεροὺς ἀγῶνας στεφανωθεὶς ἐκηρύχθη· λέγω δὲ ἱεροὺς, οὐ τοὺς παρ' ἄλλοις νομιζομένους· ἀνίεροι γὰρ οὗτοί γε, βίαις καὶ ὕβρεσι καὶ ἀδικίαις ἀντὶ τῶν δικαιοτάτων τιμωριῶν γέρα καὶ τιμὰς προτείνοντες· ἀλλ' οὓς ἡ ψυχὴ πέφυκε διαθλεῖν, φρονήσει ἠλιθιότητα καὶ πανουργίαν ἐλαύνουσα, σωφροσύνῃ δὲ ἀσωτίαν καὶ φειδωλίαν, ἀνδρίᾳ δὲ θρασύτητα καὶ δειλίαν, καὶ ταῖς ἄλλαις ἀρε-
C ταῖς τὰς ἀντιθέτους κακίας, αἳ μήτε ἑαυταῖς, μήτ' ἄλλαις συμφέρονται. πᾶσαι μὲν οὖν αἱ ἀρεταὶ παρθένοι· καλλιστεύει δὲ ὡς ἐν χορῷ παραλαβοῦσα τὴν ἡγεμονίαν ἡ εὐσέβεια καὶ δικαιοσύνη, ἣν ἐκληρώσατο διαφερόντως ὁ θεόλογος Μωσῆς· δι' ἣν μετὰ μυρίων ἄλλων ἅπερ ἐν ταῖς γραφεῖσι περὶ τοῦ κατ' αὐτὸν βίου μεμήνυται, τεττάρων ἄθλων ἐξαιρέτων τυγχάνει, τυχὼν βασιλείας, νομοθεσίας, προφητείας, ἀρχιερωσύνης. βασιλεύς τε γὰρ γίγνεται, οὐχ ἔθη τοῖς κα-
D θιστῶσι μετὰ στρατιᾶς τε καὶ ὅπλων ναυτικῆς τε καὶ πεζικῆς καὶ ἱππικῆς δυνάμεως, ἀλλ' ὑπὸ θεοῦ χειροτονηθεὶς ἑκουσίῳ γνώμῃ τῶν ἀρχομένων, ὃς τοῖς ὑπηκόοις ἐνειργάσατο τὴν εἰς τὸ ἑκούσιον αἵρεσιν. ἄναυδος γὰρ καὶ ἀνακούσιος καὶ ἀκτήμων καὶ ἀχρήματος μόνος ἐστὶ βασιλεὺς ἡμῖν ἀνεγράφη, πρὸ τυφλοῦ τὸν βλέποντα πλοῦτον ἀσπασάμενος, καὶ εἰ δεῖ μηδὲν ὑποστελλόμενον εἰπεῖν, τὸν θεοῦ κλῆρον ἰδίαν οὐσίαν ὑπο-
E λαμβάνων· ὁ δὲ αὐτὸς γίνεται καὶ νομοθέτης. δεῖ γὰρ τὸν βασιλέα προστάττειν καὶ ἀπαγορεύειν· νόμος δὲ οὐδέν ἐστιν ἕτερον, ἢ λόγος προστάττων ἃ χρὴ καὶ ἀπαγορεύων ἃ μὴ χρή· ἐπεὶ δὲ ἄδηλον τὸ ἐν ἑκατέρῳ συμφέρον. ἀγνοίᾳ γὰρ πολλάκις κελεύομεν ἃ μὴ δεῖ, καὶ ἀπαγορεύομεν ἃ δεῖ πράττειν· οἰκεῖον ἦν λαβεῖν τρίτον, προφητείαν, εἰς τὸ ἄπταιστον. ἑρμηνεὺς γάρ ἐστιν ὁ προφήτης ἔνδοθεν ὑπηχοῦντος τὰ λεκτέα τοῦ θεοῦ· παρὰ δὲ θεῷ οὐδὲν

ἀναίτιον· τέταρτον δέ, ἀρχιερωσύνην, δι᾽ ἧς προφητεύων ἐπιστημονικῶς θεραπεύσει τὸ ὄν, καὶ τὰς τῶν ὑπηκόων, κατορθούντων μὲν εὐχαριστίας, εἰ δὲ διαμαρτάνοιεν, εὐχὰς καὶ ἱκεσίας ἱλασκόμενος ποιήσεται. ταῦτα μιᾶς ὄντα ἰδέας ἀλληλουχεῖν ὀφείλει τῆς ἁρμονίας δεσμοῖς ἑνωθέντα, καὶ περὶ τὸν αὐτὸν ἐξετάζεσθαι, ὡς ὁ γ᾽ ἑνὸς τῶν τεττάρων ὑστερίζων, ἀτελὴς εἰς ἡγεμονίαν, χωλὴν ἀνημμένος κοινῶν πραγμάτων ἐπιμέλειαν. ἅλις μὲν δὴ τῶν καθ᾽ ἕκαστον ἄνδρα προκειμένων ἄθλων· τίθεται δὲ καὶ ὅλοις οἴκοις καὶ πολυανθρώποις συγγενείαις. αὐτίκα τοῦ ἔθνους εἰς δώδεκα φυλὰς διανεμηθέντος, ἰσάριθμοι ταῖς φυλαῖς εἰσιν ἡγεμόνες, οὐ μόνον μιᾶς οἰκίας ἢ συγγενείας, ἀλλὰ καὶ γνησιωτέρας οἰκειότητος. ἀδελφοὶ γὰρ ὁμοπάτριοι πάντες· ὁ δὲ τούτων πάππος καὶ προπάππος σὺν τῷ πατρὶ γεγόνασιν ἀρχηγέται τοῦ ἔθνους. ὁ μὲν οὖν πρῶτος πρὸς ἀλήθειαν ἐκ τύφου μεταθέμενος, καὶ τῆς ἐν τοῖς μαθήμασι χαλδαϊκῆς τερθρείας ὑπεριδὼν ἕνεκα τελειοτέρας ὄψεως, ἣν θεασάμενος, θελχθεὶς ἠκολούθησε τῇ φαντασίᾳ, καθάπερ τὸν σίδηρόν φασιν ὑπὸ λίθου τῆς μαγνήτιδος ἕλκεσθαι, ἀντὶ σοφιστοῦ γενόμενος ἐκ διδασκαλίας σοφός. οὗτος πολλοὺς μὲν ἔσχε παῖδας, ἅπαντας δὲ πλὴν ἑνὸς ὑπεναντίους, ὃς τὰ πείσματα τοῦ γένους ἐκδησάμενος, ἀσφαλῶς ἐνωρμίσατο· τῷ δὴ υἱῷ πάλιν αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ φύσιν, δύο συνέβη παῖδας γενέσθαι, τὸν μὲν ἄγριον καὶ ἀτίθασον, θυμοῦ γέμοντα καὶ ἐπιθυμίας, καὶ συνόλως τὸ τῆς ψυχῆς ἄλογον μέρος ἐπιτετειχικότα τῷ λογικῷ· τὸν δὲ ἥμερον καὶ φιλάνθρωπον καλοκαγαθίας ἐργάτην, ἰσότητός τε καὶ ἀτυφίας ἐν τῇ βελτίονι τεταγμένον τάξει, λογισμοῦ προαγωνιστήν, ἀφροσύνης ἀντίπαλον. οὗτός ἐστιν ὁ τρίτος τῶν ἀρχηγετῶν, ὁ πολύπαις τε καὶ μόνος εὔτεκνος, ἀσινὴς ἐν ἅπασι τοῖς μέρεσι τῆς οἰκίας, οἷά τις γεωργὸς εὐδαίμων ἅπασαν τὴν σπορὰν ἐπιδὼν σῶον ἥμερόν τε καὶ καρποφόρον. ἔχει δὴ ἕκαστος τῶν τριῶν τὴν ῥητὴν διήγησιν, σύμβολον διανοίας ἀφανοῦς, ἣν ἐπισκεπτέον. αὐτίκα παντὶ τῷ διδασκομένῳ συμβαίνει μετιόντι εἰς ἐπιστήμην ἀπολιπεῖν ἀμαθίαν, ἀμαθία δὲ πολύχους. διὰ τοῦτο ὁ πρῶτος λέγεται πολύπαις μέν, οὐδένα δὲ τῶν ἄλλων ἀξιώσας υἱὸν αὐτοῦ χρηματίζειν, πλὴν ἑνός. ἔοικε γὰρ ἵνα καὶ ὁ μανθάνων

A uinitus, non est reprehensibile. Postremo quartus accessit pontificatus, vt pro sua facultate prophetica sciret eum Qui est colere, & quando subditis res prospere cedunt, gratias illi ageret: quod si vlla incideret offensio, supplex impetraret veniam. Hæc cùm ad idem genus pertineant, debent contineri coaptarique mutuis vinculis, & in eodem requiruntur homine, vt si cui quoduis desit horum quatuor, claudicantis reipublicæ B imperfectus princeps censendus sit. Hactenus de præmijs viritim propositis: eodem modo proponuntur & familijs integris, & numerosis gentibus. Iam inde ex quo populus noster in duodecim tribus distributus est, totidem constituti sunt tribuum principes, non solum ex eadem gente ac familia, sed & germanitate iunctissimi. Vnus enim communis pater fuit omnibus, conditores vero totius gentis, auus horum & proauus. Is primus C omnium postquam à vanitate transiuit ad veritatem, valere iussis disciplinis Chaldaïcis & præstigijs, vt perfectiore contemplatione frueretur qua facile captus est, non aliter quàm ferrum magnete trahitur, ex sophista sapiens factus est. Hic multorum filiorum pater, vnum probauit ex omnibus, ancoram sui generis, cui fidere tutò poterat. Ex eo prognatus filius generosæ & suapte natura eruditæ indolis duos suscepit liberos: alterum ferum & indomitum, totum iræ cu- D piditatique obnoxium, & in vniuersum pro bruta parte animæ pugnantem contra ratione præditam: alterum vero mitem, humanum, virtuti deditum & æquitati veritatique, potiores partes secutum, rationis propugnatorem, aduersarium imprudentiæ. hic est inter primos gentis conditores tertius ordine, solus prole numerosa felix, quam ei totam incolumem seruare contigit: haud secus ac fortunatus agricola tota segete salua, E & ad frugem matura spectando fruitur. Verùm quæ de horum trium singulis narrantur, latentem sensum in se continent, qui nobis nunc introspiciendus venit. quisquis incipit discere, statim à ruditate migrat ad scientiam. ruditas autem est multiplex. ideo primus ille quamuis multorum pater, vnicum ex his fertur agnouisse pro filio. nam & qui discit,

sobolem è ruditate susceptam abdicat, & vt inimicam recusat. quandodoquidem sic nati sumus homines, vt priusquam absoluatur in nobis ratio in collimitio siti virtutis & vitij, neutrodum vergamus. Vbi vero menti succreuerunt pinnulæ, & anima concepit illius summi boni quandam imaginem, iam volucris facta vltro id appetit, à tergo relicta cognata malitia: quàm perpetuo cursu fugiens, vertit se ad viam contrariam. & hoc est quod sacra scriptura subinnuit, dum ait illum bona natura præditũ genuisse geminos filios. omnis enim hominis ab ipsa natiuitate anima gemellis est grauida, quippe quæ malum (vt dixi) & bonum concepit ex vtriusque imaginatione. Vbi vero in beatam felicémque partem incidit, ad bonũ proclinat perpetuo, non amplius ambigua pendens in æquilibrio. At cui præter bonum ingenium institutio quoque bona contigit, & insuper tertia in virtute contemplanda exercitatio, ita vt hæc omnia non in superficie hæreant, sed impressa sint altius, & sibi inuicem velut neruis quibusdam adstricta: is cum viribus sanitatem adipiscitur, pudore tinctam, & bonum habitum præ se ferentẽ pulchritudine. Sic anima per naturam, disciplinam, meditationem, res optimas, completa virtutibus, & nihil sibi ad incrementum faciens reliquum, gignit perfectum numerum, bis senos filios, ad similitudinem signiferi circuli, vt hic degat felicius. Hæc est illa integra familia, perfecta & cohærens tum in apertis scripturis, tum in significatis sub eis latentibus, cui præmium contigit vt gentis tribus conderet: quæ processu temporis aucta in multitudinem maximam, constitutis legitimis ciuitatibus & disciplina prudentiæ, institiæ, sanctitatis cæterarúmque virtutum, propagata est amplissime. Hæc sunt præmia priscis illis viris laudatis publice priuatímque reddita, sicut non sine figuris dictum est, ex quibus etiam reliqua facile possint intelligi: superest vt deinceps pœnas malis propositas dicamus in genere, quandoquidem vt singulatim scribantur, tempus non patitur. Extitit quidam fratricida mox ab initio, nondum multiplicato humano genere. hic est ille primus scelestus, qui primus puram terram cruore hominis imbuit,

A ἀποκηρύττει τὰ τῆς ἀμαθίας ἔκγονα, καὶ ὡς ἐχθρὰ καὶ δυσμενῆ παραιτεῖται· φύσει γὰρ μὲν ἄνθρωποι πρὶν τελειωθῆναι τὸν ἐν αὐτοῖς λόγον, κείμεθα ἐν μεθορίῳ κακίας καὶ ἀρετῆς, πρὸς μηδέτερα πω ταλαντεύοντες. ἐπειδὰν δὲ πτερυξάμενος ὁ νοῦς ὅλῃ τῇ ψυχῇ διὰ πάντων αὐτῆς τῶν μερῶν φαντασιωθῇ τὸ ἀγαθόν, ἄφετος πρὸς αὐτὸ καὶ πτηνὸς ὁρμᾷ, τὸ συγγεγενημένον ἀδελφὸν κακὸν ὀπίσω καταλιπών, ὃ καὶ ἀποφεύγει τὴν ἐναντίαν ὁδὸν ἀμεταστρεπτί. τοῦτ' ἔστιν ὃ αἰνίττεται φάσκων, υἱοὺς δύο
B γεγεννῆσθαι διδύμους τῷ φύσεως εὐμοίρου λαχόντι. πάντως γὰρ ἀνθρώπου κατ' ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχή, κακὸν ὡς ἔφην καὶ ἀγαθόν, ἑκάτερον φαντασιουμένη· μακαρίας δὲ καὶ εὐδαίμονος ἐπὰν τύχῃ μερίδος, ὅλῃ μιᾷ ῥέπει πρὸς τὸ ἀγαθόν, μήτ' ἐπὶ θάτερόν ποτε ταλαντεύσασα, μήτ' ἐπαμφοτερίσασα πρὸς τὸ ἰσόρροπον· ἡ δ' ἀγαθῆς μὲν φύσεως, ἀγαθῆς δὲ παιδεύσεως ἐπιλαχοῦσα, κἀκ τρί-
C του συνασκηθεῖσα τοῖς τῆς ἀρετῆς θεωρήμασιν, ὡς μηδὲν αὐτῶν ἐξ ἐπιπολῆς ἐπιπλάζεσθαι, ἔγκολλα δ' εἶναι καὶ ἐντετυπωμένα τὰ πάντα, καθάπερ νεύροις ὥσιν ἑνωθέντα, κτᾶται μὲν ὑγείαν, κτᾶται δὲ δύναμιν, ᾗ εὔχροια μὲν ἐξ αἰδοῦς, εὐεξία δὲ καὶ κάλλος ἐπιγίνεται· γενομένη δὲ πλήρωμα ἀρετῶν ἡ ψυχὴ διὰ τριῶν τῶν ἀρίστων, φύσεως, μαθήσεως, καὶ ἀσκήσεως, οὐδὲν ἑαυτῇ καταλιποῦσα κενὸν εἰς πρόσοδον αὐξήσεων, γεννᾷ τέλειον ἀριθμόν, διπλᾶς υἱῶν ἑξάδας, ἀπεικόνισμα καὶ μί-
D μημα τοῦ ζωδιακοῦ κύκλου, πρὸς τὴν τῶν ἐνταῦθα βελτίωσιν. οὗτός ἐστιν ὁ ἀστεῖος οἶκος, ὁ τέλειος καὶ συνεχὴς ἐν ταῖς ῥηταῖς γραφαῖς, καὶ ἐν ταῖς καθ' ὑπόνοιαν ἀλληγορίαις, ὃς ἔλαχεν ἆθλον καθάπερ εἶπον ἡγεμονίας τῶν τοῦ ἔθνους φυλῶν. ἐκ τοῦδε οὖν τοῦ οἴκου χρόνοις εἰς πολυανθρωπίαν ἐπιδιδόντος, εὔνομοι πόλεις ἐκτίσθησαν καὶ διδασκαλία φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιότητος, καὶ τῆς ἄλλης ἀρετῆς μεταποίησις μεγαλοπρεπῶς διερευνᾶται. τὰ μὲν οὖν ἀπομνημονευθέντα πάλαι
E τοῖς ἀγαθοῖς ἆθλα κοινῇ τε καὶ ἰδίᾳ, λέλεκται τυπωδέστερον, ἀφ' ὧν καὶ τὰ παραλειφθέντα δύναιτ' ἄν τις εὐμαρέστερον συνορᾶν· ἑξῆς δὲ τὰς προτεθείσας τοῖς πονηροῖς κολάσεις ἐν μέρει πάλιν ἐπισκεπτέον γενικώτερον, ἐπεὶ τὰς κατὰ μέρος ἀναγράφειν οὐ καιρός. ἐγένετό τις κατ' ἀρχὰς εὐθὺς οὔπω τὸ ἀνθρώπων γένος ἐπλήθυνεν, ἀδελφοκτόνος· οὗτός ἐστιν ὁ πρῶτος ἐναγής, ὁ πρῶτος καθαρευούσῃ τῇ γῇ μίασμα προσβαλὼν αἵματος τοῦ

ἀνθρωπείου αἵματος, ὁ πρῶτος αὔξουσαν καὶ βλαστάνουσαν τὴν γῆν ζώων, καὶ φυτῶν οἷς εὐτοχεῖ πᾶσι τεθηλυῖαν τῆς εὐτοκίας ἐπισχών, ὁ πρῶτος φθορὰν γενέσει, καὶ θάνατον ζωῇ, καὶ πένθος χαρᾷ, καὶ κακὰ ἀγαθοῖς ἐπιτειχίσας. τί δ᾽ οὖν παθὼν ἀξίαν ἐδεδώκει δίκην, ὃς διὰ μιᾶς πράξεως οὐδὲν τῶν βιαίων καὶ ἀσεβῶν παρέλειπεν; ἴσως ἂν εἴποι τις, ἀναιρεθεὶς θάνατον. ὁ λογισμὸς δ᾽ ἐστὶν ἀνθρώπινος, τὸ μέγα δικαστήριον οὐ βλέποντος. ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι θάνατον· ἐν δὲ τῷ θείῳ δικαστηρίῳ, μόλις ἐστὶν οὗτος ἀρχή. ἐπεὶ τοίνυν καινὸν τὸ ἔργον, ἔδει καὶ τὴν ἐπ᾽ αὐτῷ τιμωρίαν καινὴν εὑρεθῆναι. τίς οὖν ἐστιν αὕτη; ζῆν ἀποθνήσκοντα ἀεί, καὶ τρόπον τινὰ θάνατον ὑπομένειν ἀθάνατον καὶ ἀτελεύτητον. θανάτου γὰρ διττὸν εἶδος, τὸ μὲν κατὰ τὸ τεθνάναι, ὅπερ ἀγαθόν ἐστιν ἢ ἀδιάφορον. τὸ δὲ κατὰ τὸ ἀποθνήσκειν, ὃ δὴ κακὸν πάντως, καὶ ὅσῳ χρονιώτερον, βαρύτερον. πῶς οὖν ὁ θάνατος αὐτῷ συνδιαιωνίζει, σκόπει· τεττάρων ὄντων ἐν τῇ ψυχῇ παθῶν, δυοῖν μὲν περὶ τὸ ἀγαθόν, ἐνεστὼς ἢ μέλλον, ἡδονῆς καὶ ἐπιθυμίας· δυοῖν δὲ περὶ τὸ κακόν, παρὸν ἢ προσδοκώμενον, λύπης καὶ φόβου, τὴν μὲν τοῦ ἀγαθοῦ ῥίζαις αὐταῖς ἐξέτεμε συζυγίαν, ἵνα μηδ᾽ ἐκ τύχης ἡσθῇ ποτέ, ἢ ἐπιθυμήσῃ τινὸς ἡδέος· τὴν δὲ τοῦ κακοῦ μόνον ἐνεφύτευσεν εἰς λύπην εὐθυμίας ἄμικτον, καὶ φόβου ἄκρατον. φησὶ γάρ, ὅτι ἀρὰν ἐπηράσατο τῷ ἀδελφοκτόνῳ, ὡς στένειν καὶ τρέμειν ἀεί. καὶ σημεῖον ἔθετο αὐτῷ μὴ ἀναιρεθῆναι πρός τινος, ἵνα μὴ ἅπαξ ἀποθάνῃ, διαιωνίζῃ δὲ ὡς εἰπεῖν ἀποθνήσκων ἐν ἀλγηδόσι καὶ ἀνίαις καὶ συμφοραῖς ἀδιαστάτοις, καὶ ὃ δὴ πάντων ἀργαλεώτατον, αἰσθάνηται τῶν ἰδίων κακῶν, καὶ ἐπὶ τοῖς ἐν χερσὶν ἄχθηται, καὶ τὴν φορὰν τῶν μελλόντων προορώμενος, μὴ δύνηται φυλάξασθαι τῆς ἐλπίδος ἐκτετμημένης αὐτῷ, ἣν θεὸς ἀνθρώπων γένει κατέσπειρεν, ἵν᾽ ἔχοντες συμφυὲς παραμύθιον, ἐπελαφρίζοιντο τὰς ἀνίας οἱ μὴ ἀνίατα δράσαντες. ὥσπερ οὖν τῷ συναρπασθέντι ὑπὸ χειμάρρου, φοβερὸν μὲν τὸ πλησίον ῥεῦμα ᾧ κατασύρεται, φοβερώτερον δὲ τὸ ἄνωθεν ἐπιφερόμενον, ὅτι ἀνάστασιν μετεωριζόμενον ἐπικλύζει. τὸν αὐτὸν τρόπον καὶ τῶν κακῶν, ἀργαλέα μὲν τὰ ἐν χερσίν, ἀργαλεώτερα δὲ τὰ ἐκ φόβου ῥέοντα. χορηγεῖ γὰρ ὁ φόβος, καθάπερ ἐκ πηγῆς τὰς ὀδύνας. ταῦτα μὲν ἐστὶ τὰ ὁρισθέντα κατὰ τοῦ αὐ γενομένου ἀδελφοκτόνου· ὡρίσθη δὲ καὶ ἐπ᾽ οἰκίαις

A qui primus effusam eius fœcunditatem vbertatémque florentissimam inhibuit, qui primus corruptionem generationi, mortem vitæ, luctum gaudio, mala bonis opposuit. quas igitur dignas pœnas luere potuit, qui in vno facinore nihil prætermisit impietatis ac violentiæ? respondeat forsan aliquis: si capitali plecteretur supplicio. Verùm ista hominum est cogitatio, magnum illud tribunal non respiciēs. Homines enim vltimum supplicium
B mortem existimant: at hæc in diuino iudicio vix est pœnarum initium. Quoniam igitur nouum erat facinus, oportebat nouam pœnam in id statui. & quam tandem? vt semper moribundus viueret, damnatus morte infinita quodammodo. Sunt enim duæ mortis species: altera, mortuum esse, quæ quidem bona est aut indifferens: altera, ipsum emori, mala omnino, & quo diuturnior eo grauior. Considera igitur quomodo sit is in morte perpetua.
C cum sint quatuor affectus animæ, duo circa bonum præsens aut futurum, gaudium & concupiscentia, duo circa malum instans aut venturum, dolor & timor, altera illa bona copula radicitus excisa est, ne vnquam vel gauderet, vel aliquid boni cuperet. altera vero mala insita est ei penitus, mœsticia tranquillitatis expers, & timor nulla securitate dilutus. ait enim sacra scriptura, eam execrationem inflictam fratricidæ, vt semper gemeret
D ac tremeret. & signo eum notatum ne interficeretur à quoquam, néve semel morte defungeretur, sed vt ætatem totam moriendo exigeret, vt diximus in doloribus, molestijs, calamitatibúsque indesinentibus, idque sine intermissione: & quod est omnium grauissimum, mala sua sentiret, cruciatúsque præsentibus, atque prospiciens imminentia, præcauere non posset, omni spe sibi abscisa, quam Deus generi humano indidit, vt habentes intus consolatricem domesticam, leuius ferrent molestias quicun-
E que non patrarunt inexpiabilia. & quemadmodum torrente correptus timet aquas quibus trahitur, atque magis etiam quæ superne inundant, eodem modo mala præsentia maiorum metum afferunt. metus enim tanquam è fonte molestias exhibet. ita in fratricidam animaduersum est. extant & exempla in totas familias edita, con-

iuratas in societatem sceleris. hi fastu insano turgidi, aduersus sacerdotes coorti sunt, non contenti æditruorum, in quo tum censebantur, ordine, quòd ad primum aspirarent & amplissimum. itaque autore coniurationis viro inter ipsos natu maximo, qui se cæteris ab officio decedentibus ducem præbuerat, deserto fano & sacri tabernaculi vestibulo, ruebant in ipsa penetralia, iubendo sacerdotes loco sibi cedere. quo facto, tumultus, vt par erat, excitus est in vniuerso populo, cum temerarentur quæ turbari nefas est, & valde confunderentur ceremoniæ, adeò vt præfectus genti rem ferret ægerrime. ac primum quidem pro solita grauitate iram compescuit, erat enim ingenio mitissimo, conatus eos verbis ad meliorem mentem traducere, ne transgrederentur præfixos terminos, néve nouitates inducerent in religionem sanctissimam, à qua penderet salus reipublicæ. sed quoniam nihil proficiebat apud surdos ad omnia, quòd putarent eum domestico affectu victum, fratri pontificatum, fratris vero filijs sacerdotium dedisse, non grauatim hoc quamuis graue ferebat: illud verò grauissime, quod videretur oraculis, ex quorum sententia sacerdotes optabantur, illudere. Quòd autem faustæ imprecationes quas propheta benedictiones vocare solet, priores sint, liquet è sacrarum literarum testimonio. Si, inquit, diuinis mandatis obedientes fueritis, nec tantum in aures hæc admiseritis, sed per omnem vitam factis expresseritis, dabo vobis de inimicis vestris victoriam. Non sunt enim nimia præcepta, nec grauiora quam vt perferri possint viribus accipientium: nec longe bonum illud abest, aut trans mare, aut in extremis orbis finibus, vt opus sit diuturna laboriosáque peregrinatione: nec iubemur hinc repente sublimes in cælum migrare, quod non nisi pennatis alatísque potest contingere: sed in proximo est situm in tribus cuiusque nostrum partibus, ore, corde ac manibus, verbis, cogitationibus atque operibus. nam si non discrepent sermones à consilijs, si dictis facta consonent, omniáque hæc inter se respondeant coniuncta coaptatáque insolubili vinculo,

A ἕτερα, συνθεμένοις κακοτεχνίας ἁμαρτημάτων. ἦσαν δέ τινες τεταγμένοι νεωκόροι καὶ ἱερόδουλοι, τὴν πυλωρῶν τεταγμένοι τάξιν· οὗτοι φρονήματος ὑποπλησθέντες ἀλόγου τοῖς ἱερεῦσιν ἐπανέστησαν, ἀξιοῦντες τὰ ἐκείνων γέρα σφετερίσασθαι· προστησάμενοι δὲ τῆς συστάσεως ἡγεμόνα τὸν πρεσβύτατον, ὃς καὶ τοῦ τολμήματος μετ' ὀλίγων τῶν συναποστάντων εἰσηγητὴς ἐγένετο, καταλιπόντες τὰ προπύλαια καὶ τὰς ἐσχατιάς, ἐπὶ τῶν ἀδύτων ἐχώρουν, τοὺς χρη-
B σμοῖς ἀξιωθέντας τῆς ἱερωσύνης μεθιστάντες. ταραχὴ μὲν οὖν ὡς εἰκὸς ἐπέσχε τὴν πληθὺν ἅπασαν, ἅτε κινουμένων τῶν ἀκινήτων, καὶ παρασπονδουμένων τῶν νόμων, καὶ τοῦ περὶ τὸ ἱερὸν κόσμου σύγχυσιν λαμβάνοντος ὑπ' ἀπαξίας δεινῆς, ἐφ' οἷς ὁ τοῦ ἔθνους ἐπιμελητὴς καὶ προστάτης ἠγανάκτει. καὶ τὸ μὲν πρῶτον, ἤθει βαρυτέρῳ χρώμενος, χωρὶς ὀργῆς· ἦν γὰρ καὶ τὴν φύσιν ἀόργητος· λόγοις ἀναδιδάσκειν ἐπειρᾶτο μεταβάλλεσθαι,
C καὶ τοὺς ταχθέντας ὅρους μὴ ὑπερβαίνειν, μηδὲ νεωτερίζειν εἰς τὰ ἅγια καὶ καθωσιωμένα, ἐν οἷς αἱ τοῦ ἔθνους ἐλπίδες ἐκρέμαντο. ἀλλ' ἐπεὶ οὐδὲν ἤνυεν, ἀλλ' ἐκεκώφωντο πρὸς ἅπαντα, νομίζοντες αὐτὸν ἡττηθέντα φιλοικείου πάθους, ἀρχιερέα μὲν τὸν ἀδελφὸν καταστῆσαι, τοῖς δ' ἀδελφιδοῖς ἐγχειρίσαι τὴν ἱερωσύνην, δεινὸν οὐχὶ τοῦτο ὑπελάμβανε, καί περ ὂν δεινόν, ἀλλ' ἐκεῖνο παγχάλεπον, εἰ δόξει τῶν λογίων καθ' ἃ γέγονεν ἡ αἵρεσις τῶν ἱερέων, ἀλογεῖν. μαρτυρία δὲ σαφὴς ἐν τοῖς ἱεροῖς
D ἀνάκειται γράμμασι, λέγων τὰς εὐχὰς προτέρας, ἃς εὐλογίας εἴωθεν ὀνομάζειν· Ἐάν, φησι, τὰς θείας ἐντολὰς φυλάττητε κατὰ πειθεῖς γινόμενοι τοῖς προστάγμασι, καὶ τὰ διαγορευόμενα μὴ μέχρις ἀκοῆς καταδέχησθε, ἀλλὰ διὰ τῶν τοῦ βίου πράξεων ἐπιτελῆτε, πρώτην δωρεὰν ἕξετε νίκην κατ' ἐχθρῶν. οὐ γὰρ ὑπέρογκοι καὶ βαρύτεραι τῆς τῶν χρησομένων δυνάμεως αἱ προστάξεις εἰσίν, οὐδὲ μακρὰν τὸ ἀγαθὸν ἀφέστηκεν, ἢ πέραν θαλάσσης,
E ἢ ἐν ἐσχατιαῖς γῆς, ὡς δεῖσθαι πολυχρονίου καὶ καματηρᾶς ἀποδημίας, οὐδ' ἐξαίφνης ἐστείλατο τὴν ἐντεῦθεν εἰς οὐρανὸν ἀποικίαν, ἵνα τις μετέωρος καὶ πτηνὸς ἀρθεὶς μόλις ἐφικέσθαι τούτων δυνηθῇ· πλησίον δ' ἐστὶ καὶ ἐγγύτατον τρισὶ μέρεσι τῶν καθ' ἕκαστον ἡμῶν ἐνιδρυμένον, στόματι καὶ καρδίᾳ καὶ χερσί, λόγῳ τε διανοίᾳ καὶ πράξεσιν. ἐὰν γὰρ οἷα τὰ βουλεύματα, τοιοῦτοι οἱ λόγοι, καὶ οἷα τὰ λεγόμενα, τοιαίδε αἱ πράξεις ὦσι, καὶ ταῦτα ἀλλήλοις ἀντακολουθῇ συνδεθέντα ἁρμονίας ἀλύτοις δεσμοῖς,

εὐδαιμονία κρατεῖ, τουτέστιν ἡ ἀψευδεστάτη σοφία καὶ φρόνησις. σοφία μὲν γάρ, πρὸς θεραπείαν θεοῦ, φρόνησις δὲ πρὸς ἀνθρωπίνου βίου διοίκησιν. ἄχρι μὲν οὖν λέγεται μόνον τὰ τῶν νόμων παραγγέλματα βραχείας ἢ οὐδεμιᾶς ἀποδοχῆς τυγχάνει· προσγινομένων δ' ἀκολούθων καὶ ἑπομένων ἔργων ἐν τοῖς τοῦ βίου πᾶσιν ἐπιτηδεύμασιν, ὥσπερ ἐκ ζόφου βαθέος εἰς φῶς ἀναχθέντα περιλαμφθήσεται δι' εὐκλείας καὶ εὐφημίας. τίς γὰρ οὐκ ἂν εἴποι καὶ τῶν φύσει βασκάνων, ὅτι σοφὸν ἄρα γένος καὶ ἐπιστημονικώτατον μόνον τοῦτ' ἐστιν, ᾧ τὰς θείας παραινέσεις ἐξεγένετο μὴ κενὰς καὶ ἐρήμους ἀπολιπεῖν τῶν οἰκείων πράξεων, ἀλλὰ πληρῶσαι τοὺς λόγους ἔργοις ἐπαινετοῖς. τοῦτο τὸ γένος οὐ μακρὰν ἀπῴκισται θεοῦ, φαντασιούμενον ἀεὶ τὰ αἰθέρια κάλλη, καὶ ποδηγετούμενον ὑπ' ἔρωτος οὐρανίου· ὡς οὐκ ἂν εἰ πύθοιτό τις ποῖον ἔθνος μέγα, προσφυῶς ἄν τιν' ἀποκρίνασθαι, ᾧ ὁ θεός ἐστιν ἐπήκοος ἱεροπρεπεστάτων εὐχῶν, καὶ ταῖς ἀπὸ καθαροῦ τοῦ συνειδότος κατακλήσεσιν συνεγγίζων; ἐπεὶ δ' ἐχθρῶν διττὸν εἶδος, τὸ μὲν ἀνθρώπων ἐκ πλεονεξίας ἐπιτιθεμένων γένος· τὸ δὲ θηρίων, ἄνευ ἐπιτηδεύσεως ἀλλοτριότητι χρώμενον φυσικῇ, περὶ ἑκατέρου λεκτέον ἐν μέρει, καὶ προτέρου γε τοῦ κατὰ τὰς φύσεις πολεμίους θῆρας. οὗτοι γάρ, οὐ μιᾶς πόλεως ἢ ἔθνους, ἀλλὰ τοῦ σύμπαντος ἀνθρώπων γένους δυσμενεῖς εἰσιν, οὐ πρὸς ὡρισμένου χρόνου μῆκος, ἀλλὰ τὸν ἄπειρον καὶ ἀπερίγραφον αἰῶνα. τούτων οἱ μὲν ὡς δεσπότην ἄνθρωπον δεδιότες, ὑποπτήσσουσιν ἐγκότῳ μίσει· οἱ δὲ τολμηταὶ καὶ θρασύτεροι, προεπιχειροῦσι καιροφυλακοῦντες. εἰ μὲν οὖν ἀσθενέστεροι τυγχάνοιεν, ἐξ ἐνέδρας, εἰ δὲ δυνατώτεροι, φανερῶς. ἄσπονδος γὰρ καὶ ἀκήρυκτος εἷς πόλεμος οὗτος, ὡς λύκοις πρὸς ἄρνας, καὶ πᾶσι θηρίοις πρὸς πάντας ἀνθρώπους ἐνύδροις τε καὶ χερσαίοις, ὃν θνητὸς μὲν οὐδεὶς δύναται καθαιρεῖν, ὁ δ' ἀγένητος μόνος καθαιρεῖ, ὅταν κρίνῃ τινὰς σωτηρίας ἀξίους, εἰρηνικοὺς μὲν τὸ ἦθος, ὁμοφροσύνην δὲ καὶ κοινωνίαν ἀσπαζομένους, οἷς φθόνος, ἢ συνόλως οὐ συνῴκησεν, ἢ τάχιστα μετανέστη, τὰ ἴδια προσφέρειν εἰς μέσον ἀγαθὰ διεγνωκόσιν εἰς κοινὴν μετουσίαν καὶ ἀπόλαυσιν. εἰ γὰρ ἐπιλάμψειέ ποτε τῷ βίῳ τὸ ἀγαθὸν τοῦτο, καὶ δυνηθείημεν τὸν καιρὸν ἰδεῖν ἐκεῖνον ἐν ᾧ χειροήθη ποτὲ γενήσεται ἀτίθασα, πολύ γε πρότερον τὰ ἐν τῇ ψυχῇ θηρία τιθασευθῇ), οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν οὐδέν. ἢ οὐχὶ εὔηθες ὑπολαμβάνειν, ὅτι τὰς ὑπὸ τῶν

A præsto erit felicitas, hoc est veracissima sapientia prudentiáque, quarum altera Deum colimus, altera dispensamus humana negotia. ergo donec legum præcepta intra verba consistunt, parui & penè nullius momenti sunt. quod si accesserint facta his consentanea in omnibus vitæ studijs, tum vero tanquam è profunda caligine in lucem subducta, illustrabuntur egregia fama simul atque gloria. Quis enim nisi natura malignus & inuidus non
B fateatur, hoc solum genus pollere scientia sapientiáque, cui datum est diuina mandata non in cassum accepta suis actionibus exsequi, & cum laudandis dictis paria facta coniungere? hoc genus prope Deum habitans imaginatur semper æthereas pulchritudines, & cælesti amore ducitur: vt roganti quænam sit gens magna, non inepte responderi possit: cuius preces sanctissimas Deus exaudit, & exoratur ab inuocantibus se pura con-
C scientia. Quoniam autem inimicorum duæ sunt species, vel hominum per cupiditatem immodicam de lucris contendentium, vel ferorum animalium suapte natura nobis infestorum, de vtroque separatim dicam, incipiens à bestijs naturalibus hostibus. Nam hæ non erga vnam quampiam ciuitatem gentémve affectę sunt hostiliter, neque ad certum temporis spatium, sed per infinita sæcula. Harum pars hominem vt herum me-
D tuens, odio timori mixto prosequitur: pars vero audacior per occasionem eum aggreditur, quæ infirmiores sunt, ex insidijs, fortiores verò aperta vi & propalam. perpetuum enim hoc bellum nullas admittit inducias, quale lupis cum agnis, omnibus hominibus & omnibus bestijs vel terrestribus vel aquaticis mutuo se infestantibus: quod dissidium mortalis nemo, sed solus Deus potest tollere: quoties aliquem salute dignum æsti-
E mat, mitibus sedatísque præditum moribus, societatis amatorem & concordiæ, qui aut prorsus nesciat inuidiam, aut eam mature reliquerit, bona sua libenter communicantem in vtilitatem publicam. nam si tale bonum exoriretur in vita, possemus etiam sperare tempus illud quo feræ mansuescerent, & ante omnia ferini affectus qui stabulantur in anima, quo quid esse possit felicius?

A alioquin nónne stulticia sit, credere fore vt effugiamus bestias noxias, cum in nobis ipsis feritatem augeamus indies? non desperandum igitur mansuefactis nostris moribus posse cicurari & animalia? tum demum opinor leones, vrsos, pardos, & Indicos elephantos atque tigrides, cæteráque inuicti roboris, à solitario victu transitura ad sociabilem paulatim deposita ferocia, & more gregalium latura consuetudinem hominum, cum quadam
B velut erga dominos magistrósque suos reuerentia: nonnulla etiam eò processura, vt heris gestu caudáque adblandiâtur in morem catellarum Melitensium. tunc & scorpiorum serpentúmque venena cessatura, cæterorúmque reptilium. habet Ægyptiū quoque flumen animalia carnes accolarum hominum appetentia, quos crocodilos vocant & hippopotamos, habent & maria multas huiusmodi species: quæ omnia bonū virum tanquam sacrum verentur violare, virtutis ergò à Deo
C susceptū in tutelam suam & gratiam. hac ratione sedari posset antiquum illud bellum à natura insitum & auctum longa odiorum assuetudine, bestijs etiam cicuratis & mutatis in mitius ingeniū. aliud verò illud posterius natum ex auaritia cupiditatéque immodica, tolleretur opinor facile, si homines naturæ ac dignitatis suæ memores puderet hac parte haud ita multum differre à brutis animalibus, à quorum vi tutiores sunt quàm à suo genere. Viderent
D enim quam sit turpe ac dedecorosum, illa quidem venenis armata & carniū humanarum auida, insociabilia solitariáque, non aspernari pacem, nec abhorrere ab inducijs: hominem vero suapte natura mite animal, natum ad societatem ac concordiam, peruicaciter sæuire in vitam sui similium. ac fortasse bellum nunquam penetrabit regiones piorum, sed in ipso conatu corruet, hostibus sentientibus aduersus
E quales viros certandum sit, firmatos inuictis auxilijs iusticiæ. virtus enim augustam & reuerendam præ se fert speciem, & sola potest sedēdo magnas calamitates imminentes repellere. aut si præ insania rabidi ruant in bellum pertinaciter, tantisper dum congrediantur durabit audax superbia: vbi vero ad conflictum venerint, discent inanem fuisse suam iactantiam, & frustra conceptam spem victoriæ.

A ἐκτὸς θηρίων βλάβας ἐκφευξόμεθα, τὰ ἐν αὑτοῖς ἐπὶ δεινὴν ἀγριότητα ἀεὶ συγκροτοῦντες; ὅθεν οὐκ ἀπελπιστέον, ὅτι ἐξημερωθέντων τῶν κατὰ διάνοιαν, καὶ τὰ ζῷα ἡμερωθήσεται. τότε μοι δοκοῦσιν ἄρκτοι καὶ λέοντες καὶ παρδάλεις, καὶ τὰ παρ' Ἰνδοῖς, ἐλέφαντές τε καὶ τίγρεις, καὶ ὅσα ἄλλα τὰς ἀλκὰς καὶ τὰς δυνάμεις ἀήττητα, μεταβαλεῖν ἐκ τοῦ μονωτικοῦ τε καὶ μονοτρόπου πρὸς τὸ συνώνομον, κατὰ τὸ πρὸς ὀλίγον μιμήσει τῶν ἀγελαίων, ἡμερωθήσεσθαι πρὸς τὴν
B ἀνθρώπου φαντασίαν, μηκέτι ὡς πρότερον ἀνερεθισθέντα, καταπλαγέντα δ' ὡς ἄρχοντα καὶ φύσει δεσπότην, εὐλαβῶς ἕξειν· ἔνια δὲ καὶ τὸν χειροήθεις ἅμα καὶ φιλοδεσπότου τῇ παραζηλώσει, καθάπερ τὰ Μελιταῖα τῶν κυνιδίων, ταῖς κέρκοις μεθ' ἱλαρωτέρας κινήσεως προσσαίνοντα. τότε καὶ σκορπίων γένη καὶ ὄφεων καὶ τῶν ἄλλων ἑρπετῶν ἄπρακτον ἕξει τὸν ἰόν· καὶ ποταμὸς ὁ Αἰγύπτιος, ἡμέρα τοῖς οἰκήτορσι τῆς χώρας ἀν-
C θρωποβόρα ζῷα, τοὺς κροκοδείλους λεγομένους, καὶ ποταμίους ἵππους φέρει, καὶ τὰ πελάγη μυρίας ἰδέας ζῴων, παρ' οἷς πᾶσιν ἱερὸς καὶ ἄσυλος γενήσεται ὁ σπουδαῖος, ἀρετὴν τιμήσαντος θεοῦ, καὶ γέρας παρασχόντος, τὸ ἀνεπιβούλευτον. οὕτως μὲν ὁ πρεσβύτερος καὶ χρόνῳ καὶ φύσει καταλυθήσεται πόλεμος, ἡμερωθέντων καὶ μεταβαλόντων τῶν θηρίων πρὸς τὸ τιθασόν. ὁ δὲ νεώτερος ἐστὶ ἐπιτηδεύσει γενόμενος ἐκ πλεονεξίας, ῥᾳδίως διαλυθήσεται τῶν ἀνθρώπων, ὥς γέ μοι δοκεῖ, δυσωπηθέντων εἰ μελλήσουσιν ἀ-
D γριώτεροι ζῴων ἀλόγων ἐξετάζεσθαι, ἅτε τὰς ἀπὸ τῶν ἄλλων ζημίας καὶ βλάβας ἐκπεφεύγασιν. αἴσχιστον γὰρ εἰκὸς φανεῖται, τὰ μὲν ἰοβόλα καὶ ἀνθρωποβόρα καὶ ἄμικτα καὶ ἀκοινώνητα, ἔνσπονδα γεγενῆσθαι, μεταβάλλοντα πρὸς εἰρήνην· τὸ δ' ἡμερώτατον φύσει ζῷον τὸν ἄνθρωπον, κοινωνίας καὶ ὁμονοίας συγγενὲς, ἀσπονδεῖν, φονᾶν κατὰ τῶν ὁμοίων. ἢ τὸ δεύτερον οὐ διελεύσεται πόλεμος διὰ χώρας εὐσεβῶν, ἀλλ' αὐτὸς καταρρυήσεται, καὶ συνεπιδώσεται πρὸς ἑκοτόν, πρὸς οἵους ἐστὶν ὁ ἀγὼν αἰσθα-
E νομένων τῶν ἀντιπάλων, ἅτε χρωμένους ἀνανταγωνίστῳ συμμαχίᾳ τοῦ δικαίου. μεγαλοπρεπὲς γὰρ καὶ σεβάσμιον ἀρετή, καὶ μόνη καθ' ἡσυχίαν ἱκανὴ φορὰς μεγάλων ἐξευμαρίζειν κακῶν· ἢ κἂν μεμηνότες τινὲς λυττῶσιν αὐθεκάστως καὶ ἀπαρηγορήτως χρώμενοι τῇ τοῦ πολεμεῖν ἐπιθυμίᾳ, μέχρι μὲν συνίστασθαι καταλαζονεύσονται θρασυνόμενοι· πρὸς δὲ χειρῶν ἁμίλλας ἥκοντες, αἰσθήσονται κενὸν αὔχημα αὐχήσαντες, ὡς μὴ δυνάμενοι νικᾶν.

ῥώμῃ

ῥώμῃ γὰρ ἀντιβιασθέντες κραταιοτέρᾳ, φεύξονται προτροπάδην πρὸς πεντάδων ἑκατοντάδες, καὶ πρὸς ἑκατοντάδων μυριάδες, πολλαῖς ὁδοῖς οἱ κατὰ μίαν ἐπελθόντες. ἔνιοι δὲ μηδὲ διώκοντος ὅτι μὴ φόβου, τὰ νῶτα τοῖς ἀντιπάλοις εἰς βολὰς εὐσκόπους ἐπιστρέψουσιν, ὡς εὐμαρείας εἶναι πάντας ἡβηδὸν ἀναιρεθέντας πεσεῖν. Ἐξελεύσεται γὰρ ἄνθρωπος, φησὶν ὁ χρησμός, καὶ στρατάρχων καὶ πολεμῶν, ἔθνη τε μεγάλα καὶ πολυάνθρωπα χειρώσεται, τὸ ἁρμόττον ὁσίοις ἐπικουρικὸν ἐπιπέμψαντος θεοῦ. τοῦτο δ᾽ ἐστὶ θάρσος ψυχῶν ἀκατάπληκτον, καὶ σωμάτων ἰσχὺς κραταιοτάτη, ὧν καὶ θάτερον φοβερὸν ἐχθροῖς· ἄμφω δ᾽ εἰ συνέλθοι, καὶ παντελῶς ἀνυπόστατον. ἐνίους δὲ τῶν ἐχθρῶν ἀναξίους ἔσεσθαί φησιν ἥττης ἀνθρώπων, οἷς σμήνη σφηκῶν ἀντιτάξει ἐπ᾽ ὄλεθρον αἴσχιστον προπολεμοῦντα τῶν ὁσίων· τούτους δ᾽ οὐ μόνον τὴν ἐν πολέμῳ νίκην ἀναιμωτὶ βεβαίως ἕξειν, ἀλλὰ καὶ κράτος ἀρχῆς ἀνανταγώνιστον ἐπ᾽ ὠφελείᾳ τῶν ὑπηκόων, οἳ γνώσονται ἂν δι᾽ εὔνοιαν, ἢ φόβον, ἢ αἰδῶ. τρία γὰρ ἐπιτηδεύουσι τὰ μέγιστα καὶ συντείνοντα πρὸς ἡγεμονίαν ἀκαθαίρετον, σεμνότητα, καὶ δεινότητα, καὶ εὐεργεσίαν, ἐξ ὧν ἀποτελεῖται τὰ λεχθέντα. τὸ μὲν γὰρ σεμνὸν αἰδῶ κατασκευάζει, τὸ δὲ δεινὸν φόβον, τὸ δ᾽ εὐεργετικὸν εὔνοιαν, ἅπερ ἀνακραθέντα καὶ ἁρμοσθέντα ἐν ψυχῇ, καταπειθεῖς ἄρχουσιν ὑπηκόους ἀπεργάζεται. Ταῦτα μὲν δὴ πρῶτά φησι συμβήσεσθαι τοῖς ἑπομένοις θεῷ, καὶ προσεχομένοις ἀεὶ καὶ πανταχοῦ τῶν προσταγμάτων αὐτοῦ, καὶ ἀφ᾽ ἑκάστων τῶν τοῦ βίου μερῶν ταῦτα ἐφαρμόττουσιν, ὡς μηδένα νόσῳ πλαζομένου ἐκδιαιτᾶσθαι· δεύτερον δὲ πλοῦτον, ὃς κατὰ τὸ ἀναγκαῖον εἰρήνῃ καὶ ἀρχῇ ἕπεται. πλοῦτος δὲ ὁ μὲν τῆς φύσεως εὐτελής ἐστι τροφὴ καὶ σκέπη· τροφὴ μὲν οὖν ἄρτος καὶ ναματιαῖον ὕδωρ, ἃ πανταχοῦ τῆς οἰκουμένης ἀναχέχυται· σκέπης δὲ διττὸν εἶδος, τὸ μὲν ἀμπεχόνη, τὸ δ᾽ οἰκία, διὰ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους παρακολουθούσας ζημίας ἂν ἑκατέρα, εἴ τις ἐθελήσειε τὴν περίεργον καὶ περιττὴν ἀφελεῖν πολυτέλειαν, εὐπορισώτατα. οἱ δ᾽ οὖν ζηλώσαντες τὰ λεχθέντα, ἀσπασάμενοι τὰ φύσεως δῶρα μὴ τὰ τῆς κενῆς δόξης, ὀλιγοδείαν καὶ εὐκολίαν ἀσκήσαντες ἕξουσι κατὰ πολλὴν περιουσίαν καὶ τὸν ἁβροδιαίτου τροφῆς πλοῦτον οὐκ ἐπιτηδεύσαντες. ἐπελεύσεται γὰρ ὡς πρὸς ἐπιτηδειοτάτους

A reiecti enim maioribus viribus effusissime fugient quinos centeni, centenos decies milleni, disparati per multas vias qui per vnam venerant. Nonnulli etiam nemine persequente suopte metu per æqua iniqua ruent, vt facile internecione deleri queant. Egredietur homo, inquit oraculum, qui bellando imperitandóque multas ac magnas gentes subiugabit, Deo factis suis submittente debitum auxilium. Hoc autem est imperterritum B robur animi, & vires corporis firmissimæ, quorum vel alterum hostibus incutiat formidinem: ambobus vero coniunctis haudquaquam resisti potest. Eadem oracula pollicentur, quosdam hostes indignos qui pereant manibus hominum, opprimendos à crabronum examinibus, vt ad internecionem eorum accedat ignominia fœdissima, pro sanctis contra impios bestiolis pugnantibus. Nec solum incruenta potituros victoria, verum C etiam longe latéque fines imperij prolaturos in vtilitatem subiectarum gentium, deuinctarum vel metu, vel pudore, vel gratia. Hæc enim tria plurimum faciunt ad constabiliendum imperium, maiestas, grauitas, & beneficentia, quibus artibus facile perficiuntur ea quæ modo diximus. Nam maiestas parit reuerentiam, grauitas metum, beneficia beneuolentiam, quæ res quoties in vnum pectus conueniunt, egregie continent subditos in officio. Hæc D sunt quæ in primis promittuntur Deum sequentibus, & eius mandata semper obseruantibus, accommodantibúsque ad hæc partes vitæ singulas, ne qua pestis aberrantibus obrepat. Secundum pollicitum est opulentia, quæ necessario pacem & principatum sequitur. sunt autem frugales opes, quas natura postulat, alimento contenta & tegmine. alimentu præbet panis & aqua fontana, quæ nusquam terrarum deficiunt. tegmi- E num duo sunt genera, tectum & vestimentum, quibus arcentur tempestatum iniuriæ: vtrumque paratu facile, modo absit superuacanei luxus curiositas. ergo qui naturæ dona boni consulunt abdicatis vanitatibus, parsimoniam sectantes & continentiam, in ampla rerum necessariarum copia non desiderabunt delicias diuitum. nam veræ opes fastidita

familiaritate illorum improborum & petulantium, migrabunt ad homines qui bonis suis vti sciunt, non vt illi abutuntur in damna ciuium neglecta vtilitate publica. oraculum sic loquitur. Quicumque sacra mandata custodient, his cælum demittet tempestiuas pluuias, terra vero fundet prouentus frugum omnis generis, colles quoque horum vestientur arbustis fertilissimis, nec vllum tempus præteribit vacuum beneficijs, sed alia super aliam gratia diuina cumulabitur, redeunte post messem vindemia, post vindemiam semente, vt sine intermissione vel comportentur fructus vel sperentur, alios alijs excipientibus, & priorum fine attingente posteriorum initia, in modum circularis cuiusdam choreæ boni nullius indigæ. nam copiosi prouentus & ad præsentes vsus & ad reponendum in futurum sufficient, nouis fructibus superuenientibus & veterum detrimenta sartientibus. interdum tanta erit fertilitas, vt veteres pro derelictis habeantur, nemine vsum eorum inuidente cuilibet. nam quibus veræ diuitiæ sunt in cælo reconditæ per meditationem sanctitatis ac sapientiæ, his res familiaris in terra superest, penum replente Dei prouidentia, ne mentis cogitationes & manuum conatus impediantur, quo minus gnauiter se gerant in serijs studijs. cæterum qui exortes sunt rerum cælestium propter impietatem aut iniusticiam, his ne in terra quidem feliciter succedunt opes domesticæ: quod si aliquo casu obueniant, celeriter se proripiunt, quippe quæ non vt prodessent venerant, sed vt amissæ grauiorem (sicut fieri solet) afferrent molestiam. at tunc, inquit, præ nimia fertilitate facies contrarium. nunc enim absque omni legum consuetudinúmque patriarum reuerentia propter inopiam teris fœneratorum & mensariorum limina, pressus ære alieno vsurísque grauibus. Tunc autem (vt dixi) facies contrarium. Nam præ nimia rerum affluentia dabis alijs mutuum, idque nec paucis nec exiguum, Deo fortunante congerentéque tibi domi honores, magistratus & bonam existimationem recte piéque sentienti & promouenti rempublicam:

A καὶ συνοικοῦσι τῷ ἁρμοζούσης χρήσεως ἐπιστήμονας, ἀποδρᾶσ' ἀσμένως τὰς τῶν ἀκολάστων καὶ ὑβριστῶν συνδιαιτήσεις, ἵνα μὴ χορηγῇ τοῖς ἐπὶ βλάβῃ τῶν πλησίον ζῶσι, παρελθοῦσα τοὺς κοινωφελεῖς. λόγιον γάρ ἐστιν, ὅτι τοῖς τὰς ἱεροπρεπεῖς ἐντολὰς φυλάττουσιν, ὁ μὲν οὐρανὸς ὀμβρήσει καιρίοις ὑετοῖς, ἡ δὲ γῆ παντοδαπὴν οἴσει φορὰν, καὶ ἡ ὀρεινὴ τὴν ἀκροδρύων. καὶ ὅτι χρόνος οὐδεὶς ἀπολειφθήσεται κενὸς εὐεργεσίας, ἀλλὰ παρὰ συνεχεῖ καὶ ἐπαλλήλῳ τῇ τοῦ θεοῦ χάριτι καταλήψεται, ὁ μὲν ἀ-
B μητὸς τρυγητόν· καταλήψεται δὲ ὁ τρυγητὸς σπόρον, ὡς ἀδιαλείπτως καὶ ἀδιαστάτως ἀεὶ τὰ μὲν συγκομίζειν, τὰ δὲ ἐλπίζειν, ἐφεδρευόντων ἑτέρων ἑτέροις, ἵνα τοῖς πέρασι τῶν προτέρων αἱ τῶν ὑστέρων ἀρχαὶ συνάπτωσι, κύκλον τινὰ καὶ χορείαν ἀποτελῶσι μὴ ἐπιδεᾶ παντὸς ἀγαθοῦ. τὸ γὰρ πλῆθος τῶν γινομένων ἐξαρκέσει, καὶ πρὸς τὴν παραυτίκα χρῆσιν καὶ ἀπόλαυσιν, καὶ πρὸς τὴν τοῦ μέλλοντος ἄφθονον περιουσίαν, νέων ἐπακμαζόν-
C των παλαιοῖς, καὶ τὴν ἐκείνων ἔνδειαν προσαναπληρούντων· ἔστι δὲ ὅπου καὶ ὑπ' εὐφορίας ἀλέκτου τῶν πάλαι συγκομισθέντων φροντὶς οὐ παρέπεται οὐδεὶς, ἀλλ' ἀταμίευτα καὶ ἀθησαύριστα καταλείψουσι τοῖς βουλομένοις ἀφέντες τὴν χρῆσιν ἀδεᾶ. οἷς μὲν γὰρ ἀληθινὸς πλοῦτος ἐν οὐρανῷ κατάκειται διὰ σοφίας καὶ ὁσιότητος ἀσκηθεὶς, τούτοις καὶ ὁ τῶν χρημάτων ἐπὶ γῆς περιουσιάζει, προνοίᾳ καὶ ἐπιμελείᾳ θεοῦ τῶν ταμιείων ἀεὶ πληρουμένων, ἐκ τοῦ τὰς ὁρμὰς τῆς διανοίας, καὶ
D τὰς τῶν χειρῶν ἐπιβολὰς, μὴ ἐμποδίζεσθαι πρὸς τὴν τῶν ἀεὶ σπουδαζομένων κατόρθωσιν· οἷς δὲ ὁ κλῆρος οὐκ ἔστιν οὐράνιος δι' ἀσέβειαν ἢ ἀδικίαν, οὐδὲ τῶν ἐπὶ γῆς ἀγαθῶν εὐοδεῖν πέφυκεν ἡ κτῆσις· ἀλλὰ κἂν προσγένηται, τάχιστα ἀποπηδήσει, ὡς παραγενομένη τὴν ἀρχὴν, οὐκ ἐπ' ὠφελείᾳ τῶν λαβόντων, ἀλλ' ὑπὲρ τοῦ βαρυνθῆναι τὴν λύπην σφοδρότερον, ἥτις ἐκ τοῦ στέρεσθαι κατὰ τὸ ἀναγκαῖον ἕπεται. τότε δὲ, φησὶν, ὑπὸ τῆς ἄγαν εὐφορίας, ὃ
E νῦν ὑπομένεις ἐργάζῃ. νῦν μὲν γὰρ, μήτε τὸν νόμον, μήτε τῶν πατρίων ἐθῶν αἰδῶ ποιούμενος, ἀλλὰ πάντων ἀθρόως ἀλογῶν, ὑστερίζεις μὲν τῶν ἀναγκαίων, περιέρχῃ δὲ τὰς τῶν δανειστῶν καὶ ὀβολοστατῶν οἰκίας ἐπὶ πολλῷ δανειζόμενος· τότε δὴ ὥσπερ ἔφην, δράσεις τοὐναντίον. ὑπὸ γὰρ ἀφθόνου περιουσίας αὐτὸς ἄλλοις δανείσεις, καὶ οὐκ ὀλίγα, οὐδ' ὀλίγοις, εὐτυχῶς ἀπολαυόντων, τὴν μὲν κατὰ πόλιν, ἀρχαῖς καὶ τιμαῖς καὶ εὐδοξίαις, διά τε εὐδοξίας καὶ εὐσεβείας καὶ τοῦ διὰ λόγων καὶ πράξεων κοινωφελοῦς·

τὴν δὲ κατ' ἀγρὸν, ἀφθονίαις τῶν ἀναγκαίων, σίτου, οἴνου, ἐλαίου, καὶ τῶν πρὸς ἁβροδίαιτον βίον· ταῦτα δ' ἐστὶ τὰ ἀμύθητα γένη τῶν ἀκροδρύων, καὶ ἔτι βουκολίων, αἰπολίων, τῶν ἄλλων θρεμμάτων εὐτοκίᾳ. ἀλλὰ τί τούτων ὄφελος, εἴποι τις ἂν, τῷ μὴ μέλλοντι κληρονόμους ἀπολιπεῖν· ἐπισφραγιζόμενος τὰς εὐεργεσίας, φησὶν, οὐδεὶς ἄγονος, οὐδὲ στεῖρα γενήσεται· πλήρεις δὲ οἱ θεράποντες τοῦ θεοῦ γνήσιοι νόμον ἐκπληρώσουσι φύσεως τὸν ἐπὶ παιδοποιίᾳ. οἱ γὰρ ἄνδρες ἔσονται πατέρες, καὶ πατέρες εὔπαιδες, καὶ μητέρες εὔτεκνοι, ὡς ἕκαστον οἶκον πλήρωμα εἶναι πολυανθρώπου συγγενείας, μηδενὸς ἐλλειφθέντος ἢ μέρους ἢ ὀνόματος, τῶν ὅσα ἐπιφημίζεται τοῖς προσήκουσι, καὶ πρὸς τοὺς ἄνω γενεῖς, θείους, πάππους, καὶ πρὸς τοὺς κάτω πάλιν ὁμοίους, ἀδελφοὺς, ἀδελφιδοῦς, υἱωνοὺς, θυγατριδοῦς, ἀνεψιοὺς, ἀνεψιαδοῦς, τοὺς ἐξ αἵματος πάντας· ἀκόμιστος δ' ἢ ἀτελὴς οὐδεὶς αὖ γενήσεται τὸν κόσμου γενομένων νόμοις, οὐδέ τινος ἡλικίας ἄμοιρος ὢν πρὸς ἣν ἐφικέσθαι ἀνθρώπων γένει, ἀλλ' ἐκ βρέφους ἐπιδιδοὺς ἑξῆς ὥσπερ διὰ ἀναβαθμῶν, τεταγμέναις χρόνων περιόδοις ἑκάστης ἡλικίας τοὺς ὁρισθέντας ἀριθμοὺς συνεκπληρώσας ἐπὶ τὴν τελευταίαν ἀφίξεται τὴν θανάτῳ, μᾶλλον δ' ἀθανασίᾳ γειτνιῶσαν, ἢ πρὸς ἀλήθειαν εὔγηρως, εὔπαιδα οἶκον αὐτοῦ καταλιπών. τοῦτ' ἔστιν ὅπερ εἶπέ που θεσπίζων, ὅτι τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσεις, πάνυ καλῶς χρησάμενος τοῖς ὀνόμασι κυρίοις ἅμα καὶ προσφυέσιν. ὁ μὲν γὰρ ἀμαθὴς καὶ ἔκνομος, οὔτ' ἐν λόγῳ φασὶν, οὔτ' ἐν ἀριθμῷ· τῷ δὲ παιδείας καὶ νόμων ἱερῶν μεταποιουμένῳ πρώτη χάρις ἐστὶν ἐλλογίμῳ καὶ δοκίμῳ φανέντι, μεταλαχεῖν ἀριθμοῦ καὶ τάξεως, ὡς δεῖν ἑκάστην ἡμέραν τοῦ σπουδαίου μηδὲν ἔρημον καὶ κενὸν ἐᾶν εἰς πάροδον ἁμαρτημάτων, ἀλλὰ πᾶσι τοῖς μέρεσι καὶ διαστήμασιν αὐτῆς καλοκαγαθίας πεπληρῶσθαι. κρίνεται γὰρ οὐ ποσότητος, ἀλλὰ ποιότητος ἡ ἀρετὴ καὶ τὸ καλόν. ὅθεν ἰσότιμον καλῷ βίῳ σοφοῦ, καὶ μίαν ἡμέραν παρειλῆφθαι εἶναι κατορθουμένην, τοῦτ' ἔστιν ὃ καὶ ἐν ἑτέροις αἰνίττεται, φάσκων εὐλογίας ἄξιον ἔσεσθαι καὶ εἰσιόντα καὶ ἐξιόντα τὸν τοιοῦτον ἄνδρα, διότι πάσαις μὲν ταῖς κινήσεσι, πάσαις δὲ ταῖς σχέσεσιν ὁ σπουδαῖος ἐπαινετὸς, ἔνδον τε καὶ ἔξω, πολιτικὸς τε ὁμοῦ καὶ οἰκονόμος· τὰ μὲν ἔνδον ἐξορθοῦν οἰκονομικῶς, τὰ δ' ἔξω πολιτικῶς ᾗ συμφέρει ἐπανορθοῦσθαι. ἐὰν μὲν οὖν εἷς ἀνὴρ τύχῃ τοιοῦτος ὢν ἐν πόλει, τῆς πόλεως ὑπερκύψας φανήσεται.

A foris verò agros tuos cumulante annuis prouentibus frumenti, vini, olei, cæterorúmque ad vitam delicatiorem conferentium: quales sunt varij fructus arborum, & fœturæ gregum armentorúmque. Verùm quid ista iuuant, dixerit aliquis, si desit cui relinquatur hæreditas? addit igitur velut obsignans sua beneficia: nullus prole carebit: nulla erit sterilis: sed omnes rite Deum colentes satisfacient naturæ legibus quærendo sibi liberos. nam
B viri fient patres & quidem fortunatæ sobolis, mulieres quoque mactæ liberorum numero, res plurimum conducens ad familiarum frequentiam, cessante nulla parte cognationis appellationéque, dum maiores salutantur parentes, patrui, aui, auunculi, paritérque minores germani, fratrum sororúmve filij, nepotes, cosobriníque, omnes sibi inuicem cõsanguinei. nec potest quisquam imperfectus aut breuis æui esse
C qui iuxta naturę leges nascitur, nec carebit ętate illa ex his quas Deus tribuit humano generi: sed ab infantia certis deinceps ascendens gradibus emensus præfinita ætatum curricula, maturus ad mortem extremam perueniet immortalitati vicinam, felicem domum relinquens liberis successoribus. & hoc est quod alicubi vates diuinus canit, dicens: Numerum dierum tuorum explebis, perpulchre vsus proprijs simul & aptissimis vocabulis. Nam eo-
D rum qui nec disciplinis instituti sunt, nec legibus, nec numerus initur, nec habetur ratio, iuxta vetus prouerbium. Quisquis autem disciplinam & sacras leges non negligit, hac prima dignus habetur gratia, quòd in numerum & ordinem recipitur, ita vt vir bonus singulis diebus nullum sinat peccatis patere aditum, sed ab omni parte virtutibus interstitia compleat. Nam virtus & honestas in qualitate consistit non in quantitate. Vn-
E de vel vnus dies sine culpa transactus integræ vitæ sapientis æquiparatur, quod etiam alibi scriptura subindicat, dicens faustum felicémque viri talis tam introitum quàm exitum: quia bonorum virorum motus omnes & habitus sunt laudabiles, domi forísque in rebus tum priuatis tum publicis, domi se gerentium ex arte œconomica, foris verò ex vtilitate publica. Ergo si vnus vir talis in ciuitate extiterit, facile princeps euadet.

item ciuitas talis, facile circumuicinæ regionis potietur imperio. quod si tota natio talis fuerit, superior fiet omnibus alijs, velut caput eminens in corpore, non tam suæ gloriæ priuatim, quam bono publico consulens. nam continua præclarorum exemplorum cogitatio simulacra quædam in animis non admodum duris exprimit: quod dictum volo honesta laudãdáque imitari cupientibus, ne desperent mutationem in melius, & velut postliminio reditum à vitijs ad virtutem & sapientiam. Nam Deo fauente ac propitio facilia redduntur omnia. fauet autem ille verentibus se, & ab intemperantia proficientibus ad continentiam, damnãtibus errata vitæ præteritæ, & quicquid imaginum turpium fuerat in animam impressum expiantibus: affectuum vero tranquillitatem sectantibus, & ad pacatam quietámque vitam recurrentibus. quemadmodum igitur homines in extremis terrarum finibus habitantes facile Deus in vnum quemcunque vellet locum vel nutu contraheret: eodem modo & mentem diuturnis erroribus passim circumuagatam sectatámque voluptates ac concupiscentias molestas dominas, miseratus seruator ex auijs in viam facile posset reducere, ita vt continuato cursu fugam capesseret, non illam ignominiosam, sed salutarem, & quam ab exilio reditum appellare liceat. Hæc sunt externa bona, victoria contra inimicos, vires bellicæ, pacis diuturnitas, & copia rerum quam secum pax afferre solet, diuitiæ, honores, magistratus, & laudes quæ fortunatos sequuntur ex ore amicorum inimicorúmque, has metu eliciente, illas beneuolentia. nunc dicendum de magis proprijs, ad corpus spectantibus. hæc quoque promittuntur virtutem exercentibus, & ductu sacrarum legum per totam vitam dicta factáque dirigentibus, fore tum familias tum ciuitates immunes à morbis & pestibus. quod si qua infirmitas inciderit, venturã non lædendi sed admonendi causa, vt mortales se mortales meminerint. néve nimium superbiant. emendatos autem mores secuturam sanitatem & integritatem sensuum ab omni parte corporis, ita vt cunctæ suo perfungi possint officio. æquum enim censet Deus, probis rependi præmium, domiciliũ bene constructũ compactúmque à fundamentis

A ἐὰν δὲ πόλις, τῆς ἐν κύκλῳ χώρας· ἐὰν δὲ ἔθνος,
ἐπιβήσεται πᾶσιν ἔθνεσιν, ὥσπερ κεφαλὴ σώματι
τοῦ περιφαίνεσθαι χάριν, οὐχ ὑπὲρ εὐδοξίας
μᾶλλον, ἢ τῆς τῶν ὁρώντων ὠφελείας. αἱ γὰρ
συνεχεῖς τῶν καλῶν παραδειγμάτων φαντασίαι
παραπλησίας εἰκόνας ἐγχαράττουσι ταῖς μὴ πάνυ
σκληραῖς καὶ ἀποκρότοις ψυχαῖς, ὅπερ εἴρηται
πρὸς τοὺς ἐθέλοντας μιμεῖσθαι τὰ σπουδαῖα καὶ
θαυμαστὰ κάλλη, μὴ ἀπογινώσκεσθαι τὴν ἀ-
B μείνω μεταβολὴν, μήτε τὴν ὥσπερ ἐκ διασ-
πορᾶς ψυχικῆς, ἣν εἰργάσατο κακία, πρὸς
ἀρετὴν καὶ σοφίαν ἐπάνοδον. ἵλεως γὰρ ὅταν ᾖ
ὁ θεὸς, ἐξευμαρίζεται πάντα· γίνεται δὲ ἵλεως,
τοῖς αἰδουμένοις καὶ μεθαρμοζομένοις ἐξ ἀκρα-
σίας εἰς ἐγκράτειαν, καὶ τὰ μὲν τῆς ὑπαιτίου ζωῆς
κακίζουσιν, καὶ ὅσα ἐναπεμάξαντο ταῖς ψυ-
χαῖς αἰσχρὰ εἴδωλα μυσαττομένοις· εὔδιον δὲ
παθῶν ἐζηλωκόσι, καὶ εἰρηναίαν καὶ γαληναίαν
C βίου μεταδιώκουσι. καθάπερ οὖν ἂν θεράποντας ἐν
ἐσχατιαῖς ἀπῳκισμένους ῥᾳδίως ἂν ἑνὶ κελεύ-
σματι συναγάγοι θεὸς ἀπὸ περάτων εἰς ὅ,τι
ἂν θελήσῃ χωρίον, οὕτω καὶ τὸν νοῦν ἐξ ἄλλης πο-
λυχρονίου πάντῃ πλανηθέντα, πρὸς ἡδονῆς καὶ
ἐπιθυμίας δεσποινῶν ἐκτετιμημένον, ἐλεῶν ὁ
σωτὴρ, ἐξ ἀνοδίας εἰς ὁδὸν εὐπετῶς ἂν ἀγάγοι,
ἀμεταστρεπτὶ διεγνωκότα φυγεῖν, οὐ τὴν ἐπονεί-
διστον λεγομένην, ἀλλὰ τὴν σωτήριον, ἣν οὐκ
ἄν τις ἁμάρτῃ λέγων καθόδου κρείττονα. τὰ μὲν
οὖν ἐκτὸς ἀγαθὰ εἴρηται, νίκη κατ' ἐχθρῶν,
D κράτος πολέμων, εἰρήνης βεβαίωσις, καὶ τῶν κατ'
εἰρήνην ἀγαθῶν περιουσίαι, πλοῦτοι καὶ τιμαὶ
καὶ ἀρχαὶ, καὶ τὰ παρεπόμενα τοῖς εὖ πράττου-
σιν ἐγκώμια, διὰ παντὸς στόματος καὶ φίλων καὶ
δυσμενῶν ἐπαινουμένοις, τῶν μὲν διὰ φόβον, τῶν
δὲ δι' εὔνοιαν· λεκτέον δὲ καὶ τὰ τούτων οἰκειότε-
ρα, τὰ περὶ τὸ σῶμα. φησὶν οὖν, ὅτι τοῖς ἀρετὴν
διαπονοῦσι, καὶ τοὺς ἱεροὺς νόμους ἡγεμόνας τῶν
κατὰ τὸν βίον λόγων καὶ ἔργων προστησαμένοις, ἰδίᾳ
E τε καὶ κοινῇ περιέσται τὸ εἰς ἅπαν ἄνοσον· εἰ δὲ καὶ
γένοιτό τις ἀσθένεια, τοῦ μὴ κακῶσαι χάριν οὐκ
ἂν γένοιτ' ἄν· τοῦ δ' ὑπομνῆσαι τὸν θνητὸν ὅτι
θνητός ἐστιν, εἰς ὑπερόγκου φρονήματος κα-
τάλυσιν, καὶ βελτίωσιν ἠθῶν· ὑγεία δ' ἕψεται καὶ
εὐαισθησία, καὶ τὸ ἐν ἅπασι τοῖς μέρεσιν ὁλό-
κληρον καὶ παντελὲς, εἰς τὰς πρὸς ἃ προήγα-
γεν ἕκαστον ἀκωλύτους ὑπηρεσίας. ἐδικαίωσε γὰρ
ὁ θεὸς γέρας τοῖς σπουδαίοις παρασχεῖν εὖ συ-
νῳκοδομημένην καὶ συνηρμοσμένην ἐκ θεμελίων

A ἄχρι τέγους οἰκίας· οἰκία δὲ ψυχῆς, συμφυέστατον σῶμα. διά τε πολλὰ τῶν εἰς τὸν βίον ἀναγκαίων καὶ χρησίμων, καὶ μάλιστα διὰ τὸ καθαίρουσιν τελείαις νοῦν καθαρθέντα, καὶ μύστην γεγονότα τῶν θείων τελετῶν, καὶ μόναις συμπεριπολοῦντα ταῖς οὐρανίων χορείαις καὶ περιόδοις. ἐγέραρεν ὁ θεὸς ἠρεμίᾳ, βουληθεὶς ἀμέθεκτον εἶναι, χηραίνοντα περὶ μηδὲν πάθος ὧν αἱ τοῦ σώματος γίνονται δυνάμεις ἐπιτιθέμεναι κατὰ πλεονεξίαν παθῶν δυναστείας. ἢ γὰρ περιέψυξέ τις, ἢ αὖον καὶ αὐχμηρόν, B ἢ τοὐναντίον ῥοῶδες ἀπειργάσατο, δι᾽ ὧν ἀπόλυτον ὁ νοῦς εὐθύνειν ἀδυνατεῖ τὴν τοῦ καθ᾽ αὐτὸν βίου πορείαν· ἐνδιαιτώμενος δὲ ὑγιεινῷ σώματι, κατὰ πολλὴν εὐμάρειαν ἐνδιατρίψει καὶ ἐνσχολάσει τοῖς σοφίας θεωρήμασι, μακαρίας καὶ εὐδαίμονος ζωῆς ἐπιλαχών. οὗτός ἐστιν ὁ πολὺν ἄκρατον σπάσας τῆς εὐεργέτιδος τοῦ θεοῦ δυνάμεως, καὶ λόγων ἱερῶν καὶ δογμάτων ἑστιαθείς. οὗτος, ᾧ φησιν ὁ προφήτης τὸν θεὸν ἐμπεριπατεῖν οἷα βασιλείῳ. C καὶ γάρ ἐστι τῷ ὄντι βασίλειον καὶ οἶκος θεοῦ, σοφοῦ διάνοια. τούτου καλεῖται θεὸς ἰδίως ὁ τῶν συμπάντων θεός· καὶ λαὸς ἐξαιρέτῳ χάριτι πάλιν οὗτος, οὐ τῶν κατὰ μέρος ἀρχόντων, ἀλλὰ τοῦ ἑνὸς καὶ πρὸς ἀλήθειαν ἄρχοντος, ἁγίου ἅγιος. οὗτός ἐστιν ὁ πρὸ μικροῦ πολλαῖς μὲν ἡδοναῖς, πολλαῖς δ᾽ ἐπιθυμίαις, μυρίαις δ᾽ ἀνάγκαις κακιῶν καὶ ἐπιθυμιῶν ὑπεζευγμένος. τούτου τὰ κακὰ τῆς δουλείας συνέτριψεν ὁ θεός, εἰς ἐλευθερίαν ἐξαιρούμενος. οὗτος ὁ μὴ ἀπὸ ῥηστώνης τυχὼν εὐεργεσίας, καὶ περιδ- D ηγεμόνης πάντη διὰ τὴν τοῦ παραγκωνίζοντος ὑπεροψίαν, ἧς οὐχ ὑπεσύρη πρὸς τὰ οὐραῖα, ἀλλ᾽ ἐπὶ κεφαλὴν αὖθις ἀνεπέμφθη. ταῦτα δ᾽ ἀλληγορεῖται τροπικῶς ἐξενεχθέντα· καθάπερ γὰρ ἐν ζώῳ κεφαλὴ μὲν πρῶτον καὶ ἄριστον, οὐρὰ δ᾽ ὕστατον καὶ φαυλότατον, οὐ μέρος συνεκπληροῦν τὸν τῶν μελῶν ἀριθμόν, σόβησιν τῶν ἐπιπετομένων· τὸν αὐτὸν τρόπον κεφαλὴν τοῦ ἀνθρωπίνου γένους ἔσεσθαί φησι τὸν σπουδαῖον, εἴτε ἄνδρα, εἴτε λαόν· τοὺς δὲ ἄλλους ἅπαντας, οἷα μέρη σώμα- E τος ψυχούμενα ταῖς ἐν κεφαλῇ καὶ ὑπεράνω δυνάμεσιν. αὗται μὲν αἱ ὑπὲρ τῶν ἀνθρώπων τῶν ἀγαθῶν εἰσιν εὐχαί, καὶ τοὺς νόμους ἔργοις ἐπιτελούντων, ἅς φησι τελεσφορηθήσεσθαι χάριτι τοῦ θεοῦ, τὰ καλὰ διὰ τὴν πρὸς αὐτὸν ὁμοιότητα σεμνοποιοῦντος καὶ γεραίροντος. τὰς δὲ κατὰ τῶν ἐκνόμων καὶ ἀθέσμων ἀρὰς ἐπισκεπτέον.

vſque ſumma culmina (nam corpus domus eſt animæ congenita) idque multis de cauſis vtilibus ac neceſſarijs: maxime quia mens expiata & diuinis initiata myſterijs, digna videtur requie, vt expers ſit omnium malorum corporis, quæ ſolent prouenire ex immoderatis affectionibus vires eius infeſtantibus & corrumpentibus. aut enim perfrigeratur, aut ſqualidum exſuccúmque, aut diuerſo vitio fluidum redditur: quæ omnia menti officiunt, ne poſſit inoffenſum vitæ iter peragere. quod ſi in corpore ſano domicilium habeat, minimo negocio vacabit ſapientiæ, ſortita vitam beatam & feliciſſimam. huiuſmodi eſt mens inebriata mero beneficæ Dei potentiæ, & ſatiata ſacrorum dogmatum epulis. in hac propheta Deum ait inambulare tanquam in aula quadam regia. mens enim viri ſapientis eſt reuera Dei regia. huius proprie Deus dicitur qui eſt Deus rerum omnium: ſicut populus eius eximius, non qui huic aut illi paret principi, ſed qui ſanctificatus vnicum agnoſcit verum principem ſanctiſſimum. hæc antea multis oppreſſa fuerat concupiſcentijs, plurimis neceſſitatibus adigebatur ad vitia. huius miſeræ Deus contriuit ſeruiles compedes, ipſámque in libertatem reſtituit. hæc libertate dicendi agendíque potita per ſui benefactoris fauorem inclytum, non in caudam collapſa eſt, ſed aſſurrexit ad verticem capitis, quod figurate dictum ſit. ſicut enim in animantibus caput præcipua pars eſt & optima, cauda vero vltima viliſſimáque, non tam neceſſaria ad explendũ membrorum numerum, quàm muſcarium quoddam abigendis volucribus beſtiolis corpus infeſtantibus: ſic caput & faſtigium humani generis tribuitur bono viro aut bono populo: cæteri omnes tanquam membra corporis, vires animales ſuperne deſumunt à ſuo capite. Hæc ſunt vota bonorum hominum, leges opere perficientium, quas vates noſter pollicetur perficiendas per diuinam gratiam, Deo res honeſtas augente honorantéque, vt ipſi ſimiles. Supereſt, vt conſideremus execrationes his qui nec ius nec fas colunt propoſitas in ſacris literis.

ΠΕΡΙ ΑΡΩΝ.

PHILONIS IVDÆI, DE EXECRATIONIBVS.

A PRIMA execratio quasi leuissimum malum intentatur, inopia, pauperies, & rerum victui necessariarum penuria. Tuæ segetes, inquit propheta, partim ante maturitatem vastabuntur, partim maturæ demetentur ab hostibus subito irruentibus, duplicato infortunio, dum eadem opera quod interceptum famem affert amicis, in vsus hostium proficit, ita vt etiam his infestare desinentibus, rerum naturæ sustentandæ necessariarum inopia grauius molestare non desinat. euenit enim vt post sementem industria tua probe curatam in solo pinguissimo, locustarum nubes repente deuolantium demetant eam, ita vt minus colligatur in horrea, quàm quantum in sationem insumptum sit. Sic & vineta plantabis largis sumptibus, labore indefesso, ita vt bonum colonum decet: in quibus iam maturo fructu onustis vermes & bestiolæ facient vindemiam. Cum videris oliueta polliceri & ostentare magnam copiam, ibis lætus spe oliuationis felicissimæ: at vbi colligere cœperis, non propitium numen, sed infortunium senties. nam oleum euanescet cum tota pinguitudine, remanente tantummodo externa illa specie, quæ inanis inanem animam falsa spe deceperat. & in vniuersum cunctæ segetes arbustáque absumentur à rubigine vnà cum suis fructibus. Nec desunt aliæ calamitates latentes in insidijs, vt inuehant egestatem & inopiam. Nam cælum ac terra, quorum ministerio natura solebat succurrere humanis necessitatibus, abortiuos fœtus dabunt cum eos nequeant absoluere, hæc fa-

A ΠΡΩΤΗΝ ἀρὰν ὡς κουφοτάτην κακὸν ἀναγράφει, πενίαν καὶ ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων, καὶ μετουσίαν παντελοῦς ἀπορίας. τὴν γὰρ σποράν, φησίν, ἀτελῆ μὲν ὄντα δῃώσουσι, τελειωθέντα δ᾽ ἀμήσουσιν ἐξαίφνης ἐπελθόντες πολέμιοι, διττὴν ἐργασάμενοι συμφοράν, λιμὸν μὲν φίλοις, ἐχθροῖς δὲ περιουσίαν. λυπεῖ γὰρ μᾶλλον ἢ οὐχ ἧττον τῶν ἰδίων κακῶν τὰ δυσμε-
B νῶν ἀγαθά· καὶ ἡσυχαζόντων μὲν τῶν ἐχθρῶν, οὐχ ἡσυχάζουσιν αἱ ἐκ φύσεως; ἀργαλεώτεραι δὲ, ζημίαι· σὺ μὲν γὰρ κατασπερεῖς, τὴν βαθύγειον τῆς πεδιάδος, ἀκρίδων δὲ νέφος ἐξαίφνης καταπτάμενον, ἐκθερίσει, καὶ τὰ ὑπολειφθέντα πολλοστὸν εἰς συγκομιδὴν ἔσται μέρος τῶν σπαρέντων. καὶ σὺ μὲν ἀμπελῶνα φυτεύσεις δαπάναις ἀφειδέσι, κακοπαθείαις ἀτρύτοις, ἃς εἰκὸς γεωπόνους ἀναδέχεσθαι· τελειωθέντα δὲ ἤδη καὶ βλαστάνοντα καὶ βρίθοντα ὑπ᾽ εὐφο-
C ρίας, σκώληκες ἐπιγενόμενοι τρυγήσουσι. τοὺς ἐλαιῶνας ὅταν ἴδῃς εὐθηνοῦντας καὶ καρπῶν ἄφθονον πλῆθος, ἴθι ὥσπερ εἰκὸς δι᾽ ἐλπίδα συγκομιδῆς εὐτυχοῦς, ὅταν ἄρξῃ συγκομίζειν, αἰσθήσῃ τῆς ἀτυχίας μᾶλλον ἢ τῆς εὐθενείας. τὸ μὲν γὰρ ἔλαιον καὶ ὅσον πῖον ἐκρυήσεται σύμπαν ἀφανῶς· ὁ δ᾽ ἐκτὸς ὄγκος αὐτὸς εἰς ἀπάτην ψυχῆς κενὸς κενῆς ὑπολειφθήσεται. καὶ συνόλως ὅσα σπαρτὰ
D ἢ δένδρα καρποῖς αὐτοῖς ἐξαναλωθήσεται πρὸς ἐρυσίβης· ἐφεδρεύσουσι δὲ καὶ ἄλλαι συμφοραὶ δίχα τῶν εἰρημένων, ἐνδείας καὶ ἀπορίας δημιουργοί. δι᾽ ὧν γὰρ ἡ φύσις ἀνθρώποις ἐχορήγει τὰ ἀγαθά, στερωθήσεται γῆ καὶ οὐρανός, ἡ μὲν ἀμβλίσκουσα καὶ τελεογονεῖν ἀδυνατοῦσα τοὺς καρπούς· ὁ δὲ μεταβεβληκὼς εἰς ἀγονίαν τῶν ἐτησίων ὡρῶν, μὴ

χειμῶνος, μὴ θέρους, μὴ ἔαρος, μὴ μετοπώρου πρὸς τὰς οἰκείας τάξεις ἰόντων, ἀλλ' εἰς ἄποιον καὶ πεφυρμένην σύγκρισιν ἀποκριθῆναι βιασθέντων δεσποτικοῦ κράτους ἀρχῇ. οὐ γὰρ ὄμβρος, οὐχ ὑετός, οὐ λεπτὴ ψακάς, οὐ βραχεῖα λιβάς, οὐ δρόσος, οὐκ ἄλλο τι τῶν αὔξειν δυναμένων ἐπιγενήσεται· τοὐναντίον δὲ ὅσα λυμαντικὰ μὲν φυομένων, φθοροποιὰ δὲ καρπῶν κατασπουδασθέντων, καὶ ἵνα μὴ τελεσφορηθῇ προεσκευασμένα. θήσω γάρ, φησι, τὸν οὐρανὸν ὑμῖν χαλκοῦν, καὶ τὴν γῆν σιδηρᾶν, αἰνιττόμενος δὲ μηδέτερον αὐτῶν τὰ οἰκεῖα καὶ πρὸς ἃ γέγονεν ἐπιτελέσειν ἔργα· ποῦ γὰρ ἢ σίδηρος ἐσταχυοφόρησεν, ἢ χαλκὸς ὑετὸν ὤσεν. χρεῖα τὰ ζῷα, καὶ μάλιστα δὲ ἐπίκηρον καὶ πολλῶν ἐπιδεὲς ἄνθρωπος. μηνύει δὲ οὐ μόνον ἀφορίαν καὶ τὴν ἐτησίων ὡρῶν φθοράν, ἀλλὰ καὶ πολέμων γενέσεις, καὶ τὴν ἐν τούτοις ἀφορήτων καὶ ἀμυθήτων κακῶν. χαλκὸς γὰρ καὶ σίδηρος πολεμιστηρίων ὅπλων ὗλαι. καὶ γῆ μέντοι κονιορτὸν οἴσει, καὶ χοῦς ἄνωθεν ἐξ οὐρανοῦ καταχθήσεται, βαρύποτμον ἐπιφέρων καρπὸν εἰς τὴν διὰ πνίξεως ἀπώλειαν, ἵνα μηδὲν ὑπολειφθῇ τῶν ἐπ' ὀλέθρῳ. πολυάνθρωποι μὲν ἐρημωθήσονται συγγένειαι, κεναὶ δ' αἱ πόλεις ἐξαπιναίως οἰκητόρων ἔσονται, μνημεῖα παλαιᾶς μὲν εὐτυχίας, προσφάτου δὲ βαρυδαιμονίας ὑπολειφθεῖσαι, πρὸς νουθεσίαν τῶν δυναμένων σωφρονίζεσθαι· τοσαύτη δὲ ἐφέξει σπάνις τῶν ἀναγκαίων, ὥστε ἀλλοτριωθέντες τούτων τρέψονται ἐπ' ἀλληλοφαγίας οὐ μόνον ἐθνῶν καὶ μηδὲν προσηκόντων, ἀλλὰ καὶ τῶν οἰκειοτάτων καὶ φιλτάτων. ἅψεται γὰρ καὶ πατὴρ υἱοῦ σαρκῶν, καὶ μήτηρ σπλάγχνων θυγατρός, καὶ ἀδελφῶν ἀδελφοί, καὶ γονέων παῖδες· ἀεὶ δὲ οἱ ἀσθενέστεροι τῶν δυνατωτέρων κακαὶ καὶ ἐπάρατοι τροφαὶ τὰ Θυέστου παιδία, καὶ συγκρινόμενα ταῖς ὑπερβολαῖς τῶν συμφορῶν, αἷς μεγαλουργήσουσιν αἱ χεῖρες. μετὰ γὰρ τῶν ἄλλων ὥσπερ ἐν εὐτυχίαις ποθεινὸς ὁ βίος εἰς ἀπόλαυσιν ἀγαθῶν· οὕτως καὶ τοῖς βαρυδαίμοσιν ἐκείνοις ἔρως πολὺς ἐνιδρυθήσεται τοῦ ζῆν, πρὸς ἀμέτρων καὶ ἀπαύστων κακῶν μετουσίαν ἀπλύτων ἀιδίων· ἧττον γὰρ ἀπαλγήσαντας ἐπιτεμεῖν θανάτῳ τὰς λύπας, ὃ τοῖς μὴ λίαν φρενοβλαβέσιν ἔθος δρᾶν· οἱ δ' ἐκ παραπληξίας ἐθέλουσιν ἀεὶ καὶ μακροβιώτατοι γενέσθαι, τῆς ἀνιατοτάτου βαρυδαιμονίας ἀπλήστως καὶ ἀκορέστως ἔχοντες· τοιαῦτα δὲ κουφότατα εὖ δίκαιον τῶν κακῶν ἀπο-

A ста è fœcunda ſterilis, illud propter quadripartitas anni vices perturbatas, non hieme, non vere, non æſtate, non autumno ſeruante ſuum ordinem, ſed his ſingulis ad confuſionem quandam tendentibus iuſſu illius omnipotentis Domini: quando non imber, non pluuia, ne minuta quidem, non ros, non guttula vel minutiſſima deſtillabit rigandis alendíſque ſatis ac ſtirpibus, ſed è diuerſo peſtes frugum tam maturarum quàm matureſcentium.
B Faciam, inquit, cælum vobis ahenum, & terram ferream, ſubindicans neutrum horum perfuncturum officio ſuo. Quis enim vnquam audiuit aut è ferro enatas ſegetes, aut ex ære deſcendiſſe pluuiam in vſum animalium, præſertim hominis, quo nullum miſerius & egentius. minatur autem hoc oraculum non ſolum frugum inopiam ex perturbatione quatuor anni temporum, ſed & bella, & quæ inde ſequuntur mala innumera.
C nam ære ferróque conſtat armorum fabrica. è terra quoque futurum eſt vt excitetur ingens vis pulueris, quæ mox ſuperne relapſa pro fructu præfocationem afferat, nequid deſit ad perniciem. atque ita interituræ ſunt numeroſæ familiæ, vrbes repente fient habitatoribus vacuæ monumenta priſtinæ felicitatis, & ſequuti mox infortunij, ad emendationem eorum qui poſſunt moniti reſipiſcere. tanta autem erit rerum victui neceſſariarum penuria,
D vt ne ab humanis quidem abſtineant carnibus, iiſque vel chariſſimorum coniunctiſſimorúmque, nedum exterorum alienorúmque. nam & pater guſtabit de filio, & mater veſcetur filiæ viſceribus, & fratres fratrum, & parentum filij: ſempérque fortiorem paſcet infirmior cibo execrabili: quales feruntur epulæ mactatis Thyeſtæ filijs, redeuntibus calamitatum priſcarum temporibus. quemadmodum enim felicia ſæcula deſide-
E rium viuendi afferunt, quo præſentibus bonis frui liceat: ſic illos miſeros dira cupido vitæ capiet, quo diutius torqueãtur malis indeſinentibus. alioqui leuius eſſet præ tædio vitam abrũpere, quod quidam neſcio quàm ſana mente faciunt. hi certe manifeſta laborant inſania qui ætatem ſibi diutius prorogari cupiunt, nec capiuntur vlla ſatietate infortunij. Hæc ſunt incom-

moda immissæ diuinitus inopiæ, vtcunque videtur cæteris execrationibus leuior. quamuis enim molestum sit frigus, molesta sitis famésve, interdum tamen optari possunt, modò sine mora enecent: sed eisdem malis diu corpus ac animam tabescere, id verò tragicas omnes calamitates superat. seruitus ingenuis est vehementer intolerabilis, quia pro libertate tuenda libenter subeūt vitæ periculum quotquot sapiunt, nullum certamen recusando aduersus affectantes dominium: grauis est etiam hostis inexpugnabilis. Quoties autem idem & hostis simul & dominus imminet, quis sustinere queat? quando potestas ei præbet lædendi licentiam, nec voluntas deest propter inueteratum odium. quamobrem Deus populo suo minatur infensos Dominos, qui tractent contemptores diuini iuris inclementissime, non solum subactos ipsorum viribus, verum etiā vltro deditos metu malorū inopinatorum, famis atque necessitatum similium. quidam enim minora mala eligunt, vt maiora effugiāt, si tamen minus incommodum censendum est post amissam libertatem imperata immitium Dominorum facere, & afflicto corpore subire dura ministeria, & quotidie vidēdo ingrata spectacula, etiam animo deficere. videbunt enim in ædificiorum & plantationum, possessionúmque partarū suis laboribus hęreditatem succedere gentes hostiles, in aliena inuasuras prædia, & apparatu alieno fruituras: videbunt pinguissimas quasque pecudes mactari instruendis eorum epulis, nec parci condimentis, vt inimici ex alieno viuant suauius. videbunt vxores, quas puellas duxerant quærendorum liberorum gratia, sobrias, bene curantes rem domesticam, maritorum amantes, abduci pro meretriculis. & cupiēt quidem vim vi repellere, sed præter inanem tumultuationem nihil efficere poterunt, nimirum eneruati destitutíque viribus. erunt etiam expositi quibuslibet ad omnes iniurias direptiones, abactiones, cōtumelias, damna, cruciatus, vulnera, perniciem, ita vt nullum hostile telum innoxium intercidat, sed omnia destinatum feriant. execrati erunt in vrbibus & oppidis, execrati in villis & domibus, execrati campi etiam aruáque cum suis segetibus, & quantum fertilis soli

A εία προσεργάζεσθαι πέφυκεν, ὅταν θεήλατος ἐπάγηται δίκη. καὶ γὰρ εἰ χαλεπὰ, ῥῖγος, δίψος, ἔνδεια τροφῆς, ἀλλ' εὐκταιότατα γένοιτ' ἂν ἐπὶ καιρῶν, εἰ μόνον αἰνυπέρθετον φθορὰν ἐργάσαιτο· χρονίζοντα δὲ καὶ τήκοντα ψυχήν τε καὶ σῶμα, τῶν τετραγῳδημένων, ἃ δι' ὑπερβολὰς μεμυθεῦσθαι δοκεῖ, βαρύτατον πέφυκε κακουργεῖν. δουλεία τοῖς ἐλευθέροις ἀφορητότατόν ἐστιν, ὑπὲρ ἧς ἀποθνήσκουσιν οἱ σώφρονες, ἀγωνιζόμενοι φιλοκινδύνως πρὸς τοὺς ἐπιδυνατευομένους B δεσποτείαν· ἀφόρητον δὲ καὶ ἐχθρὸς ἄμαχος· εἰ δὴ ὁ αὐτὸς ἀμφότερα γένοιτο δεσπότης ὁμοῦ καὶ πολέμιος, τίς ἂν ὑποσταίη, τὸ μὲν δύνασθαι ἀδικεῖν, ἐκ δεσποτικῆς ἐξουσίας· τὸ δὲ μηδενὶ συγγινώσκειν, ἐξ ἀσυμβάτου δυσμενείας προσεπιποιημένος· ἐχθροῖς οὖν φησι δεσπόταις εἰς τὸ ἀνηλεῶς χρήσασθαι τοὺς ἀλογοῦντας νόμων ἱερῶν, οὐ μόνον ἐξ ἐπιθέσεως τῆς ἐκείνων ὑπαχθέντας, ἀλλὰ καὶ νόμοις ἑκουσίοις ἐκδιδόντας αὐτοὺς ἕνεκεν C τῶν ἀβουλήτων, ἃ καὶ λιμὸς καὶ σπάνις τῶν ἀναγκαίων ἀπεργάζεται. τὰ γὰρ ἐλάττω κακὰ φυγῇ μειζόνων αἱρετὰ νομίζουσί τινες. εἰ δή τι βραχὺ τῶν εἰρημένων ἐστὶ, δουλεύοντες πικρῶν μὲν ἐπιταγμάτων ὑπηρεσίας ἀναδέξονται τοῖς σώμασι· πικροτέρων δὲ θεαμάτων ἀνίαις κατατεινόμενοι τὰς ψυχὰς ἀπαγορεύσουσιν. ὄψονται γὰρ ὧν συνῳκοδόμησαν μὲν ἢ κατεφύτευσαν ἢ προσεποιήσαντο, κληρονόμους γεγονότας ἐχθροὺς, ἀλλοτρίων ἀπολαύοντας ἀγαθῶν καὶ ἑτοίμων, ὄ- D ψονται καὶ τὰ πίονα τῶν ἰδίων θρεμμάτων, διαχρυμένους, ἱερουργοῦντας καὶ παραρτύοντας εἰς ἀπόλαυσιν ἡδίστην, ὑστερούμενοι τῆς ὠφελουμένης· ὄψονται καὶ γυναῖκας, ἃς ἠγάγοντο κουριδίας ἐπὶ γνησίων παίδων σπορᾷ, σώφρονας, οἰκουροὺς καὶ φιλάνδρους, ἑτέρων τρόπον ἀφαιρουμένας. καὶ πρὸς μὲν ἄμυναν ὁρμήσουσιν, ἔξω δὲ τοῦ σφαδάζειν οὐδὲν ἐργάσασθαι δυνήσονται, πᾶσαν ἰσχὺν ἐκτετμημένοι καὶ ἐκνενευρισμένοι. προκείσονται E γὰρ σκοποὶ τοῖς ἐθέλουσιν ἄγειν, φέρειν, ἁρπάζειν, ὑβρίζειν, τιτρώσκειν, εἰς βλάβας, εἰς αἰκίας, εἰς πανωλεθρίαν, ὡς μηδὲν ἀφεθῆναι τῶν βλημάτων κοῦφον, ἀλλ' εὔσκοπα καὶ εὔστοχα πάντα. ἐπάρατοι μὲν ἐν πόλεσι καὶ κώμαις· ἐπάρατοι δὲ ἐν οἰκίαις καὶ ἐπαύλεσιν ἔσονται. ἐπάρατος μὲν ἡ πεδιὰς, καὶ ὅσα κατεβλήθη σπέρματα· ἐπάρατος δὲ ἡ βαθύγειος τῆς ὀρεινῆς, καὶ ὅσα γῆν δεν-

ὡραίων ἡμερῶν· ἐπάρατοι τῶν θρεμμάτων αἱ ἀγέλαι. στειρωθήσονται γὰρ πρὸς ἀγονίας· ἐπάρατοι πάντες οἱ καρποί. τῷ γὰρ τελειοτάτῳ τῆς ἀκμῆς ἀνεμόφθοροι γενήσονται· τὰ πλήρη ταμιεῖα τροφῶν καὶ χρημάτων κενωθήσονται. πόρος οὐδεὶς εὐοδώσει, τέχναι πᾶσαι, πραγματεῖαι πολύτροποι, βίων ἰδέαι μυρίων, τοῖς χρωμένοις οὐδὲν ὄφελος. ἀτελεῖς γὰρ αἱ τῶν σπουδαζομένων ἐλπίδες ἔσονται, καὶ συνόλως ὅπου ἐφάψονται, διὰ πονηρῶν ἐπιτηδευμάτων ἢ ἔργων, ὧν κεφαλὴ καὶ τέλος ἀπόδειξις θεραπείας θεοῦ. τὰ γὰρ ἀσεβείας καὶ παρανομίας ἐπίχειρα ταῦτα. καὶ πρὸς τούτοις αἱ σωματικαὶ νόσοι, μέλος ἕκαστον καὶ μέρος ἴδια κατεργαζόμεναι καὶ διεσθίουσαι, καὶ πάλιν ὅλα δι' ὅλων καταξαίνουσαι, πυρετοῖς, ῥίγεσι, φθινάσι τηκεδόσι, ψώραις ἀγρίαις, ἰκτέροις, σφακελίζουσιν ὀφθαλμοῖς, ἕλκεσιν ὑποπύοις, ἑρπηνώδεσι, κατὰ πάσης χεομένοις τῆς δορᾶς, κακώσεσι τῶν ἐντοσθίων, ἀνατροπαῖς στομάχου, τῶν ἐν πνεύμονι πόρων ἀποφράξεσιν, ὑπὸ τοῦ μὴ εὐοδεῖν τὴν ἀναπνοήν· πάρεσις γλώσσης, κωφὸν οὖς, πήρωσις ὀφθαλμῶν, τῶν ἄλλων ἀμυδρότης αἰσθήσεων καὶ σύγχυσις, καίτοι δεινὰ ὄντα, τοῦ μὲν ἐν φλεψὶν αἵματος ἀποβαλόντος ὅσον ἦν ἐν αὐτῷ ζωτικόν, τοῦ δ' ἑτέρου ἐν ἀρτηρίαις πνεύματος, τὴν ἔξωθεν ἀπὸ τοῦ συμφυοῦς ἀέρος μηκέθ' ὁμοίως ἐπιδεχομένου σωτήριον κρᾶσιν· τῶν δὲ νεύρων ἀνεθέντων καὶ χαλασθέντων, οἷς ἐπακολουθεῖ τῆς ἁρμονίας καὶ συμφωνίας τῶν μελῶν πάρεσις, πρότερον πονηθέντων ἁλμυροῦ καὶ πολλοῦ πικροῦ φορᾷ ῥεύματος εἰσπαραδυομένου, καὶ ὁπότε στενοῖς ἐγκατακλεισθείη πόροις εὐμαρεῖς διεξόδους οὐκ ἔχουσι, θλιβομένου τε καὶ θλίβοντος εἰς πικρὰς δυσυπομονήτων γενέσεις ἀλγηδόνων, ἐξ ὧν φύεται τὰ ποδαγρικὰ καὶ ἀρθριτικὰ πάθη καὶ νοσήματα, πρὸς ἃ σωτήριον οὐδὲν ἐπινοηθὲν φάρμακον, ἀλλ' ἔστιν ἀνθρωπίναις ἐπινοίαις ἀνίατα. ταῦτα ὁρῶντες ἔνιοι καταπλαγήσονται, πῶς οἱ πρὸ μικροῦ πίονες, εὔσαρκοί τε, καὶ εὐεξίᾳ μάλιστα θάλλοντες, οὕτως ἀφνίδιον ἐκτακέντες, ῥικνοὶ γεγόνασιν ἶνες αὐτὸ μόνον, καὶ λεπτὴ δορά. καὶ πῶς γυναῖκες ἁβροδίαιτοι καὶ πολυάπαλοι, διὰ τὴν ἐκ πρώτης ἡλικίας συνεθισθεῖσαν τρυφήν, ὑπὸ κακώσεως δεινῆς, ἅμα ταῖς ψυχαῖς καὶ τὰ σώματα ἐξηγρίωνται. τότε δὴ τότε διώξονται μὲν

A collibus assurgit, vestitúrque arbustis mitiorum stirpium. execrati greges pecorum non supplendi nouis fœturis. execrati fructus omnes, in ipso articulo maturitatis euanidi. euacuabuntur & ipsæ cellæ penuariæ, quamuis alimentis refertissimæ. nullus quæstus prosperabitur, artificia cuncta variæque negotiationes & victus quærendi rationes nihil proderunt. Frustrabuntur enim spes studiorum omnium, & in vniuersum nihil earum rerum succedet prospere, quæ solent feliciter
B euenire pietatis cultoribus. hæc est enim iniquitatis merces impietatísque, & insuper varia genera morborum corporis, singulas eius partes exedentia vel debilitantia, aut totum quãtum est excruciantia, febribus, rigoribus, tabe, impetigine, morbo regio, sideratione, vomicis, serpiginibus totam cutem occupantibus, intestinorum vitijs, stomachi subuersionibus, pulmonis obturationibus, & respira-
C tionis impedimentis. Huc accedit linguæ paralysis, aurium surditas, oculorum cæcitas, hebetudo confusióque aliorum sensuum, grauissima incommoda, dilapso è sanguine venis contento quicquid vitale in se habuerat, & spiritu qui inest arterijs, non amplius admittente externi aeris sibi cognati temperiem: neruis quoque laxatis & contentionem remittentibus, vnde sequitur coaptationis consensúsque membrorum dissolutio, defatiga-
D torum prius salsuginosi amarulentique fluxus impetu latẽter insinuati, & postquam semel inclusus est angustis meatibus, non inueniẽtis facilem exitum, & per hanc conflictationem inducentis dolores intolerabiles: vnde prouenìunt morbi articulares & podagrici, contumaces aduersus omnia remedia, & proinde ope humana incurabiles. huiusmodi calamitates quoties accidunt, miraculo sunt plurimis, repu-
E tantibus quomodo qui paulo ante obesuli, carnosi, luculentáque habitudine conspicui fuerant, tam repentina tabe colliquati sint, rugosi redditi, & vix neruis hærẽtes atque ossibus, opertique tenui cuticula. tum quomodo mulierculæ delicatæ ac tenerrimæ, ab ipso ætatis primordio assuefactæ delicijs & voluptatibus, præ afflictione graui redactæ sint ad ferinam quandam animi simul ac corporis speciem. tum vero imminebunt hostes etiam

intentando vltores gladios. At illi misere in oppida compulsi, cum séque suáque in tuto esse credent, spe frustrati cadent internecione quotquot erunt puberes, ex insidijs oppressi ab hostibus: quod si ne sic quidem emendati fuerint, nec ab erroribus in veram viam redire voluerint, tanta innascetur animis superstitum pauiditas, vt nemine persequente fugiant, solis vt ignaui solent profligati rumoribus: & vel leuissimæ frondis vento agitatæ strepitus tantum metum incutiet, quantum grauissima victore tergis hærente pericula: vt nec filij parentibus opitulentur, nec parentes liberis, nec germani fratribus, ne forte dum alijs parant succurrere, amissa fugæ occasione in potestatem hostium ipsi veniant. Sunt autem malorum hominum spes irritæ. nam fugientes non magis quam manentes euadent. quod si qui abdiderint se in latebras, in hostes sibi naturaliter infensos incident, videlicet in feras agnatis armis horrendas, quas Deus à mundo condito præparauit ad terrorem contumacium hominum, & ad exigendas pœnas ab inemendabilibus. hæc non credent qui non spectauerunt vrbes euersas funditus, quæ quondam habitatæ nunc abierunt in fabulam, post ingentem felicitatem repentinis obrutæ calamitatibus, partim obliuioni traditæ, partim relatæ in literas. huc accedent tabes, & corruptis interaneis anhelitus difficiles, quæ tædium pressurámque inducendo, vitam incertam facient ceu in sublimi pendentium. nam terrores alij post alios interdiu noctúque succedentes sibi inuicem sursum ac deorsum exagitabunt animam, vt mane vesperam optet, vespere vero auroram, ob erumnas vigilantium, & eas quæ dormientibus in somnis obuersantur abominandas imagines. atque ita eueniet vt nouelli coloni Deo fortunante fiant conspicui, prædicentúrque beati duobus nominibus, vel quòd ad Deum transfugerint, vel quòd ab eo cæleste præmium acceperint, non enunciandum profanis auribus. at veteres ciues sed degeneres pessum ibunt prolapsi ad imum tartarum tenebrásque profundissimas: vt hisce exemplis genus humanum admonitum sapiat, non ignarum quam

A ἐχθροί, μάχαιρα δὲ ἐκδικοῦσα δίκην· οἱ δ' εἰς τὰς πόλεις καταφυγόντες, ὅτῳ ἐν ἀσφαλεῖ γεγενῆσθαι νομίσουσιν, ἐλπίδος ἀπάτῃ φενακισθέντες, ἡβηδὸν ἀπολοῦνται προκαταδυόντων ἐνέδραις ἐχθρῶν, κἂν ἐπὶ τούτοις μὴ σωφρονίζωνται, πλαγιάζοντες, καὶ τὰς ἐπ' ἀλήθειαν ἀγούσας εὐθυτενεῖς ὁδοὺς ἐκτρεπόμενοι, δειλία καὶ φόβος ταῖς ψυχαῖς αὐτῶν ἐνιδρυθήσονται, καὶ φεύξονται μὲν οὐδενὸς διώκοντος, φήμαις δ' οἷα ψευδέσι πεσοῦνται προτραπέντες· φύλλων κτύπος κουφότατος δι' ἀέρος φερόμενος τοσαύτην ἀγωνίαν
B καὶ πτοίαν ἐργάσεται, ὅσην ὁ βαρύτατος πόλεμος ἐκ δυνατωτέρων ἐχθρῶν, ὡς καὶ τέκνα γονέων, καὶ γονεῖς τέκνων, καὶ ἀδελφοὺς ἀδελφῶν ὑπεριδεῖν, ἐκ μὲν τῆς ἀλλήλων ἐπιβοηθείας ἁλώσεσθαι προσδοκήσαντες, σωτηρίας δ' ἐκ τοῦ ἑαυτοὺς ἀποδιδράσκειν ἕκαστοι. πονηραὶ δ' ἀνθρώπων ἀτελεῖς ἐλπίδες. μᾶλλον γὰρ ἢ οὐχ ἧττον οἱ διαπεφευγέναι δόξαντες τῶν προκαταληφθέντων ἁλώσονται·
C κἂν διαλάθωσί τινες, ἐφεδρείαν ἕξουσι τὴν φύσει πολεμίων· ὅτι δὲ εἰσιν ἀγελαιότεροι θῆρες ἐξ ἑαυτῶν ἐνοπλοῦντες, οὓς ὁ θεὸς ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς ἐδημιούργει, πρὸς ἀνθρώπων τῶν μὴ δυναμένων νουθετεῖσθαι φόβον, τῶν δὲ ἀνιάτως ἐχόντων ἀπαραίτητον δίκην. ἀπιστήσουσι μὴ οἱ θεασάμενοι τὰς αὐτοῖς θεμελίοις ἀναιρεθείσας πόλεις, εἴ ποτε ᾠκίσθησαν, ἐν εἴδει δὲ προοιμιασθήσονται τὰς ἐκ λαμπρῶν εὐτυχιῶν ἐξαπιναίους κακοπραγίας, ὅσαι καὶ ἀνεγράφησαν, καὶ εἰσὶν ἄ-
D γραφοι, παραλύσονται· καὶ μέχρι σπλάγχνων ἆσθμα καὶ τηκεδόνες, ἀθυμίας τε καὶ ἀδημονίας ἐμποιοῦσαι σὺν ἐκθλίψει, ζωὴν ἀΐδρυτον καὶ κρεμαμένην ὥσπερ ἐξ ἀγχόνης ἐργάσονται. φόβοι διαδεχόμενοι μεθ' ἡμέραν τε καὶ νύκτα τὴν ψυχὴν ἄνω καὶ κάτω κλονήσουσιν, ὡς πρωΐας μὲν ἑσπέραν, ἑσπέρας δὲ ὄρθρον εὔχεσθαι, διά τε τὰς καὶ ἐγρηγορότων κακώσεις ἐμφανεῖς, καὶ κοιμωμένων τὰς ὀνειράτων ἀποτροπαίους φαντασίας. ὁ μὲν ἔπηλυς ἄνω ταῖς εὐτυχίαις μετέωρος ἀρθεὶς
E περίβλεπτος ἔσται, θαυμαζόμενος καὶ μακαριζόμενος ἐπὶ δυσὶ τοῖς καλλίστοις, τῷ τε αὐτομολῆσαι πρὸς θεὸν, καὶ τῷ γέρας λαβεῖν οἰκειότατον τὴν ἐν οὐρανῷ τάξιν βεβαίαν, ἣν οὐ θέμις εἰπεῖν· ὁ δ' εὐπατρίδης παρακόψας τὸ νόμισμα τῆς εὐγενείας, ὑποσυρήσεται κατωτάτω πρὸς αὐτὸν τάρταρον καὶ βαθὺ σκότος ἐνεχθεὶς, ἵνα ταῦτα ὁρῶντες τὰ παραδείγματα πάντες ἄνθρωποι σωφρονίζωνται, μανθάνοντες ὅτι τὸν ἐκ

A δυσγενείας ἀρετὴν φυομένην θεὸς ἀσπάζεται, τὰς μὲν ῥίζας ἐῶν χαίρειν, τὸ δὲ στελεχωθὲν ἔρνος, ὅτι μετέβαλεν ἡμερωθὲν πρὸς εὐκαρπίαν, ἀποδεχόμενος. οὕτως καθάπερ ὑπὸ πυρὸς δαπανηθεισῶν τῶν πόλεων, καὶ τῆς χώρας ἐρημωθείσης, ἄρξεταί ποτε διαπνεῖν καὶ ἀνακύπτειν ἡ πολλὰ γυμνασθεῖσα καὶ τραχηλισθεῖσα γῆ πρὸς οἰκητόρων, ἀφορήτου βίας, οἳ τὰς παρθένους ἑβδομάδας ὑφῄρουν καὶ τῆς χώρας καὶ τῆς αὐτῶν διανοίας ἀπήλασαν. μόνας γὰρ ἢ τό γε ἀσφαλέστερον B εἰπεῖν, πρώτας ἀνέδειξεν ἑορτὰς ἡ φύσις τὰς ἑβδομάδας ἡμερῶν τε καὶ ἐνιαυτῶν, πρὸς ἀνάπαυλαν, ἀνθρώποις μὲν τὰς ἡμερῶν, τῇ δὲ χώρᾳ τὰς ἐνιαυτῶν. οἱ δὲ ὅλον τύφῳ παρακαλυψάμενοι τὸν νόμον, τοὺς ἅλας, τὰς σπονδάς, τὸν ἐλέου βωμόν, τὴν κοινὴν ἑστίαν, ἐξ ὧν φιλία καὶ ὁμόνοια ἡρμόζετο· πάντα γὰρ δι' ἑβδομάδος καὶ ἑβδομάδος· ἐβάρυναν μὲν ἀνθρώπους ἀσθενεστέρους οἱ δυνατώτεροι συνεχέσι καὶ ἀδιαστάτοις ἐπιτάγμασιν· ἐβάρυναν δὲ καὶ τὰς ἀρούρας, ἀεὶ κέρ- C δη μεταδιώκοντες ἐκ πλεονεξιῶν ἄδικα, τὰς ἐπιθυμίας ἐπιστήσαντες ἀχαλίνοις καὶ ἀδίκοις ὁρμαῖς εἰς τὸ ἀκόρεστον. ἀντὶ γὰρ τοῦ παρέχειν μὲν ἀνθρώποις κατὰ τὸν ἀψευδέστατον λόγον ἀδελφοῖς, ὧν μία μήτηρ ἡ κοινὴ φύσις, τὰς προστεταγμένας δι' ἓξ ἡμερῶν ἐκεχειρίας· παρέχειν δὲ καὶ τῇ χώρᾳ τὰς δι' ἓξ ἐνιαυτῶν ἀνέσεις, μήτε σποραῖς μήτε φυτείαις βαρύνοντας, ἵνα μὴ καμάτοις ἐπαλλήλοις ἀπαγορεύσῃ. ἀμελήσαντες τουτωνὶ τῶν χρηστῶν παραι- D νέσεων εἰς ἡμερότητα προσκαλουμένων, τὰ μὲν σώματα καὶ τὰς ψυχὰς ὧν ἠδύναντο πάντων, ἀνάγκαις ἀπαύστοις ἐπίεσαν, τὸ δὲ βαθύγειον τῆς ἰσχύος ὑπετέμοντο φοραῖς τῶν ὑπὲρ δύναμιν ἀπλήστως προσαποδυόμενοι, καὶ δασμοῖς οὐκ ἐτησίοις μόνον, ἀλλὰ καὶ ἐφημέροις, ὅλην δι' ὅλου ἐκτραχηλίζοντες· ὑπὲρ ὧν οἱ μὲν τὰς λεχθείσας ἀρὰς καὶ δίκας ἀναπλήσουσιν, ἡ δ' ἐκνευρισθεῖσα καὶ μυρίας ὑπομείνασα κακώσεις ἀποφορτισαμένη τὸ τῶν ἀσεβῶν οἰκητόρων ἄχθος, ἐπελαφρισθήσεται. καὶ E ὅταν ἐν κύκλῳ περιβλεψαμένη μηδένα θεάσηται τῶν καθελόντων αὐτῆς τὸ μεγαλαύχημα καὶ ἀξίωμα, ἀλλὰ κενὰς μὲν αὐτὰς τὰς ἀγορὰς θορύβων καὶ πολέμων καὶ ἀδικημάτων, πλήρεις δὲ ἡσυχίας καὶ εἰρήνης, καὶ δικαιοσύνης, ἀνηβήσει καὶ ἐπακμάσει, καὶ τοὺς τῶν ἱερῶν ἑβδομάδων καιροὺς ἑορτώδεις ἠρεμήσει καὶ διαναπαύσεται, συλλεγομένη καθάπερ ἀθλητὴς προηγωνισμένος δύναμιν· εἶθ' οἷα μήτηρ φιλόστοργος, οἰκτιεῖται μὲν υἱοὺς καὶ θυγατέρας οὓς ἀπ-

A libenter Deus amplectatur virtutem vel ignobilium, qui radices nihil moratur, sed solas stirpes suscipit, mutatas ad frugem meliorem. atque ita vrbibus absumptis velut incendio, desolatísque agris, respirabit tandem terra vexata exercitáque non ferendis incolarum iniurijs, qui virgines hebdomadas & è sua ditione, & ex ipsis animis eiecerant. solum enim, aut vt cautius loquar, primum festum natura parens protulit, septimi cu- B iusque anni & diei, vt his homines, illis agri, interquiescerent. cæterum qui hanc legem violarunt, simúlque fœdera, salem, aram misericordiæ, communémque larem, omnia hæc ad hebdomadam pertinentia contempserunt, tum homines ipsis infirmiores grauauerunt continuis laborum exactionibus, tum agros ipsos lucris ex his indesinenter quæsitis per auaritiam, nullum modum imponendo iniquæ cupiditati nunquam satiabili. C cum enim debuissent hominibus, iuxta veram æstimationem germanis fratribus communi parente natura prognatis, inducias ad septimum quemque diem præscriptas concedere, agris itidem quoties annus septimus recurreret, nec sationibus eos vexando nec insitionibus, ne exhaurirentur laboribus continuis: neglexerunt hæc præcepta humanissima, & animos corporáque quorumcumque poterant, non ferendis erumnis oppres- D serunt, terræ quoque vires & vbertatem extenuauerunt iniquis exactionibus, tributa non modo quotannis, sed & quotidiana extorquendo, quemadmodum inhumani creditores exprimunt à suis debitoribus. quapropter illos quidem vindicta manet (vt diximus) & execratio: hæc vero debilitata, & mille modis vexata, exonerabitur tandem colonis impijs, tanquam sarcinis iniquis & superuacuis. Vbi verò circumspectis rebus E omnibus per circuitum, nihil se indignum superesse animaduerterit, sed sublatis è foro strepitibus, iniurijs, litibus, florere pacem, quietem atque iustitiam: tum demum vigorem pristinum recipiet, reuocatísque in vsum sacris sabbatis festísque solemnibus, per quietem reficietur, tanquam athleta vires colligens à lassitudine. deinde vt mater amantissima miserabitur amissos filios ac filias,

qui magis viui quàm defuncti suos parentes contristassent: mox tamen renouata fœcunditate, pariet progeniem inculpabilem, quæ prioris iacturam sartiat. nam desolata, vt ait propheta, felix erit numerosa sobole: quod oraculum etiam de anima figurate intelligitur. Sunt enim quæ refertæ vitijs & affectibus, tanquam circumfusæ sua progenie, voluptatibus, concupiscentijs, imprudentia, intemperantia, iniustitia, male valent & ægrotant moribundæ: vbi verò desierunt tales fœtus parere, aut iam natis orbatæ sunt, continuo restituuntur in castitatem virginitatémque pristinam, & conceptum diuinum semen formant ac viuificant, vt inde nascantur res mirandæ pulchritudinis, prudentia, fortitudo, temperantia, iusticia, sanctitas, pietas, ceteræque virtutes ac felicitates: quarum non modo natiuitas mactam prole facit parentem, verumetiam spes natiuitatis gaudio magno afficit. spes autem est læticia futuræ læticiæ prænuncia, licet imperfecta, tamen hactenus potior, quòd & præsentibus curis laxatis remissisque hilarat, & futuræ felicitatis complementum prænunciat. Hæ sunt execrationes & pœnæ quibus obnoxij sunt sacrarum legum & pietatis contemptores, cultorésque multorum numinum, quorum finis est impietas & obliuio disciplinæ patriæ, ab ætate prima insitæ, vnum illud supremum ens Deum credentis: ad cuius sortem pertinent veritatis cultores & derisores fabularum, quemadmodum nihil reticens docui. attamen si qui has castigationes non vt peremptorias, sed vt ad emendationem incitantes acceperint, mutatique suum errorem damnauerint, & perpurgata mente culpas agnouerint ex animo, primum sincera conscientia, deinde lingua quoque ad profectum audientium, veniam cōsequentur apud seruatorem & Deum propitium: qui generi humano hanc eximiam largitur gratiam, quòd id suo verbo cognatum esse vult, ad cuius similitudinem factus est hominis animus. nam etiamsi qui extremas oras terræ incolant, seruientes eis à quibus captiui abducti sunt victoribus, velut vno edicto vna die liberabuntur omnes, dominis mirantibus eorum consensum in deserendis vitijs & sectandis virtutibus.

A βαλεν, οἳ καὶ ἀποθανόντες καὶ ζῶντες, ἔτι μᾶλλον ὀδύνας τοῖς τεκοῦσιν ἐγένοντο· πάλιν δὲ νεάσασα εὐφορήσει, καὶ τέξεται γενεὰν ἀνεπίληπτον, ἐπανόρθωμα τῆς προτέρας. ἡ γὰρ ἔρημος, ἦ φησιν ὁ προφήτης, εὔτεκνός τε καὶ πολύπαις· ὅπερ λόγιον καὶ ἐπὶ ψυχῆς ἀλληγορεῖται. πολλὴ μὲν γάρ, ὅταν ᾖ παθῶν καὶ κακιῶν ἀνάπλεως, οἷα περικεχυμένων αὐτῇ τέκνων, ἡδονῶν, ἐπιθυμιῶν, ἀφροσύνης, ἀκολασίας, ἀδικίας, ἀσθενεῖ καὶ νοσεῖ, καὶ ἐπικηρίως ἔχουσα θανατᾷ, στειρωθεῖσα δὲ καὶ ἀγονήσασα

B τούτων, ἢ καὶ ἀποβαλοῦσα, ἀθρόως γίνεται μὲν ἐκ μεταβολῆς ἁγνὴ παρθένος, παραδεξαμένη δὲ τὸ θεῖον σπέρμα, διαπλάττει καὶ ζωογονεῖ, περιμάχητα φύσει, καὶ θαυμαστὰ κάλλη, φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην, ὁσιότητα, εὐσέβειαν, τὰς ἄλλας ἀρετάς τε καὶ εὐπαθείας, ὧν οὐ μόνον ἡ γένεσις εὔτεκνον ἀγαθόν, ἀλλὰ καὶ ἡ προσδοκία τῆς γενέσεως ἐλπίδι προεγγλυκαίνουσα τὴν ἀσθένειαν, ἐλπὶς δὲ χαρὰ πρὸ χαρᾶς ἐστιν, εἰ καὶ ἐνδεὴς παρὰ

C τελείαν, ἀλλά τοι τῆς ἐπιγινομένης καθ' ἑκάτερον βελτίων, ὅτι τε τὸ αὐχμηρὸν ἀναχαλᾷ καὶ λιπαίνει τῆς φροντίδος, καὶ ὅτι φθάνουσα τὸ μέλλον καὶ πλῆρες ἀγαθὸν εὐαγγελίζεται. τὰς μὲν οὖν ἀρὰς καὶ τιμωρίας, ἃς ὑπομένειν ἄξιον τοὺς τῶν ἱερῶν νόμων δικαιοσύνης καὶ εὐσεβείας ὑπερορῶντας, καὶ τῆς πολυθέοις δόξαις ὑπαχθέντας, ὧν ἀθεότης τὸ τέλος, λήθη τῆς συγγενοῦς καὶ πατρίου διδασκαλίας, ἣν ἐκ πρώτης ἡλικίας ἐπαιδεύθησαν, τὴν τοῦ ἑνὸς φύ-

D σιν τὸν ἀνωτάτω νομίζειν θεόν, ᾧ δεῖ μόνῳ προσκεκληρῶσθαι τοὺς ἄπλαστον ἀλήθειαν ἀντὶ πεπλασμένων μύθων μεταδιώκοντας, οὐδὲν ὑποστειλάμενος δεδήλωκα. ἐὰν μέντοι μὴ ἐπ' ὀλέθρῳ δέξωνται τὰς δυνάμεις μᾶλλον ἢ νουθεσίᾳ, καὶ καταιδεσθέντες ὅλῃ ψυχῇ μεταβάλωσι, κακίσαντες μὲν αὐτοὺς τῆς πλάνης, ἐξαγορεύσαντες δὲ καὶ ὁμολογήσαντες ὅσα ἥμαρτον καθ' ἑαυτῶν διανοίᾳ κεκαθαρμένῃ, τὸ πρῶτον εἰς τὸ τοῦ συνειδότος ἀψευ-

E δὲς καὶ ἀνύπουλον, ἔπειτα καὶ γλώττῃ πρὸς βελτίωσιν τῶν ἀκουόντων, εὐμενείας τεύξονται τῆς ἐκ τοῦ σωτῆρος, καὶ ἵλεω θεοῦ, τοῦ γένει τῶν ἀνθρώπων ἐξαίρετον παρεχομένου μεγίστην δωρεάν, τὴν πρὸς τὸν αὐτοῦ λόγον συγγένειαν, ἀφ' οὗ καθάπερ ἀρχετύπου γέγονεν ὁ ἀνθρώπινος νοῦς. κἂν γὰρ ἐν ἐσχατιαῖς ὦσι γῆς, δουλεύοντες παρὰ τοῖς αἰχμαλώτους αὐτοὺς ἀπαγαγοῦσιν ἐχθροῖς, ὥσπερ ἀφ' ἑνὸς συνθήματος ἡμέρᾳ μιᾷ πάντες ἐλευθερωθήσονται, τῆς ἀθρόας πρὸς ἀρετὴν μεταβολῆς κατάπληξιν ἐργασαμένης τοῖς δεσπόταις.

μεθή-

μαθήσονται γὰρ αὐτούς, αἰδεσθέντες κρειττόνων ἄρχειν. ὅταν δὲ τύχωσι τῆς ἀπροσδοκήτου ταύτης ἐλευθερίας οἱ πρὸ μικροῦ σποράδες ἐν Ἑλλάδι καὶ βαρβάρῳ, κατὰ νήσους, καὶ κατὰ ἠπείρους, ἀναστάντες ὁρμῇ μιᾷ, πρὸς ἕνα συντείνουσιν ἄλλαχόθεν ἄλλοι τὸν ἀποδειχθέντα χῶρον, ξεναγούμενοι πρός τινος θειοτέρας, ἢ κατὰ φύσιν ἀνθρωπίνης ὄψεως, ἀδήλου μὲν ἑτέροις, μόνοις δὲ τοῖς ἀνασῳζομένοις ἐμφανοῦς, τρισὶ χρησάμενοι παρακλήτοις τῶν πρὸς τὸν πατέρα καταλλαγῶν, ἑνὶ μὲν ἐπιεικείᾳ καὶ χρηστότητι τοῦ παρακαλουμένου, ὃς συγγνώμην πρὸ τιμωρίας ἀεὶ τίθησι· δευτέρῳ δὲ, τῇ τῶν ἀρχηγετῶν τοῦ ἔθνους ὁσιότητι, ὅτι ταῖς ἀφειμέναις σωμάτων ψυχαῖς ἄπλαστον καὶ γυμνὴν ἐνδεικνύμενοι πρὸς τὸν ἄρχοντα θεραπείαν, τὰς ὑπὲρ υἱῶν καὶ θυγατέρων ἱκετείας οὐκ ἀτελεῖς εἰώθασι ποιεῖσθαι, γέρας αὐτοῖς παρέχοντος τοῦ πατρὸς τὸ ἐπήκοον ἐν εὐχαῖς· τρίτῳ δὲ, δι᾽ ὃ μάλιστα καὶ ἡ τῶν λεχθέντων εὐμένεια φθάνει προσαπαντῶσα· τοῦτο δ᾽ ἐστὶ, βελτίωσις τῶν ἀγομένων εἰς σπονδὰς καὶ συμβάσεις, οἳ μόλις ἐξ ἀνοδίας εἰς ὁδὸν ἠδυνήθησαν ἐλθεῖν, ἧς τὸ πέρας οὐδὲν ἕτερον ἢ ἀρέσκειν τῷ θεῷ, καθάπερ υἱοὺς πατρί. παραγενομένων δὲ, πολισθήσονται πάλιν αἱ ἐρείπιοι γενόμεναι πρὸ μικροῦ, καὶ ἡ ἔρημος οἰκισθήσεται, καὶ ἡ στειρωθεῖσα γῆ μεταβαλεῖ πρὸς εὐγονίαν· αἵ τε πατέρων καὶ προγόνων εὐτυχίαι, βραχὺ μέρος εἶναι νομισθήσονται, διὰ τὰς ἀφθόνους τῶν ἐν χερσὶν περιουσίας, αἳ καθάπερ ἀενάων πηγῶν τοῦ θεοῦ χαρίτων ῥέουσαι, βαθὺν πλοῦτον ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ περιποιήσουσι φθόνου κρείττονα. μεταβολὴ δὲ πάντων ἐξαπιναίως ἔσται. τρέψει γὰρ ὁ θεὸς τὰς ἀρὰς ἐπὶ τοὺς μετανενοηκότων ἐχθρούς, οἳ ταῖς κακοπραγίαις τοῦ ἔθνους ἐφήδοντο, καταγελῶντες, καὶ ἐπικερτομοῦντες καὶ ἐπιχλευάζοντες, ὡς αὐτοὶ μὲν ἀναφαίρετον ἕξοντες κλῆρον εὐτυχίας, ὃν παισὶ καὶ ἐγγόνοις κατὰ διαδοχὴν ἀπολείψειν ἤλπιζον· αἰεὶ δὲ ἐπιψόμενοι τοὺς ἀντιπάλους ἐν βεβαίῳ καὶ ἀκλινεῖ δυστυχίᾳ, ταμιευθησομένῃ καὶ ταῖς ἔπειτα γενεαῖς, ὑπὸ φρενοβλαβείας οὐ συνιέντες ὅτι καὶ τῆς πρὸ μικροῦ λαμπρότητος ἀπήλαυσαν οὐ δι᾽ ἑαυτούς, ἀλλὰ διὰ νουθεσίαν ἑτέρων, οἷς τὰ πάτρια καταλύσασι φάρμακον εὑρέθη σωτήριον λύπη τῶν δυσμενῶν ἀγαθὰ περιαλγήσασι. κλαύσαντες οὖν καὶ στενάξαντες τὴν ἰδίαν τροπὴν, ἐπὶ τὴν ἀρχαίαν καὶ προγονικὴν ἀνακομισθήσονται εὐτυχίαν διαδρομήσαντες, οἷς μὴ εἰς ἅπαν ἐξοκεῖλαι συνέβη

A pudebit enim eos dominari melioribus. tum verò potiti hac inexpectata libertate qui antea dispersi fuerant per Græciæ Barbariæque continentes & insulas, eodem momento temporis exciti è diuersis sedibus contendent ad locum destinatum, deducente quodam spectro augustiore diuinioréque quàm quæ obuersari solent humanis oculis, cæterorum quidem nemini, sed solis seruandis conspicuo: tribus B freti apud patrem intercessoribus aduocatisque. vno, æquitate siue bonitate ipsius patris, qui semper ad pœnam tardior est quam ad veniam. altero, priscis gentis conditoribus, qui etiam exempti corpore nudis animis sincerum suo principi cultum exhibent, pro filijs filiabúsque indesinenter efficacibus precibus supplices, hoc honore digni ab eo habiti, vt exaudiantur facile. tertio verò eo, propter quem maxime à prioribus captatur beneuo- C lentia. is est profectus eorum qui reconciliantur, alioquin nunquam ab errore in viam rediturorum, cuius viæ haud alius finis est, quam ita Deo placere, vt patri probantur filij. vbi vero quò volebant peruenerint, resurgent ædificia quæ modo in ruinis & ruderibus iacuerant, & coletur deserta regio, & terra prius ad sterilitatem redacta fiet denuo fertilis: tum priscæ illæ maiorum felicitates nihili reputabuntur collatæ ad præsentem copiam, velut è D perenni gratiarum Dei fonte manantem, ita vt omnibus priuatim publicéque contingant diuitiæ sine inuidia. erit enim repentina rerum cunctarum mutatio. auertet enim Deus diras in hostes resipiscentium, qui calamitatibus eius gentis lætati fuerant, cauillantes illudentésque conuicijs, quasi futuri perpetuo felices, & eam felicitatem per manus tradituri posteris, aduersarios vero semper visuri in mise- E ria continua duratura vsque ad ipsorum progeniem: præ vesania non intelligentes quòd præteritum fortunæ splendorem non sibi suæve industriæ ferre acceptum deberent, qui tantum in hoc eis concessus sit, vt esset remedium patriarum legum desertoribus, dum eos vrit hostium felicitas. postquam igitur suum lapsum ploratu gemitúque damnauerint, postliminio restituentur ad maiorum felicitatem pristinam, nisi qui omnino exorbitarunt in perniciem:

A cæterum qui prius eorum dolorem riserant, nefastos luctuosósque dies epulis celebrare soliti, & in vniuersum lætari calamitatibus, cum primum incipient mercedem crudelitatis accipere, sentient se peccasse non in contemptos ac humiles, sed claris oriundos maioribus, quorum æmulatione excitari queant ad decus capessendum quod extinctum putabatur. sicut enim excisis stirpibus si radices maneant, B nouæ plantæ pullulantes leuant veterum desiderium: sic in anima relicto exili virtutis semine, quamuis desint bona cætera, nihilominus inde nascentur res omnium humanarum pretiosissimæ atque pulcherrimæ, quarum ope ciuitates instaurantur & frequentantur ciuibus, gentes quoque ad miram populorum proficiunt multitudinem.

οἱ δὲ γελάσαντες τὰς ὀλοφύρσεις ἐκείνων, καὶ δημοτελεῖς ἑορτὰς ἄγειν ψηφισάμενοι τὰς ἀποφράδας αὐτῶν καὶ τὰ πένθη κατευωχηθέντες, καὶ συνόλως τὴν ἑτέρων κακοδαιμονίαν εὐδαιμονίσαντες, ὅταν ἄρξωνται κομίζεσθαι τὰ ἐπίχειρα τῆς ὠμότητος, αἰσθήσονται διότι οὐκ εἰς ἀφανεῖς καὶ ἠμελημένους ἐξημάρτανον, ἀλλ' εἰς εὐπατρίδας ἔχοντας ἐναύσματα τῆς εὐγενείας, ἀφ' ὧν ἀναρριπισθέντων ἐξέλαμψεν ἡ πρὸ μικροῦ σβεσθεῖσα εὔκλεια. καθάπερ γὰρ ὑποτμηθέντων στελεχῶν ὅταν μὴ ἀφαιρεθῶσιν αἱ ῥίζαι, νέα ἔρνη βλαστάνουσιν ὑφ' ὧν τὰ γεραίδρυα παραμερίζεται, τὸν αὐτὸν τρόπον καὶ ἐν ψυχαῖς βραχυτάτων σπερμάτων εἰς ἀρετὴν ὑπολειφθέντων, ἄλλων περιαιρεθέντων, οὐδὲν ἧττον ἀπὸ τοῦ βραχέος φύεται τὰ τιμιώτατα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, δι' ἃ πάλιν ἀνανδροῦσαι αἱ πόλεις συνοικίζονται, καὶ ἔθνη πρὸς πολυανθρωπίαν ἐπιδίδωσιν.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ ΠΕΡΙ ἀφθαρσίας κόσμου.

PHILONIS IVDÆI, QVOD MVNDVS SIT INCORRVPTIBILIS.

C CVM in omni serio negocio Deus inuocandus est, vt genitor optimus, cuius exactissimâ scientiâ nihil omnino fugiat: tum verò de incorruptibilitate mũdi tractaturo id fuerit prorsus necessariũ. nam nec inter ea quæ sensu comprehenduntur quicquã est mundo absolutius, nec inter ea quę intellectu percipiũtur, quicquam Deo perfectius. semper autẽ intellectus dux est sensui, sicut intelligi- D bile sensibili, & decet vt de rebus subditis sciscitentur ex magistro earum ac præside, quicũque præ cæteris tenentur natiuo cognoscendæ veritatis desiderio. Ergo si exerciti in placitis temperantiæ, prudentię virtutũmque aliarũ, abstersimus perturbationũ & ægritudinum maculas, non dedignabitur

ΕΠΙ μὲν παντὸς ἀδήλου καὶ σπουδαίου πράγματος θεὸν καλεῖν ἄξιον, διότι ἀγαθός ἐστι γεννήτης, καὶ οὐδὲν ἄδηλον παρ' αὐτῷ τὴν τῶν ὅλων ἀκριβεστάτην ἐπιστήμην εἰληχότι, πρὸς δὲ τὸν περὶ ἀφθαρσίας τοῦ κόσμου λόγον, ἀναγκαιότατον. οὔτε γὰρ ἐν αἰσθητοῖς πολυτελέστερόν τι τοῦ κόσμου, οὔτε D ἐν νοητοῖς θεοῦ τελεώτερον. ἀεὶ δὲ αἰσθήσεως ἡγεμὼν νοῦς, καὶ νοητὸν αἰσθητοῦ, τὰ δὲ τῶν ὑπηκόων παρὰ ἡγεμόνος τε καὶ ἐπιστάτου πόνος φιλοπευστεῖν, οἷς ἐμπέφυκε πόθος ἀληθείας πλείων. εἰ μὲν οὖν ἐνασκηθέντες τοῖς φρονήσεως καὶ σωφροσύνης, καὶ πάσης ἀρετῆς δόγμασιν, ἀπερρίψάμεθα τὰς ἐκ παθῶν καὶ νοσημάτων κηλῖδας, οὐκ ἂν ἀπηξίωσεν

ὁ θεὸς ἄκρως κεκαθαρμέναις καὶ φαιδρυσμέναις ταῖς αἰδεσθεὶς εὐχαῖς ἐπιστήμην τὴν οὐρανίων, ἢ δι' ὀνειράτων, ἢ διὰ χρησμῶν, ἢ διὰ σημείων, ἢ τεράτων ὑφηγήσαιτο· ἐπεὶ δὲ καὶ τοὺς ἀφροσύνης καὶ ἀδικίας, καὶ τῶν ἄλλων κακιῶν ἀναμεμαγμένοι χαρακτῆρας καὶ τύπους δυσεκπλύτους ἔχομεν, ἀγαπητὸν χρή, κἂν εἰκόσι δι' αὐτῶν μίμημά τι τῆς ἀληθείας ἀνευρίσκωμεν. ἄξιον οὖν τοὺς ζητοῦντας εἰ ἄφθαρτος ὁ κόσμος τὸν πολλαχοῦ λεγόμενον ἐστὶν, ἑκάτερον πρότερον ἑρμηνεῦσαι τῶν νοημάτων, ἵνα καθ' ὃ σημαίνεται νοηθῇ καὶ τέτακται διαγινώσκωμεν· καὶ οὐχ ὅσα διαιρεῖται καταριθμητέον, ἀλλ' ὅσα πρὸς τὴν πρόοδον διδασκαλίας χρήσιμα. λέγεται τοίνυν ὁ κόσμος, καθ' ἓν μὲν πρότερον σύστημα ἐξ οὐρανοῦ καὶ ἄστρων κατὰ περιοχὴν γῆς, καὶ τῶν ἐπ' αὐτῆς ζώων καὶ φυτῶν· καθ' ἕτερον δὲ μόνος οὐρανός· εἰς ὃν ἀπιδὼν Ἀναξαγόρας, πρός τινα πυνθανόμενον, ὧν ἕνεκα αἰτίας τὰ πολλὰ πειρᾶται διανυκτερεύειν ὕπαιθρος, ἀπεκρίνατο, τοῦ τὸν κόσμον θεάσασθαι, τὰς χορείας καὶ περιφορὰς τῶν ἄστρων αἰνιττόμενος· κατὰ δὲ τρίτον, ὡς δοκεῖ τοῖς στωϊκοῖς, ἥκουσα ἄχρι τῆς ἐκπυρώσεως οὐσία τις ἢ διακεκοσμημένη, ἢ ἀδιακόσμητος, ἧς τῆς κινήσεώς φασιν εἶναι τὸν χρόνον διάστημα. νῦν δὲ ἐστὶν ἡ σκέψις περὶ τοῦ κόσμου τοῦ κατὰ τὸ πρότερον σημαινόμενον, ὃς ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς ἐξ ὧν συνέστηκε. λέγεται μέντοι καὶ φθορὰ, ἥτε πρὸς τὸ χεῖρον μεταβολή· λέγεται δὲ καὶ ἡ τοῦ ὄντος ἀναίρεσις παντελής, ἣν καὶ ἀνύπαρκτον ἀναγκαῖον λέγειν. ὥσπερ γὰρ ἐκ τοῦ μὴ ὄντος οὐδὲν γίνεται, οὐδ' εἰς τὸ μὴ ὂν φθείρεται. ἐκ τοῦ γὰρ οὐδαμῇ ὄντος ἀμήχανόν ἐστι γενέσθαι τι, τό, τι ὂν ἐξαπολέσθαι, ἀνήνυστον, καὶ ἄπυστον, καὶ ὁ τραγικός, Θνῄσκει δ' οὐδὲν τῶν γιγνομένων, Διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο Μορφὴν ἑτέραν ἀπέδειξεν. οὐδὲ γὰρ οὕτως ἐστὶν εὔηθες τὸ ἀπορεῖν εἰ ὁ κόσμος εἰς τὸ μὴ ὂν φθείρεται, ἀλλ' εἰ δέχεται πλὴν ἐκ τῆς διακοσμήσεως μεταβολήν, τὰς ποικίλας μορφὰς στοιχείων τε καὶ συγκριμάτων εἰς μίαν τε καὶ τὴν αὐτὴν ἰδέαν ἀναλυθεὶς, ἢ ὥσπερ ἐν τοῖς θλάσμασι καὶ τοῖς κατάγμασι δεξάμενος παντελῆ σύγχυσιν. τριτταὶ δὲ περὶ τὸ ζητούμενον γεγόνασι δόξαι, τῶν μὲν ἀΐδιον τὸν κόσμον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον· τῶν δὲ ἐξ ἐναντίας γενητόν τε καὶ φθαρτόν· εἰσὶ δ' οἱ παρ' ἑκατέρων ἐκλαβόντες, τὸ μὲν γενητὸν παρὰ τῶν ὑστέρων, παρὰ δὲ τῶν προτέρων τὸ ἄφθαρτον,

A Deus puris serenísque precibus coram compellatus impartiri nobis sciētiam rerum cælestium per insomnia, vel oracula, vel signa & prodigia. sed quoniam nondum abolita sunt imprudentiæ, iniustitiæ, cæterorúmque vitiorum stigmata vix eluibilia, contenti sumus si vel vmbram quandam & imaginem veritatis inuenire dabitur. in hac autem quæstione, an incorruptibilis sit mundus, ante omnia dispiciendum est de significato huius vocabuli, B in scriptura sæpe occurrentis, vt quid sibi velit certò sciamus. ostendemus autem tantum ea significata, quæ ad præsentem tractatum faciunt. Primo dicitur mundus, ambitus cæli stellati, complexus terram cum stirpibus suis & animantibus. secundo, cælum tantummodo. quod intueri solitus Anaxagoras, cuidam scitanti cur ita libenter ferret subdiualia peruigilia, respondit, vt cæli aspectu fruar: cursus & recursus siderum in orbem redeuntes subindicans. Tertio, sicut placet C Stoicis, essentia quædam digesta indigestáve, vsque ad exustionem duratura, cuius motus spatia tempus esse definiunt. Nunc autem consideratur mundus iuxta primum significatum, hic qui è cælo terráque constat, & cæteris quæ intra hæc continentur. Corruptio quoque dicitur, nunc in deterius mutatio, nunc interitus ita vt nihil fiat reliquum, quæ nulla ratione potest subsistere. Nam sicut è nihilo nihil fit, sic nihil corruptione re- D digitur in nihilum. nam ex non existente impossibile est quicquam fieri, & ens prorsus interire impossibile creditur. & vt tragicus ait: Genitum nihil emoritur: Sed transpositum vltro citróque, Formam priorem alterat: adeo stultum est solicitum esse de mundi interitu, sed in quæstionem venit tantum hoc, possitne mundus præsenti ornatu amisso, & varijs formis elementorum temperaturísque, dissolui in vnam & eandem speciem, E an velut confractus omnimodam fragmentorum confusionem capiat. hic tres opiniones dissentiunt. alij mundum sempiternum aiunt, nec ortum vnquam nec interiturum. è diuerso alij & ortum & corruptioni obnoxium. nonnulli vtramque sententiam diuidunt, ortum sentiunt cum posterioribus, corruptibilem negant cum prioribus:

atque ita mixtum dogma reliquerunt, A
creatum esse, sed incorruptibilem. Democritus, Epicurus, & Stoicorum turba philosophorum, aiunt mundos nascibiles ac corruptibiles, verum non similiter. illi multos mundos imaginantur, quorum generationem conflictationibus & connexionibus atomorum tribuunt, corruptionem repercussionibus & dissultibus. Stoici vnũ mundum asserunt, & Deum autorem eius generationis: corruptionis verò B
non item Deum, sed indefessam vim ignis rebus insitam, post longas temporum ambages absumpturam & in semet mutaturam omnia: ex qua denuo mundum instauraturam opificis prouidentiam. iuxta horum opinionem potest dici alter mundus sempiternus, alter corruptibilis. corruptibilis, vt nunc est ornatus & dispositus: sempiternus, post exustionem reparabilis, vt nunquam desinat. Aristoteles nescio quàm pie sanctéque doctus, ingenitum & incorruptibilem mundum pro- C
nunciat, & impietatis damnat quotquot contrarium asserunt, qui manufactis præstantiorem non existiment solem tam magnum Deum visibilem, & lunam cæteráque vel fixa vel vaga sidera, omnia verè plena numine. Fertur etiam cauillatus, olim se timuisse, ne sua domus vi procellarum ac tempestatum, aut vetustate, aut architecti incuria, contracto vitio corrueret: iam maiorem metum impendere ab istis qui conentur verbis mundum destruere. alij negant Aristotelem autorem D
huius dogmatis, & Pythagoreis quibusdam id tribuunt. ipse forte fortuna in commentarium Ocelli hominis Lucani incidi, cui De vniuersi natura titulus, in quo mundum incorruptibilem non tantum asserit, verumetiam argumentis conatur ostendere. genitum autem sed incorruptibilem aiunt à Platone in Timæo dici pro concione deorum, vbi iuniores Deos natu maximus & princeps sic alloquitur:
Dij deorum, quorum opifex ego & E
pater sum, attendite: quæ à me facta sunt, me ita volente indissolubilia sunt. Omne siquidem quod vinctum est, solui potest. sed mali est, quod pulchre compositum est, séque habet bene, velle dissoluere. quapropter quia generati estis, immortales quidem & indissolubiles non estis, nec tamen vnquam dissoluemini,

A μικτὴν δόξαν ἀπέλιπον, γενητὸν καὶ ἄφθαρτον οἰηθέντες εἶναι αὐτόν. Δημόκριτος μὲν οὖν καὶ Ἐπίκουρος καὶ ὁ πολὺς ὅμιλος τῶν ἀπὸ τῆς στοᾶς φιλοσόφων, γενέσεις καὶ φθορὰς ἀπολείπουσι τῶν κόσμων, πλὴν οὐχ ὁμοίως. οἱ μὲν γὰρ πολλοὺς κόσμους ὑπογράφουσιν, ὧν τὴν μὲν γένεσιν ἀλληλοτυπίαις καὶ ἐπιπλοκαῖς ἀτόμων ἀνατιθέασι, τὴν δὲ φθορὰν ἀντικοπαῖς καὶ ἀποστάσεσι τῶν γεγονότων· οἱ δὲ στωϊκοὶ, κόσμον ἕνα, γενέσεως δ' αὐτοῦ θεὸν αἴτιον, φθορᾶς δὲ μηκέτι
B θεὸν, ἀλλὰ τὴν ὑπάρχουσαν ἐν τοῖς οὖσι πυρὸς ἀκαμάτου δύναμιν, χρόνων μακραῖς περιόδοις ἀναλύουσαν τὰ πάντα εἰς ἑαυτὴν· ἐξ ἧς πάλιν αὖ ἀναγέννησιν κόσμου συνίστασθαι προμηθείᾳ τοῦ τεχνίτου. δύναται δὲ κατὰ τούτους, ὁ μέν τις κόσμος ἀΐδιος, ὁ δέ τις φθαρτὸς λέγεσθαι· φθαρτὸς μὲν, ὁ κατὰ τὴν διακόσμησιν· ἀΐδιος δὲ, ὁ μετὰ τῆς ἐκπυρώσεως παλιγγενεσίαις καὶ περιόδοις ἀθανατιζόμενος οὐδέποτε ληγούσαις. Ἀριστοτέλης δὲ μήποτε εὐσεβῶς καὶ ὁ-
C σίως ἐνιστάμενος, ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι· δεινὴν δὲ ἀθεότητα κατεγίνωσκε τῶν τἀναντία διεξιόντων, οἳ τῶν χειροκμήτων οὐδὲν ᾠήθησαν διαφέρειν τοσοῦτον ὁρατὸν θεὸν, ἥλιον, καὶ σελήνην, καὶ τὸν ἄλλον τῶν πλανήτων καὶ ἀπλανῶν ὡς ἀληθῶς περιέχοντα πᾶν θεῖον. ἔλεγέ τε ὡς ἔστιν ἀκούειν, καὶ κατακερτομῶν, ὅτι πάλαι μὲν ἐδεδίει περὶ τῆς οἰκίας μὴ βιαίοις πνεύμασιν, ἢ χειμῶσιν ἐξαισίοις, ἢ χρόνῳ, ἢ ῥᾳθυμίᾳ τῆς ἁρμοττούσης ἐπιμελείας ἀνατραπῇ· νυνὶ
D δὲ φόβον ἐπικρέμασθαι μείζονα πρὸς τῶν τὸν ἅπαντα κόσμον τῷ λόγῳ καθαιρούντων. ἔνιοι δ' οὐκ Ἀριστοτέλη τῆς δόξης εὑρετὴν λέγουσιν, ἀλλὰ καὶ τῶν πυθαγορείων τινάς· ἐγὼ δὲ καὶ Ὀκέλλου συγγράμματι Λευκανοῦ γένος ἐπιγραφομένῳ περὶ τῆς τοῦ παντὸς φύσεως ἐνέτυχον, ἐν ᾧ ἀγένητόν τε καὶ ἄφθαρτον οὐκ ἀπεφαίνετο μόνον, ἀλλὰ καὶ δι' ἀποδείξεως κατεσκεύαζε τὸν κόσμον εἶναι. γενητὸν δὲ καὶ ἄφθαρτόν φασιν
E ὑπὸ Πλάτωνος ἐν Τιμαίῳ δηλοῦσθαι, διὰ τῆς θεοπρεποῦς ἐκκλησίας, ἐν ᾗ λέγεται πρὸς τοὺς νεωτέρους θεοὺς ὑπὸ τοῦ πρεσβυτάτου καὶ ἡγεμόνος· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἄλυτα ἐμοῦ μὴ θέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν· τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν, κακοῦ. διὸ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν· οὔτι μὲν δὴ λυθήσεσθέ γε,

οὐδ᾽ ἂν τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτε ἐγίγνεσθε συνεδεῖσθε. τινὲς δ᾽ οἴονται σοφιζόμενοι κατὰ Πλάτωνα γενητὸν λέγεσθαι τὸν κόσμον, οὐ τῷ λαβεῖν γενέσεως ἀρχήν, ἀλλὰ τῷ εἰ ἐγέγονε, μὴ ἂν ἑτέρως ἢ τὸν εἰρημένον συστῆναι τρόπον, ἢ διὰ τὸ ἐν γενέσει καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι. βέλτιον δὲ καὶ ἀληθέστερον ὑπονοεῖν τὸ πρότερον, οὐ μόνον ὅτι διὰ παντὸς τοῦ συγγράμματος, πατέρα μὲν καὶ ποιητὴν καὶ δημιουργὸν τὸν θεοπλάστην ἐκεῖνον φάσει, καλλιεργὸν δὲ καὶ ἔγγονον τουτονὶ τὸν κόσμον, ἀπ᾽ ἀρχετύπου νοητοῦ παραδείγματος μίμημα αἰσθητὸν, πάνθ᾽ ὅσα ἐκεῖνο νοητὰ περιέχοντα ἐν αὑτῷ, τελειοτάτου πρὸς νοῦ τελειότατον ἐκμαγεῖον πρὸς αἴσθησιν. ἀλλ᾽ ὅτι καὶ Ἀριστοτέλης τοῦτο μαρτυρεῖ περὶ Πλάτωνος, διὰ τὴν τῆς φιλοσοφίας αἰδῶ μηδὲν ἂν ψευσάμενος, καὶ διότι πιστότερος οὐδεὶς ὑφηγητὴς γνωρίμου μάρτυς, καὶ μάλιστα τοιούτου, ὃς οὐ πάρεργον ἔθετο παιδείαν ἀργῷ χορῷ ῥαθυμίᾳ, προσυπερβάλλειν δὲ σπουδάσας τὰς τῶν παλαιῶν θ᾽ ἥσεις ἵνα τὴν ἀναγκαιοτάτην εἰς ἕκαστον φιλοσοφίας μέρος καινοτομήσας προσεξεῦρε. πατέρα δὲ τοῦ πλατωνικοῦ δόγματος ἔνιοι νομίζουσι τὸν Ἡσίοδον, γενητὸν καὶ ἄφθαρτον οἰόμενοι τὸν κόσμον πρὸς ἐκείνου λέγεσθαι, γενητὸν μὲν, ὅτι φησὶν,

Ἤτοι μὲν πρώτιστα χάος γένετ᾽, αὐτὰρ ἔπειτα
Γαῖ᾽ εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεί·

ἄφθαρτον δὲ, ὅτι διαλύσεως καὶ φθορᾶς οὐ μεμήνυκεν αὐτοῦ. χάος δ᾽ ὁ μὲν Ἀριστοτέλης τόπον οἴεται εἶναι, ὅτι τὸ δεξόμενον ἀνάγκη προϋπάρχειν σώμασι· τῶν δὲ Στωϊκῶν ἔνιοι τὸ ὕδωρ, παρὰ τὴν χύσιν τοὔνομα πεποιῆσθαι νομίζοντες. ὁποτέρως δ᾽ ἂν ἔχοι, τὸ γενητὸν εἶναι τὸν κόσμον ἐναργέστατα πρὸς Ἡσιόδου μεμήνυται. μακροῖς δὲ χρόνοις πρότερον ὁ τῶν Ἰουδαίων νομοθέτης Μωϋσῆς, γενητὸν καὶ ἄφθαρτον ἔφη τὸν κόσμον ἐν ἱεραῖς βίβλοις· εἰσὶ δὲ πέντε, ὧν τὴν πρώτην ἐπέγραψε Γένεσιν, ἐν ᾗ ἄρχεται τὸν τρόπον τοῦτον, Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. εἶτα προελθὼν ἐν τοῖς ἑπομένοις μηνύει πάλιν, ὅτι ἡμέραι καὶ νύκτες, καὶ ὧραι καὶ ἐνιαυτοὶ, σελήνη τε καὶ ἥλιος, οἱ χρόνου μετρήσεως φύσιν ἔλαβον, μετὰ τοῦ παντὸς οὐρανοῦ μοίρας ἀθανάτου λαχόντες, διατελοῦσιν ἄφθαρτοι.

A nec mortis fatum subibitis. nam volũtas mea maius præstantiúsque vobis est vinculum ad vitæ custodiam, quàm nexus illi, quibus estis tunc cum gignebamini colligati. Quidam autem sophistice interpretantur, apud Platonem genitum dici mundum, non quo habuerit generationis principium, sed quo, si factus est, non aliter quàm dictum est confieri potuerit: quandoquidem partes eius generari & mutari videmus. melior tamen & verior est B prior sententia, non solum quia toto hoc libro patrem & conditorem & opificem illum deorum fictorem ait, mundum verò hunc opus eius & progeniem, archetypi exemplaris intelligibilis imaginem sensibilem, quicquid in illo intelligitur in se continentem, perfecte expressam vt sensu percipiatur, sicut illud perfectum intelligitur: verum etiam quia hoc de Platone testatur Aristoteles, quem puderet mentiri vt philosophum, & quia C fide dignum creditur testimoniũ amici de amico, præsertim eius qui non fastidiuit doctrinam, sed superare conatus veteres necessarijs commentis quædam nouauit per singulas partes philosophiæ. huius autem Platonici dogmatis parentem quidam Hesiodum autumant, docere illum rati mundum esse genitum & incorruptibilem: genitum quidem, dum sic canit:

Principio chaos est genitum, mox deinde patentis
D *Telluris spatia, & molis fundamina tanta.*

incorruptibilem verò, quia dissolutionis eius & corruptionis nusquam meminit. chaos autem Aristoteles locum putat, quia prius parari oportet id quod capiat corpora. Stoici verò aliquot aquam intelligunt hoc nomine, παρὰ τὴν χύσιν, id est à fusione dictam. vtcumque est, genitum esse mundum Hesiodus manifestissime prodidit. sed longe antiquior Moses legifer docuit Iudæos, mun- E dum esse genitum & incorruptibilem, quod scriptum reliquit in sacris voluminibus. sunt autem quinque, quorum primum inscripsit Genesim, sic exorsus eam: In principio fecit Deus cælum & terram. terra autem erat rudis & inuisibilis. deinde progressus aliquantum docet, quòd dies & noctes, horæ annique, sol & luna mensores temporum, vnà cum toto cælo pro

A immortali sua natura permanebunt in sempiternum. Rationes eorum qui ingenitum incorruptibilémque asserunt attoniti contemplatione tanti operis, ponemus prius, sumendo hinc initium. omnia quæcunque sunt corruptioni obnoxia, duas habent causas interitus, internam & externam. ferrum & æs aliásque huiusmodi materias videmus absumi ex ipsis enato malo, quando rubigine exeduntur, occupata quadam impetigine. externa verò clade perit vrbs aut domus, B quando conflagrat incendio. Ad eumdem modum animalibus mors obuenit, aut interno morbo exorto, aut externa vi, dum iugulantur, lapidantur, exuruntur, aut fœdo suspendio pereunt. Si & mundus interibit, necessum est vt aut externe ab aliquo, aut ab aliqua intestina causa perimatur. sed neutrum est possibile. nam extra mundum nihil est, quandoquidem is constat è congerie rerum omnium, C eapropter vnus & integer, & expers senij. vnus, quia siquid exclusum esset, posset inde fieri alius huic similis. integer, quia in eum insumpta est vniuersa essentia. morbi expers atque senij, quoniam corpora quæ morbis lædi possunt aut senio, caloribus & frigoribus aliisque contrarietatibus externe infestantibus subuertuntur: è quibus rebus nullum mundo est periculum, quando quidem inclusis omnibus, foris nulla relinquitur. quod si vtique aliquid est exterius, omnino inane D erit, aut ociosa quædam natura, quæ nec pati possit nec agere. Atqui ne ab interna quidem causa dissoluetur. primum, quia sic pars esset toto maior ac potentior, quod est absurdissimum. nam mundus insuperabili robore præditus partes suas mouet, ipse à nulla earũ mobilis. deinde cum duæ sint causæ corruptionis, interior & exterior, quæcunque vnam admittunt, eadem & alteram. id in equo, boue, homine, similibúsque animalibus E deprehenditur, quæ quoniam ferro possunt interimi, morbo quoque intereunt. difficile enim est, imò impossibile, inuenire quod intelligibili externę causæ obnoxium, corruptionem non capiat, per se subsistens antequam mundus esset. nam quod non est, ne mouetur quidem. demonstratum autẽ est, tempus esse motus interstitium. vnde sequitur vt sempiternũ vtrunque

A τοὺς δ' ἀγένητον καὶ ἄφθαρτον κατασκευάζοντας λόγους, ἕνεκα τῆς περὶ τὸ ὁρατὸν εἶδος, τὰ κατὰ περιοχὴν, οἰκείαν ἀρχὴν λαβόντες· ἅπασι τοῖς φθορὰν ἐνδεχομένοις αἰτίαι διτταὶ τῆς ἀπωλείας, ἡ μὲν ἐντὸς, ἡ δ' ἐκτὸς ὑπόκειται. σίδηρον οὖν καὶ χαλκὸν καὶ τὰς τοιουτοτρόπους οὐσίας ὁρᾷς ἂν ἀφανιζομένας ἐξ ἑαυτῶν μὲν, ὅταν ἑρπηνώδους νοσήματος τρόπον ἰὸς ἐπιδραμὼν διαφάγῃ· πρὸς δὲ τὴν ἐκτὸς, ὅταν ἐμπιμπραμένης οἰκίας, ἢ πόλεως συναναφλε-B χθεῖσαι τῇ πυρὸς βιαίῳ ῥιπῇ διαλυθῶσιν. ὁμοιοτρόπως δὲ καὶ ζῴοις ἐπιγίνεται τελευτὴ, νοσήσασι μὲν ἐξ ἑαυτῶν, ἀπὸ δὲ τῶν ἐκτὸς σφαττομένοις, ἢ ἐμπιμπραμένοις, ἢ θάνατον οὐ καθαρὸν τὸν δι' ἀγχόνης ἀποθνῄσκουσιν. εἰ διαφθαρήσεται καὶ κόσμος ἐξ ἀνάγκης ἤτοι ὑπό τινος τῶν ἐκτὸς, ἢ πρός τινος τῶν ἐν αὐτῷ φθαρήσεται δυνάμεων. ἀμήχανον δ' ἑκάτερον. ἐκτὸς μὲν γὰρ οὐδὲν ἐστι τοῦ κόσμου, πάντων εἰς τὴν συμ-C πλήρωσιν αὐτοῦ συνενεχθέντων. οὕτω γὰρ εἷς τε ἔσται καὶ ὅλος, καὶ ἀγήρως· εἷς μὲν, διὰ τὸ ἀπολειφθέντων τινῶν, ἕτερον ἂν παρ' αὐτὸν γενέσθαι ὅμοιον· ὅλος δὲ, ἕνεκα τοῦ σύμπασαν τὴν οὐσίαν εἰς αὐτὸν ἐξαναλῶσθαι· ἀγήρως δὲ καὶ ἄνοσος, ἐπεὶ τὰ νόσοις καὶ γήρᾳ σώματα ἁλωτὰ, θερμότησι καὶ ψύξεσι καὶ ταῖς ἄλλαις ἐναντιότησι προσπιπτούσαις ἔξωθεν ἰσχυραῖς ἀνατρέπεται, ὧν οὐδεμία δύναμις ἀποδρᾶσα, κυκλοῦται καὶ ἐπιτίθεται παθῶν, μηδενὸς ἀποστάντος μέρους, ὁλο-D κλήρων ἐγκατειλημμένων εἴσω. εἰ δ' ἄρα τι ἐστὶν ἐκτὸς, πάντως ἂν εἴη κενὸν, ἢ ἀπαθὴς φύσις, ἣν ἀδύνατον παθεῖν τι ἢ δρᾶσαι. ἀλλὰ μὴν οὐδ' ὑπὸ τινος αἰτίας διαλυθήσεται τῶν ἐντὸς αὐτοῦ· πρότερον μὲν, ἐπεὶ τοῦ ὅλου τὸ μέρος καὶ μεῖζον ἔσται καὶ κραταιότερον, ὅπερ ἐστὶν ἀπιστότατον. ὁ γὰρ κόσμος ἀνυπερβλήτῳ κράτει χρώμενος, ἄγει τὰ μέρη πρὸς μηδενὸς αὐτὸς ἀγόμενος· ἔπειτα, διότι διττῶν οὐσῶν φθορᾶς αἰτιῶν, τῆς μὲν ἐντὸς, τῆς E δ' ἐκτὸς, ἃ τὴν ἑτέραν οἴεται ὑπομένειν, δεκτικὰ καὶ τῆς ἑτέρας ἐστὶ πάντως· σημεῖον δὲ, βοῦς καὶ ἵππος καὶ ἄνθρωπος, καὶ τὰ παραπλήσια, ζῷα, διότι πέφυκεν ἀναιρεῖσθαι ὑπὸ σιδήρου, καὶ νόσῳ τελευτήσει. χαλεπὸν γὰρ, μᾶλλον δὲ ἀδύνατον εὑρεῖν, ὃ τὴν νοητὴν ἔξωθεν αἰτίαν πεφυκὸς ὑπομένειν, τῆς φθορᾶς ἄδεκτον ἔσται, ὑποστῆναι καθ' ἑαυτὸν, πρὶν κόσμος ἐγένετο. τὸ γὰρ μὴ ὑπάρχον, οὐδὲ κινεῖται, διάστημα δὲ κοσμικῆς κινήσεως ἐδείχθη ὁ χρόνος ὤν. ἀνάγκη τοίνυν ἑκάτερον ἐξ αἰ-

δίου ὑφεστάναι, γενέσεως ἀρχὴν μὴ λαβόντα· τὸ δὲ διὰ φθορᾶς ἀνεπίδεκτον. τάχα τις εὑρεσιλογῶν Στωϊκὸς ἐρεῖ, τὸν χρόνον ἀποδίδοσθαι διάστημα τῆς τοῦ κόσμου κινήσεως, οὐχὶ τοῦ νῦν ἰδίᾳ κακοσμημένου μόνον, ἀλλὰ καὶ τοῦ κατὰ τὴν ἐκπύρωσιν ἐπινοουμένου· πρὸς ὃν λεκτέον, τὴν ἀκοσμίαν ὦ γενναῖε μεταθεὶς τὰ ὀνόματα, κόσμον καλεῖς. εἰ γὰρ οὗτος ὃν ὁρῶμεν ἐτύμως καὶ προσφυέστατα κόσμος κέκληται, διατεταγμένος καὶ διακεκοσμημένος, ἅτ' ἀπ' ἀνθρώπου τέχνης ἀκρότητι, τὴν πρὸς πῦρ αὐτοῦ μεταβολὴν δεόντως ἄν τις ἀκοσμίαν ὀνομάσαι. Κριτόλαος δὲ τῶν κεχορευκότων μούσαις τῆς περιπατητικῆς ἐραστὴς φιλοσοφίας, τῷ περὶ τῆς ἀϊδιότητος κόσμου δόγματι συναινῶν, ἐχρήσατο τοιαύταις πίστεσιν· εἰ γέγονεν ὁ κόσμος, ἀνάγκη καὶ τὴν γῆν γεγονέναι· εἰ δὲ ἡ γῆ γενητὴ, πάντως καὶ τὸ ἀνθρώπων γένος· ἄνθρωπος δὲ ἀγένητον, ἐξ ἀϊδίου τοῦ γένους ὑφεστῶτος, ὥσπερ ἐπιδειχθήσεται, εἰ δεῖ καὶ ἀποδείξεως τοῖς οὕτως ἐμφανέσι. δεῖ δ' ὡς ἔοικεν ἕνεκα τῶν μυθοπλαστῶν, οἳ ψευσμάτων ἀναπλήσαντες τὸν βίον, ἀλήθειαν ὑπερόριον πεφυγαδεύκασιν, οὐ μόνον πόλεις καὶ οἴκους, ἀλλὰ καὶ ἕνα ἕκαστον τοῦ κτήματος χρηστοῦ βιασάμενοι, καὶ πρὸς τὸν τῆς ὀρέξεως ὁλκὸν, μέτρα καὶ ῥυθμοὺς δέλεαρ εἰς ἐνέδρας ἐπινοήσαντες, οἷς ἀφρόνων ὦτα καταγοητεύουσι, καθάπερ ὀφθαλμοὺς αἱ ἄμορφοι καὶ εἰδεχθεῖς ἑταῖραι περιάπτοις καὶ νόθῳ κόσμῳ, χρείᾳ γνησίου. λέγουσι γὰρ ὅτι ἡ ἐξ ἀλλήλων γένεσις ἀνθρώπων, νεώτερον φύσεως ἔργον· ἀρχαιότερον δὲ καὶ πρεσβύτερον, ἡ ἐκ γῆς, ἐπεὶ πάντων μήτηρ ἐστὶ καὶ νενόμισται· τοὺς δ' ᾀδομένους παρ' Ἕλλησι σπαρτοὺς ἐκφῦναι καθάπερ νῦν τὰ δένδρα, τελείους καὶ ἐνόπλους γῆς παῖδας. ὅτι δὲ μύθου πλάσμα τοῦτ' ἐστι, συνιδεῖν ἐκ πολλῶν ῥᾴδιον. αὐτίκα τῷ πρώτῳ γενομένῳ ἔδει καθ' ὡρισμένα μέτρα καὶ ἀριθμοὺς χρόνων αὐξήσεως. βαθμοὺς γάρ τινας ἡ φύσις ταῖς ἡλικίαις ἐγέννησε, δι' ὧν τρόπον τινὰ ἀναβαίνει καὶ κάτεισιν ἄνθρωπος· ἀναβαίνει μὲν αὐξόμενος, κατέρχεται δὲ ἐν ταῖς μειώσεσιν. ὅρος δ' ὁ τῶν ἀνωτάτω βαθμὸς, ἀκμὴ, πρὸς ὃν φθάσας τις, οὐκέτι πρόεισιν· ἀλλ' ὥσπερ οἱ διαυλοδρομοῦντες ἀνακάμπτουσι τὴν αὐτὴν ὁδὸν, ὅσα παρὰ ἰσχυούσης νεότητος ἔλαβεν, ἀποδιδοὺς ἀσθενεῖ γήρᾳ. τὸ δὲ γεννηθῆναί τινας οἴεσθαι τελείους, ἐξ ἠγνοηκότων ἐστὶ νόμους φύσεως, θεσμοὺς ἀκινήτους. αἱ μὲν γὰρ ἡμέτεραι γνῶμαι προσαναμα-

sit, careátque initio, ac proinde sit incorruptibile. Dicat fortasse aliquis Stoicus disputator verbosior, fateri se tempus esse mundani motus interstitium, sed non huius tantummodo præsentis, verum & eius qui post exustionem fore intelligitur. cui sic respondendum censeo: ô bone, peruertis nomina; mundum vocas qui inornatus sit. nam si hic quem videmus, vere aptéque mundus vocatur, ornatus ordinatúsque summo & diuino artificio, eius in ignem mutatio merito nominari potest perturbatio. at Critolaus musarum amator & peripateticæ sectator philosophiæ, dogma de sempiternitate mundi approbans, talibus argumentis vtitur. si mundus est genitus, ergo & terra: si terra, ergo & humanum genus. at homo ingenitus ab æterno subsistit sicut declarabitur, si tamen demonstratione in re tam euidenti opus est. sed opus videtur propter fabularum autores, qui mendacijs vitam replent, veritate profligata è domibus & vrbibus, atque etiam è singulorum pectoribus, excogitatísque speciosis versibus ac metris ad illiciendos fatuos, quorum aures incantant fallúntque, sicut oculos deformes meretriculæ, adscititio adulterinóque decore eos præstringentes, cum natiuo careant. aiunt enim hominum ex hominibus generationem esse naturæ opus recentius: antiquius autẽ ex terra, quãdoquidem hæc creditur mater communis omniũ. & illos Græcis decantatos satiuos homines, ex terra prognatos sicut nunc nasci solent arbores, perfectos armatósque terræ filios. id verò figmentũ esse fabulosum liquet multis modis. iam primum ex quo humani generis princeps natus est, oportuit eum statis tẽporibus crescere. gradus enim quosdam ætatum natura condidit, per quos ille ascenderet ac descenderet: crescendo ascenderet, decrescendo verò descenderet. terminus summus ascendenti est vigor, quò vbi quis peruenit, non progreditur amplius, sed quemadmodum cursores in diaulo quem vocant, cursu retrorsum flexo decurrit iterum per eadem vestigia, donec in senectute deficiat. quosdam autẽ perfectos natos opinatur nemo, nisi forte ignarus legum naturæ inuiolabilium. mentes enim nostræ viciatæ contagione adiuncti sibi mortalis corporis,

non mirum si sunt mutabiles: sed vniuersi natura omnipotens, quæcunque semel decreuit ab initio, constanter seruat intra præscriptos terminos. ergo si vnquam placuisset ei nasci perfectos homines, nunc quoque sic nascerentur, nusquam infans, nusquam puer, nusquam esset adolescens, sed vir confestim, & fortasse nec senio nec morti obnoxius. nam cui nullum incrementum, ei ne detrimentum quidem accidit. proinde mutationes quæ virilem ætatem antecedunt, proficiunt in melius: quæ verò deinceps sequuntur vsque senectam & obitum, deteriores fiunt in dies. cæterum cui non insunt priora, ne posteriora quidem inesse, probabiliter creditur. quid enim obstaret quominus nunc quoque sic vt olim gignerentur homines? terra certe nondum senuit, vt videri possit effœta præ senio. viget illa semper sui similis, cum sit vniuersitatis quarta pars, & ad totius salutem pertineat manere hanc incolumem, quando & germana eius elementa nunquam senescunt. id verum esse apparet ex indefessa continuáque huius fœcunditate. irrigata enim vel fluminum restagnationibus, sicut Ægyptus, vel annuis imbribus, exhaustas feracitate vires reficit, & quiete modica se refouet, móxque vt ante alimenta largiter animantibus suppeditat. quapropter opinor poetis non temere Pandoram vocari, quasi πάντα δωρουμένην, id est, omnia largientem vel iucunda vel necessaria, non his aut illis, sed omnibus quæcumque sortita sunt animam. certe si cui daretur adulto vere pinnas aláſque sumere, & è sublimi campos colléſque inspicere: quomodo illi herbas ferant & pabulum, hordeum & triticum, aliáſque species varias, vel satas agricolarum industria, vel sua sponte prouenientes: hi verò folia frondéſque quibus densent arbores, simúlque fructuum copiam, quibus non solum arcetur inedia, sed & lassitudini succurritur (nam oleæ fructus medetur defatigatis corporibus, vinum modice potum remittit vehementes dolores animi) præterea suaues auras exhalantes è floribus eorúmque colores ineffabiles arte diuina picturatorum: móxque deflexis oculis ad arbores infrugiferas, contemplari seorsum siluestres, populos, cedros, piceas, abietes, quercuum robora procerissima,

A μεταπτόμεναι τὸ πλημμελὲς ἐκ τοῦ συνεζευγμένου θνητοῦ, τροπὰς καὶ μεταβολὰς εἰκότως ἐνδέχονται, ἄτρεπτα δὲ τὰ τῆς ὅλων ἐστὶ φύσεως, ἅτε πάντων ἐπικρατούσης, καὶ διὰ βεβαιότητα τὴν ἅπαξ γνωσθέντων τεθεὶς ἐξ ἀρχῆς παγίους ὅρους ἀκινήτους διαφυλαττούσης. εἴπερ οὖν ἐνόμιζεν ἁρμόττειν ἀποτίκτεσθαι τελείους, καὶ νῦν ἂν ἐτελεσφορεῖτο αὖθις, μὴ βρέφος, μὴ παῖς, μὴ μειράκιον γενόμενος, ἀνὴρ δ' εὐθὺς ὤν, ἴσως δὲ καὶ πρὸς ἅπαν ἀγήρως, καὶ ἀθάνατος. ᾧ γὰρ μὴ αὔξησις, μηδὲ μείωσις πρόσεστιν.
B αἱ μὲν οὖν ἄχρι τῆς ἀνδρὸς ἡλικίας μεταβολαὶ καὶ αὐξήσεις, αἱ δ' ἀπὸ ταύτης ἄχρι καὶ γήρως καὶ τελευτῆς κατὰ μείωσιν συνίσταται· ᾧ δὲ μὴ κεκοινώνηκε τῶν προτέρων, καὶ τὰς ἑπομένας εὔλογον μὴ ἐπιγίνεσθαι. τί δ' ἐμποδὼν ἦν ἀνθρώποις καθάπερ φασὶ πρότερον, καὶ νῦν βλαστάνειν. οὔπω καὶ ἡ γῆ γεγήρακεν, ὡς διὰ χρόνου μῆκος ἐστειρῶσθαι δοκεῖν· ἀλλ' ἐν ὁμοίῳ μένει νεάζουσα ἀεί, διότι τετάρτη μοῖρα τοῦ παντός ἐστι, καὶ ἕνεκα τῆς τοῦ ὅλου διαμονῆς ὀφείλει μὴ φθίνειν, ἐπεὶ καὶ τὰ ἀδελφὰ στοιχεῖα
C αὐτῆς, ὕδωρ, ἀήρ τε καὶ πῦρ, ἀγήρω διατελεῖ. πίστις δὲ ἐναργὴς τῆς ἀδιαστάτου καὶ ἀιδίου περὶ γῆν ἀκμῆς, τὰ φυόμενα. καθαρθεῖσα γὰρ ἢ ποταμῶν ἀναχύσεσιν, ὥσπερ φασὶν Αἰγύπτιοι, ἢ τοῖς ἐτησίοις ὄμβροις, τὴν ἐκ τῆς φθορᾶς κάματον ἀνίησι καὶ χαλᾶται, κἄπειτα διαναπαυσαμένη, τὴν οἰκείαν δύναμιν ἀνακτᾶται μέχρι παντελοῦς ῥώμης, εἶτ' ἄρχεται πάλιν τῆς τῶν ὁμοίων γενέσεως τροφὰς ἀφθόνους ἁπάσαις ζῴων ἰδέαις ἀναδιδοῦσα· παρ' ὅ μοι δοκοῦσιν οὐκ ἀπὸ σκοποῦ ποιηταὶ
D Πανδώραν αὐτὴν ὀνομάσαι, πάντα δωρουμένην, καὶ τὰ πρὸς ὠφέλειαν καὶ ἡδονῆς ἀπόλαυσιν, οὐ τισίν, ἀλλὰ πᾶσιν, ὅσα ψυχῆς μεμοίραται. εἰ γοῦν τις ἕαρος ἀκμάσαντος πτερωθεὶς ἀρθείη μετάρσιος καὶ κατίδοι τὴν ὀρεινὴν καὶ πεδιάδα, τὴν μὲν εὔχορτον καὶ χλοηφόρον, πόας καὶ χιλόν, κριθάς τε καὶ πυρούς, καὶ μυρίας ἰδέας σπαρτῶν φύσεις ἀναδιδοῦσαν, ἅς τε γεωργοὶ κατεβάλοντο, καὶ ἃς αὐτοματί-
E ζουσα ἡ τοῦ ἔτους ὥρα παρέχεται· τὴν δὲ κλάδοις καὶ φυλλάσι κατάσκιον, οἷς ἐπικοσμεῖται τὰ δένδρα, καὶ καρπῶν περιπληθεστάτην, οὐχὶ τῶν πρὸς ἐδωδὴν μόνον, ἀλλὰ καὶ οἷς πόνους ἀκεῖσθαι συμβέβηκεν· ὁ μὲν γὰρ τῆς ἐλαίας καρπός, σώματος κάματον ἰᾶται, ὁ δὲ τῆς ἀμπέλου ποθείς, μετρίως ἐπιχαλᾷ τὰς σφοδρὰς ὀδύνας ψυχῆς· ἔτι δὲ τὰς ἀπὸ τῶν ἀνθῶν ἀναφερομένας εὐωδεστέρας αὔρας, καὶ τὰς τῶν χρωμάτων ἀμυθήτους ἰδιότητας τέχνῃ δαιμονίῳ πεποικιλμένας· τὴν δ' ὄψιν ἀποκλίνας

ἀπὸ τῆς ἡμέρου, ἐν μέρει πάλιν αἰγείρους, καὶ κέδρους, πεύκας, ἐλάτας, δρυῶν ὕψη περιμηκέστατα, τὰς ἄλλας τῶν ἀγρίων συνεχεῖς καὶ βαθείας ὕλας περιαθρήσειεν, αἳ τὰ πλεῖστα καὶ μέγιστα τῶν ὀρῶν καὶ τὴν πολλὴν ὅση βαθύγειος τῆς ὑπωρείας σκιάζουσι, γνώσεται τὴν ἀνένδοτον καὶ ἀκάματον τῆς γῆς ἀεὶ νεαζούσης ἀκμήν· ὥστ' οὐδὲν ἐλαττωθεῖσα τῆς παλαιᾶς ἰσχύος· καὶ νῦν ἂν ἦγε τὸ πρότερον, ἔτικτεν ἀνθρώπους ὑπὲρ δυοῖν τοῖν ἀναγκαιοτάτοιν· ἑνὸς μὲν, τοῦ μὴ λειποτακτεῖν τάξιν οἰκείαν, καὶ μάλιστα ἐν σπορᾷ καὶ γενέσει τοῦ χερσαίων ἁπάντων ἀρίστου καὶ ἡγεμόνος ἀνθρώπου· δευτέρου δὲ, γυναικὸς ἐπικουρίας, αἳ κύουσαι μὲν βαρυτάτοις ἄχθεσι δέκα που μῆνας βιάζονται, μέλλουσαι δὲ ἀποτίκτειν, πολλάκις ὠδῖσιν αὐταῖς ἀποθνήσκουσιν. ὅλως οὐκ εὐήθεια δεινή, μήτραν ὑπολαμβάνειν γῆν ἐγκεκολπίσθαι πρὸς ἀνθρώπων σποράν. τὸ γὰρ ζωογονοῦχεῖον ἐστι μήτρα, φύσεως, ὡς εἶπέ τις, ἐργαστήριον, ἐν ᾧ ζῷον μόνον διαπλάττεται· τὸ δὲ οὐ γῆς μέρος ἐστὶν, ἀλλὰ ζώου θήλεος δημιουργηθὲν εἰς γένεσιν, ἐπεὶ καὶ μαζοὺς καθάπερ γυναικὶ φατέον, ἡνίκα ἀνθρώπους ἔφερε πρὸς φύσιν, τροφὴν ἵν' ἔχωσιν οἰκείαν οἱ πρῶτοι ἀποκυηθέντες. ἀλλὰ γὰρ οὐ ποταμὸς, οὐ πηγή τις οὐδαμοῦ τῆς οἰκουμένης ἀντὶ ὕδατος μνημονεύεταί ποτε ὀμβρῆσαι γάλα· πρὸς δὲ δὴ τούτοις, ὥσπερ γαλακτοτροφεῖσθαι χρὴ τὸ ἀρτίγονον, οὕτω καὶ τῇ δι' ἀμπεχόνης σκέπῃ χρῆσθαι, διὰ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους ἐγγινομένας τοῖς τρεφομένοις ζημίας· οὗ χάριν μαῖαι καὶ μητέρες, αἷς ἀναγκαία φροντὶς ἔρχεται τῶν γενομένων, καταςπαργανοῦσι τὰ βρέφη· τοὺς δὲ γηγενεῖς φύντας, πῶς οὐκ ἄν τις εὐθὺς διέφθειρε γυμνοὺς ἐαθέντας, ἢ ἀέρος κατάψυξις, ἢ ἀφ' ἡλίου φλογμός. κρυμοὶ γὰρ καὶ θάλπη κρατήσαντα νόσους καὶ φθορὰς ἀπεργάζονται. ἐπεὶ δ' ἅπαξ ἤρξαντο ἀλογεῖν ἀληθείας οἱ μυθοπλάσται, τοὺς σπαρτοὺς ἐκείνους καὶ ἐνόπλους ἐτερατεύσαντο ἐκφῦναι. τίς γὰρ ἦν κατὰ γῆς χαλκουργὸς, ἢ τοσοῦτος Ἥφαιστος ὡς αὐτίκα πολυτευχέας εὐτρεπίζεσθαι· τίς δὲ τοῖς πρώτοις γενομένοις ἰσόπαις ἦν οἰκειότης· ἡμερώτατον γὰρ ζῷον ὁ ἄνθρωπος, λόγον δωρησαμένης φύσεως αὐτῷ γέρας, ᾧ καὶ τὰ ἐξηγριωμένα πάθη κατεπᾴδεται καὶ τιθασεύεται. πολὺ βέλτιον ἦν ἀντὶ ὅπλων κηρύκειον ἀναδοῦναι, συμβατηρίων σπονδῶν σύμβολα λογικῇ φύσει, ὅπως εἰρήνην περὶ πολέμου πᾶσι τοῖς πανταχοῦ καταγγέλλῃ. τὰ μὲν οὖν τῶν ἐπιτειχιζόντων ψευδολογίαν κατὰ τῆς ἀληθείας φλυαρήματα μετρίως ἐξελήλεγκται. χρὴ δ' ἂν εἰδέναι, ὅτι ἐξ αἰδίου κατὰ διαδοχὰς ἐξ

A cæteráſque id genus materies, quæ tum montes maximos tum pleróſque pingues agros radicibus eorum ſubiectos opacant: agnoſceret indefeſſum terræ ſemper iuueneſcentis vigorem, quàm nihil diminutum ſit è priſtinis eius viribus. ergo nunc quoque, ſi vnquam antea pareret homines, duabus de cauſis neceſſarijs. primùm, ne ab officio ſuo decederet, maxime in generatione hominis, animalis omnium præſtantiſſimi. B deinde vt ſubleuaret mulieres, quæ grauidæ valde onerantur per menſes ferme decem continuos, interdum etiam parturientes in ipſo nixu emoriuntur. profectò magna eſt ſtulticia, credere vuluam aliquam latere in terræ finibus, quæ hominem concipiat. nam vulua eſt is locus in quo animal vitale gignitur, quam naturæ officinam licet dicere, aptam formandis animantibus. ea non terræ pars eſt, ſed fœminæ, facta C ad generationem, alioquin illa etiam vberibus opus haberet ad alendos recens editos fœtus alimento conuenientiſſimo. atqui nec amnis nec fons vllus in toto orbe memoratur, qui pro aqua exundet fluentis lacteis. adhæc ſicut lactis egent infantes modo geniti, ſic amictus & tegminis, ad arcendos æſtus atque frigora nequid noceant tenellis etiam tum & facile ſentientibus iniuriam. quamobrem obſtetrices matréſque, ad quas ea cura D pertinet, inuoluunt eos faſcijs. at terrigenæ quî fieri potuit vt nudi relicti non ſtatim perirent, vel præ ſolis ardore, vel præ frigore. nam vtrumque ſolet morbos & mortes accerſere. ſed quoniam ſemel contempſerunt veritatem iſti fabulatores, auſi ſunt armatos è terra producere. Quis enim erat ſub terra faber, quis nouus Vulcanus, vt mox armaturas excuderet? aut quid cum armatura illis primigenis, cum homo animal manſuetiſſimum, ratio- E nem à natura munus eximium acceperit, à qua etiam ferini affectus incantati manſueſiunt. ſatius erat pro armis eis dare caduceum, cùm rationali naturæ conueniret inſigne pacis, denunciandæ omnibus, quos armis territari non oportebat. itaque ſatis conuictæ ſunt nugæ hominum, veritatem mendacijs oppugnantium. cæterum noſſe debemus, perpetua ſucceſſione prognatos ex hominibus homines,

viro in vuluam tanquam in aruum se- A
men mittente, muliere verò id exci-
piente salubriter, & natura modo inui-
sibili formante partes tum corporis
tum animæ, donantéque generi hu-
mano immortalitatem quam non do-
nauit singulis. illud enim semper du-
rat (mirum dictu) indiuiduis pereun-
tibus. quod si homo est æternus, pars
vniuersitatis minima, vtique mundus
quoque ingenitus est, ac proinde in-
corruptibilis. Pergit Critolaus ratio-
cinari: quicquid sibiipsi sanitatis cau- B
sa est, morbis caret, sicut quicquid si-
biipsi vigiliæ causa est, peruigilat. in-
de colligitur sempiternũ esse id, quod
suamet causa est essentiæ. mundus por-
rò sibiipsi causa est essentiæ, sicut &
cæteris rebus omnibus. ergo mundus
æternus est. illud quoque considerare
debemus, quicquid nascitur vtique
imperfectum esse à principio, proces-
su vero temporis augeri donec omni-
no absoluatur. itaque si mundus est ge- C
nitus, fuit aliquando (liceat mihi vti
ætatum nominibus) puer admodum,
& post multos annos euolutos, multá-
que secula, vix tandem absolutus est.
nam quod est longæuissimum, necessa-
riò tarde ad vigorem suum peruenit.
tales autem mutationes siquis credit
in mundum cadere, habendus videtur
pro insanissimo, atque adeo pro insa-
nabili. sic enim probaretur eum non
tantum corpore sed & animo profice-
re, quandoquidem etiam qui aiunt in- D
teriturum, credunt tamen ratione præ-
ditum. ergo more hominum brutus
erit in generationis suæ principio,
adulta ætate compos rationis. quod vel
cogitare nefas fuerit, nedũ proloqui.
qui enim possumus hunc perfectissi-
mum visibilem ambitum, contentás-
que in eo partes singulas, non credere
perfectũ semper corpore simul & ani-
mo, expertem malorum quibus genita
corruptibiliáque sunt obnoxia? Ad-
dit, tres causas absque externis afferre E
perniciẽ animalibus, morbum, seniũ,
inopiam, quarũ nulli mundus sit expu-
gnabilis. nam id quod ex elemẽtis cõ-
stat ad vnum omnibus, robustius esse,
quam vt vi vlla infirmum reddi queat.
vbi porrò nulla sit infirmitas, ibi sani-
tatem vigorémque permanere tutũ à
senio. sufficere etiam sibiipsi mundũ,
cum nulla re careat, inanitionis reple-
tionísque nescius, quæ sunt vicia par-
ticularia, & crassis animalibus mortem

ἀνθρώπων βλαστάνουσιν ἄνθρωποι, σπείροντος μὲν
εἰς μήτραν ἀνδρὸς ὡσεὶ ἄρουραν, γυναικὸς δὲ
ὑποδεχομένης τὰ σπέρματα σωτηρίως, τῆς δὲ φύ-
σεως ἀοράτως ἕκαστα καὶ τῶν τοῦ σώματος καὶ τῆς ψυ-
χῆς διαπλαττούσης μερῶν, καὶ ὅπερ οὐκ ἴσχυε
λαβεῖν ἡμῶν ἕκαστος, τοῦτ᾽ ἀπονείμασα τῷ γένει δωρησα-
μένης, τὸ ἀθάνατον. μένει γὰρ εἰσαεὶ φθειρομένων τῶν
ἐν εἴδει, τεράστιον ὡς ἀληθῶς καὶ θεῖον ἔργον. εἰ δὲ ἀΐ-
διον ἄνθρωπος βραχεῖα μοῖρα τοῦ παντός, ἀγέ-
νητος δήπου καὶ ὁ κόσμος, ὥστε ἄφθαρτος. ἐπαγωνι-
ζόμενος δὲ ὁ Κριτόλαος ἐχρῆτο καὶ τοιούτῳ λόγῳ,
τὸ αἴτιον αὑτῷ τοῦ ὑγιαίνειν ἄνοσόν ἐστιν, ἀλλὰ καὶ τὸ
αἴτιον αὑτῷ τοῦ ἀγρυπνεῖν ἄγρυπνόν ἐστιν· εἰ δὲ τοῦτο,
καὶ τὸ αἴτιον αὑτῷ τοῦ ὑπάρχειν, ἀΐδιόν ἐστιν· αἴτιος δὲ
ὁ κόσμος αὑτῷ τοῦ ὑπάρχειν, εἴγε καὶ τοῖς ἄλλοις ἅπα-
σιν· ἀΐδιος ἄρα ὁ κόσμος ἐστίν. οὐ μὴν ἀλλὰ κἀ-
κεῖνο σκοπεῖν ἄξιον, ὅτι πᾶν τὸ γινόμενον ἐν ἀρχῇ
μὲν πάντως δεῖ ἀτελὲς εἶναι, χρόνου δὲ προϊόντος,
αὔξεσθαι μέχρι παντελοῦς τελειώσεως· ὥστε εἰ
γέγονεν ὁ κόσμος, ἦν μέν ποθ᾽, ἵνα κἀγὼ χρήσωμαι
τοῖς ἡλικιῶν ὀνόμασι, κομιδῇ νήπιος, ἐπιβαίνων δὲ
αὖθις ἐνιαυτῶν περιόδοις καὶ μήκεσι χρόνων, ὀψὲ
καὶ μόλις ἐτελειώθη. τοῦ γὰρ μακροβιωτάτου βρα-
δεῖα ἐξ ἀνάγκης ἀκμή· τὸν δὲ κόσμον εἴ τις νομίζει
χρήσασθαί ποτε ταῖς τοιαύταις μεταβολαῖς, ἀθε-
ραπεύτῳ μανίᾳ κεκρατημένος μὴ ἀγνοείτω.
δῆλον γὰρ ὡς οὐ μόνον αὐτοῦ τὸ σῶμα τὰς αὐξήσεις
λήψεται, δὲ καὶ ὁ νοῦς ἐπίδοσιν, ἐπεὶ καὶ οἱ φθεί-
ροντες αὐτὸν, λογικὸν εἶναι ὑπονοοῦσιν. οὐκοῦν ἀν-
θρώπου τρόπον ἐν ἀρχῇ μὲν τῆς γενέσεως ἄλογος
ἔσται, περὶ δὲ τὴν ἀκμάζουσαν ἡλικίαν λογικός· ἅπερ οὐ
μόνον λέγειν, ἀλλὰ καὶ ὑπονοεῖν ἀσεβές. τὸν γὰρ τε-
λειότατον ὁρατὸν περίβολον, καὶ τοὺς ἐν μέρει περιέ-
χοντα κληρούχους, πῶς οὐκ ἄξιον ὑπολαμβά-
νειν ἀεὶ τέλειον κατά τε σῶμα καὶ ψυχὴν ἀμέτοχον
κηρῶν, αἷς τὸ γενητὸν καὶ φθαρτὸν πᾶν συνέζευκ-
ται. πρὸς δὲ τούτοις φησὶ τρεῖς αἰτίας δίχα τῶν
ἔξωθεν ὑποβεβλῆσθαι ζώοις τελευτῆς, νόσον, γῆ-
ρας, ἔνδειαν, ὧν οὐδὲ μιᾷ τὸν κόσμον ἁλωτὸν εἶναι πε-
πεῖσθαι. τὸ γὰρ ἐξ ὅλων τῶν στοιχείων ὡς ἅτε μηδε-
νὸς ὑπολειφθέντος καὶ ἀπελευθεριάζοντος μέρους
βιασθῆναι κατακρατεῖν τε καὶ τῶν δυναμένων, ἐξ
ὧν αἱ ἀσθένειαι· τὰς δὲ ὑπεικούσας, ἄνοσον καὶ ἀγή-
ρω αὐτὸν διαφυλάττειν, αὐταρκέστατόν τε αὐτὸν
αὑτῷ καὶ ἀνεπιδεᾶ παντὸς γεγονέναι, μηδενὸς τῶν
εἰς διαμονὴν ὑστερίζοντος, τὰς κενώσεις καὶ πλη-
ρώσεις ἐν μέρει διαδοχὰς ἀπωσάμενον, αἷς διὰ
τὴν ἄμουσον ἀπληστίαν τὰ ζῷα χρῆσθαι, θάνατον

λόν τι ζωῆς μνήμημα, ἢ τό γε ἀσφαλέστερον εἰπεῖν, οἰκτρότερον βίον ἀπωλείας. ἔτι τοίνυν εἰ μὲν μηδεμία φύσις ἀΐδιος ἑωρᾶτο, ἧττον ἂν ἐδόκουν οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου, μηδὲν ἔχοντες παράδειγμα ἀϊδιότητος, τοῦ κόσμου ἄνευ προφάσεως ἀδικεῖν· ἐπεὶ δ' εἱμαρμένη, καθ' οὓς ἄριστα φυσιολογοῦντας, ἄναρχος καὶ ἀτελεύτητός ἐστιν, εἴρουσα τὰς ἑκάστων ἀνελλιπῶς καὶ ἀδιαστάτως αἰτίας, τί δήποτ' οὐχὶ καὶ τὴν τοῦ κόσμου φύσιν λεκτέον εἶναι μακραίωνα, τὴν τάξιν τῶν ἀτάκτων, τὴν ἁρμονίαν τῶν ἀναρμόστων, τὴν συμφωνίαν τῶν ἀσυμφώνων, τὴν ἕνωσιν τῶν διεστηκότων, τὴν ξύλων μὲν καὶ λίθων ἕξιν, σπαρτῶν τε καὶ δένδρων φύσιν, ψυχὴν δὲ ζῴων ἁπάντων, ἀνθρώπων δὲ νοῦν καὶ λόγον, ἀρετὴν δὲ σπουδαίων τελειοτάτην. εἰ δὲ ἡ τοῦ κόσμου φύσις ἀγένητός τε καὶ ἄφθαρτος, δῆλον ὅτι καὶ ὁ κόσμος αἰωνίῳ συνεχόμενος καὶ διακρατούμενος δεσμῷ. νικηθέντες δ' ὑπὸ τῆς ἀληθείας καὶ τῶν ἀντιδοξούντων ἔνιοι μετεβάλοντο. προσκλητικὴν γὰρ ἔχει δύναμιν τὸ κάλλος τὸ δὴ ἀληθές, δαιμονίως ἐπὶ καλόν, ὡς τὸ ψεῦδος ἐκτόπως αἰσχρόν. Βόηθος γοῦν καὶ Ποσειδώνιος καὶ Παναίτιος, ἄνδρες ἐν τοῖς στωϊκοῖς δόγμασιν ἰσχυκότες, ἅτε θεόληπτοι, τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας καταλιπόντες, πρὸς θειότερον δόγμα τὸ τῆς ἀφθαρσίας τοῦ κόσμου παντὸς ηὐτομόλησαν. λέγεται δὲ καὶ Διογένης ἡνίκα νέος ἦν συνεπιγραψάμενος κατὰ τὸ πάντελες τοῖς ἔνδοθεν. ἐπεὶ τοίνυν ἡ σύνταξις, ἅτε μηδενὸς ὑπολειφθέντος μέρους ὡς βιασθῆναι, ὑπ' οὐδενὸς τῶν ἐκτὸς φθαρησόμενος ἐδείχθη ὁ κόσμος τῷ μηδὲν ἔξω καταλελεῖφθαι πάντως, οὐδ' ὑπό τινος τῶν ἐν αὐτῷ, διὰ τὴν προεπιλογισθεῖσαν ἀπόδειξιν, καθ' ἣν τὸ ἀνάλωτον τῇ ἑτέρᾳ τῶν αἰτιῶν, καὶ τὴν ἑτέραν ἐκπέφευγε δίχα. μαρτυρεῖ δὲ καὶ τὰ ἐν Τιμαίῳ περὶ τοῦ τὸν κόσμον ἄνοσον εἶναι, καὶ μὴ φθαρησόμενον εἶναι. Τῶν γὰρ δὴ τεττάρων, ἓν ὅλον ἕκαστον εἰλήφει ἡ τοῦ κόσμου σύστασις. ἐκ γὰρ πυρὸς παντός, ὕδατός τε καὶ ἀέρος, καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς· πρῶτον μέν, ἵνα ὅλον ὅτι μάλιστα ζῷον τέλεον ἐκ τελείων μερῶν εἴη· πρὸς δὲ τούτοις, ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτο γένοιτ' ἄν· ἔτι δὲ ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ, κατανοῶν, ὡς τῷ σώματι θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει, περιιστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως λύει, καὶ νόσους καὶ γῆρας ἐπάγοντα

A afferunt propter appetitum eorum insatiabilem: aut vt verius loquar, vitam quauis morte miseriorem. proinde si nullam naturam æternam videremus, minus peccarent qui aiunt mundum incorruptibilem, quandoquidem nullum æternitatis exemplum existeret. sed quoniam fatorum series iuxta præcipuam physiologorum sectam caret fine simul & principio, causas sine intermissione contexens: cur non etiam mundi naturam dicamus longæuam, B quæ rerum indigestarum ordo est, incompositarum congruentia, inconcinnarum concinnitas, distantium vnitas, lignorum saxorúmque habitus, satorum & stirpium indoles, anima omnium animalium, hominum mens & ratio, bonorum virorum virtus perfectissima. Quod si mundi natura ingenita est & incorruptibilis, liquet mundum quoque contineri sempiterno vinculo, quod fateri etiam diuersi dogmatis assertores quidam vi veritatis coacti C sunt, vt est diuina pulchritudo veritatis, sicut mendacij fœda deformitas. Sic Boethus, Posidonius, Panætius, viri Stoica doctrina valentissimi, tanquam correpti numine, omissis exustionibus & instaurationibus, transfugerunt ad diuinius de incorruptibilitate mundi placitum. Quin & Diogenes etiamtum iuuenis fertur subscripsisse huic sentētiæ. Ergo cum constet nihil extra mundum relictum vnde immineat ei periculum, ne intra D ipsum quidem tale quicquam inuenietur, vt supradictis rationibus demonstratū est, quod alteri ex his causis non sit, ne alteri quidem esse obnoxiū. testantur & quæ in Timæo legimus, mundū nec corrumpi, nec morbis tentari. Ex his quatuor singula integra mundus recipit in suam substantiā. ex omni quippe igni, aere, aqua, terra, ipsius faber ita eum composuit, vt nullā cuiusquam istorū partem aut vim extra E relinqueret. idque hac ratione fecit, primū vt totum hoc animal quàm maxime perfectum ex perfectis partibus esset. dein vt esset vnum, cum nihil extra relictum fuerit, ex quo generetur alterū. denique nequis id morbus, nequod seniū, attingeret. videbat enim eam naturam esse corporis, vt importuna caloris aut frigoris, aliarúmve rerum nimis vehementiū accessione lædatur, & in morbos seniúmque impul-

sum deficiat. quam ob causam ratiónemque vnum totum ex omnibus totis & perfectis absolutum, expertem morbi seniíque Deus mundum constituit. Hactenus Platonis de incorruptibilitate mundi testimonium. quod autem non sit genitus, naturalis attestatur veritas. nam quicquid est genitum, necessario dissoluitur: quicquid autem non est corruptibile, ne genitum quidem fuit. nam & autor huius trimetri, Neci debetur quicquid vsquam nascitur: videtur non male colligere. & aliâs sic argumẽtari licet. quæcunque composita corrumpuntur, dissoluuntur in id vnde fuere composita. dissolutio porrò nihil est aliud quàm rerum singularum in pristinam naturam reditus. ergo à contrario compositio præter naturam res in vnũ cogit, id quod videtur verissimum. homines enim ex quatuor elementis, quæ tota in vniuerso sunt, cælo, terra, igne, aere, particulas quasdã mutuati, ex ea temperatura mixti confectíque sunt. quæ autem permiscentur, naturali situ priuantur, caliditas sublimi, frigiditas humili, dum posita grauitate subleuatur & in summum locum demigrat, quem caput maxime terrea nostri pars occupat. violento autẽ vinculo nullum inutilius aut minus durabile. celeriter enim à vinctis rumpitur, reluctantibus & naturalem motum desiderantibus ad quem properant. nam vt ait tragicus: E terris orta, terra rursus accipit. In cælum quicquid est suum reuertitur. Genitum nihil emoritur: Sed transpositum vltro citróque, Formam priorem alterat. omnibus certe quæ corrumpuntur lex præfinita est hæc, vt quando contemperantur discedant à naturali ordine, demigréntque in loca contraria, & peregrinentur quodammodo: quando verò dissoluuntur, in natiuas suas sedes ceu postliminio reuertantur. at mundus expers est perturbationis de qua loquimur. nam si esset corruptibilis, videremus nunc partes eius non suo loco naturali consistere, id quod cogitare nefas est. optimum enim & aptissimum situm cunctæ mundi partes sortitæ sunt, ita vt singulæ sede sua tanquam patria contentæ non requirant mutationem in melius. propterea terræ attributus est locus medius, quò feruntur omnia terrestria, etiamsi in altum iacias:

A φθίνειν ποιεῖ. διὰ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε, ἕνα ὅλον ἐξ ὅλων τέλεον, καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο. τοῦτο μὲν δὴ παρὰ Πλάτωνος περὶ τῆς ἀφθαρσίας τοῦ κόσμου μαρτύριον εἰλήφθω· τὸ δ' ἀγένητον παρὰ τῆς φυσικῆς ἀληθείας. ἐπειδὴ μὲν γὰρ τῷ γενομένῳ διάλυσις, ἀφθαρσία δὲ τῷ ἀγενήτῳ· ἐπεὶ καὶ ὁ τὸ ἰαμβεῖον ἐκεῖνο ποιήσας, Τὸ μὴ γενόμενον καὶ τελευτᾶν ὀφείλεται, δοκεῖ μὴ ἀπὸ σκοποῦ συνθεὶς ἀκολουθίαν τῆς φθορᾶς φῆσαι ἔχειν. ἑτέρως δ' ἐστὶ τοιόνδε· ὅσα τῶν συνθέτων φθεί-
B ρεται, διαλύεται εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνεται· διάλυσις δ' οὐδὲν ἦν ἀλλ' ἢ πρὸς τὰ κατὰ φύσιν ἑκάστων ἐπάνοδος· ὥστε κατὰ τοὐναντίον ἡ σύνθεσις εἰς τὸ παρὰ φύσιν τὰ συνελθόντα βεβίασται, καὶ δῆλα οὕτως ἔοικεν ἀψευδέστατα ἔχειν. ἡμεῖς γὰρ ἀπὸ τῶν τεττάρων στοιχείων, ἃ δὴ ὅλα τοῦ παντός ἐστιν, οὐρανοῦ, γῆς, ἀέρος τε καὶ πυρός, βραχέα μέρη δανεισάμενοι, συνεκράθημεν· τὰ δὲ ἀνακραθέντα τῆς κινήσεως ἐστέρηται,
C θερμότης μὲν τῆς ἀνωφεροῦς, ψυχρότης δὲ τῆς γεώδους καὶ βάρος ἐχούσης οὐσίας ἐπελαφρισθείσης, καὶ τὸν ἄνω τόπον αὐτῆ λαβούσης, ὃν τὸ γεωδέστατον τῶν ἐν ἡμῖν ἐπέσχηκε κεφαλή. δεσμοῖς δὲ φαυλότατος ὃν ἔσφιγξε βία, βίαιος, καὶ ὀλιγοχρόνιος. ῥήγνυται μὲν γὰρ θᾶττον ὑπὸ τῶν δεθέντων, ἀποπαυχενιζόντων διὰ πόθον ὑπὸ τῆς κατὰ φύσιν κινήσεως, πρὸς ἣν συντόνως μετοικίσασθαι· κατὰ γὰρ τὸν τραγικόν, Χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας φύντ' ἐς γαῖαν, τὰ δ'
D ἀπ' αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πόλον ἦλθε πάλιν, θνήσκει δ' οὐδὲν τῶν γιγνομένων, διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο μορφὴν ἰδίαν ἀπέδειξε. τοῖς μὲν δὴ φθειρομένοις ἅπασι νόμος ἀναγέγραπται καὶ θεσμὸς οὗτος, ὁπότε μὲν ὑφέστηκε τὰ συνεληλυθότα ἐν τῇ κράσει, παρὰ τῆς κατὰ φύσιν τάξεως ἀταξίας μετειληφέναι, καὶ πρὸς τοὺς ἐναντίους τόπους μετῳκίσθαι, ὡς τρόπον τινὰ ξενιτεύειν δοκεῖν· ὁπότε δὲ διαλύοιτο,
E πρὸς τὴν οἰκείαν τῆς φύσεως λῆξιν ἀνακάμπτειν· ὁ δὲ κόσμος ἀμέτοχος τῆς ἐν τοῖς λεχθεῖσιν ἀταξίας ἐστίν, ἐπεὶ φέρε θεασώμεθα φθειρομένου τὰ μέρη νυνὶ μὲν ἀνάγκη πεπηγέναι τὴν παρὰ φύσιν ἕκαστα χώραν. τοῦτο δὲ ὑπονοεῖν οὐχ ὅσιον. ἀρίστην γὰρ θέσιν καὶ τάξιν ἐναρμόνιον τὰ τοῦ κόσμου μέρη πάντα εἴληχεν, ὡς ἕκαστον καθάπερ πατρίδι φιλοχωρεῖν μὴ ζητεῖν ἀμείνω μεταβολήν. διὰ τοῦτο γῇ μὲν ὁ μεσαίτατος ἀπενεμήθη τόπος, ἐφ' ὃν πάντα τὰ γεώδη κἂν ἀναρρίψῃς κατωφερῆ·

τόδε

τόδε δ' ἐστὶ σημεῖον χώρας τῆς κατὰ φύσιν. ἔνθα γὰρ A
μὴ ὑπὸ βίας ὁτιοῦν ἐνεχθὲν ἵσταται καὶ ἠρεμεῖ,
τὸν οἰκεῖον εἴληφε τόπον· ὕδωρ δὲ ἐπὶ γῆν ἀναχέχυ-
ται δεύτερον, ἀὴρ δὲ καὶ πῦρ ἀπὸ τοῦ μέσου πρὸς
τὸ ἄνω κεχώρηκεν· ἀὴρ μὲν τὸν μεθόριον ὕδατος καὶ
πυρὸς κληρωσάμενος τόπον, πῦρ δὲ τὸν ἀνωτάτω·
διὸ κἂν ἀναψάμενος δᾷδα πρὸς γῆν κατα-
φέρῃς, ἡ φλὸξ οὐδὲν ἧττον ἀντιβιάσεται, καὶ πρὸς
τὴν φυσικὴν τοῦ πυρὸς κίνησιν ἐπικουφίσασα αὐ-
τὴν ἀναδραμεῖται· εἰ δὲ φθορᾶς μὲν αἴτιον ἡ B
παρὰ φύσιν κίνησις τῶν ἄλλων ἑκάστῳ ζῴων, ἐν δὲ
τῷ κόσμῳ κατὰ φύσιν ἕκαστα τῶν μερῶν διατέτακ-
ται, τὰς οἰκείας διακληρωσάμενα χώρας, ἐνδί-
κως ἂν λέγοιτο ὁ κόσμος ἄφθαρτος. ἔτι τοίνυν ἐ-
κεῖνο πᾶσι δῆλον, ὅτι φύσις ἑκάστη διατηρεῖν καὶ
διασώζειν, εἰ δ' οἷόν τε εἴη, καὶ ἀθανατίζειν ἕκαστα
ὧν ἡ φύσις ἐστὶν ἐσπούδακεν, ἡ μὲν ἐν τοῖς δένδρεσι
τὰ δένδρα, ἡ δ' ἐν τοῖς ζῴοις τῶν ζῴων ἕκαστον,
ὑπεραθλεῖ δ' ἡ ἐπὶ μέρους ἀναγκαίως ἄγειν πρὸς
ἀϊδιότητα. ἢ γὰρ ἔνδεια, ἢ φλογμὸς, ἢ κρυμὸς, ἢ C
μυρία ἄλλα τῶν εἰωθότων ἐπισυνίστασθαι κατα-
σκήψαντα διέσεισε καὶ διεκώλυσε, τὸν συνέχοντα δε-
σμὸν, καὶ τέλος κατέρρηξε. τοιοῦτον δ' εἰ μηδὲν ἐ-
φήδρευεν ἔξω, κἂν ὅσον ἐφ' ἑαυτῇ μικρά τε αὖ καὶ
μεγάλα ἀγήρω διεφύλαττεν. ἀναγκαῖον οὖν καὶ
τὴν τοῦ κόσμου φύσιν γλίχεσθαι τῆς τοῦ ὅλου διαμο-
νῆς. οὐ γὰρ δὴ τῶν ἐπὶ μέρους ἐστὶ χείρων, ὡς ἀποδι-
δράσκουσα καὶ λειποτακτοῦσα, νόσον ἀνθ' ὑγείας, καὶ
φθορὰν ἀντὶ σωτηρίας παντελοῦς ἐπιχειρεῖν τεχνά-
ζειν, ἐπεὶ πασῶν ὑπὲρ ἥγε κάρη ἔχει, ἠδὲ μέτω- D
πα. ῥεῖα δ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶ-
σαι. ἀλλ' εἰ τοῦτ' ἀληθές ἐστι, φθορὰν ὁ κόσμος οὐ
δέξεται. διὰ τί. ὅτι ἡ συνέχουσα φύσις αὐτὸν,
ἀήττητός ἐστι κατὰ πολλὴν ἰσχύος ῥώμην, τῶν ἄλλων
ὅσα βλάπτειν ἔμελλεν ἁπάντων ἐπικρατοῦσα· διὸ
καὶ Πλάτων εὖ, Ἀπῄει τε γάρ, φησιν, οὐδὲν, οὔτε
προσῄει αὐτῷ. πόθεν· οὐδὲν γὰρ ἦν· αὐτὸς ἑαυτῷ,
τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχων, καὶ πάντα ἐν ἑ-
αυτῷ, καὶ ὑφ' ἑαυτοῦ πάσχων καὶ δρῶν, ἐκ τέχνης E
γέγονεν. ἡγήσατο γὰρ αὐτὸ ὁ συνθεὶς, αὔταρκες ὂν,
ἄμεινον ἔσεσθαι μᾶλλον, ἢ προσδεές. ἀποδεικτικώ-
τατός γε μὴν κἀκεῖνος ὁ λόγος ἐστὶν ἐφ' ᾧ μυρίους
οἶδα σεμνυνομένους, ὡς ἠκριβωμένῳ καὶ πάνυ ἀνε-
ξελέγκτῳ. πυνθάνονται γὰρ, τίνος ἕνεκα τὸν κόσμον
φθείρει ὁ θεός. ἤτοι γὰρ ὑπὲρ τοῦ μηκέτι κοσμοποιῆ-
σαι, ἢ ὑπὲρ τοῦ ἕτερον κατασκευάσαι. τὸ μὲν δὴ
πρότερον, ἀλλότριον θεοῦ· πρὸς τάξιν γὰρ ἀ-
ταξίαν μεταβάλλειν δέον, οὐ πρὸς ἀταξίαν τάξιν·

quod est natiui situs indicium. Vbi enim quidque sponte non coactum sistit quiescitque, ibi habet locum proprium. dein aqua super terram diffunditur, aer verò ignísque sursum secesserunt à meditullio: aer quidem sortitus ignis & aquæ confinium, ignis autem quæ sunt editissima. proinde quamuis accensam facem ad terras deferas, flamma nihilominus tendet in contrarium, & naturali motu ignis subleuata recurret retro vnde venerat. Ergo si præternaturalis motus in alijs animalibus corruptionem efficit, in mundo autem singulæ partes ordinem suum & naturalem situm retinent, iure possumus eum incorruptibilem dicere. illud quoque liquet cuiuis, naturam singula quorum natura est, cupere conseruare, atque adeo si liceat, immortalia reddere: vt stirpes natura stirpium, animantium verò natura animantes singulas: sed cum sit particularis necessario deficit, nec potest ad æternitatem perducere. nam aut defectus, aut æstus, aut frigus, aut aliæ noxæ plurimæ lædere solitæ inuadunt, concutiunt, & tandem abrumpunt vinculum. quæ nisi externe infestarent, quantum in ipsa natura est paruas æque ac magnas res seruaret incolumes. ergo necesse est mundi quoque naturam salutis eius esse cupidam. nec enim particulari est deterior, vt non fungatur officio, & morbum pro sanitate, interitum pro salute afferat, quando humeris supereminet ingens, Agnosci facilis forma, pulchræ licet omnes. id si verum est, mundus corruptionem non recipit. Cur ita? quia natura eum continens inuicti est roboris, & omnibus rebus noxijs potentior. ideo rectè Plato: Nulla, inquit, decessio fieri poterat, nulla accessio. quo enim aut vnde? cum ipse seipsum alat de suo, ipse in seipsum agat, & à seipso patiatur. nam tali arte autoris sui conditus est, vt sufficiat sibi potius quam indigeat. Egregie tamen eandem sententiam astruit illa quoque ratio, qua multos sibi placere video, vt exacta & inconuincibili. quærunt enim, cur Deus mundum perderet? vt nullum posthac conderet, an vt repararet alium? primum illud Deo non conuenit, cuius est è perturbatione ordinem, non ex ordine perturbationem facere:

præterea videbitur capax pœnitentiæ, quod est animi vitium. debuerat enim aut non condere mundum, aut postquam semel condere placuit, gaudere condito. posterius verò non exigua scrutatione dignum est. si enim pro hoc præsente reparabit alium, is fiet aut deterior, aut similis, aut melior, quæ singula sunt reprehensibilia. nam siquidem mundus deterior, opifex quoque deterior. atqui nec vituperium, nec reprehensio, nec correctio cadit in absolutissima diuinæ artis opera. nam vt est in prouerbio:

Nec mulier tam mentis inops, vt recta relinquens,

Deteriora malit, illáque posthabeat.

magis decet Deum formare informia, & turpibus addere miram pulchritudinem. sin autem similis, incassum laborat artifex, nihil à paruulis pueris differens, qui sæpe in littore per lusum tumulos arenæ excitant, móxque manibus eisdem diruunt. præstat enim nihil demendo addendóve, nec in melius deteriúsve mutando, sic eum ab initio factus fuerat immotum sinere. quod si meliorem fabricabit, melior fiet etiam opifex, ideóque cum priorem pararet imperfectus arte ac proposito: quod ne cogitare quidem fas est. Deus enim semper est sibi par & sui similis, nec in deterius nec in melius proficiens. hominum est hæc inæqualitas, tum incrementa tum detrimenta in vtramvis partem recipientium, sicut & alias mutationes in contrarium. Adhæc cum mortalium opera conueniat esse corruptibilia, probabiliter creditur illius immortalis opus incorruptibile: quandoquidem rationi consentaneum est opera similitudinem referre sui opificis. Quin & illud cuilibet est perspicuum, terra pereunte, necessario perire totum genus terrestrium animalium, aquatilia verò aqua pereunte, sicut post aeris ignísque interitum sequi internecionem ex igne genitorum & volucrium. eadem ratione si cælum interit, peribit sol & luna, peribunt reliqua sidera tum fixa tum erratica, totáque illa sensibilium deorum, vt olim creditum est, militia beatissima. id verò nihil esset aliud, quàm opinari mortalia numina: quod æque absurdum fuerit, atque hominum immortalitatem credere.

A εἶτα δὲ, ὅτι καὶ μεταμέλειαν πάθος καὶ νόσημα δέξεται ψυχῆς. ἔδει γὰρ μὴ κοσμοποιῆσαι τὸ παράπαν, ἢ κρίναντα πρέπον αὐτῷ τὸ ἔργον, χαίρειν τῷ γενομένῳ. τὸ δὲ δεύτερον ἄξιον οὐ βραχείας ἐρεύνης. εἰ γὰρ ἕτερον ἀντὶ τοῦ νῦν ὄντος κατασκευάσει, πάντως ὁ γινόμενος, ἢ χείρων, ἢ ὅμοιος, ἢ κρείττων ἀποτελεσθήσεται, ὧν ἕκαστον ἐπίληπτον. εἰ μὲν γὰρ χείρων ὁ κόσμος, χείρων καὶ ὁ δημιουργός· ἀμώμητα δὲ καὶ ἀνεξέλεγκτα καὶ ἀνεπανόρθωτα τὰ τοῦ θεοῦ, τελειοτάτῃ τέχνῃ καὶ ἐπιστήμῃ δημιουργηθέντα.

B Οὐδὲ γὰρ γυνή, φασί, τοσοῦτον νοῦ ἐπιδεύεται ἐσθλοῦ,

Ὥστε χέρειον ἑλέσθαι ἀμεινοτέρων.

ἐμπρεπὲς δὲ θεῷ τὰ ἄμορφα μορφοῦν, καὶ τοῖς αἰσχίστοις περιτιθέναι θαυμαστὰ κάλλη. εἰ δὲ ὅμοιος, ματαιόπονος ὁ τεχνίτης, οὐδὲν κομιδῇ νηπίων παίδων διαφέρων, οἳ πολλάκις περὶ τοὺς αἰγιαλοὺς ἀθύροντες ψάμμου γεωλόφους ἀνιστᾶσι, κἄπειθ' ὑφαιροῦντες, ταῖς χερσὶ πάλιν ἐρείπουσι. C πολὺ γὰρ ἄμεινον τοῦ κατασκευάζειν ὅμοιον, μηδὲν μήτε ἀφαιροῦντα, μήτε προστιθέντα, μήτ' αὖ πρὸς τὸ ἄμεινον ἢ χεῖρον μεταβάλλοντα τὸν ἐξ ἀρχῆς ἅπαξ γενόμενον κατὰ χώραν ἐᾶν. εἰ δὲ κρείττονα δημιουργήσει, γέγονέ ποτε κρείττων καὶ ὁ δημιουργὸς, ὥσθ' ἡνίκα τὸν πρότερον κατεσκεύαζε καὶ τὴν τέχνην καὶ τὴν διάνοιαν ἦν ἀτελέστερος· ὅπερ οὐδὲ θέμις ὑπονοεῖν ἐστιν. ἴσος γὰρ αὐτὸς ἑαυτῷ καὶ ὅμοιος ὁ θεὸς, μήτε ἄνεσιν πρὸς τὸ D χεῖρον, μήτ' ἐπίτασιν πρὸς τὸ βέλτιον δεχόμενος. ἐπὶ δὲ τὰς τοιαύτας ἀνωμαλίας ἄνθρωποι κεχωρήκασι, πρὸς ἑκάτερον, τό, τε εὖ καὶ τὸ χεῖρον πεφυκότες μεταβάλλειν, αὐξήσεσι καὶ προσθήκαις καὶ βελτιώσεσι καὶ πᾶσι τοῖς ἐναντίοις εἰωθότες χρῆσθαι· πρὸς δὲ τούτοις, τὰ μὲν τῶν θνητῶν ἔργα ἦν μὲν φθαρτὰ δήπουθεν ἂν γένοιτο, τὰ δὲ τοῦ ἀθανάτου κατὰ τὸν εἰκότα λόγον, ἄφθαρτα δήπου. τῇ γὰρ φύσει τῶν τεχνιτῶν εὔλογον τὰ δημιουργηθέντα E ἐξομοιοῦσθαι. καὶ μὴν ἀπόδηλόν που κἀκεῖνο δῆλον, ὅτι φθειρομένης μὲν τῆς γῆς, ἀνάγκη καὶ τὰ χερσαῖα τῶν ζῴων καθ' ὅλον τὸ γένος ἀπόλλυσθαι· φθειρομένου δὲ ὕδατος, τὰ ἔνυδρα, τὸ ἀέρος μέντοι καὶ πυρὸς, τὰ ἀεροπόρα καὶ πυρίγονα. κατὰ λόγον δὲ οὖν εἰ φθείρεται ὁ οὐρανὸς, φθαρήσεται ἥλιος καὶ σελήνη, φθαρήσονται δ' οἱ λοιποὶ πλανῆται, φθαρήσονται δὲ οἱ ἀπλανεῖς ἀστέρες, ὁ τοσοῦτος αἰσθητῶν θεῶν εὐδαίμων τὸ πάλαι νομισθεὶς στρατός· ὃ δὲ γένοιτ' ἂν οὐδὲν ἕτερον ἢ θεοὺς φθειρομένους ὑπονοεῖν. ἴσον γάρ ἐστι τῷ καὶ ἀνθρώπους ἀθανάτους ὑπονοεῖν

καίτοι ἐν ἀλλήλων συγκρίσει τοῦτ' ἂν εὕροις σκοπῶν εὐλογώτερον ἐκείνου, καθ' ὅ ἐστι θεὸς ὤν. θνητὸν μὲν γὰρ ἀθανασίας μεταλαχεῖν εἰκός ἐστιν, ἀφθαρσίαν δὲ θεοὺς ἀποβαλεῖν ἀδύνατον, κἂν αἱ δυσθεόπτων σοφίαι κατακομψανῶσι. καὶ μὴν οἵ τε τὰς ἐκπυρώσεις καὶ τὰς παλιγγενεσίας εἰσηγούμενοι τοῦ κόσμου, νομίζουσι καὶ ὁμολογοῦσι τοὺς ἀστέρας θεοὺς εἶναι, οὓς τῷ λόγῳ διαφθείρειν οὐκ ἐρυθριῶσιν. ἔδει γὰρ ἢ μύδρους διαπύρους ἀποφήνασθαι, καθάπερ ἔνιοι τὴν οἷα περὶ δεσμωτηρίου φλυαροῦντες τοῦ σύμπαντος οὐρανοῦ, ἢ θείας ἢ δαιμονίας φύσεις νομίζοντας, τὴν ἁρμόττουσαν θεοῖς ἀφθαρσίαν προσομολογῆσαι· νυνὶ δὲ τοσοῦτον δόξης ἀληθοῦς διήμαρτον, ὥστε λελήθασιν αὐτούς, καὶ τὴν πρόνοιαν· ψυχὴ δ' ἐστὶ τοῦ κόσμου· φθορὰν ἐπιφέροντες, ἐξ ὧν ἀνακόλουθα φιλοσοφοῦσι. Χρύσιππος γοῦν ὁ δοκιμώτατος τῶν παρ' αὐτοῖς ἐν τοῖς περὶ αὐξανομένου τερατεύεταί τι τοιοῦτον, καὶ προκατασκευάσας ὅτι δύο εἰδοποιοὺς ἐπὶ τῆς αὐτῆς οὐσίας ἀμήχανον συστῆναι, φησίν· Ἔστω θεωρίας ἕνεκα, τὸν μὲν τινα ὁλόκληρον, τὸν δὲ χωρὶς ἐπινοεῖσθαι ἑτέρου ποδός· καλεῖσθαι δὲ τὸν μὲν ὁλόκληρον Δίωνα, τὸν δὲ ἀτελῆ Θέωνα· κἄπειτα ἀποτέμνεσθαι Δίωνος τὸν ἕτερον τοῖν ποδοῖν. ζητουμένου δὲ πότερος ἔφθαρται, τὸν Θέωνα φάσκειν οἰκειότερον εἶναι. τοῦτο δὲ παραδοξολογοῦντος μᾶλλόν ἐστιν ἢ ἀληθεύοντος. πῶς γὰρ ὁ μὲν οὐδὲν ἀκρωτηριασθεὶς μέρος, ὁ Θέων ἀνήρπασται· ὁ δ' ἀποκοπεὶς τὸν πόδα Δίων, οὐχὶ ἔφθαρται; δεόντως, φησίν. ἀναδεδράμηκε γὰρ ὁ τμηθεὶς τὸν πόδα Δίων ἐπὶ τὴν ἀτελῆ τοῦ Θέωνος οὐσίαν καὶ δύο εἰδοποιοὶ ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου οὐ δύνανται εἶναι. τοιγαροῦν τὸν μὲν Δίωνα μένειν ἀναγκαῖον, τὸν δὲ Θέωνα ἐφθάρθαι· τὰ δ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεσθα, φησὶν ὁ τραγικός. ἀπομαξάμενος γάρ τις τὸν τύπον τοῦ λόγου, καὶ ἐφαρμόσας τῷ παντὶ κόσμῳ, δείξει σαφέστατα καὶ τὴν αὐτὴν φθειρομένην τὴν πρόνοιαν. σκόπει δ' ὧδε· ὑποκείσθω, ὁ μὲν ὡσανεὶ Δίων ὁ κόσμος. τέλειος γάρ. ὁ δὲ ὡσανεὶ Θέων, ἡ τοῦ κόσμου ψυχή· διότι τοῦ ὅλου τὸ μέρος ἔλαττον· καὶ ἀφαιρείσθω ὥσπερ ἀπὸ τοῦ Δίωνος ὁ πούς, οὕτω καὶ ἀπὸ τοῦ κόσμου ὅσον αὐτοῦ σωματοειδές. οὐκοῦν ἀνάγκη λέγειν ὅτι ὁ μὲν κόσμος οὐκ ἔφθαρται, ὁ τὸ σῶμα ἀφαιρεθείς, ὥσπερ οὐδὲ ὁ ἀποκοπεὶς τὸν πόδα Δίων, ἀλλ' ἡ τοῦ κόσμου ψυχή, ὥσπερ Θέων ὁ μηδὲν παθών. ὁ μὲν γὰρ κόσμος ἐπ' ἐλάττονα οὐσίαν ἀναδραμών, ἀφαιρεθέντος αὐτοῦ τοῦ σωματοειδοῦς· ἐφθάρη δ' ἡ ψυχὴ διὰ τὸ μὴ δύνασθαι δύο εἰδοποιοὺς εἶναι περὶ τὸ αὐτὸ ὑποκείμενον. ἔκθεσμον δὲ τὸ λέγειν

A atqui in hac dignitatum collatione posterius hoc fit verisimilius, vt quod contingat per Dei gratiam. nam fieri potest vt mortalis immortalitate potiatur, sed Deos hanc amittere non est possibile, quicquid delirent homines. Certe qui mundi exustiones instaurationésque inducunt, Deos fatentur sidera, quæ tamen imprudenter suis verbis enecant. satius fuisset ea lapides ignitos dicere, sicut quidam de cælo nugantur quasi de
B carcere, quàm diuinis cælestibúsque naturis adimere immortalitatem debitam. nunc intantum aberrarunt à vera sententia, vt non sentiant se prouidentiam quoque (ea est mundi anima) tollere atque pessum dare tam friuolis rationibus. Certe Chrysippus inter suæ sectæ homines laudatissimus, in tractatu De crescente, talia quædam portenta comminiscitur: præfatúsque impossibile esse duo specifica consistere in eadem substantia:
C subdit: Fingamus verbi gratia quempiam integrum, alterum verò vno pede mutilum. hunc Theonem, illum Dionem vocari. postea Dioni pedem abscisum. si quæratur vter corruptus sit, de Theone dicetur id magis proprie. Atqui hæc mira magis quam vera sunt. quî fit enim vt Theon illæsus perierit, Dion absciso pede non perierit? Recte, inquit. Dion enim præciso pede recurrit ad imperfectam Theonis substantiam, & duo
D specifica in vno subiecto esse non possunt. vnde necessario consequitur, Dionem permanere, Theonem verò perisse. hic tragicus diceret: non ab alijs, sed nostrismet pennis capimur. hanc enim ratiocinationis formam aliquis ad mundum transferens, posset colligere corruptioni obnoxiam prouidentiam. aduerte quomodo. ponamus mundum quasi Dionem. integer enim. mundi vero animam quasi Theonem: quoniam pars toto minor
E est. adimatur nunc sicut Dioni pes, ita mundo quicquid inest ei corporeum. ergo necesse habebimus dicere, mundū quidem non perisse adempto corpore, sicut nec Dionem resecto pede: sed mundi animam, sicut Theonē illæsū. mundus enim ad minorē substantiā recurrit, adempta sibi parte corporea: anima vero eius perijt, quia non possunt eidē subiecto inesse duo specifica. nefas est autē dicere mortalē proui-

A dentiam. quod si hæc immortalis est, mundus quoque incorruptibilis erit necessario. maximum tamen æternitatis eius argumentum est tempus. nam si tempus ingenitum, necessario mundus quoque ingenitus. cur ita? quia vt ait magnus ille Plato, dies & noctes, menses & annorum circuli tempus indicant. id autem non potest consistere sine solis motu & totius cæli ambitu. itaque definitores rerũ recte statuunt, tempus esse mundi motus interstitiũ.
B sed ne hoc quidem sanum est. fit enim mundus genitor & autor temporis. inconuenientissimum autem fuerit cogitare, fuisse aliquando tempus quando mundus non erat. caret enim huius natura tam fine quam principio. nam ex his ipsis, Erat, Olim, Quando, tempus contexitur. iuxta hoc autem dogma consequitur, ne exustionis quidem tempus tandem fore. non iuuentuti enim sed senectuti maiestas cõtingit, præsertim in rebus quas non
C brutus & fallax sensus iudicat, sed mẽs purissima & vigentissima. id declarabit Boethus argumentis mox dicendis. Si est, inquit, mundus genitus & corruptibilis, de nihilo fiet aliquid, quod & Stoicis videtur absurdissimũ. quare? quia non potest inueniri vlla causa corruptionis, interna externáve, quæ mundum destruat. extra enim nihil est, nisi fortè inane, elementis totis intra eum comprehensis. intus quoque nullus talis morbus est vt possit tantam
D molem dissoluere. quod si sine causa corrumpitur, liquet de nihilo corruptionem fieri, quod omnino ratio respuit. atqui aiunt tribus modis corruptionem fieri, per diuisionem, per ablationem præsentis qualitatis, & per confusionem. quæ ex discretis constant, greges, armenta, chori, exercitus, tum quæ è cohærentibus corpora compacta sunt, disiunctione & diuisione soluuntur. per ablationem
E autem præsentis qualitatis, cera transformata, vel complanata priusquam refingatur in aliam speciem. postremo per confusionem, sicut medicamentum quod vocatur tetrapharmacum. vires enim simplicium pharmacorum in vnum congestorum abolitæ sunt, vt ex his vna vis efficeretur eximia. quonam ex his modo mundum corrumpi dicemus? per diuisionem? at non constat ex discretis, vt partes dispergantur: nec ex cohærentibus,

A φθείρεσθαι τὴν πρόνοιαν· ἀφθάρτου δὲ ὑπαρχούσης, ἀνάγκη καὶ τὸν κόσμον ἄφθαρτον εἶναι. μεγίστην μέντοι παρέχεται πίστιν εἰς ἀϊδιότητα καὶ ὁ χρόνος. εἰ γὰρ ἀγένητος ὁ χρόνος, ἐξ ἀνάγκης καὶ ὁ κόσμος ἀγένητος. διὰ τί; ὅτι ἥ φησιν ὁ μέγας Πλάτων, ἡμέραι καὶ νύκτες, μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι χρόνον ἔδειξαν· ἀμήχανον δὲ πω τοῦτον συστῆναι δίχα ἡλίου κινήσεως καὶ τῆς τοῦ παντὸς οὐρανοῦ περιφορᾶς· ὥστ᾽ εὐθυβόλως ἀποδεδόσθαι πρὸς τῶν εἰωθότων τὰ πράγματα ὁρίζεσθαι, χρόνον,
B διάστημα τῆς τοῦ κόσμου κινήσεως· ἐπεί, οὐδὲ τοῦθ᾽ ὑγιές ἐστι. τί γάρ; ὁ γὰρ κόσμος ἀφῆλιξ τοῦ χρόνου καὶ αἴτιος· πάντων δ᾽ ἀτοπώτατον ὑπονοεῖν, ὅτι ἦν ποτὲ χρόνος ἡνίκα οὐκ ἦν κόσμος. ἄναρχος γὰρ καὶ ἀτελεύτητος ἡ τούτου φύσις· ἐπεὶ καὶ αὐτὰ ταῦτα, τὸ ἦν, τὸ ποτέ, τὸ ἡνίκα, χρόνον συνυφαίνει· τούτῳ δ᾽ ἀκολουθῶν, τὸ μηδὲ χρόνον τῷ δόγματι τῆς ἐκπυρώσεως ὅλως τῆς ἡλικίας ἐνδιδούσας ἐπιτρέχειν· οὐ γὰρ νεότητος, ἀλλὰ γήρως τὰ σεμνά, καὶ περιμάχητα
C δεῖ ἰδεῖν, καὶ μάλιστα ὅσα μὴ δικάζει ἡ ἄλογος καὶ ἀπατηλὴ αἴσθησις, ἀλλ᾽ ὁ καθαρώτατος καὶ ἀκραιφνέστατος νοῦς. ἀποδείξεσι δ᾽ οἱ περὶ τὸν Βόηθον κέχρηνται πιθανωτάταις, αἷς αὐτίκα λέξομεν. Εἰ, φασί, γενητὸς καὶ φθαρτὸς ὁ κόσμος, ἐκ τοῦ μὴ ὄντος τι γενήσεται. ὅπερ καὶ τοῖς στωϊκοῖς ἀτοπώτατον εἶναι δοκεῖ. διὰ τί; ὅτι οὐδεμίαν φθοροποιὸν εὑρεῖν αἰτίαν ἐστίν, οὔτ᾽ ἐντός, οὔτ᾽ ἐκτός, ἣ τὸν κόσμον αἱρήσει. ἐκτὸς μὲν γὰρ οὐδέν ἐστιν, ὅτι μὴ τάχα που κενόν, τῶν στοιχείων ἀποκριθέντων εἰς αὐτὸν ὁλο-
D κλήρων· εἴσω δ᾽ οὐδὲν νόσημα τοιοῦτον, ὃ γένοιτ᾽ ἂν αἴτιον τῆς τοσαύτης διαλύσεως. εἰ δ᾽ ἀναιτίως φθείρεται, δῆλον ὅτι ἐκ τοῦ μὴ ὄντος ἔσται ἡ γένεσις τῆς φθορᾶς. ὅπερ οὐδ᾽ ἡ διάνοια παραδέξεται. καὶ μὴν φασὶν ὅτι γενικοὶ τρόποι φθορᾶς εἰσι τρεῖς, ὅ, τι κατὰ διαίρεσιν, ὁ κατὰ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος, καὶ ὁ κατὰ σύγχυσιν. τὰ μὲν οὖν ἐκ διεστηκότων αἰπόλια, βουκόλια, χοροί, στρατεύματα, ἢ πάλιν ἐκ συναπτομένων σώματα
E παγέντα, τῇ διαστάσει καὶ διαιρέσει λύονται. κατὰ δὲ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος, ὁ μετασχηματιζόμενος κηρός, ἢ καὶ λεαινόμενος, ἵνα μηδὲ ἑτεροειδῆ τινα παραδέξηται τύπον μορφῆς· κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος. αἱ γὰρ δυνάμεις τῶν συνενεχθέντων ἠφανίσθησαν εἰς ἐξαιρέτου μιᾶς γένεσιν ἀποτελεσθείσης. ποῖον δὴ τούτων ἄξιον τὸν κόσμον φθείρεσθαι φάναι; τὸν κατὰ διαίρεσιν; ἀλλ᾽ οὐκ ἐκ διεστηκότων ἐστίν, ὡς τὰ μέρη σκεδασθῆναι, οὔτ᾽ ἐκ συναπτομένων,

ὡς διαλυθῆναι, ὅτι τὸ αὐτὸν ὡς εἰπεῖν τοῖς ἡμετέροις ἥττηται σώμασι. τὰ μὲν γὰρ ἐπικήρως τε ἐξ αὐτῶν ἔχει καὶ δυναστεύεται πρὸς μυρίων, ὑφ' ὧν βλάπτεται· τοῦ δὲ ἀήττητος ἡ ῥώμη πολλῇ τινι περιουσίᾳ πάντων κατακρατοῦσα. ἀλλ' ἀναιρέσει παντελεῖ τῆς ποιότητος; ἀλλ' ἀμήχανον τοῦτό γε. μένει γὰρ κατὰ τοὺς ἐναντίους ἀειρομένους ἡ τῆς διακοσμήσεως ποιότης ἀπ' ἐλάττονος οὐσίας, ὃ τοῦ δὲ * κατὰ τὴν ἐκπύρωσιν. ἀλλὰ τῇ κατὰ σύγχυσιν; ἄπαγε. δεήσει γὰρ πάλιν εἰς τὸ μὴ ὂν γίνεσθαι τὴν φθορὰν παραδέχεσθαι. τοῦ χάριν; ὅτι εἰ μὲν ἕκαστον ἐν μέρει τῶν στοιχείων ἐφθείρετο, μεταβολὴν ἐδύνατο τὴν εἰς ἕτερον δέχεσθαι· πάντων δὲ συλλήβδην ἀθρόων κατὰ σύγχυσιν αἰρουμένων, ἀνάγκη ὑπονοεῖν τὸ ἀδύνατον. ἔτι πρὸς τούτοις ἐὰν ἐκπυρωθῇ, φησι, τὰ πάντα, τί κατ' ἐκεῖνον ὁ θεὸς πράξει τὸν χρόνον, ἢ τὸ παράπαν οὐδέν; καὶ μήποτ' εἰκότως; νυνὶ μὲν γὰρ ἕκαστα ἐφορᾷ, καὶ πάντων οἷα γνήσιος πατὴρ ἐπιτροπεύει, καὶ εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἡνιόχου καὶ κυβερνήτου τρόπον ἡνιοχεῖ καὶ πηδαλιουχεῖ τὰ σύμπαντα, ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄλλοις πλάνησι καὶ ἀπλανέσιν, ἔτι δὲ ἀέρι καὶ τοῖς μέρεσι τοῦ κόσμου παριστάμενος, καὶ συνδρῶν ὅσα πρὸς τὴν τοῦ ὅλου διαμονὴν καὶ τὴν κατ' ὀρθὸν λόγον ἀνυπαίτιον διοίκησιν. πάντων δ' ἀναιρεθέντων ὑπ' ἀργίας καὶ ἀπραξίας δεινῆς, ἀβιώτῳ βίῳ χρήσεται· οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ὀκνῶ λέγειν, ὃ μηδὲ θέμις εἰπεῖν, ὅτι ἀκολουθήσει θεῷ θάνατος εἴγε καὶ ἠρεμία. ὃ γὰρ ἀεικίνητον ἐὰν ἀνέλῃς ψυχῆς, καὶ αὐτὴν πάντως συναναιρήσεις· ψυχὴ δὲ τοῦ κόσμου κατὰ τοὺς ἀντιδοξοῦντας, ὁ θεός. ἐκεῖνο δὲ οὐκ ἄξιον διαπορῆσαι, τίνα τρόπον ἔσται παλιγγενεσία πάντων εἰς πῦρ ἀναλυθέντων· ἐξαναλωθείσης γὰρ τῆς οὐσίας ὑπὸ πυρός, ἀνάγκη καὶ τὸ πῦρ οὐκ ἔχον τροφὴν ἀποσβεσθῆναι. μένοντος μὲν οὖν ὁ σπερματικὸς τῇ διακοσμήσει ἐσώζετο λόγος, ἀναιρεθέντος δέ, συναναιρεῖται. ὃ δέ ἐστιν ἔκθεσμον, καὶ ἀσέβημα ἤδη διπλοῦν, μὴ μόνον φθορὰν τοῦ κόσμου κατηγορεῖν, ἀλλὰ καὶ παλιγγενεσίαν ἀναιρεῖν, ὥσπερ ἀκοσμίᾳ καὶ ἀπραξίᾳ καὶ τοῖς πλημμελέσι πᾶσι χαίροντος θεοῦ. τὸν δὲ λόγον ἀκριβέστερον ἤδη διερευνητέον. πυρὸς τριττὸν εἶδος, τὸ μὲν ἄνθραξ, τὸ δὲ φλόξ, τὸ δὲ αὐγή. ἄνθραξ μὲν οὖν ἐστι, πῦρ ἐν οὐσίᾳ γεώδει, ὃ τρόπον ἕξεως πνευματικῆς περιφάλληνε καὶ ἔλλοχα δι' ὅλης ἄχρι περάτων τεταμένον· φλὸξ δέ ἐστιν ὅπερ ἐκ τροφῆς αἴρεται μετεωριζόμενον. αὐγὴ δὲ τὸ ἀποστελλόμενον ἐκ φλογός, συνεργὸν ὀφθαλμοῖς εἰς τὴν τῶν ὁρατῶν ἀντίληψιν.

A vt dissoluantur, sicut nostra corpora, multis pestibus obnoxia se potentioribus. ille vero inuicto pollet robore, & omnia longe superat. quid si per ablationem qualitatis? id quidem est impossibile. manet enim, vt aiunt aduersarij, qualitas & ornatus huius mundi vsque ad exustionem. quid si per confusionem? apage. tum enim fatendum esset corruptionem in nihilum redigi. quam ob rem? B quia si vnumquodque elementum separatim corrumperetur, posset mutationem in aliud capere. quod vero simul omnia confusa pereant, cogitatio est rerum impossibilium. Præterea, si exurentur, inquit, omnia, quid interim Deus faciet, nihilne omnino? quod merito miretur aliquis. nunc enim inspicit singula, paternam curam gerens rerum omnium: & vt vera fateamur, aurigæ more gubernatorisque regit & gubernat vniuersa, soli, C lunæ cæterisque sideribus, aeri quoque ac reliquis mūdi partibus assistēs, cooperando quicquid ad vniuersitatis perpetuitatem rectámque & inculpabilem dispensationem pertinet. quod si cuncta perierint, segnis & ociosus vitā iniucundam viuet: quo quid dici potest absurdius? piget me vlterius nefarijs verbis procedere: mortem etiā in Deum cadere, si cadit ocium. nam si sempiternum motum adimas animę, ipsam quoque rebus eximes. est autem aduersariorum opinione Deus mundi D anima. Quid illud nónne quæsitu dignū, quomodo reparatio sequatur omnibus rebus absumptis incēdio? exusta enim substantia, necesse est & ignem extingui destitutū fomento. qui si maneret, seruari poterat scintilla seminalis ad ornandam instruendámque aliā materiam: sublato autem illo, hæc quoque vnà tollitur. id verò asserere, iam duplex fuerit impietas, non modo mūdum infamare vt corruptibilem, sed & instaurationem eius negare, quasi E Deus perturbatione, cessatione ac erratis gaudeat. Inspiciamus hanc rationem diligentius. Ignis dicitur tripliciter, vel pruna, vel flamma, vel splendor. pruna est ignis in materia terrea, spirituali quadam habitudine peruadens totam vsque extremitates. flamma est id quod è fomite fertur in sublimia. splendor verò qui à flamma emittitur, oculos adiuuans ad percipienda visibilia.

splendorem inter & prunam flamma est media. in prunas enim subdidit, excitata habet splendorem, qui fulget sine vi vrendi. ergo si exustione dissolui mundum placet, prunæ inde non fient, alioqui multum terreni relinquetur post incendium. placuit autem prius sententia quæ negat vllum corpus posse tum subsistere, sed terræ, aquæ, aeris elementa in merum ignem abitura. at nec flamma, alimento destituta, quod ni relinquatur, ipsa extinguetur continuo. Vnde colligitur ne splendorem quidem inde posse fieri: quandoquidem is per se non subsistit, quippe qui à prioribus procedit, pruna flammáque, ab hac maior, ab illa minor. à flamma enim longe latéque diffunditur. ergo cum illa priora demonstratum sit in exustione nusquam existere, nec splendor ibi aderit. nam diurnus ille splendor egregius, sole subterraneum curriculum emetiente noctu mox euanescit, præsertim si luna sileat. ergo mundus non exuritur, sed est incorruptibilis. quod si exuretur, non reparabitur alius. ideo quidam è Stoicis acutius prospicientes fore vt conuincantur, conati sunt tanquam moribundæ huic propositioni medicinam facere. sed frustra. cum enim motus causa sit ignis, ex motu verò sumatur generationis principium, & sine motu gigni quicquam sit impossibile, negarunt post exustionem ante mundi principium extinctum iri vniuersum ignem. nam aliquantum superfore. vehementer enim metuebant ne toto extincto cessarent omnia sine spe instaurationis, rerum autore motu sublato. Verùm ista figmenta sunt hominum, technas & vaniloquia contra veritatem quærentium. quare? quia mundum exustione fieri prunæ similem docuimus impossibile, nisi supersit multa terrena substantia quæ ignem capiat. sed ita non vinceret exustio, siquid residuum maneret è terra elemento grauissimo. necesse est igitur vt in flammam aut in splendorem abeat. in flammam, vt Cleanthes opinatur: in splendorem, vt Chrysippus. sed si flamma fiet, vbi deficere inceperit, simul & semel non paulatim extinguetur. nam cum alimento viget, quo tota diffunditur, eodem destituta minuitur, id ex quo-

A μέσην δὲ χώραν αὐγῆς τε καὶ ἄνθρακος, εἴληχε φλόξ. σβεσθεῖσα μὲν γὰρ, εἰς ἄνθρακα τελευτᾷ, ζωπυρηθεῖσα δὲ ἔχει φέγγος, ὃ τὴν καυστικὴν ἀφῃρημένον δύναμιν, ἀστράπτει. εἰ κατὰ τὴν ἐκπύρωσιν οὖν τὸν κόσμον ἀναλύεσθαι φασὶν, ἄνθραξ μὲν οὐκ ἂν γένοιτο, διότι παμπληθὲς ὑπολείψεται τοῦ γεώδους, ᾧ τὸ πῦρ ἐγκατειλῆφθαι συμβέβηκεν. ἀρέσκει δὲ μηδὲν τότε τῶν ἄλλων ὑφεστάναι σωμάτων, ἀλλὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα εἰς ἄκρατον πῦρ ἀναλελύσθαι· καὶ μὴν οὐδὲ φλόξ.
B ἅμα γὰρ τροφὴ ἐστιν. μηδενὸς δὲ καταλειφθέντος ἀτροφήσει, αὐτίκα ἀποσβεσθήσεται. τούτοις ἕπεται τὸ μηδὲ αὐγὴν ἀποτελεῖσθαι. καθ' ἑαυτὴν γὰρ ὑπόστασιν οὐκ ἔχει, ῥεῖ δὲ ἀπὸ τῶν προτέρων ἄνθρακός καὶ φλογός, ἀφ' οὗ μὲν ἐλάττων, πολλὴ δὲ ἀπὸ φλογός· χεῖται γὰρ ἐπὶ μήκιστον. ἐκείνων δὲ ὡς ἐδείχθη κατὰ τὴν ἐκπύρωσιν οὐκ ὄντων, οὐδὲ ἂν αὐγὴ γένοιτο. καὶ γὰρ ἡ μεθημερινὴ πολλὴ καὶ βαθεῖα αὐγὴ, τοῦ ὑπὸ γῆς ἡλίου δρό-
C μον ἰόντος, εὐθὺς ἀφανίζεται νυκτὶ, καὶ μάλιστ' ἀσελήνῳ. οὐ τοίνυν ἐκπυροῦται ὁ κόσμος, ἀλλ' ἔστιν ἄφθαρτος· εἰ δὲ ἐκπυρωθήσεται, ἕτερος οὐκ ἂν γένοιτο· διὸ καί τινες τῶν ἀπὸ τῆς στοᾶς ὀξυδερκέστεροι ἐκ μακροῦ θεασάμενοι τὸν ἐπιφερόμενον ἔλεγχον, ἠξίωσαν ὥσπερ θανόντι κεφαλαίῳ βοηθήματα περιβρεπίζεσθαι· τὰ δὲ οὐδὲ ἦν ὄφελος. ἐπειδὴ γὰρ αἴτιον κινήσεως ἐστὶ τὸ πῦρ, κίνησις δὲ γενέσεως ἀρχὴ, γενέσθαι δὲ ἄνευ κινήσεως ὁτιοῦν ἀδύνατον, ἔφασαν ὅτι μετὰ τὴν ἐκπύρω-
D σιν, ἐπειδὰν ὁ νέος κόσμος μέλλῃ δημιουργεῖσθαι, σύμπαν μὲν τὸ πῦρ οὐ σβέννυται· ποσὴ δέ τις αὐτοῦ μοῖρα ὑπολείπεται. πάνυ γὰρ ηὐλαβήθησαν, μὴ σβεσθέντος ἀθρόου, μένῃ τὰ πάντα ἡσυχάσαντα ἀδιακόσμητα, τοῦ τῆς κινήσεως αἰτίου μηκέτ' ὄντος· εὑρεσιλογούντων δὲ πλάσματα ταῦτ' ἐστὶ, καὶ κατὰ τῆς ἀληθείας τεχναζόντων· τί δήποτε· ὅτι τὸν κόσμον ἐκπυρωθέντα, γενέσθαι μὲν ἄνθρακι παραπλήσιον ἀμήχανον ὡς δέδεικται, γεώδους
E πολλῆς αὖθις ὑπολειφθείσης οὐσίας ἣ δεῖ τὸ πῦρ ἐνοχλεῖν· ἴσως δὲ οὐκ ἐκπυρώσεως τότε κρατούσης, εἴγε μέρος τὸ στοιχείων βαρύτατον καὶ δυσαναλύτατον ἔτι, γῆ μὴ διαλυθεῖσα· μεταβάλλειν δὲ ἢ εἰς φλόγα, ἢ εἰς αὐγὴν ἀναγκαῖον· εἰς μὲν φλόγα, ὡς ᾤετο Κλεάνθης, εἰς δὲ αὐγὴν, ὡς ὁ Χρύσιππος. ἀλλ' εἴτε φλὸξ γένηται, βαπομένη πρὸς σβέσιν ἅπαξ οὐκ ἐκ μέρους, ἀλλ' ἀθρόα σβεσθήσεται. συνυπάρχει γὰρ ἡ τροφή· διὸ πολλῆς μὲν οὔσης ἐπιδίδωσι καὶ χεῖται, στελλομένης δὲ μειοῦται.

τεκμηριώσαιτο δ' ἄν τις ἀπὸ τῶν παρ' ἡμῖν τὸ γινόμενον· ὁ λύχνος ὡς μὲν τις ἔλαιον ἐγχέῃ, περιφεγγεστάτην ἀποδίδωσι φλόγα· ἐπειδὰν δ' ἐπιλίπῃ δαπανήσας ὅσον τῆς τροφῆς λείψανον, αὐτίκα κατέσβεσται μηδὲν μέρος ταμιευσάμενος τῆς φλογός· εἰ δὲ μὴ τοῦτο, ἀλλ' αὐγὴ γὰρ, πάλιν ἀθρόα μεταβάλλει· διὰ τί· διότι ὑπόστασιν οὐκ ἔχει, γίνεται δ' ἐκ φλογός, ἧς ὅλης δι' ὅλων σβέσιν λαμβανούσης, ἀνάγκη καὶ τὴν αὐγὴν μὴ κατὰ μέρος, ἀλλ' ἀθρόαν ἀναιρεῖσθαι. ὃ γὰρ πρὸς τροφὴν φλόξ, τοῦτο αὐγὴ πρὸς φλόγα. καθάπερ οὖν τροφῇ συναναιρεῖται φλόξ, καὶ αὐγὴ φλογί· ὥστ' ἀμήχανον παλιγγενεσίαν τὸν κόσμον λαβεῖν, μηδενὸς ἐντετυφωμένου σπερματικοῦ λόγου, πάντων δὲ δαπανηθέντων, τῶν μὲν ἄλλων ὑπὸ πυρὸς, αὐτοῦ δ' ὑπ' ἐνδείας. ἐξ ὧν ἐστι δῆλον ὅτι ἀγένητος καὶ ἄφθαρτος ὢν διατελεῖ. φέρε δ' οὖν, ὥς φησι Χρύσιππος, τὸ ἀναστοιχειοῦσαν τὴν διακόσμησιν εἰς αὐτὸ πῦρ, τοῦ μέλλοντος ἀποτελεῖσθαι κόσμου σπέρμα εἶναι, κἂν ἐπ' αὐτοῦ πεφιλοσόφηκε, μηδὲν ἐψεῦσθαι· πρῶτον μὲν, ὅτι καὶ ἐκ σπέρματος ἡ γένεσις, καὶ εἰς σπέρμα ἡ ἀνάλυσις· ἔπειτα δ', ὅτι φυσιολογεῖται ὁ κόσμος καὶ φύσις λογική, οὐ μόνον ἔμψυχος ὤν, ἀλλὰ καὶ νοερὸς, πρὸς δὲ καὶ φρόνιμος. ἐκ τούτων, τοὐναντίον οὗ βούλεται κατασκευάζεται, τὸ μηδέποτε φθαρήσεσθαι. αἱ δὲ πίστεις προχειρόταται τοῖς συνεξετάζειν μὴ ἀποκνοῦσιν. ἐοικὼς ὁ κόσμος, ἢ φυτῷ ἔοικεν, ἢ ζώῳ· ἀλλ' εἴτε φυτόν ἐστιν, εἴτε καὶ ζῶον, κατὰ τὴν ἐκπύρωσιν φθαρεὶς, οὐδέποτε αὐτὸς αὐτοῦ γενήσεται σπέρμα. μαρτυρεῖ δὲ τὰ παρ' ἡμῖν, ὧν οὐδὲν οὐκ ἔλαττον, οὐ μεῖζόν ποτε φθαρὲν εἰς σώματος ἀποκρίθη γένεσιν. οὐχ ὁρᾷς ὅσαι μὲν ἡμέρων φυτῶν ὗλαι, ὅσαι δὲ ἀγρίων κατὰ πᾶν μέρος γῆς ἀνακέχυνται; τούτων τῶν δένδρων ἕκαστον, ἄχρι μὲν ὑγιαίνει τὸ στέλεχος, ἅμα τῷ καρπῷ καὶ τὸ ὄχημα τίκτει· μήκει δὲ χρόνων ἀφανισθὲν, καὶ ἄλλως αὐταῖς ῥίζαις φθαρὲν, οὐδέποτε τὴν ἀνάλυσιν εἰς σπέρμα ἔλαβε· τὸν αὐτὸν μέντοι τρόπον καὶ τὰ γένη τῶν ζώων, ἃ μηδὲ εἰπεῖν διὰ πλῆθος ῥᾴδιον, ἄχρι μὲν πρόεισι καὶ ἡβᾷ, σπέρμα προΐεται γόνιμον· τελευτήσαντα δ' οὐδαμῇ οὐδαμῶς γίνεται σπέρμα. καὶ γὰρ εὐήθες ἄνθρωπον ζῶντα μὲν ὀγδόῳ μέρει ψυχῆς, ὃ καλεῖται γόνιμον, πρὸς τὴν τοῦ ὁμοίου σπορὰν χρῆσθαι, τελευτήσαντα δὲ, ὅλῳ ἑαυτῷ. θάνατος γὰρ ζωῆς οὐκ ἐστὶ ἀνυσιμώτερος· ἄλλως τε τῶν ὄντων οὐδὲν ἐκ μόνου σπέρματος δίχα τῆς οἰκείας τροφῆς ἀποτελεῖται.

A tidiano vſu licet colligere. lucerna quamdiu rigatur oleo, flammam emittit lucidam, quo abſumpto ſtatim extinguitur, ac ne tantillum quidem ex ea fit reliquum. quòd ſi dicas mundum in ſplendorem non in flammam abire, rurſum ſimul & ſemel mutabitur. quare? quia per ſe non ſubſiſtit, ſed è flamma naſcitur, qua prorſus extincta ſplendor eodem momento interit. ſicut enim flamma ſe habet ad fomitem, ſic ſplendor ad
B flammam. ergo ſicut flamma deficit cum fomite, ſic ſplendor cum flamma. itaque impoſſibilis eſt mundi reparatio, nulla ſcintilla ſeminali reliqua, omnibus igne abſumptis, ipſo verò igne alimentorum inopia. Vnde liquet eum eſſe ingenitum & incorruptibilem. ergo ſecundum Chryſippum mundus reparabitur ipſo igne præbente vicem ſeminis, ſi vera eſt eius philoſophi ſententia. primum quia è ſemine generatio fit, & in ſe-
C men reſolutio. deinde quia phyſici aiunt mundum eſſe rationalem naturam, non ſolum animatum ſed intelligentem atque prudentem etiam. hinc contrarium quam ipſe proponit colligitur, quòd mundus nunquam corrumpatur. argumenta in promptu ſunt, ſi rem examinare non pigeat. Aut arbori ſimilis eſt mundus, aut animali. ſed ſiue arbor eſt ſiue animal, per exuſtionem corruptus nunquam ſibiipſe erit pro ſemine. atteſtantur
D iſtæ ſpecies quæ ſemper nobis in vſu ſunt, ex quibus nulla ſemel corrupta, ſeu parua ſeu magna ſit, habet vim proſeminandi corporis. Nónne vides quàm multæ per ſingulos dies exoriantur mites arbores, quam multæ ſilueſtres, in quibuſlibet terræ partibus? harum ſingulæ quamdiu ſtirps ſana eſt, cum fructu pariunt & eius ſuſtentaculum. tandem vetuſtate aut quauis iniuria perditæ radicitus, nunquam in ſemen diſſolutæ ſunt. eodem modo & animalium ſpecies, quas
E nemo facile numerauerit, quàm diu viuunt & vigent, emittunt genitalia ſemina: poſt obitum nuſquam vllum ſemẽ fit reliquum. ſtulta enim eſt opinio, hominem viuum octaua parte animæ, quæ pars genitalis dicitur, vti ad proſeminandum quiddam ſui ſimile: defunctum verò, toto ſeipſo. nam mors non eſt vita efficacior. & alioqui nulla res è ſolo ſemine abſque proprijs

alimentis perficitur. semen enim est simile principio. principium autem per se solum nullos perfectos fœtus edit. Caue putes spicas è solo frumento in aruum iacto prouenire: plurimum iuuantur à terra duplex nutrimentum subministrante, humidum & aridum. in vuluis quoque fœtus formati non solo viuificantur semine, sed & externis alimentis rigantur, quæ à prægnante suggeruntur. quorsum ista memoro? quoniam in exustione semen solum absque alimento supererit, igne absumptis cæteris. itaque in regeneratione mundi claudicabit ista imperfecta generatio, sublato quo seminale principium sustentetur adminiculo: quod quidem absurdum & inconsistens esse ipse rerum effectus indicat. Item quæcumque generationem sumunt è semine, in maiorem eo molem excrescunt, & maiorem locum occupant. videmus sæpe arbores procerissimas ortas è minimo granulo, & vastas beluas è liquore natas exiguo. & hæc vt ante diximus, statim à natiuitate parua sunt, crescunt autem donec ad perfectionem veniant. at in mundo eueniet contrarium. semen & maius erit, & maiorem locum occupabit: quod autem inde prouenit, minus & loco minore circumscriptum. præterea mundus ex semine constans non paulatim lentis incrementis augebitur, sed è maiore mole in minorem contrahetur. id ita esse quiuis facile perspexerit. omne corpus quod igne dissoluitur, late diffunditur, post extinctam verò flammam contrahitur: nec est in re tam manifesta opus vllis testibus aut probationibus. proinde mundus ignitus fiet maior, vtpote vniuersa eius substantia resoluta in ætherem tenuissimum. quod vt opinor, prospicientes Stoici, extra mundum aiunt esse inanē infinitum, ne cum diffusionem infinitam admittat, locum eius diffusionis capacem non habeat. ergo quando in tantum augetur, vt infinitam inanis naturam extensione sua propemodum exæquet, ita se habet vt semen, iuxta rationes ipsorum. quando verò partes eius rite perficiuntur, extinctus ignis in aerem crassum vertitur, aer contractus

A σπέρμα γὰρ ἔοικεν ἀρχῇ. ἀρχὴ δὲ καθ' ἑαυτὴν, οὐ τελεσφορεῖ. μὴ γὰρ ἂν νομίσῃς τὸν στάχυν ἐκ μόνου τοῦ καταβληθέντος ὑπὸ γεωργῶν εἰς τὰς ἀρούρας βλαστάνειν πυροῦ· τὸ δὲ πλεῖστον εἰς αὔξησιν αὐτὴν συνεργεῖν, ὑγράν τε καὶ ξηρὰν διττὴν ἐκ γῆς τροφήν· καὶ τὰ ἐν μήτραις αὖ τοι διαπλαττόμενα πέφυκεν οὐκ ἐκ μόνου ζωογονεῖσθαι σπέρματος, ἀλλὰ καὶ τῆς ἔξωθεν ἀρδομένης τροφῆς, ἣν ἡ κύουσα προσφέρεται. πρὸς δὴ τί ταῦτα λέγω· ὅτι κατὰ τὴν ἐκπύρωσιν σπέρμα μόνον ὑπολειφθήσεται

B τροφῆς μὴ ὑπαρχούσης, ἁπάντων ὅσα τρέφειν ἔμελλεν εἰς πῦρ ἀναλυθέντων· ὥσθ' ὁ κατὰ τὴν παλιγγενεσίαν ἀποτελούμενος κόσμος, χωλὴν καὶ ἀτελῆ γένεσιν ἕξει τοῦ μάλιστα πρὸς τελείωσιν συνεργοῦντος, ᾧ καθάπερ βάκτρῳ τινὶ τὴν σπερματικὴν ἀρχὴν ἐφιδρύεσθαι συμβέβηκεν, ἐφθαρμένου. τοῦτο δὴ ἦν ἄτοπον, ἐξ αὐτῆς ἐλεγχόμενον τῆς ἐνεργείας. ἔτι τοίνυν ὅσα λαμβάνει τὴν γένεσιν ἐκ σπέρματος, μείζονα τὸν ὄγκον ἐπὶ τοῦ πεποιηκότος, καὶ ἐν τόπῳ μείζονι θεωρεῖται. δένδρα γοῦν

C οὐρανομήκη πολλάκις ἀναβλαστάνει ἐκ βραχυτάτης κέγχρου, καὶ ζῷα πόντια καὶ περιμηκέστατα ἐξ ὀλίγου τοῦ προεθέντος ὑγροῦ. ἀλλὰ καὶ τὸ μικρῷ πρότερον εἰρημένον συμβαίνει, κατὰ μὲν τὸν γειτνιῶντα τῇ γενέσει χρόνον, βραχύτερα τὰ γεννηθέντα εἶναι, μεγαθύνεσθαι δ' αὖθις ἄχρι παντελοῦς τελειώσεως· ἐπὶ δὲ τοῦ παντὸς γενήσεται τοὐναντίον. τὸ μὲν γὰρ σπέρμα καὶ μεῖζον ἔσται, καὶ πλείονα τόπον ἐφέξει· τὸ δ' ἀποτέλεσμα βραχύτερον καὶ ἐν ἐλάττονι φανεῖται τόπῳ· καὶ ὁ κόσμος ἐκ σπέρματος συ-

D νιστάμενος οὐκ ἐκ τῆς κατ' ὀλίγον ἐπιδόσεως πρὸς αὔξησιν, ἀλλ' ἔμπαλιν ἐξ ὄγκου μείζονος εἰς ἐλάττονα συναιρεθήσεται. τὸ δὲ λεγόμενον ῥᾴδιον συνιδεῖν· ἅπαν σῶμα διαλυόμενον εἰς πῦρ, ἀναλύεται καὶ χεῖται· σβεννυμένης δὲ τῆς ἐν αὐτῷ φλογὸς, στέλλεται καὶ συνάγεται. πίστεων δὲ τοῖς οὕτως ἐμφανέσι πρὸς μαρτυρίαν ὡς ἀδηλουμένοις, οὐδεμία χρεία. καὶ μὴν ὁ κόσμος ὁ πυρωθεὶς, γενήσεται μείζων, ἅτε συμπάσης τῆς οὐσίας εἰς τὸν λεπτότατον ἀναλυθείσης

E αἰθέρα. ὅ μοι δοκοῦσι καὶ οἱ στωϊκοὶ προορώμενοι, κενὸν ἄπειρον ἐκτὸς τοῦ κόσμου τῷ λόγῳ καταλιπεῖν, ἵν' ἐπὶ χύσιν ἀπέραντόν τινα ἔμελλε λήψεσθαι, μὴ ἀπορῇ τοῦ δεξομένου χωρίου τὴν ἀνάχυσιν. ὅτε μὲν οὖν εἰς τοσοῦτον ἐπιδέδωκε καὶ συνηύξηται ὡς μονονουχὶ καὶ τῇ ἀορίστῳ τοῦ κενοῦ φύσει διὰ τῆς ἐλάσεως ἀπείρῳ μεγέθει συνδραμεῖν, σπέρματος ἔχει καὶ αὖθις λόγον· ὅτε δὲ κατὰ τὴν ἐπαλληλίαν οὐσίαν ἐκ τελείων τῶν μερῶν τῆς συμπάσης οὐσίας, στελ-

λυομένου μὲν κατὰ τὴν σβέσιν τοῦ πυρὸς εἰς παχυμερέστερον ἀέρα, συλλεγομένου δὲ ἀέρος εἰς ὕδωρ καὶ συνιζάνοντος, παχυνομένου δὲ ἔτι μᾶλλον ὕδατος κατὰ τὴν εἰς γῆν τὸ πυκνότατον τῶν στοιχείων μεταβολήν. ἔστι δὲ ταῦτα παρὰ τὰς κοινὰς ἐννοίας τὴν δυναμένην ἀκολουθίαν πράγματος ἐκλογίζεσθαι. δίχα τοίνυν τῶν εἰρημένων κἀκείνῳ χρήσαιτο ἄν τις εἰς πίστιν, ὃ καὶ τοὺς μὴ πέρα τοῦ μετρίου φιλονεικοῦντας αἱρουμένους ἐπιστρέφει· τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον τὸ μὲν εἶναι, τὸ δὲ μή. λευκοῦ γὰρ ὄντος, ἀνάγκη καὶ μέλαν ὑπάρχειν, καὶ μεγάλου βραχύ, καὶ περιττοῦ ἄρτιον, καὶ γλυκέος πικρόν, καὶ ἡμέρας νύκτα, καὶ ὅσα τούτοις ὁμοιότροπα. γινομένης δὲ ἐκπυρώσεως, ἀδύνατόν τι συμβήσεται. τὸ μὲν γὰρ ἕτερον ὑπάρξει τῶν ἐν τῇ συζυγίᾳ, τὸ δὲ ἕτερον οὐκ ἔσται. φέρε δὴ οὕτως διασκοπώμεθα· πάντων εἰς πῦρ ἀναλυθέντων, κοῦφον μὲν ἔστι τι καὶ μανόν, καὶ θερμὸν ἴδια πυρὸς ταῦτα· βαρὺ δ' οὐδέν, ἢ ψυχρόν, ἢ πυκνόν, τὰ τοῖς λεχθεῖσιν ἐναντία. πῶς οὖν ἄν τις ἐπισχοίη μᾶλλον τὴν πεπλεγμένην ἐκ τῆς πυρώσεως ἀκοσμίαν, ἢ τὰ φύσει συνυπάρχοντα δείξας ἀπαρτώμενα τῆς συζυγίας; ἡ δ' ἀλλοτρίωσις ἐπὶ τοσοῦτον κεχώρηκεν, αὖθις μὲν ἀϊδιότητα προσομολογεῖν, τοῖς δὲ τὸ ἀνύπαρκτον. ἔτι τοίνυν κἀκεῖνό μοι δοκεῖ μὴ ἀπὸ σκοποῦ τοῖς ἰχνηλατοῦσι τἀληθὲς εἰρῆσθαι· φθειρόμενος ὁ κόσμος, ἤτοι ὑπό τινος ἑτέρας φθαρήσεται αἰτίας, ἢ ὑπὸ θεοῦ· ὑπ' ἄλλης μὲν οὐδενὸς τὸ περιέχον δέξεται διάλυσιν. οὐδὲν γάρ ἐστιν ὃ μὴ περιέχει· τὸ δὲ περιεχόμενον καὶ κρατούμενον ἀσθενέστερον δήπου τοῦ περιέχοντος, ὑφ' οὗ καὶ κατακρατεῖται· ὑπὸ δὲ θεοῦ φθείρεσθαι λέγειν αὐτόν, πάντων ἀνοσιώτατον. ὁ γὰρ θεὸς οὐκ ἀταξίας καὶ ἀκοσμίας καὶ φθορᾶς, ἀλλὰ τάξεως καὶ εὐκοσμίας καὶ ζωῆς, καὶ πάντων αἴτιος ὁμολογεῖται τῶν ἀρίστων παρὰ τοῖς πλήθεσι δοξάζουσι. θαυμάσαι δ' ἄν τις τοὺς τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας θρυλοῦντας, οὐ μόνον ἕνεκα τῶν εἰρημένων εἰς ἀπελέγχους ψευδοδοξοῦντας, ἀλλὰ καὶ δι' ἐκεῖνο μάλιστα. τεττάρων γὰρ ὄντων στοιχείων ἐξ ὧν ὁ κόσμος συνέστηκε, γῆς, ὕδατος, ἀέρος, πυρός, τίνος ἕνεκεν πάντων ἀποκληρωσάμενοι τὸ πῦρ, τὰ ἄλλα φασὶν εἰς τοῦτο μόνον ἀναλυθήσεσθαι. δέον γὰρ εἴποι τις ἄν· πῶς οὐκ εἰς ἀέρα ἢ ὕδωρ ἢ γῆν; ὑπερβάλλουσαι γὰρ καὶ ἐν τούτοις εἰσὶ δυνάμεις. ἀλλ' οὐδεὶς ἐξαεροῦσθαι, ἢ ἐξυδατοῦσθαι, ἢ ἀπογεοῦσθαι τὸν κόσμον εἶπεν, ὥστ' εἰκὸς ἦν μηδὲ ἐκπυροῦσθαι φάναι. χρὴ μέντοι καὶ τὴν συνυπάρχουσαν ἰσονομίαν τῷ κόσμῳ κατανοήσαντας, ἢ δίκην,

A in aquam subdidit, aqua item magis crassata mutatur in terram elementum omnium densissimum. hæc & sensu communi percipiuntur, & colliguntur ex ipsa rerum serie. Quin & alio possumus vti argumento satis efficaci ad persuadendum hominibus vel difficilibus, modo ne nimis contentiosi sint. In his quæ iugatim inter se sunt contraria, alterum esse, alterum non esse, apparet impossibile. nam si est album, est &
B nigrum: si magnum, & paruum: si par, & impar: si dulce, & amarum: si dies, & nox: & cætera similiter. quod si fiat exustio, fiet aliquid impossibile. nam ex coniugatis alterum erit, alterum non. Age consideremus rem ad hunc modum. omnibus in ignem resolutis erit aliquid leue, rarum, calidum: graue nihil, aut densum, aut frigidum, prædictis contraria. & quomodo potest validius improbari ista exustionis perplexitas, quam si persuasum sit natu-
C ra coniugationes has cohærere. at ista noua opinio parti alteræ æternitatem astruens, omnino tollit alteram. Illud quoque non alienum à scopo videtur veritatis inuestigatoribus. Mundus si corrumpetur, aut ab aliqua externa causa corrumpetur, aut à Deo. ab externa causa non: nihil enim est quod non contineat. contentum autem continente vtique infirmius est, à quo comprehendi-
D tur. cæterum à Deo corrumpi eum, nefas est dicere. nam Deus non perturbationis, fœditatis, corruptionis, sed ordinis, ornatus, vitæ, omnisque boni autor creditur apud veris opinionibus deditos. merito igitur mireris assertores exustionum regenerationúmque, non tantum quia pro falsis reijciuntur conuictæ argumentis quibus diximus, sed & hanc ob causam. Cum sint quatuor elementa ex quibus mundus constat, terra, aqua, aer, ignis, cur ignem à
E cæteris separando aiunt in eum resolui omnia? cur non (dicat aliquis) in aerem, aut aquam, aut terram? insunt enim & his vires potentissimæ. nemo tamen dixit mundum abire in aquam, aut in terram, aut in aerem. itaque ne igniri quidem totus verisimiliter dicitur. nec minus oportet considerantes æquum ius mundi partium, religione reuerentiáque deterreri quo

ὅλου. ἐξελήλεγκται γὰρ καὶ κατὰ τοῦτο. ἀλλ᾽ ἀφαιρεθῆναι; πρῶτον μὲν τὸ ἀφαιρεθὲν πάλιν κόσμος ἔσται τοῦ νῦν βραχύτερος, ἔπειτα ἀμήχανον ἔξω τι σῶμα τοῦ ὅλου διαρτηθὲν τῆς συμφυΐας σκεδασθῆναι. ἀλλὰ τὰ μέρη μετατεθῆναι; μένει μὲν οὖν ἐν ὁμοίοις τοῖς τόποις οὐκ ἀμαλλάττοντα. οὐ γὰρ ἐποχήσεται ποτε ἐπὶ ὕδατι πᾶσα γῆ, οὐδ᾽ ὕδωρ ἀέρι, οὔτε ἀὴρ πυρί· ἀλλὰ τὰ μὲν φύσει βαρέα ἐν γῇ, καὶ ὕδωρ τὸν μέσον ἐφεξῆς τόπον, γῆς μὲν θεμελίου τρόπον ὑφιδρυούσης, ὕδατος δὲ ἐπιπολάζοντος· ἀὴρ δὲ καὶ πῦρ τῇ φύσει κοῦφα, τὸν ἄνω, πλὴν οὐχ ὁμοίως. ἀὴρ γὰρ πυρὸς ὄχημα γέγονε, τὸ δ᾽ ἐποχούμενον ἐξ ἀνάγκης ὑπερφέρεται. καὶ μὴν οὐδὲ κατ᾽ ἀλλοίωσιν φθείρεσθαι νομιστέον. ἰσοκρατὴς γὰρ ἡ τῶν στοιχείων μεταβολή· τὸ δ᾽ ἰσοκρατὲς ἀκλινοῦς βεβαιότητος καὶ ἀσαλεύτου μονῆς αἴτιον, ἅτε μὴ πλεονεκτοῦν, μήτε πλεονεκτούμενον. ὥσθ᾽ ἡ ἀντίδοσις καὶ ἡ ἀντέκτισις τῶν δυνάμεων ἀναλογίας ἐξισουμένη κανόσιν, ὑγείας καὶ ἀτελευτήτου σωτηρίας δημιουργός· ἐξ ὧν ἀΐδιος ὁ κόσμος ἐπιδείκνυται. Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας, ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερσαίων φθορᾶς κατὰ γένη ζώων. κατασκευάζει δὲ τὸ μὲν πρῶτον οὕτως· εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὼς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο· χθαμαλὰ δ᾽ ἤδη τὰ ὄρη πάντα ἐγεγένητο, καὶ οἱ γεώλοφοι πάντες ἰσόπεδοι τῇ πεδιάδι. τοσούτων γὰρ καθ᾽ ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ αἰδίου φερομένων, εἰκὸς ἦν τῶν διηρμένων πρὸς ὕψος, τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ᾽ ὑπονοστήσαντα κεχαλάσθαι, πάντα δὲ διὰ πάντων ἤδη λελειάνθαι· νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι, καὶ παμπόλλων ὀρῶν αἱ πρὸς αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ᾽ εἰσὶ τοῦ τὴν γῆν μὴ ἀΐδιον εἶναι. πάλαι γάρ, ὡς ἔφην, ἐν ἀπείρῳ χρόνῳ τῆς ἐπομβρίας ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα λεωφόρος ἐγεγένητο. πέφυκε γὰρ ἡ ὕδατος φύσις καὶ μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα, τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ, τὰ δὲ τῇ συνεχεῖ ψεκάδι κολάπτουσα κοιλαίνειν, ὑπεργάζεσθαί τε τὴν σκληρόγεων καὶ λιθώδη ταύτην ὀρυκτήρων οὐκ ἔλαττον. καὶ μὴν ἥ γε θάλασσα, φασίν, ἤδη μεμείωται, μάρτυρες δὲ αἱ νῆσοι αἱ ἐνδοξόταται, Ῥόδος τε καὶ Δῆλος. αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάσσης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ

A quod non sit huius vniuersi pars, inclusa comprehensáque in eo. auferemus forte aliquid? primum si quid auferatur, fiet inde nouus mundus alius priore minor: deinde impossibile est corpus aliquod ab vniuerso pendens diuelli separaríque. quid si partes transponantur? manent immotæ, nec mutant locum. nec enim terra super aquam attolletur, nec aqua super aerem, nec super ignem aer. sed quæ natura sunt grauia terram, B aqua medium locum occupabit, terra pro fundamento subdita, aqua verò superfluente. porrò aer ignisque ambo natura leuissimi, locum superiorem, sed non pariter. nam aer igni est pro vehiculo, quo ille sublimis vehitur. atqui ne per alterationem quidem corrumpi eum sit verisimile. æquipollens est enim elementorum mutatio. ea verò æquipollentia causa inconcussæ firmitatis est, vtpote cum nihil vel superetur, vel C exsuperet. itaque dum tantum virium recipitur quantum redditur, exæquatum ad proportionis regulam, sanitas infinitæ salutis opifex inde prouenit: quod æternitatis mundi argumentum est. Theophrastus eos qui generationem corruptionémque mundi asserunt, ait quatuor rebus falli præcipue, inæqualitate soli, maris decessionibus, corruptione singularum vniuersi partium, & speciatim interitu terrestrium animalium. primum de- D monstrat hoc modo. nisi aliquãdo terra habuisset generationis initium, nulla pars emineret in ea: solo æquati fuissent montes omnes, nec in campis extarent tumuli. si enim ab æterno delata fuisset quotannis tanta vis imbriũ, probabiliter editiora subsedissent abrepta torrentibus, & è diuerso assurgentibus campestribus complanata fuissent omnia. nunc verò tot asperitates locorum, & multorum montium ætheriæ celsitudines, terram non esse æternam indicant. alioqui (vt dixi) per E tempus infinitum superficies eius fuisset æquata in modum viæ regiæ. nam aquæ præsertim superne labentis ea natura est, vt quædam obstacula vi protrudat, alia guttatim excauet, nec minus quàm fossores durũ saxosúmque solum subruat. mare certe (aiunt) iam decreuit, vt testantur Rodus ac Delus insularum clarissimæ. nam hæ quondam sub marinis vndis latuerant,

A procedente verò tempore his paulatim decedentibus exortæ sunt, sicut proditur earum annalibus. Delum verò etiam Anaphen aliquando nominatam, vt ex vtroque nomine fides facti fieret, quoniam ἀναφανεῖσα δήλη, id est exorta clara est reddita, quæ antea latuerat. præterea magnorum marium magnos profundósque sinus exsiccatos continenti additos, cum incremento non contemnendo oræ proximæ, satis arbustisque consitæ. superesséque in his signa inundationis pristi- B næ, conchas marinósque calculos, & id genus alia quæ fluctus solent eijcere in littora: ideo Delum sic canit Pindarus: Salue dijs chara, pulchricomæ Latonæ stirpis gemellæ patria, Ponti filia, miraculum terrarum immobile: quam mortales Delon nominant, cælites verò beati, sidus telluris nigræ lucidissimum. Ponti filiam eam vocat, subindicans quod diximus. quod si minuitur mare, minuetur etiam terra, & tandem post multos an- C nos euolutos omnino absumetur in elementum aliud. sic aer quoque per continua detrimenta paulatim euanescet. postremo in vnum ignem abibunt omnia. Tertij capitis ratiocinatio talis est. Cuiuscunque rei partes sunt corruptibiles, ipsa quoque corrumpitur. mundi partes omnes sunt corruptibiles, ergo mundus est corruptibilis. id iam considerandum est, quod in hunc locum distulimus: quænam pars terræ (vt inde incipiamus) minuatur, D & tandem absumatur vetustate nimia. saxa durissima nónne putrescunt per imbecillitatem sui habitus? qui est intensi spiritus tenor quidam, vinculum haud sane rumpi facile, quod tamen tandem rumpitur. fiunt primum friabilia, resoluuntúrque in tenuem puluerem: dein absumuntur & omnino intereunt. aqua quoque torpescit ocio ni ventis iactetur, & fœtorem non aliter quàm cadauer contrahit. aeris por- E rò corruptionem ignorat nemo, quandoquidem & ipse tum morbum tum mortem potest recipere. quoniam si vera magis placent quàm speciosa nomina, quid aliud pestem licet dicere, quàm mortem aeris, malum suum diffundentis in animantium perniciem? de igne quid opus est multa dicere? destitutus alimento confestim extinguitur, claudus si poetis credimus, & ex seipso genitus. ideo subniti-

δ' ὕστερον ἐλαττωθείσης ἠρέμα, κατ' ὀλίγον ἀναδούσας διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι. τὴν δὲ Δῆλον, καὶ Ἀνάφην ὠνόμασαν, δι' ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπεὶ ἀναφανεῖσα δήλη ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι. πρὸς δὲ τούτοις μεγάλων πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας ἠπειρῶσθαι, καὶ γενέσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ λυπρὰν, ἀλλὰ σπειρομένους καὶ φυτευομένους· οἷς σημεῖα τὰ τῆς παλαιᾶς ἐναπολελεῖφθαι θαλαττώσεως, ψηφῖδάς τε καὶ κόχλας καὶ ὅσα ὁμοιότροπα πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι· διὸ καὶ Πίνδαρος ἐπὶ τῆς Δήλου φησί· Χαῖρ' ὦ θεοδμάτα, λιπαροπλοκάμου παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος, Πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅν τε βροτοὶ Δᾶλον κικλήσκοισι, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφατον κυανέας χθονὸς ἄστρον. θυγατέρα γὰρ Πόντου τὴν Δῆλον εἴρηκε, τὸ λεχθὲν αἰνιττόμενος. εἰ δὲ μειοῦται ἡ θάλαττα, μειωθήσεται καὶ ἡ γῆ· μακραῖς δ' ἐνιαυτῶν περιόδοις, καὶ εἰσάπαν ἑκάτερον στοιχεῖον ἀναλωθήσεται· δαπανηθήσεται δὲ καὶ ὁ σύμπας ἀὴρ, ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος· ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν οὐσίαν τὴν πυρός. πρὸς δὲ τὴν τοῦ τρίτου κατασκευὴν κεφαλαίου χρήσεται λόγῳ τοιῷδε· φθείρεται πάντως ἐκεῖνο οὗ πάντα μέρη φθαρτά ἐστι, τοῦ δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι, φθαρτὸς ἄρα ὁ κόσμος ἐστίν. ὃ δ' ὑπερεθέμεθα, νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵνα ἀπὸ ταύτης ἄρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλύεται; λίθων οἱ κραταιότατοι, ἆρ' οὐ μυδῶσιν, οὐ σήπονται κατὰ τὴν ἕξεως ἀσθένειαν; ἡ δ' ἐστὶ πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος, ἀλλὰ μόνον δυσδιάλυτος· θρυπτόμενοι καὶ ῥέοντες εἰς λεπτὴν τὸ πρῶτον ἀναλύονται κόνιν· εἶθ' ὕστερον δαπανηθέντες, ἐξαναλοῦνται. τί δ' εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο τὸ ὕδωρ ἀκίνητον ἐαθὲν ὑφ' ἡσυχίας νεκροῦται. μεταβάλλει γοῦν καὶ τὸ δυσῶδες ἅτε ψυχὴν ἀφῃρημένον ζῷον. αἱ γε μὴν ἀέρος φθοραὶ, πᾶσί που δῆλοι. νοσεῖν γὰρ καὶ φθίνειν καὶ τρόπον τινὰ ἀποθνήσκειν πέφυκεν. ἐπεὶ τί ἄν τις μὴ στοχαζόμενος ὀνομάτων εὐπρεπείας, ἀλλὰ τοῦ ἀληθοῦς, εἴποιμι λοιμὸν εἶναι, πλὴν ἀέρος θάνατον, τὸ οἰκεῖον πάθος ἀναχέοντος ἐπὶ φθορᾷ ἁπάντων ὅσα ψυχῆς μεμοίραται. τί χρὴ μακρηγορεῖν περὶ πυρός. ἀτροφῆσαν γὰρ αὐτίκα σβέννυται, χωλὸν, ἤ φασιν οἱ ποιηταὶ, γεγονὸς ἐξ ἑαυτοῦ· διὸ σκηριπτόμενον ὀρθοῦται κατὰ τὴν τῆς ἀναφθείσης ὕλης

ὕλης μόνον, ἐξαναλωθείσης δ᾽ ἀφανίζεται. τὸ παραπλήσιον αὐτοῖς καὶ τοὺς κατὰ τὴν ἰνδικὴν δράκοντάς φασι πάσχειν. ἀνέρποντας γὰρ ἐπὶ τὰ μέγιστα ζῴων ἐλέφαντας, περὶ τὰ νῶτα καὶ νηδὺν ἅπασαν εἱλεῖσθαι, φλέβα δ᾽ ἣν ἂν τύχῃ διελόντας ἐμπίνειν τοῦ αἵματος, ἀπλήστως ἐπισπωμένους βιαίῳ πνεύματι καὶ συντόνῳ ῥοίζῳ. μέχρι μὲν οὖν τινος ἐξαναλουμένους ἐκείνους ἀντέχειν ὑπ᾽ ἀμηχανίας ἀνασκιρτῶντας, καὶ τῇ προβοσκίδι τὴν πλευρὰν τύπτοντας, ὡς καθιξομένους τῶν δρακόντων, εἶτα ἀεὶ κενουμένου τοῦ ζωτικοῦ, πηδᾶν μὲν μηκέτι δύνασθαι, κραδαινομένους δ᾽ ἑστάναι· μικρὸν δ᾽ ὕστερον καὶ τῶν σκελῶν ἐξασθενησάντων κατασεισθέντας ἀποψύχειν· πεσόντας δὲ τοὺς αἰτίους τοῦ θανάτου συναπολλύναι τρόπῳ τοιῷδε· μηκέτ᾽ ἔχοντες τροφὴν οἱ δράκοντες, ὃν περιέθεσαν δεσμὸν ἐπιχειροῦσιν ἐκλύειν, ἀπαλλαγὴν ἤδη ποθοῦντες· ὑπὸ δὲ τοῦ βάρους τῶν ἐλεφάντων θλιβόμενοι πιέζονται, καὶ πολὺ μᾶλλον ἐπειδὰν τύχῃ στερεὸν καὶ λιθῶδες ἔδαφος. ἰλυσπώμενοι γὰρ καὶ πάντα ποιοῦντες εἰς διάλυσιν ὑπὸ τοῦ πιέζοντος βίας πεδηθέντες, ἑαυτοὺς πολυτρόπως ἐν ἀμηχάνοις καὶ ἀπόροις γυμνάσαντες ἐξασθενοῦσι, καθάπερ οἱ καταλευσθέντες, ἢ τείχους αἰφνίδιον ὑπενεχθέντος προκαταληφθέντες, οὐδ᾽ ὅσον ἀνακύψαι δυνάμενοι, πνιγῇ τελευτῶσιν. εἰ δὴ τὸ μέρος ἕκαστον τοῦ κόσμου φθείρεται, δῆλον ὅτι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος ἄφθαρτος οὐκ ἔσται. τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον. ὧδέ φασιν· εἰ κόσμος ἀΐδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα ἀΐδια, καὶ πολύ γε μᾶλλον τὸ ἀνθρώπων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ ὀψίγονον φαίνεται τοῖς βουλομένοις ἐρευνᾶν τὰ φύσεως. εἰκὸς γὰρ, μᾶλλον δ᾽ ἀναγκαῖον ἀνθρώποις συνυπάρξαι τὰς τέχνας, ὡς ἂν ἰσήλικας, οὐ μόνον ὅτι λογικῇ φύσει τὸ ἐμμέθοδον οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων οὐκ ἔνεστιν. ἴδωμεν οὖν τοὺς ἑκάστων χρόνους, ἀλογήσαντες τῶν ἐπιτραγῳδουμένων θεοῖς μύθων, μὴ ἀΐδιος ἄνθρωπος οὐδ᾽ ἄλλο τι ζῷον, ὅτ᾽ οὐδ᾽ αἱ δεδεγμέναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ ἀήρ, ἐξ ὧν τὸ φθαρτὸν εἶναι κόσμον δῆλόν ἐστι. ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρεσιλογίαν ἀπαντῆσαι, μή τις τῶν ἀπειροτέρων ἐνδῷ ὑπαχθείς. καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως ἀφ᾽ οὗ καὶ τῆς ἀπάτης οἱ σοφισταί. τὰς ἀνωμαλίας οὐκέτ᾽ ἐχρῆν εἶναι τῆς γῆς, εἴπερ ἀΐδιος ἦν ὁ κόσμος. διὰ τί, ὦ γενναῖοι; φήσειεν γὰρ ἕτερος παρελθόντες, ὅτι δένδρων οὐδὲν αἱ φύσεις τῶν ὀρῶν διαφέρουσιν· ἀλλὰ καθάπερ ἐκεῖνα χειμῶσι μὲν τοῖς φυλλορροεῖ, ἔαρι δὲ πάλιν ἀνηβᾷ.

A tur incensa materia, qua durante durat, deficiente disperit. idem aiunt accidere draconibus Indiæ. subrepere illos elephantis vastis beluis, ac terga ventrémque totum nexu obuoluere, móxque aliqua vena aperta bibere sanguinē exsugendo & exsorbendo auide. illos vero aliquantisper resistere subsultaréque anxios, & latera pulsare promuscide si quo modo queant draconum vim depellere, sed deficiente vitali spiritu non posse salire diu, stare
B tantum & cutem concutere. paulo post deficientibus etiam cruribus exhalare animam. quibus collapsis etiam interemptores eorum vnà perire ad hunc modum. Dracones absumpto alimento conantur nexus illos suos dissoluere, & expedire se cupiunt: sed elephātorum pondere premuntur grauiter, præsertim quoties inciderunt in terram saxosam & solidam. Torquentes enim se & nihil non tentantes vt dis-
C soluantur, nihil proficiunt tanta mole tardante: donec post multos conatus irritos destituuntur viribus, & velut rupis parietisve ruina occupati, ne caput quidem valent attollere, atque ita suffocati pereunt. Quod si partes mundi corrumpuntur singulæ, liquet ipsum quoque compositum ex his non esse incorruptibilem. Restat quarta ratio diligenter excutienda. Si mundus (aiunt) esset sempiternus, æterna essent & animalia, præsertim humanum
D genus, vt cæteris præstantius. at hunc videri sero genitum, si quis rerum naturam examinet. est enim probabile, imò necessarium, vnà cum hominibus artes fuisse æquæuas ipsis: non solum quia his est familiare compendium earum, verum etiam quia sine his non licet viuere. Videamus igitur singularum tempora, omissis tragicorum fabulis, num æternus sit homo aut aliud quod vis animal, quando ne loca qui-
E dem in quibus degunt, æterna sunt, terra, aqua, aer: vnde apparet mundum esse corruptibilem. Sed occurrendum est his argutationibus, ne quis imperitior cedat temere, & inde incipiendum contradicere, vnde sophistæ cœperunt decipere. Terra (aiunt) non fuisset inæqualis & aspera, si mundus æternus esset. Cur ô boni? potest enim responderi, prominentias istas montium nihil differre ab arboribus: & quomodo illæ certis temporibus nunc frondent nunc amittunt folia,

rursúmque repubescunt: vnde illud poeticum:

Quorum hæc ventus humi fundit, rursum illa virescens
Profert sylua, simul veris iam afflauerit aura:

sic de montibus quasdam partes defringi, & rursum adnasci alias. sed hæc incrementa vix tandem deprehendi, quòd arborum natura sit velocior, & augescat celerius: montes verò tardius, & ideo non nisi tarde augmenta eorum sentiantur. Videntur isti nescire quomodo ipsi sunt geniti, alioqui fortasse tacerent. Sed quid vetat eos admoneri? præsertim non è nostra, verùm è priscorum sapientum sententia, qui nihil scitu dignum inscrutatum reliquerunt. Quando ignis ille terræ inclusus suapte vi sursum fertur, ascendit ad locum sibi proprium: & quoties ei datur interspirare, secum rapit plurimum terrenæ substantiæ, conuerrens externe quantum potest: quæ deinde aut propius consistit, aut procedit vlterius, donec in summum apicata fastigium, acutum ad formam ignis attollit verticem. fit enim tunc quædam violenta rerum grauissimarum & leuissimarum contentio, naturaliter dissidentium, dum vtræque suum locum petunt, & concitantur ipso certamine. siquidem ignis terram secum trahens degrauatur eius pondere: terra verò deorsum vergens ab igne cælum petente subleuatur, atque in sublime attollitur, & vi maiore propulsa versus ignis domicilium tandem subsistit. Quid igitur mirum si montes tanta vi sustentati non sunt absumpti impetu imbrium, cum illam inclusam & tam solide infultam haberent. Solutis enim vinculis quibus continentur, verisimiliter putarentur posse dissolui aquarum violentia: sed quoniam ignis vi adstringuntur, solidiores sunt quàm vt nequeant pluuias aquas sustinere. Hactenus contra hoc argumentum de terræ superficie, quo quidam volunt euincere, mundum vt genitum, ita etiam esse corruptibilem. Ad illud autem quod de maris incremento adferunt, respondere possumus, Non esse considerandos solos exortus insularum, aut si quæ terræ portiones olim inundatæ, processu temporum continenti sunt redditæ:

A διὸ καὶ τὸ ποιητικὸν εὖ εἴρηται· Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη Τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίνεται ὥρη· τὸν αὐτὸν τρόπον καὶ τῶν ὀρῶν, τὰ μὲν ἀποθραύεται μέρη, τὰ δὲ προσφύεται. μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος, διότι τὰ μὲν δένδρα ὠκυτέρᾳ χρώμενα τῇ φύσει, θᾶττον καταλαμβανομένην ἔχει τὴν ἐπίδοσιν· τὰ δ' ὄρη βραδυτέρᾳ, διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν αἰσθητὰς ὅτι μὴ χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν· ἐοίκασί γε τὸν τρόπον τῆς γενέσεως αὐ-
B τῶν ἀγνοεῖν, ἐπεὶ καὶ ἴσως αἰδεσθέντες ἡσύχασαν. φθόνος δ' οὐδεὶς ἀναδιδάσκειν· ἔστι δ' οὔτε τι νέον τῶν λεγομένων, οὔτε ῥήματα ἡμῶν, ἀλλὰ παλαιῶν σοφῶν ἀνδρῶν, οἷς οὐδὲν ἀδιερεύνητον τῶν εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται. ὅταν τὸ κατακεκλεισμένον ἐν τῇ γῇ πυροειδὲς ἄνω τῇ τοῦ πυρὸς ἑλκόμενον φυσικῇ δυνάμει, πρὸς τὸν οἰκεῖον τόπον στείχει· κἂν τινος λάβηται βραχείας ἀναπνοῆς, ἄνωθεν μὲν συναναρπάζει πολὺ τῆς γεώδους οὐσίας,
C ὅσον ἂν οἷόν τε ᾖ, ἔξω δ' ἐπειγόμενον φέρεσθαι βραχυτέραν, ἢ καὶ μέχρι πολλοῦ συμπαρελθεῖν βιασθεῖσα, πρὸς μήκιστον ἀρθεῖσα ὕψος στέλλεται ἀποκορυφουμένη, καὶ πρὸς ὀξεῖαν ἀποτελευτᾷ κορυφὴν τὸ πυρὸς σχῆμα μιμουμένη. γίνεται γὰρ τοῦ κουφοτάτου καὶ βαρυτάτου τῶν τῇ φύσει ἀντιπάλων ἀναγκαία συρρηξάντων διαμάχη, πρὸς τὴν οἰκείαν ἑκατέρου χώραν ἐπειγομένου, καὶ τὸ βιαζόμενον ἐπιτείνοντος. τὸ μὲν δὴ πῦρ συνανέλκον γῆν ὑπὸ τοῦ περὶ αὐτὴν ἰθυσικοῦ βρίθει ἀναβιά-
D ζεται· ἡ δὲ γῆ κατωτάτω ταλαντεύουσα ταῖς τοῦ πυρὸς οὐρανοφοίτοις συνεπελαφρισθεῖσα, μετέωρος ἐξαίρεται, καὶ κρατηθεῖσα μόλις ὑπὸ δυνατωτέρας τῆς ἐπικουφιζούσης ἰσχύος, ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται καὶ ἵσταται. τί οὖν θαυμαστόν, εἰ μὴ τὰ ὄρη ταῖς τῶν ὑετῶν φοραῖς ἐξανήλωται τῆς ἐχούσης αὐτὰ δυνάμεως, ὑφ' ἧς καὶ διανίστασθαι μάλα παγίως καὶ κραταιῶς ἐνειλημμένης· λυθέντα γὰρ δεσμοῦ τοῦ συνέχοντος, εἰκὸς ἦν διαλυθῆναι καὶ πρὸς
E ὕδατος σκεδασθῆναι δυνάμει· δὲ σφιγγόμενα τῇ τοῦ πυρός, στεγανώτερα πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχει. ταῦτα μὲν οὖν ἡμῖν λελέχθω περὶ τοῦ τὴν ἀνωμαλίαν τῆς γῆς πίστιν εἶναι γενέσεως καὶ φθορᾶς κόσμου. πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάττης ἐπιχειρηθέν, ἐκεῖνο δεόντως λέγοιτο, μὴ τὰς ἀναχούσας νήσους αὐτὸ μόνον, μηδ' εἴ τινες ἀποτομαὶ κατακλυζόμεναι τὸ πάλαι, χρόνοις αὖθις ἠπειρώθησαν, σκοπεῖτε.

φυσιολογίας γὰρ ἀντίπαλον φιλονεικία, περιπόθητον ἡγουμένης ἀλήθειαν ἰχνηλατεῖν, ἀλλὰ πολυπραγμονεῖται καὶ τοὐναντίον· ὅσαι μὲν ἐν ἠπείροις οὐ παράλιοι μόνον, ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν· ὅση δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ναυσὶν ἐμπλεῖται. τὴν περὶ τὸν ἱερώτατον σικελικὸν πορθμὸν ᾀδομένην ἱστορίαν ἀγνοεῖτε, ὃ παλαιὸν ἠπείρῳ Ἰταλίας Σικελίαν συνῆπτεν· μεγάλων δὲ τῶν παρ' ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίας ἐπιδραμόντων, ἡ μεθόριος ἐπεκλύσθη καὶ ἐνερράγη, παρ' ἣν πόλις ἐπώνυμος τοῦ πάθους Ῥήγιον κτισθεῖσα ὠνομάσθη, καὶ τοὐναντίον ἢ προσεδόκησεν ἄν τις ἀπέβη. συνεζεύχθη μὲν γὰρ τὰ τέως διεστῶτα πελάγη κατὰ τὴν σύρρευσιν ἑνωθέντα. ἡ δὲ ἡνωμένη γῆ τῷ μεθορίῳ πορθμῷ διεζεύχθη, παρ' ὃν ἤπειρος οὖσα Σικελία, νῆσος ἐβιάσθη γενέσθαι. πολλαὶ δὲ καὶ ἄλλαι λέγονται τῆς θαλάττης ὑπερχυθείσης ἠφανίσθαι πόλεις καταποθεῖσαι· ἐπεὶ καὶ κατὰ Πελοπόννησόν φασι τρεῖς, Αἴγειραν, Βοῦράν τε, καὶ ὑψηλὴν Ἑλίκειαν, τείχεσιν ἢ τὰ ἄλλα περιβρύθουσαν φύσιν, εὐδαίμονας τὸ πάλαι γενομένας πολλῇ τοῦ πελάγους ἐπικλυσθῆναι φορᾷ. ἡ δὲ Ἀτλαντὶς νῆσος, ἅμα Λιβύης καὶ Ἀσίας μείζων, ἥ φησιν ἐν Τιμαίῳ Πλάτων, ἡμέρᾳ μιᾷ καὶ νυκτὶ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων, δῦσα κατὰ θαλάσσης, ἐξαίφνης ἠφανίσθη, γενομένη πέλαγος, οὐ πλωτόν, ἀλλὰ βαραθρῶδες. οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῇ θαλάττῃ συνεργεῖ. φαίνεται γὰρ ὧν μὲν ἐξαναχωροῦσα, τὰ δὲ ἐπικλύζουσα· ἐχρῆν δὲ μὴ θάτερον τῶν γινομένων, ἀλλὰ συνάμφω θεωροῦντας ἐπικρίνειν· ἐπεὶ κἂν τοῖς περὶ βίον ἀμφισβητήμασιν ὁ νόμιμος δικαστὴς πρὶν ἀμφοτέρων τῶν ἀντιδίκων ἀκοῦσαι γνώμην, οὐκ ἀποφαίνεται. καὶ μὴν ὁ τρίτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται, μὴ ὑγιῶς ἐρωτηθεὶς ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως· οὐ γὰρ δήπουθεν οὗ πάντα μέρη φθείρεσθαι, φθαρτόν ἐστιν ἐκεῖνο, ἀλλ' οὗ πάντα τὰ μέρη ἅμα καὶ ἐν ταὐτῷ ἀθρόα κατὰ τὸν αὐτὸν χρόνον· ἐπεὶ καὶ ἄκρον ἀποκοπεὶς τις δάκτυλον, ζῆν οὐ κεκώλυται· εἰ δὲ τῆς κοινωνίας τῶν μερῶν καὶ μελῶν πάντων, αὐτίκα τελευτήσει. τὸν αὐτὸν οὖν τρόπον, εἰ μὲν συλλήβδην ἅπαξ ἅπαντα τὰ στοιχεῖα ὑφ' ἕνα καιρὸν ἠφανίζετο, φάσκειν ἐνδέχεσθαι τὸν κόσμον φθείρεσθαι ἦν ἀναγκαῖον· εἰ δ' ἕκαστον ἰδίᾳ πρὸς τὴν τοῦ γείτονος μεταβάλλει φύσιν, ἀθανατίζεσθαι μᾶλλον, ἢ φθείρεται, κατὰ τὸ φιλοσοφηθὲν ὑπὸ τοῦ τραγικοῦ, Θνήσκει δ' οὐδὲν τῶν γιγνομένων, Διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο Μορφὴν ἑτέραν ἀπέδειξε.

A id enim nihil ad naturæ cognitionem facere, nisi veritatis studio disquiramus etiam effectus contrarios, quantum terrarum non modo in ora, verum etiam procul à mari absorptum sit, obrutúmque pelago enauigetur onerarijs. ignoratis celebrem de Siculo freto historiam, quomodo Italiæ continenti Sicilia quondam adnexa fuerit? sed cum vastum vtrinque mare violentis incitatum concurreret, medium spacium ruptum & inundatum est, vnde Græci vrbem in proximo sitam nominauerunt Rhegium, mutatis rerum vicibus. nam maria prius disiuncta confluxerunt in vnum: terra verò quæ in medio continuabatur, interuentu freti scissa est, & Siciliam continenti abruptam fecit insulam. aliæ quoque multæ ciuitates mari oppressæ deletæque feruntur, & in his tres Peloponnesiacæ, Ægira, Bura, Helice, quondam fortunatæ, vndis absumptæ vnà cum ipsis mœnibus. Iam verò Atlantis insula, maior quàm Asia simul & Africa, vt Plato in Timæo prodit, intra vnius diei noctísque spacium ingenti terræ motu inundationéque mersa in mare mutata fuit, non quidem nauigabile, sed cœnosum voraginosúmque. Ergo nihil ad mundi corruptionem facit istud fabulosum maris detrimentum: quod vt apparet, aliubi crescit, decrescit aliubi. oportet autem non alterum tantum horum accidentium considerare, sed vtrumque, atque ita demum pronunciare sententiam: sicut legitimi iudices in causis ciuilibus vtrasque partes prius examinant. Tertium argumentum seipsum coarguit, quandoquidem non rectè proponitur. non enim cuiuscunque partes omnes corrumpuntur, id corruptibile est, sed cuius omnes partes simul & semel corrumpuntur eodem tempore: quoniam etiam hominem præciso digito nihil vetat viuere: quod si totus membratim frustatímque concidatur, confestim interit. eodem modo si vniuersa simul elementa delerentur eodem tempore, fatenda esset mundi corruptibilitas. at dum singula seorsum in naturam vicinam alterantur, immortalitatem magis quàm corruptionem adipiscuntur, iuxta illud philosophice dictum à tragico: Genitum nihil emoritur: Sed transpositum vltro citróque, Formam priorem alterat.

Stultissimum autem est de genere humano coniecturam ex artibus sumere. nam si quis hanc tam absurdam rationem sequatur, valde nouum mundum asseuerabit, vix ante mille annos conditum. quando inuentores scientiarū duntaxat quorum nomina sint prodita, non excedunt hunc annorum numerum. quod si libet dicere artes æquæuas hominum generi, non temere id asserendum est, sed ex naturali historia. ea verò quid narrat? corrumpi res terrenas, non vniuersas simul sed plerasque, duabus de causis præcipue, aquæ ignísque nimia violentia. nam vtriusque vehementes impetus fieri alternis vicibus post reuoluta multa sęcula. & quando ingruat exustio, ex æthere deorsum ferri flumina ignea, quæ deriuata discurrant per diuersos tractus orbis habitabilis. è diuerso per diluuium naturam humidam vniuersam ruere in terras, stagnare torrentes perennésque fluuios, atque etiam lacus ac maria tumescere, perruptísque aut superatis riparum aggeribus, in magnam altitudinem excrescere: occupatísque campestribus locis omnibus, primum in vastos sinus diffundi, vergente aqua in cauitates vallium: dein disruptis terrarum angustijs hos ipsos dirimentibus, omnia confundi in vnam immensam colluuiem. atque ita diuersa vi perire habitatores nunc horum nunc illorum terræ tractuum: igne quidem monticolas inaquosa tenentes, carentésque naturali contra incendia remedio: rursum aqua, fluuiorum, lacuum, marísque accolas. vicinos enim aut solos aut potissimum infestari calamitatibus. ita duobus his modis absque infinitis alijs casibus leuioribus, cum maximæ partis hominum interitu artes quoque necessario deficere. nam nisi tractetur, non licet inueniri vllam scientiam. quando autem publicæ illæ pestes se remiserint, ita vt hominum genus vires paulatim recipiat, & è reliquijs cladi superstitibus ceu repullulet, tunc artes quoque instaurari, non tum primum prouenire, quæ præ paucitate se tractantium ad raritatem miram peruenerant. Hactenus quæ de incorruptibilitate mundi accepi, vt potui prodidi. quid autem singulatim contradici queat aliâs demonstrabitur.

A παντελῶς γὰρ εὔηθες τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν τεχνῶν ἐξετάζεσθαι. τῷ γὰρ περὶ τὸν λόγον ἀτοπίᾳ τις ἀκολουθήσας νέον τὸν κόσμον ἀποφανεῖ κομιδῇ, μόλις περὶ χιλίων πεπληρωμένων ἐνιαυτῶν· ἐπεὶ καὶ οὓς περιειλήφαμεν τῶν ἐπιστημῶν εὑρετάς, τὸν λεχθέντα τῶν ἐνιαυτῶν ἀριθμὸν οὐχ ὑπερβάλλουσιν. εἰ δὲ δὴ καὶ λεκτέον τὰς τέχνας ἰσήλικας ἀνθρώπων γένει, μεθ' ἱστορίας φυσικῆς οὐκ ἀπερισκέπτως καὶ ῥᾳθύμως λεκτέον. ἡ δ' ἱστορία τί; φθορὰς τῶν κατὰ γῆν, οὐκ ἀθρόων ἁπάντων, ἀλλὰ τῶν
B πλείστων, δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθησι, πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς. κατασκήπτειν δ' ἑκάτερον ἐν μέρει φασίν, ἐν πάνυ μακραῖς ἐνιαυτῶν περιόδοις. ὅταν μὲν οὖν ἐμπρησις καταλαμβάνῃ, ῥεῦμα αἰθερίου πυρὸς ἄνωθεν ἐκχεόμενον πολλαχῇ σκεδάννυσθαι μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχον· ὅταν δὲ κατακλυσμὸς ἀπεσὼν τὴν ὕδατος κατομβρείαν κατασύρῃ φύσιν, αὐθιγενῶν καὶ χειμάρρων ποταμῶν οὐ πλημμυρούντων μόνον, ἀλλὰ καὶ τὸ καθεστὼς προσυπερβαλ-
C λόντων ἐπιβάσεως, καὶ τὰς ὄχθας ἢ τῇ βίᾳ περιρρηγνύντων, ἢ ὑπερπηδώντων ἀναβάσει τῇ πρὸς μήκιστον ὕψος· ὅθεν ὑπερβλύσαντας εἰς τὴν παρακειμένην ἀναχεῖσθαι πεδιάδα, τὴν δὲ, τὸ μὲν πρῶτον εἰς μεγάλας λίμνας διανέμεσθαι, πρὸς τὰ κοιλότερα ἀεὶ τοῦ ὕδατος συνιζάνοντος. αὖθις δ' ἐπιρρέοντος καὶ τοὺς μεθορίους ἰσθμοὺς κατακλύζοντος, οἷς διεκρίνοντο αἱ λίμναι, εἰς μέγεθος ἀχανοῦς πελάγους κατὰ τὴν τῶν πολλῶν ἕνωσιν ἀποκρίνεσθαι· πρὸς
D δὲ μεταμειβομένων δυνάμεων ἐν μέρει τοὺς ἐν τοῖς ἐναντίοις οἰκοῦντας τόποις ἀπόλλυσθαι, πυρὶ μὲν τοὺς ἐν ὄρεσι καὶ γεωλόφοις καὶ δυσύδροις χωρίοις, ἅτε οὐκ ἔχοντας φύσει πυρὸς ἀμυντήριον ἄφθονον ὕδωρ· ἔμπαλιν δ' ὕδατι τοὺς παρὰ ποταμοῖς, ἢ λίμναις, ἢ θαλάττῃ. γειτονεῖν γὰρ ἅπτεσθαι φιλεῖ τὰ κακὰ πρώτων ἤγε μόνων. κατὰ δὲ τοὺς λεχθέντας τρόπους δίχα μυρίων ἄλλων βραχυτέρων φθειρομένου τοῦ πλείστου μέρους ἀνθρώπων, ἐπιλιπεῖν ἐξ ἀνάγκης καὶ τὰς τέχνας. δίχα γὰρ τοῦ μεταδιδόν-
E τος οὐκ ἔστι καθ' αὑτὴν ἰδεῖν τὴν ἐπιστήμην· ἐπειδὰν δὲ αἱ μὲν κοιναὶ νόσοι χαλάσωσιν, ἄρξηται δὲ ἀνηβᾶν καὶ βλαστάνειν τὸ γένος ἐκ τῶν μὴ προκαταληφθέντων τοῖς ἐπιβρίσασι δεινοῖς, ἄρχεσθαι καὶ τέχνας πάλιν συνίστασθαι, οὐ τὸ πρῶτον γινομένας, ἀλλὰ τῇ μειώσει τῶν ἐχόντων ὑποσπανισθείσας. ἃ μὲν οὖν περὶ ἀφθαρσίας τοῦ κόσμου παρειλήφαμεν, εἴρηται κατὰ δύναμιν· τὰς δὲ πρὸς ἕκαστον ἐναντιώσεις ἐν τοῖς ἔπειτα δηλωτέον.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ ΕΙΣ Φλάκκον.

PHILONIS IVDÆI IN FLACCVM.

ΔΕΥΤΕΡΟΣ μετὰ Σηϊανὸν Φλάκκος Ἀουίλλιος διαδέχεται τὴν κατὰ τῶν Ἰουδαίων ἐπιβουλήν, σύμπαν μὲν ἀδικῆσαι τὸ ἔθνος ὥσπερ ἐκεῖνος οὐ δυνηθείς· ἐλάττους γὰρ εἶχε τὰς εἰς τοῦτ' ἀφορμάς· ἐφ' ὅσους δ' ἔφθανεν ἀθρόους ἀνηκέστοις περιέπειρε κακοῖς. οὐ μὴν ἀλλὰ καὶ μέρει δόξας ἐπιτίθεσθαι, τὴν ἐπιβουλὴν ἐξέτεινεν ἐπὶ τοὺς πανταχοῦ διὰ τέχνης τὸ πλέον ἢ δυνάμεως. οἷς γὰρ ἰσχὺς ἐστὶν οὐδαμῶς τῶν τὰς φύσεις τυραννικῶν, πανουργίαις τὰς ἐπιβουλὰς κατορθοῦσιν. ὁ Φλάκκος οὗτος, ἐν τοῖς ἑταίροις κριθεὶς παρὰ Τιβερίῳ Καίσαρι, μετὰ τὴν Σεβήρου τελευτήν, ὃς ἐπιτετράπτο Αἴγυπτον, καθίσταται τῆς Ἀλεξανδρείας καὶ τῆς χώρας ἐπίτροπος, ἄνθρωπος ἐν ἀρχῇ μυρία καλοκαγαθίας ὅσα γε τῷ δοκεῖν ἐξενεγκὼν δείγματα. πυκνός τε γὰρ ἦν καὶ συνεχὴς καὶ ὀξὺς νοῆσαι, καὶ τὰ βουλευθέντα πρᾶξαι, καὶ προχειρότατα εἰπεῖν, καὶ παρὰ τοῦ λεγομένου τὸ ἡσυχαζόμενον αἰσθέσθαι. πάντα πᾶσιν οὖν ὀλίγῳ χρόνῳ τῶν κατὰ τὴν Αἴγυπτον πραγματειῶν ἐθὰς γέγονε. πολύτροποι δ' εἰσὶ καὶ ποικίλαι μόλις τοῖς ἐκ πρώτης ἡλικίας τὸ ἔργον ἐπιτήδευμα πεποιημένοις γνωριζόμεναι. περιττὸς ὄχλος ἦσαν οἱ γραμματεῖς, ἤδη πρὸς πάντα μικρὰ καὶ μεγάλα φθάνοντος αὐτοῦ ταῖς ἐμπειρίαις. ὡς μὴ μόνον ὑπερβάλλειν, ἀλλὰ χάριν ἀκριβείας ἀντὶ γνωρίμου διδάσκαλον γεγενῆσθαι τῶν τέως ὑφηγητῶν. καὶ ὅσα μὲν περὶ λογισμούς, καὶ τὴν τῶν προσόδων κατόρθου διοίκησιν, εἰ καὶ μεγάλα καὶ ἀναγκαῖα ἦν, ἀλλ' οὐδέν γε δεῖγμα ψυχῆς ὑπέφαινεν ἡγεμονικῆς· ἃ δὲ λαμπροτέραν καὶ βασιλικὴν ἐδήλου φύσιν, μετὰ πλείονος παρρησίας ἐπεδείκνυτο· σεμνότερον ἡγεῖτο τὸν ἄρχοντι δὲ λυσιτελέστατον ὁ τῦφος· ἐδίκαζε τὰ μεγάλα μετὰ τῶν ἐν τέλει, τοὺς ὑπεραύχους καθῄρει, μιγάδων καὶ συγκλύδων ἀνθρώπων ὄχλον ἐκώλυεν ἐπισυνίστασθαι, τάς τε ἑταιρείας καὶ συνόδους

A SECVNDVS post Seianum Flaccus Auillius Iudæos ex insidijs adortus est, cum infestare totam gentem, vt ille, non valuisset, videlicet minus quàm alter ad hoc instructus. quotquot autem potuit, vniuersos cladibus affecit grauissimis. imò cum videretur partem eorum exagitare ac persequi, omnibus vbiuis terrarum degentibus molitus
B est perniciem arte magis quàm viribus. hominibus enim sæuo tyrannicóque ingenio natis vaframẽta pro viribus ad nocendũ sufficiunt. Flaccus iste receptus à Tiberio Cæsare in amicorum cohortem, post Seueri obitum Ægypti præsidis, ei regioni & Alexãdriæ fuit præpositus, vir, vt iudicabatur ex edito initio magistratus specimine, honestissimus. erat enim in sua functione assiduus, prudens consilijs, & in his exsequendis industrius: in summa, vel nemine indicante quiduis
C sentiebat sagaciter. itaque breui negociorũ Ægypti euasit peritissimus, varia sint licet multipliciáque, ita vt vix pernoscantur ab his qui totam ætatem eis impenderunt. superuacua iam erat turba scribarum, cum parua æque ac magna exacte ipse teneret, tanto melius, vt ad ostentationẽ diligentiæ vltro doceret eos à quibus modo didicerat. verùm ista quæ ad accipiẽdas reddendásque rationes pertinent, vel ad dispensationẽ redituũ, tametsi neces-
D saria, nullum specimen ostendunt animi digni qui præsit alijs: sed quæ magnificam regiámque declarant indolem, elucebant manifestius. gerebat se pro dignitate, fastu non indecoro nec inutili magistratui. grauiores causas iudicabat cum optimatibus, superbos deprimebat, vetabat cœtus promiscuę multitudinis, sublatis etiam sodalicijs

quæ prætextu sacrorum vacabant mero & crapulæ, contumacibus seuerus ac rigidus. deinde inductis in vrbem totámque regionem bonis legibus, seorsum recensebat copias, deligens, ordinans, exercénsque pedites, equites ac velites cum suis ducibus, curánsque ne quis miles fraudatus stipendio conferret se ad rapinas ac latrocinia, vtque singuli occupati munijs militaribus de cætero non satagerent, memor pacis rationem habendam præcipuam ex mandato principis. Dicat aliquis: Heus tu, accusatorem professus, omissis criminibus longam producis laudum seriem. satin sanus es? Non insanio bone vir, non sum tam fatuus, vt non videam quid deceat. Laudo Flaccum, non quòd inimicus laudandus sit, sed quo apertius noscatur eius malicia. nam qui per ignorantiam peccat, meretur veniam: qui verò prudens sciénsque facit iniuriam, excusationem non habet, prædamnatus iudicio conscientiæ. Cum enim in sex annos accepisset prouinciam, per quinque priores viuo Tiberio Cæsare pacem seruauit tanta constantia, vt superiores præsides omnes vinceret. vltimo autem anno post obitum Tiberij Caio admoto ad habenas imperij, iam remissior sinebat pessum ire omnia, siue ob luctum defuncti Cæsaris amicissimi, quem perpetuo mœrore lacrymísque continenter manantibus prosequebatur: siue quòd successori male vellet, quippe propensior in germanum filium quam in adoptiuum: siue quòd esset vnus ex his quorum insidijs Caij mater delata perierat, propter metum dissimulatus. aliquantisper tamen resistebat dolori, non omnino cessans ab administratione reipublicæ. vt verò audiuit Tiberij nepotem, Caij consortem, ipso iubente interemptum, perculsus casu grauissimo, humi prostratus diu mutus iacuit passus animi deliquium. viuo enim adolescentulo spes salutis non omnino extincta fuerat, defuncto autem etiam de sua incolumitate actum existimabat, nisi quòd modicum quiddam eius spei supererat in Macronis amicitia, qui nihil non apud Caium recens imperium adeptum

A αἳ ἀεὶ ἐπὶ προφάσει θυσιῶν εἱστιῶντο τοῖς πράγμασιν ἐμπαροινοῦσαι, διέλυε, τοῖς ἀφηνιάζουσιν ἐμβριθῶς καὶ συντόνως προσφερόμενος. εἶτ᾽ ἐπειδὴ τὴν πόλιν καὶ τὴν χώραν ἀνέπλησεν εὐνομίας, ἐν μέρει πάλιν ταῖς στρατιωτικαῖς δυνάμεσιν ἐφήδρευεν, ἐκτάττων, συγκροτῶν, γυμνάζων, πεζούς, ἱππεῖς, τοὺς τῆς κούφης ὁπλίσεως, τοὺς ἡγεμόνας, ἵνα μὴ τὰς μισθοφορίας τῶν στρατιωτῶν ἀφαιρούμενοι πρὸς λῃστείας καὶ ἁρπαγὰς αὐτοὺς ἀλείφωσι, πάλιν τῶν στρατιωτῶν ἕκαστον, ἵνα μηδὲν ἔξω τῶν κατὰ τὴν στρα-
B τείαν περιεργάζηται, μεμνημένος ὅτι τέτακται καὶ τὴν εἰρήνην διαφυλάττειν. ἴσως δ᾽ ἄν τις εἴποι, σὺ δ᾽ ὦ οὗτος, ἐγνωκὼς ἀνθρώπου κατηγορεῖν, ἔγκλημα μὲν οὐδὲν διεξελήλυθας, μακροὺς δ᾽ ἐπαίνους συνείρεις. μὴ ἄρα παραπαίεις καὶ μέμηνας; οὐ μέμηνα ὦ οὗτος, οὐδ᾽ ἠλίθιός τίς εἰμι, ὡς μὴ δύνασθαι πράγματος ἀκολουθίαν ἰδεῖν. ἐπαινῶ τὸν Φλάκκον, οὐκ ἐπειδὴ προσῆκεν ἐχθρὸν ἐγκωμιάζειν, ἀλλ᾽ ἵν᾽ αὐτοῦ τὴν μοχθηρίαν ἀριδηλοτέραν παρα-
C στήσω. τῷ μὲν γὰρ ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι συγγνώμη δίδοται· ὁ δ᾽ ἐξ ἐπιστήμης ἀδικῶν, ἀπολογίαν οὐκ ἔχει, προεαλωκὼς ἐν τῷ τοῦ συνειδότος δικαστηρίῳ. ἑξαετίαν γὰρ τὴν ἐπικράτειαν λαβών, πέντε μὲν ἔτη τὰ πρῶτα ζῶντος Τιβερίου Καίσαρος, τήν τε εἰρήνην διεφύλαξε, καὶ οὕτως εὐτόνως καὶ ἐρρωμένως ἀφηγήσατο, ὡς τοὺς πρὸ αὐτοῦ πάντας ὑπερβαλεῖν· τῷ δ᾽ ὑστάτῳ, Τιβερίου μὲν τελευτήσαντος, Γαΐου δ᾽ ἀποδειχθέντος αὐτοκράτορος, ὑφιέναι καὶ χαλᾶν ἤρξατο τὰ πάντα, εἴτε
D ἐπὶ Τιβερίου βαρύτατον πεπονθὼς πένθος· δῆλος γὰρ ἦν ὡς ἐπ᾽ οἰκειοτάτῳ περιπαθῶν, ἔκ τε τῆς συνεχοῦς κατηφείας καὶ ἐκ τῆς τῶν δακρύων φορᾶς, ἃ καθάπερ ἀπὸ πηγῆς ἀπαύστως ἐξεχεῖτο· εἴτε καὶ κακόνους ὢν τῷ διαδόχῳ, διὰ τὸ τὴν τῶν γνησίων πρὸ τῆς τῶν θετῶν τεθεραπευκέναι μερίδα, εἴτε τῶν συνεπιθεμένων τῇ Γαΐου μητρί, καθ᾽ ὃν χρόνον εἶχε τὰς αἰτίας, ἐφ᾽ αἷς ἀνῃρέθη, γεγονώς, καὶ διὰ φόβον ἁλώσεως ἐπιλελησμένος. καὶ μέχρι μέν τινος ἔτ᾽
E ἀντεῖχε, μὴ κατὰ τὸ παντελὲς μεθιέμενος τὴν τῶν πραγμάτων ἀντίληψιν· ὡς δ᾽ ἤκουσε, τὸν Τιβερίου μὲν υἱωνόν, κοινωνὸν δὲ τῆς ἀρχῆς ἀναιρεθέντα Γαΐου κελεύσαντος, ἀλέκτῳ πληγεὶς συμφορᾷ, καταβαλὼν αὑτὸν ἀχανὴς ἔκειτο, τῆς διανοίας πολὺ πρότερον ἀπειρηκυίας καὶ παρειμένης αὐτοῦ. ζῶντος μὲν γὰρ τοῦ μειρακίου, τὰ ζώπυρα τῆς ἰδίας σωτηρίας οὐκ ἀπεγίνωσκεν, ἀποθανόντος δὲ συντεθνάναι καὶ τὰς οἰκείας ἐλπίδας ἔδοξεν, εἰ καὶ μικρά τις ἀπελείπετο αὔρα βοηθείας, ἡ πρὸς Μάκρωνα φιλία,

τὰ σύμπαντα παρὰ Γαΐῳ καθ' ἀρχὰς διῳκήθη, καὶ πλείστην μοῖραν, ὡς λόγος, εἰσενεγκάμενον αὐτὸν πρὸς τὸ τυχεῖν τῆς ἡγεμονίας, καὶ ἔτι μᾶλλον πρὸς τὸ σωθῆναι, πολλάκις μὲν ἐκποδὼν ποιήσασθαι τὸν Γάιον διανοηθέντος Τιβερίου ὡς κακοήθη, καὶ οὐ πεφυκότα πρὸς ἀρχήν, καὶ ἅμα διὰ τὸν ἐπὶ τῷ ἐγγόνῳ φόβον. ἐδεδίει γὰρ μὴ παρανάλωμα γένηται τελευτήσαντος αὐτοῦ. πολλάκις δὲ τοῦ Μάκρωνος τὰς ὑπονοίας ὑπεξαιρουμένου, καὶ τὸν Γάιον ἐπαινοῦντος ὡς ἁπλοῦν καὶ ἄτυφον καὶ κοινωνικόν, καὶ τοῦ ἀνεψιοῦ μάλιστα ἐπιμελούμενον, ὡς ἢ μόνῳ ἂν ἐθελῆσαι παραχωρῆσαι τῆς ἡγεμονίας, ἢ πρώτῳ τὰ πρωτεῖα· ὑφ' ὧν ἀπατηθεὶς, ἔλαθεν ἄσπονδον ἐχθρὸν αὑτῷ καὶ ἐγγόνῳ καὶ γένει, καὶ παρακλήτῳ Μάκρωνι, καὶ πᾶσιν ἀνθρώποις καταλιπών. ἐπεὶ γὰρ ὁ Μάκρων αὐτὸν ἐκδιαιτώμενον καὶ ἀχαλίνοις ταῖς ὁρμαῖς ἐφ' ἃ ἂν τύχῃ χρώμενον ἐνουθέτει καὶ παρηγόρει, νομίζων ἐκεῖνον εἶναι Γάιον, τὸν ἡνίκα ἔτι ἔζη Τιβέριος ἐπιεικῆ καὶ πειθαρχικόν, ὁ κακοδαίμων εὐνοίας περιττῆς ἔδωκε τὰς ἀνωτάτω δίκας, πανοίκιος αὐτῇ γυναικὶ καὶ τέκνοις συναναιρεθεὶς, ὡς περιττὸν ἄχθος καὶ παρενόχλημα. καὶ γὰρ ὁπότε πόρρωθεν αὐτὸν ἀφικνούμενον ἴδοι, τοιαῦτα πρὸς τοὺς συνόντας διεξῄει, μὴ μειδιῶμεν, κατηφιῶμεν, ὁ νουθετητὴς παραγίνεται, ὁ αὐθέκαστος, ὁ ἀνδρὸς τελείου καὶ αὐτοκράτορος ἀρξάμενος νῦν εἶναι παιδαγωγὸς, ὅτε καὶ τοὺς ἐκ πρώτης ἡλικίας ὁ χρόνος ἀπήλλαξε καὶ διέζευξεν. ἐπεὶ δὴ οὖν καὶ τοῦτον ἔγνω προσαναιρημένον ὁ Φλάκκος, τὴν λοιπὴν ἐλπίδα, κατὰ τὸ παντελὲς ἀναπεπτώκει, καὶ οὐκέτ' ἦν ὅμοιος ἀντιλαμβάνεσθαι τῶν πραγμάτων οἷός τε ὤν, ἐξασθενῶν καὶ διαρρέων τὴν γνώμην. ὅταν δὴ ἄρχων ἀπογνῷ τὸ δύνασθαι κρατεῖν, ἀνάγκη τοὺς ὑπηκόους εὐθὺς ἀφηνιάζειν, καὶ μάλιστα τοὺς ἐκ μικρῶν καὶ τῶν τυχόντων πεφυκότας ἀνερεθίζεσθαι. ἐν οἷς τὸ Αἰγυπτιακὸν τὰ πρωτεῖα φέρεται, διὰ βραχυτάτου σπινθῆρος εἰωθὸς ἐκφυσᾶν στάσεις μεγάλας. ἐν ἀμηχανίαις δὲ καὶ ἀπορίαις γεγονὼς, ἐσφάδαζε καὶ τὰ περὶ μικροῦ πάντα ἤλλαξεν, ἅμα τῇ τοῦ λογισμοῦ πρὸς τὸ χεῖρον μεταβολῇ ποιησάμενος τὴν ἀρχὴν ἀπὸ τῶν συνηθεστάτων. τοὺς μὲν γὰρ εὔνους καὶ μάλιστα φίλους ὑφεωρᾶτο καὶ διωθεῖτο· τοῖς δὲ ἐξ ἀρχῆς ὁμολογηθεῖσιν ἐχθροῖς ἐσπένδετο, καὶ συμβούλοις περὶ πάντων ἐχρῆτο. οἱ δ', ἐχθρῶς γὰρ εἶχον, τὸ καταλλάξασθαι δοκεῖν λόγῳ μόνον ἐπιμορφάζοντες, ἔργοις δὲ κατὰ διανοίας ἀσύμβατα μνησικακοῦντες, καὶ ὥσπερ ἐν θεάτρῳ καθυποκρινόμενοι γνησίαν φιλίαν, ὅλον αὐτὸν συναρπάζουσι· καὶ γὰρ

A poterat, quippe qui præcipuus (vt fertur) autor principatus atque adeo salutis fuit: quia sæpenumero Tiberius decreuerat è medio tollere Caium vt maliciosum & indignum principatu: simúlque ab eo nepoti suo metuebat, ne forte se defuncto ille quoque mactaretur insuper, & fieret suæ mortis accessio: sed Macro nunquam non eximere conabatur ei suspiciones huiusmodi, laudans Caiũ vt simplicem & minime fucatis moribus
B bus iuuenem, adhæc sui patruelis amantissimum, cui libenter vel totum principatum cederet, vel partem eius potiorem. qua spe ille deceptus, inimicum infensissimum reliquit & sibi & nepoti & familiæ, & deprecatori Macroni, denique omnibus mortalibus. nam cum eum Macro à recta via deflectentem & impotenter seruientem suis cupiditatibus reuocaret admonerétque, ratus esse pristinum illum Caium, dum Tiberius viueret
C mitem obsequentémque: miser dedit extremas pœnas amicitiæ nimiæ, funditus excisus vnà cum vxore atque liberis, tanquam onus & impedimentum superuacaneum. quoties enim eum procul aduentantem videret, sic præsentes alloquebatur: ne rideamus, sumamus vultus serios, magister adest morosus, imperatoris adulti nouus pædagogus, quando tempus ipsum ablegauit illos veteres. Postquam igitur Flaccus hunc quoque in
D quo reliqua spes fuerat, interfectum audijt, omnino collapsus non amplius res moderari valebat, destitutus viribus animi. cum enim magistratus impos regendi fit, necessum est contumaces reddi subditos, præsertim qui sunt natura irritabiles: quo in genere primas ferunt Ægyptij, è minima scintilla sueti magnas seditiones accendere. cúmque hæreret inops consilij, trepidabat & mutabat priora instituta omnia, ipse mutatus in deterius, cœpitque à familiarissimis. vt
E enim quisque fuit ei coniunctissimus, suspectus repellebatur: eos verò quos prius pro confessis inimicis habuerat, conciliatos adhibebat omnibus consultationibus. at illi pertinaciter irati, & verbis tantum simulantes fœdera, alebant re ipsa odium: ac velut in theatro fingendo amicitiam, totum in potestatem suam redegerunt. atque ita ipse factus est è præside subditus,

A illi contrà è subditis rectores, auctores decretorum inutilium, quæ ipsi mox obsignabant. executores enim erant omnium consiliorum, illum tanquam mutam in scena personam assumendo prætextus gratia, quod magistratum gereret, Dionysij quidam popularis auræ captatores, Lampones scribæ sedentarij, Isidori seditionum incentores, inuentores curiosi rerum malarum, ciuitatis perturbatores, & vt vulgo vocantur, Taraxipolides. hi omnes

B coniurati decreuerunt contra Iudæos decretum durissimum, tum priuatim Flaccum aggressi eum sic compellant: Perijt tua spes Tiberius Nero iunior, perijt etiam cui post hunc maximi fidebas, Macro amicus, imperator verò tibi parum æquus est: oportet nos aduocatum potentem quærere, qui tibi Caium reconciliet. is aduocatus erit Alexandrina ciuitas, semper apud Augusti familiam in honore habita, præci-

C pue verò apud præsentem nostrum Dominum. suscipiet autem aduocationem, consecuta à te aliquod beneficium. sed nihil potes illis gratius facere, quàm si eos sinas in Iudæos sæuire. Tum præses cum debuisset eos vt turbatores pacis & publicos hostes reijcere, subscripsit eorum sententiæ. Ac primum quidem occulte insidiabatur, nec pariter cognoscens lites partium, sed in alteram propensior, nec ius æquum ha-

D bere sinens in cæteris: imò quoties Iudæus aliquis accederet, auersabatur hos solos data opera: deinde propalam se inimicum declarauit. hanc eius non tam natiuam quàm adsciticiam insolentiam auxit etiam casus quidam huiusmodi. Caius Cæsar Agrippæ Herodis regis nepoti regnum dedit auitæ ditionis partem tertiam, quam Philippus noui regis patruus possederat. Discedenti au-

E tem in suum regnum suasit, ne à Brundisio solueret petiturus Syriam, quòd ea nauigatio longa esset ac difficilis: vteretur potius compendiaria per Alexandriam, expectatis etesijs. aiebat enim Ægyptias onerarias celerrimas, & gubernatores harum egregios, qui more aurigarum certantium rectum cursum teneant. Paruit ille vt Domino consulenti vtilia. cúmque descendisset Puteolos,

ὁ μὲν ἄρχων ὑπήκοος, οἱ δ᾽ ὑπήκοοι ἡγεμόνες, εἰσηγούμενοι μὲν ἀλυσιτελεστάτας γνώμας, εὐθὺς δὲ ταύτας ἐπισφραγιζόμενοι. βεβαιωταὶ γὰρ ὧν ἐβουλεύσαντο πάντων ἐγίνοντο, καθάπερ ὡς ἐπὶ σκηνῆς προσωπεῖον, ἕνεκα προσχήματος αὐτὸ μόνον παραλαμβάνοντες ἐπιγεγραμμένον ὄνομα ἀρχῆς, Διονύσιοι, δημοκόποι, Λάμπωνες, γραμματοκύφωνες, Ἰσίδωροι, στασίαρχοι, φιλοπράγμονες, κακῶν εὑρεταί, ταραξιπόλιδες· τοῦτο γὰρ κεχειροτόνηκέ πως τοὔνομα· συνωτεξάμενοι πάντες οὗτοι, βούλευμα βουλεύουσι κατὰ τῶν Ἰουδαίων ἀργαλεώτατον, καὶ τῷ Φλάκκῳ προσελθόντες, ἰδίᾳ φασίν, ἔρρει μέν σοι τὰ ἀπὸ Τιβερίου Νέρωνος τοῦ παιδός, καὶ ἔρρει δὲ καὶ ὁ μετ᾽ ἐκεῖνον ἐλπὶς ἑταῖρός σοι Μάκρων, αἰσία δ᾽ οὐκ ἔστι σοι τὰ ἀπὸ τοῦ κρατοῦντος, δεῖ δὲ παράκλητον ἡμᾶς εὑρεῖν δυνατώτερον, ὑφ᾽ οὗ Γάιος ἐξευμενισθήσεται· ὁ δὲ παράκλητος, ἡ πόλις Ἀλεξανδρέων ἐστίν, ἣν τετίμηκεν μὲν ἐξ ἀρχῆς ἅπας ὁ Σεβαστὸς οἶκος, διαφερόντως δ᾽ ὁ νῦν ἡμῶν δεσπότης. παρακληθεῖσα δὲ, τυχοῦσά τινος παρὰ σοῦ δωρεᾶς· μεῖζον δ᾽ ἀγαθὸν οὐδὲν αὐτῇ παρέξεις, ἢ τοὺς Ἰουδαίους ἐκδοὺς καὶ προέμενος. ἐπὶ τούτοις ὀφείλων ἀπώσασθαι καὶ δυσχερᾶναι τοὺς λέγοντας ὡς νεωτεροποιοὺς καὶ κοινοὺς πολεμίους, συνεπιγράφεται τοῖς λεχθεῖσι, καὶ τὸ μὲν πρῶτον ἀδηλοτέρας ἐποιεῖτο τὰς ἐπιβουλάς, μήτ᾽ ἴσον παρέχων καὶ κοινὸν ἀκροατὴν ἑαυτὸν τοῖς τὰς ἀμφισβητήσεις ἔχουσιν, ἀλλὰ πρὸς θάτερον ἀποκλίνων μέρος, μήτ᾽ ἐν τοῖς ἄλλοις ἰσηγορίαν διδούς· ἀλλὰ καὶ ὁπότε προσίοι τις τῶν Ἰουδαίων ἀποστρεφόμενος, καὶ τὸ δυσέντευκτον ἐπιτηδεύων ἐπὶ μόνων τούτων· αὖθις δὲ καὶ ἐκ τοῦ φανεροῦ τὴν δυσμένειαν ἐπεδείξατο. προσεπιρρώννυσι δ᾽ αὐτοῦ τὴν ἐκ μαθήσεως τὸ πλέον ἢ φύσεως ἐπιτετηδευμένην ἀπόνοιαν καὶ συντυχία τις τοιαύτη. Γάιος Καῖσαρ, Ἀγρίππᾳ τῷ Ἡρώδου βασιλέως υἱωνῷ, δίδωσι βασιλείαν τῆς παππῴας λήξεως, τρίτην μοῖραν ἣν Φίλιππος τετράρχης θεῖος ὢν αὐτοῦ πρὸς πατρὸς ἐκαρποῦτο· μέλλοντι δ᾽ ἀπαίρειν συνεβούλευσεν ὁ Γάιος, τὸν μὲν ἀπὸ Βρεντησίου μέχρι Συρίας πλοῦν μακρὸν ὄντα καὶ καματηρὸν παραιτήσασθαι, χρήσασθαι δ᾽ ἐπιτόμῳ τοῖς ἐτησίοις ἀναμείναντι τῷ διὰ τῆς Ἀλεξανδρείας. τάς τε γὰρ ἐκεῖθεν ὁλκάδας ταχυναυτεῖν ἔφασκε, καὶ ἐμπειροτάτους εἶναι κυβερνήτας, οἳ καθάπερ ἀθλητὰς ἵππους ἡνιοχοῦσιν, ἀπλανῆ παρέχοντες τὸν ἐπ᾽ εὐθείας δρόμον. ὁ δὲ πειθαρχεῖ, ὡς δεσπότῃ τε ἅμα καὶ τὰ δοκοῦντα συμφέρειν παραγγέλλοντι. καταβὰς δ᾽ εἰς Δικαιαρχίαν,

καὶ ναῦς ὑφόρμους Ἀλεξανδρίδας ἰδὼν εὐτρεπεῖς πρὸς ἀναγωγήν, ἐπιβὰς μετὰ τῆς ἰδίας, εὐπλοίᾳ χρησάμενος, ὀλίγαις ὕστερον ἡμέραις ἀνεπιφάντως καὶ ἀφωράτως κατάγεται, κελεύσας τοῖς κυβερνήταις· περὶ γὰρ δείλην ὥραν ὁ Φάρος ἀναφέρεται· τὰ μὲν ἱστία συστεῖλαι, ἔξω δὲ περὶ αὐτὴν μὴ μακρὰν ἀφισταμένους θαλαττεύειν, ἄχρι τοῦ βαθείας ἑσπέρας ἐπιγενέσθαι, καὶ νύκτωρ τοῖς λιμέσι προσσχεῖν, ἵν' ἀποβὰς ἤδη πεπαυμένων πρὸς ὕπνον, μηδενὸς ὁρῶντος, ἀφίκηται πρὸς τὸν ξενοδόχον. ὁ μὲν δὴ μετὰ τοσαύτης αἰδοῦς ἐπεδήμησε βουλόμενος εἴ πως οἷόν τε ἦν, ἅπαντας τοὺς ἐν τῇ πόλει λαθὼν ὑπεξελθεῖν. οὐ γὰρ κατὰ θέαν ἀφίκετο τῆς Ἀλεξανδρείας, ἐπιδεδημηκὼς αὐτῇ πρότερον, ἡνίκα τὸν ἐπὶ Ῥώμης πλοῦν ἐστέλλετο πρὸς Τιβέριον, ἀλλ' ὁδῷ χρησάμενος ἐπιτόμῳ τῆς οἴκαδε ἀφίξεως. οἱ δ' ὑπὸ φθόνου ῥηγνύμενοι· βάσκανον γὰρ φύσει τὸ αἰγυπτιακόν· καὶ τὰς ἑτέρων εὐπραγίας ἰδίας ὑπελάμβανον εἶναι κακοπραγίας, καὶ ἅμα διὰ τὴν παλαιὰν καὶ τρόπον τινὰ γεγενημένην πρὸς Ἰουδαίους ἀπέχθειαν, ἤσχαλλον ἐπὶ τῷ γεγενῆσθαί τινα βασιλέα Ἰουδαίων, οὐχ ἧττον ἢ εἰ αὐτὸς ἕκαστος βασιλείας προγονικῆς ἀφῄρητο. καὶ τὸν ἄθλιον Φλάκκον πάλιν οἱ συνόντες ἀνηρέθιζον, εἰς τὸν αὐτὸν ἐνάγοντες καὶ προσκαλούμενοι φθόνον· ἡ σὴ κατάλυσίς ἐστι, φάσκοντες, ἡ ἐπιδημία τούτου· μείζονα τιμῆς καὶ εὐδοξίας ὄγκον ἢ σὺ περιβέβληται· πάντας εἰς αὐτὸν ἐπιστρέφει τὸ δορυφόρων τὴν σωματοφυλάκων στρατιὰν ὁρῶντας ἐπαργύροις καὶ ἐπιχρύσοις ὅπλοις διακεκοσμημένην. ἔδει γὰρ ἥκειν εἰς ἐπικράτειαν ἑτέρου, δυνάμενον, πλῷ χρησάμενον, εἰς τὴν οἰκείαν ἀσφαλῶς παραπεμφθῆναι; καὶ εἰ Γάιος ἐπέτρεψε, μᾶλλον δ' ἠνάγκαζεν, ἐχρῆν ἐκλιπαρήσαντα παραιτήσασθαι τὴν ἐνθάδε ἄφιξιν, ἵνα μὴ παραλημφθεὶς ὁ τῆς χώρας ἡγεμὼν ἀδοξῇ. ταῦτα ἀκούων, ἔτι μᾶλλον ἢ πρότερον ᾤδει, καὶ ἐν μὲν τῷ φανερῷ τὸν ἑταῖρον καὶ φίλον καθυπεκρίνετο, διὰ τὸν ἐκ τοῦ πέμψαντος φόβον, ἰδίᾳ δὲ ἐζηλοτύπει καὶ ἐξελάλει τὸ μῖσος, καὶ πλαγίως αὐτὸν ὕβριζεν, ἐπειδὴ κατὰ πρόσωπον οὐκ ἐθάρρει. τῷ γὰρ ἀργοῦντι καὶ σχολάζοντι τῆς πόλεως ὄχλῳ· πλῆθος δέ ἐστιν ἐπιτετηδευκὸς γλωσσαλγίαν, καὶ ἐνευκαιρεῖ διαβολαῖς καὶ βλασφημίαις· ἐπιτρέπει κακηγορεῖν τὸν βασιλέα, εἴτε ἀρξάμενος δι' ἑαυτοῦ τῆς λοιδορίας, εἴτε προτρεψάμενος καὶ ἐνάγων αὐτοὺς διὰ τῶν ὑπηρετεῖν τὰ τοιαῦτα εἰωθότων. οἱ δ' ἀφορμῆς λαβόμενοι διημέρευον ἐν τῷ γυμνασίῳ χλευάζοντες τὸν βασιλέα, καὶ

A & naues Alexandrinas in portu paratas ad soluendum inuenisset, prospera nauigatione vsus post paucos dies inexpectatus & improuisus appulit: iussis gubernatoribus, cum sub vesperam Pharus se proferret, vela contrahere, & ibi circa ipsum in salo manere vsque crepusculum, ac noctu demum portum subire, vt exscendens omnibus iam dormientibus, nemini conspectus perueniret ad suum hospitem. tanta ille venit cum modestia,
B volens si fieri posset, omnibus inscijs vrbe excedere. non enim visendæ huius causa venerat, quam ante adierat Romam nauigaturus ad Tiberium, sed quærebat compendiosum ad suos reditum. At Ægyptij rumpebantur inuidia, quod ipsis est natiuum vicium, & alienam felicitatem suum interpretabantur infortunium: tum etiam ob inueteratam cum Iudæis simultatem ægre ferebant extitisse Iu-
C dæorum regem quempiam, haud aliter quàm si ipsi auito regno exturbarentur singuli. rursúmque miserum Flaccum familiares irritabant, incitando ad eandem inuidiam his vocibus: Tua pernicies erit hic aduena: maiore quàm tu splendore ac fastu septus est. omnes in se conuertit spectantes satellitium argenteis clypeis & inauratis armis nitidum. & quid opus erat venire in alienam prouinciam, cum posset in suam ditionem
D tutò deduci classibus? nam etiamsi Caius permitteret, atque adeo cogeret, debuerat deprecari hanc profectionem, ne sua felicitate officeret præsidi, suo splendore obscurando eius gloriam. His ille auditis magis etiam turgebat quàm antea, palam quidem socium & amicum simulans, quòd timeret imperatorem à quo missus erat: priuatim autem odium & æmulationem aperiens, & ex obliquo eum contumelijs appetens, quando
E id non audebat in faciem. nam vrbanam multitudinem ociosam segnémque, nec alia re occupatam quàm garrulitate, conuicijs atque calumnijs, passus est regi maledicere: siue ab ipso præside fuit exortum obloquendi principium, siue alios etiam huc impulit per eos qui non grauatim offerunt ad talia suum ministerium. qui occasionem nacti totos dies traducebant regem in gymnasio sermonibus scurrilibus, iactantes in eum

dicteria. nonnunquam etiam mimographorum & id genus poetarum ludicris carminibus abutebantur ad prodendam obſcœnitatem ingenij, ad talia magis quàm ad honeſtas artes prompti ac dociles. alioqui præſes indignatus obiurgaſſet mulctaſſétque arrogantem maledicentiam. imò etiam ſi rex non fuiſſet, familiaris tamen Cæſaris, non debuerat habere aliquod honoris priuilegium? quæ certe argumenta ſunt manifeſtiſſima, Flaccum eius maledicentiæ fuiſſe conſcium. nam qui caſtigare, aut ſaltem cohibere valens non cohibuit, ſatis apparet quòd permiſerit. Vbi verò vulgus incompoſitum occaſionem peccandi accepit, non facile deſiſtit, nouis erratis priora cumulans. Erat quidam inſanus nomine Carabas, non ex illo conſpicuo furioſorum genere, ſed leuiore correptus inſania. is interdiu noctúque nudus oberrabat per compita, nec æſtum nec frigus deuitans, puerorum & adoleſcentum ludibrium. hunc miſerum propulſum ad gymnaſium in ſuperiore loco ſtatuunt, vt ſpectari poſſet ab omnibus. móxque capiti diadema imponunt papyraceum, pro paludamento corpori ſtoream induunt, pro ſceptro fruſtum arundinis humi ſublatum quidam ei dedit in manum. Sic ornatum regijs inſignijs, & in regem transformatum more hiſtrionico, adoleſcentes perticas in humeris geſtantes ſtipabant pro ſatellitio: tum alij ſalutatum accedebant, alij ſibi reddi iura petebant, alij conſulebant eum de republica. poſt hæc acclamatum eſt à circumſtantibus, magna voce Marim appellantibus, quod nomen Syris ſignificat Dominum. norant enim Agrippam Syrum genere, & regnare in bona portione Syriæ. His auditis, imò viſis Flaccus, cum debuiſſet illum inſanum conijcere in carcerem, ne illuſoribus præberet materiam petulantiæ: atque etiam ipſos ſubornatores, quòd regem Cæſaris amicum, à ſenatu Romano honoratum ornamentis prætorijs, auſi ſint apertis obliquíſque contumelijs laceſſere: non ſolum eos non caſtigauit, ſed ne cohibere quidem dignatus eſt, licentiam dans mali-

A σκώμματα συνείροντες. πῆ δὲ καὶ ποιηταῖς μίμων καὶ γελοίων διδασκάλοις χρώμενοι, τὴν ἐν τοῖς αἰσχροῖς εὐφυΐαν ἐπεδείκνυντο, βραδεῖς μὲν ὄντες τὰ καλὰ παιδεύεσθαι, τὰ δ' ἐναντία μανθάνειν ὀξύτατοι καὶ προχειρότατοι. διὰ τί γὰρ οὐκ ἠγανάκτησεν, οὐκ ἀπήγαγεν, οὐκ ἐπέπληξε τῆς αὐθάδους βλασφημίας; εἰ δὲ μὴ βασιλεὺς ἦν, ἀλλά τις τῶν ἐκ τῆς Καισαρείου οἰκίας, οὐκ ὤφειλε προνομίαν τινὰ καὶ τιμὴν ἔχειν; ἀλλὰ ταῦτα πίστεις ἐναργεῖς τοῦ συναίτιον γεγενῆσθαι τῆς βλασφημίας Φλάκκον.

B ὁ γὰρ ἐπιπλῆξαι ἢ τὸ πάνυ μέτριον ἐπισχεῖν δυνηθείς, εἰ μὴ κεκώλυκε, δῆλος ἦν ἐφιεὶς καὶ ἐπιτρέπων αὐτός. προσέτι δ' ὁ ὄχλος ὁ ἀσύντακτος ἀφορμὴν λάβῃ τῶν ἁμαρτημάτων, οὐχ ἵσταται, μέτεισι δ' ἀφ' ἑτέρων ἐφ' ἕτερα προσεπιτραγῳδούμενος ἀεί τι καινότερον. ἦν τις μεμηνὼς ὄνομα Καραβᾶς, οὐ τὴν ἀγρίαν καὶ θηριώδη μανίαν· ἄσκηπτος γὰρ αὕτη γε καὶ τοῖς ἔχουσι καὶ τοῖς πλησιάζουσιν· ἀλλὰ τὴν ἀνειμένην καὶ μαλακωτέραν. οὗτος διημέρευε καὶ

C διενυκτέρευε γυμνὸς ἐν ταῖς ὁδοῖς, οὔτε θάλπος, οὔτε κρυμὸν ἐκτρεπόμενος, ἄθυρμα νηπίων καὶ μειρακίων σχολαζόντων. συνελάσαντες τὸν ἄθλιον ἄχρι τοῦ γυμνασίου, καὶ στήσαντες μετέωρον, ἵνα καθορῷτο πρὸς πάντων, βύβλον μὲν εὐρύναντες ἀντὶ διαδήματος ἐπιτιθέασιν αὐτοῦ τῇ κεφαλῇ, χαμαιστρώτῳ δὲ τὸ ἄλλο σῶμα περιβάλλουσιν ἀντὶ χλαμύδος, ἀντὶ δὲ σκήπτρου βραχύ τι παπύρου τμῆμα τῆς ἐγχωρίου καθ' ὁδὸν ἐρριμμένον ἰδών τις ἀναδίδωσιν· ἐπεὶ δὲ ὡς ἐν θεατρικοῖς μίμοις τὰ

D παράσημα τῆς βασιλείας ἀνειλήφει, καὶ διεκεκόσμητο εἰς βασιλέα, νεανίαι ῥάβδους ἐπὶ τῶν ὤμων φέροντες ἀντὶ λογχοφόρων ἑκατέρωθεν εἱστήκεσαν, μιμούμενοι δορυφόρους, εἶθ' ἕτεροι προσῄεσαν, οἱ μὲν ὡς ἀσπασόμενοι, οἱ δὲ ὡς δικασόμενοι, οἱ δ' ὡς ἐντευξόμενοι περὶ κοινῶν πραγμάτων. εἶτ' ἐκ περιεστῶτος ἐν κύκλῳ πλήθους, ἐξήχει βοή τις ἄτοπος, Μάριν ἀποκαλούντων· οὕτως δέ φασι τὸν κύριον ὀνομάζεσθαι παρὰ Σύροις. ᾔδεσαν γὰρ Ἀ-

E γρίππαν καὶ γένει Σύρον, καὶ Συρίας μεγάλην ἀποτομὴν ἔχοντα, ἧς ἐβασίλευε. ταῦτα δὲ ἀκούων, μᾶλλον δὲ ὁρῶν ὁ Φλάκκος, δέον αὐτὸν καὶ τὸν μεμηνότα συλλαβεῖν, καὶ καθεῖρξαι, ἵνα μὴ παρέχῃ τοῖς κακηγοροῦσιν ἀφορμὴν εἰς ὕβριν τῶν βελτιόνων, καὶ τοὺς ἐνσκευασαμένους τιμωρήσασθαι, ὅτι γε βασιλέα καὶ φίλον Καίσαρος καὶ ὑπὸ τῆς Ῥωμαίων βουλῆς τετιμημένον στρατηγικαῖς τιμαῖς ἐτόλμησαν καὶ λόγοις καὶ φανεροῖς καὶ πλαγίοις ὑβρίζειν, οὐ μόνον οὐκ ἐπέπληξεν, ἀλλ' οὐδ' ἐπισχεῖν

ἠξίωσεν, ἄδειαν καὶ ἐκεχειρίαν διδοὺς τοῖς ἐθελοκακοῦσι καὶ ἐθελέχθρως ἔχουσι, προσποιούμενος ἅ τε ἑώρα μὴ ὁρᾶν, καὶ ὧν ἤκουε μὴ ἀκούειν· ὅπερ συναισθόμενος ὁ ὄχλος οὐχ ὁ καθεστὼς καὶ δημοτικός, ἀλλ' ὁ πάντα θορύβου καὶ ταραχῆς εἰωθὼς ἀναπιμπλάναι διὰ φιλοπραγμοσύνην καὶ ζῆλον ἀβιώτου βίου. καὶ τὸ ἐξ ἔθους ἀργὸν καὶ σχολαῖον, πρᾶγμα ἐπίβουλον συρρυέντες εἰς τὸ θέατρον ἐξ ἑωθινοῦ, Φλάκκον ἤδη μισθῶν ἀθλίων ἐωνημένοι, ὃν ὁ δοξομανὴς καὶ παλίμπρατος ἐλάμβανεν, οὐ καθ' αὑτοῦ μόνου, ἀλλὰ καὶ τῆς κοινῆς ἀσφαλείας ἀνεβόησαν ἀφ' ἑνὸς συνθήματος εἰκόνας ἐν ταῖς προσευχαῖς ἀνατιθέναι, καινότατον καὶ μηδέπω πραχθὲν εἰσηγούμενοι παρανόμημα· καὶ τοῦτ' εἰδότες· ὀξύτατοι γὰρ τὴν μοχθηρίαν εἰσί· κατασοφίζονται τὸ Καίσαρος ὄνομα προκάλυμμα ποιησάμενοι, ᾧ προσάπτειν τι τῶν ἐπαιτίων οὐ θεμιτόν. τί οὖν ὁ τῆς χώρας ἐπίτροπος, ἐπιστάμενος ὅτι καὶ ἡ πόλις οἰκήτορας ἔχει διττούς, ἡμᾶς τε καὶ τούτους, καὶ πᾶσα Αἴγυπτος, καὶ ὅτι οὐκ ἀποδέουσι μυριάδων ἑκατὸν τὴν Ἀλεξάνδρειαν καὶ τὴν χώραν Ἰουδαῖοι κατοικοῦντες ἀπὸ τοῦ πρὸς Λιβύην καταβαθμοῦ μέχρι τῶν ὁρίων Αἰθιοπίας, καὶ ὡς ἡ πεῖρα κατὰ πάντων ἐστί, καὶ ὡς οὐ λυσιτελὲς ἔθη πάτρια κινεῖν, ἀμελήσας ἁπάντων ἐπιτρέπει ποιήσασθαι τὴν ἀνάθεσιν, μυρία καὶ πάντα προνοητικὰ δυνάμενος ἢ ὡς ἄρχων κελεύειν, ἢ συμβουλεύειν ὡς φίλος. ὁ δέ, συνεξαμαρτάνειν γὰρ ἕκαστα τῶν ἁμαρτανομένων· καὶ ἀπὸ μείζονος ἐξουσίας ἀναρριπίζειν καινοτέραις ἀεὶ κακῶν προσθήκαις τὴν στάσιν ἠξίου, καὶ τό γ' ἐφ' αὑτὸν ἧκον μέρος, ἅπασαν ὀλίγου δεῖν φάναι τὴν οἰκουμένην ἐμφυλίων πολέμων ἐπλήρωσεν. οὐ γὰρ ἦν ἄδηλον ὅτι ἡ περὶ τὴν κατάληψιν τῶν προσευχῶν φήμη, λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῆς Ἀλεξανδρείας, διαδοθήσεται μὲν εὐθὺς εἰς τοὺς ἐν Αἰγύπτῳ νομούς, δραμεῖται δ' ἀπὸ μὲν Αἰγύπτου πρὸς ἀνατολὰς καὶ ἔθνη τὰ ἑῷα· ἀπὸ δὲ τοῦ ὑποταινίου καὶ Μαρείας, αἳ Λιβύης εἰσὶν ἀρχαί, πρὸς δυσμὰς καὶ ἔθνη τὰ ἑσπέρια. Ἰουδαίους γὰρ χώρα μία διὰ πολυανθρωπίαν οὐ χωρεῖ· ἧς αἰτίας ἕνεκα τὰς πλείστας καὶ εὐδαιμονεστάτας τῶν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κατά τε νήσους καὶ ἠπείρους ἐκνέμονται, μητρόπολιν μὲν τὴν ἱερόπολιν ἡγούμενοι, καθ' ἣν ἵδρυται ὁ τοῦ ὑψίστου θεοῦ νεὼς ἅγιος· ἃς δ' ἔλαχον ἐκ πατέρων καὶ πάππων καὶ προπάππων καὶ τῶν ἔτι ἄνω προγόνων οἰκεῖν ἕκαστοι, πατρίδας νομίζοντες, ἐν αἷς ἐγεννήθησαν καὶ ἐτράφησαν· εἰς ἐνίας δὲ καὶ κτιζομένας εὐθὺς ἦλθον

A ciosis & inuidis, & quicquid videbat audiebátque dissimulans. Quod vbi sensit populus, non dico illum ciuilem & bene moratum, sed vulgus curiosum, ocio segniciæque per totam vitam deditum, tumultibus omnia miscere solitum, aggressi rem insidiosam, confluxerunt summo mane in theatrum, redempto iam Flacci fauore, quem ille miser ambitione corruptus venditabat nullo respectu securitatis vel suæ vel publicæ:
B & vnanimiter conclamauerunt, dedicandas esse in proseuchis statuas, petentes licentiam nunquam prius auditi facinoris. Quod intelligentes (sunt enim ad nequiciam ingeniosissimi) commenti sunt ad prætextum nomen Cæsaris, quod hunc non liceat in ius vocari. Quid igitur tum egit præses prouinciæ? cum sciret ciuitatem habere incolarum duo genera, nostros homines, & illos alteros, totámque Ægyptum similiter: &
C quod non minus quam decies centena millia Iudæorum habitent Alexandriam totámque regionem quanta patet à Catabathmo Libyæ vsque ad terminos Æthiopiæ: & hunc conatum aduersari his omnibus nec esse è republica moueri patrias consuetudines, neglectis his omnibus permisit dedicationem fieri, cum liceret ei pro potestate afferre plurima remedia, vel saltem expedire amica consilia. at ille vt iniuriarum conscius ac socius, quo
D plus poterat, eo magis seditionem accendebat, & quantum in se fuit, orbem repleuit bellis ciuilibus. nec enim obscurum erat, quòd fama occupatarum proseucharum apud Alexādriam exorta spargenda esset per omnes Ægypti præfecturas, inde propaganda ad gentes orientales: paritérque ab ora maritima & Mareotide, quod est initium Libyæ, vsque occidentem & nationes tractus illius. Iudæos enim
E vna regio non capit propter hominum multitudinem: quamobrem plurimas ac fortunatissimas vrbes in Europæ Asiæque prouincijs ac insulis incolunt, pro metropoli habentes sanctam ciuitatem in qua templum altissimo Deo sacratum est: auitas autem proauitásque sedes colentes tanquam patriam, vbi nati educatíque sint. in quibusdam etiam mox vt conditæ sunt immigrarunt, in conditoris cuiusque gratiam. & metuendum erat

ne per hanc occasionem Iudæi vbique molestarentur à suis ciuibus, si quid nouaretur circa proseuchas & ritus patrios. Et quia res adeo non contemnenda commouere poterat eos, quamuis ingenij pacati homines, non solum quoniam vbi de religione, ibi de vita quoque agitur: verum etiam quòd sub cælo cum proseuchis adimebatur pietatis erga benemeritos facultas per iniuriam quauis morte grauiorem, non habentibus sacra loca vbi declararent suam gratitudinem: dicere poterant aduersarijs, Non animaduertitis hoc pacto vos honorem auferre dominis magis quam tribuere. vbique Iudæi habent proseuchas suæ pietatis erga familiam augustam publica domicilia, quibus sublatis quem nobis alium modum eos honorandi relinquitis? si enim eos qui nos sinunt nostro iure viuere, neglexerimus, extrema pœna digni erimus, non referendo eis parem gratiam. quod si nobis licet frui patrijs legibus ab Augusto quoque approbatis, nescio quod nostrum paruum magnúmve delictum sit, nisi quis vitio vertat quod non vltro legem violamus, & ad externos ritus desciscimus, quod scelus sæpius expiatur autorum capite. sed Flaccus tum dicenda silendo, tum silenda dicendo, nobis erat iniquus. quid illi quibus gratificabatur, quomodo affecti erant? num honorare volebant Cæsarem? scilicet deerant fana in vrbe, cuius pleræque partes opportunissimæ sacratæ sunt, vbi statuas quascunque liberet ponerent. imò techna fuit hæc hostiliter insidiantium, vt lædendo non viderentur iniuriam facere, læsi verò non possent tutò resistere se molestantibus. nisi forte ad imperatoris honorem pertinet, leges abrogari, patrios ritus antiquari, vicinis nocere, concordiæ perturbandæ exemplum præbere alijs quoque ciuitatibus. Ergo postquam is contra legem conatus visus est præsidi succedere, proseuchas tollenti, vt ne nomen quidem reliquum fineret, rursum aggressus est omnia nostra instituta pessum dare: vt his abscisis quibus solis nostra vita sustinetur tanquam sacra anchora, ademptóque iure ciuitatis, in calamitates incideremus maximas, destituti omni præsidio. post paucos enim dies edictum proposuit,

A ἀπὸ κίονος στηλιτευόμενοι, τοῖς κτίσμασι χαριζόμενοι. καὶ δέος ἦν μὴ οἱ πανταχοῦ τὴν ἀφορμὴν ἐκεῖθεν λαβόντες, ἐπηρεάζωσι τοῖς πολίταις αὐτῶν Ἰουδαίοις, εἰς τὰς προσευχὰς καὶ τὰ πάτρια νεωτερίζοντες. οἱ δὲ, οὐ γὰρ ἔμελλον ἄχρι παντὸς ἡσυχάζειν, καίτοι πεφυκότες εὖ πρὸς εἰρήνην, οὐ μόνον ὅτι παρὰ πᾶσιν ἀνθρώποις οἱ περὶ τῶν ἐθῶν ἀγῶνες καὶ τοὺς περὶ ψυχῆς κινδύνους ὑπερβάλλουσιν, ἀλλ᾽ ὅτι καὶ μόνοι τῶν ὑφ᾽ ἥλιον ἅμα ταῖς προσευχαῖς ἀπεστεροῦντο τὸ εἰς τοὺς εὐεργέτας εὐσεβὲς,

B ὃ μυρίων θανάτων ἐτετίμηντο ἄν, οὐκ ἔχοντες ἱεροὺς περιβόλους οἷς ἐνδιαθήσονται τὸ εὐχάριστον· καὶ τοῖς ἐναντιουμένοις εἶπον ἄν, λελήθατε ἑαυτοὺς οὐ προστιθέντες τοῖς κυρίοις τιμὴν, ἀλλ᾽ ἀφαιρούμενοι. τοῖς πανταχόθεν τῆς οἰκουμένης Ἰουδαίοις ὁρμητήρια τῆς εἰς τὸν σεβαστὸν οἶκον ὁσιότητός εἰσιν αἱ προσευχαὶ ἐπιδήλως, ὧν ἡμῖν ἀναιρεθεισῶν, τίς ἕτερος ἀπολείπεται τόπος ἢ τρόπος τιμῆς; εἰ μὲν γὰρ ἀφιέντων τῶν ἐθῶν ὀλιγωροῦμεν, τῆς ἀνωτάτω τι-

C μωρίας δίκαιοι τυγχάνειν ἐσμὲν, μὴ παρέχοντες ἀρτίους καὶ πλήρεις τὰς ἀμοιβάς· εἰ δ᾽ οὐκ ἐξὸν τοῖς ἰδίοις ὑποστελλόμεθα νομίμοις, ἃ καὶ τῷ σεβαστῷ φίλον βεβαιοῦν, τί μικρὸν ἢ μέγα πλημμελοῦμεν οὐκ οἶδα, πλὴν εἰ μὴ ψέγειν τις ἐθελήσειε τὸ μὴ γνώμῃ ἑκουσίῳ παρανομεῖν, τὰς ἐκδιαιτήσεις τῶν ἐθῶν οὐ φυλαξαμένους, αἳ κἂν ἀφ᾽ ἑτέρων ἄρξωνται, τελευτῶσι πολλάκις εἰς τοὺς αἰτίους. ἀλλ᾽ ὁ μὲν Φλάκκος τά τε λεκτέα ἡσυχάζων, καὶ τὰ ἡσυχαστέα λέγων, οὕτως εἰς ἡμᾶς ἐξημάρτανεν· ἐκεῖνοι δ᾽

D οἷς ἐχαρίζετο, τίνα γνώμην εἶχον; ἆρά γε τὴν τιμᾶν ἐθελόντων; εἶτα σπάνις ἦν ἱερῶν κατὰ τὴν πόλιν, ἧς τὰ πλεῖστα καὶ ἀναγκαιότατα μέρη τετεμένισται, πρὸς ἀνάθεσιν ὧν ἐβούλοντο; ἡμῶν τῶν φιλαπεχθημόνων μετὰ τέχνης ἐπιβουλευόντων, δι᾽ ἣν οἱ μὲν ἐπηρεάζοντες οὐ δόξουσιν ἀδικεῖν, τοῖς δ᾽ ἐπηρεαζομένοις οὐκ ἀσφαλὲς ἐναντιοῦσθαι. οὐ γάρ ἐστιν ὦ γενναῖοι τιμὴ καταλύειν νόμους, ἔθη πάτρια κινεῖν, ἐπηρεάζειν τοῖς συνοικοῦσι, διδάσκειν καὶ

E τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν ὁμοφροσύνης ἀλογεῖν. ἐπειδὴ τοίνυν ἡ κατὰ τῶν νόμων πεῖρα εὐοδεῖν ἔδοξεν αὐτῷ, τὰς προσευχὰς ἁρπάσαντι, καὶ μηδὲ τοὔνομα ὑπολιπομένῳ, πάλιν ἐφ᾽ ἕτερον ἐτρέπετο, τὴν τῆς ἡμετέρας πολιτείας ἀναίρεσιν, ἵν᾽ ἀποκοπέντων οἷς μόνοις ἐφώρμει ὁ ἡμέτερος βίος, ἐθῶν τε πατρίων, καὶ μετουσίας πολιτικῶν δικαίων, τὰς ἐσχάτας ὑπομένωμεν συμφορὰς, οὐδενὸς ἐπειλημμένοι πείσματος εἰς ἀσφάλειαν. ὀλίγαις γὰρ ὕστερον ἡμέραις τίθησι πρόγραμμα,

δι᾽

δι' οὗ ξένους καὶ ἐπήλυδας ἡμᾶς ἀπεκάλει, μηδὲ A λόγου μεταδούς, ἀλλ' ἀκρίτως καταδικάζων· οὗ τί ἂν εἴη τυραννίδος ἐπάγγελμα μεῖζον· αὐτὸς γινόμενος τὰ πάντα, κατήγορος, ἐχθρός, μάρτυς, δικαστής, κολαστής· εἶτα δυσὶ τοῖς προτέροις καὶ τρίτον προσέθηκεν, ἐφεὶς ὡς ἐν ἁλώσει τοῖς ἐθέλουσι πορθεῖν Ἰουδαίους. οἱ δὲ λαβόντες ἄδειαν τί πράττουσι· πέντε μοῖραι τῆς πόλεώς εἰσιν, ἐπώνυμοι τῶν πρώτων στοιχείων τῆς ἐγγραμμάτου φωνῆς· τούτων δύο Ἰουδαϊκαὶ λέγονται, διὰ τὸ πλείστους Ἰουδαίους ἐν ταύταις κατοικεῖν· οἰκοῦσι δὲ καὶ ἐν B ταῖς ἄλλαις οὐκ ὀλίγοι σποράδες. τί οὖν ἐποίησαν· ἐκ τῶν τεττάρων γραμμάτων ἐξῴκισαν τοὺς Ἰουδαίους, καὶ συνήλασαν εἰς ἑνὸς μοίρας βραχυτάτην. οἱ δὲ ἐξεχέοντο διὰ τὸ πλῆθος εἰς αἰγιαλούς, καὶ κοπρίας, καὶ μνήματα, πάντων στερούμενοι τῶν ἰδίων· ἐκεῖνοι δὲ τὰς ἐρήμους οἰκίας καταδραμόντες, ἐφ' ἁρπαγὴν ἐτράποντο, καὶ ὡς ἐκ πολέμου λείαν διενέμοντο· μηδενὸς δὲ κωλύοντος, καὶ τὰ ἐργαστήρια τῶν Ἰουδαίων συγκεκλεισμένα διὰ τὸ ἐπὶ C Δρουσίλλῃ πένθος ἀναρρήξαντες, ὅσα εὗρον· πολλὰ δὲ καὶ ταῦτ' ἦν· ἐξεφόρησαν, καὶ διὰ μέσης ἀγορᾶς ἐκόμιζον, ὡς οἰκείοις τοῖς ἀλλοτρίοις καταχρώμενοι. τῆς δὲ ἁρπαγῆς ἡ ἀπραξία κακὸν ἦν βαρύτερον, τὰς μὲν ἐνθήκας ἀπολωλεκότων τῶν ποριστῶν, μηδενὸς δὲ ἐῶντος, μὴ γεωργοῦ, μὴ ναυκλήρου, μὴ ἐμπόρου, μὴ τεχνίτου τὰ συνήθη πραγματεύεσθαι, ὡς διχόθεν κατεσκευάσθαι πενίαν, ἔκ τε τῆς ἁρπαγῆς, ἀνουσίων μιᾷ ἡμέρᾳ γινομένων, καὶ περισεσυλημένων τὰ ἴδια, κἀκ τοῦ D μὴ δύνασθαι πορίζειν ἐκ τῶν συνήθων ἐπιτηδευμάτων. καὶ ταῦτα μὲν εἰ καὶ ἀφόρητα, ἀλλ' οὖν τοῖς αὖθις πεπραγμένοις συγκρινόμενα οἰστά. πενία γὰρ χαλεπὸν μέν, καὶ μάλιστα ὅταν κατασκευάζηται πρὸς ἐχθρῶν, ἔλαττον δὲ τῆς εἰς τὰ σώματα ὕβρεως, κἂν ᾖ βραχυτάτη. τοὺς δὴ ἡμετέρους διὰ τὰς ὑπερβολὰς ὧν ἔπαθον, οὐδ' ἂν εἴποι τις ὕβριν ἢ αἰκίαν ἐνδεδέχθαι, κυρίοις χρώμενος τοῖς ὀνόμασιν, ἀλλά μοι δοκεῖ προσρήσεων οἰκείων ἂν E ἀπορῆσαι, διὰ μέγεθος κεκαινουργημένης ὠμότητος, ὡς τὰ τῶν πολεμίων μὲν κρατησάντων ἐκ φύσεως δὴ ἀσπόνδων εἰς τοὺς ἑαλωκότας συγκρινόμενα τοῖς τούτων, ἡμερώτατα ἂν εἶναι δόξαι. χρήματα ἁρπάζουσιν ἐκεῖνοι, καὶ πλῆθος αἰχμαλώτων σωμάτων, ἀλλὰ κινδυνεύσαντες εἰ ἡττηθεῖεν ἀποβαλεῖν τὰ οἰκεῖα. οὐ μὴν ἀλλὰ καὶ μυρίους ὧν λύτρα κατατιθέασι συγγενεῖς ἢ φίλοι, μεθίενται τῶν δορυαλώτων, ἴσως μὲν ἀκαμπεῖς ὄντες πρὸς ἔλεον,

A in quo nos appellabat inquilinos & exteros, ne causæ quidem dicendæ potestatem faciens, sed iniudicatos condemnans: quo quid posset esse magis tyrannicum? ipse sibi vsurpabat partes, delatoris, inimici testis, iudicis, pœnarum exactoris. Tertium quoque scelus addidit non contentus duobus prioribus passus quoslibet in Iudæos tanquam bello captos sæuire. qui nacti licentiam quid fecerunt? quinque sunt vrbis B regiones, denominatæ à primoribus literis: harum duæ dicuntur Iudaicæ quòd in his plurimi Iudæi habitent quamuis & in alijs non pauci sparsim habeant domicilia. Quid igitur fecerunt? è quatuor literis expulsos Iudæos contruserunt in vnius partem angustissimam. at illi quòd plures essent quàm vt is locus eos caperet, egrediebantur in littora, & monumenta, & sterquilinia, exuti rebus suis omnibus. inimici verò facto in C desertas domos impetu, prædas tanquam iure belli partas diuidebant: effractisque Iudæorum officinis, quæ tum propter luctum mortis Drusillæ clausæ fuerant, hinc quoque plurima egesserunt, quæ per medium forum translata verterunt in vsus proprios. sed minus nocebant rapinæ quàm abrupta negociatio, cum creditores amisissent pignora, nec sineretur vllus agricola, nauta, negociator, opifex, exercere artes consuetas. ita non D simplex eis parabatur pauperies, vel quòd vna die spoliabantur suis facultatibus, vel quòd non dabatur quæstum facere more solito. Hæc quamuis permolesta, videbantur tamen tolerabilia collata cum cæteris. nam paupertas grauis quidem est, præsertim oblata ab inimico, leuior tamen quàm corporis læsio vel minima. at nostri homines tantis afflicti fuerunt calamitatibus, vt si quis di- E cat eos tormenta cruciatúsque perpessos, minus quàm pro re videatur dicere, & destitui proprijs vocabulis propter inauditam sæuiciam: vt ad hanc collata quæ victores in victos hostes iure belli solent perpetrare, existimari possint plena clementiæ. Illi pecunias auferunt & captiuorum multitudinem, sed periclitati de sua libertate suisque opibus. plurimos etiam sinunt à cognatis amicisque redimi, si non miseratione,

moti saltem auaricia. quid tum postea? seruati non putant sua referre quonam modo sibi salus contigerit. tum si quis in bello cadat, sepelitur ab hostibus, vel ipsorum sumptu, si sint humanitatis æquitatisque memores. quod si odium etiam in mortuos retineant, licet per inducias repetere corpora, ne vltimi honores eis desint & iusta funebria. hæc sunt in bello commercia hostium, nunc age inspiciamus quomodo in pace tractati simus ab his qui paulo ante esse amici desierant. Post domos direptas, exactis habitatoribus, atque ita desolatas partes vrbis plerasque, tanquam obsessi vndique ab inimicis, & oppressi graui rerum victui necessariarum inopia, inspectantésque paruos liberos & vxores ante ora sua fame deficere inducta per aduersarios (nam de cætero felix annona erat vbique, & flumen stagnationibus iustis arua inundarat largiter, & campi frugiferi magnam frumenti copiam protulerant) iam egestatis impatientes quidam ad cognatorum & quondam amicorum ædes ibant præter solitum, petituri stipem necessariam. alij generosiores aspernati mendicorum fortunam vt illiberalem, in forum prodibant, tantum vt sibi suísque cibos emerent miseri. mox enim à vulgo seditioso correpti sunt occisique, corpora quoque horum per totam vrbem raptata, vt ne ad sepulturam quidem vllum membrum fieret reliquum. eadem rabie perierunt & alij plurimi, nouis crudelitatis formis excogitatis per efferatam in mores beluinos plebeculam. nam vbicumque Iudæi conspicerentur, aut saxis coniectis enecabantur, aut inflictis fustibus: nec statim plagis letalibus appetebantur, ne accelerata morte cito eriperentur cruciatibus. alij ferociores abusi præsenti licentia, contemptis hebetioribus arma sumpserunt efficacissima, ignem ferrúmque, & multos gladijs confecerunt, nec pauciores concremauerunt. interdum familias integras, maritos cum vxoribus, paruulos cum parentibus in medio foro exurebant immaniter, nec senium, nec teneram ætatem miserati, nec eius innocentiam. & quoties ligna

A ἐπιθέμενοι δὲ φιλαργυρίας. ἀλλὰ τί τοῦτο, φαίη τις ἄν; τοῖς γὰρ εὖ πάσχουσιν ἀδιάφορος ὁ τῆς σωτηρίας τρόπος. ἤδη δὲ καὶ τοὺς πεσόντας ἐν τῷ πολέμῳ τῆς ἐχθρῶν ταφῆς ἀξιοῦσιν, οἱ μὲν ἐπιεικεῖς καὶ φιλάνθρωποι, τοῖς οἴκοθεν δαπανήμασιν· οἱ δὲ τὴν ἔχθραν καὶ πρὸς τοὺς νεκροὺς ἀποτείνοντες, ὑπόσπονδα τὰ σώματα διδόντες, ὑπὲρ τοῦ μὴ τῆς τελευταίας χάριτος ἀμοιρῆσαι τῆς νομιζομένης. ἐν πολέμῳ μὲν οἱ δυσμενεῖς ταῦτα, ἐν εἰρήνῃ δὲ οἱ πρὸ μικροῦ φίλοι, θεασώμεθα ὁποῖα. μετὰ γὰρ τὰς ἁρπαγὰς, καὶ

B τοὺς ἀνοικισμοὺς, καὶ τὰς ἐκ τῶν πλείστων μερῶν τῆς πόλεως βιαίους ἐλάσεις, καθάπερ τειχήρεις ἐν κύκλῳ περιεχόμενοι πρὸς ἐχθρῶν γεγονότες, ἀπορίᾳ καὶ σπάνει δεινῇ τῶν ἀναγκαίων πιεζόμενοι, καὶ γύναια καὶ τέκνα νήπια ὁρῶντες ἐν ὀφθαλμοῖς παραπολλύμενα λιμῷ χειροποιήτῳ· πάντα γὰρ τἄλλα εὐθηνίας καὶ εὐετηρίας μεστὰ ἦν, τοῦ μὲν ποταμοῦ ταῖς πλημμύραις τὰς ἀρούρας πλουσίως λιμνάσαντος, τῆς δὲ πεδιάδος ὅση πυροφόρος ἀφθονωτά-

C την εὐφορίαν τῆς τοῦ σίτου καρπῶν ἀναγούσης· μηκέτι στέγειν δυνάμενοι τὰς ἐνδείας, οἱ μὲν ἐπὶ συγγενῶν καὶ φίλων πρότερον οὐκ εἰωθότες οἰκίας ἦλθον, ἔρανον αὐτὰ τὰ ἀναγκαῖα αἰτήσοντες· οἱ δὲ ἀπὸ φρονήματος εὐγενοῦς τὴν μεταιτῶν τύχην ὡς δουλοπρεπῆ καὶ ἀνελεύθερον ἐκτρεπόμενοι, προῆλθον εἰς ἀγορὰν, οὐδενὸς ἑτέρου χάριν, ἢ τῆς ὠνίας τοῖς τε οἰκείοις καὶ ἑαυτοῖς τροφὰς οἱ δυστυχεῖς. εὐθὺς γὰρ συναρπασθέντες ὑπὸ τῶν τὴν ὀχλοκρατίαν ἐπιτειχισάντων δολοφονοῦνται, καὶ

D συρόμενοι καὶ πατούμενοι διὰ τῆς πόλεως ἁπάσης ἐξαναλώθησαν, οὐδενὸς ὑπολειφθέντος μέρους, ὃ δυνήσεται κοινωνῆσαι ταφῆς. μυρίους μὲν καὶ ἄλλους πολυτρόποις κακῶν ἰδέαις ἐπιτετηδευμέναις εἰς χαλεπὴν ὠμότητα κατειργάσαντο καὶ διέφθειραν οἱ λελυττηκότες ὑπ᾽ ἀγριότητος τὰς θηρίων φύσιν. τοὺς γὰρ ὅπῃ τύχοι φανέντας τῶν Ἰουδαίων, ἢ κατέλευον, ἢ ξύλοις κατέκοπτον, οὐκ εὐθὺς ἐπὶ τὰ καιριώτατα μέρη τὰς πληγὰς φέροντες, ἵνα μὴ

E θᾶττον τελευτήσαντες θᾶττον καὶ τὴν τῶν ἐπωδύνων ἀντίληψιν ἀπόθωνται, τῇ δὲ τῆς συμφορᾶς ἀδείᾳ καὶ ἐκεχειρίᾳ τινὲς ἐπινεανιευόμενοι, τῶν ἀμβλυτέρων ἀλογήσαντες, ἀνελάμβανον τὰ πάντων ἀνυσιμώτατα, πῦρ καὶ σίδηρον, καὶ πολλοὺς μὲν ξίφεσιν ἀνεῖλον, οὐκ ὀλίγους δὲ πυρὶ διέφθειραν. ἤδη δὲ καὶ γενεὰς ὅλας, ἄνδρας μετὰ γυναικῶν, τέκνα νήπια μετὰ γονέων ἐνέπρησαν οἱ πάντων ἀνηλεέστατοι κατὰ μέσην τὴν πόλιν, μὴ γῆρας, μὴ νεότητα, μὴ παίδων ἄκακον ἡλικίαν οἰκτισάμενοι· καὶ ὁπότε μὴ

ξύλων ὕλης ἀπορήσειαν, φρύγανα συλλέγοντες A
καπνῷ τὸ πλέον ἢ πυρὶ διέφθειρον, οἰκτρότερον καὶ
ἐπιμηκέστερον ὄλεθρον τοῖς δειλαίοις τεχνάζον-
τες, ὧν τὰ σώματα ἡμίφλεκτα ἀναμὶξ ἔκειτο,
χαλεπὴ καὶ ὀδυνηροτάτη θέα· εἰ δὲ καὶ περιλειφθέν-
τες ἐπὶ φρυγανισμὸν ἐβράδυνον, ἐπὶ τὴν ἰδίων
σκευῶν τὴν ἐκ τῆς ἁρπαγῆς ἐνεπίμπρασαν τοὺς δε-
σπότας, τὰ μὲν πολυτελῆ νοσφιζόμενοι, τὰ δὲ μὴ
πάνυ χρήσιμα συγκαταφλέγοντες, οἷς ἀντὶ ξύ-
λων εἰκαίων ἐχρῶντο. πολλοὺς δὲ καὶ ζῶντας τοῖν πο- B
δοῖν τοῖν ἑτέροιν ἐνδήσαντες κατὰ τὸ σφυρὸν, εἷλκον
ἅμα καὶ κατηλόων ἐναλλόμενοι, θάνατον ὠμότατον
ἐπινοήσαντες, καὶ τελευτησάντων, οὐδὲν ἧττον ἀ-
τελεύτητα μηνιῶντες, βαρυτέρας αἰκίας τοῖς σώ-
μασιν ἐπέφερον, διὰ πάντων, ὀλίγου δέω φάναι,
τῶν τῆς πόλεως στενωπῶν κατασύροντες, ἕως ὁ νεκρὸς
δέρας, σάρκας, ἶνας, ὑπὸ τῆς τῶν ἐδαφῶν ἀνωμα-
λίας καὶ τραχύτητος περιθρυφθεὶς, καὶ τῶν ἡνωμέ-
νων μερῶν τῆς συμφωνίας διασπασθέντων καὶ δια-
σπαρέντων, ἀλλαχόσε ἀγόν, ἐδαπανήθη· καὶ οἱ C
μὲν ταῦτα δρῶντες, ὥσπερ ἐν τοῖς θεατρικοῖς μί-
μοις καθυπεκρίνοντο τοὺς πάσχοντας· τῶν δ' ὡς ἀλη-
θῶς πεπονθότων φίλοι καὶ συγγενεῖς, ὅτι μόνον τῇ τῶν
προσηκόντων συμφοραῖς συνήλγησαν, ἀπήγοντο,
ἐμαστιγοῦντο καὶ μετὰ πάσας τὰς αἰκίας ὅσας ἐδύ-
ναντο χωρῆσαι τὰ σώματα αὐτοῖς, ἡ τελευταία καὶ
ἔφεδρος τιμωρία, σταυρὸς ἦν. πάντα δὲ διορύξας καὶ
τοιχωρυχήσας ὁ Φλάκκος, καὶ μηδὲν μέρος τῆς ἰουδαϊ-
κῆς ἀμέτοχον ἐπιβουλῆς τῆς ἀνωτάτω καταλιπὼν,
ἐπινοήσει ἔκτοπόν τινα καὶ παρηλλαγμένην ἐπί- D
θεσιν ὁ μεγαλουργὸς, ὁ καινῶν ἀδικημάτων εὑρετής.
τῆς γὰρ ἡμετέρας γερουσίας, ἣν ὁ σωτὴρ καὶ εὐεργέ-
της Σεβαστὸς ἐπιμελησομένην τῶν ἰουδαϊκῶν εἵλετο
μετὰ τὴν τοῦ γενάρχου τελευτὴν διὰ τῶν πρὸς
Μάγνον Μάξιμον ἐντολῶν, μέλλοντα πάλιν ἀπ'
Αἰγύπτου καὶ τῆς χώρας ἐπιτροπεύειν, ὀκτὼ καὶ τριά-
κοντα συλλαβὼν τοὺς εὑρεθέντας ἐν ταῖς οἰκίαις, εὐθὺς
μὲν δῆσαι κελεύει, καὶ στείλας καλὴν πομπὴν διὰ
μέσης ἀγορᾶς πρεσβύτας δεσμίους ἐξηγκωνισμέ- E
νους, τοὺς μὲν ἱμᾶσι, τοὺς δὲ σιδηραῖς ἁλύσεσιν εἰς
τὸ θέατρον εἰσάγει, θέαμα οἰκτιστὸν καὶ ἀλλοτριώτατον
τῶν καιρῶν· καὶ στὰς ἀντικρὺ ἐχθρῶν καθεζομένων
πρὸς ἐπίδειξιν αἰσχύνης προσέταξε πάντας πε-
ριδυθέντας αἰκισθῆναι μάστιξιν, αἷς ἔθος τοὺς κα-
κούργους πονηροτάτους προσπηλακίζεσθαι, ὡς ἐκ
τῶν πληγῶν, τοὺς μὲν φοράδην ἐκκομισθέν-
τας αὐτίκα τελευτῆσαι, τοὺς δὲ νοσήσαντας ἐπὶ
πλεῖστον χρόνον εἰς ἀπόγνωσιν σωτηρίας ἐλθεῖν.

deerant, sarmentis collectis non tam igne quàm fumo enecabant eos, quo diutius morerentur & miserius, quorum cadauera semiustulata confertim iacebant & promiscue, triste horrendúmque spectaculum. quod si lignatores sarmenta conferrent tardius, impositos ligneæ suppellectili vrebant eius Dominos, subtracta preciosiore, viliori vtendo pro lignis vulgaribus ad rogos extruendos. multos etiam viuos in alterum pedem fune iniecto trahebant interim insultando calcibus, excogitato genere mortis crudelissimo: nec in extinctos remittebant iram, grauius sæuiendo in cadauera, propemodum per omnes vrbis angiportus raptata, donec lacerata cute cum neruis & carnibus, & frustis sparsim in aspero solo hærentibus, minutim concerperentur. Interea quidam eorum tanquam in theatro se indolescere simulabant ad talia spectacula. cæterum qui vere dolebant suorum vicem cognati amicique, confestim pœnas dabant, intempestiuæ, vt inimicis videbatur, misericordiæ, arreptique flagris cædebantur, & post omnia tormenta quæ poterant excipere corporibus, tandem in crucem agebantur. Postquam autem Flaccus perfodit omnes Iudæorum parietes, & nihil intentatum reliquit in eorum perniciem, immane quiddam commentus est inuentor nouarum semper iniuriarum. nam è senatu nostro quem Augustus seruator optime de nobis meritus instituit ceu publicum Iudæorum consilium, missis super ea re literis ad Manium Maximum designatum Ægypti præsidem, triginta octo comprehensos in suis priuatis ædibus confestim vinciri iussit: traductósque egregia pompa per medium forum senes reductis in tergum manibus, ligatos partim loris partim catenis ferreis, induxit in theatrum, spectaculum miserabile, nec illi tempori aut loco debitum, statutósque coram inimicis eorum sedentibus, ad maiorem ignominiam iussit nudatos flagellari tanquam scelestos & nocentissimos, vt concisi verberibus aliquot mox vt inde sunt elati exhalarint animam, reliqui desperata salute cum diuturno morbo conflictati sint. quod facinus etsi aliâs deprehensum est, nihilominus hic

quoque declarabitur. Ex dicto senatu tres, Euodius, Tryphon, Andron, bonis spoliati fuerant, direptis eorum ædibus vno impetu, nec id latuit præsidem. didicerat enim accitis nostris magistratibus, quasi acturus de concordia. & tamen quamuis sciret spoliatos fuisse, verberabat in conspectu eorum qui spoliarant: vt alteris calamitatem geminaret addito ad paupertatem cruciatu corporis: alteri duplicem voluptatem caperent ex concessis sibi alienis opibus, & inimicorum ignominia. dicam paruum quiddam, quod an inter tanta mala dicendum sit dubito. sed quamuis paruum, non paruam tamen indicat maliciam. Est in illa vrbe flagrorum differentia pro eorum conditione qui cæduntur. aliter Ægyptij flagellantur ab alijs, Alexandrini verò virgis cæduntur ab Alexandrinis lictoribus, quos vocant spathephoros. hunc morem & in nostris hominibus seruarunt superiores præsides, & ipse quoque Flaccus primis magistratus sui temporibus. est certe & in pœna paruum quoddam solatium, & in cruciatu remissionis nonnihil, quando res ita vt sunt sinuntur, nec augetur maliciose molestia: sed cum accedit odium, nihil æquitatis relinquitur. annon igitur fuit iniquissimum, cum de plebe Alexandrina Iudæi liberalibus & ciuilibus flagris punirentur, siquando viderentur commeriti, magistratus senatorésque, honoratos vel ipsis appellationibus, hac parte inferiores haberi suis subditis, & exæquari Ægyptiorum obscurissimis, maximorum flagitiorum pœnas luentibus corpore? omitto dicere, quòd etiam si peccassent grauissime, debuerat habere temporis rationem atque reuerentiam, & differre mulctationem in aliud. nam bonis præsidibus, & recte non insolenter administrantibus rempublicam, mos est in neminem damnatum animaduertere, donec solemnes celebritates nataliciáque augustorum festa prætereant. at ille per eos ipsos dies iniustis pœnis affligebat homines innoxios. an non poterat postea, si voluisset, easdem ab illis exigere? sed properabat vrgebátque negocium, vt turbis aduersariorum gratifi-

A ἧς ἐπιβουλῆς τὸ μέγεθος ἐξελήλεγκται μὲν καὶ δι'
ἑτέρων, οὐχ ἧττον δὲ καὶ διὰ τοῦ μέλλοντος λέγεσθαι
σαφέστερον ἐπιδειχθήσεται. τῶν ἀπὸ τῆς γερουσίας
τρεῖς ἄνδρες, Εὔοδος, καὶ Τρύφων, καὶ Ἄνδρων, ἐγε-
γένηντο ἀνέστιοι, πάνθ' ὅσα εἶχον ἐν ταῖς οἰκίαις διαρ-
πασθέντες ἐφόδῳ μιᾷ, ὡς οὐκ ἠγνόησε ταῦτα πε-
πονθότας. ἐδηλώθη γὰρ αὐτῷ μεταπεμψαμένῳ
πρότερον τοὺς ἡμετέρους ἄρχοντας ὅσα τῷ δο-
κεῖν ἐπὶ καταλλαγαῖς τῆς πρὸς τὴν ἄλλην πόλιν·
καὶ ὅμως εἰδὼς ἀκριβῶς τοὺς ἐστερημένους τῶν ἰδίων,
B ἐν ὄψεσι τῶν ἁρπασάντων ἔτυπτεν, ἵν' οἱ μὲν ὑπο-
μένωσι διττὰς συμφοράς, πενίαν ὁμοῦ καὶ ἐν τοῖς
σώμασιν ὕβριν, οἱ δὲ διττὴν ἡδονήν, ἀλλότριόν τε
καρπούμενοι πλοῦτον, καὶ τῆς τῶν ἀφαιρεθέντων ἀ-
τιμίας εἰς κόρον ἀπολαύοντες. ἔχων τι τῶν τότε γε-
γενημένων εἰπεῖν, ἐπαμφοτερίζω, μὴ ἄρα εὐ-
τελὲς εἶναι νομισθὲν, ἐκλύσῃ τὰ μεγέθη τῶν τοσού-
των. ἔστι δ' εἰ καὶ μικρὸν, ἀλλ' οὐ μικρᾶς δεῖγμα
κακονοίας. τῶν μαστίγων εἰσὶ διαφοραὶ διακεκρι-
C μέναι κατὰ τὴν πόλιν πρὸς τὰ τῶν τύπτεσθαι μελλόν-
των ἀξιώματα. τοὺς μὲν γὰρ αἰγυπτίους ἑτέραις αἰ-
κίζεσθαι συμβέβηκε, καὶ πρὸς ἑτέρων, τοὺς δὲ Α-
λεξανδρέας σπάθαις καὶ ὑπὸ σπαθηφόρων Ἀλε-
ξανδρέων. τὸ ἔθος τοῦτο καὶ ἐπὶ τῶν ἡμετέρων διε-
τήρησαν οἱ πρὸ Φλάκκου, καὶ Φλάκκος αὐτὸς τοὺς
προτέρους χρόνους. ἔστι γὰρ ἔστι καὶ ἐν ἀτιμίᾳ βρα-
χύ τι τῶν εἰς ἐπιτιμίαν εὑρεῖν, καὶ ἐν ὕβρει παραφε-
ρόμενόν τι τῶν εἰς τὸ ἀνύβριστον, ὅταν τις αὐτὰς ἐφ'
ἑαυτῶν ἐάσας φύσεις τῶν πραγμάτων ἐξετάζεσθαι
D μὴ προστιθῇς οἴκοθεν ἐπίβουλον πάθος, ὃ πάνθ'
ὅσα παραμέμικται τῆς ἐπιεικεστέρας ἰδέας, ὑφαιρεῖ καὶ
διοικίζει. πῶς οὖν οὐ παγχάλεπον τῶν ἰδιωτῶν Α-
λεξανδρέων ἰουδαίων ταῖς ἐλευθεριωτέραις καὶ πολι-
τικωτέραις μάστιξιν τετυπτημένων, εἴποτε ἔδοξαν
πληγῶν ἄξια ἐργάσασθαι, τοὺς ἄρχοντας, τὴν γε-
ρουσίαν, οἳ καὶ γέρως καὶ τιμῆς εἰσιν ἐπώνυμοι, κατὰ
τοῦτο τὸ μέρος ἔλαττον τῶν ὑπηκόων ἐνεγκεῖν, κα-
θάπερ αἰγυπτίων τοὺς ἀφανεστάτους καὶ ἐνόχους τοῖς
E μεγίστοις ἀδικήμασιν. ἐῶ λέγειν, ὅτι εἰ καὶ μυρία
ἦσαν ἡμαρτηκότες, ὤφειλε τὸν καιρὸν αἰδεσθεὶς τὰς
τιμωρίας ὑπερθέσθαι. τοῖς γὰρ ὀρθῶς πολιτευομέ-
νοις τῶν ἀρχόντων, καὶ μὴ προσποιουμένοις τι-
μᾶν, ἀλλ' ὄντως τιμῶσιν εὐεργέτας, ἔθος ἐστὶ μη-
δένα κολάζειν τῶν κατακρίτων, ἄχρις ἂν αἱ ἐπι-
φανεῖς γενέθλιοι καὶ πανηγύρεις αὗται τῶν ἐπιφα-
νῶν σεβαστῶν διεξέλθωσιν. ὁ δ' ἐν αὐταῖς πα-
ρανόμει καὶ ἐτιμωρεῖτο τοὺς μηδὲν ἀδικοῦν-
τας. ἐνῆν ἂν αὖθις εἴπερ ἐβούλετο κολάζειν;

ἀλλ' ἔσπουδε καὶ κατήπειγεν, ἕνεκα τῆς πρὸς τὸν ἐσόμενον ὄχλον θρησκείας, ταύτῃ νομίζων ὑποικειώσασθαι μᾶλλον αὐτὸν εἰς ἃ προδιενοεῖτο. ἤδη τινὰς οἶδα τῶν ἀνεσκολοπισμένων, μελλούσης ἐνίστασθαι τοιαύτης ἐκεχειρίας καθαιρεθέντας, καὶ τοῖς συγγενέσιν ἐπὶ τῷ ταφῆς ἀξιωθῆναι καὶ τυχεῖν τῶν νενομισμένων ἀποδοθέντας. ἔδει γὰρ καὶ νεκροὺς ἀπολαῦσαί τινος χρηστοῦ γενεθλιακαῖς αὐτοκράτορος, καὶ ἅμα τὸ ἱεροπρεπὲς τῆς πανηγύρεως φυλαχθῆναι· ὁ δὲ οὐ τετελευτηκότας ἐπὶ σταυρῶν καθαιρεῖν, B ζῶντας δὲ ἀνασκολοπίζειν προσέταττεν, οἷς ἀμνηστίαν ἐπ' ὀλίγον, οὐ τὴν εἰς ἅπαν ὁ καιρὸς ἐδίδου, πρὸς ὑπέρθεσιν τιμωρίας, οὐκ ἄφεσιν παντελῆ. καὶ ταῦτ' εἰργάζετο μετὰ τὸ πληγαῖς αἰκίσασθαι ἐν μέσῳ τῷ θεάτρῳ, καὶ πυρὶ, καὶ σιδήρῳ βασανίσαι, καὶ ἡ θέα διενενέμητο. τὰ μὲν γὰρ πρῶτα τῆς θέας μέχρι τρίτης ὥρας ἢ τετάρτης ἐξ ἑωθινοῦ ταῦτα ἦν, Ἰουδαῖοι μαστιγούμενοι, κρεμάμενοι, τροχιζόμενοι, καταδικαζόμενοι, διὰ μέσης τῆς ὀρχήστρας ἀπαγόμενοι τὴν ἐπὶ θανάτῳ. C τὰ δὲ μετὰ τὴν καλὴν ταύτην ἐπίδειξιν, ὀρχησταὶ καὶ μῖμοι καὶ αὐληταὶ, καὶ ὅσα ἄλλα σκηνικῶν ἀθύρματα ἀγώνων. καὶ τί ταῦτα μηκύνω; δευτέρα γὰρ ἐπινοεῖται πόρθησις, βουλομένου καὶ τὸ στρατευόμενον πλῆθος ἡμῖν ἐπιτειχίσαι, ξένης συκοφαντήματος εὑρέσει· τὸ δὲ συκοφάντημα ἦν, ὡς τῶν Ἰουδαίων πανοπλίας ἐν ταῖς οἰκίαις ἐχόντων. μεταπεμψάμενος οὖν ἑκατόνταρχον ᾧ μάλιστα ἐπίστευε, Κάστον ὄνομα, κελεύει παρὰ τῆς ὑπηκόου τάξεως ἑαυτῷ τοὺς εὐτολμοτάτους στρατιώτας D ἐπισυνδεῖ καὶ ἄνευ προρρήσεως ἐπεισιόντα ταῖς τῶν Ἰουδαίων οἰκίαις ἐρευνᾶν μήτις ὅπλων ἐναπόκειται παρασκευή· καὶ ὁ μὲν συντείνας ᾔει τὸ προσταχθὲν ἐργασόμενος· οἱ δὲ τὴν ἐπίνοιαν οὐκ εἰδότες, ἀχανεῖς τὸ πρῶτον εἱστήκεσαν ὑπ' ἐκπλήξεως, γυναικῶν καὶ τέκνων αὐτοῖς ἐμπλεκομένων, καὶ ῥεομένων δάκρυσι, διὰ τὸν ἐπ' αἰχμαλωσίᾳ φόβον. ὃ γὰρ λοιπὸν τῆς πορθήσεως, τοῦτ' αἰεὶ προσεδόκων· ὡς δὲ ἤκουσάν τινος τῶν E ἐρευνώντων ποῦ ταμιεύεσθε τὰ ὅπλα, μικρὸν ἀνέπνευσαν, καὶ πάντα μὲν τὰ ἐν μυχοῖς ἀναπετάσαντες ἐπεδείκνυντο, τῇ μὲν ἡδόμενοι, τῇ δὲ στένοντες· ἡδόμενοι μὲν ἐπὶ τῷ διελεγχθήσεσθαι τὸ συκοφάντημα ἐξ ἑαυτοῦ, δυσχεραίνοντες δὲ, ὅτι πρῶτον μὲν αἱ τηλικαῦται διαβολαὶ καθ' αὐτῶν προσπιστεύονται συντεθειμέναι πρὸς ἐχθρῶν· ἔπειτα δὲ, ὅτι γυναῖκες κατάκλειστοι μηδὲ τῆς αὐλείου προερχόμεναι, καὶ θαλαμευόμεναι παρθένοι δι'

A caretur, ratus eo modo se impetraturum eorum fauorem ad exsequenda consilia quæ agitabat animo. atqui noui quosdam iam crucifixos, instante tali festo de cruce depositos, & ad sepulturam ex more cognatis redditos: quandoquidem decebat vel ad mortuos redire aliquem fructum ex imperatoris natalibus, simúlque celebritati suum sacrum honorem seruari. at iste non mortuos deponi de crucibus, sed viuos B crucifigi iubebat, quibus ipsum tempus non quidem absolutionem, breuem tamen dabat veniam, & pœnæ procrastinationem. nihilominus ante flagellabantur in medio theatro, & igne ferróque torquebantur, spectaculis distributis ad hunc modum. Mane vsque horam tertiam quartámve Iudæi flagellabantur, suspendebantur, rotis alligabantur, damnabantur, per mediam orchestram ducebantur ad supplicium. C deinde post hæc tam præclara exempla edita inducebantur saltatores, mimi, tibicines, aliáque ludicra scenicorum certaminum. quid multis? excogitata est secunda vastatio, vt militaris quoque multitudo in nos armaretur per occasionem nouæ calumniæ, quasi Iudæi haberent arma in ædibus. Accitus igitur à præside Castus centurionum fidissimus, iubetur assumpto è sua cohorte audacissimo quoque D in domos eorum irrumpere, scrutarique nunquid armorum ibi lateat. properauit ille mandata exsequi. at Iudæi non præmoniti primum obstupuerunt, vxoribus & liberis eos complectentibus & effusis in lacrymas metu captiuitatis. hoc enim malum expectabant reliquum. Vt verò audierunt à quodam è scrutatoribus, quo reposuistis arma? paululum respirarunt, & intima quæque aperientes ostende- E bant, partim læti partim gementes: læti, quia coarguebatur calumnia: solliciti, primum quia tantæ calumniæ tam facile contra eos vel fingerentur vel crederentur: deinde quia mulierculæ inclusæ, nunquam è conclaui egredi solitæ, & virgines præ pudore declinantes aspectum etiam familiarium, tunc non solum ignotis, verum etiam militari ferociæ spectabantur pauidæ.

A nihilominus accurate facta scrutatio-
ne, non inueniebantur ista quæ so-
lent esse in armamentarijs, galeæ, lo-
ricæ, clipei, conti, gladij, neque ba-
listæ, arcus, fundæ, sagittæ, iacula,
imò ne cultri quidem apti quotidia-
nis culinæ vsibus. Vnde statim appa-
ruit victus simplicitas, nihil delica-
tum aut magno emptum in cibos ad-
mittentium, ex qualibus ferè nasci-
tur saturitas, & ex hac porrò petulan-
tia, malorum initium. Quin & Ægy-
B ptijs paulo ante arma dempta fuerant
per Bassum quendam à Flacco iussum
id curare. sed tum videre licebat ma-
gnum nauium numerum appulisse ad
portus fluminis, plenarum omni ar-
morum genere: iumenta quoque sar-
cinaria onusta fascibus hastarum ab
vtroque latere pendentium ad æquili-
brium, tum plaustra castrensia plena
armaturis pene omnia, transuecta mi-
litariter vna serie præter spectantium
multitudinem, ita vt explerent totum
C illud fere decem stadiorum spacium,
quod interest inter portus & regium
armamentarium quo vehebantur. in
horum domos merito scrutatores mis-
si sunt, quòd essent suspecti quasi non
contenti præsenti statu res nouas mo-
lirentur, & ad defectionem ac bellum
pararent se consensu seditiosorum ho-
minum & infamium antea quoque sæ-
pius tentatis defectionibus: vt opus
esset, quemadmodum sacra certamina
instaurantur singulis triennijs, ita in
Ægypto euoluto eodem temporis spa-
D tio, nouas armorum comportationes
exigi per præsides eius prouinciæ: vt
populi aut ea parare desinant, aut non
multa præparent, paraturi plura si da-
retur longius temporis spacium. Nos
verò quid opus erat vexari ad eum
modum? quando enim defectionis
consilio suspecti fuimus? quando à
pace alieni visi sumus? studia nostra
quotidiana quæstúsque quos exerce-
mus, nónne reprehensione carent, &
ad concordiam ciuitatis tranquillita-
E témque faciunt? scilicet si arma do-
mi habuissent Iudæi, plus quàm qua-
dringentas domos amisissent, vnde
bonis direptis exturbati fuerant. Cur
igitur apud eorum spoliatores nulla
est facta inquisitio, an arma si non
propria, certe rapta habeant? Verum
vt iam dixi, totum id negocium do-
lus erat Flacci, pertinaciter nobis
infensi, & vulgum exasperantis in

A αἰδῷ τὰς ἀνδρῶν ὄψεις καὶ τῶν οἰκειοτάτων ἐκ-
τρεπόμεναι, τότε οὐ μόνον ἀσυνήθεσιν, ἀλλὰ καὶ στρα-
τιωτικὸν δέος ἐπανατεινομένοις ἐμφανεῖς ἐγίνοντο.
γινομένης δ' ὅμως ἀκριβοῦς ἐρεύνης ὅσον πλῆθος
ἀμυντηρίων ὅπλων, εὑρέθη κράνη, θώρακες, ἀ-
σπίδες, ἐγχειρίδια, κοντοί, πανοπλίαι σωρηδὸν
προεκομίζοντο καὶ ἐν μέρει τὰ ἐκηβόλα, παλτά,
σφενδόναι, τόξα, βέλη, τούτων ἁπλῶς οὐδέν·
ἀλλ' οὐδὲ τὰ πρὸς τὴν καθ' ἡμέραν δίαιταν ὀ-
ψαρτυτῶν αὐτάρκη μαχαιρίδια· ἐξ οὗ καὶ ἡ πε-
B ρὶ τὸν βίον εὐθὺς εὐκολία διεφαίνετο, πολυτελείας
καὶ τὸ ἁβροδίαιτον μὴ προσιεμένων, ἃ πέφυκε
γεννᾶν κόρον, κόρος δ' ὕβριν ἔκγονον, ἣ πάντων
κακῶν ἀρχή. καίτοι γε οὐ πρὸ πολλοῦ τῶν κατὰ τὴν
χώραν αἰγυπτίων ὁπλολογηθέντων ὑπὸ Βάσσου
τινός, ᾧ προσέταξεν ὁ Φλάκκος τουτὶ τὸ ἔργον.
ἀλλ' ἦν τότε ἰδεῖν στόλον μὲν πολὺν νεῶν καταπε-
πλευκότα, καὶ ἐνορμοῦντα τοῖς τοῦ ποταμοῦ λιμέ-
σιν, γέμοντα παντοίων ὅπλων, ἀχθοφόρα δ' ὑπο-
ζύγια πάμπληθῆ συνδεδεμένων δοράτων φορ-
C μηδὸν ἀφ' ἑκατέρας πλευρᾶς εἰς τὸ ἰσόρροπον,
τὰς δὲ ἀπὸ τοῦ στρατοπέδου πάσας σχεδὸν ἁρμα-
μάξας μεστὰς πανοπλιῶν, αἳ στοιχηδὸν ὑπὸ μίαν
ὄψιν καὶ τὴν αὐτὴν σύνταξιν ἐν κόσμῳ προῄε-
σαν. τὸ γὰρ μεταξὺ τῶν λιμένων καὶ τῆς ἐν τοῖς βα-
σιλείοις ὁπλοθήκης, εἰς ἣν ἔδει καταθεῖναι τὰ ὅ-
πλα, δέκα σταδίων που διάστημα σύμμετρον ἔχον,
τὰς τῶν ταῦτα παρασκευασαμένων οἰκίας ἄξιον
ἦν ἐρευνᾶσθαι. πρὸς γὰρ νεωτερισμὸν ὕποπτοι
πολλάκις ἀποστάντες ἦσαν, καὶ ἔδει κατὰ μίμησιν
D τῶν ἱερῶν ἀγώνων τριετηρίδας ἄγειν καινὰς ἐν
Αἰγύπτῳ συγκομιδῆς ὅπλων τοὺς προεστῶτας,
ἵν' ἢ μὴ κατασκευάζεσθαι φθάνωσιν, ἢ ἀντὶ πολ-
λῶν ὀλίγα, καιρὸν οὐκ ἔχοντες εἰς ἀναχώρη-
σιν· ἡμᾶς δὲ τί τοιοῦτον ἔδει παθεῖν. πότε γὰρ
εἰς ἀπόστασιν ὑπωπτεύθημεν, πότε δ' οὐκ
εἰρηνικοὶ πᾶσιν ἐνομίσθημεν· τὰ δ' ἐπιτη-
δεύματα οἷς καθ' ἑκάστην ἡμέραν χρώμεθα,
οὐκ ἀνεπίληπτα, οὐ συντείνοντα πρὸς εὐνομίαν
E πόλεως καὶ εὐστάθειαν; εἴ γε μὴν ὅπλα εἶχον Ἰου-
δαῖοι παρ' αὐτοῖς, ὑπὲρ τετρακοσίας ἀφῃρέθη-
σαν οἰκίας, ἐξ ὧν μετανάσται ἐγένοντο, φυγα-
δευθέντες πρὸς τῶν τὰς οὐσίας ἁρπασάντων.
διὰ τί οὖν, οὐχὶ καὶ τὰς παρὰ τούτοις ἠρεύνη-
σέ τις, τοῖς εἰ καὶ μὴ ἴδια, ὅσα γοῦν ἥρπασαν
ἔχουσιν· ἀλλ' ἦν, ὡς ἔφην, ὅλον τὸ πρᾶγμα
ἐπιβουλὴ τῆς ἀπονοίας Φλάκκου καὶ τῶν ὄ-
χλων, ὧν ἀπήλαυσαν καὶ γυναῖκες. οὐκ ἐν

ἀγορᾷ γὰρ μόνον, ἀλλὰ καὶ ἐν μέσῳ θεάτρῳ καθάπερ αἰχμάλωτοι συνηρπάζοντο, καὶ ἐπὶ τὴν σκηνὴν, ἐφ' ὅτῳ δήποτε συκοφαντούμεναι προήγοντο μετά τινος ἀφορήτου καὶ ἀργαλεωτάτης ὕβρεως. εἶτ' ἐπειδὴ μὲν ἐγνωρίσθησαν ἑτέρου γένους, ἀπελύοντο. πολλὰς γὰρ ὡς Ἰουδαίας ἀκριβῆ μὴ ποιούμενοι τῆς ἀληθείας τὴν ἔρευναν συνελάμβανον· εἰ δ' ἐφάνησαν ἡμέτεραι, προσέταττον οἱ ἀντὶ θεατῶν τύραννοι καὶ δεσπόται γεγονότες, κρέα χοίρεια διδόναι κομίζοντας. ὅσαι μὲν οὖν φόβῳ κολάσεως ἐγεύσαντο μηδὲν ἔτι δεινὸν προσυπομείνασαι, ἀπελύοντο· αἱ δ' ἐγκρατέστεραι, βασανισταῖς ἐξεδίδοντο πρὸς αἰκίας ἀνηκέστους. ὅπερ τοῦ μηδὲν ἀδικεῖν αὐτὰς σαφεστάτη πίστις ἐστί. πρὸς τοῖς εἰρημένοις οὐ δι' αὐτοῦ δὲ μόνον, ἀλλ' ἤδη καὶ διὰ τοῦ αὐτοκράτορος ἐζήτει καὶ ἐπινοεῖ κακοῦν ἡμᾶς. τιμὰς γὰρ ὅσας οἷόν τε ἦν καὶ ἐπέτρεπον οἱ νόμοι πάσας Γαΐῳ ψηφισάμενοι καὶ ἐπιτελέσαντες ἔργοις, ἀνεδώκαμεν τὸ ψήφισμα αὐτῷ, δεηθέντες, ἐπεὶ πρεσβείαν αἰτησαμένοις οὐκ ἦν ἐπιτρέψαι, ἵνα διαπέμψηται δι' αὐτοῦ. ἀναγνοὺς δὲ ἕκαστα τῶν ἐν τῷ ψηφίσματι, πολλάκις τῇ κεφαλῇ συνεπινεύσας, ὑπομειδιῶν καὶ γεγανωμένος, ἢ προσποιούμενος τὸ ἥδεσθαι, ἀποδέχομαι πάντα ὑμᾶς, ἔφη τῆς εὐσεβείας, καὶ πέμψω καθάπερ αἰτεῖτε, ἢ πρεσβευτοῦ τάξιν ἐκπλήσω, ἵν' αἴσθηται Γάιος τῆς ὑμετέρας εὐχαριστίας. μαρτυρήσω δὲ καὶ αὐτὸς ὅσα συνοιδα τῷ πλήθει τῶν εἰς κοσμιότητα καὶ εἰς εὐπείθειαν, προστιθεὶς οὐδέν· ἡ γὰρ ἀλήθεια αὐταρκέστατος ἔπαινος. ἐπὶ ταύταις ταῖς ὑποσχέσεσι γεγηθότες ηὐχαριστοῦμεν, ὡς ἤδη ταῖς ἐλπίσιν ἐπαναγινωσκομένου Γαΐῳ τοῦ ψηφίσματος. καὶ γὰρ ἦν εἰκός. ἐπεὶ πάνθ' ὅσα διὰ τῶν ὑπαρχόντων πέμπεται μετὰ σπουδῆς, ἀνυπερθέτως ἔχει τὴν περὶ ὑμῶν διάγνωσιν· ὁ δὲ πολλὰ χαίρειν φράσας οἷς διενοήθημεν οἷς ὡμολογήσαμεν, τὸ ψήφισμα παρ' αὑτῷ κατέσχεν, ἵνα μόνοι τῶν ὑφ' ἥλιον ἀνθρώπων ἐχθροὶ νομισθῶμεν. ταῦτ' οὐ διηγρυπνηκότος ἦν ἐκ πολλοῦ καὶ περιεσκεμμένου τὴν καθ' ἡμῶν ἐπιβουλὴν, ἀλλὰ μὴ κατ' ἐπίνοιαν αὐτοσχεδιάζοντος ἀκαίρῳ φορᾷ καὶ παραγωγῇ τινι λογισμοῦ; θεὸς δ' ὡς ἔοικεν ᾧ μέλει τῶν ἀνθρωπίνων πραγμάτων, τούς τε θῶπας αὐτοῦ λόγους καὶ κεκομψευμένους ἐπὶ φενακισμῷ, καὶ τὸ τῆς ἐκνόμου διανοίας βουλευτήριον, ἐν ᾧ κατεστρατήγει προσβαλλόμενος, λαβὼν οἶκτον ἡμῶν, ἀφορμὴν οὐκ εἰς μακρὰν ἐμποιεῖ τοῦ

A nos, non parcendo vel mulieribus: nam non solum in foro, sed & in medio theatro tanquam captiuæ corripiebantur, & ob quamuis calumniam in scenam trahebantur non sine grauissimis contumelijs: deinde cognito esse eas alterius generis, dimittebantur. multas enim quasi Iudæas comprehendebant priusquam rem diligentius dispicerent. quoties autem nostræ comperiebantur, ex spectatoribus facti tyranni & Domini, iu-
B bebant eis suillas carnes offerri: quas quotcunque metu tormentorum gustabant, sine alia maiore vexatione dimittebantur. quæ verò sibi temperabant, tortoribus tradebantur ad cruciatus maximos: quod fuit eximium argumentum earum innocentiæ. ille tamen non contentus propria potestate, quærebat quomodo imperatore quoque ad nos infestandos abuteretur. postquam enim om-
C nes honores, quos per leges nostras decernere licuit, Caio exhibuimus, decretum obtulimus præsidi, orantes vt quoniam non fuit permissum legationem mittere, ipse id per suos nuncios transmitteret. Legit ille, annuens ad pleraque capita: subridénsque & lætus, aut certe simulans læticiam: Placet, inquit, mihi per omnia pietas vestra. mittam hæc vt petitis, & legati fungar munere, vt sentiat Caius vestram
D gratitudinem: eróque testis probe notæ mihi vestræ popularis modestiæ atque obedientiæ, nihil addendo præterea. nam veræ laudes sufficiunt. His promissis læti gratias egimus, spe præcipientes decretum Caio perlectum. nec immerito. nam quæcunque per præsides serio mittuntur, absque longa mora perueniunt ad imperatoris noticiam. at ille nostram voluntatem parui faciens,
E decretum illud apud se retinuit, vt soli omnium qui sub sole sunt hominum pro inimicis haberemur. annon hæc fuerunt multum diúque cogitantis de struendis nobis insidijs, non transuersum temere abrepti affectu aliquo extemporaneo? sed Deus cui non negliguntur res mortalium, procul dubio fucatas eius adulationes, & illud iniquissimarum cogitationum consistorium, quo maliciosis artibus petebamur, non multo post misertus nostri præuenit, & bene spe-

randi occasionē præbuit. nam Agrippa vbi superuenit Alexandriam, nobis enarrantibus edoctus de insidijs per Flaccum paratis in nostram perniciem, opem rebus attulit periclitantibus: pollicitúsque velle seipsum id decretum in vrbem transmittere, vt audio transmisit cum excusatione temporis, ne viderentur Iudæi serius æquo suam pietatem erga optime de se meritorum principum familiam expromere. voluisse illos eam declarare ab initio, sed impeditos fuisse maleuolentia præsidis, quo minus tempestiue id facerent. post hæc cœpit aduersus illum suas vires expedire adiutrix iniuste oppressorum & vltrix facinorosorum iusticia. primum affectus est noua calamitate atque ignominia, quali nemo ad eum diem, ex quo in Augusti familia stabilitum est terræ marísque imperium. Nam sub Tiberio patréque huius Cæsare aliquot præfecti qui prouincias sortiti potestatem legitimam in tyrannicam potentiam verterant, cum subditas ciuitates diuexassent malis non ferendis, corruptelis, rapinis, innocentum exilijs, indemnatorum supplicijs, Romam reuersi exacto magistratus tempore, postulati sunt repetundarum, præsertim quando legati à prouincialibus ad imperatorem eos accusaturi mittebantur. Tunc enim æquos se præbendo iudices, & auditis examinatísque partibus, de nemine iniudicato ferebant sententiam, nec in gratiam nec odium pronunciando, sed quod iustum videretur. At Flaccum in ipso magistratu inuasit infensa malis viris iusticia, irritata nimijs eius iniurijs & iniquitatibus. Oppressus est autem hoc modo. Putabat iam Caium depositis suspicionibus placatum, vel per epistolas plenas adulationibus, vel propter prolixas conciones sæpe in laudem eius apud populum Alexandrinum habitas, vel quia maiori eius populi parti probabatur. Sed fefellit eum sua opinio. infirmæ sunt enim spes hominum malorum, contrà quàm sibi pollicentur infortunium se dignum incurrentium. Misit enim Caius Bassum centurionem cum cohorte sua ex Italia. Is conscenso nauigio celerrimo post paucos dies non longe ab Alexandrina pharao substit vergen-

A μὴ ψευσθῆναι τῆς ἐλπίδος. Ἀγρίππας γὰρ
ἐπιδημήσας ὁ βασιλεύς, διηγησαμένοις ἡμῖν τὴν
ἐκ Φλάκκου γενομένην ἐπιβουλήν, ἐπανορθοῦ-
ται τὸ πρᾶγμα, καὶ ὑποσχόμενος τὸ ψήφισμα
διαπέμψασθαι, λαβὼν ὡς ἀκούομεν ἔπεμψεν
ἀπολογησάμενος καὶ περὶ τοῦ χρόνου, ὡς οὐκ ὀψὲ
μαθόντων εὐσεβεῖν εἰς τὸν εὐεργέτην οἶκον· ἀλλ' ἐξ
ἀρχῆς μὲν σπουδασάντων, ἐπηρείᾳ δὲ τοῦ προεσ-
τῶτος τὴν καίριον ἐπίδειξιν ἀφαιρεθέντων. ἐπὶ τού-
τοις ἤρξατο κινεῖσθαι καὶ αὐτὴ ἡ ὑπέρμαχος μὲν καὶ
B παραστάτις ἀδικουμένων, τιμωρὸς δ' ἀνοσίων καὶ
ἔργων καὶ ἀνθρώπων δίκη. πρῶτον μὲν γὰρ καινοτά-
την ὑπέμεινεν ὕβριν καὶ συμφοράν, οὐδενὶ τῶν πέλας
γενομένων ὑπάρχων, ἀφ' οὗ τὴν ἡγεμονίαν ὁ σεβαστὸς
οἶκος ἀνήψατο γῆς καὶ θαλάττης. ἔνιοι γὰρ καὶ ἐπὶ Τι-
βερίου καὶ ἐπὶ τοῦ πατρὸς αὐτοῦ Καίσαρος τῶν διεπόν-
των τὰς ἐπικρατείας, τὰς ἐπιμελείας καὶ προστασίας
εἰς δυναστείαν καὶ τυραννίδα μεθαρμοσάμενοι, τὰς
χώρας ἀναπλήσαντες κακῶν ἀνηκέστων, δωροδοκίαις,
C ἁρπαγαῖς, καταδίκαις τῶν μηδὲν ἡμαρτηκότων
ἐλάσεσι καὶ φυγαῖς, τῶν δυνατῶν ἀκρίτοις ἀναιρέ-
σεσιν, οὓς μετὰ τὸν ὁρισθέντα χρόνον τῆς ἀρχῆς, ἐπανελη-
λυθότας εἰς Ῥώμην, οἱ αὐτοκράτορες λόγον καὶ εὐθύνας
τῶν πεπραγμένων ᾔτουν, καὶ μάλιστα ὁπότε
πρεσβεύσαιντο αἱ ἀδικηθεῖσαι πόλεις. τότε γὰρ κοι-
νοὺς παρέχοντες ἑαυτοὺς δικαστάς, ἐξ ἴσου καὶ τῶν κα-
τηγόρων καὶ τοῦ ἀπολογουμένου ἀκροώμενοι, μηδε-
νὸς ἀκρίτου προκαταγινώσκειν ἀξιοῦντες, ἐβρά-
βευον οὔτε πρὸς ἔχθραν, οὔτε πρὸς χάριν, ἀλλὰ
D πρὸς τὴν φύσιν τῆς ἀληθείας, τὰ δόξαντα εἶναι δίκαια.
Φλάκκῳ δ' οὐ μετὰ τὴν ἀρχήν, ἀλλ' ἐμπροθέ-
σμως προϋπήντησεν ἡ μισοπόνηρος δίκη, τῶν ἀμέ-
τροις ὑπερβολαῖς ὧν ἠδίκει καὶ παρηνόμει δυσχε-
ράνασα. γίνεται δ' ὁ τρόπος αὐτοῦ τῆς συλλήψεως τοιός-
δε· ὑπέλαβεν ἤδη τὸν Γάιον, περὶ ὧν ὕποπτος ἦν
ἐξευμενίζεσθαι, τὰ μὲν ἐπιστολιμαίοις γράμμασιν,
ἃ κολακείας ἦν ὑπέρμεστα, τὰ δὲ ἐν οἷς δημηγο-
ρῶν πολλάκις ἐθεράπευε, λόγους θῶπας, καὶ μα-
κρὰς ῥήσεις πεπλασμένων ἐγκωμίων συνείρων· τὰ
E δὲ καὶ ἐκ τοῦ σφόδρα εὐδοκιμεῖν παρὰ τῷ πλείστῳ
μέρει τῆς πόλεως· ἔλαθε δ' αὐτὸν ἀπατῶν. ἀβέβαιοι
γὰρ αἱ τῶν πονηρῶν ἀνθρώπων ἐλπίδες, εἰκαζόντων
μὲν τὰ χρηστότερα, τὰ δὲ παλίμφημα ὧν ἄξιοι τυγ-
χάνειν εἰσί, παθόντων. πέμπεται μὲν γὰρ ἀπὸ τῆς Ἰτα-
λίας Βάσσος ἑκατοντάρχης ὑπὸ Γαΐου χειροτονη-
θείς, μετὰ τῆς τάξεως τῶν στρατιωτῶν, ἧς ἀφηγεῖτο·
σκάφους δ' ἐπιβὰς τῶν μάλιστα ταχυναυτούντων,
ὀλίγαις ἡμέραις πρὸς τοῖς λιμέσι γίνεται τῆς Ἀλε-

ξανδρείας κατὰ τὴν φάσιν ποιῆσαι περὶ δείλην ἑσπέραν, καὶ κελεύει τὸν κυβερνήτην μέχρις ἡλίου καταδύσεως ἔξω θαλαττεύειν, τεχνάζων τὸ ἀνεπίφατον, ἕνεκα τοῦ μὴ προαισθόμενον Φλάκκον, καὶ βουλευσάμενόν τι νεώτερον, ἄπρακτον αὐτοῦ τὴν ὑπηρεσίαν ἐργάσασθαι· γενομένης δὲ ἑσπέρας, ἡ μὲν ναῦς προσορμίζεται, ὁ δὲ Βάσσος μετὰ τῶν ἰδίων ἀποβάς, προήει, μήτε γνωρίζων τινά, μήτε γνωριζόμενος ὑπό του, στρατιώτην δέ τινα τῶν ἐν τοῖς τετραδίοις φυλάκων καθ᾽ ὁδὸν εὑρών, κελεύει δεικνύναι τὴν οἰκίαν στρατάρχου. τοῦτο γὰρ ἐβούλετο τὸ ἀπόρρητον ἀνενεγκεῖν, ἵνα κἂν δέῃ πολυχειρίας, ἔχῃ τὸν συναγωνισόμενον. πυθόμενος δ᾽ αὐτὸν ἑστιᾶσθαι παρά τινι σὺν Φλάκκῳ, μηδὲν τάχους ἀνείς, συντείνει ἄχρι τῆς τοῦ κεκληκότος οἰκίας. Στεφανίων ἦν τῶν Τιβερίου Καίσαρος ἀπελευθέρων παρ᾽ ᾧ κατήγοντο· καὶ μικρὸν ἄποθεν ὑποστείλας, ἐκπέμπει τινὰ τῶν ἰδίων κατεσκευασμένον, εἰς ἀκόλουθον ἀσκήσας, σόφισμα τοῦ μηδένα συναισθέσθαι. παρελθὼν δὲ εἰς τὸ συμπόσιον ὡς ἑνός τινος τῶν παρατυχόντων οἰκέτης, ἅπαντα μετ᾽ ἀκριβείας περιαθρήσας, ἐπανελθὼν διεμήνυε τῷ Βάσσῳ· γνοὺς δὲ τὸ περὶ τὰς εἰσόδους ἀφύλακτον, καὶ τὴν περὶ τὸν Φλάκκον ὀλιγότητα· μόλις γὰρ δέκα ἢ πεντεκαίδεκα τῶν διακονικῶν ἀνδραπόδων ἐπηκολουθήκει· σύνθημα δοὺς τοῖς περὶ ἑαυτόν, εἰστρέχει μεθ᾽ ἐξαίφνης, καὶ τῶν στρατιωτῶν οἱ μὲν παρὰ τὸ συμπόσιον ἐπιστάντες ὑπεζωσμένοι τὰ ξίφη, κυκλοῦσιν αὐτὸν οὐ προσιδόμενον. ἐτύγχανε γὰρ καὶ προπίνων τινὶ δεξιούμενος, καὶ φιλοφρονούμενος τοὺς παρόντας· εἰς μέσον δὲ τοῦ Βάσσου παρελθόντος, ἰδὼν εὐθύς, ὑπ᾽ ἐκπλήξεως ἀχανὴς ἦν, καὶ βουλόμενος ἀναστῆναι, τὴν ἐν κύκλῳ φρουρὰν θεασάμενος, ἔγνω καὶ πρὶν ἀκοῦσαι, τί βούλεται Γάιος ἐπ᾽ αὐτῷ, καὶ τί προστέτακται τοῖς ἥκουσι, καὶ τί πρακτέα μέλλοι πάσχειν ὑπομένειν. δεινὸς γὰρ ὁ νοῦς τὰ κατὰ μέρος ἐν χρόνῳ μακρῷ γινόμενα, πάνθ᾽ ἅμα ἰδεῖν καὶ πάντων ἀθρόων ἀκοῦσαι. τῶν μὲν οὖν συνδειπνούντων ἕκαστος ἀνίσταται, ὑπὸ δέους ἐπιφεικτῆ καὶ ἐπιπηγύς, μή τις ὥρισται καὶ τοῦ συνεστιαθῆναι δίκη. φεύγειν γὰρ οὔτ᾽ ἀσφαλὲς ἦν, οὔτ᾽ ἄλλως ἐνεδέχετο, προκατεχομένων τῶν εἰσόδων. ὁ δὲ ὑπὸ τῶν στρατιωτῶν τοῦ Βάσσου κελεύσαντος ἀπήγετο, πανυστάτην ταύτην ἀνάζευξιν ἐκ συμποσίου ποιησάμενος. ἔδει γὰρ ἀφ᾽ ἑστίας ἄρξασθαι τὴν δίκην, κατὰ τὸν μυρίας ἀνεστίους οἴκους τὸ δεῖν ἠδικηκότων ἀνθρώπων ἐργασάμενον. τοῦτο καινότατον ὑπέμεινε Φλάκκος, ἐν χώρᾳ ἧς ἀφηγεῖτο, πολεμίου τρόπον ζωγρηθείς, ἕνεκά μοι δοκῶ Ἰουδαίων, οὓς ἄρδην

A te iam die, iussis nautis in salo solis occasum expectare, vt improuisus adforet, ne Flaccus præsentiens motu excitato re infecta se abire cogeret. crepusculo vero nauis appulit, & Bassus postquam cum suis exscendit pergebat vlterius ignotus & neminem noscitans, donec inuento quodam milite qui obibat vigilias, iussit indicari sibi ædes præfecti militum. cum hoc enim volebat secretum communicare, vt
B si opus esset maiore manu, haberet socium. cognito vero eum cum Flacco vocatum esse à Stephanione liberto Tiberij Cæsaris ad conuiuium, propere ad eas ædes contendit. cúmque substitisset in propinquo, misit è suis quendam speculatum, subornatum seruili habitu ne quis fraudem sentiret. is obrepsit conuiuio mixtus cæteris seruitijs, & diligenter considerata perspectáque Basso renunciauit omnia. qui vbi
C cognouit incustoditum vestibulum, & Flaccum decem aut ad summum quindecim comitatum mancipijs è ministris domesticis, dato signo suis cursim irrupit. pars militum discumbentem ex improuiso circumstitit, propinantem cuidam, & cum conuiuis agentem comiter. Sed postquam Bassus in medium prodijt, ad primum eius conspectum attonitus obmutuit: cúmque vellet surgere, vbi se circumuentum animaduertit, intellexit priusquam audiret Caij
D voluntatem, quid mandatum sit militibus, quid ipsi mox euenturum. Sagax enim est mens ad momento percipienda etiam quæ non conficiuntur sine longiore temporis spatio. cæteri consurrexerunt. quorum nemo non metu diriguit, timens ne pœnas daret eius conuiuij. nam fugere tutum non erat, ac ne poterant quidem occupatis exitibus. illum Bassi milites vt iussum est abduxerunt ex hoc vltimo conuiuio.
E Oportebat enim eum à foco rapi ad supplicium, qui tot innocentium domos focis vacuas fecerat. Id quod inauditum antea Flacco accidit, vt in sua prouincia viuus caperetur hostiliter, propter Iudæos opinor, quos funditus sublatos cupiebat homo vanus & auidus gloriæ. Quod eo verisimilius fit, quia tum captus est quando Iudæi po-

pulariter dies festos agunt per autumni æquinoctium in sub dio structis attegijs. quod festum erat tunc intermissum; magistratibus nostris etiamtum inclusis carcere post intolerabiles cruciatus ac contumelias, plebe vero vniuersa vicem illorum dolente haud secus ac suam, quamuis ne domesticæ quidem calamitates suæ cuique deerant. Tunc enim grauius feruntur molestiæ, quando per eas non datur festos dies celebrare, fruique tranquillitate ac remissione animi, qualem id tempus requirit: sicut ipsi tunc mœrore opprimebantur, cuius nullum inuenire valebant exitum. Sic dolentibus sub onere grauissimo, & domi conglobatis nocturno tempore, quidam nunciarunt comprehensum hominem. illi rati se tentari falso nuncio, tanto indignius ferebant ludibrium quo sibi struerentur insidiæ. Sed postquam tumultus in vrbe ortus est, vigilibus vltro citróque discursitantibus, & quibusdam equitibus in castra properantibus, alijs è castris in vrbem pari festinatione recurrentibus, quidam rei nouitate moti ædibus egressi cognouerunt accidisse noui aliquid. Vt vero intellexerunt Flaccum raptum abductúmque, tendentes manus in cælum, laudabant Deum, gratias agentes Deo rerum humanarum inspectori, dicentes: Non gaudemus Domine pœna inimici, docti tuis sacris legibus condolere calamitati hominum: sed tibi meritas gratias agimus qui nostri misertus subleuasti afflictiones continuas. atque ita nocte tota exacta in hymnis & canticis, summo mane portis effuderunt se in proxima littora. nam proseuchas suas amiserant. Ibi in loco purissimo stantes conclamarunt vnanimiter: ô Domine supreme rex mortalium & immortalium, allegamus terram, mare, aerem, cælum mundúmque vniuersum nostris gratiarum actionibus quæ sola nobis sunt reliqua: cæterarum creaturarum vsum ademerunt homines, pulsis vrbe & vrbanis ædificijs tum priuatis tum publicis, vt in terris soli ne priuatum quidem haberemus domicilium iniquitate præsidis. At tu omnipotens spem tandem salutis facis his reliquijs, & incipis inuocatus annuere tuorum precibus: quan-

A ἀφλοισμῷ διεγνώκει, λιμοδοξῶν. ἐναργὴς δὲ πίστις καὶ ὁ χρόνος τῆς συλλήψεως. ἑορτὴ μὲν γὰρ ἦν πάνδημος τοῖς Ἰουδαίοις κατὰ τὴν μετοπωρινὴν ἰσημερίαν, ἐν ᾗ διάγειν Ἰουδαίοις ἔθος ἐν σκηναῖς. οὐδὲν δὲ τῶν ἐν ἑορτῇ συνήθως ἐπετελεῖτο. τῶν μὲν ἀρχόντων ἔτι καθειργμένων μετὰ τὰς ἀνηκέστους καὶ ἀφορήτους αἰκίας καὶ ὕβρεις, τῶν δὲ ἰδιωτῶν τάς τε ἐκείνων συμφορὰς ἁπάντων τοῦ ἔθνους κοινὰς νομιζόντων, καὶ ἐπὶ ταῖς ἐξαιρέτοις, ἃς ἰδίᾳ ἕκαστος ὑπέμεινεν, οὐ μετρίως κατηφιώντων. τὰ γὰρ ἀνιαρὰ διπλασιάζεσθαι φιλεῖ μάλιστα ἐν ἑορταῖς τοῖς μὴ δυναμένοις ἑορτάζειν, B στερήσει τε ἱλαρᾶς εὐθυμίας, ἣν πανήγυρις ἐπιζητεῖ, καὶ μετουσίᾳ λύπης, ὑφ' ἧς ἐξετραχηλίζοντο, μηδὲν ἄκος τῶν τοσούτων κακοπραγιῶν ἀνευρεῖν δυνάμενοι· σφόδρα δὲ ἄχεσιν ἐδυσφόρουν, καὶ πεπιεσμένοις ἄχθει βαρυτάτῳ· συνειλοῦντο δ' ἐν ταῖς οἰκίαις ἅτε νυκτὸς ἐπεχούσης· ἧκόν τινες ἀπαγγέλλοντες τὴν γενομένην σύλληψιν· οἱ δ' ἀπόπειραν εἶναι νομίσαντες οὐκ ἀλήθειαν, ἔτι μᾶλλον ἐπὶ τὸ καταχερτομεῖσθαι καὶ ἐνεδρεύεσθαι δοκεῖν ὠδυνῶντο. C θορύβου δ' ὄντος κατὰ τὴν πόλιν καὶ τῶν νυκτοφυλάκων ἄνω κάτω διαθεόντων, καί τινων ἱππέων εἰς τὸ στρατόπεδον, καὶ ἀπὸ τοῦ στρατοπέδου πάλιν συντόνῳ μετὰ σπουδῆς αὖ τ' ἐξελαυνόντων, ἐπὶ τοῦ πράγματος ἀήθει κινηθέντες τινές, προῆλθον ἐκ τῶν οἰκιῶν κατὰ πίστιν τοῦ συμβεβηκότος· ἐφαίνετο γὰρ εἶναί τι νεώτερον· ὡς δ' ᾔσθοντο τὴν ἀπαγωγὴν καὶ τὸν Φλάκκον ἐντὸς ἀρκύων ἤδη γεγενημένον, προτείνοντες τὰς χεῖρας εἰς οὐρανόν, ὕμνουν, καὶ παιᾶνας D ἐξῆρχον εἰς τὸν ἔφορον θεὸν τῶν ἀνθρωπίνων πραγμάτων, Οὐχ ἡδόμεθα, λέγοντες, ὦ δέσποτα, τιμωρίαις ἐχθροῦ, δεδιδαγμένοι πρὸς τῶν ἱερῶν νόμων ἀνθρωποπαθεῖν, ἀλλά σοι δικαίως εὐχαριστοῦμεν, οἶκτον καὶ ἔλεον ἡμῶν λαβόντι, καὶ τὰς συνεχεῖς καὶ ἐπαλλήλους κακώσεις ἐπικουφίσαντι. πάννυχοι δὲ διαπλέσαντες ἐν ὕμνοις καὶ ᾠδαῖς, ἅμα τῇ ἕῳ διὰ πυλῶν ἐκχυθέντες, ἐπὶ τοὺς πλησίον αἰγιαλοὺς ἀφικνοῦνται· τὰς γὰρ E προσευχὰς ἀφῄρηντο· καὶ ἐν τῷ καθαρωτάτῳ στάντες ἀνεβόησαν ὁμοθυμαδόν, Γῆν καὶ θάλασσαν, ἀέρα τε καὶ οὐρανόν, τὰ μέρη τοῦ παντός, καὶ σύμπαντα τὸν κόσμον, ὦ μέγιστε βασιλεῦ θνητῶν καὶ ἀθανάτων, παρακαλέσοντες, εἰς εὐχαριστίαν τὴν σὴν ἥκομεν, οἷς μόνοις ἐνδιαιτώμεθα, τῶν ἄλλων ὅσα δημιουργεῖται, πρὸς ἀνθρώπων ἐληλαμένοι καὶ στερόμενοι πόλεως, καὶ τῶν ἐν πόλει δημοσίων καὶ ἰδιωτικῶν περιβόλων, ἀπόλιδες καὶ ἀνέστιοι μόνοι τῶν ὑφ' ἥλιον ἐξ ἐπιβουλῆς ἄρχοντος γενόμενοι,

A χρηστὰς ὑπογράφεις ἡμῖν ἐλπίδας καὶ περὶ τῆς τῶν λειπομένων ἐπανορθώσεως, ἤδη ταῖς ἡμετέραις λιταῖς ἀρξάμενος συνεπινεύειν, εἴ γε τὸν κοινὸν ἐχθρὸν τοῦ ἔθνους, καὶ τὸν ἐπ' αὐτῷ συμφορῶν ὑφηγητὴν καὶ διδάσκαλον, μέγα πνέοντα, καὶ οἰηθέντα διὰ ταῦτα εὐδοκιμήσειν ἐξαίφνης καθεῖλες, οὐ πορρωτάτω γενόμενον, ἵν' ἀγαθόμενοι δι' ἀκοῆς οἱ κακῶς πεπονθότες ἀμβλύτερον ἥσθωσιν· ἀλλ' ἐγγὺς οὑτωσί, μονονοὺκ ἐν ὄψει τῶν ἠδικημένων, πρὸς τρανωτέραν φαντασίαν τῆς ἐν βραχεῖ καὶ παρ' ἐλπίδας ἐπεξόδου. τρίτον δ' ἐστὶ πρὸς τοῖς εἰρημένοις, κἀκεῖνό μοι δοκεῖ θείᾳ προνοίᾳ συμβῆναι. B ἐπεὶ γὰρ ἀναχθεὶς ἀρχομένου χειμῶνος· ἔδει γὰρ αὐτὸν καὶ τὴν ἐν θαλάττῃ φοβερὰν ἀπολαῦσαι, τὰ στοιχεῖα τοῦ παντὸς ἀσεβημάτων ἀναπλήσαντα· μυρία πονηθείς, μόλις ἦλθεν εἰς Ἰταλίαν, εὐθὺς ἐκδέχονται τὰς ἐπ' αὐτῷ κατηγορίας, δύο τῶν ἐχθίστων, Ἰσίδωρός τε καὶ Λάμπων, οἳ πρὸ μικροῦ μὲν τάξιν εἶχον ὑπηκόων, δεσπότην καὶ εὐεργέτην καὶ σωτῆρα καὶ τὰ τοιαῦτα καλοῦντες· νυνὶ δ' ἀντιδίκων, οὐκ ἰσορρόπων, ἀλλὰ δυνατωτέραν ἰσχὺν C ἐκ πολλοῦ τοῦ περιόντος ἐπιδεικνυμένων, οὐ μόνον ἕνεκα τοῦ θαρρεῖν τοῖς δικαίοις· ἀλλ' ὃ δὴ μέγιστον ἦν, ὅτι τὸν πρύτανιν τῶν ἀνθρωπίνων πραγμάτων, ἐχθρὸν ἑώρων ἄσπονδον αὐτῷ, μέλλοντα σχῆμα μὲν δικαστοῦ ὑποδύεσθαι, προνοίᾳ τοῦ μὴ δοκεῖν ἀκρίτου τινὸς προκαταγινώσκειν· ἔργον δὲ ἐπιδείκνυσθαι δυσμενοῦς, πρὸ κατηγορίας καὶ ἀπολογίας ἤδη τῇ ψυχῇ κατεγνωκότος, καὶ τὰς ἀνωτάτω τιμωρίας ὁρίσαντος ἐπ' αὐτῷ. χαλεπὸν δ' οὐδὲν D οὕτως, ὡς ὑπ' ἐλαττόνων κρείττους, καὶ πρὸς ὑπηκόων ἄρχοντάς ποτε γενομένους κατηγορεῖσθαι, ὥσπερ ἂν εἰ καὶ δεσπότας ὑπ' οἰκοτρίβων ἢ ἀργυρωνήτων. ἀλλ' ἦν, ὡς ἔοικεν, τοῦτο κουφότερον κακόν, συγκρινόμενον ἑτέρῳ μείζονι. οὐ γὰρ ἁπλῆν τινα τάξιν ἔχοντες ὑπηκόων, ἀφνίδιον ἐπέθεντο ταῖς κατηγορίαις ἐπαποδυσάμενοι καὶ συμφρονήσαντες, ἀλλὰ καὶ τὸν πλεῖστον χρόνον τῆς ἐπιτροπῆς ἦν ἐπιτετήρησαν τὸ χρέος, ἐκ πάντων οὗτοι μάλιστα αὐτῷ δι' ἀπεχθείας ἐγένοντο, Λάμπων μὲν E ἀσεβείας τῆς εἰς Τιβέριον Καίσαρα δίκην φυγών, καὶ ἐπὶ διετίαν τριβομένου τοῦ πράγματος ἀπειρηκώς. ὑπερθέσεις γὰρ καὶ ἀναβολὰς ὁ δικαστὴς ἐθελοκακῶν ἐσκήπτετο, βουλόμενος κἂν ἀποφύγῃ τὸ ἔγκλημα, τὸν γοῦν περὶ τοῦ μέλλοντος ἄδηλον φόβον πρὸς μήκιστον χρόνον ἐπικρεμάσας αὐτῷ, ζωὴν ὀδυνηροτέραν θανάτου παρασχεῖν· εἶθ' ὕστερον καὶ ὅτε νικᾶν ἔδοξεν, εἰς τὴν οὐσίαν ἐπηρεα-

doquidem hostem totius nostri generis autorémque calamitatum cunctarum, superbum captantémque his factis nouam gloriam, sustulisti de medio hic in proximo: ne nos afflicti minus voluptatis perciperemus auribus, sed tantum non oculos pasceremus manifesto melioris euentus præsagio. Huc accessit aliud quiddam non sine diuina, vt videtur, prouidentia. Cum enim oram soluisset hiemis initio (nam oportebat marinis quoque iactari cum tempestatibus, qui elementa omnia facinoribus impijs polluerat) post plurimos labores ægre delatus in Italiam, confestim exceptus est à duobus infensissimis accusatoribus Lampone Isidoróque, pauloante sæpius ab eis vt subditis salutatus Dominus & seruator benemerentissimus. tunc vero sensit eos aduersarios, & quidem non ex æquo, sed longe præualentes, non modo iure quo fidebant, verumetiam fauore summi principis ac moderatoris rerum humanarum, quem videbant Flacco inimicissimum, sed tunc sumpturum personam iudicis, ne videretur eum prædamnare ante iudicium, si non expectata accusatione defensionéque ob priuatam simultatem ferret in eum capitalem sententiam. Nihil autem est molestius quam maiores ab inferioribus & magistratus accusari à subditis, haud secus quàm si herus reus postuletur à vernis suis aut emptis mancipijs. Fuit tamen hoc leue malum collatum ad aliud grauius. Nec enim è subditorum vulgo accusatores conspirarunt in eum subito, sed totius præfecturæ tempore his potissimum inuisus fuerat, Lampone etiam accusato impietatis commissæ in Tiberium Cæsarem, & hac causa fatigato per biennium. Nam iudex malitiose differebat sententiam, vt etiamsi reus absolueretur à crimine, saltem metu incerti euentus impendentis cruciaretur quàm diutissime, & vitam morte grauiorem viueret. imò & postquam euasisse visus est, aiebat se mulctatum facultatibus, quippe qui inuitus præfecturam gymnasij susceperat: siue homo sordidus & illiberalis negabat sibi tantas opes quæ huiusmodi sumptibus sufficerent: siue mi-

nus possidebat, quàm antea præ se tulerat, tandem verò res ipsa declarauit minus pecuniosum fuisse quàm pro existimatione, vt qui præter malis artibus parta nihil haberet. Ab actis enim erat apud præsides, causas promouens ex ordine. In harum commentarijs quædam delebat, quædam prætermittebat data opera, nonnunquam inserebat quæ in iudicio dicta non fuerant: rursum alia mutabat transponebátque pro libito, è singulis syllabis atque etiam apicibus quæstum faciens scriba sedentarius: qui sæpe conclamante populo appellatus est calamosphactes aptissime, quòd scribendo calamo iugularet multos, hoc est miseriores mortuis redderet: qui alioqui potuissent causam vincere fruique suis opibus, tunc vero paupertatem ferebant iniustissime, illo inimicis eorum venditante alienas substantias. Non enim erat possibile prouinciæ amplissimæ præsides meminisse negotiorum omnium, affluentibus alijs super alias causis priuatis atque publicis: præsertim cum non iudicijs tantum præessent, sed etiam rationibus tributorum & vectigalium, quibus maior anni pars impendebatur. At iste cum ex officio suscepisset necessariam iuris custodiam, & decretorum eius sanctissimorum, venalem habebat obliuionem iudicum, parti quæ vicisse debuerat, adscribens litem perditam, accepta largitione magis quam mercede: & superiores faciebat qui iure succubuerant. talis accusator tunc Lampon exstitit: nec minus scelestus Isidorus, homo turbulentus, factiosus, exercitatus in seditionibus, inimicus pacis tranquillitatísque, idoneus vel excitandis vel augendis tumultibus, solitus circa se habere turbam promiscuam, distributam quodammodo. sunt enim per eam vrbem sodalicia plurima, quæ nihil sanum consociat, sed compotationes, ebrietates, debacchationésque harum comites: ea Synodos & clinas vocant indigenæ. in his sodalicijs plerisque Isidorus Taraxipolis principatum tenet, Symposiarchi clinarchæque titulo: & quoties collibuit aggredi aliquid inutile, ex composito præsto sunt omnes, & iussa huius faciunt. is

A ἀθῶαι φάσκων. ἠναγκάσθη γὰρ γυμνασιαρχεῖν, ἤτοι παρ' ὀλίγον ἢ ἀνελεύθερος εἶναι περὶ τὰς δαπάνας, προφασιζόμενος δὲ μὴ κεκτῆσθαι πρὸς τοσαύτην ἀφθονίαν ἀναλωμάτων ἱκανὴν οὐσίαν, ἢ τῷ ὄντι μὴ κεκτημένος, ἀλλὰ πρὶν μὲν εἰς ἀπόπειραν ἐλθεῖν, ἐπιφάσκων τὸν πολὺν πλοῦτον· ἐν δὲ τῇ δοκιμασίᾳ, μὴ φανεὶς ἀνὴρ πολυχρήματος, ἄνθρωπος, ὅσα ἐκτήσατο σχεδὸν ἅπαντα ἐξ ἀδικημάτων περιποιησάμενος. προσεστὼς γὰρ τοῖς ἡγεμόσιν ὁπότε δικάζοιντο, ὑπεμνηματίζετο τὰς
B δίκας εἰσάγων ὡς ἔχων τάξιν· εἶτα τὰ μὲν ἀπήλειφεν, ἢ παρῄει ἑκών, τὰ δ' οὐ λεχθέντα προσενέταττεν. ἔστι δ' ὅτε καὶ ὑπήλλαττε μεταποιῶν καὶ μετατιθεὶς καὶ στρέφων ἄνω κάτω τὰ πράγματα, κατὰ συλλαβὴν, μᾶλλον δὲ καὶ κεραίαν ἑκάστην ἀργυρολογῶν ὁ γραμματοκύφων, ὃν πολλάκις ὁ δῆμος ἅπας ὁμοθυμαδὸν εὐθυβόλως καὶ εὐσκόπως καλαμοσφάκτην ἐκήρυξεν, οἷς ἔγραφε μυρίους καὶ ἀνελόντα, καὶ ζῶντας ἀθλιωτέρους καὶ ἀποθανόν-
C των ἀπεργασάμενον, οἳ δυνάμενοι νικᾶν καὶ περιουσιάζειν, ἧτταν καὶ πενίαν ἀδικωτάτην ὑπέμειναν, ὠνησαμένων ἀμφότερα τῶν ἐχθρῶν παρ' αὐτοῦ τὰς ἀλλοτρίας οὐσίας ἐπευωνίζοντος καὶ πιπράσκοντος. ἀμήχανον μὲν γὰρ ἦν τοὺς ἡγεμόνας τοσαύτης χώρας ἐπιτετραμμένους, ἀεὶ καινοτέρων ἐπεισρεόντων ἰδιωτικῶν τε καὶ δημοσίων πραγμάτων, ἁπάντων μεμνῆσθαι, καὶ ταῦτα οὐ δικάζοντας μόνον, ἀλλὰ καὶ λογισμοὺς τῶν προσόδων καὶ δασμῶν λαμβάνοντας, ὧν ἡ ἐξέτασις τὸν πλείονα τοῦ ἐνιαυτοῦ χρό-
D νον ἀνήλισκεν· ὁ δὲ φυλάττειν ἐπιτραπεὶς τὴν ἀναγκαιοτάτην παρακαταθήκην τὰ δίκαια, καὶ τὰς ἐπ' αὐτοῖς ὁσιωτάτας γνώμας, ἐνεπορεύετο τὴν λήθην τῶν δικαστῶν, τοὺς μὲν νικᾶν ὀφείλοντας, γράφων ἐν ἡττημένοις, τοὺς δ' ἡττᾶσθαι, μετὰ τὸν ἐπάρατον μισθὸν, ἢ κυριώτερον εἰπεῖν δὲ μίσθωμα, ἐν νενικηκόσιν. ὁ μὲν δὴ Λάμπων τοιοῦτος ὢν, ἐφειστήκει κατήγορος· ὁ δ' Ἰσίδωρος, οὐκ ἀποδέων τὴν μοχθηρίαν, ἄνθρωπος ὀχλικὸς, δημοκόπος, ταράττειν
E καὶ συγχεῖν πράγματα μεμελετηκὼς, ἐχθρὸς εἰρήνῃ καὶ εὐσταθείᾳ, στάσεις καὶ θορύβους κατασκευάσαι μὲν οὐκ ὄντας, γενομένους δὲ συγκροτῆσαι καὶ συναυξῆσαι δεινὸς, ὄχλον ἀσύντακτον καὶ πεφορημένον ἐκ μιγάδων καὶ συγκλύδων ἡρμοσμένον, περὶ αὐτὸν ἔχειν ἐσπουδακὼς, ὃς εἰς μοίρας καθάπερ τινὰς συμμορίας διανενέμηται. θίασοι κατὰ τὴν πόλιν εἰσὶ πολυάνθρωποι, ὧν κατάρχει τῆς κοινωνίας οὐδὲν ὑγιὲς, ἀλλ' ἄκρατος καὶ μέθη καὶ παροινίαι, καὶ ἡ τούτων ἔκγονος ὕβρις·

σύνοδοι

σύνοδοι καὶ κλῖναι προσονομάζονται ὑπὸ τῶν ἐγχωρίων. ἐν ἅπασι τοῖς δ' ἴσοις ἢ τοῖς πλείστοις ὁ Ἰσίδωρος τὰ πρωτεῖα φέρεται καὶ λέγεται ὁ συμποσίαρχος, ὁ κλινάρχης, ὁ ταραξίπολις. εἶτα ὅταν τι βουληθῇ διαπράξασθαι τῶν ἀλυσιτελῶν, ἀφ' ἑνὸς συνθήματος ἀθρόοι συνέρχονται, καὶ τὸ κελευσθὲν λέγουσι καὶ δρῶσι. καί ποτε πρὸς Φλάκκον δυσχεράνας, ὅτι δόξας πρότερον αὐτῷ τις εἶναι καὶ ἀρχαῖος, οὐκ ἔθ' ὁμοίως αὖθις ἐσπουδάζετο, μισθοδοτήσας τοὺς ἀλφιτοβίους καὶ φωνομακεῖν εἰωθότας, οἳ τὰς καταβοήσεις ὥσπερ ἐπ' ἀγορᾶς τι προσάγουσι τοῖς ἔχουσιν ὠνητικῶς, παρακελεύεται συνελθεῖν εἰς τὸ γυμνάσιον. οἱ δὲ πληρώσαντες αὐτὸ τοῦ Φλάκκου ἀπ' οὐδεμιᾶς προφάσεως κατηγόρουν, ἀλλόκοτα πλάττοντες ἐγκλήματα καὶ ψευδεῖς ῥήσεις δι' ἀναπαίστων, καὶ μακρὰς συνείροντες, ὡς καταπεπλῆχθαι μὴ μόνον Φλάκκον, ἀλλὰ καὶ τοὺς ἄλλους ἐπὶ τῷ παραλόγῳ, καὶ ὅπερ εἰκὸς συμβαλεῖν, ὅτι πάντως ἐστί τις ᾧ χαρίζονται, μήτ' αὐτοί τι πεπονθότες ἀνήκεστον, μήτε τὴν ἄλλην πόλιν εὖ εἰδότες πλημμεληθεῖσαν· ἔπειτα βουλευομένοις ἔδοξε συλλαβεῖν τινὰς, καὶ τὴν αἰτίαν τῆς ἀκρίτου καὶ αἰφνιδίου μανίας καὶ λύττης πυνθάνεσθαι. οἱ δὲ συλληφθέντες, ἄνευ βασάνων ὁμολογοῦσι τἀληθὲς ἅμα, καὶ τὰς διὰ τῶν ἔργων πίστεις ἐφαρμόζοντες, τὸν διομολογηθέντα μισθὸν, τὸν ἤδη δεδομένον, τὸν καθ' ὑποσχέσεις ὕστερον δοθησόμενον, τοὺς ἐπὶ τὴν διανομὴν αἱρεθέντας ὡς ἂν ἡγεμόνας τῆς στάσεως, τὸν τόπον, τὸν καιρὸν ἐν ᾧ γέγονεν ἡ δωροδοκία. πάντων δὲ ὡς εἰκὸς ἀγανακτούντων, καὶ τῆς πόλεως χαλεπῶς φερούσης ἐπὶ τῇ τῶν ἐνίων ἀγνωμοσύνῃ προσάπτεσθαι τοὔνομα αὐτῆς, ἔδοξε τὸ καθαρώτατον τοῦ δήμου μεταπεμψαμένοις τῇ ὑστεραίᾳ παραγαγεῖν τοὺς τὸν μισθὸν ἐπινείμαντας, ἵνα καὶ τὸν Ἰσίδωρον ἀπελέγξῃ, καὶ ἀπολογήσηται περὶ τῆς αὐτοῦ πολιτείας ὡς ἀδίκως διαβληθείς. αἰσθόμενοι δὲ τῆς παραγγελίας, οὐχ οἱ ἐν τέλει μόνον ἧκον, ἀλλὰ καὶ σύμπασα ἡ πόλις ἔξω τῶν μελλόντων ἀπελέγχεσθαι μερῶν, ἐπὶ τῷ μεμισθοδοτῆσθαι· καὶ οἱ μὲν ὑπηρετήσαντες τὴν καλὴν ταύτην ὑπηρεσίαν, ἀναβιβασθέντες, ἵνα μετέωροι κἂν ἀφανεῖς εἶεν, καὶ γνωρίζοιντο πρὸς ἁπάντων, ἤλεγχον τὸν Ἰσίδωρον ὡς αἴτιον τῶν θορύβων καὶ τῶν βλασφημιῶν τῶν εἰς Φλάκκον γενομένων, οὐκ ὀλίγον πλῆθος παρέχοντα καὶ ἀργύριον καὶ οἶνον δι' αὐτόν. ἐπεὶ πόθεν, ἔφασκον, ἡμῖν ἀφθονία τοσαύτη; πένητές ἐσμεν, καὶ μόλις τοὐφήμερον εἰς αὐτὰ τἀναγκαῖα πορίζειν δυνάμεθα. τί δὲ καὶ δεινὸν ἐπεπόνθειμεν ὑπὸ τοῦ ἡγεμόνος, ὡς βιασθῆναι μνησικακεῖν, ἀλλ'

A quoniam sibi visus est multum apud Flaccum posse ab initio, deinde non in eodem haberi pretio, conducta opera hominum aliena quadra viuentium, & ex acclamationibus forensibus victum parantium, iussit eos conuenire in gymnasium. Quo mox completo, sine causa Flaccum accusabant, falsis criminationibus impetentes eum & objicientes quæ nunquam fecerant, tam longis querelis, vt non Flaccus modo,
B sed alij quoque ad rem sic inopinatam stupescerent, & id quod erat conijcerent, profecto in alicuius hæc fieri gratiam: quando nec ipsi clamatores passi essent quicquam indignum, & reliquos ciues nossent nullis affectos iniurijs. Itaque post deliberationem placuit corripi aliquot, & ex his scitari causam quæ homines insanos in tantam egit rabiem. Comprehensi non expectatis tormentis veritatem fassi sunt: & quo res fieret compertior,
C indicarunt mercedem vel acceptam vel promissam in posterum, tum per quos distributa sit eius seditionis principes, locum etiam & tempus eius largitionis. Cúmque vniuersa ciuitas indignaretur quòd ob male feriatorum quorundam imprudentiam inureretur ipsi publica ignominia, visum est sincerissimæ parti populi, vt distributores mercedis postridie producerentur, & Isidorum conuincerent,
D facta ipsi potestate pro se dicendi, si bene administrata republica iniquas pateretur calumnias. quod mandatum postquam est cognitum, non tantum honoratiores, sed & vniuersi ciues absque culpæ huius conscijs, ad concionem venerunt. ibi egregij ministri, vt facilius noscerentur in locum celsiorem subducti conspicuíque omnibus, coram arguebant Isidorum autorem tumul-
E tus & conuiciorum quæ in Flaccum iactata fuerunt à conductis non mediocri summa tum vini tum pecuniæ. alioquin vnde nobis, inquiunt, tanta copia? pauperes sumus, & vix quotidianum victum necessarium quærimus. Nec nos præses affecit vlla iniuria, cuius nos exasperet memoria: sed ille nos concitauit, semper fortunatis inui-

dens, & osor legitime constitutæ A reipublicæ. Hæc agnoscentes quotquot aderant, vt indicia pessimæ voluntatis hominis qui culpabatur, acclamabant, notandum ignominia, pars mittendum in exilium, pars afficiendum supplicio. Hi vincebant numero, & multi transibant in eorum sententiam. Denique cuncti conclamant, necandum pestiferum hominem, qui ex quo admotus sit ad tractandam rempublicam, nullam ciuitatis partem illæsam reliquerit. Verùm ille sibi conscius fuga se subduxit, veritus ne prehenderetur. Nec Flaccus amplius quæsiuit, ratus post eius spontaneum discessum ciuitatem quieturam à contentionibus. Hæc memoraui prolixius, non vt refricarem veteres iniurias, sed quòd mirarer inspectricem rerum humanarum iustitiam, qua factum est, vt omnium infensissimis obtingeret accusatio præsidis, quo maioribus ille angeretur doloribus. Nec enim accusatio per se tam molesta est, quàm quoties ex professo inimicis committitur. Quam iste non solum pertulit ab infestis hominibus in quos paulo ante vitæ necisque potestatem habuerat: verum etiam manifeste conuictus fuit, duplici sane incommodo, quòd damnatus insuper inimicis esset ludibrio, quæ conditio viro prudenti videtur ipsa morte grauior. Quod enim solatium eius infortunij supererat? vno momento exutus est omni patrimonio, atque etiam his quibus ipse rem familiarem auxerat, ornamentorum cum primis cupidus. Non enim patiebatur, vt quidam pecuniosi, diuitias iacere inutiles, sed exquisita volebat omnia, pocula, vestimenta, stragula, supellectilem, & quicquid attinet ad eximium ornatum ædium: ad hæc famulitium domesticum lectissimum, vel forma & corporis habitudine, vel dexteritate in quotidianis ministerijs. Nam in suo quisque officio si non primus erat, certe cedebat nemini. Id verum esse hinc manifeste colligitur, quòd cum plurimorum damnatorum bona sub hasta sint vendita, solius Flacci omnia seruata sint imperatori, exceptis paucis quibusdam, ne lex de damnatis lata violaretur. Ademptis bonis

A ὁ πάντων αἴτιος, καὶ δημιουργὸς, ἐχθρὸς ἀεὶ τοῖς εὖ πεπραγόσι βάσκανος, καὶ ἐννόμου καταστάσεως πολέμιος. ἃ γνωρίζοντες οἱ παρατυγχάνοντες· τύποι γάρ τινες ἦσαν ἀείδηλοι καὶ χαρακτῆρες τὰ λεχθέντα τῆς τοῦ κατηγορημένου προαιρέσεως· ἀνεβόων, οἱ μὲν ἀτιμοῦν, οἱ δὲ φυγαδεύειν, οἱ δ᾽ ἀναιρεῖν. πλείους δ᾽ ἦσαν οὗτοι. πρὸς οὓς οἱ λοιποὶ μετεβάλλοντο, ὡς ἅπαντας ὁμοθυμαδὸν μιᾷ φωνῇ κεκραγέναι, κτείνειν τὸν κοινὸν λυμεῶνα, τὸν ἀφ᾽ οὗ B παρῆλθε καὶ διέκυψεν ἐπὶ τὰ κοινὰ, μηδὲν μέρος τῆς πόλεως ἄνοσον ἐάσαντα· καὶ ὁ μὲν ἕνεκα τοῦ συνειδότος ἀποδιδράσκει σύλληψιν εὐλαβηθείς· ὁ δὲ Φλάκκος οὐδὲν ἐπ᾽ αὐτῷ περιειργάζετο, νομίσας ἐκ ποδῶν ἑκουσίῳ γνώμῃ γεγονότος, ἀστασίαστα καὶ ἀνέρειστα τὰ κατὰ τὴν πόλιν ἔσεσθαι. ταῦτα ἐμήκυνα, οὐχ ὑπὲρ τοῦ παλαιῶν ἀπομνημονεύειν ἀδικημάτων, ἀλλὰ τεθαυμακὼς τὴν ἔφορον τῶν ἀνθρωπείων δίκην, ὅτι οἱ ἐξ ἀρχῆς γενόμενοι δυσμενεῖς αὐτῷ, καὶ οἷς ἐν πλείοσιν ἀπηχθάνετο, καὶ C ἐκληρώσαντο τὴν ἐπ᾽ αὐτῷ κατηγορίαν, εἰς ἀνίας ὑπερβολήν. οὐ γὰρ οὕτως τὸ ἐγκαλεῖσθαί ἐστι χαλεπὸν, ὡς τὸ πρὸς ὁμολογουμένων ἐχθρῶν· ὁ δ᾽ οὐ κατηγορήθη μόνον, ἄρχων πρὸς ὑπηκόων καὶ ὑπὸ δυσμενῶν ἀεὶ γενομένων ὁ πρὸ μικροῦ κύριος ὢν τῆς ἑκάστου ζωῆς, ἀλλὰ καὶ ἅμα κράτος ἡλίσκετο, διπλοῦν ἐνδεχόμενος κακὸν, τὸ μὲν ἥττης γελᾶσθαι πρὸς ἐχθρῶν ἐφηδομένων, ὃ καὶ θανάτου χεῖρόν ἐστι τοῖς εὖ φρονοῦσιν. εἶτά τις ἐπιφορία γίνεται κακοπραγιῶν αὐτῷ. τῆς τε γὰρ D οὐσίας ἁπάσης εὐθὺς ἐξίσταται, ἥν τε παρὰ γονέων ἐκληρονόμησε, καὶ ἣν αὐτὸς ἐκτήσατο, φιλόκοσμος ἐν τοῖς μάλιστα γεγονώς. οὐ γὰρ ὡς ἐνίων πολυχρημάτων ὁ πλοῦτος ἀργὸς ἦν ὕλη, πάντα δ᾽ ἐξητασμένα πρὸς τὸ περίεργον, ἐκπώματα, ἐσθῆτες, στρωμναὶ, ἔπιπλα, τἄλλα ὅσα οἰκίας κόσμου ἔκλογα πάντα, καὶ πρὸς τούτοις ἡ οἰκετικὴ θεραπεία ἀριστίνδην ἐπικριθεῖσα, κατά τε τὰς τῶν σωμάτων εὐμορφίας ὁμοῦ καὶ εὐεξίας, καὶ κατὰ τὸ ἄπταιστον ἐν ταῖς χρεί- E αις τῶν ὑπηρεσιῶν. ἐφ᾽ ὧν γὰρ ἦσαν ἕκαστοι τεταγμένοι, διέφερον, ὡς ἢ πρῶτοι νομίζεσθαι τῶν τὰ αὐτὰ ἐπιτηδευόντων, ἢ μηδενὸς δεύτεροι τετάχθαι. ἐναργὴς δὲ πίστις, τὸ μυρίων δημοπράτων γενομένων οὐσιῶν, αἳ τῶν κατακρίτων ἦσαν, μόνην τὴν Φλάκκου ταμιευθῆναι τῷ αὐτοκράτορι, δίχα τινῶν ὀλίγων, ὑπὲρ τοῦ μὴ παραβιασθῆναι τὸν ἐπὶ τοῖς οὕτως ἑαλωκόσι τεθέντα νόμον. μετὰ δὲ τὴν ἀφαίρεσιν τῆς οὐσίας,

κατέγνωσεν αὐτοῦ φυγήν, καὶ ἐξ ἁπάσης μὲν ἠλαύνετο τῆς ἠπείρου· τοῦτο δ' ἐστὶ μεῖζον καὶ ἄμεινον τμῆμα τῆς οἰκουμένης· ἐξ ἁπάσης δὲ νήσου τῶν εὐδαιμόνων. ἐμέλλησε γὰρ εἰς τὴν λυπροτάτην τῶν ἐν Αἰγαίῳ, Γύαρα καλεῖται, διώκεσθαι, μὴ παρακλήτῳ χρησάμενος Λεπίδῳ, δι' ὃν ἀνθυπηλλάξατο Γυάρων Ἄνδρον ἐγγυτάτω κειμένην. εἶτ' ἐστέλλετο τὴν ἀπὸ Ῥώμης ἄχρι Βρεντησίου παλινῳδίαν, ἣν καὶ πρὸ ὀλίγων ἐτῶν ἐστείλατο, καθ' ὃν καιρὸν ἐχειροτονεῖτο τῆς Αἰγύπτου καὶ τῆς ὁμόρου Λιβύης ἐπίτροπος, ἵν' αἱ τότε θεασάμεναι πόλεις αὐτὸν μέγα πνέοντα καὶ τὸν ὄγκον τῆς εὐτυχίας ἐπιδεικνύμενον, πάλιν θεάσωνται μεστὸν ἀτιμίας. ὁ δὲ δακτυλοδεικτούμενος τῆς ἀθρόας μεταβολῆς πιέζεται βαρυτέραις ἀνίαις, ἀεὶ κινουμένης καὶ ζωπυρουμένης αὐτῷ τῆς συμφορᾶς νεωτέραις προσθήκαις, ἃ καθάπερ ἐν ταῖς νόσοις ὑποτροπιάζειν ἀναγκάζει καὶ τὰς τῶν ἀρχαίων κακοπραγιῶν ὑπομνήσεις, αἳ τέως ἔδοξαν ἠμαυρῶσθαι. περαιωσάμενος δὲ τὸν Ἰόνιον κόλπον, ἔπλει τὴν ἄχρι Κορίνθου θάλατταν, ταῖς παραλίοις τῶν ἐν Πελοποννήσῳ πόλεσι θέα γινόμενος, κατὰ πίστιν τῆς αἰφνιδίου μεταβολῆς. ὁπότε γὰρ ἀποβαίη τῆς νεώς, συνέθεον οἱ μὲν μοχθηροὶ τὰς φύσεις ἐθελοκακοῦντες, οἱ δ' ἄλλοι συναλγήσοντες, οἷς ἔθος ταῖς ἑτέρων τύχαις σωφρονίζεσθαι. διελθὼν δ' ἀπὸ Λεχαίου τὸν ἰσθμὸν εἰς τὴν ἀντιπέραν θάλατταν, καὶ καταβὰς εἰς Κεγχρεὰς τῶν Κορινθίων ἐπίνειον, ἀναγκάζεται πρὸς τῶν φυλάκων ἀναχώρησιν οὐδ' ἠντινοῦν ἐνδιδόντων, εὐθὺς ἐπιβὰς βραχείας ὁλκάδος ἀνάγεσθαι, καὶ πνεύματος ἐναντίου καταρραγέντος, μυρία ταλαιπωρηθείς, μόλις ἄχρι τοῦ Πειραιῶς κατασύρεται. λήξαντος δὲ τοῦ χειμῶνος, παραμειψάμενος τὴν Ἀττικὴν ἄχρι τῆς Σουνιάδος ἄκρας, τὰς ἑξῆς λοιπὸν ἐπεραιοῦτο νήσους, τὴν Ἑλένην, τὴν Κίαν, τὴν Κύθνον, τὰς ἄλλας ὅσαι κεῖνται στοιχηδὸν ἑξῆς, μέχρι τῆς ἐφ' ἣν τελευταίαν ἐλθεῖν ἔδει τὴν Ἀνδρίων, ἣν πόρρωθεν ἰδὼν ὁ κακοδαίμων, δακρύων τινὰ φορὰν ὥσπερ ἀπὸ πηγῆς ἐξέχει κατὰ τῶν παρειῶν, καὶ τὰ στέρνα πλήξας, πικρότατα ἀνοιμώξας, ἄνδρες, εἶπεν, οἱ φύλακές μου καὶ παραπομποί, καλόν γε χῶρον Ἄνδρον ἀντ' εὐτυχοῦς νήσου τῆς εὐδαίμονος Ἰταλίας ἀνθυπαλλάττομαι, Φλάκκος ὁ γεννηθεὶς μὲν καὶ τραφεὶς καὶ παιδευθεὶς ἐν τῇ ἡγεμονίδι Ῥώμῃ, συμφοιτητὴς δὲ καὶ συμβιωτὴς γενόμενος τῶν θυγατριδῶν τοῦ Σεβαστοῦ, κριθεὶς δὲ τῶν πρώτων φίλων παρὰ Τιβερίῳ Καίσαρι, καὶ τὸ μέγιστον αὐτοῦ τῶν κτημάτων Αἴγυπτον ἐπὶ ἑξαετίαν ἐπιτραπείς.

A actus est in exilium procul ab omnibus continentis prouincijs, hoc est à maiore potioréque parte orbis habitabilis, imò & ab omnibus fortunatis insulis. Nam in omnium sterilissimam Gyarum in Ægæo sitam deportatus fuisset, ni deprecante Lepido pro Gyaro Andrum propinquam ei permissum esset incolere. Tum ab vrbe vsque Brundisium eandem viam remensus est, per quam ante paucos annos Ægypti conterminæque Libyæ præses designatus B iter fecerat: vt ciuitates quæ tunc fortuna tumidum ostentantémque se spectarant, rursum spectarent affectum ignominia. At ille commonstratus digitis prætereuntium propter mutationem repentinam, grauiore dolore premebatur, exacerbante se vsque calamitate nouis casuum accessionibus, quemadmodum in morbis recidiuis vsu venit, qui paulo ante se remiserant. Traiecto C autem Ionio sinu legebat oram vsque Corinthum, procurrentibus ciuitatibus maritimis ad vix credibile spectaculum. Quoties enim exscenderet concursus fiebant, malorum vt insultarent, reliquorum vt condolendo ex aliena fortuna exemplum ad modestiam sibi sumerent. Ibi transmisso isthmo à Lechæo Cenchreas nauale Corinthiorum, importunitate custodum coactus est sine mora proficisci, ascensáque parua oneraria soluere, quando vento D contrario multum fatigatus ægre Piræum tenuit. Vbi vero tempestas desijt, prætereuectus Atticam vsque Sunium promontorium, móxque ex ordine sitas insulas, Helenam, Ceam, Cythnum, & deinceps alias, postremo ad Andrum quam petebat peruenit. eam procul conspicatus miser, lachrymis tanquam è fonte per genas manantibus cum planctu amaróque gemitu hæc verba protulit: Viri E custodes & deductores, pulchrum sanè locum & fortunatam insulam Andrum accipio pro beata Italia Flaccus natus educatus eruditúsque Romæ, nepotum Augusti sodalis & condiscipulus, Tiberij quoque Cæsaris inter præcipuos amicos habitus, & eius primariæ possessioni Ægypto procurator datus per sexennium.

A Quænam est hæc tanta mutatio? nox interdiu, quasi per solis deliquium, meam vitam occupat. Quomodo vocabo hanc insulam? exiliúmne, an nouam patriam, an portum & refugium miserum? sepulchri nomen ei maxime conuenit. Siquidem infelix ego meipse quodammodo in monumentum infero. Aut enim præ dolore vitam miseram finiam, aut si potero diutius superesse, longam mortem perpetiar. B inter hæc lamenta nauis ad portum appulit, ille vero exscendit demisso capite, calamitate pressus tanquam onere grauissimo, vt ne oculos quidem attollere vel posset vel auderet, propter obuios, & ad videndum confluentes, qui vtrumque viæ latus occupauerant. Tum custodes productum ad Andriorum populum ostenderunt omnibus, contestati eos, exulem se perduxisse in insulam. Atque ita functi C suo ministerio discesserunt. Tum vero Flacco neminem notum iam videnti dolor recruduit, exacerbatus nouis imaginationibus, dum circa se animaduertit solitudinem, vt optabilius duceret ferro perire in patria. Adeo trepidabat, vt non aliter quàm insanus prosiliret ac vltro citróque discurreret, manus complodens, femora percutiens, humi se affligens, & clamitans, En D Flaccus ille paulo ante præses magnæ Alexandriæ principis vrbium, Ægypto præfectus prouinciæ felicissimæ, cuius nutum obseruabant tam multa hominum eius regionis millia, qui quotidie deducebatur à turbis innumeris. An somnium erat illud non veritas? dormiens videbam illam felicitatem, vanas imagines anima, fingente sibi quod nusquam erat. Deceptus sum profecto, vmbræ non res erant, & E fallaces species illudentes oculis. Nunc velut experrectus nihil inuenio, abierunt simul omnes illæ fortunæ splendidæ cum quibus olim consuetudinem habui, extinctæ sunt momento temporis. Cum talibus semper colluctabatur cogitationibus, præ pudore deuitans conuentus hominum, nec in portum nec in forum prodire sustinens, sed inclusus domi tanquam in fouea, ne limen quidem audens

A τίς ἡ τοσαύτη μεταβολή. νὺξ ἐν ἡμέρᾳ, καθάπερ ἐκλείψεως γενομένης, τὸν ἐμὸν ἐπέσχηκε βίον· τὴν νησῖδα ταύτην τί φῶ, πότερον φυγαδευτήριον ἐμὸν, ἢ πατρίδα καινὴν, ὑπόδρομον καὶ καταφυγὴν ἀτυχῆ· τάφος ἂν εἴη τὸ κυριώτατον ὄνομα. στέλλομαι γὰρ ὁ κακοδαίμων ἐγὼ τρόπον τινὰ νεκροφορῶν ἐμαυτὸν ὥσπερ εἰς ἠρίον. ἢ γὰρ ταῖς λύπαις τὴν ζωὴν τὴν ἀθλίαν ἀπορρήξω, ἢ κἂν ἐπιβιῶναι δυνηθῶ, τὸν μακρὸν καὶ σὺν αἰσθήσει θάνατον ἐκδέξομαι. B καὶ ὁ μὲν τοιαῦτα ἀπωδύρετο· τῆς δὲ νεὼς τῷ λιμένι προσσχούσης, ἀπέβαινε πᾶς εἰς τοὔδαφος νεύων, ὥσπερ οἱ θλιβόμενοι, περὶ ἄχθεσι βαρυτάτοις, τὸν αὐχένα τῇ συμφορᾷ πιεζόμενος, οὐδ᾽ ὅσον ἀνακύψαι σθένων, ἢ τολμῶν, διὰ τοὺς συναντῶντας, καὶ τοὺς ἐπὶ θέαν ἥκοντας, οἳ παρ᾽ ἑκάτερα τῆς ὁδοῦ παρειστήκεσαν· οἱ δὲ παραπέμψαντες αὐτὸν, ἐπὶ τὸν δῆμον ἀναγαγόντες τῶν Ἀνδρίων, ἐπεδείξαντο πᾶσι, μάρτυρας ποιούμενοι τῆς εἰς τὴν νῆσον ἀφίξεως τοῦ φυγάδος· καὶ οἱ μὲν τὴν διακονίαν ἐκπλήσαντες C ἀπῄεσαν, τῷ δὲ Φλάκκῳ μηδεμίαν ὄψιν εἰκυῖαν ἔτι θεωμένῳ, τὸ πάθος ἐκαινοῦτο, βασανιζομένῳ φαντασίαις ἐναργεστέραις, καὶ τὴν ἐν κύκλῳ κατανοοῦντι πολλὴν ἐρημίαν, ἧς μέσος ἀπείληπτο, κουφότερον ἐδόκει κακὸν ἡ ἐν τῇ πατρίδι βίαιος ἀναίρεσις, μᾶλλον δὲ συγκρίσει τῶν παρόντων ἀσπαστὸν ἀγαθὸν, οὕτως ἐσφάδαζεν, ὡς μηδὲ τῶν μεμηνότων διαφέρειν, ἐπήδα πολλάκις ἄνω κάτω διαθέων, τὰς χεῖρας συνεκρότει, τοὺς μηροὺς ἔπαιε, κατέβαλεν D εἰς τὸ ἔδαφος αὑτὸν, ἐξεφώνει πολλάκις, ἐγὼ Φλάκκος εἰμὶ ὁ πρὸ μικροῦ τῆς μεγαλοπόλεως ἢ πολυπόλεως Ἀλεξανδρείας ἡγεμὼν, ὁ τῆς εὐδαιμονεστάτης χώρας ἐπίτροπος Αἰγύπτου, εἰς ὃν ἐπέστρεφον αἱ τοσαῦται μυριάδες τῶν οἰκητόρων, ὁ δυνάμεις πεζὰς καὶ ἱππικὰς καὶ ναυτικὰς, οὐκ ἀριθμὸν ἁπλῶς, ἀλλ᾽ ὅσοι δοκιμώτατοι ἐν ὑπηκόοις ἔχων, ὁ καθ᾽ ἑκάστην ἡμέραν ἐν ταῖς ἐξόδοις ὑπὸ μυρίων ὅσων παραπεμπόμενος· ἀλλὰ μὴ φάσματα E ταῦτ᾽ ἦν, οὐκ ἀλήθεια; καὶ κοιμώμενος ὄναρ εἶδον τὴν τότ᾽ εὐτυχίαν, εἴδωλα κατὰ κενοῦ βαίνοντα, πλάσματα ψυχῆς, ἴσως ἀναγραφούσης τὰ μὴ ὑπάρχοντα ὡς ὄντα; διηπάτημαι· σκιὰ πραγμάτων ἄρ᾽ ἦσαν οὐ πράγματα, μίμησις ἐναργείας, οὐκ ἐνάργεια τρανοῦσα τὸ ψεῦδος. ὡς γὰρ τῶν ἐν τοῖς ὀνείροις φανέντων, οὐδὲν περιαναστάντες εὑρίσκομεν, ἀλλ᾽ οἴχεται πάντα ἀθρόα διαπτάντα, οὕτως καὶ τὰ λαμπρὰ ἐκεῖνα, οἷς ποτε ἐνωμίλησα, ἐσβέσθη βραχυτάτῃ καιροῦ ῥοπῇ. τοιούτοις ἀεὶ κατεπαλαίετο λογισμοῖς,

καὶ ἔστιν ὅτε ἐξετραχήλιζεν, τὰς δὲ πολλὰς συνόδους ἀποδιδράσκων διὰ τὴν παρακολουθοῦσαν αἰσχύνην, οὔτ' εἰς λιμένα κατῄει, οὔτ' εἰς ἀγορὰν προσελθὼν ὑπέμενεν, ἀλλ' οἴκοι συγκλεισάμενος ἐφώλευε, μηδὲ τὴν αὔλειον ὑπερβαίνειν θαρρῶν, ἔστι δ' ὅτε καὶ περὶ βαθὺν ὄρθρον, ἔτι τῶν ἄλλων ἐν εὐναῖς ὄντων, μηδενὶ φανεὶς τὰς πύλας, ἔξω τειχῶν προῄει καὶ διημέρευεν ἐπὶ τῆς ἐρημίας, ἐκτρεπόμενος εἴ πού τις ὑπαντήσειν ἔμελλε, καὶ ταῖς ἐναύλοις μνήμαις τῶν κακοπραγιῶν διαχαρασσόμενος, καὶ δαπανώμενος τὴν ψυχὴν ὁ δείλαιος νυκτὸς εἰσῄει βαθείας, εὐχόμενος διὰ τὰς ἀμέτρους καὶ ἀπελευθέρους ἀθυμίας, ἑσπέραν μὲν περὶ ἕω γενέσθαι, πεφρικὼς τὸ σκότος καὶ τὰς ἀλλοκότους φαντασίας ὁπότε τύχοι καταδαρθάνειν, ἅμα δὲ τῇ ἕῳ πάλιν ἑσπέραν. ὁ γὰρ περὶ αὐτὸν ζόφος ἠλλοτρίου τοῖς φαιδροῖς ἅπασιν. ὀλίγοις δ' ὕστερον μησί, βραχύτι γήδιον πριάμενος, ἐν αὐτῷ τὰ πολλὰ διέτριβε μονούμενος, καὶ τὸν οἰκεῖον ἐπιστένων καὶ κατακλαίων δαίμονα. λέγεται δέ ποτε καὶ περὶ μέσας νύκτας ὥσπερ οἱ κορυβαντιῶντες ἐνθέοις χρώμενος, ἐκ τῆς ἐπαύλεως ἔξω προελθὼν καὶ τὴν ὄψιν ἀνατείνας εἰς οὐρανὸν καὶ τοὺς ἀστέρας, τὸν ἐν κόσμῳ κόσμον ὄντως ἰδών, ἀναβοῆσαι, βασιλεῦ θεῶν καὶ ἀνθρώπων. οὐκ ἄρα τοῦ τῶν Ἰουδαίων ἔθνους ἀμελῶς ἔχεις, οὐδ' ἐπιψεύδονται τὴν ἐκ σοῦ πρόνοιαν, ἀλλ' ὅσοι φασὶν αὐτοὺς μὴ προαγωνιστῇ σοι καὶ ὑπερμάχῳ χρῆσθαι, δόξης ὑγιοῦς διαμαρτάνουσι. σαφὴς δ' ἐγὼ πίστις. ὅσα γὰρ κατεμάνην τῶν Ἰουδαίων, αὐτὸς πέπονθα. τὰς οὐσίας ἁρπαζομένας περιεῖδον, ἐκεχειρίαν τοῖς λεηλατοῦσι διδούς, ἀφῃρέθην διὰ τοῦτο τὰ πατρῷα καὶ μητρῷα, καὶ ὅσα ἐν μέρει χάριτος καὶ δωρεᾶς ἔλαβον, ἢ ὅσα ἄλλα καθ' ἑτέρας ἰδέας ἐκτησάμην. ὠνείδισά ποτε ἀτιμίας καὶ ξενιτείας αὐτοῖς ἐπιτίμοις οὖσι κατοίκοις, ἵν' ἡσθῶσιν οἱ ἀντίπαλοι πλῆθος ἀσυνάρτητον καὶ πεφορημένον, ὑφ' οὗ κολακευόμενος ὁ δυστυχὴς ἠπατώμην· διὰ τοῦτο ἠτίμωμαι, καὶ φυγὰς ἐξ ἁπάσης ἐληλαμένος τῆς οἰκουμένης, ἐνταυθοῖ συγκέκλεισμαι. παρήγαγον εἰς τὸ θέατρον ἐνίους, ἐν ὄψει τῶν ἐχθίστων αἰκίζεσθαι προστάττων ἀδίκως. τοιγαροῦν ἐγὼ δικαίως οὐκ εἰς θέατρον ἓν ἢ μίαν πόλιν ἐπὶ τὰς ἐσχάτας ὕβρεις παρήχθην, αἰκισθεὶς πρὸ τοῦ σώματος τὴν ἀθλίαν ψυχήν· ἀλλ' ἐπόμπευσα διὰ μὲν πάσης Ἰταλίας, ἄχρι Βρεντησίου, διὰ δὲ πάσης Πελοποννήσου μέχρι Κορίνθου, διὰ δὲ τῆς Ἀττικῆς καὶ τῶν νήσων ἄχρις Ἄνδρου τῆς ἐμῆς εἱρκτῆς, καὶ πέπεισμαι σαφῶς, ὅτι οὐκ ἔστιν ὅρος οὗτος τῶν ἐμῶν κακοπραγιῶν, ἀλλ' ἐφεδρεύουσιν ἕτεραι, πρὸς ἐκπλήρωσιν

A transcendere: interdum autem progressus mane summo, cubantibus etiamtum alijs, clam subducebat se ex oppido, & exigebat totum diem in solitudine, deuitans occursus fortuitos, & vexans seipsum recenti calamitatis memoria, arrodénsque suum cor misere: ac noctu demum reuertebatur, vespere optans auroram, quod horreret tenebras & obuersantes dormienti species, mane rursum cupiens aduentum vesperi.
B Nam ipse secum circumferens caliginem abhorrebat ab omni hilaritate. Post aliquot autem menses rusculo empto in eo plerumque degebat solitarius, deplorans suum infortunium. Fertur aliquando media nocte velut furore correptus prosiliisse è sua villula, sublatáque ad cælum & stellas & illum verum mundi ornatum facie exclamasse: Rex deorum & hominum, ergo cordi tibi sunt res Iudæorum, nec
C mentiuntur tuam prouidentiam: sed illi potius errant, qui negant eos foueri tuo præsidio, cuius ego sum argumentum certissimum. Quantum enim in Iudæos debacchatus sum, tantum ipse pertuli. Passus sum eorum bona diripi, data prædatoribus licentia, ideo paterna maternáque hæreditate priuatus sum, & his quæ vel donata vel quocumque modo acquisiui. Probrose quondam inquilinos vocaui cum ciues
D essent, vt gratificarer inconditæ multitudini, quæ his inimica me miserum decipiebat suis adulationibus: ideo patior ignominiam, exul eiectus toto orbe habitabili, hic includor. in theatrum producti quidam iubente me, in conspectu inimicorum iniuste flagris cæsi sunt. Ergo ego iure optimo traductus sum, non per vnius ciuitatis theatrum, contumeliose cruciatus misero animo priusquam corpore: sed per totam Italiam vsque Brundi-
E sium, per totam Peloponnesum vsque Corinthum, per totam Atticam mediásque insulas vsque Andrum meum carcerem, certus non esse hunc finem mearum calamitatum, sed alias latere in insidijs, vt paria referantur paribus. Interemi quosdam, interiment me alij. Me conniuente quidam lapidibus sunt obruti, quidam viui combusti,

quidam raptati per forum medium, donec frustatim lacerarentur. Horum facinorum pœnæ me manent sat scio, & diræ iam stant tanquam in carceribus, vt obice rupto properent in meam perniciem: imo iam in horas præmorior, multas mortes sustinens ante illam vltimam. Atque ita sæpe territabatur, horrore quatiente membra omnia, animo quoque contremiscente anhelóque pectore, quandoquidem spes eum destituebat, vnica vitæ mortali addita consolatio. Nullum vnquam solicito felix oblatum est auspicium, rumores aduersi afferebantur: molestis vigilijs somni succedebant turbidi. Efferebatur solitudine, quid conuersatio? nihil ei videbatur insuauius oppidanorum consuetudine. Ruri ab opprobrijs tutum faciebat solitudo, non item à periculis. Si quem lento passu incedentem videret, suspicabatur cogitare sibi perniciem: sin properantem, mox mentem subibat: at at hic me persequitur, non temere festinat. Blandus insidiatur, libere loquens contemnit. Cibus potúsque mihi præbetur sicut mactandis pecudibus. Quovsque tandem ferreus durabo in tot casibus? scio me molliorem quàm vt mortem mihi consciscam: nimirum hoc quoque vetat meus genius, ne cito abrumpam vitam miseram, vt malum dilatum cumulet ineátque apud iniuste per me necatos vberiorem gratiam. Talia reuoluens animo, trepidus expectabat finem fatalem. At Caius natura sæuus & pœnis insatiabilis: non vt alij semel punitos omittebat, sed iram continuans semper eis nouos casus moliebatur: Flaccum vero præ cæteris oderat, vt etiam in alijs suspectum exosúmque haberet idem vocabulum: sæpéque pœniteret eum quod exilium prætulisset capitali sententiæ: & quamuis deprecatorem Lepidum magnifaceret, tamen culpabat, ita vt ille sibiipsi timere inciperet, ne grauius plecteretur, quod pœnæ leuioris autor fuisset. Ergo cum nemo iam auderet preces interponere, gliscente ira quam tempus hebetasse debuerat, crescebat malum haud secus, quàm quoties morbus intermissus repetit corpora. Tunc enim incumbit sæuior. Ferunt aliquando noctu inter-

A ἀντίρροπον ὧν εἰργασάμην· ἀθλίους τινάς, καὶ ἀναιρεθησομένους πρὸς ἑτέρων οὐκ ἐπεξῆλθον, κατελύθησάν τινες, καὶ ζῶντες οἱ μὲν ἐνεπρήσθησαν, οἱ δὲ διὰ μέσης κατεσύρησαν ἀγορᾶς, ἕως ὅλα τὰ σώματα αὐτοῖς ἐδαπανήθη. τούτων οἶδ᾽ ὅτι ἀναμένουσί με αἱ ποιναί, καὶ οἱ ἀλάστορες ὥσπερ ἐπὶ βαλβῖσιν ἑστᾶσιν ἤδη, καὶ φονῶντες ἔγκεινται, καὶ καθ᾽ ἑκάστην ἡμέραν, μᾶλλον δὲ ὥραν προαποθνήσκω, πολλοὺς θανάτους ὑπομένων ἀνθ᾽ ἑνὸς τοῦ τελευταίου. πολλάκις δὲ ἐδειμάτου τοῦτο καὶ ἐπτόητο, καὶ φρίκη μὲν τὰ μέλη καὶ μέρη τοῦ σώματος
B κατέσειε, φόβῳ δὲ ὑπότρομον εἶχε τὴν ψυχήν, ἄσθματι καὶ παλμῷ τινασσομένην, ἅτε τοῦ μόνου παρηγορεῖν τὸν ἀνθρώπινον βίον ἐκ φύσεως δυναμένου στερόμενος χρηστῆς ἐλπίδος· ὄρνις αἴσιος οὐδεὶς αὐτῷ προυφαίνετο, πάντες δυσοιώνιστοι, κληδόνες παλίμφημοι, ἐπίπονος ἐγρήγορσις, περιδεὴς ὕπνος, ἡ μόνωσις θηριώδης· ἀλλ᾽ ἥδιστον αὐτῷ τὸ ἀγελαῖον; ἀνδίστατον αἱ κατὰ πόλιν διατριβαί· ἀσφαλὲς ὄνειδος ἡ κατ᾽ ἀγρὸν ἐρημία; σφαλερόν, ἀδυσώπητον· ὁ ἠρέ-
C μα προσιὼν ὕποπτος· βουλεύεταί τι, φησί, κατ᾽ ἐμοῦ ὁ θᾶττον βαδίζων, οὐ πρὸς ἑτέρῳ τι σπουδὴν ἔοικεν, ἀλλ᾽ ἐμὲ διώκει, ὁ ἡδὺς ἐνεδρεύει, ὁ παρρησιαστὴς καταφρονεῖ, σιτία μοι καὶ ποτὰ καθάπερ τοῖς θρέμμασιν ἐπὶ σφαγὴν δίδοται· μέχρι τίνος ὁ σιδηροῦς πρὸς τοσαύτας ἀντέχω συμφοράς· οἶδ᾽ ὅτι μαλακίζομαι πρὸς θάνατον, ἐξ ἐπηρείας δαίμονος οὐκ ἐπιτρέποντός μοι τὴν ἀθλίαν ζωὴν συντόμως ἀπορρῆξαι διὰ τὰς ὑπερβολὰς ἀνηκέστων κακῶν, ἃ κατ᾽
D ἐμοῦ θησαυριζόμενος χαρίζεται τοῖς δολοφονηθεῖσι. τοιαῦτα ἀναπολῶν καὶ σφαδάζων, ἐκαραδόκει τὸ εἱμαρμένης τὸ πέρας· καὶ τοῦ μὲν αἱ συνεχεῖς ὀδύναι τὴν ψυχὴν ἀνεκύκων καὶ ἀνέστρεφον. Γάιος δὲ τὴν φύσιν ὠμόθυμος ὢν καὶ ἀκόρεστος ἐν ταῖς τιμωρίαις, οὐχ ὥσπερ ἔνιοι μεθίετο τοὺς ἅπαξ κολασθέντας, ἀλλ᾽ ἀτελευτήτως μηνιῶν, ἀεί τινα καινὴν ἐπ᾽ αὐτοῖς ἐμεγαλούργει συμφοράν, τὸν δὲ Φλάκκον καὶ διαφερόντως ἤχθαιρεν, ὡς καὶ τοὺς ὁμωνύμους ἀλλοτριώσει τῆς κλήσεως
E ὑποβλέπεσθαι, καὶ πολλάκις αὐτὸν μετάνοια εἰσῄει, διότι κατέγνω φυγήν, ἀλλ᾽ οὐχὶ θάνατον, καὶ τὸν παράκλητον αἰδούμενος ὅμως ᾐτιᾶτο Λέπιδον, ὡς ἐκεῖνος ἀπηγόρευσε φόβῳ τῆς καθ᾽ αὐτοῦ τιμωρίας. ἐδεδίει γάρ, ὡς εἰκός, μὴ παραίτιος ἄλλῳ γενόμενος κουφοτέρας δίκης, βαρυτέραν αὐτὸς ἐνδέξηται. μηδενὸς οὖν ἔτι τῶν εἰς παραίτησιν λέγειν θαρροῦντος, ἀμειλίκτοις καὶ ἀφέτοις ἐχρῆτο ταῖς ὀργαῖς, αἳ χρόνῳ δέον ἀμαυροῦσθαι, παρώξυντο μᾶλλον, καθάπερ αἱ ἐν τοῖς σώμασιν ὑποτροπιάζουσαι νόσοι· τῶν γὰρ προτέρων εἰσὶ χαλεπώτεραι. φασὶν ὅτι νύκτωρ ποτὲ

διεγερθεὶς ὁ Γάιος εἰς ἔννοιαν ἦλθε τῶν ἐν τιμῇ φυγάδων, ὀνόματι μὲν ὑποστελλόντων ἀτυχεῖν, βίον δὲ ἀπράγμονα καὶ ἡσυχάζοντα καὶ ἐλεύθερον ὄντως περιπεποιημένων· μετετίθει δὲ καὶ τὴν κλῆσιν ἀποδημίας προσαγορεύων. ἀποδημία γάρ τίς ἐστιν, ἔφασκεν, ἡ τῶν τοιούτων ἔλασις, ἐχόντων ἄφθονα τὰ ἐπιτήδεια, καὶ σὺν ἀπραγμοσύνῃ καὶ εὐσταθείᾳ ζῆν δυναμένων, οἷς ἄτοπον εἶναι τρυφᾶν, ἀπολαύοντας εἰρήνης, βίον καρπουμένους φιλόσοφον. εἶτα προστάττει τοὺς ἐπιφανεστάτους καὶ ἐν πλείστῳ λόγῳ ἀναιρεθῆναι, γραφὴν δοὺς ὀνομάτων, ἧς ἡγεῖτο Φλάκκος. ἐπεὶ δὲ ἧκον εἰς Ἄνδρον οἷς κτείνειν διείρητο, Φλάκκος μὲν ἐτύγχανεν ἀγρόθεν εἰς ἄστυ παραγινόμενος· οἱ δὲ ἐκ τοῦ λιμένος ὑπηντίαζον. καὶ πόρρωθεν αὐτοὶ προεῖδον ἀλλήλους· ὅθεν συναισθόμενος ἐφ' ὃ σπεύδουσι· μαντικωτάτη γὰρ ἡ ἑκάστου ψυχή, καὶ μάλιστα τῶν ἐν κακοπραγίαις· ἐκτραπόμενος τῆς ὁδοῦ, διὰ τραχείας ἔθει φεύγων ἐπιλελησμένος ἴσως, ὅτι νῆσος, ἀλλ' οὐκ ἤπειρός ἐστιν, ἐν ᾗ τί ὄφελος ὠκύτητος περικλειούσης θαλάττης. ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ προσωτέρω χωροῦντα κατὰ τοῦ πελάγους ἐνεχθῆναι, ἢ συλληφθῆναι πρὸς αὐτὸ πέρας ἥκοντα. βέλτιον ἄρ' ἐν συγκρίσει κακῶν, ἡ κατὰ γῆν τῆς ἐν πελάγει φθορᾶς, ἐπειδήπερ ἀνθρώποις καὶ πᾶσι χερσαίοις, οἰκειότερον ἡ φύσις χωρίον ἀπένειμε γῆν, οὐ μόνον ζῶσιν, ἀλλὰ καὶ ἀποθανοῦσιν, ἵν' ἡ αὐτὴ καὶ τὴν πρώτην ὑποδέχηται γένεσιν, καὶ τὴν ἐκ τοῦ βίου τελευταίαν ἀνάλυσιν. οἱ δὲ ἀπνευστὶ διώκοντες, καταλαμβάνουσι, καὶ οἱ μὲν εὐθὺς ὤρυττον βόθρον· οἱ δὲ πρὸς βίαν εἷλκον ἀφηνιάζοντα, καὶ κεκραγότα, καὶ διαπαλαίοντα, ὧν χάριν καὶ σύμπαν κατετρώθη τὸ σῶμα, καθάπερ τὰ θηρία ταῖς πληγαῖς ἐπιτρέχων· ἐμπλεκόμενος γὰρ καὶ τῶν κτεινόντων ἐλλαμβανόμενος, τῶν μὲν ἐπιφέρειν τὰ ξίφη κωλυομένων, ἐγκαρσίους δὲ πληγὰς καταφερόντων, αἴτιος ἐγένετο βαρυτέρων ἑαυτοῦ συμφορῶν. διαμηθεὶς δὲ καὶ διακοπεὶς χεῖρας, βάσεις, κεφαλήν, στέρνα, πλευράς, ὡς ἱερείου τρόπον κρεουργηθῆναι, τῆς δίκης σφαγὰς ἰσαρίθμους τοῖς φόνοις τῶν ἐκνόμως ἀναιρεθέντων Ἰουδαίων ἑνὶ σώματι βουληθείσης ἐργάσασθαι. καὶ ὁ μὲν τόπος ἅπας αἵματι κατερρεῖτο, διὰ πλειόνων φλεβῶν, αἳ κατὰ μέρος διεκόπησαν, κρουνηδὸν ἐκχεομένων, συρομένου δὲ εἰς τὸν ὀρωρυγμένον βόθρον τοῦ νεκροῦ τὰ πλεῖστα μέρη διελύετο, τῶν νεύρων καταχισμένων, οἷς ἡ κοινωνία συνεδεῖτο πᾶσα τοῦ σώματος. τοιαῦτα καὶ Φλάκκος ἔπαθε γενόμενος ἀψευδεστάτη πίστις τοῦ μὴ ἀπεστερῆσθαι τὸ Ἰουδαίων ἔθνος ἐπικουρίας τῆς ἐκ θεοῦ.

A tupto somno Caium cogitasse de honoratis exulibus, qui sub nomine infortunatorum vitam otiosam, quietam, verèque liberam agerent, quam ipse peregrinationem malebat appellare, quàm exilium. Nulla enim eis deesse commoda, & superesse quietem atque tranquillitatem: nec desiderari ab illis aut requiri delicias, cum fruantur vita secura ac philosophica, contenta modico. Móxque iubet illustrissimum quemque ac nobilissimum necari, notatis singulorum no- B minibus, & Flacci ante alios. Vbi vero ad Andrum appulerunt percussores, Flaccus forte fortuna rure in oppidum reuertebatur: illi è portu occurrebant, & è longinquo se conspexerunt inuicem. Statim sensit quò tenderent (est enim præsaga mens præsertim in aduersis rebus) ac mox deflexit à via, fugiens quantum poterat, immemor se non in continente deprehensum sed insula, vbi mari C clauso quid proderat celeritas? alterutrum enim necesse fuit, aut pertinaciore fuga in altum ferri præcipitem, aut comprehendi in littore. Satius autem erat in terra quàm in mari perire: quandoquidem hominibus & cæteris terrestribus locum peculiarem natura terram assignauit, vbi non solum viuant sed & moriantur, vt quæ nascentes excepit, eadem fato functos recipiat. Illi summa contentione fugientem assequuntur: ac mox pars D foueam fodiunt, pars clamantem reluctantémque trahunt: quapropter toto consauciatus est corpore, more ferino ruens in vulnera. Nam subinde complexus alios atque alios, cum transadigere ferrum non liceret, petebatur obliquis ictibus, & ipse in causa fuit, vt conficeretur crudelius, concisus manus, pedes, caput, pectus, latera, sicut victimæ ad viscerationem, iustitia pro tot iniustis Iudæorum mortibus pares pœnas exi- E gente ab vno corpore. Itaque totus is locus perfusus erat sanguineis riuulis, dissectis venis compluribus: & dum cadauer traheretur in foueam, frustatim lacerabatur, præcisis neruorum compagibus, quibus ante cohæserat. Hæc sunt quæ Flaccus pertulit, argumento certissimo, non negligi res Iudæorum à Deo, nec destitui eius auxilio.

ΠΕΡΙ ΑΡΕΤΩΝ, ΚΑΙ ΠΡΕΣΒΕΙΑΣ πρὸς Γάϊον.

PHILONIS IVDÆI, DE VIRTVTIBVS ET LEGATIONE AD CAIVM.

QVOVSQVE tandem nos senes erimus pueri, corpore quidem per ętatē cani, animo vero propter imperitiā infantes admodū, vt qui fortunā rem inconstantissimā putamus stabilem, instabilem vero naturam, cum sit firmissima. permutamus enim rerū æstimationem sicut in lusu calculorum, dum fortuitis plus diuturnitatis tribuimus quā naturalibus, & his plus infirmitatis quā alteris. Causa est quia vincūt præsentia hominū imperitorū futuri iudicio, qui malūt sensui fallaci quam secretæ cogitationi credere. oculis enim quæ in prōptu & conspicua sunt percipiūtur, ratione penetratur ad futura & inuisibilia. Cuius visum acutiorē quam oculorū corporis, hebetamus, alij mero saturitatēque suffusū, alij ruditate vitio maximo. veruntamē nostra hæc tēpora, & quę inciderūt in ea res multę magnæque, satis nobis persuadēt vt credamus esse diuinā prouidentiā, & pręcipue curare supplices religiosósque homines, vt omnipotētis patris regísque sortē hæreditariā. id genus hominū Chaldaïce Israel vocatur, quod interpretatur videns Deū: res vt mihi videtur pluris æstimanda quā vllæ opes vel priuatæ vel publicæ. nam si seniorū aut præceptorū, aut magistratuum, vel parentū aspectus mouet ad reuerētiam & modestiā, & sua præsentia vitā morésque corrigit: quantū putamus ad honestatē virtutémque præsidiū contingere animæ, si emergens supra omnes creaturas, Deum increatū spectare didicerit, summum illud bonum pulchrum, felix beatúmque, & quod vere dicere licet bono melius, pulchro pulchrius, beato beatius, felicitate ipsa fe-

A ΑΧΡΙ τίνος ἡμεῖς οἱ γέροντες ἔτι παῖδές ἐσμεν, τὰ μὲν σώματα χρόνου μήκει πολιοί, τὰς δὲ ψυχὰς ὑπ' ἀναισθησίας κομιδῇ νήπιοι, νομίζοντες τὸ μὲν ἀσταθμητότατον τὴν τύχην, ἀκλινέστατον· τὸ δὲ παγιώτατον τὴν φύσιν, ἀβεβαιότατον. ὑπαλλαττόμεθα γὰρ καθάπερ ἐν ταῖς πεττείαις τὰς πράξεις μετατιθέντες, οἰόμενοι τὰ μὲν τυχηρὰ μονιμώ-
B τερα εἶναι τῶν φυσικῶν, τὰ δὲ κατὰ φύσιν ἀβεβαιότερα τῶν τυχηρῶν. αἴτιον δὲ τὸ τὰ παρόντα βραβεύειν, ἀπερισκέπτως τῶν μελλόντων ἔχοντας, αἰσθήσει πεπλανημένῃ χρωμένους πρὸ διανοίας ἀφανοῦς· ὀφθαλμοῖς μὲν γὰρ τὰ ἐν φανερῷ καὶ ἐν χερσὶ καταλαμβάνεται, λογισμὸς δὲ φθάνει καὶ πρὸς τὰ ἀόρατα καὶ μέλλοντα, οὗ τὴν ὄψιν ὀξυωπεστέραν οὖσαν τῆς δι' ὀμμάτων σώματος ἀμαυροῦμεν, οἱ μὲν ἀκράτῳ
C καὶ πλησμοναῖς ὑποσυγχέοντες, οἱ δὲ τῷ μεγίστῳ τῶν κακῶν ἀμαθίᾳ. πλὴν ὅ γε παρὼν καιρὸς καὶ αἱ κατ' αὐτὸν κριθεῖσαι πολλαὶ καὶ μεγάλαι ὑποθέσεις, κἂν ἱκαναὶ πίστεις γεγόνασί τινες τοῦ προνοεῖν τὸ θεῖον ἀνθρώπων, καὶ μάλιστα τοῦ ἱκετικοῦ γένους, ὃ τῷ πατρὶ καὶ βασιλεῖ τῶν ὅλων καὶ πάντων αἰτίῳ προσκεκλήρωται, ἱκαναὶ τοῦ πεῖσαι αὐθεῖς. τοῦτο δὲ τὸ γένος χαλδαϊστὶ μὲν Ἰσραὴλ καλεῖται, ἑλληνιστὶ δὲ ἑρμη-
D νευθέντος τοῦ ὀνόματος, ὁρῶν θεόν. ὅ μοι δοκεῖ πάντων χρημάτων ἰδίων τε καὶ κοινῶν εἶναι τιμιώτατον. εἰ γὰρ πρεσβυτέρων ἢ ὑφηγητῶν, ἢ ἀρχόντων, ἢ γονέων, ὄψις κινεῖ τοὺς βλέποντας πρὸς αἰδῶ καὶ εὐκοσμίαν καὶ σώφρονος βίου ζῆλον, πόσον τι νομίζομεν ἀρετῆς ἔρυμα καὶ καλοκαγαθίας ἐνιδρῦσθαι ἐν ψυχαῖς, αἳ τὸ γενητὸν πᾶν ὑπερκύψασαι, τὸ ἀγένητον καὶ θεῖον ὁρᾶν πεπαίδευνται, τὸ πρῶτον ἀγαθὸν καὶ καλὸν καὶ εὔδαιμον, καὶ μακάριον, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ κρεῖττον μὲν ἀγαθοῦ, κάλλιον δὲ καλοῦ, καὶ μακαρίου μὲν μακαριώτερον, εὐδαιμονίας δὲ αὐτῆς εὐδαιμονέστερον,

καὶ εἰ δή τι τῶν εἰρημένων τελειότερον. οὐ γὰρ φθάνει προσαναβαίνειν ὁ λόγος ἐπὶ τὸν ἄψαυστον καὶ ἀναφῆ πάντη θεόν, ἀλλ' ὑπονοστεῖ καὶ ὑπορρεῖ, κυρίοις ὀνόμασιν ἀδυνατῶν ἐπιβάθρᾳ χρῆσθαι πρὸς δήλωσιν, οὐ λέγω τοῦ ὄντος· οὐδὲ γὰρ ὁ σύμπας οὐρανὸς ἔναρθρος φωνὴ γενόμενος, εὐθυβόλων καὶ εὐσκόπων εἰς τοῦτο ἂν εὐποροίη ῥημάτων· ἀλλὰ τῶν δορυφόρων αὐτοῦ δυνάμεων, κοσμοποιητικῆς τε καὶ βασιλικῆς, καὶ προνοητικῆς, καὶ τῶν ἄλλων ὅσαι εὐεργέτιδές τε καὶ κολαστήριοι· εἰ καὶ τὰς κολαστηρίους ἐν εὐεργέτισι τακτέον, οὐ μόνον ἐπεὶ νόμων καὶ θεσμῶν εἰσι μοῖραι. νόμος γὰρ ἐκ δυεῖν πληροῦσθαι πέφυκε, τιμῆς ἀγαθῶν καὶ πονηρῶν κολάσεως· ἀλλ' ὅτι καὶ ἡ κόλασις νουθετεῖ καὶ σωφρονίζει πολλάκις μὲν καὶ τοὺς ἁμαρτάνοντας, εἰ δὲ μή, πάντως γοῦν τοὺς πλησιάζοντας· αἱ γὰρ ἑτέρων τιμωρίαι βελτιοῦσι τοὺς πολλούς, φόβῳ τοῦ μὴ παραπλήσια παθεῖν. τίς γὰρ ἰδὼν Γάιον μετὰ τὴν Τιβερίου Καίσαρος τελευτὴν παρειληφότα τὴν ἡγεμονίαν πάσης γῆς καὶ θαλάττης ἀστασίαστον καὶ εὔνομον, καὶ πᾶσι τοῖς μέρεσιν ἡρμοσμένην εἰς τὸ σύμφωνον, ἑῴοις, ἑσπερίοις, μεσημβρινοῖς, ἀρκτικοῖς, τοῦ μὲν βαρβαρικοῦ γένους τῷ ἑλληνικῷ, τοῦ δὲ ἑλληνικοῦ τῷ βαρβαρικῷ, καὶ τοῦ μὲν στρατιωτικοῦ τῷ κατὰ πόλεις, τοῦ δὲ πολιτικοῦ τῷ στρατευομένῳ συμφωνησάντων εἰς μετουσίαν καὶ ἀπόλαυσιν εἰρήνης, οὐκ ἐθαύμασε καὶ κατεπλάγη τῆς ὑπερφυοῦς καὶ παντὸς λόγου κρείττονος εὐπραγίας, ἐξ ἑτοίμου τἀγαθὰ ἀθρόα σωρηδὸν κεκληρονομηκότα, παμπληθεῖς θησαυροὺς χρημάτων, ἀργύρου καὶ χρυσοῦ, τοῦ μὲν ὡς ὕλης, τὸ δὲ ὡς νόμισμα, τὸ δὲ ὡς προσβόσκημα, διʼ ἐκπωμάτων καὶ ἄλλων ἑτέρων, ἃ πρὸς ἐπίδειξιν τεχνιτεύεται, παμπληθεῖς δυνάμεις, πεζάς, ἱππικάς, ναυτικάς, προσόδους ὥσπερ ἐκ πηγῶν ἀενάῳ τινὶ φορᾷ χορηγουμένας, ἀρχὴν οὐχὶ τῶν πλείστων καὶ ἀναγκαιοτάτων μερῶν τῆς οἰκουμένης, ἃ δὴ καὶ κυρίως ἄν τις οἰκουμένην εἴποι, δυσὶ ποταμοῖς ὁριζομένην, Εὐφράτῃ τε καὶ Ῥήνῳ, τῷ μὲν ἀποτεμνομένῳ Γερμανίαν, καὶ ὅσα θηριωδέστερα ἔθνη, Εὐφράτῃ δὲ Παρθηνὴν, καὶ τὰ Σαρματῶν γένη καὶ Σκυθῶν, ἅπερ οὐχ ἧττον ἐξηγρίωται τῶν Γερμανικῶν· ἀλλ' ὡς εἶπον ἤδη, τὴν ἀφ' ἡλίου ἀνιόντος ἄχρι δυομένου, τήν τε ἐντὸς ὠκεανοῦ καὶ ὑπερωκεάνιον, ἐφ' οἷς ὅ, τε Ῥωμαίων δῆμος ἐγεγήθει καὶ πᾶσα Ἰταλία, τά τε Ἀσιανὰ καὶ Εὐρωπαῖα ἔθνη. ὡς γὰρ ἐπ' οὐδενὶ τῶν πώποτε γενομένων αὐτοκρατόρων ἅπαντες ἠγάσθησαν, κτῆσιν, καὶ χρῆσιν ἰδίων τε καὶ κοινῶν ἀγαθῶν, οὐκ ἐλπίζοντες

A licius, & si quid dici potest perfectius: non potest enim sermo assequi & attingere Deum superiorem se modis omnibus, sed retro relabitur, cum non possit proprijs nominibus ceu gradibus ascendere ad manifestationem non dico eius Qui est, quem ne totum quidem cælum in vocem articulatam versum potest eloqui, sed vel potestatum eum stipantium, creatricis, regiæ, prouisoriæ, cæterarúmque bonis præmia malis pœnas dispensantium.

B si quidem etiam vltrices collocandæ sunt in beneficarũ ordine: non solum quia iuris sunt pars, quod naturaliter constat & absoluitur ex honore bonorum vindictáque malorum: verũ etiam quia non raro animaduersio castigatos peccatores reducit ad mores sobrios, aut certe obsistit quo minus pergant in suis sceleribus. nam aliorum pœnæ emendant alios, veritos ne in similes incidant. quis enim videns

C Caium post Tiberij Cæsaris obitum potitum terræ marisque imperio, in tanta tranquillitate institutísque optimis, & prouinciarum pace ac concordia, consentiente septentrione, meridie, oriente, occidentéque, Barbaris Græcísque consociatis, & exercitibus cum oppidanis, hisque vicissim cum illis pacate conuersantibus vt fruerentur officijs & commercijs mutuis: non admiratus fuisset felicitatem tam insignem & vix enarrabilem, vna hære-

D ditate cumulatam bonis ingentibus, thesauris argento auróque refertis, partim rudi infectóque, partim moneta signato, partim fabrefacto ad exornandos poculis & id genus vasis mensarijs abacos: ad hæc pedestres, equestres naualésque copias, reditus affluentes tanquam è fonte perpetuo, potestatem in partes præcipuas orbis eius qui proprie habitabilis dicitur, duobus finitus fluminibus, Euphrate Rhenóque, hoc disiungente

E Germaniam & feroces nationes alias, illo Parthiam Sarmaticásque gentes ac Scythicas nihilo mitiores Germanicis. Erant inquam ab ortu ad occasum quemcunque oceanus ambit, & quædam trans oceanum plena lætitia publica, gaudente festa pace Romano populo cum vniuersa Italia prouinciísque omnibus tum Europeis tum Asiaticis. nam si vnquam ante sub imperatore aliquo, tunc maxime sibi videbantur non iam sperare, sed

certò tenere vsumfructum commodorum publicorum priuatorúmque, & felicitatem plenariam fortunante cuncta numine. Erat igitur videre nihil aliud per singulas vrbes quàm altaria, victimas, sacrificia, candidatos, coronatos, hilares blandósque vultus omnium, festa, celebritates, musica certamina, circenses, comessationes, peruigilia cum citharis ac tibijs, voluptates, remissiones, inducias, oblectationes varias cunctorum sensuum. tunc nullum discrimen erat inter diuites & pauperes, claros & humiles, creditores & debitores, heros & seruos, exæquante iura tempore, vt iam fidem inueniret descriptum in poetarum fabulosis figmentis saturnium sæculum: tanta erat vbertas & annonæ felicitas, tanta hilaritas, & securitas, totas familias totásque plebes occupans noctu pariter ac interdiu per septem plurimos menses perpetuos. Octauo autem grauis morbus Caium inuasit, quia frugaliorem victus rationem & salubriorẽ qua vsus sub Tiberio fuerat, mutauit in luxũ regiũ. multum enim absumebatur meri cupediarũque, & pleno ventre non satiabatur concupiscentia. accedebant eò balnea parũ tempestiua, tum vomitus rursúmque cõpotationes, & voluptates vẽtris ac eorũ quæ sub ventre sunt, volutationésque cũ fœminis ac pueris, & quidquid vel animo vel corpori noxiũ cõiunctionẽ eorũ conatur dirimere. quãdoquidẽ temperãtiæ merces est robur & sanitas, intẽperantię vero morbus & imbecillitas vicina mortis proxima. is morbus postquã fama vulgatus est, mari etiã tum nauigationibus idoneo, per initiũ autũni quæ fere postrema solet esse nauigatio reuertentiũ ad proprios portus ab omnibus emporijs, præsertim eorũ qui nolũt hiemare apud gentes exteras: mutata illa prius delicata vita in mœsticiã, cõtinuò domus omnes & ciuitates omnes tristi habitu repletæ sunt, æquãte paulo ante præteritã læticiam mœrore proclinato in diuersam partẽ alteram. omnes enim vnà ægrotabant prouincię, & quidem ipso imperatore grauius. ille enim languebat solo corpore, hæ vero animo, sollicitæ desperabundæque de pace commodorúmque suorum vsu libero. subibat enim mentem memoria calamitatum exoriri solitarum in orbato suo principe imperio, vt sunt bella, rapi-

A ἔζων, ἀλλ' ἔχειν ἤδη νομίζοντες πλήρωμά τινος
εὐτυχίας. ἐφεδρευούσης εὐδαιμονίας. οὐδὲν γοῦν
ἦν ἰδεῖν ἕτερον κατὰ πόλεις, ἢ βωμούς, ἱερεῖα, θυ-
σίας, λευχειμονοῦντας, ἐστεφανωμένους, φαι-
δρούς, εὐμένειαν ἐξ ἱλαρᾶς τῆς ὄψεως προφαί-
νοντας, ἑορτάς, πανηγύρεις, μουσικοὺς ἀγῶνας,
ἱπποδρομίας, κώμους, παννυχίδας μετ' αὐλῶν
καὶ κιθάρας, τέρψεις, ἀνέσεις, ἐκεχειρίας, παν-
τοίας ἡδονὰς διὰ πάσης αἰσθήσεως. τότε οὐ πλού-
B σιοι πενήτων προὔφερον, οὐκ ἔνδοξοι ἀδόξων, οὐ
δανεισταὶ χρεωστῶν, οὐ δεσπόται δούλων περιῆ-
σαν, ἰσονομίαν τοῦ καιροῦ διδόντος, ὡς τὸν παρὰ
ποιηταῖς ἀναγραφέντα κρονικὸν βίον μηκέτι νο-
μίζεσθαι πλάσμα μύθου, διά τε τὴν εὐθηνίαν καὶ
εὐετηρίαν, τό, τε ἄλυπον καὶ ἄφοβον, καὶ τὰς
πανοικίας ὁμοῦ καὶ πανδήμους μεθ' ἡμέραν τε καὶ
νύκτωρ εὐφροσύνας, αἳ μέχρι μηνῶν ἑπτὰ τῶν
πρώτων ἄπαυστοι καὶ συνεχεῖς ἐγένοντο· τῷ δὲ
ὀγδόῳ κατασκήπτει βαρεῖα νόσος τῷ Γαΐῳ, τὴν
C πρὸ μικροῦ δίαιταν ὅτε ἔζη Τιβέριος, εὐκολω-
τέραν καὶ διὰ τοῦτο ὑγιεινοτέραν οὖσαν, εἰς πο-
λυτέλειαν μεθαρμοσαμένῳ. πολὺς γὰρ ἄκρα-
τος καὶ ὀψοφαγία, καὶ ἐπὶ πλήρεσι τοῖς ὄγκοις ἀ-
πλήρωτοι ἐπιθυμίαι, θερμολουσίαι τε ἄκαιροι,
καὶ ἔμετοι, καὶ εὐθὺς πάλιν οἰνοφλυγίαι καὶ ἔφε-
δροι γαστριμαργίαι, λαγνεῖαι διὰ παίδων καὶ γυ-
ναικῶν, καὶ ὅσα ἄλλα καθαιρετικὰ ψυχῆς καὶ σώ-
ματος καὶ τῶν ἐν ἑκατέρῳ δεσμῶν συνεπέθετο·
τὰ δὲ ἐπίχειρα ἐγκρατείας μὲν ὑγεία καὶ ἰσχύς,
D ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ.
διαγγελείσης οὖν τῆς ὅτι νοσεῖ φήμης, ἔτι πλοΐ-
μων ὄντων· ἀρχὴ γὰρ ἦν μετοπώρου τελευταῖος
πλοῦς τοῖς θαλαττεύουσιν, ἀπὸ τῶν ἁπανταχόθεν
ἐμπορίων εἰς τοὺς οἰκείους λιμένας καὶ ὑποδρό-
μους ἐπανιοῦσι, καὶ μάλιστα οἷς πρόνοια τοῦ μὴ
διαχειμάζειν ἐπὶ ξένης ἐστίν· μεθέμενοι τὸν ἁβρο-
δίαιτον βίον, ἐσκυθρώπαζον, συννοίας τε καὶ
κατηφείας πᾶσα οἰκία καὶ πόλις ἐγεγόνει με-
E στή, ἰσορρόπῳ λύπῃ τῆς πρὸ μικροῦ χαρᾶς
ἀμφικλινοῦς γενομένης. τὰ γὰρ μέρη πάντα
τῆς οἰκουμένης αὐτῷ συνενόσησε, βαρυτέρᾳ
νόσῳ χρησάμενα τῆς κατασχούσης Γάϊον. ἐκεί-
νη μὲν γὰρ σώματος ἦν αὐτὸ μόνον, ἡ δὲ τῶν
πανταχοῦ πάντων ψυχικῆς εὐσθενείας, εἰρή-
νης, ἐλπίδων, μετουσίας καὶ ἀπολαύσεως ἀγα-
θῶν. ἀνεπόλουν γὰρ ὅσα καὶ ἡλίκα κακὰ ἐξ
ἀναρχίας φύεται, λιμόν, πόλεμον, δενδρο-
τομίας, δηώσεις, χωρίων στερήσεις, χρημάτων

ἀπαγωγαί, αἱ περὶ δουλείας καὶ θανάτου φόβοι, ἀλγήσεις, ὠνίας ἕως τὴν νόσον, μόνην ἔχοντες θεραπείαν τὸ ῥαΐσαι Γάιον. ὅτε γοῦν ἤρξατο λωφᾶν ἡ νόσος, ἐν βραχεῖ καὶ οἱ μέχρι περάτων συνῄσθοντο· φήμης γὰρ οὐδὲν ὠκύτερον· καὶ μετέωρος πᾶσα πόλις ἦν ἀκοῆς ἀεὶ διψῶσα βελτίονος, ἕως διὰ τῶν ἐπιφοιτώντων παντελὴς ῥᾶσις εὐηγγελίσθη, δι' ἣν πάλιν ἐξ ἀρχῆς ἐπὶ τὰς αὐτὰς ἐτρέποντο θυμηδίας, ἰδίαν ἑαυτῶν νομίζουσαι σωτηρίαν, πᾶσαι μὲν ἤπειροι, πᾶσαι δὲ νῆσοι. μέμνηται γὰρ οὐδεὶς τοσαύτης χώρας μιᾶς ἢ ἑνὸς ἔθνους γενέσθαι χαρὰν ἐπὶ σωτηρίᾳ καὶ καταστάσει ἡγεμόνος, ὅσην ἐπὶ Γαΐῳ συμπάσης τῆς οἰκουμένης, καὶ παραλαβόντος τὴν ἀρχὴν καὶ ῥαΐσαντος ἐκ τῆς ἀσθενείας. ὥσπερ γὰρ ἐκ νομάδος βίου καὶ θηριώδους νῦν πρῶτον ἀρχόμενοι μεταβάλλειν πρὸς τὸ σύννομον καὶ ὁμοδίαιτον, καὶ ἐξ ἐρημίας σπηλαίων καὶ ὑπωρειῶν εἰσοικίζεσθαι πόλεσι τειχήρεσι, καὶ ἐξ ἀνεπιτρόπου ζωῆς ὑπὸ ἐπιτρόπῳ τάττεσθαι νομεῖ τινὶ καὶ ἀγελάρχῳ τῆς ἡμερωτέρας ἀγέλης, ἐγεγήθεσαν, ἀγνοίᾳ τῆς ἀληθείας. τυφλώττει γὰρ ὁ ἀνθρώπειος νοῦς πρὸς τὴν τοῦ συμφέροντος ὄντως αἴσθησιν, εἰκασμῷ καὶ στοχασμῷ μᾶλλον ἢ ἐπιστήμῃ χρῆσθαι δυνάμενος. εὐθὺς γοῦν οὐκ εἰς μακρὰν ὁ σωτὴρ καὶ εὐεργέτης εἶναι νομισθείς, καὶ τινας ἀγαθῶν πηγὰς νέας ἐπομβρήσειν Ἀσίᾳ τε καὶ Εὐρώπῃ πρὸς εὐδαιμονίαν ἀκαθαίρετον, ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ, τὸ λεγόμενον δὴ τοῦτο ἀφ' ἑστίας ἤρξατο, μεταβαλὼν πρὸς τὸ ἀπηνέστερον, μᾶλλον δὲ ἣν συνεσκίαζεν ἀγριότητα τῷ πλάσματι τῆς ὑποκρίσεως, ἀναφήνας. τὸν γὰρ ἀνεψιὸν καὶ κοινωνὸν ἀπολειφθέντα τῆς ἀρχῆς, καὶ οἰκειότερον αὐτῷ διάδοχον· ὁ μὲν γὰρ θετὸς υἱωνὸς ἦν, ὁ δὲ φύσει Τιβερίου· κτείνει προφασισάμενος ἐπιβουλήν, μηδὲ τῆς ἡλικίας χωρούσης ἔγκλημα τοιοῦτον. ἄρτι γὰρ ἐκ παίδων εἰς μειράκιον ὁ δύστηνος μετῄει, καὶ ὥς γε φασί τινες, εἰ βραχὺν ἐπεβίω χρόνον Τιβέριος, ὁ μὲν ἂν ἐκ ποδῶν ἐγεγένητο Γάιος, δι' ὑποψιῶν κεχωρηκὼς ἀνηκέστων, ὁ δὲ γνήσιος υἱωνὸς μόνος ἀπεδέδεικτο ἡγεμὼν καὶ κληρονόμος τῆς παππῴας ἀρχῆς. ἀλλ' ὁ μὲν ὑπὸ τῆς εἱμαρμένης ἔφθη συναρπασθείς, πρὶν ἐπὶ τέλος ἀγαγεῖν τὰ βουλεύματα. Γάιος δὲ τὴν ἐκ τοῦ παραβαίνειν τὰ πρὸς τὸν κοινωνὸν δίκαια διαβολὴν ἐνόμιζεν ἀποδράσεσθαι καταστρατηγῶν· τὸ δὲ σόφισμα τοιοῦτον ἦν· συναγαγὼν τοὺς ἐν τέλει, βουλόμην μέν, ἔφη, τὸν γένει μὲν ἀνεψιόν, εὐνοίᾳ δὲ ἀδελφόν,

A næ, vastationes agrorum, expulsiones colonorum, direptiones bonorum, captiuitates, mortes, terrores & pericula, quorum omnium remedium situm putabant in salute sui principis. itaque remittente se morbo, breui secuta est gratulatio vel extremorum finium. fama enim nihil velocius. arrectæque erant omnes ciuitates rumorum gratiorum auidæ, donec lætum nuncium acceperunt, reualuisse omnino Cæsarem: atque B ita quasi salutem ipsi recepissent, reuersi sunt iterum ad hilaritates cuncti continentis & insularum incolæ. nemo enim meminit vnquam tantam fuisse vnius alicuius gentis aut regionis læticiam publicam ob saluti restitutum suum principem, quanta tum fuit vniuersi orbis ob Caij salutem, mox vt se cœpit recolligere. nam ac si tum primum feram & pastoralem vitam in socialem ciuilémque inci- C perent vertere, & è desertis speluncis in ciuitates munitas migrare, & post vitam sine magistro actam parere pastori mitioris gregis ductoríque legitimo, gaudebant ignari veritatis. Cæcutit enim humana mens, nec intelligit quid sit vere vtile, sequendo magis coniecturas quàm scientiam. itaque non multo post ille speratus seruator beneficentissimus, qui videbatur nouis felicitatum fontibus inundaturus Europam & Asiam, profutu- D ris priuatim ac publice, iuxta prouerbium ab ipso lare orsus, erupit in sæuiciam, vel potius aperuit quam dissimularat hactenus. Suum enim patruelem & imperij cohæredem, & propiorem successorem Tiberij, quòd hic natura, ipse adoptione nepos esset, occidit causatus ab eo se petitum insidijs, quod crimen ne in ætatem quidem illius competebat. vix enim tum primam adolescentiam misellus attigerat: & vt quidam aiunt, E si paulo diutius vixisset Tiberius, Caius iam tum suspectus sublatus fuisset è medio, germanus vero nepos solus declaratus fuisset auiti successor imperij. Verùm ille fato concessit prius quàm exsequeretur sua consilia. Cæterum Caius ad fraudandum communi iure socium arte vsus est, ratus se hoc pacto euasurum calumniam. Fuit autem id commentum huiusmodi: Conuocatis optimatibus, Vellem, inquit, hunc cognatione patruelem

beneuolentia fratrem, iuxta extremam Tiberij voluntatem, in imperij societatem assumere. sed ipsi videtis eum admodum puerum opus habere curatoribus, pædagogis, præceptoribus. alioquin quid mihi contingere potest optatius, quam tanto imperij pondere non onerari vnum corpus vnámque animam: & habere me à quo pro parte sua subinde adiutante subleuer. Equidem, inquit, plus quàm pædagogum vel curatorem vel præceptorem ei me fore iam nunc profiteor, & me patrem appellari, illum filium, iubeo. Post deceptos his verbis qui adfuerant optimates vnà cum adolescentulo, quod ei hæc adoptio non tam daret speratum imperium, quam iam ante datum adimeret, cohæredi collegæque insidias securus ipse cœpit struere. Nam Romano iure filius in potestate patris est, & alioquin imperator pro potestate gerit omnia, nemine audente aut valente rationem ab eo repetere. Hunc igitur sibi ratus aduersarium velut in certamine prostrauit, nil miseratus puerum secum educatum familiarémque præmaturo fato cadentem, principatus patrimoniique socium, qui multorum spe Tiberio successor destinatus fuerat propter cognationem proximam. Nepotes enim post parentum obitum aui censent pro filijs. Fertur iussum sua manu se interimere adstantibus tribunis ac centurionibus & vetitis adiuuare scelestum facinus, quasi nefas esset imperatorum posteros necari alienis manibus. Nolebat enim videri iuris oblitus in patranda summa iniuria, & sanctitatis in scelere meminerat, illudens veritati simulationibus. Tum puer imperitus, qui nunquam cædem fieri viderat, nunquam in armis se exercuerat, vt solent adolescentes regij pacis tempore simulacra pugnarum ciere, primum ceruicem præbebat venientibus: cúmque illi detrectarent, sumpta sica scitabatur cui loco letale vulnus deberet infligere, vt infelicem vitam abrumperet: impetratóque hoc miserabili officio, primum id atque vltimum ab his magistris didicit, coactus homicida sui fieri. Vbi vero primum maximúmque certamen Caius confecit ex sententia, nemine superstite quem maleuoli principem ei possent oppo-

A ἐπόμενος καὶ τῇ τοῦ τετελευτηκότος Τιβερίου γνώμῃ, κοινοπραγεῖν τῆς αὐτοκράτορος ἐξουσίας. ὁρᾶτε δὲ καὶ αὐτοὶ νήπιον ἔτι ὄντα κομιδῇ, καὶ χρῄζοντα ἐπιτρόπων, καὶ διδασκάλων, καὶ παιδαγωγῶν. ἐπεὶ τί ἂν ἦν μεῖζον ἀγαθόν, ἢ τὰ τοσαῦτα βάρη τῆς ἡγεμονίας, μὴ μίαν ψυχὴν ἢ σῶμα ἓν ἐπηχθίσθαι, ἀλλ' ἔχειν τὸν δυνησόμενον ἐπελαφρίζειν καὶ συνεπικουφίζειν. ἐγὼ δέ, ἔφη, παιδαγωγοὺς καὶ διδασκάλους καὶ ἐπιτρόπους ὑπερβαλών, ἐμαυτὸν ἤδη γράφω πατέρα, υἱὸν δὲ ἐκεῖνον. B τούτοις καὶ τοὺς παρόντας ἀπατήσας καὶ τὸ μειράκιον· δέλεαρ γὰρ ἦν ἡ θέσις οὐκ ἐλπιζομένης ἡγεμονίας, ἀλλ' ἀφαιρέσεως, ἣν εἶχεν ἤδη τοῦ συγκληρονόμου καὶ κοινωνοῦ δικαίου, μετὰ πολλῆς ἀδείας οὐδενὸς ἔτι περιφρονητικῶς ἐπιβούλευεν. ἡ γὰρ υἱοῦ παντελὴς ἐξουσία, κατὰ τοὺς τῶν Ῥωμαίων νόμους ἀνάκειται πατρί, δίχα τοῦ καὶ ἀνυπεύθυνον ἀρχὴν εἶναι τὴν αὐτοκράτορα, μηδενὸς ἐπὶ τοῖς ὁπωσοῦν πεπραγμένοις λόγον ἀπαιτεῖν τολμῶντος ἢ δυναμένου. C τοῦτον μὲν δὴ καθάπερ ἐν τοῖς ἀγῶσιν ἔφεδρον ὑπολαβὼν εἶναι, καταπαλαίει, μήτε συντροφίας, μήτε οἰκειότητος, μήτε ἡλικίας οἶκτον λαβών, δύστηνον, ὠκύμορον, συνάρχοντα, συγκληρονόμον, τὸν ἐλπισθέντα ποτὲ καὶ μόνον αὐτοκράτορα διὰ τὴν πρὸς Τιβέριον ἐγγυτάτην συγγένειαν. υἱωνοὶ γὰρ πατέρων ἀποθανόντων, ἐν υἱῶν τάξει παρὰ πάπποις καταριθμοῦνται. λέγεται δὲ ὅτι καὶ κελευσθεὶς αὐτοχειρίᾳ κτείνειν ἑαυτόν, ἐφεστώτων ἑκατοντάρχων καὶ χιλιάρχων οἷς εἴρητο μὴ συνεφάψασθαι D τοῦ ἄγους, ὡς οὐκ ἐξὸν αὐτοκρατόρων ἀπογόνους πρὸς ἑτέρων ἀναιρεῖσθαι. νόμων γὰρ ἐν ἀνομίαις, καὶ ὁσιότητος ἐν ἀνοσιουργίαις ἐμέμνητο, κατειρωνευόμενος τὴν φύσιν τῆς ἀληθείας. ἀπείρως ἔχων· οὐδὲ γὰρ ἑτέρου τινὰ κτεινόμενον εἶδεν, οὐδὲ ἤσκητό πω ταῖς ὁπλομαχίαις, αἳ μελέται καὶ προγυμνάσματα παίδων ἐφ' ἡγεμονίᾳ τρεφομένων εἰσί, διὰ τοὺς ἐνισταμένους πολέμους· τὸ μὲν πρῶτον τοὺς ἥκοντας παρεκάλει τὸν αὐ- E χένα ἀποτείνας, ἀνελεῖν. ὡς δ' οὐχ ὑπέμενον αὐτοί, λαβὼν τὸ ξίφος ἐπυνθάνετο τὸν καιριώτατον τόπον ὑπ' ἀγνοίας καὶ ἀηθείας, ἵνα εὐσκόπῳ πληγῇ τὴν ἀθλίαν ζωὴν ἀπορρήξῃ· καὶ οἱ μὲν οἷα διδάσκαλοι κακοδαιμονίας, ὑφηγοῦντό τε καὶ ἐδείκνυσαν τὸ μέρος, ᾧ χρὴ τὸ ξίφος ἐπενεγκεῖν. ὁ δὲ πρώτην καὶ ὑστάτην μάθησιν ἀναδιδαχθεὶς ἀνδροφόνος αὐτὸς αὑτοῦ γέγονε βιασθεὶς ὁ δύστηνος. ἐπεὶ δὲ ὁ πρῶτος καὶ μέγιστος ἆθλος οὗτος Γαΐῳ κατείργαστο, μηδενὸς ἔτι λειπομένου τῆς ἡγεμονίας πρὸς ὃν ἀποκλινοῦσί τινες τῶν ἐθελοκακούντων

καὶ

καὶ ἐν ὑποψίαις ὄντων, ἐπὶ δεύτερον εὐθὺς
ἐκονίετο τὸν Μάκρωνος ἀνδρὸς εἰς πάντα αὐτῷ
συναγωνισαμένου τὰ τῆς ἀρχῆς οὐ μόνον ἀποδει-
χθέντι ἡγεμόνι· κολακείας γὰρ ἴδιον τὰς εὐπρα-
ξίας περιέπειν· ἀλλὰ καὶ πρότερον εἰς τὸ τυ-
χεῖν τῆς ἡγεμονίας. ὁ γὰρ Τιβέριος φρονήσει βα-
θείᾳ χρώμενος, καὶ τῶν καθ' αὑτὸν ἁπάντων
δεινότατος ὢν ἀφανὲς ἀνθρώπου βούλημα συ-
νιδεῖν, καὶ ἐπὶ τοσοῦτον συνέσει διενεγκὼν, ἐφ'
ὅσον καὶ εὐτυχίᾳ, πολλάκις ὑπεβλέπετο τὸν
Γάϊον, ὡς κακόνουν μὲν ἅπαντι τῷ Κλαυδίου
οἴκῳ, προσκείμενον δὲ μόνῳ τῷ μητρῴῳ γένει,
καὶ ἐδεδίει περὶ τοῦ υἱωνοῦ, μὴ νέος ἀπολειφθεὶς
παραπόληται, πρὸς δὲ ἀρχὴν καὶ τοσαύτην
ἀνεπιτηδείως ἔχοντα, διά τε τὸ τῆς φύσεως ἄ-
μικτον καὶ ἀκοινώνητον, καὶ τὴν τῶν ἠθῶν ἀνω-
μαλίαν. ἀλλόκοτα γὰρ αὐτῷ καὶ ἐπιμανῆ κα-
τεφαίνετο, μηδεμιᾶς σωζομένης ἀκολουθίας,
μήτε ἐν λόγοις, μήτε ἐν ἔργοις, ἃ πάντη πάντως
κατὰ δὲ τὸ προσῆκον ὁ Μάκρων ἐθεράπευε, τὰς μὲν
ὑπονοίας τοῦ Τιβερίου, καὶ ἐν οἷς μάλιστα ἐδόκει
τὴν διάνοιαν ἑλκοῦσθαι, διὰ τὸν ἄληκτον ἐπὶ
τῷ υἱωνῷ φόβον ἐξιώμενος. εὔνουν γὰρ καὶ πει-
θαρχικὸν ἀπέφαινε τὸν Γάϊον, καὶ σφόδρα ἠτ-
τημένον τοῦ ἀνεψιοῦ, ὡς ἕνεκα φιλοστοργίας, καὶ
μόνῳ ἂν ἐθελῆσαι τῆς ἀρχῆς ὑποστῆναι, τὴν
δὲ αἰδῶ μὴ λυσιτελῆσαι πολλοῖς, ὑφ' ἧς καὶ
Γάϊον ἁπλοῦν ὄντα, ποικίλον νομίζεσθαι· καὶ
ὁπότε μὴ πείθοι τὰ εἰκότα διεξιὼν, τὴν ἀπὸ
συνθηκῶν ἐπέφερεν, ἐγγυώμενος, λέγων, ἀξιό-
χρεώς εἰμι πρὸς πίστιν, ἱκανὰς ἀποδείξεις δέ-
δωκα τοῦ φιλοκαῖσαρ ἰδίως καὶ φιλοτιβέριος
εἶναι, τὴν ὑπόθεσιν καὶ καθαίρεσιν ἐγχειρισθεὶς
Σηϊανοῦ· καὶ συνόλως δὲ ἱκανὸς ἦν ἐν τοῖς εἰς
Γάϊον ἐπαίνοις, εἰ δεῖ καλεῖν ἀξίας ἐπαίνου τὰς
ἀπολογίας, αἳ πρὸς τὰς ἐξ ὑπονοιῶν αἰτίας
καὶ κατηγορίας ἀδήλους καὶ ἀσαφεῖς ἐγίνοντο.
συνόλως γὰρ ὅσα περὶ ἀδελφοῦ εἴποι τις ἂν
ἢ υἱοῦ γνησίου ἐγκώμια, τοσαῦτα καὶ ἔτι πλείω
Μάκρων ὑπὲρ Γαΐου διεξῄει πρὸς Τιβέριον·
αἴτιον δὲ, ὡς ὁ τῶν πολλῶν λόγος, οὐ μόνον τὸ
ἀντιθεραπεύεσθαι πρὸς αὐτοῦ τὸν Μάκρωνα,
πλεῖστον ἢ καὶ σύμπαν ἐν τῇ ἡγεμονίᾳ δυνά-
μενον, ἀλλὰ καὶ ἡ Μάκρωνος γυνὴ διὰ σιωπω-
μένην αἰτίαν, ἣ καθ' ἑκάστην ἡμέραν ἤλειφε καὶ
συνεκρότει τὸν ἄνδρα μηδὲν ἀνιέναι σπουδῆς καὶ
βοηθείας τῆς ὑπὲρ τοῦ νεανίσκου. δεινὸν δὲ γυνὴ γνώ-
μην ἀνδρὸς παραλῦσαι καὶ παραγαγεῖν, καὶ μάλιστα

A nere, ad secundum se mox parabat
aduersus Macronem, quo adiutore
vsus fuerat, non solum postquam
adeptus est imperium: id enim adu-
latorum est, felices colere: sed & in
principatu parando. Nam Tiberius
senex callidus & in noscitandis oc-
cultis hominum voluntatibus perspi-
cacissimus, nec minus prudens quàm
potens, crebris de Caio tangebatur
suspicionibus, esse illum infensum
vniuersæ Claudiæ familiæ, fauerè-
B que soli materno generi: proinde
metuebat nepoti, ne relictus puer
non diu superstes foret: & alioquin
iudicabat indignum tanto imperio
hominem inepto ad ciuilem consue-
tudinem ingenio moribúsque incon-
stantibus præditum. Videbantur enim
alieni à decoro præ se ferre quan-
dam insaniæ speciem, adeo tum dicta
eius tum facta parum sibi constabant:
quibus tamen rebus conatu omni Ma-
cro medebatur quoad fieri poterat,
C suspiciones eximens Tiberio, ne me-
tu de nepote vlceraretur eius animus.
aiebat enim Caium obsequentem illi
& beneuolum, & valde patrueli ami-
cum ac deditum, in tantum, vt li-
benter soli cederet imperium, sed
obstare verecundiam, quod id non
videatur è re publica: & hanc esse cau-
sam cur quamuis simplex, haberetur
à quibusdam inconstans & varius.
Quod si quando parum promoueret
rationibus verisimilibus, depacisci
D non dubitabat, fideiussorem se offe-
rens: quandoquidem iam satis ap-
probasset suam erga Cæsares beneuo-
lentiam, & priuatim erga ipsum Ti-
berium, tum cum detecta oppressá-
quese executore fuit Seiani conjura-
tio. & vt compendio dicam, erat lau-
dator Caij maximus, si laus vocan-
da est defensio contra suspicionum
causas & incertas obscurásque crimi-
nationes. Nam in summa quicquid
E pro germanis fratribus ac filijs af-
ferri poterat, hoc totum & amplius
etiam Macro afferebat pro Caio apud
Tiberium. in causa fuerunt, vt mul-
torum fertur sermonibus, non so-
lum eius officia mutua quibus cole-
bat Macronem qui tum erat penè
columen imperij, sed & vxor Ma-
cronis propter quiddam tectum si-
lentio: quæ quotidie maritum inci-
tabat, ne vllam occasionem fauoris
& iuuandi iuuenis prætermitteret. est

autem ad impellendum virum efficax impudica mulier, vt quæ blandior fit propter conscientiam. At ille ignarus probri domestici, & ratus ab amore coniugali proficisci eas blanditias, imprudens suis artibus gratificabatur inimicis quos putabat amicissimos. Itaque sæpe seruatum à se conscius, libere monere solebat nihil suspicans. Quærebat enim vt bonus opifex gloriam ex diuturnitate sui operis, veritus ne aut suapte incuria rueret, aut destrueretur ab alijs. Ergo si quando videret dormientem in conuiuio, excitabat, nec decorum id nec satis tutum existimans. dormiens enim exponit se insidijs. itidem insane spectantem saltatores ita vt vnà gesticularetur, aut ad mimorum scurrilia dicteria non subridentem sed cachinnantem pueriliter, aut non temperantem sibi quin citharœdis choris've succineret, fodicabat cubito assidens aut accumbens proximus, & cohibere conabatur. interdum in aurem insusurrabat ne quis audiret alius, blande admonens: non decet te alijs in audiendo spectandóque & vsu cæterorum sensuum esse similem, sed tantum debes in ratione viuendi excellere, quanto eminentiorem te fortuna constituit: absurdum enim fuerit terræ marisque principem cantibus, saltationibus, cauillis & huiusmodi nugis succumbere. oportere illum semper & vbique meminisse maiestatis imperatoriæ, tanquam pastorem gregi præpositum, & vndecumque dictis factísque in melius proficere. addebátque, quoties contigerit te interesse gymnicis aut scenicis aut circensibus spectaculis, non studia sed industriam considera, sic cogitans: Si ista quæ vitæ non prosunt, quòd solam voluptatem spectatoribus pariant, tamen quibusdam elaborantur tanta diligentia, laudem à turba mirabunda captantibus, & coronari ac præconis voce victorem declarari amplum præmium existimantibus, quid oportet eum agere qui profitetur artem longe præstantissimam? ea est imperandi ars, cuius ope colitur quantum est bonorum agrorum siue montanorum siue campestrium, nauigatur totum mare sine periculo, ob commercia quibus diuersissimæ terræ sua bona communicant indigentibus,

A μαχλάς. ἔστι γὰρ τῷ συνειδότι κολακικωτέρα γυνή. ὁ δὲ πλέον διαφθορὰν μὲν τοῦ γάμου καὶ τῆς οἰκίας ἀγνοῶν, πλέον δὲ κολακείαν εὔνοιαν ἀκραιφνεστάτην εἶναι νομίζων, ἀπατᾶται καὶ λανθάνει τοῖς στρατηγήμασι τοῖς ἐχθίστοις ὡς φιλτάτοις προσοιόμενος. εἰδὼς δὲ ὅτι παρὰ μικρὸν ἐλθόντα μυριάκις αὐτὸν ἀπολέσθαι διέσωσεν, ἀνυποστόλοις καὶ πεπαρρησιασμέναις ἐχρῆτο ταῖς νουθεσίαις. ἐβούλετο γὰρ ὡς ἀγαθὸς δημιουργὸς, ἀκαθαίρετον διαμεῖναι τὸ οἰκεῖον ἔργον, μήτε ὑπ' αὐτοῦ διαλυθὲν, μήτε ὑφ'
B ἑτέρου. ὁπότε οὖν ἢ καταδαρθέντα ἐν συμποσίῳ θεάσαιτο, διεγείρων ἐπανίστη, στοχαζόμενος ἅμα μὲν τοῦ πρέποντος, ἅμα δὲ καὶ τῆς ἀσφαλείας· εὐεπιβούλευτον γὰρ ὁ κοιμώμενος· ἢ τινας ἐκμανῶς ὀρχηστὰς ὁρῶντα, ἢ ὡς ἔστιν ὅτε συνορχούμενον, ἢ ἐπὶ μίμοις αἰσχρῶν καὶ σκωμμάτων μὴ ὑπομειδιῶντα σεμνότερον, ἀλλὰ μειρακιωδέστερον καγχάζοντα, ἢ κιθαρῳδῶν ἢ χορῶν τῆς ἐμμελείας ἠπιώμενον ἔστιν ὅπου καὶ συνᾴδοντα, ἔνυττε πλησίον καθεζόμενος ἢ
C κατακεκλιμένος, καὶ ἐπέχειν ἐπειρᾶτο. πολλάκις δὲ καὶ ἐπικλίνας πρὸς οὖς, ἵνα μὴ κατακούοι τις ἕτερος, ἡσυχῇ καὶ πράως ἐνουθέτει, φάσκων· οὐδενὶ τῶν παρόντων, ἀλλ' οὐδὲ τῶν ἁπάντων ἀνθρώπων, ὅμοιον εἶναί σε δεῖ οὔτε ἐν θεάμασιν, οὔτε ἐν ἀκούσμασιν, οὔτε ἐν τοῖς ἄλλοις ἅπασιν ὅσα κατὰ τὰς αἰσθήσεις, ἀλλὰ προφέρειν ἐπὶ τοσοῦτον ἐν ἑκάστῳ τὸν περὶ βίον, ἐφ' ὅσον καὶ ταῖς εὐτυχίαις διενήνοχας. ἄτοπον γὰρ τὸν ἡγεμόνα γῆς καὶ θαλάττης ἡττᾶσθαι πρὸς ᾠδῆς, ἢ ὀρχήσεως, ἢ χλευαστικοῦ σκώμματος, ἢ τινος τῶν ὁμοιο-
D τρόπων, ἀλλὰ μὴ ἀεὶ καὶ πανταχοῦ μεμνῆσθαι τῆς ἡγεμονίας, καθάπερ τινὰ ποιμένα καὶ ἐπιστάτην ἀγέλης, τὰ πρὸς βελτίωσιν ἀπὸ παντὸς συνιστάμενον ἐφ' ἑαυτὸν ἕλκοντα καὶ λόγου καὶ πράγματος. εἶτα ἔφασκεν, ὅταν παρατυγχάνῃς σκηνικοῖς ἀγῶσιν, ἢ γυμνικοῖς, ἢ τοῖς κατὰ τὰς ἱπποδρομίας, μὴ σκόπει τὰ ἐπιτηδεύματα, ἀλλὰ πλέον ἐν τοῖς ἐπιτηδεύμασι κατόρθωσιν, καὶ λάμβανε τὸν τοιοῦτον λογισμόν· εἰ τὰ μηδὲν ὠφελοῦντα τὸν ἀνθρώ-
E πινον βίον, τέρψιν δὲ μόνην καὶ ἡδονὴν παρέχοντα θεαταῖς, ἐκπονοῦσιν οὕτω τινὲς, ὡς ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, καὶ γέρα καὶ τιμὰς καὶ στεφάνους μετὰ κηρυγμάτων λαμβάνειν, τί χρὴ πράττειν τὸν τῆς ἀρίστης καὶ μεγίστης τέχνης ἐπιστήμονα; μεγίστη δὲ καὶ ἀρίστη πασῶν ἐστιν ἡ ἡγεμονία, δι' ἧς πᾶσα μὲν ἡ ἀγαθὴ καὶ βαθεῖα πεδιάς τε καὶ ὀρεινὴ γεωργεῖται, πᾶσα δὲ θάλαττα φορτηγοῖς ὁλκάσιν ἀκινδύνως διαπλεῖται κατὰ τὰς ἀντιδόσεις ὧν ἀλλήλαις ἀγαθῶν αἱ χῶραι κοινωνίας ἱμέρῳ,

τὰ δ᾽ ἐνδέοντα λαμβάνουσαν, ὧν ἡ ἄγριος περιουσίαν ἀντιπέμπουσαι. φθόνος γὰρ οὐδέποτε πᾶσαν τὴν οἰκουμένην ἐπεφοίτησεν, ἀλλ᾽ οὐδὲ τὰς μεγάλας αὐτῆς ἀποτομάς, ὅλην Εὐρώπην ἢ ὅλην Ἀσίαν, ἀλλ᾽ ἰοβόλου τρόπον ἑρπετοῦ φωλεύει, βραχέσιν εἰσερπύσας χωρίοις ἀνδρὶ ἑνί, ἢ οἴκῳ ἑνί, ἢ εἴποτε πόλει ἄγαν πίονι, πόλει μιᾷ· πρὸς δὲ μείζονα κύκλον ἐθνῶν ἢ χώρας οὐ προσέρχεται, καὶ μάλιστα ἀφ᾽ οὗ τὸ ὑμέτερον γένος τὸ σεβαστὸν ὄντως ἤρξατο πρυτανεύειν τῶν πανταχοῦ πάντων. ὅσα μὲν γὰρ ἀνὰ μέρος τῶν βλαβερῶν καὶ ἐν μέσοις ἐξητάζετο, πρὸς ἐσχατιὰς ὑπερορίους καὶ ταρτάρου μυχοὺς ἤλασε, τὰ δὲ τρόπον τινὰ φυγαδευθέντα τῶν λυσιτελῶν καὶ ὠφελίμων κατήγαγεν ἀπὸ περάτων γῆς καὶ θαλάττης, εἰς τὴν καθ᾽ ἡμᾶς οἰκουμένην, ἃ πάντα μιᾷ χειρὶ σῇ κυβερνᾶν ἐπιτέτραπται. παραπεμφθεὶς γοῦν ἀπὸ τῆς φύσεως ἐπὶ πρύμναν ἀνωτάτω, καὶ τοὺς οἴακας ἐγχειρισθείς, πηδαλιούχει τὸ κοινὸν ἀνθρώπων σκάφος σωτηρίως, ἐπὶ μηδενὶ μᾶλλον χαίρων καὶ τερπόμενος ἢ τῷ τοὺς ὑπηκόους εὐεργετεῖν. ἄλλοι μὲν γὰρ ἄλλων ἔρανοι, οὓς ἀναγκαίως εἰσφέρουσιν ἰδιῶται κατὰ πόλεις· ἄρχοντι δὲ οἰκειότατος ἔρανος, βουλὰς ἀγαθὰς εἰσηγεῖσθαι περὶ τῶν ὑποτεταγμένων, καὶ πράττειν τὰ βουληθέντα ὀρθῶς, καὶ ἀταμίευτα προσφέρειν τὰ ἀγαθὰ πλουσίᾳ χειρὶ καὶ γνώμῃ, πλὴν ὅσα κατὰ πρόνοιαν τὴν εἰς τὸ μέλλον ἀδηλότητος ἄξιον παραφυλάττειν. τοιούτοις κατεπῇδε ὁ δυστυχής, ὥστε βελτιῶσαι τὸν Γάιον· ὁ δὲ φιλέρις καὶ φιλόνεικος ὤν, ἐπὶ τἀναντία τῆς ὑφηγήσεως ἐτρέπετο, ὥσπερ εἰς ἐκεῖνα παρακληθείς, καὶ τὸν σωφρονιστὴν ἄντικρυς ἀπεθάρρει δυσωπεῖν, ἐπεὶ δὲ ὅτε καὶ πόρρωθεν ἀφικνούμενον ὁρῴη, πρὸς τοὺς πλησίον ταυτὶ διελάλει· πάρεστιν ὁ διδάσκαλος τοῦ μηκέτι μανθάνειν ὀφείλοντος, ὁ παιδαγωγὸς τοῦ μηκέτι παιδὸς ὄντος, ὁ νουθετητὴς τοῦ φρονιμωτέρου, ὁ τὸν αὐτοκράτορα τῷ ὑπηκόῳ πειθαρχεῖν ἀξιῶν, ὁ ἰδιώτης τῆς ἡγεμονικῆς ἐπιστήμης, καὶ παιδευτὴν ἑαυτὸν γράφει. παρὰ τίνι μαθὼν τὰ ἀρχικά, ἔγωγε οὐκ οἶδα. ἐμοὶ γὰρ ἐξ ἔτι σπαργάνων μυρίοι διδάσκαλοι γεγόνασι, πατέρες, ἀδελφοί, θεῖοι, ἀνεψιοί, πάπποι, πρόγονοι, μέχρι τῶν ἀρχηγετῶν, οἱ ἀφ᾽ αἵματος πάντες καθ᾽ ἑκάτερον γένος, τό, τε πατρῷον καὶ μητρῷον, αὐτοκρατεῖς ἐξουσίας περιποιησάμενοι, χωρὶς τοῦ καὶ ταῖς πρώταις τῶν σπερμάτων καταβολαῖς ἐνεῖναί τινας δυνάμεις βασιλικὰς τῶν ἡγεμονικῶν. ὡς γὰρ αἱ τοῦ σώματος καὶ τῆς ψυχῆς ὁμοιότητες κατά τε τὴν μορφὴν, καὶ σχέσιν καὶ κίνησιν, βουλάς τε καὶ πράξεις ἐν τοῖς σπερματικοῖς σώζονται,

A & vicissim illarum copia suam subleuant inopiam. nam inuidia totum orbem nunquam occupauit, imò ne partes quidem eius maiores, Europam vniuersam aut Asiam: sed venenosarum more bestiolarum cauernas habitat, quoties vnum aliquod pectus subrepsit aut vnam familiam, aut ad summum vnam ciuitatem atque alteram: amplas regiones & nationes non accedit, præsertim ex quo vestra gens augusta potita est rerum dominio. B nam quæcumque noxæ prius versabantur in medijs vrbibus, pulsæ sunt ad extremas tartari latebras, & pro his inducta commoda ab vltimis terræ marísque finibus in has nostras regiones, atque hæc omnia tibi soli gubernanda commissa sunt. à natura igitur in puppi celsa collocatus ad gubernacula, rege nauem qua generis humani salus vehitur, non aliunde magis voluptatem capiendo, C quàm è subditis per te adiutis aliquo beneficio. Ab alijs enim alia exiguntur vel priuatim vel publice, à principe proprie expectantur bona consilia, quorum executio prosit subiectis populis: vtque larga manu ac mente sua bona impartiatur, his tantum exceptis quæ ob incertos casus futuros seruari prouidentia postulat. talibus verbis eum incantabat ille infelix monitor cupiens meliorem reddere. at is homo D contentiosus vergebat in contraria, quasi ad illa impelleretur, & castigatorem impudenter reijciebat: interdum etiam procul venientem conspicatus, sic alloquebatur proximos. Adest præceptor iam superuacuus, pædagogus non amplius pueri, prudentioris seipso monitor, qui subdito imperatorem obedire postulat non rudem regiarum artium, quarum magister videri vult, sed à quo ipse doctus nescio. Mihi E certe ab incunabulis contigerunt educatores plurimi, patres, fratres, patrui, patrueles, aui, proaui, iam inde à primis Romanis principibus per paterni materníque generis seriem cognatione proximi: nequid dicam de virtutum seminibus quæ innasci solent in principe. Quemadmodum enim corporis animíque forma, habitu, gestu, consilijs, actionibus, prognati maiores suos referunt,

eodem modo probabile est in ipso semine delineari quandam habilitatem dignam principe. & audebit aliquis indoctus me, qui in materno vtero & naturæ officina imperator formatus fui nondum in lucem editus, docere artes imperatorias quas dudum probe calleo? an credere fas est, in mentem venire posse ciui paulo ante priuato & humili regia consilia? attamen impudenter audent præire nobis imperatoria mysteria, quibus ipsi vixdum initiati sunt. Sic ille paulatim à Macrone alienabatur, quærens contra eum falsa, sed vtcumque probabilia crimina. Sunt enim quidam ingeniosi ad comminiscenda verisimilia. Tunc autem ex huiusmodi Macronis vocibus arrepta fuit occasio. Meum Caius opus est. à me magis, aut certe non minus, quàm à me suis parentibus est genitus. ter non semel cum Tiberio sæuienti & ad necem poscenti eripui meis deprecationibus. post obitum quoque illius cum mihi parerent prætoriani milites, id satellitium in manus ei tradidi, admonitum prius, vno tantum viro esse opus, de cætero integrum & incolume manere imperium. His vt veris quidam assentiebantur, quia nondum pernouerant mores Caij fucatos & mutabiles, ipso simulando dissimulandóque tegente suam vafriciem & inconstantiam. Veruntamen post non multos dies ille infelix sublatus est è medio vnà cum vxore, extrema pœna repensa sibi pro immodico studio. nec aliam ingrati pro meritis referre solent gratiam, pro quibus libenter damnum dant suis benefactoribus. Certe Macro, qui sedulo ambitione magna paríque conatu dedit operam, primum vt seruaret Caium, deinde vt imperium soli adstrueret, talem mercedem retulit. Fertur enim miser coactus seipsū interficere, vxor quoque habuisse eundem exitum, quāuis putaretur constuprata à Cæsare. sed negant in amore firmum præsidiū, propter crebra eius affectus inconstantissimi fastidia. cæterum postquam & Macro cum omnibus domesticis mactatus est, tertium certamen Caius maiore dolo aggreditur. fuerat ei socer M. Silanus, vir magnanimus, & cum primis illustri natus familia. hic post immaturo fato absumptam filiam, tamen non desijt generum colere paternis officijs, sperans (vt par erat)

A οὕτως εἰκὸς ἐν τοῖς αὐτοῖς ὑπογράφεσθαι τυπωδέστερον καὶ τὰς περὶ ἡγεμονίαν ἐμφέρειαν· εἶτα ἐμὲ τὸν καὶ πρὸ τῆς γενέσεως ἔτι κατὰ γαστρὸς ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διαπλασθέντα αὐτοκράτορα, τολμᾷ τις διδάσκειν ἀνεπιστήμων ἐπιστήμονα; ποῦ γὰρ τοῖς ἰδιώταις παρὰ μικροῦ θέμις εἰς ἡγεμονικῆς ψυχῆς παρακύψαι βουλεύματα. τολμῶσι δὲ ὑπ᾽ ἀναισχυντίας καὶ θράσους ἱεροφαντεῖν καὶ τελεῖν τὰ ἡγεμονικά, μόλις ἂν ἐν μύσταις ἀναγραφέντες. ἐκ δὲ τοῦ κατ᾽ ὀλίγον μελετῶν ἀλλοτριοῦσθαι τοῦ Μάκρωνος ἤρχετο, καὶ ψευδεῖς
B μὲν, πιθανὰς δὲ καὶ εὐπαραγώγους κατ᾽ αὐτοῦ πλάττειν αἰτίας. δειναὶ γὰρ εὐθήκτοι καὶ μεγάλαι φύσεις εἰκοτολογῆσαι· τοιαῦται δὲ ἦσαν αἱ προφάσεις· ἐμόν ἐστι τοῦ Μάκρωνος ἔργον Γάϊος· μᾶλλον αὐτὸν ἢ οὐχ ἧττον τῶν γονέων γεγέννηκα· τρὶς οὐχ ἅπαξ ἀνήρπαστο ἂν ἐπ᾽ αὐτῷ Τιβερίου φονῶντος, εἰ μὴ δι᾽ ἐμὲ καὶ τὰς ἐμὰς παρηγορίας. ἀλλὰ καὶ τελευτήσαντος ἔχων ὑπηκόους τὰς στρατιωτικὰς δυνάμεις, εὐθὺς εἰς τὴν ἐκείνου παρέπεμψα
C τάξιν, ἀναδιδάσκων ὅτι ἀνδρὸς ἑνὸς γέγονεν ἔνδεια. μένει δὲ ἄρτιος καὶ πλήρης ἡ ἡγεμονία. τούτοις συνεπείθοντό τινες ὡς ἀψευδέσιν, ἀγνοοῦντες τὸν φένακα τρόπον τοῦ λέγοντος. οὔπω γὰρ ἦν τὸ πεπλασμένον αὐτοῦ καὶ ποικίλον τῶν ἠθῶν ἐμφανές. ἀλλὰ γὰρ οὐ πολλαῖς ὕστερον ἡμέραις ἐκποδὼν ὁ κακοδαίμων γίνεται σὺν τῇ γυναικί, τῆς περιττῆς εὐνοίας ἀμοιβὰς τὰς ἀνωτάτω τιμωρίας ἀντιλαβών. τοιοῦτόν ἐστιν ἡ εἰς τοὺς ἀχαρίστους χάρις.
D ἀντὶ γὰρ ὧν ὠφελήθησαν, παρέχουσι τὰς μεγίστας ζημίας τοῖς εὐεργετήσασιν. ὁ γοῦν Μάκρων πάντα ἐπ᾽ ἀληθείας πραγματευσάμενος μετ᾽ ἐκτενεστάτης σπουδῆς καὶ φιλοτιμίας, τὸ μὲν πρῶτον ὑπὲρ τοῦ σῶσαι Γάϊον, ἔπειτα δὲ ὑπὲρ τοῦ μόνον τὴν ἡγεμονίαν διαδέξασθαι, τοιαῦτα εὕρατο τὰ ἐπίχειρα. λέγεται γὰρ ὅτι ἠναγκάσθη ὁ δείλαιος, αὐτοχειρίᾳ κτεῖναι ἑαυτόν, καὶ τὴν αὐτὴν ἀναδέξασθαι συμφορὰν ἡ γυνή, καίτοι ποτὲ νομι-
E σθεῖσα διὰ συνηθείας αὐτῷ γενέσθαι. βέβαιον δὲ οὐδέν φασι τῶν ἐν ἔρωτι φίλτρων εἶναι διὰ τὸ τοῦ πάθους ἀψίκορον. ἐπεὶ δὲ καὶ ὁ Μάκρων πανοίκιος ἱέρευτο, τρίτῳ ἐπαπεδύετο δόλῳ βαρυτέρῳ. πενθερὸς ἐγεγόνει αὐτῷ Μάρκος Σιλανός, μεστὸς φρονήματος ἀνὴρ καὶ γένει λαμπρός. οὗτος ὠκυμόρου τῆς θυγατρὸς ἀποθανούσης, ἔτι περιεῖπε τὸν Γάϊον, εὔνοιαν προσφερόμενος, οὐ πενθεροῦ μᾶλλον, ἢ γνησίου πατρός, ἣν ἐνόμιζεν ἀντιλήψεσθαι κατὰ τὸν νόμον ἰσότητος

μεθαρμοσάμενος τὸν γαμβρὸν εἰς υἱόν. ἐλελήθει δ' ἐπὶ ψευδοδοξιῶν καὶ ἀπατώμενος. ὁ μὲν γὰρ τοὺς κηδεμόνας λόγους ἀεὶ διεξῄει, μηδὲν ἐπικρυπτόμενος τῶν εἰς βελτίωσιν, καὶ ἐπανόρθωσιν ἠθῶν, καὶ βίου, καὶ ἡγεμονίας, ἔχων εἰς παρρησίαν, καὶ μεγάλας ἀφορμάς, ὑπερβάλλουσάν τε εὐγένειαν, καὶ τὴν κατ' ἐπιγαμίαν οἰκειότητα. καὶ γὰρ ἡ θυγάτηρ οὐ πρὸ πολλοῦ ἐτεθνήκει χρόνου, ὡς ἀμαυρωθῆναι τὰ δίκαια τῶν κηδεστῶν, ἀλλὰ μονονουκ ἐσπαιρεν ἔτι λειψάνων ἐναυσμάτων τοῦ ψυχικοῦ πνεύματος ἐνυπαρχόντων, καὶ ἐγκαταλελειμμένων τῷ σώματι. ὁ δὲ πρὸς ὕβρεως τὰς νουθεσίας λαμβάνων τῷ πάντων οἴεσθαι φρονιμώτατος, καὶ σωφρονέστατος, ἔτι δὲ ἀνδρειότατος εἶναι καὶ δικαιότατος, ἤχθαιρε μᾶλλον τῶν ὁμολογουμένων πολεμίων τοὺς διδάσκοντας. ὑπολαβὼν οὖν καὶ τοῦτον εἶναι πρόσκομμα, τὴν πολλὴν αὐτοῦ ῥύμην τῆς ἐπιθυμίας ἐφέξοντα, πολλὰ χαίρειν φράσας τοῖς δαίμοσι τῆς ἀποθανούσης γυναικός, ἐπεὶ πατέρα μὲν ἐκείνης, ἑαυτοῦ δὲ γενόμενον πενθερὸν μεταςήσονται, δολοφονεῖ, καὶ τὸ πρᾶγμα ἤδη περιβόητον τοῖς ἐπαλλήλοις τῶν πρώτων ἀνδρῶν φόνοις ἐγεγένητο, ὡς διὰ παντὸς στόματος δυσκάθαρτα ἄγη στωμηχεῖσθαι, φανερῶς μὲν οὐ διὰ δέος, ἠρεμαιοτέρᾳ δὲ τῇ φωνῇ, κἄπειτα ἐκ μεταβολῆς· ὄχλος γὰρ ἀνίδρυτον ἐν ἅπασι, καὶ βουλαῖς, καὶ λόγοις, καὶ πράγμασιν· ἀπιστοῦντες εἰ οὕτως ἀθρόως ἐνδέδεικται ἐξαπίνης ὁ πρὸ μικροῦ χρηστὸς καὶ φιλάνθρωπος, ἴσος τε καὶ κοινωνικὸς εἶναι νομισθεὶς Γάϊος, ἀπολογίας ἐσκόπουν, καὶ διερευνῶντες εὕρισκον, ἐπὶ μὲν τοῦ ἀνεψιοῦ καὶ συγκληρονόμου, τοιαῦτα φάσκοντες, ἀκοινώνητον ἀρχήν, θεσμὸς φύσεως ἀκίνητος· ἔδει ἃ παθεῖν ἐμέλλησεν ἂν ὑπὸ ἀδυνατωτέρου, προέθηκεν ἰσχυρότερος ὤν, ἠμύνατο, τουτέστιν οὐκ ἀνδροφονία. τάχα δὲ καὶ προνοητικῶς ἐπ' ὠφελείᾳ τοῦ σύμπαντος ἀνθρώπων γένους, τὸ μειράκιον ἐκ ποδῶν γεγένηται, τῶν μὲν τούτῳ, τῶν δὲ ἐκείνῳ προσκεκληρωμένων, ἐξ ὧν ταραχαί, ἐμφύλιοί τε καὶ ξενικοὶ πόλεμοι συνίστανται· τί δὲ ἄμεινον εἰρήνης; εἰρήνη δὲ, ἐξ ἡγεμονίας ὀρθῆς φύεται· ἡγεμονία δ' ἀφιλόνεικος καὶ ἀνερίθευτος, ὀρθὴ μόνη, δι' ἧς καὶ τἄλλα πάντα ὀρθοῦται· ἐπὶ δὲ Μάκρωνι, πλέον ἐφυσήθη τοῦ μετρίου, τὸ δελφικὸν γράμμα οὐ διέγνω, τὸ γνῶθι σαυτόν. φασὶ δὲ, τὴν μὲν ἐπιστήμην, εὐδαιμονίας, τὴν δὲ ἄγνοιαν, κακοδαιμονίας αἰτίαν εἶναι, τί παθὼν ὑπηλλάττετο καὶ μετετίθει, τὸν μὲν ὑπήκοον αὐτὸν εἰς τάξιν ἄρχοντος,

A mutuam beneuolentiam tanquam à filio, ignarus quàm inanes fallacésque spes foueret. afferebat enim semper sermones pertinentes ad corrigendos mores vitámque principis, nihil dissimulans & libere monens quid eius maiestatem deceat, fretus tum eximia nobilitate, tum familiaritate domestica. nec enim ita dudum filia defuncta fuerat, vt affinitatis iura vanescere debuerint, sed hærebat etiam tum recens memoria
B exhalantis animam. At ille officium interpretatus contumeliam, quòd sibi videretur prudentissimus, temperantissimus, fortissimus, iustissimus, oderat hominem hostiliter sicut monitores cæteros. ratus igitur hunc quoque esse obstaculum suis cupiditatibus, valere iussit manes extinctæ coniugis, & patrem illius, suum vero socerum dolo peremit: atque ita magnatum alia super aliam cædes vulgabatur rumoribus, scele-
C ratis facinoribus nemine non obloquente, nec tamen aperte præ metu, sed susurris clanculariis. Verùm non multo post mutati (vt est vulgus inconstans dictis, factis atque consilijs) vix credentes tam repente alium redditum qui prius bonus & perhumanus sit habitus, atque etiam ciuilis liberalisque, excusationes comminiscebantur: de patruele cohæredéque, quòd naturæ leges societatem non ferant imperij. Præuentum esse illum nece, qui occisurus erat alterum
D si fuisset ipse fortior. non tam patratum esse homicidium, quàm diuina fortasse prouidentia sublatum adolescentem ad vtilitatem humani generis, ne in partes diuisum, alijs huic, alijs illi fauentibus, per factiones affli ctaretur bellis externis simul ac ciuilibus. Quid autem optari posse pace melius? pacem vero prouenire ex bene administrato imperio. id vero non posse bene administrari, nisi absque contentionibus principum, quibus
E cessantibus omnia manere in officio. de Macrone item audiebantur huiusmodi sententiæ: Turgebat fastu immodico Delphici oblitus oraculi, quod iubet quemque nosse seipsum. Addebántque, noticiam sui felicitatem parere, sicut è diuerso ex ignoratione sui nasci calamitatem & infortunium. quid enim necessum erat subditum occupare partes principis,

imperatorem vero Caium in ordinem redigi? cum principis sit imperare, quod Macro sibi vsurpabat, priuati vero imperata facere, quod ille à Caio postulabat. nam sic homines imperiti vocabant monita, & consultorem magistrum, siue tam insensati vt rerum discrimen non intelligerent, siue hoc est adulatorum ingenium, res adulterare simul & harum vocabula. De Silano vero cauillabantur, ridiculum quod putaret soceri tantam autoritatem in generum, quantam patris in germanum filium. atqui patres ciues priuati filiis ad magistratus prouectis vltro primatu cedunt. hic vero nimis simplex, iam ne socer quidem plus satis curiosus fuerat in rebus nil ad se pertinentibus, non intelligens affinitatem extinctam cum filia. nam connubia familiis externis sunt pro vinculo, quo soluto soluitur & affinitas: præsertim quoties casus incidit cui mederi nequeas, interitus elocatæ in alienam familiam. Talia tum passim audiebantur in omnibus circulis, dum operam dant omnes ne imperatorem crudelitatis insimulent. semel enim concepta opinione humanitatis & probitatis eius, si cuius antea principis, incredibilem putabant tantam támque repentinam mutationem in contrarium. confectis igitur modo dictis certaminibus aduersus præcipuas tres partes reipublicæ, duas palmas adeptus de ciuibus ordinis equestris & senatorij, tertiam de suis gentilibus ratúsque post prostratos valentissimos se factum iam alijs omnibus formidabilem, senatoribus quidem cæso Silano nemini secundo eius ordinis, sublato vero Macrone equitibus, inter quos ille primam dignitatem primósque honores meruerat, patruelis quoque ac cohæredis nece omnibus sibi coniunctis sanguine, non amplius se continuit intra humanæ naturæ terminos, sed ad diuinos honores aspirauit, hinc vt aiunt nactus occasionem eius dementiæ. Persuasum ei fuit, sicut aliorum gregum magistri, opiliones, caprarij, bubulci, nec boues sunt ipsi, nec capri, nec arietes, sed homines his longe præstantiores modis omnibus: sic præfectum gregi humani generis optimi, censendum maiorem homine, refe-

A τὸν δὲ αὐτοκράτορα Γάιον εἰς ὑπηκόου χώραν· οἰκειό-
τατον ἡγεμόνι μὲν τὸ προστάττειν, ὅπερ ἐποίει Μά-
κρων· ὑπηκόῳ δὲ τὸ πειθαρχεῖν, ὅπερ ὑπομένειν ἠ-
ξίου Γάιον. ἐκάλουν γὰρ οἱ ἀνεξέταστοι τὴν παραί-
νεσιν πρόσταξιν, καὶ τὸν σύμβουλον ἄρχοντα, ἤτοι
μὴ συνιέντες ὑπ' ἀμαθίας, ἢ διὰ κολακείας
τὰς φύσεις τῶν ὀνομάτων ὁμοῦ καὶ πραγμάτων
παραχαράττοντες. ἐπὶ Σιλανῷ, χλεύης ἄξιον ὃ
Σιλανὸς ἔπαθεν, οἰηθεὶς τὸν πενθερὸν τοσοῦτον παρὰ
γαμβρῷ δύνασθαι, ὅσον πατέρα γνήσιον παρ' υἱῷ·
B καίτοι πατέρες ἰδιῶται γινομένων ἐν ἀρχαῖς με-
γάλαις καὶ οὐσίαις υἱῶν ὑποστέλλουσιν, ἀγαπητῶς
φερόμενοι τὰ δευτερεῖα. ὁ δὲ ἠλίθιος, οὐδὲ πενθερὸς
ὢν ἔτι, τὰ μὴ καθ' ἑαυτὸν περιειργάζετο, μὴ
συνιεὶς ὅτι τῷ θανάτῳ τῆς θυγατρὸς συντεθνή-
κει καὶ ἡ κατ' ἐπιγαμίαν οἰκειότης. δεσμοὶ γὰρ οἴκων
ὀθνείων αἱ ἐπιγαμίαι, τὴν ἀλλοτριότητα εἰς οἰκειό-
τητα συνάγων, οὗ λυθέντος λέλυται καὶ τὰ τῆς κοινω-
νίας, καὶ μάλιστα ὅταν ἀνεπανορθώτῳ πράγματι
C λυθῇ, τελευτῇ τῆς εἰς ἀλλότριον οἶκον δεδομένης
ἐπὶ γάμῳ. τοιαῦτα ἐν ἅπασι τοῖς συλλόγοις ἐθρύλ-
λουν, πλεῖστον διδόντες μέρος τῷ μὴ βούλεσθαι δο-
κεῖν ὠμὸν εἶναι τὸν αὐτοκράτορα. χρηστότητα γὰρ καὶ
φιλανθρωπίαν ἐλπίσαντες ὅσην παρ' οὐδενὶ τῶν
προτέρων ἐνιδρῦσθαι τῇ Γαΐου ψυχῇ, σφόδρα ἄ-
πιστον ἐνόμιζον, εἰ τοσαύτην καὶ οὕτως ἀθρόαν
ἐνδέδεκται μεταβολὴν πρὸς τἀναντία. κατερ-
γασάμενος οὖν τρεῖς τοὺς εἰρημένους ἄθλους ἐκ
τριῶν τῶν ἀναγκαιοτάτων μερῶν, δυοῖν μὲν ἐκ τῆς
D πατρίδος, τοῦ τε βουλευτικοῦ καὶ τοῦ τῆς ἱππικῆς
τάξεως, τρίτου δὲ τοῦ συγγενικοῦ. καὶ ὑπολαβὼν
τῶν ἰσχυροτάτων καὶ δυνατωτάτων περὶ γεγενη-
μένου καταπληκτικώτατον δέος ἐνειργάσθαι τοῖς
ἄλλοις ἅπασι, διὰ μὲν τῆς Σιλανοῦ σφαγῆς, τοῖς
βουλευταῖς· ἦν γὰρ οὐδενὸς τῶν ἐν συγκλήτῳ δεύ-
τερος· διὰ δὲ τῆς Μάκρωνος τοῖς ἱππικοῖς· οἷα γὰρ
χοροῦ τις ἡγεμὼν ἐγεγένητο φερόμενος τὰ πρω-
τεῖα τῆς τιμῆς καὶ εὐδοξίας· διὰ δὲ τῆς τοῦ ἀνεψιοῦ
E καὶ συγκληρονόμου τοῖς ἀφ' αἵματος ἅπασιν, οὐκ
ἔτι ἠξίου μένειν ἐν τοῖς τῆς ἀνθρωπίνης φύσεως ὅ-
ροις, ἀλλ' ὑπερέκυπτε σπουδάζων θεὸς νομίζε-
σθαι, καὶ ἐν ἀρχῇ ταύτης τῆς παραπληξίας φασὶν
αὐτὸν χρήσασθαι τοιούτῳ λογισμῷ. καθάπερ γὰρ οἱ
τῶν ἄλλων ζώων ἀγελάρχαι βουκόλοι καὶ αἰπόλοι καὶ
νομεῖς, οὔτε βόες εἰσὶν, οὔτε αἶγες οὔτε ἄρνες, ἀλλ' ἄν-
θρωποι κρείττονος μοίρας καὶ κατασκευῆς ἐπιλα-
χόντες, τὸν αὐτὸν τρόπον ἀγελαρχοῦντα κἀμὲ τῆς
ἀρίστης ἀνθρώπων γένους ἀγέλης, νομιστέον δια-

φέρειν καὶ μὴ κατ' ἄνθρωπον εἶναι, μείζονος δὲ καὶ θειοτέρας μοίρας τετυχηκέναι. ταύτην τὴν ὑπόληψιν ἐνσφραγισάμενος τῇ διανοίᾳ, περιέφερεν ὁ ἠλίθιος ἐν ἑαυτῷ μυθικὸν πλάσμα, ὡς ἀψευδεστάτην ἀλήθειαν. καὶ ἐπειδὴ ἅπαξ ἐθάρρησε καὶ ἀπετόλμησεν εἰς τοὺς πολλοὺς ἐξενεγκεῖν τὴν ἀθεωτάτην ἐκθέωσιν αὐτοῦ, τὰ ἀκόλουθα καὶ συνῳδὰ προστιθέναι ἐπεχείρει, καὶ οἷα δι' ἀναβαθμῶν ἐκ τοῦ κατ' ὀλίγον εἰς τὸ ἄνω προσῄει. ἤρχετο γὰρ ἐξομοιοῦν τὸ πρῶτον τοῖς λεγομένοις ἡμιθέοις ἑαυτόν, Διονύσῳ καὶ Ἡρακλεῖ καὶ Διοσκούροις, Τροφώνιον καὶ Ἀμφιάραον καὶ Ἀμφίλοχον καὶ τοὺς ὁμοίους, χρηστηρίοις αὐτοῖς καὶ ὀργίοις χλεύην τιθέμενος, κατὰ σύγκρισιν τῆς ἰδίας δυνάμεως· εἶθ' ὥσπερ ἐν θεάτρῳ σκευὴν ἄλλοτε ἀλλοίαν ἐλάμβανε, ποτὲ μὲν λεοντῆν καὶ ῥόπαλον, ἀμφότερα ἐπίχρυσα, διακοσμούμενος εἰς Ἡρακλέα· ποτὲ δὲ πίλους ἐπὶ τῆς κεφαλῆς, ὁπότε ἀσκοίη εἰς Διοσκούρους. ἔστι δὲ ὅτε κιττῷ καὶ θύρσῳ καὶ νεβρίσιν εἰς Διόνυσον ἠσκεῖτο. καὶ ταύτῃ διαφέρειν ἠξίου, ὅτι ἐκείνων μὲν ἕκαστος ἰδίας ἔχων τιμάς, οὐ μετεποιεῖτο ὧν ἐκοινώνουν ἕτεροι. ὁ δὲ τὰς πάντων ἀθρόον ἐσφετερίζετο φθόνῳ καὶ πλεονεξίᾳ, μᾶλλον δὲ καὶ αὐτοὺς ἐκείνους, οὐκ εἰς Γηρυόνην τὸν τρισώματον μεταβαλών, ἵνα τῷ πλήθει παραγάγῃ τοὺς ὁρῶντας, ἀλλ' ὃ δὴ παραδοξότατον ἦν, ἑνὸς σώματος οὐσίαν μετασχηματίζων καὶ μεταχαράττων εἰς πολυτρόπους μορφάς, Αἰγύπτιον τρόπον Πρωτέως, ὃν εἰσηγάγετο Ὅμηρος μεταβολὰς παντοίας ἐνδεχόμενον, εἰς τε τὰ στοιχεῖα, καὶ τὰ ἐκ τούτων ζῷα καὶ φυτά. καίτοι τί παρασήμων ἔδει σοὶ Γάιε, οἷς ἔθος ἀρχαῖα τὰ τῶν εἰρημένων ἀφιδρύματα; ἐχρῆν γὰρ ζηλοῦν τὰς ἐκείνων ἀρετάς. Ἡρακλῆς ἐκάθηρε γῆν καὶ θάλατταν, ἄθλους ἀναγκαιοτάτους καὶ ὠφελιμωτάτους ἅπασιν ἀνθρώποις ὑποστάς, ἕνεκα τοῦ τὰς βλαβερὰς καὶ κακωτικὰς φύσεις ἑκατέρας ἀνελεῖν. Διόνυσος ἡμερώσας ἄμπελον καὶ ποτὸν ἐξ αὐτῆς ἀναχέας ἥδιστον ὁμοῦ καὶ ὠφελιμώτατον ψυχαῖς τε καὶ σώμασι, τὰς μὲν ἄγει πρὸς εὐθυμίας, κακῶν λήθην καὶ ἀγαθῶν ἐλπίδας ἐνεργαζόμενος. τὰ δὲ σώματα ὑγιεινότερα καὶ κραταιότερα καὶ εὐκινητότερα παρασκευάζει, καὶ ἰδίᾳ τε ἕκαστον αὐτῶν βελτίονα ποιεῖ, καὶ πολυανθρώπους οἰκίας καὶ συγγενείας ἐξ αὐχμηροῦ καὶ ἐπιπόνου βίου μεθαρμόζεται πρὸς ἀνειμένης σχῆμα καὶ ἱλαρᾶς διαίτης, καὶ πάσαις πόλεσιν Ἑλληνικαῖς τε καὶ βαρβαρικαῖς, εὐωχίας, εὐφροσύνας, θαλίας, ἑορτὰς ἐπαλλήλους παρέχει· πάντων γὰρ τῶν λεχθέντων αἴτιος ἄκρατος. πάλιν Διοσκούρους λόγος ἔχει κοινώσασθαι τὴν

A rendúmque in deorum numerum. Hanc opinionem vbi concepit, amplexus est fatuus pro veritate fabulam. Tandem ausus in vulgus efferre impiam sui consecrationem, pergebat vlterius, & quasi per gradus quosdam paulatim ascendebat. nam primò æmulabatur semideos quos vocant, Liberum, Herculem, Castores, *Trophonium, Amphiaraum, Amphilochum, & similes, irridens eorum oracula orgiáque, ad suam col-
B lata potentiam. Deinde quemadmodum in theatris solent scenici, aliàs alium cultum sumebat, nunc clauam & leonis exuuium, sed hæc aurata vtraque, scilicet transformatus in Herculem: nunc pileum imponebat capiti, quoties Castores ageret: interdum hedera thyrsóque ac hinnuleorum exuuijs repræsentabat patrem Liberum. Verum tamen hanc sibi prærogatiuam vsurpabat interim,
C quòd cum illorum quisque contentus proprijs ceremonijs ac honoribus alienos non requireret, ipse vniuersos iubebat sibi congeri, vt eos quibus inuidebat vinceret, non more Geryonis tricorporis tanta mole captans concursum confluentium spectandi gratia, sed quod magis mireris, vnum corpus subinde transfigurans in formas varias, vt quondam Proteus ille Ægyptius, quem Homerus introducit omnia vertentem sese in miracula rerum, ignémque,
D horribilémque feram, fluuiúmque liquentem. Atqui quid opus erat tibi Cai his simulacrorum insigniis? Virtutes illorum imitari debueras. Hercules purgabat terras & maria, subibat necessaria certamina hominibus vtilissima, vt noxia monstra ex elemento vtroque tolleret. Liber exculta vite, expressóque inde potu suauissimo & animis corporibúsque perutili, illos serenat malorum obliuionem inducens & spem bonorum: hæc saniora reddit & agiliora
E fortioráque, conferens plurimum & singulis ciuibus, & frequentibus familiis ac ciuitatibus, dum è dura laboriosáque vita traducit ad mitiorem, & cunctis Græcis pariter atque Barbaris nationibus festa, epulas, hilaritates, alias post alias exhibet. Mero enim debentur hæc omnia. De gemellis quoque Iouis filiis fertur immortalitatem impartiuisse alterum al-

A teri. Cum enim alter mortalis natus esset, alter vero immortalis, hic cuius erat potior conditio, maluit de suo iure decedere, quàm pietatem erga germanum non declarare. Cogitans enim infinitum æuum suæ vitæ fraterníque interitus, & sibi relinqui vnà cum immortalitate luctum amissi fratris perpetuum, mirificam permutationem commentus est, admixta sibi mortalitate, fratri vero immortalitate, atque ita exæquatis naturis disparibus, quæ quidem ratio fons B est totius iusticiæ. Hi omnes Cai, vt bene de humano genere meriti fuerunt in admiratione, & sunt hodiéque, diuinis honoribus digni habiti. Tu quid tale nobis præstitisti, quo extollaris atque superbias? ésne imitatus Ioue natorum fratrum charitatem, vt inde incipiam? Fratrem cohæredémque in primo ætatis flore crudeliter iugulasti, ferreus & immisericordissimus, sorores pòst in exi- C lium egisti, vt regnares securius nihil ab eis metuens. At Liberum æmulatus es? excogitasti noua beneficia? implesti vt ille terrarum orbem lætitia? Europa & Asia vix tuam capiunt munificentiam? Inuenisti sanè nouas artes, sed vt pestis publica, quibus gaudia mutasti in dolores ac molestias, vt omnes vbique tædium vitæ caperet, dum aliena bona cuncta occupas inexplebili auaritia conuerrens D ab oriente occidentéque & cæteris tractibus ad meridiem & septemtriones vergentibus: pro quibus remittis ad eas regiones execrabilia maleficæ animæ tuæ germina perniciem mortalibus afferentia. Hæc sunt cur alter Liber pater exortus sis. Sic & Herculem egregie refers indefessis tuis laboribus, & facinoribus fortibus, dum bonis legibus, incorruptis iudicijs, annonæ felicitate, cæterísque festæ pacis commodis reples con- E tinentem & insulas tu ignauissimus ac pauidissimus, qui tranquillitatem felicitatémque profligasti ex omnibus ciuitatibus, introductísque in earum locum tumultibus infortunatissimos reddidisti populos. Dic Cai, ob hásne cædes ac pestes per te illatas Deus fieri postulas? scilicet vt immortalis ipse has calamitates non in paucos dies, sed & in tempus infinitum proferas. Ego diuersum censeo, etiamsi Deus crederetis, omnino te transitu-

ἀθανασίας. ἐπεὶ γὰρ ὁ μὲν θνητός, ὁ δὲ ἀθάνατος ἦν, οὐκ ἐδικαίωσεν ὁ τῆς κρείττονος μοίρας ἀξιωθεὶς φιλαυτῆσαι μᾶλλον, ἢ τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν ἐπιδείξασθαι. φαντασιωθεὶς γὰρ τὸν ἄπειρον αἰῶνα, καὶ λογισάμενος ὅτι αὐτὸς μὲν ἀεὶ βιώσεται, ὁ δὲ ἀδελφὸς ἀεὶ τεθνήξεται, καὶ μετὰ τῆς ἀθανασίας ἀθάνατον τὸ ἐπ' ἐκείνῳ πένθος ἀναδέξεται, θαυμαστὴν ἐμεγαλούργησεν ἀντίδοσιν, ἀνακερασάμενος αὑτῷ μὲν τὸ θνητόν, τῷ δὲ ἀδελφῷ τὸ ἄφθαρτον, καὶ ἀνισότητα τὴν ἀδικίας ἀρχὴν ἀνεκαίνισεν ἰσότητι, ἥ τις ἐστὶ πηγὴ δικαιοσύνης. οὗτοι πάντες ὦ Γάιε διὰ τὰς ὑπηργμένας εὐεργεσίας ἐθαυμάσθησαν, καὶ ἔτι νῦν θαυμάζονται, καὶ σεβασμοῦ τε καὶ τῶν ἀνωτάτω τιμῶν ἠξιώθησαν. αὐτὸς δὲ ἡμῖν ἐπὶ τίνι γαυριᾷς καὶ πεφύσησαι τῶν παραπλησίων. ἐμιμήσω τοὺς Διοσκούρους εἰς φιλαδελφίαν, ἵνα ἐντεῦθεν ἄρξωμαι; τὸν μὲν ἀδελφὸν καὶ συγκληρονόμον ἐν ἀκμῇ τῆς πρώτης ἡλικίας ὦ σιδήρεε καὶ ἀνηλεέστατε, ὠμῶς ἀπέσφαξας, τὰς ἀδελφὰς ὕστερον ἐφυγάδευσας, μὴ καὶ αὗται τὸν περὶ ἀφαιρέσεως ἀρχῆς φόβον ἐργάζοιντό σοι; ἐμιμήσω Διόνυσον; εὑρετὴς καινῶν γέγονας χαρίτων; ὡς ἐκεῖνος, εὐφροσύνης κατέπλησας τὴν οἰκουμένην; Ἀσία καὶ Εὐρώπη τὰς ἐκ σοῦ γεγενημένας δωρεὰς οὐ χωροῦσι; καινὰς μὲν οὖν τέχνας καὶ ἐπιστήμας ἀνεῦρες, ὡς κοινὸς λυμεὼν καὶ παλαμναῖος, αἷς μεταβάλλεις τὰ ἡδέα καὶ χαρτὰ πρὸς ἀηδίας καὶ λύπας, καὶ ἀβίωτον βίον τοῖς πανταχοῦ πᾶσι, τὰ μὲν παρ' ἑτέροις ἀγαθὰ καὶ καλὰ πάντα σφετεριζόμενος ἀπλήστοις καὶ ἀκορέστοις ταῖς ἐπιθυμίαις, τὰ ἀπὸ τῶν ἑῴων, τὰ ἀπὸ τῶν ἑσπερίων, τὰ ἀπὸ τῶν ἄλλων τοῦ παντὸς κλιμάτων, εἴ τινα ἢ κατὰ μεσημβρίαν ἦν, ἢ πρὸς ἄρκτον· τὰ δὲ ἀπὸ τῆς σαυτοῦ πικρίας, καὶ ὅσα ταῖς ἐπαράτοις καὶ ἰοβόλοις ψυχαῖς γεννᾶν ἔθος βλαβερὰ καὶ ἐπιζήμια ἀντιδιδοὺς καὶ ἀντιπέμπων· διὰ ταῦτα ὁ νέος Διόνυσος ἡμῖν ἀνεφάνης. ἀλλὰ καὶ Ἡρακλέα ἐζήλωσας τοῖς ἀκαμάτοις σαυτοῦ πόνοις καὶ ταῖς ἀδύτοις ἀνδραγαθίαις, εὐνομίας καὶ εὐδικίας, εὐθηνίας τε καὶ εὐετηρίας, καὶ τῆς τῶν ἄλλων ἀγαθῶν ἀφθονίας, ὧν ἡ βαθεῖα εἰρήνη δημιουργός, ἀναπλήσας ἠπείρους τε καὶ νήσους ὁ ἀγεννέστατος, ὁ δειλίας μεστός, ὁ τὴν μὲν εἰς εὐστάθειαν καὶ εὐδαιμονίαν ἀπάντων κενώσας τὰς πόλεις· μεστὰς δὲ τὰς εἰς ταραχὰς καὶ θορύβους καὶ τὴν ἀνωτάτω βαρυδαιμονίαν ἀναφήνας· ἐπὶ δὲ ταῖς τοσαύταις φθοραῖς ἃς ἐνέσκηψας ἐπ' ὀλέθρῳ, εἰπέ μοι ὦ Γάιε, ζητεῖς ἀθανασίας μεταλαχεῖν, ἵνα μὴ ὀλιγοχρονίους καὶ ἐφημέρους, ἀλλὰ ἀθανάτους ἀπεργάσῃ συμφοράς; ἐγὼ δὲ νομίζω τοὐναντίον, εἰ καί τις ἔδοξας γεγενῆσθαι θεός, πάντως ἄν σε μεταβαλεῖν

ἕνεκα τῶν πονηρῶν ἐπιτηδευμάτων εἰς θνητὴν φύσιν. εἰ γὰρ ἀθανατίζουσιν ἀρεταί, πάντως φθείρουσι κακίαι. μήτε οὖν ἐν Διοσκούροις γράφου τοῖς φιλαδελφοτάτοις, ὁ σφαγεὺς καὶ λυμεὼν τῶν ἀδελφῶν γεγονώς, μήτε Ἡρακλέους ἢ Διονύσου τιμῆς κοινοπραγῇ τῶν τὸν βίον ὀνησάντων, ὁ κακωτὴς καὶ διαφθορεὺς ὧν ἔδρασαν ἐκεῖνοι· τοσαύτη δέ τις περὶ αὐτὸν ἦν λύττα καὶ διάφορος καὶ παράκοπος μανία, ὥστε καὶ τοὺς ἡμιθέους ὑπερβάς, ἐπανῄει καὶ ἐπαπεδύετο τοῖς τῶν μειζόνων καὶ ἀμφιθαλῶν εἶναι δοκούντων σεβασμοῖς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, καὶ Ἄρεως. Ἑρμοῦ δὲ πρῶτον, κηρυκείοις καὶ πεδίλοις καὶ χλαμύσιν ἐνσκευαζόμενος, τάξιν τε ἐν ἀταξίᾳ καὶ τὸ ἀκόλουθον ἐν συγχύσει, καὶ λογισμὸν ἐν φρενοβλαβείᾳ περιεπιδεικνύμενος· εἶτα ὁπότε δόξειεν αὐτῷ, τὰ μὲν ἀπετίθετο, εἰς δὲ Ἀπόλλωνα μετεμορφοῦτο καὶ μετεσκευάζετο, στεφάνοις μὲν ἀκτινοειδέσι τὴν κεφαλὴν ἀναδούμενος, τόξον δὲ τῇ εὐωνύμῳ καὶ βέλη κατέχων χειρί, χάριτας δὲ τῇ δεξιᾷ προτείνων, ὡς δέον τὰ μὲν ἀγαθὰ ὀρέγειν ἐξ ἑτοίμου καὶ τετάχθαι τὴν βελτίονα τάξιν τὴν ἐπὶ δεξιά· τὰς δὲ κολάσεις ὑποστέλλειν, καὶ τὴν καταδεεστέραν χώραν κεκληρῶσθαι τὴν ἐπ' εὐώνυμα· χοροί τε εὐθὺς εἱστήκεσαν συγκεκροτημένοι, παιᾶνας εἰς αὐτὸν ᾄδοντες, οἱ παρὰ μικρὸν Βάκχον καὶ Εὔιον καὶ Λυαῖον ὀνομάζοντες καὶ ὕμνοις γεραίροντες, ἡνίκα τὴν Διονυσιακὴν ἀνελάμβανε σκευήν. πολλάκις δὲ καὶ θώρακα ἐνδυόμενος, ξιφήρης προῄει μετὰ κράνους καὶ ἀσπίδος Ἄρης ἀνακαλούμενος, καὶ περὶ ἑκάτερα οἱ Ἄρεως τοῦ καινοῦ καὶ νέου θεραπευταὶ συμπροῄεσαν, ἀνδροφόνων καὶ δημοκοίνων θίασος, ὑπηρετήσοντες κακὰς ὑπηρεσίας φονῶντι καὶ διψῶντι ἀνθρωπείου αἵματος· εἶτα τοῖς ταῦτα ὁρῶσι κατάπληξις ἦν ἐπὶ τῷ παραλόγῳ, καὶ ἐθαύμαζον πῶς ὁ τὰ ἐναντία δρῶν οἷς ἰσότιμος εἶναι προαιρεῖται, τὰς μὲν ἀρετὰς αὐτῶν ἐπιτηδεύειν οὐκ ἀξιοῖ, τοῖς δὲ παρασήμοις εἰς ἕκαστον σκευάζεται. καίτοι τὰ περίαπτα ταῦτα καὶ προκοσμήματα ξοάνοις καὶ ἀγάλμασι προσανίδρυται, διὰ συμβόλων μηνύοντα τὰς ὠφελείας ἃς παρέχονται τῷ γένει τῶν ἀνθρώπων οἱ τιμώμενοι. πέδιλα Ἑρμῆς ὑποδεῖται πτερὰ ταρσοῖς ἔχοντα. διὰ τί; ἆρα οὐχ ὅτι προσήκει τὸν ἑρμηνέα καὶ προφήτην τῶν θείων, ἀφ' οὗ καὶ Ἑρμῆς ὠνόμασται, τὰ ἀγαθὰ διαγγέλλοντα; κακοῦ γὰρ οὐχ ὅτι θεός, ἀλλ' οὐδὲ σοφὸς ἀνὴρ γίνεται μηνυτής· ποδωκέστατόν τε εἶναι καὶ μονονοὺ πτηνὸν φέρεσθαι διὰ συνου-

A rum in ordinem mortalium ob tam perversa tua studia. Nam si virtutes diuinitatem, vtique mortalitatem afferunt vitia. Non est igitur quod te adscribas Iouis filijs fraterna charitate insignibus, ipse fratrum interfector: aut Herculis Liberique honorum velis esse particeps, qui suis inuentis vitam excoluerunt, cum eorum beneficia perdas tuis maleficijs. Tanta autem inerat ei rabies, tam insana væcordia, B vt non contentus se æquiparari semideis, ad maiores Deos versus æmulationem cum eis susciperet, cum Apolline, Marte ac Mercurio. Huius primum caduceo, talaribus, chlamydéque ornatus, ordinem in perturbatione, seriem in confusione, rationem ostentabat in dementia. Deinde vbi collibuit, his depositis refingebatur in Apollinem, corona radiata caput redimitus, arcum & sagittas sinistra tenens, dex- C tra porrigens gratias, quod ita deceret in promptu esse id quod melius, pœnas vero supprimi, & ad sinistram retrudi in locum posteriorem. móxque instituti sunt chori vt pæanas canerent in eum quem paulo ante Bacchum, Euium, Lyæum hymnis suis appellauerant, quando Liberi habitum sumpserat. Sæpe etiam thoracatus, galeatus, clypeatúsque prodibat stricto gladio pro Marte se ostentans, vtrumque latus stipatus nouis salijs, homicidis qui- D busdam paratis ad sæua ministeria, explendámque crudelitatem sitientis humanum sanguinem. Hac inusitata specie terror incutiebatur populo, miranti quòd honores sibi vsurparet eorum, quorum virtutes aspernaretur, contentus solis insignijs. Atqui hæc gestamina simulacris adduntur. vt significent vtilitates ab his dijs exhibitas humano generi, suisque cultoribus. Mer- E curij pedibus alata subligantur talaria. Quam ob rem? nimirum quia decet deorum internuncium atque interpretem, vnde illi Græcum nomen est, læta nunciantem (mala enim vix vir sapiens, nedum Deus, nunciare sustineat) esse quam celerrimum, & præpetibus pennis ferri velocissime: quandoquidem in huiuscemodi rebus properatio requiritur, sicut in diuersis quies-

cere ſatius fuerit. Sic & caduceum A ſumit, inſigne pacificatoris & autoris fœderum. Nam bella caduceatores fœcialéſque dirimunt, afferendo pacem aut inducias. Qui niſi admittantur, nec modus nec finis erit calamitatibus, & vltro citróque illatis iniurijs. At Caius in quem vſum ſibi ſumebat talaria? an vt infauſta inauſpicatáque ipſius facta, perpetuo tegenda ſilentio, curſim diuulgarentur per omnes imperij prouincias? & quid erat opus B motu præceleri, cum vel vno loco hærens alia ſuper alia mala innumera profunderet velut è perennibus fontibus, inundatura omnes regiones orbis huius habitabilis? quid autem opus erat caduceo, cum nihil vnquam pacatum vel diceret vel faceret? omnes vero domos & ciuitates tum Græcas tum Barbaras impleret inteſtinis ſeditionibus belliſque ciuilibus? deponat iſtam appellationem inepte C vſurpatam adulterinus Mercurius & ſuppoſiticius. Apollinis vero quid eſt in eo ſimile? coronam radiatam geſtat, effictis belle ab artifice radijs ſolaribus: quaſi aut ſol aut in vniuerſum lux magis placere poſſit quàm nox & tenebræ denſiſſimæ ad perpetrandas res nefarias. Siquidem honeſtæ opus habent luce meridiana vt conſpicuæ fiant quibuſlibet: turpes vero ſunt relegandæ in extremum Tartarum, D dignum omnium quæ celari debent receptaculum. Quin & vtriuſque manus geſtamina, vt par eſt, transferat, arcum ſagittáſque dextra intentet, ferire certis ictibus, viros, mulieres, totas familias, ciuitates populoſas, ad internecionem ſolitus: Gratias vero ſiniſtra tegat, niſi mauult prorſus abijcere. Propalam enim eas violauit, dum facultatibus amplis inhiat, & poſt rapinas Dominos E iugulat inſuper, propter felicitatem inuolutos calamitatibus. Medicinam quoque pulchre inuertit Apollinis. Ille remediorum inuentor eſt ſalutarium, pro ſua genuina bonitate paratus morbos etiam ab alijs immiſſos depellere. iſte contrà ſanis morbos inferebat, mutilationes integris, viuis mortem manu aſcitam ante fatalia

A δέον ἀνυπέρθετον, ἐπεὶ τὰ λυσιτελῆ φθάνοντα διαγγελίζεσθαι προσήκει, καθάπερ τὰ παλίμφημα μέλλοντα, εἰ μὴ ἐπιτρέποι τις αὐτὰ ἡσυχάζεσθαι. πάλιν κηρύκειον ἀναλαμβάνει, σύνθημα συμβατηρίων σπονδῶν. πόλεμοι γὰρ ἀνοχὰς καὶ διαλύσεις λαμβάνουσι διὰ κηρύκων εἰρήνην καθισταμένων· οἱ δὲ ἀκήρυκτοι, συμφορὰς ἀτελευτήτους ἀπεργάζονται, καὶ τοῖς ἐπιφέρουσι, καὶ τοῖς ἀμυνομένοις· Γαΐῳ δὲ πρὸς τίνα χρείαν πέδιλα ἀνελάμβανεν· ἢ ἵνα τὰ δύσφημα καὶ δυσ- B ώνυμα δέον ἡσυχάζεσθαι, βοηδρομῆται, τάχει συντόνῳ πανταχοῦ σαλπιζόμενα; καίτοι τί κινήσεως ἐπιταχυνομένης ἔδει· μένων γὰρ κακὰ ἐπὶ κακοῖς ἀμύθητα ὥσπερ ἐξ ἀενάων πηγῶν, εἰς ἅπαντα τὰ μέρη τῆς οἰκουμένης ὤμβρει· τί δὲ κηρυκείου τῷ μηδὲν εἰρηναῖον πώποτε μήτε εἰπόντι μήτε δράσαντι, πᾶσαν δὲ οἰκίαν καὶ πόλιν ἐμφυλίων ἀναπλήσαντι πολέμων κατά γε τὴν Ἑλλάδα καὶ βάρβαρον. ἀποθέσθω δὴ τὸν Ἑρμῆν ἀφοσιωσάμενος τὴν ἀνοίκειον κλῆσιν ὁ ψευδώνυμος· τί δὲ τῶν Ἀπολλωνια- C κῶν ἐμφερές ἐστι περὶ αὐτόν· στέφανον ἀκτινωτὸν φορεῖ, εὖ πως ἀπομαξαμένου τὰς ἡλιακὰς ἀκτῖνας τοῦ τεχνίτου· ἐκείνῳ δὲ ἥλιος ἢ φῶς συνόλως ἀσπαστόν ἐστιν, ἀλλ' οὐχὶ νύξ, καὶ εἴ τι σκότους ἀφεγγέστερον, εἰς τὴν τῶν ἐκνόμων ἔργων διάθεσιν; ἐπεὶ τὰ μὲν καλὰ πραγματείας μεσημβρινῆς δεῖται πρὸς ἐπίδειξιν· τὰ δὲ αἰσχρὰ φασὶν ἐσχατιὰς ταρτάρου, εἰς ὃν ἄξιον συνωθεῖσθαι δεόντως ἐπικρυφθησόμενα. μετα- D θέσθω καὶ τὰ ἐν ἑκατέρᾳ χειρί, καὶ μὴ κιβδηλευέτω τὴν τάξιν· τὰ μὲν βέλη καὶ τόξα τῇ δεξιᾷ προσφερέτω. βάλλειν γὰρ καὶ τοξεύειν εὐσκόπως οἶδεν, ἄνδρας, γυναῖκας, συγγενείας ὅλας, εὐανδρούσας πόλεις, ἐπ' ὀλέθρῳ παντελεῖ. τὰς δὲ χάριτας ἢ ῥιψάτω θᾶττον, ἢ τῇ εὐωνύμῳ συσκιαζέτω. τὸ γὰρ κάλλος ἠχρείωσεν αὐτῶν, προσοφθαλμιῶν, καὶ προσκεχηνὼς ταῖς μεγάλαις οὐσίαις εἰς ἁρπαγὰς ἀδίκους, ὧν ἐπικατεσφάττοντο οἱ δεσπόται, τῆς εὐτυχίας ἕνε- E κα κακοδαιμονοῦντες· ἀλλὰ καὶ τὴν ἰατρικὴν Ἀπόλλωνος, εὖ πως παραχαράξει. ὁ μὲν γὰρ σωτηρίων φαρμάκων εὑρετὴς ἐγένετο πρὸς ὑγείαν ἀνθρώπων, ἀξιῶν καὶ τὰς ὑφ' ἑτέρων ἐγγινομένας νόσους αὐτὸς ἰᾶσθαι διὰ τὴν ἐκ φύσεως καὶ ἐπιτηδεύσεως ὑπερβάλλουσαν ἡμερότητα· ὁ δὲ ἔμπαλιν νόσους μὲν τοῖς ὑγιαίνουσι, πηρώσεις δὲ τοῖς ὁλοκλήροις, καὶ συνόλως θανάτους τοῖς ζῶσι χειροποιήτους

περὶ τοῦ μειρακίου χαλεποὺς ἐπέφερε, πάντα τὰ φθοροποιὰ χορηγίαις ἀφθόνοις παρεσκευασμένος. οἷς εἰ μὴ ἔφθασε προαναιρεθεὶς ὑπὸ τῆς δίκης χρήσασθαι, κἂν τὸ ἐν ἑκάστῃ πόλει δοκιμώτατον ἤδη διέφθαρτο. πρὸς γὰρ τοὺς ἐν τέλει καὶ πλουσίους εὐτρεπεῖς ἦσαν αἱ παρασκευαί, καὶ μάλιστα τοὺς ἐν Ῥώμῃ καὶ τῇ ἄλλῃ Ἰταλίᾳ, παρ᾽ οἷς ἄργυρος καὶ χρυσὸς τεθησαύρισται τοσοῦτος, ὥστε εἰ σύμπας ὁ ἐξ ἁπάσης τῆς ἄλλης οἰκουμένης, ἀπὸ περάτων αὐτῶν συνενεχθείη, πολλῷ καταδεέστερος ἂν εὑρεθῆναι. διὰ τοῦτο ἀπὸ τῆς πατρίδος ὥσπερ ἀφ᾽ ἱερᾶς ἤρξατο τὰ σπέρματα τῆς εἰρήνης ἀπορριπτεῖν, ὁ μισόπολις, ὁ δημοβόρος, ἡ λύμη, τὸ φθοροποιὸν κακόν. λέγεται μὲν μόνον ἰατρὸς, ἀλλὰ καὶ μάντις ἀγαθὸς Ἀπόλλων εἶναι, χρησμοῖς προλέγων τὰ μέλλοντα πρὸς ὠφέλειαν ἀνθρώπων, ἵνα μή τις ἐπισκιασθεὶς περὶ τὸ ἄδηλον, ἀπροοράτως καθάπερ τυφλὸς, τοῖς ἀβουλήτοις, ὡς λυσιτελεστάτοις ἐπιτρέχων ἐμπέσῃ· προμαθὼν δὲ τὸ μέλλον ὡς ἤδη παρὸν, καὶ βλέπων αὐτὸ τῇ διανοίᾳ, οὐχ ἧττον ἢ τὰ ἐν χερσὶν ὀφθαλμοῖς σώματος φυλάττηται, προνοούμενος τοῦ μηδὲν ἀνήκεστον παθεῖν. ἆρα ἄξιον τούτοις ἀντιθεῖναι τὰ παλίμφημα Γαΐου λόγια, δι᾽ ὧν πενίαι καὶ ἀτιμίαι καὶ φυγαὶ καὶ θάνατοι προεμηνύοντο τοῖς πανταχοῦ τῶν ἐν τέλει καὶ δυνατῶν; τίς οὖν κοινωνία πρὸς Ἀπόλλωνα, τῷ μηδὲν οἰκεῖον ἢ συγγενὲς ἐπιτετηδευκότι. πεπαύσθω καὶ ὁ ψευδώνυμος Παιὰν, τὸν ἀληθῆ Παιᾶνα μιμούμενος. οὐ γὰρ ὥσπερ τὸ νόμισμα παρακομμα, καὶ θεοῦ μορφὴ γίνεται. πάντα γε μὴν ἐλπίσειεν ἄν τις μᾶλλον, ἢ τοιοῦτον σῶμα καὶ ψυχὴν, ἄμφω μαλακὰ καὶ κατεαγότα, τῇ περὶ ἑκάτερον Ἄρεως ἀλκῇ δυνηθῆναί ποτε ἐξομοιωθῆναι· ὁ δὲ ὥσπερ ἐπὶ σκηνῆς ἐναλλάττων πολυειδῆ προσωπεῖα φαντασίαις ψευδέσιν ἠπάτα τοὺς ὁρῶντας. φέρε οὖν μηδεὶς τὴν περὶ σῶμα καὶ ψυχὴν ἐξεταζέτω διὰ τὴν ἐν πάσαις σχέσεσι καὶ κινήσεσιν ἀλλοτριότητα πρὸς τὸν εἰρημένον δαίμονα· τὴν Ἄρεως οὖν οὐχὶ τοῦ μεμυθευμένου, τοῦ δὲ ἐν τῇ φύσει λόγου, ὃν ἀνδρία κεκλήρωται, δύναμιν οὐκ ἴσμεν ἀλεξίκακον οὖσαν καὶ βοηθὸν καὶ ὑπερασπιστὴν ἀδικουμένων, ὡς καὶ αὐτό που δηλοῖ τοὔνομα; παρὰ γὰρ τὸ ἀρήγειν ὅπερ βοηθεῖν ἐστι κατὰ γλῶτταν Ἄρης ὀνομάσθαί μοι δοκεῖ, καθαιρετικὸς πολέμων, δημιουργὸς εἰρήνης, ἧς ἐχθρὸς μὲν ἦν ἕτερος, ἑταῖρος δὲ πολέμου, τὴν εὐστάθειαν εἰς ταραχὰς καὶ

A tempora, conquisitis diligenter veneficijs, quibus ni diuina iusticia præuentus fuisset, perdidisset quicquid erat in singulis vrbibus præstantium & probatorum hominum. Aduersus honoratos enim & diuites hunc apparatum fecerat, vrbanos præsertim atque Italos: apud quos tantum auri argentique congestum est, vt si ex reliquo orbe habitabili vniuerso colligeretur, multo minor inueniretur numerus. Qua- B propter à suametipsius patria, tanquam à sacra linea, exorsus est talem sementem iactare, pestis ciuitatis, populi deuorator, lues, & pernicies. Celebratur & alia laus Apollinis, quòd non solum medicus sed & vates sit optimus, oraculis futura prædicens ad vtilitatem hominum, ne quis caligante mente ob incertitudinem, offenset tanquam cæcus in tenebris, & bona quærens in aduersa impingat per improuiden- C tiam: sed potius futuri præscius, & in id tanquam præsens mente defixa, non aliter sibi caueat quàm corpori præcauet oculorum ministerio, vitans quęcumque incommoda. Quid si his quoque opponamus inclyta Caij oracula, per quæ ignominiæ, confiscationes, exilia, mortes prædicebantur optimatibus & dynastis vbique gentium? quid igitur commune habet cum Apolline, qui nihil D vnquam fecit simile? desinant igitur illi falsi pæanes, ad veri pæanis imitationem compositi: nam nec nomisma licet adulterare, nec diuinam effigiem. sed nihil tam inopinatum, quam tale corpus talémque animum vtrumque molle fractúmque, æmulari Martis robur ac fortitudinem. ille tamen tanquam in scena subinde mutatis personis varia specie fallebat spectantium oculos. omittamus examen animi & corporis, per E omnia dissimilium dicto dæmoni, tam habitu quàm gestibus. Certe Martis, non fabulosi dico, sed eius per quem fortitudinem naturalem intelligimus, vim scimus beneficam, auxiliatricem oppressorum iniuria, vt ipsum nomen eius Græcum indicat. nam ἄρης παρὰ τὸ ἀρήγειν, hoc est à succurrendo videtur mihi denominatus, profligator bellorum, pacis opifex, quam ille gradiuus æque ac hic bella, odio prosequitur, tranquillitatem & quie-

tem turbans tumultibus. Satis opinor iam declaratum, in nulla re Caio cum dijs, ac ne cum semideis quidem conuenire, diuerso natura & essentia, sed præcipue studijs. nimirum cæca est concupiscentia, præsertim accedente ambitione contentionéque peruicaci ac licentia maxima, quæ nos quondam fortunatos deuastauit. Solos enim Iudæos suspectos habebat vt obstaturos suo proposito, quippe qui penè in cunis ex parentibus, pædogogis, magistrísque, præcipue vero ex ipsis sacris legibus, atque etiam non scriptis moribus didicissent vnum Deum patrem & conditorem mundi credere. nam cæteri omnes, viri, fœminæ, ciuitates, gentes, regiones tractúsque terrarum, & totus pene dixerim orbis, gementes licet indignéque ferentes, nihilominus assentabantur, extollentes ipsum plus æquo, augentésque fastum eius immodicum. nonnulli vero barbaricum quoque morem introducebant in Italiam, adorationem videlicet, & ingenuitatem Romanam adulterabant. Sola inquam Iudæorum natio suspecta erat vt aduersatura, solitorum ad spontaneam mortem tanquam ad immortalitatem properare, potius quàm patiantur vel minimum aliquid conuelli è patrijs ritibus: quia sicut in ædificijs, exempto vno cæmento reliqua licet firma videantur, laxata sidunt paulatim in vacuum. nec erat paruum quod mouebatur, sed omnium longe maximum, hominem natum mortalem, in speciem ingeniti immortalísque Dei refingere, qua impietate nihil cogitari potest magis impium. citius enim Deus mutaretur in hominem, quàm homo in Deum. taceo quod hoc pacto aditus aperiebatur alijs vitijs ingentibus, vt infidelitati & ingratitudini erga benefactorem creaturarum omnium, qui pro sua potentia singulas vniuersi mundi partes bonis amplissimis cumulat. Proinde bellum absque inducijs contra nostram nationem exoriebatur. Quid enim seruo potest grauius obuenire quàm inimicus & infensus Dominus? sunt autem imperatoris serui subditi, si non vllius antea propter eorum mite legitimúmque imperium, certe Caij, qui ex animo reiecerat omnem clementiam,

A στάσεις μεθαρμοζόμενος· ἆρά γε ἤδη μεμαθήκαμεν τούτων ὅτι οὐδενὶ θεῷ, ἀλλ' οὐδὲ ἡμιθέων ἐξομοιοῦσθαι δεῖ Γάϊον, μήτε φύσεως μήτε οὐσίας ἀλλὰ μηδὲ προαιρέσεως τετυχηκότα τῆς αὐτῆς; τυφλὸς δὲ ὡς ἔοικεν ἡ ἐπιθυμία, καὶ μάλισθ' ὅταν προσλάβῃ κενοδοξίαν ὁμοῦ καὶ φιλονεικίαν μετὰ τῆς μεγίστης ἐξουσίας, ὑφ' ἧς ἡμεῖς οἱ πρότερον ἀτυχεῖς ἐπορθούμεθα. μόνους γὰρ Ἰουδαίους ὑπεβλέπετο, ὡς δὴ μόνους τἀναντία προῃρημένους, καὶ δεδι-
B δαγμένους ἐξ αὐτῶν τρόπον τινὰ σπαργάνων ὑπὸ γονέων καὶ παιδαγωγῶν καὶ ὑφηγητῶν, καὶ πολὺ πρότερον τῶν ἱερῶν νόμων, καὶ ἔτι τῶν ἀγράφων ἐθῶν, ἕνα νομίζειν τὸν πατέρα καὶ ποιητὴν τοῦ κόσμου θεόν· οἱ μὲν γὰρ ἄλλοι πάντες, ἄνδρες, γυναῖκες, πόλεις, ἔθνη, χῶραι, κλίματα γῆς, ὀλίγου δέω φάναι πᾶσα ἡ οἰκουμένη καίτοι στένοντες ἐπὶ τοῖς γινομένοις, οὐδὲν ἧττον ἐκολάκευον αὐτὸν ἀποσεμνύνοντες πλέον τοῦ μετρίου, καὶ τὸν τῦφον συ-
C ναύξοντες· ἔνιοι δὲ καὶ τὸ βαρβαρικὸν ἔθος εἰς Ἰταλίαν ἤγαγον, τὴν προσκύνησιν, τὸ εὐγενὲς τῆς Ῥωμαϊκῆς ἐλευθερίας παραχαράττοντες· ἓν δὲ μόνον ἔθνος ἐξαίρετον τὸ Ἰουδαίων ὕποπτον ἦν ἀντιπράξειν, εἰωθὸς ἑκουσίους ἀναδέχεσθαι θανάτους ὥσπερ ἀθανασίαν, ὑπὲρ τοῦ μηδὲν τῶν πατρίων περιιδεῖν ἀναιρούμενον, εἰ καὶ βραχύτατον εἴη, διὰ τὸ καθάπερ ἐπὶ τῶν οἰκοδομημάτων, ὑφαιρεθέντος ἑνὸς καὶ τὰ ἔτι παγίως ἑστάναι δοκοῦντα συμπίπτειν πρὸς τὸ κενωθὲν χα-
D λώμενα καὶ καταρρέοντα· μικρὸν δὲ οὐκ ἦν τὸ κινούμενον, ἀλλὰ τὸ μέγιστον τῶν ὄντων· ἀνθρώπου γενητὴν καὶ φθαρτὴν φύσιν εἰς ἀγένητον καὶ ἄφθαρτον ὅσα τῷ δοκεῖν θεοπλαστῆσαι, ὅπερ ἀσεβημάτων ἔκρινεν εἶναι χαλεπώτατον· θᾶττον γὰρ ἂν εἰς ἄνθρωπον θεὸν, ἢ εἰς θεὸν ἄνθρωπον μεταβαλεῖν· δίχα τοῦ καὶ τὰς ἄλλας τὰς ἀνωτάτω κακίας ἀναδέξασθαι, ἀπιστίαν ὁμοῦ καὶ ἀχαριστίαν πρὸς τὸν τοῦ κόσμου παντὸς εὐεργέ-
E την, ὃς τῇ αὑτοῦ δυνάμει τοῖς μέρεσι πᾶσι τοῦ παντὸς, ἀφθόνους περιουσίας ἀγαθῶν ἐνδίδωσι· μέγιστος οὖν καὶ ἀκήρυκτος πόλεμος ἐπὶ τῷ ἔθνει συνεκροτεῖτο· τί γὰρ ἂν εἴη δούλῳ βαρύτερον κακὸν, ἢ δεσπότης ἐχθρός· δοῦλοι δὲ αὐτοκράτορος οἱ ὑπήκοοι, καὶ εἰ μηδενὸς ἑτέρου τῶν προτέρων, διὰ τὸ σὺν ἐπιεικείᾳ καὶ μετὰ νόμων ἄρχειν, ἀλλά τοι Γαΐου πᾶσαν ἐκτετμημένου τῆς ψυχῆς ἡμερότητα,

καὶ παρανομίαν

καὶ παρανομίας ἐζηλωκότος· νόμον γὰρ ἡγούμενος ἑαυτόν, τοὺς τῶν ἑκασταχοῦ νομοθετῶν, ὡς κενὰς ῥήσεις ἔλυεν· ἡμεῖς δὲ οὐ μόνον ἐν δούλοις, ἀλλὰ καὶ δούλων τοῖς ἀτιμοτάτοις ἐγραφόμεθα, τὸν ἄρχοντα τρέποντες εἰς δεσπότην· ὅπερ συναισθόμενος ὁ Ἀλεξανδρέων μιγὰς καὶ πεφορημένος ὄχλος, ἐπέθετο ἡμῖν καιρὸν ἐπιτηδειότατον παραπεπτωκέναι ὑπολαβών, καὶ τὸ τυφόμενον ἐκ μακρῶν χρόνων μῖσος ἀνέφλεξε, πάντα κυκῶν καὶ συνταράττων· ὡς γὰρ ἐκδοθέντας εἰς ὁμολογουμένας καὶ τὰς ἀνωτάτω συμφορὰς ὑπὸ τοῦ αὐτοκράτορος, ἢ πολέμῳ κρατηθέντας, ἐκ μανίας καὶ θηριωδεστάταις ὀργαῖς κατειργάζοντο, ταῖς οἰκίαις ἐπιτρέχοντες, τοὺς δεσπότας αὐταῖς γυναιξὶ καὶ τέκνοις ἐλαύνοντες, ἃς κενὰς οἰκητόρων ἀπέφηναν· ἔπιπλα τε καὶ κειμήλια, οὐκ ἔτι ὡς λῃσταὶ νύκτα καὶ σκότος ἐπιτηροῦντες διὰ φόβον ἁλώσεως ἔκλεπτον, ἀλλὰ φανερῶς μεθ' ἡμέραν ἐξεφόρουν ἐπιδεικνύμενοι τοῖς ἀπαντῶσιν, ὥσπερ οἱ κεκληρονομηκότες ἢ πριάμενοι παρὰ τῶν κυρίων· εἰ δὲ καὶ πλείους συνέθεντο κοινοπραγῆσαι τὴν ἁρπαγήν, τὴν λείαν ἐν ἀγορᾷ μέσῃ διενέμοντο, πολλάκις ἐν ὄψεσι τῶν δεσποτῶν καταχερτομοῦντες καὶ ἐπιχλευάζοντες. δεινὰ μὲν οὖν καθ' ἑαυτὰ καὶ ταῦτα. πῶς γὰρ οὔ· πένητας ἐκ πλουσίων, καὶ ἀπόρους ἐξ εὐπόρων γεγενῆσθαι μηδὲν ἀδικοῦντας ἐξαίφνης, καὶ ἀνοίκους καὶ ἀνεστίους, ἐξεωσμένους καὶ πεφυγαδευμένους τῶν ἰδίων οἰκιῶν, ἵνα μεθ' ἡμέραν καὶ νύκτωρ ὕπαιθροι διατελοῦντες, ἢ ταῖς ἀφ' ἡλίου φλογώσεσιν, ἢ νυκτεριναῖς περιψύξεσι διαφθαρῶσι. κουφότερα δὲ τῶν μελλόντων λέγεσθαι ταῦτα. συνελάσαντες γὰρ τοσαύτας μυριάδας ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν καὶ τέκνων, καθάπερ βοσκήματα καὶ θρέμματα ἐξ ἁπάσης τῆς πόλεως εἰς μοῖραν ἐλαχίστην οἷα εἰς σηκόν, ᾤοντο ἐν ὀλίγαις ἡμέραις σωροὺς ἀθρόων νεκρῶν ἐφευρήσειν, ἢ λιμῷ διαφθαρέντων διὰ σπάνιν τῶν ἀναγκαίων οὐ προευτρεπισμένων τὰ ἐπιτήδεια κατὰ μαντείαν τῶν ἐξαπιναίων κακοπραγιῶν, ἢ δι' ὠθισμὸν καὶ πνῖγος μηδεμιᾶς εὐρυχωρίας προσφερομένης, ἀλλὰ καὶ τοῦ πέριξ ἀέρος κακωθέντος, καὶ ὅσον ἦν ἐν αὐτῷ ζωτικὸν ταῖς ἀναπνοαῖς, εἰ δὲ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τοῖς ἐκπνεόντων ἄσθμασιν ἀποβαλόντος, ὑφ' ὧν φλεγόμενος, καὶ ὥσπερ τινὰ καταβολῇ πυρετοῦ πιεσθείς, θερμὸν καὶ ἄτοπον πνεῦμα διὰ μυκτήρων καὶ στόματος εἰσέπεμπε, τὸ λεγόμενον κατὰ τὴν παροιμίαν πῦρ ἐπιφέρων πυρί. τῶν γὰρ ἐντὸς σπλάγχνων

A & iura contemnebat omnia. cum enim suam libidinem pro lege haberi postularet, abrogabat quicquid vsquam legum erat vt superuacaneum. nostrates autem non solum inter seruos verumetiam inter vilissima censebantur mancipia, loco principis nacti Dominum. quod vbi sensit Alexandrinorum vulgus promiscuum & confusaneum, in nos conspirauit, ratum venisse occasionem optatam, & odium quod iam dudum tentarat erumpere, semel
B aperuit, tumultu perturbans omnia. nam quasi permissu imperatoris essemus eorum expositi sæuiciæ, aut belli iure in potestatem redacti, immani beluinóque furore nos conficiebant, irrumpendo in ædes, pellendóque Dominos earum vnà cum vxoribus atque liberis. móxque ita desolatas diripiendo, asportandóque supellectilem cum rebus pretiosioribus ex abdito erutis: non clam vt no-
C cturni fures solent metuentes ne deprehensi capite luant, sed propalam interdiu prædam ostentantes obuijs, quasi res hæreditarias aut empticias. Quidam etiam inita societate latrocinij, rapta diuidebant in foro medio, interdum spectantibus dominis, & ipsos cauillis interim irridebant, proscindebántque conuicijs. grauia hæc erant, etiamsi nihil accederet: nisi leue videtur, pauperes è diuitibus & egenos ex opulentis nulla sua
D culpa repente factos, proprijs focis relictis exturbatos ædibus vagari, vt æstu nimio perirent aut nocturnis frigoribus. Sunt tamen ista leuiora his quæ secuta sunt. nam ex tota vrbe in exiguam quandam eius partem tanquam in speluncam compulsas tot myriadas virorum, mulierum, puerorúmque, ceu pecora, sperabant se intra paucos dies visuros aceruatim iacere: aut fame necatos per ciborum inopiam, qui vt in re nec opinata prædari non potuerant: aut
E in loco æstuoso angustóque compressos, vitiato etiam circumuicino aere vitalibúsque auris per crebras respirationes, imò vt verius loquar anhelitus, dum ab æstuantibus & propemodum febricitantibus per nares & os efflantur, & ignem (iuxta prouerbium) addunt incendio. cum enim intestinorum viscerum natura sit calidissima, quando

A externis auris refrigerantur mediocriter, bene afficiuntur reſpirationis inſtrumenta hac temperie. Quod ſi quando plus iuſto calefiant, ex intemperie neceſſario difficultas naſcitur, igne ad ignem adiuncto. Cum igitur non poſſent diutius ferre loci eius incommoditates, effundebantur in deſerta litora & ſepulcreta, cupientes ſaltem purum & innoxium aerem attrahere. Quod ſi qui aut reliqui erant in alijs vrbis partibus, B aut neſcij calamitatum incumbentium peregre veniebant, varijs modis mulctabantur, aut ſaxis vulnerati atque lateribus fragminibúſque teſtaceis, aut ilignis quernísve fuſtibus ad mortem vſque contuſi caput aliáſque partes corporis quæ non læduntur abſque vitæ periculo. illi quoque quos diximus contruſos in eximium quendam vrbis angulum anguſtiſſimum, tantumnon obſidebantur à maleferiatis hominibus, obſeruantibus ne quis clanculum ſe inde proriperet. futu- C rum enim erat vt haud pauci præ inopia victus diffugerent, parum de ſeipſis ſoliciti, modo ne fame interirent cum totis familijs. his ne pateret effugium cauebant aduerſarij, & quotquot intercepiſſent excruciatos prius mox enecabant, nullam ab eis abſtinendo ſæuiciam. alia verò manus circa portus fluminis inſidiabantur Iudæis appellentibus, & eorum mercimonijs, quibus in conſpectu dominorum direptis, ipſos D protuſos exurebant, conſtructo rogo è gubernaculis, contis, & nauium tabulis. Alij media in vrbe concremabantur miſerrimo ſupplicij genere. Nam præ lignorum inopia ſarmenta comportabant, quibus accenſis inijciebant miſeros. At illi ſemiuſtulati fumo magis quàm igni necabantur, quod ex tali materia ſurgens ignis fumoſus & debilis ſtatim extingueretur, nec vllas prunas relin- E queret. Multi etiam viui loris laqueíſque circa talos adſtrictis per medium forum raptabantur, inſultante vulgo & ne mortuis quidem parcente corporibus. Diſſecta enim membratim fruſtatímque conculcabant immaniores beſtijs efferatiſſimis, tanta crudelitate, vt ne reliquias quidem ad ſepulturam ſupereſſe ſinerent. Cúmque præſes eius regionis, qui ſolus ſi voluiſſet, poterat

A ἡ δύναμις ἐκ φύσεως φλογωδεστάτη καθέστηκεν, ἣν ὅταν μὲν αἱ θύραθεν αὖραι μετρίως ψυχραὶ καταπνέωσιν, εὐοδεῖ τὰ τῆς ἀναπνοῆς ὄργανα ταῖς εὐκρασίαις. ὅταν δὲ μεταβάλωσι πρὸς τὸ θερμότερον, ἀνάγκη δυσοδεῖν πυρὸς ἐπιρρέοντος πυρί. μηκέτι οὖν ὑπομένειν τὴν δυσχωρίαν οἷοί τε ὄντες, ἐξεχέοντο εἰς ἐρημίαν καὶ αἰγιαλοὺς καὶ μνήματα, γλιχόμενοι ἀπάσης καθαροῦ καὶ ἀβλαβοῦς ἀέρος· Εἰ δέ τινες ἢ προκατελήφθησαν ἐν τοῖς ἄλλοις μέρεσι τῆς πόλεως, ἢ ἀγνοίᾳ τῶν κατασκη- B ψάντων κακῶν ἀγρόθεν παρεγένοντο, πολυτρόπων ἀπήλαυον συμφορῶν, ἢ καταλευόμενοι, ἢ κεράμῳ τιτρωσκόμενοι, ἢ πρίνου κλάδοις καὶ δρυὸς τὰ κυριώτατα μέρη τοῦ σώματος καὶ μάλιστα κεφαλὴν ἄχρι θανάτου καταγνύμενοι. προκαθήμενοι δὲ ἐν κύκλῳ τινὲς τῶν ἀργῶν καὶ σχολάζειν εἰωθότων, τοὺς συνεληλαμένους καὶ συνεωσμένους εἰς ἐσχατιὰς βραχύ τι μέρος ὡς ἔφην, καθάπερ τοὺς τειχήρεις πολιορκοῦντες ἐπετήρουν, μή τις ὑπεξέλ- C θοι λαθών. ἔμελλον δὲ ἄρα οὐκ ὀλίγοι διὰ σπάνιν τῶν ἀναγκαίων, ἀλογήσαντες τῆς ἰδίας ἀσφαλείας ἐξιέναι, δέει τοῦ μὴ λιμῷ πανοίκιοι προαπολέσθαι· τούτους τοὺς διαδύντας καραδοκοῦντες ἐπετήρουν, καὶ τοὺς συλληφθέντας εὐθέως διέφθειρον αἰκιζόμενοι πάσαις αἰκίαις· ἕτερος δὲ λόχος ἦν ἐφεδρεύων τοῖς τοῦ ποταμοῦ λιμέσι πρὸς ἁρπαγὴν τῶν καταγομένων ἰουδαίων, καὶ ὧν κατ' ἐμπορίαν ἐκόμιζον. ἐπιβαίνοντες γὰρ ταῖς ναυσί, τὸν φόρτον ἐν ὄψεσι τῶν κυρίων ἐξεφόρουν, καὶ αὐ- D τοὺς ἐξαγκωνίζοντες ἐνεπίμπρασαν, ὕλῃ χρώμενοι πηδαλίοις, οἴαξι, κοντοῖς, καὶ ταῖς ἐπὶ τῶν καταστρωμάτων σανίσι· τοῖς δὲ ἐν μέσῳ τῇ πόλει κατακαιομένοις οἰκτρότατος ἦν ὁ ὄλεθρος· σπάνει γὰρ ἔσθ' ὅτε ξύλων φρύγανα συνεφόρουν, καὶ ταῦτα ἀνάψαντες ἐπέρριπτον τοῖς ἀθλίοις· οἱ δὲ ἡμίφλεκτοι καπνῷ τὸ πλέον ἢ πυρὶ διεφθείροντο τῆς φρυγανώδους ὕλης, πῦρ μὲν ἀμυδρὸν καὶ καπνῶδες ἐξαπτούσης καὶ αὐτίκα σβεννυμένης, E ἀνθρακοῦσθαι δὲ διὰ κουφότητος μὴ δυναμένης. πολλοὺς δὲ ἔτι ζῶντας ἱμᾶσι καὶ βρόχοις περιβαλόντες καὶ ἐπισφίγξαντες τὰ σφυρά, διὰ μέσης κατέσυρον ἀγορᾶς ἐναλλόμενοι, καὶ μηδὲ νεκρῶν ἀπεχόμενοι τῶν σωμάτων. διασπαράττοντες γὰρ αὐτὰ κατὰ μέλη καὶ μέρη, καὶ πατοῦντες οἱ καὶ τῶν ἀπηνεστάτων θηρίων ὠμότεροι καὶ ἀγριώτεροι, πᾶσαν ἰδέαν ἐξανήλισκον, ὡς μηδὲ λείψανον γοῦν, ὃ δυνήσεται ταφῆς ἐπιλαχεῖν, ὑπολιπεῖν. τοῦ δὲ ἐπιτρόπου τῆς χώρας, ὃς μόνος ἐδύνατο

βουληθεὶς ὥρᾳ μιᾷ τὴν ὀχλοκρατίαν καθελεῖν, προσεποιεῖτο ἅ τε ἑώρα μὴ ὁρᾶν καὶ ὧν ἤκουε μὴ ἐπακούειν, ἀλλ' ἀνέδην ἐφιέντος πολεμοποιεῖν, καὶ τὴν εἰρήνην συγχέοντος, ἔτι μᾶλλον ἐξοτρυνόμενοι πρὸς ἀναιδεστέρας καὶ θρασυτέρας ὁρμῆς ἐπιβουλάς, καὶ συνταξάμενοι στίφη πολυανθρωπότατα, τὰς προσευχάς· πολλαὶ δέ εἰσι καθ' ἕκαστον τμῆμα τῆς πόλεως· τὰς μὲν ἐδενδροτόμησαν, τὰς δὲ αὐτοῖς θεμελίοις κατέσκαψαν, εἰς ἃς δὲ καὶ πῦρ ἐμβαλόντες ἐνέπρησαν ὑπὸ λύττης καὶ μανίας ἐκφερόμενοι, ἀλογήσαντες καὶ τῶν πλησίον οἰκιῶν· πυρὸς γὰρ ὁπότε λάβοιτο ὕλης, οὐδὲν ὠκύτερον. καὶ σιωπῶ τὰς συγκαθαιρεθείσας καὶ συμπρησθείσας τῶν αὐτοκρατόρων τιμὰς ἀσπίδων καὶ στεφάνων ἐπιχρύσων καὶ στηλῶν καὶ ἐπιγραφῶν, δι' ἃ καὶ τῶν ἄλλων ἀφεῖσθαι ἔδει, ἀλλ' ἐθάρρουν, ἅτε τὴν ἐκ Γαΐου τίσιν οὐ δεδιότες, ὃν ᾔδεσαν ἠπίσταντο μῖσος ἄλεκτον ἔχοντα πρὸς Ἰουδαίους, ὡς ὑπονοεῖν ὅτι οὐδεὶς οὐδὲν αὐτῷ χαρίζοιτο μεῖζον, ἢ πάσας κακῶν ἰδέας ἐπιφέρων τῷ ἔθνει. βουλόμενοι δὲ καινοτέραις κολακείαις ὑπελθόντες αὐτὸν, ἀνυπευθύνοις χρῆσθαι κατὰ τὸ παντελὲς ταῖς εἰς ἡμᾶς ἐπηρείαις, τί ποιοῦσι· προσευχὰς ὅσας μὴ ἐδυνήθησαν ἐμπρήσεσι καὶ κατασκαφαῖς ἀφανίσαι, διὰ τὸ πολλοὺς ἀθρόους πλησίον οἰκεῖν Ἰουδαίους, ἕτερον τρόπον ἐλυμήναντο μετὰ τῆς τῶν νόμων καὶ ἐθῶν ἀναστροφῆς· εἰκόνας γὰρ ἐν ἁπάσαις μὲν ἱδρύοντο Γαΐου, ἐν δὲ τῇ μεγίστῃ καὶ περισημοτάτῃ, καὶ ἀνδριάντα χαλκοῦν ἐποχούμενον τεθρίππῳ· καὶ τοσοῦτον ἦν τὸ τάχος καὶ σπουδῆς, ὥστε οὐκ ἔχοντες ἐν ἑτοίμῳ καινὸν τέθριππον, ἐκ τοῦ γυμνασίου παλαιότατον ἰοῦ γέμον ἠκρωτηριασμένον ὦτα καὶ οὐρὰς καὶ βάσεις καὶ ἕτερα οὐκ ὀλίγα, ὡς δέ φασί τινες καὶ ὑπὲρ γυναικὸς ἀνατεθὲν τῆς ἀρχαίας Κλεοπάτρας, ἥτις ἦν προμάμμη τῆς τελευταίας. ἡλίκην μὲν οὖν καθ' αὐτὸ τοῦτο τοῖς ἀναθεῖσιν ἐπέφερε κατηγορίαν, παντί τῳ δῆλον· τί γάρ, εἰ καινὸν γυναικός· τί δέ, εἰ καὶ παλαιὸν ἀνδρός· τί, δ' εἰ συνόλως ἐπιφημισθὲν ἑτέρῳ· τοὺς τοιοῦτον ἀναθέντας ὑπὲρ αὐτοκράτορος οὐκ εἰκὸς ἦν εὐλαβηθῆναι, μή τις ἀφίκηται μήνυσις τῷ πάντα σεμνοποιοῦντι τὰ κατ' αὐτὸν διαφερόντως; οἱ δέ γε οὐκ ἐκ πολλοῦ τοῦ περιόντος ἤλπιζον ἐπαινεθήσεσθαι καὶ μειζόνων καὶ λαμπροτέρων ἀπολαύσειν ἀγαθῶν ἕνεκα τοῦ καινὰ τεμένη προσοικειῶσαι Γαΐῳ τὰς προσευχάς, οὐχ ἕνεκα τιμῆς τῆς εἰς ἐκεῖνον,

A vna hora impotentiam turbæ furentis compescere, dissimularet quæ videbat audiebátque, atque etiam turbata pace daret infestandi licentiam, magis etiam exasperati atrociora sunt ausi facinora: conglobatíque in cohortes numerosissimas, proseuchas (multæ sunt in singulis vrbis regionibus) aut arbustis succisis vastarunt, aut diruerunt funditus, quasdam etiam incenderunt iniectis ignibus tanta rabie atque in-
B sania, vt nec proximis ædificijs parcerent. Ignis enim nactus materiam facillime transilit. Tacco deletos à furentibus eodem incendio honores Romanorum principum, clypeos, coronas, statuásque auratas cum suis titulis, quos reueriti continere impetum debuerant: sed tum ferociebant, non timentes Caium vindicem, quem norant Iudæis infensissimum, nec illi quicquam fore gratius, quàm si hanc gentem omni
C genere calamitatum afficerent. & vt nouis adulationibus eum sibi conciliarent, ac in nos sæuirent securius, quid faciunt? proseuchas quotquot diruere incenderéve non poterant, quòd accolerentur magna Iudæorum frequentia, alio modo perdiderunt vnà euersis moribus & ritibus. Nam effigies Caij statuerunt in omnibus, in maxima vero ac celeberrima sublimem quadrigis aheneis: idque tam præpropero stu-
D dio, vt cum carerent nouis quadrigis, veteres æruginosas, auribus, caudis pedibúsque mutilatas, è gymnasio raperent, olim dedicatas, vt fertur Cleopatræ, quæ fuerat vltimæ huius nominis reginæ proauia. Qua in re quantum crimen sit admissum, cuiuis puto perspicuum. Nunquid enim decorum erat vel nouas dedicari quæ fuissent fœminæ? nunquid vel viriles vetustas adeo? aut qualescumque, alienas tamen, &
E iam ante dicatas alteri? & cum istis talibus donarijs non verebantur ne offenderent imperatorem, iracundum & omnes honores sibi deposcentem egregie splendidos atque magnificos? at illi ob hoc præclare factum laudem sperabant insuper, maiorémque gratiam, quòd proseuchas in noua fana verterent, augeréntque contractorum Caio templorum numerum, non tam in eius honorem,

A quàm vt odium suum exsaturarent omnifarijs nostræ nationis cladibus, id quod liquet argumentis certissimis. primo quia nullius regum, quos circiter decem in trecentis annis deinceps numerant, vllam in proseuchis dedicarunt effigiem aut statuam, quamuis hos sui generis Deos censerent appellarêntque in titulis. Quid ni? quos certe sciebant homines, cum plerasque bestias aquatiles terrestres volucrésque referrent B inter numina, quorum fanis, aris, templis, lucisque tota Ægyptus plena est. respondebunt nunc fortasse quod tunc non respondissent, vt sunt adulatores, fortunam principum magis quàm ipsos principes colere soliti: maiorem esse imperatorum maiestatem ac felicitatem quam Ptolemæorum fuerat, ac proinde maiores his honores deberi. Ergo homines omnium, ne quid dicam asperius, stultissimi, cur ante Caium C Tiberio, qui & illi principatum parauit, & per viginti tres annos terræ marisque potitus imperio, nullum semen belli, ac ne scintillam quidem reliquit in tota Græcia & Barbaria, sed pacem pacisque bona vsque ad suum obitum fouit constantissime, non eosdem decreuistis honores? num genere erat eo inferior? imò ex vtroque parente nobilissimus. An eruditione cedebat? & quis fuit per id temporis prudentior aut disertior? At fortassis æta- D te? & quis rex aut imperator felicius consenuit: imò etiamnum iuuenis, senior dicebatur propter opinionem solertiæ. & tamen hic talis ac tantus à vobis est præteritus. Quid ille qui humanam naturam excessit omni virtutum genere, propter eximiam potentiam bonitatémque primus cognominatus Augustus, non hæreditariam hanc appellationem sortitus, sed nouus eius conditor & transmissor ad poste- E ros? quamuis rebus turbatissimis principatum adeptus & admotus gubernaculis reipublicæ. nam terra marique contendebatur de primatu certantibus maritimis & mediterraneis prouincijs, ductu honoratissimi cuiusque è Romanis optimatibus: & ingentes orbis terrarum tractus inter se committebantur conflictabantúrque æmulatione

ἀλλὰ παρὰ τὸ πάντα τρόπον ἐμφορεῖσθαι τῆς ἐπὶ τῷ ἔθνει κακοπραγίας. ἐναργὴς δὲ πίστις λαβεῖν ἐστί· πρῶτον μὲν ἀπὸ τῶν βασιλέων δέκα που σχεδὸν ἢ καὶ πλειόνων ἐν τριακοσίοις ἔτεσιν ἑξῆς γενομένων, οἳ ἀνάθεσιν εἰκόνων ἢ ἀνδριάντων ἐν προσευχαῖς οὐδεμίαν ἐποιήσαντο, καίτοι γε οἰκείων ὄντων καὶ συγγενῶν, οὓς θεοὺς καὶ ἐνόμιζον καὶ ἔγραφον καὶ ἐκάλουν. τί δὲ οὐκ ἔμελλον ἀνθρώπους γε ὄντας, οἱ κύνας καὶ λύκους καὶ λέοντας καὶ κροκοδείλους, καὶ ἄλλα πλείονα θηρία, καὶ ἔνυδρα, καὶ χερσαῖα, καὶ πτηνὰ θεοπλαστοῦντες, ὑπὲρ ὧν βωμοὶ καὶ ἱερὰ καὶ ναοὶ καὶ τεμένη κατὰ πᾶσαν Αἴγυπτον ἵδρυνται· τάχα που νῦν φήσουσι τοῦτο οὐκ ἂν εἰπόντες· τὰς γὰρ τῶν ἀρχόντων εὐπραγίας μᾶλλον, ἢ τοὺς ἄρχοντας αὐτοὺς εἰώθασι θεραπεύειν. ὅτι μείζους μὲν οἱ αὐτοκράτορες τὰ ἀξιώματα καὶ τὰς τύχας τῶν Πτολεμαίων εἰσί· μειζόνων δὲ καὶ τιμῶν τυγχάνειν ὀφείλουσιν. εἶτα ὦ πάντων ἀνθρώπων, ἵνα μηδὲν διακαθῶ βλάσφημον εἰπεῖν, εὐηθέστατοι, διὰ τί τὸν πρὸ Γαΐου Τιβέριον, ὃς κἀκείνῳ τῆς ἡγεμονίας αἴτιος γέγονε, τρία πρὸς τοῖς εἴκοσιν ἔτη γῆς καὶ θαλάττης ἀναψάμενον τὸ κράτος, καὶ μηδὲν σπέρμα πολέμου, μήτε κατὰ τὴν Ἑλλάδα, μήτε κατὰ τὴν βάρβαρον ὑποτυφόμενον ἐάσαντα· τὴν δὲ εἰρήνην καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ παρασχόμενον ἄχρι τῆς τοῦ βίου τελευτῆς ἀφθόνῳ καὶ πλουσίῳ χειρὶ καὶ γνώμῃ, τῆς ὁμοίας τιμῆς οὐκ ἠξιώσατε; τὸ γένος ἦν ἐλάττων; ἀλλ' εὐγενέστατος κατ' ἀμφοτέρους τοὺς γονεῖς. ἀλλὰ τὴν παιδείαν; καὶ τίς ἦν φρονιμώτερος ἢ λογιώτερος ἐκείνου τῶν κατ' αὐτὸν ἀκμασάντων· ἀλλὰ τὴν ἡλικίαν; καὶ ποῖος μᾶλλον ἢ βασιλέων ἢ αὐτοκρατόρων εὐγήρως. οὐ μὴν ἀλλὰ καὶ ἔτι νέος ὤν, ὁ πρεσβύτης ἐλέγετο δι' αἰδῶ τὴν περὶ τὴν ἀγχίνοιαν. οὗτος οὖν ὁ τοιοῦτος καὶ τοσοῦτος ὑμῖν παρεώφθη καὶ παρεσύρη. τί δέ, ὁ τὴν ἀνθρωπίνην φύσιν ὑπερβαλὼν ἐν ἁπάσαις ταῖς ἀρεταῖς, ὁ διὰ μέγεθος εὐδαιμονίας αὐτοκρατοῦς ὁμοῦ καὶ καλοκαγαθίας πρῶτος ὀνομασθεὶς σεβαστός, οὐ διαδοχῇ γένους ὥσπερ τι κληρούμενος τὴν ἐπωνυμίαν λαβών, ἀλλ' αὐτὸς γενόμενος ἀρχὴ σεβασμοῦ καὶ τοῖς ἔπειτα· ὁ τοῖς μὲν πράγμασι τεταραγμένοις καὶ συγκεχυμένοις ἐπιστάς, ὅτε εὐθὺς παρῆλθεν ἐπὶ τὴν τῶν κοινῶν ἐπιμέλειαν· νῆσοι γὰρ πρὸς ἠπείρους, καὶ ἤπειροι πρὸς νήσους περὶ πρωτείων ἀντεφιλονίκουν, ἡγεμόνας ἔχουσαι καὶ προαγωνιστὰς Ῥωμαίων τοὺς ἐν τέλει δοκιμωτάτους· καὶ αὖθις τὰ μεγάλα τμήματα τῆς οἰκουμένης

Ἀσίας πρὸς Εὐρώπην, καὶ Εὐρώπης πρὸς Ἀσίαν ἡμιλλᾶτο περὶ κράτους ἀρχῆς, τῶν Εὐρωπαίων καὶ Ἀσιανῶν ἐθνῶν ἀπὸ ἐσχάτων γῆς ἀναστάντων, καὶ βαρεῖς πολέμους ἀντεπιφερόντων διὰ πάσης γῆς καὶ θαλάττης περὶ ζομαχίας, ὡς σμικροῦ σύμπαν τὸ ἀνθρώπων γένος ἀναλωθὲν ταῖς ἀλληλοκτονίαις, εἰς τὸ παντελὲς ἀφανισθῆναι, εἰ μὴ δι' ἕνα ἄνδρα καὶ ἡγεμόνα τὸν σεβαστὸν οἶκον, ὃν ἄξιον καλεῖν ἀλεξίκακον. οὗτός ἐστι Καῖσαρ, ὁ τοὺς καταρράξαντας πανταχόθι χειμῶνας εὐδιάσας, ὁ τὰς κοινὰς νόσους Ἑλλήνων καὶ βαρβάρων ἰασάμενος, αἳ κατέβησαν μὲν ἀπὸ τῆς μεσημβρινῶν καὶ ἑῴων, ἔδραμον δὲ καὶ μέχρι δύσεως καὶ πρὸς ἄρκτον, τὰ μεθόρια χωρία καὶ πελάγη κατασπείρασαι τῶν ἀβουλήτων. οὗτός ἐστιν ὁ τὰ δεσμὰ οἷς κατέζευκτο καὶ ἐπεπίεστο ἡ οἰκουμένη παραλύσας, οὐ μόνον ἀνείς. οὗτος ὁ καὶ τοὺς φανεροὺς καὶ ἀφανεῖς πολέμους διὰ τὰς ἐκ λῃστῶν ἐπιθέσεις ἀνελών. οὗτος ὁ τὴν θάλατταν πειρατικῶν μὲν σκαφῶν κενὴν ἐργασάμενος, φορτίδων δὲ πληρώσας. οὗτος ὁ τὰς πόλεις ἁπάσας εἰς ἐλευθερίαν ἐξελόμενος, ὁ τὴν ἀταξίαν εἰς τάξιν ἀγαγών, ὁ τὰ ἄμικτα ἔθνη καὶ θηριώδη πάντα ἡμερώσας καὶ ἁρμοσάμενος· ὁ τὴν μὲν Ἑλλάδα Ἑλλάσι πολλαῖς παραυξήσας, τὴν δὲ βάρβαρον ἐν τοῖς ἀναγκαιοτάτοις τμήμασιν ἀφελληνίσας· ὁ εἰρηνοφύλαξ, ὁ διανομεὺς τῶν ἐπιβαλλόντων ἑκάστοις, ὁ τὰς χάριτας ἀταμιεύτους εἰς μέσον προθείς, ὁ μηδὲν ἀποκρυψάμενος ἀγαθὸν ἢ καλὸν ἐν ἅπαντι τῷ ἑαυτοῦ βίῳ. τοῦτον οὖν τὸν τοσοῦτον εὐεργέτην ἐν τρισὶ καὶ τετταράκοντα ἐνιαυτοῖς, οἷς ἐπεκράτησεν Αἰγύπτου, παρεκαλύψαντο, μηδὲν ἐν προσευχαῖς ὑπὲρ αὐτοῦ, μὴ ἄγαλμα, μὴ ξόανον, μὴ γραφὴν ἱδρυσάμενοι· καὶ μὴν εἴ τινι καινὰς καὶ ἐξαιρέτους ἔδει ψηφίζεσθαι τιμάς, ἐκείνῳ προσῆκον ἦν, οὐ μόνον ὅτι τοῦ σεβαστείου γένους ἀρχή τις ἐγένετο καὶ πηγή· οὐδ' ὅτι πρῶτος καὶ μέγιστος κοινὸς εὐεργέτης, ἀντὶ πολυαρχίας ἑνὶ κυβερνήτῃ παραδοὺς τὸ κοινὸν σκάφος οἰακονομεῖν ἑαυτῷ θαυμασίῳ τὴν ἡγεμονικὴν ἐπιστήμην. τὸ γάρ, Οὐκ ἀγαθὸν πολυκοιρανίη, λέλεκται δεόντως, ἐπειδὴ πολυτρόπων αἰτίαι κακῶν αἱ πολυψηφίαι· ἀλλ' ὅτι καὶ πᾶσα ἡ οἰκουμένη τὰς ἰσολυμπίους αὐτῷ τιμὰς ἐψηφίσατο, καὶ ναούς, προπύλαια, προτεμενίσματα, στοάς, ὡς ὅσα τῶν πόλεων ἢ νέα ἢ παλαιὰ τῷ κάλλει καὶ μεγέθει τῶν Καισαρείων παρευημερεῖσθαι, καὶ μάλιστα κατὰ τὴν ἡμετέραν Ἀλεξάνδρειαν. οὐδὲν γὰρ τοιοῦτόν ἐστι τέμενος οἷον τὸ λεγόμενον Σεβάστιον, ἐπιβατηρίου Καίσαρος νεώς,

A imperij, excitis vtrinque gentibus vltimis, & aduersas acies terra marique mouentibus, vt pene vniuersum hominum genus internecione sit absumptum per cædes mutuas, ni rebus fessis subuenisset vnus homo princeps augustæ familiæ, dignus alexicaci seu auerruncatoris cognomine. Hic est Cæsar ille qui depulsis procellis vndequaque ruentibus serenitatem orbi restituit, qui calamitatibus publicis tum Græcarum tum Barbararum gentium attu-
B lit remedia, quæ exortæ ab oriente ac meridie percurrerunt vsque occidentem & septemtriones, intermedijs terris repletis omni malorum genere. Hic est ille qui solus prouincias quotquot sunt exemit vinculis. Hic est ille qui & aperta bella sustulit & occulta latrocinia. Hic est ille qui mare vacuatum nauibus piraticis, reddidit plenum onerarijs. Hic ciuitates vniuersas libertate do-
C nauit, res perturbatas reduxit ad certum ordinem, gentes feras & abhorrentes à cæterarum commercio, formauit ad mansuetudinem societatémque hominum. Hic Græciæ longe promouit pomœria, tractus vero Barbarorum opportunissimos mutauit in Græciam. Hic pacis custos, iuris æquus moderator, gratiarum profusus largitor, omnium bonarum rerum quàm diu vixit communicator. Huius talis tantíque benefacto-
D ris, per quadraginta tres annos quibus Ægyptum tenuit, honores neglexerunt, in proseuchis nulla eius posita statua vel effigie. Atqui si cui noui eximiíque honores debebantur, illi conueniebant maxime, non solum vt autori Augustæ familiæ, & ante alios optime de mortalibus merito, qui sublato multorum principatu sibi vni sumpsit clauum reipublicæ, gubernandi scientissimus: merito enim dictum est illud, Multos imperitare malum est: quia
E multifariorum malorum causa sunt multorum suffragia: verum etiam quia totus orbis cælestes ei honores decreuerat, templa, fana, lucos, porticus, vt his alia nulla pulchriora visantur in vrbibus vel noua vel vetera, præsertim in nostra Alexandria. Nullum enim est conferendum cum eo quod dicitur Sebastion, templum Cæsaris

nauigantium præsidis, situm è regione stationis portuosissimæ, sublime, ingens ac conspicuum, quale nusquam aliubi; plenum donarijs, pictis tabulis & statuis, circumquaque ornatum auro argentóque, spatiosum, excultum porticibus, bibliothecis, aulis, lucis, vestibulis, atrijs, ambulacris, omnibus his sumptuosissimis, spes salutaris soluentium & appellentium. In tanta occasione, in tanto consensu gentium, incolumi proseucharum iure decessit ne quicquam officijs Cæsari debitis? id nemo sanus dixerit. cur igitur prætermiserunt? dicam sedulo. Norant eius curam ac diligentiam, qui non minus sollicitus esset de confirmandis singularum prouinciarum ritibus quàm de Romanis ceremonijs: acciperétque huiusmodi honores à cæcis assentatoribus, non quòd probaret, sed quia videbatur hoc postulare amplitudo imperij, cui veneratio quædam parabatur his artibus. Ipsum vero nunquam inflatum talibus obsequiis, hinc certò colligitur, quòd nunquam sustinuit se appellari Deum vel Dominum, auersatus hanc adulationem, nec dissimulans probari sibi Iudæos qui abominarentur talia. Alioqui non passus fuisset trans Tiberim bonam vrbis partem teneri à Iudæis, quorum plerique erant libertini: quippe qui belli iure in potestatem redacti ab heris suis manumissi fuerant, permissi ritu maiorum viuere. Hos sciebat habere suas proseuchas in quibus cœtus facerent, præsertim sabbatis, iuxta religionem patriam. Sciebat eos collectas primitiarum nomine mittere Hierosolyma, & certos homines, qui pro ipsis offerrent victimas. Eos tamen nec vrbe iussit excedere, nec mulctauit iure ciuium, quandoquidem ne in Palæstina quidem extinctam volebat eorum religionem & rempublicam: nec circa proseuchas quicquam nouauit, nec cœtus in quibus leges discerentur fieri vetuit, nec solennem morem primitiarum offendarum vllo edicto sustulit: sed tam sanctè nostra sacra habuit, vt penè omnium eius domesticorum dona extent in templo nostro, in quo mandauit quotidianas mactari victimas suis sumptibus, Deo votas altissimo:

A ἀντικρὺ τῶν εὐορμοτάτων λιμένων μετέωρος ἵδρυται μέγιστος καὶ ἐπιφανέστατος, καὶ οἷος οὐχ ἑτέρωθι, κατάπλεως ἀναθημάτων, ἐν γραφαῖς καὶ ἀνδριᾶσι, καὶ ἀργύρῳ καὶ χρυσῷ περιβεβλημένος ἐν κύκλῳ, τέμενος εὐρύτατον, στοαῖς, βιβλιοθήκαις, ἀνδρῶσιν, ἄλσεσι, προπυλαίοις, εὐρυχωρίαις, ὑπαίθροις, ἅπασι τοῖς εἰς πολυτελέστατον κόσμον ἠσκημένος, ἐλπὶς καὶ ἀναγομένοις καὶ καταπλέουσι σωτήριος. ἔχοντες οὖν τοιαύτας ἀφορμὰς καὶ τοὺς πανταχοῦ πρὸς ταῦτας ὁμογνώμονας, οὔτι

B περὶ τὰς προσευχὰς καθ' ἕκαστον νόμιμον ἐφύλαξαν, ἤ τινα σεβασμὸν παρέλιπον τῶν ὀφειλομένων Καίσαρι. καὶ τίς ἂν εὖ φρονῶν εἴποι; διὰ τί οὖν ὑστέρησαν. ἐγὼ φράσω μηδὲν ὑποστειλάμενος· ᾔδεσαν αὐτοῦ τὴν ἐπιμέλειαν, καὶ ὅτι τοσαύτην ποιεῖται τῆς βεβαιώσεως τῶν παρ' ἑκάστοις πατρίων, ὅσην καὶ τῶν Ῥωμαϊκῶν, καὶ ὅτι δέχεται τὰς τιμὰς οὐκ ἐπὶ καθαιρέσει τῶν παρ' ἐνίοις νομίμων τυφλοπλαστῶν ἑαυτόν, ἀλλὰ καὶ τῷ μεγέθει τῆς τοσαύτης ἡγεμονίας ἑπόμενος, ἣ διὰ τῶν τοιούτων

C πέφυκε σεμνοποιεῖσθαι. τοῦ δὲ μὴ ταῖς ὑπερόγκοις τιμαῖς ἐκθηλυνθῆναί ποτε πίστις ἐναργεστάτη, τὸ μὴ δεσπότην μήτε θεὸν ἑαυτὸν ἐθελῆσαι προσειπεῖν, ἀλλὰ κἂν εἰ λέγοι τις, δυσχεραίνειν, καὶ τὸ τοὺς Ἰουδαίους ἀποδέχεσθαι, οὓς ἀκριβῶς ᾔδει πάντα ἀφοσιουμένους τὰ τοιαῦτα. πῶς οὖν ἀπεδέχετο τὴν πέραν τοῦ Τιβέρεως ποταμοῦ μεγάλην τῆς Ῥώμης ἀποτομήν, ἣν οὐκ ἠγνόει κατεχομένην καὶ οἰκουμένην πρὸς Ἰουδαίων.

D Ῥωμαῖοι δὲ ἦσαν οἱ πλείους ἀπελευθερωθέντες. αἰχμάλωτοι γὰρ ἀχθέντες εἰς Ἰταλίαν, ὑπὸ τῶν κτησαμένων ἠλευθερώθησαν, οὐδὲν τῶν πατρίων παραχαράξαι βιασθέντες. ἠπίστατο οὖν καὶ προσευχὰς ἔχοντας καὶ συνιόντας εἰς αὐτάς, καὶ μάλιστα ταῖς ἱεραῖς ἑβδόμαις, ὅτε δημοσίᾳ τὴν πάτριον παιδεύονται φιλοσοφίαν. ἠπίστατο καὶ χρήματα συναγαγόντας ἀπὸ τῶν ἀπαρχῶν ἱερά, καὶ πέμποντας εἰς Ἱεροσόλυμα διὰ τῶν τὰς θυσίας ἀναξόντων. ἀλλ'

E ὅμως οὔτε ἐξῴκισε τῆς Ῥώμης ἐκείνους, οὔτε τὴν Ῥωμαϊκὴν αὐτῶν ἀφείλετο πολιτείαν, ὅτι καὶ τῆς Ἰουδαϊκῆς ἐφρόντιζον, οὔτε ἐνεωτέρισεν εἰς τὰς προσευχάς, οὔτε ἐκώλυσε συνάγεσθαι πρὸς τὰς τῶν νόμων ὑφηγήσεις, οὔτε ἠναντιώθη τοῖς ἀπαρχομένοις, ἀλλ' οὕτως ὡσίωτο περὶ τὰ ἡμέτερα, ὥστε μονονοὺ πανοίκιος ἀναθημάτων πολυτελείαις τὸ ἱερὸν ἡμῶν ἐκόσμησε, προστάξας καὶ διαιωνίους ἀνάγεσθαι θυσίας ἐντελεχεῖς ὁλοκαύτους καθ' ἑκάστην ἡμέραν ἐκ τῶν ἰδίων προσόδων, ἀπαρχὴν τῷ ὑψίστῳ θεῷ.

ἃ καὶ μέχρι νῦν ἐπιτελοῦνται, καὶ εἰς ἅπαν ἐπιτελεσθήσονται, μήνυμα ἔργων ὄντως αὐτοκρατορικῶν. οὐ μὴν ἀλλὰ κἀν ταῖς μηνιαίοις τῆς πατρίδος διανομαῖς, ἀργύριον ἢ σῖτον ἐν μέρει πάντος τοῦ δήμου λαμβάνοντος, οὐδέποτε τοὺς ἰουδαίους ἠλάττωσε τῆς χάριτος, ἀλλ' εἰ καὶ συνέβη τῆς ἱερᾶς ἑβδόμης ἐνεστώσης γενέσθαι τὴν διανομὴν, ὅτε οὔτε λαμβάνειν, οὔτε διδόναι, ἢ συνόλως τι πράττειν τῶν κατὰ βίον, καὶ μάλιστα τὸν πορισμὸν ἐφεῖται, προσετέτακτο τοῖς διανέμουσι ταμιεύειν τοῖς ἰουδαίοις εἰς τὴν ὑστεραίαν τὴν κοινὴν φιλανθρωπίαν. τοιγαροῦν οἱ πανταχοῦ πάντες εἰ καὶ φύσει διέκειντο πρὸς ἰουδαίους οὐκ εὐμενῶς, εὐλαβῶς εἶχον ἐπὶ καθαιρέσει τινὸς τῶν ἰουδαϊκῶν νομίμων προσάψασθαι. καὶ ἐπὶ Τιβερίου μέντοι τὸν αὐτὸν τρόπον, καίτοι τῶν ἐν Ἰταλίᾳ παρακινηθέντων, ἡνίκα Σηιανὸς ἐσκευώρει τὴν ἐπίθεσιν. ἔγνω γὰρ εὐθέως μετὰ τὴν ἐκείνου τελευτὴν, ὅτι τὰ κατηγορηθέντα τῶν ᾠκηκότων τὴν Ῥώμην ἰουδαίων, ψευδεῖς ἦσαν διαβολαί, πλάσματα Σηιανοῦ τὸ ἔθνος ἀναρπάσαι θέλοντος, ὅπερ ἢ μόνον, ἢ μάλιστα ᾔδει βουλαῖς ἀνοσίοις καὶ πράξεσιν ἀντιβησόμενον. ὑπὲρ τοῦ παρασπονδηθῆναι κινδυνεύσαντος αὐτοκράτορος· καὶ τοῖς πανταχόσε χειροτονουμένοις ὑπάρχοις ἐπέσκηψε, παρηγορῆσαι μὲν τοὺς κατὰ πόλεις τῶν ἀπὸ τοῦ ἔθνους, ἀλλ' ἐπὶ μόνους τοὺς αἰτίους· ὀλίγοι δὲ ἦσαν· κινῆσαι δὲ μηδὲν τῶν ἐξ ἔθους, ἀλλὰ καὶ παρακαταθήκην ἔχειν, τούς τε ἄνδρας ὡς εἰρηνικοὺς τὰς φύσεις, καὶ τὰ νόμιμα ὡς ἀλείφοντα πρὸς εὐστάθειαν. ὁ δὲ Γάιος ἑαυτὸν ἐξετύφωσεν, οὐ λέγων μόνον, ἀλλὰ καὶ οἰόμενος εἶναι θεός. εἶτα οὐδένας εὗρεν οὔτε ἑλλήνων οὔτε βαρβάρων ἐπιτηδειοτέρους ἀλεξανδρέων εἰς τὴν τῆς ἀμέτρου καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην ἐπιθυμίας βεβαίωσιν. δεινοὶ γάρ εἰσι τὰς κολακείας καὶ γοητείας καὶ ὑποκρίσεις, παρεσκευασμένοι μὲν θωπείας λόγους, ἀνειμένοι δὲ στόμασι καὶ ἀχαλίνοις πάντα φύροντες. θεοῦ κλῆσις οὕτως ἐστὶ σμικρὸν παρ' αὐτοῖς, ὥστε καὶ ἴβεσι, καὶ ἰοβόλοις ἀσπίσι τῶν ἐγχωρίοις, καὶ πολλοῖς ἑτέροις τῶν ἐξηγριωμένων αὐτῆς θηρίων μεταδεδώκασιν· ὥστε εἰκότως ἀταμιεύτοις χρώμενοι ταῖς εἰς θεὸν τεινούσαις προσρήσεσιν, ἀπατῶσι μὲν τοὺς ὀλιγόφρονας καὶ ἀπείρους τῆς αἰγυπτιακῆς ἀθεότητος· ἁλίσκονται δὲ ὑπὸ τῶν ἐπισταμένων τὴν πολλὴν αὐτῶν ἠλιθιότητα, μᾶλλον δὲ ἀσέβειαν, ἧς ἄπειρος ὢν Γάιος, ὑπελάμβανε τῷ ὄντι νομίζεσθαι παρὰ ἀλεξανδρεῦσι θεός, ἐπειδήπερ οὐ πλαγίως, ἀλλ' ἄντικρυς ἅπασιν ἐχρῶντο κατακόρως τοῖς ὀνόμασιν,

A quæ ſacra in hodiernum peraguntur, durabúntque perpetuo, monumentum virtutum imperatoriarum. Domi quoque quoties menſtruas pecuniæ frumentíque diſtributiones populus acciperet, Iudæorum rationem haberi voluit: quæ liberalitas ſi in ſabbatum incideret, quando noſtris nec dare licet nec accipere, nec operis quicquam facere, præſertim quæſtus gratia, iubebantur diripitores Iudæis in poſterum diem reponere publicum beneficium. B quapropter omnes vbique gentes, quamuis ſuopte ingenio Iudæis parum propitiæ, verebantur tamen violare iura Iudaïca. Itidem ſub Tiberio conſeruata ſunt, licet Seiano res nouas moliente in Italia. Cognouit enim ille mox poſt necem inſidiatoris, meras calumnias fuiſſe delata de Iudæis. Vrbem incolentibus crimina, confiсta à Seiano, vt gentem è medio tolleret, C quam norat vel ſolam vel præcipue repugnaturam conatibus impijs, & conſpirationi caput imperatoris petenti. Proinde mandauit omnibus prouinciarum præſidibus, vt oppidatim huic genti parcerent, exceptis conſcijs paucis admodum: cæterum de ritibus eorum nihil nouarent, ſed commendatos haberent, tum viros ipſos vt pacis amantiſſimos, tum mores eorum legéſque, vt conferentes ad tranquillitatem publicam. D At Caius ſic faſtu inflatus eſt, vt ſe Deum non iactaret tantum, ſed & crederet. nec vllos inuenit Græcos aut Barbaros magis idoneos quam Alexandrinos quibus abuteretur ad ſatisfaciendum tam immani concupiſcentiæ. ſunt enim magni præſtigiarum, aſſentationum, ſimulationúmque artifices, & ſemper in promptu verba habent adulatoria, effreni ore ad omnia turbanda miſcendáque faciles. Dei nomen tanti faciunt religioſi homines, vt & ibes E & aſpides ſuas multáſque alias beſtias eo dignentur. itaque cum ſint huius appellationis prodigi, decipiũt puſillanimos & imperitos impietatis Ægyptiacæ: ſed deprehenduntur ab his qui norunt eorum ſtulticiam vel potius audaciam nefariam: id quod Caius neſciens putabat ab Alexandrinis Deum ſe credi ſerio, quandoquidem non diſſimulanter ſed diſerte vtebantur omnibus acclamatio-

nibus quibus alia solent venerari numina. præterea nouam illam proseuchis illatam iniuriam, existimabat à pura conscientia profectam & vehementi studio: quæ partim ex quotidianis actis cognoscebat, transmissis sibi ab Alexandria: hæc enim libentius lectitabat quàm vllum poema vel historiam: partim ex nonnullis seruis domesticis, eadem cum ipso laudare aut irridere solitis. Horum plerique erant Ægyptij, male frugi mancipia, aspidum & crocodilorum patriorum venenis tincti, tum corpora tum animos. Quorum chori & totius Ægyptiaci sodalicij ceu ductor quidam erat Helicon, seruus nequam & scelestus, qui malis auibus in palatium subrepserat. Nam artes liberales gustarat cura prioris heri, qui eum donarat Tiberio Cæsari. & tunc quidem in nullo fuit pretio, quòd Tiberius auersaretur pueriles blanditias, quippe qui iam tum adolescens ad grauitatem seueritatémque fuerat pronior. Sed postquam illi defuncto Caius in principatum successit, iste animaduertens nouum herum in omnes relaxationes & delicias effundi omnibus sensibus, sic cogitauit: Nunc tuum tempus est Helicon, excita teipsum: habes auscultatorem & spectatorem egregium, cui te ostentando approbes. Agili es ingenio. salibus & cauillis vales plurimum. Probe calles nugas, risus, iocos, & ludicra. Tenes artes illiberales non minus quàm liberales. Habes & non iniucundam facundiam, qua inter adulandum possis maliciose pungere, vt non risum solum, sed & bilem è suspicione moueas, quando in potestate habes Dominum ad audiendas delationes facilem. Patent enim (vt scis) aures eius, semper arrectæ ad commenticias obtrectationes atque calumnias. Earum materiam noli amplius quærere, habes criminationes Iudaïcorum rituum, quas didicisti à pueritia, non ab vno aliquo, sed à linguacissima parte Alexandrini populi. Ostende quid didiceris. His ineptis & scelestis cogitationibus percitus affectabatur Caium, nec noctu absistens nec interdiu, sed abutens ad incusandos Iudæos secessu eius ac otio,

A ὅσα τοῖς ἄλλοις ἔθος ἐπιφημίζεσθαι θεοῖς· εἶτα καὶ τὴν περὶ τὰς προσευχὰς νεωτεροποιίαν, ἀπὸ καθαροῦ τοῦ συνειδότος καὶ τῆς εἰς αὐτὸν ἀκραιφνοῦς τιμῆς ᾤετο γεγενῆσθαι, τὰ μὲν ταῖς ὑπομνηματικαῖς ἐφημερίσιν, αἳ ἀπὸ τῆς Ἀλεξανδρείας διεπέμποντό τινες προσέχων· ἥδιστον γὰρ ἦν ἀνάγνωσμα τοῦτο αὐτῷ, ὡς τὰ τῶν ἄλλων συγγραφέων καὶ ποιητῶν ἀηδέστατα συγκρίσει τῆς ἐν τούτοις χάριτος νομίζεσθαι· τὰ δὲ καὶ δι' ἐνίους οἰκέτας τοὺς παθάζοντας ἀεὶ καὶ χλευάζοντας σὺν αὐτῷ· τούτων ἦσαν οἱ
B πλείους αἰγύπτιοι, πονηρὰ σπέρματα, κροκοδείλων καὶ ἀσπίδων τῶν ἐγχωρίων ἀναμεμαγμένοι τὸν ἰὸν ὁμοῦ καὶ θυμὸν ἐν ταῖς ψυχαῖς· ἡγεμὼν δὲ οἷά τις ἦν χοροῦ τοῦ αἰγυπτιακοῦ θιάσου παντὸς, Ἑλίκων, ἐπάρατον καὶ ἐξάγιστον ἀνδράποδον παρεισφθαρὲν εἰς τὴν αὐτοκρατορικὴν οἰκίαν. ἀπεγεύσατο γὰρ τῶν ἐγκυκλίων κατὰ φιλοτιμίαν τοῦ προτέρου δεσπότου, ὃς αὐτὸν ἐδωρήσατο Τιβερίῳ Καίσαρι. τότε μὲν οὖν οὐδεμιᾶς ἐτύγχανε προνο-
C μίας, ὅσα μειρακιώδη χαριεντίσματα Τιβερίου διαμεμισηκότος, ἐπεὶ πρὸς τὸ σεμνότερόν τε καὶ αὐστηρότερον σχεδὸν ἐκ πρώτης ἡλικίας ἐπικλινῶς εἶχεν· ἐπεὶ δὲ ὁ μὲν ἐτελεύτησε, Γάιος δὲ τὴν ἡγεμονίαν διεδέξατο, νέῳ δεσπότῃ παρεπόμενος εἰς ἀνέσεις καὶ τρυφὴν τὴν διὰ πάσης αἰσθήσεως ἐπικεχαλασμένῳ, σὸς, εἶπε, νῦν ὁ καιρός ἐστιν Ἑλίκων· ἐπέγειρε σαυτὸν, ἔχεις πρὸς ἐπίδειξιν ἀκροατὴν καὶ θεατὴν τὸν πάντων ἄριστον· εὔθικτος εἶ τὴν φύσιν·
D σκώπτειν καὶ χαριεντίζεσθαι δύνασαι μᾶλλον ἑτέρων· ἀθύρματα καὶ παιδιὰς ληρώδεις καὶ παρασεσυρμένας οἶδας· τῶν ἐγκυκλίων οὐχ ἧττον πεπαίδευσαι τὰ ἀχόρευτα· πρόσεστί σοι καὶ τὸ στωμύλον οὐκ ἀτερπὲς, ἐὰν ἔτι κέντρον ἐγκαταμίξῃς τοῖς τωθασμοῖς ὑποκακοήθης, ὡς μὴ γέλωτα κινεῖν μόνον, ἀλλὰ καὶ πικρίαν ἐκ τοῦ καχυπονοεῖν, τὸν δεσπότην ὅλον ἥρπακας εὐφυῶς διακείμενον πρὸς ἀκρόασιν τῶν μετὰ χλεύης ἐγκλημάτων· ἀναπέπταται γὰρ αὐτοῦ,
E ὡς οἶδας, τὰ ὦτα, καὶ ἀνωρθίασται πρὸς τοὺς ἐπιτετηδευκότας συνυφαίνειν τὸ βλασφημεῖν τῷ συκοφαντεῖν· ὕλας δὲ μὴ ζήτει περιττοτέρας, ἔχεις τὰς κατὰ Ἰουδαίων καὶ τῶν Ἰουδαϊκῶν ἐθῶν καταβολὰς, αἷς ἐνετράφης, ἀλλ' ἔτι σπαργανούμενος ἐδιδάχθης αὐτὰς, οὐ παρ' ἑνὸς ἀνδρὸς, ἀλλὰ τοῦ γλωσσαλγοτάτου μέρους τῆς Ἀλεξανδρέων πόλεως· ἐπίδειξαι τὰ μαθήματα. τούτοις τοῖς παραλόγοις καὶ ἐπαράτοις λογισμοῖς ἐπάρας καὶ συγκροτήσας ἑαυτὸν, συνεῖχε καὶ περιεῖπε τὸν Γάιον, οὐ νύκτωρ, οὐ μεθ' ἡμέραν ἀφιστάμενος, ἀλλὰ πανταχοῦ συμπαρὼν, τῆς ἐρημίας καὶ ἀναπαύλαις

αὐτοῦ κατηγορεῖν πρὸς τὰς κατὰ τοῦ ἔθνους αἰτίας, ἡδονὰς κινεῖν τὰς διὰ σκωμμάτων ὁ πανουργότατος, ἵνα λυπῶσιν αἱ διαβολαί. τὸν γὰρ ἐπ' αὐθεντίας κατήγορον, οὔτε ὡμολόγει, οὔτε ὁμολογεῖν ἐδύνατο, πλαγιάζων δὲ καὶ τεχνιτεύων, χαλεπώτερος καὶ βαρύτερος ἦν ἐχθρὸς, τῶν ἀπογεγραμμένων αὐτόθι τὴν δυσμένειαν. φασὶ δὲ ὅτι καὶ τῶν Ἀλεξανδρέων οἱ πρέσβεις ταῦτα εἰδότες, ἀφανῶς ἐμεμίσθωντο αὐτὸν μεγάλοις μισθοῖς, οὐ διὰ χρημάτων μόνον, ἀλλὰ καὶ τῆς ἐπὶ τιμαῖς ἐλπίδος, ἃς ὑπέτεινον αὐτῷ προέξειν οὐκ εἰς μακρὰν, ἐπειδὰν ἀφίκηται Γάϊος εἰς Ἀλεξάνδρειαν. ὁ δὲ τὸν καιρὸν ἐκεῖνον ὀνειροπολῶν, ἐν ᾧ παρέσεται τοῦ δεσπότου καὶ σὺν αὐτῷ σχεδὸν τι τῆς οἰκουμένης· οὐ γὰρ ἦν ἄδηλον ὅτι κατὰ θεραπείαν Γαΐου συνεισβαλεῖ τὸ δοκιμώτατον καὶ ὅσον τῶν πόλεων ὄφελός ἐστιν ἀναστὰν ἀπὸ περάτων αὐτῶν ὑπὸ τῆς μεγίστης καὶ ἐνδοξοτάτης πόλεως· πάντα ὑπισχνεῖτο. μέχρι μὲν οὖν τινος τὸν ἐμφωλεύοντα ἔνδον πολέμιον ἀγνοοῦντες, ἐφυλαττόμεθα τοὺς ἔξω μόνους· ἐπεὶ δὲ ᾐσθόμεθα, διηρευνῶμεν περιβλεπόμενοι πάσας ὁδοὺς, εἴ πως δυνησόμεθα μαλθάξαι καὶ τιθασεῦσαι τὸν ἄνθρωπον, ἐξ ἁπάντων ὅπου καὶ τόπου βάλλοντα καὶ τοξεύοντα ἡμᾶς εὐσκόπως. συνεσφαίριζε γὰρ καὶ συνεγυμνάζετο, καὶ συνελούετο, καὶ συνειστία, καὶ μέλλοντι κοιμᾶσθαι παρῆν Γαΐῳ, τὴν τοῦ κατακοιμιστοῦ καὶ κατ' οἰκίαν ἀρχισωματοφύλακος τεταγμένος τάξιν, ὅση μηδενὶ προσῆν ἄλλῳ, ὡς μόνος ἔχειν εὐσχολούσας καὶ σχολαζούσας ἀκοὰς αὐτοκράτορος, τῶν ἔξω διαφειμένας θορύβων εἰς ἀκρόασιν, ὧν μάλιστα ἐπόθει· διασυρμοὶ δὲ ἦσαν ἀνακεκραμένοι κατηγορίαις, ἵνα τοῖς μὲν ἡδονὰς κινῇ, ἡμᾶς δὲ τὰ μέγιστα βλάπτῃ. τὸ μὲν γὰρ προηγούμενον ἔργον εἶναι δοκοῦν ὁ διασυρμὸς, πάρεργον ἦν αὐτῷ· τὸ δὲ φαινόμενον πάρεργον αἱ κατηγορίαι, πρῶτον καὶ μόνον ἔργον. πάντα δὴ κάλων ἀνασείων ὡς οἱ πνεύματα δεξιὰ κατ' οὐρὰν ἔχοντες, ἐφέρετο πλησίστιος εὐδρομῶν, ἄλλας ἐπ' ἄλλαις συνυφαίνων καὶ συνείρων αἰτίας· τοῦ δὲ ἐνετυποῦτο ἡ διάνοια παγιώτερον, ὡς ἄληστον εἶναι τὴν τῶν ἐγκλημάτων μνήμην. ἐν ἀπόροις δὲ καὶ ἐν ἀμηχάνοις ὄντες, ἐπειδὴ πάντα λίθον κινοῦντες ὑπὲρ τοῦ τὸν Ἑλίκωνα ἐξευμενίσασθαι; πάροδον οὐδεμίαν ηὑρίσκομεν, μηδενὸς μήτε εἰπεῖν, μήτε προσελθεῖν τολμῶντος ἕνεκα τῆς ἀλαζονείας καὶ βαρύτητος ἣν πρὸς πάντας ἐνείχε, καὶ ἅμα διὰ τὸ ἀγνοεῖν εἴ τις ἐστὶν αὐτῷ πρὸς τὸ Ἰουδαίων γένος ἀλλοτρίωσις, ἐφ' ἣν ἀεὶ τὸν δεσπότην ἀεὶ

A cauillis eum oblectans versutissimus, quo magis illos pungeret. Nec enim aperte delatorem se profitebatur, nec profiteri poterat: sed oblique & astu infestabat grauius quam si professas cum ea gente exerceret inimicitias. Id cum scirent Alexandrinorum legati, dicuntur eum conduxisse magnis mercedibus, non tantum pecunia, sed & spe honorum, quos ei pollicebantur se collaturos quàm primum
B Caius veniret Alexandriam. at ille tempus illud somnians, fore vt honoraretur præsente Domino, & cum eo pene toto orbe habitabili (nec enim dubium erat prosecuturos eum optimates ciuitatum omnium, relictis remotissimis vrbibus ob visendam maximam & celeberrimam) benigne cuncta pollicebatur. itaque aliquamdiu latentis hostis ignari, apertos tantum obseruabamus. postquam autem sen-
C simus, dispiciebamus si quo modo possemus mollire ac cicurare hominem, vndecumque nos ferientem missilibus. erat enim Caio socius pilæ, palestræ, balinearum, conuiuiorum comessationúmque, præfectus ipsius cubiculo, quæ dignitas est primaria, quòd ei semper aures imperatoris paterent, & posthabitis rebus alijs auide vacarent eius fabulis. eæ constabant scurrilitate scommatum, admixtis interim delationibus, vt ea-
D dem opera & illum oblectarent, & nobis nocerent maxime. Nam id quod videbatur quæri præcipue, videlicet voluptas principis, agebatur tantum obiter. Accusationes vero quæ obiter aspergi videbantur, erant scopus primarius, & vnicum propositum nequissimi mancipij. tandem excussis omnibus rudentibus, auras nactus secundas à puppi aspirantes, plenis velis ferebatur & in nos inue-
E hebatur, alia super alia componens crimina: quæ adeo hæserunt infixa menti auscultantis, vt nunquam obliuisci posset. cúmque inopes consilij moueremus omnem lapidem vt Heliconem placaremus, nullum inueniebamus ad eum aditum, nemine audente alloqui vel accedere hominem, præ arrogantia nulli tolerabilem. simul quia nesciebamus an aliquod priuatum in Iudæos aleret odium, propter quod Dominum contra eos exa-

cerbare non desineret, omisso illo satagente circa hoc negotium, ad aliam rem sumus versi magis necessariam. Placuit offerri Caio libellum continentem summam calamitatum, & earum deprecationem. id erat ferme cõpendium supplicationis prolixioris, quam per Agrippam regem paulo ante miseramus. nam is forte fortuna venerat Alexandriam, nauigaturus in Syriam in suum regnum quod ab imperatore acceperat. sed ignorabamus etiam tum quam falleremur. ex quo enim primum oram soluimus, putabamus nos inuenturos reddentem iura iudicem. at ille erat hostis implacabilis, alliciens vt tum videbatur vultu hilari & appellationibus comibus. exceptos enim nos primum in campo Martio, cum è maternis hortis exiret, resalutauit, & dextra innuit se propitium: missóque ad nos Homulo qui legationibus admittẽdis præerat, pollicitus est se cogniturum nostram causam per otium, ita vt tota corona circumstantium gratularetur nobis tanquam voti compotibus, atque etiam nostrates quotquot ex aspectu de rebus iudicant. Ego vero qui plus per ætatem & eruditionem sapere videor, suspecta habebam illa quæ exhilarabãt alios. sic enim cogitabã: quid sibi vult quod cum tot adsint legationes propemodũ ex omnibus orbis regionibus, ait se nos solos auditurum. nec enim nescit nos esse Iudæos, contentos, si æquaremur cæteris. Cæterum prærogatiuam sperare apud alienigenam iuuenem & liberę potestatis Dominum, non procul abfuerit ab insania. Profecto in Alexandrinos est propensior, & in eorum gratiam maturat iudiciũ. atque vtinam iudicem præstet partibus, non patronum illis, nobis aduersarium. hæc repudians trepidabam, inquietus noctu & interdiu. ita mœrentem me gementémque (nec enim tutum erat interpellari principem) alius casus nec opinatus repente perterruit, non parti Iudæorum, sed vniuersis periculum afferens. Veneramus ex vrbe Puteolos Caium secuti. descenderat enim ad mare, morabatúrque circa eum sinum nunc hanc villam visendo nunc aliam, quæ multæ ibi sunt & splendidæ. Nos vero de agenda nostra causa solicitos, quippe qui accersiri expectabamus continue, accedit quidam suffusis trepidísque

A καὶ συγκροτοῦντι κατὰ τοῦ ἔθνους, τὸ μὲν ἐπὶ πον[illegible] περὶ τοῦτο τὸ μέρος εἰάσαμεν, τὸ δ' ἀναγκαιότερον περιειχόμεθα. γραμματεῖον γὰρ ἔδοξεν ἀναδιδόναι Γαΐῳ κεφαλαιώδη τύπον περιέχον, ὧν τε ἐπάθομεν, καὶ ὧν τυχεῖν ἠξιοῦμεν· ἦν δὲ σχεδὸν τοῦτο ἐπιτομὴ τῆς ἱκετείας μακροτέρας, ἣν ἐπεπόμφειμεν πρὸ ὀλίγου διὰ Ἀγρίππα τοῦ βασιλέως· ἐκ τύχης γὰρ ἐπιδημήσει τῇ πόλει μέλλων εἰς Συρίαν κατὰ τὴν δοθεῖσαν αὐτῷ βασιλείαν ἀπαίρειν· ἐλελήθειμεν δ' ἄρα ἐπὶ ἀπατῶντες ἑαυτούς· καὶ γὰρ πρότερον, ὅτε εὐθὺς ἠρ-
B ξάμεθα πλεῖν οἰόμενοι, πρὸς κριτὴν ἀφίξεσθαι τευξόμενοι τῶν δικαίων· ὁ δ' ἦν ἐχθρὸς ἄσπονδος δελεάζων ὅσα τῷ δοκεῖν φαιδρῷ τῷ βλέμματι καὶ ἱλαρωτέραις ταῖς προσρήσεσι· δεξιωσάμενος γὰρ ἡμᾶς ἐν τῷ πρὸς Τιβέρει πεδίῳ τὸ πρῶτον· ἔτυχε δὲ ἐκ τῶν μητρῴων ἐξιὼν κήπων· ἀντιπροσηγόρευσε, καὶ τὴν δεξιὰν χεῖρα κατέσεισεν, αἰνιττόμενος εὐμένειαν, καὶ τὸν ἐπὶ τῶν πρεσβειῶν Ὅμιλον ἔνιμα πρὸς πέμψας, αὐτός, ἔφη, τῆς ὑμετέρας ὑποθέσεως ἀκούσομαι προ-
C σευκαιρήσας, ὥστε τοὺς ἐν κύκλῳ πάντας συνήδεσθαι καθάπερ ἤδη νενικηκόσι, καὶ τῶν ἡμετέρων ὅσοι ταῖς ἐπιβολαῖς ἐφέλκονται φαντασίας. ἐγὼ δὲ φρονεῖν τι δοκῶν περιττότερον καὶ δι' ἡλικίαν, καὶ τὴν ἄλλην παιδείαν, εὐλαβέστερος ἦν ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι. διὰ τί γὰρ ἔφασκον ἀνακινῶν τὸν ἐμαυτοῦ λογισμόν, τοσούτων ὄντων πρεσβευτῶν, σχεδὸν ἀπὸ πάσης γῆς ἀφιγμένων ἡμῶν εἶπε τότε μόνων ἀκούσεσθαι, τί βουλόμενος. οὐ γὰρ ἠγνόει γε ὄντας
D Ἰουδαίους, οἷς ἀγαπητὸν τὸ μὴ ἐλαττοῦσθαι· τότε δὲ καὶ προνομίας οἴεσθαι τυγχάνειν παρὰ ἀλλοεθνεῖ καὶ νέῳ καὶ αὐτεξουσίῳ δεσπότῃ μανίας ἐγγύς ἐστιν; ἀλλ' ἔοικε τῇ τῶν ἄλλων Ἀλεξανδρέων μερίδι προσκεῖσθαι, ἢ δίδωσι προνομίας, θᾶττον ὑπέσχετο δικάσειν· εἴθ' ἄρα μή, τὸ ἴσον καὶ κοινὸν ἀκροατὴν ὑπερβάς, ἀντὶ δικαστοῦ γένηται τῶν μὲν συναγωνιστής, ἡμῶν δὲ ἀντίπαλος. ταῦτα λογιζόμενος ἐσφάδαζον, καὶ οὔτε μεθ' ἡμέραν, οὔτε νύκτωρ ἠρέμουν.
E ἀθυμοῦντος δέ μου καὶ τὴν ἄγνοιαν στένοντος· οὐδὲ γὰρ ἀνενεγκεῖν ἀσφαλὲς ἦν· ἕτερον κατασκήπτει βαρύτατον ἐξαπιναίως ἀπροσδόκητον κακόν, οὐχ ἑνὶ μέρει τοῦ Ἰουδαϊκοῦ τὸν κίνδυνον ἐπάγον, ἀλλὰ συλλήβδην ἅπαντι τῷ ἔθνει· ἀφίγμεθα μὲν γὰρ ἀπὸ Ῥώμης εἰς Δικαιαρχείαν ἐπακολουθοῦντες Γαΐῳ· κατεληλύθει δὲ ἐπὶ θάλατταν καὶ διέτριβε περὶ τὸν κόλπον ἀμείβων τὰς ἰδίας ἐπαύλεις, πολλὰς καὶ πολυτελῶς ἠσκημένας· φροντίζουσι δὲ ἡμῖν τῆς ὑποθέσεως· ἀεὶ γὰρ κληθήσεσθαι προσεδοκῶμεν· προσέρχεταί τις ὕφαιμον καὶ τα-

ἔρχεταί τις ὑποβλεπόμενος, ἀσθματος μεστὸς, καὶ μικρὸν ἀπὸ τῶν ἄλλων ἀπαγαγών· πλησίον γὰρ ἦσάν τινες· ἠκούσατε, ἔφη, τὰ καινά; καὶ μέλλων ἀπαγγέλλειν ἐπεσχέθη, δακρύων ἀθρόας φορᾶς ἐκραγείσης· καὶ πάλιν ἀρξάμενος, δεύτερον ἐπεσχέθη καὶ τρίτον. ἃ δὴ ὁρῶντες ἡμεῖς, ἐπτοήμεθα καὶ παρεκαλοῦμεν μηνῦσαι τὸ πρᾶγμα οὗ χάριν ἐλθεῖν ἔφασκεν. οὐ γὰρ ἕνεκα τοῦ διὰ μαρτύρων κλαίειν· εἰ δὲ ἄξια δακρύων ἐστὶ, μὴ μόνος ἀπολαύειν τῆς λύπης· ἐθάδες γεγόναμεν ἤδη κακοπραγιῶν. ὁ δὲ μόλις μὲν, ἀναλύζων δὲ ὅμως, κεκομμένῳ τῷ πνεύματί φησιν, οἴχεται ἡμῶν τὸ ἱερὸν, ἀνδριάντα κολοσσιαῖον εἴσω τῶν ἀδύτων ἀνατεθῆναι Γάϊος προσέταξε Διὸς ἐπίκλησιν αὐτοῦ· θαυμασάντων δὲ τὸ λεχθὲν καὶ πεπηγότων ὑπ' ἐκπλήξεως, καὶ μηδὲ προελθεῖν ἔτι δυναμένων· ἄχθους γὰρ εἱστήκειμεν ὀλιγοδρανοῦντες καὶ καταρρέοντες, τῶν περὶ τὸ σῶμα νεύρων ἐκνενευρισμένων· ἕτεροι παρῆσαν τὰς αὐτὰς φέροντες ὠδῖνας· καὶ ἔπειτα συγκλεισάμενοι πάντες ἀθρόοι, ἰδίας ὁμοῦ καὶ κοινὰς τύχας ἐθρηνοῦμεν, καὶ ὅσα ὑπέβαλεν ὁ νοῦς διεξῄειμεν· λαλίστατον γὰρ ἄνθρωπος ἀτυχῶν. ἀγωνιζόμενοι ὑπὲρ τοῦ μὴ εἰς ἀπόλυσιν ταῖς ἐν αὐτοῖς παρανομίαις ἀφεθῆναι, χειμῶνος μέσου διεπλεύσαμεν, ἀγνοοῦντες ὅσος χειμὼν ἔφεδρός ἐστιν ὁ κατὰ γῆν, ἀργαλεώτερος πολλῷ τοῦ κατὰ θάλατταν. τοῦ μὲν γὰρ ἡ φύσις αἰτία διακρίνασα τὰς ἐτησίους ὥρας, φύσις δὲ σωτήριον· ἐκείνου δὲ ἄνθρωπος οὐδὲν φρονῶν ἀνθρώπινον, νέος καὶ νεωτεροποιὸς ἀνημμένος τὴν ἐφ' ἅπασιν αὐτοκράτορα ἀρχήν· νεότης δὲ μετ' ἐξουσίας αὐτοκρατοῦς ὁρμαῖς ἀκαθέκτοις χρωμένη, κακὸν δύσμαχον. ἐξέσται δὲ προσελθεῖν ἢ διάρασθαι τὸ στόμα περὶ προσευχῶν, τῷ λυμεῶνι τοῦ πανιέρου; δῆλον γὰρ ὡς οὐ φροντιεῖ τῶν ἀφανεστέρων καὶ ἥττονος τιμῆς ἠξιωμένων, ὁ τὸν περισημότατον καὶ ἐπιφανέστατον νεὼν, εἰς ὃν ἀνατολαὶ καὶ δύσεις ἀποβλέπουσιν ἡλίου τρόπον πανταχόσε λάμποντα καθυβρίζων. εἰ δὲ καὶ γένοιτό τις ἄδεια προσόδου, τί χρὴ προσδοκᾶν, ἢ θάνατον ἀπαραίτητον; ἀλλ' ἔστω, τεθνηξόμεθα· ζωὴ γάρ τίς ἐστιν ὁ ὑπὲρ φυλακῆς νόμων εὐκλεέστατος θάνατος· εἰ δὲ ἐκ τῆς ἡμετέρας τελευτῆς γίνεται μηδὲν ὄφελος, οὐ μανία τὸ προσαπολέσθαι, καὶ ταῦτα πρεσβεύειν δοκοῦντας, ὡς τῶν πεμψάντων μᾶλλον ἢ τῶν ὑπομεινάντων εἶναι τὴν συμφοράν; οὐ μὴν ἀλλὰ καὶ ὅσοι τὰς φύσεις μισοπονηρότατοι τῶν ὁμοφύλων,

A oculis obtuens & anhelus: cúmque paululum seduxisset (adstabant enim quidam in proximo.) Audistiſne, inquit, noui quippiam? ſimúlque conatus rem eloqui, fletu oborto impeditus eſt. deinde rurſum exorſus narrare, iterum atque tertio fuit ad eundem modum inhibitus. nos verò cōſpectu eius territi obſecrabamus indicaret quam ob rem veniſſet, non enim veniſſe propalam flendi gratia. quod ſi quid eſſet dignum lacrymis, faceret nos earum participes, aſſuetos
B iam calamitatibus. tandem ille crebra ſingultiens, Perijt nobis templum. iubet Caius poni ſibi coloſſum in adytis intimis, aſcito in titulo Iouis cognomine. Nobis verò attonitis miraculo, & in veſtigio præ ſtupore hærentibus, muti enim ſtabamus & eneruesdefectis viribus corporis, ſuperuenerunt alij doloris eiuſdem nuncij. deinde omnes ſimul conclaue ingreſſi & incluſi deplorabamus fortunam priua-
C tam atque publicam, ſuggerente dolore querimonias. nihil enim calamitoſis loquacius. tædebat enim ac pœnitebat quòd ad deprecandum iniurias, quas quotidie pateremur, medio hiemis traieciſſemus vaſta maria, ignari nobis imminere tempeſtatem in terris multo ſæuiorem iactatione maritima. hanc enim hiemem natura poſtulat, diſcernens anni tempora. opera verò naturæ ſunt ſalutaria. alteram autem excitabat homo nihil hu-
D manum ſapiens, iuuenis rerum nouarum cupidus, ſolutus in omnem tyrannicam licentiam. eius iuuentus concitata viribus imperij, malum erat inexpugnabile. quis enim auderet deprecaturus accedere, vel ſaltem hiſcere apud vaſtatorem templi omnium ſanctiſſimi? ſatis enim apparebat nihil non contempturum, qui à fano inclyto, quod oriens occidénſque tanquam ſolem religioſe veneratur, non abſtineret iniuriam. quod ſi etiam da-
E retur aditus, quid aliud expectandum erat quàm mors certiſſima? Sed moriamur, inquam. eſt enim vita glorioſe mori pro patrijs legibus. Verùm cum hæc mors nulli profutura ſit, annon inſania fuerit, hanc quoque cladem cæteris auctarium adijcere, præſertim cum legatione fungamur, vt ad eos qui nos miſerunt magis pertineat hoc infortunium. nec deerunt inter tribules noſtros malicioſi homines,

impietatis nos accusaturi, quòd fluctuantem in extremo periculo rempublicam destituerimus, vt consuleremus priuatis commodis. debent enim paruæ res magnis cedere, priuatæ publicis, quibus perditis leges quoque & instituta patria pereunt. nefas est nos de iure Alexandrinæ ciuitatis decedere, cum agatur de vniuersa Iudæorum republica, & timendum sit ne huius gentis nomen penitus aboleri iubeat homo nouator & vasto animo terribilis. Cum igitur vtramque causam frustra suscepisse agendam videamur, dicat aliquis: Non poterant saltem expedire tutum reditum? Responderem, aut non habes liberale ingenium, aut non didicisti sacras literas. bene sperant generosi animi, & sacræ literæ bene sperandi autores sunt suis discipulis, quicumque non obiter eas nec primoribus labris degustarunt. fortassis tentatio est hæc nostri sæculi hominum, quomodo erga virtutem affecti sint, & an didicerint aduersos casus ferre fortiter. Valeant igitur humana præsidia quæ nos deserunt, modo in anima spes firma maneat, Deum nobis seruatorem non defore, qui sæpe gentem hanc eripuit exitio. Hunc in modum solabamur mala præter expectationem instantia, seruantes nos ad tranquilliora tempora. deinde interposito breui silentio, sic allocuti sumus eius calamitatis nuncios: Quid ita sedetis scintilla tantum in aures nostras iniecta qua vramur, cum debeatis exponere causam etiam huius consilij, quid Caium moueat. Tum illi: Primariam causam scitis, quam sciunt omnes. Vult haberi Deus. persuasus est obstare solos Iudæos, nec aliam se posse illis grauiorem pœnam infligere, quàm si maiestatem eorum templi diminuat. audiuit enim id esse in orbe toto pulcherrimum, per multas ætates continuis & largis sumptibus vsque magis ac magis exornatum. est autem contentiosus & peruicax, vultque id sibi vsurpare. nunc verò exasperatus est etiam Capitonis quæstoris literis. is in Iudæa præest exigendis tributis, infensus prouincialibus. pauper enim eò profectus, nunc illis fraudatis ditatus, & accusationem metuens, decreuit eos præuenire, & calumnijs veras criminationes auertere,

A ἀσέβειαν ἡμῶν κατηγορήσουσιν, ὡς ἐν ἐσχάτῳ κινδύνῳ τὴν ὅλην σαλευόντων ἐπιμεληθέντων ὑπὸ φιλαυτίας ἰδίου τινός. τοῖς γὰρ μεγάλοις τὰ βραχέα, καὶ τοῖς κοινοῖς τὰ ἴδια ὑποστέλλειν ἀναγκαῖον, ὧν οἰχομένων, ἔρρει καὶ ἡ πολιτεία. ποῦ γὰρ ὅσιον ἢ θεμιτὸν ἄλλως ἀγωνίζεσθαι, δικαιοῦντας ὡς ἐσμὲν Ἀλεξανδρεῖς, οἷς ὁ περὶ τῆς καθολικωτέρας πολιτείας ἐπικρέμαται κίνδυνος τῆς Ἰουδαίων· ἅμα γὰρ τῇ τοῦ ἱεροῦ καταλύσει, δέος μὴ καὶ τὸ κοινὸν τοῦ
B ἔθνους ὄνομα συναφανισθῆναι κελεύσῃ ὁ νεωτεροποιὸς καὶ μεγαλουργὸς ἄνθρωπος. ἀμφοτέρων οὖν τῶν ὑποθέσεων δι' ἃς ἐστάλημεν οἰχομένων, ἴσως φήσει τις, τί οὖν, οὐκ ἤδη τὴν πραγματεύεσθαι τὴν μετ' ἀσφαλείας ἐπάνοδον; πρὸς ὃν εἴποιμι ἄν, ἢ οὐκ ἔχεις ἀνδρὸς εὐγενοῦς πάθος γνήσιον, ἢ οὐκ ἐνετράφης οὐδ' ἐνησκήθης τοῖς ἱεροῖς γράμμασιν. ἐλπίδων εἰσὶ πλήρεις οἱ ὄντως εὐγενεῖς, καὶ οἱ νόμοι τοῖς ἐντυγχάνουσι μὴ χείλεσιν ἄκροις ἐλπίδας ἀγαθὰς δημιουργοῦσιν. ἴσως ἀποπειρα-
C ταῦτα τῆς καθεστώσης γενεᾶς ἐστι, πῶς ἔχει πρὸς ἀρετὴν, καὶ εἰ πεπαίδευται φέρειν τὰ δεινὰ λογισμοῖς ἰσχυρογνώμοσιν οὐ προκαταπίπτουσι. τὰ μὲν οὖν ἐξ ἀνθρώπων ἄπολωλε καὶ ἐρρέτω· μενέτω δ' ἐν ταῖς ψυχαῖς ἀκαθαίρετος ἡ ἐπὶ τὸν σωτῆρα θεὸν ἐλπίς, ὃς πολλάκις ἐξ ἀμηχάνων καὶ ἀπόρων περιέσωσε τὸ ἔθνος. ταῦτα ἅμα μὲν ὀλοφυρόμενοι τὰς ἀπροσδοκήτους ἀτυχίας, ἅμα δὲ καὶ παρηγοροῦντες ἑαυτοὺς, ἐλπίσι μεταβολῆς γαληνοτέρας διεξῄειμεν· μικρὸν δὲ ἐπισχόντες πρὸς τοὺς ἀ-
D παγγείλαντας, τί καθ' ἡσυχίαν εἴπομεν κάθησθε, σπινθῆρας αὐτὸ μόνον τοῖς ὠσὶν ἡμῶν ἐνιέντες, ὑφ' ὧν χειμάζομεθα καὶ πυρπολούμεθα, δέον προσεξηγεῖσθαι καὶ τὰ κεκινηκότα τὸν Γάϊον· οἱ δὲ τὴν μὲν ἀνωτάτω καὶ πρώτην αἰτίαν ἴστε, ἣν καὶ πάντες ἴσασιν ἄνθρωποι· θεὸς βούλεται νομίζεσθαι· ὑπείληφε μόνους Ἰουδαίους, οἷς μεῖζον οὐδὲν ἂν προσγένοιτο κακὸν, ἢ λυμηνάμενος τὴν τοῦ ἱεροῦ σεμνότητα· κατήχηται δὲ ὅτι καὶ πάντων ἱερῶν τῶν πανταχοῦ κάλλιστόν ἐστιν, ἐξ ἀπείρου χρόνου ἀ-
E παύστοις καὶ ἀφθόνοις δαπάναις ἀεὶ προσκοσμούμενον· δύσερις δὲ καὶ φιλόνεικος ὢν, σφετερίσασθαι τοῦτο εἰς ἑαυτὸν διανοεῖται. ἐξηγρίωται δὲ νῦν μᾶλλον ἢ πρότερον ἐξ ἐπιστολῆς ἣν ἐπέμψε Καπίτων· φόρων ἐκλογεὺς ὁ Καπίτων ἐστὶ τῶν τῆς Ἰουδαίας, ἔχει δέ πως πρὸς τοὺς ἐγχωρίους ἐχθρῶς. πένης γὰρ ἀφιγμένος, καὶ ἐξ ὧν νοσφίζεται καὶ παρεκλέγει ποικίλον τινὰ καὶ πολὺν πλοῦτον ἠθροικὼς, εἶτα εὐλαβηθεὶς μή τις αὐτοῦ γένηται κατηγορία, τέχνην

τέχνην ἐπινοῶν ἢ διαβολαῖς τὴν ἀλκὴν τῶν διαφερούσαις τὰς αἰτίας· ἀφορμὴν δὲ αὐτῷ δίδωσιν εἰς ὅπερ ἐβούλετο συντυχία τις τοιαύτη. τὴν Ἰάμνειαν πόλις δέ ἐστι τῆς Ἰουδαίας ἐν ταῖς μάλιστα πολυάνθρωπος· ταύτην μιγάδες οἰκοῦσιν, οἱ πλείους μὲν Ἰουδαῖοι, ἕτεροι δέ τινες ἀλλόφυλοι παρεισφθαρέντες ἀπὸ τῶν πλησιοχώρων, οἳ τοῖς ἐγχωρίοις τρόπον τινὰ αὐθιγενέσιν ὄντες μέτοικοι, κακὰ καὶ πράγματα παρέχουσιν, ἀεί τι παραλύοντες τῶν πατρίων Ἰουδαίοις. οὗτοι παρὰ τῶν ἐπιφοιτώντων ἀκούοντες ὅσην σπουδὴν ἔχει Γάϊος περὶ τὴν ἰδίαν ἐκθέωσιν, καὶ ὡς ἀλλοτριώτατα διάκειται πρὸς ἅπαν τὸ Ἰουδαϊκὸν γένος, καιρὸν ἐπιτήδειον εἰς ἐπίθεσιν παραπεπτωκέναι νομίζοντες, αὐτοσχέδιον αἴρουσι βωμὸν εὐτελεστάτης ὕλης, πηλὸν σχηματίσαντες εἰς πλίνθους, ὑπὲρ τοῦ μόνον ἐπιβουλεύειν τοῖς συνοικοῦσιν. ᾔδεσαν γὰρ οὐκ ἀνεξομένους καταλυομένων τῶν ἐθῶν, ὅπερ καὶ ἐγένετο. θεασάμενοι γὰρ καὶ δυσανασχετήσαντες ἐπὶ τῷ τῆς ἱερᾶς χώρας τὸ ἱεροπρεπὲς οὕτως ἀφανίζεσθαι, καθαιροῦσι συνελθόντες. οἱ δ' εὐθὺς ἐπὶ τὸν Καπίτωνα ἧκον, ὃς ἦν τοῦ δράματος ὅλου δημιουργός· ἕρμαιον δὲ εὑρηκέναι νομίσας, ὅπερ ἐκ πολλῶν χρόνων ἐζήτει, γράφει Γαΐῳ, διαίρων τὰ πράγματα καὶ μετεωρίζων. ὁ δὲ διαγνούς, πλουσιώτερον καὶ μεγαλοφρονέστερον ἀντὶ τοῦ πλινθίνου βωμοῦ τοῦ κατ' ἐπήρειαν ἀνασταθέντος ἐν Ἰαμνείᾳ, κελεύει κολοσσιαῖον ἀνδριάντα ἐπίχρυσον ἐν τῷ τῆς μητροπόλεως ἱερῷ καθιδρυθῆναι, συμβούλοις χρησάμενος τοῖς ἀρίστοις καὶ σοφωτάτοις, Ἑλίκωνι τῷ εὐπατρίδῃ, δούλῳ σπερμολόγῳ, περιτρίμματι, καὶ Ἀπελλῇ τινι τραγῳδῷ, ὃς ἀκμῇ μὲν τῆς πρώτης ἡλικίας, ὥς φασιν, ἐκαπήλευσε τὴν ὥραν· ἔξωρος δὲ γενόμενος, ἐπὶ τὴν σκηνὴν παρῆλθεν· ὅσοι δὲ σκηνοβατοῦσιν ἐμπορευόμενοι θεατὰς καὶ θέας, αἰδοῦς καὶ σωφροσύνης, ἀλλ' οὐκ ἀναισχυντίας καὶ ἀκοσμίας ἐρασταὶ τῆς ἀνωτάτω. διὰ ταῦτα εἰς τὴν τῶν συμβούλων τάξιν ὁ Ἀπελλῆς παρῆλθεν, ἵνα βουλεύσηται Γάϊος, μεθ' οὗ μὲν ὡς σκωπτέον, μεθ' οὗ δὲ ὡς ᾀστέον· ὑπερβὰς τὰς περὶ τῶν ὅλων σκέψεις, ὡς εἰρηνεύεσθαι καὶ εὐνομεῖσθαι τὰ πανταχοῦ πάντα. ὁ μὲν οὖν Ἑλίκων σκορπιῶδες ἀνδράποδον τὸν Αἰγυπτιακὸν ἰὸν εἰς Ἰουδαίους ἤφιει· ὁ δὲ Ἀπελλῆς, τὸν ἀπὸ Ἀσκάλωνος· ἦν γὰρ ἐκεῖθεν. Ἀσκαλωνίταις δὲ ἀσύμβατός τις καὶ ἀκατάλλακτος δυσμένεια πρὸς τοὺς τῆς ἱερᾶς χώρας οἰκήτορας Ἰουδαίους ἐστὶν ὁμόροις. ταῦτα ἀκούοντες, ἐφ' ἑκάστου ῥήματος καὶ ὀνόματος ἐτιτρωσκόμεθα τὰς ψυχάς. ἀλλ' οἱ μὲν καλῶν πραγμάτων καλοὶ σύμβουλοι μικρὸν ὕστερον τὰ ἐπίχειρα ἔφερον τῆς ἀσεβείας, ὁ μὲν ὑπὸ Γαΐου σιδήρῳ δεθεὶς

A casu quodam nactus occasionem. Iamniam, vrbem Iudææ cum primis frequentem populo, colunt promiscue, Iudæi quidem pars maxima, nonnulli tamen etiam alienigenæ, qui malo fato subrepserunt è finitimis regionibus: & cum sint inquilini, facessunt indigenis negocia, semper aliquid moliendo aduersus ritus Iudaïcos. hi cum audirent ab aduenis, quantopere Caius pro Deo coli cupiat, & quàm infensus vniuersæ Iu- B dæorum genti sit, rati se nactos occasionem struendis insidijs, ex tempore aram excitant è materia vilissima, luto formato in lateres, tantum vt molesti essent ciuibus. sciebant enim non laturos violari leges patrias. quod & sequutum est. Conspicati enim & indignati regionis sacratæ ritus sacros sic aboleri, coorti eam sustulerunt è medio. aduersarij verò mox Capitonem adiuerunt, qui fuit autor totius huius tragœdiæ. Is C lucrum sibi à fortuna oblatum existimans, cuius iamdudum erat cupidus, scribit Caio, exaggerando rem & amplificando. His cognitis ille vt opulentus ac magnificus, iubet pro altari latericio subuerso in Iamnia, poni colossum inauratum in ipso templo vrbis primariæ, consultoribus vsus optimis & sapientissimis, Helicone veteratore scurra nobili, & Apelle quodam tragœdo, qui prius ætatis florem vt fertur venditauerat: D tum verò fastiditus se in scenam contulerat. scenici autem quorum est negocium & studium vt theatris placeant, profligato pudore probris & turpitudini sunt deditissimi: quibus artibus Apelles peruenit in consiliariorum ordinem, vt posset consulere Caius, alterum quomodo canendum, alterum quomodo ludendum salibus, omissa cura iusticiæ tuendæ pacisque publicæ. ita Helicon mancipium scorpioni simile Iu- E dæos petebat veneno Ægyptiaco, Apelles verò Ascalonio. nam inde oriundus erat. Est autem Ascalonitis perpetua simultas cum finitimis Iudæis sacræ terræ incolis. Dum hæc audiremus, ad singula verba nominàque sauciabamur animas. Verum illi bonorum consiliorum boni autores paulo post impietatis suæ mercedem inuenerunt: alter à Caio vinctus ferreis compedibus

A δέχονται γὰρ εἰς τοὺς ἐξωτέρω τοὺς πανταχόθι πάντας τὴν οἰκουμένην. εἰς δὴ ταῦτα ἀφορῶν ὁ Πετρώνιος, βραδὺς ἦν ἐγχειρητὴς, ὅσον τόλμημα μεγαλουργεῖται σκεπτόμενος, καὶ συγκαλέσας ὡς ἐν συνεδρίῳ τοὺς τῆς ψυχῆς ἅπαντας λογισμοὺς, τὴν ἑκάστου γνώμην διηρεύνα, καὶ πάντας εὕρισκεν ὁμογνωμονοῦντας περὶ τοῦ μηδὲν κινεῖσθαι τῶν ἐξ ἀρχῆς καθωσιωμένων πρότερον, διά τε τὸ φύσει δίκαιον καὶ εὐσεβὲς, ἔπειτα διὰ τὸν ἐπικρεμάμενον κίνδυνον, οὐκ ἐκ θεοῦ μόνον, ἀλλὰ καὶ τῶν ἐπηρεαζομένων· B ἐννοιά τε αὖθις εἰσῄει τοῦ ἔθνους, ὅσον ἐστὶν ἐν πολυανθρωπίᾳ, ὅπερ οὐκ ἐξεδέξατο καθάπερ τῶν ἄλλων ἕκαστον μιᾶς χώρας τῆς ἀποκεκληρωμένης αὐτῷ μόνῳ περίβολος, ἀλλ' ὀλίγου δέω φάναι πᾶσα ἡ οἰκουμένη· κέχυται γὰρ ἀνά τε τὰς ἠπείρους καὶ νήσους ἁπάσας, ὡς τῶν αὐθιγενῶν μὴ πολλῷ τινι δοκεῖν ἐλαττοῦσθαι. τοσαύτας μυριάδας ἐφέλκεσθαι πολεμίων ἆρ' οὐ σφαλερώτατον; ἀλλὰ μήποτε συμφρονήσαντες οἱ πανταχόθεν πρὸς ἄμυναν ἔλθωσιν, ἄμαχόν τι συμβήσεται χρῆμα, δίχα C τοῦ καὶ τοὺς τὴν Ἰουδαίαν κατοικοῦντας ἀπείρους τινὰς εἶναι τὸ πλῆθος, καὶ τὰ σώματα γενναιοτάτους καὶ τὰς ψυχὰς εὐτολμοτάτους, καὶ προαποθνῄσκειν αἱρουμένους τῶν πατρίων ὑπὸ φρονήματος, ὡς μὲν ἔνιοι τῶν διαβαλλόντων εἴποιεν ἂν βαρβαρικοῦ· ὡς δὲ ἔχει τἀληθὲς, ἐλευθέρου καὶ εὐγενοῦς. ἐφόβουν δὲ αὐτὸν καὶ αἱ πέραν Εὐφράτου δυνάμεις· ἤδει γὰρ Βαβυλῶνα καὶ πολλὰς ἄλλας τῶν σατραπειῶν ὑπὸ Ἰουδαίων κατεχομένας οὐκ D ἀκοῇ μόνον, ἀλλὰ καὶ πείρᾳ. καθ' ἕκαστον γὰρ ἐνιαυτὸν ἱεροπομποὶ στέλλονται χρυσὸν καὶ ἄργυρον πλεῖστον κομίζοντες εἰς τὸ ἱερὸν τὸν ἀθροισθέντα ἐκ τῶν ἀπαρχῶν, δυσβάτους καὶ ἀτριβεῖς καὶ ἀνηνύτους ὁδοὺς περαιούμενοι, ἃς λεωφόρους εἶναι νομίζουσιν, ὅτι πρὸς εὐσέβειαν ἄγειν δοκοῦσι. περιδεὴς οὖν ὢν, ὡς εἰκὸς ἦν, μὴ πυθόμενοι τὴν καινουργουμένην ἀνάθεσιν, ἐπιφοιτήσωσιν ἐξαίφνης E καὶ περιέχωσιν, οἱ μὲν ἔνθεν, οἱ δ' ἔνθεν, κύκλος γενόμενοι, καὶ συνάψαντες ἀλλήλοις, τοὺς ἐναποληφθέντας μέσους δεινὰ ἐργάσωνται, τοιούτοις μὲν λογισμοῖς χρώμενος ἀπώκνει· πάλιν δ' ὑπὸ τῶν ἐναντίων ἀνθείλκετο, δεσπότου, λέγων, ἡ πρόσταξίς ἐστι καὶ νέου, καὶ ὅ, τι ἂν βουληθῇ, τοῦτο συμφέρειν κρίνοντος, καὶ τὸ γνωσθὲν ἅπαξ ἐπιτελεσθῆναι κἂν ἀλυσιτελέστατον ᾖ, καὶ φιλονεικίας καὶ ἀλαζονείας γέμοντος, ὅς γε καὶ ὑπερπηδήσας τὸν ἄνθρωπον, ἐν θεοῖς ἤδη γράφει ἑαυτόν· ἐπικρέμασθαι δέ μοι κίνδυνος

venientes suæ gentis homines. Hæc secum reputans Petronius, rem cunctanter aggrediebatur, ratus (vt erat) facinus audax: aduocatisque tanquam in animæ consistorium rationibus omnibus, scrutabatur singularum sententias, quas consentientes inueniebat, nihil in sacris nouandum. primum quia sic ius naturæ pietatisque postulet, deinde propter imminens periculum, non solum à Deo, verum etiam à læsis irritatisque hominibus. illud quoque cogitabat, quàm populosa esset hæc natio, non vt aliæ comprehensa vnius regionis spacio, sed totum pene orbem passim incolens. diffusa est enim per continentis prouincias omnes atque insulas, adeo vt non multo pauciores sint indigenis. tam multas hostium myriadas in se prouocare an non periculosa videri poterat alea? ne forte illis per omnes terras conspirantibus, & ad vim accendam certatim in vnum confluentibus, bellum exoriretur insuperabile: absque eo quòd ipsam Iudæam innumera multitudo incoleret, viri tum corpore valentissimi, tum animo fortissimi, parati prius generosam mortem oppetere, quàm deserere mores ac ritus patrios, quantumuis calumniatorum opinione barbaros, cum reuera sint liberales & nobiles. Terrori etiam erant Transeuphratenses copiæ. nam Babylonem & multas alias satrapias à Iudæis teneri, non auribus solum sed & oculis compertum habebat: quòd singulis annis sacra pecunia missitaretur inde in templum primitiarum nomine, quanquam per vias difficiles & asperas, quæ tamen illis regiæ videntur ad pietatem rectà properantibus. Merito igitur timens ne cognita hac noua dedicatione, subito expeditionem susciperent, & hinc atque inde coorti iunctis copijs inclusos in medio clade ingenti afficerent, retardabatur talibus cogitationibus. sed in diuersum trahebatur contrarijs: Dominum hæc iubere iuuenem, vtile iudicantem quicquid ipsi collibuerit, & semel decreta exequi contendentem quamlibet noxia, vt qui præ superbia peruicaciaque transiliens hominis terminos in Deos seipse referat. impendere sibi capitale periculum,

fiue imperata faceret, fiue non. fed A
fi pareat, cum bello cuius anceps
euentus fit: fin iuffa detrectet,
certiffimam à Caio perniciem. ad
bellum proniores erant multi Ro-
mani adiutores in adminiftratio-
ne rerum Syriacarum, quod fci-
rent in fe primos fæuiturum prin-
cipem, vt autores inobedientiæ.
& dabatur fpatium deliberandi,
dum pararetur ftatua. nam neque
tranfmiffa fuit ex Italia, Deo vo-
lente opinor, & fuos occulto fa- B
uore protegente ab iniuria: neque
iuffus eft è tota Syria lectiffimam
fumere: alioqui præpropere viola-
tis legibus exortus fuiffet repenti-
nus tumultus, prius quam expedi-
ri poffet vtile confilium. nam fubi-
tanei cafus ingruentes vim ratio-
nis hebetant. itaque Petronius in
propinquo iubet parari ftatuam, &
accitis è Phœnicia peritiffimis arti-
ficibus præbet materiam, officina
Sidone inftituta. dein honoratiores C
Iudæorum facerdotes & magiftra-
tus euocat, indicaturus eis Caij
mandata, fimúlque fuafurus vt pa-
tienter ferrent iuffa Domini, &
cauerent mala imminentia. para-
tum enim effe robur exercitus Sy-
riaci ad edendas per totam eo-
rum regionem ftrages maximas. pu-
tabat enim fi horum præmolliret
animos, poffe per eos moueri ad
obfequium cæteram multitudinem.
fed valde fua opinione deceptus
eft. perculfi enim ad primam eius D
rei mentionem, tanquam in præ-
fenti calamitate obmutuere, quafi
è fonte profundendo lacrymas, &
capillos barbáfque vellendo, cum
lamentis huiufmodi: En quò ni-
mis beati fenefcendo peruenimus,
vt quod nemo maiorum vnquam
vidit, nos fpectaremus. quibus
tandem oculis? hos enim prius
abijciemus cum erumnofa vita &
miferabili, quàm tantum nefas
infpiciamus, quod nec auditus nec E
mens fuftinet. Interea qui in fan-
cta vrbe cæteráque regione fa-
mam huius conatus audierant, ve-
lut de communi fententia coorti,
tefferam dante dolore publico, pro-
fecti funt vno agmine, defertis op-
pidis, caftellis & ædibus, continua-
tóque itinere contenderunt in Phœ-
niciam, vbi tunc agebat Petronius.

A ὁ περὶ ψυχῆς καὶ ἐνδοιασθέντι καὶ εἴξαντι· ἀλλ' εἴξαντι μὲν, μετὰ πολέμου, καὶ τάχα ἀμφιβόλου καὶ οὐ πάντως ἀποβησομένου· ἐνδοιασθέντι δὲ, ἀπαραιτήτως καὶ ὁμολογουμένως ἐκ Γαΐου. συνελάμβανον δὲ τῇ γνώμῃ ταύτῃ πολλοὶ τῶν συνδιεπόντων τὰ κατὰ Συρίαν αὐτῷ Ῥωμαίων, εἰδότες ὅτι καὶ ἐπ' αὐτοὺς πρώτους αἱ ἀπὸ Γαΐου χωρήσουσιν ὀργαὶ καὶ τιμωρίαι, ὡς συναιτίους τοῦ τὸ κελευσθὲν μὴ γενέσθαι· παρέσχε δὲ εἰς ἀκριβεστέραν σκέψιν ἀναχώρησιν ἡ κατασκευὴ τοῦ ἀνδριάντος. οὔτε γὰρ ἀπὸ τῆς Ῥώμης B διεπέμψαντο, θεοῦ μοι προνοίᾳ δοκῶ, τὴν χεῖρα τῶν ἀδικουμένων ἀφανῶς ὑπερέχοντος, οὔτε τὸν κατὰ Συρίαν, ὅστις ἂν ἄριστος εἴη δοκιμασθῆ, μετακομίζειν προσέταξεν, ἐπεὶ κἂν ἐν τάχει τῆς παρανομίας ταχὺς ἐξερράγη ὁ πόλεμος, καιρὸν οὐκ ἔχων εἰς τὴν τοῦ συμφέροντος διάσκεψιν· τὰ γὰρ αἰφνίδια καὶ μεγάλα ὅταν ἀθρόα προσπέσῃ, κατακλᾷ τὸν λογισμόν· προστάττει τὴν κατασκευὴν ἔν τινι τῶν ὁμόρων ποιεῖσθαι. μεταπεμψάμενος οὖν ὁ Πετρώνιος δη- C μιουργοὺς τῶν ἐν Φοινίκῃ τοὺς φρονιμωτάτους, δίδωσι τὴν ὕλην· οἱ δὲ ἐν Σιδῶνι εἰργάζοντο. μεταπέμπεται δὲ καὶ τοὺς ἐν τέλει τῶν Ἰουδαίων ἱερεῖς τε καὶ ἄρχοντας, ἅμα μὲν δηλώσων τὰ ἀπὸ Γαΐου, ἅμα δὲ καὶ συμβουλεύσων ἀνέχεσθαι τῶν ὑπὸ τοῦ δεσπότου προσταττομένων, καὶ τὰ δεινὰ πρὸ ὀφθαλμῶν λαμβάνειν· ἑτοίμους γὰρ εἶναι τῶν κατὰ Συρίαν στρατιωτικῶν δυνάμεων τὰς μαχιμωτέρας, αἳ πᾶσαν τὴν χώραν καταστορέσουσι νεκρῶν. ᾤετο γὰρ εἰ προκαταλάβοι τούτους, δυνήσεσθαι δι' αὐτῶν καὶ τὸ ἄλλο πλῆθος ἅπαν ἀναδιδάξειν μὴ ἐναντιοῦσθαι· γνώμης δ' ὡς εἰκὸς διη- D μάρτανε. πληγέντας γάρ φασιν ὑπὸ τοῦ πρώτου ῥήματος, εὐθὺς αὐτοὺς ἀληθοῦς κακοῦ διηγήσει καταπλαγῆναι, καὶ ἀχανεῖς γενομένους φοράν τινα δακρύων ὥσπερ ἀπὸ πηγῶν ἀθρόαν ἐκχεῖν, τὰ γένεια καὶ τὰς τρίχας τῆς κεφαλῆς τίλλοντας καὶ τοιαῦτα ἐπιλέγοντας, πολλὰ συνεισηνέγκαμεν εἰς εὐγήρων βίον οἱ λίαν εὐτυχεῖς, ἵνα ὃ μηδεὶς πώποτε εἶδε τῶν προγόνων, ἡμεῖς θεασώμεθα. τίσιν ὀφθαλμοῖς; ἐκκοπήσονται πρότερον μετὰ τῆς ἀθλίας ψυ- E χῆς καὶ τῆς ἐπωδύνου ζωῆς, ἢ τοιοῦτον ὄψονται κακόν, ἀθέατον θέαν, ἣν οὔτε ἀκοῦσαι θέμις, οὔτε νοῆσαι. καὶ οἱ μὲν τοιαῦτα ὠλοφύροντο, πυθόμενοι δὲ οἱ κατὰ τὴν ἱερόπολιν καὶ τὴν ἄλλην χώραν τὸ κινούμενον, ὥσπερ ἀφ' ἑνὸς συνθήματος συνταξάμενοι, τοῦ κοινοῦ πάθους τὸ σύνθημα δόντος, ἐξεληλύθεισαν ἀθρόοι, καὶ κενὰς τὰς πόλεις καὶ κώμας καὶ οἰκίας ἀπολιπόντες, μιᾷ ῥύμῃ συνέτειναν εἰς Φοινίκην. ἐκεῖ γὰρ ὢν ἐτύγχανεν ὁ Πετρώνιος·

ἰδόντες δὲ τῶν Πετρωνίου τινὲς ὄχλον ἀμύθητον φερόμενον, ἐβοηδρόμουν ἀπαγγέλλοντες ἵνα φυλάττηται, πόλεμον προσδοκήσαντες. ἔτι δὲ διηγουμένων, ὁ μὲν ἀφρούρητος ἦν, ἡ δὲ τῶν Ἰουδαίων πληθὺς ἐξαπιναίως ὥσπερ νέφος ἐπιστᾶσα, πᾶσαν Φοινίκην ἐπέσχε, καὶ κατάπληξιν τοῖς οὐκ εἰδόσι τῆς τοῦ ἔθνους πολυανθρωπίας ἐργασαμένη. καὶ βοὴ μὲν τοσαύτη τὸ πρῶτον ἤρθη μετὰ κλαυθμῶν καὶ στερνοτυπιῶν, ὡς δεῖν μηδὲ τὰς ἀκοὰς τῶν παρόντων χωρεῖν τὸ μέγεθος. οὐδὲ γὰρ ἐπαύσατο παυσαμένων, ἀλλ' ἡσυχασάντων ἔτι συνήχει. ἔπειτα πρόσοδοι καὶ δεήσεις, οἵας ὁ καιρὸς ὑπέβαλε. διδάσκαλοι γὰρ τοῦ παρόντος αὐταὶ αἱ συμφοραί. εἰς τάξεις δὲ ἓξ διενενέμηντο, πρεσβυτῶν, νέων, παίδων, πάλιν ἐν μέρει πρεσβυτίδων, γυναικῶν τῶν ἐν ἡλικίᾳ, παρθένων. ἐπεὶ δὲ ὁ Πετρώνιος ἐξ ἀπόπτου κατεφάνη, πᾶσαι αἱ τάξεις καθάπερ κελευσθεῖσαι προσέπιπτον εἰς ἔδαφος, ὀλολυγὴν θρηνώδη τινὰ μεθ' ἱκετηριῶν ἀφιεῖσαι. παραινέσαντος δὲ ἀνίστασθαι καὶ προσελθεῖν ἐγγυτέρω, μόλις ἀνίσταντο, καὶ καταχεάμενοι πολλὴν κόνιν καὶ ῥεόμενοι δακρύοις, τὰς χεῖρας ἀμφοτέρας εἰς τοὐπίσω περιαγαγόντες ὥσπερ οἱ ἐξηγκωνισμένοι προσῄεσαν. εἶτα ἡ γερουσία καταστᾶσα τοιάδε ἔλεξεν, Ἄοπλοί ἐσμεν ὡς ὁρᾷς, παρεληλυθέναι δὲ αἰτιῶνταί τινες ὡς πολεμίους· ἃ δὲ ἡ φύσις ἑκάστῳ προσένειμεν ἀμυντήρια μέρη χεῖρας ἀπεστρόφαμεν, ἔνθα μηδὲν ἐργάσασθαι δύναιντο, παρέχοντες αὐτῶν τὰ σώματα πρὸς εὐσκόπους τοῖς θέλουσιν ἀποκτείναι βολάς· γυναῖκας καὶ τέκνα καὶ γενεὰς ἐπηγαγόμεθά σοι καὶ διὰ σοῦ προσπίπτομεν Γαΐῳ, μηδένα οἴκοι καταλιπόντες, ἵνα ἢ περισώσητε πάντας, ἢ πάντας πανωλεθρίᾳ διαφθείρητε. Πετρώνιε καὶ τὰς φύσεις ἐσμὲν εἰρηνικοί, καὶ τὴν προαίρεσιν, καὶ αἱ διὰ παιδοτροφίας φιλεργίαι τοῦτο ἡμᾶς ἐξ ἀρχῆς ἐπαίδευσαν τὸ ἐπιτήδευμα· Γαΐῳ παραλαβόντι τὴν ἡγεμονίαν, πρῶτοι τῶν κατὰ Συρίαν ἁπάντων ἡμεῖς συνήσθημεν Οὐιτελλίου τότε παρ' οὗ διεδέξω τὴν ἐπιτροπὴν, ἐν τῇ πόλει διατρίβοντος, ᾧ τὰ περὶ τούτων ἐκομίσθη γράμματα, καὶ ἀπὸ τῆς ἡμετέρας πόλεως εὐαγγελιζομένη πρὸς τὰς ἄλλας ἔδραμεν ἡ φήμη· πρῶτον δὴ τὸ ἡμέτερον ἱερὸν ἐδέξατο τὰς ὑπὲρ τῆς ἀρχῆς Γαΐου θυσίας, ἵνα πρῶτον ἢ καὶ μόνον ἀφαιρεθῇ τῆς θρησκείας τὸ πάτριον; ἐξιστάμεθα τῶν πόλεων, παραχωροῦμεν τῶν οἰκιῶν καὶ κλήρων, ἔπιπλα καὶ κειμήλια καὶ τὴν ἄλλην ἅπασαν λείαν εἰσοίσομεν ἑκόντες· λαμβάνειν, οὐ διδόναι ταῦτα νομιοῦμεν. ἓν ἀντὶ πάντων αἰτούμεθα, μηδὲν ἐν τῷ ἱερῷ γενέσθαι νεώτερον, ἀλλὰ φυλαχθῆναι τοιοῦτον, οἷον παρὰ τῶν πάππων καὶ προγόνων παρελάβομεν.

A id Petroniani quidam conspicati cursim ei renunciarunt, caueret sibi à turbis, infestum agmen existimantes. móxque nullis stipato satellitijs multitudo Iudæorum ceu nubes repente superuenit, totam Phœnicen occupans, vt miraculo esset nescientibus gentis frequentiam. ac primum tantus clamor cum fletu planctúque sublatus est, vt hebetaret aures præsentium. nam & postquam desijt, durabat eius sonitus. secutæ B sunt compellationes, & preces quales dictare solent calamitosa tempora. erant autem distributi in sex ordines, seniorum, iuniorum, puerorum: rursum alia parte anuum, mulierum, virginum. Vbi verò Petronius in loco superiore conspectus est, vniuersi ordines velut ad vnum edictum humi procumbunt supplices cum vlulatu quodam flebili. iussique surgere & accedere propius, vix tandem surrexerunt, & cons- C persi multo puluere, diffluentésque lacrymis, accedebant reductis in tergum more damnatorum ambabus manibus. tum senatus stans sic loquutus est: Inermes, vt vides, adsumus, ne quis nos dicat venire hostiliter. manus autem pro armis à natura datas retrofleximus ociosas, præbemus & corpora ad certos ictus ferire volentibus. Vxores & liberos familiásque adduximus, supplices tibi & per te Caio aduoluimur D domi relicto nemine, orantes vt aut omnes seruetis, aut omnes internecione deleatis. Sumus Petroni & natura pacis cupidi & studio, ad quam nos trahit cura liberorum alendorum ex nostris laboribus. Caio imperium adepto primi ex tota Syria gratulati sumus, Vitellio cuius successor es, tunc in nostra vrbe degente, qui super hac re literas acceperat, & à nobis ad cæteras ciuitates fama lætum nuncium pertulit. primum nostrum templum exce- E pit pro imperio Caij victimas, vt primum aut etiam solum priuaretur religione patria. decedimus vrbibus, cedimus priuatis ædibus & possessionibus, supellectilem vel preciosissimam vltro vobis in prædam offerimus, eo animo vt nos putemus non dare sed accipere. vnum pro his omnibus petimus, nequid in templo mouetur, vtque seruetur tale,

quale à maioribus nobis est traditum. id si non impetramus, necandos nos præbemus, ne videamus viui quod est morte grauius. audimus pedestres equestrésque aduersus nos parari copias, si dedicationem impediamus. nemo ita insanit, vt seruus se opponat Domino. libenter iugulabimur. cedant, mactent, frustatim concidant sine certamine ac suo sanguine, agant quicquid libet victoribus. quid opus est exercitu? nosipsi egregij sacerdotes immolabimus victimas, adducemus ad templum mulieres vxoricidæ, fratres sororésque fratricidæ, pueros puellásque innocentem ætatem puericidæ. tragicis vocabulis vtendum est in tragicis calamitatibus. deinde in medio eorum stantes abluti cognato sanguine (nam talia lauacra ad inferos properantibus conueniunt) admiscebimus & proprium, nosmetipsi iugulando insuper. morientium hoc mandatum erit vltimum: ne Deus quidem nos accuset, qui vtriusque rationem habuerimus, & imperatori debitæ reuerentiæ, & sacrarum legum custodiæ. id fiet si vitam haud viuendam contempserimus. audiuimus priscam fabulam è Græca literatura profectam, tantam vim fuisse Gorgonei capitis, vt hac visa homines confestim verterentur in saxeos. id quanquam fabulosum videatur, negari tamen non potest, simile quiddam magnos nec opinatos casus efficere. ira Domini mortem adfert, aut quiddam morti proximum. putas Petroni, si (quod absit) aliqui nostrates viderent in templum deduci statuam, non in saxa mutatum iri, oculis stupentibus, & per singula membra sopito naturali motu corporis. extremum Petroni hoc erit nostrum votum æquissimum. non contendimus ne imperata facias, dilationem tantum petimus, & oramus supplices, vt nobis liceat legatos ad Dominum mittere. fortassis impetrabimus ne religio cælestis numinis, ne leges sanctissimæ aboleantur, néve vltimis etiam posthabeamur gentibus, quibus sui ritus manent incolumes, ne decreta eius aui proauique temerentur nostros mores approbantia diligentérque confirmantia. forsan his auditis fiet mollior. non semper eædem sunt voluntates principum, ira-

A εἰ δὲ μὴ πείθοιμεν, παραδίδομεν ἑαυτοὺς εἰς ἀπώλειαν, ἵνα μὴ ζῶντες ἐπίδωμεν θανάτου χεῖρον κακόν· πυνθανόμεθα πεζὰς καὶ ἱππικὰς δυνάμεις ηὐτρεπίσθαι καθ᾽ ἡμῶν, εἰ πρὸς τὴν ἀνάθεσιν ἀντιβαίνοιμεν. οὐδεὶς οὕτω μέμηνεν, ὡς δοῦλος ὢν ἐναντιοῦσθαι δεσπότῃ· παρέχομεν ἐν ἑτοίμῳ τὰς σφαγὰς ἄσμενοι, κτεινέτωσαν, ἱερευέτωσαν, κρεωνομείτωσαν ἀμαχεὶ καὶ ἀναιμωτί, πάντα ὅσα κεκρατηκότων ἔργα δράτωσαν· τίς δὲ χρεία στρατιᾶς;
B αὐτοὶ κατάρξομαι τῶν θυμάτων οἱ καλοὶ ἱερεῖς, παραστησάμενοι τῷ ἱερῷ γυναῖκας οἱ γυναικοκτόνοι, ἀδελφοὺς καὶ ἀδελφὰς οἱ ἀδελφοκτόνοι, κόρους καὶ κόρας τὴν ἄκακον ἡλικίαν οἱ παιδοφόνται· τραγικῶν ὀνομάτων δεῖ τοῖς τὰς τραγικὰς συμφορὰς ὑπομένουσιν· εἶτ᾽ ἐν μέσοις στάντες καὶ λουσάμενοι τῷ συγγενικῷ αἵματι (τοιαῦτα γὰρ τὰ λουτρὰ τοῖς εἰς ᾅδου φαιδρυνομένοις) ἀνακερασόμεθα τὸ ἴδιον ἐπικατασφάξαντες αὑτούς· ἀποθανόντων δὲ ἐπίταγμα γενέσθω, μέμψαιτ᾽ ἂν οὐδὲ θεὸς ἡμᾶς, ἀμφο-
C τέρων στοχαζομένους, καὶ τῆς πρὸς τὸν αὐτοκράτορα εὐλαβείας, καὶ τῆς πρὸς τοὺς καθωσιωμένους νόμους ἀποδοχῆς· γενήσεται δὲ τοῦτο, ἐὰν ὑπεκστῶμεν ἀβιώτου βίου καταφρονήσαντες. ἀκοὴν ἐδεξάμεθα παλαιοτάτην ὑπὸ τῶν κατὰ τὴν Ἑλλάδα λογίων παραδοθεῖσαν, οἳ τὴν τοῦ Γοργείου κεφαλὴν τοσαύτην ἔχειν δύναμιν ὡμολόγουν, ὥστε τοὺς προσιδόντας εὐθὺς λίθους καὶ πέτρους γίνεσθαι· τοῦτο μύθου μὲν πλάσμα ἔοικεν εἶναι, τὸ δ᾽ ἀληθὲς, αἱ μεγάλαι καὶ ἀβούλητοι καὶ μέγισται συντυχίαι ἐπιφέρουσιν· ὀρ-
D γαὶ δεσπότου θάνατον ἀπεργάζονται, ἢ παραπλήσιον ἢ θανάτῳ· νομίζεις, ὃ μήποτε γένοιτο, παραπεμπόμενον εἰ θεάσαιντό τινες τῶν ἡμετέρων εἰς τὸ ἱερὸν τὸν ἀνδριάντα, οὐκ ἂν εἰς πέτρον μεταβαλεῖν, παγέντων μὲν τῶν ὀφθαλμῶν, ὡς μηδὲ κινηθῆναι δύνασθαι, ὅλου δὲ τοῦ σώματος τὰς φυσικὰς κινήσεις μεταβαλόντος καθ᾽ ἕκαστον τῶν ἐν τῇ κοινωνίᾳ μερῶν αὐτοῦ; τελευταίαν δέησιν ὦ Πετρώνιε ποιησόμεθα δικαιοτάτην· οὔ φαμεν μὴ δεῖν τὰ κελευσθέντα
E δρᾶν, ἀλλ᾽ ἀναχώρησιν αἰτούμεθα προσεικότες, ἵνα πρεσβείαν ἑλόμενοι πέμψωμεν τὴν ἐντευξομένην τῷ δεσπότῃ· τάχα που πρεσβευσάμενοι πείσομεν, ἢ περὶ θεοῦ τιμῆς πως διεξελθόντες, ἢ περὶ νομίμων ἀκαθαιρέτων φυλακῆς, ἢ περὶ τοῦ μὴ πάντων, καὶ τῶν ἐν ἐσχατιαῖς ἐθνῶν, οἷς τετήρηται τὰ πάτρια, ἔλαττον ἐνεγκεῖν, ἢ περὶ ὧν ὁ πάππος αὐτοῦ καὶ προπάππος ἔγνωσαν, ἐπισφραγιζόμενοι τὰ ἡμέτερα ἔθη μετὰ πάσης ἐπιμελείας, ἴσως ταῦτα ἀκούων, ἔσται μαλακώτερος· οὐκ ἐν ὁμοίῳ μένουσιν

αἱ γνῶμαι τῶν μεγάλων αἱ δὲ σὺν ὀργῇ τάχιστα κάμνουσι. διαβεβλήμεθα, τὰς διαβολὰς ἐπίτρεψον ἰάσασθαι. ἀκρίτους κατακριθῆναι χαλεπόν. ἂν δὲ μὴ πεισθῶμεν, τί λοιπὸν ἐμποδών ἐστιν, ἢ ταῦτα ἃ καὶ νῦν διανοῇ πράττειν; ἕως οὗ πρεσβευσώμεθα, μὴ ἀποκόψῃς τὰς ἀμείνους ἐλπίδας μυριάδων τοσούτων, αἷς οὐχ ὑπὲρ κέρδους, ἀλλ' ὑπὲρ εὐσεβείας ἐστὶν ἡ σπουδή, καίτοι γε ἡμάρτομεν τοῦτο εἰπόντες. τί γὰρ ἂν εἴη κέρδος λυσιτελέστερον ὁσιότητος ἀνθρώποις; ταῦτα δὲ διεξῄεσαν ὑπ' ἀγωνίας καὶ περιπαθήσεως ἄσθματι πολλῷ, κεχηνότες τῷ πνεύματι, ῥεόμενοι γὰρ κατὰ μελῶν ἁπάντων ἱδρῶτι, μετὰ φορᾶς ἀπαύστων δακρύων, ὡς ἤδη συναλγεῖν τοὺς ἀκούοντας καὶ τὸν Πετρώνιον. ἔστι γὰρ καὶ τὴν φύσιν εὐμενὴς καὶ ἥμερος ὑπὸ τῶν λεχθέντων καὶ ὁρωμένων συνηρπάσθαι. ἐδόκει γὰρ αὐτῷ καὶ τὰ λεγόμενα εἶναι δικαιότατα, καὶ οἰκτρὰ ἡ τῶν ὁρωμένων περιπάθησις. ἐπεξαναστὰς δὲ μετὰ τῶν συνέδρων ἐβουλεύετο περὶ τῶν πρακτέων, καὶ ἑώρα τοὺς μὲν πρὸ μικροῦ πάντα πάσιν ἐναντιουμένους ἐπαμφοτερίζοντας, τοὺς δ' ἐνδοιαστὰς ἐπιρρέποντας ἤδη τῷ πλείονι μέρει πρὸς ἔλεον, ἐφ' οἷς ἥδετο, καίτοι τὴν φύσιν εἰδὼς τοῦ προεστῶτος, καὶ ὡς εἴη ἀπαραίτητος ὀργήν, ἀλλ' εἶχέ τινα καὶ αὐτὸς ὡς ἔοικεν ἐναύσματα τῆς ἰουδαϊκῆς φιλοσοφίας ἅμα καὶ εὐσεβείας, εἴτε καὶ πάλαι προμαθὼν ἕνεκα τῆς περὶ παιδείαν σπουδῆς, εἴτε καὶ ἀφ' οὗ τῶν χωρῶν ἐπετρόπευσεν, ἐν αἷς ἰουδαῖοι καθ' ἑκάστην πόλιν εἰσὶ παμπληθεῖς Ἀσίας τε καὶ Συρίας, εἴτε καὶ τὴν ψυχὴν οὕτω διατεθεὶς αὐτηκόῳ καὶ αὐτοκελεύστῳ καὶ αὐτομαθεῖ τινι πρὸς τὰ σπουδῆς ἄξια φύσει. τοῖς δὲ ἀγαθοῖς, ἀγαθὰς ὑπηχεῖν ἔοικε γνώμας ὁ θεός, δι' ὧν ὠφελοῦντες, ὠφεληθήσονται· ὅπερ κἀκείνῳ συνέβη. τίνες οὖν ἦσαν αἱ γνῶμαι; μὴ κατεπείγειν τοὺς δημιουργούς, ἀλλ' ἀναπείθειν εὖ τετεχνιτευμένον ἀπεργάσασθαι τὸν ἀνδριάντα, στοχαζομένους καθ' ὅσον οἷοί τε ἦσαν, μὴ ἀπολειφθῆναι τῶν διωνομασμένων ἀρχετύπων εἰς πλείονος χρόνου μῆκος. ἐπεὶ τὰ μὲν αὐτοσχέδια φιλεῖ πως ἐπιτέμνεσθαι, τὰ δὲ σὺν πόνῳ καὶ ἐπιστήμῃ, μῆκος χρόνων ἐπιζητεῖν. ἣν δ' ᾐτήσαντο πρεσβείαν, οὐκ ἐπιτρέπειν· ἀσφαλὲς γὰρ οὐκ εἶναι τοῖς βουλομένοις, ἐπὶ τὸν πάντων ἡγεμόνα καὶ δεσπότην ἀνενεγκεῖν τὰ πράγματα, μὴ ἐναντιοῦσθαι τῷ πλήθει, μήτε ὁμολογεῖν, μήτε ἀρνεῖσθαι. ἑκάτερον γὰρ φέρειν κίνδυνον, ἐπιστέλλειν Γαΐῳ μηδὲν μὲν τῶν ἰουδαίων κατηγοροῦντα, μὴ δηλοῦντα δὲ ἐπ' ἀδήλῳ τὰς ἱκετείας καὶ ἀντιβολίας αὐτῶν, καὶ τῆς περὶ τὴν ἀνάθεσιν βραδυτῆτος αἰτιᾶσθαι, ὁμοῦ τι

A torum verò vanescunt celerrime. periti sumus calumnijs, permitte adhibeamus remedium. durum est iniudicatos damnari. si nihil impetramus, quid vetat ne quæ nunc vult, tunc faciat. ante missam legationem noli præcidere spem tot millium, non de lucro sed de pietate contendentium: imò & de lucro. quod enim lucrum homini est sanctitate vtilius? hæc tum magna contentione magnóque desiderio dicta sunt ab honoratissi-
B mis singultientibus & anhelis, lachrymis simul ac sudore diffluentibus, vt iam Petronio cæterísque miserationem mouerent. est enim mitis ingenio, & verbis factísque flexibilis. & videbantur æquum postulare, aspectu quoque nihil erat miserabilius. habita igitur consultatione cum assessoribus, animaduertens partim nutare & ambigere, qui modo rigide aduersati fuerant, partim præiudica-
C re & miserationem non dissimulare, gaudebat eorum voluntatibus. & quamuis nosset imperatoris iram implacabilem, & natiuam sæuiciam, tamen videbatur afflatus aura quadam philosophiæ pietatísque Iudaïcæ, siue iam ante vir doctus ex literis aliquid hauserat, siue ex quo præfecturam adeptus est prouinciarum Asiæ Syriæque, in quibus oppidatim degunt Iudæi plurimi: siue suapte natura erat ad res cognitu dignas do-
D cilis. solet autem Deus bonis viris bona suggerere consilia, tum ipsis tum reipublicæ commoda, quod tunc quoque contigit. Quid igitur decretum est? ne properarent opifices, sed darent operam vt statua summo expoliretur artificio, & quantum fieri posset exprimeret exemplaria laudatissima, quo sit durabilior. Nam opera extemporanea non temere diuturna fieri, accurata ætatem ferre melius.
E Cæterum legationem mittere non est concessum Iudæis, nec enim ipsis tutum esse, rem committere Domino qui possit omnia. interim postulatis nec annui nec renui placuit, quod vtrumque periculosum esset. sed literas ad Caium mitti, sine accusatione Iudæorum, dissimulatis eorum supplicationibus, causam autem dilatæ dedicationis referri in opifices, quibus necesse sit dari certum spacium temporis. eas moras afferre posse amplioris dilationis occasionem,

A & fortaſſe tandem ipſum Caium exorari ſe paſſurum. erant enim tum maturæ ſegetes. & timendum erat ne deplorata religione homines vitam quoque contemnerent, & vaſtatis agris ſuaſmet fruges late per campos colléſque incenderent. ſollicitabat etiam cura colligendorum fructuum tum arboreorum tum arualium. ferebatur enim conſtituiſſe imperatorem nauigare in Ægyptum Alexandriam: nec videbatur veriſimile tantum principem per altum B mare ſe obiectaturum periculis, vel propter comitantis claſſis magnitudinem, vel propter curam corporis: facilius iter circumeunti per Aſiam & Syriam. ſic enim quotidie fore illi copiam vel conſcendendi naues vel exſcendendi, præſertim ducenti longas non onerarias, quibus ora legitur vtilius, ſicut onerarijs per altum fit velificatio. erat igitur opus pabulum & annonam parari per omnes vrbes Syriæ, præcipue mariti- C mas. expectabatur enim ingens multitudo terra marique ventura, non ſolum ab vrbe atque Italia, ſed & ab intermedijs prouincijs, partim honoratorum, partim militarium, equitum, peditum, naualium, nec minor ſeruorum numerus quàm militum. & requirebatur non tantum modus neceſſarius, verum etiam Caio digna rerum copia. Eas literas poſtquam perlegerit imperator, daturus putabatur veniam, atque etiam pru- D dentiam laudaturus eorum, qui moras necterent, non in Iudæorum gratiam, ſed propter conuectionem fructuum. Ea ſententia comprobata ſcriptæ ſunt literæ, & expeditis nuncijs traditæ, aſſuetis itinerum compendio. his acceptis ille inter legendum excandeſcebat, vultu præ ſe ferens iracundiam. vbi verò deſijt, comploſis manibus, Euge Petroni, inquit, non didiciſti audire impera- E torem, tumes continuatis hactenus magiſtratibus, videris ne ex fama quidem Caium noſſe, quem experieris non multo poſt. cordi tibi ſunt leges Iudæorum, gentis mihi inimiciſſimæ, principis mandata negligis. timuiſti multitudinem. quaſi non haberes militum copias formidatas orientalibus, atque adeo ipſis Parthorum regibus. ſed miſeratus es. ergo minus apud te valuit Caius quam mi-

A τῆς κατασκευῆς χρόνου μεμετρημένου δεομένην, τὸ δ' ἔτι καὶ τὸν καιρὸν διδόντα μεγάλας ἀφορμὰς εἰς ἀναβολὴν εὐλόγους, αἷς συναιρέσθαι οὐκ ἴσως, ἀλλ' ἀναγκαίως καὶ αὐτὸν Γάϊον. ἐν ἀκμῇ μὲν γὰρ τὸν τοῦ σίτου καρπὸν εἶναι, καὶ τὸν ἄλλον ὅσα σπαρτά· δεδιέναι δὲ μὴ κατ' ἀπόγνωσιν τῶν πατρίων ἄνθρωποι καὶ τοῦ ζῆν καταφρονοῦντες, ἢ δῃώσωσι τὰς ἀρούρας, ἢ ἐμπρήσωσι τὴν σταχυοφόρον, ὀρεινήν τε καὶ πεδιάδα, φυλακῆς δὲ χρῄζειν εἰς ἐπιμελεστέραν τῶν καρπῶν συγκομιδήν, οὐ μόνον τῶν σπειρομένων, ἀλλὰ καὶ ὧν ἡ δενδροφόρος παρέχει. διέ- B γνωκε μὲν γάρ, ὡς λόγος, πλεῖν εἰς Ἀλεξάνδρειαν τὴν πρὸς Αἰγύπτῳ· πελάγει δὲ οὐκ ἀξιῶσαι τοσοῦτος ἡγεμὼν διά τε τοὺς κινδύνους, καὶ διὰ τὸ πλῆθος τοῦ παραπέμποντος στόλου, καὶ ἅμα διὰ τὴν ἐπιμέλειαν τοῦ σώματος, ἃ δὴ πάντα γίνεται ῥᾴως τὴν δι' Ἀσίας καὶ Συρίας κύκλον περιϊοῦσιν ὁδῷ. δυνήσεται γὰρ καθ' ἑκάστην ἡμέραν καὶ πλεῖν καὶ ἀποβαίνειν, καὶ μάλιστα τὰς πλείστας ναῦς ἐπαγόμενος μακράς, ἀλλ' οὐχ ὁλκάδας, αἷς ὁ παρὰ γῆν πλοῦς ἀνυσιμώτερος, ὡς ταῖς C φορτίσι διὰ πελάγους ἐστίν. ἀναγκαῖον οὖν καὶ χιλὸν κτήνεσι καὶ τροφὰς ἀφθόνους ἐν ἁπάσαις τῶν Συριακαῖς πόλεσιν ηὐτρεπίσθαι, καὶ μάλιστα τῶν παράλοις. ἀφίξεται γὰρ παμπληθὴς ὄχλος καὶ διὰ γῆς καὶ διὰ θαλάττης, οὐ μόνον ἀπ' αὐτῆς Ῥώμης καὶ Ἰταλίας ἀναστάς, ἀλλὰ καὶ ἀπὸ τῶν ἑξῆς ἄχρι Συρίας ἐπικρατειῶν ἐπηκολουθηκώς, ὁ μὲν τῶν ἐν τέλει, ὁ δὲ καὶ στρατιωτικός, ἱππέων, πεζῶν, τῶν ἐν ταῖς ναυσίν, ὁ δὲ καὶ οἰκετικός, οὐκ ἀποδέων τοῦ στρατιωτικοῦ. δεῖ δὲ χορηγιῶν οὐ πρὸς τὰ ἀναγκαῖα συμμεμετρημένων αὐτὸ μόνον, ἀλλὰ D καὶ πρὸς περιττὴν δαψίλειαν ἣν ἐπιζητεῖ Γάϊος. τούτοις ἐὰν ἐντύχῃ τοῖς γράμμασιν, ἴσως πρὸς τῷ μὴ δυσχεραίνειν, καὶ τῆς προνοίας ἡμᾶς ἀποδέξεται, ὡς ποιησαμένους τὴν ὑπέρθεσιν, οὐ χάριτι τῶν Ἰουδαίων, ἀλλ' ἕνεκα τῆς τῶν καρπῶν συγκομιδῆς. ἀποδεξαμένων δὲ τὴν ἐπίνοιαν τῶν συνέδρων κελεύει γράφεσθαι τὰς ἐπιστολάς, καὶ ἐχειροτόνει τοὺς διακομιοῦντας ἄνδρας εὐζώνους, ἐθάδας δὲ καὶ τῶν κατὰ τὰς ὁδοιπορείας ἐπιτομῶν· καὶ οἱ μὲν ἥκοντες ἀνέδοσαν τὰς ἐπιστολάς· ὁ δ' ἔτι μὲν ἀναγινώσκων ᾤδει, καὶ μεστὸς ἦν E ὀργῆς ἐφ' ἑκάστῳ σημειούμενος· ὡς δὲ ἐπαύσατο, συνεκρότει τὰς χεῖρας, εὖ Πετρώνιε φάσκων, οὐκ ἔμαθες ἀκούειν αὐτοκράτορος, αἱ ἐπάλληλοί σε ἀρχαὶ πεφυσήκασιν, ἄχρι τοῦ παρόντος οὐδὲ ἀκοῇ γνωρίζειν μοι δοκεῖς Γάϊον, οὐκ εἰς μακρὰν αὐτοῦ πεῖραν ἕξεις. μέλει μὲν γάρ σοι τῶν Ἰουδαϊκῶν νομίμων ἐχθίστου μοι ἔθνους, ἀλογεῖς δὲ τῶν ἄρχοντος ἡγεμονικῶν προστάξεων, ἐφοβήθης τὸ πλῆθος· εἶτα οὐ παρῆσάν σοι αἱ στρατιωτικαὶ δυνάμεις, ἃς δέδιεν ἔθνη τὰ ἑῷα καὶ ἡγεμό-

νες αὐτὴν προθυμούμενοι; ἀλλ' ἠλέησας, εἶτα οἶκτος μᾶλλον ἐδυνήθη Γαΐου; προφασίζῃ νῦν ἀμητόν, τὸν ἀπροφάσιστον οὐκ εἰς μακρὰν ἐνδέξῃ ἐπὶ τὴν κεφαλὴν συγκομιδὴν αὐτοῦ καρπῶν, καὶ τὰς εἰς τὴν ἡμετέραν ἄφιξιν παρασκευάς. εἰ γὰρ ἀφορία παντελὴς ἐπέσχε τὴν Ἰουδαίαν, οὐκ ἦσαν αἱ πλησιόχωροι τοσαῦται καὶ οὕτως εὐδαίμονες ἱκαναὶ χορηγεῖν τἀπιτήδεια, καὶ τὴν μιᾶς ἔνδειαν ἀναπληρῶσαι; ἀλλὰ τί προεξανίσταμαι τῇ χειρί; τί δέ μου τὴν γνώμην προαισθάνονταί τινες; ὁ μισθὸν τὰ ἐπίχειρα κομιούμενος γνωσκέτω πρῶτος ἐξ ὧν ἀναπαθεῖ. παύομαι λέγων, φρονῶν δὲ οὐ παύσομαι. καὶ μικρὸν ὅσον ἐπισχών, τινὶ τῶν πρὸς ταῖς ἐπιστολαῖς ὑπηγόρευε τὰς πρὸς Πετρώνιον ἀποκρίσεις, ἐπαινῶν αὐτὸν ὅσα τῷ δοκεῖν εἰς τὸ προμηθὲς καὶ τὴν τῶν μελλόντων ἀκριβῆ περίσκεψιν. σφόδρα γὰρ πως ἐν ἡγεμονίαις εὐλαβεῖτο τὰς πρὸς νεωτεροποιίαν ἀφορμὰς ἀφανεῖς ἐχούσας ἑτοίμως, καὶ μάλιστα πως ἐν ταῖς μεγάλαις καὶ μεγάλοις ἐπιπάτοις στρατοπέδοις, ἡλίκα τὰ πρὸς Εὐφράτῃ κατὰ Συρίαν ἐστίν. θεραπεύων οὖν τοῖς ὀνόμασι καὶ γράμμασιν ἄχρι καιροῦ τὸ εἰκότως ἐπεσκίαζε, βαρύμηνις ὤν. εἶτα ἐπὶ πᾶσι γράφει κελεύων μηδενὸς οὕτω φροντίζειν, ἢ τοῦ θᾶττον ἀναθεῖναι τὸν ἀνδριάντα. καὶ γὰρ ἤδη τὰ θέρη τὴν εἴτε πιθανήν, εἴτε ἀληθῆ πρόφασιν, συγκεκομίσθαι δύνασθαι. Μετ' οὐ πολὺ μέντοι πρότερον Ἀγρίππας ὁ βασιλεὺς κατὰ τὸ εἰωθὸς ἀσπασόμενος Γάιον ἧκε· ἠγνόει δ' ἁπλῶς οὐδὲν οὔτε ὧν ἐπεστάλκει ὁ Πετρώνιος, οὔτε ὧν ὁ Γάιος ἢ πρότερον ἢ ὕστερον ἐπεκεκρίνει· εἴκαζε δ' ὅμως ἐκ τῆς ἐν τῷ τάξει κινήσεως καὶ τῆς τῶν ὀμμάτων ταραχῆς ὑποτυφομένην ὀργήν, καὶ διεσκόπει καὶ διηρεύνα ἑαυτὸν πάντη καὶ πρὸς πάντα μικρά τε αὖ καὶ μεγάλα τὸν λογισμὸν ἀποτείνων, μή τι δέδρακεν ἢ εἶπεν ὧν οὐ χρή. ὡς δ' οὐδ' ὅλως οὐδὲν εὕρισκεν, ἐτόπασεν ὅπερ ἦν εἰκός, ἑτέροις τισὶ πικραίνεσθαι. πάλιν δ' ὁτὲ μὲν ἀποβλεπόμενον εἶδε καὶ τετακότα τὰς ὄψεις πρὸς μηδένα τῶν παρόντων ἢ μόνον ἐπ' αὐτόν, ἐδεδίει, καὶ πολλάκις ἐρέσθαι διαγνωσθεὶς ἐπέσχε, τοιοῦτον λαμβάνων λογισμόν, ἴσως τὴν ἀπειλὴν πρὸς ἑτέρους οὖσαν, αὐτὸς ἕξω, περιεργίας ὁμοῦ καὶ προπετείας καὶ θράσους ὑπόληψιν ἐξενεγκάμενος. ἐπιλαβόμενον δ' οὖν καὶ ἀπορούντα θεασάμενος αὐτὸν Γάιος· ἦν γὰρ δεινὸς ἐκ τῆς φανερᾶς ὄψεως ἀφανὲς ἀνθρώπου βούλημα καὶ πάθος συνιδεῖν· ἀπορεῖς, εἶπεν, Ἀγρίππα· παύσω σε τῆς ἀπορίας, ἐπὶ τοσοῦτόν μοι χρόνον συνδιατρίψας, ἠγνόησας ὅτι οὐ τῇ φωνῇ μόνον, ἀλλὰ καὶ τοῖς ὄμμασι φθέγγομαι μᾶλλον ἢ οὐχ ἧττον ἕκαστα διασημαίνων· οἱ καλοί σου κἀγαθοὶ πολῖται, παρ' οἷς μόνοις ἐξ ἅπαντος ἀνθρώπων γένους οὐ νομίζεται Γάιος,

A seratio. causaris messem. tibi breui sine excusatione caput ferro demetetur. causaris conuectionem fructuum in aduentum nostrum parandorum. scilicet si Iudæa fieret sterilis, deerant finitimæ prouinciæ quæ victum præberent, vnius inopiam suppleturæ suis prouentibus. sed cur tempero à manibus, cur meam voluntatem enuncio. ille mercedem accepturus cladem suam primus sentiat. desino minari, irasci non desi-
B no. tum breui mora interiecta cuidam ab epistolis dictat responsum ad Petronium, laudans in speciem eius prouidentiam, & in prospiciendis futuris solertiam. vehementer enim timebat præsides, quod illis promptum esset res nouas moliri, præsertim in magnis prouincijs apud magnos exercitus, qualis est ad Euphratem tractus Syriæ. delinito igitur per literas homine, ad tempus iram tegebat implacabilem. dein manda-
C tum addidit, ne vllam curam præuerteret dedicationis negocio. iam enim messes conuectæ esse poterant, & cessabat illa seu vera seu affectata excusatio. nec multo post aduenit Agrippa rex, more suo Caium salutaturus, plane ignarus epistolæ Petronij, quidve Caius rescripsisset. conijciebat tamen statim è vultus nubilo eum latentem iram coquere, retractabátque intra se ne quid magnum aut paruum dicto factóve commiserit quod illum offen-
D deret. cúmque nihil inueniret, colligebat, id quod erat, irasci eum alijs. ac rursus cum animaduerteret illum torue in se solum intueri, metuebat: & sæpius volens rogare, cohibuit se, ne forte minas aliò tendentes temeraria curiositate in se conuerteret. Tum Caius, vt erat callidus ex aspectu deprehendere cogitationes hominum, postquam vidit timentem hæsitantémque: Dubitas,
E inquit, Agrippa, ego tibi hanc dubitationem eximam. tamdiu mecum versatus ignoras me oculis non minus quam voce loqui solere? boni honestíque ciues tui, qui soli ex omni hominum genere dedignantur Caium habere pro Deo, videntur iam mortem sibi per contumaciam quærere, dum me iubente in ipsorum templo consecrari Iouis simulacrum, populariter ex vrbe agrísque occurrerunt

specie supplicum, sed reuera mandatum meum proculcaturi. Plura intonaturus erat, cum rex anxius & præ metu per singula momenta colore mutato, rubicundus, luridus, liuidus, à vertice ad calcem horrore corripitur: & tremore membra quatiente solutisque neruis collapsus fuisset, ni eum sustentassent proximi: qui iussi domum illum retulerunt nil sentientem & subitanea vi mali sopitum ac stupidum. At Caius magis etiam exasperabatur in gentis odium. Si Agrippa, inquit, familiaris & amicissimus plurimisque deuinctus beneficijs, tantum tribuit patrijs ritibus, vt ne verbo quidem eos violari ferat, sed deliquio pene exanimatus sit, quid expectandum est ab alijs, qui nihil habent quod se in diuersum retrahat? Agrippa verò tota die partéque insequentis maxima graui sopore pressus sui compos non erat. tandem sub vesperam paululum erecto capite, ægréque diductis palpebris, caligantes etiamtum circumferebat oculos, circumstantium facies vixdum noscitans: rursúmque somno redditus iam sanior quiescebat, vt apparebat è respiratione & corporis habitu. aliquanto post experrectus scitabatur, Vbi nunc sum? num apud Caium? adéstne ipse Dominus? responsum est, Bono sis animo. domi es. Caius non adest. satis dormisti, erige te in cubitum, agnosce præsentes. omnes sunt domestici, amici, liberti, famuli, dilecti & tui amantissimi. tum verò cœpit resipiscere, singulos condolere aspiciens. cúmque medici iussissent turbam secedere, vt vnctionibus & cibo tempestiuo corpusculum eius reficerent: Scilicet, inquit, curandum est vobis de parando mihi victu delicatiore. an non sufficit misero famem pellere vsu rerum vilissimarum simplicissimarúmque? quas ipsas non admitterem, nisi leuis quædam spes me teneret extremi auxilij ferendi genti infelicissimæ. Hæc cum lacrymis locutus, necessario cibo contentus fuit sine obsonijs: ac ne vinum quidem sibi misceri passus, aquam tantum gustauit. habet, inquit, miser venter quod reposcebat debitum. mihi quid faciendum, nisi Caius suppliciter interpellandus de rebus

A ἤδη μοι δοκοῦσι καὶ θανατᾶν ἀφηνιάζοντες, ἐμοῦ κελεύσαντος ἐν τῷ ἱερῷ Διὸς ἀνδριάντα ἀναστῆναι, πάνδημοι συνταξάμενοι, τῆς πόλεως καὶ τῆς χώρας ὑπεξῆλθον πρόφασιν ἱκετεύοντες, τὸ δ' ἀληθὲς ἐναντία τοῖς προστεταγμένοις ἐργασόμενοι. μέλλοντος δὲ προσεπιφέρειν ἕτερα, ὑπ' ἀγωνίας παντοδαπὰς χρόας ἐναλλάττων, ἐν ταὐτῷ γινόμενος αἱμωπός, ὠχρός, πελιδνός· ἤδη δὲ καὶ ἀπὸ κεφαλῆς ἄκρας μέχρι ποδῶν φρίκῃ κατέσχητο, τρόμος τε
B καὶ σεισμὸς πάντα αὐτοῦ τὰ μέρη καὶ τὰ μέλη συνεκύκα, χαλωμένων τε καὶ ἀνιεμένων τῶν περὶ τὸ σῶμα τόνων περὶ ἑαυτῷ κατέρρει, καὶ τὰ τελευταῖα παρεθεὶς, μικροῦ κατέπεσεν, εἰ μὴ τῶν παρεστώτων τινὲς ὑπέλαβον αὐτόν. καὶ κελευσθέντες φοράδην οἴκαδε κομίζουσιν, ἀναισθήτως διακείμενον ὑπὸ κάρου τῶν ἀθρόων κατασκηψάντων κακῶν. ὁ μὲν οὖν Γάιος ἐπὶ μᾶλλον ἐξετραχύνθη τὸ κατὰ τοῦ ἔθνους μῖσος ἐπιτείνων. εἰ γὰρ Ἀγρίππας, ἔφασκεν, ὁ συνηθέστατος καὶ φίλτατος καὶ τοσαύταις ἐνδεδεμένος εὐεργεσίαις ἥττηται
C τῶν ἐθῶν, ὡς μηδὲ ἀκούειν ἀνέχεσθαι τῶν κατ' αὐτῶν, ἀλλ' ὑπ' ἐκλύσεως μικροῦ καὶ τελευτῆσαι, τί χρὴ περὶ τῶν ἄλλων προσδοκᾶν, οἷς μηδεμία πρόσεστιν ὁλκὸς δύναμις εἰς τοὐναντίον; ὁ δὲ Ἀγρίππας τὴν μὲν πρώτην ἡμέραν καὶ τὸ πλεῖστον μέρος τῆς ὑστεραίας ὑπὸ κάρου πιεσθεὶς βαθέος, οὐδὲν ἐγνώριζε τῶν ὄντων. περὶ δὲ δείλην ἑσπέραν μικρὸν ὅσον τὴν κεφαλὴν ἐπάρας καὶ βεβαρημένους τοὺς ὀφθαλμοὺς ἐπὶ βραχὺ μόλις διοίξας, ἀμαυροῖς καὶ ἀχλυώδεσι τοῖς ὄμμασι τοὺς ἐν κύκλῳ περιεθεᾶτο, μήπω γνωρίζειν δυνά-
D μενος ἐπ' ἀκριβὲς τὰς ἑκάστων ἰδέας· πάλιν δὲ ὑποπεσὼν εἰς ὕπνον, ἠρέμει τῆς προτέρας ὑγιεινοτέρᾳ καταστάσει χρώμενος, ὡς ἦν ἔκ τε τοῦ ἀναπνεῖν καὶ ἐκ τῆς περὶ τὸ σῶμα σχέσεως τεκμήρασθαι. περιαναστὰς δ' ὕστερον ἐπυνθάνετο, ποῦ τανῦν εἰμί, μήτι παρὰ Γαΐῳ; μὴ καὶ αὐτὸς πάρεστιν ὁ δεσπότης; ἀπεκρίναντο δέ, θάρρει, παρὰ σαυτῷ διατρίβεις, Γάιος δ' οὐ πάρεστιν· ἱκανῶς ἠρεμήσας, εἰς ὕπνον ἐπιστραφεὶς, μετεωρίσας αὑτὸν τῷ ἀγκῶνι ἐπίβλεψον, γνώρισον τοὺς παρόντας, ἴδιοι πάντες εἰσί, φίλων καὶ ἀπε-
E λευθέρων καὶ οἰκετῶν οἱ μάλιστα τιμῶντές σε καὶ ἀντιτιμώμενοι. ὁ δὲ, νήφειν γὰρ ἤρχετο, κατιδὼν τὸ περὶ ἕκαστον συμπαθὲς, καὶ κελευσθέντων τοὺς πολλοὺς μεταστῆναι τῶν ἰατρῶν, ἵνα δι' ἀλειμμάτων καὶ τροφῆς ἐπιτηδείου τὸ σωμάτιον ἀνακτήσωνται, πάνυ γὰρ, εἶπε, φροντιστέον ὑμῖν ἐπιμελεστέρας τῆς εἰς ἐμὲ διαίτης. οὐ γὰρ ἐξαρκεῖ μοι τῷ βαρυδαίμονι λιμὸν ἀκέσασθαι διὰ ψιλῆς καὶ εἰς ἀντίληψιν ἀπηκριβωμένης τῆς ἀναγκαίας χρήσεως; ἀλλ' οὐδὲ ταῦτα προσοισόμην ἄν, εἰ

μὴ ἕνεκα τελευταίας βοηθείας, ἣν ἐνδέχετο πορίσαι μόνη διάνοια. ὡς ταλαιπώρως ἔθους τοῦ διαγαγεῖν· καὶ ὁ μὲν διδακρυμένου καὶ ἀσιτοφαγῶν δίχα προσοψήματος, οὐδὲ κεράσματος προσενεχθέντος ἠνείχετο, ἀλλ' ὕδατος ἀπογευσάμενος. ἀπέχει μὲν, εἶπεν, ἡ πάλαι γαστὴρ οὐκ αἰτῆτι δεῖπνον· ἐμοὶ δὲ οὐ προσήκει ποιεῖν, ἢ διαθεῖναι Γάιον περὶ τῶν ἐνεστώτων· καὶ δέλτον λαβὼν ταῦτα ἐπιστέλλει. Τὴν μὲν κατ' ὄψιν ἔντευξιν ὦ δέσποτα, φόβος με καὶ αἰδὼς ἀφείλοντο, ὁ μὲν ἀπειλὴν ἐκτρεπόμενος, ἡ δὲ τῷ μεγέθει τοῦ περὶ σὲ ἀξιώματος καταπλήττουσα· γραφὴ δὲ μηνύσει μου τὴν δέησιν, ἣν ἀνθ' ἱκετηρίας προτείνω. πᾶσιν ἀνθρώποις αὐτοκράτορ, ἐμπέφυκεν ἔρως μὲν τῆς πατρίδος, τῶν δὲ οἰκείων νόμων ἀποδοχή, καὶ περὶ τούτων οὐδεμιᾶς ἐστί σοι χρεία διδασκαλίας, ἐνθύμως μὲν στέργοντι τὴν πατρίδα, ἐνθύμως δὲ τὰ πάτρια τιμῶντι. καλὰ δὲ ἑκάστοις εἰ καὶ μὴ πρὸς ἀλήθειάν ἐστι, διαφαίνεται τὰ οἰκεῖα· κρίνουσι γὰρ αὐτὰ οὐ λογισμῷ μᾶλλον, ἢ τῷ τῆς εὐνοίας πάθει. γεγένημαι μὲν ὡς οἶδας Ἰουδαῖος· ἔστι δέ μοι Ἱεροσόλυμα πατρίς, ἐν ᾗ ὁ τοῦ ὑψίστου θεοῦ νεὼς ἅγιος ἵδρυται· πάππων δὲ καὶ προγόνων βασιλέων ἔλαχον, ὧν οἱ πλείους ἐλέγοντο ἀρχιερεῖς, τὴν βασιλείαν τῆς ἱερωσύνης ἐν δευτέρᾳ τάξει τιθέμενοι, καὶ νομίζοντες, ὅσῳ θεὸς ἀνθρώπων διαφέρει κατὰ τὸ κρεῖττον, τοσούτῳ καὶ βασιλείας ἀρχιερωσύνην. τὴν μὲν γὰρ εἶναι θεοῦ θεραπείαν, τὴν δὲ ἐπιμέλειαν ἀνθρώπων. ἔθνει δὴ τοιούτῳ προσκεκληρωμένος καὶ πατρίδι καὶ ἱερῷ, δέομαι ὑπὲρ ἁπάντων, ὑπὲρ μὲν ἔθνους, ἵνα μὴ τὴν ἐναντίαν δόξαν ἐξενέγκηται τῆς ἀληθείας, εὐσεβέστατα καὶ ὁσιώτατα διακείμενον ἐξ ἀρχῆς πρὸς ἅπαντα τὸν ὑμέτερον οἶκον. ἐν οἷς γὰρ ἐφεῖται καὶ ἔξεστι κατὰ τοὺς νόμους εὐσεβεῖν, οὐδενὸς οὔτε τῶν Ἀσιανῶν οὔτε τῶν ἐν Εὐρώπῃ λείπεται τὸ παράπαν, εὐχαῖς, ἀναθημάτων κατασκευαῖς, πλήθει θυσιῶν, οὐ μόνον ἐν ταῖς κατὰ τὰς δημοτελεῖς ἑορτὰς ἀναγομέναις, ἀλλὰ καὶ ἐν ταῖς καθ' ἑκάστην ἡμέραν ἐντελεχέσιν, ἐξ ὧν οὐ στόματι καὶ γλώσσῃ μηνύουσι τὸ εὐσεβὲς μᾶλλον, ἢ ψυχῆς ἀφανέσι βουλεύμασιν, οἱ μὴ λέγοντες ὅτι φιλοκαίσαρές εἰσιν, ἀλλ' ὄντες ὄντως· περὶ δὲ τῆς ἱεροπόλεως τὰ προσήκοντά μοι λεκτέον· αὕτη, καθάπερ ἔφην, ἐμὴ μέν ἐστι πατρίς, μητρόπολις δὲ οὐ μιᾶς χώρας Ἰουδαίας, ἀλλὰ καὶ τῶν πλείστων, διὰ τὰς ἀποικίας ἃς ἐξέπεμψεν ἐπὶ καιρῶν, εἰς μὲν τὰς ὁμόρους Αἴγυπτον, Φοινίκην, Συρίαν τήν τε ἄλλην καὶ τὴν κοίλην προσαγορευομένην· εἰς δὲ τὰς πόρρω διῳκισμένας Παμφυλίαν, Κιλικίαν, τὰ πολλὰ τῆς Ἀσίας ἄχρι Βιθυνίας, καὶ τῶν τοῦ Πόντου μυχῶν· τὸν αὐτὸν τρόπον καὶ εἰς Εὐρώπην, Θετταλίαν, Βοιωτίαν, Μακεδονίαν, Αἰτωλίαν, τὴν Ἀττικήν, Ἄργος, Κόριν-

A præsentibus? sumptísque tabellis scribit has literas. Ne coram te appellem Domine, metus obstat ac reuerentia, quod & minis terrear, & tanta maiestate sim attonitus. hæ literæ melius preces meas indicabunt, quas supplex pro verbenis offero. Omnibus mortalibus, Imperator, à natura inditus est amor patriæ, & legum patriarum religio: id quod non est opus vt te doceam, pium erga patriam, & leges eius colentem ex animo. cuique sua, etiam B si non sint, videntur honestissima, nimirum quæ affectu magis quam ratione iudicantur à singulis. equidem (vt nosti) Iudæus natus sum, natale solum mihi sunt Hierosolyma, vbi altissimi Dei templum sanctissimum situm est. auos proauósque reges habui, & ex his aliquot etiam summos pontifices, quam illi dignitatem pluris faciebant quam regiam, rati quanto Deus antestat homini, tanto pontificatum regno C excellentiorem. ad illius enim curam diuinas res, humanas ad huius pertinere. huic genti, patriæ, templo, cum sim tot modis coniunctissimus, pro cunctis deprecor: pro gente, ne à vera persuasione transire cogatur ad contrariam, cum iam inde ab initio vestram familiam persancte coluerit. quatenus enim licet salus patriæ pietatis legibus, hac parte nulli genti cedit in tota Europa & Asia, vota pro incolumitate impe- D rij tui faciendo, dona offerendo, mactando victimas non solum in celebritatibus publicis, verum & quotidianas: atque ita non tam ore linguáque iactat suam pietatem erga Cæsares, quam re ipsa declarat propensissimum erga illos animum. pro sancta verò ciuitate, patria mea, hæc afferre licet, eam esse metropolim non vnius regionis Iudææ, sed & multarum, propter colonias inde olim deductas, vel propius in finitimam Ægyptum, Phœni- E cem, Syriam, tum cæteram, tum eam quæ Cœle cognominatur: vel longius in Pamphyliam, Ciliciam, plerasque Asiæ partes vsque Bithyniam & Ponti sinus intimos. pari modo in Europæ Thessaliam, Bœotiam, Macedoniam, Ætoliam, Atticam, Argos, Corinthúmque Peloponnesi partes præcipuas. nec tantum continentis prouinciæ plenæ sunt colonijs Iudaï-

cis, sed & insularum celeberrimæ,
A Eubœa, Cyprus, Creta, ne quid
dicam de transeuphratensibus. ex-
cepta enim parua parte Babylonis &
aliarum præfecturarum, omnes vr-
bes quæ bonum agrum habent, à Iu-
dæis incoluntur. Itaque si exorat mea
patria tuam clementiam, præter ip-
sam alias ciuitates demereberis pluri-
mas, sitas in diuersis orbis tracti-
bus, Asia, Europa, Africa, insula-
res, maritimas, mediterraneas. Con-
B uenit autem tuæ fortunæ amplissimæ,
collati in vnam beneficio plurimas
deuinciri alias, vt per omnes orbis
partes decantetur tua gloria, & gra-
tiarum actionibus laudibúsque vbi-
que omnia perstrepant. amicorum ali-
quot patrias integras ciuitate Roma-
na donasti, & qui modo serui fuerant,
fecisti aliorum Dominos: nec magis
gaudent hoc beneficio qui fruuntur,
quam eius autores. ego quoque scio
me habere herum & Dominum, sed
inter amicos censeri, dignitate pau-
C cis secundum, beneuolentia nemini,
imò primum potius, vel quia mihi est
hæreditaria, vel quia maximis cu-
mulata beneficijs: non audeo tamen
patriæ meæ petere, non dico Roma-
nam ciuitatem, sed ne libertatem qui-
dem aut immunitatem: peto gratiam
ipsis vtilissimam, tibi verò innoxiam.
quæ enim est subditorum maior feli-
citas quam habere propitium princi-
pem? Hierosolymis primum audita
D est, Imperator, exoptata tua succes-
sio, è sancta ciuitate diffusa est eius
fama ad finitimas prouincias. digna
est quæ impetret tuam gratiam. quem-
admodum enim maximi natu filij ho-
noratiores sunt, quod primi faustum
patris matrisque nomen parentibus
dederint: eodem modo quoniam pri-
ma orientalium hæc ciuitas Impera-
torem te consalutauit, æquum est vt à
te tractetur liberalius: aut certe ne sit
E deteriore conditione quam cæteræ.
Hactenus pro patria deprecatus, po-
stremas pro templo preces adhibeo.
hoc templum, Cai Domine, iam in-
de ab initio nullam vnquam admisit
manufactam effigiem, cum sit Deo
domicilium. pictorum enim atque sta-
tuariorum opera sunt sensibilium deo-
rum imagines: illum autem inuisibi-
lem pingere aut fingere nefas duxe-
runt nostri maiores. Agrippa tuus
auus inuisit id templum & honorauit,

σου, τὰ πλεῖστα καὶ ἄριστα Πελοποννήσου, καὶ οὐ μόνον αἱ ἤπειροι μεσταὶ τῶν ἰουδαϊκῶν ἀποικιῶν εἰσιν, ἀλλὰ καὶ νήσων αἱ δοκιμώταται, Εὔβοια, Κύπρος, Κρήτη, καὶ σιωπῶ τὰς πέραν Εὐφράτου. πᾶσαι γὰρ ἔξω μέρους βραχέος Βαβυλῶνος καὶ τῶν ἄλλων σατραπειῶν αἳ ἀρετῶσαν ἔχουσι τὴν ἐν κύκλῳ γῆν, ἰουδαίους ἔχουσιν οἰκήτορας· ὥστε ἂν μεταλάβῃ σοῦ τῆς εὐμενείας ἡ ἐμὴ πατρίς, οὐ μία πόλις, ἀλλὰ καὶ μυρίαι τῶν ἄλλων εὐεργετοῦνται καθ' ἕκαστον κλίμα τῆς οἰκουμένης ἱδρυθεῖσαι, τὸ εὐρωπαῖον, τὸ ἀσιανόν, τὸ λιβυκόν, τὸ ἐν ἠπείροις, τὸ ἐν νήσοις παράλιόν τε καὶ μεσόγειον. ἁρμόττει δέ σοι τῷ μεγέθει τῆς τοσαύτης τύχης, διὰ τῆς εἰς μίαν πόλιν εὐεργεσιῶν, μυρίας ἄλλας συνευεργετεῖν, ὅπως διὰ πάντων τῶν τῆς οἰκουμένης μερῶν ᾄδηταί σου τὸ κλέος, καὶ οἱ μετ' εὐχαριστίας ἔπαινοι συνηχῶνται. φίλων ἐνίων πατρίδας ὅλας τῆς ῥωμαϊκῆς ἠξίωσας πολιτείας, καὶ γεγόνασιν οἱ πρὸ μικροῦ δοῦλοι, δεσπόται ἑτέρων δὲ τῶν ἀπολελαυκότων τῆς χάριτος μᾶλλον ἢ οὐχ ἧττον, οἱ δι' οὓς γέγονεν ἥδονται· κἀγώ τίς εἰμι τῶν εἰδότων μὲν ὅτι δεσπότην ἔχω καὶ κύριον, κεκριμένων δὲ ἐν τῇ τάξει τῶν ἑταίρων, ἀξιώματος μὲν ἕνεκα οὐ πολλῶν ὕστερος, εὐνοίας δὲ οὐδενὸς δεύτερος, ἵνα μὴ λέγω πρῶτος, διά τε τὸ πεφυκέναι καὶ διὰ τὸ πλῆθος τῶν εὐεργεσιῶν, αἷς με κατεπλούτισας, θαρρήσας ἂν ἴσως αἰτήσασθαι τῇ πατρίδι καὶ αὐτός, εἰ καὶ μὴ τὴν ῥωμαϊκὴν πολιτείαν, ἐλευθερίαν γοῦν ἢ φόρων ἄφεσιν, οὐδὲν ἐτόλμησα τοιοῦτον αἰτήσασθαι· τὸ δὲ ἀφορητότατον, χάριν, σοὶ μὲν ἀζήμιον δοῦναι, τῇ δὲ πατρίδι λαβεῖν ὠφελιμωτάτην· τί γὰρ ἂν γένοιτο εὐμενείας ἡγεμόνος ὑπηκόοις ἄμεινον ἀγαθόν; ἐν Ἱεροσολύμοις πρῶτον αὐτοκράτορ ἠγγέλη σου ἡ εὐκταία διαδοχή, καὶ ἀπὸ τῆς ἱεροπόλεως ἐπὶ τὰς περὶ ἑκάτερα ἠπείρους ἐχώρησεν ἡ φήμη τῆς προνομίας· καὶ διὰ τοῦτο τυγχάνειν ἐστὶν ἀξία παρὰ σοῦ. καθάπερ γὰρ ἐν ταῖς συγγενείαις οἱ πρεσβύτατοι παῖδες τυγχάνουσι πρεσβείων, ὅτι πρῶτοι τὸ πατρὸς καὶ τὸ μητρὸς ὄνομα τοῖς γονεῦσιν ἐφήμισαν, τὸν αὐτὸν τρόπον ἐπειδὴ τῶν ἀνατολικῶν πρώτη πόλις αὕτη σε προσεῖπεν αὐτοκράτορα, δικαία τυγχάνειν πλειόνων ἐστὶν ἀγαθῶν· εἰ δὲ μή, τῶν γοῦν ἴσων. τοσαῦτα δικαιολογηθεὶς καὶ δεηθεὶς ἅμα περὶ τῆς πατρίδος, εἶμι τὸ τελευταῖον ἐπὶ τὴν ὑπὲρ τοῦ ἱεροῦ δέησιν. τοῦτο Γάιε δέσποτα τὸ ἱερόν, χειρόκμητον οὐδεμίαν ἐξ ἀρχῆς μορφὴν παρεδέξατο, διὰ τὸ ἕδος εἶναι θεοῦ, γραφέων μὲν γὰρ καὶ πλαστῶν ἔργα μιμήματα τῶν αἰσθητῶν θεῶν εἰσι· τὸν δὲ ἀόρατον εἰκονογραφεῖν ἢ διαπλάττειν οὐχ ὅσιον ἐνομίσθη τοῖς ἡμετέροις προγόνοις. Ἀγρίππας ἐτίμησε τὸ ἱερὸν ἐλθὼν ὁ πάππος σου,

καὶ ὁ Σε-

καὶ ὁ Σεβαστὸς διὰ τοῦ κελεῦσαι τὰς πανταχόθεν ἀπαρχὰς ἐπιστολαῖς πέμπειν ἐκεῖσε, καὶ διὰ τῆς ἐντελεχοῦς θυσίας, καὶ ἡ προμάμμη σου. ὅθεν οὐδείς, οὐχ Ἕλλην, οὐ βάρβαρος, οὐ σατράπης, οὐ βασιλεύς, οὐκ ἐχθρὸς ἄσπονδος, οὐ στάσις, οὐ πόλεμος, οὐχ ἅλωσις, οὐ πόρθησις, οὐκ ἄλλο τῶν ὄντων οὐδὲν ἐνεωτέρισέ ποτε οὕτως εἰς τὸν νεών, ὡς ἄγαλμα ἢ ξόανον ἤ τι τῶν χειροκμήτων ἱδρύσασθαι. καὶ γὰρ εἰ τοῖς οἰκήτορσι τῆς χώρας ἀπήχθοντο δυσμενεῖς ὄντες, ἀλλ' αἰδώς γέ τις ἢ φόβος εἰσῄει παραλῦσαί τι τῶν ἐξ ἀρχῆς νενομισμένων ἐπ' ἀτιμίᾳ τοῦ ποιητοῦ τῶν ὅλων καὶ πατρός. ᾔδεσαν γὰρ ἐκ τούτων καὶ τῶν ὁμοιοτρόπων τὰς τῶν θεηλάτων κακῶν φυομένας ἀνηκέστους συμφοράς· ἧς χάριν αἰτίας ἀσεβὲς σπέρμα σπείρειν εὐλαβοῦντο, δεδιότες μὴ θερίζειν ἀναγκασθῶσι τοὺς ἐπ' ὀλέθρῳ παντελεῖ καρπούς. ἀλλὰ τί μοι ξένους καλεῖν μάρτυρας, ἔχοντι πολλοὺς τῶν οἰκειοτάτων σοὶ παραστῆσαι; Μάρκος Ἀγρίππας εὐθέως ὁ πρὸς μητρὸς σου πάππος, ἐν Ἰουδαίᾳ γενόμενος, ἡνίκα Ἡρώδης ὁ ἐμὸς πάππος ἐβασίλευε τῆς χώρας, ἀναβῆναι μὲν ἀπὸ θαλάττης εἰς τὴν μητρόπολιν ἐν μεσογείῳ κειμένην ἠξίωσε· θεασάμενος δὲ τὸ ἱερόν, καὶ τὸν τῶν ἱερέων κόσμον, καὶ τὴν τῶν ἐγχωρίων ἁγιστείαν, ἠγάσθη, χρῆμα νομίσας ὑπερσεμνόν τι, καὶ παντὸς λόγου μεῖζον ἑωρακέναι, καὶ διήγημα οὐδὲν ἦν ἕτερον αὐτῷ πρὸς τοὺς συνόντας τότε τῶν ἑταίρων, ἢ ὁ τοῦ νεὼ καὶ τῶν κατ' αὐτὸν ἁπάντων ἔπαινος. ὅσας γοῦν ἡμέρας διέτριψεν ἐν τῇ πόλει κατὰ χάριν τὴν πρὸς Ἡρώδην, ἐφοίτησεν εἰς τὸ τέμενος τερπόμενος τῇ θέᾳ, καὶ τῆς κατασκευῆς καὶ τῶν θυσιῶν, καὶ τῆς περὶ τὰ ἱερουργούμενα λειτουργίας καὶ τάξεως, καὶ τῆς περὶ τὸν ἀρχιερέα σεμνότητος, ὁπότε ἀσκηθείη τῇ ἱερᾷ στολῇ, καὶ κατάρχοι τῶν ἱερῶν. ἀναθήμασι δὲ κοσμήσας ὅσοις ἐξῆν τὸ ἱερόν, καὶ τοὺς οἰκήτορας εὐεργετήσας ὅσα μὴ βλάψει χαριζόμενος, Ἡρώδην εὐφημήσας πολλὰ καὶ εὐφημηθεὶς μυρία, προεπέμφθη μέχρι λιμένων, οὐχ ὑπὸ μιᾶς πόλεως, ἀλλ' ὑπὸ τῆς χώρας ἁπάσης, φυλλοβολούμενός τε καὶ θαυμαζόμενος ἐπ' εὐσεβείᾳ. τί δὲ ὁ ἕτερός σου πάππος Τιβέριος Καῖσαρ; οὐχὶ ταῦτα φαίνεται προῃρημένος; ἐν γοῦν τρισὶ καὶ εἴκοσιν ἔτεσιν οἷς αὐτοκράτωρ ἐγένετο, τὴν κατὰ τὸ ἱερὸν ἐκ μηκίστων χρόνων παραδεδομένην θρησκείαν ἐτήρησεν, οὐδὲν αὐτῆς παραλύσας ἢ παρακινήσας μέρος. ἔχω δέ τι καὶ φιλοτίμημα αὐτοῦ προσδιηγήσασθαι, καίτοι μυρίων ἀπολελαυκὼς ὅτ' ἔζη κακῶν· ἀλλὰ τἀληθὲς φίλον καὶ σοὶ τίμιον. Πιλᾶτος ἦν τῶν ὑπάρχων ἐπίτροπος ἀποδεδειγμένος τῆς Ἰουδαίας· οὗτος οὐκ ἐπὶ τιμῇ Τιβερίου μᾶλλον, ἢ ἕνεκα τοῦ λυπῆσαι τὸ πλῆθος, ἀνατίθησιν ἐν τοῖς κατὰ

Augustus quoque per literas iussit vndecumque illuc mitti primitias, instituto ibi etiam quotidiano sacrificio. honorauit id & tua proauia, non Græcus, non barbarus, non rex satrapáve vllus vel infensissimus, non seditio, non bellum, non captiuitas, non vastatio, non alia res vlla vnquam tantam cladem intulit, vt contra veterem morem effigies manufacta in id importaretur. quamuis enim infensos haberet accolas, semper tamen sua religione tutum fuit, vt sacratum conditori patríque rerum omnium. sciebant enim violationem eius expiatam sæpe grauissimis calamitatibus. quamobrem veriti sunt iacere impietatis semina, ne sibi perniciem inde meterent. nec est opus externis testibus, cum possim citare tibi domesticos. Marcus Agrippa tuus auus maternus Iudæam Herode auo meo regnante adijt, nec grauatus est à mari ad metropolim mediterraneam ascendere. cúmque spectasset templum, & decoros ritus sacerdotum, puritatémque ciuium, delectatus est spectaculo vt mirifico ac ineffabili, adeò vt inter familiaria colloquia nihil tunc in ore haberet aliud, quam laudes templi eiúsque ornamentorum. Ergo quam diu hæsit ibi in Herodis gratiam, accedebat id quotidie, oblectans animum contemplatione sacri apparatus, & sacrificiorum ordine, verendæque maiestatis in summo sacerdote sacrato cultu ornato præsidentéque cæteris. dein vbi templum donis honorauit, & ciuibus indulsit quantum potuit saluis vectigalibus, laudato Herode ipse vicissim laudatus plurimum, ad mare deductus est prosequentibus non vnius ciuitatis populis, & flore frondéque illum ob pietatis admirationem aspergentibus. Quid alter tuus auus Tiberius Cæsar, nónne manifeste voluntatem eandem habuit? certe per viginti tres annos in quibus imperauit, antiquissimam religionem templi seruauit incolumem immotámque modis omnibus. & possum quiddam in laudem eius proferre, quamuis mille sub ipso iactatus casibus. Sed amica est & tibi quoque grata veritas. Pilatus erat procurator Iudææ. hic non tam in gratiam Tiberij, quam in odium populi, auratos clypeos dedicauit intra sanctam vrbem in Herodis regia,

nulla insignes imagine, nec habentes quicquam vetitum: tantum titulus continebat nomen dedicantis, & eius cui dedicabantur. id vbi diuulgatum est in populum, aduocatis vsi quatuor regijs filijs, fortuna dignitatéque regia præditis, reliquísque huius familiæ, atque optimatibus cæteris, orabant vt tolleretur illa clypeorum nouitas, nec violarentur ritus patrij, conseruati à superioribus regibus & imperatoribus. cúmque ille aduersaretur rigide, vt erat peruicaci duróque ingenio, conclamatum est: desine seditiones belláque ciere, desine pacem profligare. non honoratur imperator per legum contumeliam, noli hunc iniuriæ prætextum quærere. Tiberius nihil vult temerari in nostris ritibus. aut ostende illius edictum, vel epistolam, aliúdve simile, vt te omisso per legatos oremus Dominum. id verò cum magis exasperauit, veritum ne si mitteretur legatio, cætera quoque detegeret eius crimina, venditatas sententias, rapinas, iniurias, clades, tormenta, crebras cædes indemnatorum, crudelitatem sæuissimam. iratus igitur homo iracundus anceps erat animi, quod neque demere semel dedicatas res auderet, nec subditis gratificari vellet, non ignorans Tiberij talibus in rebus constantiam. quod vbi viderunt optimates, & animaduerterunt eum pœnitere cœpti quantumuis dissimularet, scripserunt Tiberio literas humili deprecatione plenissimas. qui cognito quid dixerit Pilatus, quid minatus sit, non est opus vt dicam quantum excanduit, quamuis non commoueretur temere: ipsa res iram eius indicat. confestim nihil procrastinans scribit literas, valde obiurgando eius audaciam, iubendóque vt sine mora clypeos illos tolleret. & translati sunt in Cæsaream maritimam, ab Augusto proauo tuo denominatam, quò in eo sacrato templo dedicarentur, sic vt factum est. ita consultum fuit & imperatoris honori, & ciuitatis antiquis moribus. tunc dicabantur clypei nulla picti effigie, nunc colossea statua: tunc in priuatis procuratoris ædibus, nunc (vt fertur) ponetur in intimo sanctuario,

A τῇ ἱερᾷ πόλει Ἡρώδου βασιλείοις ἐπιχρύσους ἀσπίδας, μήτε μορφὴν ἐχούσας, μήτε ἄλλο τι τῶν ἀπηγορευμένων, ἔξω τινὸς ἐπιγραφῆς ἀναγκαίας, ἣ δύο ταῦτα ἐμήνυε, τόν τε ἀναθέντα, καὶ ὑπὲρ οὗ ἡ ἀνάθεσις. ἐπεὶ δὲ ᾔσθοντο οἱ πολλοί, καὶ περιβόητον ἦν ἤδη τὸ πρᾶγμα, προστησάμενοι τούς τε βασιλέως υἱεῖς τέτταρας οὐκ ἀποδέοντας τό, τε ἀξίωμα καὶ τὰς τύχας τῶν βασιλέων, καὶ τοὺς ἄλλους ἀπογόνους, καὶ τῶν παρ' αὐτοῖς τοὺς ἐν τέλει, παρεκάλουν τὸ νεωτερισθὲν περὶ

B τὰς ἀσπίδας εἰς ἐπανόρθωσιν ἀγαγεῖν, καὶ μὴ κινεῖν ἔθη πάτρια τὸν πρὸ τοῦ πάντα αἰῶνα διαφυλαχθέντα καὶ πρὸς βασιλέων καὶ πρὸς αὐτοκρατόρων ἀκίνητα. στερρῶς δὲ ἀντιλέγοντος· ἦν γὰρ τὴν φύσιν ἀκαμπὴς καὶ μετὰ τοῦ αὐθάδους ἀμείλικτος. ἀνεβόησαν, μὴ στασίαζε, μὴ πολεμοποίει, μὴ κατάλυε τὴν εἰρήνην· οὐκ ἔστιν ἀτιμία νόμων ἀρχαίων αὐτοκράτορος τιμή, μὴ πρόφασις τῆς εἰς τὸ ἔθνος ἐπηρείας ἔστω σοι Τιβέριος· οὐδὲν ἐθέλει τῶν ἡμετέρων καταλύεσθαι. εἰ δὲ φῂς αὐτός, ἐπίδειξον ἢ διάταγμα, ἢ ἐπιστολήν, ἢ τὸ

C ὁμοιότροπον, ἵνα παυσάμενοι τοῦ σοι διοχλεῖν, πρέσβεις ἑλόμενοι δεώμεθα τοῦ δεσπότου. τὸ τελευταῖον τοῦτο μάλιστα αὐτὸν ἐξετράχυνε, καταδείσαντα μὴ τῷ ὄντι πρεσβευσάμενοι καὶ τῆς ἄλλης αὐτοῦ ἐπιτροπῆς διελέγξωσι τὰς δωροδοκίας, τὰς ὕβρεις, τὰς ἁρπαγάς, τὰς αἰκίας, τὰς ἐπηρείας, τοὺς ἀκρίτους καὶ ἐπαλλήλους φόνους, τὴν ἀνήνυτον καὶ ἀργαλεωτάτην ὠμότητα διεξελθόντες· οἷα οὖν ἐκκότως ἔχων καὶ βαρύμηνις ἄνθρωπος, ἐν ἀμηχανίαις ἦν, μήτε καθελεῖν τὰ ἅπαξ ἀνατεθέντα θαρρῶν, μήτε βουλόμενός τι τῶν πρὸς ἡδονὴν τοῖς ὑπηκόοις ἐργά-

D σασθαι, ἅμα δὲ καὶ τὴν ἐν τούτοις σταθερότητα Τιβερίου μὴ ἀγνοῶν· ἅπερ ὁρῶντες οἱ ἐν τέλει καὶ συνιέντες ὅτι μετανοεῖ μὲν ἐπὶ τοῖς πεπραγμένοις, δοκεῖν δὲ οὐ βούλεται, γράφουσι Τιβερίῳ δεητικωτάτας ἐπιστολάς· ὁ δὲ διαγνοὺς οἷα μὲν εἶπε Πιλᾶτος, οἷα δὲ ἠπείλησεν, ὡς δὲ ὠργίσθη, καίτοι οὐκ εὔληπτος ὢν ὀργῇ, περιττόν ἐστι διηγεῖσθαι, τοῦ πράγματος ἐξ αὐτοῦ φωνὴν ἀφιέντος. εὐθέως γοῦν οὐδὲ εἰς τὴν ὑστεραίαν ὑπερθέμενος ἐπιστέλλει, μυρία μὲν τοῦ καινουργηθέντος

E τολμήματος ὀνειδίζων καὶ ἐπιπλήττων· κελεύων δὲ αὐτίκα καθελεῖν τὰς ἀσπίδας· καὶ μετεκομίσθησαν ἐκ τῆς μητροπόλεως εἰς τὴν ἐπιθαλαττίδιον Καισάρειαν ἐπώνυμον τοῦ προπάππου Σεβαστήν, ἵνα ἀνατεθεῖεν ἐν τῷ Σεβαστείῳ, καὶ ἀνετέθησαν. οὕτως ἀμφότερα ἐφυλάχθη, καὶ ἡ τιμὴ τοῦ αὐτοκράτορος, καὶ ἡ περὶ τὴν πόλιν ἀρχαία συνήθεια. τότε μὲν οὖν ἀσπίδες ἦσαν, αἷς οὐδὲν ἀνεζωγράφητο μίμημα, νυνὶ δὲ κολοσσιαῖος ἀνδριάς. καὶ τότε μὲν ἡ ἀνάθεσις ἐν οἰκίᾳ τῶν

A ἐπιτρόποις ἦν· τὴν δὲ μέλλουσαν φασὶν ἐσωτάτω τοῦ ἱεροῦ κατ' αὐτὰ ἄδυτα γίνεσθαι, εἰς ἃ ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ μέγας ἱερεὺς εἰσέρχεται τῇ νηστείᾳ λεγομένῃ μόνον ἐπιθυμιάσων καὶ κατὰ τὰ πάτρια εὐξόμενος φορὰν ἀγαθῶν, εὐετηρίαν τε καὶ εἰρήνην ἅπασιν ἀνθρώποις· κἂν ἄρα τίς που οὐ λέγω τῶν ἄλλων ἰουδαίων, ἀλλὰ καὶ τῶν ἱερέων, οὐχὶ τῶν ὑστάτων, ἀλλὰ τῶν τὴν εὐθὺς μετὰ τὸν πρῶτον τάξιν εἰληχότων, ἢ καθ' αὑτὸν ἢ καὶ μετ' ἐκείνου συνεισέλθῃ, μᾶλλον δὲ κἂν αὐτὸς ὁ ἀρχιερεὺς δυσὶν ἡμέραις τοῦ B ἔτους, ἢ καὶ τῇ αὐτῇ τρὶς, ἢ καὶ τετράκις εἰσφοιτήσῃ, θάνατον ἀπαραίτητον ὑπομένει. τοσαύτη τίς ἐστιν ἡ περὶ τὰ ἄδυτα φυλακὴ τοῦ νομοθέτου, μόνα ἐκ πάντων ἄβατα καὶ ἄψαυστα βουληθέντος αὐτὰ διατηρεῖσθαι. πόσους ἂν οὖν οἴει θάνατον ἑκουσίως ὑπομένειν τοὺς περὶ ταῦτα ὡσιωμένους, εἰ θεάσαιντο τὸν ἀνδριάντα εἰσκομιζόμενον. ἐμοὶ μὲν δοκοῦσι γενεὰς ὅλας αὐταῖς γυναιξὶ καὶ τέκνοις ἀποσφάξαντες, ἐπὶ τοῖς τῶν οἰκείων πτώμασιν ἑαυτοὺς πανύστατον καθιερεύσειν. ταῦτα μὲν Τιβέριος ἔγνω. τί δὲ ὁ C σὸς πρόπαππος ὁ τῶν πώποτε γενομένων αὐτοκρατόρων ἄριστος, ὁ πρῶτος ἀρετῆς ἕνεκα καὶ τύχης Σεβαστὸς ὀνομασθεὶς, ὁ τὴν εἰρήνην διαχέας πάντῃ διὰ γῆς καὶ θαλάττης ἄχρι τῶν τοῦ κόσμου περάτων, οὐκ ἀκοῇ πυνθανόμενος τὰ περὶ τὸ ἱερὸν, καὶ ὅτι οὐδέν ἐστιν ἀφίδρυμα ἐν αὐτῷ χειρόκμητον, ὁρατὸν ἀοράτου μίμημα φύσεως, ἐθαύμαζε καὶ προσεκύνει, φιλοσοφίας οὐκ ἄκροις χείλεσι γευσάμενος· ἀλλ' ἐπιπλέον ἑστιαθεὶς καὶ σχεδόν τι καθ' ἑκάστην ἡμέραν ἑστιώμενος, τὰ μὲν μνή- D μαις ὧν ἡ διάνοια προμαθοῦσα τὰ φιλοσοφίας ἀνεπόλει, τὰ δὲ καὶ ταῖς τῶν συνόντων ἀεὶ λογίων συνδιαιτήσεσι. κατὰ γὰρ τὰς ἐν δείπνῳ συνουσίας ὁ πλεῖστος χρόνος ἀπενέμετο τοῖς ἀπὸ παιδείας, ἵνα μὴ τὸ σῶμα μόνον, ἀλλὰ καὶ ἡ ψυχὴ τοῖς οἰκείοις ἀνατρέφοιτο· τεκμηρίοις δὲ ἀφθόνοις πιστώσασθαι δυνάμενος τὸ βούλημα τοῦ Σεβαστοῦ προπάππου σοῦ, δυσὶν ἀρκεσθήσομαι. τὸ μὲν γὰρ πρῶτον ἀπέστειλε τοῖς ἐπιτρόποις τῶν κατὰ τὴν Ἀσίαν ἐπικρατειῶν, πυθόμενος ὀλιγωρεῖσθαι τὰς ἱερὰς ἀπαρχὰς, E ἵνα ἐπιτρέπωσι τοῖς ἰουδαίοις μόνοις εἰς τὰ συναγώγια συνέρχεσθαι· μὴ γὰρ εἶναι ταῦτα συνόδους ἐκ μέθης καὶ παροινίας ἐπὶ συστάσει ὡς λυμαίνεσθαι τὰ τῆς εἰρήνης, ἀλλὰ διδασκαλεῖα σωφροσύνης, καὶ δικαιοσύνης, ἀνδρῶν ἐπιτηδευόντων μὲν ἀρετὴν, ἀπαρχὰς δὲ ἐτησίους εἰσφερόντων, ἐξ ὧν ἀνάγουσι θυσίας, στέλλοντες ἱεροπομποὺς εἰς τὸ ἐν Ἱεροσολύμοις ἱερόν. εἶτα κελεύει μηδένα ἐμποδὼν ἵστασθαι τοῖς ἰουδαίοις,

A quod semel quotannis pontifex introgreditur ieiunij tempore, tantum odores incensurus, & ex more vota facturus, vt felix annus & pax contingat omnibus hominibus. de cætero siquis non dico plebeius Iudæus, sed sacerdos vel à summo proximus, imò is ipse pontifex si duobus anni diebus, aut eadem die ter quatérve introiuerit, capite luet absque venia. tantam religionem adytorum voluit esse legislator, vt B hæc sola inaccessa iniactáque seruarentur. quam multos sacrificos putas vltro mortem obituros, si videant importari statuam? equidem puto illos iugulatis vxoribus & liberis postremo seipsos mactaturos super domesticorum cadauera. Hæc sunt decreta Tiberij. Quid proauus tuus omnium quotquot vnquam fuerunt imperatorum optimus, primus ob virtutem & fortunam Augustus cognominatus, qui pacem C terra marique diffudit vsque ad extremos orbis terminos: nónne postquam audiuit ab his quos de hoc templo percontabatur, nullum ibi inesse simulacrum manufactum, quod visibili forma naturam inuisibilem exprimeret, religiose admiratus est, quippe qui non summis labris philosophiam gustauerat, sed plerumque in conuiuijs quæ ferè quotidiana erant, memoria retractabat quæ à philosophis didicerat, aut D ex doctorum virorum quos domi alebat consuetudine. nam cœnæ tempus vtplurimum tribuebatur eruditis fabulis, vt non solum corpus, verum & anima suis reficeretur delicijs. huius Augusti proaui tui cum possim exempla proferre aliquot, contentus ero duobus. Primum cognito quod negligerentur sacræ primitiæ, per literas mandauit prouinciarum Asiæ procuratoribus, vt sinerent Iudæos solos in synagogis cœtus facere. non E enim hæc esse Bacchanalia, vel seditiosorum conuenticula turbandæ pacis causa: sed scholas iustitiæ temperantiæque, in quibus studium virtutis floreat: primitias verò quotannis conferri vnde fiant sacrificia, missa in hoc sacra legatione ad templum Hierosolyma. dein edicit nequis sit impedimento Iudæis cœtus collectásve facientibus,

aut Hieroſolyma eas mittentibus more patrio. hæc enim & ſi non his verbis, in eam tamen ſententiam mandata ſunt per literas. ſubijciam exemplum vnius epiſtolæ, quo facilius credas Domine, quam C. Norbanus Flaccus ſcribit, indicans quid ipſi Cæſar ſignificauerit. epiſtolæ verba ſunt hæc: C. Norbanus Flaccus proconſul, Epheſiorum magiſtratibus ſalutem. Cæſar mihi ſcripſit, Iudæos vbicumque ſint, antiquo more ſuo cœtus facere, conferréque pecunias quas mittant Hieroſolyma. hos non vult vetari. ideo vos certiores facio, me iubere ita fieri. An non hæc manifeſta fides, imperator, voluntatis Cæſaris, quam piè fuerit affectus erga templum noſtrum, dum permittit Iudæos in publico celebrare ſuos conuentus, propter primitiarum collationem, cæteráque pietatis officia? Eſt & aliud argumentum priore non minus, ex quo liquet Auguſti ſententia. iuſſit è ſuis ipſius reditibus offerri quotidie victimas rite in holocauſtum altiſſimo Deo, quæ hodiéque offeruntur: videlicet taurus & agni duo: quas Cæſar altari deſtinauit, quamuis ſciret ibi nullum ſimulacrum eſſe vel in occulto vel in propatulo. nihilominus tantus princeps cognitione philoſophiæ nulli ſecundus, animaduertit neceſſum eſſe vt in terris eximium fanum dicaretur inuiſibili Deo, ſine vlla effigie, vbi homines cum bona ſpe vota faciant. hoc magiſtro pietatis vſa proauia tua Iulia Auguſta ornauit templum hoc aureis phialis & calicibus, aliiſque donis plurimis ac precioſiſſimis. cur tandem cum nullum ibi eſſet ſimulacrum? imbecilliores enim ſunt mentes mulierum, & nihil niſi ſenſibile poſſunt percipere. at illa ſicut cæteris rebus totum ſexum, ſic hac quoque ſuperabat, eruditione meditationéque aſſecuta quod natura negauerat: & virilem rationem adepta, intantum euaſit perſpicax, vt intelligibilia magis quam ſenſibilia cerneret, & hæc vmbras illorum eſſe cenſeret. Cum igitur habeas Domine tot exempla domeſtica optimæ erga nos voluntatis maiorum tuorum, à quibus prognatus & ad hoc rerum faſtigium euectus es, ſerua quæ illi ad vnum omnes conſeruarunt. deprecantur pro noſtris legibus imperatores apud imperatorem,

A μήτε συνιοῦσι, μήτε συνεισφέρουσι, μήτε διαπεμπομένοις κατὰ τὰ πάτρια εἰς Ἱεροσόλυμα. ταῦτα γὰρ εἰ καὶ μὴ τοῖς ῥήμασι, τοῖς γοῦν πράγμασιν ἐπέσταλται. μίαν δὲ ἐπιστολὴν ὑποτέταχα πρὸς τὴν σὴν τοῦ δεσπότου πειθώ, ἣν Γάιος Νορβανὸς Φλάκκος ἐπιστέλλει, δηλῶν τὰ ὑπὸ Καίσαρος αὐτῷ γραφέντα· ἔστι δὲ τῆς ἐπιστολῆς τὸ ἀντίγραφον τόδε, Γάιος Νορβανὸς Φλάκκος ἀνθύπατος Ἐφεσίων ἄρχουσι χαίρειν. Καῖσάρ μοι ἔγραψεν Ἰουδαίους οὗ ἂν ὦσιν, ἰδίῳ
B ἀρχαίῳ ἐθισμῷ νομίζειν συναγομένους χρήματα εἰσφέρειν ἃ πέμπουσιν εἰς Ἱεροσόλυμα. τούτους οὐκ ἠθέλησε κωλύεσθαι τοῦτο ποιεῖν· ἔγραψα οὖν ὑμῖν, ἵν' εἰδῆτε ὡς ταῦτα οὕτω γίνεσθαι κελεύω. ἆρ' οὐκ ἐναργὴς πίστις ἐστὶν αὐτοκράτορ τῆς Καίσαρος προαιρέσεως ἣ περὶ τὴν τοῦ ἡμετέρου ἱεροῦ τιμὴν ἐκέχρητο, μὴ βουληθεὶς τῷ κοινῷ τύπῳ τῶν συνόδων ἀναιρεθῆναι τὰς τῶν Ἰουδαίων εἰς ταὐτὸ συμφοιτήσεις, ἃς ἀπαρχῶν ἕνεκα ποιοῦνται καὶ τῆς ἄλλης εὐσεβείας; ἕτερον δὲ ἐστὶν οὐκ ἀποδέον τούτου δεῖγμα σαφέστατον
C τῆς βουλήσεως τοῦ Σεβαστοῦ. διετάξατο γὰρ ἐκ τῶν ἰδίων προσόδων ἀνάγεσθαι θυσίας ἐντελεῖς ὁλοκαύτους τῷ ὑψίστῳ θεῷ καθ' ἑκάστην ἡμέραν, αἳ καὶ μέχρι νῦν ἐπιτελοῦνται· ἄρνες εἰσὶ δύο καὶ ταῦρος τὰ ἱερεῖα οἷς Καῖσαρ ἐφήδρυνε τὸν βωμόν, ἐπιστάμενος σαφῶς ὅτι οὐδέν ἐστιν ἀφίδρυμα οὔτε φανερόν, οὔτε ἀφανές· ἀλλὰ ὁ τοσοῦτος ἡγεμὼν καὶ κατὰ φιλοσοφίαν οὐδενὸς δεύτερος, ἐλογίσατο παρ' ἑαυτῷ ὅτι ἀναγκαῖον ἐστὶν ἐν τοῖς περιγείοις ἐξαίρετον ἀπονενεμῆσθαι τόπον ἱερὸν
D τῷ ἀοράτῳ θεῷ μηδὲν ὁρατὸν ἀπεικόνισμα περιέξοντα πρὸς μετουσίαν ἐλπίδων χρηστῶν καὶ ἀπόλαυσιν ἀγαθῶν τελείων. ὑφηγητῇ τοιούτῳ τῆς εὐσεβείας χρησαμένη καὶ ἡ προμάμμη σου Ἰουλία Σεβαστὴ κατεκόσμησε τὸν νεὼν χρυσαῖς φιάλαις καὶ σπονδείοις, καὶ ἄλλων ἀναθημάτων πολυτελεστάτων πλήθει, τί παθοῦσα καὶ αὐτή μηδενὸς ἔνδον ὄντος ἀφιδρύματος. ἀσθενέστεραι γάρ πως εἰσὶ γνῶμαι γυναικῶν, ἔξω τῶν αἰσθητῶν μηδὲν ἰσχύουσαι νοητὸν καταλαβεῖν·
E ἡ δέ γε καθάπερ ἐν τοῖς ἄλλοις ἅπασι τὰς φύσεις καὶ ἐν τούτῳ διενήνοχεν, ὑπὸ παιδείας ἀκράτου φύσει καὶ μελέτῃ περιγεγενημένη, ἀρρενωθεῖσα τὸν λογισμὸν οὕτως ὀξυδερκὴς ἐγεγόνει, ὡς μᾶλλον τὰ νοητὰ καταλαμβάνειν τῶν αἰσθητῶν, καὶ ταῦτα νομίζειν ἐκείνων εἶναι σκιάς. ἔχων οὖν δέσποτα τῆς ἡμετέρας προαιρέσεως τοιαῦτα παραδείγματα πάντα οἰκειότατα καὶ συγγενέστατα, ἀφ' ὧν ἐσπάρης καὶ ἀνέβλαστες καὶ τοσοῦτον ηὐξήθης, διατήρησον ἃ καὶ κεῖνων ἕκαστος. παρακλητεύουσι τοὺς νόμους αὐτοκράτορες πρὸς αὐτοκράτορα,

σεβαστοὶ πρὸς σεβαστόν, πάπποι καὶ πρόγονοι πρὸς ἔκγονον πλείους πρὸς ἕνα, μονονουχὶ φάσκοντες, ἐν τῇ ἡμετέρᾳ βουλήσει ἃ μέχρι καὶ τήμερον ἐφυλάχθη νόμιμα μὴ καθέλῃς· καὶ γὰρ εἰ μηδὲν ἐκ τῆς καταλύσεως αὐτῶν ἀπαντήσειν παλίμφημον, ἀλλ᾽ ἥ γε τοῦ μέλλοντος ἀδηλότης, καὶ τοῖς θαρραλεωτάτοις εἰ μὴ καταφρονηταὶ τῶν θείων εἰσὶν, οὐ πάντως ἐστὶν ἄφοβος. ἐὰν καταλέγωμαι τὰς εἰς ἐμαυτὸν ἐκ σοῦ γενομένας εὐεργεσίας, ἐπιλείψει με ἡ ἡμέρα, πρὸς τὸ μηδὲ ἁρμόττον εἶναι προηγουμένου ἔργου πάρεργον ἑτέρου ποιεῖσθαι λόγον· καὶ ἡσυχάζω μέντοι· τὰ πράγματα αὐτὰ βοᾷ καὶ φωνὴν ἀφίησιν. ἔλυσάς με σιδήρῳ δεδεμένον. τίς οὐκ οἶδεν; ἀλλὰ μὴ χαλεπωτέροις δεσμοῖς αὐτοκράτορ ἐπισφίγξῃς. οἱ μὲν γὰρ λυθέντες μέρη περιεβέβληντο τοῦ σώματος· οἱ δὲ νῦν προσδοκώμενοι, ψυχῆς εἰσιν, ὅλην αὐτὴν δι᾽ ὅλων μέλλοντες πιέζειν. τὸν ἐπικρεμάμενον ἀεὶ τοῦ θανάτου φόβον ἀπῶσω, καὶ τεθνεῶτα τῷ δέει ζωπυρήσας, καθάπερ ἐκ παλιγγενεσίας ἀνήγειρας. διατήρησον τὴν χάριν αὐτοκράτορ, ἵνα μὴ ὁ σὸς Ἀγρίππας ἀποτάξηται τῷ βίῳ. δόξω γὰρ οὐχ ὑπὲρ τοῦ σωθῆναι χάριν ἀφεθῆναι μᾶλλον, ἢ τοῦ βαρυτέραις ἐνδοὺς συμφοραῖς, ἐπισημότερον τελευτῆσαι. τὸ μέγιστον καὶ εὐτυχέστατον ἐν ἀνθρώποις κλῆρον ἐχαρίσω μοι βασιλείαν, πάλαι μὲν μιᾶς χώρας, αὖθις δὲ καὶ ἑτέρας μείζονος, τὴν Τραχωνῖτιν λεγομένην καὶ τὴν Γαλιλαίαν συνάψας, μὴ τὰ πρὸς περιουσίαν μοι χαρισάμενος ὦ δέσποτα, τὰ ἀναγκαῖα ἀφέλῃς· μηδὲ εἰς φῶς ἀναγαγὼν τηλαυγέστατον ἐξ ὑπαρχῆς εἰς βαθύτατον σκότος ῥίψῃς. ἐξίσταμαι τῆς λαμπρότητος ἐκείνης, τῆς περὶ μικροῦ τὸ χρόνου οὐ παραιτοῦμαι· πάντα ὑπαλλάττομαι ἑνὸς τοῦ μὴ κινηθῆναι τὰ πάτρια. τίς γὰρ ἄν μου γένοιτο λόγος ἢ παρὰ τοῖς ὁμοφύλοις, ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις. ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ προδότην τῶν ἰδίων, ἢ σοὶ μηκέτι ὁμοίως φίλον νομισθῆναι, ὧν τί ἂν εἴη μεῖζον κακόν. εἰ μὲν γὰρ ἐν τῇ τάξει τῶν ἑταίρων ἔτι καταλεγόμενος, προδοσίας οἴσομαι δόξαν, ἐὰν μήτε ἡ πατρὶς ἀπαθὴς παντὸς κακοῦ διαφυλαχθῇ, μήτε τὸ ἱερὸν ἄψαυστον. τὰ γὰρ τῶν ἑταίρων καὶ προσπεφευγότων τῇ αὐτοκρατορικῇ ἐπιφανείᾳ ὑμεῖς οἱ μεγάλοι διασώζετε. εἰ δέ τι ὑποικουρεῖ σοῦ τὴν διάνοιαν ἄχθος, μὴ δήσῃς ὡς Τιβέριος, ἀλλὰ καὶ τὴν τοῦ δεθῆναί ποτε αὖθις ἐλπίδα συνανελὼν, κέλευσον ἐκποδὼν αὐτίκα γενέσθαι. τί γὰρ ἐμοὶ ζῆν καλὸν, ᾧ μία σωτηρίας ἐλπὶς ἦν, ἡ σὴ εὐμένεια. ταῦτα γράψας καὶ σφραγισάμενος πέμπει Γαΐῳ, καὶ συγκλεισάμενος, εἶχε κατ᾽ ἐμαυτὸν, ἀγωνιῶν

A augusti apud augustum; aui proauique apud nepotem, plures apud vnum, tantum non dicentes: noli decreta nostra quæ in hanc vsque diem permanserunt, facere irrita. etenim vt nihil infaustum antiquationem earum sequatur, tamen incertitudo futuri temporis non sinit securos esse vel audacissimos, modò ne sint plane contemptores numinis. Si vellem enumerare quæ in me contulisti beneficia, dies me deficeret,
B nec opus est me id obiter facere: sed vt ego taceam, res ipsæ loquuntur. exemisti me ferreis vinculis. quis nescit? obsecro Imperator ne me astringas grauioribus. illa partem premebant corporis, at hæc vereor ne totam onerent animam. impendentem mihi mortis metum depulisti, & metu præmortuum ceu rediuiuum excitasti è funere: velis Imperator hoc beneficium esse perpetuum, ne tuus Agrippa vitam
C abrumpat. alioqui videbor seruatus non vt viuerem, sed vt nouis calamitatibus insignis morerer. donasti mihi regnum, qua sorte nulla inter mortales felicior: id cum prius vnam regionem non excederet, adiunxisti mihi mox maiorem alteram, Trachonitim & Galilæam. ergo cum superflua ditione me auxeris Domine, noli adimere quæ sunt necessaria. noli productum in lucem clarissimam rursum in tenebras altissi-
D mas abijcere. libenter cedo isto splendore, nec pristinam fortunam deprecor. vnum peto pro cunctis cæteris, incolumitatem ritus patrij. quid enim de me loquentur vel tribules, vel vniuersi homines? alterutrum enim sequetur, aut vt appeller meorum proditor, aut inter tuos amicos posthac non habear: quo vtrolibet quid potest esse infelicius? nam si adhuc in amicis numeror, proditionis insimulabor, si nec patriam indemnem, nec templum in-
E uiolatum præstitero. nam vos præpotentes soletis amicorum ad imperatoriam opem confugientium rebus consulere. quod si qua in re animo tuo molestus sum, noli me vincire vt Tiberius, sed ne toties vincula timeam, iube mox interimi. quid enim mihi vita opus est, cui spes vnica salutis fuit in tua beneuolentia? Has literas obsignatas mittit

Caio, & inclusus domi expectat anxius de euentu, solicitúsque ne illum interpellaret parum commode. nam non mediocris periculi iecerat aleam, nimirum de libertate salutéque non solum terram sanctam incolentium, verum etiam omnium in orbe toto dispersorum Iudæorum. Ille inter legendum nunc offendebatur quod cœpta non succederent, nunc flectebatur vel iure ipso causæ tam bonæ, vel adiunctis precibus: & Agrippam partim laudabat, partim incusabat. vitio vertebat quod tribules suos nimis diligeret, solos contumaciter auersantes ipsius consecrationem: laudabat quod non cælaret suam sententiam, id quod aiebat indicium generosi animi. mitigatus igitur vt videbatur, respondit clementius, & Agrippæ donauit ceu maximam gratiam ne fieret dedicatio: simúlque iussit scribi P. Petronio Syriæ præsidi, nequid in Iudæorum templo nouaret. Ne tamen solida esset ea gratia, terrorem admiscuit sic scribens: Quod si extra vnam metropolim in finitimis vrbibus quicumque volentes altaria templáve aut statuas imaginésve mihi meísque ponere vetiti fuerint, quisquis obstiterit plectatur continuo, aut ad me mittatur. Id vero nihil aliud erat quam seditionum initium bellorúmque ciuilium, & gratiæ quæ videbatur concessa simpliciter, obliqua quædam abrogatio. nam aduersarij magis in odium Iudæorum, quam in Caij honorem, repleturi putabantur totam regionem anathematibus: hi contrà violari suos ritus in conspectu suo non passuri, etiamsi essent patientissimi: vt Caius si quis se moueret seuere puniens, rursum iuberet in templo dedicari statuam suam. sed diuina prouidétia iustissimi numinis factum est vt nemo finitimorum quicquam moueret, occasionémque præberet, quamuis ne accusatione quidem vel mediocri expectata imminebant casus grauissimi. At quid hæc quies profuit, dicat aliquis. nec enim Caius quiescebat cum cæteris, iam pœnitens concessæ gratiæ, resuscitánsque pristinam concupiscentiam. nam iussit Romæ fieri alium colossum æreum inauratum, omisso illo Sidonio, ne quem motum excitaret in populo: vtque nauibus transportatum per

A καὶ συγκεχυμένος, καὶ πῶς ἐντύχοι μάλιστα φροντίζων. οὐ γὰρ βραχὺς ἐπέρριπτο κίνδυνος, ἀλλ' ὁ περὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ παντελοῦς πορθήσεως, οὐ μόνον τοῖς τὴν ἱερὰν χώραν κατοικοῦσιν, ἀλλὰ καὶ τοῖς πανταχοῦ τῆς οἰκουμένης Ἰουδαίοις. λαβὼν δὲ καὶ διαναγινώσκων ἐφ' ἑκάστῳ τῶν νοημάτων, ἅμα μὲν ᾤδει, μὴ κατορθουμένου τοῦ βουλήματος· ἅμα δὲ καὶ ἐπεκλᾶτο ταῖς δικαιολογίαις ὁμοῦ καὶ δεήσεσι, καὶ τὸν Ἀγρίππαν τῇ μὲν ἐπῄνει, τῇ δὲ ἐμέμφετο. ᾐτιᾶτο μὲν τῆς εἰς τοὺς ὁμοφύλους ἄγαν ἀρεσκείας, μόνους ἀν-

B θρώπους ἀφηνιάζοντας καὶ ἐκτρεπομένους αὐτοῦ τὴν ἐκθέωσιν· ἐπῄνει δὲ τῷ μηδὲν ἑαυτοῦ συσκιάζειν καὶ ἐπικρύπτειν, ἅπερ ἔλεγεν εἶναι δείγματα ἐλευθεριωτάτων καὶ εὐγενεστάτων ἠθῶν. ἡμερωθεὶς οὖν ὅσα τῷ δοκεῖν, ἀποκρίσεως χρηστοτέρας ἠξίωσεν, Ἀγρίππᾳ τὸ ἀνωτάτω καὶ μέγιστον δωρούμενος, τὸ μηκέτι γενέσθαι τὴν ἀνάθεσιν, καὶ Ποπλίῳ Πετρωνίῳ τῷ τῆς Συρίας ἐπιτρόπῳ κελεύει γραφῆναι μηδὲν ἐπὶ τῷ ἱερῷ τῶν Ἰουδαίων ἔτι νεωτερίζειν κινεῖν. ὅμως μέντοι καὶ τὴν χάριν διδοὺς, ἐδόκει οὐκ ἀκέραιον, ἀλλ' ἀνα-

C μίξας αὐτῇ δέος ἀργαλεώτερον. προσέγραψε γάρ· Ἐὰν δέ τινες ἐν ταῖς ὁμόροις ἔξω μιᾶς τῆς μητροπόλεως ἐθέλοντες βωμοὺς ἢ ἱερὰ ἤ τινας εἰκόνας ἢ ἀνδριάντας ὑπὲρ ἐμοῦ καὶ τῶν ἐμῶν ἱδρύεσθαι κωλύωνται, τοὺς εἴργοντας παραχρῆμα ἢ κολάζειν, ἢ εἰς αὐτὸν ἀνάγειν. τοῦτο δὲ οὐδὲν ἦν ἕτερον, ἢ στάσεων καὶ ἐμφυλίων πολέμων ἀρχὴ, καὶ τῆς δωρεᾶς ἣν ἐπ' ἀδείας ἐδόκει παρέχειν, πλάγιός τις ἀναίρεσις. ἔμελλον γὰρ οἱ μὲν κατὰ τὴν πρὸς Ἰουδαίους φιλονεικίαν μᾶλλον ἢ τὸ πρὸς Γάιον θε-

D οειδὲς καταπλήσειν τὴν χώραν ἅπασαν ἀναθημάτων. οἱ δὲ ἐν ὀφθαλμοῖς τὴν τῶν πατρίων ὁρῶντες κατάλυσιν, εἰ καὶ πάντων ἦσαν προσπαθέστατοι, μὴ ἀνέχεσθαι· Γάιος δὲ τοὺς παρακινηθέντας τιμωρίᾳ κείνων μεγίστῃ, ἀνατεθῆναι πάλιν κελεύει τὸν ἀνδριάντα ἐν τῷ ἱερῷ. προνοίᾳ δέ τινι καὶ ἐπιμελείᾳ τοῦ πάντα ἐφορῶντος καὶ σὺν δίκῃ πρυτανεύοντος θεοῦ, τῶν ὁμόρων παρεκίνησεν οὐδὲν οὐδεὶς, ὡς μὴ χρείαν τινὰ

E γενέσθαι, ἢ περὶ μετριωτέρας μέμψεως ἀπαραιτήτοις ἔμελλον ἀποτρέπεσθαι συμφοραῖς. τί δὲ ὄφελος, εἴποι τις ἄν. οὐδὲ γὰρ ἠρεμούντων ὁ Γάιος ἠρέμει, μετανοῶν ἐπὶ τῇ χάριτι ἤδη καὶ τὴν πρὸ μικροῦ ζωπυρῶν ἐπιθυμίαν. προστάττει γὰρ ἕτερον ἀνδριάντα δημιουργεῖσθαι κολοσσιαῖον, χαλκοῦν ἐπίχρυσον ἐν Ῥώμῃ, μηκέτι τὸν ἐν Σιδῶνι κινῶν, ἵνα μὴ κινήσῃ διαταράξῃ τὸ πλῆθος, ἀλλ' ἠρεμοῦντος καὶ τῆς ὑπονοίας ἀπηλλαγμένου,

κατὰ πολλὴν ἡσυχίαν ἀφανῶς ἐν ταῖς ναυσὶ κομισθέντα, λαθὼν τοὺς πολλοὺς ἐξαίφνης ἱδρύσηται. τοῦτο δὲ πράξειν ἔμελλεν ἐν τῷ παράπλῳ, κατὰ τὴν εἰς Αἴγυπτον ἀποδημίαν. ἄλεκτος γάρ τις αὐτὸν ἔρως κατεῖχε τῆς Ἀλεξανδρείας, εἰς ἣν ἐπόθει σπουδῇ πάσῃ παραγενέσθαι, καὶ ἀφικόμενος πλεῖστον χρόνον ἐνδιατρίψειν, νομίζων τὴν ἐκθέωσιν ἣν ὀνειροπολεῖ, μίαν ταύτην πόλιν καὶ γεγεννηκέναι καὶ συναυξῆσαι, καὶ ταῖς ἄλλαις παράδειγμα γενήσεσθαι τοῦ σεβασμοῦ, μεγίστην τε οὖσαν καὶ ἐν καλῷ τῆς οἰκουμένης. τὰ γὰρ τῶν μεγάλων εἴτε ἀνδρῶν, εἴτε πόλεων, τοὺς καταδεεστέρους ἄνδρας τε καὶ δήμους ζηλοῦν ἐπιχειρεῖν. ἦν αὐτοῖς καὶ πρὸς τἄλλα πάντα τὴν φύσιν ἄπιστος, ὡς εἰ καί τι χρηστὸν ἐργάσαιτο, μεταμέλεσθαι εὐθὺς, καὶ τρόπον τινὰ δι' οὗ καὶ τοῦτο λυθήσεται ζητεῖν μετὰ μείζονος ζημίας καὶ βλάβης· οἷον δή τι λέγω, δεσμώτας ἔλυσεν ἐνίους, εἶτ' ἐν ὁλμιᾷ προφάσει πάλιν ἔδησε, βαρυτέραν τῆς προτέρας ἐπαγαγὼν συμφορὰν τὴν ἐκ δυσελπιστίας· πάλιν κατέγνω φυγὴν ἑτέρων θάνατον προσδοκησάντων, οὐχ ὅτι συνῄδεσαν αὑτοῖς ἄξια θανάτου πεπραχέναι, ἢ συνόλως βραχυτέρας ἡστινοσοῦν τιμωρίας, ἀλλὰ διὰ τὴν ὑπερβάλλουσαν ὠμότητα τοῦ δικαστοῦ μὴ προσδοκῶντες ἀποφεύξεσθαι· τούτοις ἕρμαιον ἦν ἡ φυγὴ καὶ ἰσότιμος καθόδῳ, τὸν περὶ ψυχῆς ἀνωτάτω κίνδυνον ἀποδεδρακέναι νομίζουσιν· ἀλλ' οὐ μακρὸς διῆλθε χρόνος, καὶ τῶν στρατευομένων ἐπιπέμψας τινὰ μηδενὸς χείρονος προσπεσόντος, τοὺς ἀρίστους καὶ εὐγενεστάτους ἤδη ζῶντας ὡς ἐν πατρίσι ταῖς νήσοις, καὶ τὴν ἀτυχίαν εὐτυχέστατα φέροντας ἀθρόους ἀνεῖλε, πένθος οἰκτρότατον καὶ ἀπροσδόκητον οἴκοις τῶν ἐν Ῥώμῃ μεγάλων περιβαλών. εἰ δέ τισι καὶ δωρεὰν ἔδωκεν ἀργύριον, οὐχ ὡς δάνειον ἀνέπραττε, τόκους προσεπλέκων καὶ ἐπιτοκίας, ἀλλ' ὡς φώρειον μετὰ μεγίστης τῶν λαβόντων ζημίας. οὐ γὰρ ἐξήρκει τὰ δοθέντα τοῖς ἀθλίοις ἀποτιννύειν, ἀλλὰ καὶ τὰς οὐσίας ὅλας προσαπέφερον, ἃς ἢ παρὰ γονέων ἢ παρ' οἰκείων ἢ φίλων ἐκληρονόμουν, ἢ πορισάμενοι βίον ἐκ τῆς σφῶν αὐτῶν ἰδίας ἑαυτῶν. οἱ δὲ σφόδρα παρ' αὐτῷ εὐδοκιμεῖν οἰόμενοι τρόπον ἕτερον τῇ σὺν ἡδονῇ μετὰ προσποιήσεως φιλικῆς ἐβλάπτοντο, πάμπολλα μὲν εἰς τὰς ἀκρίτους καὶ ἀτάκτους καὶ ἐξαπιναίους ἀποδημίας ἀναλίσκοντες, πολλὰ δὲ εἰς τὰς ἑστιάσεις. ὅλας γὰρ οὐσίας ἐξανάλουν εἰς ἑνὸς δείπνου παρασκευὴν, ὡς καὶ δανείζεσθαι· τοσαύτη τις ἦν ἡ πολυτέλεια. τοιγαροῦν ἀπηύχοντό τινες ἤδη τὰς διδομένας ὑπ' αὐτοῦ χάριτας, ὑπολαμβάνοντες οὐκ ὠφέλειαν μόνον,

A silentium, repente clam prius quam sentiretur in templo poneret. id autem facturus erat obiter, in Ægyptum nauigans. tenebatur enim miro visendæ Alexandriæ desiderio, magna cura profectionem instituens, vt ibi diu degeret, ratus consecrationem suam quam somniabat, in hac vna ciuitate posse succedere, atque inde huius religionis exemplum manaturum ad minores cæteras, propter situm eius vrbis B in regione opportunissima. solent enim minores vel homines vel ciuitates ad maiorum æmulationem se componere. & erat alioquin etiam inconstans ingenio, vt mox pœnitens siquid boni fecisset, irritum infectúmque id cuperet, vt fieret molestior & nocentior. Verbi gratia, vinctos soluit aliquot, mox nihil commeritos vinxit denuo, omni spe adempta iam miserrimis. alios damnauit exilio mortem ex- C pectantes, non quod conscirent sibi capitalem culpam, aut quauis pœna dignam vel leuissima, sed ob nimiam iudicis inclementiam desperabundos. hi rati se euasisse lucro imputabant exilium, quo non minus gaudebant quam alij reditu in patriam. sed non multo post nihil noui molientes, insulas tanquam natale solum incolentes, ferentésque fortiter infortunium, submissis militibus occidit vniuersos, lu- D ctum inopinatum in vrbe afferens familijs nobilissimis. quod si quibus donauit pecuniam, postea repetebat non vt mutuaticiam cum fœnorum fœnoribus, sed vt furtiuam cum maximo damno eorum qui acceperant. non enim satis erat miseros donata reddere, sed omnia sua bona supererogabant, siue patrimonij hæreditatúmque iure quæsita, siue industria propria. qui verò ma- E xime probatos & caros ei se putabant, alio modo mulctabantur suauiter prætextu amicitiæ, ingentes sumptus faciendo in repentinas & inconsideratas profectiones atque in conuiuia. aliquando enim facultates omnes in vnam cœnam insumebantur, ita vt opus esset mutuum accipere à fœneratoribus. tantum erat splendoris ac magnificentiæ. quo factum est vt quidam auersarentur eius gratias, vt non modo inutiles,

sed damnosas etiam, & inescatrices A insidiosas. hæc fuit eius morum inæqualitas atque inconstantia, præsertim erga Iudæos sibi exosos maxime, quorum proseuchas exorsus ab Alexandria sibi vsurpauit, & repleuit statuis effigiem suam referentibus, nemine non cedente ipsius autoritati atque violentiæ. supererat vnum sanctæ ciuitatis templum cum iure asyli, id conabatur in suum proprium templum demutare cum titulo NOVI IOVIS ILLVSTRIS B CAII. quid ais? tu cum sis homo ætherem & cælum quæris insuper, non contentus imperio tot prouinciarum, insularum, gentium? Deo in terra nihil vis relinquere? non agrum, non ciuitatem, ne fanum quidem tam modicum illi dedicatum ex oraculis, vt nec hic supersit vllum vestigium monumentúmve pietatis ac religionis vero Deo debitæ? egregiam de te spem facis humano generi. ignoras te aperire fontes C malorum cunctorum, dum moliris quæ nec facere nec cogitare fas est? Libet commemorare hic & illa quæ vidimus audiuimúsque, quando ad reipublicæ nostræ causam agendam acciti fuimus. in primo statim congressu cognouimus ex vultu gestúque, pro iudice nos eum habituros accusatorem & aduersarium. iudicis enim officium erat sedere in optimatum consistorio, examinare causam per quadringentos annos dissi- D mulatam, & tum primum reuocatam in dubium, vbi ageretur de tam multis Iudæorum Alexandrinorum millibus, citare horum aduersarios, vicissim partes audire ad clepsydrarum numerum, consultare cum assessoribus, palam proferre sententiam iustissimam. at ille cum herili supercilio se gessit vt tyrannus inclementissimus. nam his omissis quæ modo dixi, accersit curatores duos E hortorum Mæcenatis & Lamiæ, qui & inter se & vrbi propinqui sunt, in quibus iam tribus quatuórve diebus habitauerat, vbi nobis præsentibus agenda erat totius gentis fabula. iubet villas omnes sibi aperiri, velle enim se singulas diligenter inspicere. tum nos introducti, ad primum conspectum eum reuerenter adorauimus, & imperatoris augustíque appellatione salutauimus.

ἀλλὰ δέλεαρ εἶναι καὶ ἐνέδρας ἀφορήτου ζημίας. Τοσαύτη μὲν οὖν τις περὶ τὸ ἦθος ἦν ἀνωμαλία πρὸς ἅπαντας, διαφερόντως δὲ πρὸς τὸ Ἰουδαίων γένος, ᾧ χαλεπῶς ἀπηχθάνετο. τὰς μὲν ἐν ταῖς ἄλλαις πόλεσι προσευχὰς ἀπὸ τῆς κατ' Ἀλεξάνδρειαν ἀρξάμενος σφετερίζεται, καταπλήσας εἰκόνων καὶ ἀνδριάντων τῆς ἰδίας μορφῆς· ὁ γὰρ ἑτέρων ἀνατιθέντων ἐφεὶς, αὐτὸς ἱδρύετο δυνάμει· τὸν δὲ ἐν τῇ ἱεροπόλει νεών, ὃς λοιπὸς ἦν ἄψαυστος, ἀσυλίας ἠξιωμένος τῆς πάσης, μεθηρμόζετο καὶ μετεσχημάτιζεν εἰς οἰκεῖον ἱερόν, ἵνα Διὸς ἐπιφανοῦς νέου χρηματίζῃ Γαΐου. τί φής; σὺ μὲν ἄνθρωπος ὢν αἰθέρα καὶ οὐρανὸν ζητεῖς προσλαβεῖν, οὐκ ἀρκεσθεὶς τῷ πλήθει τῶν τοσούτων ἠπείρων, νήσων, ἐθνῶν, κλιμάτων, ὧν ἀνῆψω τὴν ἀρχήν· τὸν δὲ θεὸν οὐδενὸς τῶν ἐνταῦθα καὶ παρ' ἡμῖν ἀξιοῖς, οὐ χώρας, οὐ πόλεως, ἀλλὰ καὶ τὸν βραχὺν οὕτως περίβολον αὐτῷ καθιερωθέντα καὶ καθοσιωμένον χρησμοῖς καὶ λογίοις ἀποφαίνεις ἀφῃρῆσθαι διανοῇ, ἵν' ἐν τῷ τῆς τοσαύτης γῆς περιβόλῳ, μηδὲν ἴχνος, μηδὲν ὑπόμνημα καταληφθῇ τιμῆς καὶ εὐσεβείας τῆς εἰς τὸν ὄντως ὄντα ἀληθῆ θεόν; καλὰς ὑπογράφεις τῷ γένει τῶν ἀνθρώπων ἐλπίδας· ἀγνοεῖς ὅτι πηγὰς ἀνατέμνεις ἀθρόων κακῶν, καινουργῶν καὶ μεγαλουργῶν ἃ μήτε δρᾶν μήτε λογίζεσθαι θέμις; ἄξιον δὲ ἐπιμνησθῆναι καὶ ὧν εἴδομέν τε καὶ ἠκούσαμεν, μεταπεμφθέντες ἀγωνίσασθαι τὸν περὶ τῆς πολιτείας ἀγῶνα. εἰσελθόντες γὰρ εὐθὺς ἔγνωμεν ἀπὸ τοῦ βλέμματος καὶ τῆς κινήσεως, ὅτι οὐ πρὸς δικαστήν, ἀλλὰ κατήγορον ἀφίγμεθα, τῶν ἀντιτεταγμένων μᾶλλον ἐχθρόν. δικαστοῦ μὲν γὰρ ἔργα ταῦτα ἦν, καθίσαι μετὰ συνέδρων ἀριστίνδην ἐπιλελεγμένων ἐξεταζομένης ὑποθέσεως μεγίστης, ἐν τετρακοσίοις ἔτεσιν ἡσυχασθείσης, καὶ νῦν πρῶτον εἰσαγομένης ἐπὶ μυριάσι πολλαῖς τῶν Ἀλεξανδρέων Ἰουδαίων, ἑκατέρωθεν στῆναι τοὺς ἀντιδίκους τοῦ συναγορεύσοντος, ἐν μέρει μὲν ἀκοῦσαι τῆς κατηγορίας, ἐν μέρει δὲ τῆς ἀπολογίας πρὸς μεμετρημένον ὕδωρ, ἀναστάντα βουλεύσασθαι μετὰ τῶν συνέδρων, τί χρὴ φανερῶς ἀποφήνασθαι γνώμῃ τῇ δικαιοτάτῃ· τυράννου δὲ ἀμειλίκτου δεσποτικὴν ὀφρὺν ἐπανατεινομένου τὰ πραχθέντα. χωρὶς γὰρ τοῦ μηδὲν ὧν ἀρτίως εἶπον ἐργάσασθαι, μεταπεμψάμενος τοὺς δυεῖν κήπων ἐπιτρόπους, τοῦ τε Μαικήνα καὶ Λαμία. πλησίον δέ εἰσιν ἀλλήλων τε καὶ τῆς πόλεως, ἐν οἷς ἐκ τριῶν ἢ τεττάρων ἡμερῶν διέτριβε. καὶ γὰρ ἐπὶ παρουσίᾳ ἡμῶν ἡ κατὰ παντὸς τοῦ ἔθνους ἔμελλε σκηνοβατεῖσθαι δραματοποιία, κελεύει τὰς ἐπαύλεις αὐτῷ πάσας

περιελθοῦσιν. βούλεσθαι γὰρ μετ᾽ ἀκριβείας ἑκάστας ἰδεῖν· ἡμεῖς δὲ ὡς αὐτὸν εἰσαχθέντες ἅμα τῷ θεάσασθαι, μετ᾽ αἰδοῦς καὶ εὐλαβείας τῆς ἁπάσης νεύοντες εἰς τοὔδαφος ἐδεξιούμεθα, Σεβαστὸν αὐτοκράτορα προσειπόντες· ὁ δὲ οὕτως ἐπιεικῶς καὶ φιλανθρώπως ἀντιπροσηγόρευσεν, ὡς μὴ μόνον τὴν ὑπόθεσιν, ἀλλὰ καὶ τὸ ζῆν ἀπογνῶναι. σαρκάζων γὰρ ἅμα καὶ σεσηρώς, ὑμεῖς, εἶπεν, ἐστὲ οἱ θεομισεῖς, οἱ θεὸν μὴ νομίζοντες εἶναί με τὸν ἤδη παρὰ πᾶσι τοῖς ἄλλοις ἀνωμολογημένον ἀλλὰ τὸν ἀκατονόμαστον ὑμῖν; καὶ ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεφήμιζε πρόσρησιν, ἣν οὐδὲ ἀκούειν θεμιτόν, οὐχ ὅτι διερμηνεύειν αὐτολεξεί. πόσης εὐθὺς ἀνεπλήσθησαν ἡδονῆς οἱ τῆς ἐναντίας μερίδος πρέσβεις, ἤδη κατωρθωκέναι διὰ τῆς πρώτης ἀναφθέγξεως Γαΐου τὴν πρεσβείαν νομίζοντες· ἐπεχειρονόμουν, ἀνωρχοῦντο, τὰς τῶν θεῶν ἁπάντων ἐπωνυμίας ἐπεφήμιζον αὐτῷ. γανύμενον δὲ τὴν ὑπὲρ ἀνθρωπίνην φύσιν προσρήσεσι θεασάμενος ὁ πικρὸς συκοφάντης Ἰσίδωρος, ἔτι μᾶλλον, ἔφη, δέσποτα μισήσεις τοὺς παρόντας καὶ τοὺς ὧν εἰσιν ὁμόφυλοι, ἐὰν γνῷς τὴν εἰς σὲ κακόνοιαν αὐτῶν καὶ ἀσέβειαν. ἁπάντων γὰρ ἀνθρώπων ὑπὲρ σωτηρίας τῆς σῆς θυσίας ἀναγόντων εὐχαριστηρίους, οὐχ ὑπέμειναν οὗτοι μόνοι θύειν· ὅταν δὲ οὗτοι λέγω, καὶ τοὺς ἄλλους Ἰουδαίους συμπεριλαμβάνω. ἀναβοησάντων δὲ ἡμῶν ὁμοθυμαδόν, κύριε Γάιε συκοφαντούμεθα· καὶ γὰρ ἐθύσαμεν, καὶ ἑκατόμβας ἐθύσαμεν, οὐ τὸ μὲν αἷμα τῷ βωμῷ περισπείσαντες τὰ κρέα δὲ εἰς θοίνην καὶ εὐωχίαν οἴκαδε κομίσαντες ὡς ἔθος ἐνίοις ποιεῖν, ἀλλ᾽ ὁλόκαυτα τὰ ἱερεῖα παραδόντες τῇ ἱερᾷ φλογί, καὶ τρὶς οὐχ ἅπαξ ἤδη, πρῶτον μὲν ὅτε διεδέξω τὴν ἡγεμονίαν· δεύτερον δέ, ὅτε τὴν βαρεῖαν ἐκείνην νόσον, ἣν πᾶσα ἡ οἰκουμένη συνενόσησεν, ἐξέφυγες· τρίτον δὲ κατὰ τὴν ἐλπίδα τῆς Γερμανικῆς νίκης. ἔστω, φησί, ταῦτα ἀληθῆ, τεθύκατε, ἀλλ᾽ ἑτέρῳ, καὶ οὐχ ὑπὲρ ἐμοῦ. τί οὖν ὄφελος. οὐδὲ γὰρ ἐμοὶ τεθύκατε. φρίκη βύθιος εὐθὺς κατέσχεν ἡμᾶς ἐπὶ τῷ προτέρῳ τοῦτο ἀκούσαντας, ἣ καὶ μέχρι τῆς ἐπιφανείας ἀνεχύθη. καὶ ταῦθ᾽ ἅμα λέγων ἐπῄει τὰς ἐπαύλεις, ἀνδρῶνας καταθεώμενος, γυναικωνίτιδας, τὰ ἐν ἐπιπέδῳ, τὰ ὑπερῷα ἅπαντα, αἰτιώμενος ἐνίας ὡς ἐλλιπεῖς κατασκευάς, ἑτέρας ἐπινοῶν καὶ προστάττων πολυτελεστέρας αὐτάς· εἶτα ἡμεῖς ἐλαυνόμενοι παρηκολουθοῦμεν ἄνω κάτω, χλευαζόμενοι, κατακερτομούμενοι πρὸς τῶν ἀντιπάλων, ὡς ἐν θεατρικοῖς μίμοις. καὶ γὰρ τὸ πρᾶγμα μιμία τις ἦν· ὁ μὲν δικαστὴς ἀνειλήφει σχῆμα κατηγόρου·

A Ille resalutauit tam comiter, vt de vita, nedum de causa desperaremus: ringendo enim rogauit: Vósne estis illi dijs inuisi, qui me omnium confessione Deum declaratum soli aspernamini, mauultísque vestrum innominatum colere? símulque sublatis ad cælum manibus erupit in vocem, quam ne audire quidem fas est, nedum proloqui verbis totidem. ac mox exorta est aduersæ partis ingens lætitia, quod hoc audito iam tum se B victores in hac causa fore ominarentur. itaque gestiebant & exsultabant præ gaudio, deorum omnium acclamantes ei cognomina. his appellationibus humanam naturam excedentibus gaudentem conspicatus Isidorus sycophanta amarulentus: Magis, inquit, detestareris Domine istos, eorúmque tribules, si scires eorum erga te impietatem atque maleuolentiam. omnibus enim pro salute tua votiuas C cædentibus victimas, isti soli non sustinuerunt sacra facere. cum dico isti, de cunctis Iudæis loquor. exclamauimus vnanimiter, Domine Cai, calumnijs petimur. immolauimus hecatombas, libatóque ad aram sanguine, carnes domum non retulimus ad epulas, vt quorumdam est mos: sed integras victimas exurendas sacro igni tradidimus, idque ter. primum quando successisti in imperium: iterum, quando grauem illum morbum D euasisti, cui totus orbis condoluit: tertio, votum pro victoria Germanica. Esto, inquit. sacra fecistis, sed alteri, nec pro me. quid igitur prodest? mihi certe non sacrificastis. ibi nos horror peruasit hac noua voce attonitos, qui se in cute quoque exeruit. Ille interim villas obibat, inspectans aulas & conclauia, in imis ædibus & in cœnaculis, quorundam locorum reprehendens vicia, & E mandans quid mutari vellet in melius. nos verò assectabamur eum sursum deorsum, protrusi & cauillis conuiciísque petiti ab aduersarijs non aliter quam histriones in scenis. nam hoc quoque negocium erat quædam fabula. iudex personam accusatoris sumpserat. accusatores agebant nequam iudicem, simultatis non veritatis memorem. sub tanto autem accusatore simul atque iudice necessarium est silentium. nam hoc quoque quoddam defensionis genus

est, præsertim quando nihil ei gratum respondere poteramus linguam cohibente ritu patrio, orique claustra imponente. Vbi verò quædam mandata dedit de ædificijs, serio grauitérque interrogauit, cur abstinetis à porcina? Ad hanc percontationem rursus risus magnus aduersariorum exortus est, partim gaudentium, partim vt festiuo salsóque dicto arridentium, & sic quoque captantium Dominicam gratiam. adeò vt quidam è famulitio moleste ferrent tam contemptim eos se coram principe gerere, quo præsente vel subridere periculosum sit alijs præterquam admodum familiaribus. cúmque nos respondissemus, esse mores alibi alios, & aduersarijs itidem vt nobis interdictum vsu rerum quarumdam: alius verò quidam subiecisset, multos ne agnina quidem vesci vbique parabili: ridens ille, Recte, inquit, insuauis enim est. his nugis irridebamur ipsi anxij. Tandem non sine stomachatione, Cupio scire, inquit, quod ius illius ciuitatis prætenditis. Nobis verò exorsis orationem, cum ex primo gustu intelligeret afferri quædam non contemnenda, & allatum iri vehementiora, abrupit sermonem, & cursu se in magnam aulam proripuit, obambulánsque iussit circumquaque fenestras claudi vitro candido, simili specularibus lapidibus, quibus lux admittitur, ventus & sol excluditur. postea nos lento gradu accessit, & moderatius iam rogauit: Quid dicitis? nobis autem deinceps rem in compendium contrahentibus, rursum procurrit in aliud cubiculum, vbi tabulas antiquæ picturæ iubebat reponi. cúmque ad hunc modum causæ nostræ actio interrumperetur, imò frustatim concideretur, lassi desperantésque, nec aliud quam mortem expectantes, & vix animi compotes præ anxietate, suppliciter ad verum Deum confugimus, vt nos è falso nominati Dei minis eriperet: qui nos miseratus furorem eius mitigauit. itaque deposita iam ferocia, tantum hoc præfatus: homines isti non tam mihi videntur mali quam miseri, qui sibi persuaderi non sinunt, me esse naturæ diuinæ participem, abijt, simúlque nos ius-

A ὁ δὲ κατήγορος φαύλου δικαστοῦ πρὸς ἔχθραν ἀποβλέποντος, ἀλλ' οὐ τὴν φύσιν τῆς ἀληθείας. οἷα δὲ αἰτιατοὶ κρινόμενοι δικαστῆς καὶ τοσοῦτος, ἀνάγκη σιωπᾶν. ἔστι γάρ πως καὶ δι' ἡσυχίας ἀπολογεῖσθαι, καὶ μάλιστα πρὸς οὐδὲν ὧν ἐπεζήτει καὶ ἐπεπόθει δυναμένους ἀποκρίνασθαι, τῶν ἐθῶν καὶ νομίμων τὴν γλῶτταν ἐπεχόντων, καὶ τὸ στόμα κλειόντων καὶ ἀποῤῥαπτόντων· ἐπεὶ δὲ ἔνια τῶν περὶ τὰς οἰκοδομὰς διετάξατο, μέγιστον καὶ σεμνὸν ἐρώτημα ἠρώτα, διὰ τί χοιρείων κρεῶν ἀπέχεσθε; πάλιν πρὸς τὴν πεῦσιν γέλως ἐκ τῶν ἀντι- B δίκων κατεῤῥάγη τοσοῦτος, τῇ μὲν ἡδομένων, τῇ δὲ καὶ ἐπιτηδευόντων ἕνεκα κολακείας, ὑπὲρ τοῦ τὸ λεχθὲν δοκεῖν σὺν εὐτραπελίᾳ καὶ χάριτι εἰρῆσθαι, ὥς τινα τῶν ἑπομένων αὐτῷ θεραπόντων ἀγανακτεῖν ἐπὶ τῷ καταφρονητικῶς ἔχειν αὐτοκράτορος, ἐφ' οὗ καὶ τὸ μετρίως μειδιάσαι τοῖς μὴ πάνυ συνήθεσιν οὐκ ἀσφαλές. ἀποκριναμένων δὲ ἡμῶν ὅτι νόμιμα παρ' ἑτέροις ἕτερα, καὶ χρῆσις ἐνίων ὡς ἡμῖν καὶ τοῖς ἀντιδίκοις ἀπείρηται· καὶ φαμένου τινὸς C ὡς πολλοί γε καὶ τὰ προχειρότατα ἀρνία οὐ προσφέρονται, γελάσας, εὖγε εἶπεν· ἔστι γὰρ οὐχ ἡδέα. τοιαῦτα φλυαρηθέντες καὶ κατακερτομηθέντες ἐν ἀμηχανίαις ἦμεν. εἶτα ὀψέ ποτε παρασεσυρμένως βουλόμεθα μαθεῖν, ἔφη, τίσι χρῆσθε περὶ τῆς πολιτείας δικαίοις. ἀρξαμένων δὲ λέγειν καὶ διδάσκειν, ἀπογευσάμενος τῆς δικαιολογίας, καὶ συνεὶς ὡς οὐκ ἔστιν εὐκαταφρόνητος, πρὶν ἐπενεγκεῖν τὰ ἰσχυρότερα, συγκόψας καὶ τὰ πρότερα, δρομαῖος εἰς μέγαν οἶκον εἰσεπήδησεν, καὶ περιελθὼν προστάτ- D τει τὰς ἐν κύκλῳ θυρίδας ἀναληφθῆναι τοῖς ὑάλῳ λευκῇ διαφανέσι παραπλησίως λίθοις, οἳ τὸ μὲν φῶς οὐκ ἐμποδίζουσιν, ἀνέμους δὲ εἴργουσι καὶ τὸν ἀφ' ἡλίου φλογμόν. εἶτα προελθὼν ἄνευ σπουδῆς μετριώτερον ἀνηρώτα, τί λέγετε. συνείρειν δὲ ἀρξαμένων τὰ ἀκόλουθα, εἰστρέχει πάλιν εἰς ἕτερον οἶκον, ἐν ᾧ γραφὰς ἀρχετύπους ἀνατεθῆναι προσέταττεν. οὕτω τῶν ἡμετέρων σπαραττομένων καὶ διαρτωμένων καὶ μονονοὺ συγκοπτο- E μένων καὶ συντριβομένων δικαίων, ἀπειρηκότες καὶ μηδὲν ἔτι σθένοντες, ἀεὶ δὲ οὐδὲν ἕτερον ἢ θάνατον προσδοκῶντες, οὐκ ἔτι τὰς ψυχὰς ἐν αὐταῖς εἴχομεν, ἀλλ' ὑπ' ἀγωνίας ἔξω προεληλύθεσαν ἱκετεύειν τὸν ἀληθινὸν θεόν, ἵνα τοῦ ψευδωνύμου τὰς ὀργὰς ἐπίσχῃ. ὁ δὲ λαβὼν οἶκτον ἡμῶν, τρέπει τὸν θυμὸν αὐτοῦ πρὸς ἔλεον· καὶ ἀνεθεὶς πρὸς τὸ μαλακώτερον, καὶ τοσοῦτον εἰπὼν, οὐ πονηροὶ μᾶλλον ἢ δυστυχεῖς εἶναί μοι δοκοῦσιν ἄνθρωποι καὶ ἀνόητοι, μὴ πιστεύοντες ὅτι θεοῦ κεκλήρωμαι φύ-

σιν, ἀπαλλάττεται, προστάξας καὶ ἡμῖν ἀπέρχεσθαι. τοσοῦτον ἀπὸ τοῦ δικαστηρίου θεάτρου ὁμοῦ καὶ δεσμωτηρίου ἐκφυγόντες· ὡς μὲν γὰρ ἐν θεάτρῳ κλωσμὸς συριττόντων, καταμωκωμένων, ἄμετρα χλευαζόντων, ὡς δὲ ἐν εἱρκτῇ πληγαὶ κατὰ σπλάγχνων φερόμεναι, βάσανοι, κατατάσεις τῆς ὅλης ψυχῆς, διά τε τὰς εἰς τὸ θεῖον βλασφημίας καὶ διὰ τὰς ἐπανατάσεις, ἃς τοσοῦτος αὐτοκράτωρ ἐπανετείνετο, μνησικακῶν οὐ περὶ ἑτέρου· ῥᾳδίως γὰρ ἂν μετέβαλεν· ἀλλὰ περὶ ἑαυτοῦ καὶ τῆς εἰς τὴν ἐκθέωσιν ἐπιθυμίας, ᾗ μόνους ὑπελάμβανε μήτε συναινεῖν Ἰουδαίους, μήτε δύνασθαι συνυπογράψασθαι· μόλις ἀνεπνεύσαμεν, οὐκ ἐπεὶ φιλοζωοῦντες θάνατον κατεπεπλήγμεθα, ὃν ἀσμένως καθάπερ ἀθανασίαν εἱλόμεθα ἄν, εἰ δή τι τῶν νομίμων ἔμελλεν ἐπανόρθωσιν ἕξειν, ἀλλ' εἰδότες, ἐπ' οὐδενὶ λυσιτελεῖ παραναλώματι θνησόμενοι μετὰ πολλῆς δυσκλείας. ἃ γὰρ ἂν πρέσβεις ὑπομένωσιν, ἐπὶ τοὺς πέμψαντας λαμβάνει τὴν ἀναφοράν. τούτων μὲν δὴ χάριν ἐπὶ ποσὸν ἠδυνήθημεν ἀνακύψαι, τὰ δὲ ἄλλα ἡμᾶς ἐφόβει μετεωροπολουμένους καὶ ἀποροῦντας τί γνώσεται, τί ἀποφανεῖται, ποταπὴ γένοιτ' ἂν ἡ κρίσις. ἤκουσε γὰρ τῆς ὑποθέσεως, ὃς πραγμάτων ἐνίων παρήκουσεν; ἐν ἡμῖν δὲ πέντε πρεσβευταῖς σαλεύειν τὰ τῶν πανταχοῦ πάντων Ἰουδαίων οὐ χαλεπόν; εἰ γὰρ χαρίσαιτο τοῖς ἡμετέροις ἐχθροῖς, τίς ἑτέρα πόλις ἠρεμήσει; τίς οὐκ ἐπιθήσεται τοῖς συνοικοῦσι; τίς ἀπαθὴς καταλειφθήσεται προσευχή; ποῖον πολιτικὸν οὐκ ἀναρραπισθήσεται δίκαιον τοῖς κοσμουμένοις κατὰ τὰ πάτρια τῶν Ἰουδαίων; ἀνατετράψεται, ναυαγήσει, κατὰ βυθοῦ χωρήσει καὶ τὰ ἐξαίρετα νόμιμα καὶ τὰ κοινὰ πρὸς ἑκάστας τῶν πόλεων αὐτοῖς δίκαια. τοιούτοις ὑπέραντλοι γινόμενοι λογισμοῖς ὑπεσυρόμεθα καταποντούμενοι. καὶ γὰρ οἱ τέως συμπράττειν ἡμῖν δοκοῦντες ἀπειρήκεσαν. καλουμένων γοῦν εἴσω ὄντες οὐχ ὑπέμειναν, ἀλλ' ὑπεξῆλθον διὰ φόβον ἀκριβῶς ἐπιστάμενοι τὸν ἵμερον ᾧ κέχρητο πρὸς τὸ νομίζεσθαι θεός. εἴρηται μὲν οὖν κεφαλαιωδέστερον ἡ αἰτία τῆς πρὸς ἅπαν τὸ Ἰουδαίων ἔθνος ἀπεχθείας Γαΐου· λεκτέον δὲ καὶ τὴν παλινῳδίαν πρὸς Γάϊον.

A sit abscedere. postquam hoc non tam iudicium, quam carcerem & theatrum effugimus (nam quasi in theatro exsibilabamur, subsannabamur, & irridebamur supra modum: nec secus quàm in carcere cruciabamur ferebamúsque tormenta totius animæ, dum blasphemias in Deum & contra nos comminationes imperatoris tam potentis audiremus, vnam ob rem infensi & implacabilis, quòd insanæ cupiditati qua Deus haberi ambiebat, solos Iudæos B assensuros non putabat, ac ne posse quidem ei subscribere) vix respirauimus: non quòd amore vitæ mortem horreremus, quam auide vt immortalitatem arripuissemus, siquid profuturam existimassemus nostris legibus: sed quòd sciremus nostrum exitium fore non solum inutile reipublicæ, verùm ignominiosum etiam. nam legatorum infortunium solet imputari his à quibus missi sunt. ea de causa emersimus aliquando è miserijs: de cæte- C ro enim soliciti eramus, quid decreturus quidve pronunciaturus esset. quomodo enim poterat causam pernoscere, qui multas eius circumstantias ne audire quidem dignatus fuerat? an non erat onerosum à nobis quinque legatis pendere omnes Iudæos quotquot vsquam habitant? si enim gratificaretur nostris inimicis, quænam alia quiesceret ciuitas? quænam suis inquilinis parceret? quænam proseucha relinqueretur incolumis? quænam iura seruarentur Iudæis patrio iure vi- D uentibus? imminebat subuersio, iactura, naufragiúmque priuilegiorum quæ gens ea habebat in singulis ciuitatibus. tot curis oppressi succumbebamus miseri. nam qui antea fauere nobis videbantur, prorsus desperauerant. quapropter cum ad illum accerseremus subduxerunt se præ metu, quòd bene scirent clementiam hominis gerentis se pro Deo. Diximus in E summa causam odij quo Caius Iudæorum nationem prosequebatur: superest vt dicamus eam qua vsi sumus apud eum palinodiam.

A τὰς ἐπιστήμας διδασκόμεθα. ὁ γὰρ νοῦς ὁ ἄκλειστος καὶ ἀκοίμητος προσβαλὼν ὄμματα τοῖς δόγμασι καὶ τοῖς θεωρήμασιν, εἶδεν αὐτὰ οὐ νόθῳ φωτί, γνησίῳ δέ, ὅπερ ἀφ' ἑαυτοῦ ἐξέλαμψεν. ὅταν οὖν ἀκούσῃς, ὀφθέντα θεὸν ἀνθρώπῳ· τοῦτο γίνεσθαι νόει χωρὶς φωτὸς αἰσθητοῦ. νοητὸν γὰρ τὸ νοητὸν εἰκὸς μόνον καταλαμβάνεσθαι. πηγὴ δὲ τῆς καθαρωτάτης αὐγῆς, θεός ἐστιν. ὥσθ' ὅταν ἐπιφαίνηται ψυχῇ, τὰς ἀσκίους καὶ περιφανεστάτας ἀκτῖνας ἀνίσχει. Μὴ μέντοι νομίσῃς τὸ ὄν, ὅπερ πρὸς ἀλήθειαν ὄν, ὑπ' ἀνθρώπου τινὸς καταλαμβάνεσθαι. ὄργανον γὰρ οὐδὲν ἐν ἑαυτοῖς ἔχομεν, ᾧ δυνησόμεθα ἐκεῖνο φαντασιωθῆναι, οὔτ' αἴσθησιν (αἰσθητὸν οὖν οὐκ ἦν) οὔτε ἰσχύν. Μωσῆς οὖν ὁ τῆς ἀειδοῦς φύσεως θεατὴς, καὶ θεόπτης, (εἰς γὰρ τὸν γνόφον φασὶν αὐτὸν οἱ χρησμοὶ εἰσελθεῖν, τὴν ἀόρατον οὐσίαν αἰνιττόμενοι) πάντα διὰ πάντων ἐρευνήσας, ἐζήτει τὸν περιπόθητον καὶ μόνον τηλαυγῶς ἰδεῖν. ἐπεὶ δ' οὐδὲν εὗρεν, ἀλλ' οὐδ' ἐμφερῆ τινα ἰδέαν τῆς ἐλπιζομένης· τὴν ἀπὸ τῶν ἄλλων διδασκαλίαν ἀπογνούς, ἐπ' αὐτὸ καταφυγεῖν τὸ ζητούμενον, καὶ δεῖται, λέγων· ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε. καὶ ὁμοίως ἀμοιρεῖ τῆς προθέσεως· αὐταρκεστάτης δωρεᾶς τῷ θνητῷ ἀρίστῳ γένει νομισθείσης, τῆς μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμάτων ἐπιστήμης. λέγεται γὰρ· ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι. ὡς τῶν μετὰ τὸ ὄν, σωμάτων τε ὁμοῦ καὶ πραγμάτων εἰς κατάληψιν ἐρχομένων, εἰ καὶ μὴ πάντα ἤδη καταλαμβάνεται· μόνου δ' ἐκείνου μὴ πεφυκότος ὁρᾶσθαι. καὶ τί θαυμαστόν, εἰ τὸ ὂν ἀνθρώποις ἀκατάληπτον· ὁπότε καὶ ὁ ἐν ἑκάστῳ νοῦς ἄγνωστος ἡμῖν ἐστι. τίς ψυχῆς οὐσίαν εἶδεν; ἧς ἡ ἀδηλότης, μυρίας ἔριδας σοφισταῖς ἐγέννησεν, ἐναντίας εἰσηγουμένοις γνώμας ἢ καὶ ὅλοις γένεσιν ἀντιπιπτούσας. ἦν οὖν ἀκόλουθον τό, μηδ' ὄνομα κύριον ἐπιφημισθῆναι δύνασθαι τῷ ὄντι πρὸς ἀλήθειαν. οὐχ ὁρᾷς ὅτι φιλοπευθοῦντι πρὸς ἀλήθειαν τῷ προφήτῃ, τί τοῖς περὶ ὀνόματος αὐτοῦ ζητοῦσιν ἀποκριτέον; φησίν, ὅτι ἐγώ εἰμι ὁ ὤν· ἴσον τῷ· εἶναι πέφυκα, οὐ λέγεσθαι. τοῦ δὲ μὴ παντάπασιν

nam quæ intelligentia percipiuntur ipsa sibi lucem inferunt. atque hoc modo sciẽtias comprehendimus. Mentis enim acies quæ nunquam clauditur nec sopitur, conuersa ad præcepta & decreta, animaduertit ea non falso, sed vero proprióque lumine, quod ab ipsamet eluxit. Quoties igitur audiueris Deum ab homine visum, hoc fieri cogita sine luce sensibili: siquidem par est intelligibile sola tantùm intelligentia percipi. Præterea fons purissimi splendoris Deus est: ita vt cum animum illustrat, radios B clarissimos nec tenuissimam vllam vmbram suscipientes, excitet. Iam verò ne inducas in animum, quod est re vera, proprie & absolute, ab vllo homine posse comprehendi: quandoquidem, nihil in nobis ipsis habemus quo illius imaginem effingere & adumbrare possimus, nec sensum, sub quem certe non cadit, nec vim & facultatem. Quapropter Moses inaspectabilis naturæ spectator Deique inspector (aiunt enim oracula ipsum in caliginem C ingressum fuisse: ita subobscure inaspectabilem essentiam designantes) omnia per cuncta scrutatus, ter expetitum, solúmque perspicuè cernere quærebat. Exo. 20 21. Et cùm nihil reperisset, ac ne formam quidem vllam quæ referret ea quæ sperabat, abiecta spe doctrinam eiusmodi percipiendi ab alijs, ad illud ipsum se recepit quod indagabat, atque hac vtitur precatione, *Ostende mihi teipsum, vt planè & aperte videam te.* Exod. 33. Atque à proposito suo pariter excidit. cùm munus æquissimum, maxiD méque idoneum humano generi præstantissimo reputetur, Corporum simul & rerum scientia, quæ id quod vere est sequitur. Etenim dicitur: *Cernes posteriora mea: facies verò mea non videbitur à te.* quasi ea corpora simul & res quæ id quod est sequuntur, in comprehensionem cadant, tametsi non omnia iam comprehendantur: cùm illud solum cerni natura non possit. Ecquid autem mirum est, si Quod est, ab hominibus percipi nequit? quandoquiE dem mens quæ in vnoquoque inest, incognita nobis est. Quis enim animi naturam nouit? cuius ignorantia sexcentas contentiones apud Sophistas excitauit, dum contrarias inducunt sententias ac totis generibus repugnantes. Vnde rationi consentaneum erat, ne vllum quidem proprium nomen prędicari posse de eo quod re vera est. Nónne vides quid dicat Prophetæ, studiose veritatem ipsam percontanti, quidnam ipsius nomen inquirentibus respondendum esset? *Ego sum qui sum*: perinde ac si dixisset, Natura mea est esse, non dici. Verùm, ne plane genus huma-

num priuaret appellatione eius quod optimum est, concedit Domini nomine quãuis improprie vti, hoc modo: Dominus Deus trium naturarum, Doctrinæ, Sanctimoniæ, Exercitationis, quorum notas Abrahamus, Isaacus & Iacobus præ se ferunt. Exod. 3. *Hoc enim*, inquit, *nomen æternum est*, quasi in hoc æuo nostro expensum, non in illo quod antecessit secula: & monimentum quod non vltra memoriam & intelligentiam fixum & erectum est: itémque quod ætatum successionibus conuenit, non naturis ortu carentibus. Nam vsurpatione nominis diuini ijs opus est, qui ad pretio comparatam generationem venerunt, vt si minus re, nomine saltem accedentes optimo, eo ipso exornentur. Indicat etiam oraculum ex persona editum Rectoris Vniuersitatis, nemini declaratum esse nomen vllum ipsius proprium: *Nomen meum non indicaui ipsis.* Etenim mutata orationis figura, talis esset deinceps sermo: Nomen mihi proprium non patefeci ipsis, sed id quod abusiuè tantùm vsurpatur: ob eas quas diximus causas. Adeò igitur arcanum est id quod verè est, vt ne Virtutes quidem ea quæ subministrant ei, proprium nomen suum nobis referant. Quocirca post luctam quam pro virtutis acquisitione vir strenuus subierat, dixit inaspectabili magistro, *Renuncia mihi nomen tuum.* Gen. 31. Ille verò subiecit. *Eccurnam id rogas, nomen meum?* & non priuatum ac proprium declarat. Sufficit enim, inquit, meas institutiones & præceptiones adiumento esse. Verùm nomina, quæ sunt notæ rerum generatarum, ne quæras apud immortales Naturas. Ne igitur ambigas an quod antiquius est ijs rebus quæ sunt, ineffabile sit: Quandoquidem ipsius sermo nomine proprio non potest à nobis exprimi, porrò si ineffabile est, ne intelligentia quidem comprehenditur. Proinde illud (Gen. 17. *Visus est Dominus Abrahamo*) ita dici subintelligendum est, non quia eluceret & emicaret Vniuersitatis autor, & effector: nam quæ mens humana magnitudinem apprehensionis eiusmodi valeat percipere? Sed eò quòd vna è virtutibus, quæ ipsum circumdant, regia videlicet, præfulgeret. Etenim Domini appellatio, Regiæ dignitatis Imperatoriæque maiestatis est: Mens autem nostra Chaldaïca disciplina instructa, differens in mundo de rebus naturalibus, & ijs quæ in sublimi fiunt, efficaces obequitabat potentias, tanquam causas: Sed simulatque Chaldaïco instituto, quasi transfuga, migrauit, agnouit

A ἀφαιρῆσαι δὲ ἀνθρώπων γένος προσρήσεως τοῦ ἀρίστου· δίδωσι καταχρῆσθαι, * ὡς ἂν (* ὡς ἂν) ὀνόματι τῷ κυρίῳ, κύριος ὁ θεὸς τῶν τριῶν φύσεων, διδασκαλίας, ὁσιότητος, ἀσκήσεως· ὧν σύμβολα Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ ἀναγράφεται. τοῦτο γάρ φησιν ὄνομα αἰώνιον, ὡς ἐν τῷ καθ' ἡμᾶς αἰῶνι ἐξεταζόμενον, οὐκ ἐν τῷ πρὸ αἰῶνος· καὶ μνημόσυνον, οὐ τὸ πέραν μνήμης καὶ νοήσεως ἱστάμενον· καὶ πάλιν γενεαῖς, οὐ φύσεσιν ἀγενήτοις. καταχρήσεως γὰρ ὀνόματος θείου δεῖ τοῖς εἰς τὴν γένεσιν ἐλθοῦσιν· B ἵν' εἰ καὶ μὴ πράγματι, ὀνόματι γοῦν προσερχόμενοι ἀρίστῳ, κατ' αὐτὸ κοσμῶνται. δηλοῖ δὲ καὶ λόγιον ἐκ προσώπου θεσπισθὲν τοῦ τῶν ὅλων ἡγεμόνος περὶ τοῦ μηδενὶ δεδηλῶσθαι ὄνομά τι αὐτοῦ κύριον· Τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς. τοῦ γὰρ ὑπερβατοῦ μετατεθέντος, ἑξῆς ἂν τοιοῦτος εἴη λόγος· C Ὄνομά μου τὸ κύριον οὐκ ἐδήλωσα αὐτοῖς, ἀλλὰ τὸ ἐν καταχρήσει, διὰ τὰς εἰρημένας αἰτίας. οὕτω μέντοι τὸ ὂν ἄρρητόν ἐστιν· ὥστ' οὐδ' αἱ ὑπηρετούμεναι δυνάμεις κύριον ὄνομα ἡμῖν λέγουσι. μετὰ γοῦν τὴν πάλην, ἣν ὑπὲρ κτήσεως ἀρετῆς ὁ ἀσκητὴς ἐπάλαισε, φησὶ τῷ ἀοράτῳ ἐπιστάτῃ· Ἀνάγγειλόν μοι τὸ ὄνομά σου. ὁ δὲ εἶπεν· ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ οὐ μηνύει τὸ D ἴδιον καὶ κύριον. ἀπόχρη γάρ φησιν ὠφελεῖσθαι καὶ ταῖς ἐμαῖς ὑφηγήσεσι· τὰ δὲ γενητῶν σύμβολα ὀνόματα μὴ ζήτει παρὰ φύσεσιν ἀφθάρτοις. μήτ' οὖν διαπόρει, εἰ τὸ τῶν ὄντων πρεσβύτερον ἄρρητον· ὁπότε ὁ λόγος αὐτοῦ κυρίῳ ὀνόματι οὐ ῥητὸς ἡμῖν. καὶ μὴν εἰ ἄρρητον, καὶ ἀπερινόητον. ὥστε τὸ ὤφθη κύριος τῷ Ἀβραὰμ λέγεσθαι ὑπονοητέον, οὐχ ὡς ἐπιλάμποντος καὶ ἐπιφαινομένου E τοῦ πάντων αἰτίου· τίς γὰρ ἀνθρώπειος νοῦς τὸ μέγεθος τῆς φαντασίας ἱκανός ἐστι χωρῆσαι; ἀλλ' ὡς μιᾶς τῶν περὶ αὐτὸν δυνάμεων τῆς βασιλικῆς προφαινομένης. ἡ γὰρ κύριος πρόσρησις, ἀρχῆς καὶ βασιλείας ἐστί. νοῦς δὲ ἡμῶν ἡνίκα ἐχαλδάιζε μετεωρολεσχῶν τοῦ κόσμου, τὰς δραστηρίους τῶν περιπολούντων δυνάμεις ὡς αἰτίας. γενόμενος δὲ μετανάστης ἀπὸ τοῦ χαλδαϊκοῦ δόγματος ἔγνω

A ἡνιοχούμενον καὶ κυβερνώμενον αὐτὸν ὑπὸ ἡγεμόνος, οὗ τῆς ἀρχῆς φαντασίαν ἔλαβε. διὸ λέγεται, ὤφθη· οὐχ ὁ ὤν, ἀλλὰ κύριος· οἷον, ἐφάνη ὁ βασιλεύς, ἐξ ἀρχῆς μὲν ὤν, οὔπω δὲ τῇ ψυχῇ γνωριζόμενος. εἰ καὶ ὀψιμαθὴς μὲν, οὐ μὴν εἰσάπαν ἀμαθὴς διετέλεσεν· ἀλλ' ἐφαντασιώθη τὴν ἐν τοῖς οὖσιν ἀρχὴν καὶ ἡγεμονίαν. φανεὶς δὴ ὁ ἄρχων, ἔτι μᾶλλον εὐεργετεῖ τὸν θεατὴν, φάσκων· ἐγώ εἰμι θεὸς σός. B τίνος γὰρ εἴποιμι οὐ θεὸς ὑπάρχεις τῶν ὅσα εἰς γένεσιν ἦλθεν; ἀλλὰ διδάξει με ὁ ὑποφήτης αὐτοῦ λόγος, ὅτι οὐ περὶ τοῦ κόσμου νῦν λέγει, οὗ ὁ δημιουργὸς πάντως ἐστὶ καὶ θεός· ἀλλὰ περὶ ἀνθρωπίνων ψυχῶν, ἃς οὐ τῆς αὐτῆς ἐπιμελείας ἠξίωκε. δικαιοῖ γὰρ τῶν μὲν φαύλων λέγεσθαι κύριος καὶ δεσπότης· τῶν δὲ ἐν προκοπαῖς καὶ βελτιώσει, θεός· τῶν δ' ἀρίστων καὶ τελειοτάτων, C ἀμφότερα, κύριος ὁμοῦ καὶ θεός. αὐτίκα γέ τοι ἔσχατον ὅρον ἀσεβείας ἱδρυσάμενος τὸν Φαραὼ, κύριον καὶ θεὸν τούτου οὐδέποτε προσεῖπεν ἑαυτόν· ἀλλὰ τὸν σοφὸν Μωυσῆν. λέγει γάρ· Ἰδοὺ δίδωμί σε θεὸν Φαραώ. Κύριον δὲ ὠνόμασε πολλαχοῦ τῶν ὑπ' αὐτοῦ χρισθέντων. ᾄδεται δὲ τὰ τοιαῦτα· Τάδε λέγει κύριος. καὶ ἐν ἀρχῇ ἐλάλησε κύριος πρὸς Μωυσῆν λέγων· ἐγὼ κύριος· λάλησον Φαραὼ βασιλεῖ Αἰγύπτου, D ὅσα ἐγὼ λαλῶ πρὸς σέ. καὶ Μωσῆς πρὸς αὐτόν· Ὅταν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς κύριον, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα, καὶ ὁ ὑετὸς οὐκ ἔσται· ἵνα γνῷς ὅτι κυρίου ἡ γῆ· (οἱονεὶ πᾶσα ἡ σωματικὴ καὶ γεώδης σύστασις) καὶ σὺ ὁ ἀγαλματοφορούμενος νοῦς) καὶ οἱ θεράποντές σου (οἱ κατὰ μέρος δορυφοροῦντες λογισμοί.) E ἐπίσταμαι γὰρ ὅτι οὐδέπω πεφόβησθε τὸν κύριον· ἴσον τῷ· οὐ τὸν λεγόμενον ἄλλως, ἀλλὰ τὸν ὄντως ὄντα δεσπότην. Κύριος γὰρ γεννητὸς πρὸς ἀλήθειαν οὐδείς· κἂν ἀπὸ περάτων ἐπὶ πέρατα εὐρύνας τὴν ἡγεμονίαν ἀνάψηται· μόνος δὲ ὁ ἀγένητος, ἀψευδὴς ἡγεμών. οὗ τὴν ἀρχὴν ὁ δεδιὼς καὶ καταπεπληγμένος, ἆθλον ὠφελιμώτατον αἱρεῖται νουθεσίας· τὸν δὲ ὀλίγωρον, ἐκδέχεται πάντως οἰκτρὸς ὄλεθρος.

se euehi & gubernari à Rectore, cuius principatus visionem percepit. Ideóque dicitur, *Visus est* (non is qui est) sed *Dominus*. (Gen. 17.) quod idem valet atque, *Visus est Rex*, ex principatu quidem existens, sed animo nondum cognitus, qui quidem serus studiorum fuit; verùm non planè indocilis perstitit, sed principatum in ijs quæ sunt, sibi effinxit & informauit. At cùm princeps ipse apparuit, maiore beneficio spectatorem affecit, *Ego sum*, inquiens, *Deus tuus*. Eccuius verò rei, dicere possem, ex omnibus istis, quæ ortum habuere, Deus non existis? Sed docebit me sermo Interpres ipsius, eum nunc verba non facere de Mundo, cuius opifex omninò Deus ipse est: verùm de humanis animis, non pari eadémque dignatus est cura. Æquum enim censet, vt improborum quidem dicatur Dominus & herus: Eorum autem qui in virtute & probitate progressus faciunt, Deus: sed perfectissimorum & absolutissimorum, vtrúmque, hoc est, Dominus Deúsque simul. Quocirca cùm Pharaonem in summo impietatis cacumine statuisset, Dominum Deúmque ipsius nunquam se nominauit, sed sapientem Mosem: Ait enim, *Ecce do te Deum Pharaoni*, Dominum porrò sæpè nuncupauit se eorum qui ab ipso vncti erant. Proinde canuntur hæc, *Ego Dominus. Loquar ad Pharaonem Regem Ægypti, quæ ego dico tibi.* (Deut. 7. Esa. 10. 22.18. Exo. 6.) Et Moses Pharaonem alloquens: *Cùm egressus vrbe fuero*, inquit, *expandam manus ad Dominum, & voces cessabunt, nec grando, nec pluuia erunt, vt noris Terram Domini esse*: (Terræ videlicet nomine corpoream & terrenam coagmentationem comprehendens) *Et tu*; hoc est mens, quæ corpus regit & insignit) *Et serui tui*; id est, cogitationes & rationes vicissim stipantes, atque satellitum munere fungientes) *noui enim vos nondum formidare Dominum.* (Ibid. 9.) perinde ac si diceret; non eum qui sic vulgo vocatur, sed eum qui verè existit Herus. Dominus enim generatus ex rei veritate nullus est; tametsi ab extremis finibus ad extremas orbis terrarum partes Principatum suum produxerit: Sed is solus qui ortus initium nullum habet, verè Princeps est: cuius Imperium qui veritus est cum stupore admiratus, vtilissimum admonitionis præmium refert: contemptorem verò miserandum vtique exitium manet.

Nempe igitur stultorum Dominus com-
probatus & confirmatus est, qui me-
tum incussit principis proprium: Deus
autem scribitur eorum qui in virtute
Gen.35. proficiunt, vt hoc in loco, *Ego sum*
Deus tuus. Ego sum Deus tuus: Cresce &
multiplica. Porrò vtrumque est perfe-
ctis, Dominus Deúsque simul; vt in
Exod.20 decem Præceptis, *Ego Dominus Deus*
tuus. & alibi: *Dominus Deus patrum ve-*
Deut.4. *strorum.* Etenim æquum putat, vt im-
probus herili dominatui subijciatur, vt
cum verecundia & reuerentia gemitus
edens, impendentem sibi habeat Do-
minicum timorem. Proficientem verò
vult à Deo beneficijs affici, vt benefi-
centia adiutus perfectionem assequatur.
Perfectum denique probat à Domino
regi & à Deo beneficia accipere. Enim-
verò hic immutabilis vsquequaque per-
manet. Ille autem omnino Dei vir est.
atque hoc in Mose potissimùm declara-
tur, his verbis; *Hæc enim*, inquit, *be-*
Deut.32. *nedictio est qua benedixit Moses homo Dei.*
O quàm præclara & sacra remuneratio-
ne donatus est, qui diuinam prouiden-
tiam sibimetipsi retribuit! Verùm ne
existimes eodem modo hominem fie-
ri, & hominem Dei. Etenim homi-
nem existere, tanquam Dei possessio-
nem arguit: sed hominem Dei euade-
re, quasi emolumentum & honorem in-
dicat. Quòd si velis Deum Mentis tuæ
hæreditatem tenere; vide vt prior fias
hæreditas Deo digna & idonea: idque
euades, si modò leges omnes manu exa-
ratas & voluntarias effugeris. Atenim
neque istud ignorare par est, quod hæc
verba, *Ego sum Deus tuus*, dicuntur
abusiuè, non propriè. Nam Deus est
qua ex parte est verè id quod est, non
quomodo. Id quod est ad ea refertur
quæ cum aliquo conferuntur. Diuinum
siquidem Numen se ipso plenum est,
ipsúmque sibi sufficit: idémque sibi
par ante Mundi ortum, & post Vni-
uersitatis molitionem. Immobile nam-
que atque immutabile est, nulla re al-
tera planè indigens: ita vt ipsius qui-
dem sint omnia: ipsum verò propriè
nullius existat. Nonnullas tamen vires
quas ad generationem extendit, ob sa-
lutem eius quod constitutum est, conti-
git ex Relatiuorum numero esse, qualis
est facultas regia, vis benefica. Rex enim
alicuius Rex est, & benefactor alicuius;
cùm alius sit omnino qui regitur, & alius
qui beneficio afficitur. harum cognata
est vis effectrix, quæ Deus nominatur.

A οὐκ οὖν κύριος ἀφρόνων ἐπιδέδεικται, τὸν
ἄρχοντος ἐνδυματισάμενος οἰκεῖον φόβον·
θεὸς δέ, βελτιουμένων γράφεται· καθὼς καὶ
νῦν, Ἐγώ εἰμι θεὸς σός. ἐγὼ θεός σου· αὐξά-
νου καὶ πληθύνου. τελείων δέ, ἀμφότερον·
κύριος ὁμοῦ καὶ θεός· ὡς ἐν δέκα λόγοις,
Ἐγὼ κύριος ὁ θεός σου. καὶ ἑτέρωθι· κύ-
ριος ὁ θεὸς τῶν πατέρων ὑμῶν. δικαιοῖ γὰρ
τὸν μὲν φαῦλον, ὡς ὑπὸ κυρίου δεσπό-
B ζεσθαι· ἵν' εὐλαβούμενος καὶ στένων, ἐπι-
κρεμάμενον ἔχῃ τὸν δεσποτικὸν φόβον· τὸν
δὲ προκόπτοντα, ὡς ὑπὸ θεοῦ εὐεργετεῖ-
σθαι· ὅπως ταῖς εὐεργεσίαις, τελειότητος ἐφί-
κηται· τὸν δὲ τέλειον, καὶ ἡγεμονεύεσθαι ὡς
ὑπὸ κυρίου, καὶ εὐεργετεῖσθαι ὡς ὑπὸ
θεοῦ. Διαμένει γὰρ οὗτος εἰσάπαν ἄτρε-
πτος. ἐκεῖνος δὲ πάντως ἐστὶν ἄνθρωπος
θεοῦ. δηλοῦται δὲ τοῦτο μάλιστα ὡς ἐπὶ
Μωυσέως, Αὕτη γάρ φησιν ἡ εὐλογία ἣν
C εὐλόγησε Μωυσῆς ἄνθρωπος θεοῦ. ὦ παγ-
κάλης καὶ ἱεροπρεποῦς ἀντιδόσεως ἀξιωθεὶς
θείας προνοίας ἀντιδοῦναι ἑαυτόν. ἀλλὰ
μὴ νομίσῃς τὸν αὐτὸν τρόπον ἄνθρωπόν τε
γίνεσθαι, καὶ ἄνθρωπον θεοῦ. ἄνθρωπον
μὲν γάρ, θεοῦ ὡς κτῆμα· ἄνθρωπον δὲ
θεοῦ, ὡς αὔχημα καὶ ὠφέλημα. Εἰ δὲ
βούλει διανοίας κλῆρον τὸν θεὸν ἔχειν· αὐ-
τὸς πρότερον γενοῦ κλῆρος ἀξιόχρεως αὐ-
τοῦ. γενήσῃ δέ, ἂν τοὺς χειροποιήτους καὶ ἑ-
D κουσίους ἅπαντας νόμους ἐκφύγῃς. ἀλλὰ
γὰρ οὐδ' ἐκεῖνο προσῆκεν ἀγνοεῖν· ὅτι τό,
ἐγώ εἰμι θεὸς σός, λέγεται καταχρηστικῶς,
οὐ κυρίως. τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν
πρός τι· αὐτὸ γὰρ ἑαυτοῦ πλῆρες, καὶ αὐτὸ
ἑαυτῷ ἱκανόν· καὶ πρὸ τῆς τοῦ κόσμου γε-
νέσεως, καὶ μετὰ τὴν γένεσιν τοῦ παντός, ἐν
ὁμοίῳ· ἄτρεπτον γὰρ καὶ ἀμετάβλητον, χρῆ-
ζον ἑτέρου τὸ παράπαν οὐδενός· ὥστε αὐτοῦ
μὲν εἶναι τὰ πάντα· μηδενὸς δὲ κυρίως
E αὐτό. τῶν δὲ δυνάμεων, ἃς ἔτεινεν εἰς
γένεσιν ἐπ' εὐεργεσίᾳ τοῦ συσταθέντος,
ἐνίας συμβέβηκε λέγεσθαι ὡσανεὶ πρός
τι· τὴν βασιλικήν, τὴν εὐεργετικήν.
βασιλεὺς γάρ τινος, καὶ εὐεργέτης τινός.
ἑτέρου πάντως βασιλευομένου καὶ εὐερ-
γετουμένου. Τούτων συγγενής ἐστι καὶ ἡ
ποιητικὴ δύναμις, ἡ καλουμένη θεός.

A διὰ γὰρ ταύτης τῆς δυνάμεως ἔθηκε τὰ πάντα ὁ γεννήσας καὶ τεχνιτεύσας πατήρ· ὥστε τὸ ἐγώ εἰμι θεὸς σὸς, ἴσον ἐστὶ τῷ ἐγώ εἰμι ποιητὴς καὶ δημιουργός. μεγίστη δὲ δωρεὰ τὸ, αὐτὸν λαχεῖν ἀρχιτέκτονα, οὗ καὶ σύμπας ὁ κόσμος ἔλαχε. φαύλου μὲν γὰρ ψυχὴν οὐ διέπλασεν· ἐχθρὸν γὰρ θεῷ κακία. τὴν δὲ μέσην, οὐ δι' ἑαυτοῦ μόνου, κατὰ τὸν ἱερώτατον Μωυσῆν· ἐπειδὴ κηροῦ τρόπον ἔμελλεν αὕτη δέξασθαι καλοῦ τε καὶ αἰσχροῦ διαφοράν. διὸ λέγεται· B ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν· ἵν' εἰ μὲν δέξηται φαῦλον τύπον, ἑτέρων φαίνηται δημιούργημα· εἰ δὲ καλὸν, τοῦ τῶν καλῶν καὶ ἀγαθῶν μόνου τεχνίτου. πάντως οὖν σπουδαῖος ἐκεῖνός ἐστιν, ᾧ φησιν· ἐγώ εἰμι θεὸς σὸς, ποιητοῦ μόνου λαχὼν ἄνευ συμπράξεως ἑτέρων. ἅμα μέντοι καὶ τὸ πολλαχοῦ κατασκευαζόμενον αὐτῷ δόγμα συνάγει, διδάσκων· C ὅτι μόνων ἀγαθῶν καὶ σοφῶν δημιουργός ἐστιν. ἔστι δὲ πᾶς ὁ θίασος τὴν ἐκ τοῦ ἀφθόνου κτῆσιν ἑαυτὸν ἑκὼν ἀφήρηται· ἀλλὰ καὶ τῶν σαρκὶ φίλων ὠλιγώρηκεν. εὐεκτοῦσι μὲν γὰρ καὶ σφριγῶντες ἀθληταὶ, τὸ δοῦλον ἐπιτετειχικότες ψυχῇ τὸ σῶμα· ὠχροὶ δὲ καὶ διερρυηκότες καὶ κατεσκελετευμένοι τρόπον τινὰ, οἱ ἀπὸ παιδείας ταῖς ψυχικαῖς δυνάμεσι, καὶ τὰς σωματικὰς ἰσχῦς προσεκκεκληρωκότες, καὶ εἰ D δεῖ τἀληθὲς εἰπεῖν, εἰς ἓν εἶδος τὸ τῆς ψυχῆς ἀναλυθέντες, καὶ ἀσώματοι διανοίᾳ γεγονότες. φθείρεται οὖν εἰκότως τὸ γεῶδες καὶ κατακλύζεται, ὅταν ὅλος δι' ὅλων ὁ νοῦς εὐαρεστεῖν προέληται θεῷ. σπάνιον δὲ καὶ τὸ γένος, καὶ μόλις εὑρισκόμενον· πλὴν οὐκ ἀδύνατον γενέσθαι. δηλοῖ δὲ τὸ χρησθὲν ἐπὶ τοῦ Ἐνὼχ λόγιον τόδε· εὐηρέστησε δὲ Ἐνὼχ τῷ θεῷ, καὶ οὐχ ηὑρίσκετο. ποῦ γὰρ ἀναζητούμενος τις εὕρῃ τἀγαθὸν τοῦτο, ποῖα πελά- E γη διαπλεύσας, τίνας νήσους, τίνας ἠπείρους ἐλθὼν, παρὰ βαρβάροις ἢ παρ' Ἕλλησιν; ἢ οὐχὶ καὶ μέχρι νῦν τῶν ἐν φιλοσοφίᾳ τετελεσμένων εἰσί τινες, οἳ λέγουσιν ἀνύπαρκτον εἶναι σοφίαν, ἐπειδὴ καὶ τὸν σοφόν; μηδένα γὰρ ἀπ' ἀρχῆς ἀνθρώπων γενέσεως ἄχρι τοῦ παρόντος βίου, κατὰ τὸ παντελὲς ἀνυ-

Hac enim vi constituit omnia pater qui genuit & fabricatus est. Ita vt istud, *Ego sum Deus tuus*, respondeat his verbis: Ego sum effector & opifex. Maximum porrò donum est ipsum nancisci Architectum, quem vniuersus orbis nactus est. Improbi enim animum non effinxit: vitiositas siquidem Deo inimica est. Medium verò animum non per se tantùm, vt ait sanctissimus Moses, quoniam ipse honesti turpisque discrimen, ceræ instar, accepturus erat: Idcirco dicitur, *Faciamus hominem ad imaginem nostram*: vt, siquidem admitteret prauam effigiem, aliorum videretur opificium: sin autem pulchram, eius esse constaret, qui pulchrorum ac bonorum tantùm est artifex. quare studiosus omninò est is, cui dicit. *Ego sum Deus tuus*, quippe qui effectorem Deum solum sortitus est, absque aliorum ope ac ministerio. Præterea verò Decretum à se plerisque in locis stabilitum constituit, dum docet Deum eorum solùm qui boni & sapientes existunt, opificem esse. Hic autem sacer omnis cœtus seipsum possessione fraudauit, quæ ex copia acquiritur: quinetiam ea quæ carni chara sunt contempsit & pro nihilo habuit. Nam habitiores, validiores, & bene colorati pugiles, corpore tanquam ministro, quasique vallo & munimine vtuntur: pallidi verò, tabidi, macilenti atque exangues quodammodo, qui disciplina præter animi facultates, corporeas etiam vires nacti sunt: &, si verum fatendum est, in vnam quasi speciem animi soluti, corporis expertes mente euaserunt. Iure nimirum labefactatur & submergitur quod terrenum est, cùm mens tota Deo placere vsquequaque statuit. Rarum sanè genus hominum, & quod vix reperitur: neque tamen eiusmodi est vt extare haud vnquam potuerit. Id verò declarat oraculum de Henocho redditum, his verbis, *Placuit Henochus Deo, eique gratus & acceptus fuit: & non reperiebatur*. Vbi enim quis bonum istud indagans inueniat? quæ maria tranans, quas penetrans insulas, quas terrarum oras adiens; quasnam apud gentes barbaras aut Græcas? Annon etiam hodie nonnulli clari & nobiles in philosophia viri extant, qui Sapientiam nusquam in rerum natura existere censent, eo quòd ne sapiens quidem ipse vsquam reperiatur: quippe cùm nemo à prima hominum origine ad hodiernam vsque vitam omni ex parte repre-

Gen. i.
Ibid. 17.
Gen. 5.

A henſionis expers fuerit exiſtimatus. Ex eo enim genere eſſe quod fieri non pôteſt, vt mortalis corporis vinculis alligatus, vſquequaque beatus euadat. Quæ quidem num rectè dicantur, ſuo loco & tempore videbimus. num verò oraculo aſſentientes aſſeremus, Sapientiam quidem in rerum natura exiſtere, & Sapientem quoque eum eſſe qui illius amore capiatur: Qui tamen his verè ſit, latet nos qui praui ſumus. Bonum ſiquidem malo congredi non vult; ideóque dicitur, *Non inueniebantur mores Deo placentes & accepti.* B Quod hi videlicet extare poſſint, ſed celentur, & concurſum hominum atque conuerſationem noſtram refugiant. Proinde tranſlatus eſſe affirmatur; hoc eſt ex hoc loco migrauiſſe, & quaſi in coloniam miſſum deductúmque eſſe, immortalem nimirum vitam cum hac mortali commutaſſe. Iſti ergo diuino quodam furore correpti, aſperiores agreſtioréſque ſunt effecti. C Alij vero mitiorem ac leniorem amplexati ſunt ſapientiam: atque ab his quidem certè Pietas eximiè colitur, nec humana tamen deſpiciuntur. Huic rei fidem faciunt oracula, in quibus dicitur Abrahamo ex Dei perſona, Gen. 17. *Gratus & placens ſis coram me:* hoc eſt non mihi tantùm, verumetiam operibus meis, apud me iudicem, quaſi cenſorem & inſpectorem. Atenim dum parentes colis, aut pauperum miſereris, aut de amicis bene mereris, aut pugnas pro patria, D aut cauſarum quæ ad omnes homines communiter ſpectant, curam ſuſcipis, places dubio procul ijs qui benignitate tua fruuntur; atque adeò perplaces coram Deo, oculis enim nunquam ſopitis cernit omnia; & virtuti congruentia, gratia ſingulari ad ſe vocat, eáque admittit. Enimverò dum precatur vir pius hoc ipſum declarat: Gen. 48. *Deus*, inquit, *cui placuerunt Patres mei:* additque (*coram ipſo:*) hoc enim vtrumque ſuppediat: illud verò alterum tantum. E Sic etiam Moſes in exhortationibus ſuis admonet, cùm ait; Deut. 12. *Facies quod gratum & acceptum ſit in conſpectu Domini Dei tui:* hoc eſt, Ea præſta quæ mereantur conſpici à Deo, & quæ cùm viderit, approbet. Iſtæc autem in ſimilibus locum habere ſolent. Hinc exorſus, Exod. 26. tentorium duabus extremitatibus contexuit; medio vtriſque incerto integumento, vt exteriora ab interioribus diſtingueret. Itémque ſacram legum conſeruatricem Arcam auro intus & ex-

παντελῶς νομισθῆναι. καὶ γὰρ ἀδύνατόν ἐστι, θνητῷ σώματι ἐνδεδεμένον, εἰσάπαν εὐδαιμονῆσαι. ταῦτα δ' εἰ μὲν ὀρθῶς λέγεται, σκεψόμεθα ἐν καιρῷ. νυνὶ δ' ἀκολουθήσαντες τῷ λογίῳ, φήσομεν· ὅτι ἔστι μὲν ὑπαρκτὸν πρᾶγμα, σοφία· ἔστι δὲ καὶ ὁ ἐραστὴς αὐτῆς, σοφός. ὑπάρχων δ' ὅμως, ἡμᾶς τοὺς φαύλους διαλέληθεν. ἀγαθὸν γὰρ, οὐ θέλει κακῷ συνέρχεσθαι. διὰ τοῦτο λέγεται, οὐχ εὑρίσκετο ὁ εὐαρεστήσας τρόπος τῷ θεῷ. ὡς ἂν δήπου ὑπαρκτὸς μὲν ὤν, ἀποκρυπτόμενος δὲ, καὶ τὴν εἰς ταὐτὸ σύνοδον ἡμῶν ἀποδιδράσκων ἐπεὶ καὶ μετατεθῆναι λέγεται. ὅ δ' ἐστι, μετανάστηναι καὶ μετοικίαν στείλασθαι τὴν ἀπὸ θνητοῦ βίου πρὸς τὸν ἀθάνατον. οὗτοι μὲν δὴ τὴν ἔνθεον μανίαν μανέντες, ἐξηγριώθησαν. ἕτεροι δ' εἰσὶν οἱ τῆς πρᾳοτέρας καὶ ἡμέρου σοφίας ἑταῖροι· τούτοις καὶ εὐσέβεια διαφερόντως ἀσκεῖται, καὶ τὰ ἀνθρώπεια οὐχ ὑπερορᾶται. μάρτυρες δὲ οἱ χρησμοὶ, ἐν οἷς λέγεται τῷ Ἀβραὰμ ἐκ προσώπου τοῦ θεοῦ, εὐαρέστησον ἐνώπιον ἐμοῦ. τοῦτο δ' ἐστι, μὴ μόνῳ ἐμοὶ, ἀλλὰ καὶ τοῖς ἐμοῖς ἔργοις, παρ' ἐμοὶ κριτῇ, ὡς ἐφόρῳ καὶ ἐπισκόπῳ. τιμῶν γὰρ γονεῖς, ἢ πένητας ἐλεῶν, ἢ φίλους εὐεργετῶν, ἢ πατρίδος ὑπερασπίζων, ἢ τῶν κοινῶν πρὸς ἅπαντας ἀνθρώπους δικαίων ἐπιμελούμενος· εὐαρεστεῖς μὲν πάντως τοῖς χρωμένοις· θεοῦ δ' ἐνώπιον εὐαρεστεῖς. ἀκοιμήτῳ γὰρ ὀφθαλμῷ βλέπει πάντα· καὶ τὰ σπουδαῖα χάριτι ἐξαιρέτῳ πρὸς ἑαυτὸν καλεῖ καὶ ἀποδέχεται. τοιγάρτοι καὶ ὁ ἀσκητὴς εὐχόμενος, τοῦτον ἀποδηλοῖ φάσκων· ὁ θεὸς, ᾧ εὐηρέστησαν οἱ πατέρες μου· καὶ προσέθηκεν· ἐνώπιον αὐτοῦ χάριν τοῦ γνῶναι τὴν πραγματικὴν διαφορὰν τοῦ θεῷ εὐαρεστεῖν, πρὸς τὸ ἐνώπιον αὐτοῦ. τὸ μὲν γὰρ, ἀμφότερα περιέχει· τὸ δὲ θάτερον μόνον. οὕτω καὶ Μωσῆς ἐν τοῖς προτρεπτικοῖς παρεγγυᾷ, λέγων· τὸ εὐάρεστον ποιήσεις ἐνώπιον κυρίου τοῦ θεοῦ σου. (τοῦτ' ἐστι, τοιαῦτα πρᾶττε, ἃ γνωσθέντα) ἐπάξια τοῦ φανῆναι θεῷ, καὶ ἅπερ ἰδὼν, ἀποδέξεται). ταῦτα δὲ καὶ εἰς τοὺς ὁμοίους εἴωθε χωρεῖν. ἐντεῦθεν ὁρμηθεὶς, τήν τε σκηνὴν δυσὶ περιβόλοις ὁρίοις συνύφαινε μέσον ἀμφοῖν καταπέτασμα θείς· ὅπως διακρίνηται τῶν εἴσω τὰ ἔξω· καὶ τὴν νομοφυλακίδα ἱερὰν κιβωτὸν ἔσωθεν καὶ ἔξωθεν

A ἐγχειρίσωσι. καὶ τῷ μεγάλῳ ἱερεῖ διπλᾶς ἀνέδωκε στολάς, τὴν μὲν λινῆν, ἔνδον, τὴν δὲ ποικίλην, ἔξω μετὰ τοῦ ποδήρους. Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, σύμβολα ψυχῆς ἐστι, καὶ τοῖς εἴσω πρὸς θεὸν ἁγνευούσης, καὶ ἐν τοῖς ἔξω πρὸς τὸν αἰσθητὸν κόσμον καὶ βίον καθαρευούσης. εὐστόχως οὖν ἐκεῖνο πρὸς τὸν παλαιστὴν νικηφόρον ἐλέχθη, μέλλοντα τοῖς νικητηρίοις ἀναδεῖσθαι στεφάνοις. τὸ γὰρ ἐπ᾽ αὐτοῦ κήρυγμα, τοιοῦτόν ἐστιν· ἴσχυσας μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων * δυνατῶς. B τὸ γὰρ καθ᾽ ἑκατέραν τάξιν εὐδοκιμῆσαι, καὶ τὴν πρὸς τὸ ἀγένητον καὶ τὴν πρὸς τὸ γενόμενον οὐ μικρᾶς ἐστι διανοίας, ἀλλ᾽, εἰ δεῖ τἀληθὲς εἰπεῖν, κόσμου καὶ θεοῦ* μεθόριον ὄντως ὅλως τετυχηκέναι τὸν ἀστεῖον, ὀπαδὸν εἶναι θεοῦ.* μέλλει δὲ τῷ πάντων ἡγεμόνι καὶ πατρί, τοῦ γενομένου. τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως ἱκανὸς ἦν αὐτὸς ἑαυτῷ; C καὶ φίλος μετὰ τὴν κόσμου γένεσιν, ὁ αὐτὸς ἔμεινεν, οὐ μεταβαλών. διὰ τί γοῦν ἐποίει τὰ μὴ ὄντα; ὅτι ἀγαθὸς καὶ φιλόδωρος ἦν. Εἶτ᾽ οὐκ ἐφεψόμεθα οἱ δοῦλοι τῷ δεσπότῃ; θαυμάζοντες μὲν τὸν αἴτιον ὑπερφυῶς, τῆς δὲ καθ᾽ αὑτοὺς φύσεως μὴ ὑπεροριῶντες; Εἰπὼν δὲ εὐαρέστει ἐνώπιον ἐμοῦ· προσεπιλέγει· καὶ γίνου ἄμεμπτος. ἀκολουθίᾳ καὶ εἱρμῷ χρώμενος. μάλιστα μὲν οὖν ἐγχείρει D τοῖς καλοῖς· ἵνα εὐαρεστῇς. Εἰ δὲ μή, τῶν γε ἁμαρτημάτων ἀπέχου, ἵνα μὴ τυγχάνῃς μέμψεως. ὁ μὲν γὰρ κατορθῶν, ἐπαινετός· ὁ δὲ μὴ ἀδικῶν, οὐ ψεκτός. καὶ τὸ μὲν πρεσβευτικὸν ἆθλον κατορθοῦσι πρόκειται, τὸ εὐάρεστον· τὸ δεύτερον δέ, μὴ ἁμαρτάνουσι, τὸ ἄμεμπτον. τάχα δὲ καὶ γενέσει τῇ θνητῇ τὸ μὴ διαμαρτάνειν, ἴσον καὶ τὸ αὐτὸ E γράφεται τῷ κατορθοῦντι. τίς γάρ, ὡς ὁ Ἰὼβ φησι, καθαρὸς ἀπὸ ῥύπου· κἂν μία ἡμέρα ἐστὶν ἡ ζωή; ἄπειρα μὲν ἐστι τὰ καταρρυπαίνοντα τὴν ψυχήν, ἅπερ ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς, οὐκ ἔνεστιν. ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ συγγενεῖς κῆρες· ἃς λωφῆσαι μὲν εἰκός, ἀναιρεθῆναι δὲ εἰσάπαν, ἀδύνατον.

δυνατός.

μεθόριον οὔσας. μόνου

tra decorauit; magnóque Pontifici duas tradidit tunicas; vnam scilicet intimam ex lino; alteram extimam, variè seu pictam cum toga talari. Etenim hæc, aliáque eiusmodi, notæ sunt animi qui in parte interiori Deo se purum castúmque exhibet; exterísque in rebus quæ ad Mundum adspectabilem vitámque pertinent, integritatem ac puritatem colit. Opportunè igitur dictum est illud ad Palæstritam victorem, Triumphalium coronarum insignia mox gestaturum: Præconium enim de virtute ipsius, huiusmodi est, *Vim ac potentiam cum Deo & cum hominibus obtinuisti.* Etenim apud vtrumque ordinem celebrem & clarum esse tam apud Deum, qui ortus expers est, quàm apud hominum genus, quod ortum habet, non exiguæ mentis est, sed eius potiùs, si verum dicendum est, quæ inter Mundum & Deum media sit. Atque omnino congruit vrbanum & ciuilem, Dei comitem esse, siquidem sanè Vniuersitatis Rectori & Parenti cura est eius qui natus & conditus est. Nam quis ignorat Deum vel ante Mundi ortum, sibi ipsi sufficientem vim habuisse? Iam verò amicus post Mundi molitionem idem permansit, non immutatus. Cur igitur quæ non extabant faciebat? quia bonitate nimirum & benignitate præstabat. Deinde nos serui Domini vestigia non insequemur, autorem quidem summa admiratione prosequentes; nostram verò ipsorum naturam non prorsus despicientes? Postea, cùm dixisset, *Vide vt placeas, & gratus in conspectum meum prodeas;* addit etiam, *Esto irreprehensus & criminis expers*: seriem & consequutionem rerum adhibens. Aggredere ergo magis ac magis præclara, vt complaceas: sin minus, saltem à peccatis abstine, ne incurras in reprehensionem. qui enim rectè agit, laude dignus est, & qui neminem lædit, non est vituperandus. Et augustum certè præmium rectè se gerentibus proponitur, gratia apud Deum: Secundum verò præsto est non delinquentibus reprehensionis fuga. quinetiam fortasse in mortali genere non aberrare, idem planè est eandémque vim habet atque bene agere. *Et quis enim est*, vt ait Iobus, *ab omni labe purus? tametsi vnius tantùm diecule eius vita sit.* Innumera quippe sunt quæ animum inquinant, eáque abstergere atque eluere omnino non est facilè. Eninverò mortali conditione nato remanent necessariò cognatæ maculæ, quas quidem minui & leniri fas est, penitus verò deleri nefas;

Gen. 32

Luc. 13

Gen. 17.

Iob. 14.

A quis igitur quærat in vita sordida & contaminata iustum, aut prudentem, aut sobrium, aut omnino bonum perfectum? Contentus esto si non iniquum aut non imprudentem, aut non incontinentem, aut non prauum atque ignauum repereris. Præclarum enim quiddam est vitia fugere & auersari; sed virtutum integra possessio ab homine nobis simili acquiri non potest. Congruenter itaque rationi dixit, *Esto*
Gen. 17 *inculpatus*, magni ad vitæ felicitatem momenti esse reputans culpa & suspi-
B cione criminis carere. Ei porrò qui sic vitam instituerit suam, pollicetur se hæreditatem tabulis Testamenti relicturum, qualem Deum quidem dare deceat, Sapientem verò adire. sic enim loquitur; *Constituam Pactum meum in-*
Ibid. *ter te & me.* Pacta autem ad vtilitatem scribuntur eorum qui munere digni sunt: vt sit gratiæ signum quod medium statuit Deus inter se, qui largitur, & hominem qui fruitur. Eximia
C porrò beneficentia est, quòd nullum aliud medium interiectum sit inter Deum & Animum, præter Gratiam virginem. Verùm de vniuersa Pactorum ratione duos conscripsi commentarios, ideóque ne eadem iterem, libens hoc prætereo, cùm alioqui nolim propositæ quæstionis continuationem suspendere & interrumpere. Sub-
Ibid. ijcitur autem deinceps, *Incidit Abrahamus in faciem suam.* Numquid non
D ex diuinis promissis cogniturus erat seipsum, & mortalis generis inanitatem & procidere apud stantem vt opinionis eius specimen ederet, quam de se & de Deo habebat? Quòd nimirum Deus, in iisdem perstans, moueat vniuersum statum, non crurum opera (neque enim humana figura præditus est) sed immotum atque incommutabilem apparentem: Homo autem nunquam in eodem ferme collocatus,
E varias subinde mutationes admittat: ac sublapsus infelix (tota enim vita ipsius lapsus est) graui ruina concidat. Verùm qui inuitus id agit, indocilis est, qui verò sponte, docilis & agilis. idcirco in faciem suam procidisse dicitur, hoc est, in sensus, in rationem, in mentem: tantùm non clamans ac vociferans, Cecidit quidem sensus, quippe qui per se sentire non posset, nisi Prouidentia Salutis autoris excitaretur ad subiectorum corporum perceptionem.

δίκαιον οὖν, ἢ φρόνιμον ἢ σώφρονα, ἢ συνόλως ἀγαθὸν τέλειον ἐν πεφυρμένῳ βίῳ ζητεῖ τίς; στέργε κἂν μὴ ἄδικον ἢ μὴ ἄφρονα ἢ ἀκόλαστον ἢ μὴ δειλὸν, ἢ μὴ παντελῶς φαῦλον εὑρήσῃς. ἀγαπητοὶ γὰρ αἱ τῶν κακιῶν ἀποδράσεις· τὴν δ' ἀρετῆς ἡ παντελὴς κτῆσις, ἀδύνατος ἀνθρώπῳ τῶν καθ' ἡμᾶς. εὐλόγως οὖν ἔφη· γίνου ἄμεμπτος. μέγα πλεονέκτημα πρὸς εὐδαίμονα βίον ὑπολαβὼν εἶναι, τὸ ἀναμάρτητον καὶ ἀνυπαίτιον. τῷ δ' ἡρημένῳ ζῆν τὸν τρόπον τοῦτον, καὶ κλῆρον κατὰ διαθήκας ἀπολείψειν ὁμολογεῖ, τὸν ἁρμόζοντα δοῦναι μὲν θεῷ, λαβεῖν δὲ σοφῷ. φησὶ γάρ· θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σου. διαθῆκαι δὲ ἐπ' ὠφελείᾳ γράφονται τῶν δωρεᾶς ἀξίων. ὥστε σύμβολον εἶναι διαθήκην, χάριτος· ἣν μέσην ἔθηκεν ὁ θεὸς ἑαυτοῦ τε ὀρέγοντος, καὶ ἀνθρώπου λαμβάνοντος. ὑπερβολὴ δὲ εὐεργεσίας τοῦτ' ἐστι, μὴ εἶναι θεοῦ καὶ ψυχῆς μέσον, ὅτι μὴ τὴν παρθένον χάριτα. τὸν δὲ περὶ διαθηκῶν σύμπαντα λόγον, ἐν δυσὶν ἀναγέγραφα πραγματείαις· καὶ ὑπὲρ τοῦ μὴ παλινῳδεῖν, ἑκὼν ὑπερβαίνω· καὶ ἅμα μὴ βουλόμενος ἀπαρτᾶν τὸ συμφυὲς τῆς πραγματείας. λέγεται δὲ ἑξῆς· ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον· ἆρ' οὐκ ἔμελλεν ὑποσχέσεσι θείαις γνῶναί τε ἑαυτὸν καὶ τὴν τοῦ θνητοῦ γένους οὐδένειαν; καὶ πεσεῖν παρὰ τὸν ἑστῶτα εἰς ἔνδειξιν τῆς ὑπολήψεως, ἣν περὶ ἑαυτοῦ τε εἶχε καὶ θεοῦ; ὅτι ὁ μὲν, κατὰ τὰ αὐτὰ ἑστὼς, κινεῖ τὴν σύμπασαν στάσιν οὐ διὰ τῶν σκελῶν (οὐ γὰρ ἀνθρωπόμορφος) ἀλλὰ τὴν ἄτρεπτον καὶ ἀμετάβλητον ἐμφαίνουσαν. ὁ δ' οὐδέποτε ἐν ταὐτῷ βεβαίως ἱδρυμένος· ἄλλοτε ἀλλοίας δέχεται μεταβολὰς, καὶ ὑποσκελιζόμενος ὁ δυστυχὴς (ὄλισθος γὰρ σύμπας ὁ βίος ἐστὶν αὐτῷ) μέγα πτῶμα πίπτει. ἀλλ' ὁ μὲν ἄκων, ἀμαθής· ὁ δ' ἑκὼν, εὐάγωγος. οὗ χάριν καὶ ἐπὶ πρόσωπον πεσεῖν λέγεται· ἐπὶ τὰς αἰσθήσεις, ἐπὶ τὸν λόγον, ἐπὶ τὸν νοῦν, μόνον οὐ βοῶν καὶ κεκραγὼς, ὅτι πέπτωκε μὲν αἴσθησις ἐξ αὑτῆς ἀδυνατοῦσα αἰσθάνεσθαι, εἰ μὴ προμηθείᾳ τοῦ σωτῆρος ἀνεγερθείη πρὸς τὴν τῶν ὑποκειμένων σωμάτων ἀντίληψιν.

πέπτωκε δὲ καὶ ὁ λόγος, ἑρμηνεῦσαί τι τῶν ὄντων ἀδυνατῶν, εἰ μὴ διανοίξας τὸ στόμα καὶ τὴν γλῶτταν ἀρθρώσας, ὁ τὸ φωνητήριον ὄργανον κατεσκευακὼς καὶ ἁρμοσάμενος, πλήξει τοὺς φθόγγους μουσικῶς. πέπτωκε δὲ καὶ ὁ βασιλεὺς νοῦς, τὰς καταλήψεις ἀφῃρημένος· εἰ μὴ πάλιν αὐτὸν ἐγείρας ὁ ζωοπλάστης ἱδρύσατο, καὶ ἐνομματώσας ὀξυδερκέσι κόραις, ἀνάγει πρὸς τὴν τῶν ἀσωμάτων θέαν πραγμάτων. ἀγάμενος οὖν τὸν αὐτὸν ἀποδεδρακότα τρόπον, καὶ ἑκούσιον πτῶμα πίπτοντα διὰ τὴν ὁμολογίαν ἣν ὡμολόγησε περὶ τοῦ ὄντος, ὅτι πρὸς ἀλήθειαν ἑστὼς ἓν ἦν ἄρα, τῶν μετ' αὐτὸ τροπὰς καὶ μεταβολὰς παντοίας ἐνδεχομένων· ἐνηχεῖ τε καὶ λόγου μεταδίδωσι, φάσκων· κἀγώ, ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ· τοῦτο δὲ τοιοῦτον ὑποβάλλει νοῦν. εἴδη μὲν διαθήκης ἐστὶ πάμπολλα, χάριτας καὶ δωρεὰς τοῖς ἀξίοις ἀπονέμοντα. τὸ δ' ἀνωτάτω γένος διαθηκῶν, αὐτὸς ἐγώ εἰμι. δείξας γὰρ ἑαυτόν, ὡς ἐνῆν δειχθῆναι τὸν ἀδείκτον, διὰ τοῦ φάναι, κἀγώ· ἐπιλέγει· ἰδοὺ ἡ διαθήκη μου· ἡ πασῶν χαρίτων ἀρχή τε καὶ πηγή, αὐτὸς εἰμι ἐγώ. τοῖς μὲν γὰρ δι' ἑτέρων τὰς εὐεργεσίας εἴωθε προτείνειν ὁ θεός· γῆς, ὕδατος, ἀέρος, ἡλίου, σελήνης, οὐρανοῦ, δυνάμεων ἄλλων ἀσωμάτων· τοῖς δὲ δι' ἑαυτοῦ μόνου, κλῆρον ἀποφήνας τῶν λαμβανόντων ἑαυτόν· οὓς εὐθέως καὶ προσρήσεως ἑτέρας ἠξίωσε. λέγεται γὰρ ὅτι οὐ κληθήσεται τὸ ὄνομά σου Ἀβράμ· ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ. ἔνιοι μὲν οὖν τῶν φιλαπεχθημόνων, καὶ μώμους ἀεὶ τοῖς ἀμώμοις προσάπτειν ἐθελόντων, οὐ σώμασι μᾶλλον ἢ πράγμασι, καὶ πόλεμον ἀκήρυκτον πολεμούντων τοῖς ἱεροῖς· πάνθ' ὅσα μὴ τὸ εὐπρεπὲς ἐν λόγῳ διασῴζειν δοκεῖ, σύμβολα φύσεως τῆς ἀεὶ κρύπτεσθαι φιλούσης ὑπάρχοντα, μετ' ἀκριβοῦς ἐρεύνης φαυλίσαντες, ἐπὶ διαβολῇ προσφέρουσι. διαφερόντως δὲ τὰς τῶν ὀνομάτων μεταθέσεις· καὶ πρῴην ἤκουσα χλευάζοντος καὶ κατακερτομοῦντος ἀνδρὸς ἀθέου καὶ ἀσεβοῦς, ὃς ἐτόλμα λέγειν· μεγάλαι γε καὶ ὑπερβάλλουσαι δωρεαὶ ἅς φησι Μωσῆς τὸν ἡγεμόνα τῶν ὅλων ὀρέγειν· στοιχείου προσθήκῃ τοῦ ἑνὸς ἄλφα,

A Cecidit etiam ratio, cùm nequeat quicquam eorum quæ sunt explicare, nisi is qui comparauit & construxit instrumentum vocale, aperuit os, & linguæ articulos effinxit, sonos concinnè ac suauiter percuteret. Itémque Regina Mens concidit, perceptionibus suis orbata, nisi denuò excitatam Animantium fictor erigeret, & inditis illis oculis, aciéque pupillarum acutissima, adduceret eam ad rerum corporis expertium contemplationem. Miratus itaque B eum qui hoc modo euaserat, & spontaneo casu lapsus erat; ob confessionem quam de eo quod est enunciarat, vnum scilicet esse re vera stans, cùm cætera post ipsum omnia conuersiones ac mutationes admittant; orationis & institutionis suæ participem facit, inculcans eius auribus, *Et ego ecce pactum meum tecum.* Quorum verborum mens est hæc, Formæ quidem pactorum sunt plurimæ, quæ gratiam & munera dignis conferunt: Verùm C summum ac præstantissimum Pacti genus ipse ego sum. Nam cùm indicasset se (quantum fas est eum ostendi qui demonstrari nequit) tum cùm diceret, *Ego sum*, subijcit, *Ecce Testamentum meum.* Omnium gratiarum principium & fons ipse ego sum. Etenim Deus nonnullis beneficia per alios proponere solet, per Terram, aquam, aërem, Solem, Lunam, Cœlum, itémque per vires & facultates corporis expertes. quibusdam verò per semetipsum, D dum sese hereditatem accipientium declarat, quos statim alia dignatus est appellatione. Dicitur enim, *Non vltrà vocabitur nomen tuum Abram, sed erit nomen tuum Abraham.* Gen. 17. Sunt vero quidam rixarum & odiorum amantes, quíque irridere ac reprehendere semper cupidè student, quæ reprehensione carent, non magis in corporibus, quàm in rebus: & bellum irreconciliabile sacris indicunt: dum plæraque omnia quæ non videntur decorum & ornamentum habere & conseruare in oratione, E (quoniam notæ sunt naturæ quæ latere semper vult) detrectantes & eleuantes, cum accurata indagine, traducunt: ac potissimum Nominum mutationes. Atque haud ita pridem audiui impium & irreligiosum quendam virum, qui cauillando, & conuiciose deblatterando, auderet dicere: Magna vero ampla, & egregia sunt munera, quæ, Moses asserit Vniuersitatis Rectorem

præbere : huic vnius elementi (A) augmento & redundantia : Alteri rursus adiecta & geminata [R] litera, mirum quantum visus sit contulisse beneficium. siquidem Abrahami coniugem Saram, nuncupauit Sarram, bis R. vsurpans. hæc & eiusmodi alia contexens continenter, & amarè simul iocans, enarrabat. Atque is certè dignas vesaniæ suæ pœnas non multo post luit. quandoquidem leui de causa ad restim redactus est, ne scelestus & impurus pura morte conficeretur. Ergo iure nos, ne quispiam alius eiusdem criminis reus fiat, suspiciones & notiones prauas excinderemus, de natura commentantes, eáque demonstrantes quæ dicuntur hoc modo, omni studio atque attentione digna. Non literas mutas, aut vocales, aut absolutè verba & nomina largitur Deus. cùm produxisset stirpes atque animantes, eas ad hominem (tanquam ad ducem & rectorem, qui ab alijs ob scientiam seiunctus erat) vocauit, vt singulis propria daret nomina. *Omne enim*, inquit, *quod vocauit Adam, ipsum est nomen eius.* Ergò cùm integras nominum impositiones Deus vsurpare dignatus non sit eo negotio commisso viro sapientis generis humani Antistiti : An æquum esse, suspicari, ipsum particulas nominum, aut syllabas, aut literulas, non vocales tantùm, sed & mutas adiunxisse & adnexuisse ? id certè factum dici non potest, muneris præsertim & singularis alicuius beneficij prætextu. enimverò istiusmodi notæ sunt facultatum, paucæ magnarum, sensibiles intelligibilium, perspicuæ ignotarum. Porrò facultates in sententijs præstantissimis, in veris & castis opinionibus, in animis melioribus expenduntur. Cuius rei argumentum & indicium accipere perfacile est, si initium duxerimus ab hoc cuius modò nomen est immutatum. Atenim Abram exponitur, pater sublimis. Abraham autem, Pater electus soni. Qua verò in re hæc discrepent à se inuicem, clariùs tum cognoscemus, si priùs vtriusque interpretationis vim & notionem perceperimus. Quocirca Sublimem allegorico moralique sensu interpretantes, eum asserimus esse, qui se ipsum à terra in altum extollit, eáque obseruat quæ in summa cæli regione sunt, in eorúmque contemplatione ac disputatione occupatur, tum scrutatur quę sit magnitudo Solis,

A στοιχείου προσθήκῃ, καὶ πάλιν ἑτέρου προσθεὶς τὸ ῥῶ, θαυμαστὴν ἡλίκην ἔδοξεν εὐεργεσίαν προσῆφθαι. τὴν δὲ Ἀβραὰμ γυναῖκα Σάραν, Σάρραν ὀνόμασε, δὶς τὸ ῥῶ παραλαβών· καὶ ὅσα τὰ ὁμοιότροπα συνείρων ἀπνευστὶ καὶ ἐπιτωθάζων ἅμα διεξῄει. τῆς μὲν φρενοβλαβείας οὐκ εἰς μακρὰν ἔδωκε τὴν ἁρμόζουσαν δίκην· ἀπὸ γὰρ μικρᾶς καὶ τῆς τυχούσης προφάσεως, εἰς ἀγχόνην ᾖξεν, ἵν᾽ ὁ μιαρὸς καὶ δυσκάθαρτος
B μηδὲ καθαρῷ θανάτῳ τελευτήσῃ. δικαίως δ᾽ ἂν ἡμεῖς ὑπὲρ τοῦ μὴ καὶ ἕτερον τοῖς αὐτοῖς ἁλῶναι, τὰς ὑπονοίας ἐκκόψαιμεν, φυσιολογοῦντες καὶ ἀποδεικνύντες τὰ λεγόμενα ταῦτα, τὰ πάσης ἐπάξια σπουδῆς. οὐ γράμματα ἄφωνα ἢ φωνήεντα, ἢ συνόλως ῥήματα καὶ ὀνόματα χαρίζεται ὁ θεός· ὁπότε καὶ γεννήσας φυτά τε αὖ καὶ ζῶα, ἐκάλεσεν ὡς πρὸς ἡγεμόνα τὸν ἄνθρωπον,
C ὃς ἐκ πάντων δι᾽ ἐπιστήμην ἐκρίθη, ἵν᾽ ἑκάστοις τὰ οἰκεῖα ὀνόματα θῆται. πάντα γάρ, φησίν, ὃ ἂν ἐκάλεσεν ὁ Ἀδάμ, τοῦτο ὄνομα τοῦ κληθέντος ἦν. εἶθ᾽ ὅπου οὐδὲ τὰς ὁλοκλήρους θέσεις τῶν ὀνομάτων ὁ θεὸς ἠξίωσεν ἐπιφημίζειν, ἐπιτρέψας ἀνδρὶ σοφῷ τῷ γένους ἀνθρώπων ἀρχηγέτῃ, τὸ ἔργον ὑπονοεῖν ἄξιον, ὅτι μέρη τῶν ὀνομάτων ἢ συλλαβὰς ἢ γράμματα, οὐ φωνήεντα μόνον, ἀλλὰ καὶ ἄφωνα, αὐτὸς προστίθησι καὶ με-
D θαρμόζει. καὶ ταῦτ᾽ ἐπὶ προφάσει δωρεᾶς καὶ ὑπερβαλλούσης εὐεργεσίας, οὐκ ἔστιν εἰπεῖν. ἀλλὰ τὰ τοιαῦτα, χαρακτῆρες δυνάμεών εἰσι, βραχεῖς μεγάλων, αἰσθητοὶ νοητῶν, φανεροὶ ἀδήλων· αἱ δὲ δυνάμεις, ἐν δόγμασιν ἀρίστοις, ἐν ἀψευδέσι καὶ καθαραῖς ὑπολήψεσιν, ἐν ψυχαῖς βελτίοσιν ἐξετάζονται. τὸν δὲ ἔλεγχον λαμβάνειν εὐμαρές· τὴν ἀρχὴν ποιησαμένοις ἀπὸ
E τοῦ νυνὶ μετονομασθέντος, Ἀβρὰμ γὰρ ἑρμηνεύεται μετέωρος πατήρ· Ἀβραὰμ δὲ πατὴρ ἐκλεκτὸς ἠχοῦς. ᾗ δὲ διαφέρει ταῦτ᾽ ἀλλήλων, εἰσόμεθα σαφέστερον, ἐπειδὰν τὸ δηλούμενον ἀφ᾽ ἑκατέρου, πρότερον ἀναγνῶμεν. μετέωρον τοίνυν ἀλληγοροῦντες, φαμὲν, τὸν ἀπὸ γῆς ἑαυτὸν εἰς ὕψος αἴροντα καὶ ἐπισκοποῦντα τὰ μετάρσια, μετεωροπόλον τε καὶ μετεωρολογικὸν, ἐρευνῶντα τί ἡλίου μέγεθος,

A τίνες αὐτοῦ τροπαί, πῶς τὰς ἐτησίους ὥρας διανέμει προσιὼν καὶ ἀναχωρῶν πάλιν, ἰσοταχέσι ταῖς ἀνακυκλήσεσι· καὶ σελήνης περὶ φωτισμῶν, σχηματισμῶν, μειώσεως, αὐξήσεως, καὶ τῆς τῶν ἄλλων ἀστέρων κινήσεως, ἀπλανῶν τε καὶ πεπλανημένων. ἡ γὰρ τούτων ἐξέτασις, οὐκ ἀφυοῦς, καὶ ἀγόνου ψυχῆς ἐστι, ἀλλ' ἐν τοῖς μάλιστα εὐφυοῦς, καὶ δυναμένης ὁλόκληρα καὶ τέλεια γεννᾶν ἔγγονα. διὸ καὶ τὸν μετεωρολογικὸν πατέρα εἶπεν ὅτι οὐκ ἄγονος σοφίας. B τὰ μὲν οὖν τοῦ Ἀβρὰμ σύμβολα οὕτως ἀκριβοῦνται. τὰ δὲ τοῦ Ἀβραάμ, ὡς ὑποδείξομεν. ἔστι δὲ τρία· πατήρ, καὶ ἐκλεκτός, καὶ ἠχοῦς. φαμὲν δὲ τὴν μὲν ἠχώ, τὸν προφορικὸν εἶναι λόγον. τοῦ γὰρ ζῴου ἠχεῖον ὄργανόν ἐστι τὸ φωνητήριον· τούτου δὲ πατέρα τὸν νοῦν. ἀπὸ γὰρ διανοίας, ὥσπερ ἀπὸ πηγῆς, φέρεται τὸ τοῦ λόγου νᾶμα. ἐκλεκτὸν δέ, τὸν τοῦ σοφοῦ· ὅτι γὰρ ἄριστον, ἐν τούτῳ. C κατὰ μὲν οὖν τοὺς προτέρους χαρακτῆρας, ὁ φιλομαθὴς καὶ μετεωρολέσχης ἐσκιογραφεῖτο· κατὰ δὲ τοὺς δευτέρους ὑποτυπωθέντας, ὁ φιλόσοφος, μᾶλλον δ' ὁ σοφὸς ἐδηλοῦτο. μηκέτ' οὖν ὀνομάτων ἀλλαγὴν ὑπολάβῃς χαρίζεσθαι τὸ θεῖον· ἀλλὰ διὰ συμβόλων, ἠθῶν ἐπανόρθωσιν. τὸν γὰρ πραγματευόμενον τὰ περὶ φύσεως οὐρανοῦ πρότερον, ὃν μαθηματικὸν ἔνιοι προσαγορεύουσιν, ἐπὶ τὴν μετουσίαν καλέσας ἀρε- D τῆς, σοφὸν καὶ ἀπέδειξε καὶ ὠνόμασεν· ἐπιφημίσας τὸν μεταχαραχθέντα τύπον· ὡς μὲν Ἑβραῖοι εἴποιεν ἄν, Ἀβραάμ, ὡς δ' ἂν Ἕλληνες, πατέρα ἐκλεκτὸν ἠχοῦς. τίνος γάρ, φησιν, ἕνεκα χορείας καὶ περιόδους ἀστέρων ἐρευνᾷς, καὶ τοσοῦτον ἀπὸ γῆς ἄνω πρὸς αἰθέρα πεπήδηκας; ἆρ' ἵνα αὐτὸ μόνον τὰ ἐκεῖ περιεργάσῃ; καὶ τίς ἐκ τῆς τοσαύτης περιεργίας γένοιτ' ἂν ὠφέλεια; τίς καθαίρεσις ἡδονῆς; τίς ἐπιθυμίας ἀνα- E τροπή; τίς λύπης ἢ φόβου κατάλυσις; ποία παθῶν, ἃ κλονεῖ καὶ συγχεῖ τὴν ψυχήν, ἐκτομή; καθάπερ γὰρ δένδρων οὐδὲν ὄφελος, εἰ μὴ καρπῶν οἰστικὰ γένοιτο· τὸν αὐτὸν τρόπον οὐδὲν φυσιολογίας, εἰ μὴ μέλλοι κτῆσιν ἀρετῆς ἐνεγκεῖν. ὁ γὰρ καρπὸς αὐτῆς, αὐτός ἐστι. διὸ καὶ τῶν πάλαι τινὲς ἀγρῷ τὸν κατὰ φιλοσοφίαν ἀπεικάσαντες λόγον,

quænam eius conuersiones; quomodo anni tempestates suo ad nos accessu & recessu efficiat, æquali velocitate & reuolutione: itémque de Lunæ illustrationibus, formæ varietatibus, senio, augmento, déque aliarum stellarum cursu & motu anquirit, tam earum quæ fixæ sunt, quàm errantium. Talium enim rerum inquisitio & inuestigatio, non rudis ac degeneris animi est, sed maximè ingenui ac docilis, & qui integros ac perfectos fœtus possit edere Idcirco Meteororum peritum Patrem dixit, quia non infœcundus est Sapientiæ. Sic igitur notæ nominis Abrami accurate expenduntur. Abrahami verò, eo quo mox subindicabimus modo: Hoc autem tria continebantur, Pater, electus, vocis. Quare dicimus vocem esse ore prolatam orationem, siquidem Animantis resonans Instrumentum est vocale. Atque huius parentem appellamus mentem: Nam à mente tanquam à fonte flumen orationis profunditur. Porrò electam orationem sapienti tribuimus: Quod enim præstantissimum est, in hoc inest. Ergo prioribus quidem notis discendi studiosus, & de Meteoris disserens, adumbratur: his verò posterioribus, Philosophus vel potius Sapiens declarabatur. Noli itaque suspicari Numen diuinum mutationem nominum impertiri, sed morum potiùs emendationem, per signa. Enimverò eum qui priùs de natura Cœli exquirebat, (quem Mathematicum vocant nonnulli) ad virtutis participationem accersiuit, ac proinde sapientem reddidit & nuncupauit: mores reformatos hoc vocabulo exprimens, quod Hebraïca quidem lingua, Abraham, sonat, Græca verò atque Latina interpretatione, Patrem electum vocis, innuit. Nam qua de causa, inquit, choreas, orbes & ambitus stellarum perquirens, tantum te à terra sursum ad cœlum insiliendo extulisti? numquid vt sollicitè & curiosè quæ illic sunt tantummodo inspiceres? Ecquænam verò vtilitas ex eiusmodi curiositate exoriri poterat? Quæ voluptatis expurgatio? quæ cupiditatis cohibitio & coercitio? quæ doloris timorísve solutio? quæ affectionum, quibus animus perturbatur, excisio? Etenim veluti arborum vtilitas est nulla, nisi fructus producant; eodem planè modo Naturæ cognitionis vsus est nullus, nisi virtutis possessionem comparatura sit. Is enim est Physiologiæ fructus. Quocirca quidam è veteribus orationē & disputationem philosophicam agro similem esse voluerunt;

ac stirpibus quidem Naturalem partem A
compararunt: sentibus autem & sepibus,
eam quæ in differendo consistit: fructui
verò Moralem: murorum septum & cir-
cuitum ad fructum conseruandum con-
structum esse à possessoribus existiman-
tes, & stirpes à Natura fuisse productas
fructus procreandi gratia. Sic itaque pro-
nunciauerunt, & in Philosophia quoque,
Naturalem & Logicam commentationem
ad eam, qua mores componuntur, esse re-
ferendam ab eo qui possessionem vsúm-
que virtutis expetat. Atque hæc sunt quæ B
edocti sumus de eo qui verbis quidem
nomen permutauit: re ipsa verò tradu-
ctus est à Naturali philosophia ad Mora-
lem, & à contemplatione eorum quæ in
mundo sunt, ad autoris & effectoris scien-
tiam commigrauit, ex qua Pietatem, pos-
sessionum omnium præstantissimam, sibi
comparauit. Iam verò quæ ad coniugem
ipsius Sarram pertinent, nobis dicenda
sunt, quoniam ipsius quoque nomen Saræ
mutatum est in Sarram, adiectione vnius C
elementi, [R.] Huiusmodi ergo sunt
nomina: quæ verò obtigere, sunt expli-
canda. Exponitur quidem Sara, Princi-
patus meus. Sarra autem, Princeps seu
Domina. primum ergo, specialis virtu-
tis indicium est: secundum verò, gene-
ralis. quantum porrò genus à specie præ-
stantia differt: tantum posterius nomen
priore præstat. Etenim species exiguum
quid, fragile & caducum est. Genus
autem late patet, & immortale est. atqui
Deus pro pusillis & fragilibus, magna & D
immortalia vult impertiri, idque opus
Numini decorum est valde. Prudentia
quidem certè quæ in studioso inest, ip-
sius solius est principatus, atque haud
aberraret ea præditus si diceret, Princi-
patus meus est prudentia in me sita. Ve-
rùm generalis Prudentia quæ illam for-
mat & effingit, non amplius huius aut il-
lius, principatus, sed Imperium merum.
Quapropter illa quæ specialis est, simul
cum ea prædito perit, hæc verò quæ si- E
gilli instar illam effingit, omnis est ex-
pers mortalitatis, & æterna in omne æuum
permanebit. Sic etiam in artibus eæ quæ
speciales sunt, vna cum artificibus dissi-
pantur, cum Geometris, Grammaticis,
Musicis. Generales autem, interitus ex-
sortes consistunt. Rursus eadem proposi-
tione perspicue ostendit, omnem virtu-
tem Reginam, principem & ducem esse
negotiorum quæ in vita geruntur. Acci-
dit etiam vt Iacobi nomen mutaretur in
Israelem. nec abs re. cur ita? Iacob qui-
dem est qui impetit calcibus, supplanta-

φυτοῖς μὲν ἐξωμοίωσαν τὸ φυσικὸν μέρος· αἱμασιαῖς δὲ καὶ περιβόλοις, τὸ λογικόν· καρπῷ δὲ, τὸ ἠθικὸν· ἀπολαβόντες καὶ τὰ ἐν κύκλῳ τείχη, φυλακῆς ἕνεκα τοῦ καρποῦ, κατεσκευάσθαι πρὸς τῶν ἐχόντων· καὶ τὰ φυτὰ δεδημιουργῆσθαι, γενέσεως καρποῦ χάριν. οὕτως οὖν ἔφασαν· καὶ ἐν φιλοσοφίᾳ δεῖν τήν τε φυσικὴν καὶ λογικὴν πραγματείαν ἐπὶ τὴν ἠθικὴν ἀναφέρεσθαι, ᾗ βελτιοῦται τὸ ἦθος, κτήσεως ὁμοῦ καὶ χρήσεως ἀρετῆς ἐφιέμενον. τοιαῦτα ἐδιδάχθημεν περὶ τοῦ λόγῳ μὲν μετονομασθέντος, ἔργῳ δὲ μεταβαλόντος ἀπὸ φυσιολογίας πρὸς τὴν ἠθικὴν φιλοσοφίαν, καὶ μετοικισάντος ἀπὸ τῆς περὶ τὸν κόσμον θεωρίας πρὸς τὴν τοῦ πεποιηκότος ἐπιστήμην· ἐξ ἧς εὐσέβειαν κτημάτων τὸ κάλλιστον ἐκτήσατο. τὰ δὲ περὶ τῆς γυναικὸς αὐτοῦ Σάρας, νῦν ἐροῦμεν· καὶ γὰρ αὕτη μετονομάζεται εἰς Σάρραν, κατὰ τὴν τοῦ ἑνὸς στοιχείου πρόσθεσιν, τοῦ ῥῶ. τὰ μὲν οὖν ὀνόματα ταῦτα, τὰ δὲ τυγχάνοντα, μηνυτέον. ἑρμηνεύεται Σάρα μὲν, ἀρχή μου· Σάῤῥα δὲ, ἄρχουσα. τὸ μὲν οὖν πρότερον, εἰδικῆς σύμβολον ἀρετῆς ἐστι· τὸ δ᾽ ὕστερον, γενικῆς. ὅσῳ δὲ γένος εἴδους διαφέρει κατὰ τὸ ἔλαττον· τοσούτῳ τὸ δεύτερον ὄνομα τοῦ προτέρου. τὸ μὲν γὰρ εἶδος, καὶ βραχὺ καὶ φθαρτόν· τὸ δὲ γένος, πολύ τε αὖ καὶ ἄφθαρτον. βούλεται δὲ ὁ θεὸς ἀντὶ μικρῶν καὶ φθαρτῶν μεγάλα καὶ ἀθάνατα χαρίζεσθαι. καὶ ἐμπρεπὲς αὐτῷ τὸ ἔργον. ἡ μὲν ἐν τῷ σπουδαίῳ φρόνησις, αὐτοῦ μόνου ἐστὶν ἀρχή· καὶ οὐκ ἂν ἁμάρτοι ὁ ἔχων, εἰ λέγοι· ἀρχή μου ἐστὶν ἡ ἐν ἐμοὶ φρόνησις. ἡ δὲ ταύτην τυπώσασα, ἡ γενικὴ φρόνησις, οὐκ ἔτι τοῦδέ τινος ἐστὶν ἀρχή· ἀλλ᾽ αὐτὸ τοῦτο ἀρχή. τοιγαροῦν ἐκείνη μὲν ἡ ἐν εἴδει, τῷ ἔχοντι συμφθαρήσεται· ἡ δὲ σφραγῖδος τρόπον αὐτὴν τυπώσασα πάντως ἀπηλλαγμένη θνητοῦ, διατελέσει πρὸς αἰῶνα ἄφθαρτος. οὕτω καὶ τῶν τεχνῶν αἱ μὲν ἐν εἴδει, συναπόλλυνται τοῖς κεκτημένοις, γεωμέτραις, γραμματικοῖς, μουσικοῖς· αἱ δὲ γενικαὶ, μένουσιν ἀνώλεθροι. προσυπογράφει δὲ ἀναδιδάσκον ἐν ταὐτῷ, ὅτι καὶ πᾶσα ἀρετὴ βασιλίς ἐστι καὶ ἄρχουσα, καὶ ἡγεμονεύουσα τῶν κατὰ τὸν βίον πραγμάτων. ἀλλὰ καὶ τὸν Ἰακὼβ μετονομάζεσθαι συμβέβηκεν εἰς τὸν Ἰσραήλ· οὐκ ἀπὸ σκοποῦ.

A διὰ τί; ὁ μὲν Ἰακὼβ, πτερνιστής· ὁ δ' Ἰσραὴλ, ὁρῶν τὸν θεὸν καλεῖται. πτερνιστοῦ μὲν οὖν ἔργον ἀσκοῦντος ἀρετὴν, τὰς βάσεις τοῦ πάθους, αἷς ἐφίδρυται, καὶ εἴ τι ὀχυρὸν καὶ ἱδρυμένον ἐν αὐταῖς, κινεῖν καὶ σαλεύειν καὶ ἀνατρέπειν. ταῦτα δὲ οὐ δίχα ἀγωνίας ἀπονητὶ φιλεῖ γίνεσθαι· ἀλλ' ἐπειδάν τις περὶ φρονήσεως ἄθλους διαθλῶν, γυμνάζηταί τε τὰ τῆς ψυχῆς γυμνάσματα, καὶ πρὸς τοὺς ἀντιπάλους καὶ τραχηλίζοντας αὐτὴν λογισμοὺς, παλαίῃ. B τοῦ δὲ τὸν θεὸν ὁρῶντος, τὸ μὴ ἐκ τοῦ ἱεροῦ ἀγῶνος ἀστεφάνωτον ἐξελθεῖν· ἀλλὰ τὰ ἐπὶ τῇ νίκῃ βραβεῖα ἄρασθαι. τίς δ' ἂν εὐανθέστερος ἢ ἐπιτηδειότερος πλέκοιτο νικηφόρῳ ψυχῇ στέφανος, ἢ δι' οὗ τὸν ὄντα δυνήσεται θεωρεῖν ὀξυδερκῶς. καλὸν γὰρ ἀσκητικῇ ψυχῇ πρόκειται τὸ ἆθλον· ὀμματωθεῖσαι πρὸς τὴν τοῦ μόνου θέας ἀξίου τηλαυγῆ κατανόησιν. ἄξιον δὲ ἀπορῆσαι· C διὰ τί ὁ μὲν Ἀβραὰμ, ἀφ' οὗ μετωνομάσθη, τῆς αὐτῆς προσρήσεως ἀξιοῦται, μηκέτι καλούμενος ὀνόματι τῷ προτέρῳ· ὁ δὲ Ἰακὼβ προσρηθεὶς Ἰσραὴλ, οὐδὲν ἧττον αὖθις πάλιν Ἰακὼβ ἐπὶ πλεῖον ὀνομάζεται. λεκτέον οὖν, ὅτι καὶ ταῦτα χαρακτῆρές εἰσιν οἷς ἡ διδακτὴ τῆς ἀσκητικῆς ἀρετῆς διαφέρει. ὁ μὲν γὰρ διδασκαλίᾳ βελτιωθεὶς, εὐμοίρου λαχὼν φύσεως, ἣν περιποιεῖ τὸ ἄληστον αὐτῷ διὰ συνεργοῦ μνήμης, D μόνῃ χρῆται ὧν ἔμαθεν ἀπρὶξ ἐπειλημμένος καὶ βεβαίως περιεχόμενος· ὁ δ' ἀσκητὴς, ἐπειδὰν γυμνάσηται συντόνως, διαπνεῖ πάλιν καὶ ὑπανίεται, συλλεγόμενος καὶ ἀνακτώμενος τὴν ἐκ τοῦ πόνου τετρυμμένην δύναμιν, καθάπερ καὶ οἱ τὰ σώματα ἀλειφόμενοι. καὶ γὰρ οὗτοι περὶ τὴν ἄσκησιν καμόντες, ὡς μὴ κατὰ τὸ παντελὲς αὐτοῖς ἀπορραγεῖεν αἱ δυνάμεις, διὰ τὸ σφοδρὸν καὶ σύντονον τῆς ἀθλήσεως, ἔλαιον ἐπιχέουσιν. εἶθ' ὁ μὲν διδαχθεὶς E ἀθανάτῳ χρώμενος ὑποβολεῖ, τὴν ὠφέλειαν ἔνοικον καὶ ἀθάνατον ἴσχει μὴ τρεπόμενος· ὁ δὲ ἀσκητὴς καὶ τὸ ἑκούσιον ἔχων αὐτὸ μόνον, καὶ τοῦτο γυμνάζων καὶ συγκροτῶν, ἵνα τὸ οἰκεῖον πάθος τῷ γεννητῷ μεταβάλῃ, κἂν τελειωθῇ καμὼν, πρὸς τὸ ἀρχαῖον ἐπανίεισι γένος. τλητικώτερος μὲν γὰρ οὗτος, εὐτυχέστερος δ' ἐκεῖνος. ὁ μὲν γὰρ χρῆται διδασκάλῳ ἑτέρῳ·

A tor. Israel verò vocatur, Deum videns. quare supplantatoris opus est, qui virtutem colit, affectionis bases, quibus insidet, & si quicquam firmum ac stabile in ipsis est, mouere, concutere ac diruere. Istud porrò non sine contentione & labore consueuit fieri: sed tum demum cùm quis prudentiæ certamina aggressus, animi exercitationibus exercet se, & cum aduersis ratiocinationibus quæ in ipsam mentem irruunt luctatur. Verùm Deum videntis proprium est, è sacro certami- B ne non egredi, priusquàm retulerit coronam, sed ob adeptam victoriam præmia tollere. Quænam autem floridior aptiórve corona victori animo necti posset, quàm illa per quam ea quæ sunt, acute videre valeat? Præclarum igitur animo virtuti operam danti præmium proponitur, vt oculatus fiat ad perspicuam eius perceptionem quod solum contemplatione dignum est. Par est autem in quæstionem vocare, Cur Abrahamus quidem, ex quo tempore nomen permu- C tauit, hæc eadem appellatione semper honoretur, nec amplius priori nomine nuncupetur: Iacobus verò cognominatus Israel, nihilominus ipse rursus Iacobus deinceps plerisque in locis appelletur. Itaque dicendum est quod hæ sint notæ quibus virtus quæ doceri potest, differt ab ea quæ exercitatione comparatur. Nam qui doctrina melior factus est, felicem nactus naturam, quæ memoriæ adiuuantis beneficio, quod obliuione deleri nequit, sibi parat, eam solam ad vsum adhibet: quæ semel didicit mordicus te- D nens & firme apprehendens. Virtutis autem cultor assiduus, vbi vehementer se exercuerit, respirat ac paulatim remittit se, vt robur labore consumptum colligat & recuperet, eorum more qui corpora vnguentis illinunt: etenim hi exercitatione fessi, ne planè vires ipsos deficiant ob vehementem certaminis contentionem, oleo se perfundunt. Præterea qui edoctus est, immortali vsus monitore, commoditatem intus apud se manentem & immortalem retinet, nusquam mutatus. E Qui autem virtutis exercitio gaudet, & sua tantum sponte ac voluntate ad agendum impellitur, in eóque se exercet, studiúmque & operam suam collocat, vt proprium suum affectum cum generato commutet, tametsi multo labore perfectionem assequutus fuerit, ad pristinum & antiquũ genus se recipit. hic enim magis est laboris patiens, ille verò fortunatior existit. prior enim Doctoris alterius opera vtitur:

Gen. 17.

Gen. 32. 33.

alter ex seipso quærit & considerat, & indagat curiose, summóque studio Naturæ scrutatur arcana, indesinente atque assiduo labore suscepto & exantlato. Idcirco Deus immutabilis Abrahamo qui in eodem statu permansurus erat, nomen mutauit, vt quod stabile futurum erat ab eo qui firmus perstat, atque in ijsdem eodémque modo permanet, fixum tenaciter hæreret. Iacobo autem Angelus, Dei minister Sermo, aliud nomen indidit, vt in confesso sit & exploratum, nihil plane esse, ex ijs quæ sequuntur id quod reipsa est, immotæ firmæque stabilitatis causam, sed harmoniæ eius, quæ velut in Musico instrumento, intensiones ac remissiones sonorum continet, ad artificiosam concentus temperationem. Verùm cùm tres sint Generis Autores, primi quidem Abrahamus & Iacobus nomen mutarunt. medius verò Isaacus eandem semper obtinuit appellationem. Cur ita? Eò quòd virtus quæ doctrina & exercitatione comparatur, admittit ea quæ ad profectum & emendationem pertinent. nam is qui docetur, scientiam appetit eorum quæ ignorat. sed is qui vtitur exercitatione, coronas & præmia petit, quæ proponuntur animo laboris patienti & spectandi cupido. Iam verò, à semetipso edoctum & institutum genus, quasi natura potiùs quàm studio & industria constans, æquale, par & perfectum ab initio inductum est, atque omnibus suis numeris absolutum. Non idem Iosepho vsu venit, qui rebus corpori necessarijs præfectus fuit. Hic enim nomine mutato Psonthomphanech à gentis rege cognominatus est. Id autem quam rationem habeat, explicandum est. Ioseph exponitur Adiectio. Appendix enim rerum naturalium sunt ea quæ ad vestitum & cultum referuntur, aurum, argentum, possessiones, reditus, seruorum ministeria, ampla Gazæ & supellectilis, atque eiusmodi luxus, copia, & immensi atque innumeri rerum voluptatem adferentium apparatus: Quorum omnium suppeditatorem & curatorem Iosephum, recto nomine augmentum seu incrementum appellari contigit, quoniam præfectura tunc ornatus est, cùm res externæ foris aduenirent, & adiungerentur ijs quæ à natura sunt concessæ. Hoc ipsum verò testantur oracula quæ declarant Iosephum, conditis alimẽtis corporis regionis vniuersę Ægypti, annonæ triticeæ præfectũ fuisse. Talis sanè Iosephus è notis & insignibus denotatur. iam qualis nã sit Psonthomphanech videamus. Exponitur ergo nomen istud,

Gen. 17.

Gen. 32.

Gen. 41.

A ὁ δὲ ἐξ ἑαυτοῦ ζητεῖ τε καὶ σκέπτεται καὶ πολυπραγμονεῖ, μετὰ σπουδῆς ἐρευνῶν τὰ φύσεως ἀδιαστάτῳ χρώμενος καὶ συνεχεῖ πόνῳ. διὰ τοῦτο τὸν μὲν Ἀβραάμ, ἐπειδὴ μένειν ἔμελλεν ἐν ὁμοίῳ, μετωνόμασεν ὁ ἄτρεπτος θεός· ἵν' ὑπὸ τοῦ ἑστῶτος καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος, τὸ μέλλον στήσεσθαι παγίως ἱδρυθῇ. τὸν δὲ Ἰακώβ, ἄγγελος, ὑπηρέτης τοῦ θεοῦ λόγος· ἵν' ὁμολογηθῇ, μηδὲν εἶναι

B τῶν μετὰ τὸ ὄν, ἀκλινοῦς καὶ ἀρρεποῦς αἴτιον βεβαιότητος, ἀλλ' ἁρμονίας τῆς ὡς ἐν ὀργάνῳ μουσικῷ περιεχούσης ἐπιτάσεις καὶ ἀνέσεις φθόγγων πρὸς τὴν τοῦ μέλους ἔντεχνον κρᾶσιν. ἀλλὰ τριῶν ὄντων τοῦ γένους ἀρχηγετῶν. οἱ μὲν ἄκροι μετωνομάσθησαν Ἀβραάμ τε καὶ Ἰακώβ· ὁ δὲ μέσος Ἰσαάκ, τῆς αὐτῆς ἔλαχεν εἰς ἀεὶ προσρήσεως. διὰ τί; ὅτι αἱ μὲν δι-

C δακτὴ ἀρετὴ καὶ ἀσκητικὴ δέχονται τὰ πρὸς βελτίωσιν· ἐφίεται γὰρ δὴ ὁ μὲν διδασκόμενος, ἐπιστήμης ὧν ἀγνοεῖ· ὁ δὲ ἀσκήσει χρώμενος, στεφάνων καὶ τῶν προκειμένων ἄθλων, φιλοπόνῳ καὶ φιλοθεάμονι ψυχῇ· τὸ δὲ αὐτοδίδακτον καὶ αὐτομαθὲς γένος, ἅτε φύσει, μᾶλλον ἢ ἐπιτηδεύσει συνιστάμενον, ἐξ ἀρχῆς ἴσον καὶ τέλειον καὶ ἄρτιον ἐσώζετο, μηδενὸς ἐνδέοντος τῶν εἰς

D πλήρωσιν ἀριθμοῦ. ἀλλ' οὐχ ὁ τῶν τοῦ σώματος ἐπιτηδείων προστάτης Ἰωσήφ· ἀλλ' ἔτι γὰρ πυθόμεθα Ψονθομφανὴχ ὑπὸ τοῦ τῆς χώρας βασιλέως ἐπικληθείς. ὃν δὲ λόγον ἔχει καὶ ταῦτα, μηνυτέον. Ἰωσήφ, ἑρμηνεύεται πρόσθεμα· προσθήκη δ' ἐστὶ τῇ φύσει, τὰ θέσει χρυσός, ἄργυρος, κτήματα, πρόσοδοι, οἰκετῶν θεραπεῖαι, κειμηλίων καὶ ἐπίπλων καὶ τῆς ἄλλης περιουσίας

E ἄφθονοι ὗλαι, τῶν ἡδονῆς ποιητικῶν ἀμήχανον τὸ πλῆθος παρεσκευασμένον. ὧν τὸν προστάτην καὶ ἐπιμελητὴν Ἰωσήφ, ὀνόματι εὐθυβόλῳ κεκλῆσθαι συμβέβηκε πρόσθεμα· ἐπεὶ τῶν ἔξωθεν ἐπεισοδιαζομένων καὶ προστιθεμένων τοῖς κατὰ φύσιν, προστασίας ἀνῆπται. μαρτυροῦσι δ' οἱ χρησμοί, δηλοῦντες ὅτι ταῖς τροφαῖς τῆς σωματικῆς χώρας ἁπάσης Αἰγύπτου θησαυριζομένους, σιταρχεῖ. τοιοῦτος μὲν τις ὁ Ἰωσὴφ ἐκ τῶν γνωρισμάτων γνωρίζεται. ὁ δὲ Ψονθομφανὴχ ποῖός ἐστι, θεασώμεθα. ἑρμηνεύε-

τοῖς ἔξω, ἐν ἀποκρίσει στόμα κρίνων. οἴεται γὰρ πᾶς ἄφρων τὸν πολυχρήματον καὶ περιρρεόμενον ταῖς ἐκτὸς οὐσίαις, εὐθὺς εἶναι καὶ εὔλογον, ἱκανὸν μὲν πρὸς ἃ ἂν πύθηταί τις, ἀποκρίνασθαι, ἱκανὸν δὲ καὶ δι' ἑαυτοῦ γνώμας εἰσηγήσασθαι συμφερούσας· καὶ συνόλως, τὸ φρόνιμον ἐν τῷ τυχηρῷ τίθεται, δέον ἔμπαλιν τὸ τυχηρὸν ἐν τῷ φρονίμῳ· ἄξιον γὰρ τὸ ἄστατον ὑπὸ τοῦ ἑστῶτος ἡνιοχεῖσθαι. καὶ μὴν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμογάστριον, ὁ μὲν πατὴρ Βενιαμὶν, ἡ δὲ μήτηρ, υἱὸν ὀδύνης προσαγορεύει φυσικώτατα. μεθερμηνευθεὶς γὰρ ὁ Βενιαμὶν, ἐστὶν υἱὸς ἡμερῶν. ἡμέρα δὲ τῷ ἀφ' ἡλίου αἰσθητῷ φωτὶ καταλάμπεται· τούτῳ δὲ τὴν κενὴν δόξαν ἐξομοιοῦμεν. ἔχει γάρ τινα λαμπρότητα αἰσθητὴν ἐν τοῖς παρὰ τῶν πολλῶν καὶ ἀγελαίων ἐπαίνοις, ἐν τοῖς γραφομένοις ψηφίσμασιν, ἐν ταῖς ἀνδριάντων καὶ εἰκόνων ἀναθέσεσιν, ἐν πορφύραις καὶ στεφάνοις χρυσοῖς, ἐν ἅρμασι καὶ τεθρίπποις καὶ προπομπαῖς ὄχλων. ὁ τούτων οὖν ζηλωτὴς εἰκότως υἱὸς ἡμερῶν, αἰσθητοῦ φέγγους, καὶ περὶ τὴν κενὴν δόξαν λαμπρότητος, ὠνομάσθη. τοῦτο ὁ πρεσβύτερος λόγος καὶ πατὴρ, ὄντως εὐθύβολον καὶ κύριον ὄνομα αὐτῷ τίθεται· ἡ δὲ παθοῦσα ψυχὴ τὸ ἐφ' ᾧ πέπονθεν ἁρμόττον· ὀδύνης γὰρ υἱὸν καλεῖ. διὰ τί; ὅτι οἱ ἐν ταῖς κεναῖς φερόμενοι δόξαις, ὑπολαμβάνονται μὲν εὐδαιμονεῖν, πρὸς ἀλήθειαν δὲ, κακοδαιμονοῦσι. τὰ γὰρ ἀντιπνέοντα, πολλά· βασκανία, φθόνοι, συνεχεῖς ἔριδες, φιλονεικίαι ἀκατάλλακτοι μέχρις θανάτου, δυσμένειαι, παισὶ παίδων κατὰ διαδοχὰς παραδιδόμεναι, κλῆρος οὐ κτητός. ἀναγκαίως οὖν ὁ θεοφορούμενος, ἐν αὐταῖς ὠδῖσιν ἀποθνήσκουσαν τὴν τίκτειν κενοδοξίαν παρίστησιν. ἀπέθανε γὰρ, φησὶ, Ῥαχὴλ δυστοκήσασα· ἐπειδὴ τῆς ὄντως ψυχῆς ἐστὶ θάνατος, δόξης αἰσθητῆς καὶ κενῆς σπορά τε καὶ γένεσις. τί δαί; οἱ τοῦ Ἰωσὴφ παῖδες Ἐφραΐμ τε καὶ Μανασσῆς, οὐ πάνυ φυσικῶς ἐξομοιοῦνται δυσὶ τοῖς πρεσβυτάτοις υἱοῖς τοῦ Ἰακὼβ, Ῥουβὶμ τε καὶ Συμεών; λέγει γάρ· οἱ δύο υἱοί σου, οἱ γενόμενοι ἐν Αἰγύπτῳ, πρὸ τοῦ με ἐλθεῖν εἰς Αἴγυπτον, ἐμοί εἰσι·

A in Responso os iudicans. Stultus quippe omnis existimat pecunijs abundantem, externisque facultatibus affluentem, statim consultum & prudentem esse, idoneum quidem & acutum ad respondendum ijs quæ quis ab eo sciscitatur, aptum etiam ad vtiles per se sententias inducendas: atque vt summatim dicam, Prudentiam in re fortuita collocat, cùm contra fortuitum in Prudentia statuendum esset. Æquum enim est vt quod instabile est à stabili regatur. Et verò iuniorem ipsius fratrem germanum & vterinum, B Pater quidem Beniaminum, mater autem doloris filium nuncupat, naturali rationi conuenientissime. (Gen. 35.) Etenim si Beniaminum exponas, est filius dierum. Dies porrò Solari luce, quæ sub sensum cadit, illustratur. ei verò gloriam inanem comparamus: hæc siquidem splendorem quemdam sensibilem habet in ijs laudibus quæ plerisque vilibus tribuuntur, in scriptis, decretis & senatus consultis, in statuarum atque imaginum erectarum honoribus, C in purpuris & corollis aureis, in curribus atque quadrigis, & turbæ comitatu. Horum igitur æmulator iure dictus est filius dierum, id est, fulgoris sensum afficientis, & claritatis eius quæ in vana gloria cernitur. Hoc rectum profecto & proprium ei nomen imposuit pater, & senilis ratio. Anima autem, quæ perpessa est, aliud ei quod passa fuerat congruens, indidit: Mœroris enim filium appellat. qua de causa? D Quia ij quos inanis effert gloria, vulgo quidem existimantur beati, reapse autem sunt infelices. Sunt enim pleraque ipsis quasi aduerso statu resistentia, liuor, inuidia, crebræ æmulationes, contentiones ad mortem vsque implacabiles, simultates & offensiones natis natorum quadam successione traditæ: hereditas quæ parari & acquiri nequit. Ergo necessario diuinorum eloquiorum autor in ipsis parturitionis doloribus occumbentem sic repræsentat, quasi vanam gloriam pareret. *Mortua enim*, inquit, *est Rachel,* (Ibid.) E *partus ægritudine.* quoniam re vera gloriæ sensibilis & inanis semen ac procreatio, animi mors est. Quid verò? numquid Iosephi liberi Ephraim atque Manasses valde naturæ congruenter compararentur duobus Iacobi filijs natu maximis, Rubeno & Simeoni? Ait enim, *Duo liberi tui,* (Gen. 48.) *nati in Ægypto, priusquam in eam regionem me conferrem, mei sunt.*

Ephraim & Manasses aquè chari erunt mihi, atque Ruben & Symeo. Spectemus ergo qui duo conueniant duobus. Ac Rubenus quidem bonæ indolis nota est: exponitur enim, videns filius. Quoniam quisquis acumine mentis, bonáque indole vtitur, est perspicax. Ephraimus autem, vt sæpe aliàs diximus, Memoriæ signum est, quandoquidem exponitur, Fructus productio. Fructus verò animi præstantissimus est Memoria. porrò nulla res tam cognata est alteri, atque Memoria bonæ Naturæ. Rursus Symeo nomen est Doctrinæ & disciplinæ: siquidem explicatur, Exauditio: Proprium autem est eius qui discit, aurem accommodare, & attendere dictis. Verùm Manasses Recordationis nota est: sic enim appellatur, Ex obliuione. Ei verò qui ex obliuione foras progreditur contingit ex necessitate recordari. atqui Disciplinæ propria est recordatio. Etenim sæpe effluunt discenti Theoremata seu Propositiones, cùm eas præ imbecillitate continere nequit, rursúsque de integro remeant: quare affectus effluxionis nominatur obliuio: refluxus verò, recordatio. Annon igitur aptè & concinnè, Indoli quidem bonæ Memoria, Disciplinæ verò Recordatio congruit? Et sanè quam rationem habet Simeo ad Rubenum, hoc nimirum est Disciplina ad Naturam: eandem quoque habet Manasses ad Ephraimum, id est, ad Memoriam Recordatio. Vt enim quod Indole præstat, melius est eo quod discit: Siquidem illud aspectui simile est: hoc autem auditui. Auditus vero visui primas partes cedens, in secundis consistit. Ita quod Memoria valet, ei quod recordatur vbique antecellit, propterea quia recordatio obliuioni mixta est: Memoria verò sincera & pura ab initio ad extremum permanet. Præterea socerum Principis Prophetarum, interdum
Exod. 13. Iothorem, interdum Raguelem nominant oracula. Ac Iothorem quidem, cùm fastus floret ac viget. Iothor enim Latinè translatus, est superfluus. fastus autem est superuacaneus in vita veraci, dum æqualia & necessaria vitæ risu excipit, & inæqualia magni facit in plus habendi cupiditate: idémque humana diuinis, mores legibus, profana sacris, mortalia immortalibus, atque vt semel dicam, quod opinione tantùm constat, ei quod re vera est anteponit. Ille etiam maius quid aggressus, vltro spontéque sua transit in Consiliarij ordinem, suggerens sapienti non edocere ea quæ sola scitu digna sunt,

A Ἐφραῒμ καὶ Μανασσῆς, ὡς Ῥουβὶμ καὶ Συμεὼν ἔσονταί μοι. τίνα οὖν τρόπον οἱ δύο τοῖς δυσὶν ἐφαρμόζονται, θεασώμεθα. Ῥουβὶμ μὲν, σύμβολον εὐφυΐας ἐστίν· ἑρμηνεύεται γὰρ ὁρῶν υἱός· ἐπειδὴ πᾶς ὁ εὐθιξίᾳ καὶ εὐφυΐᾳ χρώμενος, ὁρατικός. Ἐφραῒμ δὲ, ὡς πολλάκις εἴπομεν ἐν ἑτέροις, μνήμης· μεταληφθεὶς γάρ, ἐστι καρποφορία, καρπὸς δὲ ψυχῆς ἄριστος, ἡ
B μνήμη. συγγενὲς δὲ οὐδὲν ἕτερον οὕτως ἑτέρῳ, ὡς εὐφυεῖ τὸ μεμνῆσθαι. πάλιν ὁ Συμεὼν, ὄνομα μαθήσεως καὶ διδασκαλίας ἐστίν· εἰσακοὴ γὰρ ἑρμηνεύεται· μανθάνοντος δ' ἴδιον, ἀκούειν τε καὶ προσέχειν τοῖς λεγομένοις. ὁ δὲ Μανασσῆς, ἀναμνήσεως σύμβολόν ἐστι· οὕτω γὰρ καλεῖται, ἐκ λήθης. τῷ δ' ἐκ λήθης ἔξω προϊόντι συμβαίνει κατὰ τὸ ἀναγκαῖον, ἀναμιμνήσκεσθαι. μαθήσεως δὲ ἀνάμνησις οἰκεῖον. πολ-
C λάκις γὰρ τοῦ μανθάνοντος ἀποῤῥεῖ τὰ θεωρήματα, μὴ δυναμένου δι' ἀσθένειαν κατέχειν, καὶ πάλιν ἐξ ἀρχῆς ἐπαναπλεῖ. τὸ μὲν οὖν τῆς ἀποῤῥοῆς πάθος, ὀνομάζεται λήθη· τὸ δὲ τῆς παλιῤῥοίας, ἀνάμνησις. ἆρ' οὐ προσφυῶς εὐφυΐᾳ μὲν ἡ μνήμη, μαθήσει δὲ ἀνάμνησις ἐφαρμόζεται; καὶ ἣν μὲν ἂν λόγον ἔχει Συμεὼν πρὸς Ῥουβὶμ, τὸ δ' ἐστὶ μάθησις πρὸς φύσιν· τοῦτον ἔχει λόγον Μανασσῆς πρὸς Ἐφραῒμ, τὸ δ'
D ἐστὶ πρὸς μνήμην ἀνάμνησις. ὡς γὰρ τὸ εὐφυὲς ἄμεινον τοῦ μανθάνοντος· τὸ μὲν γὰρ ἔοικεν ὁράσει, τὸ δὲ ἀκοῇ· ἀκοὴ δὲ ὁράσεως τὰ δευτερεῖα φέρεται· οὕτω τὸ μνημονικὸν τοῦ ἀναμιμνησκομένου πανταχοῦ κρεῖττον· ὅτι τὸ μὲν λήθῃ κέκραται, τὸ δὲ ἀμιγὲς καὶ ἄκρατον ἐξ ἀρχῆς ἄχρι τέλους διαμένει. καὶ μὴν τόν γε τοῦ ἀρχιπροφήτου πενθερὸν, τοτὲ μὲν Ἰοθὸρ, τοτὲ δὲ Ῥαγουὴλ οἱ χρησμοὶ καλοῦσιν· Ἰοθὸρ μὲν, ὅταν τῦφος εὐημερῇ· μεταληφθεὶς γάρ
E ἐστι περισσὸς, περιττὸν δὲ ἀψευδεῖ βίῳ τῦφος, γέλωτα μὲν τὰ ἴσα καὶ ἀναγκαῖα τοῦ βίου τιθέμενος, τὰ δὲ πλεονεξίας αὔξων, σεμνύνων. ἔτι καὶ ἀνθρώπεια θείων, καὶ ἔθη νόμων, καὶ βέβηλα ἱερῶν, καὶ θνητὰ ἀθανάτων, καὶ συνόλως τὸ δοκεῖν τοῦ εἶναι προτιμῶν. καὶ ἐπιτολμήσας, αὐθεκέλευστος εἰς τὴν τοῦ συμβούλου παρέρχεται τάξιν, ὑφηγούμενος τῷ σοφῷ, μὴ ἀναδιδάσκειν ἃ μόνα μανθάνειν ἄξιον,

τὰ προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον, ἀλλὰ τὰ πρὸς ἀλλήλους ἀνθρώπων συμβόλαια, τὰ ἀκοινωνήτου σχεδὸν αἴτια κοινωνίας καὶ ὁ μέγας πάντα πειθαρχεῖ νομίσας ἁρμόττον εἶναι μικροῖς μὲν τὰ μικρά, μεγάλοις δὲ τὰ μεγάλα δίκαια τίθεσθαι. μεταβαλὼν δὲ πολλάκις ὁ δοκησίσοφος οὗτος, καὶ μεταβὰς ἀπὸ τῶν σχημάτων, ἃ δὴ τυφλὸς ἔλαχεν ἡνιοχεῖν, ἀναζητήσας τὴν θείαν ἀγέλην, μέρος οὐ μεμπτὸν αὐτῆς γίνεται, θαυμάσας τῆς φύσεως τὸν ἀγελάρχην, καὶ τῆς ἐπιστασίας ἀγασθείς, ᾗ χρῆται πρὸς τὴν ἑαυτοῦ θρεμμάτων ἐπιμέλειαν. ἑρμηνεύεται γὰρ Ραγουὴλ, ποιμασία θεοῦ. τὸ μὲν κεφάλαιον εἴρηται, τὰς δὲ πίστεις ὑφηγήσεται. πρῶτον μὲν θεραπευτὴν αὐτὸν κρίσεως καὶ δίκης εἰσηγεῖται. ἡ γὰρ προσηγορία τῆς Μαδιὰμ μεταληφθεῖσα, ἐκ κρίσεως ὀνομάζεται. διττὸν δὲ τοῦτο. δηλοῖ γὰρ τὸ μὲν ἔκκρισιν καὶ ἀπόκρισιν, ἣ καὶ τοῖς ἀγωνισταῖς κατὰ τοὺς ἱεροὺς ἀγῶνας λεγομένους εἴωθε συμβαίνειν. μυρίοι γὰρ ἀνεπιτήδειοι φανέντες ἤδη, πρὸς τῶν ἀθλοθετῶν ἐξεκρίθησαν· οὗτοί τε τελεταῖς ταῖς ἀνιέροις τοῦ Βεελφεγὼρ τελεσθέντες, καὶ τὰ τοῦ σώματος στόματα πάντα εὐρύναντες πρὸς τὴν ἔξωθεν ἐπιχεομένων ῥευμάτων ὑποδοχήν· ἑρμηνεύεται γὰρ Βεελφεγώρ, στόμα δέρματος· κατέκλυσαν τὸν ἡγεμόνα νοῦν, καὶ ἐπίεσαν εἰς βυθόν, ἔσχατον, ὡς μηδ' ἀνανήξασθαι, μηδὲ μικρὸν ὅσον δυνηθῆναι ἀνακῦψαι. καὶ τοῦτο ἔπαθεν, ἕως ὁ εἰρηνικὸς καὶ ἱερὸς τοῦ θεοῦ τρανὸς Φινεές, αὐτόμαχος αὐτοκέλευστος ἦλθε, φύσει μισοπόνηρος ὤν, καὶ ζήλῳ τῷ καλῷ * κατηχημένος· ᾧ σειρομάστην λαβόντι, τὸ δ' ἔστιν, ἠκονημένον καὶ ὀξὺν λόγον, μαστεύειν καὶ ἀναζητεῖν ἕκαστα ἱκανόν, ἐξεφύλαττε μὴ φενακισθῆναι, ῥώμῃ δὲ καρτερᾷ χρησάμενος κατακεντῆσαι διὰ τῆς μήτρας τὸ πάθος, ἵνα μηδὲν ἔτι κακὸν θεήλατον τίκτῃ. πρὸς τούτους καὶ ὁ μέγιστος ἐνίσταται τῷ ὁρατικῷ γένει πόλεμος, ἐν ᾧ τῶν ἀγωνισαμένων διεφώνησεν οὐδείς, ἀλλ' ἄτρωτος καὶ σῶος ἐπανῆλθε, τοῖς νικητηρίοις ἀναδούμενος στεφάνοις. ἓν μὲν δὴ τοῦτο ἐκ τῆς Μαδιὰμ ἐδηλοῦτο· ἕτερον δέ, τὸ κρεῖττον καὶ δικαστικὸν εἶδος, ὃ καὶ κατ' ἐπιγαμίαν οἰκειοῦται γένει τῷ προφητικῷ, τῷ ἱερεῖ. φησὶν οὖν, τῆς κρίσεως καὶ τῆς δίκης, εἰσὶν ἑπτὰ θυγατέρες, συμβολικῶς αἱ τοῦ ἀλόγου δυνάμεις· γεννητική τε καὶ φωνή, καὶ

* κατεπτημένος, ἀντὶ τοῦ κατεπτοημένος.

A Dei iussa & legem, verùm pacta tantùm & conuenta hominum inter se, quæ vt plurimum societatis incongruæ & inconcinnæ causæ sunt. Vir autem summus in omnibus paret, cùm censeret consentaneum esse, paruis quidem parua, magnis verò magna iura constituere. Verùm sæpenumerò mutatus hic, qui Sapientiæ opinione gaudebat, & à figuris transiens (quas cæcus vtique moderari sortitus est) cum perquisierit armentum B diuinum, pars fit ipsius non vituperanda, admiratus Naturæ ductorem, ipsiúsque regimen suspiciens, & peritiam administrandi, quæ in suorum pecorum cura vtitur. Exponitur quippe Raguel Pastoritia Dei ars. (Exod. 3.) Summa quidem exposita est: probationes verò modo subiunget: ac primùm cultorem eum iudicij & iustitiæ inducit. Etenim appellatio Madian translata, Ex iudicio, vocatur: siquidem duplex istud est. Interdum enim significat diiudicationem & C segregationem, quæ concertantibus in ijs certaminibus, quæ sacra dicuntur, vsu venit: Nam sexcenti qui minus apti & idonei iam visi erant, à munerarijs discreti & reiecti sunt. Atque isti sunt qui sacris profanis Beelphegor initiati, & corporis meatus omnes dilatantes, ad excipiendas fluxiones foris influentes, (exponitur enim Beelphegor, Superius os cutis) demerserunt. Mentem Reginam, & immiserunt in profundum altissimum, vnde nequeat enatare, ac ne D tantillum quidem emergere. Idque perpessa est donec pacificus & facundus sacerdos Dei Phinees defensor spontaneus venit, qui naturali in improbos odio concitatus, & ardenti honestatis amore correptus erat: eique accidit, cùm hastile flagrúmve accepisset, hoc est, cùm acuta & subtili oratione vteretur, quæ indagare & inquirere singula posset, vt non deciperetur, sed valido robore adhibito, affectum per vuluam transfigeret, ne vllum amplius malum ira Dei inuectum pareret. (Num. 25.) E Aduersus istos etiam maximum à perspicaci hominum genere bellum suscipitur, in quo dimicantium nemo discors fuit, sed saluus & incolumis rediit, corollis & sertis triumphalibus redimitus. atque hæc vna est explanatio nominis Madianæ vrbis. Altera est præstantior & iurisdicialis forma quæ per affinitatem & nuptias * perspicaci generi copulatur. Sunt igitur, inquit, iudicij & iustitiæ septem filiæ, symbolicè,

* Israelitico.

A facultates eius animi partis quæ ratione caret, Satus, vox, & quinque sensus, quæ pascunt pecora parentis. Etenim per has septem facultates progressus & incrementa Parentis Intelligentiæ in perceptionibus innatis consistunt. Hæ porrò singulæ cùm ad obiecta propria peruenere, aspectus nimirum ad colores & figuras, auditus ad voces, odoratus ad odores, gustatus ad sapores, itémque cæteræ ad sibi ipsis conuenientia, hauriunt nescio quo pacto quædam exteriùs sensum mouentia: donec animi canales & B receptacula impleuerint, vnde greges parentis potant, purissimam intelligo Ratiocinationis Memoriam, quæ securitatem & ornatum in eodem præ se fert. Cùm autem aduenerint Liuoris & Inuidiæ socij, praui duces armenti, abstrahunt eas ab vsu qui secundum naturam est. Illæ siquidem quæ foris sunt intro agunt ad Intellectum, tanquam iudicem & regem quempiam, vt principe vtentes optimo rectè agant: alij verò è re- C gione collocati persequuntur, & contraria iubent ac denuntiant: cum liceat mentem pertrahere, & quæ sensibus patent tradere abducenda, donec excitati fuerint mores studiosi qui tum quiescere videbantur, ac diuino spiritu afflatus nomine Moses protegat ac liberet illa ab occupantibus, poculentis sermonibus alens Parentis gregem. vbi verò insidias euaserint eorum, qui hostes quidem sunt cogitationis & intelligentiæ, sed aduentitia & ascititia, velut in Tragœdia, æmulantur, non amplius ad Io- D thorem, sed ad Raguelem accedunt. Nam cùm reliquissent cognationem cum fastu, vitæ legitimæ se addixerunt, ac petierunt pars armenti sacri fieri, cui diuinus præit sermo, vt nomen indicat. Pastoritia enim cura Dei est. Porrò dum proprio gregi inuigilat, statim crebra occurrunt bona animantibus morigeris & non contumacibus. Enimverò canitur inter hymnos canticum eiusmodi: *Dominus pascit me, & nihil mihi* Psal. 22. *deerit.* Iure ergo intellectus Pastore re- E gio, diuino sermone vtens; sciscitabatur de septem filiabus, *Curnam tanta festinatione contendentes hodie rediistis?* Cùm enim antea sensibilibus occurreretis, diu foris immorantes, vix tandem reuertebamini, delinitæ ab ipsis. Nunc autem nescio quid vobis acciderit, quòd tam properè propter morem redieritis. Dicent igitur, se non esse in causa cur velocissime, & cum

πέντε αἰσθήσεις ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρός. διὰ γὰρ τῶν ἑπτὰ δυνάμεων τούτων, αἱ προβάσεις καὶ παραυξήσεις τοῦ πατρὸς νοῦ, ταῖς ἐγγινομέναις καταλήψεσι συνίστανται. παραγινόμεναι δ' ἐπὶ τὰ οἰκεῖα ἑκάστη, χρώματα μὲν καὶ σχήματα ὅρασις, φωνὰς δὲ ἀκοή, ἀτμοὺς δὲ ὄσφρησις, χυλοὺς δὲ γεῦσις, καὶ αἱ ἄλλαι πρὸς τὰ ἁρμόττοντα ἑαυταῖς, ἀντλοῦσι τρόπον τινὰ τὰ ἐκτὸς αἰσθητά, ἕως ἂν πληρώσωσι τὰς τῆς ψυχῆς δεξαμενάς, ἐξ ὧν πίνουσι τὰ πρόβατα τοῦ πατρός, τὴν καθαρωτάτην λέγω τοῦ λογισμοῦ μνήμην, ἀσφάλειαν καὶ κόσμον περιφέρουσαν ἐν ταὐτῷ. παραγινόμενοι δ' οἱ φθόνου καὶ βασκανίας ἑταῖροι, πονηροὶ ἀγέλης ἡγεμόνες, ἐλαύνουσιν αὐτὰς τῆς κατὰ φύσιν χρήσεως. αἱ μὲν γὰρ τὰ ἐκτὸς ἀγρεύουσιν εἴσω, πρὸς οἷα δικαστὴν καὶ βασιλέα τὸν νοῦν, ἵν' ἄρχοντι χρώμεναι τῷ βελτίστῳ κατορθῶσιν· οἱ δ' ἀντικαθιστάμενοι διώκοντες, καὶ τἀναντία παραγγέλλοντες, ἐξὸν τὸν νοῦν ἐπισπᾶσθαι καὶ ἀγώγιμα παραδιδόναι τὰ φαινόμενα, μέχρις ἀναστὰς ὁ τέως ἠρεμεῖν τρόπος δοκῶν φιλάρετος καὶ ἐπιθειάσας, ὄνομα Μωσῆς, ὑπερασπίσῃ καὶ ῥύσηται αὐτὰ τῶν κατεχόντων, ποτίμοις λόγοις θρέψας τὴν τοῦ πατρὸς ποίμνην. ἐκφυγοῦσαι δὲ τὴν ἐπίθεσιν τῶν διανοίας μὲν ἐχθρῶν, τὰ δὲ παρείσακτα, ὥσπερ ἐν τραγῳδίᾳ μόνα ἐζηλωκότων, οὐκέτι πρὸς Ἰοθὸρ, ἀλλὰ πρὸς Ραγουὴλ ἀφικνοῦνται· καταλελοίπασι μὲν γὰρ τὴν πρὸς τῦφον συγγένειαν, οἰκειοῦνται δὲ ἀγωγῇ νομίμῳ, μέρος τῆς ἱερᾶς ἀγέλης ἀξιώσασαι γενέσθαι, ἧς ὁ θεῖος ἀφηγεῖται λόγος, ὡς δηλοῖ τοὔνομα. ποιμασία γὰρ ἐπὶ θεοῦ. ποίμνης δ' ἐπιμελουμένου τῆς ἰδίας, ἐξ ἑτοίμου ἀγαθὰ ἀθρόα τοῖς πειθαρχοῦσι καὶ μὴ ἀφηνιάζουσι τῶν θρεμμάτων. ᾄδεται δὲ καὶ ἐν ὕμνοις ᾆσμα τοιόνδε· κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. πυνθάνεται οὖν εἰκότως ὁ ποιμὴν βασιλεῖ χρώμενος τῷ θείῳ λόγῳ νοῦς, τῶν ἑπτὰ θυγατέρων αὐτοῦ, διὰ τί συντείνασαι μετὰ πολλοῦ τάχους τήμερον ἀφίκεσθε; πρότερον γὰρ ὅτ' ἐνετυγχάνετε τοῖς αἰσθητοῖς μακρὸν χρόνον ἔξω διατρίβουσαι, μόλις ἐπανήειτε δελεαζόμεναι πρὸς αὐτῶν. νυνὶ δ' οὐκ οἶδ' ὅτι παθοῦσαι, συντόμως παρὰ τὸ εἰωθὸς ἐπανήκετε. φήσουσιν οὖν, ὅτι οὐκ αὐταὶ γεγόνασιν αἴ-

σαι τοῦ τὸν δίαυλον ἐπὶ τὰ αἰσθητὰ καὶ ἀπὸ τῶν αἰσθητῶν ἀπελθεῖν καὶ μετὰ πολλῆς ῥύμης δραμεῖν· ἀλλ᾽ ὁ ῥυσάμενος αὐτὰς ἄνθρωπος ἀπὸ τῶν τῆς ἀγρίας ἀγέλης ποιμένων, Αἰγύπτιον δὲ καλοῦσι Μωσῆν, τὸν οὐ μόνον ἑβραῖον, ἀλλὰ καὶ τοῦ καθαρωτάτου γένους ὄντα ἑβραίων, ὃ ἱερᾶται μόνον. οὐ δυνάμεναι τὴν ἑαυτῶν φύσιν ὑπερβῆναι, μεθόριοι γὰρ αἱ αἰσθήσεις οὖσαι τῶν νοητῶν τε καὶ αἰσθητῶν, ἀγαπητὸν ἐὰν ἑκατέρων ἐφίωνται, ἀλλὰ μὴ ὑπὸ μόνων τῶν αἰσθητῶν ἄγωνται. τὸ δὲ οἴεσθαι ὅτι μόνοις ποτὲ τοῖς κατὰ διάνοιαν ἐπιμίξουσιν, εὐήθεια πολλή. οὗ χάριν, ἀμφότερα τιθέασι· διὰ μὲν τοῦ, ἄνθρωπος, τὰ λόγῳ θεωρητὰ μηνύουσαι, διὰ δὲ τοῦ, Αἰγύπτιος, παρασημαίνουσαι τὰ αἰσθητά. ταῦτ᾽ ἀκούσας, καὶ πάλιν πεύσεται, ποῦ ἐστιν ὁ ἄνθρωπος; ἐν τίνι μέρει τῶν καθ᾽ ὑμᾶς, οἰκεῖον τὸ λογικὸν εἶδος; ἵνα τί αὐτὸν ῥᾳδίως οὕτω καταλελοίπατε, ἀλλ᾽ οὐχ ἅπαξ ἐντυχοῦσαι περιέχετε κτῆμα κάλλιστον καὶ λυσιτελέστατον ἑαυταῖς. ἀλλ᾽, εἰ μὴ πρότερον, νῦν αὐτὸν καλέσατε, ὅπως ἂν φάγῃ καὶ τραφῇ ταῖς ὑμετέραις βελτιώσεσι καὶ πρὸς αὐτὸν οἰκειώσεσι· τάχα γὰρ καὶ οἰκήσει παρ᾽ ὑμῖν, καὶ τὸ πτηνὸν καὶ τὸ θεοφόρητον καὶ προφητικὸν γένος ὄνομα Σεπφώραν ἄξεται. ταῦτα καὶ περὶ τούτων. ἀλλὰ καὶ τὸν Ὠσηὲ μετονομάζει Μωσῆς εἰς τὸν Ἰησοῦν, τὸν ποιὸν εἰς ἕξιν μεταχαράττων. Ὠσηὲ μὲν γὰρ ἑρμηνεύεται ποιός ἐστι· Ἰησοῦς δὲ, σωτηρία κυρίου· ἕξεως ὄνομα τῆς ἀρίστης. ἕξεις γὰρ τῶν καθ᾽ αὐτὰς ποιῶν ἀμείνους, ὡς μουσικὴ μουσικοῦ, καὶ ἰατρικὴ ἰατροῦ, καὶ παντὸς τεχνίτου τέχνη παντὸς, καὶ ἀϊδιότητι καὶ δυνάμει καὶ τῇ περὶ τὰ θεωρήματα ἀπταίστῳ ἀκρότητι. ἡ μὲν γὰρ ἕξις, ἀΐδιον, ἐνεργοῦν, τέλειον· ὁ δὲ ποιὸς, θνητὸν, πάσχον, ἀτελές. κρεῖττον δὲ θνητοῦ μὲν τὸ ἄφθαρτον, πάσχοντος δὲ τὸ δρῶν αἴτιον, τὸ δὲ τέλειον ἀτελοῦς. οὕτω μετεχαράχθη καὶ τὸ τοῦ λεχθέντος νόμισμα πρὸς ἰδέαν βελτίονα. ὁ δὲ Χάλεβ, καὶ αὐτὸς ὅλος ἀλλάττεται. ἐγένετο γὰρ φησι πνεῦμα ἕτερον ἐν αὐτῷ· ὡσανεὶ τοῦ ἡγεμονικοῦ μεταβαλόντος πρὸς ἄκραν τελειότητα. καὶ γὰρ ἑρ-

A magno impetu, ſpatium Diauli ad res ſenſibiles & à ſenſibilibus reflexum, percurrerint: ſed cum potius hominem qui ipſas à feri armenti paſtoribus liberauerat. (vbi Moſem vocant Ægyptium, qui non Hebræus tantum erat, verùm etiam è puriſſimo genere Hebræorum oriundus, quod ſolum ſacris præeſt.) eò quod non poſſent naturam ſuam tranſcendere. Nam cùm ſenſus in confinio ſint rerum intelligibilium ac ſenſibilium, ſatis eſt ſi alterutra expetant, & non à ſolis ſenſibilibus abducantur. ſummæ verò ſtultitiæ eſſet cenſere ipſas ijs ſolis quæ ad intelligentiam ſpectant, incumbere; cuius rei gratia vtraque ſtatuunt: cùm per hominem ea quæ ratione percipiuntur denotent; per Ægyptium autem ſenſum mouentia repræſentent. His auditis, iterum percontabitur, *vbinam ille homo eſt?* quanam in parte eorum quæ ad vos pertinent, familiaris & domeſtica eſt forma ratione prædita? Quare ipſum tam facilè deſeruiſtis? Cur non potius, cùm ſemel in eum incidiſſetis, poſſeſſionem pulcherrimam, longéque vobis vtiliſſimam detinuiſtis? Verùm ſi minus antè, nunc ſaltem ipſum aduocate, vt comedat, & educetur veſtris ad virtutem progreſſibus, lautitijs & familiari cum eo conſuetudine. Nam fortaſſe apud nos habitabit, & Sepphoram (volucre, à Deo inſpiratum & vaticinium genus) ducet. Atque hæc quidem his de rebus hactenus. Verùm Ozee quoque nomen Moſes in Ioſua commutat, qualitate præditum in habitum refingens. Exponitur enim Ozee, Qualis iſte. Ioſua verò, Salus Domini, habitus præſtantiſſimi nomen. Nam habitus ijs qui ipſis afficiuntur, meliores ſunt, vt Muſica Muſico, & medicandi Ars Medico, itémque omni artifice, ars certa, tum æternitate, tum facultate & inoffenſa ſummitate circa Theoremata ſeu Propoſita. Habitus enim eſt æternum quiddam, efficax, abſolutum: ſed habitu præditus, mortalis, patiens, imperfectus. Præſtat autem rei mortali quod immortale eſt, & id quod agit, patienti, & abſolutum inchoato. Itaque ſupradicti Numiſma reformatum eſt in meliorem Ideam ſeu formam. Quinetiam Chaleb ipſe totus permutatur. *Etenim factus eſt*, inquit, *ſpiritus alius in ipſo*; tanquam ratione & Mente in ſummam perfectionem tranſmutata. Nam

Num.13. Num.14.

Chaleb interpretatio eſt, Totum cor. Hoc verò indicium eſt, Animum non alteram in partem vergendo ac propendendo, ſed totum omninóque commutatum eſſe in id quod probum eſt, cum etiam, ſi quid minus laudabile fuerit, id vi orationis de pœnitentia ſuſceptæ migrare fecerit. Atenim cùm reipſa ſordida abſterſiſſet atque eluiſſet, prudentiæ lauacris vſus, adhibito etiam purgante medicamento, futurum erat vt nitidus ac ſplendidus euaderet. Iam verò Prophetarum principi variæ contigerunt appellationes. Nam quando oracula à Deo edita interpretans: enarrat, Moſes nuncupatur. quando autem precando benedicit populo, Vir Dei. Tum verò cùm Ægyptus impiè actorum pœnas luit, Pharaonis regionis principis Deus vocatur. Cur ita? Quia leges deſcribere ad eorum qui illas cognoſcent vtilitatem, eius eſt qui ſemper contrectet & in manibus habeat diuina mandata, & qui accerſitus fuerit à vaticinante Legiſlatore: & magnum ab eo munus acceperit, Interpretationem ſcilicet, vaticinium & promulgationem legum ſacrarum. Moſes enim tranſlatus [ex Hebræo] nominatur Sumptio: quinetiam Contrectatio dici poteſt, ob eas quas diximus cauſas. Porrò precari & benedicere, cuiuſuis non eſt, ſed eius qui cognationem cum regenerata non adſpiciat, & ſemetipſum in hæreditatem aſſignauerit omnium principi parentíque Deo. Præclarum namque eſt, ſi cui contingit cautè & conſideratè res ſuas agere: Verùm alijs etiam bonum comparare, hoc præſtantioris perfectioríſque animi propoſitum eſt, eiúſque qui re vera diuinitatis alicuius ſit particeps: qualem qui nactus eſt, iure Deus vocabitur: itémque Deus hic idem, tanquam re ipſa ſapiens: ideóque imperat omni ſtulto, tametſi regijs innitatur ſceptris, atque ob hanc ipſam cauſam præcipuè magnos ſpiritus ducit. Enimverò ſtatuit vniuerſitatis Rector, licèt nonnulli puniendi coercendíque ſint ob intolerabilia delicta, deprecatores habere, qui intercedant pro ipſis, quique Patris ſui vim propitiam imitantes moderatius benigniúſque ſupplicijs vtantur: Dei verò vtique proprium eſt benefacere. Quoniam ergo de Nominum mutatione & tranſlatione abunde diximus, ad reliqua inſtituti noſtri capita nos conuertamus. Sequitur ſtatim natiuitas Iſaaci. Cùm

A ἑρμηνευθεὶς ἐστὶ Χαλέβ, πᾶσα καρδία. τοῦτο δὲ σύμβολον τοῦ μὴ ἐκ μέρους ἐπαμφοτερίζουσαν καὶ ἀντιρρέπουσαν, ἀλλ᾽ ὅλην δι᾽ ὅλου τὴν ψυχὴν μεταβεβλῆσθαι πρὸς τὸ δόκιμον, κἂν εἴ τι μὴ πάνυ ἐπαινετὸν ᾖ, λόγοις τοῖς περὶ μετανοίας ἐξοικίσασαν. ὄντως γὰρ ἐκνιψαμένη τὰ καταρρυπαίνοντα, καὶ τοῖς φρονήσεως λουτροῖς χρησαμένη καὶ καθαρσίοις, ἔμελλε φαιδρύνεσθαι. B τὸν δὲ ἀρχιπροφήτην συμβέβηκεν εἶναι πολυώνυμον. ὁπότε μὲν γὰρ τοὺς χρησμῳδουμένους χρησμοὺς ἑρμηνεύων ὑφηγεῖται, προσαγορεύεται Μωσῆς. ὁπότε δ᾽ εὐχόμενος εὐλογεῖ τὸν λεών, ἄνθρωπος θεοῦ. ἡνίκα δὲ Αἴγυπτος τὰς ὑπὲρ τῶν ἀσεβηθέντων δίκας ἐκτίνει, τοῦ βασιλεύοντος τῆς χώρας Φαραὼ θεός. διὰ τί δέ; ὅτι τὸ μὲν νόμους μεταγράφειν ἐπ᾽ ὠφελείᾳ τῶν ἐντευξομένων, ψηλαφῶντός ἐστι καὶ διὰ C χειρὸς ἔχοντος ἀεὶ τὰ θεῖα, καὶ ἀνακεκλημένου ὑπὸ τοῦ θεσπιῳδοῦ νομοθέτου, καὶ εἰληφότος παρ᾽ αὐτοῦ μεγάλην δωρεάν, ἑρμηνείαν καὶ προφητείαν νόμων ἱερῶν. μεταληφθεὶς γὰρ Μωσῆς, καλεῖται λῆμμα. δύναται δὲ καὶ ψηλάφημα, διὰ τὰς εἰρημένας αἰτίας. τὸ δὲ γε εὔχεσθαι καὶ εὐλογεῖν, οὐκ ἔστι τοῦ τυχόντος, ἀλλ᾽ ἀνθρώπου τὴν πρὸς γένεσιν μὴ ἑωρακότος συγγένειαν, προσκεκληρωκότος δὲ ἑαυτὸν τῷ πάν- D των ἡγεμόνι καὶ πατρί. ἀγαπητὸν γὰρ εἴ τῳ ἐξεγένετο εὐλογιστίᾳ χρῆσθαι. τὸ δέ γε καὶ ἑτέροις περιποιεῖν τὸ ἀγαθόν, τοῦτο μείζονος καὶ τελειοτέρας ψυχῆς, καὶ ὡς ἀληθῶς θειαζούσης ἦν ἐπάγγελμα. ἧς ὁ τυχὼν, εἰκότως θεὸς κεκλήσεται. θεὸς δὲ ὁ αὐτὸς οὗτος, ἅτε σοφὸς ὤν· καὶ διὰ τοῦτο ἄρχων παντὸς ἄφρονος, κἂν εἰ τοῖς βασιλείοις σκήπτροις ἐκεῖνος ἐφιδρύοιτο, μεγαλαυχῶν καὶ διὰ τοῦτο οὐχ ἥκιστα. βούλεται γὰρ ὁ τῶν ὅλων ἡγεμὼν, κἂν ἀφόρη- E τα ἀδικοῦντές τινες μέλλωσι κολάζεσθαι, παραιτητὰς ἔχειν τοὺς ἐντευξομένους ὑπὲρ αὐτῶν· οἳ τὴν τοῦ πατρὸς ἵλεω δύναμιν ἀπομιμούμενοι, μετριώτερον καὶ φιλανθρωπότερον χρήσονται ταῖς τιμωρίαις. θεοῦ δὲ τὸ εὐεργετεῖν ἴδιον. ἀποχρώντως οὖν περὶ τῆς τῶν ὀνομάτων ἀλλαγῆς τε καὶ μεταθέσεως εἰρηκότες, ἐπὶ τὰ ἑξῆς τῆς ἐφόδου τρεψόμεθα κεφάλαια. ἕπεται δὴ εὐθὺς ἡ γένεσις Ἰσαάκ.

καλέσας γὰρ τὴν μητέρα αὐτοῦ Σάρραν ἀντὶ Σάρας, φησὶ πρὸς Ἀβραάμ· δώσω σοι τέκνον. ἐν μέρει δὴ ἕκαστον ἀκριβωτέον· ὁ τοίνυν κυρίως διδοὺς ὁτιοῦν. ἴδιόν τι πάντως ἑαυτοῦ δίδωσιν. εἰ δὲ τοῦτ' ἀψευδές ἐστι, γένοιτ' ἂν Ἰσαάκ. οὐχ ὁ ἄνθρωπος, ἀλλ' ὁ συνώνυμος τῆς ἀρίστης τῶν εὐπαθειῶν χαρᾶς, γέλως, ὁ ἐνδιάθετος υἱὸς θεοῦ, τοῦ διδόντος αὐτὸν μείλιγμα καὶ εὐθυμίαν εἰρηνικωτάταις ψυχαῖς. ἄτοπον μὲν γὰρ ἕτερον ἄνδρα εἶναι, ἐξ ἑτέρου δὲ νόθα καὶ μοιχίδια παιδοποιεῖσθαι. καὶ μὴν τόν γε θεὸν, ἄνδρα τῆς φιλαρέτου διανοίας Μωσῆς ἀναγράφει, δι' ὧν φησιν· ἰδὼν κύριος, ὅτι μισεῖται Λεία· ἤνοιξε τὴν μήτραν αὐτῆς· ἔλεον γὰρ καὶ οἶκτον λαβὼν τῆς ὑπὸ τοῦ θνητοῦ γένους μισουμένης ἀρετῆς, καὶ ψυχῆς τῆς φιλαρέτου· στειροῖ μὲν τὴν φιλόκαλον φύσιν, ἀνοίγνυσι δὲ τῆς εὐπαιδίας πηγὴν, εὐτεκνίαν αὐτῇ χαριζόμενος. ἡ δὲ Θάμαρ ἐγκύμων τε γενομένη θείων σπερμάτων, καὶ τὸν μὲν σπείραντα οὐκ ἰδοῦσα (λέγεται γὰρ τότε ἐγκεκαλύφθαι τὸ πρόσωπον, ὡς Μωσῆς ἡνίκα ἀπεστράφη εὐλαβούμενος τὸν θεὸν ἰδεῖν) τὰ δὲ σύμβολα καὶ τὰ μαρτύρια διαθρήσασα, καὶ παρ' αὐτῇ δικάσασα, ὅτι θνητὸς ταῦτ' οὐ δίδωσιν· ἀνέκραγεν, οὗ τινος ταῦτ' ἐστὶν, ἐξ ἐκείνου ἐν γαστρὶ ἔχω· τίνος ὁ δακτύλιος, ἡ πίστις, ἡ τῶν ὅλων σφραγὶς, ἡ ἀρχέτυπος ἰδέα, ᾗ τὰ πάντ' ἀνείδεα ὄντα καὶ ἄποια σημειωθέντα, ἐτυπώθη; τίνος δὲ καὶ ὁ ὁρμίσκος, ὁ κόσμος, εἱμαρμένη, ἀκολουθία καὶ ἀναλογία τῶν συμπάντων, εἱρμὸν ἔχουσα ἀδιάλυτον; τίνος δὲ καὶ ἡ ῥάβδος, τὸ ἐρηρεισμένον, τὸ ἀκράδαντον, τὸ ἄτρεπτον, ἡ νουθεσία, ὁ σωφρονισμός; ἡ παιδεία, τὸ σκῆπτρον, ἡ βασιλεία τίνος; ἆρ' οὐχὶ μόνου θεοῦ; τοιγαροῦν ὁ ἐξομολογητικὸς τρόπος, Ἰούδας ἡσθεὶς αὐτῆς τῷ κατεσχῆσθαι καὶ θεοφορεῖσθαι, παρρησιάζεται λέγων· δεδικαίωται, ἧς ἕνεκα αἰτίας ἐγὼ οὐδενὶ θνητῷ αὐτὴν ἔδωκα· ἀσεβὲς ἡγούμενος, μιαίνειν βεβήλοις τὰ θεῖα. μηνύει δὲ καὶ ἡ τρόπον μητρὸς ἀποκυήσασα φρόνησις τὸ αὐτομαθὲς γένος, ὅτι θεὸς αὐτὸ ἔσπειρε. τεχθέντος γὰρ, ἐπισημαίνεται φάσκουσα· γέλωτά μοι ἐποίησεν ὁ κύριος:

A enim vocasset matrem ipsius Sarram, pro Sara, ait Abrahamo, *Dabo tibi filium*, Gen. 17. Verùm vnumquodque sigillatim nobis expendendum est. Is igitur qui propriè, quidpiam donat, omnino aliquid sibi proprium dat. Quod si maximè veritati consentaneum est, esto Isaacus, non homo, sed risus, qui eodem nomine vocatur, quo suauitatum optima, Lætitia videlicet, insitus in mente & ratione Filius Dei, qui concedit se ad delicias, & gaudium ac tranquillitatem animis pacis studiosissimis. B Absurdum siquidem fuerit alterum virum esse, ex altero vero spurios atque illegitimos liberos suscipere. Ac sane virum virtutem amantis Intelligentiæ Moses describit, dum ait, *Cùm vidisset Dominus, Liam odio haberi, aperuit vuluam ipsius.* Gen. 29. Etenim cum deploraret ac misericordia prosequeretur virtutem à mortali hominum genero, in odio habitam, itémque studiosi animum, sterilem quidem C facit honestatis cupidam naturam: aperit verò reserátque fontem fœcunditatis, felicem partum ipsi largitus. Thamar verò grauida facta diuinorum seminum, satorem quidem non vidit; (dicitur enim tum obtegisse faciem suam, vt cùm Moses obuertit se, Deum videre reueritus) perspectis verò signis & testimonijs, & re apud se iudicata, quòd mortalis ea minime largiatur, vociferata est, *Cuius hæc sunt? ex eo nimirum concepi vterúmque gero.* Gen. 38. D Cuius est hic annulus? fides, vniuersitatis sigillum, Idea formáve exemplaris, qua omnia informia & qualitatis expertia signata informatáque sunt? Cuius item est hæc armilla, hoc ornamentum, ordo fatalis, consequentia & proportio vniuersorum, seriem continens indissolubilem? cuius porrò est hæc virga? res adeò stabilis, inconcussa, atque immutabilis: hæc animaduersio, coërcitio & castigatio? hæc disciplina, hoc sceptrum, hoc regnum cuius est? E Nónne solius Dei? Quocirca Iudas mores confitentis referens, eius fœminæ affatu atque inspiratione diuina delectatus, eum maiore fiducia ait, *Ius obtinuit, ob eámque causam mortali nemini ipsam tradidi.* Ibid. Impium censens diuina prophanis contaminare. Indicat etiam Prudentia, quæ matris more concepit & edidit Genus per se edoctum, Deum ipsius satorem fuisse. Cùm enim partus editus fuisset, ita se iactando prædicat, *Risum fecit mihi Dominus.* per- Gen. 21.

inde ac si dixisset: Isaacum effinxit,
molitus est, procreauit. quia idem erat
Isaacus ac Risus. Verùm non est cuius-
uis audire hanc auscultationem, cùm
Superstitionis malum latè serpat apud
nos, & effeminatos ignobilésque ani-
mos pene obruat. Idcirco adijcit, *Quis-*
Gen. 21. *quis enim id audiuerit, mihi gratulabitur:*
tanquam pauci admodum sint qui au-
res patentes atque arrectas habeant ad
sacros sermones excipiendos, qui nem-
pe docent solius Dei proprium esse
munus serere & procreare quæ pulchra
& honesta sunt: ad quos alij omnes
obsurduere. Præterea memini ore Pro-
phetico oraculum illustre atque exi-
mium vaticinatum fuisse, eiuscemodi
Ose. 14. *Ex me fructus tuus inuenietur. quis sa-*
piens, & intelliget hæc? quis prudens, &
percipiet hæc? Eum porrò qui resonare
facit & compellit inaspectabile vocis
instrumentum eo modo qui videri ne-
quit, animaduerti, & admiratione stu-
poréque sum affectus, ob id etiam
quod dictum est. Si quid enim boni
est in ijs quæ sunt: vel vniuersum etiam
Cœlum & Mundus, (si verum dicen-
dum est) Dei fructus est, æterna sem-
pérque florente natura, velut arbore
quadam, comprehensus. Prudentum
verò sapientúmque virorum est hæc co-
gnoscere, iisque assentiri, non ignobi-
lium. Quid ergo sibi velit, *Dabo tibi.*
expositum est. quid autem significet,
Gen. 17. *Ex ipsa:* aperiendum est. Id vero non-
nulli ita acceperunt ac si illis verbis si-
gnificaretur, quod ipsi censebant, op-
timè scilicet iudicatum esse à recta ra-
tione, Animum nullam ipsius propriam
pulchritudinem indicare, sed aduenti-
tiam, ex summa iudicij mentísque alti-
tudine Dei qui gratiarum imbrem ef-
fundit. Alij intelligunt promptam cele-
ritatem; quòd idem valeat, Ex ipsa, at-
que subito, repente, è vestigio, nulla
interposita more, sine cunctatione. Hoc
verò modo diuinæ beneficentiæ con-
tingere solent, & temporum interualla
anteuertunt. Sunt etiam alij qui asse-
runt Virtutem matrem esse eius boni
quod generatum est, quæ satum à nul-
lo mortali acceperit. Et ad eos qui per-
contantur an sterilis pariat (cùm enim
Sarram olim sterilem inducerent ora-
cula, eadem nunc matrem fore faten-
tur) hoc dandum est responsum, quòd
mulier quidem sterilis parere non so-
leat vt nec cæcus cernere, nec surdus
audire: Animus autem sterilis ad mala

A ἴσον τῷ· τὸν Ἰσαὰκ διέπλασεν, ἐδημιούργησεν, ἐγέννησεν· ἐπεὶ γέλως ὁ αὐτὸς ἦν, ἀλλ' οὐ παντός ἐστιν ἀκοῦσαι τὸ ἄκουσμα τοῦτο, πολλοῦ τοῦ δεισιδαιμονίας ῥυέντος παρ' ἡμῖν κακοῦ, καὶ τὰς ἀνάνδρους καὶ ἀγεννεῖς ψυχὰς ἐπικλύσαντος. διὸ προσεπιτίθησιν· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. ὡς ὀλίγων ὄντων, οἷς τὰ ὦτα ἀναπέπταται καὶ ἀνώρθιασται πρὸς τὴν τῶν ἱερῶν τούτων λόγων ὑποδοχήν, οἳ δι-
B δάσκουσιν· ὡς ἄρα μόνου θεοῦ, σπείρειν καὶ γεννᾶν τὰ καλά, ἔργον ἴδιον· πρὸς οὓς οἱ ἄλλοι πάντες κεκώφωνται. ἔμαθον δ' οἶδα ποτε προφητικῷ θεσπισθέντα διὰ στόματος τοιόνδε χρησμόν· ἐξ ἐμοῦ ὁ καρπός σου εὑρήσεται· τίς σοφός, καὶ συνήσει ταῦτα; συνετός, καὶ γνώσεται αὐτά. τὸν δὴ ὑπηχοῦντα, καὶ κρούοντα ἀόρατον ἀοράτως τὸ φωνῆς ὄργανον, ἐνενόουν καὶ ἐθαύ-
C μαζον ἅμα καταπληττόμενος καὶ τὸ εἰρημένον. εἰ γάρ τι ἀγαθὸν ἐν τοῖς οὖσι, μᾶλλον δὲ καὶ ὁ σύμπας οὐρανός τε καὶ κόσμος, εἰ δεῖ τἀληθὲς εἰπεῖν, θεοῦ καρπός ἐστιν, ὑφ' οἷα δένδρου συνεχόμενος τῆς ἀϊδίου καὶ ἀειθαλοῦς φύσεως. συνετῶν δή ἐστι καὶ σοφῶν ἀνδρῶν, τὰ τοιαῦτα γινώσκειν καὶ ὁμολογεῖν· οὐκ ἀσήμων. τὸ μὲν οὖν ἐστι τὸ, δώσω σοι, λέλεκται. τὸ δέ, ἐξ αὐτῆς; μηνυτέον. οἱ μὲν οὖν, τὸ ἔξω
D γενόμενον αὐτῆς ἐδέξαντο· νομίζοντες ἄριστα κεκρίσθαι παρὰ ὀρθῷ λόγῳ, τὸ μηδὲν ἀποφαίνειν τὴν ψυχὴν ἴδιον αὐτῆς καλόν, ἀλλὰ προσγενόμενον ἔξωθεν, κατὰ τὴν μεγαλόνοιαν τοῦ χάριτας ὀμβροῦντος θεοῦ. οἱ δέ, τὸ παραυτίκα τάχος. ἴσον γὰρ εἶναι τὸ, ἐξ αὐτῆς, τῷ παραχρῆμα, εὐθύς, ἀνυπερθέτως, ἄνευ μελλήσεως. τοῦτον δὲ τὸν τρόπον αἱ θεῖαι φιλοῦσι συμβαίνειν δωρεαί, φθά-
E νουσαι καὶ τὰ χρόνου διαστήματα, τρίτοι δ' εἰσίν, οἱ τὴν ἀρετὴν μητέρα τοῦ γεννητοῦ εἶναι λέγοντες ἀγαθοῦ, λαμβάνουσαν τὰς γονὰς παρὰ μηδενὸς θνητοῦ. πρὸς δὲ τοὺς ζητοῦντας, εἰ στεῖρα τίκτει; Σάρραν γὰρ εἰσάγοντες πάλαι στεῖραν οἱ χρησμοί, νῦν ὅτι γενήσεται μήτηρ ὁμολογοῦσι· λεκτέον ἐκεῖνο· ὅτι γυνὴ μὲν στεῖρα τίκτειν οὐ πέφυκεν· ὥσπερ οὐδὲ τυφλὸς βλέπειν, οὐδὲ κωφὸς ἀκούειν. ψυχὴ δὲ ἡ πρὸς τὰ φαῦλα ἐστειρωμένη,

καὶ παθῶν ἀμετρίας καὶ κακιῶν ἄγονος, μόνη σχεδὸν εὐτοκίᾳ χρῆται, τὰ ἀξιέραστα τίκτουσα, τὸν ἀριθμὸν ἑπτά· κατὰ τὸ ᾀδόμενον ᾆσμα ὑπὸ τῆς χάριτος Ἄννης, ἥ φησι· στεῖρα ἔτεκεν ἑπτά· ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε. καλεῖ δὲ πολλὴν μέν, τὴν ἐκ μιγάδων καὶ συγκλύδων λογισμῶν συμπεφορημένην διάνοιαν, ἣν διὰ τὸ πλῆθος τὸν περὶ αὐτὴν ὄχλον καὶ θόρυβον ἀνήκεστα κακὰ τίκτειν· στεῖραν δέ, τὴν μὴ παραδεχομένην θνητὸν εἰς γόνιμον σπέρμα, ἀλλὰ τὰς τῶν φαύλων ὁμιλίας καὶ συνουσίας ἀναλίσκουσάν τε καὶ διαφθείρουσαν, περιεχομένην δὲ τῆς ἑβδόμης καὶ τοῦ κατ' αὐτὴν εἰρηνικωτάτου. τούτου γὰρ ἐγκύμων τε εἶναι βούλεται, καὶ μήτηρ λέγεσθαι. τοιοῦτον ἦν καὶ τὸ ἐξ αὐτῆς. τὸ δὲ τρίτον, ὃ δὴ τέκνον ἐλέγετο, νῦν διασκεψώμεθα. πρῶτον μὲν τοίνυν ἄξιον θαυμάσαι, τὸ μὴ πολλὰ τέκνα φάναι δώσειν, ἓν δὲ χαρίσασθαι μόνον· διὰ τί δή; ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει μᾶλλον, ἢ δυνάμει, πέφυκεν ἐξετάζεσθαι. μουσικὰ μὲν γάρ, εἰ τύχοι, καὶ γραμματικά, καὶ γεωμετρικά, καὶ δίκαια καὶ φρόνιμα, καὶ ἀνδρεῖα, καὶ σώφρονα, πάμπολλά ἐστι· αὐτὸ δὲ τοῦτο τὸ μουσικόν, καὶ γραμματικόν, ἔτι δὲ δίκαιον, καὶ σῶφρον, φρόνιμόν τε καὶ ἀνδρεῖον, ἓν αὐτὸ μόνον τὸ ἀνωτάτω, μηδὲν ἰδέας ἀρχετύπου διαφέρον, ἀφ' οὗ τὰ πολλὰ καὶ ἀμύθητα ἐκεῖνα διεπλάσθη. ταῦτα μὲν περὶ τοῦ ἓν φάναι δώσειν. υἱὸν δὲ τέκνον εἴρηκεν· οὐκ ἀμελῶς, οὐδ' ἀπερισκέπτως, ἀλλ' ἕνεκα τοῦ παραστῆσαι, ὅτι οὐκ ὀθνεῖον, οὐδ' ὑποβολιμαῖον, οὐδ' αὖ θετὸν ἢ νόθον, ἀλλὰ γνήσιον καὶ ἀστεῖον· ὅτι οὐκ ὀθνεῖον ὄντως ἀστῆς ψυχῆς ἔγγονον. παρὰ γὰρ τὸ τίκτειν, τὸ τέκνον εἴρηται, πρὸς ἔμφασιν οἰκειότητος, ᾗ φυσικῶς ἁρμόζεται τέκνα γονεῦσιν. εὐλογήσω δέ φησιν αὐτήν, καὶ ἔσται εἰς ἔθνη· δηλονότι οὐ μόνον ἡ ψυχικὴ ἀρετὴ ὡς ἂν εἰς ἔθνη τὰ πρὸς ἔσχατα τὰ εἴδη τέμνεται καὶ ὑπὸ τοῖς εἴδεσιν. ἀλλὰ καὶ ὅτι συμβέβηκεν, ὡς ζῴων, οὕτω καὶ

A factus, nec immoderata desideria vitiáque producens, solus ferme fœcunditate ac felicitate prolis fruitur, amore digna pariendo, Numerum, videlicet, Septenarium: iuxta canticum ab Anna, (gratia) recitatum, dum canit, *Sterilis peperit septem, & qua multa erat, atque abundans liberis, euasit infirma.* Vocat porrò multam quidem cogitationem eam, quæ ex promiscuis & turbidis rationibus simul collatis, constat: quæque ob turbarum ac tumultuum, quibus comitatur, B multitudinem, intolerabilia procreat mala. Sterilem verò dicit eam, quæ non admisit mortalem, ad satum prolificum, verùm improborum cœtus & consortia consumpsit ac profligauit, proindéque à Septenario comprehenditur, qui etiam maximè iuxta ipsam pacificus est: Eo siquidem grauida esse vult, eiúsque mater prædicari. Tale quid innuebat istud, *Ex ipsa.* Iam verò tertium, quòd *Filius* dicebatur, perpendamus. Primum quidem igitur admiratione dignum est, C quòd se non multos liberos daturum dicat, vnum autem tantum filium se concessurum. Cur ita verò? Quia scilicet quod pulchrum & honestum est, non tam copia, quàm vi & facultate explorari solet. Etenim musica forte præditum, Grammatica, atque Geometria imbutum, existit: Itémque iusta, prudentia, fortia & moderata ac temperata sunt quàm plurima, Verùm, ipsum Musicum, Grammaticum, Geometricum, atque etiam iustum, temperans, prudens D & forte, Vnum est tantummodo eximium, nihil à principe Idea, seu forma exemplari, differens. vnde plurima atque innumera illa sunt efficta. atque hæc hactenus de eo quod vnum tantum se traditurum asserat. Nunc porrò filium dixit, non temerè atque inconsiderate, verùm vt exploratum faciat eum non extraneum, neque suppositi tium, neque adoptiuum, neque spurium, sed legitimum atque vrbanum existere: quandoquidem re vera vrbani fœtus animi extraneus non E est. Nam à partus natura gnatus dictus est, vt Græcis [τέκνον à dictione τίκω,] ad exprimendam illam cognationem naturalem qua coniunguntur nati parentibus à quibus procreati sunt. Addit præter ea: *Benedicam ipsam, eritque in gentes*: Nimirum quia non solùm virtus vniuersa in extremas suas formas, & indiuidua formis subiecta, tanquam in gentes, diuiditur: Sed eò quod vsu quoque veniat, vt animalium, sic rerum etiam gentes,

1. Sam. 2.

Gen. 17.

Gen. 17.

esse quodammodo, quibus valde conducit virtutem adhærere. Quæ enim vacua & destituta sunt prudentia, damnum & perniciem afferunt: vt necessariò tenebricosa sunt, quæ non illustrantur à Sole. Virtute enim præditus agricola melius stirpium reique rusticæ curam gerit. Virtute etiam fretus auriga currum in hippodromo inoffensum trahit. Virtute item gubernator clauum tenens, nauiculam secunda nauigatione dirigit ac moderatur. Virtus efficit vt domus, vrbes & regiones melius incolantur, dum homines rei familiari attentos, ciuiles & sociabiles reddit. Eadem virtus leges induxit optimas, & vbique pacis semina coniecit. quandoquidem ex habitu contrario nasci & confici solent his quoque contraria, bellum, legum perturbatio & violatio, prauæ administrationes publicæ, confusiones, infaustæ nauigationes, rerum mutationes, qui in scientijs capitalis morbus est: versutia, ex qua artium loco promanarunt artificia praua & inania. Igitur necessariò ad gentes virtus se conferet: nempe ad animantium simul & negotiorum magnos & confertos cœtus, & conuentus, in eorum qui eam excipiunt commodum & vtilitatem. Dicitur autem mox, quòd Reges gentium orientur ex ea: Omnes enim quos concipit & parit, Principes sunt, non sorte ducti, re instabili, & suffragio hominum vt plurimum mercede adductorum, ad breue tempus electi: sed ab ipsa Natura in perpetuum constituti. Hic verò sermo non meus est, sed sanctissimorum oraculorum in quibus inducuntur quidam aientes Abrahamo, *Rex à Deo es tu in nobis*. cùm non expendissent facultates (nam quæ aderant viro extorri ac ne vrbem quidem incolenti, sed per vastam, desertam & inuiam viam oberranti?) verùm cùm habitum in mente regium perspexissent: adeò vt secundum Mosem profiterentur, solum sapientem esse Regem. Etenim re vera prudens Dux imprudentium est, cùm nouerit quæ agenda sint, quæque non. Temperans item, intemperantium, cùm non negligenter examinauerit quæ ad rerum optionem & deuitationem spectant. Fortis porrò ignauorum, quia didicit clarè quæ toleranda sint & quæ minime. Iustus etiam iniustorum, æquitatem integram & incorruptam sibi in suo cuique tribuendo proponens. Pius denique impiorum, in optimis de Deo

A πραγμάτων εἶναι τόπον τινὰ ἔθνη, οἷς μέγα ὄφελος ἀρετὴν προσεῖναι. τὰ γὰρ ἔρημα καὶ χῆρα φρονήσεως πάντα, ἐπιζήμια· καθάπερ οἷς οὐκ ἐπιλάμπει ἥλιος, ἐξ ἀνάγκης ζοφερά. ἀρετῇ μὲν γὰρ γεωπόνος ἄμεινον φυτῶν ἐπιμελεῖται· ἀρετῇ δὲ καὶ ἡνίοχος ἅρμα ἐν ἱπποδρομίαις ἄπταιστον ἐλαύνει· ἀρετῇ δὲ καὶ κυβερνήτης οἰακονόμος οἰκονομεῖ κατὰ
B πλοῦν τὸ σκάφος. ἀρετὴ καὶ οἰκίας, καὶ πόλιν, καὶ χώραν, βέλτιον οἰκεῖσθαι παρεσκεύασε, οἰκονομικοὺς, πολιτικοὺς, κοινωνικοὺς ἄνδρας δημιουργοῦσα. ἀρετὴ καὶ νόμους ἀρίστους εἰσηγήσατο, καὶ τὰ εἰρήνης κατεβάλετο πανταχοῦ σπέρματα· ἐπεὶ καὶ ὑπὸ τῆς ἐναντίας ἕξεως πέφυκε γίνεσθαι τἀναντία, πόλεμος, ἀνομία, κακοπολιτεῖαι, συγχύσεις, δυσπλοιαι, περιτροπαί, ἡ ἐν ταῖς ἐπιστήμαις ἀργαλεω-
C τάτη νόσος, πανουργία, ἀφ᾽ ἧς ἀντὶ τεχνῶν κακοτεχνίαι προσερρήθησαν. ἀναγκαίως οὖν εἰς ἔθνη χωρήσει ἡ ἀρετὴ, ζώων ὁμοῦ καὶ πραγμάτων μεγάλα καὶ ἀθρόα συστήματα, ἐπὶ τῇ τῶν δεχομένων ὠφελείᾳ. λέγεται δὲ ἑξῆς, ὅτι καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτῆς ἔσονται. οὓς γὰρ κυοφορεῖ καὶ ἀποτίκτει, πάντες εἰσὶν ἡγεμόνες, οὐ κλήρῳ, πράγματι ἀβεβαίῳ,
D καὶ χειροτονίᾳ ἐμμίσθων τὰ πολλὰ ἀνθρώπων πρὸς ὀλίγον χρόνον αἱρεθέντες· ἀλλ᾽ ὑπὸ φύσεως εἰς ἀεὶ καταστάντες αὐτῆς. ἔστι δὲ οὐκ ἐμὸς μῦθος, ἀλλὰ χρησμῶν τῶν ἱερωτάτων ἐστὶν, ἐν οἷς εἰσάγονταί τινες λέγοντες τῷ Ἀβραάμ· βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν. οὐ τὰς ὕλας ἐξετάσαντες (τίνες γὰρ ἦσαν ἀνδρὶ μετανάστῃ καὶ μηδὲ πόλιν οἰκοῦντι, πολλὴν δὲ τὴν ἐρήμην καὶ ἄβατον ἀλωμένῳ γῆν;) ἀλλὰ τὴν ἐν τῇ διανοίᾳ
E βασιλικὴν ἕξιν κατανοήσαντες, ὥστ᾽ ἀνομολογῆσαι κατὰ Μωσῆν μόνον τὸν σοφὸν βασιλέα. καὶ γὰρ ὄντως ὁ μὲν φρόνιμος, ἡγεμὼν ἀφρόνων ἐστὶν, εἰδὼς ἃ χρὴ ποιεῖν τε καὶ ἃ μή· ὁ δὲ σώφρων, τῶν ἀκολάστων, τὰ περὶ τὰς αἱρέσεις καὶ φυγὰς ἠκριβωκὼς οὐκ ἀμυδρῶς· δειλῶν δὲ, ὁ ἀνδρεῖος, ἃ δεῖ ὑπομένειν, καὶ ἃ μή, σαφῶς ἐκμαθών· ἀδίκων δὲ, ὁ δίκαιος, ἰσότητος ἐν τοῖς ἀπονεμητέοις ἀρρεποῦς στοχαζόμενος· ὁ δ᾽ ὅσιος, τῶν ἀνοσίων, ἐν ἀρίσταις ὑπολήψεσι τῶν περὶ

θεοῦ

θεοῦ κατηγμένος. τοῦτον εἰκὸς ἦν ταῖς ἐπαγγελίαις τὸν νοῦν ἐκφυσηθέντα, μετέωρον ἀρθῆναι. ὁ δὲ, πρὸς ἔλεγχον ἡμῶν, οἳ καὶ ἐπὶ τοῖς μικροτάτοις εἰώθαμεν ὑψαυχενεῖν, πίπτει, καὶ εὐθὺς γελᾷ τὸν ψυχῆς γέλωτα, σκυθρωπάζων μὲν τῷ προσώπῳ, μειδιῶν δὲ τῇ διανοίᾳ, πολλῆς καὶ ἀκράτου χαρᾶς εἰσοικισαμένης. ἀμφότερα δὲ, κατὰ τὸν αὐτὸν χρόνον, συμβαίνει τῷ μειζόνων ἐλπίδας ἀγαθῶν κληρονομοῦντι σοφῷ, γελᾶν τε καὶ πίπτειν· τὸ μὲν, εἰς πίστιν τοῦ μὴ μεγαλαυχεῖν, διὰ κατάγνωσιν τῆς θνητῆς οὐδενείας· τὸ δὲ, εἰς εὐσεβείας βεβαίωσιν, διὰ τοῦ μόνον χαρίτων καὶ ἀγαθῶν νομίζειν τὸν θεὸν αἴτιον. πιπτέτω μὲν δὴ καὶ σκυθρωπαζέτω γένεσις, φυσικῶς· ἀνίδρυτός τε γὰρ καὶ ἐπίλυτος ἐξ ἑαυτῆς ἐστιν· ἀνιστάσθω δὲ ὑπὸ θεοῦ, καὶ γελάτω· τὸ γὰρ ἔρεισμα αὐτῆς καὶ ἡ χαρὰ, μόνος οὗτός ἐστιν. εἰκότως δ᾽ ἂν ἀπορήσειέ τις, πῶς ἐνδέχεται γελᾶν τινα, μήπω γέλωτος εἰς τὴν καθ᾽ ἡμέραν γένεσιν ἐλθόντος; ὁ γὰρ Ἰσαὰκ, ἐστὶ γέλως, ὃς κατὰ τὴν παροῦσαν σκέψιν οὔπω γεγέννηται. ὥσπερ γὰρ οὔτε βλέπειν, χωρὶς ὀφθαλμῶν, οὔτ᾽ ἀκούειν, χωρὶς ὤτων, οὔτε δίχα μυκτήρων ὀσφραίνεσθαι, οὐδ᾽ αὖ ταῖς ἄλλαις αἰσθήσεσιν ἄνευ τῶν κατ᾽ αὐτὰς ὀργάνων χρῆσθαι, οὔτε καταλαμβάνειν δίχα λογισμοῦ· οὕτως οὐδὲ γελᾶν εἰκὸς ἦν, εἰ μὴ γέλως ἐδεδημιούργητο. τί οὖν χρὴ λέγειν; πολλὰ ἡ φύσις τῶν μελλόντων γίνεσθαι, διά τινων συμβόλων προμηνύει. ἢ τὸν νεοττὸν οὐχ ὁρᾷς, ὃς πρὶν ἀέρι ἐπινήχεσθαι, πτερύσσεσθαι, καὶ τοὺς ταρσοὺς διασείειν φιλεῖ, τὴν ἐλπίδα τοῦ πέτεσθαι δυνήσεσθαι προευαγγελιζόμενος; ἀμνὸν δ᾽ ἢ χίμαρον, ἢ βοῦν ἔτι νεογνὸν οὐκ εἶδες, μήπω τῶν κεράτων ἐκπεφυκότων, ὁπότε ἐρεθίζει τις, ἀντιβεβηκότα καὶ τοῖς μέρεσιν ἐκείνοις ὁρμῶντα πρὸς ἄμυναν, ἐξ ὧν ἡ φύσις τὰ ἀμυντήρια ὅπλα ἀναδίδωσιν; ἔν γε μὴν ταῖς θηριομαχίαις, οὐκ εὐθὺς οἱ ταῦροι τοὺς ἀντιτεταγμένους ἀνατιτρῶσιν. ἀλλ᾽ ἠρέμα διαβαίνοντες, καὶ μετρίως τὸν αὐχένα χαλάσαντες, καὶ θάτερον ἐγκλίναντες, καὶ ταυρωπὸν ὄντως ἀποβλεψάμενοι, τηνικαῦτα ἐπιτίθενται ἔργον ἐχόμενοι. τὸ γινόμενον ἔρεισιν ἐκάλεσεν, οἷς ὀνοματοποιεῖν ἔθος, ὁρμὴν οὖσαν πρὸ ὁρμῆς ὑπὸ χρεῶν. ὅμοιον δή τι καὶ ἡ ψυχὴ

A opinionibus ac sententijs occupatus. Atqui par fuit mentem quæ eiusmodi pollicitis intumuerat, sublimem attolli: Ea nihilominus, ad reprehensionem nostrûm, qui vel in minimis solemus fastuose ceruicem erigere, procidit, statimque ridet animi risum, vultu quidem ad tristitiam composito, ridens autem intelligentia, cùm magna, valdéque pura intus afficeretur lætitia. porro vtrumque eodem tempore contingit sapienti, qui potioribus spe bonis succedit, ridere atque procidere. atque hoc quidem, vt fidem faciat se non efferri nec insolescere ob inanitatis mortalis condemnationem. Illud autem, ad Pietatis confirmationem, eò quòd solum Deum gratiarum & bonorum autorem censeat. Sanè verò cadat res creata, & mœstitiam præ se ferat naturaliter, quandoquidem instabilis & solubilis ex seipsa est, erigatur autem à Deo, & rideat: hic enim solus firmamentum & gaudium ipsius est. Iure tamen quis addubitet quî vsu veniat ridere quempiam, tum cùm nondum risus ad ortum, qui fit per diem, venisset. Est enim Isaac risus, qui nondum natus est secundum istam considerationem. Quemadmodum videre nemo potest sine oculis, neque audire absque auribus, neque absque naribus odorari, neque etiam alijs sensibus vti sine instrumentorum propriorum ministerio: nec denique sine ratione & argumentatione, percipere: Sic neque ridere quemquam probabile erat, nisi iam risus effectus esset. Quid ergo dicere par est? Pleraque eorum quæ futura sunt natura signis quibusdam prænunciat. Annon auiculam vides, quæ prius quàm per aërem se fundat alas concutere pedibúsque exsilire solet, ita spem quam habet se mox volare posse prædicendo? Numquid agnum, aut hœdum, aut bouem adhuc tenerum vidisti, cui nondum enata sint cornua, si fortè irritetur à quopiam, ire contrà illis partibus incitatum ad vindictam, vnde ipsi natura arma quibus defendat & vlciscatur se, ministrat & suppeditat. In ferarum quidem certè certaminibus non statim tauri sibi oppositos perforant, sed glomerato gressu procedentes, & ceruicem mediocriter inflectentes, altero cornu inclinato, ac taurino verè intuitu conspicientes, tum demum inuadunt opus aggressuri. Cuiusmodi præludium Græci nouorum vocabulorum fictores ἔρεισιν appellarunt, quasi impetum quendam præeuntem. Simile porro quiddam animus

plerumque patitur: nam ob speratum bonum, gaudium præcipit, vt lætitia quodammodo lætitiam antegrediatur, & delectatio hilaritatem præcurrat. Quod etiam comparare quis posset ei rei quæ stirpibus accidere solet. Quæcumque enim oriuntur è terra, cùm fructus producere parant, priùs pullulant, & flores ac gramina proferunt. Vitem excultam aspice, vt mirificè sit à natura ornata sarmentis, adminiculis, propaginibus & pampinis vinosis, quæ tametsi vocem nullam edant, arboris tamen lætitiam ob fructum aduenientē indicant. quinetiam dies ipse præ arridet diluculo, antequā Sol oriatur. splendor enim splendoris nuncius est, & lux obscurior lumen clarius anteuertit. Itaque bono iam venienti, comes adest lętitia: expectato verò spes. siquidem lætamur cùm aduenit: speramus autem cùm instat. sicut in contrarijs etiam contingere solet. Etenim mali præsentia dolorem; expectatio verò metum gignit. Metus ergo nihil aliud erat quam tristitia ante tristitiā, vt spes gaudium præ gaudio. quam enim opinor rationem habet metus ad dolorem, eandem spes ad gaudium. Signa porro manifesta eius quod dicitur, sensus exhibēt. Nam odoratus gustui præpositus, esculenta & poculenta ferme præiudicat omnia: vnde prægustatorem sensus rectè quidam nominauēre, cùm ipsius effectum animaduertissent. spes etiam ad id à natura comparata videtur, vt futurū bonum quasi prægustaret, idque animo commendaret, qui firmiter possideret. Proinde cùm quis in itinere conficiendo fame vel siti correptus est, si repente fontes viderit aut arbores omnis generis suauibus onustas fructibus, tametsi nondum comederit nec biberit, ac ne hauserit quidem, decerpseritve, spe tamen ipsa fruitionis ante impletur. Deinde censebimúsne nos corporis quidē alimentis ante vsum pasci posse: mentis vero cibos idoneos non esse ad nos exhilarandos, cum epulas nobis apparant. Risit igitur merito cum nondū satus videretur in mortali genere risus. Nec ipse tantum, verū etiam mulier ridet. Pronunciatur enim denuo; *Risit autem Sarra in*
Gen. 18. *semetipsa*, aiens Nondum vltro suaptéque sponte se mihi bonū obtulit, sine meditatione & labore, ad hanc vsque diē: Sed is qui pollicetur, Dominus meus est & antiquior omni ortu: cui fidē necesse est adhibere. Quinetiam simul edocet virtutē natura rem esse delectabilem, vtque ea præditus semper gaudeat, vtque è contrario. vitium molesta res sit, eóque cōtaminatus summis doloribus & molestijs afficiatur.

A τὰ πολλὰ πάσχει. ἐλπιζομένου γὰρ τἀγαθοῦ, προγήθει· ὡς τρόπον τινὰ χαίρειν πρὸ χαρᾶς, καὶ εὐφραίνεσθαι πρὸ εὐφροσύνης. εἰκάσαι δ' ἄν τις αὐτὸ καὶ τῷ περὶ τὰ φυτὰ συμβαίνοντι. καὶ γὰρ αὐτὰ, ὁπότε μέλλει καρποφορεῖν, προβλαστάνει καὶ προανθεῖ καὶ χλοηφορεῖ. τὴν ἡμερίδα ἄμπελον ἴδε, ὡς ὑπὸ φύσεως τεθαυματούργηται, κλήμασιν, ἕλιξι, μοσχεύμασι, πετάλοις οἰναροῖς· ἃ φωνὴν οὐκ ἀφιέντα, μηνύει τὴν ἐπὶ τῷ μέλλοντι καρπῷ τοῦ δένδρου χαράν. καὶ ἡ ἡμέρα μέντοι
B προγελᾷ πρὸς βαθὺν ὄρθρον, μέλλοντος ἀνίσχειν ἡλίου· αὐγὴ γὰρ αὐγῆς ἄγγελος, καὶ φῶς φωτὸς ἀμυδρότερον τηλαυγεστέρου προεξέρχεται. ἥκοντι μὲν οὖν ἤδη τῷ ἀγαθῷ, συνομαρτεῖ χαρά· προσδοκωμένου δὲ, ἐλπίς· ἀφικομένου μὲν χαίρομεν, μέλλοντι δὲ ἐλπίζομεν· καθάπερ καὶ ἐπὶ τῶν ἐναντίων ἔχειν συμβέβηκεν. ἡ μὲν γὰρ παρουσία τοῦ κακοῦ, λύπην· ἡ δὲ προσδοκία, φόβον ἐγέννησεν. φόβος δὲ ἄρα ἦν οὐδὲν, ἢ λύπη
C πρὸ λύπης· ὥσπερ ἐλπὶς, χαρὰ πρὸ χαρᾶς. ὃ γὰρ εἶναι πρὸς λύπην φόβος, τοῦτο πρὸς χαρὰν ἐλπίς. σημεῖα δὲ τοῦ λεγομένου καὶ αἰσθήσεις ἐναργῆ περιφέρουσι. γεύσεως γὰρ ὄσφρησις προκαθημένη, τὰ πρὸς ἐδωδὴν καὶ πόσιν σχεδὸν ἅπαντα προδικάζει· ἀφ' οὗ καὶ προγευστρίδα αὐτὴν ἐκάλεσαν εἰς τὴν ἐνέργειαν ἀπιδόντες, εὐθυβόλως ἔνιοι. πέφυκε δὲ καὶ ἡ ἐλπὶς ὡσανεὶ τοῦ μέλλοντος ἀγαθοῦ προγάνυσθαι, καὶ διασυνιστάναι αὐτὸ ψυχῇ τῇ βεβαίως κτησομένῃ. κἂν
D τῆς ὁδοιπορίας μέντοι πεινήσας τις καὶ διψήσας, πηγὰς ἐξαίφνης ἰδὼν ἢ δένδρα παντοῖα ἡμέροις βρίθοντα καρποῖς, μήπω φαγὼν ἢ πιὼν, ἀλλὰ μηδὲ * ἱδρυσάμενος ἢ δρεψάμενος, ἐλπίδι τῆς ἀπολαύσεως προπληροῦται· εἶτ' οἰόμεθα ταῖς μὲν τοῦ σώματος τροφαῖς καὶ πρὸ τῆς χρήσεως * αἰτιᾶσθαι δύνασθαι, τὰς δὲ τῆς διανοίας οὐχ ἱκανὰς εἶναι καὶ ὁπότε μέλλοιεν ἑστιᾶν προευφραίνειν; ἐγέλασεν οὖν εἰκότως, μήπω δοκοῦντος ἐν τῷ θνητῷ γένει σπαρῆναι τοῦ γέλω-
E τος. καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ἡ γυνὴ γελᾷ. λέγεται γὰρ αὖθις· ἐγέλασε δὲ Σάῤῥα ἐν ἑαυτῇ λέγουσα· οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν ἄνευ μελέτης ἀπαυτοματίζον ἀγαθόν· ὁ δὲ ὑποσχόμενος, κύριός μου καὶ πρεσβύτερος πάσης γενέσεώς ἐστιν· ᾧ πιστεύειν ἀναγκαῖον. ἅμα μέντοι καὶ ἀναδιδάσκει, ὅτι ἡ ἀρετὴ χαρτὸν ἐστὶ φύσει, καὶ ὁ ἔχων αὐτὴν, ἀεὶ γέγηθε. καὶ τοὐναντίον, ὅτι ἥ τε κακία λυπηρὸν, καὶ ὁ ἔχων, ὀδυνηρότατος.

[illegible] [illegible]

ἔπειτα θαυμάζομεν τῶν φιλοσόφων τοὺς λέγοντας, τὴν ἀρετὴν ἀπάθειαν εἶναι. ἰδοὺ γὰρ Μωσῆς χορηγὸς ἀνευρίσκεται τοῦ δόγματος, χαίροντα καὶ γελῶντα παράγων τὸν ἀστεῖον. ἀλλαχόθι δὲ, οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς εἰς ταὐτὸν ἀφικνουμένους αὐτῷ. ἰδών γάρ σε, φησὶ, χαρήσεται ἐν αὐτῷ. ὡς τῆς τοῦ σπουδαίου προσόψεως αὐτὸ μόνον ἱκανῆς οὔσης ἀναπληρῶσαι τὴν διάνοιαν εὐφροσύνης, ἀποφορτισαμένης τὸ ἀργαλεώτατον ψυχῆς κακῶν λύπην. φαύλῳ δ' οὐδενὶ χαίρειν ἐφεῖται, καθάπερ καὶ ἐν προφητικαῖς ᾄδεται ῥήσεσι, χαίρειν οὐκ ἔστι τοῖς ἀσεβέσιν, εἶπε θεός. λόγος γὰρ ὄντως καὶ χρησμός ἐστι θεῖος, σκυθρωπὸν καὶ ἐπίλυπον καὶ μεστὸν βαρυδαιμονίας εἶναι τὸν πονηροῦ βίον, κἂν προσποιῆται τῷ προσώπῳ μειδιᾶν. οὐ γὰρ τοὺς Αἰγυπτίους χαίρειν ἂν εἴποιμι πρὸς ἀλήθειαν, ἡνίκα τοὺς ἀδελφοὺς Ἰωσὴφ ἥκοντας ἤκουσαν· ἀλλ' ὑπομορφάζειν, καθυποκρινομένους τὸ δοκεῖν. οὐδενὶ γὰρ ἐπιστὰς ἔλεγχος ἀφρόνων, δι' ἡδονῆς ἐστιν· ὥσπερ οὐδ' ἰατρὸς ἀκρατεῖ νοσοῦντι. πόνος μὲν γὰρ τοῖς συμφέρουσι, ῥᾳστώνη δὲ τοῖς βλαβεροῖς ἕπεται· πόνου δὲ ῥᾳστώνην προκρίναντες, εἰκότως τοῖς τὰ συμφέροντα ἀπεργάζεσθαι εἰσηγουμένοις ἐπιφθονοῦσιν. ἂν ἀκούσῃς, ὅτι ἐχάρη Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ διὰ τὴν τῶν ἀδελφῶν Ἰωσὴφ ἄφιξιν· μὴ νόμιζε πρὸς ἀλήθειαν ἡσθῆναι, εἰ μὴ κατ' ἐκεῖνο ἴσως, ὅτι προσεδόκησαν αὐτὸν μεταβαλεῖσθαι ἀπὸ τῶν ψυχῆς ἀγαθῶν, οἷς συνετράφη, πρὸς τὰς τοῦ σώματος ἀνηνύτους ἐπιθυμίας, τὸ ἀρχαῖον καὶ προγονικὸν ἀρετῆς συγγενοῦς νόμισμα παρακόψαντα. τοιαῦτα δ' ἤλπισας ὁ φιλήδονος νοῦς αὔταρκες οὐχ ὑπολαμβάνει τοὺς νεωτέρους, καὶ ἄρτι πρὸς τὰ σωφροσύνης γυμνάσια φοιτῶντας, ἐπιθυμιῶν δελέασιν ἀγκιστρεύσασθαι· δεινὸν δὲ νενόμικεν εἶναι, εἰ μὴ καὶ τὸν πρεσβύτερον ὑπάξεται λόγον, οὗ τὰ λυττῶντα πάθη καθήβησε. λέγει γὰρ αὖ, τὰς ζημίας ὡς ὠφελείας προτείνων· παραλαβόντες τὸν πατέρα, καὶ τὰ ὑπάρχοντα ὑμῶν, ἥκετε πρός με· ἐπ' Αἰγύπτου καὶ τοῦ φοβεροῦ τούτου βασιλέως, ὃς καὶ τὰ πατρῷα, καὶ τὰ ὄντως ὑπάρχοντα ἀγαθὰ ἔξω προεληλυθότος τοῦ σώματος (φύσει γὰρ ἐστὶν ἐλεύθερα) ἀντισπᾷ βιαζόμενος δεσμωτηρίῳ πάνυ πικρῷ παραδοῦναι καταστήσας εἱρκτοφύλακα, ὥς φησι τὸ λόγιον, Πετεφρῆ τὸν σπάδοντα καὶ ἀρχιμάγειρον, σπάνει κεχρημένον τῶν καλῶν, καὶ τὰ γεννητικὰ τῆς ψυχῆς ἐκτετμημένον,

A Præterea cùm eos philosophos etiamnum admiremur qui virtutem asserunt affectuum priuationem seu doloris carentiam esse: en Moses sapientis huius decreti autor reperitur, dum vrbanum virum lætantem ac ridentem producit. Itémque alio loco non ipsum tantum, sed eos etiam qui eodem quo ipse perueniunt. *Nam cùm te viderit*, inquit, *lætabitur in se ipso.* quasi solus studiosi aspectus abunde sufficiat ad implendam lætitia mentem, deposita mœstitia quæ animi malorum molestissimum est. Sed B improbo nemini gaudere permittitur: vt in propheticis canitur sententijs: *Lætari non est fas impijs*, inquit Deus. Est enim oratio veritati consentanea & oraculum diuinum; Praui cuiusque vitam mœstam tristitiæque & miseriæ plenam esse, tametsi vultu se ridere simulet. Enimvero Ægyptios gauisos esse non ausim dicere ex rei veritate, cum Iosephi fratres accedere audirent: verum ita vultum composuisse & finxisse vt læti viderentur. Nulli C enim stulto placet reprehensio vrgens: vt nec medicus intemperanti ægroto iucundus est. Etenim labor ea sequitur quæ sunt vtilia: mollities verò noxia comitatur. Qui ergo ignauiam labori præferunt, meritò succensent ijs qui adferunt conducentia. Itaque cùm audis Pharaonem cum familia sua lætatum fuisse ob aduentum fratrum Iosephi, ne putes eos verè gauisos fuisse, nisi ob eam fortasse causam, quòd sperarent Iosephum animi sui bonorum iacturam facturum cum alijs conuersando, & antiquum atque aui- D tum virtutis ingenitæ numisma inanibus corporis libidinibus inquinaturum & corrupturum. Hac spe adducta mens libidinosa non satis esse existimat si iuniores, & recenter Temperantiæ scholas frequentantes, voluptatum illecebris inescet, sed graue etiam ac molestum ducit, si antiquiorem non subducat rationem, cuius furentes ac rapidi affectus consenuere. Ait enim rursus, damna ceu commoda proponens, *Assumpto patre vestro & omnibus vestris fa-* E *cultatibus accedite ad me.* Hæc in Ægypto nimirum facta sunt, & sub terribili illo Rege, qui & paterna & reapse bona, quæ natura sunt libera, corpore extra progresso, retro trahit, cogens ea carcere retro includere, custode constituto, vt asserit oraculum, Pentephre spadone & coquorum principe, qui raro honestis incumberet studijs, & animi partes ad generandum aptas, excisas haberet;

Exod. 4.
Deut. 6.
Esa. 48.
Gen. 45.
Ibid.

nec vero amplius ferere quid & plantare valeret eorum quæ ad doctrinam spectant: sed coqui more animantes cæderet atque in frusta secaret, & in mortuis atque inanimis non corporibus magis quàm rebus occuparetur: & superfluis condimentis excitaret atque irritaret vanorum affectuũ appetitus, quos par erat cicurando demulcere. Addit autem Pharao, *Largiar vobis ex omnibus Ægypti bonis, & è medullis terræ comedetis.* (Ibid. 45.) Verùm dicemus ei: Nos qui animi bona vidimus, corporis commodum non adibimus. Nam suauissimum illorum desiderium infusum, altéque infixum, satis habet virium ad obliuionem carnis deliciarum inducendam. Talis certe quædam est falsa & inanis stultorum lætitia. Vera autem prius exposita est, quæ solis congruit vrbanis. Quare postquam cecidisset, risit. non, cum à Deo excidisset, sed cùm à semetipso. stetit enim iuxta incommutabile, & à propria existimatione cecidit. quocirca arrogante & fastuoso deturbato iudicio, & pia Deóque grata sententia excitata, & circa immotum tantum stabilita, cùm risisset, dixit illicò cogitatione: *An centenario nascetur, & Sarra nonagenaria pariet?* (Gen. 17.) Ne ergo censeas (vir ingenue) hæc verba, *Dixit* (nõ ore, sed) *cogitatione*, adiecta fuisse frustra & ab re, sed potius valde circunspectè consideratè. Qua de causa? quia videtur dũ proferret hæc, *An centenario nascetur?* (Ibid.) de ortu Isaaci ambigere, quem tamẽ antea credidisse dicebatur, vt indicauit istud oraculum paulo ante editum: *Non erit hic heres tuus, sed is qui egredietur ex te.* (Gen. 15.) Deinde mox subiunxit, *Credidit Abrahã Deo, & reputatum est ipsi ad Iustitiam.* Quoniã igitur consentaneum non erat, eum qui crediderat, ambigere & in dubio esse: nõ diuturnam præstitit dubitationẽ, sed ore tantum & lingua tenus prodeuntem, ibique insistẽtem, in celeri motu prædita mente. *Dixit* enim, inquit, *animo & cogitatione*, quam quidem nihil eorum quæ ob velocitatem commẽdantur, anteuertere valeret, cum volucres ipsas naturas omnes anteeat. Vnde mihi videtur celeberrimus Poetarũ Græcorum dixisse: *tanquam auis, aut mens.* Magnam in eo celeritatem declarãs, quod figuratè, vt cresceret oratio, post alitem subiecit cogitationem. Etenim cogitatio in eodẽ & negotio & corpore ad plurima progreditur, cùm incredibili pernicitate, & ad ipsos terræ marisque fines statim peruolitat, immensa locorum spatia ore concidens & tranans: adeò vt eodem temporum momento tantum supra terrã emineat, vt per aerem ad æthera perueniat,

A ἔτι δὲ σπείρειν καὶ φυτεύειν τι τῶν κατὰ παιδείαν ἀδυνατοῦντα, μαγείρου τρόπον κατατέμνοντα τὰ ζῶντα, καὶ κατὰ μέρη καὶ κατὰ μέλη κόπτοντα καὶ διαιροῦντα, καὶ ἐν ἀψύχοις καὶ νεκροῖς καλινδούμενον, οὐ σώμασι μᾶλλον ἢ πράγμασι καὶ ταῖς περιέργοις παραρτύσεσιν ἀνεγείροντα καὶ ἀνερεθίζοντα τὰς τῶν ἀνηνύτων παθῶν ὁρμάς, ἃς εἰκὸς ἦν τιθασεύοντας πραΰνειν. ὁ δέ, καὶ δώσω φησὶν ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν μυελὸν γῆς. B ἀλλ' ἐροῦμεν αὐτῷ· σώματος ἀγαθὸν οὐ προσιέμεθα οἱ τὰ ψυχῆς ἰδόντες. ἱκανὸς γὰρ ὁ περιπόθητος ἐκείνων ἵμερος ἐντακείς, πάντων, ὅσα τῇ σαρκὶ φίλα, λήθην ἐργάσασθαι. τοιαύτη μέν τις ἡ ψευδώνυμος χαρὰ τῶν ἀφρόνων· ἡ δὲ ἀληθής, ὡς προείρηται, μόνοις ἀστείοις ἐφαρμόζουσα. πεσὼν οὖν, ἐγέλασεν. οὐκ ἀπὸ θεοῦ πεσών, ἀλλ' ἀφ' ἑαυτοῦ· ἔστη μὲν γὰρ περὶ τὸν ἄτρεπτον, ἔπεσε δὲ ἀπὸ τῆς ἰδίας οἰήσεως, διὸ καὶ τοῦ δοκησισόφου καταβληθέντος φρονήματος, ἀνεγερ- C θέντος δὲ τοῦ φιλοθέου, καὶ περὶ τὸν ἀκλινῆ μόνον ἱδρυνθέντος, γελάσας εὐθὺς εἶπε τῇ διανοίᾳ· εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ ἡ Σάρρα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται. μή τι νομίσῃς, ὦ γενναῖε, τὸ εἰπεῖν οὐχὶ τῷ στόματι ἀλλὰ τῇ διανοίᾳ προσκεῖσθαι παρέργως, ἀλλὰ καὶ πάνυ ἐξητασμένως. διὰ τί; ὅτι ἔοικε διὰ τοῦ φάσκειν εἰ τῷ ἑκατονταετεῖ γενήσεται, περὶ τῆς Ἰσαὰκ ἐνδοιάζειν γενέσεως, ἐφ' ᾗ πρότερον ἐλέγετο πιστεῦσαι, ἐν ᾗ ἐδήλου τὸ χρησθὲν πρὸ μικροῦ τόδε· οὐ κληρονο- D μήσει σε οὗτος, ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ. εἶτ' εὐθὺς εἶπεν· ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἐπεὶ τοίνυν ἀκόλουθον οὐκ ἦν ἐνδοιάσαι τῷ πεπιστευκότι, πεποίηκε τὸν ἐνδοιασμόν, οὐ πολυχρόνιον, μηκυνόμενον μέχρι γλώττης καὶ στόματος, ἀλλ' αὐτοῦ που περὶ τὴν ὀξυκίνητον διάνοιαν ἱστάμενον. τῇ γὰρ διανοίᾳ, φησίν, εἶπεν· ἣν τῶν εἰς ποδώκειαν ἐπαινουμένων οὐδὲν ἂν ἰσχύσαι παραδραμεῖν· ἐπεὶ καὶ τὰς πτηνὰς φύσεις ἁπάσας ἔφθακεν. ἀφ' οὗ μοι E δοκεῖ καὶ τῶν παρ' Ἕλλησι ποιητῶν ὁ δοκιμώτατος, ὡσεὶ πτερὸν ἢ νόημα, φάναι· δηλοῖ τὸ τῆς ὀξύτητος τάχος, καθ' ἐπίτασιν ὕστερον τοῦ πτεροῦ τὸ νόημα θείς. ἐπὶ πολλὰ γὰρ ἡ διάνοια ἐν ταὐτῷ πράγματι ὁμοῦ καὶ σώματι στείχει μετ' ἀλέκτου φορᾶς, καὶ ἐπὶ τὰ γῆς καὶ θαλάττης αὐτίκα πέρατα φθάνει, συναιροῦσα καὶ τέμνουσα τὰ ἄπειρα μεγέθη διαστήματος κατὰ δὲ τὸν αὐτὸν χρόνον τοσοῦτον ἀπὸ γῆς ἀναπηδᾷ. ὡς δι' ἀέρος εἰς αἰθέρα διέρχεσθαι.

καὶ μόλις περὶ τὴν ἐσχάτην τῶν ἀπλανῶν ἁψῖδα ἵστασθαι. τὸ γὰρ ἔνθερμον καὶ διάπυρον, ἠρεμεῖν αὐτὴν οὐκ ἐᾷ. διὸ πολλὰ ὑπερβάλλουσα, καὶ τοὺς τῆς αἰσθητῆς τούτου ὅρους ἔξω φέρεται πρὸς τὸν ἐκ τῶν ἰδεῶν παγέντα συγγενικῶς. γέγονεν οὖν περὶ τὸν ἀστεῖον ἡ τροπὴ βραχεῖα, ἄτομος, ἀμερής, οὐκ αἰσθητή, νοητὴ δὲ μόνον εἰπεῖν τινα, ἄχρονος. ἀλλ' ἴσως ἄν τις εἴποι, τί οὖν; γε ὅτι πεπιστευκὼς ἴχνος, ἢ σκιάν, ἢ αὔραν ἀπιστίας δέχεται ὁ ἄνθρωπος. οὐδὲν δὲ οὐδὲν ἕτερον μοι βούλεσθαι δοκεῖ, ἢ τὸν γενόμενον ἀποφαίνειν ἀγένητον, καὶ τὸν θνητὸν ἀθάνατον, καὶ τὸν φθαρτὸν ἄφθαρτον, καὶ τὸν ἄνθρωπον (εἰ θέμις εἰπεῖν) θεόν. τὴν γὰρ πίστιν ἣν ἔλαχεν ἄνθρωπος, οὕτω βεβαίαν φησὶ δεῖν εἶναι, ὡς μηδὲν διαφέρειν τῆς περὶ τὸ ὂν τῆς ἀρτίου καὶ περὶ πάντα πλήρους. λέγει γὰρ Μωσῆς ἐν ᾠδῇ τῇ μείζονι· θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. πολλὴ δὲ ἄγνοια, νομίζειν τὰς θεοῦ ἀρετάς, τὰς ἀκράτους καὶ παγιωτάτας, χωρῆσαι ψυχὴν ἀνθρώπου δύνασθαι. ἀγαπητὸν γὰρ, εἰκόνας αὐτῶν κτήσασθαι δυνηθῆναι, πολλοῖς καὶ μεγάλοις ἀριθμοῖς τῶν ἀρχετύπων ἐλαττουμένας. καὶ μήποτ' εἰκότως; ἀκράτους μὲν γὰρ ἀναγκαῖον εἶναι τὰς θεοῦ ἀρετάς. ἐπεὶ καὶ ὁ θεὸς οὐ σύγκριμα, φύσις ὢν ἁπλῆ· κεκερασμένας δὲ τὰς τῶν ἀνθρώπων· ἐπεὶ καὶ ἡμεῖς γεγόναμεν κράματα, θείου καὶ θνητοῦ συγκερασθέντων, καὶ κατὰ τοὺς τῆς τελείας μουσικῆς λόγους ἁρμοσθέντων. τὸ δὲ ἐκ πλειόνων συνεστὼς, φυσικὰς πρὸς ἕκαστον τῶν μερῶν ἀνθολκὰς ἔχει. εὐδαίμων δὴ, ὅτῳ ἐξεγένετο τὸν πλείω τοῦ βίου χρόνον πρὸς τὴν ἀμείνω καὶ θειοτέραν μοῖραν ταλαντεύειν. ἅπαντα γὰρ τὸν αἰῶνα, ἀμήχανον· ἐπεὶ καὶ τὸ ἀντίπαλον θνητὸν ἄχθος ἔστιν ὅτε ἀντιρρέψαν, καὶ ἐφεδρεῦον καὶ ἐγκαιροφυλακοῦν τὰς ἀκμὰς τοῦ λογισμοῦ ὡς ἀντιβιάσασθαι. πεπίστευκεν οὖν Ἀβραὰμ τῷ θεῷ· ἀλλ' ὡς ἄνθρωπος πεπίστευκεν· ἵνα τὸ ἴδιον τοῦ θνητοῦ γνῷς, καὶ μάθῃς οὐκ ἄλλως αὐτῷ συμβῆναι εἰ μὴ ἐκ φύσεως τὴν τροπήν. ἀλλ' εἰ βραχεῖα καὶ* ἄχρονος γέγονεν ἄξιον εὐχαριστεῖν· πολλοὶ γὰρ ἕτεροι τῇ ῥύμῃ καὶ φορᾷ κατακλυσθέντες καὶ τῇ βίᾳ, εἰσάπαν ἠφανίσθησαν. οὐκ ἔστι γὰρ, ὡς φησι κατὰ τὸν ἱερώτατον Μωσῆν,

* ἀμερὴς

A atque ægrè se contineat in extremo orbe, in quo infixæ sunt inerrantes stellæ: quandoquidem flãmeus & igneus vigor qui in ipsa est intelligentia, eam non sinit quiescere. Quare multa exsuperans, & longè hos totius naturæ sub sensum cadentis limites excedens, ad Mundum ex Ideis concretum cognationis iure contendit. Quapropter in Vrbano contigit exigua mutatio, indiuidua, nullis partibus distincta, quæque sub sensum non caderet, sed tantũ intelligentia quodam modo perciperetur, B temporisque expers esset. Dicet vero fortasse aliquis: An igitur qui semel quid credidit, vestigium vel vmbram vel momentũ diffidentiæ prorsus admittere potest; Is autem aliud nihil mihi velle videtur, quã natum asseuerare ortus expertẽ esse, mortalémque esse immortalẽ & caducum sempiternum, hominémque ipsum si ita loqui fas est, Deum. Etenim fidẽ quam, sortitus & nactus est homo, adeo firmã asserit esse oportere, vt nihil discrepet ab ea, quæ ha- C betur de eo quod reapse est, & perfecta omnique ex parte absoluta est. Ait quippe Moses in Cantico maiore: *Fidelis Deus, neque vlla est iniquitas in eo.* Magna autem inscitia est censere humanarũ animum Dei virtutes firmissimas & solidissimas posse comprehendere, quoniam sufficere ei debet si imagines multis magnisque numeris inferiores exemplaribus cõparare valeat. neque id iniuria. siquidẽ Dei virtutes puras esse necesse est: quoniam Deus nihil concreti est, cùm natura sit simplex, hominum vero mixtas virtutes esse conuenit: D quippe cum ex diuina & humana natura temperati simus, & secundũ perfectæ Musicæ rationes cõnexi & coagmẽtati. Quod autem ex pluribus est constitutũ, naturales ad vnamquamque partiũ recursus ac reflexiones habet. Is vero demũ beatus est, cui liberũ integrumque fuit longiore vitæ tẽpore in meliorẽ ac diuiniorẽ partem propendere. nam toto æuo, nimis arduum ac difficile est: quoniam pondus mortale oppositum aliquando præponderat, & insi- E dijs structis intempestiua Ratiocinationis tempora accuratè obseruat, quo ei vim afferre cõmodius possit. Quocirca Abrahamus Deo fidẽ habuit, sed tanquam homo credidit, vt quid propriũ habeat mortalis agnoscas, sciásque haudquaquã aliter ipsi euenisse mutabilitatem, quàm à natura: ac si quidem illa breuis & momentanea extiterit: æquum est agere gratias, quando plerique conuersione, vi & impetu submersi, planè exstincti sunt. Neque enim est bone vir ex sanctissimi Mosis sententia,

Deut. 32.
Gen. 32.

incolumis & integra virtus in mortali corpore: Verum aliquid tale perpetitur quale torpedo, & aliquantulum claudicat: *Torpore affecta est*, inquit, *latior pars coxæ, qua claudicauit.* (Gen. 32.) Sed fortasse confidentior aliquis huc se conferens dixerit, quod ne diffidentis quidem sit oblatio, sed orantis: ita vt si lætitia voluptatum suauissima gignenda sit, non alijs numeris potius, quàm nonaginta annos natis, procreetur; quo sic absolutum bonum perfectis numeris ad ortum veniat. Absoluti porrò sunt dicti numeri, vel ipso sacratissimorum potissimum commentariorum testimonio. Sem recto quidem ordine filius iusti Noæ, progenitor vero perspicacis generis, centum annorum fuisse fertur, cùm Arphaxat genuit, qui exponitur, *Conturbauit ærumnam.* (Gen. 11.) Præclarus certè fœtus animi, est exagitare, & confundere & profligare ærumnosam & malis refertam Iniustitiam. Abrahamus quoque aruum conserit aggeris ruderisve centesima ratione, ad loci dimensionem. Isaacus etiam hordeum centuplo auctum reperit. Moses vero atrium sacri tentorij construit, centum cubitorum dimetiens interuallum, tam ad ortum quàm versus occasum. Præterea primitiarum primitiæ sunt centesima portio: quam Leuitæ sacris operantibus tribuunt. Nam cùm decimas perciperent à gente; iniunctum est, veluti à proprijs possessionibus, sacerdotibus quasi decimam rationum sacram concedere. Enimverò pleraque alia quis meditando inuenire posset, quæ in legibus se offerunt, ad istius numeri commendationem; sed in præsentia abundè sufficiunt, quæ diximus. Etenim si à centum decimas sacras primitias seposueris Deo animi fructus inserenti, augenti & implenti, alium numerũ nonagesimum relinques. Cur enim is perfectus non esset, qui finitimus est primæ & decimæ, quo modo sancta sanctorum distinguuntur, medio velo interiecto, quo ea quæ eiusdem generis sunt, diuiduntur iuxta partitiones quæ formis accidunt. Quapropter Vrbanus cogitatione & mente loquebatur re vera vrbana. Vitiosus autem explicat interdum præclarè quæ pulchra sunt, sed fœdè præstat turpissima. Sicut Sychem proles stupiditatis: (Iudic. 9.) Patre siquidem prognatus est Emor, qui expositus, appellatur Asinus. Ipse autem Sychem exponitur, Humerus, qui est Laboris nota. Improbus porrò & ærumnæ (Gen. 34.) plenus est labor quem parit stupiditas: veluti conducibilis est is, cui affinis est soler-

A ἀρτίπους ἡ ἐν θνητῷ σώματι ἀρετή· ἀλλὰ παραπλήσιόν τι πάσχουσα νάρκῃ, μικρὸν ὅσον ἐπισκάζουσα. ἐνάρκησε γάρ φησι τὸ πλάτος τοῦ μηροῦ, ᾧ καὶ ἐπίσκαζεν. ἴσως δ' ἂν τὴν εὐθαρσεστέραν εἴποι τις προελθὼν, ὅτι οὐδὲ ἀπιστοῦντός ἐστιν ἡ προσφορὰ, ἀλλ' εὐχομένου· ἵν' εἰ μέλλοι τὴν εὐπαθειῶν ἡ ἀρίστη γεννᾶσθαι χαρὰ, μὴ ἑτέροις ἀριθμοῖς μᾶλλον ἢ τοῖς ἐνενηκονταέταις οὖσι τεχθῇ· ἵνα τὸ τέλειον ἀγαθὸν τελείοις ἀριθμοῖς εἰς γένεσιν ἔλθῃ. B τέλειοι δ' οἱ λεχθέντες ἀριθμοὶ καὶ μάλιστα κατὰ τὰς ἱερωτάτας ἀναγραφάς. ἴδωμεν δ' αὐτὴν ἑκατηρα· Σὴμ εὐθέως μὲν ὁ υἱὸς τοῦ δικαίου Νῶε, πρόγονος δὲ τοῦ ὁρατικοῦ γένους, ἑκατὸν ἐτῶν εἶναι λέγεται ἡνίκα ἐγέννησε τὸν Ἀρφαξὰτ, ὃς ἑρμηνεύεται συνετάραξε ταλαιπωρίαν. καλόν γε ἔγγονον ψυχῆς, κλονεῖν καὶ συγχεῖν καὶ διαφθείρειν τὴν ταλαίπωρον καὶ γέμουσαν κακῶν ἀδικίαν. C ἀλλὰ καὶ Ἀβραὰμ ἄρουραν φυτεύει χώματος ἑκατοστῷ λόγῳ πρὸς ἀναμέτρησιν τοῦ χωρίου· καὶ Ἰσαὰκ ἑκατοστεύουσαν εὑρίσκει κριθήν. καὶ τὴν αὐλὴν τῆς ἱερᾶς σκηνῆς Μωσῆς κατασκευάζει πήχεσιν ἑκατὸν, τὸ πρὸς ἀνατολὰς καὶ δυσμὰς ἀναμετρούμενος διάστημα. ἔστι δὲ καὶ ἀπαρχῆς ἀπαρχὴ ὁ ἑκατοστὸς λόγος, ὃν Λευῖται τοῖς ἱερωμένοις ἀπάρχονται. λαβοῦσι γὰρ αὐτοῖς τὰς δεκάτας παρὰ τοῦ ἔθνους διείρηται, καθάπερ ἀπὸ κτημάτων D οἰκείων, τοῖς ἱερεῦσι διδόναι ὡς δεκάτην λόγον ἱερόν. πολλὰ δ' ἄν τις καὶ ἄλλα σκοπῶν εὕροι πρὸς ἔπαινον τοῦ λεχθέντος ἀριθμοῦ τοῖς νόμοις ἐμφερόμενα· πρὸς δὲ τὸ παρὸν, διεξαρκεῖ τὰ εἰρημένα. ἀλλ' ἐὰν τοῦ ἑκατὸν ἀφέλῃς δεκάτην ἱερὰν ἀπαρχὴν, τῷ τῆς ψυχῆς φέροντι καὶ αὔξοντι καὶ πληροῦντι καρποὺς θεῷ· ἕτερον ἀριθμὸν τὸν ἐνενήκοντα ἀπολείψεις. πῶς γὰρ οὐ τέλειος, μεθόριος ὢν πρώτης καὶ δεκάτης, καθ' ὃν διακρίνεται E τὰ ἅγια τῶν ἁγίων τόπου, καταπετάσματος τοῦ μέσου, ᾧ τὰ ὁμογενῆ διαστέλλεται κατὰ τὰς ἐν τοῖς εἴδεσι τομάς. ὁ μὲν οὖν ἀστεῖος ἤδη τῇ διανοίᾳ τὰ ἀστεῖα ὄντως· ὁ δὲ φαῦλος, ἑρμηνευθεὶς ἐστὶν ὅτε παγκάλως τὰ καλὰ, πράττει δὲ αἰσχρῶς τὰ αἴσχιστα, καθάπερ καὶ Συχὲμ ὁ ἔγγονος ἀνοίας. Ἐμμὼρ γάρ ἐστι πατρὸς, ὃς μεταληφθεὶς, ὄνος καλεῖται. αὐτὸς δὲ ἑρμηνευθεὶς ἐστὶν ὦμος, πόνου σύμβολον. ἄθλιος δὲ καὶ ταλαιπωρίας μεστὸς πόνος, ὃν ἄνοια γεννᾷ· ὥσπερ ὠφέλιμος, ᾧ συγγενὴς ἀγχίνοια.

φασὶ γοῦν οἱ χρησμοί, ὅτι ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου ταπεινώσας αὐτὴν πρότερον ὁ Συχέμ. ἆρ' οὖν ἐξητασμένως ἐλέχθη τὸ ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου, μονονοὺκ εἰς δήλωσιν τοῦ τἀναντία οἷς εἶπεν εἰργασμένου; Δίνα γάρ ἐστιν ἡ ἀδέκαστος κρίσις, ἡ πάρεδρος θεοῦ δίκη, ἡ ἀειπάρθενος· ἑρμηνεύεται γὰρ ἑκάτερον Δίνα, κρίσις ἢ δίκη. ταύτην οἱ ἐπιχειροῦντες ἄφρονες διαφθείρειν διά τε τῶν καθ' ἑκάστην ἡμέραν βουλευμάτων καὶ ἐπιτηδευμάτων, εὐπρεπείᾳ λόγου διαδιδράσκουσι τὸν ἔλεγχον. χρὴ γοῦν αὐτοὺς ἢ ἀκόλουθα τοῖς λεγομένοις πράττειν, ἢ ἀδικοῦντας ἡσυχάζειν. ἥμισυ γάρ φασι κακοῦ, ἡσυχία. καθὰ καὶ Μωσῆς ἐπιτιμῶν τῷ πρεσβείων μὲν ἀξιώσαντι γένεσιν, δευτερείων δὲ τὸν ἄφθαρτον θεόν, φησίν· ἥμαρτες, ἡσύχασον. τὸ γὰρ ἐκτραγῳδεῖν καὶ ἐπικομπάζειν τὰ κακὰ διπλοῦν ἁμάρτημα. σχεδὸν δὲ οἱ πολλοὶ πεπόνθασι τοῦτο. λέγουσι μὲν γὰρ ἀεὶ τῇ παρθένῳ ἀρετῇ τὰ φίλα καὶ δίκαια· καιρὸν δὲ οὐδένα παριᾶσιν ἐν ᾧ δυνηθέντες αὐτὴν οὐχ ὑβριοῦσι καὶ κακώσουσι. ποία γὰρ πόλις οὐκ ἔστι μεστὴ τῶν τὴν ἀειπάρθενον ὑμνούντων ἀρετήν, οἳ τὰ ὦτα τῶν παρατυγχανόντων ἀποκναίουσι διεξιόντες τὰ τοιαῦτα· ἡ φρόνησις, ἀναγκαῖον· ἡ ἀφροσύνη, βλαβερόν· αἱρετόν, ἡ σωφροσύνη· ἐχθρόν, ἡ ἀκολασία· ὑπομονῆς ἄξιον ἀνδρεία· φυγῆς ἡ δειλία· συμφέρον ἡ δικαιοσύνη, ἀσύμφορον ἡ ἀδικία· τὸ ὅσιον, καλόν· τὸ ἀνόσιον, αἰσχρόν· τὸ θεοσεβές, ἐπαινετόν· τὸ ἀσεβές, ψεκτόν· τὸ οἰκειότατον ἀνθρώπου φύσει, τὸ εὖ καὶ βούλεσθαι καὶ πράττειν καὶ λέγειν· ἀλλοτριώτατον τὸ κακῶς τούτων ἕκαστον. ταῦτα καὶ τὰ τοιαῦτα ἀεὶ συνείροντες τὰ δικαστήρια καὶ βουλευτήρια, καὶ τὰ θέατρα, καὶ πάντα σύλλογον καὶ θίασον, ἄνθρωποι ἀπατῶσιν· ὥσπερ οἱ προσωπεῖα καλὰ αἰσχίστοις ὄψεσι περιτιθέντες, προνοίᾳ τοῦ μὴ ὑπὸ τῶν ὁρώντων ἐξελεγχθῆναι. ἀλλ' οὐδὲν ὄφελος. ἀφίξονται γάρ τινες εὖ μάλα ἐρρωμένοι καὶ τῷ περὶ ἀρετὴν ζήλῳ κατεσχημένοι, καὶ τὰ περικαλύμματα καὶ περίαπτα ταῦτα, ὅσα λόγῳ κατατεχνοῦντες συνύφαναν, ἀπαμφιάσαντες, καὶ γυμνὴν αὐτὴν ἐφ' αὑτῆς τὴν ψυχὴν αὐγάσαντες, εἴσονται καὶ τὰ ἐν μυχοῖς ἀποκείμενα τῆς φύσεως ἀπόρρητα· εἶτ' ἔξω προαγαγόντες τὴν αἰσχύνην καὶ τὰ ὀνείδη πάντα αὐτῆς, ἐν ἡλίῳ καθαρῷ πᾶσιν ἐπιδείξονται, οἷα πέφυκεν ὡς αἰσχρὰ καὶ καταπτήξασα,

A tia mentis. Aiunt sanè oracula, *Locutus est Sychem secundum mentem virginis, cùm prius eam dedecore affecisset.* Gen. 34. Nonne igitur consideratè dictum est illud, *Locutus est ex mente & sententia virginis*: tantum non ad declarationem eius qui contraria ijs quæ dixerat, præstitit. Est enim Dina Iudicium incorruptum, Iustitia quæ Deo assidet, & virgo semper integra est. Nam vtroque modo exponitur Dina, Iudicium, aut Iustitia. *At* vesani, qui hanc corrumpere aggrediuntur consilijs, stu-
B dijsque & actionibus quotidianis, decore & honestate orationis, reprehensionem effugiunt. Oportet ergo eos aut ijs quæ dicunt consentanea peragere, aut ius violando iniuriámque inferendo, quiescere. Dimidium enim, inquiunt, mali, quies est. proinde Moses increpat eum qui primas tribuebat ortui, secundum vero locum immortali Deo relinquebat: *Deliquisti*, inquit, *quiesce*. Gen. 4. Nam tragicè efferre & fastuosè ostentare mala, geminus error est: sed plerisque fermè id committere
C solent. Etenim virginem Iustitiam blandè & amicè affantur: nullam vero prætermittunt occasionem, quò si possint, eam iniuria & contumelia afficiant. Enim vero quæ ciuitas referta non est ijs qui virtutem semper virginem celebrant, & adstantium aures obtundunt, cum ista prædicant: Prudentia necessaria res est: stultitia, perniciosa: optabilis Temperantia. Incontinentia aduersa & inimica est. Fortitudo cum patientia perferenda. Ignauia, vitanda. Iustitia conducibilis est: Iniustitia inu-
D tilis: quod fas sanctúmque est, præclarum est: quod nefas est, turpe quoque est. Pietas laudabilis: Impietas vituperanda est. Homi um naturæ maximè proprium est, rectè velle, & facere & dicere. Alienum est ab eadem, malè vnumquodque horum præstare. Cùm hæc & similia semper in ore habeant, omnia Prætoria, consistoria, Theatra, concilia & cœtus hominũ decipiunt, vt qui laruas & personas pulchras vultibus fœdissimis adhibent, ne videlicet à spectantibus arguantur. Hæc verò fictio
E nulli vsui est. Accedent enim quidam magno animi robore præditi, & ardenti virtutis amore flagrantes, qui cùm velamina & ornamenta illa orationis artificio contexta, detexerint, ac denudatam apertámque animam illustrarint, perspicient arcana in ipsis naturæ penetralibus abdita, deinde turpitudinem foras producentes, omniáque ipsius probra & dedecora, Soli puro exposita omnibus indicabũt, & patefacient quã per se turpis & deridẽda esset,

& qualem sibi formositatem quámque il-
legitimam & spuriam, adiuncto sibi falso
Gen. 34. ornatu, affinxisset. Iam vero ad vltionem
morum tam profanorum atque impurorũ,
prompti paratique sunt duo quidẽ nume-
ro, Symeon & Leui: sed vnus sententia.
Quare en Benedictionibus Pater ambo
vnius loco numerat, ob consensum & con-
cordiam, atque impulsionẽ ad vnũ idém-
Ibid. 49. que propositum. Neque vero Moses ipse
binarij meminit: sed totum Symeorum in
Leui expressit, mixtis at tẽperatis duabus
naturis, ex quibus vnũ perfecit quasi vnica
Idea informatum, Actione Auditioni in
vnum iuncta. Cùm igitur cognouit pro-
missionem enarrantem verecundiæ & re-
ligionis plena, ex animi sui sententia, vir-
tutis cultor vtrumque in se admisit, & fidẽ
in Deum, & diffidentiam erga rem gene-
ratã. Quocirca meritò dicit orans, *Vtinam*
Gen. 17. *Ismael hic viuat coram te.* Nec abs re ponit
vnumquodque vocabulorũ quæ hic vsur-
pantur, *τὸ hic, τὸ viuat, τὸ in conspectu tuo.* Ete-
nim ambiguitate vocũ, quæ in rebus sunt,
non pauci sunt decepti. Quid autem illud
sit quod dico, animaduertendum est. Is-
mael expositus, est Auditio Dei. porrò di-
uina decreta nonnulli auscultant non sine
fructu & commodo suo: alij verò damno
Num. 22. suo & aliorum. Annon augurem Balaacum
vides? Is inducitur Dei oraculis aures prę-
bens, & scientiam habens, munere & con-
cessu Altissimi. Ecquem verò ex eiusmodi
auscultatione, quem ex tali peritia fructũ
percepit? cùm mente quidem aggressus
fuisset præstantissimum animi oculũ, con-
taminare, qui certe solus Deum cernere
didicit, neque vero id assequi potuisset,
ob eius qui salutem dedit, robur inuictum:
Idcirco sua vesania percitus, multis vulne-
ribus acceptis, in medio sauciatorũ occu-
buit, quia nimirum ficta falsáque diuina-
tione, à Deo inspiratũ vaticinium peruer-
Gen. 17. terat. Merito igitur Vrbanus orat, vt hic
solus Ismael sanus sit, propter eos qui non,
vt par est, legitimè audiunt narrationes di-
Leuit. 22. uinas, quibus interdixit Moses ne frequẽ-
tarent cœtum concionẽmve omnium Re-
Deut. 23. ctoris. Illi enim qui contusas habent pro-
lificas Intelligentiæ partes, vel etiam planè
abscissas, hoc est, qui priuatam mentem &
sensum magnifice extollũt, quasi solas hu-
manorũ negotiorum causas, vel ij qui mul-
titudinem deorũ amplexati sunt, & profa-
nos ritus honorarunt, vulgo quæsiti, & cõ-
cepti, vnũ maritũ & Patrem studiose ani-
mæ, Deum, non agnoscentes, nonne iure
detruduntur & amandantur? Simile quid-
dam mihi facere videntur, parentes qui

A οἵαν ἐκ τῆς παρεισάκτου ὡς νόθην ἐπεμόρφα-
ζεν εὐμορφίαν. οἱ δὲ πρὸς ἄμυναν εὐτρεπεῖς
τῶν οὕτως βεβήλων καὶ ἀκαθάρτων ἠθῶν,
δύο μὲν εἰσὶν ἀριθμῷ, Συμεὼν καὶ Λευί·
γνώμῃ δὲ εἷς. διὸ κἀν ταῖς εὐλογίαις ὁ μὲν πα-
τὴρ αὐτοὺς ἐν τάξει ἑνὸς καταριθμεῖ, διὰ τὸ
σύμφωνον τῆς ὁμονοίας καὶ τῆς πρὸς ἓν καὶ τὸ
αὐτὸ μέρος ὁρμῆς. ὁ δὲ Μωσῆς οὐδὲ δυάδος
ἔτι μέμνηται· ἀλλ᾽ ὅλον τὸν Συμεὼν εἰς τὸν
B Λευὶ ἐνεχάραξε, δύο οὐσίας κερασάμενος,
ἀφ᾽ ὧν ἓν ἀπειργάσατο, ὅτι ἰδέᾳ μιᾷ τυπω-
θέντα, τὸ ἀκούειν τῷ πράττειν ἑνώσας. ἐπι-
γνοὺς γοῦν τὴν ἀπαγγελίαν λαλοῦσαν τὰ
αἰδοῦς καὶ εὐλαβείας μεστὰ κατὰ τὴν αὐτοῦ διά-
νοιαν· ὁ σπουδαῖος ἔπαθεν ἀμφότερα, καὶ τὴν
πρὸς τὸν θεὸν πίστιν, καὶ τὴν πρὸς τὸ γενητὸν
ἀπιστίαν. εἰκότως οὖν φησι δεόμενος, Ἰσ-
μαὴλ οὗτος ζήτω ἐνώπιόν σου· οὐκ ἀπὸ σκο-
ποῦ τῶν ἐμφερομένων ἕκαστον τῶν ὀνομάτων
C τιθείς, τὸ οὗτος, τὸ ζήτω, τὸ ἐνώπιόν σου. ταῖς γὰρ
ἐν τοῖς πράγμασιν ὁμωνυμίαις ἠπατήθησαν
οὐκ ὀλίγοι. τί δ᾽ ἐστὶν ὃ λέγω, σκεπτέον. ἑρμη-
νευθεὶς Ἰσμαὴλ, ἐστὶν ἀκοὴ θεοῦ, τῶν δὲ θείων δο-
γμάτων οἱ μὲν ἀκούουσιν ἐπ᾽ ὠφελείᾳ, οἱ δ᾽
ἐπὶ βλάβῃ αὐτῶν τε καὶ ἑτέρων. ἢ τὸν οἰωνοσκό-
πον Βαλαὰμ οὐχ ὁρᾷς; οὗτος εἰσάγεται ἀκούων
λόγια θεοῦ, ἐπιστάμενός τε ἐπιστήμην παρὰ
ὑψίστου. ἀλλὰ τί ἐκ τῆς τοιαύτης ἀκροάσεως, ἢ
τί ἐκ τῆς τοιαύτης ἐπιστήμης ὤνατο; γνώμῃ μὲν
D ἐπιχειρήσας τὸ ψυχῆς ἄριστον ὄμμα λυμήνα-
σθαι, ὃ δὴ μόνον τὸν θεὸν ὁρᾶν πεπαίδευται, μὴ
δυνηθεὶς δὲ διὰ τὸ σωτῆρος κράτος ἀήττητον.
τοιγαροῦν ὁ μὲν κατακοντούμενος ὑπὸ φρε-
νοβλαβείας τῆς ἑαυτοῦ, καὶ τραύματα πολλὰ δε-
ξάμενος, ἐν μέσοις τραυματίαις ἀπόλετο·
διότι σοφιστικῇ μαντικῇ τὴν θεοφόρητον προφη-
τείαν παρεχάραξε. δεόντως οὖν εὔχεται ὁ ἀστεῖος,
ἵν᾽ οὗτος μόνος Ἰσμαὴλ ὑγιαίνῃ, διὰ τοὺς μὴ γνη-
σίως ἀκούοντας τῶν ἱερῶν ὑφηγήσεων, οἷς ἀπεῖπε
E Μωϋσῆς ἄντικρυς εἰς ἐκκλησίαν φοιτᾶν τοῦ παν-
ηγεμόνος. τεθλασμένοι γὰρ τὰ γεννητικὰ τῆς διανοίας,
ἢ καὶ τελείως ἀποκοπέντες, οἱ τὸν ἴδιον νοῦν καὶ τὴν αἴ-
σθησιν ἀποσεμνύνοντες, ὡς μόνα τῶν κατ᾽ ἀνθρώ-
πους αἴτια πραγμάτων· ἢ οἱ πολυθεΐας ἐρασταὶ καὶ
τὸν πολύθεον ἐκτετιμηκότες θίασον, οἱ ἐκ πόρ-
νης γεγονότες, τὸν ἕνα ἄνδρα καὶ πατέρα φιλαρέτου
ψυχῆς θεὸν οὐκ εἰδότες, ἆρ᾽ οὐκ εἰκότως ἐξαποσ-
τέλλονται καὶ φυγαδεύονται; παραπλήσιόν μοι δοκοῦσι

πειθεὶς καὶ οἱ κατηγοροῦντες τούτου γονεῖς ἐπ' οἰνοφλυγίᾳ. λέγουσι γάρ· ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθής. διὰ τῆς προσθήκης τοῦ οὗτος, μηνύοντες, ὅτι εἰσὶν ἕτεροι παῖδες καρτερικοὶ καὶ σώφρονες, τοῖς ἐπιτάγμασι τοῦ ὀρθοῦ λόγου καὶ παιδείας πειθαρχοῦντες. οἱ γὰρ ψυχῆς ἀψευδέστατοι γονεῖς, ὑφ' ὧν κατηγορηθῆναι μὲν αἴσχιστον, ἐπαινεθῆναι δὲ εὐκλεέστατον, οὗτοί εἰσιν Ἀαρὼν καὶ Μωσῆς, οἷς εἶπεν ὁ θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου· καὶ οὗτοί εἰσιν οἱ διαλεγόμενοι Φαραὼ βασιλεῖ. ταῦτα μὴ νομίζωμεν εἰρῆσθαι περιέργως, ἢ τὰς δείξεις μὴ πλέον τι τῶν ὀνομάτων παρεμφαίνειν. ἔστι γὰρ Μωσῆς μὲν ὁ καθαρώτατος νοῦς, Ἀαρὼν δὲ ὁ λόγος αὐτοῦ· πεπαίδευται δὲ καὶ ὁ νοῦς θεοπρεπῶς ἐφάπτεσθαι, καὶ ὁ λόγος ὁσίως ἑρμηνεύειν τὰ ὅσια. μιμηλάζοντες δὲ οἱ σοφισταὶ καὶ παραχαράττοντες τὸ δόκιμον νόμισμα, τοῦτό φασι καὶ νοεῖν ὀρθῶς περὶ τοῦ ἀρίστου καὶ λέγειν ἐπαινετῶς. ὅπως οὖν μὴ ἀπατώμεθα παρατιθεμένων τῶν κιβδήλων πρὸς τὰ δόκιμα δι' ὁμοιότητα τοῦ χαρακτῆρος, βάσανον ἔδωκεν ᾗ διακριθήσεται. τίς οὖν βάσανος; τὸ ἐξαγαγεῖν ἐκ τῆς σωματικῆς χώρας τὸν ὁρατικὸν καὶ φιλοθεάμονα νοῦν καὶ φιλόσοφον. ὁ μὲν γὰρ τοῦτο δυνηθεὶς, Μωσῆς ἐστιν οὗτος· ὁ δὲ ἀδυνατήσας, ὁ λεγόμενος μόνον, μυρίας δὲ πιθανότητας ὀνομάτων ἐπαμφιεννύμενος γελᾶται. ζῆν δὲ εὔχεται τῷ Ἰσμαήλ, οὐ τῆς μετὰ σώματος ζωῆς ἐπιστρεφόμενος· ἀλλ' ἵνα τὸ θεῖον ἄκουσμα ἐπὶ ψυχῇ διαιωνίζον ἐγείρῃ τε αὐτὸν καὶ ζωπυρῇ. καὶ ὁ μὲν ἀκρόασιν λόγων καὶ μάθησιν δογμάτων ἱερῶν εὔχεται ζῆν, ὡς ἐλέχθη· ὁ δὲ ἀσκητὴς Ἰακὼβ εὐφυΐαν. λέγει γάρ· ζήτω Ρουβὶμ, καὶ μὴ ἀποθανέτω. ἆρά γε ἀθανασίαν καὶ ἀφθαρσίαν αἰτούμενος ἀνθρώπῳ πρᾶγμα ἀδύνατον; οὐ δήπου. τί οὖν ἐστιν ὃ βούλεται παραστῆσαι, λεκτέον. πάντα τὰ ἀκούσματα καὶ μαθήματα ἐποικοδομεῖται, καθάπερ θεμελίῳ προκαταβεβλημένῳ, φύσει παιδείας δεκτικῇ. φύσεως δὲ μὴ προϋποκειμένης, ἀνωφελῆ πάντα· δρυὸς γὰρ ἢ λίθου κωφῆς οὐδὲν ἂν δόξαιεν οἱ ἀφυεῖς διαφέρειν. ἔμελλον γὰρ ἂν οὐδὲν αὐτοῖς ἁρμόζεσθαι, πάντα δὲ ὡς ἀπὸ στερροῦ τινος ἀποπάλλεσθαι καὶ ἀποπηδᾶν. τὰς δὲ τῶν εὐφυῶν ψυχὰς ἔστιν ἰδεῖν κηροῦ τρόπον λελειασμένας, μήτε ἄγαν στερεοῦ, μήτε ἄγαν ἁπαλοῦ, κεχαρασμένας μετρίως, παραδεχομένας τὰ ἀκούσματα καὶ θεάματα

A hunc accusant ob temulentiā: Aiunt enim, *Filius noster iste proteruus & contumax est.* Exod. 6. Adiectione pronominis, *iste*, indicantes alios esse liberos patientes laboris, & temperantes, atque rationis rectæ mandatis & disciplinæ præceptis obsequētes: Etenim animi verissimi parentes hi sunt, à quibus culpari quidem turpissimum, laudari vero honestissimum est: hoc modo, *Iste est Aaron & Moses, quibus præcepit Deus vt educerent filios Israel ex Ægypto.* Exod. 4. & 7. Et iterum. *Hi sunt qui loquuntur ad Pharaonē Regem.* Hæc

B ne censeamus supervacaneè & abs re dicta esse, aut Indicia non quid amplius subindicare quam ipsa nomina. Enimvero Moses quidem est Mens purissima: Aaron autem, oratio ipsius. porrò mens edocta est Deo decenter contingere sancta: itémque oratio didicit eadem piè exponere. Sophistæ verò effingentes & adulterātes probatam monetam, hoc aiunt & rectè sentire de eo quod optimum est, & laudabiliter dicere. Ergo ne decipiamur, cùm adulterini nummi iuxta probatos apponentur, ob

C Characteris similitudinem, examen dedit quo distinguātur & explorētur. Ecquodnam istud est? vt videlicet mēs perspicax, & spectandi cupida, & sapientiæ studiosa, educetur regione corporea. Etenim hic Moses est qui istud efficere potuit: qui verò nequiuit, & loquitur tantùm, cuiúsque oratio infinitis verborū ampullis exultat, deridetur. Præterea vitā precatur Ismaeli, non quod huius vitæ, quæ cum corpore degitur, curam haberet: sed vt diuina auditio in anima perpetuo conseruata, ipsum

D excitaret, ac refocillaret. Atque hic quidem auscultationem eloquiorum & disciplinam decretorum sacrorum viuere precatur, vt dictum est: strenuus vero Iacob docilitatem ingeniique felicitatem incolumem esse optat. Atenim dicit, *Viuat Rubem, & non moriatur.* Deut. 33. Num igitur immortalitatem atque æternitatem homini, cui contingere nequit, his precibus obtinere contendit? minimè gentium. quid ergo præ se ferat, & ob oculos ponere velit, explicandum est. omnes cùm auscultationes,

E tum disciplinę stabiliuntur & ædificantur, veluti in fundamento ante iacto, in natura doctrinæ capaci, quæ nisi antegrediatur, inutilia sunt omnia. nā à quercu & lapide surdo nihil differre indociles videntur. quandoquidē nihil tenaciter ipsis adhærere queat. quin omnia ab ijs tanquam à re solida excutiuntur ac resiliunt. Sed ingenuorum ac docilium animos videre est more ceræ leuigatæ, nec solidæ nimis, neque nimium mollis, moderatè tempera-

tos, facile omnia quæ auſcultant & cernunt admittere, & exactè formas percipere atque exprimere, tanquam efficaces quaſdam imagines memoriæ. Erat ergo neceſſe precari generi rationis participi docilitatem, incolumitatem atque immortalitatem adeſſe. Nam pauci ſunt participes vitæ virtuti conſentaneæ. quæ minimè fallax vita eſt: neque de vulgo plebeiſque hominibus loquor, (nulla enim veræ vitæ particula cum ijs communicata eſt) ſed de ijs quibus integrum fuit humana fugere ſtudia. Deóque ſoli viuere. Quapropter valde miratus eſt vir inſigni pietate ac fortitudine, ſi quis medio vitæ flumine deuectus, nullo impetu pertrahatur, at poſſit diuitijs affluentibus obſiſtere, & voluptatis immoderatæ violentiam ferre valeat, atque inanis gloriæ turbine non abripiatur. Quare non tam Iacobus ait Ioſepho, quàm ſacer ſermo omni qui corpore quidem benè conſtitutus eſt, verùm in ampliſſimis facultatum copijs exploratur, nec ab vlla capitur, *Nam tu adhuc viuis?* hac admirabili oratione prolata, quæque quotidianam noſtram vitam excedit: cum parua quadam felicitatis aura abrepti, excuſſo omni rudente, mirum in modum intumeſcamus, & magno contentóque ſpiritu plenis velis ad libidinum fruitionem feramur: neque profuſas laxáſque immoderatè cupiditates ante reprimamus, quàm præcipites delapſi cum tota animæ cymba naufragium ſubeamus. Præclarè igitur omninò precamur, vt Iſmaël viuat. addit porrò, *Coram Deo viuat.* Finem beatitatis ſtatuens, cum intelligentia digna reputata fuerit inſpectore & prçſide eo qui omnium quæ exiſtunt optimus eſt. Nam ſi inſtitutore præſente, peccare non poteſt is qui inſtituitur: & cum prope adeſt præceptor, diſcipulū adiuuat: Itemque ſi ſenior interſit, adoleſcens pudore & modeſtia decoratur: & pater aut mater prohibent filium ab iniuria inferēda, cum ab ipſo tantum in quiete conſpiciuntur. quantò excellentioribus frui bonis putamus eum qui ſe à Deo ſemper videri exiſtimat? Etenim præſentis maieſtatem veritus, eum ſuſpicit: & contremiſcens, iniuriam inferre planè cauebit. Præterea dum Abrahamus oraret, vt Iſmaël viueret, non deſperauit de ortu Iſaaci, vt iam ante dixi, ſed Deo fidem habuit: Neque enim quæ dare Deus poteſt, ea quoque homini integrum eſt accipere. quandoquidem Deo facile eſt plurima & maxima largiri: nobis vero non perinde expeditum eſt propoſita munera accipere.

Gen. 46.

Gen. 17.

A ῥᾳδίως πάντα, καὶ ἐναποματτομένας ἄκρως αὐτὰς τὰ εἴδη, μνήμης ἐναργεῖς τινας εἰκόνας. ἦν γοῦν ἀναγκαῖον εὔξασθαι τῷ λογικῷ γένει τὸ εὐφυὲς ἄνοσον καὶ ἀθάνατον παρεῖναι. τῆς μὲν γὰρ κατ᾽ ἀρετὴν βίου, ὅς ἐστιν ἡ ἀψευδεστάτη ζωή, μετέχουσιν ὀλίγοι, οὐχὶ τῶν ἀγελαίων φημί (τούτων γὰρ οὐδεὶς τῆς ἀληθοῦς ζωῆς κεκοινώνηκεν) ἀλλ᾽ εἴ τισιν ἐξεγένετο τὰς τῶν ἀνθρώπων φυγεῖν σπουδὰς καὶ θεῷ μόνῳ ζῆσαι. παρὸ καὶ λίαν τε-
B θαύμακεν ὁ ἀσκητικὸς καὶ ἀνδρεῖος, εἴ τις ἐν μέσῳ τῷ τοῦ βίου ποταμῷ φερόμενος, ὑπ᾽ οὐδεμιᾶς ῥύμης κατασύρεται, δύναιτο δὲ καὶ πλούτῳ πολλῷ ῥέοντι ἀντισχεῖν, καὶ ἡδονῆς ἀμέτρου φορὰν οἴσαι, καὶ λαίλαπι κενῆς δόξης μὴ ἀναρπασθῆναι. λέγει γοῦν οὐχ ὁ Ἰακὼβ τῷ Ἰωσὴφ μᾶλλον ἢ ὁ ἱερὸς λόγος παντὶ τῷ τὸ μὲν σῶμα εὐεκτοῦντι, ἐν ἀφθόνοις δὲ τῶν εἰς περιουσίαν ὕλαις ἐξεταζομένῳ, καὶ πρὸς μηδεμιᾶς ἁλισκομένῳ, ἔτι γὰρ σὺ ζῇς; θαυμαστὸν ἐκφωνήσας λό-
C γον, καὶ τὸν ἡμέτερον βίον ἀποδεδραμηκότα· οἱ μικρᾶς πρὸς εὐτυχίαν αὔρας λαβόμενοι, πάντα κάλων ἀνασείσαντες, λαμπρὸν ἐμφυσῶμεν, καὶ πνεύσαντες μέγα καὶ σαύτινον, πλησίστιοι πρὸς τὰς ἀπολαύσεις τῶν παθῶν φερόμεθα, καὶ οὐ πρότερον στελλόμεθα τὰς αἰρομένας καὶ κεχαλασμένας ἀκράτως ἐπιθυμίας, ἕως ἂν ἐξοκείλαντες ὅλῳ τῷ ψυχῆς ναυαγήσωμεν σκάφει. παγκάλως οὖν τοῦτον τὸν Ἰσμαὴλ εὐχόμεθα ζῆν. προστίθησι δ᾽ οὖν, ἐνώ-
D πιον τοῦ θεοῦ ζῆν· τέλος τῆς εὐδαιμονίας τιθέμενος ἐπισκόπου καὶ ἐφόρου τοῦ τῶν ὄντων ἀρίστου τὴν διάνοιαν ἀξιωθῆναι. εἰ γὰρ παιδαγωγοῦ μὲν παρόντος, οὐκ ἂν ἁμάρτοι ὁ ἀγόμενος· ὑφηγητὴς δὲ ἐγγὺς ὢν ὠφελεῖ τὸν μανθάνοντα· πρεσβυτέρου δὲ παρατυγχάνοντος, αἰδοῖ καὶ σωφροσύνῃ κοσμεῖται νέος, πατὴρ δὲ ἢ μήτηρ υἱὸν μέλλοντα ἀδικεῖν ἐκώλυσαν, ἐφ᾽ ἡσυχίας αὐτῷ μόνον ὀφθέντες· ἡλίκαις πόσῳ ὑπερ-
E βολαῖς ἀγαθῶν χρήσασθαι τὸν ὑπολαμβάνοντ᾽ ἀεὶ ὑπὸ θεοῦ θεωρεῖσθαι. τὸ γὰρ τοῦ παρόντος καὶ περιβλέποντος ἀξίωμα δεδιὼς καὶ τρέμων, ἀνακρατὴς τὸ ἀδικεῖν ἀποδράσεται. τὸν δὲ Ἰσμαὴλ ἐτόλμησεν εὔχεσθαι ζῆν, οὐκ ἀπεγνωκὼς τὴν γένεσιν Ἰσαάκ, ὡς καὶ πρότερον εἶπον· ἀλλὰ πεπίστευκε μὲν τῷ θεῷ. οὐδὲ γὰρ ἃ δοῦναι θεῷ, ταῦτα καὶ ἀνθρώπῳ λαβεῖν δυνατόν· ἐπεὶ τῷ μὲν πλεῖστα καὶ μέγιστα χαρίζεσθαι ῥᾴδιον· ἡμῖν δ᾽ οὐκ εὐμαρὲς τὰς προτεινομένας δέξασθαι δωρεάς.

ἀγαπητὸν γὰρ, εἰ τῶν ἐκ πόνου καὶ μελέτης συντρόφων καὶ συνηθεστέρων ἀγαθῶν ἐπιλαχοίμεθα· τῶν δὲ ἄνευ τέχνης ἢ συνόλως ἀνθρωπίνης ἐπινοίας αὐτοματιζόντων καὶ ἐξ ἑτοίμου γινομένων, οὐδ᾽ ἐλπὶς ἐφικέσθαι. ταῦτα γὰρ, ἅτε θεῖα ὄντα, θειοτέραις καὶ ἀκηράτοις φύσεσιν ἀπηλλαγμέναις θνητοῦ σώματος, εὑρίσκειν ἀναγκαῖον. ἔδειξε δὲ Μωσῆς κατὰ δύναμιν, τὴν χειρῶν τὰς εὐχαριστικὰς ὁμολογίας ποιεῖσθαι· τὸν ἀγχίνουν, ἀνάθημα ἀναθέντα τὸ συνετὸν καὶ τὸ φρόνιμον· τὸν λόγιον, τὰς ἐν λόγῳ πάσας ἀρετὰς ἀνιεροῦντα διά τε ᾠδῆς καὶ τῆς καταλογάδην τοῦ ὄντος ἐγκωμίων. καὶ κατ᾽ εἶδος * τὸ φυσικὸν, φυσιολογίας· τὸν ἠθικὸν, πᾶσαν τὴν ἠθικὴν φιλοσοφίαν· τὸν τεχνικὸν καὶ ἐπιστήμονα, τὰ θεωρήματα τῶν τεχνῶν καὶ ἐπιστημῶν. οὕτως εὐπλοΐαν μὲν, ναύτης καὶ κυβερνήτης· εὐφορίαν δὲ καρπῶν, γεωπόνος· εὐτοκίαν δὲ ζῴων, ἀγελάρχης· ὑγείαν δὲ καμνόντων, ἰατρός· ὁ δ᾽ αὖ στρατιᾶς ἡγεμὼν, τὸ τοῦ πολέμου κράτος· καὶ ὁ πολιτικὸς, ἢ βασιλικὸς, τὴν νόμιμον προστασίαν καὶ ἡγεμονίαν ἀναθήσει. καὶ, συνελόντι φράσαι, πάντων, ὅσα ἢ ψυχῆς ἢ σώματος ἢ τῶν ἐκτὸς ἀγαθά ἐστιν, ὁ μὴ φίλαυτος αἴτιον ἀποφαίνει τὸν ἀψευδῶς μόνον αἴτιον θεόν. μηδεὶς οὖν τῶν ἀφανεστέρων καὶ ταπεινοτέρων εἶναι δοκούντων, ἐλπίδος ἀπογνώσει τῆς ἀμείνονος, ἀποκνησάτω ἱκέτης γίνεσθαι θεοῦ· ἀλλ᾽ εἰ καὶ μηδὲν ἔτι προσδοκᾷ τῶν μειζόνων, ὑπὲρ τούτων ὧν ἔλαχεν ἤδη, κατὰ τὴν ἑαυτοῦ δύναμιν εὐχαριστείτω. μυρίων δ᾽ ἔλαχε, γενέσεως, ζωῆς, τροφῆς, ψυχῆς, αἰσθήσεως, φαντασίας, ὁρμῆς, λογισμοῦ. λογισμὸς δὲ, βραχύτατον μὲν ὄνομα, τελειότατον δὲ καὶ βραχύτατον ἔργον, τὸ τοῦ παντὸς ψυχῆς ἀπόσπασμα· ἢ, ὅπερ ὁσιώτερον εἰπεῖν τοῖς κατὰ Μωσῆν φιλοσοφοῦσιν, εἰκόνος θείας ἐκμαγεῖον ἐμφερές. ἐπαινεῖν ἄξιον καὶ τῶν κατασκόπων τοὺς ἐπιχειρήσαντας μὲν αὐτόπρεμνον τὸ ἀρετῆς ὅλον ἀνασπάσαι καὶ βαστάσαι στέλεχος· ἐπεὶ δὲ οὐκ ἠδυνήθησαν, κληματίδα γοῦν καὶ ἕνα βότρυν λαβόντας, δεῖγμα καὶ μέρος τῆς συμπάσης, ὃ φέρειν μόνον αὐτοὶ ἴσχυον. εὐκτὸν μὲν ἀθρόῳ τῷ πλήθει τῶν ἀρετῶν ἐγχορεύειν· εἰ δὲ τοῦτο μεῖζόν ἐστιν ἢ κατὰ ἀνθρωπίνην φύσιν, ἀγαπῶμεν, εἴ τῳ ἐξεληλύθειτο

τὸ φυσικόν, φυσιολογίαν

A cõtenti enim esse debemus, si nota & consueta bona, labore & exercitatione parta sortiamur, ea vero quæ sine arte aut sine vllo hominum prorsus inuento sua sponte prompta paratáque se offerũt, ne spes quidem vlla est assequendi. hæc siquidẽ, quia diuina sunt, à diuinioribus & purioribus naturis atque à mortali corpore liberis reperiri necesse est. Porrò Moses indicauit, pro virili parte, quemque gratas manuum operúmve cõfessiones facere: Ita vt solers quidẽ consecret & appendat, ceu donariũ
B quoddam, intelligentiã ac prudentiã: Eloquẽs verò virtutes omnes quæ in oratione sunt dedicet. tum per carmen & canticum, tum per encomia & elogia eius quod est, oratione soluta conscripta. Atque vt singulos persequar, Philosophus quidẽ Naturalis, suas de Natura cõmentationes: Moralis verò omnẽ illam philosophiã quæ de moribus & vita disserit. Artifex etiã & scientia præditus aliqua, artium & scientiarum præceptiones. Eodẽque modo, nauta quidem & gubernator, secundã nauigationẽ,
C Agricola fructuũ vbertatem, pastor & dux armentorũ fœcũditatem animalium: Medicus, ægrotantiũ sanitatem: Irémque dux exercitus & Imperator, belli robur. Magistratus quoque & Rex, legitimam administrationẽ ac principatum consecrabit. atque vt semel dicẽdo omnia complectar, is qui cæco sui amore non laborat, omnium bonorũ, tam animi quã corporis, & externorum, Deum autorem esse declarat, vt eorum causa sola non fictè sed verè est. Quocirca nemo eorũ qui obscuriores & igno-
D biliores esse videntur, meliori spe destitutus, supplicem se Dei facere cunctetur: & quamuis nihildum meliorũ expectet Deo gratias agat, quantũ in ipso est, pro ijs quæ iam nactus est. Infinita autem quiuis obtinuit, Ortum videlicet, vitam, educationẽ, animam, sensum, imaginandi vim, appetitum, & rationis vsum. Est autem Ratiocinatio breuissimũ quidem vocabulum, sed perfectissimũ atque absolutissimum opus. Animæ Vniuersitatis portio & particula: aut quod sanctius est dicere ijs qui Mosis
E philosophia amplectũtur, expressum imaginis diuinæ simulacrum. Æquũ etiam est laudare speculatores eos qui aggressi sunt integrũ virtutis stipitẽ radicitus euellere, & gestare: cum vero id efficere non potuissent, palmitem saltem & racemũ vnum acceperunt, vt specimen totius vitis, & portionem quam solum humeris ferre valuerunt. Optandum siquidẽ cum toto virtutũ cœtu choream agitare: quod si hoc supra humanam naturam esse constet, contenti Num. 13

simus, satisque sit nobis, si contigerit vnam aliquam ex particularibus obtinere. Sobrietatem, aut Fortitudinem, aut Iustitiam, aut Benignitatem. Producat enim & pariat anima bonum aliquod ex vna specie, néve omnium sterilis & infœcunda existat. An verò talia iniunges filio tuo mandata? Nisi familiaribus & domesticis leniter vtaris, ne cum æqualibus socialiter conuerseris: nisi modestè cum vxore, ne cum parentibus honorificè te geras: si matrem negligis & patrem, ne erga Deum quoque pietatem colas. Si voluptate lætaris, ne ab auaritia etiam recedas. Habendi studio teneris, etiam gloriæ cupiditate labora. Cur enim modum seruare in quibusdam postulas, si non possis in omnibus? Annon ergo tibi filius diceret, Quid ais, mi Pater? aut perfectè bonum, aut omnino malum tibi filium euadere vis, neque contentus eris si prius media quam summa capessat? Nónne ideò Abrahamus in Sodomitarum interitu orsus à quinquagesimo numero in quinarium desinit? (Gen. 18.) Obtestans & supplicans vt nisi reperiatur in re generata, absoluta in libertatem assertio, cuius signum est Quinquagesimæ ratio sacra, media saltem disciplina assumatur, (Deut. 15. 16.) Decadi adnumerata, ad absolutionem animæ condemnationis sententiam expectantis. Cæterum qui disciplinis instructi & eruditi sunt, indoctis & rudibus & qui orbem Musici concentus comprehenderunt, plures precandi occasiones habent illis qui Lyræ imperiti & Musices ignari sunt: cum fermè à pueris sermonibus de continentia omníque virtute tincti planéque imbuti sint: Quocirca licet non omnino puri, integri, mundíque sint ab iniuriæ illatione, elutis tamen sordibus nitidiores, aliquatenus saltem ac mediocriter expurgarunt se. Simile quiddam Esau patri videtur dicere: (Gen. 27.) *Nunquid vna tantum erit apud te benedictio, mi Pater? Bedic etiam me, Pater.* Fas enim est vt aliæ alijs virtutes decernantur, ac perfectis quidem absolutæ, mediocres vero imperfectis. Perinde atque in corporibus se res habet. Alia enim exercitationum & alimentorum genera sanis, alia ægrotis tribuuntur: Itémque alia, quæ ad victus rationem spectant, non eadem statuuntur? verum alijs quidem commoda, ne plane ægrotent: alijs verò propria, vt integram pristinámque valetudinem recuperent. Quare cum multa bonorum genera existant in rerum natura, hoc largire quod mihi congruere videtur: tametsi leuissimum sit, cum eò

A μιᾷ τινι τῶν κατὰ μέρος ἐντυχεῖν, σωφροσύνῃ, ἢ ἀνδρείᾳ, ἢ δικαιοσύνῃ, ἢ φιλανθρωπίᾳ. φερέτω γὰρ ἑνός τι ἀγαθὸν ἡ ψυχὴ, καὶ τικτέτω· μὴ πάντων ἄφορος καὶ στεῖρα γινέσθω. σὺ δὲ τοιαῦτα ἐπιτάγματα ἐπιτάξεις υἱεῖ τῷ σεαυτοῦ, εἰ μὴ τοῖς οἰκέταις ἡμέρως χρῇ μηδὲ τοῖς ὁμοτίμοις κοινωνικῶς, εἰ μὴ κοσμίως γυναικὶ, μηδὲ γονεῦσι τιμητικῶς· εἰ μητρὸς ὀλιγωρεῖς καὶ πατρὸς, ἀσέβει καὶ εἰς τὸ θεῖον. B εἰ χαίρεις ἡδονῇ, μὴ φιλαργυρίας ἀπόσχῃς· ἐφίεσαι πολυχρηματίας, καὶ κενοδόξει. τί γὰρ, οὐ μετριάζειν ἐν ἐνίοις ἀξιοῖς, εἰ μὴ ἐν πᾶσι δυνάσαι; οὐκ ἂν οὖν εἴποι ὁ υἱὸς, τί λέγεις, ὦ πάτερ, ἢ τέλειον ἀγαθὸν, ἢ τέλειον κακὸν βούλει σοι τὸν υἱὸν γενέσθαι, καὶ οὐκ ἀγαπήσεις εἰ περὶ τῶν ἄκρων τὸ μέσον ἕληται; οὐ διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ ἐπὶ τῆς Σοδομιτῶν ἀπωλείας ἀρξάμενος, ἀπὸ πεντηκοντάδος εἰς πεντάδα τελευτᾷ; C ποτνιώμενος καὶ ἱκετεύων, ἵν' εἰ μὴ εὑρίσκοιτο ἐν τῇ γενέσει ἡ παντελὴς εἰς ἐλευθερίαν ἄφεσις, ἧς σύμβολον ὁ πεντηκοστὸς λόγος ἱερὸς, ἡ μέση παιδεία παραληφθῇ δεκάδι συναριθμουμένη πρὸς τὴν τῆς καταδικάζεσθαι ψυχῆς μελλούσης ἀπόλυσιν. τῶν ἀμαθῶν οἱ πεπαιδευμένοι, καὶ τῶν ἀλύρων καὶ ἀμούσων οἱ κεχορηγηκότες τῇ ἐγκυκλίῳ μουσικῇ, πλείους ἀφορμὰς ἔχουσι πρὸς τὸ εὔξασθαι· σχεδὸν ἐκ παίδων τοῖς περὶ ἀρετῆς καὶ ἐγκρατείας καὶ ἀ- D ρετῆς πάσης λόγοις ἐπαντληθέντες. διὸ εἰ καὶ μὴ παντελῶς ἐξερρύψαντο καὶ ἀπελούσαντο τὸ ἀδικεῖν, φαιδρυνόμενοι δὲ, ἀλλὰ μετρίως γοῦν καὶ μέσως ἐρρύψαντο. τὸ παραπλήσιον ὁ Ἡσαῦ λέγειν ἔοικε τῷ πατρί· μὴ εὐλογία σοι μία ἐστὶ, πάτερ; εὐλόγησον κἀμὲ πάτερ. ἄλλαι γὰρ ἄλλοις ἀποκεκρίσθωσαν· τελείοις μὲν τέλειαι, μέσαι δὲ ἀτελέσιν. ὡς ἔχει καὶ ἐπὶ τῶν σωμάτων. ὑγιαινόντων γὰρ καὶ νοσούντων, ἕτερα μὲν γυμνάσματα, E ἕτεραι δὲ τροφαὶ καὶ ὅσα ἄλλα περὶ δίαιταν, οὐ τὰ αὐτὰ, ἀλλὰ τοῖς μὲν τὰ πρόσφορα, ἵνα μηδόλως νοσήσωσι· τοῖς δὲ τὰ οἰκεῖα, ὅπως πρὸς τὸ ὑγιεινότερον μεταβάλωσι. πολλῶν οὖν ἀγαθῶν ὑπαρχόντων ἐν τῇ φύσει· τὸ δοκοῦν ἐφαρμόττειν μοι, τοῦτο χάρισαι, κἂν μικρότατον ᾖ· στοχασάμενος ἐκείνου μόνου, εἰ δυνήσομαι τὸ δοθὲν φέρειν εὐμαρῶς.

ἀμυδρούς. ἀλλὰ καὶ μὴ πρὸς τοῦτο ἀπειπὼν A ὁ δυστυχὴς, ἐκλείπω. τί δ' οἰόμεθα ἐμφαίνεσθαι διὰ τοῦ, μὴ χεὶρ κυρίου οὐκ ἐξαρκέσει; ἆρ' οὐχὶ τὸ πάντῃ τὰς τοῦ ὄντος φθάνειν δυνάμεις ἐπ' εὐεργεσίᾳ· μὴ μόνον τῶν ἐνδόξων, ἀλλὰ καὶ τῶν ἀφανεστέρων εἶναι δοκούντων; οἷς τὰ ἁρμόττοντα χαρίζεται πρὸς τὰ τῆς ἑκάστου ψυχῆς σταθμήματα καὶ μέτρα, σταθμώμενος καὶ διαμετρῶν ἰσότητι παρ' ἑαυτῷ τὸ ἀνάλογον ἑκάστοις. καταπλήττει με οὐχ ἥκιστα καὶ ὁ B τεθεὶς νόμος ἐπὶ τοῖς ἐκδυομένοις τὰ ἁμαρτήματα καὶ μεταγινώσκειν δοκοῦσι. κελεύει γὰρ τὸ μὲν πρῶτον ἱερεῖον προσάγειν θῆλυ προβάτων ἄμωμον. ἐὰν δέ φησι μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς πρόβατον· οἴσει περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε δύο τρυγόνας, ἢ δύο νεοττοὺς περιστερῶν, ἕνα περὶ ἁμαρτίας. καὶ ἕνα εἰς τὸ ὁλοκαύτωμα. ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων ἢ C δύο νεοττοὺς περιστερῶν· οἴσει τὸ δῶρον τὸ δέκατον οἰφὶ σεμιδάλεως. οὐκ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, οὐδ' ἐπιθήσει ἐπ' αὐτὸ λίβανον· ὅτι περὶ ἁμαρτίας ἐστί. καὶ οἴσει αὐτὸ πρὸς τὸν ἱερέα καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ' αὐτοῦ πλήρη τὴν δράκα, τὸ μνημόσυνον ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον. οὐκοῦν τρισὶ μετανοίας τρόποις ἱλάσκεται· τοῖς εἰρημένοις κτήνεσιν, ἢ πτηνοῖς, ἢ λευκοπύροις πρὸς τὴν τοῦ καθαιρομένου καὶ μετανοοῦντος D δύναμιν. οὔτε γὰρ μικρὰ μεγάλων, οὔτε μεγάλα μικρῶν δεῖται καθαρσίων· τῶν δὲ πρὸς τὸ ἀνάλογον ἴσων καὶ ὁμοίων. τί δή ποτ' οὖν διὰ τριῶν ἡ κάθαρσις; ἄξιον ἐρευνῆσαι. σχεδὸν τοίνυν καὶ τὰ ἁμαρτήματα καὶ τὰ κατορθώματα συμβέβηκεν ἐν τρισὶν ἐξετάζεσθαι, διανοίᾳ, λόγοις, πράξεσιν. οὗ χάριν κἀν τοῖς προτρεπτικοῖς Μωσῆς διδάσκει, ὅτι ἡ ἀγαθὴ κτῆσις οὔτ' ἀδύνα-
ἐκποία τός ἐστιν, οὔτε δυσθήρατος· φησὶν, * οὐκ εἰς E οὐρανὸν ἀναπτῆναι δεῖ, οὐδ' ἄχρι περάτων γῆς καὶ θαλάττης ἐλθεῖν ἐπὶ τὴν σύλληψιν αὐτοῦ· ἀλλ' ἔστιν ἐγγὺς, καὶ σφόδρα ἐγγύς. εἶτα μόνον οὐκ ὀφθαλμοφανῶς δείκνυσι· πᾶν ἔργον, φησὶ, τῷ στόματί σου, καὶ τῇ καρδίᾳ, καὶ ταῖς χερσί· συμβολικῶς ἐν λόγοις, ἐν βουλαῖς ἐν ἔργοις. ἐκ γὰρ εὐβουλίας, καὶ εὐλογίας, καὶ εὐπραξίας,

tantum tenderim arcumque direxerim, vt possim mihi concessa facile commodéque ferre, dummodo ne id assequi desperans, animumque despondens, infelix deficiam. Quid vero indicari arbitramur his verbis, Nonne manus Domini sufficiet? Num. 11.
Annon eius quod reapse est vires omnino 12. 13.
anteuertere in benignè faciendo, non in ijs tantum qui clari & illustres apparent, verumetiam in ijs qui obscuriores & ignobiliores videntur: quibus conuenientia Deos tribuit pro pondere & mensura animi cuiusque perpendens & demetiens apud se æqua ratione singulis congruum & consentaneum. Non minus commouet & percellit me lex de ijs qui peccata exuũt & pœnitentia duci videntur. Iubet enim primùm quidem victimam adducere, pecudem integram: [Si vero, inquit, manus & facultates eius non valeant ouem Leuit. 5.
suppeditare, feret pro peccato quod commisit, duos turtures aut duos pullos columbarum, vnum pro delicto, & alterum ad adolendum & consumendum flammis. Quod si manus & census ipsius non possit reperire par turturum, duósve pullos columbarum, feret pro munere decimam partem trium satorum similæ. non fundet oleum in ipsam, neque thus apponet super ipsam, quia pro peccato est: & offeret ipsam sacerdoti, & sacerdos apprehendens plenum manipulum ipsius, monimentum seu memoriale imponet super altare.] Tribus itaque pœnitentiæ modis placatur Deus, dictis videlicet pecoribus, vel volucribus vel frumentis: pro viribus vtique eius qui expiatur & pœnitentiam exercet. Nam neque parua magnis: neque magna paruis egent purgationibus: sed iuxta proportionem paribus & similibus. Verum cur his tribus duntaxat fit purgatio? digna res est indagatione. Sane peccata & recte facta his tribus examinari vsu venit, cogitatione, verbis & actionibus. Idcirco Moses, in exhortationibus docens bonam possessionem neque ita arduam esse, vt adiri non possit, neque inuestigatione difficilem, ait, Non opus esse Deut. 30.
in cælum volare, aut vsque ad extremos terræ marisque fines se conferre, vt ea percipiatur, sed prope esse, ac valde prope. Deinde illud propemodum ob oculos ponit, cùm dicit, *Omne munus in ore tuo, & corde tuo, & manibus*: quæ verba idem notant atque hæc, In verbis, in Consilijs, & Ibid.
in operibus quippe cùm ex recto consilio, & pio sermone, atque bona actione, felicitas humana constituatur, vt ex contrarijs quoque infelicitas. nam in ijsdem his lo-

cis & recte facere & errare licet, in corde, A ore, & manu. Enimvero quiddam de rebus æquissimis deliberant, & quæ sunt optima dicunt, & quæ agenda sunt præstant. In his autem tribus, leuissimum est consilium dare & capere de ijs quæ non oportet: grauissimum verò manu quæ iniqua sunt aggredi. Media res est dicere quæ non decet. Verùm sæpe accidit, vt quod leuissimum est, difficilimè conteratur: neque enim facile est animi agitationem ad tranquillitatem ducere: ac citius quis torrentis impetum cohibuerit, quàm animæ B conuersionem perpetuo vehementérque decurrentem. Innumeræ siquidem meditationes, aliæ super alias decumanorum fluctuum instar occurrunt, quæ totum animum huc illuc impellunt, turbant, ac violenter trahunt, agitántque. Hic igitur præstantissimus & absolutissimus est Purgationis effectus, ne cum animo quidem suo agitare quicquam eorum quæ absurdissima sunt, sed in pace & optima constitutione, quarum princeps est Iustitia, versari & æuum degere. Secundum autem est, ver- C bis non delinquere mentiendo, aut decipiendo, aut argutijs in errorem inducendo, aut calumniando, aut omnino os vel linguam ad perniciem quorundam relaxando, quibus frœnum adhibere satius fuisset, & insolubile vinculum. Sed quare dicere quæ non decet grauius est peccatum quam cogitare; hinc facile est perspicere. Aliquis interdum non ex animi sui sententia, sed inuitus cogitat: Eorum enim quæ nollet notiones percipere cogitur. atqui nihil eorum quæ contra voluntatem fiunt, iure culpari potest. Verùm sponte D sua quisque loquitur, ideóque nisi bona verba proferat, inique agit, & infortunatus est, qui ne fortuito quidem vult quidquam eorum quæ æquissima sunt pronunciare, cui perutile esset tutissimam quietem amplecti. Adde quod quiuis, etsi non quiescat, potest vtique tacere, si ita constituerit. at verò grauius est delictum iniustè agere, quàm peruersè dicere. Est enim, vt aiunt, oratio actionis vmbra. quod E vel vmbra lædit, qui res ipsa non esset nocentior? Idcirco Moses mentem quidē à criminibus & pœnis liberauit, quod inuoluntarijs plerumque mutationibus & conuersionibus subiecta sit, & afficiatur potius à cogitationibus foris aduentantibus, quàm præstet quippiam. Quæcumque vero per os egrediuntur, ea ad defensionem & examen adducit: cum præsertim dicere in nostra situm sit potestate. Verum sermonum quidem mulctæ sunt

A τὴν εὐδαιμονίαν ἀνθρωπίνην συνίστασθαι, ὥσπερ καὶ τὴν κακοδαιμονίαν ἐκ τῶν ἐναντίων. ἐν γὰρ τοῖς τρισὶ, τὸ, τε κατορθοῦν καὶ ἁμαρτάνειν χρεῖος ἐστὶ, καρδίᾳ, στόματι, χειρί. καὶ γὰρ βουλεύονταί τινες εὐγνωμονέστατα, καὶ λέγουσιν ἄριστα, καὶ πράττουσι τὰ πρακτέα. τριῶν δὲ ὄντων κουφότατόν ἐστι, τὸ βουλεύεσθαι ἃ μὴ χρὴ, βαρύτατον δὲ, τὸ χειρουργεῖν τὰ ἄδικα· μέσον δὲ, τὸ λέγειν ἃ μὴ δεῖ. B συμβαίνει δὲ, τὸ κουφότατον δυσαποτρεπτότατον εἶναι· χαλεπὸν γὰρ, ψυχῆς τροπὴν εἰς ἠρεμίαν ἀγαγεῖν· καὶ θᾶττον ἄν τις χειμάρρου φορὰν ἐπίσχοι, ἢ ψυχῆς τροπὴν ῥέουσαν ἀκατασχέτως· ἀμύθητα γὰρ ἐνθυμήματα, ἄλλα ἐπ' ἄλλοις, τρικυμίας τρόπον, ἐπιτρέχει, φοροῦντα καὶ κυκῶντα, καὶ πᾶσαν αὐτὴν βιαίως ἐπιστρέφοντα. τὸ μὲν οὖν ἄριστον τῆς καθάρσεως καὶ τελεώτατον, τοῦτ' ἐστὶ μηδὲ ἐνθυμεῖσθαί τι τῶν ἀτοπωτάτων, ἀλλ' εἰρήνῃ καὶ εὐνομίᾳ C (ὧν ἡγεμὼν ἐστὶ δικαιοσύνη) πολιτεύεσθαι. τὸ δὲ δεύτερον, λόγοις μὴ διαμαρτάνειν, ψευδόμενον, ἢ ψευδορκοῦντα, ἢ ἀπατῶντα, ἢ σοφιζόμενον, ἢ συκοφαντοῦντα, ἢ συνόλως στόμα καὶ γλῶτταν ἐπ' ὀλέθρῳ τινῶν ἀνέντα, οἷς χαλινὸν ἦν ἄμεινον προσθεῖναι, καὶ δεσμὸν ἄρρηκτον. διὰ τί δὲ τὸ λέγειν τοῦ νοεῖν τὰ μὴ προσήκοντα βαρύτερον ἁμάρτημα; ῥᾷον ἰδεῖν. ἐνθυμεῖται μέν τις οὐ παρ' ἑαυτὸν ἔστιν ὅτε, ἀλλ' ἀβουλεῖ· ὃν γὰρ οὐ D θέλει, λαμβάνειν ἐννοίας ἀναγκάζεται· τῶν δ' ἀκουσίων οὐδὲν ὑπαίτιον. λέγει δέ τις ἑκών· ὥστε εἰ μὴ εὔφημον προΐεται φωνὴν, ἀδικεῖ κακοδαιμονῶν, ὁ μηδ' ἐκ τύχης ἐθέλων τι τῶν ἐπιεικεστέρων φθέγξασθαι· ᾧ λυσιτελὲς τὴν ἀσφαλεστάτην ἡσυχίαν δεξιοῦσθαι. κἄπειτα μὴ ἡσυχάζων τις, δύναταί που βουληθεὶς σιωπᾶν. τὸ δὲ καὶ τοῦ λέγειν βαρύτερον ἁμάρτημα, ἡ ἄδικος πρᾶ- E ξίς ἐστι. λόγος γὰρ, ἔργου φασὶ σκιά· σκιᾶς δὲ βλαπτούσης, πῶς οὐ τὸ ἔργον βλαβερώτερον; διὰ τοῦτο καὶ Μωσῆς τὴν μὲν γνώμην, ἐγκλημάτων καὶ ἐπιτιμίων ἀπήλλαξεν, ἀκουσίαις τὰ πολλὰ μεταβολαῖς χρωμένην καὶ τροπαῖς, καὶ πάσχουσαν μᾶλλον ὑπὸ τῶν ἐπεισφοιτώντων νοημάτων ἔξωθεν, ἢ δρῶσαν. τὰ δ' ὅσα διεξέλθῃ διὰ τοῦ στόματος, ταῦτ' εἰς ἀπολογίαν καὶ εὐθύνας ἄγει;

ὡς ἂν διὰ τὸ λέγειν ἐφ' ἡμῖν ὑπάρχοντος. ἀλλ' αἱ μὲν λόγων εὔθυναι, μετριώτεραι· αἱ δ' ὑπαιτίων ἔργων, ἀργαλεώτεραι. μεγάλας γὰρ τάττει τιμωρίας ἐπὶ τοῖς μεγάλα ἀδικοῦσι, καὶ ἔργῳ ἐπεξιοῦσιν ἃ γνώμῃ μὲν ἀγνώμονι ἐβουλεύσαντο, προπετείᾳ δὲ γλώττης διηγγείλαντο. τὰ δὲ καθάρσια τῶν τριῶν, διανοίας, λόγου, πράξεως, εἴρηκεν εἶναι πρόβατον, καὶ ζεῦγος τρυγόνων ἢ περιστερῶν, καὶ σεμιδάλεως ἱεροῦ μέτρου δέκατον. ἀξιοῖ προβάτῳ μὲν διάνοιαν καθαίρεσθαι, λόγον δὲ τοῖς πτηνοῖς, σεμιδάλει δὲ πρᾶξιν. διὰ τί; ὅτι καθάπερ ἐν ἡμῖν ἄριστον ὁ νοῦς, καὶ ἐν ζώων ἀλόγων γένει τὸ πρόβατον, ἅτε ἡμερώτατον ὑπάρχον, καὶ καρπὸν ἐτήσιον ἀνατέλλον ἑαυτοῦ, πρὸς ὠφέλειαν ὁμοῦ καὶ κόσμον ἀνθρώπων. ἐσθὴς γὰρ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους ἀνείργει βλάβας· καὶ τὰ ἀπόρρητα τῆς φύσεως ἀποσκιάζουσα, πρὸς εὐκοσμίαν τοῖς χρωμένοις ἐστί. σύμβολον οὖν ἔστω τῆς τοῦ ἀρίστου καθάρσεως διανοίας, τὸ ζῷον ἄριστον, τὸ πρόβατον· λόγου δὲ, τὰ πτηνά· κοῦφόν τε γὰρ ὁ λόγος, καὶ πτηνὸν φύσει, βέλους θᾶττον φερόμενον καὶ πάντῃ διᾷττον. τὸ γὰρ ἅπαξ λεχθὲν, ἀναδραμεῖν μὲν οὐκ ἔστιν· ἔξω δὲ φερόμενον, τάχει πολλῷ τρέχον, πλήττει τὰ ὦτα, καὶ διὰ πάσης ἀκοῆς ἐρχόμενον, εὐθὺς ἠχεῖ. δίδυμος δὲ ὁ λόγος. ὁ μὲν ἀληθὴς, ὁ δὲ ψευδής· οὗ μοι δοκεῖ χάριν, ζεύγει τρυγόνων ἢ περιστερῶν ἐξομοιωθῆναι. τῶν δὲ πτηνῶν, τὸ μὲν περὶ ἁμαρτίας φησὶ δεῖν εἶναι, τὸ δὲ ὁλοκαύτωμα θύεσθαι ἐπεὶ τὸν μὲν ἀληθῆ λόγον ὅλον δι' ὅλου συμβέβηκεν εἶναι ἱερὸν, τέλειον· τὸν δὲ ψευδῆ, διημαρτῆσθαί τε καὶ ἐπανορθώσεως δεῖσθαι· πράξεως δ', ὡς ἔφην, σύμβολον ἡ σεμίδαλις· καὶ γὰρ ταύτην συμβέβηκεν οὐκ ἄνευ τέχνης καὶ ἐπινοίας καθαίρεσθαι, ἀλλὰ χερσὶ σιτοπόνων, ἐπιτήδευμα τὸ πρᾶγμα πεποιηκότων, διακρίνεται. διὸ καὶ φησί· δραξάμενος ὁ ἱερεὺς πλήρη τὴν δράκα, τὸ μνημόσυνον αὐτῆς ἀνοίσει· διὰ τῆς δρακὸς, τὸ ἐγχείρημα καὶ τὴν πρᾶξιν ἐμφαίνων. ἄγαν δ' ἐξητασμένως ἐπὶ μὲν τῶν κτηνῶν εἶπεν· ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ τὸ ἱκανὸν εἰς πρόβατον· ἐπὶ δὲ τῶν πτηνῶν, ἐὰν δὲ μὴ εὑρίσκῃ. διὰ τί; ὅτι μεγάλης μὲν ἰσχύος καὶ ὑπερβαλλούσης δυνάμεώς ἐστι, καταλῦσαι τὰς τῆς διανοίας τροπάς· οὐ μεγάλης δὲ ῥώμης, τὰ λόγων ἐπισχεῖν ἁμαρτήματα. πάντων γὰρ ἀλεξίκακον τῶν διὰ φωνῆς ἁμαρτανομένων, ὡς καὶ πρότερον εἶπον, ἡσυχία ἣ παντί τῳ ῥᾳδία

A leuiores: operum verò grauiores sunt animaduersiones. Etenim magna constituit supplicia in eos qui grauiter offendunt, & factis persequuntur quæ mente dementi deliberarunt, & linguæ temeritate effutiuerunt. Expiationes porrò horum trium, cogitationis, orationis, actionis dixit esse ouem, par turturum aut columbarum, atque Similæ sacræ mensuræ decimam. oue quidem cogitationē purgari ratus, sermonem vero volucribus & similagine actionem. Quamobrem istud? quia velut in nobis B præstantissima res est. Mens, ita ouis in brutorum animalium genere: quippe quæ mansuetissima sit, & prouentum annuum producat ex se, ad emolumentum simul & ornamentum hominum. Vestis enim frigoris & caloris iniurias arcet, & arcana naturæ contegens, venustati est vtentibus. Signum ergo sit expiationis mentis, rei præstantissimæ, ouis, animal optimum. Orationis autem volucres. Etenim leuis res est oratio, & volucris natura, quæ sagitta velocius fertur, & vbique salit. Nam C quod semel dictum est, recurrere nequit: cum autem foras emissum est, summa velocitate currens, aures percutit, & per omnem audiendi sensum pergens, statim resonat. Porrò geminus est sermo: alius verus, alius falsus: cuius rei gratia mihi comparari videtur pari turturum aut columbarum. Ex volucribus verò aliud ait oportere sacrificium pro delicto offerri, aliud pro victima plane incensa in altari. quoniam vsu venit sermonem verum totum planè sacrum & absolutum esse, falsum au- D tem cum errore iunctum esse, & correctione egere. Iam verò Actionis nota est, Simila, hanc enim sine arte & acumine mētis purgari non contingit, sed manibus frumentariorum, quorum propium est studium, discernitur. Idcirco ait, *Cum sacerdos corripuerit plenum pugillum, Memoriale ipsorum imponet.* Vbi per manipulum, aggressionem & actionem declarat. prætere a valde accurate de pecore quidem dixit, *Nisi vero manus sufficiens fuerit, ad ouem.* De volucribus verò, *Si non inuenerit.* Quam ob causam? Quia magni robo- E ris est & potestatis eximiæ, mentis diflexiones tollere: non magnarum autem virium est, orationis peccata coercere. Etenim quies, vt paulo ante dixi, amuletum est omnium erratorum quæ voce admittuntur, quam ad vsum adhibere cuique facile est. Plerique vero loquacitate & immoderato sermone, non valent finem imponere orationi. His igitur atque eiusmodi rerum diuisionibus & discriminibus

Leuit. 12.

Leuit. 5.

Ibid.

A educatus atque exercitatus vir vrbanus, nonne merito videatur precari Ismaelem viuere, si non possit adhuc satu suo procreare Isaacum? Quid ergo probus & lenis Deus? Et qui vnum rogauerat, duo tradit: & ei qui precatus fuerat quod minus esset, maius concedit. Dixit enim Abrahamo,
Gen. 17. *Sanè ecce Sarra tua pariet filium.* Directa aptáque est hæc arcana responsio, *Sanè.* Quid enim magis decorum est Deo, quàm annuere bona, & citò pasci? Verum omnis demens renuit quæ diuinum
Ibid. 29. B numen annuit. Quare Lian in odium incurrisse tradunt oracula, ideóque nomen istud obtinuit, cuius interpretatio est Renuens & laborans. quandoquidem omnes virtutem auersamur, & laboriosam ducimus, quod illius præcepta & mandata plerumque suauia non sint. Sed tanto cum honore excipitur à principe, vt vulua ab ipso aperta semen diuini satus accipiat, ad honestorum studiorum & actorum procreationem. Disce ergo Anima, quod Sar-
Gen. 17. C ra, quæ virtus est, pariet tibi filium, non tantum Agar, quæ media est disciplina. Huius enim proles, doceri potest: illius vero soboles est omnino, id quod per se discit. Ne mireris si Deus qui omnia seria & virtuti consentanea protulit, hoc etiam genus produxit, rarum quidem in terra, crebrum autem in cælo. hoc porrò facile disces alijs ex rebus ex quibus homo constat. Num igitur oculi docti & instituti vident? quid vero nares: odorantúrne doctrina instructæ: Num tangunt manus, aut
D pedes incedunt, ex præcepto & exhortatione magistrorum? Appetitus vero & imaginationes (quæ quidem primæ sunt animi motiones & persuasiones) num disciplina constant? Ipsa quoque mens nostra, Sophistam frequentando, num intelligere ac percipere didicit? Isthæc nimirum omnia doctrinam appetentia, natura sua sponte impulsa, ad proprias actiones vtuntur.
E Quid est igitur quòd adhuc mireris, si Deus virtutem sine labore & ærumna infundat, nulla egentem cura & industria, sed statim ab initio absolutam, omnísque affectus planè expertem? Quod si testimonium accipere velis, an fide dignius ipso Mose inuenies, qui ait cæteris quidem hominibus cibos ex terra suppetere, soli vero perspicaci, è cælo. Alimentis enim quæ ex terra oriuntur, operam suam conferunt agricolæ: Ea vero quæ à cælo sunt, solus opifex Deus fundit, niuis instar, absque aliorum ope & subsidio. Et sanè dicitur, *Ecce pluo vobis panes è cælo.* Quodnam igitur alimentum meritò pluuiæ more fundi

A χρῆται. πολλοὶ γὰρ διὰ τὸ ἀγαθὸν καὶ ἀμέτοχοι
οὐχ εὑρίσκουσι πέρας ἐπιθεῖναι τῷ λόγῳ. ταύταις καὶ ταῖς παραπλησίαις τομαῖς καὶ διαστολαῖς τῶν πραγμάτων ἐντραφεὶς καὶ ἐνασκηθεὶς ὁ ἀστεῖος, ἆρ' οὐκ εἰκότως εὔχεσθαι ἂν δόξαι τὸν Ἰσμαὴλ ζῆν, εἰ μὴ δύναται κυοφορῆσαί πω τὸν Ἰσαάκ; τί οὖν ὁ χρηστὸς θεός; ἓν αἰτησαμένῳ, δύο δίδωσι· καὶ τῷ ἔλαττον εὐξαμένῳ, χαρίζεται τὸ μεῖζον. εἶπε γάρ, φησι, τῷ Ἀβραάμ· ναὶ ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί
B υἱόν. εὐθύβολός γε ἡ συμβολικὴ ἀπόκρισις ἡ ναί. τί γὰρ ἐμπρεπέστερον* τί γὰρ ἐμπρεπέστερον, ἢ τἀγαθὰ ἐπινεύειν θεοῦ, καὶ* ταχέως ὁμολογεῖν; ἀλλ' οἷς ἐπινεύει τὸ θεῖον, ἅπας ἄφρων ἀνανένευκε. τὴν γοῦν Λείαν, μισουμένην εἰσάγουσιν οἱ χρησμοί. διὸ καὶ τοιαύτης ἔτυχε προσρήσεως. ἑρμηνευθεῖσα γάρ ἐστιν ἀνανευομένη καὶ κοπιῶσα· διότι πάντες ἡμᾶς ἀρετῆς ἀποστρέφεσθαι καὶ κοπώδη νομίζειν, ἐπιτάγματα οὐχ ἡδέα πολ-
C λάκις ἐπιτελεῖν. ἀλλὰ τοσαύτης ἀποδοχῆς ἠξίωται παρὰ τῷ ἡγεμόνι, ὥστε τὴν μήτραν ὑπ' αὐτοῦ διοιχθεῖσαν, σπορὰν θείας γονῆς παραδέξασθαι πρὸς τὴν τῶν καλῶν ἐπιτηδευμάτων καὶ πράξεων γένεσιν. μάθε οὖν, ὦ ψυχή, ὅτι καὶ Σάρρα ἡ ἀρετὴ τέξεταί σοι υἱόν, οὐ μόνον Ἄγαρ ἡ μέση παιδεία. ἐκείνης μὲν γὰρ τὸ ἔγγονον, διδακτός· ταύτης δὲ πάντως αὐτομαθές ἐστι. μὴ θαυμάσῃς εἰ πάντα φέρων σπουδαῖα ὁ θεός, ἤνεγκε καὶ τοῦτο
D γένος, σπάνιον μὲν ἐπὶ γῆς, πάμπολυ δ' ἐν οὐρανῷ. μάθοις δ' ἂν ἀπὸ τῶν ἄλλων, ἐξ ὧν συνέστηκεν ἄνθρωπος. ἆρά γε οἱ ὀφθαλμοὶ διδαχθέντες ὁρῶσι; τί δ' οἱ μυκτῆρες; ὀσφραίνονται μαθόντες; ἅπτονται δ' αἱ χεῖρες, ἢ οἱ πόδες προΐασι, κατ' ἐπιτάγματα ἢ παραινέσεις ὑφηγητῶν; αἱ δ' ὁρμαὶ καὶ φαντασίαι, πρῶται δ' εἰσὶν αὗται κινήσεις καὶ πείσεις ψυχῆς, διδασκαλίᾳ συνέστησαν; παρὰ δὲ σοφιστῇ φοιτήσας ὁ νοῦς ἡμῶν, νοεῖν καὶ καταλαμβάνειν
E ἔμαθε; πάντα ταῦτ' ἐφιέμενα διδασκαλίας αὐτοματιζούσῃ φύσει χρῆται πρὸς τὰς οἰκείας ἐνεργείας. τί οὖν ἔτι θαυμάζεις, εἰ καὶ ἀρετὴν ἄπονον καὶ ἀταλαίπωρον ὁ θεὸς ὀμβρήσει, μηδεμιᾶς δεομένην ἐπιστασίας, ἀλλ' ἐξ ἀρχῆς ὁλόκληρον καὶ ἀπαθῆ. εἰ καὶ μαρτυρίαν βούλει λαβεῖν, Μωυσέως ἀξιοπιστοτέραν εὑρήσεις· ὅς φησι τοῖς μὲν ἄλλοις ἀνθρώποις, ἀπὸ γῆς εἶναι τὰς τροφάς, μόνῳ δ' ἀπ' οὐρανοῦ τῷ ὁρατικῷ. τὰς μὲν οὖν ἀπὸ γῆς, καὶ ἄνθρωποι γεωπόνοι συνεργοῦσι. τὰς δ' ἀπ' οὐρανοῦ νίφει χωρὶς συμπράξεως ἑτέρων, ὁ μό-

πῶς ὁ ἔχ- τι ἐπι- ιον καὶ ἐχ-

ος αὐτουργὸς θεός. καὶ μὴν λέγεται, ἰδοὺ ὕω ὑμῖν ἄρτους ἀπ' οὐρανοῦ. τίνα οὖν ἀποτροφὴν ἐνδίκως ὕεσθαι λέγει, ὅτι μὴ τὴν οὐράνιον σοφίαν; ἣν ἄνωθεν ἐπιπέμπει ταῖς ἱμείρουσιν ἀρετῆς ἐχούσαις ψυχαῖς ὁ φρονήσεως εὐθηνίαν καὶ εὐετηρίαν ἔχων, καὶ τὰ ὅλα ἄρδων, καὶ μάλιστα ἐν ἱερᾷ ἑβδόμῃ, ἣν σάββατον καλεῖ. τότε γὰρ τὴν τῶν αὐτομαθῶν ἀγαθῶν φορὰν ἔσεσθαί, φησιν, οὐκ ἐξ ὅλης τέχνης ἀνατελλόντων, ἀλλ' αὐτοφυεῖ καὶ αὐτοτελεῖ φύσει βλαστανόντων, καὶ τοὺς οἰκείους φερόντων καρπούς. τέξεται οὖν σοι ἡ ἀρετὴ υἱὸν γυναικὸς ἄρρενα, πάντως ἀπηλλαγμένον θήλεος πάθους, καὶ καλέσεις τὸ ὄνομα τοῦ υἱοῦ, τὸ πάθος, ὅπερ ἂν ἐπ' αὐτῷ πάθῃς· πείσῃ δὲ πάντως χαράν. ὥστε καὶ τὸ σύμβολον αὐτῆς ὄνομα θήσεις γέλωτα. καθάπερ λύπη τε φόβος ἰδίας ἀναφθέγξεις ἔχουσιν, ἃς ἂν τὸ βιασάμενον καὶ κρατῆσαν ὄνομα ποιήσῃ πάθος· οὕτως εὐβουλίαι καὶ εὐφροσύναι φυσικαῖς ἐκφωνήσεσιν ἀναγκάζουσι χρῆσθαι, ὧν οὐκ ἂν εὕροι τις κυριωτέρας καὶ εὐθυβολωτέρας κλήσεις, κἂν τυγχάνοι περὶ τὰς κλήσεις σοφός. διό, φησιν εὐλόγηκα αὐτόν, αὐξήσω αὐτόν, πληθυνῶ· δώδεκα ἔθνη γεννήσει, τὸν κύκλον καὶ τὸν χορὸν ἅπαντα τῶν σοφιστικῶν προπαιδευμάτων. τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ· ἵνα ἑκατέρας ἀρετῆς τὸ ἀνθρώπινον μεταποιῆται γένος, διδακτῆς τε καὶ αὐτομαθοῦς, τὸ μὲν ἀσθενέστερον διδασκομένης, ἑτοίμης δὲ τὸ ἐρρωμένον. εἰς δὲ τῆς καιρὸν τοῦτον τέξεταί σοί φησιν ἡ σοφία χαράν. ποῖον, ὦ θαυμασιώτατε, δεικνύεις καιρόν· ἢ τὸν ἀπὸ γενέσεως ἀδείκτον μόνον; ὁ γὰρ ἀληθὴς αὐτὸς εἴη καιρός. ἀνατολὴ τῶν ὅλων, ἡ εὐπραξία καὶ εὐκαιρία, γῆς, οὐρανοῦ, τῶν μεταξὺ φύσεων, ζώων ὁμοῦ καὶ φυτῶν ἁπάντων. ὅθεν καὶ Μωσῆς ἐθάρρησεν εἰπεῖν τοῖς ἀποδιδράσκουσι καὶ μὴ θέλουσι τὸν ὑπὲρ ἀρετῆς ἄρασθαι πόλεμον πρὸς τοὺς ἀντιτεταγμένους· ἀφέστηκεν ὁ καιρὸς ἀπ' αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν. μόνον γὰρ οὐκ ἄντικρυς ὁμολογεῖ τὸν θεὸν καιρόν, ὃς πάντως μὲν ἀσεβοῦς μακρὰν ἀφέστηκεν, ἀρετώσαις δ' ἐμπεριπατεῖ ψυχαῖς. ἐμπεριπατήσω γάρ, φησιν, ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν θεός. οἱ δὲ τὰς ὥρας τοῦ ἔτους, καιροὺς εἶναι λέγοντες, οὐ κυρίως καταχρῶνται τοῖς ὀνόμασιν, ἅτε μὴ πάνυ τὰς φύσεις τῶν πραγ-

ait, nisi cælestem Sapientiam innuat? quam cælitus dimittit in animos virtutis desiderio correptos, is qui prudentiæ copiam & fœcunditatem obtinet, & vniuersa rigat: ac potissimum in sacro Septenario, quem Sabbatum nuncupat: Etenim tunc bonorum sponte fusorum prouentum fore asserit, quæ non ex arte tota exoriuntur, sed ex natura per se genita & absoluta pullulant, & proprios fructus producunt. Pariet ergo tibi virtus generosum filium masculum, omni affectu fœmineo vacuum, & vocabis eum nomine affectionis, quam ob ipsum percepisti. afficieris autem omnino lætitia, ita vt ei nomen imponas, quod notam ipsius in se habeat, Risum. Sicuti dolor & metus proprias nuncupationes habent, quas affectus ipse violentior ac potentior nominauerit. eodem modo bona consilia, & delectationes, naturalibus appellationibus vti cogunt, quibus vix quisquam magis propria & rectius imposita vocabula reperiat: tametsi in nominum impositione callidus & peritus sit admodum. Idcirco, ait, *Benedixi ipsum; augebo ipsum, multiplicabo, duodecim gentes generabit.* Qui circulus & orbis vniuersus est Sophisticarum institutionum ac præceptionum. *Testamentum autem meum stabiliam cum Isaaco.* Vt virtutis vtriusque particeps fiat humanum genus, eius nimirum quæ doctrina comparatur; & eius quæ per se discitur, atque illius quidem quæ docetur, compos sit pars imbecillior; huius vero quæ in promptu est, firmior & robustior. Porrò, *Circiter tempus illud pariet tibi*, inquit, *Sapientia Gaudium.* Quale, ô maxime admirande, tempus indicas? An illud vero quod ab ortu indicari non potest? nam id demum Tempus opportunum & verum esset, Oriens Vniuersitatis, felicitas & opportunitas, terræ, cæli, naturarum quæ interiectæ sunt, animantium simul & stirpium omnium: Vnde Moses ausus est dicere ijs qui diffugiebant, & bellum pro virtute suscipere aduersus hostes oppositos nolebant. *Recessit opportunitas ab ipsis: Dominus vero in nobis.* Nam prorsus fermè fatetur oportunum tempus Deum esse, qui longe ab omni impio refugit, sed animis virtuti incumbentibus obuersatur. *Ambulabo enim inter vos*; inquit, *& ero Deus vester.* At vero qui tempestates anni, tempora opportuna esse dicunt, non propriè nominibus vtuntur, vt qui non planè & accuratè naturas rerum

Exod.16.

Num. 14.9.

Leuit.26.

ΝΟΜΩΝ ΙΕΡΩΝ ΑΛΛΗΓΟΡΙΑ ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΕΞΑΗΜΕΡΟΝ, ΤΡΙΤΗ.

SACRÆ LEGIS ALLEGORIARVM POST SEX DIERVM OPVS, LIBER TERTIVS.

ΚΑΙ εἶπε κύριος ὁ θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. Διὰ τί τὸν ἄνθρωπον, ὦ προφῆτα, οὐκ ἔστι καλὸν εἶναι μόνον; ὅτι φησὶ καλόν ἐστι, τὸν μόνον εἶναι. μόνος δὲ, καὶ καθ' αὑτὸν, εἷς ὢν ὁ θεός· οὐδὲν δὲ ὅμοιον θεῷ. ὥστε ἐπεὶ τὸ μόνον
B εἶναι τὸν ὄντα, καλόν ἐστι, ὁ γὰρ περὶ μόνον αὐτὸν τὸ καλόν· οὐκ ἂν εἴη καλὸν, τὸ εἶναι τὸν ἄνθρωπον μόνον. τὸ δὲ, μόνον εἶναι τὸν θεὸν ἔστι μὲν ἐκδέξασθαι καὶ οὕτως· ὅτι οὔτε πρὸ γενέσεως ἦν τι σὺν τῷ θεῷ· οὔτε κόσμου γενομένου συντάττεταί τι αὐτῷ. χρῄζει γὰρ οὐδενὸς τὸ παράπαν. ἀμείνων δὲ ἡ ἐκδοχή·
C ὁ θεὸς, μόνος ἐστὶ, καὶ ἕν, οὐ σύγκριμα, φύσις ἁπλῆ· ἡμῶν δ' ἕκαστος, καὶ τῶν ἄλλων ὅσα γέγονε, πολλά. οἷον, ἐγὼ, πολλά εἰμι· ψυχή, σῶμα· καὶ ψυχῆς, ἄλογον, λογικόν· πάλιν σώματος, θερμόν, ψυχρόν, βαρὺ, κοῦφον, ξηρόν, ὑγρόν. ὁ δὲ θεὸς, οὐ σύγκριμα, οὐδὲ ἐκ πολλῶν συνεστώς· ἀλλ' ἀμιγὴς ἄλλῳ. ὃ γὰρ ἂν προσκριθῇ θεῷ ἢ κρεῖσσόν ἐστιν
D αὐτοῦ, ἢ ἔλασσον ἢ ἴσον αὐτῷ. οὔτε δὲ ἴσον, οὔτε κρεῖσσόν ἐστι θεοῦ· ἔλασσον γε μὴν οὐδὲν αὐτῷ προσκρίνεται· εἰ δὲ μὴ, καὶ αὐτὸς ἐλαττωθήσεται. εἰ δὲ τοῦτο, καὶ φθαρτὸς ἔσται· ὅπερ οὐδὲ θέμις νοῆσαι. τέτακται οὖν ὁ θεὸς κατὰ τὸ ἓν καὶ τὴν μονάδα· μᾶλλον δὲ καὶ ἡ μονὰς, κατὰ τὸν ἕνα θεόν. πᾶς γὰρ ἀριθμὸς, νεώτερος κόσμου, ὡς καὶ χρόνος·

A ET dixit Dominus Deus: Non bonum est esse hominem solum, faciamus ei auxiliarem secundùm ipsum.] Quare hominẽ, ô propheta, non bonum est solum esse. Quia inquit bonũ est, vnum solum esse. Solus autem, & per seipsum, vnus existens Deus: Deo autem nihil simile: adeo vt quandoquidem ipsum solum esse qui est, bonum est, circa enim solum ipsum bonum est: non esset vtique bonum esse hominem solum. Hoc autem, solum esse Deum: ita quidem excipiendum est. Quod neque ante generationem erat quid cum Deo: neque à mundo creato componitur quicquam ipsi. Nulla enim re omnino indiget. potior autem exceptio: Deus solus est, & vnum, non concretum, natura simplex. vnus verò quisque nostrûm, & alia quæcumque facta sunt, multa. Cuiusmodi, ego, multa sum: anima, corpus, atque animæ irrationale, rationale: porrò corporis, calidum frigidum, graue leue, siccum humidum, Deus autem non concretum, neque ex pluribus constans: sed impromiscuus alij. Si quid enim Deo accrescat: aut potius est aut minus, aut æquale ipsi: neque autem æquale, neque potius est Deo, minus verò, vtique nullum ipsi accrescit. Sin minus, & ipse imminuetur. Si hoc verò, & interitui obnoxius erit, quod quidem neque fas cogitare. Ordinatur igitur Deus secundùm vnum & vnitatem. Omnis enim numerus, posterior mundo, sicuti & tempus.

Gen. 2.

A Deus autem antiquior mundo, & opifex. Nullum verò hominem bonum est esse solum. Duo enim hominũ genera: vnum, secundùm imaginem factum, & formatum ex terra, appetit autem imaginem. Imago enim Dei, primigenium exemplar est aliorum. Omne porrò imitamentum desiderat hoc, cuius est imitamentum, & cum ipso componitur. Neque formatori multo potius bonum est esse solum, sed etiam impossibile. Etenim sensus & affectus & vitia, & sexcenta alia, huic menti coniuncta sunt & coaptata. Secundo au- B tem homini auxiliaris constituitur, primùm quidem facta: (faciam enim inquit, ipsi auxiliarem) deinde posterior eo, cui auxiliaris datur. Primum quidem enim formauit mentem, formaturus autem est auxiliarem ipsius. Sed hæc naturaliter innuit. Sensus enim, & affectus animæ, sunt posteriores anima. Quomodo autem auxilientur, videamus. Quod verò sint posteriores, consideremus. Quemadmodum enim secundùm optimos medicos & physicos videtur totius corporis C prius formari cor, fundamenti instar, aut tanquam carinæ nauis super quam ædificatur aliud corpus, præterquam quod etiam post mortem adhuc subsilire ipsum aiunt, tanquam primum factum, & vltimum moriens: sic etiam principalem animæ partem antiquiorem esse tota: irrationalem verò posteriorem, cuius quidem generationem nondum declarauit, est autem descripturus. Irrationalis autem pars sensus est & qui ab ipso generantur affectus, atque adeò nisi iudicia sint nostra. Posterior igitur hic à Deo au- D xiliaris, & factus merito. Quòd autem adijcitur, videamus quomodo auxilietur. Quomodo mens nostra comprehendit, quod hoc candidum aut nigrum est, nisi auxiliari vtatur visu? Quomodo verò, quod suauis citharœdi vox: aut contra absona: nisi auxiliari vtatur auditu? Quî autem boni vel mali odoris vapores, nisi veluti auxiliarem adhibeat odoratum? Quomodo item probabit succos: nisi auxilio gustus? Quo- E modo rursum mollia & aspera nisi per tactum? Est itaque altera species auxiliaris, quemadmodum dixi, nempe affectus. Voluptas etenim auxiliatur ad perseuerantiam generis nostri, & cupiditas: & dolor quidem & metus, mordentes animam flexit ipsam vt nihil parui faceret. Ira autem arma ad propulsandam iniuriam, quæ multis valdè profuit. & alia huiusmodi.

A ὁ δὲ θεός, πρεσβύτερος κόσμου, καὶ δημιουργός. οὐδένα δὲ ἄνθρωπον καλόν ἐστιν εἶναι μόνον. δύο γὰρ ἀνθρώπων γένη· τό, τε κατὰ τὴν εἰκόνα γεγονός, καὶ τὸ πεπλασμένον ἐκ γῆς. ἐφίεται γὰρ τῆς εἰκόνος. ἡ γὰρ εἰκὼν τοῦ θεοῦ, ἀρχέτυπος ἄλλων ἐστί· πᾶν δὲ μίμημα ποθεῖ τοῦτο, οὗπερ ἐστὶ μίμημα, καὶ μετ᾽ ἐκείνου τάττεται. οὔτε τῷ πλάσει πολὺ μᾶλλον καλόν ἐστιν εἶναι μόνῳ, ἀλλὰ καὶ ἀδύνατον. αἱ γὰρ αἰσθήσεις καὶ πάθη καὶ κακίαι καὶ μυρία ἄλ- B λα, τούτῳ τῷ νῷ συνέζευκται καὶ συνήρμοσται, ὁ δὲ δευτέρῳ ἀνθρώπῳ βοηθὸς συνίσταται, πρῶτον μὲν γενητός· (ποιήσω γάρ, φησιν, αὐτῷ βοηθόν·) ἔπειτα δὲ νεώτερος τοῦ βοηθουμένου. πρότερον μὲν γὰρ ἔπλασε τὸν νοῦν· μέλλει δὲ πλάττειν τὸν βοηθὸν αὐτοῦ. ἀλλὰ καὶ ταῦτα φυσικῶς ἀλληγορεῖ· ἡ γὰρ αἴσθησις, καὶ τὰ πάθη τῆς ψυχῆς, εἰσὶ νεώτεροι τῆς ψυχῆς. πῶς μὲν οὖν βοηθοῦσιν, ὀψόμεθα. ὅτι δέ εἰσι νεώτεροι, θεασώμεθα. ὥσπερ, κατὰ τοὺς C ἀρίστους τῶν ἰατρῶν καὶ φυσικῶν, δοκεῖ τοῦ ὅλου σώματος προπλάττεσθαι ἡ καρδία, θεμελίου τρόπον, ἢ ὡς ἐν νηὶ τρόπιος, ἐφ᾽ ἣν οἰκοδομεῖται τὸ ἄλλο σῶμα· παρὸ καὶ μετὰ τὴν τελευτὴν ἔτι ἐμπηδᾶν φασιν αὐτήν, ὡς καὶ πρώτην γενομένην, καὶ ὑστέραν φθειρομένην· οὕτως καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς πρεσβύτερον τῆς ὅλης εἶναι· τὸ δ᾽ ἄλογον, νεώτερον, οὗ τὴν γένεσιν οὔπω μὲν δεδήλωκε, μέλλει δ᾽ ὑπογράφειν. τὸ δ᾽ ἄλογον, αἴσθησίς ἐστι καὶ τὰ ταύτης ἔκγονα πάθη, D καὶ μάλιστα εἰ μὴ κρίσεις εἰσὶν ἡμέτεραι. καὶ νεώτερος οὖν ἐστὶν ὁ βοηθὸς θεοῦ, καὶ γενητὸς εἰκότως. τὸ δ᾽ ὑποτιθὲν, ἴδωμεν πῶς βοηθεῖ. πῶς ἡμῶν ὁ νοῦς καταλαμβάνει, ὅτι τουτὶ λευκὸν ἢ μέλαν ἐστίν, εἰ μὴ βοηθῷ χρησάμενος ὁράσει; πῶς δέ, ὅτι ἡδεῖα ἡ τοῦ κιθαρῳδοῦ φωνή, ἢ τοὐναντίον ἐκμελής· εἰ μὴ βοηθῷ χρησάμενος ἀκοῇ, πῶς δὲ εὐώδεις ἢ δυσώδεις οἱ ἀτμοί. εἰ μὴ συμμάχῳ χρησάμενος ὀσφρήσει; πῶς δὲ δοκιμάζει τοὺς χυ- E λούς. εἰ μὴ διὰ βοηθοῦ τῆς γεύσεως; πῶς δὲ αὖ τὰ μαλακὰ καὶ τραχέα· εἰ μὴ διὰ ἁφῆς; ἔστι τοίνυν ἕτερον εἶδος βοηθοῦ, ὡς ἔφην, τὰ πάθη. καὶ γὰρ ἡδονὴ βοηθεῖ πρὸς διαμονὴν τοῦ γένους ἡμῶν, καὶ ἐπιθυμία· καὶ λύπη μέντοι καὶ φόβος, δάκνοντα τὴν ψυχήν, ἐπιστρέφει αὐτὴν μηδενὸς ὀλιγωρεῖν. ὀργή τε ἀμυντήριον ὅπλον, ἣ μεγάλα πολλοὺς ὠφέλησε· καὶ τἄλλα ταῦτα.

διὸ καὶ εὐθυβόλως εἶπε· κατ' αὐτὸν εἶναι τὸν βοηθόν. τῷ γὰρ ὄντι οἰκεῖος ἐστὶν ὁ βοηθός ἐστι τοῦ νοῦ· ὡς ἂν ἀδελφὸς καὶ ὅμαιμος. μιᾶς γάρ ἐστι ψυχῆς μέρη καὶ γεννήματα, ἥ τε αἴσθησις, καὶ τὰ πάθη. τοῦ δὲ βοηθοῦ ἐστι διττὸν τὸ εἶδος· τὸ μὲν ἐν πάθεσι, τὸ δὲ ἐν αἰσθήσει. τὸ * νόμενον τὸ πρότερον εἶδος γενέσει. λέγει γάρ. καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ· καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτὰ καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. ὁρᾷς τίνες εἰσὶν ἡμῶν οἱ βοηθοί· τὰ θηρία τῆς ψυχῆς, τὰ πάθη. εἰπὼν γάρ, ποιήσωμεν βοηθὸν κατ' αὐτόν· ἐπιφέρει τό· ἔπλασε τὰ θηρία· ὡς τῶν θηρίων ὄντων βοηθῶν ἡμῖν. οὐ κυρίως δὲ οὗτοι βοηθοί, ἀλλὰ καταχρηστικῶς λέγονται, εὑρίσκονταί γε πρὸς ἀλήθειαν πολέμιοι· ὥσπερ καὶ τῶν πόλεών ἐστιν ὅτε οἱ σύμμαχοι προδόται τε καὶ αὐτόμολοι· καὶ ἐν ταῖς φιλίαις, οἱ κόλακες ἀντὶ ἑταίρων ἐχθροί. οὐρανὸν δὲ καὶ ἀγρὸν συνωνύμως κέκληκεν, ἀλληγορῶν τὸν νοῦν. ἔστι γάρ, καὶ ὡς ἀγρός, ἀναπλεὼς καὶ βλαστὰς ἔχει μυρίας ὅσας· καὶ ὡς οὐρανὸς πάλιν, λαμπρὰς καὶ θείας καὶ εὐδαίμονας φύσεις. θηρίοις δὲ καὶ πτηνοῖς ἀπεικάζει τὰ πάθη· ὅτι σίνεται τὸν νοῦν, ἀτιθάσευτα καὶ ἀνήμερα ὄντα. καὶ ὅτι πτηνῶν τρόπον ἐπιποτᾶται τῇ διανοίᾳ, ὀξεῖα γὰρ ἡ τούτων καὶ ἀκατάσχετος ὁρμή. οὐ παρέργως δὲ προσκεῖται τῷ ἔπλασε τὸ ἔτι. διὰ τί; ὅτι καὶ ἐπάνω πεπλάσθαι τὰ θηρία φησὶ πρὸ τῆς ἀνθρώπου γενέσεως. καὶ δηλοῖ διὰ τούτων ἐν ἕκτῃ ἡμέρᾳ. καὶ εἶπεν· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν, κατὰ γένος τετράποδα καὶ ἑρπετὰ καὶ θηρία. τί παθὼν οὖν ἄλλα πλάττει θηρία νῦν, οὐκ ἀρκεσθεὶς τοῖς προτέροις; λεκτέον ἠθικῶς μὲν τοῦτο. πλούσιόν ἐστι τὸ κακίας γένος ἐν τῷ γεννᾶσθαι, ὥστε ἀεὶ γεννᾶσθαι τὰ φαυλότατα ἐν τούτῳ. φυσικῶς δὲ ἐκεῖνο· πρότερον μὲν ἐν τῇ ἑξαημέρῳ τὰ γένη τῶν παθῶν, καὶ τὰς ἰδέας εἰργάζετο. νυνὶ δὲ τὰ εἴδη προσαπεργάζεται. διό φησιν· ἔπλασεν ἔτι. ὅτι δὲ τὰ πάλαι κατασκευασθέντα γένη ἦν· φανερόν, ἐξ ὧν φησιν· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν, οὐ κατ' εἶδος, ἀλλὰ κατὰ γένος. καὶ τοιοῦτος ἐν ἅπασιν εὑρίσκεται. πρὸ γὰρ τῶν εἰδῶν, ἀποτελεῖ τὰ γένη· ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου. προτυπώσας γὰρ τὸν γενικὸν ἄνθρωπον,

A Proinde rectè dixit: secundum ipsum auxiliarem. Reuera enim familiaris e auxiliaris iste menti: tanquam germanus, & consanguineus. vnius enim animæ pars & progenies, tum sensus, tum affectus. Auxiliaris autem duplex est species, vna quidem in affectibus, vna autem in sensu ** prior species generatione. Ait enim: Et formauit Deus ex terra omnes bestias agri: & omnia volatilia cœli, & adduxit ea ad Adam, vt videret quid vocaret ipsa: & omne quod B vocauit Adam animam viuentem, hoc fuit illi nomen. Vides quinam sint nostri auxiliares: feræ animæ, affectus. faciam enim auxiliarem secundum ipsum, subiungit, formauit feras: tanquam feris auxiliaribus nostris existentibus. Non autem propriè isti auxiliares, sed abusiuè dicuntur, comperiuntur enim reuera hostes. Quemadmodum & in vrbibus videre est quando socij sunt proditores & transfugæ, & in amicitijs, adulatores pro amicis, inimici. Cœlum autem C & agrum vno eodémque nomine appellauit, innuens mentem. hic enim ceu ager, ortus & germina habet propè infinita. Et quemadmodum sol rursus, splendidas, diuinas & beatas habet naturas, feris autem & volucribus comparat affectus, quoniam perturbant mentem, intractibiles & immites existentes. Et quod volucrium in modum circumuolant menti. Acutus enim & qui cohiberi non potest est horum impetus. Non abs re igitur adhæret τῷ ἔπλασε, formauit, τὸ ἔτι amplius. Quid ita? Quòd D & superius formatas fuisse feras inquit ante hominis generationem. & ostendit ex his, in sexta die. Et dixit. Producat terra animam viuentem, secundùm genus, quadrupeda, & reptilia & bestias. Quid igitur faciens alias bestias format nunc, non contentus prioribus? dicendum moraliter quidem hoc. locuples est vitij genus in sua generatione, adeo vt semper pessima quæque in ipso generentur. naturaliter verò illud. Prius quidem E in opere sex dierum genera affectuum, & ideas effecit. Nunc autem species adiunxit. Ideo inquit: formauit amplius: Quod verò iam olim constructa genera erant: manifestum, ex ijs quæ dicit: Producat terra animam viuentem, non secundùm speciem, sed secundùm genus. Et talis in omnibus inuenitur. Ante species enim perficit genera: quemadmodum & in homine, prius enim fingit generalem hominem,

Gen. 2.

Ibid.

Gen. 1.

in quo masculum & fœmineũ genus aiunt esse: secundùm verò speciem nempe Adamum efficit. Hanc quidem igitur speciem auxiliarium dixit. Altera verò adijcitur sensus, quando molitur mulierem formare. Illud verò adiungens de nominum impositione artificiose loquitur. Est autem tum figurata tum definita redditio admiratione digna definita quidem: in quantum impositionem nominum applicauit primo genito legislator. Græci enim philosophi dixerunt esse sapientum primos, qui rebus nomina imposuerunt. Moses autem melius: quod primùm quidem non quibusdam qui prius fuissent, sed primo generato. vt quemadmodum ipse principium alius generationis formatus est: ita etiam & ipse principium ratiocinandi haberetur. non enim existentibus nominibus, neque idioma erat. Deinde, quod multis impositis nominibus dissonantia & impromiscua futura essent, alijs aliter impositis. Vnius autem debuit impositio congruere rei, atque hoc esse symbolũ omnibus idem, contingentis vel significati. Moralis autem sermo talis est. τὸ τί, quid, sæpe ponimus pro διὰ τί, cuiusmodi: τί λέλουσαι; quid lauisti? τί περιπατεῖς; quid ambulas, τί διαλέγῃ quid disseris omnia enim hæc pro διὰ τί. Quare. Quando igitur dicit, vt videret quid vocaret: audi perinde esse ac quare appellaret, & ad se vocaret, & amplecteretur horum vnumquodque mens. Vtrum igitur necessarij tantùm gratia, quod adiunctum est mortale ex necessitate affectibus & vitijs? aut etiam immoderati & superflui gratia? & vtrum per terrigenæ vsus, aut quod iudicarit ipsa optima & admiratione dignissima. cuiusmodi, vti voluptate oportet genus. Verùm malus quidem tanquam bono perfecto vtetur: bonus autem tanquam duntaxat necessario. Absque enim voluptate nihil fit eorum quæ in mortalium genere. Porrò facultatum possessionem, hic quidem perfectissimum bonum iudicat: bonus autem, necessarium & vtile hoc ipsum tantum. Meritò igitur Deus videre & cognoscere vult, quomodo vnumquodque istorum accerserit & admiserit mens: siue vt bona, siue vt indifferentia: aut vt mala quidem & aliter. Propterea & omne quod vocauit ad se & amplexus est tanquam animam viuentem, pari honore afficiendum ipsum ducens animæ, hoc nomen ipsius vocati fuit solum. Sed etiam vocantis: quale, si admisisset voluptatum, voluptuarius,

A ἐν ᾧ τὸ ἄρρεν καὶ τὸ θῆλυ γένος φασὶν εἶναι· ὕστερον τὸ εἶδος ἀπεργάζεται τὸν Ἀδάμ. τοῦτο μὲν οὖν τὸ εἶδος τῶν βοηθῶν εἴρηκε, τὸ δ' ἕτερον ὑποτίθεται τὸ τῆς αἰσθήσεως, ὅταν ἐπιχειρῇ πλάττειν τὴν γυναῖκα. ἐκεῖνο δὲ προστιθέμενος, περὶ τῆς τῶν ὀνομάτων θέσεως τεχνολογεῖ. ἔστι δὲ καὶ ἡ τροπικὴ καὶ ἡ ῥητὴ ἀπόδοσις ἀξία τοῦ θαυμάζεσθαι· ἡ μὲν ῥητή· παρόσον τὴν θέσιν τῶν ὀνομάτων προσῆψε τῷ πρώτῳ γενομένῳ ὁ νομοθέτης. καὶ γὰρ οἱ παρ' Ἕλλησι φιλοσοφοῦντες εἶπον, B εἶναι σοφοὺς τοὺς πρώτους τοῖς πράγμασι τὰ ὀνόματα θέντας· Μωσῆς δὲ ἄμεινον· ὅτι πρῶτον μὲν οὔ τισι τῶν προτέρων, ἀλλὰ τῷ πρώτῳ γενομένῳ. ἵνα ὥσπερ αὐτὸς ἀρχὴ τῆς ἄλλης γενέσεως ἐπλάσθη· οὕτω καὶ αὐτὸς ἀρχὴ τοῦ διαλέγεσθαι νομισθῇ. μὴ γὰρ ὄντων ὀνομάτων, οὐδὲ ἂν διάλεκτος ἦν. ἔπειτα, ὅτι πολλῶν μὲν τεθέντων ὀνομάτων, διάφωνα καὶ ἄμικτα ἔμελλεν ἔσεσθαι, ἄλλων ἄλλως C τεθέντων. ἑνὸς δὲ ὤφειλεν ἡ θέσις ἐφαρμόττειν τῷ πράγματι, καὶ τοῦτ' εἶναι σύμβολον ἅπασι τὸ αὐτό, τοῦ τυγχάνοντος ἢ τοῦ σημαινομένου. ὁ δὲ ἠθικὸς λόγος, τοιοῦτός ἐστι· τὸ τί πολλάκις τίθεμεν ἀντὶ τοῦ διὰ τί· οἷον, τί λέλουσαι; τί περιπατεῖς; τί διαλέγῃ; πάντα γὰρ ταῦτα ἀντὶ τοῦ διὰ τί. ὅταν οὖν λέγῃ, ἰδεῖν τί καλέσει· ἄκουε ἴσον τῷ, διὰ τί καλέσει, καὶ προσκαλέσεται, καὶ ἀσπάσεται τούτων ἕκαστον ὁ νοῦς. πότερον ἕνεκα τοῦ ἀναγκαίου μόνον, ὅτι D κατέζευκται τὸ θνητὸν ἐξ ἀνάγκης πάθεσι καὶ κακίαις, ἢ καὶ ἕνεκα τοῦ ἀμέτρου καὶ περιττοῦ. καὶ πότερον διὰ τὰς τοῦ γηγενοῦς χρείας, ἢ διὰ τὸ κρίνειν αὐτὰ βέλτιστα καὶ θαυμασιώτατα; οἷον ἡδονῇ χρῆσθαι δεῖ τὸ γένος. ἀλλ' ὁ μὲν φαῦλος ὡς ἀγαθῷ τελείῳ χρήσεται· ὁ δὲ σπουδαῖος, ὡς μόνον ἀναγκαίῳ· χωρὶς γὰρ ἡδονῆς οὐδὲν γίνεται τῶν ἐν τῷ θνητῷ γένει. πάλιν, τὴν τῶν κτημάτων κτῆσιν, ὁ μὲν τελειότατον ἀγα- E θὸν κρίνει· ὁ δὲ σπουδαῖος, ἀναγκαῖον καὶ χρήσιμον αὐτὸ μόνον. εἰκότως οὖν ὁ θεὸς ἰδεῖν καὶ καταμαθεῖν βούλεται, ὡς ἕκαστον τούτων προσκαλεῖται καὶ ἀποδέχεται ὁ νοῦς· εἴτε ὡς ἀγαθά, εἴτε ὡς ἀδιάφορα· ἢ ὡς κακὰ μέν, ·· δὲ ἄλλως (καὶ). διὸ καὶ πᾶν ὃ ἂν προσεκαλέσατο, καὶ ἠσπάσατο ὡς ψυχὴν ζῶσαν, ἰσότιμον αὐτὸ ἡγησάμενος ψυχῇ, τοῦτο ὄνομα αὐτοῦ κληθέντος ἐγίνετο μόνον. ἀλλὰ καὶ τοῦ καλέσαντος· οἷον, εἰ ἀπεδέξατο ἡδονήν, ἐκαλεῖτο ἡδονικός·

εἰ δὲ ἐπιθυμίαν, ἐπιθυμητικός· εἰ ἀκολασίαν, ἀκόλαστος· εἰ δειλίαν, δειλός· καὶ οὕτως ἐπὶ τῶν ἄλλων. ὥσπερ γὰρ ἐπὶ τῶν ἀρετῶν, ὁ κατ' αὐτὰς ποιός, καλεῖται φρόνιμος, ἢ σώφρων, ἢ δίκαιος, ἢ ἀνδρεῖος· οὕτως ἀπὸ τῶν κακιῶν ἄδικος καὶ ἄφρων καὶ ἄνανδρος, ἐπειδὰν τὰς ἕξεις προσκαλέσηται καὶ δεξιώσηται. Καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ τὰ ἑξῆς. τὸ ῥητὸν ἐπὶ τούτου, μυθῶδές ἐστι. πῶς γὰρ ἂν παραδέξαιτό τις, ὅτι γέγονεν ἐκ πλευρᾶς ἀνδρὸς γυνή, ἢ συνόλως ἄνθρωπος; τί δὲ ἐκώλυεν, ὥσπερ ἐκ γῆς ἄνδρα ἐδημιούργει τὸ αἴτιον, οὕτω καὶ γυναῖκα δημιουργῆσαι; ὅ τε γὰρ ποιῶν ὁ αὐτὸς ἦν· ἥ τε ὕλη σχεδὸν ἄπειρος, ἐξ ἧς πᾶσα ποιότης κατεσκευάζετο. διὰ τί δὲ οὐκ ἐξ ἄλλου μέρους, τοσούτων ὑπαρχόντων, ἀλλ' ἐκ πλευρᾶς ἐτύπου τὴν γυναῖκα; ποτέραν δὲ πλευράν; ἵνα καὶ δύο μόνας ἐμφαίνεσθαι φῶμεν. [illegible] γὰρ, οὐδὲ πλῆθος αὐτῶν ἐδήλωσεν. ἆρά γε τὴν εὐώνυμον, ἢ τὴν δεξιάν; εἶτα μὲν ἀνεπλήρου σαρκὶ τὴν ἑτέραν· ἡ ἀπολειφθεῖσα οὐκ ἦν σαρκίνη δήπου, καὶ μὴν ἀδελφαί εἰσι καὶ σύμφυες πᾶσι τοῖς μέρεσιν αἱ ἡμέτεραι πλευραί, καὶ σαρκὸς γεγόνασι. τί οὖν λεκτέον; πλευρὰς ὁ βίος ὀνομάζει τὰς δυνάμεις. λέγομεν γὰρ πλευρὰς ἔχειν τὸν ἄνθρωπον, ἴσον τῷ δυνάμεις· καὶ ἔμπλευρον εἶναι τὸν ἀθλητήν, ἀντὶ τοῦ ἰσχυρόν· καὶ πλευρὰς ἔχειν τὸν κιθαρῳδόν, ἀντὶ τοῦ δύναμιν ἐρρωμένην ἐν τῷ ᾄδειν. τούτου προειρημένου, κἀκεῖνο λεκτέον, ὅτι γυμνὸς καὶ ἀνένδετος σώματι νοῦς (περὶ γὰρ τοῦ μήπω ἐνδεδεμένου ἐστὶν ὁ λόγος) πολλὰς ἔχει δυνάμεις, ἑκτικήν, φυτικήν, ψυχικήν, λογικήν, διανοητικήν, ἄλλας μυρίας, κατά τε εἴδη καὶ γένη. ἡ μὲν ἕξις κοινὴ καὶ τῶν ἀψύχων ἐστὶ λίθων καὶ ξύλων, ἧς μετέχει καὶ τὰ ἐν ἡμῖν ἐοικότα λίθοις ὀστέα. ἡ δὲ φύσις, διατείνει καὶ ἐπὶ τὰ φυτά· καὶ ἐν ἡμῖν δέ ἐστιν ἐοικότα φυτοῖς, ὄνυχές τε καὶ τρίχες. ἔστι δὲ ἡ φύσις, ἕξις ἤδη κινουμένη. ψυχὴ δέ ἐστι φύσις προσειληφυῖα φαντασίαν καὶ ὁρμήν· αὕτη κοινὴ καὶ τῶν ἀλόγων ἐστίν. ἔχει δὲ καὶ ὁ ἡμέτερος νοῦς ἀνάλογόν τι ἀλόγου ψυχῇ. πάλιν ἡ διανοητικὴ δύναμις ἰδία τοῦ νοῦ ἐστι, καὶ ἡ λογική. κοινὴ μὲν τάχα καὶ τῶν θειοτέρων φύσεων, ἰδία δὲ ὡς ἐν θνητοῖς ἀνθρώπου. αὕτη δὲ διττή· ἡ μὲν καθ' ἣν λογικοί ἐσμεν, νοῦ μετέχοντες. ἡ δέ, καθ' ἣν διαλεγόμεθα. ἔστιν ἄλλη δύναμις ἐν ψυχῇ, τούτων ἀδελφή, ἡ αἰσθητική· περὶ ἧς ἐστιν ὁ λόγος. οὐδὲν γὰρ ἄλλο νῦν ὑπογράφει,

A si cupiditatem, cupidus, si intemperantiam, intemperans, si timiditatem timidus, & sic de alijs. Quemadmodum enim quum agitur de virtutibus, qui secundum ipsas qualis est, vocatur prudens, vel temperans, aut iustus, aut fortis: sic à vitijs, iniustus, stolidus, ignauus quando sequentes aduocarit & dextram illis dederit. [Et immisit Deus profundum soporem super Adamum: & accepit vnam ex costis ipsius & quæ sequuntur.] Quod super hoc dictum est, *fabulosum est.* Quo- B modo enim quis admittat, quod ex costa viri mulier facta sit, aut in vniuersum homo? Quid verò impedit, quominus vti ex terra virum creauit, causam, ita mulierem quoque formaret? faciens enim vnus idémque erat: tum materia ferè infinita, ex qua omnis qualitas constructa est. Quare non ex alia parte, tot existentibus sed ex costa finxit mulierem, qualem autem costam? vt duas tantum apparere dicamus. Reuera enim, neque multitudinem C ipsarum demonstrauit. Num sinistram, aut dextram: quæ deerat nónne erat vtique carnea: Quinetiam costæ nostræ & ex carne factæ sunt. Quid igitur dicendum? costas nominat vita vires. dicimus enim latera habere hominem perinde ac vires: & latera habere athletam pro robustum esse, & latera habere citharœdum, pro facultatem robustam in canendo. His igitur præmissis, & illud dicẽdum est, quod nuda & nullis vinculis colligata corpori mens. (de vincto enim nondum fit sermo) mul- D tas habet facultates, habitiuam, vegetatiuam, animalem, rationalem, intellectualem, alias sexcentas secundum tum species tum genera. Habitus quidem communis est & inanimatis, lapidibus & lignis, cuius participant quæ in nobis similia sunt lapidibus, ossa. natura autem, extendit scse ad plantas: & in nobis similia sunt plantis, vngues & capilli. Est verò natura habitus iam motus. anima autem est natura quæ assumpsit imaginationem & E impetum ipsa & communis & irrationalium est. habet autem & mens nostra analogum quid irrationali animæ. Porrò intelligibilis facultas propria mentis est, & rationalis. Communis etiam fortè diuiniorum naturarum, propriæ autem tanquam bene mortalis hominis. Ipsa verò duplex: vna quidem qua rationales sumus, mentis participes, vna verò, secundum quam ratiocinamur. Est alia facultas in anima, horum germana, sensitiua. De qua sermo est. nihil enim aliud describit,

Gen. 2.

Hic verò non ferendus Philo tam impiè Sacrosanctæ scripturæ auctoritatem eleuans.

A quam generationem secundum efficaciam sensus, & secundum rationem. Post mentem enim statim oportuit creari sensum auxiliarem & socium ipsi. Perficiens igitur illum, secundum & ordine & facultate format opus quoddam, nimirum secundum efficaciam sensum, ad complementum totius animæ, & subiectorum apprehensionem. Quomodo autem generatur? vti ipse rursus inquit quando, mens separata fuerit. Re ipsa enim soporata mente fit sensus: etenim denuo euigilans mens, exstinguitur. Indicium autem. Quando
B quid volumus accuratè & diligenter cogitare, in solitudinem fugimus, claudimus oculos, obturamus aures, & renuntiamus sensibus. Sic quidem quum resurrexit & vigilat mens. Expergefacto & resuscitato sensu, quando visus pictorum & plastarum opera affabre facta videt, nonne mens otiosa est, nihil cogitans intelligibile? Quid verò quando auditus autendit vocis modulationi, potest mens
C ratiocinari quid eorum quæ ipsi familiaria sunt? nequaquam. Quin multo magis inefficax redditur, quando gustus exuscitatus, voraciter impletur ventris voluptatibus. Propterea Moses, metuens ne quando mens non solum dormiret, sed etiam omnino moreretur: dicit alibi, [Et erit tibi paxillus baltheo, quumque sederis, fodies in ipso: & congesta humo abscondes turpitudinem tuam.] paxillum symbolicè innuens, effodientem rationem res oc-
D cultas. Iubet autem ipsum ferre ad affectam, quo oportet cinctum esse nec sinere vt relaxetur & remittatur. Hoc autem faciendum quando mens ad intelligibilium sonum surgens cedit affectibus, & sedet consentiens & acta à corporea necessitate & ita habet, quum in molliori concubitu non sentiens, à se ipsa superatur ijs quæ ad voluptatem ducunt, serui facti sumus, & iam non tecta impuritate vtimur. si verò valeat
E ratio repurgare affectum: neque bibentes, inebriamur, neque edentes insolescimus propter satietatem, sed absque vngamentis, sobrie vescimur. Non itaque sensuum euigilantia, mentis somnus est, neque mentis euigilantia, inefficacia sensuum. Quemadmodum & sole oriente quidem splendores aliarum stellarum obscuri sunt: occidente autem manifesti. Solis planè in modum, mens euigilans quidem inumbrat sensus: dormiens autem ipsa fulget. His præfatis: adaptanda sunt verba. [Immisit, in-

Deut. 23.

A ἢ γένεσιν τὴν γὰρ κατ' ἐνέργειαν αἰσθήσεως, καὶ κατὰ λόγον. μετὰ γὰρ νοῦν, εὐθὺς ἔδει δημιουργηθῆναι αἴσθησιν βοηθὸν αὐτῷ καὶ σύμμαχον. τελεσιουργήσας οὖν ἐκεῖνον, τὸ δεύτερον καὶ τῇ τάξει καὶ τῇ δυνάμει πλάττει δημιούργημά τι, τὴν κατ' ἐνέργειαν αἴσθησιν, πρὸς συμπλήρωσιν τῆς ὅλης ψυχῆς, καὶ πρὸς τὴν τῶν ὑποκειμένων ἀντίληψιν. πῶς οὖν γίνεται; ὡς αὐτὸς πάλιν φησίν. ὅταν ὑπνώσῃ ὁ νοῦς. ὄντι γὰρ ὅτι ὑπνώσαντος τοῦ νοῦ αἴσθησις. καὶ γὰρ ἔμπαλιν ἐγρηγορότος τοῦ, σβέννυται.
B τεκμήριον δέ. ὅταν τι βουλώμεθα ἀκριβῶς νοῆσαι, εἰς ἐρημίαν ἀποδιδράσκομεν, καταμύομεν τὰς ὄψεις, τὰ ὦτα ἐπιφράττομεν, ἀποταττόμεθα ταῖς αἰσθήσεσιν. οὕτως μὲν ὅταν ἀνάστῃ, καὶ ἐγρηγορὼς χρῆται ὁ νοῦς. προεξαναστάσης καὶ ζωπυρηθείσης αἰσθήσεως, ὅταν ἡ ὄψις γραφέων ἢ πλαστῶν ἔργα εὖ δεδημιουργημένα καθορᾷ, οὐχ ὁ νοῦς ἄπρακτός ἐστι, νοητὸν ἐπινοῶν οὐδέν; τί δ' ὅταν ἡ ἀκοὴ προσέχῃ φωνῆς ἐμμελείᾳ, δύ-
C ναται ὁ νοῦς λογίζεσθαί τι τῶν οἰκείων; οὐδαμῶς. καὶ μὴν πολὺ πλέον ἄπρακτος γίνεται, ὅταν ἡ γεῦσις ἐξαναστᾶσα, λάβρως ἐμπίπληται τῶν γαστρὸς ἡδονῶν. διὸ καὶ Μωϋσῆς, φοβηθεὶς μή ποτε ὁ νοῦς μὴ μόνον κοιμηθῇ, ἀλλὰ καὶ τελείως ἀποθάνῃ· φησὶν ἐν ἑτέροις· καὶ πάσσαλος ἔσται σοι ἐπὶ τῆς ζώνης σου ἔσται, ὅταν διακαθίζῃς, καὶ ὀρύξεις ἐν αὐτῷ καὶ ἐπαγαγὼν καλύψεις τὴν ἀσχημοσύνην σου. πάσσαλον συμβολικῶς φάσκων,
D τὸν ἐξορύσσοντα λόγον τὰ κεκρυμμένα τῶν πραγμάτων. κελεύει δ' αὐτὸν φορεῖν ἐπὶ τοῦ πάθους, ὃ περιεζῶσθαι χρὴ καὶ μὴ ἐᾶν κεχαλάσθαι καὶ ἀνεῖσθαι. τοῦτο δὲ πρακτέον, ὅταν ὁ νοῦς τοῦ τόνου τῶν νοητῶν ἀποστὰς, ὑφίκηται πρὸς τὰ πάθη καὶ διακαθίζων ἐνδιδοὺς καὶ ἀγόμενος ὑπὸ τῆς σωματικῆς ἀνάγκης καὶ οὕτως ἔχῃ, ὅταν ἐν ταῖς ἁβροδιαίτοις στρωμναῖς ἐπιλάθηται ὁ νοῦς ἑαυτοῦ κρατηθεὶς τοῖς ἐπὶ τὰς ἡδονὰς ἄγουσι, δε-
E δουλώμεθα καὶ ἀκατακαλύπτῳ τῇ ἀκαθαρσίᾳ χρώμεθα. ἐὰν δὲ ὁ λόγος ἰσχύσῃ ἀνακαθαίρειν τὸ πάθος· οὔτε πίνοντες μεθυσκόμεθα, οὔτε ἐσθίοντες ἐξυβρίζομεν διὰ κόρον, ἀλλὰ δίχα τοῦ λήρου, νηφάλια σιτούμεθα. οὐκ οὖν ἡ τῶν αἰσθήσεων ἐγρήγορσις, ὕπνος ἐστὶ νοῦ· ἥ τε τοῦ νοῦ ἐγρήγορσις, ἀπραξία τῶν αἰσθήσεων. καθάπερ καὶ ἡλίου ἀνατείλαντος μὲν, ἀφανεῖς αἱ τῶν ἄλλων ἀστέρων λαμπάδες· καταδύντος δὲ, ἐκδηλοι. ἡλίου δὲ τρόπον ὁ νοῦς ἐγρηγορὼς μὲν ἐπισκιάζει τὰς αἰσθήσεις· κοιμηθεὶς δὲ αὐτὸς ἐξέλαμψε. τούτων εἰ-

ῥηθέντων· ἐφαρμοστέον τὰς λέξεις. ἐπέβαλεν A φησιν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσεν· ὀρθῶς· ἡ γὰρ ἔκστασις καὶ τροπὴ τοῦ νοῦ, ὕπνος ἐστὶν αὐτοῦ. ἐξίσταται δέ, ὅταν μὴ πραγματεύηται τὰ ἐπιβάλλοντα αὐτῷ νοητά. ὅτε δὴ οὐκ ἐνεργεῖ ταῦτα, κοιμᾶται. εὖ δὲ τὸ φάναι, ὅτι ἐξίσταται. τοῦτο δέ, ὅτι τρέπεται οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τὸν ἐπιβάλλοντα καὶ ἐπιφέροντα καὶ ἐπιπέμποντα τὴν τροπὴν θεόν. καὶ γὰρ οὕτως B ἔχει. εἰ γοῦν παρ' ἐμοὶ ἦν τὸ τρέπεσθαι. ὁπότε ἐβουλόμην, ἂν ἐχρώμην αὐτῷ· καὶ ὁπότε μὴ ἐπεσκελιζόμην, ἄτρεπτος διετέλουν. νυνὶ δὲ καὶ ἀντιφιλονεικεῖ μοι ἡ τροπὴ καὶ πολλάκις βουλόμενος καθῆκόν τι νοῆσαι, ἐπαντλοῦμαι ταῖς παρὰ τὸ καθῆκον ἐπιρροίαις καὶ ἔμπαλιν ἔννοιαν τινος λαμβάνων αἰσχροῦ, ποτίμοις ἐννοίαις ἀπερρίψάμην ἐκεῖνο θεοῦ, τῇ ἑαυτοῦ χάριτι γλυκὺ νᾶμα ἀντὶ ἁλμυροῦ ἐπιχέαντος τῇ ψυχῇ. C πᾶν μὲν τὸ γενητόν, ἀναγκαῖον τρέπεσθαι· ἴδιον γὰρ ἐστι τοῦτο αὐτοῦ· ὥσπερ θεοῦ τὸ ἄτρεπτον εἶναι. ἀλλ' οἱ μὲν τραπέντες, κατέμειναν ἄχρι παντελοῦς φθορᾶς· οἱ δέ, ὅσον μόνον παθεῖν τὸ θνητόν· οὗτοι δ' εὐθὺς ἀνεσώθησαν. διὸ καὶ Μωσῆς φησιν· ὅτι οὐκ ἐάσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας, ἡμῶν πατάξαι. ἐᾶν μὲν γὰρ τὸν ὀλοθρεύοντα (ὄλεθρος δὲ ψυχῆς ἐστιν ἡ τροπή) εἰσελθεῖν εἰς τὴν ψυχήν, ἵνα D τὸ ἴδιον ἐνδείξηται τοῦ γενητοῦ. οὐκ ἀφήσει δὲ ὁ θεὸς τὸν τοῦ ὁρῶντος ἔκγονον Ἰσραὴλ οὕτως τραπῆναι, ὥστε πληγῆναι ὑπὸ τῆς τροπῆς· ἀλλὰ ἀναδραμεῖν καὶ ἀνακύψαι ὥσπερ ἐκ βυθοῦ καὶ ἀνασωθῆναι βιάσεται. ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ· τῶν πολλῶν τοῦ νοῦ δυνάμεων μίαν ἔλαβε τὴν αἰσθητικήν. τὸ δὲ ἔλαβεν, οὐκ ἀντὶ τοῦ ἀφεῖλεν ἀκουστέον, ἀλλ' ἀντὶ τοῦ κατηριθμήσατο, ἐξήτασεν· ὡς ἐν ἑτέροις· λάβε τὸ E κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας. τί οὖν ἐστιν ὃ βούλεται παραστῆσαι; διχῶς αἴσθησις λέγεται· ἡ μέν, καθ' ἕξιν, ἥτις καὶ κοιμωμένων ἡμῶν ἐστιν· ἡ δέ, κατ' ἐνέργειαν. τῆς μὲν οὖν προτέρας, τῆς καθ' ἕξιν, ὄφελος οὐδέν (οὐδὲ γὰρ αὐτῇ τῶν ὑποκειμένων ἀντιλαμβανόμεθα.) τῆς δὲ δευτέρας, τῆς κατ' ἐνέργειαν.

A quit, Dominus ſtuporem ſuper Adamum, & dormiuit.] rectè. ſtupor enim & mutatio mentis ſomnus ipſius eſt. ſtupet autem, quando non occupatur circa ipſi immiſſa intelligibilia. Quando autem agit hæc, quieſcit. Bene dictum, quod ſtupet. Hoc vero, quod mutatur, non à ſeipſa, ſed ab inijciente, inferente, & immittente mutationem Deo. Etenim ſic habet. Si igitur in me erat vt B mutarer: quando volebam, vtebar vtique: & quando non ſupplantabar, immutabilis perſtiti. nunc vero ex aduerſo oppugnat me mutatio, & ſæpe volens conueniens quid cogitare, infundor præter decorum influxibus. Et contra quum ſubit mentem cogitatio turpis potabilibus cogitationibus abieci illud Dei, ſua ipſius gratia dulcem viuum aquæ pro falſo infundentis animæ. Omne igitur genitum, neceſſe eſt vt C mutetur, proprium enim eſt hoc ipſius: quemadmodum Dei immutabilem eſſe. Verum qui mutati ſunt quidem, permanſerunt vſque ad conſummatum interitum: illi vero tantum paſſi ſunt quod eſt mortale. Iſti vero ſtatim ſeruati ſunt. Ideò Moſes ait, Quod non ſinit percuſſorem intrare domos noſtras ad nos percutiendos. Sinere enim percuſſorem (cædes autem animæ eſt mutatio) intrare in animam, D vt proprium demonſtretur geniti. Non relinquet autem Deus videntis poſterum Iſrael ſic mutari, vt percutiatur à mutatione, ſed potius recurrere & ſurſum aſpicere tanquam ex profundo, & ſeruari coget. Accepit vnam ex coſtis ipſius: è multis animæ facultatibus accepit ſenſibilem. Ipſum autem ἔλαβεν, accepit, non pro ἀφεῖλεν, abſtulit audiendum, ſed pro κατηρίθμησεν, ἐξήτασεν, enumerauit, exquiſiuit: quemadmodum alibi: Accipe E caput ſpoliorum captiuitatis. Quid eſt igitur quod vult oſtendere? bifariam ſenſus dicitur: hic quidem ſecundùm habitum, qualis eſt nobis dormientibus: hic verò ſecundùm efficaciam. Prioris quidem igitur, ſecundum habitum, nulla vtilitas (neque enim per ipſum ſubiecta apprehendimus) Poſterioris autem qui eſt ſecundum efficaciam.

Exod. 12.

Gen. 2.

Per ipsum enim facimus sensibilium apprehensiones. Generans igitur priorem qui secundum habitum est sensum, quando & mentem generauit. Cum multis enim facultatibus quiescentibus ipsum construxit, nunc vult eum qui secundum efficaciam est perficere. Perficitur autem qui est per efficaciam: quando qui per habitum motus est, vsque ad carnem extenditur, & sensibilia vasa. Quemadmodum enim perficitur natura moto semine: Sic & efficacia, moto habitui suppleuit autem carnem loco ipsius: hoc est, Compleuit eum qui secundum habitum est, sensum, agens in efficaciam, & extendens ipsum vsque ad carnem, & totius apparentiam. Propterea subijcit: [Quod ædificauit in mulierem.] Per hoc ostendens, quod maximè proprium & rectum est nomen sensus, mulier. Quemadmodum enim vir in faciendo, contemplatur, in patiendo autem mulier: Sic in faciendo quidem, mens, in patiendo autem mulieris more sensus excutitur. intelligere autem ex efficacia facilè. visus patitur à mouentibus ipsum visibilibus, albi, nigri, aliorum. auditus porrò à vocibus & gustus à succis disponitur à vaporibus odoratus. ab aspero & molli tactus. & verò quiescunt, donec accedat vnicuique quod extra moueat. [Et duxit ipsam ad Adamum.] hoc nunc os ex ossibus meis, & caro ex carne mea. Eum qui per secundum efficaciam sensus est ducit Deus ad mentem: sciens, quod redire oportet motum ipsius & apprehensionem ad mentem. Videns autem quam prius habuit facultatem, & secundum habitum quiescentem, nunc perfectionem & efficaciam genitam & mouentem: miratur, & exclamat dicens. quod non est aliena ab ipso, verum admodum familiaris. Hoc enim, inquit, os ex meis ossibus, hoc est, vis ex viribus meis: de vi enim & robore nunc assumptum est os. & affectus de meis affectibus, & caro, inquit, de carne mea. Omnia enim quæcumque patitur sensus, non sine mente sustinet: fons enim hic est illi & fundamentum super quod stabilitur. Dignum verò consideratione, quare, τὸ νῦν, ipsum nunc, adiectum est. hoc enim, inquit, nunc os de meis ossibus. sensus natura nunc est secundum præsens tempus sustinens modo:

Gen. 2. (beside: Quod ædificauit in mulierem)
Ibid. (beside: Et duxit ipsam ad Adamum)
Ibid. (beside: Hoc enim, inquit, os ex meis ossibus)
Gen. 2. (beside: inquit, de carne mea)

A διὰ γὰρ ταύτης ποιούμεθα τὰς τῶν αἰσθητῶν ἀντιλήψεις. γεννήσας οὖν τὴν προτέραν τὴν καθ' ἕξιν αἴσθησιν, ὅτε καὶ τὸν νοῦν ἐγέννα. σὺν γὰρ πολλαῖς δυνάμεσιν ἠρεμούσαις αὐτὸν κατεσκεύαζε· νῦν βούλεται τὴν κατ' ἐνέργειαν ἀποτελέσαι. ἀποτελεῖται δὲ ἡ κατ' ἐνέργειαν· ὅταν ἡ καθ' ἕξιν κινηθεῖσα, ταθῇ μέχρι τῆς σαρκὸς καὶ τῶν αἰσθητικῶν ἀγγείων. ὥσπερ γὰρ φύσις ἀποτελεῖται, κινηθέντος σπέρματος· οὕτως καὶ ἐνέργεια, κινηθείσης ἕξεως. ἀνεπλήρου δὲ

B σάρκα ἀντ' αὐτῆς· τουτέστι συνεπλήρου τὴν καθ' ἕξιν αἴσθησιν, ἄγων εἰς ἐνέργειαν, καὶ τείνων αὐτὴν ἄχρι σαρκὸς καὶ τῆς ὅλης ἐπιφανείας. διὸ καὶ ἐπιφέρει· ὅτι ᾠκοδόμησεν εἰς γυναῖκα. διὰ τούτου παριστὰς, ὅτι οἰκειότατον καὶ εὐθυβολώτατόν ἐστιν ὄνομα αἰσθήσεως γυνή. ὥσπερ γὰρ ὁ μὲν ἀνὴρ ἐν τῷ δρᾶσαι θεωρεῖται, ἐν δὲ τῷ πάσχειν ἡ γυνή· οὕτως ἐν

C μὲν τῷ δρᾶν, ὁ νοῦς, ἐν δὲ τῷ πάσχειν γυναικὸς τρόπον ἡ αἴσθησις ἐξετάζεται. μαθεῖν δὲ ἐκ τῆς ἐνεργείας ῥᾴδιον. ἡ ὄψις πάσχει ὑπὸ τῶν κινούντων αὐτὴν ὁρατῶν, τοῦ λευκοῦ, τοῦ μέλανος, τῶν ἄλλων. ἡ ἀκοὴ πάλιν ὑπὸ τῶν φωνῶν, καὶ ἡ γεῦσις ὑπὸ τῶν χυλῶν διατίθεται ὑπὸ τῶν ἀτμῶν ἡ ὄσφρησις· ὑπὸ τραχέος καὶ μαλακοῦ, ἡ ἁφή. καὶ ἠρεμοῦσί γε αἱ αἰσθήσεις ἅπασαι, μέχρις ἂν προσέλθῃ ἑκάστῃ τὸ κινοῦν ἔξωθεν. καὶ ἤ-

D γαγεν αὐτὴν πρὸς τὸν Ἀδὰμ, καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. τὴν κατ' ἐνέργειαν αἴσθησιν ἄγει ὁ θεὸς πρὸς τὸν νοῦν· εἰδὼς, ὅτι ἀνακάμπτειν δεῖ τὴν κίνησιν αὐτῆς καὶ ἀντίληψιν ἐπὶ νοῦν. ὁ δὲ θεασάμενος, ἣν πρότερον εἶχε δύναμιν καὶ καθ' ἕξιν ἠρεμοῦσαν, νῦν ἀποτέλεσμα καὶ ἐνέργειαν γεγενημένην· καὶ κινουμένην θαυμάζει τε, καὶ ἀναφθέγγεται, φάσκων ὅτι οὐκ ἔστιν ἀλλοτρία αὐτοῦ, ἀλλὰ σφόδρα

E οἰκεία· τοῦτο γάρ, φησιν, ὀστοῦν ἐκ τῶν ἐμῶν ὀστῶν· τουτέστι δύναμις ἐκ τῶν ἐμῶν δυνάμεων· ἀπὸ γὰρ δυνάμεως καὶ ἰσχύος νῦν περιείληπται τὸ ὀστοῦν. καὶ πάθος ἐκ τῶν ἐμῶν παθῶν καὶ σάρξ, φησιν, ἐκ τῆς σαρκός μου. πάντα γὰρ ὅσα πάσχει ἡ αἴσθησις, οὐκ ἄνευ νοῦ ὑπομένει· πηγὴ γὰρ οὗτός ἐστιν αὐτῆς καὶ θεμέλιος ᾧ ἐφιδρύεται. ἄξιον δὲ σκέψασθαι, διὰ τί τὸ, νῦν, προσετέθη. τοῦτο γάρ, φησι, νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου. ἡ αἴσθησις φύσει νῦν ἐστι κατὰ τὸν ἐνεστῶτα χρόνον ὑφισταμένη μόνον.

ὁ μὲν γὰρ νοῦς τῶν τριῶν ἐφάπτεται χρόνων· καὶ γὰρ τὰ παρόντα νοεῖ, καὶ τῶν παρεληλυθότων μέμνηται, καὶ τὰ μέλλοντα προσδοκᾷ. ἡ δὲ αἴσθησις, οὔτε μελλόντων ἀντιλαμβάνεται, οὐδ᾽ ἀνάλογόν τι πάσχει προσδοκίᾳ ἐλπίδος, οὔτε παρεληλυθότων μέμνηται· ἀλλ᾽ ὑπὸ τοῦ ἤδη κινοῦντος καὶ παρόντος μόνου πάσχειν πέφυκεν. οἷον ὀφθαλμὸς λευκαίνεται νῦν ὑπὸ τοῦ παρόντος λευκοῦ· ὑπὸ δὲ τοῦ μὴ παρόντος οὐδὲν πάσχει. ὁ δὲ νοῦς καὶ ἐπὶ τῷ μὴ παρόντι κινεῖται· παρεληλυθότι μὲν, κατὰ μνήμην· μέλλοντι δὲ ἐπελπίζων καὶ προσδοκῶν. αὕτη καὶ κληθήσεται γυνή· ἀντὶ τοῦ· διὰ τοῦτο ἡ αἴσθησις γυνὴ προσρηθήσεται, ὅτι ἐκ τοῦ ἀνδρὸς τοῦ κινοῦντος αὐτὴν λαμβάνεται. αὕτη, φησί. διὰ τί οὖν τὸ αὕτη πρόσκειται; ὅτι ἐστὶν ἑτέρα αἴσθησις, οὐκ ἐκ τοῦ νοῦ λαμβανομένη, ἀλλὰ σὺν αὐτῷ γεγεννημένη. δύο γὰρ, ὡς εἶπον, ἤδη εἰσὶν αἰσθήσεις· ἡ μὲν καθ᾽ ἕξιν, ἡ δὲ κατ᾽ ἐνέργειαν. ἡ μὲν οὖν καθ᾽ ἕξιν, οὐκ ἐκ τοῦ ἀνδρὸς, τουτέστι τοῦ νοῦ, λαμβάνεται· ἀλλὰ σὺν αὐτῷ φύεται· ὁ γὰρ νοῦς, καθάπερ ἐδήλωσα, ὅτε ἐγεννᾶτο σὺν πολλαῖς δυνάμεσι καὶ ἕξεσιν ἐγεννᾶτο, λογικῇ, ψυχικῇ, φυτικῇ· ὥστε καὶ αἰσθητικῇ. ἡ δὲ κατ᾽ ἐνέργειαν, ἐκ τοῦ νοῦ. ἐκ γὰρ τῆς ἐν ᾧ καθ᾽ ἕξιν οὔσης αἰσθήσεως ἐστάθη, ἵνα γένηται κατ᾽ ἐνέργειαν· ὥστε ἐξ αὐτοῦ τοῦ νοῦ γεγεννῆσθαι τὴν δευτέραν καὶ κατὰ κίνησιν. μάταιος δὲ ὁ νομίζων, πρὸς τὸν ἀληθῆ λόγον ἐκ τοῦ νοῦ τι συνόλως γεννᾶσθαι ἢ ἐξ ἑαυτοῦ. οὐχ ὁρᾷς ὅτι καὶ τῇ ἐπὶ τῶν εἰδώλων καθεζομένῃ αἰσθήσει τῇ Ῥαχὴλ, νομιζούσῃ ἐκ τοῦ νοῦ τὰ κινήματα εἶναι, ἐπιπλήττει ὁ βλέπων; ἡ μὲν γὰρ, φησί· δός μοι τέκνα· εἰ δὲ μὴ, τελευτήσω ἐγώ. ὁ δὲ ἀποκρίνεται· ὅτι, ὦ ψευδοδοξοῦσα, οὐκ ἔστιν ὁ νοῦς αἴτιον οὐδενός· ἀλλ᾽ ὁ πρὸ τοῦ νοῦ θεός. διὸ καὶ ἐπιφέρει· μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας; ὅτι δὲ ὁ γεννῶν, ὁ θεός ἐστι· μαρτυρήσει ἐπὶ τῆς Λείας, ὅταν φῇ· ἰδὼν δὲ κύριος, ὅτι μισεῖται Λεία· ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. ἀνδρὸς δὲ ἴδιον τὸ μήτραν ἀνοιγνύναι. φύσει δὲ μισεῖται παρὰ τῷ θνητῷ ἡ ἀρετή· διὸ καὶ ὁ θεὸς αὐτὴν τετίμηκε, καὶ παρέχει τὰ πρωτοτόκια τῇ μισουμένῃ. λέγει δ᾽ ἐν ἑτέροις· ἐὰν δὲ γένωνται ἀνθρώπῳ

A Mens enim tria contingit tempora, præsentia etenim cogitat, præteritorum meminit, & futura exspectat. Sensus verè, neque futura apprehendit, neque secundum proportionem patitur quicquam exspectatione spei, neque præteritorum meminit: sed à iam mouente & præsentem solum natura patitur. Quale, oculus albescit nunc ab apparente albo, à non præsente autem nihil patitur. Mens autem etiam à non præsente mouetur præterito quidem secundum memoriam, futuro autem supersperans & exspectans.
B Hæc & vocabitur mulier. pro eo. Propterea sensus mulier appellabitur, quia ex viro mouente ipsum accipitur. Hæc, inquit. Quare igitur ἡ αὕτη hæc adijcitur? quia est alter sensus, non ex mente sumptus sed cum ipsa genitus. duo enim, vt dixi, sunt sensus ille quidem secundum habitum, ille autem secundum efficaciam. Qui igitur secundum habitum est, non ex
C viro, hoc est, mente, accipitur: sed cum ipso nascitur. mens enim, quemadmodum ostendi, quum generata fuit: cum multis facultatibus & habitibus generata fuit, rationali, animali, vegetatiuo. vti etiam sensitiuo. Qui autem secundum efficaciam est, ex mente. Ex sensu enim in eo per habitum existente stetit, vt fiat secundum efficaciam: adeò vt ex ipsa mente genita fuerit secunda & per motum. Vanus autem qui existimat,
D ad verum dicendum, ex mente quid in vniuersum generari aut ex seipso. Non vides, quod & super idola sedenti sensu Rachel, existimantem ex mente motus esse, increpat intuens? Illa enim ait: [da mihi liberos. sin minus, moriar ego.] Ille autem respondet: quia ô falsa opinata, non est mens causa vllius: verum qui ante mentem est Deus. Ideo subijcit: [Num pro Deo ego sum qui priuauit te fructu ventris?] quod verò generans Deus est: te-
E stabitur in Lia, quando dixit. [Videns autem Dominus, quod despiceretur Lia: aperuit vuluam ipsius. Rachel autem erat sterilis] proprium autem viri vuluam aperire. Natura autem odiosa est virtus mortalibus. Propterea Deus ipsam honore afficit, & præbet primogenia illi quæ despiciebatur. Dicit autem alibi: [Si fuerint homini

Ibid.

Gen. 31.

Ibid. 30.

Ibid. 29.

Deuter. 21. duæ vxores , vna ipſarum amata, A
altera verò odioſa , & peperint ipſi,
& fuerit filius primogenitus odio-
ſæ , non poterit amatæ filium face-
re primogenitum , deſpicere fi-
lium primogenitum odioſæ. Prima
enim omnium ſunt & perfectiſſima
odioſæ virtutis germina : amatæ vo-
Gen. 2. luptatis autem poſtrema [Propter
hoc derelinquet homo patrem & ma-
trem , & adhærebit vxori ſuæ. Et
Et erunt duo in vnam carnem.]
Senſus cauſſa mens , quando ipſi B
ſerua facta fuerit , reliquit & pa-
trem , vniuerſorum Deum , & ma-
trem omnium , virtutem & ſapien-
tiam Dei & adhæret & vnitur ſen-
ſui , & reſoluitur in ſenſum : vt
fiant vna caro , & vnus affectus,
vterque. Obſeruat autem quod vxor
non adhæret viro : ſed contra vir
mulieri , mens ſenſui. quando enim
potius , quod eſt mens , vnita eſt
deteriori , ſenſui : reſoluitur in de-
terius carnis genus , affectuum cau- C
ſam ſenſum. Cùm verò peius , ſen-
ſus nimirum , ſequenti potius , men-
ti : non amplius erit caro , ſed
vtrumque mens. hic quidem certè
talis qui præfert affectuum amorem
Dei amori. Eſt autem alter quiſ-
piam contra appellatus , Leui , qui
Deut. 33. dicit patri & matri : [Non vidit te,
& filios tuos non agnouit : & filios
abnegauit, patrem & matrem.] Hic
tum mentem tum & corporis mate-
Num. 18. riam derelinquit , vt Deum vnum D
ſortis loco habeat , certè enim illi
Deut. 10. fit ſors. Eius quidem qui indul-
get affectibus ſors affectus : Le-
Leuit 16. & 23. ui autem ſors Deus. Nónne vi-
des , quod decima menſis iubet
duos hircos ſortem adducere : ſor-
tem vnam Domino , & ſortem vnam
emiſſario. Eius enim qui indulget
affectibus ſors verè eſt emiſſarius
affectus. [Et erant ambo nudi,
tum Adam , tum vxor eius : &
Gen. 3. non erubeſcebant. Serpens autem E
callidiſſimus erat omnium animan-
tium quæ ſuper terram , quæ fe-
cit Dominus Deus.] Nuda eſt mens,
quæ nec vitio nec virtute induta:
ſed vtroque: exiſtente denudata. Cu-
iuſmodi infantis pueri anima , ex-
pers exiſtens vtriuſque boni & ma-
li ſpoliatur tegumentis & nuda-
tur. Hæ ſunt enim animæ ve-
ſtes, quibus tegitur & abſconditur:

δύο γυναῖκες, μία αὐτῶν ἠγαπημένη, καὶ μία αὐτῶν μισουμένη· καὶ τέκωσιν αὐτῷ, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης· οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τὸν πρωτότοκον τῆς μισουμένης. πρώτιστα γάρ ἐστι καὶ τελειότατα, τὰ τῆς μισουμένης ἀρετῆς γεννήματα· τὰ δὲ τῆς ἀγαπωμένης ἡδονῆς, ἔσχατα. ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα· καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ἕνεκα τῆς αἰσθήσεως ὁ νοῦς, ὅταν αὐτῇ δουλωθῇ καταλείπῃ καὶ τὸν πατέρα τῶν ὅλων θεὸν καὶ τὴν μητέρα τῶν συμπάντων, τὴν ἀρετὴν καὶ σοφίαν τοῦ θεοῦ· καὶ προσκολλᾶται καὶ ἑνοῦται τῇ αἰσθήσει, καὶ ἀναλύεται εἰς αἴσθησιν ἵνα γένωνται μία σάρξ, καὶ ἓν πάθος, οἱ δύο. παρατήρει δέ, ὅτι, οὐχ ἡ γυνὴ κολλᾶται αὐτῷ ἀνδρί· ἀλλ' ἔμπαλιν ὁ ἀνὴρ τῇ γυναικί, ὁ νοῦς τῇ αἰσθήσει· ὅταν γὰρ τὸ κρεῖττον, ὁ νοῦς, ἑνωθῇ τῷ χείρονι, τῇ αἰσθήσει· ἀναλύεται εἰς τὸ χεῖρον τὸ σαρκὸς γένος, τὴν παθῶν αἰτίαν αἴσθησιν. ὅταν δὲ τὸ χεῖρον, ἡ αἴσθησις, ἀκολουθήσῃ τῷ κρείττονι, τῷ νῷ· οὐκέτι ἔσται σάρξ, ἀλλὰ ἀμφότερα νοῦς. ἔστι μὲν δὴ τοιοῦτος, ὁ φιλοπαθὴς προκρίνων τοῦ φιλοθέου. ἔστι δέ τις ἕτερος· τοὐναντίον εἰρημένος ὁ Λευί, ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί· οὐχ ἑώρακέ σε, καὶ τοὺς ἀδελφοὺς οὐκ ἐπέγνω· καὶ τοὺς υἱοὺς ἀπέγνω, πατέρα καὶ μητέρα. ὅς τε τὸν νοῦν καὶ τὴν τοῦ σώματος ὕλην καταλείπει, ὑπὲρ τοῦ κλῆρον ἔχειν τὸν ἕνα θεόν. κύριος γὰρ αὐτός, κλῆρος αὐτῷ γίνεται δή. τοῦ μὲν φιλοπαθοῦς, κλῆρος τὸ πάθος· τοῦ δὲ τοῦ Λευὶ κλῆρος ὁ θεός. οὐχ ὁρᾷς, ὅτι καὶ τῇ δεκάτῃ τοῦ μηνὸς κελεύει δύο τράγους κλήρῳ προσάγειν; κλῆρον ἕνα τῷ κυρίῳ καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ, τοῦ γὰρ φιλοπαθοῦς ἐστι κλῆρος ὄντως, τὸ ἀποπόμπιμον πάθος. καὶ ἦσαν οἱ δύο γυμνοὶ ὅτε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ· καὶ οὐκ ᾐσχύνοντο. ὁ δὲ ὄφις, ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός. γυμνός ἐστιν ὁ νοῦς, ὁ μήτε κακίᾳ μήτε ἀρετῇ ἀμπεχόμενος, ἀλλ' ἑκατέρου γεγυμνωμένος ὄντως. οἷον ἡ τοῦ νηπίου παιδὸς ψυχή, ἀμέτοχος οὖσα ἑκατέρου, ἀγαθοῦ τε καὶ κακοῦ· ἀπημφίασται τὰ καλύμματα καὶ γεγύμνωται. ταῦτα γάρ ἐστιν ἐσθήματα ψυχῆς, οἷς σκεπάζεται καὶ συγκρύπτεται·

τῆς μὲν σπουδαίας, τὸ ἀγαθὸν, τῆς δὲ φαύλης, τὸ κακόν. τριχῶς δὲ καὶ ψυχὴ γυμνοῦται· ἅπαξ μὲν, ὅτε ἄτρεπτος διατελεῖ, καὶ πασῶν μὲν ἠρήμωται κακιῶν, πάντα δὲ τὰ πάθη ἀπημφίασται καὶ ἀποβέβληκε. διὰ τοῦτο καὶ Μωυσῆς ἔξω τῆς παρεμβολῆς πήγνυσι τὴν ἑαυτοῦ σκηνὴν, μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου. τοῦτο δ' ἐστὶ τοιοῦτον· ἡ φιλόθεος ψυχὴ τὸ σῶμα καὶ τὰ τούτῳ φίλα· καὶ μακρὰν ἔξω φυγοῦσα ἀπὸ τούτων, πῆξιν καὶ βεβαίωσιν καὶ ἵδρυσιν ἐν τοῖς τελείοις ἀρετῆς δόγμασι λαμβάνει. διὸ καὶ μαρτυρεῖται ὑπὸ θεοῦ, ὅτι καλῶν ἐρᾷ· ἐκλήθη γὰρ σκηνὴ μαρτυρίου φησί· καὶ τὸν καλοῦντα παρεσιώπησεν, ἵνα συγκινηθεῖσα ἡ ψυχὴ σκέψηται, τίς ὁ μαρτυρῶν ταῖς φιλαρέτοις διανοίαις ἐστί. τούτου χάριν ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων οὐκ εἰσελεύσεται ἐν τῷ ποδήρει, ἀλλὰ τὸν τῆς δόξης καὶ φαντασίας ψυχῆς χιτῶνα ἀποδυσάμενος, καὶ καταλιπὼν τοῖς τὰ ἐκτὸς ἀγαπῶσι καὶ δόξαν πρὸ ἀληθείας τετιμηκόσι, γυμνὸς ἄνευ χρωμάτων καὶ ἤχων εἰσελεύσεται σπείσων τὸ ψυχικὸν αἷμα, καὶ θυμιάσων ὅλον τὸν νοῦν τῷ σωτῆρι καὶ εὐεργέτῃ θεῷ. καὶ μὴν δὴ Ναδὰβ καὶ Ἀβιοὺδ, οἱ ἐγγίσαντες θεῷ, καὶ τὸν μὲν θνητὸν βίον καταλιπόντες, τοῦ δ' ἀθανάτου μεταλαχόντες, γυμνοὶ θεωροῦνται τῆς κενῆς καὶ θνητῆς δόξης. οὐ γὰρ ἂν ἐν τοῖς χιτῶσιν αὐτοῖς οἱ κομίζοντες ἔφερον, εἰ μὴ ἐγεγύμνωντο πάντα δεσμὸν πάθους καὶ σωματικῆς ἀνάγκης διαρρήξαντες· ἵνα μὴ ἡ γύμνωσις αὐτῶν καὶ ἀσωματότης ἀθέῳ ἐπεισόδῳ λογισμῶν κιβδηλευθῇ. οὐ γὰρ πᾶσιν ἐπιτετραπτέον τὰ θεοῦ καθορᾶν ἀπόρρητα, ἀλλὰ μόνοις τοῖς δυναμένοις αὐτὰ περιστέλλειν καὶ φυλάττειν. διὸ καὶ οἱ περὶ τὸν Μισαδαὶ κατέλιπον. χιτῶνες δ' εἰσὶ τὰ μέρη τοῦ ἀλόγου, ἃ τὸ λογικὸν ἐπισκιάζει. καὶ Ἀβραὰμ γυμνοῦται, ὅταν ἀκούσῃ, ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου. καὶ ὁ Ἰσαὰκ οὐ γυμνοῦται μὲν, ἀεὶ δὲ γυμνός ἐστι καὶ ἀσώματος, πρόσταγμα γὰρ αὐτῷ δίδοται, μὴ καταβῆναι εἰς Αἴγυπτον· τουτέστι τὸ σῶμα. καὶ Ἰακὼβ γυμνότητος ἐρᾷ ψυχικῆς· ἡ γὰρ λειότης αὐτοῦ γύμνωσίς ἐστιν. ἦν γὰρ Ἡσαῦ ἀνὴρ δασύς· Ἰακὼβ δέ φησιν ἀνὴρ λεῖος· παρὸ καὶ τῆς Λείας ἀνήρ ἐστι. μία μὲν ἀρίστη γύμνωσίς ἐστιν αὕτη.

bonæ quidem, bonum, malæ autem, malum. Trifariam autem anima nudatur: semel quidem, quando immutabilis permanet, & ab omnibus quidem quiescit vitijs: omnes autem affectus exuit & abiecit. Propterea Moses extra castra suum ipsius fixit tabernaculum. procul à castris quod vocatum est Tabernaculum testimonij. Exod. 33.
Tale autem hoc est: amans Dei anima corpus & quæ huic amica. Et longè extra fugiens ab his fixionem & firmamentum, & erectionem imperfectis virtutis dogmatis sumit. Ideò etiam testimonium illi perhibet Deus, quod bonorum amans est: vocatum est enim, tabernaculum testimonij, inquit: & vocantem reticuit, vt commota anima tegatur, quæ testimonium perhibet mentibus virtutis amantibus. Ibid.
Huius gratia summus sacerdos Sancta Sanctorum non ingreditur in veste talari, sed opinionis atque imaginationis animæ tunicam exuens, & derelinquens ijs qui externa amant, & opinionem quam veritatem pluris faciunt, nudus absque coloribus & sonis ingredietur ad animæ sanguinem sacrificandum & suffumigandam totam mentem seruatori & benefico Deo. Et certè quidem Nadab & Abiud, qui Deo appropinquabant, & mortalem vitam relinquentes, immortalem autem adepti, nudi spectantur vanæ & mortalis opinionis. Non enim in tunicis ipsis portantes extulissent, nisi nudati fuissent omni vinculo affectus & corpora necessitatem disrupta, ne nuditas ipsorum & incorporeitas impia cogitationum introductione corrumpatur. Neque omnibus committendum arcana Dei inspicere, verum ijs dumtaxat, qui possunt ea contegere & custodire. Ideo etiam qui erant circa Misade dereliquerunt. Tunicæ autem sunt partes irrationalis, quæ rationale adumbrant. Et Abraham nudatur quum audiuit, Egredere de terra tua, & de cognatione tua. Et Isaac non nudatur quidem, semper autem nudus est, & sine corpore. Mandatum enim datum est non descendere in Ægyptum, hoc est corpus. Et Iacob nuditatis animæ amans est: læuitas enim ipsius nuditas est. Erat enim Esau vir villosus: Iacob verò, inquit, vir læuis: præterquam quod Liæ vir est, vna enim optima nuditas est hæc:

Leuit. 10.

A altera verò est contraria, virtutis priuatio ex mutatione facta: quum inepta effutit & delirat anima. In hanc incidit Noë nudatus, postquam bibit vinum. Gen. 9. Gratia autem Deo quod nudatio mentis per virtutis priuationem, non vsque ad externa sese effudit, sed mansit in tabernaculo. dicit enim, quod nudatus est in tabernaculo suo. Etiamsi enim peccet sapiens, non tamen impingit quemadmodum malus. Huius enim diffunditur vitium, illius autem intra se contrahitur. Ideo etiam ad sobrietatem B redit. Hoc verò est, resipiscit, & tanquam ex morbo reficitur. Accuratius autem hoc, in tabernaculo fieri nudationem, consideremus. Postquam anima mutata tantum cogitat quid absurdi & non superegressa fuerit, vti opere ipso perficiat, in ipso animæ loco & domicilio fuit peccatum. Si autem ad nefariũ quid cogitandum exurgat, adeo vt ad effectum perducat: effunditur & in externa iniquitas. Præterquã quod Cham Ibid. C maledicit quia animæ mutationem foras misit. Hoc est, & in externa extendit, & ad effectum perduxit, adijciens prauæ voluntati mala quæ fit per opera ipsa consummationem. Sem verò & Iaphet laudantur, non insidiantes animæ, sed mutationem eius obtegentes. Idcirco & vota & iuramenta animæ soluuntur, quando fiunt in tabernaculo patris, aut viri quidem, quiescentibus cogitationibus neque insidiantibus mutationi sed circumferunt peccatum. D Tunc enim vniuersorum Dominus purgabit ipsam. votum autem viduæ & repudiatæ irreuocabile finit. quæcumque enim vouerit, inquit, contra Num. 30. animam suam: manet ipsi secundum verbum. Si enim vsque ad externa repudiata processerit, vt non solum mutetur, sed etiam per consummata opera peccet: incurabilis manet, neque viri sermonis participans, quinetiam patris patrocinio destituta. Tertia nudatio est media, secundum E quam est irrationalis, necdum virtutis, aut vitij participans. De ipsa est sermo, quæ & infanti communis est. Adeo vt quod dicitur, Erat vterque Gen. 3. nudus, tum Adam & vxor ipsius, huiusmodi sit: vt neque mens cogitarit, neque sensus senserit: sed erat hic quidem cogitatione desertus & nudus, hæc vero sensu. Illud verò, Non erubescebant, porro videamus. Tria secundùm locum sunt: inuere-

ἡ δ᾽ ἑτέρα, ἐστὶν ἐναντία, ἀρετῆς ἀφαίρεσις ἐκ τροπῆς γινομένη· ὅταν ληρῇ καὶ παρανοῇ ἡ ψυχή. ταύτῃ χρῆται ὁ Νῶε γυμνούμενος, ὅταν πίῃ τοῦ οἴνου. χάρις δὲ τῷ θεῷ, ὅτι ἡ τροπὴ καὶ ἡ γύμνωσις τοῦ νοῦ κατ᾽ ἀρετῆς ἀφαίρεσιν, οὐκ ἄχρι τῶν ἐκτὸς ἐχύθη, ἀλλ᾽ ἔμεινεν ἐν τῷ οἴκῳ. φησὶ γάρ, ὅτι ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. κἂν γὰρ ἁμάρτῃ ὁ σοφός, οὐχ οὕτως ἐξοκέλλει ὡς ὁ φαῦλος. τοῦ μὲν γὰρ κέχυται ἡ κακία, τοῦ δὲ συνέσταλται. διὸ καὶ ἀνανήφει· τοῦτο δ᾽ ἐστὶ, μετανοεῖ, καὶ ὥσπερ ἐκ νόσου ἀναλαμβάνει. ἀκριβέστερον δὲ τὸ, ἐν τῷ οἴκῳ γίνεσθαι τὴν γύμνωσιν, θεασώμεθα. ἐπειδὰν ἡ ψυχὴ τραπεῖσα μόνον ἐννοηθῇ τι τῶν ἀτόπων, καὶ μὴ ἐπεξέλθῃ, ὥστε αὐτὸ ἔργῳ τελειῶσαι ἐν τῷ τῆς ψυχῆς χωρίῳ καὶ οἴκῳ γέγονε τὸ ἁμάρτημα. ἐὰν δὲ πρὸς τὸ μοχθηρόν τι λογίσασθαι καὶ* ἐπιδώσῃ ὥστε ἐργάζεσθαι· κέχυται καὶ εἰς τὰ ἐκτὸς τὸ ἀδίκημα. (ἐπαινεῖται) * ἐξοκεί-λαντα. παρὸ καὶ ὁ Χαναὰν καταρᾶται, ὅτι τὴν τῆς ψυχῆς τροπὴν ἔξω ἀπήγγειλε· τουτέστι· καὶ εἰς τὰ ἐκτὸς ἔτεινε καὶ ἐπεξειργάσατο, προσθεὶς τῷ κακῷ βουλήματι κακὸν τὸ διὰ τῶν ἔργων ἀποτέλεσμα. Σὴμ δὲ καὶ Ἰάφεθ ἐπαινοῦνται, μὴ ἐπιθέμενοι* τῇ ψυχῇ, ἀλλὰ τὴν τροπὴν αὐτῆς περικαλύψαντες· διὰ τοῦτο καὶ αἱ εὐχαὶ καὶ οἱ ὁρισμοὶ τῆς ψυχῆς ἐπιλύονται, ὅταν ἐν οἴκῳ γίνωνται πατρὸς, ἢ ἀνδρὸς μὲν, ἡσυχαζόντων τῶν λογισμῶν, μηδὲ ἐπιτιθεμένων τῇ τροπῇ, ἀλλὰ περιαιρεσιούντων τὸ ἁμάρτημα, τότε γὰρ καὶ ὁ δεσπότης ἁπάντων καθαρεῖ αὐτήν. * τῇ ψυχῇ. εὐχὴν δὲ χήρας καὶ ἐκβεβλημένης ἀναφαίρετον ἐᾷ. ὅσα γὰρ ἂν εὔξηται, φησι, κατὰ τῆς ψυχῆς αὐτῆς· μενεῖ αὐτῇ κατὰ λόγον. εἰ γὰρ ἄχρι τῶν ἐκτὸς ἐκβληθεῖσα προελήλυθεν, ὡς μὴ τρέπεσθαι μόνον, ἀλλὰ καὶ διὰ τῶν ἀποτελεσμάτων ἁμαρτάνειν· ἀθεράπευτος μένει, ἀνδρείου τε λόγου μὴ μετέχουσα, καὶ τῆς τοῦ πατρὸς προηγορίας στερηθεῖσα. τρίτη γύμνωσίς ἐστιν ἡ μέση, καθ᾽ ἣν ὁ νοῦς ἄλογός ἐστι, μήτε ἀρετῆς πω, μήτε κακίας μετέχων. περὶ ταύτης ἐστὶν ὁ λόγος, ἧς καὶ ὁ νήπιος κοινωνεῖ. ὥστε τὸ λεγόμενον· ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ· τοιοῦτον εἶναι· οὔτε ὁ νοῦς ἐνόει, οὔτε ἡ αἴσθησις ᾐσθάνετο· ἀλλ᾽ ἦν ὁ μὲν τοῦ νοεῖν ἐρημός τε καὶ γυμνὸς, ἡ δὲ τοῦ αἰσθάνεσθαι. τὸ δὲ, οὐκ ᾐσχύνοντο, πάλιν ἴδωμεν. τρία κατὰ τὸν τόπον ἐστὶν· ἀναισχυντία, αἰδὼς,

τὸ μήτε ἀναισχυντεῖν μήτε αἰδεῖσθαι. ἀναισχυντία μὲν οὖν, ἴδιον φαύλου· αἰδὼς δὲ, σπουδαίου· τὸ δὲ μήτε αἰδεῖσθαι μήτε ἀναισχυντεῖν, τοῦ ἀκαταλήπτως ἔχοντος καὶ ἀσυγκαταθέτως, περὶ οὗ νῦν ἐστὶν ὁ λόγος, ὁ γὰρ μηδέπω κατάληψιν ἀγαθοῦ ἢ κακοῦ λαβὼν, οὔτε ἀναισχυντεῖν οὔτε αἰδεῖσθαι δύναται. τῆς μὲν οὖν ἀναισχυντίας παραδείγματα, αἱ ἀσχημοσύναι πᾶσαι, ὅταν ὁ νοῦς ἀποκαλύπτῃ τὰ αἰσχρὰ, συσκιάζειν δέον, ἐπαυχῇ καὶ σεμνυνόμενος ἐπ' αὐτοῖς. λέγεται καὶ ἐπὶ τῆς Μαρίας, ὅτε καταλαλεῖ Μωϋσῆ, εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας. ὄντως γὰρ ἀναίσχυντος καὶ θρασεῖα ἡ αἴσθησις, ἡ ἐξουθενηθεῖσα ὑπὸ τοῦ θεοῦ τοῦ πατρὸς παρὰ τὸν πιστὸν ἐν ὅλῳ τῷ οἴκῳ, ᾧ τὴν Αἰθιόπισσαν, τὴν ἀμετάβλητον καὶ κατακορῆ γνώμην αὐτὸς ὁ θεὸς ἡρμόσατο, τολμᾷ καταλαλεῖν Μωϋσῆ καὶ κατηγορεῖν, ἐφ' ᾧ ὤφειλεν ἐπαινεῖσθαι. τοῦτο γάρ ἐστιν ἐγκώμιον αὐτοῦ μέγιστον, ὅτι τὴν Αἰθιόπισσαν ἔλαβε, τὴν ἄτρεπτον καὶ πεπυρωμένην καὶ δόκιμον φύσιν. ὥσπερ γὰρ ἐν ὀφθαλμῷ τὸ βλέπον μέλαν ἐστίν· οὕτως τὸ ὁρατικὸν τῆς ψυχῆς Αἰθιόπισσα κέκληται. διὰ τί οὖν, πολλῶν ὄντων κακίας ἔργων, ἑνὸς μόνου μέμνηται τοῦ κατὰ τὸ αἰσχρὸν, εἰπὼν οὐκ ᾐσχύνοντο· ἀλλ' οὐκ ἠδίκουν, ἢ οὐχ ἡμάρτανον, ἢ οὐκ ἐπλημμέλουν. πρόκειται δὲ ἡ αἰτία. μὰ τὸν ἀληθῆ μόνον θεὸν, οὐδὲν οὕτως αἰσχρὸν ἡγοῦμαι, ὡς τὸ ὑπολαμβάνειν, ὅτι νοῶ, ἢ ὅτι αἰσθάνομαι. ὁ ἐμὸς νοῦς, αἴτιος τοῦ νοεῖν; πόθεν; ἑαυτὸν γὰρ οἶδεν ὅστις ὢν τυγχάνει, ἢ πῶς ἐγένετο; ἡ δὲ αἴσθησις, αἰτία τοῦ αἰσθάνεσθαι; πῶς ἂν λέγοιτο, μήθ' ὑπ' αὐτῆς, μήτε ὑπὸ τοῦ νοῦ γνωριζομένη; οὐχ ὁρᾷς, ὅτι ὁ δοκῶν νοεῖν νοῦς εὑρίσκεται πολλάκις ἄνους ἐν τοῖς κώμοις, ἐν ταῖς μέθαις, ἐν ταῖς παραφροσύναις; ποῦ δὲ τὸ νοεῖν ἐπ' αὐτῶν; ἡ δ' αἴσθησις οὐ πολλάκις ἀφαιρεῖται τὸ αἰσθάνεσθαι; ὁρῶντές ἐστιν ὅτε οὐχ ὁρῶμεν, καὶ ἀκούοντες οὐκ ἀκούομεν· ἐπειδὰν ὁ νοῦς μικρὸν ὅσον ἑτέρῳ νοητῷ προσέχῃ, ἐνθυμούμενος. ἕως δ' ἂν γυμνοί εἰσιν, ὁ μὲν νοῦς τοῦ νοεῖν, ἡ δ' αἴσθησις τοῦ αἰσθάνεσθαι, οὐδὲν ἔχουσιν αἰσχρόν· ἐπειδὰν δὲ ἄρξωνται καταλαμβάνειν, ἐν αἰσχύνῃ καὶ ὕβρει γίνονται. εὑρεθήσονται γὰρ εὐηθείᾳ καὶ μωρίᾳ πολλάκις χρώμενοι μᾶλλον, ἢ ὑγιαινούσῃ ἐπιστήμῃ· οὐ μόνον ἐν κώμοις καὶ μελαγχολίαις

A cundia, pudor, tum neque erubescere neque vereri. Inuerecundia igitur, proprium mali: pudor autem boni: ipsum verò neque pudere neque inuerecundum esse, est incomprehensibiliter & incomposite habentis, de quo nunc sermo est. Qui enim nondum comprehensionem mali aut boni capit, neque inuerecundus esse, neque vereri potest. Inuerecundiæ quidem igitur exempla, indecori habitus omnes, quando mens retegit turpia, & quæ vmbra ea occulere
B oportet, gloriatur & sese ostentat de illis. Dicitur & de Maria quando detraxit Mosi si pater eius spuens despuit in faciem ipsius, nónne debuerat rubore suffundi per septem dies, verè enim imprudens & audax est sensus. quæ à Deo patre pro nihilo habita fuerat, contra fidelem in tota domo, cui Æthiopissam, secundum immutabilem & plenam sententiam Deus ipse coniunxit, audet detrahere Mosi, & accusare, vnde
C laudari debuit. Hæc enim est eius laus maxima, quod Æthiopissã accepit, immutabilem & igne examinatam & probam natura. Quemadmodũ enim quod in oculo cernit, nigrum est: sic & animæ perspicacia Æthiopissa vocatur. Quare igitur, quũ multa sint vitij opera, vnius tantum mẽtionem facit, quod nimirum est secundum turpe, dicens: Non erubescebant: sed non iniuste fecerunt, aut non peccarunt, aut non deliquerunt. Additur verò causa. per verum solum
D Deum, nihil tam turpe existimo, quàm credere, quod cogito, aut quod sentio. mens mea cogitandi caussa. vnde? seipsum enim nouit quicumque est, aut quomodo factus sit. Sensus verò caussa sentiendi? quomodo dicatur, quum neque ab ipso, neque à mente noscatur? nónne vides, quod quæ videtur cogitare mens comperitur sæpè amens in comessationibus, in ebrietatibus, in mentis alienationibus, quî sanè cogitare in illis?
E sensus autem nónne sæpè tollit ipsum sentire? videntes est quando non videmus, & audientes non audimus: postquam mens tantillum alteri intelligibili attenta fuerit animo concipiens. Quamdiu nudi sunt, mens quidem cogitare, sensus verò sentire nihil turpe habent: postquam autem cœperunt comprehendere. in verecundia & contumelia sunt. Inuenientur enim simplicitate & stultitia sæpè vtentes potiùs, quàm sanante scientia: non solum in comessationibus & insania, & insipientia,

A sed in alio vitæ genere. Quando enim sensus obtinet: mens mancipatur, nulli attendens intelligibili. Quando autem mens obtinet: sensus otiosus cernitur, nullius sensibilis apprehensionem continens. Serpens autem callidissimus erat omnium animantium super terram, quæ fecit Dominus Deus. Duobus ante genitis: mente & sensu atque his nudis, secundum declaratum modum existentibus, necesse tertiam voluptatem quæ vtrumque coniungat existere, B ad intelligibilium & sensibilium apprehensionem. Neque enim mens absque sensu, potuit comprehendere quid esset animal, vel planta, vel lapis, vel lignum, aut in vniuersum corpus: neque sensus absque mente fouere ipsum sentire. Quandoquidem igitur hæc duo concurrere oportuit ad comprehensionem subiectorum: quis hæc constrinxit, nisi vinculum tertium amoris & cupiditatis, imperante & dominante voluptate, C quam symbolicè serpentem nominauit, admodum bene animalium formator Deus creauit ordinem: mentem primò, virum, antiquissimum enim in homine: inde sensum, mulierem: deinceps tertium, voluptatem. potestate autem sunt ipsorum ætates differentes cogitatione solum, tempore autem ætate æquales. Simul enim seipsam animæ omnia inferunt, verùm hæc quidem assiduitate, hæc verò per posse fieri, etsi nondum finem assumpserit. D Comparata autem est voluptati serpens propterea. Implicatus quippe & varius quemadmodum serpentis motus, ita & voluptatis. Quinquefariam videlicet primum circumplicatur. Etenim per visum voluptates consistunt, tum per auditum. sunt autem vehementiores & contentæ circa mulieres consuetudines, per quas generatio similis perficitur. Quinetiam non propter hoc tantum variam dicimus naturam, quod circa omnia irrationalis animæ voluitur: sed quia circa quamque partem implicatus est. E Confestim per visum voluptates fiunt variæ, pingendi ars omnis, plastice, tum alia quæcumque secundum artes artificiosa opificia visum delectant. Porrò plantarum germinantium, florentium fructum edentium differentiæ. Animalium formæ præcellentes multifidæ. Similiter auditum tibia oblectat, cithara, omnis instrumentorum idea, animalium irrationalium

A καὶ παραφροσύναις, ἀλλὰ καὶ ἐν τῷ ἄλλῳ βίῳ. ὅτε μὲν γὰρ ἡ αἴσθησις κρατεῖ· ὁ νοῦς ἀνδραποδίζεται, μηδενὶ προσέχων νοητῷ. ὅτε δὲ ὁ νοῦς κρατεῖ· ἡ αἴσθησις ἄπρακτος θεωρεῖται, μηδενὸς ἀντίληψιν ἴσχουσα αἰσθητοῦ. ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός. δυοῖν προγεγονότων, νοῦ καὶ αἰσθήσεως, καὶ τούτων γυμνῶν, κατὰ τὸν δεδηλωμένον τρόπον ὑπαρχόντων· B ἀνάγκη τρίτην ἡδονὴν συναγωγὸν ἀμφοῖν ὑπάρξαι, πρὸς τὴν τῶν νοητῶν καὶ αἰσθητῶν ἀντίληψιν. οὔτε γὰρ ὁ νοῦς δίχα αἰσθήσεως ἠδύνατο καταλαβεῖν ζῷον, ἢ φυτὸν, ἢ λίθον, ἢ ξύλον, ἢ συνόλως σῶμα· οὔτε ἡ αἴσθησις δίχα τοῦ νοῦ περιποιῆσαι τὸ αἰσθάνεσθαι. ἐπειδὴ τοίνυν ἄμφω ταῦτα συνελθεῖν ἔδει πρὸς κατάληψιν τῶν ὑποκειμένων· τίς αὐτὰ συνήγαγεν, ὅτι μὴ δεσμὸς τρίτος, ἔρωτος καὶ ἐπιθυμίας, ἀρχούσης καὶ δυναστευούσης ἡδονῆς; C ἣν συμβολικῶς ὄφιν ὀνόματι πάνυ καλῶς ὁ ζωοπλάστης θεὸς ἐδημιούργησε τὴν τάξιν· νοῦν γὰρ πρῶτον, τὸν ἄνδρα, πρεσβύτατον γὰρ ἐν ἀνθρώπῳ· εἶτα αἴσθησιν, τὴν γυναῖκα· εἶτα ἑξῆς τρίτον, ἡδονήν. δυνάμει δέ εἰσιν αὐτῶν, καὶ ἡλικίαι διάφοροι νοούμεναι μόνον, χρόνῳ δὲ ἰσήλικες. ἅμα γὰρ * ἑαυτῇ ψυχῇ πάντα ἐπιφέρεται· ἀλλὰ τὰ μὲν ἐντελεχείᾳ, τὰ δὲ τῷ δύνασθαι γενέσθαι, εἰ καὶ μήπω προσείληφε τὸ τέλος. (Locus corrupt') D Εἰκάσθη δὲ ὄφει ἡδονὴ διὰ τόδε. πολύπλοκός γε καὶ ποικίλη ὥσπερ τοῦ ὄφεως ἡ κίνησις, οὕτως καὶ ἡδονῆς. πενταχῇ γέ τοι πρῶτον εἱλεῖται. καὶ γὰρ δι' ὁράσεως ἡδοναὶ συνίστανται, καὶ δι' ἀκοῆς, καὶ διὰ γεύσεως, καὶ διὰ ὀσφρήσεως, καὶ δι' ἁφῆς. γίνονται δὲ αἱ σφοδρόταται καὶ σύντονοι αἱ περὶ τὰς γυναῖκας ὁμιλίαι, δι' ὧν γενέσεις ἡ τοῦ ὁμοίου πέφυκεν ἀποτελεῖσθαι. καὶ μὴν οὐ διὰ τοῦτο μόνον ποικίλην φαμὲν τὴν ἡδονὴν, ὅτι περὶ πάντα τὰ τοῦ ἀλόγου τῆς ψυχῆς εἱλεῖται· E ἀλλ' ὅτι καὶ περὶ ἕκαστον μέρος πολύπλοκός ἐστιν. εὐθέως δι' ὁράσεως ἡδοναὶ γίνονται ποικίλαι, γραφικὴ πᾶσα, πλαστικὴ, τἆλλα ὅσα κατὰ τέχνας τεχνικὰ δημιουργήματα τέρπει τὴν ὅρασιν· πάλιν φυτῶν βλαστανόντων, ἀνθούντων, καρποτοκούντων, διαφοραὶ ζώων εὐμορφίαι πολυσχιδεῖς. ὁμοίως τὴν ἀκοὴν αὐλὸς ἡδύνει, κιθάρα, πᾶσα ὀργάνων ἰδέα, ζώων ἀλόγων ἐμμε-

λεῖς φωναὶ, χελιδόνων, ἀηδόνων, τῶν ἄλλων ὅσα φύσις μεμούσωκε· λογικῶν εὐφωνία κιθαρῳδῶν, κωμῳδίαν, τραγῳδίαν, τὴν ἄλλην ὑποκριτικὴν ἐπιδεικνυμένων. τί δεῖ περὶ τῶν γαστρὸς ἡδονῶν διδάσκειν; σχεδὸν γὰρ, ὅσαι τῶν ὑποκειμένων χυλῶν προσηνῶν διαφοραὶ καὶ τὴν αἴσθησιν κινούντων, τοσαῦται καὶ τῆς ἡδονῆς. ἆρ' οὖν δεόντως ποικίλων οὖσα ἡδονὴ, ποικίλῳ ζώῳ παρεβλήθη; διὰ τοῦτο καὶ τὸ λαῶδες καὶ ὀχλοῦν ἔχον ἐν ἡμῖν μέρος, ὅτε τῶν ἐν Αἰγύπτῳ· τουτέστι· τοῦ σωματικοῦ οἴκου οἰκιῶν ἐφίεται, περιπίπτει θάνατον ἐπαγούσαις, οὐ χωρισμὸν ψυχῆς ἀπὸ σώματος, ἀλλὰ ψυχῆς ὑπὸ κακίας φθοράν. φησὶ γάρ· καὶ ἀπέστειλε κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαὸν, καὶ ἀπέθνησκε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ. ὄντως γὰρ οὐδὲν οὕτως θάνατον ἐπάγει ψυχῇ, ὡς ἀμετρία τῶν ἡδονῶν. τὸ δὲ ἀποθνῆσκον, οὐ τὸ ἄρχον ἐστὶν ἐν ἡμῖν, ἀλλὰ τὸ ἀρχόμενον, τὸ λαῶδες· καὶ μέχρι τούτου θάνατον ἐνδέξεται, μέχρις ἂν μετανοίᾳ χρησάμενον, ὁμολογήσῃ τὴν τροπήν. προσελθόντες γὰρ ἔλεγον Μωϋσῇ· ὅτι ἡμαρτήκαμεν, ὅτι κατελαλήσαμεν κατὰ τοῦ κυρίου καὶ κατὰ σοῦ. εὖξαι οὖν πρὸς κύριον, καὶ ἀφελέτω ἀφ' ἡμῶν τοὺς ὄφεις. ἐν τῷ φάναι, οὐχ ὅτι κατελαλήσαμεν· ἡμάρτομεν· ἀλλ', ὅτι ἡμάρτομεν, κατελαλήσαμεν. ὅταν γὰρ ἁμάρτῃ καὶ * ἀποσφαλῇ ὁ νοῦς ἀρετῆς· αἰτιᾶται τὰ θεῖα, τὴν ἰδίαν τροπὴν προσάπτων θεῷ. πῶς οὖν γίνεται ἴασις τοῦ πάθους; ὅταν ἕτερος ὄφις κατασκευασθῇ, τῷ τῆς Εὔας ἐναντίος, ὁ σωφροσύνης λόγος· ἡδονῇ γὰρ ἐναντίον σωφροσύνης ποικίλῳ πάθει, ποικίλη ἀρετὴ καὶ ἀμυνομένη πολεμίαν ἡδονήν. τὸν κατὰ σωφροσύνην οὖν ὄφιν κελεύει ὁ θεὸς Μωσῇ κατασκευάσασθαι, καὶ φησί· ποίησον σεαυτῷ ὄφιν, καὶ θὲς αὐτὸν ἐπὶ σημείου. ὁρᾷς, ὅτι οὐκ ἄλλῳ τινὶ κατασκευάζεται τοῦτον ὁ Μωϋσῆς τὸν ὄφιν, ἢ ἑαυτῷ· προστάττει γὰρ ὁ θεός, ποίησον σεαυτῷ· ἵνα γνῷς· ὅτι οὐ παντός ἐστι κτῆμα σωφροσύνη, ἀλλὰ μόνου τοῦ θεοφιλοῦς. σκεπτέον δὲ, διὰ τί Μωϋσῆς χαλκοῦν ὄφιν κατασκευάζεται, οὐ προσταχθὲν αὐτῷ περὶ ποιότητος. μή ποτ' οὖν διὰ τάδε; πρῶτον μὲν, ἄϋλοι εἰσὶν αἱ θεοῦ χάριτες, ἰδέαι αὗται καὶ ἄποιοι· αἱ δὲ τῶν θνητῶν,

* ἐπιρραθῇ

A modulatæ voces, hirundinum, lusciniarum, aliorum quæcumque natura meditata est: rationalium euphonia citharœdorum, comœdiam tragœdiam & reliquam artem histrionicam demonstrantium. Quid attinet de ventris voluptatibus docere? ferè enim quot subiectorum succorum lenium & sensuum, mouentium differentiæ, tot sunt & voluptatis. An non igitur meritò ex varijs constans voluptas, vario itidem animali comparata est. B Idcirco & populare, & turbam in nobis habens pars, vti eorum quæ in Ægypto, hoc est, corporea massa domos appetit, incidit in ea quæ mortem afferunt, non separationem animæ à corpore, verum animæ à vitio interitum. Ait enim, Et misit Dominus in populum serpentes lethales, & momorderunt populum, & mortuus est populus multus filiorum Israël. Verè enim nihil æquè mortem adfert animæ, ac immoderatio voluptatum. C Moriens autem, non dominans est in nobis, sed quod sub imperio est, populare: & eo vsque mortem recipit, donec pœnitentiam adhibens, fateatur mutationem. Accedentes enim dixerunt Mosi: Quia peccauimus, quia loquuti sumus aduersus Dominum & aduersum te. Precare igitur ad Dominum vt auferat à nobis serpentes. Quum dicunt, Non quia detraximus, peccauimus, sed quia peccauimus detraximus. Vbi enim peccarit mens disparatur à virtute. Accusat diuinam, D propriam mutationem affingens Deo. Quomodo igitur fit medela affectus? quum alter serpens constructus est, Euæ serpenti contrarius nimirum temperantiæ ratio. Voluptas enim contrarium temperantiæ vario affectui, variæ virtuti & vlciscenti voluptatem. Eum igitur, qui secundùm temperantiam est serpens, iubet Deus Mosem construere, & ait: Fac tibi ipsi serpentem, & pone ipsum in signum. Vides, quod non alij cuipiam con- E struit hunc Moses serpentem, quàm sibi ipsi: iubet enim Deus, Fac tibi ipsi: vt noris, quod non cuiusvis est possessio temperantia, sed Dei amantis dumtaxat. Considerandum autem, cur Moses æneum serpentem construit, non præceptum ipsi de qualitate. Numnam igitur propter hæc? Primum quidem, absque materia sunt Dei gratiæ, ideæ ipsæ & qua-

Num. 21.

Ibid.

Ibid.

litatis expertes: mortalium autem cum materia spectantur. Secundo verò Moses quidem amans est virtutum incorporearum: nostræ autem animæ quum non possint exuere corpora, corpoream appetunt virtutem. Potens autem & firma substantia aeri comparata est, quæ secundùm temperatiam ratio efficax, & indiscreta existens. Fortasse autem & quatenus in Dei amante temperantia pretiosissima est & auro assimilata: secundas autem ferens quæ est in eo, qui sapientiam quæ cum progressu est suscepit. Quem igitur momorderit serpens, omnis videns ipsum viuet. Admodum verè. si enim mens morsa voluptate Euæ serpente possit perspicere animo temperantiæ pulchritudinem, Mosis serpentem, & per hunc Deum ipsum: viuet. Videat tantum, & consideret. Non vides, quod principatum obtinens sapientia Sarræ ait, Qui enim audierit, congratulabitur mihi. Verùm age quemnam posse audis; quod peperit virtus felicitatem Isaac, & mox congratulatorium hymnum canet. Quemadmodum igitur audientis est congratulari, sic eius qui temperantiam & Deum videt manifestè, immortalem esse. Multæ verò fortitudinis & temperantiæ amantes animæ, & quiescentes ab affectibus: simul Dei potentiam sustinuerunt, & mutationem in deterius admiserunt, constituente ipsum tum & generationem Domini. Seipsum quidem, quod immotus stetit semper: generationem autem quoniam huc atque illuc agitatur & in contraria æquilibris est. Ait enim ducentis te per solitudinem magnam & terribilem illam, non serpens mordens & scorpius, & sitis, in qua non erat aqua, educentis tibi de petra dura fontem aquæ, cibantis te manna in solitudine: quod non sciebant patres tui: vides quod non solum affectuum in Ægypto appetens anima incidit in serpentes, verùm etiam quando in deserto est, mordetur à voluptate, vario & serpentino affectu. maximè autem propriũ sumpsit nomen voluptatis opus: morsus enim vocatur. At non solùm qui in deserto sunt à voluptate mordentur, verùm etiam qui dispersi. Ego etenim sæpius derelinquens homines cognatos, & amicos & patriam, & in solitudinem veniens, vt quid contemplatione dignũ cogitem, nihil inde vtilitatis cepi: sed mens dispersa, aut affectu morsa, secessit

Gen. 21.

Exod. 16. 17.

σὺν ὕλῃ θεωρεῖσθαι. δεύτερον, καὶ Μωϋσῆς μὲν ἀσωμάτων ἐρᾷ ἀρετῶν· αἱ δ' ἡμέτεραι ψυχαί, οἱ δυνάμεναι ἐκδῦναι τὰ σώματα, σωματικῆς ἐφίενται ἀρετῆς. δυνατὴ δὲ καὶ στερεὰ οὐσία τῷ χαλκοῦ ἀπείκασται, ὁ κατὰ σωφροσύνην λόγος εὔτονος καὶ ἀδιάκοπος ὤν. ἴσως δὲ καὶ παρόσον, ἡ μὲν ἐν τῷ θεοφιλεῖ σωφροσύνη τιμιωτάτη ἐστὶ καὶ χρυσῷ ἐοικυῖα· δευτερεύουσα δὲ ἡ ἐν τῷ κατὰ προκοπὴν σοφίαν ἀναλαβόντι. ὃν ἂν οὖν δάκῃ ὄφις, πᾶς ὁ ἰδὼν αὐτὸν ζήσεται. πάνυ ἀληθῶς. ἐὰν γὰρ ὁ νοῦς δηχθεὶς ἡδονῇ τῷ τῆς Εὔας ὄφει ἰσχύσῃ κατιδεῖν ψυχικῶς τὸ σωφροσύνης κάλλος, τὸν Μωϋσέως ὄφιν, καὶ διὰ τούτου τὸν θεὸν αὐτόν· ζήσεται· μόνον ἰδέτω καὶ κατανοησάτω. οὐχ ὁρᾷς, ὅτι καὶ ἡ ἄρχουσα σοφία Σάρρα, φησί, ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. ἀλλὰ φέρε τίνα ἰσχύσαι ἀκοῦσαι; ὅτι τέτοκεν ἡ ἀρετὴ τὴν εὐδαιμονίαν Ἰσαάκ, καὶ εὐθὺς συγχαρητικὸν ὕμνον ὑμνήσει. ὡς οὖν τοῦ ἀκούσαντος ἐστὶ συγχαίρειν· οὕτω τοῦ σωφροσύνην καὶ θεὸν ἰδόντος εἰλικρινῶς, τὸ μὴ ἀποθνήσκειν. πολλαὶ δὲ καρτερίας καὶ σωφροσύνης ἐρασθεῖσαι ψυχαί, ἐρημωθεῖσαι παθῶν· ὅμως κράτος ὑπέμειναν θεοῦ, καὶ τροπὴν τὴν πρὸς τὸ χεῖρον ἐδέξαντο, διασυνιστάντος αὐτόν τε καὶ τὴν γένεσιν τοῦ δεσπότου. ἑαυτὸν μέν, ὅτι ἀκλινὴς ἕστηκεν ἀεί. τὴν δὲ γένεσιν, ὅτι παλαντεύει καὶ πρὸς τἀναντία ἀντιρρέπει. φησὶ γὰρ τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης, οὗ ὄφις δάκνων καὶ σκορπίος καὶ δίψα, οὗ οὐκ ἦν ὕδωρ, τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος, τοῦ ψωμίσαντός σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου· ὁρᾷς ὅτι οὐ μόνον τῶν ἐν Αἰγύπτῳ παθῶν ἐφιεμένη ἡ ψυχὴ περιπίπτει τοῖς ὄφεσιν, ἀλλὰ καί, ὅτε ἐστὶν ἐν ἐρήμῳ, δάκνεται ὑφ' ἡδονῆς, τοῦ ποικίλου καὶ ὀφιώδους πάθους. οἰκειότατον δὲ ὄνομα εἴληφε τὸ ἡδονῆς ἔργον· δηγμὸς γὰρ καλεῖται· ἀλλ' οὐ μόνον οἱ ἐν ἐρήμῳ δάκνονται ὑφ' ἡδονῆς· ἀλλὰ καὶ οἱ ἐσκορπισμένοι. καὶ γὰρ ἐγὼ πολλάκις καταλιπὼν μὲν ἀνθρώπους συγγενεῖς καὶ φίλους καὶ πατρίδα, καὶ εἰς ἐρημίαν ἐλθών, ἵνα τι τῶν θέας ἀξίων κατανοήσω, οὐδὲν ὤνησα· ἀλλὰ σκορπισθεὶς ὁ νοῦς, ἢ πάθει δηχθείς, ἀνεχώρησεν εἰς τἀναντία·

[Marg.: μυριάνδρῳ ἐρήμην] ἔστι δ᾽ ὅτε καὶ ἐν πλήθει * μυριάνδρων ἐρήμῳ τὴν διάνοιαν, τὸν ψυχικὸν ὄχλον σκεδάσαντος θεοῦ, καὶ διδάξαντός με, ὅτι οὐ τόπων διαφοραὶ τό τε εὖ καὶ χεῖρον ἐργάζονται, ἀλλ᾽ ὁ κινῶν θεὸς καὶ ἄγων ᾗ ἂν προαιρῆται τὸ τῆς ψυχῆς ὄχημα. [Marg.: Locus corruptus.] πλὴν περιέπιπτε σκορπίῳ, ὅπερ ἐστὶ σκορπισμῷ, ἐν τῇ ἐρήμῳ, καὶ δίψα καταλαμβάνει ἡ τῶν παθῶν, μέχρις ἂν ὁ θεὸς τῆς ἀκροτόμου σοφίας ἑαυτοῦ τὸ νᾶμα ἐπιπέμψῃ καὶ ποτίσῃ τὴν τραπεῖσαν ψυχὴν ἀμεταβλήτῳ ὑγείᾳ. ἡ γὰρ ἀκρότομος πέτρα, ἡ σοφία τοῦ θεοῦ ἐστιν, ἣν ἄκραν καὶ πρωτίστην ἔτεμεν ἀπὸ τῶν ἑαυτοῦ δυνάμεων, ἐξ ἧς ποτίζει τὰς φιλοθέους ψυχάς. ποτισθεῖσαι δὲ, καὶ τοῦ μάννα ἐμπίπλανται τοῦ γενικωτάτου. καλεῖται γὰρ * τοῦ μάννα τι, ὃ πάντων ἐστὶ γένος. [Marg.: τι μάννα, *] τὸ δὲ γενικώτατόν ἐστιν ὁ θεὸς, καὶ δεύτερος ὁ θεοῦ λόγος· τὰ δ᾽ ἄλλα λόγῳ μόνον ὑπάρχει, ἔργοις δ᾽ ἔστιν οὗ ἴσον τῷ οὐχ ὑπάρχοντι. ἡ δὲ νῦν διαφορὰ τοῦ ἐν ἐρήμῳ τετραμμένου καὶ τοῦ ἐν Αἰγύπτῳ. ὁ μὲν γὰρ τοῖς θανατοῦσιν ὄφεσι χρῆται· τουτέστιν ἀπλήστοις ἡδοναῖς θάνατον ἐπιφερούσαις. ὁ δ᾽ ἀσκητὴς δάκνεται μόνον ὑφ᾽ ἡδονῆς καὶ σκορπίζεται, οὐ θανατοῦται. κἀκεῖνος μὲν σωφροσύνῃ χαλκῷ ὄφει θεραπεύεται, γενομένῃ ὑπὸ τοῦ σοφοῦ Μωϋσέως· ὅδε δὲ ὑπὸ τοῦ θεοῦ ποτίζεται κάλλιστον ποτὸν σοφίαν, ἐκ τῆς πηγῆς, ἣν αὐτὸς ἐξήγαγεν ἀπὸ τῆς ἑαυτοῦ σοφίας. οὐ δὲ τοῦ θεοφιλεστάτου Μωϋσέως ἀπέχεται ἡ ὀφιώδης. λέγεται δὲ ὧδε· ἐὰν οὖν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου· ἐροῦσι γὰρ, οὐκ ὦπταί σοι ὁ θεός· τί ἐρῶ πρὸς αὐτούς; καὶ εἶπε κύριος Μωσῇ· τί τοῦτ᾽ ἐστὶ τὸ ἐν τῇ χειρί σου; ὁ δὲ εἶπε, ῥάβδος. καὶ εἶπε· ῥίψον αὐτὴν ἐπὶ τὴν γῆν. καὶ ἔρριψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις· καὶ ἔφυγε Μωϋσῆς ἀπ᾽ αὐτοῦ. καὶ εἶπε κύριος Μωσῇ· ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐπιλαβοῦ τῆς κέρκου. ἐκτείνας οὖν τὴν χεῖρα, ἐπελάβετο τῆς κέρκου· καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρί. καὶ εἶπεν αὐτῷ· ἵνα πιστεύσωσί σοι. πῶς δ᾽ ἄν τις πιστεύσαι θεῷ; ἐὰν μάθῃ, ὅτι πάντα τὰ ἄλλα τρέπεται, μόνος δὲ αὐτὸς ἄτρεπτός ἐστι. πυνθάνεται οὖν ὁ θεὸς τοῦ σοφοῦ· τί ἐστιν ἐν τῷ πρακτικῷ τῆς ψυχῆς αὐτοῦ βίῳ; ἡ γὰρ χεὶρ, σύμβολον πράξεως. ὁ δ᾽ ἀποκρίνεται, ὅτι παιδεία, ἣν ῥάβδον καλεῖ.

A in contraria. Est autem quum in multitudine, * infinitorum hominum solitudine cogitationem, animæ turbam dissipante Deo, & docente me, quod non locorum differentiæ siue bene siue male esse efficiunt, sed mouens Deus & agens quacumque propositum fuerit animæ vehiculum. Præter quàm quod incidit in scorpium, quod quidem est dispersio in solitudine, & sitis affectuum apprehendit, quo vsque Deus præruptæ suæ sapientiæ scatebram immiserit, immutatam animam potauerit immutabili sanitate.
B Prærupta enim petra, Dei * est, quam sublimem & primam omnium incidit suis ipsius viribus de qua Dei amantes animas potat. Potatæ vero, replentur manna generalissima. Vocatur enim manna quiddam, quod omnium est genus. Generalissimum est Deus, secundum autem Dei verbum: reliqua vero ratione tantum existunt, operibus autem est cuius par non existenti mutatus est.
C Hoc vero discrimen in solitudine mutati & in Ægypto. Hic enim in serpentes lethales incidit. hoc est. inexplebilibus voluptatibus mortem inferentes. Meditator autem mordetur tantum à voluptate, & dispertitur, non autem occiditur. Atque ille quidem temperantia æneo nimirum serpente curatur, quã fit à sapiente Mose. Hic verò à Deo potatur potu præstantissimo, nempe sapientia, ex fonte quem ipse eduxit sua ipsius sapientia.
D Neque à Deo charissimo Mose abstinet serpens. sic vero habetur. (Si igitur non crediderint mihi neque audiuerint vocem meam. dicunt enim, Non apparuit tibi Deus, quid dicam ad eos? Et dixit Dominus Mosi: quid hoc est in manu tua? ille vero dixit, virga. & dixit proijce eam in terram. Et proiecit eam in terram, & facta est serpens: & fugit Moses ab eo. Et dixit Dominus Mosi, Extende manum tuam, & apprehende caudam. [Marg.: Exod. 4.]
E Extendens igitur manum, apprehendit caudam: & facta est virga in manu. Et dixit ipsi: vt credant tibi.) Quomodo enim quis Deo credat, nisi intellexerit quod alia omnia mutantur, solus autem ipse immutabilis est. Sciscitatur autem Deus à sapiente quid est in actiua animæ ipsius vita: manus enim, symbolum actionis. Ille autem respondet, quod disciplina, quam virgam vocat. Ideò & supplanta-

Gen. 31. tor affectuum Iacob ait: (In virga mea transij Iordanem hunc.) Iordanes autem descensus exponitur. Inferioris autem & terrenæ & corruptibilis naturæ sunt quæ secundum visum & affectum: pertransit autem hæc meditatrix mens in disciplina. Abiectum enim, admittere quod baculum habens fluuium transijt. Bene igitur & Deo dilectus Moses respondet. Re ipsa enim actiones studiosi disciplina tanquam virga fulciuntur, turbationem & commotionem animæ sedere facientes. Hæc ipsa virga proiecta, fit serpens: merito. Si enim anima abiecerit disciplinam fit amans voluptatis pro amante virtutis. Moses idcirco fugit ab ipso. Ab affectu enim & voluptate fugit amans virtutis. Atqui Deus fugam non probat. Tibi quidem enim, ô mens, nondum perfectæ, fugam & euasionem affectuum conuenit meditari: Mosi autem perfecto permanere bello quod est aduersum illa, & repugnare & certare sin minus autem: securitatem atque potestatem occupantes vsque ad animæ arcem ascendentia, omnem tyranni instar animam obsidebit & depopulabitur. Ideò iubet Dominus apprehendere caudam. hoc est, aduersarium voluptatis & intractabile ipsum ne metuat te: verum ipsius maxime apprehende, contine & contrecta. Erit enim rursus pro serpente, virga. Hoc est. pro voluptate fiet in manu disciplina. Verum fiet in manu, in actione sapientis: quod vtique verum est: apprehendere autem, & contrectare voluptatem impossibile, nisi prius extensa fuerit manus hoc est nisi actiones & progressus omnes fateatur anima secundum Deum esse, neque in se ipsam conferat. Hunc quidem certe serpentem fugere videns decreuit. Gen. 45. Alterum verò temperantiæ sermonem exstruit, æneum illum: vt morsus à voluptate, videns temperantiam, veram viuat vitam. Huiusmodi serpentem optat fieri Dan, & sic ait: Ibid. 30. [Dan iudicabit suum ipsius populum, tanquam vna tribus Israel: &, Fiat Dan coluber sedens in semita, mordens calcaneum equi. Et cadet eques à tergo, expectans salutare Domini.] Ex Lia quidem quintus filius est Issachar legitimus Iacob, eorum qui annumerantur duobus Zelphæ, septimus. Iacob autem quintus est

A διὸ καὶ ὁ πτερνιστὴς τῶν παθῶν Ἰακὼβ φησίν. ἐν γὰρ τῇ ῥάβδῳ μου διέβην τὸν Ἰορδάνην τοῦτον. Ἰορδάνης δὲ, κατάβασις ἑρμηνεύεται. τῆς δὲ κάτω καὶ γηίνης καὶ φθαρτῆς φύσεως ἐστὶ τὰ κατὰ κακίαν καὶ πάθος· διαβαίνει δὲ ταῦτα ὁ ἀσκητὴς νοῦς ἐν παιδείᾳ. ταπεινὸν γὰρ, ὃ ἐνδέχεται, ὅτι βακτηρίαν ἔχων ποταμὸν διέβαινε. καλῶς οὖν καὶ ὁ θεοφιλὴς Μωϋσῆς ἀποκρίνεται. ὄντως γὰρ αἱ πράξεις τοῦ σπουδαίου, παιδείᾳ ὡς ἂν ῥάβδῳ, ἐπερείδονται τὸν κλόνον καὶ σάλον τῆς ψυχῆς ἱδρυσάμεναι. B αὕτη ἡ ῥάβδος ἀπορριφθεῖσα, γίνεται ὄφις· εἰκότως. ἐὰν γὰρ ἡ ψυχὴ ἀπορρίψῃ τὴν παιδείαν· γέγονε φιλήδονος ἀντὶ φιλαρέτου. διὸ καὶ Μωϋσῆς φεύγει ἀπ᾽ αὐτοῦ. ἀπὸ γὰρ τοῦ πάθους καὶ τῆς ἡδονῆς ἀποδιδράσκει ὁ φιλάρετος. ἀλλά τοι γε ὁ θεὸς τὴν φυγὴν οὐκ ἐπαινεῖ. σοὶ μὲν γὰρ, ὦ διάνοια, μήπω τελειωθείσῃ, φυγὴν καὶ δρασμὸν τῶν παθῶν ἁρμόζει μελετᾶν. Μωσεῖ δὲ τῷ τελείῳ, παραμένειν τῷ πρὸς αὐτὰ πολέμῳ, καὶ ἀντιστατεῖν C αὐτοῖς, καὶ διαμάχεσθαι. εἰ δὲ μὴ ἀδείας καὶ ἐξουσίας λαβόμενα μέχρι τῆς ψυχικῆς ἀκροπόλεως ἀναβάντα, θᾶττον ἐκπολιορκήσει καὶ λεηλατήσει τυράννου τρόπον τὴν ψυχήν. διὸ καὶ προστάττει ὁ θεὸς λαβέσθαι τῆς κέρκου· τουτέστι, τὸ ἀντίδικον τῆς ἡδονῆς καὶ ἀπίθασον αὐτῆς μὴ φοβεῖσθαί σε· ἀλλὰ τοῦτο μάλιστα λαβοῦ καὶ κατάσχες καὶ περικράτησον. ἔσται γὰρ πάλιν ἀντὶ ὄφεως ῥάβδος· τουτέστιν αὐτὴ ἡ ἡδονὴ γενήσεται ἐν τῇ χειρὶ παιδεία. ἀλλὰ D γενήσεται ἐν τῇ χειρὶ, ἐν τῇ πράξει τοῦ σοφοῦ· ὃ δὴ καὶ ἀληθές ἐστι. λαβέσθαι δὲ καὶ περικρατῆσαι ἡδονῆς ἀδύνατον, εἰ μὴ πρότερον ἐκταθείη ἡ χείρ· τουτέστιν εἰ μὴ τὰς πράξεις καὶ προκοπὰς ἁπάσας ὁμολογήσειεν ἡ ψυχὴ κατὰ θεὸν εἶναι, καὶ μηδὲν εἰς ἑαυτὴν συναγάγοι. τοῦτον μὲν δὴ τὸν ὄφιν ἀποδιδράσκειν ὁ βλέπων διέγνωκεν. ἕτερον δὲ τὸν σωφροσύνης λόγον κατασκευάζει, τὸν χαλ- E κοῦν ἐκεῖνον· ἵνα ὁ δηχθεὶς ὑφ᾽ ἡδονῆς, ἰδὼν σωφροσύνην, ζήσῃ τὸν ἀληθῆ βίον. τοιοῦτον ὄφιν εὔχεται ὁ Ἰακὼβ γενέσθαι τὸν Δὰν, καί φησιν οὕτως· Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡς εἰ καὶ μία φυλὴ Ἰσραήλ· καὶ γενέσθω Δὰν ὄφις ἐφ᾽ ὁδοῦ ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου. καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περιμένων κυρίου. ἐκ μὲν τῆς Λείας πέμπτος υἱός ἐστιν Ἰσσάχαρ γνήσιος τοῦ Ἰακώβ· συγκαταριθμουμένων δὲ τῶν ἐκ τῆς Ζέλφας δυοῖν, ἕβδομος. τοῦ δὲ Ἰακὼβ πέμπτος ἐστὶν

ὁ Δὰν

A ὁ Δὰν ἐκ τῆς Βάλλας τῆς παιδίσκης Ῥαχήλ· τὴν δ' αἰτίαν ἐν τοῖς κατ' ἰδίαν ἐξευρήσομεν. περὶ δὲ τοῦ Δὰν, πάλιν καταμαθητέον. δύο γένη φορεῖ ἡ ψυχή· τὸ μὲν θεῖον, τὸ δὲ φθαρτόν. τὸ μὲν οὖν κρεῖττον κεκύηκεν ἤδη, καὶ ἵσταται ἐπ' αὐτοῦ· ὅτε γὰρ ἐξομολογήσασθαι τῷ θεῷ καὶ παραχωρῆσαι πάντα ἴσχυσεν ἡ ψυχή, κτῆμα κρεῖσσον λαβεῖν οὐ κατεῖχε. διὰ τοῦτο ἔστη τοῦ τίκτειν τὸν Ἰούδαν, τὸν ἐξομολογητικὸν τρόπον ἐνεγκοῦσα. B τὸ δὲ θνητὸν γένος νῦν ἄρχεται διαπλάττειν. ὑφέστηκε δὲ τὸ θνητὸν, καταπόσει· θεμελίου γὰρ τρόπον ἡ γεῦσις, ἡ αἰτία τῆς τῶν ζώων διαμονῆς ἐστι. Βάλλα δὲ ἑρμηνεύεται κατάποσις. ἐκ ταύτης οὖν γίνεται ὁ Δὰν, ὃς ἑρμηνεύεται κρίσις· τοῦτο γὰρ τὸ γένος διακρίνει καὶ χωρίζει τὰ ἀθάνατα ἀπὸ τῶν θνητῶν. εὔχεται οὖν αὐτὸν γενέσθαι σωφροσύνης ἐργάτην. περὶ δὲ Ἰούδα οὐκ εὔξεται· ἔχει γὰρ ἤδη τὸ ἐξομολογεῖσθαι καὶ C εὐαρεστεῖν θεῷ. γενέσθω οὖν, φησι, Δὰν ὄφις ἐφ' ὁδοῦ. ὁδὸς ἡμῶν ἐστιν ἡ ψυχή. ὥσπερ γὰρ ἐν ταῖς ὁδοῖς ἐστιν ἰδεῖν διαφορὰν τῶν ὄντων, ἀψύχων, ἐμψύχων, ἀλόγων, λογικῶν, σπουδαίων, φαύλων, δούλων, ἐλευθέρων, νεωτέρων, πρεσβυτέρων, ἀρρένων, θηλειῶν, ξένων, ἀστῶν, νοσούντων, ὑγιαινόντων, λελωβημένων, ὁλοκλήρων· οὕτως καὶ ἐν ψυχῇ καὶ ἄψυχα καὶ ἀτελῆ, καὶ νοσώδη, καὶ δοῦλα, καὶ θήλεα, καὶ μυρία ἄλλα κηρῶν μετακινήματά ἐστι· καὶ D ἔμπαλιν ἔμψυχα, ὁλόκληρα, ἐλεύθερα, ὑγιᾶ, πρεσβύτερα, σπουδαῖα, γνήσια, καὶ ἀστεῖα ὄντως. γινέσθω οὖν ὁ σωφροσύνης λόγος, ὄφις ἐπὶ τῆς ψυχῆς, τῆς ὁδευούσης διὰ πάντων τῶν ἐν τῷ βίῳ πραγμάτων, καὶ ἐγκαθισάτω ἐπὶ τρίβου. τί δὲ τοῦτ' ἔστι; ἄτριπτος μὲν γὰρ ὁ ἀρετῆς χῶρος· ὀλίγοι γὰρ βαίνουσιν αὐτόν· τέτριπται δὲ ὁ κακίας. ἐγκαθῆσθαι δὲ καὶ ἐνεδρεῦσαι καὶ λοχῆσαι παραινεῖ E τὴν τετριμμένην ὁδὸν, τὸ πάθος καὶ τὴν κακίαν, ἐν οἷς κατατρίβονται τὸν βίον οἱ φυγάδες ἀρετῆς λογισμοί. δάκνων πτέρναν ἵππου. ἀκολούθως πτερνιστής ἐστιν ὁ τὴν στάσιν τοῦ γενητοῦ καὶ φθαρτοῦ διασείων τρόπος. τὰ πάθη δὲ ἵππῳ ἀπεικάσθη· τετρασκελὲς γὰρ καὶ τὸ πάθος, ὡς ἵππος, καὶ ὁρμητικὸν, καὶ αὐθαδείας γέμον, καὶ σκιρ-

A Dan ex Bala ancilla Rachel: causam verò particulatim inueniamus. De Dan vero rursus considerandum. Duo genera fert anima, hoc quidem diuinum, illud vero mortale. Quod quidem igitur potius est concepit iam, & insistit ipsi: quum enim confiteri Deo & cedere omnia valuit anima, possessionem meliorem capere non occupauit. Propterea surrexit post partum Iudæ, confessionis modum afferens. Gen. 29. Mortale vero B genus nunc incipit formare. substitit autem mortale voragine: fundamenti enim instar gustus, causa animalium perseuerantia est. Bala autem exponitur gula siue vorago. Ex ipsa nascitur Dan, qui exponitur iudicium: hoc enim genus discernit & separat immortalia à mortalibus. Optat igitur ipsum fieri temperantiæ operarium. Iudæ autem non optat, habet enim iam quod confiteatur & vnde gratus & acceptus sit Domino. C [Fiat igitur Dan coluber in via.] Ibid. 49. via nostra est anima. Quemadmodum enim in vijs videre est differentiam existentium, inanimatorum, animatorum, rationalium irrationalium, bonorum, malorum, seruorum, liberorum, iuniorum, seniorum, virginum, fœminarum, peregrinorum, oppidanorum, ægrorum, sanorum, mutilatorum, integrorum: sic in anima & inanimata, & imperfecta, & morbosa, & serua, & fœminea & sexcentæ aliæ ce- D rarum mutationes Et contra animata, integra, libera, sana antiqua, bona, legitima, & oppidana verè. fiat igitur temperantiæ sermo, serpens in anima iter facientis per omnes vitæ res, & sedeat in semita. Quidnam vero hoc sibi vult? non tritus quidem enim virtutis campus. pauci enim in ipsum descendunt. Vitij autem maximè tritus est. Insidere vero & insidiari & delitescere in insidijs, suadet tri- E tam viam insistere affectum & vitium, in quibus terunt vitam desertrices virtutis cogitationes. Mordens calcaneum equi. Consequenter supplantator est qui stabilitatem geniti & mortalis concutit mos. affectus porro equo comparantur. Quatuor enim crura habet & affectus, quemadmodum equus, & quod incitat, & arrogantiæ plenus, & na-

tura lasciuient. Temperantiæ autem sermo, mordere & vulnerare solet
Gen. 49. & tollere affectum. Supplantato affectu & labascente, cadet eques postea à tergo. Eques intelligendus qui inuasit affectibus mentem, qui decidit ab affectibus postquam ipsos considerarit & supplantarit. bene autem quod in anteriora non cadit anima: ne enim præueniat affectus, sed post illos remaneat. & temperans fiet. & dogmaticum est quod dicit; Si mens ad iniuste agendum incitata, præuenta fuerit, & ceciderit à tergo, non iniuste aget. Si autem in affectum mota irrationalem, non fugerit, sed à tergo manserit: affectuum vacuitate, quod pulcherrimum est, fruetur. Ideò etiam casus in posteriora admittens vitia, subijcit, salutem exspectans Domini. Vere enim à Deo seruatur, qui decidit ab affectibus, & præuenitur ab effectis ipsorum. In huiusmodi cadat casum anima mea, nec vnquam resurgat in equinum & lasciuientem affectum: vt postquam Dei salutem exspectarit, beata fiat. Propterea &
Ibid. Moses in cantico Deum laudat. quod equum atque insessorem proiecit in mare: quatuor affectus, & insidentem ipsis miseram mentem in interitum rerum, & profunditatem perpetuam. Et fere totius cantici summa hæc est, ad quod omnia alia referuntur: & ita habet. Si enim vacuitas affectuum occuparit mentem, perfectam beatitudinem consequetur. Quærendum autem cuius rei gratia Iacob quidem ait, quod cadet eques in posteriora: Moses verò canit, quod equus & insessor submersi sunt. Dicendum igitur, quod quidem submersus, Ægyptius est mos, qui etsi fugiat sub aquam, hoc est sub affectuum gestationem fugit. Cadens autem eques in posteriora, non est ex ijs qui affectus amant. Indicium est: quod hic quidem est eques, ille autem insessor. Equitis quidem igitur opus, equum domare, & frænum non admittenti os obturare: insessoris autem, ferri quocumque duxerit animal. Et in mari, gubernatoris autem opus nauem agere & dirigere: atque vt rectum cursum teneat efficere, vectores autem ferre quemcumque euentum nauis. Præterquam quod domans affectus eques,

A τικτικὸν φύσει. ὁ δὲ σωφροσύνης λόγος δάκνειν καὶ τιτρώσκειν φιλεῖ καὶ ἀναιρεῖν τὸ πάθος. πτερνισθέντος τοῦ πάθους καὶ ὀκλάσαντος, πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω. ἱππέα νοητέον ἐπιβεβηκότα τοῖς πάθεσι νοῦν, ὃς ἀποπίπτει τῶν παθῶν, ὅταν αὐτὰ συλλογισθῇ καὶ πτερνισθῇ. εὖ δ' ὅτι εἰς τοὔμπροσθεν οὐ πίπτει ἡ ψυχή· μὴ γὰρ προερχέσθω τῶν παθῶν, ἀλλ' ὑστεριζέτω τούτων· καὶ σωφρονισθήσεται. καὶ δογματικόν ἐστιν ὃ λέγει.
B ἐὰν ὁρμήσας ὁ νοῦς ἀδικῆσαι, ὑστερήσῃ, καὶ πέσῃ εἰς τὰ ὀπίσω· οὐκ ἀδικήσει. ἐὰν δὲ ἐπὶ πάθος κινηθεὶς ἄλογον, μὴ ἐκδράμῃ, ἀλλὰ κατόπιν μείνῃ· ἀπάθειαν, τὸ κάλλιστον, καρπώσεται. διὸ καὶ τὸ κατόπιν πτῶμα ἀποδεχόμενος τῶν κακιῶν, ἐπιφέρει· τὴν σωτηρίαν περιμένων κυρίου. ὄντως γὰρ ὑπὸ θεοῦ σώζεται, ὁ ἀποπίπτων τῶν παθῶν, καὶ ὑστερίζων τῆς ἐνεργείας αὐτῶν.
C πέσοι τοιοῦτον μου πτῶμα ἡ ψυχή, καὶ μηδέποτε ἀναστάιη ἐπὶ τὸ ἵππειον καὶ σκιρτητικὸν πάθος· ἵνα θεοῦ σωτηρίαν περιμείνασα, εὐδαιμονήσῃ. διὰ τοῦτο καὶ Μωϋσῆς ἐν τῷ ᾄσματι ὑμνεῖ τὸν θεόν, ὅτι ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν· τὰ τέσσαρα πάθη καὶ τὸν ἐποχούμενον αὐτοῖς ἄθλιον νοῦν εἰς τὴν φθορὰν τῶν πραγμάτων καὶ τὸν ἀλεύυτον βυθόν. καὶ σχεδὸν τοῦ ᾄσματος ὅλου τὸ κεφάλαιον τοῦτ'
D ἐστιν, ἐφ' ὃ τὰ ἄλλα πάντα ἀναφέρεται· καὶ οὕτως ἔχει. ἐὰν γὰρ ἀπάθεια κατάσχῃ τὴν ψυχήν, τελείως εὐδαιμονήσει. ζητητέον δέ, τίνος ἕνεκα ὁ μὲν Ἰακώβ, φησιν, ὅτι πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω· Μωϋσῆς δὲ ᾄδει, ὅτι ἵππος καὶ ἀναβάτης κατεποντώθησαν. λεκτέον οὖν, ὅτι ὁ μὲν καταποντούμενος, ὁ Αἰγύπτιός ἐστι τρόπος. ὃς κἂν φύγῃ· ὑπὸ τὸ ὕ-
E δωρ, τουτέστιν, ὑπὸ τὴν φορὰν τῶν παθῶν φεύγει. ὁ δὲ πίπτων ἱππεὺς εἰς τὰ ὀπίσθια, οὐκ ἔστι τῶν φιλοπαθῶν. τεκμήριον δέ· ὅτι οὗτος μὲν ἐστιν ἱππεύς, ἐκεῖνος δὲ ἀναβάτης. ἱππέως μὲν οὖν ἔργον, δαμάζειν τὸν ἵππον, καὶ ἀφηνιάζοντα ἐπιστοματίζειν· ἀναβάτου δέ, φέρεσθαι ᾗ ἂν τὸ ζῷον ἄγῃ. καὶ ἐν θαλάττῃ, τοῦ μὲν κυβερνήτου ἔργον, ἄγειν τὸ σκάφος, καὶ εὐθύνειν, καὶ ὀρθοῦν· τοῦ δὲ ἐπιβάτου,

ὁ διαμάχων τὰ πάθη ἱππεὺς, οὐ καταποντοῦται· ἀλλὰ ἀποβὰς αὐτῶν, τὴν σωτηρίαν περιμένει τὴν δεσπότου. Παραινεῖ μέν τοι ὁ ἱερὸς λόγος ἐν Λευιτικῷ, ἀπὸ τῶν ἑρπετῶν, ἃ πορεύεται τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς, σιτεῖσθαι· ὧν ἐστιν ὁ βροῦχος, καὶ ὁ * ἀττάκης, καὶ ἀκρὶς καὶ τέταρτον ὁ ὀφιομάχης. καὶ δεόντως. εἰ γὰρ ἄτροφον καὶ B βλαβερὸν πρᾶγμα ὀφιώδης ἡδονή· τροφιμώτατον ἂν καὶ σωτήριον γένοιτο ἡ πρὸς ἡδονὴν διαμαχομένη φύσις. αὕτη δὲ ἡ σωφροσύνη ἐστί. μάχου δὴ καὶ σύ, ὦ διάνοια, πρὸς πᾶν πάθος, καὶ διαφερόντως πρὸς ἡδονήν. καὶ γὰρ φρονιμώτατός ἐστιν C ὁ ὄφις πάντων θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός. τῶν γὰρ πάντων πανουργότατόν ἐστιν ἡδονή. διὰ τί; ὅτι πάντα ἡδονῆς δοῦλα· καὶ ὁ βίος ὁ τῶν φαύλων δεσπόζεται ὑφ' ἡδονῆς. τὰ γοῦν ποιητικὰ αὐτῆς, εὑρίσκεται διὰ πανουργίας πάσης, χρυσός, ἄργυρος, δόξα, τιμαί, ἀρχαί, αἱ ὗλαι τῶν αἰσθητῶν, καὶ τέχναι αἱ βάναυσοι· καὶ ὅσαι ἄλλαι κατασκευαστικαὶ ἡδονῆς, D πάνυ ποικίλαι καὶ * ἀδικούμεναι ἡδονήν. τὰ δὲ ἀδικήματα, οὐκ ἄνευ πανουργίας τῆς ἐσχάτης ἐστίν. τὴν ὀφιομάχον οὖν γνώμην ἀντίταττε, καὶ κάλλιστον ἀγῶνα τοῦτον διάθλησον, καὶ σπούδασον στεφανωθῆναι, κατὰ τῆς τοὺς ἄλλους ἅπαντας νικώσης ἡδονῆς, καλὸν καὶ εὐκλεᾶ στέφανον, ὃν οὐδεμία πανήγυρις ἀνθρώπων ἐχώρησεν.

* ἀττακίς.

* ἀδικοῦσαι τὴν ψυχήν.

non submergitur: sed quasi ex ipsis euadens, salutem expectat à domino suo. Adhortatur quidem sacer sermo in Leuitico, A reptibilibus quæ incedunt quatuor pedibus, & quæ habent crura superiora pedibus, adeò vt saliant in ipsis ad vescendum. Quorum est bruchus, attacus, locusta & quartum ophiomachus. Et meritò. si enim non alens & noxia res est serpentina voluptas: maximè nutriens & salutaris fuerit contra voluptatem dimicans natura. hæc autem temperantia est. Pugna & tu, ô mens, aduersus omnem affectum, & præcipuè aduersus voluptatem. Etenim callidissimus est serpens omnium animantium quæ super terram quæ fecit Dominus, Deus. Vaferrimum autem omnium voluptas. Quid ita? quia omnia voluptati seruiunt. atque malorum vita est sub dominio voluptatis. Effecta igitur ipsius comperiuntur per fraudem omnem, aurum, argentum gloria, honores, veteres materiæ sensuum, & sedentariæ artes: & quæcumque aliæ voluptatem astruentes, admodum diuersæ & male habentes voluptatem. maleficia autem non sine fraude extrema sunt. Oppone igitur animum ophiomachum & egregium hoc certamen certa, & stude coronari contra omnes alios vincentem voluptatem, pulchra & insigni corona, quam nulla hominum celebritas capere potest.

Leuit. 11.

Gen. 3.

ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΕΜΠΤΟΥΣ ΕΙΝΑΙ ΤΟΥΣ ΟΝΕΙΡΟΥΣ.

DE EO QVOD A DEO IMMITTANTVR SOMNIA.

TERTIAM speciem diuinitùs missorũ somniorum describentes Mosem meritò inexpugnabilem vocamus: vt, quemadmodum didicit nesciens, ignorantes quoque nos edoceat de signis, vnumquodque illustrans. Constituitur autem tertia species, quando in somnis anima ex se ipsa mota, & se ipsam agitans, insanit: & diuino furore correpta prænoscendi facultate futura prædicit. Quod ad primam quidem attinet, erat illa incipiente motu Dei, & inuisibiliter nobis incognita subrespondente, nota autem ipsi: Secunda verò, nostro intellectu vniuersorum commoto animæ, & diuinitùs illato furore repleto: si fas est plura de futuris contingentibus prædicere. Propterea sacrorum antistes quæ quidem sunt secundùm priorem speciem visiones significans, planè admodum & perspicuè indicauit, tum ea quæ Dei oraculis certis conuenientia per somnia subjicientis. Eas verò quæ secundùm secundam speciem sunt, non perspicue admodum, neque item obscure nimis: cuius exemplum quæ à scala cœlesti apparuit visio. Illa enim obscura quidem erat, obscurum autem non nimis acutum cernentibus celatum fuit Quæ autem secundùm tertiã speciem visiones, magis quàm priores manifestatæ, quod habeant profundam & densam obscuritatem, opus vtique habuerunt artis somnia interpretandi scientia. Omnia igitur secundùm hoc descripta somnia legislatori tribuũtur à doctis prædictam artem viris.

A Τὸ τρίτον εἶδος τῶν θεοπέμπτων ὀνείρων ἀναγράφοντες, εἰκότως ἀνεπίμαχον Μωϋσέα καλοῦμεν· ἵν᾽, ὡς ἔμαθεν ἐκεῖνος, ἀγνοοῦντας καὶ ἡμᾶς ἀναδιδάξῃ περὶ τῶν σημείων, ἕκαστον αὐγάζων. συνίσταται δὲ τὸ τρίτον εἶδος, ὁπότ᾽ ἂν ἐν τοῖς ὕπνοις ἐξ ἑαυτῆς ἡ ψυχὴ κινουμένη, καὶ ἀναδονοῦσα ἑαυτὴν, κορυβαντιᾷ· καὶ ἐνθουσιῶσα, δυνάμει
B προγνωστικῇ τὰ μέλλοντα θεσπίζει. τὸ μὲν γὰρ πρῶτον, ἦν ἄρχοντος τῆς κινήσεως θεοῦ, καὶ ὑπηχοῦντος ἀοράτως τὰ ἡμῖν μὲν ἄδηλα, γνώριμα δὲ ἑαυτῷ. τὸ δὲ δεύτερον, τῆς ἡμετέρας διανοίας τῇ τῶν ὅλων συγκινουμένης ψυχῇ, καὶ θεοφορήτου μανίας ἀναπιμπλαμένης· ᾗ θέμις πολλὰ τῶν ἀποβησομένων προθεσπίζειν. διὸ ὁ ἱεροφάντης τὰς μὲν κατὰ τὸ πρῶτον σημαινόμενος φαντασίας, τρανῶς πάνυ καὶ περιδήλως ἐμήνυσεν, ἅτε τοῦ θεοῦ χρησμοῖς σαφέσιν ἐοικότα διὰ τῶν ὀνείρων ὑποβάλλοντος. τὰς δὲ κατὰ τὸ δεύτερον, οὔτε σφόδρα
C τηλαυγῶς, οὔτε σκοτίως ἄγαν. οὗ ὑπόδειγμα ἡ ὑπὸ τοῦ οὐρανοκλίμακος φανεῖσα ὄψις. αὕτη γὰρ αἰνιγματώδης μὲν ἦν· τὸ δὲ αἴνιγμα οὐ λίαν τοῖς ὀξὺ καθορᾶν δυναμένοις ἀπεκρύπτετο. αἱ δὲ κατὰ τὸ τρίτον εἶδος φαντασίαι, μᾶλλον τῶν προτέρων δηλούμεναι, διὰ τὸ βαθὺ καὶ κατακορὲς ἔχειν τὸ αἴνιγμα, ἐδεήθησαν καὶ τῆς ὀνειροκριτικῆς ἐπιστήμης. πάντες γοῦν οἱ κατ᾽ αὐτὸ ἀναγραφέντες ὄνειροι τῷ νομοθέτῃ διακρίνονται πρὸς σοφῶν τὴν λεχθεῖσαν τέχνην ἀνδρῶν.

τίνος οὖν εἰσιν οἱ ὄνειροι; ἢ πάντι που δῆλον, ὅτι οἱ τοῦ Ἰωσὴφ, οἱ τοῦ βασιλέως Αἰγύπτου Φαραώ· καὶ οὓς ὅ τε ἀρχισιτοποιὸς καὶ ἀρχιοινοχόος εἶδον αὐτοί. πρέποι δ' ἂν ἀπὸ τῶν πρώτων ἀεὶ τῆς διδασκαλίας ἄρχεσθαι. πρῶτοι δ' εἰσὶν, οὓς ἐθεάσατο Ἰωσήφ· ἀπὸ δυοῖν τῶν τοῦ κόσμου μερῶν, οὐρανοῦ τε καὶ γῆς, διπλᾶς φαντασίας λαβών. ἀπὸ μὲν γῆς, ὁ περὶ τὸν ἀμητὸν ὄναρ· τοιοῦτον δ' ἐστίν. ᾤμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ. ἀνέστη δὲ τὸ ἐμὸν δράγμα. τὸ δὲ περὶ τὸν ζῳδιακὸν κύκλον· ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. διάκρισις δὲ τοῦ μὲν προτέρου, μετὰ σφοδρᾶς ἐπιτάσεως τοιαύτη· μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμῖν; ἢ κυριεύων κυριεύσεις ἡμῶν· τοῦ δὲ ὑστέρου, ὀργὴ πάλιν δικαία. ἆρά γε ἐλευσόμεθα ἐγὼ καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοί σου, προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; ταῦτα μὲν δὴ θεμελίων τρόπον προκαταβεβλήσθω· τὰ δὲ ἄλλα, τῆς σοφῆς ἀρχιτέκτονος ἀλληγορίας ἑπόμενοι παραγγέλμασιν, ἐποικοδομῶμεν, ἑκάτερον διὰ τῶν ὀνειράτων ἀκριβοῦντες, ἃ δὲ χρὴ πρὸ ἀμφοτέρων ἀκοῦσαι· λεκτέον. τὴν τἀγαθοῦ φύσιν οἱ μὲν ἔτειναν ἐπὶ πολλὰ, οἱ δὲ τῷ ἀρίστῳ προσεκλήρωσαν μόνῳ· καὶ οἱ μὲν ἐκέρασαν, οἱ δὲ καὶ ἄκρατον εἴασαν· οἱ μὲν οὖν μόνον τὸ καλὸν, ἀγαθὸν εἰπόντες· ἀμιγῆ διαφυλάξαντες, αὐτὴν ἀπένειμαν τῷ κρατίστῳ τῷ ἐν ἡμῖν λογισμῷ· οἱ δὲ μίξαντες, τρισὶν ἐφήρμοσαν, ψυχῇ, σώματι, τοῖς ἐκτός. εἰσὶ δὲ οὗτοι μὲν τῆς μαλακωτέρας καὶ θρυφερᾶς διαίτης, τὸν πλείω χρόνον ἐν γυναικωνίτιδι καὶ τοῖς γυναικωνίτιδος ἐκτεθηλυσμένοις ἔθεσιν ἀπ' αὐτῶν σπαργάνων ἀνατραφέντες. οἱ δὲ ἕτεροι, σκληροδίαιτοι· πρὸς μὲν ἀνδρῶν κουροτροφηθέντες, ἄνδρες δὲ καὶ αὐτοὶ τὰ φρονήματα, τὸ συμφέρον πρὸ τοῦ ἡδέος ἀσπαζόμενοι, καὶ τροφαῖς ἀθλητικαῖς πρὸς ἰσχὺν καὶ ῥώμην οὐ πρὸς ἡδονὴν χρώμενοι. δυοῖν δὴ θιάσοιν ἡγεμόνας εἰσάγει Μωϋσῆς. τοῦ μὲν γνησίου, τὸν αὐτομαθῆ καὶ αὐτοδίδακτον Ἰσαάκ. ἀναγράφει γὰρ αὐτὸν γαλακτιζόμενον, ἁπαλαῖς καὶ γαλακτώδεσι, νηπίαις τε καὶ παιδικαῖς τροφαῖς οὐ δικαιοῦντα χρῆσθαι τὸ παράπαν· ἀλλ' εὐτόνοις καὶ τελείαις, ἅτε ἐκ βρέφους εὖ πρὸς ἀλκὴν πεφυκότα,

A Cuius igitur sunt somnia? vel cuiuis manifestum, quod Ioseph, quod regis Ægypti Pharaonis: & quæ tum pistorum & pincernarum præfecti viderunt ipsi: Conueniens fortasse fuerit a prioribus semper doctrinæ initium facere. Prima autem sunt, quæ vidit Ioseph à duabus mundi partibus cœlo & terra duplices visiones accipiens. A terra quidem, circa segetes somnium. Tale autem est. [Putabam nos colligare manipulos in medio campo. Surrexit au- Gen. 37.
B tem meus manipulus.] Quod autem est circa Zodiaci circulum: Quemadmodum sol & luna & vndecim stellæ adorabant me. dijudicatio vero prioris, cum vehementi extensione, talis: [Num regnans regnabis super nos; aut dominans dominaberis nostri:] posterioris autem, iusta rursum indignatio. [Num veniemus ego & mater, & fratres tui, te adoratū super terram?] Hæc quidem certè fundamentorum instar iacta sunt: alia verò sapientis architectricis alle-
C goriæ sequentes præcepta, superædificemus, vtrumque per somnia accuratè persequentes. Quæ autem ante vtrumque audire oportet: dicendum. Boni quidem naturam extenderunt nonnulli ad multa, nonnulli autem optimo addixerunt vni: temperamentum quoddam vtriusque fecerunt, hi vero sine temperamento reliquerunt. Solum quidem agitur pulchrum bonum dicentes: impromiscuum conseruantes, ipsam tribuerunt optimæ quæ in nobis est ratio-
D cinationi. Qui autem miscuerunt, tribus adaptarunt, animæ, corpori, externis. Sunt verò isti quidem delicatioris & luxus pleni victus rationem tenentes, maximam temporis partem in gynæceis atque in mulierum cœtibus effœminatis gentibus ab ipsis incunabulis innutriti. Alij autem durius viuentes: à viris quidem pueri educati, viri & ipsi quod ad sensum, commodum potius quam iucundum amplectentes, & alimentis athleticis ad vim & robur non ad voluptatem
E vtentes. Duarum itaque partium duces inducit Moses. generosi quidem cum qui per se didicit, & à seipso doctus est Isaac. describit enim ipsum lactescentem teneris & lacteis, Gen. 21.
infantibus & puerilibus alimentis, non æquum censentem vti omnino, sed robustis & perfectis, quæque ab infantia fortitudinem conciliare possunt, & vigentibus ac sem-

per fere iuuenefcere facientibus. Obedientis autem & intimi Iofeph. neque enim negligit eas quæ fecundum animam funt virtutes, profpicit etiam corporis incolumitati & appetit externa commoda, & facultates. Non fine caufa igitur diftrahitur plures vitæ fines proponens: tum vero retractus ab vnoquoque, cupit & turbatur nec firmari poteft. Neque enim quemadmodum fœderatæ vrbes, pacem agunt, & mutuo quafi in commune conferunt, tanquam fi in parte vincant aut vincantur. multus eft enim quando fluit circa diuitias & gloriam impetus, quæ funt circa corpus & animam curas deuicit: poftea repulfus rurfum ab vtroque, ab altera victus eft. Hunc autem in modum confertæ & corporis voluptates erumpentes. omnia deinceps intelligibilia obruunt, & delent. Inde breui reptans fapientia impetuofo & vehementi fpiritu, fluxum voluptatum relaxauit, & in vniuerfum omnia ftudia & ambitiones fedauit. Huiufmodi quidem certè circulus voluitur circa multimodam animam perpetui belli. Sublato enim vno inimico, nafcitur alter potentior, hydræ inftar multorum capitum. De ea enim, aiunt, pro amputato capite, aliud repullulare, multiforme & fœcundum immortalis vitij expugnatu difficile genus innuentes. Nihil igitur infuper refpondens vnquam · · · Iofeph: verum fcito quod multimixtæ & abftrufæ gloriæ eft imago. Apparet in ea enim & rationalis continentiæ fpecies, quod mafculæ progeniei eft, fecundum patrem Iacob formata: apparet etiam rationale fenfus materno generi quod eft fecundum Rachel effigiatum: apparet quoque corporeæ voluptatis femen, quod præfectorum pincernarum, piftorum & cocorum conuiuia confirmauit. Apparet & vanæ gloriæ, fuper quam, tanquam fuper currum, propter leuitatem, afcendit inflatus, fublimem videns fe ipfum in imminutione æqualitatis. Iofeph autem character per prædicta repræfentatur. fomniorum autem vtrumque diligenter perquirendum. Prius quidem de manipulis, perfcrutandum. [Putabam, inquit nos colligare manipulos.] Ipfum quidem ᾤμην putabam, illico pro certo non habentis & du-

Gen. 37.

A καὶ ἐπακμάζοντα, καὶ ἀνηβῶντα ἀεί. τοῦ δὲ εἴκοντος καὶ ἐνδιδόντος, τὸν Ἰωσήφ. ἔστι γὰρ οὐκ ἀλογεῖ μὲν τῶν κατὰ ψυχὴν ἀρετῶν· προμηθεῖται δὲ καὶ τῆς τοῦ σώματος εὐπαθείας, ἐφίεται καὶ τῆς τῶν ἐκτὸς εὐπορίας. ἀνθέλκεται δὲ εἰκότως, πολλὰ τέλη τοῦ βίου προτεθειμένος· καὶ ἀντισπώμενος. ὑφ' ἑκάστου, ἵσταται καὶ κλονεῖται, μὴ δυνάμενος στηριχθῆναι. καὶ γὰρ οὐδ' ὥσπερ αἱ ἔνσπονδοι πόλεις εἰρήνην ἄγουσι καὶ ἀντεπιτίθενται, ὡς ἐν B μέρει κρατεῖν τε καὶ ἡττᾶσθαι. πολλὴ γάρ ἐστιν ὅτε ῥυεῖσα περὶ πλοῦτον καὶ δόξαν ὁρμή, τὰς περὶ σῶμα καὶ ψυχὴν φροντίδας ἐξενίκησεν· εἶτα ἀντιβιασθεῖσα πάλιν ὑπ' ἀμφοῖν, ὑπὸ τῆς ἑτέρας ἐνικήθη. τὸν αὐτὸν δὲ τρόπον ἀθρόαι καὶ αἱ σώματος ἡδοναὶ καταρραγεῖσαι, πάντα ἑξῆς τὰ νοητὰ ἐπέκλυσάν τε καὶ ἠφάνισαν· εἶτ' οὐκ εἰς μακρὰν ἀντιπνεύσασα σοφία λάβρῳ καὶ σφοδρῷ πνεύματι, C τό τε ῥεῦμα τῶν ἡδονῶν ἐχάλασε, καὶ συνόλως τὰς διὰ τῶν αἰσθήσεων ἁπάσας σπουδάς τε καὶ φιλοτιμίας ἐπράϋνε. τοιοῦτος μὲν δὴ κύκλος εἱλεῖται περὶ τὴν πολύτροπον ψυχὴν ἀϊδίου πολέμου. καθαιρεθέντος γὰρ ἑνὸς ἐχθροῦ, φύεται πάντως δυνατώτερος ἕτερος, ὕδρας τῆς πολυκεφάλου τὸν τρόπον, καὶ γὰρ ἐπ' ἐκείνης φασίν, ἀντὶ τῆς ἐκτμηθείσης κεφαλῆς ἀναβλαστάνειν ἄλλην· αἰνιττόμενοι D τὸ πολύμορφον καὶ πολύγονον τῆς ἀθανάτου κακίας δυσάλωτον γένος. μηδὲν οὖν ἐναποκρίνας ποτὲ πρὸς · · · τὸν Ἰωσήφ· ἀλλ' ἴσθι ὅτι πολυμιγοῦς καὶ κεκρυμμένης δόξης ἐστὶν εἰκών. ἐμφαίνεται γὰρ καὶ τὸ λογικὸν ἐγκρατείας εἶδος, ὃ τῆς ἄρρενος γενεᾶς ἐστι, κατὰ τὸν πατέρα Ἰακὼβ τυπωθέν· ἐμφαίνεται καὶ τὸ λογικὸν αἰσθήσεως μητρώῳ γένει τῷ κατὰ Ῥαχὴλ ἐξεικονισθέν· ἐμφαίνεται καὶ τὸ τῆς σωματικῆς ἡδονῆς σπέρμα, ὃ ἀρχιοινοχόων καὶ ἀρ- E χισιτοποιῶν καὶ ἀρχιμαγείρων συνδειπνήσεις ἐνεσφράγισαν· ἐμφαίνεται καὶ τὸ τῆς κενῆς δόξης, ἐφ' ἣν, ὡς ἐφ' ἅρμα, διὰ τὸ κοῦφον, ἀναβαίνει φυσώμενος, καὶ μετέωρος ἑωρακὼς ἑαυτὸν ἐπὶ καθαιρέσει ἰσότητος. ὁ μὲν δὴ τοῦ Ἰωσὴφ χαρακτὴρ διὰ τῶν εἰρημένων ὑποτυποῦται. τῶν δ' ὀνειράτων ἑκάτερον μὲν ἀκριβωτέον· πρότερον δὲ τὸ περὶ τῶν δραγμάτων ἐρευνητέον. ᾤμην, φησίν, ἡμᾶς δεσμεύειν δράγματα. τὸ μὲν, ᾤμην,

A ἀδήλως ἀδηλοῦντος καὶ ἐνδοιάζοντος καὶ ἀμυδρῶς ὑπολαμβάνοντος, οὐ παγίως καὶ τηλαυγῶς ὁρῶντος ἀνάφθεγμά ἐστι. τοῖς γὰρ ἐκ βαθέος ὕπνου διανισταμένοις, καὶ ἔτι ὀνειρώττουσιν, ἁρμόττον λέγειν, ᾤμην· οὐχὶ τοῖς ἐγρηγόρσι παντελῶς καὶ τρανῶς ἐμβλέπουσιν. ἀλλ' οὐχ ὁ ἀσκητὴς Ἰακώβ, ᾤμην, ἐρεῖ. ἀλλ' ἰδοὺ κλίμαξ ἐστηριγμένη, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ πάλιν, ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, εἶδον τοῖς ὀφθαλ-
B μοῖς αὐτὰ ἐν τῷ ὕπνῳ· καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀνέβαινον ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας· διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. τῷ γὰρ τὸ καλὸν δι' ἑαυτὸ αἱρετὸν νομίζοντι, καὶ τὰς ἐν τοῖς ὕπνοις φαντασίας εἰλικρινεστέρας καὶ καθαρωτέρας ἐξ ἀνάγκης εἶναι συμβέβηκεν, ὥσπερ καὶ τὰς μεθ' ἡμέραν δοκιμωτέρας πράξεις. ἄγαμαι δὴ ὅταν ἀκούω τοῦ διηγουμένου τὸ ὄναρ, ὅτι ὑπέλαβε δράγματα καταδεῖν, οὐ θερίζειν. ἐκεῖνο μὲν ἰδιωτῶν
C καὶ ὑπηρετῶν ἔργον· τοῦτο δὴ ἡγεμόνων καὶ γεωργίας ἐμπειροτάτων τὸ ἐπιτήδευμα. τὸ γὰρ δύνασθαι διακρίνειν σκυβάλων ἀναγκαῖα, καὶ τρόφιμα καὶ ἀτροφίμων, καὶ νόθων γνήσια, καὶ ἀνωφελοῦς ῥίζης καρπὸν ὠφελιμώτατον μὴ ἐν οἷς ἡ γῆ βλαστάνει, μᾶλλον ἢ διάνοια φύει· τελειοτάτης ἀρετῆς ἐστιν· ὁ γοῦν ἱερὸς λόγος τοὺς ὁρῶντας εἰσάγει θερίζοντας· καὶ, τὸ παραδοξότατον, οὐ κριθὰς ἢ πυρούς, ἀλλὰ τὸν θερισμὸν αὐτὸν ἐκθερίζοντας. λέγεται οὖν, ὅταν θερίζητε τὸν θε-
D ρισμὸν ὑμῶν, οὐ συντελέσετε τὸ λοιπὸν τοῦ θερισμοῦ. βούλεται γὰρ τὸν ἀστεῖον οὐ μόνον κριτὴν εἶναι τῶν διαφερόντων, καὶ διαστέλλοντα ἐξ ὧν γίνεταί τινα καὶ τὰ γινόμενα. ἀλλὰ καὶ αὐτὸ τὸ δύνασθαι διακρίνειν δοκεῖν ἀναιρεῖν ἀμῶντα τὸν ἀμητόν, καὶ τὴν ἰδίαν ἐπιβουλὴν ἀποτέμνοντα· διὰ τὸ καὶ πεποιθέναι, καὶ Μωσεῖ λέγοντι πιστεύειν, ὅτι μόνου τοῦ θεοῦ ἡ κρίσις ἐστί, παρ' ὃν αἱ συγκρίσεις καὶ αἱ διακρίσεις τῶν ἁπάντων,
E ὑφ' οὗ καλὸν ὁμολογεῖν ἡττᾶσθαι, καὶ τῆς ἀοιδίμου νίκης εὐκλεέστερον. ὅμοιόν ἐστι τῷ τὸν θερισμὸν θερίζειν τὸ δὶς περιτέμνειν. ὥσπερ ὡς ὅτε ἐκαινουργήσαμεν, ἐξεῦρον περιτομῆς περιτομήν, τὴν ἁγνείαν· ἀφανίζεσθαι τὴν καθαρσιν τῆς ψυχῆς, αὐτὴν καθαιρεῖσθαι παραχωροῦντας τῷ θεῷ· τὸ φαιδρύνειν καὶ μηδέποτε νομίσαντας ἱκανοὺς εἶναι ἑαυτοὺς ἄνευ θείας ἐπιφροσύνης

bitantis, tum obscurè credentis, non solide & clarè perspicientis vox est. E profundo enim somno excitatis & adhuc somniantibus conueniens dicere, Putabam: nequaquam ijs qui vigilantes planè & apertè intuentur. At non meditator Iacob dixerit Putabam. [Verum ecce scala fixa, cuius cacumen pertingebat ad cœlum.] Et rursus. statim atque conceperunt oues, vidi ipsas oculis in somno, & ecce hirci & arietes inierunt oues & capras, ex parte varias, candidas, & cineritias, & variegatas. Pulchrum enim per se optabile, visiones quoque sinceriores & puriores ex necessitate esse contigit, quemadmodum & interdiu actiones magis probatæ fiunt. Miror autem quum audio somnum enarrantem quod credidit manipulos colligare non metere. Illud verò priuatorum & ministrorum opus, hoc verò ductorum, tum agriculturæ expertissimorum officium. posse enim discernere necessaria à frumenti reijculis, & alentia ab ijs quæ non alunt, germana à spurijs, atque inutilis radicis fructum vtilissimum, ne in quibus terra germinat, magis cogitatio producit: perfectissimæ virtutis est. Sacer itaque sermo inducit metentes, & quod valde contra communem opinionem est, non hordea aut frumenta, verum messem ipsam demetentes. Habet igitur, [Quando messueritis messem vestram, reliquias frugum non consummabitis.] Vult enim oppidanum non solum de præstantibus & eximijs iudicare, & distinguere ex quibus quædam fiunt, & generata: verum & ipsum credere facultatem habere diiudicandi, & tollendi metentem fruges, tum priuatum consilium rescindentem: eò quod vbique obtemperet, & Mosi dicenti credat, quòd vnius Dei est iudicium: secundum quem sunt interpretationes & diiudicationes omnium, à quo bonum est fateri se vinctum, ac celebri quauis victoria præclarius. Perinde autem est bis circumcidere ac fruges demetere. quod quidem vt quum aliquod nouum designantes, inuenerunt circumcisionis circumcisionem, castitatem, ad exterminandam mentis purgationem, illam subuertere cedentes Deo: exhilarare & nunquam existimantes idoneos esse seipsos absque diuina suggestione

Ibid. 28. 31.
Ibid. 37.
Leuit. 19.
Deut. 1.

macularum plenam lauare & abluere vitam. Istius affinitatis duplex est antrum, duplices & de quibus certatur commemorationes, tum de genito, tum de effecto: quibus innutritur vrbanus, contemplans quidem quæ in mundo, discendi cupidus autem de generante patre. à quibus puto eam quæ in musica est disdiapason inuentã fuisse symphoniam. Oportuit enim tum opus tum opificem perfectissimis modulationibus duos felices iudicare, nequaquam ipsis. Quandoquidem enim quæ hymnis celebrantur alia alijs excellunt: necessarium & modulationes & concentus dijudicari, coniunctam quidem coniuncto tribuentes atque ex excellentium adaptato ornatu: disiunctam autem totius generationis disiuncto quod substantiam attinet Deo. sententiam verò enuntiat rursus virtutis amantem sacrorum antistes, dicens:

Leuit. 19. Non consummare reliquias frugum: memor fundamenti quod ab initio posuit, secundùm quod fatetur finem esse Domini præsentis: authoritas & firmitudo istorum est. Sed enim qui nondum metere initiatus gloriatur dicens: Putabam quos non messui colligare cum reliquis manipulos.

Gen. 37. Neque secum ipse reputauit, quod seruorum atque indoctorum hoc ministerium, secundum quæ paulò ante dixi. Manipulos inuentes dicimus esse res: quas vnusquisque tanquam proprium alimentum apprehendit, in quo æuum degere & viuere sperat. Sexcentæ quidem igitur manipulorum, dico sanè quasi nutrientium differentiæ: sexcentæ autem & apprehendentium & capientium manipulos: vt neque omnes exprimere, neque cogitare possibile sit. Quasdam verò haud absurdum, exempli gratia, exponere, quarum enarratum somnium mentionem facit. Dicit enim fratribus, Putabam nos colligere manipulos. Fratres autem germani sunt decem, vterinus autem vnus: vniuscuiusque autem ipsorum nomen, symbolum plane necessariæ rei est. Ruben quidem, ingenij dexteritatis, filius enim videns vocatur. qua quidem filius, non perfectus. qua autem perspicax, & acutum videns, industrius. Disciplinæ autem Simeon. exauditus enim exponitur. effectorum autem & actionum bonarum, & sanctorum officiorum, Leui: Cantuum verò atque hymnorum,

A τὴν κηλίδων ἀνάμεστον ἐκνίψαι καὶ ἀπολοῦσαι βίον. ταύτης ἐστὶ τῆς συγγενείας καὶ τὸ διπλοῦν σπήλαιον, αἱ διπλαῖ καὶ περιμάχητοι μνῆμαι. ἥ τε περὶ τοῦ γεγονότος καὶ ἡ περὶ τοῦ πεποιηκότος· αἷς ἐντρέφεται ὁ ἀστεῖος, θεωρῶν μὲν τὰ ἐν κόσμῳ, φιλομαθῶν δὲ καὶ περὶ τοῦ γεννήσαντος πατρός. ἀφ' ὧν οἶμαι καὶ τὴν ἐν μουσικῇ δὶς διὰ πασῶν εὑρεθῆναι συμφωνίαν. ἔδει γὰρ καὶ τὸ ἔργον καὶ τὸν δημιουργὸν τελειοτάταις μελῳδίαις εὐδαιμονίζεσθαι δυσίν, οὐ-

B χὶ ταῖς * ἑαυταῖς. ἐπεὶ γὰρ τὰ ὑμνούμενα αὐταῖς διέφερεν· ἀναγκαῖον καὶ τὰς μελῳδίας καὶ συμφωνίας διακεκρίσθαι, τὴν μὲν συνημμένην ἀπονέμοντα τῷ συνημμένῳ καὶ ἐκ διαφερόντων ἁρμοσθέντι κόσμῳ· τὴν δὲ διεζευγμένην, τῷ πάσης γενέσεως διεζευγμένῳ κατὰ τὴν οὐσίαν θεῷ. γνώμην δὲ ἀποφαίνεται πάλιν ὁ ἱεροφάντης φιλάρετον, λέγων· οὐ συντελέσαι τὸ λοιπὸν τοῦ θερισμοῦ· μεμνημέ-

C νος τῆς ἐξ ἀρχῆς ὑποθέσεως, καθ' ἣν ὡμολόγει τὸ τέλος εἶναι τοῦ κυρίου παρόντος· κῦρος καὶ ἡ τούτων βεβαίωσίς ἐστιν. ἀλλὰ γὰρ ὁ τοῦ θερίζειν ἀμύητος αὐχεῖ λέγων· ᾤμην ἃ μὴ ἐθέρισα καταδεῖν σὺν ἑτέροις δράγματα. καὶ οὐκ ἐλογίσατο πρὸς ἑαυτόν, ὅτι δούλων καὶ ἀνεπιστημόνων ἤδη ἐστὶν ὑπηρεσία· καθὰ καὶ μικρῷ πρότερον εἶπον. δράγματα δ' ἀλληγοροῦντες, φαμὲν εἶναι πράγματα· ὧν ἕκαστος ὡς οἰκείας τροφῆς ἐπιδράττεται, ἐν ᾗ ζήσεσθαι καὶ

D βιώσεσθαι τὸν αἰῶνα ἐλπίζει. μυρίαι μὲν οὖν τῶν δραγμάτων, λέγω δὲ τῶν ὡσπερεὶ τρεφόντων πραγμάτων διαφοραί· μυρίαι δὲ καὶ τῶν ἐπιδραττομένων καὶ αἱρουμένων τὰ δράγματα· ὡς ἁπάσας οὔτ' εἰπεῖν οὔτ' ἐπινοῆσαι δυνατόν. τινὰς δ' οὐκ ἄτοπον, δείγματος ἕνεκα, ἑρμηνεῦσαι, ὧν καὶ τὸ ὄναρ διηγούμενος ἐπεμνήσθη. φησὶ γὰρ τοῖς ἀδελφοῖς· ᾤμην ἡμᾶς δεσμεύειν δράγματα. ἀδελφοὶ δ' εἰσὶν ὁμοπάτριοι μὲν δέκα, ὁμογάστριος δὲ

E εἷς· ἑκάστου δὲ αὐτῶν τοὔνομα, σύμβολον ἀναγκαιοτάτου πράγματός ἐστι. Ρουβεὶμ μέν, εὐφυΐας· υἱὸς γὰρ ὁρῶν καλεῖται· ᾗ μὲν υἱός, οὐ τέλειος· ᾗ δὲ ὁρατικὸς καὶ ὀξὺ καθορῶν, εὐφυής. μαθήσεως δέ, Συμεών· εἰσακοὴ γὰρ ἑρμηνεύεται. ἐνεργειῶν δὲ καὶ πράξεων σπουδαίων καὶ λειτουργιῶν ἁγίων, Λευί· τῶν δὲ εἰς θεὸν ᾠδῶν τε καὶ ὕμνων, Ἰούδας. Ἰσσάχαρ δέ, μισθῶν· οἱ ἐπ' ἔργοις

A καλοῖς ἐπιδίδονται. τάχα δ᾽ αὐτὰ τὰ ἔργα, ὁ τέλειος μισθὸς ἦν. Ζαβουλὼν δὲ, φωτός· ἐπειδὴ φύσις νυκτερινὴ ὀνομάζεται· ῥεούσης δὲ καὶ ἀπολιπούσης νυκτὸς, ἐξ ἀνάγκης φῶς ἀνίσχει. διακρίσεως δὲ καὶ τομῆς πραγμάτων, Δάν. ἐπιθέσεως δὲ καὶ ἀντεπιθέσεως πειρατικῆς, Γάδ. Ἀσὴρ δὲ, τοῦ ψυχικοῦ πλούτου· μακαρισμὸς γὰρ ἑρμηνεύεται, ἐπειδὴ μακάριον κτῆμα νενόμισται πλοῦτος. εἰρήνης δὲ, Νεφθαλείμ· B διανοίγεται γὰρ καὶ εὐρύνεται πάντα εἰρήνῃ, ὡς συγκλείεται πολέμῳ· τὸ δὲ ὄνομα μεταληφθὲν, πλατυσμὸς ἢ διανενοιγμένον ἐστί. Βενιαμὶν δὲ, τοῦ νέου καὶ γέροντος χρόνου· λέγεται γὰρ ἑρμηνευθεὶς, υἱὸς ἡμερῶν εἶναι· ἡμέραις δὲ καὶ νυξὶν, ὁ νέος ὁμοῦ καὶ γέρων αἰὼν ἀναμετρεῖται. ἐπιδράττεται γοῦν ἕκαστος τῶν οἰκείων, καὶ ἐπιδραξάμενος, τὰ μέρη πάντα συνδεῖ· ὁ μὲν εὐφυὴς, εὐθιξίας, ἐπιμονῆς, μνήμης, ἐν οἷς ἡ εὐφυΐα· ὁ δ᾽ εὐμαθὴς, C ἀκροάσεως, ἡσυχίας, προσοχῆς. ὁ δ᾽ ἐγχειρητὴς τῆς θαρραλεότητος, παρακεκινδυνευμένης εὐτολμίας. ὁ δ᾽ εὐχάριστος, ἐπαίνων, ἐγκωμίων, ὕμνων, εὐδαιμονισμῶν, κατά τε τὸ λέγειν καὶ τὸ ᾄδειν. ὁ δὲ μισθῶν ἐφιέμενος, ἀόκνου συνεχείας, τλητικωτάτης καρτερίας, καὶ ἐπιμελείας, σὺν εὐκαταφρονήτῳ ταχυτῆτι· ὁ δὲ φῶς ἀντὶ σκότους μεταδιώκων, ἐγρηγόρσεως, ὀξυωπίας. ὁ δὲ τομῆς καὶ διακρίσεως πραγμάτων, D ζηλωτὴς λόγων ἠκονημένων, τοῦ μὴ ἐφ᾽ ὁμοίων ὡς τῶν αὐτῶν ἀπατᾶσθαι, τοῦ μὴ πρὸς χάριν, τοῦ ἀδεκάστου. ὁ δὲ πειρατικώτερον ἐνεδρεύων τοὺς ἀντιλοχῶντας, ἀπάτης, φενακισμοῦ, γοητείας, σοφισμάτων, προσποιήσεως, ὑποκρίσεως· ἅπερ ἐξ ἑαυτῶν ψεκτὰ ὄντα, κατ᾽ ἐχθρῶν γινόμενα ἐπαινεῖται. ὁ δὲ πλουτεῖν τὸν φύσεως πλοῦτον ἐπιτηδεύων, ἐγκρατείας, ὀλιγοδείας. ὁ δ᾽ εἰρήνης ἐρῶν· εὐνομίας, εὐδοξίας, ἀτυφίας, E ἰσότητος. ἐκ τούτων τὰ τῶν ὁμοπατρίων ἀδελφῶν δράγματα καταδεῖται· τοῦ δὲ τοῦ ὁμογαστρίου, ἐξ ἡμερῶν καὶ χρόνου, τῶν οὐδενὸς αἰτίων ὡς ἁπάντων αἰτίων. αὐτὸς δὲ ὁ ἐνυπνιαστὴς καὶ ὀνειροπόλος (ἦν γὰρ ἀμφότερα) τῆς κενῆς δόξης, ὡς μεγίστου καὶ λαμπροτάτου καὶ βιωφελεστάτου κτήματος ἐπιδράττεται. διὸ πρῶτον μὲν ἀπ᾽ ὀνειράτων, ἃ νυκτὶ φίλα, τῷ βασιλεῖ τῆς σωματικῆς χώρας γνωρίζεται:

A Iuda Isachar verò mercedum: quæ pro præclaris operibus conferuntur, fortasse autem ipsa illa opera, perfecta merces erant. Zabulon autem, lucis: si quidem natura nocturna nominatur. fluente verò & derelinquente nocte, necessario lux oritur. Dijudicationis autem & rerum mutationis, Dan. Inuasionis & defensionis prædatoriæ, Gad. Aser autem, diuitiæ animæ, beatitudo enim exponitur, siquidem beata possessio existimantur diuitiæ. pacis autem Nephtali: B aperit enim & dilatat omnia pax, quum clauditur cum bello. Translatum autem nomen, latitudo, aut adapertum est. Beniamin vero iuuenis & senis temporis: dicitur enim expositus, filius noster esse: diebus autem & noctibus iuuenis simul & senex æuum remetitur. Apprehendit igitur quisque propria, atque illis apprehensis, omnes partes colligat: ingeniosus quidem tactus facilitate, perseuerantiæ, memoriæ in quibus ingenii dexteritas. Docilis vero, C auditionis, otij, attentionis. Qui autem aliquid agendum aggreditur, confidentiæ, atque fiduciæ cum periculo coniunctæ. Qui autem gratus, laudum, encomiorum, hymnorum, applausuum, dicendo tum canendo. Mercedes vero desiderans impigræ assiduitatis, tolerantiæ patientissimæ tum diligentiæ cum celeritate planè sollicita. Lucem vero pro tenebris quærens, euigilantiæ, atque acuti visus. Qui autem diui- D sionis & diiudicationis rerum, æmulus sermonum acutorum, ne similia pro rebus ipsis accipiet, eius qui non ad gratiam, item qui muneribus non corrumpitur. Qui vero magis piraticè insidias struit contrainsidiantibus, deceptionis, illusionis incantationis, argutiarum, dissimulationis simulationis, quæ cum per se vituperanda sint, contra inimicos adhibita laudem inueniunt. Qui autem naturæ opes acquirere instituit, continen- E tiæ & frugalitatis. Paucis autem amans, legum rectarum, approbationis, simplicitatis, æquabilitatis. Ex his germanorum fratrum manipuli colligantur: vlteriori autem ex diebus & tempore, nullius rei causis, tanquam omnium causis. Ipse autem somniator & somniorum interpres (erat enim vtrumque) vanam gloriam, tamquam maximam & vitæ vtilissimam possessionem apprehendit. Idcirco à somnis, quæ nocti amica regi corporeæ regionis innotescit:

A non ab effectis rerum præclararum, quæ vt demonstrentur die opus habent. deinde inspector siue rector totius Ægypti præconis voce denuntiatur, in regis honoribus secundas ferens, quæ quidem clade & ignominia obscuriora & magis ridicula insipientiæ ius subeunti scribuntur. Deinde torquem aureum, laqueum illustrem, circulum & rotam necessitatis perpetuæ collo circumdat. non assectationem & quæ in reliqua vita, & seriem naturæ rerum,

Gen. 38. non secus ac Thamar. Non enim torques, sed armilla ipsius ornatus. & anB nulum quidem regium, donum, fidem infidelem, contrarium illi quod datum rursus fuerat ipsi Thamar à rege vidente Iuda filium Israelis. Dat enim hic animæ signum perpulchrum donum docens: quod informem existentem omnium rerum substantiam in meliorem formam redegit, & non expressam expressit & qualitatis expertem formauit: & perficiens vniuersum, sigillo conC clusit mundum, imagine & idea suo ipsius verbo. Verum ille & secundo ascendit currum: aut subtumens elatione quadam mentis, & vanæ inflationis. & ciborum sumptibus præficitur: corpori custodiens thesaurum & vndecumque ipsi comparans alimenta. Propugnaculum verò istud contra animam graue est. Instituto autem & æmulationi vitæ. testatur nomen maximè. Ioseph enim additio exponitur: inanis verò gloria adijcit semper quidem legitimo spurium, proprio autem alieD num, veris autem falsum, sufficienti redundans, viuendi rationi mollitiem, vitæ autem fastum. Quid verò est quod volo declarare: considera, cibo & potu alimur, quamuis adsit frugalis maza & aqua scaturiens. si quid igitur vana gloria adiecit placentarum & melle confectorum bellariorum sexcenta genera, vinorum innumerabilium artificiosæ & variæ temperationes ad fruendam voluptatem magis quam ad communicationem alimenti compositæ. E Porro condimenta ad esum necessaria incantationi, & olera, & multa arboreorum fructuum, quamuis caseus aut quidvis aliud eiusmodi. Si verò cupis de carniuoris hominibus pisces & carnem ad hæc amplius scribimus. Annon igitur sufficiens erat carbones accendentes, & ex tempore igne coquentes, more heroicorum verè virorum cibum sumere?

A οὐκ ἀπὸ πραγμάτων τηλαυγῶν ἐνεργείας, ἃ πρὸς ἐπίδειξιν ἡμέρας δεῖται. εἶτ' ἐπίσκοπος ἢ κηδεμὼν Αἰγύπτου πάσης ἀνακηρύττεται, τὰς τιμὰς τοῦ βασιλέως οἰσόμενος δευτερεῖα, ἅπερ ἥττης καὶ ἀτιμίας ἀφανέστερα καὶ καταγελαστότερα παραφροσύνῃ γράφεται δικαζούσῃ. εἶτα κλοιὸν χρυσοῦν, ἀγχόνην ἐπιφανῆ, κύκλον καὶ τροχὸν ἀνάγκης ἀτελευτήτου περιτίθεται· οὐκ ἀκολουθίαν καὶ τὸ ἑξῆς ἐν βίῳ, καὶ τὸν εἱρ-B μὸν τῶν τῆς φύσεως πραγμάτων, ὡς ἡ Θάμαρ. οὐ γὰρ κλοιός, ἀλλ' ὁρμίσκος αὐτῆς ὁ κόσμος. καὶ δακτύλιον μέν τι βασιλικόν, δῶρον, πίστιν ἄπιστον, ἐναντιούμενον τῷ δοθέντι πάλιν αὐτῆς Θάμαρ ὑπὸ τοῦ βασιλέως τοῦ ὁρῶντος Ἰσραὴλ Ἰούδα. δίδωσι γὰρ οὗτος τῇ ψυχῇ σφραγῖδα, πάγκαλον δῶρον διδάσκων· ὅτι ἀσχημάτιστον οὖσαν πρὸ τὴν πάντων οὐσίαν διεσχημάτισε, καὶ ἀτύπωτον ἐτύπωσε, καὶ ἄποιον ἐμόρφωσε, καὶ C τελειώσας τὸν ὅλον ἐσφράγισε κόσμον, εἰκόνι καὶ ἰδέᾳ τῷ ἑαυτοῦ λόγῳ. ἀλλ' ἐκεῖνός γε καὶ ἐπὶ τὸ δευτερεῖον ἄνεισιν ἅρμα· ἢ ὑποτυφούμενος ὑπ' αἰώρας φρενῶν καὶ κενοῦ φυσήματος. καὶ σιταρχεῖ· τῷ σώματι θησαυροφυλακῶν, καὶ πανταχόθεν αὐτῷ πορίζων τὰς τροφάς. ἐπιτειχισμὸς δὲ κατὰ τῆς ψυχῆς βαρὺς οὗτός ἐστι. τῇ δὲ προαιρέσει καὶ ζηλώσει τοῦ βίου, μαρτυρεῖ δὲ τοὔνομα οὐχ ἥκι-D στα. πρόσθεσις γὰρ Ἰωσὴφ ἑρμηνεύεται· κενὴ δὲ δόξα προστίθησιν ἀεὶ γνησίῳ μὲν τὸ νόθον, οἰκείῳ δὲ τὸ ἀλλότριον, ἀληθέσι δὲ τὸ ψεῦδος, αὐτάρκει γε τὸ πλεονάζον, ζωῇ δὲ θρύψιν, βίῳ γε τῦφον. τί δή ἐστιν ὃ βούλομαι δηλοῦν· σκόπει σιτίοις καὶ ποτοῖς τρεφόμεθα, κἂν ἡ εὐτελεστάτη μᾶζα καὶ ὕδωρ ναματιαῖον. εἴ τι οὖν ἡ κενὴ δόξα προσεπέθηκεν ἀμητῶν καὶ μελιπήκτων πεμμάτων γένη μυρία, καὶ οἴνων ἀμυθήτων πολυέργους καὶ παμποικίλους κράσεις, πρὸς ἀπό-E λαυσιν ἡδονῆς μᾶλλον ἢ πρὸς μετουσίαν τροφῆς παρηρτυμένας· πάλιν ἡδύσματα πρὸς ἐδωδὴν ἀναγκαῖα γοητεία, καὶ λάχανα, καὶ πολλὰ τῶν ἀκροδρύων, καὶ εἰ τυρὸς καὶ εἴ τι ἄλλο ὁμοιότροπον. εἰ δὲ θέλεις ἐπὶ σαρκοβόρων ἀνθρώπων, ἰχθῦς ἔτι καὶ κρέας πρὸς τούτοις γράφομεν. ἆρ' οὖν οὐκ αὔταρκες ἦν ἀπανθρακίσαντας καὶ αὐτοσχεδίως ὀπτήσαντας πυρί, τρόπον ἡρωικὸν ὄντως ἀνδρῶν προσφέρεσθαι.

ἐπὶ ἀλλ' οὐκ ἐπὶ * τούτων ὁ γαστρίμαργος μόνον ὁρμᾷ· σύμμαχον δὲ τὴν κενὴν δόξαν λαβών, καὶ τὸ ἐν αὐτῷ λίχνον πάθος ἐγείρας, ὀψαρτύτας καὶ τραπεζοποιοὺς εὐδοκίμους τὴν τέχνην ἀναζητεῖ καὶ περιβλέπεται. οἱ δὲ τὰ κατὰ τῆς ταλαίνης γαστρὸς ἐκ πολλῶν χρόνων ἀνευρημένα δελέατα ἀνακινήσαντες, καὶ χυλῶν ἰδιότητας σκευάσαντές τε καὶ διαθέντες ἐν κόσμῳ, προσαίνουσι καὶ θωπεύουσι γλῶτταν· εἶτ' εὐθὺς ἀγκιστρεύονται τὴν αἴσθησιν τὴν ἐπιβάθραν γεύσιν, δι' ἧς ἀντ' ἐλευθέρου δοῦλος ὁ δειπνοθήρας οὐκ εἰς μακρὰν ἀνεφάνη. τίς γε μὴν οὐκ οἶδεν ὅτι ἀμπεχόνη πρὸς τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους ἐπιγινομένας βλάβας τῷ σώματι κατεσκευάσθη τὸ πρῶτον; ἀλλ' ἐξ ἀνέμους μὲν, ὡς οἱ ποιηταί που φασὶ χειμῶνι. * τίς οὖν τὰς πολυτελεῖς ἁλουργίδας, τίς τὰ διαφανῆ καὶ λεπτὰ θέριστρα, τίς τὰς ἀραχνοφυεῖς ἀμπεχόνας, τίς τὰ ἐπηνθισμένα ἢ βαφαῖς ἢ πλοκαῖς διὰ τῶν ῥάπτειν ἢ ὑφαίνειν ποικίλα ἐπισταμένων, καὶ τὴν ἐν ζωγραφίᾳ μίμησιν τῶν ὑπερβαλλομένων δαιδαλεύεται; τίς; οὐχ ἡ κενὴ δόξα; ἀλλὰ μὴν καὶ οἰκίας, διὰ τὰς αὐτὰς ἐδέησεν ἡμῖν αἰτίας, καὶ ὅπως μὴ πρὸς θηρίων ἢ θηριωδεστάτων τὰς φύσεις ἀνθρώπων ἐπιτρεχόντων βλαπτοίμεθα. τί οὖν τὰ μὲν ἐδάφη καὶ τοὺς τοίχους πολυτελέσι λίθοις διακοσμούμεθα; τί δὲ Ἀσίαν καὶ Λιβύην καὶ πᾶσαν Εὐρώπην καὶ τὰς νήσους ἐπερχόμεθα, κίονας ἀριστίνδην ἐπιλεγομένους καὶ ἐπιστυλίδας ἐρευνῶντες; τί δὲ περὶ Δωρείους καὶ Ἰωνικὰς καὶ Κορινθιακὰς γλυφὰς καὶ ὅσα οἱ ἐν τρυφῶντες ζῶσι νόμοις προσεξεῦρον, σπουδάζομέν τι, καὶ φιλοτιμούμεθα, κιονόκρανα κοσμοῦντες; τί δὲ χρυσορόφους ἀνδρῶνας καὶ γυναικωνίτιδας κατασκευάζομεν; ἆρ' οὐ διὰ τὴν κενὴν δόξαν; καὶ μὴν πρὸς τὸν ὕπνον μαλακὸν μὲν, ἔδαφος αὔταρκες ἦν· ἐπεὶ καὶ μέχρι νῦν τοὺς γυμνοσοφιστὰς παρ' Ἰνδοῖς χαμευνεῖν ἐκ παλαιῶν ἐθῶν, κατέχει λόγος· εἰ δὲ μὴ, στιβὰς γοῦν ἐκ λίθων λογάδων ἢ ξύλων εὐτελῶν πεποιημένη κλίνη. ἀλλὰ γὰρ ἐλεφαντόποδες τὰ ἐπίπλαια, καὶ κλιντῆρες ὀστράκοις πολυτελέσι καὶ ποικίλαις χελώναις ἐνδεδεμέναις μετὰ πολλῶν πόνων καὶ δαπανημάτων ἐν πολλῷ χρόνῳ κατασκευάζονται. τινὲς δὲ ὁλοάργυροι καὶ ὁλόχρυσοι, καὶ λιθοκόλλητοι στρωμναῖς ἀνθηροποικίλοις καὶ χρυσοπάστοις, ὡς πρὸς ἐπίδειξιν καὶ πομπὴν, οὐ τὴν καθημέραν χρῆσιν διακεκοσμημέναι.

A Verum non super his tantùm incitatur gulosus: sociam sumens vanam gloriam, & in se ipso excitans gulosum affectum, cocos & mensarum instructores laudatos atque in arte præstantes perquirit & circumspicit. hi autem contra miserum ventrem à longo tempore adinuenta gulæ irritamenta commouentes & saporum proprietates apparantes, atque ordine disponentes, linguæ abblandiuntur atque ipsam demulcent. Postea statim sensuum patentem gustum inescant, B vnde pro libero seruus prandiorum captator breui censetur. Quis porrò nescit quod indumentum contra intensi frigoris atque æstus iniurias primum paratum? Sed euentilata quidem, quemadmodum alicubi aiunt poëtæ, hyeme. Quis igitur sumptuosas vestes purpureas, quis transparentes ac tenues vestes æstiuas, quis togas ex telis aranearum contextas, quis velut floribus aspersas tinctas aut textas per eos qui C consuere & acu pingere varijs coloribus sciunt, tum in pingendo imitationem, in felicitate superantium artificiose repræsentet? Quis inquam? nonne vana gloria? Enimvero illis de caussis domibus opus nobis fuit, atque vti ne à feris, aut magis etiam natura feris hominibus læderemur. Quid igitur pauimenta & parietes sumptuosis lapidibus ornamus? Quid vero Asiam & Africam, vniuersam Europam & insulas accedimus, columnas optimatim electas, atque epistylia scrutantes? D Quid autem circa Doricas, Ionicas & Corinthiacas sculpturas, & quæcumque ludibundi viuentibus legibus adinuenerũt, studemus & ambitiose exquirimus, summitates columnarum ornantes? Quid verò inaurata virorum diuersoria & gynæcea extruimus? An non propter inanem gloriam? Quinetiam ad somnum mollem quidem, sufficiebat pauimentum: siquidem & ad hanc vsque ætatem gymnosophistas apud Indos humi cubare ex veteri consuetudine, ferunt: E Sin minus stragulum ex lapidibus delectis aut lignis vilibus constructus lectus. Sed enim pedes eburnei gradus scalarum, & cubilia testis pretiosis & varijs testudinibus implicatis, multis laboribus & sumptibus & multo tempore extruunt. Quidam autem toti ex argento & auro, & gemmis distincti lecti floridis & auro intertextis tanquam ad ostentationem & pompam, non autem ad vsum ordinarium exornati.

Provt artifex vana gloria. Quid verò ab oleæ expresso fructu amplius oportebat quærere ad vnctiones? etenim læuigat, & soluit laborem corporis, & corpulentiam generat, si quid verò laxatum fuerit adstringit sua densitate, & nihilominus alterius robur & firmitatem indit. Sed enim vallatæ sunt iuuantibus iucundæ inanis gloriæ vnctiones: ad quas vnguentarij laborant, & magnæ regiones conferunt, Syria, Babylonia, Inde, Scythæ, apud quos nascuntur aromata. Ad bibendum autem, cuius amplius opus fuit, quàm naturali poculo, summa arte confecto. Poculum autem illud, manus nostræ sunt quas qui in id ipsum coarctans & cauans, scite admodum ori admouens, adfundente alio potum non solum remedium sitis, verum etiam ineffabilem voluptatem habet. Si vero quopiam alio opus fuisset, rusticum poculum nonne sufficiens erat? verum aliorum excellentium artes exquirere oportuit. Quid vero argenteorum & aureorum poculorum opulentorum multitudinem extruere? nisi propter extollentem se valde fastum atque in sublime se ferentem vanam gloriam. Quando etiam coronantur quidam dedignantur lauro, hedera, violis, lilijs, rosis, & ramo oliuæ in vniuersum aut quouis alio flore fragrante coronari, prætereuntes Dei dona quę per anniuersarias tempestates porrigit. Auri vero super capite grauissimum onus gestantibus, in medio foro, & multitudine absque pudore quæque existimanda sunt, aut quod inanis gloriæ serui sunt, dicentes se non solum liberos, verum etiam multorum aliorum ductores esse. Deficiet me dies differentias vitæ humanæ persequentem. Et sane quid longa opus est oratione vti? Cui enim ista sunt inaudita? quis non spectator? quis quidem igitur hæc non exercet, aut his non assueuit? adeo vt perpulchrè additionem simplicitatis quidem inimicam, fastus autem amicum nominet diuinus sermo. Quomodo enim in arboribus adnascuntur germina superuacua, magna naturalium nocumenta, quæ purgant & amputant agricolæ: sic etiam veræ & siue fastu vitæ plurimum nocumenti attulit ementita & fastuosa, cui vsque ad hanc vsque diem nullus inuentus colonus, qui noxiam propaginem radicitus amputarit. Scientes itaque prudentiæ meditatores quod plurimum fere hoc sensu primum,

A ὡς δημιουργὸς ἡ κενὴ δόξα. τί δὲ τοῦ ἀπὸ τῆς ἐλαίας ἐκθλιβομένου καρποῦ, πλέον ἔδει ζητεῖν, πρὸς ἀλείμματα; καὶ γὰρ λεαίνει, καὶ κάματον σώματος λύει, καὶ εὐσαρκίαν ἐμποιεῖ· κἂν εἴ τι κεχαλασμένον εἴη, σφίγγει πυκνότητι· καὶ σθενὸς ἧττον ἑτέρου ῥώμην καὶ εὐτονίαν ἐντίθησιν. ἀλλὰ γὰρ ἀποτειχίσθη τοῖς ὠφελοῦσι τὰ ἡδέα τῆς κενῆς δόξης ἀλείμματα· εἰς ἃ καὶ μυρεψοὶ πονοῦσι, καὶ
B χῶραι μεγάλαι συμπληροῦσι, Συρία, Βαβυλὼν, Ἰνδοὶ, Σκύθαι, παρ' οἷς αἱ τῶν ἀρωμάτων γενέσεις εἰσί. πρός γε μὴν τὸ πίνειν, τίνος ἔδει μᾶλλον, ἢ τοῦ φύσεως ἐκπώματος,* οὐκ ἀκρότητι τέχνης εἰργασμένου. τὸ δὲ ἔκπωμα, αἱ ἡμέτεραι χεῖρές εἰσιν· ἃς εἰς ταὐτό τις συναγαγὼν, καὶ κοιλάνας, ἁρμόσας τῷ στόματι προσαχθεὶς, ἐπιχέοντος ἑτέρου τὸ ποτόν· οὐ μόνον ἄκος τὸ δίψης, ἀλλὰ καὶ ἄλεκτον ἡδονὴν κέκτηται. εἰ δὲ ἔδει πάντως ἑτέρου· τὸ γεωρ-
C γικὸν κισσύβιον οὐχ ἱκανὸν ἦν, ἀλλὰ ἄλλων ἐπιφανῶν τέχνας ἀναζητεῖν ἔδει; τί δὲ ἀργυρῶν καὶ χρυσῶν κυλίκων ἀφθόνων πλῆθος κατασκευάζεσθαι· εἰ μὴ διὰ τὸν φρυαττόμενον μεγάλα τῦφον, καὶ τὴν ἐπ' αἰώρας φορουμένην κενὴν δόξαν· ὅταν δὲ* στεφανῶνταί τινες· ἀξιοῦσι μὴ δάφνης, μηδὲ κιττοῦ, μὴ ἴων, ἢ κρίνων, ἢ ῥόδων, ἢ θαλλοῦ συνόλως ἢ τινος ἄνθους εὐώδη στεφανοῦν,* παρελθόντες τὰ θεοῦ δῶρα ἃ διὰ τῆς ἐτησίου ὥρας ἀναδίδωσι· χρυσοῦ
D δ' ὑπὲρ κεφαλῆς βαρύτατον ἄχθος αἰωροῦσιν, ἐν ἀγορᾷ μέσῃ, καὶ πλήθους χωρὶς αἰδοῦς* ἅ τι νομιστέον, ἢ ὅτι κενῆς δόξης εἰσὶ δοῦλοι, φάσκοντες οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ πολλῶν ἄλλων ἡγεμόνες εἶναι. ἐπιλείψει με ἡ ἡμέρα τὰς διαφορὰς τῶν ἀνθρωπείων βίων διεξιόντα. καίτοι τί δεῖ μακρηγορεῖν; τίς γὰρ αὐτῶν ἀνήκοός ἐστι, τίς δὲ οὐ θεατής; τίς δὲ οὐκ ἐντρίβων καὶ ἐθάς; ὥστε παγκάλως προσθήκην τῆς ἀτυφίας μὲν ἐχθρὸν, τύφου δ' ἑταῖρον ὠνόμασεν ὁ ἱερὸς λόγος. καθάπερ γὰρ τοῖς
E δένδρεσιν ἐπιφύονται βλάσται περιτταί, μεγάλαι τῶν γνησίων λῶβαι, ἃς καθαίρουσι καὶ ἀποτέμνουσι προνοίᾳ τῶν ἀναγκαίων οἱ γεωργοῦντες· οὕτω τῷ ἀληθεῖ καὶ ἀτύφῳ βίῳ παραβέβλαστεν ὁ κατεψευσμένος καὶ τετυφωμένος, οὗ μέχρι ταυτης τῆς ἡμέρας οὐδεὶς εὕρηται γεωργὸς ὃς τὸ βλαβερὸν ἐπίφυμα αὐταῖς ῥίζαις ἀπέκοψε. τοιγαροῦν εἰδότες οἱ φρονήσεως ἀσκηταὶ τὸ καλὰ πλεῖστα τῆς αἰσθητῆς τροφῶν, διανοίᾳ μεταδιώκοντες, αὐτί-

χρις

*οὐκ

*στεφανοῦνται

*ἀναδιδόασιν

*οὐχ ὑπομένουσιν

A ὄρεις ἐκβοῶσι· θηρίον πονηρὸν ἥρπασε καὶ κατέφαγε τὸν Ἰωσήφ. ἀλλ' οὐ θηρίον ἐξηγριωμένον ὤν, ὁ πολυπλοκώτατος τῶν πεφυρμένων ἀνθρώπων τύφῳ βλαστηθεὶς βίος, οὗ πλεονεξία καὶ πανουργία, σοφαὶ δημιουργοί, τοὺς προσιόντας ἅπαντας εὐωχεῖται; τοιγάρτοι καὶ ἔτι ζῶσιν αὐτοῖς, ὡς νεκροῖς, προστεθείσεται πένθος, ἀξίαν ὀλοφύρσεως καὶ θρήνων καρπουμένοις ζωήν· ἐπεὶ καὶ Ἰακὼβ τὸν Ἰωσὴφ ἔτι ζῶντα πενθεῖ. ἀλλ' οὐ Μωῦσῆς ἐάσει τοὺς περὶ Ἀδὰμ ἱεροὺς λόγους πενθεῖσθαι. B οὐ γὰρ ὑπ' ἀγρίου πονηροῦ θηρὸς ἁρπασθέντες, ἀλλ' ὑπὸ ῥιπῆς ἀσβέστου καὶ ἀθανάτου φέγγους ἀνελήφθησαν. ὅτι τὴν ἔνθερμον καὶ διάπυρον καὶ σάρκα ἀναλωτικὴν καὶ ὀξυκίνητον πρός τε εὐσέβειαν σπουδῆς· ἡ γενέσεως μὲν ἐστὶν ἀλλοτρία, θεοῦ δὲ οἰκεία. τὸν μὲν δὴ ὄκνον ἐκποδὼν ἀνελόντες, εὐαγῶς καθιέρωσαν, οὐ δι' *ἀναβασμῶν ἐπὶ τὸν βωμὸν ἐλθόντες (ἀπείρηται γὰρ νόμῳ) ἀλλὰ δεξιῷ πνεύματι *ἀπουρίσαντες, καὶ ἄχρι τῶν οὐρανοῦ περιόδων προπεμφθέντες, C θυσίας ὁλοκαύτου καὶ ὁλοκάρπου τρόπον εἰς αἰθερίους αὐγὰς ἀναλυθέντας. ἀποκοπτέον οὖν, ὦ ψυχὴ πειθαρχοῦσα τῷ διδάσκοντι τὴν σεαυτῆς χεῖρα καὶ δύναμιν ἐπειδὰν ἄρξηται τῶν γεννητικῶν, ἢ γενέσεως, ἢ ἀνθρωπείων σπουδασμάτων ἐπιλαμβάνεσθαι. πολλάκις γὰρ ὑφ' προσαψαμένην τῶν διδύμων χεῖρα ἀποκόπτειν· πρῶτον μέν, ὅτι ἐδεξιώσατο ἣν ἐχθαίρειν ἐχρῆν ἡδονήν· δεύτερον δέ, ὅτι παρ' ἡμᾶς τὸ σπείρειν ἐνόμισεν· D εἶθ' ὅτι τῷ γενομένῳ τὴν τοῦ ποιοῦντος ἀνέθηκε δύναμιν. οὐχ ὁρᾷς, ὅτι ὁ γήϊνος ὄγκος Ἀδάμ, ὅταν ἅψηται τοῦ διδύμου ξύλου, θνήσκει· δυάδα τιμήσας πρὸ μονάδος, καὶ τὸ γενόμενον πρὸ τοῦ πεποιηκότος ἐκθαυμάσας. ἀλλὰ σύ γε τοῦ μὲν καπνοῦ καὶ κύματος ἐκτὸς βαῖνε· καὶ τὰς καταγελάστους τοῦ θνητοῦ βίου σπουδάς, ὡς τὴν φοβερὰν ἐκείνην χάρυβδιν ἀποδίδρασκε, καὶ μηδὲ ἄκρῳ τῷ τοῦ λόγου ποδί, τῷ δακτύλῳ, E ψαύσῃς. ἐπειδὰν δὲ ταῖς ἱεραῖς ἐναποδύσῃ λειτουργίαις· ὅλην τὴν χεῖρα καὶ δύναμιν εὐρύνασα, τὸ μάλα τῶν παιδείας καὶ σοφίας θεωρημάτων ἐπιδέξασθαι. καὶ γὰρ πρόσταξίς ἐστι τοιαύτη· ἐὰν ψυχὴ προσφέρῃ δῶρον ἢ θυσίαν, σεμίδαλις ἔσται τὸ δῶρον. εἶτ' ἐπιφέρει· καὶ δραξάμενος πλήρη τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τῷ ἐλαίῳ, καὶ παντὶ τῷ λιβάνῳ, ἐπιθήσει τὸ μνημόσυνον ἐπὶ τὸ θυσιαστήριον,

*ἀναβαθμῶν

*ἐπουρίσαντες

cogitatione persequentes, plane exclamant: [fera pessima rapuit & deuorauit Ioseph.] Sed nonne bestia exacerbata existens: implicatissima fastu fermentatorum hominum vita pullulans, nonne auaritia & fraus, doctæ opifices, accedentes omnes conuiuio excipit? Proinde etiamnum viuentibus ipsis, tanquam mortuis apponetur luctus, dignam fletu & lamentationibus fruentibus vitam: siquidem & Iacob Ioseph adhuc viuentem luget. Atqui non finet Moses sacros de Adam sermones lugeri: neque enim mala & fera bestia rapti, sed ab ictu inexstincti & immortalis splendoris suscepti fuerunt. Quia calidum & ignitum & carnes consumentem, & celeriter motum ad pietatem studij, quidem à generatione est aliena, Dei autem propria. Sublata igitur è medio cunctatione rite consecrarunt, [non per gradus ad altare ascendentes, (interdictum enim fuit lege) sed dextro numine insilientes, & vsque ad cœli ambitus transmissi, sacrificij holocausti & holocarpi more in æthereos splendores resoluti. Amputanda igitur, ô anima, obtemperans docenti tua ipsius manus & vis, postquam cœpit generantia aut generationem aut humana studia apprehendere. Sæpe enim * verenda tangentem manum abscindere. Primum quidem quia dextram dedit illi quam odisse debebat voluptati. Secundo autem quod præter voluntatem nostram seminare instituit, deinde quod generato vim facientis imposuit. Nonne vides quod terrestris massa Adam, quum geminum lignum tangit, moritur: binarium numerum præferens vnitati, & factum magis admirans quàm facientem. Verum tu ex somno & tempestate exi, & ridicula vitæ humanæ studia, tanquam terribilem illam Charybdin fuge, & neque summo rationis pede, digito, terigeris: Postquam autem sacra officia aggressus fueris: totam manum & vim dilatans, vt scitè disciplinæ & sapientiæ speculationes apprehendas. Præceptum enim tale est: [si anima obtulerit oblationem aut sacrificium, simila erit oblatio.] Deinde subijcit: [Et tollens plenum pugillum similæ cum oleo atque omni thure ponit memoriale super altare.]

Gen. 37.

Exo. 20. F.

* locus corruptus.

Gen. 3.

Leuit. 2.

Nonne perpulchrè animam dixit incorporeum futurum sacrificium, verum non geminam ex mortali & immortali constantem massam? Quod enim votum est, quod gratum, sacrificia inculpata verè referens, vnum solum porro erat, nempe anima. Quodnam igitur animæ immortalis sacrificium? quæ simila purificata disciplinæ præceptis, animi symbolum alimentum salubre, & vitam innocentem efficere idoneæ? Ex qua accipiens sacerdos toto pugillo, hoc est omnibus mentis ansis, plenam totam animam sincerissimis & purissimis dogmatis factam ipsam tanquam victimam pulcherrimam, referre iubetur adipem & nitidam diuino lumine gaudentibus atque à iustitia atque alijs virtutibus tributis respirantem auris tanquam optimi odoris, atque tranquillissimam semper fruatur vitam. Oleum enim & thus, quæ apprehendit cum candentibus carbonibus sacerdos hæc innuunt. Propterea Moses eximium festum appendit manipulo. Etsi non omni sed illi qui erat è terra sancta. [Quum enim, ait, ingressi fueritis terram quam ego do vobis, atque messueritis segetem, feretis manipulos spicarum primitias messis vestræ ad sacerdotem.] Leuit. 23.

Hoc vero est, quando ingressa fueris, ô mens, virtutis regionem, quam conueniens afferre Domino, fertilem, feracem, fructiferam, deinde propria si seminans bona, messueris aucta ab eo qui opportunè fruges producit: non prius domum comportaueris, hoc est, ne appenderis, neque adscripseris tibi ipsi abundantium causam, aut primitias soluere principi diuitiarum, & ei qui opera ad diuitias comparandas exercere suaserit. Dicitur porrò, [Primitias messium nostrûm ipsorum,] sed nequaquam terræ offerre: vt metamus & colligamus nobis ipsis quæcumque bona & alenta & seria germina consecrantes. Verum quidem somniorũ mystes simul & sacrorũ princeps dicit audacter: [quod surrexit ipsius manipulus & erectus est.] Gen. 37. Re ipsa enim quemadmodum equi superbi ceruicẽ sublimem attollentes, tot socij vanæ gloriæ sunt, supra omnes seipsos erigũt, vrbes leges, consuetudines patrias & quascũque res. Postea à populi regimine ad tribunatũ plebis progredientes, & quæ proximorũ sunt reijcientes, propria autẽ erigentes, & solidè attollentes, quos-

A ἆρ' οὐ παγκάλως ψυχὴν εἶπεν ἀσώματον τὴν μέλλουσαν ἱερουργίαν, ἀλλ' οὐ τὸν δίδυμον ἐκ θνητοῦ καὶ ἀθανάτου συνεστῶτα ὄγκον; τὸ γὰρ εὐχόμενον, τὸ εὐχάριστον, τὸ θυσίας ἀμώμους ἀληθῶς ἀνάγον, ἓν μόνον ἦν ἄρα, ἡ ψυχή. τίς οὖν ἡ ψυχῆς ἀσωμάτου θυσία; τίς ἡ σεμίδαλις ἐκκεκαθαρμένη ταῖς παιδείας ὑποθήκαις, γνώμης σύμβολον τροφὴν ὑγιεινὴν καὶ ζωὴν ἀνυπαίτιον ποιεῖν ἱκανῆς· ἀφ' ἧς δραξάμενος ὁ ἱερεὺς ὅλῃ τῇ δρακί, τοῦτ' ἔστι πάσαις ταῖς διανοίας λαβαῖς, πλή- B ρη τὴν ὅλην ψυχὴν εἰλικρινεστάτων καὶ καθαρωτάτων δογμάτων γενομένην αὐτήν, ὡς ἱερεῖον τὸ κάλλιστον, ἀνάγειν προστέτακται πίονα καὶ λιπῶσαν θείῳ φωτὶ χαίρουσαν, καὶ ταῖς ἀπὸ δικαιοσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἀναδιδομέναις καταπνεομένην αὔραις, ὡς εὐωδέστατον καὶ προσηνέστατον ἀεὶ καρποῦσθαι βίον. τὸ γὰρ ἔλαιον καὶ ὁ λιβανωτός, ὧν ἐπιδράττεται σὺν τοῖς λευκοπύροις ὁ ἱερεύς, ταῦτα αἰνίττεται. διὰ τοῦτο καὶ C Μωϋσῆς ἐξαίρετον ἑορτὴν διέθηκε τῷ δράγματι· πλὴν οὐ παντί, ἀλλὰ τῷ ἀπὸ τῆς ἱερᾶς γῆς. ὅταν γάρ φησιν εἰσέλθητε εἰς τὴν γῆν ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς· οἴσετε δράγματα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα. τὸ δέ ἐστιν, ὅταν εἰσέλθῃς, ὦ διάνοια, εἰς τὴν ἀρετῆς χώραν, ἣν ἐμπρεπὲς μόνῳ δωρεῖσθαι θεῷ, τὴν εὔβοτον, τὴν εὔγειον, τὴν καρποφόρον, εἶτα οἰκεῖα ἐπὶ γῆν σπείρας ἀγαθά, θερίζῃς αὐξηθέντα ὑπὸ τοῦ τελεσφό- D ρου· μὴ πρότερον οἴκαδε συγκομίσῃς, τουτέστι, μὴ ἀναθῇς, μηδ' ἐπιγράψῃς σεαυτῷ τὴν τῶν περιγινομένων αἰτίαν, ἢ ἀπάρξασθαι τῷ πλουτάρχῳ καὶ τὰ πλουτιστήρια ἔργα ἐπιτηδεύειν ἀναπείθοντι. καὶ λέγεται τὴν ἀπαρχὴν τοῦ θερισμοῦ ἡμῶν αὐτῶν, ἀλλ' οὐχὶ τῆς γῆς προσφέρειν· ἵνα ἀμῶμεν καὶ θερίζωμεν ἑαυτοῖς πάνθ' ὅσα καλὰ καὶ ἐδώδιμα καὶ σπουδαῖα βλαστήματα καθιεροῦντες. ἀλλ' ὅγε τῶν ἐνυπνίων μύστης ἐμοῦ E καὶ μυσταγωγὸς θαρσεῖ λέγειν· ὅτι ἀνέστη τὸ αὐτοῦ δρᾶγμα καὶ ὠρθώθη. τῷ γὰρ ὄντι καθάπερ οἱ γαῦροι τῶν ἵππων τὸν αὐχένα μετέωρον ἐξαράμενοι, ὅσοι θιασῶται τῆς κενῆς δόξης εἰσίν, ἐπάνω πάντων ἑαυτοὺς ἱδρύουσι, πόλεων, νόμων, ἐθῶν, πατρίων, τῶν παρ' ἑκάστοις πραγμάτων. εἶτα ἀπὸ δημαγωγίας ἐπὶ δημαρχίαν βαδίζοντες καὶ τὰ μὲν τῶν πλησίον καταβάλλοντες, τὰ δ' οἰκεῖα διανιστάντες καὶ παχέως ὀρθοῦντες,

ὅσα ἐλεύθερα καὶ ἀδούλωτα φύσει φρονήματα, καὶ ταῦθ' ὑπάγεσθαι μηχανῶνται. διὸ προστίθησι· περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν, προσεκύνησεν τὸ ἐμὸν δράγμα. τέθηπε γὰρ ὁ μὲν αἰδοῦς ἐραστὴς τὸν σκληροτράχηλον, ὁ δὲ εὐλαβὴς τὸν αὐθάδη, ὁ δὲ ὁσιότητα τιμῶν τὸν ἑαυτοῦ τε καὶ ἄλλοις ἀνόσιον. καὶ μή ποτ' εἰκότως; ἅτε γὰρ θεωρὸς ὢν οὐ μόνον τοῦ ἀνθρωπείου βίου, ἀλλὰ καὶ τῶν ἐν κόσμῳ συμπάντων ὁ ἀστεῖος, οἶδεν ὅσον εἴωθε πνεῖν ἀνάγκη, τύχη, καιρός, βία, δυναστεία, καὶ ὅσας ὑποθέσεις καὶ ἡλίκας εὐπραγίας ἀπνευστὶ δραμούσας ἄχρις οὐρανοῦ κατέσεισεν καὶ κατέρραξεν. ὥστε ἀναγκαίως εὐλάβειαν * ἐπαποδύσεται, τοῦ μηδὲν ἐξ ἐπιδρομῆς δεινὸν παθεῖν, συγγενὲς φυλακτήριον. ὃ γὰρ οἶμαι πρὸς πόλιν τεῖχος, τοῦτ' εὐλάβεια πρὸς ἕκαστον. ἆρ' οὖν οὐ παραπαίουσι καὶ μεμήνασιν, ὅσοι παρρησίαν ἄπειρον σπουδάζουσιν ἐπιδείκνυσθαι βασιλεῦσι καὶ τυράννοις; ἔστιν ὅτε λέγειν τε καὶ ποιεῖν ἐναντία τολμῶντες οὐκ αἰσθάνονται· ὅτι οὐ τοὺς αὐχένας μόνον, ὥσπερ τὰ θρέμματα, ὑπεζεύχθησαν, ἀλλ' ὅλα τὰ σώματα καὶ τὰς ψυχάς, γυναῖκάς τε καὶ τέκνα, καὶ γονεῖς, καὶ τὴν ἄλλων ἑτέρων συγγενῶν πολυάνθρωπον οἰκειότητα καὶ κοινωνίαν ἐκδέδονται. καὶ ἔξεστι τῷ ἡνιόχῳ καὶ ἐπ' ὤμων μετὰ πάσης εὐμαρείας κεντεῖν, ἐλαύνειν, ἐπέχειν, ἀναχαιτίζειν, ἅττ' ἂν ἐθελήσῃ μικρὰ καὶ μείζω διαπηνίσαι. τοιγαροῦν στιζόμενοι, καὶ μαστιγούμενοι, καὶ ἀκρωτηριαζόμενοι, καὶ ὅσα πρὸ τοῦ θανάτου χαλεπὰ πάντα ὠμῶς, καὶ ἀνηλεῶς ἀθρόα ὑπομένοντες, ἀπαχθέντες ἐπὶ πᾶσι θνήσκουσι. ταῦτ' ἐπὶ τῆς ἀκαίρου παρρησίας τὰ ἐπίχειρα, οὐ παρρησίας, παρά γε εὖ φρονοῦσι κριταῖς, ἀλλ' εὐηθείας καὶ φρενοβλαβείας καὶ μελαγχολίας ἀνιάτου γέμοντα. τί λέγεις; χειμῶνά τις ὁρῶν ἀκμάζοντα, καὶ βαρὺ πνεῦμα ἐναντίον, καὶ λαίλαπα καταιγίζουσαν, καὶ κυματούμενον πέλαγος, ὁρμίζεσθαι δέον ἐξορμίζεσθαι, καὶ ἐξανάγεται τις ἢ κυβερνήτης ἢ ναύκληρος· οὕτω ποτὲ ἐμεθύσθη καὶ παρεφρόνησεν· ἵνα ἴσων εἴπω κελασκηψάντων [illegible] ἡ γύσῃ πλεῖν,* ὑπέραντλος ἄνωθεν ἐπιχυθείσης τῆς θαλάσσης ἡ ναῦς γινομένη, πλωτῆρσιν αὐτοῖς ἐν

ἐπαποδύσεται *

ὲ Locus corruptissimus.

A cumque liberos & seruitutis impatientissimos natura sensus, etiam in potestatem suam redigere moliuntur. Idcirco adijcit: [Conuersi autem manipuli vestri, adorarunt meum manipulum.] Ibid. stupuit enim pudoris amator eum qui est rigidæ ceruicis, verecundus autem arrogantem, sanctitatem autem in pretio habens sibi & alijs profanam. nunquam ne meritò? quæ enim contemplator existens non solum vitæ humanæ, verum etiam omnium B in vniuersum quæ in mundo vrbanus, nouit quantum spirare soleat necessitas, fortuna, occasio, violentia, potentia, & suppositiones & quantos successus vno spiritu in cœlum vsque procurrentes concusserunt & ad terram dederunt. adeò vt necessariò cautionem pro scuto habiturus sit, nihil primo impetu graue ferre, cognatum præsidium. Quod enim, puto, in vrbe est murus, hoc cautio in vnoquoque. C Nónne igitur desipiunt & insaniunt, quicumque immensam libertatem student demonstrare regibus & tyrannis? est quum multa ipsis imprudentibus & non sentientibus tum dicere tum facere audere contingit: quod non solum ceruices, quemadmodum oues, sub iugum miserunt, sed etiam integra corpora & animas, vxores, liberos, & parentes, atque aliorum amicorum cognatorum hominum frequentiam & familiaritatem & communio- D nem suspenderunt. Atque licet aurigæ & super humero cum omni facilitate stimulare, incitare, inhibere, iubas apprehendere, provt libitum fuerit longiora aut breuiora componere. Itaque puncti & loris cæsi, & per extremitates amputati, & quæcumque ante mortem dura omnia crudeliter & immisericorditer congesta sustinentes ad supplicium ab omnibus rapti moriuntur. Hæc pro intempestiua libertate cona- E mina, non sane libertatis apud bene sentientes iudices, sed simplicitatis & dementiæ & insaniæ immedicabilis plena. Quid dicis? tempestatem quis videns feruentem, & ventum grauem aduersum, & procellam commotam & æstuans mare, portum occupare quum oporteat è portu soluere, è nauibus digreditur quis aut gubernator aut nauiculator: ita aliquando inebriatur & debacchatur: vt dixi volentibus nauigare *, inexhaustus desuper affuso mari nauis facta, nauigantibus ipsis

absorbeatur; volenti enim tutò nauigare, serenum ventum, secundum & tranquillum exspectare licet. Quid verò vrsum aut leonem cum tractu irruentem videns non demulcere aut sicurare quum debeat, contrà irritat & exacerbat: vti escam & epulum crudiuoris absque vlla miseratione seipsum apparet? si non & phalangijs & aspidibus Ægyptijs, & alijs quæcumque lethale venenum habent, nulli vtile resistere. mortem indeprecabilem semel morsis adferunt. Iucundum enim, incantantes & mansuefacientes, ab ipsis nihil damni pati. Porrò nónne sunt homines nonnulli suibus, phalangijs, aspidibus feriores & magis insidiosi? quorum insidiæ atque hostilitas difficilè nisi palpis & lenimentis vtentibus, exuuntur. Itaque sapiens Abraham filios Chet (exponuntur autem admirantes) adorabat, occasionibus faciendi sollicitantibus. Æstimans enim ex natura & genere & consuetudine inimicos intellectus, animæ institutum, disciplinam admirantes, dissecantes miserè expendunt. [Ad adorandum venit:] verum præsentem ipsorum potentiam & vim inexpugnabilem timens & vitans erubescere magnam & certam possessionem & certamen virtutis sapientium animarum optimum hospitium duplex antrum, quod pugnantem & bellum gerentem non oportebat, propugnantem autem & curantem ratione ferri. Quid verò nónne & nos, quum in foro versamur, solemus stupere principes, stupere etiam iumenta: sed contraria ratione, nequaquam eadem. Principes enim, quia sunt in honore, iumenta autem propter metum, & ne quid noui contra nos tentent. Tum verò offerentibus se occasionibus impetum facientes inimicorum vim bonum est euertere: non autem committentibus tutum quiescere. Volentibus autem vtilitatem ex ipsis inuenire: conueniens sicurare. Propterea & nunc laude digni sunt non cedentes vanæ gloriæ præfecto, verum resistentes ac dicentes: [Non regnans regnabis super nos;] nondum enim habentem ipsum vident, non tanquam flammam accensam & splendentem in densa sylua depascentem, sed adhuc tanquam scintillam ludibrio habitam & somniantem gloriam, non

Gen. 23. (ad: mentis vtentibus, exuuntur. Itaque sapiens Abraham)

Ibid. (ad: [Ad adorandum venit:])

Gen. 37. (ad: sicurare. Propterea)

A ταποθῇ; τῷ γὰρ βουλομένῳ πλεῖν ἀκινδύνως, εὔδιον πνεῦμα οὔριόν τι καὶ λεῖον ἀναμένειν ἔξεστιν. τί δὲ ἄρκτον τις * ἢ λέοντα μετὰ συρμοῦ θρασυνόμενος ἐπιόντα προσσαίνειν καὶ τιθασεύειν δέον, ἐξαγριαίνει καὶ ἀνερεθίζει, ὅπως θοίνην καὶ εὐωχίαν ὠμοβόροις ἀνηλεεστάτην εὐτρεπίσῃ ἑαυτόν; Εἰ μὴ καὶ φαλαγγίοις καὶ ἀσπίσι ταῖς Αἰγυπτίαις, καὶ τοῖς ἄλλοις ὅσα τὸν φθοροποιὸν ἰὸν *, οὐδενὶ λυσιτελὲς ἀνθίστασθαι· θάνατον ἀπαραίτητον τοῖς ἅπαξ
B δηχθεῖσιν ἀπάγουσιν. ἀγαπητὸν γὰρ, κατεπᾴδοντας καὶ χειροήθη ποιοῦντας, μηδὲν ἀπ' αὐτῶν δεινὸν παθεῖν. Εἶτ' οὐκ εἰσὶν ἄνθρωποί τινες, συῶν, φαλαγγίων, ἀσπίδων ἀγριώτεροι καὶ ἐπιβουλότεροι; ὧν τὸ ἐπίβουλον καὶ δυσμενὲς ἀμήχανον ἑτέρως ἢ θεραπείαις καὶ μειλίγμασι χρωμένους ἐκδῦναι. τοιγάρτοι ὁ σοφὸς Ἀβραὰμ τοὺς υἱοὺς τοῦ Χὲτ (ἑρμηνεύονται δὲ ἐξιστάντες) προσκυνήσει, τὸν καιρὸν
C τοῦ δρᾶν ἀναπειθόντων. ὁ γὰρ πρῶτόν γε τοὺς ἐκ φύσεως καὶ γένους καὶ ἔθους ἐχθροὺς λογισμοῦ, οἳ τὸ τῆς ψυχῆς νόμισμα, παιδείαν, ἐξιστάντες καὶ κατακερματίζοντες, οἰκτρῶς ἀναλίσκουσιν, ἐπὶ τὸ προσκυνεῖν ἦλθεν· ἀλλὰ τὸ παρὸν κράτος αὐτῶν καὶ τέως δυσάλωτον ἰσχὺν δεδιὼς, καὶ φυλαττόμενος * ἐρυθριάζειν, μέγα καὶ ἐχυρὸν κτῆμα καὶ ἀγώνισμα ἀρετῆς σοφῶν ψυχῶν ἄριστον ἐνδιαίτημα τὸ διπλοῦν σπήλαιον, ὃ μαχομένους μὲν καὶ πο-
D λεμοῦντας οὐκ ἐχρῆν, ὑπερμαχομένους δὲ καὶ θεραπεύοντας τῷ λόγῳ κομίζεσθαι. τί δὲ, οὐχὶ καὶ ἡμεῖς, ὅταν ἐν ἀγορᾷ διατρίβωμεν, εἰώθαμεν ἐξίστασθαι μὲν τοῖς ἄρχουσιν, ἐξίστασθαι δὲ καὶ τοῖς ὑποζυγίοις· ἀλλ' ἀπ' ἐναντίας γνώμης καὶ οὐχὶ τῆς αὐτῆς. τοῖς μὲν γὰρ ἄρχουσιν, ἐν τιμῇ, τοῖς δὲ ὑποζυγίοις διὰ φόβον, τοῦ μηδὲν ἀπ' αὐτῶν εἰς ἡμᾶς νεωτερισθῆναι. καὶ διδόντων μὲν τῶν καιρῶν, ἐπιτηδείους τὴν
E τῶν ἐχθρῶν βίαν καλὸν καταλῦσαι· μὴ ἐπιτρεπόντων δὲ, ἀσφαλὲς ἡσυχάσαι. βουλομένοις δὲ τὴν ὠφέλειαν εὑρίσκεσθαι παρ' αὐτῶν· ἁρμόττον θεραπεῦσαι. διὸ καὶ νῦν ἄξιον ἐπαινεῖν τοὺς μὴ ὑποχωροῦντας ὡς τῆς κενῆς προστάτῃ δόξης, ἀλλ' ἀνθισταμένους καὶ λέγοντας· μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμῖν. οὔπω γὰρ ἔχοντα ὁρῶσιν αὐτὸν, οὐχ ὡς φλόγα ἡμμένην τε καὶ λάμπουσαν ἐν ἀφθόνῳ ὕλῃ νεμομένην, ἀλλ' ἔτι ὡς σπινθῆρα ἐντυφόμενον ὀνειρώττοντα δόξαν,

ἀφοὶ (ad: ἄρκτον τις *)

ἔχον (ad: ἰὸν *)

Locus corruptus.

οὐκ ἐναργῶς ἤδη μετιόντα. χρηστὰς γὰρ ἐλπίδας ὑποβάλλουσιν ἑαυτοῖς, ὡς εἰ καὶ μὴ ἀλῶναι δυνησόμενοι. παρὸ λέγουσι· μὴ ἐφ' ἡμῖν βασιλεύσεις· ἴσον, τῶν ζώντων ὄντων, ἰσχυόντων, ἐμπνεόντων ἡμῶν, οἴει δυναστεύσειν; ἀσθενησάντων μὲν γὰρ ἴσως ἐπικρατήσεις, ἐρρωμένων δὲ ἐν ὑπηκόου μοίρᾳ τετάξῃ. καὶ πέφυκεν οὕτως ἔχειν· ἐπειδὰν μὲν γὰρ ἐν διανοίᾳ ὀρθὸς ἰσχύῃ λόγος, ἡ κενὴ καταλύεται δόξα, ῥώννυται δὲ ἀσθενήσαντος. ἕως οὖν ἔτι σώαν ἔχει τὴν ἑαυτῆς δύναμιν ἡ ψυχή, καὶ μηδὲν αὐτῆς μέρος ἠκρωτηρίασται, θαρρείτω βάλλειν καὶ τοξεύειν τὸν ἐξαντιούμενον τῦφον, καὶ ἐλευθεροστομείτω, φάσκουσα· οὔτε βασιλεύσεις, οὔτε κυριεύσεις, οὔτε ἡμῶν, οὔτε ἐφ' ἡμῶν ἑτέρων· ἀλλὰ σοῦ τὰς ἐπιθυμασάσεις καὶ τὰς ἀπειλὰς ἐφόδῳ μιᾷ καταδραμούμεθα σὺν τοῖς δορυφόροις καὶ ὑπερασπισταῖς φρονήσεως ἐγγόνοις. ἐφ' ὧν λέγεται· ὅτι προσέθεντο μισεῖν αὐτὸν ἕνεκα τῶν ἐνυπνίων αὐτοῦ, καὶ ἕνεκα τῶν ῥημάτων αὐτοῦ. ἀλλ' οὐ ῥήματα μὲν καὶ ἐνύπνια πάνθ' ὅσα ὁ τῦφος ἂν εἰδωλοποιῇ, πράγματα δὲ καὶ σαφεῖς ἐνέργειαι, τὰ ὅσα ἐπ' ὀρθὸν βίον καὶ λόγον ἀναφέρεται; καὶ τὰ μὲν μίσους, ἅτε καταψευδόμενα· τὰ δὲ φιλίας, ἅτε ἀληθείας τῆς ἐπεράστου γέμοντα ἐπάξια. μηδεὶς οὖν ἔτι κατηγορεῖν ἐπιτολμάτω τῶν τοσούτων τὰς ἀρετὰς ἀνδρῶν, ὡς μισανθρώπου καὶ μισαδέλφου δεῖγμα ἤθους ἐκφερόντων· ἀλλὰ μαθών, ὅτι οὐκ ἄνθρωπος ὁ νῦν ἐπικρινόμενός ἐστιν ἀλλὰ τῶν ἐν ἑκάστου τῇ ψυχῇ τρόπος ὁ δοξομανὴς καὶ φιλότυφος· ἀποδεχέσθω τοὺς ἄσπονδον ἔχθραν καὶ μῖσος ἀκατάλλακτον πρὸς αὐτὸν * ἐρρωμένους· καὶ μηδέποτε τὸν στυγηθέντα πρὸς ἐκείνων στερξάτω. γνοὺς ἀκριβῶς, ὅτι οἱ τοσοῦτοι δικασταὶ γνώμης οὐκ ἄν ποτε ἐσφάλησαν ὑγιοῦς, ἀλλὰ μαθόντες καὶ παιδευθέντες ἐξ ἀρχῆς τὸν ὄντως βασιλέα τὸν κύριον προσκυνεῖν τε καὶ τιμᾶν· ἀγανακτοῦσιν, εἴ τις τὴν θεοῦ τιμὴν νοσφίζεται; καὶ τοὺς οἰκέτας αὐτοῦ μετακαλεῖ πρὸς τὴν ἰδίαν θεραπείαν. διὸ θαρροῦντες ἐροῦσι· μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμῖν; ἢ ἀγνοεῖς, ὅτι οὐκ ἐσμὲν αὐτόνομοι, ἀλλ' ὑπ' ἀθανάτου βασιλέως τοῦ μόνου θεοῦ βασιλευόμεθα; τί δὲ κυριεύων κυριεύσεις ἡμῶν; μὴ γὰρ οὐ δεσποζόμεθα, καὶ ἔχομέν τε καὶ ἕξομεν εἰς

Locus corruptus.

manifestè ambientem. bellas enim exspectationes sibi ipsis suggerunt, tanquam si expugnari nunquam possint: præterquam quod dicunt, [non regnabis super nos.] perinde atque, Viuentibus, valentibus spirantibus nobis, putas te dominaturum? Infirmioribus autem factis nobis quidem fortasse rerum potieris, porrò conualescentibus in subditi conditione constitueris. Et ita euenit. Postquam quidem enim in mente recta ratio præualuit: vana illico dissoluitur gloria, corroboratur autem cum infirmatur. donec integram habet suam ipsius vim anima, neque vlla ipsius pars amputata est, incessat audacter & iaculetur contra aduersantem fastum, & libero ore loquatur, dicens: neque regnabis, neque dominaberis, neque nostri neque supra nos alios, verum tuos insultus & minas vna inuasione incursabimus cum hastatis & propugnatoribus prudentiæ posteris. super quibus dicitur: [Et adiecerunt odisse ipsum propter somnia ipsius propter verba ipsius.] Gen. 37. Sed non verba quidem & somnia quæcumque fastus simulacra finxerit: res autem ipsæ & certi effectus, quæ ad rectam vitam & rationem referuntur? & odij quidem quæ falsa sunt amicitiæ autem, & veritatis amantis plena digna. Nequis igitur amplius culpare audeat tantorum virtutes virorum, tanquam hominum & fratris osoris exemplum moris proferentium: sed intelligens, quod non homo qui nunc adiudicatus est, verum eorum quæ in cuiusque anima modus insaniens amore gloriæ & fastum amans: admittat eos qui inimicitiam & odium irreconciliabile aduersus ipsum validos: neque vnquam eum qui odio habitus fuerit ab illis, amet. Quum exactè norit, tantos iudices à sana sententia nunquam aberrasse, verum doctos & instructos ab initio verè regem & Dominum adorare, & honorare: indignantur, si quis Dei honorem defraudat, & domesticos ipsius aduocat ad priuatum ministerium. Propterea audacter dicent: [Non regnans regnabis super nos,] Ibid. an ignoras, quod non vtimur nostris legibus, verum ab immortali rege solo Deo regimur? quid verò dominans dominaberis nobis? nónne enim sub dominatione sumus, & habemus

& habebimus in sempiternum eundem Dominum? cui seruientes, non minus lætamur quam quiuis alius de libertate. Est enim seruire Deo omnium optimum, quantum in rerum natura in honore habetur. Optarem igitur & ipse posse decretis ab istis firmiter immorari. spectatores enim & exploratores diligentes rerum, non corporum sunt accurati, iusti, omne æuum sobriè viuentes, vt nulla re amplius quæ inescare consueuit, decipiantur. Ebrius sum & ego adhuc, & in magna incertitudine versor, & baculis & deducentibus. quemadmodum cæci, opus habeo. Annitenti enim contingat fortasse neque impingere neque labascere. Si qui verò sibi inconsiderantiæ & temeritatis conscij non student eos qui indagarint quæ oportet omnia diligenter & circumspectius sequi, ignorantes viam scientibus: sciant quod irremeabilibus barathris traiectis, neque postea superuenientes progredi poterunt. Ego verò illis vbi paululum de ebrietate remisero, adeo sum fœdifragus: vt eundem inimicum & amicum esse existimem. Nunc verò nihilo secius somniatorem, quod quidem sane illi, proijciam atque odio prosequar. Neque vllus bene sentiens de his queratur pluribus sententijs & suffragijs semper vincere. Postquam autem in meliorem vitæ statum mutatus fuerit neque amplius somniauerit, neque vanis vane opinantium imaginationibus contorquens se se vexatus fuerit, neque noctem & tenebras & incertarum rerum & qui nulla coniectura deprehendi possunt casus somniauerit. Vbi autem ex profundo somno resurrexerit, semper vigilet euidentiam ante obscuritatem, & ante mendacij susceptionem veritatem, & ante noctem diem, & lucem ante tenebras recipiat, & mulierem quidem Ægyptii corporis voluptatem ad ipsum accedere, atque colloquio ipsius frui adhortantem auersetur propter continentiæ desiderium & pietatis ineffabilem æmulationem: à quibus autem placuit alienari cognatis & patrijs bonis, curabit. Porrò partem sibi contingentem æquum censens recuperare: & ad meliora paulatim rediens, tanquam in fastigio suæ ipsius vitæ & finis erectus exclamet qui patitur, accurate nouit

Gen. 39.

A τὸν ἀεὶ χρόνον τὸν αὐτὸν κύριον; ᾧ δουλεύοντες, οὕτω γεγήθαμεν, ὡς οὐδεὶς ἕτερος ἐπ᾽ ἐλευθερίᾳ. καὶ γάρ ἐστι τὸ δουλεύειν θεῷ πάντων ἄριστον, ὅσα ἐν γενέσει τετίμηται. εὐξαίμην δ᾽ ἂν οὕτω καὶ αὐτὸς δυνηθῆναι τοῖς γνωσθεῖσιν ὑπὸ τούτων ἐμμεῖναι βεβαίως. ὀπτῆρες γὰρ καὶ κατάσκοποι καὶ ἔφοροι πραγμάτων, οὐ σωμάτων εἰσίν, ἀκριβεῖς, δίκαιοι, πάντα νήφοντες τὸν αἰῶνα, ὡς ὑπὸ μηδενὸς ἔτι τῶν εἰωθότων δελεάζειν ἀπατᾶσθαι. B μεθύω δὲ ἄχρι νῦν ἐγώ, καὶ ἀσαφίᾳ πολλῇ κέχρημαι, καὶ βακτηρίων καὶ τῶν ποδηγετησόντων, ὥσπερ οἱ τυφλοί, δέομαι. σκηριπτόμενος γὰρ ἐγχωροῖτ᾽ ἂν ἴσως, μήτε προσπταίειν μήτε ὀλισθαίνειν. εἰ δέ τινες ἀνεξετάστους καὶ ἀπερισκέπτους εἰδότες ἑαυτοὺς οὐ σπουδάζουσι τοῖς ἐξητακόσιν ἃ χρὴ πάντα ἀκριβῶς καὶ περιεσκεμμένως ἀκολουθεῖν, ἀγνοοῦντες τὴν ὁδὸν * ἐπισταμένοις· C ἴστωσαν ὅτι δυσαναπορεύτοις βαράθροις περιτραπέντες, οὐδ᾽ ἐπιγινόμενοι προσελθεῖν ἔτι δυνήσονται. ἐγὼ δὲ ἐκείνοις, ὅταν μικρὸν ἀνεθῶ τῆς μέθης, οὕτως εἰμὶ ἔκσπονδος· ὡς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον εἶναι νομίζειν. καὶ νῦν οὐδὲν ἧττον τὸν ἐνυπνιαστήν, ὅτι γε κἀκεῖνοι, προβαλοῦμαι καὶ συγχήσω. καὶ οὐδεὶς εὖ φρονῶν ἐπὶ τούτῳ μέμψαιτ᾽ ἂν μετὰ τὰς πλείους γνώμας τε καὶ ψήφους ἀεὶ νικᾶν. ἐπειδὰν δὲ πρὸς ἀ- D μείνω βίον μεταβάλῃ, καὶ μηκέτ᾽ ἐνυπνιάζηται, μηδὲ ταῖς κεναῖς τῶν κενοδόξων φαντασίαις εἱλυσπώμενος κακοπαθῇ, μηδὲ νύκτα καὶ σκότος καὶ πραγμάτων ἀδήλων καὶ ἀτεκμάρτων συντυχίας ὀνειροπολῇ· προσδιαναστὰς δὲ ἐκ τοῦ βαθέος ὕπνου, διατελῇ μὲν ἐγρηγορώς, ἐνάργειαν δὲ πρὸ ἀσαφείας, καὶ πρὸ ψευδοῦς ὑπολήψεως ἀλήθειαν, καὶ πρὸ νυκτὸς ἡμέραν, καὶ φῶς πρὸ σκότους ἀποδέχηται, καὶ τὴν μὲν γυναῖκα τοῦ Αἰγυπτίου E σώματος ἡδονὴν εἰς αὐτὸν εἰσελθεῖν, καὶ τῆς ὁμιλίας αὐτῆς ἀπολαῦσαι παρακαλοῦσαν, ἀποστρέφηται διὰ πόθον ἐγκρατείας καὶ ζῆλον εὐσεβείας ἄλεκτον· ὧν δὲ ἔδοξεν ἀλλοτριωθῆναι συγγενικῶν καὶ πατρῴων ἀγαθῶν, * μεταποιήσαι, πάλιν τὸ ἐπιβάλλον ἑαυτῷ μέρος δικαιῶν ἀνακτᾶσθαι· καὶ τοῖς κατὰ μικρὸν ἐπιδιδοὺς βελτιώσεσιν, ὡς ἐπὶ κορυφῆς τοῦ ἑαυτοῦ βίου καὶ τέλους ἱδρυθεὶς ἀναφθέγξηται ὁ παθών,

Locus corruptus.

μεταποιήσαι

ἀκριβῶς ἔμαθεν ὅτι τοῦ θεοῦ ἐστιν, ἀλλ' οὐδενὸς ἔτι τῶν εἰς γένεσιν ἡκόντων αἰσθητοῦ τὸ παράπαν· οἱ μὲν ἀδελφοὶ καταλλακτηρίους ποιήσονται συμβάσεις, τὸ μῖσος εἰς φιλίαν καὶ τὸ κακὸν εἰς εὔνοιαν μεταβαλόντες. ἐγὼ δὲ ὁ τούτων ὀπαδός, πείθεσθαι γὰρ ὡς δεσπόταις οἰκέτης ἔμαθον, ἐπαινῶν οὐκ ἐπιλείψω τῆς μετανοίας ἐκεῖνον. εἴ γε καὶ Μωσῆς ὁ ἱεροφάντης ἀξιέραστον καὶ ἀξιομνημόνευτον οὖσαν αὐτοῦ τὴν μετάνοιαν, ἐκ φθορᾶς ἀνασώζει διὰ συμβόλου τῶν ὀστῶν, ἃ κατορωρύχθαι μέχρι τοῦ παντὸς οὐκ ᾤετο δεῖν ἐν Αἰγύπτῳ· παγχάλεπον ἡγούμενος, εἴ τι ἐπήνθησεν ἡ ψυχὴ καλόν, τοῦτ' ἐᾶσαι μαρανθῆναι, καὶ κατακλυσθὲν ἀφανισθῆναι πλημμύραις, ἃς ὁ τῶν παθῶν Αἰγύπτιος ποταμός, τὸ σῶμα, διὰ πασῶν τῶν αἰσθήσεων ῥέον ἐνδελεχῶς ἐκδίδωσιν. ἡ μὲν οὖν ἀπὸ τῶν πραγμάτων φανεῖσα ὄψις ἀπὸ γῆς καὶ διάκρισις εἴρηται. τὴν δὲ ἑτέραν καιρὸς ἤδη σκοπεῖν, καὶ ὡς ὀνειροκριτικὴ τέχνη διαστέλλεται. εἶδεν οὖν, φησίν, ἐνύπνιον ἕτερον, καὶ διηγήσατο τῷ πατρί, καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν· ὥσπερ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. καὶ ἐπετίμησεν αὐτῷ ὁ πατήρ, καὶ εἶπε· τί τὸ ἐνύπνιον ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου, προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν. ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοί· ὁ δὲ πατὴρ διετήρησε τὸ ῥῆμα. φασὶ τοίνυν οἱ μετεωρολογικοί, τὸν ζῳδιακὸν κύκλον, μέγιστον ὄντα τῶν κατ' οὐρανόν, δυοκαίδεκα ζῳδίων, ἀφ' ὧν καὶ τὴν ἐπωνυμίαν ἔχει, κατηστερίσθαι· ἥλιον δὲ καὶ σελήνην ἀεὶ περὶ αὐτὸν εἱλουμένους ἕκαστον διεξέρχεσθαι τῶν ζῳδίων, οὐκ ἰσοταχεῖς, ἀλλ' ἐναρίθμοις καὶ χρόνοις ἀνίσοις· τὸν μέν, ἐν ἡμέραις τριάκοντα, τὴν δέ, δωδεκατημορίῳ τούτων μάλιστα, ὅπερ ἡμερῶν δυεῖν καὶ ἡμισείας ἐστίν. ἔδοξεν οὖν ὁ τὴν θεόπεμπτον φαντασίαν ἰδών, ὑπ' ἀστέρων ἕνδεκα προσκυνεῖσθαι· δωδέκατον συντάττων ἑαυτὸν εἰς τὴν τοῦ ζῳδιακοῦ συμπλήρωσιν κύκλου. μέμνηται δὲ καὶ πρότερόν τινος ἀκούσας ἀνδρός, οὐκ ἀμελῶς οὐδὲ ῥαθύμως τοῖς μαθήμασι προσενεχθέντος· ὅτι οὐκ ἄνθρωποι μόνοι δοξομανοῦσιν, ἀλλὰ καὶ οἱ ἀστέρες· καὶ περὶ πρωτείων ἁμιλλώμενοι, δικαιοῦσιν οἱ μείζους ἀεὶ πρὸς τῶν ἐλαττόνων δορυφορεῖσθαι. ταῦτα μὲν οὖν ὅπως ἂν ἀληθείας ἢ εἰκαιολογίας ἔχῃ;

A quod Dei est, verum nullius amplius quod sub generationem cadunt sensibilis omnino: fratres quidem conciliatorias conditiones proponent, odium in amicitiam & malum in beneuolentiam mutantes. Ego autem istorum assectator, morem gerere enim tanquam heris famulus didici laudare non prætermittam illum, ob pœnitentiam. Siquidem Moses sacrorum antistes amore & commemoratione dignam existentem ipsius pœnitentiam, ab interitu conseruat per Exod. 13.
B symbolum ossium quæ defodi omnino oportere existimauit in Ægypto præclarum ducens, si quid ex anima pulchri effloruisset, sinere illud marcescere, & obrutum maris æstibus aboleri, quas patiens Ægyptius fluuius, corpus per omnes sensus fluens continenter profert. A rebus igitur apparens visio terrena & dijudicatio dicta sunt. Alteram autem tempus iam perpendere & quomodo ars interpretandi somnia explicatur. [Vidit igitur Gen. 37.
C inquit, aliud somnium, & enarrauit patri, & dixit: quemadmodum sol & luna & vndecim stellæ adorauerunt me. Et succensuit illi pater, & dixit: quodnam somnium est hoc quod somniasti? Num vero venientes veniemus ego & mater tua, & fratres tui adorare te super terram? Inuiderunt autem ipsi fratres ipsius. Pater autem obseruauit verbum.] Aiunt ergo rerum sublimium contemplatores, Zodiacum circulum qui maximus est eorum qui in cœlo
D duodecim signorum, à quibus denominationem habuit, fixum esse: solem autem & lunam semper circa ipsum voluentes vnumquodque percurrere signorum, non eadem celeritate sed numero, & inæqualibus temporibus: hunc quidem triginta dierum spatio, illam vero duodecima parte horum maximè, quod duorum dierum & medij est. Visus est igitur diuinitus missam visionem videns, ab vndecim stellis adorari: duodecimum se ipsum componens ad Zodiaci circuli com-
E plementum. Meminit autem prius se à quodam viro audiuisse, non negligenter neque segniter in disciplinis versato: quod non soli homines gloriæ cupiditate insaniunt, verumetiam stellæ: & ac de primatu certantes, æquum censent maiores semper à minoribus satellitio stipari. hęc quidē igitur vt habeant quid veritatis aut vaniloquentiæ;

accipitribus consideranda relinquere oportet. nos verò dicimus, quod qui studij immensi & vincendi desiderij irrationalis & vanæ gloriæ amator, semper amentia inflatus, non solum super homines, verum etiam existentium naturam vult eminere. Et existimare quidem sui ipsius gratia omnia facta: necesse autem esse vnumquemque tributum ipsi tanquam regi pendere terram, aquam, aërem, cœlum. ac tanto stultitiæ excessu vtitur: vt non valeat capere quod etiam puer desipiens mente caperet quod artifex neque vnus partis gratia vnquam totum, verum totius gratia partem format. Pars verò omnis, homo. adeo vt factus sit ad complementum mundi, merito igitur ipse ad consummationem illius conferat. Vesaniæ autem adeo pleni sunt quidam vti indignentur, si mundus voluntates ipsorum non sequatur. Propterea Xerxes quidem volens inimicos terrere, magnificentiæ demonstrationem fecit, noua in natura moliens. Terram quidem cùm transformare, & mare, transmutare mari mediterraneo continentem, mare autem mediterraneum in continentem: Hellespontum quidem pontibus iungens, montem verò Athos frangens in sinus profundos quos mare implens, nouus & manu sectus illico pontus erant, ex antiquo naturæ alteratis. Quæ autem terram ambiunt, vti visum est in mirandum modum transformans: ascendit in audaces cogitationes, cumulans sibi ipsi impietatem, & in cœlum miser, quippe qui immota mouens, atque diuinum exercitum tollens, & (quod dicitur) ab ipso lare cœpit. Contra optimum enim diei ductorem solem sagittas emisit: tanquam si ipse telo oculos fugiente amentiæ non vulneratus esset: quia non solum impossibilium, verum etiam quod impijssimorum operum amans esset, quorum alterutrum summo aggredienti dedecori erat. Apud Germanos autem multorum hominum fatum, (resorbetur enim mare apud ipsos) * aiunt, iuxta refluxus cursus impulsos cum celeritate, extensos nudos gladios currentes tanquam agmen hostium aduersus mare fluctibus agitatum obuiam procedere, dignum quidem odio, quod contraria arma per impietatem

A πρέπειον τοῖς μετεωροθήραις σκοπεῖν. λέγομεν δὲ ἡμεῖς, ὡς ὅτι ὁ σπουδῆς ἀκρίτου καὶ φιλονεικίας ἀλόγου καὶ κενῆς δόξης ἐραστὴς, ἀεὶ φυσώμενος ὑπ᾽ ἀνοίας, οὐ μόνον ἀνθρώπους ὑπερκύπτειν, ἀλλὰ καὶ τὴν τῶν ὄντων φύσιν, ἀξιοῖ. καὶ νομίζει μὲν ἑαυτοῦ χάριν τὰ πάντα γεγενῆσθαι· ἀναγκαῖον δ᾽ εἶναι δασμὸν ἕκαστον ὡς βασιλεῖ φέρειν αὐτῷ, γῆν, ὕδωρ, ἀέρα, οὐρανόν. καὶ τοσαύτῃ τῆς εὐηθείας ὑπερβολῇ χρῆται· ὥστε οὐκ ἰσχύει λογίσασθαι ὃ κἂν παῖς ἄφρων ἐνοηθείη, ὅτι τεχνίτης οὐδὲ εἷς ἕνεκα μέρους ποτὲ ὅλον, ἀλλ᾽ ἕνεκα τοῦ ὅλου μέρος δημιουργεῖ. μέρος δὲ τοῦ παντὸς, ἄνθρωπος. * ὥστε γέγονεν εἰς τὸ συμπλήρωμα τοῦ κόσμου, δικαίως ἂν αὐτὸς ἐκείνῳ συντελοίη. Φρενοβλαβείας δ᾽ ἄρα τοσαύτης γέμουσί τινες, ὥστε ἀγανακτοῦσιν, εἰ μὴ ὁ κόσμος τοῖς βουλήμασι αὐτῶν ἕποιτο. διὰ τοῦτο Ξέρξης μὲν ὁ Περσῶν βασιλεὺς, βουλόμενος τοὺς ἐχθροὺς καταπλῆξαι, μεγαλουργίας ἐπίδειξιν ἐποιεῖτο, καινουργῶν τὴν φύσιν. γῆν μὲν γὰρ μεσοτειχίου, καὶ θάλατταν, ἀντιδιδοὺς πελάγει μὲν ἤπειρον, ἠπείρῳ δὲ πέλαγος· τὸν μὲν Ἑλλήσποντον ζευγνὺς γεφύραις, ὄρος δὲ τὸν Ἄθω ῥηγνὺς εἰς βαθεῖς κόλπους, οἳ πληρούμενοι θαλάττης, ὁ νέος καὶ χειρότμητος εὐθὺς πόντος ἦσαν, τῷ παλαιῷ τῆς φύσεως ἐξαλλοιωθείς. τὰ δὲ περίγεια, ὡς ἐδόκει, θαυματουργήσας· ἀνέβαινε ταῖς τετολμημέναις ἐπινοίαις, συνανάγων ἀσέβειαν ἑαυτῷ, καὶ εἰς οὐρανὸν ὁ δύστηνος, ὡς τὰ ἀκίνητα κινήσων καὶ τὸν θεῖον στρατὸν καθαιρήσων καὶ (τὸ λεγόμενον) ἀφ᾽ ἱερᾶς ἤρχετο. τὸν γὰρ ἄριστον τῶν ἐκεῖ τὸν ἡγεμόνα ἡμέρας ἥλιον ἐτόξευεν· ὥσπερ οὐκ αὐτὸς ἀφανεῖ βέλει φρενοβλαβείας τιτρωσκόμενος· οὐ μόνον διὰ τὸ ἀδυνάτων, ἀλλὰ καὶ διὰ τὸ ἀνοσιωτάτων ἔργων ἐρᾶν, ὧν καὶ θάτερον μεγάλη τῷ ἐγχειροῦντι δύσκλεια ἦν. Γερμανῶν * δὲ τὴν πολυανθρωποτάτην μοῖραν (ἀμπωτίζει δὲ παρ᾽ αὐτοῖς ἡ θάλαττα) λόγος ἔχει, κατὰ τὰς ἐκεῖ παλιρροίας ἐπιδρομὰς ὠθουμένοις μετὰ σπουδῆς, ἐπαποτεινομένοις γυμνὰ τὰ ξίφη θέοντας, ὡς στῖφος πολεμίων τὸ κυματούμενον πέλαγος ὑπαντιάζειν, ἄξιον μισεῖν μὲν, ὅτι ἐναντία ὅπλα δι᾽ ἀθεότητα

ὡς δ

κατὰ τῶν ἀδουλώτων τῆς φύσεως αἱρεῖσθαι τολμῶσι μερῶν· χλευάζειν δέ, ὅτι ἀδυνάτοις ἐγχειροῦσιν, ὡς δυνατὸν νομίζοντες, ὡς ζῷον καὶ ὕδωρ κεντεῖσθαι, τιτρώσκεσθαι, κτείνεσθαι, ἀλγεῖν, δεδιέναι, φόβῳ τῶν ἐπιόντων ἀποδιδράσκειν, καὶ ὅσα ψυχῆς πάθη κατά τε ἡδονὰς καὶ ἀλγηδόνας ἀναδέχεσθαι. χθὲς δὲ οὐ πρώην ἄνδρα τινὰ οἶδα τῶν ἡγεμονικῶν, ὃς τὴν προστασίαν καὶ ἐπιμέλειαν εἶχεν Αἰγύπτου, ἐπειδὴ τὰ πάτρια κινεῖν ἡμῶν διενοήθη, καὶ διαφερόντως τὸν * ἁγιώτατον καὶ φρικωδέστατον περὶ τῆς ἑβδόμης ὑπάρχοντα νόμον καταλύειν καὶ ὑπηρετεῖν ἀναγκάζειν αὐτῷ, καὶ τὰ ἄλλα ποιεῖν παρὰ τὸ καθεστὼς ἔθος· νομίζων ἀρχὴν ἔσεσθαι καὶ τῆς περὶ τὰ ἄλλα ἐκδιαιτήσεως, καὶ τῆς τῶν ὅλων παραβάσεως, εἰ τὸ ἐπὶ τῇ ἑβδόμῃ πάτριον ἀνελεῖν δυνηθείη· καὶ μήθ' οὓς ἐβιάζετο ὁρῶν εἴκοντας τοῖς ἐπιτάγμασι, μήτε τὴν ἄλλην πληθὺν ἠρεμοῦσαν, ἀλλὰ βαρέως καὶ τραχέως φέρουσαν τὸ πρᾶγμα, καὶ ὡς ἐπ' ἀνδραποδισμῷ καὶ πορθήσει καὶ κατασκαφῇ πατρίδος, πενθοῦντας καὶ κατηφοῦντας, ἠξίου λόγῳ διδάσκειν παρανομεῖν, φάσκων· Εἰ πολεμίων ἔφοδος αἰφνίδιον γένοιτο, ἢ κατακλυσμοῦ φορά, τοῦ ποταμοῦ ταῖς πλημμύραις διαρρήξαντος τὸ χῶμα, ἢ ῥιπὴ πυρός, ἢ κεραυνία φλόξ, ἢ λιμὸς ἢ λοιμός, ἢ σεισμὸς ἢ ὅσα ἄλλα κακὰ χειροποίητα καὶ θεήλατα, μεθ' ἡσυχίας πάσης οἴκοι διατρίψετε; ἢ μετὰ τοῦ συνήθους σχήματος προελεύσεσθε, τὴν μὲν δεξιὰν εἴσω χεῖρα συναγαγόντες, τὴν δὲ ἑτέραν ὑπὸ τῆς ἀμπεχόνης παρὰ ταῖς λαγόσι πήξαντες, ἵνα μηδ' ἄκοντές τι τῶν εἰς τὸ σωθῆναι παράσχησθε; καὶ καθεδεῖσθε ἐν τοῖς συναγωγίοις ὑμῶν, τὸν εἰωθότα θίασον ἀγείροντες; καὶ ἀσφαλῶς τὰς ἱερὰς βίβλους ἀναγινώσκοντες, κἂν εἴ τι μὴ τρανὲς εἴη διαπτύσσοντες, καὶ τῇ πατρίῳ φιλοσοφίᾳ διὰ μακρηγορίας ἐνευκαιροῦντές τε καὶ ἐνσχολάζοντες; ἀλλὰ γὰρ ἀποσεισάμενοι πάντα ταῦτα πρὸς τὴν ἑαυτῶν, καὶ γονέων, καὶ τέκνων, καὶ τῶν ἄλλων οἰκειοτάτων καὶ φιλτάτων σωμάτων, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, καὶ κτημάτων καὶ χρημάτων, ὡς μηδὲ ταῦτα ἀφανισθείη, βοήθειαν ἀποδύσεσθε; καὶ μὴν ἐστέ, αὐτὸς ἐγὼ τὰ λεχθέντα, ἔφη, πάντα εἰμί· τυφώς, πόλεμος, κατακλυσμός, κεραυνός, λιμηρὰ καὶ λοιμώδης νόσος,

A contra seruitutis impatientes naturæ partes audent capere: visu autem, quod impossibilia tentant, tanquam possibile existimantes, quomodo animal sic etiam aquam stimulare, vulnerare, occidere posse, & contra, dolere, timere, metu irruentium fugere, & quoscumque animæ affectus circa voluptates & dolores recipere. Heri autem non ita pridem virum quendam noui è principalibus, qui præfecturam & curam habuit Ægypti, B postquam mouere leges patrias cogitauit, præcipuè autem sanctissimam & formidabilissimam circa septimam existentem legem euertere, ac sibi seruire coegit, tum alia facere contra constitutam consuetudinem: existimans initium hoc fore mollioris victus, atque omnium in vniuersum transgressionis, si septimæ patrum institutum tollere posset. Et neque quos vi adegerat videns iussis obtemperantes, neque reliquam turbam quiescentem, verum grauiter & durè hoc C factum ferentem, & tanquam pro mancipatione, vastatione, & excidio patriæ lugentes & deiectos: voluit oratione docere contra leges facere, dicens: Si hostium incursus repentinus fieret, aut diluuij impetus fluuij inundationibus perrumpentis obstructionem, aut ignis incitamentum, aut fulminis flamma, aut pestis, aut terræ motus, aut quæcumque alia mala manufacta aut diuinitus immissa: cum omni tranquillitate domi D degetis: aut cum consueto habitu egrediemini, dextram quidem mero manum adducentes, alteram verò sub veste apud lepores defigentes, vti neque inuiti quid eorum quæ ad salutem vestram faciant præbeatis; atque in conuiuijs vestris solitam saltationem excitantes? & certos & sacros libros legentes, & si quid minimè clarum esset, despuentes, & patriæ philosophiæ propter prolixas orationes vacantes, & immorantes, sed E enim excutientes hæc omnia in vestram ipsorum, & parentum, & liberorum, & aliorum familiarissimorum & amicissimorum corporum, & si verum dicere oportet, & bonorum & pecuniarum, vti neque hæc exterminentur, auxilium exuistis? Atqui iste, ipse ego quæ dicta sunt, inquit, omnia sum: turbo, bellum, diluuium, fulmen, famelicus & pestifer morbus,

quatiens, & miscens firmiter stantia terræ motus, fati, necessitatis non nomen, sed apparens prope stans vis. Quid igitur si hæc dicentem aut cogitantem hoc solum, esse dicamus: annon peregrinum? aut transmarinum quidem igitur aut intermundium quod nouum malum, si quidem ab omni parte beato, in omnibus infelix se ipsum assimilare ausus est. Additum insuper quod solem & lunam tum alias stellas conuitijs incessere, quando quid eorum quæ sperauit secundum anni tempestates aut non in vniuersum aut non facile eueniat, incendium quidem messis, intensum autem frigus & hyemem grauem incumbentem vere, & autumno, fructuum sterilitatem, quæ autem ad morborum generationem faciunt fœcunditate vtentis. omnem quidem rudentem mouere effrænis oris & linguæ accusatricis, tanquam solitum tributum non afferentes: alios verò caussabitur in honore esse, & tantum non adorari * iusti à cœlis quæ sunt super terram: & peculiarius se ipsum quanto & ab alijs homo existens differre animalibus videtur, Tales quidem vanæ gloriæ coryphæi nobis scribuntur: saltatores autem in parte secundum ipsos videamus. Hi quidem virtutis meditatoribus semper insidiantur: quos quum vident studentes suam vitam veritate dolo carente exhilarare, & tanquam ad lunarem aut solarem splendorem purum illustrare: obuiam venientes & vim afferentes prohibent in impiorum solo carentem chorum abducentes, quem detinent nox profunda, tenebræ perpetuæ & simulacrorum & visionum & somniorum consuetudines sexcentæ: ibi autem subeuntes, adorare tanquam Dominos cogunt. Prudentiæ quidē enim meditatorem credimus solem, quandoquidem illi corporibus hoc verò secundum animam rebus præbet lucem: disciplinam autem, qua vtitur, lunam. in nocte enim vtriusque sincerissimus & vtilissimus est vsus. Germanos autē, disciplinæ & meditatiuæ animæ posteros vrbanos sermones, quos omnes rectam viam dirigentes vitæ, luctationibus diuersimodis & artificiosis iugulātes separare & deijcere supplantantes, qui nihil sani neque dicere neque sentire scientes, volunt. Ideo succenset huiusmodi intractabili, pater, non Iacob, sed etiā hoc antiquior recta ratio, dicēs,

A ὁ ἀνατρέπων καὶ κυκῶν τὰ παγίως ἑστῶτα σεισμός, εἱμαρμένης, ἀνάγκης οὐκ ὄνομα, ἀλλ' ἐμφανὴς ἐγγὺς ἑστῶσα δύναμις. τί οὖν, ἐὰν ταῦτα λέγοντα ἢ διανοούμενον αὐτὸ μόνον, εἶναι φῶμεν· ἆρ' οὐκ ἐκτόπιον; ὑπερωκεάνιον μὲν οὖν ἢ μετακόσμιόν τι καινὸν κακόν, εἴ γε τῷ πάντα μακαρίῳ ὁ πάντα βαρυδαίμων ἑαυτὸν ἐξομοιοῦν ἐτόλμησεν. * ὑπερθεῖτ' ἂν οὐκ ὑπερίδοι ἂν

ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας βλα-

B σφημεῖν, ὁπότε τι τῶν ἐλπισθέντων κατὰ τὰς ἐτησίους ὥρας ἢ μὴ συνόλως ἢ μὴ ῥᾳδίως ἀποβαίνοι, φλογμὸν μὲν θέρους, κρυμὸν δὲ καὶ χειμῶνος βαρὺν κατασκήπτοντος· ἔαρος δὲ καὶ μετοπώρου, τοῦ μὲν ἦρος * ἀκαρπίαις ἐστει- ἀκαρπίᾳ

ρωμένου, τοῦ δὲ πρὸς νοσημάτων γενέσεις εὐτοκίᾳ χρωμένου. πάντα μὲν οὖν ἀνασείειν κάλων ἀχαλίνου στόματος καὶ κατηγόρου γλώττης, ὥσπερ τὸν εἰωθότα δασμὸν οὐκ ἀνενεγκόντας· τοὺς δ' ἑτέρους αἰτιάσεται τιμᾶσθαι, μονο-

C νοὺ καὶ προσκυνεῖσθαι * δικαίως ὑπὸ τῶν οὐ- διηρῆσθαι

ρανοῦ τὰ ἐπίγεια· καὶ διαφερόντως αὐτὸν ὅσῳ καὶ τῶν ἄλλων ἄνθρωπος ὢν διενηνοχέναι ζώων δοκεῖ. τοιοῦτοι μὲν οἱ κορυφαῖοι τῆς κενῆς ἡμῖν δόξης γράφονται. τοὺς δὲ χορευτὰς ἐν μέρει καθ' αὐτοὺς ἴδωμεν· οὗτοι μὲν ἐπιβουλεύουσιν ἀεὶ τοῖς ἀσκηταῖς ἀρετῆς· οὓς ὅταν ἴδωσι σπουδάζοντας τὸν αὑτῶν βίον ἀληθείᾳ ἀδόλῳ φαιδρύνειν, καὶ ὡς πρὸς σεληνιακὸν ἢ τὸ ἀφ' ἡλίου καθαρὸν φέγγος αὐγάζειν· ἀπαντῶντες ἢ βιαζόμε-

D νοι κωλύουσιν, εἰς τὸν ἀσεβῶν ἀνήλιον χῶρον εἰσελαύνοντες, ὃν ἐπέχουσι νὺξ βαθεῖα, σκότος ἀτελεύτητον, καὶ εἰδώλων καὶ φασμάτων καὶ ὀνειράτων ἔθη * μυρία. κἀκεῖ καταδύσαντες, ἴδη

προσκυνεῖν ὡς δεσπότας ἀναγκάζουσι. τὸν μὲν γὰρ φρονήσεως ἀσκητὴν ὑπολαμβάνομεν ἥλιον * ἐπειδήπερ οἱ μὲν τοῖς σώμασιν, ὁ δὲ τοῖς κατὰ ψυχὴν πράγμασιν ἐμπαρέχει φῶς· τὴν δὲ παιδείαν, ᾗ κέχρηται, σελήνην. ἐν νυκτὶ γὰρ * ἡ ἑκατέρας εἰλικρινεστάτη καὶ ὠφε- ἡ

E λιμωτάτη χρῆσίς ἐστιν. ἀδελφοὺς δέ, τοὺς παιδείας καὶ ἀσκητικῆς ψυχῆς ἀπογόνους ἀστείους λόγους, οὓς πάντας ὀρθὴν ἀτραπὸν εὐθύνοντας τοῦ βίου, παλαίσμασι πολυτρόποις καὶ πολυμηχάνοις αὐχενίζοντες ἐκτραχηλίζειν καὶ καταρράττειν ὑποσκελίζοντες, οἱ μηδὲν ὑγιὲς μήτε λέγειν μήτε φρονεῖν ἐγνωκότες, ἀξιοῦσι. διὸ καὶ ἐπιτιμᾷ τῷ τοιούτῳ ἀπηθείᾳ ὁ πατήρ, οὐκ Ἰακώβ, ἀλλ' ὁ καὶ τούτου πρεσβύτερος ὀρθὸς λόγος, φάσκων·

τί τὸ ἐνύπνιον τοῦτο ἐνυπνιάσθης; *ἀλλ' οὐκ ἐνύπνιον εἶδες. ἢ ὑπέλαβες, ὅτι τὰ φύσει ἐλεύθερα ἀνθρώπων, αὐχένα δοῦλα ἔσται, καὶ ὑπήκοα τὰ ἄρχοντα; καὶ, τὸ ἔτι παραδοξότερον, οὐκ ἄλλων ὑπήκοα, ἀλλὰ τῶν ἀρχομένων; οὐδ' ἑτέρων δοῦλα, δουλευόντων; εἰ μὴ ἄρα κρατεῖν θεοῦ τοῦ μόνου πάντα δυνατοῦ, ᾧ καὶ τὰ ἀκίνητα κινεῖν, καὶ τὰ φορούμενα θέμις ἱδρύσασθαι μεταβολὴ τῶν καθεστώτων γένοιτο πρὸς τἀναντία. ἐπεὶ τίνα ἕξει λόγον τὸ ὀνειδίζεσθαι καὶ ἐπιτιμᾶν τῷ τὴν καθ' ὕπνον φαντασίαν ἰδόντι; μὴ γὰρ ἑκὼν εἶδον αὐτήν, ἐρεῖ· τί μοι τὰ τῶν ἐκ προνοίας ἠδικηκότων ἐπάγεις ἐγκλήματα; τὸ προσπεσὸν ἔξωθεν καὶ πλῆξάν μου τὴν διάνοιαν αἰφνίδιον ἄκοντος διηγησάμην. ἀλλὰ γὰρ οὐκ ἔστι περὶ ὀνείρατος ὁ παρὼν λόγος· ἀλλὰ περὶ πραγμάτων ἐοικότων ἐνυπνίοις· ἃ τοῖς μὴ λίαν κεκαθαρμένοις μεγάλα καὶ λαμπρὰ καὶ περιμάχητα εἶναι δοκεῖ, μικρὰ ὄντα καὶ ἀμυδρὰ καὶ χλεύης ἐπάξια, παρὰ δὲ ἑκάστοις ἀληθείας βραβευταῖς. ἆρ' οὖν, φησιν, ἐλεύσομαι μὲν ὀρθὸς λόγος ἐγώ, ἀφίξεται δὲ καὶ ἡ τοῦ φιλομαθοῦς θιάσου ψυχή, μήτηρ ὁμοῦ καὶ τροφὸς ἀρετῶσα παιδεία; συντείνουσι δὲ καὶ οἱ ἀμφοτέρων ἡμῶν ἔγγονοι, καὶ στάντες ἄντικρυς οὕτω κατὰ στίχον ἐν κόσμῳ, τὰς χεῖρας ἐξάραντες προσευξόμεθα; τῦφον πρότερον ἀφέντες, εἶτα καταβαλόντες ἑαυτοὺς εἰς τὸ ἔδαφος, ποτνιᾶσθαι καὶ προσκυνεῖν ἐπιχειρήσωμεν; ἀλλὰ μὴ ἐπιλάμψαι ποτὲ τούτοις γενομένοις ἥλιος, ἐπεὶ βαθὺ μὲν σκότος κακοῖς, τηλαυγὲς δὲ φῶς ἀγαθοῖς ἐφαρμόζει. τί δὴ ἂν γένοιτο μεῖζον κακόν, ἢ τὸν πλαστὸν καὶ φένακα τῦφον ἀντὶ τῆς ἀπλάστου καὶ ἀψευδοῦς ἀτυφίας ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι; παγκάλως δὲ προσδιέσταλται τὸ, διετήρησεν ὁ πατὴρ τὸ ῥῆμα. ψυχῆς γὰρ οὐ νεωτέρας οὐδὲ ἀγόνου καὶ ἐστειρωμένης ἀλλὰ τῷ ὄντι πρεσβυτέρας καὶ γεννᾶν ἐπισταμένης ἔργον ἐστί, συζῆν εὐλαβείᾳ. καὶ μηδενὸς καταφρονεῖν τὸ παράπαν· ἀλλὰ τὸ ἄδραστον καὶ ἀνίκητον τοῦ θεοῦ κράτος καταπεπλῆχθαι, καὶ περιαθρεῖν ἐν κύκλῳ, τί ἄρα ἀποβήσεται τὸ τέλος αὐτῇ. διὰ τοῦτο καὶ τὴν Μωϋσέως ἀδελφὴν (ἐλπὶς δὲ παρ' ἡμῖν τοῖς ἀλληγορικοῖς ὀνομάζεται) φασὶν ἀποσκοπεύειν μακρόθεν οἱ χρησμοί, πρὸς τὸ τοῦ βίου δήπου τέλος ἐμβλέπουσαν·

A [Quodnam somnium hoc quod somniasti?] verum non somnium vidisti aut credidisti, quod natura libera hominum, necessitate serua erunt, & subdita quæ in imperio sunt? quod contra communem opinionem magis est adhuc, non aliorum subdita, sed eorum qui imperantur? non aliorum serua, sed seruiuntur? nisi porro omnia vincere Dei solius qui omnia potest cui immota mouere, & quæ feruntur licet erigere mutatione constitutorum in contraria ferantur. quoniam quandam habebit rationem præscribere & B succensere per somnum visionem vident? non enim sponte vidi ipsam dicet: quid mihi de industria eorum qui inique egerũt adfers accusationes? Quod incidit extra & percussit meam mentem derepente non volentis enarraui. Verum non est, de somnio præsens sermo: sed de rebus conuenientibus somnijs: quæ non admodum purificatis magna & splendida vt expetenda esse videntur, parua cùm sint & C obscura & risu digna apud quosque veritatis arbitros. An igitur, inquit, veniam quidem recta ratio ego? redibit autem discere amantis saltationis anima, mater simul & alumna feliciter procedens disciplina? consonant autem nostrûm vtriusque posteri, & stantes omnino secundum lineam in ordine manus attollentes precemur. fastum primum dimittentes, deinde proijcientes nos in pauimentum, venerari & adorare conabimur; sed non alluD ceat vnquam istis genitis: sed quoniam profundæ quidem tenebræ malis, splendidum autem lumen bonis conuenit. Quodnam igitur maius possit esse malum quam fictorem & illusorem fastum, pro non ficta & non falsa simplicitate laudari atque in admiratione esse? Perpulchre autem ante explicatur ⁊! obseruauit pater verbum. animæ enim neque posterioris, neque sine progenie, & sterilis, sed reuera antiquioris & generare scientis E opus est, cum cautione consuetudinem habere, & neminem omnino contemnere: verum quod neque fugere neque superare queas Dei robur horrere, & circulo circumspicere, quis porro finis ipsi continget. Propterea & Mosis sororem (spes autem apud nos allegoricos nominatur (aiunt tanquam scopum procul intueri oracula, ad vitæ vtique finem intuentem:

Gen. 37.

Ibid.

A vt in lætum incidat, ferentis ad finem demittentis desuper à cœlo. Multi enim sæpè nauigia magna accipientes, & longam nauigationem secundis ventis tuto transmittentes in ipsis liminibus repentè naufragium fecerunt, quum iam ad portum appulsuri essent. Sexcenta autem & grauia & multorum annorum bella per vim suscipientes & inuulnerati permanentes, vti ne quidem per summam quidem superficiem misceantur, sed tanquam ex celebritate publica & quæ populi sumptibus fiunt B festa celebrare integris & perfectis, cum hilari reuertentes alacritate: in priuatis in quibus insidias struxerunt ædibus, quod dicitur, boues ad præsepè mactantes. Quemadmodum certè hæc improuisi & nulla coniectura deprehensi casus euertere solent: sic & animæ facultates repellunt in contraria, & deijciunt, vt, quod possunt, & reuerti cogant. Quis enim ad vitæ certamen accedens, rectus mansit? quis non supplantatus? felix sanè qui non sæpè. C Cui autem non insidiata est fortuna, vehementius perspirans & colligens robur, vti complicata statim diripiat, priusquam occupet aduersarium puluere fœdare? nonne si iam quosdam scimus à puero ad senectutem peruenisse, qui nulla tentati fuerint perturbatione, siue propter educantium & instituentium curam, aut etiam propter vtraque; alta autem pace repleti, sibiipsis (quæ re vera est pax) per vrbes archetypum, & propter hoc felicitatis, D existimantis quod ab affectibus excitatum ciuile bellum difficillimum existens bellum, neque per somnum senserunt, deinde in ipsis vitæ occasibus appellentes & naufragium facientes aut circa linguæ incontinentiam, aut circa ventris inexplebilitatem, aut circa eorum quæ sub ventre sunt impotentem salacitatem. Isti enim iuuenilem perditorum, ignominiosam, abdicatam, turpem vitam æmulati in senectutis limine. E Hi autem fraudulentam & calumniatricem & versipellem, curiositati primitias ferentes. quum iam par esset & veterem existentem dissoluere. Idcirco oportet Deum venerari, & illi assiduè supplicare, vt fluxum genus nostrum non pereat, iubeat autem sempiternam esse salutarem ipsius misericordiam. Difficilè enim ijs qui puram pacem gustarunt, prohiberi ne satientur. Verum age siti leuius est malum fames

A ἵνα αὐτοῖς ἀποδώσῃ, τοῦ τελεσφόρου καταπέμψαντος αὐτὰ ἄνωθεν ἀπ' οὐρανοῦ. πολλοὶ γὰρ πολλάκις πλωτὰ μεγάλα παραλαβόντες, καὶ μακρὸν πλοῦν οὐρίοις πνεύμασιν ἀκινδύνως διαπεμφθέντες ἐν αὐτοῖς λιμέσιν ἐξαίφνης ἐναυάγησαν, μέλλοντες ἤδη προσορμίζεσθαι. μυρίους δὲ βαρεῖς καὶ πολυετεῖς πολέμους ἀνὰ κράτος ἑλόντες καὶ ἄτρωτοι διατελέσαντες, ὡς μηδ' ἐπιφάνειαν ἄκραν μιχθῆναι, ἀλλ' ὥσπερ ἐκ πανηγύρεως κοινοδή- B μου καὶ δημοτελεῖς ἑορτὰς τελεῖν * ὁλοκλήρους καὶ παντελέσι, μεθ' ἱλαρᾶς ἐπιστρέψαντες εὐθυμίας, ἐν ταῖς ἰδίαις ὑφ' ὧν ἥκιστ' ἐχρῆν ἐπιβουλευθῆναι οἰκίαις, τὸ λεγόμενον τοῦτο, βόες ἐπὶ φάτνης σφαγέντες. ὥσπερ δὲ ταῦτα ἀπροσδόκητοι καὶ ἀτέκμαρτοι συντυχίαι καταστρέφειν φιλοῦσιν· οὕτω καὶ τὰς περὶ ψυχὴν δυνάμεις ἀντωθοῦσι πρὸς τἀναντία, καὶ ἀντιμετακλίνουσιν, ἵν' οἷαί τε ὦσι, καὶ ἀναστρέψαι βιά- C ζονται. τίς γὰρ εἰς τὸν ἀγῶνα τοῦ βίου παρελθὼν, ἄπτωτος ἔμεινε; τίς δ' οὐχ ὑποσκελισθείς; εὐδαίμων δ' ὁ μὴ πολλάκις, τίνι δ' οὐκ ἐφήδρευσεν ἡ τύχη, διαπνεύσασα καὶ συλλεξαμένη ῥώμην, ἵνα συμπλακεῖσα εὐθὺς ἐξαρπάσῃ, πρὶν φθάσαι τὸν ἀντίπαλον κονίσασθαι; οὐκ * εἰ δέ τινας ἴσμεν ἐκ παίδων εἰς γῆρας ἀφιγμένους, οἳ μηδεμιᾶς * ἐπῄσθοντο ταραχῆς, εἴτε δι' εὐμοιρίαν φύσεως, εἴτε διὰ τὴν τῶν τρεφόντων καὶ παιδευόντων ἐπιμέλειαν, εἴτε καὶ δι' ἀμφότε- D ρα· βαθείας δ' εἰρήνης ἀναπλησθέντας, τὴν ἑαυτοῖς (ἣ πρὸς ἀλήθειάν ἐστιν εἰρήνη) τῆς κατὰ τὰς πόλεις ἀρχέτυπον, καὶ διὰ τοῦτ' εὐδαιμονίας, νομισθέντας, ὅτι τὸν ἀπὸ τῶν παθῶν ἀναρριπιζόμενον ἐμφύλιον πόλεμον ἀργαλεώτατον ὄντα πολέμων, οὐδ' ὄναρ ἐπῄσθοντο, εἶτ' ἐν αὐταῖς τοῦ βίου ταῖς δυσμαῖς ἐξοκείλαντάς τε καὶ ναυαγήσαντας ἢ περὶ γλῶτταν ἄθυρον, ἢ περὶ γαστέρα ἄπληστον, ἢ περὶ τὴν τῶν ὑπογαστρίων E ἀκράτορα λαγνείαν. οἱ μὲν γὰρ τὸν μειρακιώδη τῶν ἀσώτων, ἄτιμον, ἀποκήρυκτον, αἰσχρὸν βίον ἐζήλωσαν ἐπὶ γήραος οὐδῷ· οἱ δὲ τὸ πανοῦργον καὶ συκοφαντικὸν καὶ ῥᾳδιουργὸν, ἀπαρχόμενοι φιλοπραγμοσύνης· ὅτε εἰκὸς ἦν ἤδη καὶ παλαιὰν οὖσαν καταλύσαι διὸ τὸν θεὸν ἱλᾶσθαι καὶ λιταῖς ἱκετεύειν, ὅπως τὸ ἐπίκηρον ἡμῶν γένος μὴ περιέλθῃ, κελεύσῃ δὲ διαιωνίζειν αὐτοῦ τὸ σωτήριον ἔλεον. χαλεπὸν γὰρ εἰρήνης ἀκράτου γευσαμένους κωλυθῆναι κορεσθῆναι. ἀλλὰ φέρε δίψης κουφότερον

ἐστὶ

Homer. Odyss. 15.

ἐπὶ κενὸν ὁ λιμός: ὥσπερ ἔρωτα καὶ πόθον ἔχων παρηγορεῖσθαι· ὅταν δ' ἀφ' ἑτέρας πηγῆς, ἧς θολερὸν καὶ νοσερὸν τὸ νᾶμα, διὰ τὸ πιεῖν ἵμερον ἐμφορεῖσθαι δέῃ· τότε ἀνάγκη γλυκυπίκρου πληρουμένους ἡδονῆς ἐν ἀβιώτῳ βίῳ διαζῆν, τοῖς βλαβεροῖς ὡς ὠφελίμοις ἐπιτρέχοντας, ἀγνοίᾳ τοῦ συμφέροντος. ἡ δὲ τῶν κακῶν δυσαρεστάτη φορὰ γίγνεται τούτων, ἐπειδὰν αἱ ἄλογοι δυνάμεις τῆς ψυχῆς, ἐπιτεθεῖσαι τοῖς τοῦ λογισμοῦ, κρατήσωσιν. ἕως μὲν γὰρ ἢ βουκόλια βουκόλοις, ἢ ποιμέσι ποίμνια, ἢ αἰπόλοις αἰπόλια πειθαρχεῖ· τὰ περὶ τὰς ἀγέλας κατορθοῦται· ἐπειδὰν δὲ ἀσθενέστεροι τῶν θρεμμάτων οἱ ἐπιστατοῦντες ἀγελάρχαι γένωνται· πλημμελεῖται τὰ πάντα· καὶ συμβαίνει ἀταξία μὲν ἐκ τάξεως, ἀκοσμία δ' ἐξ εὐκοσμίας, ταραχὴ δ' ἐξ εὐσταθείας, καὶ συγχύσεις ἐκ διακρίσεως· ἅτε μηδεμιᾶς ἔτι νομίμου καθεστώσης ἐπιστασίας. εἰ γὰρ ἦν, ἤδη καθῄρητο. τί οὖν οὐκ οἴομεν, εἴπερ καὶ ἐν ἡμῖν αὐτοῖς θρεμμάτων μὲν ἀγέλην εἶναι, παρόσον ἀποτέτμηται ψυχῆς τὸ ἄλογον εἶδος, ἀγελάρχην δὲ τὸν ἡγεμόνα νοῦν. ἀλλ' ἕως μὲν ἔρρωταί τε καὶ *ἱκανὸς ἀγελαρχεῖν ἐστιν, ἐνδίκως ἔχοντα καὶ συμφερόντως ἐπιτελεῖται· ὅταν δὲ ἀσθένειά τις ἐπιγένηται τῷ βασιλεῖ; συγκάμνειν ἀνάγκη καὶ τὸ ὑπήκοον. καὶ ὅτε μάλιστα ἐλευθεροῦσθαι δοκεῖ, τότε μάλιστα γίγνεται ἑτοιμότατον ἆθλον, κείμενον τοῖς βουλομένοις αὐτὸ μόνον χειρώσασθαι. πέφυκε γὰρ, ἀναρχία μὲν ἐπίβουλον, ἀρχὴ δ' εἶναι σωτήριον, καὶ μάλισθ' ᾗ νόμος καὶ δίκη τετίμηται· αὕτη δ' ἐστὶν ἡ σὺν λόγῳ. τὰ μὲν δὴ τῆς κενῆς δόξης ὀνείρατα ὧδε ἠκριβώσθω. τὰ δὲ τῆς γαστριμαργίας εἴδη, πόσις τε καὶ βρῶσις· ἀλλὰ τῆς μὲν, οὐ ποικίλη. τῆς δὲ, μυρίων ὅσων ἡδυσμάτων καὶ παραρτυμάτων χρεία. ταῦτα μέν τοι δυσὶ φροντισταῖς ἐπιδιατίθεται· τὰ μὲν τῆς περιέργου πόσεως, ἀρχιοινοχόῳ· τὰ δὲ τῆς ἀνθηροτέρας ἐδωδῆς, ἀρχισιτοποιῷ. σφόδρα δ' ἐξητασμένως μιᾷ νυκτὶ φαντασιούμενοι τοὺς ὀνείρους εἰσάγονται· πρὸς γὰρ τὴν αὐτὴν χρείαν σπεύδουσιν ἀμφότεροι, τροφὴν οὐχ ἁπλῆν, ἀλλὰ τὴν μεθ' ἡδονῆς καὶ τέρψεως ἐξεπιζόμενοι. καὶ ἑκάτερος μὲν περὶ τροφῆς ἥμισυ ποιεῖται, ἀμφότεροι δὲ περὶ πᾶσαν. ἔστι

ἱκανὸς

A hæc, amorem & desiderium habens accusantes. Quum autem ab alio fonte, cuius turbidus & morbidus est latex propter bibendi desiderium satiari opus habeas: tunc necesse dulciamara repletos voluptate vitam non vitalem viuere, ad noxia perinde ac vtilia currentes, ignorantia eius quod vtilitatem confert. Hic verò malorum infestissimus omnium cursus, postquam irrationales animæ facultates impositæ, ratiocinationem tenent. Donec quidem B enim boum armenta bubulcis, pastoribus greges, caprarijs greges caprarum obediunt, quæ ad gregem pertinent, prospere cedunt. Postquam autem infirmiores pecorum magistri facti sunt aberrant omnes, & accedit confusio quidem ex ordine, & congeries rerum confusa pro decentia, turbatio pro bono statu, & confusiones ex dijudicatione: & quæcumque nondum legitime constitutæ præfecturæ. Si hoc enim esset, iam sublatum fuisset. Quid igi- C tur, non putamus & in nobis ipsis ouium quidem gregem esse, quatenus rescissa est animæ irrationalis acies, gregis autem magistrum ducem mentem. Verum quamdiu fortis est & sufficiens gregi præesse, iuste habentia atque vtiliter perficit. Quum autem infirmitas quæpiam accidit regi: vnaquoque laborare oportet subditos. Et quando maxime putat se liberatum, tunc fit paratissimum certamen, positum ijs tantum qui se exercere volunt. Sic enim comparatum est, vt mala ad- D ministratio sit insidiosa, imperium autem salutare, & maximè quâ lex & iustitia in honore sunt, illa autem est quæ cum ratione coniuncta. Somnia quidam itaque vanæ gloriæ hoc modo examinata sint. Species autem ingluuiei, potus & cibus. Verum illius quidem non diuersa. Huius autem, infinitus suauitatum, & cupediarum vsus. Hæc quidem duobus commentatoribus attribuntur. Quæ ad curiosum E potum pertinent, pincernarum præfecto: quæ autem ad esum floridiorem, præfecto pistorum, valde autem exquisite vna nocte quibus visiones se se offerunt somnia inducunt: ad eundem enim vsum festinant vtrique, alimentum non simplex, sed quod cum voluptate est & delectatione apparantes. Et vterque quidem circa alimentum circa medium tantum laborat, vtrique autem circa omnem. Est

autem vna pars attractatiua alterius. Comedentes enim confestim appetunt potum, atque illico esum bibentes. adeò vt maxime & propter idem tempus visionis vtrisque præscriptum sit. Pincerna quidem igitur, ebrietatem, præfectus autem pistorum. voracitatem. Videt in somnis vterque autem familiaria, hic quidem vinum & vinum generans plantam vitem. Ille vero super canistro positus, expurgatos panes & canistrum ferentem seipsum. Conueniens autem primo fuerit, prius exquirere somnium. tale autem est.

Gen. 40. [In somno meo erat vitis ante me: in vite autem tres propagines & crescentes in gemmas, ferentes germina, & maturæ vuæ & poculum Pharaonis in manu mea. Et accepi vuam, & expressi ipsam in calicem & dedi calicem in manus Pharaonis.] Mirabiliter quidem præfatus est, nec falsi quicquam habet somnus meus. Reuera enim, qui exercet magis ebrietatem per vinum, quam quæ per temperantiam est, rectitudinem & vigilantiam ægrè ferens, quemadmodum in lecto iacentes negligitur & præteritur & clausit animæ oculos, nihil videre, neque audire eorum quæ spectatu & auditu digna sunt valens: victus autem cæcam & qua iam manu deduci non possit non viam sed auiam viam vitæ pertransit, rubis & tribulis transfixus, est verò quando per præcipia deuolutus, & super alios ruens, adeò vt illos tum etiam se ipsum misere perdat. Profundus & ingens somnus, quo detinetur omnis malus, veras quidem apprehensiones tollit, falsum autem simulacris & incertis imaginationibus mentem replet crimina laudabilia suadens admittere. Enimverò nunc etiam dolorem tanquam gaudium somniat, & non sentit quod dementiæ, & vacillationis plantam vitem videt.

Ibid. [Erat, inquit, vitis coram me.] desideratum desideranti malum malo. quam contra nos ipsos non animaduertimus nos stulti, nos excolere, cuius fructum comedimus & bibimus, in vtramque alimenti speciem componentes: quam vt par est qui pro media noxa, sed æqualis & integri & omnino curamus. Conuenit autem non ignorare quod vineatica ebrietate vtentes omnes non similiter, sed contrario modo sæpè disponit:

A δὲ καὶ θάτερον μέρος ὁλκὸν θατέρου. καὶ γὰρ οἱ φαγόντες, εὐθὺς ὀρέγονται ποτοῦ· καὶ αὐτίκα ἐδωδῆς οἱ πιόντες. ὥστε οὐχ ἥκιστα καὶ διὰ τοῦτο χρόνον τὸν αὐτὸν τῆς φαντασίας ἀμφοτέροις ἀναγεγράφθαι. ὁ μὲν οὖν ἀρχιοινοχόος, οἰνοφλυγίαν· ὁ δὲ ἀρχισιτοποιός, λαιμαργίαν ἔλαχε. φαντασιοῦνται δὲ ἑκάτεροι τὰ οἰκεῖα· ὁ μέν, οἶνον καὶ τὸ γεννητικὸν οἴνου φυτὸν ἄμπελον· ὁ δέ, ἐπὶ κανοῦ διακεκριμένους ἐκκεκαθαρμένους ἄρτους, καὶ κανηφοροῦντα ἑαυτόν. B ἁρμόττον δὲ ἂν εἴη πρότερον, τὸ πρότερον ἐξετάζειν ὄναρ. ἔστι δὲ τοιόνδε· ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου· ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ θάλλουσα, ἀνενηνοχυῖα βλαστούς, καὶ πέπειροι βότρυες σταφυλῆς, καὶ τὸ ποτήριον Φαραὼ ἐν τῇ χειρί μου. καὶ ἔλαβον τὴν σταφυλὴν καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον, καὶ ἔδωκα τὸ ποτήριον εἰς τὰς χεῖρας Φαραώ. θαυμασίως C γε προανεφθέγξατο, καὶ ἀψευδῶς ἔχει τὸ ἐν ὕπνῳ μου. τῷ γὰρ ὄντι ὁ μὲν τὴν δι' οἴνου μέθην μᾶλλον, ἢ τὴν* διὰ σωφροσύνης ἐπιτηδεύων, ὀρθότητι καὶ ἐγρηγόρσει δυσχεραίνων, ὥσπερ οἱ κοιμώμενοι καταβέβληται, καὶ παρεῖται, καὶ καταμέμυκε τὰ τῆς ψυχῆς ὄμματα, μηδὲν οὔθ' ὁρᾶν οὔτ' ἀκούειν τῶν θέας καὶ ἀκοῆς ἀξίων οἷός τε ὤν· ἐπιλαβόμενος δὲ τυφλὴν καὶ ἀχειραγώγητον* οὐχ ὁδόν, ἀλλ' ἀνοδίαν τοῦ βίου διεξέρχεται, βάτοις καὶ τριβόλοις περιπειρόμενος, D ἔστι δ' ὅτε καὶ κατὰ κρημνῶν κυλιόμενος, καὶ ἄλλοις ἐπιφερόμενος, ὡς ἐκείνους τε καὶ ἑαυτὸν εἰκότως διαφθείρειν. ὁ δὲ βαθὺς καὶ πολὺς ὕπνος, ὧν πᾶς κατέχεται φαῦλος, τὰς μὲν ἀληθεῖς καταλήψεις ἀφαιρεῖται, ψευδῶν δὲ εἰδώλων καὶ ἀβεβαίων φαντασμάτων ἀναπίμπλησι τὴν διάνοιαν, τὰ ὑπαίτια ἐπαινετὰ ἀναπείθων ἀποδέχεσθαι. καὶ γὰρ νυνὶ λύπην ὡς χαρὰν ὀνειροπολεῖ, καὶ οὐκ αἰσθάνεται ὅτι τὸ ἀφροσύνης, καὶ τὸ παραπαίειν* φυτὸν ἄμπελον ὁρᾷ. ἦν γάρ, φησίν, ἄμπελος ἐναντίον μου. E τὸ ποθούμενον τῷ ποθοῦντι κακία κακῷ, ἣν καθ' ἑαυτῶν λελήθαμεν οἱ ἀνόητοι γεωργήσαντες, ἧς τὸν καρπὸν ἐσθίομέν τε καὶ πίνομεν, εἰς ἑκάτερον τροφῆς καταστάντες εἶδος, ἣν ὡς ἔοικεν* οἱ ἐφ' ὁμοίας τῆς βλάβης, ἀλλ' ἀρτίου καὶ ὁλοκλήρου καὶ παντελῶς μεταποιούμεθα. προσήκει δὲ μὴ ἀγνοεῖν, ὅτι τὸ ἀμπέλινον μέθυσμα τοὺς χρωμένους ἅπαντας οὐχ ὁμοίως, ἀλλὰ πολλάκις ἐναντίως διατίθησιν.

δι' ἀφροσύνης

μᾶλλον

οἰκεῖ

ὡς τοὺς μὲν, ἀμείνους, τοὺς δὲ, χείρους ἑαυτῶν ἐξετάζεσθαι. τῶν μὲν γὰρ τὸ στυγνὸν καὶ σκυθρωπὸν ἐπράϋνε, καὶ τὰς φροντίδας ἐχάλασεν, ὀργάς τε καὶ λύπας ἐπράϋνε, τά τε ἤθη πρὸς τὸ ἐπιεικὲς ἐπαιδαγώγησε, καὶ τὰς ψυχὰς ἑαυταῖς ἵλεως ἐποίησε· τῶν δὴ ἔμπαλιν τοὺς θυμοὺς ἐπήλειψε, καὶ τὰς * ὠδῖνας ἐπέσφιγξε, καὶ τοὺς ἔρωτας ἐκίνησε, καὶ τὰς ἀγριότητας ἀνήγειρεν, ἄκλειστον στόμα, καὶ γλῶτταν ἀχάλινον, καὶ αἰσθήσεις ἀθύρους, καὶ λελυττηκότα πάθη, καὶ ἐξηγριωμένον καὶ ἐπτοημένον πρὸς πάντα οἷον ἀποτελοῦν. ὡς δοκεῖν τὴν μὲν τῶν προτέρων κατάστασιν ἢ τῇ κατὰ τὸν ἀέρα νηνέμῳ αἰθρίᾳ, ἢ τῇ κατὰ θάλατταν ἀκύμονι γαλήνῃ, ἢ τῇ κατὰ τὰς πόλεις εἰρηνικωτάτῃ εὐσταθείᾳ ἐοικέναι· τὴν δὲ τῶν ὑστέρων ἢ βιαίῳ καὶ συντόνῳ πνεύματι, ἢ χειμαίνοντι καὶ κυματουμένῳ πελάγει, ἢ στάσει, ἀσπόνδου καὶ ἀκηρύκτου πολέμου δυσωνύμῳ ταραχῇ. δυοῖν γοῦν συμποσίων τὸ μὲν πέπλησται γέλωτος, παιδείας ἐπαγγελλομένων, ἀγαθὰ ἐλπιζόντων, χαριζομένων εὐθυμίας, εὐφημίας, ἱλαρότητος, εὐφροσύνης, ἀδείας· τὸ δὲ συννοίας, κατηφείας, προσκρουσμάτων, λοιδοριῶν, τραυμάτων, βρεμομένων, ὑποβλεπομένων, ὑλακτούντων, ἀγχόντων, καταπαγκρατιαζόντων, ἀκρωτηριαζόντων ὦτα καὶ ῥῖνας, καὶ ἄλλ' ἅττα ἂν τύχῃ τοῦ σώματος * τὴν τοῦ παντὸς τοῦ βίου μέθην καὶ παροινίαν ἐν ἱερῷ ἀγῶνι μετὰ αἰσχρουργίας τῆς πάσης ἐπιδεικνυμένων. ἀκόλουθον οὖν εἴη λογίζεσθαι, ὅτι καὶ ἄμπελος δυοῖν σύμβολον πραγμάτων ἐστὶν, ἀνοίας τε καὶ εὐφροσύνης. ἑκάτερον δὲ, καὶ τὸ μηνυόμενον καὶ πολλῶν, ἵνα μὴ μακρηγορῶμεν, δι' ὀλίγων ἐπιδείξομεν. ὁπόταν ἡμᾶς ἀπὸ τῆς τῶν παθῶν καὶ ἀδικημάτων ἐρήμης ὁδοῦ φιλοσοφίας ἀναγαγὼν, καὶ ὥσπερ ἔμπορος ἀναβιβάσας τὸν ὀρθὸν λόγον ἔστησεν ἐπὶ σκοπῆς, καὶ ἐκέλευσε περιαθρεῖν τὴν ἅπασαν ἀρετῆς χώραν, εἴτε εὔγειος καὶ βαθεῖα καὶ χλοηφόρος καὶ καρποτόκος (ἐπεὶ καὶ ἀπειθῶ μὲν, καὶ τὰ σπειρόμενα μαθήματα συναυξῆσαι· ἀγαθὴ δὲ τὰ φυτευόμενα καὶ δενδρούμενα δόγματα στελεχῶσαι) εἴτε καὶ τοὐναντίον· καὶ περὶ τῶν ὡσανεὶ πόλεων, πειράζειν, εἰ * καὶ ἐχυρώταται), ἢ γυμνὰ καὶ ἀπημφιεσμένα οἷα * κύκλων τὸ βέβαιον· καὶ περὶ οἰκητόρων, εἰ πρός τε πλῆθος καὶ πρὸς ἀλκὴν ἐπιδεδώκασιν, ἢ δι' ἀσθένειαν ὀλιγανδροῦσιν, ἢ δι' ὀλιγανδρίαν ἀσθενοῦσι;

ἰδύνας

A vti hi quidem meliores illi verò deteriores seipsis explorentur. Horum enim secum esse, & tetricum dedijt, & solicitudines remisit, iras autem & dolores lenijt, mores autem ad decorum formauit atque animas sibi ipsis placatas effecit. Contra illorum animos demulsit, & dolores adstrinxit, & amores mouit, & feritates suscitauit, os apertũ & linguam effrenem, & sensus patẽtes, & ratio correpti affectus, & efferatum & perculsum ad omnia perferre. vt videatur B priorum quidem constitutionẽ, aut quæ per aërem sine vento auræ, aut quæ in mari est sine fluctibus tranquillitati, serenitati, aut qui in ciuitatibus pacifico vehementer, ac bono statui assimilare: posteriorum autem aut violento & vehemẽti vento, aut mari æstuanti vel agitato, aut factioni irreconciliabilis & implacabilis belli infaustæ turbationi. Duorum igitur conuiuiorum hoc quidem plenum est risu, disciplinas an- C nuntiantibus & bona sperantibus gratificantibus bonum animum, bonam famam, hilaritatem, lætitiam, securitatem: cogitatione autem, deiectione, supplantationis, conuitijs, vulneribus, frementibus, despectis, latrantibus, fauces pręfocantibus, pancratium exercentibus, aurium & narium extremitates amputantibus, & quæcumque fortunæ corporis, totius vitæ ebrietatem & temulentiam in certamine profano cum omni turpitudine ostendentibus.

D Consequens igitur fuerit considerare quod & vitis duarum symbolum rerum est, dementiæ & lætitiæ. vtrumquę autem, & ex pluribus indicatum est, vti ne prolixiori oratione vtamur paucis demonstrabimus. quando nos Num. 13 per affectuum & iniustitiarum affectus solitariam viam ducens, tanquam mercator imponit ascendere facit rectam rationem, stat in specula & iubet circumspicere virtutis regionem, siue fe- E rax & profunda & graminifera & fructifera (quoniam diffidit quidem, & sparsas disciplinas augere: bonæ autem insita plantata & arborescentia dogmata: stipitem emittere) siue contrarium: & tanquam de ciuitatibus, actionibus quamuis sint munitissimæ, aut nuda & spoliata cuiusmodi circulorum firmitas, & de incolis, si in multitudinem aut fortitudinem crescunt, augescunt aut si propter infirmitatem hominum penuria laborant, aut propter hominum penuriam debilitantur?

tunc non valentes totum sapientiæ stipitem gestare, sarmentum vnum & racemum vuæ secantes sustulerunt cum gaudio. certissimum exemplum, leuissimum onus, germen & fructum simul probitatis demonstrantes ijs qui mentem acutũ cernunt sarmentatam & vuiferam vitem ipsius, cuius partem quandam capere potuimus, prouidis assimilant lætitia Testimonium autem perhibet mihi quidam veterum prophetarũ, qui diuinis rebus operam dans dixit: [Vinea Domini omnipotentis domus Israel.] Israel quidem est mens contẽplatiua Dei & mundi atque exponitur Deum videns. domus autem mentis tota anima. Ipsa autem est vinea sacerrima diuinum germen fructum ferens virtutem. Sic quidem sane bene sentire, lætitiæ promptum, expeditum valde & splendidum. Quemadmodum dicit Moses, & Deum ipso non dedignatum fuisse vti: & tunc maxime, quando hominũ genus conuersum fuerit à peccatis insectat, inclinet autem & conuertat iustitiam sequens. [Reuertetur enim, inquit, Dominus Deus tuus, vt gaudeat super te in omnibus bonis: sicut gauisus est in patribus tuis: si tamen audieris vocẽ ipsius & custodieris præcepta eius & ceremonias, & iudicia quę in hoc libro scripta sunt.] Quis possit magis virtutis desideriũ aut probitatis: æmulationem ingenerare? Vis, inquit, ô mens Deũ lætari? lętare ipsa: & pretium quidem ne attuleris vllum (quis enim bonorum tuorum vsus est.) Sed contra quæcumque tibi dat bona, gaudens accipe. Dans enim, quando gratia digni sunt accipientes, lætatur. Si non existimas, quod reprehensibiliter viuẽtes, irritare & ad iram prouocare iustè dicantur: qui autem laudabiliter, nonne lætificare? verum patres quidem & matres mortales parentes nihil æquè ac liberorum exhilarant virtutes, permultorum indigentes existentes: Vniuersorum autem genitorem, tum nullius indigentem omnino nonne probitas dictorum? Cognoscens igitur, ô mens, quanta res sit ira Dei: quantum vero bonum lætitia Dei: nihil quidem eorum quæ sunt ira digna ad perniciem moueat te ipsam, sola autem per quæ Deum lætifices exerce. Hæc autem inuenies, non longas & non tritas vias transiens, aut maria non nauigabilia transfretans neque in terræ & maris absque respiratione cõtendens mõtes:

Ibid.

Esa. 5.

Deut. 30.

A τότε, οἱ δυνηθέντες ὅλον τὸ σοφίας στέλεχος βαστάσαι, κληματίδα μόνον καὶ βότρυν σταφυλῆς ἐκτέμνοντες ἦραν μετὰ χαρᾶς· σαφέστατον δεῖγμα, κουφότατον ἄχθος, βλάστημα καὶ καρπὸν ὁμοῦ καλοκἀγαθίας ἐπιδεικνύμενοι τοῖς διανοίας ὀξυδορκοῦσι· τὴν κληματίδα καὶ βοτρυοφόρον ἄμπελον ταύτης, ἧς μέρος τι λαβεῖν ἐδυνήθημεν, * εὐκόποις ὁμοιοῦσιν εὐφροσύνην. μαρτυρεῖ δέ μοι τις τῶν πάλαι προφητῶν, ὃς ἐπιθειάσας εἶπεν· ἀμπελὼν κυρίου

B παντοκράτορος οἶκος τοῦ Ἰσραήλ. ὁ μὲν Ἰσραὴλ, ἐστὶ νοῦς θεωρητικὸς θεοῦ τε καὶ κόσμου· καὶ γὰρ ἑρμηνεύεται θεὸν ὁρῶν. οἶκος δὲ διανοίας ὅλη ψυχή· αὕτη δὲ ἐστιν ἀμπελὼν ἱερώτατος, τὸ θεῖον βλάστημα καρποφοροῦν ἀρετήν. οὕτω μέντοι τὸ φρονεῖν εὖ, τὸ εὐφροσύνης ἐπίτομον μέγα καὶ λαμπρόν. ὥστε, φησὶ, Μωσῆς, καὶ θεὸν αὐτῷ μὴ ἀπαξιῶσαι χρῆσθαι· καὶ τότε μάλιστα, ὁπότε τὸ ἀνθρώπων γένος ἐκτρέπεται μὲν ἁμαρτημάτων,

C ἐπικλίνει δὲ καὶ ἐπιτρέπει πρὸς δικαιοσύνην, ἑκουσίῳ γνώμῃ φύσεως νόμοις καὶ θεσμοῖς ἑπόμενον. ἐπιστρέψει γὰρ, φησὶ, κύριος ὁ θεός σου εὐφρανθῆναι ἐπὶ σὲ, εἰς ἀγαθὰ, καθότι ηὐφράνθη ἐπὶ τοῖς πατράσι σου· ἐὰν εἰσακούσῃς τῆς φωνῆς αὐτοῦ, φυλάσσειν πάσας τὰς ἐντολὰς, καὶ τὰ δικαιώματα, καὶ τὰς κρίσεις τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου. τίς ἂν δύναιτο μᾶλλον ἀρετῆς ἵμερον ἢ καλοκἀγαθίας ζῆλον ἐμφῦσαι; βούλει, φησὶν, ὦ διάνοια, εὐφραίνεσθαι θεὸν; εὐφράνθητι αὐτὴ καὶ ἀνάλωμα

D μὲν μὴ εἰσενέγκῃς μηδὲν (τίνος γὰρ τῶν σῶν χρεία ἐστί;) ἀλλ' ἔμπαλιν ὅσα σοι δίδωσιν ἀγαθὰ, χαίρουσα δέξαι. διδοὺς γὰρ, ὅταν ἄξιοι χάριτος ὦσιν οἱ λαμβάνοντες, εὐφραίνεται. * εἰ μὴ νομίζεις, ὅτι οἱ μὲν ἐπαιτίως ζῶντες, παραπικραίνειν καὶ παροργίζειν ἐνδίκως λέγοιντ' ἂν θεὸν, οἱ δὲ ἐπαινετῶς, οὐχὶ εὐφραίνειν; ἀλλὰ πατέρες μὲν καὶ μητέρες αἱ θνητοὶ γονεῖς οὐδενὶ οὕτως, ὡς τέκνων εὐφραίνονται ἀρεταῖς, μυρίων ὄντες ἐνδεεῖς·

E τὸν δὲ τῶν ὅλων γεννητὴν, καὶ μηδενὸς ἐνδεᾶ τὸ παράπαν, οὐχ ἡ καλοκἀγαθία τῶν λεχθέντων; μαθοῦσα οὖν, ὦ διάνοια, ἡλίκον μέν ἐστιν ὀργὴ θεοῦ, ἡλίκον δὲ ἀγαθὸν εὐφροσύνη θεοῦ· μηδὲν μὲν τῶν ὀργῆς ἀξίων εἰς ὄλεθρον κινεῖν σεαυτῆς, μόνα δὲ δι' ὧν εὐφρανεῖς θεὸν ἐπιτήδευε. ταῦτα δὲ εὑρήσεις, οὐ μακρὰς καὶ ἀτριβεῖς διεξιοῦσα ὁδοὺς, ἢ ἄπλωτα πελάγη περαιουμένη, ἢ ἐπὶ τοὺς γῆς καὶ θαλάττης ἀπνευστὶ σπεύδουσα ὅρους·

ἐμμ.

A οὐ γὰρ πορρωτάτω διῴκισται, καὶ τῆς οἰκουμένης ἔξω πεφυγάδευται) ἀλλ' ἤ, φησι, Μωσῆς ἐγγὺς οὑτωσὶ τἀγαθὸν περιίδρυταί σοι, καὶ συμπέφυκε τρισὶ τοῖς ἀναγκαιοτάτοις μέρεσιν ἡρμοσμένον, καρδίᾳ, στόματι, χερσί· ὅ ἐστι, διανοίᾳ, λόγῳ, πράξεσιν· ἐπεὶ τὰ καλὰ καὶ φρονεῖν καὶ λέγειν καὶ ποιεῖν ἀναγκαῖον, συμπληρούμενα ἔκ τε εὐβουλίας καὶ εὐπραξίας καὶ εὐλογίας. λέγω μὲν οὖν τὸ δεύτερον εἶδος γαστριμαργίας πολυποσίαν ἐπιτηδεύοντι B τῷ ἀρχιοινοχόῳ, τί κακοπαθεῖς, ὦ ἀνόητε; δοκεῖς μὲν γὰρ τὰ ἀγωγὰ πρὸς εὐφροσύνην εὐτρεπίζεσθαι· τὸ δ' ἀληθὲς, ἀφροσύνης καὶ ἀκολασίας ἐξάπτεις φλόγα, πολλὴν αὐτῇ καὶ ἄφθονον ἐπιφέρων ὕλην. ἀλλ' ἴσως ἂν εἴποι, μή με προπετῶς αἰτιῶ, πρίν με σκέψασθαι. οἰνοχοεῖν ἐτάχθην, οὐ μὴν δὴ σωφροσύνην καὶ εὐσέβειαν καὶ τὰς ἄλλας ἀρετὰς κατεσκευασμένῳ· ἀλλ' ἀνδρὶ μάργῳ καὶ ἀκρατεῖ καὶ ἀδίκῳ καὶ ἐπὶ ἀσεβείᾳ μέγα φρο- C νοῦντι, ὃς ἐτόλμησέ ποτε εἰπεῖν· οὐκ οἶδα τὸν κύριον. ὡς εἰκότως ἐγὼ τὰ ἐκείνῳ δι' ἡδονῆς ἐπιτετήδευκα. μὴ θαυμάσῃς δὲ, ὅτι τοῖς ἐναντίοις ὁ θεὸς, καὶ ὁ ἀντίθεος νοῦς εὐφραίνεται Φαραώ. τίς οὖν οἰνοχόος θεοῦ; ὁ σπονδοφόρος, ὁ μέγας ὄντως ἀρχιερεὺς, ὃς τὰς τῶν ἀενάων χαρίτων λαβὼν προπόσεις, ἀντεκτείνει πλῆρες ὅλον τὸ σπονδεῖον, ἀκράτου μεθύσματος ἐπιχέων ἑαυτόν. ὁρᾷς οἰνοχόων διαφορὰς τοῖς θεραπευο- D μένοις ἀναλογούσας. διὰ τοῦτο ἐγὼ μὲν ὁ τοῦ Φαραὼ κατὰ τὰς ἀνέσεις ἐπιτεινομένου τὸν σκληραύχενα καὶ πάντων ἀκράτορα λογισμὸν εὐνοῦχός εἰμι, τὰ γεννητικὰ τῆς ψυχῆς ἐκτετμημένος· μετανάστης μὲν τῆς ἀνδρωνίτιδος, φυγὰς δὲ καὶ τῆς γυναικωνίτιδος· οὔτ' ἄρρεν, οὔτε θῆλυ· οὔτε προέσθαι, οὔθ' ὑποδέξασθαι σπορὰν δυνάμενος· ἀμφίβολος, οὐδέτερος, ἀνθρωπείου παράκομμα νομίσματος· ἄμοι- E ρος ἀθανασίας ἢ τέκνων ἢ ἐγγόνων διαδοχαῖς, αἷς ἀεὶ ζωπυρεῖται. συλλόγου καὶ ἐκκλησίας ἱερᾶς ἀπεσχοινισμένος· θλαδίαν γὰρ ἀποκεκομμένον ἄντικρυς διείρηται μὴ εἰσιέναι. ὁ δὲ ἀρχιερεὺς ἀλώμενος, ἔστιν ὁλόκληρος ἀνὴρ παρθένου (παραδοξότατον) οὐδέποτε γυναικωθείσης, ἀλλ' ἔμπαλιν τὰ γυναικεῖα κατὰ τὴν πρὸς τὸν ἄνδρα ὁμιλίαν ἐκλιπούσης. καὶ οὐκ ἀνὴρ μόνον ἐστὶν, ἀμιάντους καὶ παρθένους γνώμας σπείρειν ἱκανὸς, ἀλλὰ καὶ πατὴρ λόγων ἱερῶν·

A (neque enim longius dispersi sunt, & extra continentem in exilium acti) verum quidem ait Moses tam propè bonum erectum est tibi, congenitum Deut. 30. est, tribus omnino necessarijs partibus adaptatum, cordi, ori, manibus, hoc est menti, orationi, actionibus. Quandoquidem pulchra & sentire & dicere & facere necessarium, adimpleta recto consilio, prospero successu, & benedictione. Dico quidem igitur alteram speciem ingluuici, immodicam pota- B tionem exercenti pincernatum præfecto, quid laboras ô demens? putas enim quæ inuitant ad lætitiam parare, reuera autem insipientiæ & intemperantiæ accendis flammam, multam ipsi & copiosam adijciens materiam. Verum forte dixerit, ne temerè me accuses, priusquam me consideraris. Ad vinum fundendum ordinatus sum, minime quidem temperantia & pietate atque alijs virtutibus ornato, verum homini guloso, & intemperanti & in- C iusto, & de impietate magnificè sentienti, qui ausus est aliquando dicere: non noui Dominum: quam meritò ego ipsi hæc per voluptatem dicere institui. Ne mireris autem, quod contrarijs Deus, Deo autem aduersa mens lætatur Exod. 5. Pharao. Quis igitur Dei pincerna? ferens libamina, summus verè sacerdos, qui perennium gratiarũ sumens propinationes contendit plenum totum libatorium, pura ebrietate adfundens seipsum. Vides pincernarũ differentias mi- D nistrantibus respondentes. Propterea Gen. 40. ego quidẽ Pharaonis circa remissiones intendentis duræ ceruicis & omnium impotentem ratiocinationẽ eunuchus sum, cui animæ genitalia amputata sũt: exul quidem à cœtibus virorum, profugus autem à gynæceis, nec mas, nec fœmina, neque emittere, neque suscipere semen valẽs: antiquus, neque alius & adulteratum hominis numisma, expers immortalitatis, aut successionibus E liberorum aut posterorum, quibus semper suscitatur: ab hominum frequentia & cœtu sacro separatus: cui enim contusi & secti testiculi sunt, planè interdictum est ingredi. Summus autem sacerdos errans, est vir integer virgi- Leuit. 21. nis (quod admodum contra opinio- Deut. 23. nem communem est) nunquam mulieris factæ, sed contra muliebria iuxta congressum cum viro derelinquentis. & non vir solum hic, impollutas & virgines sententias seminare idoneus, sed & pater sermonum sacrorum,

quorum exploratores & inspectores rerum naturalium Elazar & Ithamar. (Leuit. 10.) Ministri autem Dei cœlestem flammam accendere & suscitare solicitati. terentes enim semper de sanctitate sermones, tanquam ex igniarijs diuinissimum pietatis genus resplendere faciunt. Horum autem dux simul & pater, non contingens portio sacri cœtus est. (Sed non capite conuocatus, non condensaretur vnquam anima, partium consilium omnino) præses & dispensator, opifex, qui & sine alijs solum ex seipso inspicere & quæque facere sufficiens, huic cum alijs exquisitus sermo, multus autem quando soli derelicto fit, forum iudiciale, omnis senatus, omnis populus, omnis turba, vniuersum hominum genus. magis autem si vera dicere oportet, contermina quædam Dei natura, hoc quidem minor, homine autem potior. (Leuit. 16.) [Quando enim inquit, ingressus fuerit in sancta sanctorum summus sacerdos, non erit homo.] quis igitur, nisi homo? vtrum Deus? haud dixerim. Huius enim nominis sortem sortitus est princeps prophetarum Moses, (Exod. 7.) quum adhuc esset in Ægypto, appellatus Pharaonis Deus: neque homo, sed vtriusque extremitates tanquam basim & caput contingens. Secundum quidem igitur genus vitis, quod lætitiæ acquisitum, & ex ipsa ebrietas, aut paruum & rectè consilium & hauriens pincerna ex diuino cratere, quem ipse Deus virtutibus impleuit ad labra vsque: ostendendum est: amentiæ autem & doloris & temulentiæ iam quidem certo modo, forma autem aliud efformatur. per alia dicta in cantico maiore. [Ex vite inquit Sodomorum vitis ipsorum, & sarmentum ipsorum ex Gomorrha vua ipsorum vua iræ, racemus amaritudinis ipsius, sed draconum vinum ipsorum, & venenum aspidum insanabile.] Vides, quanta dementiæ ebrietas efficiat: amarum, vitia, iracundiam, excandescentiam, intractabilitatem, mordacitatem, insidias. Expressius autem in sapientiæ conuiuium in Sodomis ait esse. Cæcitas autem aut sterilitas exponitur Sodoma: quandoquidem cæcum & bona non generans, insipientia. A qua solicitati quidam metiri, & ponderare & munerare omnia secundum ipsos voluerunt. Gomorrhæ, translatum, est mensura.

A ὧν οἱ μὲν ἐπίσκοποι καὶ ἔφοροι τῶν τῆς φύσεως πραγμάτων, Ἐλεάζαρ καὶ Ἰθάμαρ· οἱ δὲ λειτουργοὶ θεοῦ, τὴν οὐράνιον φλόγα ἀνακαίειν καὶ ζωπυρεῖν ἐπειγόμενοι. πείθοντες γὰρ ἀεὶ τοὺς περὶ ὁσιότητος λόγους, καθάπερ ἐκ πυρείων τὸ θεοειδέστατον εὐσεβείας γένος ποιοῦσιν ἐκλάμπειν. ὁ δὲ τούτων ὑφηγητὴς ὁμοῦ καὶ πατήρ, οὐχ ἡ τυχοῦσα μοῖρα τῆς ἱερᾶς ἐκκλησίας ἐστὶν (ἀλλ' οὐ χωρὶς σύγκλητος, οὐκ ἂν ἀθροισθείη ποτὲ τῶν τῆς ψυχῆς μερῶν βουλὴ τὸ παράπαν) ὁ πρόεδρος, ὁ πρύτανις, ὁ δημιουργός, ὁ καὶ χωρὶς ἄλλων μόνος ἐφ' ἑαυτοῦ σκοπεῖν τε καὶ περαίνειν ἕκαστα ἱκανός, ὅς σὺν ἄλλοις μὲν ἐξεταζόμενος ὀλίγος, πολὺς δὲ ὅταν μονωθῇ γίνεται, δικαστήριον, ὅλον βουλευτήριον, ὅλος δῆμος, ὅλος ὄχλος, σύμπαν ἀνθρώπων γένος. μᾶλλον δέ, εἰ τἀληθὲς εἰπεῖν δεῖ, μεθόριός τις θεοῦ φύσις, τοῦ μὲν ἐλάττων, ἀνθρώπου δὲ κρείττων. ὅταν γάρ, φησιν, εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεύς, ἄνθρωπος οὐκ ἔσται. τίς οὖν, εἰ μὴ ἄνθρωπος; ἆρά γε θεός; οὐκ ἂν εἴποιμι. τοῦ γὰρ τοῦ ὀνόματος τοῦδε κλῆρον ὁ ἀρχιπροφήτης ἔλαχε Μωσῆς, ἐπὼν ἐν Αἰγύπτῳ, προσρηθεὶς Φαραὼ θεός· οὔτε ἄνθρωπος, ἀλλ' ἑκατέρων ὡς ἂν βάσεως καὶ κεφαλῆς ἐφαπτόμενος. τὸ μὲν οὖν ἕτερον εἶδος ἀμπέλου, ὅπερ εὐφροσύνη κεκλήρωται, καὶ τὸ ἐξ αὐτῆς μέθυσμα, ἡ ἄκρατος εὐβουλία, καὶ ὁ ἀρυσάμενος οἰνοχόος ἐκ τοῦ θείου κρατῆρος, ὃν αὐτὸς ὁ θεὸς ἀρετῶν πεπλήρωκεν ἐπὶ χείλη, δεδήλωται. τὸ δὲ ἀνοίας καὶ λύπης καὶ παροινίας εἶδος μὲν ἔστι πῃ, τύπῳ* δὲ ἑτέρῳ ἐκτυποῦται διὰ τῶν ἑτέρων λεχθέντων ἐν ᾠδῇ τῇ μείζονι. ἐκ γὰρ ἀμπέλου φησὶ Σοδόμων ἡ ἄμπελος αὐτῶν καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας* αὐτῆς, θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. ὁρᾷς, ὅσα τὸ ἀφροσύνης μέθυσμα ἐργάζεσθαι· τὸ πικρόν, τὸ κακόηθες, τὸ ἀκρόχολον, τὸ περίθυμον, τὸ ἀνήμερον, τὸ δηκτικόν, τὸ ἐπίβουλον. ἐμφατικώτατα καὶ ἀφροσύνης ἔρανος ἐν Σοδόμοις φησὶν εἶναι. τύφλωσις δὲ ἢ στείρωσις ἑρμηνεύεται Σόδομα· ἐπειδὴ τυφλὸν καὶ ἄγονον καλῶν, ἀφροσύνη. ὑφ' ἧς ἀναπεισθέντες τινές, μετρεῖν καὶ σταθμᾶσθαι καὶ ἀριθμεῖν πάντα κατ' αὐτοὺς ἠξίωσαν, Γομόρρα μεταληφθέν, ἐστὶ μέτρον.

Margin: * ἴσως (beside τύπῳ); * [illegible] (beside πικρίας)

B C D E

Μωυσῆς δὲ σταθμὸν καὶ μέτρον καὶ ἀριθμὸν τῶν ὅλων ὑπέλαβεν εἶναι τὸν θεόν, ἀλλ' οὐ τὸν ἀνθρώπινον νοῦν. δηλοῖ δὲ διὰ τούτων, φάσκων· οὐκ ἔσται ἐν τῷ μαρσίππῳ σου στάθμιον καὶ στάθμιον μέγα ἢ μικρόν· οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον καὶ μέτρον μέγα ἢ μικρόν· στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι. ἀληθὲς δὲ καὶ δίκαιον μέτρον, τὸ τὸν μόνον δίκαιον θεὸν ὑπολαβεῖν πάντα μετρεῖν καὶ σταθμᾶσθαι, καὶ ἀριθμοῖς καὶ πέρασι καὶ ὅροις τὴν τῶν ὅλων περιγράψαι φύσιν. ἄδικον δὲ καὶ ψεῦδος, τὸ νομίσαι κατὰ τὸν ἀνθρώπινον νοῦν ταῦτα συμβαίνειν. ὁ δὲ εὐνοῦχος ἅμα καὶ ἀρχιοινοχόος τοῦ Φαραώ, τὸ ἀφροσύνης γεννητικὸν φυτὸν ἄμπελον φαντασιωθείς, προσαναζωγραφεῖ τρεῖς πυθμένας, ἵνα τὰς ἐν τῷ ἁμαρτάνειν κατὰ τοὺς τρεῖς χρόνους ἐσχάτας παρεμφήνῃ· πυθμὴν γὰρ τὸ ἔσχατον. ἐπειδὰν οὖν ἀφροσύνη πᾶσαν ψυχὴν ἐπισκιάσῃ καὶ κατάσχῃ, καὶ μηδὲν αὐτῆς ἄφετον μηδὲ ἐλεύθερον μέρος ἐάσῃ· οὐ μόνον ὅσα τῶν ἁμαρτημάτων ἰάσιμα, δρᾷν ἀναγκάζει, ἀλλὰ καὶ ὅσα ἀνίατα. τὰ μὲν οὖν θεραπείαν ἐνδεχόμενα, ῥᾷστα καὶ πρῶτα γράφεται· τὰ δὲ ἀθεράπευτα, παγχάλεπα καὶ ὕστατα, πυθμέσιν ἀναλογοῦντα, καὶ καθάπερ, οἶμαι, ἡ φρόνησις ἄρχεται μὲν ἀπὸ τῶν ἐλαττόνων ὠφελεῖν, λήγει δὲ εἰς τὰς ὑπερβολὰς τῶν κατορθωμάτων· τὸν αὐτὸν τρόπον καὶ ἡ ἀφροσύνη καταβιαζομένη τὴν ψυχὴν ἄνωθεν καὶ κατ' ὀλίγον ἀφισταμένη, παιδείας μακρὰν ὀρθοῦ λόγου διοικίζει, καὶ μέχρι τῶν ἐσχάτων καθαιρεῖ. τὸ δὲ ὄναρ ἐδήλου κατὰ τοὺς πυθμένας ἀνθοῦσαν καὶ βλαστάνουσαν καὶ καρποφοροῦσαν τὴν ἄμπελον. αὐτὴ γάρ, φησι, θάλλουσα, ἀνενηνοχυῖα βλαστούς, * περὶ ἣν βότρυες σταφυλῆς ἦσαν. [illegible] εἴθε ἀκαρπίᾳ χρῆσθαι καὶ μηδέποτε χλοηφορῆσαι, καὶ πάντα μεμαράνθαι τὸν αἰῶνα. τί γὰρ ἂν εἴη μεῖζον κακὸν, ἢ θαλλούσης καὶ ἐμφορούσης ἀφροσύνης; ἀλλὰ καὶ τὸ ποτήριον Φαραὼ (ἡ δεξαμενὴ τῆς ἀνοίας, καὶ παροινίας, καὶ τῆς παρὰ πάντα τὸν βίον ἀπαύστου μέθης) ἐν τῇ χειρί μου φησὶν εἶναι· ἴσον τῷ, ἐν ταῖς ἐμαῖς ἐγχειρήσεσι καὶ ἐπιβολαῖς καὶ δυνάμεσιν. οὐ γὰρ ἄνευ γε τῶν ἐμῶν ἐπινοιῶν διοδεύει τὸ πάθος ἐξ ἑαυτοῦ. ὥσπερ γὰρ ἐν μὲν ταῖς τοῦ ἡνιόχου χερσὶ τὰς ἡνίας εἶναι προσῆκεν, ἐν δὲ ταῖς τοῦ κυβερνήτου τοὺς οἴακας· μόνως γὰρ οὕτως κατορθοῦται δρόμος μὲν ἅρμασι, σκάφει δὲ πλοῦς· οὕτως ἐν τῇ χειρὶ καὶ δυνάμει τοῦ θαίπερ εἶδος τῆς γαστριμ-

A Moses autem amussim, mensuram, & numerum vniuersorum credidit & Deum, at non humanam mentem. Ostendit autem per hæc, dicens: [Non erit in sacculo tuo pondus & pondus magnum aut paruum non erit in domo tua mensura magna aut parua, pondus verum & iustum erit tibi.] vera autem & iusta mensura, solum iustum Deum credere omnia metiri & ponderare, & numeris & terminis & finibus vniuersorum circumscripsisse naturam. Iniquum autem & vanum existimare se- B cundùm humanam mentem hæc accidere. Eunuchus verò simul & præfectus pincernarum Pharaonis insipientiæ generatiuam plantam imaginatus appingit tres propagines, vti errando secundùm tria tempora, vltimas prætерea significet: propago enim vltimum. Vbi igitur insipientia omnis animam inumbrarit atque occuparit neque vllam ipsius partem nexu solutam & liberam siuerit esse, non solum quæcumque peccatis medicabilia. Quæ C quidem igitur curationem admittunt, facillima & prima scribuntur: quæ autem incurabilia, prorsus difficilia & postrema, propaginibus respondentia. Et quemadmodum, opinor, prudentia à minoribus iuuare incipit, desinit autem in exuperantias rectè factorum: eundem in modum & insipientia opprimens desuper animam, & paulatim recedens, longè rectæ rationis disciplina disperdit, & ad extremitates vsque euertit. Somnum autem osten- D dit secundum propagines florentem & germinantem & fructum ferentem vineam. Ipsa enim, inquit, [virescens, referens germina circa quam racemi vuarum erant.] Vtinam fructum aut gramen nullum vnquam tulisset, atque in perpetuum marcuissent omnia. Quodnam enim maius possit esse malum, quam virentis & implentis insipientiæ? Verum etiam Pharaonis poculum, amanti contumeliæ cisterna atque circa omnem vitam incessantis ebrietatis in manu mea est inquit. Per- E inde ac, in meis administrationibus & conatibus & viribus. neque enim absque meis cogitationibus rectè procedet affectus ex seipso. Quemadmodum enim in aurigæ manibus habenas esse conuenit, in gubernatoris autem clauū. Solo enim hoc modo dirigitur cursus quidem in curru, in naui autem nauigatio: sic in manu & potestate secundum

speciem in gluuiei fabricantis, ebrietatem, quæ intemperantis est repletio. Sed quid faciens sustinuit gloriari in negatione potius quam confessione in re digna? aut non erat melius non confiteri doctorem intemperantiæ esse, sed intemperanti fomites succendentes affectus intendere, tanquam inuentori & proprio colono in delicijs actæ & effœminatæ fœdissimæ vitæ. Sic verò habet insipientia, se ostentat in ijs pro quibus deberet contegi. nunc quidem non solum quod cisternam impotentis animæ poculum circumferre in manibus, & ostendere annuntiat: sed etiam in eo quod vuam in illud ipsum exprimat. Hoc autem est, expletiuum affectus formare, & occultum in lucem agere. Quemadmodum enim infantes appetentes alimentum, quando at tracturi sunt lac exprimunt & premunt mammam nutricis: sic fontem ex quo ebrietatis pluit malum, opifex intemperantiæ premit potenter, vti expressis fontibus alimento vtatur. Talis quidem nobis debacchans puro conuitium & delirium malum immedicabile scribatur. Affinem autem huic aqualiculum, & ipsum existentem voracitatis, & gulæ socium, quæ circa esum immodicæ admodum fabricantē rursum considerandum. Et sanè non multa opus est ad ipsius indaginem cura: est enim expressum simulacrum simillimum ipsius effigiei visum somniū. Accuratius illum ipsum examinantes, tanquam expressionem in speculo videamus. [Videbam enim inquit tria canistra farinæ tollere super caput meū.] Caput quidem igitur allegoricè dicētes dicimus esse animæ ducem mentē, insita autem omnia ipsi esse. etenim exclamauit aliquādo super illum, Propter me facta sunt hæc omnia. Quum ornasset igitur missum eorū quæ fabricatus at contra ventrem miserū, ostendit etiā & gerentem canistrum demens: non pudore afficitur tanto grauatus, triplici malum oneri. Hoc verò est tribus temporis partibus: voluptatē enim qui eius choros simul exercēt ex memoria præteritarum delectationum; & fruitione præsentium, tum verò spe futurorum constare. Adeo vt tria canistra tribus temporis partibus assimilata sint, quæ autem impositæ erant canistris placentæ vnicuique partium accommodantibus, præteritorū recordationibus, præsentium participationibus, futurorum

Gen. 40.

Ibid.

A γίας τεχνιτεύοντος οἰνοφλυγίαν, ἣ τοῦ ἀκράτου ἐστὶν* ἡ πλήρωσις. ἀλλὰ τί παθὼν ὑπέμεινεν αὐχεῖν ἐπ' ἀρνήσεως μᾶλλον, ἢ ὁμολογίας ἐπ' ἀξίῳ πράγματι; ἢ οὐκ ἄμεινον ἦν μὴ οὐχ ὁμολογεῖν διδάσκαλον ἀκρασίας εἶναι, ἀλλὰ τῷ ἀκρατεῖ τὰ ὑπεκκαύματα τοῦ πάθους ἐπιτατεῖναι, ὡς εὑρετῇ καὶ αὐτουργῷ τεθρυμμένου καὶ κατεαγότος αἰσχίστου βίου. τοιοῦτον δ' ἐστὶν, ἀφροσύνη σεμνύνεται ἐφ' οἷς εἰκὸς ἐγκαλύπτεσθαι. νυνὶ μὲν οὐ μόνον ἐπὶ
B τῷ τὴν δεξαμενὴν τῆς ἀκράτορος ψυχῆς τὸ ποτήριον περιφέρειν ἐν ταῖς χερσὶ καὶ ἐπιδείκνυσθαι πᾶσιν ἀγγέλλεται· ἀλλὰ καὶ ἐπὶ τῷ τὴν σταφυλὴν εἰς ταυτὸ ἐκθλίβειν· ὃ δή ἐστι, τὸ ἐκπληρωτικὸν τοῦ πάθους δημιουργεῖν, καὶ κεκρυμμένον εἰς φῶς ἄγειν. ὡς γὰρ τὰ βρέφη γλιχόμενα τροφῆς, ὁπότε μέλλοι σπᾶν τοῦ γάλακτος, ἐκθλίβει, καὶ πιέζει τὸν μαστὸν τῆς τρεφούσης· οὕτω τὴν πηγὴν, ἀφ' ἧς τὸ οἰ-
C νοφλυγίας ἔμβρεχε κακὸν, ὁ δημιουργὸς τῆς ἀκρασίας πιέζει καρτερῶς, ἵνα ταῖς ἐκθλιβομέναις λιβάσιν ἥδιστα τῇ τροφῇ χρῷτο. τοιοῦτος μὲν ἡμῖν ὁ βεβακχευμένος ἀκράτῳ παροίνιον καὶ παράληρον κακὸν ἀνίατον γραφέσθω. τὸν δὲ συγγενῆ τούτου γάστρωνα, καὶ αὐτὸν ὄντα πολυφαγίας καὶ λαιμαργίας ἑταῖρον, τὰ περὶ ἐδωδὴν ἀκράτως τεχνιτεύοντα, πάλιν ἐπισκεπτέον. καί τοι οὐ πολλῆς δεῖ πρὸς τὴν θήραν αὐτοῦ φροντίδος· ἔστι
D γὰρ ἐκμαγεῖον ἐμφερέστατον αὐτοῦ τῆς εἰκόνος ὁ φανεὶς ὄνειρος. ἀκριβωσάμενοι αὐτὸν ἐκεῖνον, ὥσπερ ἔμφασιν ἐν κατόπτρῳ θεασώμεθα. ᾤμην γάρ, φησι, τρία κανᾶ χονδριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου. κεφαλὴν μὲν τοίνυν ἀλληγοροῦντες, φαμὲν εἶναι ψυχῆς τὸν ἡγεμόνα νοῦν, ἐπικεῖσθαι δὲ τούτῳ πάντα. καὶ γὰρ ἐξεφώνησέ ποτε * ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα. στειλάμενος τῶν πεμμάτων ὧν ἐτεχνίτευσε κατὰ γα-
E στρὸς τῆς ταλαίνης, ἐπιδείκνυται καὶ κανηφορῶν ὁ ἀνόητος· οὐκ αἰδεῖται τοσούτῳ βαρυνόμενος, τριπλῷ* κακῷ ἄχθει. τοῦτο δ' ἐστὶ τρισὶ χρόνου μέρεσι. τὴν γὰρ ἡδονὴν οἱ θιασῶται φασὶν αὐτῆς ἔκ τε μνήμης τῶν παρεληλυθότων τερπνῶν, καὶ ἐξ ἀπολαύσεως τῶν ἐνεστηκότων, καὶ ἐξ ἐλπίδος τῶν μελλόντων συνεστάναι, ὥστε τὰ τρία κανᾶ τοῖς τρισὶ τοῦ χρόνου μέρεσιν ἐξωμοιῶσθαι, τὰ δ' ἐπὶ τῶν κανῶν πέμματα τοῖς ἑκάστου τῶν μερῶν ἐφαρμόζειν· παρεληλυθότων μνήμαις, ἐνεστώτων μετουσίαις, μελλόντων προσδοκίαις,

ὑπεκπίπτεις

ἀεὶ νῦν

κακῷ

τὸν δὲ βαστάζοντα ταῦτα πάντα, τῷ φιληδόνῳ, ὃς οὐκ ἀφ' ἑνὸς γένους ἀκρασίας, ἀλλ' ἀπὸ πάντων σχεδὸν εἰδῶν καὶ γενῶν τῆς ἀκολασίας ἄσπονδον καὶ φιλίων ἄλλων ἐπιδεᾶ τράπεζαν ἐκπεπλήρωκεν· ἧς ἀπολαύει μόνος ὥσπερ ἐν δημοθοινίᾳ ὁ βασιλεὺς Φαραώ, * σποράν καὶ σκέδασιν καὶ φθορὰν ἐγκρατείας ἐπιτετηδευμένος. ἑρμηνεύεται γὰρ σκεδασμός. ἔστι δὲ τὸ ὑπερβολικὸν καὶ βασιλικὸν αὐτῷ οὐκ ἐπὶ τοῖς εἰκόσι σωφροσύνης ἀγαθοῖς ἀγάλλεσθαι, ἀλλ' ἐν οἷς ἀπτικὸς βωμολοχίας ἐπιτηδεύμασι σεμνύνεσθαι, πρὸς ἀπληστίαν καὶ λαιμαργότητα, καὶ τὸ ἁβροδίαιτον ἐξοκείλαντι. τοιγάρτοι τὰ πτηνά, τουτέστιν αἱ ἐπιπετόμεναι ἔξωθεν ἀτέκμαρτοι συντυχίαι, πάντα πυρὸς τρόπον ἐπιδραμοῦνται καὶ ἀναφλέξουσι καὶ τῇ παμφάγῳ δυνάμει καταναλώσουσιν, ὡς μηδὲ λείψανον γοῦν ὑπολείπεσθαι πρὸς ἀπόλαυσιν τῷ κανηφοροῦντι, ὃς ἤλπισε τὰς εὑρέσεις καὶ τὰς ἐπινοίας τοῦ μέχρι παντὸς αἰῶνος εἴσειν ἀναφαιρέτους ἐν βεβαίῳ. χάρις δὲ τῷ νικηφόρῳ θεῷ, ὃς ἀτελεῖς τὰς εἰς ἄκρον πεπονημένας σπουδὰς τοῦ φιλοπαθοῦς ἐργάζεται, πτηνὰς φύσεις ἐπιπέμπων ἀοράτως πρὸς ἀναίρεσιν καὶ φθορὰν αὐτῶν. περισυλληφθεὶς οὖν ὁ νοῦς ἃς ἐδημιούργησεν, ὥσπερ τὸν αὐχένα ἀποτμηθείς, ἀκέφαλος καὶ νεκρὸς ἀνευρεθήσεται, προσηλωμένος ὥσπερ οἱ ἀνασκολοπισθέντες αὐτῷ ξύλῳ τῆς ἀπόρου καὶ πτωχῆς ἀπαιδευσίας. ἕως μὲν γὰρ μηδὲν λυμαίνεται τῶν ἐξαπιναίως εἰωθότων ἀπροοράτως ἐπιφοιτᾶν, εὐοδεῖν δοκοῦσιν αἱ πρὸς ἀπόλαυσιν ἡδονῆς τέχναι· κατασκηψάντων δ' ἐκ τοῦ ἀφανοῦς ἀνατρέπονται, καὶ ὁ δημιουργὸς αὐταῖς συνδιαφθείρεται. τὰ μὲν οὖν τῶν διῃρημένων τὸ γεύσεως ἐργαστήριον ἐν ἑκατέρῳ τροφῆς εἴδει, πόσεώς τε καὶ βρώσεως, οὐχὶ τῆς ἀναγκαίας, ἀλλὰ περιττῆς καὶ ἀκράτορος, ὀνείρατα δεδήλωται. τὰ δὲ τούτων καὶ τῶν ἄλλων, ὅσαι ψυχῆς δυνάμεις, βασιλεύειν δοκοῦντος ὀνείρατα Φαραώ, κατὰ τὸ ἀκόλουθον αὐτίκα διερευνητέον. ἐν γὰρ τῷ ὕπνῳ μου, φησίν, ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον βόες ἑπτὰ ἐκλεκταὶ ταῖς σαρξὶ καὶ καλαὶ τῷ εἴδει καὶ ἐνέμοντο ἐν τῷ * ἄχει. καὶ ἰδοὺ ἕτεραι ἑπτὰ βόες ἀνέβαινον ὀπίσω αὐτῶν ἐκ τοῦ ποταμοῦ πονηραὶ καὶ αἰσχραὶ τῷ εἴδει, καὶ λεπταὶ ταῖς σαρξίν, οἵας οὐκ εἶδον τοιαύτας ἐν ὅλῃ τῇ Αἰγύπτῳ αἰσχροτέρας. καὶ κατέφαγον αἱ βόες αἱ λεπταὶ

* διασποράν.

* ἕλει.

exspectationibus. Gerentem autem hæc omnia, amanti voluptatum, tanquam non ab vno genere intemperantiæ, sed ab omnibus ferè speciebus & generibus incontinentiæ infidam & amicorum solum indigentem mensam adimpleuit: qua fruitur solus tanquam in epulo rex Pharao, dispersionem, & dissipationem, interitum continentiæ instituens. Exponitur enim, dissipatio. Est autem magnificum & regium ipsi, non prudentiæ bonis simulacris lætari, sed in quibus indecens scurrilitatis studijs gloriari, ad insatietatem & voracitatem, & mollitiem impingenti. Proinde volucres, hoc est circumuolantes externè improuisi casus, omnia ignis in modum incurrunt & inflammabunt, & omniiura vi consument adeo vt ne vllas quidem reliquias subrelinquant ad fruitionem canistra ferenti, qui sperauit inuentiones & cogitationes vsque in sempiternum se laturum in tuto vt non auferantur. Gratia autem victori Deo, qui imperfecta in summum facta studia eius qui amat affectus, efficit, volucres naturas immittens inuisibiliter ad euersionem & interitum ipsorum. Circum colligens igitur mens quæ formauit, tanquam si collum amputata fuerit, sine capite & mortua inuenietur, affixa tanquam in ipso ligno suspensi inopis & vilis inscitiæ. Donec enim nihil labefactat eorum quæ subito solent improuise superuenire, facili via ferri videntur ad voluptatis fruitionem artes: emergentibus autem de improuiso, mutantur, & opifex vna cum ipsis gustus ergastulum in vtraque alimenti specie, potus. & cibi, nequaquam necessarij, verum superflui & impotentis, somnia declarata sunt. Horum autem atque aliorum, quot animæ vires. regnare credentis somnia Pharaonis, secundum consequentiam statim perscrutandum est. [In somno autem meo, inquit, putabam me stare ad ripam fluuij, & quemadmodum ex fluuio ascendebant boues septem præstantes carnibus & pulchræ visu, & pascebant in palustribus locis. Et ecce aliæ septem boues ascendebant post ipsas ex fluuio, pessimæ, & fœdæ aspectu. & tenues carnibus quales non vidi in tota Ægypto fœdiores. & deuorarunt boues tenues

Gen. 41.

& fœdæ septem boues priores pulchras & electas, & ingressæ sunt in ventres ipsarum, & aspectus ipsarum fœdi, vti initio dixi. Expergefactus autem, dormiui, & rursus vidi in somno meo, & quomodo septem spicæ ascendebant in culmo vno plenæ atque formosæ: aliæ autem septem spicæ tenues & percussæ vredine oriebantur sequentes: & deglutierunt septem spicæ formosas & plenas.] vides quidem certe exordium sui amantis, qui vincibilis & flexibilis & mutabilis existens, secundum corpus & animam, ait, [Putabam stare: & non secum ipse reputauit quod soli Deo immotum & firmum esse proprium est, & si quis ipsi amicus. Immotæ quidem circa ipsum facultatis certissima fides hic mundus semper secundum pro eadem & similiter habens. Quando autem mundus stabilis: quomodo opifex non firmus? deinde nihilominus & verissimi testes sacra oracula: dicitur enim ex facie Dei: hic ego constitui te, priusquam tu super petram habitares. Perinde ac sic ego apparens & hîc existens, ibi sum & vbique, implens omnia, stans in eodem & manens immutabilis, qui est prius quàm tu in eorum qui sunt generationem venires, qui supra summum & antiquissimum virium initium videns ex qua eorum qui sunt generatio pluit & sapientiæ inundauit latex. [Ego enim sum educens de petra prærupta fontem aquæ,] alibi dictum est. Testatur autem Moses quod Deus non sit mutabilis, dicens: vidi locum in quo stetit Deus Israel, immutabilitatem per stationem & erectionem innuens. Verum enim tanta in Deo est stabilitatis exuperantia, vt & eximijs naturis munitionem tanquam optimam possessionem communicet. Mox verò plenum gratiarum fœdus suum ipsius (lex autem est, & verbum) eorum qui sunt antiquissimum tanquam fundamenti iustæ animæ simulacrum diuinum solidè erigere, inquit, postquam dixit Noë [statuam fœdus meum ad te.] Significat prætereà duo alia verum quidem, quod iustitia non differt à fœdere Dei: alterum vero, quod alij quidem conferunt differentia ab accipientibus: Deus autem, non solum hæc, sed illos ipsos sibi ipsis. me enim mihi donauit, & vnumquemque eorum qui

Deut. 8. · Gen. 9.

A καὶ αἰσχραὶ τὰς ἑπτὰ βόας τὰς προτέρας τὰς καλὰς καὶ ἐκλεκτὰς, καὶ εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν, καὶ αἱ ὄψεις αὐτῶν αἰσχραί, καθὰ καὶ τὴν ἀρχὴν εἶπον. ἐξεγερθεὶς δὲ ἐκοιμήθην· καὶ εἶδον πάλιν ἐν τῷ ὕπνῳ μου, καὶ ὡς ἑπτὰ στάχυες ἀνέβαινον ἐν πυθμένι ἑνὶ πλήρεις καὶ καλοί· ἄλλοι δὲ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο ἐχόμενοι. καὶ κατέπιον οἱ ἑπτὰ στάχυες τοὺς καλοὺς καὶ τοὺς πλήρεις. ὁρᾷς μὲν δὴ τὰ προοίμια τοῦ φιλαύτου, ὃς κλιτὸς καὶ στρεπτὸς καὶ μεταβλητὸς ὤν, κατά τε σῶμα καὶ
B ψυχήν φησιν ὤμην ἑστάναι· καὶ οὐκ ἐλογίσατο ὅτι μόνῳ θεῷ τὸ ἀκλινὲς καὶ παγίον ἐστὶν οἰκεῖον, καὶ εἴ τις αὐτῷ φίλος. τῆς μὲν ἀκλινοῦς περὶ αὐτὸν δυνάμεως σαφεστάτη πίστις ὅδε ὁ κόσμος, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων. ὁπότε δὲ ὁ κόσμος ἀρρεπής· ὁ δημιουργὸς πῶς οὐ βέβαιος; εἶτα μέντοι καὶ οἱ ἀψευδέστατοι μάρτυρες ἱεροὶ χρησμοί· λέγεται γὰρ ἐκ προσώπου τοῦ θεοῦ· ὧδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ
C σε ἐπὶ τῆς πέτρας ἐγχωρεῖν. ἴσον τῷ. οὗτος ἐγώ, ὁ ἐμφανὴς καὶ ἐνταῦθα, ὤν, ἐκεῖ τέ εἰμι καὶ πανταχοῦ, πεπληρωκὼς τὰ πάντα, ἑστὼς ἐν ὁμοίῳ, καὶ μένων ἄτρεπτος, ὢν πρινὴ σε ἐπὶ τὴν ὄντων εἰς γένεσιν ἐλθεῖν, ἐπὶ τῆς ἀκροτάτης καὶ πρεσβυτάτης ὁρώμενος δυνάμεως ἀρχῆς, ἀφ' ἧς ἡ τῶν ὄντων γένεσις ὤμβρησε καὶ τὸ σοφίας ἐπλήμμυρε νᾶμα. ἐγὼ γάρ εἰμι ὁ ἐξαγαγὼν ἐκ πέτρας ἀκροτόμου
D πηγὴν ὕδατος, ἐν ἑτέροις εἴρηται. μαρτυρεῖ δὲ καὶ Μωσῆς περὶ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον, φάσκων· εἶδον τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ. τὸ μὴ μεταβάλλειν διὰ τῆς στάσεως καὶ ἱδρύσεως αἰνιττόμενος. ἀλλὰ γὰρ τοσαύτη περὶ τὸ θεῖόν ἐστιν ὑπερβολὴ τοῦ βεβαίου, ὥστε καὶ ταῖς ἐπιλελεγμέναις φύσεσιν ἐχυρότητος ὡς ἀρίστου κτήματος μεταδίδωσιν. αὐτίκα δέ τι τὴν πλήρη χαρίτων διαθήκην ἑαυτοῦ (νόμος δ' ἐστὶ καὶ λόγος) τῶν ὄντων ὁ πρεσβύτατος ὡς ἐπὶ
E βάσεως τῆς τοῦ δικαίου ψυχῆς ἄγαλμα θεοειδὲς ἱδρύσεσθαι παγίως, φησίν, ἐπειδὰν λέγῃ τῷ Νῶε· στήσω τὴν διαθήκην μου πρὸς σέ. παρεμφαίνει δὲ καὶ δύο ἕτερα. ἓν μέν, ὅτι τὸ δίκαιον ἀδιαφορεῖ διαθήκης θεοῦ· ἕτερον δέ, ὅτι οἱ μὲν ἄλλοι χαρίζονται τὰ διαφέροντα τῶν λαμβανόντων· ὁ δὲ θεός, οὐ μόνον ταῦτα, ἀλλὰ αὐτοὺς ἐκείνους ἑαυτοῖς. ἐμὲ γὰρ ἐμοὶ δεδώρηται, καὶ ἕκαστον τῶν ὄντων ἑαυτῷ.

A τὸ γάρ, στήσω τὴν διαθήκην μου πρὸς σέ, ἴσον ἐστὶ τῷ· σοὶ δωρήσομαι. σπουδάζουσι δὲ καὶ πάντες οἱ θεοφιλεῖς, τὸν φιλοπραγμοσύνης χειμῶνα ἀποδιδράσκοντες, ἐν ᾧ σάλος καὶ κλύδων ἀεὶ κυκᾶται, τοῖς τῆς ἀρετῆς εὐδίοις καὶ ἀσφαλεστάτοις ἐνορμίζεσθαι λιμέσιν. οὐχ ὁρᾷς οἷα περὶ Ἀβραὰμ λέγεται τοῦ σοφοῦ, ὅς ἐστιν ἑστὼς ἐναντίον κυρίου. πότε γὰρ εἰκὸς δύνασθαι στῆναι διάνοιαν, μηκέθ' ὡς ἐπὶ τρυτάνης ταλαντευομένην, ἢ ὅτε ἀντικρύς ἐστι θεοῦ B ὁρῶσά τε καὶ ὁρωμένη. διχόθεν γὰρ αὐτῇ τὸ ἀρρεπές, ἐκ μὲν τοῦ ὁρᾶν τὸν ἀσύγκριτον, ὅτι ὑπὸ τῶν ὁμοίων πραγμάτων οὐκ ἀνθέλκεται· ἐκ δὲ τοῦ ὁρᾶσθαι, ὅτι ἣν ἀξίαν ἔκρινεν εἰς ὄψιν ὁ ἡγεμὼν τὴν ἑαυτοῦ ἀρίστῳ, μόνῳ προσεκλήρωσεν αὐτῷ. καὶ Μωσεῖ μέντοι τὸ θεοπρόπιον ἐχρήσθη τοιόνδε· σὺ αὐτοῦ στῆθι μετ' ἐμοῦ. δι' οὗ τὰ λεχθέντα ἄμφω παρίσταται, τό, τε μὴ κλίνεσθαι τὸν ἀστεῖον, καὶ ἡ τοῦ ὄντος περὶ πάντα βεβαιότης. καὶ γὰρ τῷ ὄντι τῷ θεῷ συνεγγί- C ζον οἰκειοῦται, κατὰ τὸ ἄτρεπτον αὐτοστατοῦν. καὶ ἠρεμήσας ὁ νοῦς, ἡλίκον ἐστὶν ἀγαθὸν ἠρεμία, σαφῶς ἔγνω· καὶ θαυμάσας αὐτῆς τὸ κάλλος, ὑπέλαβεν, ὅτι ἢ θεῷ μόνῳ προσκεκλήρωται, ἢ τῇ μεταξὺ φύσει θνητοῦ καὶ ἀθανάτου γένους. φησὶ γοῦν· κἀγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑμῶν. οὐχὶ τοῦτο δηλῶν, ὅτι ἐπὶ τῶν ἑαυτοῦ ποδῶν ἠρήρειστο· ἀλλ' ἐκεῖνο βουλόμενος ἐμφῆναι, ὅτι ἡ τοῦ σοφοῦ διάνοια χειμώνων μὲν καὶ πολέμων ἀπαλλαγεῖ- D σα, νηνέμῳ δὲ γαλήνῃ καὶ βαθείᾳ εἰρήνῃ χρωμένη. κρείττων μέν ἐστιν ἀνθρώπου, θεοῦ δὲ ἐλάττων. ὁ μὲν γὰρ ἀγελαῖος ἀνθρώπειος νοῦς σείεται, καὶ κυκᾶται πρὸς τῶν ἐπιτυχόντων· ὁ δ' * [margin: ἀπ] αὖτε μακάριος καὶ εὐδαίμων, ἀμέτοχος κακῶν. μεθόριος δὲ ὁ ἀστεῖος· ὡς κυρίως εἰπεῖν, μήτε θεὸν αὐτὸν εἶναι, μήτε ἄνθρωπον, ἀλλὰ τῶν ἄκρων ἐφαπτόμενον, ἀνθρωπότητι μὲν θνητοῦ γένους, ἀρετῇ δὲ ἀφ- E θάρτου. τούτῳ παραπλήσιόν ἐστι καὶ τὸ χρησθὲν λόγιον ἐπὶ τοῦ μεγάλου ἱερέως· ὅταν γάρ, φησιν, εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων ἄνθρωπος οὐκ ἔσται, ἕως ἂν ἐξέλθῃ. εἰ δὲ μὴ γὰρ τότε ἄνθρωπος, δηλονότι οὐδὲ θεός, ἀλλὰ λειτουργὸς θεοῦ· κατὰ μὲν τὸ θνητὸν γένεσι· κατὰ δὲ τὸ ἀθάνατον οἰκειούμενος τῷ ἀγενήτῳ. τὴν δὲ μέσην τάξιν εἰληχέναι, ὡς ἂν ἐξέλθῃ πάλιν εἰς τὰ τοῦ σώματος καὶ τῆς σαρκὸς οἰκεῖα.

sunt sibi ipsi: Illud enim, [Statuam fœdus meum ad te.] perinde est, ac tibi dabo. Student verò & omnes Dei amantes curiositatis tempestatem fugientes, in qua commotio & fluctus semper agitatur, virtutis tranquillissimos & nauium continentissimos portus occupare. Non vides qualia de Abraham sapiente dicuntur, qui est stans coram Domino. (Gen. 18.) aliquando enim conueniens posse sistere mentem, ne tanquam in trutina huc atque illuc agitetur aut quando planè est Deum videns, & videtur à Deo. demonstrata enim ipsi stabilitas, ex eo quod videt dissimilem, quoniam non à similibus rebus retrahitur: ex eo autem quod videtur, quoniam quam dignam iudicauit ad visum dux sibi soli optimo addixit. Mosi tamen oraculum redditum est. [tu ibi sta mecum.] (Deut. 5.) per quod vtraque dicta apparent. tum non moueri vrbanum. & eius qui existit circa omnia confirmator, Existenti enim, quod Deo appropinquat, conciliat, secundum immutabile in eodem permanere. Et quiescens mens, quantum bonum sit quies certo nouit: & admirans suam pulchritudinem, credit quod Deo soli addicta est, aut illi quæ inter mortale & immortale genus media est natura. Ait igitur. [Et ego steti per medium Domini & vestri.] (Deut. 10.) nequaquam hoc significans, quod super suos ipsius pedes stabilitus fuit: Sed hoc volens amplius significare, quod sapientis mens tempestatibus quibus & bellis liberata, tranquillitate & serenitate & alta pace fruens, potius enim hominis est, Dei autem minus. Mens enim humana societate gaudens fertur & agitatur à quibuslibet. Rursus autem beata & felix, expers malorum. Medius autem vrbanus: vt propriè dixeris, neque Deum ipsum esse, neque hominem, sed summitates attingentem, humanitate quidem mortale genus, virtute autem immortale. Huic proximum est redditum oraculum de magno sacerdote (Leuit. 16.) (Quum enim ait ingressus fuerit in sancta sanctorum? non erit homo, donec egressus fuerit.) Nisi verò tunc est homo, nimirum neque Deus, sed Dei minister secundum mortale, generationi. Secundum autem immortale, concilians non generato. Medium autem ordinem adeptum esse, vti quum egressa fuerit rursus in ea quæ corporis sunt & carnis propria

A Atque ita comparatum est, quando quidem ex amore Dei coërcita mens, contendens se ipsam vsque ad penetralia, impetu & diligentia omni vtens progreditur numine afflata. Oblita est autem aliorum, oblita etiam sui ipsius, solius meminit, & pendet ab eo qui ipsam tuetur & curat. cui sacras & intactas consecrans virtutes suffit. Postquam autem surrexerit furens, & multum desiderium remiserit, rursum deficiens à diuinis, fit homo, in humana incidens, cui in vestibulis insi- B diatur, vt solum illud prospiciens intus diripiat. Perfectum quidem igitur, neque Deum, neque: hominem describit Moses: sed, vt dixit, medium inter non generatam & mortalem naturam. Proficientem porrò, in intermedia regione viuentium & mortuorum collocat: bonos viuentes quidem, cum prudentia consuetudinem habentes: mortuos autem insipientia C gaudentes. Dicitur enim de Aaron quod [stetit in medio mortuorum & viuentium & cessauit ruptura.] (Num. 16.) proficiens enim, neque in mortuis neque in viuentibus virtutis vitam exquirit, desiderium boni atque æmulationem habens: neque in ijs qui cum summa & perfecta felicitate viuunt. Adhuc enim ad finem indiget: verum vtraque attingit. Idcirco & proprie adijcitur, [cessauit ruptura.] Cessant enim in perfectis circum vulnerantia & frangentia & perfringentia animam: D minuentur autem in proficientibus, tanquam hoc solum propulsantia & deuitantia. Stationis igitur atque erectionis atque in vno eodémque circa immutabile & immotum in perpetuum solam primum quidem circa ens existentis, deinde circa entis verbum quod pactum vocauit, tertium autem circa sapientem & quartum circa proficientem: aliquid patiens malus, at- E que omnibus execrationibus obnoxia mens, putauit solam se posse stare, lata tanquam in diluuio & deorsum tracta influentibus per mortuum ferens corpus vorticibus alternis. (Putabam enim inquit, stare ad ripam fluuii.) (Gen. 41.) sermonem verò symbolicè fluuium esse dicimus: siquidem vterque extra fertur, & fluens robusta vtitur celeritate. Et tum quidem infundit. hic quidem aquam, hic verò verba & nomina. Quum vero aridus est remittens & subsidens, & iuuant

A καὶ πέφυκεν οὕτως ἔχειν, ὅταν μὲν ὑπ' ἔρωτος θείου κατασχεθεὶς ὁ νοῦς, συντείνας ἑαυτὸν ἄχρι τῶν ἀδύτων, ὁρμῇ καὶ σπουδῇ πάσῃ χρώμενος προέρχηται θεοφορούμενος. ἐπιλέλησται μὲν τῶν ἄλλων, ἐπιλέλησται δὲ καὶ ἑαυτοῦ· μόνου μέμνηται καὶ ἐξήρτηται τοῦ δορυφορουμένου, καὶ θεραπευομένου, ᾧ τὰς ἱερὰς καὶ ἀναφεῖς καθαγιάζων ἀρετὰς ἐκθυμιᾷ. ἐπειδὰν δὲ στῇ * ἐνθουσιῶδες, (ἐνθουσιώδης.) καὶ ὁ πολὺς ἵμερος χαλάσῃ, παλινδρομήσας ἀπὸ τῶν θείων· ἄνθρωπος γίνεται, τοῖς B ἀνθρωπίνοις ἐντυχών. ἅπερ ἐν τοῖς προπυλαίοις ἐφήδρευεν ἵν' αὐτὸν μόνον ἐκκύψαντα ἔνδοθεν ἐξαρπάσῃ. τὸν μὲν οὖν τέλειον, οὔτε θεὸν οὔτε ἄνθρωπον ἀναγράφει Μωσῆς· ἀλλ' ὡς ἔφη, μεθόριον τῆς ἀγενήτου καὶ φθαρτῆς φύσεως. τὸν δὲ προκόπτοντα πάλιν, ἐν τῇ μεταξὺ χώρᾳ ζώντων καὶ τεθνηκότων τάττει. ζῶντας μὲν καλῶν, τοὺς συμβιοῦντας φρονήσει· τεθνηκότας δὲ, τοὺς ἀφροσύνῃ χαίροντας. λέ- C γεται γὰρ ἐπὶ Ἀαρών· ὅτι ἔστη ἀνὰ μέσον τῶν τεθνηκότων, καὶ τῶν ζώντων· καὶ ἐκόπασεν ἡ θραῦσις. ὁ γὰρ προκόπτων, οὔτε ἐν τοῖς τεθνηκόσι τὸν ἀρετῆς βίον ἐξετάζεται, πόθον καὶ ζῆλον ἔχων τοῦ καλοῦ, οὔτε ἐν τοῖς μετὰ τῆς ἄκρας καὶ τελείας ζῶσιν εὐδαιμονίας. ἔτι γὰρ πρὸς τὸ πέρας ἐνδεῖ· ἀλλ' ἑκατέρων ἐφάπτεται. διὸ καὶ κυρίως ἐπιλέγεται τὸ, ἐκόπασεν ἡ θραῦσις, ἀλλ' οὐκ ἐπαύσατο. παύεται D μὲν γὰρ ἐπὶ τῶν τελείων τὰ περιθραύοντα καὶ κατακλῶντα καὶ καταγνύντα τὴν ψυχήν. μειοῦται δ' ἐπὶ τῶν προκοπτόντων, ὡς ἂν αὐτὸ μόνον ἀνακοπτόμενα καὶ στελλόμενα. τῆς οὖν στάσεως καὶ ἱδρύσεως καὶ τῆς ἐν ταὐτῷ κατὰ τὸ ἀμετάβλητον καὶ ἄτρεπτον εἰσαεὶ μονῆς, πρῶτον μὲν ὑπαρχούσης περὶ τὸ ὄν, ἔπειτα δὲ περὶ τὸν τοῦ ὄντος λόγον ὃν διαθήκην ἐκάλεσε, τρίτον δὲ περὶ τὸν σοφὸν, καὶ τέταρτον περὶ τὸν προ- E κόπτοντα· τί παθὼν ὁ φαῦλος, καὶ πάσαις ἀραῖς ἔνοχος νοῦς, ᾠήθη μόνος ἱστάναι δύνασθαι, φορούμενος ὥσπερ ἐν κατακλυσμῷ καὶ κατασυρόμενος τῶν ἐπιρρεόντων διὰ τοῦ νεκροφορουμένου σώματος δίναις ἐπαλλήλοις. ᾤμην γὰρ, φησιν, ἑστάναι ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ. λόγον δὲ συμβολικῶς ποταμὸν εἶναι φαμέν· ἐπειδὴ ἑκάτερος ἔξω τε φέρεται, καὶ ῥέων εὐτόνῳ χρῆται τῷ τάχει. καὶ * τότε μὲν ἐμφορεῖ πλημμύραις, (ἐπ.) ὁ μὲν ὕδατος, ὁ δὲ ῥημάτων καὶ ὀνομάτων· * ὅτε (ἐπ.) δὲ ἀφορεῖ χαλώμενος καὶ στενάζων καὶ ὠφελοῦσι μέν τοι

μὲν τὴν γῆν ἄρδων τὰς ἀρούρας, ὁ δὲ τὰς τῶν φιληκόων ψυχάς. καὶ ἔστιν ὅτε βλάπτουσι κυμήναντες, ὁ μὲν τὴν ὅμορον γῆν ἐπικλύσας, ὁ δὲ ἀνακυκήσας καὶ συγχέας τὸν τῶν οὐ προσεχόντων λογισμόν. ἔστι μὲν εἰκάζεται ποταμῷ. διττὴ δὲ λόγου φύσις, ἡ μὲν ἀμείνων, ἡ δὲ χείρων· ἀμείνων μὲν ἡ ὠφελοῦσα, χείρων δὲ κατὰ τὸ ἀναγκαῖον ἡ βλάπτουσα. παραδείγματα δ' ἑκατέρου τοῖς δυναμένοις ὁρᾶν ἀνέθηκε Μωϋσῆς ἀριδηλότατα. ποταμὸς γάρ φησι, προέρχεται ἐξ Ἐδέμ, ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. καλεῖ δὲ τὴν μὲν τοῦ ὄντος σοφίαν Ἐδέμ· ἧς ἑρμηνεία τρυφή· διότι οἶμαι ἐντρύφημα καὶ θεοῦ σοφία, καὶ σοφίας θεὸς ἐπεὶ καὶ ἐν ὕμνοις ᾄδεται· κατατρύφησον τοῦ κυρίου. κάτεισι δὲ ὥσπερ ἀπὸ πηγῆς τῆς σοφίας ποταμοῦ τρόπον ὁ θεῖος λόγος, ἵνα ἄρδῃ καὶ ποτίζῃ τὰ ὀλύμπια καὶ οὐράνια φιλαρέτων ψυχῶν βλαστήματα καὶ φυτὰ ὥσπερ εἰ παράδεισον· ὁ δὲ ἱερὸς οὗτος λόγος ἀφορίζεται εἰς τέσσαρας ἀρχάς· λέγω δὲ εἰς τὰς τέσσαρας ἀρετὰς σχίζεται, ὧν ἑκάστη βασιλίς ἐστι· τὸ γὰρ ἀφορίζεσθαι εἰς ἀρχὰς οὐ * τοπικοῖς ὅροις, ἀλλὰ βασιλείᾳ ἔοικεν· ἵν' ὅρος, ἐπιδείξας τὰς ἀρετάς, εὐθὺς ἀποφήνῃ καὶ τὸν χρώμενον αὐταῖς σοφὸν βασιλέα κεχειροτονημένον οὐ πρὸς ἀνθρώπων, ἀλλ' ὑπὸ τῆς ἀψευδοῦς καὶ ἀδεκάστου καὶ μόνης ἐλευθέρας φύσεως. λέγουσι γὰρ τῷ Ἀβραὰμ οἱ κατιδόντες αὐτοῦ τὸ ἀστεῖον, βασιλεὺς παρὰ θεοῦ εἶ σὺ ἐν ἡμῖν. δόγμα τιθέμενοι τοῖς περὶ φιλοσοφίαν διατρίβουσιν, ὅτι μόνος ὁ σοφὸς ἄρχων καὶ βασιλεύς, καὶ ἡ ἀρετὴ ἀνυπεύθυνος ἀρχή τε καὶ βασιλεία. τοῦτον τὸν λόγον εἰκάσας ποταμῷ τις τῶν ἑταίρων Μωϋσέως, ἐν ὕμνοις εἶπεν· ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων. καί τινα τῶν ἐπὶ γῆς ῥεόντων, ἄλογον κυριολογεῖσθαι· ἀλλ' ὡς ἔοικε πλήρη τοῦ σοφίας νάματος τὸν θεῖον λόγον διασυνίστησι, μηδὲν ἔρημον καὶ κενὸν ἑαυτοῦ μέρος ἔχοντα· μᾶλλον δέ, ὡς εἶπέ τις, ὅλον δι' ὅλων ἀναχεόμενον, καὶ αἰρόμενον εἰς ὕψος, διὰ τὴν συνεχῆ καὶ ἐπάλληλον τῆς ἀενάου πηγῆς ἐκείνης φοράν. ἔστι δὲ καὶ ἕτερον ᾆσμα τοιοῦτον· τὸ ὅρμημα τοῦ ποταμοῦ εὐφραίνει τὴν πόλιν τοῦ θεοῦ. ποίαν πόλιν; ἡ γὰρ νῦν οὖσα ἱερὰ πόλις, ἐν ᾗ καὶ ἅγιος νεώς ἐστι, μακρὰν ὥσπερ θαλάττης

*ποταμοῖς ὅροις

A utique hic irrigans arua, ille vero audiendi cupidorum animas. Est verò quum nocent fluctuantes, hic quidem confinem terram inundans; ille verò & perturbans & confundens non attendentium intellectum. hic quidem comparatur fluuio. duplex autem sermonis natura, hæc quidem potiorum, illa vero deteriorum: potiorum quidem iuuans, deteriorum vero secundum necessarium lædens: exempla autem vtriusque ijs qui possunt videre Moses exposuit illustrissima. [Fluuius enim inquit, proficiscitur ex Edem, ad irrigandum paradisum: inde diuiditur in quatuor capita.] Vocat autem entis sapientiam: Edem: cuius expositio, deliciæ. Ideo existimo quod oblectamentum & Dei sapientia & sapientiæ Deus. Siquidem in hymnis canitur: [Delectare in Domino] proficiscitur autem tanquam à fonte sapientiæ fluuij in modum diuinus sermo, vt riget & potet admiranda & cœlestia virtutis amantium germina & plantas tanquam paradisum. Hic porro sacer sermo diuiditur in quatuor capita: dico autem in quatuor virtutes diffinditur, quarum vna quæque regina est. diuidi enim in capita: non finibus localibus, verum regno comparant. vti demonstrans virtutes, statim pronuntiet & vtentem ipsis sapientem regem renuntiatum non ab hominibus sed à minimè fallaci & incorruptibili & sola libera natura. dicunt enim Abraham perspicientes ipsius vrbanitatem, [Rex à Deo tu es in nobis] dogma ponentes ijs qui circa philosophiam versantur, quod solus sapiens imperans & rex, tum virtus liberum imperium & regnum. Hunc sermonem comparans fluuio quis Mosis amicorum, in hymnis dixit: (flumen Dei repletum est aquis. & quempiam eorum qui super terram fluunt, absurdum proprio nomine dicere: Sed vti visum fuit plenum sapientiæ laticis diuinum sermonem constituit, nullam vacuam & inanem sui ipsius partem habentem: potius verò, vt dixit quidam, totam per vniuersa diffusam & elatam in sublime propter continuũ & alterum perennis fontis illius cursum. Est autẽ aliud canticum tale: (Fluminis impetus lætificat ciuitatẽ Dei.) Qualem ciuitatem? quæ enim nunc est sacra ciuitas, in qua & sanctum templũ est, longè quasi à mari

Gen. 2

Leuit. 16.

Psal. 36

Gen. 23.

Psal. 64.

Psal. 45.

& fluminibus collocata & est: vti manifestum sit quod perspicuum aliud quippiam vult per allegorias repræsentare. Reuera enim diuini sermonis impetum * continentur transmittere ordine ferente omnia per omnia infundit & lætificat. Ciuitatem enim Dei, secundum vnum modum, mundum, appellat, tanquam totum craterem diuinæ potionis excipiens, & voluptate perfusus lætitiæ quæ neque auferri potest, & immensam in sempiternum adeptus est. Secundum alteram autem, animam sapientis, cui dicitur & inambulare Deus, tan-
Leuit.26. quam in ciuitate. [Ambulabo enim in vobis, inquit, & ero in vobis Deus.] atque animæ beatæ sacerrimum poculum porrigunt ipsius intellectum. Quis fundit sacros cyathos quæ est ad veritatem lætitiæ nisi pincerna Dei & magister conuiuij? non differens poculo, sed ipse purus existens quod splendorem attinet, suauitatem, mollitia, securitatis, gaudij, lætitiæ immortale (vti & ipsi poëticis nominibus vtamur) medicamentum. Dei autem ciuitas ab Hebræis Hierusalem vocatur: cuius translatum nomen, visio est pacis. vt non quærat entis ciuitatem in scalis terræ (non enim ex lignis aut lapidibus facta est) verum in anima pacificè, atque acutum videntibus * proposita. Contemplatiuam autem atque pacificatam vitam. Posteaquam & quempiam grauiorem & sanctiorem, inueniat quis domum ijs qui sunt Deo, aut contemplationis amantem mentem omnia videre compellentem, & neque per somnium stationem aut turbationem appetentem. subrespondet autem mihi rursus solitus clanculum conuersari spiritus inuisibilis, & ait: heus tu, videris inscius esse & magnæ & præcipuæ rei, quod quidem (sine inuidia) multa enim & alia importunè exposui, docebo. Scito itaque, ô ingenuè, quod Deus solus certissima, & vera est pax: genita autem & mortalis substantia omnis, continuum bellum. Deus enim quidem voluntarium, necessitas autem substantia, qui quidem valeat bellum quidem & necessitatem & generationem interitum relinquere transire autem ad ingenitum & immortale ad voluntarium, ad pacem:

A καὶ ποταμῶν συνῴκισται· ὡς δῆλον εἶναι, ὅτι τῶν προδήλων ἕτερόν τι βούλεται δι' ὑπονοιῶν παριστάναι. τοῦ γὰρ ὄντι τοῦ θείου λόγου ῥύμην * καὶ συνεχῶς μεθορμίσαι τάξει φερομένην πάντα διὰ πάντων ἀναχεῖσθαι καὶ εὐφραίνει. πόλιν γὰρ θεοῦ, καθ' ἕνα μὲν τρόπον, τὸν κόσμον καλεῖ, ὃς ὅλον τὸν κρατῆρα τοῦ θείου πόματος δεξάμενος * σπατο, καὶ γανωθεὶς ἀναφαιρέτου καὶ ἀσβέστου τῆς εἰς Locus corruptus.
B ἅπαντα τὸν αἰῶνα εὐφροσύνης ἐπέλαχε. καθ' ἕτερον δὲ, τὴν ψυχὴν τοῦ σοφοῦ, ᾗ λέγεται καὶ ἐμπεριπατεῖν ὁ θεὸς, ὡς ἐν πόλει. περιπατήσω γάρ, φησιν, ἐν ὑμῖν, καὶ ἔσομαι ἐν ὑμῖν θεός. τῇ ψυχῇ δὴ εὐδαίμονι τὸ ἱερώτατον ἔκπωμα προτεινούσῃ τὸν ἑαυτῆς λογισμόν. τίς ἐπιχεῖ τοὺς ἱεροὺς κυάθους τῆς πρὸς ἀλήθειαν εὐφροσύνης ὅτι μὴ οἰνοχόος τοῦ θεοῦ καὶ συμποσίαρχος λόγος; οὐ διαφέρων τοῦ πόματος, ἀλλ' αὐτὸς ἄκρατος ὢν τὸ γάνωμα,
C τὸ ἥδυσμα, ἡ διάχυσις, ἡ εὐθυμία, τὸ χαρᾶς, τὸ εὐφροσύνης ἀμβρόσιον (ἵνα καὶ αὐτοὶ ποιητικοῖς ὀνόμασι χρησώμεθα) φάρμακον. ἡ δὲ θεοῦ πόλις ὑπὸ Ἑβραίων Ἱερουσαλὴμ καλεῖται· ἧς μεταληφθὲν τοὔνομα, ὅρασίς ἐστιν εἰρήνης. ὥστε μὴ ζήτει τὴν τοῦ ὄντος πόλιν ἐν κλίμασι γῆς· οὐ γὰρ ἐκ ξύλων ἢ λίθων δεδημιούργηται) ἀλλ' ἐν ψυχῇ ἀπολέμῳ καὶ ὀξυδορκούσῃ * προτεθειμένην· τὸν δὲ θεωρητικὸν καὶ εἰρηναῖον βίον· ἐπεὶ καὶ τίνα Locus corruptus.
D σεμνότερον καὶ ἁγιώτερον εὕροι τις ἂν οἶκον ἐν τοῖς οὖσι θεῷ, ἢ φιλοθεάμονα διάνοιαν, πάνθ' ὁρᾶν ἐπειγομένην, καὶ μηδὲ ὄναρ στάσεως ἢ ταραχῆς ἐφιεμένην; ὑπηχεῖ δέ μοι πάλιν τὸ εἰωθὸς ἀφανῶς ἐνομιλεῖν πνεῦμα ἀόρατον, καί, φησιν· ὦ οὗτος, ἔοικας ἀνεπιστήμων εἶναι καὶ μεγάλου καὶ περιμαχήτου πράγματος, ὃ σοι ἀφθόνως, πολλὰ γὰρ καὶ ἄλλα ἀκαίρως
E ὑφηγησάμενος, ἀναδιδάξω. ἴσθι δή, γενναῖε, ὅτι θεὸς μόνος ἡ ἀψευδεστάτη καὶ πρὸς ἀλήθειάν ἐστιν, εἰρήνη· ἡ δὲ γενητὴ καὶ φθαρτὴ οὐσία πᾶσα, συνεχὴς πόλεμος. καὶ γὰρ ὁ μὲν θεός, ἑκούσιον· ἀνάγκη δὲ ἡ οὐσία. ὃς ἂν οὖν ἰσχύσῃ πόλεμον μὲν καὶ ἀνάγκην καὶ γένεσιν καὶ φθορὰν καταλιπεῖν, αὐτομολήσει δὲ πρὸς τὸ ἀγένητον, πρὸς τὸ ἄφθαρτον, πρὸς τὸ ἑκούσιον, πρὸς εἰρήνην·

A λέγοιτ' ἂν ἐνδίκως ἐνδιαίτημα καὶ πόλις εἶναι θεοῦ. μηδὲν οὖν διαφερέτω σοι ἢ ὅρασιν εἰρήνης, ἢ ὅρασιν θεοῦ τὸ αὐτὸ ὑποκείμενον ὀνομάζειν· ὅτι * δὲ τὴν πολυώνυμον τῶν ὄντως δυνάμεων οὐ θιασώτης μόνον, ἀλλὰ καὶ ἔξαρχός ἐστιν εἰρήνης. καὶ Ἀβραὰμ μέν τοι τῷ σοφῷ δώσειν φησὶ κλῆρον γῆς ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου· οὐ χώρας ἀποτομὴν μᾶλλον, ἢ τὴν περὶ αὐτοὺς ἡμᾶς ἀμείνω μοῖραν. B Αἰγύπτου μὲν γὰρ ἀπεικάζεται ποταμῷ τὸ ἡμέτερον σῶμα, καὶ τὰ ἐν αὐτῷ καὶ δι' αὐτοῦ ἐγγινόμενα πάθη· τῷ δὲ Εὐφράτῃ * καὶ τὰ φίλα ταύτῃ. δόγμα δὲ τίθεται βιωφελέστατον καὶ συνεκτικώτατον, ὅτι ὁ σπουδαῖος κληρονομίαν ἔλαχε ψυχὴν καὶ τὰς ψυχῆς ἀρετάς· ὥσπερ ὁ φαῦλος ἔμπαλιν σῶμα καὶ τὰς σώματος καὶ διὰ σώματος κακίας. τὸ δὲ αὐτὸ δηλοῖ* ἓν μὲν τὸ σὺν ἐκείνῳ ἀφ' οὗ λέγεται, ἕτερον δὲ χωρὶς αὐτοῦ. ὅταν μὲν γὰρ λέγωμεν, ἀπὸ πρωΐας ἄχρις ἑσπέρας, ὥρας εἶναι δώδεκα, καὶ ἀπὸ C νουμηνίας ἄχρι τριακάδος, ἡμέρας τριάκοντα· συγκαταλέγομεν τήν τε πρώτην ὥραν καὶ τὴν νουμηνίαν. ὅταν δέ τις ἀπὸ τῆς πόλεως φῇ τὸν ἀγρὸν ἀπέχειν σταδίους τρεῖς ἢ τέτταρας· δίχα τῆς πόλεως δή που φησίν. ὥστε καὶ νῦν τὸ ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου νομιστέον τὸ χωρὶς ἐκείνου παραλαμβάνεσθαι. βούλεται γὰρ διοικίσας ἡμᾶς τῆς σωματικῆς, ἅπερ ἐν ῥύσει καὶ φθορᾷ φθειρομένη καὶ φθείρουσα θεωρεῖται, κλῆρον ψυχῆς λαβεῖν μετὰ τῶν ἀφθάρτων καὶ ἀφθαρσίας D ἀξίων ἀρετῶν. οὕτω μέν τοι τὸ εἰκάσθαι ποταμῷ λόγον ἐπαινετὸν ἰχνηλατοῦντες εὑρήκαμεν. ὁ δὲ ψεκτὸς αὐτὸς ἄρα ἦν ὁ Αἰγύπτιος ποταμὸς ἀνάγωγός τις καὶ ἀμαθής, ὡς ἔπος εἰπεῖν, ἄψυχος λόγος· οὗ χάριν καὶ εἰς αἷμα μεταβάλλει, τρέφειν οὐ δυνάμενος· ὁ γὰρ ἀπαιδευσίας λόγος, οὐ πότιμος. καὶ ἀποκαῖ μέν τοι βατράχοις ἀναίμοις καὶ ἀψύχοις, κενὸν καὶ τραχὺν ἦχον E ἄλγημα ἀκοῆς ἀπηχοῦσι. λέγεται δ' ὅτι καὶ οἱ ἐν αὐτῷ πάντες ἰχθύες ἐφθάρησαν· οἳ συμβολικῶς εἰσι τὰ νοήματα· ταῦτα γὰρ ἐνηχεῖται καὶ ἐντρέφεται ὡς ἐν ποταμῷ τῷ λόγῳ ζῴοις ἐοικότα καὶ ψυχοῦντα αὐτόν. ἐν δὲ ἀπαιδεύτῳ λόγῳ τέθνηκε τὰ ἐνθυμήματα·

ἐπὶ

ἡ ψυχὴ

ἓν μὲν τὸ ἀσυναπόλυτον ἀπ' αὐτοῦ λέγεσθαι

dicatur iure mansio & ciuitas esse Dei. Ne igitur quicquam differas aut visionem pacis, aut visionem Dei idem subiectum nominare, quod verò multorum nominum entis facultatum; non socius tantum, verum etiam author & princeps pacis est. Et Abraham nihilominus sapienti dixit se daturum hæreditatem terræ à fluuio Ægypti, vsque ad fluuium magnum Euphratis: non regionis seiunctionem potius, quam circa nos ipsos potiorem partem, Ægypti enim fluuio comparatur corpus nostrum, & qui in ipso & per ipsum ingeniti affectus: Euphrati autem & amica in hunc modum. dogma autem ponit ad vitam vtilissimum & primarium, quod studiosus hæreditatem adeptus est animam, ac virtutes animæ: vti contra malus corpus, & corporis & quæ per corpus sunt vitia. Hoc ipsum autem indicat * vnum quidem quod est cum illo à quo dicitur, alterum verò absque ipso. quum quidem enim dicimus, à mane vsque ad vesperam, duodecim esse horas, & à prima die mensis vsque ad tricenarium, dies triginta: connectimus primam horam, & primam diem mensis. quum verò quis dixerit agrum abesse stadia tria aut quatuor, remotum ab vrbe vtique dicet: prout & nunc ab Ægypti fluuio existimandum separatim ab illo suscipiendum est. Vult enim diuellens nos à corporis, quæ quidem in fluxu & labe corrumpente & corrupta videtur, sortem animæ accipere cum incorruptis & incorruptione dignis virtutibus. Sic quidem comparari fluuio sermonem laudatum inuestigantes comperimus. Vituperatus autem porrò erat Ægyptius fluuius contumax quidam & indocilis, vt ita dixerim, innanimatus sermo: cuius gratia & & in sanguinem mutat, quum alere non possit: inscitiæ enim sermo, non desiderabilis. Et facilem partem præbet ranis sanguine cassis & inanimatis, nouum & asperum sonum dolorem auditus tenuiorem reddunt. Dicitur autem quòd & qui in ipso omnes pisces corrupti sunt: qui symbolicè sunt sensa animi. Hæc enim insonant & ingenerantur tanquam fluuio sermoni animalibus similia atque ipsum animantia. In indocto autem sermone mortui sunt concepta animi: in-

Gen. 15.

Exod. 7.

Ibid.

telligibile enim nullum inuenire est: A
verum tumultuum quasdam inornatas
& immoderatas, vti quidam dixit,
voces. De his certè quidem satis.
Postquam autem non solum stationem
& fluuium, verum etiam ripas fluuij
Gen. 41. se somniasse fatetur, dicens: [Putabam
stare ad ripam fluuij:] necesse esset
vtique circa ripas quæ ad rem facerent
æquè animo concipere. Videtur
itaque duorum gratia admodum
necessariorum natura labia animalibus
maximè autem hominibus adaptasse. B
Vnum quidem quietis, munimentum
enim hæc & septum tutissimum vocis.
alterum interpretationis: per hæc
enim sermones sursum feruntur: Contractis
enim, continentur: ferri autem
difficile minimè diductis. Ex hoc
autem exercet & instruit ad vtrumque
dicere & quiescere vtrique accommodantem
tempus obseruantes. Cuiusmodi,
auditu dignum quid dicitur,
attende, nihil aduersans, in quiete,
secundum Mosis præceptum, sile & C
audi. Eorum enim qui in contentiosas
resipiscentias reuersi sunt, ne vnus
quidem propriè tum dicere tum audire
existimetur: futuro autem, ad
veritatem vtile. Contra quum videris
in vitæ bellis & malis propitiam
Dei manum & virtutem superantem
& protegentem: quiesce. non enim
auxilio indiget iste auxiliaris. Sunt &
huius exempla in sacris scripturis posita:
cuiusmodi, [Dominus pugnabit
Exod. 14. pro vobis: & vos tacebitis.] Si D
verò vtique videris legitimam progeniem
& primogenitos Ægypti interire,
concupiscere, lætari, dolere,
timere, iniustè facere, lætari, intemperantes
esse, & quæcumque his
germana & affinia. percussus quiesce,
formidabilem Dei potentiam reueritus.
Ibid. 11. [non enim mutiet, inquit, canis
lingua, neque ab homine vsque ad
pecus.] Perinde ac, neque caninam
linguam latrantem & execrantem,
neque in nobis hominem ducem mentem, E
neque belluinum pecus sensum
conuenit iactare quando tollentes
quod totum est in nobis, extrinsecus
auxilium protegere sua ipsius sponte
venerit. Multa autem incidunt tempora
parum conuenientia quieti. Prosæ
autem orationis verba quærentes
quorum rursus videre est reposita monumenta
quomodo boni quæpiam
facta est inexspectata communicatio:

A συνετὸν γὰρ οὐδὲν ἔστιν εὑρεῖν· ἀλλὰ κολοσυρτοῦ
τινας ἀκόσμους καὶ ἀμετροεπεῖς, ὡς εἶπέ τις,
φωνάς. περὶ μὲν δὴ τούτων ἅλις. ἐπεὶ δὲ οὐ
μόνον στάσιν καὶ ποταμόν, ἀλλὰ καὶ χεῖλος ποταμοῦ
φαντασιωθῆναι ὁμολογεῖ, φάσκων·
ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ·
ἀναγκαῖον ἂν εἴη καὶ περὶ χειλέων τὰ καίρια
διαπορῆσαι, φαίνεται τοίνυν ἕνεκα δυεῖν τῶν
ἀναγκαιοτάτων ἡ φύσις χείλη ζώοις, καὶ μάλιστα
ἀνθρώποις ἁρμόσασθαι. ἑνὸς μὲν, ἡσυ-
B χίας· ἔρυμα γὰρ ταῦτα καὶ φραγμὸς ὀχυρώτατος
φωνῆς. ἑτέρου δὲ, ἑρμηνείας· διὰ γὰρ
τούτων ὁ τῶν λόγων ἀναφέρεται· συναχθέντων
μὲν γὰρ, ἐπέχεται. φέρεσθαι δ᾽ ἀμήχανον,
μὴ διαστάντων. ἐκ δὲ τούτου γυμνάζει
καὶ συγκροτεῖ πρὸς ἄμφω τὸ λέγειν καὶ
ἡσυχάζειν ἑκατέρου τὸν ἁρμόττοντα καιρὸν
παραφυλάττοντας. εἰ δ᾽ ἀκοῆς ἄξιόν τι λέγεται,
πρόσεχε, μηδὲν ἐναντιούμενος, ἐν ἡσυ-
C χίᾳ· κατὰ τὸ Μωυσέως παράγγελμα τὸ σιώπα
καὶ ἄκουε. τῶν γὰρ εἰς τὰς ἐριστικὰς γνωσιμαχίας
ἀφικνουμένων, οὐδ᾽ ἂν εἷς κυρίως
οὔτε λέγειν οὔτε ἀκούειν νομισθείη· τῷ δὲ
μέλλοντι πρὸς ἀλήθειαν ὠφέλιμον. πάλιν
ὅταν ἴδῃς ἐν τοῖς τοῦ βίου πολέμοις καὶ κακοῖς τὴν
ἵλεω τοῦ θεοῦ χεῖρα καὶ δύναμιν ὑπερέχουσαν καὶ
προασπίζουσαν ἠρέμησον. οὐ γὰρ δεῖται συμμαχίας
ὁ βοηθὸς ἐστί. ἔστι δὲ καὶ τούτου δείγματα
ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς κατακεί-
D μενα· ὅτι ὁ κύριος πολεμήσει ὑπὲρ ἡμῶν
καὶ ὑμεῖς σιγήσεσθε. ἐάν τε μὴν ἴδῃς τὰ γνήσια
ἔγγονα καὶ πρωτότοκα Αἰγύπτου φθειρόμενα, τὸ
ἐπιθυμεῖν, τὸ ἥδεσθαι, τὸ λυπεῖσθαι τὸ φοβεῖσθαι,
τὸ ἀδικεῖν. τὸ ἀφραίνειν, τὸ ἀκολασταίνειν,
καὶ ὅσα τούτων ἀδελφὰ καὶ συγγενῆ· καταπλαγεὶς
ἡσύχαζε, τὸ φοβερὸν τοῦ θεοῦ κράτος
ὑποπτήξας. οὐ γὰρ γρύξει φησὶ κύων τῇ
γλώσσῃ, οὐδ᾽ ἀπ᾽ ἀνθρώπου ἕως κτήνους·
E ἴσον τῷ· οὔτε τὴν κυνώδη γλῶτταν ὑλακτοῦσάν
τε καὶ ἀράζουσαν, οὔτε τὸν ἐν ἡμῖν
ἀνθρώπινον ἡγεμόνα νοῦν, οὔτε τὸ κτηνῶδες
θρέμμα τὴν αἴσθησιν προσῆκε γαυριᾶν, ὅταν
ἀφαιρεθέντος τοῦ περὶ ἡμᾶς ὅλου, ἔξωθεν τὸ συμμαχικὸν
αὐτοκέλευστον ὑπερασπίζον ἥκῃ· πολλοὶ δὲ
συμβαίνουσι καιροὶ μὴ ἐφαρμόζοντες ἡσυχίᾳ.
ἧς δὲ καταλογάδην ῥήσεις ἐπιζητοῦντες, αὖ
πάλιν ἰδεῖν ἔστιν ἀνακείμενα ὑπομνήματα,
πῶς ἀγαθοῦ τις γέγονεν ἀπροσδόκητος μετουσία·

A καλὸν οὖν εὐχαριστεῖν, καὶ τὸν ἐπιπέμψαντα ὑμνεῖν. τί οὖν τὸ ἀγαθόν; τέθνηκε τὸ ἐπιτιθέμενον ἡμῖν πάθος, καὶ πρηνὲς ἄταφον ἔρριπται. μὴ μέλλωμεν ἡμεῖς, ἀλλὰ στησάμενοι, τὴν ἱεροπρεπεστάτην ᾄδωμεν ᾠδήν, παρακελευόμενοι λέγειν πᾶσιν. ᾄσωμεν τῷ κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. ἀλλὰ γὰρ ἡ μὲν τοῦ πάθους φορὰ καὶ μετανάστασις, ἀγαθόν. ἀλλ' οὐ τέλειον ἀγαθόν. ἡ δὲ σοφίας εὕρεσις, ὑπερβάλλον καλόν. B ἧς εὑρεθείσης, ἅπας ὁ λεὼς οὐ καθ' ἓν μέρος μουσικῆς ἀλλὰ κατὰ πάσας αὐτῆς τὰς ἁρμονίας καὶ μελῳδίας ᾄσεται. τότε γάρ φησιν, ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ φρέατος. λέγω δὲ ἐπὶ τῆς πάλαι μὲν κεκρυμμένης, ἀναζητηθείσης δὲ αὖθις καὶ ἐπὶ πᾶσιν εὑρεθείσης βαθείας τὴν φύσιν ἐπιστήμης, ἧς νόμος τὰς τῶν φιλοθεαμόνων ἄρδειν λογικὰς ἐν ψυχαῖς ἀρούρας. τί δὲ ὅταν συγκομίσωμεν C τὸν γνήσιον διανοίας καρπόν· οὐ παραγγέλλει ἡμῖν ὁ ἱερὸς λόγος, ὥσπερ ἐν καρτάλλῳ τῷ λογισμῷ τὰς ἀπαρχὰς τῆς εὐφορίας, ὧν ἤνθησεν, ὧν ἐβλάστησεν, ὧν ἐκαρποφόρησεν ἡ ψυχὴ καλῶν, ἐπιδεικνυμένους ἄντικρυς οὕτω ῥητορεύειν, τὰ εἰς τὸν τελεσφόρον θεὸν ἐγκώμια λέγοντες· ἐξεκάθηρα τὰ ἅγια ἀπὸ τῆς οἰκίας μου, καὶ ἐταμιευσάμην ἐν τῷ τοῦ θεοῦ οἴκῳ, ταμίας καὶ φύλακας αὐτῶν ἐπιστήσας τοὺς ἀριστίνδην ἐπιλελεγμένους πρὸς D τὴν ἱερῶν νεωκορίαν. οὗτοι δ' εἰσὶ Λευῖται, καὶ προσήλυτοι, καὶ ὀρφανοί, καὶ χῆραι· οἱ μὲν οἰκέται, οἱ δὲ μετανάσται καὶ πρόσφυγες, οἱ δὲ ἀπωρφανισμένοι καὶ κεχηρευκότες γενέσεως, θεὸν δὲ τὸν τῆς ψυχῆς θεραπευτρίδος ἄνδρα καὶ πατέρα γνήσιον ἐπιγεγραμμένοι. τοῦτον μὲν δὴ τὸν τρόπον καὶ λέγειν καὶ ἡσυχάζειν, ἐμπρεπέστατον, τὸ δὲ ἐναντίον μεμελετήκασιν οἱ φαῦλοι· καὶ γὰρ ἡσυ- E χίας ἐπιλήπτου, καὶ ἑρμηνείας ὑπαιτίου ζηλωταὶ γεγόνασιν, ἑκάτερον ἐπ' ὀλέθρῳ ἑαυτῶν τε καὶ ἑτέρων συγκροτοῦντες. τὸ δὲ πλεῖον ἐστὶν αὐτοῖς τῆς ἀσκήσεως ἐν τῷ λέγειν ἃ μὴ δεῖ. τὸ γὰρ στόμα διανοίξαντες, καὶ ἐάσαντες ἀχάλινωτον· καθάπερ ῥεῦμα ἀκατάσχετον, φέρεσθαι τὸν ἀκριτόμυθον, ἥ φασιν οἱ ποιηταί, λόγον ἐῶσι, μυρία τῶν ἀλυσιτελῶν προσεπισύροντες. τοιγαροῦν οἱ μὲν ἐπὶ συνηγορίαν ἡδονῆς καὶ ἐπιθυμίας καὶ πάσης πλεοναζούσης ὁρμῆς ἐτράποντο

A Bonum igitur gratias agere, & immittentem hymnis celebrare. Quid igitur bonum? mortuus est in nobis positus affectus & præceps insepultus prouentus est ne cunctemur nos, sed sistentes nos, diuino cultui conuenientissimum canamus cantum, excitantes omnes ad dicendum: (Canamus Domino: gloriosè enim magnificatus est: equum & insessorem deiecit in mare.) Exod. 15. Verum enim affectus impetus & remigratio, bonum: sed non perfectum bonum. B Sapientiæ autem inuentio, excellens bonum: qua inuenta, populus vniuersus, non secundum vnam musices partem, sed secundum omnes ipsius harmonias & modulationes canet. (Tunc enim, inquit, cecinit Israel Canticum hoc ad puteum.) dico autem ipse de olim abscondita, & quæsita rursum & in omnibus inuenta profunditate scientiæ secundum naturam, Num. 21. cuius lex contemplationis amantium irrigare rationalia in animabus arua. C Quid vero quando comportabimus legitimum mentis fructum, non præcipit nobis sacer sermo, tanquam in cartallo, in intellectu primitias frugum, quas florere fecit, germinare & fructum ferre anima bonorum, ostendentes planè sic orare, in Deum fruges producentem laudes dicentes: [Attuli quæ sanctificata sunt de domo mea, & seposui in domo Dei. Deut. 26. dispensatores & custodes ipsis præficiens optimatim electos ad sacra- D rum rerum administrationem.] Isti autem sunt Leuitæ, & aduenæ, & pupilli, & viduæ: illi quidem domestici, hi verò exules & profugi, qui autem orbati sunt & viduati prole, Deum verò animæ cultricis virum & patrem legitimum sibi vindicantes. Hunc sanè in modum dicere & quiescere conuenientissimum. Contrarium autem prorsus meditantur mali: quietis enim reprehenden- E dæ & culpandæ interpretationis æmulatores facti sunt, vtrumque in exitium sui ipsorum & aliorum conflantes, maxima verò pars ipsorum meditationis in eo est vt dicant quæ non oportet, os enim aperientes, & relinquentes effrene: tanquam fluxus qui cohiberi non potest ferri sermonẽ indiscretũ quemadmodũ dicunt poëtæ, sinunt, sexcenta incõmoda attrahentes. Qui itaque ad patrociniũ voluptatis, & cupiditatis & omnis redũdantis impetus cõuerterunt

irrationalem affectum, concludentes A principali intellectu * & contensiosis vincendi studijs exuti contexuerunt: sperantes se perspicax genus impleturos, & per præcipitia & profunditates, & quibus non amplius contingat assurgere, posse conijcere. Nonnulli autem non solum aduersarios se ipsos demonstrarunt virtutis, verum etiam diuinitatis: in tantum dementiæ venerunt. Affectuum amantis igitur & princeps sodalitij Ægyptiæ prouinciæ rex Pharao. dicitur B enim Prophetæ: [ecce ipse egredietur ad aquas, & stabis in occursum eius super ripam fluminis. proprium enim ad cursum & effusionem semper irrationalis affectus exire: sapientis autem multo fluente tanquam voluptatis & cupiditatis sermonibus occurrere non pedibus, verum animo, firmiter & immotè ad fluminis ripam. hoc verò est in ore & lingua, quæ sunt instrumenta sermonis: firmiter enim incedens ipsis poterit pa- C trocinantes affectui persuasiones euertere & deijcere. Perspicacis autem generis inimicus, Pharaonis populus est, qui non cessauit insidiari, persequi & in seruitutem redigere virtutem, donec malas quas reddidit gratias *** suscitauit, demersus, tanquam superantem visionem, & victoriam cui impugnari potest, & gaudium spe maius, occasionem illam adferre. Ideò dicitur. [Vidit Israel Ægyptios mortuos ad ripam D maris. magna videlicet vindex manus, cogens in ore & labris & sermone cadere eos qui instrumenta hæc contra veritatem exacuunt: vti ne alienis sed proprijs armis qui contra alios suscipiunt ipsa moriantur. Tria autem annuntiat animæ pulcherrima, vnum quidem interitum Ægyptiorum affectuum: alterum verò, ne ab alijs locis salsi & amari fontibus tanquam maris ripis per quæ E virtutis hostis cauillator sermo effundatur, postremum autem, conspectum casus. Nihil enim inuisibile pulchrum esset, sed in lucem & splendidum solem adduceretur. Contrarium etenim in profundas tenebras & nocte dignum malum. Et hoc quidem ne fortè vnquam contingat: bonum autem maioribus oculis semper circumspiciat. Quod verò tam bonum, vt viuant bona, & morian-

ἄλογον πάθος, ἐπιτειχίζοντες ἡγεμόνι λογισμῷ * καὶ τὰς ἱερὰς τῆς φιλονεικίας ἀποδυσάμενοι συνεπλάκησαν ἐλπίσαντες τὸ ὁρατικὸν πληρώσειν γένος, καὶ κατὰ κρημνῶν καὶ βαράθρων, ἐξ ὧν οὐδ' ἂν ἔτι γένοιτο διαναστῆναι, δυνήσεσθαι ῥῖψαι. ἔνιοι δὲ οὐ μόνον ἀντιπάλους ἑαυτοὺς τῆς ἀνθρωπίνης ἀπέφηναν ἀρετῆς, ἀλλὰ καὶ τῆς θείας· ἐπὶ τοσοῦτον ἀπονοίας ἤλασαν. τῶν μὲν οὖν φιλοπαθῶν ἔξαρχος ἀναγράφεται πάσης τῆς Αἰγυπτίας χώρας ὁ βασιλεὺς Φαραώ. λέγεται γὰρ τῷ προφήτῃ· ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ· καὶ στήσῃ συναντῶν αὐτῷ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ. τοῦ μὲν γὰρ ἴδιον ἐπὶ τὴν φορὰν καὶ διάχυσιν ἀεὶ τοῦ ἀλόγου πάθους ἐξιέναι· τοῦ δὲ σοφοῦ πολλῷ ῥέοντι τοῖς ἀφ' ἡδονῆς καὶ ἐπιθυμίας λόγοις ὑπαντιάσαι οὐ τοῖς ποσίν, ἀλλὰ τῇ γνώμῃ, βεβαίως καὶ ἀκλινῶς, ἐπὶ τοῦ ποταμίου χείλους· τοῦτο δέ ἐστιν ἐπὶ τοῦ στόματος καὶ τῆς γλώττης, ἅπερ ἐστὶν ὄργανα λόγου. παγίως γὰρ ἐπιβὰς αὐτοῖς, δυνήσεται τὰς συνηγορούσας τῷ πάθει πιθανότητας ἀνατρέψαι καὶ καταβαλεῖν. ὁ δὲ τοῦ ὁρατικοῦ γένους ἐχθρός, ὁ τοῦ Φαραὼ λαός ἐστιν, ὃς ἐπιτιθέμενος καὶ διώκων καὶ δουλούμενος ἀρετὴν οὐκ ἐπαύσατο, ἕως κακὰς ὧν διέθηκε τὰς ἀμοιβὰς *· πελάγει τῶν ἀδικημάτων, καὶ τρικυμίαις αἷς τὸ λυ···· ἀνήγειρε, καταποντωθείς, ὑπερβάλλουσαν θέαν, καὶ νίκην ἀνανταγώνιστον, καὶ χαρὰν ἐλπίδος μείζονα, τὸν καιρὸν ἐνδεικνύειν ἐκεῖνον, διὸ λέγεται· εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης. μεγάλη γε ἡ ὑπέρμαχος χείρ, ἀναγκάζουσα παρὰ στόματι καὶ χείλεσι καὶ λόγῳ πίπτειν τοὺς τὰ ὄργανα ταῦτα κατὰ τῆς ἀληθείας ἀκονησαμένους· ἵνα μὴ ὀθνείοις, ἀλλ' ἰδίοις ὅπλοις οἱ καθ' ἑτέρων ἀναλαβόντες αὐτὰ θνήσκωσι. τρία δὴ εὐαγγελίζεται τῇ ψυχῇ τὰ κάλλιστα. ἓν μέν, ἀπώλειαν Αἰγυπτιακῶν παθῶν· ἕτερον δέ, τὸ μὴ παρ' ἑτέρων χωρίων τῆς ἁλμυρᾶς καὶ πικρᾶς πηγῆς ὡς ἂν θαλάττης χείλεσι δι' ὧν ὁ πολέμιος ἀρετῆς σοφιστὴς λόγους ἐξέχυτο· τελευταῖον δέ, τὴν θέαν τοῦ πτώματος. μηδὲν γὰρ ἀόρατον εἴη καλόν, ἀλλὰ πρὸς * τὸ φῶς καὶ λαμπρὸν ἥλιον ἄγοιτο. καὶ γὰρ τοὐναντίον εἰς βαθὺ σκότος καὶ * νυκτὸς ἄξιον τὸ κακόν. καὶ τοῦτο μὲν μηδ' ἐν τύχαις δεῖν ποτε γένοιτο· τὸ δ'

Locus corrupt'

ἀγαθὸν μείζοσιν ὀφθαλμοῖς ἀεὶ προσεδέχετο. τί δ' οὕτως ἀγαθόν, ὡς ζῆσαι τὰ καλὰ καὶ ἀποθανεῖν τὰ φαῦλα; τρεῖς τοίνυν ἦσαν οἱ τὴν τῶν λόγων δεινότητα μέχρις οὐρανοῦ τείναντες. οὗτοι μελέτην κατὰ τῆς φύσεως, μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν ψυχῆς ἐμελέτησαν, φάσκοντες· μόνον εἶναι τὸ αἰσθητὸν καὶ ὁρώμενον τοῦτο, οὔτε γενόμενόν ποτε, οὔτ' αὖθις φθαρησόμενον, ἀγένητον δὲ καὶ ἄφθαρτον, ἀνεπιτρόπευτον, ἀκυβέρνητον, ἀπροστασίαστον. εἶτ' ἐπ' ἄλλοις ἄλλα συνθέντες ἐπιχειρήματα, δόγμα ἀδόκιμον οἰκοδομοῦντες, εἰς ὕψος οἷα πύργον ἐξῆραν. λέγεται γὰρ ὅτι ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, συμφωνία τῶν τῆς ψυχῆς μερῶν πάντων, ἀσύμφωνος ἐπὶ τοῦ κινῆσαι τὸ συνεκτικώτατον ἐν τοῖς οὖσιν ἀρχήν. πῃ γὰρ οὖν ἐλπίσαντες αὐτοὺς εἰς οὐρανὸν ταῖς ἐπινοίαις διαδραμεῖσθαι, ἐπὶ καθαιρέσει τῆς αἰωνίου βασιλείας, ἡ μεγάλη καὶ ἀκαθαίρετος καταβάλλει χεὶρ καὶ τὸ οἰκοδομηθὲν δόγμα συνανατρέψασα. κέκληται δ' ὁ τόπος σύγχυσις, οἰκεῖον ὄνομα τῷ κακουργηθέντι τολμήματι· τί γὰρ ἀναρχίας συγχυτικώτερον; οὐχ οἰκίαι μὲν ἀνηγεμόνευτοι, προσκρουσμάτων γέμουσι καὶ ταραχῆς; ἀβασίλευτοι δ' ἐαθεῖσαι πόλεις ὑπὸ ὀχλοκρατίας ἐναντίου καὶ μεγίστου φθείρονται; καὶ χῶραι δὲ καὶ ἔθνη καὶ κλίματα γῆς, ὧν ἀρχαὶ κατελύθησαν, οὐ παλαιὰς καὶ μεγάλας εὐδαιμονίας ἀπέβαλον; καὶ τί δεῖ τὰ μὲν ἀνθρώπινα λέγεσθαι; οὐδὲ γὰρ αἱ ἄλλαι τῶν ζώων ἀγέλαι, πτηνῶν, χερσαίων, ἐνύδρων, ἄνευ τινὸς ἀγελάρχου συνεστᾶσιν· ἀλλὰ ποθοῦσι καὶ προσέπονται ἀεὶ τὸν οἰκεῖον ἡγεμόνα, ὡς μόνον ἀγαθῶν αἴτιον, οὗ κατὰ τὴν ἀπουσίαν σκεδάννυνται καὶ διαφθείρονται. εἶτ' οἰόμεθα τοῖς μὲν περιγείοις, ἃ βραχυτάτη μοῖρα τοῦ παντός ἐστιν, ἀρχὴν μὲν ἀγαθῶν, ἀναρχίαν δέ, κακῶν εἶναι αἰτίαν· τὸν δὲ κόσμον οὐ διὰ τὴν τοῦ βασιλεύοντος θεοῦ περιήγησιν εὐδαιμονίας τῆς ἄκρας πεπληρῶσθαι; δίκην οὖν ἁρμόττουσαν οἷς ἐπέθεντο διδόασι. φύραντες γὰρ τὸ ἱερὸν περὶ ἀναρχίας φύραμα, ἐπειδὰν συγχυθέντες, οὐ συγχέαντες ἕως δ' οὔπω τιμωρίας δεδώκασιν ὑπὸ φρενοβλαβείας φυσώμενοι, τὴν μὲν τῶν ὅλων ἀρχὴν ἀνοσίοις λόγοις καθαιροῦσιν, αὐτοὺς δὲ ἄρχοντας καὶ βασιλέας ἀναγράφουσι, τὸ ἀκαθαίρετον τοῦ θεοῦ κράτος γενέσθαι τῇ ἀκαταστασίᾳ

A tur mala? tres igitur erant sermonum grauitatem in cœlum vsque extendentes. Isti quidem meditationem contra naturam, potius verò contrà suam ipsorum animam meditati sunt, dicentes: solum esse sensibile & visibile, hoc neque factum vnquam, neque interiturum, non genitum, mortale, quod non sub curam aut tutelam cadit, non regitur, non imperio obnoxium est. Postea alias super alias molitiones extruentes, dogma

B improbatum adstruentes, in altum turris instar euexerunt: Dicitur enim quod [erat omnis terra labij vnius] concentus nimirum animæ partium omnium, in mouendo quod capacissimum est in mentibus principio. Sperantes itaque se in cœlum cogitationibus suis cursuros ad euertendum æternum regnum, ingens & in expugnabilis detrudit manus & extructum dogma funditus euertens. Gen. 11.

C Vocatur autem locus confusio, proprium nomen nouo exteritate facinori. quid enim praua administratione magis confusum? nónne domus quidem à nullo principe rectæ, offensionibus plenæ sunt & turbationis? sine rege autem relictæ vrbes sub turbæ imperio contrario & maximo pereunt? & regiones, & gentes, & climata terræ, quorum imperia dissoluta sunt, nónne antiqua & ingentes felicitates abiecerunt? Et quid attinet humana allegare?

D neque enim reliqui animalium greges, volucrium, terrestrium, aquatilium, absque vllo greges magistro consistunt. Verum desiderant & sequuntur semper proprium ducem, tanquam solum bonorum causam, cuius per absentiam dissipantur & pereunt. Deinde putamus ijs quæ terram ambiunt, quæ breuissima sunt pars vniuersi, imperium quidem bonorum, malam verò administrationem, malorum esse causam: mundum

E verò nonne per Dei regnantis conductum felicitate extrema plenum esse? pœnas igitur conuenientes ijs quæ profuerunt, dederunt. commiscentes enim sacrum de auaritia commixtum, viderunt confusos non confundentes. quamdiu enim pœnas non luerunt: amentia inflati, vniuersorum & corruptæ comparantes. Tragicè exaggerantes igitur, & os obturantes solent ridiculi

hæc dicere; nos qui duces, nos su-
mus qui dominantes sumus, in nos
irruunt omnia bona & contraria. qui-
dam authores * nos, male operari,
quibus nisi nobis verissima reposita
sunt? nugantur etiam alio modo, ex
potestate inuisibili omnia dicentes
pendere, quam regere & admini-
strare quæ in mundo humana & di-
uina existimant, talia falso iactan-
tes. Si verò ex ebrietate sobrij in
seipsis fiant, & superbia qua leges
violarunt, ad sensum venientes, pu-
defiant, & accusent se ipsos de qui-
bus improba sententia peccare com-
pulsi fuerunt, non adulante & in-
corruptibili vtentes consilio pœni-
tentiæ, propitiam entis vim placan-
tes recantationibus pro profanis sa-
cris, obliterationem præteritorum
inuenient absolutam. Si verò rebel-
les & duræ ceruicis vsque ad omnia
facti exultent, tanquam sui iuris &
liberi, & aliorum duces existentes
indeprecabili necessitate & implaca-
bili: suam ipsorum in omnibus tum
exiguis tum magnis nullitatem sen-
tient. Qui enim contigit auriga tan-
quam currui volucri, huic autem
ornatui frenum inijciens, laxantem
frena à tergo vi tendens & orna-
tus astringens, flagris, & stimulis
recordabitur sterilis potestatis, cu-
ius obliti sunt per facilitatem &
benignitatem eius qui tenet, quem-
admodum mali serui dominorum
enim conueniens tanquam liberta-
tem euertentes, ita se componunt
quasi sine Domino essent: donec
fluentem & multum ipsorum mor-
bum pro pharmacis pœnas afferens
Leuit.5. possessor infundat. Ideo dicitur ani-
ma exlex distinguens labijs bene-
facere aut male facere: deinde con-
fitebitur suum ipsius peccatum. quid
ais plena iactantiæ? nosti enim quod
sit reuera bonum vel malum, iustum,
aut sanctum? aut quæ quibus con-
ueniant? horum scientia & vis sita
est in vno Deo, & si quis ipsi ami-
cus. Testatur verò & oraculum, in
Deut.32. quo dicitur: [Ego occidam, &
viuere faciam: percutiam, & ego
sanabo. verum enim neque super-
ficialem habuit anima quæ sibi sa-
pere videtur, quod super se ipsam
est somnium: sed ita infelix euen-
tilata est, vti & * * fieri firmiter
& solidè palpitans hæc stare cre-

A ἀπολλυμένη καὶ φλεγμαίνουσα προσάπτοντες.
ἐπιπαγχάζοντες γέλω καὶ ἐπιστομίζοντες
εἰώθασιν οἱ καταγέλαστοι λέγειν ταῦτα, ἡ-
μεῖς οἱ ἡγεμόνες, ἡμεῖς οἱ δυναστεύοντες, ἐφ'
ἡμῖν ὁρμᾷ τὰ πάντα ἀγαθῶν καὶ τῶν ἐναντίων.
τινὲς αἴτιοι * ἡμεῖς. τοῦ * κακῶς ἐργάσασθαι,
πίστιν ὅτι μὴ ἡμῖν ἀψευδέστατα ἀνάκειται·
φλυαροῦσι δὲ ἄλλως, οἱ δυνάμεως ἀορά-
του τὰ πάντα φάσκοντες ἐξῆφθαι, ἣν ἐπι-
τροπεύειν τῶν κατὰ τὸν κόσμον ἀνθρωπίων τε
B καὶ θείων νομίζουσι· τοιαῦτα καταλαζονευ-
σάμενοι. ἐὰν μὲν ὥσπερ ἐκ μέθης νήψαν-
τες ἐν ἑαυτοῖς γένωνται, καὶ τῆς παρανοίας,
ἣν παρανομοῦσιν, εἰς αἴσθησιν ἐλθόντες, αἰδε-
σθῶσι, καὶ κακίσωσιν ἑαυτοὺς ἐφ' οἷς ὑπ' ἀγνώ-
μονος γνώμης ἐξαμαρτάνειν προήχθησαν, ἀκο-
λακεύτῳ καὶ ἀδεκάστῳ χρησάμενοι συμβού-
λῳ μετανοίᾳ, τὴν ἵλεω τοῦ ὄντος δύναμιν
ἐξευμενισάμενοι παλινῳδίαις ἀντὶ βεβήλων
C ἱερῶν· ἀμνηστίαν εὑρήσονται παντελῆ. ἐὰν
δὲ ἀφηνιάσωσι καὶ σκληραύχενες μέχρι τοῦ
παντὸς γενόμενοι σκιρτῶσιν, ὡς αὐτόνομοι καὶ
ἐλεύθεροι καὶ ἑτέρων ἡγεμόνες ὄντες, ἀπαραι-
τήτῳ ἀνάγκῃ καὶ ἀμειλίκτῳ· τὴν ἑαυτῶν ἐν
ἅπασι μικροῖς τε καὶ μεγάλοις οὐδένειαν αἰσ-
θήσονται. ὁ γὰρ ἐπιβεβηκὼς ἡνίοχος ὡς
ἅρματι πτηνῷ, τῷδε τῷ κόσμῳ χαλινὸν
ἐμβαλών, τὸν κεχαλασμένον τὴν ἡνίαν ἐπί-
σω βίᾳ τείνας, καὶ τοὺς κόσμους ἐπισφίγ-
D ξας, μαστίξει, καὶ κέντροις ἀναμνήσει τῆς
δεσποτικῆς ἐξουσίας, ἧς ἐπελάθοντο διὰ τὸ
χρηστὸν καὶ ἥμερον τοῦ κρατοῦντος, ὥσπερ οἱ
κακοὶ δοῦλοι. τὸ γὰρ τὴν δεσποτείαν ἐπιει-
κῶς ὡς ἀναρχίαν ἐκτρέποντες, ἐπιμορφά-
ζουσι τὸ ἀδέσποτον μέχρις ἂν τὴν ῥοώδη τε
καὶ πολλὴν αὐτῶν νόσον ἀντὶ φαρμάκων
ταῖς τιμωρίαις προσφέρων ὁ κεκτημένος ἐ-
πισχῇ. διὸ λέγεται ψυχὴ ἄνομος, ἡ διαστέλ-
λουσα τοῖς χείλεσι καλοποιῆσαι ἢ κακοποιῆ-
E σαι. εἶθ' ὕστερον ἐξαγορεύσει τὴν ἁμαρτίαν
ἑαυτῆς. τί φής, ὦ γέμουσα ἀλαζονείας; οἶ-
δας γὰρ τί ἐστι τὸ πρὸς ἀλήθειαν ἀγαθὸν ἢ κακὸν
ἢ δίκαιον, ἢ ὅσιον; ἢ τίνα τίσιν ἐφαρμόττει;
ἡ τούτων ἐπιστήμη τε καὶ δύναμις ἀνάκει-
ται μόνῳ θεῷ, καὶ εἴ τις αὐτοῦ φίλος. μάρ-
τυς δὲ καὶ χρησμός, ἐν ᾧ λέγεται· Ἐγὼ
ἀποκτενῶ, καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ
ἰάσομαι. ἀλλὰ γὰρ οὐδὲ ἐπιπόλαιον ἔσχεν ἡ δο-

κατάστροφος ψυχὴ περὶ τῶν ὑπὲρ ἑαυτῆς ὑπερορίζειν· ἀλλ' οὕτως ἡ δυστυχὴς ἐξετραχηλίσθη, ὡς καὶ * ἐννόημά ποτε γενέσθαι περὶ τοῦ βεβαίως καὶ παγίως ταῦτ' ἔσεσθαι ἀφθόνως ὑπολαβεῖν. ἐὰν οὖν ὁ παλμώδης καὶ παφλάζων τοῦ νοσήματος ἄρξηται χαλᾶν· τὰ τῆς ὑγείας ἐμπυρεύματα, κατ' ὀλίγον ἐκζωπυρούμενα, βιάσεται ὁ μὲν πρῶτον ἐξαγορεῦσαι, ὃ ἁμάρτημα (ὃ δή ἐστι κακῶς ἔχειν ἑαυτῆς) εἶτα πρὸς βωμοῖς ἱκέτιν γενέσθαι, τιμωμένην λιταῖς καὶ εὐχαῖς καὶ θυσίαις, ἀμνηστίας μόνης ἐπιλαχεῖν ἔστι. ἑξῆς δ' ἄν τις εἰκότως ἐπαπορήσειε, τί δή ποτε τὸν ἐν Αἰγύπτῳ ποταμὸν μόνον ἀνέγραψεν ἔχοντα χεῖλη, τὸν δ' Εὐφράτην ἢ τινα τῶν ἄλλων ἱερῶν ποταμῶν οὐκ ἔτι. ὅπου μὲν γάρ, φησι, στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ. καί τοι τινὲς ἴσως ἐπιχλευάζοντες ἐροῦσι, μὴ δεῖν τὰ τοιαῦτα εἰς τὰς ζητήσεις εἰσάγειν γλισχρολογίαν γὰρ μᾶλλον, ἢ ὠφέλειάν τινα ἐμφαίνειν. ἐγὼ δὲ τὰ τοιαῦτα ἡδυσμάτων τρόπον ἠρτῦσθαι ταῖς ἱεραῖς ἀναγραφαῖς, βελτιώσεως ἕνεκα τῶν ἐντυγχανόντων, ὑπολαμβάνω· καὶ οὐδεμίαν τῶν ζητούντων καταγράφειν εὑρεσιλογίαν, ἀλλ' εἰ μὴ ζητοῖεν ἔμπαλιν ἀργίαν. οὐδὲ γὰρ περὶ ποταμῶν ἐστιν ἱστορίας ἡ παροῦσα σπουδή, περὶ δὲ βίων τῶν εἰκαζομένων ποταμίοις ῥεύμασιν ἐναντιουμένων ἀλλήλοις. ὁ μὲν γὰρ τοῦ σπουδαίου βίος, ἐν ἔργοις· ἐν λόγοις δὲ ὁ τοῦ φαύλου θεωρεῖται. λόγος δὲ γλώττῃ καὶ στόματι καὶ χείλεσι ἐπὶ τοῖς*

A didit. Si igitur tremulum & fomenta æstuans morbi cœperit remittere sanitatis suscitabulum paulatim excitata, cogent primum quidem profiteri peccatum (hoc verò est male seipsum habere) deinde ad aras supplicem fieri, venerantem supplicationibus precibus & sacrificijs præteritorum obliterationem vnam consequi potest.
B Deinceps quis meritò dubitarit, quid tandem Ægypti fluuium, Euphratem verò, aut alium quempiam aliorum sacrorum fluuiorum non amplius. Ibi enim, inquit, stabis occurrens ipsi ad ripam fluuij. Atque adeò quidam fortè ridentes dicent, non oportere hæc in quæstiones introducere, tenacitatem enim quandam sermonis potius quàm vtilitatem ostendere.
C Ego verò hæc instar condimentorum apparasse, sacris scripturis, emendationis lectorum gratia, existimo, atque nullam quærentium legendam verborum affluentiam, sed si non quærant contra desidiam. neque enim de fluminum historia est præsens studium, de vitis autem comparatis fluuialibus fluxibus inuicem contrarijs.
D studiosi enim vita, in operibus: in verbis autem mali spectatur, sermo autem linguæ, & ori, & labio & *

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ ΠΕΡΙ ΚΟΣΜΟΥ.

PHILONIS IVDÆI LIBER DE MVNDO.

GVLIELMO BVDÆO INTERPRETE.

Librum hunc de Mundo Philonis Iudæi non esse non nescimus: sed tantum quia sub Philonis nomine, quicumque tandem ille fuerit, circumfertur, hic adÿciendum putauimus, ne quis curiosior lector in hac nostra editione quicquam desiderare posset.

NIHIL in rerum natura proditũ est Deo æquiparãdum. Vnus est enim ipse princeps, dux, & rex, cui pro imperio regere vniuersa, administraréque ius est. Nam illud Homericum,

Iliad. β. *Non bona multiplici dominatu condita res est*
Publica rex vnus dominator & vnicus esto.

Non de ciuitatibus magis & hominibus, quam de mundo déque Deo dictum, par est vt intelligamus. Vnius enim mundi fictorem esse vnum, dominúmque vnum necesse est. Hoc igitur confesso ac posito deinceps nobis attexenda quæ ei sunt consentanea: quæ cuiusmodi sunt ipsa, hinc iam consideremus. Vnus ipse Deus cùm sit, duas habet supremas potestates, per quas mundus ille coagmentatus est intelligibilis atque incorporeus. Qui huius mundi conspicui exemplar est primigenium, formis ille quidem cæcis conditisque: constitutus, vt hic qui oculis cernitur. Quo euenit, vt nonnulli mortales mundi vtriúsque naturam ad stuporem vsque suspicientes, non totos illos solum velut Deos, sed etiam eorum partes pulcherrimas consecrarint, solem inquam & lunam, vniuersúmque cœlum, quæ nihil illi veriti sunt, quominus Deos appellarét. Quorum animi sensa Moses perspiciens:

A ΟΥΔΕΝ τῶν ὄντων, ἰσότιμον ἐφέστηκε θεῷ· ἀλλ' ἔστιν εἷς ἄρχων, καὶ ἡγεμὼν καὶ βασιλεύς, ᾧ πρυτανεύειν καὶ διοικεῖν μόνῳ θέμις τὰ σύμπαντα. τὸ γάρ·

Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,
Εἷς βασιλεύς·

B οὐκ ἐπὶ πόλεων καὶ ἀνθρώπων λέγοιτ' ἂν ἐν δίκῃ μᾶλλον, ἢ ἐπὶ κόσμου καὶ θεοῦ. ἑνὸς γὰρ ἕνα ποιητήν τε καὶ δεσπότην ἀναγκαῖον εἶναι. τούτου δὴ προωμολογηθέντος, ἀκόλουθον ἂν εἴη συνυφαίνειν τὰ ἁρμόζοντα. τίνα οὖν ἐπισκεπτώμεθα. Εἷς ὢν ὁ θεός, δύο τὰς ἀνωτάτω δυνάμεις ἔχει. διὰ τούτων τῶν δυνάμεων, ὁ ἀσώματος καὶ νοητὸς ἐπάγη κόσμος ὁ τοῦ φαινομένου τοῦδε ἀρχέτυπος, ἰδέαις ἀοράτοις συσταθεὶς ὥσπερ οὗτος ὄμμασιν ὁρατός. καταπλαγέντες οὖν τινες

C τὴν ἑκατέρου τῶν κόσμων φύσιν, οὐ μόνον ὅλους ἐξεθείωσαν, ἀλλὰ καὶ τὰ κάλλιστα τῶν ἐν αὐτοῖς μερῶν, ἥλιον λέγω καὶ σελήνην καὶ τὸν σύμπαντα οὐρανόν, ἅπερ οὐδὲν αἰδεσθέντες θεοὺς ἐκάλεσαν. ὧν τὴν ἐπίνοιαν κατιδὼν Μωϋσῆς, φησι, κύριε βασιλεῦ τῶν θεῶν, ἔνδειξιν τῆς περὶ

ὑπηκόοις ἄρχοντος διαφορᾶς. καὶ ὁ τοῦ Ἰουδαίων ἔθνους πρεσβύτατος γένει μὲν ἦν Χαλδαῖος. πατρὸς δὲ ἀστρονομικοῦ τῶν τὰ μαθήματα διατριβόντων, οἳ τοὺς ἀστέρας θεοὺς νομίζουσι, καὶ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον. παρ' οὓς τότε εὖ, καὶ τὸ χεῖρον φασὶν ἀποβαίνειν, οὐδὲν ἔξω τῶν αἰσθητῶν ὑπολαμβάνοντες εἶναι. τούτου δέ τι ἂν εἴη χαλεπώτερον, ἢ μᾶλλον ἀπελέγξαι τὴν ἐν τῇ ψυχῇ δυσγένειαν δυνάμενον δι' ἐπιστήμης τῶν πολλῶν καὶ δευτέρων καὶ γενητῶν, εἰς ἀνεπιστημοσύνην ἰούσης τοῦ ἑνὸς καὶ πρεσβυτάτου, καὶ ἀγενήτου καὶ ποιητοῦ τῶν ὅλων, καὶ διά τε ταῦτα ἀρίστου καὶ μυρία ἄλλα, ἃ διὰ μέγεθος, ἀνθρώπινος λογισμὸς οὐ χωρεῖ. ὃν ἐν νῷ λαβὼν καὶ ἐπιθειάσας, καταλείπει μὲν πατρίδα καὶ γένος καὶ πατρῷον οἶκον εἰδὼς ὅτι μένοντος μὲν, αἱ τῆς πολυθέου δόξης, ἐγκαταμένουσαι ἀπάται, ἐννοίας ἀνόνητον κατασκευάζουσιν εἰς τὴν τοῦ ἑνὸς εὕρεσιν, ὅς ἐστιν ἀΐδιος μόνος, καὶ τῶν ἄλλων πατὴρ νοητῶν τε καὶ αἰσθητῶν. Εἰ δὲ μετοικισαίη, μεταναστήσεσθαί τε καὶ τῆς διανοίας τὴν ἀπάτην, μεθαρμοσάμενος τὴν ψευδῆ δόξαν, εἰς ἀλήθειαν. ἅμα δὲ καὶ τὸν πόθον ὃν ἐπόθει γνῶναι τὸ ὂν προσανερρίπισε λόγια τὰ χρησθέντα. ὡς ποδηγετούμενος ἐπὶ τὴν τοῦ ἑνὸς ἀκριβεστάτην σπουδὴν, καὶ ζήτησιν, ᾔει. καὶ οὐ πρότερον ἀνῆκεν ἢ τρανωτέρας λαβεῖν φαντασίας οὐχὶ τῆς οὐσίας (τοῦτο γὰρ ἀμηχανοῦνται, ἀλλὰ τῆς ὑπάρξεως αὐτοῦ. καὶ τῆς προνοίας. διὸ καὶ πιστεῦσαι λέγεται τῷ θεῷ πρῶτος. ἐπειδὴ καὶ πρῶτος ἀκλινῆ καὶ βεβαίαν ἔσχεν ὑπόληψιν) ὡς ἔστιν ἓν αἴτιον ἀνώτατον τὸ προνοοῦν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ. ἐπειδὴ γὰρ τὴν οὐσίαν ἄτακτον, συγκεχυμένην οὖσαν εἰς τάξιν ἐξ ἀταξίας, καὶ ἐκ συγχύσεως, εἰς διάκρισιν ἄγων ὁ κοσμοπλάστης, κοσμεῖν ἤρξατο γῆν μὲν καὶ ὕδωρ, ἐπὶ τὸ μέσον ἐρρίζου, τὰ δ' ἀέρος καὶ πυρὸς δένδρα πρὸς τὴν μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν. τὸν δὲ αἰ-

A Domine, inquit, deorũ rex, significare ille quidem volens præstantiam principis præ subditis. Ille etiam Iudæorum gentis ductor antiquissimus, Chaldæorum gente oriundus fuit, astronomo parenti, corúmque vno qui artium mathematicarũ studio incubuerunt, quippe Deos esse stellas arbitrati sunt vt vniuersum cœlũ mundumque eorum vi quod recte quodque secus contingit, euenire ipsi censentes: vtpote qui nullam esse causam extra ea existimarent quæ sensu percipi possunt. At hoc B quidnam esse fœdius, quidnã conuincere & demonstrare potest luculentius ignauiã degeneris animi? per scientiã multorum & secundorum & genitorum, ad inscitiam tendentis vnius vetustissimi, ingeniti, omniumque fictoris, atque eam ob rem optimi, propterque alias sexcẽtas, quæ magnitudine sua excedũt humanæ ratiocinationis modum. Quem Chaldæus ille mente conceptum, quum vt Deum suspicere cœpisset, religionique habere: solum quidẽ C ipse patrium vertere instituit, genúsque suum ac larem paternum pro derelicto habere. Probe enim nouerat, quod sibi illic manenti, fallacis opinionis occursus, quæ deorum multitudinem adstruit, notionem incommodam attulissent ad vnius Dei inuentionem, qui solus est æternus, aliorum omnium parens, intelligibilium iuxta sensibiliúmque sin inde migrare instituisset, emigraturam quoque ab se intelligebat rationis imposturam. Hac ille ratione vanitatem opinionis vertit in veritatem, cum D eo quoque quod oracula cœlitus ipsi edita denuò desideriũ in ipso exsuscitarũt, quo suaptè sponte flagrabat, cognoscendi id quod esse dicitur. Quibus ille oraculis deductus, in vnius vestigationem ibat studio quam accuratissimo. Neque vero eius contẽtiones quicquã ipse ante remisit, quàm mente ipse concepit speciem clariorẽ: non illam quidem naturæ eius & essentiæ (etenim hoc maius est, quã vt id assequi quisquam possit) sed substantiæ atque proui- E dentiæ. Quamobrem princeps ille credidisse Deo dicitur, quando princeps ipse stabilem & exquisitam opinionẽ habuit, supremam vnam esse causam, mundi eorumque quæ in mundo sunt prouidentẽ. Quum enim rerum substantiam confusam & permixtam ex incondita illa congerie in ordinem, atque ex indiscreta confusione in discriminen redigere volens mundi fictor, digerere eam atque ordine constituere cœpisset, terram quidem & aquam in medio fibris suis cõstabiliuit: aeris verò ignisque stirpes sublimes è media regione sustulit: ætherium locum in ambitu cõmu-

niens, limitémque eorum faciens quæ intus sunt & tanquã præsidiũ. Quare οὐρανός, id est cœlum ab ὅρου, id est termino, nomen deductũ videri potest. Atque hæ quidem veluti propagines quædam integræ sunt, viui radicésque vniuersi. Prægrãdis verò stipes atque fœcundissimus est hic mundus, cuius velut soboles ad fruticãs, germina illa sunt à nobis supradicta. Vbinã igitur radices egerit, & quænam sit eius basis, considerãdum, super qua basi statuæ in modum affirmatus est mundus. Est autem simile veri corpus nullum erraticum extra esse relictum, quũ Deus vniuersi materiã opificio concinnatam ordine digesserit: consentaneũque fuit maximo opifici omnium operũ maximum omnibus numeris absolutum fingere. Atqui absolutissimum esse non potuit, vt non absolutis quoque partibus compleretur. Quocirca si ita hic mũdus compactus est, vt vniuersæ materię nihil ne tantulum quidem, extra relinqueretur necesse vtique vel inane extra vel nihil esse. Quod si inane quo tandem modo plenum mundum & densum, omniumque rerum grauissimum, libratum esse in inani compertum est, solidóque nullo nixum? Certe viso ludificanti similem id videri possit quærente semper cogitatione sedimentum aliquod corporeum: cuiusmodi quum omne quod mouetur habere rationi est consonũ tum mundum pręcipuè, quod corpus omnium corporum maximum est: quippe quod aliorum corporũ congeriẽ in sinu suo tanquam proprias partes gerit. Quare si cui effugere propositum est idẽtidem recursantes huius quæstionis difficultates, ne vereatur ille dicere & asserere, nihil ita validũ esse, dumtaxat eorum quæ in materia sita sunt, vt mundum gestare queat. Esse verò ille dicat sempiterni Dei legem æternam, fulturam firmissimã vniuersorũ & certissimam. Hæc lex à medijs ad extrema, & à summis ad media protensa, inuictũ naturæ curriculũ quasi Circense peragit, coagmentans omnes mũdi partes & adstringens. Etenim vinculũ infractũ vniuersi eam fecit ipse parens qui genuit. Proinde consentaneũ est dicere, nec terrã omnẽ dissolutum iri ab aqua, quam intra sinus suos concepit nec ab aëre ignẽ extinctum iri, nec verò aërem ab igne cõflagraturũ: vtique lege diuina pro cõfinio aëre collocato. Hac igitur ratione stirps illa fertilissima suis cum radicibus condita, actis ipsis radicibus affirmata est. At vero singularũ stirpium partim transitu mouentur partim circa transitionẽ condita sunt, vt eodẽ in loco mansitantia. Et quæ transitiuo quidẽ motu vtũtur, quæ nos animan-

A θέειον ἐν κύκλῳ τόπον ὠχυρῶσθαι, τῶν ἐντὸς ὅρον τε καὶ φυλακτήριον αὐτὸν τεθείς. ἀφ' οὗ καὶ οὐρανὸς ὠνομάσθαι δοκεῖ. καὶ ταῦτα μὲν τὰ τέλεια τοῦ παντὸς ἦν μοσχεύματα. τὸ δὲ παμμεγεθὲς καὶ παμφορώτατον ἔρνος ὁ κόσμος ἐστίν, οὗ παραφυάδες οἱ εἰρημένοι βλαστοί, ὅπου ποτ' οὖν δράξας ῥίζας καθῆκε, καὶ τίς ἐστιν αὐτῷ βάσις, ἐφ' ἧς ὥσπερ ἀνδριὰς ἐρήρεισται σκεπτέον. σῶμα μὲν οὐδὲν ἀπολειφθὲν εἰ-
B κὸς ἐξωπλανᾶσθαι, τὴν δ' ὅλων ὕλην ἐργασαμένου καὶ διακοσμήσαντος θεοῦ. τελειότατον γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων, τῷ μεγίστῳ δημιουργῷ διαπλάσασθαι. τελειότατον δ' οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν. ὥστε ἐκ τῆς ἁπάσης ὕλης μηδὲν ἔξω μηδὲ τῆς βραχυτάτης καταλειφθείσης συνέστη. ὃ δὲ ὁ κόσμος, ἀνάγκη τοίνυν ἐκτὸς, ἢ κενὸν ἢ μηδὲν εἶναι. εἰ μὲν δὴ κενόν, πῶς
C τὸν πλήρη καὶ ναστὸν καὶ τῶν ὄντων βαρύτατον εὑρέθη ταλαντεῦον, στερεοῦ μηδενὸς ἐπερείδοντος. ἐξ οὗ φάσματι δὴ ἐοικέναι δόξαι. ζητούσης ἀεὶ τῆς διανοίας βάσιν σωματικήν, πολὺ ἔχειν εἰκός, ἐάν τε κινούμενον τυγχάνῃ τὸν δὲ δὴ κόσμον διαφερόντως. ὅτι τὸ μέγιστον σωμάτων ἐστί, καὶ πλῆθος ἄλλων σωμάτων ὡς οἰκεῖα ἐγκεκόλπισται μέρη, τὰς δυσωπίας οὖν εἴ τις ἀποδιδράσκειν βούλοιτο τὰς
D ἐν τοῖς διαπορηθεῖσι λεγέτω μετὰ παρρησίας, ὅτι οὐδὲν τῶν ὑλικῶν κραταιὸν οὕτως, ὡς τὸν κόσμον ἀχθοφορεῖν ἰσχύσαι. νόμος δὲ ὁ ἀΐδιος θεοῦ αἰωνίου, τὸ ὀχυρώτατον καὶ βεβαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν. οὗτος ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα, καὶ ἀπὸ τῶν ἄκρων εἰς μέσα ταθεὶς δολιχεύει τὸν τῆς φύσεως δρόμον ἀήττητον. συνάγων πάντα τὰ μέρη καὶ σφίγγων. δεσμὸν γὰρ αὐτὸν ἄρρηκτον τοῦ παντὸς ὁ γεννήσας ἐποίει πατήρ. εἰκότως οὖν, οὔτε γῆ πᾶσα διαλυθήσεται πρὸς ὕδατος, ὅπερ
E αὐτῆς οἱ κόλποι κεχωρήκασιν οὔθ' ὑπ' ἀέρος σβεσθήσεται πῦρ. οὔτ' ἔμπαλιν ὑπὸ πυρὸς ἀὴρ ἀναφλεχθήσεται τοῦ θείου νόμου μεθόριον τεθέντος αὐτῶν. οὕτω μὲν δὴ παμφορώτατον φυτὸν ἐρριζοῦτο, καὶ ῥιζωθὲν ἐκρατύνετο, τῶν δὲ ἐν μέρει καὶ βραχυτέρων φυτῶν, τὰ μὲν μεταβατικῶς κινητά, τὰ δ' ἄνευ μεταβάσεως, ὡς ἂν ἑστῶτα κατὰ τὸν αὐτὸν τόπον ἐδημιουργεῖτο. τὰ μὲν οὖν μεταβατικῇ κινήσει χρώμενα, ἃ δὴ φαμὲν ἡμεῖς

ζῷα

ζῶα εἶναι, τοῖς τοῦ παντὸς ὁλοσχερεστέροις προσεστηριγμένα μέρεσι. γῇ μὲν τὰ χερσαῖα, πλωτὰ δὲ τῷ ὕδατι, τὰ πτηνὰ δὲ ἀέρι, τοὺς ἀστέρας δὲ ἐν οὐρανῷ. διττὰ δὲ ἔν τε γῇ καὶ ὕδατι καὶ ἀέρι ζῶν, ὁποῖον ἐποίει. ἀέρι μὲν τὰ πτηνά, καὶ δυνάμεις ἄλλας, αἰσθήσει οὐδαμῶς καταλαμβανομένας. ψυχῶν ὁ θίασος οὗτος ἀσωμάτων ἐστὶ διακεκοσμημένων οὔσαις αὐταῖς ἐν τάξεσι. τὰς μὲν γὰρ εἰσκρίνεσθαι, λόγος ἔχει σώμασι θνητοῖς. καὶ κατά τινας ὡρισμένας περιόδους ἀπαλλάττεσθαι πάλιν. τὰς δὲ θειοτέρας κατασκευῆς λαχούσας ἀπολύτας ἀλογεῖν τοῦ τῆς γῆς χωρίου ἀνωτάτω δ' εἶναι πρὸς αὐτῷ τῷ αἰθέρι τὰς καθαρωτάτας ἃς οἱ μὲν παρ' Ἕλλησι φιλοσοφήσαντες, ἥρωας καλοῦσι καὶ δαίμονας. Μωϋσῆς δὲ εὐθυβόλῳ χρώμενος ὀνόματι, ἀγγέλους προσαγορεύει. πρεσβευομένας καὶ διαγγελλούσας τά τε παρὰ τοῦ ἡγεμόνος τοῖς ὑπηκόοις ἀγαθὰ καὶ τῷ βασιλεῖ ὧν εἰσιν ὑπήκοοι χρεῖοι. ἐκεῖναι δὲ ὥσπερ εἰς ποταμὸν τὸ σῶμα καταβᾶσαι, ποτὲ μὲν ὑπὸ συρμοῦ δίνης βιαιοτάτης ἁρπασθεῖσαι, κατεπόθησαν, ποτὲ δὲ πρὸς τὴν φορὰν ἀντέχειν δυνηθεῖσαι, τὸ μὲν πρῶτον ἀνενήξαντο, εἶτα ὅθεν ὡρμήθησαν, ἐκεῖσε πάλιν ἀνέπτησαν αὗται μὲν οὖν εἰσι ψυχαὶ τῶν ἀνόθως ἐνθέως φιλοσοφούντων ἐξ ἀρχῆς ἄχρι τέλους μελετῶσαι τὸν μετὰ σωμάτων ἀποθνῄσκειν βίον. ἵνα τῆς ἀσωμάτου καὶ ἀφθάρτου παρὰ τῷ ἀγενήτῳ καὶ ἀφθάρτῳ ζωῆς μεταλάχωσιν. αἱ δὲ καταποθεῖσαι τῶν ἄλλων ἀνθρώπων ὅσοι σοφίας ἠλόγησαν, ἐκδόντες ἀστάτοις καὶ τυχηροῖς πράγμασιν ἑαυτούς, ὧν οὐδὲν εἰς ψυχὴν ἢ νοῦν ἀναφέρεται. πάντα δὲ ἐπὶ τὸν συμφυᾶ νεκρὸν ἡμῶν τὸ σῶμα, ἢ ἐπὶ τὰ ἀψυχότερα τούτου. δόξαν λέγω καὶ χρήματα καὶ ἀρχάς, καὶ τιμάς καὶ ὅσα ἄλλα ὑπὸ τῶν μὴ τεθεαμένων τὰ πρὸς ἀλήθειαν καλά, ἀπάτῃ ψευδοῦς δόξης ἀναπλάττεται ἢ ζωγραφεῖται ψυχὰς οὖν καὶ δαίμονας καὶ ἀγγέλους, ὀνόματι μὲν διαφέροντας, ἓν δὲ καὶ ταὐτὸν ὑποκείμενον διανοηθεὶς, ἄχθος βαρύτατον ἀποθήσεις δεισιδαιμονίαν. ὥσπερ γὰρ ἀγαθοὺς δαίμονας καὶ κακοὺς λέγουσιν οἱ πολλοὶ καὶ ψυχὰς ὁμοίως, οὕτω καὶ ἀγγέλους τοὺς μὲν τῆς προσρήσεως

A tia dicimus, eò amplioribus vniuersi partibus accessionis vice cesserunt: Terræ quidem terrestria, aquæ natalitia, aëri volucria, denique cœlo stellæ: Enim verò in terra, in aqua in aëre, fictor ipse duplicia finxit genera, vt in aëre volatilia, aliásque potestates sensu quidem illas nusquā nullóque pacto comprehensas. Animarum illic conuentus est corpore vacuarum ordinibus non iisdem descriptarum. Quippe alias earū corpora subire mortalia, rursúsque statiis quibusdam temporum circuitibus inde decedere ferunt: alias constitu-
B tionem diuiniorem sortitas ab omni terrestri situ cogitatione abhorrere. At quæ sint earum purissimæ, eas verò opinio est excelsissimo in loco apud ætherem ipsum stationē habere: Quas qui in Græcia Philosophari instituerūt, heroas appellauére. At Moses apposito nomine vsus, nuntios appellauit, legatione vtique functitantes atque internuntiis: subditis quidem bonorum à principe manantiū indices, principi verò ipsi regique operarū commode
C [illegible]i ab illis nauatarum. Illas porrò corporibus concretas perinde in corpus aut in flumen delapsas, interdum fluctuātis aquæ vortice rapi & absorberi: interdum impetum illum eluctatas indéque existentes, retro deinde subuolare, vnde erāt profectæ. Atque hæ quidem eorum animæ sunt qui Philosophiæ olim studio cōstanter indulserunt, à principio quidem illæ ad finem commentatæ de vita eam ob rem cum corpore defungenda, vitam vt adipiscantur incorpoream, interitúsque nesciam, apud eum qui interitus ipse nescius est & inge-
D nitus. At vero illæ demersæ eorū sunt hominum, qui sapientiæ rationē nullam habētes semetipsos fluxis rebus fortuitisque dediderunt. Quarum rerū nihil est quod ad mentē pertineat aut animā, omnia vero ad emortuū illum nostrum referantur quicū coalescimus: corpus inquam, ad eaque Insuper quæ inanimatiora sunt ipso, ad gloriam inquam, ad opes, ad magistratus atque honores: quæque alia ipsi opinione fallaci circumuenti imaginantur & pin-
E gunt, quibus haud vnquam contigit ipsis ea cernere quæ ad normam veritatis pulchra sunt & honesta. Animas igitur & lares, siue genios & nuntios (sic dæmones & angelos appellant) nomine differentes, cæterum vnum tute idemque subiectum esse animaduertens, grauissimum onus deposueris, quam superstitionem vocamus. Quemadmodum enim bonos genios malósque vulgus appellat, & animas itidem bonas malásque, sic angelorum quoque

A alios vaticinio & prædictione dignos, quosdam velut legatos hominum ad Deū. Deique rursus ad homines, sacrosanctos tu quidem excubitores existimans propter hanc ipsam innocentem honestissimámque muneris functionem: alios cursus eorum profanos iudicans vaticinióque indignos, non sane perperam ipse iudicaueris. Huic meæ sententiæ hymnorum author ille astipulatur, dicens: Emisit in eos iram excandescentiæ suæ per nuntios prauos. Porro autem in aqua mūdi B opifex tum animantia finxit natatilia, tum ea quæ ζωόφυτα quasi plantanima vocant, à natura inter animal plantamque ambigua: in terra verò animantes finxit terrestres cum stirpibus. Verum stirpes in caput mersas fecit, earumque capita in imo terræ defixit. At animantium brutarum capita ab humore tracta, in ceruicésque oblongas protenta, ita cum ceruicibus ipsis compegit, vt pedes anteriores vim scansionis obtineant. Præstanti verò, atque eximia constitutione homo ab eo C donatus est. Si quidem cum aliorum animalium facies ita circumegisset, deorsum vt vergentes in humum procumberent, versa ille vice humanam faciem rectam voluit esse, vt cœlum suspiceret, stirps ille quidem existens non terrena sed cœlestis, vt est vetusto dicto proditum. Enimverò cæteri naturæ ætheriæ partem mentem esse nostram dictitantes, cognationem homini cum æthere copulauerunt. Magnus verò Moses, formam rationalis animæ nulli eorum quæ genita sunt similiter nuncupauit, vt qui ani-D mam esse numinis imaginem, Deique illius dixerit, qui oculorum ipse obtutum nullum admittit: Signum Dei probum, quo imago expressa est, ex eo ille quidem esse ratus, quod eius signi forma est atque nota, sempiterna ratio. [Inspirauit (inquit) Deus in faciem eius spirationem vitæ.] Atqui eum qui admittit ad exemplar effingi necesse est emittentis. Quo fit vt hominem factum ad imaginem Dei aiant, non etiam ad alicuius eorum quæ genita sunt. Age iam hunc denuo ser-E monem explanationis gratia ita exordiamur, vt corpora quædam, habitum quædam naturam induisse, quædam animam dicamus quædam denique animam rationalem. Lapidum igitur & lignorum, quæ abstracta sunt à coalitu, vinculum validissimum Deus fecit habitum, qui spiritus est conuersa reflectens in seipsum. Incipiens enim à medijs in extrema tenditur: cùmque supremam, attigerit su-

ἀξίους πρεσβευτάς τινας ἀνθρώποις πρὸς θεόν, καὶ θεοῦ πρὸς ἀνθρώπους ἱερούς καὶ ἀσύλους· φύλακας διὰ τὴν ἀνυπαίτιον καὶ παγκάλην ταύτην ὑπηρεσίαν. τοὺς δ' ἔμπαλιν ἀνιέρους καὶ ἀναξίους τῆς προσρήσεως καὶ αὐτὸς ὑπολαμβάνων, οὐχ ἁμαρτήσεις. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ὑμνογράφος οὑτωσὶ λέγων· ἐξαπέστειλεν εἰς αὐτούς, ὀργὴν θυμοῦ αὐτοῦ δι' ἀγγέλων πονηρῶν. ὕδατι δὲ ζῷα πλωτὰ καὶ ζωόφυτα, τῇ γῇ δ' αὖ ζῷά τε χερσαῖα καὶ φυτά, κατώκαρα εἰργάσατο τὰς κεφαλὰς αὐτῶν, τοῖς βαθέσι τοῖς τῆς μέρεσι πήξας. ζώων δὲ τῶν ἀλόγων τὰς κεφαλὰς ἀνελκύσας ἀπὸ γῆς ἐπὶ προμήκους αὐχένος ἄκρας ἡρμόζετο τῷ αὐχένι. ὥσπερ ἐπίβασιν τοὺς ἐμπροσθίους πόδας θείς. ἐξαιρέτου δὲ τῆς κατασκευῆς ἔλαχεν ἄνθρωπος· τῶν μὲν γὰρ ἄλλων τὰς ὄψεις προσείργασε κάτω κύψας, διὸ νένευκε πρὸς χέρσον· ἀνθρώπου δὲ ἔμπαλιν ἀνώρθωσεν. ἵνα τὸν οὐρανὸν καταθεᾶται· φυτὸν οὐκ ἐπίγειον, ἀλλ' οὐράνιον ὡς παλαιὸς λόγος· ἀλλ' οἱ μὲν ἄλλοι, τῆς αἰθερίου φύσεως τὸν ἡμέτερον νοῦν μοῖραν εἰπόντες εἶναι, συγγένειαν ἀνθρώπῳ πρὸς αἰθέρα προσῆψαν· ὁ δὲ δὴ μέγας Μωϋσῆς οὐδενὶ τῶν γεγονότων τῆς λογικῆς ψυχῆς τὸ εἶδος ὁμοίως ὠνόμασεν· ἀλλ' εἶπεν αὐτὴν τοῦ θείου καὶ ἀοράτου θεοῦ ἐκείνου εἰκόνα. δόκιμον εἶναι νομίσας ἧς εἴωθε καὶ τυπωθεῖν σφραγῖδα θεοῦ. ἧς ὁ χαρακτήρ ἐστιν, ὁ ἀΐδιος λόγος. ἐνέπνευσε γάρ, φησιν, ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ, πνοὴν ζωῆς, ὥστε ἀνάγκη πρὸς τὸν ἐκπέμποντα τὸν δεχόμενον ἀπεικονίζεσθαι· διὸ καὶ τὸν ἄνθρωπον, κατ' εἰκόνα φασὶ θεοῦ γεγενῆσθαι. οὐ μὴν κατ' εἰκόνα τινὸς τῶν γεγονότων· ἀλλ' ἐπαναλαβόντες τὸν λόγον σαφηνείας χάριν εἴπωμεν, ὅτι τῶν σωμάτων, τὰ μὲν ἐνεδύσατο ἕξιν, τὰ δέ, φύσιν, τὰ δὲ ψυχήν, τὰ δὲ λογικὴν ψυχήν. λίθων μὲν οὖν καὶ ξύλων ἃ δὴ τῆς συμφυΐας ἀπέσπασται, δεσμὸν κραταιότατον, ἕξιν εἰργάσατο. ἡ δ' ἐστὶ πνεῦμα ἀναστρέφον ἐφ' ἑαυτό. ἄρχεται μὲν γὰρ ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα τείνεσθαι, ψαῦσαν δὲ ἄκρας ἐπιφανείας

A ἀνακάμπτει πάλιν ἄχρις ἂν ἐπὶ τὸν αὐτὸν ἀφίκηται τόπον, ἀφ' οὗ τὸ πρῶτον ὡρμήθη, ἕξεως ὁ συνεχὴς οὗτος δίαυλος. τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς, κερασάμενος αὐτὴν, ἐκ πλείστων δυνάμεων, θρεπτικῆς τε καὶ γεννητικῆς. ψυχὴν δὲ φύσεως τρισὶ διαλλάττουσαν ὁ ποιῶν ἐποίει. αἰσθήσει, φαντασίᾳ, ὁρμῇ. τὰ μὲν δὴ φυτὰ, τούτων ἀμέτοχα, τῶν δὲ ζώων ἕκαστον, ἀθρόων μετέχει B τῶν εἰρημένων αἴσθησις. μὲν οὖν ὡς αὐτὸ δήπου δηλοῖ τὸ ὄνομα, εἴσθεσίς τις οὖσα τὰ φανέντα ἐπεισφέρει τῷ νῷ. φαντασία δὲ τύπωσιν ἐν ψυχῇ, οἱονεὶ φαοστασία τις οὖσα. ἃ γὰρ εἰσήγαγεν ἑκάστη τῶν αἰσθήσεων ὥσπερ δακτύλιός τις, ἢ σφραγὶς ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα, ἣ τὸ ἐκμαγεῖον φυλάττει παρ' ἑαυτῇ, μέχρις ἂν ἡ ἀντίπαλος τῇ μνήμῃ, τὸν C τύπον λεάνασα λήθη, ἀμυδρὸν ἐργάσηται, ἢ παντελῶς ἀφανίσῃ. τὸ δὲ φανὲν καὶ τυπωθὲν, ποτὲ μὲν, οἰκείως, ποτὲ δὲ ὡς ἑτέρου διέθηκε τὴν ψυχήν. τοῦτο δὲ αὐτῆς πάθος, ὁρμὴ καλεῖται. ἣν ὁριζόμενοι, πρώτην ἔφησαν ψυχῆς κίνησιν. τοσούτοις μὲν ζῶα προέχει φυτῶν. ἴδωμεν τοίνυν τίνι τῶν ἄλλων ζώων ὑπερβέβηκεν ἄνθρωπος. τοῦτο δὲ ἐξαίρετον, γέρας ἔλαχε διάνοιαν, ἣ τὰς ἁπάντων D φύσεις σωμάτων τε καὶ πραγμάτων, εἴωθε καταλαμβάνειν· καθάπερ γὰρ ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικώτατον ὄψις ἐστίν. ἐν δὲ τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις, τὸν αὐτὸν τρόπον καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον, ὁ νοῦς. ψυχῆς γὰρ ὄψις ἐστὶ, ταῖς οἰκείαις περιλαμπόμενος αὐγαῖς, δι' ὧν ὁ πολὺς καὶ βαθὺς ζόφος ὃν κατέχεεν, ἄγνοια τῶν πραγμάτων ἀνασκίδναται. E τοῦτο τῆς ψυχῆς τὸ εἶδος οὐκ ἐκ τῶν αὐτῶν στοιχείων ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο διεπλάσθη. καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας ἐξ ἧς αἱ θεῖαι φύσεις ἐδημιουργοῦντο, παρὸ καὶ μόνον τῶν ἐν ἡμῖν, εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ, ἐλευθερίας ἠξίωσε, καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμὰ ἄφετον εἴασε. δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου, καὶ οἰκείου κτήματος αὐτῇ, τοῦ ἑκου-

perficiem reflectitur rursus, quoad eodem loci peruenerit vnde primum profectus erat. Atque hic est circularis cursus habitus. Naturam autem Deus ijs attribuit quæ radicibus hærent, eamque attribuit cùm è plurimis facultatibus attemperatam, tum verò altrice vi & genitrice. Animam etiam, fictor ipse tribus rebus finxit à natura differentem; sensu, viso (sic φαντασίαν vocant) impetu. Etenim quum stirpes earum rerum exortes sint, vnumquódque animans frequenter ijs afficitur. Sensus porrò (vt nomen ipsum indicat Græcum) illatio quædam est in mentem eorum quæ apparent & videntur. At visus impressio est in anima. Simul enim sensus aduentitium quippiam sigillatim importauerit, visum continuo annuli modo aut signi notam suam imprimit, impressámque effigiem asseruat penes sese, quoad vsque obliuio memoriæ aduersaria, formam ipsam vel exoletam reddat interlinendo, vel prorsus euanidam. Ipsum etiam visum quod imaginem insculpsit, interdum animam propriè, interdum alio quodam modo afficit, quæ animæ affectio impetus appellatur, vel animi appetitio, ὁρμὴ Græcè dicitur. Quam qui finire voluit, primum animi motum esse dicunt. His tot rebus animalia præstant ijs quæ radicibus hærent. Age verò videamus quinam præstet homo cæteris animantibus: nimirum eximio munere quam mentem appellamus, qua mente omnium ipse naturas comprehendere solet tum corporum, tum rerum. Quemadmodum enim in corpore visus est longè omnium princeps (id quod in vniuerso naturalis luminis obtinuit) ita eorum quæ in nobis sunt, animus imprimis bonitate censetur. Quippe qui animæ sit oculus proprijs ille quidem splendoribus circumfusus, quis multa caligo altáque discutitur, quam rerum ignorantia offudit. Hæc animæ forma elementis non ijsdem ficta est è quibus cætera quoque perfecta sunt, puriorem verò potiorémque sortita est ipsa materiam ex qua scilicet naturæ diuinæ procreatæ sunt. Quamobrem solus ipse in nobis interitus immunitate meritò donatus esse visus est: quippe quem solum parens eius & sator libertate dignatus sit. necessitatísque vinculis remisit liberum esse nexúque solutum siuerit, donato illi pignore tum decentissimo, tum maximè accommodato, liberi scilicet arbitrij, ea sorte quam ille admittere poterat &

ἑκάστῳ αὐτῶν ἐνελάσαι. ἀκοὴν μὲν εἰς ὦτα, ὄψιν δὲ εἰς ὄμματα, καὶ εἰς μυκτῆρας ὄσφρησιν, καὶ τὰς ἄλλας εἰς τὰ οἰκεῖα συγγενῆ χωρία. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνὴρ, ἐν ὕμνοις λέγων ὧδε· ὁ φυτεύων οὖς οὐκ ἀκούει; ὁ πλάσσων ὀφθαλμὸν οὐκ ἐπιβλέπει; καὶ τὰς διϊκνουμένας μὲν ἄχρι σκελῶν τε καὶ χειρῶν, καὶ τῶν ἄλλων τοῦ σώματος μερῶν, ὅσα ἐντός τε καὶ ἐκτὸς δυνάμεις ἁπάσας εὐγενῆ μοσχεύματα εἶναι συμβέβηκε. τὰς δὲ ἀμείνω καὶ τελειότερα τῷ μεσαιτάτῳ καὶ καρποφορεῖν δυναμένῳ διαφερόντως ἡγεμόνι προσερρίζου. ταῦτα δέ εἰσι νόησις, κατάληψις, εὐστοχία, μελέται, μνῆμαι, ἕξεις. διαθέσεις, τεχνῶν ἰδέαι πολύτροποι, βεβαιότης ἐπιστημῶν, τῶν ἀρετῆς ἁπάσης θεωρημάτων, ἄληστος ἀνάληψις. τούτων οὐδὲν οὐδεὶς ἱκανῶς ἐντὸς φυτουργῆσαι. πάντων δὲ ἀθρόον, εἷς ὁ ἀγένητος τεχνίτης. οὐ πεποιηκὼς μόνον, ἀλλὰ καὶ ποιῶν ἀεὶ, καθέκαστον τῶν γεννωμένων τὰ φυτὰ ταῦτα. τοῖς εἰρημένοις ἐστὶν ἀκόλουθος, καὶ ἡ τοῦ παραδείσου φυτουργία. λέγεται γὰρ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Εδεμ κατὰ ἀνατολάς. καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον καὶ ἔπλασε. ὃ μὲν οὖν ἀμπέλους, καὶ ἐλαιῶν, καὶ μηλεῶν, καὶ ῥοιῶν, καὶ τῶν παραπλησίων δένδρα οἴεσθαι, πολλὴ καὶ δυσθεράπευτος ἡ λήθεια. ἀλλ' ὅπως μηδεὶς ὑπολάβοι τὸν ποιητὴν χρεῖον εἶναί τινος τῶν γεγονότων, ἀναγκαίως ἐπιβόησε Μωϋσῆς λέγων. κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα καὶ ἔτι. ὁ γὰρ δὴ θεός. καὶ πατὴρ καὶ τεχνίτης καὶ ἐπίτροπος τῶν ἐν οὐρανῷ τε καὶ ἐν κόσμῳ πρὸς ἀλήθειαν ἐστί. καὶ μὴν τά γε μέλλοντα συσκιάζεται ὑπὸ τοῦ αὖθις χρόνου τοτὲ μὲν βραχεῖ. τοτὲ δὲ μακρῷ διαστήματι, δημιουργὸς δὲ τοῦ χρόνου ὁ θεός. καὶ γὰρ τοῦ πατρὸς αὐτοῦ, πατήρ. πατὴρ δὲ χρόνου κόσμος, χρόνου τὴν αὐτοῦ κίνησιν, γένεσιν ἀποφήνας ἐκείνου. ὥστε οὐδὲν παρὰ θεῷ μέλλον. τῷ καὶ τὰ χρόνων ὑποταξαμένῳ πέρατα.

A tas & fructuosas singulis imposuit, auditum in auribus, visum in oculis, olfactum in naribus aliósque itidem sensus in locis cognatis atque accommodatis. Cuius rei testem laudare diuinum illum virum promptum est, qui in psalmis ita inquit: [Num qui aurem fecit, non audit? qui oculum fingit, non inspicit? Psal. 93. Quin & cunctas partes ad crura vsque manúsque pertinentes, aliásque partes corporis, generosas esse contigit propagines atque viuæ radices. Quibus
B ex ipsis præstantiores illæ atque perfectiores principatui affibratas adnexuit, qui medius est ipse, longéque fructuosissimus omnium. Hæ autem sunt intelligentia, comprehensio, conijciendi rectitudo, commentationis, memoriæ, habitus, affectiones, artium genera multiplicia, certitudo scientiarum, apprehensio speculaminum, vt vniuersæ virtutis, quam delere obliuio non potest. Horum omnium nullum alius nemo potest intus instar plantæ pangere aut se-
C rere, vnus vero omnium simul artifex ingenitus, qui non solum olim hæc finxit plantaria, sed quotidie etiam fingit simul vt singuli oriuntur homines. His consentanea sunt ea quæ de paradisi consitione monumentis litterarum prodita sunt. Conditus est (inquit ille) paradisus in Edem ad ortum Solis, collocauítque ibi Deus hominem ab se fictum. Quod si vites olearúmque & malorum & punicarum stirpes, atque
D alias huiusmodi illic fuisse exaudias: multa hæc sit vtique deploratáque stultitia. Ne quis verò arbitraretur fictorem ipsum cuiuspiam eorum quæ fingebantur vsum desiderare, Moses necessario exclamauit: Dominus seculorum regnator & in secula porróque. Deus enim & pater & opifex curatórque reuera est rerum omnium quæ in cœlo quæque in orbe terrarum sunt. Porro ait autem futura vmbra post si tempo-
E ris occuluntur, breui interdum, interdum longinquo interuallo. At opifex temporis Deus, vt qui parens sit eius patris, siquidem mundus parens est temporis, cuius motum Deus temporis ortum esse statuit. Ita nihil apud Deum futurum est: vtpote qui temporum fines redegerit in suam potestatem. Neque verò ipse tempus est, sed primigenia forma temporis atque exemplar. At in æterno nihil nec præterijt nec venturum est, extitit verò tantum atque in natura rerum est. Verum quum

A his de rebus satis explicatum sit, videndum iam de mundi conditione immuni ab interitu. Qua de re tres opiniones apud studiosos philosophiæ extiterunt: alijs perpetuum esse mundum statuentibus, ortúsque exortem & obitus: alijs contra genitum esse opinantibus atque interiturum. Fuerunt etiam qui vtrorúmque opinionem ita exciperent, vt ab his natalem mundi æternitatem ab illis mutuarentur: indéque veluti annum temperatum ex vtraque scitúmque mixtum relinquerent, genitum esse mundum, B non item occasurum. Et Democritus quidem Epicurúsque ac pleraque Stoïcorum multitudo genituram mundi interitúmque prodiderunt, tametsi non similiter. Eorum enim partim complures mundos delineantes, ipsorum ortum attribuunt corpusculis indiuiduis inuicem offensantibus in occursúque implicitis. Interitum autem tum statuunt, cum mundi concreti & sic enati collisi inter se fuerint occursu & conflictati. C At Stoïci mundum vnum ponentes, ortus eius authorem faciunt Deum atque causam: non item interitus. Cæterum vim quandam in rebus existentem interitus causam esse volunt, ab ijs rebus oriundam quæ labori non cedunt, longinquis temporum circuitibus omnia ad se colligentem: ex qua rursus instauratitium mundi natalem consistere artificis prouidentia Aristotelis perpetuum mundum ingenitum esse censuit, nefariéque impietatis eos esse insimulandos existi- D mat, qui his contraria disseruere, vt qui tantum opus Dei nihilo præstare censuerint operibus manufactis. Opinio est autem, à Platone in Timæo, mundum esse genitum planè significari. Sunt rursus qui captiosè disputent mundum Platonis opinione ita esse genitum, non vt ortus ille quidem auspicatum acceperit, quatenus verò ita est coagmentatus, vt non aliam vtique compagem accepturus fuerit si contigisset eum nasci, E genitum esse dictum: aut quia in ortu & commutatione partes eius videantur. Cæterum satius & verius est priori sententiæ assentiri. Idque non ideo tantum, quod in toto illo opere parentem, fabrum, opificem, diuinum illum fictorem: hunc autem mundum concinnum, affabrefactum & oriundum vocat, ab exemplari primigenio intelligibili sensibilem effigiem, omnia quæ in illo sunt intellectu percepta, in seipso sensu comprehensa continentem, abso-

καὶ γὰρ οὐ χρόνος, ἀλλὰ τὸ ἀρχέτυπον τοῦ χρόνου καὶ παράδειγμα ὁ αἰών, ἐν δὲ, οὔτε παρελήλυθεν οὐδὲν, οὔτε μέλλει. ἀλλὰ μόνον ὑφέστηκεν. ἱκανῶς οὖν διαλεχθέντες περὶ τούτων, σκεπτέον ἤδη καὶ περὶ ἀφθαρσίας αὐτοῦ. τριτταὶ δ᾽ εἰσὶ δόξαι παρὰ τοῖς φιλοσόφοις περὶ τούτου γεγόνασι. τῶν μὲν ἀΐδιον φασκόντων ἀγένητόν τε καὶ ἀνώλεθρον, τῶν δὲ ἐξ ἐναντίας γενητόν τε καὶ φθαρτόν. εἰσὶ δή οἱ παρ᾽ ἑκατέρων ἐκλαβόντες, τὸ μὲν γενητὸν ἀπὸ τῶν ὑστέρων, παρὰ δὲ τῶν προτέρων τὸ ἄφθαρτον, μικτὴν δόξαν ἀπέλιπον, γενητὸν καὶ ἄφθαρτον οἰηθέντες αὐτὸν εἶναι. Δημόκριτος μὲν οὖν καὶ Ἐπίκουρος, καὶ ὁ πολὺς ὅμιλος τῶν ἀπὸ τῆς στοᾶς φιλοσόφων, γένεσιν καὶ φθορὰν ἀπολείπουσι τοῦ κόσμου. πλὴν οὐχ ὁμοίως. οἱ μὲν γὰρ πολλοὺς κόσμους ὑπογράφουσιν, ὧν τὴν γένεσιν ἀλληλοτυπίαις καὶ ἐπιπλοκαῖς ἀτόμων, ἀνατιθέασι. τὴν δὲ φθορὰν, ἀντικοπαῖς καὶ προσεράξεσι τῶν γεγονότων. οἱ δὲ στωϊκοὶ, κόσμον μὲν ἕνα, γενέσεως δὲ αὐτοῦ, τὸν θεὸν αἴτιον, φθορᾶς δὲ μηκέτι θεόν. ἀλλὰ τὴν ὑπάρχουσαν ἐν τοῖς οὖσι πυρὸς ἀκαμάτου δύναμιν χρόνων μακραῖς περιόδοις ἀναλύουσαν τὰ πάντα εἰς ἑαυτήν. ἐξ ἧς πάλιν ἀναγέννησιν τοῦ κόσμου συνίστασθαι προμηθείᾳ τοῦ τεχνίτου. Ἀριστοτέλης δὲ, ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι. δεινὴν δὲ ἀθεότητα κατεγίνωσκε τῶν τἀναντία διεξιόντων οἳ τῶν χειροκμήτων οὐδὲν ᾠήθησαν διαφέρειν τὸ τοσοῦτον ἔργον θεοῦ. γενητὸν δὲ καὶ ἄφθαρτον, φασιν, ὑπὸ Πλάτωνος ἐν Τιμαίῳ δηλοῦσθαι. τινὲς καὶ εἰσὶν οἳ σοφιζόμενοι κατὰ Πλάτωνα γενητὸν λέγεσθαι τὸν κόσμον, οὐ τῷ λαβεῖν τὴν γενέσεως ἀρχὴν, ἀλλὰ τῷ εἰ γέγονεν μὴ ἂν ἑτέρως, ἢ τὸν εἰρημένον συστῆναι τρόπον. ἢ διὰ τὸ ἐν γενέσει, καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι. βέλτιον δὲ καὶ ἀληθέστερον ὑπονοεῖν τὸ πρότερον. οὐ μόνον ὅτι διὰ πάντος τοῦ συγγράμματος πατέρα μὲν καὶ ποιητὴν καὶ δημιουργὸν τὸν θεὸν ἀποκαλεῖ ἐκεῖνον, καλλίεργον δὲ καὶ ἔγγονον τουτονὶ τὸν κόσμον ἀπ᾽ ἀρχετύπου παραδείγματος μίμημα αἰ-

A αἰσθητὸν πάνθ' ὅσα ἐκεῖνος νοητὰ περιέχοντα, αἰσθητὰ ἐν αὑτῷ, τελειότατον πρὸς τὴν τελειότητα, ἐκμαγεῖον πρὸς αἴσθησιν, ἀλλ' ὅτι καὶ Ἀριστοτέλης ταῦτα μαρτυρεῖ περὶ Πλάτωνος, διὰ τὴν τῆς φιλοσοφίας αἰδῶ, μηδὲν ἂν ψευσάμενος. πατέρα δὲ τοῦ Πλατωνικοῦ δόγματος ἔνιοι νομίζουσι τὸν ποιητὴν Ἡσίοδον, γενητὸν καὶ ἄφθαρτον οἰόμενοι τὸν κόσμον ὑπ' ἐκείνου λέγεσθαι, γενητὸν μὲν, ὅτι φησίν·

B Ἤτοι μὲν πρώτιστα χάος γένετ' αὐτὰρ ἔπειτα.
Γαῖ', εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεί.

ἄφθαρτον δὲ, ὅτι διάλυσιν καὶ φθορὰς οὐ μεμήνυκεν αὐτοῦ. χάος δὲ ὁ μὲν Ἀριστοτέλης τόπον οἴεται, ὅτι τὸ δεξόμενον ἀνάγκη προϋποκεῖσθαι σώματι. τὸ τοίνυν γενητὸν εἶναι τὸν κόσμον, ἐναργέστατα παρ' Ἡσιόδῳ μεμήνυται. C μακροῖς δὲ χρόνοις πρότερον ὁ τῶν Ἰουδαίων ἔθνους νομοθέτης Μωϋσῆς, γενητὸν καὶ ἄφθαρτον ἔφη τὸν κόσμον ἐν ἱεραῖς βίβλοις. εἰσὶ δὲ πέντε ὧν τὴν προτέραν ἐπιγράφει Γένεσιν. ἐν ᾗ ἄρχεται τὸν τρόπον τοῦτον [ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.] τοὺς δὲ ἀγένητον καὶ ἄφθαρτον κατασκευάζοντας λόγους προτέρους τακτέον. οἰκείαν ἀρχὴν λαβόντας. D ἅπασι δὲ τοῖς φθορὰν ἐνδεχομένοις, αἰτίαι διτταὶ τῆς ἀπωλείας. ἡ μὲν ἐντὸς, ἡ δὲ ἐκτὸς προϋπόκειται. σίδηρον γοῦν καὶ χαλκὸν, καὶ τὰς τοιούτοις οὐσίας, εὕροις ἂν ἀφανιζομένας, ἐξ ἑαυτῶν μὲν ὅταν ἑρπυνώδους νοσήματος τρόπον ἰὸς ἐπιδραμὼν διαφάγοι. πρὸς δὲ τῶν ἐκτὸς, ὅταν ἐμπιπραμένης οἰκίας ἢ πόλεως, συναναφλεχθεῖσαι τῇ πυρὸς βιαίῳ ῥοπῇ διαλυθῶσιν. E ὁμοιοτρόπως δὲ καὶ ζώοις ἐπιγίνεσθαι τελευτὴ νοσήμασι δὲ ἐξ ἑαυτῶν, ὑπὸ δὲ τῶν ἐκτὸς, σφαττομένοις, ἢ καὶ λευομένοις, ἢ ἐμπιπραμένοις, ἢ θάνατον ἢ καθαρὸν, τὸν δι' ἀγχόνης ὑπομένουσιν. Εἰ δὲ φθείρεται καὶ ὁ κόσμος ἐξ ἀνάγκης, ἤτοι ὑπό τινος τῶν ἐκτὸς, ἢ πρός τινος τῶν ἐν αὐτῷ διαφθαρήσεται δυνάμεων. ἀμήχανον δὲ ἑκάτερον. ἐκτὸς μὲν γὰρ οὐδὲν ἐστι τοῦ κόσμου. πάντων εἰς τὴν συμπλήρωσιν αὐτοῦ

A lutissimum ad mentis præfectionem, simulacrum expressum ad sensum. Sed etiam quod Aristotelis hoc de Platone testificat? qui cum esset Philosophiæ reuerentia imbutus nequaquam commisisset vt vanitatis crimine se obstringeret. Huius verò decreti Platonici parentem nonnulli Hesiodum Poetam esse putant, ab eóque arbitrantur genitum mundum esse dictum, nec tandem occasurum. Et genitum quidem dictum ob id putant, quod ita scripserit,

B *Principium rerum genitum chaos edita tellus,*
Qui situs est cunctis certissimus, aptus in æuum.

Non occasurum verò idcirco quoniam dissolutionem eius & corruptionem non indicauit. Cæterum chaos Aristoteles locum ideo esse censuit, quia locum in rerum naturam prius editum esse, quam corpus necesse est. Mundum igitur genitum esse apud Hesiodum chaos clarissimè C patefactum est. Multis autem ætatibus antè Moses apud Iudæos legum conditor, dixit in sacris scriptis genitum esse mundum, interitúsque immunem. sunt enim quinque numero libri, quorum primum Genesim nominauit, quem ita exorsus est. [In principio creauit Deus cœlum & terram.] Gen. 1. Verum eam disputationem quæ mundum ortus & interitus exortem astruit, satius est vt loco primo commemoremus, consentaneo ipsi exordio vtentes & cohærenti. Omni- D bus igitur quæ corruptionem admittunt, duas internecionis causas imminere suppositum est, alteram intestinam extrinsecus, alteram aduenientem. Etenim ferrum, æs, alias eiusmodi naturas compertum habemus sua ipsas sponte exolescere, cum scilicet ærugo gliscens exest ipsa instar morbi serpentis: ab externis autem causis, cum vel ædes vel vrbem flagrantem dissolui contingit ignis incubitu violento. Sicut animantibus quoque mors aduenit, E morbis quidem è semetipsis, extrinsecus autem cùm aut iugulantur, aut lapidatione obruuntur, aut exuruntur, aut suspendio intereunt fœdo genere mortis. Quamobrem si mundus necessitati interitus non exemptus est, aut ab aliqua externa vi interibit, aut ab aliqua intus existente. At vtrumque eiusmodi est, causam vt comminisci eius nequeas. Siquidem extra mundum nihil est, cum omnia ad complementum eius in vnum coierint. Sic

A enim euenit vt vnus esset & totus, nec senectutem sentiens. Vnus & totus, propter causam iam dictam: nec senectutem nec morbum sentiens, idcirco quod ea corpora quæ morbis & senio corripiuntur, caloribus & frigoribus aliisque noxis euertuntur, quæ extrinsecus vehementer incumbunt. Atqui nullius earum incubitum mundus sentit foras se proripientis mundúmque ambientis, nulla pars mundi ab eius compage desciscat, integráque intus omnia cohibeantur. B Quod si est aliquid foris, prorsus id aut inane sit necesse est, aut natura quædam quæ affici non possit, quæque nec actum nec passionem admittat. Nec verò ab vlla causarum dissoluetur quas intra se continet: alioqui pars maior esset & validior toto, quod est absurdissimum. Námque mundus cùm vi insuperabili præditus sit, ducit secum omnes partes, à nulláque ducitur. Et hæc ratio prima. Deinde quum duæ sunt causæ internecionis rerum, C vna intestina, altera extraria, quæcumque vnam earum ferre possunt, ea alteram etiam admittere prorsus apta sunt. Cuius rei argumentum esse potest huiuscemodi. Bos enim equus, homo, & alia eiusdemmodi, quoniam natura ita comparata sunt vt ferro interimantur, morbo item ipsa consequens est vt pereant. Quandoquidem igitur nulla ab causa extraria mundum peremptum iri demonstratum est, cum nihil foris sit reliquum, nec ab vl- D la quidem vtique re interna perimetur. Obstat enim antecedens demonstratio, qua collectum est nobis id demum esse obnoxium alterutri causæ interitus, quod naturæ constitutione capax est alterius. Accedunt etiam argumenta eiusmodi è Timæo Platonis, vt ægrotationis mundum corruptionisque expertem credere debeamus. Principiorum quatuor vnumquodque totum coagmentatio mundi concepit: quippe quæ ex igne omni, omni aqua, omni aëre, & denique omni terra E ita sit coagmentata à conditore, nulla vt pars vllius, nulla vis extra relicta sit ab illo. Id quod eo consilio agere instituit, primum vt animal illud totum quam maxime perfectum perfectis è partibus esset. Deinde vt vnum esset, nullis scilicet reliquis superantibusque principijs è quibus aliud tale nasci posset. Denique vt senectutis & morbi expers esset. Probe enim ille intelligebat, quæcumque corpore calido & frigido sunt,

A συνεργασθέντων. ἔστι γὰρ εἷς τὸ ἔτι, καὶ ὅλος καὶ ἀγήρως. εἷς μὲν καὶ ὅλος, διὰ τὴν προειρημένην αἰτίαν. ἀγήρως δὲ καὶ ἄνοσος, ἐπεὶ τὰ νόσοις καὶ γήρᾳ σώματα ἁλωτὰ θερμότησι καὶ ψύχεσι καὶ ταῖς ἄλλαις ἐναντιώσεσι, πρὸς ἐπιπιπτούσαις, ἔξωθεν ἰσχυρῶς ἀναιρεῖσθαι. ὧν οὐδεμία δύναμις ἀποδρᾶσα κυκλοῦσθαι καὶ ἐπιτίθεσθαι πάθων μηδενὸς ἀποσπασθέντος μέρους ἀλλ' ὁλοκλήρων ἐγ- B κατειλημμένων εἴσω. εἰ δ' ἄρα τι ἐστιν ἐκτὸς, πάντως ἂν εἴη κενὸς ἢ ἀπαθὴς φύσις, ἣν ἀδύνατον παθεῖν τι, ἢ δρᾶσαι. καὶ μὴν οὐδὲ ὑπό τινος αἰτίας διαλυθήσεσθαι τῶν ἐντὸς αὐτοῦ περιέχεσθαι μὲν, ἐπεὶ τοῦ ὅλου τὸ μέρος καὶ μεῖζον ἔσται καὶ κρατιώτερον ὅπερ ἐστὶν ἀτοπώτατον. ὁ γὰρ κόσμος δυσυπερβλήτῳ κράτει χρώμενος, ἄγει τὰ πάντα μέρη C πρὸς μηδενὸς αὐτὸς ἀγόμενος. ἔπειτα διότι διττῶν οὐσῶν τῶν φθορᾶς αἰτιῶν, τῆς μὲν ἐντὸς, τῆς δὲ ἐκτός. ἃ τὴν ἑτέραν οἷά τε ὑπομένειν, δεκτικὰ καὶ τῆς ἑτέρας ἐστὶ πάντως. σημεῖον δὲ βοῦς, ἵππος, ἄνθρωπος, καὶ τὰ παραπλήσια ζῶα, διότι πέφυκεν ἀναιρεῖσθαι ὑπὸ σιδήρου; καὶ νόσῳ τελευτήσει. ἐπεὶ τοίνυν ὑπ' οὐδενὸς τῶν ἐκτὸς φθαρησόμενος ἐδείχθη ὁ κόσμος τῷ μηδὲν D ἔξω καταλελεῖφθαι, πάντων οὐδ' ὑπό τινος τῶν ἐν τῷ αὐτῷ διὰ τὴν προεπιλογισθεῖσαν ἀπόδειξιν, καθ' ἣν τὸ ἅλω τὸν τῇ ἑτέρᾳ τῶν αἰτιῶν, καὶ τὴν ἑτέραν ἐπιπέφυκε δέχεσθαι. μαρτύρια δὲ, καὶ τὰ ἐν τιμαίῳ περὶ τοῦ τὸν κόσμον ἄνοσον εἶναι καὶ μὴ φθαρησόμενον. τάδε τῶν δὲ δὴ τεττάρων, ἓν ἕκαστον εἴληφεν ὅλον ἡ τοῦ κόσμου σύ- E στασις. ἐκ γὰρ πυρὸς παντὸς, ὕδατός τε καὶ ἀέρος, καὶ γῆς συνίστησιν αὐτὸν ὁ συνιστάς· μέρος οὐδὲν οὐδενὸς, οὐδὲ δύναμιν ἔξωθεν ἀπολιπών. τάδε διανοηθεὶς, πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα ζῶον τέλειον ἐκ τελείων μερῶν εἴη, πρὸς δὲ τούτοις ἕνα τι οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν. ἔτι δὲ, ἵνα ἀγήρω καὶ ἄνοσον ᾖ. κατανοῶν ὡς τῷ σώματι θερμὰ καὶ ψυχρὰ,

καὶ πολλὰ ὅσα δυνάμεις ἔχει ἰσχυράς, καὶ περιιστάμενα ἔξωθεν, καὶ προσπίπτοντα ἀκαίρως λύει, καὶ νόσους καὶ γῆρας ἐπάγοντα, φθίνειν ποιεῖ. διὰ τὴν αὐτὴν αἰτίαν. καὶ τὸν λογισμὸν τόνδε, εἷς ὅλον, ἐξ ὅλων ἁπάντων τέλειον καὶ ἀγήρω καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο. τοῦτο μὲν δὴ παρὰ Πλάτωνος πρὸς τὴν ἀφθαρσίαν τοῦ κόσμου μαρτύριον εἰλήφθω. τὸ δὲ ἀγένητον παρὰ τῆς φυσικῆς ἀληθείας. ἕπεται γὰρ τῷ γενομένῳ διάλυσις· ἀφθαρσία δὲ τῷ ἀγενήτῳ, ἐπεὶ καὶ ὁ τὸ τρίμετρον ἐκεῖνο ποιήσας,

Τό τοι γενόμενον καταθανεῖν ὀφείλεται.

δοκεῖ μὲν ἀπὸ σκοποῦ συνθείς· ἀλλ' ἀκολουθίαν τῆς φθορᾶς οὐδ' ἔχει. ἕτερος δέ ἐστι τοιόσδε. πολλὰ ὅσα τῶν συνθέτων φθείρεται, διαλύσιν εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνει. διάλυσις δὲ οὐδὲν ἦν ἄρα, ἢ πρὸς τὴν κατὰ φύσιν ἑκάστων ἐπάνοδος. ὥστε κατὰ τοὐναντίον ἡ σύνθεσις εἰς τὸ παρὰ φύσιν τὰ συνελθόντα βεβιάσθαι. καὶ δῆτα, οὕτως ἔοικεν ἀψευδέστατα ἔχειν· ἄνθρωποι γὰρ ἀπὸ τῶν τεσσάρων στοιχείων, ἃ δὴ ὅλα τοῦ παντός ἐστιν, οὐρανοῦ, γῆς, ἀέρος τε καὶ πυρός, βραχέα μέρη δανεισάμενοι συνεκράθησαν. τὰ δ' ἀνακραθέντα, τῆς κατὰ φύσιν θέσεως ἐστέρηται. θερμότης μὲν τῆς ἀνωφοίτου, κάτω δὲ τῆς γεώδους καὶ βάρος ἐχούσης οὐσίας ἐπιλαφειλαθείσης, καὶ τὸν ἄνω τόπον ἀντιλαβούσης, ὧν τὸ γεωδέστατον τῶν ἐν ἡμῖν ἐπέχει κεφαλή. δεσμὸς δὲ φαυλότατος ὃν ἐσφίγξε βία, βίαιος ἐστι καὶ ὀλιγοχρόνιος· ῥήγνυται γὰρ θᾶττον ὑπὸ τῶν δεθέντων. ἅτε ἀπαυχενιζόντων διὰ πόθον ὑπὸ τῆς κατὰ φύσιν κινήσεως, πρὸς ἣν αὐθάδοντα μεταλωίσασθαι. κατὰ γὰρ τὸν τραγικὸν, χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν, τὰ δ' ἀπ' αἰθέρου βλαστάνοντα, εἰς οὐράνιον πόλον ἦλθε πάλιν. θνήσκει δ' οὐδὲν τῶν γιγνομένων, διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο, μορφὴν ἰδίαν ἀπέδειξε. τοῖς μὲν δὴ φθειρομένοις ἅπασι νόμος ἀναγέγραπται καὶ θεσμός ἐστι. ὁπότε μὲν ὑφέστηκε τὰ συνεληλυθότα ἐν τῇ κράσει

A quæcumque vires habent validas, ea omnia extrinsecus circumfusa & intempestiue incumbentia atque incidentia, & lædere solere, & morbis senectute ingenerandis ad tabem perducere. Eam ob causam in consilio Deus solum è totis consummate fabricatus est mundum, simul senectutis simul morbi hominem. Hoc igitur ex Platone eloquium de indissolubili compage mundi mutuandum visum est. At vero ingenitum quoque mundum esse à veritate naturali defendere quis B possit? Nam vt geniti comes est dissolutio, sic ingeniti perpetuitas, nec ad trimetrum illud compositum est:

Quemcumque nasci contigit, mori quoque

Hoc enim modo continet dissolutionis consequentiam. Alterum est item argumentum, quo id astrui potest. Quicquid concretum perimitur, id in ea ipsa soluitur è quibus compositum est. Vnde fit vt nihil aliud sit dissolutio, quam regressus in id cuiusque quod secundum naturam erat. Quare in contra- C rium id quoque valet, vt concretio violenta sit rerum coagmentatio in aliquid coëuntium, quod præter naturam est proprium. Idque sane videtur esse verissimum. siquidem quatuor ab elementis, quæ tota sunt vniuersi, cœlo, terra aëre, & igne, particulas homines mutuati, tum demum hac temperatura constituuntur. Quæ verò mixtura concreuerunt, naturali ea situ fraudata esse contingit. quippe vt superno situ calor, sic interno natura terrena fraudatur: quæ cum ipsa libramento prædita sit, D tamen subleuata supernum locum arripuit. Namque quod in homine in primis terrenum est, id sibi caput obtinet. Atqui deterrimus est nexus, quem violentia astringit, qui vt violentus est ipse, ita tenorem asseruare diuturnum non potest. citius enim rumpitur: vtique: rebus sic vinclis renitentibus. contumacitérque reluctantibus. præ desiderio quo affectæ sunt ad motum naturæ suæ congruum, quem ad ipsum cum propensa E ipsa ferrentur migrare inde coactæ sunt. Atque vt est scriptum apud poëtam authorem tragœdiæ:

Terris profecta rursus in terras eunt,
Quæ germinant ab ætheris celso situ,
Rursum poli petunt situm soluta: nec
Quicquam perijt, vt editum semel fuit.

Diremptum verò aliquid ab alio demũ formã peculiarem accipit, Estque lex illa intereuntibus rebus omnibus sanctéque perscripta. Vt enim cùm vnum quodque

in rerum naturam primum exstitit, quam in eius concretione coierũt, ab ordine illa quidem naturæ suæ accõmodato ad habitum transeunt inordinatum, id quod tum denique fit quũ in loca discedunt contraria, ita vt modo quodam peregrè esse more hospitum diuersaríque videantur: ita quũ diducũtur interitu, ad propriam ea naturæ suæ sortem reuerti constitutũ est. At mundus huiuscemodi conditionis indigestæ expers est, id quod hac ratione, si placet, in promptu est vt cognoscamus. Esto igitur mundũ interire vt contigerit, nimirũ partes eius in loca naturæ cuique dissentanea digestas esse, necesse erit tute ac tutum vt fateare, idque ita futurum existimare non degeneris est intellectus. Optimum porro situm continuámque digestionẽ & cohærentem partes mundi sortitæ sunt, id adeò vt vna quæque pars loco suo vt patria acquiescens mutationẽ in melius non exposcat. Quam ob causam medius exactè locus attributus est terræ, super qua terrena cuncta sunt collocata, adeò si quippiam terrenũ sursum eiaculeris, id continuò terram versus feretur. Hócque argumentũ est eũ esse situm è natura terrenorũ. Etenim vbi quid nulla vi delatum subsistit & quiescit, ibi locum propriũ id ipsum vtique sortitũ est. Iam verò aqua secundo loco affusa est in terram, aër & ignis è medio sublimia abierunt. Et aër quidẽ aquæ ignísque confinem locũ sortitus est, ignis autem locum excelsissimũ. Quo euenit, vt si succensam facem deorsum in terrã demiseris, nihilo secius flamma reluctans sursum illico resiliat: nimirum seipsam arrigens ad naturalem ignis motum. Quapropter si internecionis causam motio præter naturam in alijs animantibus affert, in mundo autem singulæ partes naturæ suæ congruenter ordinéque descriptæ sunt, regionésque sibi familiares sortitæ, profectò corruptionis immunis meritò mũdus dictitabitur. Iam cuiuis id manifestum, quod vnaquæque naturæ eorum asseruationi studet atque incolumitati, quorum ipsa natura est, atque si fieri posset, immortalitatem ascitam ijs cuperet, vt arborea natura arbores seruatas cupit, & natura animalis vnum quodque animans. In singulis verò sempiternam efficere stabilitatem non valet repugnãte necessitate, paruáque iuxta magnáque senectutis immunia conseruare. Siquidem penuria, vel flamma, vel rigor, vel aliud quippiam (qualia coire sexcenta in rerum necem solent) decumbentia, discutiunt ac dissoluunt, ac denique abrumpũt vinculũ quod cõcreta coërcet ac cohibet.

A τῆς κατὰ φύσιν τάξεως ἀταξίας ἐντιμετειληφέναι. τὸ πρὸς τοὺς ἐναντίους τόπους μετῳκίσθαι, ὡς τρόπον τινὰ ξενιτεύειν δοκεῖν. ὁπότε δὲ διαλύοιτο, πρὸς τὴν οἰκείαν τῆς φύσεως λῆξιν ἀνακάμπτειν. ὁ δὲ κόσμος ἀμέτοχος τῆς ἐν τοῖς λεχθεῖσιν ἀταξίας ἐστίν. ἐπεὶ φέρε σκεψώμεθα. φθειρομένου τὰ μέρη αὐτοῦ μὲν ἀνάγκη τετάχθαι παρὰ φύσιν ἕκαστα χώραν. B τοῦτο δὲ ὑπονοοῦσιν οὐκ ἀληθές. ἀρίστην γὰρ θέσιν καὶ τάξιν ἐναρμόνιον τὰ τοῦ κόσμου μέρη εἴληχεν. ὡς ἕκαστον καθάπερ πατρίδα φιλοχωρεῖν, μὴ ζητεῖν ἀμείνω μεταβολήν. διὰ τοῦτο γῇ μὲν ὁ μεσαίτατος ἀπενεμήθη τόπος ἐφ' ἣν πάντα τὰ γεώδη, κἂν ἀναρρίψῃς τι τῶν γεωδῶν, κάτω φέρεται. ὅ δή ἐστι σημεῖον χώρας τῆς κατὰ φύσιν. ἔνθα γὰρ μὴ ὑπὸ βίας ὁτουοῦν ἐνεχθὲν ἵσταται καὶ C ἠρεμεῖ, τὸν οἰκεῖον εἴληχε χῶρον. ὕδωρ δὲ ἐπὶ γῆν ἀνακέχυται δεύτερον. ἀὴρ δὲ καὶ πῦρ. ἀπὸ τοῦ μέσου πρὸς τὸν ἄνω κεχώρηκεν. ἀὴρ μὲν τὸν μεθόριον ὕδατος καὶ πυρὸς κληρωσάμενος τόπον. πῦρ δὲ τὸ ἀνώτατον. διὸ κἂν ἀψάμενος δᾷδα πρὸς γῆν καταφέρῃς, ἡ φλὸξ οὐδὲν ἧττον ἀντιβιάσεται. καὶ πρὸς τὴν φυσικὴν τοῦ πυρὸς κίνησιν ἐπικουφίσασα αὑτὴν ἀναδραμεῖται. D εἰ δὴ φθορᾶς μὲν αἴτιον ἡ παρὰ φύσιν ἕκαστα τῶν μερῶν διατετάχθαι τὰς οἰκείας διακεκληρωσμένα χώρας, ἐνδίκως ἂν λέγοιτο ὁ κόσμος ἄφθαρτος. ἔτι τοίνυν ἐκεῖνο παντί που δῆλον· ὅτι φύσις ἑκάστη διατηρεῖν καὶ διασώζειν, εἰ δ' οἷόν τε ἦν, καὶ ἀθανατίζειν ἕκαστα ὧν φύσις ἐστὶν ἐσπούδακεν. ἡ μὲν ἐν τοῖς E δένδρεσι, τὰ δένδρα, ἡ δ' ἐν τοῖς ζώοις, τῶν ζώων ἕκαστον. ἐξασθενεῖ δ' ἐπὶ μέρους ἀναγκαίως ἄγειν πρὸς ἀϊδιότητα. ἡ γὰρ ἔνδεια, ἢ φλογμὸς, ἢ κρυμὸς, ἢ μυρία ἄλλα τῶν εἰωθότων ἐπισυνίστασθαι κατασκήψαντα διέσεισε καὶ διέλυσε τὸν συνέχοντα δεσμὸν, καὶ τέλος κατερρήμμηκε· τὸ δ' αὖ καὶ μεγάλα ἀγήρω διαφυλάττειν. ἀναγκαῖον οὖν τὴν τοῦ κόσμου

φύσιν γλίχεσθαι τῆς ὅλου διαμονῆς. οὐ γὰρ δὴ τῶν ἐπὶ μέρη, ἐστὶ χείρων, ὡς ἀποδιδράσκουσα καὶ λειποτακτοῦσα νόσον ἀνθ᾽ ὑγείας, καὶ φθορὰν ἀντὶ σωτηρίας παντελοῦς ἐπιχειρεῖ τεχνάζειν.

Ἐπιδὴ πασάων ὑπὲρ ἥγε κάρη ἔχει,
ἠδὲ μέτωπα.
Ῥεῖα δ᾽ ἀριγνώτη πέλεται, καλαὶ δέ
τε πᾶσαι.

ἀλλ᾽ εἰ τοῦτ᾽ ἀληθές ἐστι, φθορὰς ὁ κόσμος οὐ δέξεται. διὰ τί; ὅτι ἡ συνέχουσα φύσις αὐτὸν ἄηττός ἐστι κατὰ πολλὴν ἰσχύος ῥώμην, τῶν ἄλλων ὅσα βλάπτειν ἔμελλεν ἅπαξ ἁπάντων ἐπικρατοῦσα. διὸ καὶ Πλάτων, φησίν· οὐδὲν οὔτε προσῄει αὐτῷ ποθέν. αὐτὸς γὰρ ἑαυτῷ φύσιν παρέχων, καὶ πάντα ἐν ἑαυτῷ πάσχων καὶ δρῶν, ἐκ τέχνης γέγονεν ἀρίστης. ἡγήσατο αὐτὸ ὁ συνθεὶς αὔταρκες ὄν, ἄμεινον ἔσεσθαι μᾶλλον, ἢ προσδεές. ἀποδεικτικώτατός γε μὴν κἀκεῖνος ὁ λόγος ἐστίν, ἐφ᾽ ᾧ μυρίους οἶδα σεμνυνομένους ὡς ἠκριβωμένῳ καὶ πάνυ ἀνεξελέγκτῳ. πυνθάνονται γάρ, τίνος ἕνεκα τὸν κόσμον φθείρει ὁ θεός· ἤτοι γὰρ ὑπὲρ τοῦ μηκέτι κοσμοποιῆσαι, ἢ ὑπὲρ τοῦ ἕτερον κατασκευάσαι. τὸ μὲν δὴ πρότερον ἀλλότριον θεοῦ. πρὸς τάξιν γὰρ ἀταξίαν μεταβάλλειν δέον, οὐ πρὸς ἀταξίαν τάξιν. εἶτα δ᾽ ὅτι καὶ μεταμέλειαν, πάθος καὶ νόσημα δέξεται ψυχῆς. ἔδει γὰρ ἢ μὴ κοσμοποιῆσαι τὸ παράπαν, ἢ κρίνοντα πρέπον αὐτοῦ τὸ ἔργον, χαίρειν τῷ γενομένῳ. τὸ δὲ δεύτερον ἄξιον οὐ βραχείας ἐρευνῆς. εἰ γὰρ ἕτερον ἀντὶ τοῦ νῦν ὄντος κατασκευάσει, πάντως οὐ γενόμενος, ἢ χείρων ἢ κρείττων, ἢ ὅμοιος ἀποτελεσθήσεται. ὧν ἕκαστον ἐπίληπτον. εἰ μὲν γὰρ χείρων ὁ κόσμος, χείρων καὶ ὁ δημιουργός. ἀμώμητα δὲ καὶ ἀνεξέλεγκτα γὰρ ἀνεπανόρθωτα τὰ τοῦ θεοῦ, τελειοτάτῃ τέχνῃ καὶ ἐπιστήμῃ δημιουργηθέντα. εὐπρεπὲς δὲ θεῷ τὰ ἄμορφα μορφοῦν, καὶ τοῖς αἰσχίστοις περιαπτῆναι θαύματα κάλλη.

A Quare mundi etiam naturã necesse est incolumitatem vniuersi velle & concupere. Nisi verò ipsa naturis deterior est singularum mundi partium, & vt fugax & stationis suæ ordinísve desertrix, pro sanitate morbum, pro incolumitate plena & absoluta machinari internecionem conatur. Immo verò, vt verbis vtar poetæ,

Et facie & ceruice alias supereminet omnes
Conspicua in primis, sint pulchra quamlibet illa.

Atqui si hoc verum est, corruptionem B mũdus haud quaquã admissurus est. Quid ita? Nempe quod cohibitrix ipsius natura multifariã inuicta est vi roboris indomiti, omnibus ipsa præualens violẽtijs, quæ noxã allaturæ fuerãt ei interituræ. Quam ob causam Plato, Nihil, inquit, accedere vndecũque illi potest. Sibimet enim tanquã alimentũ naturã suam præbet, omniáque cùm in seipso, tum verò à seipso & facit & patitur, arte præstantissima cõditus. Ipsum adeo sufficientẽ sibi suppeditantẽque omnia coagmẽtator eius molitus est, talẽ vtiC que præstantiorẽ esse ratus, quam si aliquo deficeretur. Est autẽ & illa argumentatio huic demonstrationi aptissima, ob quã me non latet gloriari quãplurimos, seséque ea vẽditare tanquã numeris omnibus exquisita irrefutabiliáque in primis, argumẽtaríque illos hunc in modum percunctabundos. Nam qua tandem de causa (inquiunt) Deus mundum disturbandum statuerit? nempe aut nullum postea mundum, aut vt alterum ab integro moliatur. At illud prius alienum à Deo est, vt cui conueniat incõD ditum rerũ statum digerere in ordinẽ, nec vice versa res ordine cõcinnéque constructas, ad congeriẽ indiscretã inconditámque reducere. Deinde si ita fecerit, iã erit ipse obnoxius pœnitentiæ, & pœnitentia morbus est animæ atque ægrotatio. Certè quidẽ aut mundũ ordiri prorsus nõ oportebat, aut quãdo censebat dignum se opus esse, in absoluto quoq; opere acquiescere. Alterũ illud longiusculã disceptationẽ exposcit. Etenim si alterũ mundũ Deus pro E hoc qui nũc est, constructurus est, qui construetur, aut deterior, aut præstantior, aut huic similis erit. At horũ quod elegeris cũque non carebit reprehensione. Quippe si deterior mũdus futurus, & deterior quoq; opifex eius. At Dei opificia omni reprehẽsione & momo quoque maiora, & simul emẽdationẽ respuẽtia, vt quæ ad numeros omnes artificij ac sciẽtiæ confectæ sint & exacta. Siquidẽ Deo decorũ atq; congruũ cũ informia cõformare, tum rebus deformissimis formas visẽdas decorásq; accõ-

modare. Sin erit ille mūdus futurus huic similis nimirū Deus opifex eius nihilo iā præstiterit pueris infātulis, qui circa littora interdū ludibūdi arenā cumulāt altiusculè, subindéque manibus nonnihil arenæ subducētes, cumulos hoc pacto excitatos disturbant. Longè enim satius esset, nihil nec adimentē, nec addentē, nec in melius peiúsve cōmutantem, cum qui nunc creatus est, eodem in statu semel esse sinere quā alterū similē hoc euerso adstruere. Quod si præstantiorē mundum facturus est, continuo fuerit etiā præstātior opifex. Ex quo sequetur illud, vt quū priorem conficeret, & artificio ipse & ingenio imperfectior fuerit: id quod vel suspicari nefas. Adde quod quemadmodū conuenit nos mortales opera quoque mortalia facere, ita Dei immortalis opificia erunt vtique interitus expertia. Et rationi congruit opera fabrefacta naturæ opificum similitudinē referre. Ad hoc verò probandum Boëthus demonstrationibus vsus est quā appositissimis, quas dicendas iam habemus. Neque verò mūdus (inquit ille) genitus est atque interiturus, & non ex eo quod non est fiet aliquid, id quod Stoicis absurdissimū videtur. Quid igitur tandem? dicat aliquis quia scilicet nullam quisquam cōminisci causam queat tabificā nec internā, nec externam, quæ mundū peremptura sit. nam extra mundum nihil est, nisi sicubi forsan vacuum, cùm elementa prorsus in eum resoluantur ex suo concremento, intus autē nulla talis est ægrotatio, quæ dissolutionis causam afferre tantæ coagmentationi possit. Quod si citra causam vllā mundus perimi potest, liquēbit iam, ex eo quod in rerū natura nequaquam est, corruptionis causam enasci, id quod ne concepi quidē cogitatione potest. Et corruptionis quidē modos tres aiunt esse in vniuersum vnum per diuisionem, altero per peremptionem qualitatis res obtinentis, alium per confusionem. Quæ igitur è diremptis rebus cōstant, vt sunt greges armenta, exercitus, chori: aut rursus quod corpore coagmentato coacta sunt, ea deductione soluuntur atque diuisione. Peremptinus autem qualitatis modus est, cùm ita fit habitus immutatio, vt ne diuersa quidem forma faciem quandam præbeat. Per confusionem fit corruptio, vt in medicamento quod tetrapharmacum dicitur. In quo vires eorum quæ collata sunt exolescentes in vnius facultatis genituram emoriuntur. Agedum, quonam istorum modorum conuenit, vt mundum interire existimemus? Vtrum eo quem fieri per diuisio-

A εἰ δὲ ὅμοιος, ὁ τεχνίτης οὐδὲν κομιδῇ νηπίων παίδων διαφέρων, οἳ πολλάκις περὶ αἰγιαλοῖς ἀθύροντες ψάμμους γεωλόφους ἀνιστᾶσι, κἄπειθ' ὑφαιροῦντες ταῖς χερσὶ, πάλιν ἐρείπουσι. πολὺ γὰρ ἄμεινον τὸ κατασκευάζειν ὅμοιον μηδὲν μήτε ἀφαιροῦντα, μήτε προστιθέντα, μήτε πρὸς τὸ ἄμεινον ἢ χεῖρον μεταβάλλοντα, τὸν ἐξ ἀρχῆς γενόμενον ἅπαξ τῇ χώρᾳ ἐᾶν. εἰ δὲ κρείττονα δημιουργήσει, γενήσεται τό τε κρείττων καὶ ὁ δημιουργός. B ὥσθ' ὁπηνίκα κατεσκεύασε, καὶ τὴν τέχνην καὶ τὴν διάνοιαν ἦν ἀτελέστερος. ὅπερ οὐδὲ θέμις ὑπονοεῖν. πρὸς δὲ τούτοις, τὰ μὲν τῶν θνητῶν ἔργα ἡμῶν φθαρτὰ δεόντως ἂν γένοιτο. τὰ δὲ τοῦ ἀθανάτου κατὰ τὸν εἰκότα λόγον, ἄφθαρτα δήπου. τῇ γὰρ φύσει τῶν τεχνιτῶν εὔλογον τὰ δημιουργηθέντα ἐξομοιοῦσθαι. ἀποδείξεσι δὲ οἱ περὶ τὸν Βοηθὸν κέχρηνται πιθανωτάταις, ἃς αὐτί- C κα λέξομεν. φασὶ γὰρ, εἰ γενητὸς καὶ φθαρτὸς ὁ κόσμος, ἐκ τοῦ μὴ ὄντος τι γενήσεται. ὅπερ καὶ τοῖς στωϊκοῖς ἀτοπώτατον δοκεῖ εἶναι. διὰ τί; ὅτι οὐδεμίαν φθοροποιὸν αἰτίαν εὑρεῖν ἐστιν. οὔτ' ἐντὸς, οὔτ' ἐκτὸς ἣ τὸν κόσμον ἀνελεῖ. ἐκτὸς μὲν γὰρ οὐδέν ἐστιν, ὅτι μὴ τάχα που κενὸν, τῶν στοιχείων ἀποκριθέντων εἰς αὐτὸν ὁλοκλήρων. εἴσω δὲ οὐδὲν νόση- D μα τοιοῦτον, ὃ γένοιτ' ἂν αἴτιον τῷ τοσούτῳ διαλύσεως. εἰ δ' ἀναιτίως φθείρεται δῆλον ὅτι ἐκ τοῦ μὴ ὄντος ἔσται ἡ γένεσις τῆς φθορᾶς, ὅπερ οὐδ' ἡ διάνοια παραδέξεται. καὶ μὴν φασὶν ὅτι γενικοὶ φθορᾶς τρόποι εἰσὶ τρεῖς, ὅ τε κατὰ διαίρεσιν, καὶ ὁ κατὰ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος, καὶ ὁ κατὰ σύγχυσιν. τὰ μὲν οὖν ἐκ διεστηκό- E των αἰπόλια, βουκόλια, στρατὸν μετὰ, χοροὶ, ἢ πάλιν ἐκ συναπτομένου σώματος παγέντα διαστάσει καὶ διαιρέσει λύεται. κατὰ δὲ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος, ὁ μετασχηματιζόμενος, ἵνα μηδὲ ἑτεροειδῆ τινα τύπον παράσχῃ μορφῆς. κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος. αἱ γὰρ δυνάμεις τῶν συνενεχθέντων ἠφανίσθησαν εἰς ἐξαιρέτου μιᾶς γένεσιν ἀποτελεσθείσης. ποίῳ δὴ τούτων ἄξιον, τὸν

κόσμον

κόσμον φθείρεσθαι φασί, πότερα κατὰ διαί-
ρεσιν; ἀλλ' οὔτε ἐκ διεστηκότων ἐστὶν ὡς
τὰ μέρη σκεδασθῆναι, οὔτε ἐκ συνα-
πτομένων ὡς διαλυθῆναι, οὔτε τὸν αὐ-
τὸν τρόπον τοῖς ἡμετέροις ἥνωται σώμασι.
τὰ μὲν γὰρ ἐπικήρως τε ἐξ ἑαυτῶν ἔχει
καὶ δυναστεύεται πρὸς μυρίων ἀφ' ὧν
βλάπτεται. τοῦ δ' ἀήττητος ἡ ῥώμη πολ-
λῇ τινι περιουσίᾳ πάντων κατακρατοῦ-
σα. ἀλλ' ἀναιρέσει παντελεῖ τῆς ποιό-
τητος; ἀλλ' ἀμήχανον τοῦτό γε. μένει γὰρ
κατὰ τοὺς τἀναντία αἱρουμένους ἡ τῆς δια-
κοσμήσεως ποιότης, ἐπ' ἐλάττονος οὐσίας
τῇ τούτου ἰδίᾳ συσταλεῖσα κατὰ τὴν ἐκπύρω-
σιν. ἀλλὰ πότερα κατὰ σύγχυσιν ἄπαγε. δεή-
σει γὰρ πάλιν ὡς τὸ μὴ ὂν γίνεσθαι τὴν
φθορὰν προσδέχεσθαι. τοῦ χάριν; ὅτι εἰ
μὲν ἕκαστον ἐν μέρει τῶν στοιχείων ἐφθείρε-
το, μεταβολὴν ἠδύνατο τὴν εἰς ἕτερον
δέχεσθαι, πάντων συλλήβδην ἀθρόων
κατὰ σύγχυσιν ἀναιρουμένων, ἀνάγκη ὑπο-
νοεῖν τὸ ἀδύνατον. ἐκεῖνο δὴ ἄξιον δια-
πορῆσαι, τίνα τρόπον ἔσται παλιγγενεσία
πάντων εἰς πῦρ ἀναλυθέντων· ἐξανα-
λωθείσης γὰρ τῆς οὐσίας ὑπὸ πυρός, ἀνάγ-
κη καὶ τὸ πῦρ οὐκ ἔτ' ἔχον τροφὴν ἀποσ-
βεσθῆναι, μένοντος μὲν οὖν, ὁ σπερμα-
τικὸς ἐσώζετο λόγος τῆς διακοσμήσεως,
ἀναλυθέντος δὲ συνδιαφθείρεται. ὃ δή ἐστιν
ἔκθεσμον καὶ ἀσέβημα ἤδη διπλοῦν, μὴ
μόνον φθορὰν τοῦ κόσμου κατηγορεῖν, ἀλλὰ
καὶ παλιγγενεσίαν ἀναιρεῖν, ὥσπερ ἀκοσμίᾳ
καὶ ἀπραξίᾳ, καὶ τοῖς πλημμελέσι πᾶσι
χαίροντος θεοῦ. τὸν δὲ λόγον ἀκριβέστερον ὧδε
διερευνητέον. πυρός, τριττὸν εἶδος, τὸ μὲν
ἄνθραξ τὸ δὲ φλόξ, τὸ δὲ αὐγή. ἄνθραξ
μὲν οὖν ἐστι, πῦρ ἐγγεῶδες, ὃν τρόπον ἕξεως πνευ-
ματικῆς πεφώλευκε καὶ ἐποχεῖ δι' ὅλης ἄχρι
περάτων τεταμένον. φλὸξ δέ ἐστιν, ὅπερ ἐκ
τροφῆς αἴρεται μετεωριζόμενον. αὐγὴ δὲ τὸ
ἀποστελλόμενον ἐκ φλογός, συνεργὸν ὀφ-
θαλμοῖς εἰς τὴν τῶν ὁρατῶν ἀντίληψιν, μέ-
σην δὲ χώραν αὐγῆς τε καὶ ἄνθρακος εἴληχε
φλόξ. σβεσθεῖσα μὲν γὰρ εἰς ἄνθρακα τελευ-
τᾷ, ζωπυρουμένη δ' ἔχει φέγγος ὃ τὴν καυ-
στικὴν ἀφῃρημένον δύναμιν, ἀστράπτει. εἰ
κατὰ τὴν ἐκπύρωσιν οὖν τὸν κόσμον ἀναλύε-
σθαι φαμέν, ἄνθραξ μὲν οὐκ ἂν γένοιτο.

A nē docuimus. At mundus nec ex diductis
est conditus ita vt partes eius dissipandæ
sint, nec è corporibus cōpactis, ita vt dis-
soluendæ: nec vt nostra corpora itidē vni-
tus est, quippe quæ natura sua fluxa poten-
tiæ cedunt rerū innumerarum, vnde noxa
ipsa afficiuntur: at mundi robur indomitū,
præ multa abūdantia omnibus rebus præ-
ualens. Num igitur integra qualitatis per-
emptione corruptum iri mundū dicemus?
Tamen eum modū interitus cōcipere ne-
B mo potest quippe cum eorū sententia, qui
contraria de mundi interitu sentiūt, man-
sura sit qualitas ipsa coagmentati, in mino-
rem substantiā contracta, in conflagratio-
ne mundi. Age verò, superioribus modis
interire mūdus non potest, cōfusionis mo-
do potest. Absit vt hoc posse interire cen-
seamus. Alioqui reuoluemur eodē, vt ad-
mittendū nobis sit interitū mundi perin-
de futurū, atque si nihil in rerū natura sit.
Quo tandē isthuc modo? Quia si vnaquæ-
que partiū mundi interiret, alia mutari in
C aliam potuisset: cùm verò omnia simul in-
terire vniuersáque dicūt, necesse est in in-
tellectum id admittere, quod fieri non po-
test. Est verò operæpretium quærere, qua
ratione altera erit generatio mundi, cùm
omnia in ignem absoluta fuerint. siquidē
exhausta ab igne rerū natura, necesse erit
ignem quoque extingui alimento defe-
ctum. Qui si permansisset incolumis esset
vtique ratio seminalis coagmentationis
mundi: igne verò resoluto, illico vna cum
eo illa quoque ratio consequens est vt pe-
rimat? Atqui nefarium est geminatæque
D impietatis, non tantum mundum capitis
crimine arcessere, sed etiam (si Deo pla-
cet) natalem eius instaurationem tollere.
Quasi verò inertia Deus & incondita re-
rum nece, omnibúsque perperam factis
gaudeat. Proinde hanc disputationem in
hunc modum exquisitius explicandam ha-
bemus. Ignis genus est triplex, carbo, flā-
ma, splendor. Carbo ignis est in terreno,
hócque modo spiritualis habitudinis tan-
quam in specu latet ignis, & quasi locum
insidet, vsquequaque intentus & ad extre-
E ma vsque pertinens. Flamma est id quod
ab alimento in sublime tollitur. Splendor
est qui à flamma emittitur, oculis subser-
uiens & prælucens ad res spectabiles ap-
prehendendas. Medium autem locum car-
bonis & splēdoris flamma obtinet, vtpote
quæ & extincta desinat in carbonem, &
excitata lumen habeat, quod vi vstiua quū
deficitur fulget. Quocirca si resolutum
mūdum deflagratione censuerimus, haud
quaquam carbo fiet: quippe in quo terreni
permultum reliquū esset, vbi ignem com-

prehensum esse contingit. At placet cæterorum corporum nullum iam tum in rerum esse natura: terrámque aquam, aërem in ignem merum resolui. Nec verò flammam mansurã esse placet, vt quæ sit ignei alimenti elatio in sublime. Ita quum relictum nihil fuerit, vtique ipsa tabescẽs protinus extinguetur. Quibus etiam ipsis hoc consequens est, vt ne splendor quidem inde existat, qui suaptè ipse natura solus subsistere nequit, à prioribúsque illis manat, flamma scilicet & carbone: ab hoc quidem ille minor, flãma verò multus. At illa (B) à conflagratione mũdi non futura sunt, vt probatũ est, ita ne splendor quidẽ erit postea. Quo fit omnino, ratio vt iniri nõ possit mũdi denuo nasci turi, cũ seminalis nulla ratio cõfoueatur intus. Atque ex ijs planũ factum est ingenitũ mundũ permanere & incorruptũ. Quin absque his etiã sic explicatis foret, & hoc argumẽto quis vt posset ad huius ipsius rei fidẽ, idoneo quidem ipso: & vtique huiuscemodi, quod omnes in eam opinionẽ adducerent, dũtaxat qui & ipsi esse pertinaces præter modũ nõ ob- (C) stinassẽt. Eorũ igitur quæ coniugatim cõtraria sunt inter se, vt hoc sit, illud non sit, omnino fieri nequit. Nam si albũ sit, & nigrũ esse necesse, & magno existente paruũ erit, & impari par, & dulci amarum, & denique die existente nox erit, & quæcũque sunt alia huiuscemodi. Atqui si mundi inflammationẽ fore dederimus, inde futurũ sequetur, quod fieri per rerũ naturam nequit, eritque cõiugatorũ alterutrũ cum alterũ iam non sit. Id quod licebit hoc pacto vt cognoscamus. Omnibus in ignẽ resolu- (D) tis, leue quidẽ & rarũ erunt, & calidũ, cum ignis sint propria: graue verò non erit, nõ densum, non frigidũ, quæ tamen à regione sunt illorũ. quomodo autẽ potius inhibere quis posset mundi prorsus non futuri cõsequentiã, quæ mundi deflagratione sanè implicata est, siquidẽ ea detur, quam si ea quod natura vna esse comparata sunt, hoc ille pacto demonstrarit è sua cõiugatione dirimi? At hoc posito coniugationis diremptio eo vsque progreditur, vt his æternũ eum non negent, illis esse omnino ne- (E) gent. Iam verò quod sequitur, non longè à proposito quasique à scopulo abscedere videtur eum qui verum vestigare instituerunt. Mundus si interiturus est, aut à causa quadam interibit, aut diuinitus. At verò aliunde dissolutionem nullo modo admittit, quippe qui nihil non contineat ipse & cohibeat, & quod continetur, debilius est vtique continente, cùm ab eo coërceatur vt præualente. A Deo porro destrui mundũ dicere, sceleratum est primis in & ne-

A ἀλλ' ἤδη παμπληθὲς ὑπολείψεως τοῦ γεώδους. ὡς δὲ πῦρ ὅλον κατειλῆφθαι συμβέβηκεν. ἀρέσκει δὲ μηδὲν τότε τῶν ἄλλων ὑφεστάναι σωμάτων, ἀλλὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα, εἰς ἄκρατον πῦρ ἀναλύεσθαι. καὶ μὴν οὐδὲ φλόξ, ἅμμα γὰρ ἐξάψεώς ἐστι· μηδενὸς δὲ καταληφθέντος, ἀνεξαφθεῖσα αὐτίκα ἀποσβεσθήσεται. τούτοις ἕπεται, τὸ μηδ' αὐγὴν ἀποτελεῖσθαι. καθ' ἑαυτὴν γὰρ ὑπόστασιν οὐκ ἔχει. ῥεῖ δὴ ἀπὸ τῶν προτέρων B ἄνθρακος καὶ φλογός, ἀφ' οὗ μὲν ἔλαττον, πολὺ δὲ ἀπὸ φλογός. ἐκείνων δὴ ὡς ἐδείχθη κατὰ τὴν ἐκπύρωσιν οὐκ ὄντων, οὐδ' ἂν αὐγὴ γένοιτο, ὥστ' ἀμήχανον παλιγγενεσίας τὸν κόσμον λαβεῖν, μηδενὸς ἐντυφομένου σπερματικοῦ λόγου. ἐξ ὧν ἐστὶ δῆλον, ὅτι ἀγένητος καὶ ἄφθαρτος ὢν διατελεῖ. δίχα τοίνυν τῶν εἰρημένων, κἀκείνῳ χρήσαιτο ἄν τις εἰς πίστιν, ὃ καὶ τοὺς μὴ C πέρα τοῦ μετρίου φιλονεικεῖν αἱρουμένους ἐπισπάσεται. τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον τὸ μὲν εἶναι, τὸ δὲ μή. λευκοῦ γὰρ ὄντος, ἀνάγκη καὶ μέλαν ὑπάρχειν. καὶ μεγάλου βραχύ, καὶ περιττοῦ ἄρτιον, καὶ γλυκέος πικρόν. καὶ ἡμέρας νύκτα, καὶ ὅσα τούτοις ὁμοιότροπα. γινομένης δὲ ἐκπυρώσεως, ἀδύνατον τι συμβήσεται. τὸ μὲν γὰρ ἕτερον ὑπάρξει τῶν ἐν ταῖς συζυγίαις, τὸ δὲ ἕτερον οὐκ ἔσται. φέρε δὴ D οὑτωσὶ θεασώμεθα. πάντων γὰρ εἰς πῦρ ἀναλυθέντων, κοῦφον μὲν ἔσται, καὶ μανὸν καὶ θερμόν. ἴδια γὰρ πυρὸς ταῦτα. βαρὺ δὲ οὐδὲν ἢ πυκνὸν ἢ ψυχρὸν τὰ τοῖς λεχθεῖσιν ἐναντία. πῶς οὖν ἄν τις ἐπισχήσαι μᾶλλον τὴν πεπλεγμένην ἐκ τῆς ἐκπυρώσεως ἀκοσμίαν ἢ τὰ φύσει συνυπάρχοντα δεικνὺς ἀποτμηθέντα τῆς συζυγίας. ἡ δὴ ἀλλοτρίωσις ἐπὶ τοσοῦτον κεχώρηκεν, ὡς τοῖς μὲν ἀϊδιότητα προσομολογεῖν, τοῖς δὲ E τὸ ἀνύπαρκτον. ἔτι τοίνυν κἀκεῖνό μοι δοκεῖ, μὴ ἀπὸ σκοποῦ τοῖς ἰχνηλατοῦσι τἀληθὲς εἰρῆσθαι. φθειρόμενος ὁ κόσμος, ἤτοι ὑπό τινος φθαρήσεται αἰτίας, ἢ ὑπὸ θεοῦ. ὑπ' ἄλλου μὲν οὐδενὸς τὸ παράπαν δέξεται διάλυσιν. οὐδὲν γὰρ ἐστὶν ὃ μὴ περιέχει. τὸ δὲ περιεχόμενον, καὶ κρατούμενον ἀσθενέστερον ὄντως τοῦ περιέχοντος, ὑφ' οὗ καὶ κατακρατεῖται. ὑπὸ δὲ θεοῦ φθείρεσθαι λέγειν αὐτόν, πάντων ἀνοσιώτατον.

A ὁ γὰρ θεὸς οὐκ ἀταξίας, καὶ ἀκοσμίας καὶ φθορᾶς, ἀλλὰ τάξεως καὶ εὐκοσμίας καὶ ζωῆς, καὶ παντὸς αἴτιος ἀγαθοῦ ἀνωμολογεῖται παρὰ τοῖς τἀληθῆ δοξάζουσι. προσφιλοτεχνοῦντες δέ τινες τὴν ἀΐδιον ὑπολαμβάνοντες τὸν κόσμον εἶναι, καὶ τοιούτῳ πρὸς κατασκευὴν λόγῳ χρῶνται. φθορᾶς τέτταρας εἶναι τρόπους τοὺς ἀνωτάτω συμβέβηκε, πρόσθεσιν, ἀφαίρεσιν, μετάθεσιν καὶ ἀλλοίωσιν. δυὰς μὲν οὖν, προσθέσει μονάδος, εἰς τριάδα φθείρεται, μηκέτι μένουσα δυάς. τετρὰς δ' ἀφαιρέσει μονάδος, εἰς τριάδα. μεταθέσει δὲ, τὸ Ζ στοιχεῖον εἰς Η, ὅταν αἱ μὲν ἐγκάρσιοι παράλληλοι πρὸς ὀρθὰς διαστῶσιν. ἡ δὲ πρὸς ὀρθὰς ἐπεζευγμένη πλαγιασθεῖσα συνάψῃ τὰς παρ' ἑκάτερα. κατ' ἀλλοίωσιν δὲ, μεταβάλλων οἶνος εἰς ὄξος. τῶν δὲ κατειλεγμένων τρόπων, οὐδεὶς ἐφάπτεται τοῦ κόσμου τὸ παράπαν. ἐπεὶ καὶ τί φαμὲν, προστίθεσθαί τι τῷ κόσμῳ πρὸς ἀφαίρεσιν. ἀλλ' οὐδὲν ἔστιν ἐκτὸς, ὃ μὴ μέρος γέγονεν αὐτοῦ ὅλου. περιέχεσθαι γὰρ καὶ κατακεκρατῆσθαι. ἀλλ' ἀφαιρεῖσθαι. πρῶτον μὲν τὸ ἀφαιρεθὲν, πάλιν κόσμος ἔσται τοῦ νῦν βραχύτερος. ἔπειτα ἀμήχανον ἔξω τι σῶμα τοῦ ὅλου διαρτηθὲν τῆς συμφυΐας σκεδασθῆναι. ἀλλὰ τὰ μέρη μετατίθεσθαι· μένει μὲν οὖν ἐν ὁμοίῳ. καὶ τόπους οὐκ ἐναλλάττοντα. οὐ γὰρ ἐποχηθήσεταί ποτε ἐπὶ ὕδατι πᾶσα ἡ γῆ οὔθ' ὕδωρ ἀέρι, καὶ οὔτε πυρί. ἀλλὰ τὰ μὲν φύσει βαρέα, ἐν γῇ καὶ ὕδωρ τὸ μέσον ἐφέξει τόπον, γῆς μὲν θεμελίου τρόπον ὑπερειδούσης, ὕδατος δ' ἐπιπολάζοντος. ἀὴρ δὲ καὶ πῦρ τὰ φύσει κοῦφα, τὸν ἄνω. καὶ μὴν οὐδὲ κατὰ ἀλλοίωσιν φθείρεσθαι νομιστέον. ἰσοκρατὴς γὰρ ἡ τῶν στοιχείων μεταβολή. τὸ δ' ἰσοκρατὲς, ἀκλινοῦς βεβαιότητος, καὶ ἀσαλεύτου μονῆς αἴτιον, ἅτε μὴ πλεονεκτούμενον. ὥστε ἡ ἀντίδοσις, καὶ ἀντέκτισις, τῶν δυναμένων, ἀναλογίαις ἐξισουμένη κανόσιν ὑγείας καὶ ἀτελευτήτου σωτηρίας δημιουργός. ἐξ ὧν ἀΐδιος ὁ κόσμος ἀποδείκνυται. Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς

siquidē Deum non ordinis dissoluti, non incōditæ rerum rationis, non internecionis authorem, sed ordinis potius, & compositæ rationis, denique vitæ atque omnis boni causam esse, apud eos in confesso est, qui verè de rebus opinati sunt. At vero eorum qui sempiternū mundum esse censuerūt sunt, qui argumētationi ambitiosæ artificiosæque indulgentes, insuper etiam hac disputatione vtūtur ad astruendā opinionem suam. Quatuor esse modos internecionis rerum summa diuisione cōuenit,

B additionem, ademptionem, transpositionem, mutationē. Binarius igitur accessione vnitatis in ternarium interit, cum iam binarius nō sit, at quaternarius vnitatis decessione, in ternarium. Transpositione autem interit Z elementum in H cùm lineæ quidem obliquæ & parallelæ subiectæ ad rectos angulos fuerint: linea autē ad vtrāque protenta & pertinens, in transuersum deflexa ipsas ad rectos angulos attigerit & copularit. Immutatione fit corruptio, quū vinum in acetum vertitur. Nullus autem

C modorum, qui enumerati sunt mundū attingit prorsus. Nam quid hic comminisci quisquam eorum possit additum iri quippiam mundo ad eius demolitionē? Quonam tandē id modo, si nihil est extra mundum, quod non idem pars sit mūdi totius? Quicquid enim id est, cohibetur ab eo & edomatur. Quid igitur ablatum iri? Primum id si fateare, quicquid erit quod auferetur, id denuo mundus erit hoc mundo minor. Deinde non est inire rationē, qua

D corpus aliquod ab vniuersi coalescētia diremptum vsquam dispergi possit. Age nūquid partes mundi transponendas comminiscemur ad mūdi corruptionē? Atqui in simili permanebūt locos non permutātes. Neque enim vnquā futurū est, vt omnis terra inuehatur aqua, nec vt aqua aëre, & hic igne, sed quæ in terra naturæ grauis sunt, aquáque mediū locū obtinebūt, ita vt terra fundamēti vice fulciat, illique aqua innatet: at aër ignísque quę natura leui sūt, superiorē locum teneāt. Neque verò exi-

E stimandū est eo modo interiturū mundū, alius vt ex alio fiat. Nāque elementorū immutatio æquè pollet per omnia. Et quod æquè pollet, id firmitudinis indeclinabilis causa est, atque illabefactabilis permāsionis, cū nullo exuberantiore inferius sit. Quam ob causam refundendarū viriū, rependendarúmque vicissitudo regulis illa quidē adæquata proportionis, artifex est sanitatis atque incolumitatis in æuū pertinacis. Vnde fit demonstrabile mundū esse sempiternū. Porrò autē Theophrastus eos qui ortū mundo interitúmque obijciunt,

quatuor rebus falsos esse existimauit, terræ inæquabilitate, maris recessum, singularum partium vniuersi dissolutione, terrestriũ denique internecione generatim per animātia grassante. Primum sic astruitur. Nisi terra principium ortus cepisset, nulla pars eius altius insurgens conspiceretur, complanati verò mõtes omnes fuissent, collésque ad æquilibriũ redacti cum planitie camporum. Siquidem tot imbribus quotannis ab æuo labentibus locorum in altum editorum alia torrẽtibus abrupta fuissent (vt simile veri est, alia suopte nutu subsidẽtia pessum iuissent, omniáque iam vsquequaque per planata diffuderentur. Nunc verò crebræ salebræ, per multorúmque montiũ iuga in altum exurgentia, iudicia sunt terræ minimè ab æterno editæ. Alioquin iamdiu (vt dictum est) in tempore infinito imbrium in terra à frõte (vt dicitur) ad calcẽ, ad viæ vehicularis æqualitatem complanata videretur. Et est ea vis aquæ præsertim supernè casitantis, vt quędam vi extrudat, quædam continenti stillicidio caua reddit, solum etiam vt prædurum ac glareosum fossorum more subigat. Quin & mare ipsum (inquiunt) imminutũ est. Indices sunt celeberrimæ Rhodos & Delus. Quæ enim olim mari subuersæ & obrutæ non cernerentur, temporis interuallo existere sensum cœperũt & conspici vtique mari sensim identidem subsidente, vt quidem vetustis proditum est historijs, quæ de ipsis conscriptæ sunt. Ingentes etiam sinus maris, altissimósque exaruisse aiunt continentique accessisse: simul tractus adiacentes in apertum protulisse, partibus illos quidem luculentis nec sterilibus, vt apparuit cũ seminari cœpti essent, arbustisque conseri. His etiam accedunt indicia maris è prisca proluuie retroacti, id quod scrupi & conchulæ marinæ in sicco destitutæ ostendunt, aliáque eiusdemmodi quæ mari ęstuante expui solita sunt. Quod si mare imminuitur, minuetur & terra, longisque annorum circuitibus prorsus vtrumque elementum resoluetur & vniuersus aër exhaurietur, ad imminutionem sensim vergens, omniáque è suo concremento in vnam naturam ignis liquescent. Ad tertij autem capitis structuram hoc argumento vtuntur. Id (inquiunt omnino periturum est, cuius partes obuiæ & expositæ interitui. At mundi partes tales sunt, igitur mundus huiuscemodi. Nunc agitandum quod huc regrediendo reieceramus. Quænam igitur terræ pars (vt ab eodem auspicemur) vel maior vel minor tempore non dissoluetur? Quid lapides firmissimis nonne tu-

A ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερσαίων φθορᾶς κατὰ γένη ζῴων. κατασκευάζει δὲ τὸ μὲν πρῶτον οὕτως. εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὼς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο, χθαμαλὰ δ' ἤδη τὰ ὄρη πάντα ἐγεγένητο. καὶ οἱ γεώλοφοι πάντες, ἰσόπεδοι τῇ πεδιάδι. τοσούτων γὰρ καθ' ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ ἀιδίου
B φερομένων, εἰκὸς ἦν τῶν διῃρημένων εἰς ὕψος, τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ' ὑπονοστήσαντα κεχαλάσθαι. πάντα δὲ διὰ πάντων ἤδη λελειάνθαι. νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι, καὶ παμπόλλων ὀρῶν αἱ πρὸς ὕψος ὑπερβολαί, μηνύματ' ἐστὶ, τοῦ τὴν γῆν μὴ ἀΐδιον εἶναι. πάλαι γὰρ ὡς ἔφην ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα λεωφόρος ἐγεγένητο. πέφυκε γὰρ ἡ ὕδα-
C τος φύσις καὶ μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα, τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ, τὰ δὲ, τῷ συνεχεῖ τῶν ψεκάδων κολάπτουσα κοιλαίνειν. ὑπεργάζεσθαί τε τὴν σκληρόγειον καὶ λιθοδεστάτην, ὀρυκτήρων οὐκ ἔλαττον. καὶ μὴν ἔτι θάλασσα (φασὶν) ἤδη μεμείωται, ῥόδος τε καὶ δῆλος. αὗται γὰρ αἱ νῆσοι τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ' ὕστερον ἐλαττουμένης ἠρέ-
D μα, κατ' ὀλίγον ἀνίσχουσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν γραφεῖσαι μηνύουσιν ἱστορίαι. πρὸς δὲ τούτοις, μεγάλων πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας ἠπειρῶσθαι καὶ γεγενῆσθαι τῆς παρακειμένης χώρας, μοῖραν οὐ λυπράν, σπειρομένους καὶ φυτευομένους. οἷς σημεῖα, τὰ τῆς παλαιᾶς ἐναπολέλειπται θαλαττώσεως, ψηφῖδάς τε καὶ κόγχας, καὶ ὅσα ὅμοια πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράτ-
E τεσθαι. εἰ δὲ μειοῦται ἡ θάλαττα, μειωθήσεται μὲν ἡ γῆ. μακραῖς δὲ ἐνιαυτῶν περιόδοις, καὶ εἰσάπαν ἑκάτερον στοιχεῖον ἀναλυθήσεται, δαπανηθήσεται καὶ ὁ σύμπας ἀήρ. ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος. ἀποκριθήσεται δὲ πάντα εἰς μίαν οὐσίαν τὴν πυρός. πρὸς δὲ τὴν τοῦ τρίτου κατασκευὴν κατ' ἀγαίν, χρῶνται λόγῳ τοιῷδε. φθείρεται πάντως ἐκεῖνο, οὗ πάντα τὰ μέρη φθαρτά ἐστι. φθαρτὸς ἄρα ὁ κόσμος. ὃ δὲ ὑπερεθέμεθα, νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵνα ἀπὸ ταύτης ἀρξόμε-

διαφθείρειν, ἢ κατ' ἀρχὴν, ἢ χρόνῳ διαλυθέντα). λίθων οὐ κεραμεῖα· ξύλα οὐ μυδᾷ τε καὶ σήπεται κατὰ τὴν ἕξεως ἀσθένειαν· (ἡ δ' ἔστι πνευματικὸς τόνος δεσμὸς οὐκ ἄρρηκτος, ἀλλὰ μόνον δυσδιάλυτος) θρυπτόμενα καὶ ῥέοντα, εἰς λεπτὴν τὸ πρῶτον ἀναλύεται κόνιν, εἶθ' ὕστερον δαπανηθέντα ἐξαναλύονται· τί δ'; εἰ μὴ πρὸς ἀνέμου ῥιπίζοιτο τὸ ὕδωρ οὐκ ἀκίνητον ἐαθὲν, ὑφ' ἡσυχίας νεκροῦται· μεταβάλλει γοῦν, καὶ δυσωδέστατον γίγνεται, οἷα ψυχὴν ἀφῃρημένον ζῶον. αἵ γε μὴν ἀέρος φθοραὶ, παντί τῳ δῆλον. νοσεῖν γὰρ καὶ φθίνειν, καὶ τρόπον τινὰ ἀποθνήσκειν πέφυκεν. ἐπεὶ, τί ἄν τις μὴ στοχαζόμενος, ὀνομάτων εὐπρεπείας, ἀλλὰ τ' ἀληθοῦς εἴποι λοιμὸν εἶναι, πλὴν ἀέρος θάνατον. τὸ οἰκεῖον πάθος ἀναχέοντες ἐπὶ φθορᾷ πάντων, ὅσα ψυχῆς μεμοίραται· τί χρὴ μακρηγορεῖν περὶ πυρός, ἀτροφῆσαν γὰρ, αὐτίκα σβέννυται. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν ἐπιδέχεται, δηλονότι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος, ἄφθαρτος οὐκ ἔσται. τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβέστερον ὧδέ φασιν. εἰ ὁ κόσμος ἀΐδιος ἦν, ἦν ἂν καὶ τὰ ζῶα ἀΐδια. καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον, ἀλλὰ καὶ ὀψίγονον φαίνεται τοῖς βουλομένοις ἐρευνᾶν τὰς φύσεις. εἰκὸς γὰρ, μᾶλλον δ' ἀναγκαῖον, ἀνθρώποις συνυπάρξαι τὰς τέχνας· ὡς ἂν ἰσήλικας· οὐ μόνον ὅτι λογικῇ φύσει ἐμμέθοδον τὸ οἰκεῖον ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων οὐκ ἔστιν· ἴδωμεν δὴ τοὺς ἑκάστων χρόνους ἀναλογιζόμενοι τῶν ἐπιπαρῳδουμένων θεοῖς μύθων· εἰ μὴ ἀΐδιος ἄνθρωπος, οὐδ' ἄλλο τι ζῶον, ὥστε, οὐδ' αἱ δεδεγμέναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ, καὶ ἀήρ, ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον, δῆλόν ἐστιν. ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρεσιλογίαν ἀπαντῆσαι, μή τις τῶν ἀπειροτέρων παραχθῇ· καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως, ἀφ' οὗ καὶ τῆς ἀπάτης οἱ σοφισταί· τὰς ἀνωμαλίας, οὐκ ἔτ' ἐχρῆν εἶναι τῆς γῆς, εἴπερ ἀΐδιος ἦν ὁ κόσμος· διὰ τί ὦ γενναῖοι. φήσουσι γὰρ ἐπεγειρθέντες. ὅτι δένδρων οὐδ' αἱ φύσεις τῶν

more putrifico affecti putrescunt tandem, atque ab habitus infirmitate (qui tenor est spiritualis, vinculúmque fracturæ non immune, tametsi ægre est solutile) fragiles & fluxi in tenuem primum puluerem soluti deinde consumpti, tum demum prorsus euanidi abeunt? Aqua vero quid ipsa? nónne si immota manserit, nec flatu diuentiletur, quiete enecatur? Certè quidem mutari eam constat, graueolentiáque infici, more animantium quæ anima priuatæ sunt. Enim verò aëris corruptiones nulli non apparent manifestò. & ægrotare enim aër & tabescere, & modo quodam emori è sua naturali constitutione potest. Quod si animi intentionem ad indagandam rerum veritatem potius quam ad nominum appellationúmque decorum contuleris, quidnam aliud dixeris pestẽ esse, quàm aëris mortem? qui noxam qua afficitur in omnium necem effundit, quibus quidem ipsis participibus animę esse contingit. Iam de igne quid opus est verbosius disputare? qui simul alimento defectus est, tabescit & extinguitur. Quare si vnam quamque mundi partium suum manet exitium, nimirum mundus ipse qui ex ijs compositus est, exitij non erit expers. Quartam illi eandémque vltimam rationẽ exquisitius hunc in modum prosequuntur. si mundus (aiunt ipsi) sempiternus esset, essent etiam animalia sempiterna, eoque magis genus hominum tale esset, quo reliquis est præstantius. At sero genitos homines apparebit ijs qui rerum naturas instíterint perscrutari. Est enim verisimile atque adeò necessarium, simul cum hominibus in naturam rerum editis, artes quoque exstitisse vt æquales hominibus. Nec id modo eam ob rem quod naturę rationali ea sunt accõmodata quæ artificio constant, sed etiã quod absque ijs artibus esset, vita non procederet. Id ex fabulis videre possumus, si singularũ tempora recenseamus, quas dijs poetæ singulis affictas decantauerunt. Cæterũ nisi homo æternus sit, nullum aliud animal æternũ erit, ita ne loca quidem æterna erunt quæ ipsa excipiunt animalia, terra, aqua, & aër. Ex quo sequitur vt sit manifestum, mundum esse exitio obnoxium. Hic enim vero cùm istis hominibus qui verba fundunt commentitia, necesse est pedem ipsi vt cõferamus, ne quis eorum quos deficit rerũ prudentia maior, ab ipsis adducatur quoquo modo in errorem, quando captionum artifices ipsi auspicantur ab impostura. Si mundus (inquiunt) æternus esset, nullas iam interra oportebat extare inæqualitates. Quid istuc tandẽ obsecro? Erũt enim qui in mo-

A dium prodeuntes dicere non vereantur, montiũ naturam nihil quicquam ab arborum differre. Nam vt illæ temporũ vicibus amittũt folia alternisque repubescũt, eodem etiam modo montiũ partes quædã abrumpuntur, & quædam vicissim adnascũtur, tametsi nonnisi longinquitate temporis agnatio hæc innotescit, idcirco quod arbores natura celeriore prędite incremẽtum suũ cito capiunt, montes verò tardiore, vnde fit vt enatæ eorũ partes vix sensu hominũ percipiantur ac nisi longo tẽpore.
B Atqui enascentium montium rationẽ planè ignorare isti mihi videntur, alioqui pudor eos (vt opinor) vetuisset tale quicquã proloqui. Quare eos docere nequaquã grauabimur. Est autẽ quod dicturi sumus nec nouum, nec nostrũ, sed antiquorũ inuentũ, hominum sane sapientũ qui nihil non ipsi disputatũ reliquerunt eorũ quidem certè, quæ ad scientiã necessaria esse censentur. Quũ igitur natura ignita in terra condita sursum versus rapitur ignis vi naturali, ad proprium locum tendit, ac si quantulum
C sit cunque spiraculum nacta sublime rapit secum multum terrenæ naturæ, & quàm potest plurimum, simul ac verò terra ipsa eruperit, fertur compendiosa via. Ea porrò terrena natura ignem subsequi erumpentem coacta, ad altitudinem multum assurgens, in arctum contrahitur ac tandem in verticem desinit mucronatum, igneam naturam imitando. Siquidem tunc necesse est vt leuissima natura & grauissima, quę sunt aduersariæ, inter se conflictentur,
D cùm vtraque in locum suum suopte nutu vrgeatur, contráque alterius videntiam altrinsecus distrahatur. Proinde natura ignea terrã sublimem secum rapiens deorsum vergere cogitur terreno degrauante, terra verò in infimum libramento suo depressa, contráque ab igne suspensa, qui suamet ipse sponte sublime attollit? vix tandem ipsa à præualente potentis atque subleuatrice euicta, sursum in sedes ignis protruditur atque ibi consistit. Quid igitur mirum est, montes aquis imbrium tor-
E rentibus non absumi, cùm vis ipsos continens, aqua etiam eriguntur, quàm firmissimè in eis atque validissime implicita sit? Soluto enim vinculo quo cohibentur, dissolui eos consentaneũ esset, in aquásque dissipari. nũc verò ignis vi adstricti pertinacius resistunt aquarũ delapsibus. Atque hæc sunt quæ dicenda habuimus, eo pertinentia, vt doceremus inæquabilitatem terræ argumentũ non esse fide dignum ortus & interitus mundi. Ad id porro quod argumentantur de minutione maris, hoc modo responderi conuenienter potest:

A ὀρῶν διαφέρειν, ἀλλὰ καθάπερ ἐκεῖνα χειμερίοις μὲν πη φυλλορροεῖ, χειμερίοις δὲ πάλιν ἀναβλαστάνει, τὸν αὐτὸν τρόπον καὶ τῶν ὀρῶν, τὰ μὲν ἀποθραύεσθαι μέρη, τὰ δὲ προσφύεται, μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος διότι τὰ μὲν δένδρα ὠκυτέρᾳ χρώμενα τῇ φύσει, θᾶττον καταλαμβάνεσθαι ἔχει τὴν ἐπίδοσιν. τὰ δ' ὄρη βραχυτέρᾳ. διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν αἰσθητὰς, ὅτε μὲν χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν, ἔοικασί τε τὸν τρόπον τῆς
B γενέσεως αὐτῶν ἀγνοεῖν. ἐπεὶ κἂν ἴσως αἰδεσθέντες ἡσύχασαν. φθόνος δ' οὐδεὶς ἀναδιδάσκειν ἐστὶ δ' οὔτε νέον τὸ λεγόμενον οὔθ' ἡμέτερον ῥῆμα, ἀλλὰ παλαιῶν καὶ σοφῶν ἀνδρῶν· οἷς οὐδὲν ἀδιερεύνητον τῶν εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται· ὅταν ἐγκατακεκλεισμένοι ὦσι τῇ γῇ πυρώδεις, ἄνω τῇ τοῦ πυρὸς ἐλαυνόμενοι φυσικῇ δυνάμει, πρὸς τὸν οἰκεῖον τόπον στείχει, κἂν λάβηται βραχείας ἀναπνοῆς. ἄνω μὲν συνα-
C ναφέρει πολλὴν τῆς γεώδους οὐσίας ὅσον ἂν οἷόν τε ᾖ. ἔξω δ' ἐπιγενομένου, φέρεται βραχυτέραν, ἡ μέχρι πολλοῦ συμπεριληφθεῖσα βιασθεῖσα πρὸς μήκιστον ἀρθεῖσα ὕψος συστέλλεται κορυφουμένη, καὶ πρὸς ὀξεῖαν ἀποτελευτᾷ κορυφὴν· πυρὸς σχῆμα μιμουμένη. τῆς γὰρ τῆς κουφοτάτου καὶ βαρυτάτου τότε τὴν φύσιν ἀντιπάλων, ἀναγκαία συῤῥαξάντων διαμάχεσθαι, πρὸς τὴν οἰκείαν ἑκατέρου χώραν ἐπειγο-
D μένου. καὶ τὸ βιαζόμενον ἀντιτείνοντος, τὸ μὲν δὴ πυρῶδες συνανέλκον γῆν ὑπὸ τῆς περὶ αὐτὴν φυσικοῦ βρίθειν ἀναγκάζεται. ἡ δὲ γῆ κατωτάτω ταλαντεύουσα, πρὸς τοῦ πυρὸς ἀνακουφίζεται ἐπελαφρυνθεῖσα, μόλις ὑπὸ δυνατωτέρας τῆς ἐπικουφιζούσης ἰσχύος, ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται καὶ ἵδρυται. τί οὖν θαυμαστὸν εἰ μὴ τὰ ὄρη, τῆς τῶν ὑετῶν φορᾶς ἐξαναλοῦται. τῆς συνεχούσης αὐτὰ
E δυνάμεως ὑφ' ἧς καθίσταται μάλα παγίως ἐγκρατικῶς ἐνειλημμένης. λυθέντος γὰρ δεσμοῦ τοῦ συνέχοντος, εἰκὸς ἦν διαλυθῆναι καὶ πρὸς ὕδατα σκεδασθῆναι. δυνάμει τε σφιγγόμενα τῇ τοῦ πυρὸς στεγανώτερον πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχει. ταῦτα μὲν οὖν ἡμῖν λελέχθω περὶ τοῦ τῆς ἀνωμαλίας τῆς γῆς πιστὸν οὐκ εἶναι γενέσεως καὶ φθορᾶς κόσμου. πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάσσης ἐπιχείρημα, ἐκεῖνο δεόντως ἂν λέγοιτο.

μὴ τὰς ἀναδοθείσας νήσους αὐτὸ μόνον, ἀλλὰ καὶ τὰ μὴ, εἴ τινες ἀποτμηθεῖσαι κατακλυσθεῖσαι τοῖς πάλαι χρόνοις, αὖθις ἠπειρώθησαν σκοπεῖν χρή. φυσιολογίας γὰρ ἀντίπαλον φιλονεικία· περιπόθητον ἡγουμένης ἀλήθειαν ἰχνηλατῆσαι· ἀλλὰ πολυπραγμονεῖται καὶ τοὐναντίον, ὅσαι μὲν ἠπείροις οὐ παράλιοι μόνον, ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν. Ὅτι δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ὁλκάσιν ἐμπλεῖται, ἡ περὶ τὸν σικελικὸν πορθμὸν ᾀδομένη ἱστορία ἀγνοεῖται πρὸς οὐδενὸς τῶν ἐλλογίμων, ὃ πάλαι μὲν ἠπείρῳ ἰταλία σικελίαν προσσυνάπτουσα. μεγάλων δὲ τῶν περὶ ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίας ἐπιδραμόντων, ἡ μεθόριος ἐπεκλύσθη καὶ ἀνερράγη, παρ᾿ ἣν καὶ πόλις ἐπώνυμος τοῦ πάθους ῥήγιον κτισθεῖσα ὠνομάσθη· καὶ τοὐναντίον οὗ προσεδόκησεν ἄν τις ἀπέβη. συνεζεύχθη μὲν γὰρ τὰ τέως διεστῶτα πελάγη, κατὰ τὴν σύρρευσιν ἑνωθέντα. ἡ δ᾿ ἡνωμένη γῆ τῷ μεθορίῳ πορθμῷ διεζεύχθη. παρ᾿ ὃ ἤπειρος οὖσα σικελία νῆσος ἐβιάσθη γενέσθαι. πολλὰς δὲ καὶ ἄλλας λόγος τῆς θαλάττης ὑπερχυθείσης ἠφανίσθαι πόλεις καταποθείσας· ἐπεὶ καὶ κατὰ πελοπόννησον, φασὶ τρεῖς Αἴγειράν τε, Βοῦράν τε, καὶ ὑψηλὴν Ἑλίκην, πολλοῦ τοῦ πελάγους ἐπικλυσθείσας φορᾷ. ἡ δὲ Ἀτλαντὶς νῆσος ἅμα λιβύης καὶ ἀσίας μείζων, ἥ, φησιν, ἐν Τιμαίῳ Πλάτων, ἡμέρᾳ μιᾷ καὶ νυκτὶ, σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων δῦσα κατὰ τῆς θαλάττης, ἐξαίφνης ἠφανίσθη, γενομένη οὐ πλωτὸν ἀλλὰ βαραθρῶδες. οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῆς θαλάττης συνεργεῖ. φαίνεται γὰρ ὧν μὲν ἐξαναχωροῦσα, τὰ δ᾿ ἐπικλύζουσα. ἐχρῆν δὲ, μὴ θάτερον τῶν γινομένων, ἀλλὰ συνάμφω θεωροῦντας ἐπικρίνειν. ἐπεὶ καὶ τοῖς ἐπὶ βίον ἀμφισβητήμασι, ὁ νόμος δικαστής, πρὶν παρὰ τῶν ἀντιδίκων ἀκοῦσαι γνώμην οὐκ ἀποφαίνεται. καὶ μὴν ὁ τρίτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται, μὴ ὑγιῶς ἐρωτηθεὶς, ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως. οὐ γὰρ δὴ παντὸς οὗ πάντα τὰ μέρη φθείρεται, φθαρτόν ἐστιν ἐκεῖνο, ἀλλ᾿ οὗ πάντα τὰ μέρη ἅμα καὶ ἐν ταὐτῷ ἄθροα κατὰ τὸν αὐτὸν χρόνον. ἐπεὶ καὶ ἄκρον ἀποκοπεὶς τις δάκτυλον,

A Non ipsas tantum modo mari emergentes insulas oportere considerare: cæterum aliquæ ne continentes partes vndis olim abruptæ, marique adobrutæ, denuò redditæ sunt continenti, id verò ipsos perpẽdere oportere. studio enim naturæ indagandæ (quam φυσιολογίαν vocant) aduersa est contentio, cùm id studiũ antiquissimã curam habeat veritatis inuestigandæ. Quid quod vice versa ingenti cõtentione studij eius inquiritur? quot quãtæque partes non oræ tantũ maritimæ, sed etiam mediterraneæ, excurrente mari exhaustæ sunt? B Nam quod terra mari admisso mersa, nauibus nũc onerarijs nauigatur & prægrandibus historia testis est siculi freti cantatissima, nemini non doctorũ cognita. Olim Italia Siciliã continenti adiungebat: cum vero vtrinque ingens mare violẽtis flatibus aduersisque incurrisset, cõfinis angustia terræ interrupta, mari summersa est: secundũ quam angustiã vrbs Rhegium condita ab euẽtu interrupti soli appellata est: contráque hominũ exspectationem contigit, vt C duo quidẽ maria terræ prius angustia dirempta, eo casu coniũgerentur, in vnũque confluerẽt: terra verò vt ante vnita, confini postea freto diduceretur, quod fretum tunc interfusum, effecit, vt quæ olim erat cõtinens nunc insula Siciliæ sit violentia casus edita. Fama est & alias vrbes mari superfuso absorptas postea non extitisse. Nãque circa Peloponnesum aiunt tres vrbes vehementi maris impetu esse mersas Ægirã, Buram, Helicam in edito loco sitã. Certè quidem Atlantis insula, Asia simul D Africáque maior (vt author est in Timæo Plato) diem vnũ noctémque factis terræ motibus inusitatis & portentosis cum diluuijs deorsum sidens, repẽtè absorpta est à mari atque cõdita, mari eo casu ibi facto nequaquam nauigabili atque voraginoso. Quocirca ad mundi interitum asserendũ nihil contulit commentitia maris imminutio. Etenim si aliũde mare recedit, alio etiam immeando terras mergit. Quamobrem istos oportebat non alterum tantum contemplatione prosequentes, sed E vtrumque ita demum de ea re statuere, non aliter atque in ciuilibus controuersijs factitatur, quibus in ipsis legitimis iudex non ante qua de re agitur sententiam profert, quam ipsos ambigentes vicissim audierit. Iam verò tertium illud argumentum à sese refellitur, vt absurda percunctatione deductum statim prima argumẽtatione effata. Neque enim id protinus interiturum est, cuius partes omnes intereunt. Neque verò non is viuere potest, cuius summus digitus abscissus est, cui

tamen si ipsi communis vsus omnis partium membrorúmque auferatur, illico interibit. Eodémque modo si cuncta simul elementa sub vnumque corpus exolescerent: nimirum fateri necessarium foret mundum corruptionis esse capacem. Si elementa singula priuatim in naturam mutantur vicini elementa, immortalitatem prædita esse elementa ex eo magis declarat? quam esse interitura. Porrò autem illa summa est stultitia, genus humanum ab artibus æstimare, cuius argumenti absurditatem si quis probandam esse sequendámque censuerit, recentem ille plane mundum hoc argumento demonstrauerit, vtpote vix ante annos mille conditum: si quidem omnes artium inuentores quos memoria prodente accepimus, eum numerum annorum non excesserunt. Quod si artes æquales esse generi humano dicendum est, consulta iam nobis historia opus erit, nec enim citra animaduersionem supináque fiducia nobis id dicendum est. Historia porrò quænam est illa? Terrestriũ interitus non vniuersorũ vnáque omnium, sed plurimorum, causis duabus maximis imputantur, ignis scilicet & aquæ inusitatæ abũdantiæ, & quam nemo exprimere queat sermone. Vtrâque enim illam vim in terris decũbere alternis aiũt, longissimis annorum circuitibus. interdúmque deflagratio grassatur, quum flumen ignis ætherij superne effusum, multísque in locis & varijs sparsum, tractus ingentes orbis terrarum permetitur. Interdum proluuies euagatur, vniuersam aquæ naturam detractam secum inuehens, cùm interim annes atque torrentes expatientur, non alueos tantum supergressi, sed etiam vltra constitutũ modum incrementi exundantes. Proinde his duobus modis aliísque innumeris sed minoribus, quum genus hominũ perire contigit, artes quoque perire necesse est: quippe artem sine artifice subsistentem haud quaquam videre est. Cùm verò in medium morbi grassati iam languescere cœperint & cedere, & tanquam fruticari ex humanis reliquijs quæ superstites sæuientibus malis, degrauantibus malis, degrauantibúsque fuerunt, ibi tum rursus artes excitari incipiunt non quòd non & ante illæ quidem natæ fuerint, sed quod circumcisa artificum multitudine raræ esse cœperant. Hæc ferè habebamus, quæ à maioribus accepta, de mundo diceremus pro ingenij facultate.

A ζῆν οὐ κεκώλυται· εἰ δὲ τὴν κοινωνίαν τῶν μερῶν, καὶ μελῶν πᾶσαν, αὐτίκα τελευτήσει. τὸν αὐτὸν οὖν τρόπον, εἰ μὲν συλλήβδην ἅπαξ ἅπαντα τὰ στοιχεῖα ὑφ᾽ ἕνα καιρὸν ἠφανίζετο, φάσκειν ἐνδέχεσθαι τὸν κόσμον φθορὰν ἦν ἀναγκαῖον. εἰ δ᾽ ἕκαστον, ἰδίᾳ πρὸς τὴν τοῦ γείτονος μεταβάλλει φύσιν, ἀθανατίζεται μᾶλλον ἢ φθείρεται. παμπληθὴς μὲν εὐήθεια ὁ λόγος τὸ ἀνθρώπων ἀπὸ τῶν τεχνῶν ἐξετάζεσθαι. τῇ γὰρ περὶ τὸν λόγον ἀτοπίᾳ τις ἀκολουθήσας, νέον τὸν κόσμον B ἀποφανεῖ· κομιδῇ μόλις περὶ χιλίων παρῆλθε ἐνιαυτῶν. ἐπεὶ καὶ οὓς παρειλήφαμεν τῶν ἐπιστημῶν εὑρετὰς, τὸν λεχθέντα ἐνιαυτῶν ἀριθμὸν οὐχ ὑπερβάλλουσιν. εἰ δὲ δὴ καὶ λεκτέον τὰς τέχνας ἰσήλικας ἀνθρώπων γένει, μεθ᾽ ἱστορίας φυσικῆς, ἀλλ᾽ οὐκ ἀπερισκέπτως, καὶ ῥαθύμως λεκτέον, ἡ δ᾽ ἱστορία τίς, φθορὰς τῶν κατὰ γῆν C οὐκ ἀθρόων ἁπάντων ἀλλὰ τῶν πλείστων δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθενται, πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς. καταπίπτειν δ᾽ ἑκάτερον φασὶν ἐν μέρει, ἐν πάνυ μακραῖς ἐτῶν περιόδοις. ὅτε μὲν οὖν ἐμπρησμοῖς καταλαμβάνει ῥεῦμα αἰθερίου πυρὸς ἄνωθεν ἐκχεόμενον, πολλαχῇ σκεδάννυται μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχον. Ὅτε δὲ κατακλυσμὸς, ἅπασαν τὴν ὕδατος κατασύρει φύσιν, ἀνθηλυθὲν D ποταμῶν καὶ χειμάρρων οὐ πλημμυρούντων μόνον, ἀλλὰ καὶ τὸ καθεστὸς προσυπερβαλόντων τῆς ἐπιβάσεως, κατὰ δὲ τοὺς λεχθέντας τρόπους, δίχα μυρίων ἄλλων βραχυτέρων, φθειρομένου τοῦ πλείστου μέρους ἀνθρώπων, ἐπιλιπεῖν ἐξ ἀνάγκης, καὶ τὰς τέχνας. δίχα γὰρ τοῦ μετιόντος, οὐκ ἔστι καθ᾽ αὐτὴν ἰδεῖν ἐπιστήμην. ἐπειδὰν δὲ, αἱ μὲν κοιναὶ νόσοι χαλάσωσιν, ἄρξηται δ᾽ ἀνηβᾶν καὶ βλα- E στάνειν τὸ γένος ἐκ τῶν προσκαταλειφθέντων τοῖς ἐπιβρίσασι δεινοῖς, ἄρχεσθαι καὶ τὰς τέχνας πάλιν ἀνίστασθαι οὔτι πρότερον γενομένας. ἀλλὰ τῇ μειώσει τῶν ἐχόντων ὑποσωλιωθείσας. ἃ μὲν οὖν περὶ κόσμου παρειλήφαμεν, εἴρηται κατὰ δύναμιν.

ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ,

ΠΕΡΙ ΤΗΣ ΕΒΔΟΜΗΣ.

PHILONIS IVDÆI

DE SEPTENARIO.

LIBER SINGVLARIS.

FED. MORELLVS Interpres Reg. Latinè vertit.

ΕΞΗΣ δ' ἐστὶ κεφάλαιον A τὸ περὶ τῆς ἱερᾶς ἑβδομάδος, ᾧ μυρία καὶ ἀναγκαῖα ἐμφέρεται εἴδη τῶν ἑορτῶν· αἱ τῶν φύσει μὲν ἐλευθέρων, διὰ [δὲ] καιροὺς ἀβουλήτους θητευόντων, καθ' ἕβδομον ἐνιαυτὸν ἀφέσεις· αἱ πρὸς χρεώστας τῶν συμβαλλόντων φιλανθρωπίαι, τὰ δάνεια ἑβδόμῳ ἔτει τοῖς ὁμοφύλοις χαριζομένων. αἱ ἀνάπαυλαι τῆς βαθυγείου πεδιάδος τε καὶ ὀρεινῆς, αἳ γίνον- B ται μετ' ἑξαετίαν· τὰ περὶ τοῦ πεντηκοστοῦ ἔτους νομοθετηθέντα. ὧν καὶ ἡ ἄνευ σκοποῦ ψιλὴ διήγησις, ἱκανὴ τοὺς μὲν εὐφυεῖς τελειῶσαι πρὸς ἀρετήν, τοὺς δ' ἀφηνιαστὰς καὶ σκληροὺς τὸ ἦθος εὐπειθεστέρους ἀπεργάζεσθαι. τὰ μὲν οὖν περὶ τῆς ἐν ἀριθμοῖς ἑβδόμης εἴρηται διὰ μακροτέρων πρότερον, ἣν τ' ἔχει φύσιν ἐν δεκάδι, καὶ ἣν συγγένειαν πρὸς τ' αὐτὴν δεκάδα, καὶ πρὸς τετράδα τὴν δεκάδος ἀρχήν τε καὶ πηγήν· καὶ ὡς συντεθεῖσα C μὲν ἀπὸ μονάδος, ἑξῆς γεννᾷ τὸν η' καὶ κ' τέλειον ἀριθμόν, τοῖς αὑτοῦ μέρεσιν ἴσον εἰς ἀναλογίαν ἀχθεῖσα, κύβον ὁμοῦ καὶ τετράγωνον ἀποτελεῖ· καὶ ὡς μυρί' ἄλλα κάλλη θεωρημάτων ἐξ αὐτῆς ἐπιδείκνυται, περὶ ὧν οὐ καιρὸς μακρηγορεῖν. ἕκαστον δὲ τῶν προκειμένων καὶ ἐμφερομένων εἰδῶν ἐπισκεπτέον, ἀπὸ τοῦ πρώτου τὴν ἀρχὴν ποιησαμένους. ἦν δὲ πρῶτον περὶ τῶν ἑορτῶν.

SEQVITVR deinceps caput de sacro Septenario, cũ quo sexcenta eáque necessaria cõfestorum genera cõferũtur; verbi gratia, *Festa dies sacra hebdomadis.* Remissiones septimo quoque anno cõcessæ eorum qui natura quidem liberi erant; sed ob difficilia & aduersa tẽpora famulabantur: Et benignitas creditorũ erga debitores, quibus vt tribulibus septimo quoque anno vsuras cõcedebãt. Deinde fœcundi soli & mõtanæ regionis quies & cessatio, quæ post sexenniũ fiebant: & quæ lege constituta fuerant super anno quinquagesimo; quorũ etiã absque proposito nuda narratio ad ingenuos in virtute perficiẽdos sufficit: ad cõtumaces autẽ, refractarios & moribus asperiores, morigeros & obsequẽtiores efficiẽdos. Iam vero quæ ad septenariũ in numeris situm spectant, fusius antea sunt exposita; & quam habeat in decade vim & naturam, quámque ad ipsam cognationẽ, atque ad quaternarium, qui denarij principium & fons est: itemque vt compositus ex vnitate, deinceps octauum atque vicesimũ perfectum numerum procreet, iisdem partibus æqualẽ ad proportionis rationem ductus, cubũ simul & quadrangulum perficiat: denique vt innumera alia præclara theoremata ac proposita ex ipso ostendantur: de quibus prolixius agendi hîc tempus non est. vnumquodque vero eorum generum quæ proposita collatáque sunt inspiciendum est, principio ab eo ducto quod primum est, nempe de ferijs. *Lib. de mundi opificio.*

A

DE FESTIS DIEBUS, ut numero decem sint.

1 *Feria cuiusque diei.* SVNT igitur numero decem festi dies. Ac primus quidem, quo audito quiuis fortasse admiratione afficeretur. Id autem festum est, dies omnis.
2 Secundum est septimus quisque dies: hoc Sabbatum Hebræi patria lingua nuncupant.
3 Tertius dies festus est, qui sequitur synodum seu coniunctionem secundũ aliquam Lunam nouam, nempe
4 Nouilunium. Quartus est dies transitus, qui Pascha nominatur. Quintus,
5 spicarum primitiæ, sacer manipulus.
6 Sextus est Azymorum, à panibus sine
7 fermento. Post quod festum, hebdomadum verè hebdomas celebratur.
8 Octauum festum est, Hieromenia, siue sacri mensis solemnitas. Nonum est Ie-
9 iunium.
10 Decimus dies festus est Tabernaculorum, quæ quidem est anniuersariorum festorum clausula, & in Decadis perfectum numerum definit. Ordiendum est nobis à primo die festo.

I. Dies festus. Lex omnem diem festum describit, dum se vitæ irreprehensæ accommodat: vt si homines naturam sequerentur, eiusque constitutionibus obtemperarent. ac si quidem vitia non regnarent, sub dominatum suum redactis cogitationibus de rebus conducentibus, quas ex anima cuiusque expulerunt: verùm ipsæ virtutum facultates vsquequaque inuictæ persisterent: vnum certè festum idque continuum fuerit, omne tempus, quod inter ortum & interitum interiectum est: Itémque familiæ & ciuitates in securitate & inducijs, refertæ bonis omnibus forent, quiete negotiorum potientes. Nunc autem auida plus habendi cupido, & insidiæ mutuo factæ, quas viri simul & mulieres aduersus semet, & sibi inuicem moliuntur, continuum hilaritatis ac tranquillitatis animi statum diremerunt. Perspicua certè rei quæ proponitur fides est. nam quotquot sapientiæ cultores, aut apud Græcos aut apud Barbaros sine crimine & cum innocentia viuentes, neque iniuriam inferre, neque in ius vocare optant, atque litigiosorum colloquia auersantur; & quorum ædibus & prædijs opposita sunt prætoria & consistoria & fora & conciones: & loca quæuis, vt summatim dicam, in quibus vllus viliorum & nequiorum hominum cœtus aut conciliabulum reperitur: hi, in-

Bonis dies omnis festus.

Sapientiæ vere cultorum imago expressa.

ΠΕΡΙ ΤΩΝ ΕΟΡΤΩΝ, ὡς εἰσὶ τὸν ἀριθμὸν δέκα.

ΕΙΣΙ τοίνυν ἀριθμῷ δέκα ἑορταί, ἃς ἀναγράφει ὁ νόμος. πρώτη μὲν, ἣν ἀκούσας θαυμάσαι τις ἂν ἴσως· αὕτη δ' ἐστὶν ἡμέρα πᾶσα. δευτέρα δ', ἡ κατ' ἡμέραν ἑβδόμη, σάββατον αὐτὴν Ἑβραῖοι πατρίῳ γλώττῃ καλοῦσι. τρίτη δ', ἡ μετὰ σύνοδον τὴν κατά τινα σελήνην νέας νουμηνίαν. τετάρτη δὲ, τὴν διαβατήριον, ἣ καλεῖται πάσχα. πέμπτη δ' ἡ τῶν ἀσταχύων ἀπαρχὴ, τὸ ἱερὸν * δράχμα. ἕκτη δ', ἄζυμα μεθ' ἣν ἡ τῆς τῶν ἑβδομάδων ὄντως ἑβδόμη. ὀγδόη δ', ἱερομηνία. ἐννάτη δὲ, νηστεία. δεκάτη δ', ἡ τῶν σκηνῶν, ἥτις ἐστὶν ἡ τῶν ἐτησίων ἑορτῶν συμπέρασμα, εἰς τέλειον ἀριθμὸν δεκάδα τελευτῶσα. ἀρκτέον δ' ἀπὸ τῆς πρώτης. δράγμα.

B

C

α'. Ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμος, πρὸς τὸν ἀνεπίληπτον βίον ἁρμοζόμενος ὡς τῶν ἀνθρώπων ἑπομένων τῇ φύσει καὶ τοῖς ταύτης διατάγμασι. καὶ, εἴ γε μὴ κεκρατήκεισαν αἱ κακίαι, καταδυναστεύουσαι τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς, οὓς τῆς ἑκάστου ψυχῆς ἐξῴκισαν· ἀλλ' ἔμειναν αἱ τῶν ἀρετῶν δυνάμεις εἰς ἅπαν ἀήττητοι· μία ἂν ἦν, ὁ ἀπὸ γενέσεως ἄχρι τελευτῆς χρόνος, διαρκὴς ἑορτή· καὶ αἵ τ' οἰκίαι καὶ αἱ πόλεις ἐν ἀδείᾳ καὶ ἐκεχειρίᾳ, μεσταὶ πάντων ἂν ἦσαν ἀγαθῶν, σχολὴν ἄγουσαι πραγμάτων. νυνὶ δ' αἱ πλεονεξίαι καὶ ἐπιθέσεις, ἃς ἄνδρες ὁμοῦ καὶ γυναῖκες μηχανῶνται κατά τε ἑαυτῶν καὶ κατ' ἀλλήλων, τὸ συνεχὲς τῆς ἱλαρᾶς διέκοψαν εὐθυμίας. ἐμφανὴς δὲ τοῦ λεγομένου ἡ πίστις. ὅσοι γὰρ ἢ παρ' Ἕλλησιν ἢ παρὰ βαρβάροις ἀσκηταὶ σοφίας εἰσὶν, ἀνεπιλήπτως καὶ ἀνυπαιτίως ζῶντες, μήτ' ἀδικεῖν μήτ' * ἀδικεῖν αἱρούμενοι, τὰς τῶν φιλοπραγμόνων ὁμιλίας ἐκτρεπόμενοι; καὶ κατὰ χωρία, ἐν οἷς ποιοῦνται τὰς διατριβὰς; περιβέβληνται δικαστήρια καὶ βουλευτήρια, καὶ ἀγορὰς, καὶ ἐκκλησίας. καὶ συνόδους, ὅπου τις τῶν εἰκαιοτέρων ἀνθρώπων θίασος ἢ σύλλογος, εἶτα

ἀγαθῶν αἱ ἑορτ.

ἢ συνεχὲς τῆς ἱλαρᾶς εὐθυμίας.

ἴσ. ἀντιδικεῖν ἢ ἀνταδικεῖν D. Hœschelij probamus.

D

E

βίον ἀπόλεμον καὶ εἰρηναῖον ἐζηλωκότες, A θεωροὶ τῆς φύσεως καὶ τῶν ἐν αὐτῇ πάντων ἄριστοι, γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανὸν καὶ τὰς ἐν αὐτοῖς φύσεις διερευνώμενοι· σελήνῃ καὶ ἡλίῳ καὶ τῇ χορείᾳ τῶν ἄλλων ἀστέρων, πλανήτων τε καὶ ἀπλανῶν, ταῖς διανοίαις συμπεριπολοῦντες· τὰ μὲν σώματα κάτω πρὸς χέρσον ἱδρυμένοι, τὰς δὲ ψυχὰς ὑποπτέρους κατασκευάζοντες· ὅπως αἰθεροβατοῦντες, τὰς ἄνω δυνάμεις B περιαθρῶσιν, οἷα χρὴ τοὺς τῷ ὄντι κοσμοπολίτας γενομένους· οἳ τὸν μὲν κόσμον ἐνόμισαν πόλιν, πολίτας δὲ τοὺς σοφίας ὁμιλητὰς, ἀρετῆς ἐγγραφούσης· ᾗ πεπίστευται τὸ κοινὸν πολίτευμα πρυτανεύειν. γέμοντες οὖν καλοκἀγαθίας, καὶ τῶν περὶ σῶμα καὶ ἐκτὸς ἀλογεῖν ἐθιζόμενοι, καὶ ἐξαδιαφορεῖν τὰ ἀδιάφορα μελετῶντες, καὶ κατὰ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἀλειφόμενοι, καὶ συνόλως ἐπάνω C τῶν παθῶν ἵστασθαι σπουδάζοντες ἀεὶ, καὶ τὸν ἐπιτειχισμὸν αὐτῶν πάσῃ δυνάμει καθαιρεῖν παιδευόμενοι, καὶ ταῖς τῆς ψυχῆς μὴ καταπίπτοντες προσβολαῖς, διὰ τὸ προεκκλελογῆσθαι τὰς ἐπιθέσεις αὐτῆς, (ἐπικουφίζει γὰρ καὶ τὰ βαρύτατα τῶν ἀβουλήτων ἡ προλήψις) καινὸν οὐδὲν ἐπὶ τῆς διανοίας τῶν συμβαινόντων ὑπολαμβανούσης, ἀλλ' ὡς ἐπὶ παλαιοῖς καὶ ἑώλοις D ἀμυδρὰν τὴν ἀντίληψιν ποιουμένης· εἰκότως ἐνευφραινόμενοι ταῖς ἀρεταῖς, ἅπαντά γε τὸν βίον ἑορτὴν ἄγουσιν. οὗτοι μὲν οὖν ὀλίγος * ἐστὶν ἀριθμὸς, ἐμπύρευμα κατὰ πόλεις ὑποτυφόμενοι σοφίας, ἕνεκα τοῦ μὴ κατὰ τὸ παντελὲς σβεσθεῖσαν ἀρετὴν ἐκ τοῦ γένους ἡμῶν ἀφανισθῆναι. εἰ δὲ τοῖς ὀλίγοις συνεφρόνησαν οἱ πανταχοῦ, καὶ ἐγένοντο, οἵους ἐβουλήθη φύσις, ἀνεπίληπτοι καὶ ἀνυπαίτιοι E πάντες, ἐρασταὶ φρονήσεως, χαίροντες τῷ καλῷ δι' αὐτὸ τὸ καλὸν, καὶ τοῦτο μόνον ἀγαθὸν ἡγούμενοι, τὰ δ' ἄλλα ὑπήκοα καὶ δοῦλα, ὡς ἂν ἄρχοντες· εὐδαιμονίας ἂν αἱ πόλεις ἐγένοντο μεσταί· τῶν μὲν ὅσα λύπης αἴτια καὶ φόβων ἀμέτοχοι, πλήρεις δὲ τῶν ἀπεργαζομένων χαρὰς καὶ εὐπαθείας· ὡς μηδένα καιρὸν ἐπιλείπειν τοῦ ἱλαροῦ βίου, πάντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον εἶναι ἑορτήν.

κοσμοπολίται.

ἐξαδιαφορεῖν τὰ ἀδιάφορα.

προεκκλελογίσθαι.

εἰσὶ ἤτοι μὲν οὖν ὀλίγος ἐστὶν ἀριθμός.

ἐμπύρευμα σοφίας.

quam, velut vitam placidam & pacificam æmulati, sacri optimique naturæ legati, & eorum quæ in ipsa sunt omnium: terram & mare, & aërem, & cœlum atque naturas quæ in ipsis sunt perscrutantes: vna cum luna & sole & aliarum chorea, stellarum errantium & fixarum, mente & cogitatione circuitum conficientes: corporibus quidem deorsum in terra collocati, animos autem aligeros comparantes, vti per æthera gradientes, virtutes, quæ sursum sunt, circumspiciant, * vt probi reapse mundi ciues effecti: si quidem mundum hunc ciuitatem existimarunt: ciues vero sapientiæ familiares, virtute ipsa inscribente, cui commissa est omnis reipublicæ administratio. Quapropter præstantes bonitate, & ea quæ ad corpus spectant & externa parui pendere assuescentes, & quæ indifferentia atque ancipitia sunt, ab ambiguo & incerto statu distinguere meditantes & contra voluptates ac libidines inuncti: atque omnino id operam dantes, vt supra affectus ac perturbationes emineant: ac munitionem ipsarum omni ope deturbare edocti, atque animæ oppugnationibus non concussi, eò quod insidias ipsi instructas commentando præceperint; (sed enim anticipatio grauissima quæque eorum quæ ingratis inuitóque animo fiunt, alleuat) cum nihil mens noui autumauerit, in eorum quæ eueniunt cogitatione, quæ tanquam super antiquis, priscis & obsoletis, perobscuram perceptionem habeat: hi denique iure merito in virtutibus se oblectantes totam sanè vitam, vt festum, celebrant. Hi profecto, qui pauci admodum sunt numero, incendium Sapientiæ per vrbes succendunt, vt non prorsus omnique ex parte extincta virtus è genere nostro deleatur. Quod si cũ paucis istis conspirarent, qui vbique gentium sunt, & euaderent, quales constituerat natura, omnes irreprehensi, nec malæ suspicioni obnoxij, prudentiæ amatores, bono & honesto gaudentes, propter honestatem ipsam: & vnum hoc bonum censentes, cætera verò alia subdita & famulantia; vt principes, ita beatitatis plenæ ciuitates existerent; & eorum quidem quæ mœroris ac metus causæ sunt exsortes, ijs quæ gaudia, lætitiam & voluptates efficiunt, abundarent: vt nullum planè tẽpus hilari vita destitueretur, vtque omnis anni circulus festiuitas esset.

Virtutis præfectura.

Tela prævisa minus feriunt.

Conspirationis genus optimum.

Veritatis prætorium. *Vitiosorum conditio miserrima.*

Idcirco apud Veritatem ius dicentem vitiosorum nemo, ne breuissimo quidem temporis spatio, festum diem agit, flagitiorum conscientia suffocatus, etiamsi animo & voce & personato vultu ridere fingeret. Nam vbi tempus commodum ad lætitiam solidam, non inanem & falsam nancisceretur, qui pessimæ mentis est, & cum stultitia æuum agitat? Præterea in omnibus intempestiuè se gerens lingua, ventre, pudendis: dum illa effutit & eliminat Arcana, quieto silentio inuoluenda: ventre mero multo & cibis immoderatis referto, præ ingluuie: pudendis denique abutitur ad flagitiosissimos libidinis furores & illicitas coniunctiones: dum non alienis tantum nuptijs insanè insultat, sed etiam liberis malè dans operam, cogit masculam naturæ notam vitiare, & in muliebrem formam transmutare, quò contaminato & execrando affectui indulgeat. Quam ob causam Moyses in omnibus magnus & excellens, præstantiam pulchritudinis circa festum quod verè est intuitus, id perfectius arbitratus est esse, quàm natura ferat humana, & Deo consecrauit; sic ad verbum locutus, FESTA DOMINI. Nam quod infirmum ac timidum est in nostro genere reputans; vtque innumeris plenum est malis, quæ quidem generant auidæ animi cupiditates, gignunt etiam corporis labes: congerunt item animi inæqualitates; & eorum qui conuersantur certatim facti insultus: dum sexcenta flagitia committunt & patiuntur: proinde ita admirabatur, si quisquam in tanto negotiorum voluntariorum & inuoluntariorum pelago agitatus, neque vllo vnquam tempore quiescere potis, neque ad periculi expertem vitam cum securitate appellere; posset festum celebrare quod ex rei veritate existit, nec nomen solùm vsurpat, gaudio delibutus & delicijs fruens, quæ sitæ sunt in contemplatione mundi atque eorum quæ in eo continentur, & in consequentia naturæ, & in harmonia concentúque dictorum ad opera, atque operum ad sermones. Deinde necessario dixit festos dies esse Dei solius. solus enim felix & beatus, omnium quidem malorum expers, refertus vero bonis perfectis: quin etiam (si verum dicendum est) ipse bonum summum existens qui cœlo & terræ particularia bona profu-

Lingua, abdominis, & ventris vitia.

Deut. 23. vers. 2. Leuit. 23.

Dei solius beatitas.

A διὸ παρ' ἀληθείᾳ δικαζούσῃ τῶν φαύλων οὐδεὶς [ἀλλ'] οὐδὲ τὸν βραχύτατον χρόνον ἑορτάζει, συνειδήσει τῶν ἀδικημάτων ἀγχόμενος, κἂν τῇ ψυχῇ καὶ τῇ φωνῇ, καὶ τῷ προσώπῳ μειδιᾷν καθυποκρίνοιτο. πόθεν γὰρ ἔχει καιρὸν ἀψευδοῦς εὐφροσύνης, κακοβουλότατος ὤν, καὶ συζῶν ἀφροσύνῃ; καὶ περὶ πάντ' ἀκαιρευόμενος. γλῶτταν, γαστέρα, τὰ γεννητικά· δι' ἧς μὲν ἐκβάλλει τὰ ἀπόρρητα καὶ ἡσυχαστέα· B τὴν δ' ἀκράτου πολλοῦ καὶ ἐδεσμάτων ἀμέτρων ἀναπίμπλησιν, ὑπὸ λαιμαργίας· τοῖς δὲ καταχρῆται πρὸς ἐκνομωτάτους οἴστρους καὶ μίξεις ἀθέσμους· ὁ οὐ μόνον ἀλλοτρίοις γάμοις ἐπιμεμηνώς, ἀλλὰ καὶ παιδεραστῶν, καὶ βιαζόμενος τὸν ἄρρενα τῆς φύσεως χαρακτῆρα παρακόπτειν καὶ μεταβάλλειν εἰς γυναικόμορφον ἰδέαν, ἕνεκα τοῦ μεμιασμένου καὶ ἐπαράτου C πάθει χαρίσασθαι. δι' ἣν αἰτίαν ὁ πάντα μέγας Μωσῆς, τὰς ὑπερβολὰς τοῦ περὶ τὴν ὄντως ἑορτὴν κάλλους ἰδών, τελειοτέραν ἢ κατ' ἀνθρωπίνην φύσιν ὑπέλαβεν εἶναι, καὶ ἀνέθηκεν αὐτὴν θεῷ, φήσας κατὰ λέξιν οὕτως· ἑορταὶ κυρίου. τὸ γὰρ ἐπίλυπον καὶ περιδεὲς τοῦ ἡμετέρου γένους λογιζόμενος, καὶ ὡς ἔστι μυρίων κακῶν μεστόν, ἃ γεννῶσι μὲν αἱ ψυχῆς πλεονε- D ξίαι, γεννῶσι δ' αἱ σώματος κῆρες, προσβάλλουσι δ' αἱ τῆς τύχης ἀνωμαλίαι, καὶ τῶν συνόντων αἱ ἀντεπιθέσεις, μυρία κακὰ δρώντων τε καὶ πασχόντων· εἶθ' οὕτως ἐθαύμαζεν, εἰ δύναταί τις ἐν τοσούτῳ πελάγει πραγμάτων, ἑκουσίων τε καὶ ἀκουσίων, φερόμενος, καὶ μηδέποτ' ἠρεμῆσαι οἷός τ' ὤν, μηδ' ἀκινδύνῳ βίῳ μετ' ἀσφαλείας ἐνορμίσασθαι, τὴν μὴ λεγομένην, ἀλλὰ E πρὸς ἀλήθειαν οὖσαν, ὄντως ἄγειν ἑορτήν, ἐνευφραινόμενος καὶ ἐν τρυφῶν θεωρίᾳ τε τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, καὶ ἀκολουθίᾳ φύσεως, καὶ ἁρμονίᾳ πρὸς ἔργα λόγων, καὶ πρὸς λόγους ἔργων. ὅθεν ἀναγκαίως εἶπε, τὰς ἑορτὰς εἶναι μόνου θεοῦ. μόνος γὰρ εὐδαίμων καὶ μακάριος, πάντων μὲν ἀμέτοχος * κακοῦ, πλήρης δ' ἀγαθῶν τελείων. μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, αὐτὸς ὢν τὸ ἀγαθόν, ὃς οὐρανῷ καὶ γῇ τὰ κατὰ μέρος ὤμβρισεν ἀγαθά.

κακοβουλότατος. ἀκαιρευόμενος.

* κακῶν.

A παρ᾽ ὃ καὶ τὴν πάλαι τις ἀρετῶσα διάνοια, γαληνιασάντων αὐτῇ τῶν παθῶν, ἐμειδία, χαρᾶς ἐγκύμων καὶ ὑπόπλεως γενομένη, καὶ λογισαμένη πρὸς αὐτήν, μήποτ᾽ ἄρα τὸ μὲν χαίρειν ἴδιον ἐστὶ μόνου θεοῦ, αὐτὴ δὲ * διαμαρτάνῃ σφετεριζομένη τὰς ὑπὲρ ἄνθρωπον εὐπαθείας; εὐλαβεῖται δέ, καὶ τὸν ψυχικὸν γέλωτα ἀρνεῖται, μέχρι τοῦ παρηγορηθῆναι. τὸ γὰρ δέος αὐτῆς ἐπικουφίζει ὁ ἵλεως θεός, χρησμῷ κελεύσας ὁμολογεῖν, ὅτι ἐγέλασεν. B ἵνα ἡμᾶς ἀναδιδάξῃ ὅτι οὐ κατὰ τὸ παντελὲς ἐστέρηται τὸ γεννητικὸν χαρᾶς· ἀλλ᾽ ἔστιν ἡ μὲν ἀμιγὴς καὶ ἀκραιφνεστάτη, μηδὲν τῶν τῆς ἐναντίας ἐπιδεχομένη φύσεως, ἐξαίρετος θεοῦ· ἡ δὲ ἀπ᾽ ἐκείνης ῥυεῖσα μικτή, βραχέσιν ἀνακεκραμένη λυπηροῖς, ἀνδρὸς ἤδη σοφοῦ, δωρεὰν μεγίστην λαβόντος τὴν τοιαύτην μῖξιν, ἐν ᾗ πλείω τὰ ἡδέα τῶν ἀηδῶν ἀνακέκραται. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. C

β' Μετὰ δὲ τὴν συνεχῆ καὶ ἀδιάστατον διαιωνίζουσαν ἑορτὴν ἄγεται δευτέρα, ἡ * δι᾽ ἓξ ἡμερῶν ἱερὰ ἑβδόμη. ἣν οἱ μὲν ὠνόμασαν παρθένον, εἰς τὴν ὑπερβάλλουσαν ἁγνείαν ἀπιδόντες αὐτῆς, οἱ δὲ αὖθις καὶ ἀμήτορα· σπαρεῖσαν ἐκ μόνου τοῦ πατρὸς τῶν ὅλων ἰδέαν, τῆς ἄρρενος γενεᾶς, ἀμέτοχον τῆς παρὰ γυναικῶν. ἀνδρειότατος γὰρ καὶ ἀλκιμώτατος ὁ ἀριθμὸς εὖ πεφυκὼς πρὸς ἀρχὴν καὶ ἡγεμονίαν. D ἔνιοι δὲ αὐτὴν καιρὸν προσηγόρευσαν, ἀπὸ τῶν αἰσθητῶν τεκμηράμενοι τὴν νοητὴν αὐτῆς οὐσίαν. ὅσα γὰρ τῶν ἐν αἰσθητοῖς ἄριστα, δι᾽ ὧν αἱ ἐτήσιοι ὧραι καὶ τῶν καιρῶν αἱ περίοδοι τεταγμένως ἐπιτελοῦνται, μετέσχηκεν ἑβδομάδος· λέγω δὲ πλανήτας ἑπτά, καὶ ἄρκτον, καὶ πλειάδας, καὶ σελήνης αὐξομένης τε καὶ μειουμένης ἀνακυκλήσεις, E καὶ τῶν ἄλλων τὰς ἐναρμονίους καὶ παντὸς λόγου κρείττους περιφοράς. Μωσῆς δὲ ἀπὸ σεμνοτέρου πράγματος ἐκάλεσεν αὐτὴν συντέλειαν καὶ παντέλειαν· ἑξάδι μὲν τὴν γένεσιν τῶν τοῦ κόσμου μερῶν ἀναθείς, ἑβδομάδι δὲ τὴν τελείωσιν. ἑξὰς μὲν γὰρ ἀρτιοπέριττος ἀριθμός, ἐκ τοῦ δὶς τρία παγείς, ἔχων ἄρρενα μὲν τὸν περιττόν, θήλεα δὲ τὸν ἄρτιον, ἐξ ὧν εἰσὶν αἱ γενέσεις κατὰ φύσεως θεσμοὺς ἀκινήτους·

Margin: διαμαρτάνεις — γέλως ψυχικός. — * ἐξ ἡμερῶν — συντέλεια καὶ παντέλεια.

A dit. Propterea etiam priscorum studiosa ac strenua quædam mens, tranquillis in ipsa affectibus arridebat, lætitia onusta & quasi grauida effecta, & secum reputans, numquid lætari proprium solius Dei sit; ipsa vero aberret, gaudia quæ supra hominem sunt sibi vendicando: verùm sibi cauet, & risum animalem affectus plenum inficiatur, quousque consolatione fruatur. enimvero timorem ipsius propitius Deus alleuat, cùm oraculo iusserit confiteri quod riserit, quò edoceret nos, vt non vsquequaque quod lætitiæ procreandæ vim B habet sublatum fuerit: sed pura & maximè sincera lætitia, quæ nihil admittit contrariæ naturæ, Dei propria & peculiaris sit: ea vero quæ ab illa fluens mixta est & paucis temperata molestijs, viri demum sapientis, qui maximum munus eiusmodi mixturam accepit, in qua plura iucunda quàm insuauia permixta sunt. Atque hæc quidem hactenus.

C Verum post continuum nec intermissum & perenniter manens festum, celebratur aliud, nempe sacra hebdomas, per sex dierum orbem seu reuolutionē: hanc alij nominarunt virginem, ad eximiam ipsius castitatem intuentes: alij etiam matris expertem nuncupant, è solo parente vniuersorum satam Ideam masculæ sobolis, & expertem originis mulierum: est etenim numerus validissimus ac præstantissimus, pulchrè à natura comparatus ad imperium & principatum. D Quidam vero ipsam appellant occasionem, à rebus sub sensum oculorum cadentibus coniectura facta intelligibilis ipsius essentiæ. Nam quæcumque è rebus sensibilibus optima sunt, per quæ Etesiæ tempestates & temporum meatus ac circuitus ordinate peraguntur, septenarij vim percipiunt: dico equidem errones seu planetas septem & vrsam & pleiadas & lunæ crescentis ac terga vertentis & diminutæ reuolutiones, aliorumque stellarum harmonicos & quouis sermone E potiores circuitus. Moses autem ab re honestiore indigitauit ipsam consummationem & absolutam perfectionem: Hexadi quidem ortu mundi partium consecrato, hebdomadi vero absoluta perfectione data. etenim hexas numerus est par & impar, compactus ex bis tribus, cum habeat masculum imparem; fœminam vero par: ex quibus sunt procreationes iuxta immota naturę statuta.

Margin: Gen. 18. vers. 10. — Ibidem vers. 15. — Dei lætitia Plato in Ep. ad Dionem aliter. — Dei lætitia peculiaris. — Gaudiū sapientis. — [Festum Sabathi.] — Hebdomas virgo. — Idea mascula. — Hebdo. occasio. — Hebdo. cœlestis. — Perfectio absoluta. — Hexadis siue Senarij vis.

Hexadis præstantia.

Porro hebdomas purissima est & lux hexadis (si veritati fauendum est) nam quæ generauit hexas eadem hebdomas ostendit ad perfectionem redacta:

Mundi Natalis.

ideóque Mundi Natalis iure optimo nominari posset; iuxta quam Patris opus perfectum, ex perfectis partibus exortum est, & constitutum ab omnibus abstinere operibus in ipso septenario: non quoniam lex inductrix socordiæ fuerit (semper enim consuefacit ærumnas pati, & ad laborem inungit, atque eos qui veterno torpori atque ignauiæ dare se volunt proiecit; vnde mandatum est verbis disertis sex diebus operari) verum vt continuos & indesinentes labores relaxaret, & corpora moderatis remissionibus, & cessationibus restaurata recreatáque ad easdem actiones ab integro renouaret. Nam qui respirarunt, non priuati tantum, sed etiam athletæ pugilésque, vires colligunt, & à potentiore virtute, nulla interposita mora, quæcumque sub actionem cadunt fortiter & animosè sufferunt. Itaque cùm iniunxisset non vexare corpora labore per hebdomadas, concessit augustiores actiones perficere.

Actiones animi nobiliores.

Hæ vero sunt quæ ad sermones & documenta virtuti congruentia pertinent; etenim ad philosophandum tunc exhortatur eos qui meliorem animum & mentem rectricem efficere student.

Schola virtutis & pietatis per Sabbata

Quapropter septimo quoque die sexcentæ per totam vrbem prudentiæ, temperantiæ, Fortitudinis, Iustitiæ aliarumque virtutum Scholæ panduntur,

Auditorũ attentio.

in quibus alij modestè consident, quietè ac placidè, erectis auribus, cum attentione exacta, eò quòd orationum suauissimarum siti correpti sunt.

Doctorũ peritia & sedulitas.

Mox vero exurgens quidam è peritissimis enarrat optima & profutura, quibus omnis vitæ cursus ad id quod melius est prouehatur.

Præcipua doctrinæ Dei capita.

Sunt autem (vt ita loquar) è particularibus infinitis sermonibus & præceptis suprema duo capita, vnum quod ad Numen spectat, per pietatem & sanctimoniam; alterum quod ad homines refertur, per benignitatem humanitatémque & iustitiam. Quorum vtrumque ad multiplices formas, & omnes laude dignas, diuiditur. Ex quibus patet Mosem nullo vnquam tempore inertes sinere eos qui sacris ipsius institutionibus vtuntur fruuntur, Sed quoniam ex animo & corpore constituti sumus,

A ἑβδομὰς δὲ ἀμιγέστατος, καὶ φῶς (εἰ χρὴ τἀληθὲς εἰπεῖν) ἑξάδος. ἃ γὰρ ἐγέννησεν ἑξάς, ταῦθ' ἑβδομὰς τελεσφορηθέντα ἐπεδείξατο. παρὸ καὶ γενέθλιος τοῦ κόσμου δεόντως ἂν προσαγορεύοιτο, καθ' ἣν τὸ τοῦ πατρὸς ἔργον τέλειον ἐκ τελείων μερῶν ἀναφανὲν προσετέτακται πάντων ἀνέχειν ἔργων ἐν αὐτῇ. οὐκ ἐπειδὴ ῥᾳθυμίας ὁ νόμος εἰσηγητής. ἀεὶ γὰρ ἐθίζει καρτερεῖν, καὶ πρὸς πόνον ἀλείφει, καὶ τοὺς ἀργεῖν καὶ σχολάζειν θέλοντας προβέβληται· διείρηται γοῦν ἓξ ἡμέραις ἐνεργεῖν· ἀλλ' ἵνα τοὺς συνεχεῖς καὶ ἀτρύτους πόνους χαλάσῃ, καὶ τὰ σώματα μεμετρημέναις ἀνέσεσιν ἀνακτησάμενος, χαλάσῃ πάλιν πρὸς τὰς αὐτὰς ἐνεργείας. οἱ γὰρ ἀναπνεύσαντες, οὐκ ἰδιῶται μόνον, ἀλλὰ καὶ ἀθληταί, ῥώμην συλλέγονται· καὶ ἀπὸ κραταιοτέρας δυνάμεως ἀνυπερθέτως ἕκαστα τῶν πρακτέων τλητικῶς ὑπομένουσι. προστάξας μὲν τοι μὴ διαπονεῖν τοῖς σώμασι κατὰ τὰς ἑβδομάδας, ἐφῆκε τὰς ἀμείνους πράξεις ἐπιτελεῖν· αὗται δ' εἰσὶν αἱ διὰ λόγων καὶ δογμάτων τῶν κατ' ἀρετήν. προστάττει γὰρ φιλοσοφεῖν τότε, βελτιοῦντας τὴν ψυχὴν καὶ τὸν ἡγεμόνα νοῦν. ἀναπέπταται γοῦν ταῖς ἑβδόμαις μυρία κατὰ πᾶσαν πόλιν διδασκαλεῖα φρονήσεως καὶ σωφροσύνης, καὶ ἀνδρείας, καὶ δικαιοσύνης, καὶ τῶν ἄλλων ἀρετῶν. ἐν οἷς οἱ μὲν ἐν κόσμῳ καθέζονται, σὺν ἡσυχίᾳ τὰ ὦτα ἀνωρθιακότες, μετὰ προσοχῆς πάσης, ἕνεκα τοῦ διψῆν λόγων ποτίμων· ἀναστὰς δέ τις τῶν ἐμπειροτάτων, ὑφηγεῖται τὰ ἄριστα καὶ συνοίσοντα, οἷς ἅπας ὁ βίος ἐπιδώσει πρὸς τὸ βέλτιον. ἔστι δ' (ὡς ἔπος εἰπεῖν) τῶν κατὰ μέρος ἀμυθήτων λόγων καὶ δογμάτων δύο τὰ ἀνωτάτω κεφάλαια, τό τε πρὸς θεὸν δι' εὐσεβείας καὶ ὁσιότητος, καὶ τὸ πρὸς ἀνθρώπους διὰ φιλανθρωπίας καὶ δικαιοσύνης· ὧν ἑκάτερον εἰς πολυσχιδεῖς ἰδέας καὶ πάσας ἐπαινετὰς τέμνεται. ἐξ ὧν δῆλόν ἐστιν, ὅτι Μωσῆς οὐδένα καιρὸν ἀπρακτεῖν ἐᾷ τοὺς χρωμένους αὐτοῦ ταῖς ἱεραῖς ὑφηγήσεσιν· ἀλλ' ἐπειδὴ συνέστημεν ἐκ

γενέθλιος. *διδασκαλεῖα.*

ψυχῆς καὶ σώματος· ἀπένειμε καὶ τῷ σώματι τὰ οἰκεῖα ἔργα, καὶ τῇ ψυχῇ ἐπιβάλλοντα. καὶ ἐφεδρεύειν τὰ ἕτερα τοῖς ἑτέροις ἐσπούδασεν, ἵνα πονοῦντος μὲν τοῦ σώματος, ἡ ψυχὴ διαναπαύηται· ἀναπαύλῃ δὲ χρωμένου, διαπονῇ· καὶ οἱ ἄριστοι τῶν βίων, ὅ τε θεωρητικὸς καὶ πρακτικός, ἀμείβωσιν ἀντιπαραχωροῦντες ἀλλήλοις· ὁ μὲν πρακτικός, λαχὼν ἑξάδα κατὰ τὴν τοῦ σώματος ὑπηρεσίαν· ὁ δὲ θεωρητικός, ἑβδομάδα καὶ πρὸς ἐπιστήμην καὶ τελειότητα διανοίας. ἀπείρηται δὲ κατὰ ταύτην πῦρ ἐναύειν, ὡς ἀρχὴν καὶ σπέρμα τῶν περὶ βίον πραγματειῶν. ἐπειδὴ γὰρ ἄνευ πυρὸς οὐδέν ἐστι τῶν εἰς τὰς πρὸς τὸ ζῆν ἀναγκαίας χρείας ἐργάσασθαι· ὡς δι' ἑνὸς τοῦ ἀνωτάτου καὶ πρεσβυτάτου τῶν εἰς τὰς τέχνας, καὶ μάλιστα τὰς βαναύσους, αἰτίου κεκωλῦσθαι καὶ τῶν κατὰ μέρος ὑπηρεσιῶν. ἀλλ' ἔοικε διὰ τοὺς ἀπειθεστέρους καὶ ἥκιστα προσέχοντας τὸν νοῦν τοῖς προστελλομένοις, καὶ τἆλλα προσεπινομοθετῶν· οὐ μόνον ἐλευθέρους ἀνέχειν ἔργων ἀξιοῖ ταῖς ἑβδόμαις, ἀλλὰ καὶ θεράπουσι καὶ θεραπαίναις ἐφιεὶς ἄδειαν, καὶ μόνον ἐλευθερίαν δι' ἓξ ἡμερῶν προκηρύττων τούτοις. ἵν' ἀμφοτέρους ἀναδιδάξῃ μάθημα κάλλιστον· τοὺς μὲν δεσπότας αὐτουργεῖν ἐθίζεσθαι, μὴ διαμένοντας τὰς ἀπὸ τῶν οἰκετῶν λατρείας καὶ ὑπηρεσίας· ἵν', εἴ τινες ἀβούλητοι καιροὶ κατάσχοιεν, κατὰ τὰς τῶν ἀνθρωπίνων πραγμάτων μεταβολάς, μὴ τῷ ἀήθει τῆς αὐτουργίας προκάμνοντες τοῖς ἐπιτάγμασιν ἀπαγορεύωσιν· ἀλλ' εὐκινητοτέροις χρώμενοι τοῖς τοῦ σώματος μέρεσιν, εὐφόρως καὶ μετὰ ῥᾳστώνης ἐνεργῶσι· τοὺς δ' οἰκέτας μὴ ἀπογινώσκειν τὰς ἀμείνους ἐλπίδας, ἀλλ' ἔχοντας τὴν δι' ἓξ ἡμερῶν ἄνεσιν ἐμπύρευμά τι καὶ ζωπύρημα ἐλευθερίας, τὴν εἰς τὸ παντελὲς ἄφεσιν, εἰ διαμένοιεν χρηστοὶ καὶ φιλοδέσποτοι, προσδοκᾶν. ἐκ δὲ τοῦ τοὺς μὲν ἐλευθέρους ὑπομεῖναι τὰς δούλων ὑπηρεσίας, τοὺς δὲ οἰκέτας ἐγχωρεῖσθαι μεταλαχεῖν ἀδείας, συμβήσεται τὸν τῶν ἀνθρώπων βίον ἐπιδοῦναι πρὸς ἀρετὴν τελειοτάτην, ὑπομιμνησκομένων

ἀντιπαραχωροῦντες ἀλλήλοις.

προσεπινομοθετῶν.

A is sua corpori propria munia, itémque ad animam attinentia assignat. Atque alia alijs succenturiata prospicere constituit, vt laborante corpore animus interquiesceret, & animo quiete fruente, corpus vicissim laborem exantlaret, & optima vitæ genera, nempe contemplatiuum & actiuum, vicissim sibi succurrentia cederent: illud quidem quod in actione positum est, cum senionem nactum est in corporis ministerio:
B hoc autem quod in contemplatione versatur, cùm septenarium assecutum est, tum ad scientiam, tum ad perfectionem intelligentiæ. Porro interdictum est die septima ignem accendere, tanquam principium semen & originem occupationum, quæ sunt in vita: quandoquidem absque igne nihil fas est eorum, quæ ad necessarios vitæ vsus pertinent, exercere: vt per vnam extimam & antiquissimam, ex ijs quæ ad artes conferunt, & sordidas potissimum, caussam, prohiberentur etiam à ministerijs particularium. verùm probabile est propter magis immorigeros, & animum minimè adhibentes ijs quæ aguntur, etiam alia insuper lege sancire, quòd non solùm liberos & ingenuos sustinere opera vellet, septima die: sed etiam famulis & ancillis securitatem permitteret, & libertatem tantùm per sex dies promul-
D garet istis: quò edoceret vtrosque pulcherrimam disciplinam: vt heri quidem assuescerent ipsimet operi manum adhibere, non expectando seruorum ministeria, vt si quædam necessaria & coacta tempora detinerent, iuxta humanarum rerum mutationes, non insolentia ministerij proprij prælaborantes iussis præstandis animum desponderent: verùm concitatioribus vtentes corporis partibus,
E commodè, aptè & cum facilitate agerent: serui autem ne abijcerent spem meliorem: sed cùm haberent remissionem post sex dies, fomitem libertatis, absolutam expectarent remissionem, si modo boni & lenes, dominorúmque amantes esse perseuerarent. Ex eo vero quòd liberi sustinerent seruorum ministeria, & famulis vsu veniret securitatem participare, hominum vitam prospicere in virtute perfectissima continget: cùm sibi inuicem in memoriam reuocarent

Exod. 35. c. 3.

Ignis vsus.

Æschyl. Prom. lig.

Æqualitatem; & pro se mutuo debitum necessarium persoluerent, tum eorum qui illustres esse videbantur, tum eorum qui obscuriores & ignobiliores. Verùm non famulantibus solùm lex dedit inducias septimo quoque die, sed etiam pecudibus: & tamen natura, qui seruiunt, nascuntur liberi: homo quippe nullus natura seruus est: alia verò animalia ad hominum vsum & ministerium comparata, seruorum loco sunt? verumtamen oneri ferendo damnatis, & sustinendis oneribus atque ærumnis pro possessoribus, lex eadem constituit, vt quiete potirentur singulis hebdomadibus. & quid aliorum meminisse opus est? Sed enim ne bos quidem, ad maximè necessaria & conducibilia eorum quæ in vita sunt, natus, aratrum, terra ad sementem præparata, & manipulis rursus collectis, trituram, ad fructum expurgandum, tunc sub iugo subit, mundi natalem diem celebrans. Sic igitur per omnia sacris decora sanctitas septenarij perrexit.

Libertas naturalis. Menander in Fr. de seru.

Omnia peruolitat late loca.

Tanta porro veneratione septenarium Moses prosequitur, vt etiam alia quæcumque commune aliquid cum ipso habent, honorem apud illum consecuta sint. Quare ad septimum annum semper nouas tabulas, seu debitorum remissionem instituit, inopibus succurrendo, & locupletes ad benignitatem instigando, vt sua egenis largientes, commoda etiam ab ipsis expectent; si qui lapsus contigerit. Sed enim humani casus varij sunt; neque in eodem statu vita consistit, auræ instabilis more, in contrarium decidens. præclarum est vtique gratiã quæ à fœneratoribus tribuitur, ad omnes debitores peruenire. Verùm quia non omnes ad magnitudinẽ animi natura comparati sunt; sed nõnulli inferiores sunt pecuniis, aut nõ valdè locupletes: etiam hos conferre ea quæ data tristitiam non afferent, æquum esse censuit. nam cùm non permisisset ab eiusdem nationis hominibus exigere, concessit ab aliis accipi: cùm hos quidem fratres composito rectáque appellatione vocarit, vt iis nemo inuideret propria, tanquam iure naturæ cohæredibus fratribus: illos autem qui eiusdem nationis non erant (vt verisimile est) alienos nuncuparet. Atqui quod alienum est, ad societatem * ineptum est:

Deut. 15.

Benignitatis fructus. Humana instabilia.

Deut. 15. Fratrum appellatio.

Alieni qui dicti sint.

A ἰσότητος, καὶ ἀντεκτινόντων ἀλλήλοις χρέος ἀναγκαῖον, τῶν τε λαμπρῶν εἶναι δοκούντων καὶ τῶν ἀφανεστέρων. ἀλλ' οὐ θεράπουσι μόνον ἐκεχειρίαν ἔδωκεν ὁ νόμος ταῖς ἑβδόμαις, ἀλλὰ καὶ κτήνεσι. καί τοι φύσει θεράποντες μὲν ἐλεύθεροι γεγόνασιν, ἄνθρωπος γὰρ ἐκ φύσεως δοῦλος οὐδείς· τὰ δ' ἄλλα ζῶα, πρὸς τὴν τῶν ἀνθρώπων χρείαν καὶ ὑπηρεσίαν εὐτρεπισθέντα, δούλων ἔχει τάξιν· ἀλλ' ὅμως ἀχθοφορεῖν ὀφείλοντα, καὶ
B τοὺς ὑπὲρ τῶν κεκτημένων ὑπομένειν πόνους τε καὶ καμάτους, ἀναπαύλης εὑρίσκεσθαι ταῖς ἑβδόμαις. καὶ τί δεῖ τῶν ἄλλων μεμνῆσθαι; οὐδὲ γὰρ βοῦς, πρὸς τἀναγκαιότατα καὶ χρησιμώτατα τῶν ἐν τῷ βίῳ γεγονώς, ἄροτρον, γῆς προητοιμασμένης εἰς σπορὰν καὶ πάλιν δραγμάτων εἰσκομισθέντων, ἀλοητὸν εἰς καρποῦ κάθαρσιν τότε καταζεύγνυται, τὴν τοῦ κόσμου γενέθλιον ἡμέραν ἑορτάζων. οὕτως
C ἄρα διὰ πάντων ὁ ἱεροπρεπὴς αὐτῆς πεφοίτηκε.

πρὸς ὑπομεναι ἐπιπόνο-το.

Τοσούτου δ' ἀξιοῖ σεβασμοῦ τὴν ἑβδόμην, ὥστε καὶ τἆλλα, ὁπόσα ταύτης μετέχει, τετίμηται παρ' αὐτῷ. κατὰ γοῦν ἕβδομον ἐνιαυτὸν ἀεὶ χρεωκοπίαν εἰσηγεῖται, πένησιν ἐπικουρῶν, καὶ τοὺς πλουσίους ἐπὶ φιλανθρωπίαν προκαλούμενος· ἵνα τῶν ἰδίων μεταδιδόντες ἀπό-
D ροις, χρηστὰ καὶ * παρ' αὐτῶν προσδοκῶσιν, εἰ γένοιτό τι πταῖσμα. πολλὰ δὲ τἀνθρώπινα, καὶ οὐκ ἐπὶ τῶν αὐτῶν ὁ βίος ὁρμεῖ, πνεύματος ἀστάτου τρόπον μεταβάλλων πρὸς τἀναντία. καλὸν μὲν οὖν τὴν ἀπὸ δανειστῶν χάριν ἐπὶ πάντας φθάνειν χρεώστας. ἐπεὶ δ' οὐ πάντες πρὸς μεγαλοφροσύνην πεφύκασιν, ἀλλ' εἰσὶν ἥττους ἔνιοι χρημάτων ἢ οὐ σφόδρα εὔποροι· καὶ τούτοις ἐδικαίωσεν
E εἰσφέρειν ἃ μὴ λυπήσει διδόμενα. παρὰ γὰρ τῶν ὁμοεθνῶν εἰσπράττειν οὐκ ἐάσας, ἐφῆκε παρὰ τῶν ἄλλων κομίζεσθαι· τοὺς μὲν καλέσας εὐθυβόλως ἀδελφούς, ἵνα μηδεὶς φθονῇ τῶν ἰδίων ὡς ἂν ἐκ φύσεως συγκληρονόμοις ἀδελφοῖς. τοὺς δὲ μὴ ὁμοεθνεῖς (ὅπερ εἰκὸς) ἀλλοτρίους ὠνόμασεν. ἡ δ' ἀλλοτριότης, ἀκοινώνητον·

παρ' αὐτῶν

τὰ δ' ἐν πλήρει ἂν μὴ μεταποιεῖν ἀπο- σι.

εὐθυβόλως.

ἡ ἀλλοτριότης ἀκοινώνητος.

A εἰ μὴ καὶ ταύτην τις ἐξ ὑπερβολῆς ἀρετῶν μεθαρμόσαιτο πρὸς συγγενικὴν οἰκειότητα. συνόλως γὰρ ἐνάρετος ἡ πολιτεία καὶ νόμοις, οἳ μόνον τὸ καλὸν ἀγαθὸν εἰσηγοῦνται. ἐπαίτιον δὲ τὸ δανείζειν ἐπὶ τόκῳ. * δανεῖται γάρ τις οὐκ ἐν περιουσίᾳ ζῶν, ἀλλὰ δηλονότι χρεῖος ὤν· ὃς ἐπαναγκαζόμενος τόκους τοῖς ἀρχαίοις προσαποτίνειν, ἀπορώτατος ἐξ ἀνάγκης γίνεται· καὶ νομίσας ὠφελεῖσθαι, ἐπι- B βλάπτεται, καθάπερ τὰ ὀλιγόφρονα τῶν ζώων τῷ δελέατι τῷ παρόντι. σοὶ δὴ εἴποιμ᾽ ἄν, ὦ δανειστά, τί κοινωνίας ὄνομα ἀκοινώνητον συσκιάζεις; τί δὲ λόγῳ μὲν δοκεῖν εἶναι χρηστὸς καὶ φιλάνθρωπος προσποιῇ, ἐν δὲ τοῖς ἔργοις ἀπανθρωπίαν ἐπιδεικνύεις καὶ δεινὴν σκαιότητα, πλέον ὧν ἔδωκας ἀναπράττων; καὶ ἔστιν ὅτε διπλασιάσας, πενιχρότερον ἀπεργαζόμενος τὸν πένητα. C τοιγάρτοι συναλγεῖ μὲν οὐδείς, ὅταν ὀρεχθεὶς πλειόνων, προσαποβάλλῃς καὶ τὰ ὄντα· πάντες δ᾽ ἐφήδονται, τοκογλύφον καὶ ὀβολοστάτην καὶ τὰ τοιαῦτα ὀνομάζοντες· ὡς ἔφεδρον ἀνθρωπίνων κακῶν, καὶ τὴν ἑτέρων ἀτυχίαν, ἰδίαν * κρίνοντες εὐτυχίαν. ἀλλὰ πονηρόν, ὡς ἔφη τις, ἡ κακία· καὶ ὁ δανείζων τυφλός, τὸν χρόνον τῆς ἀποδόσεως οὐ βλέπων, ἐν ᾧ μόλις ἢ οὐδ᾽ D ὅλως ὧν ἐκ πλεονεξίας τεύξεσθαι προσεδόκησεν ἐφίξεται. οὗτος μὲν οὖν διδότω δίκας τῆς φιλαργυρίας, ἃ προήκατο μὴ κομιζόμενος· ἵνα μὴ ἀτυχίας ἀνθρώπων ἐργάζηται προσοδευόμενος ἐξ ὧν οὐ προσῆκεν. οἱ δὲ χρεῶσται τῆς ἀπὸ τῶν νόμων φιλανθρωπίας ἀξιούσθωσαν, τόκους καὶ ἐπιτοκίας μὴ τελοῦντες, αὐτὸ δὲ μόνον τὸ ἀρχαῖον ἐπιτιννύντες. πάλιν γὰρ ἐν καιροῖς τὸν αὐτὸν ἔρανον ἀντιποι- E ήσουσι τοῖς συμβαλλοῦσιν, ἀμειβόμενοι ταῖς ἴσαις ὠφελείαις τοὺς χάριτος ἄρξαντας.

Τοιαῦτα διαταξάμενος, ἑξῆς ἀναγράφει νόμον ἡμερότητος καὶ φιλανθρωπίας μεστόν. Ἐάν, φησι, πραθῇ σοί τις τῶν ἀδελφῶν, ἓξ ἔτη δουλευέτω· τῷ δ᾽

* δανεῖται, vel δανείζεται. Gr. ἐναρέτοις ἡ πολιτεία ἢ νόμοις. Apollon. I. Argon. ὑποχθονίοις ἐναρέτοισι. ἐπαίτιον τὸ δανείζειν ἐπὶ τόκῳ. δανείζ(εται) χρεῖος ὤν. ὀλιγόφρονα τῶν ζώων. ἀπανθρωπία ἡ δεινὴ σκαιότης. * κρίνοντες. τοκογλύφος ἢ ὀβολοστάτης. πονηρὸν ἡ κακία. φιλαργυρίας δίκαι. τόκοι ἢ ἐπιτοκίαι. τὸ ἀρχαῖον.

nisi si quis etiam alienationis notionem accommodet excellentiæ virtutum, ad cognatam familiaritatem. etenim omnino administratio Reipublicæ * adnumeratur virtuti & legibus, quæ id solùm quod honestum est, bonum inducunt. Sed fœnerari & vsuram exercere, reprehensioni obnoxium est: at enim is fœnore accipit, non qui in magna rerum copia degit: sed is potius qui indiget; quippe qui dum cogitur vsuras sorti impendere, ex necessitate indigentissimus euadit: & arbitratus adiuuari se, magis læditur: quemadmodum animantes quæ minus habent solertiæ, hamo oblato capiuntur. Tibi vero lubens dicerem: ô fœnerator, quo societatis nomine mores à societate alienos velas? Eccurnam verbo tenus bonum, lenem & benignum te simulas, & operibus ipsis inhumanitatem, sæuitiam feritatémque præ te fers, plusquam dederis exigendo? atque interdum fœnore duplicato, pauperiorem inopem efficiendo? propterea tibi nemo condolet, quando cùm plura appeteres, etiam eorum quæ aderant & parta fuerant insuper iacturam facis: imo ea de re lætantur omnes, qui te vsurarum corrasorem ac libripendem, & alijs id genus probris indigitant, vt humanis calamitatibus incumbentem, & aliorum infortunium, felicitati propriæ imputantem. Verùm *prauitas*, vt ait quidam, *est malitia*: & *qui fœneratur cæcus est*: si quidem redditionis tempus non videt, in quo vix, imo neutiquam ad ea quibus inhiabat, quæque præ auidia se adepturum sperabat, perueniet. Quamobrem pœnas det auaritiæ, non recipiendo quæ proiecerat, ne miserias hominum quæstum sibi comparet, reditus, vnde non decet, comparando: debitores vero legum beneficio benignitatem consequantur, vsuras vsurarum non persoluendo, sed sortem tantum pendendo. Hi namque rursus, temporis progressu eandem opem operámque præstabunt iis qui contribuerunt, paribus eos emolumentis compensantes, qui primi beneficium contulerint. his constitutis, deinceps legem mansuetudinis & humanitatis plenam condit: *Cum tibi* (inquit) *venditus fuerit aliquis è fratribus, sex annos seruiat; septimo autẽ gratis liber dimittatur.*

Reip. administratio, & legislatio.

De vsura. Versuram facientium miseria. Piscium deceptio.

Inuectiua in fœneratores. Probra fœneratorum.

Mim. nequitia ipsa pœna sui est.

Plaut. in Asin. par pari datũ hostimentum.

Exod. 21. vers. 12. Deut. 15. vers. 12.

Deut. 15. Hier. 34. vers. 14. Exod. 21. vers. 2.

Denuo fratrem, eiusdem nationis, dixit: hac appellatione subinserens eius qui possedit animo, cognationem cum eo quod subditum est, ne forte tanquam exterum hospitémque, cum quo nullum beneuolentiæ amuletum est, despiciat: & affectu quodam adamante sua percitus, ex doctrina quam sacer sermo dictat; non excandescat consecuturo libertatem: atenim vt tales serui quidam nominentur vsuuenit: sed ita vt re ipsa famuli operæque sint, & rerum necessariarum gratia ministrent: tametsi verò quidam sexcenties altam potestatem iuris & arbitrij sui, atque herile imperium aduersus ipsos inspiciant; nonne cicurari fas est, super his dicendo mites hasce legis præceptiones sanctionésque: *Mercenarius est* (mi homo) *qui dicitur seruus, & ipse homo cùm sit, supremam tecum cognationem habens.* Deinde etiam ex eadem natione, & fortasse idem tribulis & popularis, egestatis causa ad hanc gestus conformationem redactus. Itaque sublato ex animo insidiatore malo, fastu nimirum, tanquam cum mercenario conuersare; hæc impertiendo, atque illa accipiendo. Quapropter præbebit impiger ille ministerium quam celerrimè, semper & vbique locorum, nulla interposita mora: quin potius iussa tua mira celeritate & alacritate anteuertet: tu verò alimenta repende, & vestimentum, & cætera curarum, non imposito ei iugo, vt animali bruto, neque pluribus & grauioribus quàm vires ferre queant, oneribus premẽdo, neque cõtumelia afficiendo, nec minitationibus & terroribus importunis, ad molestos grauésque mœrores deducendo: Verùm remissiones & relaxationes moderatas vltro ipsimet concedendo. Nam ne quid nimis apprimè in vita vtile, & potissimum heris erga famulos. quare cùm tibi seruierit longo admodum temporis spatio, per sexennium videlicet, quando numerus sacratissimus instare incipit, nempe septimus annus, liberum abire sinito eum qui natura liber est, nihil cunctatus: imo, tu vir animose, etiam lubens gratiam concedito, quia tempus nactus es, quo de homine optimo animalium maximis in rebus bene merearis. Sed enim seruo nullum est maius libertate bonum. Itaque hilariter, large & munificè suppedita aliquid ex facultatibus tuis:

Arist. 1. Polit. — *Non quà iubet alta potestas eundū. Stat. 1. Sylu.* — *Philist. Com.* — *D. August. in Psal. 18. Prodicus. Manus manum fricat.* — *Ausonius Epigr. ad nutar. 138* — *Pittacus.* — *Libertatis munus.*

A ἑβδόμῳ προῖκ' ἐλεύθερος ἀφιέσθω· πάλιν ἀδελφὸν τὸν ὁμόφυλον εἶπεν, ὑποσπείρων τῇ τοῦ κεκτημένου ψυχῇ διὰ τῆς προσρήσεως τὴν πρὸς τὸ ὑπήκοον συγγένειαν· ἵνα μὴ ὡς ξένου, πρὸς ὃν οὐδὲν φίλτρον ἐστὶν εὐνοίας, καταλιγωρῇ· φιλοίκειον δέ τι πεπονθὼς πάθος ἐκ διδασκαλίας, ἣν ὁ ἱερὸς λόγος ὑπηχεῖ, μὴ ἀγανακτῇ, μέλλοντος ἐλευθεροῦσθαι. τοὺς γὰρ τοιούτους,
B δούλους μὲν ὀνομάζεσθαι συμβέβηκε· θῆτας δὲ τῷ ὄντι εἶναι, τὴν ἀναγκαίαν χάριν ὑπηρετοῦντας. κἂν εἰ μυριάκις αὐτεξούσιον δυναστείαν καὶ δεσποτείαν ἐπιδῶσί τινες κατ' αὐτῶν, οὐ πιθανευτέον, ἐπιλέγοντας τὰ χρηστὰ ἐκεῖνα τοῦ νόμου παραγγέλματα. μισθωτός ἐστιν, ὦ ἄνθρωπε, ὁ λεγόμενος δοῦλος, καὶ αὐτὸς ἄνθρωπος ὤν, ἔχων πρὸς σὲ τὴν ἀνωτάτω συγγένειαν· ἔπειτα καὶ ἀπὸ τοῦ αὐτοῦ ἔθνους· τάχα δὲ καὶ φυλέτης, καὶ δη-
C μότης ἐνδείας χάριν εἰς τουτὶ τὸ σχῆμα ἀπηγμένος. ἀνελὼν οὖν ἐκ τῆς ψυχῆς ἐπίβουλον κακὸν ἀλαζονείαν, ὡς μισθωτῷ προσφέρου, τὰ μὲν διδούς, τὰ δὲ καὶ λαμβάνων. πρήξει μὲν οὖν ἐκεῖνος ἀόκνως τὰς ὑπηρεσίας ἀεὶ καὶ πανταχοῦ μηδὲν ὑπερτιθέμενος, ἀλλὰ φθάνων τὰς σὰς ἐπικελεύσεις τάχει καὶ προθυμίᾳ. σὺ δὴ ἀντιδίδου τὰς τροφάς,
D καὶ ἐσθῆτα, καὶ τὴν ἄλλην ἐπιμέλειαν. μὴ καταζεύξας ὡς ζῶον ἄλογον, μηδὲ πλείοσι καὶ βαρυτέροις τῆς δυνάμεως ἄχθεσι πιέζων, μηδ' ὑβρίζων, μηδ' ἀπειλαῖς καὶ ἐκδειματώσεσιν εἰς χαλεπὰς δυσθυμίας ἐφελκόμενος· ἀλλὰ ἀναχωρήσεις διδοὺς καὶ ἀνέσεις μεμετρημένας. τὸ γὰρ μηδὲν ἄγαν, ἐπὶ πάντων, καὶ μάλιστα πρὸς οἰκέτας, δεσποτῶν.
E ὑπηρετηθεὶς μέντοι χρόνον αὐταρκέστατον ἑξαετίαν, ἐπὴν ὁ ἱερώτατος ἀριθμὸς ἐνίστασθαι μέλλῃ τὸ ἕβδομον ἔτος, ἐλεύθερον μεθίεσο τὸν ἐλεύθερον φύσει. μηδὲν ἐνδοιάσας, ἀλλ' ὦ γενναῖε καὶ γεγηθὼς δίδου τὴν χάριν· ὅτι καιροῦ ἔλαβες τὸ ἄριστον ζῷον ἄνθρωπον ἐν τοῖς μεγίστοις εὐεργετῆσαι. δούλῳ γὰρ οὐκ ἔστι μεῖζον ἐλευθερίας ἀγαθόν. χαίρων οὖν καὶ προσεπιδαψιλεῦσαί τι τῶν ἰδίων, ἀφ' ἑκάστου μέρους τῆς κτήσεως

πρὸς ξένον οὐδὲν φίλτρον εὐνοίας. δοῦλοι, θῆτες. — *χρηστὰ τοῦ νόμου παραγγέλματα.* — *ἔχων πρὸς σὲ τὴν ἀνωτάτω συγγένειαν. Philist. Com.* — *ἐπίβουλον κακὸν ἀλαζονεία.* — *ἁ χεὶρ τὰν χεῖρα νίζει, δός τι καὶ λαβέ τι.* — *μηδὲν ἄγαν.* — *ἄριστον ζῶον ἄνθρωπος.* — *οὐκ ἀγαθὸν δούλῳ μεῖζον ἐλευθερίας.*

ἐφοδιάσας τὸν εὐεργετηθέντα. σὸν γὰρ ἐγκώμιον, εἰ μὴ πένης ὢν ἀπαλλάττοιτο τῆς οἰκίας, ἀλλὰ τὴν εἰς τἀναγκαῖα ἀφορμὴν εὐπορηκώς· ἵνα μὴ πάλιν ὑπ' ἐνδείας εἰς τὴν ἀρχαίαν ἀτυχίαν ὑπαχθῇ δουλεύειν, ἀναγκασθεὶς διὰ σπάνιν τῶν περὶ δίαιταν, καὶ ἡ σὴ χάρις ἀφαιρεθῇ. πενήτων μὲν δὴ πέρι, τοσαῦτα.

Κελεύει δ' ἑξῆς ἀργὴν [καὶ] ἀνάροτον τὴν χώραν ἐᾶν ἔτει ἑβδόμῳ διὰ πολλά. πρῶτον μὲν, ἵνα τὴν ἑβδομάδα τιμήσῃ κατὰ πάντας χρόνους ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν. ἑβδόμη τε γὰρ πᾶσα ἡμέρα ἱερὰ, ὃ καλούμενον παρ' Ἑβραίοις σάββατον· μηνῶν τε ὁ ἕβδομος κατὰ πᾶν ἔτος ἑορτῶν ἔλαχε τὴν μεγίστην. ὥστ' εἰκότως καὶ ὁ ἕβδομος ἐνιαυτὸς τῆς περὶ τὸν ἀριθμὸν σεβασμοῦ τυχὼν ἐκτετίμηται. δεύτερον δ' ἐκεῖνο· μὴ πάντα, φησὶν, ἴσθι τοῦ κέρδους, ἀλλὰ καὶ ἑκὼν ζημίαν ὑπόμενον· ἵνα καὶ τὴν ἀκούσιον βλάβην, εἴ ποτε γένοιτο, ῥαδίως ἐνέγκῃς, ἀλλὰ μὴ ὡς ἐπὶ καινῷ καὶ ξένῳ δυσχεραίνων ἀθυμῇς. εἰσὶ γὰρ τῶν πλουσίων οὕτως ἀτυχεῖς τὰς γνώμας τινὲς, ὡς ἀπορίας ἐπισχούσης, στένουσι καὶ κατηφοῦσιν οὐδὲν ἧττον, ἢ εἰ πᾶσαν ἀφῃρέθησαν τὴν οὐσίαν. ἀλλὰ τῶν Μωσέως ὁμιλητῶν ὅσοι φοιτηταὶ γνήσιοι, καλοῖς ἐνασχολούμενοι νομίμοις, ἐκ πρώτης ἡλικίας ἐθίζονται τὰς ἐνδείας εὐμαρῶς ὑπομένειν, διὰ τοῦ καὶ τὴν * ἀρετῶσαν χώραν ἐᾶν ἀργήν· ἅμα καὶ μεγαλοφροσύνην ἀναδιδασκόμενοι, καὶ τὰς ὁμολογουμένας προσόδους μόνον οὐκ ἐκ τῶν χειρῶν ἑκουσίῳ γνώμῃ μεθιέναι. τρίτον κἀκεῖνο αἰνίττεσθαί μοι δοκεῖ, ὃ μηδενὶ προσήκει τὸ παράπαν ἀνθρώπους ἄχθει βαρύνειν καὶ πιέζειν. εἰ γὰρ τοῖς μέρεσι τῆς γῆς, ἃ μήθ' ἡδονῆς μήτ' ἀλγηδόνος πέφυκε κοινωνεῖν, μεταδοτέον ἀναπαύλης· πῶς οὐχὶ μᾶλλον ἀνθρώποις, οἷς οὐ μόνον αἴσθησις πρόσεστιν ἡ κοινὴ καὶ τῶν ἀλόγων ζώων, ἀλλὰ καὶ λογισμὸς ἐξαίρετος, ᾧ τὰ ἐκ πόνων καὶ καμάτων ὀδυνηρὰ τρανοτέραις φαντασίαις ἐντυποῦται. παύσασθε οὖν οἱ λεγόμενοι δεσπόται τῶν ἐπὶ δούλοις σφοδρῶν καὶ δυσυπομενήτων ἐπιταγμάτων· ἃ καὶ τὰ σώματα

μὴ πάντα ἴσθι τοῦ κέρδους. Pindar. in Pyth. Od. 3. κέρδει ἢ σοφία δέδεται.

ἀρετῶσαν. ἢ καρπῶσαν χώραν.

A eo quem tibi iam beneficio deuinxisti, ex quaque possessionis portione locupletato. Enimvero elogium tuum est, si non paupertate oppressus discedat ex ædibus tuis, sed commoditatibus ad necessaria abundè instructus: ne rursus præ necessitate in priscum infortunium seruitutem seruiendi reducatur, egestate eorum quæ ad victum pertinent coactus, & beneficij tui gratia pereat. Ac de pauperibus quidem hactenus dictum sit.

Simo Terent. Feci è seruo vt esses libertus mihi, quod habui summû pret. persolui tibi.

B Præcipit deinceps otiosam nec subactam aratro regionem sinere anno septimo, multis de causis. Primum quidem, vt septenarium honoret per omnes temporis partes, dies, menses, & annos. Nam quæuis dies septima sacra est, quæ apud Hebræos Sabbatum vocatur. Et mensium septimus, quotannis obtinuit festorum maxime solemne, vt meritò septimus annus numeri sanctificationem nactus in honore fuerit. Secunda causa hæc est, C *Ne omnia* (inquit Legislator) *quæstus causa facias.* verùm patere etiam volens aliquod damnum; vt inuoluntariam quoque noxam, si quando contigerit, æquiore animo feras: néve, tanquam ob nouum quiddam & stupendum mœrens animum despondeas. Sunt enim è diuitibus quidam adeo infelici mente animóque, vt si quæ anxia necessitas subierit, non minus ingemiscant & lugeant, quàm si omnibus essent spoliati fortunis. Verum è Mose D familiaribus qui legitimi sunt discipuli, & præclaris exercentur institutis à teneris, & prima ætate assuescunt indigentiam æquo ferre animo, eo quòd agrum quoque fertilem quiescere sinant, vna eadémque opera animi magnitudinem addiscentes, & concessos reditus, tantum non è manibus sponte sua dimittant. Tertio etiam illud subindicari mihi videtur, neminem decere omnino homines onere grauare & premere. Etenim si terræ partibus, E quæ nec voluptatis nec doloris participes natura esse possunt, quies est concedenda; quomodo non hominibus potius; quibus non sensus tantum communis cum brutis animantibus adest; verùm etiam rationis vis eximia, cui ea quæ laboribus & sudoribus dolorem gignunt, dilucidioribus visis effinguntur. Quocirca definite, ô vos qui heri appellamini, à vehementibus & vix tolerabilibus iussis indicendis

IV. Leuit. 25. vers. 4. *I. Terra quietis causa.* *Septenarij cultus per dies, menses, annos. Sabbata. Hieromenia.* *II.*

Homines grauare non decet.

seruis, quæ & corpora violenti impetu frangunt, & animos vel ante corpora despondere cogũt. inuidia quippe nulla est iniungendi, quæ moderata sunt: per quæ vos Domini congruẽti ministerio fruemini, & famuli expeditè & æquo animo imperata facient, ac ministeria, non ad breue aliquod tempus, veluti labore ante suscepto fessi, ac (si verũ proferre opus est) præ ærumna senio præuenti, sustinebunt: verùm longissimo tempore, athletarum certantium more repubescentes, non eorum qui obesitate pinguescunt: sed eorum quibus mos est, per aridos sudores ad eorum quæ vitæ necessaria & conducibilia sunt acquisitionem se exercere. Quin etiam ciuitatum Rectores tributis & vectigalibus continuis & magnis vrbes desinãt pene subuertere, dum proprios loculos pecunia implent: & illiberalia vitia, quę omnem ipsorum vitam contaminant, quasi thesaurũ condunt & conseruant. Enimvero crudelissimos & inhumanitatis plenos tributorum exactores data opera eligunt, cùm ansas ipsis ad inexplebilẽ auidiam porrigunt: at ij qui natiuæ imperitiæ adiungunt etiam iussorum herilium securitatem: & dum omnia statuunt ad obsequium illis præstandum, patrare nihil omnino è grauissimis & molestissimis prætermittunt, æquitatis ac lenitatis ratione, ne in somnis quidem habita. dumtaxat pecunijs exigendis præfecti, confundunt & polluunt omnia: Adeo vt non tantùm è facultatibus exigant, sed etiam è corporibus, contumelijs, flagris, & excogitatis recenter tormentis ad immanitatem. exaudio iam nonnullos ne à cadaueribus quidem abstinuisse ob feritatem & inauditam rabiem, quâ eo vsque efferati sunt; vt aculeatis loris è corio aspero ferire mortuos audeant. Et cùm aliquis culparet nimiam hanc sæuitiam, quòd ne mors quidem, quæ omnium malorum medela, & re vera finis est, conseruaret ipsis fato functis statum inuiolabilem: verùm sepulchri & iustorum loco verbera paterentur: defensione quæ peior erat accusatione vtebantur, cùm dicerent se graui contumelia afficere mortuos, non ideo vt surdum & stupidum puluerem dedecorarẽt, si quidem inutile istud fuerit: sed vt genere propinquos aut sodalitij iure coniunctos ad misericordiam impellerent, & prouocarent ad pretium redemptionis corporum extremo beneficio collato.

Sen. lib. de Prou. *Tributorum & vectig. ratio.*

In sæuos tributorum exactores.

In cadauera sæuientium furor.

Imperiorũ defensio pessima.

A κατακλᾷ βιαζόμενα, καὶ τὰς ψυχὰς πρὸ τῶν σωμάτων ἀπαγορεύειν ἀναγκάζει. φθόνος γὰρ οὐδεὶς. προστάττειν τὰ μέτρια· δι' ὧν καὶ ὑμεῖς τῆς προσηκούσης ὑπηρεσίας ἀπολαύσετε, καὶ οἱ θεράποντες εὐφόρως τὰ κελευσθέντα δράσουσι· καὶ τὰς διακονίας οὐ πρὸς ὀλίγον, ἅτε προκεκμηκότες. καὶ (εἰ δεῖ τἀληθὲς εἰπεῖν) τοῖς πόνοις προγηράσαντες ὑπομενοῦσιν, ἀλλὰ πρὸς μήκιστον ἀθλητῶν τρόπον ἀνηβῶντες, οὐ τῶν εἰς πολυσαρκίαν πιαινομένων, ἀλλ' οἷς ἔθος ἐγγυμνάζεσθαι διὰ ξηρῶν ἱδρώτων πρὸς τὴν τῶν περὶ βίον ἀναγκαίων καὶ χρησίμων κτῆσιν. παυσάσθωσαν καὶ οἱ τῶν πόλεων ἡγεμόνες φόροις καὶ δασμοῖς συνεχέσι καὶ μεγάλοις αὐτὰς ἐκτραχηλίζοντες, οἳ τὰ μὲν ἴδια ταμιεῖα πληροῦσιν ἅμα τοῖς χρήμασι, καὶ τὰς ἀνελευθέρους κακίας, καὶ τὸν σύμπαντα βίον αὐτῶν ῥυπαινούσας, θησαυροφυλακοῦντες. ἀνηλεεστάτους γὰρ καὶ γέμοντας ἀπανθρωπίας C τοὺς τῶν φόρων ἐκλογεῖς ἐπίτηδες αἱροῦνται, τὰς πρὸς πλεονεξίαν ἀφορμὰς αὐτοῖς ἐνδιδόντες. οἱ δὲ τῇ φυσικῇ σκαιότητι προσειληφότες καὶ τὴν ἐκ τῶν ἐπιταγμάτων δεσποτικῶν ἐκεχειρίαν· καὶ πάνθ' ὑπὲρ ἀρεσκείας τῆς ἐκείνων ἐγνωκότες πράττειν, οὐδὲν παραλείπουσι τῶν χαλεπωτάτων, ἐπιείκειαν καὶ ἡμερότητα μηδ' ὄναρ ἰδόντες. τοιγάρτοι πάντα φύρουσι καὶ συγχέουσιν, D ἀργυρολογοῦντες· ὡς μὴ μόνον ἐκ τῶν οὐσιῶν εἰσπράττειν, ἀλλὰ καὶ ἐκ τῶν σωμάτων, ὕβρεσιν, αἰκίαις, πρὸς ἀποτομίαν κεκαινουργημέναις βασάνοις. ἤδη δέ τινας ἀκούω μηδὲ νεκρῶν ἀπέχεσθαι, δι' ἀγριότητα καὶ ἐξηλλαγμένην λύτταν· οἱ ἐπὶ τοσοῦτον ἐθηριώθησαν, ὡς καὶ τύπτειν ὕστριξι τολμᾶν τοὺς τεθνεῶτας. καὶ ἐπειδή τις τῆς ἄγαν ὠμότητος κατεμέμφετο, εἰ μηδ' ὁ θάνατος, ἡ κακῶν ἁπάντων ἀπαλλαγή, καὶ ὡς ἀληθῶς τελευτή, περιποιήσεται οἷς E ἐπιπεδῶν τὸ ἀνύβριστον· ἀλλ' ἀντὶ ταφῆς καὶ τῶν νομιζομένων αἰκίας ὑπομένουσιν, ἀπολογίᾳ χείρονι κατηγορίας ἐχρῶντο, φάσκοντες προπηλακίζειν τοὺς τεθνεῶτας, οὐχ ὑπὲρ τοῦ κωφὴν καὶ ἀναίσθητον κόνιν ὑβρίζειν, ἀνωφελὲς γάρ· ἀλλ' ὑπὲρ τοῦ τοὺς ἢ κατὰ γένος, ἢ καθ' ἑταιρείαν προσήκοντας εἰς οἶκτον ἀγαγεῖν, καὶ προκαλέσασθαι λύτρα καταθέσθαι τῶν σωμάτων· ὑστάτην ἀπονέμοντας χάριν.

φθόνος οὐδεὶς προστάττειν τὰ μέτρια.

Leg. ὑπολαύουσι. Et mox ὑπομενοῦσι.

ὁ θάνατος κακῶν ἁπάντων τελευτή.

Εἶτ',

εἶτ', ὦ φαυλότατοι πάντων ἀνθρώπων, (A) εἴποιμ' ἂν αὐτοῖς, ἃ διδάσκετ' οὐ προεμάθετε; ἢ προσκαλεῖσθαι μὲν εἰς ἔλεον ἑτέρους ἴστε καὶ δι' ὠμοτάτων ἔργων οἴδατε, τὰ δὲ χρηστὰ καὶ φιλάνθρωπα τῆς αὑτῶν ψυχῆς ἐκτετμήκατε; καὶ ταῦτα μὴ ἀποροῦντες ἀγαθῶν ὑφηγητῶν καὶ μάλιστα τῶν ἡμετέρων νόμων; οἳ καὶ τὴν γῆν * μεθιᾶσιν ἀπὸ φόρτων τῶν ἐτησίων, ἄνεσιν καὶ ἀνάπαυσιν αὐτῇ παρέχοντες. αὕτη (B) δέ, καίτοι δοκοῦσα ἄψυχος εἶναι, πρὸς ἀμοιβὴν ηὐτρέπισται καὶ χάριτος ἀντίδοσιν, ἣν ἔλαβε δωρεὰν ἀντεκτίνειν ἐπειγομένη. τυχοῦσα γὰρ ἀδείας ἔτει τῷ ἑβδόμῳ, καὶ μὴ πονηθεῖσα, σύμπαντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον ἀπελευθεριάσασα, τῷ μετὰ ταῦτα διπλασίους, ἔστι δ' ὅτε καὶ πολυπλασίους ὑπ' εὐφορίας ἤνεγκε καρπούς. ὃ παραπλήσιον μέν τι καὶ τοὺς ἀλείπτας ἐστὶν ἰδεῖν δρῶντας ἐπὶ τῶν ἀθλητῶν. (C) ὅταν γὰρ αὐτοὺς συγκροτήσωσιν ἐπαλλήλοις καὶ συνεχέσι γυμνασίαις, πρὶν εἰς ἅπαν καμεῖν, ἀνακτῶνται, παρέχοντες ἀνέσεις οὐ μόνον τῶν ἐν ἀθλήσει πόνων, ἀλλὰ καὶ τῶν πρὸς ἐδωδὴν καὶ πόσιν· τὸ σκληροδίαιτον χαλῶντες εἴς τε ψυχῆς εὐθυμίαν καὶ εὐπάθειαν σώματος. καὶ οὐ δήπου διδάσκαλοι ῥᾳθυμίας καὶ τρυφῆς εἰσιν, οἷς ἐπάγγελμα τὸ πρὸς πόνους ἀλείφειν· ἀλλὰ μεθόδῳ καὶ τέχνῃ παρασκευοῦσιν (D) ἰσχὺν κραταιοτέραν ἰσχύϊ, καὶ δυνάμεις στεναρωτέρας δυνάμεσι· τὴν ῥώμην ἀνέσει καὶ ἐπιτάσει, καθάπερ ἁρμονίαν, συναύξοντες. ἔμαθον δὲ παρὰ τῆς πανσόφου ταῦτα φύσεως· ἥτις, τὸ ἐπίπονον καὶ καματηρὸν τοῦ γένους ἡμῶν ἐπισταμένη, διένειμε τὸν χρόνον εἰς ἡμέραν τε καὶ νύκτα· τῇ μὲν ἐγρηγορεῖν, τῇ νυκτὶ δ' ὕπνον παρέχουσα. φροντὶς γὰρ αὐτὴν, οἷα μητέρα κηδεμονικωτάτην, (E) εἰσῆλθε τοῦ τὰ ἔγγονα μὴ ἀποτρίβεσθαι. μεθ' ἡμέραν γὰρ τὰ σώματα διανίστησι καὶ πρὸς τὰς τοῦ βίου χρείας καὶ ὑπηρεσίας ἁπάσας ἐγείρει, ἀναγκάζουσα τοὺς ἀργίᾳ καὶ ἁβροδιαίτῳ βίῳ σχολάζειν ἐθιζομένους· νύκτωρ δέ, καθάπερ ἐν πολέμῳ τὸ ἀνακλητικὸν ὑποσημαίνουσα, πρὸς ἀνάπαυσιν καλεῖ καὶ τὴν τῶν σωμάτων ἐπιμέλειαν. οἱ δ' ἀποθέμενοι πολὺ βάρος πραγματειῶν,

χάριτος ἀντίδοσις. — *ὑπ' εὐφορίας καρποί.* — *τὸ καματηρὸν καὶ ἐπίπονον.* — *τὸ ἀνακλητικόν.*

A Deinde, ô vos omnium qui viuunt hominum sceleratissimi, vt lubens ipsos compellarem, quæ docetis, nonne prius didicistis? An alios ad misericordiam, tametsi per crudelissima opera, incitare nostis, quæ vero bona & benigna sunt ex animo vestro rescidistis? Idque non indigentes bonis præceptoribus, & potissimum nostris legibus? quæ quidem terræ solutæ oneribus annuis, remissionem & requiem præbuerunt? hæc autem tellus, B etiamsi inanima videatur esse, ad remunerationem parata est & ad gratiæ redditionem, dum munus quod accepit rependere festinat. Atenim anno septimo securitatem nacta, & labore non vexata, sed toto anni curriculo, libertate donata; sequenti proximè duplo vberiores, interdum etiam longe maiore mensura, fructus ad feracitatem protulit. Simile quid vtique etiam ludi magistros videre est, in certatoribus facientes: Cùm C enim semetipsos comprobauerint frequentibus & continuis inter se exercitationibus, priusquam planè defessi fuerint, vires reparant, ac remissiones suis concedunt, non solum à laboribus, qui in concertatione consistunt: verum etiam ab ijs, quæ ad cibum & potum conferunt, dum victus asperitatem laxant, tam ad animi exhilarationem quàm ad corporis voluptatem: qui haud socordiæ & deliciarum doctores sunt, quorum professio est ad labores inungere: sed ratio- D ne, via & arte robur comparant solidius robore, & vires validiores viribus; corporis vigorem remissione, & intensione, tanquam harmoniæ concentu adaugendo. Hoc nimirum à natura omnium sapientissima edocti sunt. Quæ quidem cum imbecillitatem generis nostri laboris fugientem & defatigationi obnoxiam sciat, tempus in diurnum & nocturnum spatium distribuit, diei vigiliam & nocti somnum E concedens. sed enim sollicitudo ipsam vt matrem maxime sollicitam subijt, ne fœtus suos obtereret. Nam interdiu excitat corpora, atque ad vitæ vsus omnes & ministeria instigat, eos qui inertia, & molli ac delicato victui vacare soliti sunt, cogendo: noctu vero, quemadmodum in bello receptui canendo ad quietem vocat & corporum curam: fessi autem deposita graui negotiorum sarcina,

Quæ quis nescit nemo docere potest.

Cic. in Cat. M. Anni septimi quies.

Pugilum & athletarum alterna requies.

Aliptarum seu ludi magistrorum professio.

Natura institutum ad laborem & quietem hominum.

A quatenus à diluculo ad crepusculum onerati fuerant, deinde domum reuersi ad quietem se conferunt, & cubilibus iacentes alto somno diurnum laborem curant, & leniunt: ac rursus vegeti & integri effecti, quique properant ad sua & consueta munia. Hoc stadij curriculum natura per somnum & vigiliam impertijt hominibus, vt partim operibus incumberent, partim cessantes, artus corporis promptiores & agiliores obtinerent. B quæ cùm animaduertisset, is qui leges nobis vaticinando sanxit, remissionem regioni promulgauit, agricolas, post sexennium à labore coërcens. Verum enim non eorum tantum quæ commemoraui gratia hæc induxit: sed & benignitatis consuetæ causa; quam omnibus Legislationis partibus contexere studuit, vt mores ad societatem & vsum bonos ijs consignaret, qui Scripturis sacris incumberent. C Etenim iubet anno septimo, nullum occludere locum, sed omnia Oliueta & vinea patefacta relinquere, & alia prædia tam frugibus quàm arboribus consita, vt inopes fructibus vltro oblatis securius vti possent, vel non minus securè, quàm ipsi possessores. Proinde heris non permisit excolere, id agens & contendens, vti nullius mœstitiæ author foret, ijs qui impensas fecissent, & prouentus ac reditus pro sumptibus non acciperent. D inopes autem tanquam proprijs frui voluit. quare ijs quæ tunc videbantur aliena esse illos ornauit, humilique habitu simul liberauit, & à probris quæ in mendicos conijciuntur. Numquid igitur æquum est earum legum amore corripi, quæ tanta lenitate redundant? propterquam locupletes impertire docentur, & communicare quæ habent: pauperes vero consolationem inueniunt, in eo quod non adiguntur ad diuitum ædes subinde frequentandas, vt ab indigentia sua subleuentur: E quinetiam interdum velut reditus percipientes tanquam ex proprijs possessionibus spontaneos, & obuios, vt dixi, fructus viduæ & orbi liberi, & quotquot alij neglecti, viles & obscuri sunt, propterea quod opibus destituuntur: tum demum abundabunt Dei muneribus repente è vestigio locupletati, qui ipsos ad societatem, communionémque possessorum,

Legum mitium amor.

Diuitum instructio & inopum solatium.

